ΣΕΙΡΑ

ΕΝΟΣ ΚΑΙ ΠΕΝΤΗΚΟΝΤΑ ΥΠΟΜΝΗΜΑΤΙΣΤΩΝ

ΕΙΣ

ΤΗΝ ΟΚΤΑΤΕΥΧΟΝ ΚΑΙ ΤΑ ΤΩΝ ΒΑΣΙΛΕΙΩΝ

ΗΔΗ ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΙΣΑ

ΑΞΙΩΣΕΙ ΜΕΝ

ΤΟΥ

ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΚΑΙ ΓΑΛΗΝΟΤΑΤΟΥ

ΗΓΕΜΟΝΟΣ

ΠΑΣΗΣ ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ


ΓΡΗΓΟΡΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΓΚΙΚΑ

ΕΠΙΜΕΛΕΙΑ ΔΕ

ΝΙΚΗΦΟΡΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΤΟΥ ΘΕΟΤΟΚΟΥ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ


ΤΗΝ ΠΕΝΤΑΤΕΥΧΟΝ ΠΕΡΙΕΧΩΝ.



Ἐν Λειψίᾳ τῆς Σαξονίας,

Ἐν τῇ τυπογραφίᾳ τοῦ Βρεϊτκόπφ.

Ἔτει αψοβ.



ΤΗ,

ΜΙΑ, ΑΓΙΑ, ΚΑΘΟΛΙΚΗ, ΚΑΙ ΑΠΟΣΤΟΛΙΚΗ, ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΕΚΚΛΗΣΙΑ,

ΓΡΗΓΟΡΙΟΣ Ο ΓΚΙΚΑΣ

Ο ΕΥΣΕΒΕΣΤΑΤΟΣ ΚΑΙ ΦΙΛΟΧΡΙΣΤΟΣ ΗΓΕΜΩΝ ΑΝΕΘΕΤΟ.



Τίνι μὲν οὖν ἄλλῳ ἢ ΣΟΙ, πάναγνε ΙΗΣΟΥ τοῦ Κυρίου ἡμῶν νύμφη, πρεπωδεστέρα ἂν εἴη ἡ τῆς δε τῆς βίβλου προσαγωγὴ καὶ ἀνάθεσις; ἐνίων μὲν γὰρ προσθήκαις, τινῶν δ' ἀφαιρέσεσι, παντοίαις δὲ ἄλλων μεταβολαῖς τε καὶ ἀλλοιώσεσι τὸ θεοπαράδοτον κατακιβδηλευσάντων σέβας, ἐκκλασθέντων τε τῶν δειλαίων καὶ ἀποσχισθέντων, καὶ ἀγέλας συγκροτησάντων ἰδίας, αἷς καὶ τὸ ΣΟΝ κακῶς τε καὶ προπετῶς, ἤτοι ἐθελοκακίᾳ, ἢ τῆς σημασίας ἀγνοίᾳ, περιτέθειται πάνσεμνον ὄνομα, ΣΥ μόνη ἐπὶ τὴν πέτραν, τὸν ΧΡΙΣΤΟΝ, θεμελιωθεῖσα, ἐν τῇ ἀποστολικῇ μένεις εὐσεβείᾳ· ἃ παρ' αὐτῶν παρέλαβες τῶν θεσπεσίων Ἀποστόλων, ἀπαραχάρακτα καὶ μέχρι κεραίας διαφυλάττουσα ἀνέπαφα, μόνη καὶ δογματοφύλαξ ἀληθὴς, καὶ ἀκριβεστάτη τυγχάνουσα νομοκράτωρ, μηδενὸς κατὰ ΣΟΥ, μηδ' ἅδου πυλῶν κατὰ τὴν δεσποτικὴν κατισχυουσῶν ἐπαγγελίαν. ἔνθεν τοι ΣΥ εἶ ἡ ΜΙΑ ἡ περιστερὰ ἡ τελεία, ἡ ΜΙΑ τῇ μητρὶ αὐτῆς τῇ ΘΕΟΤΗΤΙ, ὅλη καλὴ καὶ μῶμον οὐκ ἔχουσα, ὡς κρίνον ἐν μέσῳ τῶν νῦν μὲν ἀκανθῶν, ποτὲ δὲ θυγατέρων. ἐπεὶ οὖν τῆς νέας ἡ παλαιὰ διαθήκη προκατασκευή τίς ἐστι καὶ προοδοποίησις, αὐτὴν πῇ μὲν τυπικῶς, πῇ δὲ σκιωδῶς, ἔστι δ' ὅπου καὶ ῥητῶς ἐκφαίνουσα, κατὰ πάντα δ' αὐτῇ ὁμοφωνοῦσά τε καὶ συνᾴδουσα· ἐπεί γε δὴ ἑκατέρας εἷς καὶ ὁ αὐτὸς δοτὴρ ὁ ΘΕΟΣ· διὰ τοῦτο θατέρας ἀναπτυσσομένης, ἀκράδαντα τῆς ἑτέρας ὁ λόγος


ἐπιστηρίζεται, καὶ θαυμασίως λευκαίνεται ἡ διάνοια. διὸ δὴ καὶ τὰς ἐν τῷ μύλωνι τὸν οὐράνιον σῖτον, τὸν τῆς ἀληθείας λόγον, ἀληθούσας δύο ἀκούομεν, ὧν τὴν ἑτέραν ἐνεχυράζειν προφανῶς ἀπηγόρευται· καὶ τὸν οἰκοδεσπότην καινὰ καὶ παλαιὰ ἐκ τοῦ θησαυροῦ ἐκβάλλοντα· καὶ τὸν πανδοχέα οὐχ ἕν, ἀλλὰ δύω καὶ λαβόντα, καὶ προσδαπανῆσαι κελευθέντα δυνάρια· καὶ τῶν νομοθετῶν ἑκάτερον, πρὸς τὸν ἕτερον παραπέμποντα· τὸν μὲν, διὰ τοῦ, Προφήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμὲ, ἀναστήσει σοι Κύριος ὁ ΘΕΟΣ σου, αὐτοῦ ἀκούσεσθε· τὸν δὲ, διὰ τοῦ, εἰ γὰρ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. ἀλλὰ γὰρ διὰ τὸ τὰς θεοπνεύστους ἐσφραγίσθαι βίβλους, οὐ μόνον ἀσόφοις, ἀλλά γε δὴ καὶ σοφοῖς τὸ ἀναπτύσσειν οὐκ εὐμήχανον. ὁ μὲν γὰρ μὴ ἐπιστάμενος γράμματα τοῖς ἐροῦσιν αὐτῷ ἀνάγνωθι τοῦτο, ἐρεῖ, φησὶν, οὐκ ἐπίσταμαι γράμματα· ὁ δὲ ἐπιστάμενος, οὐ δύναμαι, ἐσφράγισται γάρ. ἀνοίγει δὲ ἄλλος οὐδεὶς, εἰ μὴ ὁ τὴν κλεῖν ἔχων τοῦ Δαβὶδ, ὁ ἅγιος, ὁ ἀληθινὸς, ὁ μονογενὴς υἱὸς, ἡ ἐνυπόστατος τοῦ Θεοῦ σοφία καὶ δύναμις. τότε γάρ φησι διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς Γραφάς. τίσι δ' ἄρ' ἄλλοις τόδ' ἡγητέον προσγίνεσθαι, εἰ μὴ μόνοις τοῖς αὐτοὺς ὁλοχερῶς ἐκδεδωκόσιν αὐτῷ, καὶ τοῦτο αὐτοῖς, τὸ συνιέναι, σκοπὸν προστησαμένοις, καὶ παρ' αὐτοῦ αἰτησαμένοις τὸ δώρημα; τούτων δὴ οὖν, ἢ βέλτιον φάναι, τῶν λογάδων αὐτῶν καὶ κορυφαίων ἁπάντων, ὧν καί τινες ἄχρι τῆς ἄρτι ὥρας ἀφανεῖς ἦσαν καὶ ἄδηλοι, ἡ βίβλος αὕτη ἐμπεριέχει τὰ ὑπομνήματα. λελυμένας τοιγαροῦν, ὅσον ἀνθρωπίνῃ οἷόν τε φύσει, τὰς σφραγίδας ἐχούσας πρόκεινταί σοι, ὦ ΘΕΟΥ θύγατερ, καὶ τῶν ὀρθοδόξων μῆτερ πανσέβαστε, αἱ πλάκες αἱ πάλαι, τοῦ καινοῦ θεοτεκτονήματος αἱ στεῤῥόταται βάσεις, καὶ τὰ θεόδμητα θέμεθλα. ὁ δὲ ταύτας προθέμενος ὁ γνήσιός ΣΟΥ τυγχάνει υἱὸς, ὁ εὐσεβέστατος καὶ γαληνότατος Ἡγεμὼν ΓΡΗΓΟΡΙΟΣ ΑΛΕΞΑΝΔΡΟΥ ὁ ΓΚΙΚΑΣ· οὗ θέμιστας μὲν ἀναπεμπάζει ὁ νοῦς, οἰκτιρμοὺς δ' ἐξερεύγετ' ἡ καρδία, εὐεργεσίαν δὲ νάετον τὼ χεῖρε, καὶ πάντα τ' ἄλλα κινήματα ἡγεμονικὴν ἐκδιαπνέει τὴν τελειότητα. ΑΥΤΟΣ ὁ καὶ τῆς βίβλου κύριος, καὶ τῶν περὶ τὴν ἔκδοσιν αὐτουργός τε καὶ πάροχος, καὶ τοῦτο, τὸ, οὐκ ἄλλῳ τῳ, εἰ μὴ ΣΟΙ, αὐτὴν ἀνατεθῆναι, πάνυ σοφῶς τε καὶ εὐφυῶς διεσκέψατο. οὕτω μὲν γὰρ ὅ, τε ἀναθέμενος, καὶ τ' ἀνάθημα, καὶ ἡ πρὸς ἣν ἀνατίθεται τὸ προσφυὲς ἔχει καὶ κατάλληλον. ὁ μὲν γὰρ, ἅ τε δὴ ΗΓΕΜΩΝ τοιοῦτος, τῶν σωτηρίων κηδεστὴς ἀκρότατος· τὸ δὲ, ὡς λογίων τῶν θείων ἀνάπτυξις, ὑπὲρ πᾶν ἄλλο σωτήριον· ἡ δὲ, ὡς τῆς εὐσεβείας ὀρθοτομοῦσα τὸ μέγα μυστήριον, ἡ μόνη τῆς σωτηρίας διδάσκαλος. ΑΥΤΩι μὲν οὖν, ὦ καθολικὴ καὶ ἀποστολικὴ τῶν ὀρθοδόξων ΕΚΚΛΗΣΙΑ, εὐλογίαν ἀπ' οὐρανοῦ ἐπιδαψιλεύσειας γῆς ἐχούσης πάντα ἕνεκεν εὐλογίας μαστῶν καὶ μήτρας, καὶ ἐπὶ τὴν κεφαλὴν ΑΥΤΟΥ, καὶ ἐπὶ τῆς κορυφῆς ΑΥΤΟΥ εὐλογίας πατρὸς καὶ μητρὸς, ἵν' ὑπὲρ εὐλογίας ὀρέων μονίμων, καὶ θινῶν ὑπεριχύσῃ ἀεννάων· ἐμοὶ δὲ τῷ τῆς διακονίας ταύτης ἀξιωθέντι, καὶ ἐπ' αὐτῇ, ᾗ εἶχον δυνάμεως, πονήσαντι, ἔλεος παρὰ Θεοῦ, καὶ τὴν τῶν ἐμῶν πλημμελημάτων συγχώρησιν.

Ἔτει σωτηρίῳ ͵αψοβ. Μαρτίου κζ.

Ἡ συνταξαμένη χεὶρ

ΝΙΚΗΦΟΡΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΤΟΥ ΘΕΟΤΟΚΟΥ.

ΝΙΚΗ-



ΝΙΚΗΦΟΡΟΣ ΙΕΡΟΜΟΝΑΧΟΣ Ο ΘΕΟΤΟΚΗΣ

ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

Τὸν ΘΕΟΝ ἐπαινεῖν πρόκειται τῷ τὰς θεοπνεύστους ἐπαινέσεσθαι Γραφὰς
αἱρουμένῳ· εἴγε δὴ καὶ νομοθέται γεραίρονται τῶν οὓς συνέθεντο νόμων
εὐφημουμένων· ἔνθεντοι καὶ ὑπὲρ τὴν ἀνθρωπίνην τ᾽ ἐγχείρημα πέφυκε
δύναμιν, τοῦ Θεοῦ μόνου πρὸς τοῦτο ἐξαρκοῦντος, καίγε δὴ καὶ ἀποχρόν-
τως αὐτὰς ἐπαινέσαντος. ὃ γὰρ αὐτός ἐστί τε καὶ λέγεται, τοῦτο καὶ αὐ-
τὰς παρὰ τοῦ ὑπ᾽ αὐτοῦ μυηθέντος ἐπικληθῆναι ηὐδόκησε· Φῶς τὰ προςάγματά σου. Ἡσ. 26.
ἀλλὰ γὰρ τί ἂν περὶ τῆς ἐν αὐταῖς ἀσαφείας φαίη τὶς καὶ δεινότητος; Θεός, φησίπου 9.
„ τὶς τῶν ἁγίων, οὕτως ἐπετήδευσεν ἐπ᾽ ὠφελείᾳ τοῦ νοῦ, ἵνα τούτοις ἐνασχολῆται, καὶ τῶν Βασ.
„ χειρόνων ἀφέλκηται. πῆ μὲν διὰ τὴν ἕξιν, εἴρηκε τῶν σοφῶν ἄλλος, οὐ πάνυ συγκε- λ. 4.
„ κροτημένην· πῆ δὲ διὰ τὴν προπέτειαν· ἔσθ᾽ ὅτε κἂν συγκεκροτημένος τὶς τυγχάνῃ εἰς τὸν
„ καὶ εὐπρόσοπτος, διὰ τὴν εἰς ὑπερβολὴν χαλεπωτάτην εὕρεσιν τῶν πραγμάτων τοῖς Ἡσ.
„ ἀνθρώποις οὐ πάνυ σαφηνίζεται ὁ περὶ τούτων ἑκάστου λόγος. τούτοις δ᾽ οὐκ ἂν εἴη ἀπει- Ὠρ. εἰς
κὸς προςιθέναι καὶ τόδε· καὶ διὰ τὸ τὴν φύσιν καὶ τὰ κρίματα τοῦ περὶ οὗ αὐτῶν ὁ λόγος τὴν φιλ.
ἀνεξιχνίαστα εἶναι καὶ ἄγαν δυσέκφραστα, καὶ διὰ τὸ μόνοις τὴν γνῶσιν ἐκείνων ἐναπο-
„ τεταμιεῦσθαι, οἷς αὐτὸς διδόναι βούλεται. ὑμῖν γὰρ φησι δέδοται γνῶναι τὰ μυστήρια. Ματθ.
ἐκ τούτων οὖν τὸ τῆς ὁδηγίας ὅσον ἐπάναγκες κατιδεῖν ῥᾴδιον. ὥσπερ δὴ καὶ ὁ τῆς Βα- 13. 11.
σιλίσσης τῶν Αἰθιόπων εὐνοῦχος ζητήσας τε καὶ τυχών, τὴν σωτηρίαν ἀπώνατο. εἰ
μὲν οὖν καὶ εἷς μόνος χειραγωγῶν ἐπήρκεσε, πόσῳγε μᾶλλον οἱ πολλοὶ εἰς ἓν συνελ-
θόντες, καὶ χεῖρα πάντες προτεταμένην ἔχοντες, καὶ οἱ μὲν τὸ γράμμα συμβιβά-
ζοντες, οἱ δὲ τὰ περὶ τὴν ἱστορίαν ἐξυφαίνοντες, οἱ δὲ τῆς ἀναγωγῆς τὸν νοῦν ἀνορύττον-
τες, οἱ δὲ τὸν ἀλληγορικὸν σκοπὸν ἐμφαίνοντες, καὶ ἄλλοι τὸ τῶν Γραφῶν ἠθικὸν πα-
ρατιθέντες μάθημα; θεῖος ὄντως ὁ τοιόςδε σύλλογος, καὶ χορὸς οὐράνιος τὸ σωτήριον
συνεπᾴδων μελῴδημα. τοῦτον οὖν ἡμῖν ὁ τῶν ἡγεμόνων ἄριστος ΓΡΗΓΟΡΙΟΣ ὁ τῶν πε-
ριπύστων ΓΚΙΚΑΔΩΝ περικλεέστερος ἀπόγονος, ἐπ᾽ ὠφελείᾳ τοῦ τῶν ὀρθοδόξων γένους
συνεκρότησε, τὸ τεῦχος εἰς μέσον προθέμενος. πόθεν δὲ τοῦτο προέκυψε, καὶ ὁποῖόν
ἐστι, καὶ ὅπως συνταγὲν τύποις ἐκδέδοται χρεὼν ὑμῖν δηλῶσαι.

Ὅτε ἐν Κωνσταντινουπόλει τὰς διατριβὰς ποιούμενος, ἐν τῇ ὑπερτίμῳ τοῦ ΗΓΕΜΟΝΟΣ οἰκίᾳ φιλοφρόνως ἐξενιζόμην, τὰς τῆς ἐν αὐτῇ βιβλιοθήκης ἀνελίττων βίβλους, κἀυτῇ, μεθ᾽ ὅσης χαρᾶς οὐχ οἷόν τέ μοι εἰπεῖν, ἐντυγχάνω. μηκέτι οὖν ἐν γωνίᾳ καὶ παραβύστῳ, τοιαύτην οὖσαν, ἐναποκρύπτεσθαι δεῖν ἀνελογιζόμην, ἀλλ᾽ ἀνακύψαι ποτὲ, καὶ ἐφ᾽ ὑψηλῆς τῆς τοῦ τύπου περιωπῆς ἀρθῆναι. μόλις οὖν ἔφθην τὸ διασκεπτόμενον ἐξαγγείλας, ΚΑΙ ΚΕΙΝΟΝ τὸν ὄντως ὑπὲρ πάντας ἐν πᾶσι τοῖς καλοῖς προθυμούμενον, οὐ μόνον μετρίως διατεθειμένον εὗρον, ἀλλὰ καὶ σφόδρα ἐπιγαννύμενον τῷ πράγματι, καὶ ταχεῖαν προσεπιζητοῦντα τὴν τούτου ἐκπλήρωσιν. πρὶν μὲν οὖν ἢ τοῦ ἔργου ἐνάρξασθαι, τοῦ καὶ ἄλλας ὁμοίας τῇ διαληφθείσῃ ἐξευρεῖν πάντα κάλων ἐκίνησα· ὡς ἂν τῇ παραθέσει τὰ ἐκ παραδρομῆς ἐλαττώματα, καὶ αἱ ἐκ τῆς παλαιότητος παραφθοραί, καὶ αἱ λοιπαὶ ὁποιαιοῦν ἐλλείψεις, ὅσον οἷόν τε ἀναπληρωθῶσιν ἀκριβέστερον· καὶ γὰρ οὐ μόνον τὰς ἐκεῖ κοινάς τε καὶ μερικάς, ἀλλὰ καὶ τὰς τῶν ἱερῶν ἐν Χάλκῃ καταγωγίων

πολυπραγμονησάμην βιβλιοθήκας· καὶ τῷ πανιερωτάτῳ Σμύρνης μητροπολίτῃ δι᾽ ἀξιολόγων σπουδάσας ἀνδρῶν ἐπέσταλα· ἐλέγετο γὰρ κἀκεῖ παραπλήσιον διασώζεσθαι τεῦχος· καὶ τοῖς ἑπτὰ τῶν ἐν Ἄθῳ μεγάλων κοινοβίων προέδροις εἰς τὴν Κωνσταντίνου τότε ἀφικομένοις τὸ βιβλίον ἐπιδέδειξα, ἄν τι παρεμφερὲς εὑρόμην ἐν ταῖς σεβασμίαις αὐτῶν μοναῖς ἐναπόκειται. ἀλλ᾽ ἐκ τούτων προέκυπτεν οὐδέν. ἐν ᾧ οὖν ἕωλος πᾶσα πρᾶξις καὶ ἐλπὶς ἐδόκει, ὁ εὐγενὴς καὶ φιλόμουσος Ἀλέξανδρος ὁ Κωνσταντίνου ὁ μεγαλοσπαθάριος αὐτόκλητός τε καὶ αὐτεπάγγελτος, ἣν ἐν τῇ αὑτοῦ εἶχε βιβλιοθήκῃ ὁμοίαν παρέδωκέ μοι βίβλον.

Δερματίνης δὲ οὔσης ἑκατέρας, αὐτῆς δῆθεν καὶ τῆς προειρημένης, ἡ μὲν, ἡ τοῦ ΗΓΕΜΟΝΟΣ τὴν Πεντάτευχον ὅλην, τὸν Ἰησοῦν τοῦ Ναυῆ, τοὺς Κριτὰς, τὴν Ῥοὺθ, καὶ τὰς τέσσαρας περιέχει Βασιλείας, τῶν μὲν τῆς Γραφῆς ῥημάτων ἐν τῷ μέσῳ τῆς σελίδος κειμένων, καὶ εἰς τὰ κεφάλαια μόνον ἄχρι τοῦ ϛʹ κεφαλαίου τοῦ Δευτερονομίου διῃρημένων, τῶν δ᾽ ὑπομνημάτων, ὧν πάμπολλα ἀνώνυμα, ὡς ἐπὶ τὸ πλεῖστον περὶ αὐτὰς τὰς τῆς Γραφῆς ῥήσεις, ἐνιαχοῦ δὲ καὶ ἐν ταῖς ἐφεξῆς σελίσιν· ὧν αἱ πλείονες καὶ ἐπιγραφὰς ἔχουσι. καὶ τὸ μὲν ἔτος ἐν ᾧ ἐγράφη, παρασεσιώπηται· ἐν δὲ τῷ τέλει ταῦτα μόνον γέγραπται· Ὕψιστε τῷ ξύσαντι ταύτην καὶ σὺ ἄλλως· ἐπεὶ τὰ δ᾽ ἔταξε Ῥωμανὸς καλογράφος ἀλιτίμων ἀνδράσι πόλεως Ἀτταλείας. ἡ δὲ τοῦ Ἀλεξάνδρου τῇ τοῦ ΗΓΕΜΟΝΟΣ παρεμφερὴς τὴν τάξιν, τὸ Λευϊτικὸν, τὸ Δευτερονόμιον, τὸν Ἰησοῦν τοῦ Ναυῆ, τοὺς Κριτὰς, καὶ τὴν Ῥοὺθ μόνον ἐμπεριέχει, καίπερ Ὀκτάτευχος ὀνομασθεῖσα ἐν τῷ τέλει, οὕτως· ἐτελειώθη ἡ ἱερὰ αὕτη βίβλος σὺν Θεῷ τῆς Ὀκτατεύχου ἐπὶ βασιλέως μεγάλου ἐν Χριστῷ πιστοῦ καὶ ὀρθοδόξου αὐτοκράτορος Ῥωμαίων Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ Ἰωάννου μεγάλου βασιλέως τοῦ πορφυρογεννήτου, μηνὸς ιβʹ, ὥρᾳ θʹ, ἔτους ἀπὸ κτίσεως κόσμου ϛχιβʹ, ἰνδικτιῶνος ιβʹ, προστάξει Λέοντος τοῦ μεγαλεπιφανεστάτου πρωτονωβελλισίμου*, καὶ οἰκείου ἀνθρώπου τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως τοῦ νικητοῦ, διὰ χειρὸς Ἰωάννου τοῦ εὐτελοῦς καὶ ξένου τοῦ Κύλικος· καὶ οἱ ἀναγινώσκοντες εὔχεσθε ὑπὲρ ἡμῶν διὰ τὸν Κύριον. ἐκ τῆς Γενέσεως ἄρα, ὡς ἔοικε, καὶ τῆς Ἐξόδου ἄλλη συγκατεσκεύασται βίβλος. οὐδὲ γὰρ ἐδόκει ἡ περὶ ἧς ὁ λόγος ἐλλιπὴς, ἄρτιος οὖσα καὶ ὁλομελὴς καὶ ὁλόκληρος. ὅτι δὲ τῆς τοῦ Ἀλεξάνδρου ἡ τοῦ ΗΓΕΜΟΝΟΣ ἀρχαιοτέρα, δῆλον οὐ μόνον ἐκ τῆς τῶν διφθερῶν παραφθορᾶς, καὶ τοῦ τῶν γραμμάτων χρώματος· ὧν καί τινα μὲν ἐν μέρει, ἔνια πού δὲ καὶ ὁλοσχερῶς ἐστὶν ἐξαληλιμμένα· ἀλλὰ καὶ ἐκ τῆς τῶν προσῳδιῶν καὶ στοιχείων καὶ λέξεων γραφῆς. ἡ μὲν γὰρ ἀντὶ ψιλῆς ἔχει τὸ ˧, σπανίως δὲ τὸ, ͻ· ὡσαύτως ἀντὶ δασείας τὸ ˫, ἐνίοτε δὲ τὸ, ϲ· ἡ δὲ, τὸ ἀνάπαλιν. πάλιν ἡ μὲν ἔσθ᾽ ὅτε ἀντὶ τοῦ ἐστὶ, τὸ ϰ, καὶ ἀντὶ τῆς παρὰ, τὸ ϱ· καὶ τὰ σύνθετα δὲ πάντα ἐν συντάξει, καὶ τὰς ὑπογεγραμμένας, προσγεγραμμένας, καὶ ἄλλα· ἡ δὲ, οὐχ οὕτως. ἐκ τούτων οὖν τῆς δευτέρας τὴν πρώτην ἔτη ἑκατὸν ἢ καὶ μικρόν τι ἐπέκεινα προγραφῆναι τεκμαιρόμεθα.

Μετεγράφη οὖν διαφόρων χερσὶν ὅλος ὁ τοῦ ΗΓΕΜΟΝΟΣ κώδιξ, καὶ τῷ ἑτέρῳ, οὐ μὴν ἀλλὰ καὶ τοῖς ἐκδεδομένοις, ὅσοι ἐκεῖ εὕρηνται, ὑπομνηματισαῖς παραβληθεὶς, συσκευασμένος πρὸς τὴν ἐκτύπωσιν ἐδόκει. ἀλλ᾽ ἔτι ἐπὶ τὸ τελειότερον τὴν βίβλον διαμορφῶσαι γλιχόμενος, τὰ πλείονα τῶν ὑπομνημάτων καὶ ταῖς ἐπιλέκτοις παρεθέμην ἐκδόσεσι. δυσὶ δὲ μόνον, τῇ τῶν τοῦ Φίλωνος δῆθεν καὶ Ὠριγένους οὐκ ἐνέτυχον, εἰ μὴ μετὰ τὸ ἐκδοθῆναι τὸ τῆς Γενέσεως ἥμισυ. διὸ δὴ καὶ αἱ ἐν τῷ τέλει τῆς βίβλου σημειώσεις ἐτέθησαν. ἀλλ᾽ ἔτι ἦν τι τὸ ἐλλεῖπον· τὸ δ᾽ ἦν, αἱ τοῦ Προκοπίου τοῦ Γαζαίου εἰς τὴν Ὀκτάτευχον ἀνέκδοτοι ἑρμηνεῖαι, ἃς προσευρεῖν οὐ πάνυ ῥᾴδιον. ἀλλὰ γὰρ καὶ ταύτας οἱ πανέκλαμπροι τῆς ἐν Αὐγούστῃ Ἀριστοκρατείας Μεγιστᾶνες, φιλότιμοι ὄντες, καὶ ἐλευθέριοι, καὶ ὅπως ἂν αἱ μαθήσεις ἐπὶ τὸ κρεῖττον προάγωνται σπουδάζοντες, προθύμως ἐχρήσαντο, τὸν αὐτὰς περιέχοντα ἀποστείλαντές μοι κώδικα.

Δερμάτινος δὲ καὶ οὗτος καλλιγράφου μὲν καὶ ὀρθογράφου χειρὸς ἔργον, ἀλλ᾽ οὐδ᾽ ἑαυτὸν, οὐδὲ μὴν καθ᾽ ὃ ἔγραψε δηλωσάσης ἔτος. ἀποσπασμάτια δὲ τῶν τῆς Γραφῆς, εἴτουν τῆς Ὀκτατεύχου, τῶν Βασιλειῶν, καὶ τῶν Παραλειπομένων περιέχων, ὁ λοιπὸς ὅλος

* Ἑπτακαιδεκάτη ἡ τοῦ Νωβελησίμου ἀξία, ἧς βραβεῖον χιτὼν ἐξ ἀλουργίδος χρυσόθετος, καὶ χλαμὺς καὶ ζώνη, ἐκ χειρὸς βασιλέως ἐπὶ ναοῦ Κυρίου λαμπρῶς ἐπιδίδοται. Κωνσταντῖν. ὁ Πορφυρογέν. ἐν σελ. 412. τοῦ συντάγματ. Τῆς τοῦ Νωβελλισίμου ἀξίας μέμν. καὶ ἡ Ἄννα ἡ Κομν. ἐν βιβλ. 10. σελ. 274, ἢ 217 τῆς Ἐνετ. ἐκδόσ. Πρωτονωβελισσίμων γράφει ὁ Κάρολ. ὁ Δουφρέσν. ἐν σελ. 379. ἢ 74. πρωτονωβελίσσιμος δὲ, ἐκ τοῦ nobilissimus φησὶν Ἰάκ. ὁ Γρέτσ. ἐν σελ. 262, ἢ 226. τῶν εἰς τὰ τοῦ Κουροπαλ. παρατηρημ. ἀνὴρ ἐν πολλοῖς ἄλλοις παράλογος, καὶ ψευδολόγος. οὐ τὰς παραλογίας τε καὶ ψευδολογίας οὐδὲ καιρὸς οὐδὲ τόπος νῦν ἐξελέγχειν.

ὅλος τῶν εἰς αὐτὰ ἐξηγήσεων πλήρης. ὧν ἄγαν ὀλίγαι πάντως τοῦ Προκοπίου. ἐκ τῶν τοῦ Κυρίλλου γὰρ πολλαί, καὶ τῶν τοῦ Νύσσης, καὶ Θεοδωρίτου, καὶ Ἀπολιναρίου, καὶ Εὐσεβίου, καὶ Ὠριγένους πολλάκις αὐταῖς λέξεσι, καὶ ἄλλων ἀδήλων, ὡς τῇ παραθέσει ἔγνωμεν, καὶ αὐτὴ ἡ τούτου ἐπιγραφὴ δηλοῖ. ἀρχή, γάρ φησι, σὺν Θεῷ τῆς εἰς τὴν Γένεσιν τῶν ἐκλογῶν ἐπιτομῆς Προκοπίου Χριστιανοῦ σοφιστοῦ· καὶ αὐτὸς ὁ Προκόπιος ἐν
» προοιμίοις μαρτυρεῖ, λέγων· ἤδη μὲν καὶ πρότερον, Θεοῦ τὸ δύνασθαι χορηγήσαντος
» τὰς καταβεβλημένας ἐκ τῶν πατέρων καὶ τῶν ἄλλων εἰς τὴν Ὀκτάτευχον ἐξηγήσεις
» συνελεξάμεθα, ἐξ ὑπομνημάτων καὶ διαφόρων λόγων ταύτας ἐρανισάμενοι. ἀλλ' ἐπεὶ
» τὰς ῥήσεις αὐτὰς τῶν ἐκθεμένων ἐπὶ λέξεως ἐξεθέμεθα, εἴτε σύμφωνοι πρὸς ἀλλήλας
» ἐτύγχανον, εἴτε καὶ μή. καὶ παρὰ πλῆθος ἄπειρον ἡμῖν ἐντεῦθεν τὸ σύγγραμμα πα-
» ρετείνετο, συνεῖδον οὖν πρὸς μέτρον εὐσταλὲς συνελεῖν τὴν γραφὴν ἐπειγόμενος. εἰ μέν-
» τοι σύμφωνόν ἅπασιν εἴρηται, τοῦτο προσάπαξ εἰπεῖν· εἰ δέ τι διάφορον, καὶ τοῦτο
» συντόμως ἐκθέσθαι, πρὸς τὸ διὰ πάντων ἓν γενέσθαι σῶμα τῆς συγγραφῆς, ὡς ἑνὸς καὶ
» μόνου τὰς ἁπάντων ἡμῶν ἐκθεμένου φωνάς. προσθήσομεν δέ τι καὶ ἔξωθεν εἰς τρανοτέ-
ραν ἔσθ' ὅτε παράστασιν. ἀλλὰ γὰρ οὐκ εὐδόκιμος ἀναδέδεικται ἐν τούτῳ τῷ, πρὸς τὸ διὰ πάντων ἓν γενέσθαι σῶμα τῆς συγγραφῆς, διὰ τὴν ἀπροσφυᾶ τῶν διαφόρων ἐννοιῶν συμπαρέμπτωσίν τε καὶ συμπλοκήν, ἐξ ὧν οὐχ ἡ τυχοῦσα ἀσάφεια. πολλῷ δὲ βέλτιον εἴη ἂν πεποιηκώς, διῃρημένα παρενθέμενος τὰ ὑπομνήματα, καὶ τὸ τοῦ συγγράψαντος δηλώσας ὄνομα. τὸ πρῶτον δὲ πόνημα, οὐ μὴν τὸ ὑπὸ τοῦδε τοῦ κώδικος περιεχό-
» μενον, ὁ πολὺς ἀνακεκρικὼς φαίνεται Φώτιος. καὶ γάρ φησι, πολύχους μὲν οὗτος καὶ ἐν κωδ.
» πολύστιχος ὁ ἐξηγητής· πλὴν οὐκ εἰς περιττάς τινας καὶ ἐξαγωνίους ἀποδιατρίβων πα- 206.
» ρεκδρομάς, ἀλλὰ τῷ διαφορὰς δοξῶν περὶ τῆς αὐτῆς ὑποθέσεως ἀναγράφειν πολλάκις.
» εἶτα προστίθησι· καὶ ἡ φράσις δὲ αὐτῷ εἰς τὸ ἄριστον ἤσκηται, εἰ καὶ ἐξηγητικῆς διατυ-
» πώσεως ἔχει τι καὶ κομψότερον. τούτῳ οὖν τῷ κώδικι τὸ ἡμέτερον ἀντίγραφον παρα-
θέντες, ὅσα τῶν ὑπομνημάτων ἐν αὐτῷ οὐ προσῆν, ἀπὸ τοῦ κώδικος ἀνελεξάμεθα, πάνυ ὀλίγα καταλείψαντες. καὶ ταῦτα μὲν τὰ περὶ τῶν κωδίκων.

Τὸ δὲ ῥηθὲν ἀντίγραφον, διά τε τὸ τῶν στοιχείων ὀξύῤῥυγχον, ἄδηλον τοῖς τυποθέταις ὄν, καὶ τὴν ἀκαταλληλίαν τῶν ἐν οἷς τὰ ὑπομνήματα ἔκειτο τόπων, ἔτι δὲ καὶ διὰ τὰ προσεθέντα, ὅλον ἐξ ὑπαρχῆς ἰδίᾳ χειρὶ μεταγράψαι κατηναγκάσθημεν. τὸ μὲν οὖν τῆς Γραφῆς κείμενον τῷ τῆς ἐν Φρανεκέρᾳ ἐκδόσεως παρεβάλλομεν· αὐτὴν προτιμήσαντες, ὡς πολλοῖς ἀνεκδότοις τε καὶ ἐκδεδομένοις παραβεβλημένην· κατ' αὐτὴν καὶ τὰς διαιρέσεις τοῦ ἀδιαιρέτου ποιήσαντες· τῶν δ' ὑπομνημάτων, ὅσα μὲν ἀνώνυμα ὄντα, ἐν τοῖς ἐκδεδομένοις συγγραφεῦσιν, ἢ παρὰ τῷ προδιαληφθέντι τῶν τοῦ Προκοπίου κώδικι εὕρηται, τούτοις τοὔνομα προσετέθη, ἑνὶ ἀστεριθὲν ἀστερίσκῳ, ὅσα δ' οὔ, τῷ Ἀδήλῳ ἐπιγέγραπται. ἀναπεπλήρωται δὲ καὶ τὰ ἐλλειπῆ, τοῦ παραπληρώματος ὁτὲ μὲν σημειωθέντος, ὁτὲ δὲ αὐταῖς ταῖς τῶν ἐκλεθέντων ῥήσεσι δυσὶ γραμμαῖς συμπαρεντεθέντος. ἐπεὶ δὲ τοῖς ἐκδεδομένοις τῶν ἑρμηνευτῶν τῇ ἐλπίδι τῆς τῶν ἀνωνύμων εὑρέσεως πυκνότερον ἐνεκύπτομεν πολὺν καταβάλλοντες πόνον, καὶ χρόνον καταναλίσκοντες, ὅπου ἀναπτύξεσιν ἐνετύχομεν, εἰς τοὺς τόπους μάλιστα ἐν οἷς ἡ βίβλος ἄμοιρος, καὶ αὐτὰς πρὸς τελειότερον αὐτῆς συναπαρτισμὸν προσεθέμεθα, δυσὶν ἐπισημάναντες ἀστερίσκοις. ἐν δὲ ταῖς παραθέσεσιν ὅπου μὲν διαφορά τις ἦν ἀξιόλογος, ταύτην σεσημειώκαμεν· ὅπου δὲ ἀναμφίβολον καὶ προδηλότατον ἐλάττωμα, εἴτε ἐκ παραδρομῆς ἐναργοῦς, εἴτε ἐξ ἀμαθίας πασιδήλου, τοῦτο δὴ ἀνυποστόλως ἐπεδιωρθώκαμεν. ἐπίμεμπτοι γὰρ οἱ καὶ τὰ ἀριδήλως ἐσφαλμένα, καὶ τὰ μηδενὸς λόγου ἄξια ταῖς διαφοραῖς συγκατατάσσοντες, καὶ τὰς βίβλους ματαιολογιῶν καταπληροῦντες, καὶ τοὺς ἀναγινώσκοντας ματαίως καὶ παραλόγως συγχέοντες.

Ἰδοὺ οὖν, ὦ βέλτιστον πανελλήνιον γένος, ὁποῖόν τε καὶ ὅσον ὁ εὐσεβέστατος καὶ ὑπὲρ πάντας φιλογενὴς καὶ ὄντως φιλάγαθος ΗΓΕΜΩΝ ὁ ΓΡΗΓΟΡΙΟΣ ὁ ΓΚΙΚΑΣ ἡμῖν τ' εὐεργέτημα παρασχεῖν προέθετο, τὴν βίβλον ταύτην, τὴν μὴ μόνον ἄχρι τοῦδε ἀνέκδοτον, ἀλλὰ δὴ τυχὸν καὶ ἀνεύρετον, εἰς μέσον προθέμενος. καὶ γὰρ εἰς μὲν τὴν Γένεσιν, ἢ εἰς αὐτήν τε καὶ τὴν Ἔξοδον, ἢ εἰς τὴν Πεντάτευχον μόνην σώζονταί τινες τοιαῦται ἀνέκδοτοι,* οὐ μὴν δὲ εἰς τὴν Ὀκτάτευχον καὶ εἰς τὰ τῶν Βασιλειῶν ἅμα. τοιγαροῦν τὸ αἰῶσι τοσούτοις ἀφανὲς καὶ δυσέντευκτον, ἐμφανὲς νῦν καὶ προχειρότατον. οὐκ ἔτι λοιπόν,

* Ὅρα τὴν 727. σελ. τοῦ 7. τόμ. τῆς Ἑλλην. τοῦ Φαβρικ. Βιβλιοθ. ὧν δ' αὐτὸς μέμνηται σειρῶν, τὴν Ἐνετίῃσιν, τὴν ἐν τῇ τοῦ εὐπατρίδου Ἰουλίου Ἰουστινιανοῦ οἱ ἐκεῖ φίλοι ζητήσαντες, εὑρεῖν οὐκ ἠδυνήθησαν.

πὸν, ὦ θεσπέσιοι τῶν ἱερῶν μυσταγωγοὶ Γραφῶν, καὶ οἱ λοιποὶ ἅπαντες, ὅσοις ἔρως ἐνέσταξε θεῖος τοῦ μελετᾷν τοῦ Κυρίου τὰ λόγια, ἀνάγκη ἡμῖν ἐπαποροῦσι, καμάτοις πολλοῖς καὶ πόνοις ἅπαντα πολυπραγμονεῖν τὰ περὶ τῶν Γραφῶν διαλαμβάνοντα συντάγματα, εἴπου δή τινα εὕροιτε ἂν ἐν αὐτοῖς ἐπίλυσιν, ἤτοι καθ᾽ αὑτὸ παρατεθειμένην, ἢ ἐκ τοῦ παρέργου συμπαραπεσοῦσαν, ἢ ὧδε κἀκεῖσε συμπαραπεφυκυῖάν τε καὶ ἐμπεριεσπαρμένην. αὕτη μὲν γὰρ ἡ δέλτος οὐ μόνον τὰς ἐκδεδομένας καὶ γνωστὰς, ἀλλὰ δὴ καὶ τὰς ἀνεκδότους τε καὶ ἀγνοουμένας τῶν θαυμασίων ἐμπεριέχει ἀνδρῶν ἑρμηνείας. εἴγε δὴ οὖν ὁ τοῦ ΘΕΟΥ λόγος ἐστὶν ὁ ἄρτος ὁ στηρίζων, καὶ ἡ ἐν αὐτῷ δύναμις ὁ οἶνος ὁ τὰς καρδίας εὐφραίνων, ἡ βίβλος αὕτη ἐστὶν ἡ μυστικὴ παρεσκευασμένη τοῦ Σολομῶντος τράπεζα, εἰς ἣν λαμπρῷ τε καὶ ὑψηλῷ τῷ κηρύγματι τοὺς ἀφ᾽ ἑαυτῶν ἐνδεεῖς πρὸς κατάληψιν ἔχοντας τὰς φρένας συγκαλεῖ ὁ οὐράνιος βασιλεὺς ὁ παράκλητος· ἔλθετε, λέγων, Φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον ὃν ὑμῖν κεκέρακα.

Ο ΤΩΝ
ΕΙΣ ΤΗΝ ΠΕΝΤΑΤΕΥΧΟΝ ΥΠΟΜΝΗΜΑΤΙΣΤΩΝ

ΚΑΤΑΛΟΓΟΣ.

Α.

ΑΔΗΛΟΣ.
ΑΘΑΝΑΣΙΟΣ.
ΑΚΑΚΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ.
ΑΛΛΟΣ.
ΑΝΕΠΙΓΡΑΦΟΣ.
ΑΝΩΝΥΜΟΣ.
ΑΠΟΛΙΝΑΡΙΟΣ.

Β.

ΒΑΣΙΛΕΙΟΣ.
ΒΙΚΤΩΡ ΠΡΕΣΒΥΤΕΡΟΣ.

Γ.

ΓΕΝΝΑΔΙΟΣ.
ΓΡΗΓΟΡΙΟΣ ΘΕΟΛΟΓΟΣ.
ΓΡΗΓΟΡΙΟΣ ΝΥΣΣΗΣ.

Δ.

ΔΙΔΥΜΟΣ.
ΔΙΟΔΩΡΟΣ.
ΔΙΟΝΥΣΙΟΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Ε.

ΕΙΡΗΝΑΙΟΣ ΕΠΙΣΚΟΠΟΣ ΛΟΥΓΔΟΥΝΩΝ.
ΕΠΙΦΑΝΙΟΣ.
ΕΥΣΕΒΙΟΣ ΕΜΕΣΗΣ.
ΕΥΣΤΑΘΙΟΣ ΑΝΤΙΟΧΕΙΑΣ.
ΕΦΡΑΙΜ.

Η.

ΗΣΥΧΙΟΣ.

Θ.

ΘΕΟΔΟΤΟΣ.
ΘΕΟΔΩΡΙΤΟΣ.
ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ.
ΘΕΟΦΙΛΟΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

Ι.

ΙΟΥΣΤΙΝΟΣ.
ΙΠΠΟΛΥΤΟΣ.
ΙΣΙΔΩΡΟΣ ΠΗΛΟΥΣΙΩΤΗΣ.
ΙΩΣΗΠΟΣ.

Κ.

ΚΛΗΜΗΣ.
ΚΥΡΙΛΛΟΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.
ΚΥΡΙΛΛΟΣ ΙΕΡΟΣΟΛΥΜΩΝ.

Μ.

ΜΑΞΙΜΟΣ.
ΜΕΛΙΤΩΝ.

Ν.

ΝΕΙΛΟΣ.

Π.

ἐκ τῆς ΠΑΝΑΡΕΤΟΥ.
ΠΟΛΥΧΡΟΝΙΟΣ.
ΠΡΟΚΟΠΙΟΣ ΓΑΖΑΙΟΣ.

Σ.

ΣΕΡΑΠΙΩΝ.
ΣΕΥΗΡΟΣ ΑΝΤΙΟΧΕΙΑΣ.
ΣΕΥΗΡΟΣ ΓΑΒΑΛΩΝ.
ΣΟΥΚΕΝΣΟΣ ΔΙΟΚΑΙΣΑΡΕΙΑΣ.

Φ.


ΦΙΛΩΝ ΕΒΡΑΙΟΣ.
ΦΙΛΩΝ ΕΠΙΣΚΟΠΟΣ.

Χ.

ΧΡΥΣΟΣΤΟΜΟΣ.

Ω.

ΩΡΙΓΕΝΗΣ.



ΤΑ ΠΕΡΙ ΤΩΝ
ΥΠΟΜΝΗΜΑΤΙΣΤΩΝ ΚΑΙ ΤΩΝ ΣΥΓΓΡΑΜΜΑΤΩΝ ΑΥΤΩΝ.

ΑΘΑΝΑΣΙΟΣ ὁ πολύτλας πατρίδα μὲν ἔσχε τὴν Ἀλεξάνδρειαν, πατέρας δὲ εὐσεβεῖς, καὶ τῇ τοῦ βίου περιφανείᾳ οὐ πολλῶν δευτέρους. ὑπὸ Ἀλεξάνδρῳ δὲ τῷ τῆς Ἀλεξανδρέων Ἐκκλησίας ἐπισκόπῳ τήν τε θείαν καὶ τὴν ἐγκύκλιον παιδείαν ἐκδιδαχθεὶς [α], ὑπ᾽ αὐτοῦ διάκονος προχειρίζεται, καὶ σὺν αὐτῷ εἰς τὴν ἁγίαν οἰκουμενικὴν πρώτην παραγίνεται Σύνοδον [β]· καὶ αὐτοῦ τῶν τῇδε ἐν ἔτει 326 [γ]. μεταστάντος, τὴν ἐπισκοπὴν διαδέχεται. [δ] ἐπεὶ δ᾽ οὐκ ἠνέσχετο τῷ ἤδη κατακριθέντι συγκοινωνῆσαι Ἀρείῳ, κἂν τοῦτο ὁ μέγας βασιλεὺς Κωνσταντῖνος προσέταξεν, ἅτε δὴ ἀναπεισθεὶς τὰ ὑπὸ τῆς ἐν Νικαίᾳ θεσπισθέντα Συνόδου αὐτὸν ἐνστερνίσασθαι· ἐντεῦθεν ἀφορμὴν λαβόντες οἱ περὶ τὸν Νικομηδείας Εὐσέβιον, ἀναφανδὸν ἐκβακχεύεσθαι ἤρξαντο, καὶ κατ᾽ αὐτοῦ τὰς πανδείνους καὶ ἀνυποστάτους διαβολὰς ἐξερεύγεσθαι καὶ συκοφαντίας [ε]. ἐν ἔτει μὲν οὖν 335. ὑπὸ τοῦ ἐν Τύρῳ συστάντος λῃστρικοῦ συνεδρίου καθαιρέσει καθυποβάλλεται [ϛ]· ἐν δὲ τῷ ἑξῆς ἔτει [η] ὅ, τε Εὐσέβιος καὶ οἱ σὺν αὐτῷ εἰς τὴν Κωνσταντίνου ἐλθόντες διαβάλλουσιν αὐτόν, ὡς ἀπειλήσαντα ἀποστρέφειν τὸν σῖτον τὸν ἐκ τῆς Ἀλεξανδρείας τῇ Κωνσταντινουπόλει χορηγούμενον. διὸ εἰς θυμὸν ἀχθεὶς ὁ βασιλεύς, ἐξόριστον εἰς Τρίβεριν τῆς Γαλλίας αὐτὸν διαπέμπει [θ]. μετὰ δὲ μῆνας περίπου ὀκτὼ πρὸς τοῖς δέκα [ι], τοῦ μεγάλου Κωνσταντίνου εἰς τὴν ἄνω μεταχωρήσαντος βασιλείαν, Κωνσταντῖνος ὁ Καῖσαρ ὁ νεώτερος τούτου υἱός, ὁ τῶν πρὸς ἑσπέραν Γαλατῶν ἄρχων μαθὼν ὡς ὁ πατὴρ τὴν ἐξορίαν ταῖς διαθήκαις ἀνεῖλε, τῷ ὑπ᾽ αὐτοῦ ἐν ἔτει 337. γενομένῳ θεσπίσματι εἰς τὴν Ἀλεξάνδρειαν τὸν Ἀθανάσιον ἐπανελθεῖν παρεσκεύασεν [κ]. ἀλλὰ γὰρ πάλιν ἐν ἔτει 341. τῶν τῆς εὐσεβείας ἀντιπάλων τὰς συκοφαντίας ἀνακινησάντων, ὑπὸ τοῦ ἐν Ἀντιοχείᾳ καθαιρεῖται συλλόγου [λ]· ἐπὶ τὴν Ῥώμην δὲ ἀναδραμὼν [μ], παρά τε τῆς ἐκεῖ ἐν ἔτει 342 [ν], καὶ παρὰ τῆς κατὰ τὴν Σαρδικὴν ἐν ἔτει 347. συστάσης Συνόδου τῶν παραλόγως αὐτῷ προστριβέντων ἀθῷος ἐναποδειχθεὶς ἐγκλημάτων [ξ], ὑπὸ τοῦ Αὐτοκράτορος Κωνσταντίου, διὰ τῆς τοῦ αὐταδέλφου αὐτοῦ Κώνσταντος μεσιτείας τε ἅμα καὶ ἀπειλῆς [ο], ἀνακαλεῖται ἐπὶ τὴν Ἀλεξάνδρειαν [π]. ἀλλὰ μόλις ἑξαετίαν μικρᾶς γαλήνης ἀπήλαυσε, καὶ πάλιν ἐπ᾽ αὐτὸν τὰ τῶν δυσσεβῶν φέρεται κύματα. ὑπὸ γὰρ τοῦ ἐν Ἀρελάτῳ κατὰ τὸ 353, καὶ τοῦ ἐν Μεδιολάνοις κατὰ τὸ 357. ἔτος συγκροτηθέντων συνεδρίων κατακρίνεται [ρ], καὶ τῷ ἐφεξῆς ἔτει τοῦ θρόνου ἀπελαύνεται. ἐπὶ τὴν ἔρημον οὖν τῆς Θηβαΐδος ὑποχωρήσας [σ], ἐκεῖ ἄχρι τῆς τοῦ Κωνσταντίου παρέμεινε τελευτῆς. Ἰουλιανοῦ δὲ τοῦ παραβάτου τῇ βασιλείᾳ ἐπιβάντος, καὶ ἐπιείκειαν εὐθὺς κατ᾽ ἀρχὰς ὑποκρινομένου, καὶ τοὺς ἀπὸ τῆς ἐξορίας εὐσεβεῖς ἀνακαλοῦντος, ἐπὶ τὴν Ἀλεξάνδρειαν ἐπανελθὼν ὁ ἅγιος, τὸ περὶ οὐσίας καὶ ὑποστάσεως συνίστησι κριτήριον, καὶ τοὺς ἀνατολικούς τε καὶ δυτικοὺς περὶ τούτου λογομαχοῦντας καταλλάττει πληρέστατα [τ]. ἀλλ᾽ αὐτίκα πάλιν ἐν ἔτει 362. [υ] τῷ τοῦ ἀντάρτου βασιλέως κελεύσματι τῆς πόλεως ἔξεισι, τοῖς διὰ τὴν φυγὴν αὐτοῦ ἀποδυρομένοις, θαρσεῖτε, ἐπειπών, νεφύδριον γάρ ἐστι, καὶ θᾶττον παρελεύσεται [φ]. κατὰ δὲ τὸ 363. ἔτος ἐν Ἀντιοχείᾳ πρὸς τὸν αὐτοκράτορα Ἰοβιανὸν ἀφικόμενος, τὰ περὶ τὴν ὀρθὴν θρησκείαν καὶ δόξαν αὐτῷ εἰσηγήσατο [χ]. Οὐάλεντος δὲ τὸ βασίλειον ἀναδησαμένου κράτος, ὕπατος ἐπὶ τὴν Ἀλεξάνδρου στέλλεται, φυγαδεῦσαι τὸν Ἀθανάσιον. ὁ δέ, πολλοῦ θορύβου ἢ στάσεως ἀνὰ τὴν πόλιν γεγενημένης, λάθρα πρός χωρίον τι καταφυγών, ἐν πατρῴῳ ἐναπεκρύβη μνήματι ὁ καρτερικώτατος [ψ]. οὐ πολλῷ δ᾽ ὕστερον ὑπ᾽ αὐτοῦ τοῦ Οὐάλεντος μεταπεμφθείς, καὶ ἐν εἰρήνῃ μέχρι τοῦ 371, ἢ 373. ἔτους [ω] ἐπιβιούς, τῷ Θεῷ τὸ ἱερώτατον αὐτοῦ παρέθετο πνεῦμα, ἓξ πρὸς τοῖς τεσσαράκοντα ἔτεσι [2α] πολλοῖς καὶ μεγάλοις κινδύνοις καὶ πόνοις τὸ τῆς Ἐκκλησίας πνευματικὸν ἰθύνας σκάφος.

Τῶν αὐτοῦ συγγραμμάτων ἔκδοσις πληρεστέρα τε καὶ ἀκριβεστέρα ἡ κατὰ τὸ 1698. ἔτος ἐν Παρισ. γενομένη, καὶ τρισὶ συνταχθεῖσα τεύχεσι.

Τῶν συγγραμμάτων αὐτοῦ
Τὰ ἀμφίβολα.

1. Περὶ σαρκώσεως τοῦ Θεοῦ λόγου. 2. Μαρτυρίαι ἐκ τῆς Γραφῆς τῆς κατὰ φύσιν κοινωνίας ἐκ τοῦ ὁμοίως εἶναι τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον. 3. Καθολικὴ τοῖς κατὰ τόπον ἀδελφοῖς ἀντιποιουμένοις πίστεως, κτλ. 4. Ἔλεγχος τῆς ὑποκρίσεως τῶν περὶ Μελέτιον, κτλ. 5. Περὶ τῆς σαρκώσεως τοῦ Θεοῦ λόγου. 6. Περὶ τῆς ἀϊδίου ὑπάρξεως τοῦ υἱοῦ καὶ τοῦ πνεύματος σὺν Θεῷ, καὶ πρὸς τοὺς σαβελλίζοντας. 7. Ὅτι εἷς ὁ Χριστός. 8. Περὶ σαββάτων καὶ περιτομῆς ἐκ τῆς Ἐξόδου. 9. Ὁμιλία εἰς τὸν σπόρον. 10. Εἰς τό, πορευθέντες εἰς τὴν ἀπέναντι κώμην, εὑρήσετε πῶλον δεδεμένον. 11. Εἰς τὸ πάθος τοῦ κυρίου, καὶ εἰς τὸν σταυρόν. 12. Περὶ παρθενίας, ἤτοι περὶ ἀσκήσεως. 13. Σύνοψις ἐπιτομὸς τῆς θείας Γραφῆς παλαιᾶς καὶ νέας διαθήκης.

Τὰ Νόθα, ἢ ὑποθετικά.

1. Διάλογος ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ πρὸς Ἄρειον. 2. Κατὰ πασῶν τῶν αἱρέσεων. 3. Ἱστορία εἰς τὸν Μελχισεδέκ. 4. Πρὸς τὸν εὐσεβέστατον βασιλέα Ἰοβιανόν. 5. Περὶ ὅρων. 6. Διδασκαλία πρὸς Ἀντίοχον δοῦκα. 7. Πρὸς Ἀντίοχον ἄρχοντα. 8. Πρὸς Ἀντίοχον ἄρχοντα περὶ πλείστων καὶ ἀναγκαίων ζητημάτων τῶν ἐν ταῖς θείαις Γραφαῖς ἀπορουμένων, κτλ. 9. Ἐρωτήσεις εἰς τὰ Εὐαγγέλια. 10. Ῥήσεις καὶ ἑρμηνεῖαι παραβολῶν τοῦ ἁγίου Εὐαγγελίου. 11. Ἕτεραι τινὲς ἐρωτήσεις. 12. Λόγος εἰς τὸ θαῦμα τὸ γεγονὸς ἐν Βηρυτῷ, κτλ. 13. Ἐκ τοῦ κατὰ Λατίνων λόγου. 14. Σύνταγμα διδασκαλίας πρὸς μονάζοντας

(α) Ὁ Σωκρ. ἐν βιβλ. 1. κεφ. 15. ἐν ᾧ καὶ τὸ παρὰ Ῥουφίν. περὶ αὐτοῦ ἱστορούμενον· ἤγουν τό, κομιδῇ νήπιον αὐτὸν ὄντα σὺν ἑτέροις ἡλικιώταις ἱερὸν παῖξαι παίγνιον. ὃ δὴ πλὴν τοῦ Ῥουφίν. οὐδεὶς τῶν παλαιῶν ἱστόρηκεν. (β) Ὁ Σωζόμ. ἐν βιβλ. 1. κεφ. 17. (γ) Ὁ Κάβ. ἐν Τόμ. 1. περὶ τῶν Ἐκκλησιαστ. συγγραφ. σελ. 190. (δ) Ὁ Σωκρ. αὐτ. (ε) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 27. καὶ ὁ Σωζόμ. ἐν βιβλ. 2. κεφ. 22. (ϛ) Ὁ Σωκρ. αὐτ. ἐν κεφ. 32. ὅρα δὲ καὶ τὰ πρακτ. ταύτης τῆς συνόδ. τὰ ἐν Τόμ. 1. σελ. 461. τῆς τοῦ Βιν. ἐκδόσ. (η) Ὁ Κάβ. αὐτ. (θ) Ὁ Σωκρ. αὐτ. ἐν κεφ. 35. (ι) Ὁ Κάβ. αὐτ. (κ) Νικηφ. ὁ Κάλλισ. ἐν βιβλ. 9. κεφ. 3. (λ) Ὅρα τὴν 515. σελ. τοῦ 1. Τόμ. τῆς εἰρημ. τῶν πρακτ. τῶν συνόδ. ἐκδόσ. (μ) Ὁ Σωκρ. ἐν βιβλ. 2. κεφ. 11. (ν) Ὅρα τὴν 519. σελ. τοῦ εἰρημ. Τόμ. (ξ) Ὅρα τὴν 549. σελ. τοῦ αὐτ. Τόμ. (ο) Ὁ Σωκρ. αὐτ. ἐν κεφ. 22. (π) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 23. (ρ) Ὅρα τὴν 589. σελ. τοῦ εἰρημ. Τόμ. (σ) Ὁ Ναζιανζ. εἰς τὸν μέγ. Ἀθαν. (τ) Ὁ Σωζόμ. ἐν βιβλ. 5. κεφ. 12. καὶ ὁ Ναζ. αὐτ. (υ) Ὁ Κάβ. αὐτ. (φ) Ὁ Σωζόμ. αὐτ. ἐν κεφ. 15. (χ) Ὁ Αὐτ. ἐν βιβλ. 6. κεφ. 5. (ψ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 12. (ω) Ὁ Κάβ. αὐτ. (2α) Ὁ [illegible] ἐν βιβλ. 4. κεφ. 20.

ζοντας, κλ. 15. Διατύπωσις τῶν θελόντων ἐν ἡσυχίᾳ διάγειν. 16. Ἐπιστολαὶ δύω πρὸς Καίσαρα. 17. Εἰς τὸ γενέσιον τοῦ Προδρόμου, καὶ εἰς τὴν Ἐλισάβετ, καὶ εἰς τὴν Θεοτόκον. 18. Κηρυκτικὸν εἰς τὸν Εὐαγγελισμὸν, κλ. 19. Εἰς ἀπογραφὴν τῆς ἁγίας Μαρίας, κλ. 20. Εἰς τὴν γέννησιν τοῦ Χριστοῦ. 21. Λόγος εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου. κλ. 22. Ὁμιλία εἰς τὸν ἐκ γενετῆς τυφλόν. 23. Ἐκ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου εἰς τὸ, πορεύεσθε εἰς τὴν κατέναντι; κλ. 24. Εἰς τὸ, πορευομένου δὲ αὐτοῦ, ὑπεστρώννυον, κλ. 25. Εἰς τὴν ἁγίαν πέμπτην, καὶ εἰς τὴν προδοσ. κλ. Λόγος εἰς τὸ πάθος τοῦ Κυρίου τῇ ἁγίᾳ παρασκευῇ. 27. Εἰς τοὺς ἁγίους Πατέρας καὶ Προφήτ. κλ. 28. Λόγος εἰς τὸ ἅγιον πάσχα. 29. Εἰς τὸ ἅγιον πάσχα, καὶ τοὺς νεφωτ. κλ. 30. Λόγος εἰς τὴν ἀνάληψιν τοῦ Κυρίου. 31. Ἐγκώμιον εἰς τὸν ἅγιον Ἀνδρέαν τὸν Ἀπόστολον. 32. Λόγος ἄλλος ἑπόμενος χωρὶς ἐπιγραφῆς. 33. Διάλογοι πέντε περὶ τῆς ἁγίας Τριάδος. 34. Διάφοροι λόγοι, ἤτοι εἴκοσι κατὰ αἱρέσεων. 35. Σύνταγμα πρός τινα πολιτικόν. 36. Λόγος διακριτικὸς, καὶ εἰς τὰς ἐντολὰς, κλ. 37. Διδασκαλία πρὸς μοναχοὺς πραΰτέρα πνευματική. 38. Ἐξηγητικὸν περὶ τοῦ ἐν Ἀθήναις ναοῦ. 39. Περὶ σώματος καὶ ψυχῆς. καὶ τὰ λοιπὰ ὅσα ὁ δεύτερος τῆς εἰρημέν. ἐκδόσ. Τόμ. περιέχει.

Τὰ Ἀνέκδοτα, ἢ ἐκλελοιπότα.

Κατὰ αἱρέσεων[α]. Κατὰ Οὐαλεντίνου[β]. Κατὰ Μακεδονιανῶν[γ]. Κατὰ Ναβατιανῶν[δ]. Κατὰ τῆς αἱρέσεως τῶν Ἀρειανῶν πρὸς τοὺς Μοναχούς[ε]. Βιβλίον κατὰ Οὐρσακίου καὶ Οὐάλεντος[ζ]. Κατὰ Ἀρειανῶν εἰς τὸ ῥητὸν, νῦν ἡ ψυχή μου τετάρακται[η]. Ἡ μετὰ Ἀρείου διάλεξις[θ]. Ἐπιστολαὶ εὐχαριστήριοι πρὸς Ἰοβιανόν[ι]. Περὶ τῶν τίτλων τῶν ψαλμῶν[κ]. Εἰς τὸν Ἐκκλησιαστὴν καὶ εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων[λ]. Εἰς τὰς ᾠδὰς Μωϋσέως καὶ Μαρίας τῆς ἀδελφῆς αὐτοῦ[μ]. Εἰς τὸν Ματθαῖον[ν]. Εἰς τὸν Λουκᾶν[ξ]. Εἰς τὸν Ἰωάννην[ο]. Λόγοι παραμυθητικοὶ ταῖς παρθένοις[π]. Συνοδικόν.[ρ] Ἐπιστολαὶ διάφοροι[σ].

ΑΚΑΚΙΟΣ ὁ Καισαρείας τῆς ἐν Παλαιστίνῃ ἐπίσκοπος ὁ ἑτερόφθαλμος Εὐσεβίῳ τῷ Παμφίλου μαθητεύσας[τ], ἐν ἔτει 339[υ]. τοῦ τε θρόνου καὶ τῶν βίβλων αὐτοῦ διάδοχος ἐγένετο[φ]. καὶ ἦν μὲν θαρσαλέος ἐν τοῖς ἀγῶσι, διανοῆσαί τε πράγματος φύσιν ὀξὺς, καὶ λόγῳ δηλῶσαι τὸ γνωσθὲν ἱκανός· ἀλλ' ἕτερος μὲν τὴν δόξαν, ἕτερος δὲ τὴν γλῶτταν[χ]. καὶ γὰρ ὑπὸ μὲν τῆς ἐν Σαρδικῇ κατὰ τὸ 347. ἔτος γενομένης Συνόδου, καθῃρέθη ὡς τὰ Ἀρείου φρονῶν[ψ]· ὑπὸ δὲ τῆς κατὰ τὴν Σελεύκειαν ἐν ἔτει 359. συστάσης ἐλεγχόμενος, ὡς ὅμοιον κατὰ πάντα τῷ πατρὶ, εἰπὼν τὸν υἱὸν, εἶτα ἐξαρνούμενος· ἀπὸ συγγραμμάτων, ἔφη, οὔτε νέος τὶς, οὔτε ἀρχαῖος ἐκρίθη. ἐν δὲ τῇ τῆς πίστεως ὑπ' αὐτοῦ συνταχθείσῃ ἐκθέσει, καὶ ἐν αὐτῇ „τῇ Συνόδῳ ἀναγνωσθείσῃ, τὸ μὲν ὁμοούσιον, φησὶ, καὶ τὸ „ὁμοιούσιον, ἐκβάλλομεν, ὡς ἀλλότριον τῶν Γραφῶν, τὸ δὲ „ἀνόμοιον ἀναθεματίζομεν· καὶ πάντας, ὅσοι τοιοῦτοι τυγ„χάνουσιν, ἀλλοτρίους ἡγούμεθα τῆς Ἐκκλησίας· τὸ δὲ ὅμοιον „τοῦ υἱοῦ πρὸς τὸν πατέρα σαφῶς ὁμολογοῦμεν, κλ. διαπυθανομένων δὲ ἀλλήλων τῶν ἐν τῇ Συνόδῳ, κατὰ τὶ ὁμοιός ἐστιν ὁ υἱὸς τῷ πατρὶ, κατὰ βούλησιν μόνον, οὐ μίαν καὶ τὴν οὐσίαν, ἔλεγεν ὁ κακόφρων Ἀκάκιος. ὅθεν καὶ ἐξηλέγχετο, ὡς εἴρηται. οἱ ἡμιαρειανοὶ δὲ τότε καθυπερισχύσαντες, αὐτὸν καὶ τοὺς περὶ αὐτὸν καθεῖλον[ω]. ὁ δὲ εἰς τὴν Κωνσταντίνου αὐτίκα μάλα ἀφικόμενος, Σύνοδον συγκροτῆσαι ἀναπείθει τὸν βασιλέα Κωνστάντιον· ᾗ συνεδρεύων συνεπικουρεῖ, καίπερ τὸ ἑτερούσιον πρεσβευούσῃ, ἵνα τὸν Ἀγκύρας Βασίλειον, καὶ τοὺς ἄλλους τοὺς αὐτὸν καθελόντας ἀντικαθέλῃ[2α]. τελευταῖον δὲ ἐπὶ Ἰοβιανοῦ τοῦ αὐτοκράτορος τὴν ἐν Νικαίᾳ πίστιν δεξάμενος[2β], περὶ τὸ 366[2γ]. ἔτος τὸν βίον κατέλυσε.

Τὰ τούτου συγγράμματα.

Ὁ βίος τοῦ διδασκάλου αὐτοῦ Εὐσεβίου[2δ]. Εἰς τὸν Ἐκκλησιαστὴν τεύχη ιζ', καὶ συμμίκτων ζητημάτων ς'[2ε]. Πίστεως σύνταγμα[2ζ]. Ἀντιλογία πρὸς Μάρκελλον[2η]. Πρόσθες καὶ τὰ ἐν τῇδε τῇ βίβλῳ ὑπομνήματα, ἃ δὴ πάντα τοῦ αὐτοῦ εἰσὶ, κἂν μὴ πᾶσι τὸ, Καισαρείας, προσκέηται, ὡς ἔκ τε τῆς λέξεως δῆλον καὶ τῆς ἐννοίας.

ΑΠΟΛΙΝΑΡΙΟΣ ὁ τοῦ Ἀλεξανδρέως Ἀπολιναρίου υἱὸς ἐν Λαοδικείᾳ γεννηθεὶς[2θ], καὶ Ἐπιφανίῳ τῷ σοφιστῇ μαθητεύσας[2ι], οὐ μόνον γραμματικὸς, καὶ τὰ εἰς τὴν ποίησιν δεξιὸς, ἀλλὰ πολλῷ πλέον καὶ εἰς φιλοσοφίαν ἐξησκήθη, καὶ ῥήτωρ ὑπῆρξεν ἀμφιδέξιος[2κ]. ἐπὶ Ἰουλιανοῦ δὲ, ἤτοι περὶ τὸ 370. ἀκμάσας ἔτος[2λ], ἀναγνώστου τάξιν ἔχων ἐν τῇ Λαοδικέων Ἐκκλησίᾳ[2μ]. τοῦτον τὴν αὐτὴν ἔτι τάξιν ἔχοντα, τῇ ἀκροάσει τῶν τοῦ Διονύσου ὕμνων παραγενόμενον ἀφώρισεν ὁ Θεόδοτος ὁ τῆς Ἐκκλησίας ἐκείνης ἐπίσκοπος. εἶτα καὶ ὁ τούτου διάδοχος ὁ ἀρειανὸς Γεώργιος ὑβριστικῶς τῆς Ἐκκλησίας ἐκβαλὼν, προφάσει μὲν παλαιῶν ἁμαρτημάτων, ἀληθείᾳ δὲ ὅτι συνήθης ἐγένετο τῷ μεγάλῳ Ἀθανασίῳ μετὰ τὴν ἐπὶ Κωνσταντίνου φυγὴν ἐπανερχομένῳ εἰς Αἴγυπτον, καὶ τὴν Λαοδίκειαν διοδεύοντι, οὐδέποτε αὐτῷ καταλλαγῆναι ἠθέλησεν. αὕτη μὲν οὖν ἡ δυσμένεια πρόφασις αὐτῷ τῆς φληνάφου ἐγεγόνει αἱρέσεως[2ν]. καὶ γὰρ ἔκτοτε Χριστὸν τὸν τέλειον Θεὸν, καὶ τέλειον ἄνθρωπον, ἄνευ λέγειν ἤρξατο καὶ ἄψυχον ὁ ἄνους καὶ ἀφρονέστατος[2ξ], καὶ ἕτερα πάμπολλα τῆς εὐσεβείας ὀθνεῖα, καὶ ἀλλόκοτα προστιθεὶς τερατολογήματα[2ο]. καὶ τὴν μὲν τούτου αἵρεσιν ἥ, τε ἐν ἔτει 378[2π]. κατὰ τὴν Ῥώμην ὑπὸ Δαμάσου, καὶ Πέτρου Ἀλεξανδρείας τοπικὴ[2ρ], καὶ ἡ ἐν Κωνσταντινουπόλει κατὰ τὸ 381. οἰκουμενικὴ κατέκρινε Σύνοδος[2σ]· αὐτὸς δὲ μετ' οὐ πολὺ, ἤτοι ἐν τοῖς πρώτοις τοῦ μεγάλου Θεοδοσίου χρόνοις[2τ] ἀνεπιστρέπτως τὸ ζῆν ἐξεμέτρησε.

Τῶν

(α) Τούτων ἀπόσπασμ. κεῖται ἐν Τόμ. 1. σελ. 1292. τῆς εἰρημ. ἐκδόσ. (β) Αὐτ. ἐν σελ. 1274. ὡσαύτ. (γ) Μνεία παρὰ τῷ Μοντφαυκ. ἐν τῷ παραπληρώμ. ὡς μαρτυρεῖ ὁ Φαβρίκ. ἐν τῷ 1. μέρ. τοῦ 5. βιβλ. σελ. 318. (δ) Ὡσαύτ. (ε) Παρ' αὐτῷ τῷ Ἀθαν. ἐν τῇ πρὸς Σεραπίων. ἐπισ. 5. τῇ ἐν σελ. 340. τοῦ 1. Τόμ. τῆς εἰρημ. ἐκδόσ. (ζ) Παρ' Ἱερωνύμ. ἐν τῷ τῶν ἐκκλησιαστ. συγγραφ. καταλόγ. (η) Τούτου ἀπόσπασ. ἐν σελ. 1286. τοῦ εἰρημ. Τόμ. (θ) Ὅρα τὴν 205. σελ. τοῦ 2. Τόμ. τῆς αὐτ. ἐκδόσ. (ι) Ὅρα τὴν 778. σελ. τοῦ 1. Τόμ. (κ) Παρ' Ἱερωνύμ. αὐτ. (λ) Μέμνηται ὁ Φώτ. ἐν κώδ. 139. ἐν ᾧ περὶ τῶν αὐτοῦ συγγραμ. τάδε· Σαφὴς μέν ἐστιν ὥσπερ πανταχοῦ τῶν λόγων αὐτοῦ. εἰς μέντοι τὴν χάριν καὶ τὸ κάλλος τῶν ἐπιστολῶν αἷς τὴν ἀπολογίαν αὐτῷ τῆς φυγῆς καὶ τὰ περὶ αὐτὴν ἐξεργάζεται, οὔτε τὸ δὲ τὸ βιβλίον, ἀλλ' οὐδ' ἄλλο τι, ὅσα ἐμὲ τῶν αὐτοῦ εἰδέναι, οὐδὲν ἄρα φέρεται. (ὀρθότερ. ἀντιφέρεται.) ὅρα καὶ τὸν 140. κώδ. (μ) Ὅρα τὴν 1006, καὶ 1008 σελ. τοῦ 1. Τόμ. τῆς εἰρημ. ἐκδόσ. σώζεται δὲ χειρόγ. ἐν τῇ Ἀμβροσιανῇ βιβλιοθ. ὡς μαρτυρεῖ ὁ Φαβρίκ. αὐτ. (ν) Κεῖται ἀπόσπασ. ἐν σελ. 1266-1289. τῆς αὐτ. ἐκδόσ. (ξ) Ἀπόσπασ. αὐτ. ἐν σελ. 1270. (ο) Μέμν. Θωμ. ὁ Ἀκυΐν. παρὰ Κάβ. αὐτ. ἐν σελ. 189. (π) Μνεία παρὰ Θεοδωρίτ. ἐν βιβλ. 2. κεφ. 14. τῆς Ἱστορ. (ρ) Παρὰ Σωκρ. ἐν βιβλ. 1. κεφ. 13. (σ) Παρὰ Φωτ. ἐν κώδ. 32. (τ) Νικηφ. ὁ Κάλλισ. ἐν βιβλ. 9. κεφ. 44. (υ) Ὁ Φαβρίκ. (ἐν τεύχ. 8. σελ. 337.) ὁ δὲ Κάβ. (ἐν Τόμ. 1. σελ. 206.) ἐν ἔτει 340. (φ) Ὁ Νικηφ. αὐτ. (χ) Ὁ Φιλοστόργ. ἐν βιβλ. 4. κεφ. 12. (ψ) Ὁ Θεοδώριτ. ἐν βιβλ. 2. κεφ. 8. τῆς Ἱστορ. (ω) Ὁ Σωκρ. ἐν βιβλ. 2. κεφ. 40. (2α) Ὁ Φιλοστόργ. ἐν βιβλ. 5. κεφ. 1. (2β) Ὁ Σκίδ. εἰς τὸ Ἰοβιαν. (2γ) Ὁ Κάβ. καὶ ὁ Φαβρίκ. αὐτ. (2δ) Μνεία παρά τε Σωκρ. καὶ Νικηφ. αὐτ. (2ε) Παρ' Ἱερωνύμ. ἐν τῷ καταλ. τῶν ἐκκλησιαστ. συγγραφ. (2ζ) Σώζεται παρὰ Σωκρ. ἐν βιβλ. 2. κεφ. 40, καὶ παρ' Ἐπιφαν. ἐν αἱρέσ. 73. (2η) Σώζ. μέρος παρ' Ἐπιφαν. ἐν αἱρέσ. 72. (2θ) Ὁ Σωκρ. ἐν βιβλ. 2. κεφ. 46. (2ι) Ὁ Σωζόμ. ἐν βιβλ. 6. κεφ. 25. (2κ) Ὁ Σκίδ. εἰς τὸ Ἀπολιν. ὁ δὲ Σωκρ. (αὐτ.) ἀμφότεροι δὲ ἦσαν, φησὶν, ἑλληνικῶν λόγων διδάσκαλοι· γραμματικῶν μὲν ὁ πατὴρ, ῥητορικῶν δὲ ὁ υἱός. (2λ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 250. (2μ) Ὁ Σωκρ. (αὐτ.) ὁ δὲ Σκίδ. (αὐτ.) πρόεδρον Λαοδικείας αὐτὸν καλεῖ· ὁ δὲ Ἐπιφάν. (αἱρέσ. 66.) Ἀπολιναρίῳ τῷ Λαοδικείας φησίν. ὁ δὲ Βαλσαμ. καὶ ὁ Ζωναρ. (εἰς τὴν ἑρμηνείαν τοῦ 1. κανόνος τῆς δευτέρ. ἐν Κωνσταντ. οἰκουμεν. Συνόδ.) ὁ δὲ Ἀπολινάριος τῆς ἐν Ἀσυρίᾳ Λαοδικείας ἐπίσκοπος. ἀλλ' ὁ Φώτιος ἐν τοῖς τοῦ Φιλοστοργ. τοῖς ἀπὸ φωνῆς αὐτοῦ (ἐν βιβλ. 8. κεφ. 15.) λέγει δ' ἂν, οὐκ οἶδ' ὅθεν λαβὼν, τὸν Ἀπολινάριον ἐπίσκοπον εἶναι. καὶ ἀληθῶς οὐδὲ παρὰ τῷ μεγ. Βασιλ. οὐδὲ παρὰ τῷ Ναζιανζ. οὐδὲ παρὰ Σωκρ. οὐδὲ παρὰ Θεοδωρίτ. ἐπισκόπου ὄνομα αὐτῷ πρόσκειται. ἐξ ὧν δὲ ὁ Σωζόμ. περὶ αὐτοῦ ἱστορεῖ, (ἐν βιβλ. 6. κεφ. 25.) ῥᾴδιον κατιδεῖν, ὡς οὐ γέγονεν ἐπίσκοπος. (2ν) Ὁ Σωζόμ. ἐν βιβλ. 6. κεφ. 25 (2ξ) Ὁ Σωκρ. ἐν βιβλ. 2. κεφ. 46. (2ο) Ὅρα τὴν πρὸς τοὺς Δυτικ. 263. καὶ τὴν πρὸς Εὐλόγ. καὶ Ἀλέξ. καὶ Ἀρποκρ. 265. (τῆς ἐν παρισ. κατὰ τὸ 173. ἔτ. ἐκδόσ.) τοῦ μεγ. Βασιλ. ἐπιστ. καὶ τὴν 1, καὶ 2. κατὰ Ἀπολιναρ. πρὸς Κληδόν. τοῦ Ναζιανζ. (2π) Ὅ, τε Οὐαλέσ. εἰς τὰς σημειώσ. τὰς εἰς τὸν Σωζόμ. καὶ ὁ Φαβρίκ. ἐν τεύχ. 7. σελ. 660. (2ρ) Ὁ Σωζόμ. αὐτ. τὸν δὲ ὅρον ταύτης εὑρήσεις παρὰ Θεοδωρίτ. ἐν βιβλ. 5. κεφ. 9, καὶ 10. τῆς Ἱστορ. (2σ) Ὅρα τὸν 1. κανόν. τῆς οἰκουμεν. 2. Συνόδ. (2τ) Συνάγεται ἐκ τοῦ καταλ. τῶν ἐκκλησιαστ. συγγραφ. τοῦ Ἱερωνύμ. τὸν γὰρ κατάλ. ἐν τῷ 14. ἔτει τῆς βασιλείας τοῦ Θεοδοσ. συνέγραψε. τὸν Ἀπολινάριον δὲ εἰπὼν ἐπὶ Θεοδοσίου τελευτῆσαι, πολλοὺς ἄλλους ἔπειτα καταλέγει.

Τῶν τούτου Συγγραμμάτων

Τὰ ἐκδεδομένα.

Ἡ τῶν τοῦ Δαβὶδ ψαλμῶν μετάφρασις δι' ἡρώων ἐπῶν πεποιημένη [α].

Τὰ ἐκλελοιπότα.

Πᾶσα ἡ τῶν Ἑβραίων Γραφὴ δι' ἡρώων ἐπῶν [β]. Ἔμμετρα μελύδρια [γ]. Τὰ Εὐαγγέλια καὶ τὰ ἀποστολικὰ δόγματα ἐν τύπῳ διαλόγων, καθὰ καὶ Πλάτων παρ' Ἕλλησι [δ]. Λόγος πρὸς τὸν βασιλέα Ἰουλιανὸν, ἤτοι τοὺς παρ' Ἕλλησι φιλοσόφους, ὃν ὑπὲρ ἀληθείας ἐπέγραψεν, ἐν ᾧ καὶ δίχα τῆς τῶν ἱερῶν λόγων μαρτυρίας ἔδειξεν αὐτοὺς ἀποβουκοληθέντας τοῦ δέοντος περὶ Θεοῦ εἰπεῖν [ε]. Κατὰ Πορφυρίου τοῦ δυσσεβοῦς Τόμους λ' [ϛ]. Κατὰ Μανιχαίων [ζ]. Ἀπολογία κατὰ Εὐνομίου [η]. Ὑπομνήματα πολλὰ εἰς τὴν Γραφήν [θ]. Μετάφρασις ἑλληνικὴ τῶν τῆς παλαιᾶς βιβλίων [κ]. Πολλὰ περὶ θεολογικῶν ὑποθέσεων [λ]. Τὰ περὶ σαρκώσεως [μ]. Τὸ περὶ σαρκώσεως λογίδριον [ν]. Τὸ περὶ πίστεως [ξ]. Ἐκ τοῦ κατὰ κεφάλαιον βιβλίον [ο]. Ἴστεον δὲ, ὅτι φέρονταί τινα, ὥς φησι Λεόντιος ὁ Βυζάντιος [π] τοῦ Ἀπολιναρίου συγγράμματα, Γρηγορίῳ τῷ θαυματουργῷ, καὶ Ἀθανασίῳ, καὶ Ἰουλίῳ τῷ Ῥώμης ἐπιγεγραμμένα.

ΒΑΣΙΛΕΙΟΣ τῷ μεγάλῳ περὶ τὸ 329 [ρ] ἀπὸ Χριστοῦ τοῦ σωτῆρος ἔτος γεννηθέντι πατέρες μὲν Βασίλειος καὶ Ἐμμελία οἱ ἅγιοι, πατρὶς δὲ ἡ Νεοκαισάρεια ἡ ἐν τῇ κατὰ τὸν Πόντον μοίρᾳ τῆς Καππαδοκίας, Μάζακα τὸ πάλαι καλουμένη· διδάσκαλοι δὲ, τῆς μὲν ἐγκυκλίου παιδεύσεως πρῶτον ὁ πατὴρ αὐτοῦ, εἶτα ἐν Ἀντιοχείᾳ καὶ τῷ Βυζαντίῳ ὁ Λιβάνιος, παντὸς δ' ἐπιστήμης εἴδους Ἀθήνησιν ὁ Ἱμέριος καὶ Προαιρέσιος [σ]. ἔτος ἦν ἐν ἔτει 364 [τ] ὑπὸ Εὐσεβίου Καισαρείας εἰς τὸν τοῦ πρεσβυτέρου βαθμὸν προβιβασθεὶς [υ], μετ' οὐ πολὺ τῷ τοῦ προβιβάσαντος φθόνῳ χώραν διδοὺς, πρὸς τὸν Πόντον μεταχωρεῖ συνεφελκυσάμενος καὶ τὸν αὐτῷ ὁμόψυχον, τὸν Ναζιανζηνὸν Γρηγόριον. τοῖς ἐκεῖ δὲ φροντιστηρίοις ἐπιστατήσας, καὶ ὅρους αὐτοῖς ἐκθέμενος καὶ κανόνας, τῆς τελειοτέρας ἡσυχίας τῷ ἔρωτι καταθελγόμενος, τὴν ἔρημον ἀσπάζεται. ἐν ἔτει δὲ 365 [φ]. τὴν ἐπανακύψασαν ἐπὶ Οὐάλεντος Ἀρείου αἵρεσιν, καὶ ἐπὶ τὴν Καππαδοκίαν ἐφορμῶν μαθὼν, παραυτίκα ἐπάνεισι, καὶ τῇ μητρὶ φέρων ἑαυτὸν δίδωσι τῇ Ἐκκλησίᾳ, καὶ Εὐσεβίῳ συνδεῖται, καὶ τῇ ὀρθοδοξίᾳ ἐπαμύνει τὰ μέγιστα [χ]. μετὰ δὲ τὴν τοῦ Εὐσεβίου τελευτὴν, ἐν τῷ ἔτει 370 [ψ]. ἐπὶ τὸν ὑψηλὸν τῆς Καισαρείας προβληθεὶς θρόνον, στεῤῥῶς μὲν πάσαις ταῖς τῶν τότε αἱρετικῶν ἀντικαθίσταται φάλαγξι, γενναίως δὲ καὶ τῷ ὑπάρχῳ Μοδέστῳ παρασὰς, τηνάλλως τῆς εὐσεβείας αὐτὸν ἀποσπᾶσαι προσδοκήσαντι, καὶ πολυτρόπως ἐγχειρήσαντι, φωνὰς ἐξεβόησε φιλοσόφου φρονήματος πλήρεις, ἐν αἷς καὶ τάσδε· ἐγὼ μὲν ὁ αὐτός σοι καὶ αὔριον ἥξω, σὺ δὲ μὴ μεταβάλῃς τὴν γνώμην, ἀλλὰ χρῆσαι ταῖς ἀπειλαῖς [ω]. ἔτεσι δ' ὀκτὼ [2α] πάσῃ σοφίᾳ καὶ ἀρετῇ καὶ χάριτι τῇ ποιμαντικῇ διαπρέψας ἐπιστασίᾳ ὁ πανεύφημος ἀνὴρ καὶ οἰκουμενικὸς διδάσκαλος, εἰς τὴν ἄνω μετέστη βασιλείαν, τὰς ἀμοιβὰς ἀποδεξόμενος καὶ τὰ ἔπαθλα.

Τῶν ἱερῶν καὶ πανσόφων αὐτοῦ συγγραμμάτων [2β] πασῶν τῶν ἄλλων ἐκδόσεων τὰ πρεσβεῖα φέρει ἡ ἐσχάτη, ἡ κατὰ τὸ 1730. ἔτος ἐν Παρισ. ὑπὸ Ἰουλιανοῦ τοῦ Γαρνερίου γενομένη. ἀλλὰ γὰρ ἔδει αὐτὸν τ' ἄλλα προθυμηθέντα, καὶ τοσοῦτον πλῆθος, (ὥς αὐτός φησι) κωδίκων συναγαγόντα, καὶ περὶ τὴν τῆς θείας λειτουργίας τοῦ ἁγίου ἔκδοσιν τὴν προσήκουσαν ἀναλαβεῖν φροντίδα, καὶ μὴ οὕτως ἀμελῶς τε καὶ ἀπερισκέπτως τὴν παρατυχοῦσαν, ἣν οὐδ' αὐτὸς γνήσιον τοῦ Βασιλείου γινώσκει γόνον, ἐκδοῦναι. καὶ εἰ μὲν Εὐχολογίῳ οὐδέποτε ἐνέτυχε, καὶ τῆς Ἑλλάδος ἐπελάθετο, οὐχ ἕνα ἀλλὰ πολλοὺς τυχὸν τοὺς κώδικας τὴν γνησίαν τοῦ Βασιλείου λειτουργίαν περιέχοντας παρασχεῖν δυνάμενος, ἀλλ' ἔδει γοῦν τὸν Φαβρίκιον ἀναγνῶναι χιλιετοῦς τινὸς τοιούτου μνημονεύσαντα κώδικος [2γ].

ΒΙΚΤΩΡ ὁ τῆς Ἀντιοχέων Ἐκκλησίας πρεσβύτερος, κατά τινας μὲν [2δ], ἐν τοῖς τοῦ θείου Χρυσοστόμου ἤκμασε χρόνοις κατά τινας δὲ [2ε], ἐν τοῖς τοῦ Ἰουλιανοῦ τοῦ παραβάτου. τὰ δ' ἄλλα τὰ περὶ αὐτοῦ ἄδηλα.

Τὰ αὐτοῦ συγγράμματα.

Ὑπόμνημα εἰς τὸ κατὰ Μάρκον Εὐαγγέλιον [2ϛ]. Σχόλια εἰς τὰς καθολικὰς ἐπιστολάς [2ζ]. Ἀποσπασμάτια εἰς τὸ 1, 8, καὶ 10. κεφ. τοῦ Λουκᾶ [2η]. Πρόσθες καὶ τὰ ἐν τῇ δε τῇ βίβλῳ εἰς τὸ Δευτερονόμιον ὑπομνήματα.

ΓΕΝΝΑΔΙΟΣ ὁ ἅγιος πρεσβύτερος ὢν τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας [2θ], ἐν ἔτει 458 [2κ], Ἀνατολίου τῶν τῇδε μεταστάντος, εἰς τὸν πατριαρχικὸν πρεσβιβάζεται θρόνον. τὸν Μαρκιανὸν δὲ τῆς τῶν Καθαρῶν ὄντα θρησκείας, καὶ εἰς τὴν Ἐκκλησίαν μετελθόντα, ἐπὶ ἐπανορθώσει τῶν ἐκκλησιαστικῶν πραγμάτων οἰκονόμον προβαλὼν, δι' αὐτοῦ τὰ ἐν ἑκάστῃ προσφερόμενα Ἐκκλησίᾳ τοὺς τοῦ τόπου κληρικοὺς κομίζεσθαι διετύπωσε, τῆς μεγάλης Ἐκκλησίας ἕως τότε πάντα κομιζομένης. οὐδένα δὲ ἐχειροτόνει, μὴ τὸ ψαλτήριον διὰ στόματος φέροντα [2λ]. ἐν ἔτει δὲ 459. [2μ] σὺν τῇ περὶ αὐτὸν τῶν ογ' ἐπισκόπων Συνόδῳ τὴν κατὰ τῶν σιμωνιακῶν ἐγκύκλιον συνέγραψεν ἐπιστολὴν [2ν]. ἀλλὰ γὰρ καὶ τῆς θαυματουργίας ὁ θεσπέσιος

ἐπλούτει

(α) Ἐξεδόθη ἐν Παρισ. κατὰ τὸ 1552. ἔτος. (β) Μνεία παρὰ Σωζ. (εἰς τὸ Ἀπολιν.) καὶ παρὰ Σωζομ. (ἐν βιβλ. 5. κεφ. 18.) ἐπίσα, λέγοντι, ἀλλ' ἄχρι τῆς τοῦ Σαοὺλ βασιλείας. (γ) Παρὰ Σωζομ. ἐν βιβλ. 6. κεφ. 25. (δ) Παρὰ Σωκρ. ἐν βιβλ. 3. κεφ. 16. (ε) Παρὰ τῷ Αὐτ. ἐν βιβλ. 5. κεφ. 18. ἐν ᾧ καὶ ταῦτα πρόσκειται· τάδε ἐπιτωθάζων ὁ βασιλεὺς τοῖς τότε διαπρέπουσιν ἐπισκόποις ἐπέσταλεν· ἀνέγνων, ἔγνων, κατέγνων. τοὺς δὲ πρὸς ταῦτα ἀντιγράψαι· ἀνέγνως, ἀλλ' οὐκ ἔγνως· εἰ γὰρ ἔγνως, οὐκ ἂν κατέγνως. εἰσὶ δὲ οἳ Βασιλείῳ τῷ προστάτῃ τῆς Καππαδοκῶν Ἐκκλησίας ταύτην τὴν ἐπιστολὴν ἀνατιθέασι. (ζ) Παρὰ Σουΐδ. αὐτ. (η) Παρ' Ἐπιφαν. ἐν αἱρέσ. 66. (θ) Παρὰ Φιλοστοργ. ἐν βιβλ. 8. κεφ. 12. (ι) Παρὰ Σουΐδ. αὐτ. τούτων δ' ἀποσπασμ. ἐν τῇ εἰς τὸν Ἰὼβ, καὶ εἰς τοὺς Ψαλ. καὶ εἰς τὸν Ματθ. ἐκδοθείσ. σειρ. ὡς ἀπαντῶσιν οὐκ ὀλίγα. (κ) Παρ' Ἱερωνύμ. μνεία μετ' ἐλέγχου. ἐν βιβλ. 2. κατὰ Ῥουφῖν. Τόμ. 2. σελ. 154. (λ) Παρὰ τῷ μεγ. Βασιλ. ἐν ἐπιστ. 263. τῆς εἰρημ. ἐκδόσ. (μ) Παρὰ τῷ Αὐτ. αὐτ. (ν) Παρὰ Θεοδωρήτ. ἐν διαλ. 3. (ξ) Παρὰ τῷ Αὐτ. αὐτ. (ο) Παρὰ τῷ Αὐτ. ἐν διαλ. 1, καὶ 2. (π) Ἐν τῷ κατὰ τῶν δολιοτήτων τῶν Ἀπολιναριστῶν βιβλ. τῷ ἐν τῷ 9. Τόμ. τῆς τῶν Πατέρων βιβλιοθ. τῆς ἐν Λουγδ. ἐκδοθείσ. ὡς μαρτυρεῖ ὁ Φαβρίκ. ἐν τεύχ. 7. σελ. 665. (ρ) Ὁ Γαρνέρ. εἰς τὸν βίον τοῦ Βασιλ. (τὸν ἐν τῷ 3. Τόμ. τῶν τοῦ ἁγίου συγγραμμ.) ὁ δὲ Φαβρίκ. (ἐν τῇ 60. σελ. τοῦ 8. τεύχ.) περὶ τὸ 316. ὁ δὲ Οὐδῖν. (ἐν τῇ 543. σελ. τοῦ 1. Τόμ. περὶ ἐκκλησιας. συγγραφ.) περὶ τὸ 328. (σ) Ὁ Σωκρ. ἐν βιβλ. 4. κεφ. 26. καὶ ὁ Ναζιανζ. εἰς τὸν ἐπιτάφ. (τ) Ὁ Γαρνέρ. αὐτ. ἐν σελ. 66. (υ) Ὁ Σωκρ. (αὐτ.) φησὶν, ὑπὸ Μελετίου τοῦ Ἀντιοχείας ἐπισκόπου εἰς τὴν τοῦ διακόνου τάξιν αὐτὸν προχειρισθῆναι. καὶ ὁ Φιλοστόργ. δὲ, (ἐν βιβλ. 4. κεφ. 12.) καὶ γὰρ ἦν, φησὶν, ἐν διακόνοις κατατεταγμένος. ὁ δὲ Ναζιανζ. (αὐτ.) ὑπαινίξατο τοῦτο, εἰπὼν, τάχα καὶ νόμῳ πνευματικῆς ἀναβάσεως, κλ. (φ) Ὁ Γαρνέρ. αὐτ. ἐν σελ. 68. (χ) Ὅρα τὸν Ναζιανζ. αὐτ καὶ Νικηφ. τὸν Κάλλισ. ἐν τῷ 18. κεφ. τοῦ 11. βιβλ. (ψ) Ὁ Γαρνέρ. καὶ ὁ Φαβρίκ. αὐτ. (ω) Ὁ Θεοδώρητ. ἐν βιβλ. 4. κεφ. 19. τῆς Ἱστορ. Ὅρα καὶ τὸν Ναζιανζ. αὐτ. (2α) Ὀκταετῆ λαοῦ θεόφρονος ἡνία τείνας. ὁ Ναζιανζ. (2β) Ἄριστος δὲ, φησὶν ὁ Φώτ. (ἐν κώδ. 141) ἐν πᾶσι τοῖς αὐτοῦ λόγοις ὁ μέγας Βασίλειος. λέξατε γὰρ καθαρᾷ καὶ εὐσήμῳ καὶ κυρίᾳ, καὶ ὅλως πολιτικῇ καὶ πανηγυρικῇ δεινὸς εἴτις ἄλλος χρήσασθαι. νοημάτων τε τάξει καὶ καθαρότητι πρῶτος, οὐδενὸς δεύτερος· πιθανότητος δὲ καὶ γλυκύτητος καί γε λαμπρότητος ἐραστὴς, καὶ ῥέων τῷ λόγῳ, καὶ ὥσπερ ἐξ αὐτοσχεδίου πηγάζων τὸ ῥεῖθρον. καὶ τῷ πιθανῷ δὲ ἐπὶ τοσοῦτον ἥκων ἀποκεχρημένος, ὡς εἴτις πολιτικοῦ λόγου τοὺς αὐτοῦ λόγους παράδειγμα ἑαυτῷ θείη, ἔπειτα τούτους ἐκμελετῴη· μηδὲ τῶν εἰς τοῦτο συντελούντων δηλονότι νόμων ἄπειρος ὑπάρχων, καὶ οὐδενὸς αὐτὸν ἑτέρου δεήσεσθαι, οἶμαι, εἴτε Πλάτωνος, εἴτε Δημοσθένους. (2γ) Ἐν σελ. 90. τοῦ 8. τεύχ. ἐν ᾗ τάδε. Divina liturgia, cuius codicem graecum plusquam mille annorum in bibliotheca Barberina reperiri testatur Montfauconius pag. 210. itineris italici. Incipit: ὁ Θεὸς ὁ Θεὸς ἡμῶν ὁ τὸν οὐράνιον ἄρτον, τὴν τροφὴν, &. ἔστι δὲ αὕτη ἡ ἀρχὴ, ἡ ἀρχὴ τῆς εὐχῆς τῆς προθέσεως τῆς γνησίας τοῦ ἁγίου λειτουργίας. (2δ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 373. καὶ ὁ Πελτάν. παρὰ Φαβρίκ. ἐν ταῖς σημειώσ. ταῖς ἐν τῇ 769. σελ. τοῦ 7. τεύχ. (2ε) Ὁ Ποσσεβῖν. παρὰ Κορδέρ. ἐν τῇ εἰς τὸν Λουκᾶν ῥωμαϊστὶ ἐκδοθείσῃ σειρᾷ. (2ϛ) Ἐξεδόθη ῥωμαϊστὶ μόνον κατὰ τὸ 1580. ἐν Ἰγγολστάδ. (2ζ) Σώζ. χειρόγρ. ἐν τῇ Βασιλείᾳ, ὡς μαρτυρεῖ ὁ Φαβρίκ. αὐτ. (2η) Κεῖται ἐν τῇ εἰς τὸν Λουκ. εἰρημ. σειρᾷ. (2θ) Θεόδωρ. ὁ Ἀναγν. ἐν βιβλ. 1. σελ. 553. (2κ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 447. (2λ) Ὁ Θεόδωρ. αὐτ. (2μ) Ὅρα τὴν 567. σελ. τοῦ 3. Τόμ. τῶν Πρακτ. τῶν συνόδ. τῆς τοῦ Βεν. ἐκδόσ. (2ν) Κεῖται ἐν σελ. 181. τοῦ 2. Τόμ. τῶν Πανδέκτ. ὁ δὲ Οὐδῖν. (ἐν τῷ περὶ ἐκκλησιας. συγγραφ. 1. Τόμ. σελ. 1278.) τὰ ὀνόματα τῶν ἐν ταύτῃ τῇ Συνόδῳ συνελθόντων οὐχ ογ', ἀλλ' πα', ἀπὸ κώδ. τῆς.

ἐπλέτει τὸ χάρισμα. τὴν γὰρ ξηρανθεῖσαν τοῦ ζωγράφου χεῖρα, τοῦ ἐν τάξει Διὸς τὸν Σωτῆρα γράψαι τολμήσαντος, δι' εὐχῆς ἰάσατο[α]. καὶ Ἐλευθερίῳ τῷ μάρτυρι κληρικόν τινα τῶν ἐκείνου ἐγκαλῶν, οὕτως ἔγραψεν· ἅγιε μάρτυς τοῦ Θεοῦ Ἐλευθέριε ὁ σὸς στρατιώτης ἀτάκτως διανύει τὸ ζῆν· ἢ διόρθου αὐτὸν, ἢ ἐκκόπτειν σε δεῖ. ὁ δὲ κληρικὸς εὐθὺς ἐτελεύτα. καὶ εἰς τὸ θυσιαστήριον νυκτὸς κατελθὼν εὔξασθαι, εἶδέ τι φάσμα δαιμόνιον, ᾧ ἐπιτιμήσας, ἤκουσε κράζοντος· ὡς αὐτοῦ μὲν ζῶντος, ἐνδίδωσιν· ὕστερον δὲ λυμανεῖται πάντως τὴν Ἐκκλησίαν. δείσας δὲ καὶ πολλὰ τὸν Θεὸν ἱκετεύσας, μετὰ μικρὸν[β], ἤγουν ἐν ἔτει 471.[γ] τὸ φθαρτὸν ἐναπέθετο σκῆνος.

Τὰ τούτου συγγράμματα.

Ἡ ῥηθεῖσα ἐγκύκλιος ἐπιστολή. Ὑπομνήματα εἰς τὸν προφήτην Δανιήλ. Πολλαὶ ὁμιλίαι[δ]. Κατὰ τῶν τοῦ Κυρίλλου ἀναθεματισμῶν[ε]. Καὶ τὰ ἐν τῇ δε τῇ βίβλῳ ὑπομνήματα. ἃ οὐκ ἄλλου τοῦ ποιήματα ἡγούμεθα, κἂν μὴ τῷ Γενναδίου ὀνόματι καὶ τὸ, Κωνσταντινουπόλεως, προσετέθη. οὐδὲ γὰρ ἄλλος τὶς Γεννάδιος ἐν τοῖς περὶ ἐκκλησιαστικῶν διαλαμβάνουσιν ὑποθέσεων εὕρηται συγγραφεῦσι.

ΓΡΗΓΟΡΙΩι τῷ θεολόγῳ πατρὶς μὲν ἡ Ναζιανζὸς, πατέρες δὲ Γρηγόριος ὁ τῆς Ναζιανζοῦ ἐπίσκοπος, καὶ ἡ ἱερὰ ἐξ ἱερῶν προγόνων Νόννα[ς]. οὗτος ἔρωτι λόγων κατασχεθεὶς, εἰς τὴν Καισάρειαν ἧκεν· ὅπου οὐ βραχὺ συναθροίσας παιδείας, ἐπὶ τὴν Παλαιστίνην ἔπλει ῥητορικῆς ἐφιέμενος· κἀκεῖθεν ἐπὶ τὴν Ἀλεξάνδρου ἐφικνεῖται. πλείστην δὲ κἀντεῦθεν τὴν ἐκ τῶν μαθημάτων ἐναποδρεψάμενος ὄνησιν, τὴν μητέρα τῶν λόγων, τὰς Ἀθήνας μεταδιώκει· ἔνθα δὴ ψυχὴ μία μετὰ τοῦ μεγάλου πατρὸς Βασιλείου γίνεται, δυοῖν δέουσα σωμάτων διάστασιν. εἰς τοσοῦτον δ' ὕψος παιδείας ἐλήλακεν, ὥστε καὶ κοινῇ προτροπῇ τῶν φοιτητῶν καὶ παρακλήσει παιδευτὴν γενέσθαι Ἀθήνησιν. ἐπὶ τὴν πατρίδα δὲ ἐπανιὼν, ὑπὸ μὲν τοῦ ἰδίου πατρὸς πρεσβύτερος, ὑπὸ δὲ τοῦ οὐρανοφάντορος Βασιλείου Σασίμων ἐπίσκοπος χειροτονηθεὶς, τὰ μὲν Σάσιμα κατέλειπε, τὴν δ' ἐπιμέλειαν τῆς ἐν Ναζιανζῷ Ἐκκλησίας ἀνείλετο, εἴξας τῷ ἰδίῳ πατρὶ, δεύτερον ἀνθ' ἑαυτοῦ ἐκεῖνον ποιησαμένῳ. περὶ δὲ τὸ 378 ἔτος[η], ὑπὸ τῆς ἐν Ἀντιοχείᾳ συστάσης Συνόδου ἐπὶ τὴν Κωνσταντίνου ἄκων διαπέμπεται· ὡς ἂν τὴν ὑπὸ τῶν Ἰουλιανοῦ τε καὶ Οὐάλεντος διωγμῶν ἐκπεπληκυῖαν καὶ μικροῦ δεῖν ἐκλείψασαν τῶν ὀρθοδόξων Ἐκκλησίαν ἐπανορθώσας ἐπιῤῥώσειέ τε καὶ ἐπαυξήσειεν. ὃ δὴ τάχιστά τε πεποίηκε, καὶ εἰς πέρας ἤγαγε θαυμασιώτατον. ταύτῃ τοι καὶ παρὰ τοῦ μεγάλου Θεοδοσίου ἡ τῆς βασιλευούσης τῶν πόλεων προεδρία αὐτῷ ἐγχειρίζεται· ἣν δὴ ἡ ἐν ἔτει 381. συγκροτηθεῖσα οἰκουμενικὴ ἐπεκύρωσε Σύνοδος. αὐτὸς δὲ ἐνώπιον τῆς Συνόδου παραιτησάμενος, καὶ εἰς Ἀριανζὸν ἐλθὼν[θ], ταῖς καθ' ἡσυχίαν θειοτέραις ἀναβάσεσιν αὐτὸν ἀνέθετο, καὶ τῶν ἐκ νεωτάτης τῆς ἡλικίας φίλων αὐτῷ μουσῶν μὴ ἐπιλαθόμενος. καὶ γὰρ πολλὰ τῶν ποιημάτων ἐκεῖ στιχουργήσας ἡμῖν κατέλιπεν. ἐν βαθείᾳ δὲ τῇ πολιᾷ, ἔτει μὲν ἀπὸ Χριστοῦ 391, τῆς δ' ἡλικίας αὐτοῦ, 91.[ι] μετατίθεται τὴν ἐπίκηρον τήνδε ζωὴν πρὸς τὴν ἀμείνω καὶ ὑψηλοτέραν κατάστασιν[κ].

Τῶν θεολογικῶν καὶ μελιῤῥύτων αὐτοῦ συγγραμμάτων ἡ κατὰ τὸ 1630. ἐν Παρισ. γενομένη ἔκδοσις τῶν ἄλλων προτιμοτέρα ἔοικεν. εἰ δὲ ἣν ὁ Λουάρδος κατὰ τὸ 1708. ἔτος ἐν Παρισ. συνεσκεύασε, προκύψειέ ποτε, αὕτη πάντως πολλῷ τῶν ἄλλων τελειοτέρα κατὰ τὴν αὐτοῦ ἐπαγγελίαν[λ].

Τῶν συγγραμμάτων αὐτοῦ

Τὰ ἀμφίβολα.

Ἡ πρὸς Εὐάγριον ἐπιστολὴ περὶ Θεότητος[μ], καὶ ἡ εἰς τὸν Ἰεζεκιὴλ σημασία.

Τὰ Νόθα.

Ἡ μετάφρασις εἰς τὸν Ἐκκλησιαστὴν[ν], καὶ ἡ Τραγῳδία, Χριστὸς πάσχων[ξ].

Τὰ Ἀνέκδοτα.

Ποίημα εἰς τὴν ἑαυτοῦ ψυχὴν, οὗ ἡ ἀρχή· ψυχὴ βλέψον ἄνω χθονίων ἐπιλήθεο πάντων. Τρία εἰς Καισάριον τὸν ἑαυτοῦ ἀδελφόν. Ἄλλο εἰς εὐγενῆ δυσγενῆ. Τετράστιχά τινα. Ποιήματα τέσσαρα[ο]. Λόγοι πολλοὶ ὑπὸ τοῦ Σερῶν Νικήτα σχολιασθέντες, καὶ τρεῖς ἄνευ σχολίων, καὶ Ποιήματα περὶ τοῦ τὰ ἱερὰ ἀναγινώσκειν βιβλία, καὶ ἕτερα διάφορα, καὶ στίχοι κατὰ ἀλφάβητον, καὶ στίχοι ἀρχιλόχειοι, καὶ ζητήματα καὶ ἀποκρίσεις περὶ Θεοῦ καὶ Τριάδος, καὶ ποιήματα ἡρωϊκά[π].

ΓΡΗΓΟΡΙΟΣ ὁ τῆς ἐν Καππαδοκίᾳ Νύσσης ἐπίσκοπος, καὶ τοῦ οὐρανοφάντορος Βασιλείου αὐτάδελφος, τὰς ἱερὰς πρότερον τῷ λαῷ ἀναγινώσκων βίβλους, τὴν ἰδίαν ἔπειτα κατέλειπε τάξιν, καὶ τῇ τῶν ῥητορικῶν παιδευμάτων σπουδῇ ὅλον ἑαυτὸν φέρων παρέδωκεν· ἀλλ' ἀνεκλήθη πάλιν, ταῖς τοῦ θεολόγου Γρηγορίου προτροπαῖς καμφθεὶς καὶ παραινέσεσι[ρ]. καὶ γάμῳ δὲ ὡμίλησε, τὴν θαυμαστὴν Θεοσεβίαν σχὼν σύζυγον· ἧς καὶ τὴν ἀπὸ τοῦ βίου μετάστασιν καρτερῶς ἤνεγκε καὶ φιλοσόφως[σ]. περὶ δὲ τὸ 472. ἔτος Νυσσαέων ἐπίσκοπος γενόμενος[τ], μετ' οὐ πολὺ διὰ τὸν τῆς ὀρθοδόξου πίστεως ζῆλον τῷ τοῦ Οὐάλεντος ἐπιτάγματι ἐξωσθεὶς, ἐν διαφόροις περιῄει τόποις ταῖς τῶν Ἀρειανῶν ἐπιβουλαῖς οὐ μετρίως κατατρυχόμενος[υ]. ἐν ἔτει δὲ 378, τοῦ Οὐάλεντος τὸν βίον καταλύσαντος, ὑπὸ Γρατιανοῦ τῷ ἑαυτοῦ πάλιν ἐγκαθιδρύεται θρόνῳ[φ]. ὑπὸ δὲ τῆς ἐν Ἀντιοχείᾳ Συνόδου, ᾗ συμπαρέστη, εἰς Ἀραβίαν μετὰ καὶ ἄλλων ἐπισκόπων πέμπεται τὰς ἐκεῖ ἐπισκεψόμενος Ἐκκλησίας[χ]. ἐλθὼν δὲ καὶ εἰς Ἱεροσόλυμα, εὐλαβῶς μὲν τοὺς ἁγίους προσεκύνησε τόπους, κακῶς δὲ διετέθη, δι' ἃς ἐν Ἱεροσολύμοις ἑώρακε μοχθηρίας. ἔνθεν τοι καὶ τὴν περὶ τῶν ἀπιόντων εἰς Ἱεροσόλυμα ἐπιστολὴν πρὸς τὸν ἑαυτοῦ ἔγραψε φίλον. καὶ ἐν ἔτει μὲν 381. τῇ ἁγίᾳ οἰκουμενικῇ δευτέρᾳ Συνόδῳ τὴν τοῦ παναγίου πνεύματος δόξαν τῷ θείῳ συμβόλῳ τῆς ἐν Νικαίᾳ πίστεως προστιθεμένῃ, συμπαρὼν, τὸ λεῖπον τῷ ἱερῷ ἀνεπλήρωσε συμβόλῳ[ψ]. ἐν ἔτει δὲ 394. συμπαρῆν ὡσαύτως καὶ τῇ ἐν αὐτῇ τῇ Κωνσταντινουπόλει τελεσθείσῃ[ω]. ἀλλ' ἐν τίνι ἔτει μετὰ τοῦτο τὸ τοῦ βίου στάδιον πέρας αὐτῷ εἴληφεν, ἄδηλον.

Ἡ με-

τῆς ἐν Βιέννῃ βιβλιοθ. ἀναγραφεῖσα ἐκδίδωσιν. ὅπου δὴ καὶ σεσημείωκεν, ὅτι ἐν τῇ τῆς ἐπιστολῆς ταύτης ἐπιγραφῇ προσθήκη ἐστὶ τὸ, πρὸς τὸν πάπαν Ῥώμης. ταῦτα γὰρ τὰ ῥήματα ἐν τῷ εἰρημ. κώδ. παλαιᾶς χειρὸς ποιήματι, οὐ κεῖται. (α) Θεόδωρ. ὁ Ἀναγν. (αὐτ.) καὶ Νικηφ. ὁ Κάλλιστ. (ἐν βιβλ. 15. κεφ. 23.) καὶ ταῦτα προσθέντες· χρεὼν μέντοι εἰδέναι, ὅτι ἐπὶ τοῦ Σωτῆρος τὸ οὖλον μᾶλλον καὶ ὀλιγότριχον ἀληθέστερόν ἐστιν, ὡς ἐκ τῶν ἱστορούντων διέγνωμεν. σημείωσον δὲ, ὅτι οὐ μικρὸς καὶ τοῦτο τὸ τῆς παλαιότητος δεῖγμα τῶν μὴ γραφόντων, μηδὲ προσκυνούντων τοῦ Σωτῆρος τὴν εἰκόνα ἔλεγχος. (β) Οἱ Αὐτοὶ αὐτ. (γ) Ὁ Κάβ. αὐτ. (δ) Γεννάδ. ὁ Μασσιλ. πρεσβύτερ. ἐν κεφ. 90. περὶ ἐκκλησιαστ. συγγραφ. (ε) Ἀποσπασμάτ. τούτων (ὡς φησὶν ὁ Κάβ. αὐτ.) ἐξέδωκεν ὁ Φακένδιος ἐν βιβλ. 2. κεφ. 4. (ζ) Ὁ μὲν Κάβ. (ἐν Τόμ. 1. σελ. 247.) περὶ τὰ ἔτη, ἐν οἷς ἡ πρώτη συνέστη οἰκουμεν. Σύνοδ. αὐτὸν γεννηθῆναί φησιν ἐν Ἀριανζῷ χωρίῳ τῇ Ναζιανζῷ γειτνιάζοντι καὶ πατρικῷ ὄντι κτήματι· ὁ δὲ Οὐδῖν. (ἐν Τόμ. 1. σελ. 614.) ἐν ἔτει 318. (η) Ὁ Κάβ. καὶ ὁ Οὐδῖν. αὐτ. ὁ δὲ Βαρόν. (παρὰ Φαβρικ. ἐν τεύχ. 7. σελ. 508.) ἐν ἔτει 380. (θ) Ὁ Γρηγόρ. εἰς τὸν βίον τοῦ Ναζιανζ. ἐξ οὗ καὶ τ' ἄλλα σχεδὸν ἅπαντα ἐλήφθη (ι) Ὁ Φαβρίκ. αὐτ. (κ) Τῷ μέν γε Ἀπολιναρίῳ, φησὶν ὁ Φιλοστόργ. (παρὰ Σουΐδ. εἰς τὸ Ἀπολινάρ.) τὸ ὑπομνηματικὸν εἶδος τῆς λέξεως μακρῷ ἄριστα εἶχε. Βασίλειος δὲ πανηγυρίσαι λαμπρότατος ἦν. τῷ δέ γε Γρηγορίῳ καὶ παρ' ἀμφοτέροις ἐξεταζομένῳ μείζω βάσιν εἰς συγγραφὴν εἶχεν ὁ λόγος. καὶ ἣν εἰπεῖν Ἀπολιναρίου μὲν ἁδρότερος, Βασιλείου δὲ καθαρώτερος. (λ) Ὅρα τὸν Φαβρίκ. ἐν τεύχ. 7. σελ. 511. (μ) Τοῦ Νύσσης νομίζεται. (ν) Γρηγορ. τοῦ θαυματουρ. ἐστὶ πόνημα, ὃ συνεξεδόθη τοῖς τε ἄλλοις αὐτοῦ συγγράμ. καὶ τοῖς τοῦ Βασιλ. Σελευκ. καὶ Μακαρ. ἐν Παρισ. κατὰ τὸ 1622. ἔτος. (ξ) Ἀπολιναρ. Λαοδικ. τοῦ γέροντος νομίζεται. ὅρα τὸν Κάβ. αὐτ. (ο) Σώζονται ἐν τοῖς Κώδ. τῆς Βοδλεϊαν. Βιβλιοθ. ὡς μαρτυρεῖ ὁ Κάβ. αὐτ. (π) Σώζ. παρὰ Γαλλίῳ κατὰ τὴν τοῦ εἰρημ. μαρτυρ. (ρ) Ὅρα τὴν 43. ἐπιστ. τοῦ Ναζιανζ. (σ) Ὅρα τὴν 95. ἐπιστ. τοῦ Αὐτ. (τ) Ὁ Φαβρίκ. ἐν τεύχ. 8. σελ. 144. ὅρα δὲ καὶ τὴν 225, ἢ 385. ἐπιστ. τοῦ μεγ. Βασιλ. (υ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 244. ὅρα δὲ καὶ τὴν 237, ἢ 264. ἐπιστ. τοῦ μεγ. Βασιλ. (φ) Ὁ Φαβρίκ. αὐτ. (χ) Ὅρα τὴν 639. σελ. τοῦ 1. Τόμ. τῶν πρακτικ. τῶν συνόδ. τῆς τοῦ Βεν. ἐκδόσ. (ψ) Νικηφ. ὁ Κάλλιστ. ἐν βιβλ. 12. κεφ. 13. (ω) Ὅ, τε Φαβρίκ. καὶ ὁ Κάβ. αὐτ.

Ἡ κατὰ τὸ 1615. ἐν Παρισ. γενομένη τῶν συγγραμμάτων αὐτοῦ ἔκδοσις προτιμητέα καὶ τῆς ὕστερον κατὰ τὸ 1638. ἔτος αὐτοῦ γενομένης [α]. Ἰστέον δὲ, ὅτι ὅσα τῶν δυσσεβῶν τοῦ Ὠριγένους δογμάτων ἴχνη ἐν τοῖς αὐτοῦ συντάγμασι συμπαραπεφυκότα εὑρίσκεται, ὑπὸ τῶν αἱρετικῶν παρενεσπάρησαν, ὡς ὑπὸ τοῦ ἀνταποδοτικοῦ, ἔτουν Ἀνοθεύτου τοῦ Κωνσταντινουπόλεως Γερμανοῦ καταμαθεῖν ῥάδιον [β].

Τῶν Συγγραμμάτων αὐτοῦ

Τὰ μὴ περιεχόμενα ὑπὸ τῶν εἰρημένων ἐκδόσεων.

Ὁμιλία εἰς τὸν Πέτρον καὶ Παῦλον [γ]. Τὰ εἰς τὸ Ἄσμα ὑπομνήματα [δ]. Ἡ πρὸς Εὐάγριον ἐπιστολὴ περὶ Θεότητος [ε]. Ἀντιῤῥητικὸς πρὸς τὰ Ἀπολιναρίου [ς]. Ὁμιλίαι δύο εἰς τὸν πρωτομάρτυρα Στέφανον [η]. Ὅτι ὁ ἁγιαζόμενος ἄρτος εἰς σῶμα τοῦ Θεοῦ λόγου μεταποιεῖται· καὶ ὅτι ἐπάναγκες τῇ ἀνθρωπίνῃ φύσει αὐτοῦ μεταλαμβάνειν [θ]. Ἐπιστολαὶ ιδ πρὸς Εὐσέβιον [ι].

Τὰ Νόθα.

Δύο λόγοι ῥωμαϊστὶ μόνον ἐκδεδομένοι. ὧν ὁ μὲν εἰς τὴν ἁμαρτωλὸν γυναῖκα, καὶ εἰς τοὺς ἀπίστως τοὺς ἄλλους δικάζοντας, καὶ περὶ μετανοίας· ὁ δὲ, εἰς τὴν ἀρχὴν τῶν νηστειῶν [κ].

Τὰ Ἐκλελοιπότα.

Εἰς τὰς παροιμίας [λ]. Εἰς τὴν πρὸς Φιλιππησίους ἐπιστολήν [μ]. Πῶς παραγίνεται τὸ πνεῦμα πρὸ τοῦ βαπτίσματος [ν]. Πρὸς Ἀβλάβιον [ξ]. Θεογνωσία [ο]. Εἰς τὸ, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός [π]. Ἐπιστολαὶ πρὸς Ἀμφιλόχιον [ρ].

ΔΙΔΥΜΟΣ ὁ Ἀλεξανδρεὺς κομιδῇ νέος τὰ πρῶτα τῶν γραμμάτων στοιχεῖα μαθὼν, τὴν ὁρατικὴν ἀπέβαλε δύναμιν [σ]. ἀλλὰ γὰρ εὐφυὴς ὢν, ἃ δι᾽ ὀφθαλμῶν παιδευθῆναι οὐκ ἴσχυσε, ταῦτα δι᾽ ἀκοῆς ἐξεμάνθανε. καὶ γὰρ καὶ ποιητικῆς, καὶ ῥητορικῆς, ἀριθμητικῆς τε καὶ γεωμετρίας, καὶ μουσικῆς, καὶ ἀστρονομίας, καὶ διαλεκτικῆς, καὶ τῶν ἄλλων φιλοσόφων μετέλαχε παιδευμάτων. οὐ μὴν ἀλλὰ καὶ τὰς θείας Γραφὰς, παλαιάν τε καὶ καινὴν, ἄριστά τε ἐξεπαιδεύθη, καὶ μεμάθηκεν ἀκριβέστατα [τ]. διὸ δὴ περὶ τὸ 370. ἔτος [υ] πάσῃ διαπρέπων ἀρετῇ καὶ παιδείᾳ [φ], τοῦ ἐν Ἀλεξανδρείᾳ τῶν ἱερῶν μαθημάτων προΐστατο διδασκαλείου, κατὰ τῶν τὰ Ἀρείου φρονούντων στεῤῥῶς ἀγωνιζόμενος, καὶ λαμπρῶς ἀριστεύων. ἔπειθε γὰρ ῥᾳδίως οὐ βίᾳ λόγων, ἀλλ᾽ ὑπὸ τῆς ἄγαν πειθοῦς, ἕκαστον αὐτῶν οἱονεὶ κριτὴν καθιστὰς τῶν ἀμφιβόλων. θαῦμα δ᾽ ἦν οὐ τὸ τυχὸν ὁ ἀνήρ [χ]. διὸ καὶ πολλοὶ εἰς τὴν Ἀλεξάνδρειαν παρεγίνοντο, οἱ μὲν αὐτοῦ ἀκουσόμενοι [ψ], οἱ δὲ ἱστορήσοντες μόνον. ἐν οἷς καὶ ὁ μέγας Ἀντώνιος, ταῦτα πρὸς αὐτὸν εἰπών· „οὐ χαλεπὸν, οὐδὲ λύπης ἄξιον, ὦ Δίδυμε, ὀφθαλ-„μῶν ἀπορεῖν σε, ὧν μέτεστι σαύραις τε καὶ μυσὶ καὶ τοῖς „εὐτελέσι ζώοις· μακάριον δὲ καὶ χαρίεν, ὅτι παραπλησίως „Ἀγγέλοις τοὺς ὀφθαλμοὺς ἔχεις, δι᾽ ὧν τρανῶς τὸ θεῖον „κατανοεῖς, καὶ τὴν ἀληθῆ γνῶσιν ἀκριβῶς ὁρᾷς [ω]. ἐν ἔτει δὲ τῆς ἡλικίας αὐτοῦ 85, ἔτουν τῷ ἀπὸ Χριστοῦ 396. τὸν τοῦ βίου δρόμον διήνυσεν [2α]. ἀλλ᾽ ὃ μὲν ζῶν οὐ πέπονθεν, τοῦτο θανὼν οὐκ ἀπήλλακται. ἐπειδὴ γὰρ ἐν αὐτοῖς μὲν τῶν συγγραμμάτων αὐτοῦ ἐπαινέτης τοῦ Ὠριγένους ὤφθη [2β], ἐν ἄλλοις δὲ καὶ ὁμόφρων ἀναποδέδεικται, ὑπὸ μὲν τῆς ἁγίας οἰκουμενικῆς πέμπτης Συνόδου, τινὰ τῶν αὐτοῦ συγγραμμάτων [2γ]. ὑπὸ δὲ τῆς ἐν Λατερανῷ, καὶ αὐτὸς ἀναθέματι καθυποβέβληται [2δ].

Τῶν συγγραμμάτων αὐτοῦ

Τὰ Ἐκδεδομένα.

Βιβλίον περὶ τοῦ ἁγίου πνεύματος [2ε] Σύντομοί τινες εἰς τὰς καθολικὰς ἐπιστολὰς διηγήσεις [2ς]. Συμβουλὴ ἠθική [2η].

Τὰ Ἐκλελοιπότα.

Λόγος εἰς τὸν Ἰώβ [2θ]. Εἰς τὸν Λὼτ καὶ εἰς τὸν Δαβίδ [2ι]. Εἰς τὸν Ἐκκλησιαστήν [2κ]. Ὑπομνήματα εἰς τὸν Ἰώβ [2λ]. Εἰς τὰς Παροιμίας [2μ]. Εἰς τὸ Ἄσμα τῶν Ἀσμάτων [2ν]. Εἰς τὴν τῶν ψαλμῶν βίβλον ὅλην διάφορα ὑπομνήματα [2ξ]. Εἰς τὸν Ἡσαΐαν λόγοι δεκαοκτώ [2ο]. Εἰς τὸν Ἱερεμίαν [2π]. Εἰς τὸν Ὠσηὲ καὶ Ζαχαρίαν λόγοι πέντε [2ρ]. Εἰς τὸν Μιχαίαν βιβλία τρία [2σ]. Εἰς τὸ κατὰ Ματθαῖον καὶ Ἰωάννην οὐκ ἐλάχιστα ὑπομνήματα [2τ]. Εἰς τὴν πρὸς Γαλάτας ὑπομνήματα [2υ]. Εἰς τὴν πρὸς Ἐφεσίους ὑπομνηματίδια [2φ]. Εἰς τὴν πρὸς Κορινθίους [2χ]. Κατὰ ἀντιπάλων δογμάτων [2ψ]: Κατὰ Ἀρειανῶν [2ω]. Περὶ Τριάδος τρία βιβλία [3α]. Πρὸς Φιλόσοφον [3β]. Βιβλίον πρὸς Ῥουφῖνον διατί ἀποθνήσκουσι τὰ βρέφη, καίπερ διὰ τὰς ἁμαρτίας αὐτῶν ἀναλαβόντα σώματα [3γ]. Περὶ ἀριθμοῦ περιττοῦ [3δ]. Περὶ Ἀσωμάτου [3ε]. Ὑπομνήματα εἰς τὰ περὶ ἀρχῶν Ὠριγένους [3ς].

(α) Ἦν δὲ φησὶν ὁ Φώτ. (ἐν κώδ. 6.) τὴν μὲν φράσιν, εἴ τις ἄλλος ῥητόρων, λαμπρὸς, καὶ ἠδονῆς οὐκ ἀποστάζων . . . πλεονάζει δὲ τοῖς ἐνθυμήμασι καὶ τοῖς παραδείγμασιν. (β) Ὅρα τὸν 85. κώδ. τοῦ Φωτ. (γ) Ἐξεδόθη ἐν Ἰγγολστάδ. κατὰ τὸ 1620. ἔτος ἀλλὰ τῶν ἀμφιβαλλομένων ἐστίν. (δ) Συνεξεδόθη τοῖς Νείλου καὶ Μαξίμ. ὑπομνήμ. (ε) Ἐν τοῖς τοῦ Ναζιανζ. κεῖται, ὡς εἴρηται (ἐν τῇ μ σημειώσ. τῇ ἐν τῇ ιβ. σελ.) (ζ) Συνεξεδόθη κατὰ τὸ 1599. ἔτος ταῖς συλλογ. τῶν ὑπομνημ. τῶν ἀρχ. Ῥωμ. (η) Ἐν τῇ αὐτ. ἐκδόσ. μία δὲ τούτων κεῖται καὶ ἐν τῷ 2. Τόμ. τῆς εἰρημ. ἐκδόσ. τῶν τοῦ ἁγίου συγγραμμ. (θ) Συνεξεδόθη ταῖς λειτουργ. Ἰακώβ. Βασιλ. καὶ Χρυσοσ. ἐν Παρισ. κατὰ τὸ 1560. ἔτος. (ι) Συνεξεδόθ. ταῖς εἰρημ. συλλογ. (κ) Ἀστερίου τοῦ Ἀμασείας ἐπισκόπου εἰσίν. Ὅρα τὸν 271. κώδ. τοῦ Φωτ. (λ) Μνεία παρ᾽ αὐτῷ τῷ Νύσ. ἐν τῇ εἰς τὸν Ἐκκλησιαστ. 1. ὁμιλ. (μ) Παρὰ Κυρίλ. Ἀλεξανδ. ἐν τῇ ἐπιλύσει τῶν 12. κεφ. ἐν σελ. 198. τοῦ 7. Τόμ. (ν) Παρ᾽ αὐτῷ τῷ Νύσ. ἐν τῷ τέλει τῆς πρὸς Θεοδόσ. ἐπίσκ. ἐπιστ. διὰ τὴν ἐγγαστρίμ. (ξ) Παρ᾽ Εὐθυμ. ἐν τῇ πανοπλ. ὡς μαρτυρεῖ ὁ Φαβρίκ. αὐτ. ἐν σελ. 165. (ο) Παρὰ τῷ Αὐτ. κατὰ τὴν τοῦ Αὐτ. μαρτυρ. (π) Παρὰ τῷ Δαμασκ. ἐν σελ. 773. τῶν παραλ. (ρ) Μέμν. ὁ Βαρόν. ἐν τῷ 40. ἔτει. Ἀριθ. 13. ὡς μαρτυρ. ὁ Φαβρίκ. αὐτ. (σ) Οὕτω μὲν ὁ Σωκρ. (ἐν βιβλ. 4. κεφ. 25.) ὁ δὲ Σωζόμ. (ἐν βιβλ. 3. κεφ. 15.) λέγεται, φησὶ, τοὺς χαρακτῆρας τῶν γραμμάτων σανίδι καταχαραχθέντας εἰς βάθος ἐκμαθεῖν τοῖς δακτύλοις ἐφαπτόμενος. συλλαβὰς δὲ καὶ ὀνόματα, καὶ τὰ ἄλλα ἐφεξῆς καταλήψεσι, καὶ συνεχεῖ ἀκροάσει, καὶ ἀναμνήσει τῶν ἀκοῇ θηρωμένων. (τ) Ὁ Σωκρ. αὐτ. καὶ ὁ Θεοδώριτ. ἐν βιβλ. 4. κεφ. 29. τῆς Ἱστορ. (υ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 253. (φ) Κατὰ τοῦτον τὸν χρόνον ἐν Ἐδέσσῃ μὲν Ἐφραὶμ ὁ θαυμάσιος, ἐν Ἀλεξανδρείᾳ δὲ διέπρεπε Δίδυμος . . . ἐν μὲν οὖν ἀσκηταῖς καὶ τῆς ἀρετῆς φροντισταῖς οὗτοι κατ᾽ ἐκεῖνον διέλαμπον τὸν καιρόν. ταῦτα μὲν ὁ Θεοδώριτ. (αὐτ.) ἐξ ὧν καὶ τὸν μοναδικὸν ἔοικε βίον ἐπαγγέλλεσθαι τὸν Δίδυμον. (χ) Ὁ Σωζόμ. αὐτ. (ψ) Οἷον, ὁ Ἱερώνυμ. ὁ Ῥουφῖν. ὁ Παλλάδιος, ὁ Ἀλεξανδρεὺς Ἀμβρόσ. ὁ Ἰσίδωρ. καὶ ἄλλοι οὐκ εὐαρίθμητοι. Ὅρα σελ. 352. τοῦ 8. τεύχ. τοῦ Φαβρίκ. (ω) Ὁ Σωζόμ. αὐτ. (2α) Ὁ Φαβρίκ. αὐτ. (2β) Ὁ Σωκρ. ἐν βιβλ. 4. κεφ. 25. (2γ) Ὅρα τὸν 1. κανόνα τῆς ἐν Τρούλ. Συνόδ. τοῦτο διαβιβαιοῦντα, καὶ τὴν 1. πρᾶξ. τῆς οἰκουμεν. ἑβδόμ. καὶ Νικηφ. τοῦ Καλλίστ. τὸ 27. κεφ. τοῦ 17. βιβλ. τὰ γὰρ τῆς πέμπτ. οἰκουμ. Συνόδ. πρακτ. ἐλλιπῆ ὄντα, τοῦτο οὐκ ἐμπεριέχει. (2δ) Ὅρα τὴν 734. σελ. τοῦ 4. Τόμ. τῶν πρακτ. τῶν Συνόδ. τῶν ὑπὸ Βιν. ἐκδοθεισ. (2ε) Ἐξεδόθη πρῶτον ἐν Κολων. κατὰ τὸ 1531. ἔτος, εἶτα καὶ ἐν Ἀμστελόδ. κατὰ τὸ 1614. ἡ δὲ παρ᾽ Ἱερωνύμ. ῥωμαϊκὴ μετάφρ. κεῖται ἐν Τόμ. 9. σελ. 355. τῶν αὐτοῦ συγγραμμ. (2ζ) Ῥωμαϊστὶ μόνον ἐξεδόθ. σὺν τῷ εἰρημ. περὶ τοῦ ἁγίου πνεύματ. βιβλ. Ἑλληνιστὶ δὲ καὶ ῥωμαϊστὶ ἐν Παρισ. κατὰ τὸ 1672. ἔτος ἐν τῷ 2. μέρ. τοῦ Αὐκτάρ. τοῦ ὑπὸ Κομβεφίσ. συνταχθ. (2η) Παρὰ Σωκρ. ἐν βιβλ. 4. κεφ. 23. ἔστι δὲ αὕτη· Τοὺς περὶ προνοίας καὶ κρίσεως κατὰ σαυτὸν ἀεὶ γύμναζε λόγους, καὶ τούτων τὰς ὕλας διὰ μνήμης φέρειν σπούδαζε· ἅπαντες γὰρ σχεδὸν ἐν τούτοις προσπταίουσι· καὶ τοὺς μὲν περὶ κρίσεως λόγους ἐν τῇ διαφορᾷ τῶν σωμάτων, καὶ κατὰ τὸν κόσμον εὑρήσεις· τοὺς δὲ περὶ προνοίας, ἐν τοῖς τρόποις τοῖς ἀπὸ κακίας καὶ ἀγνωσίας, ἐπὶ τὴν ἀρετὴν ἢ ἐπὶ τὴν γνῶσιν ἡμᾶς ἐπανάγουσι. (2θ) Μνεία παρὰ Δαμασκ. ἐν σελ. 789. τῶν Παραλ. (2ι) Παρὰ τῷ Αὐτ. αὐτ. (2κ) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν σελ. 685. (2λ) Παρὰ Ἱερωνύμ. ἐν τῷ τῶν ἐκκλησιαστ. συγγραφ. καταλ. (2μ) Μέμν. ὁ Κασσιόδωρ. ἐν τῷ 5. κεφ. περὶ θείων ἀναγν. παρὰ Κάβ. αὐτ. ἐκ τῶν εἰς αὐτὰς δὲ ὑπομν. ἀποσπασ. κεῖται ἐν τῇ ὑπὸ Θεοδώρ. τοῦ Πελτάν. εἰς τὰς Παροιμ. ῥωμαϊστὶ μόνον ἐκδοθ. σειρᾷ. (2ν) Ἐν τῇ ὑπὸ Μευρσ. ἐκδοθ. σειρᾷ. (2ξ) Μέμν. Νικηφ. ὁ Κάλλιστ. ἐν βιβλ. 9. κεφ. 17. τούτων δὲ πολλὰ ἐν τῇ ἐκδοθ. εἰς τοὺς ψαλ. σειρ. (2ο) Μνεία παρ᾽ Αὐτῷ τε αὐτ. καὶ παρὰ τῷ Δαμασκ. ἐν σελ. 307, 341, 677, 721, καὶ 781. τῶν Παραλ. (2π) Ἐν τῇ Γισλεριαν. σειρ. (2ρ) Παρὰ Νικηφ. αὐτ. καὶ Δαμασκ. αὐτ. ἐν σελ. 778. (2σ) Παρὰ Τιλλεμοντ. ἐν τεύχ. 10. τῶν ὑπομν. (2τ) Παρὰ Νικηφ. αὐτ. καὶ Δαμασκ. αὐτ. ἐν σελ. 676, καὶ 754. (2υ) Παρὰ Ἱερων. ἐν ἐπιστ. 89. τῇ πρὸς Αὐγουστῖν. (2φ) Παρὰ τῷ Αὐτ. ἐν τῇ πρὸς Παμμάχ. καὶ Μαρκέλ. κατὰ Ῥουφῖν. ἀπολογ. 1. τῇ ἐν Τόμ. 2. σελ. 138. (2χ) Παρὰ τῷ Δαμασκ. αὐτ. ἐν σελ. 721. (2ψ) Παρὰ Θεοδωρίτ. ἐν βιβλ. 4. κεφ. 29. τῆς Ἱστορ. (2ω) Παρὰ Νικηφ. αὐτ. (3α) Παρὰ Σωκρ. ἐν βιβλ. 4. κεφ. 25. (3β) Παρὰ Δαμασκ. αὐτ. ἐν σελ. 643. (3γ) Παρὰ Ἱερωνύμ. ἐν τῇ ἐσχάτ. πρὸς Ῥουφῖν. ἀπολογ. ἐν σελ. 164. τοῦ 2. Τόμ. μετεμψυχώσεως δὲ ὄζει ἡ τοιαύτη ἐπιγραφή. (3δ) Παρὰ τῷ Αὐτ. ἐν τῇ πρὸς Παμμάχ. ὑπὲρ τῶν κατὰ Ἰοβιν. βιβλ. ἀπολογ. ἐν Τόμ. 2. σελ. 76. (3ε) Παρὰ Δαμασκ. αὐτ. ἐν σελ. 780. (3ζ) Ὁ Σωκρ. τούτων μέμνηται (αὐτ.)

ΔΙΟΔΩΡΟΣ ὁ καὶ Θεόδωρος καλούμενος [α] περιφανὴς τὸ γένος [β], τοῦ μακαρίου μὲν Σιλουανοῦ τοῦ τῆς Ταρσοῦ ἐπισκοπήσαντος θρέμμα [γ], Ἰωάννου δὲ καθηγητὴς τοῦ Χρυσοστόμου. τῷ μοναδικῷ δὲ διαπρέπων ἐπαγγέλματι, ἀσκητηρίου προΐστατο [δ]. πρεσβύτερος δὲ Ἀντιοχείας ἔτι ὢν [ε], ὑπὲρ τῶν εὐσεβῶν ἀνδρείως ἠγωνίσατο. τοῦ γὰρ Μελετίου τῆς Ἀντιοχείας ἐξωσθέντος, οὗτος τὴν τοῦ ποιμαίνειν ἀνέλαβεν ἐπιστασίαν. ἐκ τῆς ὑπωρείας δὲ ἐξελαθεὶς, παρὰ τὰς ὄχθας τοῦ γείτονος ποταμοῦ συναγαγὼν τὰ τοῦ Χριστοῦ πρόβατα, τῇ τῶν ὀρθῶν δογμάτων διέτρεφε χλόῃ [ς]. μετὰ δὲ τὴν τοῦ Οὐάλεντος τελευτὴν ὑπ' αὐτοῦ τοῦ Μελετίου ἀπὸ τῆς ἐξορίας ἐπανελθόντος ἐν ἔτει 378 [η], Ταρσέων ποιμὴν κατέστη, καὶ τὸ Κιλίκων ἐνεχειρίσθη ἔθνος [θ]. ἐν ἔτει δὲ 381 [ι]. τῇ ἐν Κωνσταντινουπόλει οἰκουμενικῇ ἁγίᾳ Συνόδῳ συμπαραστὰς, πρῶτος αὐτὸς τὸν Νεκτάριον τοῦ Ναζιανζηνοῦ ὠνόμασε διάδοχον [κ]. περὶ δὲ τὸ 392 [λ]. ἔτος τὸ τοῦ βίου τέλος αὐτὸν κατέλαβε [μ].

Τὰ αὐτοῦ συγγράμματα.

Ἑρμηνεῖαι εἰς τὴν παλαιὰν πᾶσαν, Γένεσιν, Ἔξοδον, καὶ ἐφεξῆς· καὶ εἰς τοὺς Ψαλμούς· καὶ εἰς τὰς Βασιλείας. Εἰς τὰ ζητούμενα τῶν Παραλειπομένων. Εἰς τὰς Παροιμίας. Τίς ἡ διαφορὰ θεωρίας καὶ ἀλληγορίας. Εἰς τὸν Ἐκκλησιαστήν. Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων. Εἰς τοὺς Προφήτας [ν]. Χρονικὸν διορθούμενον τὸ σφάλμα Εὐσεβίου τοῦ Παμφίλου περὶ τῶν χρόνων. Εἰς τὰ δ' Εὐαγγέλια. Εἰς τὰς πράξεις τῶν Ἀποστόλων. Εἰς τὴν ἐπιστολὴν Ἰωάννου τοῦ Εὐαγγελιστοῦ. Περὶ τοῦ εἷς Θεὸς ἐν Τριάδι. Κατὰ Μελχισεδεκιτῶν. Κατὰ Ἰουδαίων. Περὶ νεκρῶν ἀναστάσεως. Περὶ ψυχῆς. Κατὰ διαφόρων περὶ αὐτῆς αἱρέσεων. Πρὸς Γρατιανὸν κεφάλαια. Κατὰ ἀστρονόμων καὶ ἀστρολόγων καὶ εἱμαρμένης [ξ]. Περὶ σφαίρας καὶ τῶν ζ' ζωνῶν, καὶ τῆς ἐναντίας τῶν ἀστέρων πορείας. Περὶ τῆς Ἱππάρχου σφαίρας. Περὶ προνοίας. Κατὰ Πλάτωνος. Περὶ Θεοῦ καὶ Θεῶν. Περὶ φύσεως καὶ ὕλης, ἐν ᾧ τί τὸ δίκαιόν ἐστι. Περὶ Θεοῦ καὶ ὕλης ἑλληνικῆς πεπλασμένης. Ὅτι αἱ ἀόρατοι φύσεις οὐκ ἐκ τῶν στοιχείων, ἀλλ' ἐκ μηδενὸς μετὰ τῶν στοιχείων ἐδημιουργήθησαν. Πρὸς Εὐφρόνιον Φιλόσοφον κατὰ πεῦσιν καὶ ἀπόκρισιν. Κατὰ Ἀριστοτέλους περὶ σώματος οὐρανίου. Πῶς θερμὸς ὁ ἥλιος. Κατὰ τῶν λεγόντων ζῶον τὸν οὐρανόν. Περὶ τοῦ πῶς, ἀεὶ μὲν ὁ δημιουργὸς, οὐκ ἀεὶ δὲ τὰ δημιουργήματα. Πῶς τὸ θέλειν καὶ τὸ μὴ θέλειν ἐπὶ Θεοῦ αἰδίου ὄντος. Κατὰ Πορφυρίου. Περὶ ζώων καὶ θυσιῶν [ο]. Κατὰ Μανιχαίων βιβλία εἴκοσι καὶ πέντε [π]. Περὶ τοῦ ἁγίου πνεύματος διάφορα ἐπιχειρήματα [ϛ]. Πρὸς τοὺς Συνουσιαστὰς, ἤτοι κατὰ Ἀπολιναριστῶν [σ]. Κατὰ Φωτεινοῦ, Μαλχίωνος, Σαβελλίου, καὶ Μαρκέλλου Ἀγκύρας [τ]. Δύω κατὰ αἱρετικῶν βιβλία [υ]. Καὶ ὁ Ἐβὲδ Ἰησοῦς δὲ μέμνηταί τινων τοῦ Διοδώρου ποιημάτων τῇ Σύρων φωνῇ μόνον σωζομένων [φ].

ὁ ΔΙΟΝΥΣΙΟΣ εἷς τῶν Ὠριγένους φοιτητῶν [χ], καὶ πρεσβύτερος τῆς Ἀλεξανδρέων Ἐκκλησίας [ψ], περὶ μὲν τὸ 232. ἀπὸ Χριστοῦ ἔτος [ω] τὴν τοῦ ἐκεῖ τῶν κατηχήσεων διδασκαλείου ἐπιστασίαν ἀναλαβὼν, ἐν ἔτει 247 [2α]. τὸν Ἡρακλᾶν τὸν βίον μεταλλάξαντα διαδέχεται, ἐπίσκοπος Ἀλεξανδρείας γενόμενος [2β]. τοῦ ἐπὶ Δεκίου δὲ διωγμοῦ ἐναρξαμένου, στρατιωτικαῖς συλληφθεὶς χερσὶν, εἰς Ταπόσιριν ἤχθη [2γ]. κατὰ δὲ τὸ 257. ἔτος, τοῦ Οὐαλερίου καθ' ὑπεροχὴν τοὺς εὐσεβεῖς διώκοντος, τῷ ἡγεμόνι Αἰμιλιανῷ παραστὰς, καὶ τὴν καλὴν ὁμολογίαν ὁμολογήσας ὁ τρισμακάριος, εἰς Κεφρὼ πόλιν τῆς Λιβύης ἐρημοτάτην ἐξόριστος διαπέμπεται [2δ]. μετὰ δὲ τριετίαν [2ε], τῷ Γαλιήνου προγράμματι, σωφρονέστερον περὶ τὴν ἀρχὴν διατεθειμένου, εἰς τὴν Ἀλεξάνδρειαν ἀνακληθεὶς, τούς τε ἀπὸ αἱρέσεων ἐπιστρέψαι, καὶ τὰ προκύψαντα προσεπιρράψαι σχίσματα, καὶ τὰ τότε κατευνάσαι σκάνδαλα παντὶ σθένει κατηγωνίσατο. καὶ γὰρ καὶ τοὺς ἀπὸ Νουάτου, ἢ Ναβάτου, τῆς Ἐκκλησίας ἀποχωρισθέντας δι' ἐπιστολῶν ἐπανακαλέσασθαι ἔσπευσε [2ϛ]. καὶ Στέφανον τὸν Ῥώμης, καὶ Κυπριανὸν τὸν Καρχηδόνος περὶ τοῦ, εἰ δέοι τοὺς ἐξ οἵας δ' οὖν αἱρέσεως ἐπιστρέφοντας διὰ λουτροῦ καθαίρειν, διαφερομένους· καὶ τὸν μὲν μὴ δεῖν τι νεώτερον παρὰ τὴν κρατήσασαν ἀρχῆθεν παράδοσιν ἐπικαινοτομεῖν οἰόμενον, τὸν δὲ οὐδ' ἄλλως ἢ διὰ λουτροῦ πρότερον τῆς πλάνης ἀποκαθηραμένους δεῖν προσίεσθαι ἡγούμενον, καταλλάξαι ἐσπούδαξε [2η]. καί τοι τῷ Κυπριανῷ συναινῶν διετέλει [2θ]. καὶ κατὰ Σαβελλίου δὲ τοῦ τὴν πονηρὰν τῶν θείων ὑποστάσεων συναλοιφὴν ὀνειρώξαντος ἐρρωμενεστάτως ἀντεπαρετάξατο [2ι]. καὶ τοὺς ἀπὸ Νέπωτος δὲ τοὺς καὶ Χιλιαστὰς καλουμένους ταῖς σοφαῖς ἐφελκύσας προσδιαλέξεσι, τὰ κακόδοξα ἀποθέσθαι ἀνέπεισε φρονήματα [2κ]. ἐν ἔτει δὲ 265 [2λ]. παρακληθεὶς, ὡς ἂν ἐπὶ τὴν κατὰ Ἀντιόχειαν ἀφίκοιτο σύνοδον, τὴν κατὰ Παύλου τοῦ Σαμοσάτων συγκροτουμένην, γῆρας ὁμοῦ καὶ ἀσθένειαν τοῦ σώματος αἰτιασάμενος, ἀνατίθεται μὲν τὴν παρουσίαν, δι' ἐπιστολῆς δὲ τὴν αὐτοῦ περὶ τοῦ ζητουμένου παρίστησι γνώμην [2μ]. κατ' αὐτὸ δὲ τὸ ἔτος, τὸ καὶ δωδέκατον τῆς τοῦ Γαλιήνου βασιλείας, πρὸς Κύριον μεθίσταται, ἔτεσιν ἑπτακαίδεκα τῆς Ἀλεξανδρέων προστὰς Ἐκκλησίας [2ν].

Τὰ αὐτοῦ Συγγράμματα.

Ἐπιστολαί. Πρὸς Γερμανόν [2ξ]. Πρὸς Φάβιον ἐπίσκοπον Ἀντιοχέων [2ο]. Πρὸς Νοουάτον [2π]. Πρὸς τοὺς κατ' Αἴγυπτον περὶ μετανοίας. Πρὸς Κόνωνα τῆς Ἑρμουπολιτῶν παροικίας ἐπίσκοπον ἰδία τις περὶ μετανοίας. Ἄλλη ἐπιστρεπτικὴ πρὸς τὸ κατ' Ἀλεξάνδρειαν αὐτοῦ ποίμνιον. Πρὸς

(αὐτ.) λέγων· Ἑρμηνεύσαι δὲ καὶ τὰ περὶ ἀρχῶν Ὠριγένους, ὑπομνήματά τε ἐκδοὺς εἰς αὐτὰ, δι' ὧν συνίστησιν ὡς εἴη ὀρθῶς τε γεγραμμένα, καὶ μάτην ἐριγελῶσιν οἱ κατηγορεῖν τὸν ἄνδρα, καὶ τὰ βιβλία διασύρειν σπουδάζοντες. μὴ γὰρ αὐτοὺς δύνασθαι, φησὶν, ἑλεῖν τὴν τοῦ ἀνδρὸς σύνεσιν.

(α) Ἑκατέρῳ τῷ ὀνόματι καλεῖ αὐτὸν ὁ Φώτ. τῷ μὲν, ἐν τῷ 102. κώδ. τῷ δὲ ἐν τῷ 223. εἰσὶ δέ τινες φησὶν ὁ Φαβρίκ. (ἐν τεύχ. 8. σελ. 358.) ἀντὶ τοῦ Διοδώρ. τούτου, τὸν Τύρου Διόδωρ. ἢ τὸν Μοψουεστίας. Θεόδωρ. ἐκλαμβάνοντες· οἷς ἀντιδιασταλτέον τὸν ἄνδρα. (β) Ὁ Θεοδώριτ. ἐν βιβλ. 4. κεφ. 25. τῆς Ἱστορ. (γ) Ὁ μέγ. Βασίλ., ἐν ἐπιστ. 244. τῆς ἀρχ. ἐκδόσ. καὶ ὁ Θεοδώριτ. ἐν βιβλ. 2. κεφ. 26. τῆς Ἱστορ. (δ) Ὁ Σωκρ. ἐν βιβλ. 6. κεφ. 3. Κατὰ τὴν Ἀντιόχειαν, ἢ ἐγγὺς αὐτῆς κειμένου, ὥς φησιν ὁ Τιλλεμόντ. (ἐν τεύχ. 8. σελ. 558. τῶν εἰς τὴν ἐκκλησιαστ. Ἱστορ. ὑπομν.) Ἀντιοχέα γὰρ ἡγεῖται τὸν ἄνδρα. (ε) Ὁ μέγ. Βασίλ. ἐν ἐπιστ. 135. (ζ) Ὁ Θεοδώριτ. αὐτ. (η) Ὅ, τε Κάβ. ἐν σελ. 266. τοῦ 1. Τόμ. καὶ ὁ Φαβρίκ. αὐτ. (θ) Ὁ Θεοδώριτ. ἐν βιβλ. 5. κεφ. 4. τῆς Ἱστορ. (ι) Ὁ Κάβ. καὶ ὁ Φαβρίκ. αὐτ. (κ) Ὁ Σωζόμ. ἐν βιβλ. 7. κεφ. 8. (λ) Ὁ Τιλλεμόντ. αὐτ. ἐν σελ. 562. (μ) Ἔστι δὲ τὴν φράσιν, φησὶν ὁ Φώτ. (ἐν τῷ 223. κώδ.) καθαρός τε καὶ εὐκρινὴς ὁ ἀνὴρ, καὶ τῇ τῶν ἐπιχειρημάτων διαπλάσει, οἷον κατὰ μέρος ἐν τῇ τῶν λόγων αὐτοῦ ὑποδείξαμεν ἐκλογῇ. ἐν δὲ τῷ 102. κώδ. ἐμπεριέχετο δὲ τῇ Δέλτῳ καὶ Διοδώρου Ταρσοῦ περὶ τοῦ ἁγίου πνεύματος διάφορα ἐπιχειρήματα, ἐν οἷς καὶ τὴν Νεστορίου νόσον αὐτὸς ἐπιδείκνυται προηδρευτηκώς. ἐν δὲ τῷ 18. κώδ. ἀνεγνώσθη πρακτικὰ τῆς ε Συνόδου . . . . Τὰ περὶ Διοδώρου Ταρσοῦ καὶ Θεοδώρου Μοψουεστίας. καὶ αὐτοὶ ὁμοίως ἀνεθεματίσθησαν. τοῦτο δὲ τὰ πρακτικ. ἐξέλιπεν. ἀλλ' γὰρ ἐκδέδοται. ὁ δὲ Θεοδώριτ. (ἐν βιβλ. 2. κεφ. 24. τῆς Ἱστορ.) Φλαβιανὸς δέ φησι καὶ Διόδωρος . . . οὗτοι πρῶτοι διχῇ διελόντες τοὺς τῶν ψαλλόντων χορούς, ἐκ διαδοχῆς ᾄδειν τὴν Δαβιτικὴν ἐδίδαξαν μελῳδίαν, καὶ τοῦτο ἐν Ἀντιοχείᾳ πρῶτον ἀρξάμενον, πάντοσε διέδραμε, καὶ κατέλαβε τῆς οἰκουμένης τὰ τέρματα. (ν) Πολλὰ, φησὶν ὁ Σωκρ. (ἐν βιβλ. 6. κεφ. 3.) συνέγραψε βιβλία ψιλῷ τῷ γράμματι τῶν θείων προσέχων Γραφῶν. ὃ δὴ καὶ αὐτὸς ὁ Διόδωρος ἐπιβεβαιοῖ ἐν σελ. 524. τοῦ δὲ τῆς βίβλου, λέγων· τοῦ ἀλληγορικοῦ τὸ ἱστορικὸν πλεῖστον ὅσον προτιμῶμεν. (ξ) Τὸ κατ' εἱμαρμ. ἀνέκρινεν ὁ Φώτ. ἐν κώδ. 223. (ο) Τούτων ἁπάντων μνεία παρὰ Σουΐδ. εἰς τὸ Διόδωρ. (π) Παρὰ Φωτ. ἐν κώδ. 85. (ρ) Παρὰ τῷ Αὐτ. ἐν κώδ. 102. (σ) Τὰ αὐτὰ καὶ Θεοδώρ. Μοψουεστ. καὶ Θεοδότ. Ἀντιοχ. καὶ Κυρίλ. Ἀλεξαν. ἐπιγέγραπται. ὅρα Φαβρίκ. αὐτ. ἐν σελ. 361. (τ) Παρὰ Θεοδωρίτ. ἐν βιβλ. 2. κεφ. ἰχ. περὶ αἱρετ. μύθ. (υ) Ὑπὸ Βασιλ. τοῦ μεγ. ἐν τῇ ἀρχ. 135. ἐπιστ. ἀνακέκριται. (φ) Ὅρα τὴν 267. σελ. τοῦ 1. Τόμ. τοῦ Κάβ. (χ) Ὁ Εὐσέβ. ἐν βιβλ. 6. κεφ. 29. τῆς Ἱστορ. (ψ) Ὁ Ἱερώνυμ. ἐν τῷ τῶν ἐκκλησιαστ. συγγραφ. καταλ. (ω) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 124. (2α) Ὅ, τε Εὐσέβ. καὶ ὁ Κάβ. αὐτ. (2β) Ὁ Εὐσέβ. αὐτ. ἐν κεφ. 35. (2γ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 40. ἔστι δὲ ἡ Ταπόσιρις πολίχνιον μικρὸν τῆς Αἰγύπτου μεταξὺ Ἀλεξαν. καὶ Κανώπου. ὁ Βαυδράντ. ἐν τῷ Λεξ. (2δ) Ὁ Εὐσέβ. ἐν βιβλ. 7. κεφ. 11. (2ε) Ὁ Κάβ. αὐτ. (2ζ) Ὁ Εὐσέβ. ἐν βιβλ. 6. κεφ. 46. καὶ βιβλ. 7. κεφ. 4, καὶ 5. (2η) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 2, 3, καὶ 4. (2θ) Ὁ Ἱερώνυμ. ἐν τῷ καταλ. (2ι) Ὁ Εὐσέβ. αὐτ. ἐν κεφ. 24. (2κ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 6. (2λ) Ὁ Κάβ. αὐτ. (2μ) Ὁ Εὐσέβ. αὐτ. ἐν κεφ. 27. (2ν) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 28. (2ξ) Μνεία παρὰ Εὐσεβ. ἐν βιβλ. 6. κεφ. 40. (2ο) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 41. (2π) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 45.

Πρὸς τὸν Ὠριγένην περὶ μαρτυρίου. Πρὸς τοὺς κατὰ Λαοδίκειαν ἀδελφοὺς, ὧν προΐςατο Θηλυμίδρης ἐπίσκοπος. Τοῖς κατὰ Ἀρμενίαν ὡσαύτως περὶ μετανοίας, ὧν ἐπεσκόπευε Μερουζάνης. Πρὸς Κορνήλιον τὸν κατὰ Ῥώμην. Διακονικὴ τοῖς ἐν Ῥώμῃ διὰ Ἱππολύτου. Ἄλλη τοῖς αὐτοῖς περὶ Εἰρήνης. Καὶ περὶ μετανοίας. Καὶ ἄλλη τοῖς ἐκεῖσε ὁμολογηταῖς ἐν τῇ τοῦ Νοβάτου συμφερομένοις γνώμῃ. Τοῖς αὐτοῖς τούτοις δύω ἕτεραι μεταθεμένοις ἐπὶ τὴν Ἐκκλησίαν [α]. Πρὸς Ἑρμάμμωνα [β]. Πρὸς Στέφανον τὸν Ῥώμης [γ]. Πρὸς τὸν Ῥωμαίων ἐπίσκοπον Ξύςον [δ]. Πρὸς Φιλήμονα τὸν κατὰ Ῥώμην πρεσβύτερον. Πρὸς τὸν κατὰ Ῥώμην Διονύσιον ἔτι πρεσβύτερον ὄντα [ε]. Ἄλλη πρὸς τὸν κατὰ Ῥώμην Διονύσιον ἡ περὶ Λουκιανοῦ [ζ]. Πρὸς Φλαύιον. Πρὸς Δομέτιον καὶ Δίδυμον. Ἄλλη τοῖς κατ' Ἀλεξάνδρειαν συμπρεσβυτέροις [η]. Πρὸς Ἱέρακα τὸν Αἰγύπτου ἐπίσκοπον ἑορταςική [θ]. Περὶ τῶν συμβάντων ἐκ τῆς λοιμικῆς νόσου τοῖς κατ' Αἴγυπτον ἀδελφοῖς [ι]. Κατὰ Σαβελλίου πρὸς Ἄμμωνα τῆς κατὰ Βερνίκην Ἐκκλησίας ἐπίσκοπον. Πρὸς Τελεσφόρον. Πρὸς Εὐφράνορα. Πρὸς Ἄμμωνα καὶ Εὔπορον. Τέσσαρες πρὸς τὸν Ῥώμης ὁμώνυμον Διονύσιον. Λόγοι ἐν εἴδει ἐπιςολῆς Τιμοθέῳ τῷ παιδὶ προσπεφωνημένοι. Λόγος περὶ πειρασμῶν, ὃν τῷ Εὐφράνορι ἀνατέθεικε. Πρὸς Βασιλείδην τὸν κατὰ Πεντάπολιν παροικιῶν ἐπίσκοπον [κ]. Ἐπιςολὴ πρὸς τοὺς ἐν Ἀντιοχείᾳ συνελθόντας ἐπισκόπους κατὰ Παύλου Σαμωσάτων [λ].

ΕΙΡΗΝΑΙΟΣ [μ] ὁ θεσπέσιος μετὰ τὴν τοῦ Δομετιανοῦ τελευτὴν γεννηθεὶς [ν], ἐν τῇ πρώτῃ ὢν ἔτι ἡλικίᾳ, τὸν Σμύρνης Πολύκαρπον τὸν καὶ Ἰωάννῃ τῷ Εὐαγγελιςῇ καὶ τοῖς λοιποῖς τῶν ἑωρακότων τὸν Κύριον συναναςραφέντα, καὶ ἐν ἔτει 147 [ξ]. τῷ διὰ πυρὸς μαρτυρίῳ τελειωθέντα, οὐ μόνον ἑώρακεν, ὡς αὐτός φησιν [ο]· ἀλλὰ καὶ τοῦ τόπου, ἐν ᾧ καθεζόμενος διελέγετο, καὶ τῶν προόδων καὶ εἰσόδων, καὶ τοῦ χαρακτῆρος τοῦ βίου, καὶ τῆς τοῦ σώματος ἰδέας, καὶ τῶν διαλέξεων, ἃς πρὸς τὸ πλῆθος ἐποιεῖτο, ἐμνημόνευεν ἀκριβέςατα [π]. καὶ Παπίου δὲ τοῦ τῆς φωνῆς τοῦ ἐπιςηθίου μαθητοῦ ἀκούσαντος ἀκροατὴς ἐγένετο [ρ]. Ἐπὶ Ποθεινοῦ δὲ [σ] πρεσβύτερος τῆς ἐν Λουγδούνῳ παροικίας προχειρισθεὶς, πρὸς Ἐλεύθερον τὸν Ῥώμης ἐπίσκοπον παρὰ τῶν ἐν Γαλλίᾳ ςέλλεται, ἐπιςολὰς τῶν ἐν Λουγδούνῳ τελειωθέντων κομίσων μαρτύρων [τ]. πότε δὲ, καὶ πῶς, καὶ ἐπὶ τίνι προφάσει, καὶ ἐν ποίᾳ ὢν ἐκκλησιαςικῇ τάξει, καὶ ὑπὸ τίνος ἀπὸ τῆς Ἀσίας ἐν Λουγδούνῳ ἐπέμφθη, πάντα ἄδηλα [υ]. περὶ μὲν οὖν τὸ 178. ἔτος [φ], τοῦ Ποθεινοῦ σὺν τοῖς ἐπὶ Γαλλίας ἀθληταῖς τὸ μαρτυρικὸν διανύσαντος ςάδιον, τῆς κατὰ Λούγδουνον παροικίας τὴν ἐπισκοπὴν διαδέχεται [χ]· ἐν ἔτει δὲ 202, ἢ 203 [ψ]. ἐν τοῖς ὑπὸ Σευήρου διωγμοῖς τῷ διὰ Χριςὸν μαρτυρίῳ τὸν βίον ἐξετέλεσε [ω].

Τῶν αὐτοῦ συγγραμμάτων ἔκδοσις τῶν ἄλλων πληρεςέρα ἡ Ἐνετίῃσι κατὰ τὸ 1734. ἔτος γενομένη. δῆλον δὲ, ὅτι τῷ καθ' Ἑλλήνας λόγῳ πάντα τὰ αὐτ. συγγράμ. συνετάξατο ὁ ἅγιος· ἀλλὰ τῶν ἑλληνικῶν μικροῦ δεῖ πάντων ἐκλελοιπότων, τὰ πλεῖςα ῥωμαϊςὶ μόνον σώζεται, καὶ αὐτοῦ τοῦ μεταφράσαντος ἀδήλου ὄντος.

Τῶν συγγραμμάτων αὐτοῦ
Τὰ ὁλοσχερῶς ἐκλελοιπότα.

Ἐπιςολὴ πρὸς Βλάςον περὶ σχίσματος [2α]. Ἐπιςολὴ πρὸς Φλωρῖνον περὶ μοναρχίας, ἢ περὶ τοῦ μὴ εἶναι τὸν Θεὸν ποιητὴν κακῶν [2β]. Τὸ περὶ ὀγδοάδος πρὸς Φλωρῖνον σπούδασμα [2γ]. Λόγος πρὸς Ἕλληνας συντομώτατος, καὶ τὰ μάλις' ἀναγκαιότατος περὶ ἐπιςήμης [2δ]. Λόγος εἰς ἀπόδειξιν τοῦ ἀποςολικοῦ κηρύγματος [2ε]. Βιβλίον διαλέξεων διαφόρων, ἐν ᾧ τῆς πρὸς Ἑβραίους ἐπιςολῆς, καὶ τῆς λεγομένης σοφίας Σολομῶντος μνημονεύει, ῥητά τινα ἐξ αὐτῶν παραθέμενος [2ζ]. Ἐπιςολὴ παραινετικὴ πρὸς Βίκτωρα τὸν Ῥώμης ἐπίσκοπον περὶ τοῦ Πάσχα [2η]. Λόγοι περὶ πίςεως πρὸς Δημήτριον διάκονον Βιέννας [2θ]. Σπούδασμα ἀντιλέγον Μαρκίωνι [2ι]. Περὶ τοῦ παντός [2κ]. Ἐπιςολὴ ἡ ἀπὸ τῶν ἐν Γαλλίᾳ Ἐκκλησιῶν, Λουγδούνου καὶ Βιέννας, πρὸς τοὺς κατὰ τὴν Ἀσίαν καὶ Φρυγίαν πεμφθεῖσα [2λ].

ΕΠΙΦΑΝΙΟΣ ὁ θεῖος πατρίδα μὲν ἔσχε Βησανδούκην κώμην νομοῦ Ἐλευθερουπόλεως τῶν ἐν Παλαιςίνῃ· ἐκ νέου δὲ φέρων ἑαυτὸν τῷ ἀμφὶ Βηθελέαν κώμην τοῦ νομοῦ Γάζης φροντιςηρίῳ παραδίδωσιν, ὑπὸ Ἱλαρίωνος τοῦ ἐκεῖ καθηγουμένου τῆς μοναδικῆς φιλοσοφίας ἄριςα ἐκπαιδευόμενος τὰ μαθήματα. εἶτα καὶ τοῖς ἐν Αἰγύπτῳ ἀσκητηρίοις ἱκανὸν διατρίψας χρόνον, ἐπισημότατος παρά τε Αἰγυπτίοις καὶ Παλαιςινοῖς ἐν τῇ μοναδικῇ καθίςαται πολιτείᾳ [2μ]. περὶ δὲ τὸ 367 [2ν]. ἔτος τῆς μητροπόλεως Κωνςαντείας ἐπισκοπεῖν ᾑρέθη ὑπὸ Κυπρίων [2ξ]. ἁπλοϊκὸς δὲ ὢν τὸν τρόπον, ὑπὸ τῶν Θεοφίλου Ἀλεξανδρείας γραμμάτων ὑπήχθη, ἀπαγορεῦσαι μὲν σὺν τῇ περὶ αὐτὸν Συνόδῳ τὴν τῶν Ὠριγένους βιβλίων ἀνάγνωσιν, πέμψαι δὲ καὶ γράμματα πρὸς τὸν θεῖον Χρυσόςομον, τὰ παραπλήσια αὐτὸν διαπράξασθαι παραινοῦντα [2ο]. μετ' οὐ πολὺ δὲ πάλιν ταῖς τοῦ Θεοφίλου ὑποθήκαις ἀναπεισθεὶς εἰς τὴν Κωνςαντίνου παραγίνεται, καὶ σύναξιν ἔξω τῆς πόλεως ἐπιτελεῖ, καὶ χειροτονεῖ διάκονον· εἶτα εἰς τὴν πόλιν εἰσέρχεται, καὶ ἐν ἰδιαζούσῃ καταλύει μονῇ, καὶ τὴν τοῦ Χρυσοῤῥήμονος ὁμιλίαν φεύγει [2π]. καίπερ ἐφ' οἷς παρὰ κανόνα ἔπραξεν ἐκ ἀγανακτοῦντος, ἀλλ' ἐν τοῖς ἐπισκοπικοῖς παρακαλοῦντος μένειν οἴκοις· ἔλεγε γὰρ, οὐδὲ συμμένειν αὐτῷ ἐθέλειν, οὐδὲ συνεύξασθαί ποτε, ἐὰν μὴ τοὺς περὶ Διόσκορον ἐξελάσῃ τῆς πόλεως, καὶ τοῖς καθαιρετικοῖς καθυπογράψῃ τῶν Ὠριγένους βίβλων· παρασκευάζεται δὲ καὶ ἐν τῇ Ἐκκλησίᾳ τῇ ἐπωνύμῳ τῶν Ἀποςόλων καὶ τοὺς περὶ Διόσκορον ἀποκηρύξαι, καὶ τὸν Ἰωάννην διασύραι. ἀλλ' ἀπείργεται τῇ ὑπὸ τοῦ θείου Ἰωάννου παραινέσει. λέγουσι δὲ, ὅτι ἀπαίρειν μέλλων ἐπὶ τὴν Κύπρον τῷ Ἰωάννῃ ταῦτα ἐδήλωσεν· ἐλπίζω σὲ μὴ ἀποθανεῖν ἐπίσκοπον· ὁ δὲ ἀντεδήλωσεν, ἐλπίζω σὲ μὴ ἐπιβιῶναι τῆς σαυτοῦ πατρίδος. ἀμφότεροι δὲ ταύτην ἔσχον τὴν ἔκβασιν. ὁ μὲν γὰρ Ἰωάννης μικρὸν ὕςερον τοῦ θρόνου κατηνέχθη· ὁ δὲ Ἐπιφάνιος τῆς Κύπρου

(α) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 46. (β) Παρὰ τῷ Αὐτ. ἐν βιβλ. 7. κεφ. 1. (γ) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 4. (δ) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 5, 6, καὶ 9. (ε) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 7. (ζ) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 9. (η) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 20. (θ) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 21. (ι) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 22. (κ) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 26. Κανόνες δ' εἰσὶν ἐκδιδόμενοι ἐν τῷ 2. τῶν Πανδέκ. Τόμ. (λ) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 27. (μ) Τὸν αὐτὸν ἐν τισι μὲν ὑπομνήμ. Εἰρηναῖον μόνον, ἐν ἐνίοις δὲ Εἰρηναῖον Λουγδούνου, καὶ ἐν ἄλλοις Εἰρήναρχον γράφ. ὁ τοῦ Ἡγεμ. κώδ. (ν) Σχεδὸν, αὐτὸς ὁ Εἰρηναῖός φησιν (ἐν βιβλ. 5. κεφ. 30.) ἐπὶ τῆς ἡμετέρας γενεᾶς πρὸς τῷ τέλει τῆς Δομετιανοῦ ἀρχῆς. ἐκ τούτου ὁ μὲν Δωδβίλ, ἐν ἔτει ἀπὸ Χριςοῦ 97. αὐτὸν γεννηθῆναί φησιν· ὃν γενναίως ἐξελέγχει ὁ Κάβ. (ἐν Τόμ. 1. σελ. 66.) ὁ δὲ Ῥενάτ. (ἐν τῷ 2. Τόμ. τῶν τοῦ Εἰρην. συγγραμ. τῶν Ἐνετ. ἐκδοθέντ. σελ. 65.) ἐν ἔτει 140. ὃ δὴ καὶ πιθανώτερ. (ξ) Ὁ Φαβρίκ. ἐν τῷ 1. μέρ. τοῦ 5. βιβλ. σελ. 66. (ο) Ἐν βιβλ. 3. κεφ. 3. (π) Ὁ Εὐσέβ. ἐν βιβλ. 5. κεφ. 20. τῆς Ἱςορ. (ρ) Ὁ Ἱερώνυμ. ἐν τῇ πρὸς Θεοδώραν 29. ἐπις. τῇ ἐν Τόμ. 1. σελ. 127. ἀλλὰ καὶ ὁ Βασίλ. ἐν τῷ περὶ τοῦ ἁγίου πνεύμ. 29. κεφ. περὶ αὐτοῦ φησίν· ὁ ἐγγὺς τῶν Ἀποςόλων γενόμενος. (σ) Πρεσβύτερον Ποθεινοῦ καλεῖ αὐτὸν ὁ Ἱερώνυμ. ἐν τῷ τῶν ἐκκλησιαςς. συγγραφ. καταλ. (τ) Ὁ Εὐσέβ. αὐτ. ἐν κεφ. 3, καὶ 4. (υ) Παρὰ Πολυκάρπου ἐν ἔτει 157. ἐκεῖ αὐτὸν πεμφθῆναί φασιν, ὅ,τε Γρηγόρ. ὁ Τουρῶνος. καὶ ὁ Ἀλοΐζ. (παρὰ Ῥενάτ. αὐτ. ἐν σελ. 606.) ἀλλ' ἐξ ἀπασίας καὶ ἐκ ἐκείνου μαρτυρίας. (φ) Ὁ Φαβρίκ. αὐτ. (χ) Ὁ Εὐσέβ. ἐν βιβλ. 5. κεφ. 5. τῆς Ἱςορ. (ψ) Ὁ Ῥενάτ. αὐτ. ἐν σελ. 708. καὶ ὁ Κάβ. αὐτ. (ω) Μάρτυρα καλεῖ αὐτὸν καὶ ὁ Ἱερώνυμ. ἐν τῷ ὑπομνήμ. τῷ εἰς τὸ 64. κεφ. τοῦ Ἡσ. ἐν Τόμ. 5. σελ. 202. (2α) Μνήμη παρ' Εὐσεβ. ἐν βιβλ. 5. κεφ. 20. τῆς Ἱςορ. (2β) Παρὰ τῷ Αὐτ. αὐτ. ταύτης δὲ τῆς ἐπις. ἀπόσπασμα κεῖται ἐν σελ. 339. τοῦ 1. Τόμ. τῆς σημ. ἐκδόσ. μετὰ καὶ ἄλλων ἀποσπασμάτ. (2γ) Παρὰ τῷ Αὐτ. αὐτ. (2δ) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 26. (2ε) Παρὰ τῷ Αὐτ. αὐτ. (2ζ) Παρὰ τῷ Αὐτ. αὐτ. (2η) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν κεφ. 24. (2θ) Παρὰ Μαξίμ. ἐν σελ. 152. τοῦ 2. Τόμ. (2ι) Παρ' Εὐσεβ. αὐτ. ἐν κεφ. 8. (2κ) Παρὰ Φωτ. ἐν κώδ. 48, καὶ 121. ἀλλ' ἔςιν ἀμφίβολ. (2λ) Παρ' Εὐσεβ. αὐτ. ἐν κεφ. 1, 2, καὶ 3. ἀλλ' οὐ δῆλον, ὅτι τοῦ Εἰρηναίου σύγγραμμα ἐςί. πολλὰ δὲ τοῦ θεσπεσίου Εἰρηναίου, φησὶν ὁ Φώτ. (ἐν κώδ. 120.) καὶ παντοδαπὰ καὶ ἕτερα συγγράμματα καὶ ἐπιςολαὶ φέρονται. εἰ καὶ ἔν τισιν αὐτῶν ἡ τῆς κατὰ τὰ ἐκκλησιαςικὰ δόγματα ἀληθείας ἀκρίβεια νόθοις λογισμοῖς κιβδηλεύεται. ἃ χρὴ παρασημαίνεσθαι. (2μ) Ὁ Σωζόμ. ἐν βιβλ. 6. κεφ. 32. (2ν) Ὁ Φαβρίκ. ἐν τεύχ. 7. σελ. 413. ὁ δὲ Κάβ. (ἐν Τόμ. 1. σελ. 232.) περὶ τὸ 368. ἔτος φησίν. (2ξ) Ὁ Σωζόμ. αὐτ. (2ο) Ὁ Σωκρ. ἐν βιβλ. 6. κεφ. 10. (2π) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 12.

Κύπρου οὐκ ἐπέβη, ἀλλ' ἐν τῷ πλείῳ ἀπιὼν ἐτελεύτησεν [α]. ἦν δὲ τότε ἔτος ἀπὸ μὲν Χριστοῦ τὸ 402, τῆς δ' ἡλικίας αὐτοῦ περίπου τὸ 100. [β]

Τῶν συγγραμμάτων αὐτοῦ ἐκδόσεις αἱ τῶν ἄλλων κρείττονες, ἥ τε ἐν Παρισ. κατὰ τὸ 1622, ἐν δυσὶ τεύχεσι, καὶ ἡ μετ' αὐτὴν κατὰ τὸ 1682. ἔτος ἐν Λειψ. γενομένη, τὸ τῆς Κολον. δὲ, οὐκ οἶδ' ὅτου, ἐπιφέρουσα ὄνομα *.

Τῶν Συγγραμμάτων αὐτοῦ

Τὰ Ἀμφίβολα.

Περὶ τῶν Προφητῶν. Φυσιολόγος. Λόγοι η' εἰς τὰ Βαΐα. Εἰς τὴν θεόσωμον ταφήν. Εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ ἀνάστασιν. Εἰς τὴν ἀνάληψιν. Ἐγκώμιον εἰς τὴν ἁγίαν Θεοτόκον. Περὶ Βαΐων. Περὶ πίστεως, καὶ τῆς ἁγίας Τριάδος. Περὶ τῆς ἁγίας τοῦ Χριστοῦ ἀναστάσεως.

Τὰ Ἀνέκδοτα.

Εἰς τὸν Προφήτην Ναοὺμ [γ]. Περὶ διαιρέσεως ψαλμῶν [δ]. Περὶ τῶν ἁγίων Ἀποστόλων, ποῦ ἕκαστος ἐκήρυξε [ε]. Περὶ θείας γεννήσεως [ς].

Τὰ ἐκλελοιπότα.

Ἐπιστολαί [η]. Εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων [θ]. Λόγος εἰς τὸ πνεῦμα τὸ ἅγιον [ι].

Ψευδεπίγραφον ἐκλελοιπός.

Κατὰ τῶν εἰκόνων σύγγραμμα [κ].

ΕΥΣΕΒΙΟΣ ὁ Ἐμέσης [λ] πατρίδα μὲν ἔσχε τὴν ἐν Μεσοποταμίᾳ Ἔδεσσαν, γεννήτορας δὲ εὐπατρίδας, καθηγητὰς δὲ, τῆς μὲν θύραθεν τοὺς τηνικαῦτα ἐν Ἐδέσσῃ παιδεύοντας, τῆς δὲ ἱερᾶς παιδείας τόν τε Καισαρείας Εὐσέβιον τὸν Παμφίλου, καὶ τὸν Σκυθοπόλεως Πατρόφιλον. τὴν Ἀλεξάνδρειαν δὲ καταλαβὼν, καὶ τὰ φιλόσοφα ἐκπαιδευθεὶς μαθήματα, εἰς Ἀντιόχειαν ἔπειτα παρεγένετο [μ]. τοῦ μεγάλου δὲ Ἀθανασίου ἐν ἔτει 342. [ν] ὑπὸ τῆς ἐν Ἀντιοχείᾳ Συνόδου ἐξωσθέντος, αὐτὸς εἰς τὴν Ἀλεξανδρείας ἐπισκοπὴν παρ' Εὐσεβίου τοῦ Κωνσταντινουπόλεως προβληθεὶς, ἐκεῖ μὲν οὐκ ἀφίκετο, διὰ τὸ σφόδρα ὑπὸ τοῦ τῶν Ἀλεξανδρέων λαοῦ ἀγαπᾶσθαι τὸν Ἀθανάσιον, εἰς δὲ τὴν Ἐμέσης Ἐκκλησίαν ἐπέμφθη [ξ]. στασιασάντων δὲ τῶν ἐκεῖ, (διεβάλλετο γὰρ ὁ Εὐσέβιος ἀσκεῖσθαι ὃ μέρος τῆς Ἀστρονομίας ἀποτελεσματικὸν καλοῦσιν) ἄπεισιν εἰς Λαοδίκειαν πρὸς Γεώργιον τὸν ταύτης ἐπίσκοπον, καὶ αὐτῷ συνῆν. ὁ δὲ σὺν αὐτῷ ἐλθὼν εἰς Ἀντιόχειαν πρὸς Πλάκητον καὶ Νάρκισσον τοὺς ἐπισκόπους, εἰς Ἔμεσαν αὐτὸν ἐπανελθεῖν παρεσκεύασεν. ἐγένετο δὲ καὶ Κωνσταντίῳ τῷ Βασιλεῖ οὕτω κεχαρισμένος, ὥστε ἐπιστρατεύοντι Πέρσαις αὐτὸν ἐπήγετο. καὶ γὰρ καὶ θαυμάτων αὐτουργὸν αὐτὸ[ν] γεγονέναι λέγεται. ἀλλὰ γὰρ καίπερ τοιοῦτος, μέμψ[ιν] ὑπέμεινεν, ὡς τὰ Σαβελλίου φρονῶν [ο], καὶ τῆς ἀρειανικῆ[ς] φάλαγγος σημειοφόρος [π]. Περὶ δὲ τὸ 360. ἔτος [ρ] τὸ τ[οῦ] βίου τέλος αὐτὸν κατέλαβε.

Τῶν Συγγραμμάτων αὐτοῦ

Τὰ Ἐκδοθέντα.

Ὁμιλίαι ν' πρὸς τὸν λαὸν καὶ τοὺς μοναχοὺς [σ]. Ὁμι[λίαι] ρμέ εἰς τὰ Εὐαγγέλια, καὶ εἰς τὰς ἑορτασίμους ἡμέ[ρας] [τ]. Πρόσθες καὶ τὰ ἐν τῇδε τῇ βίβλῳ ὑπομνήματα, ἃ δὴ πάντα τοῦ Ἐμέσης ἐοίκασι, κἂν οὐ πᾶσι τὸ, Ἐμέσης προσκέηται. καὶ γὰρ τὸ τοῦ Εὐσεβίου Ἐμέσης ὄνομα κεῖτα[ι] κἂν τῇ εἰς τὴν Γένεσιν ἀνεκδότῳ σειρᾷ τῇ παρὰ Φαβρ[ι]κίου μνημονευομένῃ [υ].

Τὰ Ἀνέκδοτα:

Κατὰ συλλογισμὸν πρὸς τοὺς Ἰουδαίους [φ]. Τρεῖς ὁμι[λ]ίαι [χ]. 1. Περὶ Ἰωάννου τοῦ Βαπτιστοῦ τὴν Χριστοῦ ἔλευσ[ιν] τοῖς ἐν ᾅδου κηρύττοντος [ψ]. 2. Περὶ τῆς προδοσίας τοῦ Ἰ[ού]δα [ω]. 3. Περὶ τοῦ Διαβόλου καὶ τοῦ ᾅδου μετὰ τὸ προδο[θῆναι] θλιβῆναι τὸν Χριστὸν ὑπὸ τοῦ Ἰούδα [2α]. Κατὰ Μανιχαίων [2β].

ΕΥΣΤΑΘΙΟΣ ὁ ὁμολογητὴς Σίδην τὴν ἐν Παμφυ[λ]ίᾳ ἔσχε πατρίδα [2γ]. Βεῤῥοίας δὲ τῆς ἐν Συρίᾳ ἐπισκοπή[σ]ας πρότερον, εἰς τὸν τῆς Θεουπόλεως Ἀντιοχείας θρόνο[ν] ὑπὸ τῆς ἁγίας πρώτης οἰκουμενικῆς Συνόδου προσβιβάσθ[η] ὕστερον [2δ]. ἣ συμπαρὼν τόν τε πανηγυρικὸν τῷ ἀοιδίμ[ῳ] βασιλεῖ Κωνσταντίνῳ προσαπεφώνηκε λόγον [2ε], καὶ τοῖς Ἀρεί[ου] προμάχοις λόγῳ τε καὶ ζήλῳ ἀντέστη. ἔνθεν τοι ὅ, τε Νικο[μ]ηδείας Εὐσέβιος καὶ ὁ Νικαίας Θεόγνις, καὶ ἡ περὶ αὐτοὺ[ς] τῶν δυσσεβῶν φάλαγξ κατ' αὐτοῦ λυττήσαντες, τὸ ἐν Ἀν[τ]ιοχείᾳ συγκροτοῦσι συνέδριον. ἐν ᾧ τρεῖς δεινὰς αὐτο[ῦ] συκοφαντίας συῤῥάψαντες, Σαβελλίου δῆθεν προστάτη[ν] γενέσθαι [2ς], καὶ ἐπὶ πορνείᾳ ἁλῶναι [2η], καὶ τὴν θεόστεπτο[ν] περιφρονῆσαι βασιλίδα, τὴν μακαρίαν νοεῖ Ἑλένην, τὴ[ν] ἐν τῇ ἕω τὰς διατριβὰς τότε ποιουμένην [2θ], καθαιρέσε[ι] καθυποβάλλουσι. τούτοις δ' ἀναπεισθεὶς ὁ βασιλεὺς, περ[ὶ] τὸ 329, ἢ 330. [2ι] ἔτος διὰ τῆς Θρᾴκης εἰς Τραϊανούπολιν [2κ] ἐξόριστον πέμπει. ὅπου δὴ περὶ τὸ 360. ἔτος [2λ] τὸ φθαρ[τὸν] τὸν ἀναπέθετο σκῆνος ὁ τρισμακάριος. *

Τῶν Συγγράμματων αὐτοῦ

Τὰ Ἐκδεδομένα.

Λόγος σύντομος πρὸς τὸν αὐτοκράτορα Κωνσταντῖνο[ν] ἐν τῇ κατὰ Νίκαιαν Συνόδῳ ῥηθεὶς [2μ]. Ὑπόμνημα εἰ[ς] τὴν Ἑξαήμερον [2ν]. Κατὰ Ὠριγένους διαγνωστικὸς εἰς τ[ὸ] τῆς Ἐγγαστριμύθου θεώρημα [2ξ].

Τα

(α) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 14. καὶ ὁ Σωζόμ. ἐν βιβλ. 8. κεφ. 15. (β) Ὅ, τε Φαβρίκ. καὶ ὁ Κάβ. αὐτ. (ο) Τὴν δ[ὲ] φράσιν, φησὶν ὁ Φώτ. (ἐν κώδ. 122.) ταπεινός τε καὶ οἷα εἰκὸς ἀττικῆς παιδείας ἀμελέτητον τυγχάνειν. ἀσθενὴς δὲ ἐκ τοῦ ἐπὶ πλεῖστον ἐν ταῖς κατα[...] τῶν δυσσεβῶν αἱρέσεων συμπλοκαῖς. ἰσχύει μέντοι ἀριστεύει ταῖς ἐπιβολαῖς, εἰ καὶ τῶν ῥημάτων αὐτῷ καὶ τῆς συντάξεως οὐδὲν τὸ ἰδίωμα συμβιλτιο[ῦ]ται. (γ) Σώζεται χειρόγρ. ἐν τῇ εἰς τὸ Παρίσ. βασιλικ. βιβλιοθ. ὡς μαρτυρεῖ ὁ Λαβ. παρὰ Φαβρικ. αὐτ. ἐν σελ. 429. (δ) Σώζ[.] χειρόγ. παρὰ Γαλίῳ, ὡς μαρτυρεῖ ὁ Κάβ. αὐτ. (ε) Σώζ. χειρόγρ. ἐν τῇ ῥηθ. βιβλιοθ. κατὰ τὴν τοῦ Φαβρικ. μαρτυρ. (ζ) Μνεί[α] παρὰ τῷ Ἐβὲδ Ἰησοῦ ἐν τῷ καταλ. κατὰ τὴν τοῦ Αὐτ. μαρτυρ. (η) Παρ' Ἱερωνύμ. ἐν τῇ 2. πρὸς Ῥουφῖν. ἀπολογ. τῇ ἐν σελ. 165. τοῦ 2. Τόμ[.] (θ) Παρὰ Κασιοδώρ. ἐν κεφ. 5. τῶν θείων ἀναγν. ὡς μαρτυρεῖ ὁ Φαβρίκ. αὐτ. ἐν σελ. 426. (ι) Μέμν. Ἀνδρέας ὁ Καισαρ. εἰς τὴν ἀπο[κ]άλυψιν. παρὰ τῷ Αὐτ. αὐτ. (κ) Ὅρα τὸν 2. λόγ. περὶ τῶν θείων εἰκόν. τοῦ Δαμασκ. καὶ τὴν 6. πρᾶξ. τῆς ἑβδ. οἰκουμεν. Συνόδ[ου]. (λ) Πόλις αὕτη τῆς Συρίας πρὸς τὸν ποταμὸν Ὀρόντην, μεταξὺ Λαοδικείας καὶ Ἀρεθούσης, ἀπέχουσα τῆς Δαμασκοῦ μίλ. 43. ὁ Βαυδράντ. ἐν τ[ῷ] Λεξ. (μ) Ὁ Σωκρ. ἐν βιβλ. 2. κεφ. 9. (ν) Ὁ Οὐδῖν. ἐν Τόμ. 1. σελ. 391. (ξ) Ὁ Σωκρ. αὐτ. (ο) Ὁ Αὐτ. αὐτ. καὶ ὁ Σωζόμ. ἐν βιβλ. 3. κεφ. 60. (π) Ὁ Εὐσέβ. ἐν τῷ χρον. (ἐν ἔτει 348.) τῷ παρ' Ἱερωνύμ. μεταφρασθ. (ρ) Ὁ Κάβ[.] ἐν Τόμ. 1. σελ. 207. (σ) Ἐξεδόθησαν κατὰ τὸ 1547. ἐν Παρισ. καὶ πάλιν αὐτ. κατὰ τὸ 1561. καὶ ἐν Ἀντουερπ. κατὰ τὸ 1555. ἔτ. (τ) Συ[ν]εξεδόθ. ταῖς εἰρημ. ὁμιλ. ἐν Παρισ. κατὰ τὸ 1575. ἔτ. ἀλλ' ἀμφίβολ. ἑκάτερ. (υ) Ἐν τεύχ. 7. σελ. 736. ἣν ἐν τῇ τῆς Βιέννης βιβλιοθ[.] σώζεσθαί φησι χειρόγρ. (φ) Σώζ. χειρόγρ. ἐν τῇ αὐτῇ βιβλιοθ. (ὡς μαρτυρεῖ ὁ Λαμβέκ. ἐν βιβλ. 4. σελ. 184. παρὰ Φαβρικ. ἐν τῷ 2[.] μέρει τοῦ 5. βιβλ.) ἄρχεται δ' οὕτω· Δίκαιον ἡμῖν σήμερον ἀγαπητοὶ τοῦ χθὲς εἰρημένου λόγου ἐπισκέψασθαι, καὶ ἰδεῖν τὴν τοῦ Διαβόλου καὶ τοῦ ᾅδου συμβολὴν πρὸς τοὺς Ἰουδαίους κατὰ τοῦ Κυρίου. ἀκούσας γὰρ ὁ Διάβολος τοῦ Κυρίου εἰπόντος, κτλ. παρὰ Κάβ. αὐτ. (χ) Σώζον. ἐν τῇ αὐτ[ῇ] βιβλιοθ. χειρόγρ. κατὰ τὴν τῶν εἰρημ. μαρτυρ. (ψ) Ἡ ἀρχὴ αὐτῆς αὕτη· Ἀναγκαῖόν ἐστιν ἡμῖν πάλιν σήμερον ἐρευνῆσαι καὶ γνῶναι πο[δα]πὸς ὁ εὐαγγελισμὸς τοῦ Προδρόμου ἐν τῷ Ἅδῃ κτλ. παρὰ Κάβ. αὐτ. (ω) Ἡ ἀρχὴ αὐτῆς· Δεῦρο λοιπὸν οἱ ἐμοὶ ἀγαπητοὶ καὶ περὶ τῆς προ[δ]οσίας τοῦ Ἰούδα, κτλ. παρὰ τῷ Αὐτ. αὐτ. (2α) (Ἡ ἀρχὴ αὐτῆς· Δίκαιον ἡμῖν σήμερον ἀγαπητοὶ τὰ ἀκόλουθα τοῦ χθὲς εἰρημένου λόγου ἐπισκέψασθαι, κτλ. παρὰ τῷ Αὐτ. αὐτ. (2β) Σώζ. ἐν τῇ αὐτῇ βιβλιοθ. (2γ) Ὁ Ἱερώνυμ. ἐν τῷ τῶν ἐκκλησιαστ. συγγραφ. καταλ. ὁ δὲ Νικήτ[.] (ἐν τῷ 9. κεφ. τοῦ 5. βιβλ. περὶ ὀρθοδόξ. πίστ.) ἐκ Μακεδονίας τῆς Φιλίππ. αὐτόν φησι κατάγεσθαι. παρὰ Κάβ. ἐν Τόμ. 1. σελ. 187. (2δ) Ὁ Αὐτ. Νικήτ. ἐν βιβλ. 5. κεφ. 6. παρὰ τῷ Αὐτ. (2ε) Ὁ Θεοδώρητ. ἐν βιβλ. 1. κεφ. 7. τῆς Ἱστορ. (2ζ) Ὁ Σωκρ. ἐν βιβλ. 1[.] κεφ. 24. (2η) Ὁ Θεοδώρητ. αὐτ. ἐν κεφ. 21. (2θ) Ὅρα τὴν ἐπιστ. Ἀθανασ. πρὸς τοὺς ἁπανταχοῦ τὸν μονήρη βίον ἀσκοῦν. ἐν ᾗ ἀντ[ὶ] Κωνσταντίου, Κωνσταντίνου πάντως ἀναγνωσ. (2ι) Ὁ Κάβ. αὐτ. (2κ) Ὁ Θεοδώρητ. καὶ ὁ Ἱερώνυμ. αὐτ. (2λ) Ὁ Κάβ. αὐτ[.] (*) Ἐπὶ εὐγλωττίᾳ, φησὶν ὁ Σωζόμ. (ἐν βιβλ. 2. κεφ. 19.) δικαίως θαυμαζόμενος, ὡς ἐκ τῶν φερομένων αὐτοῦ λόγων συνιδεῖν ἐστιν . . . ἀρχαιότητι φράσεως, καὶ σωφροσύνῃ νοημάτων, καὶ ὀνομάτων κάλλει καὶ χάριτι ἀπαγγελίας εὐδοκιμούντων. (2μ) Ῥωμαϊστὶ μόνον σὺν τοῖ[ς] πρακτικ. τῆς πρώτ. οἰκουμ. Συνόδ. ἑλληνιστὶ δὲ ἐν τεύχ. 8. σελ. 168. τῆς τοῦ Φαβρίκ. ἑλλην. βιβλιοθ. (2ν) Ἐξεδόθη ἐν Λουγδ. κατὰ τὸ 1629 ἔτ[.] (2ξ) Συνεξεδόθη τῷ εἰρημ. ὑπομν.

Τὰ Ἀνέκδοτα.

Βιβλίον περὶ ψυχῆς [α]. Ὁμιλία εἰς τό, Κύριος ἔκτισέ με [β]. Ἑρμηνεία εἰς τὸ ῥητὸν τοῦ Σολομῶντος, φάγετε τὸν ἐμὸν ἄρτον [γ]. Λόγος εἰς τὰς ἐπιγραφὰς τῆς στηλογραφίας [δ]. ἐκ τούτου δὲ τοῦ λόγου καὶ τὸ ἐν τῇδε τῇ βίβλῳ ὑπόμνημα, τὸ ἐν σελ. 350. Εἰς τὰς ἐπιγραφὰς τῶν ἀναβαθμῶν, καὶ εἰς τὸν ή καὶ ιδ' Ψαλμ. [ε] Περὶ τοῦ Μελχισεδὲκ [ζ]. ἐκ τούτου ἔοικε καὶ τὸ ἐν σελ. 198. τῆς δὲ τῆς βίβλου ὑπόμνημα. Βιβλία ὀκτὼ κατὰ Ἀρειανῶν [η].

ΕΦΡΑΙΜ ὁ ὅσιος Σύρος μὲν ἦν τὸ γένος, πατρὶς δ' αὐτῷ ἡ Νίσιβις [θ]. τὴν κατὰ μοναχοὺς δὲ ἐκ νέας τῆς ἡλικίας ἀσκηθεὶς φιλοσοφίαν, ἐπὶ πλεῖστον παιδείας κατὰ τὴν Σύρων φωνὴν ἐπέδωκε, παρ' οὐδενὸς μεμαθηκώς, ἀλλ' αὐτοδίδακτος γενόμενος [ι]. περὶ δὲ τὸ 360. ἔτος ἀκμάσας [κ], μέχρι τοῦ τῆς διακονίας κλήρου προέβη [λ]. καὶ γὰρ αἰδόμενος ψήφου ἐπισκοπῆς αὐτῷ ἐνεχθείσης, εἰς τὴν ἀγορὰν ἐνέβαλε, καὶ παραπαίοντα ἑαυτὸν ἔδεικνυ, ἕως οὗ εὕρων καιρὸν καὶ ἀποδράς, μέχρις οὗ ἕτερος ἐχειροτονήθη διέλαθεν [μ]. καὶ εἰς μὲν τὴν Καισάρειαν ἀφίκετό ποτε διὰ τοῦτο καὶ μόνον, ἵνα τὸν οὐρανοφάντορα ἱστορήσῃ Βασίλειον [ν]. εἰς δὲ τὴν Ἔδεσσαν ἐν ἔτει 378. [ξ] λιμοῦ καταλαβόντος, ἵνα τοῖς ἐκεῖ πένησιν ἐπικουρήσῃ, τοὺς πλουτοῦντας εἰς οἶκτον προτρέψας καὶ ἔλεος. ὃ δὴ καὶ τελέσας, ἐπεὶ ὁ λιμὸς ἐπαύσατο, εἰς τὸ οἴκημα ἐπανιὼν ἐν ᾧ καὶ πρότερον ἐφιλοσόφει, μετ' ὀλίγας ἡμέρας τὸ πνεῦμα τῷ Κυρίῳ παρέθετο [ο].

Τῆς ἐν Ὀξον. ἐκδόσεως τῶν τοῦ ἁγίου συγγραμμάτων πολλῷ πληρεστέρα τε καὶ ἀκριβεστέρα ἡ ἐν Ῥώμῃ κατὰ τὸ 1732-1746. ἔτος γενομένη, καὶ ἐξ συνταχθεῖσα τόμοις. ὧν τρεῖς μὲν ἑλληνικῇ καὶ ῥωμαϊκῇ ἐτυπώθησαν γραφῇ, τρεῖς δὲ τῇ Σύρων καὶ Ῥωμαίων. καὶ τῶν μὲν πρώτων οἱ δύο περιέχουσι πάντα τὰ ἐν Ὀξον. ἐκδοθέντα, ἔτι δὲ καὶ λόγους δέκα πλείονας. ὁ δεύτερος· ὁ δὲ τρίτος 105. μὲν ἑλληνιστὶ καὶ ῥωμαϊστί, 21. δὲ ῥωμαϊστὶ μόνον. τῶν δὲ δευτέρων ὁ μὲν πρῶτος περιέχει ἐξήγησιν εἰς τὴν Πεντάβιβλον, εἰς τὸν Ἰησοῦν, εἰς τοὺς Κριτάς, καὶ εἰς τὰς δ' Βασιλείας· Ὁ δὲ δεύτερος ἐξήγησιν εἰς τὸν Ἰώβ, Ἡσ. Ἱερεμ. Θρήν. Ἰεζ. Δαν. Ὡσ. Ἰωὴλ Ἀμ. Ἀβδ. Μιχ. Ζαχ. Μαλαχ. Λόγους ιά ἐξηγητικοὺς εἰς τοὺς ἐκλεκτοὺς τῆς Γραφῆς τόπους. Λόγους ιγ' εἰς τὴν τοῦ Κυρίου Γέννησιν. Λόγους νς' πολεμικοὺς κατὰ αἱρέσεων. Ὁ δὲ τρίτος, Λόγους πζ' κατὰ τῶν πολυπραγμονούντων. Λόγους γ' εἰς τὴν αὐτὴν ὑπόθεσιν. Λόγον α' κατὰ Ἰουδαίων. Νεκρωσίμους κανόνας πέ. Λόγους δ' περὶ τοῦ αὐτεξουσίου τῆς ἀνθρωπίνης θελήσεως. Παραινέσεις ος' εἰς μετάνοιαν. Λόγους ιβ' περὶ τοῦ ἐν Ἐδὲμ παραδείσου. καὶ Λόγους ιη' διαφόρους. Ἀνιαρὸν δὲ τὸ μὴ ἅπαντα καὶ τῷ καθ' ἕλληνας ἐκδοθῆναι λόγῳ *.

ΗΣΥΧΙΟΣ ὁ τῆς ἐν Ἱεροσολύμοις Ἐκκλησίας πρεσβύτερος, ἤκμασε μὲν ἐπὶ Θεοδοσίου τοῦ νέου ἀνθῶν τῆς διδασκαλίας τῷ λόγῳ, ἐτελεύτησε δὲ περὶ τὸ 433. ἔτος. * τὰ δ' ἄλλα τὰ περὶ αὐτοῦ ἄδηλα.

Κἂν μὴ τό, Ἱεροσολύμων πρεσβύτερος ὁ κώδ. γράφῃ, τοῦτον ποιητὴν τῶν ἐν τῇδε τῇ βίβλῳ ὑπομνημάτων ἡγέμεθα, διά τε ἃ συνέγραψε, καὶ διὰ τὸ προσκεῖσθαι τῷ Ἡσυχίῳ τό, Ἱεροσολύμων, ἐν τῇ εἰς τὴν Πεντάτευχον σειρᾷ τῇ παρὰ Φαβρικίου μνημονευμένῃ [π].

Τῶν Συγγραμμάτων αὐτοῦ

Τὰ Φερόμενα.

Στιχηρόν, ἤτοι κεφάλαια εἰς τοὺς ιβ' Προφήτας [ρ]. Βιβλία ζ' εἰς τὸ Λευϊτικόν [σ]. Λόγος περὶ Ἀναστάσεως [τ]. Βίος Λογγίνου τοῦ Ἑκατοντάρχου [υ].

Τὰ Ἀνέκδοτα ἢ Ἐκλελοιπότα.

Ὑπομνήματα εἰς τὸν Ἰεζεκιὴλ καὶ Ἰώβ [χ]. Ὑπομνήματα εἰς τοὺς Ψαλμούς [ψ]. Ἐγκώμιον εἰς τὸν ἅγιον Ἀνδρέαν τὸν Ἀπόστολον. Εἰς Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου, καὶ Δαβὶδ θεοπάτορα [ω]. Ἐκκλησιαστικὴ ἱστορία [2α].

ΘΕΟΔΟΤΟΣ ὁ τῆς ἐν Γαλατίᾳ Ἀγκύρας ἐπίσκοπος [2β], περὶ τὸ 430. ἔτος ἀκμάσας [2γ], τῷ θείῳ Κυρίλλῳ γενναίως κατὰ Νεστορίου συνηγωνίσατο ἐν τῇ κατὰ τὴν Ἔφεσον οἰκουμενικῇ ἁγίᾳ Συνόδῳ [2δ]. τίνες δ' αὐτῷ πατέρες, καὶ τίς ἡ πατρίς, καὶ ὁποῖος ὁ βίος, ἄδηλα.

Τῶν Συγγραμμάτων αὐτοῦ

Τὰ Ἐκδεδομένα.

Ὁμιλία λεχθεῖσα ἐν τῇ ἡμέρᾳ τῆς γεννήσεως τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Λόγος εἰς τὴν γέννησιν τοῦ Σωτῆρος. Ὁμιλία λεχθεῖσα ἐν Ἐφέσῳ πρὸς Νεστόριον ἐν ἡμέρᾳ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ [2ε]. Εἰς τὸ σύμβολον τῶν ἁγίων ἐν Νικαίᾳ πατέρων τῶν τιή. [2ζ]. Εἰς τὴν ἁγίαν Θεοτόκον, καὶ εἰς τὸν Συμεῶνα [2η].

Τὰ Ἀνέκδοτα ἢ Ἐκλελοιπότα.

Περὶ τῆς Θεότητος τοῦ ἁγίου πνεύματος [2θ]. Οἱ πρὸς Λαῦσον λόγοι κατὰ Νεστορίου ἐν τόμοις ἕξ [2ι]. Λόγοι ἕξ. Εἰς τὰ φῶτα. Εἰς τὸν Ἠλίαν καὶ τὴν χήραν. Εἰς τὸν ἅγιον Πέτρον καὶ Ἰωάννην. Εἰς τὸν χωλὸν τὸν καθήμενον πρὸς τὴν ὡραίαν πύλην. Εἰς τοὺς τὰ τάλαντα λαβόντας. Εἰς τοὺς δύο τυφλούς [2κ]. Φέρεται δὲ καὶ βιβλίον αὐτοῦ ψευδεπίγραφον. ὅπερ ὡς διαβολικῆς μεθοδείας εὕρημα ἐξήλεγξεν ἡ ἁγία οἰκουμενικὴ ἑβδόμη Σύνοδος [2λ].

Τό, Θεόδοτος, μόνον γράφει ὁ τοῦ Ἡγεμόνος κώδ. ἔστι δὲ καὶ ἕτερος ἐν τοῖς τῶν ἐκκλησιαστικῶν συγγραφέων καταλέγων Θεόδοτος ὁ Ἀντιοχείας ἐπίσκοπος, ὁ περὶ τὸ 423. ἔτος ἀκμάσας [2μ]. ἐπεὶ δ' ὁ Ἀγκύρας καὶ πλειόνων συγγραμμάτων ποιητής, κἂν τῷ χειρογράφῳ εἰς τὰς

(α) Σωζ. ἀποσπασμ. παρὰ Θεοδωρήτ. ἐν διαλ. 1, 2 καὶ 3. (β) Σωζ. παρὰ τῷ αὐτ. ἀποσπασ. ἐν βιβλ. 1. κεφ. 8. τῆς Ἱστορ. καὶ ἐν διαλ. 1, 2, καὶ 3. (γ) Μνεία ἐν τῇ 6 πράξ. τῆς ζ' οἰκουμ. Συνόδ. (δ) Παρὰ Θεοδωρήτ. ἐν διαλ. 2. (ε) Παρὰ τῷ Αὐτ. ἐν διαλ. 1, καὶ 3. (ζ) Παρ' Ἱερωνύμ. ἐν τῇ πρὸς Εὐάγρ. τὸν πρεσβύτερ. ἐπιστ. τῇ ἐν Τόμ. 2. σελ. 220. (η) Παρὰ Φωτ. ἐν κώδ. 225, καὶ 229. καὶ παρὰ Δαμασκ. ἐν Τόμ. 2. σελ. 314. τῶν Παραλ. καὶ παρὰ Ἱερωνύμ. αὐτ. (θ) Νίσιβις, ἣν Ἀντιόχειαν Μυγδονίας τινὲς ὀνομάζουσιν ἐν μεθορίῳ κεῖται τῶν Περσῶν καὶ Ῥωμαίων ἡγεμονίας. ὁ Θεοδώρητ. ἐν βιβλ. 2. κεφ. 4. τῆς Ἱστορ. ὁ δὲ Βαυδράντ. ἐν τῷ Λεξ. πόλις ἐν Μεσοποταμίᾳ ἐγγὺς τοῦ ποταμοῦ Τίγρεως. (ι) Ὁ Σωζόμ. ἐν βιβλ. 3. κεφ. 16. (κ) Ὁ Οὐδῖν. (ἐν Τόμ. 1. σελ. 494.) ὁ δὲ Κάβ. (ἐν Τόμ. 1. σελ. 235.) περὶ τὸ 370 ὁ δὲ Ἀνώνυμ. (εἰς τὸν βίον τοῦ Ἐφρ.) Ἐν Ἐδέσῃ, φησίν, ἐγεννήθη ὑπὸ γονέων εὐσεβῶν ἐν ἔτεσι Κωνσταντίνου τοῦ μεγάλου βασιλέως. τὸ δὲ ἐκ Κωνσταντινουπόλεως χειρόγρ. (παρὰ Φαβρικ. ἐν τῷ 1. μέρ. τοῦ 5. βιβλ. σελ. 319.) ἤσκησεν ἐν ταῖς ἡμέραις τοῦ μεγάλου Κωνσταντίνου καὶ πρώτου βασιλέως, ἤκμασε δὲ μέχρι τῆς βασιλείας τοῦ Οὐάλεντος, ὑφ' οὗ καὶ ἐτελειώθη. (λ) Ὁ Σωζόμ. αὐτ. ὁ δὲ Ἀμφιλόχ. (ἐν σελ. 36. τοῦ 1. Τόμ τῆς ἐρημ. ἐκδόσ.) ἄγε δὴ τοῦ Ἀμφιλοχ. γνήσιος γόνος ὁ λόγος. πρεσβύτερον αὐτὸν χειροτονηθῆναί φησιν ὑπὸ τοῦ μεγάλου Βασιλείου. οὗ τινος τῇ εὐχῇ καὶ τὸ ἑλληνιστὶ λαλῆσαι παρὰ Θεοῦ ἔλαβεν. (μ) Ὁ Σωζόμ. αὐτ. (ν) Αὐτὸς ὁ Ἐφρ. ἐν τῷ εἰς τὸν Βασίλ. ἐγκώμ. (ξ) Ὁ Κάβ. αὐτ. ὁ δὲ Φαβρίκ. αὐτ. ἐν ἔτει 375. (ο) Ὁ Σωζόμ. αὐτ. *) Θαυμάσια αὐτοῦ, φησὶν ὁ Φώτ. (ἐν κώδ. 196.) ὅσον μὲν ἐμβαθύνεται τὸ πάθος, ὅσον δ' αὐτῶν ἀποστάζει τὸ ἡδύνον, καὶ ὅλως εἰς ὅσον βρύει τὸ ἦθος. ἡ δὲ λέξις καὶ τὰ σχήματα, οὐ θαυμαστὸν εἰ πρὸς τὸ κοινότερον τῆς ὁμιλίας καὶ ἠμελημένον νένευκεν. οὐ γὰρ εἰς τὸν γεννήτορα τῶν νοημάτων, ἀλλ' εἰς τὸν ταῦτα μεταφρασάμενον ἡ αἰτία διαβαίνει. ἐπεὶ οἵ γε τῆς Σύρας φωνῆς τὴν ἀκρίβειαν ἠσκημένοι, ἐπὶ τοσοῦτον ταῖς λέξεσι καὶ τοῖς σχήμασιν αὐτὸν ἴσασιν εὐδοκιμῆσαι, ὡς ἀμφήριστον εἶναι, πότερον διὰ ταῦτα, ἢ διὰ τὸν ἐν αὐτοῖς νοῦν ἡ τοσαύτη χάρις καὶ δύναμις τῶν ἐκείνου πρόσεισι λόγων. οὐ θαυμαστὸν ἂν ἡ τῆς φράσεως ταπεινότης· ἀλλ' ἐκεῖνο θαυμαστόν, ὡς καὶ διὰ χυδαιότητος τοιαύτης ῥημάτων τηλικαύτη σωτηρία καὶ ὠφέλεια τοῖς προσιοῦσι προχεῖται. (π) Ὁ Θεοφάν. ἐν τῇ χρονογραφ. σελ. 71, ἢ 57, καὶ σελ. 79. ἢ 63. (ρ) Ἐν τεύχ. 7. σελ. 731. (σ) Ἐξεδόθη ἐν τῇ Ἀμβεργίᾳ ἐν ἔτει 1604. (τ) Ἐξεδ. ῥωμαϊστὶ μόνον ἐν μὲν τῇ Βασιλ. κατὰ τὸ 1527. ἔτος. ἐν Παρισ. δέ, κατὰ τὸ 1581. (υ) Ἐξεδ. ἐν τῇ τοῦ Κομβεφισ. βιβλιοθ. Ἡσυχίῳ τῷ θεολόγῳ ἐπιγεγραμμένος. (φ) Ἐξεδ. παρὰ τῶν Βολανδ. σὺν ἄλλοις ἐν τῇ 15. Μαρτίου. (χ) Μνεία παρὰ Κονράδ. ἐν τῷ προοιμ. Προκοπ. τοῦ Γαζ. ὅρα Φαβρίκ. ἐν βιβλ. 2. μέρ. 2. σελ. 244. (ψ) Σωζ. Χειρόγρ. Ἐνετίῃσιν. ὅρα τὸν Φαβρίκ. αὐτ. (ω) Μνεία παρὰ Φωτ. ἐν κώδ. 269, καὶ 275. ἐν οἷς καὶ ἀποσπασμ. (2α) Παρὰ τῇ ε' συνελεύσει τῆς ε'. οἰκουμ. Συνόδ. (2β) Ὁ Φώτ. ἐν κώδ. 231. (2γ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 415. καὶ ὁ Φαβρίκ. ἐν τεύχ. 9. σελ. 269. (2δ) Ὅρα τὴν 3. πράξ. τῆς αὐτῆς Συνόδ. καὶ τὴν 6. τῆς ἑβδόμ. (2ε) Ἐξεδόθη σὺν τῇ 3. πράξ. τῆς ἐν Ἐφέσ. Συνόδ. (2ζ) Ἐξεδ. ἐν Ῥώμῃ κατὰ τὸ 1669. καὶ ἐν Παρισ. κατὰ τὸ 1675. ἔτ. (2η) Συνεξεδ. τοῖς τοῦ Ἀμφιλοχ. συγγραμ. ἐν Παρισ. κατὰ τὸ 1644. ἔτ. τοῦ Θεοδότου δ' εἶσιν. ὅρα τόν τε Κάβ. καὶ τὸν Φαβρ. αὐτ. (2θ) Μνεία παρ' αὐτ. τῷ Θεοδότ. ἐν τῷ συμβόλ. τῶν ἐν Νικαίᾳ πατέρ. ἐν σελ. ἑχ. (2ι) Ἐν τῇ 6. πράξ. τῆς ζ' οἰκουμ. Συνόδ. (2κ) Παρ' αὐτῇ τῇ Συνόδ. αὐτ. (2λ) Αὐτ. (2μ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 455.

τὰς πράξεις καὶ τὰς καθολικὰς ἐπιστολὰς σειρᾷ ἀναφέρεται [α], αὐτὸς τυχὸν ἐστὶ καὶ ὁ τῶν ἐν τῇδε τῇ βίβλῳ ὑπομνημάτων συγγραφεύς.

ὁ ΘΕΟΔΩΡΙΤΟΣ Σύρος μὲν ἦν τὸ γένος, πατρὶς δ᾽ αὐτῷ ἡ Ἀντιόχεια, καὶ τοκεῖς εὐσεβεῖς καὶ πλούτου περιουσίᾳ κομῶντες. ὑπὸ στειρευούσης δὲ τεχθεὶς μητρὸς [β], ὑπ᾽ αὐτῆς τὴν κλῆσιν ἔλαχε, πρὸ συλλήψεως τῷ Θεῷ αὐτὸν ἐπαγγειλαμένης, καὶ δῶρον αὐτῷ προσενεγκούσης [γ]. ὀκταέτη γὰρ ὄντα τῇ τοῦ Εὐπρεπίου μονῇ, οὐ πόῤῥω τῆς Ἀντιοχείας διϊσταμένῃ εἰσήνεγκεν· ἐν ᾗ ἄχρις οὗ εἰς τὸν ἐπισκοπικὸν προεβιβάσθη θρόνον διέμεινε. καὶ τῶν μὲν θείων Γραφῶν ὑπὸ Θεοδώρου Μοψουεστίας, τῆς δὲ ῥητορικῆς ὑπὸ τοῦ Χρυσοῤῥήμονος ἐκπαιδευθεὶς τὰ μαθήματα, ἀναγνώστης μὲν ὑπὸ Πορφυρίου, διάκονος δὲ καὶ πρεσβύτερος ὑπὸ Ἀλεξάνδρου, ἐπίσκοπος δὲ Κύρου (Συρίας φρουρίου τοῦ ἐν τῇ Ἐφρατησίᾳ) ἐν ἔτει 423. [δ] ὑπὸ Θεοδότου, τῶν τῆς Ἀντιοχείας χειροτονεῖται ἐπισκόπων. καὶ πολλοῖς μὲν ἀγῶσι δέκα Μαρκιωνιστῶν χιλιάδας, Εὐνομιανούς τε πολλούς, καὶ Ἀρειανούς, καὶ Μακεδονιανοὺς καὶ Ἀπολιναριστὰς τῆς κακοδόξου πλάνης ἀπαλλάττει, πολλῷ δὲ τῷ ζήλῳ ἐφ᾽ ὅλην τὴν τῶν Κυρεστῶν χώραν τῆς ὀρθοδοξίας ἀνακηρύττει τὰ δόγματα [ε]. ἀλλὰ γὰρ ὁ τοιοῦτος τὴν ἀρετὴν καὶ εὐσέβειαν, ἔπαθέ τι ὕστερον, εἴτουν κατὰ τὸ 431. ἔτος, ἀνθρώπινον, τὰ δώδεκα τῶν ἀναθεματισμῶν κεφάλαια, Ἰωάννου προτροπῇ τοῦ Ἀντιοχείας, κατὰ τοῦ θειοτάτου συντάξας Κυρίλλου. ὅθεν κἂν ταῖς Νεστορίου παραφροσύναις οὐδέποτε ὑπῆρξεν ὁμόφρων, σύμφρων εἶναι ἐκείνῳ ἱκανὴν τὴν ὑποψίαν παρείχετο. ἐν ἔτει μὲν οὖν 445. ὑπὸ τοῦ ἐν Ἐφέσῳ παρὰ τοῦ δυσσεβοῦς Διοσκόρου συναχθέντος λῃστρικοῦ συνεδρίου, προφάσει μὲν ὡς τὰ Νεστορίου φρονῶν, ἀληθείᾳ δὲ ὡς τῆς τοῦ Εὐτυχοῦς αἱρέσεως ἀντίπαλος, ἀπὼν κατακριθεὶς ἐξωθεῖται τοῦ θρόνου [ζ]. ἐν ἔτει δὲ 451. ἡ ἐν Χαλκηδόνι ἁγία οἰκουμενικὴ σύνοδος τοῖς ὀρθοδόξοις συγκαταλέξασα, ἣν ἐκληρώσατο Ἐκκλησίαν ἀπέδωκεν αὐτῷ καὶ τὸ ποίμνιον [η]. ὁ δὲ Ὑπάτιον διάδοχον προστησάμενος, εἰς ἣν ἀπ᾽ ἀρχῆς ἡσυχαστικὴν εἵλετο διαγωγὴν ὑπεχώρησε [θ]. καὶ ἔτη περίπου τὰ δέκα μετὰ τὴν τῆς Συνόδου διαβιοὺς λύσιν [ι], τὸν θνητὸν ἀπέλιπε βίον [*].

Τῶν συγγραμμάτων αὐτοῦ καλὴ μὲν ἣν ὁ Σιρμόνδιος κατὰ τὸ 1642. ἔτος πεποίηκεν ἔκδοσιν, τόμους συνταξάμενος τέσσαρας, οἷς καὶ ὁ πέμπτος ἐν ἔτει 1684. προσετέθη· κρείττων δὲ ἡ ἐν Χάλῃ τῇ Μαγδεβούργ. νῦν ἐκτυπουμένη, διά τε τὰ οἷς παρετέθη ἀντίγραφα, καὶ τὴν λοιπὴν περὶ αὐτὴν ἐπιμέλειαν.

ΘΕΟΔΩΡΟΣ ὁ Μοψουεστίας, ὁ καὶ Θεόδωρος Ἀντιοχεὺς καλούμενος [κ], τῆς μὲν θύραθεν παιδεύσεως καθηγητὴν ἔσχε τὸν Λιβάνιον, τοῦ δὲ μοναδικοῦ πολιτεύματος Διόδωρόν τε καὶ Καρτέριον· ὧν τὸν βίον μιμεῖσθαι προθύμως ἐσπούδαζεν, ὑπὸ τοῦ Χρυσοστόμου συνήθους αὐτῷ ἐκ τῆς Λιβανίου γενομένου διατριβῆς ὑπαλειφόμενος. ἀλλὰ τῆς προθυμίας ἐκπεσών, ἐπὶ τὴν προτέραν ἐφείλκετο διαγωγήν, καὶ ταῖς τοῦ γάμου περιεσύρετο ἀσχολίαις [λ], τῇ τῆς Ἑρμιόνης ὥρᾳ καταθελγόμενος [μ]. ἀλλ᾽ αἱ τοῦ Χρυσοῤῥήμονος πρὸς αὐτὸν δύο ἐπιστολαί, ὧν ἡ ἐπιγραφή, εἰς Θεόδωρον ἐκπεσόντα, καθάπερ τινὲς δραστήριοι ἀντεφελκύσασαι μαγνήτιδες, ἐπὶ τὴν φιλόσοφον ἐπανήγαγον ἄσκησιν [ν]. μετὰ δὲ ταῦτα πρεσβύτερος τῆς Ἀντιοχέων προχειρισθεὶς Ἐκκλησίας [ξ], εἶτα περὶ τὸ 394. ἔτος [ο] καὶ Μοψουεστίας τῆς κατὰ τὴν Κιλικίαν ἐπίσκοπος, καὶ ἓξ πρὸς τοῖς τριάκοντα ἔτεσι τὸ πνευματικὸν ἰθύνας πηδάλιον, καὶ κατὰ τῆς Ἀρείου καὶ Εὐνομίου φάλαγγος, οὐ μὴν ἀλλὰ καὶ τῶν λῃστρικῶν Ἀπολιναρίου καταγωνισάμενος λόγων [π], ἐν ἔτει 429. τὸ ζῆν ἐξεμέτρησε [ρ]. καὶ ἐν ὅσῳ μὲν περιῆν τῷ βίῳ, τῆς ἀληθείας τὸν λόγον ὀρθοτομεῖν ἐδόκει· οὐκ ὀλίγων δὲ μετὰ τὴν τελευτὴν αὐτοῦ ἐτῶν διελθόντων, κακόφρων ἐκ τῶν συγγραμμάτων ἐπεγνώσθη [σ]. σὺν αὐτῷ μὲν γὰρ καὶ ταῦτα κατὰ τὸ 553. ἔτος ἀναθέματι καθυπεβλήθη ὑπὸ τῆς ἁγίας οἰκουμενικῆς πέμπτης Συνόδου, καὶ τοῦ ὀνόματος αὐτοῦ τῶν ἱερῶν ἐξαλειφθέντος διπτύχων [τ].

Τὰ αὐτοῦ Συγγράμματα.

Πεντεκαίδεκα βιβλία δεκαπέντε χιλιάδας στίχων περιέχοντα περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου κατὰ Ἀπολιναριστῶν καὶ Εὐνομιανῶν [υ]. Κῶδιξ μυστικός [φ]. Λόγοι κέ ὑπὲρ Βασιλείου κατὰ Εὐνομίου [χ]. Βιβλιδάριον περὶ τῆς ἐν Περσίδι μαγικῆς, καὶ τίς ἡ τῆς εὐσεβείας διαφορὰ ἐν λόγοις τρισίν [ψ]. Ἑρμηνεία τῆς κτίσεως [ω]. Ἔλεγχος τῆς τοῦ Ἰὼβ βίβλου [2α]. Περὶ τοῦ οὓς δεῖ βαπτίζεσθαι [2β]. Ἑρμηνεία εἰς τὸ ἐν Νικαίᾳ σύμβολον [2γ]. Σύμβολον εἴτουν ἔκθεσις πίστεως [2δ]. Λόγοι δύο εἰς τὰ (τοῦ Χριστοῦ) θαύματα [2ε]. Τόμοι ε΄ κατὰ τῶν ἀλληγορικῶν [2ζ]. Βιβλίον εἰς τὴν Γένεσιν ἐν τρισὶ τόμοις. Πέντε βιβλία τὸν Δαβὶδ ἑρμηνεύοντα [2η]. Δύο τόμοι τοὺς ιβ΄ ἀναπτύσσοντες Προφήτας [2θ]. Ὑπομνήματα εἰς τὸν Σαμουήλ, τόμος εἷς· Εἰς τὸν Ἰὼβ τόμοι δύο. Βιβλίον εἰς τὸν Ἐκκλησιαστήν. Εἰς τὸν Ἡσ. Ἰεζ. Ἱερεμ. Δαν. εἰς ἕνα ἕκαστον τόμος εἷς ὑπομνημάτων. Ὑπομνήματα εἰς τὸν Ματθαῖον, τόμος εἷς [2ι]· Εἰς τὸν Λουκᾶν καὶ Ἰωάννην δύο [2κ]. Εἰς τὰς πράξεις τῶν Ἀποστόλων εἷς. Ἑρμηνεία εἰς τὴν πρὸς Ῥωμαίους. Ἀνάπτυξις εἰς τὰς δύο πρὸς Κορινθίους ἐπιστολὰς δυσὶ τόμοις περιεχομένη. Εἰς τὴν πρὸς Γαλάτ. Ἐφεσ. Φιλιπ. καὶ Κολασ. Εἰς τὴν πρὸς Τίτ. καὶ Φιλήμ. καὶ εἰς τὴν πρὸς Ἑβρ. ἑρμηνεία ἐν πέντε τόμοις.

Οὐ πᾶσι τοῖς ἐν τῇδε τῇ βίβλῳ τῷ Θεοδώρῳ ἐπιγεγραμμένοις ὑπομνήμασι, καὶ τό, Μοψουεστίας, πρόσκειται· τοῦ Μοψουεστίας δὲ πάντα ἔοικεν, ὅσον ἀπό τε τῆς φράσεως καὶ τοῦ τῆς ἑρμηνείας τρόπου εἰκάσαι ἔνεστιν.

ὁ ΘΕΟΦΙΛΟΣ ὁ μετὰ τὴν τελευτὴν Τιμοθέου [2λ], εἴτουν ἐν ἔτει 385. [2μ] ἐπὶ τὸν τῆς Ἀλεξανδρείας προβιβασθεὶς θρόνον, οὐ μόνον τὴν πόλιν τῆς εἰδωλικῆς ἀπήλλαξε πλάνης, τὰ τῶν εἰδώλων τεμένη ἐκ βάθρων ἀνασπάσας, ἀλλὰ καὶ τὰ τῶν ἐξαπατώντων ἱερέων αὐτῶν ὑπέδειξε μηχανήματα [2ν]. καὶ τοῖς Ἀνθρωπομορφιανοῖς δὲ πρῶτον μὲν θαρσαλέως ἀντέστη, πάσης σωματικῆς μορφῆς

ἐκδ

(α) Ὑπὸ Φαβρικ. ἐν σελ. 790. τοῦ 7. τεύχ. (β) Ὁ μὲν Φαβρίκ. (ἐν τῇ 430. σελ. τοῦ 7. τεύχ.) κατὰ τὸ 393 ἔτος· ὁ δὲ Γαρνέρ. (ἐν κεφ. 1. τῆς εἰς τὸν Θεοδώριτ. Ἱστορ.) κατὰ τὸ 386, ὡσαύτως καὶ ὁ Ὀυδῖν. ἐν τῇ 1052. σελ. τοῦ 1. Τόμ. (δ) Αὐτ. ὁ Θεοδώριτ. ἐν τῷ περὶ Φιλοθ. Ἱστορ. 13. κεφ. (γ) Ὁ Φαβρίκ. αὐτ. ὁ δὲ Γαρνέρ. ἐν ἔτει 420. (ε) Ὅρα τὸ 21. κεφ. τῆς Φιλοθ. Ἱστορ. καὶ τὰς ἐπιστολ. αὐτοῦ, ἤτοι τὴν 81, 113, 116, καὶ 145. (ζ) Ὁ Εὐάγρ. ἐν βιβλ. 1. κεφ. 10. (η) Ὅρα τὴν 1 καὶ 8. τῆς αὐτ. Συνόδ. πρᾶξ. (θ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 406. (ι) Ὁ Λαβ. παρὰ Φαβρίκ. αὐτ. (*) Τὰ περὶ τοῦ Θεοδωρίτου καὶ τῶν συγγραμμάτων αὐτοῦ ἅπαντα ὅρα ἐν τῇ βιογραφίᾳ τῇ ὑπὸ τοῦ σοφοῦ ἀνδρὸς καὶ ἡμῖν φιλτάτου κυροῦ Εὐγενίου ἱεροδιακόνου τοῦ Βουλγάρεως ἄριστά τε συγγραφείσῃ καὶ ἀκριβωσαμένῃ. (κ) Ὅρα τὸν τοῦ Φωτ. 4, 38, καὶ 177. κώδ. ἐν οἷς καὶ ἡ ἐνίων αὐτοῦ ποιημάτων ἐπίκρισις. (λ) Ὁ Σωζόμ. ἐν βιβλ. 8. κεφ. 2. καὶ Νικηφ. ὁ Κάλλιστ. ἐν βιβλ. 13. κεφ. 2. (μ) Ὁ Χρυσόσ. ἐν τῇ 1. πρὸς Θεόδωρ. ἐκπεσόντ. ἐπιστ. (ν) Ὅ,τι Σωζόμ. καὶ ὁ Νικηφ. αὐτ. (ξ) Ὁ Γεννάδ. ἐν κεφ. 12. περὶ τῶν ἐκκλησιαστ. συγγραφ. (ο) Ὁ Φαβρίκ. ἐν τεύχ. 9. σελ. 155. (π) Ὁ Θεοδώριτ. ἐν βιβλ. 5. κεφ. 40. τῆς Ἱστορ. (ρ) Ὁ Φαβρίκ. αὐτ. (σ) Ἄνθρωπον ἕνα τὸν καθ᾽ ἡμᾶς καὶ κοινὸν ἀποκαλῶν, καὶ ἐκ προκοπῆς λαβόντα τὴν χάριν τοῦ Θεοῦ, Θεὸν ὀνομάζεσθαι· καὶ ἐκ τοῦ ἐν Ἰορδάνῃ βαπτίσματος ἀξιωθῆναι τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς, ἐν πρώτοις εἰς ὄνομα πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος βαπτισθέντα· τὸν δὲ Θεὸν λόγον διὰ τὴν ὑπερβάλλουσαν ἀρετὴν αὐτοῦ κατ᾽ εὐδοκίαν ἐν αὐτῷ κατοικήσαντα μεταδοῦναι τῆς θεϊκῆς ἀξίας αὐτῷ καὶ προσκυνήσεως π- ὕστερον μετὰ τὴν τελείωσιν. ταῦτα καὶ ἕτερα τοιαῦτα δυσφημήσας, δύο φύσεις ἰδιοπεριορίστους ἐδογμάτισεν ἐπὶ Χριστοῦ, σχέσει τινὶ καὶ μόνον ἀλλήλαις ᾠκειωμένας. δευτέρα καὶ αὕτη βλασφημία τὸ μίαν φύσιν καὶ δύο φύσεις ἰδιοπεριορίστους ἐν Χριστῷ μὴ κατὰ τὸν ὀρθὸν λόγον ὁμολογεῖσθαι. Ταῦτα περὶ τῶν αὐτοῦ αἱρέσ. ὁ Σεβ. εἰς τὸ Θεόδωρ. Μοψυεσ. (τ) Ὅρα τὴν 5, καὶ 8. συνέλευσ. τῆς αὐτ. Συνόδ. (υ) Μνεία παρὰ Γενναδ. αὐτ. (φ) Παρὰ Φαβρικ. αὐτ. ἐν σελ. 158. (χ) Παρὰ Φωτ. ἐν κώδ. 4. (ψ) Παρὰ τῷ Αὐτ. ἐν κώδ. 81. (ω) Παρὰ τῷ Αὐτ. ἐν κώδ. 38. (2α) Ἀποσπασμ. τούτου συνεκδίδ. τῇ 4. συνελεύσ. τῆς ε΄ οἰκουμεν. Συνόδ. ῥωμαϊστὶ μόνον. ὅπου καὶ ἕτερα ἀποσπασμ. ἔκ τε τῶν εἰς τοὺς τῆς Γραφ. τόπους, καὶ ἐξ ἄλλων αὐτοῦ λόγ. (2β) Κεῖται αὐτ. ἀποσπασμ. (2γ) Αὐτ. ἀποσπασμ. (2δ) Ὁμοίως. (2ε) Μνεία παρὰ Μαξίμ. ἐν Τόμ. 2. σελ. 91. (2ζ) Παρὰ Φαβρικ. αὐτ. τῶν δὲ ἑπομένων μνεία ἐν τῷ καταλ. τῶν χαλδαϊκ. βιβλ. τῷ ὑπὸ τοῦ Ἐβεδ Ἰησοῦ συνταγ. (2η) Πολλὰ τούτων ἀποσπασμάτ. ἐν τῇ εἰς τοὺς ψαλ. ἐκδοθ. σειρᾷ. (2θ) Σώζονται χειρόγρ. ἐν τῇ ἐν Βιέννῃ βιβλιοθ. ὡς μαρτυρεῖ ὁ Λαμβέκ. παρὰ Φαβρικ. αὐτ. ἐν σελ. 162. (2ι) Ἀποσπασμ. ἐν τῇ ἐκδοθ. εἰς τὸν Ματθ. σειρ. (2κ) Ὁμοίως ἐν ταῖς εἰς τὸν Λουκ. καὶ Ἰωάν. (2λ) Ὁ Θεοδώριτ. ἐν βιβλ. 5. κεφ. 22. τῆς Ἱστορ. (2μ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 279. (2ν) Ὁ Θεοδώριτ. αὐτ.

ἐχθὸς εἶναι τὸν Θεὸν παῤῥησίᾳ ἀνακηρύττων. εἶτα δὲ, ἐπειδὴ τοὺς τὸν μονήρη ἀσκοῦντας βίον ἑώρα τὸν Ἑρμουπόλεως Διόσκορον μᾶλλον ἢ αὐτὸν σεβαζομένους, ἀπ᾽ ἐκείνου μὲν ἀποσπάσαι, ἐφ᾽ ἑαυτὸν δὲ τούτους ἐφελκύσαι βουλόμενος, τἀναντία ἀποφαίνεται, καὶ Ἀνθρωπομορφιανὸν ἑαυτὸν ἀναδείκνυσι, καὶ τοὺς τῶν μοναχῶν ἁπλουστέρους ὑποσκελίζει, καὶ σχίσμα ἐν αὐτοῖς ἐμποιεῖ, καὶ ἔριδος οὐ σμικρὰν καὶ ἀλληλομαχίας ἀναῤῥιπίζει φλόγα [α]. καὶ οἷς ἐχρῆτο ὅπλοις, τοῖς Ὠριγένους βιβλίοις, τὸ ἀνθρωπόμορφον εἶναι τὸ θεῖον ἀναιρῶν, ταῦτά τε καὶ τὸν πατέρα αὐτῶν αὐτός τε καὶ ἡ περὶ αὐτὸν κατὰ τὸ 400. ἔτος συστᾶσα Σύνοδος ἀναθεματίζει. οὗτος δὲ ἐστιν ὁ καὶ τὸν θεῖον Χρυσόστομον παρανόμως καθελὼν, καὶ τοσαῦτά τε καὶ τοιαῦτα κατ᾽ αὐτοῦ ἀδίκως καὶ εἰπὼν καὶ δράσας [β]. ὅστις δὴ ἐν ἔτει 412. τὸν βίον κατέλυσε [γ], διάδοχον καταλιπὼν τὸν θειότατον Κύριλλον [δ].

Τὰ αὐτοῦ Συγγράμματα.

Τεῦχος ἓν μέγα κατὰ Ὠριγένους [ε]. Βιβλίον περὶ τοῦ κύκλου τοῦ Πάσχα [ς]. Ἐπιστολὴ πρὸς Πορφύριον Ἀντιοχείας ἐπίσκοπον [η]. Ἐπιστολὴ ἐκ τεσσάρων συγκειμένη μερῶν· ὧν τὸ μὲν πρῶτον περὶ τοῦ Πάσχα, τὸ δὲ δεύτερον καὶ τρίτον κατὰ Ἀπολιναρίου καὶ Ὠριγένους, τὸ δὲ τέταρτον τοὺς αἱρετικοὺς ἀνακαλεῖ εἰς μετάνοιαν [θ]. Βιβλία τρία περὶ πίστεως [ι]. Ἐπιστολαὶ περὶ τοῦ Πάσχα τρεῖς [κ]. Ἐπιστολὴ πέμπτη καὶ ἕκτη περὶ τοῦ Πάσχα [λ]. Ἐπιστολὴ πρὸς Ἐπιφάνιον [μ]. Κανόνες δέκα καὶ ἀποκρίσεις τρεῖς [ν]. Ἐπιστολὴ σύντομος πρὸς Χρυσόστομον [ξ]. Ὁμιλία περὶ τοῦ τίνι ὅμοιος ὁ ἄνθρωπος [ο]. Λόγος περὶ τοῦ διατὶ ἐσθίομεν τυρὸν καὶ ὠὰ ἐν τῷ τῶν νηστειῶν καιρῷ [π]. Λόγος εἰς τὸν μυστικὸν δεῖπνον καὶ εἰς τὸν νιπτῆρα τῇ ἁγίᾳ καὶ μεγάλῃ πέμπτῃ [ρ].

Τὰ ἐν τῇδε τῇ βίβλῳ Θεοφίλῳ ἐπιγεγραμμένα ὑπομνήματα τρία. καὶ τῷ μὲν ἑνὶ τῷ εἰς τὴν Ἔξοδον τὸ, Ἀλεξανδρείας, πρόσκειται· τοῖς δὲ δυσὶ τοῖς εἰς τὴν Γένεσιν οὔ. ἐπεὶ δὲ δύω Θεόφιλοι ἐκκλησιαστικῶν συγγραφεῖς ὑποθέσεων, ὅ, τε Ἀλεξανδρείας, καὶ ὁ Ἀντιοχείας ὁ κατὰ τὸ 181. ἔτος ἀκμάσας· ἐν δὲ τῷ εἰς τὴν Γένεσιν ὑπομνήματι, τῷ ἐν σελ. 63. Ὠριγένους μνεία τοῦ περὶ τὸ 185. ἔτος γεννηθέντος· τοῦ πρώτου ἄρα καὶ τοῦτο πόνημα· τοῦ αὐτοῦ δ᾽ ἴσως καὶ τὸ τρίτον.

ΙΟΥΣΤΙΝΟΣ ὁ μάρτυς καὶ φιλόσοφος ὁ υἱὸς Πρίσκου τοῦ Βακχείου τὴν ἐν Παλαιστίνῃ Νεάπολιν ἔσχε πατρίδα [σ]. περὶ δὲ τὸ 89. σωτήριον ἔτος γεννηθεὶς [τ], τῶν κατὰ φιλοσοφίαν αἱρέσεων, τῆς Στοϊκῆς, Πυθαγορικῆς, Περιπατητικῆς, καὶ Πλατωνικῆς ἀκροατὴς ἐγένετο. περὶ δὲ 133. ἔτος [υ] παλαιῷ τινι πρεσβύτῃ πρᾶον καὶ σεμνὸν ἦθος ἐμβαίνοντι (ὁ Πολύκαρπος τυχὸν ἐστὶν οὗτος) ἐντυχὼν, παρ᾽ αὐτοῦ τὰ θεῖα καὶ ἄπταιστα τῆς πρὸς Χριστὸν τὸν σωτῆρα πίστεως ἐμυήθη μαθήματα [φ]. ἐπὶ Ἀντωνίνου δὲ τοῦ ἐπικληθέντος Εὐσεβοῦς, ἐν Ῥώμῃ τὰς διατριβὰς ποιούμενος, κατὰ τὸ 140. ἔτος [χ] τὴν ὑπὲρ τῶν Χριστιανῶν πρώτην συνταξάμενος ἀπολογίαν, αὐτῷ τε τῷ βασιλεῖ προσπεφώνηκε καὶ τῇ Συγκλήτῳ [ψ]. εἰς τὴν Ἀσίαν δὲ παραγενόμενος τὸν πρὸς Τρύφωνα τὸν ἰουδαῖον συγκροτεῖ μέγαν διάλογον. ἐπὶ τὴν Ῥώμην δὲ ἐπανιὼν, τὴν δευτέραν συγγράφει ἀπολογίαν, καὶ Μάρκῳ Ἀντωνίνῳ καὶ τῇ Συγκλήτῳ ἀνατίθεται [ω]. ἐν ἔτει δὲ 163 [2α], ἔτους τῷ ἀπὸ γεννήσεως αὐτοῦ 74. τῷ θείῳ τοῦ μαρτυρίου κατεκοσμήθη διαδήματι, Κρίσκεντος τοῦ παμπονήρου καὶ ἀφιλοσόφου στοϊκοῦ φιλοσόφου τὴν ἐπιβουλὴν αὐτῷ καταρτύσαντος [2β].

Τῶν Συγγραμμάτων αὐτοῦ αἱ φερόμεναι ἐκδόσεις ἥ τε ἐν Κολον. κατὰ τὸ 1686, καὶ ἡ Ἐνετίησ. κατὰ τὸ 1747. ἔτος γενόμεναι *.

Τῶν συγγραμμάτων αὐτοῦ
Τὰ ἀμφίβολα.

Ἐρωτήσεις χριστιανικαὶ ε΄ πρὸς Ἕλληνας. Ἐρωτήσεις ἑλληνικαὶ ιε΄ πρὸς τοὺς Χριστιανοὺς περὶ τοῦ ἀσωμάτου, καὶ περὶ τοῦ Θεοῦ, καὶ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν· καὶ ἀποκρίσεις χριστιανικαὶ πρὸς τὰς προῤῥηθείσας ἐρωτήσεις ἀπὸ τῆς εὐσεβείας τῶν φυσικῶν λογισμῶν. Ἀποκρίσεις πρὸς τοὺς ὀρθοδόξους περί τινων ἀναγκαίων ζητημάτων ρμς΄. Ἔκθεσις πίστεως περὶ τῆς ὀρθῆς ὁμολογίας ἐκ τοῦ τρίτου βιβλίου τοῦ περὶ τῆς ἁγίας Τριάδος συντάγματος.

Τὰ Ἐκλελοιπότα.

Σύνταγμα κατὰ πασῶν τῶν γεγενημένων αἱρέσεων [2γ]. Λόγοι κατὰ Μαρκίωνος [2δ]. Σύνταγμα ἐπιγεγραμμένον, Ψάλτης [2ε]. Σχολικὸν περὶ ψυχῆς [2ς]. Περὶ ἀναστάσεως [2η]. Ὑπομνήματα εἰς τὴν Ἑξαήμερον [2θ]. Λόγος περὶ προνοίας καὶ πίστεως [2ι].

ΙΠΠΟΛΥΤΟΣ ὁ ἀρχιερεύς τε καὶ μάρτυς Εἰρηναίῳ μὲν ἐμαθήτευσεν [2κ], ἐπὶ Ἀλεξάνδρου δὲ τοῦ Μαμαίας υἱοῦ, ἔτους ἐν ἔτει σωτηρίῳ 218. [2λ] ἤκμασε. περὶ δὲ τοῦ τίνος ἐχρημάτισεν ἐπίσκοπος πόλεως οὐ πάντες οἱ τὰ περὶ αὐτοῦ διαλαμβάνοντες σύμφωνοι. ὁ μὲν γὰρ Γεώργιος ὁ Σύγκελλος [2μ], καὶ ὁ Ζωναρᾶς [2ν], καὶ Νικηφόρος ὁ Κάλλιστος [2ξ], Πόρτου τοῦ κατὰ τὴν Ῥώμην αὐτὸν ἐπισκοπῆσαι φασιν· ὁ δὲ Κωνσταντινουπόλεως Γερμανὸς [2ο], καὶ Λεόντιος ὁ Βυζάντιος [2π], Ῥώμης· ὁ δὲ Γελάσιος ὁ Πάπας [2ρ], τῆς μητροπόλεως Ἀράβων· ὥσπερ ὅ, τε Κάβε [2σ], καὶ ὁ Οὐδῖνος [2τ], καὶ ἄλλοι τῶν νεωτέρων ἑπόμενοι, Ἀδάνου τοῦ κατὰ τὴν εὐδαίμονα Ἀραβίαν ἐμπορίου, τοῦ καὶ ῥωμαϊκοῦ ἐμπορίου καλουμένου, ἐπίσκοπον γενέσθαι διϊσχυρίζονται· πῇ μὲν ἐκ τῶν Εὐσεβίου τοῦ Παμφίλου λέξεων, πῇ δὲ ἐκ τῆς τοῦ Ἱερωνύμου ἀγνοίας τοῦτο συνάγοντες. τούτων γὰρ ὁ μὲν,

(α) Ὁ Σωκρ. ἐν βιβλ. 6. κεφ. 7. (β) Ὅρα τὰ περὶ τοῦ Χρυσοσ. (γ) Ὁ Κάβ. αὐτ. (δ) Ὅρα τὰ περὶ τοῦ Κυρίλ. (ε) Μνεία παρὰ Γενναδ. ἐν κεφ. 33. περὶ ἐκκλησιας. συγγραφ. ἀποσπασμ. δὲ τούτου εὑρήσεις παρὰ Θεοδωρίτ. ἐν διαλ. 2. ἐξ αὐτοῦ δὲ τοῦ τεύχ. τυχὸν καὶ τὸ μέρος τοῦ προσφωνητικοῦ λόγου πρὸς τοὺς φρονοῦντας τὰ Ὠριγένους, τὸ ἐν τῷ 4. κεφ. τοῦ 1. μερ. τῶν πρὸ τῆς ἐν Ἐφέσ. Συνόδ. (ς) Μέρ. παρὰ Θεοδωρίτ. ἐν διαλ. 3. (η) Ὅρα τὰ ἐν τῇ 5. συνελεύσ. τῆς οἰκουμ. 5. Συνόδ. τὰ ἐν σελ. 241. τοῦ 4. Τόμ. τῆς τοῦ Βιν. ἐκδόσ. (θ) Ταύτην ὁ Ἱερών. μετέφρασεν, ὡς αὐτὸς ἐν ἐπισ. 78. (τῇ ἐν Τόμ. 2. σελ. 212.) μαρτυρεῖ· ἀλλὰ καὶ τὸ πρωτότ. καὶ ἡ μετάφρ. ἐξέλιπον. (ι) Μνεία παρὰ Γενναδ. αὐτ. (κ) Σώζ. ὥς φησιν ὁ Κάβ. (αὐτ.) ἡ τοῦ Ἱερων. μετάφρ. ἐν τῷ 5. Τόμ. τῆς τῶν πατέρ. βιβλιοθ. μέρος δὲ καὶ ἑλλην. ἐν τῷ τέλ. τοῦ 2. Τόμ. τοῦ Πεταβ. οὗ ἡ ἐπιγραφή· de Doctrin. temp. (λ) Τούτ. ἀποσπασμ. εὑρήσεις ἐν τῇ 1. πράξ. τῆς ἐν Ἐφέσ. Συνόδ. (μ) Ἐστὶν ἡ 67. παρ᾽ Ἱερων. παρ᾽ αὐτοῦ μεταφρασθ. καὶ ἐν Τόμ. 2. σελ. 207. κατ. (ν) Κεῖνται ἐν τῷ 2. Τόμ. τῶν Πανδέκτ. σελ. 170. (ξ) Μέμν. ὁ Παλλάδ. ἐν τῷ 7. κεφ. τοῦ διαλ. τῷ ἐν τῷ 13. Τόμ. τοῦ Χρυσοσ. κατὰ τὴν τοῦ Μοντφωκ. ἔκδοσ. (ο) Ἐξεδόθη ἐν Παρισ. κατὰ τὸ 1608. ἔτ. ἀλλ᾽ ἔν τισι κώδ. Χριστοφόρῳ ἐπιγέγραπται, ὡς μαρτυρεῖ ὁ Κοτελέρ. παρὰ Κάβ. αὐτ. ἐν σελ. 280. (π) Σώζ. ἐν τῷ 58. θεολογικ. χειρογρ. κώδ. ἐν τῇ τῆς Βιέν. βιβλιοθ. κατὰ τὴν τοῦ Κάβ. μαρτυρίαν. (αὐτ.) ἄρχεται δ᾽ οὕτως· Οἱ αἱρετικοὶ καὶ μᾶλλον οἱ Ἀρμένιοι τῇ παρασκευῇ καὶ τῇ τετράδι τῆς Τυρινῆς, ὁμοίως, κτλ. (ρ) Σώζ. χειρόγρ. οὗ ἡ ἀρχή· Τί τερπνότερον ἢ τί ἡδύτερον τοῖς φιλοθέοις, κτλ. ὅρα τὸν Κάβ. αὐτ. (σ) Ὁ Ἱερών. ἐν τῷ καταλ. τῶν ἐκκλησιας. συγγραφ. καὶ ὁ Ἰουστῖν. παρ᾽ Εὐσεβ. ἐν βιβλ. 4. κεφ. 12. τῆς Ἱστορ. (τ) Ὁ Φαβρίκ. (ἐν μέρ. 1. τοῦ 5. βιβλ. σελ. 51.) ὁ δὲ Εὐσέβ. (ἐν βιβλ. 2. κεφ. 13. τῆς Ἱστορ.) ὁ μετ᾽ οὐ πολὺ, φησὶ, τῶν Ἀποστόλων· ὁ δὲ Φώτ. (ἐν κώδ. 234.) Ἀνὴρ οὔτε τῷ χρόνῳ πόῤῥω ὢν τῶν Ἀποστόλων, οὔτε τῇ ἀρετῇ. (υ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 61. (φ) Αὐτὸς ὁ Ἰουστῖν. ἐν τῇ ἀρχ. τοῦ πρὸς Τρύφ. διαλ. (χ) Ὁ Κάβ. αὐτ. (ψ) Ὁ Εὐσέβ. ἐν βιβλ. 4. κεφ. 11. τῆς Ἱστορ. (ω) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 16. (2α) Ὁ Φαβρίκ. (αὐτ. ἐν σελ. 52.) ὁ δὲ Κάβ. (αὐτ.) ἐν ἔτει 165. (2β) Ὁ Εὐσέβ. αὐτ. *) Ἐστὶ δὲ, φησὶν ὁ Φώτ. (ἐν κώδ. 124.) φιλοσοφίας μὲν ὁ ἀνὴρ τῆς τε καθ᾽ ἡμᾶς, καὶ μάλιστά γε τῆς θύραθεν εἰς ἄκρον ἀνηγμένος, πολυμαθείᾳ τε καὶ ἱστοριῶν περιῤῥεόμενος πλούτῳ· ῥητορικαῖς δὲ τέχναις οὐκ ἔσχε σπουδὴν ἐπιχρῶσαι τὸ ἔμφυτον αὐτοῦ τῆς φιλοσοφίας κάλλος. διὸ καὶ οἱ λόγοι αὐτοῦ ἄλλως ὄντες δυνατοὶ, καὶ τὸ ἐπιστημονικὸν διασώζοντες, τῶν ἔξωθεν οὐκ εἰσὶν ἀποστάζοντες ἡδυσμάτων, οὐδὲ τῷ ἐπαγωγῷ καὶ θελκτηρίῳ τοὺς πολλοὺς τῶν ἀκροατῶν ἐφελκόμενοι. (2γ) Μνεία παρ᾽ Ἰουστῖν. ἐν τῇ 2. ἀπολογ. καὶ παρ᾽ Εὐσεβ. ἐν βιβλ. 4. κεφ. 11. τῆς Ἱστορ. (2δ) Παρὰ Φωτ. ἐν κώδ. 125. καὶ παρὰ Ἱερωνύμ. ἐν τῷ καταλ. καὶ παρ᾽ Εὐσεβ. αὐτ. (2ε) Παρ᾽ Εὐσεβ. αὐτ. ἐν κεφ. 18. καὶ παρ᾽ Ἱερωνύμ. αὐτ. (2ς) Παρὰ τοῖς Αὐτ. αὐτ. (2η) Παρὰ Δαμασκ. ἐν Τόμ. 2. σελ. 755. τῶν Παραλ. καὶ παρὰ Φωτ. ἐν κώδ. 48. ὡς ἀμφίβολ. (2θ) Ἀποσπασμάτ. τούτων παρ᾽ Ἀναστασ. τῷ Σιναΐτ. ὡς μαρτυρεῖ ὁ Φαβρίκ. αὐτ. ἐν σελ. 60. (2ι) Ἀποσπασμάτ. παρὰ Μαξίμ. ἐν Τόμ. 2. σελ. 154. (2κ) Ὁ Φώτ. ἐν κώδ. 121. (2λ) Ὅρα τὴν 219. σελ. τοῦ χρον. κανόν. τοῦ Εὐσεβ. καὶ τὴν 358, ἢ 287. σελ. τῆς Χρονογραφ. τοῦ Συγκέλ. (2μ) Αὐτ. (2ν) Ἐν σελ. 620, ἢ 468. τοῦ χρον. (2ξ) Ἐν βιβλ. 4. κεφ. 31, καὶ βιβλ. 5. κεφ. 15. (2ο) Ἐν σελ. V. τῶν τοῦ Ἱππολύτ. συγγραμ. τῶν ἐν Ἀμβουργ. ἐκδοθ. (2π) Αὐτ. ἐν σελ. IX. (2ρ) Αὐτ. ἐν σελ. 215. (2σ) Ἐν Τόμ. 1. σελ. 102. (2τ) Ἐν Τόμ. 1. σελ. 222.

Φησί· τούτων Βήρυλλος σὺν ἐπιστολαῖς καὶ συγγράμμασι διαφόρους Φιλοκαλίας καταλέλοιπεν· ἐπίσκοπος δὲ οὗτος ἦν τῶν κατὰ Βόστραν Ἀράβων· ὡσαύτως δὲ καὶ Ἱππόλυτος ἑτέρας που καὶ αὐτὸς προεστὼς Ἐκκλησίας [α]. ὁ δὲ, Hippolytus cuiusdam ecclesiae episcopus (nomen quippe vrbis scire non potui) [β]. Ὁ Ἱππόλυτος Ἐκκλησίας τινὸς ἐπίσκοπος (τοὔνομα δὲ τῆς πόλεως μαθεῖν οὐκ ἠδυνήθην). ἐκ μὲν οὖν τῶν τοῦ ἀγνοοῦντος Ἱερωνύμου ῥημάτων, πλὴν τῆς ἀγνοίας ἕτερον προκύπτει οὐδέν· ἐκ δὲ τῶν τοῦ Εὐσεβίου, οὐκ ἄν τις οὐδ᾽ Ἄραβα εἶναι, οὐδ᾽ Ἀραβίας πόλεως ἐπίσκοπον τὸν Ἱππόλυτον γεγονέναι εὐλόγως συνάξοι. τοῦ γάρ, τούτων, ἐπὶ τοῖς προτέροις ἀναγομένου, τουτέστι τοῖς, ἤκμαζον δὲ κατὰ τοῦτο πλείους λόγιοι καὶ ἐκκλησιαστικοὶ ἄνδρες - - τούτων Βήρυλλος, κτλ. καὶ τό, ὡσαύτως, αὐτοῖς ἀνακλέον, πάντων δῆθεν τῶν μεταξὺ ὡς διὰ μέσου ἐκλαμβανομένων· ἤτοι, ὡσαύτως τούτων τῶν λογίων καὶ Ἐκκλησιαστικῶν ἀνδρῶν καὶ Ἱππόλυτος· ἢ κἂν τοῖς προσεχεστέροις, εἴτουν τοῖς, διαφόρους Φιλοκαλίας καταλέλοιπεν, οὐχὶ δὲ τοῖς, ἐπίσκοπος δὲ οὗτος ἦν τῶν κατὰ Βόστραν Ἀράβων. καὶ γὰρ οὐ περὶ ἐπισκοπῶν ὧδε ἦν ὁ τοῦ Εὐσεβίου σκοπὸς καὶ λόγος, ἀλλὰ περὶ τῶν λογίων ἐκκλησιαστικῶν ἀνδρῶν τῶν συγγράμματα καταλελοιπότων. ὅθεν καὶ τό, ἑτέρας που εἰπών, τὸ ποίας, ὡς οὐκ ὀφείλων δηλῶσαι, παρέδραμεν. ἀλλαχοῦ δὲ [γ] καὶ τό, ποίας δῆλον ποιεῖ λέγων· Ἱππόλυτος ἱερὸς Φιλόσοφος ἐπίσκοπος Πόρτου τοῦ κατὰ τὴν Ῥώμην διαπρεπῶς ἤνθει, κτλ. τῶν δὲ Ῥώμης αὐτὸν εἰπόντων ἐπίσκοπον, ὁ μὲν Γερμανός φησι, τοῦτο καὶ Ἱππόλυτος Ῥώμης καὶ ὁ ἅγιος Κύριλλος λέγουσιν· ὁ δὲ Λεόντιος, Κλήμης καὶ Ἱππόλυτος ἐπίσκοποι Ῥώμης. ἀλλὰ γὰρ δῆλον, ὅτι ἢ κατὰ παραδρομήν, ἢ τῇ συντομίᾳ προσέχοντες, ἢ διὰ τὸ ὑπὸ τὴν Ῥώμην καὶ τὴν Πόρτου εἶναι πόλιν, οὕτως εἰρήκασι. τὰ δὲ τοῦ Γελασίου σόλοικα ῥήματα, ἤτοι τά, Hippolyti episcopi et martyris Arabum metropolis in memoria haeresium [δ], τῶν ἀμφιβαλλομένων εἰσί. τὸ γὰρ περὶ τῶν δύο φύσεων ἐν Χριστῷ σύνταγμα, ἐξ οὗ ταῦτα ἐλήφθη, Γελασίου τοῦ Κυζινοῦ ἐπισκόπου Καισαρείας τῆς ἐν Παλαιστίνῃ εἶναί φασιν [ε]. ἀλλ᾽ ὁποιονοῦν ἂν εἴη, τί ἐν τοῖς τοιούτοις ζητήμασιν ἢ τοῦ ἑνὸς πρὸς τὰς τοσούτων καὶ τοιούτων ἀνδρῶν μαρτυρίας; ἐκ τῶν εἰρημένων οὖν κατιδεῖν ῥᾴδιον, τὸν Ἱππόλυτον Πόρτου Ῥώμης ἐπίσκοπον χρηματίσαι. ἄλλως γὰρ οὐδὲ πάνυ πιθανὸν ἔοικεν, ἄνδρα τοιοῦτον τὴν ἰδίαν καταλιπόντα ποίμνην ἐν τῇ τῶν Ἰταλῶν μέχρι θανάτου παροικῆσαι, ὡς ὁ οὐ πόρρω τῆς Ῥώμης κατὰ τὸ 1551. ἔτος εὑρεθεὶς αὐτοῦ ἀνδριὰς καὶ τὸ μνημεῖον ἐναργέστατα μαρτυροῦσιν [ς]. ἀλλὰ γὰρ καὶ περὶ τοῦ ἔτους, ἐν ᾧ τὸν βίον ἐξετέλεσεν ὁ ἅγιος οἱ συγγραφεῖς διαφέρονται. οἱ μὲν γάρ φασιν, ἐν τῷ 230. [η]. οἱ δὲ ἐν τῷ 235. [θ]. οἱ δὲ καὶ ἄχρι τοῦ 252. ἔτους παρεκτείνουσι τὸ τοῦ βίου αὐτοῦ μαρτυρικὸν τέρμα [ι].

Τῶν τότε σωζομένων συγγραμμάτων ἡ ἐν Ἀμβουργ. κατὰ τὸ 1716. ἔτος γενομένη ἔκδοσις πληρεστέρα μὲν τῶν ἄλλων, δύσχρηστος δὲ διὰ τὴν τῶν πινάκων τελείαν ἔλλειψιν [*].

ΙΣΙΔΩΡΟΣ ὁ Πηλουσιώτης Ἀλεξανδρεὺς ἦν τὸ γένος [κ], τοῦ θείου Χρυσοστόμου ἀκροατής [λ], ἀνὴρ ἐλλογιμώτατος φιλόσοφός τε καὶ ῥήτωρ [μ]. περὶ δὲ τὸ 412. ἔτος ἀκμάσας [ν], τοῦ Πηλουσίου καθηγήσατο ὄρους [ξ], ἔργῳ τε καὶ λόγῳ θαυμασίως διαπρέπων. οὐ μόνον γὰρ τὰ ἀσκητικὰ διαθλῶν σκάμματα, στήλην μοναδικοῦ βίου ζῶσαν ἑαυτὸν παρεσκεύαζεν, ἀλλὰ καὶ τὸ διδασκαλικὸν νᾶμα τοῖς ἐγγύς τε παρεῖχε διαψιλὲς καὶ τοῖς πόρρω. περιὼν δὲ ἔτι τῷ βίῳ ἐν ἔτει 431, ὡς ἐκ τῆς 311. ἐπιστολῆς τοῦ 1. αὐτοῦ βιβλίου καταμαθεῖν ῥᾴδιον, περὶ τὸ 449. ἢ 450. ἔτος [ο] εἰς τὴν Ἱερουσαλὴμ μετέστη τὴν ἐπουράνιον. συγγράψαι δὲ τοῦτόν φασιν οἱ μὲν [π], τρεῖς χιλιάδας ἐπιστολῶν· οἱ δὲ ὡσεὶ χιλιάδας δέκα χάριτος παντοίας μεστὰς θείας τε ἅμα καὶ ἀνθρωπίνης [ρ].

Ἡ ἐν Παρισ. κατὰ τὸ 1638. ἔτος τῶν ἐπιστολῶν αὐτοῦ γενομένη ἔκδοσις τῶν ἄλλων πλήθει ὑπερτεροῦσα, ἐπιστολὰς περιέχει 2012. [σ]

ΙΩΣΗΠΟΣ ὁ ἐπικληθεὶς Φλάβιος [τ] υἱὸς ἦν Ματθίου, Ἰουδαῖος τὸ γένος, ἱερεὺς τὴν φυλήν, Ἀσμοναῖος τὴν πατρίδα, καὶ Φαρισαῖος τὴν αἵρεσιν. ἐν Ἱεροσολύμοις δὲ τῷ πρώτῳ τῆς ἡγεμονίας ἔτει Γαΐου γεννηθεὶς [υ], εἴτουν τῷ ἀπὸ τοῦ Σωτῆρος Χριστοῦ 37. [φ] τοσοῦτον τῇ παρ᾽ Ἑβραίων παιδείᾳ προέβη, ὥστε τεσσαρεσκαιδέκατον ἔτος ἄγοντα τοὺς ἀρχιερεῖς καὶ τοὺς τῆς πόλεως πρώτους παρ᾽ αὐτοῦ ἀκριβέστερόν τι περὶ τῶν νομίμων ζητεῖν ἐπιγνῶναι. ἐν ἔτει δὲ 63. εἰς Ῥώμην παραγίνεται τισὶ τῶν συνήθων αὐτῷ ἱερέων ἐκεῖ δεσμίων ἀπαχθέντων ἐπικουρῆσαι προθέμενος [χ]. ἐπανιὼν δέ, καὶ στάσει τε καὶ πολέμῳ τὴν πατρίδα κατατρυχομένην εὑρών, Ἡγεμὼν τῆς Γαλιλαίας προχειρισθεὶς [ψ], γενναίως τοῖς πολεμίοις ἀντέστη, ἄχρις οὗ τῆς Ἰωταπάτης κατὰ τὸ 67. ἔτος [ω] ὑποχειρίου γενομένης, καὶ αὐτὸς ὑπὸ τῶν ἐχθρῶν συνελήφθη [2α]. τῶν δεσμῶν δὲ τῷ τοῦ Οὐεσπεσιανοῦ κελεύσματι ἀπολυθείς, δι᾽ ἣν εἴρηκε πρόρρησιν [2β], συνεπέμφθη κατὰ τὸ 70. ἔτος τῷ Τίτῳ ἀπὸ τῆς Ἀλεξανδρείας ἐπὶ τῇ τῆς Ἱερουσαλὴμ πολιορκίᾳ τε καὶ ἁλώσει. ὅπου δὴ καὶ γραφῇ ἅπαντα τὰ τότε ἐξέδωκε συμβάντα [2γ]. μετὰ δὲ ταῦτα εἰς Ῥώμην ἀφικόμενος, τῶν ἑλληνικῶν γραμμάτων μετασχεῖν ἐσπούδαζε [2δ]. καὶ τοὺς περὶ ἰουδαϊκῆς ἀρχαιολογίας λόγους συνταξάμενος, τοῖς δυσὶ βασιλεῦσιν Οὐεσπεσιανῷ τε καὶ Τίτῳ προσήγαγε. καὶ οἱ μὲν τῇ δημοσίᾳ παρεδόθησαν βιβλιοθήκῃ, αὐτὸς δὲ ἀνδριάντος ἠξίωται [2ε]. παρέτεινε δὲ τὸν βίον ἄχρι τοῦ 93. ἔτους [2ς]. ταύτην δ᾽ ἡμῖν καταλέλοιπε τὴν ἀξιόλογον ὑπὲρ Χριστοῦ τοῦ Σωτῆρος μαρτυρίαν.

Γίνεται καὶ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς σοφὸς ἀνήρ, εἴ γε ἄνδρα αὐτὸν λέγειν χρή. ἦν γὰρ παραδόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τ᾽ ἀληθῆ δεχομένων. καὶ πολλοὺς μὲν Ἰουδαίους, πολλοὺς δὲ καὶ ἑλληνικοὺς ἐπηγάγετο. ὁ Χριστὸς οὗτος ἦν. καὶ αὐτὸν ἐν δείξει τῶν πρώτων ἀνδρῶν παρ᾽ ἡμῖν σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἵ γε πρῶτον ἀγαπήσαντες. ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων Προφητῶν ταῦτα καὶ ἄλλα μυρία θαυμάσια περὶ αὐτοῦ εἰρηκότων. εἰς δὲ νῦν τῶν Χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένων οὐκ ἀπέλειπε τὸ φῦλον [2η].

Τῶν

(α) Ἐν βιβλ. 6. κεφ. 20. τῆς Ἱστορ. (β) Ἐν τῷ τῶν ἐκκλησιασ. συγγραφ. καταλ. (γ) Ἐν τῷ 1. τῶν χρον. λόγ. σελ. 85. τῆς ἐν Ἀμστελοδ. ἐκδόσ. (δ) Ἐν σελ. 225. τῆς εἰρημ. τῶν τοῦ Ἱππολ. συγγραμ. ἐκδόσ. κεῖται. (ε) Ὅ, τε Βελλαρμῖν. καὶ ὁ Βαρών. παρὰ Μυραίῳ ἐν τῷ σχολ. τῷ εἰς τὸ 94. κεφ. τοῦ Γενναδ. περὶ ἐκκλησιασ. συγγραφ. (ς) Ὅρα τὰ προοίμ. τῆς εἰρημ. ἐκδόσ. (η) Ὁ Οὐδῖν. ἐν Τόμ. 1. σελ. 222. (θ) Ὁ Δοδουέλ. παρὰ Φαβρικ. ἐν ταῖς σημειώσ. ταῖς ἐν τῇ 203. σελ. τοῦ 1. μέρ. τοῦ 5. βιβλ. (ι) Ὁ Θεοδωρίκ. ἐν σελ. 14. τῆς εἰρημ. ἐκδόσ. (*) Τὴν δὲ φράσιν σαφής ἐστι, φησὶν ὁ Φώτιος. (ἐν κώδ. 121.) καὶ ὑπόσεμνος καὶ ἀπέριττος, εἰ καὶ πρὸς τὸν ἀττικὸν οὐκ ἐπιστρέφεται λόγον· λέγει δὲ ἄλλα τε τινὰ τῆς ἀκριβείας λειπόμενα, καὶ ὅτι ἡ πρὸς Ἑβραίους ἐπιστολὴ οὐκ ἔστι τοῦ ἀποστόλου Παύλου· τὰ δὲ ἑξῆς ὅσα ἐν τῷ αὐτῷ κώδ. φησὶν ὁ Φώτ. οὐ περὶ τοῦ Ἱππολύτ. ἀλλὰ περὶ τοῦ Ἀμβροσίου νοητέον κατὰ τὴν τοῦ Εὐσεβίου μαρτυρίαν. ἐν βιβλ. 6. κεφ. 23. τῆς Ἱστορ. (κ) Ὁ Φώτ. ἐν κώδ. 228. (λ) Νικηφ. ὁ Κάλλιστ. ἐν βιβλ. 14. κεφ. 53. (μ) Ὁ Σουΐδ. εἰς τὸ Ἰσίδωρ. (ν) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 390. (ξ) Ὁ Νικηφ. αὐτ. (ο) Ὁ Φαβρίκ. ἐν τεύχ. 9. σελ. 253. (π) Ὁ Σουΐδ. αὐτ. (ρ) Ὁ Νικηφ. αὐτ. (σ) Σίξτος ὁ Σενένσ. ἐν τῷ 4. βιβλ. τῆς βιβλιοθ. (παρὰ Κάβ. αὐτ.) τεῦχος χειρόγρ. ἰδεῖν διαμαρτύρεται ἐν τῇ Ἑνετίησ. τοῦ ἁγίου Μάρκ. βιβλιοθ. ἐπιστολὰς περιέχον 1148. ὧν ἡ πρώτη ἄρχεται οὕτω· ἐπειδὴ κυκλικόν ἐστι χρόνου. ἴσως δὲ τῶν ἀνεκδότων εἰσὶν αὗται, ἢ πᾶσαι, ἢ ἔνιαι. (τ) Ὁ Κλήμ. ἐν στρώμ. 1. σελ. 341. (υ) Αὐτὸς ὁ Ἰώσηπ. εἰς τὸν ἑαυτοῦ βίον (φ) Ὅ, τε Κάβ. ἐν Τόμ. 1. σελ. 32. καὶ ὁ Φαβρίκ. ἐν τῷ 1. μέρ. τοῦ 4. βιβλ. σελ. 228. (χ) Ὁ Ἰώσηπ. αὐτ. (ψ) Ὁ Αὐτ. ἐν βιβλ. 2. τοῦ Ἰουδαϊκ. πολέμ. κεφ. 25. (ω) Ὁ Φαβρίκ. αὐτ. (2α) Ὁ Ἰώσηπ. αὐτ. ἐν βιβλ. 3. κεφ. 24. καὶ 26. (2β) Ὁ Αὐτ. αὐτ. ἐν βιβλ. 5. κεφ. 39. (2γ) Ὁ Αὐτ. ἐν τῷ κατὰ Ἀπίων. βιβλ. 1. σελ. 1037. (2δ) Ὁ Αὐτ. ἐν βιβλ. 20. κεφ. 9. τῆς Ἰουδαϊκ. ἀρχ. (2ε) Ὁ Ἱερώνυμ. ἐν τῷ τῶν ἐκκλησιασ. συγγραφ. καταλ. (2ς) Ὅ, τε, Κάβ. καὶ ὁ Φαβρίκ. αὐτ. (2η) Ὅρα τὸ τοῦ Καρόλου Δαυβουζ. ἐν Λονδίνῳ κατὰ τὸ 1706. ἔτ. ἐκδοθὲν πόνημα. ἐν ᾧ γενναίως ἡ τῶν λόγων τούτων ἐναποδείκνυται γνησιότης.

Τῶν τούτου συγγραμμάτων ἔκδοσις αἱρετωτέρα ἡ ἐσχάτη ἡ κατὰ τὸ 1726. ἔτος ἐν Ἀμστελοδ. γενομένη, καὶ δυσὶ συνταχθεῖσα τόμοις *.

Ὁ ΚΛΗΜΗΣ, ὃν τινὲς μὲν Ἀλεξανδρέα, ἕτεροι δ' Ἀθηναῖόν φασιν [α], ἐθνικὸς ὢν πρότερον τῇ τῆς εὐαγγελικῆς διδασκαλίας ἐλλάμψει κατηυγάσθη ὕστερον [β], Πανταίνῳ τῷ θαυμασίῳ μαθητεύσας [γ], παρ' οὗ τῶν θείων Γραφῶν δαψιλῶς ἐποτίσθη τὰ ζωηρότατα νάματα, καὶ ὅνπερ διεδέξατο, τοῦ ἐν Ἀλεξανδρείᾳ τῶν κατηχήσεων σπουδαστηρίου χρηματίσας διδάσκαλος [δ]. καὶ πρεσβύτερος δὲ τῆς Ἀλεξανδρέων Ἐκκλησίας γενόμενος, διὰ τὸν ἐπὶ Σεβήρου διωγμὸν εἰς Ἱεροσόλυμα μεταχωρήσας, τὴν ἐκεῖ τοῦ Κυρίου Ἐκκλησίαν ἐπεστήριξέ τε καὶ ηὔξησεν [ε]. ἐπὶ δὲ τὴν Ἀλεξάνδρειαν ἐπανιὼν, ἐπὶ Καρακάλλου μὲν τοῦ Ἀντωνίνου, τοῦ κατὰ τὸ 211. ἔτος βασιλεύσαντος [ς] τὸ τοῦ βίου πέρας αὐτὸν κατέλαβεν [η]· ἀλλ' ἐν τίνι τῶν ἑπτὰ ἐτῶν, ἐν οἷς ὁ Καρακάλλος τὴν βασιλείαν ἰθύνων ὤφθη, ἄδηλον.

Τῶν σωζομένων αὐτοῦ συγγραμμάτων ἀκριβεστέρα ἔκδοσις ἡ ἐν ἔτει 1715. κατὰ τὸ Ὀξόν. γενομένη καὶ δυσὶ τεύχεσι συνταχθεῖσα *.

Τῶν Συγγραμμάτων αὐτοῦ

Τὰ ἐκλελοιπότα.

Λόγοι ὀκτὼ ὑποτυπώσεων [θ]. Σύγγραμμα εἰς τὸν προφήτην Ἀμώς [ι]. Λόγος περὶ προνοίας [κ]. Λόγος περὶ τοῦ πάσχα [λ]. Διαλέξεις περὶ νηστείας [μ]. Λόγος εἷς περὶ κακολογίας [ν]. Λόγος προτρεπτικὸς εἰς ὑπομονὴν, ἢ πρὸς τοὺς νεωστὶ βεβαπτισμένους [ξ]. Κανὼν ἐκκλησιαστικὸς, ἢ πρὸς τοὺς ἰουδαΐζοντας [ο]. Ὅροι διάφοροι [π]. Λόγος περὶ ἀρχῶν [ρ]. Ἀλληγορίαι τῶν ἐπὶ Θεοῦ λεγομένων μελῶν καὶ παθῶν [σ]. Λόγος περὶ Ἀγγέλων [τ]. Περὶ τοῦ Διαβόλου [υ]. Περὶ γενέσεως κόσμου [φ]. Περὶ τῆς Ἐκκλησίας [χ]. Ὑποθῆκαι εἰς πρεσβυτέρους, ἐπισκόπους, διακόνους, καὶ χήρας [ψ]. Περὶ ψυχῆς [ω]. Περὶ Ἀναστάσεως [2α]. Λόγος γαμικός [2β]. Περὶ ἐγκρατείας [2γ]. Διαλέξεις πρὸς τὰς αἱρέσεις [2δ].

ΚΥΡΙΛΛΟΣ ὁ θειότατος, ὁ Ἀλεξανδρείας ἐπίσκοπος, ἀδελφιδοῦς ὢν Θεοφίλου [2ε], κατὰ τὸ 412. [2ς] ἔτος καὶ διάδοχος τοῦ θρόνου αὐτοῦ ἐγένετο. μετ' οὐ πολὺ δὲ, ἣν ἐκ πολλοῦ κατὰ τοῦ θεσπεσίου εἶχε Χρυσοῤῥήμονος ἀπέχθειαν προλήψει δουλεύων τῇ παρὰ τοῦ θείου αὐτοῦ Θεοφίλου αὐτῷ ἐγκολαφθείσῃ, προθέλυμνα ἀπέσπασε, τῆς μητρὸς τοῦ Κυρίου αὐτῷ ὀφθείσης, καὶ τοῖς ἱεροῖς ἀναγλύφοις παραδεχθῆναι ἀξιωσάσης τὸν Χρυσόστομον. ἔνθεν τοι ἑαυτοῦ καταγνοὺς καὶ μεταμέλῳ χρησάμενος σὺν τῇ περὶ αὐτὸν Συνόδῳ τοῖς ἱεροῖς τὸ αὐτοῦ ὄνομα ἐνέγραψε δέλτοις [2η]. ἐν ἔτει δὲ 415. [2θ] τοὺς Ἰουδαίους ἅπαντας, διὰ τὰς κατὰ τῶν Χριστιανῶν μηχανάς τε καὶ σκευωρίας καὶ τοὺς δολίους φόνους ἀνδρείως ἐλάσας τῆς Ἀλεξάνδρου ἐξέωσε [2ι], καὶ τὴν κατὰ τῶν αἱρετικῶν τῶν κατ' ἐκεῖνον πανταχόθεν ἐφορμώντων τὸν καιρὸν, ἀθλητικὴν τοῦ πνεύματος ἀνεδήσατο παλαίστραν· μάλιστα δὲ τὴν κατὰ τοῦ δυσσεβοῦς Νεστορίου, τοῦ κατὰ τῆς παναγνοῦ μητρὸς τοῦ Θεοῦ λυττήσαντος, καὶ οὐχ ὅπερ ἐστὶ, Θεοτόκον, ὁμολογεῖν θέλοντος, ἀλλὰ μόνον χριστοτόκον πρός τε τὸ πιστεύειν καὶ τοὺς ἄλλους ἀναπείθειν ἐκμανέντος. τοῦτον ὁ ἅγιος πᾶσι τοῖς τῆς ἐπιεικείας τρόποις τῆς ὀλεθρίου πλάνης ἐπιστρέψαι κατὰ τὰς εὐαγγελικὰς ἐσπούδασε παραγγελίας. πρῶτον μὲν γὰρ, κατὰ τὸ, ἔλεγξον μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου, οὐχ ἅπαξ ἢ δὶς, ἀλλὰ πολλάκις παραινετικὰ καὶ ἀποδεικτικὰ ἀπέστειλεν αὐτῷ γράμματα. εἶτα ἰδὼν αὐτὸν τῷ πείσματι ἐμμένοντα, καὶ τῆς σκοτομήνης μὴ ἀνανήφοντα, καὶ τῇ Ἐκκλησίᾳ προσεῖπε. καὶ γὰρ ἐν ἔτει 326. [2κ] τὴν ἐν Ἀλεξανδρείᾳ τοπικὴν ἀθροίσας Σύνοδον, καὶ τὴν παρὰ τοῦ Νεστορίου ἀθετουμένην ἀλήθειαν δώδεκα κεφαλαίοις, εἴτουν ἀναθεματισμοῖς, ἐμπεριλαβὼν, καὶ διὰ πρέσβεων μεταστείλας, καθυπογράψαι αὐτὸν ἀπῄτησεν. ὡς δὲ καὶ τοῦτο ἀπηνήνατο ὁ δείλαιος, τὸν αὐτοκράτορα λοιπὸν Θεοδόσιον ἀνέπεισε τὴν οἰκουμενικὴν ἐν Ἐφέσῳ συγκροτῆσαι ἁγίαν Σύνοδον. ἥτις γε δὴ, Κυρίλλου προεξάρχοντος, τὸν Νεστόριον τρὶς προσκληθέντα καὶ μὴ παραγενόμενον, τοῦ ἐπισκοπικοῦ ἀξιώματος καὶ παντὸς ἱερατικοῦ συλλόγου ἀπέφηνεν ἀλλότριον [2λ]. ἀπήχθοντο δὲ τῷ θειοτάτῳ πατρὶ, ὅ, τε τῆς Ἀντιόχου Ἰωάννης καὶ οἱ σὺν αὐτῷ τρίτην ἡμέραν μετὰ τὴν τοιαύτην ἀφικόμενοι καθαίρεσιν, ἅτε μὴ καὶ αὐτοὺς περιμείναντι, καὶ δὴ συνάμα Νεστορίῳ συνέδριον καθίσαντες, αὐτὸν καθεῖλον. ἀλλ' ὁ μὲν ὑπ' αὐτῆς τῆς ἁγίας Συνόδου τῆς παραλόγου λύεται καθαιρέσεως· οἱ δὲ αὐτὸν καθελόντες δεσμῶται γίνονται [2μ]. νικηφόρος οὖν ἐπανελθὼν ἐπὶ τὴν Ἀλεξάνδρειαν ὁ Κύριλλος τῷ τε Ἰωάννῃ καὶ τοῖς περὶ αὐτὸν καταλλαχθεὶς ἀνατολικοῖς ἐπισκόποις [2ν], ἐν ἔτει 444. [2ξ] πρὸς τὰς οὐρανίους σκηνὰς μεθίσταται.

Τῶν σωζομένων αὐτοῦ Συγγραμμάτων αἱρετωτέρα ἡ ἐν Παρισ. κατὰ τὸ 1638. ἔτος γενομένη ἔκδοσις, ἑπτὰ συνταχθεῖσα τόμοις *. Αἱ δὲ 19. εἰς τὸν Ἱερεμίαν ὁμιλίαι αἱ κατὰ τὸ 1648. ἔτος ἐν Ἀντουερπ. ἐκδοθεῖσαι, καὶ τῷ ὀνόματι αὐτοῦ ἐπιγραφεῖσαι, τοῦ Ὠριγένους ποιήματα ἐπεγνώσθησαν [2ο].

ΚΥΡΙΛΛΟΣ ὁ Ἱεροσολύμων ὁ θεοφιλέστατος ἐπὶ Μακαρίου τοῦ Ἱεροσολύμων διάκονος ὢν, καὶ ὑπὸ Μαξίμου πρεσβύτερος προχειρισθεὶς [2π], περὶ που μὲν τὸ 347. ἔτος [2ρ] τοὺς ἐν Ἱεροσολύμοις κατηχῶν διετέλει· περὶ δὲ τὸ 350. [2σ] τοῦ Μαξίμου καθίσταται διάδοχος. ἐν ἔτει δὲ 351. [2τ] περὶ τοῦ ἐν οὐρανοῖς φανέντος σημείου τοῦ σταυροῦ τῷ αὐγούστῳ γράφει Κωνσταντίῳ [2υ]. μετὰ δὲ ταῦτα πρὸς Ἀκάκιον περὶ μητροπολιτικῶν δικαίων διαφερόμενος, ὑπ' αὐτοῦ τε καὶ τῆς περὶ αὐτὸν ἐν Παλαιστίνῃ Συνόδου καθαιρέσει καθυποβάλλεται, ἐπὶ πράσει διαβληθεὶς ἱερῶν κειμηλίων [2φ]. ὁ δὲ

*) Καθαρὸς τὴν φράσιν, φησὶν ὁ Φώτιος (ἐν κώδ. 47.) καὶ ἀξίωμα λόγου μετὰ ἡδονῆς καὶ εὐκρινείας δεινὸς ἐκφῆναι. πιθανός τε ταῖς δημηγορίαις καὶ ἐπίχαρις, κἂν ἐπὶ τἀναντία ὁ καιρὸς καλῇ χρήσασθαι τῷ λόγῳ. δεξιὸς καὶ γόνιμος ἐνθυμημάτων ἐφ' ἑκάτερα, καὶ γνωμολογικὸς δὲ ὡς εἴ τις, καὶ πάθη τῷ λόγῳ παραστῆσαι ἱκανώτατος, καὶ ἐγεῖραι πάθος καὶ πραΰναι δοκιμώτατος. (α) Ὁ Ἐπιφάν. ἐν αἱρέσ. 32. ἵν. δὲ Ἀθήνησι μὲν ἐγεννήθη, ἐν Ἀλεξανδρείᾳ δὲ διέπρεψεν. (β) Ὁ Εὐσέβ. ἐν βιβλ. 2. κεφ. 2 τῆς Εὐαγγελ. προπαρ. (γ) Ὁ Αὐτ. ἐν βιβλ. ς. κεφ. 11. τῆς Ἱστορ. καὶ ὁ Ἱερών. ἐν τῷ τῶν Ἐκκλησιαστ. συγγραφ. καταλ. καὶ ὁ Φώτ. ἐν κώδ. 109. (δ) Ὁ Ἱερών. αὐτ. (ε) Ὁ Εὐσέβ. ἐν βιβλ. 6. κεφ. 11. τῆς Ἱστορ. (ζ) Ὁ Αὐτ. ἐν τῷ χρον. (η) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 88. *) Περὶ μὲν τοῦ Παιδαγωγοῦ ὁ Φώτιος (ἐν κώδ. 110.) φησὶ τάδε· οὐδὲν δὲ ὅμοιον ἔχουσι πρὸς τὰς ὑποτυπώσεις οὗτοι οἱ λόγοι. τῶν τε γὰρ ματαίων καὶ βλασφήμων ἀπηλλαγμένοι δοξῶν καθεστήκασι, καὶ ἡ φράσις ἀνθηρὰ, καὶ εἰς ὄγκον ἠρμένη σύμμετρον μετὰ τοῦ ἡδέος, καὶ ἡ πολυμάθεια ἐμπρέπουσα. περὶ δὲ τῶν στρωματ. (ἐν κώδ. 111.) τάδε· αὕτη δὲ ἡ τῶν στρωματέων βίβλος ἐνιαχοῦ οὐχ ὑγιῶς διαλαμβάνει, οὐ μέντοιγε ὥσπερ αἱ ὑποτυπώσεις, ἀλλὰ καὶ πρὸς πολλὰ τῶν ἐκεῖ διαμάχεται. (θ) Μνεία παρὰ Φώτ. (ἐν κώδ. 109.) ὡς βλασφήμους αὐτὰς ἐξελέγχοντι· καὶ παρ' Εὐσεβ. ἐν βιβλ. 2. κεφ. 1, 9, καὶ 15, καὶ βιβλ. 6. κεφ. 13. τῆς Ἱστορ. (ι) Παρὰ Παλλαδ. ἐν τῇ Λαυσαϊκ. Ἱστορ. ὡς μαρτυρεῖ ὁ Φαβρίκ. ἐν τῷ 1. μέρ. τοῦ 5. βιβλ. σελ. 112. (κ) Παρὰ Μαξίμ. ἐν Τόμ. 2. σελ. 144, καὶ 152. (λ) Παρ' Εὐσεβ. ἐν βιβλ. 4. κεφ. 26 τῆς Ἱστορ. καὶ παρ' Ἱερων. αὐτ. καὶ παρὰ Φώτ. ἐν κώδ. 111. καὶ παρὰ τῷ Ἀδὴλ. ἐν σελ. 1037. τῆς δὲ τῆς βίβλ. (μ) Παρ' Ἱερων. αὐτ. καὶ παρ' Εὐσεβ. ἐν βιβλ. 6. κεφ. 13. τῆς Ἱστορ. (ν) Παρ' Ἱερων. αὐτ. (ξ) Παρ' Εὐσεβ. αὐτ. (ο) Παρὰ τῷ Αὐτ. αὐτ. καὶ παρὰ Φωτ. αὐτ. (π) Παρ' Ἰωάν. τοῦ Βικ. ὅρα Φαβρίκ. αὐτ. ἐν σελ. 113. (ρ) Παρ' Αὐτῷ τῷ Κλήμ. ἐν στρωμ. 3. σελ. 516. τῆς εἰρημ. ἐκδόσ. ἢ 431. ἄλλης. (σ) Παρὰ τῷ Αὐτ. ἐν στρώμ. 5. σελ. 687 ἢ 580. (τ) Παρὰ τῷ Αὐτ. ἐν στρώμ. 6. σελ. 755, ἢ 631. (υ) Παρὰ τῷ Αὐτ. ἐν στρώμ. 4. σελ. 01, ἢ 507. (φ) Παρὰ τῷ Αὐτ. ἐν στρώμ. 6. σελ. 827, ἢ 698. (χ) Παρὰ τῷ Αὐτ. ἐν στρώμ. 7. σελ. 900, ἢ 765. (ψ) Παρὰ τῷ Αὐτ. ἐν τῷ 1ῳ. τοῦ παιδαγ. κεφ. σελ. 309, ἢ 264. (ω) Παρὰ τῷ Αὐτ. ἐν στρώμ. 3. σελ. 516, ἢ 432. (2α) Παρὰ τῷ Αὐτ. ἐν βιβλ. 2. τοῦ παιδαγ. κεφ. 2. σελ. 232, ἢ 199. (2β) Παρὰ τῷ Αὐτ. ἐν βιβλ. 8. τοῦ παιδαγ. σελ. 278, ἢ 237 (2γ) Παρὰ τῷ Αὐτ. ἐν βιβλ. 2. κεφ. 10. σελ. 226, ἢ 193. ἰστέον δὲ, ὅτι τῶν μὲν εἰρημ. πάντων μνημονεύει ὁ Κλήμ. ὡς συγγράψων, ὥστε ἄδηλον εἰ συνέγραψε, τοῦ δὲ περὶ Ἐγκρατείας λόγ., ὡς συγγράψας. (2δ) Παρὰ τῷ Αὐτ. ἐν στρώμ. 4. σελ. 604, ἢ 510. (2ε) Νικηφ. ὁ Κάλλιστ. ἐν βιβλ. 14. κεφ. 14. (2ζ) Ὁ Φαβρίκ. ἐν τεύχ. 8. σελ. 553. (2η) Ὁ Νικηφ. ἐν βιβλ. 14. κεφ. 28. (2θ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 391. (2ι) Ὁ Νικηφ. αὐτ. ἐν κεφ. 14. (2κ) Ὁ Κάβ. αὐτ. (2λ) Ὁ Νικηφ. αὐτ ἐν κεφ. 34. (2μ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 35. (2ν) Ὅρα τὴν αὐτοῦ ἐπιστ. τὴν πρὸς Ἀκάκιον τὸν Μιτυλ. ἐπίσκ. (2ξ) Ὅ, τε Φαβρίκ. καὶ ὁ Κάβ. αὐτ.
*) Ὁ δὲ λόγος αὐτῷ, φησὶν ὁ Φώτιος (ἐν κώδ. 49.) πεποιημένος, καὶ εἰς ἰδιάζουσαν ἰδέαν ἐκβεβιασμένος, καὶ οἷον λελυμένη καὶ τὸ μέτρον ὑπερορῶσα ποίησις. (2ο) Ὅρα τὸν Κάβ. αὐτ. ἐν σελ. 392. (2π) Ὁ Εὐσέβ. ἐν σελ. 183. τοῦ χρον. τοῦ παρ' Ἱερων. μεταφρασθ. (2ρ) Τὸ μετὰ τὸν Μάνεντα, ὡς αὐτὸς φησὶν ἐν Κατηχ. 6. περὶ οὗ ὅρα τὸν Κάβ. ἐν Τόμ. 1. σελ. 211. (2σ) Ὁ Κάβ. αὐτ.
(2τ) Ὁ Αὐτ. αὐτ. (2υ) Ὅρα τὴν αὐτοῦ ἐπιστολ. πρὸς Κωνσταντ. (2φ) Ὁ Σωζόμ. ἐν βιβλ. 4. κεφ. 25.

μεῖζον ἐπικαλεῖται δικαστήριον τῷ τοῦ βασιλέως Κωνσταντίου, ὡς ἂν τὴν πρεσβευθεῖσαν ἀποτινάξαιτο λώβην [α]. ἀφικόμενος δὲ εἰς Ταρσὸν, τῷ μακαρίῳ συνῆν Σιλουανῷ, ᾧ ἐπιστείλας ὁ Ἀκάκιος, καὶ τὴν καθαίρεσιν δηλώσας, ἴσχυσε κατὰ τοῦ Κυρίλλου οὐδέν. καὶ γὰρ ἥδιστα ἤκουεν αὐτοῦ διδάσκοντος ὁ ἐκεῖ λαός [β]. κατὰ δὲ τὸ 359. ἔτος ἐν τῇ κατὰ Σελεύκειαν Συνόδῳ ὑπέρτερος Ἀκακίου ὁ Κύριλλος· καθῃρέθησαν γὰρ ἐν αὐτῇ οἱ περὶ Ἀκάκιον [γ]. κατὰ δὲ τὸ εὐθὺς μετ᾽ ἐκείνην ἔτος ἐν τῷ κατὰ τὴν Κωνσταντινούπολιν συνεδρίῳ, Κυρίλλου ὑπερισχύσας ὁ Ἀκάκιος καθαιρέσει αὐτὸν πάλιν καθυποβάλλει. ὅτε δὲ οἱ Ἰουδαῖοι τῷ τοῦ παραβάτου Ἰουλιανοῦ ἐπιτάγματι τὰ περὶ τὴν οἰκοδομὴν τοῦ ναοῦ παρεσκεύαζον, ὁρῶν ὁ ἅγιος, νῦν, ἔλεγεν, ἥκει ὁ καιρὸς, ὅτε λίθος ἐπὶ λίθον οὐκ ἂν μένοι εἰς τὸν ναόν. ὃ δὴ καὶ γέγονεν [δ]. ἐπὶ δὲ τοῦ μεγάλου Θεοδοσίου, τῶν ἐχθρῶν αὐτοῦ ἐκλελοιπότων, ἀνεπηρέαστον εἰς τὸ ἑξῆς ἔσχε τὸν θρόνον [ε]. καὶ ἐν ἔτει μὲν 381. τῇ ἁγίᾳ οἰκουμενικῇ δευτέρᾳ συμπαρέστη Συνόδῳ· ἐν ἔτει δὲ 386. [ς] τῷ Θεῷ τὸ ἱερώτατον αὐτοῦ παρέθετο πνεῦμα [η].

Τῶν σωζομένων αὐτοῦ συγγραμμάτων ἥ τε κατὰ τὸ 1703. ἐν Ὀξον. καὶ ἡ κατὰ τὸ 1720. ἔτος ἐν Παρισ. γενόμεναι ἐκδόσεις πλήθει καὶ ἀκριβείᾳ τῶν ἄλλων κρείττονες.

ΜΑΞΙΜΩι τῷ ὁμολογητῇ πατρὶς μὲν ἡ Κωνσταντινούπολις, πατέρες δὲ εὐγενεῖς ἄνωθεν, καὶ εὐσεβείᾳ περίβλεπτοι [θ]. ἔτος ἦν ἐν ἔτει 580. γεννηθεὶς [ι], καὶ παιδείας μετασχὼν παντοίας, τὴν φιλοσοφίαν τῶν ἄλλων ἁπασῶν προέταξέ τε καὶ περιέστερξεν. ὑπὸ Ἡρακλείου δὲ τοῦ τὴν βασίλειον ἀρχὴν τότε διέποντος ὑπογραφεὺς πρῶτος τῶν βασιλικῶν καταστάθεὶς ὑπομνημάτων, ἐπεὶ τὴν πίστιν καινοτομουμένην τῷ Μονοθελητῶν ἑώρα δόγματι, ἄλλως δὲ καὶ φιλοσοφίας τῆς θείας τῷ ἔρωτι καταθελγόμενος ἐτύγχανε, καταλείπει μὲν τὴν αὐλὴν τὴν βασίλειον, πρὸς τὸν μονάδα δὲ προχωρεῖ βίον, τῷ τῆς Χρυσοπόλεως δοὺς ἑαυτὸν φροντιστηρίῳ· οὗ καὶ τὴν προστασίαν μετ᾽ οὐ πολὺ ἀνεδέξατο, τοὺς συνασκουμένους ὑπερβαλὼν τοῖς ἀσκητικοῖς κατορθώμασιν. ἀλλὰ γὰρ τῆς αἱρέσεως κρατυνθείσης καὶ ἐξαπλουμένης τὰ μέγιστα, οὐκ ἔτι ἐναποκρύπτεσθαι ἀνέχεται, ἀλλὰ τὴν τοῦ Θεοῦ πανοπλίαν ἀναλαβὼν, ἐπὶ τὸ πνευματικὸν παῤῥησιάζεται στάδιον. παραγίνεται οὖν ἐπὶ τὴν Ἀφρικὴν, (ἔτος ἦν τὸ 640. [κ]) καὶ τοὺς εὐσεβεῖς ἅπαντας τοῖς ὀρθοῖς ἐμμένειν δόγμασι παραινεῖ, καὶ τοὺς ἐκεῖ ἐπισκόπους ἐπὶ τὸν κατὰ τοῦ μονοθελήτου ὑπαλείφει ἀγῶνα, καὶ Πύῤῥῳ τῆς βασιλίδος τῶν πόλεων καὶ τοῦ θρόνου ἀπελαθέντι, καὶ τὴν Ἀφρικὴν καταλαβόντι συμπλέκεται, καὶ παλαίει γενναίως, καὶ νικᾷ κατὰ κράτος, καὶ λαμπρὸν αἴρει τῆς εὐσεβείας τὸ τρόπαιον. εἶτα τοῖς μονοθελήταις πανταχόθεν ἀντιπαραταχθῆναι προθέμενος, ἐν ἔτει μὲν 645. τὴν Ῥώμην καταλαμβάνει, ἐν ἔτει δὲ 649. [λ] τὴν ἐν Λατερανῷ Σύνοδον κατὰ τῶν Μονοθελητῶν συγκροτῆσαι ἀναπείθει Μαρτῖνον τὸν Πάπαν. ταῦτα δὲ μὴ φέρων Κώνστας ὁ αὐτοκράτωρ ὁ τοῦ Ἡρακλείου ἔγγονος, ἅτε δὴ τὰ τῶν Μονοθελητῶν φρονῶν, χειρὶ στρατιωτικῇ εἰς τὴν Κωνσταντίνου ἀγαγὼν τὸν ἀθλητὴν σὺν τ[ῷ] αὐτοῦ μαθητῇ Ἀναστασίῳ, καὶ δεσμωτηρίῳ παραδιδοὺς, ἐπ[ὶ] δικαστικοῦ βήματος ἔπειτα παραστῆναι κελεύει. ἐν ᾧ ὡ[ς] Πύῤῥου περιφρονητὴς, καὶ τῆς βασιλείας προδότης, κα[ὶ] ὀνειροκρίτης, καὶ Ὠριγένους ὁμόφρων, καὶ τὸν βασιλέα μ[ὴ] εἶναι ἱερέα εἰπὼν, διαβληθεὶς ὁ Μάξιμος, εἱρκτῇ πάλιν ἐγκα[τα]θείργνυται, καίτοι ἱκανῶς ἀπολογηθεὶς, καὶ ψευδῆ πάντ[α] ἐναποδείξας τὰ αὐτῷ προστριβέντα ἐγκλήματα. εἶτα ἐξό[ρι]στος εἰς Βυζίην διαπέμπεται, ἐκεῖθέν τε πάλιν ἐπὶ τὴ[ν] Κωνσταντίνου μεταπεμφθεὶς πολλὰς ὑπομένει βασάνους, κα[ὶ] τέλος τήν τε γλῶσσαν καὶ χεῖρα ἐναποτέμνεται. ἀλλὰ κα[ὶ] μετὰ τὴν ἀποτομὴν θείᾳ δυνάμει λαλῶν διετέλει κα[ὶ] γράφων. μετὰ δὲ ταῦτα εἰς ὑπερορίαν μακρὰν, εἰς ἐν τῷ[ν] κατὰ τὴν Ἀλανίαν φρούριον, Σχίμαριν λεγόμενον, ἀπαχθεὶς ἐκεῖθεν ἐν ἔτει 662. [μ] ἐπὶ τὴν οὐράνιον μεθίσταται πατρίδα.

Τῶν Συγγραμμάτων αὐτοῦ ἔκδοσις μία, ἡ ἐν Παρισ[ίοις] κατὰ τὸ 1675. ἔτος γενομένη. [*]

Τὰ ἀνέκδοτα. ἢ ἐκλελοιπότα.

Διάλεξις ὀρθοδόξου καὶ Μανιχαίου [ν]. Λεξικόν [ξ]. Περ[ὶ] τῆς δευτέρας παρουσίας [ο]. Σύντομος χρονολογία τῆς τ[οῦ] Χριστοῦ ζωῆς [π]. Ἐρωτήσεις Μαξίμου μοναχοῦ πρὸς τὸν ἁγιώ[τατον] κύριον Νικηφόρον γεγονότα Χαρτοφύλακα τῆς τ[οῦ] Θεοῦ μεγάλης Ἐκκλησίας περὶ διαφόρων κεφαλαίων [ρ].

ΜΕΛΙΤΩΝ ὁ τῆς ἐν Σάρδεσι παροικίας ἐπίσκο[πος] [σ] ὁ εὐνοῦχος, ὁ ἐν ἁγίῳ πνεύματι πάντα πολιτευσάμενος [τ], καὶ προφήτης ὑπὸ πολλῶν νομιζόμενος [υ], ἐν ἔτε[ι] μὲν σωτηρίῳ 170. [φ] ἤκμασεν, ὑπὲρ ὧν οἱ Χριστιανοὶ τότ[ε] δεινῶν ἔπασχον βιβλίδιον συντάξας, καὶ Μάρκῳ προσφωνήσας τῷ Ἀντωνίνῳ [χ]· ἐν Σάρδεσι δὲ τὸ φθαρτὸν κατέλιπε σκῆνος. κεῖται γάρ φησιν ὁ Εὐσέβιος [ψ], ἐν Σάρδεσι περιμένων τὴν ἀπὸ τῶν οὐρανῶν ἐπισκοπὴν, ἐν ᾗ ἐκ νεκρῶν ἀναστήσεται.

Τὰ αὐτοῦ Συγγράμματα.

Τὰ περὶ τοῦ πάσχα δύω, καὶ τὰ περὶ πολιτείας κα[ὶ] Προφητῶν. Ὁ περὶ Ἐκκλησίας καὶ ὁ περὶ Κυριακῆς λόγος. Ὁ περὶ φύσεως ἀνθρώπου καὶ ὁ περὶ πλάσεως, κα[ὶ] ὁ περὶ ὑπακοῆς πίστεως αἰσθητηρίων. Ὁ περὶ ψυχῆς κα[ὶ] σώματος ἢ νοός. Ὁ περὶ λουτροῦ καὶ περὶ ἀληθείας κα[ὶ] περὶ πίστεως καὶ γενέσεως Χριστοῦ. Λόγος περὶ προφητεία[ς] καὶ περὶ φιλοξενίας. Ἡ Κλεὶς [ω]. Τὰ περὶ τοῦ Διαβόλ[ου] καὶ τῆς Ἀποκαλύψεως Ἰωάννου [2α]. Ὁ περὶ ἐνσωμάτ[ου] Θεοῦ [2β]. Τὸ εἰρημένον πρὸς Ἀντωνῖνον βιβλίδιον. Κα[ὶ] τὰ ἐν τῇ δε τῇ βίβλῳ ὑπομνήματα. οὐδεὶς γὰρ ἄλλος Μελίτων ποιητὴς ἐκκλησιας. συγγραμμάτων.

ΝΕΙΛΩι τῷ θαυμασίῳ πατρὶς μὲν ἡ Κωνσταντινούπολις [2γ], καθηγητὴς δ᾽ ὁ θεῖος Χρυσόστομος [2δ], χρόνος δ[ὲ] καθ᾽ ὃν ἤκμασε τὸ περὶ τὸ 440. ἀπὸ Χριστοῦ ἔτος [2ε]. εὐγενείᾳ δὲ οὗτος καὶ πλούτῳ βαθεῖ περιῤῥεόμενος ἔπαρχος τῆ[ς] πατρίδος ἐχρημάτισε, καὶ γάμῳ δὲ ὁμιλήσας, δύω ἔσχ[ε] παῖδας

(α) Ὁ Σωκρ. ἐν βιβλ. 2. κεφ. 40. (β) Ὁ Θεοδώρητ. ἐν βιβλ. 2. κεφ. 26. τῆς Ἱστορ. (γ) Ὅρα τὰ πρακτ. τῆ[ς] αὐτ. Συνόδ. τὰ ἐν σελ. 601. τοῦ 1. Τόμ. τῆς τοῦ Βιν. ἐκδόσ. (δ) Ὁ Σωκρ. ἐν βιβλ. 3. κεφ. 20. (ε) Ὁ Αὐτ. ἐν βιβλ. 5. κεφ. 3. (ζ) Ὁ Καβ. αὐτ. ἐν σελ. 212. (η) Οὐκ ἀληθὲς, οὐδ᾽ ὑπ᾽ Ἀρειανῶν αὐτὸν ἐπὶ τὸν θρόνον προβιβασθῆναι, ὥς φησιν ὁ Εὐσέβιος, (ἐν τῷ Χρον. σελ. 185.) οὔτε τῆς Ἀρείου κακοφροσύνης ποτὲ μετασχεῖν, ὡς βούλεται ὁ Σωκράτης, (ἐν βιβλ. 5. κεφ. 8.) οὔτε τῆς Μακεδονίου κατὰ τὸ[ν] Σωζόμενον. (ἐν βιβλ. 7. κεφ. 7.) καὶ γὰρ διὰ παντὸς τοῦ βίου αὐτοῦ εὐσεβὴς ὑπῆρξεν, ὡς τά τε αὐτοῦ συγγράμματα μαρτυρεῖ, καὶ ἡ ἁγία οἰκουμενικὴ δευτέρα ἐθέσπισε Σύνοδος, τάδε εἰποῦσα· τῆς δέ γε μητρὸς (ἐν τῇ Ἐπιστολ.) τῶν Ἐκκλησιῶν τῶν ἐν Ἱεροσολύμοις, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον Κύριλλον ἐπίσκοπον εἶναι γνωρίζομεν, κανονικῶς τε παρὰ τῶν τῆς ἐπαρχίας χειροτονηθέντα πάλαι, καὶ πλεῖστον πρὸς τοὺς Ἀρειανοὺς ἐν διαφόροις τόποις ἀθλήσαντα. (θ) Ἐν τῷ βίῳ, (τῷ εἰς τὸν 1. Τόμ. τῶν τοῦ ἁγίου συγγραμ.) ἐξ οὗ καὶ τὰ λοιπὰ ἐλήφθη. (ι) Ὁ Καβ. ἐν Τόμ. 1. σελ. 585. (κ) Ὁ Αὐτ. αὐτ. (λ) Ὁ Θεοφάν. ἐν τῇ χρονογραφ. ἐν σελ. 276, ἢ 219. (μ) Ὁ Καβ. αὐτ.

(*) Ἔστι δὲ τὴν φράσιν, φησὶν ὁ Φώτιος (ἐν κωδ. 192.) σχοινοτενής τε ταῖς περιόδοις, καὶ χαίρων ὑπερβατοῖς, ἐνακμάζων τε ταῖς περιβολαῖς καὶ κυριολογεῖν οὐκ ἐσπουδασμένος. ἐξ ὧν αὐτῷ τῇ συγγραφῇ καὶ τὸ ἀσαφὲς καὶ τὸ δυσπερίληπτον διατρέχει· τῷ τραχεῖ δὲ τοῦ ὄγκου ὅσα περὶ συνθήκην καὶ ἀναπαύσεις τὸν λόγον ὑποβάλλων, οὐδ᾽ ἡδὺς εἶναι σπουδάζει τῇ ἀκοῇ· καὶ ἡ μεταφορὰ αὐτοῦ τῶν λέξεων οὐκ εἰς τὸ χαρίεν καὶ γεγοητευμένον περιίσταται, ἀλλ᾽ οὕτως ἁπλῶς καὶ ἀπεριμερίμνως παραλαμβάνεται. (ν) Μνεία παρὰ Φαβρίκ. ἐν τεῦχ. 8. σελ. 768. (ξ) Σώζεται χειρόγρ. ἐν διαφόροις τῆς Ἰταλίας βιβλιοθήκ. ὡς μαρτυρεῖ ὁ τὰ συγγραμ. αὐτοῦ ἐκδοὺς Κομβεφίσ. ἐν Τόμ. 1. σελ. 680. (ο) Ἡ ἀρχὴ αὐτοῦ αὕτη· Ἐπὶ τούτοις πᾶσιν. ὅρα τὸν Φαβρίκ. αὐτ. (π) Ἄρχεται οὕτω· Γέγονεν ὁ εὐαγγελισμὸς τῆς παρθένου τῷ πεντακισχιλιοστῷ πρώτῳ ἔτει. σώζεται δὲ χειρόγρ. ἐν τῇ τῆς Βιένν. βιβλιοθ. ὡς μαρτυρεῖ ὁ Λαμβὲκ. Παρὰ Φαβρίκ. αὐτ. (ρ) Ὡσαύτως. (σ) Ὁ Εὐσέβ. ἐν βιβλ. 4. κεφ. 26. τῆς Ἱστορ. (τ) Ὁ Αὐτ. αὐτ. ἐν βιβλ. 5. κεφ. 24. (υ) Ὁ Ἱερώνυμ. ἐν τῷ τῶν Ἐκκλησιασ[τ.] συγγραφ. καταλ. (φ) Ὁ Καβ. ἐν Τόμ. 1. σελ. 71. (χ) Ὁ Εὐσέβ. αὐτ. ἐν βιβλ. 4. κεφ. 26. (ψ) Ὁ Αὐτ. αὐτ. ἐ[ν] βιβλ. 5. κεφ. 24. (ω) Τούτων πάντων μνεία παρ᾽ Εὐσέβ. (ἐν βιβλ. 4. κεφ. 24.) ἡ δὲ Κλεὶς σώζεται χειρόγρ. ὥς φησιν ὁ Φαβρίκ. (ἐν τῷ 1. μέρ. τοῦ 5. βιβλ. σελ. 184.) ἐν τῇ βιβλιοθ. τῆς τοῦ Κλαρομοντάνου σχολῆς τῆς ἐν Παρισ. (2α) Παρ᾽ Εὐσεβ. αὐτ. ἰστέον δὲ, ὅτι ψευδεπί[γ]γραφον τὸ ἐν ἔτει 1662. τῇ Γάλλων φωνῇ ἐκδοθὲν σύγγραμμα, ἐπιγεγραμμένον l'Apocalypſe de Meliton. (2β) Περὶ τοῦ τί βούλεται τὸ[ν] ἐνσωμάτου Θεοῦ, οὐδὲν φησιν ὁ τούτου μεμνημένος Εὐσέβ. (αὐτ.) ὁ δὲ Ὠριγένης, ἀριδηλότατα λευκαίνει τὸν τοῦ Μελίτωνος σκοπόν. ὅρα τὴν 49. σελ. τῆς δε τῆς βίβλου. (2γ) Νικηφ. ὁ Κάλλισ. ἐν βιβλ. 14. κεφ. 54. (2δ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 30. (2ε) Ὁ Καβ. ἐν Τόμ. 1. σελ. 428.

παῖδας. ἅπαντα δὲ καταλιπὼν ὁ τρισόλβιος, πανοικὶ τὸν ἀσκητικὸν προείλετο βίον. τὴν μὲν γὰρ σύζυγον ἀναπείσας τὸ θυγάτριον αὐτῶν παραλαβοῦσαν τοῖς ἐν Αἰγύπτῳ κατασκηνῶσαι φροντιστηρίοις, αὐτὸς σὺν τῷ υἱῷ Θεοδούλῳ τὸ Σινᾶ καταλαβὼν ὄρος, ἐν τοῖς ἐκεῖ τῶν μοναζόντων σκηνώμασι κατοικεῖν ᾑρετίσατο. βαρβάρων δὲ ποτε ἐξαίφνης ἐπιπεσόντων, καὶ κατασφάττειν τοὺς ἁγίους ἀρξαμένων, ὁ μὲν υἱὸς αὐτοῦ αἰχμάλωτος γέγονεν, αὐτὸς δὲ μόλις τὰς χεῖρας αὐτῶν ἐξέφυγεν [α]. ἐν τίνι δὲ ἔτει τὸ τοῦ βίου πέρας αὐτὸν κατείληφεν, ἄδηλον· τοῦτο δὲ δῆλον, ὅτι περιῆν ἔτι τῷ βίῳ κατὰ τὸ 500. ἔτος. καὶ γὰρ ἐν τῇ πρὸς Ζωσάριον τὸν Τριβοῦνον ἐπιστολῇ αὐτοῦ [β], ἰδοὺ, φησὶ, λοιπὸν πεντακοσιοστὸν ἔτος.

Ἡ τὰ πλείονα τῶν σωζομένων αὐτοῦ συγγραμμάτων περιέχουσα ἔκδοσις ἐστὶν ἡ ἐν Ῥώμῃ κατὰ τὸ 1668, καὶ 1673. ἔτος γενομένη, καὶ δυσὶ τεύχεσι συνταχθεῖσα. ἐλλείπει δὲ αὐτῇ τῶν ἀλλαχοῦ ἐκδεδομένων τάδε· Τὸ ἐν τῷ σιναίῳ ὄρει τῶν θείων πατέρων μαρτύριον. Λόγος πρὸς Ἀλβιανὸν τὸν ἐν Νιτρίᾳ μονάζοντα [γ]. Κεφάλαια παραινετικὰ 229. [δ] Τὰ εἰς τὸ Ἆσμα ὑπομνήματα [ε].

Τῶν Συγγραμμάτων αὐτοῦ

Τὰ Ἐκλελοιπότα.

Λόγοι δύω εἰς τὸ Πάσχα, καὶ τρεῖς εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου [ζ]. Ἐπιστολαὶ πρὸς Ἡλιόδωρον Σιλεντιάριον, καὶ πρὸς Ὀλυμπιόδωρον Ἔπαρχον [η]. Λόγος πρὸς Ἕλληνας [θ].

Ἐκ τῆς ΠΑΝΑΡΕΤΟΥ. Πανάρετος ἤτε τοῦ Σειρὰχ βίβλος λέγεται, ὡς ὁ Γεώργιος ὁ Σύγκελλος μαρτυρεῖ λέγων· Ἰησοῦς ὁ τοῦ Σειρὰχ, ὁ τὴν Σοφίαν γράψας τὴν καλουμένην Πανάρετον· καὶ ἡ Σοφία τοῦ Σολομῶντος, κατὰ τὸν Εὐσέβιον λέγοντα· ὁ τὴν πανάρετον σοφίαν εἰς αὐτοῦ πρόσωπον ἀναθείς [ι]. ἐκ τῶν ὑπομνημάτων ἓν τῶν εἰς ταύτας τὰς βίβλους ἐλήφθη τυχὸν καὶ τὸ ἐν τῇδε τῇ δέλτῳ κείμενον βραχύτατον ὑπόμνημα· ὅπερ ὁ ἕτερος μόνον τῶν κωδίκων περιέχει, ὁ τοῦ Ἡγεμόνος.

ὁ ΠΟΛΥΧΡΟΝΙΟΣ Σύρος μὲν ἦν τὸ γένος, Θεοδώρου δὲ τοῦ Μοψουεστίας αὐτάδελφος. Ζεβινᾷ δὲ τῷ ἀσκητικωτάτῳ ἀνδρὶ μαθητεύσας πρότερον, καὶ πᾶσαν παρ' αὐτοῦ ἰδίαν ἀρετῆς ἀπομαξάμενος [λ], τὴν Ἀπαμέων Ἐκκλησίαν ἄριστα ἐποίμαινεν ὕστερον [μ]. ἐν τοῖς ζῶσι δὲ ἔτι διετέλει κατὰ τὸ 427. ἔτος, ἐν ᾧ τὴν τῆς ἱστορίας κατέπαυσε συγγραφὴν ὁ τῆς Κύρου Θεοδώριτος [ν].

Τὰ αὐτοῦ Συγγράμματα.

Ἐξήγησις εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων [ξ]. Ὑπόμνημα εἰς τὸν Ἰὼβ [ο]. Ἐξήγησις εἰς τὸν Ἰεζεκιὴλ, Ἱερεμίαν, καὶ Δανιὴλ [π].

Τὸ, Ἀπαμείας, παρὰ τοῖς κώδιξιν οὐ πρόσκειται τῷ Πολυχρονίῳ. τοῦτον δὲ ποιητὴν τῶν ἐν τῇδε τῇ βίβλῳ ὑπομνημάτων, τῶν τῷ Πολυχρονίῳ ἐπιγραφέντων, ἡγέμεθα, ὡς περὶ ἐκκλησιαστικῶν συγγράψαντα ὑποθέσεων, καὶ μόνον μνημονευόμενον παρὰ τῶν περὶ τῶν ἐκκλησιαστικῶν συγγραφέων διαλαμβανόντων.

ΠΡΟΚΟΠΙΟΣ ὁ σοφιστὴς καὶ ῥήτωρ [ϛ], ὁ ἐκ τῆς κατὰ τὴν Φοινίκην Γάζης, ἐπὶ Ἰουστίνου τοῦ Θρακὸς περὶ τὸ 520. [σ] ἤκμασεν ἔτος, Χορίκιον τὸν σοφιστὴν ἀκροατὴν, καὶ τῆς σχολῆς ἔτι ζῶν ἐσχηκὼς διάδοχον. ὃς δὴ καὶ ἐπιταφίῳ τὴν τοῦ διδασκάλου αὐτοῦ τιμήσας τελευτὴν λόγῳ [τ], καὶ ταῦτα πρὸς τοῖς ἄλλοις τοῦ ἀνδρὸς ἐπαίνοις ἔφη· τοῦ δὲ „τοσοῦτον ἦν ταύτης προσῆν τῆς παιδείας, (εἴτουν τῆς θείας) „ὥστε πλὴν τοῦ σχήματος μόνου, πάντα ἦν ἱερεὺς, τὰ μὲν „δόγματα τῆς εὐσεβείας, τά τε τούτοις ἀντιλέγειν ἐπιχειροῦντα· τὰ μὲν, ὅπως ἐπιτηδεύσει μαθών· τὰ δὲ, πρὸς „ἔλεγχον ἐπιστάμενος, ἄμφω καλῶς ἐπαιδεύθη. οὐ μὴν „ἐπεπόλαζε τῶν θείων αὐτῷ μαθημάτων ἡ γνῶσις. οὐ γὰρ „εἰπεῖν καὶ παραινέσαι τοῖς ἄλλοις ταύτην μετῄει τὴν παί„δευσιν, ἀλλὰ τοῖς ἔργοις ἀπεδείκνυ τὴν ἐπιστήμην [υ].

Τῶν Συγγραμμάτων αὐτοῦ

Τὰ Ἐκδεδομένα.

Σχόλια εἰς τὰς δ' Βασιλείας καὶ τὰς β' Παραλειπομένας [φ]. Ἐπιτομὴ διαφόρων ὑπομνημάτων εἰς τὸν προφήτην Ἡσαΐαν [χ]. Ἐπιστολαί τινες πρὸς Φίλιππον τὸν ἀδελφὸν, Ἱερώνυμον, Μακάριον, Σωζόμενον, Παγκράτιον, Κάστορα, Ζαχαρίαν, Ἠλίαν ἐπίσκοπον, κτ. [ψ]

Τὰ Ἀνέκδοτα.

Ἡ εἰς τὴν Ὀκτάτευχον καὶ τὰς Βασιλείας καὶ Παραλειπόμενα ἐπιτομή [ω]. Ἐξηγητικῶν ἐκλογῶν ἐπιτομὴ εἰς τὰς Παροιμίας [2α]. Ὑπομνήματα εἰς τὰς Παροιμίας καὶ εἰς τὸ Ἆσμα [2β].

Τὰ Ἐκλελοιπότα.

Βιβλίον ὅλον, στίχων ὁμηρικῶν μεταφράσεις, εἰς ποικίλας λόγων ἰδέας μεμορφωμένας [2γ].

ὁ ΣΕΡΑΠΙΩΝ Μοναχὸς ὢν, καὶ τῶν ἐν Θηβαΐδι τὸν μοναδικὸν ἀσκούντων βίον προϊστάμενος, καὶ γνήσιος τοῦ ὁσίου Ἀντωνίου φίλος [2δ], ὑπὸ τοῦ μεγάλου Ἀθανασίου Θμούεως πόλεως Αἰγύπτου ἐπίσκοπος προχειρίζεται [2ε]. καὶ ἐν ἔτει μὲν 347. [2ϛ] τῇ κατὰ τὴν Σαρδικὴν συμπαρέστη Συνόδῳ, ἐν ἔτει δὲ 355. [2ζ] ὑπ' αὐτοῦ τοῦ Ἀθανασίου σὺν τέσσαρσιν ἐπισκόποις καὶ τρισὶ πρεσβυτέροις ἐς τὴν δύσιν πέμπεται καταλλάξων αὐτῷ τὸν βασιλέα Κωνστάντιον ἐκεῖ τότε διάγοντα, καὶ πρὸς τὰς τῶν ἐναντίων, ὡς δέοι, διαβολὰς ἀπολογησόμενος. ἦν γὰρ ὁ Σεραπίων ἀνὴρ ἐς τὰ μάλιστα τὸν βίον θεσπέσιος, καὶ λέγειν δεινός [2η]. καὶ ὁμολογητὴς δὲ τῆς εὐσεβείας ἐπὶ Κωνσταντίου γενόμενος ὁ τρισόλβιος [2θ], περὶ τὸ 358. ἔτος τῶν γηΐνων μετέστη [2ι], τὸ θεῖον τοῦτο καταλιπὼν ἡμῖν μάθημα. Ὁ νοῦς μὲν πεπωκὼς πνευματικὴν γνῶσιν τελείως καθαίρεται· ἀγάπη δὲ τὰ φλεγμαίνοντα μόρια τοῦ θυμοῦ θεραπεύει· πονηρὰς δ' ἐπιθυμίας ἐπιῤῥεούσας ἵστησιν ἐγκράτεια [2κ].

Τὰ

(α) Ὅρα τὸ μην. τοῦ Ἰαννουαρ. ἐν τῇ 14. (β) Ἡ 57. ἐστὶ τοῦ 1. βιβλ.) (γ) Ἐξεδόθησαν ἐν Παρισ. κατὰ τὸ 1639. ἔτος. (δ) Ἐξεδόθη ἐντε Λειψίᾳ κατὰ τὸ 1577, καὶ ἐν Φρανκ. κατὰ τὸ 1608. ἔτ. (ε) Συνεξεδόθη τοῖς τοῦ Νύσ. καὶ Μαξ. καὶ Ψελ. ὑπομν. (ζ) Μνεία παρὰ Φωτ. ἐν κώδ. 276. ἐν ᾧ μέρη ἐξ αὐτῶν οὐ σμικρά. (η) Παρὰ τῇ 4. πράξ. τῆς ζ' Συνόδ. (θ) Παρὰ Νικηφ. ἐν βιβλ. 14. κεφ. 54. ἐν ᾧ περὶ τῶν τοῦ Νείλου συγγραμ. καὶ τάδε· ἄριστοι δὲ καὶ ἕτεροι λόγοι αὐτῷ πεποίηνται, πνευματικῆς οὐκ ἄμοιροι χάριτος· ὧν οἶμαι πάντων τὰ πρῶτα φέρεσθαι, ὃν πρὸς Ἕλληνας ἐπιγράφει. παρὰ δὲ Φωτ. (ἐν κώδ. 201.) τάδε· πολλὰ δὲ καὶ ἄλλα αὐτοῦ ἀξιόλογα ποικίλας ὑποθέσεις ὑποβαλλόμενα, εἴτε τὸν ἐπιστολιμαῖον τρόπον, καὶ εἰς τὸν συγγραφικὸν ἀνηγμένα συντάγματα φέρεται· τήν τε κατὰ τὰ ἔργα τελειότητα, καὶ τὴν ἐν λόγοις μαρτυρόμενα δύναμιν. (ι) Ἐν σελ. 276, ἢ 220. τῆς χρονογρ. (κ) Ἐν βιβλ. 11. κεφ. 7. (ἢ 5. κατὰ τὸν Τραπεζέντ.) τῆς Εὐαγγελ. προπαρ. καὶ ὁ Ἐπιφάν. δὲ (ἐν σελ. 162. περὶ μέτρ. καὶ σταθμ.) φησίν· αἱ γὰρ στιχήρεις δύω βίβλοι ἤτε τοῦ Σολομῶντος ἡ πανάρετος λεγομένη. (λ) Ὁ Θεοδώριτ. ἐν κεφ. 24. τῆς Φιλοθ. Ἱστορ. (μ) Ὁ Αὐτ. ἐν βιβλ. 5. κεφ. 40. τῆς Ἱστορ. (ν) Ὅρα τὸ αὐτ. κεφ. αὐτ. (ξ) Συνεξεδόθη τοῖς τοῦ Εὐσέβ. καὶ Ψελ. ὑπομνήμ. κατὰ τὸ 1617. ἔτ. ἐν Λουγδ. (ο) Ἐξεδόθη κατὰ τὸ 1637. ἔτ. ἐν Λονδ. (π) Ὅρα τὸν Φαβρίκ. ἐν τεύχ. 9. σελ. 166. καὶ τὸν Κάβ. ἐν Τόμ. 1. σελ. 389. (ϛ) Ὁ Φώτ. ἐν κώδ. 160. (σ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 504, καὶ ὁ Φαβρίκ. ἐν τεύχ. 6. σελ. 258. (τ) Ὁ Φώτ. αὐτ. (υ) Ὅλος ὁ Ἐπιτάφ. λόγ. κεῖται ἐν τεύχ. 8. σελ. 841 — 876. τῆς τοῦ Φαβρίκ. Ἑλλην. βιβλιοθ. (φ) Ἐξεδόθη ἐν Λουγδ. κατὰ τὸ 1620. ἔτ. (χ) Ἐξεδόθη ἐν Παρισ. κατὰ τὸ 1580. ἔτ. (ψ) Ἐξεδόθ. ὑπὸ τοῦ Ἄλδου, ἀλλ' ἀμφίβολοι εἰσί. πότερον γὰρ τοῦ Γαζαίου ἢ τοῦ Καισαρέως Προκοπίου οὐ πάνυ ῥᾴδιον εἰδέναι, ἑκατέρου σοφιστοῦ ὄντος. (ω) Ὅρα τὰ περὶ τούτων ἐν ταῖς σελ. 5, καὶ ζ ταύτης τῆς βιβλ. ἐξεδόθη δὲ ταῦτα ἐν Τιγουρ. κατὰ τὸ 1555. ἔτος, ἀλλὰ ῥωμαϊστὶ μόνον, καὶ ἐλλιπῆ, καὶ ἄλλα ἀντ' ἄλλων πολλάκις διαλαμβάνοντα, ὡς τῇ τοῦ ἑλληνικοῦ πρωτοτύπου ἔγνωμεν παραθέσει. (2α) Σώζεται χειρόγρ. ἐν τῇ βασιλικ. τῶν Γάλ. βιβλιοθ. ὥς φησιν ὁ Μοντφαυκ. ἐν σελ. 278. τῆς ἑλλην. παλαιογρ. παρὰ Φαβρίκ. ἐν τεύχ. 6. σελ. 259. (2β) Μνεία παρὰ Καρτερ. ἐν τοῖς εἰς τὸν Ἡσαΐαν προοιμ. ὡς μαρτυρεῖ ὁ Κάβ. αὐτ. (2γ) Παρὰ Φωτ. ἐν κώδ. 160. (2δ) Ὁ Ἱερώνυμ. ἐν τῷ τῶν Ἐκκλησιαστ. συγγραφ. καταλ. (2ε) Ὁ Ἀθανάσ. ἐν τῇ πρὸς Δρακόντ. ἐπιστ. καὶ ὁ Σωζόμ. ἐν βιβλ. 2.

Τὰ αὐτοῦ Συγγράμματα.

Ἐπιστολαὶ ἀναγκαῖαι πρὸς διαφόρους. Βίβλος περὶ ἐπιγραφῆς ψαλμῶν [α]. Βίβλος κατὰ Μανιχαίων [β]. Καὶ τὰ ἐν τῇδε τῇ βίβλῳ ὑπομνήματα, ἃ δὴ τοῦ Θμουάιου εἶναι οἰόμεθα. κἂν γὰρ λείπῃ τὸ, Θμούεως, τοῖς τῷ Σεραπίωνι ἐπιγεγραμμένοις ὑπομνήμασι τῆσδε τῆς σειρᾶς, ἀλλὰ κεῖται παρὰ τοῖς ἐν τῷ ἀνεκδότῳ, τῇ ἐν τῇ σημειώσει τῆς ζ' σελίδος μνημονευθείσῃ.

ΣΕΥΗΡΟΣ Ἀντιοχείας ὁ ἀκέφαλος [γ] ἐκ Σωζοπόλεως τῆς ἐν Πισιδίᾳ ὁρμώμενος, δικανικοῖς πρῶτον ἐν τῇ Βηρυτίων πόλει ἐσχόλαζε λόγοις· τοῦ ἁγίου δὲ μεταλαβὼν βαπτίσματος, ἐπὶ τὸν μονήρη μετῆλθε βίον ἔν τινι φροντιστηρίῳ οἰκήσας μεταξὺ Γάζης καὶ Μαιουμᾶ πολυχνίου κειμένῳ. ὅπου δὴ τὰς τοῦ δυστυχοῦς Εὐτυχοῦς κακοδοξίας καὶ φρονεῖν καὶ λαλεῖν ἐναρξάμενος, ὑπὸ Νηφαλίου [δ] μεθ' ἑτέρων πολλῶν τὰ παραπλήσια δοξαζόντων τοῦ ἱεροῦ ἀπελαύνεται καταγωγίου. ἔνθεν ἐπὶ τὴν Κωνσταντίνου ἄνεισι, καὶ τῷ βασιλεῖ Ἀναστασίῳ τῷ τῆς αἱρέσεως τοῦ Εὐτυχοῦς προμάχῳ καθίσταται γνώριμος. ἐν ἔτει δὲ 513 [ε], Φλαβιανοῦ τοῦ θεσπεσίου ἀδίκως τῆς ποίμνης ἐξωσθέντος, αὐτὸς ἐπὶ τὸν τῆς Ἀντιοχείας λῃστρικῶς ἐπιβαίνει θρόνον. ἐν αὐτῇ δὲ τῇ ἡμέρᾳ καθ' ἣν κεχειροτόνητο, ἐπ' ἄμβωνος ἀναβὰς ἀναθέματι τὴν ἁγίαν ἐν Χαλκηδόνι Σύνοδον καθυπέβαλλεν ὁ ἀλιτήριος. καὶ συνοδικὰς δὲ γράφων ἐπιστολὰς, τοῦτ' αὐτὸ ποιοῦσας οὐκ ἔπαυε [ζ]. διὸ δὴ ὁ Ἐπιφανείας Κοσμᾶς, καὶ ὁ Ἀρεθούσης Σευηριανὸς βιβλίον καθαιρέσεως συντάξαντες, αὐτῷ ἐπιστέλλουσιν [η]. ὁ δὲ θυμῷ πνέων, καὶ βασιλείῳ κατωχυρωμένος δυνάμει, καὶ ἰουδαϊκῇ στρατιᾷ διωγμὸν τοῖς ἁπανταχοῦ εὐσεβέσιν ἐπεγείρει μέγιστον· μάλιστα δὲ τοῖς ἐν Παλαιστίνῃ τὸν μονάδα διάγουσι βίον, ὧν καὶ πλείω τῶν 300. ἀπηνῶς ἀποκτείνας, οὐδὲ μετὰ θάνατον ἔκλεισεν, ἀλλὰ ταφῆς ἀπεστέρησεν ὁ ὠμότατος [θ]. Ἀναστασίου δὲ τὸν βίον καταλύσαντος, ὁ Ἰουστῖνος τὰ τῆς βασιλείας ἀναδησάμενος σκῆπτρα, τὸν Εἰρηναῖον, ἢ κατ' ἄλλους τὸν Βιταλιανὸν ἐπὶ τὴν Ἀντιόχειαν πέμπει, συσχεῖν τὸν Σευῆρον, ἢ τὴν γλῶσσαν αὐτοῦ ἀποτεμεῖν τὴν βλάσφημον. ὃ δὴ προμαθὼν ἐκεῖνος πρὶν ἢ συσχεθῆναι φεύγει [ι]. ἐν ἔτει δὲ 536. ὑπότε τῆς ἐπὶ Μηνᾶ ἐν Κωνσταντινουπόλει συστάσης Συνόδου, καὶ τῆς μετ' αὐτὴν ἐν Ἱεροσολύμοις, καὶ τοῦ βασιλικοῦ διατάγματος τοῦ Ἰουστινιανοῦ αὐτός τε καὶ οἱ περὶ αὐτὸν ἀναθέματι καθυπεβλήθησαν. ποῦ μὲν οὖν καὶ πότε τὸν βίον κατέλυσεν, ἄδηλον· ὅτι δὲ οἱ μαθηταὶ αὐτοῦ εἰς πέντε διῃρέθησαν αἱρέσεων τμήματα δῆλον [κ].

Τὰ αὐτοῦ Συγγράμματα.

Ὑπομνήματα εἰς τὸν Ἰὼβ, εἰς τὸν Ματθ. εἰς τὸν Λουκ. εἰς τὸν Ἰωάν. καὶ εἰς ἄλλα τῆς Γραφῆς βιβλία [λ]. Λόγος περὶ τοῦ πῶς νοητέον τὴν τοῦ Κυρίου τριήμερον ταφήν [μ]. Λόγοι πάμπολλοι [ν]. Ἐνθρονιστικοὶ λόγοι εἰς τὴν τῶν νηστειῶν τεσσαρακοστήν [ξ]. Λόγος εἰς τὸν τρισάγιον καὶ τὸν Εὐαγγελισμόν [ο]. Ἀπολογητικοὶ πολλοί [π]. Λόγος προσφωνητικὸς λεχθεὶς ἐν Δάφνῃ ἐν τῷ μαρτυρίῳ τῆς ἁγίας Εὐφημίας [ρ]. Κατὰ Ἰωάννου γραμματικοῦ τοῦ Καισαρέως [σ]. Κατὰ κωδικίλλων Ἀλεξάνδρου συντάγματα [τ]. ἐκ τούτων δὲ τὸ ἐν τῇ 1673. σελ. τῆσδε τῆς βίβλου ὑπόμνημα. Περὶ τῶν δύο φύσεων [υ]. Φιλαλήθης [φ]. Ἀπολογία τοῦ Φιλαλήθους [χ]. Ἀποκρίσεις πρὸς Εὐπράξιον Κουβικουλάριον [ψ]. Σύνταγμα κατὰ τῆς διαθήκης Λαμπετίου [ω]. Κατὰ τῶν προσθηκῶν Ἰουλιανοῦ σύγγραμμα. Κατὰ Φιλικισσίμου, ὅτι ἀπαθὴς ὁ λόγος. Ὑπακοὴ εἰς τοὺς μάρτυρας. Σύνταγμα εἰς τὸ, ἅγιος ὁ Θεός. Διάλογος πρὸς Ἀναστάσιον [2α]. Βίβλος τῶν ὑποσημειωθέντων ἰδιοχείρως διαφόρων κεφαλαίων [2β]. Ἐπιστολαὶ συνοδικαί [2γ]. Ἐπιστολαὶ ἐνθρονιστικαί [2δ]. Ἐπιστολαὶ διάφοροι πρὸς διαφόρους [2ε].. Βιβλίον περὶ τῆς ἀκολουθίας τοῦ βαπτίσματος, καὶ τῆς ἱερᾶς συνάξεως [2ζ].

ΣΕΥΗΡΟΣ ὁ Γαβάλων σύρος ὢν τὸ γένος, Γαβάλων πόλεως τῆς Συρίας ἐπίσκοπος, ἀνὴρ ἐλλόγιμος, κἂν τὴν Σύρων δασύτητα ἐπὶ τῆς γλώττης ἔφερε, καὶ ἐπ' Ἐκκλησίας διδάσκειν ἐξησκημένος, καὶ τῷ Χρυσορρήμονι σύγχρονος· οὗ καὶ τὴν εὔνοιαν προσκτησάμενος πρότερον, τὴν δυσμένειαν ἐπεσπάσατο ὕστερον. καὶ γὰρ Ἀντίοχον τὸν Πτολεμαΐδος τῆς ἐν Φοινίκῃ ζηλώσας, εἰς τὴν Κωνσταντίνου ἐλθόντα, καὶ πολλὰ χρηματισάμενον, ἐκεῖσε ἀφίκετο. τοσοῦτον δ' ἀσμένως τὸν ἄνδρα ὁ θεῖος ἐδέξατο Χρυσόστομος, (ἔλαθεν αὐτὸν, ὡς ἔοικεν, ὁ τοῦ χρηματισμοῦ σκοπὸς) ὥστε καὶ ἐπ' Ἐκκλησίας διδάσκειν ἐπέτρεπεν· ἐξ οὗ καὶ τῷ Βασιλεῖ γνώριμος καθίστατο, καὶ τῇ βασιλίδι κεχαρισμένος· καὶ τὰ κατὰ τὴν ἰδίαν Ἐκκλησίαν ἐνετίθη, ὅτε ἀνάγκη αὐτὸν κατέλαβεν εἰς Ἔφεσον ἀπελθεῖν ἐπὶ τῷ χειροτονῆσαι ἐπίσκοπον. οὕτω δὲ μεμίσηκεν ἔπειτα, ὥστε καὶ τῆς πόλεως ἐξήλασε, καὶ τῇ τῆς βασιλίδος Εὐδοξίας ἐπανελθόντα κελεύσει, ὁμιλίας, καίπερ πολλῶν ἱκετευόντων, οὐκ ἠξίωσεν. αὐτῆς δὲ τῆς Βασιλίδος ἐν τῷ τῶν ἁγίων Ἀποστόλων ναῷ τὸν Θεοδόσιον ἔτι νήπιον ὄντα τοῖς γόνασιν αὐτοῦ ἐπιτιθεμένης, δεομένης τε καὶ ὅρκοις καταδεσμεούσης, μόλις αὐτῷ κατηλλάχθη. αἰτίαν δὲ τοῦ τοιούτου μίσους γεγονέναι φασὶ [2η], τὸ τὸν Σευῆρον τῷ πλήθει χαρίζεσθαι, καὶ πρὸς ἑαυτὸν πᾶσι τρόποις μεθέλκειν καὶ ἰδιοῦσθαι· καὶ τὸ εἰπεῖν αὐτὸν Σεραπίωνι τῷ τοῦ Χρυσοστόμου ἀρχιδιακόνῳ θεασαμένῳ αὐτὸν παριόντα, καὶ ἐξεπίτηδες μὴ ἀναστάντι· εἰ Σεραπίων Χριστιανὸς ἀποθάνοι, οὐκ ἐνηνθρώπησεν ὁ Χριστός. ἀλλὰ γὰρ ἴσως τοσοῦτον ὑπὸ τοῦ θείου μεμίσηται πατρὸς, ἐπείτοι δῆλος ἐγεγόνει χρημάτων ἔρωτι ἐκεῖ ἀφικέσθαι. παρατείνας δὲ τὸν βίον ἄχρις οὗ ὁ Θεοδόσιος ὁ νέος τῆς βασιλείας τὰ σκῆπτρα ἀνεδήσατο, εἴτουν ἄχρι τοῦ 408. ἔτους, ἐτελεύτησε [2θ].

Τῶν Συγγραμμάτων αὐτοῦ Τὰ Ἐκδεδομένα.

Λόγοι ϛ' εἰς τὴν κοσμοποιΐησιν [2ι]. Λόγος περὶ τοῦ κατὰ Μωϋσέως ὄφεως, ὃν ἐσαύρωσαν ἐν τῇ ἐρήμῳ· καὶ περὶ τῆς θείας Τριάδος [2κ]. Λόγος εἰς τὰς σφραγίδας τῶν βιβλίων [2λ]. Λόγος εἰς τὸ γενέθλιον τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ [2μ]. Λόγος περὶ τοῦ σταυροῦ [2ν]. Λόγος περὶ Εἰρήνης [2ξ].

Τὰ μὴ σωζόμενα.

Κατὰ τῶν αἱρετικῶν [2ο]. Κατὰ Ναβάτου [2π]. Ἔκθεσις εἰς τὴν πρὸς Γαλάτας, καὶ περὶ βαπτίσματος, καὶ περὶ

(α) Παρ' Ἱερωνύμ. αὐτ. (β) Παρὰ τῷ Αὐτ. αὐτ. καὶ παρὰ Φωτ. ἐν κώδ. 85. ἐκδέδοται δὲ ῥωμαϊστὶ μόνον ἐν σελ. 160. τοῦ 4. Τόμ. τῆς τῶν πατέρ. βιβλιοθ. τῆς ἐν Λουγδ. ἐκδοθ. ὡς μαρτυρεῖ ὁ Κάβ. αὐτ. (γ) Ἐξ Ἰακώβου τοῦ Σύρου τὴν ἐπωνυμίαν τὸ τῶν ἀκεφάλων αἱρετικῶν εἵλκυσε σύστημα. ὁ Φώτ. ἐν κώδ. 231. (δ) Ἀρχιμανδρίτης τυχὸν οὗτος. ὅρα δὲ τὸ 22, καὶ 33. κεφ. τοῦ 3. βιβλ. τῆς Εὐαγρ. Ἱστορ. (ε) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 499. (ζ) Νικηφ. ὁ Κάλλιστ. ἐν βιβλ. 16. κεφ. 29. (η) Ὁ Εὐάγρ. αὐτ. ἐν κεφ. 34. (θ) Ὅρα τὴν τῶν μοναχ. καὶ κληρικ. Ἀντιοχ. δέησιν, τὴν προσανεχθεῖσαν ἐν τῇ κατὰ τὴν Κωνστ. ἐπὶ Μηνᾶ κατὰ τὸ 536. ἔτος γενομ. Συνόδ. (ι) Νικηφ. ὁ Κάλλιστ. ἐν βιβλ. 17. κεφ. 2. (κ) Ὁ Αὐτ. ἐν βιβλ. 18. κεφ. 49. (λ) Τούτων ἀποσπασμάτ. ἔν τε ταῖς ἐκδεδομ. καὶ ἀνεκδ. σειρ. (μ) Ἐξεδόθ. ὑπὸ τοῦ Μοντφωκ. ἐν τῷ καταλ. τῶν τῆς Κοϊσλιν. βιβλιοθ. κωδίκ. (ν) Τούτων ἀποσπασμ. σώζοντ. χειρόγρ. ἐν τῇ αὐτῇ βιβλιοθ. ὡς μαρτυρεῖ ὁ Φαβρίκ. ἐν τεύχ. 9. σελ. 344. (ξ) Ἀποσπασ. παρὰ Δαμασκ. ἐν Τόμ. 1. σελ. 504. (ο) Σώζ. χειρόγρ. ὡς μαρτυρ. ὁ Φαβρίκ. αὐτ. (π) Μνεία παρὰ τοῖς κώδ. τῆς εἰρημ. βιβλιοθ. (ρ) Παρὰ τῇ ἐν Λατερανῷ Συνόδ. ὅρα δὲ τὴν 725. σελ. τοῦ 4. Τόμ. τῶν πρακτ. τῶν Συνόδ. τῶν ὑπὸ Βιν. ἐκδοθ. (σ) Παρὰ τῷ Αὐτ. αὐτ. (τ) Παρὰ τῇ ἀνεκδ. εἰς τὴν Πεντάτευχ. σειρ. τῇ ἐν τῇ εἰρημ. βιβλιοθ. (υ) Φέρεται ἀποσπασ. τῷ Δαμασκ. ἐπιγεγραμμ. περὶ οὗ ὅρα τὸν Φαβρίκ. αὐτ. καὶ τὸν Κάβ. ἐν Τόμ. 1. σελ. 500. (φ) Μνεία παρ' Ἀναστασ. εἰς τὸν Ὁδηγ. (ἐν σελ. 94, καὶ 96.) κατὰ τὴν τοῦ Φαβρίκ. μαρτυρ. αὐτ. (χ) Ὅρα τὸν Αὐτ. αὐτ. (ψ) Ὁμοίως. (ω) Μνεία παρὰ Φωτ. ἐν κώδ. 52. (2α) Ὅρα τὸν Φαβρίκ. αὐτ. (2β) Ἀποσπασμ. τούτ. παρὰ Δαμασκ. ἐν Τόμ. 1. σελ. 505. (2γ) Μνεία παρ' Εὐαγρ. ἐν βιβλ. 3. κεφ. 33. (2δ) Παρὰ τῷ Αὐτ. ἐν βιβλ. 4. κεφ. 4. (2ε) Ὅρα τὸν Φαβρίκ. αὐτ. (2ζ) Ἐξεδόθη τῇ Σύρων καὶ Ῥωμαίων φωνῇ ἐν Ἀντβερπ. κατὰ τὸ 1572. ἔτ. (2η) Ὅ, τε Σωκρ. ἐν βιβλ. 6. κεφ. 11. καὶ ὁ Σωζόμ. ἐν βιβλ. 8. κεφ. 10. καὶ Νικηφ. ὁ Κάλλιστ. ἐν βιβλ. 13. κεφ. 9. ἐξ ὧν καὶ τ' ἄλλα συνεραν
ισάμεθα. (2θ) Ὁ Γεννάδ. ἐν κεφ. 21. περὶ τῶν ἐκκλησιαστ. συγγραφ. (2ι) Ἐν τῷ 6. Τόμ. τῶν τοῦ Χρυσοστ. τῆς τοῦ Μοντφωκ. ἐκδόσ. (2κ) Αὐτ. (2λ) Ἐν Τόμ. 12. τῆς αὐτ. ἐκδόσ. (2μ) Ἐν Τόμ. 6. τῆς αὐτ. ἐκδόσ. (2ν) Ἐν Τόμ. 5. τῆς τοῦ Σαβίλ. ἐκδόσ. σελ. 898. (2ξ) Ἐν Τόμ. 7. τῆς αὐτ. ἐκδόσ. σελ. 948. ῥωμαϊστὶ δὲ μόνον. (2ο) Μνεία παρὰ Δαμασκ. ἐν Τόμ. 2. σελ. 785. (2π) Παρὰ Γελασ. ἐν τῷ περὶ τῶν δύο τοῦ Χριστ. φύσ. βιβλ. ὡς μαρτυρεῖ ὁ Φαβρίκ. ἐν τεύχ. 9. σελ. 269.

περὶ τῆς ἑορτῆς τῶν θεοφανίων [α]. Ἑρμηνεία εἰς τό, ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς [β]. Εἰς τὰ ἐγκαίνια τοῦ τιμίου σταυροῦ [γ].

Ἰστέον, ὅτι τὰ ἐν τῇ δὲ τῇ βίβλῳ εἰς τὴν Γένεσιν ὑπομνήματα, τὰ εἴτε Σευήρῳ Γαβάλων, εἴτε Σευηριανῷ Γαβάλων, εἴτε Σευηριανῷ, εἴτε Σευήρῳ ἐπιγραφόντα, ἅπαντα πλὴν δύο μόνον τῶν ἐσχάτων (ἴσ. τοῦ Ἀντιοχείας Σευήρου εἰσὶ) τοῦ Σευηριανοῦ Γαβάλων εἰσὶ ποιήματα [δ]. τὸν αὐτὸν δὲ Σευηριανὸν Γαβάλων διαφόρως σημαίνει ὁ τοῦ Ἡγεμόνος κώδιξ.

ὁ ΣΟΥΚΕΝΣΟΣ ὁ τῆς Διοκαισαρέων Ἐκκλησίας τῆς κατὰ τὴν Ἰσαύρων ἐπαρχίαν ἐπίσκοπος [ε] ἐκ τῶν πρὸς αὐτὸν δύο τοῦ θειοτάτου Κυρίλλου Ἀλεξανδρείας ἐπιστολῶν μόνον γνωστὸς καθέστηκεν [ζ]. ἐξ αὐτῶν δὲ δῆλον, ὅτι τῷ ἐν ἁγίοις Κυρίλλῳ συνήκμασε, καὶ ἀνὴρ ἦν εὐσεβής, καὶ δυνατὸς ἐν λόγῳ, καὶ τῶν ἄγαν φιλομαθῶν. καὶ γὰρ ἐν μὲν τῇ πρώτῃ τῶν ἐπιστολῶν περὶ αὐτοῦ φησὶν ὁ Κύριλλος· ἥσθην ἄγαν, ὅτι καίτοι δυνάμενος ἡμᾶς τε καὶ ἑτέρους ὠφελεῖν, ἐκ πολλῆς ἄγαν φιλομαθίας προτρέπειν ἀξιοῖς ἃ εἰς νῦν ἔχομεν, καίσε φρονεῖν ὑπειλήφαμεν, ταῦτα καὶ γράψαι. εἶτα καὶ ἔμφασίν τινα λόγου εὑρὼν λέγει ἐν τῷ πρὸς αὐτὸν ὑπὸ τοῦ Σουκένσου σταλέντι ὑπομνηστικῷ· ἥπερ ἐστίν, ὅτι μετὰ τὴν ἀνάστασιν τὸ ἅγιον σῶμα τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ εἰς Θεότητα μετακεχώρηκε. τοῦτο δὲ ὡς οὐκ ὀρθὸν εἰκότως οὐ παραδέχεται ὁ θεῖος Κύριλλος. ἐν δὲ τῇ δευτέρᾳ τῶν εἰρημένων ἐπιστολῶν ἐπαίνῳ στέφει, λέγων· ὀρθότατα δὲ καὶ πάνυ συνετῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐξέθετο λόγον.

ΦΙΛΩΝ ὁ Ἑβραῖος ἐξ ἱερέων καταγόμενος, καὶ Ἀλεξανδρεὺς ὢν τὴν πατρίδα [η], περὶ τὸ 40. ἀπὸ Χριστοῦ ἤκμασεν ἔτος [θ]. ὅτε δὲ στάσεως ἐν Ἀλεξανδρείᾳ γενομένης Ἰουδαίων τε καὶ Ἑλλήνων, τρεῖς ἀφ᾽ ἑκατέρας στάσεως αἱρεθέντες ἐν Ῥώμῃ πρὸς Γάϊον ἀπεστάλησαν, τῆς Ἰουδαίων πρεσβείας προεστὼς ἦν ὁ Φίλων. ἀπὸ τῆς Γαΐου δὲ πρεσβείας περιυβρισμένος ἐξιών, πρὸς τοὺς Ἰουδαίους, οἳ περὶ αὐτὸν ἦσαν, ἔφη· ὡς χρὴ θαρρεῖν, Γαΐου μὲν αὐτοῖς ὠργισμένου, ἔργῳ δὲ ἤδη τὸν Θεὸν ἀντιπαρεξάγοντος [ι]. ὅτε δὲ ἐπὶ Κλαυδίου πάλιν ἐς τὴν Ῥώμην ἀφίκετο, λόγος ἐστὶν εἰς ὁμιλίαν αὐτὸν ἐλθεῖν Πέτρῳ τῷ ἀποστόλῳ τοῖς ἐκεῖσε τότε κηρύττοντι [κ]. λέγεται δὲ αὐτὸν καὶ τὰ Χριστιανῶν μυηθέντα, ὕστερον τούτων διά τινα λύπην ἐκπεσεῖν· τοσοῦτον δὲ τοῖς ἑλληνισταῖς παρασχεῖν θαῦμα τῆς ἐν τοῖς λόγοις δυνάμεως, ὡς καὶ λέγειν αὐτούς· ἢ Πλάτων φιλωνίζει, ἢ Φίλων πλατωνίζει [λ].

Τῶν ἐκδόσεων τῶν αὐτοῦ συγγραμμάτων πλήθει καὶ ἀκριβείᾳ τὰ πρεσβεῖα φέρουσα ἡ κατὰ τὸ 1742. ἔτος ἐν Λονδ. γενομένη, καὶ δυσὶ τεύχεσι συνταχθεῖσα.

ΦΙΛΩΝ ὁ Καρπασίου ἐπίσκοπος τίνα μὲν ἔσχε πατρίδα καὶ τοκεῖς ἄδηλον. διάκονος δὲ ὤν, παρὰ τῆς ἀδελφῆς Ἀρκαδίου καὶ Ὀνορίου ἐν Ῥώμῃ διατριβούσης, καὶ νόσῳ τρυχομένης, καὶ μαθούσης δι᾽ Ἐπιφανίου τὸν Θεὸν τοὺς ἀσθενοῦντας θεραπεύειν, ἐν τῇ Κυπρίων πέμπεται ἐπὶ τὴν Ῥώμην ἀγαγεῖν τὸν Ἐπιφάνιον. τοῦτον οὖν παραγενόμενον ἀπὸ ἀποκαλύψεως Θεοῦ ἐπίσκοπον Καρπασίου πόλεως [μ] περὶ τὸ 401. ἔτος [ν] προχειρίσας ὁ Ἐπιφάνιος, ἐπὶ τὴν Ῥώμην παρεγένετο, αὐτῷ τὴν τῆς ἐν Κωνσταντείᾳ Ἐκκλησίας καταλιπὼν μέριμναν.

Τὰ αὐτοῦ Συγγράμματα.

Ὑπόμνημα εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων [ξ]. Καὶ τὰ ἐν τῇ δὲ τῇ βίβλῳ ὑπομνήματα ἐκ ἄλλου τε εἰσὶ ποιήματα, οὐδὲ γὰρ ἄλλος τις Φίλων ἐπίσκοπος ἐν τοῖς ἐκκλησιαστικοῖς συγγραφεῦσι. τὸ δέ, Καρπασίου, οὐ προσετέθη μὲν ἐν τῷ τοῦ Ἡγεμόνος κώδικι, κεῖται δὲ ἐν ταῖς ἀνεκδότοις σειραῖς [ο].

ὁ ΧΡΥΣΟΣΤΟΜΟΣ [π] ὑπὸ Σεκούνδου καὶ Ἀνθούσης τῶν ἐν Ἀντιοχείᾳ εὐπατριδῶν [ρ] κατὰ τὸ 347. [σ] ἀπὸ Χριστοῦ τοῦ σωτῆρος ἔτος γεννηθείς, εἰς μὲν τὰ ἐγκύκλια Λιβανίου, εἰς δὲ τὰ φιλόσοφα Ἀνδραγαθίῳ, εἰς δὲ τὰ ἀσκητικὰ Καρτερίῳ καὶ Διοδώρῳ τῷ τῆς Ταρσοῦ ὕστερον ἐπισκοπήσαντι [τ], εἰς δὲ τὰ τῶν θείων Γραφῶν παιδεύματα Μελετίῳ Ἀντιοχείας μαθητεύει [υ]· παρ᾽ οὗ καὶ τῷ θείῳ ἀναγεννηθεὶς βαπτίσματι, εἰς ἀναγνώστου προσάγεται τάξιν. εἶτα ἔρωτι ἡσυχίας τοῖς ἡσυχαστηρίοις τοῖς ἐν τοῖς ὄρεσι τοῖς κατὰ τὴν Ἀντιόχειαν μεταχωρήσας [φ], γέροντι Σύρῳ περιτυγχάνει, ὑφ᾽ ᾧ ἔτη τέσσαρα προγυμνασθείς, μόνος ἔπειτα ἐν σπηλαίῳ ἐνοικεῖ, τελειοτέρας ἐφαψάμενος σκληραγωγίας. ἀλλὰ νόσῳ περισχεθείς, καὶ μηκέτι ἑαυτῷ χρησιμεύειν ἐπαρκῶν, τὸν ἐν τῇ Ἐκκλησίᾳ πάλιν καταλαμβάνει λιμένα [χ]. καὶ ἐν μὲν τῷ 381. [ψ] ἔτει ὑπὸ τοῦ προδιαληφθέντος Μελετίου διάκονος· ἐν δὲ τῷ 386. [ω] ὑπὸ Φλαβιανοῦ τοῦ τὸν Μελέτιον διαδεξαμένου πρεσβύτερος προχειρίζεται [2α]· ἐν δὲ τῷ 398. [2β] Νεκταρίου τῶν τῇδε μεταστάντος ἐπὶ τὸν Κωνσταντινουπόλεως προβιβάζεται θρόνον· ἐν δὲ τῷ 403. [2γ] ὑπὸ τοῦ ἐν τῇ Δρυῒ (προάστειον τοῦτο τῆς Χαλκηδόνος [2δ]) συνεργείᾳ τῆς Αὐγούστης Εὐδοξίας παρὰ Θεοφίλου Ἀλεξανδρείας συγκροτηθέντος τῶν μέ ἐπισκόπων συνεδρίου πολλαῖς διαβληθεὶς συκοφαντίαις, ἀδίκως τε καθυποβληθεὶς καθαιρέσει, καὶ τοῦ θρόνου ἐξωθεῖται καὶ τῆς πόλεως. ἀλλ᾽ ἐκ Πραινέτου τῆς Βιθυνίας (ἐμπόριον τοῦτο καταντικρὺ τῆς Νικομηδείας) βασιλικῷ ἐπιτάγματι ἀνακαλεῖται τάχιστα [2ε]. διὰ γὰρ τὸν ἐν ἐκείνῃ τῇ νυκτί, τῇ μετὰ τὴν τοῦ ἁγίου ὑποχώρησιν, ἐπισυμβάντα σεισμὸν δείσασα

(α) Παρὰ Γενναδ. αὐτ. καὶ παρ᾽ Οἰκουμ. ἐν τῇ εἰς τὸ 1. κεφ. τῆς πρὸς Γαλ. ἑρμην. (β) Παρ᾽ Ἀναστ. τοῦ Σιν. ἐν τῷ 16. κεφ. τοῦ Ὁδηγ. ὥς φησιν ὁ Καβ. ἐν Τόμ. 1. σελ. 376. (γ) Παρὰ Δαμασκ. ἐν τῷ 3. περὶ εἰκόν. λόγ. (δ) Ὅρα τοὺς Σαβίλ. λόγ. τοὺς ἐν τῷ 6. Τόμ. τοῦ Χρυσ. κατὰ τὴν ῥηθ. ἐκδ. (ε) Ἡ Ἰσαυρία τῆς Ἀσίας ἐστὶ κλίμα, μέρος τῆς Γαλατίας νότιον, τῇ Πισιδίᾳ ὅμορος. ἡ δὲ Διοκαισάρεια πόλις Κιλικίας ὑπὸ τὴν Σελευκίας τῆς καλουμένης τραχείας μητρόπολιν. ὁ Βαυδράντ. ἐν τῷ Λεξ. ὅρα δὲ καὶ Σωκρ. ἐν βιβλ. 2. κεφ. 39. καὶ τὸν συνέκδ. Ἱεροκλ. (ζ) Καὶ ὁ Φώτιος τοῦ Σουκένσου μέμνηται (ἐν τῷ 230. κώδ.) τὰς πρὸς αὐτὸν τοῦ Κυρίλ. ἀναφέρ. ἐπιστ. (η) Ὁ Φώτ. ἐν κώδ. 105. καὶ ὁ Σουΐδ. εἰς τὸ Φίλ. (θ) Ὁ Καβ. ἐν Τόμ. 1. σελ. 21. (ι) Ὁ Ἰώσηπ. ἐν βιβλ. 18. κεφ. 10. περὶ ἰουδαϊκ. ἀρχαιολ. (κ) Ὁ Εὐσέβ. ἐν βιβλ. 2. κεφ. 17. τῆς Ἱστορ. καὶ ὁ Ἱερώνυμ. ἐν τῷ τῶν ἐκκλησιαστ. συγγραφ. καταλ. καὶ ὁ Σουΐδ. καὶ ὁ Φώτ. αὐτ. (λ) Ὁ Φώτ. αὐτ. (μ) Ὅρα τὸν τοῦ Ἐπιφαν. βίον, τὸν ἐν Τόμ. 2. τῶν αὐτοῦ συγγραμ. ἀπὸ σελ. 339. καὶ 360. (ν) Ὁ Καβ. ἐν Τόμ. 1. σελ. 375. (ξ) Παρὰ Σουΐδ. εἰς τὸ Φίλ. ἐκδέδοται δὲ ῥωμαϊστὶ ἐν τῷ 5. τῆς τῶν πατέρ. βιβλιοθ. Τόμ. ἀτελὲς δὲ καὶ ἀμφίβολον· τὸ δ᾽ ἀληθὲς καὶ τέλειον σώζεται χειρόγρ. παρὰ Βιγοτίῳ, ὡς μαρτυρεῖ ὁ Ὀυδῖν. ἐν Τόμ. 1. σελ. 891. (ο) Ὅρα τὴν 731, καὶ 753. σελ. τοῦ 7. τεύχ. τοῦ Φαβρίκ. (π) Τὸ δέ γε πλῆθος, διὰ τὸ τῆς διδασκαλίας ἄφθονον, καὶ τὴν ἐκεῖθεν πηγάζουσαν ὄνησιν. σφόδρα ἐξήχετο τοῦ ἀνδρός· ὑπερφυῶς ἐρῶντες τῆς γλώττης, ὡς καὶ Χρυσόστομον αὐτὸν προσειπεῖν, τὸ ὑπερβάλλον τῆς ἐνούσης χάριτος ὑποτεμνόμενοι. Νικηφ. ὁ Κάλλιστ. ἐν βιβλ. 13. κεφ. 3. (ρ) Οὕτω μὲν ὁ Σωκρ. ἐν κεφ. 3. τοῦ 6. βιβλ. ὁ δὲ Ἀλεξανδρεὺς Γεώργ. ἐθνικοὺς αὐτοὺς εἶναί φησιν· εὐσεβεῖς δὲ ἀποδείκνυσιν ὁ Μοντφαυκόν. εἰς τὸν βίον τοῦ ἁγίου τὸν ὑπ᾽ αὐτοῦ συγγραφ. καὶ ἐν τῷ 13. Τόμ. τῆς κατὰ τὸ Παρίσ. ἐν ἔτει 1718. ἐκδόσ. κειμεν. (σ) Ὁ Μοντφ. αὐτ., ὁ δὲ Φαβρίκ. (ἐν τεύχ. 7. σελ. 554.) ἐν ἔτει 354. (τ) Ὁ Σωκρ. αὐτ. (υ) Ὁ Παλλάδ. ἐν σελ. 16. τοῦ διαλ. τοῦ ἐν τῷ 13. Τόμ. τῆς εἰρημ. ἐκδόσ. (φ) Ὁ Χρυσός. ἐν σελ. 132. τοῦ 1. Τόμ. τῆς αὐτ. ἐκδ. (χ) Ὁ Παλλάδ. αὐτ. ἐν σελ. 17. (ψ) Ὅ, τε Φαβρίκ. αὐτ. ἐν σελ. 555. καὶ ὁ Μοντφ. αὐτ. ἐν σελ. 97. (ω) Οἱ αὐτοί. ὁ μὲν αὐτ. ὁ δὲ ἐν σελ. 99. (2α) Οὕτω μὲν ὁ Παλλάδ. αὐτ. ἀπίθανα δὲ τὰ τοῦ Σωκρ. (αὐτ.) λέγοντος· Ἀναγνώστην Ζήνων ὁ ἐπίσκοπος ἐκ τῶν Ἱεροσολύμων ἐπιστρέφων καθίστησι . . . μετ᾽ οὐ πολὺ καὶ τῆς τοῦ διακόνου ἀξίας παρὰ Μελετίου τυχὼν . . . ὑπὸ Εὐαγρίου τοῦ διαδεξαμένου Παυλῖνον χειροτονεῖται πρεσβύτερος. (2β) Ὅ, τε Φαβρίκ. αὐτ. καὶ ὁ Μοντφ. αὐτ. ἐν σελ. 130. (2γ) Ὁ Μοντφ. αὐτ. ἐν σελ. 145. ἀλλ᾽ ὁ Φαβρίκ. (αὐτ.) ἐν ἔτει 402. γράφει. (2δ) Ὁ Σωζόμ. ἐν βιβλ. 8. κεφ. 17. (2ε) Καὶ τῇ τῆς ἀρχιερωσύνης τοῦ Χρυσοστ. χειροτονίᾳ ἄκων τῷ Εὐτροπίου ὑπήργησε φόβῳ, ὥς φησιν ὁ Σωκρ. (ἐν βιβλ. 6. κεφ. 2.) καὶ γὰρ Ἰσίδωρον τὸν αὐτοῦ φίλον εἰς τὸν τῆς Κωνσταντίνου ἀναγαγεῖν ἤθελε θρόνον. ἐκ τότε οὖν δυσμενῶν διετέλει τῷ θείῳ πατρί, καὶ ὅπως αὐτὸν ἐκθωρήσηται ἐσπούδεν. (2ζ) Ὁ Σωζόμ. αὐτ. ἐν κεφ. 18.

δείσασα ἡ βασιλὶς [α], αὐτῷ τε τῷ θεσπεσίῳ Ἰωάννῃ ἐπέστειλε [β], καὶ τὸν βασιλέα θερμαῖς ταῖς ἱκεσίαις αὐτὸν ἀνακαλέσασθαι ἀνέπεισε. μετὰ δὲ μῆνας δύω πάλιν [γ] τῇ τῆς βασιλίδος προτροπῇ πονηρὸς κατ' αὐτοῦ ἐν Κωνσταντινουπόλει ἐπισκόπων συνέρχεται σύλλογος, ὑφ' οὗ αὖθις παρανόμως καθαιρεθεὶς, κατὰ τὸ 404. ἔτος [δ] εἰς Κουκουσὸν πολίχνην τῆς Ἀρμενίας ἐξόριστος διαπέμπεται, κἀκεῖθεν ἑνὸς περαιωθέντος ἔτους εἰς Ἀραβισσὸν μεταφέρεται, ἐκεῖθέν τε πάλιν εἰς Πιτυοῦντα τόπον τῶν Τζάνων πανέρημον μεταστελλόμενος, πλησίον Κομάνης [ε], κατὰ τὸ 407. ἔτος [ϛ], ἀπὸ τῆς ὑπερορίας εἰς τὴν αἰώνιον ἀνῆλθε πατρίδα.

Ἁπασῶν τῶν ἐκδόσεων τῶν τοῦ ἁγίου συγγραμμάτων τὰ πρωτεῖα φέρουσιν, ἥ, τε κατὰ τὸ 1718. ἔτος ἐν Παρισ. καὶ ἡ Ἐνετίησ. κατὰ τὸ 1741. γενόμεναι *.

ΩΡΙΓΕΝΗΣ ὁ ἐπικληθεὶς Συντακτικὸς [η] καὶ Ἀδαμάντιος [θ] περὶ τὸ 185. ἀπὸ Χριστοῦ ἔτος [ι] ἐν Ἀλεξανδρείᾳ ὑπὸ τοῦ ἐν ἁγίοις Λεονίδου γεννηθεὶς [κ], ὑπ' αὐτοῦ καὶ τὴν ἐγκύκλιον παιδείαν, καὶ τὰ πρῶτα τῶν θείων Γραφῶν ἐκπαιδεύεται στοιχεῖα [λ]. εἶτα Κλήμεντος τοῦ τῆς κατ' Ἀλεξάνδρειαν κατηχήσεως εἰς ἐκεῖνο τοῦ καιροῦ καθηγουμένου ἀκροατὴς γίνεται [μ], εἶθ' οὕτω καὶ Ἀμμωνίου τοῦ φιλοσόφου τοὐπίκλην Σακκᾶ [ν]. ἐν ἔτει δὲ 202. [ξ] τοῦ πατρὸς αὐτοῦ ἐν τοῖς ὑπὸ Σευήρου διωγμοῖς τῷ διὰ Χριστὸν μαρτυρίῳ τελειωθέντος [ο], καὶ τῆς πατρικῆς περιουσίας ἐν τοῖς βασιλικοῖς ἀναληφθείσης ταμείοις, τῇ τῶν γραμματικῶν παραδόσει τὸ ζῆν ἐπορίζετο [π]. ἔτος δὲ ὀκτωκαιδέκατον ἄγων τοῦ τῆς κατηχήσεως προέστη διδασκαλείου, φέρων μὲν γενναίως τὰς τῶν ἀπίστων καταδρομὰς, σκληραγωγῶν δὲ ἑαυτὸν ὑπερβαλλόντως [ρ]· καὶ γὰρ καὶ τὸ εὐνεχίας ἐγχείρημα παρανόμως ἐτόλμησε [σ]· καὶ ὑπαλείφων πολλοὺς ὧν εἶχεν ἀκροατῶν ἐπὶ τοὺς τῆς ἀθλήσεως ἀγῶνας· ὧν πολλοὶ οὐ μόνον ἄνδρες, ἀλλὰ δὴ καὶ γυναῖκες τῷ θείῳ κατεκοσμήθησαν μαρτυρίῳ [τ]. εἶτα ἐπιδημεῖ μὲν ἐπὶ τὴν Ῥώμην, Ζεφυρίνου τὸ πνευματικὸν αὐτῆς ἰθύνοντος σκάφος, εὐξάμενος, ὡς αὐτός που φησι, τὴν ἀρχαιοτάτην Ῥωμαίων ἰδεῖν Ἐκκλησίαν· ἐπάνεισι δὲ μετ' οὐ πολὺ ἐπὶ τὴν Ἀλεξάνδρειαν μετὰ πάσης σπουδῆς ἐκπληρῶν τὰ τῆς κατηχήσεως συνήθη [υ]. χρόνου δὲ μεταξὺ οὐ σμικροῦ διαγενομένου, διὰ τὴν ἐπὶ τὴν πόλιν γενομένην στάσιν [φ] ὑπεξελθὼν τῆς Ἀλεξανδρείας, καὶ ἐπὶ τὴν Παλαιστίνην ἀφικόμενος, ἐν Καισαρείᾳ τὰς διατριβὰς ἐποιεῖτο. οἱ δὲ τῆς Ἐκκλησίας ἐκείνης ἐπίσκοποι, ὁ Ἱεροσολύμων δῆθεν Ἀλέξανδρος, καὶ ὁ Καισαρείας Θεόκτιστος, τὰς θείας ἑρμηνεύειν Γραφὰς ἐπὶ τοῦ κοινοῦ τῆς Ἐκκλησίας αὐτὸν ἠξίουν, καίτοι τῆς τοῦ πρεσβυτερίου χειροτονίας οὔπω τετυχηκότα. ὃ δὴ βαρέως ἐνεγκὼν ὁ Ἀλεξανδρείας Δημήτριος, ἐπὶ τὴν Ἀλεξάνδρου ἐπανελθεῖν αὐτὸν ἐπέταξεν. ὁ δὲ παραγενόμενος, τὰς συνήθεις σπουδὰς ἐπετέλει [χ]. ἐν ἔτει δὲ 223. ἡ Μαμμαία τὴν Ἀντιόχειαν σὺν τῷ υἱῷ αὐτῆς Ἀλεξάνδρῳ καταλαβοῦσα, διὰ τὸν μεταξὺ Ῥωμαίων καὶ Περσῶν συστάντα πόλεμον, γυνή τε θεοσεβὴς οὖσα καὶ εὐλαβὴς τὸν τρόπον, τὸν Ὠριγένην πανταχόσε περιᾳδόμενον ἐκεῖ ἀνακαλέσατο. παρ' ᾗ αὐτὸς χρόνον διατρίψας, καὶ πλεῖστα ὅσα εἰς εὐσέβειαν καὶ ἀρετὴν ἀφηγησάμενος, ἐπὶ τὴν Ἀλεξάνδρειαν ἐπανῆλθεν [ψ]. ἐξ ἐκείνου δὲ τοῦ καιροῦ τὰς θείας Γραφὰς ὑπομνηματίζειν ἤρξατο, Ἀμβροσίου τινὸς τῶν ἐν ταῖς βασιλικαῖς διαφανῶν αὐλαῖς ἐς τὰ μάλιστα αὐτὸν παρορμῶντος [ω]. ἐν ἔτει δὲ 228. (τῆς δ' ἡλικίας αὐτοῦ 43.) [2α] ἐπειγούσης αἰτίας ἐκκλησιαστικῶν ἕνεκα πραγμάτων, ἐπὶ τὴν Ἑλλάδα [2β] σταλάμενος εἰς τὴν Παλαιστίνην ἐλθὼν, ὑπὸ Θεοτέκνου Καισαρείας, καὶ τοῦ Ἱεροσολύμων Ἀλεξάνδρου συνευδοκοῦντος, χειροτονεῖται πρεσβύτερος [2γ]. ἐφ' ᾧ ὀργισθεὶς ὁ προδιαληφθεὶς Δημήτριος, ἐπισκόπων καὶ πρεσβυτέρων κατὰ Ὠριγένους ἀθροίζει Σύνοδον. καὶ ἡ μὲν μεταστῆσαι ἀπὸ Ἀλεξανδρείας τὸν Ὠριγένην, τῆς δὲ τοῦ πρεσβυτέρου τιμῆς μὴ κεκινῆσθαι, ψηφίζεται· ὁ δὲ σὺν τοῖς συμψήφοις αὐτῷ γενομένοις καὶ τῆς ἱερωσύνης ἀπεκήρυξεν [2δ]. ἐν ἔτει μὲν οὖν 231. [2ε] φυγαδευθεὶς ὁ Ὠριγένης ἐπὶ τὴν Καισάρειαν ἐπανέρχεται, παρρησίᾳ διδάσκων, καὶ πάσῃ τιμῇ ὑπὸ πάντων δεξιούμενος. δύω δὲ ἐτῶν διεληλυθότων, διωγμοῦ ὑπὸ τοῦ Μαξιμίνου κατὰ τῶν εὐσεβῶν κινηθέντος, ἐπὶ Ἰουλιανὴν γυναῖκα εὐσεβῆ οὐχ ἧττον ἢ εὔπορον προσφυγὼν, ἄχρι τῆς Μαξιμίνου τελευτῆς ἐναπεκρύβη [2ϛ]. ἐν ἔτει δὲ 237. [2η] ἐπὶ τὰς Ἀθήνας ἐπανέρχεται, ὅπου τὰ εἰς τὸν Ἰεζεκιὴλ περαίνει, καὶ τῶν εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων ἄρχεται· εἶθ' οὕτω παραγίνεται πάλιν ἐπὶ τὴν Καισάρειαν [2θ]. καὶ ἐπὶ μὲν Δεκίου, ἔτος 60. ἄγων πολλὰ μὲν δεινὰ καὶ βασάνους ὑπέστη, οὐ μὴν τὸν βίον ἐν τοῖς ὑπὲρ Χριστοῦ μαρτυρίοις ἐτέλεσεν [2ι]. ἐπὶ δὲ Οὐαλεριανοῦ ἐν ἔτει μὲν ἀπὸ Χριστοῦ 254. [2κ] τῆς δ' ἡλικίας αὐτοῦ 69. [2λ] ἐν Τύρῳ καὶ ἐτελεύτησε καὶ ταφῇ παρεδόθη [2μ].

Τὰ περὶ τῶν αὐτοῦ αἱρέσεων ἔχεις παρ' Ἐπιφανίῳ [2ν], δι' ἃς καὶ ὑπὸ τῆς ἁγίας οἰκουμενικῆς πέμπτης Συνόδου αὐτός τε καὶ τὰ αἱρετικὰ αὐτοῦ συγγράμματα ἀναθέματι καθυπεβλήθησαν [2ξ].

Πάντων τῶν σωζομένων αὐτοῦ συγγραμμάτων, πλὴν τῶν ἑξαπλῶν [2ο], πληρεστέρα τε καὶ ἀκριβεστέρα ἔκδοσις ἡ κατὰ τὸ 1733-1759. ἔτος ἐν Παρισ. γενομένη ἔκδοσις, καὶ τέσσαρσι συνταγεῖσα τόμοις *.

Τῶν


(α) Ὁ Θεοδώριτ. ἐν βιβλ. 5. κεφ. 34. τῆς Ἱστορ. (β) Ὁ Χρυσόστ. ἐν Τόμ. 3. σελ. 423 τῆς ἀρημ. ἐκδόσ. (γ) Ὁ Παλλάδ. αὐτ. ἐν σελ 30. (δ) Ὁ Φαβρίκ. αὐτ. καὶ ὁ Μοντφ. αὐτ. ἐν σελ. 155. (ε) Ὁ Παλλάδ. αὐτ. ἐν σελ. 39. (ϛ) Ὁ Φαβρίκ. αὐτ. καὶ ὁ Μοντφ. αὐτ. ἐν σελ. 177. *) Ἡ δὲ φράσις αὐτῷ, φησὶν ὁ Φώτιος (ἐν κώδ. 172, 173, 174.) μετὰ τῆς συνήθους σαφηνείας καὶ καθαρότητος, καὶ τὸ λαμπρὸν καὶ εὔρουν ἐνδείκνυται, τὸ πολύχουν τῶν νοημάτων, καὶ τὴν τῶν παραδειγμάτων προσφυεστάτην εὐπορίαν συνυποφαίνουσα..., διό μοι καὶ ἀεὶ θαυμάζειν ἔπεισι τὸν τρισμακάριστον ἄνθρωπον ἐκεῖνον, ὅτι ἀεὶ καὶ ἐν πᾶσιν αὐτοῦ τοῖς λόγοις τοῦτο σκοπὸν ἐποιεῖτο, τὴν ὠφέλειαν τῶν ἀκροατῶν· τῶν δ' ἄλλων ἢ οὐδ' ὅλως ἐφρόντιζεν, ἢ ὡς ἐλάχιστον. ἀλλὰ καὶ τοῦ δόξαι λαθεῖν αὐτὸν ἔνια τῶν νοημάτων, καὶ τοῦ πρὸς τὰ βαθύτερα μὴ σπουδάσαι παρασχόντων, καὶ ἔτι τοιοῦτον, ὑπὲρ τῆς τῶν ἀκροωμένων ὠφελείας παντάπασιν ὠλιγώρει. (η) Διὰ τὸ πεποιηκέναι πολλὰ βιβλία· ὁ Σουΐδ. εἰς τὸ Ὠριγ. (θ) Διὰ τὸ ἀδαμαντίνοις δεσμοῖς ἐοικέναι οὓς ἂν δήσειε λόγους. ὁ Φώτ. ἐν κώδ. 118. (ι) Ὁ Φαβρίκ. ἐν τῷ 1. μέρ. τοῦ 5. βιβλ. σελ. 215. (κ) Ὁ Εὐσέβ. ἐν βιβλ. 6. κεφ. 1. τῆς Ἱστορ. (λ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 2. (μ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 6. (ν) Ὅ, τε Σουΐδ. αὐτ. καὶ ὁ Εὐσέβ. αὐτ. ἐν κεφ. 19. (ξ) Ὁ Φαβρίκ. αὐτ. (ο) Ὁ Εὐσέβ. αὐτ. ἐν κεφ. 1. (π) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 2. (ρ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 3. (σ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 8. (τ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 4, 5, καὶ 6. (υ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 14. (φ) Ὁ τοῦ Καρακάλ. στρατὸς ταύτην ἐποίει, τοὺς Ἀλεξανδρεῖς ἅπαντας διαφθείρων. ἦν δὲ τοῦτο ἔτος ἀπὸ Χριστοῦ 215. Ὁ Οὐέτ. ἐν τῷ βίῳ τοῦ Ὠριγ. τῷ ἐν τῷ 4. Τόμ. τῆς τοῦ Ῥουαίου ἐκδόσ. ἐν σελ. 87. (χ) Ὁ Εὐσέβ. αὐτ. ἐν κεφ 19. (ψ) Ὁ Οὐέτ. αὐτ. καὶ ὁ Εὐσέβ. αὐτ. ἐν κεφ. 21. (ω) Ὁ Εὐσέβ. αὐτ. ἐν κεφ. 23. καὶ ὁ Ἐπιφάν. ἐν αἱρέσ. 64. (2α) Ὁ Οὐέτ. αὐτ. (2β) Ὁ Εὐσέβ. αὐτ. ἐν κεφ. 23. ὁ δὲ Φώτ. ἐν κώδ. 118. ἐπὶ τὰς Ἀθήνας φησίν. (2γ) Ὁ Φώτ. αὐτ. (2δ) Ὁ Αὐτ. αὐτ. Κατὰ τούτους δὲ τοὺς χρόνους συνέβη αὐτῷ ἐν Ἀλεξανδρείᾳ ὄντι καὶ τὸ παρ' Ἐπιφανίου (ἐν αἱρέσ. 64.) κωθιστορούμενον. ὃ ἐστι τὸ δι' ἐπενόησαν οἱ τῆς κακίας ἐργάται αἰσχρότητα τῷ ἀνδρὶ ἐπινοῆσαι, καὶ τιμωρίαν τοιαύτην ὁρίσαι εἰς παράχρησιν δὴ τοῦ αὐτοῦ σώματος Αἰθίοπι αὐτῷ παρασκευάσαι. ὁ δὲ μὴ φέρων τὴν τῆς διαβολικῆς ἐνεργείας ἐπίνοιαν, ἔρρηξε φωνὴν, τῶν ἀμφοτέρων προτεθέντων αὐτῷ πραγμάτων, θῦσαι μᾶλλον ἑλόμενος. οὐ μὴν δὲ ἑκουσίᾳ γνώμῃ μᾶλλον τοῦτο ἐπετέλεσεν, ὡς πολὺς ᾄδεται λόγος. ἀλλ' ἐπειδὴ ὅλως καθωμολόγησε τοῦτο πρᾶξαι, βαλόντες ἐπὶ χεῖρα αὐτοῦ λίβανον, εἰς τὴν τοῦ βωμοῦ πυρὰν καθῆκαν. καὶ οὕτω τοῦ μαρτυρίου ἀπὸ τῶν κρινάντων ὁμολογητῶν τε καὶ μαρτύρων ἀπεβλήθη τότε, καὶ ἀπὸ τῆς Ἐκκλησίας ἐξώσθη. ἐν Ἀλεξανδρείᾳ δὲ τοῦτο ὑποστὰς, καὶ μὴ δυνάμενος τὴν τῶν ὀνειδιζόντων χλεύην φέρειν, ἀνεχώρησε, κτλ. τὰ αὐτὰ καὶ ὁ Σουΐδ. εἰς τὸ Ὠριγ. (2ε) Ὁ Ῥε. ἐν σελ. 81. τοῦ 4. Τόμ. τῶν Ὠριγ. συγγραμ. ὁ δὲ Κάβ. ἐν Τόμ. 1. σελ. 113. ἐν ἔτει 233. (2ϛ) Ὁ Παλλάδ. παρὰ Οὐετ. ἐν σελ. 96. (2η) Ὁ Οὐέτ. αὐτ. ἐν σελ. 97. (2θ) Ὁ Εὐσέβ. αὐτ. ἐν κεφ. 32. (2ι) Ὅ, τε Φώτ. ἐν κώδ. 118, καὶ ὁ Ἐπιφάν. ἐν τῷ περὶ σταθμ. καὶ μέτρ. ἐν σελ. 175. (2κ) Ὁ Οὐέτ. αὐτ. ἐν σελ. 102. (2λ) Ὁ Εὐσέβ. ἐν βιβλ. 7. κεφ. 1. (2μ) Ὁ Φώτ. αὐτ. (2ν) Ἐν αἱρέσ. 64. (2ξ) Ὅρα τὴν 541. σελ. τοῦ 4. Τόμ. τῶν πρακτ. τῶν συνόδ. τῆς τοῦ Βεν. ἐκδόσ. (2ο) Ἐξεδόθη ταῦτα κατὰ τὸ 1713. ἔτ. ἐν Παρισ. *) Προσφυὲς τὸ παρὰ Κασιοδώρου περὶ τοῦ Ὠριγ. εἰρημένον· (παρὰ Φαβρίκ. ἐν τῇ σημ. τῇ ἐν τῇ 214. σελ. τοῦ 1. μέρ. τοῦ 5. βιβλ.) ubi bene, nemo melius, ubi male, nemo peius. ὅπου καλῶς, οὐδεὶς βέλτιον· ὅπου κακῶς, οὐδεὶς χεῖρον. περὶ δὲ τῶν βλασφημ. αὐτοῦ τῶν ἐν τοῖς δ' περὶ Ἀρχ. λόγ. ὅρα τὸν 8. τοῦ Φωτ. κώδ.

Τῶν Συγγραμμάτων αὐτοῦ

Τὰ Ἐκλελοιπότα.

Τὰ τετραπλᾶ καὶ ὀκταπλᾶ[α]. Βιβλία ιβ′ ὑπομνημάτων εἰς τὴν Γένεσιν[β]. Τόμοι καὶ σχόλια εἰς τὴν Ἔξοδον[γ]. Ὁμιλίαι η′ εἰς τὸ Δευτερονόμιον[δ]. Ὁμιλία εἰς τὰς δύω πόρνας, καὶ ἄλλαι εἰς τὴν α′ καὶ β′ τῶν Βασιλειῶν, καὶ εἰς τὴν α′ καὶ β′ τῶν Παραλειπομένων, καὶ εἰς τὸν Ἔσδραν, καὶ εἰς τὸν Νεεμίαν[ε]. Ὁμιλίαι εἰς τὸν Ἰώβ[ς]. Ὁμιλίαι καὶ ἑρμηνεῖαι εἰς τοὺς ψαλμοὺς[η]. Εἰς τὸν Ἐκκλησιαστὴν ἐκφράσεις ἢ ἑρμηνεῖαι[θ]. Τόμος μικρὸς εἰς τὸ Ἆσμα[ι]. Τόμοι ι′ εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων[κ]. Τόμοι λ′ εἰς τὸν Ἡσαΐαν[λ]. Ὁμιλίαι κδ′ εἰς τὸν Ἱερεμίαν[μ]. Τόμοι κε′ εἰς τὸν Ἰεζεκιήλ[ν]. Ἔκθεσις εἰς τὸν Δανιήλ[ξ]. Πραγματεῖαι εἰς τὸν Ἡσαΐαν, καὶ εἰς τὸν Ἰεζεκιήλ, καὶ εἰς τινὰς τῶν ιβ′ Προφητῶν[ο]. Τόμοι κε′ εἰς τοὺς ιβ′ Προφήτας[π]. Τόμοι κε′ εἰς τὸ κατὰ Ματθαῖον καὶ ὁμιλίαι καὶ σχόλια[ρ]. Εἰς τὸν Μάρκον[σ]. Ὑπόμνημα[τ]. Ἔκθεσις εἰς τὴν Ἀποκάλυψιν[υ]. Ὁμιλίαι πλεῖον ἢ χίλιαι[φ]. Τόμοι β′ περὶ ἀναστάσεως[χ]. Περὶ Αὐτεξουσίου[ψ]. Πρακτικὰ περιέχοντα τὰς λεχθείσας ἐπὶ τῆς Βηρύλλου παροικίας διαλέξεις[ω]. Διάλογος μετὰ Κανδίδου Οὐαλεντινιανοῦ[2α]. Διάλογος πρὸς Βάσσον τὸν Ἀγνώμονα[2β]. Κατὰ τῶν αἱρετικῶν διάφορα[2γ]. Ἐπιστολαὶ τὸν ἑκατὸν ἀριθμὸν ὑπερβαίνουσαι[2δ]. Βιβλίον περὶ τοῦ Πάσχα[2ε].

(α) Μνεία παρ' Εὐσεβ. ἐν βιβλ. 6. κεφ. 16. τῆς Ἱστορ. καὶ παρ' Ἐπιφαν. ἐν τῷ περὶ μέτρ. καὶ σταθ. ἐν Τόμ. 2. σελ. 175. (β) Παρ' Εὐσεβ. αὐτ. ἐν κεφ. 24. καὶ παρ' Ὠριγ. ἐν τῷ περὶ εὐχ. τῷ ἐν σελ. 235. τοῦ 1. Τόμ. τῆς εἰρημ. ἐκδόσ. (γ) Παρ' Ὠριγ. ἐν τῷ 4. κατὰ Κέλσ. βιβλ. (δ) Παρὰ Κασσιοδώρ. ὡς μαρτυρεῖ ὁ Φαβρίκ. αὐτ. (ε) Παρὰ τῷ Αὐτ. αὐτ. (ς) Τέτ. ἀποσπασμ. ἐν τῇ εἰς τὸν Ἰὼβ ἐκδοθ. σειρ. (η) Τῶν μὲν ἑρμην. μέμν. ὁ Εὐσέβ. (ἐν βιβλ. 6. κεφ. 16.) πολλῶν δὲ τεύχεων εἰς τοὺς Ψαλ. ὁ Ἱερών. (ἐν τῇ 89. ἐπισ. τῇ πρὸς τὸν Αὐγουστῖν.) τέτ. δὲ ἀποσπασμ. ἐν τῇ εἰς τοὺς Ψαλ. ἐκδοθ. σειρ. (θ) Μνεία παρ' Ἱερων. ἐν τῇ 65. ἐπισ. τῇ πρὸς Παμμάχ. (ι) Παρ' Ὠριγ. ἐν κεφ. 7. τῆς Φιλοκαλ. (κ) Παρ' Ἱερων. ἐν τῷ προλ. τῶν εἰς τὸ Ἆσμα ὁμιλ. (λ) Παρ' Εὐσεβ. ἐν βιβλ. 6. κεφ. 32. (μ) Παρὰ Τηλλεμοντ. ἐν τῷ τοῦ Ὠριγ. βίῳ, ὡς μαρτυρεῖ ὁ Φαβρίκ. αὐτ. (ν) Παρ' Εὐσεβ. αὐτ. (ξ) Παρ' Ὠριγ. ἐν τῷ εἰς τὸν Ματθ. ὑπόμν. ἐν σελ. 859. τοῦ 3. Τόμ. τῆς εἰρημ. ἐκδόσ. (ο) Παρ' Ὠριγ. ἐν τῷ κατὰ Κέλσ. 7. βιβλ. (π) Παρ' Εὐσεβ. ἐν βιβλ. 6. κεφ. 36. (ρ) Παρὰ τῷ Αὐτ. αὐτ. καὶ παρ' Ὠριγ. ἐν κεφ. 6. τῆς Φιλοκαλ. (σ) Παρ' Οὐετ. ἐν τῷ βίῳ τοῦ Ὠριγ. ἐν σελ. 325. τοῦ 4. Τόμ. τῆς εἰρημ. ἐκδόσ. ἀλλ' ἀμφίβολόν ἐστι. (τ) Παρ' Ὠριγ. ἐν τῇ 17. ὁμιλ. εἰς τὸν Λουκ. ἐν σελ. 848, καὶ 953 τοῦ 3. Τόμ. τῆς αὐτ. ἐκδόσ. (υ) Παρὰ τῷ Αὐτ. αὐτ. ἐν σελ. 863. (φ) Παρ' Ἱερων. ἐν ἐπισ. 65. τῇ ἀνωτέρ. μνημονευθ. (χ) Παρ' Ὠριγ. ἐν τῷ 5. κατὰ Κέλσ. βιβλ. καὶ παρ' Εὐσεβ. ἐν βιβλ. 6. κεφ. 24. (ψ) Παρ' Ὠριγ. ἐν τῷ 7. βιβλ. τῆς πρὸς Ῥωμ. τῷ ἐν Τόμ. 4. τῆς αὐτ. ἐκδ. (ω) Παρ' Εὐσεβ. ἐν βιβλ. 6. κεφ. 33. (2α) Παρ' Ἱερων. ἐν βιβλ. 2. τῆς Ἀπολογ. κατὰ Ῥουφίν. (2β) Παρ' Ὠριγ. ἐν τῇ πρὸς Ἀφρικ. ἐπισ. τῇ ἐν τῇ 10. σελ. τοῦ 1. Τόμ. τῆς αὐτ. ἐκδ. (2γ) Παρὰ Νικηφ. τῷ Καλλίσ. ἐν βιβλ. 10. κεφ. 36. (2δ) Παρ' Εὐσεβ. αὐτ. ἐν κεφ. 36. (2ε) Παρ' Ἀνατολ. Ἀλεξανδρ. Λαοδικ. ἐπισκ. ὡς μαρτυρεῖ ὁ Φαβρίκ. αὐτ. ἐν σελ. 235. αὐτοῦ δὲ καὶ Μονοβιβλίου τινὸς μνήμη.



Ο ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΠΙΝΑΞ

ΤΗΝ ΣΕΛΙΔΑ ΔΗΛΩΝ ΤΟΥ ΚΕΦΑΛΑΙΟΥ ΕΚΑΣΤΟΥ ΤΩΝ ΤΗΣ ΘΕΙΑΣ ΓΡΑΦΗΣ ΤΕΥΧΕΩΝ.

ΓΕΝΕΣΕΩΣ.

Ε Ξ Ο Δ Ο Υ.

ΛΕΥΙΤΙΚΟΥ.

ΑΡΙΘΜΩΝ.

ΔΕΥΤΕΡΟΝΟΜΙΟΥ.



ΠΟΣΑΙ [α]
ΠΑΡΑΔΟΣΕΙΣ ΕΙΣΙ ΤΗΣ ΓΡΑΦΗΣ
ΕΙΤΟΥΝ ΑΠΟ ΤΟΥ
ἙΒΡΑΪΚΟΥ ΕΙΣ ΤΟ ΕΛΛΗΝΙΚΟΝ ΕΡΜΗΝΕΙΑΙ ΚΑΙ
ΤΙΝΕΣ ΟΙ ΤΑΥΤΗΝ ΕΡΜΗΝΕΥΣΑΝΤΕΣ.

ρώτη * ἐστὶν ἡ τῶν οβ' ἑρμηνευτῶν. οὗτοι Ἑβραῖοι ὄντες ἐξελέγησαν ἀπὸ ἑκάστης φυλῆς ἕξ, καὶ ἡρμήνευσαν τὴν θείαν Γραφὴν ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου βασιλέως πρὸ σλ' [β] ἐνιαυτοῦ τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Δευτέρα ἐστὶν ἡ τοῦ Ἀκύλα. οὗτος ἀπὸ Σινώπης τοῦ Πόντου ὑπάρχων, καὶ Ἕλλην ὤν, ἐβαπτίσθη ἐν Ἱεροσολύμοις, καὶ πάλιν τὸν Χριστιανισμὸν ἀναθεματίσας [γ], καὶ τοῖς Ἰουδαίοις προσδραμών, ἡρμήνευσε καὶ αὐτὸς τὴν θείαν Γραφὴν [δ] ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως μετὰ ἔτη υλ' [ε] τῆς τῶν ἑβδομήκοντα δύω ἑρμηνείας διεστραμμένῳ λογισμῷ [ζ].

d 3 Τρίτη

(α) Πόσαι ἐκδόσεις εἰσὶ τῆς θείας Γραφῆς. ὁ Ἀλεξάν. κώδ. Ποῖαι καὶ πόσαι. ἐν τῷ τέλ. τῆς Συνόψ. τῆς θείας Γραφ. τοῦ Ἀθανασ.

* Οὐ μόνον τῷ χρόνῳ, ἀλλά γε δὴ καὶ τῇ ἀκριβείᾳ καὶ τελειότητι. καὶ μαρτύριον μὲν τούτου ὅσα περὶ αὐτῆς ἱστορῶν διέξεισιν ἔπαινα ὅ, τε Φίλων ὁ Ἑβραῖος (ἐν τῷ περὶ Μωϋσ. βιβλ. 2.) καὶ ὁ Ἰώσηπος, (ἐν κεφ. 2. τοῦ 12. περὶ ἰουδαϊκ. ἀρχαιολογ. βιβλ.) καὶ ὁ Ἐπιφάνιος· (ἐν τῷ περὶ μέτρ. καὶ σταθ. ἐν κεφ. 3, 4, καὶ 5.) δεῖγμα δὲ, ἡ χρῆσις ἁπάντων τῶν πατέρων, μηδὲ τοῦ Ὠριγένους ἐξαιρουμένου, τοῦ καὶ τὴν ἑβραΐδα φωνὴν ἀκριβῶς εἰδότος· σφραγὶς δὲ καὶ ἀναντίῤῥητος ἀπόδειξις τὸ καὶ αὐτοὺς τοὺς πνευματοφόρους Εὐαγγελιστὰς καὶ θεσπεσίους Ἀποστόλους τῇ μεταφράσει ταύτῃ χρήσασθαι, ὅπου τῆς παλαιᾶς ἐμνήσθησαν διαθήκης. μέγα οὖν ἀληθῶς τὸ τοῦ Ἑλλήνων γένους κλέος καὶ καύχημα, καὶ ὃ οὐδὲν ἂν ἕτερον καυχήσαιτο γένος· τὸ τῆς μὲν παλαιᾶς Γραφῆς, τοιᾶσδε πλουτεῖν μεταφράσεως, τῆς δὲ νέας ἅπαντα μικροῦ δεῖν τῇ ἑλληνίδι ἔχειν συντεταγμένα διαλέκτῳ. κἂν γὰρ τό, τε κατὰ Ματθ. Εὐαγγέλ. καὶ ἡ πρὸς Ἑβρ. ἐπισ. τοῦ Παύλ. τῇ ἑβραΐα φωνῇ ἐγράφη, ἀλλὰ τὸ μὲν ἤτοι ὁ Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου, (ὅρα τὴν ῥηθ. σύνοψ.) ἢ ὁ Ἰωάννης (ὁ Θεοφύλακ. ἐν τῷ Προοιμ. εἰς τὸ κατὰ Ματθ.) ἡρμήνευσε· τὴν δὲ, ὁ Λουκᾶς, ἢ ὁ Βαρνάβας, ἢ ὁ Ῥώμης Κλήμης. ὡς μαρτυρεῖ ὅ, τε Εὐσέβ. (ἐν βιβλ. 3. κεφ. 38. τῆς Ἱστορ.) καὶ ὁ Ἱερών. ἐν τῷ Καταλ. τὸ δὲ κατὰ Μάρκον, εἰ Ῥωμαϊστὶ ἐγράφη, οὐ πάνυ δῆλον. ὅρα τὸν Κάβ. ἐν Τόμ. 1. σελ. 24.

(β) Πρὸ διακοσίων τριάκοντα ἐνιαυτῶν. ἐν τῇ εἰρημ. συνόψ. Ἰστέον δὲ ὅτι ὁ μὲν Ἐπιφάν. (αὐτ. ἐν κεφ. 12.) τῷ 7. ἔτει, φησὶ, τῆς Φιλαδέλφου βασιλείας τοὺς οβ' ἑρμηνεῦσαι τὴν Γραφήν. ἦν δὲ τότε ἀπὸ τῆς Ἰουλ. Περιόδ. ἔτος 4435. (ὅρα τὰς εἰς τὸν Ἐπιφάν. τοῦ Πεταβ. σημειώσ. τὰς ἐν τῇ 383. σελ. τοῦ 2. Τόμ.) Ἐπεὶ οὖν κατὰ τὸν Ἐπιφάν. (αὐτ.) τῷ 42. ἔτει τῆς Βασιλ. τοῦ Αὐγούστου ὁ Σωτὴρ ἡμῶν ἐγεννήθη, ἤτουν τῷ 4712. ἀπὸ τῆς Ἰουλ. Περιόδ. (κατὰ τὸν Πετάβ. αὐτ. ἐν σελ. 384.) πρὸ 277. ἄρα ἐνιαυτῶν τῆς κατὰ σάρκα γεννήσ. τοῦ Σωτῆρ. ἡ ῥηθεῖσ. ἐγένετο ἑρμην. εἰ δὲ τῷ 2. ἔτει τῆς τοῦ Φιλαδέλ. Βασιλ. ἡρμηνεύθη, ὡς φησιν ὁ Εὐσέβ. (ἐν τῷ χρον.) ὃ καὶ ὁ Πετάβ. (αὐτ.) ἐγκρίνει. πρὸ τῆς τοῦ Σωτῆρ. ἄρα γεννήσ. ἔτη 282. ἐγένετο.

(γ) Ἀθετήσας. ἐν τῇ Συνόψ. Τὸν λόγον δὲ τῆς ἀθετήσεως ἀποδίδωσιν ὁ Ἐπιφάν. (αὐτ.) λέγων· ἀστέρων συνιστᾶν τὰ ἀσύστατα, τὴν εἱμαρμένην δηλονότι, καὶ τὰ περὶ αὐτῆς διηγήματα, ἐξεώσθη πάλιν τῆς Ἐκκλησίας, ὡς ἄχρηστος πρὸς σωτηρίαν. πικρανθεὶς δὲ τὴν διάνοιαν, ὡς ἠτιμωμένος, εἰς ζῆλον μάταιον αἴρεται, καὶ τὸν Χριστιανισμὸν ἀρνησάμενος, καὶ τὴν αὐτοῦ ζωὴν προσηλυτεύει, καὶ περιτέμνεται Ἰουδαῖος, κτλ.

(δ) Τὴν θείαν Γραφὴν διεστραμμένῳ λογισμῷ ἐπὶ Ἀδριανοῦ βασιλέως τοῦ λεπρωθέντος. ἐν τῇ Συνόψ.

(ε) Μετὰ τλ' ἔτη τῆς τῶν οβ' ἑρμηνείας. αὐτ. Ὁ δὲ Ἐπιφάν. (αὐτ.) μετὰ υλ' καὶ μικρὰς δ'. κατὰ τὸν Ἐπιφάν. ἄρα περὶ τὸ 133. ἀπὸ Χριστοῦ ἔτος (ὅρα τὴν β. σημείωσ.) ἐγένετο. κατὰ δὲ τὸν Κάβ. (ἐν Τόμ. 1. σελ. 54.) περὶ τὸ 128, ἢ 129.

(ζ) Περὶ τῆς τοῦ Ἀκύλα μεταφράσ. ὁ μὲν Ἐπιφάν. (αὐτ.) φησὶ τάδε· οὐκ ὀρθῷ λογισμῷ χρησάμενος, ἀλλ' ὅπως διαστρέψῃ τινὰ τῶν ῥητῶν, ἐνσκήψας τῇ τῶν οβ' ἑρμηνείᾳ· ἵνα τὰ περὶ Χριστοῦ ἐν ταῖς Γραφαῖς μεμαρτυρημένα ἄλλως ἐκδώσῃ, δι' ἣν εἶχεν αἰδῶ; εἰς ἄλογον αὐτοῦ ἀπολογίαν. ὁ δὲ Ὠριγέν. (ἐν κεφ. 14. τῆς Φιλοκαλ.) ὁ κυριώτατα ἑρμηνεύειν φιλοτιμούμενος Ἀκύλας· καὶ ἀλλαχοῦ, (ἐν τῇ πρὸς Ἀφρικ. ἐπισ. τῇ ἐν τῷ 1. Τόμ. τῆς εἰρημ. ἐκδόσ. σελ. 13.) οὕτω γὰρ Ἀκύλας δουλεύων τῇ ἑβραϊκῇ λέξει ἐκδέδωκεν, εἰπών· φιλοτιμότερον πεπιστευμένος παρὰ Ἰουδαίοις ἡρμηνευκέναι τὴν Γραφήν. ᾧ μάλιστα εἰώθασιν οἱ ἀγνοοῦντες τὴν Ἑβραίων διάλεκτον χρῆσθαι, ὡς πάντων μᾶλλον ἐπιτετευγμένῳ. Ὁ δὲ Ἱερών. ἐν μὲν τῇ πρὸς Παμμάχ. ἐπισ. contentiosius interpres, qui non solum verba, sed et etymologias verborum transferre conatus est iure proiicitur a nobis. ἐν δὲ τῷ 2. πρὸς Δάμασ. ζητήμ. Aquilam non contentiosius, vt quidam putant, sed studiosius verbum interpretaui ad verbum. ἐν δὲ τῇ πρὸς Μάρκελ. ἐπισ. Aquila editionem cum voluminibus Hebraeorum confero; nequid forsitan propter odium Christi Synagoga mutauerit, et, vt amicae

menti

Τρίτη ἑρμηνεία ἐστὶν ἡ τοῦ Συμμάχου. οὗτος Σαμαρείτης ὤν, καὶ μὴ τιμηθεὶς ὑπὸ τοῦ ἰδίου λαοῦ, ὡς φύλαρχος, τοῖς Ἰουδαίοις προσρέχει, καὶ ἐκ δευτέρου περιτέμνεται [α], καὶ πρὸς διαστροφὴν τῶν Σαμαρειτῶν ἑρμηνεύει [β] καὶ αὐτὸς τὴν θείαν Γραφὴν ἐπὶ Σευήρου τοῦ βασιλέως μετὰ ν' ἔτη [γ] τῆς τοῦ Ἀκύλα ἑρμηνείας.

Τετάρτη ἐστὶν ἡ τοῦ Θεοδοτίωνος τοῦ Ἐφεσίου. οὗτος τῆς αἱρέσεως Μαρκίωνος τοῦ ποντικοῦ ὢν μιμητὴς [δ] τῆς αἱρέσεως αὐτοῦ, ἡρμήνευσε καὶ αὐτὸς ἐπὶ Κομμόδου τοῦ βασιλέως ἐν αὐτῷ τῷ χρόνῳ [ε] πρὸς διαστροφὴν τῆς αὐτοῦ αἱρέσεως.

Ἡ πέμπτη [ζ] ἑρμηνεία ἐν πίθοις εὑρέθη [η] κεκρυμμένη ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμμαίας παιδὸς [θ] ἐν Νικοπόλει τῇ πρὸς Ἀκτίοις.

Ἕκτη [ι] δὲ ἄλλη εὑρέθη ἐν Νικοπόλει τῷ πρὸς Ἀκτίοις [κ] μετὰ τὸν Σευήρου διωγμόν. Ἐξ ὧν ἑρμηνεῖαι τῶν Γραφῶν εἰσὶ καὶ σώζονται [λ].

Ἑβδόμη ἑρμηνεία [μ] ἡ τοῦ ἁγίου Λουκιανοῦ τοῦ μεγάλου ἀσκητοῦ καὶ μάρτυρος. ὅστις καὶ αὐτὸς ταῖς προγεγραμμέναις ἐκδόσεσι, καὶ τοῖς Ἑβραϊκοῖς ἐντυχών, καὶ ἐποπτεύσας μετὰ ἀκριβείας τὰ λείποντα, ἢ καὶ περιττὰ ὄντα τῆς ἀληθείας ῥήματα, διορθωσάμενος ἐν τοῖς οἰκείοις τῶν Γραφῶν τόποις, ἐξέδοτο τοῖς Χριστιανοῖς ἀδελφοῖς. ἥτις [ν] μετὰ τὴν ἄθλησιν καὶ μαρτυρίαν τοῦ ἁγίου Λουκιανοῦ, μετὰ τὸν διωγμὸν τὸν γενόμενον ἐπὶ Μαξιμιανοῦ καὶ Διοκλητιανοῦ τῶν τυράννων· τὸ ἰδιόχειρον αὐτοῦ τῆς ἐκδόσεως βιβλίον εὑρέθη ἐν Νικομηδείᾳ ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως παρὰ Ἰουδαίοις ἐν τοίχῳ πυργίσκῳ κεχρισμένῳ κονιάματι εἰς διαφύλαξιν.

Ποσάκις καὶ πότε ἐπορθήθησαν οἱ ἐξ Ἰσραήλ.

Α. Ἐπὶ Ῥοβοὰμ Σουσακὶμ τοῦ Αἰγυπτίων βασιλέως [ξ]. Β. Ἐπὶ Ἀζαὴλ βασιλέως Ἀσσυρίων [ο]. Γ. Ἐπὶ Θεγλαφθαλ Μανασάρ [π]. Δ. Ἐπὶ Ἐζεκίου αἱ δέκα φυλαὶ μετῳκίσθησαν εἰς ὅρια Μήδων καὶ Χαλδαίων [ρ]. Ε. Ἐπὶ Ναβουχοδονόσορ, ὅτε καὶ τὸν Ἰεχονίαν ἐξετύφλωσεν [σ]. Ϛ. Ἐπὶ Πτολεμαίου τοῦ Λάγου, δόλῳ παραλαβόντος τὰ Ἱεροσόλυμα, καὶ μεταγαγόντος εἰς Αἴγυπτον [τ]. Ζ. Ἐπὶ Ἀντιόχου τοῦ Ἐπιφανοῦς, ὃς καὶ ἐπὶ βδελύγμασιν ἰσχύ-

menti fatear, quae ad noſtram fidem pertineant roborandam plura reperio. Ὁ δὲ Ἀναστάσ. ἐν κεφ. 6. τοῦ Ὁδηγ. τὴν λεγομένην παρ' Ἑβραίοις δευτέρωσιν τὴν περιέχουσαν τῆς ὀρθῆς τῶν ἑβδομήκοντα ἑρμηνευτῶν τὴν ἀναίρεσιν, καὶ τοῦ θείου νόμου κατάλυσιν. Τῆς μεταφράσεως ταύτης ὡσαύτως καὶ τῆς τοῦ Συμμάχου ἀποσπασμάτια μόνον σώζεται. ἅπερ ὁ Νοβίλιος, καὶ ὁ Δρούσιος, καὶ ὁ Οὐαλτόνιος συλλέξαντες, ἐξέδοντο, ὥς φησιν ὁ Κάβ. (ἐν Τόμ. 1. σελ. 54, καὶ 99.) τό, τε ποῦ, καὶ τὸ πότε παρασιωπῶν.

(α) Καὶ μὴ θαύμαζε περὶ τούτου, φησὶν ὁ Ἐπιφάν. (αὐτ. ἐν κεφ. 16.) ὦ ἀκροατά. γίγνεται γάρ. ὅσοι γὰρ ἀπὸ Ἰουδαίων Σαμαρείταις προσφεύγουσιν, ἀντιπεριτέμνονται· ὡσαύτως καὶ οἱ ἀπὸ Σαμαρειτῶν πρὸς Ἰουδαίους ἐρχόμενοι. τὸ δὲ ἔτι τούτων χαλεπώτερον, ὅτι καὶ ἀπὸ περιτομῆς ἀκρόβυστοι γίνονται τέχνῃ τινὶ ἰατρικῇ διὰ τοῦ καλουμένου σπαθιστῆρος τὴν τῶν μελῶν ὑποδερματίδα ὑποσπαθισθέντες, ῥαφέντες τε καὶ κολλητικοῖς περιοδευθέντες, ἀκροβυστίαν αὖθις αὐτὴν ἀποτελοῦσιν. ἔχεις καὶ τὴν μαρτυρίαν παρὰ τῷ ἁγίῳ Ἀποστόλῳ, ὦ φιλοκαλώτατε, δι' ὧν αὐτοῖς ῥήμασιν ὧδέ πως λέγει· περιτετμημένος τὶς ἐκλήθη; (1. πρὸς Κορ. 7. 18.) μὴ ἐπισπάσθω· ἐν ἀκροβυστίᾳ τὶς ὑπάρχει, μὴ περιτεμνέσθω.

(β) Ὅρα τὸν Φαβρίκ. αὐτ. ἐν σελ. 337. (γ) Μετὰ πεντηκονταέξ. ὁ Ἀλεξάν. κώδ. ὡσαύτως καὶ ἡ Συνόψ.

(δ) Μιμῶν τῇ αἱρέσει αὐτοῦ, ὁ Ἀλεξάν. κώδ. Μιμῶν τοῖς τῆς αἱρέσ. αὐτοῦ. ἡ Συνόψ. Μιμῶν καὶ αὐτὸς τῇ αὐτοῦ αἱρέσει, καὶ εἰς ἰουδαϊσμὸν ἀποκλίνας, καὶ περιτμηθεὶς, καὶ τὴν τῶν Ἑβραίων φωνὴν καὶ τὰ αὐτῶν στοιχεῖα παιδευθεὶς, ἰδίως καὶ αὐτὸς ἐξέδωκε. διὸ τὰ πλεῖστα τοῖς ἑβδομηκονταδύω συνᾳδόντως ἐξέδωκεν· ὁ Ἐπιφάν. αὐτ.

(ε) Περὶ τὸ 182, ἢ 186. ἀπὸ Χριστοῦ ἔτος. Ὅρα τὸν Κάβ. αὐτ. ἐν σελ. 78. Ὅπου καὶ τὴν τοῦ Δανιὴλ σωζομένην προφητείαν ὅλην ἐκ τῆς Θεοδοτίωνος μεταφράσεως εἶναί φησι καὶ οὐχὶ ἐκ τῆς τῶν ἑβδομήκοντα.

(ζ) Πέμπτη ἑρμηνεία ἐστὶν ἡ ἐν πίθοις εὑρεθεῖσα κεκρυμμένη. ἡ Συνόψ. περὶ δὲ τῆς πέμπτης καὶ ἕκτης ἐκδόσεως, φησὶν ὁ Ἐπιφάν. (αὐτ. ἐν κεφ. 17.) οὐκ ἔχω εἰπεῖν τίνες, ἢ πόθεν οἱ ἑρμηνεύσαντες, ἢ μόνον ὅτι μετὰ τὸν διωγμὸν τοῦ βασιλέως Σευήρου εὑρέθη ἡ πέμπτη ἐν πίθοις, ἐν Ἱεριχῷ κεκρυμμένη, ἐν χρόνοις τοῦ υἱοῦ Σευήρου τοῦ ἐπικληθέντος Καρακάλλου τε καὶ Γέτα. Τὴν πέμπτην, φησὶν ὁ Φαβρίκ. (αὐτ. ἐν σελ. 341.) τὴν αὐτὴν οἴονταί τινες εἶναι τῇ ἑβδόμῃ.

(η) Ὑπὸ Ὠριγένους, ὡς μαρτυρεῖ ὅ, τε Εὐσέβ. (ἐν βιβλ. 6. κεφ. 16. τῆς ἱστορ.) καὶ ὁ Ἐπιφάν. (αὐτ. ἐν κεφ. 19.) καὶ ὁ Ἱερών. ἐν τοῖς Προοιμ. εἰς τὰς ὁμιλ. Ὠριγ. τὰς εἰς τὸ Ἆσμα.

(θ) Ἐπὶ Ἀντωνίνου βασιλέως τοῦ Καρακάλλα ἐν Ἱεριχῷ παρά τινος τῶν ἐν Ἱεροσολύμοις σπουδαίων. ἡ Συνόψ.

(ι) Ἕκτη ἑρμηνεία ἐστὶν ἡ ἐν πίθοις εὑρεθεῖσα καὶ αὐτὴ κεκρυμμένη ἐπὶ Ἀλεξάνδρου τοῦ Μαμμαίας παιδὸς ἐν Νικοπόλει τῇ πρὸς Ἀκτίοις ὑπό τινος τῶν Ὠριγένους γνωρίμων. ἡ Συνόψ. ἐκ τούτων ἄρα δῆλον, ὅτι ὅ, τε Ἐπιφάν. καὶ ὁ τὴν Συνόψιν συντάξας τὴν πέμπτην ἕκτην καλοῦσι. (κ) Πρὸς Ἀκτίῳ γράφει ὁ Εὐσέβ. αὐτ.

(λ) Περὶ τῆς ἕκτης ταύτης τῆς κατ' Ἐπιφάν. καὶ τὴν Συνόψ. πέμπτης τάδε φησὶν ὁ Ἰωσὴφ ἐν τῷ ὑπομνηστικῷ τῷ χειρογρ. (ὅρα τὸν Φαβρίκ. αὐτ. ἐν σελ. 342.) Πέμπτη δὲ ἔκδοσις εὑρέθη ἐν Ἱεριχῷ ἐν πίθοις χαλκοῖς κεκρυμμένη, οὐκ ἐπιγεγραμμένη δὲ τὸν ἑρμηνέα. Φασὶ δὲ αὐτὴν ὑπὸ γυναικὸς ἑρμηνεῦσθαι, (ἴσ. ἡρμηνεῦσθαι), τὸ καὶ ἐν οἰκίᾳ γυναικὸς ἐπιμελοῦς ἐν τοῖς ἱεροῖς λόγοις εὑρῆσθαι τοὺς πίθους.

(μ) Ἑβδόμη πάλιν καὶ τελευταία ἑρμηνεία. ἡ Συνόψ.

(ν) Ἥτις δὴ καὶ ἑρμηνεία μετὰ τὴν ἄθλησιν καὶ μαρτυρίαν τοῦ αὐτοῦ ἁγίου Λουκιανοῦ τὴν γεγονυῖαν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν τυράννων. ἡ Συνόψ.

(ξ) Ὅρα τὸ 14. κεφ. τῆς 3. τῶν Βασιλ. (ο) Ὅρα τὸ 13. κεφ. τῆς 4. τῶν Βασιλ.

(π) Ὅρα τὸ 15. κεφ. τῆς 4. τῶν Βασιλ. ὅπου ὁ μὲν τοῦ Ἡγεμ. κώδ. γράφ. Θεγλαθφασάρ· ἡ δὲ ἐν Φρανκ. ἔκδ. Θαλγαθφελλασάρ· ἡ αὐτὴ δὲ ἐν ταῖς σημειώσ. Θεγλάθ Φαλασάρ· ὁ δὲ Εὐσέβ. (ἐν τῷ χρον.) Θεγλὰθ Φανασσάρ. (ρ) Ὅρα τὸ 18. κεφ. τῆς 4. τῶν Βασιλ.

(σ) Ὅρα τὸ 24, καὶ 25. κεφ. τῆς 4. τῶν Βασιλ. ἰστέον δὲ ὅτι ὁ Ἰεχονίας ὁ αὐτὸς καὶ Σεδεκίας λέγεται, ὡς μαρτυρεῖ ὁ Εὐσέβ. (ἐν τῷ χρον.) λέγων· Σεδεκίου τοῦ καὶ Ἰεχονίου βασιλέως Ἰούδα.

(τ) Ὅρα τὸ 1. κεφ. τοῦ 12. βιβλ. τοῦ Ἰωσήπ. περὶ ἰουδαϊκ. ἀρχαιολ.

ιωάγκαζεν αὐτὰς. βασιλεὺς δὲ ἦν Ἀσυρίων [α]. Η. Ἐπὶ Πομπηΐε ςρατηλάτε Ῥωμαίων ὑποσπόνδες ποιήσαντος, καὶ πολιορκήσαντος αὐτὰς, Ὑρκανε βασιλεύοντος, καὶ ἱερατεύοντος. ἕως αὐτε τοίνυν Ὑρκανε ἡ βασιλεία Ἰσραήλ. καὶ λαμβάνει τὴν βασιλείαν αὐτε Ἡρώδης, ἀλλόφυλος ὤν, ἀπὸ τῶν Ῥωμαίων [β]. Θ. Ἐπὶ Νέρωνος βασιλέως Ῥωμαίων [γ]. Ι. Ἐπὶ Οὐεσπεσιανε ςρατηγε Ῥωμαίων [δ]. ΙΑ. Ἐπὶ Τίτε υἱε Οὐεσπεσιανε κατὰ τὸν καιρὸν τε Πάσχα κατακόψαντος τὰ Ἱεροσόλυμα· ἐν ᾧ πάντες ἑόρταζον οἱ τε ἔθνες συναχθέντες, καὶ ἀνελόντος μυριάδας ριβ, καὶ ἄλλας ἑκατὸν μυριάδας αἰχμαλώτων, ἃς διαπέπρακεν ἐχάτῃ ἁλώσει [ε].

Πότε, καὶ πόθεν γέγονεν ἡ ἐν ταῖς θείαις Γραφαῖς εὑρισκομένη ἀσάφεια.

Ὅτι [ζ] ἐν τῇ αἰχμαλωσίᾳ ἐμπρησθεισῶν τῶν βίβλων, εἶτα διαπεμπόντων ἀλλήλοις τῶν ἀπὸ Ἱερεσαλὴμ εἰς Βαβυλῶνα τὰ λόγια τε Θεε, λαχόντες ἀφῄρεν τὰς βίβλες. οἱ δὲ πάλαι διὰ συμβόλων, ὧν ἐκ ἠδύναντο ξένοι νοεῖν, ἔγραφον, ἐξ ὧν ἡ ἀσάφεια. ἕως ὕςερον ἐμπνευσθεὶς Ἔσδρας, πασῶν ἐμνημόνευσε, καὶ γραφῇ παραδέδωκε.

Ποίοις καὶ πόσοις ὀνόμασι παρ' Ἑβραίοις ὀνομάζεται ὁ Θεός.

Δέκα ὀνόμασι παρ' Ἑβραίοις ὀνομάζεται ὁ Θεός. ὧν ἐν μὲν, Ἀδωναΐ, λέγεται, ὅ ἐςι Κύριος· ἕτερον δὲ, Ἰα, ὃ καὶ αὐτὸ ἑλληνικῶς εἰς τὸ, Κύριος, μετελήφθη· ἕτερον δέ τι παρὰ ταῦτά ἐςι τὸ τετράγραμμα [η], τὸ ἀνεκφώνητον ὃν καὶ παρ' Ἑβραίοις· ὃ καὶ καταχρηςικῶς παρὰ μὲν αὐτοῖς, Ἀδωναΐ, καλεῖται, παρὰ δὲ ἡμῖν, Κύριος. τετο δέ φασι γεγράφθαι ἐπὶ τῷ πετάλῳ τῷ χρυσῷ, τῷ ἐπὶ τῷ μετώπῳ τε ἀρχιερέως, κατὰ τὸ ἐν νόμῳ εἰρημένον· ἐκτύπωμα σφραγίδος, ἁγίασμα τῷ Κυρίῳ [θ]· ΠΙ ΠΙ. τὰ δὲ λοιπὰ ὀνόματά ἐςι ταῦτα· Ἤλ, Ἐλωΐμ, Ἀδὼμ [ι], Σαβαὼθ, Σαδδαΐ, Ἰαΐθ, Ἐσεριὲ, καὶ τὰ προγεγραμμένα τρία, ὧν ἐςὶ τὸ τετράγραμμα [κ], τὸ τέτοις γραφόμενον τοῖς ςοιχείοις· Ἰὼθ, Ἤπ, Οὐαῦ, Ἤπ, ΠΙ ΠΙ.

Τὸ ἐπὶ τε Κυρίε ταττόμενον ἀνεκφώνητον ὄνομα διὰ τεσσάρων γράφεται ςοιχείων, διὰ τε Ἰὼθ, διὰ τε Ἤπ, διὰ τε Οὐὰξ, καὶ διὰ τε Ἤθου. τέτων μέσον παρατεθὲν μετὰ τὰ πρῶτα δύω παρ' Ἑβραίοις ςοιχεῖον καλέμενον Σεν, ὅ ἐςιν ὀδόντες· ὡς εἶναι τὸν εἱρμὸν τῶν πέντε γραμμάτων ὅτως· ἀρχὴ αὐτή, ὀδόντες ἐν αὐτῇ, ὁ ζῶν. ἑρμηνεύεται τὰ τέσσαρα ςοιχεῖα, τὸ Ἠὼθ, ἀρχή· καὶ διὰ τε Ἤπ, αὕτη· καὶ διὰ τε Οὐαῦ, ἐν αὐτῇ· καὶ διὰ τε Ἤθ, ὁ ζῶν.

ΕΚ ΤΩΝ ΤΟΥ ΠΡΟΚΟΠΙΟΥ ΤΟΥ ΓΑΖΑΙΟΥ.

Ἡ τοίνυν Γένεσις Μωσέως ἐςὶ γραφὴ, ἀνδρὸς ἑωρακότος Θεὸν, ὡς δυνατὸν ὑπάρχει ἰδεῖν· ᾧ ςόμα πρὸς ςόμα λελάληκεν ὁ Θεὸς ἐν εἴδει, καὶ ἐ δι' αἰνιγμάτων. Καὶ μετ' ὀλίγα. Οὗτος ἐν τὸν ἐμπιςευθέντα λαὸν αὐτῷ πρὸς θεογνωσίαν ἄγειν πειρώμενος, καὶ νόμες ἐκθέσθαι πρὸς σωτηρίαν ἄγοντας, δύω μετελήλυθεν εἴδη γραφῆς· τὸ μὲν, ἱςορικόν· τὸ δὲ, νομοθετικόν. τε δὲ νομοθετικε τὸ μὲν, παραινετικόν· τὸ δὲ, ἀπαγορευτικόν. καὶ τε ἱςορικε τὸ μὲν, περὶ κόσμε γενέσεως· τὸ δὲ, γενεαλογικόν. τε δὲ γενεαλογικε τὸ μὲν, περὶ κολάσεως αὐτῶν· τὸ δὲ, περὶ δικαίων τιμῆς. τὸ δὲ ἱςορικὸν πρέταξε τε νομοθετικε διὰ τοιαύτην αἰτίαν. ἐ* . . . πρᾶγμα ποιῶν παλαιῶν πραγμάτων, ἡ . . . . ἱςορίαν κατεπαγγέλλεται. ἄνωθεν δὲ πρὸ τῆς τε παντὸς γενέσεως τὴν ἀρχὴν ποιησάμενος, δείκνυσι τὸν πατέρα τε κόσμε καὶ ποιητὴν τετον σὺν ἀληθείᾳ νομοθέτην ὑπάρχοντα. ἐχρῆν γὰρ
» ἐγνῶσθαι πρὸ τῶν νόμων τὸν νομοθέτην. τοιγαρεν καὶ Ἰωάννης πρῶτον εἶπεν, ἐν ἀρχῇ ἦν Ἰωάν. ι. ι.
ὁ λόγος, καὶ τότε τὰς αὐτε νομοθεσίας ἐξέθετο. δείκνυσι δὲ Μωϋσῆς, καὶ ὅτι δεῖ τὸν τοῖς νόμοις χρησόμενον, σύμφωνον τὸν βίον τῇ τε παντὸς ἁρμονίᾳ καὶ τάξει παρέχεσθαι, καὶ δεικνύναι συνᾴδοντα λόγοις ἔργα, καὶ τοῖς ἔργοις τὰ ῥήματα. τοιγαρεν τῶν ἄλλων νομοθετῶν, τῶν μὲν εὐθὺς ὁριζόντων τὰ πρακτέα καὶ μή, καὶ τιμωρίαν ἐπιτιθέντων τοῖς παραβαίνεσι· τῶν δὲ, πόλιν κτισάντων ἐν πρώτοις, εἶτα διὰ τῶν νόμων ἣν ἐνόμισαν πολιτείαν ἁρμοσάντων τῇ πόλει· ὁ μὲν Μωϋσῆς τὸ μὲν πρῶτον νομίσας εἶναι τυραννικὸν, καὶ μηδεμίαν ἔχων πειθὼ καὶ παραμυθίαν· τὸ δὲ ἕτερον ἐμμελὲς μὲν, ἐ μὴν διὰ πάντων κατωρθωμένον, αὐτὸς ἑκατέρων διήνεγκε. τῷ τε γὰρ νομοθετικῷ τὸ παραινετικὸν ἐγκατέμιξε, προτρέπειν μᾶλλον ἢ βιάζεσθαι λόγον ποιέμενος· καὶ τὸ πόλιν χειροποίητον ἀρχὴν ποιήσασθαι τῆς συγγραφῆς κτιζομένην τῷ λόγῳ, ταπεινότερον ἢ κατὰ τὴν ἀξίαν τῶν νόμων ὑπείληφεν. ὧν τὸ κάλλος ἀκριβεῖ τῇ θέᾳ κατὰ διάνοιαν ἀπιδὼν, τῆς ἐπὶ γῆς ὑπεριδὼν κτίσεως, ἐπὶ τὴν μεγίςην πόλιν, τὸν κόσμον ἀνέδραμε, καὶ τὴν αὐτῆς ὑφηγήσατο γένεσιν

(α) Ὅρα τὸ 1. κεφ. τε 1. τῶν Μακκαβ. βιβλ.
(β) Ὅρα τὸ 5. κεφ. τε 1. βιβλ. περὶ Ἰεδαϊκ. ἁλώσ. τε Ἰωσήπ.
(γ) Ὅρα τὸ 22. κεφ. τε 2. βιβλ. τε Αὐτ. περὶ τῆς αὐτ. ὑποθ.
(δ) Ὅρα τὸ 7, 8, 9, κὶ. κεφ. τε 3. βιβλ. αὐτ. (ε) Ὅρα τὸ 7, 8, 9, κὶ. κεφ. τε 6. βιβλ. αὐτ.
(ζ) Ἴσ. ὅτε. (η) Τετράγραμμον. ὁ Ἀλεξάν. κώδ. (θ) Ἐξόδ. 28. 36.
(ι) Ἐλωὶν καὶ Ἀδών. ὁ Ἀλεξάν. κώδ. (κ) Τὸ τετραγάμματον τέτοις γραφόμ. ὁ Αὐτ.
* Ἐλλείπεσι σειραί τινες ἐν τοῖς δὲ τοῖς Προοιμίοις τῷ τῆς Αὐγέσης κώδ. ἐξ ἐ ταῦτα συνείλεκται.

σιν, ἐμφερεστάτην εἰκόνα τοὺς νόμους τῆς τοῦ κόσμου πολιτείας ἡγούμενος. τῶν γοῦν νόμων ἡ
δύναμις, εἴ τις ἀκριβῶς ἐξετάσειε, τῇ τοῦ παντὸς ἁρμονίᾳ συνᾴδουσα. τοιγαροῦν εἴ τινες
παντελῶς ἐξεπήδησαν ἀρετῆς τὰς τοῦ Θεοῦ δωρεὰς ἀτιμάσαντες, ὡς οὐκ ἀνθρώπων ἐχθροὺς,
ἀλλ' οὐρανοῦ τε καὶ κόσμου παντὸς, οὐ τὰς ἐν ἔθει τιμωρίας ὑπομεῖναι, φησὶν, ἀλλὰ καινὰς
καὶ παρηλλαγμένας, τῶν τοῦ παντὸς δραστικωτάτων στοιχείων ἐπιτιθεμένων αὐτοῖς, ὕδατος
καὶ πυρός. τοιαύτην δὲ πόλεως τὴν κτίσιν ἡμῖν ἐνστησάμενος, τὰ μὲν σιωπῇ παραδίδωσι,
περὶ δὲ τῆς τῶν ὄντων φύσεως σιωπᾶν οὐκ ἀνέχεται. σκοπὸν γὰρ ἕνα πεποίητο τῆς πολυ-
θέου πλάνης μετενεγκεῖν τὸν λαόν· πρὸς ἣν Αἴγυπτον οἰκοῦντες ἐξώκειλαν· καὶ τὸν ἕνα τοῦ
παντὸς ὑποθέσθαι δημιουργόν. Καὶ μετ' ὀλίγα. Ἀλλ' οὐδὲ δεκτικοί τινες κατ' ἐκεῖνον τὸν χρόνον
θεωρημάτων λεπτοτέρων ἐτύγχανον, οὔτε παρ' Ἑβραίοις, οὔτε παρ' Ἕλλησιν. ἄλλως τε καὶ
τὴν μὴ πρὸς εὐζωΐαν καὶ θεοσέβειαν δυναμένην γνῶσιν ἄγειν περίεργον ἐλογίζοντο, καὶ
λίαν ἀνόητον. εὕροι γὰρ ἄν τις σκοπὸν τὴν νέαν τῇ παλαιᾷ γογονυῖαν Γραφῇ, καὶ χειρα-
γωγίαν τινὰ παιδευτικὴν τὴν παλαιὰν πρὸς τὴν νέαν ὑπάρχουσαν. ὅθεν καὶ Μωϋσῆς ὁ μέ-
γας ὡς μειρακίων διδάσκαλος οὐδὲν μὲν τῶν ἀπορρήτων φησί· Θεοῦ δὲ τὰ πρῶτα, δημιουρ-
γίαν καὶ νόμον ἀγράφους ὑπέθετο, τῶν πρὶν ἀνθρώπων ἐμπολιτευομένων αὐτοῖς. τούτους
γὰρ τοὺς νόμους διὰ τῶν θείων ὀπτασιῶν τῶν κατὰ δύναμιν γενομένων αὐτοῖς παρηλείφεσαν.
λαὸν γάρ τινα Θεὸς ἐκ τῆς τοῦ Ἀβραὰμ γονῆς ἐξελέξατο τοῖς ἄλλοις ἄμικτον, διαφόροις
τηρήσας προστάγμασιν, ἐξαιρέτως τῆς αὐτοῦ προνοίας ἠξιωμένον. ἅπερ ἐχρῆν δι' αὐτῶν εἰς
τὴν τῶν ἑξῆς διδασκαλίαν φυλάττεσθαι. δι' αὐτῶν γὰρ ἔδει τὰς τοῦ Θεοῦ διαφόρους οἰκονο-
μίας καὶ τοῖς ἄλλοις ἀνθρώποις βραβεύεσθαι. Χριστὸς γὰρ ἐκ τῶν ὑπὸ νόμον ἀνέτειλε. παρ'
οἷς καὶ Προφῆται τὴν αὐτοῦ παρουσίαν ἐκήρυττον. ὅθεν ἰδίας ἠξιοῦντο προνοίας, ἵνα μὴ τοῖς
ἄλλοις ἀναμιχθέντες, διαφθορὰν ὑπομείνωσιν, ἀλλ' εἰς καιρὸν παραδῶσι τοῖς ἄλλοις τῆς
τοῦ Χριστοῦ παρουσίας τὰ προμηνύματα, καὶ ὅσην ἄνωθεν ὁ Θεὸς ἐπιμέλειαν τῶν ἀνθρώπων
πεποίηται. ὅπως τε διὰ τῆς νομικῆς διατάξεως ἀπὸ τῶν πρὸς Ἀβραὰμ ἐπαγγελιῶν ἀρξά-
μενος, εἰς τὴν τοῦ Χριστοῦ παρουσίαν ἐπαιδαγώγησεν ἅπαντας. τῆς δὲ κατὰ τὴν παλαιὰν
ἀσαφείας αἰτία μὲν ἡ τῶν παλαιῶν ἀνθρώπων ἀσθένεια δεομένη πρὸς τὴν αὐτῶν ἀξίαν πα-
ραπετάσματος. Μωϋσῆς γὰρ οὐκ ἠγνόει. πρὸς αὐτοὺς γὰρ εἶχε τὸ κάλυμμα, ἀλλ' οὐ πρὸς
αὐτὸν, οὐδὲ μεταστραφεὶς πρὸς τὸν Κύριον. τοιγαροῦν ἀγνοούντων, οὐκ ἦν ἔγκλημα κατ' αὐ-
Ἰωάν. 15. 22. τῶν. εἰ μὴ ἦλθον γάρ φησιν ὁ Χριστὸς, καὶ ἐλάλησα αὐτοῖς ἁμαρτίαν οὐκ εἶχον. ἡ δὲ
τῆς προφητείας ἀσάφεια διὰ τῆς ἐκβάσεως ἑρμηνεύεται. δευτέρα δὲ αἰτία τὸ ἀπὸ τῆς
Ἑβραίων εἰς τὴν ἑλλάδα μεταληφθῆναι φωνὴν, τοῦ Θεοῦ τοῦτο διὰ Πτολεμαίου γενέσθαι
πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας οἰκονομήσαντος, ὅτε κοινῇ πᾶσιν ἤμελλεν ἐγνῶσθαι τοῖς ἔθνε-
σιν. ὅτι δὲ κατὰ θείαν ἐπίπνοιαν ὁ μέγας Μωϋσῆς καὶ τὰ λίαν ἀρχαῖα, καὶ τὰ μετὰ
πλεῖστον ἐγίνωσκεν, οὐδεὶς ἀντερεῖ. Θεοῦ γὰρ ἐπιπνοίᾳ τὸ λανθάνον εἴτε παρὸν, εἴτε
φθάσαν, εἴτε μέλλον ἐγνώρισεν.

Ἐπειδὴ δὲ κόσμου γένεσις ἡμῖν τὸ προκείμενον, ἰστέον ὡς Ἑλλήνων παῖδες συναΐδιον τῷ
Θεῷ τὴν κτίσιν εἶναί φασιν. ὕλην γάρ τινα τῷ Θεῷ συναΐδιον ὑποτίθενται. μὴ δυνηθέντες
γοῦν εὑρεῖν πῶς ἐκ μηδαμῆ μηδαμῶς ὄντος ὄν τι γενήσεται, μετρεῖσθαι τοῦ Θεοῦ τὴν δύναμιν
ταῖς οἰκείαις ὑπολαβόντες ἐννοίαις, ἀΐδιον ὕλην ἡμῖν ἀνεπλάσαντο. καὶ τὸν Θεὸν ἀεὶ δη-
μιουργὸν εἶναι λέγοντες, ἀεί φασι τὰ δημιουργήματα. Καὶ μεθ' ἕτερα. Οὐκοῦν εἰκότως ὁ Μωϋ-
» σῆς τοὺς ἐκείνων ὕθλους καὶ τὰς ἀσεβεῖς καὶ θεομάχους ἐννοίας καταλιπὼν, ἐν ἀρχῇ, φησὶν,
» ὁ Θεὸς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν. ἀλλὰ γὰρ ἔτι πρίν τι κατὰ μέρος εἰπεῖν τοσοῦτον
ἐπισημήνασθαι χρὴ, ὡς οὐ πάσης δημιουργίας μνήμην ὁ συγγραφεὺς ἡμῖν ἐποιήσατο. οὔτε
γὰρ Ἀγγέλους, οὔτε νοερὰς δυνάμεις ὠνόμασεν. οἱ μέν φασι, τοῦ πρεσβυτέρας ἐκτίσθαι τοῦδε
τοῦ κόσμου· οἱ δὲ, τῷ συνεκτίσθαι τῷ κόσμῳ πᾶν νοητόν τε καὶ αἰσθητόν. ἅμα γὰρ τῷ τοὺς Ἀγ-
γέλους οὐρανῷ περιέχοντι, καὶ τοὺς ὑπ' αὐτοῦ περιεχομένους συνεισῆχθαί φασιν. ὥσπερ γὰρ οὐκ
ὀνομάσας ἀέρα καὶ πῦρ, τοῖς ἄκροις τὰ μέσα συνείληφεν· οὕτως οὐκ ὀνομάσας Ἀγγέλους,
συννοεῖσθαι παρέχει τῷ περιέχοντι. τί δὴ τούτου γέγονεν αἴτιον; εἰ γὰρ ἀπὸ καλλονῆς κτισ-
μάτων ὁ δημιουργὸς θεωρεῖται, κρείττους δὲ τῶν ὁρωμένων κτισμάτων οἱ Ἄγγελοι, πῶς οὐ
τὴν τούτων μᾶλλον ἐχρῆν παραστῆσαι δημιουργίαν; ἆρ' οὖν ὡς ἀγενήτων τὴν μνήμην παρέ-
δραμεν; ἄπαγε. ἔσται γὰρ οὕτως ἀγένητα καὶ τὰ σεσιγημένα στοιχεῖα. ἀλλὰ γὰρ τοῖς Ἰου-
δαίοις συνεψελλίζετο, ἐκεῖνα λέγων, ὧν τέως ἀκούειν ἠδύναντο. καθάπερ γὰρ παίδων δι-
δάσκαλος τὰ πρῶτα τούτοις στοιχεῖα παρέδωκεν· εἰδὼς, ὡς ταῦτα μαθόντες, ἕτεροι δι-
δάσκαλοι διαδέξονται παραδιδόντες τὰ τελειότερα. ἤμελλον γὰρ τοῖς αἰσθητοῖς ὥσπερ ὑπο-
βάθρᾳ χρησάμενοι, δύνασθαί τι περὶ τῶν ὑψηλοτέρων ἀκούειν. ὅθεν Δαβὶδ, ὡς ἄν τις δι-
Ψαλ. 148. 1, δάσκαλος παρὰ διδασκάλου παραλαβὼν τὸν λαὸν, αἰνεῖτε, φησὶ, τὸν Κύριον ἐκ τῶν οὐρα-
2, 5. » νῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· αἰνεῖτε αὐτὸν πάντες Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν
» πᾶσαι αἱ δυνάμεις αὐτοῦ· ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.
Κολασ. 1. 15. ἔτι δὲ καὶ ὁ μέγας Παῦλός φησιν· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα εἴτε ὁρατὰ, εἴτε ἀόρατα.
Ἰώβ. 38. 7. τὸ γὰρ εἰρημένον τῷ Ἰὼβ, ὅτε ἐγενήθησαν ἄστρα, ᾔνεσάν με μεγάλῃ φωνῇ πάντες Ἄγ-
γελοί μου, οὐ παρίστησι σαφῶς πρὸ οὐρανοῦ καὶ γῆς γεγονέναι. τὰ γὰρ ἄστρα κατὰ τὴν τρί-
την ἡμέραν ἐγένετο. τούτων ἡμῖν ἀναγκαίως προλελεγμένων, χωρητέον ἐπὶ τὴν κατὰ
μέρος ἐξήγησιν, Θεοῦ τὸ δύνασθαι πρυτανεύοντος.



ΤΟΥ

ΑΓΙΟΥ ΠΡΟΦΗΤΟΥ ΜΩΣΕΩΣ
ΕΙΣ ΤΗΝ
ΚΟΣΜΟΓΕΝΕΣΙΝ.

ΚΕΦ. Α.

α. ν ἀρχῇ ἐποίησεν ὁ
Θεὸς τὸν οὐρανὸν καὶ
τὴν γῆν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε μὴ προ-
τέταχε τῆς τῶν ὅλων δημιουργίας θεολο-
γίαν ὁ συγγραφεύς; Μετρεῖν εἴωθε τοῖς
παιδευομένοις ἡ θεία γραφὴ τὰ μαθήμα-
τα· καὶ τοῖς μὲν τελείοις προσφέρειν τὰ
τέλεια, τοῖς ἀτελέσι δὲ τὰ στοιχειώδη, καὶ
τῇ σφῶν δυνάμει συμβαίνοντα. ἐπειδὴ
τοίνυν Αἰγύπτιοι τὴν ὁρωμένην κτίσιν ἐθεο-
ποιοῦντο, τούτοις δὲ συνδιάγων ἐπὶ πλεῖστον
ὁ Ἰσραὴλ ταύτης τῆς δυσσεβείας μετέλα-
χεν, ἀναγκαίως τὰ περὶ τῆς κτίσεως αὐ-
τοῖς προσφέρει μαθήματα, καὶ διδάσκει
διαῤῥήδην, ὅτι καὶ ἀρχὴν ἔχει τοῦ εἶναι,
καὶ ὅτι ποιητὴν ἔχει τὸν τῶν ὅλων Θεόν.
οὐμὴν οὐδὲ τὸν τῆς θεολογίας παραλέλοι-
πε λόγον. τὸ γὰρ φάναι, τὸν οὐρανὸν
καὶ τὴν γῆν, καὶ τὰ ἄλλα τῆς κτίσεως μό-
ρια γεγονέναι, καὶ δεῖξαι τούτων δημιουρ-
γὸν τὸν τῶν ὅλων Θεὸν, ἀρκοῦσαν τοῖς
τότε θεολογίαν ἐπήνεγκε. τῶν μὲν γὰρ,
ἐδήλωσε τὴν ἀρχήν· τοῦ δὲ, εὑρεῖν οὐκ ἴσχυ-
σε τὴν ἀρχήν. καὶ ἀΐδιον τοίνυν ἐγνωκὼς
τὸν Θεὸν, καὶ ποιητὴν τοῦ παντὸς ὀνομά-
σας, καὶ ἀγαθὸν ποιητὴν, τῷ φυσιολο-
γικῷ τὸ θεολογικὸν μάλα σαφῶς συνήρ-
μοσεν. ἄλλως δὲ προμεμαθήκεσαν οἱ ταῦ-
τα διδασκόμενοι τοῦ Θεοῦ τὸ ἀΐδιον. ἀπο-
σταλεὶς γὰρ εἰς Αἴγυπτον παρὰ τοῦ Θεοῦ
Ἐξόδ. 3. 14. τῶν ὅλων ὁ θεσπέσιος Μωϋσῆς, προσε-
„ τάχθη τοῖς ὁμοφύλοις εἰπεῖν, ὁ ὢν ἀπέ-
„ σταλκέ με πρὸς ὑμᾶς. τὸ δὲ ὁ ὢν, τοῦ ἀϊ-
δίου δηλωτικόν ἐστι. δῆλον δὲ τοῖς φιλο-
μαθέσιν, ὡς ἐκεῖνα πρὸ τούτων ἐῤῥέθη.
ἐκείνην γὰρ αὐτοῖς τὴν διδασκαλίαν ἔτι
τὴν Αἴγυπτον οἰκοῦσι προσήνεγκε. ταῦτα
δὲ ἐν τῇ ἐρήμῳ συνέγραφε.

ΤΟΥ ΑΥΤΟΥ. Τί δήποτε τῆς τῶν
Ἀγγέλων οὐκ ἐμνήσθη δημιουργίας; Οὐδὲν

Α στεῤῥὸν εἶχον, οὐδὲ βέβαιον οἱ νομοθετού-
μενοι. αὐτίκα γοῦν μετὰ τὰ πολλὰ καὶ
ἄφραστα θαύματα, τὴν εἰκόνα τοῦ μόσχου
Θεὸν ἀνηγόρευσαν. οἱ δὲ τὰ τῶν κτηνῶν
ἰνδάλματα ῥᾳδίως οὕτω θεοποιήσαντες, τί
οὐκ ἂν ἔδρασαν, εἰ τῶν ἀοράτων φύσεων
τὴν γνῶσιν ἐδέξαντο; οὗ χάριν μέχρι τῆς
τοῦ Ἀβραὰμ τελειότητος, οὐδενὶ τῶν πά-
λαι ἀνθρώπων δι' Ἀγγέλου ὁ τῶν ὅλων διε-
λέχθη Θεός. ἐπὶ δὲ τῆς Ἄγαρ πρῶτον
Β Ἀγγέλου μνήμην ἐποιήσατο ὁ θεσπέσιος
Μωϋσῆς, καὶ μάλα εἰκότως. τύπος γὰρ
ἡ Ἄγαρ τῆς παλαιᾶς διαθήκης κατὰ τὸν
„ θεῖον Ἀπόστολον. τὸ γὰρ Ἄγαρ, φησὶ, Σι- Γαλ. 4. 25.
„ νᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ
„ τῇ νῦν Ἱερουσαλήμ. ἐπειδὴ τοίνυν δι' Ἀγ-
„ γέλων ὁ νόμος ἐδόθη· διαταγεὶς γάρ φη- Γαλ. 3. 19.
„ σι δι' Ἀγγέλων ἐν χειρὶ μεσίτου· καὶ πά-
„ λιν, εἰ γὰρ ὁ δι' Ἀγγέλων λαληθεὶς λό- Ἑβρ. 2. 2.
„ γος ἐγένετο βέβαιος· καὶ μάλα προσφό-
Γ ρως ὁ τῶν ὅλων Θεὸς δι' Ἀγγέλων καὶ τῆς
δουλείας ἀνέμνησε, καὶ τὰ περὶ τοῦ τεχ-
θησομένου παιδὸς προηγόρευσεν. ὅτι δὲ
κτιστὴν ἔχουσι φύσιν καὶ Ἄγγελοι, καὶ Ἀρ-
χάγγελοι, καὶ εἴ τι ἕτερόν ἐστιν ἀσώμα-
τον, πλὴν τῆς ἁγίας Τριάδος, ἡ θεία σα-
φῶς ἡμᾶς διδάσκει γραφή. ὑμνεῖν γὰρ
καὶ τούτοις Δαβὶδ παρακελεύεται ὁ προ-
„ φήτης· αἰνεῖτε γὰρ αὐτόν φησι πάντες Ψαλ. 148. 2
„ οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ
Δ „ δυνάμεις αὐτοῦ. καὶ τὴν αἰτίαν διδάσκων,
„ ἐπήγαγεν· ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, Ψαλ. 148. 5.
„ αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. καὶ πά-
„ λιν ἐν ἑτέρῳ ψαλμῷ· ὁ ποιῶν τοὺς Ἀγγέ- Ψαλ 103. 4
„ λους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς
„ αὐτοῦ πυρὸς φλόγα. καὶ οἱ τρεῖς μακά-
ριοι παῖδες ἐν τῇ καμίνῳ τὸν θεῖον ὕμνον
ὑφαίνοντες, καὶ τὸ πανάριστον ἐκεῖνο καὶ
„ λίαν ἁρμόδιον εἰρηκότες προοίμιον. εὐλο-
„ γεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον,
Ε „ πᾶσαι αἱ δυνάμεις Κυρίου τὸν Κύριον. ἀλ-
λὰ γὰρ ἡ θεόπνευστος γραφὴ τῆσδε τῆς
διδασκαλίας ἀνάπλεως.

ΤΟΥ ΑΥΤΟΥ. Προϋπάρχουσιν οὐρανοῦ καὶ γῆς Ἄγγελοι, ἢ σὺν τούτοις ἐγένοντο; Περιττὰς μὲν ἐγὼ τὰς τοιαύτας ζητήσεις ὑπείληφα. τίς γὰρ ὄνησις προσγενήσεται τοῖς ἐγνωκόσι τὸν τῆς τῶν Ἀγγέλων δημιουργίας καιρόν; οἶδα δὲ καὶ τὸν
1. Tim. 1. 3. θεῖον Ἀπόστολον τῷ θαυμασίῳ Τιμοθέῳ
» παρεγγυῶντα, παράγγελλε τισὶ μὴ ἑτε-
» ροδιδασκαλεῖν, μηδὲ προσέχειν μύθοις,
» καὶ γενεαλογίαις ἀπεράντοις. ἐρῶ δὲ ὅμως ὅπερ συμβαίνειν ὑπείληφα τῷ σκοπῷ τῆς θείας γραφῆς. ἀπερίγραφον μόνην ἐδιδάχθημεν εἶναι τὴν θείαν φύσιν, ἅτε δὴ ἄκτιστον οὖσαν, καὶ ἄναρχον, καὶ ἀΐδιον· τὰ δέ γε ἀρξάμενα τοῦ εἶναι περιγεγραμμένον ἔχειν δηλονότι τὸ εἶναι. οὐκοῦν καὶ ἀσώματον λέγοντες εἶναι τῶν Ἀγγέλων τὴν φύσιν, περιγράφεσθαι φαμὲν αὐτῶν
Δαν. 7. 10. τὴν ὑπόστασιν. πῶς γὰρ ἄν τις νοῆσαι χι-
» λίας χιλιάδας, καὶ μυρίας μυριάδας κα-
» τὰ τὸν θεῖον Δανιὴλ, μὴ ἕκαστον λογιζό-
μενος ἐν ἰδίᾳ εἶναι περιγραφῇ; ἀλλ᾽ ὅτι μὲν περιγεγραμμένην ἔχουσιν οἱ Ἄγγελοι τὴν οὐσίαν, οὐδένα ἀντερεῖν οἶμαι. καὶ γὰρ τῶν ἀνθρώπων ἕκαστον ὑφ᾽ ἑνὸς, ἔφη, τετάχθαι τούτων κηδεμονίαν ὁ δεσπότης
Ματθ. 18. 10. Χριστός. ὁρᾶτε γάρ φησι μὴ καταφρονή-
» σητε ἑνὸς τούτων τῶν ἐλαχίστων τῶν πι-
» στευόντων εἰς ἐμέ· ὅτι οἱ Ἄγγελοι αὐτῶν
» διαπαντὸς τὸ πρόσωπον ὁρῶσι τοῦ πατρός-
» μου τοῦ ἐν οὐρανοῖς. καὶ ἑκάστῳ δὲ ἔθνει Ἄγγελον ἐφεστάναι φησὶν ἡ θεία γραφή. ὁ
Δαν. 10. 13. γὰρ τῷ προφήτῃ Δανιὴλ προσδιαλεγόμε-
» νος Ἄγγελος, καὶ ἄρχοντα Περσῶν εἴρη-
» κε, καὶ ἄρχοντα Ἑλλήνων, καὶ Μιχαὴλ
Δευτ. 32. 8. ἄρχοντα τῶν Ἰουδαίων. καὶ Μωσῆς δὲ ὁ
» μέγας ἐν τῇ ᾠδῇ φησὶν, ὅτε διεμέριζεν
» ἔθνη ὁ ὕψιστος, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ,
» ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν Ἀγγέ-
» λων Θεοῦ. εἰ τοίνυν ὁ μὲν τούτων, ὁ δὲ ἐκείνων ἄρχων ἐτάχθη, ἕκαστος δὲ τῶν ἀνθρώπων ὑπὸ τὴν ἑνὸς φροντίδα τελεῖ, εὔδηλον, ὡς περιγεγραμμένην ἔχουσι τὴν οὐσίαν. εἰ δὲ τοῦτο ἀληθὲς, τόπου ἄρα προσδέονται. μόνον γὰρ τὸ θεῖον, ὡς ἀπερίγραφον, οὐκ ἐν τόπῳ. εἰ δὲ τὸ περιγεγραμμένον ἐν τόπῳ, πῶς οἴονται προϋπάρχειν οὐρανοῦ καὶ γῆς τοὺς Ἀγγέλους; οὐ γὰρ ὄντος τοῦ φέροντος, πῶς ἔνεσι τὸ φερόμενον εἶναι;

ΤΟΥ ΑΥΤΟΥ. Ἀλλά φασί τινες χρῆναι λέγειν προϋπάρχειν οὐρανοῦ καὶ γῆς τοὺς Ἀγγέλους. Ἀγγέλων γάρ φασιν οὐκ ὄντων, πῶς ὁ τῶν ὅλων ὑμνεῖτο Θεός; Ἀλλ᾽ οἱ ταῦτα λέγοντες ἀγνοοῦσιν, ὡς καὶ ἀνάρχους αὐτοὺς, καὶ ἀϊδίους τούτους ὁ λόγος ποιεῖ. εἰ γὰρ ἐδεῖτο τῶν ὑμνούντων ὁ τῶν ὅλων Θεὸς, ἀεὶ δὲ τούτους ὑμνοῦντας εἶχε, συναΐδιοι ἄρα οἱ Ἄγγελοι τῷ τῶν ὅλων Θεῷ· εἰ δὲ οὐκ ἀεὶ, ἀλλ᾽ ὅτε περ ἠβουλήθη τούτους ἐδημιούργησεν, ἦν ἄρα τις αἰὼν, ἐν ᾧπερ τοὺς ὑμνοῦντας οὐκ εἶχεν ὁ τῶν ὅλων Θεός. οὐκοῦν οὐ δεῖται τῶν ὑμνούντων ὁ δεσπότης Θεός. ἀνενδεῆ γὰρ ἔχει τὴν φύσιν. δια-

A ἀγαθότητα δὲ μόνην Ἀγγέλοις, καὶ Ἀρχαγγέλοις, καὶ πάσῃ τῇ κτίσει τὸ εἶναι δεδώρηται. ποίαν δὲ καὶ λειτουργίαν εἶχον πρὸ τῆς κτίσεως ὄντες, οὐδενὸς ὄντος τοῦ τῆς τούτων ὠφελείας προσδεομένου; ὅτι γὰρ εἰς τὴν τῶν ἀνθρώπων κηδεμονίαν ὑπουργοῦσι τῷ τῶν ὅλων Θεῷ, μάρτυς ὁ
» θεῖος Ἀπόστολος βοῶν, οὐχὶ πάντες εἰσὶ
» λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀπο-
» στελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν
B σωτηρίαν; οὐκοῦν ἔκδηλον, ὡς ἡμεῖς μὲν τῆς ἐκείνων ἐπικουρίας δεόμεθα· ὁ δὲ Θεὸς ἥκιστα μέν τινος ἐνδεής. ἄβυσσος δὲ ὢν ἀγαθότητος, ἠβουλήθη καὶ τοῖς μηδαμῇ μηδαμῶς οὖσι μεταδοῦναι τοῦ εἶναι. ἀλλὰ γὰρ οἱ προϋπάρχουσιν οὐρανοῦ καὶ γῆς τοὺς Ἀγγέλους ἰσχυριζόμενοι, ὡς ἰσχυρὸν ἡμῖν καὶ ἄμαχον προβάλλονται ἐκεῖνο τὸ παρὰ τοῦ Θεοῦ τῶν ὅλων πρὸς τὸν Ἰὼβ εἰρημένον·
» ὅτε ἐποίουν ἄστρα, ᾔνεσάν με πάντες Ἄγγε-
Γ » λοί μου. καὶ οὐ συνορῶσιν, ὡς τῇ τετάρτῃ ἡμέρᾳ σὺν τῷ ἡλίῳ καὶ τῇ σελήνῃ τὰ ἄστρα παρήγαγεν ὁ τῶν ὅλων Θεός. εἰκὸς δὲ τοὺς Ἀγγέλους σὺν οὐρανῷ δημιουργηθῆναι καὶ γῇ, ἵνα καὶ τὸ φῶς ὁρῶντες ἐξ οὐδενὸς ὑποκειμένου δημιουργούμενον, καὶ τὸ στερέωμα ἐν μέσῳ τοῦ ὕδατος συμπηγνύμενον, καὶ τὴν ὑγρὰν οὐσίαν χωριζομένην τῆς γῆς, καὶ τὴν γῆν ἅμα τῷ θείῳ λόγῳ παντοδαποῖς διακοσμουμένην βλαστήμασι, καὶ τὰ
Δ ἄλλα πάντα πρὸς τὸ θεῖον γινόμενα βούλημα, γνῶσι δι᾽ ὧν ὁρῶσιν, ὡς καὶ αὐτοὶ κτιστὴν ἔχουσι τὴν φύσιν, παρ᾽ αὐτοῦ τὸ εἶναι δεξάμενοι. καὶ γὰρ ὁ θεῖος Ἀπόστολος τῷ κόσμῳ αὐτοὺς συζεύγνυσι, λέγων·
» ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ
» Ἀγγέλοις καὶ ἀνθρώποις. ἐγὼ δὲ ταῦτα οὐκ ἀποφαινόμενος λέγω. τολμηρὸν γὰρ ἀποφαντικῶς οἶμαι λέγειν περὶ ὧν ἡ θεία διαῤῥήδην οὐ λέγει γραφή. ἀλλ᾽ ὅπερ τοῖς
E εὐσεβέσι λογισμοῖς ἁρμόττειν ὑπέλαβον, εἴρηκα. ἐκεῖνο μέντοι ἀναγκαῖον εἰδέναι, ὡς πάντα τὰ ὄντα πλὴν τῆς ἁγίας Τριάδος, κτιστὴν ἔχει τὴν φύσιν. συνωμολογουμένου δὲ τούτου, τῷ τῆς εὐσεβείας οὐ λυμαίνεται λόγῳ, τὸ πρὸ οὐρανοῦ καὶ γῆς γεγενῆσθαι λέγειν τῶν Ἀγγέλων τοὺς δήμους.
» τὸ δὲ λογομαχεῖν, ὡς οὐδὲν χρήσιμον,
ἐπὶ καταστροφῇ τῶν ἀκουόντων ἀπαγορεύει διαῤῥήδην ὁ θεῖος Ἀπόστολος.

Z

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Ὁ εἰπὼν δημιουργὸν, οὐχ ἅμα τὴν δημιουργίαν λέγει. οὐ γὰρ τῷ οἰκοδόμῳ συνυπάρχει τὸ οἰκοδόμημα, οὐδὲ τῷ ναυπηγῷ τὸ σκάφος. ἡ μὲν γὰρ δημιουργία, ἐν τῷ δημιουργῷ· τὸ δὲ δημιουργούμενον, μετὰ τὸν δημιουργόν.

ΤΟΥ ΑΥΤΟΥ. Ἦν τις πρεσβυτέρα τῆς τοῦ κόσμου γενέσεως κατάστασις ταῖς ὑπερκοσμίαις δυνάμεσι πρέπουσα, ἡ ὑπέρ-
H χρονος, ἡ αἰωνία, ἡ ἀΐδιος. δημιουργήματα δὲ ἐν αὐτῇ ὁ τῶν ὅλων κτίστης καὶ δημιουργὸς ἀπετέλεσε φῶς νοητὸν πρέπον τῇ μακαριότητι τῶν φιλούντων τὸν Κύριον, τὰς λογικὰς καὶ ἀοράτους φύσεις, καὶ πά-

σαν τὴν τῶν νοητῶν διακόσμησιν, ὅσα τὴν A
ἡμετέραν διάνοιαν ὑπερβαίνει. Καὶ μετ' ὀλίγα.
Ἐν ἀρχῇ ἐποίησε, τουτέστιν ἐν ἀρχῇ ταύτῃ
τῇ κατὰ χρόνον. οὐ γὰρ δὴ κατὰ πρεσβυ-
γένειαν πάντων τῶν γενομένων προέχειν
τὸν οὐρανὸν μαρτυρεῖ, λέγων ἐν ἀρχῇ γε-
γονέναι, ἀλλὰ μετὰ τὰ ἀόρατα καὶ νοούμενα,
τῶν ὁρατῶν τούτων καὶ αἰσθήσει ληπτῶν τὴν
ἀρχὴν τῆς ὑποστάσεως διηγεῖται.

ΤΟΥ ΑΥΤΟΥ. Ἐκ δύο τῶν ἄκρων τοῦ B
παντὸς τὴν ὕπαρξιν παρῃνίξατο, τῷ μὲν
οὐρανῷ τὰ πρεσβεῖα τῆς γενέσεως ἀποδοὺς,
τὴν δὲ γῆν δευτερεύειν φάμενος τῇ ὑπάρ-
ξει, πάντως δὲ καὶ ἅτι τούτων μέσον συνα-
πεγενήθη τοῖς πέρασιν. ὥστε κἂν μηδὲν
εἴποι περὶ τῶν στοιχείων, πυρὸς, καὶ ὕδα-
τος, καὶ ἀέρος, ἀλλὰ σὺ τῇ παρ' ἑαυτοῦ
συνέσει νόει· πρῶτον μὲν, ὅτι πάντα ἐν
πᾶσι μέμικται, καὶ ἐν γῇ εὑρήσεις ἀέρα,
καὶ ὕδωρ, καὶ πῦρ· εἴγε ἐκ λίθων μὲν πῦρ Γ
ἐξάλλεται, ἐκ σιδήρου δὲ, ὃς ἀπὸ γῆς ἔχει
τὴν γένεσιν, πῦρ ἄφθονον ἐν ταῖς παρα-
τρίψεσιν ἀπολάμπειν πέφυκε· τὴν δὲ τοῦ
ὕδατος φύσιν ἐνυπάρχουσαν τῇ γῇ οἱ φρεω-
ρύχοι δεικνύουσι, καὶ τὴν τοῦ ἀέρος οἱ ἀπὸ
νενοτισμένης αὐτῆς ἀτμοὶ ὑπὸ ἡλίου θαλ-
φθείσης ἀναπεμπόμενοι. ἔπειτα καὶ εἰ φύ-
σει τὸν ἄνω τόπον ὁ οὐρανὸς ἔχει, ἡ δὲ γῆ
τὸ κατώτατόν ἐστιν, ὁ τῶν πλεῖστον διεστώ-
των ἐπιμνησθεὶς, καὶ τὰ τὴν μέσην χώραν Δ
ἐκπληροῦντα συνεκδοχικῶς παρεσήμανεν.
ἀλλὰ περὶ μὲν τῆς οὐσίας τοῦ οὐρανοῦ ἀρκού-
Ἡσ. 51. 6. μεθα τοῖς παρὰ τοῦ Ἡσαΐου εἰρημένοις, ὁ
„ στερεώσας τὸν οὐρανὸν ὡσεὶ καπνὸν, τουτέ-
στι λεπτὴν φύσιν, καὶ οὐ στερεὰν, οὐδὲ πα-
χεῖαν, εἰς τὴν τοῦ οὐρανοῦ σύστασιν οὐσιώσας.
καὶ περὶ τοῦ σχήματος δὲ ἱκανὰ ἡμῖν τὰ
Ἡσ. 40. 22. παρ' αὐτοῦ, εἰπόντος· ὁ στήσας τὸν οὐρανὸν
„ ὡσεὶ καμάραν.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί δήποτε E
τὸν οὐρανὸν πρῶτον ἐποίησεν, εἶτα τὴν
γῆν; Πρῶτον τὸν ὄροφον, εἶτα τὸ ἔδαφος.
οὐ γὰρ ἀνάγκῃ φύσεως ὑπόκειται, οὐδὲ ἀ-
κολουθίᾳ τέχνης δουλεύει. καὶ γὰρ φύσεως,
καὶ τέχνης, καὶ τῶν ὄντων ἁπάντων ἡ βού-
λησις τοῦ Θεοῦ δημιουργὸς καὶ τεχνίτης ἐστί.

ΤΟΥ ΑΥΤΟΥ. Ἄξιον ἐνταῦθα δια-
πορῆσαι τίνος ἕνεκεν ὁ μακάριος οὗτος Προ-
φήτης μετὰ πολλὰς ὕστερον γενεὰς γεγο- Z
νὼς, ταῦτα ἡμῖν ἐκτίθεται. οὐχ ἁπλῶς,
οὐδὲ εἰκῇ. ἐπειδὴ γὰρ ἐξ ἀρχῆς πλάσας
τὸν ἄνθρωπον ὁ Θεὸς, δι' ἑαυτοῦ διελέγετο
τοῖς ἀνθρώποις, ὡς ἀνθρώποις ἀκοῦσαι δυ-
νατὸν ἦν. οὕτω γὰρ πρὸς τὸν Ἀδὰμ ἦλ-
θεν, οὕτω τῷ Κάϊν ἐπετίμησεν, οὕτω τῷ
Νῶε διελέχθη, οὕτως ἐπεξενώθη τῷ Ἀ-
βραάμ. ὅτε δὲ εἰς πολλὴν κακίαν ἐξώκει-
λε πᾶσα ἡ τῶν ἀνθρώπων φύσις, οὐδὲ οὕτω
τέλεον ἀπεστράφη τὸ τῶν ἀνθρώπων γέ- H
νος ὁ τῶν ἁπάντων δημιουργός. ἀλλ' ἐπει-
δὴ λοιπὸν ἀνάξιοι γεγόνασι τῆς ὁμιλίας
τῆς αὐτοῦ, βουλόμενος πάλιν ἀνανεώσασθαι
τὴν πρὸς αὐτοὺς φιλίαν, καθάπερ ἀνθρώ-
ποις μακρὰν ἀφεστῶσι γράμματα πέμπει,
πρὸς ἑαυτὸν ἐφελκόμενος πᾶσαν τὴν τῶν
ἀνθρώπων φύσιν. καὶ ταῦτα τὰ γράμ-
ματα ἔπεμψε μὲν ὁ Θεὸς, ἐκόμισε δὲ
Μωϋσῆς.

ΤΟΥ ΑΥΤΟΥ. Οὐδὲν περὶ τῶν ἀορά-
των δυνάμεων διαλέγεται, οὐδὲ λέγει, ἐν
ἀρχῇ ἐποίησεν ὁ Θεὸς τοὺς Ἀγγέλους, ἢ
τοὺς Ἀρχαγγέλους. οὐχ ἁπλῶς οὐδὲ εἰκῇ
ταύτην ἡμῖν ἔτεμε τῆς διδασκαλίας τὴν
ὁδόν. ἐπειδὴ γὰρ Ἰουδαίοις διελέγετο τοῖς
περὶ τὰ παρόντα ἐπτοημένοις, καὶ οὐδὲν
νοητὸν φαντασθῆναι δυναμένοις, ἀπὸ τῶν
αἰσθητῶν τέως αὐτοὺς ἐνάγει πρὸς τὸν τῶν
ὅλων δημιουργόν. ἵνα ἐκ τῶν δημιουργημά-
των τὸν τεχνίτην τοῦ παντὸς καταμαθόν-
τες, προσκυνήσωσι τὸν ἐργασάμενον, καὶ
μὴ ἐναπομείνωσι τοῖς κτίσμασιν. εἰ γὰρ
καὶ τούτου γινομένου, οὐκ ἐπαύσαντο τὰ κτίσ-
ματα θεοποιοῦντες, καὶ περὶ τὰ ἀτιμότα-
τα τῶν ἀλόγων τὸ σέβας ἐπιδεικνύμενοι,
ποῦ οὐκ ἂν μανίας ἐξώκειλαν, εἰ μὴ τοσαύ-
τῃ τῇ συγκαταβάσει ἐχρήσατο;

ΣΕΥΗΡΟΥ ΓΑΒΑΛΩΝ. Δύο πρόκει-
ται τῷ Μωσεῖ ποιῆσαι· καὶ δημιουργίαν
ἐπιθέσθαι, καὶ νομοθεσίαν τυπῶσαι. νο-
μοθέτης γὰρ ὢν, οὐ πρῶτον ἤρξατο τῆς
νομοθεσίας, ἀλλὰ πρῶτον τῆς δημιουργίας·
διατί πρῶτον ἠθέλησε διδάξαι τὸν Θεὸν
δημιουργὸν τοῦ παντὸς καὶ δεσπότην, ἵνα
δειχθῇ Θεὸς οὐκ ἀλλοτρίοις νομοθετῶν,
ἀλλὰ τοῖς ἰδίοις. εἰ γὰρ μὴ πρῶτον αὐτὸν
ἔδειξε δημιουργὸν τοῦ κόσμου, οὐκ ἂν ἀξιόπι-
στος ἀπεδείχθη νομοθέτης τοῦ λαοῦ. τὸ γὰρ
ἀλλοτρίους νομοθετεῖν, βίας· τὸ δὲ τοὺς
ἰδίους παιδεύειν, ἀκολουθίας.

ΣΕΥΗΡΙΑΝΟΥ. Διατί Μωσῆς μὲν οὐ-
ρανοῦ καὶ γῆς ἐμνημόνευσε καὶ τῶν ἐξ αὐ-
τῶν, Ἀγγέλων δὲ οὐκ ἐμνημόνευσεν; Ἐπει-
δὴ οὗτος τότε κατὰ τοὺς καιροὺς ἥρμοττεν ὁ
λόγος Ἰουδαίοις. Ἰουδαίοις δὲ ἔλεγε τοῖς
ἐξελθοῦσιν ἐξ Αἰγύπτου, τοῖς τὴν αἰγυπτια-
κὴν πλάνην μαθοῦσι, τοῖς τὰ περὶ τὸν οὐρα-
νὸν καὶ τὴν γῆν προσκυνοῦσιν, ἥλιον, σε-
λήνην, ἄστρα. κατέλιπεν οὖν τὴν τῶν ἀο-
ράτων δημιουργίαν, καὶ κενοῖ τὸν λόγον εἰς
τὰ ὁρώμενα, ἵνα πείσῃ τοὺς τούτοις προσ-
κυνοῦντας μὴ νομίζειν ταῦτα Θεοὺς, ἀλλ'
ἔργα Θεοῦ. οὐκ ἦν οὖν ἀναγκαῖον τότε διδά-
ξαι ἐκείνους περὶ Ἀγγέλων καὶ Ἀρχαγγέ-
λων, ἵνα μὴ πάλιν θρέψῃ αὐτῶν τὴν νό-
σον. εἰ γὰρ μὴ βλέποντες Ἀγγέλους, μη-
δὲ τὰ νοητὰ, Θεοὺς πολλοὺς εἶπον, πολλῷ
μᾶλλον εἰ ἤκουσαν Ἀγγέλους καὶ Ἀρχαγγέ-
λους, ἐνόμισαν πλείονας Θεοὺς εἶναι. ἀλλὰ
μνημονεύει οὐρανοῦ καὶ γῆς, καὶ ὀρέων, καὶ
ὑδάτων, καὶ τῶν ἐξ αὐτῶν ἁπάντων, ἵνα ἀπὸ
τῶν ὁρωμένων ἑρμηνεύσῃ τὸν ἀόρατον.

ΣΕΥΗΡΟΥ. Ἐγένοντο οἱ Ἄγγελοι πρὸ
οὐρανοῦ, μετ' Ἀγγέλους, οὐρανὸς καὶ τὰ ὑπ' οὐ-
ρανόν. παρεστήκασιν οὖν οἱ Ἄγγελοι τῇ δη-
μιουργίᾳ. ὅτε ἡδράζετο ὁ οὐρανὸς ἐπῄνουν οἱ
Ἄγγελοι. ἐπειδὴ γὰρ ἑαυτοὺς γενέσθαι οὐκ
εἶδον,

εἶδον, τὸν οὐρανὸν ἰδόντες γενόμενον, ἐθαύμασαν. ἔβλεπον ἥλιον ἐκλάμποντα, σελήνην δαδουχοῦσαν, ἀστέρας γενομένους, καὶ ἐξεπλήττοντο. λέγει γὰρ ὁ Θεὸς πρὸς τὸν
Ἰώβ. 38. 7. Ἰώβ· ὅτε ἐποίουν τὰ ἄστρα, ᾔνεσάν με πάν-
» τες Ἄγγελοί μου.

ΑΚΑΚΙΟΥ ΚΑΙΣΑΡΙΑΣ. Διατὶ μέλλων νομοθετεῖν ὁ Μωσῆς, τὴν δημιουργίαν προέταξεν; Ἐχρῆν τὸ πνεῦμα, ἐπειδὴ νόμος ἔμελλε δίδοσθαι τοῖς ἀνθρώποις ὑπὲρ τοῦ φυλάξαι αὐτὸν τοὺς λαμβάνοντας, προδιαλαβεῖν περὶ τοῦ ἀξιώματος τοῦ νομοθετοῦντος Θεοῦ. ὡς ἄρα οὐχ ὁ τυχὼν εἴη, οὐδὲ ὡς ἂν οἰηθεῖέν τινες ἔθνους ἑνὸς Θεὸς, ἀλλὰ γὰρ ὁ τῶν ὅλων ποιητὴς, καὶ δημιουργός.

ΤΟΥ ΑΥΤΟΥ. Ἐν ἀρχῇ ἐποίησεν ὁ
» Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. τὸ ἐν ἀρχῇ οὕτως ἀκουστέον, ὡσεὶ ἔφασκεν, ἤτοι ἐν πρώτοις ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν, ἢ ἀρχὴν ἐποίησεν ὁ Κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν, δηλονότι τῶν μετὰ ταῦτα κτισθέντων .... μᾶλλον δὲ ταυτὸν τῷ ἐν ἀρχῇ ἐποίησε, τὸ ἀρχὴν ἐποίησε. σαφὲς καὶ ἐκ τοῦ ἐπὶ τῆς σοφίας ἀμφότε-
Παροιμ. 8. 22. ρα ὠνομάσθαι. εἰρημένου γὰρ ἐν Παροι-
» μίαις, ὁ Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐ-
» τοῦ, ἐπηνέχθη τὸ, ἐν ἀρχῇ πρὸ τοῦ τὴν
Ἰωάν. 1. 1. γῆν ποιῆσαι. ὥσπερ οὖν ὁ Χριστὸς ἀρχὴ τῶν
» πάντων, καὶ ἐν ἀρχῇ εἶναι εἴρηται, οὕτως εἶπεν ἂν, ὅτι καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ ἐν ἀρχῇ ἔκτισαι· τὰ προειρημένα ἀρχὴ ὑπάρχοντα τῶν μετὰ ταῦτα δεδημιουργημένων, περὶ ὧν καὶ ἡ πρόθεσις ἦν ἀναγράψαι τῷ νομοθέτῃ. ὁ δὲ Ὠριγένης τὸ, ἐν ἀρχῇ, βούλεται ἀντὶ τοῦ ἐν σοφίᾳ, τουτέστι τῷ υἱῷ. δεικτέον δὲ ποσαχῶς ἡ ἀρχὴ λέγεται. οἷον τόπου, πέρας· ἐπιφανείας, γραμμή· γραμμῆς, σημεῖον· χρόνου, τὸ πρῶτον τοῦ διαστήματος μόριον· ἀξίωμα τὸ προσὸν τῷ ἄρχοντι ἔργον τὸ τῇ ποιήσει. ἡ δὲ ἐν Χριστῷ ζήτησις ποίῳ τῶν εἰρημένων τρόπων ἐφαρμοσθείη; ἡ προκειμένη ἀρχὴ, καὶ τοῦτο δὲ λέγουσιν ἀεὶ δημιουργὸν τὸν Θεόν. ἐλέγχονται δὲ, ἐκ τοῦ ἄρξασθαι αὐτὸν εἰρῆσθαι, καὶ καταπαῦσαι. ἀφ᾽ οὗ γὰρ ἤρξατο οὐρανὸν δημιουργεῖν, οὐκ ἀεὶ τοῦτον δημιουργεῖ. πευστέον δὲ τοὺς ἐθέλοντας ἀεὶ δημιουργὸν αὐτὸν εἶναι, εὐλαβείᾳ δῆθεν τοῦ μὴ ἀργὸν ἀποκαλεῖν τὸν Θεόν· πότερον τὰ δημιουργήματα πεπέρασαι κατὰ τὸν ἀριθμὸν, ἢ ἄπειρα αὐτῷ τυγχάνει; εἰ μὲν οὖν φαῖεν ἄπειρα τῷ δημιουργῷ εἶναι τὰ δημιουργήματα, ἀφιλοσόφως καὶ περὶ τὴν ἐνάργειαν ἀποφανοῦνται· εἰ δὲ πεπερασμένα λέγοιεν, ἐρωτητέον πάλιν αὐτούς· πότερον ἅμα πάντα δεδημιούργηται, ἢ τάξει, καὶ ὁδῷ; καὶ εἰ μὲν τὸ πρῶτον εἴποιεν, δηλονότι ἅπαντα δημιουργήσας, κατέπαυσε

A πάλαι ποτὲ, καὶ τὸ ὅσον ἐν αὐτοῖς, νῦν ἀργὸς ὢν τυγχάνει· εἰ δὲ τὸ δεύτερον ἐροῦσι, τὸ τάξει καὶ ὁδῷ δημιουργεῖν, καιρὸς αὐτοὺς μεμνῆσθαι τοῦ ἐξ ἀρχῆς ὡμολογημένου, ὡς οὐκ εἰσὶν ἄπειρα τὰ δεδημιουργημένα. οὐκοῦν εἴπερ πεπερασμένα τυγχάνει, καὶ τάξει καὶ ὁδῷ γίνεται, ἔσται τὶς αὐτῶν καὶ ἀριθμὸς, ὃν αὐτὸς μόνος ὁ δημιουργὸς οἶδε. διὸ ὥσπερ οὐκ ἦν τὰ ἐν τῇ ἕκτῃ ἡμέρᾳ γεγενημένα ἐν τῇ πέμπτῃ,
B οὔτε τὰ ἐν τῇ πέμπτῃ ἐν τῇ τετάρτῃ, οὔτε τὰ ἐν τῇ τετάρτῃ ἐν τῇ τρίτῃ, οὔτε τὰ ἐν τῇ τρίτῃ ἐν τῇ δευτέρᾳ, οὔτε τὰ ἐν τῇ δευτέρᾳ ἐν τῇ μιᾷ, οὔτε τὰ ἐν τῇ μιᾷ πρὸ τοῦ ἄρξασθαι τὸν Θεὸν, οὕτω συλλήβδην ἐπὶ πάντων τῶν γενητῶν λεκτέον. ὅτι πρὶν γενέσθαι οὐκ ἦν οὕτως, εἰ μὴ δύναμει τὶς ἐθέλῃ λέγειν ὑπάρχειν αὐτὰ παρὰ τῷ Θεῷ. κατασκευαστέον δὲ ἐκ τοῦ ἐλεύθερον εἶναι τὸ θεῖον, καὶ μὴ ὑπ᾽ ἀνάγκην, καὶ
Γ ἐκ τοῦ οὕτω σωθήσεσθαι τὸ μόνον ἀγένητον εἶναι τὸν δημιουργόν.

ΑΛΛΩΣ. Ἐν κεφαλαίῳ, ὅπερ οἱ ἕλληνες ἐν συντόμῳ φασίν. ἐν ἀρχῇ, ὃ ἦν ὥσπερ κεφάλαιον σώματος, οὐ τῇ θέσει μόνον, ἀλλὰ καὶ τῇ αἰσθήσει τὸν οὐρανὸν καὶ τὴν γῆν πρὸ τῶν ἄλλων δημιουργημάτων γενόμενα κεφαλὴν ἐκάλει. οὐρανὸν δὲ καὶ γῆν εἰπὼν, πάντα τὰ ἐν αὐτοῖς περιέλαβε. (1)

Δ ΔΙΟΔΩΡΟΥ. Τῶν βαρβάρων ὅσοι κατὰ τοὺς χρόνους Μωσέως γεγόνασι, καὶ μάλισα φιλοσοφεῖν ἤθελον, οὐρανὸν καὶ γῆν τῶν μεταξὺ πάντων αἰτιωμένων, ἐξ ὧν τῶν μετὰ ταῦτα καὶ οἱ Ἑλλήνων ποιηταὶ πλείονας τὰς τῆς ἀσεβείας ἀφορμὰς εἰλήφασιν, ἔδει τὸν Μωϋσέα ὡς πορρωτάτω τοὺς Ἰσραηλίτας ἀπαγαγόντα τῆς ἐκείνων ἀσεβείας, ἀρχὴν ποιήσασθαι δογμάτων τῆς
E ἐκείνων πεπλανημένης ἀρχῆς ἀνατροπήν. ἐπειδὴ γὰρ γενητὰ μὲν ὡμολόγουν, τὸν δὲ ποιητὴν ἠγνόουν, ἀρχόμενος, εὐθὺς ἐν ἀρ-
» χῇ φησὶν ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ
» τὴν γῆν. τὸ δὲ ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς
» τὸν οὐρανὸν καὶ τὴν γῆν διδάσκει σαφῶς, ὅτι τὰ λοιπὰ μετὰ ταῦτα γέγονεν. εἰ γὰρ μὴ πεποίηται καὶ τὰ λοιπὰ στοιχεῖα καθάπερ τὰ πρῶτα, ὧν ἐμνημόνευσε, πα-
» ρεῖλκε τὸ, ἐν ἀρχῇ ἐποίησε τὸν οὐρανὸν
Z » καὶ τὴν γῆν.

ΤΟΥ ΑΥΤΟΥ. Μετὰ τὰς ἀοράτους καὶ νοερὰς οὐσίας οὐρανὸν ὁ Θεὸς κατασκευάζει εὐθὺς μετὰ τῆς γῆς, οὐ τὸν ὁρώμενον· δευτέρᾳ γὰρ οὗτος ἡμέρᾳ γίνεται· ἀλλὰ τὸν
» ἀνωτέρω, ὃν ὁ Δαβὶδ οὐρανὸν οὐρανοῦ καλεῖ.

ΓΕΝΝΑΔΙΟΥ. Εἰσί τινες, οἵ φασι δεῖν τὸν Θεὸν βουληθέντα κτίσαι τὰ σύμπαντα, μὴ ὕστερον οὕτως, ἀλλὰ πρὸ πολλοῦ τοῦτο ποιῆσαι.

(1) Τὸ ἐν ἀρχῇ, ὁ Ἀκύλας ἐν κεφαλαίῳ. (ὅρα τὰς ἐν τῇ 1. σελ. σημειώσ. τῆς ἐν τῇ Φρανεκουέρα ἐκδόσ. τῆς θείας γραφ.) ὁ δὲ οὐρανοφάντ. Βασίλ. φησίν· ὅπερ ἕτεροι τῶν ἑρμηνευτῶν σαφέστερον τὸν νοῦν ἐκδιδόντες, εἰρήκασιν, ἐν κεφαλαίῳ ἐποίησεν ὁ Θεὸς, τουτέστιν ἀθρόως, καὶ ἐν ὀλίγῳ. ἐν σελ. 7. τοῦ 1. Τομ. τῆς κατὰ τὸ Παρίσ. ἐχ. ἐκδόσ.

ποιῆσαι. ἔστι δὲ οὗτος ὁ λόγος πρὸς τῷ τολμηρῷ λίαν εὐήθης. ἀϊδίου γὰρ τοῦ Θεοῦ καὶ ὄντος, καὶ εἶναι πιστευομένου, πάντοτε ἂν ὁμοίως τὸ αὐτὸ τοῦτο τοῖς ἐθέλουσι λέγειν ὑπῆρξε, κἂν εἰ πρὸ μυριάκις μυρίων ἐτῶν ἐπεποίητο τὰ γεγενημένα. πάντοτε γὰρ πρὸς τὸ τοῦ πεποιηκότος ἀπέραντον ὁμοίως ἂν ἀπελείπετο, ἀνιούσης μὲν ἀεὶ καὶ ἀναχωρούσης εἰς τὸ ἄνω τῆς διανοίας ἡμῶν, ἐξικνουμένης δὲ οὐδαμῶς οὐδεπώποτε B πρὸς τὸ ἄναρχόν τε αὐτοῦ καὶ ἀΐδιον. ὥστε οὐδὲ τοῦτο θρασυνομένοις πολυπραγμονητέον ἡμῖν, ἀλλ' εὐλαβῶς τοῖς παραδεδομένοις στερκτέον.

ΑΛΛΩΣ. Καὶ ὁ νόμος ἀπὸ ἔαρος ἄρχεται, καὶ ἡ καινὴ διαθήκη, ἤτοι τὸ πάθος τοῦ Κυρίου, τάχα δὲ καὶ ἡ κτίσις τοῦ κόσμου.

ΤΟΥ ΑΥΤΟΥ. Εἰσί τινες, οἳ προδεδημιουργῆσθαι οὐρανοῦ καὶ γῆς ἔφασαν τοὺς Ἀγγέλους, Πλάτωνος, ἐμοὶ δοκεῖ, τοῖς μύ- Γ θοις τοῦ σοφωτάτου παρ' Ἕλλησιν ἐξακολουθήσαντες. ὃς πρεσβύτερα τῶν αἰσθητῶν εἶναι ἔλεγε τὰ νοητὰ καὶ λογικὰ τοσοῦτον, ὅσον ἐστὶν αὐτῶν καὶ τιμιώτερα. λέγει γοῦν οὑτωσίπερ ἐκεῖνος, ὅσα ἐγὼ μέμνημαί ποτέ τινος πλατωνικοῦ καὶ μάλα σοβαρῶς λαρυγγίζοντος ἐπακηκοώς. τὴν δὲ ψυχήν, οὐχ ὡς νῦν ὑστέραν ἐπιχειροῦμεν λέγειν, οὕτως ἐμηχανήσατο καὶ ὁ Θεὸς νεωτέραν. οὐ γὰρ ἂν ἄρχεσθαι πρεσβύτερον ὑπὸ νεω- Δ τέρου συνέρξας εἴασεν· ἀλλά πως ἡμεῖς πολὺ μετέχοντες τοῦ προστυχόντος καὶ εἰκῇ, ταύτῃ πῃ καὶ λέγομεν· ὁ δὲ καὶ γενέσει, καὶ ἀρετῇ προτέραν καὶ πρεσβυτέραν ψυχὴν σώματος, ὡς δεσπότιν τε καὶ ἄρξουσαν ἀρξομένου, συνεστήσατο. τούτοις οὖν, ὡς ἔφην, προσχόντες τινές, καὶ ἅμα μὴ εὑρόντες ἐπὶ τοῦ παρόντος τὴν συγγραφὴν ῥητῶς αὐτῶν τῆς ποιήσεως μεμνημονευκυῖαν, προσέτι δ' ἴσως, καὶ τοῦτο ἀνθρωπίνως, ὡς ἐν- E θυμηθέντες τὸ μὴ οἷόν τε εἶναι μόνον ἐφ' ἑαυτὸν τὸν Θεόν, ὥσπερ τῆς ἐκ τῶν ποιημάτων αὐτοῦ προμηθείας ἐπιδεόμενον, τῆς οὐρανοῦ τε καὶ γῆς ποιήσεως προγεγονέναι νοητόν τινα κόσμον ἀφ' ἑαυτῶν ἀλλήλων ἐτερατεύσαντο. καὶ νῦν Μωσέα τὸν μακάριον λέγειν μέν, „ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς „τὸν οὐρανὸν καὶ τὴν γῆν. εἶναι δὲ οὐκ ἀληθῶς αὐτοῦ τῆς ποιήσεως ταύτην ἀρχήν, ἀλλ' ἑτέραν πολλῷ πρεσβυτέραν, ἐν ᾗ τὰς Z ἀοράτους καὶ λογικὰς ὑπεστήσατο φύσεις. ἐχρῆν δὲ ἀκριβῶς ἐπιστήσαντας τὸν νοῦν τῇ διδασκαλίᾳ τοῦ πνεύματος, ζητῆσαι τὸ ἀληθές. εὕροις γὰρ ἂν ἐντεῦθεν σαφῶς τῆς εὐλογοφανοῦς ἀπάτης ἐκείνης τὸν ἔλεγχον· οὐ μόνον τὸ τιμιώτερον τῆς γῆς ὄντα τὸν οὐρανὸν μετὰ ταύτης, ἀλλὰ μὴ πρὸ ταύτης γενέσθαι, ἀλλὰ καὶ τὴν τοῦ φωτὸς φύσιν ὑστέραν παραχθῆναι, κρείττονα τοῦ σκότους προδήλως ὑπάρχουσαν. εἶτα H σπέρματα, μετὰ τοῦτο καὶ δένδρα, εἶτα ζῶα πτηνῶν τε καὶ κτηνῶν καὶ χερσαίων θεάσῃ, καὶ ἐπὶ πᾶσι τούτοις τὸν ἄνθρωπον. εἰ δὲ λέγοιεν, ὅτι τούτων ἕκαστον, κἂν εἰ τιμιώτερόν ἐστι τὸ μεταγενέστερον τοῦ πρω-

A τογενεστέρου, τὸν ἡμέτερον λόγον οὐδὲν τι μᾶλλον ψευδῆ διελέγχει, οὐκ αἰσθητὰ πρὸς αἰσθητὰ παραβάλλοντα, ἀλλὰ πρὸς αἰσθητὰ νοητά, καὶ διὰ τοῦτο τῶν αἰσθητῶν ἔφαμεν προγεγενῆσθαι τὰ νοητά· ἐροῦμεν καὶ πρὸς τοῦτο ἡμεῖς, ὅτιπερ ἡ τοῦ ἀνθρώπου ψυχὴ λογική τε οὖσα καὶ νοητή, δευτέραν τῆς σαρκὸς ἔσχε τὴν γένεσιν. ἔπλασε γὰρ ὁ Θεὸς πρῶτον τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς, εἶτα μετὰ τοῦτο ἐνεφύσησεν εἰς B τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. τοῦτο δὲ καὶ ὁ προφήτης Ζαχαρίας δηλοῖ, λέγων· „ὁ πλάσας πνεῦμα ἀνθρώπου ἐν αὐτῷ. ὥστε Ζαχ. ιβ. α. τὸ μὲν τοῦ Πλάτωνος δόγμα ψευδές, ἀληθὲς δὲ Μωσῆς εἶπεν, „ἐν ἀρχῇ ἐποίησεν ὁ „Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἐπεὶ καὶ κατὰ ἀνθρώπινον λογισμὸν τοῦτό ἐστιν ἐκείνου πολλῷ πλέον ἀκολουθότερον. τῷ μὲν γὰρ ἥττονι, μᾶλλον δὲ καὶ τῷ χείρονι τὸ κρεῖττον ἐπιγενέσθαι τάξεως τῆς ἀρίστης λόγον Γ ἔχον ἐστί. προκοπὴ γὰρ ἐν τοῖς πᾶσιν ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον γίνεται. ὅθεν οὐδὲ τὸ πνευματικὸν πρῶτον, ἀλλὰ τὸ ψυχικὸν ἐγένετο, ἔπειτα τὸ πνευματικόν. τὸ δέ, ὡς ἐκεῖνοί φασι, τοῖς βελτίοσι προτίθεσθαι δεύτερα τὰ φαυλότερα, τοὐναντίον ποιεῖ· τοῦ χείρονος μὲν ἐπίδοσιν, ἐλάττωσιν δὲ τοῦ ἀμείνονος. ὃ κατὰ τοῦ σοφωτάτου τῶν ὅλων δημιουργοῦ οὐδεὶς ἂν ἐνθυμηθῆναι τολμήσειε. Καὶ μετ' ὀλίγα. Ἀλλ' ἐκεί- Δ νοις μὲν οὐδαμῶς προσεκτέον· ἐπεὶ μηδὲ ἕτερον οὕτω τι τοῖς πλείοσι τῆς ἐσφαλμένης περί τε τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος δόξης παραίτιον γέγονεν, ὡς τοῦτο παρερμηνευθῆναι τῶν πρώτων, οὐ καλῶς ἐκδοθῆναι. ὑποθέμενοι γὰρ ἑαυτοῖς πλείονας δημιουργίας, καὶ τὴν μίαν καὶ μόνην τῶν ποιημάτων ἀρχὴν ὡς ἀληθῶς ἀθετήσαντες, βαθμούς τινας καὶ τάξεις Θεῶν κεκαινοτομήκασι, μεγάλους καὶ μείζους καὶ μεγίστους E ἐξευρηκότες. οἷς εἰ παρέστη δήπουθεν βεβαίως τό, τὸν Θεὸν μηδὲν ἔξωθεν, ὧν Μωσῆς ἡμῖν παραδέδωκε, προπεποιηκέναι, οὐκ ἂν τῆς ὀρθῆς δόξης περὶ τῆς ἁγίας Τριάδος ἀπεπλανήθησαν. εἰδότες γὰρ ὡς τὸ πᾶν εἰς δύο ταῦτα διακέκριται, εἴς τε δημιουργὸν καὶ δημιουργήματα, καὶ ὡς ὁ μέν ἐστιν ἀγέννητός τε καὶ ἄκτιστος, τὰ δέ, κτιστὰ καὶ γεννητά, πάντως ἂν τῶν δύο τὸ ἕτερον ἔγνωσαν. ἢ γὰρ κεκτίσθαι τόν τε υἱὸν καὶ τὸ πνεῦμα τὸ Z ἅγιον ἐξ οὐκ ὄντων ἀποφαινόμενοι, τοῖς λοιποῖς ἂν τῶν κτισμάτων αὐτοὺς τοῖς ἐν ταῖς ἓξ γενομένοις ἡμέραις, ἀλλ' οὐ Θεῷ συνηρίθμουν, οὐδὲ τῶν τῆς κτίσεως μέτρων ὑπερετίθουν· ἢ φεύγοντες τὸ προφανὲς δυσσεβές, οὐκ ἂν Θεὸν ἀληθῶς ἑκάτερον καθομολογοῦντες, τοῖς ποιήμασιν αὐτοὺς αὖθις συνέταττον. τοῦτο αὐτοῖς ὥσπερ τι θαυμάσιον χαριζόμενοι, τὸ συγχωρεῖν αὐτοὺς τῶν ἄλλων προγεγονέναι.

H

β. Ἡ δὲ γῆ ἦν ἀόρατος, καὶ ἀκατασκεύαστος.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ ἦν ἡ γῆ, πῶς ἐγένετο; λέγει γὰρ ὁ συγγραφεύς· ἡ δὲ γῆ

ἦν. Ἠλίθιον καὶ ἄγαν ἀνόητον τὸ ἐρώτημα. ὁ γὰρ εἰπών, ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, οὐκ ἀΐδιον ἔφη τὴν γῆν, ἀλλὰ μετὰ τὸν οὐρανόν, ἢ σὺν τῷ οὐρανῷ δεξαμένην τὸ εἶναι· ἄλλως τε οὐδὲ ἀπολύτως εἶπεν ὁ συγγραφεύς, ἡ δὲ γῆ ἦν, ἀλλὰ τὸ ἑξῆς συναρμόσας, ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος. τουτέστιν ἐγένετο μὲν ὑπὸ τοῦ τῶν ὅλων Θεοῦ, ἔτι δὲ ἀόρατος ἦν, ἐπικειμένου τοῦ ὕδατος, καὶ ἀκατασκεύαστος, μηδέπω κοσμηθεῖσα τῇ βλάστῃ, μηδὲ ἀνθήσασα λειμῶνας, καὶ ἄλση, καὶ λήϊα.

ΤΟΥ ΑΥΤΟΥ. Οὐκ ἐδίδαξεν ἡμᾶς ὁ Μωσῆς, ὅτι καὶ τὰ ὕδατα ἐδημιούργησεν ὁ Θεός. Καὶ μὴν εἰρηκώς, ἡ δὲ γῆ ἦν ἀόρατος, καὶ ἀκατασκεύαστος, καὶ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου, ἐδίδαξε μετὰ τῆς δημιουργίας τὴν τῶν ὑδάτων φύσιν. (1) καὶ περὶ τοῦ σαββάτου δὲ νομοθετῶν ὁ τῶν ὅλων Θεός, οὕτως ἔφη· ἓξ ἡμέρας ἐργᾷ, τῇ δὲ ἑβδόμῃ σάββατον, ἀνάπαυσις Κυρίῳ τῷ Θεῷ σου. ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος ὁ Θεὸς τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. [Ἐξοδ. 20. 9, 10,11.] ὡς εἶναι δῆλον, ὅτι πᾶν ὁτιοῦν ἐν τούτοις ὄν, ἢ ὁρατόν, ἢ ἀόρατον, ἢ αἰσθητόν, ἢ νοητόν, πλὴν τῆς θείας οὐσίας, κτιστὴν ἔχει τὴν φύσιν. καὶ ὁ θειότατος δὲ Δαβὶδ εἰρηκώς, μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, ἐπήγαγε· τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. [Ψαλ.145 5,6.]

ΑΚΑΚΙΟΥ. Ἡ δὲ γῆ ἦν ἀόρατος, καὶ ἀκατασκεύαστος. δοκεῖ μὴ χαλεπὸν εἶναι παραστῆσαι τὴν αἰτίαν, δι' ἣν ἀόρατος ἦν ἡ γῆ, φανερῶς τῆς θείας γραφῆς διδασκούσης ἐν τῷ, συναχθήτω τὸ ὕδωρ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. ἴσως δὲ καὶ ἑτέραν εἴποι τις ἄν, δι' ἣν ἀόρατος ἦν. ἐπεὶ μήπω τὸ αἰσθητὸν φῶς ἐγεγόνει. τὸ δὲ ἀόρατον τίνι, ἢ τίσιν ἐστὶν ἀόρατον; τῷ μὲν οὖν Θεῷ ἀόρατον εἶναι τὴν γῆν, εἰ καὶ μὴ αἰσθητοῖς ὀφθαλμοῖς χρῆται, οὐχ ὅσιον. λείπεται λέγειν, ὅτι τοῖς ἀνθρώποις ἀόρατον ἦν. ἀπορήσει δέ τις, πῶς ἀόρατος ἦν τοῖς ἀνθρώποις, ἅτε μηδέπω ὅλως ὑπάρξασι. λεκτέον οὖν, ὅτι ὥσπερ τὴν ἡμῖν ἄβατον φύσει, ὁρατὴν εἶναι, κἂν μὴ ὁρῷτο ὑφ' ἡμᾶς, οὕτω καὶ ἡ γῆ ὑπὸ τῶν ὑδάτων κεκαλυμμένη, ἀόρατος ἦν τό, εἰ καὶ ὑπῆρχον ἄνθρωποι, μὴ οἵαν τε εἶναι ὁρᾶσθαι. καὶ ὥσπερ ἐπὶ τοῦ παραδείγματος ὁρατὴν ἐφάσκομεν εἶναι τὴν ἄβατον τὸ ἐπιδέχεσθαι ὁρᾶσθαι; οὕτω καὶ ἐνταῦθα ἀόρατος εἴρηται τό, εἰ καὶ ὑπῆρχον ἄνθρωποι, μὴ ἐνδέχεσθαι ὁρᾶσθαι. περὶ δὲ τοῦ ἀκατασκεύαστον εἶναι ἀπορήσει τίς, διατὶ μὴ ἀρχῆθεν τελείαν αὐ-

A τὴν ποιῆσαι, ἀλλ' ἀτελῆ καὶ ἀκατασκεύαστον· ὅπως συγκρίνοντα τὰ λογικὰ τὸ τέλειον πρὸς τὸ ἀτελές, ἐπὶ πλέον θαυμάζοι τὸν δημιουργόν. οὕτω δὲ καὶ ἐπὶ πάντων ἐστὶν ἰδεῖν. παραθέσει γὰρ τῶν χειρόνων τὰ κρείττονα ὑπερθαυμάζομεν. οἷον παραθέσει τοῦ σκότους, τὸ φῶς· καὶ τοῦ λιμοῦ, τὴν εὐετηρίαν. διὸ καὶ ἐπὶ τῆς γῆς τὸ αὐτό τις εἴποι, παραθέσει τῆς ἀοικήτου, τὴν οἰκουμένην· καὶ τῆς ἀκάρπου, τὴν καρ- B φύεον. (2)

ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἡ δὲ γῆ ἦν, φησίν, ἀόρατος, καὶ ἀκατασκεύαστος. τίνος ἕνεκεν εἰπέ μοι, τὸν μὲν οὐρανὸν φαιδρὸν καὶ ἀπηρτισμένον παρήγαγε, τὴν δὲ γῆν ἀμόρφωτον ἔδειξεν; Οὐχ ἁπλῶς οὐδὲ τοῦτο πεποίηκεν· ἀλλ' ἵνα ἐν τῷ βελτίονι μέρει τῆς κτίσεως μαθὼν αὐτοῦ τὴν δημιουργίαν, μηδὲν ἀμφιβάλῃς λοιπόν, μηδὲ νομίσῃς δι' ἀσθένειαν δυνάμεως τοῦτο γενέσθαι. Γ ἄλλως τε καὶ δι' ἕτερον τρόπον ἀμόρφωτον αὐτὴν παρήγαγεν. ἐπειδὴ γὰρ αὐτὴ καὶ τροφὸς καὶ μήτηρ ἡμῶν ἐστί, καὶ ἐξ αὐτῆς καὶ γεγόναμεν, καὶ τρεφόμεθα, καὶ αὐτὴ ἡμῖν καὶ πατρὶς καὶ κοινὸς τάφος γίνεται, καὶ πρὸς αὐτὴν πάλιν ἐπάνοδος, καὶ τῶν μυρίων ἀγαθῶν δι' αὐτῆς ἀπολαύομεν, ἵνα μὴ διὰ τὸ τῆς χρείας ἀναγκαῖον ὑπὲρ τὴν ἀξίαν αὐτὴν τιμήσῃ τὸ τῶν ἀνθρώπων γένος, Δ δείκνυσί σοι αὐτὴν πρότερον ἀμόρφωτον καὶ ἀδιατύπωτον. ἵνα μὴ τῇ φύσει τῆς γῆς τὰς ἐξ αὐτῆς εὐεργεσίας λογίσῃ, ἀλλὰ τῷ ταύτην ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντι.

ΣΕΥΗΡΟΥ. Οἶδα πολλοὺς τῶν ἁγίων πατέρων εἰρηκότας, ὅτι ἀόρατος ἦν ἡ γῆ, ἐπειδὴ τῷ ὕδατι ἐκεκάλυπτο. ἔστι δὲ τὸ νόημα εὐσεβὲς μέν, οὐκ ἀληθὲς δέ. τί οὖν ἐστὶ τὸ αἴτιον; τί ἐστιν ἡ γῆ ἦν ἀόρατος; ὁ E Ἀκύλας λέγει· ἡ δὲ γῆ ἦν κένωμα, καὶ οὐδέν. καὶ ἀόρατον δὲ τοῦτό ἐστιν· οὐχ ὅτι οὐκ ἐφαίνετο, ἀλλ' ὡς ἂν εἴποι τις ἀκόσμητος, ὥσπερ τὸν κακόφωνον λέγομεν ἄφωνον· καὶ τὸν δύσμορφον, ἄμορφον, οὐχ ὡς μὴ ἔχοντα μορφήν, ἀλλ' ὡς οὐκ ἀξιοθεώρητον. ἡ δὲ γῆ ἦν ἀόρατος, ἀντὶ τοῦ οὐκ ἀξία τοῦ ὁρᾶσθαι. οὐδέπω γὰρ ἦν φαιδρυνομένη καρποῖς καὶ φυτοῖς, ποταμοῖς καὶ πηγαῖς, καὶ ταῖς ἄλλαις εὐκοσμίαις. λέ- Z γει γὰρ ἡ γραφὴ περί τινος ἀμόρφου (3) καὶ ἀνδρείου· οὕτω φησὶν ἐπάταξε τὸν ἄνδρα τὸν αἰγύπτιον, ἄνδρα ὁρατόν. [2.Βασ.23.21.] ἔστι γὰρ ἀνὴρ ἀόρατος; ἀλλ' ὁρατόν φησι, τουτέστιν ἀξιοθέατον, ἄξιον τοῦ ὁρᾶσθαι. ὥσπερ οὖν τὸν αἰγύπτιον ὁρατόν, ὡς ἄξιον τοῦ ὁρᾶσθαι· οὕτω τὴν γῆν τὴν ἄμορφον, ἀόρατον λέγει.

ΒΑΣΙΛΕΙΟΥ. Ἔστι τελεία κατασκευὴ H γῆς ἡ ὑπ' αὐτῆς εὐθηνία, φυτῶν παντοδαπῶν

(1) Ἔδειξε μετὰ τῆς γῆς δημιουργηθεῖσαν τῶν ὑδάτων τὴν φύσιν. ἡ ἐν Χάλῃ ἔκδοσ.
(2) Ἴσ. καρποφόρον, ἢ κάρπιμον.
(3) Εὐμόρφου ἐν τῷ 2. λόγ. τῶν τοῦ Σευήρ. τῷ ἐν τῷ ϛ. Τόμ. (σελ. 448.) τοῦ Χρυσοσ. τῆς ἐν Παρισ. ἐκδόσ.

A δαπῶν βλάστησις, δένδρων ὑψηλοτάτων προβολαὶ καρπίμων τε καὶ ἀκάρπων, ἀνθῶν εὔχροιαι, καὶ ὅσα τοιαῦτα. ὧν ἐπειδὴ οὐδὲν οὔπω ἦν, ἀκατασκεύαστον αὐτὴν ὁ λόγος εἰκότως ὠνόμασεν. ἀόρατον δὲ αὐτὴν προσεῖπε διὰ δύο αἰτίας· ἢ ὅτι οὔπω ἦν ὁ θεατὴς ἄνθρωπος, ἢ ὅτι ὑποβρύχιος οὖσα ἐκ τοῦ ἐπιπολάζοντος τῇ ἐπιφανείᾳ ὕδατος, οὐκ ἐδύνατο καθορᾶσθαι.

Καὶ σκότος ἐπάνω τῆς ἀβύσσου.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ τὸ φῶς ὁ Θεὸς ἐδημιούργησε, πῶς ὁ αὐτὸς σκότος ἐποίησεν; ἐναντία γὰρ ταῦτα ἀλλήλοις. Ἐναντία μὲν ἀλλήλοις, ἀλλ᾽ ἀναγκαῖα τοῖς ἀνθρώποις ἀμφότερα. τὸ μὲν γὰρ, πρὸς ἐργασίαν τε καὶ φιλοπονίαν συνεργεῖ τοῖς ἀνθρώποις, καὶ ὑποδείκνυσι τὰ ὁρώμενα, καὶ τὸν τούτων ποιητὴν ὑμνεῖσθαι παρασκευάζει· τὸ δὲ, διαναπαύει καὶ νευρεῖ Γ τοὺς ἀνθρώπους, καὶ τὸν ἐκ τῆς ἐργασίας ἐγγινόμενον διαλύει πόνον. καὶ τοὺς ἀνθρώπους μὲν οἴκαδε συναγείρει, τοῖς δέ γε θηρίοις ἄδειαν παρέχει νομῆς. καὶ τοῦτο

Ψαλ. 103. 20, 21, 22, 23, 24. σαφῶς ἡμᾶς ὁ θεῖος διδάσκει Δαβίδ. ἔθου γάρ φησι σκότος καὶ ἐγένετο νὺξ, ἐν αὐ-
» τῇ διελεύσονται πάντα τὰ θηρία τοῦ ἀγροῦ.
» σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆ-
» σαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. ἀνέτει-
» λεν ὁ ἥλιος καὶ συνήχθησαν, καὶ εἰς τὰς
» μάνδρας αὐτῶν κοιτασθήσονται. ἐξελεύ-
» σεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ
» ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. οὕτω

ταῦτα εἰπὼν, τὴν τοῦ ποιητοῦ θαυμάζει με-
» γαλουργίαν, καί φησιν· ὡς ἐμεγαλύνθη τὰ
» ἔργα σου Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας.

ὅτι μὲν οὖν ἀναγκαῖον τὸ σκότος, ἀκριβῶς μεμαθήκαμεν· ὅτι δὲ οὐκ οὐσία τίς ἐστιν, ἀλλὰ πρᾶγμα συμβεβηκὸς, καταμαθεῖν εὐπετές. οὐρανοῦ γὰρ καὶ γῆς ἐστὶν ἀποσκίασμα. διά τοι τοῦτο φροῦδον γίνεται, τοῦ φωτὸς ἀνίσχοντος. τὸ δὲ φῶς οὐσία ἐστὶ καὶ ὑφέστηκε· καὶ δυόμενον ἀνίσχει, καὶ ἀπιὸν ἐπανέρχεται. ὥσπερ γὰρ τὸ σῶμα τὸ ἡμέτερον οὐσία τίς ἐστιν, ἡ δὲ διὰ τούτου ἀποτελουμένη σκιὰ συμβεβηκός ἐστιν, οὐκ οὐσία· οὕτως ὁ οὐρανὸς καὶ ἡ γῆ, τὰ μέγιστα σώματα, οὐσίαι εἰσὶ διάφοροι. ἡ δὲ ἐκ τούτων ἀποτελουμένη σκιὰ, τοῦ φωτὸς οὐ παρόντος, ὀνομάζεται σκότος. εἰσελθὸν δὲ τὸ Z φῶς ἀφανίζει τὸ σκότος. τοῦτο δὲ γνοίη τὶς ἂν καὶ ἑτέρωθεν. οἶκος γὰρ οὐκ ἔχων φωταγωγοὺς, σκότους ἐστὶν ἀνάπλεως· εἰσκομισθείσης δὲ λαμπάδος, φωτίζεται· οὐ τοῦ σκότους ἄλλοσε μεταβαίνοντος· οὐ γὰρ ὑφέστηκεν, ἀνυπόστατον δὲ χρῆμά ἐστιν· ἀλλὰ πάμπαν διολλυμένου τῇ τοῦ φωτὸς παρουσίᾳ. σκιὰ γάρ ἐστι διὰ τῆς ὀροφῆς, καὶ τοῦ ἐδάφους, καὶ τῶν τοίχων συνισταμένη, εἶτα ταῖς τοῦ φωτὸς διαλυομένη μαρ- H μαρυγαῖς. τοῦτο καθ᾽ ἑκάστην ἡμέραν ὁρῶ-

A μεν ἐπιτελούμενον. ὑποχωροῦντος γὰρ τοῦ φωτὸς, οὐρανοῦ καὶ γῆς ἡ σκιὰ τὸ σκότος ἀποτελεῖ· ἀνίσχοντος δὲ πάλιν, διαλύεται τοῦτο. οὐ τοίνυν ἀγέννητος οὐσία τὸ σκότος, οὔτε μὴν γεννητή τις ὑπόστασις, ἀλλ᾽ ἐκ τῶν γεννητῶν συνισταμένη χρῆσις ἀναγκαία, καὶ τοῦ Θεοῦ τὴν σοφίαν κηρύττουσα. αὐτίκα γοῦν ὁ Προφήτης τὸν τῶν ὅλων Θεὸν καὶ

» ἐντεῦθεν ὑμνεῖ. ὁ ποιήσας γάρ φησι φῶς, Ἡσ. 45. 7.
» καὶ κατασκευάσας σκότος.

B ἁρμοδίως δὲ ἄγαν ἑκάτερα ἔθηκε. τὸ μὲν ποιήσας, ἐπὶ τοῦ φωτός· τὸ δὲ κατασκευάσας, ἐπὶ τοῦ σκότους. συμβεβηκὸς γάρ ἐστι, συνιστάμενον, καὶ διαλυόμενον. καὶ οἱ τρεῖς μὲν μακάριοι παῖδες πᾶσαν τὴν κτίσιν εἰς ὑμνῳδίαν καλέσαντες, τῇ ἡμέρᾳ τὴν νύκτα συνέζευξαν, καὶ τῷ φωτὶ τὸ σκότος συνήρμοσαν. ἐπὶ δὲ ταῖς τούτων διαδοχαῖς καὶ ὁ χρόνος μετρεῖται, καὶ ὁ τῶν ἀνθρώπων συνίσταται βίος.

Γ ΑΚΑΚΙΟΥ. Καὶ σκότος ἐπάνω τῆς ἀβύσσου. κατὰ κοινοῦ τὸ, ἦν. δηλοῖ γὰρ καὶ σκότος προεῖναι τοῦ φωτὸς, δι᾽ ἣν ἤδη ἔφαμεν αἰτίαν. τῶν δὲ αὐτῶν λεκτέον αἰτίαν καὶ ἐπὶ τοῦ πρῶτα γεγονέναι τὰ ἄλογα τοῦ λογικοῦ ἀνθρώπου. οὐ μόνον (1) ἐπειδὴ συγκρίσει τοῦ φωτὸς ὑποβέβληκε τὸ σκότος, φαῦλον ἤδη, ἅτε καὶ τῆς γραφῆς καλὸν

» αὐτὸ λεγούσης. εἶδε γάρ φησι πάντα ὅσα
Δ» ἐποίησεν ὁ Θεὸς, καὶ ἰδοὺ καλὰ λίαν.

εἰ δὲ ἀπορήσει τὶς ἐπεὶ μὴ εἴρηται ἐνταῦθα ὑπὸ τοῦ Θεοῦ γεγονέναι τὸ σκότος, δεικτέον ἐκ τοῦ Ἡσαΐου. κατασκευάσεις δὲ καὶ ἀπὸ τῶν κοινῶν ἐννοιῶν, ὡς καλὸν τὸ σκότος καὶ ἡ νύξ. ἀνάψυξις μὲν γὰρ τυγχάνει οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ τοῖς πρὸς ὑπηρεσίαν δοθεῖσιν ἀλόγοις, ῥαστώνη τε αὐτοῖς

» τοῖς ἀγρίοις ζώοις. ἐν αὐτῇ γὰρ κατὰ τὸν Ψαλ. 103. 20.
» ψαλμῳδὸν διελεύσονται πάντα τὰ θηρία
E» τοῦ ἀγροῦ.

καὶ μελλόντων δὲ πρόγνωσις ἐν αὐτῇ τισὶν ἐγγίνεται, ὡς ὁ Δανιὴλ φησίν·

» ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός. καὶ ὁ Ζα- Δαν. 7. 13.
» χαρίας, ἑώρακα τὴν νύκτα. Ζαχ. 1. 8.

ζητήσεις δὲ καὶ ἑτέρας ἐννοίας, δι᾽ ἃς ἡ νὺξ καὶ τὸ σκότος χρησίμως γέγονεν. εἰ δὲ φιλονεικέοι τὶς φαῦλον κατασκευάζων τὸ σκότος

» ἐκ τοῦ, ἐμβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ Ματθ. 22. 13.

ἐξώτερον, καὶ τὸν τοιοῦτον τρόπον μὴ ἀγνοείτω, ὅτι πολλαχοῦ τῶν γραφῶν τὸ αὐ- Z τὸ ὄνομα καὶ ἐπὶ ἐπαίνου, καὶ ἐπὶ ψόγου ὁμοίως παρείληπται, διαφερόντων τῶν πραγμάτων, ἃ σημαίνεται ἐκ τῆς μιᾶς προσηγορίας. ὥσπερ οὖν καὶ τὸ φῶς πολλαχῶς λέγομεν ἐπαινετῶς ὠνομάσθαι, ἑτέ-

» ρωθι δὲ ψεκτῶς ὠνόμασται· ὡς ἐν τῷ, πο- Ἡσ. 50. 11.
» ρεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν.

ΒΑΣΙΛΕΙΟΥ. Ἐπιζητεῖ ὁ λόγος εἰ συγκατέμιξε (2) δὴ τῷ κόσμῳ τὸ σκότος, καὶ εἰ ἀρχαιότερον τοῦ φωτὸς, καὶ διατὶ τὸ H χεῖρον πρεσβύτερον. λέγομεν τοίνυν τοῦτο τὸ σκότος μὴ κατ᾽ οὐσίαν ὑφεστάναι, ἀλ-

(1) Ἴσ. οὐ μήν.
(2) Εἰ συγκατεσκευάσθη τῷ κόσμῳ τὸ σκότος. ἔκδοσ. παρισ. ἡ ἐσχάτη.

λὰ πάθος εἶναι περὶ τὸν ἀέρα, στερήσει φωτὸς γινόμενον. ποῖος τοίνυν φωτὸς ἄμοιρος αἰφνιδίως ὁ ἐν τῷ κόσμῳ τόπος εὑρέθη, ὥστε τὸ σκότος ἐπάνω εἶναι τοῦ ὕδατος; λογιζόμεθα, ὅτι εἴπερ τι ἦν πρὸ τοῦ αἰσθητοῦ κόσμου, ἐν φωτὶ ἂν δῆλον ἦν. οὔτε γὰρ αἱ τῶν Ἀγγέλων ἀξίαι, οὔτε πᾶσαι αἱ ἐπουράνιοι στρατιαὶ ἐν σκότει διῆγον, ἀλλ' ἐν φωτὶ, καὶ πάσῃ εὐφροσύνῃ πνευματικῇ. καὶ τούτοις οὐδεὶς ἀντερεῖ, ὅστις γε τὸ ὑπερουράνιον φῶς ἐν ταῖς τῶν ἀγαθῶν ἐπαγ-
Παροιμ. 13. 9. γελίαις ἐκδέχεται. περὶ οὗ Σολομῶν φησί·
„ Φῶς δικαίοις διαπαντός· καὶ ὁ Ἀπόστολος,
Κολασ. 1. 12. εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι
„ ἡμᾶς ἐν τῇ μερίδι τοῦ κλήρου τῶν ἁγίων ἐν
„ τῷ φωτί. ἐπεὶ οὖν ἐγένετο ὁ οὐρανὸς προστάγματι Θεοῦ ἀθρόως περιταθεὶς, τοῖς ἐντὸς ὑπὸ τῆς οἰκείας αὐτοῦ περιφερείας ἀπειλημμένοις, σῶμα ἔχων συνεχὲς, ἱκανὸν τῶν ἔνδον διαστῆσαι τὰ ἔξω, ἀναγκαίως τὸν ἐναπολειφθέντα αὐτῷ τόπον ἀφεγγῆ κατέστησε, τὴν ἔξωθεν αὐγὴν διακόψας. τρία γὰρ δεῖ συνδραμεῖν ἐπὶ τῆς σκιᾶς, τὸ φῶς, τὸ σῶμα, τὸν ἀλαμπῆ τόπον. τὸ τοίνυν ἐγκόσμιον σκότος τῇ σκιᾷ τοῦ οὐρανίου σώματος παρυπέστη.

ΑΛΛΩΣ. Ἄβυσσός ἐστιν ἄλλως ὕδωρ πολύ· οὗ τὸ βάθος ἀκατάληπτον ἀνθρώποις, ἢ σφόδρα δυσκατάληπτον. (1)

ΓΕΝΝΑΔΙΟΥ. Σκότος λέγει οὐ πονηράν τινα φύσιν, ὡς ὁ τῶν ἀθέων Μανιχαίων βούλεται λῆρος, ἀλλὰ τὴν ἀπὸ τοῦ φωτὸς ἀπουσίαν τε καὶ ἀπόληψιν.

ΔΙΟΔΩΡΟΥ. Σκότους ἄνευ ἄρθρου ἐμνήσθη, ἀβύσσου δὲ μετὰ ἄρθρου. καὶ σκό-
„ τος γάρ φησιν ἐπάνω τῆς ἀβύσσου. ἐπείπερ τὸ μὲν, ἀνυπόστατον· τὸ δὲ, οὐσιῶδες. σκιὰ τὸ σκότος οὐρανοῦ καὶ γῆς· σωμάτων γὰρ οὕτω μεγίστων τὸ μέσον ἀνάγκη σκιάζεσθαι, καθάπερ οἶκον ἀθύρωτον. καὶ μάτην οἱ αἱρετικοὶ νοητὸν σκότος ἐντεῦθεν ἐκλαμβάνουσιν. οὐρανοῦ γὰρ καὶ γῆς μνημονευούσας ὁ Προφήτης καλυπτομένης ὑπὸ ὑδάτων, οὕτως ὑπὲρ τὰ ὕδατα τὸ σκότος εἶναί φησι. τὸ (2) ἀπὸ τῶν σωμάτων σκότος οὐχ ἡ τῶν σωμάτων σκιὰ εἴρηται, ἀλλὰ νοητόν τι, τουτέστιν ὁ διάβολος, τὸ, γενηθήτω φῶς, πῶς νοήσω; ἆρα τὸ ἀληθινόν; τὸν υἱόν; τί οὖν ἂν εἴποις; μετὰ τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν ἄβυσσον, καὶ τὸ νοητὸν σκότος τὸν διάβολον, ὁ Θεὸς λόγος; καὶ τίς ἂν τοῦτο συγχωρήσειεν, ἕως ἂν τὸν νοῦν ἔχῃ;

ΑΔΗΛΟΥ. Ἰστέον, ὅτι τὴν Ὠριγένους δόξαν ἐλέγχει, οὕτως ἑρμηνεύοντος.

Καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος.

ΘΕΟΔΩΡΙΤΟΥ. Ποῖον πνεῦμα ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος; Τισὶ δοκεῖ τὸ πανάγιον πνεῦμα, ζωογονοῦν τῶν ὑδάτων A τὴν φύσιν, καὶ διαγράφον τὴν τοῦ βαπτίσματος χάριν. ἀληθέστερον μέντοι ἐκεῖνον οἶμαι τὸν λόγον, ὅτι πνεῦμα ἐνταῦθα τὸν ἀέρα καλεῖ. εἰπὼν γὰρ, ὅτι τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησε, καὶ τῶν ὑδάτων διὰ τῆς ἀβύσσου μνησθεὶς, ἀναγκαίως καὶ τοῦ ἀέρος ἐμνήσθη, ἐκ τῆς τοῦ ὕδατος ἐπιφανείας μέχρι τοῦ οὐρανοῦ διήκοντος. ἀέρος γὰρ φύσις τὸ τοῖς κάτω κειμένοις ἐπιφέρεσθαι σώμασι. μάλα δὲ ἁρμοδίως τὸ, ἐπε- B φέρετο, καὶ οὐκ ἐπέκειτο εἴρηκε. τὸ γὰρ ἐπεφέρετο τὴν κινητικὴν τοῦ ἀέρος οὐσίαν παρεδήλου. εἰ δέ τις τοῦτον οὐ προσίεται τὸν
„ λόγον, ἐπεὶ γέγραπται πνεῦμα Θεοῦ ἐπε-
„ φέρετο ἐπάνω τοῦ ὕδατος, ἀκουέτω τοῦ μακαρίου Δαβὶδ λέγοντος περὶ τοῦ Θεοῦ τῶν
„ ὅλων· πνεύσει τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα. ὅτι δὲ τὸν ἄνεμον οὕτως ἐκάλεσε, δῆλόν ἐστι κἂν μὴ λέγω. εὕρου γὰρ ἢ νότου πνέοντος, τὸ πεπηγὸς ὕδωρ δια- Γ λύεσθαι πέφυκε.

ΒΑΣΙΛΕΙΟΥ. Εἴτε τοῦτο λέγει τὸ πνεῦμα τοῦ ἀέρος τὴν χύσιν, δέξαι τὰ μέρη τοῦ κόσμου καταριθμοῦντά σοι τὸν συγγραφέα, ὅτι ἐποίησεν ὁ Θεὸς, οὐρανὸν, γῆν, ὕδωρ, ἀέρα, καὶ τοῦτον χεόμενον ἤδη καὶ ῥέοντα· εἴτε, ὃ καὶ μᾶλλον ἀληθέστερόν ἐστι, καὶ τοῖς πρὸ ἡμῶν ἐγκριθὲν, πνεῦμα Θεοῦ, τὸ ἅγιον εἴρηται. πῶς οὖν ἐπεφέρετο τοῦτο ἐπάνω τοῦ ὕδατος; ἐρῶ σοι, οὐκ Δ ἐμαυτοῦ λόγον, ἀλλὰ Σύρου ἀνδρὸς, σοφίας κοσμικῆς τοσοῦτον ἀφεστηκότος, ὅσον ἐγγὺς ἦν τῆς τῶν ἀληθινῶν ἐπιστήμης. ἔλεγε τοίνυν, τὴν τῶν Σύρων φωνὴν ἐμφαντικωτέραν τε εἶναι, καὶ διὰ τὴν πρὸς τὴν ἑβραΐδα γειτνίασιν μᾶλλόν πως τῇ ἐννοίᾳ τῶν γραφῶν προσεγγίζειν. τὸ οὖν ἐπεφέρετο, φησὶν, ἐξηγοῦνται ἀντὶ τοῦ συνέθαλπε, καὶ ἐζωογόνει τὴν τῶν ὑδάτων φύσιν, κατὰ τὴν εἰκόνα τῆς ἐπωαζούσης ὄρ- E νιθος, καὶ ζωτικήν τινα δύναμιν ἐνιείσης τοῖς ὑποθαλπομένοις.

*ΠΡΟΚΟΠΙΟΥ ΤΟΥ ΓΑΖΑΙΟΥ. Ἐπιστήσεις, διατὶ οὐκ εἶπε τοῦ Θεοῦ, ἀλλὰ πνεῦμα Θεοῦ; τὴν ἐνεργῆ δύναμιν λέγει, θάλπουσαν τῶν ὑδάτων τὴν φύσιν καὶ διακυβερνῶσαν.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐμοὶ δοκεῖ, ὅτι ἐνέργειά τις ζωτικὴ προσῆν τοῖς ὕδασι, καὶ οὐκ ἦν ἁπλῶς ὕδωρ ἑστὸς, καὶ ἀκίνητον, Z ἀλλὰ κινούμενον, καὶ ζωτικήν τινα δύναμιν ἔχον. τὸ γὰρ ἀκίνητον πάντῃ ἄχρηστον, τὸ δὲ κινούμενον πρὸς πολλὰ ἐπιτήδειον.

ΔΙΟΔΩΡΟΥ. Τὰ ἀφ' ἑτέρας γλώττης εἰς ἑτέραν μεταγόμενα νοήματα, εἴτις καὶ τῇ λέξει δουλεύειν, ἀφ' ἧς ἡρμήνευται, πειρῷτο, καὶ ταύτην μετάγειν, ἀποσφαλήσεται τῆς διανοίας. ὡς γὰρ σφενδονίτης, ἢ τοξότης παρ' ἡμῖν μὲν διὰ μιᾶς λέξεως σημαίνεται. παρὰ Σύροις δὲ διὰ δύο· H οὕτω καὶ τὸ ἐπεφέρετο. μία μέν ἐστι λέξις παρ'

(1) Καὶ τοῦτο ἐκ τῶν τοῦ μεγάλου Βασιλ. τυχὸν ἐλήφθη· αὐτὸς γάρ φησιν (ἐν σελ. 15. τοῦ τῆς εἰρημ. ἐκδόσ. 1. Τόμ.) Ἀβύσσου δὲ ἔννοια τίς; ὕδωρ πολὺ δυσέφικτον ἔχον ἑαυτοῦ τὸ πέρας ἐπὶ τὸ κάτω.

(2) Ἴσ. Εἰ τὸ ἀπὸ τῶν σωμάτων σκότος.

παρ' Ἑβραίοις, παρ' ἡμῖν δὲ διὰ μιᾶς λέξεως οὐκ ἂν παρασταίη. βούλεται γὰρ ἡ ἑβραϊκὴ λέξις, ἡ τοῦ ἐπεφέρετο, σημαίνειν, ὅτι καθάπερ ὄρνις ὠὰ θάλπει ταῖς πτέρυξιν ἁπαλῶς ἐφαπτομένη εἰς τὸ ζωογονεῖν, οὕτω καὶ τὸ πνεῦμα ἐπεφέρετο τοῖς ὕδασι ζωοθαλποῦν. εἰ δέ τις ἄνεμον βούλοιτο λέγειν τὸ πνεῦμα, οὐχ ἁμαρτήσεται. συγγενὴς γὰρ τῶν ὑδάτων ὁ ἄνεμος, ἐκεῖθέν τε τὴν γένεσιν ἔχων καὶ τῇ φορᾷ κινῶν, καὶ διαμείβων τῶν ὑδάτων τὴν φύσιν. Θεοῦ δὲ λέγοιτο, ὡς ἔργον Θεοῦ. ἀλλ' ἐπειδὴ μέγα αὐτοῖς ἐδόκει διδόναι τὸ θάλπειν καὶ ζωογονεῖν τὸ ὕδωρ, Θεοῦ προσέθηκεν· ἵνα τὴν τοῦ γενομένου αἰτίαν τῷ τῶν ὅλων ποιητῇ ἐπιγράψῃ. εἴτε τὸν παράκλητον, τὸ ἅγιον πνεῦμα δοίη τις εἶναι τὸ ὑπὸ Μωσέως εἰρημένον, οὐκ ἀποσφαλήσεται. κοσμητικὸν γὰρ τῶν ὄντων τὸ πνεῦμα. εἰ δὲ πνεῦμα Θεοῦ καὶ τὴν ἐνέργειαν λέγει· λέγεται γὰρ πνεῦμα καὶ ἡ ἐνέργεια· οὐκ ἔστι ἀπόβλητον. καὶ γὰρ ὁ Θεὸς τῷ Μωσεῖ προστάσσει, ἐκλέξασθαι πρεσβυτέρους ἑβδομήκοντα, τοῦ μωσαϊκοῦ πνεύματος μέρος ὑποσχόμενος αὐτοῖς μεταδώσειν· ὃ ἦν ἡ χάρις.

ΓΕΝΝΑΔΙΟΥ. Τοῦτο τινὲς τῶν προερμηνευσάντων περὶ τοῦ ἁγίου πνεύματος ἐξειλήφασι, διὰ τὸ προσκεῖσθαι τοῦ Θεοῦ, σκοπῷ μὲν εὐσεβεῖ καὶ ὀρθοδόξῳ χρησάμενοι· πρὸς γὰρ ἀπόδειξιν τοῦ καὶ αὐτὸ δημιουργὸν εἶναι τῆς κτίσεως πεποιήκασιν· ὅμως οὐκ ἀκριβὴς, οὐδὲ ἀναντίῤῥητος ὁ λόγος, πρῶτον μὲν γὰρ, εἰ διὰ τοῦ Θεοῦ, πνεῦμα
Ψαλ. 147. 18. σημαίνει τὸ ἅγιον, τί κωλύει, καὶ τὸ,
» πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται
» ὕδατα, κατὰ τὴν ὁμοίαν ἔννοιαν, οὐ περὶ τοῦ ἀέρος, ἀλλὰ περὶ τοῦ ἁγίου πνεύματος ἐκλαβεῖν; ἔπειτα ἡ τοῦ ἐπεφέρετο λέξις ἄντικρυς ἐλέγχει τοῦ λεγομένου τὸ ἄτοπον. τοῦτο γὰρ οὐδ' ἂν περὶ κτιστοῦ ζώου τὶς εἴποι ποτὲ κατὰ προαίρεσιν κινουμένου, μήτιγε δὴ περὶ τῆς ἀκτίστου, καὶ μακαρίας τοῦ ἁγίου πνεύματος ὑποστάσεως. αὐτὸς γοῦν οὗτος Μωσῆς ὁ μακάριος, ἐπὶ μὲν τῆς κιβωτοῦ κέχρηται τῇ αὐτῇ ταύτῃ φωνῇ, λέγων αὐτὴν τοῖς ὕδασιν ἐπιφέρεσθαι, ἐπὶ ζώου δὲ οὐδενός· καίτοι πολλῶν καὶ ἀπείρων ἐννηχομένων, καὶ ἐπινηχομένων αὐτοῖς. πρὸς δὲ τούτοις αὐτὸς ὁ τῆς διηγήσεως εἱρμὸς, τὸν ἀέρα σημαίνει. ὀνομάσει γὰρ τὸν ποιητὴν ὁ συγγραφεὺς ἡμῖν προεκθέμενος, ἑξῆς περὶ τῶν ποιηθέντων εἰκότως διέξεισι.

ΑΔΗΛΟΥ. Ζωογονεῖ γὰρ πάντα τὸ τοῦ Θεοῦ πνεῦμα, ζωὴ καὶ αὐτὸ κατὰ φύσιν ὑπάρχον, ὡς ἐκ ζωῆς τοῦ πατρός.

ΚΥΡΙΛΛΟΥ. Αἰνίττεται εὐθὺς ἀπὸ καταβολῆς κόσμου τὴν χάριν τοῦ ἁγίου βαπτίσματος.

γ. Καὶ εἶπεν ὁ Θεὸς, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς.

A ΘΕΟΔΩΡΙΤΟΥ. Τίνι λέγει ὁ Θεὸς γενηθήτω φῶς, καὶ γενηθήτω στερέωμα; Οὐκ ἄλλῳ τινὶ κελεύει δημιουργεῖν. ἀλλὰ τὰ μὴ ὄντα καλεῖ. ἐνταῦθα δὲ πρόσταγμα
» τὸ βούλημα. πάντα γάρ φησιν ὅσα ἠθέ- Ψαλ. 134. 6.
» λησεν ὁ Θεὸς ἐποίησεν. εἰ δὲ καὶ φωνῇ τινὶ δημιουργῶν ἐχρήσατο, δῆλον, ὡς οὐ τῶν ἀψύχων ἕνεκα στοιχείων, ἀλλὰ τῶν ἀοράτων χάριν δυνάμεων· ἵνα γνῶσιν, ὡς αὐτοῦ κελεύοντος, τὰ μὴ ὄντα συνίστανται.

B ΒΑΣΙΛΕΙΟΥ. Ὅταν φωνὴν ἐπὶ Θεοῦ, ῥῆμα, καὶ πρόσταγμα ἀκούωμεν, (1) διὰ τὸ τοῖς διδασκομένοις εὐσύνοπτον ἡγούμεθα ἐν εἴδει προστάγματος σχηματίζεσθαι.

ΤΟΥ ΑΥΤΟΥ. Τὸν Θεὸν προστάσσοντα καὶ διαλεγόμενον εἰσάγουσα ἡ γραφὴ, τὸν ᾧ προστάσσει, καὶ ᾧ διαλέγεται, κατὰ τὸ σιωπώμενον ὑποφαίνει, ὁδῷ τινὶ καὶ τάξει ἡμᾶς εἰς τὴν περὶ τοῦ μονογενοῦς ἔννοιαν προβιβάζουσα.
Γ

ΑΛΛΩΣ. Προφορικὸν Θεοῦ διατυποῖ λόγον, οὐ προφορικοῦ δύναμιν ἔχοντα, ἀλλ' ὡς ἄλλως δι' ἡμῶν νοεῖσθαι μὴ δυνάμενον, ἢ τύπῳ προφορικοῦ ὄντα. ὁ δέ ἐστι Θεοῦ βουλῆς ἀποκάλυψις ἀφανής.

δ. Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν.

Δ ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τέθεικεν ὁ συγγραφεὺς τὸ εἶδεν ὁ Θεὸς ὅτι καλόν; Ἵνα πείσῃ τοὺς ἀχαρίστους μὴ ψέγειν ἅπερ ἡ θεία ψῆφος ὀνομάζει καλά.

Καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους.

ΑΔΗΛΟΥ. Τὸ διεχώρισε, τῷ δρόμῳ νόει, μὴ τόπῳ.

E ** ΒΑΣΙΛΕΙΟΥ. Τοῦτο τοίνυν ἐστὶ τὸ
» εἰρημένον, ὅτι διεχώρισεν ὁ Θεὸς ἀνὰ μέ-
» σον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους· ἐπειδὴ τὸ σκότος φεύγει τοῦ φωτὸς τὰς ἐπιδρομὰς, ἐν τῇ πρώτῃ δημιουργίᾳ φυσικῆς αὐτοῖς τῆς ἀλλοτριώσεως κατασκευασθείσης πρὸς ἄλληλα.

ΑΛΛΩΣ. Τὸ μέσον λέγει τῶν δώδεκα ὡρῶν τῆς ἡμέρας καὶ τῆς νυκτός. ὃ ἔτι διαφόρως πληροῖ ἡ χρονικὴ κίνησις.

Z ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι διεχώρισεν; Ἑκάστῳ ἰδίαν χώραν ἀπένειμε, κατάλληλον καιρὸν ἀφώρισε. καὶ ἐπειδὴ τοῦτο γέγονε, τότε λοιπὸν ἑκάστῳ τὴν προσηγορίαν ἐπιτίθησιν. ἐκάλεσε γάρ φησιν
» ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος
» ἐκάλεσε νύκτα.

ΑΛΛΩΣ. Ὥσπερ τὸ ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, οὐ δηλοῖ τινὰ ὑπόστασιν διὰ μέσου, H οὕτως οὐδὲ ὧδε. ἀλλὰ τὸ μέσον δηλοῖ τὴν τοῦ φωτὸς ἐπίλαμψιν, ἢ ἀναχώρησιν.

ΑΔΗΛΟΥ.

(1) Καὶ πρόσταγμα λέγομεν, οὐ διὰ φωνητικῶν ὀργάνων ἐκπεμπόμενον ψόφον, οὐδὲ ἀέρα διὰ γλώσσης τυπούμενον τὸν θεῖον λόγον νοοῦμεν, ἀλλὰ τὴν ἐν τῷ θελήματι ῥοπὴν, διὰ τὸ τοῖς κτ. ἔκδ. Παρισ.

ΑΔΗΛΟΥ. Οὐκ ἠκολούθει γὰρ παντελῶς μὴ εἶναι σκότος. ἐπιτηδεία γὰρ ἡ νὺξ ἀνθρώποις τε καὶ ζώοις. τοῖς μὲν, εἰς
Ψαλ. 103. 20. ἀνάπαυσιν· τοῖς δὲ, εἰς νομήν. ἐν αὐτῇ
„ γάρ φησιν ὁ Δαβὶδ ἐξελεύσεται πάντα
„ τὰ θηρία τοῦ δρυμοῦ.

ε. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα.

ΣΕΥΗΡΟΥ. Ἡμέραν ἐκάλεσεν, ἐπειδὴ πᾶν τὸ φῶς ἱλαρὸν ἥμερον λέγεται. (1) διὸ καὶ τὴν φιλανθρωπίαν ἡμερότητα καλοῦμεν, καὶ τὰ χειροήθη θηρία ἥμερα. νὺξ δὲ καλεῖται, ἐπειδὴ νύττει τὸν ἄνθρωπον καὶ καθεύδοντα, μονονουχὶ λέγουσα· μάθε ἄνθρωπε, ὡς θνητὸς ὤν, ὕπνῳ δουλεύεις. καὶ τί φαντάζῃ τὰ ὑπὲρ σέ; ἡ γὰρ νὺξ
Ψαλ. 4. 4. κατανυγή ἐστιν, ὅθεν καὶ Δαβὶδ, ἃ λέγε-
„ τε, φησὶν, ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ
„ ταῖς κοίταις ὑμῶν κατανύγητε.

Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα μία.

ΙΠΠΟΛΥΤΟΥ. Οὐκ εἶπε νυχθήμερον, ἀλλ' ἡμέρα μία, εἰς τὴν τοῦ φωτὸς προσηγορίαν καταλήξας τοῦ ὑφεστῶτος, καὶ συνεσιγμένου. οὐκ εἶπεν ἡμέρα πρώτη. εἰ γὰρ πρώτην ἡμέραν εἶπεν, ἀνάγκην εἶχεν εἰπεῖν καὶ δευτέραν γινομένην. ἀλλ' ἔδει μὴ πρώτην λέγειν, ἀλλὰ μίαν· ἵνα διὰ τοῦ μίαν εἰπεῖν ταύτην, δείξῃ κυκλουμένην καὶ ἑβδομάδα διατελοῦσαν, μίαν δὲ ὑπάρχουσαν.

ΣΕΥΗΡΟΥ. Τῇ μὲν πρώτῃ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς ὅσα ἐποίησεν ἐκ μὴ ὄντων· ταῖς δὲ ἄλλαις, οὐκ ἐκ μὴ ὄντων. ἀλλ' ἐξ ὧν ἐποίησε τῇ πρώτῃ ἡμέρᾳ μετέβαλεν, ὡς ἤθελεν. (2)

ς. Καὶ εἶπεν ὁ Θεὸς, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος· καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο οὕτω.

ΑΚΑΚΙΟΥ. Μήποτε στερέωμα ὠνομάσθη οὗτος ὁ οὐρανὸς πρὸς ἀντιδιαστολὴν τοῦ προτέρου οὐρανοῦ, καὶ τοῦ ὕδατος; εἰκὸς γὰρ τὸν πρότερον, λεπτομελέστερον σῶμα τυγχάνειν, καὶ εἰλικρινέστερον. καὶ τὸ ὕδωρ δὲ ὁμοίως συγκρινόμενον τῷ στερεώματι μανόν τε καὶ μαλακὸν ὑπάρχει. οὐ μόνον δὲ
Ψαλ. 135. 6. ὁ οὐρανὸς στερέωμα ὠνόμασται, ἀλλὰ καὶ ἡ
„ γῆ. τῷ στερεώσαντι γάρ φησι τὴν γῆν
ἐπὶ τῶν ὑδάτων. ἐν Ἡσαΐᾳ δὲ, Κύριος
Ἡσ. 42. 5. ὁ ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτὸν, ὁ
„ στερεώσας τὴν γῆν. καλεῖται δὲ τοῦτο τὸ εἶδος τῶν ὀνομάτων φερώνυμον, ἢ ἐπίθετον. δοκεῖ δὲ τοιαύτην εἰκόνα τὴν ἀπ' ἀρχῆς τοῦ κόσμου ὑποφαίνειν ἡ γραφή. οἷον, ὡς ἐπὶ δεξαμενῆς ὕδατος, ὁ μὲν ἀὴρ ἐπι-

A συνημμένος τῇ ἐπιφανείᾳ τοῦ ὕδατος συνορᾶσθαι ποιεῖ, ἕως μένει τὸ τῆς δεξαμενῆς διαφανὲς ἐπίπεδον. τὸ δὲ στερέωμα, εἴτις ἐκπετάσειεν ἱμάτιον ἀκριβῶς ἄνωθεν καθειμένον, οὐκ ἐᾷ φανῆναι, μέχρις ἂν, ἀπολυθέντος τοῦ ὕδατος τοῦ ὑποκάτω τοῦ ἱματίου, ὀφθῇ διαφανὲς τὸ τῆς δεξαμενῆς ἐπίπεδον. Πρὸς τούτοις διαληπτέον περὶ σχήματος οὐρανοῦ καὶ γῆς, καὶ παραθετέον τὰς τῶν φυσικῶν δόξας, εἶτα καὶ ἐκ
B τῶν θείων γραφῶν. πρῶτον μὲν περὶ οὐρανοῦ, ὅτι μὴ σφαιροειδὴς τυγχάνει, ἀλλ' ἡμισφαιρίῳ μᾶλλον ἐοικώς. ὡς ἐν Ἡσαΐᾳ
„ δηλοῖ λέγοντι, ὁ στήσας ὡσεὶ καμάραν τὸν
„ οὐρανὸν, καὶ διατείνας αὐτὸν ὡς σκηνήν.
καὶ πάλιν ἐν τῇ κατὰ Βαβυλῶνος ὁράσει
„ φησί· Κύριος Σαβαὼθ ἐντέταλται ἔθνει
„ ὁπλομάχῳ, ἔρχεσθαι ἐκ γῆς πόῤῥωθεν
„ ἀπ' ἄκρου θεμελίου τοῦ οὐρανοῦ. καὶ ἐν ψαλ-
„ μοῖς· ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ,
Γ „ καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρα-
„ νοῦ. καὶ ὁ Σωτήρ φησιν· ἀπ' ἄκρων οὐρα-
„ νῶν, ἕως ἄκρων αὐτῶν. καὶ δοκεῖ ταῦτα μὴ ἁρμόζειν ἐπὶ σφαίρας ἄκρα καὶ μέσα. καὶ τάχα ὥσπερ ἄπειρος ἡ τοῦ κύκλου γραμμὴ τυγχάνει κατὰ Πλάτωνα, οὕτω καὶ ἡ τῆς σφαίρας ἐπιφάνεια. ὁ δὲ Ὠριγένης σφαιροειδῆ τὸν οὐρανὸν εἶναι κατασκευάζει ἐν ὁμιλίᾳ τοῦ λα. λόγου, καὶ μδ. καὶ ριη,
„ καὶ ρς. εἰς τὸ, φωνὴ τῆς βροντῆς σου ἐν
Δ τῷ τροχῷ. βούλεται γὰρ τροχὸν εἶναι τὴν φορὰν τοῦ παντὸς, τουτέστι τὴν σφαῖραν. τὰ δὲ περὶ τῆς γῆς φέρονται ἐν τοῖς τελευταίοις τῆς προπαρασκευῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἷς ὁ οὐρανὸς, ἢ δύω εἰσί; Τῆς θείας διδασκούσης γραφῆς, ὡς
„ ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. εἶτα μετὰ τὴν τοῦ φωτὸς δημιουργίαν ἐν τῇ δευτέρᾳ λεγούσης ἡμέρᾳ τὸ στε-
E ρέωμα γεγενῆσθαι. πολλὴν ἡ ἐρώτησις τῶν πυνθανομένων ἐμφαίνει τὴν ἄνοιαν. ἔδει γὰρ καὶ ἐκ τοῦ καιροῦ, καὶ μέντοι, καὶ ἐκ τοῦ τρόπου τῆς δημιουργίας τὸ διάφορον γνῶναι. ὁ μὲν γὰρ, πρὸ τοῦ φωτός· ὁ δὲ, μετὰ τὸ φῶς. καὶ ὁ μὲν, οὐκ ἔκ τινος· ὁ δὲ,
„ ἐξ ὑδάτων. γενηθήτω γάρ φησι στερέωμα
„ ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον
„ ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. εἶτα εἰπὼν, ὡς ὁ λόγος ἔργον ἐγένετο· τοῦτο γὰρ δηλοῖ
Z. καὶ ἐγένετο οὕτω· διδάσκει καὶ πῶς ἐγένε-
„ το. ἐποίησε γάρ φησιν ὁ Θεὸς τὸ στερέω-
„ μα, καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ
„ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος,
„ καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στε-
„ ρεώματος, καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέω-
„ μα, οὐρανόν. ὁ δὲ πρῶτος οὐρανὸς οὐκ ἐκλήθη στερέωμα, ἀλλ' οὐρανὸς ἐξ ἀρχῆς ὠνομάσθη. οὗτος γὰρ ἐξ αὐτοῦ τοῦ πράγματος τὴν προσηγορίαν ἀνεδέξατο. ἐπειδὴ γὰρ
H ἐκ τῆς ῥοώδους τῶν ὑδάτων οὐσίας συνέστη, καὶ

(1) Διατί δὲ ἡμέραν καλεῖ; ἐπειδὴ πᾶν φαιδρὸν καὶ ἱλαρὸν ἥμερον λέγεται. διὰ τοῦτο καὶ τὴν φιλανθρωπίαν κτ. ἐν Τόμ. 6. τῶν τοῦ Χρυσοσ. σελ. 443. τῆς κατὰ τὸ Παρίσ. ἐκδόσ.

(2) Τὰ αὐτὰ καὶ Ἱππόλυτος ἐν τεύχει 2. σελ. 22. τῆς κατὰ τὸ Ἀμβούργ. ἐκδόσ.

καὶ ἡ ῥυτὴ φύσις στεγανωτάτη γέγονε καὶ
στερέμνιος, προσηγορεύθη στερέωμα. εἶτα
ὡς ἄνωθεν ἐπικείμενος, καὶ τοῦ προτέρου
οὐρανοῦ τὴν χρείαν ἡμῖν πληρῶν, οὐρανὸς
προσωνομάσθη. διχῆ δὲ διεῖλε τῶν ὑδάτων
τὴν φύσιν ὁ τῶν ὅλων Θεὸς, καὶ τὰ μὲν
ἄνωθεν ἐπιτέθεικε τῷ στερεώματι, τὰ δὲ
κάτω καταλέλοιπεν. ἵνα τὰ μὲν ἄνωθεν
ἐπικείμενα τῇ τε ὑγρότητι καὶ ψυχρότη-
τι μὴ συγχωρῇ τῷ πυρὶ τῶν φωστήρων λω-
βᾶσθαι τὸ στερέωμα· τὰ δὲ κάτω μεμενη-
κότα, διατρέφῃ τοῖς ἀτμοῖς τὸν ἀέρα διαυ-
αινόμενον, καὶ ξηραινόμενον ὑπὸ τοῦ ἄνω-
θεν ἐπικειμένου πυρός. τοιγαροῦν καὶ ὁ τῷ
δευτέρῳ διαπιστῶν οὐρανῷ, ἔξω βαίνει τῆς
εὐθείας ὁδοῦ, καὶ ὁ πλείους πειρώμενος ἀριθ-
μεῖν, μύθοις ἕπεται, τῆς τοῦ θείου πνεύ-
ματος διδασκαλίας καταφρονῶν. πληθυν-
Ψαλ. 148. 4. τικῶς δὲ τοὺς οὐρανοὺς ἡ θεία γραφὴ ὀνομά-
» ζει, λέγουσα, οἱ οὐρανοὶ τῶν οὐρανῶν, ἐπει-
δὴ τῶν Ἑβραίων ἡ γλῶττα οὔτε τὸν οὐρανὸν,
οὔτε τὸ ὕδωρ οἶδεν ἑνικῶς ὀνομάσαι. εὕροι
δ' ἄν τις τοιαῦτα πολλὰ καὶ παρὰ τῇ ἑλλά-
δι φωνῇ. Ἀθήνας γὰρ τὴν πόλιν οὐδεὶς ἑνι-
κῶς ὀνομάζει, ἀλλ' Ἀθήνας πληθυντικῶς.
καὶ Δελφῶν πάλιν τὴν πόλιν οὐδεὶς καλεῖ
Δελφὸν, ἀλλὰ Δελφοὺς πληθυντικῶς. οὐ
τοίνυν ὡς πολλῶν ὄντων οὐρανῶν ἡ θεία πλη-
θυντικῶς εἶπε γραφὴ, ἀλλὰ τὸ ἰδίωμα φυ-
λάξασα τῆς ἑβραΐδος φωνῆς. ἐπεὶ ἐν ἑτέ-
ρῳ ψαλμῷ σαφέστερον ἡμᾶς διδάσκει λέ-
γουσα, (1) καὶ παραλιποῦσα τὸ τῆς γλώτ-
Ψαλ. 113. 16. της ἐκείνης ἰδίωμα, οὕτως ἔφη· ὁ οὐρανὸς
» τοῦ οὐρανοῦ τῷ Κυρίῳ. ὡς εἶναι δῆλον, ὅτι
καθάπερ οὗτος ὁ οὐρανὸς ἡμῖν ἐστὶν ὄροφος,
ἡ δὲ γῆ ἔδαφος, οὕτως ὁ ὁρώμενος οὐρανὸς
ὄροφον ἔχει τὸν ὑπερκείμενον οὐρανόν.

ΒΑΣΙΛΕΙΟΥ. Δεῖ ἐξετάσαι, εἰ ἕτερον
παρὰ τὸν ἐν ἀρχῇ πεποιημένον οὐρανὸν τὸ
στερέωμα τοῦτο, ὃ καὶ αὐτὸ ἐπεκλήθη οὐρα-
νὸς, καὶ εἰ ὅλως οὐρανοὶ δύο. ὅπερ οἱ τὰ
περὶ οὐρανοῦ φιλοσοφήσαντες ἕλοιντο ἂν
μᾶλλον τὰς γλώσσας προέσθαι, ἢ ὡς ἀλη-
θὲς παραδέξασθαι. ἕνα γὰρ ὑποτίθενται
οὐρανόν. ἡμεῖς δὲ τοσοῦτον ἀπέχομεν τῷ
δευτέρῳ ἀπιστεῖν, ὅτι καὶ τὸν τρίτον ἐπι-
ζητοῦμεν, οὗ τῆς θέας ὁ μακάριος Παῦλος
» ἠξιώθη. ὁ δὲ ψαλμὸς ὀνομάζων οὐρανοὺς
οὐρανῶν, καὶ πλειόνων ἔννοιαν ἐποίησε.
Καὶ μετ' ὀλίγα. Οἱ μὲν οὖν ἔξωθεν, στερεὸν λέ-
γουσι σῶμα τὸ οἷον ναστὸν, καὶ πλῆρες, ὃ
πρὸς ἀντιδιαστολὴν τοῦ μαθηματικοῦ λέγε-
ται. ἔστι δὲ τὸ μαθηματικὸν ἐν μόναις ταῖς
διαστάσεσι τὸ εἶναι ἔχον, ἐν τῷ πλάτει,
λέγω, καὶ τῷ βάθει, καὶ τῷ ὕψει. τὸ δὲ
στερεὸν, ὃ πρὸς τοῖς διαστήμασι καὶ τὴν ἀν-
τιτυπίαν ἔχει. τῇ δὲ γραφῇ σύνηθες τὸ
κραταιὸν καὶ ἀνένδοτον, στερέωμα λέγειν.
ὡς καὶ ἐπὶ ἀέρος καταπυκνωθέντος τῇ
Ἀμ. 4. 13. φωνῇ ταύτῃ πολλάκις κέχρηται, ὡς ὅταν
» λέγῃ· ὁ στερεῶν βροντήν. τὴν γὰρ στερεό-
τητα καὶ ἀντιτυπίαν τοῦ πνεύματος τοῦ ἐνα-

A πολαμβανομένου ταῖς κοιλότησι τῶν νεφῶν,
καὶ διὰ τὸ βιαίως ἐκρήγνυσθαι τοὺς κατὰ
τὰς βροντὰς ἀποτελοῦντος ψόφους, στερέω-
σιν βροντῆς ἡ γραφὴ προσηγόρευσε. καὶ
νῦν τοίνυν ἡγούμεθα ἐπί τινος στεῤῥᾶς φύ-
σεως στέγειν τοῦ ὕδατος τὸ ὀλισθηρὸν καὶ εὐ-
διάλυτον ἐξαρκούσης, τὴν φωνὴν ταύτην
τετάχθαι. καὶ οὐ δήπου, ἐπειδὴ κατὰ τὴν
κοινὴν ἐκδοχὴν ἐκ τοῦ ὕδατος δοκεῖ τὴν γέ-
νεσιν ἐσχηκέναι, ἢ ὕδατι πεπηγότι ἐμφερὲς
B εἶναι προσήκει νομίζειν, ἤ τινι τοιαύτῃ ὕλῃ
ἐκ τῆς τοῦ ὑγροῦ διηθήσεως τὴν ἀρχὴν
λαμβανούσῃ, ὁποία ἐστὶν ἡ τοῦ κρυστάλλου λί-
θου, ὃν δι' ὑπερβάλλουσαν τοῦ ὕδατος πῆξιν
μεταποιεῖσθαί φασιν, ἢ ἡ τοῦ σπέκλου φύσις
ἐν μετάλλοις συνισταμένη. οὐδενὶ οὖν τούτων
εἰκάζομεν τὸ στερέωμα. παιδικῆς γὰρ τῷ
ὄντι καὶ ἁπλῆς διανοίας τοιαύτας ἔχειν
περὶ τῶν οὐρανίων τὰς ὑπολήψεις.

Γ ΣΕΥΗΡΟΥ. Τὸν οὐρανὸν τοῦτον, οὐ τὸν
ἐπάνω, ἀλλὰ τὸν ὁρώμενον ἐξ ὑδάτων
ἐποίησεν ὁ Θεὸς, πήξας ὡς κρύσταλλον.
βλέπε δύναμιν ἔργων, ἵνα θαυμάσῃς τὸν
δημιουργόν. βούλομαί σοι παραστῆσαι πρᾶγ-
μα. πολλὰ γὰρ ὄψει μᾶλλον, ἢ λόγοις
παραδίδοται. τοῦτο τὸ ὕδωρ ὑπερεῖχε φέ-
ρε εἰπεῖν τῆς γῆς πήχεις τριάκοντα. ὡς
» ἐν εἰκόνι λέγω. εἶπεν ὁ Θεὸς γενηθήτω
» στερέωμα ἐν μέσῳ τοῦ ὕδατος. εἶτα ἐν μέσῳ
Δ τῶν ὑδάτων ἐπάγη πῆγμα κρυσταλλῶδες,
οὐρανός. ἐκούφισε τὸ ἥμισυ τοῦ ὕδατος ἄνω,
καὶ κατέλιπε τὸ ἥμισυ κάτω. ἐποίησεν οὖν
τὸν οὐρανὸν, οὐ σφαῖραν ὡς μυθολογοῦσιν οἱ
ματαιολόγοι, ἀλλ' ὡς φησὶν ὁ Προφήτης·
» ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν, καὶ Ἡσ. 40. 22.
» διατείνας αὐτὸν ὡς σκηνήν. οὐ δεῖ οὖν ἡμᾶς
πείθεσθαι ματαιολογίαις. οἱ Προφῆται
λέγουσιν, ἀρχὴν ἔχει καὶ τέλος ὁ οὐρανός.
διὰ τοῦτο καὶ ὁ ἥλιος οὐκ ἀναβαίνει, ἀλλ'
E ἐξέρχεται. λέγει γὰρ ἡ γραφὴ, ὁ ἥλιος
» ἐξῆλθεν ἐπὶ τὴν γῆν, οὐκ ἀνῆλθε· καὶ πά- Γεν. 19. 23.
» λιν, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, Ψαλ. 18. 6.
οὐχ ἡ ἄνοδος. εἰ σφαῖρά ἐστιν, ἄκρον οὐκ ἔχει.
τὸ γὰρ πανταχόθεν περιφερὲς ποῦ ἔχει
» τὸ ἄκρον; τὸ αὐτὸ λέγει καὶ ὁ Σωτήρ· καὶ Ματθ. 24. 31.
» συνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἀπ' ἄκρου τοῦ
» οὐρανοῦ, ἕως ἄκρου τοῦ οὐρανοῦ.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Ποῦ εἰσὶν οἱ δονεῖ-
σθαι λέγοντες τὸν οὐρανόν; ποῦ εἰσὶν οἱ
Z σφαιροειδῆ εἶναι αὐτὸν ἀποφαινόμενοι; ἀμ-
φότερα γὰρ ταῦτα ἐνταῦθα ἀνῄρηται.

ΓΕΝΝΑΔΙΟΥ. Δυνάμενος ὁ Θεὸς ὑφ'
ἑνὶ συνθήματι τὴν σύμπασαν αὐτοτελῆ
φύσιν παραγαγεῖν, καὶ οὐδὲν αὐτὸς πρὸς
τοῦτο χρόνου δεόμενος, οὐδὲ ἡμερῶν, ἐν ἕξ
αὐτὴν ὅμως ἡμέραις ποιεῖ, τῇ κατὰ μέρος
ἐν τάξει δημιουργίᾳ γνωρίζων τοῖς λογικοῖς,
ὡς ἔφαμεν, ἑαυτόν. μετὰ τὰς πρώτας τοί-
H νυν οὐσίας τὴν φωτὸς φύσιν ἐξ οὐκ ὄντων
ὑποστήσας, ἐδίδαξεν αὐτοὺς ἱκανῶς, ὅτι τὰ
μὴ ὄντα ποιεῖν ἐστὶ δυνατός. ἐπεὶ δὲ ἔδει

 μαθεῖν

(1) Διδάσκουσα, καὶ παραλιποῦσα κτ. ἡ ἐν χάλη ἔκδοσ.

μαθεῖν αὐτοὺς, ὅτι καὶ τῶν τοῦ φωτὸς προϋπαρχόντων αὐτός ἐστιν ὁ ποιητὴς, καὶ σὺν αὐτοῖς ἐξ οὐκ ὄντων κἀκεῖνα ἐποίησε, τὸ μὲν κατ᾽ αὐτοὺς, ὑπερτίθεται τέως ἐπὶ τῆς τοῦ ἀνθρώπου τηρῶν διαπλάσεως, (τότε γὰρ ψυχὴν ἐξ οὐκ ὄντων ἐδημιούργησε, συγγενῆ τοῖς νοητοῖς κατ᾽ οὐσίαν.) ἐκ τῶν ὄντων δὲ νῦν ὑδάτων ἤδη γενέσθαι προστάττει στερέωμα τῷ προγεγονότι παραπλήσιον οὐρανῷ. διὰ τούτου παιδεύων αὐτοὺς, ὅτι τοῦ οὐρανοῦ, καὶ τῶν ὑδάτων αὐτός ἐστι ποιητής. τοῦ μὲν, ὡς ποιήσας ἕτερον κατ᾽ αὐτόν· τῶν δὲ, ὡς ἐξ αὐτῶν δημιουργήσας πρὸς ἐξουσίαν ὅπερ ἠθέλησε. καθ᾽ ἕνα μέντοι τοῦτον λόγον οὕτως ἡ τοῦ οὐρανοῦ τούτου ποίησις ἀναγκαία, ἔπειτα καὶ καθ᾽ ἕτερον. οὐ γὰρ ἦν οἷόν τε φανῆναι τὴν γῆν, ὑδάτων ἐπικλυζομένην πλήθει τοσούτων. νῦν δὲ ἐν αὐτοῖς μέσοις παγέντος τοῦ στερεώματος, καὶ μετεωρισθέντων μὲν τῶν ἡμίσεων ὑπὲρ τοῦτο, τῶν δὲ ἡμίσεων εἰς τὰς συναγωγὰς συλλεγέντων, ηὐτρεπίσθη πρὸς τὴν ἁρμόζουσαν χρείαν τοῖς ἐπ᾽ αὐτῆς, καὶ πάντα τὸν νῦν αὐτῇ προσόντα κόσμον ἀπέλαβεν. ἀλλὰ καὶ κατὰ τοῦτο ἀναγκαίως αὐτότε τὸ στερέωμα γέγονε, καὶ ἐπὶ τούτου ἡ τῶν ὑδάτων ἀφαίρεσις. τὸ στερέωμα μὲν, διὰ τὸ μέλλειν ἐπ᾽ αὐτοῦ τὸν ἥλιον σὺν τοῖς ἄστροις ἅπασι τίθεσθαι. ἡ δὲ ἐπὶ τοῦ στερεώματος τῶν ὑδάτων ἀφαίρεσις ἀναγκαία γέγονε. διὰ τοῦτο δὲ ἐν τοῖς ὕδασι τὸ στερέωμα τὴν σύστασιν ἔσχεν. ὡς γὰρ ἐκ τούτων γενόμενον, κρυσταλλῶδες εἰκότως ἐστί. γειτονευούσης δὲ αὐτῷ τῆς πυρώδους οὐσίας, ἔμελλεν εἰκότως ἐξ αὐτῆς θερμαίνεσθαι. ἵνα οὖν μὴ τοῦτο πάσχων ἀπείπῃ πρὸς τὴν στάσιν ποτὲ, ἀλλ᾽ ἀκάματον ὁμοίως καὶ ἀγήρω πάντοτε διαμένῃ, σοφῶς ὁ ἀριστοτέχνης Θεὸς τὴν ἀφαίρεσιν ἐπ᾽ αὐτοῦ τῶν ὑδάτων ἐμηχανήσατο· τῆς ἐκ τούτων ἐγγινομένης αὐτῷ καταψύξεως πρὸς τὴν ἐκ τῶν ἄστρων ἀντικαθισταμένης θερμότητα, καὶ διὰ τῆς ἰσοῤῥόπου τούτων μάχης φυλαττομένης ἐκείνῳ βεβαίου τῆς στάσεως. ἔτι πρὸς τούτοις ἡ ἀκριβὴς περὶ πάντων τοῦ Θεοῦ πρόγνωσις ἐπεδείκνυτο τῇ τε μετρίᾳ τῆς τῶν ὑδάτων φύσεως διαιρέσει, καὶ τῷ ἐξ ἀρχῆς τὴν ἐν Χριστῷ σωτηρίαν ἡμῶν προορίσασθαι, ἄνωθεν εὐθὺς εἰς δύο καταστάσεις τὴν κτίσιν διελομένου Θεοῦ, καὶ κατάλληλον εὐτρεπικότος ἑκάστῃ, καὶ ἐπιτήδειον τὴν καταγωγήν. τρεπτοῖς μὲν γὰρ οὖσιν ἔτι καὶ παθητοῖς, διὰ δὲ τοῦτο καὶ ὑπὸ νόμον, τὴν ἐπίγειον ταύτην οἴκησιν ἐδωρήσατο· μεθισταμένοις δὲ Χριστοῦ χάριτι πρὸς τελείαν καὶ παντελῶς ἀναμάρτητον, ἀναπετάσει τοὺς οὐρανοὺς, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς. στερέωμά γε μὴν ὡς ἐκ τῆς δημιουργίας προσεῖπεν αὐτὸν, ὅτι ἐξ ὑγρᾶς τε καὶ ῥεούσης φύσεως τῶν ὑδάτων, καὶ εὐδιαλύτου, στεῤῥὰν καὶ ἀδιάπλωτον τὴν πῆξιν ἐδέξατο.

ζ. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα· καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον A τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. καὶ ἐγένετο οὕτω.

ΒΑΣΙΛΕΙΟΥ. Τουτέστιν ἄμικτον αὐτῶν τὴν φύσιν κατ᾽ ἐναντίωσιν ἀντικειμένην ὁ Θεὸς κατεσκεύασε. πλείστῳ γὰρ τῷ μέσῳ διέστησεν αὐτὰ ἀπ᾽ ἀλλήλων, καὶ διώρισεν.

B ΙΠΠΟΛΥΤΟΥ. Τῆς τοῦ ὕδατος περισσείας ἐπιφερομένης εἰς τὸ πρόσωπον τῆς γῆς, διὸ καὶ ἀόρατος ἦν ἡ γῆ καὶ ἀκατασκεύαστος, ἡνίκα ἠθέλησεν ὁ πάντων δεσπότης ὁρατὸν τὸ ἀόρατον ποιῆσαι, τότε τὸ τρίτον μέρος τῶν ὑδάτων πήγνυσιν ἐν μέσῳ, τὸ τρίτον δὲ εἰς τὸ ἄνω ἐχώρισεν, ἀναλαμβάνων τῇ ἑαυτοῦ δυνάμει ἅμα τῷ στερεώματι, τὸ δὲ τρίτον εἰς τὸ κάτω κατέλιπε. πρὸς χρῆσιν καὶ ἀπόλαυσιν τοῖς Γ ἀνθρώποις.

η. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα, οὐρανόν.

ΒΑΣΙΛΕΙΟΥ. Ἐπειδὴ γὰρ αὐτὸν καθ᾽ ὁμοιότητα τοῦ πρώτου πεποίηκεν οὐρανοῦ, καὶ στερέωμα αὐτὸν προσεῖπεν, ὡς ἀπὸ χαύνης καὶ μαλακῆς καὶ ῥεούσης οὐσίας τῇ τοῦ πεποιηκότος συμπαγέντα βουλῇ, ἀναγκαίως ἐπήγαγεν· ὅτι ἐκάλεσε τὸ στερέωμα Δ οὐρανὸν, δεικνὺς ὅτι συμπήξας αὐτὸν, εἰς τοιαύτην κατέστησεν οὐσίαν, ἣν τῷ προτέρῳ ἐοικέναι κατὰ πάντα ἐποίει.

ΤΟΥ ΑΥΤΟΥ. Τοῦτο ἐκάλεσεν ὕστερον οὐρανὸν, ὅπερ κυρίως στερέωμα λέγεται. ἐπίκλην δὲ οὐρανὸς, ὅτι καὶ τὰ ὕδατα χωρίζει. ὡς τὰ μὲν αὐτῶν, ὑπ᾽ αὐτόν· τὰ δὲ, ὑπὲρ αὐτοῦ εἶναι.

ΣΕΥΗΡΟΥ. Καὶ ἐκάλεσέ φησι τὸ στε- E ρέωμα οὐρανὸν, τοῦτο τὸ ὁρώμενον. καὶ πῶς, φησὶ, τινὲς βούλονται λέγειν πολλοὺς οὐρανοὺς γεγενῆσθαι; Οὐκ ἀπὸ τῆς θείας γραφῆς ταῦτα διδασκόμενοι, ἀλλ᾽ ἐξ οἰκείων λογισμῶν ὁρμώμενοι. ὁ γὰρ μακάριος Μωσῆς οὐδὲν τούτων πλέον ἡμᾶς διδάσκει. „ εἶπε γὰρ, ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς „ τὸν οὐρανὸν καὶ τὴν γῆν. εἶτα τὴν αἰτίαν διδάξας, δι᾽ ἣν ἀόρατος τυγχάνει ἡ γῆ, ὑπὸ τοῦ σκότους καὶ τῶν ὑδάτων καλυπτο- Z μένη, μετὰ τὴν τοῦ φωτὸς δημιουργίαν τάξει καὶ ἀκολουθίᾳ χρώμενος, φησί· καὶ εἶπεν „ ὁ Θεὸς, γενηθήτω στερέωμα. εἶτα τὴν χρείαν αὐτοῦ μετὰ ἀκριβείας διδάξας, καὶ εἰ- „ πὼν, ἔσω διαχωρίζον ἀνὰ μέσον ὕδατος „ καὶ ὕδατος, αὐτὸ τοῦτο τὸ στερέωμα οὐρανὸν ἐκάλεσε, τὸ τῶν ὑδάτων τὸν χωρισμὸν ἐργαζόμενον. τίς ἂν οὖν λοιπὸν μετὰ τὴν τοσαύτην διδασκαλίαν ἀνάσχοιτο τῶν ἐκ τῆς οἰκείας διανοίας φθεγγομένων, καὶ H ὑπεναντίως τῇ θείᾳ γραφῇ πολλοὺς οὐρανοὺς λέγειν ἐπιχειρούντων; ἀλλ᾽ ἰδοὺ φησὶν ὁ Δα- „ βὶδ λέγει, αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν. μὴ θορυβηθῇς ἀγαπητὲ, μηδὲ νομίσῃς τὴν θείαν γραφὴν ἐναντία ἑαυτῇ

λέγειν, ἀλλὰ μάνθανε τὴν ἀλήθειαν τῶν εἰρημένων. τί δέ ἐστιν ὃ βούλομαι εἰπεῖν; οὐ τῇ ἡμετέρᾳ γλώσσῃ, ἀλλὰ τῇ ἑβραΐδι ἦσαν εἰρημέναι αἱ θεῖαι γραφαί. Φασὶ τοίνυν οἱ τὴν γλῶτταν ἐκείνην ἠσκημένοι, τὸ τοῦ οὐρανοῦ ὄνομα πληθυντικῶς καλεῖσθαι παρὰ τῶν Ἑβραίων. καὶ τοῦτο καὶ οἱ τὴν Σύρων γλῶτταν ἐπιστάμενοι συνομολογοῦσι. καὶ οὐκ ἄντις εἴποι τῇ παρ' αὐτῶν γλώττῃ, ὁ οὐρανὸς, ἀλλ' οἱ οὐρανοί. οὐκ ἐπειδὴ πολλοί εἰσιν οἱ οὐρανοί· οὐδὲ γὰρ τοῦτο ἐδίδαξεν ἡμᾶς ὁ Μωσῆς· ἀλλ' ἐπειδὴ σύνηθες τῇ γλώττῃ τῶν Ἑβραίων τὴν τοῦ ἑνὸς προσηγορίαν πληθυντικῶς ὀνομάζειν. ταῦτα οὖν ἀκριβῶς κατέχετε παρακαλῶ, ἵνα ἐπιστομίζητε τοὺς τἀναντία τῇ Ἐκκλησίᾳ δόγματα ἐπιφέροντας. (1)

Καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν.

** ΒΑΣΙΛΕΙΟΥ. Οὐχὶ ὀφθαλμοῖς Θεοῦ τέρψιν παρέχει τὰ παρ' αὐτοῦ γινόμενα, οὐδὲ τοιαύτη παρ' αὐτῷ ἡ ἀποδοχὴ τῶν καλῶν, οἵα καὶ παρ' ἡμῖν. ἀλλὰ καλὸν τὸ τῷ λόγῳ τῆς τέχνης ἐκτελεσθὲν, καὶ πρὸς τὴν τοῦ τέλους εὐχρηστίαν συντεῖνον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅταν δὲ ἀκούσῃς, ὅτι εἶδεν ὁ Θεὸς, καὶ ἐπῄνεσε, θεοπρεπῶς νόει τὸ ῥηθὲν, καὶ ὡς εἰκὸς ἐπὶ Θεοῦ. ὁ γὰρ παραγαγὼν, καὶ πρὶν ἢ δημιουργήσῃ, ἠπίστατο τοῦ δημιουργουμένου τὸ κάλλος. ἀλλ' ἐπειδὴ ἀνθρώπους ἡμᾶς ὄντας, καὶ τοσαύτῃ ἀσθενείᾳ περιβεβλημένους οὐκ ἐνῆν ἑτέρως ἀκοῦσαι, διὰ τοῦτο παρεσκεύασε τοῦ μακαρίου Προφήτου τὴν γλῶτταν τῇ παχύτητι τούτων χρήσασθαι τῶν ῥημάτων πρὸς διδασκαλίαν τῆς τῶν ἀνθρώπων φύσεως.

Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα δευτέρα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες πῶς μετὰ ἀκριβείας ἡμᾶς διδάσκει, τὸ μὲν τέλος τοῦ φωτὸς ἑσπέραν καλῶν, τὸ δὲ τέλος τῆς νυκτὸς πρωΐαν, καὶ ἡμέραν τὸ πᾶν προσαγορεύεσθαι, ὥστε μὴ πλανᾶσθαι ἡμᾶς, μηδὲ νομίζειν τὴν ἑσπέραν τέλος εἶναι τῆς ἡμέρας, ἀλλ' εἰδέναι σαφῶς, ὅτι ἀμφοτέρων τὸ μῆκος μίαν ἡμέραν πληροῖ; καὶ ἡ μὲν ἑσπέρα, τέλος τοῦ φωτὸς ἂν δικαίως λέγοιτο· ὁ δὲ ὄρθρος, τελέσι τὸ τέλος τῆς νυκτὸς, πλήρωμα τῆς ἡμέρας. τοῦτο γὰρ βούλεται δηλοῦν ἡ θεία γραφὴ φάσκουσα·
„ καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ,
„ ἡμέρα δευτέρα.

ΑΔΗΛΟΥ. Εἰ ζητήσεις, πῶς πρὸ τοῦ γενέσθαι ἥλιον ἐγένετο νὺξ, ἢ ἡμέρα, λόγισαι τὸ παντοδύναμον τῆς σοφίας τοῦ Θεοῦ, καὶ εὑρήσεις περὶ τούτου αὐτοῦ τὸν

A„ προφήτην Ἀμὼς λέγοντα· ὁ ποιῶν πάντα Ἀμ. ε. 8
„ καὶ μετασκευάζων καὶ ἐκτρέπων εἰς πρωῒ
„ σκιὰν, καὶ ἡμέραν εἰς νύκτα συσκοτάζων.

θ. Καὶ εἶπεν ὁ Θεὸς, συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά· καὶ ἐγένετο οὕτω.

** ΒΑΣΙΛΕΙΟΥ. Μηδεὶς λεγέτω, ὅτι
B εἴπερ ἦν ὕδωρ ἐπάνω τῆς γῆς, πάντως πᾶσαι αἱ κοιλότητες, αἱ νῦν τὴν θάλασσαν ὑποδεξάμεναι, πεπληρωμέναι ὑπῆρχον· ποῦ τοίνυν ἔμελλον γίνεσθαι τῶν ὑδάτων αἱ συλλογαὶ, προκατειλημμένων τῶν κοίλων; πρὸς δὴ τοῦτο ἐροῦμεν, ὅτι τότε καὶ τὰ ἀγγεῖα συγκατεσκευάσθη, ὅτε ἔδει πρὸς μίαν σύστασιν ἀποκριθῆναι τὸ ὕδωρ.

** ΤΟΥ ΑΥΤΟΥ. Τὴν μεγίστην καὶ τελεωτάτην συνδρομὴν τῶν ὑδάτων ὠνό-
Γ μασε συναγωγὴν μίαν. καὶ γὰρ τὰ φρέατα συναγωγαὶ ὑδάτων εἰσὶ χειροποίητοι, ἐπὶ τὸ κοιλανθὲν τῆς γῆς τῆς ἐνεσπαρμένης νοτίδος ἐπιρρεούσης. οὐ τοίνυν τὰ τυχόντα τῶν ὑδάτων ἀθροίσματα ἡ τῆς συναγωγῆς ἐμφαίνει προσηγορία, ἀλλὰ τὴν ἐξέχουσαν καὶ μεγίστην, ἐν ᾗ πᾶν τὸ στοιχεῖον ἀθρόον διαδείκνυται.

ΣΕΥΗΡΙΑΝΟΥ. Εἶπεν ὁ Θεὸς συναχθήτω τὸ ὕδωρ. ποῦ οὖν συνήχθη; εἰς τὴν
Δ θάλασσαν; τί γάρ; οὐκ ἦν πεπληρωμένη; εἰ ἡ γῆ ἐπεπλήρωτο, πάντως ὅτι καὶ ἡ θάλασσα. ποῦ οὖν συνήχθη τὸ ὕδωρ; ὅτε τὴν γῆν ἐποίησεν ὁ Θεὸς, οὐδέπω ἦν τὰ κοιλώματα τῶν ὀρέων· ἀλλ' ἅμα εἶπε συναχθήτω, καὶ ἐῤῥάγη ἡ γῆ, καὶ κόλπους ἐποίησε. μαρτυροῦσιν (1) αἱ νῆσοι, καὶ τὰ ὄρη τὰ μεταξύ.

Καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκά-
E τω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε μίαν εἰπὼν τὴν τῶν ὑδάτων συναγωγὴν, πολλὰς μετὰ ταῦτα δηλοῖ; συναχθήτω γάρ φησι
„ τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συ-
„ ναγωγὰς αὐτῶν. Μία μέν ἐστιν ἡ τῶν ὑδάτων συναγωγή. τὰ πελάγη γὰρ ἀλλήλοις συνήρμοσαι. τὰ μὲν, κάτωθεν δι' ὑπο-
Z γείων πόρων· τὰ δὲ, καὶ κατ' αὐτὴν τὴν ἐπιφάνειαν. πληθυντικῶς δὲ πάλιν τὰς συναγωγὰς ὠνόμασεν· ἐπειδὴ ἄλλο μὲν τὸ ἰνδικὸν πέλαγος, ἄλλο δὲ τὸ ποντικὸν, καὶ τὸ τυῤῥηνικὸν ἕτερον. καὶ ἄλλη μὲν ἡ Προποντὶς, ἄλλος δὲ ὁ ἑλλήσποντος, καὶ ὁ αἰγαῖος ἕτερος, καὶ ἄλλος πάλιν ὁ ἰώνιος κόλπος. ἔξωθεν δὲ πάλιν ἐπίκειται τὸ μέγιστον πέλαγος. ὃ τινὲς μὲν ἀτλαντικὸν, τινὲς δὲ Ὠκεανὸν ὀνομάζουσι. τούτου

C 3 χάριν

(1) Τοῦτο οὐκ ἐν τοῖς τοῦ Σευήρου, ἀλλ' ἐν τοῖς τοῦ Χρυσοστόμου συγγράμμασιν εὕρομεν, ἐν Τόμ. 6. σελ. 25. τῆς κατὰ τὸ Παρίσ. ἐκδόσ.

(1) Μαρτυρεῖ τῷ πράγματι, ὅτι γῆ ἐστιν ἡ σχισθεῖσα· αἱ νῆσοι τὰ ὄρη μεταξύ. ἐν τῷ 6. Τόμ. τῶν τοῦ Χρυσοσ. τῆς κατὰ τὸ Παρίσ. ἐκδόσ. ἐν σελ. 455.

A χάριν ὡς μὲν συνημμένην, συναγωγὴν μίαν ὠνόμασεν· ὡς δὲ διῃρημένας, συναγωγάς.

** ΒΑΣΙΛΕΙΟΥ. Οὐκ εἶπε, καὶ ὀφθήτω ἡ γῆ, ἵνα μὴ πάλιν αὐτὴν ἀκατάσκευον ἐπιδείξῃ, πηλώδη οὖσαν καὶ ἀναμεμιγμένην τῷ ὕδατι. ὁμοῦ δὲ, ἵνα μὴ τῷ ἡλίῳ τὴν τοῦ ἀναξηραίνειν τὴν γῆν αἰτίαν προσθῶμεν, πρεσβυτέραν τῆς τοῦ ἡλίου γενέσεως τὴν ξηρότητα τῆς γῆς ὁ δημιουργὸς παρεσκεύασεν.

ΤΟΥ ΑΥΤΟΥ. Οὕτω καὶ μερισθέντος τοῦ ὕδατος, διέμεινεν ἡ γῆ τοσοῦτον ἔχουσα, ὅσον πρός τε αὐτὴν ἔμελλεν εἶναι χρειῶδες καὶ πρὸς τὰ ζῶα. εἰ γὰρ μὴ τοῦτο οὕτως εἶχε, μεῖναι οὐκ ἠδύνατο.

ι. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν, γῆν.

Γ ** ΒΑΣΙΛΕΙΟΥ. Ὅτι ἡ μὲν ξηρὰ, τὸ ἰδίωμά ἐστι. τὸ οἱονεὶ χαρακτηριστικὸν τῆς φύσεως τοῦ ὑποκειμένου· ἡ δὲ γῆ, προσηγορία τίς ἐστι ψιλὴ τοῦ πράγματος. ὡς γὰρ τὸ λογικὸν ἴδιον ἐστὶ τοῦ ἀνθρώπου, ἡ δὲ ἄνθρωπος φωνὴ σημαντική ἐστι τοῦ ζώου, ᾧ ὑπάρχει τὸ ἴδιον· οὕτω καὶ τὸ ξηρὸν ἴδιον ἐστὶ τῆς γῆς καὶ ἐξαίρετον.

ΤΟΥ ΑΥΤΟΥ. Κεκρυμμένη γὰρ ὑπὸ τῶν ὑδάτων οὐκ ἦν ξηρὰ, καὶ οὐχ οἵα τε ἦν οὔτε ζῶον τρέφειν, οὔτε καρποὺς φέρειν. καλὸν οὖν ἐστὶ πρὸς σύστασιν κόσμου καὶ τὰ ζῶα εἶναι, ἐξ ὧν αἱ διαδοχαί. πρὸς δὲ τούτοις καλὸν τὸ εἶναι φυτὰ καὶ δένδρα, καρποὺς φέροντα, ἐξ ὧν διαζῇ τὰ μεταλαμβάνοντα ζῶα.

Καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας.

E ** ΒΑΣΙΛΕΙΟΥ. Τὰ δὲ συστήματα τῶν ὑδάτων, τουτέστι τοὺς κόλπους τοὺς κατ' ἴδιον σχῆμα ὑπὸ τῆς περικειμένης γῆς ἀποληφθέντας, θαλάσσας ὁ Κύριος προσηγόρευσε· θάλασσα βόρειος, θάλασσα νότιος, ἑῴα θάλασσα, καὶ ἑσπερία πάλιν ἑτέρα, καὶ ὀνόματα τῶν πελαγῶν ἰδιάζοντα· πόντος εὔξεινος, καὶ Προποντὶς, Ἑλλήσποντος, Αἰγαῖος. καὶ Ἰώνιος, σαρδονικὸν πέλαγος, καὶ σικελικὸν, καὶ τυῤῥηνικὸν ἕτερον, καὶ μυρία γε ὀνόματα πελαγῶν.

ΑΔΗΛΟΥ. Διάφορα εἶναι κατὰ τόπους πεποίηκε τὰ συστήματα τῶν ὑδάτων, οὐ τὴν τυχοῦσαν χρείαν τοῖς περιοικοῦσι παρεχόμενα. εἰκότως οὖν συστήματα πολλὰ αὐτὰ, κατὰ τὴν ἀλλήλων ὀνομάζει διαίρεσιν.

Καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν.

ΒΑΣΙΛΕΙΟΥ. Ἐπεὶ οὖν καὶ ὡς πρότερον εἴρηται τὴν ἀναλογίαν ἰδὼν ὁ Θεὸς ἀπεδέξατο, οὐκ ὄψει ἀλλ' ἀναλογίᾳ, ὡς τὰ H
„ τεχνητὰ οἱ τεχνῖται, εἴρηται· καὶ εἶδεν ὁ
„ Θεὸς, ὅτι καλόν.

** ΤΟΥ ΑΥΤΟΥ. Οὐκ αὐτὸ τοῦτο τερπνήν τινα ὄψιν θαλάσσης ὁ λόγος ἐνδείκνυται τῷ Θεῷ πεφηνέναι. οὐ γὰρ ὀφθαλμοῖς βλέπει τὰ κάλλη τῆς κτίσεως ὁ ποιητής. ἀλλὰ τῇ ἀῤῥήτῳ σοφίᾳ θεωρεῖ τὰ γινόμενα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες πῶς καθ' ἕκαστον τῶν γινομένων δείκνυσιν ἐπαινοῦντα τὸν δημιουργόν; ἵνα μετὰ ταῦτα ἡ τῶν ἀνθρώπων φύσις ταῦτα διδασκομένη, B ἐκ τῶν δημιουργημάτων ἀνατρέχῃ πρὸς τὸν δημιουργήσαντα.

ια. Καὶ εἶπεν ὁ Θεὸς, βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὰς οὐκ ἐδωδίμους βοτάνας βλαστῆσαι προσέταξεν ὁ Θεός; Πολλὰ τῶν ἀλόγων ζώων τὰ γένη. τὰ μὲν, θηρία· τὰ δὲ, κτήνη προσαγορευόμενα. καὶ τὰ μὲν, ἑρπετά· τὰ δὲ, πτηνά. τούτοις ἅπασι τροφὴν προηυτρέπισεν ὁ Θεός. καὶ ταῦτα δὲ τῆς τῶν ἀνθρώπων εἵνεκα πεποίηκε χρείας. αὐτίκα γοῦν καὶ δι' ἡμᾶς αὐτά φησι διατρέφεσθαι.
„ τῷ ἐξανατέλλοντι γάρ φησι χόρτον τοῖς
„ κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. τὸ τοίνυν τούτῳ ἄχρηστον, ἐκείνῳ χρήσιμον. καὶ τὰ τοῖς ἀνθρώποις οὐκ ἀ-
Δ ναγκαῖα, τοῖς δι' αὐτοὺς γεγενημένοις ἁρμόδια. πρὸς δὲ τούτοις προορῶν, ὅτι καὶ πάθη προσγενήσεσθαι τοῖς ἀνθρώποις, ἅτε δὴ διὰ τὴν ἁμαρτίαν δεξαμένοις τοῦ θανάτου τὸν ὅρον, οὐ μόνον ἐδωδίμους, ἀλλὰ καὶ ἀλεξικάκους τῶν παθημάτων βλαστῆσαι προσέταξε. (1) καὶ τοῦτο μάθοι τὶς ἂν ἀκριβέστερον παρὰ τῶν τὴν ἰατρικὴν ἠσκημένων τέχνην· ὅτι καὶ τὰ δοκοῦντα εἶναι δηλητήρια, παθῶν ἐστὶν ἰατήρια. κεραννύμενα γὰρ ἑτέραις βοτάναις ἀλεξίκακα γίνεται, καὶ ὑγείας παρεκτικά.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐ παραπεμπτέον, ὅτι σολοικισμὸς ἂν δόξειεν εἶναι κατὰ τὴν φράσιν τὸ, εἶπεν ὁ Θεὸς βλαστησάτω ἡ
„ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ
„ γένος καὶ καθ' ὁμοιότητα. οὐ γὰρ εὐχερῶς ἐφαρμόσαι τὸ, σπεῖρον τῷ, βοτάνην χόρτου. πῶς δὲ καὶ χωρὶς σολοικισμοῦ νοεῖσθαι δύναται, τῶν πλείστων ὑπο- Z λειπομένων τὸ σπεῖρον πρὸς τὸ βοτάνην χόρτου λέγεσθαι; ἔστι δὲ ὑποδιαστολῇ χρησάμενον μέσης στιγμῆς, οὕτως ἀναγνῶναι· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου· καὶ διαστήσαντα, ἐπενεγκεῖν τὸ, σπεῖρον σπέρμα κατὰ γένος· ἵνα ᾖ, βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, κατὰ γένος σπεῖρον σπέρμα, ἀναφερομένου ἐπὶ τὸ γένος τοῦ σπείρου.

ΒΑΣΙΛΕΙΟΥ. Ὁ νοῦς ἐστὶ τῶν εἰρημένων τοιοῦτος. βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, καὶ σπέρμα σπεῖρον κατὰ γένος. οὕτω γὰρ καὶ τὸ τῆς λέξεως ἀκόλουθον ἀποκατα-

(1) Βοτάνας βλαστῆσαι τῇ γῇ προσέταξε. ἡ ἐν χάλη ἔκδοσ.

καταστῆναι δυνήσεται, ἀκαταλλήλως νῦν τῆς συντάξεως ἔχειν δοκούσης.

ΤΟΥ ΑΥΤΟΥ. Βλαστησάτω ἡ γῆ· οὐχ ὅ, τι ἔχει προβαλλέτω, ἀλλ' ὃ μὴ ἔχει κτησάσθω, τοῦ Θεοῦ δωρουμένου τῇ ἐνεργείᾳ δύναμιν.

Καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ καθ' ὁμοιότητα ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτω.

** ΒΑΣΙΛΙΟΥ. Πολλὰ δὲ τῶν δένδρων ὁρῶμεν οὔτε καρποῖς, οὔτε σπέρματι κεχρημένα. τί οὖν ἐροῦμεν; ὅτι τὰ τιμιώτερα τῇ Φύσει προηγουμένης τῆς μνήμης τετύχηκεν. ἔπειτα, ὅτι ἀκριβῶς θεωροῦντι καὶ πάντα Φανήσεται, ἢ σπέρματι κεχρημένα, ἢ τὰ ἰσοδυναμοῦντα τοῖς σπέρμασιν ἔχοντα.

ιβ. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν.

* ΒΑΣΙΛΕΙΟΥ. Ἡ γὰρ τότε Φωνὴ καὶ τὸ πρῶτον ἐκεῖνο πρόσταγμα οἷον νόμος τὶς ἐγένετο Φύσεως, καὶ ἐναπέμεινε τῇ γῇ, τὴν τοῦ γεννᾷν αὐτῇ καὶ καρποφορεῖν δύναμιν εἰς τὸ ἑξῆς παρεχόμενος.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ σπεῖρον σπέρμα, τουτέστι τὸ σπερμαῖνον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, ὃν τρόπον καὶ Ἀκύλας ἡρμήνευσε.

ιγ. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα τρίτη.

ιδ. Καὶ εἶπεν ὁ Θεὸς, γενηθήτωσαν Φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς Φαῦσιν τῆς γῆς, τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας, καὶ ἀνὰ μέσον τῆς νυκτός.

ΘΕΟΔΩΡΙΤΟΥ. Τῶν Φωστήρων δημιουργηθέντων, τί γέγονε τὸ πρότερον Φῶς; Ὁ δεσπότης Θεὸς καὶ ἐκ μὴ ὄντων ποιεῖ, καὶ ἐξ ὄντων δημιουργεῖ. τὸν μὲν γὰρ πρότερον οὐρανὸν, ἐκ μὴ ὄντων ἐδη-

A μιούργησε· τὸν δὲ δεύτερον, ἐξ ὑδάτων ἐποίησεν. οὕτω τὴν γῆν μὴ οὖσαν, παρήγαγε· τὰ γένη δὲ τῶν δένδρων καὶ τῶν σπερμάτων, αὐτῇ βλαστῆσαι προσέταξε. καὶ τὸ Φῶς τοίνυν ἐδημιούργησεν, ὡς ἠθέλησεν. ὥσπερ δὲ τῷ στερεώματι διεῖλε τῶν ὑδάτων τὴν Φύσιν, καὶ τὰ μὲν ἐπιτέθεικεν ἄνωθεν, τὰ δὲ κάτω καταλέλοιπεν· οὕτως ἐκεῖνο τὸ Φῶς διελὼν ὡς ἠθέλησε, τοὺς Φωστῆρας τοὺς μεγάλους καὶ τοὺς μι-
B κροὺς κατεσκεύασεν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοῦ δὲ πρωτογόνου Φωτὸς ὅσον μὲν καθαρώτατον, ἐνέθηκε τῷ ἡλίῳ· τὸ δὲ λοιπὸν, σελήνη, καὶ τοῖς ἄστροις ἐμέρισεν. οὕτω καὶ διαχωρίζειν ἐτάχθη ἀνὰ μέσον ἡμέρας τε καὶ νυκτὸς ὃ πρότερον προστάξει Θεοῦ τὸ Φῶς ἐποίει.

ΒΑΣΙΛΕΙΟΥ. Τότε μὲν γὰρ αὐτοῦ ἡ Φύσις παρήχθη, νῦν δὲ τὸ ἡλιακὸν τοῦτο
Γ σῶμα ὄχημα εἶναι τῷ πρωτογόνῳ ἐκείνῳ Φωτὶ παρεσκεύασται. διάφορα γὰρ (1) ὄντα τῇ Φύσει ἥνωται τῇ δυνάμει τοῦ κτίσαντος.

ΔΙΔΥΜΟΥ. Ὅθεν καὶ οἱ Φωστῆρες τῇ τετάρτῃ ἡμέρᾳ γενόμενοι, διὰ τὸν περὶ αὐτοὺς λόγον, ἅτε μείζους ὄντες ἐν ταύτῃ λέγονται γεγενῆσθαι. ἡ γὰρ τετρὰς δυνάμει οὖσα δεκὰς, τιμία ὑπάρχει. μονὰς γὰρ, καὶ δυὰς, καὶ τριὰς, καὶ τετρὰς
Δ ἀλλήλοις συντεθεῖσαι, τὴν δεκάδα ποιοῦσι. διὰ πάσης γὰρ τῆς γραφῆς ἡ δεκὰς ὑμνεῖται. καὶ γὰρ δέκα λόγους Μωσῆς δέδωκε· καὶ δεκάται παρέχονται. ὥσπερ δὲ τὸ ὕδωρ πρότερον διακεχυμένον κατὰ πρόσωπον πάσης τῆς γῆς, ὕστερον τῇ τρίτῃ ἡμέρᾳ συναγαγὼν ὁ Θεὸς εἰς συναγωγὴν μίαν, ἐποίησε τὰς θαλάσσας, καὶ τοὺς ποταμοὺς, καὶ τὰ Φρέατα· οὕτω καὶ τὸ Φῶς
E τὸ ἐν ἀρχῇ κτισθὲν, πρότερον διακεχυμένον, ἀθρόως ὕστερον τῇ τετάρτῃ ἡμέρᾳ συναγαγὼν ὁ Θεὸς, ἐποίησεν ἐξ αὐτοῦ τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς λοιποὺς ἀστέρας. οὐχ ὅτι ἄλλο τὶ παρὰ τὴν ἡμέραν ὁ ἥλιος.

Καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτούς.

Z ΑΔΗΛΟΥ. Ποῖα σημεῖα; Τοῖς πλέουσι, τοῖς ἀροτριῶσι, τοῖς θερίζουσι. γεγόνασι δὲ

(1) Σκόπει τοίνυν εἰ μὴ διὰ τῆς Φαύσεως ἀρκούντως ἐνέφηνεν ὃ ἐβούλετο. ἀντὶ γὰρ τοῦ Φωτισμοῦ τὴν Φαῦσιν εἴρηκεν. ἔστι δὲ οὐδὲν μαχόμενον τοῦτο τοῖς περὶ τοῦ Φωτὸς εἰρημένοις. τότε μὲν γὰρ αὐτὴ τοῦ Φωτὸς ἡ Φύσις παρήχθη· νῦν δὲ τὸ ἡλιακὸν τοῦτο σῶμα ὄχημα εἶναι τῷ πρωτογόνῳ ἐκείνῳ Φωτὶ παρεσκεύασται. ὡς γὰρ ἄλλο τὸ πῦρ, καὶ ἄλλο ὁ λύχνος· τὸ μὲν, τὴν τοῦ Φωτίζειν δύναμιν ἔχον· τὸ δὲ, παραφαίνειν τοῖς δεομένοις πεποιημένον· οὕτω καὶ τῷ καθαρωτάτῳ ἐκείνῳ εἰλικρινεῖ καὶ αὔλῳ Φωτὶ ὄχημα νῦν οἱ Φωστῆρες κατεσκευάσθησαν. ὡς γὰρ ὁ ἀπόστολος λέγει· τινὰς Φωστῆρας ἐν κόσμῳ. ἄλλο δὲ ἐστὶ Φῶς τοῦ κόσμου τὸ ἀληθινὸν, οὗ κατὰ μέθεξιν οἱ ἅγιοι Φωστῆρες ἐγίνοντο τῶν ψυχῶν, ἃς ἐπαίδευον, τοῦ σκότους αὐτὰς τῆς ἀγνοίας ῥυόμενοι. οὕτω καὶ νῦν τὸν ἥλιον τοῦτον τῷ φανωτάτῳ ἐκείνῳ ἐπισκευάσαι Φωτὶ ὁ τῶν ὅλων δημιουργὸς περὶ τὸν κόσμον ἀνῆψε. καὶ μηδενὶ ἄπιστον εἶναι δοκείτω τὸ εἰρημένον, ὅτι ἄλλο μέν τι τοῦ Φωτὸς ἡ λαμπρότης, ἄλλο δέ τι τὸ ὑποκείμενον τῷ Φωτὶ σῶμα. πρῶτον μὲν ἐκ τοῦ τὰ σύνθετα πάντα οὕτω παρ' ἡμῶν διαιρεῖσθαι, εἴς τε τὴν δεκτικὴν οὐσίαν καὶ εἰς τὴν ἐπισυμβᾶσαν αὐτῇ ποιότητα. ὡς οὖν ἕτερον μέν τι τῇ Φύσει ἡ λευκότης, ἕτερον δέ τι τὸ λελευκασμένον σῶμα· οὕτω καὶ τὰ νῦν εἰρημένα, διάφορα ὄντα κτ. ἡ κατὰ τὸ Παρίσ. ἔκ. ἔκδοσ. ἐν Τόμ. 1. σελ. 51.

δὲ καὶ ἄλλα σημεῖα δι' αὐτῶν, ὅτε ὥραν
ἕκτην ἔδυ ὁ ἥλιος, σταυρουμένου τοῦ Κυρίου
καὶ Θεοῦ. καὶ πάλιν ἐν τῇ αὐτοῦ γεννήσει
ἐφάνη ἐν ἡμέρᾳ ἀστήρ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Καὶ μήμοι τὰ ση-
μεῖα σοφισάσθω τὶς, ὡς σημεῖα τῶν μελ-
λόντων ὑπὸ Θεοῦ γίνεσθαι λελεγμένα· μη-
δὲ μαθήσεως καὶ σπουδῆς ἄξια ἀποφαινέ-
τω, γενεθλιαλογίας σημαντικὰ τεθει-
κέναι τὰ ἄστρα τὸν Θεὸν ὁριζόμενος. οὐ γὰρ
θείων ὁρισμῶν οἱ ἀστρολόγοι γνῶσιν ἔχου-
Ἠσ. 47. 13. σιν, οἷς γε τὸ μάταιον ὀνειδίζων Θεὸς, στή-
» τωσαν, φησὶ, καὶ σωσάτωσάν σε οἱ ἀστρολό-
» γοι τοῦ οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι τὸ εἰς σημεῖα,
καὶ εἰς καιροὺς, καὶ εἰς ἐνιαυτοὺς καὶ εἰς
ἡμέρας; Ὁ ἥλιος ἀνίσχων μὲν καὶ δυόμε-
νος, τὰς ἡμέρας ποιεῖ· εἰς δὲ τὰ νότια
καὶ τὰ βόρεια μέρη διατρέχων, τὸν ἐνι-
αυσιαῖον κύκλον ἀποτελεῖ. οὗτος καὶ τὰς
τροπὰς ἐργάζεται, ἃς καιροὺς ὠνόμασεν ἡ
θεία γραφή. ἀπὸ γὰρ τοῦ ἰσημερινοῦ τό-
που πρὸς τὰ βόρεια μεταβαίνων, τὸ ἔαρ
ποιεῖ· εἶτα ἐκεῖθεν ἐπανιὼν μέχρι τούτων
τῶν ὅρων, τὴν θερινὴν κατασκευάζει τρο-
πήν. προϊόντος δὲ αὐτοῦ ἐντεῦθεν ἐπὶ τὰ
νότια, τὸ μετόπωρον γίνεται. ἐπανιὼν
δὲ αὖθις, τὸν χειμῶνα ποιεῖ. ἐκ δὲ τοῦ
δρόμου τῆς σελήνης τὸν τῶν μηνῶν μαν-
θάνομεν ἀριθμόν. διὰ τριάκοντα γὰρ
ἡμερῶν, ἓξ ὡρῶν δεουσῶν, τὸν οἰκεῖον δρό-
μον πληροῖ. οὗ δὴ χάριν τὸν τῶν τοσούτων
ἡμερῶν ἀριθμὸν μῆνα προσαγορεύομεν·
ἐπειδὴ καὶ τὴν σελήνην ὀνομάζουσι μήνην.
τὸ δὲ εἰς σημεῖα, οὐ κατὰ τοὺς ἀνοήτους
νοοῦμεν ἡμεῖς. τῆς γὰρ γενεθλιαλογίας
τὴν ματαιολογίαν, οὐδὲ Πυθαγόρας, οὐδὲ
Σωκράτης, οὐδὲ Πλάτων, οὐδὲ οἱ Στωϊκοὶ
προσεδέξαντο. εἰ δὲ οἱ τοῖς μύθοις ἐντε-
θραμμένοι τόδε τοῦ μύθου τὸ ἀσεβὲς ἐβδε-
λύξαντο, τίς ἂν τοῖς θείοις πιστεύων λο-
γίοις, τῶν οὐ δυσσεβῶν μόνων, ἀλλὰ καὶ
λίαν ἀνοήτων ἀνάσχοιτο λόγων; σημεῖα
τοίνυν ἡ θεία καλεῖ γραφὴ, τὸ εἰδέναι
σπόρου καιρὸν, τοῦ φυτεῦσαι, τοῦ καθᾶραι,
τοῦ ξύλα τεμεῖν εἰς ναυπηγίαν καὶ οἰκο-
δομίαν ἐπιτήδεια. ἐντεῦθεν καὶ οἱ ναυτι-
λίᾳ χρώμενοι μεμαθήκασι, πότε μὲν ἀ-
πᾶραι, πότε δὲ καθορμίσαι τὸ σκάφος
προσήκει. καὶ πότε μὲν πετάσαι δεῖ τὸ
ἱστίον, πότε δὲ καθελεῖν. ἡ πεῖρα γὰρ
αὐτοὺς ἐξεπαίδευσε τὰς τῶν ἀστέρων ἐπι-
τολάς τε καὶ δύσεις. πολλάκις δὲ καὶ ἡμεῖς
κομήτην, ἢ πωγωνίτην, ἢ δοκίδην ἰδόν-
τες, ἢ πολεμίων ἔγνωμεν προσβολὴν, ἢ
ἀκρίδος ἐμβολὴν, ἢ λιμῶν, ἢ ἀνθρώπων
φθοράν. ταῦτα τοίνυν σημεῖα ἐκάλεσεν,
οὐκ ἐκεῖνα τὰ πάσης ἀνοίας καὶ δυσσε-
βείας μεστά.

ΔΙΟΔΩΡΟΥ. Ζητητέον πῶς εἰς σημεῖα
ἥλιος, καὶ σελήνη, καὶ ἀστέρες ἐκλήθησαν.
ἴσως οὖν εἰς σημεῖα φησιν, ὡς ὅταν ἵσταται
μὲν ὁ ἥλιος, καὶ ἡ σελήνη ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ·
ἐπὶ δὲ Ἡσαΐου καὶ ἀναποδίζει. ἀστὴρ δὲ φαί-
A νεται μάγοις, τὴν κατὰ σάρκα τοῦ Ἰησοῦ
γέννησιν εὐαγγελιζόμενος. εὕροι δ' ἄντις
καί τινας τῶν ἀστέρων κατὰ καιροὺς φαινο-
μένους κακῶν, ἢ ἀγαθῶν μηνυτάς.

ΒΑΣΙΛΕΙΟΥ. Ἔστωσαν δέ φησι καὶ εἰς
ἡμέρας· οὐχ ὥστε ἡμέρας ποιεῖν, ἀλλ' ὥστε
κατάρχειν τῶν ἡμερῶν. ἡμέρα γὰρ καὶ
νὺξ, πρεσβύτερα τῆς τῶν φωστήρων γε-
νέσεως.

B ※※ ΤΟΥ ΑΥΤΟΥ. Πῶς οὖν ἔχει τὴν
ἐξουσίαν τῆς ἡμέρας ὁ ἥλιος; Ὅτι τὸ φῶς
ἐν ἑαυτῷ περιφέρων, ἐπειδάν ποτε τὸν
καθ' ἡμᾶς ὁρίζοντα ὑπεράρῃ, ἡμέραν πα-
ρέχει διαλύσας τὸ σκότος. ὥστε οὐκ ἄν τις
ἁμάρτοι ἡμέραν ὁρισάμενος εἶναι τὸν ὑπὸ
τοῦ ἡλίου πεφωτισμένον ἀέρα· ἢ, ἡμέραν
εἶναι χρόνου μέτρον, ἐν ᾧ ἐν τῷ ὑπὲρ γῆν
ἡμισφαιρίῳ ὁ ἥλιος διατρίβει.

ΑΔΗΛΟΥ. Ἰστέον, ὅτι ὁ ἅγιος Βασί-
Γ λειος, καὶ ὁ μακάριος Κύριλλος, καὶ ὁ
Ἀπολινάριός φασι, μηδὲν ἕτερον τοὺς φω-
στῆρας σημαίνειν, εἰ μὴ καιροὺς, καὶ ἡμέ-
ρας, καὶ ἐνιαυτούς.

ιε. Καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ
στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ
τῆς γῆς. καὶ ἐγένετο οὕτω.

ις. Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο
Δ φωστῆρας τοὺς μεγάλους· τὸν φωστῆρα
τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας,
καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρ-
χὰς τῆς νυκτὸς, καὶ τοὺς ἀστέρας.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστιν εἰς ἀρχὰς
τῆς ἡμέρας, καὶ εἰς ἀρχὰς τῆς νυκτός;
Τὴν ἐξουσίαν, φησὶν, ἔλαβεν ὁ μὲν τῆς ἡμέ-
ρας, ἡ δὲ τῆς νυκτός. ἵνα ὁ μὲν, φαιδρο-
τέραν αὐτὴν ἀπεργάζηται διὰ τῶν οἰκείων
E ἀκτίνων· ἡ δὲ, διασκεδάζει τὸ σκότος, καὶ
τῇ φύσει τῶν ἀνθρώπων διὰ τοῦ οἰκείου φω-
τὸς παρέχει μετ' εὐκολίας κεχρῆσθαι τοῖς
ἰδίοις ἐπιτηδεύμασι. τότε γὰρ καὶ ὁδοι-
πόρος θαῤῥῶν, τῆς ὁδοιπορίας ἅπτεται,
καὶ ναύτης καθέλκει τὸ πλοῖον, καὶ τὰ
πελάγη διαπερᾷ. καὶ ἕκαστος δὲ τῶν τὰ
ἐπιτηδεύματα μετιόντων μετὰ πολλῆς τῆς
ἀδείας τὰ τῆς οἰκείας ἐπιστήμης μετα-
χειρίζει.

Z ΣΕΥΗΡΟΥ. Ὅτε ἥλιος ἐπάγη εἰς ἀ-
νατολὴν, τότε ἡ σελήνη ἐπάγη εἰς δύσιν.
ἐπειδὴ ἐκείνη μὲν, τῆς νυκτὸς ἄρχειν ἐκε-
λεύσθη· ὁ δὲ, τῆς ἡμέρας. ἐγένετο οὖν ἡ
σελήνη, καὶ γεννᾶται τῇ πρώτῃ ἡμέρᾳ
πανσέληνος. οὐ γὰρ ἤδη ἠκρωτηριάσθη τὸ
ἔργον εὐθέως, ἀλλ' ἐγένετο τελεία. με-
τὰ δὲ ταῦτα τῇ ἀλλοιώσει δεῖξαι χρόνους
καὶ καιροὺς, καὶ διαφορὰς ἡμερῶν θέλων,
ποιεῖ αὐτὴν ὁ Θεὸς, ὡς πεντεκαιδεκαταίαν
H πεπληρωμένην. καὶ ὁ μὲν ἥλιος ἀνέτελ-
λεν· ὄρθρου γὰρ ἐπάγη· ἡ σελήνη δὲ, ἐν
τῷ ὄρθρῳ ἐφαίνετο πρὸς δύσιν. ὡς οὖν
προέτρεχεν ὁ ἥλιος τὸν ἴδιον δρόμον εἰς
δύσιν, ἡ σελήνη ἤρχετο εὐθέως τοῦ ἀνα-
τέλλειν,

A τέλλειν, ἵνα πληρωθῇ τὸ, ἀρχέτωσαν τῆς ἡμέρας, καὶ τῆς νυκτός. λοιπὸν ζήτημα, διατὶ ὁ Θεὸς πεπληρωμένην ἐποίησε τὴν σελήνην; (1) τετάρτῃ ἡμέρᾳ γενομένην, ὡς οὐ τεταρταίαν φαίνεσθαι· ἀλλὰ πάλιν εἰ ἦν τεταρταία, τὸ ἄκρον τῆς δύσεως οὐ κατεῖχεν. εὑρέθη οὖν πλεονεκτοῦσα ἕνδεκα ἡμέρας. τεταρταία γὰρ ἐγένετο, (2) ὡς δεκατιπεμπταία. ἕνδεκα ἡμέρας λοιπὸν πλεονεκτεῖ ἡ σελήνη τὸν ἥλιον, οὐ τῇ ποιήσει, ἀλλὰ τῇ φαύσει. διὰ τοῦτο ἃς τότε B ἐπλεονέκτησεν, ἀποδίδωσι τῷ ἡλίῳ. ὁ γὰρ κατὰ σελήνην καθ' ἕκαστον μῆνα ἀπὸ εἴκοσι ἐννέα ἥμισυ ἡμερῶν γινόμενος ἀριθμὸς ποιεῖται ἐν τοῖς δεκαδύω μησὶ τοῦ ἐνιαυτοῦ ἡμέρας τριακοσίας πεντήκοντα τέσσαρας. ἵνα ἃς ἐπλεονέκτησε τότε ἡ σελήνη, κατ' ἐνιαυτὸν ἀποδίδωσι τῷ ἡλίῳ. ζητοῦμεν δὲ ποῦ δύνει ὁ ἥλιος, καὶ ποῦ τρέχει τὴν νύκτα, κατὰ μὲν τοὺς ἔξω, ὑπὸ τὴν γῆν, καθ' ἡμᾶς δὲ τοὺς σκηνὴν αὐτὸν λέγοντας, τί; Γ νόμισον καμάραν ἐγκειμένην. (3) ἡ ἀνατολὴ ἐκεῖ ἐστὶ κατὰ τὸν τύπον, ἄρκτος δὲ ὧδε, μεσημβρία ἐκεῖ, δύσις ἐκεῖ, ὁ ἥλιος ἀνατέλλων, καὶ μέλλων δύειν, οὐχ ὑπὸ γῆν δύει, ἀλλ' ἐξελθὼν τὰ πέρατα τοῦ οὐρανοῦ, τρέχει εἰς τὰ βορινὰ μέρη, ὥσπερ ὑπό τινα τεῖχον κρυπτόμενος, μὴ συγχωρούντων τῶν ὑδάτων φανῆναι αὐτοῦ τὸν δρόμον, καὶ οὕτω καταλαμβάνει τὴν ἀνα-

Ἐκκλ. 1. 5. τολήν: λέγει γὰρ καὶ Σολομὼν, ἐν τῷ Δ

„ Ἐκκλησιαστῇ, ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει

„ ὁ ἥλιος, ἀνατέλλων πορεύεται κατὰ δύσιν,

„ καὶ κυκλοῖ πρὸς βοῤῥᾶν, κυκλῶν κυκλοῖ,

„ καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει. βλέπε αὐτὸν κατὰ μεσημβρίας τρέχοντα, καὶ τὸν βοῤῥᾶν κυκλοῦντα. λοιπὸν μάθε ἐν τῇ τοῦ χειμῶνος καταστάσει· ἐπειδὴ οὐκ ἀπὸ μέσης τῆς ἀνατολῆς ἀνατέλλει, ἀλλὰ περὶ τὸ εἴλημα τῆς μεσημβρίας πλησιάζει, (4) E καὶ ὀλίγον τεμὼν διάστημα, ποιεῖ μικρὰν ἡμέραν. δύνας δὲ, καὶ πολὺν κύκλον τρέχων, ποιεῖ μακρὰν τὴν νύκτα. ἀνάγκην γὰρ ἔχει κυκλεῦσαι διὰ τῆς νυκτὸς δύσιν ὅλην, καὶ ἄρκτον ὅλην, καὶ φθάσαι ἐπὶ τὸ ἄκρον τῆς μεσημβρίας. ἀνάγκη τοίνυν μεγάλην γενέσθαι τὴν νύκτα. ὅταν μέντοι ἐξισῶται, καὶ ἴσον διάστημα ἔχῃ, ἰσημερίαν ποιεῖ. θέρους πάλιν, κλίνας εἰς τὸν βοῤῥᾶν, ὥσπερ χειμῶνος εἰς μεσημ- Z βρίαν, καὶ εἰς τὰ ἄκρα τοῦ βοῤῥᾶ ἀναβαίνων, ὑψοῦται, καὶ μεγάλην ποιεῖ τὴν ἡμέραν. ὀλίγον δὲ ἔχων κύκλον, μικρὰν ποιεῖ τὴν νύκτα.

ΤΟΥ ΑΥΤΟΥ. Διατὶ προτέραν ποιεῖ τὴν διακόσμησιν τῆς γῆς τοῦ οὐρανοῦ; Διὰ τὴν μέλλουσαν ἀνακύπτειν πολύθεον πλάνην περὶ ἥλιον, καὶ σελήνην, καὶ ἄστρα. διατὶ δὲ τῇ πρώτῃ ἡμέρᾳ οὐκ ἐποίησεν ἥλιον, καὶ σελήνην; Ἐπειδὴ οὐδέπω ἦν τὸ στερέωμα, ἐν ᾧ ἔμελλον πεπῆχθαι. καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλ' ἐπειδὴ οὔπω ἦσαν καρποὶ οἱ ὀφείλοντες θάλπεσθαι. τῇ γὰρ τρίτῃ ἐβλάστησαν οἱ καρποί. καὶ ἵνα μὴ νομισθῇ, ὅτι τῇ φύσει τοῦ ἡλίου ἐβλάστησεν, ὅτε ἀπηρτίσθη ἡ δημιουργία αὐτῶν, τότε ποιεῖ ἥλιον, καὶ σελήνην, καὶ ἄστρα.

B

ιζ. Καὶ ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς.

ΒΑΣΙΛΕΙΟΥ. Τὸ, ἔθετο αὐτοὺς, οὐ ταυτὸν τῷ, ἐποίησεν· οὐδὲ πρῶτον γενόμενοι, ὕστερον ἐτέθησαν, ἀλλ' ὃ ἡ ἔννοια ὑποβάλλει, πρώτην εἶναι τὴν γένεσιν τῆς θέσεως. τὸ μὲν γὰρ, ὑποστῆναι· τὸ δὲ, ἁρμόσαι Γ πρὸς τὰ ἄλλα τοῦ κόσμου μέρη.

ΔΙΟΔΩΡΟΥ. Μηδεὶς δὲ ἀκούων, καὶ ἔθε-

„ το αὐτοὺς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε

„ φαίνειν ἐπὶ τῆς γῆς, συμπεπῆχθαι τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας ἐν τῷ οὐρανῷ νομιζέτω, δόγμα τῇ Ἐκκλησίᾳ ἐθνικὸν ἐπεισάγων, καὶ κινεῖσθαι τὸν οὐρανὸν οἰόμενος, φέροντα τὰ ἐκεῖθεν λάμποντα. καὶ γὰρ τὸν Ἀδὰμ πλάσας ἔθετο ἐν τῷ παραδείσῳ, οὐχὶ πήξας, ἀλλὰ τὴν Δ αὐτόθι δίαιταν καὶ αὐτῷ ὁρίσας. ὅθεν χρὴ νοεῖν, ὅτι καθάπερ ἐπὶ γῆς ἄνθρωπος, οὕτως ἐν τῷ οὐρανῷ οἱ φωστῆρες, οὐ πεπηγότες, ἀλλ' ὁδεύοντες ἄνω πορείαν· ἵνα τοῖς κάτω φαίνωσιν, ὁλόκληρον εἰς ἡμᾶς τὸ φῶς πέμποντες.

ΘΕΟΔΩΡΟΥ. Ὥστε εἶναι, φησὶν, αὐτοὺς ἐπὶ τοῦ οὐρανοῦ οὐ πεπηγότας, ἀλλ' ὡς ἐπ' αὐτοῦ, τὸν οἰκεῖον ἐξελαύνοντας δρόμον. ὡς καὶ ἐπὶ τοῦ Ἀδάμ φησιν, ἔθετο αὐτὸν E ἐν τῷ παραδείσῳ, οὐχ ὡς πεπηγότα ἐπὶ τῆς γῆς, ἀλλ' ὡς κινούμενον ἐπ' αὐτῆς· οὕτω κἀνταῦθα εἶναι μὲν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ τοὺς φωστῆρας κελεύει. καλῶς δὲ ἐπήγαγεν, εἰς φαῦσιν ἐπὶ τῆς γῆς· ἵνα εἴπῃ, ὅτι τὴν χρείαν παρεχέτωσαν τῇ γῇ. τούτου γὰρ ἕνεκεν ἐπὶ τοῦ οὐρανοῦ τέθεινται.

ΕΥΣΕΒΙΟΥ. Ζητεῖται, πότερον, κατώτερον τοῦ οὐρανοῦ δρόμον τρέχουσιν, ἀπέ- Z χοντες διαστήματι τοῦ οὐρανοῦ, ἢ κεκωλυμένοι, τουτέστι πεπηγμένοι εἰσὶν, ἢ ὥσπερ ἐν γῇ ὁδοιπόροι, οὕτως ἐν οὐρανῷ οἱ φωστῆρες; ἔδοξε μέν τισι λέγειν, ὅτι πεπήγασιν ἐν οὐρανῷ, καὶ οὐχ ὁ ἥλιος ὁ τρέχων, οὐδὲ ἡ σελήνη. εἰ μὲν οὖν Ἕλλην ἐστὶν, ἀνεχόμενος ποιητῶν, ἀκουέτω Ὁμήρου (5) ἀπὸ τῶν τοῦ Ὠκεανοῦ ῥεέθρων αὐτὸν ἀνάγοντος, καὶ μέσον

(1) Ἔχρῆν αὐτὴν τῇ τετάρτῃ ἡμέρᾳ γενομένην, ὡς τεταρταίαν φαίνεσθαι. ἐν τῷ 6. Τόμ. τῶν τοῦ Χρυσοστ. σελ. 457. τῆς κατὰ τὸ Παρίσ. ἐκδόσ.

(2) Τεταρταία ἐγένετο, καὶ ἐφαίνετο ὡς πεντεκαιδεκαταία. αὐτ.

(3) Ἐπικειμένην. αὐτ.

(4) Ἀλλὰ περὶ τὸ κλίμα τῆς μεσημβρίας πλαγιάζει. αὐτ. ἐν σελ. 460.

(5) Ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας

μέσον οὐρανοῦ ἐπικλίνειν λέγοντος, καὶ πάλιν πεμπόμενον εἰς δύσιν· εἰ δὲ φιλοσόφοις, τοῖς λογισμοῖς τῆς ψυχῆς ἀποδιδοὺς τὸ κράτος, ἀπό γε τῶν ὁρωμένων πισοῦσθαι σπεύδων, ὁράτω σελήνην καταλαμβανομένην κατὰ τριάκοντα ἡμέρας, πλειάδας δὲ δι' ὁλοκλήρου ἔτους. εἰ δ' ἔμενον ἀκίνητα ὑπὸ τῆς τοῦ οὐρανοῦ κινούμενα φύσεως, οὐκ ἂν τόδε τοῦδε ἦν ὀξύτερον. χωρὶς δὲ τούτων ὁρῶμεν ἑτέρου τινὰ τῶν ἄστρων μηδὲ εἰσδυσπηγότα, (1) οὐκ ἂν ἐγίνετο τὰ προειρημένα. τισὶ δὲ δοκεῖ κατώτερα τοῦ οὐρανοῦ εἶναι, καὶ ἀεροπορεῖν. ἡ δὲ γραφὴ βούλεται μὲν ἐστερεῶσθαι, καὶ ἀκίνητον εἶναι τὸν οὐρανόν· κινεῖσθαι δὲ ἥλιον καὶ σελή-
Ἰησ. 10. 12. νην. καὶ γὰρ Ἰησοῦς ὁ τοῦ Ναυῆ σήτω, φη-
» σὶν, ὁ ἥλιος, οὐχὶ ὁ κινῶν αὐτὸν οὐρανὸς,
» καὶ ἡ σελήνη, καὶ γέγονεν οὕτω. καὶ ἐπὶ
4. Βασ. 20. 11. Ἐζεκίου δὲ τοῦ βασιλέως ὁ ἥλιος ἀνέστρεψε
» τὸν δρόμον αὐτοῦ, οὐχ ὁ οὐρανός. Καὶ μετ' ὀλίγα. Οὐ πεπήγασι τοίνυν ἐν τῷ οὐρανῷ, ἀλλ' οὐδὲ διεστήκασιν αὐτοῦ. Καὶ μετ' ὀλίγα. Τί οὖν ἐστί; τρόπον τινὰ ὥσπερ ἐπιβαίνουσιν οὐρανοῦ, πλησίον ὄντες καὶ προσαπτόμενοι τάχα τῆς οὐρανοῦ ἐπιφανείας. ἵνα τὰς ἀπ' αὐτῶν ἀκτῖνας πάσας ἐπὶ τῆς γῆς καταπέμπωσιν, ἄνω πέμπειν οὐκ ἔχοντες χώραν.

ιη. Καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς, καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν.

** ΒΑΣΙΛΕΙΟΥ. Νῦν δὲ ἥλιον ἐπέταξε τοῖς μέτροις τῆς ἡμέρας· καὶ σελήνην, ὅταν ποτὲ πρὸς τὸν ἴδιον κύκλον ἀπαρτισθῇ, ἀρχηγὸν ἐποίησε τῆς νυκτός. σχεδὸν γὰρ τότε κατὰ διάμετρον οἱ φωστῆρες ἀλλήλοις ἀντικαθίστανται. ἀνατέλλοντος μὲν γὰρ τοῦ ἡλίου ἐν ταῖς πανσελήνοις, καταφέρεται πρὸς τὸ ἀφανὲς ἡ σελήνη· δυομένου δὲ πάλιν τοῦ ἡλίου, αὕτη πολλάκις ἐξ ἀνατολῶν ἀντανίσχει. εἰ δὲ κατὰ τὰ ἄλλα σχήματα οὐ συναπαρτίζεται τῇ νυκτὶ τὸ σεληναῖον φῶς, οὐδὲν πρὸς τὸν προκείμενον λόγον. πλὴν ὅτι, ὅταν ἑαυτῆς τελειοτάτη τυγχάνῃ, κατάρχει μὲν τῆς νυκτὸς, τῷ ἰδίῳ φωτὶ τὰ ἄστρα ὑπεραυγάζουσα, καὶ τὴν γῆν περιλάμπουσα. ἐξίσου δὲ πρὸς τὸν ἥλιον τοῦ χρόνου διαιρεῖται τὰ μέτρα.

ιθ. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα τετάρτη.

κ. Καὶ εἶπεν ὁ Θεὸς, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κα-
Α τὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. καὶ ἐγένετο οὕτω.

ΒΑΣΙΛΕΙΟΥ. Νῦν πρῶτον ἔμψυχον καὶ αἰσθήσεως μέτοχον ζῶον δημιουργεῖται. φυτὰ γὰρ καὶ δένδρα κἂν ζῆν λέγηται διὰ τὸ μετέχειν τῆς θρεπτικῆς καὶ αὐξητικῆς δυνάμεως, ἀλλ' οὐχὶ καὶ ζῶα, οὐδὲ
» ἔμψυχα. τούτου τε ἕνεκεν, ἐξαγαγέτω τὰ
» ὕδατα ἑρπετά. πᾶν τὸ νηκτικὸν, κἂν τῇ
Β ἐπιφανείᾳ τοῦ ὕδατος ἐπινήχηται, κἂν διὰ βάθους τέμνῃ τὸ ὕδωρ, τῆς τῶν ἑρπηστικῶν ἐστὶ φύσεως.

** ΤΟΥ ΑΥΤΟΥ. Διατὶ ἐξ ὑδάτων καὶ τοῖς πτηνοῖς τὴν γένεσιν ἔδωκεν; Ὅτι ὥσπερ συγγένειά τίς ἐστι τοῖς πετομένοις πρὸς τὰ νηκτά. καὶ γὰρ ὥσπερ οἱ ἰχθῦς τὸ ὕδωρ τέμνουσι, τῇ μὲν κινήσει τῶν πτερυγίων εἰς τὸ πρόσω χωροῦντες, τῇ δὲ τῆς οὐρᾶς μεταβολῇ τάς τε περιστροφὰς καὶ
Γ τὰς εὐθείας ὁρμὰς ἑαυτοῖς οἰακίζοντες· οὕτω καὶ ἐπὶ τῶν πτηνῶν ἐστιν ἰδεῖν διανηχομένων τὸν ἀέρα τοῖς πτεροῖς κατὰ τὸν ὅμοιον τρόπον. ὥστε ἐπειδὴ ἓν ἰδίωμα ἐν ἑκατέροις τὸ νήχεσθαι, μία τις αὐτοῖς ἡ συγγένεια ἐκ τῆς τῶν ὑδάτων γενέσεως παρεσχέθη.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὰ μὲν φυτὰ πρὸ τῶν φωστήρων ἐποίησε, τὰ δὲ ζῶα μετὰ τοὺς φωστῆρας; Ὀφθαλμοὺς ἔχει
Δ τὰ ζῶα, καὶ τοῦ φωτὸς τὴν ὑπερβολὴν οὐκ ἂν ἤνεγκε. τοῦτο δὲ διανεμηθὲν εἰς τοὺς μικροὺς καὶ μεγάλους φωστῆρας, σύμμετρον τῇ ὄψει τῶν ζώων ἀφίησιν αἴγλην. τῶν δὲ φυτῶν ἡ φύσις αἰσθήσεως ἄμοιρος.

κα. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἐξήγαγε τὰ ὕδατα κατὰ γένος αὐτῶν, καὶ πᾶν πετεινὸν πτε-
Ε ρωτὸν κατὰ γένος.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι οὐ λέγει ἐξαγαγέτω τὰ ὕδατα κήτη, ἀλλ' ὅτι αὐτὸς αὐτὰ ἐποίησε. κήτη γὰρ πάντα τὰ ἐν τοῖς ἐνύδροις ὑπερμεγέθη καλεῖ· κἂν διαφορά τις εἶναι φαίνηται ἐν αὐτοῖς. ὅθεν προσέθηκε τὰ μεγάλα.

Καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλά.

** ΩΡΙΓΕΝΟΥΣ. Τὸ γὰρ εἶδεν ὁ Θεὸς
Ζ καθ' ἕκαστον τῶν κτισμάτων λεγόμενον, ὅτι καλὸν, τοιοῦτόν ἐστιν, ὅτι ἐνεῖδεν ὁ Θεὸς τοὺς λόγους ἑκάστου, καὶ εἶδε πῶς καθ' οὓς γέγονεν ἕκαστον τῶν κτισμάτων λόγους, ἐστὶ καλόν. εἰ δὲ μὴ οὕτω τὶς παραδέχεται τὸ, εἶδεν ὁ Θεὸς, ὅτι καλὸν, διηγησάσθω πῶς
» ἐν τῷ, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυ-
» χῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς

Ἐξ ἀκαλαρρείταο βαθυρρόου ὠκεανοῖο,
Οὐρανὸν εἰσανιών· οἱ δ' ἤντεον ἀλλήλοισιν. Ἰλιάδ. η. 421, 422 καὶ 423.
Δύσετο δ' ἠέλιος, τετέλεστο δ' ἔργον Ἀχαιῶν. αὐτ. 465.
Ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει. Ἰλιάδ. Θ. 68.

(1) Ἴσ. εἰς δύσιν πεπηγότα, ἢ ἐμπεπηγότα; ἢ ἀπεπηγότα. ἀλλὰ καὶ οὕτως; ἀτελὴς ἡ ἔννοια. ἐλλείπει γάρ τι ὡς δοκεῖ.

γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ σώζεται τό, εἶδεν ὁ Θεός, ὅτι καλόν. καὶ μάλιστα ἐπεὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα, ὁ λόγος ὁ περὶ ἑκάστου τούτων ἐστὶν ὁραθεὶς Θεῷ τὸ καλόν.

κβ. Καὶ εὐλόγησεν αὐτὰ ὁ Θεός, λέγων, αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα τὰ ἐν ταῖς θαλάσσαις· καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς.

ΓΕΝΝΑΔΙΟΥ. Ἐπὶ τῶν δένδρων, καὶ τῶν σπερμάτων τὴν αὐτὴν ταύτην ὁ Θεὸς ῥητῶς εὐλογίαν οὐκ ἐποιήσατο· καίτοι κἀκείνων ἐν τῇ διαδοχῇ τήντε διαμονὴν ἐχόντων καὶ τὴν ἐπίδοσιν. τί ποτε οὖν ἄρα τούτου τὸ αἴτιον; ἐμοὶ δοκεῖ, ὅτι παιδεῦσαι ἡμᾶς ταύτῃ βουλόμενος, πρῶτον μέν, ὅτι πλείων αὐτῷ λόγος ἐστὶ τῶν αἰσθήσεώς τε καὶ ζωῆς μετεχόντων, ἤπερ τῶν αἰσθητῶν· ἔπειτα, ὅτι τοῖς σπέρμασι μὲν καὶ δένδροις ὁ Θεὸς τὴν ἐκ τῆς διαδοχῆς διαμονήν, ἐκ τῆς γεωργίας δέδωκεν ἔχειν· τοῖς δέγε ζώοις πᾶσιν, ἐκ τῆς πρὸς ἄλληλα συνουσίας. ὅπως τοίνυν μὴ προαιρετικαῖς ὁρμαῖς δοκῇ ἐμποιεῖσθαι τήνδε τὴν κίνησιν, συνωθεῖσθαι δὲ μᾶλλον πρὸς τοῦτο τῷ προστάγματι τοῦ ποιήσαντος εἰς τὴν τοῦ γένους διαμονήν, εἰκότως ταύτην τὴν εὐλογίαν ῥητῶς ἐπὶ τούτων ἐποιήσατο.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν τὰ μὲν φυτά, οὐκ εὐλόγησε· τοῖς δὲ ζώοις ἔφη, αὐξάνεσθε, καὶ τὰ ἑξῆς; Τῶν λειμώνων, καὶ τῶν ληΐων, καὶ τῶν παντοδαπῶν βοτανῶν τε καὶ δένδρων εὐθὺς ἐθελήσας τὴν γῆν ἐπλήρωσεν ἅπασαν· τὰ δέγε ἄλογα ζῶα ἀνὰ δύο παρήγαγεν. εἰκότως τοίνυν αὐτοῖς τὴν εὐλογίαν προσήνεγκεν, ἵνα διὰ τῆς πολυγονίας τὰ μέν, πελάγη καὶ λίμνας καὶ ποταμούς· τὰ δέ, τὸν ἀέρα· τὰ δέ, πληρώσῃ τὴν γῆν.

ΔΙΟΔΩΡΟΥ. Ἴσως ἐπειδὴ τὰ μέν, εἰ καὶ ζῇ, ἀλλὰ ζωὴν ἀναίσθητον· τὰ δέ, αἰσθητικήν τε καὶ φανταστικὴν ἐπιδεχόμενα ἀλλήλοις, διὰ τῆς αὐξάνεσθε καὶ πληθύνεσθε φωνῆς, τὴν ἀσφάλειαν ἑκάστῳ παρέχει· ὥστε μηδὲν γένος ἀσθενέστερον ἐκλείπειν, ὑπὸ τοῦ δυνατωτέρου καταναλισκόμενον. καὶ ἄλλως δὲ τὸ μᾶλλον ἐγγύτερον ἀνθρώπων κατὰ τὴν σωματικὴν ζωὴν ἔδει πλέον χόρτου τε καὶ ξύλων τετιμῆσθαι, καὶ τὰ ἐσθίοντα τῶν ἐσθιομένων.

κγ. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα πέμπτη.

κδ. Καὶ εἶπεν ὁ Θεός, ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος· τετράποδα, καὶ ἑρπετά, καὶ θηρία τῆς γῆς κατὰ γένος, καὶ τὰ κτήνη κατὰ γένος· καὶ πάντα τὰ ἑρπετὰ A τὰ τῆς γῆς κατὰ γένος. καὶ ἐγένετο οὕτω.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὰ θηρία, καὶ τὰ ἑρπετὰ πεποίηκεν ὁ Θεός; Δεῖται τὰ παιδία καὶ μορμολυκείων, καὶ ἱμάντων, καὶ ῥάβδων. καὶ τοῖς μὲν αὐτὰ δεδιττόμεθα, τοῖς δὲ καὶ παιδεύομεν· ἑκάτερα δὲ δρῶμεν, πᾶσαν αὐτοῖς εὐταξίαν πραγματευόμενοι. ἐπειδὴ τοίνυν προεῖδεν ἡμᾶς ὁ δε- B σπότης Θεὸς εἰς ῥᾳθυμίαν ἐγκλίναντας, (1) οἷον ἱμάντας τινὰς καὶ μορμολύκεια προκατεσκεύασε τὰ θηρία· ἵνα τούτοις ἡμᾶς δεδιττόμενος, πρὸς ἑαυτὸν ἕλκῃ, καὶ καλεῖν εἰς συμμαχίαν παρασκευάζῃ. ἀλλ' ὥσπερ οἱ τέλειοι καὶ τῶν μορμολυκείων, καὶ τῶν ἱμάντων καταφρονοῦσιν, οὕτως οἱ τῆς ἀρετῆς τρόφιμοι τὰς τῶν θηρίων οὐ δειμαίνουσι προσβολάς. καὶ γὰρ τῷ Ἀδὰμ πρὸ τῆς ἁμαρτίας παρέστη τὰ θηρία τὴν Γ δουλείαν ὁμολογοῦντα. καὶ τῷ Νῶε πάλιν εἰς τὴν κιβωτὸν εἰσιόντι δίκην προβάτων καὶ λέων ἠκολούθει, καὶ πάρδαλις, καὶ τῶν ἑρπετῶν τὰ πικρότατα. καὶ τῷ Δανιὴλ παρειστήκεισαν οἱ λέοντες ὀρεγόμενοι μὲν τροφῆς, πελάσαι δὲ μὴ τολμῶντες. τοὺς γὰρ θεοειδεῖς τῆς θείας εἰκόνος ἑώρων ἐν αὐτῷ χαρακτῆρας. οὕτως ἔχις τῇ τοῦ Ἀποστόλου χειρὶ ἐμβαλοῦσα, καὶ τῆς ἁμαρτίας τὸ χαῦνον καὶ χαλαρὸν οὐχ εὑροῦσα, ἀπε- Δ πήδησε παραυτίκα, καὶ κατὰ τῆς πυρᾶς ἥλατο, ὥσπερ δίκας ἑαυτὴν εἰσπραττομένη, ὅτι τῷ μηδαμόθεν προσήκοντι προσέβαλε σώματι. ἡμεῖς δὲ τὰ θηρία δεδοίκαμεν, ἐπειδὴ τῆς ἀρετῆς τὴν πολιτείαν οὐκ ἔχομεν. καὶ οὕτω δὲ ῥᾳθυμούντων κηδόμενος ὁ Θεός, ἐρημοτέρους ἐκείνοις ἀπεκλήρωσε τόπους, καὶ τὸν τῆς νυκτὸς αὐτοῖς „ καιρὸν ἀπένειμεν εἰς διατροφήν. ἐν αὐτῇ „ γάρ φησι διελεύσονται πάντα τὰ θηρία E „ τοῦ δρυμοῦ. (Ψαλ. 103. 20.) τοῖς ἑρπετοῖς δὲ τοὺς ἐν τῇ γῇ δέδωκε χηραμούς· ὅπως ἐν ἐκείνοις ἐγκρυπτόμενα, μὴ λυμαίνωσι τῶν ἀνθρώπων τὸ γένος. ἵνα δὲ μὴ παντάπασιν ἀλώβητοι διαμένοντες, καταφρονῶμεν, ὡς βλάπτειν ἥκιστα δυναμένων, ἔστιν ὅτε συγχωρεῖ δύο τινάς, ἢ τρεῖς ἐκ πολλῶν μυριάδων ὁ σοφῶς τὰ καθ' ἡμᾶς πρυτανεύων ὑπὸ σκορπίων κεντᾶσθαι, ἢ ὑπὸ ὄφεων δάκνεσθαι, ἵνα ἡμεῖς ὡς δεδιότες μήτι παραπλήσιον πά- Z θοιμεν, εἰς ἐπικουρίαν καλῶμεν τὸν πεποιηκότα Θεόν, καὶ ὑπὸ τῆς πανάλκους ἐκείνης προμηθείας φρουρεῖσθαι παρακαλῶμεν. ἄλλωστε, οὐδὲ ἐν τοῖς ἄλλοις ἡμῖν ἄχρηστα τὰ θηρία. πολλὰ γὰρ καὶ ἐκ τούτων ἀλεξίκακα ἰατρῶν παῖδες κατασκευάζουσι φάρμακα. μηδεὶς τοίνυν καθ' ἑαυτὸ τὸ θηρίον ἐτάζων, ἐπιμεμφέσθω τῷ ποιητῇ, ἀλλὰ τὴν χρείαν ἐπιζητείτω. ἐπεὶ καὶ τὸ σῶμα τὸ ἀνθρώπινον πολλὴν ἔχει H καὶ ὥραν, καὶ ἁρμονίαν, καὶ τῶν μορίων τὴν χρείαν, ἀλλ' ἔχει καὶ κόρυζαν, καὶ πτύελον, καὶ δυσώδη κόπρον ἐκκρινομένην.

(1) Ἐγκλινοῦντας ἡ ἐν ἄλλῃ ἐκδ.

A ἀλλ' οὐδεὶς εὖ φρονῶν ἀπὸ τούτων διαβάλλει τὸ ζῶον. δίχα γὰρ τούτων βιῶναι τῶν ἀδυνάτων. διὰ γὰρ τούτων ἀρδόμενον, τέθηλε. χρήζει γὰρ καὶ φλέγματος, καὶ αἵματος, καὶ χολῆς ἑκατέρας. ἀλλ' ὥσπερ διὰ τούτων συνέστηκεν, οὕτω καὶ διὰ τούτων διόλλυται. ἑνὸς γὰρ τῶν εἰρημένων ἢ πλεονασμὸς, ἢ ἔνδεια διολλύει τὸ ζῶον. οὕτω πάλιν εἴτις μίαν τῶν δακτύλων ἐκτέμοι σκυταλίδα, ὄψεται παντελῶς αὐτὴν ἄχρηστον, ἀλλὰ συνημμένη πλείστην παρέχει τῷ B σώματι χρείαν. οὕτω τοίνυν καὶ ἡμᾶς προσήκει ποιεῖν· μὴ αὐτὸ καθ' ἑαυτὸ ἕκαστον μέρος τῆς κτίσεως ἐξετάζειν, ἀλλὰ ζητεῖν εἰ τῷ παντὶ χρήσιμον. ἐπεὶ καὶ τὸ πῦρ καυστικόν ἐστι, καὶ οὐ μόνον σώματα διαφθείρει, ἀλλὰ καὶ οἴκους ἐμπίπρησι, καὶ πλοῖα, καὶ λήϊα. ἀλλ' ὅμως ἕν ἐστι τῶν τεσσάρων στοιχείων, δι' ὧν τὰ πάντα συνήρμοσται, καὶ δίχα τούτου τὴν θνητὴν φύσιν διαβιῶναι τῶν Γ ἀδυνάτων. καὶ ὕδωρ ὡσαύτως ἐπικλύζει τὴν γῆν, οἰκίας καταλύει, παμπόλλους τῶν ναυτιλλομένων διόλλυσι, λυμαίνεται δὲ καὶ τοὺς ἀκαίρως, ἢ ἀμέτρως πίνειν ἀνεχομένους. ἀλλ' οὐδεὶς μὴ κομιδῇ παραπαίων ὀλέθριον τὸ ὕδωρ ὠνόμασε. τοῦτο γὰρ καὶ τὴν γῆν ἄρδει, καὶ τὰ φυτὰ τρέφει, καὶ τὰ ἄλογα ζῶα, καὶ τῶν ἀνθρώπων τὴν φύσιν. οὕτω τοίνυν καὶ τῶν ἄλλων ἕκαστον ἐξετάζωμεν, μὴ αὐτὸ καθ' ἑαυτὸ βασανίζοντες, εἴτε λυμαντικόν ἐστιν, εἴτε ὠφέλιμον, Δ ἀλλ' εἰ τῷ κοινῷ συντελεῖ τινὰ χρείαν. καὶ θηρία αἰδεῖται μὲν τὸν ἄνθρωπον διὰ τὴν ἐξ ἀρχῆς δοθεῖσαν αὐτῷ καθ' αὐτῶν ἐξουσίαν· ὡς παραβεβηκότος δὲ τὸν θεῖον νόμον ἐστὶν ὅτε καταφρονεῖ. καὶ γὰρ οἱ πονηροὶ δοῦλοι διαπτύειν εἰώθασι τοὺς ἰθύνειν αὐτοὺς παρὰ τῶν δεσποτῶν κεκελευσμένους, ὅταν ἴδωσι διὰ πλημμελήματα παῤῥησίας ἐστερημένους.

E *ΒΑΣΙΛΕΙΟΥ. Ἐξαγαγέτω ἡ γῆ ψυχὴν, οὐ τὴν ἐναποκειμένην, πῶς γὰρ τὴν μὴ οὖσαν; ἀλλὰ τὴν δεδομένην αὐτῇ παρὰ τοῦ Θεοῦ διὰ τῆς ἐπιταγῆς.

* ΤΟΥ ΑΥΤΟΥ. Διατί ἡ γῆ ψυχὴν ἐξάγει; Ἵνα μάθῃς τὴν διαφορὰν ψυχῆς Λευϊτ. 17. 11. κτήνους, καὶ ψυχῆς ἀνθρώπου. ἐπειδὴ κατὰ τὸ γεγραμμένον, „παντὸς ζώου ἡ ψυχὴ „τὸ αἷμα αὐτοῦ ἐστίν.

Z ΣΕΥΗΡΟΥ. Διατί ἐκεῖ μὲν εἶπε βλαστησάτω, ἐνταῦθα δὲ ἐξαγαγέτω; Τὰ βλαστήματα, καὶ τὰ ξύλα, καὶ οἱ καρποὶ κατ' ἐνιαυτὸν βλαστάνουσιν. ἐπειδὴ οὖν ἔμελλε τὰ φυτὰ παραμένειν τῇ γῇ, καὶ πάντοτε ἐξ αὐτῆς προέρχεσθαι, διὰ τοῦτο, βλαστησάτω. τὰ μέντοι ζῶα, ἐξαγαγέτω· ἐπειδὴ ἅπαξ ἀπὸ γῆς γεννηθέντα, οὐκ ἔτι πάλιν ἀπὸ γῆς, ἀλλ' ἀπὸ τῶν H διαδοχῶν τίκτονται.

κε. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία κατὰ γένος, καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν. (1) Καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλά.

ΓΕΝΝΑΔΙΟΥ. Τίνος χάριν ἐν τῇ πέμπτῃ ἡμέρᾳ τά τε νηκτὰ καὶ πτηνὰ προελθεῖν ἐκ τῶν ὑδάτων εἰπὼν, ἐν τῇ ἕκτῃ τὰ χερσαῖα παραχθῆναι προστάττει, ὅτε μέλλει καὶ τὸν ἄνθρωπον κατὰ τὴν ἡμέραν ταύτην ἐκ τῆς γῆς διαπλάττειν; Ἐπειδὴ τοίνυν πάντα μὲν ὁμοίως τοῦ ἀνθρώπου χάριν γεγένηται, ἅπαντα δὲ ὁμοίως τὴν αὐτὴν αὐτῷ χρείαν παρέχει, (2) (τὰ μὲν γὰρ ἐκ τῶν ὑδάτων εἰς μόνην αὐτῷ τροφήν ἐστιν ἐπιτήδεια, ταῦτα δὲ, (3) καὶ πρὸς ἄλλων ὑπηρεσίαν πλειόνων, ὧν ἐνίων ἐκτὸς οὐδὲ ζῆν ἐδυνάμεθα.) καλῶς ὁ ποιητὴς Θεὸς ἔχειν ἡγήσατο, τὰ μᾶλλον ἡμῖν ἀναγκαιότερα, καὶ πλέον πως πρὸς τὴν χρείαν ἐγγίζοντα, ταῦτα καὶ ἐν ἡμέρᾳ τῇ αὐτῇ, καὶ ἐκ γῆς τῆς αὐτῆς ἡμῖν ὑποστήσασθαι. πεποίηκέ γε μὴν ἐν ἀμφοτέροις ἡμῖν καὶ παντάπασιν ἄχρηστα, μᾶλλον δὲ καὶ ἐπίφοβα, ἵνα μὴ τὴν ἄλλως ἁπλῶς βρενθυώμεθα, μηδὲ τοῦ μετρίου πέρα φρονοίημεν, αἰτίαν δὲ (4) ἁπάντων τοῦ γεγονέναι αὐτὰ τὴν ἡμετέραν χρείαν νομίζοντες. εἰδείημεν δὲ ἀκριβῶς ἐκ τούτων μανθάνοντες, ὅτι μὴ Θεοῦ βουληθέντος, οὐδὲ τῶν ἄλλων ἡμῖν οὐδὲν ὑπετέτακτο, ἀλλὰ τοῖς ἀνημέροις καὶ ταῦτα παραπλησίως ὁρμαῖς ἐξαγριαινόμενα θηριώδεσι, μᾶλλον ἂν ἡμᾶς ἐθανάτουν.

κϛ. Καὶ εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνι ὁ Θεὸς εἴρηκε ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν; Τινὲς μὲν τῶν δυσωνύμων αἱρετικῶν πρὸς τοὺς Ἀγγέλους αὐτὸν εἰρηκέναι, καὶ τοὺς πονηροὺς δαίμονας ἔφασαν· οὐ συνιέντες οἱ ἐμβρόντητοι τὸ κατ' εἰκόνα ἡμετέραν. Θεοῦ γὰρ οὐσία καὶ Ἀγγέλων οὐ μία, οὔτε εἰκὼν ἡ αὐτή. ὁ μὲν γὰρ, ἀΐδιον ἔχει τὴν φύσιν· οἱ δὲ, αὐτὸν ἔχουσι ποιητὴν καὶ δημιουργὸν, παρ' αὐτοῦ δεδεγμένοι τὸ εἶναι. οἱ δὲ δαίμονες καὶ εἰς πονηρίαν ἑκόντες ἐτράπησαν. ἀνοίας τοίνυν ἐσχάτης τὸ μίαν ὑπολαβεῖν εἰκόνα τῶν παμπονήρων δαιμόνων, καὶ τοῦ πελάγους τῆς ἀγαθότητος. Ἰουδαῖοι δὲ εἰς ἑτέραν ἐξώκειλαν παραφροσύνην. φασὶ γὰρ πρὸς ἑαυτὸν εἰρηκέναι τὸν τῶν ὅλων Θεὸν τὸ, ποιήσωμεν ἄνθρωπον, κατά τινα μίμησιν τῶν τὰς μεγάλας πεπιστευμένων ἀρχάς. καὶ γὰρ ὕπαρχοι, καὶ στρατηγοὶ πληθυντικῶς εἰώθασι λέγειν, κελεύομεν, καὶ γράφομεν, καὶ προστάττομεν, καὶ ὅσα τοιαῦτα.

(1) Τὸ, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος, οὐ κεῖται ἐν τῷ κώδικι. διὰ τοῦτο οὐκ ἐτέθη.
(2) Ἀνάγν. οὐ παρέχει. (3) Ἴσ. τὰ δέ.
(4) Ἤτοι τὸ δὲ περιττὸν, ἢ τὸ, νομίζοντες ἀναγνωστέον νομίζοιμεν.

τοιαῦτα. καὶ οὐ συνεῖδον οἱ παραπλῆγες,
ὡς ἑνικῶς τὰ πλεῖστα ὁ τῶν ὅλων λέγει
Γεν. 6. 13. Θεός. καιρὸς γάρ φησι παντὸς ἀνθρώπου
Γεν. 6. 6. 7. ἥκει ἐναντίον μου. καὶ, ἐνεθυμήθην ὅτι
„ ἐποίησα τὸν ἄνθρωπον. καὶ, ἀπαλείψω
Ἐξόδ. 20. 3. τὸν ἄνθρωπον. καὶ, οὐκ ἔσονταί σοι Θεοὶ
Ἡσ. 43. 19. ἕτεροι πλὴν ἐμοῦ. καὶ, ἰδοὺ ἐγὼ ποιῶ και-
Ἡσ. 41. 18. νὰ, ἃ νῦν ἀνατελεῖ. καὶ, ἀνοίξω ἐπὶ τῶν
„ ὀρέων πηγὰς, καὶ ἐπὶ τῶν βουνῶν ποτα-
μούς. καὶ ἐν πάσῃ δὲ ὡς ἐπίπαν τῇ θείᾳ
γραφῇ ἑνικῶς ἐστιν ἀκούειν τοῦ τῶν ὅλων
Θεοῦ διαλεγομένου. ὀλιγάκις δὲ πληθυν-
τικῶς τὴν διάλεξιν σχηματίζει, τῶν τῆς
Τριάδος προσώπων ἐμφαίνων τὸν ἀριθμόν.
καὶ γὰρ ἡνίκα τὰς γλώσσας συνέχεεν, οὐχ
ἑνικῶς εἶπε, καταβήσομαι, καὶ συγχεῶ
Γεν. 11. 7. τὰς γλώσσας αὐτῶν· ἀλλὰ, δεῦτε καὶ κα-
„ ταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας.
καὶ ἐνταῦθα τοίνυν, ἐπειδὴ τὸ λογικὸν
διέπλαττε ζῶον, ὃ μετὰ πολλὰς ἀνακαινί-
ζειν ἔμελλε γενεὰς, ταῖς τῆς ἁγίας Τριά-
δος ἐπικλήσεσι τελεσιουργῶν τὸ πανάγιον
βάπτισμα, μέλλων δημιουργεῖν τὴν ἐκεῖνα
παραληψομένην τὰ μυστήρια φύσιν, αἰνιγ-
ματωδῶς καὶ τὸ ταυτὸν τῆς οὐσίας, καὶ τὸν
τῶν προσώπων παρεδήλωσεν ἀριθμόν. τῷ
φάναι μὲν γὰρ, εἶπεν ὁ Θεὸς, τὸ κοινὸν τῆς
θείας δεδήλωκε φύσεως· ἐπαγαγὼν δὲ τὸ,
ποιήσωμεν, ἐνέφηνε τῶν προσώπων τὸν
ἀριθμόν. οὕτω πάλιν ἑνικῶς μὲν εἰπὼν τὴν
εἰκόνα, τὸ ταυτὸν τῆς φύσεως ἔδειξεν·
οὐ γὰρ εἶπε κατ' εἰκόνας, ἀλλὰ κατ' εἰκόνα·
ἡμετέραν δὲ εἰρηκὼς, τὸν τῶν ὑποστάσεων
δεδήλωκεν ἀριθμόν. ἅπαντα γὰρ προο-
ρῶν ὁ τῶν ὅλων Θεὸς ὡς ἤδη γεγενημένα
τὰ μήπω γεγενημένα, καὶ προθεωρῶν τὴν
τοῦ μονογενοῦς σάρκωσίν τε καὶ ἐνανθρώπη-
σιν, καὶ ὡς ταύτην τὴν φύσιν ἐκ παρθένου
λήψεται, καὶ οὕτως ἑαυτῷ συνάψει τε καὶ
ἑνώσει, ὡς ἓν πρόσωπον Θεοῦ τε καὶ ἀνθρώ-
που νοεῖσθαι, καὶ μίαν αὐτῷ προσκύνησιν
παρὰ τῆς κτίσεως ἁπάσης προσφέρεσθαι·
μάλα εἰκότως καὶ αὐτὴν τοῦ γένους τὴν κρη-
πῖδα τιμῆς μεγίστης ἠξίωσε. καὶ πρῶτον
βουλὴν τῆς δημιουργίας προτάξας, ἵνα τοῦ
δημιουργουμένου τὸ λογικὸν προσημάνῃ· εἶ-
τα τῶν προσώπων παραδηλώσας τὸν ἀριθ-
μὸν, ἵνα τοὺς ὕμνους ὁ μέλλων προσφέρειν
ἐπὶ τῆς γῆς λάβῃ θεολογίας αἰνίγματα·
καὶ οἱονεὶ αὐτουργὸς τῆς διαπλάσεως γενό-
μενος, ἔδειξε τὴν πλείονα περὶ τὸ πλάσ-
Ἰώβ. 10. 8. μα φιλοστοργίαν. τοῦτο καὶ Ἰὼβ ὁ γενναῖος
„ πρὸς αὐτὸν βοᾷ λέγων, αἱ χεῖρές σου
„ ἐποίησάν με καὶ ἔπλασάν με. τούτοις ἐχρή-
Ψαλ. 118. 73. σατο τοῖς λόγοις καὶ ὁ θεῖος Δαβίδ. τοῦ-
το καὶ ὁ τοῦ ἁγίου βαπτίσματος ἀξιούμενος
γινώσκει σαφῶς, ὡς ὁ πλάσας διέσωσε, καὶ
ὁ σώσας διέπλασε. πρὸς δὲ τούτοις καὶ
Ἡσ. 64. 8. αὐτὸς ὁ δημιουργὸς, καὶ διὰ Ἱερεμίου καὶ
Ἱερ. 18. 6. διὰ Ἡσαΐου φησὶν, ὅτι ἡμεῖς πηλὸς, αὐτὸς
„ δὲ πλάστης ἡμῶν. ἀλλ' οὔτε χεῖρας ἔχειν
τὸ θεῖον, οὔτε δεῖσθαι βουλῆς τινὸς καὶ προ-
θεωρίας φαμὲν, ἵνα κατὰ τοὺς Πλάτωνος
μύθους, πρὸς τὴν τῆς ἐνθυμήσεως ἰδέαν
κατασκευάσῃ τὸ ποίημα. ἀλλὰ τούτων
A ἕκαστον τὴν πλείονα τοῦ Θεοῦ περὶ τόδε τὸ
ζῶον κηδεμονίαν δηλοῖ.

ΤΟΥ ΑΥΤΟΥ. Τί ἐστι τὸ κατ' εἰκόνα;
Τινὲς τὸ ἀόρατον τῆς ψυχῆς εἰκόνα Θεοῦ
κεκλήκασιν, ἀλλ' οὐκ ἀληθῶς εἰρήκασιν.
εἰ γὰρ εἰκὼν τοῦ Θεοῦ τῆς ψυχῆς τὸ ἀόρα-
τον, μᾶλλον εἰκόνες τοῦ Θεοῦ κληθεῖεν Ἄγ-
γελοι, καὶ Ἀρχάγγελοι, καὶ πᾶσαι αἱ ἀσώ-
ματοι καὶ ἅγιαι φύσεις· ἅτε δὴ παντά-
B πασι σωμάτων ἀπηλλαγμέναι, καὶ ἀμι-
γὲς τὸ ἀόρατον ἔχουσαι. τινὲς δὲ ὑπὸ
πολλῆς εὐηθείας τὸ σῶμα τὸ ἀνθρώπινον
κατ' εἰκόνα Θεοῦ γεγενῆσθαί φασιν· ἐπειδὴ
„ τῆς θείας λεγούσης ἐπακούουσι φωνῆς, ἄνοι- 4. Βασ. 19. 16.
„ ξον τοὺς ὀφθαλμούς σου καὶ ἴδε, καὶ κλῖνον
„ τὸ οὖς σου καὶ ἐπάκουσον· καὶ, ὠσφράνθη Γεν. 8. 21.
„ Κύριος ὀσμὴν εὐωδίας· καὶ, τὸ στόμα Κυ- Ἡσ. 1. 20.
„ ρίου ἐλάλησε ταῦτα· καὶ, ἐν τῇ χειρὶ αὐ- Ψαλ. 94. 4.
„ τοῦ τὰ πέρατα τῆς γῆς· καὶ ὅσα τοιαῦτα.
Γ καὶ οὐ συνεῖδον οἱ ἄγαν ἠλίθιοι, ὡς ἀνθρώ-
ποις δι' ἀνθρώπων διαλεγόμενος ὁ δεσπό-
της Θεὸς, τῇ τῶν ἀκουόντων ἀσθενείᾳ τοὺς
λόγους μετρεῖ. καὶ ἐπειδὴ δι' ὀφθαλμῶν
ὁρῶμεν ἡμεῖς, τὴν ὀπτικὴν αὐτοῦ δύναμιν
ὀφθαλμοὺς ὀνομάζει· καὶ αὖ πάλιν τὴν ἀ-
κουστικὴν, ὦτα, ἐπειδὴ διὰ τῶνδε τῶν μο-
ρίων ἀκούομεν· καὶ τὸ πρόσταγμα, στόμα.
ἔδει δὲ αὐτοὺς, μὴ τούτων μόνον ἀκούειν τῶν
λόγων, ἀλλὰ καὶ τῶν τὸ ἀπερίγραφον τοῦ
Δ „ Θεοῦ διδασκόντων. ποῦ γάρ φησι πορευθῶ Ψαλ. 138. 7.
„ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προ-
„ σώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν
„ οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν
„ ᾅδην, πάρει· καὶ τὰ ἑξῆς. καὶ τῇ Σαμα-
„ ρείτιδι ὁ Κύριος ἔφη, πνεῦμα ὁ Θεὸς, καὶ Ἰωάν. 4. 24.
„ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ
„ ἀληθείᾳ δεῖ προσκυνεῖν. εἰ δὲ πνεῦμα ὁ
Θεὸς, ἁπλοῦς ἄρα, καὶ ἀσύνθετος, καὶ
ἀσχημάτιστος. ἀλλὰ γὰρ περιττὸν τοῦτον
E μηκύνειν τὸν λόγον. δήλη γὰρ τούτων ἡ
„ ἄνοια. τὸ τοίνυν ποιήσωμεν ἄνθρωπον κατ'
„ εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν τινὲς
τῶν διδασκάλων οὕτως ἐνόησαν· ὅτι τὴν
κτίσιν τήν αἰσθητήν τε καὶ νοητὴν πεποιη-
κὼς ὁ τῶν ὅλων Θεὸς, τὸν ἄνθρωπον ἔπλα-
σεν ἔσχατον, οἷόν τινα εἰκόνα ἑαυτοῦ ἐν
μέσῳ τεθεικὼς τῶν ἀψύχων τε καὶ ἐμψύ-
χων, καὶ αἰσθητῶν καὶ νοητῶν· ἵνα τὰ μὲν
ἄψυχά τε καὶ ἔμψυχα, τούτῳ προσφέρῃ
Z ὥσπερ τινὰ φόρον τὴν χρείαν· αἱ δὲ νοη-
ταὶ φύσεις, ἐν τῇ περὶ τοῦτον κηδεμονίᾳ
τὴν περὶ τὸν πεποιηκότα δεικνύωσιν εὔ-
νοιαν. τοῦτο γὰρ καὶ ὁ θεῖος Ἀπόστολος
„ ἔφη· οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύ- Ἑβρ. 1. 14.
„ ματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς
„ μέλλοντας κληρονομεῖν σωτηρίαν; καὶ ὁ
„ Κύριος ἐν εὐαγγελίοις, ὁρᾶτε μὴ κατα- Ματθ. 18. 10.
„ φρονήσητε ἑνὸς τῶν μικρῶν τούτων τῶν
„ ἐλαχίστων. ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι οἱ
H „ Ἄγγελοι αὐτῶν καθ' ἡμέραν ὁρῶσι τὸ πρό-
„ σωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. τινὲς
δὲ κατ' εἰκόνα Θεοῦ κατὰ τὸ ἀρχικὸν γε-
γενῆσθαι τὸν ἄνθρωπον ἔφασαν, τεκμη-
ρίῳ κεχρημένοι σαφεστάτῳ, τῷ τὸν ποιη-

» τὴν ἐπαγαγεῖν, καὶ ἀρχέτωσαν τῶν ἰχ-
» θύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ
» οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς
» γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόν-
» των ἐπὶ τῆς γῆς. ὥσπερ γὰρ αὐτὸς τῶν
ὅλων ἔχει τὴν δεσποτείαν, οὕτω δέδωκε τῷ
ἀνθρώπῳ τῶν ἀλόγων ζώων τὴν ἐξουσίαν.
ἔστι δὲ καὶ ἄλλα εὑρεῖν ὡς ἀρχετύπου μιμή-
ματα. δημιουργεῖ γὰρ ὁ ἄνθρωπος κατὰ
μίμησιν τοῦ πεποιηκότος Θεοῦ καὶ οἰκίας,
καὶ τείχη, καὶ πόλεις, καὶ λιμένας, καὶ ναῦς,
καὶ νεώρια, καὶ ἅρματα, καὶ ἕτερα μυρία·
οἷον οὐρανοῦ ἐκτυπώματα, καὶ ἡλίου, καὶ
σελήνης, καὶ ἀστέρων, καὶ ἀνθρώπων ἰν-
δάλματα, καὶ ζώων ἀλόγων εἰκόνας· ἀλλ'
ἄπειρον τὸ τῆς δημιουργίας διάφορον. ὁ
μὲν γὰρ τῶν ὅλων Θεὸς καὶ ἐξ ὄντων, καὶ
ἐκ μὴ ὄντων δημιουργεῖ, καὶ δίχα πόνου καὶ
χρόνου· ἅμα γὰρ τῷ βουληθῆναι παράγει
τὸ δόξαν· ἄνθρωπος δὲ δεῖται ὕλης, δεῖ-
ται δὲ καὶ ὀργάνων, καὶ βουλῆς, καὶ ἐνθυ-
μήσεως, καὶ χρόνου, καὶ πόνου, καὶ τεχ-
νῶν ἑτέρων εἰς τὴν τοῦ γενομένου κατα-
σκευήν. ὁ γὰρ οἰκοδόμος δεῖται χαλκέως,
καὶ ὁ χαλκεὺς μεταλλέως καὶ ἀνθρακέως,
καὶ πάντες ὁμοῦ τῶν ὑλοτόμων. καὶ οἱ ὑλο-
τόμοι τῶν φυτουργῶν τε καὶ γεωργῶν· καὶ
οὕτως ἑκάστη τέχνη παρὰ τῶν ἄλλων τεχ-
νῶν τὴν οἰκείαν ἐρανίζεται χρείαν. ἀλλὰ
καὶ οὕτω δημιουργῶν ὁ ἄνθρωπος μιμεῖται
ἀμηγέπως τὸν ποιητήν, ὡς εἰκὼν τὸ ἀρ-
χέτυπον. καὶ γὰρ ἡ εἰκὼν ἔχει τὰ τοῦ ἀρ-
χετύπου ἰνδάλματα. ἀλλὰ τὸ μὲν τῶν μο-
ρίων εἶδος ἔχει, τὰς δὲ ἐνεργείας οὐκ ἔχει.
ἐστέρηται γὰρ ψυχῆς, δι' ἧς κινεῖται τὸ
σῶμα. οὕτω πάλιν καὶ βασιλεύει ὁ ἄνθρω-
πος, καὶ κρίνει κατὰ μίμησιν τοῦ τῶν ὅλων
Θεοῦ. ἀλλ' ὁ μὲν Θεὸς οὐ κατηγόρων (1)
δεῖται δικάζων· οὕτω γὰρ καὶ τὸν Κάϊν κα-
τέκρινεν, ὡς αὐτόπτης τοῦ μύσους γεγενη-
μένος· ὁ δὲ ἄνθρωπος κρίνων, καὶ μαρτύ-
ρων δεῖται, καὶ κατηγόρων· ἀγνοεῖ γὰρ τὰ
γεγενημένα. οὕτω καὶ Θεὸς ὁ ἄνθρωπος
ὠνομάσθη, ἐπειδὴ εἰκὼν προσηγορεύθη
1. Κορ. 11. 7. Θεοῦ. ἀνὴρ γὰρ οὐκ ὀφείλει, φησί, κατα-
» καλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δό-
» ξα Θεοῦ ὑπάρχων. ἀλλὰ πάλιν ὁ μὲν τῶν
ὅλων Θεὸς φύσιν ἔχει θείαν, οὐ προσηγο-
ρίαν ψιλήν· ὁ δὲ ἄνθρωπος, ὡς εἰκών,
τοὔνομα μόνον ἔχει, ἐστερημένον τοῦ πράγ-
ματος. οὕτω τὸ ἀπερίγραφον ἀληθῶς μὲν
καὶ κυρίως ἐστὶ τοῦ τῶν ὅλων Θεοῦ. μιμεῖ-
ται δὲ οὕτωπως αὐτὸ καὶ ὁ νοῦς ὁ ἀνθρώ-
πειος. ἐν ἀκαρεῖ γὰρ περινοστεῖ καὶ τὰ
ἑῷα, καὶ τὰ ἑσπέρια, καὶ τὰ βόρεια, καὶ τὰ
νότια, καὶ τὰ ἐπουράνια, καὶ τὰ ὑποχθό-
νια· ἀλλ' οὐ τῇ οὐσίᾳ, μόνῃ δὲ τῇ τοῦ λο-
γισμοῦ φαντασίᾳ. ὁ δέ γε Θεὸς καὶ τῇ οὐσίᾳ,
καὶ τῇ δυνάμει τὸ ἀπερίγραφον ἔχει.
εὕροι δ' ἄν τις καὶ ἑτέραν μίμησιν ἀκριβε-
στέραν ἐν τῇ τοῦ ἀνθρώπου πάλιν ψυχῇ.
ἔχει γὰρ αὐτὴ τὸ λογικόν, καὶ τὸ ζωτικὸν
ἐν ἑαυτῇ. καὶ γεννᾷ μὲν ὁ νοῦς τὸν λόγον,

Α πρόεισι δὲ τῷ λόγῳ πνεῦμα, οὐ γεννώμε-
νον καθάπερ ὁ λόγος, συμπαρομαρτοῦν δὲ
ἀεὶ τῷ λόγῳ, καὶ συμπροϊὸν γεννωμένῳ.
ἀλλὰ ταῦτα ὡς ἐν εἰκόνι πρόσεστι τῷ ἀν-
θρώπῳ. οὗ δὴ χάριν καὶ ἀνυπόστατος ὁ λό-
γος, καὶ τὸ πνεῦμά ἐστιν. ἐπὶ δὲ τῆς ἁγίας
Τριάδος τρεῖς νοοῦμεν τὰς ὑποστάσεις, καὶ
ἀσυγχύτως ἡνωμένας, καὶ καθ' ἑαυτὰς
ὑφεστώσας. γεγέννηται μὲν γὰρ πρὸ τῶν
αἰώνων ἐκ τοῦ πατρὸς ὁ Θεὸς λόγος, ἀχώ-
Β ριστος δέ ἐστι τοῦ γεννήσαντος. καὶ ἐκπο-
ρεύεται ἐκ τοῦ Θεοῦ καὶ πατρὸς τὸ πανά-
γιον πνεῦμα, νοεῖται δὲ καὶ ἐν ἰδίᾳ ὑπο-
» στάσει· πάντα γάρ φησιν ἐνεργεῖ τὸ ἓν 1. Κορ. 12. 11.
» καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ
» καθὼς βούλεται. ἀλλὰ περὶ τούτου μηκύνειν
τὸν λόγον οὐ δεῖ. μυρίας γάρ ἐστιν εὑρεῖν
ἀποδείξεις τούτου ἐν τῇ θείᾳ Γραφῇ.

ΣΕΥΗΡΙΑΝΟΥ. Τίνι εἶπεν ὁ Θεός,
Γ » ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέ-
ραν; ἢ τίς ὁ σύμβουλος; τὸ γὰρ ποιήσωμεν,
ὄψιν ἀπαιτεῖ συμβούλου. Λέγει τοίνυν Ἡ-
» σαΐας περὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, ὅτι Ἡσ. 9. 6.
» παιδίον ἐγεννήθη ἡμῖν υἱός, καὶ ἐδόθη ἡμῖν.
ἐγεννήθη παιδίον, υἱὸς ἐδόθη. τὸ μὴ ὄν,
ἐγεννήθη· τὸ ὄν, ἐδόθη. ὁ μέν, ἐγεννή-
» θη· ὁ δέ, ἐδόθη. καὶ καλεῖται τὸ ὄνομα
» αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος, τοῦ παι-
δίου· τοῦ υἱοῦ μέν, διὰ τὴν Θεότητα· παιδίου
Δ » δέ, διὰ τὴν ἀνθρωπότητα. θαυμαστὸς
» σύμβουλος. εἶδες τὸν σύμβουλον, ᾧ εἶπε,
ποιήσωμεν ἄνθρωπον; τί δέ ἐστι τὸ κατ' εἰ-
κόνα; Βούλεται ἡμᾶς μιμητὰς αὐτοῦ εἶναι
ὁ Θεὸς κατ' ἀρετήν. ὁ Θεὸς ἅγιος, ἐὰν
γενώμεθα ἅγιοι, κατ' εἰκόνα αὐτοῦ ἐσμέν.
» γίνεσθε γάρ φησιν οἰκτίρμονες, ὡς καὶ ὁ Λουκ. 6. 36.
» πατὴρ ὑμῶν ὁ οὐράνιος. εἶδες ποῦ ἡ εἰκών;
ὁ Παῦλος δὲ δεικνὺς τὴν εἰκόνα λέγει·
» ἀποδύσασθε τὸν παλαιὸν ἄνθρωπον, καὶ Κολασ. 3. 10.
Ε » ἐνδύσασθε τὸν νέον, τὸν κατὰ Θεὸν κτι-
» σθέντα εἰς ἐπίγνωσιν ἀληθείας, κατ' εἰκό-
» να τοῦ κτίσαντος αὐτόν. εἶδες, ὅτι ταῖς
ἀρεταῖς ἐπιγράφεται τὸ κατ' εἰκόνα; ἐν
τίνι δὲ ἡ εἰκών; ἐν ἐξουσίᾳ· λέγει γάρ·
» καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσ-
σης, καὶ τῶν πετεινῶν, καὶ τὰ ἑξῆς.

ΚΥΡΙΛΛΟΥ. Εἰ μὲν ἕτερον, καὶ ἕτε-
ρον εἶναί φασι τὸ κατ' εἰκόνα καὶ τὸ καθ'
ὁμοίωσιν, διδασκέτωσαν τὴν διαφοράν.
Ζ διακείμεθα γὰρ ἡμεῖς, ὡς οὐδὲν ἕτερον, τὸ
κατ' εἰκόνα δηλοῖ, πλὴν ὅτι τὸ καθ' ὁμοίω-
σιν· καὶ ὁμοίως τὸ καθ' ὁμοίωσιν, τὸ κατ'
εἰκόνα. τὴν δὲ πρὸς Θεὸν ὁμοίωσιν ἐλά-
χομεν ἐν πρώτῃ κατασκευῇ, καὶ ἐσμὲν εἰ-
κόνες Θεοῦ. δεκτικὴ γάρ, ὡς ἔφημεν, ἡ
τοῦ ἀνθρώπου φύσις καὶ ἀγαθότητος, καὶ
δικαιοσύνης, καὶ ἁγιασμοῦ, καὶ τὴν ἐν τού-
τοις ἕφεσιν ἐγκαταβεβλημένην ἔχει πα-
ρὰ Θεοῦ. καὶ τοῦτό ἐστιν ἐντεῦθεν ἰδεῖν,
Η εἰ ἐκτροπὴ γέγονε τῇ τοῦ ἀνθρώπου δια-
νοίᾳ οὐκ ἀπό γε τῶν φαύλων εἰς τὸ ἀγα-
θόν, ἀλλ' ἐκ τοῦ ἀγαθοῦ πρὸς τὸ φαῦλον.
Καὶ

(1) Οὐ κατηγόρων, οὐ μαρτύρων. ἡ ἐν χάλκῃ ἔκδοσ.

Καὶ μετ' ὀλίγα. Περιττὸν γὰρ τὸ λέγειν, ὅτι τοῦτο ἡμῖν τετήρηται, τουτέστι τὸ καθ' ὁμοίωσιν, εἰς αἰῶνα τὸν μέλλοντα. Θεοῦ γὰρ » εἰπόντος, ποιήσωμεν ἄνθρωπον κατ' εἰκό- » να ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, τίς ὁ φάναι τολμῶν, ὅτι γέγονε μὲν τὸ κατ' εἰκόνα, οὐ μὴν ἔτι καὶ καθ' ὁμοίωσιν;

ΕΥΣΕΒΙΟΥ. Ψυχὴ μὲν οὖν λογικὴ, καὶ ἀθάνατος, καὶ νοῦς ἀπαθὴς ἐν ἀνθρώπου φύσει εὖ μοι δοκεῖ λέγεσθαι εἰκόνα, καὶ ὁμοίωσιν ἀποσώζειν Θεοῦ, καθ' ὅσον ἄϋλος καὶ ἀσώματος νοερά τε καὶ λογικὴ τὴν οὐσίαν συνέστηκεν, ἀρετῆς οὖσα καὶ σοφίας δεκτική.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰπὼν, ποιήσωμεν » ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, οὐ μέχρι τούτου ἔστη· ἀλλὰ διὰ τῆς ἐπαγωγῆς δῆλον ἡμῖν ἐποίησε κατὰ ποῖον λογισμὸν τὸ ὄνομα τῆς εἰκόνος ἔλαβε, τί » γάρ φησι; καὶ ἀρχέτωσαν τῶν ἰχθύων » τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, » καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων » ἐπὶ τῆς γῆς κατὰ γένος. κατὰ τὴν τῆς ἀρχῆς οὖν εἰκόνα φησὶν, οὐ καθ' ἑτερόν τι. καὶ γὰρ πάντων τῶν ἐπὶ τῆς γῆς ἄρχοντα τὸν ἄνθρωπον ἐδημιούργησεν ὁ Θεός.

ΤΟΥ ΑΥΤΟΥ. Ὥσπερ εἰκόνα εἶπε, τὴν τῆς ἀρχῆς εἰκόνα διδάσκων, οὕτω καὶ ὁμοίωσιν. ὥστε κατὰ δύναμιν ἀνθρωπίνην ὁμοίους ἡμᾶς γενέσθαι Θεῷ· κατὰ τὸ ἥμερον, λέγω, καὶ πρᾶον ἐξομοιοῦσθαι αὐτῷ, καὶ κατὰ τὸν τῆς ἀρετῆς λόγον.

ΘΕΟΛΟΓΟΥ. Καὶ παρὰ μὲν τῆς ὕλης τὸ σῶμα λαβὼν ἤδη προϋποστάσης, παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθεὶς, ὃ δὴ ψυχὴν λογικὴν καὶ εἰκόνα εἶδεν ὁ λόγος, δημιουργεῖ τὸν ἄνθρωπον.

ΓΕΝΝΑΔΙΟΥ. Τὸ μέντοι κατ' εἰκόνα ἡμετέραν, τουτέστιν, ὥστε αὐτὸν ἐξουσίας τῆς αἰσθητῆς τε καὶ νοητῆς συμπαγέντα ἐν εἰκόνος ἡμετέρας εἶναι τάξει, τοῖς λογικοῖς δεικνυούσης προσήκειν, οἷον οἰκίας τινὸς ἡμῖν τοῖς ἀναθεμένοις αὐτὴν τοῦ παντὸς κόσμου τὴν δεσποτείαν. ὡς γὰρ ἁπλῶς εἰπεῖν, ἐκ τῶν παρ' ἡμῖν ὀνομάτων ἡμᾶς ἡ θεία περὶ Θεοῦ διδάσκει γραφή. ὥστε κἂν κεφαλὴν τοῦ Χριστοῦ τὸν Θεὸν ἀκούσω λεγούσης, οὐ πρότερον συνήσω τοῦ λεγομένου τὴν δύναμιν, ἄχρις ἂν ἐκλογισάμενος, καὶ εὑρὼν ἀκριβῶς, τί τῆς παρ' ἡμῖν κεφαλῆς ἐστὶ τὸ ἐξαίρετον, ἐπὶ τὸ προκείμενον οὕτως ἐνέγκω τὸ νοηθέν. καὶ ἐπὶ πάντων δὲ τῶν ἄλλων τῶν τοιουτοτρόπων ὁμοίως. οὕτως οὖν καὶ τὸ κατ' εἰκόνα νοήσω, ζητήσας πρότερον τῆς παρ' ἡμῖν εἰκόνος τὴν χρείαν. νοήσας δὲ, τιμήσω τὴν εἰκόνα διὰ τὸν ὑπέρ ἐστιν. εἰς ἐκεῖνον γὰρ ἡ περὶ τούτων ἀνάγεταί μου γνώμη σαφῶς. αὐτὸς γοῦν

Ματθ. 25. 40, 45. φησὶν ἐν τοῖς εὐαγγελίοις ὁ Κύριος· ἐφ' » ὅσον ἐποιήσατε ἑνὶ τῶν μικρῶν τούτων, » ἐμοὶ ἐποιήσατε· καὶ ἐφ' ὅσον οὐκ ἐποιήσατε » ἑνὶ τούτων, οὐδὲ ἐμοὶ ἐποιήσατε. τὸ δὲ καθ' ὁμοίωσιν προσέθηκεν, ἐπειδὴ χρὴ, καὶ

A ὁμοιότητα κεκλῆσθαι τὴν εἰκόνα πρὸς ἐκεῖνον οὗπέρ ἐστιν. ἐπὶ μὲν οὖν τῶν ἡμετέρων εἰκόνων, ἐπειδὴ καὶ σωμάτων εἰκόνες, καὶ ἐκ σωμάτων εἰσὶν, εἰκότως αἱ μὲν τοῖς χρώμασιν, αἱ δὲ τοῖς ὄγκοις μεμίμηνται τὸ ἀρχέτυπον. ἐπὶ δέ γε τῆς εἰκόνος τῆς θείας, ἐπειδὴ ἀσώματός ἐστιν ὁ Θεὸς, ἐκ τῶν ἐκείνου δεῖ προσεῖναι καὶ τῇ εἰκόνι τὴν ὁμοιότητα. καὶ ἔστι ταύτης ἐν ἡμῖν οὐκ ὀλίγα γνωρίσματα. οἷον, προνοεῖν οἶδα τὸν

B ἁπάντων Θεὸν, ἀφ' ὧν καὶ αὐτὸς ἐγώ τινῶν προνοῶ· ἀπερίγραφον εἶναι, καὶ παρεῖναι τοῖς ἅπασιν, ἀφ' ὧν ἐν ἀκαρεῖ τῇ διανοίᾳ, καὶ αὐτὸς οἷς ἂν βουληθείην παρίσαμαι· βασιλέα τοῦ παντὸς, ἀφ' ὧν ἔχω τὸ καὶ αὐτὸς ἄρχειν τε καὶ δεσπόζειν τινῶν. κριτὴν ὑπάρχειν ἀδέκαστον, ἀφ' ὧν κἀμοὶ τούτου μετέδωκεν· ἀόρατον οὖν τοῖς ἅπασι καὶ ἀθάνατον, ἀφ' ὧν ἔχω καὶ αὐτὸς τοιαύτην ψυχήν· δημιουργὸν καὶ κτίστην,

Γ ἀφ' ὧν ἃ καὶ ἐμαυτὸν ὁρῶ κτίζειν δυνάμενον. ἀλλὰ πρὸς τούτοις ἐστὶ μυρία δεικνῦντα, καθὼς οἷόν τε, τὴν πρὸς τὸ ἀρχέτυπον ἡμῶν ὁμοιότητα. τούτου προδήλου τυγχάνοντος, ὅτι ὥσπερ ἡ τῶν ἀνθρώπων εἰκὼν, ὁμοία κατὰ τὸ σχῆμα τυγχάνουσα τῷ ἀνθρώπῳ, δοκεῖ μὲν ἔχειν καὶ πόδας, καὶ κεφαλὴν, ἔχει δὲ τούτων οὐδὲν κατὰ ἀλήθειαν, ἀλλ' ἄχρι μόνου τοῦ σχήματος· οὕτω, μᾶλλον δὲ πέραν τούτων, τὰ ἐμοὶ

Δ καθ' ὁμοιότητα τῶν θείων προσόντα, ἐνεργείᾳ πρὸς τὰ τῶν ὡς ἀληθῶς θείων ἀπολιμπάνεται. Θεὸς μὲν γὰρ αὐτὸς ἀΐδιος ὢν, ἐξ οὐκ ὄντων ἐμὲ τοῖς ἄλλοις ἅμα συνυπεστήσατο. ἐγὼ δὲ τὴν εἰκόνα πεποίημαι τὴν αὐτὸς ἐμαυτοῦ ἐξ ὕλης, μεθ' ἧς τοῦ εἶναι καὶ αὐτὸς εἴληφα τὴν ἀρχήν.

ΤΟΥ ΑΥΤΟΥ. Δεῖ μέντοι καὶ τοσοῦτον, τί ποτέ ἐστι τὸ κατ' εἰκόνα σαφῶς τε

E καὶ συντόμως εἰς ἐμὴν δύναμιν διελθεῖν. ἀπὸ τῶν παρ' ἡμῖν εἴωθεν ὡς τὰ πολλὰ πρὸς ἡμᾶς ἡ γραφὴ περὶ Θεοῦ διαλέγεσθαι, καὶ τὴν διδασκαλίαν ἐκ τῶν γνωρίμων ἡμῖν ποιεῖν ἐναργῆ. ὡς οὖν, ὅταν ἀκούσῃς χειρὶ τὸν Θεὸν ἐκτετακέναι τὸν οὐρανὸν, ἢ γνόφον ὑπάρχειν ὑπὸ τοὺς πόδας αὐτοῦ, οὐκ ἀληθῶς χεῖρας ἔχειν νοεῖς τὸν Θεὸν, οὐδὲ πόδας, (ἁπλοῦν γὰρ τὸ θεῖον, ὅτιπερ καὶ ἀσώματον) ἀλλ' ἐκ τῶν ἡμετέ-

Z ρων, διὰ μὲν τῆς χειρὸς, οἶδας σημαίνεσθαι τὴν ἐνέργειαν, ἐπειδὴ χερσὶν ἡμεῖς ἐνεργοῦμεν· διὰ δὲ τοῦ ποδὸς, τὴν παρουσίαν, ἐπειδὴ ποσὶν ἡμεῖς οὗπερ ἐθέλομεν ἀφικνούμεθα· καὶ ἐπὶ πάντων δὲ τῶν τοιουτοτρόπων παραπλησίως ἡγῇ, καὶ οὐχ ἑτεροίως· οὕτως ἔκδεξαι καὶ τὸ τῆς εἰκόνος. ἡ τοίνυν εἰκὼν τοῦτο δύναται παρ' ἡμῖν, οὐχ ὁρώμενον πολλάκις ἡμῖν ὑποδεικνύει τὸν οὗπέρ ἐστι, καὶ διὰ τῆς εἰκόνος

H παρεῖναι τὸν ἀπόντα νομίζομεν. ἐπειδὴ τοίνυν καὶ ὁ δεσπότης Θεὸς ἀόρατος παντελῶς, καὶ ἀπερινόητος πάσῃ γενητῇ φύσει καθέστηκε, πρὸς δὲ καὶ ἀνενδεὴς, ἐν εἰκόνι Θεοῦ τὸν ἄνθρωπον εἶναι τῇ κτίσει πεποίηκε,

A πεποίηκε, καὶ βασιλέα πάσης ἀπέδειξεν αὐτόν· ἵνα τὴν ἐποφειλομένην αὐτῷ τιμὴν παρ' αὐτῆς ἐν τούτοις, καὶ τῇ περὶ τούτων θεραπείᾳ κομίζοιτο. καὶ ὅτι μὲν τὰ αἰσθητὰ πάντα πρὸς τὴν τούτου χρείαν συνθητ . . . (1) γῆ, θάλαττα, ζώων φύσεις, ἀήρ, ὡμολόγηται. τάχα δ' ἄν τισι προστείη τὸ, καὶ περὶ τῶν Ἀγγέλων ταυτὸ τοῦτο φάσκειν ἡμᾶς, οὓς Παύλῳ παρεπέμψαντες φάσκοντι πάντας αὐτοὺς εἶναι λει-

Ἑβρ. ι. 14. B τουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελ-
» λόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, αὐτοὶ τῆς πρὸς αὐτοὺς φιλονεικίας ἀπαλλαξόμεθα. ὅνπερ τοίνυν τρόπον τῶν κατὰ γῆν τούτων βασιλέων, ὅσαι μέν εἰσι τῶν πόλεων ὑπήκοοί τε καὶ φίλιοι περιέπουσί τε τὰς εἰκόνας αὐτῶν, καὶ τιμὴν αὐταῖς ἅπασαν προσάγουσι, καὶ βασιλεῦσι προσήκουσαν· οὕτω καὶ τῶν ὑπὸ τοῦ παμβασιλέως γενομένων Θεοῦ. οἱ μὲν αἰδεσθέντες Γ τὸν ποιητὴν, ἔστερξαν τὴν εἰκόνα, καὶ τὴν ἐπιβάλλουσαν αὐτοῖς σπουδὴν περὶ αὐτὴν εἰσέτι νῦν ἐπιδείκνυνται· ὅσοι δὲ ἀποστασίαν ἐνόσησαν, αὐτοὶ πάντα τρόπον εἰς τὴν καθαίρεσιν αὐτῆς ἐπεβούλευσαν, καὶ μεθίενται τῆς τοιαύτης γνώμης οὐδέποτε.

ΔΙΟΔΩΡΟΥ. Τινὲς κατ' εἰκόνα Θεοῦ τὸν ἄνθρωπον ἐνόμισαν κατὰ τὸ τῆς ψυχῆς ἀόρατον. καὶ οὐ συνῆκαν, ὅτι καὶ Ἄγγελος ἀόρατος, καὶ δαίμων ἀόρατος· Δ πρὸς οὓς ἀναγκαῖον εἰπεῖν τοσοῦτον, ὅτι καὶ τὸ ἄῤῥεν ἐν ἀνθρώποις, καὶ τὸ θῆλυ κατά τε τὸ σῶμα καὶ τὴν ψυχὴν τῆς αὐτῆς εἴληχε φύσεως. τί δήποτε οὖν ὁ Παῦλος τὸν μὲν ἄνδρα εἰκόνα τοῦ Θεοῦ λέγει, οὐκ ἔτι δὲ καὶ τὴν γυναῖκα, εἴπερ κατὰ τὸν τῆς ψυχῆς λόγον εἰκὼν Θεοῦ ὁ ἄνθρωπος;

1. Κορ. 11. 7. λέγει γὰρ, ἀνὴρ μὲν γὰρ εἰκὼν καὶ δόξα
» Θεοῦ ὑπάρχων, οὐκ ὀφείλει κατακαλύπτε-
» σθαι τὴν κεφαλήν· γυνὴ δὲ δόξα ἀνδρός- E
ἐστιν. εἰ τοίνυν εἰκὼν Θεοῦ ὁ μὴ ὀφείλων καλύπτεσθαι τὴν κεφαλὴν, δῆλον ὅτι ἡ καλυπτομένη οὐκ εἰκὼν Θεοῦ, τῆς αὐτῆς ψυχῆς ὑπάρχουσα. πῶς οὖν Θεοῦ εἰκὼν ὁ ἄνθρωπος; κατὰ τὸ ἀρχικὸν, κατὰ τὸ ἐξουσιαστικὸν, καὶ μάρτυς αὐτὴ τοῦ Θεοῦ ἡ φω-
» νὴ, ἡ λέγουσα· ποιήσωμεν ἄνθρωπον κατ'
» εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· καὶ
» τὸν τρόπον ἐπάγουσα, καὶ ἀρχέτωσαν τῶν
» ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν Z
» τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων τῆς γῆς, καὶ
τὰ ἑξῆς. ὥσπερ οὖν ὁ Θεὸς τῶν ὅλων, οὕτω καὶ ὁ ἄνθρωπος τῶν ἐπιγείων βασιλεύει. τί οὖν οὐκ ἄρχει καὶ ἡ γυνὴ τῶν προειρημένων; ἀλλὰ κεφαλὴν ἔχει τὸν ἄνδρα, τῶν ἄλλων κρατοῦσα. ἀνὴρ δὲ οὐχ ὑποτέτακται τῇ γυναικί. διὸ δὴ καλῶς ὁ μακάριος Παῦλος τὸν ἄνδρα μόνον εἰκόνα Θεοῦ φησὶν εἶναι καὶ δόξαν, τὴν δὲ γυναῖκα τοῦ ἀνδρὸς δόξαν. H

ΘΕΟΔΩΡΙΤΟΥ. (2) Ὥσπερ εἴ τις βασιλεὺς πόλιν τινὰ μεγίστην κατασκευάσας,

A πολλοῖς τε αὐτὴν καὶ ποικίλοις διακοσμήσας ἔργοις, μετὰ τὴν ἁπάντων ἐκπλήρωσιν κελεύσειεν εἰκόνα αὐτοῦ γενομένην μεγίστην τινὰ καὶ εὐπρεπεστάτην τῷ μέσῳ πάσης ἑστάναι τῆς πόλεως εἰς ἔλεγχον τοῦ τῆς πόλεως αἰτίου, ἣν ἀνάγκη καὶ ὡς εἰκόνα τοῦ πεποιηκότος τὴν πόλιν βασιλέως παρὰ τῶν κατὰ τὴν πόλιν θεραπεύεσθαι πάντων, χάριν ὁμολογούντων διὰ τοῦτο τῷ κτίστῃ τῆς πόλεως, ὅτι περ αὐτοῖς τῷ διαί-
B τημα δέδωκε τοιοῦτον· οὕτω καὶ ὁ τῆς κτίσεως δημιουργὸς πεποίηκε μὲν πάντα τὸν κόσμον, διαφόροις τε καὶ ποικίλοις καλλωπίσας τοῖς ἔργοις, τελευταῖον δὲ τὸν ἄνθρωπον ἐν τάξει παρήγαγεν εἰκόνος οἰκείας, ὡς ἂν ἅπασα ἡ κτίσις ἐν τῇ περὶ τοῦτον σπουδῇ τε καὶ θεραπείᾳ τὴν προσήκουσαν ἀναφέρει τιμὴν τῷ Θεῷ. οὐ γὰρ ἄδηλον, ὅτι πᾶσα ἡ κτίσις τῇ τοῦ ἀνθρώπου χρείᾳ φαίνεται συνδουμένη· εἴγε ἐξ
Γ ἀέρος, καὶ γῆς, καὶ ὕδατος, καὶ φωστήρων, οὓς ὁ οὐρανὸς φέρει ἐφ' ἑαυτοῦ, ἡ τῶν καρπῶν σύστασις ἀποτελεῖται. ἡ δὲ τούτων ἀπόλαυσις πᾶσα μὲν ἐστιν ἀνθρώποις ἀναγκαία, βραχεῖα δέ τις αὐτῶν τοῖς ἀλόγοις νενέμηται μοῖρα πρὸς ὑπηρεσίαν τεταγμένοις ἀνθρώπων. αἵ τε ἀόρατοι δυνάμεις, ὅτι πᾶσαι τοῖς θείοις βουλήμασιν ὑπηρετοῦνται πρὸς τὸ ἡμῖν λυσιτελοῦν, Παῦλος
» ὁ μακάριος διδάσκων λέγει· οὐχὶ πάντες
Δ » εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν
» ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονο-
» μεῖν σωτηρίαν; πρόδηλον τοίνυν, ὅτι ἕνα κόσμον ἀποτελέσαι τὸ σύμπαν βουληθεὶς ὁ Θεὸς, καὶ πᾶσαν τὴν κτίσιν ἐκ διαφόρων φύσεων συστᾶσαν, θνητῶν τε καὶ ἀθανάτων, λογικῶν τε καὶ ἀλόγων, ὁρατῶν τε καὶ ἀοράτων εἰς ἕν τι συναγαγεῖν ἐθελήσας, σύνδεσμον ἁπάντων τὸν ἄνθρωπον κατεσκεύασεν· οὕτω πάντα πρὸς αὐτὸν
E συναγαγὼν τῇ χρείᾳ, ὥστε συνῆφθαί τε τὴν σύμπασαν κτίσιν τῷ αὐτῷ, καὶ φιλίας αὐτὸν ἐνέχυρον ἐναργὲς εἶναι τῇ πάσῃ. δέδωκε γοῦν αὐτῷ ταύτης ἕνεκα τῆς αἰτίας καὶ ψυχὴν, καὶ σῶμα. τὸ μὲν, ὁρατὸν τοῖς ὁρατοῖς οἰκεῖον, ἐκ γῆς τε καὶ ἀέρος, καὶ ὕδατος, καὶ πυρὸς συνεστὸς, καὶ τοῖς ἐκ τούτων ἀποτελουμένοις τρεφόμενον καρποῖς· τὴν δὲ, νοεράν τε καὶ ἀθάνατον καὶ λογικὴν ταῖς ἀοράτοις καὶ λογι-
Z καῖς ἐοικυῖαν οὐσίαις. ἵνα μὴ τῇ χρείᾳ μόνον ἐπ' αὐτὸν ἡ κτίσις συνάπτηται, ἀλλὰ γὰρ καὶ τῇ τῆς φύσεως οἰκειότητι. μᾶλλον δὲ, ἵνα ἐκ τῆς κατὰ τὴν φύσιν οἰκειότητος, καὶ πρὸς τὴν χρείαν τὴν αὐτοῦ τὰ πάντα συνάπτηται, ἡδέως ὑπὲρ τοῦ συγγενοῦς καὶ οἰκείου πονοῦντά τε, καὶ τὴν οἰκείαν εἰσφέροντα χρείαν. Καὶ μεθ' ἕτερα. Σφόδρα δέ μοι θαυμάζειν ἐπελήλυθε τῶν ταῦτα μὲν συνιδεῖν οὐχ οἵων τε γεγονότων,
H κατ' εἰκόνα δὲ Θεοῦ τὸν ἄνθρωπον γεγενῆσθαι πῇ μὲν, κατὰ τὸ ἀρχικὸν εἰπόντων· πῇ δὲ, κατὰ τὸ νοερὸν, γέλωτος μεστὰ σαφῶς

(1) Ἴσ. συντέθειται.

(2) Θεοδώρου· ἡ ἐν Παρισ. ἔκδοσ. ὡσαύτως καὶ ἡ ἐν χάλῃ.

σαφῶς ἀποφθεγγομένων. δέον αὐτοὺς συ- A
νιδεῖν, ὅτι εἰκὼν Θεοῦ μόνος ὁ ἄνθρωπος
λέγεται γεγενῆσθαι. ἐν μὲν γὰρ τῇ ποιή-
σει φησὶ, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκό-
Γεν. 9. 6. να ἡμετέραν· ἐπὶ δὲ τοῦ Νῶε, ὅτι ἐν εἰκόνι
» Θεοῦ ἐποίησε τὸν ἄνθρωπον. ὁ δὲ μακά-
1. Κορ. 11. 7. ριος Παῦλος, ἀνὴρ οὐκ ὀφείλει κατακα-
» λύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων·
εἰ δὲ μόνος ἄνθρωπος ἐν τοῖς γεγονόσιν
εἰκὼν, πρόδηλον ὡς τούτου μόνου τοῦτο προ-
σειρημένου, ἰδίαν τινὰ τῆς προσηγορίας B
προσῆκεν εἶναι τὴν αἰτίαν· ἀλλ᾽ οὔτε τὸ
νοερὸν μόνον, οὔτε τὸ λογικόν· τοιαύτας
γὰρ εἶναι καὶ τὰς ἀοράτους φαμὲν δυνά-
μεις· ἀμέλει οὐδὲ τὸ ἀρχικόν. καὶ γὰρ καὶ
τοῦτο ταῖς ἀοράτοις προσὸν ὁρῶμεν δυνά-
μεσιν, ὡς ὁ μακάριος Παῦλος ποτὲ μὲν
Κολασ. 1. 16. λέγει, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ
» ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ
» ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε
» κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· Γ
Ἐφεσ. 3. 10. ποτὲ δὲ, ἵνα γνωσθῇ νῦν ταῖς ἀρχαῖς, καὶ
» ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις. ὅθεν
καὶ τὰς ἐναντίας οὕτω καλεῖ δυνάμεις, ὡς
ἂν ἐξ ἐκείνων ἐκπεπτωκυίας τῶν ταγμά-
Ἐφεσ. 6. 12. των. οὐκ ἔστι γὰρ ἡμῖν, φησὶν, ἡ πάλη
» πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρ-
» χὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμο-
» κράτορας τοῦ σκότους. οὕτω καὶ Ἄγγελοι
Δαν. 10. 13. καλοῦνται. καὶ Μιχαὴλ, φησὶν, ὁ ἄρχων
» ὑμῶν, καὶ ἄρχων Περσίδος. εἴρηται δὲ Δ
» καὶ περὶ τῶν φωστήρων· τὸν φωστῆρα τὸν
» μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν
» φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός.
ὅπερ Δαβὶδ ἐξουσίαν ἐκάλεσεν, εἰπὼν, τὸν
Ψαλ. 135. 8. ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, τὴν σελή-
» νην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυ-
κτός. πῶς οὖν οἷόν τε ἦν κατά τι τούτων λέ-
γεσθαι εἰκόνα τὸν ἄνθρωπον, ὧν δὴ μέτε-
στι πολλῶν τῶν γεγονότων, μόνου τε αὐτοῦ
κατ᾽ εἰκόνα γεγενῆσθαι λεγομένου Θεοῦ; ἀφ᾽ E
οὗ δῆλον ἡμῖν, ὅτι μίαν τινὰ προσήκει τὴν
αἰτίαν εἶναι, καθ᾽ ἣν οὗτος οὕτω προσηγό-
ρευται μόνος, ἧς οὐδὲν μετέχει τῶν γεγο-
νότων, ἅτε μηδὲ τῆς προσηγορίας μετέ-
χων ταύτης· ἔστι δὲ ἣν ἔφθην εἰπών.

ΩΡΙΓΕΝΟΥΣ. Προδιαληπτέον πρότε-
ρον ποῦ συνίσταται τὸ κατ᾽ εἰκόνα ἐν σώμα-
τι, ἢ ἐν ψυχῇ. ἴδωμεν δὲ πρότερον οἷς
χρῶνται οἱ τὸ πρῶτον λέγοντες, ὧν ἐστὶ Z
καὶ Μελίτων, συγγράμματα καταλελοι-
πὼς περὶ τοῦ ἐνσώματον εἶναι τὸν Θεόν.
μέλη γὰρ Θεοῦ ὀνομαζόμενα εὑρίσκοντες,
Ψαλ. 103. 32. ὀφθαλμοὺς Θεοῦ ἐπιβλέποντας τὴν οἰκου-
Ψαλ. 33. 15. μένην· καὶ, ὦτα αὐτοῦ εἶναι εἰς δέησιν δι-
Γεν. 8. 21. καίων ἐπινενευκότα· καὶ, ὠσφράνθη Κύ-
Ἡσ. 1. 20. ριος ὀσμὴν εὐωδίας· καὶ, τὸ στόμα Κυρίου
ἐλάλησε ταῦτα, καὶ βραχίονα Θεοῦ, καὶ
χεῖρας, καὶ πόδας, καὶ δακτύλους, ἄντι-
κρυς φάσκουσι ταῦτα οὐχ ἕτερόν τι διδά- H
σκειν, ἢ τὴν μορφὴν τοῦ Θεοῦ: πῶς δὲ,
φασὶ, καὶ ὤφθη ὁ Θεὸς τῷ Ἀβραὰμ, καὶ
τῷ Μωσῇ, καὶ τοῖς ἁγίοις μὴ μεμορφω-
μένος; μεμορφωμένος δὲ κατὰ ποῖον χα-

A ρακτῆρα, ἢ τὸν ἀνθρώπινον; καὶ συνάγουσι
μυρία ῥητὰ, μέλη ὀνομάζοντα Θεοῦ. πρὸς
οὓς ἀγωνιστέον πρῶτον ἀπὸ τῆς λέξεως.
ἀντιπαραβαλοῦμεν δὲ ῥητὰ τοῖς πλέον τοῦ
γράμματος μηδὲν ἐπισταμένοις, ἐναντιού-
μενα αὐτῶν τῇ ὑπολήψει. ἐκ μὲν τοῦ Ζα-
» χαρίου, ὅτι ἑπτὰ ὀφθαλμοὶ Κυρίου οἱ ἐπι- Ζαχ. 4. 10.
» βλέποντες ἐπὶ πᾶσαν τὴν γῆν. εἰ δὲ ἑπτὰ
ἔχει ὀφθαλμοὺς ὁ Θεὸς, ἡμεῖς δὲ δύο, οὐ
κατ᾽ εἰκόνα αὐτοῦ ἐγεγόναμεν. ἀλλὰ ἡμεῖς
B μὲν οὐκ ἐπτερυγώμεθα, περὶ Θεοῦ δὲ λέγει
» ἐν ϟ. ψαλμῷ, ὅτι ὑπὸ τὰς πτέρυγας αὐ- Ψαλ. 90. 4.
» τοῦ ἐλπιεῖς. εἰ δὲ ἐκεῖνος μὲν πτέρυγας
ἔχει, ἡμεῖς δὲ ἐσμὲν ζῶον ἄπτερον, οὐ κατ᾽
εἰκόνα γέγονε Θεοῦ ὁ ἄνθρωπος. πῶς δὲ
ὁ σφαιροειδὴς οὐρανὸς, καὶ ἀεὶ κινούμενος,
θρόνος εἶναι, ὡς ὑπολαμβάνουσι, δύναται
τοῦ Θεοῦ; ἀλλὰ καὶ ἡ γῆ, πῶς ὑποπόδιον
τῶν ποδῶν αὐτοῦ; ἀπαγγελλέτωσαν ἡμῖν.
ἆρα γὰρ τὸ ἀπὸ γονάτων μέχρι τῶν βά-
Γ σεων σῶμα τοῦ μεταξὺ οὐρανοῦ καὶ γῆς πε-
ριέχοντος, τῷ μέσῳ δὲ οὔσης τῆς γῆς τοῦ
παντὸς κόσμου, καὶ περιεχομένης ὑπ᾽ αὐ-
τοῦ, ὡς γραμμικαῖς ἀποδείξεσι παρίσταται,
παρ᾽ ἡμῖν εἰσὶν αἱ βάσεις τοῦ Θεοῦ, ἢ παρὰ
τοῖς ἀντίχθοσι; καὶ ὅλην τὴν οἰκουμένην
ἡμῶν πεπληρώκασιν, ἢ καὶ πλέον τι ἐπι-
λαμβάνουσιν, ἢ ἔλαττόν τι; διεστήκασιν οἱ
πόδες αὐτοῦ διὰ τὰς θαλάσσας, καὶ τοὺς
ποταμοὺς, ἢ καὶ τοῖς ὕδασιν ἐπιβαίνουσι;
Δ πῶς δὲ οὐ ὁ τηλικοῦτος οὐρανὸς θρόνος, καὶ
ἡ γῆ ὑποπόδιον τῶν ποδῶν, ἐν μόνῳ τῷ
παραδείσῳ εὑρίσκεται περιπατῶν, ἢ ἐν τῇ
κορυφῇ τοῦ Σινᾶ φαίνεται τῷ Μωσῇ; καὶ
πῶς ταῦτά τις περὶ Θεοῦ δοξάζων οὐ μω-
ρὸς λεχθήσεται; εἶτα πολλὰ πρὸς ἀνατροπὴν
εἰπὼν τῆς τοιαύτης δόξης, ἐπάγει. Ὁ δὲ φά-
σκων τὸ κατ᾽ εἰκόνα μὴ ἐν σώματι εἶναι,
ἐν δὲ τῇ λογικῇ ψυχῇ, παραστήσει οὐκ εὐ-
καταφρόνητον δόγμα, καταλαβὼν τίνες
E δυνάμεις εἰσὶν αὐτῆς. ἡ γὰρ γνωστικὴ δύ-
ναμις ἡ ἐν τῷ ἀνθρώπῳ κριτική τε, καὶ
εὐποιητικὴ, δικαιοπρακτική τε καὶ ἐρρωμέ-
νη, καὶ ἁπαξαπλῶς παντὸς καλοῦ ἐπιτε-
λεστικὴ, κατ᾽ εἰκόνα ὑπὸ τοῦ Θεοῦ γεγόνασιν
αὐτῷ. ὅτι δὲ τὸ κατ᾽ εἰκόνα αἱ πράξεις
χαρακτηρίζουσι, καὶ οὐχὶ ἡ τοῦ σώματος μορ-
φὴ, σαφῶς ὁ Ἀπόστολος ἐν τῇ πρὸς Κο-
» ρινθίους φησὶ, καθὼς ἐφορέσαμεν τὴν εἰ- 1. Κορ. 15. 49.
» κόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα
Z » τοῦ ἐπουρανίου. εἰκόνα μὲν φορεῖ χοϊκὴν ὁ
κατὰ σάρκα ζῶν, καὶ ποιῶν τὰ ἔργα τῆς
σαρκός· εἰκόνα δὲ τοῦ ἐπουρανίου, ὁ τῷ
πνεύματι τὰς πράξεις τῆς σαρκὸς θανα-
τῶν. καὶ ἐν ἑτέρᾳ δὲ ἐπιστολῇ διδάσκων
ὡς δεῖ βιοῦν, ἐπιφέρει ταῖς ἐντολαῖς τὸ,
» ἵνα γένησθε κατ᾽ εἰκόνα τοῦ κτίσαντος. Κύ- Κολασ. 3. 10.
ριος μακρόθυμος, καὶ ὁ μακρόθυμος ἄν-
θρωπος ἔχει τὸ κατ᾽ εἰκόνα τοῦ Θεοῦ. δί-
καιος καὶ ὅσιος ὁ Κύριος, καὶ οἰκτίρμων
H καὶ ἐλεήμων ὁ Κύριος. οὐκοῦν ὁ ἀγαπῶν δι-
καιοσύνην καὶ ὁσιότητα, καὶ πράττων καὶ
τηρῶν τὴν ἐντολὴν τοῦ σωτῆρος, τὴν, γί-
» νεσθε οἰκτίρμονες, ὡς καὶ ὁ πατὴρ ὑμῶν Λουκ. 6. 36.
» οἰκτίρμων ἐστί· καὶ γίνεσθε τέλειοι, ὡς καὶ ὁ Ματθ. 5. 48
E πατὴρ

» πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν, εἰκὼν A
» γίνεται κατὰ πάντα τοῦ Θεοῦ.

ΙΣΙΔΩΡΟΥ. Κρεῖττον μὲν ποιοῦσιν οἱ
τῷ βελτίονι μέρει τοῦ ἀνθρώπου, τουτέστι τῇ
λογικῇ ψυχῇ τὸ θεῖον ἐξεικονίζοντες. οἱ
γὰρ ἀνθρωπόμορφον αὐτὸ ἡγούμενοι, πάμ-
παν ἠλίθιοι. πλὴν οὐδὲ ἐκεῖνοι τὸ ἀκριβὲς
δογματίζουσιν. ἀρχῆς γὰρ καὶ βασιλείας
ἐστὶν εἰκὼν ὁ ἄνθρωπος, οὐκ οὐσίας· εἰ δὲ
εὐπράξοι, καὶ ἀρετῆς. εἰ γὰρ καὶ ἀθά-
νατον ὁριζόμεθα τὴν ψυχὴν εἶναι, ἀλλ' οὐ B
τῆς θειοτάτης ἐκείνης φύσεως ὁμοούσιον.
εἰ γὰρ ἡ ψυχὴ κατ' εἰκόνα, δῆλον ὅτι καὶ
ἡ τῆς γυναικός. τί οὖν ὁ Παῦλος εἶπεν,
1. Κορ. 11. 7. ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι
» τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρ-
» χων· ἡ δὲ γυνὴ δόξα ἀνδρός ἐστι; τῆς γὰρ
ψυχῆς τῆς γυναικὸς ἀθανάτου καὶ ἀφθάρ-
του οὔσης, ὥσπερ καὶ τῆς τοῦ ἀνδρὸς, τί δή-
ποτε μετὰ διορισμοῦ τινὸς τοῦτο ἔφρασεν ὁ
Παῦλος; εἰ δὲ ἀνθυπενέγκοιτε, ἀνθοπλί- Γ
ζοντες τὸν Μωσέα τῷ Παύλῳ, τὸ ποιήσω-
» μεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, μά-
λιστα μὲν δυνατὸν εἰπεῖν, ὅτι ἐν κοινῷ ἐστι τὸ
εἰρημένον, καὶ οὐ περὶ ἀμφοτέρων εἴρηται·
πλὴν συλλέξω. (1) εἰ δὲ καὶ τὸ ἑξῆς προ-
σαγάγοιεν, τὸ, καὶ ἀρχέτωσαν, πρὸς ἡμῶν
ἔσται τὸ εἰρημένον. δείκνυται γὰρ τὸ κατ'
εἰκόνα ἐν τῷ ἀρχικῷ χαρακτηριζόμενον.
εἰ δὲ εἴποιεν, πῶς οὖν ὁ Παῦλος τὸν μὲν
εἰκόνα θείαν, τὴν δὲ τοῦ ἀνδρὸς ἀπεφήνα- Δ
το; φήσομεν, ὅτι ἐξ ἀρχῆς μὲν ὁμότιμος
ἦν ἡ γυνὴ, καὶ τῆς αὐτῆς ἠξίωτο τιμῆς,
ἐπεὶ δὲ ἔπταισεν, ἠλαττώθη καὶ ἠκρωτη-
ριάσθη αὐτῆς ἡ ἀρχὴ, καὶ ὑπὸ τὸν ἄνδρα
γεγένηται. οὐκ ἤνεγκας, φησὶ, τὴν ἰσο-
τιμίαν, δέχου τὴν ἐλάττωσιν. πρὸς τὸν
Γεν. 3. 16. ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυ-
» ριεύσει. ὥστε ἡ μὲν κοσμοποιΐα, τὴν πρὸ
τῆς ἁμαρτίας τῆς γυναικὸς δηλοῖ ἀρχήν·
ὁ δὲ Ἀπόστολος, τὴν μετὰ τὸ πταῖσμα E
ὑποταγήν. τὸ δὲ καθ' ὁμοίωσιν, εἰ μὴ δο-
κοίη τισὶν ἐκ παραλλήλου λέγεσθαι, ὡς τὸ,
Ψαλ. 3. 5. ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· καὶ τὸ, μα-
Ψαλ. 40. 1. κάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα,
οὕτως ἑρμηνευτέον· ὅτι τὴν ἀρχὴν ἐνε-
χείρισεν αὐτῷ ὁ Θεὸς, ἵνα ἐπιδείξηται
τὴν ἀρετὴν, καὶ σώσῃ τὴν ὁμοιότητα. ἐδέ-
ξω φησὶ τὴν τιμὴν, δεῖξον τὴν ἀρετήν.
ἵνα τὸ μὲν, τῇ δημιουργίᾳ· τὸ δὲ, τῇ
προαιρέσει τοῦ δημιουργηθέντος ἀνακείη- Z
ται. καὶ τάχα τοῦτο ἐδήλου τὸ ἐξ ἀρχῆς
» μὲν εἰρῆσθαι, ποιήσωμεν ἄνθρωπον κατ'
» εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, ἢ ὡς
τὸ αὐτὸ ἐμφαινούσης τῆς λέξεως, ἢ τῇ
προαιρέσει ἀναρτηθείσης τῆς ἀρετῆς. ἵνα
ᾖ τοιοῦτον τὸ εἰρημένον· ποιήσωμεν ἄνθρω-
πον κατ' εἰκόνα ἡμετέραν, ἵνα ἐκ προαιρέ-
σεως γένηται καθ' ὁμοίωσιν. ὁ μονογενὴς
Ματθ. 5. 48. γοῦν ἐπιδημήσας, φησί· γίνεσθε ὅμοιοι τοῦ
» πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. ὡς τῆς H
μὲν δημιουργίας, τὸ κατ' εἰκόνα σωζούσης·
τῆς δὲ προαιρέσεως, τὸ καθ' ὁμοίωσιν.

(1) Πλὴν οὐ λέξομαι. ἔκδοσ. ἡ ἐν Παρισ.

A ΒΑΣΙΛΕΙΟΥ. Ἀσώματον νόει τὸν Θεὸν
ἐκ τῆς ἐνυπαρχούσης σοι ψυχῆς ἀσωμάτου·
μὴ περιγραφόμενον τόπῳ, ἐπειδὴ οὐδὲ ὁ
σὸς νοῦς προηγουμένην ἔχει τὴν ἐν τόπῳ
διαγωγὴν, ἀλλὰ διὰ τῆς πρὸς τὸ σῶμα συ-
ναφείας ἐν τόπῳ γίνεται. ἀόρατον εἶναι
τὸν Θεὸν πίστευε, τὴν σεαυτοῦ ψυχὴν ἐν-
νοήσας· ἐπειδὴ καὶ αὐτὴ σωματικοῖς ὀφ-
θαλμοῖς ἄληπτός ἐστιν. οὔτε γὰρ κέχρω-
σται, οὔτε ἐσχημάτισται, οὔτε τινὶ χαρακτῆ-
B ρι σωματικῷ περιείληπται, ἀλλ' ἐκ τῶν
ἐνεργειῶν γνωρίζεται μόνον.

Καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ τῶν θηρίων, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.

ΙΣΙΔΩΡΟΥ. Πῶς οὖν εἴγε τὴν ἀρχὴν
Γ πάντων τῶν ἐπὶ γῆς εἴληφεν ὁ ἄνθρωπος,
τὰ θηρία δέδοικε; Παρεὶς ἐκεῖνο, εἴτε
ἀληθὲς εἴη, εἴτε ψευδὲς, ὅτινες ἔφασαν·
ὅτι ἐν ταῖς θείαις δέλτοις ἡ ἀρχὴ τῶν θη-
ρίων οὐκ ἐνέκειτο, ἀλλ' ὕστερον παρά τινων
προσετέθη, ἐξ εὐθείας τὴν ἀπολογίαν
ποιοῦμαι. ὅτι ἐξ ἀρχῆς μὲν αὐτῷ, ὅτε
ἔλαμπεν ἡ εἰκὼν, πάντα ὑπέκειτο. διὸ
καὶ ὀνόματα αὐτοῖς ἐπέθηκεν. ἐπειδὴ δὲ
παρήκουσεν, ἠκρωτηριάσθη αὐτοῦ εἰκότως ἡ
Δ ἀρχή. ὅτε δὲ ὁ Νῶε τὴν εἰκόνα ταύτην
ἀνεκάθηρεν, ἦλθε πρὸς αὐτὸν πάντα τὰ
θηρία, τὴν ἀρχαίαν δουλείαν ὁμολογοῦντα.
καὶ τὸν Δανιὴλ οἱ λέοντες ᾐδέσθησαν, καὶ
ἡ ἔχιδνα τὸν Παῦλον.

ΓΕΝΝΑΔΙΟΥ. Εἰπὼν μέντοι τὸ, ποιή-
» σωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ
» καθ' ὁμοίωσιν, ἐπήγαγε· καὶ ἀρχέτωσαν
» τῶν ἰχθύων, καὶ τῶν πετεινῶν, καὶ τῶν
E » θηρίων τῆς γῆς, καὶ τῶν κτηνῶν· δεικνὺς,
ὡς οὐχὶ κατὰ ἀνάγκην αὐτῷ τὰ πάντα,
καὶ βίαν ὑπέταξεν, ἀλλ' ὡς ὀφειλομένην
εἰκόνι θείᾳ τῶν ἁπάντων τὴν ἀρχὴν ἐγ-
κεχείρικε.

» ΩΡΙΓΕΝΟΥΣ. Καὶ ἀρχέτωσαν, φη-
» σὶ, τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν
» πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ
» πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν
» τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. τηρητέον,
Z ὅτι σεσιώπηται τὸ τῶν κητῶν γένος, καὶ
τὸ τῶν θηρίων. καὶ ἐπίστησον, εἰ δυνατὸν,
διὰ τὸ σεσιωπῆσθαι μὴ πάντα τὰ ζῶα διὰ
τὸν ἄνθρωπον γέγονεν, ἀλλὰ ταῦτα, ὧν
ἄρχειν λέγεται, ἰχθύας θαλάσσης, καὶ
πετεινὰ οὐρανοῦ, καὶ κτήνη τῆς γῆς· τάχα
δὲ καὶ ἑρπετὰ τῆς γῆς, διὰ τὰς ἀναγκαιο-
τάτας τῶν φαρμάκων χρείας ἀπ' αὐτῶν
τελουμένας. οὐ μέντοιγε διὰ τὸν ἄνθρωπον
τὰ κήτη τὰ μεγάλα, καὶ τὰ θηρία τῆς
H γῆς. ἦ γὰρ ἂν προσετέθη τῇ δεδομένῃ
ἐξουσίᾳ τῶν ἀνθρώπων καὶ ἡ τούτων ὀνομα-
σία. οὐχ εὑρίσκομεν δὲ ἐν τῇ Γραφῇ τὸ
τῶν

τῶν ὄφεων γένος ἐν ἑρπετοῖς τεταγμένον,
Γεν. 3. 1. ἀλλ' ἐν θηρίοις. ὁ γὰρ ὄφις, φησὶν, ἦν
» φρονιμώτατος πάντων τῶν θηρίων. καὶ
» ἐν ταῖς Πράξεσιν, ἔχιδνα δακοῦσα τὸν Παῦ-
λον, ἐκρέματο κατὰ τῆς χειρὸς αὐτοῦ.
Πραξ. 28. 4. καὶ ἐπιφέρει· ἰδόντες δὲ οἱ βάρβαροι κρε-
» μάμενον τὸ θηρίον. ἐν δὲ τῷ Λευϊτικῷ, ὅρα
ἐπὶ τίνων τάσσει τὸ ἑρπετὸν, ὡς οὐδαμῶς
Λευ. 11. 21, ἐπὶ τῶν νῦν τῇ συνηθείᾳ καλουμένων. ταῦ-
22, 23. » τα γάρ φησι φάγεσθε ἀπὸ τῶν ἑρπετῶν
» τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τῶν τεσ-
» σάρων, ἃ ἔχει σκέλη ἀνώτερον τῶν πο-
» δῶν αὐτοῦ, πηδᾷν ἐν αὐτοῖς ἐπὶ τῆς γῆς.
» καὶ ταῦτα φάγεσθε ἀπ' αὐτῶν· τὸν βροῦ-
» χον, καὶ τὰ ὅμοια αὐτῷ· καὶ τὴν ἀκρίδα,
» καὶ τὰ ὅμοια αὐτῇ· καὶ τὸν ὀφιομάχον,
» καὶ τὰ ὅμοια αὐτῷ. πᾶν ἑρπετὸν ἀπὸ τῶν
» πετεινῶν, οἷς εἰσὶ τέσσαρες πόδες, βδέλυγ-
» μα ὑμῖν ἐστὶ, καὶ ἐν τούτοις μιανθήσεσθε.
οὐκ ἄρχει τοίνυν ὁ ἄνθρωπος, οὔτε τῶν κτη-
νῶν τῶν μεγάλων, οὔτε τῶν θηρίων· τά-
χα τὴν ἀρχὴν οὔτε διὰ τοῦτον γεγεννημένων.
τὸ δὲ ὅμοιον τοῖς ἐνθάδε ἀναγεγραμμένοις
ὑπὸ τὴν ἐξουσίαν τοῦ ἀνθρώπου ἐν τῷ η'.
Ψαλ. 8. 6,7,8. ψαλμῷ λέγεται· πάντα ὑπέταξας ὑπο-
» κάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα καὶ βόας
» ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου,
» τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς
» θαλάσσης, τὰ διαπορευόμενα τρίβους θα-
λασσῶν. κἀνταῦθα γὰρ τὰ κήτη καὶ τὰ
θηρία σεσιώπηται.

ΑΔΗΛΟΥ. Περὶ ἑνὸς εἰπὼν ἀνθρώπου, πληθυντικῶς τὸ ἀρχέτωσαν ἐπήγαγε προγνωστικῶς. ὥσπερ οὖν ὁ Θεὸς τῶν ὅλων, οὕτω καὶ ὁ ἄνθρωπος τῶν ἐπὶ τῆς γῆς βασιλεύς ἐστιν. ἡ γὰρ γυνὴ εἰ καὶ αὐτὴ τούτων ἄρχει, ἀλλὰ κεφαλὴν ἔχει τὸν ἄνδρα, ἀρχομένη ὑπ' αὐτοῦ.

κζ'. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς.

** ΒΑΣΙΛΕΙΟΥ. (1) Τίς οὖν ὁ λόγος τοῦ τὸ κατ' εἰκόνα μόνον ἐν τῇ ποιήσει τοῦ ἀνθρώπου εἰπεῖν τὸν θεσπέσιον Μωϋσῆν, τὸ καθ' ὁμοίωσιν ἀποσιωπήσαντα· καίτοι ἐν τῇ προτέρᾳ βουλῇ ἀμφοτέρων ὁμοίως συμπαραληφθέντων αὐτῷ; Ῥᾳδία τῷ προσέχοντι καὶ συνιέναι βουλομένῳ ἡ ἐπίλυσις. τὸ μὲν γὰρ κατ' εἰκόνα, φύσει δέδοται ἡμῖν, καὶ ἀμετάβλητον ἐξ ἀρχῆς καὶ εἰς τέλος συμπάρεστι· τὸ δὲ καθ' ὁμοίωσιν, ἐκ προαιρέσεως, καὶ οἴκοθεν κατορθοῦμεν ὕστερον. ἐν μὲν οὖν τῇ πρώτῃ βουλῇ λέγων ὁ
» Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ τὸ καθ' ὁμοίωσιν προσέθηκε· δεικνὺς, ὅτι καὶ προαίρεσιν ἡμῖν αὐτεξούσιαν ἐμβαλεῖ, τὴν δυναμένην ποιῆσαι ἡμᾶς ὁμοιωθῆναι Θεῷ. καὶ γοῦν καὶ τοιοῦτοι ἀπετελέσθημεν κατὰ τὴν πρόρρη-

A σιν τοῦ Θεοῦ. πολλοὶ γὰρ οἱ ὁμοιωθέντες αὐτῷ, πάντως δὲ καὶ ὁμοιωθησόμενοι, κἂν μὴ καὶ πάντες εἰς τοῦτο ἐπισπεύδοιμεν, ἀλλὰ τὴν ἐναντίαν μᾶλλον ὑπὸ ἐθελοκακίας βαδίζοιμεν. ἐν δὲ τῇ κατασκευῇ ὕστερον μόνον εἶπε τὸ κατ' εἰκόνα, ὡς καὶ μόνον τοῦτο ἐντελὲς καὶ ἀναλλοίωτον τῇ ἀνθρωπίνῃ φύσει ἐγκατασκευάσας. τὸ δέγε καθ' ὁμοίωσιν, ἐπειδὴ δυνάμει τέως μόνον ἐγκατέσπειρε τῷ ἀνθρώπῳ, οὔπω δὲ καὶ
B εἰς τὸ ἀποτέλεσμα ἐμπεφάνιστο, ἀλλ' ἐδεῖτο ἔτι πρὸς ἀποτέλεσμα τῆς πράξεως τοῦ λαβόντος τὴν προαίρεσιν, εἰκότως ἀπεσιώπησε.

** ΤΟΥ ΑΥΤΟΥ. Εἴποι ἂν τάχα ἐνταῦθα ἡ γυνὴ, τί πρὸς ἐμὲ ὁ λόγος; ἀνὴρ τηνικαῦτα ἐγένετο. οὐ γὰρ εἶπε τὴν ἄνθρωπον, φησὶν, ἢ ἁπλῶς ἄνθρωπον ἀλλὰ τῇ τοῦ ἄρθρου προσθήκῃ τὸ ἀρρενικὸ ἐνέφηνεν. ἀλλ' ἵνα μὴ ἀμαθῶς τις τῇ τ
Γ ἀνθρώπου προσηγορίᾳ ἐπὶ τοῦ ἀνδρὸς ἢ μό
» νον κεχρημένος, προσέθηκεν· ἄρσεν κα
» θῆλυ ἐποίησεν αὐτούς. ἵνα γνῷς, ὅτι κα ἡ γυνὴ ἔχει τὸ κατ' εἰκόνα Θεοῦ γεγενῆ θαι, καὶ ὁ ἀνήρ.

** ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Οἶμα γὰρ ἐγὼ δόγμα τι μέγα καὶ ὑψηλὸν δι τῶν εἰρημένων τῆς θείας γραφῆς παραδ δοσθαι. τὸ δὲ δόγμα τοιοῦτόν ἐστι. δύο τι
Δ νῶν κατὰ τὸ ἀκρότατον πρὸς ἄλληλα διεστηκότων, μέσον ἐστὶ τὸ ἀνθρώπινον τῆς τ θείας καὶ ἀσωμάτου φύσεως, καὶ τῆς ἀλό γου καὶ κτηνώδους ζωῆς. ἔξεστι γὰρ ἑκατέρου τῶν εἰρημένων ἐν τῷ ἀνθρωπίνῳ συγ κρίματι θεωρῆσαι τὴν μοῖραν. τοῦ μ θείου, τὸ λογικόν τε καὶ διανοητικὸν, ὃ τὴ κατὰ τὸ ἄρρεν καὶ θῆλυ διαφορὰν οὐ προσίεται· τοῦ δὲ ἀλόγου, τὴν σωματικὴν κατασκευὴν καὶ διάπλασιν εἰς ἄρρεν τε κα
E θῆλυ μεμερισμένην. ἑκάτερον γὰρ τούτω ἐστὶ πάντως ἐν παντὶ τῷ μετέχοντι τῆ ἀνθρωπίνης ζωῆς. ἀλλὰ πρωτεύειν τ νοερὸν, καθὼς παρὰ τοῦ τὴν ἀνθρωπογονίαν ἐν τάξει διεξελθόντος ἐμάθομεν ἐπιγεννηματικὴν δὲ εἶναι τῷ ἀνθρώπῳ τὴ πρὸς τὸ ἄλογον κοινωνίαν τε καὶ συγγένειαν πρῶτον μὲν γάρ φησιν, ὅτι ἐποίησεν Θεὸς κατ' εἰκόνα τοῦ Θεοῦ τὸν ἄνθρωπον, δεικνὺς διὰ τῶν εἰρημένων, καθώς φησι
Z » ὁ Ἀπόστολος, ὅτι ἐν τῷ τοιούτῳ ἄρρεν κα
» θῆλυ οὐκ ἔστιν· εἶτα ἐπάγει τῆς ἀνθρωπίνης φύσεως τὰ ἰδιώματα, ὅτι ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς.

κη. Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς, λέγων· αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς· καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πε-
H τεινῶν τοῦ οὐρανοῦ, καὶ πάντων τῶ κτηνῶν,

(1) Ἰστέον, ὅτι τοὺς περὶ τῆς κατασκευῆς τοῦ ἀνθρώπου λόγους τοῦ Βασιλείου ψευδεπιγράφους ὑπειλήφασί τινες εἶναι. (ὅρα τὸν πρόλογον (ἐν σελ. 8.) τῆς κατὰ τὸ Παρίσ. ἐν ἔτει 1721. γενομ. ἐκδόσ.) κεῖνται δὲ οἱ αὐτοὶ καὶ ἐν τῷ τοῦ Νύσσης 1. Τόμ. αὐτῷ ἐπιγεγραφότες.

κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.

** ΒΑΣΙΛΕΙΟΥ. Αὐξάνεσθε γάρ φησιν, ἵνα μὴ ἀτελὲς διαμένῃ τὸ ποίημα· πληθύνεσθε, ἵνα μὴ εἰς ἕνα, ἀλλὰ καὶ εἰς πολλοὺς διαδράμῃ τὸ γένος. διὸ καὶ ἐπήγαγε, καὶ πληρώσατε τὴν γῆν. πληρώσατε δέ, οὐ τῇ κατοικήσει· οὕτω γὰρ ἔσται ὁ λόγος διεψευσμένος, ἐπειδὴ ἄχρι τοῦ νῦν ὁρῶμεν πολλὴν γῆν ἀοίκητον· ἀλλὰ πληρώσατε, τὴν ἐξουσίαν, φησί, τοῦ κυριεύειν τὴν γῆν δέδωκεν ἡμῖν.

** ΤΟΥ ΑΥΤΟΥ. Τὸ οὖν αὐξάνεσθε ἐπὶ πάντων λεγόμενον, τοῖς μὲν ἀλόγοις ζώοις, κατὰ τὴν τοῦ σώματος τελείωσιν, κατὰ (1) τὸν ἀπαρτισμὸν τῆς φύσεως, εἴρηται· ἡμῖν καὶ (2) τοῖς λογικοῖς, τὸ αὐξάνεσθε κατὰ τὸν ἔσω ἄνθρωπον, κατὰ τὴν προκοπὴν τὴν εἰς Θεὸν ἄγουσαν. Καὶ μετ' ὀλίγα. Αὐξάνεσθε οὖν αὔξησιν τὴν κατὰ Θεόν, τελείωσιν τὴν κατὰ τὸν ἔνδον ἄνθρωπον. πληθύνεσθε· ἐκκλησίας ἡ εὐλογία. μὴ ἐν ἑνί, φησί, καὶ δυσὶ περιγραφέσθω ἡ Θεολογία. ἀλλ' εἰς πᾶσαν τὴν γῆν κηρυχθήτω τὸ εὐαγγέλιον τῆς σωτηρίας. πληθύνεσθε· τίνες; οἱ κατὰ τὸ εὐαγγέλιον γεννώμενοι. πληρώσατε τὴν γῆν· τὴν σάρκα τὴν δεδομένην ἡμῖν εἰς ὑπηρεσίαν, πληρώσατε ἀγαθῶν ἔργων.

κθ. Καὶ εἶπεν ὁ Θεός, ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς· καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν
λ. ἔσται εἰς βρῶσιν. Καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. καὶ ἐγένετο οὕτω.

A ** ΒΑΣΙΛΕΙΟΥ. Οὐκ εἶπε δέδωκα ὑμῖν τὰ κτήνη, τὰ ἑρπετά, τὰ πετεινά, τὰ τετράποδα· οὐ γὰρ τούτων ἕνεκα ἐκτίσθησαν φησίν· ἀλλ' ἡ πρώτη νομοθεσία καρπῶν ἀπόλαυσιν συνεχώρησε, καὶ τῆς ἐν αὐτῷ (3) διαίτης. οἷον δέ τί ἐστι καὶ τὸ ἐν τῷ λανθάνοντι παρακείμενον μυστήριον· ὅτι οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ τοῖς ἀλόγοις ζώοις πᾶσιν, ἡ αὐτὴ ἐκ τῶν καρπῶν τῆς γῆς, καὶ τῶν σπερμάτων ὡρίσθη τωτότε
B τροφή· ἰδοὺ γάρ φησι δέδωκα κτ. καὶ μὴν εἴποι τις, νῦν ὁρῶμεν τὰ πλείονα τῶν θηρίων καρποῖς μὴ τρεφόμενα. ποίῳ γὰρ καρπῷ ἀνέχεται πάρδαλις τραφῆναι; τίς δὲ καρπὸς δύναται λέοντα θρέψαι; ἀλλ' ἴστω, ὅτι καὶ ταῦτα τῷ νόμῳ τῆς φύσεως ὑποτεταγμένα, καρποῖς τὸ πρὶν διετρέφετο. ἐπειδὴ δὲ ὁ ἄνθρωπος ἐξεδιῃτήθη, καὶ ἐξέβη τοὺς ὅρους τοὺς δοθέντας αὐτῷ, μετὰ τὸν κατακλυσμὸν εἰδὼς ὁ Κύριος
Γ ἀφειδεῖς τοὺς ἀνθρώπους, πάντων τὴν ἀπόλαυσιν συνεχώρησε. πάντα ταῦτα φάγεσθε ὡς λάχανα χόρτου. ταύτῃ τῇ συγχωρήσει καὶ τὰ λοιπὰ ζῶα εὐθὺς ἔλαβε τὴν τοῦ σαρκοφαγεῖν ἄδειαν.

ΑΔΗΛΟΥ. Διατί ἐπὶ τῶν ἄλλων κτισμάτων εἴρηται τό, εἶδεν ὁ Θεός, ὅτι καλόν, ἐπὶ δὲ τοῦ Ἀδὰμ οὐκ εἴρηται; Ὅτι ἐπ' ἐκείνων τοῦ Θεοῦ προστάττοντος, ἐγένοντο·
Δ ἐπὶ δὲ τοῦ ἀνθρώπου, αὐτουργήσαντος, καὶ προβουλίοις τετιμηκότος ἐκεῖνον, δι' ὃν καὶ πᾶσαν τὴν ὁρωμένην ἐδημιούργησε κτίσιν.

λα. Καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει πῶς συλλαβὼν τὰ δημιουργηθέντα ἅπαντα διὰ
E τῆς λέξεως ταύτης, τῆς πάντα, πᾶσι τοῖς δημιουργηθεῖσι τὸν ἔπαινον ἀπεκλήρωσεν. οὐδὲ γὰρ εἰποῦσα ἅπαντα, ἠρκέσθη ἀλλ' ἐπήγαγεν, ὅσα ἐποίησε. καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἰδοὺ καλά, καὶ λίαν καλά φησι, τουτέστι πάνυ καλά.

ΚΕΦ. Β.

α. αὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πᾶς ὁ κόσμος αὐτῶν.

β. Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε.

ΔΙΟΔΩΡΟΥ. Ἵνα εἴπῃ, ὅτι συνετέλεσε δὲ τὸν οὐρανὸν καὶ τὴν γῆν μετὰ παντὸς αὐτῶν τοῦ διακόσμου ἐπὶ τῆς ἕκτης ἡμέρας, μηθὲν ἔτι καταλελοιπώς, ὃ προσθεῖναι ἐχρῆν, ὡς λεῖπον τῇ κτίσει.

ΩΡΙΓΕΝΟΥΣ. Ἤδη δέ τινες ἄτοπον εἶναι νομίζοντες τὸ ὑπολαμβάνειν, τὸν Θεὸν δίκην οἰκοδόμου, μὴ ἀρκέσαντος χωρὶς πλειόνων ἡμερῶν πληρῶσαι τὴν οἰκοδομήν, ἐν πλείοσιν ἡμέραις τετελεκέναι τὸν κόσμον, φασίν, ὑφ' ἓν πάντα γεγονέναι. καὶ ἐντεῦθεν τοῦτο κατασκευάζουσιν.
H ἕνεκεν δὲ τάξεως οἴονται τὸν κατάλογον

(1) Ἴσ. καὶ τὸν ἀπαρτισμόν, ἢ καὶ κατὰ τὸν ἀπαρτισμόν.
(2) Ἡμῖν δὲ τοῖς λογικοῖς ὀρθότερ.
(3) Ἴσ. τῆς ἐν αὐτοῖς, ἢ τῆς ἐν τῷ παραδείσῳ διαίτης.

λογον τῶν ἡμερῶν εἰρῆσθαι, καὶ τῶν ἐν αὐταῖς γινομένων. πιθανῶς δ' ἂν πρὸς τούτῳ καλασκευαζομένῳ χρήσαιντο ῥητῷ, τῷ,

Ψαλ. 148. 5. „ αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.

Καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε.

ΑΔΗΛΟΥ. Ἑβραῖοι λέγουσιν, εἰ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, πεποίηκέ τι καὶ ἐν αὐτῇ.

ΘΕΟΔΩΡΟΥ. „ Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ τὰ ἑξῆς. Δεικνὺς, ὅτι ἐπὶ μὲν τῆς ἕκτης συμπεπλήρωκε πάντα, ἅτε μηδὲν αὐτοῖς προστιθέναι μέλλων καινὸν, ἐπειδὴ μηδὲ λείπειν τι αὐτοῖς ἡγεῖτο. ἐπαύσατο δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τοῦ ποιεῖν. τούτου γε ἕνεκεν τὴν ἡμέραν ταύτην προστέθεικεν, ἄπρακτον οὖσαν, καὶ ἐν ᾗ καθάπαξ πεποίηκεν οὐδέν. ὡς ἂν τῇ κατὰ τὴν ἡμέραν ἀργίᾳ δηλώσειεν, ὅτι πάντα ἔχει πέρας αὐτῷ. ὁ γὰρ καὶ τῇ πρώτῃ, καὶ τῇ δευτέρᾳ, καὶ τῇ τρίτῃ, καὶ τῇ τετάρτῃ, καὶ τῇ πέμπτῃ, καὶ τῇ ἕκτῃ ἀεί τι καινὸν πεποιηκὼς, ὃ λείπειν ἡγεῖτο τῇ κτίσει· εὔδηλον, ὅτι διὰ τοῦτο ἐπὶ τῆς ἑβδόμης τοῦ ποιεῖν ἀπεπαύσατο, ὡς ἂν τῇ ἀργίᾳ τῇ ἐν αὐτῇ δείξειε τὸ πέρας εἰληφέναι τὴν κτίσιν. ὅθεν καὶ ἐν ἑπτὰ ἡμέραις τὸν πάντα κύκλον τῶν ἡμερῶν περιέγραψε, δυνάμενος ἐν ταῖς ἓξ τοῦτο ποιῆσαι, ἐν αἷς συνεπλήρωσε τὴν κτίσιν. ἵνα αἱ μὲν ἓξ, δήλωσις ὦσι τῶν γεγονότων· ἡ δὲ ἑβδόμη, πάντα εἰληφέναι πέρας, καὶ μηδὲν αὐτοῖς λείπειν ἔτι.

ΤΟΥ ΑΥΤΟΥ. Εὔδηλον γὰρ ὡς οὐδὲν οὐκ ἔτι καινὸν μετὰ τὴν ἕκτην ἐγένετο, γινομένων μὲν ἀεὶ καὶ φυτῶν, καὶ σπερμάτων, καὶ ζώων· οὐ καινῶν δὲ, ἀλλ' οἷάπερ ἦν τὰ πρότερον γεγονότα, κατ' ἐκεῖνον τὸν ὅρον, καὶ τὴν ἐπ' αὐτοῖς ἀπόφασίν τε καὶ εὐλογίαν τοῦ Θεοῦ, πάντων καθ' ἑκάστην ἐπιδιδόντων τὴν ἡμέραν.

Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν. ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε διαφερόντως τὴν ἑβδόμην ἡμέραν εὐλόγησεν ὁ Θεός; Ἑκάστη τῶν ἄλλων ἡμερῶν ἰδίαν τινὰ δημιουργίαν ἐδέξατο. ἐπειδὴ τοίνυν μέχρι ταύτης σύμπασαν τὴν κτίσιν ἐδημιούργησε, δέδωκεν ἀντὶ δημιουργίας τῇ ἑβδόμῃ ἡμέρᾳ τὴν εὐλογίαν. ἵνα μὴ μόνη παρὰ τὰς ἄλλας ἀγέραστος μείνῃ. τὸ μέντοι ἡγίασεν αὐτὴν, ἀντὶ τοῦ ἀφώρισε, τέ-

A θεικε. πολλαχοῦ γὰρ οὕτω τοῦτο νοούμενον ἐστὶν εὑρεῖν παρὰ τῇ θείᾳ Γραφῇ. καὶ γὰρ „ περὶ τῶν Μήδων φησὶν, ἡγιασμένοι εἰσὶ, Ἡσ. 13. 3.
„ κἀγὼ ἄγω αὐτοὺς, τουτέστιν εἰς τοῦτο ἀφωρισμένοι. ἄλλως τε, καὶ Ἰουδαίοις ταῦτα συγγράφων, ἀναγκαίως τὸ ἡγίασεν αὐτὴν τέθεικεν, ἵνα πλέον σέβας ἀπονέμωσι τῷ σαββάτῳ. τοῦτο γὰρ καὶ νομοθετῶν ἔφη,
„ ὅτι ἐν ἓξ ἡμέραις ἐποίησε Κύριος ὁ Θεὸς σου Ἐξοδ. 20. 11.
„ τὸν οὐρανὸν καὶ τὴν γῆν, τῇ δὲ ἑβδόμῃ
B „ ἡμέρᾳ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων
„ αὐτοῦ ὧν ἐποίησε, καὶ ἡγίασεν αὐτήν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι καὶ ἡγίασεν αὐτήν; Ἀφώρισεν αὐτήν. εἶτα διδάσκουσα ἡμᾶς ἡ θεία Γραφὴ καὶ τὴν αἰτίαν „ δι' ἣν εἴρηκε· καὶ ἡγίασεν αὐτήν· προσέθηκεν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι. ἤδη ἐντεῦθεν ἐκ προοιμίων αἰνιγματωδῶς διδασκαλίαν ἡμῖν ὁ Θεὸς παρέχεται,

Γ παιδεύων τὴν μίαν ἡμέραν ἐν τῷ κύκλῳ τῆς ἑβδομάδος ἅπασαν ἀνατιθέναι καὶ ἀφορίζειν τῇ τῶν πνευματικῶν ἐργασίᾳ. διὰ γὰρ τοῦτο καὶ ὁ δεσπότης ἐν ἓξ ἡμέραις τὰ τῆς δημιουργίας ἅπαντα πληρώσας, τὴν ἑβδόμην εὐλογίας ἀξιώσας ἡγίασε, διὰ τὸ ἐν αὐτῇ καταπαῦσαι ἀπὸ τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ποιῆσαι.

ΘΕΟΔΩΡΟΥ. Ὡς ἂν μὴ ἄχρηστος εἶναί τις αὐτῷ, καὶ περιττὴ νομίζοιτο ἡ ἑβ-

Δ δόμη· οὐδὲν ἔργον Θεοῦ δεξαμένη, καὶ ὡς ἂν μὴ βδελυκτή τις ὑπολαμβάνοιτο τοῖς πᾶσιν εἶναι, καὶ οὐκ ἠξιωμένη θείας τινὸς ἐργασίας· εὐκόλως ἄν τινος ὑποπτεύσαντος, ὅτι ὡς ἐν ἀνεπιτηδείᾳ τάχα ἡμέρᾳ οὐδὲ ποιῆσαί τι εἵλετο ἐν αὐτῇ, καθὼς ἔθος ἐνίοις τὰς φαυλοτέρας ἀπράκτους νομίζειν· ὡς ἂν μή τι τοιοῦτον καὶ περὶ τῆς ἑβδόμης ὑπολαμβάνοιτο, ἐπήγαγε· „ καὶ εὐλόγησεν

E „ ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγία-
„ σεν αὐτήν. ἔδειξε γὰρ, ὅτι οὐκ ἄχρηστον τὴν ἡμέραν πρὸς τὸ ποιεῖν ἡγήσατο, ἀλλ' ἁρμόδιον ἔθετο εἰς ἀνάπαυσιν. εὐλόγησεν οὖν καὶ αὐτὴν, ἅτε τὰς μὲν λοιπὰς τῷ τι ποιῆσαι ἐν αὐταῖς τιμήσας· ταύτην δὲ τῷ ἔλεγχον εἶναι τοῦ πεπληρῶσθαι τὴν κτίσιν. διὰ τοῦτο καὶ τὸ, ἡγίασεν αὐτὴν εἶπεν, ἀντὶ τοῦ ἀφώρισε πρὸς τοῦτο, ὡς τῇ ἐπ' αὐτῆς ἀργίᾳ ἐδείκνυτο (1) τὸ τῆς κτίσεως πέρας.

Z

δ. Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἄξιον ἐνταῦθα ζητῆσαι, τίνος ἕνεκεν βίβλον αὐτὴν καλεῖ οὐρανοῦ τε καὶ γῆς, καίτοι πολλὰ ἕτερα τῆς βίβλου περιεχούσης, καὶ διδασκούσης ἡμᾶς καὶ περὶ ἑτέρων πλειόνων, καὶ περὶ τῆς τῶν δικαίων ἀρετῆς, καὶ περὶ τῆς τοῦ Θεοῦ

H φιλανθρωπίας, καὶ τῆς συγκαταβάσεως, ἣν ἐπεδείξατο περί τε τὸν πρωτόπλαστον, καὶ περὶ ἅπαν τὸ τῶν ἀνθρώπων γένος.

E 3 Καὶ

(1) Δεικνύηται ἡ ἐν χάλῃ ἐκδ. ἐν τοῖς τοῦ Θεοδωρίτ.

Καὶ μεθ᾽ ἕτερα. Ἔθος τοῦτο τῇ θείᾳ Γραφῇ μὴ πανταχοῦ κατὰ μέρος ἡμῖν ἅπαντα ἐξηγεῖσθαι, ἀλλ᾽ ἀπὸ τῶν συνεκτικωτάτων ἀρχομένην καταλιμπάνειν τὰ ἑξῆς σκοπεῖν τοῖς συγνώμοσιν ἀκοαῖς δεχομένοις τὰ λεγόμενα.

ΑΔΗΛΟΥ. Τὸ, βίβλος ἐν τῷ τόπῳ τούτῳ καθόλου κεῖται παρ᾽ Ἑβραίοις. ἀλλ᾽ ἐστὶ πλάνη Ἑβραίου γραφέως, πλανηθέντος ἐν τῇ πλάνῃ ἐκείνου, ἐν ᾧ κεῖται παρὰ μὲν Ἀκύλᾳ, τοῦτο βιβλίον γεννημάτων Ἀδάμ· παρὰ δὲ τοῖς ἑβδομήκοντα, αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων. ᾠήθη γὰρ καὶ ἐν τούτῳ τῷ τόπῳ βιβλίον παραλελῆφθαι, καὶ οὕτως αὐτῷ προσέθηκεν.

Ἡ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν
ε. οὐρανὸν καὶ τὴν γῆν. Καὶ πᾶν
χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι. οὐ γὰρ ἔβρεξε Κύριος ὁ Θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν.

ΑΔΗΛΟΥ. Νῦν οὐχ ὡς ἐν ἓξ ἡμέραις οὐρανοῦ καὶ γῆς γενομένων, ἐπήγαγε τὸ, ᾗ ἡμέρᾳ ἐποίησε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τοῦτο βούλεται εἰπεῖν, ὅτι τῷ λόγῳ αὐτοῦ, καὶ τῷ προστάγματι τὰ πρότερον μὴ ὄντα εἰς τὸ εἶναι ὑπέστη, καὶ ἅπερ οὐκ ἦν, ταῦτα ἀθρόον ἐδείκνυτο. ὁ χόρτος ὁ ἐκ τῆς γῆς ἀναδιδόμενος. χόρτον δὲ ὅταν εἴπῃ, τὰ σπέρματα ἅπαντα λέγει. καὶ περὶ τῶν ὑετῶν διδάσκουσα ἡμᾶς πάλιν ἡ θεία Γραφὴ ἐπήγαγεν· οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν, τουτέστιν, οὐδέπω οὐδὲ ὑετοὶ ἄνωθεν κατεφέροντο. καὶ μετὰ τοῦτο λοιπὸν δείκνυσιν ἡμῖν, ὅτι οὐδὲ τῆς τοῦ ἀνθρώπου ἐργασίας ἐδεήθη. ἄνθρωπος γάρ φησιν οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν.

ϛ. Πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δέ ἐστι, πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς; Ἐν κεφαλαίῳ πάλιν ὁ συγγραφεὺς τὰ περὶ τῆς κτίσεως διηγήσατο· καὶ ἐδίδαξεν, ὅτι μὴ ὄντα τὰ στοιχεῖα παρήγαγεν ὁ Θεὸς, καὶ ὅτι ταῦτα ἀπ᾽ ἀλλήλων διεχώρισε, καὶ ὅτι ἕκαστον τούτων διεκόσμησεν ὡς ἠθέλησε, καὶ ὅτι μήτε ἀνθρώπου γεωργοῦντος τὴν γῆν, μήτε τῶν νεφῶν ὑόντων, ἀρδείαν εἶχε τὴν μετὰ τὸν χωρισμὸν τῶν ὑδάτων ἐναπομείνασαν αὐτῇ νοτίδα τε καὶ ἰκμάδα. οὕτω γὰρ καὶ Ἀκύλας ἡρμήνευσεν, ὅτι ἐπιβλυσμὸς ἀνέβη ἐκ τῆς γῆς, καὶ ἐπότισε πᾶν τὸ πρόσωπον τῆς χθονός.

A ΔΙΟΔΩΡΟΥ. Τοῦτο εἰπεῖν ἠβουλήθη, ὅτι ἀδιακόσμητος γέγονεν ἡ γῆ. οὔτε γὰρ ἐξεδέδοτο ὅτι ἐξ αὐτῆς, ὧν ὕστερον διέταξε γίνεσθαι ὁ Θεός. ἐπεὶ μήτε ὁ ἐργαζόμενος ἄνθρωπος ἦν, μήτε ὑετὸς κατενήνεκτο, ἅτε μήπω τῆς διατάξεως ταύτης λαβούσης ἀρχήν. ὅθεν καὶ τὴν αἰτίαν λέγων, ἐπάγει· πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ τὰ ἑξῆς· λέγει μὲν γὰρ ὅτι ἐκαλύπτετο πᾶσα ὑπὸ τῶν ὑδάτων. εἴρηκε B δὲ αὐτὸ οὑτωπως, ὡς ἂν ἐξ αὐτῆς τῆς γῆς βλύζοντά τε καὶ πηγάζοντα τὰ ὕδατα, καὶ ἐξ ἁπάσης αὐτῆς φερόμενα, οὕτω πᾶσαν αὐτὴν συνεκάλυπτον.

ΕΥΣΕΒΙΟΥ. Ἑβραῖος δέ τίς φησιν, ὅτι οὐ λέγει πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, ἀλλά τι εἶδός φησιν ἀχλύος, ἢ αἰθέρος συνεστῶτος παχυτάτου· οὗ τὴν ἀνάδοσιν ἀπὸ τῆς γῆς γίνεσθαι ἔφη, καὶ καλύπτειν τὸ Γ πρόσωπον. εἴτε δὲ ἀπὸ τῆς νοτίδος φησὶν, εἴτε δὲ Θεοῦ οἰκονομοῦντος, ἐγίνετο, οὐκ ἔχω λέγειν. Φίλων δὲ ὁ ἑβραῖός φησι· μήποτε, ὡς ἵππος λέγεται βασιλέως πᾶσα ἱππικὴ δύναμις, οὕτω καὶ πηγὴ πᾶσα φλὲψ τῆς γῆς, πότιμον ὕδωρ πᾶν ὀμβροῦσα, ἢ πηγάζουσα. εὖ δέ φησι καὶ τὸ φάναι μὴ πᾶσαν, ἀλλὰ τὸ πρόσωπον τῆς γῆς νοτίζεσθαι, τὸ ἄριστον καὶ ἡγεμονεῦον μέρος, καὶ καρποφορεῖν δυνάμενον· ὃ τῆς ἀπὸ τῶν Δ πηγῶν ἐπικουρίας οὐ δεῖται.

ζ. Καὶ ἔπλασε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς.

ΣΕΥΗΡΟΥ. Οὐκ εἶπεν ἁπλῶς ἐποίησεν, ἀλλ᾽ ἔπλασε. πλάσις λέγεται ἐπὶ εὐπρεπείας. ὡς ὅταν θεασάμενος πρόσωπον εὔμορφον, εἴπῃ καλὸν πλάσμα. διὸ καὶ Δαβὶδ, ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει; Ψ E ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐ κατανοεῖ; πάντα γὰρ ἐποίησε πρὸς εὐπρέπειαν, καὶ κόσμον, καὶ χρῆσιν. ἔλαβε χοῦν ἀπὸ τῆς γῆς· μακάριαι αἱ χριστιανῶν ἐλπίδες, ἐὰν ἐπιγνῶμεν ἃ ἀναγινώσκομεν· καὶ οὐκ εἶπε βῶλον ἔλαβεν, ἀλλὰ χοῦν· ἐπειδὴ προῄδει, ὅτι μέλλει τελευτᾶν τὸ ζῶον, καὶ εἰς χοῦν ἀναλύεσθαι, προλαβὼν ἐν τῇ δημιουργίᾳ, ἔπηξε τὴν ἐλπίδα τῆς ἀναστάσεως· ἵν᾽ ὅταν ἴδῃς ἐν τάφῳ χοῦν, γνώσῃ ὅτι ὁ ἐκεῖνο πλάσας, καὶ τοῦτο ἀναστήσει.

Z Καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.

ΩΡΙΓΕΝΟΥΣ. Περὶ μὲν οὖν τοῦ μυκτῆρα λέγεσθαι παρὰ τῷ Ἀκύλᾳ, καὶ Συμμάχῳ, ἢ πρόσωπον παρὰ τοῖς ἑβδομήκοντα τοῦ πεπλανηκότος, (1) εἰς ὃ ἐνεφύσησεν ὁ Θεὸς πνοὴν ζωῆς, λεκτέον, ὅτι οὐ H δεῖ περιέχεσθαι τοῦ γράμματος τῆς Γραφῆς, ὡς ἀληθοῦς· τὸν δὲ κεκρυμμένον θησαυρὸν ἐν τῷ γράμματι ζητεῖν.

ΘΕΟΔΩ-

(1) Τοῦ πεπλασμένου ἡ ἐν χάλῃ ἔκδοσ. (ἐν τοῖς τοῦ Θεοδώρ.) ὃ καὶ ὀρθότερον.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ ἐκ τοῦ θείου ἐμφυσήματος γέγονεν ἡ ψυχή, ἐκ τῆς οὐσίας ἄρα τοῦ Θεοῦ ἐστὶν ἡ ψυχή. Ἀσεβείας ἐσχάτης, καὶ βλασφημίας ἡ τοιαύτη ἔννοια. τῆς γὰρ δημιουργίας τὴν εὐκολίαν ἔδειξε διὰ τούτου ἡ θεία Γραφή. πρὸς δὲ τούτῳ καὶ τῆς ψυχῆς τὴν φύσιν αἰνίττεται, ὅτι πνεῦμά ἐστι κτιστὸν, ἀόρατόν τε καὶ νοερὸν, τῆς τῶν σωμάτων ἀπηλλαγμένον παχύτητος. κἀκεῖνο δὲ χρὴ εἰδέναι, ὅτι δεῖ πρότερον νοῆσαι πνεύμονα, καὶ τοὺς ἀποθλίβοντας τοῦτον μῦς, καὶ συστέλλοντας, καὶ τὴν συμπεφυκυῖαν ἀρτηρίαν τῷ πνεύμονι, καὶ ὑπερῴαν, καὶ στόμα, εἶθ' οὕτω δέξασθαι τὸ ἐμφύσημα. εἰ δὲ τὸ θεῖον ἀσώματον, θεοπρεπῶς ἄρα καὶ τὸ ἐμφύσημα νοητέον.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ ἐνεφύ„σησε, φησὶν, εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. ζωτικὴν, φησὶν, ἐνέργειαν τὸ ἐμφύσημα ἐχαρίσατο τῷ ἐκ γῆς πλασθέντι. καὶ τοῦτο ἐγένετο σύστασις τῆς οὐσίας τῆς „ ψυχῆς. ἐπήγαγε γοῦν, καὶ ἐγένετο ὁ ἄν„θρωπος εἰς ψυχὴν ζῶσαν. ἐκεῖνος ὁ πλασθεὶς ἀπὸ τοῦ χοὸς, δεξάμενος τὸ ἐμφύσημα, τὴν πνοὴν τῆς ζωῆς, ἐγένετο εἰς ψυχὴν ζῶσαν, τουτέστιν ἐνεργοῦσαν, ἔχουσαν ὑπηρετοῦντα τὰ μέλη τοῦ σώματος ταῖς αὐτῆς ἐνεργείαις.

ΤΟΥ ΑΥΤΟΥ. Ἴσως εἴποι τις ἂν, καὶ τίνος ἕνεκεν, εἰ τιμιώτερον ἡ ψυχὴ τοῦ σώματος, τὸ ἔλαττον πρῶτον δημιουργεῖται, καὶ τότε τὸ μεῖζον; Οὐχ ὁρᾷς, ἀγαπητὲ, ὅτι καὶ ἐπὶ τῆς κτίσεως τὸ αὐτὸ τοῦτο γέγονεν; ὥσπερ γὰρ οὐρανὸς καὶ ἡ γῆ, ἥλιος, καὶ τὰ ἄλλα πάντα ἐδημιουργήθη, καὶ τὰ ζῶα τὰ ἄλογα, καὶ μετὰ ταῦτα ὁ ἄνθρωπος, ὁ τούτων πάντων τὴν ἀρχὴν μέλλων ἐγχειρίζεσθαι· τὸν αὐτὸν τρόπον, καὶ ἐν αὐτῇ τῇ διαπλάσει τοῦ ἀνθρώπου, πρότερον τὸ σῶμα παράγεται, καὶ τότε ἡ ψυχὴ ἡ τιμιωτέρα. ὥσπερ γὰρ τὰ ἄλογα πρὸς ὑπηρεσίαν τῶν ἀνθρώπων μέλλοντα εἶναι χρήσιμα πρὸ τοῦ ἀνθρώπου δημιουργεῖται, ἵνα ἑτοίμην ἔχῃ τὴν ὑπηρεσίαν ὁ μέλλων τῆς τούτων χρείας ἀπολαύειν· οὕτω καὶ πρὸ τῆς ψυχῆς τὸ σῶμα δημιουργεῖται, ἵνα ἐπειδὰν ἡ ψυχὴ παραχθῇ, ἔχῃ τὰς οἰκείας ἐνεργείας ἐπιδείκνυσθαι διὰ τῆς τοῦ σώματος κινήσεως.

ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ δέ ἐστιν ὁ ἄνθρωπος ζῶον ἀληθῶς εὐφυές τε καὶ θεοειδέστατον, ὡς ἂν μὴ δοκῇ τῆς ἀνωτάτω δόξης τὸ μίμημα τῶν ἴσων εἰς ποίησιν τοῖς οὐχ ὧδε ἔχουσι λαχεῖν, καὶ τοῖς προβουλίοις ἐτίμα, καὶ αὐτουργίᾳ τὸ τέχνημα. ἄγαλμα δὲ διαπλάσας ἐκ γῆς, ζῶον αὐτολογικὸν ἀπετέλει· καὶ ἵνα εἰς τοὺς τῆς ἰδίας φύσεως ἀνατρέχον λόγους, ἄφθαρτόν τε εἴη καὶ ἀνώλεθρον, τὸ ζωοποιοῦν εὐθέως ἐνεχάραττε πνεῦμα. γέγραπται γὰρ, ὅτι

A „ καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ „ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς „ ψυχὴν ζῶσαν.

ΔΙΟΔΩΡΟΥ. Ὑπέλαβον ἔνιοι κακῶς, τὸ ἐμφύσημα τοῦ Θεοῦ γεγενῆσθαι ψυχὴν τὴν ἀθάνατον, τοῦ Μωσέως οὐκ εἰρηκότος, ὅτι τὸ ἐμφύσημα γέγονε ψυχὴ, ἀλλ' ὅτι Θεὸς μὲν ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, ἐγένετο (1) ὁ ἄνθρωπος
B εἰς ψυχὴν ζῶσαν· ὡς τῆς πνοῆς τῆς ζωτικῆς, τῆς ἐν τῷ προσώπῳ τοῦ Ἀδὰμ ἐμφυσηθείσης τε καὶ ἐμπνευσθείσης, τὸν ἄνθρωπον ἀπεργασαμένης ζῶον λογικὸν, ἐκ τε θνητοῦ σώματος καὶ ψυχῆς ἀθανάτου συνεστός. ἐπειδὴ γὰρ πνεῦμα ἡ ψυχὴ, φύσις ἀόρατος, ἐμφύσημα θεῖον δημιουργικὸν αὐτῆς εἶναί φησιν, ὥσπερ καὶ τῶν ὁρατῶν χεῖρα Θεοῦ. ἀοράτου μὲν γὰρ ἐμφυσήματος ὀνόματι, τῆς ἀοράτου τὴν κτίσιν
Γ γενέσθαι φησὶν ὁ Μωσῆς. ὁρατοῦ δὲ μέλους προσηγορίᾳ, τουτέστι τῆς χειρὸς, πολλάκις τὰ ὁρατὰ δεδημιουργῆσθαί φασιν οἱ Προφῆται. δεῖ δὲ μὴ ἀγνοεῖν, ὡς τὰ μὲν ἄλλα πάντα προστάττεται γενέσθαι ἀπὸ γῆς, καὶ γένεσιν εἴληφεν ὁ μοντλιμι ζωντ. (2) προῆλθεν ἀπὸ γῆς. ἀνθρώπου δὲ πρῶτον μὲν τὸ σωματικὸν ὄργανον κατεσκευάσθη, μετὰ δὲ τοῦτο καὶ ὁ τεχνίτης δημιουργηθεὶς, ἐπεισήχθη· καὶ δεύτερον τοῦ χείρονος τὸ
Δ κρεῖττον, ἵνα μὴ καταφρονῇ τῆς σαρκὸς, μηδὲ μέγα φρονῇ ἐπὶ τῷ τῆς οἰκείας φύσεως ἐξαιρέτῳ. ὁ τοίνυν ἄνθρωπος ἐγένετο εἰς ψυχὴν ζῶσαν.

ΣΕΥΗΡΟΥ. Τὸ σῶμα τοῦ ἀνθρώπου αἴρει ἀπὸ γῆς, τὴν ψυχὴν αὐτὸς δίδωσι κτίσας καὶ δημιουργήσας· οὐκ ἐκ τῆς ἰδίας οὐσίας ἐκβαλών· ἵνα ὅταν ἀποθάνῃ ὁ ἄνθρωπος, μὴ ἀπογνῶμεν τῆς ψυχῆς τὴν φύσιν.

E ΕΦΡΑΙΜ. Ἐνεφύσησεν ὁ Θεὸς εἰς τὸ πρόσωπον τοῦ Ἀδάμ· ἐκ τοῦ κυριωτέρου μέρους τῆς ὄψεως δεικνὺς τὸ ἀξίωμα τῆς ψυχῆς· ὅτι ἡγεῖται αὐτοῦ πάσης τῆς ὑποστάσεως. (3) εἶπεν ὅτι καὶ ἐγένετο εἰς ψυχὴν ζῶσαν, δηλῶν, ὅτι τότε γέγονε, καὶ οὐ πρὸ χρόνου τινός.

ΕΙΡΗΝΑΙΟΥ. Ἕτερόν ἐστι πνοὴ ζωῆς, ἡ καὶ ψυχικὸν ἀπεργαζομένη τὸν ἄνθρω-
Z πον, καὶ ἕτερον πνεῦμα ζωοποιοῦν, τὸ καὶ πνευματικὸν αὐτὸν ἀποτελοῦν. καὶ διὰ „ τοῦθ' Ἡσαΐας φησίν· οὕτω λέγει Κύριος Ἡσ. 42. 5.
„ ὁ ποιήσας τὸν οὐρανὸν, καὶ στερεώσας αὐτὸν, „ ὁ πήξας τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ, καὶ δι„δοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς, καὶ πνεῦ„μα τοῖς πατοῦσιν αὐτήν. τὴν μὲν πνοὴν, παντὶ κοινῶς τῷ ἐπὶ γῆς λαῷ, φήσας, δεδόσθαι· τὸ δὲ πνεῦμα, ἰδίως τοῖς καταπατοῦσι τὰς γεώδεις ἐπιθυμίας. διὸ καὶ πά-
H λιν ὁ αὐτὸς Ἡσαΐας διαστέλλων τὰ προειρη„μένα, φησί· πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξε- Ἡσ. 57. 16.
λεύσεται,

(1) Ἀνάγν. ἐγένετο δέ. (2) Ἴσ. ὁμότιμον, καὶ ζῶντα.
(3) Ὅτι ἡγεῖται παρ' αὐτοῦ τῆς ὑποστάσεως. ἡ τῆς Ὀξον. ἔκδ.

„ λούσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα. A τὸ πνεῦμα ἰδίως ἐπὶ τοῦ Θεοῦ τάξας, τοῦ ἐκχέοντος αὐτὸ διὰ τῆς υἱοθεσίας ἐπὶ τὴν ἀνθρωπότητα· τὴν δὲ πνοὴν, κοινῶς ἐπὶ τῆς κτίσεως, καὶ ποίημα ἀναγορεύσας αὐτήν. ἕτερον δὲ ἐστὶ τὸ ποιηθὲν τοῦ ποιήσαντος. ἡ οὖν πνοὴ, πρόσκαιρος· τὸ δὲ πνεῦμα, ἀέναον. καὶ ἡ μὲν πνοὴ ἀκμάσασα πρὸς βραχὺ, καὶ καιρῷ τινὶ παραμείνασα, μετὰ τοῦτο πορεύεται, ἄπνουν καταλιποῦσα ἐκεῖνο, περὶ ὃ ἦν πρότερον· τὸ δὲ, B περιλαβὸν ἔνδοθέν τε καὶ ἔξωθεν τὸν ἄνθρωπον, ἅτε ἀεὶ παραμένον, οὐδέποτε καταλείπει αὐτόν.

ΘΕΟΔΩΡΟΥ. Τοῖς μὲν γὰρ ἀλόγοις ἀπὸ τῆς εἰσπνοῆς τοῦ κατὰ τὸν ἀέρα πνεύματος ἐψυχῶσθαι, ἐδόθη τὸ ζῆν· τῷ δὲ, ἐξ αὐτῆς τῆς ἀθανάτου καὶ διαφερούσης
„ οὐσίας. ἐνεφύσησε γὰρ ὁ Θεὸς εἰς τὸ πρό-
„ σωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄν-
„ θρωπος εἰς πνοὴν ζῶσαν. καὶ τοῖς μὲν, δουλεύειν καὶ ἄρχεσθαι προσετάγη· τῷ δὲ, ἄρχειν καὶ δεσπόζειν.

ΤΟΥ ΑΥΤΟΥ. Οὐκ εἶπε δὲ, ὅτι ἐγένετο ἡ σὰρξ εἰς ψυχὴν ζῶσαν, ἀλλ' ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, τῇ τοῦ ἀνθρώπου χρησάμενος ὀνομασίᾳ, ἣ κοινή γε ἐστὶ τοῦ συναμφοτέρου. καὶ ταύτην μὲν εἰρηκὼς, δι' ὅλου τὸ συναμφότερον ἐδήλου. τῇ διαιρέσει δὲ τῆς ποιήσεως διακρίνας τὰς φύσεις, καὶ τῷ μὲν ἔπλασε χοῦν ἀπὸ τῆς γῆς, τὴν σάρκα δηλώσας· τῷ δὲ ἐνεφύσησε πνοὴν ζωῆς, τὴν ψυχὴν ἐμφήνας· εἶτα κατὰ κοινοῦ πάλιν ἐπήγαγε, καὶ ἐγέ-
„ νετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.

ΘΕΟΦΙΛΟΥ. Ὅτι οὐ δι' ἁμαρτίας αἱ ψυχαὶ, ὡς Ὠριγένει ἔδοξε, καταβεβλημέναι σώμασι συνεπλάκησαν, ἐχρησάμεθα τῷ Μωσέως ῥήματι, λέγοντι τοῖς υἱοῖς
Δευτ. α. ια. Ἰσραήλ· Κύριος ὁ Θεὸς ἡμῶν προσθείη
„ ὑμῖν σήμερον ὡς ἐστὲ χιλιοπλασίως, καθ'
„ ὅτι εὐλόγησεν ὑμᾶς. ἆρα γὰρ ηὔχετο Μωϋσῆς ἐξ οὐρανοῦ καταπεσεῖν δι' ἁμαρτίας ψυχὰς, ἵνα σώμασι συμπλακῶσι, καὶ ὁ λαὸς πολλαπλασιασθῇ; καὶ πῶς αὐτὸς φάσκει, Κύριος ὁ Θεὸς εὐλόγησεν ὑμᾶς; οὐ γὰρ εὐλογία κατὰ Ὠριγένη ἐστὶν ἡ τῶν σωμάτων ποίησις, ἀλλὰ κατάρα πλανωμέναις ψυχαῖς.

ΑΔΗΛΟΥ. Τίς ἦν ἡ διαφορὰ τοῦ εἰρη-
„ μένου, ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶ-
„ σαν, καὶ τοῦ εἰρημένου ἐπὶ τῶν ἀλόγων, ἐξα-
„ γαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν; Ὁ λογικὸς ὑφεστῶσαν ἅμα καὶ ἡγεμονεύουσαν τῆς αἰσθήσεως ἔχων τὴν νοερὰν ψυχὴν, τὸ αἰσθητικὸν τῷ νοερῷ προσάγεται· ἡ δὲ ἄλογος φύσις αὐτὸ τὸ αἰσθητικὸν ἔχει τὴν ψυχήν. (1)

η. Καὶ ἐφύτευσε Κύριος ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατο- A λὰς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὸν παράδεισον ἐφύτευσεν ὁ Θεὸς, μέλλων εὐθὺς τὸν Ἀδὰμ διὰ τὴν ἁμαρτίαν ἐξορίζειν ἐκεῖθεν; Πρῶτον οὐκ ἀνέχεται ἐκ προγνώσεως κατακρῖναι ὁ δεσπότης Θεός. διὸ καὶ τὴν παράβασιν προορῶν, τῶν ἀγαθῶν αὐτῷ μεταδέδωκε. ἔπειτα καὶ γνῶναι αὐτὸν τὰς B θείας δωρεὰς ἐβουλήθη, ἵνα τούτων στερηθεὶς, μισήσῃ τὴν ἁμαρτίαν, ὡς τοσούτων αὐτὸν γυμνώσασαν ἀγαθῶν. πρὸς δὲ τούτοις, ἔδει τὸν δίκαιον ἀγωνοθέτην τοῖς τῆς ἀρετῆς ἀθληταῖς προθεῖναι τῆς νίκης τὰ ἆθλα. οὗ δὴ χάριν καὶ περὶ τῆς
„ βασιλείας ἔφη, δεῦτε οἱ εὐλογημένοι τοῦ Ματθ.
„ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασ-
„ μένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς
„ κόσμου.

Γ ΤΟΥ ΑΥΤΟΥ. Τινὲς ἐν οὐρανῷ φασὶ τὸν παράδεισον εἶναι. Τῆς θείας λεγούσης γραφῆς, ἐξανέτειλεν ἔτι ὁ Θεὸς ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν, τολμηρὸν ἄγαν τὸ τοῖς οἰκείοις ἀκολουθεῖν λογισμοῖς, καταλιπόντα τὴν διδασκαλίαν τοῦ πνεύματος.

„ ΔΙΟΔΩΡΟΥ. Καὶ ἐφύτευσεν ὁ Θεὸς
„ παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς. Ἐδὲμ οἱ μὲν, τὸν παράδεισον εἶναί φασιν· οἱ Δ δὲ, τὸν τόπον πάντα, ἐν ᾧ καὶ ὁ παράδεισος ἦν, ὅθεν καὶ Ἀδὰμ ἐπλάσθη. καὶ Ἀδὰμ ἐκ τοῦ ἀπὸ τῆς γῆς ἐν Ἐδὲμ γεγενῆσθαι προσηγορεύθη. Ἐδὼμ γὰρ τὸ πυῤῥὸν, ὥσπερ καὶ ὁ Ἡσαῦ, πυῤῥᾶς φακῆς πεπρακὼς αὐτοῦ τὰ πρωτοτόκια, τὴν προσηγορίαν εἴληφε· καὶ τοῦτο μᾶλλον ἀληθές.

ΑΚΑΚΙΟΥ. Κατασκευαστέον δὲ αἰσθητὸν εἶναι τὸν παράδεισον, καὶ ἐκ τοῦ περὶ
E„ Σοδόμων εἰρημένου· ὡς ἄρα ἦν, ὡς ὁ πα-
„ ράδεισος τοῦ Θεοῦ. - οὐκ ἂν γὰρ τὸ αἰσθητὸν τοῖς νοητοῖς παρεβάλλετο. ὥσπερ οὐκ ἂν εἴποι τὶς, ὡραῖόν ἐστι τόδε τὸ σῶμα, ὡς ψυχή.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει καὶ ἐνταῦθα, ἀγαπητὲ, ὅτι ἐὰν μὴ θεοπρεπῶς τὰ ῥήματα δεχώμεθα, εἰς βάθη κρημνῶν ἀνάγκη κατενεχθῆναι. τί γὰρ ἂν εἰπεῖν ἔχοιεν περὶ τούτου τοῦ ῥήματος οἱ πάντα τὰ Z περὶ Θεοῦ λεγόμενα ἀνθρωπίνως ἐκλαμ-
„ βάνειν τολμῶντες; καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον. τί οὖν, εἰπὲ, σκαπάνης ἐδεήθη, καὶ γεωργίας, καὶ τῆς ἄλλης ἐπιμελείας, ἵνα καλλωπίσῃ τὸν παράδεισον; μὴ γένοιτο. πάλιν γὰρ καὶ ἐνταῦθα τὸ ἐφύτευσεν οὕτω δεῖ νοεῖν, ὅτι προσέταξε παράδεισον ἐν τῇ γῇ γενέσθαι, ὥστε τὸν παραχθέντα ἄνθρωπον τούτῳ ἐνδιαιτᾶσθαι. ὅτι γὰρ διὰ τοῦτον τὸν παράδεισον παρή-
H„ γαγεν, ἄκουσον τί φησι· καὶ ἐφύτευσεν ὁ
„ Θεὸς παράδεισον κατὰ ἀνατολὰς, καὶ ἔθε-
„ το ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε. διὰ τοῦτο

καὶ

(1) Ἴσ. οὐκ ἔχει ψυχὴν, ἢ ἐν αὐτῷ τῷ αἰσθητικῷ ἔχει τὴν ψυχήν.

καὶ τὸ ὄνομα τοῦ τόπου ἐντίθησιν ὁ Μωσῆς, ἵνα μὴ ἐξῇ τοῖς φλυαρεῖν βουλομένοις ἀπατᾷν τῶν ἀφελεστέρων τὰς ἀκοὰς, καὶ λέγειν, μὴ εἶναι ἐν τῇ γῇ τὸν παράδεισον, ἀλλ' ἐν οὐρανῷ, καὶ μυθολογίας τινὰς τοιαύτας ὀνειροπολεῖν. εἰ γὰρ καὶ τοιαύτῃ χρησαμένης ἀκριβείᾳ τῆς θείας Γραφῆς, οὐ παρῃτήσαντό τινες τῶν ἐπ' εὐγλωττίᾳ μέγα φρονούντων, καὶ τῇ σοφίᾳ τῇ ἔξωθεν, ἐναντία τοῖς γεγραμμένοις φθέγξασθαι, καὶ εἰπεῖν, μὴ ἐπὶ τῆς γῆς εἶναι τὸν παράδεισον, καὶ πολλὰ ἕτερα τῶν εἰρημένων παρεγγυῶντες, μὴ ὡς γέγραπται φρονεῖν, ἀλλ' ἀπ' ἐναντίας ἔρχεσθαι, καὶ τὰ ἐπὶ τῆς γῆς εἰρημένα, περὶ τῶν οὐρανίων νομίζειν εἰρῆσθαι· εἰ μὴ τῇ ταπεινότητι τούτων τῶν λόγων, καὶ τῇ συγκαταβάσει ὁ μακάριος Μωσῆς ἐχρήσατο, τοῦ ἁγίου πνεύματος τὴν γλῶτταν αὐτοῦ κινοῦντος, ποῦ οὐκ ἂν ἐξεκυλίσθησαν; καίτοι γε τῆς ἁγίας Γραφῆς ἐπειδὰν βούληταί τι τοιοῦτον ἡμᾶς διδάσκειν, ἑαυτὴν ἑρμηνευούσης, καὶ οὐκ ἀφιείσης πλανᾶσθαι τὸν ἀκροατήν. ἀλλ' ἐπειδὴ οἱ πολλοὶ οὐ διὰ τὸ καρπώσασθαί τι κέρδος ἐκ τῶν θείων γραφῶν, ἀλλὰ τέρψεως ἕνεκεν τὰς ἀκοὰς ὑπέχουσι τοῖς τὰ παριστάμενα λέγουσι. (1) παρακαλῶ πᾶσι τοῖς τοιούτοις τὰς ἀκοὰς ἀποτειχίσαντες, τῷ κανόνι τῆς Γραφῆς κατακολουθήσωμεν. καὶ ὅταν ἀκούσῃς, ἀγαπητὲ, ὅτι ἐφύτευσεν ὁ Θεὸς παράδεισον, τὸ μὲν ἐφύτευσε, θεοπρεπῶς νόει, ὅτι προσέταξε· τὸ δὲ ἑξῆς, πίστευσον, ὅτι καὶ παράδεισος γέγονε, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἔνθα καὶ ἡ Γραφὴ ἐπεσημήνατο. τὸ γὰρ μὴ πιστεύειν τοῖς ἐν τῇ Γραφῇ κειμένοις, ἀλλ' ἕτερα ἐπεισάγειν, πολὺν ἡγοῦμαι κίνδυνον ἐπιφέρειν.

ΣΕΥΗΡΙΑΝΟΥ. Ἐδὲμ ἑρμηνεύεται τρυφή. ὡς ἂν εἴποι, ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν τρυφῇ, ἀντὶ τοῦ ἐν τόπῳ τρυφερῷ. διὰ τοῦτο καὶ ἐπὶ τέλει λέγει, » καὶ ἐξέβαλε τὸν Ἀδὰμ, καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς. διατὶ δὲ μὴ εἰς ἄλλο κλίμα, ἀλλὰ κατὰ ἀνατολὰς, καὶ ὅθεν ἡ ἀρχὴ τοῦ δρόμου τῶν φωστήρων, ἐκεῖθεν ἡ ἀρχὴ τῆς διαγωγῆς τῶν ἀνθρώπων; Προμηνύει ὁ Θεὸς τὸ μέλλον. κατὰ ἀνατολὰς γὰρ ἐν τῷ παραδείσῳ τίθησιν ὁ Θεὸς τὸν ἄνθρωπον, ἵνα δείξῃ, ὅτι ὥσπερ οὗτοι οἱ φωστῆρες ἀνατέλλοντες, τρέχουσιν εἰς δυσμὰς, οὕτω δεῖ τοῦτον ἀπὸ ζωῆς εἰς θάνατον δραμεῖν, καὶ δῦναι κατὰ τὸν τύπον τῶν φωστήρων, καὶ ἄλλην ἀνατολὴν πάλιν λαβεῖν ἐξ ἀναστάσεως νεκρῶν.

** ΑΘΑΝΑΣΙΟΥ. (2) Ποῦ δὲ θέλομεν λέγειν, ὅτι ἐστὶν ὁ παράδεισος; Οἱ μὲν γὰρ φασιν, ὅτι ἐν Ἱερουσαλήμ· οἱ δὲ, ἐν οὐρανοῖς; A οὐδὲ εἷς τῶν δύο ἀληθής. καὶ ὅτι μὲν οὐκ ἐν Ἱερουσαλήμ ἐστιν ὁ παράδεισος, μαρτυρεῖ ὁ Ἀδὰμ ἐν τῷ Κρανίῳ κείμενος. εὔδηλον δὲ, ὅτι οὐκ ἐν τῷ παραδείσῳ ἐτάφη, ἀλλ' ἐξεβλήθη. ὅτι δὲ οὐκ ἐν οὐρανοῖς ἐστὶν ὁ παράδεισος, μαρτυρεῖ ἡ Γραφὴ λέγουσα· » καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ » κατὰ ἀνατολάς. διδάσκει οὖν ἡμᾶς, ὅτι ἐξ ἀνατολῶν πάσης τῆς γῆς ἐστὶν ὁ παράδεισος. ὅθεν φασὶν ἱστορικῶν ἀκριβῶν παῖ- B δες, ὅτι τούτου χάριν πάντα τὰ εὐώδη τῶν ἀρωμάτων περὶ τὰ ἀνατολικώτερα, ἤγουν τὰ ἰνδικὰ μέρη ὑπάρχουσιν, ὡς πλησιόχωρα τοῦ παραδείσου τυγχάνοντα. καὶ ὥσπερ φοίνικες ἄρσενες τοὺς πλησιάζοντας φοίνικας θηλυκοὺς τῇ πνοῇ τῶν ἀνέμων συμβιβάζοντες, καρποφόρους ποιοῦσιν· οὕτω δὴ καὶ ἐκ τοῦ παραδείσου τῇ τῶν ἀνέμων πνοῇ εὐωδία ἐξερχομένη, τὰ πλησιώτερα τῶν ἐκεῖσε τόπων δένδρα ἀρωματίζειν ποιεῖ.

Γ ΘΕΟΔΩΡΟΥ. Ἐδὲμ δὲ ἔοικεν ὀνομάζειν τὸν τόπον τὸν κατὰ ἀνατολὰς κείμενον, ἐν ᾧπερ ὁ παράδεισος ἦν, οὐ μικρόν τι μέρος τῆς γῆς οὕτω καλῶν. μέγαν γὰρ δείκνυσι τὸν παράδεισον, εἴγε ὁ τοῦτον ἄρδων ποταμὸς μετὰ τὴν ἐκείνου χρείαν ἔξω φερόμενος, τέσσαρας οὕτω μεγίστους ἀποτελεῖ ποταμούς. Καὶ μετ' ὀλίγα. Ὥστε τῇ τοῦ Ἐδὲμ προσηγορίᾳ μὴ τὸν παράδεισον ὀνομάζεσθαι μόνον, ἀλλὰ καὶ ἔξωθεν οὐ βρα- Δ χύν τινα τόπον, μέρος μὲν εἶναι νομιζόμενον τοῦ Ἐδὲμ καλουμένου τόπου, προσεγγίζοντα δὲ, ὡς εἰκὸς, τῷ παραδείσῳ. ὅθεν » περὶ τοῦ Κάϊν οὕτω φησί· καὶ ἐξῆλθε Κάϊν (Γεν. 4. 16.) » ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ κατῴκησεν ἐν » γῇ Ναΐδ, κατέναντι Ἐδέμ. ὡς ἂν πρότερον μὲν αὐτῶν ἐν Ἐδὲμ οἰκούντων, ἔνθαπερ αὐτοῖς καὶ ὁ Θεὸς ἐπεφαίνετο. ἐπειδὴ δὲ ἔξω τῶν τόπων ἐγένετο ἐκείνων, E ἀποῤῥιφεὶς τοῦ Θεοῦ διὰ τὴν οἰκείαν κακοπραγίαν, ἐν ἑτέρῳ τόπῳ λοιπὸν οἰκεῖ, ἐπονομαζομένῳ Ναΐδ, ὃς ἀντικρὺ τοῦ Ἐδὲμ ὑπῆρχε τόπου, ἐν ᾧ τὸ πρότερον ᾤκουν. οὕτω γὰρ καὶ τὸν Ἀδὰμ ἐκβληθέντα τοῦ παραδείσου, κατῳκίσθαι ἔφη κατέναντι τοῦ παραδείσου. τοίνυν ἐξ ἁπάσης τῆς γῆς ὥσπερ τινὰ ἔξοχον τόπον κατὰ ἀνατολὰς ἐκλεξάμενος, Ἐδὲμ ὀνομαζόμενον, ἐν αὐτῷ δὴ τὸν παράδεισον κατεσκεύασεν. ἐν ᾧ δὴ τιμῆσαι βουληθεὶς γεγονότα τὸν ἄν- Z θρωπον ἔταξεν οἰκεῖν.

ΕΥΣΕΒΙΟΥ. Οἱ μὲν φασιν, Ἐδὲμ καλεῖσθαι τὸν τόπον, ἐν ᾧ ἐφυτεύθη ὁ παράδεισος· οἱ δὲ, Ἐδὲμ τὸν παράδεισόν φασι. τὸν δὲ ἑρμηνευτὴν καὶ τὴν ἑρμηνείαν θεῖναι, καὶ τὸν ἑρμηνευόμενον τεθεικέναι. ζητεῖται δὲ, πότερον μετὰ τὸ πλασθῆναι τὸν ἄνθρωπον παράδεισος ἐφυτεύθη, (τὰ γὰρ ῥητὰ τοῦτο βούλεται σημαίνειν) ἢ τὴν

τρίτην

(1) Λέγουσι· διὰ τοῦτο οὐ τοῖς ὠφελοῦσιν ἀλλὰ τοῖς τέρπειν μᾶλλον δυναμένοις προσέχειν σπουδάζουσι. διὸ παρακαλῶ κτ. ἔκδ. ἡ ἐν Παρισ.

(2) Ἰστέον, ὅτι τὰ προστεθέντα τοῦ Ἀθανασίου ὑπομνήματα ἐκ τῶν πρὸς Ἀντίοχον ζητημάτων ἐλήφθησαν· ἅπερ ἐκ τῶν ὑποθετικῶν εἰσίν. ὅρα τὰ ἐν τοῖς προοιμ. περὶ τῶν τοῦ Ἀθανασ. συγγραμ.

τρίτῃ ἡμέρᾳ μετὰ τῶν ἄλλων ξύλων; Ὁ μὲν οὖν Σύρος οὕτως ἔχει γεγραμμένον· καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδέμ. ἐξ ἀρχῆς δέ φασι, μὴ ἐγκεῖσθαι τῷ ἑβραϊκῷ. λέγουσι δὲ οἱ πολλοὶ, ὅτι μετὰ ταῦτα ἐφυτεύθη. εἰπὼν γάρ φησι Μωσῆς, ὅτι ἐφύτευσεν ὁ Θεὸς παράδεισον, καὶ ἔθετο τὸν ἄνθρωπον ὃν ἔπλασεν ἐν αὐτῷ, παριςῶν ὅτι μετὰ ταῦτα ἐφυτεύθη ὁ παράδεισος, ἐπάγει· καὶ ἐξανέτειλεν ἔτι ὁ Θεὸς ἐκ τῆς γῆς. τῷ ἔτι, δηλῶν, ὅτι χωρὶς τῶν ἐξ ἀρχῆς ὁμοῦ γενομένων.

ΑΔΗΛΟΥ. Ἐδὲμ τόπος ἐςὶν ἐν ᾧ ἐφυτεύθη ὁ παράδεισος. καί φασιν αὐτὸν μέσον εἶναι τοῦ κόσμου. διὸ καὶ τὸν ποταμὸν Φεισὼν ἑρμηνεύεσθαι ςόμα κόρης, ὡς ἐκ τοῦ Ἐδὲμ πορευόμενον.

θ. Καὶ ἐξανέτειλεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν.

ΘΕΟΦΙΛΟΥ. Τὸ οὖν ἔτι ἐκ τῆς γῆς εἰποῦσα, καὶ τὸ κατὰ ἀνατολὰς, σαφῶς διδάσκει ἡμᾶς ἡ Γραφὴ εἶναι τὸν παράδεισον ὑπὸ τὸν οὐρανόν· ὑφ' ὃν καὶ ἀνατολαὶ, καὶ γῆ εἰσίν. ἑβραϊςὶ δὲ τὸ Ἐδὲμ λέγεται τρυφή. μέσος οὖν ὁ ἄνθρωπος τῶν δύω ἐγεγόνει, οὔτε θνητὸς ὁλοσχερῶς, οὔτε ἀθάνατος καθόλου· δεκτικὸς δὲ ἑκατέρου. οὕτω καὶ τὸ χωρίον ὁ παράδεισος ὡς πρὸς καλλονὴν μέσον τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου γεγένηται.

** ΒΑΣΙΛΕΙΟΥ. Εἰ ἀπὸ τῶν κοινῶν ξύλων ἐνεπέπληςο ὁ παράδεισος, εἶχεν ἂν τὴν ἰδίαν σύςασιν ἀπὸ τῆς πρώτης γενέσεως τῶν φυτῶν, καὶ οὐκ ἐδεῖτο ἐξαιρέτου φυτείας τοῦ Θεοῦ, τὰ ἐν αὐτῷ ὕςερον ἀναφυέντα δένδρα. νῦν δὲ ὅτι ἕτερα πολὺ διαφορώτερα καὶ τῷ εἴδει, καὶ τῇ φύσει τῶν προαναδοθέντων αὐτομάτως ἐκ τῆς γῆς, τὰ ἐν τῷ παραδείσῳ ὕςερον ὑπ' αὐτοῦ τοῦ Θεοῦ φιλοτεχνηθέντα παντοῖα γένη τῶν φυτῶν καθειςήκει, καὶ ἀπ' αὐτῆς δηλοποιεῖται τῆς γραφῆς. καὶ ἐξανέτειλε γάρ φησιν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον εἰς ὅρασιν ὡραῖον, καὶ καλὸν εἰς βρῶσιν.

Καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωςὸν καλοῦ καὶ πονηροῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ ξύλον τῆς ζωῆς; καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωςὸν καλοῦ καὶ πονηροῦ, νοητὰ χρὴ λέγειν, ἢ αἰσθητά; Ἐκ τῆς γῆς καὶ ταῦτα βεβλαςηκέναι εἶπεν ἡ θεία Γραφή. οὐ τοίνυν τινὰ ἑτέραν φύσιν ἔχει παρὰ τὰ ἄλλα φυτά. ὥσπερ γὰρ τὸ τοῦ ςαυροῦ ξύλον, ξύλον ἐςὶ, καὶ σωτήριον ὀνομάζεται, διὰ τὴν ἐκ τῆς περὶ αὐτὸ πίςεως σωτηρίαν προσγινομένην· οὕτω καὶ ταῦτα, φυτὰ μὲν ἐςιν ἐκ τῆς γῆς βεβλαςηκότα, διὰ δὲ τὸν θεῖον ὅρον, θάτερον αὐτῶν ξύλον ζωῆς προσωνομάσθη·

Α τὸ δὲ ἕτερον, διὰ τὸ περὶ αὐτὸ γενέσθαι τῆς ἁμαρτίας τὴν αἴσθησιν, ξύλον ἐκλήθη γνωςὸν καλοῦ καὶ πονηροῦ. καὶ περὶ τούτου μὲν ὁ ἀγὼν τῷ Ἀδὰμ προετέθη· τὸ δὲ τῆς ζωῆς, οἷόν τι ἔπαθλον πρόκειτο τετηρηκότι τὴν ἐντολήν. οὕτω καὶ οἱ πατριάρχαι, καὶ χωρίοις, καὶ φρέασι τὰς ἐπωνυμίας ἐπέθηκαν. καὶ τὸ μὲν, ἐκάλεσαν φρέαρ ὁράσεως· οὐκ ἐπειδὴ ὁρατικήν τινα δύναμιν ἐχαρίζετο, ἀλλ' ἐπειδὴ ὤφθη παρ' Β αὐτῷ ὁ τῶν ὅλων Κύριος. καὶ φρέαρ εὐρυχωρίας· ἐπειδὴ περὶ τῶν ἄλλων φρεάτων πολλάκις οἱ ἀπὸ Γεράρων διαμαχεσάμενοι, οὐκ ἠνώχλησαν τοῖς τοῦτο κατεσκευακόσι τὸ φρέαρ. οὕτω φρέαρ ὅρκου, διὰ τὸ παρ' αὐτῷ γεγενῆσθαι τοὺς ὅρκους. οὕτως ἡ Λουζὰ Βαιθὴλ ὠνομάσθη, τουτέςιν οἶκος Θεοῦ· ἐπειδὴ ὤφθη τῷ Ἰακὼβ ἐν ἐκείνῳ γε τῷ χωρίῳ ὁ τῶν ὅλων ποιητής. καὶ βουνὸς μάρτυς· οὐκ ἐπειδὴ ἔμψυχος γέγονεν ὁ Γ βουνὸς, ἀλλ' ὅτι ἐν ἐκείνῳ τῷ τόπῳ πρὸς ἀλλήλους ἐπεποίηντο τὰς συνθήκας. οὕτως ὕδωρ ζῶν καλεῖται τὸ βάπτισμα· οὐκ ἐπειδὴ φύσιν ἑτέραν ἔχει τὸ τοῦ βαπτίσματος ὕδωρ, ἀλλ' ὅτι δι' ἐκείνου τοῦ ὕδατος ἡ θεία χάρις τὴν αἰώνιον δωρεῖται ζωήν. οὕτω καὶ ξύλον ζωῆς, διὰ τὸν θεῖον ὅρον ἐκλήθη· καὶ ξύλον γνώσεως, διὰ τὴν περὶ τούτων γεγενημένην αἴσθησιν τῆς ἁμαρτίας. οὐδέπω γὰρ πεῖραν εἰληφότες τῆς ἁμαρτίας, Δ εἶτα τοῦ ἀπειρημένου μετειληχότες καρποῦ, ὡς παραβεβηκότες τὴν ἐντολὴν τὰς τοῦ συνειδότος ἀκίδας ἐδέξαντο.

ΤΟΥ ΑΥΤΟΥ. Οὐκ οὖν εἶχον τὴν γνῶσιν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ πρὸ τῆς τοῦ ἀπειρημένου καρποῦ μεταλήψεως; Καὶ πῶς οἷόν τε ἦν τοὺς λόγῳ τετιμημένους, καὶ κατ' εἰκόνα θείαν γεγενημένους οὐκ ἔχειν διάκρισιν ἀγαθοῦ καὶ κακοῦ; πῶς δ' ἂν αὐτοῖς ἐτε- Ε θείκει νόμον τῆς δικαιοσύνης ἡ ἄβυσσος, ταύτην οὐκ ἔχουσιν ἐν τῇ φύσει τὴν γνῶσιν, μηδὲ γινώσκουσιν, ὡς ἀγαθὸν μὲν τὸ φυλάξαι τὴν ἐντολὴν, ὀλέθριον δὲ τὸ παραβῆναι; εἶχον οὖν ἄρα τὴν γνῶσιν, τὴν δὲ πεῖραν προσέλαβον ὕςερον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί οὖν ἐςὶ καλόν; ἡ ὑπακοή. τί δὲ πονηρόν; ἡ παρακοή. καὶ τέως ἡμῖν ἵνα μὴ πλανώμεθα Ζ περὶ τὴν φύσιν τοῦ καλοῦ καὶ τοῦ πονηροῦ, ἀπὸ τῶν γραφῶν ταῦτα διακριβέσθω. ὅτι γὰρ τοῦτό ἐςι τὸ καλὸν καὶ πονηρὸν, ἄκουσον τί φησιν ὁ Προφήτης· τί καλόν; καὶ τί Κύριος ὁ Θεὸς ἐκζητεῖ παρὰ σοῦ; εἰπὲ τί καλόν; ἀγαπᾶν Κύριον τὸν Θεόν σου. ὁρᾷς, ὅτι ἡ ὑπακοὴ καλόν; ἐκ γὰρ τῆς ἀγάπης ἡ ὑπακοή. καὶ πάλιν, δύω πονηρά φησιν ἐποίησεν ὁ λαός μου οὗτος. ἐμὲ ἐγκατέλειπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους· Η οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. ὁρᾷς, ὅτι πονηρὸν ἡ παρακοὴ, καὶ ἡ ἐγκατάλειψις;

ΣΕΥΗΡΙΑΝΟΥ. Τρεῖς δὲ διαφοραὶ ξύλων ἦσαν. τὰ μὲν ἐδόθη αὐτῷ, ἵνα ζῇ. τὰ

τὰ δὲ, ἵνα εὖ ζῇ· τὰ δὲ, ἵνα ἀεὶ ζῇ. τὰ
ξύλα πάντα ἐδόθη αὐτῷ, ἵνα ζῇ· τὸ ξύ-
λον τῆς γνώσεως, ἵνα εὖ ζῇ· τὸ ξύλον τῆς
ζωῆς, ἵνα ἀεὶ ζῇ. λέγουσι δὲ πολλοὶ, καὶ
μάλισα οἱ τῷ θεοστυγεῖ Πορφυρίῳ ἀκολου-
θήσαντες· διατὶ ὁ Θεὸς ἀπηγόρευσε τὴν
γνῶσιν τοῦ καλοῦ, καὶ τοῦ πονηροῦ; Ἔσω,
τὸ πονηρὸν ἀπηγόρευσε, διατὶ καὶ τὸ κα-
λόν; Ἀλλ' οὐ τὴν γνῶσιν ἐκώλυσε τοῦ καλοῦ.
εἶχε γὰρ αὐτὴν ὁ Ἀδάμ. εἰ γὰρ μὴ εἶχε,
πῶς γνωρίζει τὴν γυναῖκα; πῶς φυσιολο-
„ γεῖ, ὀσοῦν ἐκ τῶν ὀσῶν μου, καὶ σὰρξ ἐκ τῆς
σαρκός μου; πῶς δὲ καὶ προφητεύει τὰ
„ μέλλοντα; αὕτη κληθήσεται γυνὴ, ὅτι
„ ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. ἕνεκεν τού-
„ του καταλείψει ἄνθρωπος τὸν πατέρα αὐ-
„ τοῦ καὶ τὴν μητέρα αὐτοῦ. τοσαῦτα οἶδε,
καὶ οὐκ ᾔδει τὸ καλόν; τὸν Θεὸν ᾔδει; ὀνο-
μάτων ἐπήγαγε πλήθη, πῶς οὐκ εἶχε γνῶ-
σιν; τί οὖν ἐσίν; οὐ τὴν γνῶσιν κωλύει ὁ
Θεὸς τοῦ καλοῦ, ἀλλὰ θέλει μὴ εἶναι μετὰ
τοῦ ἀγαθοῦ τὴν γνῶσιν τοῦ κακοῦ. λύω δὲ
1. Κορ. 10. 21. αὐτὸ ἀπὸ τῆς γραφῆς. λέγει Παῦλος,
„ οὐ δύνασθε ποτήριον Κυρίου πιεῖν, καὶ πο-
„ τήριον δαιμονίων. μὴ τὰ δύω ἐκώλυσεν;
Ματθ. 6. 24. οὕτω καὶ ὁ σωτὴρ, οὐ δύνασθε τῷ Θεῷ δου-
„ λεύειν καὶ μαμωνᾷ. κατὰ τὸ αὐτὸ καὶ
Θεῷ δουλεύειν καὶ μαμωνᾷ ἀδύνατον. οὕτως
ὁ Θεὸς ἐκώλυσε λαβεῖν γνῶσιν τοῦ πονη-
ροῦ, ἵνα μὴ μίσγηται μετὰ τοῦ καλοῦ. Δια-
τὶ ὅλως ἐκλήθη ξύλον γνωσὸν καλοῦ καὶ
πονηροῦ; Οὐ τοιαύτην εἶχε φύσιν, ἀλλὰ
τοιαύτην ἐπήνεγκεν ὑπόθεσιν τῶν γρα-
Ἀριθ. 20. 13. φῶν τὸ ἰδίωμα λέγω. ἐκλήθη ἐν τῇ ἐρή-
„ μῳ μία πηγὴ ὕδατος, ὕδωρ ἀντιλογίας.
ἆρα τὸ ὕδωρ τοιαύτην εἶχε φύσιν, ὡς εἰς
ἀντιλογίας φέρειν τὸν λαόν; διατὶ οὖν Μω-
σῆς πιὼν, οὐκ ἀντεῖπε τῷ Θεῷ; ὥσπερ οὖν
τὸ ὕδωρ ἐκλήθη ἀντιλογίας ὕδωρ, διὰ τὴν
ἐπ' αὐτῷ γενομένην ὑπόθεσιν· ἐκεῖ γὰρ
ἀντεῖπεν ὁ λαός· καὶ Ἰακὼβ πάλιν εἶδε
Γεν. 32. 30. Θεὸν, καὶ καλεῖ τὸ ὄνομα τοῦ τόπου εἶδος
„ Κυρίου, οὕτως ἐκλήθη καὶ τὸ ξύλον, οὐ γνῶ-
σιν ἔχον, ἀλλ' ἐπειδὴ πᾶς ἁμαρτάνων εἰς
γνῶσιν ἔρχεται ὧν ἁμαρτάνει.

ΑΔΗΛΟΥ. Καὶ τὸ ξύλον τοῦ εἰδέναι
γνωσὸν καλοῦ καὶ πονηροῦ. Ἀπὸ τοῦ γυμ-
νάσιον τῆς ὑπακοῆς, καὶ τῆς παρακοῆς
ἐπ' αὐτῷ δίδοσθαι οὕτως ἐκλήθη.

ΤΟΥ ΝΥΣΣΗΣ. Τούτου χάριν τὸ ἀπη-
γορευμένον τῇ βρώσει ξύλον οὔτε συκὴν,
ὥς τινες ἀπεφήναντο, οὔτε ἄλλο τὶ τῶν
ἀκροδρύων εἶναι πειθόμεθα. εἰ γὰρ τότε
θανατηφόρος ἦν ἡ συκῆ, οὐδ' ἂν νῦν πάν-
τως ἐδώδιμος ἦν. ἅμα δὲ καὶ μεμαθήκα-
Ματθ. 15. 11. μεν παρὰ τοῦ Κυρίου, ὅτι οὐδέν ἐσι τῶν εἰσπο-
„ ρευομένων διὰ σόματος, ὃ δύναται κοινῶ-
„ σαι τὸν ἄνθρωπον. ἀλλ' ἑτέραν τινὰ ζη-
τοῦμεν διάνοιαν ἐπὶ τοῦ νόμου τούτου, ἀξίαν
τῆς τοῦ νομοθέτου μεγαλειότητος. κἂν τῆς

A τοῦ Θεοῦ φυτείας ἔργον τὸν παράδεισον εἶ-
ναι ἀκούωμεν, κἂν ξύλον ζωῆς ἐν μέσῳ τοῦ
παραδείσου, ζητοῦμεν παρὰ τοῦ ἀποκαλύ-
πτοντος τὰ κεκρυμμένα μυσήρια μαθεῖν
ποίων φυτῶν γίνεται ὁ Ἀδὰμ γεωργός τε
καὶ φυτοκόμος· καὶ πῶς δυνατόν ἐσι κα-
τὰ τὸ μεσαίτατον τὰ δύω εἶναι ξύλα, τό,
τε τῆς σωτηρίας καὶ τὸ τῆς ἀπωλείας. τὸ
γὰρ ἀκριβῶς μέσον καθάπερ ἐν κύκλου
περιγραφῇ ἐν τῷ ἑνὶ κέντρῳ πάντως ἐσίν.
B εἰ δὲ παρατεθείη τῷ κέντρῳ κατά τι μέρος
ἕτερον κέντρον, ἀνάγκη πᾶσα συμμετα-
τεθῆναι τῷ κέντρῳ τὸν κύκλον, ὥστε μὴ
τὸ μέσον εἶναι τὸ πρότερον. ἐκεῖ τοίνυν
ἑνὸς ὄντος τοῦ παραδείσου, πῶς φησὶν ὁ λό-
γος ἰδιαζόντως μὲν ἑκάτερον θεωρεῖσθαι
τῶν ξύλων, ἐπὶ δὲ τοῦ μέσου εἶναι καὶ τοῦ-
το κἀκεῖνο· ὧν τὸ θανατηφόρον, τῆς τοῦ
Θεοῦ φυτείας ἀλλότριον εἶναι διδάσκει ὁ
πάντα καλὰ εἶναι τὰ τοῦ Θεοῦ ἔργα ἀπο-
Γ φηνάμενος; οἷς εἰ μή τις διὰ φιλοσο-
φίας ἐνθεωρήσειε τὴν ἀλήθειαν, μυθώ-
δες εἶναι τοῖς ἀνεπισκέπτοις τὸ λεγόμε-
νον δόξει. (1)

ι. Ποταμὸς δὲ ἐκπορεύεται ἐξ
Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖ-
θεν ἀφορίζεται, καὶ γίνεται εἰς τέσ-
σαρας ἀρχάς.

Δ **ΣΕΥΗΡΙΑΝΟΥ. Μερίζεται εἰς τέσ-
σαρας ἀρχάς. εἰς τὸν Τίγριν, εἰς τὸν Νεῖ-
λον, εἰς τὸν Εὐφράτην, εἰς τὸν ἐν τῇ
γραφῇ λεγόμενον Φεισών· ὃν νῦν λέγου-
σι Δάνουβιν.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Διηγεῖται δὲ
ἡμῖν ἐφεξῆς τῶν ποταμῶν τὰ ὀνόματα,
καὶ τούτων τὸν ἀφορισμὸν, ὡς ἂν εἴποι τὶς,
καὶ ὅτι ἐξ ἐκείνου τοῦ τὴν ἄρδειαν ἐν τῷ πα-
ραδείσῳ παρέχοντος ἕτεροι εἰς τέσσα-
E ρας ἀρχὰς διαιρεθέντες, οὕτω τὰ κλίμα-
τα τῆς γῆς διενείμαντο. ἀλλ' ἴσως οἱ τὰ
ἀπὸ τῆς οἰκείας σοφίας φθέγγεσθαι βου-
λόμενοι, πάλιν οὔτε ποταμοὺς συγχωροῦσιν
εἶναι τοὺς ποταμοὺς, οὔτε τὰ ὕδατα, ὕδατα·
ἀλλ' ἑτερόν τι φαντάζονται, ἀναπείθοντες
τοὺς ἐκδιδόναι αὐτοῖς τὰς ἀκοὰς αἱρουμέ-
νους. ἀλλ' ἡμεῖς, παρακαλῶ, τούτων μὲν μὴ
ἀνεχώμεθα, ἀλλ' ἀποφράττωμεν αὐτοῖς
τὰς ἀκοάς· πειθώμεθα δὲ τῇ θείᾳ Γρα-
Z φῇ, καὶ τοῖς ὑπ' αὐτῆς εἰρημένοις ἀκολου-
θοῦντες, τὰ ὑγιῆ δόγματα σπουδάζωμεν ἐνα-
ποτίθεσθαι ταῖς ἑαυτῶν ψυχαῖς.

ια. Ὄνομα τῷ ἑνὶ Φεισών. οὗτος
ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ·
ιβ. ἐκεῖ ἐσὶ τὸ χρυσίον. Τὸ δὲ χρυσίον
τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ ἐσὶν
ὁ ἄνθραξ, καὶ ὁ λίθος ὁ πράσινος.

H ΣΕΥΗΡΟΥ. Ζητῶ τὴν αἰτίαν, διατὶ ὁ
ἱσοριογράφος μνημονεύσας τοῦ πρώτου πο-

ταμοῦ,

(1) Τὸ ὑπόμνημα τοῦτο οὐχ εὕρηται ἐν τοῖς τοῦ Νύσσης ἐκδεδομένοις συγγράμμασιν.

A ταμοῦ, εἶπεν· ὅτι ἐκεῖ γίνεται τὸ χρυσίον τὸ καλὸν, καὶ ὁ ἄνθραξ, καὶ ὁ λίθος ὁ πράσινος. Εἰ ὅλως ἐχωρογράφει τὴν οἰκουμένην, ἐχρῆν εἰπεῖν καὶ τὰ ἐν ἑκάστῃ χώρᾳ γινόμενα καλά. ἀλλὰ ἐπιλέγεται χρυσίον, καὶ δύω λίθους, τὰς ἀπαρχὰς τῆς ἱερωσύνης· ἐπειδὴ ὁ ἱερεὺς ἐφόρει πέταλον χρυσοῦν, ᾧ ἐπεγέγραπτο τὸ τοῦ Θεοῦ ὄνομα. δώδεκα δὲ λίθοι ἦσαν ἐπὶ τοῦ στήθους τοῦ ἱερέως. (1)

B **ιγ.** **Καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γαιών. οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας.**

** ΣΕΥΗΡΙΑΝΟΥ. Εἶτα ὁ Γηών. οὗτός ἐστιν ὁ Νεῖλος. Γηὼν τὸ ἀρχαῖον αὐτοῦ ὄνομα. μαρτυρεῖ Ἱερεμίας, λέγων· (Ἱερ. 2. 18.) τί σοι καὶ τῇ ὁδῷ Αἰγύπτου, τοῦ πιεῖν ὕδωρ Γηών; ἐνταῦθα πρόσεχε. νόμισον τοῦτον εἶναι τὸν παράδεισον. ἃ γὰρ ὄψει μᾶλλον, ἢ λόγῳ παραδίδοται. Γ προέρχεται ποταμὸς πολὺς, πλούσιον νᾶμα ἔχων, καὶ ἀρδεύει τὸν παράδεισον. ἐκεῖθεν φέρεται εἰς ὑπόνομόν τι χάος, καὶ δύνει ὑπὸ γῆν ἄπειρον, ὡς οἶδεν ὁ τὴν ὁδὸν στρώσας δεσπότης: καὶ λανθάνει ἐπὶ πολὺ τὸ ῥεῦμα; καὶ εἰς διαφόρους τόπους ἀναδίδοται. καὶ εὑρίσκεται ὁ μὲν εἰς τὴν Αἰθιοπίαν, ὁ δὲ εἰς δύσιν, ὁ δὲ εἰς ἀνατολήν· τοῦ Θεοῦ οὕτω δι' ὑπονόμου ἕλκοντος τὸ ῥεῦμα, καὶ ποιοῦντος ξένας πηγὰς τῷ πρώτῳ ποταμῷ. Δ διατί δὲ τοῦτο; ἵνα μὴ τοῖς ἴχνεσι τῶν ποταμῶν ἀκολουθοῦντες, εὕρωσι τὸν παράδεισον· ἵνα μὴ ᾖ τοῖς ἀνθρώποις καταληπτός. εἰ γὰρ ἦν ὁδεῦσαι, οὐδεὶς ἂν ηὗρε πρὸ τῶν πλουσίων τὸν παράδεισον. ἀλλ' ὁ Θεὸς ἀπέκλεισε καὶ πένησι, καὶ πλουσίοις· ἵνα ἀρετῇ μόνον εὕρωσι τὴν ὁδόν.

ιδ. **Καὶ ποταμὸς ὁ τρίτος Τίγρης. οὗτος ὁ πορευόμενος κατέναντι Ἀσσυρίων. E ὁ δὲ ποταμὸς ὁ τέταρτος, οὗτος Εὐφράτης.**

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς ἐκ τοῦ παραδείσου φησὶν ὁ Μωσῆς τὸν Τίγρητα ἐξιέναι καὶ τὸν Εὐφράτην, οὕς φασί τινες ἐκ τῶν ὀρῶν ἀναβλύζειν τῆς Ἀρμενίας; Ἔστιν ἰδεῖν καὶ ἄλλους ποταμοὺς ἑτέρωθεν μὲν ἐξιόντας, ἔπειτα δὲ εἰς τὴν γῆν διά τινων καταδύσεων χωροῦντας, Z καὶ πάλιν ἄνωθεν ἀναβλύζοντας. τοῦτο καὶ ἐπὶ τούτων γεγένηται τῶν ποταμῶν. ἐξίασι μὲν γάρ φησιν ἐκεῖθεν ἡ θεία Γραφὴ, εἶτα διά τινων ὑπογείων διϊόντες πόρων, ἑτέρας ἀρχὰς ἐνταῦθα λαμβάνουσι. τοῦτο δὲ οὐ μάτην οὕτως ᾠκονόμησεν ὁ τῶν ὅλων Θεὸς, ἀλλὰ τὴν περιττὴν τῶν ἀνθρώπων πολυπραγμοσύνην ἐκκόπτων. εἰ γὰρ δῆλος ἦν αὐτῶν ἅπας ὁ πόρος, ἐπειράθησαν μὲν

A ἄν τινες παρὰ τὰς τούτων ὄχθας ὁδεύοντες τὸ τοῦ παραδείσου κατοπτεῦσαι χωρίον. διημάρτανον δὲ τοῦ ποθουμένου, καὶ τῷ μήκει τῆς ὁδοιπορίας κοπτόμενοι, καὶ τῇ σπάνει τῶν ἀναγκαίων διαφθειρόμενοι. καὶ νῦν μὲν, εἰς δυσχωρίας· νῦν δὲ, εἰς ἐρημίας ἐμπίπτοντες· ἔστι δ' ὅτε καὶ ἀπηνέσι καὶ βαρβάροις ἀνθρώποις περιπίπτοντες. καὶ τούτων τοίνυν προμηθούμενος ὁ φιλοικτίρμων Θεὸς, ἀδήλους αὐτῶν τοὺς πόρους B ἀπέφηνε.

ΑΚΑΚΙΟΥ. Τὰ τῶν τεσσάρων ποταμῶν ὀνόματα κατὰ μὲν Ἑβραίους, οὕτω καλεῖται· ὁ μὲν πρῶτος, Φεισών· ὁ δὲ δεύτερος, Γαιών· ὁ τρίτος, Φοράδ· ὁ τέταρτος, Ἐδδεκέλ. παρὰ δὲ Ἕλλησι, Γάγης, Νεῖλος, Εὐφράτης, Τίγρης. οὐκ οἶμαι δὲ ἀμφιβάλλειν οὐδὲ τὸν ἀγνωμονέστερον, ὡς καὶ αἰσθητὸς ὑπῆρξε παράδεισος, τῶν τεσσάρων ποταμῶν αἰσθητῶν ὑπαρχόντων, Γ ἅτε καὶ αὐτοῖς ὀφθαλμοῖς ὁρωμένων, καὶ αὐτοῖς τοῖς ὀνόμασι καλουμένων. εἰ δὲ οὗτοι αἰσθητοὶ, δῆλον ὅτι καὶ ὁ ἐκπορευόμενος ἐξ Ἐδέμ, ὅθεν ἀφωρίσθησαν· εἰ δὲ καὶ αὐτὸς αἰσθητὸς ὁ ποτίζων τὸν παράδεισον, τίς ἔτι μηχανὴ ὑπολειφθείη, μὴ οὐχὶ καὶ αὐτὸν τὸν ποτιζόμενον αἰσθητὸν ὑπάρχειν; εἰ δὲ ὁ παράδεισος αἰσθητὸς, δῆλον ὅτι καὶ τὰ φυτά. εἰ δὲ ταῦτα, καὶ τὸ ξύλον ἄρα Δ τῆς ζωῆς, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ.

ιε. **Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς ἐργάζεσθαι αὐτὸν καὶ φυλάττειν.**

ΕΦΡΑΙΜ. Εἶπεν, ὅτι ἔθετο αὐτὸν ἐργάζεσθαι καὶ φυλάττειν τὸν παράδεισον, μηνύων τὴν διὰ τοῦ σώματος πρᾶξιν, καὶ E τῆς ψυχῆς. εἶπεν, ὅτι καὶ ἐντολὰς διέθετο πρὸς αὐτὸν περὶ τοῦ ξύλου τοῦ διπλοῦ, αἰνιττόμενος, ὅτι πρὸ τούτου οὔπω γε ἔμαθε τίς ἐστι γνῶσις καλοῦ καὶ πονηροῦ ἡ ψυχή· ἐπεὶ μηδὲ ἦν.

ΣΕΥΗΡΙΑΝΟΥ. Καὶ ἔθετο αὐτοὺς ἐν τῷ παραδείσῳ τῆς τρυφῆς ἐργάζεσθαι καὶ φυλάττειν αὐτόν. ἐργάζεσθαι τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ πιστεύειν. φυλάττειν δὲ Z αὐτὸν ἀπὸ τίνος; λῃστὴς οὐκ ἦν, οὐδὲ ὁ ἐπιβουλεύων· ἀλλ' ἵνα φυλάξῃ αὐτὸν ἑαυτῷ, ἵνα μὴ παραβὰς ἀπολέσῃ αὐτόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐχ ἁπλῶς εἶπεν ἐν τῷ παραδείσῳ, ἀλλὰ προσέθηκε τῆς τρυφῆς· ἵνα τὴν ὑπερβάλλουσαν ἡδονὴν, ἧς ἀπήλαυεν ἐκ τῆς αὐτόθι οἰκήσεως, ἐμφήνῃ ἡμῖν. Καὶ μετ' ὀλίγα. Τί οὖν φησὶ τῆς παρ' αὐτοῦ ἐπιμελείας ἐδεῖτο ὁ παράδεισος; Οὐ τοῦτο λέγω, ἀλλ' ἐβουλήθη τέως

μικράν-

(1) Σάρδιον, τοπάζιον, σμάραγδος, ὁ ἄνθραξ, σάπφειρος, ἴασπις, λιγύριος, ἀχάτης, ἀμέθυστος, χρυσόλιθος, βηρύλλος, ὀνύχιον. ἐκ τῶν δώδεκα λίθων τούτων ὁ πράσινος ἀφώρισται τῇ ἱερατικῇ φυλῇ, ὁ ἄνθραξ τῇ βασιλικῇ. διατί; ἐπειδὴ πυρὸς ἴδιον τὸ καίειν καὶ φωτίζειν· καὶ βασιλέως ἴδιον εὐεργετεῖν, καὶ κολάζειν. ὁ πράσινος τῇ ἱερατικῇ. τὸ γὰρ πράττειν καλῶς τῆς ἱερωσύνης. τοῦ αὐτοῦ. ἐν Τόμ. 6. τοῦ Χρυσ.

μικράν τινα, καὶ σύμμετρον αὐτὸν ἔχειν μέριμναν περί τε τὴν φυλακὴν, περί τε τὴν ἐργασίαν. εἰ γὰρ πόνου παντὸς ἦν ἀπηλλαγμένος, εὐθὺς ἀπέκλινεν ἂν πρὸς ῥαθυμίαν πολλῇ κεχρημένος ἀνέσει. νῦν δὲ ἐργαζόμενος ἐργασίαν ἀνώδυνόν τινα, καὶ ταλαιπωρίας ἐκτὸς, σωφρονέστερον ἂν διετέθη. καὶ τὸ εἰπεῖν δὲ, ὅτι φυλάσσειν, οὐχ ἁπλῶς πρόσκειται, ἀλλὰ συγκατάβασίς ἐστι τῶν ῥημάτων, ἵνα ὅλως εἰδέναι ἔχῃ φησὶν, ὅτι ὑποκεῖταί τινι δεσπότῃ, τῷ τὴν τοσαύτην ἀπόλαυσιν αὐτῷ χαρισαμένῳ, καὶ μετὰ τῆς ἀπολαύσεως τὴν φυλακὴν ἐπιτρέψαντι.

ις. Καὶ ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ.
ιζ. Ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ.

** ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ὁ δὲ νόμος ἦν ἐντολή· ὧν τε μεταληπτέον αὐτῷ φυτῶν, καὶ οὐ μὴ προσαπτέον. τὸ δὲ ἦν τὸ ξύλον τῆς γνώσεως, οὔτε φυτευθὲν ἀπ᾽ ἀρχῆς κακῶς, οὔτε ἀπαγορευθὲν φθονερῶς. μὴ πεμπέτωσαν ἐκεῖ τὰς γλώσσας οἱ θεομάχοι, μηδὲ τὸν ὄφιν μιμείσθωσαν· ἀλλὰ καλὸν μὲν εὐκαίρως μεταλαμβανόμενον· θεωρία γὰρ ἦν τὸ φυτὸν, ὡς ἡ ἐμὴ θεωρία, ἧς μόνοις ἐπιβαίνειν ἀσφαλὲς τοῖς τὴν ἕξιν τελεωτέροις· οὐ καλὸν δὲ τοῖς ἁπλουστέροις ἔτι, καὶ τὴν ἔφεσιν λιχνοτέροις. ὥσπερ οὐδὲ τροφὴ τελεία λυσιτελὴς τοῖς ἁπαλοῖς ἔτι, καὶ δεομένοις γάλακτος.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Παρατηρητέον, ὅτι δι᾽ ὅλης τῆς κοσμοποιΐας τὸ, εἶπεν ὁ Θεὸς πρόσκειται, καὶ ἐποίησεν ὁ Θεὸς, δηλοῦν τὸ δημιουργικόν. μάλιστα γὰρ διὰ ταύτης τῆς προσηγορίας τὸ δημιουργικὸν δηλοῦται. ἡ δὲ Κύριος ὀνομασία, ἄρχοντος καὶ βασιλέως σημαίνει ἔμφασιν. ὅτε οὖν ἐντολὴ ἐδέδοτο τῷ Ἀδὰμ, ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ, εἰκότως. Κυρίου γὰρ καὶ Βασιλέως ἐστὶ τὸ νόμους καὶ ἐντολὰς διδόναι.

** ΩΡΙΓΕΝΟΥΣ. Ὅτε περὶ τῆς ἐντολῆς, δι᾽ ἧς αὐτὸν ἐν ζωῇ ταύτην τηροῦντα ἠθέλησεν εἶναι, ἑνικῶς ἐντέλλεται καί φησιν· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ. οἱ γὰρ κατὰ Θεὸν περιπατοῦντες, καὶ τῶν ἐντολῶν αὐτοῦ ἀντεχόμενοι, κἂν πολλοὶ ὦσι, τῷ ὁμόφρονες εἶναι, οἱ πολλοὶ ἕν εἰσι. διὰ τοῦτο, ὅτε περὶ ἀγαθοῦ ἐντολὴ δίδοται, ἑνικῶς αὐτῷ λέγεται τὸ, βρώσει φαγῇ· ὅτε δὲ ἤδη περὶ παραβάσεως διαστέλλεται, οὐχ ἑνικῶς, ἀλλ᾽ ἤδη πληθυντικῶς. οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ. ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Βλέπε ἐκ προοιμίων πόσῃ τιμῇ κέχρηται περὶ τὸν ἄνθρωπον. οὐδὲ γὰρ εἶπε, προσέταξεν, ἢ ἐκέλευσεν. ἀλλὰ τί; ἐνετείλατο. καθάπερ φίλος φίλῳ περί τινων ἀναγκαίων ἐντελλόμενος διαλέγεται· οὕτω καὶ ὁ Θεὸς πρὸς τὸν Ἀδὰμ διατίθεται, μονονουχὶ διὰ τῆς τοιαύτης τιμῆς ἐπισπάσασθαι βουλόμενος αὐτὸν πρὸς τὴν ὑπακοὴν τῶν ἐντελλομένων ὑπ᾽ αὐτοῦ.

ΑΔΗΛΟΥ. Εἰ ἀθάνατος ἐγένετο ὁ ἄνθρωπος, πῶς ἐπιτέτραπται φαγεῖν; Οὐχ ὡς ἐνδεεῖ τροφῆς προστάττει τοῦτο ὁ Θεὸς, ἀλλὰ προνοίᾳ τοῦ μέλλοντος χρειωδῶς μετὰ τὴν παράβασιν. ἐκλήθη γὰρ ἐν τῷ παραδείσῳ ἐργάζεσθαι, οὐκ ἐσθίειν· ἵνα ὅταν ἐκπέσῃ ἐκ ῥαθυμίας εἰς ἔνδειαν, εἰδείη τὰ ἀπαγορευθέντα βρώματα ἐκ Θεοῦ, καὶ ἐπιτραπέντα. οὕτω καὶ αὐξάνεσθε, καὶ πληθύνεσθε πρὸ τῆς ἁμαρτίας εἴρηται, οὐκ οὔσης χρειώδους τῆς διαδοχῆς τοῦ γένους πρὸ τοῦ θανάτου. πάλιν γὰρ ἡ πρόνοια τὸ μέλλον ἐπισαμένη, δίδωσι τὴν εὐλογίαν, ὡς ἀξίοις, πρὸ τῆς ἁμαρτίας· ἵνα ὅταν πεσόντες, ἀνάξιοι ταύτης γένωνται, βοήθειαν εὕρωσι τὴν ἐξ αὐτῆς.

Ἧ δ᾽ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε.

** ΙΣΙΔΩΡΟΥ. Ὁ γὰρ κακοῦργος, καὶ ὁ ἀνδροφόνος τότε κυρίως ἀποθνήσκει, ὅταν τοὺς νόμους παραβαίη, καὶ τὸ ἁμάρτημα ἐργάσοιτο, κἂν δοκῇ ζῆν. εἰ γὰρ καὶ μὴ τῇ πείρᾳ, ἀλλά γε τῇ ἀποφάσει καὶ τῷ δικαίῳ τέθνηκεν, εἰ καὶ δοκῇ μηδέπω εἰς τὰς τῶν νόμων σαγήνας ἐμπεπλωκέναι. εἰ δὲ καὶ θάνατον τῆς ἀθανάτου ψυχῆς ὁρίζεται τὴν τοῦ ἁγίου πνεύματος ἀποφοίτησιν· οὐ γὰρ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας· καὶ οὕτω νοείσθω. ὥσπερ γὰρ τὸ σῶμα ζῇ, παρούσης ψυχῆς· οὕτω καὶ ἡ ψυχὴ, παρόντος τοῦ ἁγίου πνεύματος. καὶ ὥσπερ ἀναχωρησάσης τῆς ψυχῆς, νεκρὸν μένει τὸ σῶμα· οὕτω καὶ ἀποφοιτήσαντος τοῦ ἁγίου πνεύματος, ἀπολέσει ἡ ψυχὴ τὴν μακαρίαν ζωήν· οὐκ εἰς τὸ μὴ ὂν ἀναλυομένη, ἀλλὰ θανάτου παντὸς χαλεπωτέραν βιοῦσα ζωήν. ἄφες, γάρ (Ματθ. 8. 22.)
φησι, τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· καὶ, ὁ υἱός μου οὗτος νεκρὸς ἦν καὶ (Λουκ. 15. 24.)
ἀνέζησε. τὸ γὰρ λεγόμενον παρά τινων, ὅτι πρὸ τῆς τῶν χιλίων ἐτῶν συμπληρώσεως ἐτεθνήκεισαν· γέγραπται γὰρ μία (Ψαλ. 89. 4.)
ἡμέρα Κυρίου, ὡς χίλια ἔτη· οὐκ ἀγνοούμενον, πιθανὸν εἶναί μοι δοκεῖ. καὶ τοῖς ἁπλουστέροις μᾶλλον εὐπαράδεκτον.

** ΑΘΑΝΑΣΙΟΥ. Τὸ δὲ ἀποθανεῖσθε τὶ ἂν ἄλλο εἴη, ἢ τὸ μὴ μόνον ἀποθνήσκειν, ἀλλὰ καὶ ἐν τῇ τοῦ θανάτου φθορᾷ διαμένειν;

ιη. Καὶ εἶπεν ὁ Θεὸς, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον. ποιήσωμεν αὐτῷ βοηθὸν κατ᾽ αὐτόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἰδοὺ πάλιν καὶ ἐνταῦθα τὸ, ποιήσωμεν. καθάπερ γὰρ ἐξ

ἀρχῆς ἔλεγεν ἐπὶ τῆς τοῦ ἀνθρώπου διαπλάσεως, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν· οὕτω καὶ νῦν μέλλων τὴν γυναῖκα διαπλάττειν, τῷ αὐτῷ κέχρηται ῥήματι, καί φησι, ποιήσωμεν. πρὸς τίνα διαλέγεται; οὐ πρὸς κτιστήν τινα δύναμιν, ἀλλὰ πρὸς τὸν ἐξ αὐτοῦ γεννηθέντα, τὸν θαυμαστὸν σύμβουλον, τὸν ἐξουσιαστήν, τὸν ἄρχοντα τῆς εἰρήνης, τὸν μονογενῆ αὐτοῦ παῖδα. καὶ ἵνα μάθῃ ὁ Ἀδὰμ, ὅτι ὁμότιμον αὐτῷ τὸ ζῶον μέλλει εἶναι τὸ διαπλαττόμενον, διὰ τοῦτο καθάπερ ἐπ' αὐτοῦ ἔλεγε, ποιήσωμεν· οὕτω καὶ νῦν φησὶ, ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. οὐ βούλομαί φησι μόνον αὐτὸν εἶναι, ἀλλ' ἔχειν τινὰ παραμυθίαν ἐκ τῆς συνουσίας. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ κατάλληλον αὐτῷ βοηθὸν παραγαγεῖν δεῖ, τὴν γυναῖκα αἰνιττόμενος. διὰ τοῦτό φησι, ποιήσωμεν αὐτῷ βοηθόν· καὶ προσέθηκε δὲ, κατ' αὐτόν· ἵν' ὅταν ἴδῃς εὐθὺς τὰ θηρία παραγόμενα, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, μὴ νομίσῃς περὶ τούτων εἰρῆσθαι. εἰ γὰρ καὶ συνεφάπτεται τῶν καμάτων αὐτῷ πολλὰ τῶν ἀλόγων, ἀλλ' οὐδὲν ἴσον τῆς λογικῆς γυναικός. διὰ τοῦτο εἶπε, βοηθὸν κατ' αὐτόν.

ιθ. Καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ.

ΘΕΟΔΩΡΟΥ. Οὐχ ὅτι ἄλλα ζῶα μετὰ ταῦτα πεποίηκεν ἐκ τῆς γῆς, ἀλλὰ περὶ τῶν ἤδη γεγονότων κατὰ ἐπανάληψιν, διὰ τὸ προκείμενον λέγει. τὸ δὲ, ἔτι, ἔκ τινος ἰδιώματος τῆς ἑβραΐδος προσίθησι γλώσσης. οὕτω καὶ τὸ, ἐξανέτειλεν ἔτι ὁ Θεὸς ἐκ τῆς γῆς.

Καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ, ἰδεῖν τί καλέσει αὐτά· καὶ πᾶν ὃ ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ.

* ΠΡΟΚΟΠΙΟΥ. Ὡς ἂν δεσπότῃ προσήγαγε. δεσπότου γὰρ τὸ τοῖς κτήμασι τιθέναι προσηγορίαν.

** ΣΕΥΗΡΙΑΝΟΥ. Ἐπειδὴ ἐποίησεν αὐτὸν κατ' εἰκόνα, ἠθέλησεν εἰς ὄψιν προσενέγκαι καὶ τὴν τιμὴν, καὶ δεῖξαι ἀληθῶς, ὅτι φέρει τὴν εἰκόνα τῆς σοφίας. καὶ βλέπε τὸ θαυμαστόν. ὁ Θεὸς προετύπωσεν ἑαυτῷ τὰ ὀνόματα, ἐβούλετο δὲ δειχθῆναι διὰ τῆς εἰκόνος, ὅτι συμφωνεῖ τοῦ Ἀδὰμ τὰ δόγματα τοῖς τοῦ Θεοῦ βουλήμασιν· ἀμέλει βουλομένη ἡ γραφὴ δεῖξαι, ὅτι ταῦτα ἃ ἔθηκε, καὶ ὁ Θεὸς προώρισε, φησί· καὶ πᾶν ὃ ἐκάλεσεν αὐτὰ, τοῦτο ὄνομα αὐτῷ. ἀντὶ τοῦ προώριστο τοῦτο, ὁ Θεὸς ἐδόξασεν.

κ. Καὶ ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς.

A ΑΔΗΛΟΥ. Ἔδει γὰρ τὸν κατασάντα πάντων ἐπὶ τῆς βασιλείας εἰδέναι τὰ ὑπ' αὐτὸν, καὶ ἐκ τῆς προσηγορίας ἕκαστον γνωρίζειν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μὴ γὰρ ἁπλῶς παραδράμῃς, ἀγαπητέ· τὸ ὁρώμενον· ἀλλ' ἐννόησόν μοι πόσης τῆς σοφίας τοσούτοις γένεσι πτηνῶν, ἑρπετῶν, θηρίων, κτηνῶν, καὶ τῶν ἄλλων ἀλόγων, τῶν ἡμέρων, B τῶν ἀγρίων, τῶν ἐν τοῖς ὕδασι διαιτωμένων, τῶν ἐκ τῆς γῆς ἀναδοθέντων, πᾶσι τούτοις ἐπιθεῖναι τὰς προσηγορίας· καὶ προσηγορίας τὰς κυρίας καὶ καταλλήλους ἑκάστῳ γένει. πᾶν, γάρ φησιν, ὃ ἐκάλεσεν αὐτὸ Ἀδὰμ, τοῦτο ὄνομα αὐτῷ.

Τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅμοιόν φησι, Γ τῆς αὐτῆς αὐτῷ οὐσίας, ἄξιον αὐτοῦ, μηδὲν αὐτοῦ λειπόμενον. διὰ τοῦτο ἔλεγε, τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ· δεικνὺς ἡμῖν ὁ μακάριος οὗτος (ὁ Μωϋσῆς) ὅτι ὅσην ἂν παρέχηται χρείαν ἡμῖν πρὸς ὑπηρεσίαν ταυτὶ τὰ ἄλογα, ἑτέρα τίς ἐστι βοήθεια, καὶ πολλῷ τῷ μέτρῳ ὑπερακοντίζουσα τῷ Ἀδὰμ παρεχομένη παρὰ τῆς γυναικός.

Δ **κα. Καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς.**

ΑΔΗΛΟΥ. Οὐ γὰρ τὸ ἐναντίον λέγει τῶν ἔμπροσθεν. ἀλλ' ἐπειδὴ εἶπε, καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· τὸ μὲν ὅτι γέγονεν E ἄνθρωπος κατ' εἰκόνα ἄρσεντε καὶ θῆλυ σαφῶς εἰρηκὼς, τὸν τρόπον δὲ οὐ προσθεὶς, καινόν γε ὄντα παρὰ τὰ λοιπὰ ζῶα, ἀναγκαίως ἐνταῦθα τὸ παραλελειμμένον ἐν ἐκείνοις ἡμᾶς ἐκδιδάσκει, ἐπαναλαβὼν τοῦ ἀνθρώπου τὴν ποίησιν, ἐπὶ τῷ τὰ ἐν τοῖς ἔμπροσθεν αὐτῷ παραλειφθέντα νῦν ἡμᾶς ἐκδιδάξαι.

ΑΔΗΛΟΥ. Ἐπειδὴ γὰρ ἔμελλεν αὐτοῦ τὴν πλευρὰν ἀφαιρεῖν, ἵνα ἀπὸ ταύ- Z της ποιήσῃ τὴν γυναῖκα, ἀνάγκη δὲ ἦν, ἢ ἀνωδύνως ἀφαιρουμένης, φαντασίαν αὐτὸν τὸ πρᾶγμα νομίζειν, ἢ μετ' ὀδύνης λαμβανομένης, ἀπεχθῶς ἔχειν πρὸς τὸ ἐκ τούτου γινόμενον, ἔκστασιν αὐτῷ ἐπέβαλεν. ὥστε ἔξω τῆς συνήθους καταστάσεως γεγονότα, μὴ αἰσθητῶς τὸ γινόμενον ἰδεῖν. ὡς ἐν ὁράματι δὲ ὕπνου τινὸς, δι' ἀποκαλύψεως θείας δέξασθαι τοῦ γινομένου τὴν H γνῶσιν.

** ΣΕΥΗΡΙΑΝΟΥ. Τὴν εἰκόνα Χριστοῦ βλέπε πανταχοῦ. οὐ πρότερον ἔλαβεν ὁ Θεὸς ἀπὸ τοῦ Ἀδὰμ τὴν πλευρὰν, ἕως ὅτε ὕπνον αὐτῷ ἐνέβαλε. διατί; ἀπὸ πλευρᾶς ἡ ἁμαρ-

ἡ ἁμαρτία ἔμελλε γίνεσθαι, ἡ διὰ τῆς γυναικὸς εἰσελθοῦσα. ἦλθεν ὁ σωτὴρ ἀπὸ πλευρᾶς φέρων ὕδωρ, καὶ αἷμα. ὕδωρ ἀποπλῦνον ἁμαρτήματα, αἷμα παρέχον ἡμῖν τὸ μυστήριον. Ὅρα τὸν τύπον, ὑπνώσαντος τοῦ Ἀδάμ, πλευρὰ ἐλαμβάνετο· ὕπνου γενομένου τῷ σώματι τοῦ Χριστοῦ, ἡ πλευρὰ ἠνοίγετο, ἵνα λύσῃ τὴν ἀρχαίαν τραγῳδίαν τῇ νέᾳ ἱστορίᾳ· ὕπνῳ δὲ λέγω, τῷ ἐν σταυρῷ.

κβ. Καὶ ᾠκοδόμησε Κύριος ὁ Θεὸς τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ.

ΑΔΗΛΟΥ. Δυνατὴν μὲν βοηθὸν, οἷα πλευράν· ἀσθενεστέραν δὲ τοῦ ὅλου, οἷα μέρος.

ΓΕΝΝΑΔΙΟΥ. Βουλόμενος ὁ Θεὸς πλείονα τῷ ἀνδρὶ κατὰ φύσιν ἐνεῖναι τὴν περὶ τὴν γυναῖκα στοργὴν, διαπλάττει μὲν αὐτὴν ἐξ αὐτοῦ, οὔτε δὲ ἔκ τινος μέρους τῶν ἔμπροσθεν· ἵνα μὴ δόξῃ πρὸς ἀντίστασιν ὥσπερ αὐτῷ διαπλάττειν αὐτήν· οὔτ᾽ αὖ πάλιν καθαρῶς ἐκ τῶν ὄπισθεν, ἵνα μὴ ἀτιμοτέρα λογίζοιτο, ἀλλ᾽ ἐκ τῆς πλευρᾶς τῆς μεταξύπως ἐχούσης· ὡς ἂν ἔχουσα πρὸς τὸν ἄνδρα φαίνοιτο καὶ αὐτὴ τὸ μέσον ἰσοτιμίας τε καὶ ὑποταγῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ἀπὸ τῆς πλευρᾶς τοῦ Ἀδὰμ τὴν γυναῖκα διέπλασεν; Εἰς ὁμόνοιαν ἠβουλήθη τὰ γένη συναγαγεῖν ὁ τῆς φύσεως ποιητής. τούτου χάριν τὸν μὲν Ἀδὰμ ἀπὸ γῆς διέπλασεν, ἐκ δὲ τοῦ Ἀδὰμ τὴν γυναῖκα· ἵνα καὶ τὸ ταυτὸν ἐπιδείξῃ τῆς φύσεως, καὶ φυσικήν τινα φιλοστοργίαν αὐτοῖς περὶ ἀλλήλους ἐμφύσῃ. εἰ γὰρ καὶ τούτων οὕτω γεγενημένων, καὶ ἄνδρες γυναιξὶ διαμάχονται, καὶ γυναῖκες ἀνδράσι, τί οὐκ ἂν ἔδρασαν, εἰ ἑτέρωθέν ποθεν τὴν γυναῖκα διέπλασε; σοφῶς ἄρα καὶ διεῖλε, καὶ πάλιν συνήρμοσεν. ὁ γὰρ γάμος εἰς ἓν συνάγει τὰ
Ματθ. 19. 5. γένη. ἔσονται γάρ φησιν οἱ δύο εἰς σάρκα μίαν. καὶ ὅτι τοῦτο ἀληθὲς, μαρτυρεῖ τὸ γινόμενον. διὰ γὰρ τῆς γαμικῆς ὁμιλίας εἷς ἐξ ἀμφοῖν βλαστάνει καρπὸς, ἐκ μὲν τούτου σπειρόμενος, ἐκ δὲ ταύτης τρεφόμενος, τελεσιουργούμενος δὲ ὑπὸ τοῦ τῆς φύσεως ποιητοῦ.


κγ. Καὶ εἶπεν Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ σὰρξ ἐκ τῆς Α **σαρκός μου. αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη.**

ΔΙΟΔΩΡΟΥ. Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. Ἐκ πολλῶν μέν ἐστιν ἰδεῖν πολλῆς χάριτος γέμοντα τὸν Ἀδάμ, οὐχ ἥκιστα δὲ καὶ ἐκ τούτων. τῆς γὰρ γυναικὸς πλαττομένης ἐξ αὐτοῦ, οὐκ εἶδε. πῶς
Β γὰρ ὑπνῶν; ὑπὸ δὲ τοῦ Θεοῦ αὐτῷ προσενεχθεῖσαν, ἐπέγνω, προφητικώτερον εἰπὼν, ὡς οὐκ ἔτι ἡ γυνὴ τὸν αὐτὸν τρόπον γενήσεται ἐξ ἀνδρὸς, ὥσπερ ἡ Εὔα ἐξ αὐτοῦ. τοῦτο γάρ φησι νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου. νῦν μόνον τοῦτο γεγονὸς, ὡς καὶ Σύμμαχος, καὶ Θεοδοτίων ἡρμήνευσαν. τοῦτο ἅπαξ ὀστοῦν ἐκ τῶν ὀστῶν. τὰ γὰρ ἄλλα πάντα ἐξ ἀνδρὸς καὶ γυναικὸς, καὶ τοῦ νόμου τοῦ γαμικοῦ. διατί δὲ ἐκ πλευρᾶς; ἵνα
Γ μὴ μόνον πάντων τῶν ἐν τῷ βίῳ νομιζομένων καλῶν, ἀλλ᾽ ἤδη καὶ πατρὸς καὶ μητρὸς προτιμῶσιν ἀλλήλους εἰς σάρκα μίαν συνημμένοι· τὸ μέντοι αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη, οὐ δοκεῖ τινὰ σώζειν ἀκολουθίαν. εἰ γὰρ ἐπειδὴ πλευρὰ τοῦ Ἀδὰμ ἡ Εὔα, διὰ τοῦτο γυνὴ, αἱ μετὰ ταῦτα γυναῖκες ἄρα οὐκ εἰσὶν ἐκ τῶν ἀνδρῶν. ἀλλὰ παρὰ τοὺς ἑρμηνεύσαντας τὸ σφάλμα φασὶ γεγενῆσθαι. μὴ γὰρ εἰ-
Δ ρηκέναι τὴν Γραφὴν γυνὴ, ἀλλ᾽ ἡ ἄνθρωπος. ἴσα μὲν γὰρ ὀνομάζει τὸν ἄνθρωπον, δασυτάτῃ προφορᾷ τῆς φωνῆς χρωμένη, ἴσα δὲ τὴν Εὔαν ἀπὸ τοῦ ἀνθρώπου. καὶ τοῦτό μοι δοκεῖ μᾶλλον ἔχειν ἀκολουθίαν.

κδ. Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ· καὶ ἔσονται οἱ δύο Ε **εἰς σάρκα μίαν.**

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πόθεν ἤδη τὰ μέλλοντα, καὶ ὅτι εἰς πλῆθος ἐπιδώσει τὸ τῶν ἀνθρώπων γένος; ὅτι γὰρ συνουσία ἔσται ἀνδρὸς καὶ γυναικὸς πόθεν ἠπίστατο; μετὰ γὰρ τὴν παράβασιν τὰ τῆς συνουσίας γέγονε, ἐπεὶ μέχρις ἐκείνου, καθάπερ Ἄγγελοι οὕτω διητῶντο ἐν τῷ παραδείσῳ. Καὶ μετ᾽ ὀλίγα. Ἦ δῆλον, ὅτι προφητικοῦ
Ζ χαρίσματος μετέχων πρὸ τῆς παρακοῆς, ἅπαντα ταῦτα ἑώρα τοῖς πνευματικοῖς ὀφθαλμοῖς.

ΚΕΦ. Γ.



α. Καὶ ἦσαν γυμνοὶ οἱ δύο ὅ,τε Ἀδάμ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο.

** ΣΕΥΗΡΙΑΝΟΥ. Πάντας αἰσχύνεται ἀνὴρ ἐκτὸς τῆς ἰδίας γυναικός. πάντας αἰδεῖται ἡ γυνὴ ἐκτὸς τοῦ ἰδίου ἀνδρός. καὶ τοῦτο μὲν εἶπε κατὰ τὸν νόμον. τὸ δὲ αἴτιον τοῦ μὴ αἰσχύνεσθαι τῷ γυμνῷ· ἀθανασίαν ἦσαν ἐνδεδυμένοι, δόξαν ἐστολισμένοι. οὐ συνεχώρει ἡ δόξα βλέπεσθαι τὰ γυμνά. αὕτη γὰρ ἔσκεπε τὴν
Η γυμνότητα.

ΑΔΗΛΟΥ. Οὐ γὰρ εἶχον τὰ πάθη θνητῆς φύσεως, μήπω θνητοὶ γεγενημένοι. διεκρατοῦντο γὰρ τῇ χάριτι.

β. Ὁ δὲ

β. Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε Κύριος ὁ Θεός.

** ΣΕΥΗΡΙΑΝΟΥ. Ἦν οὖν καὶ τῶν μιμηλῶν μιμηλότερος, καὶ τῶν ὑποσαινόντων ἐγγύτερος. μὴ πρόσχῃς τῇ νῦν ὄψει, ὅτι καὶ φεύγομεν, καὶ βδελυττόμεθα. οὐκ ἦν οὕτως ἀπ᾽ ἀρχῆς. φίλος ἦν ὁ ὄφις, καὶ τῶν ὑποσαινόντων τὸν ἄνθρωπον ἐγγύτερος.

ΓΕΝΝΑΔΙΟΥ. Ὄφιν ἐνταῦθα τὸν σατανᾶν, διὰ τὸ βλαπτικὸν, ὀνομάζει· καθὼς καὶ ὁ σωτήρ φησιν· Λουκ. 10. 18, 19. ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ. καὶ, ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ τὰ ἑξῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ φρόνιμος ὁ ὄφις, καὶ ἐπαινούμενος. μόριον γὰρ ἡ φρόνησις ἀρετῆς. Πολλὰ τῶν ὀνομάτων ὁμωνύμως προφέρεται. καὶ γὰρ τὰ εἴδωλα τῶν ἐθνῶν θεοὺς ὠνομάκασι. τοῦτο δέ γε ἀκριβέστερον περὶ τοῦ ἐν ἐκείνῳ ἐνεργήσαντος εἴρηται δαίμονος. ἀμαθῶς δὲ οἱ ἀνόητοι καὶ τοὺς περὶ μύθους ἐσχολακότας, σοφοὺς προσηγόρευσαν. οὕτω καὶ ἡ θεία λέγει Γρα-
1. Κορ. 1. 27. φή, ἐξελέξατο ὁ Θεὸς τὰ μωρὰ τοῦ κόσμου,
1. Κορ. 1. 20. ἵνα καταισχύνῃ τοὺς σοφούς· καὶ πάλιν, ποῦ
Ἱερ. 4. 22. σοφός; καὶ διὰ τοῦ Προφήτου, σοφοί εἰσι τοῦ κακοποιῆσαι. τοιγάρτοι κἀνταῦθα φρόνιμον τὸν ὄφιν, ὡς πανοῦργον ὠνόμασεν. οὕτω γὰρ καὶ ὁ Ἀκύλας ἡρμήνευσε· καὶ ὁ ὄφις ἦν πανοῦργος ἀπὸ παντὸς ζώου τῆς χώρας, οὗ ἐποίησε Κύριος ὁ Θεός.

ΔΙΟΔΩΡΟΥ. Φρόνιμον νῦν οὐ τὸν συνετὸν λέγει, ἀλλὰ τὸ πρὸς ἀπάτην ἐπιτήδειον ὄργανον. ὥσπερ ἀγαθὸν ἔθος ἡμῖν μὲν λέγειν τὸν ἄνδρα, αἱ δὲ Βασίλειαι,
1. Βασ. 9. 2. ἀγαθὸν Σαοὺλ εἶναι λέγουσιν, οὐ τὴν προαίρεσιν, ἀλλὰ τὸ σωματικὸν τῆς ἡλικίας μέγεθος, ἐκβᾶσαι τὸ ἔθος τῆς προσηγορίας· οὕτω καὶ Μωϋσῆς ἔφη φρόνιμον τὸν ὄφιν.

Καὶ εἶπεν ὁ ὄφις τῇ γυναικὶ, τί ὅτι εἶπε Κύριος ὁ Θεὸς, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ;

** ΑΘΑΝΑΣΙΟΥ. Τίς πρὸ πάντων ὠνόμασε τὸν Θεὸν ἐπὶ γῆς; Πρόδηλον, ὅτι ὁ διάβολος, ὅτε πρὸς τὴν Εὔαν ἔλεγε· τί ὅτι εἶπεν ὑμῖν ὁ Θεὸς ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φαγεῖν; καὶ μὴ θαυμάσῃς τοῦτο. Ἄγγελος γὰρ ὤν ποτε ὁ διάβολος, εἶχε γνῶσιν ὑπὲρ τὸν ἄνθρωπον τότε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀλλ᾽ ἴσως ἐνταῦθα διαπορήσειεν ἄν τις, καὶ μαθεῖν ζητήσειεν, εἰ καὶ τὸ θηρίον λόγου μετεῖχεν. Οὐ τοῦτο, μὴ γένοιτο. ἀλλ᾽ ἀεὶ ἀκολουθεῖν-

A ταῖς τῇ Γραφῇ, τοῦτο λογίζεσθαι χρὴ, ὅτι τὰ μὲν ῥήματα ἦν τοῦ διαβόλου, διὰ τὸν οἰκεῖον φθόνον πρὸς τὴν ἀπάτην ταύτην διεγερθέντος· τῷ δὲ θηρίῳ τούτῳ, ὥσπερ ἐπιτηδείῳ ὀργάνῳ ἐχρήσατο, ἵνα δυνηθῇ τὸ δέλεαρ τῆς οἰκείας ἀπάτης ἐνιεὶς, ὑποσκελίσαι πρότερον μὲν τὴν γυναῖκα, ἅτε ἀεὶ εὐκολώτερα δυναμένην ἀπατηθῆναι· ἔπειτα δὲ δι᾽ αὐτῆς καὶ τὸν πρωτόπλαστον.

B ΔΙΟΔΩΡΟΥ. (1) Ἄλογος ὢν ὁ ὄφις, πῶς διελέχθη τῇ Εὔᾳ; Ὄργανον ἦν αὐτὸς τοῦ τῆς ἀληθείας ἐχθροῦ. καὶ τοῦτο δεδήλωκεν ὁ Κύριος ἐν τοῖς θείοις εὐαγγελίοις.
εἰρηκὼς γὰρ τοῖς Ἰουδαίοις, ὑμεῖς ἐκ τοῦ Ἰωάν. 8. 44.
πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστὲ, ἐπήγαγεν, ἐκεῖνος ἀνθρωποκτόνος ἐστὶν ἀπ᾽ ἀρχῆς. οὗτος τοίνυν διὰ τοῦ ὄφεως διελέχθη τῇ Εὔᾳ. ἐπειδὴ γὰρ τῶν πάντων ἀλόγων παρὰ τοῦ Θεοῦ τῶν ὅλων τὴν ἡγεμονίαν εἰλήφεισαν, δι᾽ ἑνὸς αὐτῇ τῶν ὑπηκόων τὴν
Γ παγίδα προσήνεγκε, πιθανωτέραν οὕτω τὴν ἀπάτην κατασκευάζων. ὅτι δὲ καὶ αὐτὸν τὸν διὰ τοῦ ὄφεως ἐνεργήσαντα, ὄφιν ἡ θεία προσαγορεύει Γραφὴ, μάρτυς Ἡ-
σαΐας ὁ προφήτης βοῶν, τῇ ἡμέρᾳ ἐκείνῃ Ἡσ. 27. 1.
ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν αὐτοῦ τὴν ἁγίαν, τὴν μεγάλην, καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα, τὸν ὄφιν τὸν σκολιὸν τὸν ἰσχυρὸν, ἐπὶ τὸν δράκοντα τὸν ὄφιν τὸν φεύγοντα, τὸν ἐν τῇ θαλάσσῃ. καὶ ὁ Κύ-
Δ ριος δὲ τοῖς ἱεροῖς εἴρηκε μαθηταῖς· ἰδοὺ δέ-
δωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων, Λουκ. 10. 19.
καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

ΤΟΥ ΑΥΤΟΥ. Καὶ εἶπεν ὁ ὄφις τῇ γυναικὶ, τί ὅτι εἶπεν ὁ Θεὸς οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; τίνος φησὶν ἕνεκεν ἐκελεύσθητε παρὰ τοῦ Θεοῦ μηδενὸς γεύσασθαι τῶν ἐν τῷ παρα-
E δείσῳ ξύλων; ὡς δῆλον ἐντεῦθεν εἶναι, ὅτι οὐ μετέχον βρώσεως ἑτέρας οἱ περὶ τὸν Ἀδάμ. εἰ γὰρ βεβρωκότες ἦσαν, πάντως ἂν καὶ εἶδεν αὐτοὺς ἐσθίοντας ὁ διάβολος. ἐσθίοντας δὲ ἰδὼν, οὐκ ἂν εἶπε τίνος ἕνεκεν ἐκελεύσθητε μηδενὸς ἐσθίειν. ἀλλ᾽ εὔδηλον μὲν, ὅτι οὔπω βεβρώκεισαν. τί δὲ βούλεται ἡ τοῦ διαβόλου ἐρώτησις, ἀναγκαῖον εἰπεῖν. τὸ μὲν οὖν ὅτι νόμον εἰλήφεισάν τινα οἱ περὶ τὸν Ἀδὰμ, ἠπίστατο
Z ὡς εἰκὸς, ἐξ ὧν ἅπαντα εἶδε τὰ λογικά τε καὶ ἄλογα, εἴτε ὁρατὰ, εἴτε ἀόρατα ὑπὸ νόμον ὄντα τινὰ, καθὼς ὁ πεποιηκὼς ἐβουλήθη. ἠγνόει μέντοι τὸν νόμον. οὐ γὰρ ἂν εἰδὼς αὐτὸν τὸ ἐναντίον εἶπεν, ἵνα εὐθὺς ἑαυτὸν ἀπίθανον πρὸς τὴν ἀπάτην ἐργάσηται, ὡς καὶ τὸν νόμον ἀγνοῶν. ἐκ δὲ τῶν φαινομένων τότε τεκμηράμενος, τὴν οἰκείαν ἐκπληροῦν μοχθηρίαν πειρᾶται. εὔδηλον γὰρ, ὅτι μὴ διὰ φωνῆς αἰ-
H σθητῆς δέδωκε τῷ Ἀδὰμ τὴν ἐντολὴν ὁ Θεὸς, ἀλλ᾽ ὥστε ἐντυπῶσαι μὲν αὐτῷ κατὰ τὴν οἰκείαν ἐνέργειαν τήν τε γνῶσιν τοῦ νόμου

(1) Ἡ ἐν Παρισ. ἐκδ. Θεοδωρίτου, ὡσαύτως καὶ ἡ ἐν χάλυ.

νόμου καὶ τὴν ἀκολ.. δεξάμενον δὲ ἐκεῖνον
τὴν ἐντολὴν διακεῖσθαι ὡσανεὶ ἀκοῇ τὸ
πρόσαγμα δεδεγμένον. ὅπερ καὶ ἐπὶ τῶν
Προφητῶν ὁ Θεὸς ἐποίει. ἐντεῦθεν οὐδὲ
τῷ διαβόλῳ τὸ δοθὲν νόμιμον δῆλον ὑπῆρ-
χεν· ὡς εἴγε κατὰ νόμον ἀνθρώπων ἐνάρ-
θρῳ τῇ φωνῇ διαλεχθεὶς ὁ Θεὸς αὐτῷ
δεδώκει τὴν ἐντολὴν, ἤκουσεν ἂν ταύτης
κἀκεῖνος, ἅτε τὰς ἀνθρωπίνας εἰδέναι
φωνὰς οἷός τε ὤν. νῦν δὲ ὡς μὲν ὑπό τι-
να νόμον πάντως ἐστὶν, ἐκ πάντων ἐτεκ-
μήρατο τῶν γεγονότων ὑπὸ νόμους. τὸν
δὲ νόμον αὐτὸν ὅς τίς ποτέ ἐστιν οὐκ εἰδὼς,
ἐξ οὗπερ αὐτοὺς μετατρέψαι ἐβούλετο, στο-
χασμοῖς τισὶ τοῖς δοθεῖσι νόμοις ἐπιχει-
ρεῖν πειρᾶται. πάντα μὲν γὰρ τὰ ἄλογα
ζῶα νεμόμενα κατὰ γῆν ἑώρα· ἐπειδὴ φύ-
σις αὐτοῖς ἐφιεμένοις, εὐθὺς πρὸς τροφὴν
ἐπείγεσθαι· οἱ δὲ περὶ τὸν Ἀδὰμ βεβρώ-
κεισαν οὐδέπω. οὕτω τοὺς ἀνθρώπους τά-
ξαντος τοῦ Θεοῦ, ὥστε μὴ παραπλησίως ἀεὶ
τοῖς ἀλόγοις πρὸς βρῶσιν ὁρμᾷν. καιρὸν
δέ τινα ὡρισμένον εἰδέναι τούτου, εἰ δεῖ μέ-
νειν ἐπὶ τῶν ἀνθρωπίνων ἐθέλοιεν λογισ-
μῶν, καὶ μὴ δίκην ἀλόγων τῇ γαστρὶ προ-
σανέχειν. ἐπειδὴ τοίνυν οὔπω διὰ ταύτην
οἱ περὶ τὸν Ἀδὰμ βεβρώκεισαν τὴν αἰτίαν,
ἅτε τοῦ ἐπείγοντος αὐτοὺς πρὸς τὴν βρῶσιν
οὐκ ἐπιστάντος καιροῦ, θεωρήσας ὁ διάβολος
πάντα μὲν ἐσθίοντα τὰ ζῶα, μόνους δὲ ἐκεί-
νους μεταλαμβάνοντας οὐδενός· οὐκ ἐπι-
στάμενος οἵαν πρὸς τὰ ἄλογα τοῖς ἀνθρώ-
ποις καὶ κατὰ τοῦτο δέδωκεν ὁ Θεὸς τὴν
διαφορὰν, ᾠήθη νόμῳ παντελῶς αὐτοὺς
κεκωλῦσθαι τῆς βρώσεως. εἴρετο τοίνυν
τὴν Εὔαν, τίς ἡ αἰτία; δι' ἣν μόνους ὑμᾶς
ἐκέλευσε μὴ ἐσθίειν;

** ΣΕΥΗΡΙΑΝΟΥ. Πολλοὶ ζητοῦσι πῶς
ἐλάλησεν ὁ ὄφις, ἆρα ἀνθρωπίνῃ φωνῇ,
ἢ συρισμῷ ὄφεως, καὶ ἐνενόησεν ἡ Εὔα;
Ὁ Ἀδὰμ πρὸ τῆς παραβάσεως ἐπεπλήρω-
το σοφίας, καὶ συνέσεως, καὶ προφητείας.
Καὶ μετ' ὀλίγα. Οὕτως ἔχοντος τοῦ Ἀδὰμ,
ἐνενόησεν ὁ διάβολος καὶ τοῦ ὄφεως τὸ φρό-
νιμον, καὶ τοῦ Ἀδὰμ τὴν πρόληψιν. εἶχε
γὰρ περὶ τοῦ ὄφεως ὡς συνετοῦ. λαλεῖ οὖν
δι' αὐτοῦ, ἵνα ὑπονοήσῃ ὁ Ἀδὰμ, ὅτι φρό-
νιμος ὢν ὁ ὄφις, κατώρθωσε καὶ τὸ μιμή-
σασθαι τὴν τοῦ ἀνθρώπου φωνήν.

γ. Καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει, ἀπὸ
παντὸς καρποῦ ξύλου τοῦ παραδείσου
δ. φαγόμεθα. Ἀπὸ δὲ τοῦ καρποῦ τοῦ
ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου,
εἶπεν ὁ Θεὸς, οὐ μὴ φάγησθε ἀπ' αὐ-
τοῦ, οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ
ἀποθάνητε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Διὰ τὴν πολ-
λὴν ἀπροσεξίαν οὐ μόνον οὐκ ἀπεστράφη,
ἀλλὰ καὶ τὴν ἐντολὴν ἅπασαν αὐτῷ ἐκκα-
λύπτει, καὶ τοὺς μαργαρίτας τῷ χοίρῳ
προτίθησι, καὶ πληροῦται τὸ παρὰ τοῦ
Ματθ. 7. 6. Χριστοῦ εἰρημένον· μὴ βάλητε, γάρ φησι,
A „ τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοί-
„ ρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν
„ τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξω-
σιν ὑμᾶς. ὃ δὴ καὶ νῦν γέγονε. παρέθη-
κε γὰρ τῷ χοίρῳ τῷ πονηρῷ τούτῳ θηρίῳ,
ἤτοι τῷ δαίμονι τῷ δι' αὐτοῦ ἐνεργοῦντι, τοὺς
θείους μαργαρίτας, καὶ οὐ μόνον αὐτοὺς κα-
τεπάτησε, καὶ ἀντετάξατο τοῖς ῥηθεῖσιν,
ἀλλὰ καὶ στραφεὶς, οὐκ αὐτὴν μόνον, ἀλλὰ
μετ' αὐτῆς καὶ τὸν πρωτόπλαστον εἰς τὸ
B τῆς παρακοῆς ῥῆγμα κατήγαγε. τοσοῦ-
τόν ἐστι κακὸν ἁπλῶς καὶ ὡς ἔτυχε πᾶσιν
ἐκκαλύπτειν τὰ θεῖα μυστήρια. ἀκουέτω-
σαν οἱ ἁπλῶς, καὶ ἀδιαφόρως πρὸς ἅπαν-
τας διαλεγόμενοι.

ε. Καὶ εἶπεν ὁ ὄφις τῇ γυναικὶ, οὐ
ϛ. θανάτῳ ἀποθανεῖσθε. Ἤδει γὰρ ὁ
Θεὸς, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ'
αὐτοῦ διανοιχθήσονται ὑμῶν οἱ ὀφ-
Γ θαλμοὶ, καὶ ἔσεσθε ὡς Θεοὶ, γινώ-
σκοντες καλὸν καὶ πονηρόν.

** ΣΕΥΗΡΙΑΝΟΥ. Ἔδοξε μανθάνειν
ἃ οὐκ ᾔδει. λοιπὸν οὐχ ὑπωπτεύετο ὡς ἐγ-
„ κατάσκοπος, καὶ λέγει αὐτῇ· οὐ θανάτῳ
ἀποθανεῖσθε. ἴδε ἄλλο ψεῦδος. τοῦ γὰρ
„ Θεοῦ εἰπόντος, ᾗ ἂν ἡμέρᾳ φάγητε, θα-
„ νάτῳ ἀποθανεῖσθε, τοῦτο δεύτερον ἐψεύ-
„ σατο. ᾔδει γὰρ ὁ Θεός φησιν, ὅτι ᾗ ἂν
Δ „ ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς Θεοί. ἴδε τρί-
τον ψεῦδος. ὅρα τὴν ἐγκατάσκοπον κα-
κίαν τοῦ διαβόλου. ἤδη προμελετᾷ κατα-
σπεῖραι τῷ κόσμῳ τὴν πλάνην. καὶ ἐπειδὴ
ἐμελέτησεν, ὡς προεῖπον, πολυθεΐαν ἐγεῖ-
ραι τῷ κόσμῳ, προλαβὼν ὡς ἐν διηγήμα-
τι κατέσπειρεν εἰς τὰς ἀκοὰς τῆς γυναι-
κὸς ἔμφασιν τοῦ εἶναι πολλοὺς Θεούς. ἀλλ' ὁ
μὲν τῆς κακίας τεχνίτης οὕτω προκατέ-
σπειρε τὴν ἔννοιαν τῶν Θεῶν. ὁ δὲ Θεὸς
E προειδὼς, ᾠκονόμησε τὴν πλάνην τὴν
μέλλουσαν μὴ λαληθῆναι ἀνθρωπίνῳ στό-
ματι· ἵνα μὴ πρώτη λογικὴ φωνὴ περὶ
Θεῶν φθέγξηται. ἀλλὰ πρῶτον στόμα ὄφεως.
ἵνα πᾶν στόμα λαλοῦν περὶ εἰδώλων, τῷ στό-
ματι ἐκείνου ἀπεικάζηται.

ζ. Καὶ εἶδεν ἡ γυνὴ, ὅτι καλὸν τὸ
ξύλον εἰς βρῶσιν, καὶ ἀρεστὸν τοῖς
ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ
Z κατανοῆσαι.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Δεῖ εἰδέ-
ναι τὴν ἐντολὴν τὴν δοκιμάζουσαν ἡμῶν τὸ
ὑπήκοον. διὰ τοῦτο ἦν φυτὸν ὡραῖον, καρ-
ποῖς εὔφορον, ἵνα ἐν τῇ ἀποχῇ τοῦ ἡδέος
τὸ τῆς ἐγκρατείας καλὸν ἐπιδειξάμενοι,
τῶν τῆς ὑπομονῆς στεφάνων δικαίως ἀξιω-
θῶμεν. ἐπηκολούθησε δὲ τῇ βρώσει οὐ πα-
ρακοὴ μόνη τῆς ἐντολῆς, ἀλλὰ καὶ ἡ ἐπί-
H γνωσις τῆς γυμνότητος.

ΑΔΗΛΟΥ. Υἱὸς γάρ εἰμι τῆς παι-
δίσκης σου, ἣν νηπίαν οὖσαν, καὶ κομι-
δῇ παῖδα παραγαγὼν ὁ ἐχθρὸς, καὶ

ἀποστήσας τῆς σῆς δουλείας, δοῦλον τῆς ἁμαρτίας ἐποίησε.

1. Κορ. 15. 33. ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀληθῶς φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. διὰ τί γὰρ πρὸ τῆς συμβουλῆς τοῦ πονηροῦ δαίμονος ἐκείνου μηδὲν τοιοῦτον ἔπαθε, μηδὲ κατενόησε τὸ ξύλον, μηδὲ εἶδεν αὐτοῦ τὴν ὡραιότητα; Ἐπειδὴ ἐδεδοίκει τοῦ Θεοῦ τὴν ἐντολὴν, καὶ τὸ μέλλον ἐπιτίμιον ἔσεσθαι ἐκ τῆς μεταλήψεως.

Καὶ λαβοῦσα ἡ γυνὴ ἀπὸ τοῦ καρποῦ αὐτοῦ ἔφαγε, καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς μετ᾽ αὐτῆς, καὶ ἔφαγον.

** ΣΕΥΗΡΙΑΝΟΥ. Ἐπιθυμία οὖν τῆς ἰσοθείας ἀπατᾷ τὴν γυναῖκα· κἀκείνη τὸν ἄνδρα οὐκ ἀπατᾷ, ἀλλὰ πείθει. (1. Τιμ. 2. 14.) καὶ μαρτυρεῖ Παῦλος λέγων, Ἀδὰμ οὐκ ἠπατήθη. καὶ διατί κατεκρίθη; ὅρα τὸ δεινόν. ἡ γυνὴ ἀπατηθεῖσα, ἔφαγε· πείθει μετὰ τὸ φαγεῖν καὶ τὸν ἄνδρα, ἵνα μὴ μόνη διατραπῇ. καὶ ἔπεισεν, οὐκ ἠπάτησεν.

ΘΕΟΔΩΡΟΥ. Οὐχ οἷόν τε ἦν οὔτε ταύτην προχείρως λαβοῦσαν δοῦναι, οὔτε ἐκεῖνον ἀβασανίστως δέξασθαι τὴν βρῶσιν. εἰ μὲν γὰρ οὐκ ᾔδει τὸ διδόμενον, οὐδ᾽ ἂν ἐμέμφθη· εἰ δὲ ᾔδει, ὡς εἰκὸς, καὶ ἐπέγνω, πάντως ἄντι καὶ ἐφθέγξατο πρὸς τὴν δοῦσαν. ἀλλ᾽ ἡ μὲν γυνὴ τὰ τοῦ ὄφεως, εἴτε τοῦ διαβόλου, ῥήματα πάντως εἶπε πρὸς τὸν ἄνδρα, προσέθηκε δὲ καί τινα τυχὸν, δι᾽ ὧν πείθειν αὐτὸν ἡγεῖτο δέξασθαι τὴν βρῶσιν.

η. Καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύω, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύω; Ὅτι καὶ πρὸ τῆς βρώσεως οὐ μεμυκότας εἶχον τοὺς ὀφθαλμοὺς, δῆλον τοῖς προσέχειν ἐθέλουσι. πῶς γὰρ εἶδεν ἡ γυνὴ τὸ ξύλον, ὅτι καλὸν εἰς βρῶσιν, καὶ ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι, εἰ μὴ ἀνεῳγότας εἶχον τοὺς ὀφθαλμούς; οὐκοῦν τὴν μετὰ τὴν ἁμαρτίαν αἴσθησιν οὕτω κέκληκεν ἡ θεία Γραφή. εὐθὺς γὰρ μετὰ τὴν ἁμαρτίαν κεντᾶται τὸ συνειδός.

ΤΟΥ ΑΥΤΟΥ. Πῶς οὖν μετὰ τὴν βρῶσιν ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν· πρὸ γὰρ τῆς βρώσεως ταύτην οὐκ εἶχον τὴν αἴσθησιν; Οὐδὲ τὰ κομιδῇ νέα παιδία ἐρυθριᾷν πέφυκε, τῆς ἐσθῆτος γεγυμνωμένα. κατὰ βραχὺ δὲ τοῦ σώματος αὐξανομένου, καὶ τοῦ νοῦ λοιπὸν ἀρχομένου τὴν οἰκείαν φύσιν ἐπιδεικνῦναι, οὐκ ἔτι λοιπὸν φορητὴ τοῖς μειρακίοις ἡ γύμνωσις, ἀλλ᾽ ἐρυθριῶσι καὶ περιβάλλονται. κἂν τις ἀφέληται τὴν ἐσθῆτα, ταῖς χερσὶ τὰ παιδογόνα καλύπτουσι μόρια. πολλῶν δὲ καὶ τὸ ἔθος ἀφαιρεῖται ταύτην τὴν αἰσχύνην. καὶ γὰρ οἱ ναῦται γυμνοὶ πλέοντες, καὶ οἱ λουόμε-
A νοι ὑπ᾽ ἀλλήλων ὁρώμενοι, ταύτην ἐνταῦθα τὴν αἰσχύνην οὐκ ἔχουσιν. ἐὰν δέ τις ἔξω τῶν βαλανείων γυμνὸς ᾖ, λίαν ἐρυθριᾷ. οὕτω καὶ οἱ περὶ τὸν Ἀδὰμ, εὐθὺς μὲν διαπλασθέντες, οἷα δὴ νήπιοι, καὶ εὐθυγενεῖς, καὶ τῆς ἁμαρτίας ἀμύητοι, οὐκ ᾐσχύνοντο δίχα περιβολαίων διάγοντες· μετὰ δὲ τὴν πεῖραν, τοῖς φύλλοις ἔνια συνεκάλυψαν μόρια.

B ΓΕΝΝΑΔΙΟΥ. Καὶ διηνοίχθησαν, φησὶν, οἱ ὀφθαλμοὶ τῶν δύω. Ζητούμενόν ἐστι, πόθεν ὁ ὄφις γνοὺς, ταῦτα προέφη αὐτοῖς συμβήσεσθαι. ὅτι γὰρ οὐ μέτεστιν αὐτῷ τῆς τῶν μελλόντων προγνώσεως ἀναντίῤῥητον, ἐπειδὴ Θεοῦ τοῦτο ἐξαίρετον ἴδιον, καὶ ὅσοις ἂν αὐτὸς δωρήσηται. λέγει γοῦν ὡς πρὸς τοὺς δαίμονας ὁ Προφήτης, ἀναγγείλατε ἡμῖν τὰ ἐπερχόμενα τί ἔσται, καὶ γνωσόμεθα ὅτι Θεοί ἐστε. Φημὶ τοίνυν, ὅτι φρο-
Γ νιμώτατος ὢν κατὰ τὴν τῆς Γραφῆς περὶ αὐτοῦ μαρτυρίαν, καὶ δεινὸς ἐκ μικρῶν μεγάλα, καὶ ἐξ ὀλίγων πολλὰ συνιδεῖν, ἐκ τῶν πρὸς τὸν Ἀδὰμ τοῦ Θεοῦ ῥημάτων ἐστοχάσατο τὴν ἀπόβασιν. ἔχει γὰρ οὕτως, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ. ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγησθε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε. συνῆκεν οὖν ὡς φρόνιμος ἐκ τοῦ ὀνόματος τοῦ φυτοῦ τὸ ἀποβησόμενον· καὶ ὅτι τῆς
Δ τροφῆς μεταχόντες, ἐνισχύσουσι μὲν ὡς εἰκός· τοῦτο γὰρ λέγει διάνοιξιν ὀφθαλμῶν· ἐνισχύσαντες δὲ τὴν φυσικὴν ἐν αὐτοῖς νάρκωσιν, ἀναζωπυρήσουσι τὴν τῆς γαμικῆς εὐλογίας ἐπιθυμίαν. τούτου δὲ συμβάντος αὐτοῖς, τὰ τῆς αἰσχύνης ἐξ ἀνάγκης ἐπισυμβήσεται, καὶ ἥξουσιν οὕτως εἰς διάγνωσιν καλοῦ τε καὶ κακοῦ. ἀλλαμὴν, ὡς τὴν ἐνίσχυσιν ἡμῶν, διάνοιξιν λέγειν ὀφθαλμῶν οἶδεν ἡ θεία Γραφὴ, λέγει ἡ
E πρώτη τῶν Βασιλειῶν. ὅτι τοῦ Σαοὺλ ποτὲ πολεμοῦντος ἀλλοφύλους; καὶ καταρασομένου τὸν λαὸν, εἰ πρὸ τῆς ἑσπέρας μεταλάβοι τροφῆς, Ἰωνάθαν ὁ υἱὸς αὐτοῦ τούτου οὐκ ἐπακήκοεν. εἰσελθὼν δὲ κατά τι μέρος δρυμοῦ, περιτυγχάνει συστρέμματι μελισσῶν, καὶ ἐκτείνας τὸ ἄκρον τοῦ σκήπτρου τοῦ ἐν τῇ χειρὶ αὐτοῦ, ἐνέβαψεν αὐτὸ εἰς τὸ κηρίον τοῦ μέλιτος, καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ, καὶ
Z ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ. μαθὼν δὲ μετὰ τοῦτο τοῦ πατρὸς, φησὶ, τὴν ἀρὰν, εἶπεν· ἀπήλλαχεν ὁ πατήρ μου τὴν γῆν. ἴδε διότι ἐγευσάμην βραχὺ τοῦ μέλιτος τούτου· εἶδον οἱ ὀφθαλμοί μου. οὕτως οὖν καὶ ἐπὶ τῶν πρωτοπλάστων νοήσωμεν τῶν ὀφθαλμῶν τὴν διάνοιξιν. ὅτι γὰρ αὐτοῖς οὔτοι καὶ πρὸ τῆς βρώσεως οὐκ ἐκέκλειντο, πρόδηλον. εἶδε γάρ φησιν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν
H τοῖς ὀφθαλμοῖς τοῦ ἰδεῖν. οὕτω μὲν οὖν κατ᾽ ἐμὴν ἔννοιαν καὶ δόξαν ὁ ὄφις ἀπὸ τῆς τοῦ ξύλου προσηγορίας ἔγνω ταῦτα τῇ γυναικὶ προειπεῖν· ἐκακούργησε δὲ ἀφ᾽ ἑαυτοῦ τὸ, οὐ θανάτῳ ἀποθανεῖσθε, ψευσάμενος· καὶ τὸ,

τὸ, ὡς Θεοὶ, παρενθείς. οὐ γὰρ τοῦτο φαγόντες ἐγένοντο, ἀλλ' ἀντὶ τούτων τὰ τῆς θνητῆς ἐπέγνωσαν ἐν ἑαυτοῖς αὐτίκα πάθη σαρκός· καὶ κεκυρῶσθαι τοῦ θανάτου κατ' αὐτῶν ἀληθῶς τὴν ἀπόφασιν ἔμαθον ἐκ τῆς ἀπὸ τῆς φύσεως αὐτῶν διαδοχῆς, διὰ τοῦ πρὸς παιδογονίαν ἐρεθισμοῦ.

ΑΚΑΚΙΟΥ. Οἱ ὀφθαλμοὶ τῶν δύω. εἰς κατασκευὴν τοῦ μὴ περὶ τῶν αἰσθητῶν ὀφθαλμῶν εἰρῆσθαι, παραθετέον τὰ ἐκ τῆς πρώτης τῶν Βασιλειῶν περὶ Ἰωνάθαν, ἡνίκα τοῦ μέλιτος ἐγεύσατο, οὕτως ἔχοντα· (1.Βασ.14.27, 29.) καὶ ἀπέστρεψε τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ καὶ ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ. καὶ μετ' ὀλίγα φησὶν ὁ Ἰωνάθαν· ἴδε, ὅτι εἶδον οἱ ὀφθαλμοί μου, ὅτι ἐγευσάμην βραχὺ τοῦ μέλιτος.

ΔΙΟΔΩΡΟΥ. Καὶ διηνοίχθησαν, φησὶν, οἱ ὀφθαλμοὶ τῶν δύω. Ἐντεῦθεν ἔνιοι τῶν αἱρετικῶν εὐεργέτην εἶναί φασι τὸν ὄφιν, εἰσηγησάμενον τοῦ ξύλου φαγεῖν· ὃ καὶ διήνοιξεν αὐτῶν τὰς ὄψεις τῆς διανοίας, καὶ γνῶσιν ἐνέθηκε καλοῦ καὶ πονηροῦ. οὐ γὰρ ὀκνοῦσι διαβάλλειν μὲν τὸν Θεὸν, ἐπαινεῖν δὲ τὸν διάβολον, φάσκοντες, ὅσον ἐφθόνησεν αὐτοῖς ὁ Θεὸς, τοσοῦτον μετέδωκεν αὐτοῖς ὁ ὄφις· ἀγνοοῦντες, ὅτι τὸ διανοιχθῆναι τοὺς ὀφθαλμοὺς, οὐ πάντως ἐπὶ καλῷ γέγονε. τί γὰρ παρέσχεν αὐτοῖς ἡ τῶν ὀφθαλμῶν διάνοιξις; ἢ γνῶναι ὅτι γυμνοὶ ἐτύγχανον, καὶ αἰσχύνεσθαι ἐπὶ τῷ πράγματι. πῶς γὰρ ᾐσθάνοντο τῆς γυμνότητος, μὴ τῆς παρακοῆς αὐτοῖς τὴν φύσιν εἰς θνητότητα μεταβαλούσης, καθάπερ ὁ Θεὸς ἠπείλησεν; οἷα γὰρ τὰ τῆς φύσεως, τοιαῦτα καὶ τὰ τῆς προαιρέσεως. οὐ τὸ αὐτὸ τοῖς ἰχθύσι βούλημα, καὶ τοῖς χερσαίοις, οὐδ' ἅπερ τοῖς σαρκοβόροις δοκεῖ, ταῦτα καὶ τοῖς χλοηφάγοις τῶν ζώων. καὶ μὴν σάρκες πάντα, καὶ πολλὰ ἀπὸ τῆς γῆς, ἀλλὰ τὸ τῆς κατασκευῆς διάφορον παρέσχεν αὐτοῖς καὶ τοῦ φρονεῖν τὴν διαφοράν. οὕτως ἐπιθυμία μὲν γάμου τοῖς ἀνθρώποις καὶ βρώσεως, θάλψεως καὶ ψύξεως, ἀμφιάσεώς τε καὶ γυμνώσεως· οὐδενὸς δὲ τούτων χρεία τοῖς Ἀγγέλοις. εἰ τοίνυν πρὸς τὴν τῆς φύσεως ἐναλλαγὴν παρήλλακται καὶ τὰ τοῦ φρονήματος, οὐδὲν ἀπεικὸς τοὺς περὶ τὸν Ἀδὰμ πρὸ τῆς παρακοῆς ἀναισθήτως ἔχειν τῆς γυμνότητος· ἐπειδὴ μὴ χρεία τοῖς ἀθανάτοις περιβολῆς, κἂν σώματι ᾖ· (1) οὐδὲ γὰρ τοὺς ἀνισταμένους τῶν ἱματίων εἰσέρχεται πόθος ἢ γάμου, ἤ τινος τῶν ἐν τῷ θνητῷ σώματι· μετὰ δέ γε τὴν παρακοὴν εἰς ἔννοιαν ἐλθεῖν τῆς γυμνότητος, καὶ ἐπὶ ταύτῃ αἰσχυνθῆναι, τῶν λογισμῶν αὐτοῖς, ὡς ἔφην, συμμεταβληθέντων τῇ φύσει, καὶ πρὸς τὴν θνητότητα κατενεχθέντων. τοῦτο προειδὼν ὁ διάβολος· ἀσώματος γὰρ ὢν τὴν φύσιν, λεπτοτέραν ἔχει καὶ τὴν διάνοιαν, καὶ πολλῷ τῶν θνητῶν ἀνθρώπων ὀξυτέραν· ὅπερ τοῖς περὶ τὸν Ἀδὰμ συμβήσεται παρακούσασι, λέγω δὴ τὸ γενέσθαι αὐτοῖς θνητὸν τὸ φρόνημα τῇ πρὸς τὸ χεῖρον ἀπὸ τῆς παρακοῆς τροπῇ, τῇ ἀπάτῃ περιτίθησιν ἐπαγγελίας ἀξίωμα, λέγων, ᾗ δ' ἂν ἡμέρᾳ φάγησθε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, κτ.

ΘΕΟΔΩΡΟΥ. Ἀνοήτως τινὲς ἔφασαν πεπληρῶσθαι τὸ παρὰ τοῦ διαβόλου πρὸς τὴν γυναῖκα ῥηθέν· ἐπειδὴ ὁ μὲν ἔφη, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς Θεοὶ, γινώσκοντες καλὸν καὶ πονηρόν· ὁ Προφήτης δὲ ἅμα τῷ φαγεῖν, ἔφη, ὅτι διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύω, καὶ ἔγνωσαν ὅτι γυμνοί εἰσι· δέον συνιδεῖν, ὅτι πολὺ τῶν εἰρημένων τὸ διάφορον. ὁ μὲν γὰρ διάβολος, τὴν διάνοιξιν τῶν ὀφθαλμῶν οὕτω φησὶν, ὡς ἂν κατ' ἔννοιαν ὀξυτέρων ἐσομένων, καὶ δυναμένων δίκην Θεῶν ὁρᾶν τε ταῖς ἐννοίαις καὶ διακρίνειν ἐκ τοῦ πονηροῦ τὸ καλόν· ὁ Προφήτης δὲ οὐ ταύτην εἶπεν, ἀλλὰ καθ' ἣν εἶδόν τε καὶ ᾔσθοντο τῆς οἰκείας γυμνώσεως. πρότερον μὲν, οὐδὲν ἐπ' αὐτῇ πάσχοντες, οὐδὲ αἰσχυνόμενοι· ὕστερον δὲ, τοιαύτην τινὰ ἐπὶ τῇ γυμνώσει τὴν αἴσθησιν λαβόντες, ὡς καὶ πρὸς μόνην αἰσχύνεσθαι τὴν ἐν τῇ γυμνώσει τοῦ σώματος θεωρίαν. οὐ γὰρ ἄδηλον, ὡς ὁ λογισμός ἐστι τῆς ψυχῆς, ὁ τὴν ἐπὶ τῇ θεωρίᾳ διάθεσιν νῦν μὲν τοιάνδε, αὖθις δὲ τοιάνδε ποιῶν. τὰ γοῦν βρέφη οὐκ αἰσχύνονται ἐπὶ τῇ γυμνώσει, οὔτε μὴν οἱ ἐν βαλανείῳ. οὐ τῷ μὴ βλέπειν αὐτὴν, ἀλλὰ τῷ μηδὲν φαῦλον ἀπὸ τῆς θεωρίας ἐπὶ τῆς ἐννοίας εἰσδέχεσθαι. οἱ τοίνυν περὶ τὸν Ἀδὰμ ἄρτι μὲν γεγονότες, ἁμαρτάνοντες δὲ οὐδὲν, καὶ οὔτε φαῦλόν τι εἶναι μαθόντες, οὔτε ἄλλο οὐδὲν τῆς οἰκείας φύσεως, αἰσχρὸν οὐχ ἡγοῦντο τὴν γύμνωσιν. ἐπειδὴ δὲ ἥμαρτον, τἀναντία τοῖς τοῦ Θεοῦ διαπραξάμενοι νόμοις, ἐνετέθη μὲν αὐτοῖς ὁ λογισμὸς τῆς αἰσχύνης ὑπὸ Θεοῦ εἰς τὴν κατὰ τῆς ἁμαρτίας βοήθειαν, αὐτάρκης ὢν ἐγκόπτειν αὐτῆς τὴν ὁρμήν. πρώτην δὲ τῆς αἰσχύνης τὴν ἔννοιαν ἀναγκαίως ἐπὶ τοῖς παιδογόνοις ἔλαβον ὀργάνοις· ἵνα πόῤῥωθεν τοῖς ἀνθρώποις ἡ αἰδὼς ἐκκόπτῃ τὴν ἀκόλαστον μίξιν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅταν ἀκούσῃς, ὅτι διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, τοῦτο νόει· ὅτι παρεσκεύασεν αὐτοὺς αἴσθησιν λαβεῖν λοιπὸν τῆς γυμνώσεως, καὶ τῆς ἐκπτώσεως τῆς δόξης, ἧς πρὸ τῆς βρώσεως ἀπήλαυον. ὅτι δὲ τοῦτο τῆς γραφῆς ἐστὶ τὸ ἔθος, ἄκουε αὐτῆς καὶ ἀλλαχοῦ λεγούσης. ἡνίκα γὰρ ἡ παιδίσκη τῆς Σάῤῥας ἀποδιδράσκουσα τὴν δεσποτείαν, ἐπλανᾶτο, ῥίψασα τὸ παιδίον πλησίον μιᾶς ἐλάτης, ἀπὸ διαστήματος περιεσκόπει τούτου τὴν τελευτήν· καί φησι, διήνοιξεν ὁ Θεὸς (Γεν. 21. 19.) τοὺς ὀφθαλμοὺς τῆς Ἄγαρ· οὐκ ἐπειδὴ πρὸ τούτου

(1) Ἴσ. ἐστί.

A τοῦτο οὐκ ἔβλεπον, ἀλλ' ὅτι τὴν διάνοιαν αὐτῆς διήγειρεν.

ΒΑΣΙΛΕΙΟΥ. Ἔδει μὴ γινώσκειν τὴν γύμνωσιν, ἵνα μὴ ὁ νοῦς τοῦ ἀνθρώπου περισπᾶται πρὸς τὴν τοῦ λείποντος ἀναπλήρωσιν, ἀμφιέσματα ἑαυτῷ, καὶ τῆς γυμνότητος παραμυθίαν ἐπινοῶν, καὶ ὅλως τῇ τῆς σαρκὸς ἐπιμελείᾳ τῆς πρὸς τὸν Θεὸν ἀτενίσεως ἀφελκόμενος.

Καὶ ἔῤῥαψαν φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα.

ΙΣΙΔΩΡΟΥ. Τὴν συκῆν οὐχ ἁπλῶς ὁ Κύριος κατηράσατο, ἀλλ' ἵνα δείξῃ τοῖς Ἰουδαίοις, ὅτι ἔχει δύναμιν καὶ πρὸς τιμωρίαν ἀρκοῦσαν. ἐπειδὴ γὰρ ἐν πᾶσι τοῖς θαύμασιν οὐδὲν αὐτὸν παρασχόντα τινὶ λυπηρὸν ἑωράκεισαν, μόνον αὐτὸν εὐεργετεῖν ὑπελάμβανον δύνασθαι, οὐκ ἔχοντα τοῦ κακοῦν τοὺς πονηροὺς ἐξουσίαν. ἐκ τῆς ἀψύχου τοίνυν οὐσίας πείθει τὸν ἀχάριστον δῆμον, ὅτι καὶ ἀμύνασθαι δύναται, καὶ ὡς ἀγαθὸς οὐ βεβούληται. ἐξηράνθη οὖν ξύλον, ἵνα φοβήσῃ ἀνθρώπους. ἅμα δέ τις τούτῳ καὶ ἀπόῤῥητος συμπέπλεκται λόγος, παρὰ γερόντων σοφῶν εἰς ἡμᾶς διαφοιτήσας· ὅτι τὸ ξύλον τῆς παραβάσεως τοῦτο ἦν, οὗ καὶ τοῖς φύλλοις εἰς σκέπην οἱ παραβάντες ἐχρήσαντο, καὶ κατηράθη παρὰ Χριστοῦ φιλανθρώπως, μηκέτι καρπὸν ἐνεγκεῖν αἴτιον ἁμαρτίας.

» ΓΕΝΝΑΔΙΟΥ. Καὶ ἔῤῥαψαν φύλλα
» συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα. Ἐγὼ νομίζω τὸν δεσπότην Θεὸν ἐνθεῖναι αὐτοῖς τὴν αἰσχύνην μετὰ τὴν παράβασιν, ὡς ἂν καὶ ταύτῃ πρὸς τὴν τῶν ἁμαρτημάτων ἀνακόπτωνται ἐπίδοσιν. ἔοικε μέντοι διὰ πάντων περὶ τοῦ ξύλου τῆς συκῆς πεποιῆσθαι πρὸς αὐτοὺς ὁ Θεὸς τὸ παράγγελμα. οὔτε γὰρ ἂν εὐθὺς μετὰ τὴν γεῦσιν, ἐπιγενομένης αὐτοῖς τῆς αἰσχύνης, ἔμελλον τὸ παρὸν δένδρον καταλιμπάνοντες, ἐκπεριιέναι ζητεῖν ἐξ ὅτου σκεπάσονται· καὶ τῆς θείας αἰδούμενοι παρουσίας, οὐκ ἂν ἑαυτοὺς ὑπ' ἐκεῖνο κατέκρυπτον, περὶ ὃ παρανενομήκεισαν, μὴ ἀθρόον ὑπ' αὐτοῦ, καὶ σχεδὸν ἐσθίοντες ἔτι καταληφθέντες. τούτου δὲ νῦν ἐπιμνησθῆναι καιρὸς, ὅτι κατὰ τὴν ἕκτην ἡμέραν ὁ ἄνθρωπος καὶ γενόμενος, καὶ εἰς τὸν παράδεισον εἰσαχθεὶς, ἐδέξατό τε τὴν περὶ τὸ φυτὸν ἐντολὴν, καὶ παραβὰς, ἐξωρίσθη. οὔπω γοῦν οὐδενὸς τῶν ἄλλων μετειληφὼς, ἐπὶ τὴν τούτου γεῦσιν ὑπὸ τοῦ ὄφεως προετράπη.

ΙΠΠΟΛΥΤΟΥ. Φύλλα συκῆς ἐποίει ἑαυτῷ περιζώματα, σύμβολα τῶν ἰδίων ἁμαρτημάτων. φύλλον γὰρ συκῆς ἡνίκα ἂν τοῦ σώματος ἅψηται, κνησμονὴν παρέχει. αὐτὸς οὖν ἑαυτῷ προφήτης τῶν μελλόντων. ἔλεγχον γὰρ τῆς παραβάσεως τὴν κνησμονὴν δείκνυσι.

Θ. Καὶ ἤκουσαν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινὸν, καὶ ἐκρύβησαν ὅ, τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου.

ΘΕΟΔΩΡΟΥ. Ἐπειδὴ ῥάπτοντες ἔτι τὰ φύλλα, ἤκουσαν τῆς φωνῆς τοῦ Θεοῦ περιπατοῦντος, ὑπὸ τὸ ξύλον ἐκρύβησαν, οὐκ B ἄλλο δηλονότι, ἀλλ' ἢ ὅπερ ἔῤῥαπτον τὰ φύλλα. τοῦτο δὲ ἦν ἐφ' ᾧ τὴν ἐντολὴν εἰλήφεισαν, ὡς ὁ Προφήτης φησίν. ἐκρύ-
» βησαν γάρ φησιν ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. ἀπ' αὐτοῦ δὲ καὶ βεβρωκότες, τὰ φύλλα ἔῤῥαπτον διὰ τὴν γενομένην αὐτοῖς αἰσχύνην ἐπὶ τῇ γυμνώσει. ταῦτα δὲ ἦν φύλλα συκῆς ἀναντιῤῥήτως, ἄρα τὸ δένδρον συκῆ ἦν, ἐφ' ᾧ παρειλήφεισαν τὴν ἐντολήν. ἀλλ' οὐ προσίενται τοῦτό τινες, Γ διὰ πολλὴν συνήθειαν· ἐμοὶ δοκεῖ, οἰόμενοι χρῆναι καινόν τι εἶναι τὸ ξύλον, καὶ οὐ λογιζόμενοι, ὅτι μὴ τῇ ποιότητι τοῦ ξύλου, μηδὲ τῇ καινότητι τῆς βρώσεως τὰ ἁμαρτήματα κρίνεται, ἀλλὰ τῇ δόσει τῆς ἐντολῆς. ἦν τὸ ἐφ' οτουδήποτε παραβῆναι ἴσην ἔχει τὴν μέμψιν.

ΙΠΠΟΛΥΤΟΥ. Μᾶλλον δι' αὔρας τινὸς ἐνενόουν τὴν τοῦ Κυρίου ἐπιφοίτησιν. εὐ- Δ θὺς τοίνυν ἡμαρτηκόσιν ὁ Θεὸς ἐπεφάνη, αἴσθησίν τε τοῦ ἁμαρτήματος ἐμποιῶν, καὶ πρὸς μεταμέλειαν ἐκκαλούμενος.

» ΣΕΡΑΠΙΩΝΟΣ. Καὶ ἤκουσαν τῆς φω-
» νῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος, ἀντὶ τοῦ ψόφου ᾔσθοντο, καὶ ἀπὸ τῆς συνηθείας καὶ ἀπὸ τοῦ τύπου, οὗ εἶχεν ὁ Θεὸς φαίνεσθαι. ἐφαίνετο δὲ οὐχ ὡς ἦν, ἀλλ' ὡς ἠβούλετο.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐ περιεπάτει E ὁ Θεός· πῶς γὰρ ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν; ἀλλὰ τοιαύτην αἴσθησιν ἐνέθηκε τῷ Ἀδὰμ, ἵν' ἑαυτὸν συστείλῃ, ἵνα μὴ διακεχυμένος ᾖ, ἵνα τὸ φυγεῖν καὶ κρυβῆναι, μέρος τι τῆς ἀπολογίας προβάλληται καὶ πρὸ τῶν ῥημάτων αὐτῶν. Καὶ μετ' ὀλίγα. Ἀλλ' ὅτι μέν τις περιεπάτει ᾔσθετο, πόθεν δὲ ἐνόμισεν, ὅτι ὁ Θεὸς περιεπάτει; Τοιοῦτον τῶν ἁμαρτανόντων τὸ ἔθος ἐστὶ, πάντα ὑποπτεύουσι, τὰς σκιὰς Z τρέμουσι, πάντα ψόφον δεδοίκασι, καὶ ἕκαστον ἐπ' αὐτοὺς βαδίζειν νομίζουσιν.

** ΩΡΙΓΕΝΟΥΣ. Ἤκουσεν Ἀδὰμ μετὰ τὴν παράβασιν τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινὸν, καὶ ἐκρύβη· ὁ δὲ ἅγιος οὐ κέκρυπται, ἀλλ' ἔχει καρδίαν μετὰ παῤῥησίας τῆς κατὰ τὴν ἁγίαν πολιτείαν πρὸς τὸν
» Θεόν. ἐὰν γὰρ ἡ συνείδησις ἡμῶν μὴ κα-
» ταγινώσκῃ, ἔχομεν παῤῥησίαν πρὸς τὸν
H » Θεὸν, καὶ ὃ ἂν αἰτώμεθα λαμβάνομεν
» παρ' αὐτοῦ. ὁ μὲν οὖν Ἀδὰμ εἰ καὶ ἥμαρτεν, οὐκ εἰς ὑπερβολὴν χαλεπὴν ἁμαρτίαν ἥμαρτε, διὰ τοῦτο ἐκρύβη ἀπὸ προσώπου τοῦ Θεοῦ· ὁ δὲ ἁμαρτωλότερος αὐτοῦ Κάϊν

A Καϊν καὶ ἀσεβέστατος, ὁ ἀδελφοκτόνος τί πεποίηκεν; ἐξῆλθεν ἀπὸ προσώπου τοῦ Θεοῦ. ὥστε συγκρίσει κακῶν, ἔλαττον εἶναι τὸ κρυβῆναι ἀπὸ προσώπου τοῦ Θεοῦ.

** ΣΕΥΗΡΙΑΝΟΥ. Ἀπὸ τοῦ ψόφου ᾔσθετο, καὶ ἀπὸ τῆς συνηθείας· καὶ ἀπὸ τοῦ κτύπου εἶχε Θεὸς φαίνεσθαι; ἐφαίνετο οὐχ ὡς ἦν, ἀλλ' ὡς ἠβούλετο. εὐλογητὸς ὁ Θεὸς τῶν ἁγίων, ὅτι τὸ δειλινὸν τότε τὸν Ἀδὰμ ἐπεσκέψατο, καὶ νῦν ἐπὶ τοῦ σταυροῦ τὸ δειλινόν. καὶ γὰρ κατ' ἐκείνας τὰς ὥρας ὑπέμεινεν ὁ σωτὴρ, καθ' ἃς διετέλεσεν ὁ Ἀδὰμ ἀπὸ τοῦ φαγεῖν ἕως τῆς παραβάσεως καὶ τῆς κρίσεως, ἀπὸ ἕκτης ὥρας ἕως ἐννάτης. ἕκτῃ ὥρᾳ ἔφαγε· κανὼν γὰρ φύσεως· μετὰ τὴν ἕκτην ἀπεκρύβη. τὸ δειλινὸν ἦλθε πρὸς αὐτὸν ὁ Θεός.

ι. **Καὶ ἐκάλεσε Κύριος ὁ Θεὸς τὸν Ἀδὰμ, καὶ εἶπεν αὐτῷ, Ἀδὰμ**
ια. **ποῦ εἶ; Καὶ εἶπεν αὐτῷ, τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην.**

** ΒΑΣΙΛΕΙΟΥ. Οὐ γὰρ διδαχθῆναι ἐζήτει ὁ πάντα εἰδὼς, ἀλλὰ νοῆσαι αὐτὸν ἐβούλετο οἷος ἀνθ' οἵου γέγονε. ποῦ εἶ; ἀντὶ τοῦ, εἰς οἷον πτῶμα κατελήλυθας ἀπὸ τηλικούτου ὕψους;

ΣΕΡΑΠΙΩΝΟΣ. Ἀδὰμ ποῦ εἶ; ἀντὶ τοῦ ὁ Θεὸς, φησὶν, ὠνείδισεν αὐτόν. ποῦ εἶ; πόθεν; ποῦ κατῆλθες; ἀπὸ ποίας δόξης ἐξέπεσας; διατί ἐφοβήθης; ἐφοβήθην διὰ τὴν παράβασιν, ἐκρύβην διὰ τὴν γύμνωσιν. διὰ τοῦτο μακρύνει τὴν ὁμιλίαν, ἵνα λύσῃ τὸν φόβον, καὶ ἐγείρῃ τὴν παῤῥησίαν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐκ ἀγνοῶν ὅπου διέτριβεν, ἀλλ' ἐπειδὴ τοῖς ἡμαρτηκόσιν ἔῤῥαπται τὸ στόμα, τῆς ἁμαρτίας ἀποστρεφούσης τὴν γλῶσσαν, καὶ τοῦ συνειδότος αὐτῆς ἐπιλαμβανομένου, καὶ μένουσιν ἀχανεῖς οἱ τοιοῦτοι, ὥσπερ τινὶ δεσμῷ τῇ σιγῇ κατεχόμενοι, βουλόμενος ὁ Θεὸς εἰς παῤῥησίαν αὐτὸν ἐκκαλέσασθαι διαλέξεως, καὶ δοῦναι θαῤῥεῖν, καὶ εἰς ἀπολογίαν ὧν ἥμαρτεν ἐμβαλεῖν, ἵνα τινὸς ἀπολαύσῃ συγγνώμης, πρότερος αὐτὸς, αὐτὸν ἐκάλεσε, τὸ πολὺ τῆς ἀγωνίας ὑποτεμνόμενος τῇ προσηγορίᾳ, καὶ τὸν φόβον ἀπελαύνων, καὶ τὸ στόμα ἀνοίγων διὰ ταύτης τῆς κλήσεως.

ιβ. **Καὶ εἶπεν αὐτῷ Κύριος ὁ Θεὸς, τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες;**

ΣΕΥΗΡΙΑΝΟΥ ΓΑΒΑΛΩΝ. Τοῦτό γε μόνον δείκνυσιν, ὅτι πάντων, ὡς εἰπεῖν, ἔλαβε τὴν ἀφθονίαν, καὶ οὐ τὸ στενὸν τῆς ἀπολαύσεως ἤγαγεν αὐτὸν εἰς παράβασιν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Δυνάμενος εὐθέως μηδὲ ἀποκρίσεως ἀξιῶσαι τὸν τοσαῦτα ἡμαρτηκότα, ἀλλ' ὑπὸ τὸ ἐπιτίμιον ἀγαγεῖν, ὃ προλαβὼν ὥρισεν εἰ παραβαίη, μακροθυμεῖ, καὶ ἀνέχεται, καὶ ἐρωτᾷ, καὶ ἀπόκρισιν δέχεται, καὶ πάλιν ἐρωτᾷ, μονονουχὶ εἰς ἀπολογίαν αὐτὸν ἐκ-
B καλούμενος· ἵνα ἀφορμὴν λαβὼν, τὴν οἰκείαν φιλανθρωπίαν καὶ μετὰ τὴν τοσαύτην παράβασιν περὶ αὐτὸν ἐπιδείξηται. παιδεύων ἡμᾶς καὶ διὰ τούτου, ἐπειδὰν δικάζωμεν τοῖς ὑπευθύνοις, μὴ ἀνημέρως αὐτοῖς προσφέρεσθαι, μηδὲ τὴν τῶν θηρίων ὠμότητα περὶ αὐτοὺς ἐπιδείκνυσθαι, ἀλλὰ πολλῇ τῇ μακροθυμίᾳ, καὶ τῇ φειδοῖ κεχρῆσθαι, ἅτε δὴ ὡς οἰκείοις μέλεσι δικάζοντας, καὶ τὸ ὁμογενὲς ἐννοοῦντας,
Γ φιλανθρωπίᾳ τὴν τιμωρίαν κεραννύναι.

ιγ. **Καὶ εἶπεν ὁ Ἀδὰμ, ἡ γυνὴ ἣν δέδωκάς μετ' ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον.**

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλ' οὐκ ἐπὶ τοῦτο ἔφη ὁ Θεὸς τὴν γυναῖκα δέδωκα, ἵνα σοι κελεύσῃ, καὶ ἡγῆται τῶν πρακτέων. σὲ τοίνυν ἡγεῖσθαι προσῆκον ἦν, ἕπεσθαι δὲ ἐκείνην. Καὶ μετ' ὀλίγα. Ἔθος τοῖς ἀπα-
Δ τωμένοις μετὰ τὴν ἔκβασιν ἐπαισθάνεσθαι τοῦ κακοῦ. κατὰ γὰρ τὴν ἀρχὴν, τῆς ἡδονῆς ἐπικρυπτούσης τὴν αἴσθησιν, οὐ γίνεται ἐπίγνωσις. (1)

** ΣΕΥΗΡΙΑΝΟΥ. Οὐδὲν ἀναίσχυντον εἶπεν, οὐκ ᾔδειν. ἀλλὰ τί; ἡ γυνὴ, ἣν ἔδωκάς μοι, αὕτη μοι ἔδωκε, καὶ ἔφαγον· ἀντὶ τοῦ, ἡ δοθεῖσά μοι πρὸς βοήθειαν. ἤκουσα γὰρ ὅτε ἐπλάσθην ἐγὼ,
E „ ἐκείνη δὲ οὐδέπω, λέγοντος, ποιήσωμεν αὐ-
„ τῷ βοηθὸν κατ' αὐτόν. ἣν ἔδωκάς μοι αὕτη μοι ἔδωκεν. οὐκ εἶπεν, ἠπάτησεν, οὐκ ἐψεύσατο. αὕτη μοι ἔδωκε, καὶ ἔφαγον.

ιδ. **Καὶ εἶπε Κύριος ὁ Θεὸς τῇ γυναικὶ, τί τοῦτο ἐποίησας; καὶ εἶπεν ἡ γυνὴ, ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον.**

** ΣΕΥΗΡΙΑΝΟΥ. Ἐπειδὴ ὅλως ἀλη-
Z θῆ εἶπεν, οὐχ ὑβρίζει τῆς ἀληθείας τὴν ἀπολογίαν, ἀλλὰ καταλιμπάνει αὐτὴν ἀνεξέταστον.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τὸν ὄφιν ἐδημιούργησεν ὁ Θεὸς, ὄργανον αὐτὸν προειδὼς τῆς πονηρίας ἐσόμενον; Τοῦτο ἄν τις εἴποι καὶ περὶ τοῦ ἀνθρώπου. προῄδει γὰρ, ὡς καὶ οὗτος τὴν ἐντολὴν παραβήσεται. ἄλλως τε ῥᾴδιον ἦν τῷ διαβόλῳ καὶ δι' ἑτέ-
H ρου θηρίου τὴν ἀπάτην προσενεγκεῖν.

ΤΟΥ ΑΥΤΟΥ. Διατὶ δὲ τὸν διάβολον ἐποίησεν, εἰδὼς τοιοῦτον ἐσόμενον; Ὁ Θεὸς πᾶσαν

(1) Τοῦτο ἐν τοῖς τοῦ Θεοδωρίτου ἐκδεδομένοις οὐχ εὕρηται.

πᾶσαν τῶν ἀσωμάτων τὴν φύσιν ἐδημιούργησε, λογικὴν αὐτὴν καὶ ἀθάνατον ἀποφήνας· τοῦ λογικοῦ δὲ τὸ αὐτεξούσιον ἴδιον. τούτων δὲ οἱ μὲν, τὴν περὶ τὸν ποιητὴν ἐφύλαξαν εὔνοιαν· οἱ δὲ, εἰς πονηρίας ἀπέκλιναν. τοῦτο δὲ καὶ ἐπὶ τῶν ἀνθρώπων ἐστὶν εὑρεῖν. οἱ μὲν γὰρ, εἰσὶ τῆς ἀρετῆς ἐρασταί· οἱ δὲ, τῆς κακίας ἐργάται. εἰ τοίνυν μέμφεταί τις τὴν τῶν πονηρῶν δημιουργίαν, ἀποστερεῖ τῶν στεφάνων τοὺς τῆς ἀρετῆς ἐραστάς. εἰ γὰρ μὴ ἐν τῇ αἱρέσει τῆς γνώμης εἶχον τὸν πόθον τῆς ἀρετῆς, ἀλλὰ ἐμπεφυκὸς τὸ ἄτρεπτον, ἔλαθον ἂν οἱ ἀξιόνικοι τῆς εὐσεβείας ἀγωνισταί. ἐπειδὴ δὲ τὴν αἵρεσιν τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων ἔχει ἡ γνώμη, δικαίως καὶ οὗτοι τυγχάνουσι τῶν νικηφόρων στεφάνων, κἀκεῖνοι δίκας τίνουσι ὑπὲρ ὧν κατὰ γνώμην ἐξήμαρτον.

ιε. Καὶ εἶπεν ὁ Θεὸς τῷ ὄφει, ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς.

ΣΕΡΑΠΙΩΝΟΣ. Εἶδες θαυμαστὸν κριτήριον; τοὺς ἀπατηθέντας ἐρωτᾷ. οὐ λέγει τῷ ὄφει τί τοῦτο ἐποίησας. κατὰ ταύτην
Ψαλ. 1. 5. τὴν εἰκόνα Δαβὶδ λέγει, οὐκ ἀναστή-
" σονται ἀσεβεῖς ἐν κρίσει· οὐχ ὅτι οὐκ ἐγείρονται, ἀλλ᾽ ὅτι οὐδὲ ἐξετάζονται. (1)

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοῦ διαβόλου τὴν ἀπάτην προσενεγκόντος, ὁ ὄφις κολάζεται; Κυρίως μὲν τὴν ἀρὰν τῷ ἐνεργήσαντι προσενήνοχεν ὁ Θεός. ὄφις γὰρ κἀκεῖνος ὠνόμασται· οὐ ταύτην παρὰ τοῦ Θεοῦ τῶν ὅλων τὴν φύσιν δεξάμενος· ἀγαθὸς γὰρ ἐκτίσθη, καὶ ταῖς ἀσωμάτοις συνεδημιουργήθη δυνάμεσιν· ἐπειδὴ δὲ ἑκὼν εἰς πονηρίαν ἀπέκλινε, καὶ τῆς τιμῆς ἧς ἐξ ἀρχῆς ἔλαχεν ἐστερήθη, καὶ εἰς τὴν γῆν ἀπερρίφη· καὶ αὐτὸ δὲ τὸ ζῶον εἰς ὄνησιν τῶν ἀνθρώπων ἐδέξατο τὴν ἀράν. ὁρῶντες γὰρ τὸν ὄφιν ἐπὶ τῆς γῆς συρόμενόν τε καὶ ἰλυσπώμενον, τῆς ἀρχαίας ἀρᾶς ὑπομιμνησκόμεθα, καὶ μανθάνομεν ὡς ἡλίκων πρόξενος ἡ ἁμαρτία κακῶν· οὐ μόνον τοῖς ταύτην ἐνεργοῦσιν, ἀλλὰ καὶ τοῖς ὑπουργοῦσι. καὶ αὐτὸς μὲν ὁ ὄφις οὐδεμίαν ἐντεῦθεν δέχεται βλάβην, οὕτω βαδίζειν πεφυκώς. ἐν τῇ φύσει γὰρ ἔχει τὸ τοιόνδε τῆς κινήσεως εἶδος. οὐδὲν δὲ τῶν φυσικῶν φορτικὸν εἶναι δοκεῖ. ὁ δὲ ἄνθρωπος πολλὴν ἐντεῦθεν ὠφέλειαν καρποῦται.

Ἐπὶ τῷ στήθει, καὶ τῇ κοιλίᾳ πορεύσῃ.

A ΑΔΗΛΟΥ. Οὐ πόδας ἔχων πρὸ τούτου, ἀλλ᾽ ἴσως τῷ πλείονι τοῦ σώματος ὄρθιος ἀπιών.

ΣΕΡΑΠΙΩΝΟΣ. Καρδίαν γὰρ ἠπάτησας, καὶ κοιλίαν ἔπεισας ἅψασθαι βρωμάτων, ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ. (2) ἐντεῦθεν δῆλον, ὅτι οὐκ εἶχεν ἔναρθρον φωνὴν ὁ ὄφις. εἰ γὰρ εἶχεν, εἰς ταύτην ἐτιμωρεῖτο, δι᾽ ἧς καὶ ἐλάλησε. παρατηρητέον, ὡς τῷ μὲν ὄφει εἴρηται,
B ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων· τῷ δὲ Ἀδὰμ, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· τῷ δὲ Κάϊν, ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς.

** ΣΕΥΗΡΙΑΝΟΥ. Οὐχ ὡς ποσὶ κεχρημένου τὸ πρότερον, νῦν ἀποφαίνεται Θεὸς τὸν ἐπὶ τῆς κοιλίας περίπατον, ἀλλ᾽ ἐπειδὴ ὀρθὸς ἑστηκὼς τῇ γυναικὶ διελέγετο. οὐ γὰρ ἦν ἄλλως αὐτὸν τὴν πρὸς τὴν
Γ Εὔαν ποιεῖσθαι διάλεξιν. αὐτὸ τὸ τῆς διαλέξεως σχῆμα, μεθ᾽ οὗ Εὔαν ἠπάτησε, τῷ ἐπὶ τῷ στήθει περιπάτῳ κολάζει, καὶ τῆς ἀναλεταγμένης ἐκβάλλει βαδίσεως. εἰ γὰρ καὶ ἅπαξ ἐξ ἀρχῆς διεπέπλαστο, ἀλλὰ κύκλοις γοργῶν τινῶν κάτωθεν ἑλιγμῶν ἀνορθούμενος, τεταμένοις τοῖς στήθεσιν ἵπτατο. διὸ καὶ νῦν ὁ ὄφις πολλάκις θυμούμενος, ἀνίστησιν ἑαυτὸν, καὶ κυκλικῶς ἑλισσόμενος τρέχει. προβὰς δὲ ὅσον δεῖξαι τοῦ
Δ παλαιοῦ βαδίσματος τὴν μνήμην, πάλιν τῷ τῆς ἀποφάσεως καταβάλλεται νόμῳ.

Καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

ΑΔΗΛΟΥ. Ὅπερ προυξένησε τὸν Ἀδὰμ γενέσθαι τροφὴν εἰληφότα.

** ΣΕΥΗΡΙΑΝΟΥ. Τί ἐστι τὸ, γῆν
" φαγῇ; Ὁ προεξένησας γενέσθαι τῷ Ἀ-
E " δὰμ, τοῦτο ἔσθιε. μέλλει γὰρ οὗτος ἀκούειν,
" γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. Καὶ μετ᾽ ὀλίγα. Ὅρα, οὐ τοῦτο περὶ τοῦ ὄφεως λέγει, ὅτι ἔσται σοι σιτίον ἡ γῆ. οὐδὲ γὰρ ἀεὶ τοῖς ὄφεσι τὸ ἐσθιόμενον γῆ· ἀλλὰ καὶ κρέασι τρέφονται, καὶ καρποῖς εὐωχοῦνται, καὶ σπερμάτων ἐφάπτονται, καὶ βοτάνας θηρῶσιν. ἀλλὰ διὰ τοῦ εἰπεῖν, γῆν φαγῇ, τοῦτο λέγει· δαπανήσει, φησὶ, τὴν γῆν, ἐπ᾽ αὐτὴν ἐντριβόμενος.

Z

ιϛ. Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου, καὶ ἀνὰ μέσον τῆς γυναικὸς, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς.

ΒΑΣΙΛΕΙΟΥ. Ὡς γὰρ ἐν τοῖς νοσοποιοῖς χωρίοις ὁ κατὰ μέρος ἀναπνεόμενος ἀὴρ, λανθάνουσαν νόσον τοῖς διαιτωμένοις ἐναποτίθεται· οὕτως ἡ πρὸς τὰ φαῦλα

(1) Τὰ αὐτὰ καὶ Σευηριανός. (ἐν Τόμ. 6. τῶν τοῦ Χρυσοσ. τῆς κατὰ τὸ Παρισ. ἐκδόσ. σελ. 506.) ἀντὶ δὲ τοῦ κριτήριον, ἔχει κρίσιν. ἔτι δὲ καὶ τὸ, τοὺς ἀπατηθέντας ἐρωτᾷ, τὸν ἀπατήσαντα οὐκ ἐρωτᾷ. καὶ τὸ, οὐ λέγει αὐτῷ τί ἐποίησας, ἀλλ᾽ ἐπειδὴ τοῦτο ἐποίησας.

(2) Τὰ ἀπὸ τοῦ, καρδίαν, ἄχρι τοῦ, πορεύσῃ ταυτὰ τοῖς τοῦ Σευηριανοῦ. ἐν τῷ εἰρημ. Τόμ.

φαῦλα συνήθεια, μεγάλα κακὰ ταῖς ψυχαῖς ἐναφίησι· κἂν τὴν παραυτίκα αἴσθησιν τὸ βλαβερὸν διαφεύγοι. διὰ τοῦτο ἀδιάλλακτος ἡ πρὸς τὸν ὄφιν ἔχθρα. εἰ δὲ τὸ ὄργανον τοσούτου μίσους ἄξιον, πόσον ἐχθραίνειν ἡμᾶς τῷ ἐνεργήσαντι προσῆκε;

Α

✱ ΠΡΟΚΟΠΙΟΥ. Ἐπεὶ ὡς φίλος ἠπάτησας, ὡς ἐχθρὸς ἐκβάλλῃ. καὶ νόμος ὁ λόγος ἐγένετο. ἐν οἷς γὰρ ἡ εἰρήνη βλαβερά, λυσιτελής ἐστιν ὁ πόλεμος.

Β

✱✱ ΣΕΥΗΡΙΑΝΟΥ. Τὴν φιλίαν εἰς ἔχθραν μετέστησε, καὶ νόμος ἐγένετο ὁ λόγος. καὶ τὰ μὲν ἄλλα θηρία σπουδάζουσιν οἱ ἄνθρωποι ἡμερῶσαι· ὄφιν δὲ ἐάν τις ἴδῃ, σφαδάζει. μένει γὰρ ὁ ὅρος, ἔχθραν θήσω ἀνὰ μέσον σοῦ. κἂν ἐν οἰκίᾳ ἴδῃ, φονεῦσαι θέλει· κἂν ἐν ὁδῷ ἴδῃ, μαίνεται φονεῦσαι. νύσσει γὰρ αὐτὸν ὁ ἀρχαῖος λόγος.

Γ

✱✱ ΩΡΙΓΕΝΟΥΣ. Συνθήκας ποτὲ ὁ ὄφις πρὸς τὴν Εὔαν ἐποιήσατο, καὶ ἦν αὐτῷ φίλη· καὶ ὁ ὄφις τῇ γυναικί. ἀλλ' ὁ Θεὸς ἐπραγματεύσατο, ὡς ἀγαθός, τὰς συνθήκας ταύτας λυθῆναι, καὶ τὴν φιλίαν ταύτην τὴν κακὴν διασκεδάσαι, καὶ ὡς ἀγαθὸς Θεὸς λέγει· ἔχθραν θήσω ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ μέσον τῆς γυναικός, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου, καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς. εὐγνωμόνως οὖν ἀκούοιμεν, πῶς ὁ Θεὸς ἔχθραν ποιεῖ τὴν πρὸς τόνδε, ἵνα φιλίαν ποιήσῃ τὴν πρὸς τὸν Χριστόν. ἀδύνατον γὰρ ἅμα εἶναι φίλον τῶν ἐναντίων. καὶ ὥσπερ οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν, οὕτως οὐδεὶς δύναται εἶναι φίλος καὶ Θεῷ καὶ μαμμωνᾷ, φίλος καὶ Χριστῷ καὶ ὄφει. ἀλλὰ ἀνάγκη καὶ τὴν φιλίαν τὴν πρὸς Χριστόν, ἔχθραν ποιῆσαι τὸν ὄφιν· καὶ τὴν φιλίαν τὴν πρὸς τὸν ὄφιν, ἔχθραν γεννῆσαι τὴν πρὸς Χριστόν.

Δ

Ε

Αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τουτέστι τοσαύτην μὲν ἐκείνῳ παρέξω τὴν ἰσχύν, ὡς διηνεκῶς ἐπικεῖσθαι τῇ σῇ κεφαλῇ, σὲ δὲ τοῖς ἐκείνου ποσὶν ὑποκεῖσθαι. εἰ δὲ περὶ τοῦ αἰσθητοῦ ταῦτα εἴρηται ὄφεως, πολλῷ μᾶλλον ἐκλαμβάνειν δεῖ τὰ εἰρημένα καὶ περὶ τοῦ νοητοῦ. καὶ γὰρ καὶ ἐκεῖνον ὑπὸ τοὺς πόδας ἡμῶν ταπεινώσας, κατήνεγκε, καὶ ἡμᾶς ἐπικεῖσθαι αὐτοῦ τῇ κεφαλῇ πεποίηκε. πατεῖτε γάρ φησιν ἐπάνω ὄφεων καὶ σκορπίων. εἶτα ἵνα μὴ νομίσωμεν περὶ τῶν αἰσθητῶν θηρίων ταῦτα εἰρῆσθαι, ἐπήγαγε, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Λουκ. 10. 19.

Ζ

✱✱ ΣΕΥΗΡΙΑΝΟΥ. Οὐ λέγει, ὅτι ποιήσω τὸν ἄνθρωπον κατὰ τῶν ἄλλων τοῦ σώματός σου μελῶν μὴ καταχρῆσθαι πληγῇ, μόνην δὲ κολάζειν τὴν κεφαλήν. κέχρηται γὰρ ὁ ἄνθρωπος καὶ ταῖς κατὰ πάντων τῶν μελῶν ἐπὶ τὸν ὄφιν πληγαῖς, ὡς ὅθεν ἂν πλήξῃ, τὸ πᾶν τιμωρούμενος. καὶ τὸ πρὸς τὸν ὄφιν δὲ παρὰ τοῦ δεσπότου ῥηθέν, ὅτι σὺ αὐτοῦ τηρήσεις πτέρναν, οὐ τοῦτο κηρύττει, τὸ κατὰ τῆς πτέρνης δεδόσθαι τοῖς ὄφεσιν ἔφοδον. ἐπέρχεται γὰρ ἔσθ' ὅτε καὶ καθεύδουσιν, ἐπιλαμβάνεται γαστρὸς πολλάκις, ἐνίησιν ἰόν, καὶ χερσὶ προσάγει, καὶ τοῖς λοιποῖς μέλεσι δήγματα· καὶ ὅλως αὐτῷ οὐδὲν τῶν ἀνθρωπίνων μελῶν ἐμπεσόν, ἀχείρωτον μένει. ἀλλ' ἡ τῆς ἀποφάσεως διάνοια τοιαύτη. οὐκ ἔτι, φησί, πρὸς ἐπιβουλὴν ἀνθρώπου ὁ ὄφις παῤῥησιάσεται· ἀλλ' ἔσω μένων, τοσοῦτον ἕξεις τῶν ἀνθρώπων τὸν φόβον, ὥστε φωλεοῖς ἐγκατακρύπτειν σεαυτόν. καὶ μόλις ἐξ ὀπῶν μετὰ φόβου προκύπτειν, τὰς τῶν ἀνθρώπων παρόδους μόνον τηροῦντα πρὸς ἀκίνδυνον πρόοδον. ὁ δὲ ἄνθρωπος, φησίν, ἐν ἀδείᾳ περιπατήσει, τῆς σαυτοῦ κεφαλῆς ἐν φωλεοῖς τηρουμένης, ὡς ἐχθροῦ κρυπτομένου, οὐ φθεγγομένης πρὸς αὐτόν, ὡς πρὸς φίλον.

Η

Α

Β

Γ

ιϛ. Καὶ τῇ γυναικὶ εἶπε, πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τὸν στεναγμόν σου.

✱✱ ΣΕΥΗΡΙΑΝΟΥ. Ὁ Θεὸς δίδωσι δύο ἐφόδια μετανοίας τῇ ἁμαρτησάσῃ, λύπην, καὶ στεναγμόν. τί ὠφελεῖ λύπη; ἄκουε Παύλου λέγοντος, ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. (2. Κορ. 7. 10.) καὶ τί ἐργάζεται στεναγμός; ἄκουε Ἠσαΐου, ὅταν ἀποστραφεὶς στενάξεις, τότε σωθήσῃ. (Ἡσ. 30. 15.) πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τὸν στεναγμόν σου. ἡ λύπη ἀμορφοῖ τὸ ἔξω πρόσωπον, καὶ στυγνὸν ποιεῖ. καρδίας εὐφραινομένης, θάλλει πρόσωπον, ἐν δὲ λύπαις οὔσης, σκυθρωπάζει. (Παροιμ. 15. 13.) ἐπειδὴ εἶδεν ὁ ὀφθαλμὸς τὸ δένδρον, καὶ ἐλογίσατο τῇ διανοίᾳ ἰσοθεΐαν, δίδωσιν ὁ Θεὸς στεναγμὸν τῇ καρδίᾳ, καὶ λύπην τῷ προσώπῳ, ἵνα δι' ὧν ἥμαρτε κολασθῇ.

Δ

Ε

Ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει.

ΣΕΥΗΡΙΑΝΟΥ. Ὑπομείνασα γὰρ τὰς ἐπὶ ταῖς ὠδῖσιν ἀνάγκας, οὐκ ἀπαγορεύει τοῦ συνοίκου τὴν συζυγίαν· ἀλλὰ καὶ τῶν ἐμπιπτόντων ἀεὶ δυσχερῶν ἐν αὐτῷ τίθεται τὴν ἐλπίδα.

Ζ

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἐπειδὴ οὐκ ἔπρεπε τὴν κατάδικον γυναῖκα γεννῆσαι τὸν ἀνεύθυνον, ἔρχεται ὁ λύων πρῶτον τῆς Εὔας τὴν λύπην διὰ χαρᾶς· ἔρχεται ὁ Ἄγγελος τῇ παρθένῳ, χαῖρε κεχαριτωμένη. (Λουκ. 1. 28.) εἶτα διὰ τοῦ χαῖρε λύει τὸν δεσμὸν τῆς λύπης. χαῖρε· ἦλθεν ὁ λύων τὴν λύπην. χαῖρε κεχαριτωμένη· ἐπειδὴ ἕως νῦν κεκατηραμένη. πρόσεχε τῇ τοῦ Θεοῦ χάριτι. χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ

Η

μετὰ σοῦ. ἐπειδὴ μετ' ἐκείνης ὁ ὄφις, ἐν
λύπῃ· χαῖρε, ἐπειδὴ μετὰ σοῦ ὁ Θεός. καὶ
βλέπε τὴν φωνὴν τοῦ Ἀγγέλου, πῶς ὅλην
ἑρμηνεύει τοῦ Χριστοῦ τὴν οἰκονομίαν. χαῖ-
ρε κεχαριτωμένη. ἐπειδὴ ἐκείνη διπλῆν
ἔλαβε κατάραν, τὴν λύπην καὶ τὸν στε-
ναγμὸν τὴν ἐπὶ τῶν ὠδίνων, εἰσάγει τὸν
τοκετὸν τὸν λύοντα ἐκεῖνον τὸν τόκον.
» ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱὸν, καὶ
» καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. αὐτὸς
» γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρ-
» τιῶν αὐτῶν.

ΑΔΗΛΟΥ. Ὑποτάττει τὴν ἀπατήσα-
σαν τῷ ἀπατηθέντι.

ΙΩΑΝΝΟΥ. (1) Ἐκπίπτει ἡ γυνὴ τῆς
1. Τιμ. 2. 12. ἀρχῆς. τοῦτο γὰρ ὁ Παῦλος εἰδὼς, ἀπα-
» γορεύει γυναικὶ διδάσκειν. (2) οὐδὲ γὰρ
καλῶς ἐδίδαξε πρότερον· οὐδὲ αὐθεντεῖν,
ἐπειδήπερ ἦρξε κακῶς.

**ιη. Τῷ δὲ Ἀδὰμ εἶπεν, ὅτι ἤκου-
σας τῆς φωνῆς τῆς γυναικός σου, καὶ
ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλά-
μην σοι τούτου μόνου μὴ φαγεῖν ἀπ' αὐ-
τοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν
τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐ-
τὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.**

ΑΔΗΛΟΥ. Ὁ πάντοτε χαίρων διὰ
Χριστὸν, οὐκ ἔστιν ὑπὸ τὴν κατάραν ταύτην.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀγαθὸν τὸν Θεὸν
ὀνομάζοντες, πῶς αὐτῷ περιάπτετε τοι-
αύτην ἀποτομίαν; ὠμότητος γὰρ καὶ ἀπη-
νείας τὸ διὰ βρῶσιν ὀλίγην, τοσαύτην
ἐπενεγκεῖν τιμωρίαν, οὐ τοῖς ἡμαρτηκόσι
μόνον, ἀλλὰ καὶ τοῖς ἐξ ἐκείνων βεβλα-
στηκόσι. Πρῶτον πεπεῖσθαι προσήκει τοὺς
εὐσεβεῖν προαιρουμένους, ὡς πᾶν ὁτιοῦν ὑπὸ
τοῦ Θεοῦ τῶν ὅλων γινόμενον, ἢ κελευόμε-
νον, καὶ ὅσιον, καὶ δίκαιον, καὶ ἀγαθὸν, καὶ
φιλάνθρωπον. εἰ γὰρ ταῦτα πάντα ἔχειν
αὐτὸν ὁμολογοῦμεν, καὶ τὰ ὑπ' αὐτοῦ οἰκο-
νομούμενά τε καὶ προσαττόμενα χρὴ τοιαῦ-
τα εἶναι νομίζειν. ἔπειτα εἰδέναι δεῖ, ὡς
πᾶς νόμος, κἂν περὶ σμικρῶν τινῶν δια-
γορεύῃ, τὴν ἴσην ἔχει δύναμιν τῷ τὰ μέ-
γιστα κελεύοντι ποιεῖν, ἢ ἀπαγορεύοντι
δρᾶν· καὶ διαφερόντως πᾶς θεῖος νόμος.
αὐτίκα γοῦν ὁ περιτέμνεσθαι κελεύων, οὐδε-
μίαν παραβαινόμενος τῷ πέλας ἐργάζεται
βλάβην, ἀλλ' ὅμως ὁ νομοθέτης φησὶν, ὅτι
Γεν. 17. 14. πᾶς ἀπερίτμητος ἄρσην, ὃς οὐ περιτμη-
» θήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευ-
θήσεται. καὶ ἣν ὥρισε τοῖς ἀνδροφόνοις
καὶ τοῖς μοιχοῖς τιμωρίαν, ταύτην καὶ
τούτῳ ἐκλήρωσεν. ἐπειδὴ δὲ εἰκὸς τοὺς δυ-
σωνύμους αἱρετικοὺς ἄντικρυς τῇ παλαιᾷ
πολεμοῦντας Γραφῇ, καὶ τοῦδε κατηγο-
ρῆσαι τοῦ νόμου, ἐκ τῆς εὐαγγελικῆς νομο-

A θεσίας τὰς ἀποδείξεις ποιήσομαι. εὑρί-
σκομεν γὰρ ἐν ἐκείνοις τοῖς νόμοις τὸν λά-
γνως ὁρῶντα γυναῖκα, μοιχείας κρινόμε-
νον· καὶ τὸν εἰκῇ ὀργιζόμενον, ἔνοχον ὄν-
τα τῇ κρίσει· τὸν δὲ ῥακὰ τὸν ἀδελφὸν
ὀνομάζοντα, γραφῆς πάλιν ὑπεύθυνον·
τὸν δὲ μωρὸν ἀποκαλοῦντα, τῆς γεέννης
ἄξιον· καὶ τὸν ὀμνύοντα, κἂν ἀληθεύων
ὀμνύῃ, τῆς διαβολικῆς ὄντα συμμορίας.
τί δήποτε τοίνυν τοῦτον μὲν ἀγαθὸν ὀνομά-
B ζουσιν, ἀπηνῆ δὲ τὸν τῆς παλαιᾶς νομο-
θέτην; ταῦτα γὰρ ἐκείνων κατὰ τὸν τού-
των ὅρον ὠμότερα. ἀλλὰ τῆς ἐκείνων ταῦ-
τα βλασφημίας τολμᾶν· ἡμεῖς δὲ κἀκεί-
νους, καὶ τούτους τοὺς νόμους ἑνὸς ἴσμεν Θεοῦ·
τὸ δὲ διάφορον ἡ τῶν νομοθετουμένων ποιό-
της εἰργάσατο. οἷα γὰρ δὴ σοφὸς διδά-
σκαλος τοῖς μὲν ἀτελέσι, τὰ ἀτελῆ· τοῖς
δὲ τελείοις, τὰ τέλεια προσενήνοχε. πρὸς
δὲ τούτοις σκοπητέον καὶ τοῦτο, ὡς τοῖς
Γ πρώτοις παραβαίνουσι τοὺς νόμους ἐπιφέ-
ρονται δίχα συγγνώμης αἱ τιμωρίαι. ὥστε
τοὺς ἄλλους ὁρῶντας τὴν κόλασιν, μὴ τολ-
μᾶν τὴν παράβασιν. τοῦτο καὶ ἐπὶ τῇ τοῦ
σαββάτου νομοθεσίᾳ ἐγένετο. τὸν γὰρ ἐν
σαββάτῳ τὰ ξύλα συλλέξαι τετολμηκότα,
καὶ πρῶτον τὸν περὶ τούτου παραβεβηκότα
νόμον, ἅπας κατέλευσεν ὁ λαὸς, τοῦ Θεοῦ
τοῦτο προστεταχότος, ἵνα αὐτουργοὶ τῆς τι-
μωρίας γενόμενοι, φρίττωσι τὴν παρανο-
Δ μίαν, ὡς τὴν τιμωρίαν ἐπάγουσαν. χρό-
νῳ δὲ ὕστερον, πολλῶν τῶν περὶ τοῦ σαββά-
του παραβεβηκότων νόμον, μακροθύμως
ὁ νομοθέτης ἤνεγκε τὴν παράβασιν. οὕτω
τὸν Κάϊν πρῶτον πεφονευκότα, ταῖς ἀνη-
κέστοις ὑπέβαλε τιμωρίαις· ἵνα τοὺς (3)
ἀπ' ἐκείνου γεγεννημένους, δεδίξηται τοῦ τὰ
παραπλήσια μὴ τολμᾶν. πολλῶν δὲ ὕστε-
ρον ἀνδροφόνων γεγενημένων, οὐ παραυτί-
κα τὰς τιμωρίας ἐπήγαγεν. ἔδει τοίνυν
E καὶ τὸν Ἀδὰμ πρῶτον δεξάμενον νόμον,
καὶ νόμον κουφότατον· τῶν παντοδαπῶν
γὰρ αὐτῷ καρπῶν ἐδεδώκει τὴν ἀφθο-
νίαν, ἑνὸς δὲ μόνου τὴν ἐδωδὴν ἀπηγορεύ-
κει· δοῦναι δίκην τοῦ πλημμελήματος εἰς
ὠφέλειαν τοῦ γένους. εἰ δὲ δυσόργητος ὢν,
ὡς ὁ δυσώνυμος ἔφη Μαρκίων, διὰ βρῶσιν
ὀλίγην τὴν τοῦ θανάτου τιμωρίαν ἐπήνεγ-
κε, πῶς ἀνθρώπων ἁπάντων εἰς ἀσέβειαν,
καὶ παρανομίαν ἐσχάτην ἐξοκειλάντων, οὐ
Z πανωλεθρίαν ἐπήνεγκεν, ἀλλὰ τὸν υἱὸν
αὐτοῦ δέδωκε, καὶ τὴν διὰ σταυροῦ καὶ πά-
θους ἐδωρήσατο σωτηρίαν; καὶ ταῦτα λέ-
γω πρὸς τοὺς οἰομένους ὀργῇ τινὶ ταῦτα δε-
δρακέναι τὸν τῶν ὅλων Θεόν; καὶ ἀγνοοῦν-
τας τὸ τῆς οἰκονομίας μυστήριον. δῆλον
γὰρ, οἶμαι, τοῖς τὰ θεῖα πεπαιδευμένοις,
ὡς οὐδὲν ἐκ μεταμελείας εἴωθε ποιεῖν ὁ τῶν
ὅλων Θεός. τοῦτο γὰρ δὴ τὸ πάθος ἴδιον
τῶν τρεπτὴν φύσιν ἐχόντων, καὶ νῦν μὲν
H τούτοις, νῦν δὲ ἐκείνοις ἀρεσκομένων, καὶ
τὸ

(1) Τοῦ Χρυσοστόμου. ὅρα Τόμ. 6. σελ. 66. τῆς κατὰ τὸ Παρίσ. ἐκδόσ.
(2) Πρόσθες τὸ, γυναῖκα γάρ φησι διδάσκειν οὐκ ἐπιτρέπω· ἵνα ἡ σύνταξις ὀρθοποδῇ.
(3) Ἵνα τοὺς ἐπ' ἐκείνου καὶ μετ' ἐκεῖνον γεγενημένους, ἡ ἐν χάλ. ἔκδ.

τὸ μέλλον ἔσεσθαι παντάπασιν ἀγνοούντων. ὁ δὲ τῶν ὅλων Θεὸς, ἄτρεπτον μὲν ἔχει τὴν φύσιν, οἶδε δὲ ὡς ἤδη γεγενημένα, τὰ μήπω γεγενημένα. αὐτίκα γοῦν, καὶ τὰ κατὰ τὸν Ἀδὰμ προορῶν, καὶ προγινώσκων ὡς θνητὸς γενήσεται τὴν ἐντολὴν παραβὰς, τοιαύτην αὐτοῦ καὶ τὴν φύσιν κατεσκεύασεν. εἰς ἄῤῥεν γὰρ καὶ θῆλυ τοῦ σώματος ἐσχημάτισε τὴν διάπλασιν· τῶν δὲ θνητῶν καὶ παιδοποιΐας δεομένων εἰς τὴν τοῦ γένους διαμονὴν, ἡ τοιαύτη τῶν σωμάτων κατασκευή. ἡ γὰρ ἀθάνατος φύσις οὐ δεῖται τοῦ θήλεος. τούτου χάριν ὁ ποιητὴς ὁμοῦ τὸν τῶν ἀσωμάτων παρήγαγεν ὁρμαθὸν, (1) τῶν δὲ θνητῶν ζώων ἀνὰ δύω καθ' ἕκαστον ἐδημιούργησε γένος, ἄρσεν καὶ θῆλυ, καὶ τῆς αὐξήσεως αὐτοῖς τὴν εὐλογίαν προσήνεγκε· αὐξάνεσθε γὰρ ἔφη, καὶ πληθύνεσθε· οὕτω καὶ τὸν ἄνθρωπον διέπλασεν ἄῤῥενα καὶ θῆλυ, καὶ τὴν αὐτὴν αὐτοῖς ἔδωκεν εὐλογίαν. αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς· ταῦτα τοίνυν προορῶν ὁ τῶν ὅλων Θεὸς, οὐ μόνον αὐτοὺς οὕτω διέπλασεν, ἀλλὰ καὶ τὸν ἐπὶ τῆς βρώσεως αὐτοῖς δέδωκε νόμον. ἰδοὺ γάρ φησι, δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω τῆς γῆς· καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς· καὶ πᾶν ξύλον ὃ ἔχει ἐν ἑαυτῷ καρπόν· καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς· καὶ πάντα χόρτον χλωρὸν ὑμῖν δέδωκα εἰς βρῶσιν. ταῦτα γὰρ πρὸ τῆς ἐντολῆς πρὸς τὸν Ἀδὰμ ὁ τῶν ὅλων ἔφη Θεός. θνητῶν δὲ ἡ βρῶσις. ἀθάνατος γὰρ φύσις οὐ δεῖται τροφῆς. καὶ τοῦτο διδάσκων ὁ Κύριος ἔφη, ὅτι μετὰ τὴν
Ματθ. 22. 30. ἀνάστασιν, οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς Ἄγγελοι ἐν τοῖς οὐρανοῖς. οὐ τοίνυν ὀργῆς ἡ τιμωρία, ἀλλ' οἰκονομία σοφίας μεστή. ἵνα γὰρ μισῇ τὴν ἁμαρτίαν τῶν ἀνθρώπων τὸ γένος, ὡς αἰτίαν θανάτου γεγενημένην, μετὰ τὴν παράβασιν τῆς ἐντολῆς ἐπιφέρει τοῦ θανάτου τὴν ψῆφον ὁ πάνσοφος· τούτῳ μὲν τὸ περὶ τὴν ἁμαρτίαν μηχανώμενος μῖσος, προευτρεπίζων δὲ τῷ γένει τῆς σωτηρίας τὸ φάρμακον, τὸ διὰ τῆς τοῦ μονογενοῦς ἐνανθρωπήσεως τὴν ἐκ νεκρῶν ἀνάστασιν, καὶ τὴν ἀφθαρσίαν πραγματευσάμενον. τί δὲ ἀπηνὲς ἡ ἀπόφασις ἔχει, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ; ἀπὸ γῆς σέ φησιν ἔπλασα, καὶ εἰς ἀμείνονα πολλῷ μετεσκεύασα φύσιν, ἐπειδὴ δὲ φυλάξαι μου τὴν ἐντολὴν οὐκ ἠθέλησας, πρὸς τὴν προτέραν ἐπάνελθε φύσιν. ἀνθ' ὅτου δὲ σμικρὸν εἶναι δοκεῖ τὸ ἁμάρτημα; πάντων αὐτῷ τῶν φυτῶν ἐδεδώκει τὴν ἐξουσίαν, ἑνὸς δὲ μόνου τὴν ἐδωδὴν ἀπηγορεύκει. ὁ δὲ τὰ ἄλλα πάντα καταλιπὼν, τοῦτον καὶ πρῶτον καὶ μόνον ἐτρύγησε τὸν καρπόν. τοῦτο γὰρ αὐτῷ καὶ ὁ δεσπότης Θεὸς ἐπεμέμψατο. τίς γάρ φησιν ἀνήγγειλέ σοι, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; δεδήλωκε τοῦτο καὶ ὁ διάβολος, δι' ὧν ἔφη τῇ Εὔᾳ· τί, ὅτι εἶπεν ὁ Θεὸς οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; εἰ δὲ εἶδεν ἐδηδοκότας, οὐκ ἂν ᾠήθη περὶ πάντων αὐτοὺς τῶν δένδρων εἰληφέναι τὴν ἐντολήν. οὐ σμικρὰ τοιγαροῦν ἡ παράβασις. πρώτου γὰρ μετέλαβον, οὗ μόνου μεταςχεῖν οὐκ ἐκελεύσθησαν. (2)

ΘΕΟΔΩΡΟΥ. Ἐπειδὴ τινῶν ἀκήκοα πυνθανομένων· εἰ προῄδει ὁ Θεὸς, ὅτι παρακούσει ὁ Ἀδὰμ, τίνος ἕνεκεν τῇ δόσει τῆς ἐντολῆς παρέσχε τῇ παρακοῇ πρόφασιν; Τοσοῦτον ἐρῶ, ὅτι μάλα ὁ Θεὸς εἰδὼς συμφέρουσαν ἀνθρώποις τὴν θνητότητα· μένοντες γὰρ ἀθάνατοι, πταίουσιν ἀθάνατα· καὶ ὅτι λυσιτελεῖ τοῖς τοιούτοις θανάτῳ λυομένου τοῦ σώματος, συγκαταλυθῆναι καὶ τὸ τῆς ἁμαρτίας, οὐκ εὐθὺς ἔδωκε τὸ συμφέρον, ἵνα μὴ βλασφημῆται, ὡς μὴ δεδωκὼς ἐξ ἀρχῆς τὴν ἀθανασίαν. ἀλλὰ πρότερον δίδωσι τὴν ἐντολὴν, ἧς οὐκ ἀνεξομένους ᾔδει· ἵνα δείξῃ, ὅτι εἰ καὶ προτεινομένης αὐτοῖς ἀθανασίας ἀπὸ τῆς ὑπακοῆς, καὶ θανάτου ἀπειλουμένου διὰ τὴν παρακοὴν, τοσοῦτον ἠπίστησαν τῷ ποιητῇ καὶ εὐεργέτῃ, ὡς ἐλπίσαι, εἰ παρακούσειεν οὐ μόνον τὴν ἀθανασίαν ἕξειν, ἀλλὰ καὶ τὸ τῆς Θεότητος ἀξίωμα προσλήψεσθαι· εἰ καὶ ἡ σὰρξ αὐτοῖς εἰλήφει τὴν ἀθανασίαν, πῶς οὐ μᾶλλον ἀνεπείσθησαν εἶναι Θεοὶ διὰ τῆς παρακοῆς; οἷς γὰρ οὐκ ἤρκεσεν ἀπειλὴ θανάτου εἰς τὴν φυλακὴν τῆς ἐντολῆς, τὸ τῆς ἀθανασίας βέβαιον πάντως ἂν ἀδεὲς εἰς τὸ πταίειν ἦν, καὶ διηνεκὲς, τῷ τῆς ἀθανασίας ἀσφαλεῖ τεθαῤῥηκόσι. πρῶτον οὖν δείκνυσι τῇ τε δόσει τῆς ἐντολῆς, καὶ διὰ τῆς παρακοῆς τῶν περὶ τὸν Ἀδὰμ, ὅτι συμφέρει ἡ θνητότης, καὶ τότε ταύτην δίδωσιν, ὁμοῦ καὶ πείθων ἀνθρώπους, καὶ τῶν συμφερόντων οὐκ ἀφιστάμενος. ὅτι γὰρ τῷ θνητῷ βίῳ τὸν ἄνθρωπον ηὐτρέπιζεν, αὐτὸ τὸ σχῆμα τοῦ ἄῤῥενος καὶ τοῦ θήλεος δείκνυσιν, ἐν τῇ δυνάμει τὴν παιδοποιΐαν εὐθὺς καὶ ἐκ πρώτης δεικνύμενον. ὥστε ἡ μὲν πλάσις, ἡτοιμάσθη τῷ θνητῷ βίῳ· ἡ δὲ τῆς ἐντολῆς δόσις, καὶ τὸ αὐτεξούσιον προεγύμνασε, καὶ ἔδωκε τῇ γνώμῃ τῶν αὐθαιρέτων ἀγώνων τὴν πρόφασιν, καὶ τὸ τῆς θνητότητος συμφέρον ἔδειξεν.

ιθ. Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ.

ΔΙΔΥ-

(1) Ἀριθμόν. ἡ ἐν χαλ. ἔκδ.
(2) Οὐ μόνου μὴ μετασχεῖν ἐκελεύσθησαν. ἡ ἐν χάλ. ἔκδ.

ΔΙΔΥΜΟΥ. Τί γὰρ ἐκ τῆς τοῦ σώματος ἀκολουθίας οὐκ ἐπώδυνόν ἐστιν, ἡδονῶν τε καὶ μεριμνῶν ἐξ αὐτοῦ φυομένων; ταύτας γὰρ εἶναι τὰς ἀκάνθας ὁ σωτὴρ ἐμήνυσεν, αἵτινες συμπνίγουσι τὸν ὑπ' αὐτοῦ καλούμενον σπόρον, ἐὰν ὁ δεξάμενος, μὴ εἰς βάθος τοῦτον ὑποδέξηται.

κ. Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς ἀπ' ἐναντίας τῆς προτέρας διαγωγῆς τὰ μετὰ τὴν παρακοὴν ἅπαντα αὐτῷ ἐπήχθη. ἐγὼ μὲν γάρ φησι παραγαγών σε εἰς τόνδε τὸν κόσμον, ἠβουλήθην ἄνευ λύπης καὶ μόχθων καὶ ταλαιπωρίας, καὶ ἄνευ ἱδρώτων διάγειν, καὶ ἐν ἀπολαύσει εἶναι καὶ εὐημερίᾳ, καὶ μηδὲ ταῖς τοῦ σώματος ἀνάγκαις ὑποκεῖσθαι, ἀλλὰ πάντων τούτων ἀπηλλάχθαι, καὶ ἐν ἐλευθερίᾳ πάσῃ τυγχάνειν· ἐπειδὴ δὲ οὐκ ὤνησέ σε ἡ τοσαύτη ἄδεια, διὰ τοῦτο καὶ τὴν γῆν καταράσομαι, ὥστε μὴ ἄσπαρτά σοι καὶ ἀνήροτα καθάπερ πρότερον τὰ ἐξ αὐτῆς ἀναδιδόμενα παρέχειν, ἀλλὰ καὶ μετὰ πολλοῦ τοῦ πόνου, καὶ τοῦ μόχθου, καὶ τῆς ταλαιπωρίας, καὶ λύπαις σε διηνεκέσι, καὶ ἀθυμίαις περιβαλῶ, καὶ μετὰ ἱδρώτων πάντα σε κατορθοῦν παρασκευάσω, ἵνα τούτοις πιεζόμενος, ἔχῃς διδασκαλίαν διηνεκῆ τοῦ μετριάζειν, καὶ τὴν ἑαυτοῦ φύσιν ἐπιγινώσκειν. καὶ τοῦτο οὐ πρὸς ὀλίγον οὐδὲ πρὸς βραχὺν χρόνον ἔσται, ἀλλὰ παντὶ τῷ τῆς ζωῆς χρόνῳ παρεκταθήσεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκα τοῦ Θεοῦ εἰρηκότος, ᾗ δ' ἂν ἡμέρᾳ φάγῃ ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανῇ, οὐκ εὐθὺς ἀπέθανεν; (1) Ἐναντία αὕτη κατηγορία. πρὸ βραχέος γὰρ ἀπηνῆ τὸν Θεὸν ἀποκαλοῦντες, νῦν αὐτοῦ φιλανθρωπίαν κατηγορεῖτε. ὑμνεῖν δὲ μᾶλλον ἐχρῆν, ἀλλ' οὐ κατηγορεῖν τῆς ἀγαθότητος τοῦ Θεοῦ. εἴωθε γὰρ μείζονα μὲν ἀπειλεῖν, ἐλάττους δὲ τῶν ἀπειλῶν τὰς τιμωρίας ἐπάγειν. καὶ τοῦτο πολλαχῇ ἐστὶν εὑρεῖν παρὰ τῇ θείᾳ Γραφῇ. ἐνταῦθα μέντοι τὸν τῆς θνητότητος ὅρον ὠνόμασε θάνατον. οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἡρμήνευσεν· ᾗ δ' ἂν ἡμέ-
» ρᾳ φάγῃ ἀπὸ τοῦ ξύλου, θνητὸς ἔσῃ. μετὰ γὰρ δὴ τὴν θείαν ἀπόφασιν, καθ' ἑκάστην, ὡς ἔπος εἰπεῖν, ἡμέραν τὸν θάνατον προσεδέχετο. οὕτως οἱ πεπιστευκότες τῷ δεσπότῃ Χριστῷ καὶ σφαττόμενοι ζῶσι, προσμένοντες τὴν ἀνάστασιν, καὶ τὴν τῶν οὐρανῶν
Ῥωμ. 8. 24. βασιλείαν. τῇ γὰρ ἐλπίδι ἐσώθημεν.

Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ.

A ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰ γὰρ καὶ σώματός σοι φύσιν ἐχαρισάμην διὰ τὴν ἐμαυτοῦ φιλανθρωπίαν, ἀλλ' αὐτὸ τὸ σῶμα ἀπὸ
» γῆς ὄν, γῆ πάλιν ἔσται. γῆ γὰρ εἶ, καὶ
» εἰς γῆν ἀπελεύσῃ.

** ΙΣΙΔΩΡΟΥ. Ἐπειδὴ εἶπεν ὁ Θεὸς
» τῷ Ἀδὰμ, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, οὐ προσέθηκε δὲ, ἀφανισθήσῃ, οὐδὲ μὴ ἐπανελεύσῃ· ἐγὼ διὰ τοῦ ταῦτα παρασεσιωπῆσθαι, τὴν ἀνάστασιν προσυπήκουσα. ἐλπίδα
B γὰρ ἐπανόδου τῷ ἐξορίστῳ ἔδωκεν. ἡ γὰρ ἀπόφασις μονότροπος εἶναι δοκοῦσα, ἐμφαίνει βασιλικὴν φιλανθρωπίαν, καὶ ἐπανόδου τίκτει ἐλπίδα.

κα. Καὶ ἐκάλεσεν Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ, Ζωή, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. » Ὅτι αὕτη μή-
Γ » τηρ πάντων τῶν ζώντων· τουτέστιν αὕτη ἀρχή ἐστι πάντων τῶν ἐξ αὐτῆς ἐσομένων, καὶ ῥίζα, καὶ θεμέλιος τῆς μετὰ ταῦτα γενεᾶς.

κβ. Καὶ ἐποίησε Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι ψευδὲς λέ-
Δ γει τὸ γράμμα τῆς θείας Γραφῆς. (2)

ΙΠΠΟΛΥΤΟΥ. Νεκρὰν γὰρ σκέπην ἐποίει τῷ νεκρωθέντι διὰ τὴν ἁμαρτίαν. τῷ γὰρ νεκρὰ ἁμαρτήματα ἔχοντι περὶ τὸ σῶμα, φθορὰν ἐσήμαινε τὸ δέρμα.

** ΘΕΟΛΟΓΟΥ. Καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας, ἴσως τὴν παχυτέραν σάρκα, καὶ θνητὴν, καὶ ἀντίτυπον.

E ΘΕΟΔΩΡΙΤΟΥ. Τί νοητέον τοὺς χιτῶνας τοὺς δερματίνους; Οἱ μὲν ἀλληγορηταὶ τὴν θνητὴν σάρκα φασὶ τὰ δέρματα· ἄλλοι δέ τινες, ἀπὸ φλοιῶν δένδρων τούτους κατεσκευάσθαι εἰρήκασιν· ἐγὼ δέ γε οὐδέτερον τούτων προσίεμαι. τὸ μὲν γὰρ, περίεργον· τὸ δὲ, ἄγαν μυθῶδες. τῆς γὰρ θείας γραφῆς καὶ πρὸ τῆς ψυχῆς τὸ σῶμα διαπεπλάσθαι φησάσης, πῶς οὐ μυθῶδες τὸ λέγειν μετὰ τὴν παράβα-
Z σιν τῆς ἐντολῆς σάρκα αὐτοὺς εἰληφέναι θνητήν; τό δέ γε πολυπραγμονεῖν πόθεν τῷ Θεῷ δέρματα, καὶ διὰ τοῦτο καινὸν εἶδος περιβολαίων ἐπινοεῖν, περιττὸν εἶναί μοι δοκεῖ. χρὴ τοίνυν στέργειν τὰ γεγραμμένα, καὶ εἰδέναι ὡς οὐδὲν ἄπορον τῷ τῶν ὅλων δημιουργῷ, καὶ θαυμάζειν αὐτοῦ τὴν ἄρρητον ἀγαθότητα· ὅτι καὶ παραβεβηκότων οὐχ ὑπερεῖδε, καὶ δεηθέντων περιβολαίων, ἐπιμελεῖται μὴ εἶναι αὐτοὺς γυμνούς.

ΑΚΑΚΙΟΥ.

(1) Ἀπέθανε τὴν ἀτελῆ παραβάς; ἡ ἐν χάλ. ἔκδ.

(2) Οὗτος εἷς τῶν ἀλληγορούντων τοὺς δερματίνους χιτῶνας ἔοικε. διὸ ψευδές φησι τῆς θείας γραφῆς τὸ γράμμα. ἀλλὰ καὶ τούτου κειμένου, οὐκ ἔδει αὐτὸν εἰπεῖν ψεύδεσθαι τὸ γράμμα· ἀλλ' ἤτοι ἀλληγορικῶς, ἢ ἀναγωγικῶς, ἢ κατὰ τὰς λοιπὰς ἐξ ἔθους τροπολογίας ἐκλαμβάνεσθαι.

ΑΚΑΚΙΟΥ. Τῷ μετὰ τὴν παράβασιν ὁριζομένῳ σεσαρκῶσθαι τοὺς περὶ τὸν Ἀδὰμ διὰ τὸ τροπολογεῖν τοὺς δερματίνους χιτῶνας, πῶς ἀκολουθήσει τό, καὶ ἔπλασεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς τὸν ἄνθρωπον, πρὸ τῆς παραβάσεως εἰρημένον· καὶ τό, ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς; εἰ δὲ λέγει τὰ ἤδη πεπραγμένα ἐπεξηγεῖσθαι τὴν Γραφήν, λεκτέον, ὡς καὶ τό, ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἐπεξήγησις ἦν τῆς [B] ἀρχῆθεν αὐτοῦ γενέσεως. καὶ Κλήμης δὲ ἐν τοῖς τελευταίοις τοῦ τρίτου στρωματέως διαβάλλει τὴν τοιαύτην δόξαν, ἐπιμεμφόμενος αἱρεσεώτῃ τινὶ διὰ τούτων· χιτῶνας δὲ ἡγεῖται δερματίνους ὁ Κασιανὸς τὰ σώματα, περὶ οὗ ὕστερον καὶ τοῦτον, καὶ τοὺς ὁμοίως αὐτῷ δοξάζοντας πεπλανημένους ἀποδείξομεν· ὅταν περὶ τῆς ἀνθρώπου γενέσεως τὴν ἐπεξήγησιν μεταχειριζώμεθα. [Γ] καὶ ἐν τῷ η΄. δὲ στρωματεῖ ἀθετεῖ τὴν περὶ τοῦ προεῖναι τὰς ψυχὰς δόξαν, λέγων αὐταῖς λέξεσι· ὁ Θεὸς ἡμᾶς ἐποίησεν οὐ προόντας, ἐχρῆν δὲ καὶ εἰδέναι ἡμᾶς τὸ ποῦ ἦμεν, εἰ προῆμεν· καὶ πῶς, καὶ διατί δεῦρο ἥκομεν. εἰ δὲ οὐ προῆμεν, τῆς γενέσεως ἡμῶν μόνος αἴτιος Θεός, ὡς οὐκ ὄντας ἐποίησεν, οὕτω καὶ γενομένους σώζει. ὁ δὲ τοὺς δερματίνους χιτῶνας, τὰ αἰσθητὰ εἶναι λέγων σώματα, πάντως που καὶ τὸ ξύλον τῆς ζωῆς αἰσθητὸν εἶναι ὁμολογήσει. [Δ] μετὰ τοὺς χιτῶνας γὰρ εἴρηται τό, μήποτε λάβῃ τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα.

ΔΙΟΔΩΡΟΥ. Ἔνιοι τὴν σάρκα φασὶν εἶναι τοὺς χιτῶνας τοὺς δερματίνους, κακῶς νοοῦντες. πρὸ γὰρ τούτου φησὶν ὁ Μωϋσῆς· καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς· νυνὶ δὲ ἐπειδὴ τὴν γύμνωσιν σιωπῶντες, καὶ αἰδεσθέντες ἐπ' αὐτῇ [E] φύλλα συκῆς ἔῤῥαψαν, δίδωσιν αὐτοῖς ὁ Θεὸς χιτῶνας ἐκ τῶν ἀῤῥήτων αὐτοῦ θησαυρῶν κατασκευάσας. οὐδὲ γὰρ δεῖ ζητεῖν ὅθεν, ἀλλ' ὅτι ἐποίησε, δείξας ὅτι χρῄζει τὸ θνητὸν τῆς φύσεως τῆς ἀπὸ τῶν ἱματίων βοηθείας.

ΓΕΝΝΑΔΙΟΥ. Ὥσπερ τό, ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, τοῦ Ἀδὰμ κατὰ θείαν ἀπο- [Z] κάλυψιν εἰπόντος, τοῦτο ἐξ ἀρχῆς ὁ σωτὴρ ἐν τοῖς εὐαγγελίοις τὸν ποιητὴν Θεὸν ἔφησεν εἰρηκέναι· οὕτω καὶ νῦν Μωσῆς ὁ μακάριος τὴν ἐπίνοιαν, τὴν περὶ τὸν Ἀδὰμ τοῦ ἐκ φύλλων (1) ἀντὶ τῶν φύλλων χιτῶνας ἑαυτῷ μηχανήσασθαι, κατὰ θείαν ἀποκάλυψιν ἐνδοθεῖσαν, Θεοῦ προσεῖπεν ἐνέργειαν.

ΘΕΟΔΩΡΟΥ. Ἐζητεῖτε (2) τί ἐστι χιτῶνας δερματίνους. ἀλλ' εἰ μὲν ζώων σφα- [H] γέντων, ἐξ αὐτῶν ἐγένοντο τὰ ἐνδύματα, [A] εὔδηλον ὅτι ἐπέλιπε τὸ γένος τῶν σφαγέντων· ἄρτι μὲν τοῦ Θεοῦ ἄῤῥεντε καὶ θῆλυ πεποιηκότος, οὔπω δὲ οὐδενὸς τεταγμένου, πρὸς τῷ κἀκεῖνο μὴ ἐνδέχεσθαι νομίζειν, ὅτι ζῶα σφάττεσθαι ἐκέλευσεν ὁ Θεός, ὅτε μήπω κρεοφαγία ἦν ἐπιτετραμμένη τοῖς ἀνθρώποις· τοὺς μὴ ὄντας δὲ χιτῶνας ἔτι πλέον ἀπρεπὲς νομίζειν, ὅτι παρήγαγεν ὁ Θεός, ὃς τῇ τοῦ ἀνθρώπου ποιήσει τοῦ ποιεῖν τι μὴ ὂν ἀπεπαύσατο, ὡς ἐν [B] τούτῳ τοῦ κόσμου παντὸς συμπεράνας τὴν ποίησιν. εὔδηλον οὖν, ὡς οὐδ' ἂν χιτῶνας δερματίνους ἐκ τοῦ μὴ ὄντος παρήγαγεν. ἀλλὰ γὰρ ἠγνόησαν, ὡς ἔοικεν, οἱ περὶ τούτων ζητοῦντες, ὅτι δέρματα οὐ μόνον τὰ ἐκ τῶν ζώων ἀφαιρούμενα λέγεται, ἀλλὰ καὶ τὰ ἐκ τῶν δένδρων, ἃ καὶ φλοιοὺς ὀνομάζειν ἔθος τοῖς πολλοῖς. ἐκ δένδρων τοίνυν, ἐπιτηδείους πως φλοιοὺς ἐχόντων εἰ ἐνδυμάτων κατασκευὴν οἱ περὶ τὸν Ἀδὰ [Γ] ἧκον, (3) τοῦ Θεοῦ κατ' ἔννοιαν αὐτοῖς ὑποθεμένου, πῶς χρὴ τοῦτο ποιῆσαι.

ΩΡΙΓΕΝΟΥΣ. Τί δεῖ νοεῖν τοὺς δερματίνους χιτῶνας; Σφόδρα μὲν οὖν ἠλίθιον καὶ γραῶδες, καὶ ἀνάξιον τοῦ Θεοῦ, τὸ οἴεσθαι ζώων τινῶν περιελόντα δέρματα τὸ Θεόν, ἀναιρεθέντων, ἢ ἄλλως πως ἀποθανόντων, πεποιηκέναι σχήματα χιτώνα καταῤῥάψαντα δέρματα δίκην σκυτοτο μου. πάλιν τε φυγόντα τὸ οὕτως ἄτοπο [Δ] λέγειν τοὺς δερματίνους χιτῶνας οὐκ ἄλλο εἶναι, ἢ τὰ σώματα, πιθανὸν μέν, κ εἰς συγκατάθεσιν ἐπισπάσασθαι δυνάμε νον, οὐ μὴν σαφές, ὡς ἀληθές. εἰ γὰρ δερμάτινοι χιτῶνες σάρκες καὶ ὀστέα εἰσὶ πῶς πρὸ τούτων φησὶν ὁ Ἀδάμ, τοῦτο νυ ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆ σαρκός μου; ταύτας οὖν τὰς ἀπορίας περιϊσάμενοί τινες, δερματίνους χιτῶνας, τὴ [E] νέκρωσιν ἣν ἀμφιέννυνται Ἀδὰμ καὶ Εὖα, διὰ τὴν ἁμαρτίαν θανατωθέντες ἀπεφήναντο τυγχάνειν· οὐ πάνυ τι οὐδ αὐτοὶ εὐχερῶς δυνάμενοι παραστῆσαι, πῶ ὁ Θεός, καὶ οὐχὶ ἡ ἁμαρτία νέκρωσιν ἐμ ποιεῖ τῷ παραβεβηκότι. πρὸς τούτοι ἀνάγκην ἔχουσι λέγειν, σάρκα καὶ ὀστέ τῷ ἰδίῳ λόγῳ μὴ εἶναι φθαρτά, εἴγε ὕστερον τὴν νέκρωσιν οἱ πατέρες ἡμῶν δι τὴν ἁμαρτίαν εἰλήφασιν. ἀλλ' εἰ καὶ [Z] παράδεισος θεῖόν τι χωρίον ἐστί, λεγέτω σαν πῶς ἕκαστον ἐκεῖ τῶν μελῶν μὴ μάτην δεδημιουργημένον τὴν οἰκείαν ἐνέργεια ἐνήργει.

** ΒΑΣΙΛΕΙΟΥ. Δήλη δὲ καὶ ἡ πρώτη τῶν σκεπασμάτων χρῆσις, ἣν αὐτὸ ὁ Θεὸς τοῖς ἐπιδεηθεῖσιν ἔδωκεν. ἐποίησε γὰρ αὐτοῖς, φησίν, ὁ Θεὸς χιτῶνα δερματίνους. πρὸς γὰρ τὴν τῶν ἀσχημό νων ἐπικάλυψιν ἐξήρκει καὶ ἡ τοιαύτη τῶ [H] χιτώνων χρῆσις.

(1) Ἴσως ἐκ φλοιῶν. (2) Ἐζήτηται. ἡ ἐν χάλκῃ ἔκδ.
(3) Ἐποίησαν οἱ περὶ τὸν Ἀδὰμ τὰ ἐνδύματα. ἡ ἐν χάλ. ἔκδ.

κγ. Καὶ εἶπε Κύριος ὁ Θεὸς, ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι τὸ ἰδοὺ γέγονεν
» Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν; Ἐπειδὴ ὁ διάβολος εἶπεν, ἔσεσθε ὡς Θεοὶ, γινώσκοντες καλὸν, καὶ πονηρὸν, ἐδέξατο δὲ τοῦ θανάτου τὸν ὅρον τὴν ἐντολὴν παραβὰς, εἰρωνικῶς τοῦτο εἴρηκεν ὁ τῶν ὅλων Θεὸς, δεικνὺς τῆς διαβολικῆς ἐπαγγελίας τὸ ψεῦδος.

ΓΕΝΝΑΔΙΟΥ. Λίαν τοῖς ῥήμασι τούτοις ὠδύνησε τὸν Ἀδὰμ, εἰς συναίσθησιν αὐτὸν, διὰ τοῦ ἐν αὐτοῖς ἤθους, μάλιστα τῆς ἀπάτης τοῦ ὄφεως, ἀγαγών· εἰπόντος, ἔσε-
» σθε ὡς Θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. τί γὰρ ἐνδεῖ λοιπὸν, φησὶ, τῷ Ἀδὰμ τούτων, ὧν προσεδόκησεν; αὐτοτελῆ τοῦ ὄφεως τὴν ἐπαγγελίαν ἐπὶ τῆς ἐκβάσεως τῶν ἔργων ἐδέξατο. ἰδοὺ γοῦν ἀκριβῶς μεμάθηκεν, ὅπως γέγονεν εἷς ἐξ ἡμῶν.

** ΑΘΑΝΑΣΙΟΥ. Τί ἐστιν, ὅτι ἰδοὺ
» Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν; Ἐλεγκτικῶς τὴν εἰκασίαν τοῦ Ἀδὰμ μεμφόμενος, λέγει ὁ Θεός· μὴ ὃ ἐνόμισας γενέσθαι, ἐγένετο; μὴ Θεὸς ἐγένου, καθὼς ὁ πονηρὸς εἶπέ σοι, καὶ ἐπλάνησέ σε; ἐπιθυμήσας γὰρ ὑψηλότερος γενέσθαι, εἰς τὸ ἧττον ἐξέπεσεν.

Καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ, καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα.

ΘΕΟΔΩΡΙΤΟΥ. Μεταλαβεῖν αὐτὸν τοῦ καρποῦ τοῦ ξύλου τῆς ζωῆς διεκώλυσεν, οὐ φθονῶν αὐτῷ τῆς ἀθανάτου ζωῆς, ἀλλὰ τῆς ἁμαρτίας ἐπέχων τὸν δρόμον. ἰατρεία τοίνυν ὁ θάνατος, οὐ τιμωρία ἐστίν. ἐπέχει γὰρ τῆς ἁμαρτίας τὴν ὁρμήν. ὁ
Ῥωμ. 6, 7. γὰρ ἀποθανὼν φησι, δεδικαίωται ἀπὸ τῆς
» ἁμαρτίας.

ΓΕΝΝΑΔΙΟΥ. Ἀλλὰ γὰρ ἐντεῦθεν φησιν ἀπίτω λοιπόν. οὐ γὰρ οἷόν τε παραβεβηκότα τὴν ἐντολὴν, καὶ τὸν θάνατον διὰ τῆς ἁμαρτίας ἐπισπασάμενον, ἔτι τοῦ ξύλου τῆς ζωῆς μετασχεῖν. τοῦτο μὲν γὰρ ἄνετος ἀθανάτων τροφὴ, ὁ δὲ ἀνάξιον ἑαυτὸν ἀπέφηνε τῆς ἀτελευτήτου ζωῆς.

ΑΚΑΚΙΟΥ. Οὐ δεῖ θαυμάζειν, εἰ διὰ τῶν αἰσθητῶν ξύλων ἀθανασία ἀνθρώποις ἐγένετο, καὶ γνῶσις καλοῦ, καὶ πονηροῦ· ὁπότε καὶ δι' αἰσθητοῦ ὕδατος ἄφεσις ἁμαρτιῶν δίδοται· καὶ ἄρτος αἰσθητὸς, καὶ οἶνος ἁγιάζει τοὺς μεταλαμβάνοντας αὐτόν. ἴδοι δέ τις καὶ δι' αἰσθητοῦ φαρμάκου, εἰ μὴ ζωὴν, ἀλλὰ θάνατον ἐγγινόμενον. ὅθεν οὐκ ἀπιστήσει τὶς καὶ ζωῆς αἰσθητὸν ὑπῆρχθαί ποτε ξύλον, οὗ διὰ τὴν παράβασιν μεταλαμβάνειν οὐκ ἠξιώθησαν. ὥσπερ δὲ
A θανάτου εἰσὶ τρόποι δύω, ὁ μὲν ψυχῆς, ὁ δὲ σώματος· οὕτω καὶ σώματος, καὶ ζωῆς ὁμοίως. καὶ τάχα τὸ μὲν νοητὸν ξύλον τῆς ζωῆς, τῇ ψυχῇ τὴν ἀθανασίαν παρέχει· τὸ δὲ αἰσθητὸν, τῷ σώματι.

ΑΔΗΛΟΥ. Ἐκώλυσε τὸν Ἀδὰμ φαγεῖν μετὰ τὴν παράβασιν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, ἵνα μὴ μένῃ τὰ τῆς φθορᾶς ἀθάνατα. διὸ καὶ ἐκβάλλει αὐτὸν πρὸς τὸ παρὸν, ἵνα μὴ τὴν χεῖρα ἐκτείνας, λα-
B βὼν φάγῃ, καὶ ζήσῃ εἰς τὸν αἰῶνα· οὐ γὰρ ἐφθόνει· λαβὼν γὰρ ἀπὸ τοῦ ἀπηγορευμένου ξύλου, ἅμα παρακοὴν, καὶ κακίαν ἀνείληφε. λαβεῖν δὲ ἐν τοῖς τοιούτοις ὄντα ἀπὸ τοῦ τῆς ζωῆς ξύλου ἐπὶ τῷ φαγόντα αὐτὸν ζῆν εἰς τὸν αἰῶνα, οὐδὲν ἄλλο ἦν, ἢ ἀθάνατον γενέσθαι τὸ κακόν. καὶ τοῦτο ἔλεγεν ὁ Ἑβραῖος.

κδ. Καὶ ἐξαπέστειλεν αὐτὸν Κύ-
Γ ριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἰδοὺ τὰς ἀποφάσεις αὐτοῦ εἰς ἔργον ἄγει, καὶ ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐξαγαγὼν, ἐργάζεσθαι τὴν γῆν αὐτὸν ποιεῖ, ἐξ ἧς ἐλήφθη· καὶ οὐχ ἁπλῶς εἶπεν ἐξ ἧς ἐλήφθη· ἀλλ' ἵνα διηνεκῆ τὴν ὑπόμνησιν ἔχῃ τῆς
Δ ταπεινοφροσύνης τὴν ἐργασίαν, καὶ εἰδέναι ἔχῃ ὡς ἐκεῖθεν αὐτῷ ἡ σύστασις, καὶ ἡ οὐσία τοῦ σώματος ἐκ τῆς γῆς ἐξ ἀρχῆς γεγένηται· ἐκείνην, φησὶν, ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς καὶ αὐτὸς συνέστη. τοῦτο γὰρ καὶ ἐν τῇ ἀποφάσει ἔλεγεν· ἐν ἱδρῶ-
» τι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου. τὸ αὐτὸ τοίνυν καὶ νῦν λέγει διὰ τοῦ εἰπεῖν,
» ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη.

E κε. Καὶ ἐξέβαλε τὸν Ἀδὰμ, καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Καταντικρὺ τοῦ παραδείσου διάγειν αὐτὸν προσέταξεν· ἵνα τῆς ἀλύπου βιοτῆς εἰς μνήμην ἐρχόμενος, μισῇ τὴν ἁμαρτίαν, ὡς πρόξενον τῆς ἐπιπόνου ζωῆς.

ΕΥΣΕΒΙΟΥ. Τῷ Ἀδὰμ ἡ παροίκησις
Z ἀντὶ τιμωρίας ἐδόθη· ἵνα ὁρῶν τὸν παράδεισον, ἀναμιμνήσκηται τῆς ἐκπτώσεως, καὶ τοὺς υἱοὺς ἀσφαλίζηται.

Καὶ ἔταξε τὰ Χερουβὶμ, καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.

ΕΥΣΕΒΙΟΥ. Οὐκοῦν ἡ τῆς φλογίνης
H ῥομφαίας ὅρασις, καὶ τὰ Χερουβὶμ τότε ἐχρησίμευσεν, ἕως ὅτε ἔζη ὁ Ἀδάμ.

ΓΕΝΝΑΔΙΟΥ. Τὰ δὲ Χερουβίμ εἰσι δυνάμεις ἀόρατοι. ταύτας, φησὶ, δεξαμένας τοῦ παραδείσου τὴν φυλακὴν χηματίζεσθαι

ζεσθαι εἰς ῥομφαίας ὄψιν φλογώδους τε καὶ ἀκινήτου, καὶ τῷ Ἀδὰμ τὴν εἴσοδον ἀποκλείειν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐχ ἁπλῶς προσέθηκε τὴν στρεφομένην· ἀλλ' ἵνα διδάξῃ ἡμᾶς, ὅτι πᾶσα ὁδὸς αὐτῷ ἀποτετείχισται, τῆς ῥομφαίας. ἐκείνης διὰ τοῦ στρέφεσθαι πάσας τὰς ἐκεῖ φερούσας ὁδοὺς ἀποφραττούσης, καὶ διηνεκῆ τὸν φόβον αὐτῷ, καὶ τὴν ὑπόμνησιν παρέχειν δυναμένης.

ΘΕΟΔΩΡΟΥ. Οὐκ ἀοράτους τινὰς δυνάμεις λέγει τὰ Χερουβὶμ ὥς τινες οἴονται· ἐπεὶ μηδὲ συνετέλει τι ἀόρατος φύσις ἐκεῖ, αἰσθητῆς ὄψεως ὀφειλούσης εἶναι τῆς τὸν Ἀδὰμ παιδευούσης. οὔτε οὖν ἡ φλογίνη ῥομφαία φύσις ἦν πυρὸς, ἀλλ' ὄψις τοιαύτη· οὐδὲ τὰ Χερουβὶμ ζῶα, ἀλλ' ὄψις τοιαύτη· ἐπεὶ καὶ Ἰεζεκιὴλ τετραπρόσωπα τὰ Χερουβὶμ ὁρᾷ. τετραπρόσωπα δὲ ἀόρατος φύσις οὐκ ἔστιν· ἀλλὰ Χερουβὶμ

A „ καλεῖ πᾶν τὸ δυνατόν· οὕτω λέγει, ὁ καθή- Ψαλ. 98. 1.
„ μενος ἐπὶ τῶν Χερουβὶμ, ἀντὶ τοῦ, ὁ δυ-
„ νατὸς βασιλεὺς ὤν· καὶ ἐπέβη ἐπὶ Χε- Ψαλ. 17. 10.
„ ρουβὶμ, καὶ ἐπετάσθη, ἀντὶ τοῦ, μετὰ πολ-
λῆς παρεγένετο τῆς δυνάμεως. τὸ οὖν ἔταξε τὰ Χερουβὶμ, ἵνα εἴπῃ δύναμίν τινα καὶ φοβερὰν ὄψιν καὶ μορφὴν, ὡσανεί τινῶν ζώων ἐπέστησε τῇ εἰσόδῳ τοῦ παραδείσου, ὥστε ἀπείργειν τὸν Ἀδάμ.

B ΔΙΔΥΜΟΥ. Ῥομφαία εἴρηται στρεφομένη· ἵνα στραφέντος ἀπὸ κακίας εἰς ἀρετὴν τοῦ ἀνθρώπου, καὶ αὐτὴ στραφῇ, τὴν εἴσοδον παρέχουσα. εἰ τοίνυν τῆς εἰσόδου τινὶ γένοιτο πόθος, διὰ τούτων χειραγωγεῖται· τῶν μὲν Χερουβὶμ, αἰνιττομένων τὴν γνῶσιν τῆς ἀληθείας, ἧς μετέχειν εἰκὸς τὸν εἰσιέναι βουλόμενον· ἑρμηνεύεται γὰρ πλῆθος γνώσεως· τῆς δὲ ῥομφαίας, τὴν ἐπίπονον ἀγωγήν. διὰ πολλῶν γὰρ θλί-
Γ ψεων τῆς εἰσόδου τῆς βασιλείας ἐστὶν ἐπιτυχεῖν.

ΚΕΦ. Δ.

α. Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ. καὶ συλλαβοῦσα, ἔτεκε τὸν Κάϊν. καὶ εἶπεν, ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι οὐχ ὡς οἱ πολλοὶ λέγουσιν, ὅτι ἐν τῷ παραδείσῳ ἐμίγη τῇ γυναικὶ ὁ Ἀδὰμ, καὶ διὰ τοῦτο ἐξεβλήθη τοῦ παραδείσου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μετὰ τὴν παρακοὴν, μετὰ τὴν ἔκπτωσιν τὴν ἐκ τοῦ παραδείσου, τότε τὰ τῆς συνουσίας ἀρχὴν λαμβάνει. πρὸ γὰρ τῆς παρακοῆς ἀγγελικὸν ἐμιμοῦντο βίον, καὶ οὐδαμοῦ συνουσίας λόγος.

** ΩΡΙΓΕΝΟΥΣ. Ὅρα δὲ, εἰ μὴ καὶ ἄλλως ἡ γραφὴ τοὺς ἀνακεκραμμένους τινὶ, καὶ ἑνωθέντας γινώσκειν ἐκεῖνό φησιν, ᾧ ἀνεκράθησαν, καὶ κεκοινωνήκασι· πρὸ δὲ τῆς τοιαύτης ἑνώσεως καὶ κοινωνίας, κἂν τοὺς λόγους καταλαμβάνωσι περί τινος, οὐ γινώσκουσιν ἐκεῖνο. ὁ γοῦν Ἀδὰμ περὶ τῆς
Εὔας λέγων, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων-
„ μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου, οὐκ ᾔδει
„ τὴν γυναῖκα. ὅτε γὰρ αὐτῇ ἐκολλήθη, τό-
„ τε εἴρηται· ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυ-
„ ναῖκα αὐτοῦ.

** ΒΑΣΙΛΕΙΟΥ. Ὁ εἰπὼν ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ, οὐχὶ κτίσας τὸν Κάϊν, ἀλλὰ γεννήσας, ταύτῃ φαίνεται χρησάμενος τῇ φωνῇ.

β. Καὶ προσέθηκε τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ.

ΦΙΛΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ. Διδύμους αὐτοὺς εἶναι ἀπὸ μιᾶς συλλήψεως. διό φησι
„ πρόσκειται τῷ, ἔτεκε Κάϊν, καὶ προσέ-
„ θηκε τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ Ἄβελ.

Δ ** ΚΥΡΙΛΛΟΥ. Ἀλλ' ὁ μὲν Κάϊν προεπήδα χρόνῳ τῷ κατὰ γένεσιν, εἵπετο δὲ, καὶ ἦν μετ' αὐτὸν ὁ Ἄβελ.

Καὶ ἐγένετο Ἄβελ ποιμὴν προβάτων· Κάϊν δὲ ἦν ἐργαζόμενος τὴν γῆν.

** ΚΥΡΙΛΛΟΥ. Καὶ ὁ μὲν Κάϊν ἡσθεὶς, οἶμαί που, χλοηφορούσῃ τῇ γῇ, καὶ πολὺ δὴ λίαν εὔξυλόν τε καὶ εὐερνεστάτην ὁρῶν, καὶ καρποῖς ὡραίοις πεποικιλμένην, δεῖν ᾠή-
E θη ταῖς ἐπιεικείαις ἀποφαίνειν ἡμερωτέραν τῶν ὁρωμένων τὴν ὄψιν. Καὶ μετ' ὀλίγα. Ἐδίδου δὲ αὐτῷ ἴσως ἡ φύσις τὸ εἰδέναι καὶ ταῦτα, καὶ θεῖος εἰς νοῦν καὶ ἀπόρρητος νόμος ἐνεχάραττέ που τὴν ὧν ἂν ἕλοιτο γνῶσιν. ἀλλὰ ταυτὶ μὲν ὁ Κάϊν ἀηδῆς ἠξίωτο καὶ πόνων. Ἄβελ δὲ ὁ σοφὸς τὸν ἐπὶ ξύλοις ἱδρῶτα, καὶ σκαπάνῃ μεθεὶς, καὶ μὴν καὶ ἅρπης οὐκ ἀνεχόμενος, ἀγέλαις οἰῶν ἐπετρέπετο. παρεκόμιζον δὲ
Z ἴσως εἰς τοῦτο γνώμης αὐτὸν, ἀρνειοὶ μὲν μητράσι λεπτὸν ὑπηχοῦντες ἔτι, καὶ μόλις ἀναβληχώμενοι, ἁπαλοῖς δὲ καὶ νεοπαγέσι ποσὶν ἐνανθεῖ πόᾳ βραχὺ διασκαίροντες· καὶ μὴν ἐπὶ τοῦτο καὶ αἱ μηκάδες αἶγες, τὰ ὑψηλότατα τῶν πετρῶν ἀμογητὶ διαθρώσκουσαι. ψήφῳ δὲ, οἶμαι, παγκάλῃ τὴν ποιμενικὴν στεφανοῦν ἠξίου σοφὸς ὢν ἄγαν, τῆς ἐπ' ἀνθρώποις ἡγεμονίας προμελέτησιν ὥσπερ τινὰ τὸ χρῆμα τιθεὶς,
H ὧδέ τε ἔχειν ἡγούμενος· λαῶν ποιμένας τοὺς ἐθνῶν, ἢ πόλεων, ἢ δήμων προεστηκότας ὀνομάζειν ἔθος καὶ αὐτῇ τῇ Γραφῇ τῇ θεοπνεύστῳ, καὶ τοῖς Ἑλλήνων λογάσι.

γ. Καὶ ἐγένετο μεθ' ἡμέρας ἤνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ Κυρίῳ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει πῶς τῷ συνειδότι τὴν γνῶσιν ἀπέθετο τῆς φύσεως ὁ δημιουργός. τίς γάρ, εἰπέ μοι, τοῦτον ὡδήγησε πρὸς τὴν τοιαύτην ἔννοιαν; οὐδεὶς ἕτερος, ἀλλ' ἡ ἐν τῷ συνειδότι γνῶσις. » Ἤνεγκε, φησὶν, ἀπὸ τῶν καρπῶν τῆς γῆς » θυσίαν τῷ Κυρίῳ. ᾔδει γὰρ καὶ ἠπίστατο, ὅτι προσήκει καθάπερ δεσπότῃ ἐκ τῶν οἰκείων κλημάτων προσάγειν τι τῶν γενῶν.

δ. Καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν.

ΑΔΗΛΟΥ. Τὰ κρείττονα, καὶ τιμιώτερα, ὡς καὶ Νῶε.

** ΚΥΡΙΛΛΟΥ. Ἄγει δὴ οὖν ὁ μὲν ἱερός τε καὶ πάνσοφος Ἄβελ τὰ τῆς ἀγέλης ἀπόλεκτα, καὶ ἀριστίνδην ἐγκεκριμένα. » Ἤνεγκε γὰρ, φησὶν, ἀπὸ τῶν πρωτοτόκων » τῶν ἀμνῶν, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν, τουτέστι τὰ προὔχοντα καὶ ἐξαίρετα. καὶ τὸν τῆς ἱερουργίας οὐκ ἀγνοήσας τρόπον, παρετίθει τὰ στέατα. Κάϊν δὲ οὐχ οὕτω, πολὺ δὲ λίαν ἀτημελῶς. τὰ μὲν γὰρ ὅτι μάλιστα τῶν ὡρίμων ἐκπρεπῆ, ταῖς ἰδίαις ἐχαρίζετο τρυφαῖς, ἐλύπει δὲ τοῖς δευτέροις τὸν ἐπὶ πάντων Θεόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει πῶς ἡμῖν αἰνίττεται τὸ φιλόθεον τούτου τῆς γνώμης, καὶ ὅτι οὐχ ἁπλῶς ἀπὸ τῶν προβάτων προσήνεγκεν, ἀλλ' ἀπὸ τῶν πρωτοτόκων, τουτέστιν ἀπὸ τῶν τιμίων, τῶν ἐξαιρέτων· εἶτα καὶ αὐτῶν τούτων τῶν πρωτοτόκων πάλιν τὰ τιμιώτερα, καὶ ἀπὸ τῶν στεάτων, φησὶν, αὐτῶν τῶν εὐσαρκεστέρων, τῶν τιμιωτέρων. ἐπὶ δὲ τοῦ Κάϊν οὐδὲν τοιοῦτον ἐπεσημήνατο, ἀλλ' ὅτι προσήνεγκεν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν, ὡς ἂν εἴποι τις τὰ τυχόντα, οὐδεμίαν σπουδὴν, οὐδὲ ἀκρίβειαν ἐπιδειξάμενος.

ε. Καὶ ἐπεῖδεν ὁ Θεὸς ἐπὶ Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ. Ἐπὶ δὲ Κάϊν, καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι καὶ ἐπεῖδεν; Ἀντὶ τοῦ ἀπεδέξατο, ἐπῄνεσε τὴν γνώμην, ἐστεφάνωσε τὴν προαίρεσιν, ἠρέσθη, ὡς ἂν εἴποι τις τῷ γεγονότι. » Καὶ μετ' ὀλίγα. Τὸ, ἐπεῖδεν ἐπὶ Ἄβελ, καὶ » ἐπὶ τοῖς δώροις αὐτοῦ, ἐπὶ δὲ Κάϊν καὶ ἐπὶ » ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε, θεοπρεπῶς νοῶμεν. βούλεται γὰρ εἰπεῖν, ὅτι τοιαύτην αὐτοῖς γνῶσιν ἐνέθηκεν, ὅτι τοῦ μὲν ἠρέσθη τῇ προαιρέσει, τοῦ δὲ ἀπεσείσατο τὴν ἀγνωμοσύνην.

A » ΓΕΝΝΑΔΙΟΥ. Καὶ ἐπεῖδεν ὁ Θεὸς ἐπὶ » Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ. ἐπὶ δὲ » Κάϊν, καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε. Τοῦτό τινες ἐζητήκασιν, ὅτου χάριν ὁ Προφήτης τὴν χρῆσιν τῶν ὀνομάτων ἐνήλλαξε· θυσίαν μὲν, τὴν τῶν καρπῶν προσκομιδήν· δῶρον δὲ, τὴν τοῦ ἀρνίου προσειπών. Ἐμοὶ μὲν οὖν οὐδέν τι δοκεῖ διαφέρειν, ἀλλὰ συνήθως κατὰ τὸ τῆς Γραφῆς ἰδίωμα διωρίσθαι, ἕν τι καὶ ταὐτὸν ὄντα τὰ συναμφότερα, καθώς που καὶ Παῦλος λέγει

B » αὐτὰ συναριθμῶν· εἰς τὸ προσφέρειν δῶ- 'Εβρ. 5. 1.

» ρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν. ἅς μέντοι ταύτου τινὲς αἰτίας εἰρήκασιν, αἵδε εἰσί. μία μὲν, ἐπειδὴ μήπω τότε τὰ ζῶα, φησὶ, κατεσφάττετο· δευτέρα δὲ, ὅτι ἔθος τῇ θείᾳ Γραφῇ δι' αἰνιγμάτων τὰ μέλλοντα προδηλοῦν. ἐπειδὴ τοίνυν ἔμελλε, φησὶ, νομοθετεῖν περὶ θυσιῶν, εἶτα πάλιν αὐτὰς καταργεῖν, εἰκότως τὴν οὐ δεχθεῖσαν

Γ τοῦ Κάϊν προσφορὰν, θυσίαν ὠνόμασεν. ὅτι δὲ ψυχρὸς, καὶ μειρακιώδης οὗτος ὁ λόγος, αὐτόθεν δῆλον. θυσίαν γοῦν καὶ τὸν σωτήριον τοῦ Κυρίου ὀνομάζει σταυρόν·

» ἐπὶ συντελείᾳ γὰρ τῶν αἰώνων εἰς ἀθέτη- 'Εβρ. 9. 26.

» σιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφα- » νέρωται· καίτοι πῶς ἂν ἀληθοῦς ὄντος ἐκείνου τοῦ λόγου, τῷ αὐτῷ τὸν τοῦ Κυρίου θάνατον ὀνόματι προσηγόρευσε;

Δ ΚΥΡΙΛΛΟΥ. Οὐκοῦν ἐπὶ μὲν δώροις τοῖς τοῦ Ἄβελ πῦρ καθιεὶς οὐρανόθεν, δαπανᾶσθαι κατεσκεύασε τὰ ἱερωμένα. ἐπὶ » δὲ Κάϊν, καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ, οὐ προσέσχε φησίν. οὐ γὰρ τὸ συνῆθες ἐπηφίει πῦρ τοῖς δώροις τοῖς προσενηνεγμένοις.

Καὶ ἐλύπησε τὸν Κάϊν λίαν, καὶ συνέπεσε τὸ πρόσωπον αὐτοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ ἐλυπήθη Κάϊν, μὴ

Ε δεχθέντων τῶν παρ' αὐτοῦ προσενεχθέντων, δῆλον ὅτι μετεμελήθη. τῶν γὰρ μεταμελουμένων ἡ λύπη. Ἠνίασεν αὐτὸν οὐχ ἡ αὐτοῦ πλημμέλεια, ἀλλ' ἡ τοῦ ἀδελφοῦ εὐπραξία. τοῦτο γὰρ καὶ ὁ Ἀκύλας ἠνίξατο· ἔφη δὲ οὕτω· » καὶ ὀργίλον τῷ Κάϊν, » καὶ ἔπεσε τὸ πρόσωπον αὐτοῦ. καὶ εἶπε » Κύριος πρὸς Κάϊν εἰς τί ὀργίλον σοι; (1)

Z ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Διπλᾶ τὰ τῆς λύπης αὐτῷ γέγονεν· οὐχ ὅτι αὐτὸς μόνος ἀπόβλητος γέγονεν, ἀλλ' ὅτι καὶ τὸ τοῦ ἀδελφοῦ δῶρον προσεδέχθη.

ς. Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ Κάϊν, ἵνα τί περίλυπος ἐγένου; καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ γὰρ εἶδεν αὐτὸν πολιορκούμενον, ὡς εἰπεῖν, ὑπὸ τοῦ τῆς βασκανίας πάθους, ὅρα πῶς τὴν

Η οἰκείαν ἀγαθότητα μιμούμενος, κατάλληλα αὐτῷ τὰ φάρμακα ἐπιτίθησιν· ὥστε ταχέως αὐτὸν ἀνιμήσασθαι, καὶ μὴ ὑποβρύχιον

(1) Εἰς τί τὸ ὀργίλον σοι; ἡ ὦ χάλ. ἐκδ.

» βρύχιον γενέσθαι. ἵνα τί περίλυπος ἐγέ-
» νου; καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου;
τίνος ἕνεκεν, φησὶ, τοσαύτη λύπη κατε-
σχέθης, ὡς καὶ διὰ τοῦ προσώπου δεικνύναι
τῆς ἀθυμίας τὸ μέγεθος;

**ζ. Οὐκ ἂν ὀρθῶς προσενέγκης,
ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύ-
χασον. πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ.
καὶ σὺ αὐτοῦ ἄρξεις.**

ΑΔΗΛΟΥ. Θεῷ μὲν γὰρ καὶ δεσπότῃ
προσενέγκας, ὀρθῶς ἐποίησας· τὸ δὲ μὴ
κρείττονα τῶν ὄντων, ἥμαρτες. μὴ οὖν
προσθῇς ἁμαρτίαν ἐπὶ ἁμαρτίαν.

** ΒΑΣΙΛΕΙΟΥ. Εἰ εὐπρόσδεκτόν ἐστι
τῷ Θεῷ τὸ ἔργον τῆς ἐντολῆς, μὴ ἀκολού-
θως κατ' ἐντολὴν τοῦ Θεοῦ γινόμενον. Τού-
του τοῦ ἐρωτήματος σαφήνειαν καὶ ὥσπερ
κανόνα τινὰ καλὰ παντὸς τοῦ τοιούτου πράγ-
ματος παιδευόμεθα, παρὰ μὲν τῆς πα-
λαιᾶς διαθήκης, ὡς ἐκ προσώπου τοῦ Θεοῦ
» λεγούσης, ἐὰν ὀρθῶς μὲν προσενέγκῃς, ὀρ-
» θῶς δὲ μὴ διέλῃς, ἥμαρτες, ἡσύχασον·
» πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ. ὡς μὴ μόνον
ἀπρόσδεκτον εἶναι τὸ προσενεχθὲν μὴ νο-
μίμως, ἀλλὰ καὶ εἰς ἁμαρτίαν λογισθῆναι
τῷ οὕτω προσενέγκαντι.

** ΤΟΥ ΑΥΤΟΥ. Πᾶν ὅπερ ἄντις
κατὰ τὸ ἴδιον θέλημα ποιεῖ, τοῦτο τοῦ μὲν
ποιοῦντός ἐστιν ἴδιον, τῆς δὲ θεοσεβείας ἀλ-
λότριον· καὶ φόβος μήποτε ἀκούσῃ παρὰ
» τοῦ Θεοῦ περὶ οὗ δοκεῖ ποιεῖν, πρὸς σὲ ἡ ἀπο-
» στροφὴ αὐτοῦ· καὶ σὺ ἄρξεις αὐτοῦ.

** ΑΘΑΝΑΣΙΟΥ. Τί ἐστι τὸ, πρὸς σὲ
ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ;
Τοῦ προσενεχθέντος δώρου εἶπεν ὁ Θεὸς τῷ
Κάϊν, ὅτι αὐτοῦ τοῦ δώρου, οὗ προσήγαγες
προσγενήσεταί σοι ἡ ἀποστροφὴ αὐτοῦ, καὶ
σὺ ἐξουσιάζεις αὐτοῦ. ὡς θέλεις ποίησον.
ἐγὼ γὰρ αὐτὸ οὐ προσεδεξάμην.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὸ μὲν γὰρ εἰς
ἔννοιαν ἐλθεῖν τοῦ προσενεγκεῖν, ἐπαινε-
τόν· τὸ δὲ μὴ ὀρθῶς διελεῖν, τοῦτο τὴν
ἀποβολὴν εἰργάσατο τοῦ προσενεχθέντος.
ἔδει γὰρ Θεῷ προσάγοντα πολλὴν ἐπιδεί-
ξασθαι περὶ τὴν διαίρεσιν τὴν ἀκρίβειαν.
καὶ ὅσον ἐστὶ τὸ μέσον τοῦ δεχομένου καὶ προ-
σάγοντος, τοσαύτην ποιήσασθαι καὶ ἐν τῇ
διαιρέσει τὴν διαφοράν. Καὶ μεθ' ἕτερα. Ἥ-
μαρτες, ἡσύχασον· μὴ νομίσῃς, φησὶν,
εἰ καὶ ἀπεστράφην σου τὴν θυσίαν διὰ τὴν
οὐκ ὀρθὴν γνώμην, καὶ εἰ τὸ τοῦ ἀδελφοῦ
δῶρον προσεδεξάμην διὰ τὴν ὑγιῆ προαί-
ρεσιν, ὅτι τῶν πρωτείων σε ἀποστερῶ, καὶ
τῆς ἀξίας τῶν πρωτοτόκων ἐκβάλλω. εἰ
γὰρ καὶ τῆς παρ' ἐμοῦ τιμῆς ἠξίωται, καὶ
εὐπρόσδεκτα αὐτοῦ γέγονε τὰ δῶρα, ἀλλὰ
» πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις
αὐτοῦ. ὥστε καὶ μετὰ τὴν ἁμαρτίαν ταύ-
την ἔχειν σε συγχωρῶ τὰ προτερήματα
τῆς πρωτοτοκίας. κἀκεῖνον ὑπὸ τὴν σὴν
ἐξουσίαν εἶναι κελεύω. καὶ ὑπὸ τὴν ἀρχὴν
τὴν σήν. Καὶ μεθ' ἕτερα. Εἰσί τινες λέγον-

A τες, ὅτι περὶ τῆς θυσίας τῆς προσενεχ-
θείσης παρ' αὐτοῦ ὁ Θεὸς πρὸς αὐτὸν δι-
» ελέχθη τὰ τοιαῦτα, ὅτι πρὸς σὲ ἡ ἀποστρο-
» φὴ, φησὶ, τοῦ δώρου, καὶ σὺ ἄρξεις αὐτοῦ,
ἀντὶ τοῦ, σὺ αὐτοῦ ἀπολαύσεις. διὰ τοῦτο
οὖν ἀμφότερα εἰπὼν, καταλιμπάνω τῇ ὑμε-
τέρᾳ συνέσει· ἵνα ὅπερ ἂν ἀκολουθότερον
ἡμῖν φανῇ, δέξησθε καὶ αὐτοὶ τοῦτο. ἐμοὶ γὰρ
δοκεῖ περὶ τοῦ ἀδελφοῦ εἰρῆσθαι τοῦτο.

B ΑΔΗΛΟΥ. Τὸ ὑπὸ τοῦ Θεοῦ εἰρημένον
» πρὸς τὸν Κάϊν, πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ,
» καὶ σὺ ἄρξεις αὐτοῦ, διπλῆν ἔχει τὴν ἔννοιαν.
ἢ γὰρ περὶ τῆς προσφορᾶς αὐτῆς εἴρηται,
τουτέστιν, ἕξεις αὖθις σὺ τὰ σαυτοῦ, καὶ οὐ
λήψεται τούτων Ἄβελ οὐδέν· ἢ καὶ περὶ τοῦ
Ἄβελ τυχὸν, ἀντὶ τοῦ, καὶ νῦν οὐδὲν ἧτ-
τον ὑπερέχων αὐτοῦ τοῖς πρωτοτοκίοις δια-
μενεῖς.

ΑΔΗΛΟΥ. Χρὴ γινώσκειν, ὅτι ὁ μα-
Γ κάριος Κύριλλος οὕτως εἶπεν εἰρῆσθαι πα-
ρὰ τοῦ Θεοῦ· πρὸς μὲν τὸν Κάϊν, ἥμαρτες;
ἡσύχασον· πρὸς δὲ τὸν Ἄβελ, πρὸς σὲ
ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ.
ταῦτα τίθησιν ἐν τοῖς γλαφυροῖς.

**η. Εἶπε δὲ Κάϊν πρὸς Ἄβελ τὸν
ἀδελφὸν αὐτοῦ, ἐξέλθωμεν δὴ εἰς
τὸ πεδίον.**

Δ * ΚΥΡΙΛΛΟΥ. Παρ' οὐδενὶ τῶν λοι-
πῶν κεῖται τὰ ῥήματα τοῦ Κάϊν τὰ πρὸς
Ἄβελ· ἀλλ' οὐδὲ παρ' Ἑβραίοις· ἀλλ' ἐν
ἀποκρύφῳ φασί. παρὰ δὲ τοῖς ἑβδομή-
κοντα κεῖται. ἔχει δὲ αὐτὰ καὶ τὸ Σα-
μαρειτικόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὰ μὲν ῥήμα-
τα, ἀδελφοῦ· ἡ δὲ γνώμη, φονική.

**Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς
E ἐν τῷ πεδίῳ, ἀνέστη Κάϊν ἐπὶ Ἄβελ
τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν
αὐτόν.**

ΑΔΗΛΟΥ. Ἰσχυρότερον τῆς θείας πα-
ραινέσεως γέγονε τὸ πάθος τοῦ φθόνου.

ΘΕΟΔΩΡΗΤΟΥ. Τί δήποτε τοῦ Ἀδὰμ
ἡμαρτηκότος, ὁ δίκαιος ἐτελεύτησε πρῶ-
τος; Σαθρὸν ἠβουλήθη ὁ Θεὸς γενέσθαι
τὸν τοῦ θανάτου θεμέλιον. εἰ γὰρ Ἀδὰμ
Z πρότερος ἐτελεύτησεν, εἶχεν ἂν ἐκεῖνος
ἰσχυρὰν τὴν κρηπῖδα, πρῶτον νεκρὸν τὸν
ἡμαρτηκότα δεξάμενος. ἐπειδὴ δὲ τὸν ἀδί-
κως ἀνῃρημένον ἐδέξατο πρῶτον, σφαλε-
ρὸν τὸ θεμέλιον ἔχει.

**θ. Καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς
Κάϊν, ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου;
καὶ εἶπεν, οὐ γινώσκω. μὴ φύλαξ τοῦ
ἀδελφοῦ μου εἰμὶ ἐγώ;**

H ΒΑΣΙΛΕΙΟΥ. Ἐπεφάνη ὁ ἰατρὸς, ἵνα
προσφύγῃ αὐτῷ ὁ ἀσθενής. ὁ δὲ οὐ μόνον
κρύπτει τὸ ἕλκος, ἀλλὰ καὶ ἕτερον προ-
σεργάζεται τῷ φόνῳ τὸ ψεῦδος.

ΤΟΥ

ΤΟΥ ΑΥΤΟΥ. Οὐ μαθεῖν βουλόμενος ἐρωτᾷ, ἀλλὰ μετανοίας αὐτῷ ἀφορμὴν παρεχόμενος.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἄγνοιαν προσποιεῖται ὁ φιλάνθρωπος δεσπότης, ἵνα διὰ τῆς ἐρωτήσεως παρασκευάσῃ τὸν τὰ τοιαῦτα εἰργασμένον ἐπειχθῆναι πρὸς τὴν ὁμολογίαν τοῦ πλημμελήματος, καὶ δυνηθῇ συγγνώμης τινὸς ἴσως καὶ φιλανθρωπίας ἐπιτυχεῖν. Καὶ μετ᾽ ὀλίγα. Καὶ εἶπε, φησὶν, οὐ γινώσκω. μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ; εἰνόει μοι ἐνταῦθα τοῦ συνειδότος τὴν κατηγορίαν, καὶ ὅπως ὠθούμενος, ὡς εἰπεῖν, ὑπὸ τῆς συνειδήσεως, οὐκ ἔστη μέχρι τοῦ εἰπεῖν, οὐ γινώσκω· ἀλλ᾽ ἐπήγαγε, μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ; μονονουχὶ ἑαυτὸν ἐλέγχων. καίτοι εἴ σοι κατ᾽ ἀκολουθίαν ἅπαντα ἐπέπρακτο, καὶ κατὰ τὸν τῆς φύσεως νόμον, ἐχρῆν σε καὶ φύλακα εἶναι τῆς τοῦ ἀδελφοῦ σωτηρίας.

ι. Καὶ εἶπεν ὁ Θεὸς, τί τοῦτο ἐποίησας; Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς.

✱ ΠΡΟΚΟΠΙΟΥ. Τὴν φανέρωσιν λέγει, ὡς καὶ ἑτέρωθι. Ἰακ. 5. 4. ἰδοὺ ὁ μισθὸς τῶν ἐργατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν, ὁ ἀπεστερημένος ὑφ᾽ ὑμῶν κράζει. δυνατὸν δὲ καὶ τὸ αἷμα, ἀντὶ τῆς ψυχῆς ἐνταῦθα εἰρῆσθαι.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς· μὴ γάρ φησιν εἰς ξένον καὶ ἀλλότριον τὴν παρανομίαν ταύτην εἰργάσω; εἰς τὸν ἀδελφὸν τὸν σὸν, τὸν οὐδὲν ἠδικηκότα.

✱✱ ΚΥΡΙΛΛΟΥ. Τὸ μὲν αἷμα τοῦ Ἄβελ, μόνον τάχα που καλακεκράγει τοῦ φονεύσαντος· τὸ δέ γε τίμιον αἷμα τοῦ Χριστοῦ κατακέκραγε μὲν καὶ τῆς τῶν Ἰουδαίων ὠμότητος καὶ ἀχαριστίας· ἐξῆρε δὲ τὸν κόσμον τῆς ἁμαρτίας, ὡς κεχυμένον ὑπὲρ αὐτοῦ. τοιγάρτοι φησὶν ὁ θεσπέσιος Παῦλος προσεληλυθεῖν ἡμᾶς τοὺς ἐν πίστει δεδικαιωμένους, Ἑβρ. 12. 24. αἵματος ῥαντισμῷ, κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ.

ια. Καὶ νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου.

✱✱ ΑΘΑΝΑΣΙΟΥ. Διατί τῷ μὲν Κάϊν κατηράσατο ὁ Θεὸς, λέγων· ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς· ἐπὶ δὲ τοῦ Ἀδὰμ, τῇ γῇ ἐπέθετο τὴν κατάραν, εἰπών· ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου; Ὅτι ὁ μὲν Κάϊν ἠρνήσατο τὸν Θεὸν, κρύψας τὸ ἁμάρτημα· διὸ καὶ μείζονα τὴν καταδίκην εἰργάσατο· ὁ δὲ Ἀδὰμ ὁμολογήσας, τὴν πολλὴν ἐξ αὐτοῦ ἀπώσατο τιμωρίαν. ὁ γὰρ τὰ ἑαυτοῦ πλαίσματα ἐξομολογησάμενος, ἐπιτυγχάνει ἀφέσεως.

A ιβ. Ὅτι ἐργᾷ τὴν γῆν, καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Ἐργᾷ τὴν γῆν· τουτέστι κατατεινόμενος τοῖς ἔργοις τοῖς γεηπονικοῖς, οὐδένα χρόνον ἀνήσεις, οὔτε νυκτὸς, οὔτε ἡμέρας, ἐκλυόμενος ἐκ τῶν πόνων, ἀλλὰ δεσπότου τινὸς πικροῦ χαλεπωτέραν ἔχων τὴν ἄρρητον ἀνάγκην, ἐπὶ τὰ ἔργα σε διεγείρουσαν. **B** καὶ οὐ προσθήσει δοῦναι τὴν ἰσχὺν αὐτῆς. καίτοι εἰ καὶ τὸ τῆς ἐργασίας ἄπαυστον εἶχέ τινα καρπὸν, αὐτὸς ὁ πόνος οὐ μετρία βάσανος ἦν τῷ ἀεὶ κατατεινομένῳ, καὶ κοπιῶντι. ἐπειδὴ δὲ καὶ ἐργασία ἄπαυστος, καὶ ἄκαρπος ἡ περὶ γῆν ταλαιπωρία (οὐ γὰρ ἐδίδου τὴν ἰσχὺν) τρίτη αὕτη ἐστὶ τιμωρία ἡ ἀκαρπία τῶν πόνων.

Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς **Γ** γῆς.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ὁ Ἑβραῖος, καὶ ὁ Σύρος, σαλευόμενος, καὶ ἀκαταστατῶν, τουτέστι μὴ μένων ἐν ἑνὶ τόπῳ.

ιγ. Καὶ εἶπε Κάϊν πρὸς Κύριον τὸν Θεὸν, μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, τοῦτο μέγα ἐστὶ **Δ** τὸ ἁμάρτημά μου, ὅτι ὑπερβαίνει τοῦ αἰτῆσαι, καὶ λαβεῖν συγγνώμην.

ιδ. Καὶ εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Τί ἐστι τὸ, εἰ ἐκβάλλεις με ἀπὸ τῆς γῆς; Τουτέστιν εἰ χωρίζεις με τῆς ἀπ᾽ αὐτῆς ὠφελείας· **E** οὐ γὰρ μετετίθετο ἐφ᾽ ἕτερον τόπον, ἀλλ᾽ ἠλλοτριοῦτο τῶν ἀπ᾽ αὐτῆς καλῶν· καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι. ἡ βαρυτάτη κόλασις τοῖς εὐφρονοῦσιν ὁ ἀπὸ Θεοῦ χωρισμός.

Καὶ ἔσται πᾶς ὁ εὑρίσκων με, ἀποκτενεῖ με.

ΑΔΗΛΟΥ. Εἰ ἐν προσκρούσει γεγονὼς, **Z** ἔξω μέλλω τῆς σῆς εἶναι ῥοπῆς, διάλυσόν μοι φόνῳ τὸν φόνον, καὶ ἀποκτανθῶ κἀγὼ, καὶ συγχώρησόν μοι τὴν ἁμαρτίαν τοῦ φόνου.

ΑΔΗΛΟΥ. Τὸ δὲ πᾶς ὁ εὑρίσκων με ἀποκτενεῖ με ὑπὸ τοῦ Κάϊν ῥηθὲν, περὶ ἀνθρώπων οἰκειότερον ἂν νοηθείη, γεγεννημένων, ὡς εἰκὸς ἤδη, καὶ ἄλλων τῷ Ἀδὰμ, ὅθεν ἔσχεν, οἶμαι, καὶ ὁ Κάϊν γυναῖκα. πόθεν γὰρ ἄλλοθεν; **H** οὐ μὴν περὶ θηρίων ὥς τινες ἔφασαν τὴν βλάβην αὐτὸν ἐκβαλλόμενον τῆς Ἐδὲμ ὑφορᾶσθαι.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Εἰκάζει ἐκ τοῦ ἀκολούθου τῶν πραγμάτων. εἰ ἀπὸ τῆς γῆς ἐκβέ-

A ἐκβέβλημαι, εἰ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, λείπεται ἀπὸ παντὸς ἀναιρεῖσθαι.

ιε. Καὶ εἶπεν αὐτῷ Κύριος ὁ Θεός, οὐχ οὕτω.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Ἐλέγχει αὐτῷ τὸ σφάλμα ὁ λόγος, λέγων οὐχ οὕτω, τουτέστιν οὐκ ἀναιρεθήσῃ· κέρδος δὲ τοῖς κολαζομένοις ὁ θάνατος, ἀπαλλαγὴν φέρων τῶν λυπηρῶν· ἀλλὰ παραταθήσῃ τῷ B βίῳ, ἵνα κατ' ἀξίαν τῶν ἡμαρτημένων ἀντιμετρηθῇ καὶ τὰ κολαστήρια.

Πᾶς ὁ ἀποκτείνας Καΐν ἑπτὰ ἐκδικούμενα παραλύσει.

ΚΥΡΙΛΛΟΥ. Ἑπτὰ τίθησιν, ἀντὶ τοῦ πολλά· δηλοῖ δὲ τελείαν τιμωρίαν. ἐπείπερ ὁ ἑπτὰ ἀριθμὸς τέλειός ἐστιν.

ΩΡΙΓΕΝΟΥΣ. Οὐ διεῖλεν ὀρθῶς; τῆς Γ θείας νομοθεσίας κατεφρόνησεν, ἀπέκτεινεν ἀδελφόν· ἀπέκτεινε, πρὸς τούτῳ καὶ διεψεύσατο, θάνατον ἡγήσατο ἐν ἀποδοκιμήσει ζωῆς καὶ μετανοίας.

ΒΑΣΙΛΕΙΟΥ. Ἐκδικούμενα δὲ, εἴτε τὰ παρὰ τοῦ Καΐν ἡμαρτημένα λέγων, εὑρήσεις ἑπτὰ, εἴτε τὰ παρὰ τοῦ κριτοῦ ἐπ' αὐτῷ ὁρισθέντα, καὶ οὕτως οὐκ ἀποτεύξῃ τῆς ἐννοίας. ἐν μὲν τοῖς παρὰ τοῦ Καΐν τετολμημένοις πρῶτον ἁμάρτημα, φθόνος ἐπὶ Δ τῇ προτιμήσει τοῦ Ἄβελ· δεύτερον δὲ, δόλος, μεθ' οὗ διελέχθη τῷ ἀδελφῷ, εἰπών, διέλθωμεν εἰς τὸ πεδίον· τρίτον, φόνος, προσθήκη τοῦ κακοῦ· τέταρτον, ὅτι καὶ ἀδελφοῦ φόνος, μείζων ἡ ἐπίτασις· πέμπτον, ὅτι καὶ πρῶτος φονεύει ὁ Καΐν, πονηρὸν ὑπόδειγμα τῷ βίῳ καταλιπών· ἕκτον ἀδίκημα, ὅτι γονεῦσι πένθος ἐνεποίησεν· ἕβδομον, ὅτι Θεὸν ἐψεύσατο. ἐρωτηθεὶς E γὰρ ποῦ Ἄβελ ὁ ἀδελφός σου; εἶπεν, οὐκ οἶδα. ἑπτὰ οὖν τὰ ἐκδικούμενα παρελύετο ἐν τῷ ἀναιρεθῆναι τὸν Καΐν. Καὶ μετ' ὀλίγα. Νῦν ζητοῦμεν εἰ ἑπτά εἰσι τὰ εἰς κόλασιν αὐτῷ ἐπαγόμενα. Καὶ μετ' ὀλίγα. Ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, μία κόλασις· ἐργᾷ τὴν γῆν, δευτέρα αὕτη· καὶ οὐ προσθήσει δοῦναί σοι τὴν ἰσχὺν αὐτῆς, τρίτη αὕτη· στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς, δύο προσέθηκεν ἄλλας ταῖς τρισίν· ἄλλη Z τιμωρία, ἣν αὐτὸς ἀπεκάλυψεν ὁ Καΐν, εἰπών, εἰ ἐκβάλλεις με νῦν ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι. καὶ πάλιν· καὶ ἔθετο Κύριος σημεῖον εἰς αὐτὸν, ἑβδόμη αὕτη τιμωρία, τὸ μὴ διακρύπτεσθαι τὴν τιμωρίαν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ποῖά εἰσι τὰ ἑπτὰ ἐκδικούμενα; τουτέστι διὰ τὸ ἑπτὰ ἐκδικήσεις ζητητέον. καὶ διατὶ ἑπτὰ ἐκδικήσεις ζητητέον, καὶ διατὶ ἑπτὰ ὑπὲρ ἑνὸς φόνου. H Ὅτι καὶ τὰ ἁμαρτήματα τοσαῦτα ἦν. τὰ γὰρ ἀπὸ γῆς προσάγων τῷ Θεῷ, ὕβρισεν ὅτι μὴ διέκρινε, δέον τὰ ἐκλεκτὰ προσαγαγεῖν· ἐλυπήθη, ὅτι οὕτως ὑβρίσας τὸν Θεὸν, μὴ ἐδέχθη· ἡσυχάσαι προσαχθεὶς παρ' αὐτοῦ τοῦ Θεοῦ, οὐκ ἠρέμησεν· ἐβάσκηνε τὸν ἀδελφὸν, ὡς ἀδελφὸν, ὅτι πιστευθεὶς ἐξαγαγὼν εἰς τὸ πεδίον, ἀνεῖλε· ψεύδεται τῷ Θεῷ ἐρωτώμενος, ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου· ἐλύπησε τοὺς γεγεννηκότας, ἀνελὼν τὸν ἀδελφόν. εἰκότως ἄρα τῶν ἑπτὰ ἁμαρτημάτων τοσαύτας τιμωρίας ἀντιλαμβάνει. πρώτην, τὸ τῆς ἐπικαταράτου γῆς, ἐπικατάρατον γενέσθαι· ἡ μὲν γὰρ διὰ τὸν ἄνθρωπον, ὁ δὲ δι' ἑαυτὸν ἐδέξατο τὴν κατάραν· δευτέραν, τὸ μὴ τῶν πόνων κατ' ἀξίαν τὴν τῶν ἀπὸ γῆς προσφορὰν δέχεσθαι· τὸ μὲν γὰρ ἐργᾷ τὴν γῆν, καὶ τῷ πατρὶ δέδοτο, τὸ δὲ, οὐ προσθήσει δοῦναί σοι τὴν ἰσχὺν αὐτῆς, τῷ Καΐν· τρίτην, τὸ στένειν· τετάρτην, τὸ τρέμειν, ἢ κατὰ ἄλλους ἑρμηνεύοντας ἀκαταστατεῖν· τουτέστι, τὸ πλανᾶσθαι ἐπὶ τῆς γῆς· πέμπτην τὴν ἁπάντων χαλεπωτέραν, τὸ τῆς τοῦ Θεοῦ οἰκειώσεως ἀλλοτριωθῆναι· ὡσαύτως ὁ Καΐν, εἰ ἐκβάλλεις με ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι· ἕκτην, τὸ ταύτας τὰς τιμωρίας ὑπέχειν ἕως μακροῦ γήρως, ὧν ἂν ηὔξατο πολλάκις θανάτῳ ἀπαλλαγῆναι· ἑβδόμην, τὸ σημεῖον, ὅπερ εἴληφεν, ὥστε μὴ ἀναιρεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. ἦν δὲ καὶ τοῦτο οὐκ ἀνεκτὴ κόλασις αὐτῷ, γνωριζομένῳ δι' αὐτοῦ, καὶ ὅτι οἷα μαστιγίας δοῦλος ἐπὶ κακοῖς ἀλοὺς, τὰ στίγματα περιέφερεν ἐν πάσῃ τῇ γῇ. (1)

ΑΔΗΛΟΥ. Τὸ δὲ ἑπτὰ ἐκδικούμενα παραλύσει· ἑπτὰ μὲν λέγει, οὐχ ἁμαρτημάτων ἑπτὰ ῥητὸν ἀριθμὸν, ἀλλ' ἀνελλιπῆ, καὶ τελειοτάτην τοῦ φόνου δίκην ὠνόμασεν ἀπὸ τοῦ καὶ τὰς ὑπὸ τοῦ Θεοῦ γεγονυίας ἡμέρας ἑπτὰ τὰς πάσας εἶναι τὸν ἀριθμὸν, οὔτε προσθήκην, οὔτε ὑφαίρεσιν δεχομένας. ἑπτὰ οὖν, τὸ τέλειον ἡ Γραφὴ πολλάκις φησί. λέγει τοίνυν, ὅτι μηδὲν, ὦ Καΐν, τοῦτο φοβείτω σε. τούτου μὲν γὰρ κἂν ηὔξω τυχεῖν· καὶ γὰρ ἂν ἀπηλλάγης οὕτω τάχιστα τῆς μεγίστης ταύτης καὶ ἀνυπερβλήτου σοι κολάσεως ἐπηρτημένης· οὐ μὴν σοι τοῦτο γενήσεται, δώσεις δὲ δίκην τοῦ τολμήματος ἐπαξίαν, παρ' ὅλον σου τὸν βίον στήλη τὶς ὥσπερ ἀνδροφονίας τοῖς ὁρῶσι προκείμενος.

Καὶ ἔθετο Κύριος ὁ Θεὸς σημεῖον τῷ Καΐν, τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ποῖον σημεῖον ἔθετο τῷ Καΐν ὁ Θεός; Αὐτὸς ὁ τοῦ Θεοῦ ὅρος σημεῖον ἦν, κωλύων αὐτὸν ἀναιρεθῆναι. καὶ αὐτὸς δὲ ὁ τῶν μελῶν αὐτοῦ κλόνος, ἐπίσημον καὶ δῆλον αὐτὸν εἰργάζετο.

ΑΛΛΩΣ. Τὸ σημεῖον οὐκ εἶπεν, ἢ μᾶλλον διὰ τὸ τοῦ τρόμου λέγει, καὶ τοῦ στεναγμοῦ. οὕτω γὰρ ἔστενε, καὶ ἔτρεμεν, ὥστε πάντα

(1) Τὸ ὑπόμνημα τοῦτο ἐν τοῖς ἐκδεδομένοις οὐχ εὕρηται.

A τα ἄνθρωπον ὁρῶντα τὸν Κάϊν δειλιᾷν ποιῆσαι φόνον.

ις. Ἐξῆλθε δὲ Κάϊν ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ ᾤκησεν ἐν γῇ Ναῒδ κατέναντι Ἐδέμ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστιν ἐξῆλθεν ἀπὸ προσώπου τοῦ Θεοῦ; Τουτέστιν ἐγυμνώθη τῆς παρ' αὐτοῦ προστασίας διὰ τὴν μυσαρὰν ἐκείνην πρᾶξιν. Καὶ μετ' ὀλίγα. Τὸ B Ναῒδ ὄνομα, ἑβραϊκὴ λέξις ἐστὶν, ἑρμηνεύεται δὲ σάλος. Ἵν' οὖν ὥσπερ ἐν στήλῃ χαλκῇ ἀνέκλειπτον ἔχῃ καὶ ἀπὸ τοῦ τόπου τὴν κατηγορίαν, ἐκεῖ αὐτὸν κατῴκισε.

ιζ. Καὶ ἔγνω Κάϊν τὴν γυναῖκα αὐτοῦ. καὶ συλλαβοῦσα, ἔτεκε τὸν Ἐνώχ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνα ὁ Κάϊν ἔσχε γυναῖκα; Δηλονότι τὴν ἀδελφήν. οὐκ ἦν δὲ τοῦτο τηνικαῦτα κατηγορία, οὐδενὸς ἀπαγορεύοντος νόμου. ἄλλως τε οὔτε οἷόν τε ἦν ἄλλως αὐξηθῆναι τὸ γένος. ἠβουλήθη δὲ ὁ Θεὸς ἐξ ἑνὸς ἀνδρὸς, καὶ ἐκ μιᾶς γυναικὸς ἅπαντα συστῆσαι τῶν ἀνθρώπων τὰ ἔθνη· πρῶτον, ἵνα τὸ ταυτὸν τῆς φύσεως γινώσκωσιν, ὡς ἐξ ἑνὸς ζεύγους βεβλαστηκότες· ἔπειτα καὶ εἰς ὁμόνοιαν συνάπτωνται, ὡς ἐκ μιᾶς ῥίζης ἑνωθηκότες. εἰ γὰρ καὶ τούτων ὅλων παρὰ τοῦ Θεοῦ τῶν ὅλων πρυτανευθέντων, μυρίαι τολμῶνται σφαγαὶ, τί οὐκ ἂν ἐτόλμησαν, εἰ ἐκ διαφόρων βεβλαστηκέναι πατέρων ᾠήθησαν; τούτου χάριν ἕνα μὲν ἐκ τῆς γῆς διέπλασεν ἄνδρα· ἐκ δὲ τούτου, μίαν ἐδημιούργησε γυναῖκα· ἐκ δὲ τούτων, πᾶσαν τὴν οἰκουμένην τοῦ γένους ἐπλήρωσε. διὰ τήνδε τοίνυν τὴν αἰτίαν συνεχώρησεν ἐν ἀρχῇ τῶν ἀδελφῶν τὴν ἐπιμιξίαν. ἐπειδὴ δὲ ηὐξήθη τὸ γένος, ὡς παράνομον τοῦτον ἀπαγορεύει τὸν γάμον. διατοι τοῦτο σὺν τῷ Νῶε καὶ τοῖς υἱέσι, καὶ τὰς ἐκείνων γυναῖκας διέσωσεν ἐν τῇ κιβωτῷ, ἵνα ταῖς ἀνεψιαῖς οἱ ἐκείνων συναφθῶσι παῖδες.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πῶς οὐδαμοῦ τῆς Γραφῆς μνημονευσάσης ἑτέρας γυναικὸς, ὁ Κάϊν ἔσχε τὴν γυναῖκα; Μή σε ξενίσῃ τοῦτο ἀγαπητέ. οὐδαμοῦ γὰρ θηλειῶν τέως κατάλογον ποιεῖται μετὰ ἀκριβείας, ἀλλὰ τὸ περιττὸν φυγοῦσα ἡ θεία Γραφὴ, ἐκ μέρους τῶν ἀῤῥένων μνημονεύει· καὶ οὐδὲ αὐτῶν πάντων, ἀλλὰ συντομώτερον ἡμῖν διηγεῖται, λέγουσα· ὅτι ὁ δεῖνα ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἀπέθανεν. εἰκὸς οὖν τὴν Εὔαν καὶ θυγατέρα τεκεῖν μετὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ. ἣν εἰς γυναῖκα ἔλαβε Κάϊν. ἐπειδὴ γὰρ προοίμια ἦν, καὶ ἔδει λοιπὸν αὐξηθῆναι τὸ γένος, καὶ ταῖς ἀδελφαῖς συγγενέσθαι συνεχώρουν.

Καὶ ἦν οἰκοδομῶν πόλιν· καὶ ἐπωνόμασε τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ, Ἐνώχ.

** ΠΡΟΚΟΠΙΟΥ. Πῶς γὰρ πόλις ὑφ' ἑνὸς οἰκοδομεῖται, καίτοι τοῦ σφυροκόπου χαλκοῦ καὶ σιδήρου μήπω γενομένου Θοβέλ; ἢ ποία πόλις ὑπὸ ὀλίγων οὕτω συνίσταται· οἷς ἄντρον ἓν καὶ οἰκημάτιον ἤρκει σμικρόν; Μήποτε οὖν τὴν ἐν οἴκῳ ἓν μετὰ ἀλλήλων ἀναστροφὴν οὕτως ἐκάλεσεν; οἱονεὶ γὰρ μικρὰ πόλις καὶ ἄνθρωπος τοιῶσδε τὴν ψυχὴν διοικῶν, καὶ οἶκος ἔχων τοιάνδε διαγωγὴν, ὡς καὶ οἶκος μέγας ἡ πόλις. ἀφ' οὗ καὶ πόλεων ἦλθον εἰς ἔννοιαν. ἴσως δὲ καὶ πολισμοῦ μεθόδους, καὶ πρῶτα κατεβάλετο σπέρματα, ἰδὼν τὸν ἐξ αὐτοῦ τεχθέντα, καὶ προβαίνουσαν ὁρῶν τὴν διαδοχήν. ἴσως δὲ καὶ προαναφωνεῖ τὰ μετὰ χρόνον γενόμενα.

** ΚΥΡΙΛΛΟΥ. Ὁ μὲν δεύτερος ἀπὸ
Κάϊν εὐθὺς Ἐνὼς, ἐπώνυμον ἔσχεν ἐν τῇ
γῇ πόλιν· καίτοι τῶν ἁγίων, ὡς ἐν αὐχή-
ματος τάξει πεποιημένων τὸ χρῆναι φρο-
Γ „ νεῖν, καὶ λέγειν· οὐκ ἔχομεν ὧδε μένουσαν 'Εβρ. 13. 14.
„ πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν, ἧς
„ τεχνίτης καὶ δημιουργὸς ὁ Θεός· ἠγαμέ-
νων τε καὶ ὀνομαζόντων παροικίαν τὴν ἐν
τῷδε τῷ βίῳ ζωήν. ψάλλει δέ που καὶ ὁ
„ θεσπέσιος Δαβίδ· ἄνες μοι, ὅτι ἐγὼ πά- Ψαλ. 38. 12, 13.
„ ροικός εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος, κα-
„ θὼς πάντες οἱ πατέρες μου. περὶ δὲ τῶν
τὰ ἐπίγεια φρονούντων, ἐν τῷ μη. ψαλμῷ
Δ „ λέγει· ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν Ψαλ. 48. 11.
„ ἐπὶ τῶν γενῶν αὐτῶν.

ιη. Ἐγεννήθη δὲ τῷ Ἐνὼς Γαϊδάδ· καὶ Γαϊδὰδ ἐγέννησε τὸν Μαϊήλ· καὶ Μαϊὴλ ἐγέννησε τὸν Μαθουσάλα· καὶ Μαθουσάλα ἐγέννησε τὸν Λάμεχ.

ΑΔΗΛΟΥ. Παρὰ τοῖς Ἑβδομήκοντα Μαθουσάλα κεῖται. τοῦτο δὲ πλάνη γρα- E φική ἐστιν. ὁ γὰρ Μαθουσάλα ἐκ τῆς συνεσώσης γενεᾶς ἐστὶ τοῦ Σήθ. ὁ γὰρ ἀπὸ τοῦ Κάϊν, Μαθουσαλᾶ καλεῖται. ὃς ἐξώρισται μετὰ τῶν λοιπῶν.

ιθ. Καὶ ἔλαβεν ἑαυτῷ Λάμεχ
δύο γυναῖκας· ὄνομα τῇ μιᾷ, Ἀδά·
κ. καὶ ὄνομα τῇ δευτέρᾳ, Σελλά. Καὶ
ἔτεκεν Ἀδὰ τὸν Ἰωβέλ. οὗτος ἦν πα-
τὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων.
κα. Καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ, Ἰουβάλ.
οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ
κβ. κιθάραν. Σελλὰ δὲ ἔτεκε καὶ αὐτὴ
τὸν Θοβέλ· καὶ ἦν σφυροκόπος χαλ-
κεὺς χαλκοῦ καὶ σιδήρου. ἀδελφὴ δὲ
Θοβὲλ, Νοεμά.

ΚΥΡΙΛΛΟΥ. Πῶς τῶν ἀπὸ Σὴθ ὁ χρόνος ἀκριβῶς ἀναγέγραπται, καὶ πρὸ τέ- H κνων γονῆς, καὶ μετὰ ταῦτα· οἱ δὲ ἐκ τοῦ Κάϊν ὀνομάζονται μὲν, οὐκ εἴρηται δὲ πόσων ἕκαστος ἐγένετο χρόνων; Οὐ γὰρ ἀνέχεται ὁ Θεὸς τὴν τῶν ἁμαρτωλῶν εἰδέναι
„ ζωήν. οἷς ἐρεῖ κρινομένοις, ἀμὴν ἀμὴν Ματθ. 25. 12.
λέγω

λέγω ὑμῖν, ἐκ οἶδα ὑμᾶς. τῶν γὰρ δι-
Λευκ. 12. 7. καίων παρ' αὐτῷ καὶ αἱ τρίχες ἠρίθμηνται.
Ψαλ. 33. 15. ὀφθαλμοὶ γάρ φησι Κυρίου ἐπὶ δι-
» καίους.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς κατὰ μικρὸν τὰ τῆς συςάσεως τοῦ τῶν ἀνθρώπων γένους ᾠκονόμητο. καὶ πρῶτον μὲν ὁ Κάϊν τῷ ὑπ' αὐτοῦ τεχθέντι τὴν ὑπ' αὐτοῦ οἰκοδομουμένην πόλιν ἐπωνόμασεν. εἶτα οἱ ὑπὸ τῶν γυναικῶν τοῦ Λάμεχ τεχθέντες, ὁ μὲν τῇ κτηνοτροφίᾳ ἑαυτὸν ἐξέδωκεν· ὁ δὲ ἕτερος, τὴν χαλκευτικὴν εἵλετο· ὁ δὲ, ψαλτήριον καὶ κιθάραν κατέδειξεν.

κγ. Εἶπε δὲ Λάμεχ ταῖς ἑαυτοῦ γυναιξὶν, Ἀδὰ καὶ Σελλὰ, ἀκούσατέ μου τῆς φωνῆς, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους· ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί.

ΤΟΥ ΑΓΙΟΥ ΕΦΡΑΙΜ. Δύω φόνους ἐτόλμησεν. ἄλλο γὰρ ἀνὴρ, καὶ ἄλλο νεανίσκος. καὶ τῶν ἀναιρεθέντων, φασὶν, ἔλαβε τὰς γυναῖκας, πρὸς ἃς ἐξομολογεῖται, πρὸς ἄνδρας μὴ ἐξομολογούμενος. πάντας γὰρ ἀσέλγεια κατ' ἐκεῖνο τοῦ καιροῦ κατεκράτησε, καὶ συνεχεῖς ἀνδροφονίαι διὰ τὰς γυναῖκας ἐγίνοντο, καὶ αὐτὰς τοὺς ἄνδρας ἀμειβούσας ἀναιδῶς. ὥςε καὶ τοὺς υἱοὺς τοῦ Θεοῦ ἐλθεῖν πρὸς τὴν μίξιν, τοὺς ἐκ τοῦ γένους τοῦ Σὴθ, ὥςπερ φησὶ τὸ τοῦ
Λευκ. 3. 38. Χριςοῦ Εὐαγγέλιον· ὅτι γέγονεν υἱὸς Σὴθ,
» υἱὸς Ἀδὰμ, υἱὸς τοῦ Θεοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνας ἀνεῖλεν ὁ Λάμεχ; Οὐ δύω, καθάτινες ὑπειλήφασιν· οὐδὲ τὸν Κάϊν, ὡς ἕτεροι μεμυθολογήκασιν· ἀλλ' ἕνα, καὶ τοῦτον νέον. ἄνδρα
» γάρ φησιν ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ,
» καὶ νεανίσκον εἰς μώλωπα ἐμοί. τουτέςιν ἄνδρα νέαν ἄγοντα τὴν ἡλικίαν. διέφυγε μέντοι τὴν τιμωρίαν διὰ τὴν τῆς ἁμαρτίας ὁμολογίαν. καὶ καθ' ἑαυτοῦ τὴν ψῆφον ἐξενεγκὼν, τὴν θείαν διεκώλυσε ψῆφον.

** ΒΑΣΙΛΕΙΟΥ. Νομίζουσί τινες ὑπὸ τοῦ Λάμεχ ἀνῃρῆσθαι τὸν Κάϊν· ὡς μέχρι τῆς γενεᾶς ἐκείνης διαρκέσαντος αὐτοῦ, ἐπὶ τῷ μακροτέραν δοῦναι τὴν τιμωρίαν. ἔςι δὲ οὐκ ἀληθές. δύω γὰρ φαίνεται φόνους πεποιηκὼς, ἐξ ὧν αὐτὸς διηγεῖται,
» ἄνδρα ἀπέκτεινα καὶ νεανίσκον· τὸν ἄνδρα εἰς τραῦμα, καὶ νεανίσκον εἰς μώλωπα. ἄλλο οὖν, τραῦμα· καὶ ἄλλο, μώλωψ. καὶ ἄλλο, ἀνήρ· καὶ ἄλλο, νεανίσκος.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅτι ἄνδρα,
» φησὶν, ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ
» νεανίσκον εἰς μώλωπα ἐμοί. οὐ τοσοῦτον ἠδίκησά φησιν ἐκείνους, οὓς ἀνεῖλον, ὅσον ἐμαυτόν. εἰς ἄφυκτον γὰρ τιμωρίαν ἑαυτὸν ἐνέβαλον, ἁμαρτήματα ἐργασάμενος συγγνώμης ἐπέκεινα.

κδ. Ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν· ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά.

** ΒΑΣΙΛΕΙΟΥ. Τετρακοσίας καὶ ἐνενήκοντα τιμωρίας ὑποσχεῖν εἰμὶ δίκαιος· εἴπερ δικαία ἡ τοῦ Θεοῦ κρίσις ἐπὶ τῷ Κάϊν, ὥςε ἑπτὰ αὐτὸν παρασχεῖν τὰς κολάσεις. ὁ μὲν γὰρ, ὥσπερ οὐκ ἔμαθε παρ' ἄλλου τὸ φονεύειν, οὕτως οὐδὲ οἶδε τιμωρίαν ὑπέχοντα φονευτήν· ἐγὼ δὲ ἐν ὀφθαλμοῖς ἔχων τὸν ςένοντα καὶ τρέμοντα, καὶ τὸ μέγεθος τῆς ὀργῆς τοῦ Θεοῦ, οὐκ ἐσωφρονίσθην τῷ ὑποδείγματι. ὅθεν ἄξιός εἰμι τετρακοσίας καὶ ἐννενήκοντα δοῦναι κολάσεις. ἔνιοι δέ τινες πρὸς τοιοῦτον ὥρμησαν λόγον, οὐκ ἀπᾴδοντα τοῦ ἐκκλησιαςικοῦ δόγματος· ὅτι ἀπὸ τοῦ Κάϊν, ἕως τοῦ κατακλυσμοῦ, ἑπτὰ παρεληλύθασι γενεαί· καὶ ἐπήχθη πάσῃ τῇ γῇ ἡ τιμωρία, διὰ τὸ πολλὴν γενέσθαι χύσιν τῆς ἁμαρτίας. τὸ δὲ ἁμάρτημα τοῦ Λάμεχ, οὐ κατακλυσμοῦ δεῖται πρὸς θεραπείαν, ἀλλ' αὐτοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου. ἀρίθμησον τοίνυν ἀπὸ Ἀδὰμ μέχρι τῆς παρουσίας τοῦ Χριςοῦ τὰς γενεὰς, καὶ εὑρήσεις, κατὰ τὴν τοῦ Λουκᾶ γενεαλογίαν, τῇ ἑβδομηκοςῇ καὶ ἑβδόμῃ διαδοχῇ γεγεννημένον τὸν Κύριον.

** ΙΣΙΔΩΡΟΥ. Διατί ὁ Κάϊν καὶ ὁ Λάμεχ φόνον δράσαντες, οὐχ ὁμοίως ἐκολάσθησαν; ὁ μὲν γὰρ, δίκας ἔδωκεν· ὁ δὲ, συνεγνώσθη. Ἐπειδὴ ὁ μὲν, καὶ ἐλεγχόμενος ἠρνήσατο· ὁ δὲ, μὴ ἐλεγχόμενος ἐξωμολογήσατο. εἰ γὰρ καὶ τὰ τῆς ἁμαρτίας ἴσα, ἀλλὰ τὰ μετὰ τὴν ἁμαρτίαν οὐκ ἴσα. θεῖος γάρ ἐςι χρησμὸς παρακελευό-
» μενος, λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, Ἠσ. 43. 26.
» ἵνα δικαιωθῇς. σπουδάσωμεν μὴ πλημμελεῖν, εἰ δὲ καὶ πλημμελήσωμεν, μὴ διὰ τῆς ἀρνήσεως χαλεπωτέραν ἑαυτοῖς τὴν δίκην παρασκευάσωμεν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰ γὰρ ἐκεῖνος ὑπὲρ τοῦ ἑνὸς φόνου ἑπτὰ τιμωρίαις ὑπεύθυνος γέγονεν, ἐγὼ δίκαιος ἂν εἴην ἑβδομηκοντάκις ἑπτὰ τιμωρίας ὑποσχεῖν.

** ΚΥΡΙΛΛΟΥ. Περιδεὴς μὲν ὁ Ἰσραὴλ, καὶ εἰς τὸν τοῦ κολάζεσθαι φόβον ὁρᾶται πεσὼν, ὡς ἄνδρα ἀπεκτονὼς, καὶ ἐφ' αἵματι λοιπὸν τῷ ἁγίῳ κρινόμενος· πολὺ δὲ μειζόνως ἢ Κάϊν αὐτός. ὁ μὲν γὰρ εἰς ἕνα τῶν καθ' ἡμᾶς πεπλημμεληκὼς, ἑπτὰ γέγονεν ἐκδικουμένοις ἔνοχος· ὁ δὲ εἰς αὐτὸν δὲ δεδυσσεβηκὼς τὸν Ἐμμανουὴλ, πολὺ δὴ μειζόνως εὐθύνεται. ἐκδεδίκηται μὲν γὰρ ἐκ Κάϊν, ἑπτάκις· ἐκ δὲ τοῦ Ἰσραὴλ, ἑβδομηκοντάκις ἑπτά. ἕψεται γὰρ ἀναλόγως τῆς δυσσεβείας ἡ δίκη.

κε. Ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ. καὶ συλλαβοῦσα, ἔτεκεν υἱὸν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σὴθ, λέγουσα, ἐξανέστησε γάρ

[A] μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι ἀντὶ Ἄβελ εἰσηνέχθη ὁ Σὴθ εἰς τὸν τόπον ἐκείνου.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὀδυνωμένης ψυχῆς τὸ ῥῆμα, συγχεομένης ὑπὸ τῆς μνήμης τοῦ γεγονότος, καὶ εὐχαριστούσης μὲν ὑπὲρ τοῦ τεχθέντος, μονονουχὶ δὲ στηλιτευούσης ἐκεῖνον διὰ τῆς τοῦ παιδὸς προσηγορίας. [B]

κϛ. Καὶ τῷ Σὴθ ἐγεννήθη υἱός, ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Ἐνώς· οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ.

ΕΥΣΕΒΙΟΥ. Ἐν τῷ Ἑβραϊκῷ, οὐχ οὕτω „ λέγει· ἀλλ᾽ οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τῷ „ ὀνόματι Κυρίου τοῦ Θεοῦ. τουτέστιν υἱὸς Θεοῦ λέγεσθαι, καὶ Θεός. [Γ] οἱ γὰρ ἀπὸ τοῦ Σὴθ δίκαιοι γεγόνασιν. ὅθεν ἡ Γραφὴ ἑαυτῇ ἀκολουθοῦσα, μετὰ ταῦτα φησί· καὶ εἶδον „ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, τουτέστιν οἱ δίκαιοι. οὐ γὰρ ἦν ἐπιμιξία τῶν υἱῶν Σὴθ πρὸς τοὺς ἀπὸ τοῦ Κάϊν.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς κατὰ μικρὸν λοιπὸν παιδεύονται, ταῖς προσηγορίαις τῶν τικτομένων ἐναποτίθεσθαι τῆς οἰκείας εὐγνωμοσύνης τὴν ἀπόδειξιν. καὶ οὗτος γάρ φησιν ὁ Σὴθ γεννήσας υἱόν, ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἐνώς. εἶτα ἑρμηνεῦσαι ἡμῖν βουλομένη ἡ θεία Γραφὴ τοῦ ὀνόματος τὴν προσηγορίαν, φησίν· οὗτος „ ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ. καὶ γὰρ ἐκ τούτου λοιπὸν τὴν ἀρχὴν μέλλει ποιεῖσθαι ὁ μακάριος Προφήτης τῆς γενεαλογίας, τοῦ Κάϊν τὴν μνήμην ἀποπεμψάμενος, [B] καὶ τῶν ἐξ αὐτοῦ μέχρι τοῦ Λάμεχ γεγονότων. καὶ ἐπειδὴ τὴν ἀπὸ τῆς φύσεως αὐτῷ προεδρίαν χαρισθεῖσαν, τὴν τῶν πρωτοτόκων λέγω, τῇ κακίᾳ τῆς προαιρέσεως ἐλυμήνατο, ἐκβάλλεται μὲν αὐτός, καὶ οἱ ἐξ αὐτοῦ, τοῦ καταλόγου· ὁ δὲ Σὴθ λοιπὸν ὅπερ οὐκ εἶχεν ἀπὸ τῆς φύσεως, τοῦτο διὰ τὴν τῆς προαιρέσεως εὐγνωμοσύνην ἀξιοῦται, καὶ εἰς τοῦτον μεθίσταται λοιπὸν τὰ τῆς πρωτοτοκίας.

[Γ] ✱✱ ΚΥΡΙΛΛΟΥ. Ἀπὸ δέ γε τοῦ Σὴθ ὁ Ἐνώς, ὃς ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ αὐτοῦ. κέκληται γὰρ παρὰ τοῖς τηνικάδε Θεὸς ὁ Ἐνώς. ἐπειδὴ γὰρ ἐτεθήπεσαν τῆς ἐνούσης αὐτῷ δικαιοσύνης τὸ μέγεθος, Θεὸν ὠνόμαζον εὐθύς, πρέπειν ὅτι μάλιστά γε τῇ τοῦ ἀνδρὸς ἀρετῇ τὴν ἐπωνυμίαν ἡγούμενοι.

ΚΕΦ. Ε.

α. Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων. ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν Ἀδάμ· κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει πῶς τοῖς αὐτοῖς ῥήμασι κέχρηται, ὡς καὶ ἐν προοιμίοις· [E] ἵνα διδάξῃ ἡμᾶς, ὅτι ὡς ἀδοκίμους γενομένας τὰς γενεὰς ἐκείνας, οὐδὲ μνήμης λοιπὸν ἀξιοῖ, ἀλλ᾽ ἐκ τοῦ νῦν τεχθέντος, τοῦ Σὴθ λέγω, τῆς γενεαλογίας ἄρχεται. ἵνα καὶ ἐκ τούτου μάθῃς, ὅσος τῷ Θεῷ λόγος τῆς ἀνθρωπίνης φύσεως, καὶ ὅπως ἀποστρέφεται τοὺς φονικὴν ἔχοντας τὴν γνώμην. ὡς γὰρ μηδὲ παραχθέντων λοιπὸν ἐκείνων εἰς τὸν βίον, οὕτως αὐτῶν τὴν μνήμην παραλιμπάνει, δεικνὺς ἡμῖν, ὅσον ἐστὶ κακία χαλεπόν, [Z] καὶ ὅτι ἑαυτοῖς τὰ μέγιστα λυμαίνονται οἱ ταύτην ἀσπαζόμενοι. ἰδοὺ γὰρ οὗτοι μὲν τοῦ καταλόγου λοιπὸν ἐξαλείφονται, ἐπὶ τοσοῦτον δὲ μνήμης ἠξιώθησαν μόνον, ὥστε τὴν κακίαν αὐτῶν στηλιτεύεσθαι, καὶ ταῖς εἰς τὸ ἑξῆς γενεαῖς γενέσθαι σωφρονισμοῦ ὑπόθεσιν.

β. Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ εὐλόγησεν αὐτούς· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἀδάμ, [H] ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς.

✱✱ ΣΕΥΗΡΙΑΝΟΥ. Ὁ ἄνθρωπος τῇ ἑβραΐδι διαλέκτῳ πῦρ λέγεται. τοῦτο τὸ ὄνομα οὐκ ἐδόθη τῷ Ἀδὰμ ἀργῶς· ἀλλὰ τέσσαρά ἐστι στοιχεῖα ἐν τῷ κόσμῳ· πάλιν φυσιολογῶ, κἂν μὴ θέλωσι· γῆ, ὕδωρ, ἀήρ, πῦρ. τῶν ἄλλων στοιχείων ἕκαστον ὥς ἐστι, μένει. οἷον, ἐὰν λάβῃς βῶλον γῆς, προσθεῖναι αὐτῷ ἀπὸ τοῦ κατεχομένου οὐ δύνῃ· ἂν οὖν λάβῃς βῶλον γῆς, ὅ ἐστι, μένει. [E] ὕδωρ πάλιν ἐὰν λάβῃς μέτρῳ τινί, μένει τὸ αὐτὸ ὕδωρ, προσθήκην οὐ λαμβάνει. ἀέρος ἐὰν πληρώσῃς ἀσκόν, ἄλλον ἀσκὸν πληρῶσαι οὐ δύνασαι ἀπ᾽ ἐκείνου. τὸ δὲ πῦρ οὐ μένει οἷόν ἐστι. μικρὸς ἅπτεται λύχνος, καὶ μυρίας ἐξ αὐτοῦ ἅπτεις λαμπάδας, κάμινον ὅλην, φλόγα πολλήν, καὶ οὐ μένει ἐν τῇ ἰδίᾳ ὄψει. ἀλλ᾽ ὅσην ἂν λάβῃ τὴν ὕλην, πλεονάζει τὸ πῦρ. ἐπεὶ οὖν προῄδει ὁ Θεός, ὅτι ἀπὸ ἑνὸς ἀνθρωπείου σώματος πληροῦται [Z] τῆς οἰκουμένης τὰ πέρατα, εἷς λύχνος τοσαύτας ἐξάπτει λαμπάδας, καὶ δύσις καὶ ἀνατολὴ καὶ ἄρκτος καὶ μεσημβρία, ἔθηκεν ὄνομα ἄξιον τοῦ πράγματος. διὰ τοῦτο καὶ αὐτὸ τοῦ Ἀδὰμ τὸ ὄνομα, ἀρραβὼν ἦν τῆς οἰκουμένης. ἐπειδὴ γὰρ ἔμελλε τὰ τέσσαρα κλίματα ἐξ αὐτοῦ πληροῦσθαι, τίθησι τὸ ὄνομα τοῦ Ἀδάμ. ἄλφα, ἀνατολή· δέλτα, δύσις· ἄλφα, ἄρκτος· μῦ, μεσημβρία. καὶ τὸ ὄνομα, καὶ τὰ γράμ- [H] ματα μαρτυρεῖ τῷ ἀνθρώπῳ μέλλοντι πληροῦν τὴν οἰκουμένην.

γ. Ἔζησε δὲ Ἀδὰμ τριάκοντα καὶ διακόσια ἔτη, καὶ ἐγέννησε κατὰ τὴν

ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ.

ΑΔΗΛΟΥ. Ἰδέα ἐστὶν ἡ σωματικὴ ὁμοίωσις· εἰκὼν δὲ ἡ ψυχικὴ κατάστασις.

** ΤΟΥ ΝΥΣΣΗΣ. Οἴδαμεν καὶ ἕτερον ὁμοιότητος εἶδος, ὅπερ ἐν τῇ κοσμογενείᾳ φησὶ περὶ τοῦ Σὴθ ὁ λόγος· ὅτι ἐγέννησε τὸν Σὴθ ὁ Ἀδὰμ κατὰ τὸ εἶδος αὐτοῦ, καὶ κατὰ τὴν ὁμοιότητα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ· τουτέστιν ὁμότροπον τῷ γεγεννηκότι, τοὺς αὐτοὺς τῆς ἀρετῆς χαρακτῆρας διασώζοντα, τὴν εἰκόνα τὴν πατρικὴν διὰ τῶν ἔργων δεικνῦντα, ἀνακαλέσασθαι δυνάμενον διὰ τῆς οἰκείας ἀρετῆς τοῦ προλαβόντος τὸ πλημμέλημα. οὐδὲ γὰρ περὶ σωματικῶν χαρακτήρων ἐνταῦθα ἡμῖν διαλέγεται ἡ Γραφή, λέγουσα· κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ.

** ΚΥΡΙΛΛΟΥ. Ἄθρει δὴ οὖν, ὅτι μετὰ τὸν Ἄβελ θάνατον, ἐμφερέστατος τῷ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ, τουτέστι τῷ Ἀδάμ, τίκτεται πάλιν υἱὸς Σήθ. μετὰ γάρ τοι τὸ ἀποθανεῖν κατὰ σάρκα τὸν Ἐμμανουήλ, ἕτερον εὐθὺς ἀνέφυ σπέρμα τῷ Ἀδάμ, καταπλουτοῦν ἐν ἑαυτῷ τῆς θείας εἰκόνος τὸ ὑπέρτατον κάλλος. ἀναμορφούμεθα γὰρ εἰς Χριστὸν οἱ πιστεύοντες. ὅτι δὲ τούτοις γένους ῥίζα τις ὥσπερ καὶ πρόφασις ὁ Χριστοῦ γέγονε θάνατος τοῦτο πι-
Ἰωάν. 12. 24. στώσεται λέγων· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. ὅτε τοίνυν πέπτωκεν οἷά τις κόκκος εἰς γῆν, ἀστάχυος δίκην πολλοστὸς ἀνέφυ, τῆς ἀνθρώπου φύσεως ἀναπλαττομένης ἐν αὐτῷ πρὸς τὴν ἐν ἀρχαῖς εἰκόνα, καθ' ἣν ὁ πρῶτος γέγονεν ἄνθρωπος.

δ. Ἐγένοντο δὲ αἱ ἡμέραι Ἀδὰμ
μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Σήθ,
ἑπτακόσια ἔτη· καὶ ἐγέννησεν υἱοὺς καὶ
ε. θυγατέρας. Καὶ ἐγένοντο πᾶσαι αἱ
ἡμέραι Ἀδάμ, ἃς ἔζησε, τριάκοντα καὶ ἐννεακόσια ἔτη· καὶ ἀπέθα-
ς. νεν. Ἔζησε δὲ Σὴθ πέντε καὶ διακόσια ἔτη, καὶ ἐγέννησε τὸν Ἐνώς.
ζ. Καὶ ἔζησε Σὴθ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἐνώς, ἑπτὰ ἔτη καὶ ἑπτακόσια· καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέ-
η. ρας. Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Σήθ, δώδεκα καὶ ἐννακόσια ἔτη· καὶ
θ. ἀπέθανε. Καὶ ἔζησεν Ἐνὼς ἑκατὸν καὶ ἐννενήκοντα ἔτη, καὶ ἐγέννησε τὸν
ι. Καϊνᾶν. Καὶ ἔζησεν Ἐνὼς μετὰ τὸ

(1) Ἴσ. εἰ οἱ μέν.

A γεννῆσαι αὐτὸν τὸν Καϊνᾶν, ἔτη ἑπτα-
κόσια δεκαπέντε· καὶ ἐγέννησεν υἱοὺς
ια. καὶ θυγατέρας. Καὶ ἐγένοντο πᾶ-
σαι αἱ ἡμέραι Ἐνὼς ἔτη ἐννακόσια
ιβ. πέντε· καὶ ἀπέθανε. Καὶ ἔζησε Καϊ-
νᾶν ἑβδομήκοντα ἔτη καὶ ἑκατόν, καὶ
ιγ. ἐγέννησε τὸν Μαλελεήλ. Καὶ ἔζη-
σε Καϊνᾶν μετὰ τὸ γεννῆσαι αὐτὸν
τὸν Μαλελεήλ, τεσσαράκοντα ἔτη καὶ
ἑπτακόσια· καὶ ἐγέννησεν υἱοὺς καὶ θυ-
ιδ. γατέρας. Καὶ ἐγένοντο πᾶσαι αἱ
ἡμέραι Καϊνᾶν δέκα ἔτη καὶ ἐννακό-
ιε. σια· καὶ ἀπέθανε. Καὶ ἔζησε Μα-
λελεὴλ πέντε καὶ ἑξήκοντα καὶ ἑκα-
ις. τὸν ἔτη, καὶ ἐγέννησε τὸν Ἰάρεδ. Καὶ
ἔζησε Μαλελεὴλ μετὰ τὸ γεννῆσαι
αὐτὸν τὸν Ἰάρεδ, ἔτη τριάκοντα καὶ
ἑπτακόσια· καὶ ἐγέννησεν υἱοὺς καὶ θυ-
ιζ. γατέρας. Καὶ ἐγένοντο πᾶσαι αἱ
ἡμέραι Μαλελεὴλ ἔτη πέντε καὶ ἐν-
νενήκοντα καὶ ὀκτακόσια· καὶ ἀπέ-
ιη. θανε. Καὶ ἔζησεν Ἰάρεδ δύω καὶ
ἑξήκοντα ἔτη καὶ ἑκατόν, καὶ ἐγέν-
ιθ. νησε τὸν Ἐνώχ. Καὶ ἔζησεν Ἰάρεδ
μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἐνώχ,
ὀκτακόσια ἔτη· καὶ ἐγέννησεν υἱοὺς καὶ
κ. θυγατέρας. Καὶ ἐγένοντο πᾶσαι αἱ
ἡμέραι Ἰάρεδ δύω καὶ ἑξήκοντα ἔτη
καὶ ἐννακόσια· καὶ ἀπέθανε.

ΔΙΟΔΩΡΟΥ. Εἰ ὁ Ἀδὰμ ἐκ γῆς, καὶ ἡ Εὔα ἐκ τῆς τούτου πλευρᾶς, καὶ οἱ υἱοὶ καὶ αἱ θυγατέρες ἐξ ἑκατέρων, πόθεν οἱ ἑξῆς ἄνθρωποι; Ἢ δῆλον, ὅτι τῶν υἱῶν καὶ τῶν θυγατέρων συνελθόντων. εἰ δέ τις ζητοῖ, πῶς ἐν τῷ νόμῳ ἀπαγορεύει γά- E μους ἀδελφῶν καὶ θείων, καὶ ὅλως τῶν ἐγγυτέρων, ἴστω· ὅτι τοὺς ἐκ γῆς γενέσθαι τοὺς μέλλοντας γάμῳ ζεύγνυσθαι τοῦ ἐξ ἑνὸς εἶναι πολὺ κρεῖττον, κἂν τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφὰς ἀντὶ γυναικῶν καὶ ἀνδρῶν ἀλλήλοις συνέρχεσθαι βαρύτερον εἶναι νομίζηται. εἰ γὰρ καὶ ἐξ ἑνὸς ὄντες, εἶτα εἰς μακροτέρας γενεὰς ταῖς διαδοχαῖς ἐκταθέντες, ἀλλοτρίους ἀλλήλων ἑαυτοὺς λογιζόμενοι, οἱ (1) μὲν ἐξ ἄλλων Z ἐτύγχανον, ἐκ δὲ γῆς ἅπαντες, πόσῳ μᾶλλον ἑαυτῶν ἠλλοτριώθημεν; ὥστε εἰ καὶ βαρὺ τὸ τῆς ἀδελφογαμίας, ἀλλὰ καὶ τὸ πολὺ βάρος ἀνεῖλε τὸ ἀλλοτρίους νομίζειν ἀλλήλων τοὺς ἀνθρώπους. εἰ δὲ λέγοι τις, πῶς οὖν αἰτιώμεθα πατέρας, καὶ ὅσους γυναῖκας ἔχουσι τὰς μητέρας καὶ ἀδελφάς, ἴστω· ὡς τοῦ Θεοῦ, τὴν μὲν ἀρχὴν τὴν ἀδελφομιξίαν συγχωρήσαντος, δι' ἣν εἰρήκαμεν αἰτίαν· μετὰ δὲ ταῦτα βουληθέντος, H τῶν ἀνθρώπων ἤδη πολλῶν γεγονότων, μὴ μόνον ἀπὸ τῆς συγγενείας τῆς ἐγγυτέρας, καὶ ὅσοι γυναῖκας ἔχουσι, λέγω τὴν

ὁμόνοιαν εἶναι, ἀλλὰ καὶ ἀπὸ ἀγχιστείας· A
καὶ πατέρας μὲν καὶ μητέρας, θείους τε
καὶ ἀδελφοὺς, υἱούς τε καὶ υἱῶν υἱοὺς, καὶ
ἀνεψιοὺς τὴν ἀπὸ τῆς ἐγγύτητος διάθεσιν
ἔχειν· τοὺς δὲ ἀπὸ τοῦ πόῤῥω γεγενῆσθαι
ταῖς διαδοχαῖς, καὶ εἰς μακροτέρας ἐκτα-
θῆναι διαδοχὰς, ἀλλοτρίους ὑπειλημμέ-
νους, αὖθις διὰ τῶν γάμων εἰς ὁμόνοιαν
σφίγγεσθαι, καὶ συγγενείας συγγενείαις
συνάπτεσθαι. ταῦτα τοῦ Θεοῦ οἰκονομήσαν-
τος, ἄτοπον τὸ ἀδελφοὺς ἀδελφαῖς ὁμι- B
λεῖν, καὶ τὰς τοιαύτας γίνεσθαι συναφείας.
ἀρκούσης γὰρ τῆς διαθέσεως ἀπὸ τῆς συγ-
γενείας, περιττὸν προστιθέναι καὶ τὴν ἀπὸ
τοῦ γάμου, καὶ μὴ τὴν ἑτέρωθεν ὁμόνοιαν
σφίγγεσθαι ταῖς ἐπιγαμίαις· μήτε ἔχειν
τὴν αὐτὴν ἀδελφὴν καὶ γαμετήν. ἀρκεῖ
γὰρ εἰς διάθεσιν ἀδελφή. καὶ γυνὴ μὴ
στενέ . . ὑπὸ τὸ πλάτος τῆς διαθέσως. τοῖς
αὐτοῖς οὖν εἰς πάντα χρώμενος, (1) τοὺς
μὲν, διὰ τὴν ἐγγύτητα τῆς διαδοχῆς τι- Γ
μᾶσθαι· τοὺς δὲ, διὰ τὸ τῆς ἀγχιστείας
ἀναγκαῖον.

κα. Καὶ ἔζησεν Ἐνὼχ πέντε καὶ
ἑξήκοντα καὶ ἑκατὸν ἔτη, καὶ ἐγέννη-
σε τὸν Μαθουσάλα.

ΑΔΗΛΟΥ. Ἐνὼχ πρῶτος ἔμαθε γράμ-
ματα, καὶ ἔγραψε τὰ σημεῖα τοῦ οὐρανοῦ,
καὶ τὰς τροπὰς, καὶ τοὺς μῆνας.
Δ

κβ. Εὐηρέστησε δὲ Ἐνὼχ τῷ Θεῷ
μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθου-
σάλα, διακόσια ἔτη· καὶ ἐγέννησεν
υἱοὺς καὶ θυγατέρας.

* ΠΡΟΚΟΠΙΟΥ. Πρὸ τούτου κατὰ τὴν
γραφὴν οὐκ ἦν εὐάρεστος τῷ Θεῷ. δῆλον
δὲ, ὅτι ἐκ μετανοίας εὐηρέστησε.

κγ. Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέ- E
ραι Ἐνὼχ, πέντε καὶ ἑξήκοντα καὶ
τριακόσια ἔτη.

κδ. Καὶ εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ,
καὶ οὐχ εὑρίσκετο, ὅτι μετέθηκεν αὐ-
τὸν ὁ Θεός.

ΕΦΡΑΙΜ. Ἤκουσα Ἰουδαϊκῆς αἱρέσεως
λεγούσης, εἰ ὁ Χριστὸς διὰ τὸ καταργῆσαι
τὸν θάνατον παρεγένετο, πῶς Ἐνὼχ οὐκ
ἀπέθανεν, οὐδὲ Ἡλίας; καὶ εἰ ἐν τῷ Ἐ- Z
νὼχ, φησὶ, κατήργητο, ἄρα μείζων ὁ
Ἐνὼχ, καὶ ὁ Ἡλίας τοῦ Χριστοῦ. καὶ εἰ
Ἡλίας, καὶ Ἐνὼχ πρὸ Χριστοῦ παράδεισον
ᾤκησαν καὶ οὐρανὸν, τίς ἡ χρεία τῆς τοῦ
Χριστοῦ ἀναστάσεως; τί δὲ πλέον ὁ Χριστὸς
παρέσχετο, ἢ ἔσχεν; Συντόμως λέγω· ὁ
Χριστὸς διὰ τὸν θανατωθέντα Ἀδὰμ πα-
ρεγένετο, οὐ διὰ Ἡλίαν. τηρούμενον ἦλθεν
ὁ Χριστὸς λῦσαι τῆς ἁμαρτίας τὸ κράτος·
οὐ μὴν δὲ, διὰ τὴν τοῦ Ἐνὼχ φύσιν, ἥτις H
εἰς ἀπόδειξιν τοῦ κλίσου τέως οὐκ ἀπέθανεν.
ἡ χάρις διαφύλαξε τὸν Ἐνὼχ, οὐχ ἡ φύ-
σις αὐτοῦ τὸν θάνατον ἐνίκησεν. ὁ Χριστὸς
ἦλθε διὰ τὴν φύσιν, οὐ διὰ τὴν χάριν. διὰ
τοῦτο καὶ ἡ φύσις ὑπόκειται θανάτῳ· ἵνα
ὁμοῦ καὶ Ἐνὼχ μετὰ πάντων ἀπολαύσῃ
τὴν φύσιν τὴν ἀθάνατον διὰ Ἰησοῦ Χριστοῦ.
Καὶ μετ' ὀλίγα. Οὐκ ἀπώλεσε τὸ κράτος ὁ
θάνατος; τοῦ Ἐνὼχ μὴ θανόντος· ἐπειδὴ
ἔτι ὑπὸ τὸν θάνατον εἶναι πιστεύεται. οὐ
λυπεῖ τὸν θάνατον ἡ τοῦ Ἡλιοῦ ζωή. ἡ γὰρ
ἐλπὶς τοῦ θανεῖν αὐτοὺς, τὴν νομὴν αὐτῷ οὐ
ποιεῖ ἄκυρον. ἐπὶ Χριστὸν ὁ θάνατος σφό-
δρα λελύπηται, ὅτι ὑπ' αὐτοῦ νεκροῦ ἡττή-
θη ἀναστάντος. οἶδα τὸν Ἐνὼχ δοῦλον τῆς
χάριτος. καὶ αὐτὸν γὰρ ἀπὸ τοῦ τῆς ἁμαρ-
τίας χρέους ἠλευθέρωσε.

ΤΟΥ ΑΥΤΟΥ. Ἐνὼχ γέγονεν ἀνὴρ
εὐσεβέστατος, καὶ Ἀδὰμ τὸν προπάτορα
ἤλεγξε περὶ τῆς παραβάσεως, καὶ ἐμαρ-
τύρησε τῷ Θεῷ, ὅτι ἃ εἶπε παρέσχετο ἂν
τῷ Ἀδὰμ, εἰ μὴ παρέβη. ἐπειδὴ τῇ πίστει
τῆς ἀθανασίας ἔτυχε, καὶ θνητὸς ὢν, οὐκ
ἀπέθανε. πῶς οὖν ὁ Ἀδὰμ ἀπέθανεν;
ἐπειδὴ οὐκ ἐφύλαξε τὴν ἐντολήν. ἀνθίστα-
ται ταῖς αἱρέσεσιν ὁ δίκαιος ταῖς λεγούσαις,
ὅτι ἀδίκως ἐκ τοῦ παραδείσου τὸν Ἀδὰμ
ἐξέβαλεν. ἰδοὺ γὰρ τὸν Ἐνὼχ δικαίως δια-
τρίψαντα, ἐκ τῆς γῆς ταύτης εἰς τὸν πα-
ράδεισον εἰσήγαγεν. εἰ ἀδυνατῶν τὸν Ἀ-
δὰμ ἀπώσατο διὰ προφάσεως τοῦ παραδεί-
σου, πῶς τὸν Ἐνὼχ εἰσήγαγε διὰ τῆς πί-
στεως, καὶ ἀθάνατον διετήρησεν, ἕβδομον
ἀπὸ Ἀδὰμ εὑρὼν τὸν δίκαιον εὐαρεστήσαντα;
Καὶ μετ' ὀλίγα. Ἐν τῷ Ἐνὼχ ἔδειξεν ὁ Θεὸς,
πῶς ἐπὶ τῆς ἀναστάσεως οἱ δίκαιοι τῶν ἁ-
μαρτωλῶν χωρίζονται· καὶ ἐν τῷ Ἡλίᾳ,
πῶς τὰ σώματα ἐν ἀέρι κουφίζονται.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁρᾷς σοφίαν
δεσπότου; μετέθηκε ζῶντα, οὐχὶ ἀθανασίαν
ἐχαρίσατο, ἵνα μὴ ἐκλύσῃ τοῦ πλημμελή-
ματος τὸν φόβον, ἀλλ' ἀφῆκεν ἀκμάζειν
τῷ τῶν ἀνθρώπων γένει. Καὶ μετ' ὀλίγα. Εἰ
δέ τις βούλοιτο περιεργάζεσθαι, καὶ λέγειν,
καὶ ποῦ αὐτὸν μετέθηκε; καὶ εἰ μέχρι τοῦ
παρόντος διήρκεσε; μανθανέτω μὴ λο-
γισμοῖς ἀνθρωπίνοις κατακολουθεῖν, καὶ
τὰ παρὰ τοῦ Θεοῦ πολυπραγμονεῖν, ἀλλὰ
πιστεύειν τοῖς λεγομένοις. ὅταν γὰρ ὁ Θεὸς
ἀποφαίνηταί τι οὐ δεῖ ἀντιβλέπειν τοῖς ῥη-
θεῖσιν, ἀλλὰ τὰ παρὰ τοῦ Θεοῦ λεγόμενα
ἀξιοπιστότερα ἡγεῖσθαι, κἂν μὴ φαίνηται
τῶν ὑπὸ τοῖς ὀφθαλμοῖς κειμένων τοῖς
ἡμετέροις. ὅτι γὰρ μετέθηκεν αὐτὸν εἶ-
πεν ἡ θεία Γραφὴ, καὶ ὅτι ζῶντα μετέ-
θηκε, καὶ πεῖραν μὴ λαβόντα θανάτου, ἀλ-
λὰ διὰ τῆς οἰκείας εὐαρεστήσεως ἀνώτερον
γεγονότα τῆς ἐξενεχθείσης ἀποφάσεως
κατὰ τοῦ τῶν ἀνθρώπων γένους. ποῦ δὲ αὐ-
τὸν μετέθηκε, καὶ ὅπως νῦν διάγει, τοῦτο
οὐ προσέθηκεν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ποῦ μετέθηκε τὸν Ἐ-
νὼχ ὁ τῶν ὅλων Θεός; Οὐ δεῖ ζητεῖν τὰ
σεσιγημένα, στέργειν δὲ προσήκει τὰ γε-
γραμμέ-

(1) Ἴσ. χρωμένους.

A γραμμένα. ἐγὼ δὲ οἶμαι, τοῦτο πεποιη-
κέναι τὸν τῶν ὅλων Θεὸν εἰς ψυχαγωγίαν
τῶν τῆς ἀρετῆς ἀθλητῶν. ἐπειδὴ γὰρ ὁ
Ἄβελ πρῶτος γεγονὼς τῆς δικαιοσύνης
καρπὸς, πρόωρός τε καὶ πρόῤῥιζος ἐξεκό-
πη· ἐλπὶς δὲ τῆς ἀναστάσεως οὐδέπω τοὺς
ἀνθρώπους ἐψυχαγώγει, μετέθηκεν εὐα-
ρεστήσαντα τὸν Ἐνὼχ ὁ τῶν ὅλων Θεὸς, καὶ
τῆς τῶν θνητῶν ἐχώρισε βιοτῆς· ἵνα ἕκα-
στος τῶν εὐσεβεῖν προαιρουμένων λογίζηται,
B οἷα δὴ λόγῳ τετιμημένος, ὡς ὁ τοῦτον τετι-
μηκὼς, ἀγέραστον οὐκ ἐάσει τὸν Ἄβελ, ἅτε δὴ
δίκαιος ὢν, καὶ δικαίως ἰθύνων τὰ σύμπαντα.
τούτου δὴ χάριν, τὸν μὲν παρεῖδεν ἀναιρούμε-
νον, τὸν δὲ μετέθηκεν. ἵνα τῇ ἀναῤῥήσει
τῇ τούτου, μηνύσῃ τὴν ἐσομένην ἀνάστασιν.
ὁ γὰρ κατὰ τόνδε τὸν βίον τῶν τῆς ἀρε-
τῆς μὴ τετυχηκὼς ἀντιδόσεων, δῆλον ὡς ἐν
ἑτέρῳ τούτων ἀπολαύσεται βίῳ.

Γ κε. Καὶ ἔζησε Μαθουσάλα ἑπτὰ
καὶ ἑξήκοντα (1) καὶ ἑκατὸν ἔτη,
κς. καὶ ἐγέννησε τὸν Λάμεχ. Καὶ ἔζη-
σε Μαθουσάλα μετὰ τὸ γεννῆσαι
αὐτὸν τὸν Λάμεχ, δύω καὶ ὀγδοή-
κοντα καὶ ἑπτακόσια ἔτη· καὶ ἐγέν-
κζ. νησεν υἱοὺς καὶ θυγατέρας. Καὶ ἐγέ-
νοντο πᾶσαι αἱ ἡμέραι Μαθουσάλα,
ἃς ἔζησεν, ἐννέα καὶ ἑξήκοντα καὶ ἐν-
Δ κη. νακόσια ἔτη· καὶ ἀπέθανε. Καὶ ἔζη-
σε Λάμεχ ὀκτὼ καὶ ὀγδοήκοντα καὶ
ἑκατὸν ἔτη, καὶ ἐγέννησεν υἱόν.

κθ. Καὶ ἐπωνόμασε τὸ ὄνομα αὐ-
τοῦ Νῶε, λέγων, οὗτος διαναπαύσει
ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν, καὶ ἀπὸ
τῶν λυπῶν τῶν χειρῶν ἡμῶν, καὶ ἀπὸ
τῆς γῆς, ἧς κατηράσατο Κύριος ὁ
E Θεὸς ἡμῶν.

ΘΕΟΔΩΡΟΥ. Ὁ Λάμεχ ἐπὶ τῇ γεν-
νήσει τοῦ Νῶε προφήτης ἀνεδείκνυτο, κα-
θάπερ ἀμέλει ὁ Ζαχαρίας ἐπὶ τῇ γεννή-
σει τοῦ Βαπτιστοῦ. τὸν γὰρ υἱὸν αὐτοῦ Νῶε
ὠνόμασεν. ὃ ἑρμηνεύεται ἀνάπαυσις· ἀπο-
διδοὺς δὲ τὴν αἰτίαν τῆς τοιαύτης κλήσεως
„ ὁ Λάμεχ, οὗτός φησι διαναπαύσει ἡμᾶς ἀπὸ
„ τῶν ἔργων ἡμῶν, καὶ ἀπὸ τῆς γῆς, ἧς κα-
„ τηράσατο Κύριος ὁ Θεός. (2)

Z ✻ ΠΡΟΚΟΠΙΟΥ. Πῶς Νῶε διανέπαυ-
σε τὸν Λάμεχ ἀπὸ τῶν ἔργων αὐτοῦ, καὶ
ἀπὸ τῶν λυπῶν τῶν χειρῶν αὐτοῦ, καὶ
τῆς γῆς, ἧς Κύριος ὁ Θεὸς κατηράσα-
το; λεγέτωσαν οἱ τῇ λέξει παριστάμενοι.
Ἀλλὰ μήποτε ἐπὶ τὸν σωτῆρα ἀναφέρε-
ται, ὅς ἐστιν ἀληθῶς ἀνάπαυσις, καὶ τῷ
ἁμαρτίαν μὴ πεποιηκέναι κυρίως δίκαιος;
οὗτος γὰρ πάντας τοὺς ἐν ἐλπίδι ἀγαθῇ
ἀνέπαυσε.

✻✻ ΧΡΥΣΟΣΤΟΜΟΥ. Πόθεν τῷ Λά-
μεχ τὸ τοσοῦτον μέγεθος τῆς προῤῥήσεως;
μὴ γὰρ μέμνηται ἡ γραφὴ, ὅτι ἐνάρετός-
τις ἦν καὶ θαυμαστός; Μὴ ξενισθῇς ἀγα-
πητέ. σοφὸς γὰρ ὢν καὶ εὐμήχανος ὁ δε-
σπότης, καὶ δι᾽ ἀναξίων πολλάκις συγχω-
ρεῖ προλέγεσθαι θαυμαστὰ καὶ μεγάλα
πράγματα· καὶ οὐκ ἐν τῇ παλαιᾷ μόνον
τοῦτο, ἀλλὰ καὶ ἐν τῇ καινῇ. Καὶ μετ᾽ ὀλίγα.
„ Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νῶε. ἑρμη-
νεύεται γὰρ αὐτοῦ τὸ ὄνομα, ἀνάπαυσις.
τὴν οὖν πανωλεθρίαν ἐκείνην τὴν μετὰ το-
σούτων ἐτῶν ἀριθμὸν συμβήσεσθαι μέλλου-
σαν, ἀνάπαυσιν καλεῖ, καθάπερ καὶ Ἰὼβ
„ φησι· θάνατος ἀνδρὶ ἀνάπαυσις. ἐπειδὴ Ἰώβ. 3. 23.
γὰρ πολλὴν, καὶ σφόδρα μέγαν ἔχει τὸν
κάματον ἡ κακία, τὴν ταύτης ἀποχὴν καὶ
τὴν ἀναίρεσιν, ἣν διὰ τοῦ κλυδωνίου ἐκείνου
ἔμελλεν ὑφίστασθαι, ἀνάπαυσιν καλεῖ. καὶ
„ ἐκάλεσέ φησι τὸ ὄνομα αὐτοῦ Νῶε. εἶτα
ἑρμηνεύων ἡμῖν τοῦ ὀνόματος τὴν προσηγο-
„ ρίαν, φησίν· οὗτος δὲ ἀναπαύσει ἡμᾶς ἀπὸ
τῶν ἔργων ἡμῶν, ἀπὸ τῆς κακίας, φησὶν,
ἀποστήσει, καὶ ἀπὸ τῶν λυπηρῶν τῶν χει-
ρῶν ἡμῶν. καὶ πάλιν τὸ αὐτὸ, ἀπὸ τῶν
πράξεων, φησὶ, τῶν πονηρῶν. οὐδὲ γὰρ
ἐπειδὴ αἱ χεῖρες ἐλυποῦντο, ἀλλ᾽ ἐπειδὴ
διὰ τῆς τούτων ἐργασίας, καὶ τῆς πονηρᾶς
πράξεως τὰ τῆς λύπης αὐτῆς ηὔξετο.
„ καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο Κύριος
ὁ Θεός. ἐλευθερώσει ἡμᾶς πάντων, φησὶ,
τῶν ἐπικειμένων κακῶν, καὶ τοῦ περὶ τὴν
γῆν πονεῖσθαι, τὴν κατάραν δεξαμένην
διὰ τὴν τοῦ πρωτοπλάστου παράβασιν.

λ. Καὶ ἔζησε Λάμεχ μετὰ τὸ
γεννῆσαι αὐτὸν τὸν Νῶε, πέντε καὶ
ἑξήκοντα καὶ πεντακόσια ἔτη· καὶ
λα. ἐγέννησεν υἱοὺς καὶ θυγατέρας. Καὶ
ἐγένοντο πᾶσαι αἱ ἡμέραι Λάμεχ,
τρία καὶ πεντήκοντα καὶ ἑπτακόσια
ἔτη· καὶ ἀπέθανε.

ΚΕΦ. Ϛ.

α. Καὶ ἦν Νῶε ἐτῶν πεντα-
κοσίων.

✻✻ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπίτηδες ἡμῖν
H τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ δικαίου ἐπεσημή-
νατο ἡ θεία Γραφὴ, ἵνα μάθωμεν ἐν πό-
σῳ χρόνῳ διετέλεσε παραινῶν αὐτοῖς, καὶ
πῶς ἐκεῖνοι μὲν τὴν τῆς κακίας ὁδὸν ἑλό-
μενοι, ἐν ταύτῃ κατεδαπανῶντο· ὁ δὲ δί-
καιος ἀπεναντίας ἅπασι πορευόμενος, τὴν
ἄκραν ἀρετὴν ἐπεδείξατο. ὥστε καὶ τὴν
παρὰ τοῦ Θεοῦ ἐπισπάσασθαι εὔνοιαν, καὶ
πάντων

(1) Ἐπιδιόρθωσίς ἐστιν ἐν τῷ Κώδικι. ἐν ᾧ ἀναγινώσκεται ἑπτὰ καὶ ὀγδοήκοντα καὶ ἑκατὸν ἔτη.
(2) Τὰ αὐτὰ καὶ Κύριλλος ἐν βιβλ. 2. τῶν Γλαφυρ.

πάντων ὑπευθύνων τῇ τιμωρίᾳ γενομένων, αὐτὸν μόνον διαφυγεῖν μετὰ τῶν αὐτῷ προσηκόντων.

Καὶ ἐγέννησε Νῶε τρεῖς υἱοὺς, τὸν Σὴμ, τὸν Χὰμ, τὸν Ἰάφεθ.

** ΚΥΡΙΛΛΟΥ. Ὁ μὲν Σὴμ, τελειότης, ἤτοι φύτευμα μετονομάζοιτο ἂν ἐξ Ἑβραίων εἰς Ἑλλάδα φωνήν· θερμασία δὲ, ὁ Χάμ· πλατυσμὸς δὲ, ὁ Ἰάφεθ.

β. Καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐχ ἁπλῶς προσέθηκε τὸ, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς, ἀλλ' ἵνα τὸ πολὺ πλῆθος ἡμῖν ἐμφήνῃ. ὅπου γὰρ τοσοῦτον τὸ τῶν ῥιζῶν πλῆθος, ἀνάγκη πολλοὺς τίκτεσθαι τοὺς κλάδους.

γ. Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς εἰς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνας υἱοὺς τοῦ Θεοῦ κέκληκεν ὁ Μωσῆς; Ἐμβρόντητοί τινες, καὶ ἄγαν ἠλίθιοι, Ἀγγέλους τούτους ὑπέλαβον, τῆς οἰκείας ἴσως ἀκολασίας ἀπολογίαν σχήσειν ἡγούμενοι· (1) ἔδει δὲ αὐτοὺς ἀκοῦσαι τοῦ Θεοῦ τῶν ὅλων λέγοντος, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας. ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἔτη ἑκατὸν εἴκοσι· καὶ συνιδεῖν ἐντεῦθεν, ὡς οὔτε σάρκας ἔχει τῶν ἀσωμάτων ἡ φύσις, οὔτε χρόνῳ ῥητῷ περιωρισμένην ἔχουσι τὴν ζωήν. ἀθάνατοι γὰρ ἐκτίσθησαν. καὶ τὰ ἑξῆς δὲ τὴν αὐτὴν ἔχει διάνοιαν. ἰδὼν γάρ φησι Κύριος ὁ Θεὸς, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας. καὶ ἐνεθυμήθη ὁ Θεὸς, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς. καὶ εἶπεν ὁ Θεός· ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ· ὅτι ἐνεθυμήθην, ὅτι ἐποίησα αὐτούς. καὶ τῷ Νῶε ἔφη πάλιν, καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου· ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ' αὐτῶν. καὶ ἰδοὺ καταφθείρω αὐτοὺς καὶ τὴν γῆν. ταῦτα δὲ πάντα ἀνθρώπους εἶναι δηλοῖ τοὺς τὸν παράνομον βίον ἠγαπηκότας. εἰ δὲ Ἄγγελοι ταῖς τῶν ἀνθρώπων ἐπεμίγησαν θυγατράσιν, ἠδίκηνται οἱ ἄνθρωποι παρὰ τῶν Ἀγγέλων. βίᾳ γὰρ δηλονότι τούτων τὰς θυγατέρας διέφθειραν. ἠδίκηνται δὲ καὶ παρὰ τοῦ πεποιηκότος Θεοῦ, ὑπὲρ Ἀγγέλων λελαγνευκότων αὐτοὶ A κολαζόμενοι. ἀλλὰ ταῦτα οὐδὲ αὐτὸν οἶμαι φάναι τολμῆσαι τὸν τοῦ ψεύδους πατέρα. διὰ πολλῶν γὰρ ἐδίδαξεν ἡ θεία Γραφὴ καὶ ἀνθρώπους ἡμαρτηκέναι, καὶ κατ' ἀνθρώπων τὴν θείαν ἐξενηνέχθαι ψῆφον. ποιεῖ δὲ τοῖς πολλοῖς τὴν ἄγνοιαν τὸ παρέργως ἀναγινώσκειν τὴν θείαν Γραφήν. εἰρηκὼς γὰρ ὁ συγγραφεὺς, ὅπως ἐκ μὲν τοῦ Ἀδὰμ, ὁ Σὴθ ἐγεννήθη· ἐκ δὲ τοῦ Σὴθ, ὁ Ἐνὼς, προσέθηκεν, οὗτος ἤλπισεν B ἐπικαλεῖσθαι τὸ ὄνομα τοῦ Θεοῦ. ὁ δὲ Ἀκύλας οὕτω τοῦτο ἡρμήνευσε, τότε ἤρχθη τοῦ καλεῖσθαι τῷ ὀνόματι Κυρίου. αἰνίττεται ὁ λόγος, ὡς διὰ τὴν εὐσέβειαν οὗτος πρῶτος τῆς θείας προσηγορίας τετύχηκε, καὶ ὑπὸ τῶν συγγενῶν ὠνομάσθη Θεός. ὅθεν οἱ ἐκ τούτου φύντες, υἱοὶ Θεοῦ ἐχρημάτιζον· ὥσπερ δὴ καὶ ἡμεῖς ἐκ τῆς τοῦ δεσπότου Χριστοῦ προσηγορίας, χριστιανοὶ καλούμεθα. εἰ δέ τις ταύτην οὐ δέχεται τὴν διάνοιαν, διὰ τὸ Γ τὸν Ἀκύλαν οὕτως ἑρμηνευκέναι, ἀκουσάτω τοῦ Θεοῦ διὰ τοῦ προφήτου Δαβὶδ λέγοντος, ἐγὼ εἶπα, Θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. καὶ ὁ Θεὸς ἔστη ἐν συναγωγῇ Θεῶν· ἐν μέσῳ δὲ Θεοὺς διακρινεῖ. οὕτω δὲ ὀνομάζει τοὺς ἄρχοντας, ὡς δηλοῖ τὰ ἑξῆς, ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; κρίνατε ὀρφανῷ, καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε, καὶ τὰ ἑξῆς. καὶ αὖθις, Θεὸς Θεῶν Κύριος Δ ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν. τούτων αὐτῶν δηλονότι, τῶν χάριτι τῆς προσηγορίας ταύτης ἠξιωμένων. οὕτω καὶ ὁ νομοθέτης ἔφη, Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. κἀκεῖνοι τοίνυν ὡς εὐσεβεῖς ὠνομάσθησαν υἱοὶ τοῦ Θεοῦ. ἐκεχώριστο γὰρ τοῦ Σὴθ τὸ γένος, καὶ οὐκ ἐπεμίγνυτο τοῖς ἐκ τοῦ Κάϊν, διὰ τὴν ἐπενεχθεῖσαν αὐτῷ παρὰ τοῦ Θεοῦ τῶν ὅλων ἀράν. ἀλλὰ χρόνου συχνοῦ διελθόντος· μετὰ E πλείονα γὰρ ἢ δισχίλια ἔτη τὸν κατακλυσμὸν ἐπήγαγεν ὁ Θεός· εὐειδεῖς θεασάμενοι τῆς τοῦ Κάϊν συγγενείας τὰς θυγατέρας, καὶ καταθελχθέντες, ὡς εἰκὸς, τοῖς παρ' αὐτῶν ἐπινοηθεῖσι μουσικοῖς ὀργάνοις· ὁ γὰρ Ἰουβὰλ ἐξ αὐτῶν ἀνθήσας, ψαλτήριον καὶ κιθάραν κατέδειξεν· ἐπεμίγησαν αὐταῖς, καὶ διέφθειραν τὴν οἰκείαν εὐγένειαν, καὶ τὰ αὐτὰ τοῖς Ἰσραηλίταις ὑπέμειναν· οἱ ταῖς τῶν Μαδιανιτῶν θυγατράσι Z μιγέντες, καὶ τῆς ἐκείνων δυσσεβείας μετέσχον, καὶ θεήλατον τιμωρίαν ἐδέξαντο. περὶ τούτων καὶ ὁ θεῖος ἔφη Δαβὶδ, καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν, καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν. οὕτως οἱ ἐκ τοῦ Σὴθ τὸ γένος κατάγοντες πάλαι μὲν ὡς ἀρετῆς ἐπιμελούμενοι, υἱοὶ Θεοῦ ἐχρημάτιζον· ὑπὸ δὲ τῆς ὥρας τῶν ἀνοσίων γυναικῶν δελεασθέντες, συνέχεον μὲν διακεκριμένα τὰ γένη, H καρπὸν δὲ κληρονομίας, τὴν πανωλεθρίαν ἐδέξαντο.

ΓΕΝΝΑ-

(1) Ἡγούμενοι, εἰ τῶν Ἀγγέλων τοιαῦτα κατηγορεῖεν. ἡ ἐν χάλ. ἐκδ.

A ΓΕΝΝΑΔΙΟΥ. Υἱοὺς Θεοῦ κατ᾽ ἐξαίρε-
τον λόγον τοὺς τοῦ Σὴθ ἀπογόνους ὠνόμα-
σεν, ὡς πατρὸς περὶ αὐτοὺς κηδεμονίαν
ἐπιδεικνυμένου τοῦ Θεοῦ, καθάπερ οἶμαι καὶ
Ἡσ. 1. 2. τοὺς ἐκ τοῦ Ἰακώβ· υἱοὺς γάρ φησιν ἐγέν-
» νησα καὶ ὕψωσα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἔθος τῇ Γρα-
φῇ καὶ τοὺς ἀνθρώπους υἱοὺς Θεοῦ καλεῖν.
ἐπεὶ οὖν ἀπὸ τοῦ Σὴθ οὗτοι κατῆγον τὸ γέ-
νος, καὶ ἀπὸ τοῦ ὑπ᾽ αὐτοῦ τεχθέντος, καὶ
» προσαγορευθέντος Ἐνώς· οὗτος γάρ φησιν
» ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ
Θεοῦ· ἐξ ἐκείνου λοιπὸν οἱ ἑξῆς τικτόμενοι,
υἱοὶ Θεοῦ προσηγορεύθησαν παρὰ τῆς θείας
Γραφῆς, διὰ τὸ μιμεῖσθαι μέχρις ἐκείνου
τὴν προγόνων ἀρετήν. υἱοὺς δὲ ἀνθρώπων
ἐκάλεσε τοὺς πρὸ τοῦ Σὴθ γεγονότας, τοὺς
ἀπὸ τοῦ Καΐν, καὶ τοὺς ἐξ ἐκείνου τὸ γένος
κατάγοντας.

** ΤΟΥ ΑΥΤΟΥ. Τί οὖν; τὸ κάλλος
τῆς ἁμαρτίας αἴτιον; μὴ γένοιτο. τῆς γὰρ
Θεοῦ σοφίας ἔργον ἐστί. Θεοῦ δὲ ἔργον οὐκ ἄν-
ποτε γένοιτο πονηρίας αἴτιον. ἀλλὰ τὸ
ἰδεῖν; οὐδὲ τοῦτο. καὶ γὰρ καὶ τοῦτο τῆς φύ-
σεως ἔργον ἐστίν. ἀλλὰ τί; τὸ κακῶς ἰδεῖν.
τοῦτο γὰρ προαιρέσεως διεφθαρμένης ἐστί.
Σειρ. 9. 8. διὰ τοῦτο καί τις σοφὸς παραινεῖ λέγων, μὴ
» καταμάνθανε κάλλος ἀλλότριον.

** ΚΥΡΙΛΛΟΥ. Οἴδαμεν οὖν, ὅτι τῶν
ἀντιγράφων τινὰ περιέχει σαφῶς· ἰδόν-
» τες δὲ οἱ Ἄγγελοι τοῦ Θεοῦ τὰς θυγατέρας
τῶν ἀνθρώπων. εἶτα περιτρέπουσί τινες
τῆς φιλοσαρκίας τὰ ἐγκλήματα, καὶ τῆς
οὕτω μυσαρωτάτης ἐπιθυμίας ἀνάπτουσι
τὰς αἰτίας ὠλισθηκόσιν Ἀγγέλοις· οἳ τὴν
Ἰούδ. 6. ἰδίαν ἀρχὴν οὐ τετηρήκασι, κατὰ τὸ γε-
γραμμένον. ἐγὼ δὲ, ὅτι πᾶν μὲν ἀῤῥώ-
στημα νοῦ πρέποι ἂν ἐκείνοις, φαίην ἂν, καὶ
σιωπήσομαι· τὸ δέ γε τοῦ εἰκότως λογισμοῦ
τὴν ἐπὶ τῷ πράγματι πίστιν ὡς ἀπωτάτω
φέρεσθαι συγχωρεῖν, εἴη ἂν ὥς γέ μοι φαί-
νεται τῶν ἀτοπωτάτων. Καὶ μεθ᾽ ἕτερα. Ὃ
γὰρ οὐκ εἶπεν ἡ θεία Γραφὴ, τίνα δὴ τρό-
πον παραδεξόμεθα, καὶ ἐν τοῖς ἀληθῶς
ἔχουσι καταλογιούμεθα; οὐκοῦν ἀναγνωσό-
» μεθα μᾶλλον· ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς
» θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰ-
» σιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν
» ὧν ἐξελέξαντο. ἐμπεδοῖ δὲ μᾶλλον ἡμῖν
ὀρθῶς ἐχουσαν τὴν τοιάνδε γραφὴν, καὶ
ἡ παρὰ τῶν ἑτέρων ἑρμηνευτῶν ἀπόδοσις.
» Ἀκύλας μὲν γάρ φησι· ἰδόντες δὲ οἱ υἱοὶ
» τῶν Θεῶν τὰς θυγατέρας τῶν ἀνθρώπων.
Σύμμαχος δὲ αὖ ἀντὶ τοῦ, υἱοὶ τῶν Θεῶν,
» ἐκδέδωκεν, οἱ υἱοὶ τῶν δυναστευόντων. υἱοὺς
δὲ Θεῶν, καὶ μὴν καὶ δυναστευόντων τοὺς
ἀπό γε τοῦ Σὴθ καὶ τοῦ Ἐνὼς ὠνόμαζον,
διά τε τὴν ἐνοῦσαν αὐτοῖς ὁσιότητα καὶ φι-
λοθεΐαν, καὶ τὸ πάντων δύνασθαι κατα-
θλεῖν τῶν ἀνθεστηκότων· ἐπαμύνοντός
που, κατὰ τὸ εἰκὸς, τοῦ Θεοῦ, καὶ περιφανὲς
ἀποφαίνοντος τὸ ἱερώτατόν τε καὶ ἅγιον γέ-
νος· ὅπερ ἦν ἄμικτον τῷ ἑτέρῳ, τουτέστι
τοῖς ἀπὸ Καΐν, καὶ μὴν καὶ Λάμεχ.

A δ. Καὶ εἶπε Κύριος ὁ Θεὸς, οὐ μὴ
καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀν-
θρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ
εἶναι αὐτοὺς σάρκας.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὸ πνεῦμα ἐν-
ταῦθα τὴν προνοητικὴν αὐτοῦ δύναμιν ἐκά-
λεσε, τὴν ἀπώλειαν αὐτῶν ἤδη προμη-
νύων. καὶ ἵνα μάθῃς, ὅτι περὶ τούτου ἦν
ὁ λόγος, ὅρα τὸ ἐπαγόμενον. διὰ τὸ εἶναι
B » αὐτοὺς, φησὶ, σάρκας. τουτέστι, διὰ τὸ
σαρκικαῖς πράξεσιν αὐτοὺς καταδεδαπα-
νῆσθαι, καὶ μὴ εἰς δέον κεχρῆσθαι τῇ τῆς
ψυχῆς οὐσίᾳ, ἀλλ᾽ ὡς σάρκα μόνον περι-
κειμένους, καὶ ψυχῆς ἐρήμους ὄντας, οὕτω
τὸν ἑαυτὸν βίον καταναλίσκειν. ἔθος γὰρ
ἀεὶ τῇ θείᾳ Γραφῇ σάρκα τοὺς σαρκικοὺς
καλεῖν, ὥσπερ τοὺς ἐναρέτους ἀσάρκους ὀνο-
» μάζειν· καθάπερ ὁ Παῦλός φησιν· ὑμεῖς Ῥωμ. 8. 9.
» δὲ οὐκ ἐστὲ ἐν σαρκί. οὐκ ἐπειδὴ σάρκα οὐ
Γ περιέκειντο, ἀλλ᾽ ἐπειδὴ σάρκα περικείμε-
νοι, ἀνώτεροι τῶν σαρκικῶν ἦσαν φρονη-
μάτων. ὥσπερ οὖν καὶ τοῖς δε, διὰ τὸ ὑπε-
» ρορᾷν τῶν σαρκικῶν, ἔλεγεν, ὑμεῖς δὲ οὐκ
» ἐστὲ ἐν σαρκί· οὕτω καὶ ἐπὶ τούτων, ἐπειδὴ
περὶ τὰς σαρκικὰς πράξεις διηνεκῶς ἦσαν
ἠσχολημένοι, σάρκας αὐτοὺς ἐκάλεσε.

ΔΙΟΔΩΡΟΥ. Αἰῶνα λέγει νῦν τῶν
ἀνθρώπων τὴν ζωὴν, ὡς καὶ Δαβίδ· ὁ Ψαλ. 89. 8.
Δ » αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου
» σου. ἵνα ᾖ τὸ, οὐ μὴ καταμείνῃ τὸ πνεῦ-
» μά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν
αἰῶνα· σημαίνων, ὅτι οὐχ ὅτι ὅλον αὐτῶν
τὸν αἰῶνα ζήσουσιν οἱ νῦν ἄνθρωποι. ἐν
γὰρ τοῖς ἀνθρώποις τούτοις εἶπεν, οὐχ ἑτέ-
ροις, οὐκ ἀναπληρώσω αὐτὸν τὸν τῶν ἐτῶν
ἀριθμὸν, τὸν πολυχρόνιον ἐκεῖνον.

Ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν, ἑκα-
E τὸν εἴκοσι ἔτη.

ΓΕΝΝΑΔΙΟΥ. Ἔσονται δέ φησιν. αἱ
» ἡμέραι αὐτῶν ἔτη ἑκατὸν εἴκοσι. τουτέ-
στιν ἀλυσιτελὴς ὁ μακρὸς τοῖς οὕτως ἐμ-
παθέσιν αἰών. διὸ τὸν βίον αὐτοῖς, ὡς
ἐπὶ τὸ πλεῖστον, εἰς εἴκοσι καὶ ἑκατὸν ἐτῶν
ἀριθμὸν συντέμνω. καὶ γοῦν κατ᾽ ὀλίγον
αὐτῶν ὑποτεμνομένων, τὴν ζωὴν εἰς το-
σοῦτον αὐτὴν ἐπὶ τῶν Πατριαρχῶν λοιπὸν
κατεστήσατο χρόνον. ταύτῃ γε μὴν ἡμῶν
Z τῇ ἐκθέσει συμφωνεῖ καὶ Ἰώσηπος, οὕτως
» εἰπών· συνετέμνετο γὰρ ἤδη τοῖς ἀνθρώ-
» ποις τὸ ζῆν, καὶ βραχύτερον ἐγίνετο μέ-
» χρι τῆς Μωσέως γενέσεως, ἑκατὸν ἔτη
» πρὸς τοῖς εἴκοσι ζήσαντος. ἐπειδὴ δὲ ᾠή-
θησάν τινες εἰρῆσθαι μὲν περὶ τοῦ κατα-
κλυσμοῦ τὴν ἀπόφασιν ταύτην ἐν τῷ πεν-
τακοσιοστῷ ἔτει τοῦ Νῶε, ὡς ἔκτοτε μετὰ
τοσούτων ἐτῶν ἀριθμὸν ἐπαχθησομένου·
ἐπήχθη δὲ οὗτος ἑξακοσιοστοῦ ἔτους τοῦ Νῶε,
H συλλογιζόμενοι τὸν χρόνον, ἔφησαν προει-
ληφέναι τὸν Θεὸν εἴκοσι ἔτεσι τὴν οἰκείαν
ἀπόφασιν. ὅπερ ἐστὶ παντάπασιν ἀτοπώ-
τατον, τοῦ Θεοῦ τὰς τιμωρίας ἀεὶ βραδύ-
νοντος, καὶ ἀναβαλλομένου μᾶλλον, οὐ προ-

K λαμβά-

λαμβάνοντος. ἔνιοι μὲν οὖν προσιέμενοι ταύτης τῆς ἑρμηνείας τὰ πρότερα, καὶ συνομολογήσαντες τὴν προεγκειμένην ἀπόφασιν, τὴν ἐκ τοῦ κατακλυσμοῦ τοῖς ἀνθρώποις ὀλέθριον ἀπειλὴν, πρὸς τὰ ἑξῆς, τὰ περὶ τῆς τοῦ χρόνου φημὶ προθεσμίας, ἀντιβεβήκασιν. οὐδὲ γὰρ κατὰ τὸ πεντακοσιοστὸν ἔτος τοῦ Νῶε φασὶ ταῦτα πάντως εἰπεῖν τὸν Θεὸν, κἂν ἢ προλαβὼν ὁ συγ-
» γραφεὺς ἔφη τὸ, ἦν Νῶε ἐτῶν πεντακοσίων. ὅθεν οὐδὲ πρὸς τὸν Νῶε, τὸν Θεὸν αὐτὰ φῆσαι· ἀπολελυμένως δὲ οὕτως ἁπλῶς, ὡς ἐντεῦθεν εἶναι στοχάσασθαι μᾶλλον ἀκόλουθον, ὅτιπερ εἰκὸς, πολλῷ πρότερον καὶ τῶν ἑκατὸν εἴκοσι ἐτῶν ἐξενηνέχθαι παρὰ Θεοῦ τὴν ἀπόφασιν, ἢν πρὸς τὸν Νῶε εἰπεῖν τὸν Θεὸν, καὶ ἐπὶ πέρας ἐθέλειν ἤδη προαγαγεῖν. οὕτω μὲν οὖν ἔνιοι τῆς τῶν τινῶν ἑρμηνείας ἀποσκευάσασθαι τὸ ἄτοπον ἐπειράθησαν. ἐγὼ δὲ τὸν πολὺν κύκλον παρεὶς, πιθανώτερόν τε οἶμαι καὶ ἀληθέστερον, καὶ παρὰ πόδα, μᾶλλον αὐτὸ προηρμηνευκέναι· ταύτην μὲν ἀπό-
» φασιν τὴν, ἔσονται αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσι ἔτη, γενομένην ἐπὶ τῇ πορνείᾳ τῶν ἐκ τοῦ Σὴθ, περὶ τῆς τῶν μετέπειτα ζωῆς ἐκδεξάμενος, οὐ περὶ τῶν πρὸ τοῦ κατακλυσμοῦ, καὶ μέχρι τοῦ κατακλυσμοῦ· τὴν
» δὲ, εἶπεν ὁ Θεὸς ἀπαλείψω τὸν ἄνθρωπον,
» ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἐξενηνεγμένην ἀπόφασιν, διὰ τὴν ἐπὶ τὸ χεῖρον εἰς ἄκρον ἐκτροπὴν τῶν ἀνθρώπων, ταύτην εἶναι περὶ τῆς διὰ τοῦ κατακλυσμοῦ παντελοῦς τοῦ παντὸς ἀπωλείας.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί οἱ παλαιοὶ πολὺν ἔζων χρόνον; Ὥστε αὐξηθῆναι τῷ πλείονι χρόνῳ. διὰ τοῦτο καὶ πολλαῖς συνήπτοντο γυναιξίν. αὐτίκα γοῦν καὶ μετὰ τὸν κατακλυσμὸν μέχρι τῶν Πατριαρχῶν μακρόβιοι ἦσαν. ἐπειδὴ δὲ τὴν οἰκουμένην ἐπλήρωσαν, ἠλαττώθη λοιπὸν ὁ τῶν ἐτῶν ἀριθμός.

ε. Οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις. καὶ μετ' ἐκεῖνο, ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν αὐτοῖς· ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί.

ΙΩΑΝΝΟΥ. (1) Γίγαντας ἐνταῦθα τοὺς ἰσχυροὺς τῷ σώματι οἶμαι λέγειν τὴν θείαν Γραφήν. καὶ γὰρ καὶ ἀλλαχοῦ εἴρη-
Ἡσ. 13. 3. ται, γίγαντες ἔρχονται παῦσαι τὸν θυ-
» μόν μου.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνας καλεῖ γίγαντας ἡ θεία Γραφή; Τινές φασι τοὺς ἔτη πολλὰ βεβιωκότας· τινὲς δὲ, τοὺς θεομισεῖς καὶ ἀντιθέους ἀνθρώπους. οἱ δὲ ταῦτα οὕτω νενοηκότες, οὐ φασὶ τούτους μείζονα τῶν ἄλλων ἀνθρώπων σώματα ἐσχηκέ-

A ναι. ἐγὼ δὲ ὅταν ἀκούσω τῆς θείας Γραφῆς λεγούσης περὶ τοῦ Ἐνὰκ, ὅτι ἀπόγο-
» νος ἦν τῶν γιγάντων, καὶ περὶ τοῦ Ὢγ, Ἰησ. 13. 12.
» ὅτι ἡ κλίνη αὐτοῦ σιδηρᾶ ἦν, ἐννέα πηχῶν
» τὸ μῆκος, καὶ τεσσάρων τὸ πλάτος· καὶ
» ὅτι οὗτος ἐκ τῶν Ῥαφαῒν ὑπελείφθη· καὶ
» τῶν κατασκόπων διηγουμένων, ὅτι ἦμεν
» ἐνώπιον αὐτῶν ὡσεὶ ἀκρίδες· καὶ τοῦ Θεοῦ Ἀριθ. 13. 34
βεβαιοῦντος τοὺς λόγους, καὶ λέγοντος, ὅτι
» παραδέδωκά σοι τὸν Ἀμοῤῥαῖον, οὗ τὸ ὕψος Ἀμ. 2. 9.
B » ἦν ὡς κέδρου, καὶ ἰσχυρὸς ἦν ὡς δρῦς· καὶ
» περὶ τοῦ Γολιὰθ, ὅτι τεσσάρων πηχῶν καὶ 1. Βασ. 17. 4
» σπιθαμῆς τὸ μῆκος εἶχεν· ἡγοῦμαι γεγενῆσθαι τινας παμμεγέθεις ἀνθρώπους, τοῦ Θεοῦ καὶ τοῦτο σοφῶς πρυτανεύσαντος, ἵνα γνῶσιν, ὡς οὐκ ἀσθενῶν ὁ δημιουργὸς, τοσοῦτον τοῖς ἀνθρώποις ἀπένειμε μέτρον· ῥᾴδιον γὰρ ἦν αὐτῷ καὶ μείζους δημιουργῆσαι· ἀλλὰ τὸν τῦφον ἐκκόπτων, καὶ τὴν ἀλαζονείαν κωλύων, μέγιστα τοῖς ἀνθρώ-
Γ ποις οὐκ ἔδωκε σώματα. εἰ γὰρ ἐν σμικροῖς σώμασιν οὐ κατ' ἀλλήλων, ἀλλὰ καὶ κατ' αὐτοῦ μεγαλαυχοῦσι τοῦ ποιητοῦ, τί οὐκ ἂν ἔδρασαν, εἰ μεγίστων σωμάτων μετέλαχον;

ΓΕΝΝΑΔΙΟΥ. Καὶ μετ' ἐκεῖνο ὡς ἂν
» ἐπορεύοντο οἱ υἱοὶ τοῦ Θεοῦ ἐπὶ τὰς θυγατέ-
» ρας τῶν ἀνθρώπων, ἐκεῖνοι ἦσαν οἱ γί-
» γαντες, οἱ ἀπ' αἰῶνος ἄνθρωποι οἱ ὀνομα-
Δ στοί. μετὰ γὰρ τὸ ἀποστῆναι Θεοῦ, φησὶ, τοὺς υἱοὺς τοῦ Θεοῦ, καὶ γάμῳ παρανόμῳ προσομιλῆσαι, τῶν ἀθεωτάτων ἀνδρῶν ἐκείνων γέγονεν ἡ φορὰ, (2) καὶ ὧν ἀνέκαθεν ἐπ' ἀσεβείᾳ λόγος πολύς. γίγαντας γὰρ οἶδεν ἡ Γραφὴ καλεῖν τοὺς καθ' ὑπερβολὴν ἀσεβεῖς, καὶ ὑπερηφάνους, καὶ τῇ οἰκείᾳ ῥώμῃ τὸ πᾶν ἐπιτρέποντας.
» οὕτω φησὶν ὁ ψαλμῳδός· καὶ γίγας οὐ σω- Ψαλ. 32. 16.
» θήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ.

E ΔΙΟΔΩΡΟΥ. Οὐ μάτην προστίθησιν ὁ
» Μωσῆς τὸ, οἱ δὲ γίγαντες τότε ἦσαν ἐπὶ
τῆς γῆς. ἀλλ' ἐπειδὴ ὀργισθεὶς ὁ Θεὸς τό-
» τε, εἴρηκεν ὅτι, οὐ μὴ καταμείνῃ τὸ πνεῦ-
» μά μου ἐν τοῖς ἀνθρώποις τούτοις, τουτέστι τὸ ζωτικὸν πνεῦμα, διὰ τὸ εἶναι αὐτοὺς οὐχ ἁμαρτωλοὺς, ἀλλ' ἁμαρτίαν· τοῦτο γάρ ἐστι,
» διὰ τὸ εἶναι αὐτοὺς σάρκας· καὶ ὅτι ἔσται
» τὰ ἔτη αὐτῶν ἑκατὸν εἴκοσι. ἦν δὲ τιμωρία τοὺς ἐννακόσια καὶ πεντήκοντα ἔτη
Z βιοῦντας, εἰς ἑκατὸν εἴκοσι περιγραφῆναι. δεικνὺς, ὅτι τιμωρία ἦν τὰ ἑκατὸν εἴκοσι ἔτη καταλειπόμενα τῆς ζωῆς, τοῖς, ὡς ἔφην, ἐννακόσια καὶ πεντήκοντα ἔτη ζῶ-
» σιν, ἐπήγαγεν· οἱ δὲ γίγαντες τότε ἦσαν ἐπὶ τῆς γῆς, τουτέστιν οἱ πολλὰ ἔτη βιοῦν-
» τες. φησὶ γοῦν, ἐκεῖνοι ἦσαν οἱ γίγαντες
» οἱ ἀπ' αἰῶνος ἄνθρωποι οἱ ὀνομαστοί· δηλαδὴ οἱ υἱοὶ τοῦ Θεοῦ οἱ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων εἰσπορευόμενοι· ἔκτε αὐτῶν
H γεννῶντες υἱοὺς, οὐκ ἔτι τῷ Θεῷ· ὥστε αὐτοὺς ἐξ αὐτοῦ ὀνομάζεσθαι, ἢ ἐκείνου υἱοὺς λέγεσθαι· ἀλλ' ἑαυτοῖς ἐγέννων, ἄνθρωποι

(1) Τοῦ Χρυσοστόμου.

(2) Ἴσ. ἡ φθορά.

ποι ἀνθρώπους θνητὰ καὶ ἐπίκηρα φρονοῦντας.

** ΚΥΡΙΛΛΟΥ. Καὶ ἔτικτον μὲν αἱ γυναῖκες τέρατα, παραχαράττοντος Θεοῦ καὶ αὐτὰ λοιπὸν τῶν ἀνθρωπίνων σωμάτων τὰ κάλλη, διὰ τὸ ἀκρατὲς εἰς ὀρέξεις πορνικὰς τῶν τηνικάδε. ἦσαν δὲ οἱ τικτόμενοι γίγαντες· τουτέστιν ἄγριοίτε καὶ εὐσθενεῖς, καὶ πολὺ παθόντες τὸ εἰδεχθὲς, καὶ τοῖς τῶν σωμάτων μεγέθεσι πλεονεκτοῦντες τῶν ἄλλων. Ἰστέον δὲ ὅτι τοὺς ἄγαν εὐρωστάτους, γίγαντας ἀποκαλεῖν κατείθισταί πως τῆς θεοπνεύστου Γραφῆς ὁ λόγος. καὶ γοῦν ἔφη περίτε Περσῶν καὶ Μήδων διὰ φωνῆς Προφητῶν· γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίροντες ἅμα καὶ ὑβρίζοντες. Καὶ μετ᾽ ὀλίγα. Γεγόνασι μὲν γὰρ, ὡς ἔφην, δεινοὶ μὲν ἰδεῖν, ἄπλετοι δὲ εἰς ἀλκὴν, σκληροὶ καὶ δυσάντητοι, καὶ ταῖς τῶν σωμάτων ὑπεροχαῖς, βραχὺ, κατὰ τὸ εἰκὸς, τῶν ἄλλων ὑπεραιρόμενοι. πλὴν οὐ καθάπερ οἱ τὰ ἐπ᾽ αὐτοῖς μυθοπλαστεῖν εἰωθότες, καὶ αὐτῶν ἥπτοντο νεφῶν.

Ἡσ. 13. 3.

ΑΔΗΛΟΥ. Καὶ γὰρ μετὰ ταῦτα ἐτέχθησαν· τέρατα δὲ ἔτικτον. ἵνα γὰρ μὴ εὐφρανθῇ ἡ φθορὰ ἐπὶ τῇ ἐξουσίᾳ τῶν γυναικῶν, εἰς ἔλεγχον ἐγεννῶντο οἱ γίγαντες.

ς. Ἰδὼν δὲ Κύριος ὁ Θεὸς, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί βούλεται τὸ εἰρημένον, ἰδὼν δέ; Οὐκ ἐπειδὴ ἠγνόει ὁ Δεσπότης. μὴ γένοιτο. ἀλλὰ πρὸς τὴν ἀσθένειαν τὴν ἡμετέραν ἅπαντα διηγεῖται ἡ θεία Γραφή· ἵνα ἡμᾶς διδάξῃ, ὅτι καὶ μετὰ τὴν τοσαύτην αὐτοῦ μακροθυμίαν τοῖς αὐτοῖς ἐπέμενον, ἢ καὶ χείροσι περιέβαλον αὐτοὺς κακοῖς, φησίν· ἰδὼν δὲ, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς.

Καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας.

ΣΕΥΗΡΟΥ. Ὥστε τὸν φυσικὸν ἐπισκοτισθῆναι νόμον, καὶ μὴ ἐξαρκεῖν πρὸς τὴν τῶν πρακτέων ὑφήγησιν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκεῖνο μέντοι ἐπισημειώσασθαι χρὴ, ὡς οὐχ ἁπλῶς αὐτῶν ἁμαρτίαν ὁ θεῖος λόγος κατηγορεῖ, ἀλλὰ τὴν μετ᾽ ἐπιμελείας καὶ σπουδῆς παρανομίαν. τοῦτο γὰρ δηλοῖ τό· πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας. οἱ μὲν γὰρ δυσχεραίνοντες τῆς ἁμαρτίας τὴν προσβολὴν, ἡττώμενοι δὲ διὰ τὴν τοῦ νοῦ ῥαθυμίαν τῇ πονηρίᾳ, εἶθ᾽ ὕστερον ἀλγοῦντες καὶ στένοντες, ἔχουσί τινα μετρίαν ἀμηγέπη παραίτησιν· οἱ δὲ εἰς ἀκολασίαν καὶ πονηρίαν παντάπασιν ἀποκλίνοντες, καὶ δοῦλον τῶν πα-

A θῶν τὸν λογισμὸν ἀποφαίνοντες, ὥστε καὶ προσεπινοεῖν ἑτέρας κακίας ἰδέας, καὶ τοῦτο οὐχ ἅπαξ ἢ δὶς, ἀλλὰ παρὰ πάντα τὸν βίον, ποίας ἄξιοι συγγνώμης; ποία δὲ κόλασις οὐ σμικρὰ τοῖς οὕτω σφᾶς αὐτοὺς ἐκδεδωκόσιν εἰς ὄλεθρον;

ζ. Καὶ ἐνεθυμήθη ὁ Θεὸς, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς· καὶ διενοήθη.

B ΑΔΗΛΟΥ. Ἀνθρωποπαθῶς, ὡς καὶ ἄλλα πολλὰ τοιαῦτα ἐπὶ Θεοῦ λέγεται. οὐχ οὕτω δὲ ὡς ἡ λέξις καὶ ἡ νόησις ἔχει.

ΔΙΟΔΩΡΟΥ. Καὶ ἐνεθυμήθη, φησὶν, ὅτι ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς· ἢ κατὰ Ἀκύλαν καὶ μετεμελήθη ὁ Θεὸς, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ διεπονήθη πρὸς καρδίαν αὐτοῦ. μεταμέλεια ἀνθρώπων μὲν, πάθος· Θεοῦ

Γ δὲ, ἔργον. ἐπεὶ καὶ θυμὸς μὲν ἀνθρώπων, ταραχὴ ψυχῆς· Θεοῦ δὲ, παιδεία κατὰ τῶν ἐπταικότων. οὕτω καὶ μεταμέλεια ἐφ᾽ ἡμῶν μὲν, μετάγνωσις, οἷα θνητῶν εἰς κατάγνωσιν ἑαυτῶν, ἐφ᾽ οἷς κακῶς ἢ ἐνεθυμήθημεν, ἢ ἐπράξαμεν· ἐπὶ δὲ Θεοῦ, μετάθεσις οἰκονομίας εἰς ἕτερον τρόπον. ὃ γὰρ ἡμεῖς πάσχοντες πρῶτον εἰς ἔργον ἐρχόμεθα, τοῦτο ἐπὶ Θεοῦ μόνον τὸ ἔργον λέγεται. οἷον θυμωθέντες ἡμεῖς, κολά-

Δ ζομεν· Θεοῦ δὲ τὸ παιδεύειν, θυμὸς ὠνόμασται. μεταμεληθέντες ἡμεῖς, καὶ ἀποστάντες ἐκείνων, ἐφ᾽ οἷς μετανοοῦμεν, ἐρχόμεθα ἐφ᾽ ἑκάτερον, ὃ κρεῖττον εἶναι νομίζομεν· οὕτω Θεοῦ τὸ ἀπὸ οἰκονομίας εἰς οἰκονομίαν συμφερόντως μεταβαίνειν, μεταμέλεια κέκληται. ἐπειδὴ καὶ χεὶρ ἐφ᾽ ἡμῶν μὲν, τὸ μέλος· ἐπὶ Θεοῦ δὲ, ἡ πρᾶξις λέγεται. ἐπειδὴ γὰρ ἀόρατος ὁ δεσπότης, ἡ δὲ διάνοια ἡμῶν σώματι συγκρα-

E θεῖσα, ἐξ ὧν οἶδεν ἀκούειν χωρεῖ τὰς ἐνεργείας τοῦ Θεοῦ· ταῖς τῶν ἡμετέρων μελῶν προσηγορίαις ὀνομάζει, συνιέναι ἡμᾶς θέλουσα ὃ περὶ Θεοῦ βούλεται λέγειν. χειρὶ κτίζομεν ἡμεῖς. τὸ τοίνυν δημιουργικὸν τοῦ Θεοῦ, χεῖρα καλεῖ. αὐτίκα καὶ οἱ μάγοι τὴν σκνίπα ἐκ τῆς γῆς ἐξαγαγεῖν οὐ δυνηθέντες, καθάπερ Μωϋσῆς, φησὶ, δάκτυλος Θεοῦ ἐστὶ τοῦτο εἶπον. τίς δ᾽ ἂν εἴποι τὸ Μωϋσέως ἔργον, δάκτυλον εἶναι τῆς τοῦ 'Εξόδ. 8. 19.

Z Θεοῦ φύσεως; καὶ δύναμις αὐτοῦ, ἣ κατωνόμασται, οὐχ ἡ ἐν ἕξει αὐτοῦ· πῶς γὰρ οἷόν τε; ἀλλ᾽ ἡ τὸ δυνατὸν τοῦ Θεοῦ ἐν τῇ ἑαυτῆς ἀτελείᾳ δεικνύουσα. καὶ πόδες, ἡ παρουσία, ἐπειδὴ ποσὶ παραγινόμεθα οὗ ἐὰν δοκῇ· καὶ στόμα, τὸ πρόσταγμα, διὰ τὸ τῷ στόματι φθέγγεσθαι τοὺς ἀνθρώπους. οὕτω καὶ ὀργὴ Θεοῦ ἡ παιδεία αὐτοῦ, ἡ κατὰ τῶν ἐπταικότων λέγεται τῷ Μωσῇ, τοῦ λαοῦ μοσχοποιήσαντος· καὶ νῦν ἔασόν με, καὶ θυ- 'Εξόδ. 32. 10.

H μωθεὶς ὀργῇ ἀπολέσω αὐτούς. θυμὸς δὲ Θεοῦ καὶ βασιλέως οὐκ ἀναμένει τὴν παρὰ ἀνθρώπου συγχώρησιν, ἵνα γένηται θυμός· ἀλλ᾽ ἀφ᾽ οὗπερ ἂν γένηται τὸ ἄτοπον, κινεῖται. λέγει δὲ καὶ πρὸς τὸν Ἀαρὼν, λάβε 'Αριθ. 16. 46. 48.

» τὸ θυμιατήριον, καὶ δράμε ἐν μέσῳ τῶν τε-
» θνηκότων, καὶ τῶν ἔτι ζώντων. ἐξῆλθε
» γὰρ ἡ ὀργὴ Κυρίου, καὶ ἤρξαι θραύειν τὸν
λαόν· τὴν πλῆσιν αὐτὴν, καὶ τὴν κόλασιν
ὀργὴν καλῶν. ὁμοίως ἄρα καὶ ὅταν με-
ταβολή τις τῶν οἰκονομιῶν τοῦ Θεοῦ γένη-
ται, μεταμέλειαν αὐτὴν ὀνομάζει ἡ θεία
Γραφή. ταύτην τοῦ Θεοῦ τὴν μεταμέλειαν
εἰδὼς, οὐ πάθος αὐτοῦ ὁ Προφήτης, ἀλλ'
οἰκονομιῶν ἐναλλαγήν· δεικνυμένων αὐτῷ
ὑπὸ τοῦ ἁγίου πνεύματος πληγῶν τῶν κατὰ
τοῦ Ἰσραὴλ, νῦν μὲν ἐρυσίβης, νῦν δὲ κάμ-
πης, καὶ βρούχου καὶ κάμπης, καὶ τῶν
Αμ. 7.3, 6. τοιούτων· καθ' ἕκαστον τούτων ἐβόα, μετα-
» νόησον Κύριε, ἐπὶ τούτῳ οὐκ ἐλέγχων τὸν
Θεὸν, ὡς κακῶς ποιοῦντα, καὶ παρακαλῶν
αὐτὸν πρὸς μετάνοιαν παρακληθῆναι,
τῆς παιδείας δὲ μεταβολὴν εἰς τὸ κρεῖτ-
τον γενέσθαι παρακαλῶν.

η. Καὶ εἶπεν ὁ Θεὸς, ἀπαλείψω
τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προ-
σώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως
κτήνους, καὶ ἀπὸ ἑρπετῶν ἕως τῶν πε-
τεινῶν τοῦ οὐρανοῦ· ὅτι ἐνεθυμήθην, ὅτι
ἐποίησα τὸν ἄνθρωπον.

∗ ΚΥΡΙΛΛΟΥ. Σημείωσαι, ὅτι κατὰ παν-
τὸς ἀνθρώπου βούλεται τὴν ἐπάλειψιν
ἐπαγαγεῖν.

∗ ΠΡΟΚΟΠΙΟΥ. Οὐ γὰρ εἰς ἀνυπαρ-
ξίαν αὐτὸν περιάγει, οὐδὲ κατὰ ψυχὴν
ἀπαλείφει, ἀλλ' ἀπὸ γῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε κατακλυσ-
μῷ τὰ τῶν ἀνθρώπων πλήθη διέφθειρεν;
Ἐξαλεῖψαι τὸ γένος τοῦ Καῒν ἠθέλησεν·
ἀνεμίγη δὲ αὐτῷ καὶ τῶν εὐσεβῶν ἡ φυλή.
διὸ καὶ τῆς τιμωρίας μετέσχηκεν. ἀρχὴν
δέ τινα καινοῦ βίου ποιήσασθαι βουληθεὶς,
τὸν Νῶε καὶ τοὺς ἐκείνου παῖδας σὺν ταῖς
γυναιξὶ διετήρησεν εὐσεβῆ τε ὄντα καὶ δί-
καιον, καὶ ἐκ τῆς τῶν εὐσεβῶν συγγενείας
βλαστήσαντα, καὶ τὴν τῆς παρανομίας ἐπι-
μιξίαν μισήσαντα. οὐ μὴν, ὥς τινές φασιν,
ὀργῇ τινὶ ταῦτα καὶ μεταμελείᾳ πεποίη-
κε. ταῦτα γάρτοι ἀνθρώπινα πάθη· ἡ
δὲ θεία φύσις ἐλευθέρα παθῶν. ἄλλως-
τε ἡ μεταμέλεια τοῖς μετὰ τὴν πεῖραν
μανθάνουσι τῶν πραγμάτων τὴν φύσιν κα-
τάλληλος. ἀγνοοῦντες γὰρ τὸ ἐσόμενον,
προβουλεύονται· εἶτα τῇ πείρᾳ μανθάνον-
τες, ὡς οὐκ ὀρθῶς ἐβουλεύσαντο, μεταμέ-
λονται. ὁ δὲ Θεὸς οὕτως ὁρᾷ τὰ μετὰ πολ-
λὰς ἐσόμενα γενεὰς, ὡς ἤδη γεγενημένα.
ὡς προορῶν τοίνυν καὶ γινώσκων, οὕτως
ἅπαντα πρυτανεύει. τί δήποτε τοίνυν
μεταμέλεται, ἅπαντα πρὸς τὴν πρόγνω-
σιν τὴν οἰκείαν οἰκονομῶν; οὐκοῦν ἡ ἐπὶ Θεοῦ
1. Βασ. 15. 35. μεταμέλεια οἰκονομίας ἐστὶ μεταβολή. με-
» ταμεμέλημαι γάρ φησιν, ὅτι κέχρικα τὸν
A » Σαοὺλ εἰς βασιλέα· ἀντὶ τοῦ, ἐδοκίμασα
παῦσαι μὲν τοῦτον, ἕτερον δὲ χειροτονῆ-
» σαι. οὕτω κἀνταῦθα· ἐνεθυμήθην, ὅτι
» ἐποίησα τὸν ἄνθρωπον· ἐδοκίμασα διολέ-
σαι τῶν ἀνθρώπων τὸ γένος. ἀλλὰ φι-
λάνθρωπος ὢν, σπέρμα τὸν Νῶε τῇ φύσει
τετήρηκεν. ἐπεὶ δὲ τῶν ἀλόγων τὰ γένη
τῆς τῶν ἀνθρώπων ἕνεκα δεδημιούργηται
χρείας, καὶ ταῦτα τοῖς ἀνθρώποις συν-
διεφθάρη, πλὴν τῶν ἐν τῇ κιβωτῷ σὺν
B τῷ Νῶε διαφυλαχθέντων.

θ. Νῶε δὲ εὗρε χάριν ἐναντίον Κυ-
ρίου τοῦ Θεοῦ.

∗∗ ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐχ ἁπλῶς
εὗρε χάριν, ἀλλ' ἐναντίον Κυρίου τοῦ Θεοῦ.
ἵνα ἡμᾶς διδάξῃ, ὅτι ἕνα τοῦτον εἶχε τὸν
σκοπὸν, ὥστε τὸν ἀκοίμητον ἐκεῖνον ὀφ-
θαλμὸν ἐπαινέτην ἔχειν. καὶ οὐδεὶς αὐτῷ
Γ λόγος τῆς τῶν ἀνθρώπων δόξης, οὐδὲ τῆς
ἀτιμίας καὶ τοῦ γέλωτος.

ι. Αὗται δὲ αἱ γενέσεις Νῶε. Νῶε
ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ
γενεᾷ αὐτοῦ, τῷ Θεῷ εὐηρέστησε Νῶε.
ια. Ἐγέννησε δὲ Νῶε τρεῖς υἱοὺς, τὸν Σὴμ,
τὸν Χὰμ, τὸν Ἰάφεθ.

∗ ΠΡΟΚΟΠΙΟΥ. Εἰ κοινότερον (1)
ἐγράφετο ταῦτα, ἐχρῆν ἐπιφέρεσθαι τῷ,
Δ » αὗται αἱ γενεαὶ Νῶε, Νῶε ἐγέννησε τρεῖς
υἱούς. νῦν δὲ ἐπεὶ δικαιοσύνης ἡ γένε-
σις αὐτοῦ, προτέτακται μὲν τὸ, αὗται
αἱ γενέσεις· ἐπιφέρει δὲ τὸ, ἄνθρωπος
δίκαιος ὤν.

∗ ΤΟΥ ΑΥΤΟΥ. Τοῦ σπουδαίου τὸ πρὸς
ἀλήθειαν γένος, ἡ ἀρετή. διὸ λέγει, (2)
Νῶε δίκαιος ὢν, τέλειος.

ΑΔΗΛΟΥ. Γενεὰ τοῦ δικαίου ἐστὶν ἡ ὁμοιο-
E τροπία. καὶ τοῦτο σημαίνεται ἐκ τοῦ, αὕτη Ψαλ. 23. 6.
» ἡ γενεὰ ζητούντων τὸν Κύριον.

∗∗ ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐχ ἁπλῶς
τέλειος, ἀλλ' ἐν τῷ τότε καιρῷ. πολλοὶ
γὰρ τελειότητος τρόποι κατὰ διαφόρους
ὡρισμένοι καιρούς. καὶ τοῦ χρόνου προκό-
πτοντος, τό ποτε τέλειον, ἀτελὲς ὕστερον
γίνεται. οἷον τὶ λέγω. τέλειος ἦν ποτε
» ὁ κατὰ νόμον βιῶν. ὁ ποιήσας γὰρ αὐτὰ, Λευϊτ. 18. 5.
Z » φησὶ, ζήσεται ἐν αὐτοῖς. ἀλλ' ἐλθὼν ὁ
Χριστὸς, τοῦτο τὸ τέλειον ἔδειξεν ἀτελές.
» ἐὰν γὰρ μὴ περισσεύσῃ, φησὶν, ἡ δικαιο- Ματθ. 5. 20.
» σύνη ὑμῶν πλεῖον τῶν Γραμματέων καὶ
» Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασι-
» λείαν τῶν οὐρανῶν.

ιβ. Ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ
Θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας.
ιγ. Καὶ εἶδε Κύριος ὁ Θεὸς τὴν γῆν, καὶ
H ἦν κατεφθαρμένη· ὅτι κατέφθειρε
πᾶσα

(1) Τὸ δὲ, αὗται αἱ γενέσεις Νῶε οὐ κοινῶς φασὶν εἴρηται. ἢ γὰρ ἂν εὐθέως ἐπήνεγκε τὸ, Νῶε ἐγέννησε, κτ. ὁ τῆς Αὐγ. κώδ.

(2) Πρὸς ὃν καί φησι· καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ. ὁ εἰρημ. κώδ.

πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς
γῆς.

ΑΔΗΛΟΥ. Φθορὰν γῆς, οὐ τὴν εἰς τὸ μὴ
εἶναι ἀπώλειαν τοῦ στοιχείου δηλοῖ, ἀλλὰ τὴν
τῶν ἁμαρτιῶν τῶν ἀνθρώπων ὑπερβολήν.

ΕΦΡΑΙΜ. Δύω τέχνας τέως εὑρέσθαι
τοὺς τότε ἡ Γραφὴ εἴρηκε· ψαλτήριόν τε
καὶ κιθάραν, καὶ χαλκείαν χαλκοῦ καὶ σι-
δήρου. τὴν κιθάραν πρὸς τοὺς κώμους, καὶ
πρὸς πόλεμον τὴν χαλκείαν. καὶ γὰρ ὡς
θῆρες ἦσαν κατ᾽ ἀλλήλων πρὸς πρόβατα,
μόνον πρὸς τὰς γυναῖκας εἰρήνην ἄγοντες,
καὶ ἐν αὐταῖς οὐ τὸν τυχόντα πόλεμον ὑπο-
μένοντες. ἐπὶ εἴκοσι φόνοις ἀνδρῶν γυνὴ
περιεφέρετο· ἡ γὰρ φθορὰ τὴν ἰσχὺν τοῦ
σώματος ἐν τῇ μοιχείᾳ ἐγύμναζε. καὶ
γυναῖκες οὐκ εἶχον ἐν τῇ εὐνοίᾳ τὸ καύχη-
μα, ἀλλ᾽ ἐν τῇ πολυανδρίᾳ. οὕτω καὶ αὗ-
ται ἐξεμάνησαν οὐχ ἥκιστα τῶν ἀνδρῶν
ταῖς ψυχαῖς, πολεμοῦσαι τοὺς ἔχοντας αὐ-
τάς· ηὔχοντο θανεῖν, ἵνα τῇ φθορᾷ ἐκ-
μανῶς λειτουργήσωσι. προέκυπτε γὰρ ἐν
αὐταῖς τὸ πάθος τῆς ἀκρασίας τοσοῦτον,
ὥστε καὶ τοὺς υἱοὺς τοῦ Θεοῦ ἑλεῖν πρὸς τὴν
μίξιν τὴν ἄτιμον. τίς ἀπιστήσει ἐν τοῖς
εἰρημένοις, μὴ ἕπεσθαι τὰς φθορὰς, καὶ
θανάτους; διατί ταῦτα εἶπον; ἵνα δείξω
τὴν συντέλειαν τὴν ἐπὶ τοῦ Νῶε συμβά-
σαν, ἤτοι τὸν κατακλυσμὸν, διὰ ταῦτα
γενόμενον.

ιδ. Καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς
Νῶε, καιρὸς παντὸς ἀνθρώπου ἥκει
ἐναντίον μου· ὅτι ἐπλήσθη ἡ γῆ ἀδι-
κίας ἀπ᾽ αὐτῶν· καὶ ἰδοὺ ἐγὼ καταφ-
θείρω αὐτοὺς καὶ τὴν γῆν.

* ΠΡΟΚΟΠΙΟΥ. Καιρὸς παντὸς ἀν-
» θρώπου ἥκει· σημαίνει τὴν οἱονεὶ συμπλή-
ρωσιν τῶν ἡμαρτημένων ἀνθρώποις, καθ᾽
ἣν (1) ἡ τῆς ἐκδικήσεως ἐπαγωγὴ προ-
Γεν. 15. 16. σάγεσθαι ὀφείλει, καθὸ λέγεται, οὔπω
» γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν
» Ἀμορραίων.

ΤΟΥ ΑΥΤΟΥ. Οὐδενὸς γεννητοῦ ὑπάρ-
χει τὸ γνῶναι καιρὸν, καθ᾽ ὃν ἄξια πε-
ποίηκεν. οὐδέτις (2) τοῦ λοιποῦ ἀπογνω-
σθῆναι. διὸ εἴρηται, ἐναντίον ἐμοῦ.

ΦΙΛΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ. Δῆλον δὲ
καὶ ἐκ τούτου, ὡς οὐχ εἱμαρμένη αὐτοῖς ἐπή-
νεγκε τὸν τοιοῦτον θάνατον. ἐπεὶ γὰρ
ἐπλήσθη, φησὶν, ἡ γῆ ἀδικίας ἀπ᾽ αὐτῶν.
ὥστε οὐκ ἂν ἐνειστήκει, εἰ μὴ ἥμαρτανον.

ιε. Ποίησον οὖν σεαυτῷ κιβωτὸν ἐκ
ξύλων τετραγώνων. νοσσιὰς ποιήσεις
A τὴν κιβωτὸν, καὶ ἀσφαλτώσεις αὐτὴν
ἔσωθεν καὶ ἔξωθεν τῇ ἀσφάλτῳ.

** ΚΛΗΜΕΝΤΟΣ. Τὰ μὲν γὰρ τε-
τράγωνα ξύλα, καὶ τὸ τετράγωνον σχῆμα
πάντη βεβηκέναι ὀρθὰς γωνίας ἐπιτελοῦν,
τὸ ἀσφαλὲς δηλοῖ.

ις. Καὶ οὕτω ποιήσεις τὴν κιβωτόν.
τριακοσίων πηχέων τὸ μῆκος τῆς κι-
B βωτοῦ, καὶ πεντήκοντα πηχέων τὸ
πλάτος, καὶ τριάκοντα πηχέων τὸ
ιζ. ὕψος αὐτῆς. Ἐπισυνάγων ποιήσεις
τὴν κιβωτόν· καὶ εἰς πῆχυν συντελέ-
σεις αὐτὴν ἄνωθεν· τὴν δὲ θύραν τῆς
κιβωτοῦ ποιήσεις ἐκ πλαγίων· κατώ-
γαια διώροφα, καὶ τριώροφα ποιή-
σεις αὐτήν.

Γ * ΠΡΟΚΟΠΙΟΥ. Ζητητέον (3) ποτα-
πὸν δεῖ νοῆσαι τὸ σχῆμα τῆς κιβωτοῦ. ὅπερ
νομίζω, (4) ὅτι πυραμοειδές ἐστιν, ἀρχό-
μενον ἀπὸ μὲν μήκους, τριακοσίων πηχῶν·
ἀπὸ δὲ πλάτους, πεντήκοντα, καὶ ἐπὶ τοὺς
τριάκοντα τοῦ ὕψους πήχεις ἐπισυναγόμε-
νον. ὥστε τὴν κορυφὴν γενέσθαι μῆκος καὶ
πλάτος, πῆχυν. ἔσω δὲ τὰ μὲν κάτω
αὐτῆς, ἅπερ ὠνόμασται κατάγαια, ὀρο-
φῶν δύω· τὰ δὲ ὑπὲρ τὰς δύω ὀροφὰς ἐπὶ
Δ τῷ ἀνωτέρῳ ὀρόφῳ, ὀροφῶν τριῶν. τοῦ-
το δὲ καὶ Σύμμαχος σαφῶς ἐξέθετο εἰ-
» πών· κατὰ δίστεγα, καὶ τρίστεγα ποιήσεις
αὐτήν. νοείσθω δὲ καθ᾽ ἑκάστην ὀροφὴν
ἀποδιαλαμβανόμενα (5) χωρία, ὑπὲρ τοῦ
χωρίζεσθαι τὰ ἀνομοιογενῆ ζῶα ἀπ᾽ ἀλλή-
λων, καὶ καλείσθω (6) τὰ ἀποδιαλαμβανό-
μενα ταῦτα χωρία, νοσσιαί· ὡς ὁ Σύμμα-
χος πεποίηκε, καλιαί. Καὶ μετ᾽ ὀλίγα. Φα-
σὶ τοίνυν, ὅτι, ἡ μὲν κατωτέρω πρὸς (7)
E τῷ πυθμένι τοῦ διωρόφου στέγη, εἰς σκύ-
βαλα ἀπετέτακτο· ἡ δὲ ταύτης ἀνωτέ-
ρω, εἰς τὴν συναγωγὴν τῆς τροφῆς τῶν
ζώων. ὥστε (8) εὐπορεῖν τὰ μὲν σαρκο-
βόρα, σαρκῶν· τὰ δὲ ἕτερα ζῶα παρὰ
τὰ εἰς διατήρησιν εἰσαχθέντα, τροφῆς
ἕνεκεν εἰσαχθῆναι εἰς τὴν κιβωτόν· τὰ
δὲ μὴ τοιαῦτα, τῆς ἐπιτηδείου ἕκαστον εὐ-
πορῆσαι τροφῆς· ταῦτα μὲν εἰς τὸν περὶ
τῶν καταγαίων διωρόφων λόγον. τὸ δὲ
Z κατώτατον (9) τριώροφον τοῖς ζώοις
ἀπελέτακτο κατὰ τὰς νομισθείσας νοσσιάς·
καὶ εἰκός· ὅτι τῷ μὲν τῶν ὄφεων γένει
καὶ θηρίων, ἡ τοῦ κατωτάτου τριωρόφου
χώρα ἀπενεμήθη· τοῖς δὲ κτήνεσι, καὶ
τοῖς λοιποῖς τῶν τιθασσοτέρων, ἢ ἡμερω-
τέρων τάξει καὶ λόγῳ, τὰ ἀνωτέρω. ἐχρῆν
δὲ τὸν ἄνθρωπον ὥσπερ τῇ φύσει ἄρχοντα
τῶν

(1) Μεθ᾽ ἣν ὁ τῆς δίκης καιρός. κατὰ τοῦτο γὰρ καὶ τὸ, οὔπω ἀναπεπλήρωνται κτ. ὁ τῆς Αὐγ. κώδ.
(2) Οὐδέτις τοῦ λοιπόν. ὁ εἰρημ. κώδ.
(3) Ζητεῖται δὲ ποδαπόν. ὁ αὐτ.
(4) Ὅπερ νομίζω φησίν. ὁ αὐτ.
(5) Ἀπολαμβανόμενα. ὁ αὐτ.
(6) Ἅπερ καλεῖ νοσσιάς· ὁ δὲ Σύμμαχος, καλιάς.
(7) Καὶ πρὸς τῷ. ὁ αὐτ.
(8) Τὰ ἀπὸ τοῦ, ὥστε, ἄχρι τοῦ, τὸ δὲ κατώτατον τριώροφον, οὐ κεῖνται ἐν τῷ εἰρημ. κώδ.
(9) Τὸ δὲ μετὰ ταῦτα τριώροφον. ὁ αὐτ. κώδ.

τῶν ἀλόγων, ὧν ἐπιβέβηκεν αὐτός· (1) οὕτω (2) καὶ ἐν τῇ χώρᾳ εἶναι ἀνωτάτω τῆς κιβωτοῦ περὶ τὴν τρίτην στέγην, ὑπὸ χεῖρα ἔχοντα τὰ λοιπὰ τῶν ζώων. πιθανὸν δὲ τὴν πλαγίαν, περὶ (3) ἧς εἴρηται, » τὴν δὲ θύραν τῆς κιβωτοῦ ἐκ πλαγίων ποιήσεις, γεγονέναι περὶ τὴν κάτωθεν πρώτην στέγην· ἵνα ἐκεῖθεν εἰσελθόντα τὰ ζῶα, ἀπίῃ (4) ἐπὶ τοὺς τεταγμένους ἐν ταῖς νοσσιαῖς τόπους. καὶ τοῦτο βέλτιον ἡμῖν φαίνεται λέγειν περὶ αὐτῆς, ἢ ἄνωθεν νομίζειν μετὰ πολλῆς δυσκολίας τὰ ζῶα καταβαίνειν ἐπὶ τοὺς οἰκείους τόπους.

ΩΡΙΓΕΝΟΥΣ. Ἐπηπόρουν τινὲς, εἰ δύναται ἡ τηλικαύτη κιβωτὸς χωρῆσαι κἂν τὸ πολλοστημόριον τῶν ἐπὶ γῆς πάντων ζώων, καὶ μάλιστα Ἀπελλῆς ὁ τοῦ Μαρκίωνος γνώριμος, καὶ γενόμενος αὐτοῦ ἀκροατὴς, ὡς ἐκ τούτου μύθους εἶναι λέγειν τὰ τῆς Γραφῆς, καὶ μὴ ἐκ Θεοῦ· μὴ συνιὼν ποταποὺς τριακοσίους πήχεις ὠνόμασεν ἡ Γραφή. ὡς δὲ ἐμάθομεν ἡμεῖς ἀπό τινος τῶν Ἑβραίων ἐλλογίμων, οἱ τριακόσιοι πήχεις ὠνομάσθησαν, ὡς ἡ καλουμένη παρὰ τοῖς Γεωμέτραις δύναμις τοῦ ἀπὸ τριακοσιοστοῦ τετραγώνου. ὡς εἶναι τοὺς ἡμετέρους πήχεις τοῦ μήκους ἐν τῷ κατ' ἐπιπέδῳ ἐννέα μυριάδας. σὺν αὐτῷ δὲ καὶ τοῦ πλάτους διχιλίας πεντακοσίας, καὶ τοῦ ὕψους ἐννεακοσίας. οὐ γὰρ ἠγνόει ταῦτα Μωσῆς, ὁ πάσῃ σοφίᾳ Αἰγυπτίων τῶν γεωμετρικωτάτων πεπαιδευμένος. ἐπεὶ εἰ μὴ τοῦτο, τάχα ἂν οὐδὲ δύω ἐλέφαντες ἐχώρησαν, καὶ τὰς τούτων ἐπ' ἐνιαυτὸν τροφάς. πλὴν τὸ, ἐπισυνάγων, οὕτω νοηθείη τρανώτερον. νόει μοι τριακοσίων πήχεων τῶν εἰρημένων, κατὰ τὴν καλουμένην δύναμιν, εἶναι κατώτατον τῆς κιβωτοῦ μῆκος, καὶ πεντήκοντα πλάτος. εἶτα κατὰ πῆχυν ἐπισυνάγεσθαι. τοῦ μὲν μήκους, δέκα πήχεις· τοῦ δὲ πλάτους, ἕνα δίμοιρον. ὥστε γενέσθαι τὸν τριακοστὸν τοῦ ὕψους πῆχυν, δέκα μὲν τοῦ μήκους, ἑνὸς δὲ καὶ διμοίρου τοῦ πλάτους. εἶτα μετὰ τοῦτο συντελεσθῆναι εἰς πῆχυν. εἰ δέ τῳ βίαιος εἶναι δόξει ὁ πῆχυς τριακοστὸς ὢν, καὶ πρῶτος ὢν τὸ ὕψος, προσεχέτω τῇ λέξει λεγούσῃ· » καὶ τριάκοντα πήχεις τὸ ὕψος. οἶμαι γὰρ ἐμφαίνεσθαι μετὰ τοῦ, καὶ τριάκοντα πήχεις, τὸν πρῶτον καὶ τριακοστὸν πῆχυν, διὰ τοῦ, εἰς πῆχυν συντελέσεις.

** ΚΛΗΜΕΝΤΟΣ. Καὶ μῆκος μὲν, τριακόσιοι πήχεις τοῦ κατασκευάσματος· πλάτος δὲ, πεντήκοντα· βάθος δὲ, τριάκοντα. καὶ εἰς πῆχυν ἄνωθεν συντελεῖται, ἐκ τῆς πλατείας βάσεως ἀποξυνόμενον πυραμίδος τρόπον ἡ κιβωτός· τῶν διὰ πυρὸς καθαιρομένων καὶ δοκιμαζομένων σύμβολον. ἡ γεωμετρικὴ αὕτη παρέχεται ἀναλογία, εἰς παραπομπὴν τῶν ἁγίων ἐκείνων μονῶν· ὧν τὰς διαφορὰς αἱ διαφοραὶ τῶν ἀριθμῶν τῶν ὑποτεταγμένων μηνύουσιν. οἱ δὲ ἐμφερόμενοι λόγοι εἰσὶν ἑξαπλάσιοι, ὡς τὰ τριακόσια τῶν πεντήκοντα. καὶ δεκαπλάσιοι, ὡς τῶν τριάκοντα, δεκαπλάσια τὰ τριακόσια. καὶ ἐπιδίμοιροι. τὰ γὰρ πεντήκοντα τῶν τριάκοντα ἐπιδίμοιρα. εἰσὶ δὲ οἳ τοὺς τριακοσίους πήχεις, σύμβολον τοῦ κυριακοῦ σημείου (5) λέγουσι· τοὺς πεντήκοντα δὲ, τῆς ἐλπίδος καὶ τῆς ἀφέσεως τῆς κατὰ τὴν πεντηκοστήν· καὶ τοὺς τριάκοντα, ἢ ὡς ἔν τισι (6) δώδεκα, τὸ κήρυγμα δηλοῦν ἱστοροῦσιν· ὅτι τριακοστῷ μὲν ἐκήρυξεν ὁ Κύριος ἔτει· δώδεκα δὲ ἦσαν οἱ Ἀπόστολοι. καὶ εἰς πῆχυν συντελεῖσθαι τὸ κατασκεύασμα, εἰς μονάδα τελευτώσης τῆς τοῦ δικαίου προκοπῆς, καὶ εἰς τὴν ἑνότητα τῆς πίστεως.

** ΚΥΡΙΛΛΟΥ. Τίς οὖν ἄρα ἐστὶ τῶν τῆς κιβωτοῦ μέτρων ὁ λόγος; Τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ὀρθὴ καὶ ἀπεξεσμένη δήλωσις, καὶ τῆς μιᾶς Θεότητος τὸ ἀρτίως ἔχον, καὶ τὸ εἰς πᾶν ὁτιοῦν παντέλειον. τοῦτο γὰρ ἡμῖν ὡς εὖγε δὴ τοῖς προκειμένοις ἀριθμοῖς ὑποδηλούμενον κατίδοι τις ἂν, ἐκεῖνο διενθυμούμενος· ὡς ἔστιν ἔθος τῇ θεοπνεύστῳ Γραφῇ, τοὺς τὴν ἀνόπιν ἔχοντας ἀνακύκλησιν ἀριθμοὺς, τελειότητος ποιεῖσθαι σύμβολον. οἷον δὲ δή τί φημι. ἀρχομένη γὰρ ἐκ πρώτης ἡ ἑβδομὰς, ἐν σαββάτῳ διαπεραίνεται κατὰ τὴν ἑβδόμην. εἶτα πάλιν ἀριθμοῦμεν τὴν ἐφεξῆς, ἀπὸ πρώτης ἀρχόμενοι μέχρι πάλιν ἑβδόμης. ὁμοίως εἰς ἀριθμὸν ἰόντες τὸν δέκα, πάλιν ἐκ πρώτης τῆς ἐφεξῆς δεκάδος ἀρχόμεθα. κατὰ τὸν ἴσον δὲ τοῦτον τρόπον τε καὶ λόγον συγκείσεται καὶ ὁ τέλειος ἐκ τελείων ἀριθμὸς, τουτέστιν ὁ ἑκατὸν ἐκ δεκάδων δέκα· καὶ ἀνακύκλησιν ἔχων καὶ ἀναδρομὴν τὴν εἰς μονάδα πάλιν. ὅπερ οὖν ἔφην, τελειότητος σύμβολον παρά γε τῇ θείᾳ Γραφῇ πᾶς ἀριθμὸς ἀνόπιν ὥσπερ ἰὼν μετὰ τὸ εἰς πέρας ἥκειν τὸ αὐτῷ πρέπον τε καὶ ὡρισμένον. ὅρα τοίνυν τῆς ἁγίας Τριάδος τὸ παντέλειον ὡς ἐν τρισὶ πήχεων ἑκατοντάσι. τοῦτο γὰρ μῆκος τῇ κιβωτῷ. ὅτι δὲ ἐστιν, ἵν' οὕτως εἴπωμεν, τελειότης τελειοτήτων ἡ ὡς ἐν μονάδι Θεότης, ὑπεμφαίνειεν ἂν τὸ εὖρος, εὖ μάλα ἐπὶ πήχεις ἰὸν πεντήκοντα· τουτέστιν, ὡς ἐν ἑβδομάσιν ἑπτὰ, προσενηνεγμένης αὐταῖς καὶ μονάδος,

(1) Τὸ, ὧν ἐπιβέβηκεν αὐτὸς οὐ κεῖται ἐν τῷ τῆς Αὐγ. κώδ.
(2) Οὕτω καὶ χώρᾳ τῇ ἀνωτάτω τυγχάνειν περὶ τὴν τρίτην στέγην. πιθανὸν δὲ, κτ. ὁ αὐτ. κώδ.
(3) Ἣν εἶπε γεγονέναι. ὁ αὐτ.
(4) Πρὸς τὰς τεταγμένας χωροίη νεοττιάς. εἰ γὰρ ἄνωθεν ἦν, μετὰ πολλῆς δυσκολίας ἀνήειτε τὰ ζῶα πρὸς τὴν κιβωτὸν, καὶ πρὸς τοὺς ἰδίους τόπους κατήρχετο. ὁ αὐτ.
(5) Κυριακὸν σημεῖον τὸν σταυρὸν καλεῖ ὑπὸ τοῦ Τ σχήματος ἐμφαινόμενον.
(6) Ἴσ. ἔν τισι τῶν ἀντιγράφων.

A νάδος, διὰ τὸ μίαν εἶναι καὶ Θεότητος φύσιν. καὶ αὐτὸ δὲ τὸ ὕψος, οὐχ ἑτέραν ἡμῖν ἢ ταύτην ὠδίνει τὴν ἔννοιαν. ἀποπεραίνεται μὲν γὰρ εἰς πήχεων δεκάδα τρίτην· εἰς ἕνα δὲ δὴ τὸν ὑπερκείμενόν τε καὶ ἀνωτάτω καταλήγει πάλιν. τριάκοντα γάρ φησι πήχεων τὸ ὕψος αὐτῆς· καὶ εἰς ἕνα πῆχυν συντελέσεις αὐτήν. ἑνουμένη γὰρ ὥσπερ εἰς τρεῖς ὑποστάσεων, καὶ μὴν καὶ προσώπων ἰδικῶν διαφορὰς ἡ ἁγία Τριὰς, εἰς μίαν Θεότητος οἱονεὶ συστέλλεται φύσιν.

ιη. Ἐγὼ δὲ ἰδοὺ ἐπάγω τὸν κατακλυσμὸν, ὕδωρ ἐπὶ τὴν γῆν καταφθεῖραι πᾶσαν σάρκα, ἐν ᾗ ἐστὶ πνεῦμα ζωῆς ὑποκάτω τοῦ οὐρανοῦ· καὶ ὅσα ἂν ᾖ ἐπὶ τῆς γῆς τελευτήσει.

Γ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἰδοὺ τοῦτό ἐστιν ὃ εἶπεν ἄνω· οὐ μὴ μείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις.

*ΠΡΟΚΟΠΙΟΥ. Ζητεῖται, (1) διατὶ ἀπειλῶν ἄνθρωπον ἀπαλεῖψαι, καὶ τὰ ἄλογα προσδιαφθείρει; Διότι οὐ προηγουμένως δι' ἑαυτὰ γέγονε τὰ ἄλογα, ἀλλὰ χάριν ἀνθρώπων, καὶ τῆς τούτων ὑπηρεσίας. ὧν διαφθειρομένων, εἰκότως κἀκεῖνα συνδιαφθείρεται· μηκέτι ὄντων, δι' οὓς (2) γέγονε.

Δ *ιθ.* Καὶ στήσω τὴν διαθήκην μου μετὰ σοῦ· εἰσελεύσῃ δὲ εἰς τὴν κιβωτὸν σὺ, καὶ οἱ υἱοί σου, καὶ ἡ γυνή σου, καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ.

**ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπεὶ τοίνυν πάντων λοιπὸν ἐπὶ τὴν κακίαν αὐτομολησάντων, σὲ μόνον εὗρον ἐν τοσούτῳ πλήθει E δυνάμενον ἀνακαλέσασθαι τοῦ προπάτορος τὴν παράβασιν, μετὰ σοῦ στήσω τὴν διαθήκην μου. ἡ γὰρ τῶν βεβιωμένων πρᾶξις ἀξιόπιστόν σε δείκνυσι, πρὸς τὸ δέξασθαι τὰς παρ' ἐμοῦ ἐντολάς. εἶτα ἵνα μὴ καὶ ταῦτα ἀκούων ὁ δίκαιος ἐκεῖνος ἔτι ἀθυμῇ, ὡς μόνος μέλλων καταλειφθήσεσθαι, παραμυθούμενος αὐτὸν, ὡς εἰπεῖν, πάλιν φησίν· εἰσελεύσῃ δὲ εἰς τὴν κιβωτὸν σὺ, καὶ Z οἱ υἱοί σου, καὶ ἡ γυνή σου, καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ. εἰ γὰρ καὶ πολὺ τῆς τοῦ δικαίου ἀρετῆς ἐλείποντο, ἀλλ' ὅμως τῆς ὑπερβαλλούσης ἐκείνης κακίας ἐκτὸς ἦσαν. ἄλλως δὲ καὶ διὰ δύο ταύτας τὰς αἰτίας τῆς σωτηρίας ἀπολαύουσι· μίαν μὲν, εἰς τιμὴν τοῦ δικαίου. ἔθος γὰρ τῷ φιλανθρώπῳ Θεῷ τιμᾷν τοὺς αὐτοῦ δούλους, καὶ χαρίζεσθαι αὐτοῖς πολλάκις τὴν ἑτέρων σωτηρίαν, ὃ καὶ ἐπὶ τοῦ μακαρίου Παύλου πεποίηκε. H Καὶ μετ' ὀλίγα. Δι' ἑτέραν δὲ, ἐπειδὴ ἐβούλετο ζύμην τινὰ καὶ ῥίζαν τοῦ μέλλοντος εἰς τὸ ἑξῆς συνίστασθαι γένους καταλειφθῆναι.

κ. Καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν, καὶ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων, καὶ ἀπὸ πάσης σαρκὸς, δύο δύο ἀπὸ πάντων εἰσάξεις εἰς τὴν κιβωτὸν, ἵνα τρέφῃς μετὰ σεαυτοῦ· ἄρσεν καὶ θῆλυ ἔσονται.

κα. Ἀπὸ πάντων τῶν ὀρνέων τῶν πετεινῶν τοῦ οὐρανοῦ κατὰ γένος, καὶ ἀπὸ πάντων τῶν κτηνῶν κατὰ γένος, καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν, δύο δύο ἀπὸ πάντων εἰσελεύσονται πρὸς σὲ, τρέφεσθαι μετὰ σοῦ ἄρσεν καὶ θῆλυ.

**ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὥσπερ γὰρ ἐν τῇ ἀπειλῇ τῆς τιμωρίας, μετὰ τοῦ τῶν ἀνθρώπων γένους καὶ τὰ κτήνη, καὶ τὰ ἑρπετὰ, καὶ τὰ πετεινὰ, καὶ τὰ θηρία ἀπολέσθαι εἶπεν· οὕτω καὶ ἐνταῦθα διὰ τὸν δίκαιον, καὶ ἐκ τούτων εἰσαχθῆναι εἰς τὴν κιβωτὸν ἀφ' ἑκάστου γένους προστάττει μίαν συζυγίαν, ὥστε σπέρμα καὶ ἀπαρχὴν γενέσθαι τοῦ μετὰ ταῦτα μέλλοντος ἔσεσθαι πλήθους.

Δ *κβ.* Σὺ δὲ λήψῃ σεαυτῷ ἀπὸ πάντων τῶν βρωμάτων, ἃ ἔδεσθε, καὶ συνάξεις πρὸς σεαυτὸν, καὶ ἔσται σοὶ καὶ ἐκείνοις φαγεῖν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἤσθιεν ἐν τῇ κιβωτῷ τὰ θηρία; Δῆλον, ὅτι χυλούς τε καὶ σπέρματα. ἔφη γὰρ πρὸς αὐτὸν ὁ Θεός· σὺ δὲ λήψῃ σεαυτῷ ἀπὸ πάντων E τῶν βρωμάτων, ὧν ἔδεσθε, καὶ συνάξεις πρὸς ἑαυτὸν, καὶ ἔσται σοὶ καὶ ἐκείνοις φαγεῖν. ταυτὸ δὲ καὶ τοῖς ἀνθρώποις ἐσθίειν ἐνομοθέτησεν. ἰδοὺ γάρ φησι δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον, σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς· καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ Z ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. ὡς εἶναι δῆλον, ὅτι καὶ οἱ ἄνθρωποι καὶ τὰ ζῶα κρεωφαγίας ἀπείχοντο, τροφὴν δὲ εἶχον τοὺς ἀπὸ γῆς φυομένους καρπούς.

ΔΙΔΥΜΟΥ. Ἡ δὲ περὶ τῶν σκυβάλων τῶν ζώων πάροδος καλῶς παρασεσιώπηται, καὶ τοῦ Νῶε ἅμα τοῖς υἱοῖς δυναμένων τὸ ἀκόλουθον περὶ τούτου σκοπῆσαι, H καὶ ἡμᾶς τὰ παραλελειμμένα στοχάσασθαι καὶ ἀναπληρῶσαι.

κγ. Καὶ

(1) Διατὶ ἀπειλῶν τὸν ἄνθρωπον ἀπαλείψειν. ὁ τῆς Αὐγ. κώδ.
(2) Τῶν δι' οὓς. ὁ αὐτ.

κγ. *Καὶ ἐποίησε Νῶε πάντα ὅσα ἐνετείλατο αὐτῷ Κύριος ὁ Θεὸς, οὕτως ἐποίησε.*

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα μοι πάλιν ἐνταῦθα ἐγκωμίου μέγεθος. ἐποίησε, φησὶ, Νῶε πάντα ὅσα ἐνετείλατο αὐτῷ A Κύριος ὁ Θεός. οὐ τὸ μὲν τῶν ἐπιταχθέντων εἰς ἔργον ἤγαγε, τοῦ δὲ ἠμέλησεν· ἀλλὰ πάντα τὰ ἐνταλθέντα ἐποίησεν, ὥσπερ ἐνετείλατο αὐτῷ. οὐδὲν παρέλιπεν, ἀλλὰ πάντα ἐπλήρωσε, καὶ ἔδειξε καὶ δι' αὐτῶν τῶν ἔργων, ὅτι δικαίως ἠξιώθη εὐνοίας παρὰ τοῦ δεσπότου.

ΚΕΦ. Ζ.

α. *Καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Νῶε, εἴσελθε σὺ καὶ πᾶς ὁ οἶκός σου εἰς τὴν κιβωτὸν, ὅτι σὲ εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ.*

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅτι σὲ φησὶν εἶδον δίκαιον ἐναντίον ἐμοῦ. ἡ ἀληθὴς ἀρετὴ αὕτη, ὅταν ἐναντίον τοῦ Θεοῦ τις ταύτην ἐπιδείκνυται, ὅταν ὁ ὀφθαλμὸς ἐκεῖνος ὁ ἀπαραλόγιστος τὴν ψῆφον φέρῃ. εἶτα διδάσκων ἡμᾶς ὁ φιλάνθρωπος Θεὸς τὸ μέτρον τῆς ἀρετῆς, ὅπερ ἀπῄτει τότε παρὰ τοῦ δικαίου· οὐ γὰρ τὸ αὐτὸ μέτρον παρὰ ἑκάστου βούλεται τῆς ἀρετῆς εἰσφέρεσθαι, ἀλλὰ τῇ διαφορᾷ τῶν χρόνων, καὶ τὴν διαφορὰν τῆς ἀρετῆς ἐπιζητεῖ· φησὶν, ἐν τῇ γενεᾷ ταύτῃ, εἰς κακίαν ἀποκλινάσῃ τοσαύτην.

β. *Ἀπὸ δὲ πάντων τῶν κτηνῶν τῶν καθαρῶν εἰσάγαγε πρὸς σὲ ἑπτὰ ἑπτὰ ἄρσεν καὶ θῆλυ, ἀπὸ δὲ τῶν κτηνῶν τῶν μὴ καθαρῶν δύω δύω ἄρσεν καὶ θῆλυ.*

γ. *Καὶ ἀπὸ πάντων τῶν πετεινῶν τοῦ οὐρανοῦ τῶν καθαρῶν ἑπτὰ ἑπτὰ ἄρσεν καὶ θῆλυ, καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν μὴ καθαρῶν δύω δύω ἄρσεν καὶ θῆλυ, διαθρέψαι σπέρμα ἐπὶ πᾶσαν τὴν γῆν.*

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκέλευσεν ὁ δεσπότης Θεὸς ἀνὰ δύω μὲν ἐξ ἑκάστου γένους τῶν δοκούντων ἀκαθάρτων διασωθῆναι· ἀνὰ ἑπτὰ δὲ τῶν καθαρῶν. ἐπειδὴ γὰρ ἤμελλε συγχωρεῖν τοῖς ἀνθρώποις μεταλαμβάνειν κρεῶν· ἤμελλον δὲ καὶ θυσίας αὐτῷ προσφέρειν τῆς εὐσεβείας οἱ τρόφιμοι, πλείονα τὰ καθαρὰ φυλαχθῆναι προσέταξε. τὰς μὲν τρεῖς συζυγίας, εἰς τὴν αὔξησιν τοῦ γένους· τὸ δὲ ἓν τὸ περιττὸν, εἰς θυσίαν. εὐθὺς γὰρ ὁ Νῶε μετὰ τὴν παῦλαν τῆς τιμωρίας θυσίαν τῷ Θεῷ χαριστήριον προσενήνοχεν· ἀπὸ πάντων, φησὶ, τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν. ὡς εἶναι δῆλον, ὅτι τούτου χάριν ἀνὰ ἑπτὰ προσέταξεν ἐξ ἑκάστου γένους τῶν καθαρῶν εἰς τὴν κιβωτὸν εἰσαχθῆναι. ἵνα τὸ ἓν ζῶον ἐξ ἑκάστου γένους ὁ Νῶε προσφέρων, μὴ διαφθείρῃ τὰς συζυγίας.

** ΙΟΥΣΤΙΝΟΥ. Εἰ ἐν τῷ καιρῷ τοῦ κατακλυσμοῦ λέγει, ὅτι δύω δύω, καὶ ἑπτὰ ἑπτὰ ἐν τῇ κιβωτῷ εἰσηνέχθησαν ἀλόγιστως, οὐ τέσσαρα καὶ δεκατέσσαρα ἐκ τῶν ἀκαθάρτων καὶ καθαρῶν· καί τινες γὰρ εἰρήκασι, τινὲς δὲ, ὅτι δύω καθαρὰ μόΓ νον· ὅ, τι οὖν ἐκ τῶν δύω ἀληθέστερον; Ἀληθέστερον εἶπεν ὁ εἰπὼν τέσσαρα καὶ δεκατέσσαρα, τοῦ εἰπόντος δύω καὶ ἑπτά. τὰ γὰρ δύω δύω εἶπεν ἀντὶ τοῦ δύω ἄρρενα καὶ δύω θήλεα, καὶ ἑπτὰ ἄρρενα καὶ ἑπτὰ θήλεα. ἀκάθαρτα δὲ τὰ δύω δύω.

* ΠΡΟΚΟΠΙΟΥ. Ζητήσειε δ' ἄν τις, πῶς τοῦ νόμου μήπω διαστειλαμένου καθαρὰ καὶ ἀκάθαρτα, ὡς εἰδότι τῷ Νῶε διαφορὰν ἀκαθάρτων ταῦτα λέγεται; (1) Καὶ Δ φαμὲν, ὅτι τῷ δικαίῳ προσεθεωρεῖτο ἡ ἐπιστημονικὴ τοῦ νόμου διάταξις· ἢ ἀπὸ τοῦ φυσικοῦ νόμου ταῦτα ἠπίστατο ὁ Νῶε.

* ΤΟΥ ΑΥΤΟΥ. Οὐκ ἐπειδὴ τῷ δημιουργῷ τὰ μὲν καθαρὰ, τὰ δὲ ἀκάθαρτα· καὶ γὰρ ἄνω φησὶν, ὅτε τὰ ζῶα παρήγαγεν ὁ Θεὸς, καὶ εἶδεν ὁ Θεὸς, καὶ ἰδοὺ πάντα καλὰ λίαν· ἀλλὰ τὰ παρ' ἡμῖν καὶ τοῖς τότε καθαρὰ, ἢ ἀκάθαρτα καλούμεΕ να καὶ νομιζόμενα. καὶ γὰρ καὶ θεοὺς τῶν ἐθνῶν ὀνομάζει τοὺς δαίμονας· οὐκ ἐπειδή εἰσιν, ἀλλ' ὅτι προσαγορεύονται.

δ. *Ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν, τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας.*

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πρὸ ἑπτὰ ἡμερῶν προλέγει, βουλόμενος τῷ φόβῳ σωΖ φρονεστέρους αὐτοὺς ποιῆσαι, καὶ εἰς μετάνοιαν ἀγαγεῖν. καὶ ὅτι διὰ τοῦτο προλέγει, ἵνα μὴ ἐπαγάγῃ τὰ ὑπ' αὐτοῦ εἰρημένα, ἐννόει μοι τοὺς Νινευΐτας, καὶ βλέπε πόση ἡ διαφορὰ τούτων κἀκείνων.

Καὶ ἐξαλείψω τὴν ἐξανάστασιν, ἣν ἐποίησα ἀπὸ προσώπου πάσης τῆς γῆς.

ΦΙΛΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ. Τί δέ ἐστιν, Η ἐξαλείψω πᾶσαν τὴν ἐξανάστασιν, ἣν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς; Τουτέστι τῆς

(1) Ἢ ἀπὸ τοῦ φύσει νόμου ταῦτα ἠπίστατο· ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῶσιν. ἄλλως τε καὶ τῷ δικαίῳ προσεθεωρεῖτο ἡ ἐπιστημονικὴ τοῦ νόμου διάταξις. ὁ τῆς Αὐγ. κώδ.

τῆς ἐπιφανείας. ἵνα ἐν τῷ βάθει ἡ ζωτικὴ δύναμις τῶν σπερμάτων ὅλων οὖσα, φυλάττηται σῶα καὶ ἀπαθὴς παντὸς τοῦ βλάπτειν δυναμένου. τῆς γὰρ ἰδίας προθέσεως οὐκ ἐπιλέλησται ὁ ποιητής. ἀλλὰ τὰ μὲν ἄνω, καὶ κατ' αὐτὴν τὴν ἐπιφάνειαν κινούμενα, φθείρει· τὰς δὲ ῥίζας, βυθίας ἐᾷ πρὸς γένεσιν ἄλλων.

ε. Καὶ ἐποίησε Νῶε πάντα ὅσα ἐνετείλατο αὐτῷ Κύριος ὁ Θεός.

ϛ. Νῶε δὲ ἦν ἐτῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἡνίκα μὲν ἡ ἀγανάκτησις γέγονε τοῦ δεσπότου καὶ ἡ πρόῤῥησις, πεντακοσίων ἦν ἐτῶν· ὅτε δὲ ἐπήχθη ὁ κατακλυσμὸς, ἑξακοσίων, ὡς ἑκατὸν ἔτη ἐν τῷ μέσῳ γενέσθαι. Καὶ μετ' ὀλίγα. Ἀλλ' ἴσως ἄν τις μαθεῖν ἐπιζητήσειε, τίνος
„ ἕνεκεν εἰπὼν, ἑκατὸν εἴκοσι ἔτη ἔσονται αἱ ἡμέραι αὐτῶν· καὶ ἐπαγγειλάμενος τοσαῦτα μακροθυμήσειν, πρὸ τῆς τούτων συμπληρώσεως τὴν πανωλεθρίαν ἐπήγαγε; Καὶ τοῦτο τῆς αὐτοῦ φιλανθρωπίας μέγιστον ἂν εἴη δεῖγμα. ἐπειδὴ γὰρ εἶδε καθ' ἑκάστην ἡμέραν ἀνίατα ἁμαρτάνοντας, καὶ οὐ μόνον οὐδὲν κερδαίνοντας ἐκ τῆς ἀφάτου μακροθυμίας, ἀλλὰ καὶ ἐπιτείνοντας τὰ ἕλκη· διὰ τοῦτο συνέτεμε τὸν χρόνον, ὥστε μὴ μείζονι τιμωρίᾳ ὑπευθύνους αὐτοὺς καταστῆσαι.

ζ. Εἰσῆλθε δὲ Νῶε, καὶ οἱ υἱοὶ αὐτοῦ μετ' αὐτοῦ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ εἰς τὴν κιβωτὸν διὰ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ.

* ΠΡΟΚΟΠΙΟΥ. Ὁ μὲν ἁπλούστερός φησιν, ὅτι Νῶε οὐκ ἦν ἐπὶ τῆς γῆς, καὶ οἱ σὺν αὐτῷ· ἐπὶ ξύλου γὰρ ἦσαν ὀχούμενοι· ὁ δὲ βλέπων, ὅτι ὅπου ὁ θησαυρὸς ἐκεῖ καὶ ἡ καρδία ἑκάστου, ἐρεῖ περὶ τοῦ Νῶε, ὅτι θησαυρὸν ἔχων ἐν οὐρανῷ οὕτω (1) δίκαιος ἦν, ὡς ἔτι ἐπὶ τῆς γῆς, ἀλλ' ἐν οὐρανῷ.

η. Καὶ ἀπὸ πάντων τῶν πετεινῶν
τῶν καθαρῶν, καὶ ἀπὸ πάντων τῶν
πετεινῶν τῶν μὴ καθαρῶν, καὶ ἀπὸ
πάντων τῶν κτηνῶν τῶν καθαρῶν, καὶ
ἀπὸ πάντων τῶν κτηνῶν τῶν μὴ καθαρῶν, καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν
θ. τῶν ἐπὶ τῆς γῆς. Δύω δύω ἀπὸ
πάντων εἰσῆλθον πρὸς Νῶε εἰς τὴν
κιβωτὸν ἄρσεν καὶ θῆλυ, καθὰ ἐνετείλατο αὐτῷ ὁ Θεός.

A ι. Καὶ ἐγένετο μετὰ τὰς ἑπτὰ ἡμέρας, καὶ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ ἐγένετο ἐπὶ τῆς γῆς.

„ ΑΔΗΛΟΥ. Τὸ ὕδωρ τοῦ κατακλυσμοῦ, πρὸς ἀντιδιαστολὴν τοῦ ἐν πυρὶ κατακλυσμοῦ. (2)

ια. Ἐν τῷ ἑξακοσιοστῷ ἔτει ἐν τῇ
ζωῇ τοῦ Νῶε τοῦ δευτέρου μηνὸς, ἑβδό-
B μῃ καὶ εἰκάδι τοῦ μηνός· ἐν τῇ ἡμέρᾳ
ταύτῃ ἐῤῥάγησαν αἱ πηγαὶ τῆς ἀβύσ-
σου, καὶ οἱ καταράκται τοῦ οὐρανοῦ ἠνεῴχ-
ιβ. θησαν. Καὶ ἐγένετο ὁ ὑετὸς ἐπὶ τῆς
γῆς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας.

* ΠΡΟΚΟΠΙΟΥ. Ἑβδόμῃ καὶ εἰκάδι
τοῦ μηνὸς περὶ σύνοδον οὔσης τῆς σελήνης
ἐν ἀριθμῷ κύβῳ τῷ ἀπὸ τοῦ τρία. (3) διὸ
Γ οὐ κατὰ φύσιν γέγονεν ὁ ὑετὸς, ὡς τινὲς
ἐφαντάσθησαν.

** ΤΟΥ ΝΥΣΣΗΣ. Τί σημαίνει διὰ
τοῦ ἀνοῖξαι, καὶ τί διὰ τοῦ κλεῖσαι ἐνδείκνυ-
ται; δῆλον γὰρ ὅτι τὸ κλειόμενον ἀνοίγε-
ται, καὶ τὸ ἀνοιγόμενον κλείεται. Ἐπεὶ
οὖν ἀτμοῦ ποτὲ κατὰ τοὺς χρόνους Ἠλίου ἐπι-
κρατοῦντος, οὕτω φησὶν ἡ Γραφή· ὅτι Λουκ. 4. 25.
„ ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας
Δ ἕξ· τοῦτο οἶμαι τοῦ οὐρανοῦ τοὺς καταράκτας
ἠνεῴχθαι τὸν τῆς Γραφῆς λόγον λέγειν,
ὡς ἐκλείσθη ἐν τῷ τῆς ἀνομβρίας καιρῷ.
ἀλλὰ μὴν τότε διὰ τῆς προσευχῆς τοῦ Ἠ-
λίου, νέφος ἐκ τῆς θαλάσσης ἀναφανὲν,
τὸν οὐρανὸν αὐτοῖς διὰ τῆς ἐπομβρίας ἤνοι-
ξεν. ἄρα σαφῶς ἀποδείκνυται διὰ τούτων,
τὸ μηδὲ τότε τὸ στερέωμα τοῦ οὐρανοῦ διαχι-
σθὲν, ἐκ τῶν ὑπερκεῖσθαι λεγομένων ὑδά-
των καταῤῥῆξαι τὸν ὄμβρον· ἀλλ' οὐρανὸν
E λέγει τὸν περίγειον ἀέρα, τὸν ὁρίζοντα τοῖς
ἀτμοῖς τὴν στάσιν· ὅπερ ἐστὶ τῆς λεπτομε-
ρεστάτης τοῦ ὑπερκειμένου ὅρος φύσεως.

ιγ. Ἐν τῇ ἡμέρᾳ ταύτῃ εἰσῆλθε
Νῶε, Σὴμ, Χὰμ, Ἰάφεθ, οἱ υἱοὶ
Νῶε, καὶ ἡ γυνὴ Νῶε, καὶ αἱ τρεῖς
γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς
ιδ. τὴν κιβωτόν. Καὶ πάντα τὰ θηρία
τῆς γῆς κατὰ γένος, καὶ πᾶν ἑρπετὸν
Z κατὰ γένος, καὶ πάντα τὰ κτήνη κατὰ
γένος, καὶ πᾶν πετεινὸν κατὰ γένος
αὐτοῦ, πᾶν ὄρνεον, πᾶν πτερωτόν.

ιε. Καὶ εἰσῆλθον πρὸς Νῶε εἰς
τὴν κιβωτὸν δύω δύω ἀπὸ πάσης
ιϛ. σαρκὸς, ἐν ᾧ ἐστὶ πνεῦμα ζωῆς. Καὶ
τὰ εἰσπορευόμενα ἄρσεν καὶ θῆλυ ἀπὸ
πάσης σαρκὸς εἰσῆλθον, καθὰ ἐνε-
H τείλατο ὁ Θεὸς τῷ Νῶε.

ΑΔΗΛΟΥ.

(1) Οὕτω δίκαιος ἦν, οὐκ ἦν ἐπὶ γῆς, ἀλλ' ἐν οὐρανῷ. ὁ τῆς Αὐγ. κώδ.
(2) Ἐν πυρὶ κατακλυσμὸν τὸν ἐν Σοδόμοις πάντως ἐννοεῖ.
(3) Οὐ κατὰ φύσιν ὄντος τοῦ ὑετοῦ. ὁ τῆς Αὐγ. κώδ.

ΑΔΗΛΟΥ. Μᾶλλον θείῳ νεύματι ἀφ' ἑαυτῶν ἤρχοντο κατὰ γένος αἱ ζυγαὶ τῶν ζώων πρὸς Νῶε, ἢ τοσῦτον αὐτὸν ὁ Θεὸς ἐσόφισεν, ὥςε γνῶναι καὶ τὰ ἄσημα τῶν ζωϋφίων, οἷον τὸν μύρμηκα, καὶ τὰ ὅμοια.

ΑΔΗΛΟΥ. Ὅρα πῶς τὰ καθαρὰ ἑπ]ὰ
» ἑπ]ὰ σεσιώπηκε· μήποτε τὸ, ἀπὸ πάσης σαρκὸς, τὰ ἀκάθαρτα δηλοῖ;

Καὶ ἔκλεισε Κύριος ὁ Θεὸς ἔξωθεν αὐτῦ τὴν κιβωτόν.

ΑΔΗΛΟΥ. Θειοτέρας τινὸς δυνάμεως ἔχρηζεν ἡ ἀσφάλεια, τῆς θύρας κλειομένης.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἔκλεισεν ὁ Θεὸς ἔξωθεν αὐτῦ τὴν κιβωτὸν, ἵνα διδάξῃ ἡμᾶς ὅτι ἐν ἀσφαλείᾳ πολλῇ κατέςησε τὸν δίκαιον. τῷ δὲ ἔκλεισε, διὰ τῦτο προσέθηκε, καὶ ἔξωθεν, ὥςε μὴ ἐξεῖναι τῷ δικαίῳ ὁρᾷν τὴν πανωλεθρίαν γινομένην, καὶ πλείονα καὶ αὐτὸν τὴν σωτριβὴν ὑπομένειν. Γ

ιζ. Καὶ ἐγένετο ὁ κατακλυσμὸς
τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἐπὶ τῆς γῆς· καὶ ἐπληθύνθη τὸ ὕδωρ· καὶ ἐπῆρε τὸ ὕδωρ
τὴν κιβωτὸν, καὶ ὑψώθη ἐπάνω τῆς
ιη. γῆς. Καὶ ἐπεκράτει τὸ ὕδωρ, καὶ
ἐπληθύνετο σφόδρα ἐπὶ τῆς γῆς· καὶ
ἐπεφέρετο ἡ κιβωτὸς ἐπάνω τῦ ὕδα-
ιθ. τος. Τὸ δὲ ὕδωρ ἐπεκράτει σφόδρα
σφόδρα ἐπὶ τῆς γῆς· καὶ ἐπεκάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλὰ, ἃ ἦν
κ. ὑποκάτω τῦ ὐρανῦ. Πεντεκαίδεκα
πήχεις ὑπεράνω ὑψώθη τὸ ὕδωρ·
καὶ ἐπεκάλυψε πάντα τὰ ὄρη τὰ
κα. ὑψηλά. Καὶ ἀπέθανε πᾶσα σὰρξ
κινυμένη ἐπὶ τῆς γῆς τῶν πετεινῶν,
καὶ τῶν κτηνῶν, καὶ τῶν θηρίων, καὶ
πᾶν ἑρπετὸν κινύμενον ἐπὶ τῆς γῆς,
κβ. καὶ πᾶς ἄνθρωπος. Καὶ πάντα ὅσα
ἔχει πνοὴν ζωῆς, καὶ πᾶς ὃς ἦν ἐπὶ
τῆς ξηρᾶς ἀπέθανε.
κγ. Καὶ ἐξήλειψε πᾶν τὸ ἀνάςημα, ὃ ἦν ἐπὶ προσώπυ πάσης τῆς γῆς, ἀπὸ ἀνθρώπυ ἕως κτήνυς, καὶ ἑρπετῶν, καὶ τῶν πετεινῶν τῦ ὐρανῦ· καὶ ἐξηλείφθησαν ἀπὸ τῆς γῆς, καὶ κατελείφθη μόνος Νῶε, καὶ οἱ μετ' αὐτῦ ἐν τῇ κιβωτῷ.

ΑΔΗΛΟΥ. Θεοπρεπῶς τὸ, ἐξήλειψεν· ὥσπερ τῶν ἀπαλειφομένων τὰ μὲν γράμματα ἐξαλείφονται, αἱ δὲ δέλτοι διαμένυσιν. ἡ μὲν γὰρ ἀσεβὴς γενεὰ, ἐξήλειπται· τὸ δὲ κατὰ διαδοχὴν τῆς ὐσίας γένος, διετηρήθη ὡς δίκαιον.

Δ κ. Καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ τῆς γῆς πεντήκοντα καὶ ἑκατὸν ἡμέρας.

ΚΕΦ. Η.

α. Καὶ ἐμνήσθη ὁ Θεὸς τῦ Νῶε, καὶ πάντων τῶν θηρίων, καὶ πάντων τῶν κτηνῶν, καὶ πάντων τῶν πετεινῶν, καὶ πάντων τῶν ἑρπετῶν, ὅσα ἦν μετ' αὐτῦ ἐν τῇ κιβωτῷ.

» ΔΙΔΥΜΟΥ. Τὸ ἐμνήσθη ὁ Θεὸς τῦ Νῶε θεοπρεπῶς ἀκυςέον, ὐχ ὡς ἐκ λήθης, ἀλλ'
Λυκ. 13. 25. ὥσπερ περὶ τῶν ἀσεβῶν λέγει, ὐκ οἶδα
» ὑμᾶς πόθεν ἐςὲ, τυτέςι ὐδέποτε ἔγνων ὑμᾶς, ὡς ἐνταῦθα δηλῦσθαι τὸ, ὐδέποτε ὡς ἡμετέρυς ὑμᾶς ἔχον· ὕτω κἀνταῦθα τὸ ἐμνήσθη, ἀντὶ τῦ ἐπεισήγαγεν αὐτὴν ἀρχὴν γενέσθαι τῦ γένυς.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον ἐμνήσθη Κύριος τῦ Νῶε; Προσφόρως τοῖς ἀνθρώποις ἡ θεία Γραφὴ διαλέγεται, καὶ ὡς ἀκύειν δύνανται μετασχηματίζει τὺς λόγυς. ὥσπερ τοίνυν ἐπὶ Θεῦ ἡ μεταμέλεια οἰκονο-
1. Βασ. 15. 35. μίας ἐςὶ διαφορά· μεταμεμέλημαι γὰρ
» ὅτι κέχρικα τὸν Σαὺλ εἰς βασιλέα, ἀντὶ τῦ, ἐδοκίμασα ἄλλον ἀντ' αὐτῦ καταςῆσαι· ὕτω καὶ ἐνταῦθα νοητέον, ὅτι ἐνεθυμήθην ὅτι ἐποίησα τὸν ἄνθρωπον, ἀντὶ τῦ, ἐδοκίμασα αὐτοῖς πανωλεθρίαν ἐπαγαγεῖν. καὶ
» τῦτο τοίνυν τὸ ἐμνήσθη ὁ Θεὸς τῦ Νῶε ὐ προτέραν λήθην αἰνίττεται, ἀλλὰ τὴν ἄρρητον αὐτῦ φιλανθρωπίαν δηλοῖ. ὅτι διὰ τὴν περὶ ἐκεῖνον φιλοςοργίαν προσέταξεν ὡς τάχιςα καταποθῆναι τὸ ἄπειρον ἐκεῖνο καὶ ἀμέτρητον ὕδωρ. δῆλον δὲ αὐτῦ
E ποιῶν τὴν ἄφραςον ἀγαθότητα, προσέ-
» θηκεν, ὅτι καὶ πάντων τῶν κτηνῶν, καὶ
» πάντων τῶν πετεινῶν, καὶ πάντων τῶν
» ἑρπετῶν, ὅσα ἦν μετ' αὐτῦ ἐν τῇ κιβωτῷ. ἡμῶν δὲ χάριν καὶ ταῦτα προμηθείας ἠξίωσε. τῦτο γὰρ καὶ ὁ μέγας Δαβὶδ βοᾷ
» λέγων· ὁ ἐξανατέλλων χόρτον τοῖς κτή-
» νεσι, καὶ χλόην τῇ δυλείᾳ τῶν ἀνθρώ-
» πων. καὶ πάλιν· ἀνθρώπυς, καὶ κτήνη
» σώσεις Κύριε, ὡς ἐπλήθυνας τὸ ἔλεός συ
Z ἐφ' ἡμᾶς. δι' ἡμᾶς γὰρ ὁ Θεὸς καὶ τῶν ἡμετέρων ἐπιμελεῖται.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐςιν, ἐμνήσθη; Ὤκτειρε, φησὶν, ὁ Θεὸς τὸν δίκαιον ἐν τῇ κιβωτῷ διάγοντα, ἠλέησεν αὐτὸν ἐν τοσαύτῃ ςενοχωρίᾳ τυγχάνοντα, καὶ ἐν ἀμηχανίᾳ καθεςῶτα, καὶ ὐκ εἰδότα μέχρι τίνος ςήσεται τὰ δεινά.

Καὶ ἐπήγαγεν ὁ Θεὸς πνεῦμα ἐπὶ
H τὴν γῆν, καὶ ἐκόπασε τὸ ὕδωρ

ΑΔΗΛΟΥ. Οὐκ ἀνέμοις ὕδωρ μειῦται, κυμαίνεται δὲ καὶ ταράττεται· ἀλλὰ τῦτο ἦν τὸ τῦ Θεῦ πνεῦμα, ὃ ἐξ ἀρχῆς ἐπεφέρετο ἐπάνω τῦ ὕδατος.

ΑΘΑΝΑ-

** ΑΘΑΝΑΣΙΟΥ. Λέγεται δὲ καὶ ἀνέμων πνεύματα. οὕτως ἐν μὲν τῇ Γενέσει, καὶ ἐπήγαγεν ὁ Θεὸς πνεῦμα ἐπὶ τὴν
Ἰων. ι. 4. γῆν· καὶ ἐκόπασε τὸ ὕδωρ· ἐπὶ δὲ τοῦ Ἰωνᾶ, καὶ ἐξήγειρε Κύριος πνεῦμα ἐπὶ τὴν θάλασσαν.

β. Καὶ ἐπεκαλύφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταῤῥάκται τοῦ οὐρανοῦ· καὶ συνεσχέθη ὁ ὑετὸς ἀπὸ τοῦ οὐρανοῦ.

γ. Καὶ ἐνεδίδου τὸ ὕδωρ πορευόμενον ἀπὸ τῆς γῆς· ἐνεδίδου καὶ ἠλαττονοῦτο τὸ ὕδωρ μετὰ πεντήκοντα καὶ ἑκατὸν ἡμέρας.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὸ τοῦ Θεοῦ πρόσταγμα ἦν ἐργαζόμενον πάντα. μὴ τοίνυν ἡμεῖς περιεργαζώμεθα τὸ πῶς, ἀλλὰ τοῦτο μόνον πιστεύωμεν, ὅτι ἐκέλευσε καὶ ὑψώθη ἡ ἄβυσσος· προσέταξε, καὶ πάλιν τὴν οἰκείαν ἐπέσχε φορὰν, καὶ πρὸς τὸν οἰκεῖον τόπον ὑπανεχώρησεν. ὃν αὐτὸς οἶδε μόνος ὁ δημιουργήσας αὐτὴν δεσπότης.

δ. Καὶ ἐκάθισεν ἡ κιβωτὸς ἐν τῷ ἑβδόμῳ μηνὶ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ. τὸ δὲ ὕδωρ πορευόμενον ἠλαττονοῦτο ἕως τοῦ δεκάτου μηνός.

ΦΙΛΩΝΟΣ. Κατὰ τὸν τῆς ἰσημερίας καιρὸν ἐπισκήπτει ὁ κατακλυσμὸς, ἐν ᾗ καὶ τὸν τοῦ γένους ἀρχηγέτην διαπεπλάσθαι φασιν. ὁ δὲ ἕβδομος μὴν λέγεται καὶ πρῶτος καθ' ἑτέραν καὶ ἑτέραν ἐπιβολήν. διὸ καὶ ἡ τοῦ Νῶε πρόοδος ἐξομοιοῦται τῷ πρώτῳ γηγενεῖ, ὡς ἀρχὴ συστάσεως δευτέρου κόσμου.

ΑΔΗΛΟΥ. Ἔρημον ὄρος τετηρημένον. ἐν αὐτῷ τῷ ὄρει τὰ λείψανα τῆς κιβωτοῦ ἕως νῦν πρὸς ἀπόδειξιν τῶν γεγονότων διαμένει. καὶ ἐν ἄλλοις δὲ ὄρεσι θαλάσσης λείψανα εὑρίσκεται, κόχλοι, καὶ ὀστρέων κάλυφα.

** ΚΥΡΙΛΛΟΥ. Κεκάθικεν ἡ κιβωτὸς ἐπὶ τὰ ὄρη Ἀραράτ· ἃ διερμηνεύεται μαρτυρία καταβάσεως. ὑψηλοὶ γὰρ ὥσπερ, καὶ οἱονείπως ἐν ὄρεσι διὰ τὸ τῆς εὐαγγελικῆς πολιτείας ὑπερανεστηκὸς οἱ ἐν Χριστῷ διὰ πίστεως, τὸν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταβεβηκότα Θεὸν λόγον τοῖς ἁπανταχῇ κηρύττοντες. οἷς καὶ αὐτὸς ἐπεφάνη
Ἡσ. 4. 11. Θεὸς διὰ Προφήτου φωνῆς· γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην. ἀνωτέρω δὴ οὖν τῆς ἐν κόσμῳ χθαμαλότητος τῶν ἐν Χριστῷ τὰ αὐχήματα.

ε. Ἐν δὲ τῷ ἑνδεκάτῳ μηνὶ, τῇ
πρώτῃ τοῦ μηνὸς ὤφθησαν αἱ κεφα-
ς. λαὶ τῶν ὀρέων. Ἐγένετο δὲ μετὰ
τεσσαράκοντα ἡμέρας ἠνέῳξε Νῶε τὴν
θύραν τῆς κιβωτοῦ, ἣν ἐποίησε.

A ζ. Καὶ ἀπέστειλε τὸν κόρακα τοῦ ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ. καὶ ἐξελθὼν, οὐχ ὑπέστρεψεν ἕως τοῦ ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐκ ἐπειδὴ μετὰ ταῦτα ἀνέστρεψε, τὸ, ἕως, προσέθηκεν ἡ θεία Γραφή· ἀλλ' ἰδίωμα τοῦτό ἐστι τῆς θείας Γραφῆς. καὶ πολλάκις ἄντις εὕροι ταύτην τὴν συνήθειαν. Καὶ μετ' ὀλίγα.
B Τέως δ' ἡμᾶς ἀναγκαῖον εἰπεῖν τὴν αἰτίαν, δι' ἣν οὐκ ἀνέστρεψε τὸ ὄρνεον. ἴσως ληξάντων τῶν ὑδάτων, ἀκάθαρτον ὂν τὸ ὄρνεον, καὶ σώμασιν ἐντυχὸν τοῖς τε ἀνθρωπίνοις τοῖς τε τῶν ἀλόγων, καὶ τὴν κατάλληλον εὑρὸν ἑαυτῷ τροφὴν, ἐναπέμεινεν.

** ΚΥΡΙΛΛΟΥ. Πλὴν ὅτι κατὰ καιροὺς ἀπανίστασθαί τε καὶ ἀποφοιτᾷν τῆς πίστεως ἔμελλόν τινες τῶν ἐξ αἵματος Ἰσ-
Γ ραὴλ, ὑπετύπου πάλιν. ἀπέστειλε, γάρ-
φησιν ἐκ τῆς κιβωτοῦ τὸν κόρακα ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ· ὁ δὲ οὐχ ὑπέστρεψεν. ἐπνίγη δὲ, οἶμαι, τοῖς ὕδασιν, ἐρεισμά τε καὶ στάσιν οὐχ εὑρηκώς. οὐκοῦν τὸ τῆς πίστεως ἀπολισθῆσαι τοῦ Χριστοῦ καὶ ἀπονοσφίζεσθαι, πάντως πρόξενον ἀπωλείας.

η. Καὶ ἀπέστειλε τὴν περιστερὰν ὀπίσω αὐτοῦ τοῦ ἰδεῖν, εἰ κεκόπακε τὸ
Δ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς.

θ. Καὶ οὐχ εὑροῦσα ἡ περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς, ὑπέστρεψε πρὸς αὐτὸν εἰς τὴν κιβωτὸν, ὅτι ὕδωρ ἦν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ, ἔλαβεν αὐτὴν, καὶ εἰσήγαγεν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν κιβωτόν.

E ΑΔΗΛΟΥ. Εἴπερ αἱ κορυφαὶ τῶν ὀρέων ἐφάνησαν, πῶς οὐχ εὗρεν ἀνάπαυσιν ἡ περιστερά; Οἶμαι, ὡς διὰ τὸ ὑγρὸν τοῦ ἀέρος δυσκόλως ἵπτατο· δύσμητος γὰρ ἦν· ἢ καὶ διὰ τὸ ὁμογενὲς μὴ εὑρεῖν ἔξω. ὁ δὲ κόραξ εὗρεν ἀνάπαυσιν, ἢ ἐπ' ἄκρων τῶν ὀρέων τῇ ὑγρότητι χαίρων, ἢ ἐπὶ τῶν ἐπιπλεόντων τοῖς ὕδασι σωμάτων.

ΑΔΗΛΟΥ. Σύμβολα κακίας καὶ ἀρε-
Z τῆς τὰ ὄρνεα ταῦτα. ἡ μὲν κακία, τοῖς κυμαίνουσιν ἐφήδεται πάθεσιν· ἡ δὲ ἀρετὴ, τούτων ἀποπηδᾷ. ἢ καὶ σύμβολα τῶν δύω λαῶν, Ἰουδαίων τε καὶ τῶν ἐξ ἐθνῶν. ὅτι οἱ μὲν, ἔξω τῆς χάριτος ἔμειναν· οἱ δὲ, τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ προσέδραμον. σύμβολον δὲ περιστερὰ καὶ τοῦ ἁγίου πνεύματος, κατακλυσμοῦ ἁμαρτίας κατὰ Χριστὸν ἐξαιρουμένου.

ι. Καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ,
H πάλιν ἐξαπέστειλε τὴν περιστερὰν ἐκ
ια. τῆς κιβωτοῦ. Καὶ ἀνέστρεψε πρὸς
αὐτὸν ἡ περιστερὰ πρὸς ἑσπέραν, καὶ
εἶχεν ἐλαίας φύλλον κάρφος ἐν τῷ

 στόματι

στόματι αὐτῆς. καὶ ἔγνω Νῶε, ὅτι
κεκόπακε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς
ιβ. γῆς. Καὶ ἐπισχὼν ἔτι ἑπτὰ ἡμέρας,
πάλιν ἐξαπέστειλε τὴν περιστερὰν,
καὶ οὐ προσέθετο ὑποστρέψαι πρὸς
αὐτὸν ἔτι.

** ΚΥΡΙΛΛΟΥ. Ἀποστέλλονται μὲν γὰρ οἱ ἅγιοι παρὰ Χριστοῦ κατασκεψόμενοί τε τὸν κόσμον καὶ τοὺς ἐν αὐτῷ· ὑπονοστοῦσι δὲ ὥσπερ λαλοῦντες εἰρήνην. τουτὶ γὰρ οἶμαι πλαγίως ὑποδηλοῦν τὸ ἐν στόματι κεῖσθαι τῆς περιστερᾶς τὸν τῆς ἐλαίας θαλόν. σύμβολον γὰρ εἰρήνης ἀείπως ἐστὶ τὸ φυτόν. Φιλόθεοι μὲν οὖν οἱ ἐν πίστει κεκαθαρμένοι, καὶ ὡς ἐν πραότητι πολιτείας εὐαγγελικῆς, ἀπόλεκτοι τῷ Θεῷ. πλὴν, ὅτι καὶ ἐξ αὐτῶν ἀποστήσονταί τινες ἐν ἐσχάτοις καιροῖς, καθάπερ ἔφην ἀρτίως, ἐμφανιεῖ ἂν ὁ τύπος. τρίτη γὰρ καὶ τελευταία πέμπεται περιστερὰ, καὶ οὐκ ἐμελέτα τὴν ὑποστροφήν. ἀπομεμένηκε γάρ.

ιγ. Καὶ ἐγένετο ἐν τῷ ἑνὶ καὶ ἑξακοσιοστῷ ἔτει, ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ πρώτου μηνὸς μιᾷ τοῦ μηνὸς ἐξέλιπε τὸ ὕδωρ ἀπὸ τῆς γῆς. καὶ ἀπεκάλυψε Νῶε τὴν στέγην τῆς κιβωτοῦ, ἣν ἐποίησε, καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς.

ιδ. Ἐν δὲ τῷ μηνὶ τῷ δευτέρῳ ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς ἐξηράνθη ἡ γῆ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐχ ἁπλῶς τὴν τοσαύτην ἀκρίβειαν ποιεῖται ἡ θεία Γραφή· ἀλλ᾽ ἵνα μάθωμεν, ὅτι μέχρι μιᾶς ἡμέρας τοῦ ἐνιαυτοῦ ἐκείνου ἡ συμπλήρωσις γεγένηται, καθ᾽ ὃν τοῦ δικαίου ἐδείχθη ἡ ὑπομονή· καὶ τῆς οἰκουμένης ἁπάσης τὸ καθάρσιον γέγονεν.

» ΦΙΛΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ. Ἑβδόμῃ
» καὶ εἰκάδι τοῦ μηνὸς ἐξηράνθη ἡ γῆ. ἑβδόμῃ καὶ εἰκάδι τοῦ δευτέρου μηνὸς, ὁ κατακλυσμὸς ἔρχεται. καὶ εἰκάδι ἑβδόμῃ τοῦ ἑβδόμου μηνὸς ἐκάθισεν ἡ κιβωτός. καὶ εἰκάδι ἑβδόμῃ τοῦ δευτέρου μηνὸς, καθ᾽ ἣν ἡμέραν ὁ κατακλυσμὸς γέγονεν, ἔξεισι Νῶε. ὡς εἶναι τέλειον ἐνιαυτὸν ἀκριβῶς ἀριθμούμενον. τοὺς μέντοι προειρημένους καιροὺς προσετάχθησαν καὶ Ἰουδαῖοι ἑορτάζειν.

ιε. Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ
ις. Νῶε, Ἔξελθε ἐκ τῆς κιβωτοῦ σὺ,
καὶ ἡ γυνή σου, καὶ οἱ υἱοί σου, καὶ αἱ
γυναῖκες τῶν υἱῶν σου.

» ΓΕΝΝΑΔΙΟΥ. Καὶ εἶπε Κύριος ὁ Θεὸς
» τῷ Νῶε, λέγων, ἔξελθε σὺ, καὶ ἡ γυνή
» σου, καὶ οἱ υἱοί σου, καὶ αἱ γυναῖκες τῶν υἱῶν σου, καὶ τὰ ἑξῆς. Τινὲς ἐπισημηνάμενοι τῷ διηλλαχότι τῆς Γραφῆς περὶ τῆς εἰς τὴν κιβωτὸν εἰσόδου τε καὶ ἐξόδου τοῦ

A Νῶε, (ἐν μὲν γὰρ τῇ εἰσόδῳ, μετ᾽ αὐτὸν εὐθὺς αὐτοῦ τοὺς υἱοὺς ἔφησεν ὁ συγγραφεὺς εἰσελθεῖν, εἶτα τὰς γυναῖκας οὕτως αὐτῶν· ἐνταῦθα δὲ τὴν γυναῖκα μετ᾽ αὐτὸν, εἶτα τοὺς υἱοὺς αὐτῶν, καὶ οὕτως αὖθις τὰς ἐκείνων γυναῖκας,) οὐκ ἄκομψον τῆς τοιαύτης αἰτίας ἀποδεδώκασι λόγον. ὅτι τότε αὐτοὺς οὐ κατὰ συζυγίαν εἰσαγαγὼν ὁ Θεὸς, νῦν οὕτως ἐξήγαγε, διὰ τὸ ἐν τῇ κιβωτῷ μένοντας αὐτοὺς κατὰ γάμον ἀλλή-
B λοις μὴ συνοικεῖν· ἐξελθόντας δὲ, τὴν τοῦ αὐξάνεσθε καὶ πληθύνεσθε πάλιν εὐλογίαν ἀναλαβεῖν.

» ** ΙΣΙΔΩΡΟΥ. Εἴσελθε εἰς τὴν κι-
» βωτὸν σὺ, καὶ οἱ υἱοί σου, καὶ ἡ γυνή σου,
» καὶ αἱ γυναῖκες τῶν υἱῶν σου. χωρίσθητε, φησὶν, οἱ ἄνδρες καθ᾽ ἑαυτοὺς, καὶ αἱ γυναῖκες καθ᾽ ἑαυτάς. πορνεία σωφρονίζεται, καὶ ἀσέλγεια διὰ τῶν ἐπιφερομένων ὑδάτων. ὑμεῖς οὖν μηδὲ τῆς ἀμιάντου ἅψε-
Γ σθε κοίτης. ὅτι δὲ τοῦτο ἦν, πάλιν ἐξερχομένων ἐκ τῆς κιβωτοῦ, ταῦτά φησιν·
» ἔξελθε ἐκ τῆς κιβωτοῦ σὺ, καὶ ἡ γυνή σου,
» καὶ οἱ υἱοί σου, καὶ αἱ γυναῖκες τῶν υἱῶν σου. ἐξήλειπται τὸ γένος τὸ ἁμαρτωλὸν, ὑμεῖς πάλιν ἐφ᾽ ἑαυτῶν, καὶ πάλιν αὐξανέτω τὸ γένος τὸ θεοσεβές.

ιζ. Καὶ πάντα τὰ θηρία ὅσα ἐστὶ
μετὰ σοῦ, καὶ πᾶσα σὰρξ ἀπὸ πε-
Δ τεινῶν ἕως κτηνῶν· καὶ πᾶν ἑρπετὸν
κινούμενον ἐπὶ τῆς γῆς ἐξάγαγε μετὰ
σεαυτοῦ· καὶ αὐξάνεσθε καὶ πληθύ-
νεσθε ἐπὶ τῆς γῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ δίκαιος οὗτος ἐκείνην δέχεται τὴν εὐλογίαν, ἣν πρὸ τῆς παραβάσεως ὁ Ἀδὰμ ἐδέξατο. ὥσπερ γὰρ ἡνίκα ἐκεῖνος ἐδημιουργήθη, ἤκουσε· καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς λέγων, αὐξάνε-
E » σθε, καὶ πληθύνεσθε, καὶ κατακυριεύσα-
» τε τῆς γῆς· οὕτω καὶ οὗτος νῦν, αὐξάνεσθε,
» καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς. ὥσπερ γὰρ ἐκεῖνος ἀρχὴ καὶ ῥίζα γέγονε πάντων τῶν γεγονότων πρὸ τοῦ κατακλυσμοῦ, οὕτω καὶ ὁ δίκαιος οὗτος ζύμη τις καὶ ἀρχὴ καὶ ῥίζα γίνεται πάντων τῶν μετὰ τὸν κατακλυσμόν.

ιη. Καὶ ἐξῆλθε Νῶε, καὶ ἡ γυ-
Z νὴ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ αἱ γυ-
ιθ. ναῖκες τῶν υἱῶν αὐτοῦ. Καὶ πάντα
τὰ θηρία, καὶ πάντα τὰ κτήνη, καὶ
πᾶν πετεινὸν, καὶ πᾶν ἑρπετὸν κινού-
μενον ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν,
ἐξῆλθον ἐκ τῆς κιβωτοῦ.

κ. Καὶ ᾠκοδόμησε Νῶε θυσιαστή-
ριον τῷ Θεῷ· καὶ ἔλαβεν ἀπὸ πάν-
H των τῶν κτηνῶν τῶν καθαρῶν, καὶ
ἀπὸ πάντων τῶν πετεινῶν τῶν κα-
θαρῶν, καὶ ἀνήνεγκεν αὐτῷ ὁλοκαρ-
πώσεις ἐπὶ τὸ θυσιαστήριον.

ΑΔΗΛΟΥ.

ΑΔΗΛΟΥ. Πρῶτος Νῶε οἰκοδομεῖ θυσιαστήριον τῷ Θεῷ· μάλιστα μὲν οὐ προσετάχθη, ὥσπερ οὐδὲ ὁ Ἄβελ, ἀλλὰ καὶ αὐτὸς τὰς ἀπαρχὰς προσφέρει· δῆλον, ὅτι ἀπὸ τῶν εἰωθότων ἀναφέρεσθαι ἐπὶ τὸ θυσιαστήριον καθαρῶν, οἷον δορκάδος, ἐλάφου, βουβάλων, καὶ τῶν ὁμοίων.

ΔΙΟΔΩΡΟΥ. Συνεχώρησεν ὁ Θεὸς προσάγειν θυσίας καὶ τοῖς περὶ τὸν Ἄβελ πρότερον, καὶ τοῖς περὶ τὸν Νῶε, μετὰ τὸν κατακλυσμόν· καὶ τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὕστερον καὶ πρώην ἐδέξατο τὰς θυσίας, προειδὼς ἥξειν καιρὸν, καθ' ὃν χρεία καὶ αὐτῷ θύειν γενήσεται, ἀφιστῶν τοὺς Ἰσραηλίτας τοῦ προσάγειν τοῖς εἰδώλοις θυσίας. ὡς ἂν εἰδότες Ἰουδαῖοι, ὅτι τὸ θύειν Θεῷ ἐκ πατέρων ἐστὶν, ἑτοιμότερον τὸ πρᾶγμα δέξονται, λέγω δὴ τὸ τῷ Θεῷ θύειν.

** ΙΟΥΣΤΙΝΟΥ. Εἰ ταῖς τῶν ἀλόγων θυσίαις τὸ θεῖον οὐχ ἥδετο, καθώς τινες ἔφασαν, καὶ ἡ νῦν διδάσκει κατάστασις, διατὶ πρὸ τοῦ νόμου τῷ Νῶε τὸ θύειν προσέταττε, καὶ μάλιστα ὅτε εἰδωλικαὶ θυσίαι οὐδέπω ἐγίνοντο; εἰ δὲ ἥδετο ταύταις, διατὶ μετὰ τὸν νόμον ἡ τούτων χρῆσις ἐπαύσατο; Οὐδεὶς τῶν θυσάντων τὰ ἄλογα θυσίαν τῷ Θεῷ πρὸ τοῦ νόμου κατὰ τὴν θείαν διάταξιν ἔθυσε, κἂν φαίνηται ὁ Θεὸς ταύτην προσδεξάμενος, τῇ ταύτης ἀποδοχῇ δεικνύων τὸν θύσαντα εὐάρεστον αὐτῷ· ἃ δὲ προσέταξε τῷ Ἀβραὰμ λαβεῖν ζῶα τριετίζοντα, ὡσαύτως δὲ καὶ κριὸν, ὃν ὑπὲρ τοῦ Ἰσαὰκ προσήνεγκε θῦσαι, οὐχ ὡς ταῖς τούτου θυσίαις ἡδόμενος, ἀλλὰ χρείας ἕνεκα προμηνυτικῆς τῶν ἐσομένων. τῷ δὲ Νῶε οὐδαμοῦ φαίνεται ὁ Θεὸς προστάξας προσαγαγεῖν αὐτῷ τὴν τῶν ἀλόγων θυσίαν.

κα. Καὶ ὠσφράνθη Κύριος ὁ Θεὸς ὀσμὴν εὐωδίας.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν ὠσφράνθη » Κύριος ὀσμὴν εὐωδίας; Ὑπεδέξατο τοῦ Νῶε τὸ εὔγνωμον, οὐ τῇ κνίσῃ τερφθείς· ὀστῶν γὰρ καιομένων οὐδὲν δυσωδέστερον· ἀλλὰ τοῦ προσενηνοχότος ἐπαινέσας τὴν γνώμην. οὐ γὰρ σωματικὰ ἔχει μόρια, ἵνα καὶ ῥῖνας αὐτῷ περιθῶμεν. διὰ ῥινῶν γὰρ ἡ ὄσφρησις. ἀμείβεται οὖν αὐτὸν τῇ εὐλογίᾳ.

ΑΔΗΛΟΥ. Ὄσφρησιν καλεῖ τὴν τὸ εὐσεβὲς ἀποδεξαμένην κρίσιν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μὴ τῇ παχύτητι τῆς λέξεως προσπταίῃς, ἀλλὰ τῇ σαυτοῦ ἀσθενείᾳ τῶν ῥημάτων τὴν συγκατάβασιν λογισάμενος, νόει ἐντεῦθεν, ὅτι δεκτὴ γέγονεν ἡ προσαγωγὴ τοῦ δικαίου.

A Καὶ εἶπε Κύριος ὁ Θεὸς διανοηθείς.

ΑΛΛΟΣ. Εἶπε Κύριος πρὸς καρδίαν αὐτοῦ.

ΑΛΛΟΣ. (1) Εἶπε Κύριος πρὸς ἑαυτόν.

ΑΛΛΟΣ. (2) Εἶπε Κύριος πρὸς τὴν καρδίαν αὐτοῦ.

B ΑΔΗΛΟΥ. Ἔδει, καὶ δίκαιον ἦν τιμωρηθῆναι αὐτούς. εἰ δὲ φιλανθρωπίᾳ μεταμελεῖται, μὴ ἐγκαλείσθω ὑπὲρ τὸ δίκαιον φιλανθρωπευόμενος.

Οὐ προσθήσω ἔτι καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων.

Γ ΑΔΗΛΟΥ. Σημείωσαι, ὡς οὐδαμοῦ εἴρηται ἐπικατάρατος ἡ γῆ διὰ τὰ ἔργα τῶν ἀνθρώπων.

Ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ· οὐ προσθήσω οὖν ἔτι πατάξαι πᾶσαν σάρκα ζῶσαν, καθὼς ἐποίησα.


» ΔΙΟΔΩΡΟΥ. Καὶ εἶπε Κύριος ὁ Θεὸς » διανοηθεὶς, οὐ προσθήσω ἔτι τοῦ καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ· τουτέστι προεῖδα, ὅτι ἡ νεότης τοῖς ἐσομένοις εὐόλισθος ἔσται. μὴ τοίνυν δείσητε. διὰ τοῦτο γὰρ οὐκ ἔτι ἐπάξω ὑμῖν ἀφανισμὸν παντελῆ.

κβ. Καὶ πάσας τὰς ἡμέρας τῆς γῆς, σπέρμα καὶ θερισμὸς, ψῦχος καὶ καῦμα, θέρος καὶ ἔαρ, καὶ ἡμέρα καὶ νὺξ οὐ καταπαύσουσιν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀκίνητος, φησὶν, ἔσται αὕτη ἡ διάταξις. καὶ οὔτε ἡ γῆ διαλείψει ποτὲ τὰ παρ' ἑαυτῆς τῷ τῶν ἀνθρώπων γένει χορηγοῦσα, καὶ τῶν καμάτων καὶ τῆς γεωργίας ἀποδιδοῦσα τὰς ἀμοιβὰς, οὔτε αἱ τροπαὶ μετακινηθήσονται. ἀλλὰ ψῦχος καὶ καῦμα, καὶ θέρος καὶ ἔαρ καθ' ἕκαστον τοῦ ἐνιαυτοῦ κύκλον ἔσται. ἐπειδὴ γὰρ κατὰ τὸν τοῦ κατακλυσμοῦ καιρὸν ταύτης ὅλης τῆς διατάξεως σύγχυσίς τις γέγονε, καὶ καθάπερ ἐν μιᾷ νυκτὶ, οὕτως ἐν παντὶ τῷ χρόνῳ ἐν τῇ κιβωτῷ διῆγεν ὁ δίκαιος οὗτος, διὰ τοῦτο φησί· νῦν οὔτε ἡ ἡμέρα, οὔτε ἡ νὺξ τὸν οἰκεῖον ἐλλείψει δρόμον, ἀλλὰ μέχρι τῆς συντελείας τοῦ αἰῶνος ἀκίνητος ἔσται τούτων ἡ λειτουργία.

(1) Ὁ Σύμμαχος. (2) Ὁ Θεοδοτίων.

ΚΕΦ. Θ.



α. Καὶ εὐλόγησεν ὁ Θεὸς τὸν Νῶε, καὶ τοὺς υἱοὺς αὐτοῦ· καὶ εἶπεν αὐτοῖς, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ σπέρμα τοῦ γένους ἦν, καὶ ῥίζα τῆς φύσεως, καὶ δεύτερος Ἀδὰμ, δίδωσιν αὐτῷ τὴν εὐλογίαν, ἧς ἐκεῖνος εὐθὺς διαπλασθεὶς ἀπολελαύκει·
» αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε
» τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς.

β. Καὶ ὁ φόβος ὑμῶν (1) ἔσται ἐπὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ ἐπὶ πᾶσι τοῖς κτήνεσι τῆς γῆς, καὶ ἐπὶ πάντα τὰ ὄρνεα τοῦ οὐρανοῦ, καὶ ἐπὶ πάντα τὰ κινούμενα ἐπὶ τῆς γῆς, καὶ πάντας τοὺς ἰχθύας τῆς θαλάσσης ὑπὸ χεῖρας ὑμῖν δέδωκα.

» ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ὁ φόβος ὑμῶν,
» καὶ ὁ τρόμος ὑμῶν ἔσται ἐπὶ πάντα τὰ πε-
» τεινὰ τοῦ οὐρανοῦ, καὶ ἐπὶ πάντα τὰ κινού-
» μενα ἐπὶ τῆς γῆς, καὶ ἐπὶ πάντας τοὺς
» ἰχθύας τῆς θαλάσσης· ἃ ὑπὸ χεῖρα δέ-
» δωκα ὑμῖν. καὶ ὁ λόγος ἔργον γέγονε. δέδιε γὰρ ἅπαντα καὶ αὐτὴν τὴν τοῦ ἀνθρώπου σκιὰν, καὶ τὰ νηκτὰ, καὶ τὰ χερσαῖα, καὶ τὰ πτηνά. εἶτα τὸν περὶ τῆς κρεωφαγίας αὐτῷ δέδωκε νόμον, ὡς λαχάνων τῶν κρεῶν ἀπολαύειν κελεύσας.

* ΠΡΟΚΟΠΙΟΥ. Φόβον (2) καὶ τρόμον τὸ τῆς δεσποτείας ἀξίωμα λέγει, καὶ τὸ πάντων ταῖς ἐπινοίαις κρατεῖν. (3) λέγει (4) δὲ καὶ πρὸς τοὺς δικαίους, οἷς ὑποτέτακται καὶ τὰ ἄγρια ζῶα. (5)

γ. Καὶ πᾶν ἑρπετὸν, ὅ ἐστι ζῶν, ὑμῖν ἔσται εἰς βρῶσιν· ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατί δὲ ὅλως τὴν κρεωφαγίαν ἐνομοθέτησεν; Εὐθὺς δημιουργήσας τὸν ἄνθρωπον, τῆς γῆς αὐτῷ τοὺς καρποὺς ἐδωρήσατο, ἀπὸ σπερμάτων καὶ δένδρων βιοτεύειν κελεύσας. μετὰ δὲ τὸν κατακλυσμὸν πλείονι τοῦτον φιλοτιμεῖται τρυφῇ, καὶ πετεινὰ, καὶ νηκτὰ, καὶ χερσαῖα ζῶα θύειν τε καὶ ἐσθίειν κελεύσας· πάθει πάθος ἐξελαύνων, καὶ τῷ ἐλάττονι θεραπεύων τὸ μεῖζον. προορῶν γὰρ ὁ Θεὸς, ὅτι ταῦτα θεοποιήσουσιν οἱ εἰς ἐσχάτην ἀλογίαν ἐκπεπτωκότες, συγχωρεῖ τὴν βρῶσιν, ἵνα τὴν ἀσέβειαν παύσῃ. ἀβελτηρίας γὰρ τῆς ἐσχάτης τὸ ἐσθιόμενον προσκυνεῖν. διατοι τοῦτο, τὰ μὲν ἀκάθαρτα τῶν ζώων λέγει, τὰ δὲ καθαρά. ἵνα τὰ μὲν ὡς ἀκάθαρτα βδελυττόμενοι,
B μὴ θεοποιῶσι· τὰ δὲ, μὴ προσκυνῶσιν, ὡς ἐσθιόμενα.

ΔΙΟΔΩΡΟΥ. Ὅτι χρησίμως ἡμᾶς τὸ κρεωφαγεῖν ἐπέτρεψεν, ἡ ἔκβασις ἔδειξε. προσκυνεῖται γὰρ καὶ μετὰ τὴν Χριστοῦ χάριν πολλὰ τῶν ἀλόγων. οὐκοῦν πάντα ἂν προσεκυνήθη, μὴ προλαβούσης τῆς κρεωφαγίας.

ΑΔΗΛΟΥ. Μετὰ τὸν κατακλυσμὸν,
Γ φησὶ, πάντα ἔδεσθε, προειδὼς, ὡς καὶ αὐτὰ τὰ εὐτελῆ τῶν ζώων προσκυνηθήσεται ὁ Κύριος. καὶ θύεσθαι δὲ συγχωρεῖ, ἵνα καταφρονῶσιν αὐτῶν. λέγει δὲ ἄλλος, (6) ὅτι ὁ Ἄβελ ἀφ' ὧν ἤσθιε, προσέφερε τῷ Θεῷ. οὐ γὰρ ἂν προσήνεγκε, μὴ ἐσθίων. πῶς δὲ δίκαιος ἦν, ἀφ' ὧν οὐ προσέταξεν ὁ Θεὸς ἐσθίων; πλὴν ἔχοντι τῷ Ἀδὰμ τὴν ἐκ τοῦ παραδείσου τρυφὴν, οὐκ ἦν ἀναγκαία ἡ κρεωφαγία. ἔπειτα ἔδει
Δ καὶ πληθυνθῆναι δύο δύο κλιθέντα.

δ. Πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε.

ΑΔΗΛΟΥ. Σύμμαχός φησι, τὸ αἷμα τῶν ἀλόγων ζώων ἡ ψυχὴ αὐτοῦ ἐστίν.

** ΙΟΥΣΤΙΝΟΥ. Τῷ Νῶε συγκεχώρητο ὑπὸ τοῦ Θεοῦ, δικαίῳ ὄντι, πᾶν ἔμψυχον ἐσθίειν, πλὴν κρέας ἐν αἵματι, ὅπερ
E ἐστὶ νεκριμαῖον.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν ἀπαγορεύει τὴν τοῦ αἵματος μετάληψιν; Σαφέστερον ἐδίδαξεν ἐν τῷ νόμῳ. ὅπερ γάρ ἐστι,
» φησιν ἀνθρώπῳ ψυχὴ, τοῦτο τοῖς ἀλόγοις τὸ αἷμα. δίχα τοίνυν τοῦ αἵματος τῶν κρεῶν μεταλαμβάνων, ὡς λαχάνων δήπουθεν μεταλήψῃ. ἄψυχον γὰρ τὸ λάχανον. εἰ δὲ μετὰ τοῦ αἵματος μεταλάβοις, ψυχὴν ἐσθίεις. διὸ δὴ καὶ ἐνταῦθα ἔφη,
Z » πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐκ ἔδεσθε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι κρέας ἐν αἵματι ψυχῆς; Τουτέστι πνικτόν. τοῦ γὰρ ἀλόγου ἡ ψυχὴ τὸ αἷμα τυγχάνει. ἐπεὶ οὖν τὰς θυσίας ἤμελλον ἐπιτελεῖν τὰς διὰ τῶν ἀλόγων, μονονουχὶ διδάσκει αὐτοὺς λέγων· ὅτι τὸ μὲν αἷμα ἐμοὶ ἀφώρισαι, τὸ

(1) Τὸ καὶ ὁ τρόμος ὑμῶν ἴσ. κατὰ παραδρομὴν οὐκ ἔχει ὁ Κώδ.
(2) Τρόμον δὲ καὶ φόβον ἐπὶ τοῖς θηρίοις φησὶ, τὸ δεσποτικὸν σημαῖνον ἀξίωμα. ὁ τῆς Αὐγ. κώδ.
(3) Κατακρατεῖν. ὁ αὐτ.
(4) Ἐγχωρεῖ δὲ πρὸς τοὺς δικαίους εἰρῆσθαι τοῦτο. ὁ αὐτ.
(5) Καὶ τὰ θηρία. ὁ αὐτ.
(6) Τὰ ἑξῆς ὅμοια τοῖς τοῦ Προκοπίου τοῖς ἐν τῷ τῆς Αὐγ. κώδ.

τὸ δὲ κρέας ὑμῖν. ταῦτα δὲ ποιεῖ ἄνωθεν προανασέλλων αὐτῶν τὴν ὁρμὴν τὴν περὶ τὴν ἀνδροφονίαν.

ΑΔΗΛΟΥ. Καὶ αὐτὸ μέν πως τὸ αἷμα γεωδέστερόν ἐστι παχὺ, καὶ εἰς ἀνάδοσιν τοῖς ἐσθίουσι βαρύτατον. διὸ δὴ βούλεται καθαρὰς ἡμᾶς τὰς σάρκας ἐσθίειν αἱμάτων. δοκεῖ δὲ μᾶλλον ἢ ψυχῆς οἰκειότερον, ἢ ζωῆς αἰτιώτερον τὸ αἷμα δεικνύναι. τάχα δὲ τὸ πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε τοιοῦτόν ἐστιν. ἐπειδὴ τὰ θηρία, ζῶντα ἅπερ ἂν θηράσῃ κατεσθίει· τοῦτο γάρ ἐστι τὸ ἐν αἵματι ψυχῆς· ἀντὶ τοῦ τὰ ζῶα κελεύει, μὴ ὡς θηρία ζῶντα τὰ ἄλογα κατεσθίειν ὠμοσπάρακτα, ἀλλ' ἀποθανόντα, τουτέστι τυθέντα.

ΓΕΝΝΑΔΙΟΥ. Τοῦτο λέγει, ὅτι οὐ μὴ βρωτέον ἡμῖν αὐτὰ σὺν τῷ αἵματι, διὰ τὸ, ὡς οἶμαι, τοῦτο τοῖς ἀλόγοις ψυχῆς τάξιν ἐπέχειν· εἶναι δὲ ἄβρωτον αὐτοῖς τὴν ψυχήν.

ε. Καὶ γὰρ τὸ ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν ἐκ χειρὸς πάντων τῶν θηρίων ἐκζητήσω αὐτό· καὶ ἐκ χειρὸς ἀνδρὸς τοῦ ἀδελφοῦ αὐτοῦ ἐκζητήσω τὴν ψυχὴν τοῦ ἀνθρώπου.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ γὰρ τὸ ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν ἐκζητήσω· ἐκ χειρὸς ἀνθρώπου ἀδελφοῦ αὐτοῦ ἐκζητήσω τὴν ψυχὴν αὐτοῦ. ἐνταῦθα αἰνίττεται τὴν ἀνάστασιν· οὐχ ὡς τὰ θηρία παράξων εἰς τὸ κριτήριον, καὶ δίκας τῆς ἀνθρωποφαγίας εἰσπραξόμενος, ἀλλ' ὡς τὰ ἀπὸ τούτων καταναλωθέντα σώματα συνάξων τε καὶ ἀναστήσων.
Ψαλ. 94. 4. ἐν γὰρ τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς· καὶ ῥᾴδιον αὐτῷ πάντοθεν συναγαγεῖν τὸ ἡμέτερον σῶμα. ἐνταῦθα μὲν οὖν αἰνιγματωδῶς τοῦτο δεδήλωκε, διὰ δὲ Ἰεζεκιὴλ σαφέστερον ἐκήρυξε τὴν ἀνάστασιν.

ΑΔΗΛΟΥ. Αἰνίττεται ὁ λόγος, ὅτι ἐὰν θηρίον ἀδικήσῃ ἄνθρωπον, τιμωρεῖται αὐτὸ ὁ Θεός. ὁ δὲ Ὠριγένης ἐπὶ δαιμόνων λαμβάνει αὐτό. πλὴν ἐν τῷ νόμῳ ὁ κεραστὴς ταῦρος λιθοβολεῖται. ἄλλοι δέ φασιν, ὅτι περὶ τῆς ἀναστάσεως λέγει· ὅτι κἂν θηρίον ἀναλώσῃ τὸ σῶμα, ἐγὼ ἐκζητῶν, ἀναστήσω αὐτό.

ΑΔΗΛΟΥ. Ζωτικώτερόν ἐστι τὸ αἷμα, καὶ μᾶλλον ἐν τούτῳ ἐνεργεῖ ἡ ψυχὴ θάλπουσα αὐτό· τὸ δὲ, θαλπόμενον κινεῖ τὸ σῶμα, ὡς ὅμοιον εἶναι τὸ σῶμα τοῖς θηρίων αἵμασιν. ἀλλ' ἐκείνοις μὲν ἡ ψυχὴ τὸ αἷμά ἐστιν· ἡμῖν δὲ, εἰ καὶ μὴ διαφορά τις τοῦ αἵματος ὁμοίου ὄντος, ἀλλ' οὖν ἀπὸ τοῦ λογισμοῦ, καὶ τοῦ λογικοῦ, κατ' εἰκόνα Θεοῦ γεγονότος τοῦ νοὸς, πολὺ τὸ διάφορον. διόπερ καὶ ἡ λογικὴ ψυχὴ, ὡς ὀχήματι τῷ αἵματι, διὰ τὸ ὡς εἴρηται ζωτικώτερον εἶναι, κέχρηται. πλὴν εὑρήσεις ἐν τοῖς οὖσιν ἀκολουθίαν τινὰ καὶ τάξιν. οἱ μὲν

A γὰρ λίθοι καὶ τὰ ὅμοια, πάντη ἀναίσθητα· τὰ δὲ φυτὰ, τρέφεται καὶ αὔξεται· ἡ δὲ γῆ, ἔχει τινὰ κίνησιν· αὔξει γὰρ, καὶ κινεῖται τὰ φυτά· τὰ δὲ φυτὰ ἔχει πλέον τῶν λίθων καὶ τῆς γῆς τὸ αὐξάνεσθαι, καὶ τρέφεσθαι, καὶ καρποφορεῖν. τὰ δὲ ζῶα ἔχει μὲν τὰ προειρημένα, ἔχει δὲ καὶ τὸ τίκτειν πλέον τούτων, καὶ τὸ περιπατεῖν, καὶ τὸ μυκᾶσθαι, ἢ καὶ αἴσθησίν τινα φυσικήν. ἡμεῖς δὲ πάντα τὰ προειρημένα ἔχοντες, ἔχομεν καὶ αἷμα καὶ τὰ
B λοιπὰ ὡς τὰ ζῶα. καὶ ὥσπερ τὰ ζῶα ἔχει τὸ αἷμα, καὶ ζῇ, καὶ κινεῖται· οὕτω καὶ τὸ παρ' ἡμῖν. ἔχομεν δὲ ἔτι πλέον τὸ λογικὸν τῆς ψυχῆς, ἔξω παντὸς σώματος, καὶ τὸ κατ' εἰκόνα Θεοῦ γενέσθαι· ὃ οὐκ ἂν εἴη ἐπ' ἄλλῳ. ὅταν γὰρ τοῖς ἄλλοις πᾶσιν ὅμοιοι τοῖς ἀλόγοις ἐσμὲν, αὔξοντες, καὶ τίκτοντες, καὶ κινούμενοι, ἔχομεν δὲ ἐξαίρετον τὸν λόγον, καὶ τὴν τοῦ λόγου πη-
Γ γὴν, ἢ καὶ εἰκὼν Θεοῦ εἰκότως λέγοιτο, φανερὸν, ὅτι κεχωρισμένον σωματικῆς φύσεως τυγχάνει τὸ ἐν ἡμῖν ἐξαίρετον, ἀσώματον ὂν, καὶ ἀπαθὲς, ἡ ψυχή· εἰ καὶ δι' οἰκονομίαν τοῦ ἀρρήτως ἑνώσαντος καὶ συνδήσαντος, τῷ ἐνύλῳ σώματι ὡς ὀχήματι ἐγκάθηται. τὸ δὲ ἐκζητήσω ἐκ χειρὸς τῶν θηρίων, οὐχ ὅτι ἐκείνων ἀνισταμένων, ἀλλ' ἡμῶν, καὶ τὸ οἰκεῖον ἀπολαμβανόντων σῶμα. πολλάκις δὲ ἐνταῦ-
Δ θα, εἴπερ ἀνέλωσιν ἄνθρωπον, ἢ ὄφις, ἢ ἄρκτος, ἤτι τῶν ἄλλων, ἀνταναιροῦνται θᾶττον ὑπὸ ἑτέρων.

ϛ. Καὶ ὁ ἐκχέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται· ὅτι ἐν εἰκόνι Θεοῦ ἐποίησα τὸν ἄνθρωπον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰ καὶ τὸ ὁμο-
E γενές φησι, μὴ γίνεταί σοι κώλυμα, οὐδὲ ἡ κοινωνία τῆς φύσεως ἀφίστησί σε τῆς κακῆς ἐπιχειρήσεως, ἀλλὰ καὶ τὴν συμπάθειαν τὴν ἀδελφικὴν ἀπωσάμενος, ὅλος γίνῃ τοῦ μιαροῦ τούτου τολμήματος, ἐννόει ὅτι κατ' εἰκόνα Θεοῦ δεδημιούργηται, καὶ ὅσης ἠξίωται παρὰ τοῦ Θεοῦ τῆς προεδρίας, καὶ ὅτι πάσης τῆς κτίσεως τὴν ἐξουσίαν ἀναδέδεικται, καὶ παῦσαι τῆς μοχθηρᾶς γνώμης.

Z ΑΔΗΛΟΥ. Ὁ Θεὸς λέγει, ἐν εἰκόνι Θεοῦ ἐποίησα τὸν ἄνθρωπον. εἰκὼν δὲ Θεοῦ τοῦ ἀοράτου ὁ σωτήρ. Θεὸς ἄρα καὶ κατὰ τὴν Γραφὴν ὁ σωτήρ.

ζ. Ὑμεῖς δὲ αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν,
η. καὶ κατακυριεύσατε αὐτῆς. Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ Νῶε, καὶ τοῖς υἱοῖς
H αὐτοῦ, λέγων.

θ. Καὶ ἰδοὺ ἐγὼ ἀνίστημι τὴν διαθήκην μου ὑμῖν, καὶ τῷ σπέρματι ὑμῶν μεθ' ὑμᾶς.

ΧΡΥ-

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἰδοὺ ἀνίστημι
» τὴν διαθήκην μου, τουτέστι συνθήκας ποιοῦμαι. καθάπερ ἐπὶ τῶν ἀνθρωπίνων πραγμάτων ἐπειδάν τις ἐπαγγέληταί τι, συντίθεται, καὶ πολλὴν παρέχει τὴν πληροφορίαν· οὕτω καὶ ὁ ἀγαθὸς δεσπότης φη-
» σὶν, ἰδοὺ ἀνίστημι τὴν διαθήκην μου. καὶ
» καλῶς εἶπεν, ἀνίστημι, ἀντὶ τοῦ, ἰδοὺ ἐγὼ ἀνανεῶ τὴν ὑπὸ τῶν παραπτωμάτων πανωλεθρίαν αὐτῶν γεγενημένην, καὶ ἀνί-
» στημι τὴν διαθήκην μου ὑμῖν, καὶ τῷ σπέρ-
» ματι ὑμῶν μεθ' ὑμᾶς.

ι. Καὶ πάσῃ ψυχῇ ζώσῃ μεθ' ὑμᾶς ἀπὸ ὀρνέων, καὶ ἀπὸ κτηνῶν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ὅσα μεθ' ὑμῶν ἅπαντα, πάντων τῶν ἐξελθόντων ἐκ τῆς κιβωτοῦ.

ΑΔΗΛΟΥ. Τοῖς ἀλόγοις διατίθεται οὐχ ὡς λογικοῖς, ἀλλὰ καὶ δι' αὐτῶν τοῖς ἀνθρώποις· οἷς καὶ πρὸς ὑπηρεσίαν, ἢ τέρψιν, ἢ βρῶσιν, ἢ δι' ἑτέραν τινὰ χρείαν ἐδόθη.

ΑΔΗΛΟΥ. Πρόσχες, ὅτι οὐκ εἶπε παντὶ ὀρνέῳ, ἀλλὰ ἀπὸ ὀρνέων καὶ κτηνῶν· καὶ οὐχ ἁπλῶς πάσῃ ψυχῇ ὀρνέων, ἀλλὰ τοῖς οὖσι μετὰ τοῦ Νῶε ἐν τῇ κιβωτῷ.

ια. Καὶ στήσω τὴν διαθήκην μου πρὸς ὑμᾶς· καὶ οὐκ ἀποθανεῖται πᾶσα σὰρξ ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ· καὶ οὐκ ἔσται ἔτι κατακλυσμὸς ὕδατος τοῦ καταφθεῖραι πᾶσαν τὴν γῆν.

ιβ. Καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς
Νῶε, τοῦτο τὸ σημεῖον τῆς διαθήκης,
ἧς ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν,
καὶ ἀνὰ μέσον πάσης ψυχῆς, ἥ ἐστι
ιγ. μεθ' ὑμῶν εἰς γενεὰς αἰῶνος. Τὸ τό-
ξον μου τίθημι ἐν τῇ νεφέλῃ, καὶ (1)
ἔσται εἰς σημεῖον διαθήκης ἀνὰ μέσον
ιδ. ἐμοῦ καὶ τῆς γῆς. Καὶ ἔσται ἐν τῷ συ-
νεφεῖν με νεφέλας ἐπὶ τῆς γῆς, ὀφ-
θήσεται τὸ τόξον μου ἐν τῇ νεφέλῃ.
ιε. Καὶ μνησθήσομαι τῆς διαθήκης μου,
ἥ ἐστιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ
μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ
σαρκί· καὶ οὐκ ἔσται ἔτι τὸ ὕδωρ εἰς κα-
τακλυσμὸν, ὥστε ἐξαλεῖψαι πᾶσαν
ιϛ. σάρκα. Καὶ ἔσται τὸ τόξον μου ἐν τῇ
νεφέλῃ· καὶ ὄψομαι τοῦ μνησθῆναι δια-
θήκης αἰωνίου, ἀνὰ μέσον ἐμοῦ, καὶ
ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν
πάσῃ σαρκὶ, ἥ ἐστιν ἐπὶ τῆς γῆς.
ιζ. Καὶ εἶπεν ὁ Θεὸς τῷ Νῶε, τοῦτο τὸ
σημεῖον τῆς διαθήκης, ἧς διεθέμην

A ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον πάσης σαρκὸς ἥ ἐστιν ἐπὶ τῆς γῆς.

ΦΙΛΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ. Ἔστιν οὖν Θεοῦ δύναμις ἀόρατος συμβολικῶς τὸ τόξον, ἥτις ἐνυπάρχουσα τῷ ἀέρι ἀνειμένη κατὰ τὴν αἰθρίαν, καὶ ἐπιτεινομένη κατὰ τὰς νεφώσεις, οὐκ ἐᾷ τὰ νέφη ὅλα δι' ὅλων εἰς ὕδωρ ἀναλύεσθαι, τῷ μὴ γενέσθαι καθόλου κατακλυσμόν. κυβερνᾷ γὰρ
B καὶ ἡνιοχεῖ τὴν πύκνωσιν τοῦ ἀέρος, πεφυκότος μάλιστα τότε ἀπαυχενίζειν, καὶ ἐξυβρίζειν διὰ πλησμονῆς κόρου.

ΤΟΥ ΑΥΤΟΥ. Τόξον μὲν τεταμένον, ἀπειλὴν βελῶν ἀφεθησομένων σημαίνει· τὸ δὲ ἐν τῇ νεφέλῃ τόξον, ὑπερθέσεως μὲν, καὶ διαθήκης σημεῖον. τοῦ μὴ καταλυθῆναι τὴν γῆν, τῆς δὲ μελλούσης ἐναργὲς κολάσεως. ὅτι πρὸς τὴν μέλλουσαν τιμωρίαν ἀφορῶν ὁ Θεός φησι, τὴν παροῦσαν ὑπερ-
Γ θήσομαι.

ΕΥΣΕΒΙΟΥ. Οἴδαμεν τὴν ἶριν ἐν ταῖς τῶν ὄμβρων χαυνότησι γινομένην, τοῦ ἡλίου κατὰ τῶν ὀμβροφόρων νεφελῶν τὰς ἀκτῖνας βάλλοντος. ἔστιν οὖν σημεῖον τοῦ πάνδημον μὴ γενέσθαι κατακλυσμόν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ τόξον μου τίθη-
» μι ἐν τῇ νεφέλῃ, καὶ ἔσται εἰς σημεῖον διαθήκης. Ζητητέον πότερον φυσικόν ἐστιν,
Δ ὡς καὶ ἡ ὁρωμένη ἶρις, ἢ τότε γίνεται, ὅτε Θεὸς διατίθεται τῷ Νῶε μηκέτι κατακλυσμὸν ἐπαγαγεῖν ἐπαγγελόμενος. καὶ οἱ μὲν, τὴν ἶριν φασὶν οὐκ ἀπὸ τῆς φύσεως, ἀλλ' ἀπὸ τοῦ σχήματος· κυκλοτερὴς γάρ· φασὶν οὖν, ὅτι οὐδέποτε οὕτως ἔσται οἰκουμενικὸς κατακλυσμὸς, ὡς μὴ τὸν ἥλιον ἔχειν ἐπιβάλλειν τοῖς νέφεσιν ὑγροῖς οὖσι τὰς ἀκτῖνας, καὶ τὴν ἶριν ἀποτελεῖν. ἀλλὰ κἂν ὁλόκληρον ἔθνος, ἢ δεύτερον, ἢ
E καὶ τρίτον κατακλυσθῇ, ἀλλὰ τὸ ἐπέκεινα τοῦ ἀέρος καθαρεῦον νεφῶν, καὶ διαπέμπον τὰς ἀκτῖνας εἰς τὴν πυκνότητα τῶν νεφῶν, ἀποτελέσει τὴν ἶριν. ζητητέον δὲ τὸ σημεῖον οὐχ ὅπου πάντως ὁ ὑετός· καὶ γὰρ ἐν εἴκοσι πολλάκις ἡμέραις ἶρις οὐκ ἐφάνη διὰ τὴν τῶν ὄμβρων συνέχειαν· ἐν ἄλλαις δὲ χώραις ἔνθα τῶν ὄμβρων ἡ χαύνωσις, δεῖ οὖν τινῶν κατακλυζομένων, ἀλλαχοῦ χαύνωσιν εἶναι, καὶ φανῆναι τὴν
Z ἶριν. ὅπερ σημεῖον τοῦ μὴ πανταχοῦ γίνεσθαι τὸν κατακλυσμόν. ἦν μὲν οὖν καὶ πρὸ τοῦ κατακλυσμοῦ ἶρις δι' αὐτὸ τοῦτο, ὅτι μὴ καθολικὸς ἐγεγόνει κατακλυσμός. ἐν τούτῳ γὰρ οὐ γέγονεν ἶρις, τοῦ παντὸς νεφωθέντος ἀέρος· ἐπαγγέλεται δὲ μηκέτι τοῦτον γενέσθαι. καὶ μὴν φασί τινες σημεῖον ἡ Γραφὴ, ξένον ἀεί τι πρᾶγμα σημαίνει· εἰ δὲ ἦν καὶ πρὸ τούτου πῶς ξένον; ὅπερ ἐστὶ ψευδές. πῶς γὰρ ἐν τῇ Ἐξόδῳ λέγει ὁ Ἐ.
H » Θεὸς Μωσῇ, καὶ τοῦτό σοι τὸ σημεῖον ἔσται,
» ὅτι ἔσομαι μετὰ σοῦ; τὸν δὲ Θεὸν εἶναι μετὰ

(1) Τὰ ἀπὸ τοῦ, καὶ ἔσται, ἄχρι τοῦ, καὶ ὀφθήσεται τὸ τόξον μου ἐν τῇ νεφέλῃ, προσετέθησαν, ὡς μὴ ἐν τῷ κώδ. κείμενα.

A μετὰ ἀνθρώπων, καὶ μετὰ τοῦ Μωσέως,
οὐ ξένον. τινὲς δέ φασι, μήποτε παρὰ τὴν
ἶριν ἕτερα ἄττα μηνύει, τουτέστιν ἄνεσιν
καὶ ἐπίτασιν τῶν ἐπιγείων· μήτε τῆς ἀνέ-
σεως εἰς ἔκλυσιν ὑφιεμένης παντελῆ καὶ
ἀναρμοστίαν, μήτε τῆς ἐπιτάσεως ἄχρι
ῥήξεως ἐπιτεινομένης, ἀλλὰ μέτροις ὡρισ-
μένοις ἑκατέρας δυνάμεως σταθμηθείσης.
ὁ γὰρ μέγας κατακλυσμὸς ῥήξει γέγονεν,
» ὥς καὶ αὐτός φησιν· ἐῤῥάγησαν αἱ πηγαὶ
» τῆς ἀβύσσου· ἀλλ' οὐκ ἐπιτάσει ποσῇτινι.
B ἄλλως τε φασὶν, οὐκ ἔστιν ὅπλον τὸ τόξον,
ἀλλ' ὄργανον ὅπλου, βέλους τιτρώσκοντος.
ὅπερ καθικνεῖται τοῦ πόῤῥω, τοῦ πλησίον
ἀπαθοῦς διαμένοντος. οὕτως οὖν, φησὶν, οὐ
πάντες κατακλυσθήσονται, κἂν τοῦτό τι-
νας ὑπομένειν συμβῇ.

ιη. Ἦσαν δὲ υἱοὶ Νῶε, οἱ ἐξελ-
θόντες ἐκ τῆς κιβωτοῦ, Σὴμ, Χὰμ,
Ἰάφεθ. Χὰμ δὲ ἦν πατὴρ Χαναάν.

Γ ΩΡΙΓΕΝΟΥΣ. Τὶ δήποτε εἰποῦσα ἡ
» Γραφὴ, καὶ ἦσαν υἱοὶ Νῶε ἐξερχόμενοι
» ἀπὸ τῆς κιβωτοῦ, Σὴμ, Χὰμ, Ἰάφεθ,
» προσέθηκε, καὶ Χὰμ οὗτος πατὴρ Χα-
ναάν; εἰ γὰρ ἐχρῆν μνημονεῦσαι τῶν υἱῶν,
ἔδει πάντων, καὶ οὐχὶ μόνου Χαναάν. Ὁ
Χαναὰν καὶ αὐτὸς ἀσεβὴς ἐγένετο, ὡς ἡ
ἱστορία δηλοῖ. βουλόμενον οὖν τὸ πνεῦμα δεῖ-
Δ ξαι τὴν ὁμοιότητα τοῦ πατρὸς πρὸς τὸν
υἱὸν, τρόπον τινὰ ἀπαλλοτριοῖ τῆς τῶν
ἀδελφῶν εὐσεβείας, προσθήκῃ τοῦ, Χὰμ
» ἦν πατὴρ Χαναάν. υἱοὶ μὲν γὰρ πάντες
τοῦ Νῶε τῷ γένει, μόνος δὲ οὗτος οὐχ υἱὸς τῷ
τρόπῳ, ἀλλὰ τοῦ ὁμοίου παιδὸς πατήρ. διό-
» περ ἐμφαντικῶς κεῖται τὸ, αὐτὸς πα-
» τὴρ Χαναάν. Ἔφερε δὲ ὁ Ἑβραῖος ὁ ταῦ-
τα εἰπὼν καὶ παράδοσιν τοιαύτην, ἐπενεγ-
κὼν ἀπόδειξιν τῇ παραδόσει· ὡς ἄρα ὁ
E Χαναὰν πρότερος εἶδε τὴν ἀσχημοσύνην
τοῦ πάππου, καὶ ἀνήγγειλεν αὐτοῦ τῷ πα-
τρὶ μόνῳ, καταμωκώμενος ὥσπερ τοῦ γέ-
ροντος. ὁ δὲ Χὰμ δέον ὁμοίως τοῖς ἀδελ-
φοῖς μὴ προσελθεῖν τῷ πατρὶ ἀσεβῶς,
ἀλλὰ καὶ ἐπιπλῆξαι τῷ πρώτῳ θεασαμέ-
νῳ καὶ διαβάλλοντι, αὐτὸς δὲ καὶ πέπει-
σται, καὶ εἰσῆλθε, καὶ εἶδε, καὶ ἀνήνεγκε
καὶ τοῖς ἀδελφοῖς. ταῦτα δὲ δοκεῖ μῦθος
εἶναι, εἰ μὴ τὸ τῆς ἀποδείξεως ἦν ἰσχυρόν.
Z » καὶ ἐξυπνίσθη γάρ φησι Νῶε ἐκ τοῦ ὕπνου
» αὐτοῦ, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς
» αὐτοῦ ὁ μικρότερος. μικρότερος μὲν γὰρ
υἱὸς αὐτοῦ ὁ Χὰμ οὐκ ἦν, ἀλλὰ δεύτερος.
» Σὴμ γάρ φησι, καὶ Χὰμ, καὶ Ἰάφεθ. καὶ
εἰ τὸν μικρὸν ἤθελε δεῖξαι, τὸν Ἰάφεθ ἂν
ἔλεγεν. ἐπειδὴ δὲ καὶ τοὺς ἐγγόνους ἀεὶ
υἱοὺς λέγουσιν οἱ πάπποι, καὶ τοὺς μακρόθεν
ἀπογόνους, τὸν βραχύτατον τῶν ἐγγόνων
τὸν Χαναὰν εἴρηκεν ἡ Γραφὴ ἐγνῶσθαι
H παρὰ τοῦ Νῶε, ὅτι αὐτὸς ἐποίησε ταῦ-
τα. καὶ ὅτι τοῦτο οὕτως ἔχει, εὐθὺς ἐπάγει
» τὸ θεῖον λόγιον· ἐπικατάρατος Χαναὰν,
» δοῦλος δούλων ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ. εἰ
δέ τις θαυμάζει τί δήποτε ὁ Χὰμ καὶ αὐ-

A τὸς ἀσεβὴς ὢν τὴν αὐτὴν κατάραν οὐκ ἔσχε
τῷ υἱῷ, ἐπιγνώτω, ὡς εἰ ἦν λελεγμένον
τῷ Χὰμ, δοῦλος δούλων ἔσται, τῆς δουλείας
μετέσχον ἂν καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ὡς οἱ τοῦ
Χαναὰν ἀδελφοὶ δοῦλοι ἐγένοντο κατὰ τὴν
κατάραν, ὧν δοῦλος ἀπεφάνθη Χαναάν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνος ἕνεκεν
ἐπεσημήνατο καὶ προσέθηκεν, ὅτι Χὰμ
» δὲ ἦν πατὴρ τοῦ Χαναάν; Βούλεται διὰ τού-
B του αἰνίξασθαι ἡμῖν τῆς ἀκρασίας αὐτοῦ
τὴν ὑπερβολὴν, καὶ ὅτι οὐδὲ τῆς συμφορᾶς
τὸ μέγεθος συσταλῆναι αὐτὸν πεποίηκεν,
οὐδὲ ἡ τοσαύτη ἐν τῇ κιβωτῷ στενοχωρία,
ἀλλὰ καίτοι τοῦ πρεσβύτου οὐδέπω καὶ νῦν
τεκνοποιήσαντος, οὗτος τῇ ἀκρασίᾳ ἑαυ-
τὸν ἐκδοὺς ἐν καιρῷ τοσαύτης ἀγανακτή-
σεως καὶ πανωλεθρίας τὴν οἰκουμένην κα-
ταλαβούσης, περὶ συνουσίαν ἠσχολεῖτο, καὶ
τὸ ἀχαλίνωτον τῆς ἐπιθυμίας οὐ κατέστελ-
Γ λεν, ἀλλ' ἤδη ἄνωθεν καὶ ἐκ προοιμίων ἐδεί-
κνυ τῆς γνώμης αὐτοῦ τὸ μοχθηρόν. ἐπεὶ
οὖν μετ' οὐ πολὺ διὰ τὴν ὕβριν τὴν εἰς τὸν
γεγεννηκότα μέλλει τὴν κατάραν δέχε-
σθαι ὁ Χαναὰν ὁ τούτου παῖς, διὰ τοῦτο ἤδη
προλαβοῦσα ἡ θεία Γραφὴ ἐπεσημήνατο,
καὶ τοῦ παιδὸς ἡμῖν τὴν προσηγορίαν δή-
λην ἐποίησεν, ὁμοῦ καὶ τοῦ γεγεννηκότος
τὸ ἀκρατές· ἵν' ὅταν μετὰ ταῦτα ἴδῃς αὐ-
τὸν πολλὴν τὴν ἀγνωμοσύνην ἐπιδειξάμε-
Δ νον πρὸς τὸν γεγεννηκότα, εἰδέναι ἔχῃς,
ὅτι ἄνωθεν καὶ ἐξ ἀρχῆς τοιοῦτος ἦν, ὥσ-
γε οὐδὲ ὑπὸ τῆς συμφορᾶς συνεστάλη.

ιθ. Τρεῖς οὗτοί εἰσιν υἱοὶ Νῶε·
ἀπὸ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν
τὴν γῆν.

κ. Καὶ ἤρξατο Νῶε ἄνθρωπος
γεωργὸς γῆς· καὶ ἐφύτευσεν ἀμπε-
E λῶνα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἄξιον ζητῆ-
σαι, εἰ νῦν αὐτὸς ἐξηῦρε τὸ φυτὸν, ἢ ἄνω-
θεν καὶ ἐξ ἀρχῆς ἦν παραχθέν. εἰκὸς
μὲν τοῦτο ἄνωθεν καὶ ἐξ ἀρχῆς κατὰ τὴν
ἕκτην ἡμέραν δεδημιουργῆσθαι, ἡνίκα εἶ-
δεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ
» καλὰ λίαν· κατέπαυσε γάρ φησιν ὁ Θεὸς
» ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν
» ἔργων αὐτοῦ, ὧν ἐποίησε· μὴ μέντοι γνώ-
Z ριμον εἶναι τοῦ φυτοῦ τὴν χρῆσιν. εἰ γὰρ
ἦν ἄνωθεν καὶ ἐξ ἀρχῆς τὸ φυτὸν γνώρι-
μον γεγονὸς, ἢ ὁ ἐξ αὐτοῦ καρπὸς κατά-
δηλος, πάντως ἂν καὶ οἱ περὶ τὸν Ἄβελ
τὰς θυσίας ἀνάγοντες, καὶ οἶνον ἔσπεισαν.
ἀλλ' ἐπειδὴ ἠγνόουν ἔτι τοῦ καρποῦ τὴν χρῆ-
σιν, οὐκ ἐχρήσαντο τῷ φυτῷ. οὗτος δὲ φι-
λότεχνος ὢν περὶ τὴν γεωργίαν, καὶ πολ-
λῇ τῇ ἐπιμελείᾳ χρησάμενος, ἴσως καὶ
τοῦ καρποῦ ἐγεύσατο, καὶ τοὺς βότρυας
H ἀποθλίψας, καὶ τὸν οἶνον ποιήσας, μετέ-
λαβε τῆς χρήσεως. Καὶ μετ' ὀλίγα. Ἄλλως
δὲ, ἐπειδὴ ἡ κρεωφαγία εἰσηνέχθη εἰς τὸν
βίον, λοιπὸν καὶ ἡ οἰνοποσία.

κα. Καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε οὐκ ἐμέμφθη Νῶε μέθῃ περιπεσών; Ἀπειρίας ἦν οὐκ ἀκρασίας τὸ πάθος. πρῶτος γὰρ ἀνθρώπων ἀποθλίψας τὸν τῆς ἀμπέλου καρπὸν, καὶ ἀγνοῶν οὐ μόνον τὸ ποσὸν τῆς πόσεως, ἀλλὰ καὶ τὸν τρόπον τῆς μεταλήψεως, ὅτι δεῖ κεράσαι πρότερον, εἶθ' οὕτω πιεῖν, τὸν κάρον ὑπέμεινε. καινὸν δὲ οὐδὲν πέπονθε γυμνωθείς. καὶ γὰρ καὶ νῦν τινὲς γυμνοῦνται καθεύδοντες, ἀφαιρουμένου τοῦ ὕπνου τὴν αἴσθησιν. τῷ ὕπνῳ δὲ ἡ μέθη προσγινομένη, πιθανωτέραν τῆς γυμνώσεως τὴν ἀπολογίαν ποιεῖ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνος ἕνεκεν τοσούτων γέμον κακῶν φυτὸν εἰς τὸν βίον εἰσηνέχθη; Οὐ γὰρ τὸ φυτὸν κακὸν, οὔτε ὁ οἶνος πονηρὸν, ἀλλ' ἡ παρὰ τὸ δέον χρῆσις. Καὶ μετ' ὀλίγα. Ἄλλως δὲ καὶ ἐννόησον πῶς χρήσιμος γέγονεν ὁ οἶνος, καὶ φρίξον, ἄνθρωπε. ἡ γὰρ ὑπόθεσις τῆς σωτηρίας ἡμῶν τῶν ἀγαθῶν διὰ τούτου τελεῖται. ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον.

κβ. Καὶ εἶδε Χὰμ ὁ πατὴρ Χαναὰν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ, καὶ ἐξελθὼν ἀνήγγειλε τοῖς ἀδελφοῖς αὐτοῦ ἔξω.

ΦΙΛΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ. Οὐ μόνον τοὺς ἀδελφοὺς ἀκηκοέναι, ἀλλὰ καὶ τοὺς περιεστῶτας ἄνδρας ἔξω ὁμοῦ καὶ γυναῖκας. διὰ τοῦτο Ἰουδαῖοι οὐ συλλέονται τοῖς πατράσι.

** ΚΥΡΙΛΛΟΥ. Τῆς εἰς τὸν φύσαντα τιμῆς οὐ μετρίως ὀλιγωρῶν, προξενεῖν ἐπείγεται τοῖς ἄλλοις τὴν θέαν, καὶ σχεδὸν οἷά τινα προθεὶς τὸν πρεσβύτην, γελᾷν ἀναπείθει τοὺς ἀδελφούς.

κγ. Καὶ λαβόντες Σὴμ, καὶ Ἰάφεθ τὸ ἱμάτιον, ἐπέθεντο ἐπὶ τὰ δύω νῶτα αὐτῶν, καὶ ἐπορεύθησαν ὀπισθοφανῶς, καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν· καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθοφανῶς, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον.

** ΚΥΡΙΛΛΟΥ. Κατασοφιζόμενοι τὸ συμβεβηκὸς, καὶ τῆς θέας τὸ ἀκαλλὲς τοῖς περιβλήμασιν ἀφανίζοντες, ἀνόπιν ἐβάδιζον. ἐδόκει γὰρ εὐσεβεῖν αὐτοῖς, καὶ μηδοὺς αἰδεῖσθαι πατρὸς, δι' ὧν καὶ γεγόνασιν.

** ΚΛΗΜΕΝΤΟΣ. Πάντη οὖν ἀφεκτέον τῶν αἰσχρῶν ἀκουσμάτων, καὶ ῥημάτων, καὶ θεαμάτων· πολὺ δὲ μᾶλλον ἔργων αἰσχρῶν καθαρευτέον. τοῦτο μὲν, ἐν

A ἀποδείξεσι καὶ παραγυμνώσεσι μερῶν τινῶν τοῦ σώματος, ὧν οὐ χρή· τοῦτο δὲ, ταῖς ἐπιθεωρήσεσι τῶν ἀπορρητοτέρων μερῶν. οὐδὲ γὰρ ἠνέσχετο τοῦ δικαίου τὴν γύμνωσιν, αἰσχρὰν οὖσαν, ἐπιδεῖν σώφρων υἱός. ἐσκέπασε δὲ ἡ σωφροσύνη ὃ ἐγύμνωσεν ἡ μέθη.

κδ. Ἐξένηψε δὲ Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐ-

B τοῦ ὁ νεώτερος.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πόθεν ἔγνω; Ἴσως οἱ ἀδελφοὶ ἐγνώρισαν, οὐχὶ τὸν ἀδελφὸν διαβαλεῖν βουλόμενοι, ἀλλὰ τὸ πρᾶγμα ὡς ἐγένετο διδάσκοντες, ἵνα κατάλληλον ἐκεῖνος τῷ τραύματι τὴν βοήθειαν δέξηται.

ΑΔΗΛΟΥ. Νεώτερον τὸν Χαναὰν ὁμολογεῖ, ὡς προειδόντα τὴν γύμνωσιν τοῦ

Γ Νῶε, καὶ τῷ πατρὶ ἀπαγγείλαντα. ἐπείτοιγε ὁ Ἰάφεθ ἔσχατος ἦν τοῦ Χάμ.

ΑΔΗΛΟΥ. Νεώτερον αὐτὸν ὀνομάζει. νεωτεροποιὸν γὰρ ἡ κακία. (1)

κε. Καὶ εἶπεν, ἐπικατάρατος Χαναὰν, παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ.

Δ ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦ νόμου μηδέπω τεθέντος, ὃς διαγορεύει τιμᾶν τὸν πατέρα, καὶ τὴν μητέρα, διατί ὁ Χὰμ ὡς πατραλοίας κρίνεται; Τῇ φύσει τοὺς ἀναγκαίους ἐντέθεικε νόμους ὁ ποιητής. οὕτω τὸν Κάϊν κατέκρινεν, ἐπειδήπερ αὐτὸν ἡ φύσις ἐδίδασκεν, ὡς ὁ φόνος παράνομος. αὐτίκα γοῦν δόλῳ χρησάμενος συνεργῷ, πόρρω τῶν γεγεννηκότων ἀπαγαγὼν, ἀνεῖλε τὸν ἀδελφόν. καὶ τοῦ Θεοῦ πυνθανομένου, ποῦ

E Ἄβελ ὁ ἀδελφός σου; ἠρνήθη. δῆλον δὲ, ὡς ἐπιστάμενος, ὅτι κακὸν τὸ γεγενημένον, ἠρνήσατο τὸ τολμηθέν. ἐλεγχθεὶς δὲ ὑπὸ τοῦ δικαιοκρίτου, ὡμολόγησεν ὑπὲρ συγγνώμην ἡμαρτηκέναι. μείζων γάρ φησιν ἡ
" ἁμαρτία μου τοῦ ἀφεθῆναί με. καὶ μέντοι
" καὶ ὁ Ἀδὰμ τῆς θείας ἐπιφανείας αἰσθόμενος, ἐπειράθη λαθεῖν, ὡς εἰδὼς, ὅτι δὴ τὸ κλέπτειν κακόν. οὕτω καὶ ὁ Χὰμ, τὴν τοῦ πατραλοίου κατηγορίαν ἐδέξατο, ὡς παραβὰς τὸν τῆς φύσεως νόμον. ὅτι γὰρ

Z καὶ τὸ γεραίρειν τοὺς γεγεννηκότας ἡ φύσις ἐδίδασκε, μαρτυροῦσιν οἱ τοῦ Χὰμ ἀδελφοὶ, οἱ παρ' ἐκείνου τοῦ πατρὸς τὸ πάθος μεμαθηκότες, μετὰ πολλῆς αἰδοῦς συνεκάλυψαν τὸν πατέρα, εἰς τοὐπίσω βαδίζοντες, ὡς ἂν ἥκιστα ἴδοιεν, ὅθεν παρελθόντες ἐβλάστησαν. τοιγάρτοι μάλα εἰκότως, καὶ τοῦ πατρὸς τὴν εὐλογίαν ἐδρέψαντο.

ΤΟΥ ΑΥΤΟΥ. Τί δήποτε τοῦ Χὰμ

H ἐπλαικότος, ὁ ἐκείνου παῖς ἐδέξατο τὴν ἀράν; Κοινῇ πάντες μετὰ τὴν τοῦ κατακλυσμοῦ παῦλαν τῆς θείας μετέλαχον εὐλογίας.

(1) Καὶ ὡς νεωτεροποιὸν πρὸς ἁμαρτίαν ἐκάλεσεν εἰκότως νεώτερον. Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ.

εὐλογίας. τολμηρὸν τοίνυν ὑπέλαβεν ὁ Νῶε ἐπαγαγεῖν ἀρὰν τῷ τῆς θείας εὐλογίας μετειληχότι. τούτου χάριν τῷ ἐκείνου παιδὶ περιέθηκε τὴν ἀράν. ἔχει δὲ καὶ ἡ τιμωρία τὸ δίκαιον. ἐπειδὴ γὰρ υἱὸς ὤν, ἐξήμαρτεν εἰς πατέρα, διὰ τῆς τοῦ παιδὸς αὐτοῦ ἀρᾶς δέχεται τὴν τιμωρίαν. πρὸς δὲ τούτοις σκοπητέον κἀκεῖνο, ὡς εἰ αὐτὸς ὁ Χὰμ ἐδέξατο τὴν ἀράν, εἰς ὅλον ἂν διέβη τὸ γένος ἡ τιμωρία· εἰς δὲ τὸν νεώτατον υἱὸν τὴν παιδείαν διὰ τοῦτο παρέπεμψε. καὶ τοῦτο δὲ εἰδέναι προσήκει, ὡς πρόῤῥησίς ἐστιν, οὐκ ἀρὰ τοῦ δικαίου τὰ ῥήματα. ἐπειδὴ γὰρ ἔμελλεν ὁ Ἰσραὴλ ἐκ τοῦ Σὴμ κατάγων τὸ γένος, τῆς Παλαιστίνης παραλαμβάνειν τὴν δεσποτείαν, ταύτην δὲ πάλαι ᾤκουν οἱ ἐκ τοῦ Χαναὰν βεβλαστηκότες, εἰς ἀρὰν σχηματίζει τὴν πρόῤῥησιν προαγορεύων μὲν τὰ ἐσόμενα, δεδιττόμενος δὲ τοὺς ὕστερον ἐσομένους, μὴ πλημμελεῖν εἰς γονέας. καὶ τοῦτο σαφῶς ἡμᾶς ἡ τοῦ Σὴμ εὐλογία διδάσκει. εὐλογη-
„ τὸς γάρ φησι Κύριος ὁ Θεὸς τοῦ Σήμ· καὶ
„ ἔσαι Χαναὰν παῖς αὐτοῦ. οὐ γὰρ τοῖς δύω τοῦτον ὑπέταξεν, ἀλλὰ μόνῳ τῷ Σήμ. καὶ τοῦ μὲν Ἰάφεθ, τὴν πολυγονίαν προείρηκε, τοῦ δὲ Σὴμ τὴν εὐσέβειαν. τὸν γὰρ Θεὸν ἐν τοῖς σκηνώμασι τοῦ Σὴμ κατοικήσειν προείρηκε. κατῴκησε δὲ ἐν τοῖς ἐκ τοῦ Σὴμ πατριάρχαις, καὶ ἐν τοῖς ἐκ τούτων βεβλαστηκόσι Προφήταις, καὶ ἐν τῇ σκηνῇ πρότερον, καὶ ἐν Ἱεροσολύμοις ὕστερον. ἀκριβὲς δὲ τέλος ἔσχηκεν ἡ προφητεία τὸ τῆς οἰκονομίας μυστήριον· ὅτε αὐτὸς ὁ Θεὸς λόγος, ὁ τοῦ Θεοῦ καὶ πατρὸς μονογενὴς υἱὸς ἐσαρκώθη καὶ ἐνηνθρώπησε, καὶ ναὸν ἑαυτοῦ προσηγόρευσεν ὃν ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραὰμ ἔλαβε σάρκα. ἐκ τοῦ Σὴμ γὰρ καὶ οὗτοι κατῆγον τὸ γένος. ἡ δὲ τοῦ Χαναὰν δουλεία ἐν τοῖς Γαβαωνίταις τὸ τέλος ἐδέξατο.

ΑΔΗΛΟΥ. Τινές φασιν, ὡς προεῖδεν ὁ Χαναὰν τὴν γύμνωσιν τοῦ Νῶε, καὶ αὐτὸς ἀνήγγειλε τῷ πατρὶ αὐτοῦ τῷ Χάμ· διὰ τοῦτο τὴν κατάραν αὐτὸς λαμβάνει· τινὲς δέ, ὡς ἐπείπερ εὐλογηθεὶς ἦν παρὰ Θεοῦ ὁ Χάμ, τῷ διαδόχῳ καὶ υἱῷ κατηράσατο.

ΓΕΝΝΑΔΙΟΥ. Καταρᾶται τὸν Χαναάν, οὐ τὸν Χάμ, διὰ τό, ὡς οἶμαι, δίκαιόν τε εἶναι δοῦναι δίκην ἐν παιδὶ παῖδα τὸν εἰς πατέρα παρανομήσαντα. καὶ διὰ τοῦτο μέλλειν ὕστερον τοὺς ἐκ τοῦ Σὴμ τῇ μὲν
Ψαλ. 104. 23. γῇ τοῦ Χὰμ παροικεῖν· εἰσῆλθε γάρ φησιν
„ Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκη-
„ σεν ἐν γῇ Χάμ· τὴν δὲ Χαναναίαν κληρονομοῦντας, τοὺς μὲν ἀπολύειν τῶν Χαναναίων, ἐνίους δὲ ἐξ αὐτῶν, οἷον τοὺς Γαβαωνίτας, εἰς ὑδροφόρους ἑαυτοῖς καὶ ξυλοφόρους καταδουλώσασθαι.

ΔΙΟΔΩΡΟΥ. Ἐπειδὴ διαναστὰς ὁ πατήρ, καὶ γνοὺς ὅσα ἐποίησε Χάμ, καταρᾶται τῷ τούτου υἱῷ· καὶ ζήτημα ἐκινεῖτο,

A τίνος ἕνεκεν τοῦ πατρὸς ἁμαρτῶντος, ὁ υἱὸς δέχεται τὴν κόλασιν· προλαβὼν ὁ Μωϋσῆς, ἐν αὐτῇ τῇ διηγήσει τίθησι τῆς ἀπολογίας τὴν δύναμιν. ὅτε γὰρ ἔμελλε λέγειν, ὅτι εἶδε τὴν γύμνωσιν τοῦ πατρὸς
„ αὐτοῦ, τότε προλαβών φησι, καὶ εἶδε Χὰμ
„ ὁ πατὴρ Χαναὰν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ, καὶ οὐκ ἐσκέπασεν ἱματίῳ, ἀλλὰ πλέον ἐγύμνωσε τῇ πρὸς τοὺς ἀδελφοὺς διηγήσει. εἰς πατέρα δὲ ἁμαρτὼν, εἰς υἱὸν

B δέδωκε δίκην, οὐκ ἀδικοῦντος τοῦ Θεοῦ, ἀλλὰ προορῶντος, ὅτι σπέρμα τοῦ Χαναὰν δουλεύειν ἔμελλεν. ὅπερ ἐξῆλθεν ἐπὶ τῶν Γαβαωνιτῶν, οἳ πάσῃ τῇ συναγωγῇ Ἰσραὴλ ἐδούλευσαν. ὥστε καὶ Χὰμ δίδωσι δίκην τῶν εἰς τὸν πατέρα πλημμελημάτων. οὐ τοσοῦτον γὰρ αὐτοῦ καθήψατο ἡ κατ' αὐτοῦ κατάρα, ὅσον ἡ εἰς τὸ σπέρμα· καὶ τὰ μέλλοντα ὁμοῦ προαγορεύεται. εἰ γὰρ δεῖ τὸ ἀκριβὲς εἰπεῖν, οὐδὲ Χαναὰν φαίνεται

Γ δουλεύσας. πῶς γὰρ ὁ καὶ ἑπτὰ ἐθνῶν, καὶ τοῦ Σιδῶνος γεγονὼς πατήρ; ἀλλὰ τὸ τούτου σπέρμα μετὰ πολλῆς γενεᾶς. (1) ὅπερ οὐκ ἐγένετο διὰ τὴν τοῦ Χὰμ εἰς τὸν πατέρα ἁμαρτίαν. ἀλλὰ τοῦτο μὲν σχῆμα φόβον ἐμποιοῦν τοῖς ἑξῆς, ὡς ἂν μήτις ἐξυβρίζοι εἰς τοὺς γεγεννηκότας· τὸ δὲ ἀληθὲς, ὅπερ ἔμελλεν ἔσεσθαι προὔλέγετο. οὕτω καὶ ὁ Ἰακὼβ δοκεῖ καταρᾶσθαι τοὺς περὶ Συμεὼν, καὶ Λευΐ, διὰ τὴν κατὰ

Δ τῶν Σικιμάτων κίνησιν, λέγων· διαμεριῶ Γεν. 49. 7.
„ αὐτοὺς ἐν Ἰακὼβ, καὶ διασκορπιῶ αὐτοὺς ἐν Ἰσραήλ· ἀλλὰ καὶ τὸν Ῥουβὶμ διὰ τὴν παράνομον κοίτην. ἐκβαίνει μὲν τῷ μὲν Συμεὼν καὶ τῷ Ῥουβὶμ δι' ἑτέρας ἀσεβείας τὰς μετὰ ταῦτα τετολμημένας αὐτοῖς, καὶ τὴν δίκην ὑφίστανται· τῷ δὲ Λευῒ συμβαίνει μὲν ἡ τοῦ πατρὸς πρόῤῥησις, οὐκ εἰς κατάραν δὲ, ἀλλ' εἰς εὐλογίαν ἄκραν. ἱερεῖς γὰρ καὶ λευῖται γεγενη-

E μένοι, πάσας ἐπλήρωσαν τὰς φυλάς. ἀναγκαῖον τοίνυν ἐκ τούτων εἰδέναι, καὶ ὡς ἄλλα μὲν σχηματίζεται λέγειν, ἢ ποιεῖν ἡ θεία Γραφή, ἕτερα δὲ οἰκονομεῖ. πολλὰ γὰρ ἐκ τούτων εἰδέναι, (2) καὶ οὕτω τῶν ζητουμένων ῥᾳδίαν ἕξειν τὴν λύσιν.

ΑΔΗΛΟΥ. Προφητεύει ὁ Νῶε. ἐδούλευσε γὰρ τοῖς υἱοῖς Ἰσραὴλ μετὰ τὴν ἐξ Αἰγύπτου ἔξοδον.

Z **κϛ. Καὶ εἶπεν, εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Σήμ· καὶ ἔσαι Χαναὰν παῖς αὐτοῦ.**

ΔΙΟΔΩΡΟΥ. Διατὶ δὲ μόνον ἐπὶ τοῦ
„ Σὴμ τό, εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Σήμ, οὐχὶ δὲ καὶ ἐπὶ τοῦ Ἰάφεθ; καὶ μὴν κοινὴ τῶν δύω ἡ εἰς τὸν πατέρα τιμή. Ἀλλὰ τὸ ἐκ τοῦ Σὴμ σπέρμα πιστὸν ᾔδει ἐσόμενον, τὸ πνεῦμα τὸ ἅγιον, τὸν Ἀβραὰμ καὶ τοὺς ἐξ

H αὐτοῦ, καὶ τὸν Κύριον Ἰησοῦν τὸ κατὰ σάρκα· δῆλον οὖν, ὅτι προῤῥήσεις ἦσαν τοῦ Νῶε τὰ λεγόμενα ἐν σχήματι εὐλογίας,

 καὶ

(1) Ἴσ. μετὰ πολλὰς γενεάς. (2) Ἴσ. εἰδέναι δεῖ.

καὶ κατάρας. καὶ γὰρ Πέρσαις, καὶ Ῥωμαίοις ἐδούλωσε κ̀ δουλοῦ τὸ σπέρμα Χαναάν, αὐτῷ δὲ οὐδείς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τοῦτο ἴσως ἄν τις εἴποι, οὐκ ἔςι τὸν Σὴμ εὐλογῆσαι. καὶ σφόδρα μὲν εὐλόγησεν αὐτόν. ὅταν γὰρ ὁ Θεὸς εὐχαριςεῖται, καὶ εὐλογεῖται διὰ τῶν ἀνθρώπων, τότε δαψιλεςέραν τὴν παρ' ἑαυτοῦ εὐλογίαν εἴωθε χορηγεῖν ἐκείνοις, δι' οὓς αὐτὸς εὐλογεῖται. εὐλογήσας τοίνυν τὸν Θεὸν, ὀφειλέτην αὐτὸν κατέςησε μείζονος εὐλογίας, καὶ αἴτιος γέγονε τῷ Σὴμ πλείονος ἀμοιβῆς, ἧς αὐτὸς αὐτὸν, εἰ δι' ἑαυτοῦ εὐλόγησεν.

κζ. Πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σήμ· καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ.

» ΔΙΟΔΩΡΟΥ. Πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς σκηνώμασι Σήμ· καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ· ἢ κατὰ τὸν Ἀκύλαν, δοῦλος δούλων ἔςω Χαναὰν παῖς τοῦ Σὴμ, ἢ τοῦ Ἰάφεθ, διὰ τὴν ἁμαρτίαν. καὶ Χὰμ οὐ δέχεται τὴν κατάραν, διὰ τὸ ηὐλογεῖσθαι τὴν ἀρχὴν ὑπὸ τοῦ Θεοῦ. Τί δήποτε, κ̀ κατοικησάτω ὁ Ἰάφεθ ἐν τοῖς σκηνώμασι τοῦ Σὴμ εἴρηται; ὁρᾷς, ὅτι πάντα προφητεία ἦν διὰ προφάσεώς τινος, ἢ ἄνευ προφάσεως φανερουμένη; καὶ γὰρ μετὰ ταῦτα Μαδαΐ, τουτέςιν ὁ Μῆδος, τοῦ Ἰάφεθ ὢν υἱὸς, τὸ κάλλιςον τῶν τοῦ Σὴμ οἰκήσεων κατέσχε, τὴν Μηδίαν, μέρος οὐκ ἐλάχιςον τῆς τῶν Περσῶν γῆς.

» ΓΕΝΝΑΔΙΟΥ. Πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς σκηνώμασι Σήμ· καὶ γενηθήτω Χαναὰν παῖς αὐτῷ. τῇ τοῦ Σὴμ εὐλογίᾳ καὶ Ἰάφεθ συμπαρέλαβεν. ἢ τὸ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σὴμ ὁ Θεὸς, ἀντὶ τοῦ, ἵνα ᾖ τοιοῦτόν τι τὸ λεγόμενον· ὅτι εὖ μὲν ποιήσαι ὁ Θεὸς καὶ Ἰάφεθ, ἅπασαν μέντοι τὴν ἑαυτοῦ πρόνοιαν παράσχοι μᾶλλον τῷ οἴκῳ τοῦ Σήμ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Διὰ τῶν εὐλογιῶν τούτων, τοῦ Σὴμ καὶ τοῦ Ἰάφεθ, τῶν δύο λαῶν αἰνίττεσθαι αὐτὸν οἶμαι τὴν κλῆσιν. καὶ διὰ μὲν τοῦ Σὴμ, τοὺς Ἰουδαίους· ἐξ ἐκείνου γὰρ ὁ πατριάρχης Ἀβραὰμ, καὶ τὸ τῶν Ἰουδαίων ἐπιδέδωκε γένος· διὰ δὲ τοῦ Ἰάφεθ, τὴν τῶν ἐθνῶν κλῆσιν. ὅρα γὰρ καὶ ταύτην τὴν εὐλογίαν τοῦτο προμηνύουσαν. » πλατύναι γάρ φησιν ὁ Θεὸς » τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σήμ. τοῦτο ἐπὶ τῶν ἐθνῶν εἰς ἔργον ἐκβεβηκὸς ὁρῶμεν. διὰ μὲν γὰρ τοῦ εἰπεῖν, πλατύναι, τὰ ἔθνη ἠνίξατο· διὰ » δὲ τοῦ εἰπεῖν, κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σὴμ, ὅτι τῶν τοῖς Ἰουδαίοις εὐτρεπισθέντων, καὶ ἐκείνοις παρασκευασθέντων, τὰ ἔθνη τὴν ἀπόλαυσιν ἔσχε.

A ** ΚΥΡΙΛΛΟΥ. Τρεῖς μὲν οἱ πάντες γεγόνασι λαοί· ὅ,τε ἐν πρώτῳ καιρῷ, καθάπερ ὁ Σήμ· καὶ μὴν ὁ διὰ μέσου, κατὰ τὸν ἐπάρατον Χάμ· καὶ ὁ τρίτος ὁ λοῖσθος, νοοῖτο δ' ἂν ὡς ἐν τελευταίοις Ἰάφεθ, ὃς ἑρμηνεύεται πλατυσμός. ἐπειδὴ δὲ ἡμῖν ἀπεκάλυψεν ὁ Θεὸς καὶ πατὴρ τὸν ἴδιον υἱὸν, ὃς διὰ μηρῶν σημαίνεται, καὶ ὅσον ἧκεν εἰπεῖν εἰς τὸ νοητὸν τῆς Θεότητος κάλλος ἀσχήμονά τε καὶ ἀτερπῆ διὰ τὸ

B » ἀνθρώπινον· οὐδὲ γὰρ εἶχεν εἶδος, οὐδὲ κάλ» λος κατὰ τὴν τοῦ Προφήτου φωνήν· τότε δὴ τότε, καθὰ καὶ αὐτὴ τῶν πραγμάτων ἐπιμαρτυρήσειεν ἂν ἡ ἔκβασις, ὁ μὲν πρῶτός τε καὶ λοῖσθος λαὸς, τουτέςιν οἱ ἐν ἀρχῇ καὶ πρῶτοι πιςεύσαντες, καὶ μὴν καὶ ὁ κληθησάμενος ἐν ἐσχάτοις, δεδυσώπηνται τὸν Ἐμμανουήλ· εὐλόγηνται δὲ δι' αὐτοῦ παρὰ τοῦ Θεοῦ καὶ πατρός. ὁ δέ γε τοῖν δυοῖν μεταξὺ γεγονὼς, καταμειδιάσας

Γ ὥσπερ Χριςοῦ, διὰ τὸ τῆς ἀνθρωπότητος ἀκαλλὲς, καὶ τὸν ἐκ Θεοῦ πεφηνότα υἱὸν κατὰ πολλοὺς ἀτιμάσας τρόπους, ἐν τῷ τῆς δουλείας ἀπομεμένηκε τρόπῳ, καὶ τῆς τῶν πατέρων ἐλευθερίας ἀπώλισθεν. ὅτι δὲ ἔμελλον οἱ ἐν ἐσχάτοις καιροῖς ἐκ τῶν Ἰουδαίων πιςεύσαντες τῶν πρώτων ἔσεσθαι κοινωνοὶ μονονουχὶ καὶ ὁμέςιοι· ἅτε δὴ καὶ εἰς μίαν συνενεχθέντες πόλιν, ἤγουν αὐλὴν, ἢ ἑςίαν, τουτέςι τὴν ἐκκλησίαν, ὑπέ-

Δ » φηνεν, εἰπών· πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ, τουτέςι τῷ τρίτῳ καὶ ἐν ἐσχάτοις. » τρίτος γὰρ ὁ Ἰάφεθ. καὶ κατοικησάτω » ἐν τοῖς σκηνώμασι τοῦ Σὴμ, τουτέςι τοῦ » πρώτου· καὶ γενηθήτω Χαναὰν παῖς αὐτῶν. τοῦτο οἶμαι ἐςὶν ὅπερ ἔφη Χριςὸς » τοῖς Ἰουδαίων δήμοις· Ἀμὴν ἀμὴν λέγω » ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦ» λός ἐςι τῆς ἁμαρτίας. ὁ δὲ δοῦλος οὐ μέ» νει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ἐὰν οὖν ὁ υἱὸς

E » ὑμᾶς ἐλευθερώσῃ, ἐλεύθεροι ἔσεσθαι. καταμειδιάσαντες γὰρ οἱ τάλανες Ἰουδαῖοι τῆς τοῦ σωτῆρος ἡμῶν οἰκονομίας, καὶ τὴν ἀποκάλυψιν αὐτοῦ τὴν παρὰ τοῦ Θεοῦ καὶ πατρὸς εἰς ἡμᾶς γενομένην οὐ τετιμηκότες, ἐν τῷ τῆς δουλείας μεμενήκασι πνεύματι.

κη. Ἔζησε δὲ Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη τριακόσια πεντήκοντα. κθ. Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Νῶε ἐννακόσια πεντήκοντα ἔτη· καὶ ἀπέθανεν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μὴ νομίσῃς δὲ τοῦτο ἁπλῶς ἐνσημήνασθαι τὴν θείαν Γραφὴν, ἀλλ' ὅρα καὶ ἐντεῦθεν τοῦ δικαίου τὴν ἐγκράτειαν, ὅτι οὔτε ἀδείας καὶ ἀνέσεως ἀπολαύσας, καὶ τοσοῦτον ἀριθμὸν ἐτῶν ἐπιζήσας, μετὰ τὴν ἀπὸ τῆς

H κιβωτοῦ ἔξοδον, παιδοποιίας ἀπείχετο λοιπόν. οὐδὲ γὰρ ἐμνημόνευσεν ἡ Γραφὴ, ὅτι ἑτέρους ἔσχε παῖδας, πλὴν τούτων τῶν τριῶν.

ΚΕΦ.

ΚΕΦ. Ι.

α. Αὗται δὲ αἱ γενέσεις τῶν υἱῶν Νῶε, Σὴμ, Χὰμ, Ἰάφεθ· καὶ ἐγεννήθησαν αὐτοῖς υἱοὶ μετὰ τὸν κατακλυσμόν.

β. Υἱοὶ Ἰάφεθ· Γάμερ, καὶ Μαγὼγ, καὶ Μαδαΐ, καὶ Αὐὰν, καὶ Ἐλισσὰ, καὶ Θῶβελ, καὶ Μοσὸχ, καὶ Θηράς.

*ΙΩΣΗΠΟΥ. Υἱοὶ Ἰάφεθ κατῴκησαν ἀπὸ Ταύρου, καὶ Ἀμιανοῦ (1) τῶν ὀρέων ἀρξάμενοι, καὶ προῆλθον ἐπὶ μὲν Ἀσίας, ἄχρι ποταμοῦ Ταναΐδος· ἐπὶ δὲ Εὐρώπης, ἕως Γαδείρων.

**ΠΡΟΚΟΠΙΟΥ. Υἱοὶ Ἰάφεθ, Γάμερ, ἀφ' οὗ Γαλάται· Μαγὼγ, ἀφ' οὗ Σκύθαι· Μαδαΐ, ἀφ' οὗ Μῆδοι· Ἰωυὰν, ἀφ' οὗ Ἰωνία· Ἐλισὰ, ἀφ' οὗ Αἰολεῖς· Θοβὲν, ἀφ' οὗ Ἴβηρες· Μοσὸχ, ἀφ' οὗ Καππαδόκαι. γενεαλογεῖ δὲ ἀπὸ τοῦ Σὴμ κάτω ἄλλον Μοσόχ. καὶ σημειωτέον αὐτούς· ἵνα ὅταν τοὺς Προφήτας ἀναγινώσκωμεν ἀπὸ τῆς ἀκολουθίας εἰδείημεν ποῖον λέγει τὸν δυτικὸν, ἢ τὸν ἀνατολικόν. Υἱοὶ δὲ Χὰμ, Χοὺς, ἀφ' οὗ Χουσαῖοι Αἰθίοπες· Μετραΐμ, ἀφ' οὗ Μετραῖοι Αἰγύπτιοι· Φοὺτ, ἀφ' οὗ Φουταῖοι Λίβυες· Χαναὰν, ἀφ' οὗ Χαναναῖοι, οἱ νῦν Παλαιστῖνοι. Υἱοὶ Χοὺς, Σαβὰ, ἀφ' οὗ Σαβαῖοι Αἰθιόπων ἔθνος· Εὐϊλὰ, ἀφ' οὗ Γετοῦλοι· Ῥεγμὰ, ἀφ' οὗ Ῥαμέ· Σαβαστὰ, ἀφ' οὗ Ἀσταβαῖοι· Σεβαθὰ, ἀφ' οὗ Σεβαχθηνοί· Ἰουδαδὰν, ἀφ' οὗ Ἰουδαδαῖοι αἰθιοπικὸν ἔθνος. Υἱοὶ Σὴμ, Αἰλὰμ, ἀφ' οὗ Ἐλιμαῖοι, Περσῶν οἱ Ἀρχαῖοι· Ἀσσοὺρ, ἀφ' οὗ Ἀσσύριοι· Ἀρφαξὰδ, ἀφ' οὗ Χαλδαῖοι· Ἀρὰμ, ἀφ' οὗ Σύροι· κάτω μέντοι τὸ λη. καὶ τὸν Καμουὴλ πατέρα Σύρων· Λοὺδ, ἀφ' οὗ Λυδοί. οὗτοι κατῴκησαν ἀπὸ Ἀσεὶ ἀρξάμενοι καὶ Εὐφράτου τὰ πρὸς Ἀνατολὰς μέχρι τοῦ κατὰ Ἰνδίαν Ὠκεανοῦ. (2)

γ. Καὶ υἱοὶ Γάμερ· Ἀχανὰζ, καὶ
δ. Ῥιφὰθ, καὶ Θοργαμά. Καὶ υἱοὶ
Αὐάν· Ἐλισσὰ, καὶ Θαρσεῖς, Κί-
ε. τιοι, Ῥόδιοι. Ἐκ τούτων ἀφωρίσθη-
σαν νῆσοι τῶν ἐθνῶν ἐν τῇ γῇ αὐτῶν·
ἕκαστος κατὰ τὴν γλῶσσαν, ἐν ταῖς
φυλαῖς αὐτῶν, καὶ ἐν τοῖς ἔθνεσιν
αὐτῶν

ς. Υἱοὶ δὲ Χάμ· Χοῦς, καὶ Μεσραΐμ, Φοὺδ, καὶ Χαναάν.

*ΙΩΣΗΠΟΥ. Οἱ δὲ ἀπὸ τοῦ Χὰμ κατῴκησαν τὴν ἀπὸ Συρίας, καὶ Ἀμάνου, καὶ Λιβάνου τῶν ὀρέων (3) πρὸς νότον, καὶ ὅσον πρὸς θάλασσαν ἐτέτραπτο καταλαβόντες, καὶ μέχρι δυτικοῦ ὠκεανοῦ.

ζ. Υἱοὶ δὲ Χοῦς· Σαβὰ, καὶ Λευΐ-
λὰθ, καὶ Σαβαθὰ, καὶ Ῥεγμὰ, καὶ
Σαβακαθά. υἱοὶ δὲ Ῥεγμά· Σαβὰν,
η. καὶ Δαθάν. Χοῦς δὲ ἐγέννησε τὸν Νε-
βρώδ· οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ
τῆς γῆς.

θ. Οὗτος ἦν γίγας κυνηγὸς ἐναντίον Κυρίου τοῦ Θεοῦ· διὰ τοῦτο ἐροῦσιν, ὡς Νεβρὼδ γίγας κυνηγὸς ἐναντίον Κυρίου τοῦ Θεοῦ.

ΑΔΗΛΟΥ. Ὅτι ὁ γίγας ἐκ τοῦ κατηραμένου γένους ἦν, ἐξ οὗ καὶ ἡ παραβολὴ „ ἐλέχθη· ὡς Νεβρὼδ γίγας κυνηγός. λέγει δὲ τοῦτον Ἰώσηπος (4) ἄρχοντα γεγενῆσθαι τῶν ἐπινοησάντων τὸν πύργον.

**ΧΡΥΣΟΣΤΟΜΟΥ. Καίτινες μέν „ φασι τὸ, ἐναντίον Κυρίου· ἀντὶ τοῦ ἐναντιούμενος τῷ Θεῷ· ἐγὼ δὲ οὐχ ἡγοῦμαι τοῦτο αἰνίττεσθαι τὴν θείαν Γραφὴν, ἀλλ' ὅτι ἰσχυρός τις ἦν καὶ ἀνδρεῖος. τὸ δὲ ἀπέ„ναντι Κυρίου τοῦ Θεοῦ, ἀντὶ τοῦ, ὑπ' αὐτοῦ παραχθεὶς, ὑπ' αὐτοῦ δεξάμενος τοῦ Θεοῦ τὴν εὐλογίαν, ἢ ὅτι ἤμελλεν ὁ Θεὸς δι' αὐτοῦ θαυμάζεσθαι, ὡς τοιοῦτον παραγαγὼν καὶ δείξας ἐπὶ τῆς γῆς.

ι. Καὶ ἐγένετο ἀρχὴ τῆς βασιλείας αὐτοῦ Βαβυλὼν, Ὀρὲχ, καὶ Ἀχὰδ, καὶ Χαλάνη ἐν τῇ γῇ Σεναάρ.

ΩΡΙΓΕΝΟΥΣ. Ἐπὶ πρώτου Νεβρὼδ ὠνομάσθη βασιλεία.

**ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀλλὰ καὶ οὗτος πάλιν μιμούμενος τὸν πρόγονον, καὶ οὐκ εἰς δέον χρησάμενος τοῖς τῆς φύσεως προτερήμασιν, ἕτερον δουλείας ἐφεῦρε τρόπον, καὶ ἄρχων, καὶ βασιλεὺς γενέσθαι ἐπεχείρησε. Καὶ μετ' ὀλίγα. Ὅρα τοῦ σώματος τὴν ἰσχὺν οὐ μένουσαν ἐπὶ τῶν οἰκείων ὅρων, ἀλλ' ἀεὶ τοῦ πλείονος ἐφιεμένην, καὶ τῆς δόξης ὀρεγομένην. οὐ γὰρ ὡς προϊστάμενος αὐτῶν, ὑπέταττεν, ἀλλὰ καὶ πόλεις ᾠκοδόμει, ἵνα ἄρχῃ τῶν πολεμίων.

ια. Ἐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν
Ἀσσούρ· καὶ ᾠκοδόμησε τὴν Νινευΐ,
καὶ τὴν Ῥοωβὼθ πόλιν, καὶ τὴν Χα-
ιβ. λὰχ, Καὶ τὴν Δασὲ ἀνὰ μέσον Νι-

(1) Καὶ Ἀμάνου. ἐν Κεφ. 3. περὶ Ἰουδαϊκ. ἀρχαιολ. τοῦ 1. βιβλ.
(2) Ὅρα τὸ 7. Κεφ. τὸ περὶ Ἰουδαϊκ. ἀρχαιολ. τοῦ Ἰωσήπ. τοῦ 1. βιβλ.
(3) Τῶν ὅρων γῆν κατέχον, ὅσα πρὸς θάλασσαν αὐτῆς ἐτέτραπτο καταλαβόντες, καὶ μέχρι τοῦ Ὠκεανοῦ ἐξιδιωσάμενοι. αὐτ.
(4) Ἐν Κεφ. 5. περὶ Ἰουδαϊκ. ἀρχαιολ. τοῦ 1. βιβλ.

νευῒ, καὶ ἀνὰ μέσον Χαλάχ· αὕτη ἡ πόλις μεγάλη.

ΑΔΗΛΟΥ. Ὁ ἅγιος Ἐπιφάνειος (1) λέγει· ὅτι τὸν Ἀσοὺρ Ἕλληνές φασιν εἶναι τὸν Ζωροάστρην. οὗτός φησιν εὗρεν ἀστρολογίαν, καὶ μαντείαν.

ΑΔΗΛΟΥ. Ἔστι καὶ ἐν τῇ Ἀραβίᾳ πόλις Ἰουδαίων Νινευῒ, καλουμένη Καφθοριεὶμ, ἡ νῦν Ἀσκάλων.

ιγ. Καὶ Μεσραῒμ ἐγέννησε τὸν Λουδιεὶμ, καὶ τοὺς Ἐνεματιεὶμ, καὶ τοὺς Λαβιεὶμ, καὶ τοὺς Νεφθαλιεὶμ,
ιδ. Καὶ τοὺς Πατροσωνιεὶμ, καὶ τοὺς Χατιλωριεὶμ, ὅθεν ἐξῆλθεν ἐκεῖθεν Φι-
ιε. λιστιεὶμ, καὶ τοὺς Καφθοριεὶμ. Χαναὰν δὲ ἐγέννησε τὸν Σιδῶνα πρωτό-
ις. τοκον, καὶ τὸν Χετταῖον, Καὶ τὸν Ἰεβουσαῖον, καὶ τὸν Γεργεσαῖον, καὶ τὸν Ἀσαῖον, καὶ τὸν Ἀμορραῖον, (2)
ιη. Καὶ τὸν Ἀμαθί· καὶ μετὰ ταῦτα διεσπάρησαν αἱ φυλαὶ τῶν Χαναναίων.
ιθ. Καὶ ἐγένοντο τὰ ὅρια τῶν Χαναναίων ἀπὸ Σιδῶνος, ἕως εἰσελθεῖν εἰς Γέραρα καὶ Γάζαν, ἕως ἐλθεῖν Σοδόμων καὶ Γομόρρας, Ἄδαμα, καὶ Σε-
κ. βωεὶμ ἕως Λασᾶ. Οὗτοι οἱ υἱοὶ Χὰμ, ἐν ταῖς φυλαῖς αὐτῶν, καὶ γλώσσαις αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν, καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.

κα. Καὶ τῷ Σὴμ ἐγεννήθη καὶ αὐτῷ, πατρὶ πάντων τῶν υἱῶν Ἔβερ, ἀδελφῷ Ἰάφεθ, ἀδελφῷ τοῦ μείζονος.

* ΠΡΟΚΟΠΙΟΥ. Ζητεῖται πῶς Ἰάφεθ μείζων τοῦ Σήμ. Μήποτε ὡς Ἰακὼβ τοῦ Ἡσαῦ, εἰ καὶ τὸν χρόνον νεώτερος ἦν, οὕτω διὰ τὸ τῶν ἐθνῶν μυστήριον Ἰάφεθ ὁ πατὴρ αὐτῶν μείζων ἐστὶ Σὴμ τοῦ Ἑβραίου;

κβ. Υἱοὶ Σήμ· Αἰλεὶμ, καὶ Ἀσοὺρ, καὶ Ἀρφαξὰδ, καὶ Λοὺδ, καὶ Ἀρὰμ, καὶ Καϊνάν.

A ΑΔΗΛΟΥ. Ἀπὸ τῶν χρόνων Καϊνὰν ἡ Ἀστρονομία, καὶ οἱ οἰωνισμοί.

κγ. Καὶ υἱοὶ Ἀράμ· Ὢς, καὶ
κδ. Οὐλ, καὶ Γαθὲρ, καὶ Μοσόχ. Καὶ Ἀρφαξὰδ ἐγέννησε τὸν Καϊνάν· καὶ Καϊνὰν ἐγέννησε τὸν Σαλά· Σαλὰ δὲ ἐγέννησε τὸν Ἔβερ.

B κε. Καὶ τῷ Ἔβερ ἐγεννήθησαν δύο υἱοὶ, ὄνομα τῷ ἑνὶ Φαλέκ· ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ· καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰεκτάν.

ΑΔΗΛΟΥ. Ἔβερ ἐστὶν, ἀφ' οὗ Ἀβραὰμ καὶ Ἑβραῖοι. Ἔβερ, περατικῶς· Φαλὲκ, μερισμὸς ἑρμηνεύεται.

Γ κς. Ἰεκτὰν δὲ ἐγέννησε τὸν Ἐλμωδὰμ, καὶ τὸν Σαλὲφ, καὶ Ἀσαρ-
κζ. μὼθ, καὶ Ἱεράχ, Καὶ Δορρὰ, καὶ
κη. Ἰαζὴλ, καὶ Δεκλὰ, Καὶ τὸν Γεμὰρ, καὶ Ἀβιμεὴλ, καὶ Σαβάν.

κθ. Καὶ Οὐφεὶρ, καὶ Εὐϊλὰτ, καὶ Ἰωβάβ. πάντες οὗτοι υἱοὶ Ἰεκτάν.

Δ * ΠΡΟΚΟΠΙΟΥ. Οὐκοῦν ὁ Ἰὼβ (3) τὸ ὄνομα τῶν προπατόρων εἶχε τῶν ἀπὸ τοῦ Σὴμ καὶ τοῦ Ἔβερ τοῦ ἐκλεκτοῦ γένους. (4) καὶ διὰ τοῦτο εὐγενὴς ἦν τῶν ἀφ' ἡλίου ἀνατολῶν.

λ. Καὶ ἐγένετο ἡ κατοίκησις αὐτῶν ἀπὸ Μανασσῆ ἕως ἐλθεῖν εἰς Σο-
λα. φηρὰ ὄρος ἀνατολῶν. Οὗτοι υἱοὶ
E Σὴμ, ἐν ταῖς φυλαῖς αὐτῶν, κατὰ γλώσσας αὐτῶν· ἐν ταῖς χώραις αὐ-
λβ. τῶν, καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν. Αὗται αἱ φυλαὶ τῶν υἱῶν Νῶε, κατὰ γενέσεις αὐτῶν, κατὰ τὰ ἔθνη αὐτῶν. ἀπὸ τούτων διεσπάρησαν νῆσοι τῶν ἐθνῶν ἐπὶ τῆς γῆς μετὰ τὸν κατακλυσμόν.

ΚΕΦ.

(1) Νεβρὼθ γὰρ βασιλεύει υἱὸς τοῦ Χοῦς τοῦ Αἰθίοπος, ἐξ οὗ Ἀσοὺρ γεγένηται. τούτου ἡ βασιλεία ἐν Ὀρὲχ γεγένηται, καὶ ἐν Ἀρφὰλ, καὶ Χαλάνῃ. κτίζει δὲ καὶ τὴν Θειρὰς, καὶ τὴν Θόβελ, καὶ Λόβον ἐν τῇ Ἀσσυρίων χώρᾳ. τοῦτόν φασι παῖδες Ἑλλήνων εἶναι τὸν Ζωροάστρην· ὃς πρόσω χωρήσας ἐπὶ τὰ ἀνατολικὰ μέρη, οἰκιστὴς γίνεται Βάκτρων. ἐντεῦθεν τὰ κατὰ τὴν γῆν παράνομα διανενέμηται. ἐφευρέτης γὰρ οὗτος γεγένηται κακῆς διδαχῆς, Ἀστρολογίας, καὶ Μαγείας, ὥς τινές φασι περὶ τούτου τοῦ Ζωροάστρου. πλὴν ὡς ἡ ἀκρίβεια περιέχει, τοῦ Νεβρὼθ τοῦ γίγαντος οὗτος ἦν ὁ χρόνος. οὐ πολὺ δὲ ἀλλήλων τῷ χρόνῳ διεστήκασιν ἄμφω, ὅ, τε Νεβρὼθ καὶ ὁ Ζωροάστρης. Ἐπιφάν. ἐν τῷ κατὰ αἱρέσ. βιβλ. 1. σελ. 7.

(2) ιζ. Καὶ τὸν Εὐαῖον, καὶ τὸν Ἀρουκαῖον, καὶ τὸν Ἀσενναῖον, ιη. Καὶ τὸν Ἀράδιον, καὶ τὸν Σαμαραῖον, κτ. Τὰ ὀνόματα ταῦτα οὐ κεῖνται ἐν τῷ Κώδικι.

(3) Ἰωβὰβ ὁ τῆς Αὐγ. κώδ.

(4) Γένους. οὐ μὴν τοῦ Χαναάν. εὐγενὴς τῶν ἀφ' ἡλίου, κτ. ὁ αὐτ.

ΚΕΦ. ΙΑ.

α. **Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι.**

ΑΔΗΛΟΥ. Διαφορὰν χείλους καὶ φωνῆς φαμέν. τὴν μὲν φωνήν, ἐπὶ τῆς διαλέκτου τάσσεσθαι· τὸ δὲ χεῖλος, ἐπὶ τῆς διανοίας, ἢ τὸ ἀνάπαλιν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Χεῖλος ἓν τὴν λαλιάν φησι, καὶ φωνὴν πάλιν τὸ αὐτό· ἵνα εἴπῃ, ὅτι ὁμόφωνοι καὶ ὁμόγλωσσοι πάντες ἦσαν. καὶ ὅτι περὶ λαλιᾶς εἴρηται τό, » καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, ἄκουε
Ψαλ. 139. 3. τῆς Γραφῆς ἀλλαχοῦ λεγούσης, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. » οὕτως οἶδεν ἡ Γραφὴ τῷ τοῦ χείλους ὀνόματι τὴν λαλιὰν προσαγορεύειν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ποία γλῶσσα ἀρχαιοτέρα; Δηλοῖ τὰ ὀνόματα. Ἀδὰμ γάρ, καὶ Καΐν, καὶ Ἄβελ, καὶ Νῶε τῆς Σύρων ἴδια γλώττης. Ἀδαμαθὰ γὰρ τὴν ἐρυθρὰν γῆν ἔθος τοῖς Σύροις καλεῖν. Ἀδὰμ τοίνυν, ἢ ὁ γήϊνος, ἢ ὁ χοϊκὸς ἑρμηνεύεται. Καΐν, κτῆσις. τοῦτο δὲ ὑμνῶν Θεὸν ὁ Ἀδὰμ » εἴρηκεν, ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ. καὶ Ἄβελ, πένθος· πρῶτος γὰρ οὗτος ὤφθη νεκρός, καὶ πρῶτος τοῖς γεγεννηκόσι προυξένησε πένθος. καὶ Νῶε, ἀνάπαυσις.

ΤΟΥ ΑΥΤΟΥ. Ἡ οὖν ἑβραία πόθεν ἤρξατο; Οἶμαι αὐτὴν ἱερὰν εἶναι φωνήν. ὥσπερ γὰρ ἐν τοῖς ἑλληνικοῖς ναοῖς ἴδιοί τινες ἦσαν χαρακτῆρες γραμμάτων, οὓς ἱερατικοὺς προσηγόρευον· οὕτω διὰ τοῦ Μωϋσέως ὁ τῶν ὅλων Θεὸς ταύτην ἔδωκε τὴν γλῶσσαν, διδακτὴν οὖσαν, οὐ φυσικήν. τοιγάρτοι τῶν ἄλλων ἁπάντων καλὰ τὴν τῶν ἐθνῶν, ἐν οἷς ἂν γεννηθῶσι φθεγγομένων φωνήν· καὶ τῶν μὲν ἐν Ἰταλίᾳ τικτομένων, τῇ Ἰταλῶν κεχρημένων, τῶν δὲ ἐν τῇ Ἑλλάδι, τῇ Ἑλλήνων, καὶ τῶν ἐν Περσίδι, τῇ Περσῶν, καὶ τῶν ἐν Αἰγύπτῳ, τῇ Αἰγυπτίων· τὰ Ἑβραίων παιδία οὐ τῇ ἑβραίᾳ ἐστὶν εὑρεῖν εὐθὺς κεχρημένα φωνῇ, ἀλλὰ τῇ ἐκείνων παρ' οἷς ἐγεννήθησαν. εἶτα μειράκια γενόμενα, διδάσκεται τῶν γραμμάτων τοὺς χαρακτῆρας, μανθάνει δὲ διὰ τῶν γραμμάτων τὴν θείαν Γραφὴν τῇ ἑβραΐδι γεγραμμένην φωνῇ. οἶμαι δὲ τοῦτο αἰνίττεσθαι καὶ τὸν μακάριον Δαβὶδ
Ψαλ. 80. 5. ἐν τῷ π. ψαλμῷ· γλῶσσαν ἣν οὐκ ἔγνω » ἤκουσεν.

ΤΟΥ ΑΥΤΟΥ. Ἀλλά τινές φασιν ἀπὸ τοῦ Ἔβερ ἑβραίαν κεκλῆσθαι τὴν γλῶτταν. ἐκεῖνον γὰρ μόνον ἐν τῇ προτέρᾳ μεῖναι φωνῇ, καὶ ἐκεῖθεν Ἑβραίους ὀνομασθῆναι. ἐγὼ δὲ οἶμαι, Ἑβραίους ὀνομασθῆναι ἐκ τοῦ τὸν πατριάρχην Ἀβραὰμ ἀπὸ τῆς Χαλδαίων χώρας εἰς τὴν Παλαιστίνην ἐλθεῖν, τὸν Εὐφράτην ποταμὸν διαβάντα. Ἑβραὶ γὰρ τῇ Σύρων φωνῇ ὁ περάτης ὀνομάζεται. εἰ δὲ ἐκ τοῦ Ἔβερ Ἑβραῖοι καλοῦνται, οὐ μόνον ἐχρῆν τούτους οὕτω προσαγορεύεσθαι. πολλὰ γὰρ ἔθνη ἐκ τοῦ Ἔβερ κατάγει τὸ γένος. καὶ ἵνα τοὺς ἄλλους πάντας παρῶ, ἐκ τούτου εἰσὶν Ἰσμαηλῖται, καὶ οἱ
B ἀπὸ τῆς Χεττούρας, καὶ Ἰδουμαῖοι, καὶ Ἀμαληκῖται, καὶ Μωαβῖται, καὶ Ἀμμωνῖται, καὶ οἱ τὰς Κάρας οἰκοῦντες. ἐκ τοῦ γὰρ Ναχὼρ καὶ τοῦ Λάβαν τὸ γένος κατάγουσιν. ἀλλ' οὐδεὶς τούτων τῇ ἑβραΐδι χρῆται φωνῇ. οὕτω δὲ καὶ αὐτὸς ὁ Ἀβραὰμ ἐκαλεῖτο. καὶ μάρτυς ἡ θεία Γραφή. μετὰ γὰρ τὴν τοῦ Λὼτ αἰχμαλωσίαν. » ἐλθών τίς φησιν, ἀπήγγειλεν Ἀβραὰμ τῷ περάτῃ. » (Γεν. 14. 13.) τοῦτο δὲ παρὰ τῷ Ἑβραίῳ κείμενον
Γ εὗρον, Ἑβρεΐ. τὸ δὲ Ἑβρεῒ ἐξελληνιζόμενον, Ἑβραῖος γίνεται. καὶ γὰρ ἐν ἐκείνῳ τῷ χωρίῳ, ἔνθα ἡ Αἰγυπτία περὶ τοῦ Ἰωσὴφ ἔφη· » εἰσήγαγεν ἡμῖν παῖδα Ἑβραῖον ἐμπαίζειν ἡμῖν· » (Γεν. 39. 14.) παρὰ τῷ Ἑβραίῳ, Ἑβρεῒ κεῖται. ἀλλὰ περὶ τούτου ζυγομαχεῖν περιττόν. οὐδὲν γὰρ τῷ λόγῳ τῆς εὐσεβείας λυμαίνεται, κἄν τε τοῦτο, κἄν τε ἐκεῖνο δεξώμεθα.

Δ β. **Καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν γῇ Σενναάρ, καὶ κατῴκησαν ἐκεῖ.**

Ἐν γῇ Σενναάρ. Ἄλλος φησὶν ὀδόντων ἐκτιναγμόν.

** ΕΠΙΦΑΝΙΟΥ. Κεῖται δὲ αὕτη ἡ Σενναὰρ νυνὶ ἐν χώρᾳ τῇ Περσικῇ. ἦν δὲ τοῦτο πάλαι Ἀσσυρίων. ἐκεῖσε τοίνυν συνδοιάσαντες, συμβούλιον λαμβάνουσι μετ'
E ἀλλήλων πύργον καὶ πόλιν οἰκοδομῆσαι. ἀπὸ δὲ τοῦ κλίματος τοῦ πρὸς Εὐρώπην εἰς Ἀσίαν κεκλικότες, ἐπωνομάσθησαν πάντες κατὰ τὴν χρόνου ἐπίκλησιν Σκύθαι. κτίζουσι δὲ τὴν πυργοποιΐαν, καὶ οἰκοδομοῦσι τὴν Βαβυλῶνα· καὶ οὐκ εὐδόκησεν ὁ Θεὸς ἐπὶ τῷ ἔργῳ τῆς αὐτῶν ἀνοίας.

ΑΔΗΛΟΥ. Οἱ ἀπὸ τοῦ εἶναι ἓν μέλλοντες διασκορπίζεσθαι καὶ πολλοὶ γίνεσθαι, κινοῦσιν ἀπὸ ἀνατολῶν. ἕως γὰρ
Z ὡμονόουν, ἦσαν ἐν ἀνατολαῖς.

** ΩΡΙΓΕΝΟΥΣ. Νοείσθωσαν τοίνυν πάντες οἱ ἐπὶ γῆς μιᾷ τινὶ διαλέκτῳ θείᾳ χρώμενοι, καὶ ὅσοιγε συμφωνοῦσι πρὸς ἀλλήλους, τηρείσθωσαν ἐν τῇ θείᾳ διαλέκτῳ, καὶ ἔστωσαν ἀκίνητοι τῶν ἀνατολῶν, εἰς ὅσον εἰσὶ τὰ τοῦ φωτός, καὶ τοῦ ἀπὸ φωτὸς ἀϊδίου ἀπαυγάσματος, φρονοῦντες· καὶ οὗτοι ἐπὰν κινήσωσιν ἀπὸ τῶν ἀνατο-
H λῶν ἑαυτούς, ἀλλότρια φρονοῦντες, εὑρισκέτωσαν πεδίον ἐν γῇ Σενναάρ· ὃ ἑρμηνεύεται ὀδόντων ἐκτιναγμός, κατὰ σύμβολον τοῦ ἀπολωλέναι αὐτοὺς τὰ δι' ὧν τρέφονται, καὶ κατοικείτωσαν ἐκεῖ.

γ. Καὶ

A *γ. Καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον, δεῦτε πλινθεύσωμεν πλίνθους, καὶ ὀπτήσωμεν αὐτὰς πυρί. καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον· καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός.*

ΘΕΟΔΩΡΙΤΟΥ. Τὴν ἄσφαλτον τινὲς τῶν διδασκάλων, ἄσβεσον εἶναι ἔφασαν. οἱ ἀγνοοῦντες ὡς εἰκὸς τὰς ἐν τῇ Ἀσσυρίᾳ πηγὰς, ᾠήθησαν τὸν πύργον ἀσβέστῳ ᾠκοδομῆσθαι.
B ἀκριβῶς δὲ παρὰ τῶν ἐκεῖθεν ἀφικομένων μεμάθηκα, ὡς εἰσὶ πηγαὶ ταύτην ἀναβλύζουσαι τὴν ὕλην μεθ' ὕδατος· καὶ ὅτι ταύτην ταῖς οἰκοδομίαις συνυφαίνοντες, ἐπὶ ταύτης τὴν ὠπτημένην συνετίθεσαν πλίνθον. οὕτω τὸν πύργον ᾠκοδομῆσθαί φασι. καὶ οἱ αὐτόπται τούτου, καὶ διορύξαι τι (1) μέρος ἰσχυρίσαντο, καὶ ἀκριβῶς διαγνῶναι, ὡς ἄσφαλτος ταῖς ὠπτημέναις ὑπέστρωται πλίνθοις. ἄλλως
Γ τε καὶ λίθων εἶναι σπάνιν ἐν τῇ Ἀσσυρίᾳ φασὶ, καὶ διὰ τοῦτο ταῖς πλίνθοις ἀντὶ λίθων κεχρῆσθαι. λίθων δὲ δίχα πῶς ἂν γένοιτο ἄσβεστος;

ΔΙΟΔΩΡΟΥ. Ὁ Ἑβραῖος καὶ ὁ Σύρος ἔχει, καὶ ἄσβεστος ἦν αὐτοῖς ὁ πηλὸς, καὶ μάλα εἰκότως. ἄσφαλτος γὰρ εἰς οἰκοδομὴν ἄχρηστος, ἄσβεστος δὲ ἐπιτηδειοτάτη.

Δ *δ. Καὶ εἶπαν, δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ· καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ διασπαρῆναι ἡμᾶς ἐπὶ προσώπου πάσης τῆς γῆς.*

ΑΔΗΛΟΥ. Ἡ διαθήκη ἐπεὶ μγ. ἔτη ἔμειναν οἰκοδομοῦντες. Τὸ ὕψος ευλγ. πήχεις, καὶ δύω παλεσαί· τὸ πλάτος ἐπὶ
E σγ. πλίνθους. τῆς πλίνθου τὸ ὕψος, τρίτον μιᾶς πλίνθου. τὸ ἔχλαμα τοῦ ἑνὸς τοίχου στάδιοι ιγ', καὶ τὸ ἄλλο λ'.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τῷ ὀνόματι τοῦ οὐρανοῦ ἡ θεία Γραφὴ τῆς τόλμης αὐτῶν τὴν ὑπερβολὴν ἡμῖν παραστῆσαι ἐβουλήθη.

ε. Καὶ κατέβη Κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον, ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων.

ΑΔΗΛΟΥ. Οὐ σωματικῶς δεῖ νοεῖν ὅτι κατέβη.

„ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ κατέβη,
„ φησὶ, Κύριος ὁ Θεός· οὐχ ἵνα ἀνθρωπίνως νοήσωμεν, ἀλλ' ἵνα διὰ τούτου παιδευώμεθα μηδέποτε καταψηφίζεσθαι ἁπλῶς τῶν ἀδελφῶν τῶν ἡμετέρων, μήτε ἐξ ἀκοῆς καταδικάζειν, ἐὰν μὴ πρότερον πολλὴν
H δεξώμεθα τὴν πληροφορίαν.

ς. Καὶ εἶπε Κύριος ὁ Θεὸς, ἰδοὺ γένος ἓν, καὶ χεῖλος ἓν πάντων· καὶ τοῦτο ἤρξαντο ποιῆσαι· καὶ νῦν οὐκ ἐκλείψει ἀπ' αὐτῶν πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν.

„ ΑΔΗΛΟΥ. Κὴν νῦν οὐκ ἐκλείψει ἀπ'
„ αὐτῶν πάντα ὅσα ἂν ἐπιθῶνται ποιεῖν. ὡσανεὶ ἔλεγεν, ἐὰν μὴ ἀναχαιτισθῶσι νῦν, καὶ ἕτερα προσθήσουσιν ἁμαρτήματα.

ζ. Δεῦτε καὶ καταβάντες συγχέωμεν αὐτῶν ἐκεῖ τὴν γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τῆς φωνῆς τοῦ πλησίον.

* ΠΡΟΚΟΠΙΟΥ. Τὸ δεῦτε πρὸς τὸν υἱὸν καὶ τὸ πνεῦμα (2) εἴρηται. οὐ γὰρ δημιουργοὶ οἱ Ἄγγελοι.

ΑΔΗΛΟΥ. Οὐ τὴν ὁμοφωνίαν δεδιὼς, συγχέει τὰς γλώσσας, ἀλλ' ὥστε διασπαρῆναι αὐτοὺς ἐξ ἀνάγκης, καὶ οἰκηθῆναι τὴν γῆν.

ΑΔΗΛΟΥ. Διατί καταβῆναι δεῖ τὸν Θεὸν, ἵνα σύγχυσις γένηται τῶν φωνῶν; Ὅτι δημιουργικῆς δυνάμεως τὸ πνεῦμα, καὶ ὅτι ὁ τὴν φωνὴν ἐξ ἀρχῆς δεδωκὼς, οὗτος καὶ τὴν ποικιλίαν αὐτῆς ἐργάσασθαι δυνατός. διὸ καὶ πάντα τὰ δημιουργικὰ δι' υἱοῦ καὶ πνεύματος γίνεται, δεῦτε ἔφη
„ καταβάντες συγχέωμεν ἐκεῖ τὴν γλῶσ-
„ σαν αὐτῶν. καταβαίνει δὲ τῷ ὄντι πρὸς τὸ πολὺ ταπεινότερον αὐτὸς ὁ Θεὸς, ὅτε τῶν καθ' ἡμᾶς ἐπιστροφὴν ποιεῖται. καὶ ταῦτα τῶν ἀβούλως καὶ ἁμαρτηλικῶς πραττομένων κατέβη ὁ λόγος, καὶ γέγονεν ἄνθρωπος, ἐπανάγων εἰς ὁμοίωσιν Θεοῦ τοὺς ἀνθρώπους. οὕτος εἰς τὴν πολυγλωττίαν τὸ πνεῦμα τὸ ἅγιον καταβέβηκεν, ἐπανάγον τοὺς ἀνθρώπους διὰ ταύτης εἰς ὁμοφωνίαν καὶ ὁμόνοιαν τὴν περὶ Θεόν.

ΑΔΗΛΟΥ. Καὶ πάλιν ὡς καὶ περὶ τῶν
„ ἐν Σοδόμοις, καταβὰς οὖν ὄψομαι, εἰ κα-
„ τὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται. οὐδὲ ἐκείνων νῦν τὴν ἀξίαν διηγεῖται, ἀλλὰ ἀπὸ τῆς ἡμετέρας συνηθείας καὶ τῶν ἔργων τὰς λέξεις λαμβάνουσα, ἐξηγεῖται ἐκεῖνα, ἵνα ἐκ τῶν ἡμετέρων ἀκούοντες νοήσω-
Z μεν, ὅτι δικαίως οἱ πάσχοντες πάσχουσι. τὸ μὲν γὰρ δεῦτε, οὐ περὶ Θεοῦ καταβάσεως λέγει, πῶς γὰρ τοῦ πανταχοῦ παρισαμένου; καὶ ὑπὲρ τὰ ὅλα εἰς ἀπέραντον ὄντος; ἀλλὰ περὶ τῆς εἰς τὸ πρᾶγμα ἐνερ-
„ γείας αὐτό. τὸ δὲ, εἰ κατὰ τὴν κραυγὴν
„ αὐτῶν συντελοῦνται, καὶ τὸ, εἰ δὲ μὴ, ἵνα γνῶ, οὐχ ὡς ἀγνοοῦντος Θεοῦ. ἴδια γὰρ ταῦτα ἀγνοούντων ἀνθρώπων, ἀλλ' ἵνα κατανοήσῃς, ὅτι δικαίως ἡ τιμωρία κατὰ τῶν ἀδικούντων φέρεται.

η. Καὶ

(1) Διαῤῥῆξαί τι. ἡ ἐν Χάλ. ἔκδ.
(2) Καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὐ πρὸς τοὺς Ἀγγέλους. οὐ γὰρ, κτ. ὁ τῆς Αὐγ. κώδ.

η. Καὶ διέσπειρεν αὐτοὺς Κύριος ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς. καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον.

θ. Διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς σύγχυσις· ὅτι ἐκεῖ συνέχεε Κύριος τὰ χείλη πάσης τῆς γῆς· καὶ ἐκεῖθεν διέσπειρεν αὐτοὺς Κύριος ὁ Θεὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς.

ΑΔΗΛΟΥ. Φασὶν, ὡς τῷ Ἔβερ μόνῳ ἐφυλάχθη ἡ γλῶσσα, ὡς μὴ κοινωνήσαντι εἰς τὸ τοῦ πύργου τόλμημα.

ΑΔΗΛΟΥ. Γνώρισμα κακίας τὸ συγ-
Πραξ. 4. 32. χυθῆναι τὰς γλώσσας· ἀρετῆς δὲ, ἐπὶ πάν-
» των τῶν πιστευόντων ἡ ψυχὴ μία.

** ΕΠΙΦΑΝΙΟΥ. Διεσκέδασεν αὐτῶν τὰς γλώσσας, καὶ ἀπὸ μιᾶς εἰς ἑβδομηκονταδύω διένειμε κατὰ τῶν τότε ἀνδρῶν ἀριθμὸν εὑρεθέντα. ὅθεν καὶ μέροπες οὗτοι κέκληνται, διὰ τὴν μεμερισμένην φωνήν· καὶ τὸν πύργον ἀνέμων βολὴ κατέστρεψεν. ἐμερίσθησαν γοῦν ἐπὶ πᾶσαν τὴν γῆν δεξιά τε καὶ εὐώνυμα, οἱ μὲν παλίνορσοι ὅθεν ἐκβεβήκασιν, ἄλλοι δὲ ἐπὶ τὰ πρόσω τῆς ἀνατολῆς κεχωρηκότες. ἕτεροι δὲ τὴν Λιβύην κατειλήφασιν, ὡς καὶ περὶ τούτων τὴν ἀκρίβειαν εἴτις ἐθέλοι καταλαβέσθαι, εὕροι δ' ἂν ἕκαστον τῶν προσκεχωρηκότων καθ' ἑκάστην τινὰ πατρίδα πῶς εἴληχε τὸν κλῆρον.

ι. Καὶ αὗται αἱ γενέσεις Σήμ.
Σὴμ υἱὸς ἑκατὸν ἐτῶν, ὅτε ἐγέν-
νησε τὸν Ἀρφαξὰδ, δευτέρου ἔτους
ια. μετὰ τὸν κατακλυσμόν. Καὶ ἔζη-
σε Σὴμ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν
Ἀρφαξὰδ, πεντακόσια ἔτη, καὶ
ἐγέννησεν υἱοὺς καὶ θυγατέρας· καὶ
ἀπέθανε.

ΑΔΗΛΟΥ. Οὐχ ὡς ἀπερριμμένον τὸ τοῦ Ἰάφεθ γένος ἀπολιπὼν, ἐπὶ τὴν γενεαλογίαν τοῦ Σὴμ ἔρχεται· ἀλλ' ὡς ἐπὶ μείζοσιν ἀγαθοῖς τηρούμενον. ἐξ οὗ τὰ ἔθνη τῇ πρὸς Ἀβραὰμ ἐπαγγελίᾳ εὐλογούμενα. ἐπειγομένου δὲ τοῦ λόγου, δῆλον ὅτι πρὸς τὴν παρὰ Ἑβραίων ἀφήγησιν τὴν ἱστορίαν τρέπεται.

ιβ. Καὶ ἔζησεν Ἀρφαξὰδ πέντε
καὶ τριάκοντα καὶ ἑκατὸν ἔτη, καὶ
ιγ. ἐγέννησε τὸν Καϊνάν. Καὶ ἔζησεν
Ἀρφαξὰδ, μετὰ τὸ γεννῆσαι αὐτὸν
τὸν Καϊνὰν, ἔτη τριακόσια καὶ τριά-
κοντα, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγα-
τέρας· καὶ ἀπέθανε. καὶ ἔζησε Καϊ-
νὰν ἔτη ἑκατὸν τριάκοντα, καὶ ἐγέν-
νησε τὸν Σαλά. καὶ ἔζησε Καϊνὰν,

A μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Σαλὰ,
ἔτη τριακόσια τριάκοντα, καὶ ἐγέν-
νησεν υἱοὺς καὶ θυγατέρας· καὶ ἀπέ-
ιδ. θανε. Καὶ ἔζησε Σαλὰ τριάκοντα
καὶ ἑκατὸν ἔτη, καὶ ἐγέννησε τὸν Ἔ-
ιε. βερ. Καὶ ἔζησε Σαλὰ μετὰ τὸ γεν-
νῆσαι αὐτὸν τὸν Ἔβερ ἔτη τριακόσια
πεντήκοντα, καὶ ἐγέννησεν υἱοὺς καὶ
ις. θυγατέρας· καὶ ἀπέθανε. Καὶ
ἔζησεν Ἔβερ τέσσαρα καὶ τριάκον-
τα καὶ ἑκατὸν ἔτη, καὶ ἐγέννησε τὸν
Φαλέκ.

ιζ. Καὶ ἔζησεν Ἔβερ μετὰ τὸ
γεννῆσαι αὐτὸν τὸν Φαλὲκ, ἑβδο-
μήκοντα καὶ διακόσια ἔτη, καὶ ἐγέν-
νησεν υἱοὺς καὶ θυγατέρας· καὶ ἀπέ-
ιη. θανε. Καὶ ἔζησε Φαλὲκ τριάκοντα
Γ καὶ ἑκατὸν ἔτη, καὶ ἐγέννησε τὸν
Ῥαγαῦ.

ΔΙΟΔΩΡΟΥ. Ἔβερ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Φαλὲκ ἔζησεν ἔτη σο. ὁ δὲ Φαλὲκ ρλδ. (1) τῆς ἑαυτοῦ ζωῆς ἔτεκε τὸν Ῥαγαῦ. ἐπὶ δὲ τοῦ Φαλὲκ γέγονεν ἡ πυργοποιΐα. δῆλον, ὅτι καὶ ὁ Ἔβερ τότε περιῶν, καὶ μετὰ πλείονα ἔτη τῆς πυργοποιΐας ἀνεχώρησε τοῦ βίου. οὐκοῦν ἡ ἑβραΐα
Δ φωνὴ ἀπὸ τοῦ Ἔβερ ὠνόμασται. οὗ ἡ γλῶσσα διεφυλάχθη, πάντων τῶν ἄλλων εἰς διαφόρους μερισθέντων φωνὰς, διὰ τὸ μὴ συμφωνῆσαι τοῖς ἄλλοις ἴσως εἰς τὸ τῆς πυργοποιΐας τόλμημα.

ιθ. Καὶ ἔζησε Φαλὲκ, μετὰ τὸ
γεννῆσαι αὐτὸν τὸν Ῥαγαῦ, ἐννέα καὶ
διακόσια ἔτη, καὶ ἐγέννησεν υἱοὺς καὶ
κ. θυγατέρας· καὶ ἀπέθανε. Καὶ
ἔζησε Ῥαγαῦ δύω καὶ τριάκοντα
καὶ ἑκατὸν ἔτη, καὶ ἐγέννησε τὸν
Σερούχ.

** ΕΠΙΦΑΝΙΟΥ. Φαλὲκ δὲ γεννᾷ τὸν Ῥαγάμ. Ῥαγὰμ δὲ τὸν Σερούχ. τὸν ἑρμηνευόμενον ἐρεθισμόν. καὶ ἤρξατο εἰς ἀνθρώπους ἡ εἰδωλολατρεία τε καὶ ὁ ἑλληνισμὸς, ὡς ἡ ἐλθοῦσα εἰς ἡμᾶς γνῶσις πε-
Z ριέχει. οὔπω δὲ ἐν ξοάνοις, καὶ ἐν τορείαις λίθων, ἢ ξύλων, ἢ ἀργυροτεύκτων, ἢ χρυσοῦ, ἢ ἐξ ἄλλης τινὸς ὕλης πεποιημένων, μόνον δὲ διὰ χρωμάτων καὶ εἰκόνων ἡ τοῦ ἀνθρώπου διάνοια ἐφ' ἑαυτῆς ηὕρισκε τὴν κακίαν. καὶ διὰ τοῦ αὐτεξουσίου καὶ λογιότητος καὶ νοῦ ἀντὶ τῆς ἀγαθότητος, τὸ παράνομον ἐφεύρατο.

κα. Καὶ ἔζησε Ῥαγαῦ, μετὰ τὸ
H γεννῆσαι αὐτὸν τὸν Σερούχ, ἑπτὰ καὶ
διακόσια ἔτη, καὶ ἐγέννησεν υἱοὺς καὶ
κβ. θυγατέρας· καὶ ἀπέθανε. Καὶ ἔζησε
Σερούχ

(1) Νοητέον, ἔτει.

Σερὸχ τριάκοντα καὶ ἑκατὸν ἔτη, καὶ
κγ. ἐγέννησε τὸν Ναχώρ. Καὶ ἔζησε
Σερὸχ, μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν
Ναχὼρ, διακόσια ἔτη, καὶ ἐγέννησεν
υἱοὺς καὶ θυγατέρας· καὶ ἀπέθανε.
κδ. Καὶ ἔζησε Ναχὼρ ἐννέα καὶ ἑβδομήκοντα ἔτη, καὶ ἐγέννησε τὸν Θάῤῥα.
κε. Καὶ ἔζησε Ναχὼρ, μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Θάῤῥα, ἐννέα καὶ εἴκοσι καὶ ἑκατὸν ἔτη, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας· καὶ ἀπέθανε.

κς. Καὶ ἔζησε Θάῤῥα ἑβδομήκοντα ἔτη, καὶ ἐγέννησε τὸν Ἄβραμ, καὶ
κζ. τὸν Ναχὼρ, καὶ τὸν Ἀῤῥάν. Αὗται δὲ αἱ γενέσεις Θάῤῥα. Θάῤῥα ἐγέννησε τὸν Ἄβραμ, καὶ τὸν Ναχὼρ, καὶ τὸν Ἀῤῥάν· καὶ Ἀῤῥὰν ἐγέννησε τὸν Λώτ.

ΩΡΙΓΕΝΟΥΣ. Τὸν πατέρα τοῦ ἑορτάζοντος ἔθνους τὴν ἑβδομάδα ἐγέννησεν ὁ Θάῤῥα, γενόμενος ἑβδομήκοντα ἐτῶν. ἐφίστημι δὲ, μήπως τοὺς τρεῖς τριδύμους ἐγέννησεν. ἄλλως γὰρ ἑβδομηκονταετὴς ὢν, οὐ δύναται τῶν τριῶν ἐκ μιᾶς γεγονέναι πατήρ· ἀλλὰ καὶ οὐ δηλοῦνται πλείους αὐτοῦ γυναῖκες.

κη. Καὶ ἀπέθανεν Ἀῤῥὰν ἐνώπιον Θάῤῥα τοῦ πατρὸς αὐτοῦ ἐν τῇ γῇ, ᾗ ἐγεννήθη, ἐν τῇ χώρᾳ τῶν Χαλδαίων.

ΑΔΗΛΟΥ. Ὡς φησὶν ὁ μακάριος Ἐπιφάνιος, (1) ὅτι πρῶτος Θάῤῥα ἐποίησε τὰ εἴδωλα ἀπὸ πηλουργίας καὶ κεραμικῆς ἐπιστήμης. διὸ καὶ μέχρις αὐτοῦ οὐδεὶς πώποτε υἱὸς πρὸ πατρὸς ἐτελεύτησεν. ὁ γὰρ Ἄβελ ὑπ᾽ ἄλλου ἐφονεύθη.

κθ. Καὶ ἔλαβον Ἄβραμ καὶ Ναχὼρ ἑαυτοῖς γυναῖκας. ὄνομα τῇ γυναικὶ Ἄβραμ, Σάρα· καὶ ὄνομα τῇ γυναικὶ Ναχὼρ, Μελχὰ, θυγάτηρ Ἀῤῥὰν, καὶ πατὴρ Μελχὰ, καὶ πατὴρ Ἰεσχά.

∗ ΠΡΟΚΟΠΙΟΥ. Ἡ Σάῤῥα θυγάτηρ ἦν τοῦ Ἀῤῥὰν, (2) ἀδελφὴ τῆς

A Μελχᾶς καὶ τοῦ Λώτ, ὥς φησιν (3) Ἰώσηπος. (4)

∗ ΤΟΥ ΑΥΤΟΥ. Ἔοικεν ἡ Μελχὰ ἀδελφὴ οὖσα τοῦ Λὼτ, γεγαμῆσθαι τῷ Ναχὼρ, ἀδελφῷ τοῦ Ἄβραμ καὶ τοῦ Ἀῤῥάν.

ΑΔΗΛΟΥ. Ἄβραμ δέ φησι καὶ Ναχὼρ ἔλαβον ἑαυτοῖς γυναῖκας. καὶ ἦν ὄνομα τῇ γυναικὶ μὲν τοῦ Ἀβραὰμ, Σάρα· τοῦ Ναχὼρ δὲ τῇ γυναικὶ, Μελχά. ἥτις
B ἦν θυγάτηρ καὶ αὐτὴ τοῦ Ἀῤῥάμ. οὐ μόνον δὲ πατὴρ ἄρα ἦν ὁ Ἀῤῥὰμ τῆς Μελχᾶς, ἀλλὰ καὶ τῆς Ἰεσχά. ὥστε δῆλον ὅτι, ὅτε Ἀβραὰμ καὶ ὁ Ναχὼρ ὄντες υἱοὶ μὲν τοῦ Θάῤῥα, τοῦ δὲ Ἀῤῥὰμ ἀδελφοὶ, θυγατέρας τοῦ ἀδελφοῦ αὐτῶν τοῦ Ἀῤῥὰμ, καὶ ἀδελφὰς πρὸς γάμον ἠγάγοντο· τὴν Μελχὰς μὲν ὁ Ναχὼρ, ὁ δὲ Ἀβραὰμ τὴν Σάραν.

Γ λ. Καὶ ἦν Σάρα στεῖρα, καὶ οὐκ ἐτεκνοποίει.

λα. Καὶ ἔλαβε Θάῤῥα τὸν Ἄβραμ, καὶ τὸν Ναχὼρ υἱὸν αὐτοῦ, καὶ τὸν Λὼτ υἱὸν Ἀῤῥὰν, υἱὸν τοῦ υἱοῦ αὐτοῦ, καὶ τὴν Σάραν τὴν νύμφην αὐτοῦ, γυναῖκα Ἄβραμ τοῦ υἱοῦ αὐτοῦ· καὶ ἐξήγαγεν αὐτοὺς ἐκ τῆς χώρας τῶν Χαλ-
Δ δαίων, πορευθῆναι εἰς τὴν γῆν Χαναάν· καὶ ἦλθεν ἕως Χαῤῥὰν, καὶ κατῴκησεν ἐκεῖ.

∗∗ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ μακάριος Στέφανος ἐγκωμιάζων τοὺς Ἰουδαίους φη-
„ σίν· ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ Π
„ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ,
„ πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαῤῥὰν, κἀ-
„ κεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα
„ αὐτοῦ μετῴκισεν αὐτόν. τί οὖν ἐστίν; ἐναν-
E" τιοῦται ἑαυτῇ ἡ θεία Γραφή; μὴ γένοιτο. ἀλλὰ συνιδεῖν ἐκ τούτου προσήκει, ὅτι θεοφιλοῦς ὄντος τοῦ παιδὸς, ὀφθεὶς αὐτῷ ὁ Θεὸς προσέταξε μεταναστῆναι ἐκεῖθεν. καὶ τοῦτο γνοὺς ὁ Θάῤῥα ὁ τούτου πατὴρ, εἰ καὶ ἄπιστος ἐτύγχανεν, ἀλλ᾽ ὅμως ὑπὸ τοῦ πρὸς τὸν παῖδα φίλτρου κοινωνῆσαι αὐτῷ κατεδέξατο τῆς ἀποδημίας, καὶ ἐλθὼν εἰς τὴν Χαῤῥὰν, κἀκεῖ κατοικήσας, οὕτω μετήλλαξε τὸν βίον· καὶ τότε τελευτήσαντος

(1) Γίγνεται δὲ τῷ Σερὸχ παῖς ὁ Ναχὼρ, Ναχὼρ δὲ γεννᾷ τὸν Θάῤῥα. ἐντεῦθεν γέγονεν ἀνδριαντοπλασία ἀπὸ πηλουργίας καὶ κεραμικῆς ἐπιστήμης, διὰ τῆς τοῦ Θάῤῥα τούτου τέχνης. περιέστη δὲ ὁ ἀγὼν εἰς εἰκοστὴν γενεὰν ἕως τούτου, ἐτῶν τρισχιλίων τριακοσίων τριακονταδύω. καὶ οὐδεὶς πώποτε τῶν προτέρων ἀνθρώπων πρὸ πατρὸς υἱὸς ἐτελεύτα· ἀλλὰ πατέρες πρὸ παίδων τελευτῶντες τοὺς υἱοὺς διαδόχους κατελίμπανον. καὶ μήτις λεγέτω περὶ τοῦ Ἄβελ. οὐ γὰρ θανάτῳ ἰδίῳ τέθνηκεν. ἐξότε Θάῤῥα ἀντίζηλον τῷ Θεῷ προεστήσατο, διὰ τῆς ἰδίας πηλουργίας τεχνησάμενος, τὰ ὅμοια οἷς ἔπραξεν ἀπὸ τῆς δίκης ἀπείληφε, καὶ αὐτὸς παραζηλωθεὶς διὰ τοῦ ἰδίου τέκνου. ὅθεν θαυμάσασα ἡ θεία Γραφὴ, ἐπεσημειώσατο λέγουσα· καὶ ἀπέθανεν Ἀῤῥὰν ἐνώπιον Θάῤῥα τοῦ πατρὸς ἐν τῇ γῇ τῆς γενήσεως αὐτοῦ. ἐν τῷ κατὰ αἱρέσ. βιβλ. 1. σελ. 8.

(2) Τοῦ Ἀῤῥᾶ. ὁ τῆς Αὐγ. κώδ.

(3) Ὡς ἱστορεῖ. ὁ αὐτ.

(4) Ἄβραμος δὲ εἶχεν ἀδελφοὺς, Ναχώρην, καὶ Ἀράνην. τούτων Ἀράνης μὲν καταλιπὼν υἱὸν Λῶτον, καὶ Σάραν, καὶ Μελχὰν θυγατέρας, ἐν Χαλδαίοις ἀπέθανεν, ἐν πόλει Οὔρῃ λεγομένῃ τῶν Χαλδαίων. καὶ τάφος αὐτοῦ μέχρι νῦν δείκνυται. γαμοῦσι δὲ τὰς ἀδελφιδὰς, Μελχὰν μὲν Ναχώρης, Σάραν δὲ Ἄβραμος. ἐν βιβλ. 1. κεφ. 7. περὶ Ἰουδαϊκ. ἀρχαιολ.

τος τȢ Θεȣ̃; μετανίσαται εἰς τὴν Χαναναίαν ὁ Πατριάρχης. ἀμέλει ȣ̓ πρότερον αὐτὸν ὁ Θεὸς ἐκεῖθεν ἀνέστησε, μέχρις ὅτε Θάῤῥα ἐτελεύτησε. A

λβ. Καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Θάῤῥα ἐν Χαῤῥὰν, πέντε καὶ διακόσια ἔτη· καὶ ἀπέθανε Θάῤῥα ἐν Χαῤῥάν.

ΔΙΟΔΩΡΟΥ. Εἰ ὁ πατὴρ τȣ̃ Ἄβραμ ὁρμῶν εἰς τὴν Παλαιςίνην, ἀπέθανεν ἐν Χαῤῥὰν, πῶς ὁ Θεὸς φαίνεται τῷ Ἄβραμ „ λέγων, ἔξελθε ἐκ τῆς γῆς σȣ, καὶ ἐκ τῆς „ συγγενείας σȣ, καὶ πορεύȣ εἰς τὴν γῆν, „ ἣν ἄν σοι δείξω, ὡς ἀγνοȣ̃ντι ὅποι χρὴ „ ἀπελθεῖν αὐτόν; Ἀλλὰ τὴν ἀμφιβολίαν Πραξ. 7. 2. ὁ μακάριος λύει Στέφανος λέγων· ὁ Θεὸς „ ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ, πρὶν ἢ „ κατοικῆσαι αὐτὸν ἐν Χαῤῥάν. ἐξ ȣ̓ δῆλον, ὅτι Θάῤῥα διὰ τὴν γεγενημένην ἐν Βαβυλῶνι τῷ Ἄβραμ ὀπτασίαν ὁρμᾷ μετὰ τȣ̃ B, Γ

γονȣ̃ς κατοικῆσαι τὴν Παλαιςίνην· ἀλλ' ἐπειδὴ θέλημα Θεȣ̃ ἦν, μόνον τὸν Ἀβραὰμ, καὶ τȣ̀ς ἐξ αὐτȣ̃ γεννωμένȣς κληρονομῆσαι τὴν γῆν τῆς ἐπαγγελίας, κατῴκησεν ἐν Χαῤῥὰν ὁ Θάῤῥα· καὶ μετὰ τὴν τȣ́τȣ τελευτὴν οἱ λοιποὶ πάντες. ὁ δὲ Ἀβραὰμ ἔτι τȣ̃ πατρὸς, οἶμαι, ζῶντος, δευτέρας καταξιȣ̃ται κλήσεως, τῆς εἰς τὴν γῆν τῆς „ ἐπαγγελίας. ὥσπερ γὰρ τὸ, ἔξελθε ἐκ „ τῆς γῆς σȣ, καὶ ἐκ τῆς συγγενείας σȣ, „ ὅτω καὶ τὸ, ἐκ τȣ̃ οἴκȣ τȣ̃ πατρός σȣ εἴρηκεν, ἵνα ὁ πατὴρ τῆς ἐκκλησίας Ἀ„ βραὰμ κἀκεῖνο πληρώσῃ, τὸ, ὁ φιλῶν Ματθ. 10. 37 „ πατέρα, ἢ μητέρα ὑπὲρ ἐμὲ, ȣ̓κ ἔςι μȣ ἄξιος. εἰ δέ τις λέγει μετὰ τὸν θάνατον τȣ̃ πατρὸς ἐκ τῆς Χαῤῥὰν ἐξεληλυθέναι τὸν Ἀβραὰμ, ἄλυτον εὑρήσει τὸ ζητȣ́μενον ἐν τῷ περὶ τῶν ἐτῶν τȣ̃ Ἀβραὰμ, ὥσπερ ἤδη ἐπεσημηνάμεθα. ὅτι δὲ μόνον αὐτὸν ὁ Θεὸς ἐβȣ́λετο κληρονόμον τῆς γῆς γενέσθαι, διδάσκει σαφῶς τὰ κατὰ τὸν χωρισμὸν τȣ̃ Λώτ.

ΚΕΦ. ΙΒ.

α. Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ Ἄβραμ, ἔξελθε ἐκ τῆς γῆς σȣ, καὶ ἐκ τῆς συγγενείας σȣ, καὶ ἐκ τȣ̃ οἴκȣ τȣ̃ πατρός σȣ· καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω.

ΑΔΗΛΟΥ. Ὁ μὲν Μωσῆς φησὶν, ὅτι μετὰ τὸ ἀποθανεῖν Θάῤῥα ἐν Χαῤῥὰν, τότε λέγει ὁ Θεὸς τῷ Ἀβραάμ; ἔξελθε ἐκ τῆς γῆς σȣ. ἐν δὲ ταῖς πράξεσι, Στέφα- Πραξ. 7. 2. νος ὁ πρωτομάρτυς, ὁ Θεὸς τῆς δόξης „ ὤφθη, φησὶ, τῷ πατρὶ ἡμῶν Ἀβραὰμ, „ ὄντι ἐν Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι „ αὐτὸν ἐν Χαῤῥὰν, καὶ εἶπεν αὐτῷ, ἔξελ„ θε ἐκ τῆς γῆς σȣ. Φημὶ τοίνυν, ὡς τὸν Θάῤῥα διὰ τὸν Ἀβραὰμ ὁ Θεὸς ὑπέβαλεν ἀνελθεῖν πρὸς τὴν Χαναάν· ἐπειδὴ δὲ ἐτελεύτησεν εἰς Χαῤῥὰν, πάλιν μετὰ τὴν τελευτὴν Θάῤῥα προσάττει ἐξελθεῖν τὸν Ἀβραάμ. εἰκὸς ȣ̓̃ν δευτέραν φωνὴν γενέσθαι πρὸς τὸν Ἀβραὰμ, καὶ τῆς προτέρον πρὸς τὸν Θάῤῥα δι' αὐτὸν γεγενημένης. καὶ ὁ μὲν Μωσῆς, μνημονεύει τῆς ἐσχάτης, ἥτις καὶ τέλος εἴληφεν· ὁ δὲ μακάριος Στέφανος, τῆς προτέρας, ἣν παρέλιπε Μωσῆς. ὥσπερ καὶ ἐν τῇ ἐξόδῳ, Ἐξόδ. 7. 11, 22. ὁ μὲν Μωσῆς φησὶν, ὅτι ἀντέστησαν αὐτοῖς „ τινὲς ἐν Αἰγύπτῳ· ὁ δὲ Ἀπόστολος, δηλοῖ 2. Τιμ. 3. 8. καὶ τὰ ὀνόματα, Ἰαννὶς, καὶ Ἰαμβρίς.

✻✻ ΒΑΣΙΛΕΙΟΥ. Τελειοτάτη γὰρ ἔξοδος, ἡ ἀπὸ πάντων τῶν σωματικῶν ἀνάβασις, ἅτινα εἴρηται γῆ· καὶ ἡ ἀπὸ τῶν αἰσθητηρίων φυγὴ, ἅπερ ὠνόμασαι συγγένεια· καὶ τὸ ἀποςραφῆναι τὸν ὑπαίτιον βίον, ἐν ᾧ ᾠκείωτο πρότερον τοῖς ἐναντίοις ἐπιτηδεύμασιν, ἅπερ οἶκος εἴρηται τȣ̃ πατρός. Δ, H

✻✻ ΚΛΗΜΕΝΤΟΣ. Σαφέςατα γȣ̃ν ὁ Κύριος διὰ τȣ̃ Ἀβραὰμ διδάσκει, καὶ πατρίδος, καὶ συγγενέων, καὶ κτήσεως, καὶ πλȣ́τȣ παντὸς καταφρονεῖν τὸν ἑπόμενον τῷ Θεῷ, ποιήσας αὐτὸν ἔπηλυν· καὶ διὰ τȣ̃το καὶ φίλον αὐτὸν ὀνομάσας, τῆς οἴκοι καταφρονήσαντα περιȣσίας. εὐπατρίδης γὰρ ἦν, καὶ εὔπορος σφόδρα.

β. Καὶ ποιήσω σε εἰς ἔθνος μέγα· καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ γ. ὄνομά σȣ, καὶ ἔσῃ εὐλογητός. Καὶ εὐλογήσω τȣ̀ς εὐλογȣ̃ντάς σε, καὶ τȣ̀ς καταρωμένȣς σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.

✻✻ ΚΥΡΙΛΛΟΥ. Ἄθρει δὴ ȣ̓̃ν, ὅτι τοῖς ὁλοσχερῶς τε καὶ ὁλοτρόπως ἀκολȣθȣ̃σι Θεῷ, καὶ τῆς εἰς αὐτὸν ἐλπίδος πεποιημένοις δεύτερα τὰ τῆς σαρκὸς, καὶ φιληδονίαν κοσμικὴν, ἕψεται δὴ πάντως, τὸ Z εὐλογίας τῆς ἄνωθεν πλȣσίως μεταλαχεῖν. τί γὰρ λέγει πρὸς Ἀβραάμ; καὶ „ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ τὰ τȣ́τοις συνημμένα. ὁρᾷς ȣ̓̃ν ὅσην αὐτῷ πληθὺν ἐπεσώρευσε πνευματικῶν ἀγαθῶν;

ΑΔΗΛΟΥ. Ἐπεὶ πατὴρ πολλῶν ἐθνῶν κατὰ τὴν Γραφὴν ἐςὶν ὁ Ἄβραμ, καὶ ἐνευλογȣ̃νται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, λεκτέον, (1) ὅτι οἱ ἀπὸ τῶν ἐθνῶν πιςεύσαντες, καὶ ἔσθ' ὅτε διὰ τὸν λόγον ἀλλοτριȣ́μενοι τῆς ἑαυτῶν γῆς, καὶ τῆς συγγε-

(1) Τὰ ἀπὸ τȣ̃, λεκτέον, ἄχρι τέλȣς ὅμοια τοῖς τȣ̃ Προκοπίȣ τοῖς ἐν τῷ τῆς Αὐγ. κώδ.

συγγενείας, καὶ τοῦ οἴκου τοῦ πατρὸς, υἱοῖ εἰσιν Ἀβραὰμ, τοῦ ταῦτα ἀκούσαντος, καὶ ποιήσαντος. τὸ δὲ μεγαλυνῶ τὸ ὄνομά σου, πεπλήρωται, ὅτε εἶπεν αὐτῷ ὁ Θεὸς, ἐγὼ Θεὸς σὸς, καὶ χρηματίζει Θεὸς Ἀβραάμ.

δ. Καὶ ἐπορεύθη Ἄβραμ, καθάπερ ἐνετείλατο αὐτῷ Κύριος· καὶ ᾤχετο μετ' αὐτοῦ Λώτ. Ἄβραμ δὲ ἦν πέντε καὶ ἑβδομήκοντα ἐτῶν, ὅτε ἐξῆλθεν ἐκ Χαῤῥάν.

ΑΔΗΛΟΥ. Εἰ μὴ γῆ τοῦ Ἀβραάμ ἐστιν ἡ Χαῤῥὰν, πῶς λέγεται τὸ, ἔξελθε ἐκ τῆς γῆς σου; πῶς δὲ καὶ ἐξῆλθεν ἐκ τῆς συγγενείας αὐτοῦ, μηδενὸς αὐτῷ συνιόντος, ἢ τοῦ Λὼτ, ὃς καὶ συνεξῆλθεν αὐτῷ ἀπὸ Χαῤῥάν; Ταῦτα λεκτέον τοῖς πλὴν τῆς λέξεως μηδὲν ἄλλο νομίζουσι τελεῖσθαι.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ εἰρηκὼς ὁ Μωϋσῆς, καὶ ἔζησε Θάῤῥα ἔτη ἑβδομήκοντα, καὶ ἐγέννησε τὸν Ἄβραμ, καὶ τὸν Ναχὼρ, καὶ τὸν Ἀῤῥάν· εἶτα μετ' ὀλίγα γεγραφὼς, καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Θάῤῥα ἔτη σε. καὶ ἀπέθανε Θάῤῥα ἐν Χαῤῥὰν, μετὰ βραχέα φησὶν, Ἄβραμ δὲ ἦν ἐτῶν οε, ὅτε ἐξῆλθεν ἐκ Χαῤῥάν. καὶ πῶς, εἰ ὁ Θάῤῥα ἑβδομηκονταετὴς γεγονὼς ἔσχε τὸν Ἀβραὰμ, καὶ τὸν Ναχὼρ, καὶ τὸν Ἀῤῥὰν, τῷ σ. δὲ ἔτει καὶ ε. ἀπέθανε, μετὰ δὲ τὸν θάνατον αὐτοῦ ἐξῆλθεν ἐκ Χαῤῥὰν ὁ Ἀβραὰμ ἑβδομηκονταπέντε ἐτῶν, δέον αὐτὸν ἐκ τῆς ἀκολουθίας ρλε. ἐτῶν εἶναι; ζήτημα οὖν τὸ ῥηθὲν τοῖς μὴ παρέργως ἀναγινώσκουσι. νοεῖται γὰρ οὕτω τὸ μωσαϊκὸν ῥητόν. Τριῶν μνημονεύει, τὴν ποσότητα δεικνύς. καὶ γὰρ τὸν Νῶε πεντακοσιοστῷ ἔτει, φησὶ, γεγεννηκέναι τρεῖς υἱοὺς, οὐδὲ τούτους τριδύμους· ἀλλ' ὁμοῦ τίθησιν ἐν τῇ ἱστορίᾳ τοὺς κατὰ διαφόρους χρόνους αὐτῷ τεχθέντας. ἴσμεν δὲ, ὅτι πολλοῖς ἀρτιγάμοις μὲν, ὁ πρωτότοκος τίκτεται· γηρῶσι δὲ, ὁ νεώτατος· καὶ ἔσθ' ὅτε τάχιστα τὴν ἀρχὴν τινὲς παιδοποιήσαντες, βραδύτατα δεύτερον ἐσχήκασι τέκνον. ἀμέλει καὶ ὁ Ἀῤῥὰν οὕτω πρεσβύτερος τοῦ Ναχὼρ, ὡς τὴν Σάῤῥα θυγατέρα αὐτοῦ, γενέσθαι τῷ ἀδελφῷ αὐτοῦ γυναῖκα. καὶ μήτις οἰέσθω τότε πολὺ νεωτέρας εἶναι τῶν ἀνδρῶν τὰς γυναῖκας. ἀκουέτω γὰρ τοῦ Γεν. 17. 17. Μωσέως λέγοντος, καὶ ἔπεσεν Ἄβραμ ἐπὶ πρόσωπον, καὶ ἐλάλησε, καὶ εἶπεν ἐν τῇ διανοίᾳ, λέγων, εἰ τῷ ἑκατονταετεῖ παῖς γεννήσεται, καὶ Σάῤῥα ἐννενήκοντα ἐτῶν οὖσα τέξεται. εὑρίσκεται τοίνυν Ἀῤῥὰν, οὗ μέμνηται τελευταῖον Μωσῆς, ὅτε τοὺς τεχθέντας τῷ Θάῤῥα ἠρίθμει, τοσοῦτον

A τοῦ Ναχὼρ μείζων, ὡς τὴν θυγατέρα αὐτοῦ γενέσθαι γυναῖκα τῷ Ναχώρ. εἰ δὲ τοῦ μείζονος οὐ μέμνηται πρότερον, δῆλον ὅτι τὸν Ἄβραμ, οἷα τελευτότατον, πρῶτον τίθησιν. ἐπειδὴ καὶ δι' αὐτὸν αὐτὸ τὸ τῆς ἱστορίας ἀναγκαιότερον ἦν. τὸν δὲ Ναχὼρ, μέσον, καὶ τὴν ἡλικίαν μέσον ὄντα. ἔνθα μὲν γὰρ βούλεται δεῖξαι τίς ὁ πρωτότοκος, τῇ τάξει τῶν ἡλικιῶν ἐξ ἀνάγκης ἀκολουθεῖ· ὅπου δὲ μὴ εἴη τούτου χρεία, τὸν τι-
B μιώτερον προτίθησι, κἂν τελευταῖος ᾖ. ὡς δὲ λόγος καὶ ἡ Σάῤῥα θυγάτηρ ἑνὸς τῶν ἀδελφῶν τοῦ Ἀβραὰμ ἐτύγχανεν, ὡς αὐτός φησι. καὶ γὰρ ἀληθῶς ἀδελφή μου ἐστὶν ἀλλ' ἐκ πατρὸς, οὐκ ἐκ μητρός. ὥσπερ καὶ τὸν Λὼτ υἱὸν ὄντα τοῦ ἀδελφοῦ, ἀδελφὸν ἀποκαλεῖ. εἰκὸς δὲ Ἀῤῥὰν τοῦ ἀδελφοῦ κατοιχομένου, τοὺς ἀδελφοὺς τὰς θυγατέρας ἀγαγέσθαι· οὔτε τοῦ Θάῤῥα, οὔτε αὐτῶν ἀνεχομένων καταλιπεῖν αὐ-
Γ τὰς ἐν τῇ Χαλδαίᾳ, ὅτε εἰς τὴν Χαῤῥὰν ἐξῄεσαν. (1)

ΑΔΗΛΟΥ. Ἐξερχόμενος ἐκ πόλεως Χαῤῥάν· ὃ ἑρμηνεύεται ὀργίλον, καὶ ὀργίλως κατὰ δὲ τοὺς ἑβδομήκοντα, (2) ὀργῆς ἦν τέκνον κατὰ τὸν θεῖον Ἀπόστολον, ὡς καὶ οἱ λοιποί. ἑβδομηκονταπέντε ψυχῶν κάθοδον ἐξ Ἰακὼβ εἰς Αἴγυπτον.

ε. Καὶ ἔλαβεν Ἄβραμ τὴν Σά-
Δ ῥαν γυναῖκα αὐτοῦ, καὶ τὸν Λὼτ υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν, ὅσα ἐκτήσαντο, καὶ πᾶσαν ψυχὴν, ἣν ἐκτήσαντο ἐν Χαῤῥάν· καὶ ἐξῆλθον πορευθῆναι εἰς γῆν Χαναάν.

**ΚΥΡΙΛΛΟΥ. Ὁ γάρ τοι βεβουλημένος τοῖς θείοις εὖ μάλα κατακολουθεῖν
E θεσπίσμασι, καὶ φροντίδος τῆς ἀρίστης ἀξιοῦν τὴν ἄνωθεν κλῆσιν, ἐξίτω ζωῆς τῆς ἐν ἡδοναῖς κοσμικαῖς ὅλος διόλου, καὶ οἱονεὶ παγγενεὶ, οὐδὲν τῆς ἑαυτοῦ διανοίας λείψανον ἀφεὶς ἐν οἷς ἦν ποτέ.

ς. Καὶ ἦλθον εἰς γῆν Χαναάν: καὶ διώδευσεν Ἄβραμ τὴν γῆν εἰς τὸ μῆκος αὐτῆς, ἕως τοῦ τόπου Συχὲμ, ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν· οἱ δὲ Χα-
Z ναναῖοι τότε κατῴκουν τὴν γῆν.

ΑΔΗΛΟΥ. Δεσπότης ὢν τῆς Χαναναίας ὁ Ἀβραὰμ, ξένος ἐπ' αὐτῆς καὶ ἀλήτης περιῄει. οἱ γὰρ μέλλοντες πάσης τῆς γῆς βασιλεύειν ἅγιοι, ξένοι νῦν ἐπ' αὐτῆς καὶ ἀλῆταί εἰσι.

ζ. Καὶ

(1) Τοῦτο ἐν τοῖς ἐκδεδομέν. οὐχ εὕρηται.

(2) Ἴσ. τὸ δὲ περιττόν. ἀλλὰ καὶ τούτου κειμένου, ἀτελὴς ἡ ἔννοια. τί δ' ἄρα βούλεται τὸ ἑξῆς, ἑβδομηκονταπέντε ψυχῶν κάθοδον ἐξ Ἰακὼβ εἰς Αἴγυπτον; ἢ ὅτι τὰ ἑβδομηκονταπέντε ἔτη τῆς τοῦ Ἀβραὰμ ἡλικίας ἐκ τῆς Χαῤῥὰν ἐξελθόντος, τὰς ἑβδομηκονταπέντε ψυχὰς τὰς ἐξ Ἰακὼβ εἰς Αἴγυπτον καταβάσας προεδήλουν. πᾶσαι, γάρ φησι, ψυχαὶ οἴκου Ἰακὼβ αἱ εἰσελθοῦσαι μετὰ Ἰακὼβ εἰς Αἴγυπτον, ψυχαὶ ἑβδομηκονταπέντε. Γεν. Κεφ. 46. 27.

ζ. Καὶ ὤφθη Κύριος τῷ Ἄβραμ, καὶ εἶπεν αὐτῷ, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην.

ΑΔΗΛΟΥ. Οὐκ εἶπεν, εἶδεν Ἄβραμ τὸν Θεὸν, ἀλλ' ὤφθη ὁ Θεὸς τῷ Ἄβραμ. ἡμῖν γὰρ οὐδαμῶς ἐφικτὸν τοῦτο· φιλανθρωπίᾳ δὲ Θεὸς ὀπτάνεται, ὡς οἶδε.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὤφθη δὲ ὁ Θεὸς τῷ Ἀβραὰμ, ᾧ δηλονότι πρότερον οὐκ ἦν ἐμφανὴς, ὅτε χαλδαΐζων τῇ τῶν ἀστέρων πορείᾳ προσεῖχεν, ἔξω τοῦ κόσμου καὶ τῆς αἰσθητῆς οὐσίας εὐάρμοσον καὶ νοητὴν φύσιν οὐδεμίαν ἁπλῶς καταλαμβάνων. ἐπεὶ δὲ μεθωρμίσατο καὶ μετεχώρησε, κατὰ τἀναγκαῖον ἔγνω τὸν κόσμον ὑπήκοον, ἀλλ' οὐκ αὐτοκράτορα· οὐ πρυτανεύοντα, ἀλλὰ πρυτανευόμενον ὑπ' αἰτίου τοῦ πεποιηκότος· ὅπερ ἡ διάνοια τότε πρῶτον ἀναβλέψασα, εἶδε. πολλὴ γὰρ αὐτῆς πρότερον ἀχλὺς ὑπὸ τῶν αἰσθητῶν κατεκέχυτο, ἣν ἐνθέρμοις καὶ διαπύροις δόγμασιν ἀνασκεδάσασα, μόλις ἴσχυσεν, ὡς ἐν αἰθρίᾳ καθαρᾷ τοῦ πάλαι κρυπτομένου καὶ ἀειδοῦς φαντασίαν λαβεῖν. ὃς ἕνεκεν φιλανθρωπίας ἀφικνουμένην τὴν ψυχὴν ὡς αὐτὸν, οὐκ ἀπεστράφη. προϋπαντήσας δὲ, τὴν ἑαυτοῦ φύσιν ἔδειξε, καθ' ὅσον οἷόν τε ἦν ἰδεῖν τὸν βλέποντα. διὸ λέγεται, οὐχ ὅτι ὁ σοφὸς εἶδε Θεὸν, ἀλλ' ὅτι ὁ Θεὸς ὤφθη τῷ σοφῷ. καὶ γὰρ ἦν ἀδύνατον καταλαβεῖν τινὰ δι' αὐτοῦ τὸ πρὸς ἀλήθειαν ὂν, μὴ παραφήναντος ἐκείνου ἑαυτὸ καὶ παραδείξαντος.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πῶς ὤφθη τῷ δικαίῳ; ἆρα αὐτὴν τὴν οὐσίαν εἶδεν; Οὐχί· μὴ γένοιτο. ἀλλὰ τί; οὕτως ὤφθη, ὡς αὐτὸς οἶδε μόνος, καὶ ὡς ἐκεῖνος δυνατὸν ἦν ἰδεῖν. εὐμήχανος γὰρ ὢν ὁ σοφὸς καὶ φιλάνθρωπος ἡμῶν δεσπότης, καὶ συγκαταβαίνων τῇ ἀνθρωπίνῃ φύσει, τοῖς ἀξίως προπαρασκευασμένοις ἑαυτὸν ἐμφανίζει.

Καὶ ᾠκοδόμησεν ἐκεῖ Ἄβραμ θυσιαστήριον τῷ Κυρίῳ τῷ ὀφθέντι αὐτῷ.

ΑΔΗΛΟΥ. Οὐκ ἐκ προσαγμάτων ἀπ' ἀρχῆς ἄνθρωποι θυσίας προσῆγον τῷ Θεῷ, καὶ θυσιαστήρια ἱδρύσαντο. προσάγοντας δὲ εὐσεβῶς, ἐδέξατο· τὸν Ἄβελ, τὸν Νῶε, τὸν Ἀβραάμ.

** ΚΥΡΙΛΛΟΥ. Ἐμφιλοχωροῦντι μὲν γὰρ εἰς γῆν πατρίδος αὐτῷ, καὶ οὔπω πρὸς τὴν ἁγίαν μεταχωρήσαντι γῆν, μόνος δέδοται χρησμὸς τοῦ μεταχωρῆσαι δεῖν εἰς ἑτέραν, τῆς ἐνεγκούσης ἠφειδηκότα. ἐπεὶ δὲ ἦλθεν εἰς γῆν Χαναὰν πανοικί τε καὶ πανσκευὶ, καὶ πρὸς τὴν ἁγίαν ἀνέθορε γῆν, ἡ τῆς θεοπτίας δίδοται χάρις, καὶ τῆς ἐλπίδος τὸ ἀσφαλὲς ἐν βεβαίῳ τῆς ἐλευθερίας, καὶ τὸ ἐξεῖναι λοιπὸν ἐγείρειν θυσιαστήριον. καὶ ἡμῖν οὖν ἄρα κατάγε τὸ ἴσον τοῦ λόγου σχῆμα, προσμέ-

A νουσι μὲν τῷ κόσμῳ, καὶ ταῖς κατ' αὐτὸν βδελυρωτάταις ἡδοναῖς, οὐδεμία μὲν ἔσται παρὰ Θεοῦ χάρις· κεκλημένοις δὲ, καὶ τοῖς θείοις ὑπείκουσι νόμοις, ἀναθρώσκουσι τῶν καθάπερ εἰς γῆν ὑψηλὴν τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν ἔφεσίν τε καὶ προθυμίαν, ἐνίησι μὲν τῆς ἰδίας δόξης τὴν γνῶσιν ὁ Θεὸς, καὶ τὸ τῆς ἐλπίδος ἐρηρεισμένον ἐπαγγέλλεται, εὐσθενῆ δὲ οὕτω τὸν ἐν ἡμῖν ἀπεργάζεται νοῦν, ὡς ἤδη πως ἰσχῦ-
B „σαι θυσίας προσάγειν πνευματικὰς, καὶ 1. Πετρ. 2. 5.
„εὐωδίαν γενέσθαι Χριστῷ τῷ Θεῷ καὶ πατρὶ 2. Κορ. 2. 15.
κατὰ τὸ γεγραμμένον· παραστῆσαι δὲ καὶ
„αὐτῷ τὸ σῶμα θυσίαν ζῶσαν καὶ εὐάρεστον Ῥωμ. 12. 1.
„τῷ Θεῷ, τὴν λογικὴν ἐν πνεύματι λατρείαν, τὴν ἀπόδεκτον παρὰ Θεῷ. προσίεται γὰρ ἀσμένως τῆς ἐν πνεύματι λατρείας τοὺς τρόπους, καὶ θυσίαν ἡγεῖται τὸ χρῆμα πνευματικήν.

Γ η. Καὶ ἀπέστη ἐκεῖθεν εἰς τὸ ὄρος κατὰ ἀνατολὰς Βαιθήλ· καὶ ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ ἐν Βαιθὴλ κατὰ θάλασσαν, καὶ Ἀγγαὶ κατὰ ἀνατολάς· καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ, καὶ ἐπεκαλέσατο ἐπὶ τῷ ὀνόματι Κυρίου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς διὰ
Δ πάντων δείκνυσιν ἑαυτοῦ τὴν φιλόθεον γνώμην. ἐκεῖ μὲν γὰρ διὰ τὴν παρὰ τοῦ Θεοῦ γεγενημένην αὐτῷ ὑπόσχεσιν τὸ θυσιαστήριον ᾠκοδόμησε, καὶ τὸν τόπον ἀφιερώσας, ἀνεχώρησεν. ἐνταῦθα δὲ ἐπειδὴ τὴν σκηνὴν ἔπηξατο, πάλιν ᾠκοδόμησε,
„φησὶ, θυσιαστήριον τῷ Κυρίῳ, καὶ ἐπεκα-
„λέσατο ἐπὶ τῷ ὀνόματι Κυρίου. Καὶ μετ' ὀλίγα. ᾔδει γὰρ, ᾔδει σαφῶς, ὡς οὐδὲν ἕτερον ἐπιζητεῖ παρὰ τῆς ἀνθρωπίνης φύσεως ὁ τῶν ὅλων Θεὸς μετὰ τὰς μυρίας καὶ ἀφά-
E τους αὐτοῦ εὐεργεσίας, ὡς εὐχάριστον γνώμην, καὶ τὸ εἰδέναι χάριν ὁμολογεῖν ὑπὲρ τῶν ὑπηργμένων.

** ΠΡΟΚΟΠΙΟΥ. Εὖ δὲ καὶ τὸ ὄρος τοῦτο εἰρῆσθαι ὡς κατὰ ἀνατολάς ἐστι. πάντοθεν γὰρ φῶτα ἔχει, καὶ ἐνεργείας διαφόρους. τὸ δὲ ὄρος οἱ μὲν φασι τὸν ἐνανθρωπήσαντα λόγον εἶναι· οἱ δὲ, τὴν ἐκκλησίαν. κατὰ ἀνατολὰς δ' οὖν τοῦ οἴκου
Z τοῦ Θεοῦ δι' ὅλου καταυγαζομένου ἦλθεν ὁ ἅγιος ἐκ τῶν ἀρετῶν χειραγωγούμενος. ἔτι δὲ καὶ τὰ ποικίλα δόγματα τῆς εὐσεβείας ἀνατολὰς εἰπεῖν. δι' ὧν ἐληλυθὼς ὁ Ἀβραὰμ, τὴν σκηνὴν ἔπηξεν ᾗ ἐκέχρητο πρὸς τὰς προκοπάς. τοῦτο γὰρ ἡ σκηνὴ δηλοῖ, τοῦ οἴκου τοῦ Θεοῦ μονίμου τυγχάνον-
„τος. διελεύσομαι γὰρ ἐν τόπῳ σκηνῆς Ψαλ. 41. 4.
„θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ· εἰς ὃν οἱ φθάσαντες μακαρίζονται, λέγοντος τοῦ
H „ψαλμοῦ μακάριοι πάντες οἱ κατοικοῦντες Ψαλ. 83. 4.
„ἐν τῷ οἴκῳ σου, οὐχ οἱ παροικοῦντες, δι' ὧν ἡ θεία πολιτεία δηλοῦται· κἂν τὸ πρόσωπον τοῦ Ἀβραὰμ ἔτι τελείωσιν ἐπιδέχηται. οὔπω γὰρ μετωνόμασαι. κατὰ δὲ θάλασ-

σαν τὴν σκηνὴν πήγνυσι, βέβαιος ὢν καὶ
ἄσειστος διὰ τὸ τελείας ἀντέχεσθαι τῆς
Ῥωμ. 8. 35. ἀρετῆς· ὥς ἂν εἰπεῖν, τίς ἡμᾶς χωρίσει
» ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; καὶ τὰ ἑξῆς·
ἅπερ θάλασσαν λέγων οὐκ ἂν ἁμάρτοις. ὅπου ποτὲ γὰρ ἂν ᾖ ὁ ἅγιος ἐφεδρεύουσαν ἔχει τὴν ζάλην. ὁ δὲ αὐτὸς καὶ ἐν Ἀγγαὶ κατὰ νότον πήγνυσι τὴν σκηνὴν, οἰκείως τῷ ἐφθακέναι εἰς τὸ ὄρος τοῦ οἴκου τοῦ Θεοῦ δι᾽ ὅλων πεφωτισμένος ἐκ τῶν ἀνατολῶν, αἵτινές εἰσιν αἱ κατ᾽ εἶδος ἀρεταὶ, μηδεμίαν ἔτι τῶν ἀντιστατούντων φροντίδα τιθέμενος. οὐδὲ γὰρ αἱ ἐκ τῆς θαλάσσης τρικυμίαι ἀνατρέπουσιν αὐτοῦ τὸ οἰκοδόμημα καλῶς ἱδρυμένον. ἐν ἑορτῇ γινόμενος, ὅπερ ἐστὶν Ἀγγαί. ἡ μεγάλη γὰρ ἑορτὴ ἡ τῆς ἀρετῆς τελείωσις.

θ. Καὶ ἀπῆρεν Ἄβραμ, καὶ πορευθεὶς, ἐστρατοπέδευσεν ἐν τῇ ἐρήμῳ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οἱ ζητοῦντες καὶ ἐπιποθοῦντες Θεὸν ἀνευρεῖν, τὴν φίλην αὐτῷ μόνωσιν ἀγαπῶσι, κατ᾽ αὐτὸ τοῦτο πρῶτον σπεύδοντες ἐξομοιοῦσθαι τῇ μακαρίᾳ καὶ εὐδαίμονι φύσει.

ι. Καὶ ἐγένετο λιμὸς ἐπὶ τῆς γῆς· καὶ κατέβη Ἄβραμ εἰς Αἴγυπτον παροικῆσαι ἐκεῖ, ὅτι ἐνίσχυσεν ὁ λιμὸς ἐπὶ τῆς γῆς.

ΩΡΙΓΕΝΟΥΣ. Ἀβραὰμ οὐ κατῴκει Αἴγυπτον, ἀλλὰ παρῴκει. ὅτι ἐνίσχυσεν ὁ λιμὸς ἐπὶ τῆς γῆς.

ια. Ἐγένετο δὲ ἡνίκα ἤγγισεν Ἄ-
βραμ εἰσελθεῖν εἰς Αἴγυπτον, εἶπεν
Ἄβραμ Σάρα τῇ γυναικὶ αὐτοῦ, γι-
νώσκω ἐγὼ ὅτι γυνὴ εὐπρόσωπος εἶ.
ιβ. Ἔσται οὖν ὡς ἂν ἴδωσί σε οἱ Αἰγύπτιοι,
ἐροῦσιν, ὅτι γυνὴ αὐτοῦ αὕτη· καὶ
ἀποκτενοῦσί με, σὲ δὲ περιποιήσονται.
ιγ. Εἰπὸν οὖν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμὶ,
ὅπως ἂν εὖ μοι γένηται διὰ σὲ, καὶ
ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ.

ΑΔΗΛΟΥ. Τῷ γινώσκοντι τὸ εὐπρόσωπον τῆς ἀρχούσης αὐτῷ ἀρετῆς, καὶ οἰκονομοῦντι τὰ περὶ αὐτὴν, εὖ δι᾽ αὐτὴν γίνεται· καὶ ἡ ψυχὴ αὐτοῦ ἐν ζωῇ ἕνεκεν αὐτῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μὴ ἁπλῶς, ἀγαπητὲ, καταψηφίσῃ τοῦ δικαίου, ἀλλὰ καὶ ἐκ τούτου μάλιστα κατάμαθε αὐτοῦ καὶ τὴν σύνεσιν τὴν πολλὴν, καὶ τὴν ἀνδρείαν. τὴν ἀνδρείαν μὲν, ὅτι οὕτω γενναίως ἀντεῖχε, καὶ περιεγένετο τῆς τῶν λογισμῶν ταραχῆς, ὡς καὶ τοιαῦτα συμβουλεῦσαι.
Καὶ μετ᾽ ὀλίγα. Τὴν δὲ σύνεσιν αὐτοῦ τὴν πολλὴν, ὅτι ἐν ἀμηχανίᾳ τοσαύτῃ, καὶ ὥσπερ ἐν δικτύοις ἀποληφθεὶς, ἴσχυσε ταύτην

Α εὑρεῖν τὴν ὁδὸν, δι᾽ ἧς ἔλαττον ἂν γένοιτο τὸ κακόν.

ιδ. Ἐγένετο δὲ ἡνίκα εἰσῆλθεν
Ἄβραμ εἰς Αἴγυπτον, ἰδόντες οἱ Αἰ-
γύπτιοι τὴν γυναῖκα, ὅτι ἦν καλὴ
ιε. σφόδρα. Καὶ ἰδόντες αὐτὴν οἱ ἄρ-
χοντες Φαραὼ, ἐπῄνεσαν αὐτὴν
πρὸς Φαραὼ, καὶ εἰσήγαγον αὐτὴν
ιϛ. εἰς τὸν οἶκον Φαραώ. Καὶ τῷ Ἄ-
βραμ εὖ ἐχρήσαντο δι᾽ αὐτήν. καὶ
ἐγένοντο αὐτῷ πρόβατα, καὶ μόσχοι,
καὶ ὄνοι, παῖδες καὶ παιδίσκαι, καὶ
ἡμίονοι, καὶ κάμηλοι.

ιζ. Καὶ ἤτασε Κύριος τὸν Φαραὼ ἐτασμοῖς μεγάλοις καὶ πονηροῖς, καὶ τὸν οἶκον αὐτοῦ περὶ Σάρας τῆς γυ-
Γ ναικὸς Ἄβραμ.

ΑΔΗΛΟΥ. Τὸν μὲν Ἀβιμέλεχ οὐχὶ πλαίσαντα ἐμέμψατο, ἀλλ᾽ ἐκώλυσε πλαῖσαι· τὸν δὲ Φαραὼ ἐτάζει, ὡς καὶ ὁρμήσαντα, καὶ ἀσεβῆ ὄντα. ἐτάζει δὲ καὶ τοὺς οἰκείους αὐτοῦ, ὡς ἐπαινέσαντας αὐτὴν ἐνώπιον αὐτοῦ. (1)

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Λαβὼν δὲ τῶν ξένων οἶκτον ὁ εὐμενὴς, καὶ ἵλεως, καὶ ὑπέρμαχος τῶν ἀδικουμένων, ἅμα ἀλ-
Δ γηδόνας δυσκαρτερήτους, καὶ χαλεπὰς τιμωρίας ἐπάγει τῷ βασιλεῖ, παντοίων κακῶν ἀναπλήσας αὐτοῦ τὸ σῶμα καὶ τὴν ψυχὴν δυσιάτων, ὡς τὰς μὲν ἐφ᾽ ἡδονὰς ἀγούσας ὀρέξεις ἁπάσας ἐκκεκόφθαι, τὰς δ᾽ ἐναντίας παρεισεληλυθέναι φροντίδας περὶ ἀπαλλαγῆς ἀνηνύτων βασάνων, ὑφ᾽ ὧν γυμναζόμενος μεθ᾽ ἡμέραν καὶ νύκτωρ ἐξετραχηλίζετο. παραπήλαυσε δὲ τῆς τιμωρίας σύμπας αὐτῷ ὁ οἶκος, μηδενὸς
Ε ἐπὶ τῇ παρανομίᾳ δυσχεράναντος, ἀλλὰ πάντων ἕνεκα τοῦ συναινεῖν, μονονοὺ συγχειρουργησάντων τὸ ἀδίκημα. τοῦτον τὸν τρόπον ἡ μὲν ἁγνεία τῆς γυναικὸς διεσώζετο, τοῦ δὲ ἀνδρὸς τὴν καλοκἀγαθίαν ὁ Θεὸς καὶ εὐσέβειαν ἠξίωσεν ἐπιδείκνυσθαι, γέρας αὐτῷ μέγιστον παρασχὼν, ἄσινῆ καὶ ἀνύβριστον, ὅσον οὐδέπω κινδυνεύσαντα, τὸν γάμον διαφθαρῆναι.

Ζ ιη. Καλέσας δὲ Φαραὼ τὸν Ἄ-
βραμ, εἶπεν αὐτῷ, τί τοῦτο ἐποίησάς
μοι, ὅτι οὐκ ἀπήγγειλάς μοι, ὅτι γυ-
ιθ. νή σου ἐστίν; Ἵνα τί εἶπας, ἀδελφή μου
ἐστί; καὶ ἔλαβον αὐτὴν ἐμαυτῷ εἰς
γυναῖκα. καὶ νῦν ἰδοὺ ἡ γυνή σου ἐναν-
κ. τίον σου· λαβὼν, ἀπότρεχε. Καὶ
ἐνετείλατο Φαραὼ ἀνδράσι περὶ Ἄ-
βραμ, συμπροπέμψαι αὐτὸν, καὶ
Η τὴν γυναῖκα αὐτοῦ, καὶ πάντα ὅσα
ἦν αὐτῷ, καὶ Λὼτ μετ᾽ αὐτοῦ.

ΘΕΟΔΩ-

(1) Ὅμοια τούτοις τὰ τοῦ Προκοπίου τὰ ἐν τῷ τῆς Αὐγ. κώδ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τινές φασι τὴν Σάῤῥαν μιγῆναι τῷ Φαραῷ. Ποίας οὖν κηδεμονίας ἀπήλαυσεν Ἀβραὰμ παρὰ τοῦ τῶν ὅλων Θεοῦ, εἰ περιεῖδεν αὐτοῦ μοιχευομένην τὴν γαμετήν; τί δήποτε δὲ καὶ ἤτασεν ἐτασμοῖς μεγάλοις, καὶ πονηροῖς τὸν Φαραὼ, καὶ ἅπαντα τὸν οἶκον αὐτοῦ, εἰ μὴ κωλῦσαι τὴν παράνομον ἐβούλετο συνάφειαν; καὶ αὐτὸς δὲ ὁ Φαραὼ τὴν ἄγνοιαν εἰς ἀπολογίαν προβάλλεται, καὶ μέμφεται τῷ Ἀβραὰμ ἀδελφὴν κεκληκότι τὴν γαμετήν· καὶ διδάσκει, ὡς οὐχ ὑβρίσαι αὐτὴν, ἀλλὰ γῆμαι βουλόμενος ἔλαβε. „τί τοῦτο γάρ φησιν ἐποίησάς μοι ὅτι γυνή σου „ἐστίν; ἵνα τί εἶπας. ἀδελφή μου ἐστί; καὶ „ἔλαβον αὐτὴν ἐμαυτῷ εἰς γυναῖκα. καὶ „νῦν ἰδοὺ ἡ γυνή σου ἐναντίον σου, λαβὼν ἀπότρεχε. καὶ οὐ μόνον εἶπεν, ἀλλὰ καὶ ἔπραξε, καὶ παντοδαπῆς κηδεμονίας ἠξίωσεν. „ἐνετείλατο γάρ φησιν ὁ Φαραὼ ἀνδράσι „περὶ τοῦ Ἀβραὰμ συμπροπέμψαι αὐτὸν, „καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ πάντα ὅσα ἦν αὐτῷ. δῆλον τοίνυν, ὡς εὐθὺς ἁρπαθείσης τῆς Σάῤῥας, ἐπέδησε τῇ νόσῳ τὸν Φαραὼ ὁ τῶν ὅλων πρύτανις· ἡ δὲ νόσος τὴν ὄρεξιν ἤμβλυνε, καὶ τῶν δικτύων ἔσω τὴν θήραν ἔχων ὁ θηρευτὴς, οὐκ ἀπήλαυσε τῆς ἄγρας. ἡ γὰρ νόσος ἐκώλυσε.

ΤΟΥ ΑΥΤΟΥ. Καὶ τίνος ἕνεκεν ἐνταῦθα μὲν ἐσίγησεν ἡ Γραφὴ, τὸ φυλαχθῆναι τὴν Σάῤῥαν ἀλώβητον, ἐν δὲ τῷ κατὰ τὸν Ἀβιμέλεχ διηγήματι σαφῶς τοῦτο δεδήλωκεν; Ἔμελλεν ἡ Σάῤῥα τηνικαῦτα τίκτειν τὸν Ἰσαάκ. ἵνα τοίνυν μὴ ὕποπτον γένηται τὸ σπέρμα τοῦ Ἀβραάμ, σω- A φῶς ἐκεῖ δεδήλωκεν ἡ θεία Γραφὴ, ὅτι οὐχ ἥψατο αὐτῆς ὁ Ἀβιμέλεχ. καὶ ἐντεῦθεν μέντοι, κἀκεῖθεν ἴσμεν, ὡς καὶ τοὺς βαρβάρους ἡ φύσις ἐδίδαξεν, ὅτι πονηρὸν ἡ μοιχεία, καὶ τιμωρίας ἄξιον. καὶ γὰρ ὁ Φαραὼ τοῦτο δεδήλωκεν, ἐπιμεμψάμενος τῷ Ἀβραάμ· καὶ Ἀβιμέλεχ πρὸς τὸν „τῶν ὅλων ἔφη Θεὸν, Κύριε ἔθνος ἀγνοοῦν „καὶ δίκαιον ἀποκτενεῖς; οὐκ αὐτός μοι εἶ- „πεν, ὅτι ἀδελφή μου ἐστί; καὶ αὐτή μοι εἶ- B „πεν, ὅτι ἀδελφός μου ἐστίν; ἐν καρδίᾳ κα- „θαρᾷ, καὶ ἐν δικαιοσύνῃ χειρῶν ἐποίησα τοῦτο. τέθεικε δὲ ὁ συγγραφεὺς καὶ τοῦ Θεοῦ τὴν ἀπόκρισιν· εἶπε γάρ φησιν, ὁ „Θεὸς τῷ Ἀβιμέλεχ καθ' ὕπνον· κἀγὼ „ἔγνων, ὅτι ἐν καρδίᾳ καθαρᾷ ἐποίησας „τοῦτο, καὶ ἐφεισάμην σου τοῦ μὴ ἅψασθαι „αὐτῆς, τοῦ μὴ ἁμαρτεῖν εἰς ἐμέ. ἕνεκεν „τούτου οὐκ ἀφῆκά σε ἅψασθαι αὐτῆς. νῦν „οὖν ἀπόδος τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι Γ „προφήτης ἐστὶ, καὶ προσεύξεται περὶ σοῦ, καὶ „σωθήσῃ σὺ, καὶ πᾶς ὁ οἶκός σου. εἰ δὲ μὴ „ἀποδιδῷς, γνῶθι, ὅτι ἀποθανῇ σύ. διδάσκει δὲ ἡμᾶς ὁ θεῖος λόγος, ὅτι τῆς δικαιοσύνης τοὺς ἐραστὰς πλημμελεῖν ἐξ ἀγνοίας μέλλοντας, οὐκ ἐᾷ. δῆλον τοίνυν, ὡς καὶ τὸν Φαραὼ κεκώλυκεν ἁμαρτεῖν, ὡς ἀδελφὴν τοῦ Ἀβραὰμ νόμῳ γάμου εἰληφότα. ἐπειδὴ δὲ κρείττων ἦν ὡς εἰκὸς Ἀβιμέλεχ τοῦ Φαραὼ, ἐκεῖνον μὲν διὰ παι- Δ δείας, τῆς παρανομίας ἀπεῖρξε· τούτῳ δὲ, καὶ τῆς αἰκίας καὶ τοῦ πλημμελήματος οὐκ ἔδωκεν αὐτὸς τὴν συγχώρησιν· ἀλλὰ τὸν ἠδικημένον αἰτῆσαι ταύτην ἀνέμεινεν, ἐπιφανείας τε ἡμέρως ἠξίωσε, καὶ λόγοις ἠπίοις ἐπέδειξε τὴν τετολμημένην παρανομίαν.

ΚΕΦ. ΙΓ.

α. Ἀνέβη δὲ Ἄβραμ ἐξ Αἰγύπτου αὐτὸς, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ πάντα τὰ αὐτοῦ, καὶ Λὼτ μετ' αὐτοῦ εἰς τὴν ἔρημον.

β. Ἄβραμ δὲ ἦν πλούσιος σφόδρα κτήνεσι, καὶ ἀργυρίῳ, καὶ χρυσίῳ.

ΑΔΗΛΟΥ. Καὶ τοῦτο κατὰ τὸ πνευματικὸν λέγεται περὶ τοῦ Ἀβραάμ. νῦν γὰρ πλούσιος ὀνομάζεται, καὶ τοῦτο σφόδρα.

γ. Καὶ ἐπορεύθη ὅθεν ἦλθεν εἰς τὴν ἔρημον ἕως Βαιθὴλ, ἕως τοῦ τόπου, οὗ ἦν ἡ σκηνὴ αὐτοῦ τὸ πρότερον, ἀνὰ μέσον Βαιθὴλ, καὶ ἀνὰ μέσον

δ. Ἀγγαί· Εἰς τὸν τόπον τοῦ θυσιαστηρίου, οὗ ἐποίησεν ἐκεῖ τὴν ἀρχήν· καὶ ἐπεκαλέσατο ἐκεῖ Ἄβραμ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ.

**ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐννόει μοι πῶς ἦν ἡσυχίας ἐραστὴς, καὶ ἀπραγμοσύνης, καὶ διηνεκῶς ἀνακείμενος τῇ πρὸς τὸ θεῖον θεραπείᾳ. ἐκεῖνον γάρ φησι τὸν τόπον κατέλαβεν, ἔνθα ἦν πρότερον τὸ θυσιαστήριον οἰκοδομήσας, καὶ ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Θεοῦ, καὶ προλαβὼν ἤδη ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐπλήρου τὸ παρὰ τοῦ „Δαβὶδ εἰρημένον· ὅτι ἐξελεξάμην τὸ πα- Ψαλ. 83. 10. „ραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλ- „λον, ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτω- Z λῶν. ἡ γὰρ ἐρημία διὰ τὴν ἐπίκλησιν τοῦ ὀνόματος τοῦ Θεοῦ προτιμοτέρα αὐτῷ ἐτύγχανε τῶν πόλεων.

ε. Καὶ Λὼτ τῷ συμπορευομένῳ μετὰ Ἄβραμ ἦν πρόβατα, καὶ βόες, καὶ σκηναί.

**ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐ μόνον τῷ πατριάρχῃ τὰ τῆς περιουσίας ηὔξετο, ἀλ- H „λὰ καὶ τῷ Λὼτ ἦν, φησὶ, πρόβατα, καὶ βόες, καὶ κτήνη. ἴσως τὰ μὲν αὐτὸς φιλότιμος ὢν ἐδωρεῖτο τῷ ἀδελφιδῷ, τὰ δὲ καὶ ἕτεροι αὐτῷ παρεῖχον διὰ τὴν εἰς τὸν πατριάρχην τιμήν.

ϛ. Καὶ

ς. Καὶ οὐκ ἐχώρει αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα, ὅτι ἦν τὰ ὑπάρχοντα αὐτῶν πολλὰ, καὶ οὐκ ἠδύναντο κατοικεῖν ἅμα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα τὸ πλῆθος τῆς περιουσίας εὐθέως διαστάσεως αἴτιον γινόμενον, καὶ τὴν διαίρεσιν ἐργαζόμενον, καὶ τὴν ὁμόνοιαν διακόπτον, καὶ τῆς συγγενείας τὸν σύνδεσμον διαιροῦν.

ζ. Καὶ ἐγένετο μάχη ἀνὰ μέσον τῶν ποιμένων τῶν κτηνῶν τοῦ Ἅβραμ, καὶ ἀνὰ μέσον τῶν ποιμένων τῶν κτηνῶν τοῦ Λώτ. οἱ δὲ Χαναναῖοι, καὶ οἱ Φερεζαῖοι τότε κατῴκουν τὴν γῆν.

ΩΡΙΓΕΝΟΥΣ. Ὡς φαῦλοι οἱ Χαναναῖοι κατῴκουν, καὶ οὐ παρῴκουν τὴν γῆν. ὥστε φαῦλοι κατοικοῦσιν, οὐ παροικοῦσι τὴν γῆν.

η. Εἶπε δὲ Ἅβραμ τῷ Λὼτ, μὴ
ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ
ἀνὰ μέσον τῶν ποιμένων μου καὶ ἀνὰ
μέσον τῶν ποιμένων σου· ὅτι ἄνθρωποι
θ. ἀδελφοὶ ἡμεῖς ἐσμέν. Οὐκ ἰδοὺ πᾶ-
σα ἡ γῆ ἐναντίον σου ἐστί; διαχωρίσθητι
ἀπ' ἐμοῦ. εἰ σὺ εἰς ἀριστερὰ, ἐγὼ δὲ
εἰς δεξιά· εἰ δὲ σὺ εἰς δεξιὰ, ἐγὼ
εἰς ἀριστερά.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μεγάλη τοῦ δικαίου ἡ φιλοσοφία. διὰ πάντων ἀνεπαχθὴς βούλεται γενέσθαι τῷ ἀδελφιδῷ. ἐπειδὴ γάρ φησιν ὅπερ οὐκ ἐβουλόμην, τοῦτο γίνεται, καὶ ἵνα τὰ τῆς φιλονεικίας παυθῇ, τὸν χωρισμὸν ἀνάγκη συμβῆναι· διὰ τοῦτο σὲ κύριον καθίστημι τῆς αἱρέσεως, καὶ τὴν ἐξουσίαν σοι πᾶσαν δίδωμι, ἵνα ἣν νομίσῃς τιμιωτέραν γῆν, ἐκείνην ἑλόμενος, τὴν λοιπὴν ἐμοὶ καταλίπῃς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐπειδὰν γοῦν ὁ νοῦς ἄρξηται γνωρίζειν ἑαυτὸν, καὶ τοῖς νοητοῖς ἐνομιλεῖν θεωρήμασιν, ἅπαν τὸ κλινόμενον τῆς ψυχῆς πρὸς τὸ αἰσθητὸν εἶδος ἀπώσεται, ὃ κέκληται παρ' Ἑβραίοις Λώτ. οὗ χάριν ὁ σοφὸς εἰσάγεται λέγων ἄντικρυς, διαχωρίσθητι ἀπ' ἐμοῦ. συνοικεῖν γὰρ ἀμήχανον τὸν ἀσωμάτων καὶ ἀφθάρτων ἔρωτι κατεσχημένον, τῷ πρὸς τὰ αἰσθητὰ καὶ θνητὰ ῥέοντι.

ι. Καὶ ἐπάρας Λὼτ τοὺς ὀφθαλμοὺς αὐτοῦ, εἶδε πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, ὅτι πᾶσα ἦν ποτιζομένη, πρὸ τοῦ καταστρέψαι τὸν Θεὸν Σόδομα καὶ Γόμορρα, ὡς παράδεισος τοῦ Θεοῦ, καὶ ὡς ἡ γῆ Αἰγύπτου, ἕως ἐλθεῖν εἰς Ζόγορα.

A ΑΔΗΛΟΥ. Ὅτι ἦν τὰ Σόδομα ὡσεὶ παράδεισος. ὅρα τοίνυν, ὅτι αἰσθητὸς ἦν ὁ παράδεισος. τούτοις γὰρ παρέβαλεν αὐτόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀσκάλωνος γὰρ ἄνω καὶ Γάζης εἰς αὐτὸ τοῦ Ἰορδάνου ποταμοῦ τὸ τέλος ἐστὶ χώρα πολλή τις καὶ εὔφορος, μᾶλλον δὲ ἦν. νῦν γὰρ οὐκ ἔστιν.
» αὕτη δὴ οὖν, ὡς παράδεισος ἦν. εἶδε γάρ
B » φησι Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορ-
» δάνου, καὶ ἦν ποτιζομένη, ὡς παράδεισος τοῦ Θεοῦ. αὕτη δὴ οὖν ἡ οὕτως εὐθαλὴς, καὶ πρὸς πάσας τὰς χώρας ἁμιλλωμένη, ἡ φθάνουσα τῇ εὐθηνίᾳ τὸν παράδεισον τοῦ Θεοῦ, πασῶν τῶν ἐρήμων ἐρημοτέρα ἐστὶ νῦν. καὶ ἕστηκε μὲν δένδρα, καὶ καρπὸν ἔχει. ὁ δὲ καρπὸς τῆς τοῦ Θεοῦ ὀργῆς ἐστιν ὑπόμνημα. ἑστήκασι μὲν γὰρ ῥόαι, καὶ τὸ ξύλον, λέγω, καὶ ὁ καρπὸς, λαμπρὰν τὴν ἐπιφάνειαν ἔχουσαι, καὶ τῷ ἀγνῶτι
Γ παρέχουσαι πολλὰς τὰς ἐλπίδας· εἰ δὲ ληφθεῖεν εἰς χεῖρας, διακλασθεῖσαι καρπὸν μὲν οὐδένα, κόνιν δὲ καὶ τέφραν πολλὴν δεικνύουσιν ἐναποκειμένην ἔνδον.

ια. Καὶ ἐξελέξατο ἑαυτῷ Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου. καὶ ἀπῆρε Λὼτ ἀπὸ ἀνατολῶν· καὶ διεχωρίσθησαν ἕκαστος ἀπὸ τοῦ ἀδελ-
Δ φοῦ αὐτοῦ.

ΑΔΗΛΟΥ. Ὁ Λὼτ τοῦ Ἅβραμ διαχωρίζεται, οὐχ Ἅβραμ τοῦ Λώτ· ὅσον ἐστὶ τῷ λόγῳ αὐτοῦ τοῦ Ἅβραμ.

ιβ. Ἅβραμ δὲ κατῴκησεν ἐν γῇ Χαναάν. καὶ Λὼτ κατῴκησεν ἐν πόλει τῶν περιχώρων, καὶ ἐσκήνωσεν ἐν Σοδόμοις.

E ιγ. Οἱ δὲ ἄνθρωποι οἱ ἐν Σοδόμοις πονηροὶ καὶ ἁμαρτωλοὶ ἐναντίον τοῦ Θεοῦ σφόδρα.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐπεὶ καὶ ἐν ἄλλοις τετηρήκαμεν διαφορὰν πονηρῶν καὶ ἁμαρτωλῶν· ὥσπερ καὶ ἐν τῷ, σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ. ἐπιβαίνοντες ταῖς τῶν σημαινομένων ἐννοίαις, φαμέν. (1) μήποτε πονηροὶ εἰσιν οἱ ἐκουσίως κακοποιητικοὶ, ἁμαρτωλοὶ δὲ οἱ οὐ
Z πάντως τοιοῦτοι, ἀλλ' ἔκτινος ἡδυπαθείας καὶ ἀκολασίας ἁμαρτάνοντες. ἔτι δὲ καὶ τοῦτο σημειωτέον, ὅτι μείζων κατηγορία πονηρῶν καὶ ἁμαρτωλῶν, ὅτε ἐναντίον τοῦ Θεοῦ λέγονται οἱ τοιοῦτοι εἶναι. εἰ δὲ καὶ τὸ, σφόδρα, μετὰ τούτου προσκέοιτο, ἔτι μᾶλλον κατηγοροῦνται περὶ ὧν ὁ λόγος, ὥσπερ νῦν οἱ ἐν Σοδόμοις ἄνθρωποι.

H ιδ. Ὁ δὲ Θεὸς εἶπε πρὸς Ἅβραμ μετὰ τὸ διαχωρισθῆναι τὸν Λὼτ ἀπ' αὐτοῦ, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου,

(1) Ἀντὶ τοῦ, ἐπιβαίνοντες ταῖς τῶν σημαινομένων ἐννοίαις, φαμέν, ὁ τῆς Ἀγγ. κώδ. ἔχει, σκεπτῶμεν.

μοῖς σου, καὶ ἴδε ἀπὸ τοῦ τόπου; οὗ νῦν A
σὺ εἶ πρὸς Βοῤῥᾶν καὶ Λίβα καὶ ἀνα-
ιε. τολὰς καὶ θάλασσαν. Ὅτι πᾶσαν
τὴν γῆν, ἣν σὺ ὁρᾷς σοὶ δώσω αὐτὴν
καὶ τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες ἀντίδοσιν πολλῷ τῷ μέτρῳ ὑπερβαίνουσαν τὰ παρ' αὐτοῦ γινόμενα; δι' αὐτῶν τῶν ῥημάτων ἔρχεται ὁ φιλάνθρωπος δεσπότης, δι' ὧν καὶ ὁ πατριάρχης τὴν παραχώρησιν ἐποιήσατο. καθάπερ γὰρ ἐκεῖνος ἔλεγεν, „ οὐκ ἰδοὺ πᾶσα ἡ γῆ ἐναντίον σου; διαχωρίσθητι ἀπ' ἐμοῦ· εἰ σὺ εἰς δεξιὰ, ἐγὼ εἰς ἀριστερά· εἰ δὲ σὺ εἰς ἀριστερὰ, ἐγὼ εἰς δεξιά. „ οὕτω καὶ ὁ δεσπότης φησίν· ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου, ἴδε ἀπὸ τοῦ τόπου, οὗ σὺ εἶ νῦν, ὅτι πᾶσαν τὴν γῆν, ἣν ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος.

Πραξ. 7. 5. ΑΔΗΛΟΥ. Στέφανος δὲ λέγει, „ οὐκ ἔδωκεν αὐτῷ οὐδὲ βῆμα ποδός. ἀληθῶς γὰρ οὐκ ἔδωκεν αὐτῷ οὐδὲ βῆμα ποδός. τὸ δὲ, σοὶ δώσω, διὰ τῶν ἑξῆς ἐπαγομένων δηλοῖ. πῶς δὲ δίδωσιν αὐτῷ; λέγων καὶ τῷ σπέρματί σου. τὸ οὖν ἐπαγόμενον ἑρμηνεία ἐστὶ τοῦ, σοὶ δώσω. κεῖται γὰρ ἐν τόποις πολλοῖς ἐφεξῆς.

ις. Καὶ ποιήσω τὸ σπέρμα σου, ὡς
τὴν ἄμμον τῆς γῆς· εἰ δύναταί τις
ἐξαριθμῆσαι τὴν ἄμμον τῆς γῆς,
καὶ τὸ σπέρμα σου ἐξαριθμηθήσεται.
ιζ. Ἀναστὰς διόδευσον τὴν γῆν εἰς τὸ μῆ-
κος αὐτῆς, καὶ εἰς τὸ πλάτος αὐ-
τῆς· ὅτι σοὶ δώσω αὐτήν.
ιη. Καὶ ἀποσκηνώσας Ἄβραμ ἐλ-
θὼν, παρῴκησε παρὰ τὴν δρῦν τὴν B
Μαμβρῆ, ἣ ἦν ἐν Χεβρών· καὶ ᾠκο-
δόμησεν ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ.

ΑΔΗΛΟΥ. Σόδομα, τύφλωσις, ἢ στέρησις· Μαμβρῆ ἑρμηνεύεται ἀπὸ ὁράσεως· Χεβρὼν δὲ, ζυγή. (1) ἢ ἑταιρία· Γόμοῤῥα, μέτρου ὄνομα· ἕως τῆς Τερεβίνθου, ἡ πόλις αὕτη τοῦ Ἰώβ.

Γ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ γὰρ τὴν σκηνὴν ἐπήξατο, εὐθέως ὑπὲρ τῆς γεγενημένης αὐτῷ ἐπαγγελίας τὰς εὐχαριστίας ἀνέφερε τῷ δεσπότῃ. καὶ καθ' ἕκαστον τόπον, ἔνθα κατεσκήνου, εὑρήσεις αὐτὸν τοῦτο πρὸ πάντων ἐπιμελούμενον, καὶ θυσιαστήριον οἰκοδομοῦντα, καὶ τὰς εὐχὰς ἀναφέροντα, καὶ ἀποστολικὸν νόμον πληροῦντα, „ τὸν κελεύοντα ἐν παντὶ τόπῳ εὔχεσθαι, ἐπαίροντας ὁσίας χεῖρας. 1. Τιμ. 2. 8.

ΚΕΦ. ΙΔ.

α. Ἐγένετο δὲ ἐν τῇ βασιλείᾳ
τῇ Ἀμαρφὰλ βασιλέως
Σενναὰρ Ἀριὼχ βασι-
λεὺς Σελλασὰρ, καὶ Χοδολλογομὸρ
βασιλεὺς Ἐλὰμ, καὶ Θαργὰλ βα-
β. σιλεὺς ἐθνῶν, Ἐποίησαν πόλεμον
μετὰ Βαλλὰ βασιλέως Σοδόμων, καὶ
μετὰ Βαρσὰ βασιλέως Γομόῤῥας,
καὶ Σενναὰρ βασιλέως Ἀδαμὰ, καὶ
Συμοβὸρ βασιλέως Σεβωεὶμ, καὶ βα-
σιλέως Βαλά· αὕτη ἐστὶ Σηγώρ.
γ. Πάντες οὗτοι συνεφώνησαν εἰς τὴν
Φάραγγα τὴν ἁλυκήν· αὕτη ἡ θά-
δ. λασσα τῶν ἁλῶν. Δώδεκα ἔτη ἐδού-
λευσαν τῷ Χοδολλογομόρ· τῷ δὲ τρι-
ε. σκαιδεκάτῳ ἔτει ἀπέστησαν. Ἐν δὲ
τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει ἦλθε Χο-
δολλογομὸρ καὶ οἱ βασιλεῖς οἱ μετ'
αὐτοῦ, καὶ κατέκοψαν τοὺς γίγαντας
τοὺς ἐν Ἀσαρὼθ Καρναΐν, καὶ ἔθνη
ἰσχυρὰ ἅμα αὐτοῖς, καὶ τοὺς Ὀμμαίους
ς. ἐν Σαβῆ τῇ πόλει, Καὶ τοὺς Χοῤ-
ῥαίους τοὺς ἐν τοῖς ὄρεσι Σηεὶρ, ἕως τῆς
Τερεβίνθου τῆς Φαράν· ἥ ἐστιν ἐν τῇ H
ζ. ἐρήμῳ. Καὶ ἀναστρέψαντες ἦλθον
ἐπὶ τὴν γῆν (2) τῆς κρίσεως· αὕτη
ἐστὶ Κάδης. καὶ κατέκοψαν πάντας
τοὺς ἄρχοντας Ἀμαλὴκ, καὶ τοὺς Ἀ-
μοῤῥαίους τοὺς κατοικοῦντας ἐν Ἀσα-
η. σανθάμαρ. Ἐξῆλθε δὲ ὁ βασιλεὺς
Σοδόμων, καὶ ὁ βασιλεὺς Γομόῤῥας,
καὶ βασιλεὺς Ἀδαμὰ, καὶ βασιλεὺς
Σεβωεὶμ, καὶ βασιλεὺς Βαλά· αὕ-
τη ἐστὶ Σηγώρ· καὶ παρετάξαντο αὐ-
τοῖς εἰς πόλεμον ἐν τῇ κοιλάδι τῇ
θ. ἁλυκῇ, Πρὸς Χοδολλογομὸρ βασι-
λέα Ἐλὰμ (3) βασιλέα Σενναὰρ,
καὶ Ἀριὼχ βασιλέα Σελλασάρ· οἱ
τέσσαρες βασιλεῖς πρὸς τοὺς πέντε.
ι. Ἡ δὲ κοιλὰς ἡ ἁλυκὴ, φρέατα ἀσ-
φάλτου. ἔφυγε δὲ βασιλεὺς Σοδό-
μων εἰς τὴν φάραγγα, καὶ βασι-
λεὺς Γομόῤῥας, καὶ ἐνέπεσον ἐκεῖ·
οἱ δὲ καταλειφθέντες, εἰς τὴν ὀρεινὴν
ἔφυγον.

** ΙΩΣΗΠΟΥ. Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν Ἀσσυρίων κρατούντων τῆς Ἀσίας, Σοδομίταις ἤνθει τὰ πράγματα, ὥστε πλοῦτον ἐπιδεδοκότων αὐτῶν καὶ νεότητα πολλήν. βασιλεῖς τε αὐτοῖς διεῖπον πέντε τὴν

(1) Ἴσως ζυγία. (2) Τὴν πηγήν. ἐν ταῖς κοιν. ἐκδ.
(3) Καὶ Θαργὰλ βασιλέα ἐθνῶν, καὶ Ἀμαρφὰλ βασιλέα Σενναάρ. αὐτ.

τὴν χώραν, Βαλλὰς, Βαρεὰς, Συνάβαρος, καὶ Συμόβολος, ὅ,τε Βαλεῖν. βασιλικῆς μοίρας δὲ ἦρχον ἕκαστος ἰδίας. ἐπὶ τούτους στρατεύσαντες Ἀσσύριοι, καὶ μέρη τέσσαρα ποιήσαντες τῆς στρατιᾶς, ἐπολιόρκουν αὐτούς. στρατιᾶς δ' ἑκάστης ἦν εἷς ἐπιτεταγμένος. γενομένης δὲ μάχης, νικήσαντες οἱ Ἀσσύριοι, φόρον ἐπιτάττουσι τοῖς Σοδομιτῶν βασιλεῦσι. δώδεκα μὲν οὖν ἔτη δουλεύοντες, καὶ τοὺς ἐπιταχθέντας αὐτοῖς φόρους τελοῦντες, ὑπέμειναν· τῷ δὲ τρισκαιδεκάτῳ ἀπέστησαν. καὶ διαβαίνει στρατὸς Ἀσσυρίων ἐπ' αὐτοὺς, στρατηγούντων Μαρφάδου, Ἀριόχου, Χοδολλογομόρου, Θαργάλου. οὗτοι τήν τε Συρίαν ἅπασαν διηρπάσαντο, καὶ τοὺς τῶν γιγάντων ἀπογόνους κατεστρέψαντο. γενόμενοι δὲ κατὰ Σόδομα, στρατοπεδεύουσι κατὰ τὴν κοιλάδα τὴν λεγομένην, Φρέατα ἀσφάλτου. κατ' ἐκεῖνον γὰρ τὸν καιρὸν φρέατα ἦν ἐν τῷ τόπῳ. νῦν μέντοι τῆς Σοδομιτῶν πόλεως ἀφανισθείσης, ἡ κοιλὰς ἐκείνη λίμνη γέγονεν, ἡ λεγομένη ἀσφαλτίτης. τῶν δὲ Σοδομιτῶν συμβαλόντων τοῖς Ἀσσυρίοις, καὶ καρτερᾶς τῆς μάχης γενομένης, πολλοὶ μὲν αὐτῶν ἀπέθανον, οἱ λοιποὶ δὲ ᾐχμαλωτίσθησαν, σὺν οἷς καὶ Λώτος ἤγετο, τοῖς Σοδομίταις σύμμαχος ἐληλυθώς.

ια. Ἔλαβον δὲ τὴν ἵππον πᾶσαν τὴν Σοδόμων καὶ Γομόρρας, καὶ πάντα τὰ βρώματα αὐτῶν, καὶ ἀπῆλθον.

ΩΡΙΓΕΝΟΥΣ. Ἵππον Σοδομῖται νῦν πρῶτον ὠνομασμένην ὡς φαῦλοι ἔχειν λέγονται.

ιβ. Ἔλαβον δὲ καὶ τὸν Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ Ἅβραμ, καὶ τὴν ἀποσκευὴν αὐτοῦ· καὶ ᾤχοντο· ἦν γὰρ κατοικῶν ἐν Σοδόμοις.

ιγ. Παραγενόμενος δέ τις τῶν ἀνασωθέντων, ἀπήγγειλεν Ἅβραμ τῷ περάτῃ· αὐτὸς δὲ κατῴκει πρὸς τῇ Μαμβρῇ Ἀμορραίου τοῦ ἀδελφοῦ Ἐσχὼλ, καὶ τοῦ ἀδελφοῦ Αὐνᾶν· οἳ ἦσαν συνωμόται τοῦ Ἅβραμ.

ΓΕΝΝΑΔΙΟΥ. Παραγενόμενος δέ τις τῶν ἀνασωθέντων, ἀνήγγειλεν Ἅβραμ τῷ περάτῃ. περάτην δὲ ἐπωνόμαζον, διὰ τὸ περαιωθέντα τὴν μέσην τῶν ποταμῶν, πρὸς αὐτοὺς οὕτως ἐλθεῖν. περάτης δὲ κατὰ τὴν τῶν Σύρων γλῶτταν, Ἑβραῖος προσαγορεύεται. ὅθεν καὶ τὸ ἐξ αὐτοῦ γένος ἅπαν συστὰν, τὴν ἐπωνυμίαν ταύτην ἐδέξατο.

ΑΚΑΚΙΟΥ. Καὶ ἀπήγγειλε, φησὶν, Ἅβραμ τῷ περάτῃ. τὸ ἀπὸ τοῦ προπάτορος τοῦ Ἅβραμ. λέγω δὲ τοῦ Ἕβερ, ἐθνικὸν ὄνομα ἑρμηνευθὲν, ἐτέθη. οἷον ἀντὶ τῷ Ἅβραμ τῷ Ἑβραίῳ, Ἅβραμ τῷ περάτῃ. Ἑβραῖος γὰρ, περάτης ἑρμηνεύεται.

ΔΙΟΔΩΡΟΥ. Τὰ ἐπέκεινα τοῦ Ἰορδάνου διηγησάμενος ὁ Μωϋσῆς, τουτέστι τὸν πόλεμον, ὃν ἐπολέμησαν Πέρσαι πρὸς τοὺς βασιλεῖς τῶν Σοδομιτῶν, καὶ Γομόρρων, τότε περάτην καλεῖ τὸν Ἀβραὰμ, ὡσανεὶ πέραν οἰκοῦντα τοῦ Ἰορδάνου. ἐπάγει γάρ· αὐτὸς δὲ κατῴκει πρὸς τῇ Δρυῒ τῇ Μαμβρῇ, δεικνὺς διατὶ περάτης ὠνομάσθη νῦν.

ΑΔΗΛΟΥ. Περάτης ἐκαλεῖτο ὁ Ἅβραμ, ἐπειδὴ ἀπὸ τῆς Χαλδαίων χώρας διαπεράσας τὴν Μεσοποταμίαν, ἦλθεν εἰς τὰ μέρη τῶν Χαναναίων. ἑρμηνεύεται δὲ καὶ τοῖς περὶ Ἀκύλαν, Ἑβραῖος.

ιδ. Ἀκούσας δὲ Ἅβραμ ὅτι ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφὸς αὐτοῦ, ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς αὐτοῦ, ὀκτωκαίδεκα καὶ τριακοσίους· καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δάν.

** ΚΛΗΜΕΝΤΟΣ. Καθάπερ οὖν ἐπὶ τῆς Ἀστρονομίας ἔχομεν ὑπόδειγμα τὸν Ἀβραὰμ, οὕτως ἐπὶ τῆς ἀριθμητικῆς τὸν αὐτὸν Ἀβραάμ. ἀκούσας γὰρ, ὅτι αἰχμάλωτος ἐλήφθη ὁ Λὼτ, τοὺς ἰδίους οἰκογενεῖς τιη. ἀριθμήσας, καὶ ἐπεξελθὼν, πάμπολυν ἀριθμὸν χειροῦται. φασὶν οὖν εἶναι τοῦ μὲν κυριακοῦ σημείου τύπον κατὰ τὸ σχῆμα τὸ τριακοσιοστὸν στοιχεῖον· τὸ δὲ ἰῶτα, καὶ τὸ ἦτα, τοὔνομα σημαίνειν τὸ σωτήριον. μηνύεσθαι τοίνυν, τοὺς Ἀβραὰμ οἰκείους εἶναι κατὰ τὴν σωτηρίαν· τοὺς τῷ σημείῳ καὶ τῷ ὀνόματι προσπεφευγότας, κυρίους γεγονέναι τῶν αἰχμαλωτιζόντων καὶ τῶν τούτοις ἀκολουθούντων παμπόλλων ἀπίστων ἐθνῶν. ἤδη δὲ ὁ μὲν τριακόσια ἀριθμὸς, τριὰς ἐστιν ἐν ἑκατοντάδι· ἡ δεκὰς δὲ, ὁμολογεῖται παντέλειος εἶναι· ὁ δὲ ὀκτὼ, κύβος ὁ πρῶτος, ἡ ἰσότης ἐν ἁπάσαις ταῖς διαστάσεσι, μήκους, πλάτους, βάθους.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι ἡ Δὰν περὶ τὰ μέρη Δαμασκοῦ ἐστιν, ἡ Σιδῶνος· Βηρσαβεὲ δὲ, πρὸς τὴν ὀρεινὴν τῆς Παλαιστίνης.

ιε. Καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς τὴν νύκτα αὐτὸς, καὶ οἱ παῖδες αὐτοῦ· καὶ ἐπάταξεν αὐτοὺς, καὶ ἐξεδίωξεν ἕως Χωβὰλ, ἥ ἐστιν ἐν ἀριστερᾷ Δαμασκοῦ.
ιϛ. Καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων· καὶ Λὼτ τὸν ἀδελφὸν αὐτοῦ ἀπέστρεψε, καὶ πάντα τὰ ὑπάρχοντα, καὶ τὰς γυναῖκας, καὶ τὸν λαόν.

** ΙΩΣΗΠΟΥ. Ἀβράμου δὲ ἀκούσαντος τὴν συμφορὰν αὐτῶν, φόβος τε ἅμα περὶ Λώτου τοῦ συγγενοῦς ὄντος εἰσῆλθε καὶ οἶκτος περὶ τῶν Σοδομιτῶν φίλων ὄντων, καὶ γειτνιώντων. καὶ βοηθεῖν αὐτοῖς δοκιμάσας, οὐκ ἀνέμεινεν, ἀλλ' ἐπειχθεὶς, καὶ κατὰ πέμπτην ἐπιπεσὼν νύκτα τοῖς Ἀσσυρίοις περὶ Δάνον· οὕτω γὰρ ἡ ἑτέρα τοῦ

τοῦ Ἰορδάνου προσαγορεύεται. πηγή· καὶ φθάσας πρὶν ἐν ὅπλοις γενέσθαι, τοὺς μὲν ἐν ταῖς κοίταις ὄντας ἀπέκτεινε, μηδ' ἐπίνοιαν τῆς συμφορᾶς ἔχοντας, οἱ δὲ μήπω πρὸς ὕπνον τετραμμένοι, μάχεσθαι δ' ὑπὸ μέθης ἀδύνατοι, ἔφυγον. Ἄβραμος δὲ διώκων εἵπετο, μέχρι καὶ δευτεραίους συνήλασεν αὐτοὺς εἰς Σωβᾶ τῆς Δαμασκηνῶν γῆς· ἐπιδείξας, ὅτι τὸ νικᾶν οὐκ ἐν τῷ πλήθει, καὶ τῇ πολυχειρίᾳ κεῖσθαι συμβέβηκεν, ἀλλὰ προθυμίᾳ τῶν μαχομένων· καὶ τὸ γενναῖον κρατεῖ παντὸς ἀριθμοῦ, τριακοσίοις καὶ δέκα καὶ ὀκτὼ οἰκέταις αὐτοῦ, καὶ τρισὶ φίλοις τοσούτου στρατοῦ περιγενόμενος. ὁπόσοι δὲ αὐτῶν καὶ διέφυγον, ἀδόξως ἀνέστρεψαν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Θέα μοι τῆς δυνάμεως τοῦ Θεοῦ τὴν ὑπερβολήν, μεθ' ὅσης ταχύτητος τὰ τῆς νίκης γεγένηται. „ ἐπέπεσε γὰρ αὐτοῖς, φησί, τὴν νύκτα, „ αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ ἐπάταξεν „ αὐτούς, καὶ ἐδίωξεν αὐτούς. ἡ γὰρ ἄνωθεν χεὶρ ἡ συνεφαπτομένη καὶ συστρατηγοῦσα τοῖς γινομένοις. διὸ οὐδὲ ὅπλων αὐτοῖς ἐδέησεν, οὐδὲ μηχανημάτων, ἀλλὰ μόνον φανεὶς μετὰ τῶν οἰκετῶν, τοὺς μὲν ἐπάταξε, τοὺς δὲ εἰς φυγὴν ὁρμῆσαι παρεσκεύασε, καὶ ἑκάτερον ἐποίησε μετὰ ἀδείας ἁπάσης, οὐδενὸς ὄντος τοῦ ἐνοχλοῦντος. „ τήν τε ἵππον τοῦ βασιλέως Σοδόμων „ ἀπέστρεψε, καὶ τὸν Λὼτ τὸν ἀδελφιδοῦν „ αὐτοῦ, καὶ πάντα τὰ ὑπάρχοντα, καὶ τὰς „ γυναῖκας.

ιζ. Ἐξῆλθε δὲ βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτοῦ μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογομὸρ, καὶ τῶν βασιλέων τῶν μετ' αὐτοῦ εἰς τὴν κοιλάδα τοῦ Σαβή· τοῦτο ἦν τὸ πεδίον βασιλέων.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ βασιλεὺς τῷ ξένῳ τῷ πρεσβύτῃ εἰς συνάντησιν ἔξεισι, καὶ πᾶσαν ἀπονέμει τιμήν. ἐμάνθανε γάρ, ὡς οὐδὲν αὐτῷ τῆς βασιλείας ὄφελος, τῆς ἄνωθεν συμμαχίας ἠρημωμένῳ, καὶ ὡς οὐδὲν ἂν γένοιτο δυνατώτερον τοῦ ὑπὸ τῆς τοῦ Θεοῦ χειρὸς βοηθουμένου.

ιη. Καὶ Μελχισεδὲκ δὲ βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτον καὶ οἶνον· ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου.

** ΕΠΙΦΑΝΙΟΥ. Παρά τισι τοῦ Μελχισεδὲκ ὁ πατήρ τε καὶ ἡ μήτηρ ἐμφέρεται· οὐκ ἔχει δὲ κατὰ τὰς ῥητὰς Γραφὰς καὶ ἐνδιαθέτους. εἶπον δέ τινες Ἡρακλᾶν καλεῖσθαι αὐτοῦ τὸν πατέρα, μητέρα δὲ Ἀσταρὼθ, τὴν καὶ Ἀστερίαν. ἦν δὲ οὗτος υἱὸς τῶν ἐπιχωρίων κατ' ἐκεῖνο καιροῦ ἐν τῇ τῆς Σαβῆς πεδιάδι κατοικούντων. Σαλὴμ δὲ ἡ πόλις ἐκαλεῖτο· περὶ ἧς ἄλλος ἄλλως ἐξέδωκε, καὶ ἄλλος ἄλλως. οἱ μὲν γὰρ λέγουσιν αὐτὴν τὴν νῦν Ἱερουσαλὴμ καλουμένην, ποτὲ δὲ Ἰεβοὺς λεγομένην· ἄλλοι

A δὲ ἔφασαν ἄλλην τινὰ Σαλὴμ εἶναι ἐν τῷ πεδίῳ Σικίμων, καταντικρὺς τῆς νυνὶ Νεαπόλεως καλουμένης.

* ΠΡΟΚΟΠΙΟΥ. Ἰώσηπος Σαλὴμ, τὴν νῦν Ἱερουσαλὴμ λέγει.

** ΤΟΥ ΑΥΤΟΥ. Καὶ ἐπειδήπερ ἡ αὐτὴ (ἡ Σαλὴμ) καὶ Ἰεβοὺς ἐκαλεῖτο, ἡ συνδρομὴ τῶν δύο ὀνομάτων τοῦτε Ἰεβοὺς καὶ τοῦ Σαλὴμ, ἐποίησεν Ἱερουσαλὴμ τρο-
B πῇ τοῦ β, εἰς τὸ ρ.

** ΙΩΣΗΠΟΥ. Ἀπήντησε δὲ αὐτῷ ὁ τῶν Σοδομιτῶν βασιλεὺς εἰς τόπον τινὰ, ὃν καλοῦσι πεδίον βασιλικόν. ἔνθα ὁ τῆς Σόλυμα πόλεως ὑποδέχεται βασιλεὺς αὐτὸν Μελχισεδέκης. σημαίνει δὲ τοῦτο βασιλεὺς δίκαιος. καὶ ἦν δὲ τοιοῦτος ὁμολογουμένως. διὰ ταύτην αὐτοῦ τὴν αἰτίαν καὶ ἱερέα γενέσθαι τοῦ Θεοῦ. τὴν μέντοι Σόλυμα, ὕστερον ἐκάλεσαν Ἱεροσόλυμα.

Γ ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Οὐ γενεαλογεῖται ὁ Μελχισεδὲκ, ὡς οὐκ ἀξίων τῶν προγόνων ὄντων τῆς ἀρετῆς τοῦ δικαίου· ἀφωμοίωται δὲ τῷ Χριστῷ, οὐ κατὰ τὴν φύσιν τῆς σαρκός· καὶ γὰρ ὁ Κύριος γενεαλογεῖται· ἀλλὰ κατὰ τὴν ἀνωτάτω τάξιν, ἀδιήγητον ἔχων τὴν γενεάν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ Μελχισεδὲκ πόθεν κατῆγε τὸ γένος; Τοῦ θεσπεσίου Παύλου λέ-
Δ „ γοντος, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγη- Ἑβρ. ζ. γ.
„ τος, τίς ἂν γνοίη τὸ ἀληθές; εἰκὸς δὲ αὐτὸν ἐκ τῶν ἐθνῶν ἐκείνων εἶναι τῶν τὴν Παλαιστίνην οἰκούντων. ἐκείνων γὰρ καὶ βασιλεὺς καὶ ἱερεὺς ἐτύγχανεν ὤν. ἱερεὺς „ δὲ τοῦ τῶν ὅλων Θεοῦ. ἦν γάρ φησιν ἱερεὺς τοῦ ὑψίστου. ὅθεν αὐτῷ καὶ Ἀβραὰμ ὁ πατριάρχης προσενήνοχε τὰς τῶν λαφύρων δεκάτας, καὶ δίκαιος ὤν, καὶ τοῦ Θεοῦ φίλος, παρ' ἐκείνου τὴν εὐλογίαν καρποῦται.
E τῆς γὰρ δεσποτικῆς εἶχεν ἱερωσύνης τὸν τύπον. διὸ δὴ καὶ ἄρτους τῷ Ἀβραὰμ καὶ οἶνον ἀντέδωκε. τοιαῦτα τυχὸν προσφέρειν εἰωθὼς τῷ τῶν ὅλων Θεῷ. ἔδει γὰρ κἀν τούτῳ δειχθῆναι τὸν τρόπον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἱερεὺς δὲ ἦν ἴσως αὐτοχειροτόνητος. οὕτω γὰρ ἦσαν τότε οἱ ἱερεῖς· ἤτοι οὖν διὰ τὸ τῇ ἡλικίᾳ προβῆναι οἱ προσήκοντες αὐτῷ ἀπονενεμήκασι τὴν τιμήν· ἢ καὶ αὐτὸς ἱερατεύειν
Z ἐπετήδευε, καθάπερ ὁ Νῶε, καθάπερ ὁ Ἀβραὰμ ἡνίκα τὰς θυσίας προσῆγεν. ἀλλὰ καὶ τύπος ἔμελλεν εἶναι τοῦ Χριστοῦ.

ιθ. Καὶ εὐλόγησε τὸν Ἄβραμ, καὶ εἶπεν, εὐλογημένος Ἄβραμ παρὰ τῷ Θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν.

** ΚΥΡΙΛΛΟΥ. Εὐλόγηται τοίνυν ἡ
H κατὰ νόμον δικαιοσύνη παρὰ τῆς ἐν Χριστῷ λατρείας· ἧς τύπος ὁ Μελχισεδέκ. προφερεστέρα δὲ ὅτι καὶ ἀσυγκρίτως ἡ εὐλογία, οἷά τε τῆς οὐκ ὧδε ἐχούσης, πῶς ἂν ἐνδοιάσειέ τις;

Α **κ. Καὶ εὐλογημένος ὁ Θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑπὸ χεῖρά σοι· καὶ ἔδωκεν Ἄβραμ δεκάτας αὐτῷ ἀπὸ πάντων.**

** ΕΠΙΦΑΝΙΟΥ. Ἔδει γὰρ τὸν ἱερέα τοῦ ὑψίστου παρὰ δούλου Θεοῦ τιμηθῆναι. καὶ πρῶτον μὲν τὸν Ἀβραὰμ προσενέγκαι τῷ ἐν ἀκροβυστίᾳ ἱερεῖ ἱερουργοῦντι. καὶ ἐπειδὴ ἐξ αὐτοῦ ἤμελλεν ἐκ περιτομῆς γίνεσθαι ἡ ἱερωσύνη, ἵνα πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, διὰ τῆς γνώσεως καθαιροῖτο, πρὸς τὸ μὴ αὐχοῦσαν τὴν περιτομὴν περὶ ἱερωσύνης δύνασθαι ἀντιλέγειν τῇ τῆς ἁγίας ἐκκλησίας ἱερωσύνῃ. εἰ γὰρ Ἀβραὰμ τῷ Μελχισεδὲκ προσήνεγκε δεκάτην, οἱ δὲ ἀπὸ Ἀβραὰμ τῷ Λευῒ προσφέρουσι, καὶ τῷ Ἀαρών· μετὰ χρόνον δὲ τοῦ πάλιν εἶναι τὴν ἱερωσύνην ἐκ περιτομῆς διὰ Ἀαρὼν· καὶ τῶν υἱῶν αὐτοῦ, καθεξῆς φάσκει ἡ Γραφὴ διὰ τοῦ Δαβὶδ μετὰ γενεὰς δεκαδύω τῆς τοῦ Λευῒ γεννήσεως, ἑβδόμης δὲ ἀπὸ τῆς Ἀαρὼν διαδοχῆς, φύσει ἔδοξεν οὐκ ἐν τῇ παλαιᾷ ἱερωσύνῃ τὸ ἱερατικὸν ἵστασθαι· μετατιθεμένης δὲ εἰς τὴν πρὸ τοῦ Λευῒ, καὶ πρὸ Ἀαρὼν κατὰ τὴν τάξιν Μελχισεδὲκ τῆς ἱερωσύνης. ὅπερ νυνὶ ἐν τῇ ἐκκλησίᾳ πολιτεύεται, ἀπὸ Χριστοῦ καὶ δεῦρο, μηκέτι τοῦ σπέρματος κατὰ διαδοχὴν ἐκλεγομένου, ἀλλὰ τοῦ κατὰ ἀρετὴν τύπου ζητουμένου.

ΑΔΗΛΟΥ. Πολεμήσας ὁ Ἀβραὰμ, τῶν σκύλων οὐ μεταλαμβάνει· μὴ πολεμήσας Μελχισεδὲκ, τὴν δεκάδα κομίζεται. προσήκει γὰρ ἱερεῖ τὰς ἱερὰς καρποῦσθαι τιμάς. προϋπάρχουσα δὲ τῆς ἐν περιτομῇ ἱερωσύνης ἡ ἐν ἀκροβυστίᾳ φαίνεται τοῦ Μελχισεδὲκ, ταύτην προτέρου κεκτημένου, καὶ κατὰ τὴν ταύτης μίμησιν ἡ ἐν Ἰσραηλίταις καθίσταται. καὶ δεκάτας οἱ ἐξ Ἀβραὰμ Λευῖται κομίζονται, ὥσπερ Ἀβραὰμ ἔδωκε τῷ Μελχισεδέκ. ταῦτα δὲ εἰς τὴν κατὰ Χριστοῦ ἱερωσύνην προετυποῦτο, πρὸς ὃν λέγεται, Ψαλ. 109. 4. « σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν « τάξιν Μελχισεδέκ.

κα. Εἶπε δὲ βασιλεὺς Σοδόμων πρὸς Ἄβραμ, δός μοι τοὺς ἄνδρας, τὴν δὲ ἵππον λάβε σεαυτῷ.

κβ. Εἶπε δὲ Ἄβραμ πρὸς βασιλέα Σοδόμων, ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν Θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ τίνος ἕνεκεν μεθ' ὅρκου τὴν ἀπαγόρευσιν ποιεῖται; « καί φησιν, ἐκτενῶ τὴν χεῖρά μου πρὸς τὸν « Θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν; Β Ἀμφότερα βούλεται παιδεῦσαι τὸν τῶν Σοδόμων βασιλέα, καὶ ὅτι κρείττων ἐστὶ τῶν παρ' αὐτοῦ δεδομένων, καὶ πολλὴν ἐπιδείκνυται τὴν φιλοσοφίαν, καὶ θεοσεβείας αὐτῷ διδάσκαλος γενέσθαι σπουδάζει· μονονουχὶ διδάσκων αὐτὸν, ὅτι ἐκεῖνόν σοι παρέχω μάρτυρα, ὅτι οὐδὲν τῶν παρὰ σοῦ λήψομαι, τὸν ἁπάντων δημιουργόν. ἵνα εἰδέναι ἔχοις τὸν ἐπὶ πάντων Θεὸν, καὶ μὴ νομίσῃς εἶναι θεοὺς τὰ ὑπὸ χειρῶν ἀνθρώπων κατασκευαζόμενα. Γ οὗτος γὰρ ὁ οὐρανοῦ καὶ γῆς ποιητὴς, αὐτὸς καὶ τὸν πόλεμον τοῦτον ἐτροπώσατο, καὶ τῆς νίκης αἴτιος κατέστη.

κγ. Εἰ ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος λήψομαι ἀπὸ πάντων τῶν σῶν, ἵνα μὴ εἴπῃς, ὅτι ἐγὼ ἐπλούτισα τὸν Ἄβραμ.

Δ ΑΚΥΛΑΣ Τὸ ἀπὸ σπαρτίου, ἀπὸ ῥάμματος.

ΣΥΜΜΑΧΟΣ Σφαιρωτῆρα, τὸν ἱμάντα τοῦ ὑποδήματός φησι.

ΑΔΗΛΟΥ. Οὐ θέλει Ἄβραμ, εἰπεῖν « τὸν Σοδομιτῶν βασιλέα, ἐγὼ ἐπλούτισα τὸν Ἄβραμ. διὸ οὐδὲν λαμβάνει Σοδομιτῶν. καὶ τοῦτο οὖν αὐτοῦ ζηλωτέον τοῦ Ἄβραμ.

Ε ** ΚΥΡΙΛΛΟΥ. Χαίρειν γὰρ ἁγίοις ἔθος, οὐκ ἐπὶ πλούτῳ κοσμικῷ. κεκρατηκότες τοίνυν ὁρατῶν τε καὶ ἀοράτων ἐχθρῶν, καὶ οὐδὲν ἀπὸ κόσμου δεχόμενοι, τιμῶντες δὲ μᾶλλον τὸν ἄνωθεν πλοῦτον, εὐλογούμεθα διὰ Χριστοῦ τοῦ τῆς εἰρήνης βασιλέως.

Ζ **κδ. Πλὴν ὧν ἔφαγον οἱ νεανίσκοι, καὶ τῆς μερίδος τῶν ἀνδρῶν τῶν συμπορευθέντων μετ' ἐμοῦ, Ἐσχὸλ, Αὐνὰν, Μαμβρή. οὗτοι λήψονται μερίδα αὐτῶν.** 30

ΚΕΦ. ΙΕ.

α. Μετὰ δὲ τὰ ῥήματα ταῦτα ἐγενήθη ῥῆμα Κυρίου πρὸς Ἄβραμ ἐν ὁράματι τῆς νυκτὸς, λέγων, μὴ φοβοῦ Ἄβραμ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Διὰ τί ἐν νυκτί; Ἵνα μεθ' ἡσυχίας δέξηται τὰ λεγόμενα. « καί φησι πρὸς αὐτὸν, μὴ φοβοῦ Ἄβραμ. σκόπει κηδεμονίας ὑπερβολήν. τίνος ἕνεκεν ἔλεγε μὴ φοβοῦ; ἐπειδὴ τοσούτου πλούτου κατεφρόνησεν ἔλαττον Η φροντίσας τῶν παρὰ τοῦ βασιλέως διδομένων, φησὶ πρὸς αὐτὸν ὁ Θεὸς, μὴ φοβηθῇς, ὅτι ὑπερεῖδες τοσούτων δωρεῶν, μηδὲ ἀγωνιάσῃς ὡς ἐλαττωμένης σοι τῆς περιουσίας.

Ἐγὼ

Ἐγὼ δὲ ὑπερασπίζωσυ· ὁ μισθός-
συ πολὺς ἔςαι.

ΣΥΜΜΑΧΟΣ. Ὑπερμάχομαι καθάπερ ὅπλον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐκ ἠβελήθης μισθὸν λαβεῖν ὑπὲρ τῶν καμάτων, ὧν ὑπέμεινας τοσύτοις κινδύνοις ἑαυτὸν παραβαλὼν, ἀλλ' ὑπερεῖδες καὶ τῦ βασιλέως, καὶ τῶν παρ' αὐτῦ σοι δεδομένων. ἐγώ σοι παρέξω τὸν μισθὸν, ὐ τοσῦτον ὅσον λαμβάνειν ἔμελλες, ἀλλὰ πολὺν, καὶ σφόδρα πολύν.

β. Λέγει δὲ Ἄβραμ, δέσποτα Κύριε τίμοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος.

ΓΕΝΝΑΔΙΟΥ. Λέγει Ἄβραμ, δέσποτα τίμοι δώσεις; ἐγὼ δὲ ἀπολυμαι ἄτεκνος. Οὐκ εἰμὶ τυτέςι τῆς κοινῆς φύσεως Γ κρείτ]ων ἐγὼ, ἀλλ' ἀνάγκη κἀμὲ τὸν βίον, ὡς τὺς λοιπὺς ἀνθρώπυς, ὑπεξελθεῖν. τί τοίνυν μοι τῶν ὑπὸ σῦ δοθησομένων τὸ ὄφελος ἄπαιδι καθεςῶτι, καὶ ἐξ ἐμαυτῦ τῶν ἐμῶν ὐ καταλείποντι κληρονόμον;

Ὁ δὲ υἱὸς Μασὲκ τῆς οἰκογενῦς μυ, ὗτος Δαμασκὸς Ἐλιέζερ.

ΑΔΗΛΟΥ. Καὶ υἱὸς ποτίζων τὸν οἶκον, Δ ὗτος Δαμασκὸς Ἐλιέζερ. ὑπὲρ ὖ ἐν Δαμασκῷ ὁ Θεός μυ βοηθός. (1)

ΑΔΗΛΟΥ. Μασὲκ ἑρμηνεύεται, φιλήματος· ὁ δὲ συγγενὴς τῦ οἴκυ μυ ἐςὶν Ἐλιέζερ, ὑπὲρ ὖ ἐν Δαμασκῷ ὁ Θεός μυ βοηθός μυ. Δαμασκὸς, αἵματος φίλημα· Ἐλιέζερ, Θεός μυ βοηθός μυ.

ΑΔΗΛΟΥ. Διαδέξεται γῦν, ὡς ἔοικε, τὰ ἐμὰ ὁ ἐκ τῆς Μασὲκ τῆς Δαμασκηνῆς Ε Ἐλιέζερ. ὐ γὰρ ἐκείνης ἦν οἰκογενὴς φασιν, ἀλλ' οἱ ἐξ αὐτῆς, ὡς διὰ τῆς ἐπαγωγῆς ἐσαφήνισαν. ὕτω τινὲς ἡρμηνεύκασι τὰ, υἱὸς Μασὲκ τῆς οἰκογενῦς μυ ὗτος Δαμασκὸς Ἐλιέζερ. δύναται δὲ καὶ ἐπὶ ἑνὸς, ὡς διωνύμυ λέγεσθαι τὰ ἀμφότερα, τό,τε Δαμασκὸς καὶ τὸ Ἐλιέζερ. ἴσως δὲ καὶ ὡς ἐν ἐκ δύω τελείων συγκείμενον.

ΑΔΗΛΟΥ. Δύω προσηγορίας εἶχεν· ὐχ ὅτι Δαμασκὸς ἡ πόλις ἐξ αὐτῆς ταύτης τῆς οἰκογενῦς Ἄβραμ προσηγορεύθη, ἢ εἰ ἀρχαιότερος ἐτύγχανεν. ὐκ ἔχομεν γὰρ λέγειν, εἰ ἡ Δαμασκὸς ἐξ αὐτῆς ἔχει τὸ ὄνομα.

ΔΙΟΔΩΡΟΥ. Τὸ, Δαμασκὸς, ἡ Ἑβραία Δαμασκηνὸς λέγει, τυτέςιν ὁ ἐκ Δαμασκῦ, ὅθεν ἦν αὐτῦ ἡ μήτηρ. τινὲς δὲ τῦτόν φασιν εἶναι τὸν ἐπὶ τῆς οἰκίας τῦ Ἀβραὰμ πιςὸν οἰκέτην.

A ** ΚΥΡΙΛΛΟΥ. Ὁ δὲ υἱὸς Μασὲκ τῆς οἰκογενῦς μυ, ὗτος Δαμασκὸς Ἐλιέζερ· τυτέςι γενήσεταί μοι λοιπὸν ὁ ἐκ τῆς οἰκογενῦς, αἵματος φίλημα· τῦτο γάρ ἐςι τὸ, Δαμασκός· καταλογισθήσεται δὲ καὶ εἰς ἀντίληψιν καὶ ἐπικυρίαν τὴν παρὰ Θεῦ. τῦτο γὰρ πάλιν τὸ, Ἐλιέζερ. ὅμοιον ὖν, ὡς εἰ λέγοι σαφῶς, ἀνθ' αἵματος τῦ γνησίυ καὶ ἀγάπης τῆς αὐτὸ, αἵματος φίλημα καὶ ἀντίληψις ὁ παρὰ Θεῦ καθάπερ
B ἐξ ἀνάγκης ὁ οἰκογενής μυ γενήσεται, ἔςαι δέ μυ καὶ κληρονόμος.

γ. Καὶ εἶπεν Ἄβραμ, ἐπειδὴ ἐμοὶ ὐκ ἔδωκας σπέρμα· ὁ δὲ οἰκογενής μυ κληρονομήσει με.

ΙΩΑΝΝΟΥ. (2) Ἐπειδὴ μισθὸν αὐτῷ ἐπηγγείλατο, καὶ πολὺν μισθὸν, ἐκφαίνων αὐτῦ τῆς ψυχῆς τὴν λύπην, καὶ τὴν
Γ ἐγγινομένην αὐτῷ ἀθυμίαν τῆς ἀπαιδίας ἕνεκεν, φησὶ, δέσποτα τίμοι δώσεις; ἰδὲ γὰρ λοιπὸν εἰς γῆρας ἔσχατον ἐλαύνων, ἄτεκνος ἀπόλλυμαι. καὶ ἵνα τὸν εὔσπλαγχνον δεσπότην ἐπισπάσηται, ὐ μέχρι τύτυ ἔςη· ἀλλὰ τί φησιν; ὁ υἱὸς (3) τῆς οἰκογενῦς μυ· ἐπειδὴ ὐκ ἔδωκάς μοι σπέρμα· ὗτος κληρονομήσει με. πολλὴν ἐπίτασιν τῆς ὀδύνης τῆς ἐν τῇ ψυχῇ ἐκφαίνει τὰ ῥήματα. μόνον γὰρ ὐχί φησι πρὸς τὸν
Δ Θεὸν, ὐδὲ τῶν αὐτῶν ἠξιώθην, ὧν ὁ οἰκογενής. ἀλλ' ἐγὼ μὲν ἄτεκνος καὶ ἄγονος ἀπελεύσομαι, ὁ δὲ οἰκογενής μυ κληρονομήσει τὰ παρὰ σῦ μοι δωρύμενα. καὶ ταῦτα ἅπαξ καὶ δὶς ὑπόσχεσιν παρὰ σῦ δεξάμενος, ὅτι τῷ σπέρματί μυ δώσεις τὴν γῆν ταύτην.

δ. Καὶ εὐθὺς φωνὴ Θεῦ ἐγένετο πρὸς αὐτὸν, λέγυσα, ὐ κληρο-
E νομήσει σε ὗτος· ἀλλ' ὃς ἐξελεύσεται ἐκ σῦ, ὗτος κληρονομήσει σε.

** ΒΑΣΙΛΕΙΟΥ. Ἔςιν ὖν φωνὴ, πληγὴ ἀέρος, ἢ τὸ γινόμενον εἶδος περὶ τὸν ἀέρα, πρὸς ὃ βύλεται τυπῦν τὸ φωνῦν. οἱ μὲν διὰ σαρκὸς ὁμιλῦντες ἀλλήλοις, πλήτ]οντες τὸν ἀέρα, καὶ οἱονεὶ τύπον τινὰ καὶ εἶδος ἐπιβάλλοντες αὐτῷ, ὠθῦσι διὰ τῦ πνεύματος πρὸς τὸ φθάνειν μέχρι
Z τῆς ἀκοῆς τῦ πρὸς ὃν γίνεται· ἡ δὲ τῦ Κυρίυ φωνὴ, ἑτερογενής τίς ἐςι. φανταζόντος τῦ Θεῦ οἷς ἀκύειν βύλεται τῆς φωνῆς αὐτῦ. ὥςε ἀναλογίαν ἔχειν τὴν φαντασίαν ταύτην πρὸς τὴν ἐν ὀνείροις γινομένην. καὶ γὰρ ἐκεῖ, ὐχὶ τῦ ἔξωθεν ἀέρος πληγέντος, εἰσέπεσε διὰ τῆς ἀκοῆς τῶν λεγομένων ἡ αἴσθησις, ἀλλ' αὐτῦ τῦ ἡγεμονικῦ παραδεξαμένυ τὰ νοήματα, τῇ μνήμῃ τῶν θεασαμένων πέφυκε παραμέ-
H νειν. ἐγένετο ὖν πρὸς τὸν Ἀβραὰμ φωνὴ,

(1) Ὁ μὲν Ἀκύλας, ὁ υἱὸς τῦ ποτίζοντος οἰκίαν μυ· ὁ δὲ Θεοδοτίων, καὶ ὁ υἱὸς τῦ ἐπὶ τῆς οἰκίας μυ. ἀλλὰ ταῦτα, ὡς ἔοικεν, ἄλλυ τινὸς τῆς Γραφῆς μεταφρασῦ εἰσίν.

(2) Τῦ Χρυσοςόμυ. (3) Ὁ υἱὸς Μαζὲκ τῆς οἰκονογενῦς μυ. ἐν τόμ. 4. τῆς ἐν Παρισ. ἐκδ.

διότι εἶχεν ὦτα ἀκούειν δυνάμενα τῶν ἐντολῶν τοῦ Θεοῦ, κατὰ τὸ ἀφανὲς ἐνηχοῦντος αὐτῷ τοῦ θείου βουλήματος.

ε. Ἐξήγαγε δὲ αὐτὸν ἔξω, καὶ εἶπεν αὐτῷ, ἀνάβλεψον δὴ εἰς τὸν οὐρανὸν, καὶ ἀρίθμησον τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. οὕτως ἔσαι τὸ σπέρμα σου.

** ΒΑΣΙΛΕΙΟΥ. Ἐπειδὴ γὰρ εἶδεν αὐτοῦ τὴν πρὸς τὸ ἐξελθεῖν προθυμίαν, αὐτὸς αὐτὸν πρὸς τὸ τέλειον τῆς ἐνεργείας ἐχειραγώγησεν. αὐτὸς γὰρ καθ' ἑαυτὸν οὐχ οἷός τε ἦν ποιῆσαι. διὰ τοῦτο καὶ ἐπὶ μὲν τοῦ πρώτου προστάγματος, εἰ ἐξέλθοι ἔξω, ἐπαγγελίαν λαμβάνει τῆς ἀπολαύσεως· ὅτε δὲ ἐξήγαγεν αὐτὸν ὁ Θεὸς, ἐδίδασκεν αὐτὸν τὰ ἄνω ζητεῖν, οὗ ὁ Χριστός ἐστι.

ΑΔΗΛΟΥ. Τὸ μὲν κατὰ σάρκα σπέρμα, ὡσεὶ ἄμμον τῆς γῆς καλεῖ· τὸ δὲ ἐξ ἐθνῶν, ἤτοι ἐξ ἐπαγγελίας, τοῖς οὐρανίοις ἄστροις παραβάλλει, ὡς ἐν οὐρανοῖς ἔχουσι τὸ πολίτευμα.

ΑΔΗΛΟΥ. Ἐπειδὴ σπέρμα εἴρηται τὸ, οὕτω· ζητήσεις τὸν ἐξ Ἄγαρ καὶ Χεττούρας.

** ΙΣΙΔΩΡΟΥ. Οὐρανίοις ἄστροις, καὶ ψάμμῳ θαλαττίᾳ παρεικάσειν τὸ τοῦ Ἀβραὰμ ἐπηγγείλατο σπέρμα ὁ Θεὸς, μηνύων ὅτι τινὲς μὲν ἐξ αὐτῶν διαλάμψουσι, (οἷοι ἦσαν οἱ Προφῆται, καὶ οἱ δίκαιοι, Ἀπόστολοί τε καὶ οἱ ἐξ αὐτῶν πιστεύσαντες,
Ματθ. 5. 16. οἷς ὁ σωτὴρ μὲν ἔφη, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὁ δὲ Ἀπό-
Φιλιπ. 2. 15. στολος, ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ) τινὲς δὲ χαμαιπετεῖς καὶ χαμαίζηλοι ἁλώσονται, ἀβέβαιοί τε καὶ ὑπὸ παντὸς ἀνέμου περιφερόμενοι, οἵτινες καὶ ἐξουτελισθήσονται, ὡς ψάμμος θαλαττία τε καὶ ἄκαρπος λογισθέντες.

ς. Καὶ ἐπίστευσεν Ἄβραμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

** ΚΛΗΜΕΝΤΟΣ. Ὡς ἔοικεν οὖν, ἡ δικαιοσύνη τετράγωνός ἐστι, πάντοθεν ἴση καὶ ὁμοία, ἐν λόγῳ, ἐν ἔργῳ, ἐν ἀποχῇ κακῶν, ἐν εὐποιΐᾳ, ἐν τελειότητι γνωστικῇ, οὐδαμῇ οὐδαμῶς χωλεύουσα, ἵνα μὴ ἄδικός τε καὶ ἄνισος φανῇ. ᾗ μὲν οὖν τίς ἐστι δίκαιος, πάντως οὗτος καὶ πιστός· ᾗ δὲ πιστὸς, οὐδέπω καὶ δίκαιος· τὴν κατὰ προκοπὴν καὶ τελείωσιν δικαιοσύνην λέγω, καθ' ἣν ὁ γνωστικὸς δίκαιος λέγεται. αὐτίκα τῷ Ἀβραὰμ πιστῷ γενομένῳ ἐλογίσθη εἰς δικαιοσύνην, εἰς τὸ μεῖζον καὶ τελειότερον τῆς πίστεως προβεβηκότι. οὐ γὰρ ὁ ἀπεχόμενος μόνον τῆς κακῆς πράξεως δίκαιος, ἐὰν μὴ προσεξεργάσηται καὶ τὸ εὖ ποιεῖν καὶ τὸ γινώσκειν. δι' ἣν αἰτίαν, τῶν μὲν ἀφεκτέον, τὰ δ' ἐνεργητέον.

A ζ. Εἶπε δὲ πρὸς αὐτὸν, ἐγὼ ὁ Θεὸς ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι.

η. Εἶπε δὲ, δέσποτα Κύριε, κατὰ τί γνώσομαι, ὅτι κληρονομήσω αὐτήν;

B ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς Ἀβραὰμ πιστὸς ὀνομάζεται εἰρηκὼς τῷ Θεῷ, κατὰ τί γνώσομαι τοῦτο, ὅτι κληρονομήσω αὐτήν; Τὸ κατὰ τί γνώσομαι τοῦτο οὐκ ἀπιστοῦντός ἐστιν, ἀλλὰ μαθεῖν ποθοῦντος τῆς κληρονομίας τὸν τρόπον. ἐπειδὴ γὰρ ἑώρα πλήθη μυρία τὴν Παλαιστίνην οἰκοῦντα, μαθεῖν ἠβουλήθη τίνι τρόπῳ παραλήψεται τῆς γῆς ἐκείνης τὴν δεσποτείαν· πολέμου νόμῳ, ἢ δίχα πολέμου· ζώντων ἐκείνων, ἢ ἀναιρουμένων. τούτου χάριν μετὰ τὴν
Γ θυσίαν ὁ τῶν ὅλων ἔφη Θεὸς, γινώσκων γνώσῃ, ὅτι πάροικον ἔσαι τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ· καὶ δουλώσουσιν αὐτοὺς, καὶ κακώσουσιν αὐτοὺς, καὶ ταπεινώσουσιν ἔτη τετρακόσια. τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ. μετὰ δὲ ταῦτα, ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου ἐν εἰρήνῃ, τραφεὶς ἐν γήρει καλῷ. τετάρτη δὲ γενεᾷ ἀποστραφήσονται ὧδε. οὔπω γὰρ ἀνα-
Δ πεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων ἕως τοῦ νῦν. ἐκ τῆς θείας ἀποκρίσεως ἐστὶ γνῶναι τὸν τρόπον τῆς ἐρωτήσεως. ἐπειδὴ εἶπε, κατὰ τί γνώσομαι, ὅτι κληρονομήσω αὐτήν, ἐδιδάχθη ὅσον μὲν παροικήσουσι χρόνον, καὶ ὅπως ταλαιπωρήσουσιν, ὅσης δὲ ἀξιωθήσονται προμηθείας, τῶν μὲν πολεμήσειν ἐθελόντων αὐτοῖς κολασθησομένων, τούτων δὲ τὰ ἐκείνων καρ-
E πωσαμένων. καὶ ὅτι τούτων αὐτὸς μηδεμίαν πεῖραν λαβὼν, ἐν εἰρήνῃ καταλύσει τὸν βίον. ἐδίδαξε δὲ καὶ τῆς ἀναβολῆς τὴν αἰτίαν, ἵνα μήτις τοπάσῃ διὰ τὸ πλῆθος τῶν ἐνοικούντων μὴ δυνηθῆναι τὸν δεσπότην Θεὸν τῆς γῆς ἐκείνης αὐτοῖς παραδοῦναι τὴν δεσποτείαν. ἔφη δὲ οὕτως, οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων ἕως τοῦ νῦν. οὔπω, φησὶν, ἄξια πανωλεθρίας πεπράχασιν. οὐ χρὴ δὲ πρὸ τῆς ἁμαρτίας ἐκ προγνώσεως ἐπε-
Z νεχθῆναι τὴν τιμωρίαν. ὅτι δὲ ὑπῆρχον κατ' ἐκεῖνον τὸν καιρὸν καὶ εὐσεβεῖς, δῆλον ἐκ τοῦ Μελχισεδὲκ, καὶ τοῦ Ἀβιμέλεχ, καὶ τῶν τὴν Χεβρὼν οἰκούντων. καὶ γὰρ ἐκεῖνοι πολλῆς τὸν πατριάρχην θεραπείας ἠξίωσαν. καὶ ἔστιν ἀκοῦσαι αὐτῶν βοώντων, βασιλεὺς εἶ σὺ παρὰ Θεοῦ ἐν ἡμῖν, ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου.

H θ. Εἶπε δὲ αὐτῷ, λάβε μοι δάμαλιν τριετίζουσαν, καὶ αἶγα τριετίζουσαν, καὶ κριὸν τριετίζοντα, καὶ τρυγόνα,

ι. γόνα, καὶ περιστεράν. Ἔλαβε δὲ αὐ-
τῷ ταῦτα πάντα, καὶ διεῖλεν αὐτὰ
μέσον, καὶ ἔθηκεν αὐτὰ ἀντιπρόσω-
πα ἀλλήλοις· τὰ δὲ ὄρνεα οὐ διεῖλε.
ια. Κατέβη δὲ ὄρνεα ἐπὶ τὰ σώματα, ἐπὶ
τὰ διχοτομήματα αὐτῶν· καὶ συνεκά-
θησεν αὐτοῖς Ἄβραμ.

ΙΩΑΝΝΟΥ. (1) Λάβε μοι δάμαλιν τριετίζουσαν καὶ αἶγα τριετίζουσαν καὶ κριὸν τριετίζοντα, καὶ τρυγόνα, καὶ περιστεράν. Ὅρα πῶς ἀνθρωπίνως ποιεῖται πρὸς αὐτὸν τὰς συνθήκας. καθάπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων, ὅταν τινὶ ὑποσχώμεθα, βουλόμενοι πεῖσαι τὸν τὴν ὑπόσχεσιν δεχόμενον, ὥστε μὴ ἀμφιβάλλειν περὶ τῶν ἐπαγγελθέντων, σημεῖόν τι παρέχομεν καὶ ἐνέχυρον, ἵνα πρὸς ἐκεῖνο ὁρῶν εἰδέναι ἔχῃ, ὡς πάντως εἰς ἔργον ἐκβήσεται τὰ ἐπηγγελμένα· οὕτω καὶ ὁ φιλάνθρωπος δεσπότης, ἐπειδὴ εἶπε, κατὰ τί γνώσομαι τοῦτο; φησὶν, ἰδοὺ καὶ τοῦτό σοι παρέχω· λάβε μοι δάμαλιν τριετίζουσαν, καὶ αἶγα, καὶ κριὸν, καὶ τρυγόνα, καὶ περιστεράν. θέα εἰς πόσην παχύτητα κατελθεῖν καταδέχεται ὁ δεσπότης διὰ τὴν πληροφορίαν τοῦ πατριάρχου. ἐπειδὴ γὰρ τὸ παλαιὸν οὕτως ἦν αὐτοῖς ἔθος συνθήκας ποιεῖσθαι, καὶ διὰ τούτων αὐτὰς βεβαιοῦν, ταύτην καὶ αὐτὸς ἔρχεται τὴν ὁδόν.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Τοῦ Ἀβραὰμ ζητοῦντος σημεῖον παρὰ τοῦ Θεοῦ, καὶ λέγοντος· δέσποτα Κύριε, κατὰ τί γνώσομαι, ὅτι κληρονομήσω τὴν γῆν; εἶπεν ὁ Θεός· λάβε μοι δάμαλιν τριετίζουσαν, καὶ κριὸν τριετίζοντα. ἐν τοῖς τρισὶν ἔτεσι τὸ τέλειον τῶν ζώων, καὶ τὸ πρὸς γέννησιν ἐπιτήδειον ἐκλεγόμενος. τρυγόνα δὲ καὶ περιστερὰν χρόνῳ οὐ περιέγραψε, διὰ τὸ εὐθὺς τὰ ζῶα ταῦτα τῆς γεννήσεως ἄρχεσθαι.

ΑΔΗΛΟΥ. Οὐ νομοθετεῖ θύειν τὸν Ἀβραὰμ ὁ Θεὸς, ἀλλ᾽ ἐπειδὴ οἱ παλαιοὶ τὰς ὁρκωμοσίας διὰ τοιούτων ἐβεβαίουν.

ΑΔΗΛΟΥ. Δάμαλιν τριετίζουσαν, καὶ κριὸν, καὶ αἶγα. καὶ ταῦτα μὲν διχοτομεῖ, τὴν δὲ τρυγόνα καὶ περιστερὰν ἄτμητα ἀφίησι, δηλῶν τὴν τῶν τριῶν γενεῶν καταδούλωσιν καὶ τιμωρίαν, καὶ τὴν ἐν τῇ ἐρήμῳ διατριβὴν, ὡς αἱ τρυγόνες· καὶ τὴν εἰς τὰ οἰκεῖα ἐπάνοδον, καὶ συνοίκησιν, ὡς αἱ περιστεραί· καὶ τὴν τῶν ἐναντίων καταδρομὴν, ὥσπερ τὴν τῶν ὀρνέων· καὶ τὴν ἐκ τούτων φυλακὴν ὑπὸ τοῦ Θεοῦ ῥᾳδίως ἀποδιωκομένων, ὥσπερ τὰ ὄρνεα ὑπὸ τοῦ Ἀβραάμ. (2)

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί δὲ προσέταξε δάμαλιν τριετίζουσαν, καὶ κριὸν τριετίζοντα, καὶ τὰ ἑξῆς τυθῆναι; Αἰνίγματα ταῦτα ἦν τῶν τῷ γένει συμβησομένων. τοιγάρτοι μετὰ τὰς θυσίας ἐπήγαγε,

Α „ γινώσκων γνώσει, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ· καὶ προσέθηκε· τετάρτη δὲ γενεᾷ ἀποστραφήσονται ὧδε. διὰ τοῦτο τρία τῶν καθαρῶν τετραπόδων, καὶ ἕκαστον τριετὲς τυθῆναι προσέταξεν, εἰς δήλωσιν τῶν τριῶν γενεῶν, αἳ παροικοῦσαι διατελέσουσιν. ἡ δὲ τρυγὼν, τὴν γενεὰν ἐκείνην ἐνέφηνε, τὴν οἱονεὶ ἀποπτᾶσαν μὲν, καὶ ἐξελθοῦσαν ἐξ Αἰγύπτου, ἐν δὲ τῇ ἐρήμῳ κατασκηνώσασαν. φιλέ-

Β ρημον γὰρ τόδε τὸ ὄρνεον. ἡ δέ γε περιστερὰ τὴν ἄλλην γενεὰν παρεδήλου, ἣ τὴν ἐπηγγελμένην ἀπελάμβανε γῆν. ἥμερον γὰρ τὸ ζῶον, καὶ ταῖς οἰκίαις ἐμφιλοχωροῦν. διάτοι τοῦτο, τὰ μὲν οὐ διεῖλεν, ὡς τὴν τῆς δουλείας ἀπαλλαγὴν αἰνιττόμενα, τὰ δὲ τετράποδα διεῖλεν, ἐπεὶ τὴν ἐν Αἰγύπτῳ κακουχίαν ἐσήμαινε. τὰ δέ γε ἐφιπτάμενα τοῖς διχοτομήμασιν ὄρνεα, ἅπερ ὁ πατριάρχης ἐκ τῶν ἱερείων ἐξήλαυνε,

Γ τὴν φονικὴν τῶν Αἰγυπτίων προῃνίττετο γνώμην, ἣν ἄπρακτον ἀπέφηνεν ὁ δεσπότης Θεὸς τὰς πρὸς τὸν Ἀβραὰμ ἐμπεδῶν ὑποσχέσεις. ὥσπερ γὰρ ἐν τῷ τύπῳ τοὺς σαρκοβόρους ὄρνεις ἐξήλαυνεν Ἀβραὰμ, οὕτως ἡ τιμὴ τοῦ Ἀβραὰμ τοὺς Αἰγυπτίους ἐκόλασε. τὸ δὲ περὶ ἡλίου δυσμὰς ὀφθῆναι τὸν καπνιζόμενον κλίβανον, καὶ τὰς τοῦ πυρὸς λαμπάδας, ἐδήλου μὲν καὶ τὸ δεχθῆναι τὰ θύματα, προεσήμαινε δὲ καὶ

Δ τὴν παρὰ τὸ τέλος τοῦ προῤῥηθέντος χρόνου ἐσομένην ἐπιφάνειαν τοῦ τῶν ὅλων Θεοῦ. διὰ πυρὸς γὰρ ἐπεφάνη καὶ Μωσῇ τῷ νομοθέτῃ, καὶ μετὰ ταῦτα παντὶ τῷ λαῷ. ἐδίδασκε δὲ πρὸς τούτοις, καὶ ὅτι ταῦτα ὕστερον νομοθετήσει τὰ ζῶα προσφέρεσθαι. τινὲς δέ φασιν, ὅτι βεβαίως δεῖξαι βουλόμενος τὴν ὑπόσχεσιν ὁ Θεὸς, κατὰ τὸ κρατοῦν ἔθος ἐποιήσατο τὰς συνθήκας. εἰώθασι γὰρ, ὥς φασι, διχῇ τὰ ἱερεῖα διαι-

Ε ροῦντες, οὕτω ποιεῖσθαι τοὺς ὅρκους. ἐγὼ δὲ καὶ ταῦτα κἀκεῖνα τέθεικα, ἵνα τὸ δοκοῦν ἀληθέστερον οἱ ἐντυγχάνοντες δέξωνται.

ΤΟΥ ΑΥΤΟΥ. Ἐδηλοῦντο μὲν ἄρα διὰ τῶν εὐτρεπισθέντων ζώων αἱ γενεαί· διὰ δὲ τοῦ τριετοῦς αὐτῶν, τὸ νεάζον ἔτι τοῦ λαοῦ, καὶ ἐν ἀκμῇ καθεστός. καὶ ἡ μὲν δάμαλις πρώτη ληφθεῖσα, τὴν πρώτην εἰκότως ἐσήμαινε γενεάν· ὡς γὰρ ἡ δάμα-

Ζ λις ἀδάμαστός ἐστιν, ἄπειρος οὖσα ζυγοῦ, οὕτω καὶ ἡ τοῦ εἰς Αἴγυπτον κατελθόντος λαοῦ πρώτη φορὰ τῆς αἰγυπτιακῆς σκληραγωγίας ἐλευθέρα διεφυλάχθη· ἡ δὲ αἶξ δευτέρα παρελήφθη μετὰ τὴν δάμαλιν, διὰ τὸ τὴν δευτέραν γενεὰν προαινίττεσθαι. ὥσπερ γὰρ ἡ αἶξ βραχεῖαν μὲν τοῖς δεσπόταις παρέχει τὴν πρόσοδον, παρέχει δ᾽ ὅμως, οὕτω καὶ ἡ τοῦ λαοῦ δευτέρα φορὰ δουλείαν τοῖς Αἰγυπτίοις, εἰ καὶ μὴ πολλὴν,

Η ἀλλ᾽ ὅμως παρείχετο. τρίτος δὲ ὁ κριὸς προσαχθεὶς, τὴν τρίτην ἄντικρυς προεμήνυεν. ὅ, τε γὰρ κριὸς πλείονα δίδωσιν ἐξ αὐτοῦ

(1) Τοῦ Χρυσοστόμου. (2) Τούτοις ὅμοια καὶ τὰ τοῦ Προκοπ. τὰ ἐν τῷ τῆς Αὐγ. κώδ.

αὐτοῦ τῷ δεσπότῃ τὸν πόρον. ὁμοίως δὲ καὶ τῶν Ἰσραηλιτῶν ἐπεκαρπώσαντο μάλιστα τὴν τρίτην γενεὰν οἱ Αἰγύπτιοι. ἥγε μὴν τρυγὼν μετὰ τῆς περιστερᾶς τοὺς ἐξελθόντας ἐξ Αἰγύπτου δηλοῖ. καὶ ἡ μὲν τρυγὼν, ὡς φιλέρημος ὄρνις, τὸν ἐν τῇ ἐρήμῳ διαγενόμενον γνωρίζει λαόν· ἡ περιστερὰ δὲ, ὡς ἥμερος, καὶ ἀνθρώποις ἅμα κατοικοῦσα καὶ αὐλιζομένη, τὸν ἐν τῇ γῇ τῆς ἐπαγγελίας κατοικισθέντα λαόν. τούτου γοῦν ἕνεκεν τήν τε δάμαλιν καὶ τὴν αἶγα, καὶ τὸν κριὸν ἐν μέσῳ διεῖλε, καὶ τέθεικεν αὐτὰ ἀντιπρόσωπα. διὰ μὲν τῆς τομῆς, τὴν ἐν τῇ παροικήσει θλίψιν αὐτῶν καὶ τὴν συντριβὴν ὑπεμφαίνων· διὰ δὲ τῆς θέσεως τῆς ἀντιπροσώπου, τὸ τῆς δουλείας ἀλλήλοις αὐτοὺς συμμετεσχηκέναι δηλῶν. τὴν μέντοι τρυγόνα, καὶ τὴν περιστερὰν ἐφύλαξεν ἀδιαίρετον, ὡς τῶν ἐξελθόντων τὴν Αἴγυπτον, τῆς αἰγυπτιακῆς ἀπαλλαγέντων ταλαιπωρίας. ἡ δὲ ἐπὶ τὰ διχο- **Γ** τομήματα τῶν ὀρνέων κατάπτησις, τὴν κατὰ τοῦ λαοῦ τῶν Αἰγυπτίων ὁρμὴν προεμήνυσε. τὸ δὲ συγκαθεσθῆναι αὐτοῖς ἀποσοβοῦντα τὸν Ἄβραμ, ἐδείκνυ τοῦ Θεοῦ τὴν περὶ τὸν λαὸν πρόνοιαν ἐσομένην διὰ τὰς πρὸς τὸν Ἀβραὰμ ὑποσχέσεις. (1)

ΔΙΟΔΩΡΟΥ. Ἐποίει ταῦτα ὁ ἀγαθὸς Θεὸς, ὁμοῦ μὲν δεικνὺς, ὅτι ἐν μέσῳ γνόφων, καὶ πυρὸς, καὶ σαλπίγγων λαλήσας τοῖς υἱοῖς Ἰσραὴλ, φοβήσειν αὐτοὺς **Δ** Ἐξόδ. 20. 19. ἔμελλεν, ὡς λέγειν, μὴ λαλείτω ἡμῖν ὁ Θεὸς, „ ἵνα μὴ ἀποθάνωμεν, καὶ δώσειν τὸν θυσιῶν νόμον· ὁμοῦ δὲ ὥσπερ ὅρκῳ, τῷ διὰ τῶν διχοτομημάτων· οὕτω γὰρ ἦν ἔθος τοῖς παλαιοῖς ποιεῖσθαι ἐνωμότους τὰς συνθήκας· πιστούμενος περὶ ὧν ἐπηγγείλατο τῷ Ἄβραμ, καὶ τὸν τῆς κληρονομίας τρόπον, ὃν ᾔτησε μαθεῖν, καὶ λόγοις προειπὼν, καὶ ἔργοις προδιδάξας. **Ε**

ΚΥΡΙΛΛΟΥ. Χαλδαίοις ἦν ἔθος καὶ ἐν ὑπολήψει χρηστῇ καὶ ἀδιαβλήτῳ παντελῶς, περιεργάζεσθαι λεπτῶς τῶν ὀρνέων τὰς πτήσεις. ἠφίει δὴ οὖν οἰκονομικῶς ὁ τῶν ὅλων Θεὸς, ἐξ ὧν ᾔδει, καὶ δρᾶν ἦν ἔθος τισὶ παιδεύεσθαι τὰ ἐσόμενα.

ΤΟΥ ΑΥΤΟΥ. Διεμορφοῦτο δὲ πάλιν ὡς ἐν εἴδει πυρὸς ἡ θεία τε καὶ ἄχραντος φύσις. εἰ δὲ ἐπιπίπτει τοῖς θύμασι τὰ τῶν

Α ὀρνέων βδελυρώτατα, καὶ σαρκοφαγεῖν εἰωθότα, εἶτα σεσόβηκεν Ἀβραὰμ, ξένον οὐδέν. οὐ γὰρ ἦν ἀκόλουθον τὰ εἰς ὅρκου χρείαν παρειλημμένα, παραρρίπτεσθαι πρὸς ὕβριν τοῖς τῶν ὀρνέων βδελυρωτάτοις, καίτοι τῶν ὅρκων οὔπω τετελεσμένων.

ΤΟΥ ΑΥΤΟΥ. Ἔθος ἦν Χαλδαίοις ἀσφαλεστέρους ποιεῖσθαι τοὺς ὅρκους διὰ μέ- **Β** σων τῶν διχοτομημάτων ἰοῦσι, καὶ οἱονείπως ἀναφωνοῦσι, μὴ γενοίμην ὡς τάδε. κατὰ οὖν τὴν συνήθειαν τῶν Χαλδαίων τὸν ὅρκον ἐκπληροῖ τὸ θεῖον ἐν εἴδει πυρὸς νοούμενον.

ιβ. Περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσε τῷ Ἄβραμ, καὶ ἰδοὺ φόβος σκοτεινὸς μέγας ἐπιπίπτει αὐτῷ.

ΑΚΥΛΑΣ Τὸ ἔκστασις, Κάρωσος.

ΣΥΜΜΑΧΟΣ, Κάρος.

ΘΕΟΔΩΡΙΤΟΥ. Περὶ δὲ ἡλίου, φησὶ, δυσμὰς, ἡ τῆς ἡμέρας συμπλήρωσις, τὴν
„ συμπλήρωσιν τῶν χρόνων δηλοῖ. ἔκστασις
„ δὲ ἐπέπεσεν ἐπὶ τὸν Ἄβραμ, καὶ ἰδοὺ μέ-
„ γας φόβος καὶ σκοτεινὸς ἐπιπίπτει αὐτῷ, πρὸς τὸ ἀμετεώριστον αὐτὸν, οἶμαι, γενέσθαι, καὶ συντεταμένον εἰς τὴν τῶν λεγομένων ἀκρόασιν. (2)

ΑΔΗΛΟΥ. Τὰ σκυθρωπὰ ἔδει ἀπαγγέλεσθαι περὶ ἡλίου δυσμὰς, καὶ ἐξεστηκότι, ὡς φόβου οὐ φωτεινοῦ, ἀλλὰ σκοτεινοῦ ἐπιπεσόντος τῷ πατρὶ τῶν πεισομένων τὰ προφητευόμενα.

ΑΔΗΛΟΥ. Ἔκστασις ἐπέπεσε τῷ Ἄβραμ. Τουτέστιν ἔξω τῆς τῶν παρόντων αἰσθήσεως γενόμενος κατέστη τὴν διάνοιαν εἰς θεωρίας τῶν ἀποκαλυπτομένων.

ιγ. Καὶ ἐρρέθη πρὸς Ἄβραμ, γινώσκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ· καὶ δουλώσουσιν αὐτοὺς, καὶ κακώσουσιν αὐτοὺς τετρακόσια ἔτη. (3)

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι ἡ τετρὰς εἴτε μονάδων, εἴτε δεκάδων ἐπὶ κακώσεων κεῖται.

ΑΔΗΛΟΥ

(1) Τὸ ὑπόμνημα τοῦτο ἐν τοῖς τοῦ Θεοδωρίτου ἐκδεδομένοις οὐχ εὕρηται. (2) Οὐδὲ τοῦτο.

(3) Οἱ τῶν χρονολογιῶν ἔξαρχοι τοῖς τοῦ Ἀποστόλου ἑπόμενοι ῥήμασι τοῖς ἐν τῇ πρὸς τοὺς Γαλάτας ἐπιστολῇ, (ἐν κεφ. 3. ἐδ. 17.) τὰ 430. ἔτη οὕτως συνείρουσι. τὴν γῆν Χαναὰν ἐπηγγείλατο ὁ Θεὸς τῷ Ἀβραὰμ ἀρχομένου τοῦ 76. τῆς ἡλικίας αὐτοῦ ἔτους. ἑκατονταετοῦς δὲ ὄντος τοῦ Ἀβραὰμ, γεννᾶται ὁ Ἰσαάκ. ἀπὸ δὲ τῆς τοῦ Ἰσαὰκ γεννήσεως, ἄχρι τῆς τοῦ Ἰακὼβ, ἔτη 60. διῆλθον. ὁ Ἰακὼβ δὲ 130. ἐτῶν ὢν, ἦλθεν εἰς Αἴγυπτον. τῶν οὖν ἐτῶν τούτων, τῶντε 25. τοῦ Ἀβραὰμ (τῶν γὰρ 75. ἀπὸ τῶν 100. ἀφαιρουμένων, τὰ λοιπὸν 25.) καὶ τῶν 60. τοῦ Ἰσαὰκ ἐπισυναπτομένων, τὸ ἄθροισμα ἐστι 215. ἀλλ᾽ ὁ Ἰωσὴφ τεσσαρακονταέτης ἦν, ὅτε ὁ πατὴρ αὐτοῦ εἰς Αἴγυπτον παρεγένετο, ἔζησε δὲ ἔτη 110. ἀπὸ τῆς πρὸς τὸν Ἀβραὰμ ἄρα ἐπαγγελίας, ἄχρι τῆς τοῦ Ἰωσὴφ τελευτῆς, ἔτη 285. ἀπ᾽ αὐτῆς δὲ, ἄχρι τῆς τοῦ Μωϋσέως γεννήσεως ἔτη παρῆλθον 75. ἦν δὲ ὁ Μωϋσῆς ὀγδοηκονταέτης, ὅτε ἐξῆλθεν ἐξ Αἰγύπτου. ἀπὸ τῆς πρὸς τὸν Ἀβραὰμ ἄρα ἐπαγγελίας, ἄχρι τῆς ἀπὸ τῆς Αἰγύπτου μετοικεσίας, ἔτη 440. (ὅρα τὰς σημειώσ. τὰς ἐν σελ. 377. τοῦ 4. τοῦ Χρυσοσ. τόμ. τῆς κατὰ τὸ Παρίσ. ἐκδόσ.) ἐπεὶ δὲ οὐκ ἀκριβῶς δῆλον τὸ τῆς τοῦ Ἀβραὰμ ἡλικίας ἔτος, καθ᾽ ὃ δεῖ ἀρχὴν τῆς χρονολογίας ταύτης ποιήσασθαι, οὐκ ἐπισφαλὲς τὰ περὶ τὰ 430. ἔτη, εἴτουν τὰ 440. ὡς 430. ἐκλαμβάνειν.

Γαλ. 3. 17. ΑΔΗΛΟΥ. Περισσὰ λέγει ὁ Ἀπόστολος ἔτη υλʹ τὰ τε πρὸ τῆς διαθήκης τῆς πρὸς Ἀβραὰμ καὶ τὴν ἐξ Αἰγύπτου πορείαν ἐν τῇ ἐρήμῳ μέχρι τῆς νομοθεσίας.

A

∗ ΠΡΟΚΟΠΙΟΥ. Καὶ ταπεινώσουσιν αὐτοὺς τετρακόσια ἔτη. Οὐ μάχεται τῷ (1) ἐν τῇ Ἐξόδῳ· ἐκεῖ γάρ φησι, (2) μετὰ τὰ τετρακόσια τριάκοντα ἔτη ἐξῆλθεν ἡ δύναμις Κυρίου. ἐνταῦθα δὲ, μετὰ τετρακόσια ἔτη. ὅπερ ἐμφαίνει καὶ τὰ τριάκοντα. (Ἐξόδ. 12. 41.)

∗∗ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀλλ' ἐνταῦθα ἄν τις διαπορήσειε, πῶς υ ἔτη ἔφη δουλεύειν αὐτοὺς, καίτοι οὐδὲ τὰ ἡμίση τούτων πεποιηκότων αὐτῶν εἰς τὴν Αἴγυπτον. διὰ τοῦτο οὐκ εἶπεν, ὅτι εἰς τὴν Αἴγυπτον ποιήσουσιν ἔτη υ, ἀλλ' ἐν γῇ οὐκ ἰδίᾳ, ὥστε δυνηθῆναι τοῖς ἔτεσιν, οἷς κατὰ τὴν Αἴγυπτον ἐποίησαν, συναριθμεῖσθαι καὶ τὸν χρόνον τοῦ πατριάρχου, καθ' ὃν ἐκ τῆς Χαῤῥὰν ἐξελθεῖν προσετάχθη. ἐξ ἐκείνου γὰρ καὶ τὸν ἀριθμὸν τῶν ἐτῶν αὐτοῦ κατάδηλον ἐποίησεν ἡ Γραφὴ, εἰποῦσα, ὅτι ἑβδομηκονταπέντε ἐτῶν ἦν, ἡνίκα ἐξῆλθεν ἐκ Χαῤῥάν. ἐξ ἐκείνου τοίνυν μέχρι τῆς ἐξόδου τῆς ἐξ Αἰγύπτου, εἰ βουληθείη τις ἀριθμῆσαι, εὑρήσει σωζόμενον τὸν ἀριθμόν. καὶ ἕτερον δέ ἐστιν εἰπεῖν, ὅτι φιλάνθρωπος ὢν ὁ δεσπότης, καὶ συμμετρῶν ἀεὶ τῇ ἀσθενείᾳ τῇ ἡμετέρᾳ καὶ τὰς τιμωρίας, ἐπειδὴ εἶδεν αὐτοὺς πεπονηκότας, καὶ τοὺς Αἰγυπτίους πολλὴν περὶ αὐτοὺς τὴν ὠμότητα ἐπιδεικνυμένους, πρὸ τοῦ ὡρισμένου καιροῦ τὴν ἐκδικίαν ἐποιήσατο, καὶ πρὸς τὴν ἐλευθερίαν αὐτοὺς ἐπανήγαγε.

ιδ. Καὶ τὸ ἔθνος ᾧ ἐὰν δουλεύσωσι κρινῶ ἐγώ· μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς.

ιε. Σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ' εἰρήνης, τραφεὶς ἐν γήρει καλῷ.

ΑΔΗΛΟΥ. Πρὸς τοὺς πατέρας σου. τὸν Ἄβελ, τὸν Ἐνὼς, τὸν Σὴθ, καὶ τὸν Νῶε μοι νόει.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὡς πάντες πρὸ τοῦ Χριστοῦ εἰς ἕνα τόπον ἐβάλλοντο μετὰ θάνατον, οἱ δίκαιοι, καὶ οἱ ἀσεβεῖς.

∗∗ ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐκ εἶπεν ἀποθανῇ, ἀλλ' ἀπελεύσῃ, ὡς ἀποδημεῖν αὐτοῦ μέλλοντος, καὶ μεθίστασθαι ἀπὸ πατρίδος εἰς πατρίδα. ἀπελεύσῃ, φησὶ, πρὸς τοὺς πατέρας σου, οὐ τοὺς κατὰ σάρκα λέγων. πῶς γὰρ ἐπεὶ ἄπιστος ἦν αὐτοῦ ὁ πατήρ; καὶ οὐχ οἷόν τε ἦν τὸν πιστὸν πατριάρχην εἰς τὸν αὐτὸν ἐκείνῳ χῶρον ἀπελθεῖν. χάσμα γὰρ μέγα ἐστὶ, φησὶ, μεταξὺ ἡμῶν τε καὶ ὑμῶν. (Λουκ. 16. 26.) τίνος οὖν ἕνεκεν εἴρηκε, πρὸς τοὺς πατέρας σου; τοὺς δικαίους αἰνιττόμενος, τοὺς περὶ τὸν Ἄβελ, τοὺς περὶ τὸν Νῶε, τοὺς περὶ τὸν Ἐνώχ.

∗∗ ΩΡΙΓΕΝΟΥΣ. Νομιστέον οὐ μόνον τῷ Ἀβραὰμ, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις λέγεσθαι πρὸς τῇ ἐξόδῳ τὸ, σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου· οὐκ ἔτι δὲ πᾶ-

B

σιν ἀνθρώποις τὸ, μετ' εἰρήνης. τοῖς δὲ τετελειωμένοις, καὶ πνευματικῶς μακροημέροις γενομένοις καὶ τὸ, τραφεὶς ἐν γήρᾳ καλῷ. ἐπεὶ πολιά ἐστι φρόνησις ἀνθρώποις, καὶ στέφανος καυχήσεως γῆρας, (Σοφ. 4. 9.) (Παροιμ. 16. 31.) καὶ δόξα τοῖς ἀληθινοῖς καὶ θείοις πρεσβυτέροις αἱ κοσμοῦσαι αὐτοὺς νοηταὶ πολιαί.

ις. Τετάρτη δὲ γενεᾷ ἀποστραφήσονται ὧδε.

Γ

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Σημειωτέον, ὅτι ἡ γενεὰ ρʹ ἐτῶν. ἡ δὲ τετάρτη γενεὰ ἀριθμεῖται μετὰ τὴν τελευτὴν Ἀβραὰμ, ἀπὸ Λευὶ (ἤγουν Ἰακὼβ) τοῦ οἰκήσαντος τὴν Αἴγυπτον. Λευὶ, Καὰθ, Ἄβραμ, (3) Μωϋσῆς. ἐν δὲ τῇ Ἐξόδῳ, πέμπτην φησὶ γενεὰν, ἀπὸ Ἰακώβ. (Ἐξόδ. 13. 18.)

Δ

∗∗ ΤΟΥ ΑΥΤΟΥ. Τετάρτη δὲ γενεᾷ. τοῦτο, φασὶ, πότερον μέτρον ἐστὶ μέτρου ἕως ὅτε ἄξιοι γένωνται θανάτου οἱ οἰκοῦντες τὴν Παλαιστίνην, ἢ τῆς τοῦ Θεοῦ μακροθυμίας; Ἀλλ' εἰ μέτρον τῆς αὐτῶν ἁμαρτίας, πάλαι ἦσαν ἄξιοι. ἡ γὰρ προθεσμία μετὰ τὸ μέτρον δίδοται, ὡς ἐπὶ τοῦ κατακλυσμοῦ τὰ ρκʹ ἔτη. τούτοις δὲ υ. ὡς τὴν μακροθυμίαν βλάπτειν δοκεῖν. ἐπ' ἐκείνων γὰρ συνέτεμεν, ἀπαλλάττων πλειόνων ἁμαρτημάτων, καὶ κωλύων εἰς πλείονας γενεὰς ἐπεκτείνεσθαι τὴν τῶν

E

πονηρῶν διαδοχήν· ἐνταῦθα μέντοι τὴν προθεσμίαν ἐξέτεινεν, εἰς τὸ πληθῦναι μὲν τοῦ Ἀβραὰμ τὸ σπέρμα, γενέσθαι δὲ τὰ γενόμενα σημεῖα.

ΑΔΗΛΟΥ. Τετάρτῃ γενεᾷ. Τοῦτο θειότερον μέτρον ἐστὶ μέτρου, ἕως ὅτε ἄξιοι γένωνται θανάτου οἱ οἰκοῦντες τὴν Παλαιστίνην, τὴν τοῦ Θεοῦ μακροθυμίαν νικήσαντες.

Z

ΑΔΗΛΟΥ. Ἀποστραφήσονται ὧδε οἱ ἀπόγονοι, τουτέστι τέταρτον πρόσωπον ἐκ τῶν ἀνιόντων συγγενῶν. οἷον, ὁ Λευὶ κατῆλθεν εἰς Αἴγυπτον· ὁ δὲ Ἐλεάζαρ ὁ ἱερεὺς ἦλθε σὺν τοῖς ἐξελθοῦσιν ἐκ γῆς Αἰγύπτου εἰς τὴν γῆν τῆς ἐπαγγελίας. ἣ ἐστιν ἡ Φοινίκη, καὶ ἡ Παλαιστίνη, ἣν τότε καλεῖ-χον Χαναναῖοι. ὁ Λευὶ ἔτεκε τὸν Καὰθ, ἐξ οὗ ὁ Ἀβραὰμ, ἐξ οὗ Ἀαρὼν, ἐξ οὗ Ἐλεάζαρ.

Οὕτω

(1) Τοῖς ἐνταῦθα τὰ ἐν τῇ Ἐξόδῳ. ὁ τῆς Αὐγ. κώδ.

(2) Οὐ γὰρ ἐῤῥέθη ὡς πληρωθέντων τῶν υ ἐτῶν ἐξῆλθον, ἀλλὰ μετὰ τὰ υ ἔτη. ὅπερ ἐμφαίνει, κτ. ὁ αὐτ.

(3) Τὸν τοῦ Μωϋσέως πατέρα ὁ μὲν Φίλων, (ἐν τῷ περὶ τῆς εἰς τὰ προπαιδεύμ. συνόδ.) Ἀβραὰμ καλεῖ· ὁ δὲ Ἰώσηπος, (ἐν βιβλ. 2. κεφ. 5. περὶ Ἰουδαϊκ. ἀρχαιολ.) Ἀμαράμην.

A Οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων ἕως τοῦ νῦν.

** ΕΠΙΦΑΝΙΟΥ. Νῶε σωθεὶς ἀπὸ τοῦ κατακλυσμοῦ, καὶ ἡ αὐτοῦ σύμβιος σὺν τοῖς τρισὶν υἱοῖς αὐτοῦ, καὶ ταῖς τρισὶ νύμφαις, μόνος διαιρῶν τὸν πάντα κόσμον τοῖς τρισὶν υἱοῖς αὐτοῦ, τῷ Σὴμ, τῷ Χὰμ, καὶ Ἰάφεθ διεῖλε. Καὶ μεθ' ἕτερα. Ὅτε οὖν οὕτω διῃρέθησαν οἱ κλῆροι, συγκαλεσάμενος Νῶε τοὺς τρεῖς υἱοὺς, ὥρισεν αὐτῶν ὅρκῳ, B ἵνα μηδεὶς ἐπιβῇ τῷ κλήρῳ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ πλεονεκτήσῃ τὸν ἀδελφὸν αὐτοῦ. Χαναὰν δὲ πλεονέκτης ὢν ὁ υἱὸς τοῦ Χὰμ, ἐπῆλθε τῇ Παλαιστινῶν γῇ, καὶ κατέσχεν αὐτήν. καὶ ἐπεκλήθη ἡ γῆ Χαναὰν, διότι ἐν αὐτῇ κατῴκησε καταλείψας τὸν ἴδιον κλῆρον, διὰ τὸ δοκεῖν καυματικόν. καὶ καθίσας ἐν τῇ γῇ τοῦ Σὴμ, τῇ νῦν καλουμένῃ Ἰουδαίᾳ, ἐγέννησε τοὺς υἱοὺς τούτους, Γ τόν τε Ἀμορραῖον καὶ Γεργεσαῖον, καὶ Φερεζαῖον, Ἰεβουσαῖον, καὶ Εὐαῖον, καὶ Ἀρουκαῖον, καὶ Χετταῖον, καὶ Ἀσενναῖον, καὶ Σαμαρταῖον, καὶ Σιδώνιον, καὶ Φιλισταῖον. διὰ τοῦτο καὶ ὁ Κύριος λέγει ἐν τῷ νόμῳ, δεικνὺς ὅτι αἱ ἁμαρτίαι αὐτῶν ἐν τῷ ὅρκῳ ἐπληροῦντο, ὡς λέγει· » οὔπω ἐπληρώθησαν » αἱ ἁμαρτίαι τῶν Ἀμορραίων. διὰ τοῦτο παρέμειναν ἐν τῷ ὄρει, χρονοτριβέμενοι ἐν τῇ ἐρήμῳ, ἕως ἂν αὐτοκατακρίτους ἑαυτοὺς ποιήσωσι, καὶ ἐπέλθωσι πρὸς πόλεμον τοῖς υἱοῖς τοῦ Σὴμ τοῖς ἠδικημένοις. Σὴμ γὰρ γεννᾷ τὸν Ἀρφαξὰδ, Ἀρφαξὰδ τὸν Κϊωνᾶ, Κϊωνᾶ τὸν Σαλᾶ, Σαλᾶ τὸν Ἔβερ, Ἔβερ τὸν Φαλὲκ, Φαλὲκ τὸν Ῥαγαβ, Ῥαγαβ τὸν Σεροὺχ, Σεροὺχ τὸν Ναχὼρ, Ναχὼρ τὸν Θάῤῥα, Θάῤῥα τὸν Ἀβραὰμ, Ἀβραὰμ τὸν Ἰσαὰκ, Ἰσαὰκ τὸν Ἰακὼβ, Ἰακὼβ τὸν Ἰούδα, Ἰούδα τὸν Φάρες, Φάρες τὸν Ἐσρὼμ, Ἐσρὼμ τὸν Ἀρὰμ, Ἀρὰμ τὸν Ἀμιναδὰβ, Ἀμιναδὰβ τὸν Ναασών. ἐν χρόνοις Ναασὼν τοῦ φυλάρχου τοῦ Ἰούδα, καὶ ἐν χρόνοις Ἰησοῦ τοῦ Ναυῆ ἔλαβον οἱ υἱοὶ τοῦ Σὴμ τὴν ἰδίαν γῆν, μηδεμιᾶς ἀδικίας ἐν μέσῳ ὑπαρχούσης, ἀλλὰ δικαιοκρισίας. ἔπεσεν οὖν τὰ τείχη Ἱεριχὼ αὐτόματα. ἡ γὰρ δικαιοσύνη ἐκδικεῖ τὴν ἀδικίαν. ἐν ἑπτὰ ἡμέραις περιεκύκλουν τὰ τείχη, καὶ ἐγίνετο τὸ σάββατον, ἵνα πληρωθῇ ἡ δικαιοσύνη.

ΩΡΙΓΕΝΟΥΣ. Ἵνα δείξῃ δι' ἁμαρτίας αὐτοὺς εὐλόγως ἐκβαλλομένους. καὶ γὰρ ὅταν λέγῃ μετεμελήθην, οὐ τοῦτο λέγει, ὃ πάσχει, ἀλλὰ τὴν γεγονυῖαν ἀτοπίαν παρίστησιν. οὔπω φησὶν ἐκλέλοιπεν ὅσιος ἐξ αὐτῶν, οὔπω τετελειωμένοι εἰσὶν ἁμαρτίαις. δέκα γὰρ δίκαιοι ῥύονται πόλιν, οὐκ ὀλίγοι δὲ τότε ἦσαν.

ιζ. Ἐπεὶ δὲ ἐγένετο ὁ ἥλιος πρὸς δυσμὰς, φλὸξ ἐγένετο. καὶ ἰδοὺ κλίβανος καπνιζόμενος, καὶ λαμπάδες πυρὸς, αἳ διῆλθον ἀνὰ μέσον τῶν διχοτομημάτων τούτων.

ΚΥΡΙΛΛΟΥ. Νοεῖται ἐν εἴδει πυρὸς τὸ θεῖον κατὰ τὴν τῶν Χαλδαίων συνήθειαν τὸν ὅρκον ἀποπληροῦν. οὕτω καὶ διὰ Μωϋσέως ὁ νόμος ἐπὶ πυρὸς δίδοται.

** ΠΡΟΚΟΠΙΟΥ. Πρὸς δυσμὰς, ὅτι μετὰ χρόνον τὸ πρᾶγμα. Καὶ μετ' ὀλίγα. Τὸ δὲ περὶ ἡλίου δυσμὰς, προκοπὴν σημαίνει, διὰ τὸ παρεληλυθέναι αὐτῷ τὴν τῆς παρούσης καταστάσεως ἡμέραν, ἵνα ἄλλη προκοπὴ αὐτὸν διαδέξηται, φθανούσης ἐπ' αὐτὸν εὐλογίας.

** ΤΟΥ ΑΥΤΟΥ. Ὁ κλίβανος τοῦ πυρὸς, τοῦ βωμοῦ διασώζει τὸν τύπον. καὶ δηλοῖ ὅτι διὰ πυρὸς ἄνωθεν καταπεμπομένου δέξεται τὰς θυσίας Θεὸς, οὐ χρῄζων· οὐ γὰρ ἀνήλωσε τὸ πῦρ· ἀλλὰ παιδεύων. καὶ μὴν τὸ ἄνευ ξύλων οὐ καπνίζεται πῦρ, ὡς οὐδὲ ἥλιος, ἀλλὰ τὴν θυσίαν προτυποῖ τὸ γινόμενον.

** ΤΟΥ ΑΥΤΟΥ. Τῶν λαμπάδων διελθουσῶν τὰ διχοτομήματα, ἐβεβαιοῦτο ἡ διαθήκη τοῦ Θεοῦ λέγοντος, τῷ σπέρματί Δ» σου δώσω τὴν γῆν ταύτην ἀπὸ τοῦ ποτα» μοῦ Αἰγύπτου, ἕως τοῦ ποταμοῦ τοῦ μεγά» λου Εὐφράτου.

ΑΔΗΛΟΥ. Οὔτε φλὸξ γίνεται, οὔτε καπνιζόμενος κλίβανος, ἕως οὐ δύῃ ὁ ἥλιος. (1)

ιη. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ διέθετο Κύριος τῷ Ἄβραμ λέγων, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην ἀπὸ E τοῦ ποταμοῦ Αἰγύπτου, ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου.


** ΠΡΟΚΟΠΙΟΥ. Εὖ δὲ καὶ τὸ ἀπὸ τοῦ ποταμοῦ, ἕως τοῦ ποταμοῦ. ἡ γὰρ πρέπουσα ἐπαγγελία τῷ σπέρματι τοῦ ἁγίου, ἡ ἀρετή ἐστιν. ἥτις μέση τῶν ῥεόντων ἐστίν. εἰ δὲ καὶ διὰ τὸ ἐπικεῖσθαι πειρασμοὺς τῷ ἐναρέτῳ τοῦτο εἴρηται, ἐπιστήσεις, μέσου αὐτοῦ ὄντος τῶν θλιβόντων, καὶ ὑπερνικῶντος.

Z ιθ. Τοὺς Κεναίους, καὶ τοὺς Κενεζαίους, κ. καὶ τοὺς Καδμωναίους, Καὶ τοὺς Χετταίους, καὶ τοὺς Φερεζαίους, καὶ τοὺς Ῥαμκα. φαεὶμ, Καὶ τοὺς Ἀμοῤῥαίους, καὶ τοὺς Χαναναίους, τοὺς Γεργεσαίους, καὶ τοὺς Ἰεβουσαίους.

ΚΕΦ.

(1) Τί ἄραγε ταῦτα τῷ ὑπομνηματιστῇ βούλεται; ἢ ὅτι φλὸξ μὲν, ἡ τοῦ περικαρδίου αἵματος φλογώδης ζέσις· κλίβανος δὲ καπνιζόμενος, ἡ τὴν ψυχὴν καταμαυροῦσα τῆς σαρκὸς ἡδονή· ἥλιος δὲ, ὁ ἐν ἡμῖν ὀρθῶς βαίνων λόγος. ὅστις δὴ εἰ μὴ παρεκτραπῇ, καὶ χαυνωθεὶς δύῃ, οὐκ ἂν κατισχύσαιεν ἡμῶν θυμὸς καὶ ἐπιθυμία. τούτου γε ἕνεκα καὶ τὸ θεῖον ἡμῖν εἰσηγεῖται παράγγελμα, ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, (Λουκ. 12. 35.) καὶ μὴ ἐπιδυέτω ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν, (Ἐφεσ. 4. 26.) διὰ τοῦ λύχνου καὶ ἡλίου, τὸν λόγον ὑπαινιττόμενον. ὃ γὰρ τῷ σώματι ὁ ὀφθαλμὸς, τοῦτο τῇ ψυχῇ ὁ λόγος.

ΚΕΦ. ΙϚ.

α. Σάρα δὲ ἡ γυνὴ Ἄβραμ οὐκ ἔτικτεν αὐτῷ· ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ.

** ΠΡΟΚΟΠΙΟΥ. Στεῖρα ἡ τοῦ γένους μήτηρ εἰσάγεται· ἵνα παράδοξος ἡ τῶν ἐκγόνων σπορὰ φαίνηται θαυματουργηθεῖσα· καὶ ἵνα μὴ συνουσίᾳ μᾶλλον ἀνδρὸς; ἀλλ' ἐπιφροσύνῃ Θεοῦ συλλαμβάνῃ καὶ τίκτῃ.

β. Εἶπε δὲ Σάρα πρὸς Ἄβραμ ἐν γῇ Χαναάν, ἰδοὺ ἤδη συνέκλεισέ με Κύριος τοῦ μὴ τίκτειν· εἴσελθε οὖν πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσωμαι ἐξ αὐτῆς. ὑπήκουσε δὲ Ἄβραμ τῆς φωνῆς Σάρας.

ΑΔΗΛΟΥ. Ἐπειδὴ στειροῦσθαι δι' ὅλου ἐνόμισεν, οὐκ ἐδικαίωσε τὸν τοῦ ἀνδρὸς οἶκον ἐν ἀπαιδίᾳ καταλιπεῖν, ἀλλὰ καὶ αὕτη τὸ φίλανδρον ἐπεδείκνυτο, κἀκεῖνος παιδοποιΐας ἕνεκεν τῆς φωνῆς αὐτῆς ὑπήκουσε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πολλὴ καὶ ἄφατος ἡ φιλοσοφία τῆς γυναικός. τίς γὰρ ἂν ἕλοιτο πώποτε γυνὴ τοῦτο ποιῆσαι, ἢ συμβουλεῦσαι τῷ ἀνδρὶ τοῦτο, ἢ τῇ παιδίσκῃ τῆς εὐνῆς παραχωρῆσαι; εἶδες πῶς παντὸς πάθους ἐκτὸς ἦσαν; καὶ εἷς ἦν αὐτοῖς μόνος σκοπὸς, τοῦ μὴ ἄπαιδας τελευτῆσαι· ἀλλ' ἐσκόπουν ὅπως καὶ τὴν ἐντεῦθεν παραμυθίαν κτήσωνται, καὶ τῆς εἰρήνης τὸν σύνδεσμον ἀρραγῆ διατηρήσωσι.

γ. Καὶ λαβοῦσα Σάρα ἡ γυνὴ Ἄβραμ Ἄγαρ τὴν Αἰγυπτίαν τὴν ἑαυτῆς παιδίσκην, μετὰ δέκα ἔτη τοῦ οἰκῆσαι Ἄβραμ ἐν τῇ Χαναάν, ἔδωκεν αὐτὴν Ἄβραμ τῷ ἀνδρὶ αὐτῆς αὐτῷ εἰς γυναῖκα.

ΘΕΟΔΩΡΙΤΟΥ. Πολλοὶ τῶν ἀκολάστων ἀφορμὴν εἰς λαγνείαν λαμβάνουσι τὸ τὸν πατριάρχην Ἀβραὰμ παλλακὴν ἐσχηκέναι. Ἕκαστον τῶν πραττομένων ἐκ τοῦ σκοποῦ κρίνεται τῶν διαπραττομένων. οὕτω τοίνυν καὶ τὰ κατὰ τὴν Ἄγαρ σκοπήσωμεν. κἂν ἐπιθυμίᾳ δεδουλωκότα τὸν πατριάρχην ἴδωμεν, νεμεσητὸν τὸ πρᾶγμα καλέσωμεν. εἰ δὲ τῆς ὁμοζύγου, τῆς φύσεως ἐπιδειξάσης τὸ πάθος, καὶ τὸν ποιητὴν ἄγονον δεδημιουργηκέναι τὴν μήτραν εἰρηκυίας, καὶ τῆς παιδοποιΐας δηλωσάσης τὸν πόθον, καὶ τούτου χάριν ἱκετευσάσης ὁμιλῆσαι τῇ Ἄγαρ, ἵνα αὐτῇ παιδίον ἐπινοήσῃ ἐκεῖθεν, τί ἐξήμαρτεν Ἀβραάμ, οὔτε τῆς φύσεως, οὔτε νόμου τινὸς ἐγγράφου τηνικαῦτα τὴν πολυγαμίαν κωλύοντος, τῆς δὲ ὁμοζύγου στείρας μὲν οὔσης, λιπαρησάσης δὲ τὸν ἄνδρα τῇ παιδίσκῃ μιγῆναι, οὐχ ἵνα ἡδυπαθείᾳ δουλεύσῃ, ἀλλ' ὅπως αὐτὸς μὲν φύσει, αὐτὴ δὲ θέσει παίδων κληθῶσι γεννήτορες; ὅτι γὰρ κρείττων ἦν αἰσχρᾶς ἡδονῆς ὁ θεῖος ἐκεῖνος ἀνὴρ, οὐ μόνον ταῦτα, ἀλλὰ καὶ τὰ ἑξῆς B μαρτυρεῖ. ἐπειδὴ γὰρ ἐγκύμων ἡ Ἄγαρ γενομένη, μεγαλαυχίας πρόφασιν ἔσχε τὴν κύησιν, καὶ κατὰ τῆς δεσποίνης ἐλύττησεν, ἐδυσχέραινε μὲν ἡ Σάῤῥα, καὶ τοῦ πατριάρχου κατεβόησεν οὐκ ὀρθῶς· ὁ δὲ μάλα ἠπίως τὴν παροινίαν δεξάμενος, ἐξέδωκεν αὐτῇ τὴν παιδίσκην εἰς τιμωρίαν, οὐδὲ τεχθῆναι προσμείνας τὸ κυοφορούμενον βρέφος. „ἰδοὺ γάρ φησιν ἡ παιδίσκη σου ἐν ταῖς χερσί σου, χρῶ αὐτῇ ὡς Γ „ἐάν σοι ἀρεσὸν ᾖ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πόση τὸ παλαιὸν ἐπολιτεύετο παρ' αὐτοῖς ἡ φιλοσοφία· πῶς καὶ οἱ ἄνδρες ἦσαν ἐγκρατεῖς, καὶ τῆς σωφροσύνης πολλὴν ποιούμενοι λόγον, καὶ αἱ γυναῖκες ζηλοτυπίας ἐκτὸς ἐτύγχανον. ἐπίτηδες γὰρ ἡ Γραφὴ συνεχῶς λέγει, „καὶ λαβοῦσα Σάρα Ἄγαρ τὴν παιδίσκην· καὶ πάλιν, ἔδωκεν αὐτὴν εἰς γυναῖκα, ἵνα μάθῃς ὅπως ἀπαθῶς τὸ Δ πρᾶγμα μετεχείριζε, καὶ πόση παρ' αὐτοῖς ἦν ἡ φιλοσοφία.

δ. Καὶ εἰσῆλθε πρὸς Ἄγαρ· καὶ συνέλαβε· καὶ εἶδεν ὅτι ἐν γαστρὶ ἔχει. καὶ ἠτιμάσθη ἡ κυρία αὐτῆς ἐναντίον αὐτῆς.

ΑΔΗΛΟΥ. Τὸ δύνασθαι τιμὴν ὑπενεγκεῖν μέγα ἐστίν. ἡ γὰρ ὑπὸ τῆς δεσποίνης E προτιμηθεῖσα, κατὰ τῆς δεσποίνης ἐπαίρεται.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τοιοῦτον γὰρ τῶν οἰκετῶν τὸ ἦθος, ἂν μικρᾶς εὐπραγίας ἐπιλάβωνται, οὐκ ἀνέχονται μένειν εἴσω τῶν οἰκείων ὅρων, ἀλλ' εὐθέως ἐπιλανθάνονται τῆς οἰκείας τάξεως, καὶ πρὸς ἀγνωμοσύνην ἐπείγονται· ὅπερ καὶ αὐτὴ ἡ παιδίσκη πέπονθεν. ἐπειδὴ γὰρ εἶδε τῆς γαστρὸς τὸν ὄγκον, οὐκ ἐννοοῦσα, οὐ Z τῆς δεσποίνης τὴν ἄφατον φιλοσοφίαν, οὐ τῆς οἰκείας ἀξίας τὴν εὐτέλειαν, ἀλλ' ἐπαρθεῖσα καὶ μέγα φρονήσασα, ὑπερορᾷ τῆς δεσποίνης, τῆς τοσαύτην περὶ αὐτὴν ἐπιδειξαμένης τὴν κηδεμονίαν, ὡς καὶ ἐπὶ τὴν εὐνὴν αὐτὴν ἀγαγεῖν τοῦ ἀνδρός.

ΚΥΡΙΛΛΟΥ. Προανεδείχθη μὲν γὰρ ὠδίνουσα τὸν Ἰσραὴλ ἡ κατὰ νόμον λατρεία. οἰκέτις δὲ οὖσα, πνεῦμα οὐκ εἶχεν ἐλεύθερον ἐν H αὐτῇ. μόνον δὲ οὐχὶ καὶ προεκυοφόρησε τῆς νέας καὶ εὐαγγελικῆς παιδεύσεως τὸν ἐξ Αἰγύπτου λαόν. τοιγάρτοι καὶ πεφρόνηκε μέγα, καὶ ἐδίωκε τοὺς ἐν Χριστῷ, καὶ κατὰ τῶν εὐαγγελικῶν κηρυγμάτων

A των ὑψηλὴν αἴρουσα τὴν ὀφρὺν πολυτρόπως ἡλίσκετο. ἐπετίμα γὰρ τοῖς ἁγίοις Ἀποστόλοις ἡ τῶν Ἰουδαίων συναγωγὴ διαρ-
Πραξ. 5. 28. ῥήδην, λέγουσα· » οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν, καὶ τὰ ἑξῆς. ὁρᾷς ὅπως καλεπαίρεται τῆς Σάρρας ἡ Αἰγυπτία, καὶ καταθρασύνεται τῆς ἐλευθέρας τὸ θεραπαινίδιον; ἀλλ' ἐνικᾶτο τῷ χρόνῳ, καὶ ἀποδιδράσκει τρόπον τινὰ τιμῶσα τὸ ἐξώιον.

ε. **Εἶπε δὲ Σάρα πρὸς Ἀβράμ, ἀδικοῦμαι ἐκ σοῦ. ἐγὼ δέδωκα τὴν παιδίσκην μου εἰς τὸν κόλπον σου· ἰδοῦσα δὲ ὅτι ἐν γαστρὶ ἔχει, ἠτιμάσθην ἐναντίον αὐτῆς. κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ.**

B ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Γυναικὸς ἀληθῶς ταῦτα τὰ ῥήματα, καὶ τῆς ἀσθενείας ταύτης τῆς φύσεως. μονονουχὶ γὰρ ταυτά φησι πρὸς αὐτόν· ἐγὼ μὲν τὴν ἀπαιδίαν βουλομένη παραμυθήσασθαι τὴν σήν, τοσαύτην ἐπεδειξάμην τὴν κηδεμονίαν, ὡς καὶ τὴν ἐμὴν παιδίσκην καὶ ταῖς ἐμαυτῆς σοι χερσὶ παραδοῦναι, καὶ πρὸς τὴν συνουσίαν προτρέψασθαι· ὁρῶν δὲ αὐτὸς ἐντεῦθεν αὐτὴν γενομένην προπετεστέραν διὰ τὸν τῆς γαστρὸς ὄγκον, καὶ φρονήματος ἐμπεπλησμένην, δέον ἀναστεῖλαι, καὶ ἐκδικῆσαί σε τὰς ὕβρεις τὰς εἰς ἐμὲ γινομένας, οὐκ ἐποίησας. ἀλλ' ὡσανεὶ πάντων τῶν προτέρων ἐπιλαθόμενος, περιορᾶσθαί με καταδέχῃ, τὴν ἐν τοσούτοις ἔτεσι συνοικήσασαν, ὑπὸ τῆς Αἰγυπτίας τῆς παιδίσκης τῆς ἐμῆς ἀτιμαζομένην. » κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. ὀδυνωμένης ψυχῆς τὸ ῥῆμα.

» ΑΔΗΛΟΥ. Ἠτιμάσθην ἐναντίον αὐτῆς. ἐπίτηδες οὐκ ἐσαφηνίσθη τὸ, ὑπὸ τίνος, ἵνα ἡμεῖς ζητήσαντες εὕρωμεν. ὅτι πέφυκεν ἀτιμάζεσθαι ἀρετή, ἡνίκα ἂν τὰ προπαιδεύματα γεννήσῃ. οὐ πάντως ὑπὸ τοῦ Ἀβραάμ, ἀλλ' ἤτοι ὑπὸ τῆς παιδίσκης, ἢ τῶν χαιρόντων πρὸ τῆς γενέσεως τῶν κρειττόνων τοῖς γεννήμασιν αὐτῆς.

ϛ. **Εἶπε δὲ Ἀβρὰμ πρὸς Σάραν, ἰδοὺ ἡ παιδίσκη σου ἐν ταῖς χερσί σου· χρῶ αὐτῇ ὡς ἄν σοι ἀρεστὸν ᾖ**

ΕΥΣΕΒΙΟΥ. Ἐπισφραγίζεται ὁ λόγος τὸν γάμον τῶν ὁσίων διὰ τοὺς ἀκρατεῖς. οὗτοι γὰρ ἕνεκα παλλακίδων, αἷς ἐπεμάνησαν, ὀλιγωροῦσι τῶν ἀστῶν. διόπερ εἰσάγει τὸν σπουδαῖον, τότε βεβαιότατον ἄνδρα γαμετῆς, ὅτε παλλακίδι χρῆσθαι παρήγγελλον οἱ καιροί. καὶ τότε παγιωτέραν γυναῖκα τὴν ἀστήν, ὅτε παρεισῆλθεν ἑτέρα. πρὸς μὲν γὰρ τὴν παλλακίδα, μίξις ἦν σωμάτων ἕνεκεν γεννήσεως· πρὸς δὲ τὴν γαμετήν, ἕνωσις ψυχῆς ἁρμοζομένης ἔρωτι οὐρανίῳ.

** ΚΛΗΜΕΝΤΟΣ. Ὁ Ἀβραὰμ παραζηλούσης τῆς Σάρρας τὴν Ἄγαρ παροδοκιμοῦσαν αὐτήν, ὡς ἂν τὸ χρήσιμον ἐκλεξάμενος μόνον τῆς κοσμικῆς φιλοσοφίας, » ἰδοὺ ἡ παιδίσκη ἐν ταῖς χερσί σου· χρῶ αὐ» τῇ ὡς ἄν σοι ἀρεστὸν ᾖ, φησί· δηλῶν, ὅτι ἀσπάζομαι μὲν τὴν κοσμικὴν παιδείαν, καὶ ὡς νεωτέραν καὶ ὡς συνθεραπαινίδα· τὴν δὲ ἐπιστήμην τὴν σήν, ὡς τελείαν δέσποιναν, τιμῶ καὶ σέβω.

Καὶ ἐκάκωσεν αὐτὴν Σάρα, καὶ ἀπέδρα ἀπὸ προσώπου αὐτῆς.

B » ** ΚΛΗΜΕΝΤΟΣ. Καὶ ἐκάκωσεν αὐτὴν Σάρρα· ἴσον τῷ, ἐσωφρόνισε καὶ » ἐνουθέτησεν. εὖ γοῦν εἴρηται· παιδείας » Θεοῦ, υἱέ, μὴ ὀλιγώρει· μηδὲ ἐκλύου ὑπ' » αὐτοῦ ἐλεγχόμενος. ὃν γὰρ ἀγαπᾷ Κύ» ριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν » παραδέχεται. Παροιμ. 3.11. 12.

Γ * ΠΡΟΚΟΠΙΟΥ. Οὐ πᾶσα ψυχὴ δέχεται νουθεσίαν; ἀλλ' ἡ μὲν ἵλεως, ἀγαπᾷ τοὺς ἐλέγχους, καὶ τοῖς παιδεύουσι μᾶλλον οἰκειοῦται· ἡ δὲ ἐχθρά, μισεῖ καὶ ἀποστρέφεται καὶ ἀποδιδράσκει, τοὺς πρὸς ἡδονὴν λόγους τῶν ὠφελεῖν δυναμένων προκρίνουσα.

ζ. **Εὗρε δὲ αὐτὴν Ἄγγελος Κυρίου τοῦ Θεοῦ ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ, ἐπὶ τῆς πηγῆς ἐν Δ τῇ ὁδῷ Σούρ.**

* ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Σούρ, τεῖχος ἢ εὐθυσμός.

» ** ΠΡΟΚΟΠΙΟΥ. Εὗρε δὲ αὐτὴν Ἄγ» γελος Κυρίου ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν » τῇ ἐρήμῳ, ἐπὶ τῆς πηγῆς ἐν τῇ ὁδῷ Σούρ. ὡς γὰρ ἐγκύμων ἀνέκειτο ἀποπνέουσα. ἔρημος δὲ Σοὺρ ἡ κατὰ πρόσωπον Αἰγύπτου παρατείνουσα, ἔνθα καὶ τὴν ἐρυθρὰν θά- E λασσαν Ἑβραῖοι περάσαντες, κατήντησαν, ὡς ἐν Ἐξόδῳ φησί. τὸν δὲ Ἄγγελον τινές φασι τὸν μέλλοντα ἐφίστασθαι τῷ ἔθνει τῷ ἐξ αὐτῆς ἀποτίκτεσθαι μέλλοντι. ἄλλοι δὲ τὸν Χριστὸν εἶναι βουλόμενοι κατὰ τὸν Ἠσαΐαν, φασί· καὶ ποῖος Ἄγγελος ἐξουσιαστικῶς οὕτω διαλέγεται, καὶ ἔθνος εἰς ἐπίδοσιν εὐλογεῖ; δηλοῖ δὲ καὶ ὁ Θεὸς μετὰ ταῦτα περὶ Ἰσραήλ, λέγων τῷ Ἀ» βραάμ, ἰδοὺ εὐλόγηκα αὐτόν, τὴν ἐνταῦ- Z θα δηλῶν εὐλογίαν. ἄλλοι δέ φασιν ὡς ὁ Ἄγγελος οὐκ ἰδίους λόγους ἀπήγγειλεν, ἀλλὰ τοῦ Θεοῦ, ὡς οἱ Προφῆται. ὅθεν αὐτὸν καὶ Θεὸν ὠνόμασε.

ΑΔΗΛΟΥ. Διὰ τοῦτο εὗρεν αὐτήν, ἐπεὶ τοῦ Ἀβραὰμ εἶχε σπέρμα ἐν ἑαυτῇ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ γὰρ περιέφερε μεθ' ἑαυτῆς τοῦ δικαίου τὸ σπέρμα, διὰ τοῦτο καὶ τῆς ὀπτασίας ἀξιοῦται H τῆς παρὰ τοῦ Ἀγγέλου. Καὶ μετ' ὀλίγα. Σκόπει φιλανθρωπίαν δεσπότου, πῶς οὐδένα περιορᾷ, ἀλλὰ κἂν οἰκέτης ᾖ, κἂν παιδίσκη, αὐτὸς ἐν πᾶσι τὴν οἰκείαν ἐπιδείκνυται πρόνοιαν; οὐ πρὸς τὴν τῶν ἀξιωμάτων

ὁρῶν διαφοράν, ἀλλὰ πρὸς τὴν τῆς ψυ- A χῆς διάθεσιν. Καὶ μεθ' ἕτερα. Διὰ τοῦτο καὶ εἰς αὐτὴν τὴν ἔρημον αὐτῇ γενομένῃ φαίνεται ὁ Ἄγγελος, ἵνα μὴ νομίσῃ ἁπλῶς τινὰ τῶν παριόντων εἶναι τὸν πυθόμενον. ἐρημία γὰρ ἦν, καὶ οὐδεὶς ἕτερος παρῆν.

η. **Καὶ εἶπεν αὐτῇ ὁ Ἄγγελος Κυρίου, Ἄγαρ παιδίσκη Σάρας, πόθεν ἔρχῃ; καὶ ποῦ πορεύῃ; καὶ εἶπεν, ἀπὸ προσώπου Σάρας τῆς κυρίας μου B ἐγὼ ἀποδιδράσκω.**

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς καὶ τὰ παρὰ τοῦ Ἀγγέλου εἰς ὑπόμνησιν αὐτὴν ἦγε τῆς οἰκείας ἀξίας. ἵνα γὰρ προσεκτικωτέραν αὐτὴν ποιήσῃ, εὐθέως τὴν προσηγορίαν αὐτῆς εἰς μέσον ἤγαγε, καί φησιν, Ἄγαρ. εἰώθαμεν γάρ πως ἐκείνοις προσέχειν μᾶλλον τοῖς ἐξ ὀνόματος » ἡμᾶς καλοῦσιν. εἶτά φησι, παιδίσκη Σά- Γ ρας· ὑπομιμνήσκει αὐτὴν τῆς δεσποίνης, ἵνα εἰδέναι ἔχῃ, ὅτι κἂν μυριάκις τῆς δεσποτικῆς εὐνῆς ἐκοινώνησεν, ἀλλ' ὅμως καὶ δεσπότιν ὀφείλει ἐπιγράφεσθαι τὴν Σάραν. ὅρα τοίνυν τὸν Ἄγγελον πυνθανόμενον, ἵνα εἰς ἀνάγκην αὐτὴν ἀγάγῃ τῆς ἀποκρίσεως.

θ. **Εἶπε δὲ αὐτῇ ὁ Ἄγγελος Κυρίου, ἀποστράφηθι πρὸς τὴν κυρίαν Δ σου, καὶ ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς.**

ΚΥΡΙΛΛΟΥ. Προστάττεται μὴ παραιτεῖσθαι τὴν ἐλευθέραν, ἤτοι τὴν εἰς ἐλεύθερον ἀξίωμα καλοῦσαν παίδευσιν.

** ΤΟΥ ΑΥΤΟΥ. Ἡ γὰρ διὰ νόμου λατρεία διὰ σχημάτων ἰοῦσα καὶ τύπων, δουλεύει τρόπον τινὰ τοῖς εὐαγγελικοῖς παιδεύμασιν, ἀμυδρὸν τῆς ἀληθείας τὸ κάλλος ἐφ' ἑαυτῇ δεικνύουσα. δι' Ἀγγέλων E τοίνυν ὁ πάλαι διὰ Μωσέως ὡρίζετο νόμος, καὶ διὰ φωνῆς Ἀγγέλου τοῖς διὰ Χριστὸν θεσπίσμασιν ὑποφέρειν ὥσπερ προστάσσεται τὸν αὐχένα, καὶ ὑποκλίνεσθαι τῇ ἐλευθέρᾳ, καὶ οὐχ ἑκοῦσα παραχωρεῖν. τοῦτο γὰρ οἶμαι, νοητῶς ἐστὶ, τὸ ὑπὸ χεῖρα τῆς Σάρρας γενέσθαι τὴν Ἄγαρ. μεμνῆσθαι δὲ ἀναγκαῖον, ὡς διαθηκῶν δυάδα τέθεικεν αὐτὰς καὶ ὁ θεσπέσιος Παῦλος. τὴν Z μέν, εἰς δουλείαν γεννῶσαν σύστοιχόν τε τῇ νῦν Ἱερουσαλήμ· τὴν δὲ, εἰς ἐλευθερίας ἀξίωμα, φημὶ δὴ τὴν Σάρραν.

ι. **Καὶ εἶπεν αὐτῇ ὁ Ἄγγελος Κυρίου, πληθύνων πληθυνῶ τὸ σπέρμα σου, καὶ οὐκ ἀριθμηθήσεται ὑπὸ τοῦ πλήθους.**

ια. **Καὶ εἶπεν αὐτῇ ὁ Ἄγγελος H Κυρίου, ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαήλ.**

A ΑΔΗΛΟΥ. Ὁ Σύμμαχος καὶ Θεοδοτίων τὸν Ἰσμαὴλ ἡρμήνευσαν ἔρημος ἄνθρωπος. Ἰσμαήλ, εἰσακοὴ Θεοῦ. Ἀκύλας, ἄγριος. Σύμμαχος, κεχωρισμένος ἀνθρώπων.

ΑΔΗΛΟΥ. Χρὴ εἰδέναι, ὅτι τὰ ὀνόματα ἕξεων ἐστὶ, καὶ καταστάσεων, καὶ ποιοτήτων δηλωτικά. δυνάμει γὰρ ὠνομάσθησαν ὑπὸ τοῦ ἁγίου πνεύματος.

B **Ὅτι ἐπήκουσε Κύριος τῆς ταπεινώσεώς σου.**

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐντεῦθεν μανθάνομεν ὅσον τῶν θλίψεων τὸ κέρδος, ὅση τῆς συμφορᾶς ἡ ὠφέλεια. ἐπειδὴ γὰρ ἀνεχώρησε, καὶ τὰ τῆς ὀδύνης ηὐξήθη, καὶ πολλὴν ὑπέστη τῶν θλίψεων τὴν περίστασιν, ἐν μονώσει, ἐν ἐρημίᾳ, ἐν στενοχωρίᾳ διάγουσα, μετὰ τὴν τοσαύτην εὐημερίαν, Γ καὶ τὸ εἰς τὸ αὐτῇ τῇ δεσποίνῃ πρέπον ἀξίωμα ἀνενεχθῆναι, διὰ τοῦτο ταχείας ἀπήλαυσε τῆς ἀντιλήψεως.

ιβ. **Οὗτος ἔσται ἄγροικος ἄνθρωπος· αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας, καὶ αἱ χεῖρες πάντων ἐπ' αὐτόν· καὶ κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατοικήσει.**

Δ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Προμηνύει αὐτῇ, ὅτι ἀνδρεῖος ἔσται, ὅτι πολέμιος, ὅτι πρὸς τὴν τῆς γῆς ἐπιμέλειαν πολὺν τὸν πόνον ἐπιδείξεται.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸν γεννηθέντα τρόπον χαρακτηρίζει, διά τε τὸ λέγειν ἄγροικον ἔσεσθαι, ὡς ἂν ἀγροικόσοφον, μήπω τῆς θείας καὶ πολιτικῆς ὄντως μορίας ἠξιωμένον. αὕτη δέ ἐστιν ἀρετή, δι' ἧς πέφυκεν ἡμεροῦσθαι τὸ ἦθος· καὶ E » διὰ τὸ φάσκειν, αἱ χεῖρες αὐτοῦ ἐπὶ πάν» τας, καὶ αἱ χεῖρες πάντων ἐπ' αὐτόν. σοφιστοῦ γὰρ βούλημα τοῦτο, τὸ λίαν σκεπτικὸν ἐπιμορφάζοντος, καὶ λόγοις χαίροντος ἐριστικοῖς. οὕτω καὶ πάντας βάλλει τοὺς ἀπὸ τῶν μαθημάτων, ἰδίᾳ τε ἑκάστῳ, καὶ κοινῇ πᾶσιν ἐναντιούμενος, καὶ βάλλεται πρὸς ἁπάντων εἰκότως ἀμυνομένων ὑπὲρ οἰκείων ἐκγόνων, ὧν ἔτεκεν αὐτῶν ἡ ψυχὴ δογμάτων. ἀλλὰ καὶ τρίτον προσυ- Z πογράφει χαρακτῆρα, φάσκων, κατὰ » πρόσωπον πάντων τῶν ἀδελφῶν κατοικήσει· μονονοὺκ ἄντικρυς ἐπιδεικνύμενος τὴν ἀντιπρόσωπον διαμάχην καὶ ἀντίστασιν αἰώνιον.

ιγ. **Καὶ ἐκάλεσε τὸ ὄνομα Κυρίου τοῦ λαλοῦντος πρὸς αὐτήν, σὺ ὁ Θεὸς ὁ ἐπιδών με· ὅτι εἶπε, καὶ γὰρ ἐνώπιον εἶδον ὀφθέντα μοι.**

H ΑΔΗΛΟΥ. Σημείωσον, ὅτι Κύριον καλεῖ, ὅνπερ ἀνωτέρω Ἄγγελον ἔλεγε. μήποτε οὖν ὁ τῆς μεγάλης βουλῆς Ἄγγελος ἦν;

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐκάλεσε, φησὶν, Ἄγαρ τὸ ὄνομα Κυρίου τοῦ λαλοῦντος πρὸς αὐτὴν, ὁ Θεὸς ἐπεῖδέ με, δηλονότι διὰ τὸν τῷ Ἀγγέλῳ ἐνοικοῦντα, ὡς τῆς μετουσίας χαριζομένης καὶ αὐθεντίαν, καὶ διὰ τὴν ἐνοίκησιν τοῦ Θεοῦ, Θεῶν ὀνομαζομένων τῶν μετεχόντων. ἀμέλει καὶ ὁ Μωϋσεῖ λαλῶν, Ἄγγελος εἴρηται. καὶ Ἐξόδ. 3. 6. ἐκάλεσε γάρ φησιν αὐτὸν Ἄγγελος Κυρίου, καὶ εἶπεν, ἐγὼ Θεὸς Ἀβραὰμ, καὶ Θεὸς Ἰσαὰκ, καὶ Θεὸς Ἰακώβ. ὡς πρὸς τὸ B διακονεῖν οὖν, Ἀγγέλων εἰσὶ λόγοι· ὡς δὲ πρὸς τὴν δύναμιν, Θεοῦ. οὐχ ἡ τυχοῦσα δὲ Ἄγαρ, Ἀγγέλου κηδομένου καὶ λαλοῦντος ἠξιωμένη: εἰκὸς γὰρ εἶναι σπουδαίαν, ὡς αἱρεθεῖσαν ὑπὸ τῆς Σάῤῥας τῆς ἁγίας εἰς συνοίκησιν Ἀβραάμ. καὶ τὸ εὔγνωμον δὲ αὐτῆς παρίσταται ἐκ τοῦ λέγειν Σάῤῥαν κυρίαν, καὶ μηδὲν περὶ αὐτῆς φαῦλον εἰπεῖν. καὶ τὸ τοῦ ἤθους δὲ ἀνυπόκριτον πῶς οὐκ ἐπαινετόν; ὁμολογεῖ γὰρ Γ ὃ πέπονθεν· ὅτι τὸ πρόσωπον, λέγω δὲ τὴν φαντασίαν τῆς ἀρετῆς καὶ σοφίας, καταπέπληκται, καὶ τὸ τῆς ἐξουσίας βασιλικόν. οὐ γὰρ ὑπομένει τὸ ὕψος καὶ μέγεθος θεωρεῖν, ἀλλ' ἀποδιδράσκει. ἔνιοι γὰρ οὐ μίσει τῷ πρὸς ἀρετὴν φεύγουσιν αὐτὴν, ἀλλ' αἰδοῖ, κρίνοντες ἑαυτοὺς ἀναξίους συμβιοῦν τῇ δεσποίνῃ.

ιδ. Ἕνεκεν τούτου ἐκάλεσε τὸ Δ Φρέαρ, Φρέαρ, οὗ ἐνώπιον εἶδον. ἰδοὺ ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Βαράδ.

ΑΔΗΛΟΥ. Πρότερον πηγὴ, νῦν δὲ περὶ αὐτῆς φησίν· ἕνεκεν τούτου ἐκάλεσε τὸ Φρέαρ, Φρέαρ. καὶ διατί; ζητήσεις. (1)

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Διὰ τοῦτο, φησὶν ἐκάλεσε τὸ Φρέαρ, Φρέαρ οὗ E A ἐνώπιον εἶδον. ἀλλ' οὐκ ἔμελες ὦ ψυχὴ προκόπτουσα, καὶ τῇ τῶν ἐγκυκλίων ἐπιστήμῃ προπαιδευμάτων ἐμβαθύνουσα, καθάπερ διὰ κατόπτρου τῆς παιδείας, τὸν αἴτιον τῆς ἐπιστήμης ἰδεῖν. οἰκειότατος δὲ καὶ ὁ τοιούτου φρέατος τόπος ἐν μέσῳ Κάδδης καὶ Βαράδ. ἑρμηνεύεται δὲ Βαράδ μὲν, ἐν κοινοῖς. Κάδδης δὲ, ἅγια. μεθόριος γὰρ ἁγίων καὶ βεβήλων ὁ ἐν προκοπαῖς, ἀποδιδράσκων μὲν τὰ φαῦλα, B μήπω δ' ἱκανὸς ὢν τελείοις συμβιοῦν ἀγαθοῖς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει πῶς καὶ αὐτὴ βούλεται διηνεκῆ τὴν μνήμην ἐναποθέσθαι τῷ τόπῳ διὰ τῆς προσηγορίας. ἐκάλεσε γὰρ, φησὶ, τὸν τόπον, Φρέαρ οὗ ἐνώπιον εἶδον.

ιε. Καὶ ἔτεκεν Ἄγαρ τῷ Ἄβραμ Γ υἱόν· καὶ ἐκάλεσεν Ἄβραμ τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου αὐτῷ, ὃν ἔτεκεν Ἄγαρ, Ἰσμαήλ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἑρμηνεύεται Ἰσμαὴλ ἀκοὴ Θεοῦ. ἀκοὴ δὲ ὁράσεως τὰ δευτερεῖα φέρεται; ὅρασιν δὲ ὁ γνήσιος υἱὸς καὶ πρωτόγονος Ἰσραὴλ κεκλήρωται· μεταληφθεὶς γάρ ἐστιν ὁρῶν τὸν Θεόν. ἀκούειν μὲν γὰρ καὶ ψευδῶν ὡς ἀληθῶς ἔνεστιν, ὅτι ἀπατηλὸν ἀκοή· Δ ἀψευδὲς ὅρασις, ᾗ τὰ ὄντα πάντως κατανοεῖται.

ις. Ἄβραμ δὲ ἦν ἐτῶν ὀγδοηκονταὲξ, ἡνίκα ἔτεκεν Ἄγαρ τὸν Ἰσμαὴλ τῷ Ἄβραμ.

ΑΔΗΛΟΥ. Εἰ μετὰ δέκα ἔτη τοῦ συνοικῆσαι τῷ Ἄβραμ Σάῤῥα ἔδωκε τὴν Ἄγαρ τῷ ἀνδρὶ, ἔοικεν ὀγδοήκοντα ὄντι τῷ Ἀβραὰμ ἐτῶν συνῳκηκέναι.

Κ Ε Φ. ΙΖ.

α. Ἐγένετο δὲ Ἄβραμ ἐτῶν ἐνενήκοντα ἐννέα· καὶ ὤφθη Κύριος τῷ Ἄβραμ, καὶ εἶπεν αὐτῷ, ἐγώ εἰμι ὁ Θεός σου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὤφθη αὐτῷ ὁ Θεὸς, ἀντὶ τοῦ τῆς παρ' αὐτοῦ δηλονότι ἐπισκέψεως αὐτὸν ἠξίωσε, καὶ ἄξιον αὐτὸν ἡγησάμενος τῆς παρ' ἑαυτοῦ προνοίας, πολλῇ κεχρημένος τῇ συγκαταβάσει. Καὶ μετ' ὀλίγα. Καὶ οὐκ εἶπεν, ἐγώ εἰμι ὁ Θεὸς, ἀλλ' ἐγώ εἰμι ὁ Θεός σου. ὅρα τὴν πολλὴν ἀγαθότητα, πῶς καὶ διὰ τὴν προσθήκην ταύτην τὸ φίλτρον τὸ περὶ τὸν δίκαιον ἐπιδείκνυται.

Z ** ΩΡΙΓΕΝΟΥΣ. Οὐκ ἔστι πάντων Θεὸς, ἀλλ' ἢ ἐκείνων, οἷς χαρίζεται ἑαυτόν. ὥσπερ ἐχαρίσατο ἑαυτὸν τῷ πατριάρχῃ ἐκείνῳ, ᾧ εἶπεν, ἐγὼ Θεὸς σός.

** ΠΡΟΚΟΠΙΟΥ. Πάντων μὲν οὖν ἐστὶ Θεὸς, ὡς δημιουργὸς, τῶν ἁγίων δὲ κατ' ἐξαίρετον, καὶ τὴν ἐκ τούτων λατρείαν.

Εὐαρέστει ἐναντίον ἐμοῦ, καὶ γίνου ἄμεμπτος.

ΠΡΟΚΟ-

(1) Οὐ δυσεύρετον τὸ ζητούμενον. πηγὴ γὰρ καὶ φρέαρ ταυτοσήμαντα παρὰ τῇ θείᾳ Γραφῇ. ἐκοίμησε, γάρ φησι, τὰς καμήλους ἔξω τῆς πόλεως παρὰ τὸ φρέαρ, (Γεν. 24. 11.) καὶ μετ' ὀλίγα, ἰδοὺ ἕστηκα ἐπὶ τῆς πηγῆς. καὶ ἐν Εὐαγγελίοις δὲ, ἦν δὲ ἐκεῖ πηγὴ, (Ἰωάν. 4. 6.) εἶτα, καὶ τὸ φρέαρ ἐστὶ βαθύ. καὶ ἐνταῦθα οὖν, ὅπερ πηγὴν εἴρηκε πρότερον, φρέαρ ἐκάλεσεν ὕστερον.

** ΠΡΟΚΟΠΙΟΥ. Ἢ ὡς μήπω ἀμέμπτῳ, ἢ ὡς τοιούτῳ μὲν, δεομένῳ δὲ ἀεὶ ἐνεργεῖν τὸ ἄμεμπτον, ὡς ἂν διαπαντὸς ἄμεμπτος ᾖ.

β. Καὶ θήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον σοῦ· καὶ πληθυνῶ σε σφόδρα, σφόδρα.

** ΚΛΗΜΕΝΤΟΣ. Φιλίας ἐνταῦθα ἐπιστατικῆς ἐστὶ κοινωνία.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ θήσομαι τὴν
» διαθήκην μου, ὡς περὶ ἄθλου ἐπαγγελία,
καὶ αὐτῆς διδομένης τῷ εὐαρεστοῦντι ἐναν-
τίον αὐτοῦ, καὶ γινομένῳ ἀμέμπτῳ. ἐπά-
» γει δὲ, καὶ πληθυνῶ σε σφόδρα, σφόδρα.
καὶ μήποτέ φασιν οὐ πάντα τὸν πληθύνειν
δοκοῦντα, πληθύνει Θεὸς, ἀλλὰ τὸν Ἀ-
βραὰμ καὶ τοὺς ὁμοίους αὐτῷ· δοκεῖ δὲ τοῦ
πληθύνειν τὸ μέντοι εἶναι ἐφ' ἡμῖν, καθ' ὃ
» λέγεται τὸ, αὐξάνεσθε, καὶ πληθύνεσθε·
» τὸ δὲ, ἐπὶ Θεῷ, διὰ τὸ, πληθυνῶ σε. γέ-
1. Κορ. 3. 6. γραπται δὲ, ὁ Θεὸς ηὔξανε. πληθύνων
μὲν οὖν τὸν ἄνθρωπον, ἀνθρώπους πολλοὺς ποιεῖ· ὅπερ οὐ θαῦμα, καὶ γὰρ ἄλλα ἔθνη πολυάνθρωπα γέγονε· τὸν δὲ Ἀβραὰμ, οἱονεὶ πολλοὺς Ἀβραὰμ, ὡς πολλοὺς Ἰακὼβ, κατὰ τὸ ἅγια τέκνα ἐξ αὐτῶν μέλλειν ἔσεσθαι, μιμούμενα τά τε ἔργα, καὶ τὴν πίστιν τῶν πατέρων αὐτῶν.

γ. Καὶ ἔπεσεν Ἀβρὰμ ἐπὶ πρό-
σωπον αὐτοῦ. καὶ ἐλάλησεν αὐτῷ ὁ
δ. Θεὸς, λέγων, Καὶ ἰδοὺ ἡ διαθήκη
μου μετὰ σοῦ· καὶ ἔσῃ πατὴρ πολ-
λῶν ἐθνῶν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Προειπὼν τὸ, εὐα-
» ρέστει ἐναντίον ἐμοῦ, καὶ γίνου ἄμεμπτος,
καὶ ἐπὶ τούτῳ ἐπαγγελίας διδοὺς ἐν τῷ, θή-
» σομαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ,
καὶ σοῦ, εὐθέως αὐτὴν δίδωσιν, ἀποδεξά-
» μενος τοῦ Ἀβραὰμ τὸ, ἔπεσεν ἐπὶ πρόσω-
πον αὐτοῦ, ὡς ἐν τούτῳ πληρουμένου τοῦ εὐαρεστεῖν ἐναντίον αὐτοῦ, καὶ γίνεσθαι ἄμεμπτον.

ε. Καὶ οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἀβρὰμ, ἀλλ' ἔσται τὸ ὄνομά σου Ἀβραάμ· ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε.

ΑΔΗΛΟΥ. Πρῶτος (1) χρηματισμὸς τὸ, οὐκ ἔτι Ἄβραμ, ἀλλ' ἤδη Ἀβραάμ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀβρὰμ μὲν ἑρμηνευθὲν, ἐστὶ πατὴρ μετέωρος· Ἀβραὰμ δὲ, πατὴρ ἐκλεκτὸς ἤχους. τὸ μὲν πρότερον, ἐμφαῖνον τὸν ἀστρολογικὸν καὶ καὶ μετεωρολογικὸν καλούμενον, οὕτω τῶν Χαλδαίων δογμάτων ἐπιμελούμενον, ὡς ἄν τις πατὴρ ἐγγόνων ἐπιμεληθείη· τὸ δ' ὕστερον, τὸν σοφόν. διὰ μὲν γὰρ τῆς
A ἤχους, τὸν προφορικὸν λόγον αἰνίττεται· διὰ δὲ τοῦ πατρὸς, τὸν ἡγεμόνα νοῦν.

** ΠΡΟΚΟΠΙΟΥ. Προκόψαντι καὶ τὴν προσηγορίαν ἤμειψεν, οὐ ψιλὴν ταύτην διδοὺς, ἀλλ' ἀνάδειξιν προκοπῆς, ἧς αὐτὸς ὑπῆρξατο, βεβαιῶν αὐτοῦ τὰς ἐπιβολάς. τότε γὰρ μάλιστά τις προκόπτων θαῤῥεῖ, ὅτε διδάσκαλος αὐτῷ μαρτυρεῖ, πολλῷ δὲ πλέον Θεός.

B ς. Καὶ αὐξανῶ σε σφόδρα, σφόδρα· καὶ θήσω σε εἰς ἔθνη, καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται.

** ΠΡΟΚΟΠΙΟΥ. Εἰκότως αὐτὸν αὐ-
ξάνει. τῷ γὰρ ἀρχὴν ἀρετῆς καταβαλ-
λομένῳ ἐπιδίδωσιν ὁ Θεὸς, καὶ τὸ τέλος
αὔξων μετ' ἐπιτάσεως. ὅπερ δηλοῖ τὸ,
» σφόδρα, σφόδρα. αἴτιον δὲ μάλιστα τῆς
τοσαύτης συγκαταβάσεως καὶ φιλανθρω-
Γ πίας ἡ τοῦ Χριστοῦ οἰκονομία. δι' ἧς Θεὸς
ἤμελλεν ἐργάζεσθαι τοὺς ἀνθρώπους.

ζ. Καὶ στήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ, εἰς τὰς γενεὰς αὐτῶν, εἰς διαθήκην αἰώνιον εἶναί σου Θεὸς, καὶ τοῦ σπέρματός σου μετὰ σέ.

Δ ΑΔΗΛΟΥ. Τί ἐστι τὸ αἰώνιον τῆς διαθήκης; Ἓν μὲν, ὅτι κατὰ τὸν ἐπαγγειλάμενον αἰώνιον ἦν· οὐ γὰρ πρόσκαιρα τὰ παρὰ Θεοῦ, ἀλλ' ὅσον καθ' ἡμᾶς, τὰ αἰώνια πρόσκαιρα γίνεται· ἕτερον δὲ, ὅτι καὶ διαλυθεῖσα ἐπὶ τοῦ Ἰσραὴλ ἡ διαθήκη, ὑφ' ἡμῶν διατηρεῖται. καὶ ἡμεῖς ἀντ' ἐκείνων ἐσμὲν τῷ Θεῷ.

η. Καὶ δώσω σοι καὶ τῷ σπέρμα-
E τί σου μετὰ σὲ τὴν γῆν, ἣν παροικεῖς,
πᾶσαν τὴν γῆν Χαναὰν εἰς κατάσχε-
σιν αἰώνιον· καὶ ἔσομαι αὐτοῖς Θεός.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι, καὶ ἔσο-
» μαι αὐτῶν Θεός; Ἀντὶ τοῦ, πολλὴν ἐπιδείξομαι τὴν κηδεμονίαν, πολλὴν τὴν πρόνοιαν, ἐν ἅπασιν αὐτοῖς τὴν παρ' ἐμοῦ συμμαχίαν παρέξομαι.

Z θ. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Ἀβραάμ, σὺ δὲ τὴν διαθήκην μου διατηρήσεις, σὺ καὶ τὸ σπέρμα σου εἰς τὰς γενεὰς αὐτῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Τίς οὖν ἡ διαθήκη; Τὸ εἶναι τοῦ Ἀβραὰμ Θεὸς, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτὸν, ὡς ἀνωτέρω φησίν. ἣν οὖν ἡ διαθήκη ἐσφραγισμένη, καὶ οὐδενὶ ἐξὸν αὐτὴν ἀποσφραγίσαι, εἰ μὴ μόνῳ τῷ
H κληρονόμῳ, ὅς ἐστι Χριστός. οὗτος γὰρ, θανάτῳ βεβαιωθείσης τῆς διαθήκης, ἀναφανεὶς

(1) Οὐκ ἔστι πρῶτος, ἀλλὰ πέμπτος. εἰ μὴ πρῶτον λέγῃ τὸν μετὰ τὴν τοῦ Ἰσμαὴλ γέννησιν. ἴσως δὲ καὶ τοῦ γραφέως παραδρομή.

φανεὶς κληρονόμος, περιεῖλε τὰς σφραγῖδας, καὶ ἐνεφάνισε τὴν μυστικὴν δύναμιν τῆς διαθήκης, καὶ παντὶ τῷ βουλομένῳ δέδωκεν αὐτὴν εἰς μεταγραφήν, ὡς καὶ ὁ
Ἑβρ. 9. 15. Ἀπόστολος πρὸς Ἑβραίους φησίν· ὅτι ἡ » πρὸς Ἀβραὰμ διαθήκη τοῦ Θεοῦ, τὸν Χριστὸν ἐπεγράφετο κληρονόμον. σαφῶς δὲ
Γαλ. 3. 17. ἔχει καὶ ἐν τῇ πρὸς Γαλάτας, οὕτω· διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ Θεοῦ εἰς Χριστὸν, ὁ μετὰ υ΄ καὶ λ΄ ἔτη γεγονὼς νόμος οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν.

ι. Καὶ αὕτη ἡ διαθήκη, ἣν διατηρήσεις ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν· περιτμηθήσεται ὑμῶν πᾶν ἀρσενικόν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Γελᾶται ἡ τῶν γεννητῶν περιτομὴ, πρᾶγμα σπουδαζόμενον οὐ μετρίως καὶ παρ' ἑτέροις ἔθνεσι, καὶ μάλιστα τῷ αἰγυπτιακῷ. ὃ καὶ πολυανθρωπότατον καὶ πολυσοφώτατον εἶναι δοκεῖ. παρ' ὃ καὶ προσῆκον ἦν παιδικὴν χλεύην μεθεμένους, φρονιμώτερον καὶ σεμνότερον, ἀναζητῆσαι τὰς αἰτίας, ὧν χάριν ἐκράτησε τὸ ἔθος, καὶ μὴ προεξαναστάντας καταγινώσκειν μεγάλων ἐθνῶν εὐχέρειαν, λογιζομένους, ὡς οὐκ εἰκὸς, τοσαύτας μυριάδας καθ' ἑκάστην γενεὰν ἀποτέμνεσθαι μετὰ χαλεπῶν ἀλγηδόνων ἀκρωτηριαζούσας τά θ' ἑαυτῶν καὶ τὰ τῶν οἰκειοτάτων σώματα. πολλὰ δὲ εἶναι τὰ προτρέποντα τὴν εἰσαγωγὴν τῶν παλαιῶν διατηρεῖν καὶ ἐπιτελεῖν· τὰ δ' ἀνωτάτω, τέτταρα. ἓν μὲν, χαλεπῆς νόσου καὶ δυσιάτου πάθους ἀπαλλαγὴν, ὃν ἄνθρακα καλοῦσιν ἀπὸ τοῦ καίειν ἐντυφόμενον, ὡς οἶμαι, ταύτης τῆς προσηγορίας τυχόντα, ἥτις εὐκολώτερον τοῖς τὰς ἀκροποσθίας ἔχουσιν ἐγγίνεται. δεύτερον, τὴν δι' ὅλου τοῦ σώματος καθαρότητα πρὸς τὸ ἁρμόττειν τάξει ἱερωμένῃ· παρ' ὃ καὶ ξυρῶνται τὰ σώματα προσυπερβάλλοντες οἱ ἐν Αἰγύπτῳ τῶν ἱερέων. ὑποσυλλέγεται γὰρ καὶ ὑποστέλλει καὶ θριξὶ καὶ ποσθίαις ἔνια τῶν ὀφειλόντων καθαίρεσθαι. τρίτον δὲ, τὴν πρὸς καρδίαν ὁμοιότητα τοῦ περιτμηθέντος μέρους. εἰς γὰρ γένεσιν ἄμφω παρεσκεύασαι. τὸ μὲν γὰρ ἐγκάρδιον πνεῦμα, νοημάτων· τὸ δὲ, γόνιμον, ὄργανον, ζώων. ἐδικαίωσαν γὰρ οἱ πρῶτοι τῷ ἀφανεῖ καὶ κρείττονι, δι' οὗ καὶ τὰ νοήματα συνίσταται, τὸ ἐμφανὲς καὶ ὁρατὸν, ᾧ τὰ αἰσθητὰ γεννᾶσθαι πέφυκεν, ἐξομοιῶσαι. τέταρτον δὲ καὶ ἀναγκαιότατον, τὴν πρὸς πολυγονίαν κατασκευήν. λέγεται γὰρ, ὡς εὐοδοῖ τὸ σπέρμα, μήτε σκιδνάμενον, μήτε περιρρέον εἰς τοὺς τῆς ποσθίας, ὡς ἦλθε κόλπους. ὅθεν καὶ τὰ τεμνόμενα τῶν ἐθνῶν πολυγονώτατα καὶ πολυανθρωπότατα εἶναι. ταῦτα μὲν οὖν εἰς ἀκοὰς ἦλθε τὰς ἡμετέρας, ἀρχαιολογούμενα παρὰ θεσπεσίοις ἀνδράσιν, οἳ τὰ Μωσέως οὐ
A παρέργως διηρμήνευσαν. ἐγὼ δὲ πρὸς τοῖς εἰρημένοις καὶ σύμβολον ἡγοῦμαι τὴν περιτομὴν δυοῖν τοῖν ἀναγκαιοτάτοιν. ἑνὸς μὲν, ἡδονῶν ἐκτομῆς, αἳ καταγοητεύουσι διάνοιαν· ἐπειδὴ γὰρ τὰ νικητήρια φέρεται τῶν ἐν ἡδοναῖς φίλτρων ἡ ἀνδρὸς πρὸς γυναῖκα συνουσία, τὸ ὑπηρετοῦν ταῖς τοιαύταις ὁμιλίαις ὄργανον ἀκρωτηριάζειν ἔδοξε τοῖς νομοθέταις, αἰνιττομένοις ἐκτομὴν περιττῆς καὶ πλεοναζούσης ἡδονῆς, οὐ μιᾶς,
B ἀλλὰ διὰ μιᾶς τῆς βιαιοτάτης, καὶ τῶν ἄλλων ἁπασῶν· ἑτέρου δὲ, τοῦ γνῶναί τινα ἑαυτὸν, καὶ τὴν βαρεῖαν νόσον, τὴν οἴησιν ψυχῆς ἀπώσασθαι. ἔνιοι γὰρ, ὡς ἀγαθοὶ ζωοπλάσται, ζῶον τὸ κάλλιστον ἄνθρωπον ηὔχησαν δύνασθαι δημιουργεῖν, καὶ φυσηθέντες ὑπ' ἀλαζονείας, ἑαυτοὺς ἐξεθείωσαν, τὸν ἀληθῶς ὄντα αἴτιον Θεὸν παρακαλυψάμενοι, καίτοιγ' ἐκ τῶν συνόντων ἐπανορθώσασθαι τὴν ἀπάτην δυνάμενοι.
Γ πολλοὶ μὲν γὰρ παρ' αὐτοῖς εἰσὶν ἄνδρες ἄγονοι, καὶ στεῖραι γυναῖκες, ὧν ἀτελεῖς αἱ ἡμιολίαι κατηγορησάντων ἐν ἀπαιδίᾳ. πονηρὰν οὖν δόξαν ἐκτμητέον τῆς διανοίας, καὶ τὰς ἄλλας, ὅσαι μὴ φιλόθεοι.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὸν Ἀβραὰμ περιτμηθῆναι προσέταξεν ὁ Θεός; Προειπὼν τὴν παροικίαν, φυλακτήριόν τινα μηχανᾶται τῇ εὐσεβείᾳ, ἵνα τοῖς δυσσε-
Δ βέσιν ἀνθρώποις ἀναμιγέντες, μὴ διαφθείρωσι τὴν εὐγένειαν, ἀλλ' εἰς τὸ σημεῖον ὁρῶντες, ἄσβεστον τοῦ δεδωκότος τὴν μνήμην φυλάττωσι. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἔρημος μάρτυς. τεσσαράκοντα γὰρ χρόνους ἐν αὐτῇ διατρίψαντες, περιττὴν ἐνόμιζον τὴν περιτομὴν, τῶν ἐθνῶν κεχωρισμένοι, καὶ καθ' ἑαυτοὺς πολιτευόμενοι. ἡνίκα δὲ λοιπὸν εἰς τὴν ἐπηγγελμένην εἰσήγοντο γῆν, τηνικαῦτα πάλιν ὁ
E τῶν ὅλων Θεὸς Ἰησοῦ τῷ τοῦ Ναυῆ προσέταξε περιτεμεῖν ἅπαντας, καὶ οὕτω τῆς γῆς παραδοῦναι τὴν δεσποτείαν. ἔμελλον γὰρ ἔθνεσιν ἀλλοφύλοις προσπελάζειν. οὗ δὴ χάριν ἀναγκαίως τῆς σφραγῖδος ἐδέοντο, τῆς ἀπὸ τῶν ἀλλογενῶν αὐτοὺς χωριζούσης ἐθνῶν. εἰ δὲ μέγα φρονοῦσιν ἐπὶ τῇ περιτομῇ Ἰουδαῖοι, μαθέτωσαν, ὡς οὐ μόνον ὁ πατριάρχης περιετμήθη, ἀλλὰ καὶ Ἰσμαὴλ ὁ ἡμίδουλος, καὶ οἱ οἰκογενεῖς
Z οἰκέται, καὶ οἱ ἀργυρώνητοι, καὶ οἱ Ἰδουμαῖοι, καὶ οἱ ἀπὸ τῆς Χεττούρας. ἔμαθον δὲ ἐκ τῶν Ἰσραηλιτῶν καὶ Αἰγύπτιοι περιτέμνεσθαι. οὐ τοίνυν ἡ περιτομὴ δικαίους ἐργάζεται. οὗτοι γὰρ ἅπαντες ὡς δυσσεβεῖς ὑπὸ τῆς θείας κατηγοροῦνται Γραφῆς. οὐκοῦν οὐδὲ τὸν Ἀβραὰμ ἡ περιτομὴ ἐδικαίωσεν, ἀλλ' ἡ μὲν πίστις ἀπέφηνε δίκαιον, λαμπρότερον δὲ ἡ ἀρετὴ κατεσκεύασεν. ἡ δὲ περιτομὴ σημεῖον ἐδόθη
H τῆς πίστεως· ἵνα διὰ τῆς περιτομῆς γνώριμοι ὦσιν οἱ τοῦ πιστοῦ Ἀβραάμ.

ια. Καὶ περιτμηθήσεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν, καὶ ἔσται

ἔσται ἐν σημείῳ διαθήκης ἐμοῦ καὶ ὑμῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐκ ἄρα διαθήκη ἡ περιτομὴ, ἀλλὰ σημεῖον καὶ σφραγὶς τῆς διαθήκης, ὡς καὶ ὁ Παῦλος ἐν τῇ πρὸς Γαλάτας (1) φησί.

ιβ. Καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται ὑμῖν, πᾶν ἀρσενικὸν εἰς τὰς γενεὰς ὑμῶν, ὁ οἰκογενὴς, καὶ ὁ ἀργυρώνητος ἀπὸ παντὸς υἱοῦ ἀλλοτρίου, ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρματός σου.

ιγ. Περιτομῇ περιτμηθήσεται ὁ οἰκογενὴς τῆς οἰκίας σου, καὶ ὁ ἀργυρώνητος. καὶ ἔσται ἡ διαθήκη μου ἐπὶ τῆς σαρκὸς ὑμῶν εἰς διαθήκην αἰώνιον.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐπὶ τῆς σαρκὸς τοῦ μὴ κατὰ σάρκα στρατευομένου διαθήκη ἐστὶ
2. Κορ. 4. 10. τοῦ Θεοῦ τὸ, πάντοτε τὴν νέκρωσιν τοῦ Ἰη-
» σοῦ ἐν τῷ σώματι περιφέρειν.

ιδ. Καὶ ἄρσην, ὃς οὐ περιτμηθήσεται τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς· ὅτι τὴν διαθήκην μου διεσκέδασε.

ΑΔΗΛΟΥ. Ὁ Σύρος καὶ ὁ Ἑβραῖος, πᾶς ὁ μὴ περιτέμνων ἔχει. εἰκότως γὰρ οὐ τὰ νήπια, ἀλλ' οἱ γονεῖς κολάζονται.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὐδὲν τῶν ἀκουσίων ἔνοχον ἀποφαίνει ὁ νόμος, ὁπότε καὶ τῷ φόνον ἀκούσιον δράσαντι συγγινώσκει. τὸ δὲ η' ἡμερῶν μετὰ γέννησιν βρέφος εἰ μὴ περιτέτμηται, τί ἀδικεῖ, ὡς καὶ θανάτου τιμωρίαν ὑπομένειν; Ἔνιοι μὲν οὖν φασὶν, ἀναφορικὸν εἶναι τὸν τῆς ἑρμηνείας τρόπον ἐπὶ τοὺς γονεῖς, καὶ ἐκείνους κολάζεσθαι οἴονται δεινῶς, ὡς ὀλιγορηκότας τῆς τοῦ νόμου διατάξεως· ἔνιοι δὲ, ὅτι ὑπερβολῇ χρώμενος κατὰ τοῦ βρέφους ὅσα τῷ δοκεῖν ἠγανάκτησεν. ἵνα τοῖς τελείοις καταλύουσι τὸν νόμον, ἀπαραίτητος ἐπάγηται τιμωρία· οὐκ ἐπειδὴ τὸ ἔργον τῆς περιτομῆς ἀναγκαῖον, ἀλλ' ὅτι ἡ διαθήκη ἀθετεῖται τοῦ σημείου, δι' οὗ γνωρίζεται, μὴ πληρουμένου. (2)

** ΙΣΙΔΩΡΟΥ. Τινὲς ὡς ἄλογον παρεγράψαντο τῶν εἰς τὴν τῆς ψυχῆς περιτομὴν τὸ ῥητὸν μετακομισάντων. ἐχρῆν γὰρ ἔφασαν ῥηθῆναι, τὸν μὴ περιτέμνοντα τὸ παιδίον αὐτοῦ ἐξολοθρευθῆναι, μὴ μὴν τὸ ἄωρον νήπιον. ἐγὼ δὲ εἰ καὶ πρὸς

Α τὴν ψυχὴν βλέπει κυρίως ὁ λόγος, οὐδὲ τὸ γράμμα παραγράφομαι. κἀνταῦθα γὰρ ἡ αὐτὴ ἔννοια σωθήσεται. τοῖς γὰρ πατράσιν ἀργαλεωτέρα ἐστὶν ἡ τιμωρία, ὅταν τὰ παιδία ἐξολοθρευθεῖεν. ἐκεῖνα μὲν γὰρ τυχὸν, εἰ καὶ πρὸ τῆς διαγνωστικῆς τῶν καλῶν, καὶ τῶν οὐ τοιούτων ἡλικίας τελευτήσοιεν, οὐδ' εἰ ἐν τιμωρίᾳ γεγόνασιν, εἴσονται. εἰ δὲ καὶ ἔλθοιεν εἰς τὴν διαγνωστικὴν ἡλικίαν, οὐ πάνυ χαλε-
Β πῶς ἐνέγκοιεν τὸ πρᾶγμα, τῆς συνηθείας τὴν τιμωρίαν ἐξευμαριζούσης· καὶ μάλιστα ὅτε οὐδὲ ἑκούσιόν ἐστι τὸ ἔγκλημα. οἱ δὲ γονεῖς ἀνυπόστατον ὑπομενοῦσι τὴν τιμωρίαν.

» ΔΙΟΔΩΡΟΥ. Καὶ ἀπερίτμητος, φη-
» σὶν, ἄρσην, ὃς οὐ περιτμηθήσεται τὴν
» σάρκα τῆς ἀκροβυστίας αὐτοῦ τῇ ἡμέρᾳ τῇ
» ὀγδόῃ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη
Γ» ἐκ τοῦ γένους αὐτῆς· ὅτι τὴν διαθήκην μου
» διεσκέδασαν. Οὐκ ἐπειδὴ τὸ ἔργον τῆς περιτομῆς ἀναγκαῖον, ἀλλ' ὅτι ἡ διαθήκη ἀθετεῖται τοῦ σημείου, δι' οὗ ἐγνωρίζετο, μὴ πληρουμένου. τί οὖν ὁ μὴ περιτμηθεὶς ἐξολοθρευθήσεται; καὶ πῶς τὸ βρέφος; τῶν γὰρ πατέρων ἐστὶ τὸ περιτεμεῖν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ. ἀλλ' ὁ Σύρος οὕτως ἔχει· πᾶς
» ὃς οὐ περιτέμνει ἐξολοθρευθήσεται· καὶ
» ὁ Ἑβραῖος, πᾶς ὁ μὴ περιτέμνων. εἰ δὲ αὕ-
Δ τη Θεοῦ ἀπόφασις, καὶ πῶς οὐκ ἔδεισαν οἱ ἐξελθόντες ἐξ Αἰγύπτου ἐν μ' ἔτεσι μὴ περιτέμνοντες τοὺς ἐν τῇ ἐρήμῳ τεχθέντας; ἢ πῶς ξύλα μέν τις συλλέξας ἐν σαββάτῳ, λιθάζεται· καὶ ὁ λαὸς ὁ γογγύσας πίπτει καὶ κατὰ μέρος ἀφανίζεται, οὐκ ἐμέμφθη δὲ ὁ (3) περιτμηθείς; ἢ δῆλον, ὅτι ἀπὸ περιτομῆς ἐβούλετο γνωρίζεσθαι τοὺς οἰκείους, τοὺς ἐν μέσῳ ἀκροβύστων τότε τυγχάνοντας. μετὰ ταῦτα δὲ ἐν ἐρήμῳ
Ε γενομένους, καὶ τοῦ σημείου οὐ χρείαν ἔχοντας, (πάντες γὰρ ἐτύγχανον οἰκεῖοι τοῦ Θεοῦ) οὐκ ἀπῄτησε τὸ σημεῖον τῆς διαθήκης. αὐτίκα δὲ μετὰ ταῦτα ὁδηγηθέντας εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ λοιπὸν τοῖς ἔθνεσιν ἐπιμιγνυμένους, πάλιν ἀπαιτεῖ τὴν περιτομήν. ἐπειδὴ γὰρ ἀπὸ τῆς κατὰ τὴν πίστιν στάσεως οὐκ ἐγνωρίζοντο, καθάπερ ἄλογα ἀπὸ καυτῆρος αὐτοὺς ἐκ τῆς περιτομῆς ἐβούλετο γινώσκεσθαι.
Ζ ἵνα ἡ περιαίρεσις τῆς σαρκὸς δεικνύῃ τὸ τῶν Ἰουδαίων ἐξαίρετον. ὃ τῆς προαιρέσεως ἦν μεγίστη κατηγορία.

ΑΔΗΛΟΥ. Ἡ περιτομὴ δευτέραν ἔσχε χώραν μετὰ τὴν πίστιν, ὥσπερ καὶ ἡ γένεσις τοῦ νόμου μετὰ τὴν ἐπαγγελίαν τοῦ γνησίου· καὶ διὰ τὸ ὀπτίζεσθαι τὴν ἐκείνου γέννησιν. οὕτω τοίνυν ἡ περιτομὴ, διὰ τὸ μήπω τῇ πνευματικῇ γενέσθαι καιρὸν, προηγεῖται· ταύτης δὲ φανείσης, ἐκείνη ἐκβάλλεται.

(1) Οὐκ ἐν τῇ πρὸς Γαλάτ. ἀλλ' ἐν (κεφ. 4. ἐδ. 11.) τῇ πρὸς Ῥωμ.

(2) Φίλων δὲ ὁ Ἑβραῖός φησιν, ὅτι ὑπερβολῇ χρησάμενος, κατὰ τοῦ βρέφους φέρει τὴν ἀγανάκτησιν. ἵνα τοῖς τελείοις παραβαίνουσιν ἀπαραίτητος ἡ τιμωρία γένηται. καὶ τοῦτο κεῖται ἐν τῷ κώδικι. ὅπερ ὡς περιττὸν οὐκ ἐν τῇ σειρᾷ, ἀλλ' ὧδε τέθειται.

(3) Ὁ μὴ περιτμηθεὶς τῇ ἐννοίᾳ κατάλληλον.

Γαλ. 5. 6. A βάλλεται. ἐν γὰρ Χριστῷ Ἰησοῦ, φησὶ, „οὔτε περιτομή τι ἰσχύει, οὐδὲ ἀκροβυστία. σημεῖον δὲ διαθήκης ἐκεῖνο μὲν ἦν δυνάμενον καὶ παρανόμοις ὑπάρχειν. ἡ δὲ ὄντως περιτομὴ, νομιμότης ἐστὶν ἡ τελειοτάτη· τὸ περιτετμῆσθαι, καὶ περιῃρῆσθαι πᾶν τὸ ἀλλότριον Θεοῦ, καὶ ὑπερβεβηκὸς (1) τὰ κοσμικὰ, πρὸς τὰ ὑπερκόσμια φθάσαντα. τούτου σύμβολον ἡ ὀγδόη τῆς περιτομῆς ἡμέρα· ματακόσμιος γὰρ ἡ ὀγδοάς· ὡς καὶ ὁ σωτὴρ ἐν ὀγδόῃ τὴν ἀνάστασιν ἐπιτελέσας, τὸ μυστήριον ἔδειξε. B καὶ δὴ καὶ τὸ ἐξολοθρευθήσεσθαι, ὡς τὸν ἀπερίτμητον τὴν σάρκα τοὺς τὴν καρδίαν μὴ περιτετμημένους, δίκαιον. ὥσπερ καὶ λέγεται ἀπερίτμητος καρδίαν κατὰ τὴν παλαιὰν διαθήκην. (Ἱερ. 9. 26.)

ΓΕΝΝΑΔΙΟΥ. Ἄξιον ζητῆσαι τί δήποτε μὴ ἐπὶ τῆς γεννήσεως τοῦ Ἰσραὴλ, (2) ἀλλ᾽ ἐπὶ τῆς τοῦ Ἰσαὰκ δίδωσι τὴν περιτομὴν, Γ καίτοιγε μελλούσαν ἐπὶ ταῖς παλαιαῖς γίνεσθαι διαθήκαις. Αἰνιττόμενος, ἐμοὶ δοκεῖ, τὸ εἰς μὲν προπαρασκευὴν τῆς χάριτος αὐτοὺς συντελεῖν, αὐτὴν δὲ καθ᾽ ἑαυτὴν οὐχ οἵαντε εἶναι πρὸς πέρας ἄγειν τὴν εὐλογίαν. οὐδὲ μὴν ἐκ τῆς κατὰ νόμον πολιτείας τέλος δύνασθαι λαβεῖν τὰς ἐπαγγελίας. τοσοῦτον γὰρ ἀπέχον οἱ ὑπὸ τὸν νόμον βιοῦντες εἰς κοινωνίαν σωτηρίας τοὺς ἐθνικοὺς προσλαβεῖν, ὅσον μυριάκις Δ αὐτοὶ πρὸς τὴν ἐκείνων εἰδωλολατρείαν ἐξεκυλίοντο. τὸ μὲν οὖν ὀκταημέροις ἔτι οὖσι τοῖς παισὶ προστάξαι προσφέρεσθαι τὴν περιτομὴν, ἐδήλωσεν, ὅτι μὴ διδασκαλία τινός ἐστιν ἀρετῆς, ἐπεὶ μὴ δεκτικὴ τοιούτου τινὸς μαθήματος ἡ τοιαύτη τέως καθέστηκεν ἡλικία. σημεῖον δὲ μόνον ὑπάρχειν, διακρίνειν δυνάμενον ἀπὸ τῶν λοιπῶν τοὺς χρωμένους αὐτῇ, καθάπερ βασιλική τις σφραγὶς τοὺς στρατιώτας τῶν ἰδιωτῶν Ε ἀφορίζουσα. τὸ δὲ ἐπὶ τοῦ παιδογόνου μορίου κελεῦσαι τοῦτο ποιεῖν, ἐμήνυεν, ὅτι βούλεται πρὸς ὑπόμνησιν αὐτοὺς εἶναι συνεχῶς τῆς περὶ αὐτοὺς ὑπὲρ φύσιν προνοίας, καθ᾽ ἣν τὸ γένος αὐτῶν ἐκ μήτρας στείρας τε καὶ νενεκρωμένης ἤδη τῷ γήρᾳ παρὰ πᾶσαν ἀκολουθίαν συνεστήσατο. περιεῖχέ γε μὴν κατὰ τοῦτο τοῦ Ἰσαὰκ ἡ γέννησις τῆς ἐκ νεκρῶν ἀναστάσεως αἴνιγμα. Ζ τὸ δὲ καὶ τοὺς ἐκ διαφόρων ἐθνῶν οἰκέτας αὐτῷ προστάξαι περιτεμεῖν, τὸ συμμεθέξειν καὶ τὰ ἔθνη τῶν ἀγαθῶν τῆς ἐπαγγελίας τῆς ἐν Χριστῷ προκατήγγειλε.

ΚΥΡΙΛΛΟΥ. Ὁρᾷς, ὅτι τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ περιτομῆς τύπος ὥσπερ τις ἡ ἐν σαρκὶ προεδείκνυτο. πράττεται γὰρ κατὰ τὴν ὀγδόην, καθ᾽ ἣν ἀνεβίω Χριστός. καιρὸς ἦν ἤδη τοῦ μεταλαχεῖν ἁγίου πνεύματος, καὶ τὴν ἐν αὐτῷ δέχεσθαι περιτομὴν, οὐ σάρκα λυποῦντος, ἀλλὰ πνεῦμα καθαίροντος· οὐ σωματικῶν ἀπαλλάττοντος ῥύπων, ἀλλὰ ψυχικῶν ἡμᾶς ἀπολύοντος νοσημάτων. ὅτε γὰρ ἀνεβίω Χριστὸς καταλύσας τοῦ θανάτου τὸ κράτος, τότε δὴ τότε, καὶ ἀπαρχὴν ὥσπερ τινὰ τοῦ ἁγίου πνεύματος τοῖς ἁγίοις ἐνέθηκε μαθηταῖς. „ἐνεφύσησε γὰρ αὐτοῖς, λέγων, „λάβετε πνεῦμα ἅγιον. Ἰωάν. 20. 22.

B ιε. Καὶ εἶπεν ὁ Θεὸς τῷ Ἀβραὰμ, Σάρα ἡ γυνή σου οὐ κληθήσεται τὸ ὄνομα αὐτῆς Σάρα, ἀλλὰ Σάῤῥα ἔσται τὸ ὄνομα αὐτῆς.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἑρμηνεύεται Σάρα μὲν, ἀρχή μου· Σάῤῥα δὲ, ἄρχουσα. τὸ μὲν οὖν πρότερον, εἰδικῆς σύμβολον ἀρετῆς ἐστί· τὸ δὲ δεύτερον, γενικῆς. ὅσῳ δὲ γένος εἴδους διαφέρει κατὰ Γ τὸ ἔλαττον, τοσούτῳ τὸ δεύτερον ὄνομα τοῦ προτέρου. τὸ μὲν γὰρ εἶδος, καὶ βραχὺ καὶ φθαρτόν· τὸ δὲ γένος, πολύ τε αὖ καὶ ἄφθαρτον. βούλεται δὲ ὁ Θεὸς ἀντὶ μικρῶν καὶ φθαρτῶν, μεγάλα καὶ ἀθάνατα χαρίζεσθαι.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὥσπερ σοί, φησι, τὸ στοιχεῖον προσθεὶς, ἐμήνυσα, ὅτι πατὴρ ἔσῃ πολλῶν ἐθνῶν, οὕτω καὶ τῇ Σάρα ὁμοίως προστίθημι τὸ στοιχεῖον, ἵνα μάθῃς, Δ ὅτι νῦν ὁ καιρὸς ἥκει τοῦ εἰς ἔργον ἐλθεῖν τὰ πάλαι παρ᾽ ἐμοῦ ἐπαγγελθέντα.

ις. Εὐλογήσω δὲ αὐτὴν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον, καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἐξελεύσονται.

✱ ΠΡΟΚΟΠΙΟΥ. Πρώτην ταύτην εὑρίσκομεν εὐλογημένην ὑπὸ Θεοῦ γυναῖκα. ᾧ χρησώμεθα τῷ ῥητῷ εἰς προτροπὴν γυναικῶν. Ε ἀναγκαίως δὲ (3) ἡγοῦμαι ἵνα ἔτι μᾶλλον ἅγιος γένηται ὁ Ἰσαὰκ πρὸς τῷ εὐλογεῖσθαι τὸν Ἀβραὰμ, εὐλογεῖσθαι (4) καὶ τὴν Σάῤῥαν· ἵνα γνήσιος γένηται εὐλογημένος ἐκ δύω εὐλογημένων.

✱ ΤΟΥ ΑΥΤΟΥ. Πῶς (5) κατὰ τὴν ἱστορίαν βασιλεῖς ἐθνῶν ἐξ Ἰσαάκ; οἱ γὰρ ἐξ Ἡσαῦ ἡγεμόνες εἴρηνται. Εἰ μὴ ἄρα διὰ τοὺς ἀναγεγραμμένους βεβασιλευκέναι Ἰδουμαίων. οἵτινες ἦσαν ἐθνικοί.

Ζ ιζ. Καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ, καὶ ἐγέλασε· καὶ εἶπε τῇ διανοίᾳ αὐτοῦ, εἰ τῷ ἑκατονταετεῖ γενηθήσεται υἱός; καὶ Σάῤῥα ἐννενήκοντα ἐτῶν οὖσα, τέξεται;

ΑΔΗΛΟΥ. Οὐκ ἀπιστῶν, ἀλλὰ πιστεύσας ἐχάρη. τοῦτο γὰρ τὸ, ἐγέλασε. διὰ τοῦτο καὶ ἐπὶ πρόσωπον ἔπεσεν.

ΧΡΥΣΟ-

(1) Ὑπερβεβηκέναι ὀρθότερ. (2) Τὸν Ἰακὼβ δοκεῖ αἰνοεῖν. αὐτὸς γὰρ Ἰσραὴλ ὠνομάσθη.
(3) Ὡς ἂν δὲ μᾶλλον γένηται ἅγιος ὁ Ἰσαάκ. ὁ τῆς Αὐγ. κώδ.
(4) Εὐλογεῖται καὶ ἡ Σάῤῥα. ὁ αὐτ. (5) Καὶ πῶς τοῦτο, καθ᾽ ἱστορίαν; οἱ γὰρ, κτ. ὁ αὐτ.

A ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδε τὴν ὑπερβολὴν τῆς ὑποχέσεως, καὶ τῆς δυνάμεως τοῦ ἐπαγγειλαμένου τὸ μέγεθος ἐννοήσας, ἔπεσεν ἐπὶ πρόσωπον, καὶ ἐγέλασεν, ἀντὶ τοῦ περιχαρὴς ἐγένετο.

ιη. Εἶπε δὲ Ἀβραὰμ πρὸς τὸν Θεὸν, Ἰσμαὴλ οὗτος ζήτω ἐναντίον σου.

B ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Δεικνὺς ἑαυτοῦ τὴν εὐγνωμοσύνην, παράκλησιν προσάγει περὶ τοῦ Ἰσμαὴλ, μονονουχὶ λέγων, δέσποτα ἀρκούντως με παρεμυθήσω, καὶ τὴν ἐκ τῆς ἀπαιδείας ἀθυμίαν τῇ δόσει τοῦ Ἰσμαὴλ εἰς εὐφροσύνην μετέβαλες. Καὶ μετ' ὀλίγα. Οὗτος οὖν ὁ παρὰ σοῦ δοθεὶς ἡμῖν, ζήτω ἐναντίον σου, καὶ ἀρκοῦσαν ἔξομεν τὴν παράκλησιν, καὶ τὸ γῆρας τὸ ἡμέτερον ἡ τούτου ζωὴ παραμυθήσεται.

Γ ΑΔΗΛΟΥ. Οὐκ ἀρκεσθεὶς τῷ ζήτω, προσέθηκεν ἐναντίον σου. τὸ γὰρ ζῆν ἐναντίον Κυρίου μακάριον.

ΑΔΗΛΟΥ. Ἐξαίρετον ἠξίου περὶ τοῦ Ἰσμαὴλ ὁ Ἀβραὰμ, οὐκ ἀρκούμενος τῷ ζήτω. διὸ προσέθηκεν αὐτῷ τὸ, ἐναντίον σου. ὃ μακαρίων ἐστὶ καὶ ἁγίων μόνον.

Δ ιθ. Εἶπε δὲ ὁ Θεὸς τῷ Ἀβραὰμ, ναί· ἰδοὺ Σάῤῥα ἡ γυνή σου τέξεταί σοι υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ. καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν, εἰς διαθήκην αἰώνιον εἶναι αὐτῷ Θεὸς καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν.

E ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Καλεῖται χαλδαϊστὶ μὲν, Ἰσαάκ· ἑλληνιστὶ δὲ μεταληφθέντος τοῦ ὀνόματος, γέλως. γέλως δὲ οὐχ ὁ κατὰ παιδιὰν ἐγγινόμενος σώματι παραλαμβάνεται νῦν, ἀλλ' ἡ κατὰ διάνοιαν εὐπάθεια καὶ χαρά.

ΑΔΗΛΟΥ. Πρῶτος Ἰσαὰκ ἐκ προστάξεως Θεοῦ ὀνομάζεται, ἐπώνυμος ὢν ἐκ προφητείας τοῦ μετὰ τὸν ἐνταῦθα κλαυθμὸν μακαριζομένου γέλωτος. καὶ χαριέντως γε φήσεις, πάντα τὸν γελάσοντα τῆς ἐπαγγελίας τυγχάνοντα, Ἰσαὰκ εἶναι.

Z ** ΠΡΟΚΟΠΙΟΥ. Σημείωσαι, ὅτι ἐκ κοιλίας αὐτὸς ὁ Θεὸς ὀνομάζει αὐτὸν Ἰσαάκ. διόπερ οὐ δίδωσιν αὐτῷ μετὰ ταῦτα ἕτερον ὄνομα, ὡς τῷ Ἄβραμ τὸ Ἀβραὰμ, καὶ τῷ Ἰακὼβ τὸ Ἰσραήλ.

κ. Περὶ δὲ Ἰσμαὴλ ἰδοὺ ἐπήκουσά σου· ἰδοὺ εὐλόγηκα αὐτὸν, καὶ πληθυνῶ αὐτὸν σφόδρα. δώδεκα ἔθνη γεννήσει· καὶ δώσω αὐτὸν εἰς ἔθνος μέγα.

H ** ΙΩΣΗΠΟΥ. Παῖδες Ἰσμαήλῳ γίνονται δώδεκα πάντες. Ναβαιώθης, Κήδαρος, Ἀβδέηλος, Ἡδουμᾶς, Μάσαμος, Μαίμασος, Μάσμησος, Χόδαμος, Θεμανὸς, Ἰέτουρος, Νάφαισος, Κάλμασος. οὗτοι πᾶσαν τὴν ἀπ' Εὐφράτου καὶ καθήκουσαν πρὸς τὴν ἐρυθρὰν θάλασσαν κατοικοῦσι, Ναβατηνὴν τὴν χώραν ὀνομάσαντες. εἰσὶ δὲ οὗτοι οἱ τῶν Ἀράβων ἔθνος, καὶ τὰς φυλὰς ἀπ' αὐτῶν καλοῦσι, διά τε τὴν ἀρετὴν αὐτῶν καὶ τὸ τοῦ Ἀβράμου ἀξίωμα.

κα. Τὴν δὲ διαθήκην μου στήσω πρὸς Ἰσαὰκ, ὃν τέξεταί σοι Σάῤῥα εἰς τὸν καιρὸν τοῦτον, ἐν τῷ ἐνιαυτῷ τῷ δευτέρῳ.

κβ. Συνετέλεσε δὲ λαλῶν πρὸς αὐτὸν, καὶ ἀνέβη ὁ Θεὸς ἀπὸ Ἀβραάμ.

* ΠΡΟΚΟΠΙΟΥ. Εἰ ἀνέβη ὁ Θεὸς ἀπὸ Ἀβραὰμ, δῆλον ὅτι οὐκ ἦν ἀναβὰς ὅτε ἐλάλει (1) τῷ Ἀβραάμ. συγκαταβαίνων γὰρ αὐτῷ, καὶ ἵν' οὕτως εἴπω (2) κάτω ὢν, περὶ τῆς περιτομῆς διατίθεται.

κγ. Καὶ ἔλαβεν Ἀβραὰμ Ἰσμαὴλ τὸν υἱὸν αὐτοῦ, καὶ πάντας τοὺς οἰκογενεῖς, καὶ πάντας τοὺς ἀργυρωνήτους αὐτοῦ, καὶ πᾶν ἄρσεν τῶν ἀνδρῶν τῶν ἐν τῷ οἴκῳ Ἀβραὰμ, καὶ περιέτεμε τὴν ἀκροβυστίαν αὐτῶν, ἐν τῷ καιρῷ τῆς ἡμέρας ἐκείνης, καθὰ ἐλάλησεν αὐτῷ ὁ Θεός.

κδ. Ἀβραὰμ δὲ ἦν ἐννενηκονταεννέα ἐτῶν, ὅτε ἔτεμε τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μὴ νομίσης ἁπλῶς ἡμῖν τῶν ἐτῶν τὸν ἀριθμὸν τὴν Γραφὴν ἐπισημήνασθαι, ἀλλ' ἵνα καὶ ἐκ τούτου μάθῃς τοῦ δικαίου τὴν πολλὴν ὑπακοὴν, ὅτι καὶ ἐν ἐσχάτῳ γήρᾳ ὢν, πράως ἤνεγκε τὴν ὀδύνην διὰ τὸ τοῦ Θεοῦ ἐπίταγμα, διὰ τοῦτο ποιεῖται τὴν αὐτῶν ἀπαρίθμησιν, καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ ὁ Ἰσμαὴλ, καὶ πάντες οἱ οἰκογενεῖς.

κε. Ἰσμαὴλ δὲ ὁ υἱὸς αὐτοῦ ἦν ἐτῶν δεκατριῶν, ἡνίκα περιετέμνετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ. (3)

κς. Ἐν τῷ καιρῷ τῆς ἡμέρας ἐκείνης περιετμήθη Ἀβραὰμ, καὶ Ἰσμαὴλ ὁ

κζ. υἱὸς αὐτοῦ. Καὶ πάντες οἱ ἄνδρες τοῦ οἴκου αὐτοῦ, καὶ οἱ οἰκογενεῖς, καὶ οἱ ἀργυρώνητοι, οἱ ἐξ ἀλλογενῶν ἐθνῶν· καὶ περιέτεμεν αὐτούς.


(1) Καθὸ λαλεῖ. ὁ τῆς Αὐγ. κώδ.

(2) Καὶ ἵν' οὕτως εἴπω ὀνομάσας. ὁ αὐτ.

(3) Τὸ κε. ἐδ. προσετέθη, καθότι οὐκ ἦν ἐν τῷ κώδικι.

ΙΩΣΗΠΟΥ. Ἀβραὰμ μὲν οὖν ἕκτον A ἤδη καὶ π΄ ἔτος γεγονότι ὁ Ἰσμαὴλ ἐγεννήθη· εἰς θ΄ δὲ αὐτῷ καὶ ι΄ τῷ χρόνῳ παρεληλύθει. περιτέμνεται τὴν σάρκα τῆς ἀκροβυστίας, καὶ πάντες οἱ παρ᾽ αὐτῷ, καὶ ὁ παῖς Ἰσμαήλ. ὃς καὶ κατ᾽ ἐκείνην τὴν ἡμέραν τρισκαιδέκατον ἔτος ἦγε. καὶ ἐκ τούτου πάντες Ἰσμαηλῖται τρισκαιδεκάτῳ ἔτει περιτέμνονται. (1)

ΚΕΦ. ΙΗ.

α.  Ὤφθη δὲ αὐτῷ ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει μοι ἐνταῦθα τοῦ δικαίου τὴν ἀρετήν. καθημένου, φησὶν, ἐπὶ τῆς σκηνῆς. οὕτως ἔργον ἐποιεῖτο τὴν φιλοξενίαν, ὡς μηδὲ ἀνέχεσθαι ἑτέρῳ τινὶ τῶν προσηκόντων ἐπιτρέψαι τὴν τούτων θήραν· ἀλλὰ τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς ἔχων, ἄνθρωπος πρεσβύτης, καὶ εἰς βαθὺ γῆρας ἐλάσας, ἑκατονταέτης γὰρ ἐτύγχανε, παρὰ τὴν θύραν ἐκαθέζετο. Καὶ μετ᾽ ὀλίγα. Τοῦτο γὰρ ἡ πολλὴ τῆς φιλοξενίας ἐπίτασις, καὶ τῆς ἀρετῆς τοῦ δικαίου ἡ ὑπερβολὴ, ὅτι καὶ ἐν μεσημβρίᾳ τοῦτο διεπράττετο.

ΑΔΗΛΟΥ. Αἱ μὲν πρότερον θεοφάνειαι τῷ Ἀβραὰμ ἐξ οὐρανοῦ γίνονται· τελευταία δὲ, ἐπὶ σκηνῆς τῆς αὐτοῦ. καὶ τοῦτο ἦν σημεῖον, ὅτι τελευταῖον ἐν ἡμῖν ὁ Θεὸς σκηνώσει διὰ τοῦ λόγου. εἶχε δὲ ἡ ἐπιφάνεια τύπον τῆς ἁγίας Τριάδος, ἥτις ἐστὶν ὑπὲρ τὴν κλίσιν.

** ΠΡΟΚΟΠΙΟΥ. Εἰ δὲ ὤφθη Θεὸς, ὡς ἀνὴρ, οὐκ ἀνδρείκελον ἔχει τὸ εἶδος ὁ ἀσώματός τε καὶ ἀπερίγραφος. καὶ γὰρ πνεῦμα εἴρηται ὁ Θεός. Ἰωάν. 4. 24. καὶ ἐν φλογὶ πυρὸς ὦφθαι, ὡς καὶ νῦν ἀνὴρ, ζώῳ λογικῷ τὴν θεωρίαν διδούς· σύμφωνον γὰρ τοῖς ὑποκειμένοις ἀεὶ τὴν θέαν παρέχεται. ἀδύνατον γὰρ αὐτὸν ὁρᾶσθαι κατὰ φύσιν αἰσθητοῖς ὀφθαλμοῖς. ἀλλ᾽ ἡ μὲν ὄψις σαφὴς καὶ οὐκ ἀπατηλὴ, οὐ σαφὴς δὲ ἡ φύσις καὶ τῶν ὀφθέντων ἡ ἰδιότης. Καὶ μεθ᾽ ἕτερα. Πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ εἶδεν, ὅπερ ἐστὶν ἀπὸ ὁράσεως. πρόσφοροι γὰρ αἱ προσηγορίαι τῇ ὀπτασίᾳ. εἶδε δὲ μεσημβρίας, ἐν καθαρωτάτῃ θέρμῃ τε καὶ φωτί.

β. Ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε· καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐ γὰρ εἶδε, μὴ ἀναβλέψας τοὺς κεκαλυμμένους ὀφθαλμοὺς, οἷς ἡ φύσις οὐκ ἦν Θεὸν βλέπειν· B οὐδ᾽ ἂν εἶδε, μὴ ὀφθῆναι θελήσαντος ἐκείνου.

** ΤΟΥ ΑΥΤΟΥ. Τοὺς τρεῖς ἄνδρας οἱ μὲν, τρεῖς Ἀγγέλους φασίν· οἱ δὲ, ἰουδαΐζειν τοὺς μὴ ἕνα τῶν τριῶν εἶναι λέγοντας τὸν Θεὸν, Ἀγγέλους δὲ τοὺς δύω· οἱ δὲ, τύπον ἔχειν φασὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος. πρὸς οὓς εἰρῆσθαι μοναδικῶς τὸ, Κύριε. Φαίνεται δὲ πανταχοῦ κατὰ Γ τὸ ἑβραϊκὸν ἐπὶ τῶν τριῶν κείμενον τὸ ἄφθεγκτον ὄνομα τὸ ἐπὶ μόνου γραφόμενον τοῦ Θεοῦ, τετραγράμματον ὂν, καὶ ἐν τῷ ἱερατικῷ πετάλῳ γραφόμενον.

ΑΔΗΛΟΥ. Ὁ Ἀβραὰμ τρεῖς εἶδεν Ἀγγέλους εἰς τύπον τῆς ἁγίας Τριάδος. ὁ δὲ Λὼτ δύω εἶδεν, εἰς τάξιν υἱοῦ καὶ πατρός. φυσικῶς γὰρ συνέσι τῷ υἱῷ τὸ πνεῦμα ἐν τῷ τῆς κρίσεως καιρῷ. οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν πᾶσαν κρίσιν δέδωκε τῷ υἱῷ, Ἰωάν. 5. 22. συνόντος αὐτῷ δηλονότι Δ καὶ συνυπάρχοντος φυσικῶς τοῦ ἁγίου πνεύματος. (2)

Καὶ ἰδὼν, προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν.

** ΠΡΟΚΟΠΙΟΥ. Εἰκὸς, ὅτι ὡς πρὸς συνήθη λοιπὸν αὐτῷ θεωρίαν προσέδραμεν. εἴρηται γὰρ πρότερον, ὅτι ὤφθη E Θεὸς αὐτῷ. ὅθεν φιλίως ὁ πρεσβύτης δρόμῳ συναντήσας προσῆλθε νεανικῷ· καίτοιγε ἐπάνω αὐτοῦ ἑστηκότας ἰδών. ὅπερ ἐμφαίνει τὴν ὑπὲρ ἄνω τῶν θνητῶν λῆξιν. παράδοξον γὰρ ἦν καὶ ἄνδρας ὁρᾶν, καὶ μὴ ἐπὶ γῆς. μερίζεται δὲ λοιπὸν τὴν διάνοιαν, προσκυνῶν μὲν ὡς θεῖα, ὡς δὲ ξένους ἐπὶ τὸ νίψασθαι παρακαλῶν· εἰ καὶ μὴ γέγονε τὸ νίψασθαι. οὐ γὰρ εἴρηται.

Z ΑΚΑΚΙΟΥ. Ἡ μὲν προσκύνησις, ὡς θείων· ἡ δὲ παράκλησις τοῦ νίψασθαι, ὡς ξένων.

γ. Καὶ εἶπε, Κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου.

(1) Ἀβράμῳ μὲν οὖν ἕκτον ἤδη καὶ ὀγδοηκοστὸν ἔτος γεγονότι ὁ προειρημένος ἐγαννήθη. εἰς ἐννατον δὲ αὐτῷ καὶ ἐννενηκοστὸν παρελθόντι, ἐπιφανεὶς ὁ Θεὸς, ἀπήγγειλεν, ὡς παῖς αὐτῷ ἐκ Σάῤῥας ἔσοιτο. κελεύει δὲ αὐτὸν καλέσαι Ἴσακον, δηλῶν ἐσόμενα ἔθνη μεγάλα ἀπ᾽ αὐτοῦ, καὶ βασιλεῖς. Καὶ μετ᾽ ὀλίγα: Καὶ Ἄβραμος μὲν ἐπὶ τούτοις εὐχαριστήσας τῷ Θεῷ, περιτέμνεται παραχρῆμα, καὶ πάντες οἱ παρ᾽ αὐτῷ, καὶ ὁ παῖς Ἰσμάηλος. οὗ κατ᾽ ἐκείνην τὴν ἡμέραν τρισκαιδέκατον ἔτος ἔχοντος, αὐτὸς ἐννενηκοστὸν πρὸς τοῖς ἐννέα διῆγεν. ἐν Βιβλ. 1. περὶ Ἰουδαϊκ. ἀρχαιολ. κεφ. 11.

(2) Τὰ αὐτὰ ἄλλως πως ὁ Κύριλλος. ἐν Τόμ. 1. μέρ. 2. σελ. 26.

ΑΔΗΛΟΥ. Ὦφθαι δέ φησι τῷ Ἀβραὰμ καθημένῳ πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ τρεῖς ἀνθρώπους, τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ἐπέχοντας τύπον. εἶτα πρὸς αὐτοὺς εἰπεῖν τὸν θεσπέσιον Ἀβραὰμ, οὐχὶ μᾶλλον κύριοι, Κύριε δὲ μοναδικῶς· εἰ εὗρον χάριν.

ΑΔΗΛΟΥ. Ζητητέον τί φρονῶν ὁ Ἀβραὰμ, Κύριον τὸν ἕνα αὐτῶν καλεῖ, καὶ λέγει, ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν· καὶ καταψύξατε, καὶ τὰ ἑξῆς. Κύριε εἶπε μοναδικῶς διὰ τὴν ὁμοτιμίαν τῆς φύσεως.

** ΠΡΟΚΟΠΙΟΥ. Σκόπει τὸ ἄτυφον, πῶς καὶ προσκυνεῖ καὶ παρακαλεῖ. ἐπειδὴ δεῖ τὸν ξενίζοντα, τὸ φαιδρὸν ἔχειν, τὸ πρόθυμον, τὸ ἄφθονον. ἃ μὴ βλέπων ὁ ξένος αἰσχύνεται.

δ. Ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν· καὶ καταψύξατε ὑπὸ τὸ δένδρον. ε. Καὶ λήψομαι ἄρτον, καὶ φάγεσθε. καὶ μετὰ ταῦτα παρελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν, οὗ ἕνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. καὶ εἶπεν, οὕτω ποίησον καθὼς εἴρηκας.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁρᾷς πῶς οὐκ εἰδὼς τίνες εἰσὶ, καθάπερ ἀνθρώποις διαλεγόμενος παρίησιν, οὕτω κοινὴν πρὸς αὐτοὺς ποιεῖται τὴν προτροπὴν, καὶ ἅπαξ καὶ δεύτερον παῖδα ἑαυτῶν αὐτὸν καλῶν; καὶ ὅρα πῶς καὶ προλέγει τῆς τραπέζης αὐτοῦ τὴν εὐτέλειαν, μᾶλλον δὲ τὴν πολυτέλειαν.

ς. Καὶ ἔσπευσεν Ἀβραὰμ ἐπὶ τὴν σκηνὴν πρὸς Σάῤῥαν, καὶ εἶπεν αὐτῇ, σπεῦσον, καὶ φύρασον τρία μέτρα (1) σεμιδάλεως, καὶ ποίησον ἐγκρυφίας.

ΑΔΗΛΟΥ. Ἐγκρυφίας, ἄρτος ἐν σποδιᾷ χωννύμενος καὶ ὀπτώμενος.

ζ. Καὶ εἰς τὰς βόας ἔδραμεν Ἀβραὰμ, καὶ ἔλαβε μοσχάριον ἁπαλὸν καὶ καλὸν, καὶ ἔδωκε τῷ παιδὶ, καὶ ἐτάχυνε ποιῆσαι αὐτό.

ΑΔΗΛΟΥ. Πάντα σπουδαίως ἐν τῷ οἴκῳ τοῦ σοφοῦ γίνεται.

** ΠΡΟΚΟΠΙΟΥ. Πάντα σύντομα ἐν τῷ οἴκῳ τοῦ σπουδαίου γίνεται. γέγραπται γὰρ περὶ μὲν αὐτοῦ, καὶ ἔσπευσεν Ἀβραὰμ ἐπὶ τὴν σκηνήν· καὶ πάλιν, εἰς τὰς βόας A ἔδραμεν αὐτός· πρὸς δὲ τὴν γυναῖκα φησὶ, σπεῦσον· καὶ περὶ τοῦ παιδὸς εἴρηται, ὅτι ἐτάχυνε τοῦ ποιῆσαι αὐτὸ, δηλονότι τὸ μοσχάριον.

η. Ἔλαβε δὲ βούτυρον, καὶ γάλα, καὶ τὸ μοσχάριον, ὃ ἐποίησε· καὶ παρέθηκεν αὐτοῖς, καὶ ἔφαγον.

ΑΔΗΛΟΥ. Ζητητέον εἰ οἱ Ἄγγελοι B ἔφαγον παρὰ τῷ Ἀβραάμ. Οὐκ ἔφαγον, ἀλλ᾽ ἐνεργείᾳ ἀοράτῳ κατηνάλωσαν τὰ παρακείμενα προσποιήσει τοῦ φαγεῖν. καὶ ὅτε πρὸς Γεδεὼν ἦλθεν ὁ Ἄγγελος, παρέθηκεν αὐτῷ κρέας, καὶ ἀζύμους, καὶ ἐξῆλθε πῦρ ἐκ τῆς πέτρας, καὶ κατέφαγεν αὐτά. Κριτ. 6. 21. καὶ ὅτε Μανωὲ ὁ πατὴρ Σαμψὼν εἶδε τὸν Ἄγγελον, λέγει αὐτῷ· παραβιασώμεθά σε, καὶ ποιήσωμέν σοι ἔριφον. Κριτ. 13. 15, 16. λέγει ὁ Ἄγγελος· ἐὰν παραβιάσῃ Γ με, οὐ φάγω ἀπὸ τῶν ἄρτων σου. ἐὰν ποιήσῃς ὁλοκαυτώματα, ἀνοίσεις Κυρίῳ. καὶ ἐπάγει ἡ Γραφὴ, ὅτι οὐκ ἐπέγνω Μανωὲ, ὅτι Ἄγγελος Κυρίου ἐστὶν οὗτος· ὅτι οὐκ ἂν παρέθηκεν. ἀγνοῶν δὲ, ἐποίησεν ἂν, εἰ μὴ ἠρνήσατο ὁ Ἄγγελος.

ΘΕΟΔΩΡΟΥ. Οὔτε τῇ φύσει ἄνδρες ἦσαν, ἀλλ᾽ ἐδόκουν εἶναι, οὔτε ἔφαγον ὡς ἄνθρωποι, ἀλλ᾽ ἐδόκουν ἐσθίειν τῇ ὄψει τῶν Δ ὁρώντων, ἀναλισκομένων τῶν προτιθεμένων κατὰ θείαν ἐνέργειαν.

ΑΔΗΛΟΥ. Τὸ ζητεῖν, εἰ ἐνδέχεται τὴν ἀσώματον οὐσίαν τρέφεσθαι σώμασιν, ἕτοιμον εἰς ἀνάδυσιν, τολμηρὸν δὲ εἰς ἀπόφασιν, θείας ἅπαξ προειλημμένης Γραφῆς τῆς λεγούσης, παρέθηκεν αὐτοῖς, καὶ ἐφάγωσαν. εἰ μήποτε τὸ ἀνηλῶσθαι αὐτὰ, φαγεῖν εἶπεν ἡ Γραφή.

E Αὐτὸς δὲ παρειστήκει αὐτοῖς ὑπὸ τὸ δένδρον.

ΑΔΗΛΟΥ. Καὶ τοῦτο τύπος φιλοξενίας.

ΑΚΑΚΙΟΥ. Αὐτουργὸς γίνεται τῆς ὑπηρεσίας, μὴ συγχωρῶν οἰκέταις τὴν τοῦ Θεοῦ λειτουργίαν.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ ὑπὲρ ἄνθρωπον Z αὐτῶν ἐπιστάμενος, οὐ συνέφαγεν ὡς ἑστιάτωρ αὐτοῖς, διορατικῶς αὐτοῖς λειτουργῶν. μακάριος δὲ ὢν, παρειστήκει αὐτοῖς· τὸ Μωϋσεῖ λεχθὲν προλαβὼν, τὸ, σὺ δὲ αὐτοῦ στῆθι μετ᾽ ἐμοῦ· Ἐξόδ. 33. 21. καὶ κοινῆς τραπέζης ψαύειν οὐ τολμῶν, μόνον οὐχ ὁλόκαυτα παρέχων ἃ δὴ παρέθηκεν. ὅτι δὲ ᾔδει Θεὸν δεξάμενος, δηλοῖ λέγων ἑξῆς, μηδαμῶς Κύριε ὁ κρίνων πᾶσαν τὴν γῆν.

θ. Εἶπον

(1) Ταῦτα δὲ τὰ μέτρα ἕκαστον γόμον ἐχώρει. τὸ δὲ γόμον δέκατον ἦν τοῦ μεγάλου μέτρου, τουτέστι τῆς Ἀρτάβης, ὃ γίνεται ἑπτὰ ξέστων καὶ πέμπτον. Ἐπιφάν. ἐν τῷ περὶ μέτρ. καὶ σταθμ. βιβλ. Ὁ μὲν ῥωμαϊκὸς ξέστης οὐγγίας ἐχώρει 20, ὁ δὲ Ἀττικὸς 18. παρήχθη δὲ ἡ λέξις ἀπὸ τῆς Λατινικῆς Sextarius. Στέφαν. Ἐνρίκ. ἐν τῷ Λεξ.

θ. Εἶπον δὲ πρὸς αὐτὸν, ποῦ Σάῤῥα ἡ γυνή σου; ὁ δὲ ἀποκριθεὶς, εἶπεν· ἰδοὺ ἐν τῇ σκηνῇ.

ΑΔΗΛΟΥ. Οὐκ ἀγνοῶν ἐρωτᾷ, ἰδὼν τὰ πάντα πρὶν γενέσεως αὐτῶν· ἀλλ' ἐνδείκνυται μὴ τὴν αὐτὴν ἔχειν παῤῥησίαν τε καὶ πίστιν τὴν Σάῤῥαν πρὸς τὸν Θεὸν, ὡς τὸν Ἀβραάμ. καὶ τοῦτο δηλοῖ τὰ ἑξῆς. ἔλεγεν, (1) ἐγέλασε Σάῤῥα, ἔνδον αὐτῆς οὔσης.

B

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εὐθέως διὰ τῆς ἐρωτήσεως παρῄνησεν αὐτῷ, δεικνὺς ὡς οὐχ ὁ τυχών ἐστιν ὁ παραγεγονώς, ἄγε καὶ τῆς γυναικὸς αὐτοῦ τὴν προσηγορίαν ἠπίστατο. ὁ δέ φησιν, ἰδοὺ ἐν τῇ σκηνῇ. καὶ ἐπεὶ ἔμελλε λοιπὸν ὡς Θεὸς ὑπισχνεῖσθαι αὐτῷ τὰ ὑπὲρ φύσιν, διὰ τοῦτο καὶ τῷ εἰπεῖν τὴν προσηγορίαν τῆς Σάῤῥας, ἐσήμανεν ὅτι ὑπὲρ ἄνθρωπόν ἐστιν ὁ εἰς τὴν σκηνὴν αὐτοῦ καταχθείς.

Γ

** ΕΠΙΦΑΝΙΟΥ. Ποῦ Σάῤῥα ἡ γυνή σου; τῷ Ἀραὰμ ἔλεγεν ὁ ἐλθὼν ἄνωθεν σὺν τοῖς δυσὶν Ἀγγέλοις υἱὸς Θεοῦ. εἰ γὰρ ἠγνόει ποῦ ἐστιν, οὐκ ἂν ἔλεγεν, ἐγέλασεν οὖν ἡ Σάῤῥα ἔνδον οὖσα. Βούλεται αὐτῆς ὑποδεῖξαι τὴν σεμνότητα, ὑπογραμμὸν τῶν θελουσῶν εὐσεβεῖν ἐν ἀληθείᾳ· ἵν' ὅτε ὑποδέχωνται ξένους ἐξ ἰδίων καμάτων, ὑπηρετῶσι μὲν, διὰ δὲ τὴν σεμνότητα τὸ πρόσωπον αὐτῶν τοῖς ἀνδράσι μὴ ὑποδεικνύωσιν. ἐκείνη γὰρ ἡ μακαρία πάντως ἐξήρτυσε, καὶ ἐξαρτύσασα εἰς πρόσωπον Ἀγγέλων οὐκ ὤφθη, σεμνότητος ὑπογραμμὸν ὑποβάλλουσα ταῖς μετὰ ταῦτα γενεαῖς. ἀλλὰ καὶ ἵνα δείξῃ ὁ παρὼν τίς ἐστιν, ὄνομα τῆς γυναικὸς ἐκάλει, ὁ ἐπιξενωθεὶς πρὸς τὴν ὥραν, ὅτι οὔτε τὸ ὄνομα αὐτῆς λέληθεν, οὔτε πλάσμα, οὔτε διανόημα ἀνθρώπου.

Δ

ι. Εἶπε δὲ ἀναστρέφων, ἥξω πρὸς σὲ κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάῤῥα ἡ γυνή σου. Σάῤῥα δὲ ἤκουσε πρὸς τῇ θύρᾳ τῆς σκηνῆς, οὖσα ὄπισθεν αὐτοῦ.

ια. Ἀβραὰμ δὲ καὶ Σάῤῥα πρεσβύτεροι προβεβηκότες ἡμερῶν. ἐξέλιπε δὲ τῇ Σάῤῥᾳ γίνεσθαι τὰ γυναικεῖα.

ΑΔΗΛΟΥ. Σημείωσον, ὅτι πρῶτοι ὠνομάσθησαν πρεσβύτεροι Ἀβραὰμ καὶ Σάῤῥα.

ΩΡΙΓΕΝΟΥΣ. Μήποτε ἐπὶ δικαίων μόνον τὸ προβεβηκότες τέτακται; ὅπερ εἰ οὕτως ἔχει, οὐδεὶς φαῦλος προβέβηκεν.

ιβ. Ἐγέλασε δὲ Σάῤῥα, λέγουσα πρὸς ἑαυτὴν, οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν· ὁ δὲ κύριός μου πρεσβύτερος.

A

ΑΔΗΛΟΥ. Τὸ οὔπω μέν μοι γέγονε, μετὰ τὸ κατακρυβῆναί με ἐγένετό μοι τρυφερία.

ΣΥΜΜΑΧΟΣ. Μετὰ τὸ παλαιωθῆναί με ἐγένετό μοι ἀκμή.

** ΚΛΗΜΕΝΤΟΣ. Τοῦτ' ἦν ἄρα ὁ τῆς Σάῤῥας, γένεσιν παιδὸς εὐαγγελισθείσης, γέλως· οὐκ ἀπιστησάσης, οἶμαι, τῷ Ἀγγέλῳ, καταιδεσθείσης δὲ ἐκείνης αὖθις τὴν ὁμιλίαν, δι' ἧς ἔμελλε παιδὸς γενήσεσθαι μήτηρ. καὶ μήτι ἔκτοτε ὁ Ἀβραὰμ ὁπηνίκα παρὰ τῷ βασιλεῖ τῆς Αἰγύπτου διὰ τὸ τῆς Σάῤῥας ἐκινδύνευε κάλλος, οἰκείως αὐτὴν ἀδελφὴν προσεῖπεν, ἀλλ' οὔτε ὁμομητρίαν οὐδέπω καὶ ὁμοπατρίαν.

** ΠΡΟΚΟΠΙΟΥ. Σημείωσαι, ὅτι ὁ μὲν ἀναγέγραπται εἰρηκέναι ἡ Σάῤῥα τοιοῦτόν ἐστιν, οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν, ὁ δὲ κύριός μου πρεσβύτερος. ὁ δὲ Κύριός φησιν αὐτὴν εἰρηκέναι τὸ, ἆρά γε ἀληθῶς τέξομαι; ἐγὼ δὲ γεγήρακα. πῶς οὖν οὐκ ἔστι ταῦτα διάφωνα; ἀλλὰ τῇ δυνάμει τοιοῦτόν ἐστι τὸ ῥηθέν· ἡ μὴ γεννήσασα ἕως τοῦ νῦν, ἆρα νῦν τέξομαι; ἐσκόπει γὰρ οὐ μόνον τὸν ἄνδρα, ἀλλὰ καὶ ἑαυτὴν γεγηρακέναι.

** ΒΑΣΙΛΕΙΟΥ. Ἀβραὰμ πρεσβύτερος κατὰ τὴν μαρτυρίαν Σάῤῥας λεγούσης· οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν· ὁ δὲ κύριός μου πρεσβύτερος. πρεσβύτερος δὲ ἦν διὰ τὴν πολιώσασαν αὐτοῦ τὴν ψυχὴν ἀρετήν.

E

ιγ. Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ Ἀβραὰμ, τί ὅτι ἐγέλασε Σάῤῥα ἐν ἑαυτῇ, λέγουσα, ἆρά γε εἰ ἀληθῶς τέξομαι; ἐγὼ δὲ γεγήρακα.

** ΠΡΟΚΟΠΙΟΥ. Διὰ τοῦ ἐλέγξαι τὰ κρύφια τῆς καρδίας Σάῤῥας, εἰς πίστιν αὐτὴν συνήλασεν, ὅτι δυνατός ἐστι ποιῆσαι ὃ ἐπηγγείλατο.

Z

ιδ. Μὴ ἀδυνατεῖ παρὰ τῷ Θεῷ πᾶν ῥῆμα; εἰς τὸν καιρὸν τοῦτον ἀναστρέψω πρὸς σὲ εἰς ὥρας· καὶ ἔσται τῇ Σάῤῥᾳ υἱός.

ΑΔΗΛΟΥ. Εἰς τὸν καιρὸν τοῦτον ἀναστρέψω πρὸς σὲ εἰς ὥρας, τουτέστι τῷ ἑξῆς ἔτει ἐν καιρῷ τῆς ὀπώρας. ὅτι Σάῤῥα κατεκρίθη ὡς ἐπιγελῶσα τῷ ῥήματι· ὁ δὲ Ἀβραὰμ εὐκτικῶς αὐτῷ εἶπεν, εἰ τῷ ἑκατονταετεῖ γενήσεται υἱὸς, τουτέστι ναὶ Κύριε γένοιτό μοι υἱὸς ἐν γήρᾳ.

H

ιε. Ἠρνήσατο δὲ ἡ Σάῤῥα, λέγουσα, οὐκ ἐγέλασα· ἐφοβήθη γάρ· καὶ εἶπεν, οὐχὶ, ἀλλ' ἐγέλασας.

ΧΡΥΣΟ-

(1) Ἴσ. ἔλεγε γὰρ, ἢ ἔλεγε δέ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶτα ἐκείνη ἀκούσασα, ὅτι οὔτε τὰ ἐν τῇ διανοίᾳ αὐτῆς κινηθέντα ἔλαθε τὸν παρόντα, ἠρνήσατο λέγουσα, οὐκ ἐγέλασα. ὁ γὰρ φόβος κατέσεισεν αὐτῆς τὴν διάνοιαν. διὰ τοῦτο τῇ ἀσθενείᾳ αὐτῆς ἡ Γραφὴ τὸ πᾶν λογιζομένη, φησὶν, ἐφοβήθη γάρ. ἀλλ' ὁ πατριάρχης φησὶ πρὸς αὐτὴν, οὐχὶ, ἀλλ' ἐγέλασας. μὴ νομίσῃς, φησὶν, εἰ καὶ ἐν διανοίᾳ ταῦτα ἐβουλεύσω, καὶ κατὰ τὸ λεληθὸς γέλωτα ἐποιήσω, ὅτι τοῦ παραγενομένου τὴν δύναμιν λαθεῖν εἶχες. μὴ τοίνυν ἀρνοῦ τὸ γεγονὸς, μηδὲ προσθήκην ἐργάζου τῷ ἁμαρτήματι.

ιϛ. Ἐξαναστάντες δὲ οἱ ἄνδρες ἐκεῖθεν, κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόῤῥας. Ἀβραὰμ δὲ συνεπορεύετο μετ' αὐτῶν συμπροπέμπων αὐτούς.

** ΠΡΟΚΟΠΙΟΥ. Μόλις διαζεύγνυται δυσαποσπάστως ἔχων, ὡς βούλεσθαι καὶ ἀποδημεῖν. ἄμεινον δὲ τοῦ πέμπειν τὸ παραπέμπειν, κοινωνικώτατον ἦθος ἐμφαῖνον.

* ΤΟΥ ΑΥΤΟΥ. Πόσον ἀγαθὸν τὸ συμπροπέμπειν ξένους. ἐν μὲν γὰρ τῇ ὁδῷ ἐθαῤῥήθη Ἀβραὰμ τηλικαῦτα θαυμάσια.

ιζ. Ὁ δὲ Κύριος εἶπε, μὴ κρύψω ἐγὼ ἀπὸ προσώπου Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πόσης γὰρ οἴει τιμῆς εἶναι καὶ τοῦτο αὐτὸ, τὸ λέγειν, Ἀβραὰμ τοῦ παιδός μου; πόσου φίλτρου, πόσης διαθέσεως; τοῦτο γὰρ μάλιστα δείκνυσι τὸ ἐξαίρετον, καὶ τὴν εἰς τὸν δίκαιον τιμήν.

** ΠΡΟΚΟΠΙΟΥ. Παρίστησι καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, καὶ τοῦ δούλου τὸ ἀξίωμα, ὡς καὶ δεσποτικὰ θαῤῥεῖσθαι μυστήρια.

ιη. Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ· καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰπὼν, οὐ μὴ κρύψω ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ, οὐκ εὐθέως λέγει τὸ μέλλον ἔσεσθαι. ἀκόλουθον γὰρ ἦν ἐπαγαγεῖν, καὶ εἰπεῖν, ὅτι μέλλει τὰ Σόδομα ἐμπιπρᾶν. Καὶ μετ' ὀλίγα. Ἀλλὰ τί; ἵνα μάθωμεν, ὅτι οὐχ ἁπλῶς οὐδὲ εἰκῇ τοσαύτην περὶ αὐτὸν δείκνυται τὴν κηδεμονίαν, φησίν· Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα, καὶ τὰ ἑξῆς. βαβαὶ πόσον τῆς τοῦ δεσπότου φιλανθρωπίας τὸ μέγεθος. ἐπειδὴ μέλλει μετὰ ταῦτα ἐπάγειν τὰ κατὰ τὴν καταστροφὴν Σοδόμων, προλαβὼν νῦν παραθαῤῥύνει τὸν πατριάρχην, ὁμοῦ καὶ τὴν μεγίστην εὐλογίαν αὐτῷ ἐπαγγελλόμενος, καὶ ὅτι εἰς πλῆθος ἔσται μέγα.

ιθ. Ἤδειν γὰρ, ὅτι συντάξει τοὺς υἱοὺς αὐτοῦ, καὶ τῷ οἴκῳ αὐτοῦ μετ' αὐτοῦ· καὶ φυλάξουσι τὰς ὁδοὺς Κυρίου. ὅτι συντάξει τοὺς υἱοὺς αὐτοῦ ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ Κύριος ἐπὶ Ἀβραὰμ πάντα ὅσα ἐλάλησε πρὸς αὐτόν.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ ἤδειν, ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ Ἀβραὰμ, τὴν αἰτίαν παρίστησι τῆς ἐκλογῆς. διατὶ μόνον αὐτὸν ἀπὸ πάντων ἐξελέξατο. πᾶσαι γὰρ αἱ ὁδοὶ αὐτοῦ κρίσεις. ὡς ἄνθρωπος δὲ ὀφθεὶς ὁ Θεὸς τῷ Ἀβραὰμ, ἀνθρωπίνως διαλέγεται. τί οὖν θαυμάζουσιν εἰ ὁ Χριστὸς ἀνθρωπίνως ἐν τοῖς εὐαγγελίοις διαλέγεται, ἄνθρωπος γενόμενος ἀληθῶς;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πολλὴ τῆς ἀρετῆς ἡ ἐπίτασις. οὐ γὰρ μόνον ὑπὲρ ὧν αὐτὸς μέτεισι τὴν ἀρετὴν τὰς ἀμοιβὰς δέχεται, ἀλλὰ καὶ ὑπὲρ ὧν διετάξατο τοῖς ἐξ αὐτοῦ τεχθεῖσι δαψιλοῦς ἀξιοῦται τῆς ἀντιδόσεως· εἰκότως. αὐτὸς γὰρ λοιπὸν ἅπασι διδάσκαλος γέγονεν. ὁ γὰρ τὴν ἀρχὴν καὶ τὰ προοίμια παρασχὼν, οὗτος καὶ τῶν μετὰ ταῦτα γινομένων αἴτιος ἂν εἴη.

κ. Εἶπε δὲ Κύριος ὁ Θεὸς, κραυγὴ Σοδόμων καὶ Γομόῤῥας πρός με.

ΑΔΗΛΟΥ. Κραυγὴν φησὶ τὴν τῶν τολμημάτων φανερὰν παῤῥησίαν.

ΑΔΗΛΟΥ. Κραυγὴν, τὴν τόλμαν λέγει καὶ τὴν παῤῥησίαν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὸ γὰρ κραυγὴ Σοδόμων καὶ Γομόῤῥας, οἶμαι σημαίνειν, ὅτι μετὰ τῆς παρανομίας ἐκείνης τῆς ἀφάτου καὶ πάσης συγγνώμης ἀπεστερημένης, καὶ ἑτέρας ἀδικίας πολλὰς ἐπεδείκνυντο, οἱ δυνατώτεροι κατεξανιστάμενοι τῶν ἀσθενεστέρων, οἱ πλούσιοι τῶν πενήτων.

ΑΔΗΛΟΥ. Χρήσῃ τῷ ῥητῷ πρὸς τοὺς ἀπὸ θυμοῦ κεκραγότας, παρατιθεὶς ἅμα καὶ Παῦλον λέγοντα, πᾶσα κραυγὴ καὶ θυμὸς ἀρθήτω ἀφ' ὑμῶν. Ἐφεσ. 4. 31.

Αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα.

ΑΚΥΛΑΣ καὶ ΣΥΜΜΑΧΟΣ. Ἐβαρύνθησαν.

ΑΔΗΛΟΥ. Ὡς ἀνίσων οὐσῶν τῶν ἁμαρτιῶν, λέγεται τὸ, αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα.

** ΙΩΣΗΠΟΥ. Οἱ Σοδομῖται πλούτῳ καὶ μεγέθει χρημάτων ὑπερφρονοῦντες, εἴς τε ἀνθρώπους ἦσαν ὑβρισταὶ, καὶ πρὸς τὸ θεῖον ἀσεβεῖς, ὡς μηκέτι μεμνῆσθαι τῶν παρ' αὐτοῦ γενομένων ὠφελειῶν, εἰ-

νχίτε

ναί τε μισόξενοι, καὶ τὰς πρὸς ἀλλήλους ὁμι-
λίας ἐκτρέπεσθαι.

κα. Καταβὰς οὖν ὄψομαι, εἰ κα-
τὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομέ-
νην πρός με συντελοῦνται. εἰ δὲ μὴ,
ἵνα γνῶ.

ΑΔΗΛΟΥ. Εἰ μὲν κατὰ τὴν ἐρχομέ-
νην πρὸς Κύριον κραυγὴν εὕρῃ αὐτοὺς
πράττοντας, οὐκ οἶδεν αὐτοὺς ὁ Κύριος· εἰ
δὲ μὴ, τότε γινώσκει αὐτούς.

ΑΔΗΛΟΥ. Οὐχὶ κατῆλθεν ἰδεῖν ἃ
προεώρα ὁ ἀκοίμητος ὀφθαλμός· ἀλλὰ
βούλεται ἡμᾶς διδάξαι, ὥστε ὁρᾶν καὶ οὕτω
πιστεύειν. τὸ δὲ συντελοῦνται, ἀντὶ τοῦ συ-
νετέλεσαν τὸ ἔργον.

ΑΔΗΛΟΥ. Μήποτε δὲ ταῦτα πρὸς
Ἀβραὰμ λέγεται ὑπὸ Κυρίου ἄνω μένον-
τος, ὅτε ἐστὶν ἐν Ἀβραάμ· καταβαίνοντος
δὲ, ὅτε περὶ Σοδομιτῶν σκοπεῖ;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί βούλεται τῆς
» λέξεως ἡ συγκατάβασις; καταβὰς, φη-
σὶν, ὄψομαι. Τόπον γὰρ ἐκ τόπου με-
ταβαίνει ὁ τῶν ὅλων Θεός; οὐχὶ, μὴ γέ-
νοιτο. οὐ τοῦτο λέγει, ἀλλ' ὅπερ πολλάκις
ἔφην, τῇ παχύτητι τῆς λέξεως ἡμᾶς
παιδεῦσαι βούλεται, ὅτι δεῖ πολλῇ τῇ ἀκρι-
βείᾳ κεχρῆσθαι, καὶ μήτε ἀπὸ ἀκοῆς κα-
ταδικάζειν τοὺς ἡμαρτηκότας, μήτε ἄνευ
ἀποδείξεως τὰς ψήφους ἐκφέρειν.

κβ. Καὶ ἀποστρέψαντες ἐκεῖθεν οἱ
ἄνδρες, ἦλθον εἰς Σόδομα. Ἀβρα-
ὰμ δὲ ἦν ἔτι ἑστηκὼς ἐναντίον Κυρίου
τοῦ Θεοῦ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἀβραὰμ δὲ ἦν
» ἑστηκὼς ἔναντι Κυρίου. Ἐγκώμιον τοῦτο τοῦ
Ἀβραάμ. δηλοῦται γὰρ τὸ βέβαιον τῆς
εὐσεβείας αὐτοῦ, δι' ἣν ἐγγίσαι δεδίωκται.

κγ. Καὶ ἐγγίσας Ἀβραὰμ, εἶπε,
μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσε-
βοῦς· καὶ ἔσται ὁ δίκαιος, ὡς ὁ ἀσεβής.

ΑΔΗΛΟΥ. Δίκαιος ὢν Ἀβραὰμ, ἐνό-
μισε καὶ αὐτοὺς τοιούτους εἶναι.

** ΠΡΟΚΟΠΙΟΥ. Δίκαιος ὢν, ἄλλους
εἶναι τοιούτους ἐνόμισεν. ἕκαστος γὰρ ἐξ ὧν
ἔχει, περὶ τῶν ἄλλων τεκμαίρεται. ὧν
ἕνεκα βούλεται σωθῆναι τοὺς ἀσεβεῖς, ἀλλ'
οὐ τοὐναντίον. μονονουχὶ πυνθανόμενος, οὐ
συντηρήσουσιν ἅλες ὀλίγοι, κρέας πολύ;
οὐκ ὀλίγοι ἱμάντες κρατοῦσι μέγεθος οἰκο-
δομημάτων; εἶτα ἐν ξύλοις καὶ πλίνθοις
ἐστὶν ἰσχὺς, καὶ ἐν ἅλεσι πρὸς τὰ κρέα, ἐν δὲ
δικαίοις οὐκ ἔστιν εἰς τὸ διασώζειν ἀδίκους;

κδ. Ἐὰν ὦσι πεντήκοντα δί-
καιοι ἐν τῇ πόλει, (1) ἀπολεῖς αὐ-
τούς; οὐκ ἀνήσεις πάντα τὸν τόπον

A ἕνεκεν τῶν πεντήκοντα δικαίων, ἐὰν
ὦσιν ἐν αὐτῇ;

κε. Μηδαμῶς σὺ ποιήσῃς ὡς τὸ
ῥῆμα τοῦτο, τοῦ ἀποκτεῖναι δίκαιον
μετὰ ἀσεβοῦς· καὶ ἔσται ὁ δίκαιος, ὡς
ὁ ἀσεβής· μηδαμῶς. ὁ κρίνων πᾶσαν
τὴν γῆν, οὐ ποιήσεις κρίσιν;

ΑΔΗΛΟΥ. Ὁ πάντα ἄνθρωπον ἀπαι-
B τῶν δικαιοπραγεῖν, μὴ ποιήσῃς ἀκρίτως
τοῦτο. ἄλλοι δὲ λέγουσι τὴν καθόλου κρί-
» σιν. εἰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, Ἰωάν. 5. 22.
πρὸς τὸν υἱὸν λέγεται ὑπὸ τοῦ Ἀβραάμ.

κϛ. Εἶπε δὲ Κύριος ὁ Θεὸς, ἐὰν
ὦσι πεντήκοντα δίκαιοι ἐν Σοδόμοις
ἐν τῇ πόλει, ἀφήσω πάντα τὸν τό-
πον δι' αὐτούς.

Γ ΑΔΗΛΟΥ. Συγκαταβατικῶς περὶ τῶν
ἡμῖν ἀμφιβόλων ὁ Θεὸς διαλέγεται. ὅτι
δὲ προῄδει μὲν ταῦτα, ἀπέστειλε δὲ τοὺς
Ἀγγέλους ὡς γνωσόμενος δι' αὐτῶν τὰ κα-
τὰ Σοδομίτας, ἵν' οὕτως αὐτοὺς κρίνῃ, καὶ
πρὸς τὸν Ἀβραὰμ ὡς ἀγνοῶν περὶ τῆς
» ἀπωλείας αὐτῶν διαλέγεται, ἐὰν εὕρω ἐν
Σοδόμοις, οἱ ἄνδρες δηλοῦσιν οὐκ ἀμφιβό-
λως ἀποσταλέντες, ἀλλ' ἐπ' ἀπωλείᾳ τοῦ
τόπου.

Δ κζ. Καὶ ἀποκριθεὶς Ἀβραὰμ, εἶ-
πε· νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν
Κύριον· ἐγὼ δέ εἰμι γῆ, καὶ σποδός.

ΑΔΗΛΟΥ. Ὁ Θεὸς δίδωσι παῤῥησίαν,
καὶ ὁ δοῦλος συστέλλεται. καὶ δίκαια ἔχων,
καὶ ὑπὲρ δικαίων λέγων, κατοκνεῖ εἰπεῖν
ἐπὶ δικαίου Θεοῦ. ὅσον γάρ τις προσεγγί-
ζει Θεῷ, τὴν ἑαυτοῦ ἀσθένειαν θεωρεῖ, καὶ
τὸ εὐτελὲς τῆς φύσεως.

E » ΕΥΣΕΒΙΟΥ. Ὁρᾷς, ὅτι ὁ ταπεινῶν Λουκ. 14. 11.
» ἑαυτὸν ὑψωθήσεται; ἔχων ἐν τῇ διανοίᾳ
αὐτοῦ, ὅτι γῆ ἐστὶ καὶ σποδὸς, καὶ οὐκ ὀφεί-
λει οὔτε τὰ δίκαια μετὰ ἀδείας ἐπὶ Κύριον
φθέγξασθαι, ἐπὶ τοσοῦτον τετίμηται· ὡς
» τὸν Θεὸν αὐτὸν εἰπεῖν, μὴ κρύψω, καὶ
τὰ ἑξῆς. μικροῦ γὰρ καὶ εἰς συμβούλιον
κέκληται.

κη. Ἐὰν δὲ ἐλαττωθῶσιν οἱ πεν-
Z τήκοντα δίκαιοι εἰς τεσσαρακονταπέν-
τε, ἀπολέσεις ἕνεκεν τῶν τεσσαρα-
κονταπέντε πᾶσαν τὴν πόλιν; καὶ
εἶπεν, ἐὰν εὕρω ἐκεῖ τεσσαρακονταπέν-
κθ. τε, οὐ μὴ ἀπολέσω. Καὶ προσέθη-
κεν ἔτι λαλῆσαι πρὸς αὐτὸν, καὶ εἶ-
πεν, ἐὰν εὑρεθῶσι τεσσαράκοντα; καὶ
εἶπεν, οὐκ ἀπολέσω ἕνεκεν τῶν τεσ-
λ. σαράκοντα. Καὶ εἶπε, μήτι Κύριε
ἐὰν λαλήσω; ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ
τριάκοντα; καὶ εἶπεν, οὐκ ἀπολέσω
ἕνεκεν

(1) Τὸ ἐν τῇ πόλει. οὐ κεῖται ἐν τῷ κώδ.

λα. ἕνεκεν τῶν τριάκοντα. Καὶ εἶπεν, ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν Κύριόν μου, ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ εἴκοσι; καὶ εἶπεν, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν εἴκοσι.

A ✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει πόση τοῦ δικαίου ἡ εὐτονία, καθάπερ αὐτὸς μέλλων ὑπεύθυνος τῇ ψήφῳ γίνεσθαι, οὕτω πολλὴν τίθεται τὴν σπουδὴν ἐξαρπάσαι τῆς μελλούσης ἐπάγεσθαι τιμωρίας τὸ τῶν Σοδομιτῶν ἔθνος. Καὶ μετ' ὀλίγα. Πάντα λόγον ὑπερβαίνει, καὶ πᾶσαν ἔννοιαν ἡ τοῦ δεσπότου ἀγαθότης. τίς γὰρ ἡμῶν τῶν ἐν μέσῳ μυρίων κακῶν στρεφομένων εἵλετό ποτε κατὰ τῶν ὁμογενῶν ψῆφον ἐκφέρων, τοσαύτῃ χρήσασθαι συγκαταβάσει, καὶ φιλανθρωπίᾳ;

λβ. Καὶ εἶπε, μήτι Κύριε ἐὰν λαλήσω ἔτι ἅπαξ; ἐὰν δὲ εὑρεθῶσι δέκα; καὶ εἶπεν, οὐκ ἀπολέσω ἕνεκεν τῶν δέκα.

» ✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Μήτι Κύριε; μὴ προπετές τι ποιῶ; μὴ ἀναίσχυντόν τι ἐπιδείκνυμι; μὴ καταγνώσεως ἄξιον πρᾶγμα διαπράττομαι, ἐὰν λαλήσω ἔτι ἅπαξ; μετὰ τῆς πολλῆς ἐκείνης ἀγαθότητος ἔτι μίαν ἱκεσίαν δέξαι παρ' ἐμοῦ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Μανθάνομεν τῶν δικαίων τὴν δύναμιν. ε' γὰρ εἰ εὑρέθησαν μόνοι, χώρα καὶ πόλεις ἐσώζοντο. τοσοῦτον ἀρετὴ τῆς κακίας ὑπερισχύει. ἐν τισὶ δὲ τῶν ἀντιγράφων μέχρι τῶν δέκα τὰ τῆς μειώσεως. οὐκ ἔτι δὲ ἠλάττωσεν εἴτε τοὺς ι', εἴτε τοὺς ε', μὴ καὶ δόξῃ διὰ τὸν Λὼτ ἱκετεύειν, ἀλλ' οὐ περὶ πάντων ἀνθρώπων, ὡς εὐσεβής. ὁ μέντοι Ἱερεμίας· περιδράμετε, φησὶν, ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, καὶ Ἱερ. 5. 1.
» ἴδετε καὶ γνῶτε καὶ ζητήσατε ἐν ταῖς πλα-
» τείαις αὐτῆς ἐὰν εὕρητε, εἰ ἔστι ποιῶν κρί-
B » μα καὶ ζητῶν πίστιν, καὶ ἵλεως ἔσομαι αὐ-
» τῇ λέγει Κύριος. καὶ Ἰεζεκιὴλ φησι, καὶ Ἰεζ. 22. 30.
» ἐζήτουν ἐξ αὐτῶν ἄνδρα ἀναστρεφόμενον
» ὀρθῶς, καὶ ἑστῶτα κατὰ πρόσωπόν μου ὁλο-
» σχερῶς ἐν καιρῷ τῆς ὀργῆς, τοῦ μὴ εἰς τέ-
» λος ἐξαλεῖψαι αὐτὴν, καὶ οὐχ εὗρον.

ΑΔΗΛΟΥ. Θαυμάσειε δ' ἄν τις, τί δήποτε περὶ τοῦ συγγενοῦς οὐ πεποίηται ἀξίωσιν. δῆλον δὲ, ὡς τῷ Θεῷ πεπίστευκεν, Γ ὅτι τὸν μηδὲν προσήκοντα ταῖς Σοδομιτῶν ἀνομίαις, μηδὲ ὅλως Σοδομίτην ὄντα τὸ γένος, ἐξάξει Σοδόμων, καὶ οὐ συναπολέσει Σοδόμοις.

λγ. Ἀπῆλθε δὲ Κύριος, ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ. καὶ Ἀβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

ΑΔΗΛΟΥ. Ἀπῆλθε δὲ Κύριος. εὔ- Δ » δηλον κατὰ τὴν ἔμφασιν, οὐ τόπον ἐκ τόπου.

ΚΕΦ. ΙΘ.

α. Ἦλθον δὲ οἱ δύω Ἄγγελοι εἰς Σόδομα ἑσπέρας· Λὼτ δὲ ἐκάθητο παρὰ τὴν πύλην Σοδόμων. ἰδὼν δὲ Λὼτ, ἐξανέστη εἰς συνάντησιν αὐτοῖς· καὶ προσεκύνησεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν.

✱✱ ΚΥΡΙΛΛΟΥ. Οἱ τῶν Σοδόμων οἰκήτορες εἰς τὰς παρὰ φύσιν ἡδονὰς ἀγρίως ἐξοιστρούμενοι, καὶ ἀτιμάζοντες μὲν τὸν σεμνὸν νόμον, ὃν ἐπὶ παίδων γοναῖς ἡ φύσις ὡρίσατο, ὥραις δὲ ταῖς ἀρρένων ἐπιθηγούμενοι, καὶ τί γὰρ οὐχὶ τῶν λίαν ἐκτοπωτάτων διαπεραίνοντες, κατηρέθιζον εἰς ὀργὰς, καὶ οἱονείπως κατεβιάζοντο πρὸς τὴν ἐπ' αὐτοῖς ἰέναι δίκην, καίτοι φιλάνθρωπον ὄντα τὸν δημιουργόν. ἐπειδὴ δὲ τοῦ χρῆναι παθεῖν ἐπὶ θύραις ἦν ὁ καιρὸς, δεδαπανημένης ὥσπερ τῆς ἐπ' αὐτοῖς ἀνεξικακίας, εἰσέβαλλον ἐν Σοδόμοις οἱ τοῦτο πληρώσοντες. γέγραπται δὲ οὕ-
» τως· ἦλθον δὲ δύω Ἄγγελοι εἰς Σόδομα
» ἑσπέρας.

ΑΔΗΛΟΥ. Πρὸς μὲν Ἀβραὰμ, οἱ τρεῖς ἄνδρες, καὶ μεσημβρίας· εἰς Σόδομα δὲ, οἱ δύω Ἄγγελοι ἑσπέρας. τὰ γὰρ καλὰ φωτὶ ἔοικε· τὰ δὲ κακὰ, ἑσπέρᾳ, δύοντος αὐτοῖς τοῦ τῆς δικαιοσύνης ἡλίου. νὺξ γὰρ ἐστι καὶ σκότος ἡ τιμωρία τῶν ἀσεβῶν.
» οἱ δὲ δίκαιοι ὁμοίως φωτὶ λάμπουσι. σημειωτέον δὲ, ὅτι ἔνθα μὲν ἦν ἀγαθῶν μήνυσις, ὁ δεσπότης παρῆν· ἐπὶ τὴν τιμωρίαν δὲ, οὐκ αὐτὸς παραγίνεται· δεικνὺς, ὅτι τὸ μὲν εὖ πάσχειν τοὺς ἀνθρώπους, καθ' ἡδονὴν αὐτῷ γίνεται, ὥστε καὶ αὐτουργεῖν ἐν τοῖς τοιούτοις τρόπον τινὰ αἱρεῖσθαι· τὰς τιμωρίας δὲ, οὐκ ἐθέλων μὲν, διὰ δὲ τὴν χρείαν ἐπάγων, τοῖς Ἀγγέλοις ὑπηρέταις χρῆται. Παροιμ. 4. 18.

E ΑΔΗΛΟΥ. Οὐχ ἦν ἔνδον Σοδόμων ὁ Λὼτ, ἀλλὰ παρὰ τὴν πύλην, ὥσπερ καὶ ὁ Ἀβραὰμ ἐπὶ τῆς θύρας τῆς σκηνῆς, διὰ φιλοξενίαν.

Z ✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ τίνος ἕνεκεν τὸν καιρὸν ἐδήλωσε; καὶ διατί κατὰ τὴν ἑσπέραν παρεγένοντο; Ἵνα τὴν πολλὴν ἡμῖν ἐπίτασιν δείξῃ τῆς τοῦ Λὼτ φιλοξενίας. καθάπερ γὰρ ὁ πατριάρχης κατὰ τὸν τῆς μεσημβρίας καιρὸν καθήμενος, ἐπετήρει τοὺς παριόντας, καὶ ἔργον ἐποιεῖτο τὴν τούτων θήραν, καὶ ἐπέτρεχε· καὶ μετὰ περιχαρείας τοὺς ὁδίτας ὑπεδέχετο· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος, ἐπειδὴ ᾔδει τῆς κακίας τῶν ἐν H

Σοδόμοις οἰκούντων τὴν πονηρίαν, οὐδὲ τὸν τῆς ἑσπέρας καιρὸν παρεπέμπετο, ἀλλὰ μέχρι τούτου παρέμενε, μήπου θησαυρός τις αὐτῷ παρεμπέσῃ, καὶ τὸν ἀπὸ τῆς φιλοξενίας καρπὸν δρέψασθαι δυνηθῇ.

β. Καὶ εἶπεν, ἰδοὺ κύριοι ἐκκλίνατε πρός με εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν, καὶ καταλύσατε, καὶ νίψασθε τοὺς πόδας ὑμῶν, καὶ ὀρθρίσαντες ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν. καὶ εἶπον, οὐχὶ, ἀλλ᾽ ἐν τῇ πλατείᾳ καταλύσομεν.

** ΚΥΡΙΛΛΟΥ. Οἱ δέ φασιν, οὐχὶ, ἀλλ᾽ ἐν τῇ πλατείᾳ καταλύσομεν. Τὸ μὲν εἶναι ξένοι καὶ ἀνέστιοι διὰ τούτου κατασημαίνοντες, κατερεθίζοντες δὲ, οἶμαί που, πρὸς εὐτονωτέραν σπουδὴν τὸν φιλοξενεῖν ᾑρημένον, μονονουχὶ δὲ καὶ ἀστείως ὑποσημαίνοντες, ὡς οὐκ ἂν αὐτοὺς μεθεῖτο πρεπόντως ἐρήμους ὄντας ἑστίας, καὶ ἐν αὐταῖς τριόδοις ἐξερριμμένους. ὃ δὴ καὶ συνεὶς ὁ δίκαιος, μειζόνως κατεβιάζετο, καὶ οὐχ ἁρπαγμὸν τὴν παραίτησιν, ὡς ἐξ ἀδρανοῦς καὶ ὑδαρεστέρας ἐποιεῖτο φρενός.

γ. Καὶ κατεβιάζετο αὐτοὺς, καὶ ἐξέκλιναν πρὸς αὐτὸν, καὶ εἰσῆλθον εἰς τὸν οἶκον αὐτοῦ· καὶ ἐποίησεν αὐτοῖς πότον, καὶ ἀζύμους ἔπεψεν αὐτοῖς· καὶ ἔφαγον πρὸ τοῦ κοιμηθῆναι.

ΑΔΗΛΟΥ. Ἐπεὶ μὴ τοιοῦτος ἦν, οἷος ὁ Ἀβραὰμ, διὰ τοῦτο βίας αὐτοὶ χρῄζουσιν. ἡ μέντοι βία τοῦ φιλοξένου πείθει ξενίζεσθαι παρ᾽ αὐτῷ Ἀγγέλους.

** ΠΡΟΚΟΠΙΟΥ. Τῷ μὲν Ἀβραὰμ εὐχερῶς ἐπείσθησαν, τῷ δὲ Λὼτ μετὰ βίας, δεικνῦντες αὐτοῦ τὸ σπουδαῖον, οὐχ ὅτι τοῦ Ἀβραὰμ σπουδαιότερος· ἀλλὰ δεικνῦντες τῶν Σοδομιτῶν τὴν ἀσέβειαν. οἳ πρὸς τῷ μὴ δέξασθαι, καὶ τὸν περὶ τῆς ὕβρεως ἐκείνου φόβον, δι᾽ ὃν ἐβιάζετο μάλιστα, πρὸς ἔργον ἄγειν ἐσπούδασαν. ἅμα δὲ καὶ ὡς ἀνέστιοι πρὸς ἐπίτασιν αὐτὸν τῆς φιλοξενίας ἐπήγοντο.

δ. Καὶ οἱ ἄνδρες τῆς πόλεως οἱ Σοδομῖται περιεκύκλωσαν τὴν οἰκίαν, ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, ἅπας ὁ λαὸς ἅμα.

ΑΔΗΛΟΥ. Βαβαὶ τῆς ἐσχάτης κακίας. οὐδὲ πρεσβύτης ἐν αὐτοῖς ἐσωφρόνει. ἢ δέ φησιν Ἰώσηπος (1) θαυμαστὸν εἶχον εἶδος οἱ Ἄγγελοι.

ε. Καὶ ἐξεκαλοῦντο τὸν Λὼτ, καὶ ἔλεγον πρὸς αὐτὸν, ποῦ εἰσιν οἱ ἄνδρες οἱ ἐλθόντες πρὸς σὲ τὴν νύκτα; ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς, ἵνα συγγενώμεθα αὐτοῖς.

ΑΔΗΛΟΥ. Ἵνα συγγενώμεθα αὐτοῖς· ὅ ἐστιν αἰσχρῶς διαχρησώμεθα.

ΑΔΗΛΟΥ. Ἡ τοῦ ἀδικεῖν ἀνθρώπους συνήθεια προήγαγε Σοδομίτας εἰς τὴν κατὰ Ἀγγέλων ὕβριν· οὕτως Ἰουδαίους ἡ κατὰ Προφητῶν ἀσέβεια προήγαγεν εἰς τὴν κατὰ Χριστὸν σφαγήν. βλαβερὸν οὖν ἡ πονηρὰ συνήθεια καὶ ὀλέθριον, εἰ καὶ μὴ εὐθύς.

ϛ. Ἐξῆλθε δὲ Λὼτ πρὸς τὸ πρόθυρον, τὴν δὲ θύραν προσέωξεν ὀπίσω αὐτοῦ. ζ. Εἶπε δὲ αὐτοῖς, μηδαμῶς ἀδελφοὶ, μὴ πονηρεύσησθε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς δέδοικεν ὁ δίκαιος καὶ τρέμει ὑπὲρ τῆς τῶν ξένων ἀσφαλείας. οὐδὲ γὰρ ἁπλῶς τὴν θύραν προσέωξεν ὀπίσω αὐτοῦ, ἀλλ᾽ εἰδὼς αὐτῶν τὴν μανίαν καὶ τὸ τολμηρὸν, καὶ ὑφορώμενος αὐτῶν τὴν προπέτειαν, εἶτά φησι πρὸς αὐτοὺς, μηδαμῶς ἀδελφοί. ὢ τῆς τοῦ δικαίου μακροθυμίας, ὢ ταπεινοφροσύνης ὑπερβολή. τοῦτο ἀληθῶς ἀρετὴ, τὸ μετ᾽ ἐπιεικείας τοῖς τοιούτοις προσφέρεσθαι. οὐδεὶς γὰρ τὸν νοσοῦντα θεραπεῦσαι βουλόμενος, καὶ τὸν μαινόμενον σωφρονίσαι, μετὰ θυμοῦ καὶ αὐστηρίας τοῦτο ποιεῖ. σκόπει γὰρ πῶς τοὺς τὰ τοιαῦτα παρανομεῖν βουλομένους, ἀδελφοὺς καλεῖ, ἐκτρέψαι αὐτοὺς βουλόμενος, καὶ καθικέσθαι αὐτῶν τῆς συνειδήσεως, καὶ ἀποστῆσαι αὐτοὺς τῆς ἐπιχειρήσεως τῆς μιαρᾶς. μηδαμῶς, φησὶν, ἀδελφοὶ, μὴ πονηρεύσησθε· μηδὲν φησι τοιοῦτον λογίσησθε, μὴ τὴν πονηρὰν ταύτην πρᾶξιν ἐννοήσητε, μηδὲ τὴν φύσιν αὐτὴν παραδειγματίσητε, μηδὲ ἀθέσμους ἐπινοήσητε μίξεις.

η. Εἰσὶ δέ μοι θυγατέρες, αἳ οὐκ ἔγνωσαν ἄνδρας· ἐξάξω αὐτὰς πρὸς ὑμᾶς, καὶ χρᾶσθαι αὐταῖς, καθὰ ἂν ἀρέσκῃ ὑμῖν. μόνον εἰς τοὺς ἄνδρας τούτους μὴ ποιήσητε μηθὲν ἄδικον, οὗ εἵνεκεν εἰσῆλθον εἰς τὴν στέγην τῶν δοκῶν μου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πόση τοῦ δικαίου ἡ ἀρετή. πᾶσαν ἀρετὴν φιλοξενίας ἐνίκησε. τί γὰρ ἄν τις εἴποι κατ᾽ ἀξίαν τῆς τοῦ δικαίου τούτου φιλοφροσύνης, ὃς οὐδὲ τῶν θυγατέρων φείσασθαι ὑπέσχετο, ἵνα τὴν εἰς τοὺς ξένους τιμὴν ἐπιδείξηται, καὶ ἐλευθερώσῃ τῆς παρανομίας τῶν Σοδομιτῶν;

θ. Εἶπον δὲ, ἀπόστα ἐκεῖ· εἰσῆλθες παροικεῖν, μὴ καὶ κρίσιν κρίνειν; νῦν οὖν σε κακώσομεν μᾶλλον ἢ ἐκείνους. καὶ

(1) Οἱ δὲ Σοδομῖται θεασάμενοι τοὺς νεανίσκους εὐπρεπείᾳ τῆς ὄψεως διαφέροντας, καὶ παρὰ Λώτῳ καταχθέντας, ἐπὶ βίαν καὶ ὕβριν αὐτῶν τῆς ὥρας ἐτράπησαν. ἐν βιβλ. 1. κεφ. 12.

A καὶ παρεβιάζοντο τὸν Λὼτ σφόδρα· καὶ ἤγγισαν συντρίψαι τὴν θύραν.

ΑΔΗΛΟΥ. Ἦρται ἡ τῆς κακίας ὑπερβολὴ τῶν Σοδομιτῶν, ἡ καὶ δεικνῦσα τὴν κατ' αὐτῶν κρίσιν δικαίως γενομένην. καὶ γὰρ τοῦτο ἦν τὸ λεγόμενον ὑπὸ τοῦ Θεοῦ· » καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυ» γὴν αὐτῶν συντελοῦνται· εἰ δὲ μὴ, ἵνα γνῶ. ἐξουσίας γὰρ δοκιμαστικὸν ἦν τὸ ῥῆμα, οὐκ ἀγνοίας τῆς τοῦ λέγοντος μηνυτικόν. ἀλλ' B ἔδει γὰρ αὐτοὺς ἐξελεγχθῆναι πρὸς ἔσχατον ἥκοντας κακίας, εἶθ' οὕτω τὰ ἔσχατα παθεῖν. ἐπαίρονται δὲ κατὰ τοῦ Λὼτ ὑπερηφάνως.

** ΚΥΡΙΛΛΟΥ. Λὼτ μὲν γὰρ ἅτε δὴ καὶ ἐξ αἵματος ὑπάρχων Ἀβραὰμ, καὶ τοῖς τῆς ὀρθότητος νόμοις ἐντεθραμμένος, εὐσεβείας τε τῆς εἰς Θεὸν οὐκ ἐν βραχεῖ λόγῳ πεφροντικὼς, παρῴκει τὰ Σόδομα. ἦν δὲ ἐπ' αὐτοῖς ἔπηλυς καὶ ξένος καὶ γέ- Γ
2. Κορ. 6. 14. νει καὶ τρόπῳ. τίς γὰρ κοινωνία φωτὶ » πρὸς σκότος; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπί» στου, κατὰ τὸ γεγραμμένον;

ι. Ἐκτείναντες δὲ οἱ ἄνδρες τὰς χεῖρας εἰσεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς, καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν.

ια. Τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ Δ τῆς θύρας τοῦ οἴκου ἐπάταξαν ἀορασίᾳ ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου. καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν.

ΩΡΙΓΕΝΟΥΣ. Ἐπ' ἀγαθῷ πατάσσονται ἀορασίᾳ οἱ κακῶς τῇ ὁράσει χρησάμενοι.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ τὸ τῆς διανοίας αὐτῶν ὄμμα πεπήρωται, διὰ τοῦ- E το καὶ τῆς ὁράσεως τὴν τύφλωσιν ὑπομένουσιν· ἵνα μάθωσιν, ὡς οὐδὲν αὐτοῖς ὄφελος τῶν σωματικῶν ὀφθαλμῶν, τῶν τῆς διανοίας ὀμμάτων πεπηρωμένων. καὶ ἐπειδὴ σύμφωνον τὴν κακίαν ἐπεδείκνυντο, καὶ οὔτε οἱ νέοι, οὔτε οἱ πρεσβῦται ἀπείχοντο τῆς πονηρᾶς ἐπιχειρήσεως, διὰ τοῦτο πάντες, φησὶν, ἀπετυφλώθησαν. καὶ οὐ μόνον τὴν πήρωσιν ἐδέχοντο, ἀλλὰ καὶ Z τὰ τῆς ἰσχύος τοῦ σώματος αὐτοῖς διελύετο. ἐπειδὴ γὰρ τὸ κυριώτερον μέρος, τὴν ψυχὴν ἦσαν διαλελυμένοι, διὰ τοῦτο καὶ τοῦ σώματος τὴν ἰσχὺν παρελύθησαν. καὶ οἱ πρότερον συντρίψαι τὴν θύραν ἐπιχειροῦν- A τες, καὶ μετὰ πολλῆς ἀπειλῆς τῷ δικαίῳ προσδιαλεγόμενοι, ἀθρόον εἰστήκησαν παραλελυμένοι, καὶ πρὸ τῶν ὀφθαλμῶν κειμένην τὴν θύραν οὐχ ὁρῶντες.

ιβ. Εἶπαν δὲ οἱ ἄνδρες πρὸς Λὼτ, ἔστι τίς σοι ὧδε, γαμβροὶ, ἢ υἱοὶ, ἢ θυγατέρες; ἢ εἴ τις σοι ἄλλος ἐστὶν ἐν τῇ πόλει, ἐξάγαγε αὐτοὺς ἐκ τοῦ τόπου τούτου. B

** ΩΡΙΓΕΝΟΥΣ. Οἱ ἐν Σοδόμοις καὶ Γομόῤῥοις ἦσαν καταδεδικασμένοι, ὡς δῆλον ἐκ τῶν λόγων τοῦ Θεοῦ τῶν πρὸς τὸν Ἀβραάμ· ἀλλ' ὅμως τὰ αὐτῶν πεποιήκασιν οἱ Ἄγγελοι, θέλοντες σώζεσθαι τοὺς μὴ θέλοντας σώζεσθαι, λέγοντες τῷ Λώτ· » εἰσί τινες ὧδε γαμβροὶ, ἢ υἱοὶ, ἢ θυγατέρες; οὐκ ἀγνοοῦντες, ὅτι οὐχ ἕπονται ἐκεῖνοι, ἀλλὰ ποιοῦντες τὰ τῆς τοῦ πέμψαντος Γ αὐτοὺς χρηστότητος καὶ φιλανθρωπίας.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐ πρότερον εἰρήκασιν, εἰ μὴ ἔδειξε τὴν περὶ αὐτῶν ἐν φιλοξενίᾳ προαίρεσιν, δι' ὧν ἐλάλησε τοῖς Σοδομίταις ὑπὲρ αὐτῶν. μισθὸν δὲ τούτου καὶ τοὺς ἰδίους ἐδέξατο, ἴσως καὶ αὐτοὺς ἀξίους ἐκ τῆς κατ' ἀρετὴν συγγενείας ὑπάρχοντας.

ιγ. Ὅτι ἀπόλλυμεν ἡμεῖς τὸν τόΔ πον τοῦτον· ὅτι ὑψώθη ἡ κραυγὴ αὐτῶν ἔναντι Κυρίου, καὶ ἀπέστειλεν ἡμᾶς Κύριος ἐκτρίψαι αὐτήν.

** ΠΡΟΚΟΠΙΟΥ. » Ἀπόλλυμεν γὰρ » ἡμεῖς τὸν τόπον τοῦτον, ὡς ὑπουργοὶ, τοῦ Θεοῦ προηγουμένως τοῦτο ποιοῦντος.

ΑΔΗΛΟΥ. » Πῶς ἀπόλλυμεν ἡμεῖς τὸν » τόπον τοῦτον πληροῦται, ὡς τῶν δύο Ἀγγέλων ἀπολλυόντων. μετ' ὀλίγα γὰρ ἐπι- E » φέρεται, καὶ εἶπεν αὐτῷ ἰδοὺ ἐθαύμασά σου » τὸ πρόσωπον, καὶ ἐπὶ τῷ ῥήματι τούτῳ » τοῦ μὴ καταστρέψαι τὴν πόλιν, περὶ ἧς » ἐλάλησας. σπεῦσον οὖν τοῦ σωθῆναι ἐκεῖ. » οὐ γὰρ δυνήσομαι ποιῆσαι πρᾶγμα, ἕως » τοῦ σε ἐλθεῖν ἐκεῖ. καὶ μετ' ὀλίγα. καὶ Κύ» ριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμοῤῥα θεῖον, » πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ.

ΑΔΗΛΟΥ. Μετὰ τῶν ἀπολλυόντων οὐκ ἦλθεν εἰς Σόδομα Κύριος. καὶ ζητήσεις Z ποταποὶ οὗτοι οἱ Ἄγγελοι διὰ τὸ, ἐξαπέ- Ψαλ. 77. 49.
» στειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν » καὶ ὀργὴν καὶ θλίψιν, ἀποστολὴν δι' Ἀγγέλων πονηρῶν. (1) πλὴν καὶ οὗτοί φασιν, ἀπέστειλεν ὑμᾶς Κύριος.

ιδ. Ἐξῆλ-

(1) Πονηροὺς δὲ αὐτοὺς εἶπεν, ὡς ἐκείνοις πονηροὺς τοῖς δι' αὐτῶν ἀναιρουμένοις. τὸ γὰρ πονηρὸν οὐδαμοῦ ἀπὸ τῆς φύσεως λέγει, (ἐπειδὴ μηδὲ οἶδέ τι ἀπὸ φύσεως πονηρὸν ἡ θεία Γραφή.) ἐνίοτε δὲ οὐδὲ ἀπὸ γνώμης, ἀλλ' ἀπὸ τοῦ πράγματος· ὡς ὅταν λέγῃ ἐν ἡμέρᾳ πονηρᾷ, πονηρὰν λέγων ἡμέραν τῶν θλιβομένων. Σύμμαχος δὲ τὸ, δι' Ἀγγέλων πονηρῶν, Ἀγγέλων εἶπε κακούντων, σαφέστερον αὐτὸ εἰπών. Θεόδωρος. ἐν τῇ τῶν ψαλ. σειρᾷ· Οὐ τὴν φύσιν, πονηρῶν δὲ τὸν σκοπόν. οὐδὲ γὰρ τοιούτοις Ἀγγέλοις ὁ Θεὸς εἰς διακονίαν κέχρηται· ἀλλὰ πονηροὺς προσηγόρευσεν, ἐπειδὴ πόνους καὶ κακώσεις κελευσθέντες, ἐπέφερον· ὡς καὶ πονηρὰν τὴν ἡμέραν τῆς κρίσεως, ὡς ἀναγκῶν καὶ πόνων τοῖς ἁμαρτωλοῖς γέμουσαν, αὐτὸς οὗτος ὁ ψαλμῳδὸς ὀνομάζει. Φησὶ γὰρ οὕτω, μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. Ἡσύχιος. αὐτ.

ιδ. Ἐξῆλθε δὲ Λὼτ, καὶ ἐλάλησε πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ, καὶ εἶπεν, ἀνάστητε, καὶ ἐξέλθετε ἐκ τοῦ τόπου τούτου. ὅτι ἐκτρίβει Κύριος τὴν πόλιν. ἔδοξε δὲ γελοιάζειν ἐναντίον τῶν γαμβρῶν αὐτοῦ.

ΑΔΗΛΟΥ. Ἀνωτέρω παρθένους αὐτὰς καλεῖ. καὶ γὰρ τοὺς μνηστῆρας, ἄνδρας καὶ γαμβροὺς λέγει, καθάπερ ἡ καινὴ τὸν Ἰωσήφ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ μὴν ἄνω ἔλεγε τοῖς παρανόμοις ἐκείνοις, ἔτι ἰδοὺ δύο θυγατέρας ἔχω, αἵτινες οὐκ ἔγνωσαν ἄνδρας· πῶς οὖν ἐνταῦθά φησι, πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ; Μὴ νομίσῃς ἐναντία εἶναι ταῦτα τοῖς πρότερον παρὰ τοῦ δικαίου ῥηθεῖσιν. ἔθος γὰρ τοῦτο ἦν τοῖς παλαιοῖς πρὸ πολλοῦ τοῦ χρόνου τὰς μνηστείας ποιεῖσθαι, καὶ πολλάκις καὶ συνοικεῖν ταῖς μνηστευθείσαις, καὶ ἅμα τοῖς γονεῦσι διατρίβειν. ὃ καὶ νῦν ἔστιν ἰδεῖν πολλαχοῦ γενόμενον. ἐπεὶ οὖν ἤδη τὰ τῆς μνηστείας ἐγεγόνει, διὰ τοῦτο καὶ γαμβροὺς αὐτοὺς ὀνομάζει, καί φησι, τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ. τῇ γνώμῃ γὰρ καὶ τῇ συγκαταθέσει εἰληφότες ἦσαν.

ιε. Ἡνίκα δὲ ὄρθρος ἐγίνετο, καὶ ἐπεσπούδαζον οἱ Ἄγγελοι τὸν Λὼτ, λέγοντες, ἀναστὰς λάβε τὴν γυναῖκά σου, καὶ τὰς δύο θυγατέρας, ἃς ἔχεις, καὶ ἔξελθε, ἵνα μὴ συναπόλλῃ ταῖς ἀνομίαις τῆς πόλεως.

ΑΔΗΛΟΥ. Ὥσπερ τῷ Ἀδὰμ δέδοται ἡ ἐντολὴ, οὕτω καὶ τῷ Λώτ. αὐτὸν δὲ εἰκὸς δοῦναι ταῖς γυναιξίν. ἡ παραβᾶσα οὖν ἐγένετο στήλη ἁλός.

ις. Καὶ ἐταράχθησαν. καὶ ἐκράτησαν οἱ Ἄγγελοι τῆς χειρὸς αὐτοῦ, καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ, καὶ τῶν χειρῶν τῶν θυγατέρων αὐτοῦ, ἐν τῷ φείσασθαι Κύριον τὸν Θεὸν αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐκ ἔτι λοιπὸν ὡς περὶ ἀνδρῶν διαλέγεται ἡ Γραφή. ἀλλ' ἐπειδὴ μέλλουσιν ἐπάγειν τὴν τιμωρίαν, Ἀγγέλους αὐτοὺς ὀνομάζει, καί φησιν· ἐκράτησαν τῆς χειρὸς αὐτοῦ, καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ, καὶ τῶν χειρῶν τῶν θυγατέρων αὐτοῦ ἐν τῷ φείσασθαι αὐτοῦ Κύριον. παρεθάρρυναν αὐτοὺς διὰ τῆς ἀφῆς τῆς χειρὸς, καὶ ἐνεύρωσαν αὐτῶν τὴν προθυμίαν· ἵνα μὴ ὁ φόβος διαχύσῃ αὐτῶν τὴν ἰσχύν.

ΚΥΡΙΛΛΟΥ. Ἥκειν γὰρ καὶ εἰς τοῦτο λοιπὸν ἡμερότητος τῆς εἰς ἡμᾶς τὸν τῶν

A ὅλων σωτῆρα καὶ Θεὸν, καὶ ὡς ἐνεργὸν ποιεῖσθαι τὴν ἐπικουρίαν, κατά γε τὸ, ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ τὰ ἑξῆς. (Ψαλ. 72. 23.) Καὶ μετ' ὀλίγα. Ἴδοις δ' ἂν ἀληθὲς κἀκεῖνο ὑπάρχειν, ὡς ὀλίγοι μὲν κομιδῇ τῆς δικαιοσύνης οἱ ἐπιμεληταὶ, καὶ πολλὴ κατὰ τὸν βίον ἡ σπάνις ἀνδρῶν ἀγαθῶν. ἄνδρα γάρ φησι πιστὸν, ἔργον εὑρεῖν, κατὰ τὸ γεγραμμένον. (Παροιμ. 20.6.) πλὴν ἀπόλεκτος ὁ τοιοῦτος, καὶ φροντίδος τῆς ἄνωθεν οὐ παB ρέργως ἠξιωμένος. εἰ γὰρ καὶ ἐστὶ κατὰ τὸν κόσμον ἀναμὶξ τοῖς ἄλλοις, ἀλλ' οὐδὲν ἐντεῦθεν ὑπομένων τὸ βλάβος, ὡς κρίνον ἐξ ἀκανθῶν ἁρπάζεται, καὶ οὐκ ἂν ἀπόλλοιτο δίκαιος μετὰ ἀσεβῶν, κατὰ τὰς τῶν ἁγίων φωνάς.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐδὲν ὤνησε τὴν γυναῖκα Λὼτ τὸ κεκρατῆσθαι ὑπὸ τῶν Ἀγγέλων, καὶ ἐξελθεῖν (1) ἐκ Σοδόμων· ὅτι Γ ἐστράφη εἰς τὰ ὀπίσω.

ιζ. Καὶ ἐγένετο ἡνίκα ἐξήγαγον αὐτοὺς ἔξω, καὶ εἶπαν, σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν.

** ΚΥΡΙΛΛΟΥ. Ἐν τῷ σῶζε τὴν σεαυτοῦ ψυχὴν, φημὶ δὴ λέγεσθαι σαφῶς τὸ, σεαυτὸν ἁγνὸν τήρει· καὶ μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις, (1. Τιμ. 5. 22.) καὶ ἀμείνων ἔσο Δ τῶν ἐν κόσμῳ παραποδισμάτων. ψυχῆς γὰρ ἀντάλλαγμα, τὸ σύμπαν οὐδέν. τί γὰρ (Ματθ. 16.26.) ὠφεληθήσεται ἄνθρωπος ὅταν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;

ΑΔΗΛΟΥ. Σημείωσον, ὅτι ἐὰν ὑπερβάλλῃ τὸ πλῆθος τῶν πονηρῶν, οὐ σώζονται διὰ τοὺς δικαίους αἱ πόλεις, ἀλλ' οἱ δίκαιοι χωρίζονται.

E Μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω, μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ· εἰς τὸ ὄρος σώζου, μήποτε συμπαραληφθῇς.

ΦΙΛΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ. Θεοῦ, φησὶ, κολάζοντος, ὡς ἄνθρωποι μὴ κατανοῆτε. ὅτι μὲν γὰρ τιμωροῦνται, ἐχρῆν γνῶναι· τὸ δὲ περιεργάζεσθαι πῶς, προπετείας καὶ θράσους ἐστὶν, οὐκ εὐλαβείας. καὶ ἄλλως. Z μὴ ταῖς εἰς φαυλότητα μεταστροφαῖς, φησὶ, τὰ ἴσα φρονεῖν ἔλοιο.

ΚΥΡΙΛΛΟΥ. Τὸ δὲ δὴ χρῆναι λέγειν ἀμεταστρεπτὶ ποιεῖσθαι τὴν βάδισιν σημαίνει που τάχα τὸ μὴ ταῖς εἰς φαυλότητα μεταστροφαῖς τὰ ἴσα φρονεῖν ἑλέσθαι πάλιν τοῖς ὑπὸ δίκην τὴν πυρὸς ἐξ ἀκρασίας ἐνηνεγμένοις. ἔχεσθαι δὲ δεῖν τῆς εἰς σωτηρίαν ὁδοῦ, μὴ τῇδε κἀκεῖσε περισπωμέH νους, καὶ φαντασίαις ἐώλοις κοσμικῶν ἐπιθυμιῶν ἐλαφρὸν καὶ εὐδιαρρίπιστον νοῦν, ἀλλ' ἐντελῆ τε καὶ ἄυπνον, καὶ εἰς εὐθὺ βλέπειν

(1) Εἰ καὶ ἐξῆλθεν. ὁ τῆς Αὐγ. κώδ.

βλέπειν ἀεὶ μεμελετηκότα, τηροῦντας ἐν ἑαυτοῖς.-(1)

* ΤΟΥ ΑΥΤΟΥ. Μὴ στῆς ἐν πάσῃ τῇ περιχώρῳ, τουτέστιν ἐν μηδενὶ τρόπῳ φαυλότητος διαμενεῖς. ἄνιθι δὲ μᾶλλον, οἱάπερ εἰς ὄρος, εἰς ἐξῃρημένην καὶ περίοπτον ζωὴν, οὐδὲν ἔχουσαν χαμαιῤῥιφὲς, ἀλλ' ἐν ὑψηλῇ τε καὶ ἐπῃρμένῃ διαπρέπουσαν ἀρετῇ, καὶ ἀπηλλαγμένη φρονήματος τοῦ χθαμαλωτάτου, τουτέστι τοῦ ἐπιγείου καὶ σαρκικοῦ.

ΤΟΥ ΑΥΤΟΥ. Ὄρος οὖν ἄρα τὸ νοητὸν ἡ ἐν ἁγιασμῷ ζωὴ, καὶ τῆς ἐξαιρέτου πολιτείας τὸ ὑπερτενὲς, νοουμένης που κάτω τῆς ἐν ἁμαρτίαις, καὶ τῆς ἐπιγείοις ἐντετηγμένης ζωῆς.

** ΩΡΙΓΕΝΟΥΣ. Καὶ τοῦτο δὲ ἔχει διάνοιαν ἀξίαν ἀγγελικοῦ πνεύματος. μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω, ἀεὶ τοῖς ἔμπροσθεν ἐπεκτείνου. καταλέλοιπας Σόδομα, μὴ στρέφου εἰς Σόδομα. καταλέλοιπας τὴν κακίαν καὶ τὴν ἁμαρτίαν, μὴ ἐπιστραφῇς πρὸς αὐτὴν, μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ. καὶ τηρήσεις τὴν προτέραν ἐντολὴν τὴν λέγουσαν, μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω. οὐκ ἀρκεῖ σοι πρὸς τὸ σωθῆναι, ἐὰν μὴ καὶ τῆς δευτέρας ἐντολῆς ἀκούσῃς, λεγούσης· μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ· οὐ γὰρ δεῖ ἀρξάμενον προκόπτειν ἑστάναι ἐν τῇ περιχώρῳ Σοδόμων, εἰ καὶ Σόδομα διαβέβηκεν, ἀλλὰ διαβάντα ἀπὸ τοῦ ἑστάναι ἐν τῇ περιχώρῳ, σώζεσθαι εἰς τὸ ὄρος, κατὰ τὸ, μὴ περιβλέψῃς εἰς τὰ ὀπίσω, μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ· εἰς τὸ ὄρος σώζου, μήποτε συμπαραληφθῇς. εἰ βούλει μὴ συμπαραληφθῆναι Σοδομίταις, μήποτε εἰς τὰ ὀπίσω στραφῇς, μήτε στῇς ἐν τῇ περιχώρῳ Σοδόμων, μηδὲ ἀλλαχοῦ γένῃ, ἢ εἰς τὸ ὄρος. ἐκεῖ γάρ ἐστι μόνον σωθῆναι. ἔστι δὲ τὸ ὄρος Κύριος Ἰησοῦς.

ιη. Εἶπε δὲ Λὼτ πρὸς αὐτοὺς, δέομαι Κύριε.

ΑΔΗΛΟΥ. Πῶς πρὸς τοὺς δύω εἴρηται, δέομαι Κύριε; μάλιστα εἰ μὴ ὁ Κύριος ἦν σὺν αὐτοῖς, ἀλλὰ εἷς τῶν παρὰ Ἀβραὰμ τριῶν ὢν, οὐ συνῆλθε τοῖς δυσίν· ὅπερ δῆλόν ἐστι καὶ ἐκ τοῦ, ἀπέστειλεν ἡμᾶς Κύριος συντρίψαι αὐτήν. Ταυτὸν πάλιν καὶ ἐπὶ τῆς δυάδος, ὅπερ ἐπὶ τῆς Τριάδος. πρὸς ἕνα γὰρ διαλέγεται, καὶ εἷς αὐτῷ ἀποκρίνεται· ὅτι καὶ τῆς μηνυομένης διὰ τῶν Ἀγγέλων δυάδος ἑκάτερόν ἐστιν ἐν ἑκατέρῳ κατὰ τὴν ἰσότητα τῆς δυνάμεως, ἐν τῷ λόγῳ τὸ πνεῦμα, καὶ ὁ λόγος ἐν τῷ πνεύματι.

ΚΥΡΙΛΛΟΥ. Ἔοικεν οὖν μετὰ τὴν ἀπὸ Σοδόμων ἔξοδον μηκέτι τοῖς Ἀγγέλοις, ἀλλὰ τῷ Κυρίῳ διαλέγεσθαι. ὅταν γάρ τις ἐξέλθῃ τὴν περίχωρον τῆς κακίας, εὑρήσει τὸν Θεὸν συνομιλοῦντα αὐτῷ, καὶ παῤῥησίαν ἄγει αὐτοῦ περὶ ὧν βούλεται.

ιθ. Ἐπειδὴ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου, καὶ ἐμεγάλυνας τὴν δικαιοσύνην σου, ὃ ποιεῖς ἐπ' ἐμὲ τοῦ ζῆν τὴν ψυχήν μου. ἐγὼ δὲ οὐ δυνήσομαι διασωθῆναι εἰς τὸ ὄρος· μὴ καταλάβῃ με τὰ κακὰ, καὶ ἀποθάνω. κ. Ἰδοὺ ἡ πόλις αὕτη ἐγγὺς τοῦ καταφυγεῖν με ἐκεῖ, ἥ ἐστι μικρά· καὶ ἐκεῖ διασωθήσομαι. οὐ μικρά ἐστι; καὶ ζήσεται ἡ ψυχή μου ἕνεκεν σοῦ.

** ΚΥΡΙΛΛΟΥ. Ἐν ταῖς τῶν ἠθῶν καὶ τρόπων ἐπανορθώσεσιν, οὐκ ἂν εἴη τῶν ἐνδεχομένων εὐθὺς ἀναθρώσκειν δύνασθαί τινας ἐπὶ τὸ ἀμωμήτως ἔχον, ἤγουν εἰς ὑπερφυᾶ καὶ ὑπέρλοφον πολιτείαν. προσήκοι δ' ἂν οἶμαι κατὰ βραχὺ πρὸς τὴν ἀρτίως ἔχουσαν ἕξιν, ἐκ μικρῶν καὶ συμμέτρων ἀρξάμενος, καὶ μονονουχὶ προειστρέχων καθάπερ εἰς πόλιν μικρὰν, καὶ ὄρους ὑψηλοῦ γείτονα, τὴν τῆς ἐξαιρέτου καὶ ἀνῳκισμένης ζωῆς ὑποκαθημένην τε καὶ ἐν μείοσι πολιτείαν. ταύτῃ τοι καὶ ὁ δίκαιος Λὼτ, τύπος ἂν εἴη τῶν τῇδε διακειμένων, οὐκ εἰς τὸ ὄρος εὐθὺς, ἀλλ' ἐν πόλει Σηγὼρ τῇ μικρᾷ καταλύσειν ἀξιῶν.

κα. Καὶ εἶπεν αὐτῷ, ἰδοὺ ἐθαύμασά σου τὸ πρόσωπον, καὶ ἐπὶ τῷ ῥήματι τούτῳ, τοῦ μὴ καταστρέψαι τὴν πόλιν, περὶ ἧς ἐλάλησας.

ΑΚΥΛΑΣ. Ἰδοὺ ἦρα πρόσωπόν σου.

ΣΥΜΜΑΧΟΣ. Ὁράσει ἐδυσωπήθην τὸ πρόσωπόν σου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐδεξάμην σου τὴν ἱκεσίαν, φησὶ, καὶ ποιήσω καὶ τοῦτο, καὶ παρέξω σοι τὸ αἰτηθὲν, καὶ διὰ σὲ καὶ τῆς πόλεως φείσομαι.

κβ. Σπεῦσον τοῦ σωθῆναι ἐκεῖ.

** ΚΥΡΙΛΛΟΥ. Ἀνεθέλητον μὲν γὰρ τῷ Θεῷ κατὰ τὸ ἀληθὲς ἡ τελείως οὐκ ἔχουσα πρὸς ἀρετὴν πολιτεία, καὶ τὸ κατά τι γοῦν ἡττᾶσθαι τῶν παθῶν ἀπόβλητόν τε αὐτῷ καὶ κατακρίσεως οὐ μακράν· πλὴν ἐφίησιν ἐκ φιλανθρωπίας, καὶ συμμετρήσας τῇ φύσει τὸ ἐν ἀρχαῖς ἐφικτὸν, σώζεσθαι κελεύει καὶ μελετῶντας ἔτι τὸ ἀγαθὸν, οὔποτε τὴν ὑπαίτιον κομιδῇ διαστείχοντας ἀγωγήν.

Οὐ γὰρ δυνήσομαι ποιῆσαι πρᾶγμα, ἕως τοῦ σε εἰσελθεῖν ἐκεῖ.

ΑΔΗΛΟΥ. Ὅση ἡ πρὸς τὸν δίκαιον τιμή. ἀδύνατον εἶναι λέγουσι γενέσθαι τὴν ἐπιφορὰν τοῦ πυρὸς, ἕως ἂν ἐκεῖνος ἐπεξέλθῃ.

(1) Ἀπὸ τῶν ἐκδεδομ. τοῦτο ἀναπεπλήρωται, πάνυ ἀτελὲς ὄν.

Διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως ἐκείνης, Σηγώρ.

ΑΔΗΛΟΥ. Σηγὼρ ἑρμηνεύεται βραχεῖα, μικρά.

✱✱ ΙΩΣΗΠΟΥ. Διαφεύγει δὲ αὐτὸς (ὁ Λὼτ) μετὰ τῶν θυγατέρων εἰς βραχύ τι χωρίον καταχθὼν, περιγραφὲν ὑπὸ τοῦ πυρός· Ζόωρ καὶ νῦν ἔτι λέγεται. καλοῦσι γὰρ οὕτως Ἑβραῖοι τὸ ὀλίγον. ἐνταῦθα ὑπότε ἀνθρώπων ἐρημίας, καὶ τροφῆς ἀπορίας ταλαιπώρως διῆγεν.

κγ. Ὁ Ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὰ περὶ Σόδομα ἀφόρητα ποιεῖ καύματα. ἵνα οὖν ὁ διὰ πυρὸς ἀφανισμὸς μὴ τῇ φύσει τῶν καυμάτων ἐπιγραφῇ, οὐ μεσημβρίας γίνεται ὁ τοῦ πυρὸς ὑετὸς, ἀλλ' ὄρθρου ὅτε καταψύγει πως ὁ ἀήρ. ὅθεν καὶ προσέθηκε τὸ,
» ἔβρεξε, καὶ ἐκ τοῦ οὐρανοῦ.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Διατὶ ἐξῆλθεν ὁ ἥλιος ἐπὶ τὴν γῆν καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ; Καί φησιν, (1) ὁ αὐτὸς χρόνος γίνεται καὶ τοῖς προκόπτουσιν εἰς σωτηρίαν, καὶ τοῖς ἀνιάτως ἔχουσι πρὸς κόλασιν. ἐν ἀρχῇ δὲ ἡμέρας εὐθὺς ἀνατείλαντος τοῦ ἡλίου τὴν δίκην ἐπάγει, βουλόμενος ἐπιδεῖξαι, ὅτι ἥλιος καὶ ἡμέρα καὶ φῶς, καὶ ὅσα ἄλλα ἐν κόσμῳ καλὰ καὶ τίμια μόνοις ἀπονέμεται ἀστείοις· φαύλῳ δὲ οὐδενὶ τῶν ἀθεράπευτον κακίαν ἐχόντων.

κδ. Καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον, καὶ πῦρ παρὰ Κυρίου ἐξ οὐρανοῦ.

Ψαλ. 109. 1. ΑΔΗΛΟΥ. Ὅμοιον τῷ, εἶπεν ὁ Κύριος
» τῷ Κυρίῳ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Μὴ ξενιζέτω σε, ἀγαπητὲ, τῶν ῥημάτων ἡ συνθήκη. ἰδίωμα γὰρ τοῦτό ἐστι τῆς Γραφῆς, καὶ ἀδιαφόρως οὕτω πολλάκις τίθησι τὰ ῥήματα.
» ματα. ὃ δὴ καὶ νῦν ἐστιν ἰδεῖν. ἔβρεξε γάρ
» φησι Κύριος θεῖον, καὶ πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ· ἵνα εἴπῃ, ὅτι Κύριος τὴν τιμωρίαν ἐπήγαγε, καὶ οὐ μόνον τὰς πόλεις κατέστρεψε, καὶ πᾶσαν τὴν περίοικον, καὶ πάντας τοὺς κατοικοῦντας, ἀλλὰ καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς ἠφάνισεν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τινὲς τὸ, Κύριος, περὶ ἑνὸς τῶν δύω φασί· παρὰ Κυρίου δὲ, τοῦ μείναντος παρὰ τῷ Ἀβραάμ.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἐξ οὐρανοῦ δὲ τὸ πῦρ πρὸς φθορὰν· ὅθεν ὑετοὶ πρὸς ζωὴν· ὡς ἂν δειχθῇ μὴ τῶν καρπῶν αἴτιος ὑπάρ-

A χων οὐρανὸς. καὶ ἀστέρες, ὡς οὐδὲ τῶν ὄμβρων, ἀλλ' ὁ πέμπων τούτους Θεός. ὅς γε καὶ τὸ πῦρ ἀντὶ τούτων ἀπέστειλε, παρὰ φύσιν ἐπὶ τὰ κάτω πεμφθέν.

ΑΔΗΛΟΥ. Φύσει μὲν κοῦφα τὸ θεῖον καὶ πῦρ. τὸ δὲ τῆς ἀρᾶς κεκαινουργημένον ἤλλαξε πρὸς τοὐναντίον τὴν κίνησιν.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Κεραυνοὶ ῥυέντες ἐξ οὐρανοῦ τούς τε ἀσεβεῖς κατέ-
B πρησαν καὶ τὰς πόλεις αὐτῶν. καὶ μέχρι τοῦ νῦν μνημεῖα τοῦ συμβεβηκότος ἀλέκτου πάθους δείκνυται κατὰ Συρίαν, ἐρείπια, καὶ τέφρα, καὶ θεῖον, καὶ καπνὸς, καὶ ἡ ἔτι ἀναδιδομένη φλὸξ ἀμαυρὰ, καθάπερ διασμυχομένου πυρός. ἐν δὲ τούτῳ συνέβαινε τούς τε ἀσεβεῖς ταῖς εἰρημέναις τιμωρίαις κολάζεσθαι, καὶ τοὺς καλοκἀγαθίας διειληφότας εὖ πάσχειν, ἀρετῆς ἐπαξίων ἄθλων τυγχάνοντας.

Γ ΑΔΗΛΟΥ. Ἅμα τε εἰς τὴν πόλιν ἀπεσώθη, καὶ τὸ πῦρ ἐπεφέρετο ταῖς πόλεσι, σημεῖον τῆς μελλούσης ἐν πυρὶ συντελείας.

κε. Καὶ κατέστρεψε πάσας τὰς πόλεις ταύτας, καὶ πᾶσαν τὴν περίχωρον, καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι, καὶ πάντα τὰ ἀνα-
Δ τέλλοντα ἐκ τῆς γῆς.

ΑΔΗΛΟΥ. Διὰ τοῦτο εἴρηται, μὴ στῇς
» ἐν πάσῃ τῇ περιχώρῳ.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ὁ Κύριος οὐ μόνον τοὺς ἀσεβεῖς ἀπόλλυσιν, ἀλλὰ καὶ τὰς τροφὰς αὐτῶν, οὔσας σοδομιτικὰς καὶ ἐπιβλαβεῖς. ἐν αἷς ἐστὶ καὶ ἄμπελος, περὶ
» ἧς γέγραπται, ἐκ γὰρ ἀμπέλου Σοδόμων Δευτ. 32. 31.
» ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν
E » ἐκ Γομόρρας.

κς. Καὶ ἐπέβλεψεν ἡ γυνὴ αὐτοῦ εἰς τὰ ὀπίσω, καὶ ἐγένετο στήλη ἁλός.

ΑΔΗΛΟΥ. Στήλη οὐχ ἁπλῶς ἐγένετο,
» ἀλλὰ μάλιστα ἁλὸς, διὰ τὸ, ὑμεῖς ἐστὲ τὸ Ματθ. 5. 13.
» ἅλας τῆς γῆς. ἐφαρμόσει δὲ τῇ στήλῃ τοῦ
» ἁλὸς τὸ, ἐὰν δὲ τὸ ἅλας μωρανθῇ.

ΑΔΗΛΟΥ. Ἐγένετο στήλη ἁλὸς, τὴν
Z » πρὸς τὸ κακὸν ἐπιστροφὴν θριαμβεύουσα.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ὁ ἀσθενὴς καὶ ἄνανδρος νοῦς, οὗ σημεῖον ἡ γυνὴ, ταῖς εἰς φαυλότητα μετατροπαῖς ἀχρειοῦται παντελῶς· τοῦτο γὰρ οἶμαι δηλοῦν τὸ γενέσθαι στήλην ἁλός. ὅπερ ἂν εἴη σύμβολον ἀπομαρανθείσης φρενὸς, καὶ νοῦ πρὸς ἠλιθιότητα μεταφοιτᾶν αἱρουμένου.

ΦΙΛΩ-

(1) Τὸ, καί φησι προσθήκη δοκεῖ. ἐν τοῖς τοῦ Ἑβραίου Φίλωνος δὲ ἐκδεδομένοις τὸ ὑπόμνημα τοῦτο οὐχ εὕρηται. μήτι γε οὖν Φίλωνος τοῦ ἐπισκόπου ἐστὶ, καθάπερ καὶ τὸ ἐν τῇ 248. σελ; καὶ γὰρ ὁ τῆς Αὐγ. κώδ. αὐτότε καὶ τὸ προκείμενον ἄχρι τοῦ, πρὸς κόλασιν, κατὰ συνέχειαν περιέχει, ὀλίγων τινῶν μόνον ἐν τῷ μεταξὺ κειμένων. ἀλλὰ γὰρ τὸ, ἀστείοις πάνυ συνήθες τῷ Ἑβραίῳ. μήτι οὖν τὰ ἄχρι τοῦ, πρὸς κόλασιν, τοῦ Ἐπισκόπου εἰσὶ, τὰ δὲ ἑξῆς τοῦ Ἑβραίου;

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Φησὶ τὴν γυναῖκα Λὼτ στραφεῖσαν εἰς τοὐπίσω, γενέσθαι στήλην, οὐ μυθοπλαστῶν, ἀλλὰ πράγματος ἰδιότητα μηνύων. ὃς γὰρ ἂν ὀλιγωρήσας τοῦ διδάσκοντος ὑπὸ ῥαθυμίας ἐμφύτου τε ὁμοῦ καὶ συνήθους, τὰ μὲν πρόσω καταλίπῃ, δι' ὧν ὁρᾷν καὶ ἀκούειν καὶ ταῖς ἄλλαις δυνάμεσιν ἐστὶ χρῆσθαι πρὸς τὴν τῶν φύσεως πραγμάτων ἐπίκρισιν, ἐκτραχηλίσας δ' αὐτὸν εἰς τοὐπίσω περιαγάγῃ, τὰ τυφλὰ τῶν ἐν τῷ βίῳ πραγμάτων μᾶλλον ἢ τῶν τοῦ σώματος μερῶν ἐζηλωκὼς, ἀψύχου καὶ κωφῆς λίθου τρόπον στηλιτεύεται.

κζ. Ὤρθρισε δὲ Ἀβραὰμ τῷ πρωῒ εἰς τὸν τόπον, οὗ εἱστήκει ἐναντίον Κυ-

κη. ρίου. Καὶ ἐπέβλεψεν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόῤῥας, καὶ ἐπὶ πρόσωπον πάσης τῆς γῆς ἐκείνης, καὶ εἶδε· καὶ ἰδοὺ ἀνέβαινε φλὸξ ἐκ τῆς γῆς, ὡσεὶ ἀτμὶς καμίνου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐν ἐκείνῳ φησὶ τῷ τόπῳ γεγονὼς, ἔνθα τὴν διάλεξιν πρὸς τὸν δεσπότην ἐποιήσατο, καὶ τὴν περὶ τῶν ἐν Σοδόμοις παράκλησιν, ἑώρα τῆς φοβερᾶς ἐκείνης τιμωρίας τὰ ἴχνη, καὶ τοῦ δικαίου ἕνεκεν μαθεῖν τὶ ἐπεθύμει. τοιοῦτον γὰρ τῶν ἁγίων τὸ ἔθος, φιλόστοργον καὶ συμπαθητικόν.

κθ. Καὶ ἐγένετο ἐν τῷ ἐκτρίψαι Κύριον πάσας τὰς πόλεις τῆς περιχώρου, ἐμνήσθη Κύριος τοῦ Ἀβραάμ· καὶ ἐξαπέστειλε τὸν Λὼτ ἐκ μέσου τῆς καταστροφῆς, ἐν τῷ ἐκτρίψαι Κύριον τὰς πόλεις, ἐν αἷς κατῴκει ἐν αὐταῖς Λώτ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστιν ἐμνήσθη ὁ Θεὸς τοῦ Ἀβραάμ; » Τῆς παρακλήσεως, φησὶν, ἧς ἐποιήσατο, λέγων, μὴ » συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς. τί οὖν ἂν εἴποι τὶς, διὰ τὴν παράκλησιν τοῦ πατριάρχου ὁ δίκαιος διεσώθη, καὶ οὐχὶ διὰ τὴν ἰδίαν δικαιοσύνην; ναὶ καὶ διὰ τὴν παράκλησιν τοῦ πατριάρχου. ὅταν γὰρ τὰ παρ' ἑαυτῶν συνεισενέγκωμεν, καὶ ἡ παρὰ τῶν δικαίων πρεσβεία τὰ μέγιστα ἡμᾶς ὀνίνησιν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐν μὲν τῇ φορᾷ τοῦ κεραυνίου πυρὸς, οἰκήτορσιν αὐτῆς ὅλης χώρας ἐμπιπραμένης, εἷς μόνος ἀνὴρ μέτοικος ἐπιφροσύνῃ θείᾳ σώζεται, διότι τῶν ἐγχωρίων παρανομημάτων οὐδὲν ἠσπάσατο, τῶν μετοίκων εἰωθότων ἀσφαλείας ἕνεκα τὰ ξενικὰ τιμᾷν, ἐπεὶ τοῖς ἀτιμάζουσι κίνδυνος ἐκ τῶν αὐτοχθονίων ἔπεσθαι. καίτοιγ' οὐκ ἐπ' ἄκρον ἧκε σοφίας, ὡς διὰ τελειότητα τῆς ἐν αὐτῷ φύσεως τοσούτου γέρως ἀξιωθῆναι, ἀλλ' ὅτι μόνον τοῖς πολλοῖς οὐ συνηνέχθη πρὸς τὸ ἁβροδίαιτον ἀποκλίνασι, καὶ πάσας μὲν ἡδο-

A νάς; πάσας δὲ ἐπιθυμίας χορηγίαις ἀφθόνοις ἀνάψασιν, ὥσπερ φλόγα θείῳ καὶ κεχυμένῃ ὕλῃ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἐν τῷ ἐκτρίψαι » Κύριον τὰς πόλεις, ἐν αἷς κατῴκει ἐν αὐ» ταῖς Λώτ. ὡς ἐν πλείοσι κατοικοῦντος πόλεσι τοῦ Λὼτ ταῦτα λέγεται.

λ. Ἀνέβη δὲ Λὼτ ἐκ Σηγὼρ· καὶ ἐκάθητο ἐν τῷ ὄρει αὐτὸς, καὶ αἱ δύω

B θυγατέρες αὐτοῦ μετ' αὐτοῦ.

ΑΔΗΛΟΥ. Οὐκ ἀθρόως ἀναβαίνει εἰς τὸ ὄρος κατὰ τὰ εἰρημένα αὐτῷ, ἀλλὰ πρῶτον εἰς Σηγὼρ γίνεται· καίτοιγε μὴ θαῤῥήσας ἑαυτῷ περὶ τοῦ ἀναβῆναι εἰς τὸ ὄρος.

* ΚΥΡΙΛΛΟΥ. Πρόεισιν ὥσπερ διὰ βαθμῶν ὁ νοῦς ἐπὶ τὸ ἔχον ἀρτίως· καὶ ἀναθρώσκει κατὰ βραχὺ πρὸς ὅπερ ἦν ἐν

Γ ἀρχαῖς οὐκ ἐπιτηδείως ἔχων, οὔτε λίαν ἱκανῶς. πρόεισι δὲ καὶ ἀναφοιτᾷ πρὸς τὸ ἄμεινον φρονήσει τε καὶ ἀνδρείᾳ τῇ πνευματικῇ, καθάπερ τισὶν ἰδίαις θυγατράσιν ἐπισκηπτόμενος, καὶ κάτω που μένειν ἀφεὶς τὸ ἡδυπαθές τε καὶ ἄνανδρον, ὧν τύπος ἡ γυνή.

Ἐφοβήθη γὰρ κατοικῆσαι ἐν Σηγώρ. καὶ κατῴκησεν ἐν τῷ σπηλαίῳ

Δ αὐτὸς, καὶ αἱ δύω θυγατέρες αὐτοῦ μετ' αὐτοῦ.

ΕΥΣΕΒΙΟΥ. » Ἐφοβήθη γὰρ κατοικῆσαι ἐν Σηγὼρ, καὶ ταῦτα ἀκούσας, ὅτι διὰ σὲ οὐ καταστραφήσεται. διὸ φασί τινες, ὅτι οὐ κατεστράφησαν οἱ εἰς Σηγὼρ, ἀλλὰ κατεπόθησαν. διὸ καὶ Βαλὰ ἐκλήθη. ὃ ἑρμηνεύεται καταποθεῖσα. ἀλλαχοῦ δὲ ἡ Γραφὴ Ζώγορα καλεῖ. ὁ δὲ Σύρος, Ζαα-

E ρὶ καὶ Βαλά. καὶ τοῦτο συναγωνίζεται τῷ τολμήματι τῶν θυγατέρων Λὼτ, ὡς μηδενὸς, μηδὲ ἐκ Σηγὼρ περιληφθέντος. οὐ γὰρ ἂν τὰ ἐκεῖσε ἔφυγεν ὁ Λώτ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἔδει τὴν μὲν (τὴν Σηγὼρ) διὰ τὸν Λὼτ σωθῆναι· τὰς δὲ, ἀναιρεθῆναι. ἐκ ταύτης γὰρ εἶχεν ὁ Λὼτ ἐν τῷ ὄρει τὰ ἐπιτήδεια· πόθεν γὰρ εἶχεν οἶνον ἐν τῷ ὄρει; καὶ ὁ Ἑβραῖος οὑτωπως λέγει, ἕως τῆς καλαπιούσης, περὶ τῆς

Z Σηγώρ. εἰ γὰρ μὴ τοῦτο ἦν, πῶς ἔλεγον » αἱ θυγατέρες τοῦ Λὼτ, ὡς οὐδείς ἐστιν ἐπὶ » τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς; ᾤοντο γὰρ καὶ τὸ σύμπαν ἀνθρώπων γένος ἀπολωλέναι.

* ΚΥΡΙΛΛΟΥ. Εἴη δ' ἂν ἕτερος οὐκ ἀπίθανος ἡμῖν ὁ ἐπὶ τῷδε λόγος. πέτρα μὲν γὰρ ὁ Χριστὸς διὰ τὸ εὐσθενές τε καὶ ἄπτωτον τῆς ἀνωτάτης πασῶν οὐσίας·

H σπήλαιον δὲ τὸ ἐν Χριστῷ, νοοῖτ' ἂν ἡ ἐκκλησία, τὸ τῶν ἁγίων κατάλυμα, τῶν εὐσεβούντων ἡ σκέπη, ἣν κατοικοῦσι δίκαιοι, καὶ ὅσοι τὴν διὰ πυρὸς παραιτοῦνται δίκην.

λα. Εἰ-

A λα. Εἶπε δὲ ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν, ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ὡς καθήκει πάσῃ
» τῇ γῇ. Ἀκύλας οὕτω, καθ' ὁδὸν πάσης
» τῆς γῆς.

B ΘΕΟΔΩΡΟΥ. Οὐκοῦν οὐ πάθος ἀκολασίας ἤλασεν αὐτὰς, ἀλλὰ φειδὼ τοῦ γένους. ὅθεν εὐσύγγνωστοι.

ΑΔΗΛΟΥ. Οἰκονομία ἐπετελεῖτο, δι' ἧς αἱ δύο συναγωγαὶ ἀπὸ ἑνὸς καὶ τοῦ αὐτοῦ πατρὸς τεκνοποιησάμεναι ἐμηνύοντο ἄνευ σαρκὸς ἡδονῆς. οὐ γὰρ ἦν ἄλλος οὐδεὶς σπέρμα ζωτικὸν, καὶ τέκνα ἐπικαρπίας δυνάμενος δοῦναι αὐταῖς, καθὼς γέγραπται.

Γ λβ. Δεῦρο καὶ ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον, καὶ κοιμηθῶμεν μετ' αὐτοῦ, καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐδέπω εὕρομεν ποτιζόμενον, σπείροντα (1) ὡς Λὼτ, οἶνον. οὐ
Δεῦτ. 23. 3. » οἱ ἀπὸ σπέρματος τῶν ὑμῶν οὐκ εἰσελεύσον-
» ται εἰς τὴν ἐκκλησίαν Χριστοῦ ἕως δεκάτης
» γενεᾶς, καὶ ἕως εἰς τὸν αἰῶνα παρὰ τὸ
Δ » μὴ συναντῆσαι αὐτοὺς τῷ Ἰσραὴλ μετὰ ἄρτων καὶ ὕδατος ἐν τῇ ὁδῷ ἐκπορευομένων ἐξ Αἰγύπτου· καὶ ὅτι τὸν Βαλαὰμ ἐμισθώσαντο.

ΘΕΟΔΩΡΟΥ. Κλέπτουσι τοῦ πατρὸς τὴν κοίτην. ᾔδεισαν γὰρ νήφοντος τὴν σωφροσύνην αὐτοῦ.

E λγ. Ἐπότισαν δὲ τὸν πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ταύτῃ· καὶ εἰσελθοῦσα ἡ πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς τὴν νύκτα ἐκείνην. καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐ-
λδ. τὴν καὶ ἀναστῆναι. Ἐγένετο δὲ ἐν τῇ
ἐπαύριον, καὶ εἶπεν ἡ πρεσβυτέρα τῇ νεωτέρᾳ, ἰδοὺ ἐκοιμήθην χθὲς μετὰ τοῦ πατρὸς ἡμῶν· ποτίσωμεν αὐτὸν οἶνον καὶ τὴν νύκτα ταύτην· καὶ εἰσελθοῦσα κοιμήθητι μετ' αὐτοῦ, καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν
λε. σπέρμα. Ἐπότισαν δὲ καὶ ἐν τῇ νυ-
κτὶ ἐκείνῃ τὸν πατέρα αὐτῶν οἶνον· καὶ εἰσελθοῦσα ἡ νεωτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς· καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὴν καὶ ἀναστῆναι.

H ΑΔΗΛΟΥ. Ὁ Ἰωσὴφ μὲν τοὺς ἀδελφοὺς ποτίζει μεσημβρίας, αὗται δὲ τὸν πατέρα ἐν νυκτί.

* ΠΡΟΚΟΠΙΟΥ. Καὶ Εὔα ἐκ τοῦ Ἀδὰμ οὖσα, γυνὴ αὐτοῦ γέγονε (2). καὶ τὰ τέκνα τοῦ Ἀδὰμ ἀλλήλοις ἐμίγησαν. ὁ δὲ Θεὸς οὐκ ἐκώλυσεν, ἴσως ἵνα μὴ ἀλλοφύλοις δοθεῖσαι, κοινωνήσωσι τῆς εἰδωλολατρείας, ἑτέρου λίαν κακοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ὁ Λὼτ οὐκ ἐνεκλήθη ταῖς θυγατράσι μιγείς; Ἐπειδὴ τοῖς ἐξ ἀγνοίας πλημμελουμένοις καὶ οἱ ἄνθρωποι συγγινώσκειν εἰώθασιν. οὐ τοίνυν οὐδὲ τῷ Λὼτ ἐπεμέμψατο ἄντις δικαίως τῆς μίξεως ἕνεκα. ἠγνόει γὰρ τὸ πραττόμενον. τὸ δὲ τῆς μέθης ἐκείνου ἔχει τινὰ μέμψιν κεκραμένην συγγνώμῃ. ἀδημονῶν γὰρ κομιδῇ καὶ ἀλύων, ὡς πάντων ὁμοῦ τῶν ὄντων γεγυμνωμένος, καὶ πρὸς τοῖς ἄλλοις ἅπασι καὶ αὐτῆς τῆς ὁμοζύγου, ἐδέχετο τῶν θυγατέρων τὸν οἶνον προσφερουσῶν περαιτέρω τῆς χρείας· ἅτε δὴ τὸ μὲν κατασκευαζόμενον ἀγνοῶν, ψυχαγωγίας δὲ καὶ παραμυθίας τὸ δρώμενον ὑποπτεύων. ἐκεῖναι δὲ παντάπασιν εἰσὶ κατηγορίας ἀθῷοι. θεασάμεναι γὰρ τὰς μὲν τέσσαρας πόλεις, καὶ τὰς κώμας ἁπάσας ἐμπρησθείσας τῷ ὑετῷ τοῦ πυρὸς, τοὺς δὲ τὴν Σηγὼρ οἰκοῦντας, καταποθέντας· τοῦτο γὰρ σημαίνει καὶ τοὔνομα· καταπόσις γὰρ ἡ Σηγὼρ ἑρμηνεύεται· ἐνόμισαν ἄρδην ἀπολωλέναι τῶν ἀνθρώπων τὴν φύσιν· καὶ τὴν κατέχουσαν ἐρημίαν ὁρῶσαι, καὶ τοῦ γήρως προθεωρήσασαι τὴν ἀσθένειαν, ἐβουλήθησαν ἐπινοῆσαι καὶ σπέρμα τῷ γένει, καὶ ἑαυταῖς ψυχαγωγίαν τινά. τούτῳ χρησάμεναι τῷ λογισμῷ, καὶ οὐκ ἐπιθυμίᾳ δουλεύσασαι, τὸν μὲν οἶνον ἔλαβον συνεργὸν, ἔκλεψαν δὲ τῇ πλείονι πόσει τοῦ γεγεννηκότος τὴν αἴσθησιν, ἀπέφηναν δὲ τὸν πατέρα σπορέα.

ΤΟΥ ΑΥΤΟΥ. Καὶ τί δήποτε ὁ Θεὸς οὐκ ἐκώλυσε τὴν παράνομον μίξιν; Προεώρα τὴν τοῦ γένους ἀσέβειαν ὁ Θεός. Μωαβῖται γὰρ ἐδούλευον τῷ Χαμὼς, τῷ δὲ Μελχὼμ Ἀμμανῖται. ἵνα οὖν μὴ ὡς συγγενέσιν ἐπιμιγνύμενοι τούτοις Ἰσραηλῖται μετάσχωσι τῆς ἀσεβείας, οὐκ ἐκώλυσε τὸν παράνομον γάμον· ὅπως ταύτῃ γοῦν αὐτοὺς μυσαροὺς ἀποφήνῃ, καὶ βδελυκτοὺς Ἰουδαίοις. δηλοῖ δὲ τοῦτο καὶ ὁ τῶν ὅλων Θεὸς διὰ Μωϋσέως τοῦ νομοθέτου διαγο-
Z » ρεύων, Ἀμμανίτης καὶ Μωαβίτης οὐκ εἰ- Δεῦτ. 23. 3.
» σελεύσεται εἰς Ἐκκλησίαν Κυρίου ἕως δε-
» κάτης γενεᾶς, καὶ ἕως εἰς τὸν αἰῶνα.

ΓΕΝΝΑΔΙΟΥ. Τοῦτο τῆς θείας προσεκλέον Γραφῆς, ὅτι πλὴν ἁμαρτίας οὐδὲν φαῦλον τῶν ἐν ἡμῖν ἡγουμένης, χρηστὰ μὲν ὁσάκις ἂν ἡμῖν, ἢ φαῦλά τινα διηγεῖται, προστίθησι τοῖς μὲν ἔπαινον, τοῖς δὲ ψόγον. τῶν μὲν, ἀπείργουσα· πρὸς δὲ τὰ, παρορμῶσα. ὅταν δέ τι λέγῃ τῶν τοιούτων, οἷόν ἐστι τὸ τοῦ Λὼτ οὐκ ἀπὸ πονηρᾶς γενόμενον

(1) Ποτιζόμενον οἶνόν τινα μέλλοντα σπείρειν. ὁ τῆς Αὐγ. κώδ.
(2) Τὰ ἀπὸ τοῦ, καὶ τὰ τέκνα, ἄχρι τέλους ἐλήφθη ἐκ τοῦ τῆς Αὐγ. κώδ.

μένον διαθέσεως, ψέγει μὲν οὐδαμῶς, οὐ μὴν οὐδὲ ἐπαινεῖ, τοὺς σαρκικοὺς καὶ φιληδόνους ὑφορωμένη.

ΑΔΗΛΟΥ. Οὐδαμῶς, εἰ καὶ τῷ πατρὶ ὡς ἐξ ἀνάγκης ὑπ' ἐκείνων ἐπράχθη, τοῦτο ζηλωτέον ἐκτὸς ἀνάγκης. Φαῦλον γὰρ ἡ ἀχρεία ἡδονὴ, ἀπηγορευμένων τῶν πρὸς τὰ τίμια σώματα ἐφ' ἡδονῇ κοινωνιῶν. οἷον, (Λευϊτ. 8. 7.) τὸ, οὐκ ἀποκαλύψεις ἀσχημοσύνην μητρός. τῷ δ' αὐτῷ λόγῳ καὶ ἡ πρὸς πατέρα κοινωνία πονηρὸν, ὥσπερ ἡ πρὸς μητέρα. ἐν ἀγνοίᾳ δὲ πραχθὲν, καὶ τῇ τοῦ συμφέροντος προνοίᾳ, μέμψιν ἐκφεύγει. ὅθεν οὐδὲ ἡ θεία μέμφεται Γραφή. Φασὶ δὲ, ὅτι καὶ τῆς κοινωνίας τῶν δύο συναγωγῶν πρὸς τὸν ἕνα πατέρα λόγου Θεοῦ τύπος ἐπετελεῖτο, τῆς μέθης τὸ πάθος ἐκτυπούσης· ὡς ἐπὶ τοῦ Ἀδὰμ ἡ ἔκστασις καὶ ὁ ὕπνος εἰς τὴν σύστασιν τῆς γυναικὸς ἐγίνετο. ἐπεὶ δὲ καὶ ἡ ἐκκλησία διὰ τοῦ κυριακοῦ πάθους συνέστη, καὶ τὴν νύμφη συνημμένη αὐτῷ εἰς ἓν πνεῦμα, ὡς ἡ Εὔα τῷ Ἀδὰμ εἰς σάρκα μίαν, ἐξηγεῖται τοῦτο ὡς μέγα μυστήριον ὁ Παῦλος εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. (Ἐφεσ. 5. 32.) τὸν δὲ τύπον οὐκ ἀνάγκη καὶ ἐπὶ τῶν γεννηθέντων ἐκ τοῦ Λὼτ εἶναι. οὐδὲ γὰρ ἐπὶ τῶν ἐξ Εὔας γεγεννημένων ὁ Χριστοῦ καὶ τῆς ἐκκλησίας ἔτι σώζεται τύπος διὰ τὸν Κάϊν τὸν ἀδελφοκτόνον. σαφὲς δὲ καὶ δῆλον, ὡς οὐκ ἔγκλημα τὸ πρᾶγμα ἐπὶ τὰς θυγατέρας τοῦ Λώτ· οὐδὲ πάλιν ἐπὶ τοῦ σωτῆρος. δείκνυσι γὰρ ἡ κατὰ τὴν Ῥοὺθ ἱστορία, ὡς συναφθεῖσα τῷ γένει τοῦ Ἰούδα, μετέχει καὶ αὐτὴ τῆς εἰς Χριστὸν εὐλογίας. ὥσπερ γὰρ Ἰούδας τοῦ Ἀβραὰμ υἱὸς, οὕτως ἡ Ῥοὺθ θυγάτηρ τοῦ Λώτ. ταύτης δὲ καὶ ὁ Εὐαγγελιστὴς τοῦ ὀνόματος μέμνηται, διὰ αὐτῆς τὸν πατέρα τιμῆσαι βουλόμενος· ἐπειδὴ καὶ συνέκδημος τοῦ θείου γεγένηται, καὶ τῶν ἴσων ἀπήλαυσε κινδύνων· ὅτι καὶ Προφήτης τὸ τοῦ Θεοῦ πρόσωπον ἐπέχει.

λς. Καὶ συνέλαβον αἱ δύο θυγατέρες Λὼτ ἐκ τοῦ πατρὸς αὐτῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Οὕτως τὴν οἰκονομίαν Θεοῦ, ὥσπερ καὶ ἐπὶ τῆς Θάμαρ· ἐπειδὴ μὴ ἀκολασίας ἕνεκα, ἀλλὰ παιδογονίας τοῦτο πεποιήκασιν.

λζ. Καὶ ἔτεκεν ἡ πρεσβυτέρα υἱὸν,
καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Μωὰβ,
λέγουσα, ἐκ τοῦ πατρός μου. οὗτος
πατὴρ Μωαβιτῶν ἕως τῆς σήμερον
λη. ἡμέρας. Ἔτεκε δὲ καὶ ἡ νεωτέρα
υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀμμὰν, λέγουσα, υἱὸς γένους μου. οὗτος πατὴρ Ἀμμανιτῶν ἕως τῆς σήμερον ἡμέρας.

ΑΔΗΛΟΥ. Μωὰβ ἑρμηνεύεται ἐκ τοῦ πατρός μου, ἢ ὕδωρ πάτριον.

** ΙΩΣΗΠΟΥ. Αἱ δὲ παρθένοι πᾶν ἠφανίσθαι τὸ ἀνθρώπινον ὑπολαβοῦσαι, τῷ πατρὶ πλησιάζουσιν, ἐπινοήσασαι λαθεῖν. ἐποίουν δὲ τοῦτο ὑπὲρ τοῦ μὴ γένος ἐκλιπεῖν. γίνονται δὲ παῖδες ὑπὸ μὲν τῆς πρεσβυτέρας, Μώαβος, εἴποι δ' ἄν τις ἀπὸ πατρὸς· Ἄμμανον δὲ ἡ νεωτέρα ποιεῖται, γένους υἱὸν ἀποσημαίνει τὸ ὄνομα. κτίζει δ' αὐτῶν ὁ μὲν Μωαβίτας, μέγιστον ὄντας ἔτι καὶ νῦν ἔθνος· Ἀμμανίτας δὲ ὁ ἕτερος, Συρίας τῆς κοίλης ἐστὶν ἀμφότερα.

Κ Ε Φ. Κ.

α. Καὶ ἐκίνησεν ἐκεῖθεν Ἀβραὰμ εἰς γῆν πρὸς Λίβα· καὶ ᾤκησεν ἀνὰ μέσον Κάδης, καὶ ἀνὰ μέσον Σούρ· καὶ παρῴκησεν ἐν Γεράροις.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πόθεν ἐκίνησεν; Ἀπὸ τοῦ τόπου ἔνθα τὴν σκηνὴν ἐσκηνωμένος, ὅπου καὶ τὸν τῶν ἁπάντων δεσπότην μετὰ τῶν Ἀγγέλων ὑποδέξασθαι κατηξιώθη. ἐκεῖθεν, φησὶ, κινήσας, παρῴκησεν ἐν Γεράροις. ὅρα τῶν δικαίων τὴν διαγωγὴν, ὅπως τὴν συνεσταλμένην καὶ ἀπέριττον, ὅπως μετ' εὐκολίας τὰς μεταναστάσεις ἐποιοῦντο, καὶ καθάπερ οἱ πάροικοι καὶ παρεπίδημοι, οὕτω τὸν ἑαυτῶν βίον ᾠκονόμουν· καὶ ποτὲ μὲν ὧδε, ποτὲ δὲ ἐκεῖ τὰς σκηνὰς ἐπήγνυντο, καθάπερ ἐν ξένῃ διάγοντες.

β. Εἶπε δὲ Ἀβραὰμ περὶ Σάῤῥας τῆς γυναικὸς αὐτοῦ, ἀδελφή μου ἐστίν. ἐφοβήθη γὰρ εἰπεῖν, ὅτι γυνή μου ἐστὶ, μήποτε ἀποκτενοῦσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως δι' αὐτήν.

ΑΔΗΛΟΥ. Τοσαύτη τῆς δικαίας ἡ ὥρα καὶ ἐν γήρᾳ. ἡ γὰρ χάρις τῇ ἐστειρωμένῃ φύσει παραχθεῖσα τεκεῖν, ἀνεκαίνιζεν ὡς ἀεὶ τὴν ὥραν αὐτῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ταῦτα ἀκούων, ἀγαπητὲ, μὴ καταγνῷς τοῦ δικαίου μικροψυχίαν, εἰ τὸν θάνατον ἐδεδοίκει· ἀλλὰ θαύμασον τοῦ πάντων ἡμῶν δεσπότου τὴν ὑπερβάλλουσαν περὶ ἡμᾶς φιλανθρωπίαν, ὅτι τὸν θάνατον τὸν τοῖς δικαίοις ἐκείνοις καὶ ἁγίοις τότε φοβερὸν, τοῦτον νῦν εὐκαταφρόνητον εἰργάσατο ὁ Χριστός· καὶ ὃν ἐδεδοίκεισαν οἱ ἐνάρετοι ἐκεῖνοι, καὶ τοσαύτην παῤῥησίαν πρὸς τὸν Θεὸν ἔχοντες, τοῦτον νῦν καταγελῶσι καὶ κόραι ἁπαλαί. οὐδὲ γὰρ θάνατός ἐστι λοιπὸν, ἀλλ' ὕπνος καὶ ἀποδημία καὶ μετάστασις ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ βελτίω.

Ἀπέστειλε δὲ Ἀβιμέλεχ βασιλεὺς Γεράρων, καὶ ἔλαβε τὴν Σάῤῥαν. A

ΑΔΗΛΟΥ. Ζητεῖται πῶς βασιλεὺς τρυφῶν, καὶ ἐπ' ἀδείας ἔχων ὅσας βούλεται καλάς τε καὶ εὐειδεῖς γυναῖκας λαβεῖν, ἔλαβε τὴν Σάῤῥαν ἐννενηκοντοῦτιν οὖσαν· καὶ αὐτὸς γὰρ ἦν πρεσβύτης, καὶ οὐκ ἂν ἀφεὶς νέας, πρεσβυτέρας ἀντεποιήθη μίξεως. Δίκαιος ἦν, καὶ εἶδε δίκαιον τὸν Ἀβραὰμ, τοιαύτην δὲ καὶ τὴν Σάῤῥαν, καὶ ἠθέλησεν ἑαυτῷ σπέρμα ἀπὸ τοιαύτης ἐξαναστῆσαι, μέγιστον ἡγησάμενος καύχημα ἐκ τοιαύτης γυναικὸς σπέρμα ἐξαναστῆσαι. B

γ. Καὶ εἰσῆλθεν ὁ Θεὸς πρὸς Ἀβιμέλεχ ἐνυπνίῳ τὴν νύκτα, καὶ εἶπεν, ἰδοὺ σὺ ἀποθνήσκεις περὶ τῆς γυναικὸς ἧς ἔλαβες· αὕτη δέ ἐστι συνῳκηκυῖα ἀνδρί. Γ

ΑΔΗΛΟΥ. Ἐφ' ὧν δηλοῦται, ὅτι τοὺς κατ' ἄγνοιαν πταίσαντας ὁ Θεὸς οὐ παρορᾷ, ὥστε πταῖσαι· καὶ ὅτι πάντων προνοεῖ, ὁπότε καὶ τοῦ Φυλισταίου.

δ. Ἀβιμέλεχ δὲ οὐχ ἥψατο αὐτῆς.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ἔμφασιν ἔχει τὸ, οὐχ ἥψατο· ὡς τὸ, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. ὅπερ ἐστὶ καὶ χωρὶς τῆς μίξεως κατὰ μηδὲν ἄλλο παθητικὸν, (1) ἤτοι ἐνιδεῖν, ἢ ἅψασθαι γυναικός. ὁ Θεὸς μέντοι οὐκ ἀφῆκε τὸν Ἀβιμέλεχ ἅψασθαι αὐτῆς· τάχα δὲ πάντα τὸν ἄκρως σωφρονοῦντα. θεόσδοτον γὰρ τὸ τοιοῦτον. (1. Κορ. 7. 1.) Δ

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ γὰρ πρὸ βραχέως ὑπέσχετο αὐτῷ τὸν Ἰσαὰκ τεχθήσεσθαι, ἐγγὺς δὲ λοιπὸν ὁ καιρὸς ἦν, ἵν' οὖν μὴ λυμήνηταί τι τῇ τοῦ Θεοῦ ἐπαγγελίᾳ, τοσοῦτον φόβον τῷ Ἀβιμέλεχ ἐπιτίθησιν, ὡς καταπληχθέντα αὐτὸν, μὴ τολμῆσαι ἐφάψασθαι τῆς Σάῤῥας. E

Καὶ εἶπε, Κύριε, ἔθνος ἀγνοοῦν καὶ δίκαιον ἀπολεῖς;

✱ ΠΡΟΚΟΠΙΟΥ. Ὁ μὲν δίκαιος οὐκ ἐν ἀγνοίᾳ, ἀλλ' ἐν ἐπιστήμῃ. νῦν δὲ τὸ ἀγνοοῦν καταστρέφει ἐπὶ τῷ μὴ ἐγνῶσθαι τῷ Ἀβιμέλεχ τὴν Σάῤῥαν γυναῖκα οὖσαν τοῦ Ἀβραάμ. οὐκ ἀγνοητέον δὲ, ὅτι ὠβελίσται (2) τὸ, ἀγνοοῦν, ὡς παρ' Ἑβραίοις μὴ κείμενον. Z

ε. Οὐκ αὐτός μοι εἶπεν, ὅτι ἀδελφή μου ἐστί; καὶ αὐτή μοι εἶπεν, ὅτι ἀδελφός μου ἐστίν;

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει πῶς εἶχον τὴν ὁμόνοιαν καὶ τὴν συμφωνίαν, καὶ αὐτός φησι τοῦτό μοι εἶπε, καὶ αὕτη συνέθετο τοῖς παρ' αὐτοῦ λεγομένοις. H

A Ἐν καθαρᾷ καρδίᾳ, καὶ δικαιοσύνῃ χειρῶν ἐποίησα τοῦτο.

ΑΚΥΛΑΣ. Τὸ, ἐν καθαρᾷ καρδίᾳ, ἐν ἁπλότητι.

ΘΕΟΔΩΡΟΥ. Οὐκ ἀκολασίᾳ, φησὶν, ἠβουλήθην συνελθεῖν αὐτῇ, ἀλλ' ὡς δικαίαν καὶ ἀδελφὴν δικαίου μέγιστον ἡγησάμην, εἰ ἀγάγοιμι πρὸς γάμον.

B ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὁ μὲν Ἀβιμέλεχ, ἐν καθαρᾷ καρδίᾳ καὶ δικαιοσύνῃ χειρῶν τοῦτο πεποιηκέναι φησὶ, δηλονότι τὸ εἰληφέναι τὴν Σάῤῥαν· ὁ δὲ Θεὸς, τὸ ἕτερον τῶν δύο μαρτυρῶν αὐτῷ, διὰ τοῦ μὴ φάσκειν καὶ τὸ λοιπὸν, καταλείπει αὐτὸ ἐννοεῖν· ὅτι περὶ ἐκεῖνο ψεκτὸς ἦν. εἰ γὰρ καὶ μὴ τοῦτο ᾔδει, οὐ δικαίως ἐποίει τοῦ ξένου τὴν ἀδελφὴν λαμβάνων ἑαυτῷ γυναῖκα.

Γ ς. Εἶπε δὲ αὐτῷ ὁ Θεὸς, κἀγὼ ἔγνων ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐποίησας τοῦτο, καὶ ἐφεισάμην σου ἐγὼ τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ. ἕνεκεν τούτου οὐκ ἀφῆκά σε ἅψασθαι ταύτης.

ΑΔΗΛΟΥ. Σαφὲς ἀνάγνωσμα, ὅτι ὁ μοιχὸς εἰς Θεὸν ἁμαρτάνει.

Δ ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὁ ἁμαρτάνων εἰς Ἀβραὰμ καὶ Σάῤῥαν, εἰς Θεὸν ἥμαρτεν· οὕτω δὲ καὶ ὁ εἰς τοὺς δικαίους.

ζ. Νυνὶ δὲ ἀπόδος τὴν γυναῖκα τῷ ἀνθρώπῳ· ὅτι προφήτης ἐστὶ, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσῃ. εἰ δὲ μὴ ἀποδῷς, γνῶθι ὅτι ἀποθανῇ σὺ, καὶ πάντα τὰ σά.

E ΑΔΗΛΟΥ. Πῶς φαίνεται Ἀβραὰμ προφήτης; Πρῶτον λέγει τῇ Σάῤῥᾳ κατιὼν εἰς Αἴγυπτον, γυνὴ ὡραία εἶ σὺ, καὶ ἐὰν ἴδωσί σε οἱ Αἰγύπτιοι, ἐμὲ ἀποκτενοῦσι, καὶ σὲ περιποιήσονται. ἔπειτα, ὅτε τὸν Ἰσαὰκ πρὸς θυσίαν προσέφερεν εἰς τὸ ὄρος, λέγει πρὸς τοὺς παῖδας· μείνατε αὐτοῦ, ἐγὼ δὲ καὶ τὸ παιδάριον ἀνελευσόμεθα εἰς τὸ ὄρος τοῦτο, καὶ θύσαντες τῷ Κυρίῳ, ὑποστρέψομεν πρὸς ὑμᾶς. ἔπειτα, ὅτι ἢ μόνος, ἢ ὀλιγοστὸς γνῶσιν εἶχε Θεοῦ. μαρτυρεῖ δὲ αὐτῷ ὁ Κύριος ὅτι Προφήτης ἐστὶ, λέγων, ὅτι ἐπεθύμησεν Ἀβραὰμ ἰδεῖν μου τὴν ἡμέραν, δῆλον ὅτι ἰδὼν προφητείᾳ τὸν Κύριον. (Γεν. 12. 11.) (Γεν. 22. 5.) Z (Ἰωάν. 8. 56.)

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Προφήτης ὁ Ἀβραὰμ παρὰ τοῦ Θεοῦ μαρτυρεῖται εἶναι. ποῖον δὲ ζῆν, ἢ τὸ θεῖον; ὅ ἐστιν ἐναντίον τῷ ἀποθνήσκειν. καὶ σημειωτέον, ὅτι Προφήτης προσευξάμενος συμβάλλεται πρὸς τὸ ζῆν.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι δεῖ τὸν ἀδικοῦντα παύσασθαι τοῦ ἀδικήματος, καὶ

οὕτω

(1) Παθητικῶς. ὁ τῆς Αὐγ. κώδ.

(2) Τὰ περὶ τοῦ ὀβελοῦ εὑρήσεις ἐν τῷ περὶ μέτρ. καὶ σταθμ. τοῦ Ἐπιφανίου βιβλίῳ.

οὕτω διὰ προσευχῆς τοῦ εὐσεβοῦς ἀπαλλαγῆναι τῆς κολάσεως.

η. Καὶ ὤρθρισεν Ἀβιμέλεχ τῷ πρωῒ, καὶ ἐκάλεσε πάντας τοὺς παῖδας αὐτοῦ· καὶ ἐλάλησε πάντα τὰ ῥήματα ταῦτα εἰς τὰ ὦτα αὐτῶν. ἐφοβήθησαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς κήρυξ λοιπὸν γίνεται ὁ βασιλεὺς τῆς τοῦ δικαίου ἀρετῆς, καὶ πᾶσιν αὐτὸν κατάδηλον ποιεῖ. Καὶ μετ' ὀλίγα. Εἶδες πῶς οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ τὰς μεταναστάσεις ἐποιεῖτο ὁ δίκαιος; εἰ γὰρ ἐπὶ τῆς σκηνῆς τῆς προτέρας ἔμενε, πόθεν εἶχον ἅπαντες οἱ ἐν Γεράροις γνῶναι ὅσης ὁ δίκαιος ἀπολαύει τῆς παρὰ τοῦ Θεοῦ προνοίας;

** ΠΡΟΚΟΠΙΟΥ. Ἐφοβήθησαν δὲ οἱ ἄνδρες σφόδρα. Ἦν γὰρ νέα πρὸς τοῖς εἰρημένοις καὶ τὰ κατὰ Σόδομα.

θ. Καὶ ἐκάλεσεν Ἀβιμέλεχ τὸν Ἀβραὰμ, καὶ εἶπεν αὐτῷ, τί τοῦτο ἐποίησας ἡμῖν; μήτι ἡμάρτομεν εἰς σὲ, ὅτι ἐπήγαγες ἐπ' ἐμὲ καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; ἔργον ὃ οὐδεὶς ποιήσει, πεποίηκάς μοι.

ι. Εἶπε δὲ Ἀβιμέλεχ τῷ Ἀβραὰμ, τί ἐνιδὼν ἐποίησας τοῦτο;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς διὰ τῶν οἰκείων ῥημάτων δείκνυσι τὴν παρὰ τοῦ Θεοῦ ἀπειλὴν τὴν εἰς αὐτὸν γεγενημένην. ἐπειδὴ γὰρ εἶπεν αὐτῷ, ὅτι εἰ μὴ „ ἀποδίδως, ἀποθανῇ σὺ, καὶ πάντα τὰ σὰ, τοῦτο αὐτὸ ἑρμηνεύων ὁ Ἀβιμέλεχ, „ φησί· τί ἥμαρτον εἰς σὲ, ὅτι ἐπήγαγες „ ἐπ' ἐμὲ, καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρ- „ τίαν μεγάλην; μὴ γὰρ μέχρις ἐμοῦ εἶχε στῆναι τὰ τῆς τιμωρίας; πᾶσά μου ἡ βασιλεία ἄρδην ἔμελλεν ἀφανίζεσθαι ἐκ τῆς ἀπάτης τῆς παρὰ σοῦ γεγενημένης· τί οὖν „ ἐνιδὼν, ἐποίησας τοῦτο;

ια. Εἶπε δὲ Ἀβραὰμ, εἶπα γὰρ ἄρα οὐκ ἔστι θεοσέβεια ἐν τῷ τόπῳ τούτῳ· ἐμέ τε ἀποκτενοῦσιν ἕνεκεν τῆς γυναικός μου.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐκ τούτου ἔνι στοχάσασθαι, ὅτι οὐκ ἦσαν εἰδωλολάτραι οἱ περὶ τὸν Ἀβιμέλεχ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς διὰ τῶν ὀλίγων τούτων ῥημάτων ὁμοῦ καὶ καθήψατο αὐτῶν, καὶ ἐδίδαξεν, ὅτι δεῖ τὸν ἐπὶ πάντων Θεὸν ἐν νῷ λαμβάνοντα, μηδὲν τῶν παρανόμων διαπράττεσθαι, ἀλλὰ τὸν ἀκοίμητον ἐκεῖνον ὀφθαλμὸν δεδοικέναι, καὶ διὰ τὴν ἐκεῖθεν ἐπηρτημένην (A) δίκην πολλὴν τοῦ δικαίου ποιεῖσθαι τὴν πρόνοιαν.

ιβ. Καὶ γὰρ ἀληθῶς ἀδελφή μου ἐστὶν ἐκ πατρὸς, ἀλλ' οὐκ ἐκ μητρός· ἐγενήθη δέ μοι εἰς γυναῖκα.

ΓΕΝΝΑΔΙΟΥ. Καὶ γὰρ ἀληθῶς ἀδελφή μου, θυγάτηρ πατρός μου ἐστὶ, πλὴν οὐ θυγάτηρ μητρός μου.

B „ ΑΔΗΛΟΥ. Καὶ γὰρ ἀληθῶς ἀδελφή „ μου ἐστὶν ἐκ πατρὸς, ἀλλ' οὐκ ἐκ μητρός· ἐγε- „ νήθη δέ μοι εἰς γυναῖκα. τουτέστιν οὐκ ἐξ ἀδελφῆς, ἀλλ' ἐξ ἀδελφοῦ, δηλοῖ δὲ τὸν Ἀῤῥάμ. σύνηθες γὰρ τῇ θεοπνεύστῳ Γραφῇ τοὺς ἐξ ἀδελφῶν τικτομένους, ἀδελφοὺς τῶν θείων καλεῖν, ὡς τῶν γεννωμένων τὸν τῶν γεννώντων τόκον ὑπερχομένων.

* ΠΡΟΚΟΠΙΟΥ. Ἀδελφὴ μὲν ἦν τοῦ Λὼτ ὡς Ἰώσηπός (1) φησιν, (2) ἀδελφιδῆ δὲ τοῦ Ἀβραάμ. (Γ) τοὺς δὲ τοιούτους ἀδελφοὺς ἐκάλουν, ὡς (3) καὶ Λάβαν καλεῖ τὸν Ἰακώβ.

** ΚΛΗΜΕΝΤΟΣ. Ὁ Ἀβραὰμ φησιν ἐπὶ τῆς γυναικὸς σκηπτόμενος ὡς ἀδελφῆς, „ ἀδελφή μου ἐστὶν ἐκ πατρὸς, ἀλλ' „ οὐκ ἐκ μητρός· ἐγένετο δέ μοι καὶ εἰς γυναῖκα· τὰς ὁμομητρίους μὴ δεῖν ἄγεσθαι πρὸς γάμον διδάσκων.

Δ ιγ. Ἐγένετο δὲ ἡνίκα ἐξήγαγέ με ὁ Θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός μου· καὶ εἶπα αὐτῇ, ταύτην τὴν δικαιοσύνην ποιήσεις εἰς ἐμὲ, εἰς πάντα τόπον οὗ ἐὰν εἰσέλθωμεν ἐκεῖ, εἶπον περὶ ἐμοῦ, ὅτι ἀδελφός μου ἐστίν.

* ΠΡΟΚΟΠΙΟΥ. Ἡνίκα ἂν καταλείπωμεν ἔθη καὶ νόμους, ἐν οἷς ἐτράφημεν (E) ἐκ πατέρων, Θεὸν νομίζομεν εἶναι τὸν ἐξαγαγόντα ἡμᾶς ἐξ οἴκου πατέρων ἡμῶν. „ τὸ δ' αὐτὸ νοήσεις διὰ τὸ, πᾶς ὁ ποιῶν 1. Ἰωάν. γ. 8. „ τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου γεγένηται, καὶ ἐπὶ τοῦ καταλιπόντος παντελῶς τὴν ἁμαρτίαν. ὁ γὰρ τοιοῦτος ὑπὸ Θεοῦ ἐξήχθη ἀπὸ τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ.

ιδ. Ἔλαβε δὲ Ἀβιμέλεχ χίλια δίδραχμα, πρόβατα, καὶ μόσχους, (Z) καὶ παῖδας, καὶ παιδίσκας, καὶ ἔδωκε τῷ Ἀβραάμ· καὶ ἀπέδωκεν αὐτῷ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ.
ιε. Καὶ εἶπεν Ἀβιμέλεχ τῷ Ἀβραὰμ, ἰδοὺ ἡ γῆ μου ἐναντίον σου· οὗ ἐάν σοι ἀρέσκῃ κατοίκει.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τοιαῦτα τὰ παρὰ τοῦ Θεοῦ· οὐ μόνον τῶν λυπηρῶν ἐλευθεροῖ τοὺς γενναίως ἀντέχειν πρὸς τοὺς (H) ἐπιόντας πειρασμοὺς σπουδάζοντας, ἀλλὰ καὶ τοσαύτην ἐν αὐτοῖς τοῖς λυπηροῖς παρέχει

(1) Ὅρα τὴν ἐν τῇ 179. σελ. 4. σημείωσ. (2) Ἱστορεῖ. ὁ τῆς Αὐγ. κώδ.
(3) Τὰ ἀπὸ τοῦ, ὡς, ἄχρι τέλους ἐκ τοῦ τῆς Αὐγ. κώδ. ἐλήφθη.

παρέχει τὴν εὐφροσύνην, ὡς καὶ λήθην ἔχειν ἡμᾶς παντελῆ, καὶ ἐν πολλῇ γίνεσθαι τῶν ἀγαθῶν περιουσίᾳ. καὶ ὅρα λοιπὸν τοῦ βασιλέως τὴν πρὸς τὸν δίκαιον θεραπείαν. οὐ μόνον γὰρ τοῖς τοσούτοις αὐτῶν δώροις τιμᾷ, ἀλλὰ καὶ τὴν ἐξουσίαν αὐτῷ δίδωσι τῆς ἐν τῇ γῇ κατοικήσεως. ἰδοὺ γάρ φησιν ἡ γῆ μου ἐναντίον σοῦ ἐστίν· οὗ ἐὰν σοι ἀρέσκῃ, κατοίκει.

ις. Τῇ δὲ Σάῤῥᾳ εἶπεν, ἰδοὺ δέδωκα χίλια δίδραχμα τῷ ἀδελφῷ σου. ταῦτα ἔσαι σοι εἰς τιμὴν τοῦ προσώπου σου, καὶ πάσαις ταῖς μετὰ σοῦ· καὶ πάντα ἀλήθευσον.

ΑΔΗΛΟΥ. Δεινότητι δοκεῖ μοι εἰρηκέναι οὐχὶ τῷ ἀνδρὶ σου, ἀλλὰ τῷ ἀδελφῷ σου, καὶ τὸ, πάντα ἀλήθευσον· ἤτοι προσκρούει αὐτῇ ὑποκρινομένῃ εἶναι ἀδελφῇ, καὶ οὐ γυναικὶ τοῦ Ἀβραάμ· ἢ τὸ, πάντα ἀλήθευσον, τοιοῦτόν ἐστιν. ἐπεὶ μόνοι γεγόναμεν, καὶ ἔμελλον ἐγὼ γίνεσθαι ὡς μετὰ γυναικὸς, οὐχ ἡψάμην δέ σου, ἀλλ' ἐτήρησα ἐμαυτὸν ἐν καθαρᾷ καρδίᾳ, ἀλήθευσον περὶ τοῦ μονασμοῦ ἡμῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Εἰς τιμὴν, φησὶ, τοῦ προσώπου σου· ἐπειδὴ οὐ μετὰ ἀξίας αὐτὴν ἔλαβεν, ὡς οἱ γαμοῦντες. καὶ ἔλαβεν ἐπὶ μίξει ἀγνοῶν, καὶ ὕβρισε μὴ εἰδώς. Καὶ μετ' ὀλίγα. Ἄλλος δὲ τὸ, εἰς τιμὴν τοῦ προσώπου σου, οὐ μισθὸν, φησὶ, τῆς μὴ γεγενημένης μίξεως, ἀλλ' ὑπὲρ οὗ μόνον εἶδον τὸ πρόσωπόν σου, ἐτίμησά σε ταῦτα. καὶ τὸ μέγα, ὅτι οὐκ αὐτῇ δέδωκεν, ἀλλὰ τῷ ἀνδρὶ αὐτῆς.

* ΤΟΥ ΑΥΤΟΥ. Ταῖς μετὰ σοῦ· (1) ἵνα κἀκείνας προτρέψῃ μαρτυρῆσαι παρὰ πᾶσι, τῇ ἀγνοίᾳ καὶ μὴ τὸ ἐναντίον εἶναι. (2)

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς δεξάμενος τὴν παρὰ τοῦ δικαίου διδασκαλίαν, καὶ πισεύσας τοῖς παρ' αὐτοῦ εἰρημένοις, καὶ αὐτὸς ἀδελφὸν αὐτῆς αὐτὸν καλεῖ. ἅπερ δέδωκα, φησὶ, τῷ ἀδελφῷ σου, ἔσαι εἰς τιμὴν τοῦ προσώπου σου, καὶ πάντα ἀλήθευσον. τί ἐστιν εἰς τιμὴν τοῦ προσώπου σου, καὶ πάντα A ἀλήθευσον; Ὑπὲρ ὧν δι' ἄγνοιαν ἐπεχείρησα γαμετήν σε οὖσαν τοῦ δικαίου εἰς τὴν οἰκίαν τὴν ἐμὴν ἀγαγεῖν, ὑπὲρ τούτου μόνου, ἐπειδὴ ὕβρεώς σοι αἴτιος γέγονα, τὰ χίλια δέδωκα δίδραχμα, θεραπεύων τὰ παρ' ἐμοῦ γεγενημένα εἰς σέ. ἀλλὰ πάντα ἀλήθευσον. τί ἐστι πάντα ἀλήθευσον; πάντες, φησὶ, παρὰ σοῦ μανθανέτωσαν, ὅτι οὐδὲν γέγονε παρ' ἐμοῦ παράνομον, ὅτι ἀνέπαφος ἐξῆλθες ἐκ τῆς οἰκίας τῆς ἐμῆς. δίB δαξον, φησὶ, τὸν ἄνδρα τὸν σὸν, ὅτι ἀθῶός εἰμι τῆς ἁμαρτίας· μανθανέτω παρὰ σοῦ, ὡς οὐδὲν εἴργασαί μοι. τίνος δὲ ἕνεκεν ταῦτά φησιν; ἵνα μαθὼν παρ' αὐτῆς ὁ δίκαιος καὶ πληροφορηθεὶς, τὰς ὑπὲρ αὐτοῦ προσευχὰς ἀνενέγκῃ τῷ δεσπότῃ. ἐπειδὴ γὰρ εἶπεν ἐκεῖνος, ὅτι πάντα ἀλήθευσον, ἀντὶ τοῦ δίδαξόν σου τὸν ἄνδρα τὰ γεγενημένα, εὐθέως ἐπήγαγεν ἡ Γραφή· καὶ προσηύξατο Ἀβραὰμ πρὸς τὸν Θεὸν, Γ καὶ τὰ ἑξῆς.

ιζ. Προσηύξατο δὲ Ἀβραὰμ πρὸς τὸν Θεὸν, καὶ ἰάσατο ὁ Θεὸς τὸν Ἀβιμέλεχ, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰς παιδίσκας αὐτοῦ· καὶ ἔτεκον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς διὰ πάντων περιφανέστερον τὸν δίκαιον ποιῆσαι βουλόμενος ὁ δεσπότης, ταῖς προσευΔ χαῖς τοῦ πατριάρχου τὴν σωτηρίαν τοῦ βασιλέως, καὶ πάντων τῶν ἐν τῷ οἴκῳ αὐτοῦ χαρίζεται.

ιη. Ὅτι συγκλείων συνέκλεισεν ὁ Θεὸς πᾶσαν μήτραν ἐν τῷ οἴκῳ τοῦ Ἀβιμέλεχ ἕνεκεν Σάῤῥας τῆς γυναικὸς Ἀβραάμ.

** ΠΡΟΚΟΠΙΟΥ. Συνέκλεισεν ὁ Θεὸς E πᾶσαν μήτραν, ὥσε μὴ τὰς ἐγκυμονούσας τεκεῖν. πᾶσαν οὖν κύουσαν ἀκουσέον. τὸ γὰρ περὶ τοῦ συλλαβεῖν οὐκ ἂν ἐγνώσθη ταύταις ἐν ὀλίγῳ καιρῷ.

ΑΔΗΛΟΥ. Ὅτι εἰς ὃ ἀδικεῖ τις, εἰς τοῦτο κολάζεται πολυπλασίως. ἠδίκει γὰρ τὸν Ἀβραὰμ ὁ Ἀβιμέλεχ περὶ τὴν παιδοποιΐαν.

ΚΕΦ. ΚΑ.

α. Καὶ Κύριος ὁ Θεὸς ἐπεσκέψατο τὴν Σάῤῥαν, καθὰ εἶπε· καὶ ἐποίησεν ὁ Θεὸς
β. τῇ Σάῤῥᾳ, καθὰ ἐλάλησε. Καὶ συλλαβοῦσα Σάῤῥα, ἔτεκε τῷ Ἀβραὰμ υἱὸν εἰς τὸ γῆρας, εἰς τὸν καιρὸν, καθὰ ἐλάλησεν αὐτῷ Κύριος ὁ Θεός.

γ. Καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου αὐτῷ, ὃν ἔτεκεν αὐτῷ Σάῤῥα, Ἰσαάκ.

** ΙΩΣΗΠΟΥ. Γίνεται δὲ Ἀβράμῳ μετ' οὐ πολὺ καὶ παῖς ἐκ Σάῤῥας, ὡς αὐτῷ H ὑπὸ τοῦ Θεοῦ προείρηται, ὃν Ἴσακον ὠνόμασε. τοῦτο γέλωτα σημαίνει. διὰ μέντοι τὸ τὴν Σάῤῥαν μειδιᾶσαι, τέξεσθαι φήσαντος

(1) Διατί δὲ καὶ ταῖς μετὰ σοῦ; ὁ τῆς Αὐγ. κώδ.

(2) Τὸ ἐναντίον φημίσαι. ὁ αὐτ.

σαντος τοῦ Θεοῦ, μὴ προσδοκῶσαν ἤδη τοκετοῦ, πρεσβυτέραν οὖσαν, οὕτως ἐκάλεσεν. αὕτη μὲν γὰρ ἐνενήκοντα εἶχεν ἔτη, ἑκατὸν δὲ Ἄβραμος· τίκτεται δὲ παῖς ἑκατέρων τῷ ὑσάτῳ ἔτει.

δ. Περιέτεμε δὲ Ἀβραὰμ τὸν Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ τῇ ὀγδόῃ ἡμέρᾳ, καθὰ ἐνετείλατο αὐτῷ Κύριος ὁ Θεός.

** ΙΩΣΗΠΟΥ. Εὐθὺς μετ' ὀγδόην ἡμέραν περιτέμνουσι, κἀξ ἐκείνου μετὰ τοσαύτας ἔθος ἔχουσιν οἱ Ἰουδαῖοι ποιεῖσθαι τὰς περιτομάς.

** ΠΡΟΚΟΠΙΟΥ. Πρῶτος ἐν τῇ ὀγδόῃ περιτέμνεται Ἰσαάκ. καὶ πρέποντα Χριστῷ τῷ πρωτοτύπῳ τὰ σύμβολα.

ε. Ἀβραὰμ δὲ ἦν ἐτῶν ἑκατὸν, ἡνίκα ἐγένετο αὐτῷ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἵνα μάθωμεν λοιπὸν τὴν ἄφατον δύναμιν τοῦ Θεοῦ, ὅτι καὶ τὰ παρὰ ἀνθρώποις ἀδύνατα, παρ' αὐτῷ δυνατὰ, διὰ τοῦτο καὶ τὸν χρόνον ἡμῖν πάλιν ἐπισημαίνεται ἡ θεία Γραφὴ, καὶ μετὰ τὸν τόκον διδάσκει ἡμᾶς λέγουσα, Ἀβραὰμ δὲ ἦν ἐτῶν ἑκατὸν, ἡνίκα ἐγένετο Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ.

ς. Εἶπε δὲ Σάῤῥα, γέλωτά μοι ἐποίησε Κύριος ὁ Θεός· ὃς ἂν ἀκούσῃ συγχαρεῖταί μοι.

** ΠΡΟΚΟΠΙΟΥ. Γέλωτα ἐποίησέ μοι, ὅτι χαρὰν δηλοῖ, ἐξηγήσατο εἰποῦσα· ὡς γὰρ ἂν ἀκούσῃ συγχαρήσεταί μοι.

** ΒΑΣΙΛΕΙΟΥ. Μὴ παρακρουέσθω δὲ ἡμᾶς ἡ ὁμωνυμία τοῦ γέλωτος. σύνηθες γὰρ τῇ Γραφῇ πολλάκις τὴν χαρὰν τῆς ψυχῆς, καὶ τὴν φαιδρὰν ἐπὶ τοῖς ἀγαθοῖς διάθεσιν, γέλωτα ὀνομάζειν, ὡς ἡ Σάῤῥα φησί· γέλωτά μοι ἐποίησεν ὁ Θεός· καὶ
Λουκ. 6. 21. τὸ, μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελά-
Ἰώβ. 8. 21. σετε· καὶ τὸ ἐν τῷ Ἰὼβ δὲ κείμενον· ἀληθινὸν δὲ σόμα ἐμπλήσει γέλωτος. ταῦτα γὰρ πάντα ἀντὶ ἱλαρότητος ἐπὶ τῆς κατὰ ψυχὴν ἀγαλλιάσεως εἴληπται τὰ ὀνόματα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι γέλωτά μοι ἐποίησεν ὁ Κύριος; Εὐφροσύνης ὑπόθεσίς μοι ὁ τόκος ἐστί. καὶ τί θαυμασὸν εἰ ἐμοί; καὶ πάντας τοὺς ἀκούοντας συνηδομένους ἕξω· οὐκ ἐπειδὴ ἔτεκον, ἀλλ' ἐπειδὴ οὕτως ἔτεκον. τὸ παράδοξον τοῦ γεγενημένου εἰς θαῦμα καταστήσει, καὶ πλείονα πᾶσι παρέξει τὴν ἡδονὴν, ὅταν μάθωσιν, ὅτι ἐγὼ ἡ τῶν νεκρῶν οὐδὲν ἄμεινον διακειμένη, ἀθρόον μήτηρ γέγονα, καὶ ἀπὸ κατεψυγμένης μήτρας παιδίον ἔτεκον.

A ζ. Καὶ εἶπε, τίς ἀναγγελεῖ Ἀβραὰμ, ὅτι θηλάζει παιδίον Σάῤῥα; ὅτι ἔτεκον υἱὸν ἐν τῷ γήρει μου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ ὑπὲρ φύσιν ἐστὶ τὸ γεγονὸς, διὰ τοῦτό φησι, τίς ἀναγγελεῖ; ἀντὶ τοῦ, τίς ἀναλογίσεται; τίς ἂν ἐνθυμηθείη; ποία διάνοια καταλαβεῖν δυνήσεται; ποῖος λογισμὸς εὑρεῖν ἱκανὸς τοῦ γεγενημένου τὴν ἀκρίβειαν;

B ΑΔΗΛΟΥ. Θαυμασικῶς τοῦτο εἴρηται. τίς ἔλεγε, φησὶ, τῷ Ἀβραὰμ, ὅτι Σάῤῥα ἐν τῷ γήρᾳ αὐτῆς θηλάσει παιδίον τεχθὲν αὐτῷ ὑπ' αὐτῆς;

ΑΚΑΚΙΟΥ. Οὐχ ὡς ἀγνοοῦντος, εἰ καὶ μὴ παρόντος τοῦ Ἀβραὰμ, ἡνίκα ἐθήλαζε τὸν Ἰσαὰκ ἡ Σάῤῥα, φησὶ τὸ, τίς ἀναγγελεῖ; πῶς γὰρ ἠγνόει καὶ οὐ παρὼν, ὃς καὶ ἐκάλει τὸ ὄνομα τοῦ παιΓ δὸς Ἰσαὰκ, καὶ περιέτεμεν αὐτὸ τῇ ὀγδόῃ ἡμέρᾳ; μήποτε οὖν τὸ, τίς, ὡς ἐπὶ ἀτόπου καὶ θαυμασοῦ παρείληπται; ὥσεὶ καὶ ἡμεῖς αὐτοὶ φαίημεν, τίς ἔλεγε τὸν δεῖνα ἰδιώτην βασιλεύσειν; ἀσάφεια δὲ συνέβη περὶ τὸν τόπον ἐκ τῶν χρόνων τῶν ῥημάτων. ἀντὶ μὲν γὰρ τοῦ, ἀνήγγελλε παρατατικοῦ, ὁ μέλλων κεῖται. οἷον, ἀναγγελεῖ. ἀντὶ δὲ τοῦ θηλάσει μέλλοντος, ὁ ἐνεσώς. οἷον, θηλάζει.

Δ ΙΣΙΔΩΡΟΥ. Ἐπειδὴ ἔφης δι' ἣν αἰτίαν Σάῤῥα ὀψίγονος γεγενημένη, καὶ παρόντος τοῦ Ἀβραὰμ τεκοῦσα, ἔφη· τίς ἀναγγελεῖ Ἀβραὰμ, ὅτι Σάῤῥα θηλάζει; φημὶ, ὅτι τὸ μὲν, τίς ἀναγγελεῖ τῷ Ἀβραάμ; τοιοῦτόν ἐστιν· ὦ Ἀβραὰμ, τίς ἀναγγελεῖ εἰς τὴν Περσίδα, ὅτι Σάῤῥα ἡ σεῖρα καὶ γραῦς θηλάζει; οὐ γὰρ κεῖται τίς ἀναγγελεῖ τῷ Ἀβραὰμ, ἀλλ' Ἀβραάμ. εἰ δὲ βίαιόν τις τοῦτο ἡγεῖται, ἴσως ὁμωνύμῳ τιE νὶ τοῦ Ἀβραὰμ τοῦτό φησι, διὸ οὐδὲ τὸ ἄρθρον προσέθηκεν. εἰ δὲ καὶ τότε ἀπὼν ἦν ὁ πατριάρχης, οὐκ ἔχω λέγειν. ἐκεῖνο δὲ μᾶλλον εἴποι μοι, ὅτι εἰ περὶ αὐτοῦ νομίζουσί τινες εἰρῆσθαι, καὶ παρόντος λέγεται· ὡς τὸ, τίς ἀναγγελεῖ τῷ Κυρίῳ μου; αὐτὸς Κύριος, αὐτὸς εἰσακούει. τὸ γὰρ φάναι, τίς ἑρμηνεύσει τῷ τελείῳ τὴν τοῦ ἀτελοῦς γαλακτοτροφίαν; πλέον τοῦ πιθανοῦ τὸ περίεργον ἔχει. καὶ περὶ μὲν Z τούτων ἅλις. διὰ τοῦτο δὲ οὐκ εἶπε τέτοκεν, ἵνα μὴ ὑποβολιμαῖον εἶναι νομισθῇ, ἀλλὰ θηλάζει. αἱ γὰρ τοῦ γάλακτος πηγαὶ τὸν τόκον ἐγγυῶνται. τοῦ γὰρ γνησίου τόκου ἡ τοῦ γάλακτος ἐπιῤῥοὴ ἀπόδειξις ἐναργεστάτη.

η. Καὶ ηὐξήθη τὸ παιδίον, καὶ ἀπεγαλακτίσθη· καὶ ἐποίησεν Ἀβραὰμ δοχὴν μεγάλην ᾗ ἡμέρᾳ ἀπεγαH λακτίσθη Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ.

ΑΔΗΛΟΥ. Ζητητέον ἐν ὅλῃ τῇ Γραφῇ, μήποτε ἐπ' οὐδενὸς ἀδίκου εἴρηται τὸ, ηὐξήθη. ἡ γὰρ αὐξάνεσθε καὶ πληθύνεσθε

θε εὐλογία ἐπὶ τοῖς ἀξίοις εὐλογίας μόνον φθάνει.

** ΠΡΟΚΟΠΙΟΥ. Σημειωτέον, ὅτι οὐδενὶ τῶν ἁμαρτωλῶν μεμαρτύρηται τὸ ἀπογεγαλακτίσαι. δίκαιος γὰρ ἦν καὶ ὁ Σαμουήλ. καὶ Ἰσαὰκ δὲ οὐκ ἂν κατὰ τὸ πνευματικὸν ἀπεγαλακτίσθη, εἰ μὴ μεμαρτύρηται πρὸ τούτου, ὅτι ηὐξήθη. ἔτι δὲ τηρητέον, ὅτι παρ' οὐδενὶ ἡ συνήθεια αὕτη ἐστὶ τοῦ δοχὴν ποιεῖν ἐπὶ τῷ ἀπογαλακτισμῷ τῶν παιδίων, ἀλλὰ μᾶλλον ἐπὶ γενεθλίῳ. ἐπειδὴ δὲ γνωστικά ἐστι τὰ γεγραμμένα· γενέθλιον μὲν ποιοῦσιν οἱ φαῦλοι, Φαραὼ καὶ Ἡρώδης, τὰ γενέσεως ἀγαπῶντες πράγματα· ἀπογαλακτισμὸν δὲ οἱ δίκαιοι, ὡς Ἀβραὰμ καὶ Ἄννα. μεγάλης δὲ δοχῆς ἄξια τῷ κατὰ Θεὸν πατρὶ τὸ ἰδεῖν τὸν ἐν Χριστῷ παρ' αὐτῷ ἀναγεννηθέντα, καταλιπόντα μὲν τὴν τῶν νηπίων τροφήν, ἐφθακότα δὲ ἐπὶ τὴν τῶν τελείων. σημειωτέον δὲ καὶ τοῦτο, ὅτι τοῦ Ἰσμαὴλ ἀπογαλακτισμὸς οὐδαμῶς ἀναγέγραπται. διὸ περὶ τὰ εἴκοσι γεγονὼς ἔτη, παιδίον ὀνομάζεται.

θ. Ἰδοῦσα δὲ Σάρρα τὸν υἱὸν Ἄγαρ τῆς Αἰγυπτίας, ὃς ἐγένετο τῷ Ἀβραάμ, παίζοντα μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτῆς.

ΑΔΗΛΟΥ. Τό, παίζοντα περιεσταλμένως εἶπεν ἡ Γραφή· ἐν γὰρ τῷ παίζειν Ἰσμαὴλ ἔτυπτε τὸν Ἰσαάκ. ὠργίσθη δὲ ἡ Σάρρα θεασαμένη. καὶ διὰ τοῦτο τῷ Ἀβραάμ φησιν, ἔκβαλε τὴν παιδίσκην, καὶ τὰ ἑξῆς.

ΑΚΑΚΙΟΥ. Ἰδοῦσα δὲ Σάρρα τὸν υἱὸν Ἄγαρ τῆς Αἰγυπτίας, ὅτι παίζει μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτῆς. μήποτε τὸ παίζειν, ἀντὶ τῆς μάχης, καὶ τῆς διώξεως εἴρηται, ὡς καὶ ἐν τῇ β' τῶν Βασιλειῶν, ἡ περὶ τῶν παιδαρίων τοῦ Δαβίδ, καὶ τοῦ Σαούλ. φησὶ δὲ ὁ Παῦλος περὶ τῶν ἀμφὶ τὸν Ἰσμαήλ·
Γαλ. 4. 29. ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα ἐδίωκε τὸν κατὰ πνεῦμα. εἰκὸς δέ ἐστι κατὰ τὴν Ἑβραίων διάλεκτον ὁμωνυμεῖν τήν τε μάχην καὶ τὴν παιδιάν, ὡς καὶ παρ' ἡμῖν ἔνια τῶν σημαινομένων. οἷον, τὸ μῆλον οὐ μόνον ἐπὶ τοῦ ἀκροδρύου, ἀλλὰ καὶ ἐπὶ τοῦ ζώου· καὶ τὸ ἄντικρυς οὐ μόνον ἐπὶ τοῦ ἐναντίου, ἀλλὰ καὶ ἐπὶ τοῦ σαφοῦς· καὶ ἡ ἀσπὶς οὐ μόνον ἐπὶ τοῦ ὅπλου, ἀλλὰ καὶ ἐπὶ τοῦ θηρίου.

ΔΙΟΔΩΡΟΥ. Τισὶν ἔδοξε, πονηρὸν ὄντα τὸν Ἰσμαήλ, κρίσει Θεοῦ ἀποβεβλῆσθαι. διὰ γοῦν τοῦτο μηδὲν εἰληφέναι παρὰ τοῦ πατρός· καὶ μάρτυς ὁ Παῦλος λέγων.
Γαλ. 4. 29. ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα ἐδίωκε τὸν κατὰ πνεῦμα. ὥστε καὶ ἡ Σάρρα οὐχ ἁπλῶς παίζοντα θεασαμένη τὸν Ἰσμαὴλ μετὰ τοῦ Ἰσαὰκ ἐκινήθη, εἰ καὶ ἁπλούστερον λέγει αὐτὸ ὁ Μωϋσῆς. οὕτω καὶ ὁ Ἀβεννήρ, καὶ Ἰωὰβ ἀντεπαρετάξαντο.
2. Βασ. 2. 14. ὁ μέν, ὑπὲρ τοῦ υἱοῦ Σαούλ· ὁ δέ, ὑπὲρ Δαβίδ. παιξάτωσάν φησι τὰ παιδία ἔμ-

A προσθεν ἡμῶν, ἀντὶ τοῦ μαχεσάσθωσαν. οὕτω, τὸ παῖξαι καὶ ἐπὶ μάχης λαμβάνειν εἴωθεν ἡ Γραφή· καὶ ἐμπαῖξαι, τὸ βίᾳ συγκαθυβρίσαι.

ΚΥΡΙΛΛΟΥ. Δίωξις οἶμαί που τῆς παιδιᾶς ὁ τρόπος. καὶ εἵπετο μὲν διώκων ὁ Ἰσμαήλ, κατεφορᾶτο δὲ φεύγων ὁ Ἰσαάκ. ἀλλ' ἠγανάκτει πρὸς τοῦτο τῆς ἐλευθέρας ὁ νοῦς. Καὶ μετ' ὀλίγα. Ἄθρει δὴ οὖν ὅπως πρὸς τὴν τοῦ μυστηρίου γνῶσιν οὐκ ἀσυντελὲς οὐδὲ
B αὐτά που τάχα τῶν νηπίων τὰ ἀθύρματα. ἐδίωκε μὲν γὰρ ὁ Ἰσμαὴλ τὸν Ἰσαάκ. ἀλλ' ὅτι διώξει κατὰ καιροὺς ὁ ἐκ τῆς θεραπαίνης, τουτέστιν ὁ Ἰσμαήλ, τὸν ἐκ τῆς ἐλευθέρας, τουτέστι τὸν ἐν πίστει καὶ Χριστῷ λαόν, διεσάφει λέγων ὁ μακάριος Παῦλος· ἀλλ' Γαλ. 4. 29.
ὥσπερ τότε ὁ κατὰ σάρκα ἐδίωκε τὸν κατὰ πνεῦμα, οὕτω καὶ νῦν.

ι. Εἶπε τῷ Ἀβραάμ, ἔκβαλε τὴν
Γ παιδίσκην, καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ.

** ΠΡΟΚΟΠΙΟΥ. Εἴπερ ἐν ἱστορίᾳ ταῦτά φασιν ἀναγέγραπται, καὶ μὴ ἐν ὑπονοίαις, πρῶτον μὲν ἐπὶ τῷ παίζειν τὰ παιδία οὐκ ἂν ἠγανάκτησε· δεύτερον δὲ οὐκ ἂν εἶπεν ἐκβαλεῖν, ἀλλὰ μόνον μὴ κληρονομεῖν. ὡς καλῶς δὲ εἰπούσῃ Θεὸς αὐτῇ
Δ μεμαρτύρηκεν. ἔδοξε δέ τισι πονηρὸν ὄντα τὸν Ἰσμαὴλ κρίσει Θεοῦ ἀποβεβλῆσθαι, καὶ διὰ τοῦτο μηδὲν εἰληφέναι παρὰ τοῦ πατρός.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ ᾔδει, ὅτι καὶ αὐτὴ ἐν ἐσχάτῳ γήρᾳ τυγχάνει, καὶ τὸν πατριάρχην ἑώρα προβεβηκότα· ἦσαν γὰρ ἀμφότεροι προβεβηκότες ἡμερῶν· ὑφορῶσα, μήποτε ἀθρόως αὐτῶν τελευτησάντων, ὁ Ἰσμαὴλ διὰ τὸ ἐκ τῆς
E τοῦ πατριάρχου συνουσίας τεχθῆναι, ἐπιχειρήσει εἰς τὸν κλῆρον ἑαυτὸν τοῦ πατρὸς εἰσαγαγεῖν, καὶ κοινωνὸς γενέσθαι τῷ Ἰσαάκ, διὰ τοῦτό φησιν, ἔκβαλε τὴν παιδίσκην ἐντεῦθεν καὶ τὸν υἱὸν αὐτῆς. μανθανέτω, φησίν, ἤδη ὅτι οὐδὲν κοινὸν ἕξει ὁ τῆς παιδίσκης υἱὸς μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ. οὐδὲ γὰρ εὔλογον τὸν τῆς δούλης υἱὸν μετὰ τοῦ υἱοῦ τοῦ ἐμοῦ τῆς δεσποίνης συνα-
Z ναστρέφεσθαι.

ια. Σκληρὸν δὲ ἐφάνη τὸ ῥῆμα σφόδρα ἐναντίον Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἡ μὲν Σάρρα οὐκ ἀπεικὸς πρᾶγμα πέπονθεν, ἀλλὰ καὶ σφόδρα ἀκόλουθον, καὶ οὕτως ἀκόλουθον, ὡς καὶ τὸν Θεὸν συναινέσαι τοῖς παρ' αὐτῆς εἰρημένοις. ὁ δὲ πατριάρχης φι-
H λόστοργος ὤν, καὶ συμπαθῶς διακείμενος πρὸς τὸν Ἰσμαήλ, ἐπαχθῶς ἐδέξατο τὰ παρὰ τῆς Σάρρας εἰρημένα. σκληρὸν γάρ φησιν ἐφάνη τὸ ῥῆμα ἐναντίον Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ. οὐδὲ γὰρ τῆς

Ἄγαρ ἐποιήσατο λόγον, ἀλλὰ συμπαθῶς πρὸς τὸν παῖδα διέκειτο, ἅτε δὴ λοιπὸν ἐν ἡλικίᾳ γεγονότα.

ΚΥΡΙΛΛΟΥ. Δεδυσφόρηκε μὲν γὰρ Ἀβραάμ, ἀποτρεχούσης τῆς Ἄγαρ, ἠφίει δ' οὖν ὅμως Θεοῦ προστάττοντος. ἐλύπει μὲν γὰρ ὁμολογουμένως τοὺς ἁγίους Ἀποστόλους καὶ Εὐαγγελιστὰς ἐκπίπτων ὁ Ἰσραήλ, πλὴν ἀπενοσφίζοντο καὶ οὐχ ἑκόντες αὐτοῦ, διά τοι τὸ τῷ Θεῷ δοκοῦν, καὶ τὴν εἰς Χριστὸν ἀγάπησιν. καὶ γοῦν ὁ θεσπέσιος γράφει
Ῥωμ. 9. 2, 3, 4. Παῦλος, ὅτι λύπη μοι ἐστὶ μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα· οἵτινές εἰσιν Ἰσραηλῖται.

ιβ. Εἶπε δὲ ὁ Θεὸς τῷ Ἀβραάμ, μὴ σκληρὸν ἔστω τὸ ῥῆμα ἐναντίον σου περὶ τοῦ παιδίου, καὶ περὶ τῆς παιδίσκης. πάντα ὅσα ἂν εἴπῃ σοι Σάρρα, ἀκούσῃ τῆς φωνῆς αὐτῆς· ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.

ΑΔΗΛΟΥ. Τῇ μὲν Εὔᾳ εἶπεν ὁ Θεός,
Γεν. 3. 16. πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· τῷ δὲ Ἀβραάμ, πάντα ὅσα ἂν εἴπῃ σοι Σάρρα, ἄκουε τῆς φωνῆς αὐτῆς. ἀνεστράφη γὰρ ἡ τάξις, φησί, διὰ τὴν ἀρετὴν τῆς Σάρρας.

ιγ. Καὶ τὸν υἱὸν δὲ τῆς παιδίσκης ταύτης εἰς ἔθνος μέγα ποιήσω αὐτόν, ὅτι σπέρμα σόν ἐστιν.

ΑΔΗΛΟΥ. Ὅτι τῆς παιδοποιΐας τὸ πλῆθος δέδωκεν, ὡς ὑπέσχετο, μαρτυρεῖ τὰ ὁρώμενα. ἀπὸ γὰρ τῶν ὅρων Αἰγύπτου μέχρι τῆς Βαβυλῶνος, τοῦ γένους ἡ ἔρημος πλήρης.

ΑΔΗΛΟΥ. Ὅτι τὸ σπέρμα τοῦ εὐσεβοῦς τίμιον παρὰ τῷ Θεῷ.

ιδ. Ἀνέστη δὲ Ἀβραὰμ τῷ πρωΐ, καὶ ἔλαβεν ἄρτους καὶ ἀσκὸν ὕδατος, καὶ ἔδωκεν Ἄγαρ, καὶ ἐπέθηκεν ἐπὶ τῶν ὤμων αὐτῆς, καὶ τὸ παιδίον, καὶ ἀπέστειλεν αὐτήν.

ΔΙΟΔΩΡΟΥ. Σὺ δὲ ἀκούων, ὅτι ἐπέθηκεν ἐπὶ τῶν ὤμων τῆς Ἄγαρ ὁ Ἀβραὰμ τὸν ἀσκὸν τοῦ ὕδατος, καὶ τοὺς ἄρτους, καὶ τὸ παιδίον, μὴ νόμιζε τὸ παιδίον ἐπικεκαθηκέναι τοῖς ὤμοις τῆς μητρός· καὶ γὰρ ἦν ἤδη πεντεκαιδεκαετής· ἀλλ' ἄκουε τῆς ἀκολουθίας λεγούσης, ἀνέστη δὲ Ἀβραὰμ τῷ πρωΐ, καὶ ἔλαβεν ἄρτους, καὶ ἀσκὸν ὕδατος, καὶ ἔδωκεν Ἄγαρ, καὶ ἐπέθηκεν ἐπὶ τῶν ὤμων αὐτῆς· καὶ τὸ παιδίον, οὐχ ἐπέθηκεν, ἀλλ' ἔδωκεν. ἐκείνῳ γὰρ συνάπτεται τό, ἔδωκε καὶ τὸ παιδίον, οὐχὶ
A τῷ, ἐπέθηκεν ἐπὶ τῶν ὤμων αὐτῆς. τάχα δὲ ὅπερ καὶ ἀληθέστερόν ἐστιν, οἱ κατ' ἐκεῖνον τὸν χρόνον πεντεκαιδεκαετεῖς, βρέφη ἐτύγχανον, οἷς τεσσαρακονταετὴς καὶ πεντηκονταετὴς χρόνος τῆς ἡλικίας ἤκμαζεν εἰς τὸν τοῦ γάμου καιρόν. λάβε γάρ μοι τὴν ἀναλογίαν ὅλης τῆς ζωῆς, καὶ τοῦ κατὰ τὸν καιρὸν γάμου, καὶ οὐ θαυμάσεις, εἰ ὁ πεντεκαιδεκαετὴς ἔτι βρέφος ἦν, τοῖς ὤμοις τῆς γεννησάσης ἐπιτιθέμενος.

B ΑΔΗΛΟΥ. Ὠμὸν ἄγαν εἶναι δοκεῖ τὸ νέον ὄντα τὸν Ἰσμαὴλ ἐξελθεῖν ἐκ τῆς πατρικῆς οἰκίας μετὰ μόνης τῆς μητρός, καὶ τοῦ ἀσκοῦ τοῦ ὕδατος.

ΑΔΗΛΟΥ. Καὶ τοῦτο ἄντικρυς δείκνυσι τὴν τοῦ Ἀβραὰμ ἀρετήν. τῆς μὲν γὰρ Σάρρας εἰρηκυίας, ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς, οὐχ ὑπήκουσε· τοῦ δὲ Θεοῦ κελεύσαντος, εὐθὺς τῷ λόγῳ τὸ ἔρ-
Γ γον ἐπέθηκε· καὶ ταῦτα φιλοστόργως περὶ τὸν Ἰσμαὴλ διακείμενος. καὶ γὰρ ἡνίκα τὴν ἐκ τῆς Σάρρας παιδοποιΐαν ὁ Θεὸς ἐπηγγείλατο, αὐτὸς ἔφη, Ἰσμαὴλ οὗτος ζήτω ἐναντίον σου. ἀλλ' ὅμως καὶ στέργων κομιδῇ τὸ παιδίον, πεποίηκεν ὅπερ ὁ δεσπότης προσέταξεν. οὕτω δὲ ταῖς θείαις ἐπαγγελίαις πεπίστευκεν, ὅτι οὐ παῖδας, οὐ παιδίσκας, οὐ χρυσόν, οὐκ ἄργυρον δεδωκὼς ἀπέλυσε τῆς οἰκίας τὸ παιδίον, ἀλλ'
Δ ἄρτους ὀλίγους καὶ ἀσκὸν ὕδατος, καὶ τὴν μητέρα. ᾔδει γάρ, ὡς ἀψευδὴς ἡ τοῦ προστεταχότος ὑπόσχεσις. ὑπέσχετο δὲ αὐτῷ ὁ Θεὸς εἰς ἔθνος μέγα ποιήσειν αὐτόν, ἅτε δὴ τῆς αὐτοῦ γεωργίας ἠξιωμένον. ὃ δὴ καὶ πεπλήρωκε.

ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ δὲ πεπολέμηκε τοῖς ἐκ τῆς ἐλευθέρας ὁ Ἰσμαήλ, ἐκπέμπεται λοιπὸν ἡ τῶν Ἰουδαίων συναγωγὴ στενὸν καὶ ἀλίπαρες ἐφόδιον ἔχουσα, ἄρτον
E καὶ ὕδωρ· τουτέστιν ἐπιμετρηθεῖσα τρόπον τινὰ γνώσεώς τε καὶ εὐλαβείας μέτρον, δι' ὧν ἦν εἰκὸς οὐκ εἰς ἅπαν οἰχήσεσθαι πρὸς τὸ ἐκτεθνάναι δεῖν.

Ἀπελθοῦσα δὲ ἐπλανᾶτο κατὰ τὴν ἔρημον, κατὰ τὸ φρέαρ τοῦ ὅρκου.

ΑΔΗΛΟΥ. Τὸ φρέαρ τοῦ ὅρκου ἐστὶν ἡ νῦν καλουμένη Βηρσαβεέ.

Z * ΠΡΟΚΟΠΙΟΥ. Τοῦτο συγκριτέον τῷ, Ἰσαὰκ δὲ ἐπορεύετο διὰ τῆς ἐρήμου κατὰ Γεν. 24. 62.
τὸ φρέαρ τῆς ὁράσεως· ἵνα θεωρηθῇ, ὅτι ἡ μὲν παιδίσκη διὰ τῆς ἐρήμου ἐπλανᾶτο, ὁ δὲ Ἰσαὰκ διὰ τῆς ἐρήμου πορεύεται ἁπλῶς, καὶ ἀμφότεροί γε κατὰ φρέαρ γίνονται. ἡ μὲν παιδίσκη, τοῦ ὅρκου· ὁ δὲ δίκαιος, τῆς ὁράσεως. ἀλλ' ἡ μέν, πλανωμένη· ὁ δέ, θεωρῶν. ἰστέον δέ, ὡς μετὰ
H τὰ φρέατα τῆς ἀδικίας, καὶ ἐχθρίας, καὶ εὐρυχωρίας, ὀνομάζεται τὸ φρέαρ τοῦ ὅρκου. σύμβολον τοῦ κρείττονος ὄντος. (1)

ιε. Ἐξέ-

(1) Τοῦ κρείττον ὅσον, ὡς ἐν τῷ τόπῳ φανήσεται. ὁ τῆς Αὐγ. κώδ.

ιε. Ἐξέλιπε δὲ τὸ ὕδωρ ἐκ τοῦ A ἀσκοῦ· καὶ ἔῤῥιψε τὸ παιδίον ὑποκάτω μιᾶς ἐλάτης.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐκ τῆς εἰς δουλείαν γεννώσης Ἄγαρ, καὶ τοῦ ἐξ αὐτῆς κατὰ σάρκα γεγεννημένου τὸ ὕδωρ ἐπιλέλοιπε τὸ συναχθὲν εἰς ἀσκόν. καὶ τοῦτό ἐστιν ἰδεῖν ἐπὶ τοῦ κατὰ σάρκα Ἰσραὴλ, ὅτε οὔτε Προφῆται, οὔτε σοφοί εἰσι παρ' αὐτοῖς. ἀλλὰ καὶ ἐπὶ τῶν λεγόντων εἰς Χριστὸν B πεπιστευκέναι, καὶ νηπίων ὄντων ἐν Χριστῷ φοβεῖσθαι δεῖ, μήποτε (1) εἰ μὴ προκόψαιεν, ἐκλίποι τὸ ὕδωρ.

ις. Ἀπελθοῦσα δὲ ἐκάθητο ἀπέναντι αὐτοῦ μακρόθεν, ὡσεὶ τόξου βολήν· εἶπε γὰρ, οὐ μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου μου. καὶ ἐκάθησεν ἀπέναντι αὐτοῦ. ἀνεβόησε δὲ τὸ παιδίον, Γ καὶ ἔκλαυσε.

ιζ. Εἰσήκουσε δὲ ὁ Θεὸς τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ τόπου οὗ ἦν. καὶ ἐκάλεσεν Ἄγγελος Θεοῦ τὴν Ἄγαρ ἐκ τοῦ οὐρανοῦ, καὶ εἶπεν αὐτῇ, τί ἐστιν Ἄγαρ; μὴ φοβοῦ· ἐπακήκοε γὰρ ὁ Θεὸς τῆς φωνῆς τοῦ παιδίου σου ἐκ τοῦ τόπου οὗ ἐστίν.

Δ

ΑΔΗΛΟΥ. Ἅμα ἔκλαυσε τὸ παιδίον πόματος ἐφιέμενον, καὶ Ἄγγελος θεόθεν ἀποσταλεὶς, φρέαρ ὑπέδειξε ποτίμου ὕδατος πλῆρες.

* ΠΡΟΚΟΠΙΟΥ. Χαριέντως πολὲ χρησόμεθα τῷ ῥητῷ ἐπὶ τῷ δεῖν τὰ παιδία προσεύχεσθαι, ὡς ἐπακουσθησόμενα. καὶ ἄλλως δὲ οὐ καταφρονητέον τῶν πνευματικῶν παιδίων, εἰ καὶ μὴ τετελείωνται· E ὧν τῆς φωνῆς ἀκούσει ποτὲ Θεός. καὶ τὸ θαυμαστόν γε, ὅτι Ἄγγελος Θεοῦ καλέσας τὴν Ἄγαρ ἐκ τοῦ οὐρανοῦ, μαρτυρεῖ τὸ τὸν Θεὸν ἐπακηκοέναι τῆς τοῦ παιδίου φωνῆς.

ΑΔΗΛΟΥ. Ὅτι ὁ Ἄγγελος, τοῦ Θεοῦ τὸ πρόσωπον ἐπέχει ἀποστελλόμενος εἰς διακονίαν.

ιη. Ἀνάστηθι, λάβε τὸ παιδίον, Z καὶ κράτησον τῇ χειρί σου αὐτό· εἰς γὰρ ἔθνος μέγα ποιήσω αὐτό.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐκ ἐπειδὴ παιδίσκη ἦν, ὑπερεῖδεν αὐτήν, ἀλλ' ἐπειδὴ ἐπαγγελίαν ἐποιήσατο πρὸς τὸν πατριάρχην, καὶ ἐπειδὴ ἐκείνου τὸ σπέρμα ἐτύγχανε τοσαύτης προνοίας καὶ αὐτὴν ἀξιοῖ. Καὶ μετ' ὀλίγα. Μὴ ἀθύμει, φησὶ, διὰ τὸ ἐκβληθῆναί σε τῆς οἰκίας. τοσαύτης H γὰρ ἀπολαύσεται τῆς παρ' ἐμοῦ προνοίας, ὡς καὶ εἰς ἔθνος μέγα γενέσθαι αὐτό.

(1) Μήποτε καὶ τῶν τοιούτων. ὁ τῆς Αὐγ. κώδ.

A ιθ. Καὶ ἀνέῳξεν ὁ Θεὸς τοὺς ὀφθαλμοὺς αὐτῆς· καὶ εἶδε φρέαρ ὕδατος ζῶντος. καὶ ἐπορεύθη, καὶ ἐπλήρωσε τὸν ἀσκὸν ὕδατος, καὶ ἐπότισε τὸ παιδίον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐκ ἐπειδὴ πρὸ τούτου οὐχ ἑώρα, ἀλλ' ἐπειδὴ καὶ τῶν ὀφθαλμῶν ἀνεῳγμένων, οὐδὲν αὐτῇ ὄφελος ἐγένετο πρὸ τῆς ἄνωθεν ἐπισκοπῆς. B διὰ τοῦτο ὅτε ἐβουλήθη τὴν παρ' αὐτοῦ κηδεμονίαν ἐπιδείξασθαι, φησὶν, ἀνέῳξε τοὺς ὀφθαλμοὺς αὐτῆς, ἀντὶ τοῦ, ὑπέδειξεν αὐτῇ ἀγνοούσῃ, τὴν διάνοιαν αὐτῆς διήγειρεν, ὡδήγησεν αὐτὴν, ὥστε ἰδεῖν τὸν τόπον τὸν ἀναβλύζοντα τοῦ ὕδατος τὰς πηγάς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Πάνυ ἐξητασμένως τὴν Ἄγαρ ἄγουσιν οἱ χρησμοὶ εὑρισκομένην μὲν ἐπὶ τῆς πηγῆς, οὐκ ἀρυο- Γ μένην δὲ ἀπ' αὐτῆς. οὔπω γάρ ἐστιν ἱκανὴ ψυχὴ προκόπτουσα, τῷ τῆς σοφίας ἀκράτῳ ποτῷ χρῆσθαι· πλησίον δ' οὐ κεκώλυται ποιεῖσθαι τὰς διατριβάς.

* ΠΡΟΚΟΠΙΟΥ. Κατὰ ἀναγωγὴν δὲ, οὐχ οἷόν τε ἐστὶν ἰδεῖν τὸ φρέαρ τοῦ ὕδατος τοῦ ζῶντος, εἰ μὴ Θεοῦ ἀνοίγοντος τοὺς ὀφθαλμοὺς τοῦ ὀψομένου αὐτό.

** ΤΟΥ ΑΥΤΟΥ. Τινές φασιν, ὡς αὐτὴ τὸ φρέαρ ἴσως οὕτως ἐκάλεσεν ἀπὸ Δ τοῦ πιόντα τὸν παῖδα ζῆσαι.

ΚΥΡΙΛΛΟΥ. Ἀπόπεμπτος δὲ γενομένη τῶν Ἰουδαίων ἡ μήτηρ, μακροὺς ἐπλανᾶτο χρόνους, καὶ κεκινδυνεύκεν ἀπολέσθαι λοιπὸν εἰς τὸ παντελές. ἀλλ' εἰ κλαύσειαν κατὰ καιροὺς ἀναβοῶντες πρὸς Θεὸν, πάντῃ τε καὶ πάντως ἐλεηθήσονται. διανοίξει γὰρ αὐτῶν τῆς διανοίας τοὺς ὀφθαλμοὺς ὁ Θεὸς, ὄψονται δὲ καὶ αὐτοὶ τὴν E πηγὴν τοῦ ζῶντος ὕδατος, τουτέστι Χριστόν. καὶ δὴ καὶ πιστεύοντες, εὐφρανθήσονται, λουσάμενοί τε γενήσονται καθαροὶ κατὰ τὴν τοῦ Προφήτου φωνήν.

κ. Καὶ ἦν ὁ Θεὸς μετὰ τοῦ παιδίου· καὶ ηὐξήθη, καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ Φαράν· ἐγένετο δὲ τοξότης.

Z ΑΔΗΛΟΥ. Ἐπεὶ ἀνωτέρω ἐσημειωσάμεθα, ἐπὶ μηδενὸς φαύλου τετάχθαι τὸ, ηὐξήθη, ἀπολογητέον περὶ τούτου· ἵνα χώραν ἔχῃ τεταγμένην ἐπὶ τοῦ Ἰσμαὴλ τὸ, ηὐξήθη, προτέταχεν αὐτοῦ τὸ, καὶ ἦν ὁ Θεὸς μετὰ τοῦ παιδίου· ὡς εἰ μὴ ἦν ὁ Θεὸς μετ' αὐτοῦ, οὐκ ἂν ηὐξήθη.

** ΠΡΟΚΟΠΙΟΥ. Προεῖπε γὰρ ὁ Ἄγγελος αὐτῇ περὶ τοῦ γεννᾶσθαι μέλλοντος, καὶ αὐτὸς ἔσται ἄγριος ἄνθρωπος.

H κα. Καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ Φαράν· καὶ ἔλαβεν αὐτῷ ἡ μήτηρ γυναι-

κβ. γυναῖκα ἐκ τῆς Αἰγύπτου. Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ εἶπεν Ἀβιμέλεχ, καὶ Ὀχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ, καὶ Φιχὸλ ὁ ἀρχιστράτηγος τῆς δυνάμεως αὐτοῦ πρὸς Ἀβραὰμ, λέγων, ὁ Θεὸς μετὰ σοῦ ἐν πᾶσιν, οἷς ἐὰν ποιῇς.

κγ. Νῦν οὖν ὄμοσόν μοι τὸν Θεὸν μὴ ἀδικήσειν με, μηδὲ τὸ σπέρμα μου, μηδὲ τὸ ὄνομά μου· ἀλλὰ κατὰ τὴν δικαιοσύνην ἣν ἐποίησα μετὰ σοῦ, ποιήσεις μετ' ἐμοῦ, καὶ τῇ γῇ ᾗ σὺ παρῴκησας ἐν αὐτῇ.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐδένα μὲν ἀδικεῖ ὁ δίκαιος. μὴ πειθόμενος δὲ περὶ αὐτοῦ ὁ » Ἀβιμέλεχ, φησὶν, ὅτι ὄμοσόν μοι τὸν Θεὸν » μὴ ἀδικήσειν με· ἀλλ' οὐδὲ τὸ σπέρμα αὐτοῦ (1) ὁ Ἀβραὰμ ἠδίκησεν ἄν, οὐδὲ τὸ ὄνομα τοῦ Ἀβιμέλεχ.. ὄνομα δὲ ἀδικεῖ ὁ δυσφημίαν καταχέων τινός.

κδ. Καὶ εἶπεν Ἀβραὰμ, ἐγὼ ὀμοῦμαι.

κε. Καὶ ἤλεγξεν Ἀβραὰμ τὸν Ἀβιμέλεχ περὶ τῶν φρεάτων τοῦ ὕδατος, ὧν ἀφείλοντο οἱ παῖδες τοῦ Ἀβιμέλεχ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἵνα μηδὲν ἐάσῃ λύπης ἐχόμενον ἐν τῇ ψυχῇ αὐτοῦ, τῶν συνθηκῶν γινομένων· οὐκ ἀνεχόμενος εἰρηνεύειν, ὡς ἄλλοι, τῷ σώματι. τοῦτο δὲ ποιεῖ καὶ ὅτε λαμβάνει τὸ σπήλαιον τὸ διπλοῦν.

κϛ. Καὶ εἶπεν αὐτῷ Ἀβιμέλεχ, οὐκ ἔγνων τίς ἐποίησέ σοι τὸ πρᾶγμα τοῦτο· οὐδὲ σύ μοι ἀπήγγειλας, οὐδὲ ἐγὼ ἤκουσα, ἀλλ' ἢ σήμερον.

κζ. Καὶ ἔλαβεν Ἀβραὰμ πρόβατα καὶ μόσχους, καὶ ἔδωκε τῷ Ἀβιμέλεχ. καὶ διέθεντο ἀμφότεροι διαθήκην.

ΑΔΗΛΟΥ. Τοσοῦτον αὐτοῦ τὸ ἀνεξίκακον, ὥστε μετὰ ταῦτα καὶ δῶρα προσδίδωσι.

κη. Καὶ ἔστησεν Ἀβραὰμ ἑπτὰ
κθ. ἀμνάδας προβάτων. Καὶ εἶπεν Ἀ-
βιμέλεχ πρὸς Ἀβραὰμ, τί εἰσιν αἱ
ἑπτὰ ἀμνάδες τῶν προβάτων τούτων,
λ. ἃς ἔστησας μόνας; Καὶ εἶπεν Ἀβραὰμ, ὅτι τὰς ἑπτὰ ἀμνάδας ταύτας λήψῃ παρ' ἐμοῦ, ἵνα ὦσί μοι εἰς μαρτύριον, ὅτι ἐγὼ ὤρυξα τὸ φρέαρ τοῦτο.

** ΠΡΟΚΟΠΙΟΥ. Τὰς ἑπτὰ δὲ, φασὶν, ἀμνάδας ἴσως τίμημα παρέσχε τοῦ τόπου, τὰς τῶν μετὰ ταῦτα μάχας πρὸς τοὺς ἐξ αὐτοῦ προαναστέλλων. ἐκεῖνοι δὲ τὰς συνθήκας παρέβησαν.

λα. Διὰ τοῦτο ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Φρέαρ ὁρκισμοῦ· ὅτι ἐκεῖ ὤμοσαν ἀμφότεροι.

λβ. Καὶ ἔθεντο ἐκεῖ διαθήκην ἐν τῷ φρέατι τοῦ ὅρκου. ἀνέστη δὲ Ἀβιμέλεχ, καὶ Ὀχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ, καὶ Φιχὸλ ἀρχιστράτηγος δυνάμεως αὐτοῦ, καὶ ἀπέστρεψαν εἰς τὴν γῆν Φυλιστιείμ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐπέστρεψαν » εἰς τὴν γῆν τῶν Φυλιστιείμ. εἶπε γὰρ ἄνω, ὅτι ἕως Γεράρων ἐξετείνετο τῶν Χαναναίων τὰ ὅρια.

λγ. Καὶ ἐφύτευσεν Ἀβραὰμ ἄρουραν ἐπὶ τῷ φρέατι τοῦ ὅρκου· καὶ ἐπεκαλέσατο ἐκεῖ τὸ ὄνομα Κυρίου, Θεὸς αἰώνιος.

ΑΔΗΛΟΥ. Ὁ Ἀβραὰμ καὶ τοῖς τόποις ἐκ τῆς εὐσεβείας ἐπιτέθεικε τὰ ὀνόματα. φυτεύσας γὰρ ἄρουραν ἐπὶ τῷ φρέατι τοῦ ὅρκου, ἐπεκαλέσατο τὸ ὄνομα » τοῦ τόπου ἐκείνου, Θεὸς αἰώνιος.

λδ. Παρῴκησε δὲ Ἀβραὰμ ἐν τῇ γῇ τῶν Φυλιστιείμ ἡμέρας πολλάς.

ΚΕΦ. ΚΒ.

α. Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραὰμ, καὶ εἶπε πρὸς αὐτὸν, Ἀβραὰμ, Ἀβραάμ· ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τότε μετὰ τὰ ῥήματα ταῦτα τῆς ἐπαγγελίας, καὶ μετὰ τὸ εἰπεῖν, ὅτι ἐν αὐτῷ κληθήσεταί σοι σπέρμα, καὶ αὐτὸς ἔσται σου διάδοχος. μετὰ τὰ ῥήματα ταῦτα ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραάμ. Τί ἐστιν ἐπείραζεν; οὐχ ὡς αὐτὸς ἀγνοῶν, ἀλλὰ προσῆγε αὐτῷ τὴν πεῖραν, ἵνα καὶ οἱ τότε παρόντες, καὶ οἱ ἐξ ἐκείνου μέχρι τοῦ παρόντος παιδεύωνται, τὸν αὐτὸν πόθον τῷ πατριάρχῃ, καὶ τὴν ὑπακοὴν ἐπιδείκνυσθαι περὶ τὰ τοῦ δεσπότου προστάγματα. Καὶ μετ' ὀλίγα. Τί βούλεται ὁ τοῦ

(1) Τὸ σπέρμα τινός. ὁ τῆς Αὐγ. κώδ.

τοῦ ὀνόματος διπλασιασμός; Τῆς πολλῆς εὐνοίας τῆς περὶ τὸν πατριάρχην σημεῖόν ἐστι· καὶ ἐδείκνυ αὐτῷ καὶ διὰ τῆς κλήσεως, ὅτι μέλλει τι τῶν ἀναγκαίων αὐτῷ ἐπιτάττειν. παρασκευάζων τοίνυν αὐτὸν σιωπῆσαι ἑαυτὸν, καὶ μετὰ σπουδῆς προσέχειν τοῖς παρ' αὐτοῦ λεγομένοις, τῷ διπλασιασμῷ τῆς κλήσεως ἐχρήσατο.

ΔΙΟΔΩΡΟΥ. Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα ἐπείραζεν ὁ Θεὸς τὸν Ἀβραάμ. μέλλων Μωϋσῆς ἱστορεῖν, ὅτι ᾔτησεν ὁ Θεὸς θυσιασθῆναι αὐτῷ τὸν Ἰσαὰκ, ἵνα μὴ ὑποπτεύσῃς ἀνθρώπου θυσίαν αὐτὸν ὀρέγεσθαι, εὐθὺς ἀναγνοὺς, διὰ τοῦτό φησιν, ἐπείραζεν, ἀντὶ τοῦ οὐκ ἀληθῶς ᾔτει, ἀλλὰ δόκιμον δεικνὺς αὐτοῦ τὴν πίστιν.

ΑΔΗΛΟΥ. Τὸ πειράζειν, ἀντὶ τοῦ οὐκ ἀληθῶς ᾔτησεν εἰς θυσίαν· ἀλλὰ δόκιμον αὐτοῦ δεικνὺς τὴν πίστιν, διὰ δοκιμῆς ἤθελεν αὐτὸν ὑψῶσαι. οὕτω καὶ τὸν Ἀδὰμ θέλων δοξάσαι, ἐπὶ πλέον ἐπείραζε.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ πάντα ὁ Θεὸς προεγίνωσκε, τίνος χάριν τὸν Ἀβραὰμ ἐπείραζεν; Οὐχ ἵνα αὐτὸς ἅπερ ἠπίστατο μάθῃ, ἀλλ' ἵνα τοὺς ἀγνοοῦντας διδάξῃ, ὡς μάλα δικαίως τὸν πατριάρχην ἠγάπησε. τούτου χάριν ἐν τρισὶν ἡμέραις, καὶ τοσαύταις νυξὶ τὸν θεῖον ἐβασάνιζε πόθον. μέσος γὰρ ὢν ὁ πατριάρχης φύσεώς τε καὶ πίστεως, καὶ νυττόμενος ἑκατέρωθεν, ἔδωκε τῇ πίστει τὰ νικητήρια. ὁ δὲ Θεὸς δείξας αὐτοῦ τὴν εὐσέβειαν, τὴν θυσίαν ἐκώλυσεν. ὁ γὰρ καὶ τὰς τῶν ἀλόγων θυσίας ἀπαγορεύων, πῶς ἂν τοιαύτης ἱερουργίας ἠνέσχετο; τοῦτο γὰρ Ἰουδαίων κατηγορῶν διετέλεσε. καὶ διὰ μὲν Δαβὶδ τοῦ (Ψαλ. 105. 37, 38.) προφήτου βοᾷ, ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. καὶ ἐξέχεαν αἷμα ἀθῷον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς (Ἰεζ. 16. 20.) Χαναάν· διὰ δὲ τοῦ Ἰεζεκιὴλ, καὶ ἔλαβες τοὺς υἱούς σου καὶ τὰς θυγατέρας σου, οὓς ἐγέννησάς μοι, καὶ προσήνεγκας αὐτοὺς τοῖς ἐρασταῖς σου. εἶτα δεικνὺς τὴν τῆς ἀτο(Ἰεζ. 16. 22.)πίας ὑπερβολὴν, ἐπήγαγε· τοῦτο παρὰ πᾶσαν τὴν πορνείαν σου. ὁ τοίνυν τῶν ταῦτα τολμώντων κατηγορῶν, πῶς ἂν ἠνέσχετο παῖδα μονογενῆ δέξασθαι παρὰ πατρὸς προσφερόμενον; ἀλλὰ γὰρ σκιὰ ταῦτα ἦν τῆς ὑπὲρ ἡμῶν γεγενημένης οἰκονομίας. ὑπὲρ γὰρ τῆς οἰκουμένης τὸν ἀγαπητὸν υἱὸν ὁ πατὴρ προσενήνοχε. τύπος γὰρ τῆς μὲν Θεότητος, ὁ Ἰσαάκ· τῆς δὲ ἀνθρωπότητος, ὁ κριός. καὶ αὐτὸς δὲ ὁ χρόνος ἰσάριθμος. τρεῖς γὰρ ἡμέραι, καὶ τρεῖς νύκτες καὶ ἐνταῦθα, κἀκεῖ.

* ΚΥΡΙΛΛΟΥ. Ἐπειράζετο γὰρ ὁ θεσπέσιος Ἀβραὰμ, οὐκ ἠγνοηκότος τοῦ Θεοῦ τὸ ἐσόμενον. λάθοι γὰρ οὐδὲν τὸν πάντα εἰδότα νοῦν. τοιγάρτοι καὶ ἔφασκε, τίς (Ἰώβ. 38. 2.) οὗτος ὁ κρύπτων με βουλήν; καὶ τὰ ἑξῆς. οὐκοῦν ἀπόπληκτοι κομιδῇ, καὶ ἐν τοῖς ἀπηχεστάτοις καταλογιούμεθα μὴ φρονοῦντες ὀρθῶς, τὸ ἠγνοηκέναι μὲν οἴεσθαι τὰ ἐσόμενα τὸν τῶν ὅλων Θεὸν, πειράζειν δὲ διὰ τοῦτο τὸν Ἀβραάμ. ἀλλ' ἦν ἀναγκαῖον, μὴ ἐν εἰδήσει μόνῃ τῇ παρὰ Θεῷ τὴν τοῦ δικαίου καταλαμπρύνεσθαι κεφαλήν· ἐκφανεστάτην δὲ μᾶλλον καταπλουτῆσαι τοῦτον τὴν εὔκλειαν, καὶ ἐν ταῖς ἁπάντων γνώσεσιν εἶναι ταύτην μεμαρτυρημένην ἔδει· καὶ διὰ τῶν ἱερῶν βοᾶσθαι γραμμάτων, ὅτι πολὺς ἦν παρ' αὐτῷ τῶν θείων θεσπισμάτων ὁ λόγος, ὡς καὶ αὐτῆς ἀλογῆσαι τῆς εἰς τέκνον ἀγάπης. καὶ τό γε παραδοξότερον, τέκνον, ἐν ᾧ προσεδόκησε πατὴρ γενέσθαι πολλῶν ἐθνῶν.

β. Καὶ εἶπε, λάβε τὸν υἱόν σου τὸν ἀγαπητὸν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ.

ΝΥΣΣΗΣ. Ὅρα πῶς ἀναῤῥιπίζει τὴν φλόγα τῆς φύσεως, καὶ ἀγαπητὸν υἱὸν, καὶ μονογενῆ καλῶν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἕκαστον καθ' ἑαυτὸ ἱκανὸν καθικέσθαι τῆς τοῦ δικαίου ψυχῆς. οὐ γὰρ ἁπλῶς εἶπε, τὸν Ἰσαὰκ, ἀλλὰ προσέθηκε τὸν υἱόν σου, ὃν παρὰ πᾶσαν προσδοκίαν ἐκτήσω, καὶ ἐν αὐτῷ τῷ γήρᾳ σχεῖν ἠδυνήθης, τὸν ἀγαπητὸν τὸν περιπόθητόν σου, ὃν μεθ' ὑπερβολῆς ἀγαπᾷς, τὸν Ἰσαὰκ, ὃν διάδοχον ἕξειν προσδοκᾷς, ἐξ οὗ καὶ τὸ σπέρμα σου αὔξεσθαι ἐπηγγειλάμην, καὶ τοσοῦτον αὔξεσθαι, ὡς τῷ πλήθει τῶν ἄστρων, καὶ τῇ ἄμμῳ τῇ παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

** ΚΥΡΙΛΛΟΥ. Αὐτὸ δὴ πάλιν ἡμῖν καὶ σφόδρα σαφῶς ἐκεῖνο δηλοῖ τὸ παρὰ τοῦ σωτῆρος εἰρημένον. οὕτω γὰρ ἠγάπη- (Ἰωάν. 3. 16.) σεν ὁ Θεὸς τὸν κόσμον, ὡς τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχει ζωὴν αἰώνιον. εἰ γάρ χρή τι καὶ ἀνθρώπινον εἰπεῖν εἰς ἀπόδειξιν τοῦ νοήματος ἐναργῆ, κατεδάκνετο τρόπον τινὰ πέμπων εἰς θάνατον δι' ἡμᾶς τὸν υἱὸν ὁ Θεὸς καὶ πατὴρ, εἰ καὶ ᾔδει πεισόμενον τῶν λυπούντων οὐδέν. ἐπεὶ καὶ αὐτὸς ἦν ἀπαθὴς ὡς Θεός, ὅμως δὴ τὸ ἐκ τοῦ θανάτου χρήσιμον ἐννοῶν, τὴν ἁπάντων φημὶ σωτηρίαν καὶ ζωὴν, τῆς πατρὶ πρεπούσης φιλοστοργίας ἠμέλει.

ΤΟΥ ΑΥΤΟΥ. Διὸ δὴ καὶ Παῦλος ἐθαύμασε λέγων, ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ (Ῥωμ. 8. 32) ἐφείσατο, καὶ τὰ ἑξῆς. ἐπιτείνει ἄγαν δικαίως τὸ θαῦμα τῆς εἰς ἡμᾶς ἀγάπης τοῦ Θεοῦ καὶ πατρὸς, ὅτι καὶ τὸν ἀβουλήτων τι ἔδοξεν ὑπομένειν, παραδοὺς ὑπὲρ ἡμῶν τὸν ἴδιον υἱόν. τοιοῦτον γάρ τι νοεῖν ἡμᾶς ἀναπείθει τὸ, οὐκ ἐφείσατο, λέγων ὁ Παῦλος. ὅπερ οὐκ ἂν ἐπὶ τοῖς τυχοῦσι ῥηθείη ποτὲ, ἀλλ' ἐπὶ τοῖς μεγάλου τινὸς καταneανιευομένοις πράγματος.

Καὶ πορευθεὶς εἰς τὴν γῆν τὴν ὑψηλὴν, ἀνένεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω.

ΔΙΟΔΩ-

ΔΙΟΔΩΡΟΥ. Ἐπισημειώσασθαι δὲ χρὴ, ὅτι πολλάκις πρὸ τούτου τῷ Ἀβραὰμ θυσίαν προσαγηοχότι, οὐδέποτε ὁ Θεὸς τόπον τῆς θυσίας ὑπέδειξεν, ἢ νῦν. » πορεύθητι γάρ φησιν εἰς τὴν γῆν τὴν ὑψηλὴν, καὶ ἀνένεγκε αὐτὸν εἰς ὁλοκάρπωσιν ὑφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω. μήποτε οὖν ἐκεῖνον ὑπέδειξε τὸν τόπον, ἔνθα καὶ ὁ Κύριος ἡμῶν ἐσταυρώθη; ἐπεὶ καὶ τύπος τοῦ πάθους αὐτοῦ ὁ Ἰσαάκ. καὶ γὰρ τῇ γῇ τῶν Φυλισαίων τὰ ὅρια παράκειται τῶν Ἱεροσολύμων.

* ΠΡΟΚΟΠΙΟΥ. Καὶ Ἰώσηπος (1) δὲ ἐν τῷ ζ' λόγῳ τῆς ἀρχαιολογίας φησὶν, ἐκεῖ τὸν Ἀβραὰμ ἀνενηνοχέναι τὸν Ἰσαὰκ, ἔνθα καὶ ὁ Σολομὼν τὸν ναὸν ὕστερον ᾠκοδόμησεν.

γ. Ἀναστὰς δὲ Ἀβραὰμ τῷ πρωῒ, ἐπέσαξε τὴν ὄνον αὐτοῦ. παρέλαβε δὲ μεθ' ἑαυτοῦ δύο παῖδας, καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ· καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν, ἀναστὰς ἐπορεύθη· καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός.

** ΠΡΟΚΟΠΙΟΥ. Ἠγνοηκέναι δέ τινες τὴν Σάῤῥαν τὴν περὶ τῆς Ἰσαὰκ θυσίας πρόσταξιν ἀπεφήναντο· ὡς ἂν μὴ γυναικὸς καὶ μητρὸς πάθει κλωμένη παρεμποδίσειεν. οὐδὲ γὰρ Εὔα τῷ Ἀδὰμ σύμβουλος γέγονεν ἀγαθή. καὶ μάλιστα τῶν τοῦ Θεοῦ ῥημάτων ὥσπερ τινὶ κέντρῳ πρὸς τὴν φύσιν διεγειρόντων· » λάβε τὸν υἱόν σου τὸν ἀγαπητὸν ὃν ἠγάπησας· ἅπερ ἂν καὶ ἄνδρα πάντα, πλὴν Ἀβραὰμ, πρὸς οἶκτον ἦγε καὶ πάθος, καὶ σπλάγχνων ἂν ὑπέμνησε πατρικῶν. καὶ γέγραπται δὲ, ὡς τὸν Ἀβραὰμ, οὐ τὴν Σάῤῥαν ἐπείρασεν ὁ Θεός. τί οὖν, ἄλλοι φασὶν, ὁδεύοντα αὐτὸν οὐχ ἑώρα, καὶ ξένως; ξύλα γὰρ ἔσχισε, καὶ παῖδας δύο μόνους ἔλαβεν. εἰ δὲ θύειν ἁπλῶς Θεῷ προὐφασίζετο, διατὶ οὐχὶ καὶ ἡ Σάῤῥα ἠκολούθει; εὐσεβὲς οὖν φασὶν ἐν τοῖς ἀμφιβαλλομένοις μὴ κατηγορεῖν τῶν δικαίων· ἵνα δι' ἀσθένειαν Σάῤῥας εἴπωμεν κρύπτειν τὸν Ἀβραάμ.

ΚΥΡΙΛΛΟΥ. Οἱ τῷ Ἀβραὰμ ἀκολουθοῦντες οἰκέται δύο, τύπος ἂν εἶεν τῶν εἰς δουλείαν κεκλημένων δύο λαῶν, τοῦτε Ἰσραὴλ καὶ τοῦ Ἰούδα φημί. οἷς (2) καὶ μόνοις χρῶνται οἱ τοῖς τοῦ Θεοῦ καὶ πατρὸς ἀκολουθεῖν οἰόμενοι διατάγμασιν, ὥσπερ οὖν κἀκεῖνοι τῷ Ἀβραάμ.

δ. Τῇ ἡμέρᾳ τῇ τρίτῃ· καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε τὸν τόπον μακρόθεν.

A ΑΔΗΛΟΥ. Ἑβραῖός τις ἔλεγεν, ὅτι δὴ ἀστέρα εἶδεν ἐκεῖ ἱστάμενον, ᾧ προσέχων ὥδευσε, κατὰ τὸ γεγονὸς ἐπὶ τῶν μάγων ἐν τῇ Χριστοῦ τοῦ Θεοῦ λόγου γεννήσει τῇ ἐκ παρθένου.

** ΚΛΗΜΕΝΤΟΣ. Ἀβραὰμ ἐλθὼν εἰς τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεὸς, τῇ τρίτῃ ἡμέρᾳ, ἀναβλέψας ὁρᾷ τὸν τόπον μακρόθεν. πρώτη μὲν γὰρ, ἡ δι' ὄψεως B τῶν καλῶν ἡμέρα· δευτέρα δὲ, ἡ ψυχῆς ἀρίστης ἐπιθυμία· τῇ τρίτῃ δὲ ὁ νοῦς τὰ πνευματικὰ διορᾷ, διανοιχθέντων τῶν τῆς διανοίας ὀμμάτων πρὸς τοῦ τῇ τρίτῃ ἡμέρᾳ διαναστάντος διδασκάλου. εἶεν δ' ἂν καὶ αἱ τρεῖς ἡμέραι τῆς σφραγῖδος μυστήριον, δι' ἧς ὁ τῷ ὄντι πιστεύεται Θεός. μακρόθεν οὖν ἀκολούθως ὁρᾷ τὸν τόπον· δυσάλωτος γὰρ ἡ χώρα τοῦ Θεοῦ· ὃν χώραν ἰδεῶν ὁ Πλάτων κέκληκε, παρὰ Μωϋσέως Γ λαβὼν τόπον εἶναι αὐτὸν, ὡς τῶν ἁπάντων καὶ τῶν ὅλων περιεκτικόν. ἀτὰρ εἰκότως πόῤῥωθεν ὁρᾶται τῷ Ἀβραὰμ, διὰ τὸ ἐν γενέσει εἶναι· καὶ δι' Ἀγγέλου προσεχῶς μυσταγωγεῖται. ἐντεῦθεν ὁ Ἀπόστολος, » βλέπομεν νῦν, ὡς δι' ἐσόπτρου, φησί· (1. Κορ. 13. 12.) τότε δὲ πρόσωπον πρὸς πρόσωπον, κατὰ μόνας ἐκείνας τὰς ἀκραιφνεῖς, καὶ ἀσωμάτους τῆς διανοίας ἐπιβολάς. δυνατὸν δὲ κἂν τῷ διαλέγεσθαι τὸ καταμανθάνεσθαι Δ τοῦ Θεοῦ, ἐὰν ἐπιχειρῇ τις ἄνευ πασῶν τῶν αἰσθήσεων διὰ τοῦ λόγου ἐπ' αὐτὸ ὅ ἐστιν ἕκαστον ὁρμᾶν καὶ μὴ ἀποστατεῖν τῶν ὄντων, πρὶν ἐπαναβαίνων ἐπὶ τὰ ὑπερκείμενα αὐτῷ, ὅ ἐστιν ἀγαθὸν, αὐτῇ νοήσει λάβῃ, ἐπ' αὐτῷ γενόμενος τῷ τοῦ νοητοῦ τέλει, κατὰ Πλάτωνα.

ε. Καὶ εἶπεν Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ, καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου· E ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε· καὶ προσκυνήσαντες, ἀναστρέψομεν πρὸς ὑμᾶς.

ΩΡΙΓΕΝΟΥΣ. Ταῦτα εἶπε, λογισάμενος, ὅτι ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ γὰρ » ᾔδει, ὅτι καινὸν καὶ παράδοξον ἦν, καὶ οὐ Z » πρότερον ὑφ' ἑτέρου γεγονὸς τὸ παρ' αὐτοῦ » μέλλον γίνεσθαι, κρύπτει τοὺς παῖδας, καὶ καταλιπὼν αὐτοὺς μετὰ τῆς ὄνου, φησὶν, ἐνταῦθα ἀναμείνατε· ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε, καὶ προσκυνήσαντες, ἀνακάμψομεν πρὸς ὑμᾶς· οὐκ εἰδὼς, ὅτι τοῦτο ἔσται ὃ ἔλεγεν, ἀλλὰ προεφήτευε μὲν, ἴσως τοῦτο ἀγνοῶν· ἔλεγε δὲ τοῖς παισὶ τάχα ἐξαπατῶν αὐτοὺς, καὶ παρασκευάζων αὐτόθι μένειν.

T 2 ΚΥΡΙΛ-

(1) Καὶ δύο μὲν ἡμέρας συνώδευσαν αὐτῷ οἱ οἰκέται· τῇ τρίτῃ δὲ, ὡς κατόπτιον ἦν αὐτῷ τὸ ὄρος, καταλιπὼν ἐν τῷ πεδίῳ τοὺς συνόντας, μετὰ μόνου τοῦ παιδὸς παραγίνεται εἰς τὸ ὄρος, ἐφ' οὗ τὸ ἱερὸν Δαβίδης ὁ βασιλεὺς ὕστερον ἱδρύεται. ἐν βιβλ. 1. κεφ. 14.

(2) Οἱ καὶ μόνοις χρῶνται τοῖς τοῦ Θεοῦ καὶ πατρὸς ἀκολουθεῖν ᾤοντο διατάγμ. ἐν βιβλ. 3. τῶν γλαφυρ.

A ΚΥΡΙΛΛΟΥ. Τὸ δὲ ἀκολουθῆσαι τοὺς οἰκέτας μέχρι τῆς τρίτης ἡμέρας, μὴ μὴν καὶ ἐπιτετράφθαι πρὸς τὴν γῆν ἀνακομίζεσθαι τήν ὑψηλήν τε καὶ ἱεράν, καθίζειν δὲ μᾶλλον αὐτοῦ προστετάχθαι μετὰ τῆς ὄνου, τὴν διὰ νόμου πρὸς Θεὸν ἀκολούθησιν τῶν δύω λαῶν ὑποδηλοῖ, καὶ μέχρι τοῦ τρίτου παρατείνασαν χρόνου, τουτέστι τοῦ τελευταίου, καθ' ὃν ἡμῖν ἐπεφάνη Χριστός. τρισὶ γὰρ ὁ σύμπας αἰὼν ἐκμετρεῖται καιροῖς, παρῳχηκότι φημὶ, καὶ ἐνεστῶτι, καὶ B μέλλοντι. οὐκοῦν ἐν τῷ τρίτῳ τὸ τέλος. ἐπιδημῆσαί γε μὴν τὸν Χριστὸν ἐν ἐσχάτοις καιροῖς ἡ θεία φησὶ Γραφή. κατακολουθήσας τοίνυν ὁ Ἰσραὴλ διὰ νόμου τῷ Θεῷ μέχρι τῶν χρόνων τῆς τοῦ σωτῆρος ἡμῶν ἐπιδημίας, οὐκ ἠθέλησε διὰ τῆς πίστεως ἀκολουθῆσαι Χριστῷ πρὸς τὸν ὑπὲρ πάντων ἀναβαίνοντι θάνατον· μᾶλλον δὲ καὶ κεκώλυται διὰ πολλὰς ἁμαρτίας. πώρωσις γὰρ ἀπὸ μέρους γέγονε τῷ Ἰσραὴλ, Γ ἥτις διὰ τῆς ὄνου σημαίνεται τῆς τοῖς οἰκέταις σιωπώσης τότε. ἀλογίας γὰρ τῆς ἐσχάτης ἡ ὄνος εἰκών.

ΤΟΥ ΑΥΤΟΥ. Τὸ δὲ τῶν οἰκετῶν ἀπονοσφίζεσθαι μὲν καὶ ἀναχωρεῖν ἅμα τὸν υἱὸν τὸν πατέρα, ὡς δὲ καὶ εἰς αὖθις ἐπανήξειν λέγειν, σημαίνει τὴν πρόσκαιρον ἀναχώρησιν τοῦ Θεοῦ τὴν ἐκ τῶν Ἰουδαίων, καὶ τὴν ἐπὶ τέλει τῶν αἰώνων ἐπ' αὐτοὺς Δ ἐσομένην ὑποστροφὴν διὰ τῆς εἰς Χριστὸν
Ῥωμ. 11. 25, 26. πίστεως ἐπιτελουμένην. » ὅταν γὰρ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται. »

ΤΟΥ ΑΥΤΟΥ. Τὸ δὲ μὴ λέγειν ἐναργῶς τὸν μακάριον Ἀβραὰμ πρὸς τοὺς παῖδας, ὅτι θύσων ἄνεισι τὸν υἱὸν, προφάσει δὲ ὥσπερ τὸ, » ἕως ὧδε διελευσόμεθα, σημεῖον ἂν γένοιτο σαφὲς τοῦ μὴ πεπιστεῦσθαι τοῖς Ἰουδαίων λαοῖς τὸ Χριστοῦ μυστήριον. E

ΣΟΥΚΕΝΣΟΥ ΔΙΟΚΑΙΣΑΡΕΙΑΣ. Καλῶς ἡ προφητεία τὸ μέλλον ἐκήρυξεν. ὁ μὲν κατὰ Ἰουδαίων λαὸς θύειν ἤλπιζε· πνευματικῷ δὲ λόγῳ τὸ μέλλον ἐδήλωσε. » τὸ γὰρ, ἀναστρέψομεν, οὐχ ἑκὼν ἐφθέγξατο. τὴν μὲν σφαγὴν, ὁ τρόπος ἐσκέπετο· ἡ δὲ πίστις, τὴν ὑποστροφὴν ἐμήνυσε, καὶ τὸ τέλος ἠλήθευσε· καθάπερ καὶ ἐπὶ τῶν Προφητῶν λαλεῖν τὸ πνεῦμα παρεσκεύαζεν ἃ οὐκ ἠπίσταντο. Z

ϛ. Ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως, καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ. ἔλαβε δὲ καὶ τὸ πῦρ μετὰ χεῖρας, καὶ τὴν μάχαιραν· καὶ ἐπορεύθησαν οἱ δύω ἅμα.

ΑΔΗΛΟΥ. Ὡς ὁ Χριστὸς ἐβάσταζε τὸν σταυρὸν αὐτοῦ. τύπος γὰρ ἦν τοῦτο ἐκείνου. H

ΚΥΡΙΛΛΟΥ. Ἐπωμάδιον γὰρ ἔχων τὸν οἰκεῖον σταυρὸν, ἔξω τῆς πύλης ἔπαθε Χριστὸς· οὐκ ἐξ ἀνθρωπίνης ἰσχύος βεβιασμένος εἰς τὸ παθεῖν, ἀλλ' ἐκ θελήματος οἰκείου, καὶ βουλήσει τοῦ Θεοῦ καὶ πατρός.

** ΕΦΡΑΙΜ. Βαστάζων ὁ Ἰσαὰκ τὰ ξύλα, ἀνήρχετο εἰς τὸ ὄρος τυθῆναι, ὡς ἀρνίον ἄκακον· βαστάζων καὶ ὁ σωτὴρ τὸν σταυρὸν, ἐξήρχετο ἐν κρανίῳ τυθῆναι, ὡς ἀμνὸς ὑπὲρ ἡμῶν. τὴν μάχαιραν θεωρῶν, ἐννόει μοι τὴν λόγχην· τὸν βωμὸν κατανοῶν, σκόπει μοι τὸ κρανίον· καὶ τὰς σχίδακας βλέπων, κατανόει τὸν σταυρόν· καὶ τὸ πῦρ θεωρήσας, λογίζου μοι τὸν πόθον.

ζ. Εἶπε δὲ Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ, πάτερ. ὁ δὲ εἶπε, τί ἐστι τέκνον; εἶπε δὲ, λέγων, ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα, ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν;

ΑΔΗΛΟΥ. Τὴν μέλλουσαν ἐπ' αὐτὸν τὸν θάνατον ἐνεργεῖν μάχαιραν ἀπεσιώπησεν.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐκ εἶπε, καὶ ἡ μάχαιρα. σιωπᾷ δὲ ταύτην, ἀργεῖν ἐπ' αὐτὸν πρὸς θάνατον μέλλουσαν.

ΑΔΗΛΟΥ. Πόθεν πρόβατον ἐζήτει, καὶ οὐ μόσχον, ἢ ἄλλο τι τῶν καθαρῶν; Διὰ Ἡσ. 53. 7.
» τὸ, ὡς πρόβατον ἤχθη.

Δ η. Εἶπε δὲ Ἀβραὰμ, ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον.

* ΠΡΟΚΟΠΙΟΥ. Τὸ μόνον ἄξιον πρόβατον τοῦ Θεοῦ. πάντα γὰρ τὰ τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκάρπωσιν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα καὶ ἐνταῦθα πῶς οὐκ εἰδὼς πάλιν μηνύει τὸ μέλλον ἔσεσθαι. ἔδοξε γὰρ διὰ τῆς ἀποκρίσεως παραλογίζεσθαι τὸν Ἰσαὰκ, ἀλλ' ἐκεῖνον μὲν διὰ τῶν ῥημάτων πρὸς τὸ παρὸν ἔπεισεν, αὐτὸς δὲ μείζονα τὴν ὀδύνην καὶ ἐπιτεταμένην ὑπέμεινε, τὰ ῥήματα αὐτὰ στρέφων ἐν τῇ διανοίᾳ, καὶ ἐννοῶν τοῦ παιδίου τὴν εὐμορφίαν τὴν ἔξωθεν, τῆς ψυχῆς τὸ κάλλος, τὸ πειθήνιον, τὸ ἐπέραστον, αὐτὸ τῆς ἡλικίας τὸ ἄνθος.

θ. Πορευθέντες δὲ ἀμφότεροι ἅμα, ἦλθον ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός.

ΑΔΗΛΟΥ. Φιλοτιμοῦνται πρὸς ἀλλήλους. ὁ μὲν, τῆς φύσεως ἑαυτὸν ὑπεραίρων· ὁ δὲ, χαλεπώτερον θανάτου τῷ ἀντιστῆναι τῷ πατρὶ λογιζόμενος.

* ΠΡΟΚΟΠΙΟΥ. Ἰσότης καὶ (1) ἔπαινος ἀμφοτέρων τοῦ μηδένα ὀπίσω πορευθῆναι.

Καὶ ᾠκοδόμησεν Ἀβραὰμ ἐκεῖ θυσιαστήριον, καὶ ἐπέθηκε τὰ ξύλα.

ΕΥΣΕ.

(1) Ὅπερ ἔπαινος. ὁ τῆς Αὐγ. κώδ.

ΕΥΣΕΒΙΟΥ. Ἐπισημαντέον δὲ, ὅτι ὅπου οἰκοδομεῖται ὁ ναὸς, ἐκεῖ Ἰσαὰκ θύεται. τάχα δὲ ἐστιν ἀληθέστερον, ὅπου ὁ υἱὸς τοῦ Θεοῦ σταυροῦται.

ΑΔΗΛΟΥ. Ἐπέθηκε τὰ ξύλα διατί; Ἵνα μὴ ἄκαρπον ἐπενέγκηται τὸ δῶρον, ἀλλ' αὐτῷ ἱερουργήσῃ τῇ θυσίᾳ δεύτερον θῦμα. ἵνα ἐκ τῆς σκιᾶς νοήσῃς τὴν ἀλήθειαν. ὡς οὐ βεβιασμένος ὁ σωτὴρ τὸ ξύλον ἐβάσταζεν, ἀλλ' ἑκὼν ἐν ἡδονῇ τὸν σταυρὸν ἐκόμισεν· ὁ δὲ θάνατος ἐν ἀληθείᾳ. οὐ γὰρ φάσματα τὰ πραττόμενα. ἔνθα μὲν γὰρ ὁ θάνατος τυπικὸς, ἄχρι σχήματος τὸ τέλος. ἔνθα δὲ θάνατος ἀναίτιος, ἀναστάσεως πρόξενος. καὶ ὁ θάνατος ἀληθὴς, καὶ ἡ ἀνάστασις ἀψευδής.

Καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων.

✱ ΚΥΡΙΛΛΟΥ. Προσεκόμιζε τὸ λογικὸν ἱερεῖον, καὶ τοῖς τῆς φύσεως νόμοις ἐῤῥῶσθαι φράσας, καὶ τῆς ἀπαραιτήτου φιλοστοργίας πατήσας τὸ κέντρον, καὶ τῶν ἐπιγείων οὐδὲν τῇ εἰς Θεὸν ἀντιπαρεξάγων ἀγάπῃ.

ΜΕΛΙΤΩΝΟΣ. Ὡς γὰρ κριὸς ἐδέθη, φησὶ, περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
Ἡσ. 53. 7. » καὶ ὡς ἀμνὸς ἐκάρη, καὶ ὡς πρόβατον ἐπὶ
» σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐσταυρώθη, καὶ ἐβάσταξε τὸ ξύλον αὐτοῦ ἐπὶ τοὺς ὤμους, ὡς Ἰσαὰκ ὑπὸ τοῦ πατρὸς αὐτοῦ. ἀλλὰ Χριστὸς ἔπαθεν, Ἰσαὰκ δὲ οὐκ ἔπαθε. τύπος γὰρ ἦν τοῦ μέλλοντος πάσχειν. ἀλλὰ καὶ ὁ τύπος τοῦ Χριστοῦ γενόμενος, ἔκπληξιν καὶ φόβον παρεῖχεν ἀνθρώποις.

ι. Καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν, (1) σφάξαι τὸν υἱὸν αὐτοῦ.

ια. Καὶ ἐκάλεσεν αὐτὸν Ἄγγελος Κυρίου ἐκ τοῦ οὐρανοῦ, λέγων αὐτῷ, Ἀβραὰμ, Ἀβραάμ· καὶ εἶπεν, ἰδοὺ ἐγώ.

ΔΙΟΔΩΡΟΥ. Ἄγγελος ἄρα ἐξ οὐρανοῦ, φησὶ, δηλαδὴ ὁ τῆς μεγάλης βουλῆς Ἄγγελος.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Τίς ἐστιν ὁ χρηματίσας τῷ Ἀβραάμ; ἢ ὁ πατήρ; ἀλλ' οὐκ ἂν εἴποις Ἄγγελον εἶναί τινος τὸν πατέρα. οὐκοῦν ὁ μονογενὴς υἱὸς, περὶ οὗ
Ἡσ. 9. 6. φησὶν ὁ Προφήτης, ὅτι καλεῖ τὸ ὄνομα
» αὐτοῦ μεγάλης βουλῆς Ἄγγελον.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Καλῶς καὶ ἐνταῦθα τῷ διπλασιασμῷ ἐχρήσατο, ἵνα περιγένηται τῆς ὁρμῆς τοῦ δικαίου, καὶ μονονουχὶ διὰ τῆς φωνῆς κατάσχῃ τοῦ πατριάρχου τὴν δεξιὰν ἐπειγομένην πρὸς τὴν τοῦ παιδὸς σφαγήν.

A ιβ. Καὶ εἶπε, μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μηδὲ ποιήσῃς αὐτὸ μηδέν· νῦν γὰρ ἔγνων, ὅτι φοβῇ τὸν Θεὸν σύ· καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Νῦν γὰρ ἔγνων,
» ὅτι φοβῇ σὺ τὸν Θεόν. ὁ δὲ Ἑβραῖός φησιν, ὅτι ἐγὼ οἶδα, ὅτι φοβῇ σὺ τὸν Θεόν.

B» ΔΙΟΔΩΡΟΥ. Λέγει νῦν ἔγνων, ὡς τὸ
» καταβὰς ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν Γεν. 18. 21.
» αὐτῶν συντελοῦνται, τὸ περὶ Σοδόμων εἰρημένον. ὥσπερ γὰρ ἐκεῖ οὐκ ἄγνοιαν εἰσάγει Θεοῦ, ἀλλὰ δίκης ἀκρίβειαν· πῶς γὰρ ἂν κατῆλθεν, εἰ μὴ ἁμαρτωλοὺς ᾔδει; οὕτω
» νῦν καὶ τὸ, ἔγνων, ἀντὶ τοῦ, νῦν ἔδειξας,
» ἢ ἐγνώρισας, ὅτι σὺ φοβῇ τὸν Θεόν. δοκεῖ δέ τισι, μὴ τὸν Θεὸν, ἀλλ' Ἄγγελον
» εἰρηκέναι τὸ, νῦν ἔγνων· ὡς ἀπὸ τοῦ Θεοῦ
Γ μὲν φθεγγόμενον, ὁμολογοῦντα δὲ τὴν ἑαυτοῦ ἄγνοιαν, καὶ ἐκ τῶν ἔργων γνωρίσαντα τὴν τοῦ Ἀβραὰμ πίστιν. ἄλλοι δέ φασι
» τὸ, νῦν ἔγνων ἐν τῇ Ἑβραΐδι ἐπαμφοτερίζειν. καὶ τοῦτο γὰρ σημαίνειν ἅμα. καὶ ὅτι νῦν ἐγνώρισας, ἀντὶ τοῦ πᾶσιν ἔδειξας, καὶ ἐποίησας φανερόν.

» ΑΔΗΛΟΥ. Νῦν ἔγνων, ἀντὶ τοῦ νῦν ἔδειξας. πῶς γὰρ ἀγνοεῖ αὐτὸς, λέγων,
» ᾔδειν γὰρ, ὅτι συντάξει Ἀβραὰμ τοῖς παι- Γεν. 18. 19.
Δ» σὶν αὐτοῦ φυλάσσειν τὰς ἐντολὰς τοῦ Κυρίου; ἀλλ' ὥσπερ τὸ, ἵν' εἰδῶ, δείκνυσι μὲν, ὡς βουλόμενος μαθεῖν, βούλεται δὲ ἡμᾶς διδάξαι τοῦ Θεοῦ τὸ ἀκριβές· οὕτω καὶ νῦν δεικνύει μὲν ἀπὸ τούτου γινώσκοντα τὸν
» Θεὸν, βούλεται δὲ ἡμᾶς διδάξαι· νῦν ἔγνων λέγων· ἀπὸ τούτου γινώσκειν τὴν εἰς Θεὸν ἀγάπην. τουτέστι, νῦν ὡς ἔδειξεν, ὡς ὁ Ἑβραῖος. οὐ γὰρ ἄγνοιαν εἰσάγει Θεοῦ,
» ἀλλὰ δίκης ἀκρίβειαν, ὡς τὸ, κατέβη Γεν. 18. 21.
E» ἰδεῖν, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν.

ιγ. Καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε· καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος ἐν φυτῷ Σαβὲκ ἐκ τῶν κεράτων. καὶ ἐπορεύθη Ἀβραὰμ, καὶ ἔλαβε τὸν κριὸν, καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ.

Z ΑΔΗΛΟΥ. Σαβὲκ ἑρμηνεύεται κυρίως, τράγος ὀρθὸς ἐπαναβεβηκὼς φυτῷ· ἐνταῦθα δὲ, ὀρθὸς τῶν κεράτων κατεχόμενος, ὡς εἶναι φανερὸν τύπον σταυροῦ. διὰ τοῦτο δὲ οὐχ ἑρμηνεύεται. πρὸς δὲ τοὺς πυνθανομένους, χρὴ ἀποκρίνεσθαι, καὶ λέγειν, ὅτι τὸ Σαβὲκ, ἐπηρμένος ἑρμηνεύεται.

ΔΙΟΔΩΡΟΥ. Τὸ, ἐν φυτῷ οὐκ ἔχει ὁ
H» Σύρος, μόνον δὲ τὸ Σαβέκ. τοῦτο δὲ, τὸ ὄνομα τοῦ φυτοῦ εἶναι νομίζω. τοῖς δὲ Ἑβραίοις δοκεῖ τὸ Σαβὲκ, ἄφεσιν σημαίνειν. καὶ

(1) Τὸ, λαβεῖν τὴν μάχαιραν προσετέθη. οὐ γὰρ κεῖται ἐν τῷ κώδ.

καὶ τοῦτο δὲ τοῦ μυστηρίου τοῦ σταυροῦ δηλωτικὸν ἂν εἴη.

ΓΕΝΝΑΔΙΟΥ. Τὸ Σαβὲκ, ἄφεσίν τινες ἐκδεδώκασιν· οἱ δὲ, ὄρθιον. ὡς εἶναι αὐτὸ τὸ λεγόμενον περὶ τοῦ κριοῦ. δύναται δὲ καὶ τὸ Φυτὸν οὕτω προσαγορεύεσθαι.

ΜΕΛΙΤΩΝΟΣ. Ὑπὲρ Ἰσαὰκ τοῦ δικαίου ἐφάνη κριὸς εἰς σφαγὴν, ἵνα δεσμῶν Ἰσαὰκ λυθῇ. ἐκεῖνος σφαγεὶς, ἐλυτρώσατο τὸν Ἰσαάκ· οὕτω καὶ ὁ Κύριος σφαγεὶς, ἔσωσεν ἡμᾶς, καὶ δεθεὶς ἔλυσε, καὶ τυθεὶς ἐλυτρώσατο. Καὶ μετ᾽ ὀλίγα. Ἦν γὰρ ὁ Κύριος ἀμνὸς, ὡς κριὸς, ὃν εἶδεν Ἀβραὰμ κατεχόμενον ἐν φυτῷ Σαβέκ. ἀλλὰ τὸ Φυτὸν, ἀπέφαινε τὸν σταυρόν· καὶ ὁ τόπος ἐκεῖνος, τὴν Ἱερουσαλήμ· καὶ ὁ ἀμνὸς, τὸν Κύριον ἐμπεποδισμένον εἰς σφαγήν.

» ΤΟΥ ΑΥΤΟΥ. Τὸ, κατεχόμενος τῶν » κεράτων, ὁ Σύρος καὶ ὁ Ἑβραῖος, κρεμάμενός φησιν, ὡς σαφέστερον τυποῦντα τὸν σταυρόν. ἀλλὰ καὶ τὸ, κριὸς, τοῦτο ἀκριβοῖ. οὐ γὰρ εἶπεν ἀμνὸς νέος, ὡς ὁ Ἰσαὰκ, ἀλλὰ κριὸς, ὡς ὁ Κύριος τέλειος. ὥσπερ δὲ Φυτὸν Σαβὲκ, τουτέστιν ἀφέσεως ἐκάλεσε τὸν ἅγιον σταυρὸν, οὕτω καὶ Ἰεζεκιὴλ
Ἰεζ. 47. 4. ἐν τῷ τέλει, ὕδωρ ἀφέσεως ἐκάλεσε τὸ ἐκτυποῦν τὸ ἅγιον βάπτισμα. δύο γὰρ συνέστη τὰ ἄφεσιν ἁμαρτημάτων χαριζόμενα.

** ΕΦΡΑΙΜ. Οὐ γὰρ θέλων ὁ Θεὸς παιδοκτόνον ποιῆσαι τὸν Ἀβραὰμ, ἔλεγεν ἀνενεγκεῖν τὸν υἱὸν, ἀλλ᾽ ἵνα δείξῃ πᾶσι τοῖς τὸν κόσμον οἰκοῦσιν, ὅτι σφόδρα ἠγάπα τὸν Θεὸν ὁ Ἀβραὰμ, ὅτι οὐκ ἐφείσατο δι᾽ αὐτὸν τοῦ Ἰσαὰκ, καίτοι μονογενὲς ἔχων τὸ παιδάριον. διὸ καὶ μυστήριον ὑπέδειξεν ὁ Θεὸς ὡς φίλῳ τῷ Ἀβραὰμ μέγα καὶ παράδοξον. διὰ γὰρ τῆς θυσίας ἱερεὺς ἐγένετο. ἐν δὲ τῷ τόπῳ αὐτὸν Προφήτην ἐποίησε· καὶ ἐγνώρισεν αὐτῷ ὁ Θεὸς ὁ ὕψιστος, ὅτι μέλλει καὶ αὐτὸς τὸν μονογενῆ υἱὸν διδόναι ὑπὲρ τοῦ κόσμου, ἵνα σώσῃ ἐκ τῆς πλάνης τὸ γένος τῶν ἀνθρώπων Θεὸς ἐνανθρωπήσας. τοῦτο γὰρ ἐσήμαινεν, ἀντὶ Ἰσαὰκ δεδωκὼς πρόβατον ἐκ τοῦ Σαβὲκ, γενέσθαι εἰς θυσίαν. ἐπειδὴ γὰρ ἔμελλον οἱ δύσπιστοι ἄνθρωποι ἀπιστεῖν τῷ τοκετῷ τῆς ἁγίας παρθένου, τὸ πῶς ἂν ἠδύνατο δίχα κοίτης ἀνδρικῆς κυοφορῆσαι υἱὸν, ὡς ἀμήχανον ὄν, διὰ τοῦτο ἐκ πέτρας παρήγαγε τὸν κριὸν, ἵνα τὸ παράδοξον ἐκ τούτου πιστώσηται. ὅτιπερ βουλήματι τῆς αὐτοῦ Θεότητος πᾶν τὸ προσταττόμενον εὐθέως ὑφίσταται. ὡς οὖν ἐκεῖ ὁ λόγος πρόβατον ὑπέστησεν, οὕτως ἐν τῇ παρθένῳ ὁ λόγος σὰρξ ἐγένετο· καὶ ὥσπερ τὸ πρόβατον ἐν τῷ Φυτῷ ἐδέθη, οὕτως ὁ μονογενὴς ἐν τῷ σταυρῷ καθηλώθη.

ΚΥΡΙΛΛΟΥ. Ἐπιτεθεὶς τοῖς ξύλοις ὁ Ἰσαὰκ, καὶ τοῦ θανάτου καὶ τοῦ παθεῖν ὑποκλέπτεται. κριὸς δὲ εἰς τὴν θυσίαν ἀναβαίνει θεόσδοτος. καὶ γὰρ ἦν πως ὁ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ καὶ πατρὸς ἀναλάμ-
A ψας λόγος ἐν τῷ ἰδίῳ ναῷ, τῷ ἐκ παρθένου φημὶ, καὶ προσηλωθέντι ξύλῳ. ὑπάρχων δὲ ὡς Θεὸς ἀπαθὴς καὶ ἀθάνατος, θανάτου καὶ πάθους ἑαυτὸν ὑπεξήγαγεν. ἀναβαίνει δὲ εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ πατρὶ διὰ τοῦ ἰδίου σώματος. ὅπερ αὐτὸς εἰληφέναι λέγει παρὰ τοῦ πατρὸς, κατὰ τὸ
» ἐν ψαλμῷ εἰρημένον, θυσίαν καὶ προσφο- Ψαλ. 39. 6.
» ρὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι.

B ιδ. Καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Κύριος εἶδεν· ἵνα εἴπωσι σήμερον, ἐν τῷ ὄρει Κύριος ὤφθη.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὴν παρὰ τοῦ Θεοῦ γενομένην ἐπίσκεψιν βουλόμενος, καθάπερ ἐν στήλῃ χαλκῇ, ἐναποθέσθαι τῷ τόπῳ διὰ τῆς προσηγορίας, φησὶ. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου, Κύριος εἶδεν.

Γ » ΑΔΗΛΟΥ. Ἵνα εἴπωσι σήμερον, Κύ» ριος ὤφθη. καὶ μὴν οὐκ εἶδε Κύριον, ἀλλὰ τῶν μελλόντων ἦν Προφήτης. ἵν᾽ εἴπωσιν οἱ μέλλοντες, ὅτι σήμερον ὤφθη ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ.

ιε. Καὶ ἐκάλεσεν Ἄγγελος Κυρίου τὸν Ἀβραὰμ δεύτερον ἐκ τοῦ οὐρανοῦ.

Δ ις. Λέγων, κατ᾽ ἐμαυτοῦ ὤμοσα λέγει Κύριος· οὗ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾽ ἐμέ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ γὰρ οἱ ἄνθρωποι ἐπὰν ἤδη ὅρκον ἐπιθῶσι τοῖς ἐπαγγελθεῖσι, τότε ὡς βεβαίαν τὴν ὑπόσχεσιν δεξάμενοι, οὕτω διάκεινται οἱ τὴν ἐπαγγελίαν ἐσχηκότες· διὰ τοῦτο καὶ ὁ δε-
E σπότης τῇ ἀνθρωπίνῃ συνηθείᾳ χρησάμε-
» νός φησι, κατ᾽ ἐμαυτοῦ ὤμοσα, καὶ τὰ ἑξῆς. Καὶ μετ᾽ ὀλίγα. Καὶ μὴν ζῶντα αὐτὸν ἐπανάγει. μὴ τὸ τέλος ἴδῃς, ἀγαπητὲ, ἀλλὰ τὴν γνώμην μάθε, μεθ᾽ ἧς ἀσυλλογίστως τὰ προσταττόμενα ἐπλήρου. ὅσον γὰρ εἰς προαίρεσιν, ἥμαξε τὴν δεξιὰν ὁ πατριάρχης, καὶ κατὰ τῆς δέρρας τοῦ παιδὸς ἐπαφῆκε τὸ ξίφος, καὶ ἀπηρτισμένην ἀπειργάσατο τὴν θυσίαν.

Z » ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ οὐκ ἐφείσω τοῦ
» υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾽ ἐμὲ, ἐμφαίνει ὅτι οὐδὲ ἐγὼ φείσομαι τοῦ υἱοῦ μου τοῦ ἀγαπητοῦ
» διὰ σέ. οὕτω γὰρ ὁ Θεὸς ἠγάπησε τὸν Ἰωάν. 3. 16.
» κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ
» δέδωκεν, ἵνα πᾶς ὁ πιστεύων ἐπ᾽ αὐτὸν, μὴ
» ἀπόληται, ἀλλ᾽ ἔχει ζωὴν αἰώνιον. διὸ καὶ Παῦλος ἀπεθαύμαζεν αὐτὸν, λέγων· ὅς γε Ῥωμ. 8. 32.
» τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν
H » ἁπάντων παρέδωκεν αὐτόν.

ιζ. Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς

ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος A
τῆς θαλάσσης. καὶ κληρονομήσει
τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπε-
ναντίων.

ΑΔΗΛΟΥ. Ὅτε τὰ τέκνα τοῦ Ἀβραὰμ, ἤτοι οἱ ἐξ ἐθνῶν πιστοὶ, περιγίνεται τοῦ συστήματος τῶν παρὰ τῶν ἑτεροδόξων λόγων, καὶ ὑπὸ χεῖρα ποιεῖ ἐκείνους ἑαυτοῖς, κληρονομεῖ τὸ σπέρμα τοῦ Ἀβραὰμ τὰς πόλεις τῶν ὑπεναντίων.

ιη. Καὶ ἐνευλογηθήσονται ἐν τῷ
σπέρματί σου πάντα τὰ ἔθνη τῆς
γῆς, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς
φωνῆς.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἄρα τῶν μυρίων ἡμῖν ἀγαθῶν πρόξενον γίνεται τὸ ὑπακούειν τῷ δεσπότῃ, καὶ πείθεσθαι αὐτοῦ τοῖς προστάγμασι, καὶ ὁμοίως τῷ πατριάρχῃ τούτῳ μὴ περιεργάζεσθαι τὰ παρ' αὐτοῦ ἐπιταττόμενα.

ιθ. Ἀπεστράφη δὲ Ἀβραὰμ πρὸς
τοὺς παῖδας αὐτοῦ· καὶ ἀναστάντες
ἐπορεύθησαν ἅμα ἐπὶ τῷ φρέατι τοῦ
ὅρκου. καὶ (1) κατῴκησεν Ἀβραὰμ
ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου.

ΑΔΗΛΟΥ. Περὶ ὃ ἐπλανᾶτο φρέαρ ἡ Ἄγαρ, ἐκεῖ κατῴκησεν Ἀβραάμ. ὅπερ καλεῖται ἑβραϊστὶ Βηρσαβεέ. ἔστι δὲ τὰ πρῶτα καὶ ἐντιμότατα τοῦ λαοῦ ὅρια. διὸ καὶ ἡ φυλὴ Ἰούδα, ὡς βασιλικὴ ἀκληρωτὶ λαμβάνει τὸν τόπον μεθ' ὅλης τῆς ἰδίας μερίδος. καὶ πολλαχοῦ τῶν Γραφῶν λέ-
A γεται, ἀπὸ Δὰν ἕως Βηρσαβεέ. ὅπερ ἴσον δύναται, τὰ ἀπὸ τῶν ὁρίων τῆς Ἰουδαίας, ἕως τῶν πρώτων. καὶ γὰρ εὑρίσκεται ἐν τῷ Ἰσραὴλ ὁ μὲν Δὰν, ἕβδομος, καὶ ἐπὶ πᾶσι κληρούμενος τὴν ἑαυτοῦ· ὁ δὲ Ἰούδας, τὴν Βηρσαβεὲ πρὸ πάντων ἀκληρωτὶ λαμβάνων πέραν τοῦ Ἰορδάνου τὴν ἐπιβάλλουσαν αὐτῷ μερίδα.

κ. Ἐγένετο δὲ μετὰ τὰ ῥήματα
B ταῦτα, καὶ ἀνηγγέλη τῷ Ἀβραὰμ,
λέγοντες, ἰδοὺ τέτοκε Μελχὰ καὶ
αὐτὴ υἱοὺς τῷ Ναχὼρ τῷ ἀδελφῷ
κα. σου, Τὸν Ὢξ πρωτότοκον, καὶ τὸν
Βαὺξ τὸν ἀδελφὸν αὐτοῦ, καὶ τὸν
κβ. Καμουὴλ πατέρα Σύρων, Καὶ τὸν
Χαζὰδ, καὶ τὸν Ἀζαῦ, καὶ τὸν
Φαλδὰς, καὶ τὸν Ἐλὰφ, καὶ τὸν
Βαθουήλ.

Γ ✱ ΩΡΙΓΕΝΟΥΣ. Μελχὰ, (ἑρμηνεύουσι) βασιλείαν· Ὢξ, βουλευόμενον· Ναχὼρ, ἀνάπαυσιν φωτός· Βαὺξ, ἐξουδενωμένον· Καμουὴλ, ἀνάστασιν Θεοῦ· Σύρων, μετεώρων· Χαζὰδ, ψεῦδος· Φαλδὰς, πτῶσιν ἐνδεοῦς, ἢ πτῶσιν πτωχείας· Ἀζαῦ, ὁρῶντα· Ἰελδὰφ, χειρὸς περιουσίαν, ἢ χεῖρα λάβε· Βαθουὴλ, ἔνοικον Θεοῦ, ἢ θυγατέρα Θεοῦ.

κγ. Καὶ Βαθουὴλ ἐγέννησε τὴν
Δ Ῥεβέκκαν. ὀκτὼ οὗτοι υἱοὶ, οὓς ἔτεκε
Μελχὰ τῷ Ναχὼρ τῷ ἀδελφῷ Ἀ-
κδ. βραάμ. Καὶ ἡ παλλακὴ αὐτοῦ, ἣ
ὄνομα Ῥέημα, ἔτεκε καὶ αὐτὴ τὸν
Βααὶκ, καὶ τὸν Τααμ, καὶ τὸν Το-
χὼς, καὶ τὸν Μωχά.

ΚΕΦ. ΚΓ.

α. Ἐγένετο δὲ ἡ ζωὴ Σάῤῥας,
ἔτη ἑκατὸν εἰκοσιεπτά.

β. Καὶ ἀπέθανε Σάῤῥα ἐν πόλει
Ἀρβὼκ, ἥ ἐστιν ἐν τῷ κοιλώματι· αὕ-
τη ἐστὶ Χεβρὼν ἐν τῇ γῇ Χαναάν. ἦλ-
θε δὲ Ἀβραὰμ κόψασθαι Σάῤῥαν,
γ. καὶ πενθῆσαι. Καὶ ἀνέστη Ἀβραὰμ
ἀπὸ τοῦ νεκροῦ αὐτοῦ, καὶ εἶπε τοῖς
υἱοῖς τοῦ Χὲτ, λέγων.

ΕΥΣΕΒΙΟΥ. Προσπάθεια, καὶ οὐ πάθος τοῦ Ἀβραὰμ δεδήλωται. οὐ γὰρ εἴρηται, ὅτι ἐκόψατο, ἀλλ' ὅτι ἦλθε κόψασθαι· καὶ μετέπειτα, ἀνέστη, φησὶν, Ἀ-
» βραὰμ ἀπὸ τοῦ νεκροῦ, μὴ προσκειμένου τοῦ,
» ἐκόψατο.

δ. Πάροικος καὶ παρεπίδημος ἐγώ
εἰμι μεθ' ὑμῶν· δότε οὖν μοι κτῆσιν τά-
φου μεθ' ὑμῶν, καὶ θάψω τὸν νεκρόν
μου ἀπ' ἐμοῦ.

✱✱ ΚΛΗΜΕΝΤΟΣ. Αὐτίκα ἡ τοῦ σοφοῦ τε καὶ γνωστικοῦ ψυχὴ, οἷον ἐπιξενουμένη τῷ σώματι, σεμνῶς αὐτῷ καὶ τιμητικῶς προσφέρεται, οὐ προσπαθῶς, ὅσον οὐ-
Z δέπω· ἐὰν ὁ καιρὸς τῆς ἀποδημίας καλῇ,
» ἀπολείπουσα τὸ σκῆνος· πάροικός φησιν
» ἐν τῇ γῇ, καὶ παρεπίδημος ἐγώ εἰμι μεθ' ὑμῶν. Καὶ μετ' ὀλίγα. Ἑνὸς τὰ πάντα Θεοῦ· καὶ οὐκ ἄν τις εἴη φύσει ξένος· μιᾶς μὲν τῆς οὐσίας οὔσης, ἑνὸς δὲ τοῦ Θεοῦ· ἀλλ' ὁ ἐκλεκτὸς ὡς ξένος πολιτεύεται, κτητά τε καὶ ἀπόκλητα εἰδὼς πάντα. ὅσα δὲ τριττὰ εἶναι ἀγαθὰ οἱ Περιπατητικοὶ θέλουσι, χρῆται αὐτοῖς· ἀλλὰ καὶ τῷ σώματι, ὥσ-
H τις μακρὰν στελλόμενος ἀποδημίαν, πανδοχείοις καὶ ταῖς παρ' ὁδὸν οἰκήσεσιν· ἐπιμελούμενος μὲν καὶ κοσμικῶν, τὸν τόπον ἔνθα

(1) Τὰ ἀπὸ τοῦ, καὶ, ἄχρι τοῦ, ὅρκου, προσετέθη, ὡς καίτοι παραδρομῇ τυχὸν μὴ κείμενα ἐν τῷ κώδ.

ἔνθα καταλύει· καταλιπὼν δὲ τὴν οἴκησιν καὶ τὴν κλῆσιν, καθάπερ καὶ τὴν χρῆσιν ἀπροσπαθῶς, προθύμως τῷ ἀπάγοντι τοῦ βίου συνεπόμενος, οὐδαμῶς ὀπίσω κατ' οὐδεμίαν ἀφορμὴν ἐπιστρεφόμενος· εὐχαριστήσας μὲν ἐπὶ τῇ παροικίᾳ, εὐλογῶν δὲ ἐπὶ τῇ ἐξόδῳ, τὴν μονὴν ἀσπαζόμενος τὴν ἐν οὐρανῷ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀκουέτωσαν οἱ ἀθρόον καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ τὰ πάντα
B περιβαλλόμενοι, καὶ πανταχοῦ, ὡς εἰπεῖν, τῆς οἰκείας ἐπιθυμίας τὴν πλεονεξίαν ἐκτείνοντες, καὶ μιμείσθωσαν τὸν πατριάρχην, τὸν οὐδὲ ὅπου καταθῇ τὸ λείψανον τῆς Σάῤῥας ἐσχηκότα. μέχρις ὅτε καὶ ὑπ' αὐτῆς τῆς ἀνάγκης ὠθούμενος, ὠνήσατο τὸν ἀγρὸν καὶ τὸ σπήλαιον παρὰ τῶν υἱῶν Χέτ. Καὶ μεθ' ἕτερα. Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἀνακηρύττων τοῦ δικαίου τούτου
Ἑβρ. 11. 9. τὴν ἀρετὴν, γράφων ἔλεγε· πίστει παρῴ-
Γ » κησεν Ἀβραὰμ εἰς τὴν γῆν τῆς ἐπαγγε-
» λίας, ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοική-
» σας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκλη-
» ρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς.

ε. Ἀπεκρίθησαν δὲ οἱ υἱοὶ Χὲτ πρὸς Ἀβραὰμ, λέγοντες, μὴ Κύριε.

ς. Ἄκουσον δὲ ἡμῶν. βασιλεὺς παρὰ Θεοῦ εἶ σὺ ἐν ἡμῖν. ἐν τοῖς ἐκλε-
Δ κτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου· οὐδεὶς γὰρ ἡμῶν οὐ μὴ κωλύσῃ τὸ μνημεῖον αὐτοῦ ἀπὸ σοῦ, θάψαι τὸν νεκρόν σου ἐκεῖ.

* ΠΡΟΚΟΠΙΟΥ. Ἀβραὰμ ἑαυτὸν (1) πάροικον ὀνομάζει, κἀκεῖνοι (2) βασιλέα.
Λουκ. 18. 14. οὕτως ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται.

ζ. Ἀναστὰς δὲ Ἀβραὰμ, προσε-
E κύνησε τῷ λαῷ τῆς γῆς, τοῖς υἱοῖς Χέτ.

** ΠΡΟΚΟΠΙΟΥ. Προσεκύνησεν αὐτοῖς, οὐδὲ θεοσεβέσιν ἴσως ὑπάρχουσιν,
Γεν. 18. 27. ἀκόλουθα πάντα ποιῶν τῷ, ἐγώ εἰμι γῆ
» καὶ σποδός.

η. Καὶ ἐλάλησε πρὸς αὐτοὺς Ἀβραὰμ, λέγων, εἰ ἔχετε τῇ ψυχῇ ὑμῶν, ὥστε θάψω τὸν νεκρόν μου
Z ἀπὸ προσώπου μου, ἀκούσατέ μου, καὶ λαλήσατε περὶ ἐμοῦ Ἐφρὼν τῷ τοῦ Σαάρ.

ΑΔΗΛΟΥ. Ἐφρὼν ἑρμηνεύεται χοῦς λιπαρός.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Εἰκότως Ἀβραὰμ ἐρεῖ τοῖς νεκροφύλαξι καὶ ταμείαις τῶν θνητῶν ἀναστὰς ἀπὸ τοῦ νεκροῦ βίου καὶ
H » τοῦ τάφου, πάροικος καὶ παρεπίδημός εἰμι
» ἐγὼ μεθ' ὑμῶν. αὐτόχθονες δὲ ὑμεῖς, κόνιν καὶ χοῦν ψυχῆς προτιμήσαντες, προεδρίας ἀξιώσαντες ὄνομα Ἐφρὼν, ὃ ἑρμηνεύεται χοῦς.

A θ. Καὶ δότω μοι τὸ σπήλαιον τὸ διπλοῦν, ὅ ἐστιν αὐτῷ, τὸ ὂν ἐν μέρει τοῦ ἀγροῦ αὐτοῦ. ἀργυρίου τοῦ ἀξίου δότω μοι αὐτὸ ἐν ἡμῖν εἰς κτῆσιν μνημείου.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ σπήλαιον τὸ
B διπλοῦν δύω εἰσὶν ἀντρώδεις ὑπώρειαι. ἡ μὲν, ἐκτός· ἡ δὲ, εἴσω. ἢ δύω περίβολοι. ὁ μὲν, περιέχων· ὁ δὲ, περιεχόμενος. Καὶ μεθ' ἕτερα. Τύπον δὲ τῶν δύω διαθηκῶν τὸ διπλοῦν σπήλαιον εἶναί φασιν.

ι. Ἐφρὼν δὲ ἐκάθητο ἐν μέσῳ τῶν υἱῶν Χέτ. ἀποκριθεὶς δὲ Ἐφρὼν ὁ Χετταῖος πρὸς αὐτὸν, εἶπεν, ἀκουόντων τῶν υἱῶν Χὲτ, καὶ πάν-
Γ των τῶν εἰσπορευομένων εἰς τὴν πόλιν, λέγων.

ια. Παρ' ἐμοὶ γενοῦ Κύριε, καὶ ἄκουσόν μου. τὸν ἀγρὸν καὶ τὸ σπήλαιον τὸ ἐν αὐτῷ, σοὶ δίδωμι· ἐναντίον πάντων τῶν πολιτῶν μου δέδωκά σοι· θάψον τὸν νεκρόν σου.

ΑΔΗΛΟΥ. Τοῦ Ἀβραὰμ μόνον τὸ σπή-
Δ λαιον ἐπιζητοῦντος, ὁ Ἐφρὼν καὶ τὸν ἀγρὸν δίδωσιν. ἐπειδὴ ἀγάμενος τὸν ἄνδρα, καὶ τὴν σοφίαν ᾗ χρώμενον ἑώρα, τὰς χάριτας ἀφθόνους ἐπιδαψιλεύεσθαι ᾤετο δεῖν.

ιβ. Καὶ προσεκύνησεν Ἀβραὰμ ἐναντίον τοῦ λαοῦ τῆς γῆς.

ιγ. Καὶ εἶπε τῷ Ἐφρὼν εἰς τὰ
E ὦτα ἐναντίον τοῦ λαοῦ τῆς γῆς, ἐπειδὴ πρὸς ἐμοῦ εἶ, ἄκουσόν μου. τὸ ἀργύριον τοῦ ἀγροῦ λάβε παρ' ἐμοῦ, καὶ θάψω τὸν νεκρόν μου ἐκεῖ.

ΑΔΗΛΟΥ. Ἐπειδὴ πρὸς ἐμοῦ εἶ. Ἐπει-
» δὴ τὸ ἀρεσόν μοι ζητεῖς φησὶ, καὶ τὸ κεχαρισμένον εὑρεῖν σπουδάζεις.

ΑΔΗΛΟΥ. Εἰς ἀργύριον τότε συνήλλατον, ὡς μέχρι νῦν Πέρσαι, καὶ τὰ πε-
Z ρὶ τὴν Ἀρμενίαν.

** ΠΡΟΚΟΠΙΟΥ. Ὡς καὶ ἄνω τὰς ζ' ἀμνάδας δέδωκε τῷ Ἀβιμέλεχ, ἵνα πᾶσαν ἀνέλῃ φιλονεικίαν ἴσως μετὰ ταῦτα.

ιδ. Ἀπεκρίθη δὲ Ἐφρὼν τῷ Ἀβραὰμ, λέγων.

ιε. Οὐχὶ κύριε· ἀκήκοα γὰρ, ὅτι γῆ τετρακοσίων διδράχμων ἀργυρίου.
H ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, τί ἂν εἴη τοῦτο; σὺ δὲ τὸν νεκρόν σου θάψον.

ΠΡΟΚΟ-

(1) Αὐτὸς ἑαυτόν. ὁ τῆς Αὐγ. κώδ.

(2) Οἱ δὲ, βασιλέα. ὁ αὐτ.

** ΠΡΟΚΟΠΙΟΥ. Τοῦ τιμήματος εἶπεν ὁ Ἐφρὼν τὴν ποσότητα, καὶ τιμᾶν ἔδοξε τὸν Ἀβραάμ. ἣν καὶ παρέσχεν Ἀβραὰμ, φιλονεικήσας μηδέν.

* ΤΟΥ ΑΥΤΟΥ. Στατήρ ἐστιν, ὥς φησὶν Ὠριγένης, (1) τὸ ἥμισυ τῆς οὐγγίας, ἔχει δὲ δραχμὰς δύω.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι τάφου τιμὴ ἐστὶ τὰ τετρακόσια, τῷ κακωτικὴν εἶναι τὴν τετράδα καὶ ἑκατοντάδα. καὶ ζητήσας τὰ ὅμοια ἐκ τῶν Γραφῶν εὑρήσεις.

ις. Καὶ ἤκουσεν Ἀβραὰμ τοῦ Ἐφρὼν, καὶ ἀπεκατέστησεν Ἀβραὰμ τῷ Ἐφρὼν τὸ ἀργύριον, ὃ ἐλάλησεν εἰς τὰ ὦτα τῶν υἱῶν τοῦ Χέτ· τετρακόσια δίδραχμα ἀργυρίου δοκίμου ἐμπόροις.

» * ΠΡΟΚΟΠΙΟΥ. Δοκίμου ἐμπόροις, ὡς ἂν εἴποι τὶς ζυγοστάταις. ὃ οὐδ' ἂν ἔμποροι ἀπεδοκίμασαν.

ΑΔΗΛΟΥ. Οὐ ταυτὸν τὸ ἁπλῶς δόκιμον τῷ τοῖς ἐμπόροις, ὁμοίως οὐδὲ τὸ ἀδόκιμον. διόπερ ἡ μὲν τιμὴ τοῦ τάφου, ἀρ-
A » γυρίου δοκίμου ἐμπόροις λέγεται· ἐν δὲ τῷ
» Ἡσαΐᾳ λέλεκται, τὸ ἀργύριον ὑμῶν ἀδόκι- Ἡσ. 1. 22.
μον· οὐ τίσιν ἀδόκιμον.

ιζ. Καὶ ἔστη ὁ ἀγρὸς Ἐφρὼν, ὃς ἦν ἐν τῷ διπλῷ σπηλαίῳ, ὅς ἐστι κατὰ πρόσωπον Μαμβρῆ, ὁ ἀγρὸς καὶ τὸ σπήλαιον, ὃ ἦν ἐν αὐτῷ, καὶ πᾶν δένδρον, ὃ ἦν ἐν τῷ ἀγρῷ, ὅ ἐστιν ἐν
ιη. τοῖς ὁρίοις αὐτοῦ κύκλῳ, Τῷ Ἀβραὰμ εἰς κτῆσιν ἐναντίον τῶν υἱῶν Χὲτ, καὶ πάντων τῶν εἰσπορευομένων εἰς τὴν πόλιν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἔστη δέ φησιν ὁ ἀ-
» γρὸς Ἐφρὼν, τουτέστι συνεφωνήθη.

ιθ. Καὶ μετὰ ταῦτα ἔθαψεν Ἀβραὰμ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ ἐν
Γ τῷ σπηλαίῳ τοῦ ἀγροῦ τῷ διπλῷ, ὅ ἐστιν ἀπέναντι Μαμβρῆ· οὗτη ἐστὶ Χεβρὼν
κ. ἐν τῇ γῇ Χαναάν. Καὶ ἐκυρώθη ὁ ἀγρὸς καὶ τὸ σπήλαιον ὃ ἦν ἐν αὐτῷ τῷ Ἀβραὰμ εἰς κτῆσιν τάφου, παρὰ τῶν υἱῶν Χέτ.

ΚΕΦ. ΚΔ.

α. Καὶ Ἀβραὰμ ἦν πρεσβύτερος προβεβηκὼς ἡμερῶν· καὶ Κύριος εὐλόγησε τὸν Ἀβραὰμ κατὰ πάντα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνος ἕνεκεν τοῦτο ἡμῖν ἐπεσημήνατο; Ἐπειδὴ μέλλει φροντίδα ποιεῖσθαι τοῦ Ἰσαὰκ καὶ σπουδὴν, ὥστε νύμφην αὐτῷ ἀγαγέσθαι, διὰ τοῦτο ἐσή-
E μανεν ἡμῖν τὴν ἡλικίαν τοῦ πατριάρχου.

» ** ΠΡΟΚΟΠΙΟΥ. Προβεβηκὼς ἡμερῶν. Μήποτε τοῦτο, φασὶν, ἐπ' οὐδενὸς ἀδίκου τέτακται;

β. Καὶ εἶπεν Ἀβραὰμ τῷ παιδὶ αὐτοῦ τῷ πρεσβυτέρῳ τῆς οἰκίας αὐτοῦ τῷ ἄρχοντι πάντων τῶν ὑπαρχόντων αὐτῷ, θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου.

Z ΔΙΟΔΩΡΟΥ. Τινές φασι, τὸν Σύρον
» καὶ τὸν Ἑβραῖον μὴ οὕτως ἔχειν τὸ, θὲς
» τὴν χεῖρά σου ἐπὶ τὸν μηρόν μου, ἀλλ' εἰς
αὐτὸ τὸ παιδογόνον ὄργανον· ἐπειδὴ τῆς
Γεν. 1. 28. διαδοχῆς ἡ εὐλογία τὸ, αὐξάνεσθε καὶ
» πληθύνεσθε. ὑπηρετεῖτο δὲ τῇ εὐλογίᾳ
τὸ ὄργανον τὸ παιδοποιοῦν. τοῦτο δὲ καὶ τὸ σημεῖον τῆς διαθήκης ἐδέξατο, τὸ ἐκ τοῦ σπέρματος τοῦ ἀβραμιαίου μέλλειν σαρκοῦσθαι τὸν Θεόν. δικαίῳ δὲ καὶ σώφρονι οὐδὲν ἄσχημον μέλος, ἀδίκῳ δὲ πρὸ πάντων ἡ ψυχή.

** ΠΡΟΚΟΠΙΟΥ. Ὁ Ἕλλην, φασὶ, σεμνότερον ἑρμηνεύει. ὁ γὰρ Ἑβραῖος καὶ ὁ Σύρος αὐτὸ λέγει τοῦ ἀνδρὸς τὸ τεκνοποιὸν μόριον.

* ΤΟΥ ΑΥΤΟΥ. Δικαίῳ καὶ σώφρονι μέλος οὐδὲν αἰσχρὸν, τῷ δὲ ἀδίκῳ καὶ ἡ ψυχὴ μεμίαται. ὅθεν φησίν. ἐξορκίζωσε τὸν δεδωκότα μοι τὴν σφραγίδα ταύτην. (2) ᾔδει γὰρ Ἀβραὰμ ὅσον ἀπαρέσκει τῷ Θεῷ ἡ πρὸς ἔθνη καταφυγή. (3)

* ΚΥΡΙΛΛΟΥ. Ἀνώνυμος ὁ οἰκέτης, ἵνα κατὰ παντὸς φέρηται μαθητοῦ ὁ δεδοκιμασμένος τῆς διακονίας τύπος.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου; Ἐπὶ γάμον ἀπέστελε τῶν οἰκετῶν τὸν ἡγούμενον· ἐπάρατον μὲν ἐπιστάμενος τῶν Χαναναίων τὸ γένος, εὐλογίας δὲ ἠξιωμένην τὴν ἰδίαν συγγένειαν. ἐπειδὴ τοίνυν ἐν τῷ σπέρματι αὐτοῦ καὶ τὴν εὐλογίαν καὶ τὴν τῶν ἀγαθῶν ἐπαγγελίαν ἐδέξατο, ἐκεῖ θεῖναι τὸν παῖδα τὴν χεῖρα προσέταξεν, (4) ἔνθα καὶ τῆς

(1) Τὸ, ὥς φησὶν Ὠριγένης, ἐν τῷ τῆς Αὐγ. κώδ. οὐ κεῖται. ἀλλ' οὐδὲ ἐν τοῖς τοῦ Ὠριγέν. εὕρηται. ὁ Ἐπιφάνιος δὲ, ἐν τῷ περὶ μέτρ. καὶ σταθμ. βιβλ. φησίν· ὁ δὲ στατὴρ ἥμισυ μὲν οὐγγίας, ἔχων δὲ δίδραγμα.

(2) Ταύτην τῆς περιτομῆς. ὁ τῆς Αὐγ. κώδ.

(3) Συνάφεια. ὁ αὐτ.

(4) Τὰ ἀπὸ τοῦ, ἔνθα, ἄχρι τοῦ, προσέταξε, προσετέθησαν, ὡς κατὰ παράδρομην τυχὸν μὴ κείμενα ἐν τῷ κώδ.

τῆς πίςεως τὸ σημεῖον ἐδέξατο. πιςεύσας γὰρ ταῖς θείαις ἐπαγγελίαις, ἔλαβε τῆς περιτομῆς τὴν σφραγῖδα. ἐκεῖ δὲ θεῖναι τὴν χεῖρα προσέταξεν, ἵνα καὶ τῆς θείας ἐπαγγελίας, καὶ τῆς περιτομῆς μεμνημένος, ἀλλοφύλῳ γάμῳ τὴν δεσποτικὴν εὐγένειαν μὴ λωβήσηται.

ΓΕΝΝΑΔΙΟΥ. Τοῦτο πεποίηκεν Ἀβραὰμ διὰ τόδε· ᾔδει σφραγῖδα τὴν περιτομὴν αὐτῷ δεδομένην ὑπὸ Θεοῦ πρὸς τὴν ἀπὸ τῶν λοιπῶν ἀνθρώπων διάκρισιν. ἐσπούδαζεν οὖν ὅπως καὶ οἱ μετ' αὐτὸν ἐξ αὐτοῦ γεννηθέντες ταύτην φυλάττοντες ἐφ' ἑαυτῶν διαμείνωσι. τοῦτο τοίνυν ἐσπουδακὼς, διελογίσατο καθ' ἑαυτὸν ὡς εἰκὸς, ὅτι εἰ μὲν πρός τινα τῶν ἐγχωρίων συνάψῃ τὸ κῆδος, ἐγγύθεν ὄντος τῇ κόρῃ τοῦ γένους, δύσκολος ἢ καὶ ἀδύνατος ἡ ἀπὸ τῆς εἰδωλολατρείας πρὸς τὴν εὐσέβειαν ἔσται μετάθεσις· εἰ δὲ ἐκ τῆς ἑαυτοῦ πατρίδος, καὶ τοῦ οἰκείου γένους νύμφην ἀγάγοιτο, ῥᾳδίως αὕτη πρὸς τὰ ἤθη τοῦ ἀνδρὸς μεταρρυθμισθήσεται. πρὸς δὲ τούτοις ἀναγκαίως καὶ τῆς ἐξενηνεγμένης κατὰ τῶν οἰκούντων τότε τὴν Παλαιςίνην ἀποφάσεως ἐπεμέμνητο. οὐκοῦν ᾤετο δεῖν ἐκ τοῦ γένους τοῦ προσκεκρουκότος καὶ πολεμίου Θεῷ γυναῖκα λαμβάνειν τῷ Ἰσαάκ. διὰ ταῦτα κελεύει τῷ παιδὶ τῆς περιτομῆς ἐφαπτομένῳ, καίτοι τοῦ ταύτην δεδωκότος ὀμνύειν περὶ ὧν φησὶ πρὸς αὐτόν. τοῦτον δὲ αὐτὸν εἰρήκασί τινες εἶναι, οὗ μνημονεύων ὁ Ἀ-

Gen. 15. 2. » βραὰμ ἐν τοῖς ἔμπροσθεν ἔλεγεν· ὁ δὲ υἱὸς
» Μασὲκ τῆς οἰκογενοῦς μου, οὗτος κληρονο-
» μήσει με. καὶ ἀπεικός γε οὐδὲν, βούλεσθαι αὐτὸν τούτῳ τότε χρήσασθαι κληρονόμῳ, ὡς συνανασραφέντι τε αὐτῷ σχεδὸν καὶ συνεσάτῳ παρὰ πάντα τὸν βίον γεγενημένῳ.

» ΙΣΙΔΩΡΟΥ. Ὑπόθες τὴν χεῖρά σου
» ὑπὸ τὸν μηρόν μου. καὶ ἐξορκιῶ σε τὸν Θεὸν
» τοῦ οὐρανοῦ καὶ τῆς γῆς. Ἐνετείλατο τελευτῶν Ἀβραὰμ τῷ οἰκέτῃ τὸν ἐκ τοῦ μηροῦ αὐτοῦ μέλλοντα σαρκοῦσθαι, τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τὸν Κύριον ἡμῶν καὶ δεσπότην Χριςὸν καθαρότητι διανοίας ὁρῶν, μέλλοντα τοῦ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεσθαι, ὡς Προφήτης καὶ βλέπων τὰ ἔμπροσθεν.

γ. Καὶ ἐξορκιῶ σε Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τὸν Θεὸν τῆς γῆς, ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, μεθ' ὧν ἐγὼ οἰκῶ ἐν αὐτοῖς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἰςέον δὲ, ὡς ἡ μὲν χεὶρ ὑπὸ τὸν μηρὸν ἐτέθη, ὁ δὲ ὅρκος κα-
» τὰ τοῦ Θεοῦ τῶν ὅλων ἐγένετο. ὁρκίζω σε
» γὰρ ἔφη Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ
» τῆς γῆς, ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου
» τῷ Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων τῶν Χα-
» ναναίων, μεθ' ὧν ἐγὼ οἰκῶ ἐν αὐτοῖς.

ΑΔΗΛΟΥ. Ὅρκοι αὐτὸν κατὰ τοῦ Ἰησοῦ Χριςοῦ τοῦ κατὰ σάρκα ἐκ τοῦ σπέρματος

A αὐτοῦ μέλλοντος γεννηθῆναι, τοῦ σαρκωθέντος, ὃς Κύριός ἐςιν οὐρανοῦ καὶ γῆς. καὶ σημειωτέον, ὅτι τὸν αὐτὸν Κύριον καὶ Θεὸν καλεῖ. ὡς ὄντα δὲ ἐν αὐτῷ τὸν Χριςὸν, ὑποδείκνυσιν αὐτὸν αὐτῷ, μονονουχὶ λέγων, ψηλάφησον τῇ χειρὶ τὸν σαρκούμενον Κύριον ἐκ σπέρματός μου, τὸν υἱόν μου κατὰ σάρκα. καὶ γὰρ ὡς ὢν ἐν τῇ ὀσφύϊ αὐτοῦ δεδεκάτωται παρὰ Μελχισεδὲκ, καὶ δεκάτην ἔδωκεν αὐτῷ καὶ πρὸ γενέσεως μελ-

B λων γεννηθῆναι. ὅθεν καὶ ὁ Ματθαῖος φη-
» σι, βίβλος γενέσεως Ἰησοῦ Χριςοῦ, υἱοῦ Δα-
» βὶδ, υἱοῦ Ἀβραάμ. Ἑβραῖος δέ τις ἔλεγε, τὸν ὅρκον εἶναι κατὰ τῆς περιτομῆς.

ΑΔΗΛΟΥ. Ἤδει Ἀβραὰμ, ὅτι ὁ Θεὸς τοὺς Χαναναίους κατηράσατο ἐξολοθρεῦσαι· ᾔδει ὅτι δώσει μετὰ ταῦτα νόμον· Προφήτης γὰρ ἦν· κελεύοντα μὴ λαβεῖν ἀπὸ Χαναναίων γυναῖκα, μηδὲ δοῦναι. ἵνα μὴ πρόσκομμα γένηται. ἵνα μὴ καταφρονή-

Γ. σωσι τοῦ νόμου, πρόφασιν ἔχοντες, ὅτι Ἀβραὰμ τῷ Ἰσαὰκ ἀπὸ τῶν Χαναναίων ἔλαβε γυναῖκα.

* ΚΥΡΙΛΛΟΥ. Οὐκ ἠξίωσεν Ἀβραὰμ ἐκ τῶν θυγατέρων Χαναὰν ἁρμόσαι γυναῖκα τῷ ἠγαπημένῳ, φημὶ δὴ τῷ Ἰσαάκ· ἀλλ' εἰς τὴν τῶν εἰδωλολατρούντων χώραν τὸν γνήσιον ἀποτρέχειν ἐκέλευσεν οἰκέτην, φροντιοῦντα γυναικὸς τῆς ὅτι μάλι-

Δ ςα πρεποδεςάτης αὐτῷ. ὁ γὰρ ἠθέλησεν ὁ Θεὸς καὶ πατὴρ τὴν τῶν Ἰουδαίων συναγωγὴν νοητῶς συνάψαι τῷ Χριςῷ, ὃς ἐν Ἰσαὰκ σημαίνεται. ὀψίγονος γὰρ ὁ Ἰσαὰκ καὶ ἀγαπητός. πέφηνε δὲ καὶ ἐν ἐσχάτοις καιροῖς ὁ Χριςὸς, καὶ ἔςιν ἀγάπη· τέρψις τε καὶ ἀγαλλίασις· ἑρμηνεύεται γὰρ οὕτως ὁ Ἰσαάκ.

** ΠΡΟΚΟΠΙΟΥ. Διατί δὲ μὴ τῷ υἱῷ παραγγέλλει μὴ λαβεῖν Χανανῖτιν,

E. ὥσπερ ὕςερον τῷ Ἰακὼβ οἱ γονεῖς, ἀλλὰ τῷ παιδὶ, καίτοι τελείου τυγχάνοντος Ἰσαὰκ, καὶ ἡλικίαν ἔχοντος γάμου; καὶ εἰ μὴν ἤμελλε πείθεσθαι, εἰκὸς ἦν αὐτῷ μᾶλλον παρεγγυᾶν· εἰ δὲ ἀπειθεῖν, περιττὴ τοῦ παιδὸς ἡ διακονία. τὸ γὰρ εἰπεῖν, ὅτι χρησμῷ τῆς γῆς ἐξελθὼν, πέμπειν εἰς αὐτὴν οὐκ ἠξίου τὸν υἱὸν, εἰ καὶ εὔλογον, ὅμως ἀπαρέσκει τισὶ, διὰ τὸ μηδ' ἂν τὸν Ἰακὼβ, εἰ τοῦτο ἦν ἀληθὲς, ὑπὸ τῶν γονέων

Z. ἐνταῦθα πεμφθῆναι. Μήποτε οὖν ὁ παῖς ἄγαν ἐκράτει τῆς τοῦ Ἀβραὰμ οἰκίας, συνετός τε ὢν καὶ πρὸς συμβουλὴν ἱκανός;
» ὅπερ τὸ ῥητὸν ὑπεμφαῖνόν φησι, ὡς εἶπεν
» Ἀβραὰμ τῷ παιδὶ αὐτοῦ τῷ πρεσβυτέρῳ
» τῷ ἄρχοντι τῶν αὐτοῦ πάντων. τούτοις γὰρ ὡς ἐπίπαν, ὡς συνετοῖς καὶ παιδοκόμοις, καὶ τὸ αἰδέσιμον ἐκ τῆς ἡλικίας ἔχουσιν, ἕπεσθαι φιλοῦσιν οἱ νέοι δεσπόται, καθάπερ ἄλλοις πατράσιν.

H δ. Ἀλλ' ἢ εἰς τὴν γῆν μου, οὗ ἐγενόμην πορεύσῃ, καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν.

ε. Εἶπε

ε. Εἶπε δὲ πρὸς αὐτὸν ὁ παῖς,
μήποτε οὐ βούληται ἡ γυνὴ πορευθῆ-
ναι μετ᾽ ἐμοῦ ὀπίσω εἰς τὴν γῆν ταύ-
την, καὶ ἀποστρέφων ἀποστρέψω τὸν
υἱόν σου εἰς τὴν γῆν, ὅθεν ἐξῆλθες
ς. ἐκεῖθεν; Εἶπε δὲ πρὸς αὐτὸν Ἀ-
βραὰμ, πρόσεχε σεαυτῷ, μὴ ἀπο-
στρέψῃς τὸν υἱόν μου ἐκεῖ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Σοφωτάτη δὲ ἄγαν καὶ τοῦ παιδὸς ἡ ἐρώτησις. δήσας γὰρ τὸν ὅρκον, δήλους αὐτῷ γενέσθαι παρεκάλει τοῦ γάμου τοὺς ὅρους. εἰ γάρ φησι μὴ ἕλοιτο ἐνταῦθα ἐλθεῖν ἡ μνηστευομένη κόρη, ἀλλὰ πρὸς αὐτὴν ἀπελθεῖν τὸν μνηστῆρα κελεύει, προστάττεις τὸν υἱὸν εἰς ἐκεῖνο τὸ ἔθνος ἐπανελθεῖν; ἀλλ᾽ ὁ πατριάρχης Ἀβραὰμ εἰδὼς, ὡς ἐκεῖθεν μὲν αὐτὸν ἡ θεία κλῆσις ἐξήγαγε, περὶ δὲ τοῦ γάμου νόμον οὐκ ἐδέξατο θεῖον· αὐτὸς δὲ ὡς εὐσεβείᾳ συντεθραμμένος, ἠθέλησεν ἐκ τῆς συγγενικῆς οἰκίας τῷ παιδὶ κατεγγυῆσαι γυναῖκα· ἐκεῖνο μὲν ἀπαγορεύει γενέσθαι, ἅτε δὴ θείῳ νόμῳ κεκωλυμένον· τοῦτο δὲ, τῇ θείᾳ ἐγχειρίζει κηδεμονίᾳ. ταύτῃ θαῤῥήσας ὁ παῖς, ἐξεδήμησε.

ζ. Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ ὁ Θεὸς τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ ἐκ τῆς γῆς ἧς ἐγεννήθην, ὃς ἐλάλησέ μοι, καὶ ὤμοσέ μοι, λέγων, σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου, αὐτὸς ἀποστελεῖ τὸν Ἄγγελον αὐτοῦ ἔμπροσθέν σου· καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ τοῦτο θαῦμα τοῦ Ἀβραὰμ, εἰ τοιοῦτον γενέσθαι παρεσκεύασε τὸν οἰκέτην· ὃν καὶ δεδοικότα τὴν ἀποτυχίαν παραθαῤῥύνει, Θεὸν αὐτῷ μεσίτην καὶ συνοδοιπόρον διδοὺς, τῆς πρώτης ἀναμνήσας εὐεργεσίας, καθ᾽ ἣν ἐξήχθη τῆς γῆς ἐκείνης δηλαδὴ, καὶ τοσούτων γέγονε κύριος, καὶ τοῦ Θεοῦ παραδηλῶν τὴν ὑπόσχεσιν ἐπηγγελμένην τὴν γῆν αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ. εἰ γὰρ τοῦτο, καὶ τὴν γυναῖκα παρασκευάσει πρὸς ταύτην ἐλθεῖν.

η. Ἐὰν δὲ μὴ θέλῃ ἡ γυνὴ πορεύ-
θῆναι εἰς τὴν γῆν ταύτην μετὰ σοῦ,
καθαρὸς ἔσῃ ἀπὸ τοῦ ὅρκου τούτου· μό-
νον τὸν υἱόν μου μὴ ἀποστρέψῃς ἐκεῖ.
θ. Καὶ ἔθηκεν ὁ παῖς τὴν χεῖρα αὐτοῦ
ὑπὸ τὸν μηρὸν Ἀβραὰμ τοῦ κυρίου αὐ-
τοῦ· καὶ ὤμοσεν αὐτῷ περὶ τοῦ ῥήμα-
τος τούτου.

ι. Καὶ ἔλαβεν ὁ παῖς δέκα καμήλους ἀπὸ τῶν καμήλων τοῦ κυρίου αὐτοῦ, καὶ ἀπὸ πάντων τῶν ἀγαθῶν τοῦ κυρίου αὐτοῦ· καὶ ἀναστὰς, ἐπορεύ-
A θη εἰς τὴν Μεσοποταμίαν εἰς τὴν πόλιν Ναχώρ.

ΚΥΡΙΛΛΟΥ. Οὐκ ἐκ Χαναὰν, ἀλλ᾽ ἐκ μέσων τῶν ποταμῶν τῷ Ἰσαὰκ ἡ νύμφη. οὐκ ἐξ Ἰουδαίων, ἀλλ᾽ ἐξ ἐθνῶν ἡ Χριστοῦ ἐκκλησία· πλὴν μεσολαβούντων οἰκετῶν, ἤτοι τῶν Ἀποστόλων.

ια. Καὶ ἐκοίμησε τὰς καμήλους
B ἔξω τῆς πόλεως παρὰ τὸ φρέαρ τοῦ
ὕδατος τὸ πρὸς ὀψὲ, ἡνίκα ἐκπορεύον-
ται αἱ ὑδρευόμεναι.

ιβ. Καὶ εἶπε, Κύριε ὁ Θεὸς τοῦ
κυρίου μου Ἀβραὰμ, εὐόδωσον ἐναν-
τίον μου σήμερον, καὶ ποίησον ἔλεος
ιγ. μετὰ τοῦ κυρίου μου Ἀβραάμ. Ἰδοὺ
ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος·
αἱ δὲ θυγατέρες τῶν οἰκούντων τὴν
Γ πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ.
ιδ. Καὶ ἔσαι ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω,
ἐπίκλινόν μοι τὴν ὑδρίαν σου, ἵνα ἐγὼ
πίω, καὶ εἴπῃ, πίε, καὶ τὰς καμή-
λους σου ποτιῶ, ἕως ἂν παύσωνται
πίνουσαι, ταύτην ἡτοίμασας τῷ παι-
δί σου Ἰσαάκ. καὶ ἐν τούτῳ γνώσο-
μαι, ὅτι ἐποίησας ἔλεος μετὰ τοῦ
Δ κυρίου μου Ἀβραάμ.

ΩΡΙΓΕΝΟΥΣ. Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ. Πρέπουσα φωνὴ τῷ πρεσβύτῃ τῆς οἰκίας τοῦ Ἀβραὰμ, καὶ ἁρμόζουσα. καὶ ὅρα σοφίαν, οἷον τίθησι σημεῖον.

ΤΟΥ ΑΥΤΟΥ. Ἰδοὺ ἕστηκα ἐπὶ τῆς πηγῆς. διὸ φιλομιμητέον ἑστηκέναι ἐπὶ τῆς πηγῆς, ἵνα μὴ καὶ ἐφ᾽ ἡμῶν ἁρμόσῃ τὸ, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος. Ἱερ. 2. 13.

E * ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκείνην τὴν εὐχὴν οὐ συμβολικῶς προσενήνοχεν, ὥς τινες τῶν ἄγαν ἠλιθίων ὑπέλαβον. ἀλλ᾽ ἐπειδὴ τὸν Θεὸν συνεργὸν ἔλαβε τῆς μνηστείας, σημεῖά τινα αὐτῷ δειχθῆναι ἱκετεύει, δι᾽ ὧν ἐβούλετο γνῶναι, εἰ ἀρέσκει τῷ Θεῷ ἡ μνηστεία. τὸ δὲ σημεῖον ἦν, οὐχ ὥρα σώματος, οὐδὲ περιφάνεια γένους, οὐδὲ ἄλλο τι τῶν δοκούντων λαμπρῶν, ἀλλὰ φιλοξενία, καὶ φιλοφροσύνη, καὶ ἠπιότης φρο-
Z νήματος. ἔσαι γάρ φησιν ἡ παρθένος, ᾗ ἂν εἴπω, ἐπίκλινόν μοι τὴν ὑδρίαν σου, ἵνα πίω, καὶ εἴπῃ μοι, πίε κύριε, καὶ τὰς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται πιεῖν, ταύτην ἡτοίμασας τῷ παιδί σου Ἰσαάκ. καὶ ἐν τούτῳ γνώσομαι, ὅτι ἐποίησας ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ. ἐπειδὴ γὰρ τούτοις ἐκοσμεῖτο τοῖς πλεονεκτήμασι διαφερόντως ὁ πατριάρχης, ἠβουλήθη καὶ τὴν νύμφην συμβαίνειν τῷ τρόπῳ τοῦ κη-
H δεστοῦ, ἵνα μὴ ἔριν τινὰ καὶ φιλονεικίαν ὁ σκοπὸς ἐργάσηται. ὅτι δὲ οὐ συμβολικὰ ταῦτα ἦν, ἀλλὰ πίστεως καὶ εὐσεβείας δηλωτικὰ, πρῶτον διδάσκει τὸ σπουδαῖον τῆς προσευχῆς, ἔπειτα τὸ προσμένειν αὐτὴν τὴν

τὴν βουλὴν τοῦ Θεοῦ. τοῦτο γὰρ διδάσκει ἡ θεία Γραφή· ὁ δὲ ἄνθρωπος κατεμάνθανεν αὐτὴν, καὶ παρεσιώπα τοῦ γνῶναι, εἰ εὐόδωκε Κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ. ἐκείνης γὰρ τὸ ὕδωρ ἀρυομένης, καὶ ταῖς καμήλοις προσφερούσης τὸ νᾶμα, ἀνέμενεν οὗτος ἰδεῖν, εἰ πάσαις παράσχῃ τὴν χρείαν κατὰ τὴν αἴτησιν. πιουσῶν δὲ τῶν καμήλων, εὐθὺς προσενήνοχε τῆς μνηστείας τὰ σύμβολα. γνοὺς δὲ τὸ γένος καὶ τὴν δεσποτικὴν συγγένειαν, εὐδοκήσας, φησὶν, ὁ ἄνθρωπος, προσεκύνησε τῷ Κυρίῳ, καὶ εἶπεν· εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραὰμ, ὃς οὐκ ἐγκατέλιπε τὴν δικαιοσύνην αὐτοῦ, καὶ τὸν ἔλεον αὐτοῦ ἀπὸ τοῦ κυρίου μου. κἀμὲ ἐν ὁδῷ ἤγαγε Κύριος εἰς τὸν οἶκον τοῦ ἀδελφοῦ τοῦ κυρίου μου. καὶ πᾶσα δὲ ἡ αὐτοῦ διάλεξις τὸ εὐσεβὲς κηρύττει τῆς γνώμης. καὶ μέντοι καὶ μετὰ τὴν διάλεξιν τὸν αὐτὸν σημαίνει σκοπόν. συντεθεμένων γὰρ τῶν τὴν κόρην γεννησάντων τῷ γάμῳ, εὐθὺς οὗτος προσεκύνησε, φησὶν, ἐπὶ τὴν γῆν τῷ Κυρίῳ. καὶ τὰ ἑξῆς δὲ τῆς αὐτῆς ἔχεται διανοίας. μὴ κατέχετε γάρ με, φησὶ, καὶ Κύριος εὐόδωσε τὴν ὁδόν μου.

ΑΔΗΛΟΥ. Ὅτι διαφέρει εὐχὴ ἁπλῆ εὐχῆς συμβολικῆς· ὅτι ὁ εὐχόμενος ἁπλῶς, αὐτὸ τὸ πρᾶγμα ζητεῖ ἀποβῆναι ὡς βούλεται· ὁ δὲ συμβολικῶς εὐχόμενος, ὡς ἔχειν, ἢ ἔχει, ἢ ἕξει, εὔχεται διὰ συμβόλου μαθεῖν. ὁ δὲ τοῦ Ἀβραὰμ παῖς ηὔξατο καὶ αὐτὸ τὸ σύμβολον δειχθῆναι, καὶ αὐτὴν ἐκείνην, ἣν ἔδει λαβεῖν εἰς γυναῖκα. ὥστε οὐ συμβολικῶς ὁ οἰκέτης, ἀλλὰ τῷ Θεῷ πιστεύσας, ὡς πιστὸς ηὔξατο.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπειδὴ δέ τινες συμβολικὸν ἔφασαν τὸν οἰκέτην Ἀβραὰμ, ἰστέον ὡς ὁ συμβολικὸς, ὅμοιον πρᾶγμα τῷ προκειμένῳ ζητεῖ. τὸ δὲ ποτίσαι, πῶς ἔοικε τῇ ζητουμένῃ γυναικί; ἔτι δὲ οὐχ ὡρισμένον αἰτεῖ, ἀλλ' ἀόριστόν τε καὶ ὅμοιον· ὁ δὲ, τοὐναντίον. οὐ δι' ἑτέρου γὰρ ἕτερον ἤθελε συμβαλεῖν, ἀλλ' αὐτὴν ἐκείνην ἰδεῖν. πάλιν, οἱ συμβολικοὶ οὐκ αἰτοῦσιν ἰδεῖν τὸ δέ τι, οὐδὲ ἴσασιν ὡς ὄψονται, ἀλλ' ἁπλῶς τὶ τῷ παρόντι λυσιτελοῦν· ὁ δὲ, ἣν ὀφείλει λαβεῖν, ἢ μή. ἄλλο γὰρ ἁπλῶς εὐχή· καὶ ἄλλο συμβολικὴ εὐχή. ἡ μὲν τὸ δέ τι, ὡς ἀγαθὸν ἐξαιτεῖ· ἡ δὲ, ὡς ἔχειν, ἢ ἔχει, ἢ ἕξει, εὔχεται διὰ συμβόλου μαθεῖν. οὐ συμβολικὸς ἄρα· πιστεύσας δὲ τῷ Θεῷ Ἀβραὰμ, ηὔξατο.

ΚΥΡΙΛΛΟΥ. Παρεκάλει ὁ παῖς δι' εὐχῆς Θεὸν γενέσθαι συλλήπτορα, καὶ ἐφ' ὕδατι τὴν παρθένον δοκιμάζειν ἤθελε. ἐπορεύθησαν δὲ καὶ οἱ Ἀπόστολοι ἐν ταῖς τῶν ἐθνῶν χώραις τὸ πρὸς ἑσπέραν, τουτέστιν ἐν ἐσχάτοις ὄντος τοῦ αἰῶνος καιροῖς, καὶ ὕδατι τὴν νοητὴν παρθένον ἐδοκίμαζον. ἐπιτηδειοτάτη γὰρ λίαν ἡ ἐκκλησία, καὶ εὐρώστως ἔχουσα, πρὸς τὸ δύνασθαι φημὶ
Ἡσ. 12, 3. τὸν ζωοποιὸν ἀρύσασθαι λόγον ἐκ τῶν πηγῶν τοῦ σωτηρίου, κατὰ τὸ γεγραμμένον.

A ιε. Καὶ ἐγένετο πρὸ τοῦ συντελέσαι αὐτὸν λαλοῦντα ἐν τῇ διανοίᾳ· καὶ ἰδοὺ Ῥεβέκκα ἐξεπορεύετο ἡ τεχθεῖσα Βαθουὴλ, υἱῷ Μελχᾶς, τῆς γυναικὸς Ναχὼρ, ἀδελφοῦ δὲ Ἀβραὰμ, ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων αὐτῆς.

** ΠΡΟΚΟΠΙΟΥ. Κατὰ τὸ, ἔτι σοῦ
B λαλοῦντος, ἐρῶ, ἰδοὺ πάρειμι. οὕτως ἐνεργεῖς δικαίων εὐχαί. Καὶ μεθ' ἕτερα. Διδαχθῶμεν δὲ καὶ εὐχόμενοι, μὴ αἰσθητικὴν ἀφιέναι φωνὴν, ἀλλ' ἐν τῇ καρδίᾳ τῷ ἐτάζοντι καρδίας καὶ νεφρούς. πρὸ τοῦ γὰρ αὐτὸν συντελέσαι, φησὶ, λαλοῦντα ἐν τῇ διανοίᾳ. τὸ δὲ, ἐν τῇ διανοίᾳ, ὠβέλισαι, ὡς μὴ κείμενον ἐν τῷ ἑβραϊκῷ· ὅμως καὶ διὰ τῶν ἑξῆς τοῦτο παρίσταται. φησὶ γὰρ, καὶ ἐγένετο πρὸ τοῦ συντελέσαι με λαλοῦντα ἐν τῇ διανοίᾳ.
Γ

ΑΔΗΛΟΥ. Ῥεβέκκα ἑρμηνεύεται ὑπομονὴ πολλή· Βαθουὴλ, ἔνοικος Θεοῦ.

ις. Ἡ δὲ παρθένος ἦν καλὴ τῇ ὄψει σφόδρα· παρθένος ἦν· ἀνὴρ οὐκ ἔγνω αὐτήν. καταβᾶσα δὲ ἐπὶ τὴν πηγὴν, ἔπλησε τὴν ὑδρίαν αὐτῆς, καὶ ἀνέβη.

Δ ** ΚΛΗΜΕΝΤΟΣ. Ναὶ μὴν τὴν κατά τε σῶμα κατά τε ψυχὴν ἁγνείαν, ἣν μέτεισιν ὁ γνωστικὸς, ὁ πάνσοφος Μωϋσῆς εὐπρεπῶς τῇ ἐπαναλήψει χρησάμενος, ἐμήνυσε, τὸ ἀδιάφθορον τοῦτε σώματος τῆς τε ψυχῆς διαγράφων ἐπὶ τῆς Ῥεβέκκας ὧδέ πως· ἡ δὲ παρθένος ἦν καλή· ἀνὴρ οὐκ ἔγνω αὐτήν. Ῥεβέκκα δὲ ἑρμηνεύεται Θεοῦ δόξα· Θεοῦ δὲ δόξα ἀφθαρσία. αὕτη ἡ τῷ ὄντι δικαιοσύνη, μὴ πλεονεκτεῖν θατέρῳ, ὅλον δὲ εἶναι ἡγιασμένον
E νεὼν τοῦ Κυρίου.

** ΠΡΟΚΟΠΙΟΥ. Διαγράφει τὸ κάλλος, ἵνα μᾶλλον τὴν σωφροσύνην θαυμάσωμεν. ἀνὴρ γάρ φησι τοιαύτην οὖσαν, οὐκ ἔγνω. ὃ καὶ ἐπὶ τοῦ Ἰωσὴφ πεποίηκεν ἡ Γραφή. οὐ τὸ κάλλος γὰρ πάντως ἀσελγὲς, ὡς οὐδὲ σῶφρον ἡ ἀμορφία. οὐ σῶμα γὰρ τούτων, ἀλλ' ἡ προαίρεσις αἴτιον. διπλασιάζει δὲ τὸ, παρθένος ἦν, τὸ κατ'
Z ἄμφω σῶφρον ἐμφαίνουσα. ἔστι γὰρ ἀσελγείαις διεφθάρθαι ψυχὴν, ἀκεραίου τοῦ σώματος μένοντος. αὕτη δὲ καὶ προϊοῦσα ἔνθα τοσοῦτοι συνέρχονται, καὶ ὑδρευομένη, καὶ μηδὲ οἴκοι λανθάνουσα, καὶ τοσοῦτον εὐειδὴς, καὶ μόνη, πρὸς ἄνδρα γνῶσιν οὐκ ἔλαβε. τοιαύτην ὁ Παῦλος ζητεῖ, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι.

ιζ. Ἐπέδραμε δὲ ὁ παῖς εἰς συνάντησιν αὐτῆς· καὶ εἶπε, πότισόν
H με μικρὸν ἐκ τῆς ὑδρίας σου.

ιη. Ἡ δὲ εἶπε, πίε κύριε. καὶ ἔσπευσε, καὶ καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν

A τὸν βραχίονα αὐτῆς, καὶ ἐπότισεν
ιθ. αὐτὸν, ἕως ἐπαύσατο πίνων. Καὶ
εἶπε, καὶ ταῖς καμήλοις σου ὑδρεύσο-
μαι, ἕως ἂν πᾶσαι πίωσι.

ΑΔΗΛΟΥ. Πλέον διέλαμπε ἐπὶ τῇ
κατὰ ψυχὴν σωφροσύνῃ. ὅρα δὲ καὶ τὸ
φιλόξενον αὐτῆς, μὴ μόνον δούσης τὸ αἰ-
τηθὲν, ἀλλὰ καὶ πλέον παραχούσης.

B ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἄμφω δὲ δηλοῦται
καὶ φιλοξενία καὶ σωφροσύνη. ἡ μὲν, ἐκ
τοῦ μὴ δραμεῖν καὶ προσειπεῖν πρώτην τὸν
ἄνδρα· ἡ δὲ, ἐκ τῆς τοσαύτης σπουδῆς, καὶ
καρτερίας φιλοτίμου. καὶ οὐδέτερον ἑτέ-
ρῳ γέγονεν ἐμποδών. ἀξία δὲ τοῦ οἴκου Ἀ-
βραὰμ ἡ τοσαύτη τῆς Ῥεβέκκας σπουδή.
κἀκεῖ γὰρ ἐπὶ τῇ τῶν παραδόξων ξένων
ὑποδοχῇ, τοσαύτη ἦν ἡ σπουδή. εἰ δὲ καὶ
ὕδωρ τὸ δοθὲν, ἀλλ' ὅπερ εἶχε, παρέχε-
Γ το. οὐκ ἐν πλήθει γὰρ δώρων, ἐν προαι-
ρέσει δὲ τὸ φιλόξενον. καὶ ψυχροῦ γὰρ
ποτήριον ἐπῄνεσεν ὁ Θεὸς, καὶ τὰ δύω τῆς
χήρας λεπτά. αὕτη δὲ καὶ τοσαύτην ἐπε-
δείξατο προθυμίαν ἔργῳ καὶ λόγῳ. ἔστι
γὰρ ποιεῖν μὲν, ἀηδῶς δὲ τοῖς αἰτοῦσιν
ὑπηρετεῖν. καὶ μιμεῖται τὸν Ἀβραὰμ, κύ-
ριον εἰπόντα τοὺς ξένους· καὶ μὴ ἐρωτήσαν-
τα πόθεν καὶ τίνες. ὃ καὶ αὐτὴ ποιεῖ·
περίεργον οὐδὲν, τὸ δὲ ποθούμενον μόνον
ἀνύουσα.

Δ ΚΥΡΙΛΛΟΥ. Ἐπότιζε δὲ ἡ Ῥεβέκκα
καὶ αὐτὸν τὸν οἰκέτην, καὶ τὰς καμήλους.
καὶ ὁ μὲν οἰκέτης τύπος ἂν νοοῖτο νυνὶ
τῶν ἐξ Ἰσραήλ. ἄνθρωποι γὰρ οἱ νόμον
ἔχοντες ἤδη παιδαγωγὸν, καὶ ὡς ἐν σκιαῖς
μὲν ἔτι τὸ Χριστοῦ μυστήριον, πλὴν οὐκ ἀμυ-
στάγωγοι παντελῶς. κτηνῶν δὲ ἀλόγων
οὐδὲν διαφέροντες οἱ ἐξ ἐθνῶν, οἳ καὶ ταῖς
καμήλοις παρεικάζοιντ' ἂν εἰκότως. ἀνίε-
E ρον γὰρ κατὰ νόμον τὸ ζῶον. τοιοῦτοι δὲ
δὴ πάντες οἱ μήπω Θεὸν εἰδότες τὸν φύ-
σει τε καὶ ἀληθῶς. ἱκανωτάτη δὴ οὖν κα-
τάρδειν ἡ ἐκκλησία τοῖς ἱεροῖς τε καὶ θείοις
νάμασι τούς τε ἐξ Ἰουδαίων ἥκοντας καὶ τοὺς
ἐξ ἐθνῶν κεκλημένους. ἐπειδὴ δὲ τοιαύ-
την οὖσαν οἱ μαθηταὶ τεθέανται τὴν παρ-
θένον, ψελλίοις τε αὐτὴν κατηγλάϊζον εὐ-
θὺς, καὶ μέντοι καὶ τὸν ἐν ὠσὶ προσέθεν-
το κόσμον· τουτέστι λαμπρὰν ἀπετέλουν,
Z καὶ εὐπρεπεστάτην τοῖς εἰς εὐηκοΐαν αὐχή-
μασι. κεκοσμημένη γὰρ ἀκοὴ παραδηλώ-
σειεν ἂν τὸ εὐήκοον. περιφανῆ δὲ ὥσπερ
παρεσκεύαζον καὶ τοῖς ἐξ ἔργων, ἤτοι χει-
ρῶν κατορθώμασι.

κ. Καὶ ἔσπευσε, καὶ ἐξεκένωσε
τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον· καὶ
ἔδραμεν ἔτι ἐπὶ τὸ φρέαρ ἀντλῆσαι
H ὕδωρ· καὶ ὑδρεύσατο πάσαις ταῖς
καμήλοις.

ΑΔΗΛΟΥ. Τὸ αὐτὸ ὕδωρ πρότερον
μὲν ἐν πηγῇ ὠνομάσθη εἶναι, νῦν δὲ ἐν
φρέατι. καὶ τάχα τοῖς μὲν ἀρχομένοις,

A πηγή ἐστι· τοῖς δὲ ἤδη βαθύνειν δυναμένοις
τοὺς λόγους, φρέαρ ἡ πηγὴ γίνεται. τοῦ-
το δὲ πολλαχοῦ τηρήσεις, τὸ, πηγὴν καὶ
φρέαρ ταυτὸν ὀνομάζεσθαι, ὥσπερ καὶ ἐν
τῷ περὶ τῆς Σαμαρείτιδος λόγῳ.

κα. Ὁ δὲ ἄνθρωπος κατεμάνθα-
νεν αὐτήν· καὶ παρεσιώπα τοῦ γνῶναι
εἰ εὐώδωκε Κύριος τὴν ὁδὸν αὐτοῦ, ἢ οὔ.

B ✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι, κατε-
„ μάνθανεν αὐτήν; Αὐτὰ τὰ ῥήματα τῆς
κόρης κατενόει, τὸ βλέμμα, τὴν βάδισιν,
τὸ σχῆμα, τὰ ἄλλα ἅπαντα, καὶ ἀνέμε-
„ νεν ἰδεῖν, εἰ εὐώδωκε Κύριος τὴν ὁδὸν αὐ-
„ τοῦ, ἢ οὔ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὁ δὲ καταμανθά-
νων, ἐθαύμαζεν αὐτῆς τῶν ἀρετῶν τὰ κι-
νήματα, οὐδὲν ὁρῶν ἀσελγὲς, ἢ βλακι-
Γ κὸν, ἢ πικρόν.

κβ. Ἐγένετο δὲ ἡνίκα ἐπαύσαν-
το πᾶσαι αἱ κάμηλοι πίνουσαι, ἔλα-
βεν ὁ ἄνθρωπος ἐνώτια χρυσᾶ ἀνὰ
δίδραχμον ὁλκῆς, καὶ δύω ψέλλια
ἐπὶ τὰς χεῖρας αὐτῆς· δέκα χρυ-
κγ. σῶν ὁλκὴ αὐτῶν. Καὶ ἐπηρώτησεν
αὐτὴν, καὶ εἶπε, θυγάτηρ τίνος εἶ;
ἀνάγγειλόν μοι, εἰ ἔστι παρὰ τῷ πα-
Δ τρί σου τόπος ἡμῖν καταλῦσαι.

κδ. Καὶ εἶπεν αὐτῷ, θυγάτηρ
Βαθουὴλ εἰμι ἐγὼ τοῦ Μελχὰς, ὃν
κε. ἔτεκε τῷ Ναχώρ. Καὶ εἶπεν αὐτῷ,
καὶ ἄχυρα καὶ χορτάσματα παρ' ἡμῖν,
καὶ τόπος τοῦ καταλῦσαι.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει καὶ ἐν-
ταῦθα τῆς κόρης τὴν ἀπόκρισιν. καθά-
E περ γὰρ ἐπὶ τοῦ ὕδατος οὐ μόνον τὸ αἰτη-
θὲν παρέσχεν, ἀλλὰ μετὰ τὸ πιεῖν αὐτὸν,
καὶ ταῖς καμήλοις ὑδρεύσατο· οὕτω καὶ ἐν-
ταῦθα, πυθομένου τοῦ παιδὸς, εἰ ἔστι μόνον
τόπος, καὶ τίνος ἦν θυγάτηρ, φησὶν ἡ
„ κόρη· θυγάτηρ εἰμὶ Βαθουὴλ τοῦ Μελχὰς,
„ ὃν ἔτεκεν αὐτῷ Ναχώρ. λέγει καὶ τὸν
πατέρα, καὶ τὸν πάππον, ἵνα γνωρίσας
ἐκεῖνος, προθυμότερος γένηται. ὅρα εὐ-
γνωμοσύνην τῆς παιδός. περὶ τοῦ πατρὸς
Z ἐρωτηθεῖσα, οὐ μόνον τοῦτο καταμηνύει,
ἀλλὰ καὶ τοῦ πατρὸς τὸν πατέρα. καὶ πυ-
θομένου, εἰ ἔστι τόπος μόνον καταλῦσαι, φη-
σίν· οὐ μόνον τόπος, ἀλλὰ καὶ ἄχυρα, καὶ
χορτάσματα πολλὰ παρ' ἡμῖν.

κϛ. Καὶ εὐδοκήσας ὁ ἄνθρωπος,
προσεκύνησε τῷ Κυρίῳ.

„ ✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Εὐδοκήσας, φη-
H „ σὶν, ὁ ἄνθρωπος προσεκύνησε τῷ Κυ-
ρίῳ. ἡσθεὶς ἐπὶ τοῖς γνωσθεῖσιν, ἐπὶ τοῖς
„ εἰρημένοις παρὰ τῆς παιδός· προσεκύνη-
„ σε τῷ Κυρίῳ, τὴν εὐχαριστίαν ἀνήνεγ-
κε τῷ δεσπότῃ, τῷ διὰ τὴν πρὸς τὸν πα-

τέρα (1) εὔνοιαν, τοσαύτην καὶ περὶ αὐτὸν ἐπιδειξαμένῳ τὴν κηδεμονίαν, καὶ οὕτω πάντα μετ' εὐκολίας αὐτῷ κατευοδώσαντι.

κζ. Καὶ εἶπεν, εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, ὃς οὐκ ἐγκατέλιπε τὴν δικαιοσύνην αὐτοῦ, καὶ τὴν ἀλήθειαν ἀπὸ τοῦ κυρίου μου Ἀβραάμ. ἐμὲ εὐώδωκε Κύριος εἰς οἶκον τοῦ ἀδελφοῦ τοῦ κυρίου μου.

κη. Καὶ δραμοῦσα ἡ παῖς, ἀνήγγειλεν εἰς τὸν οἶκον τῆς μητρὸς αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς δι' ἑκάστου τῶν παρ' αὐτῆς γινομένων δείκνυσι τὸ πρόθυμον τὸ περὶ τὴν φιλοξενίαν, διὰ τοῦ δρόμου, διὰ τῶν ῥημάτων, διὰ τῆς » ἐπιεικείας. Ἔδραμε, γάρ φησι, καὶ ἀ- » πήγγειλεν εἰς τὸν οἶκον τῆς μητρὸς αὐ- » τῆς κατὰ τὰ ῥήματα ταῦτα. πάντα ἅπερ ἤκουσε παρὰ τοῦ παιδὸς, ἐγνώρισε τοῖς γονεῦσι.

κθ. Τῇ δὲ Ῥεβέκκᾳ ἀδελφὸς ἦν, ᾧ ὄνομα Λάβαν. καὶ ἔδραμε Λάβαν πρὸς τὸν ἄνθρωπον ἔξω ἐπὶ τὴν πη-
λ. γήν. Καὶ ἐγένετο ἡνίκα εἶδε τὰ ἐνώτια καὶ τὰ ψέλλια ἐν ταῖς χερσὶ τῆς ἀδελφῆς αὐτοῦ, καὶ ὅτε ἤκουσε τὰ ῥήματα Ῥεβέκκας τῆς ἀδελφῆς αὐτοῦ, λεγούσης, οὕτω λελάληκέ μοι ὁ ἄνθρωπος· καὶ ἦλθε πρὸς τὸν ἄνθρωπον ἑστηκότος αὐτοῦ ἐπὶ τῶν καμήλων ἐπὶ τῆς πηγῆς.

λα. Καὶ εἶπεν αὐτῷ, δεῦρο εἴσελθε, εὐλογητὸς Κύριος· ἵνα τί ἕστηκας ἔξω; ἐγὼ δὲ ἡτοίμακα τὴν οἰκίαν, καὶ τόπον ταῖς καμήλοις.
λβ. Εἰσῆλθε δὲ ὁ ἄνθρωπος εἰς τὴν οἰκίαν· καὶ ἀπέσαξε τὰς καμήλους, καὶ ἔδωκεν ἄχυρα καὶ χορτάσματα ταῖς καμήλοις, καὶ ὕδωρ νίψασθαι τοῖς ποσὶν αὐτοῦ, καὶ τοῖς ποσὶ τῶν ἀνδρῶν τῶν μετ' αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα καὶ τοῦτον εὐλογοῦντα Κύριον ἐπὶ τῇ παρουσίᾳ τοῦ ξένου, καὶ πρὸ τῆς διὰ τῶν ἔργων φιλοξενίας πολλὴν τὴν προτροπὴν ἐπιδεικνύμενον. Καὶ μετ' ὀλίγα. Ὅρα πῶς καὶ ἔτι τῆς πλάνης ἐχόμενοι, περὶ τὴν φιλοξενίαν ἦσαν πολλὴν τὴν σπουδὴν ἐπιδεικνύμενοι.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ εὐλογητὸς Κύ- » ριος· ἵνα τί ἕστηκας ἔξω; τὸ ἑβραϊκὸν ἔχει,
A » ηὐλογημένος ὑπὸ Κυρίου. οὕτω καὶ τὸ με- » τεμελήθη, καὶ ὠργίσθη ἀπὸ ἑβραϊκοῦ τύπου ἑρμηνευθὲν, τραχέως νοεῖται.

λγ. Καὶ παρέθηκεν αὐτοῖς ἄρτους φαγεῖν. καὶ εἶπεν, οὐ μὴ φάγω, ἕως τοῦ λαλῆσαί με τὰ ῥήματά μου. καὶ εἶπε, λάλησον.

ΑΔΗΛΟΥ. Εἶδες πῶς ἦν ἐγρηγορὼς
B καὶ νήφων;

** ΠΡΟΚΟΠΙΟΥ. Θαυμαστὸς δὲ πάλιν τῆς εὐσεβοῦς ὑπουργίας ὁ παῖς. πρὶν γὰρ τι φαγεῖν, τὸ τοῦ δεσπότου προβάλλεται πρόσταγμα.

λδ. Καὶ εἶπε, παῖς Ἀβραὰμ ἐγώ εἰμι.

λε. Κύριος εὐλόγησε τὸν κύριόν-
Γ μου σφόδρα, καὶ ὑψώθη· καὶ ἔδωκεν αὐτῷ πρόβατα καὶ βόας, χρυσίον καὶ ἀργύριον, παῖδας καὶ παι-
λς. δίσκας, καμήλους καὶ ὄνους. Καὶ ἔτεκε Σάῤῥα ἡ γυνὴ τοῦ κυρίου μου υἱὸν ἕνα τῷ κυρίῳ μου μετὰ τὸ γηράσαι αὐτήν. καὶ ἔδωκεν αὐτῷ πάντα ὅσα ἦν αὐτῷ.

Δ ΑΔΗΛΟΥ. Τὸν πλοῦτον λέγει, οὐχ ἵνα δείξῃ εὔπορον, ἀλλ' ὅτι ἀπὸ Θεοῦ εἴληφεν.

ΙΩΑΝΝΟΥ. Καὶ τὸν τόκον τοῦ Ἰσαὰκ ἀπὸ τῆς τοῦ Θεοῦ εὐνοίας φάσκει γεγονέναι, οὐ κατὰ φύσεως ἀκολουθίαν. (2)

ΚΥΡΙΛΛΟΥ. Ὁ μὲν οἰκέτης τοῦ Ἀβραὰμ ἀφηγεῖτο τοῖς ἐν Χαῤῥὰν τοῦ οἰκείου δεσπότου τὸν πλοῦτον, καὶ ὅτι μόνον ἕνα ἠγαπημένον ἔχει τὸν κληρονόμον. μεμυσταγωγήκασι δὲ τὰ ἔθνη καὶ οἱ θεσπέσιοι
E μαθηταὶ, τὸν τοῦ Θεοῦ καὶ πατρὸς κηρύττοντες πλοῦτον, τὴν ἐλπίδα, τὴν ζωὴν, τὸν ἁγιασμόν· εἷς δὲ ὅτι καὶ μόνος ὁ υἱὸς κατὰ φύσιν, καὶ ἀληθῶς Χριστὸς, ὃς καὶ τῶν ὅλων τέθειται κληρονόμος, ἀπήγγελον ἐναργῶς.

λζ. Καὶ ὥρκισέ με ὁ κύριός μου, λέγων, οὐ λήψῃ γυναῖκα τῷ υἱῷ μου
Z ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, μεθ' ὧν ἐγὼ οἰκῶ ἐν τῇ γῇ αὐτῶν.
λη. Ἀλλ' εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ, καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν.
λθ. Εἶπα δὲ ἐγὼ, μήποτε οὐ πορεύσεται
μ. ἡ γυνὴ μετ' ἐμοῦ. Καὶ εἶπέ μοι, Κύριος ὁ Θεὸς, ᾧ εὐηρέστησα ἐναντίον αὐτοῦ, αὐτὸς ἀποστελεῖ τὸν Ἄγγε-
H λον αὐτοῦ μετὰ σοῦ, καὶ εὐοδώσει τὴν ὁδόν-

(1) Ὀρθότ. τὴν πρὸς τὸν πατριάρχην.
(2) Εἶτα ἐπειδὴ διηγήσατο τοῦ δεσπότου τὴν περιφάνειαν, τοῦ Ἰσαὰκ τὸν τόκον, λέγει λοιπὸν κτ. Ταῦτα μόνα ὁ Χρυσός. ἐν κεφ. κδ. τῆς γεν.

ὁδόν σου. καὶ λήψῃ γυναῖκα τῷ υἱῷ-
μου ἐκ τῆς φυλῆς μου; καὶ ἐκ τοῦ οἴκου
μα. τοῦ πατρός μου. Τότε ἀθῶος ἔσῃ ἀπὸ
τῆς ἀρᾶς μου· ἡνίκα δὲ ἐὰν ἔλθῃς εἰς
τὴν ἐμὴν φυλὴν, καὶ μή σοι δῶσι,
καὶ ἔσῃ ἀθῶος ἀπὸ τοῦ ὁρκισμοῦ μου.
μβ. Καὶ ἐλθὼν σήμερον ἐπὶ τὴν πηγὴν,
εἶπα, Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀ-
βραὰμ, εἰ σὺ εὐοδοῖς τὴν ὁδόν μου, ἣν
μγ. ἐγὼ πορεύομαι εἰς αὐτήν· Ἰδοὺ ἐγὼ
ἐφέστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος,
αἱ δὲ θυγατέρες τῶν ἀνθρώπων τῆς
πόλεως ἐξελεύσονται ὑδρεύσασθαι
ὕδωρ· καὶ ἔσαι ἡ παρθένος, ἣ ἂν ἐγὼ
εἴπω, πότισόν με μικρὸν ὕδωρ ἐκ τῆς
μδ. ὑδρίας σου, Καὶ εἴπῃ μοι, καὶ σὺ
πίε, καὶ ταῖς καμήλοις σου ὑδρεύσο-
μαι· αὕτη ἡ γυνὴ ἣν ἡτοίμασε Κύριος
τῷ ἑαυτοῦ θεράποντι Ἰσαάκ· καὶ ἐν
τούτῳ γνώσομαι, ὅτι πεποίηκας ἔλεος
με. τῷ κυρίῳ μου Ἀβραάμ. Καὶ ἐγένε-
το πρὸ τοῦ με συντελέσαι λαλοῦντα ἐν
τῇ διανοίᾳ, εὐθὺς Ῥεβέκκα ἐξεπο-
ρεύετο ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν
ὤμων· καὶ κατέβη ἐπὶ τὴν πηγὴν, καὶ
ὑδρεύσατο. εἶπα δὲ αὐτῇ, πότισόν
μϛ. με. Καὶ σπεύσασα, καθεῖλε τὴν
ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς ἀφ'
ἑαυτῆς, καὶ εἶπε, πίε σὺ, καὶ τὰς
καμήλους σου ποτιῶ· καὶ ἔπιον, καὶ
μζ. τὰς καμήλους ἐπότισε. Καὶ ἠρώτη-
σα αὐτὴν, καὶ εἶπον, τίνος εἶ θυγά-
τηρ; ἀνάγγειλόν μοι· ἡ δὲ ἔφη, θυ-
γάτηρ Βαθουὴλ εἰμὶ ἐγὼ τοῦ υἱοῦ Να-
χὼρ, ὃν ἔτεκεν αὐτῷ Μελχά· καὶ
περιέθηκα αὐτῇ τὰ ἐνώτια, καὶ τὰ
μη. ψέλλια περὶ τὰς χεῖρας αὐτῆς. Καὶ
εὐδοκήσας, προσεκύνησα τῷ Κυρίῳ·
καὶ εὐλόγησα Κύριον τὸν Θεὸν τοῦ
κυρίου μου Ἀβραὰμ, ὃς εὐώδωσέ με
ἐν ὁδῷ ἀληθείας λαβεῖν τὴν θυγα-
τέρα τοῦ ἀδελφοῦ τοῦ κυρίου μου τῷ
υἱῷ αὐτοῦ.

μθ. Εἰ οὖν ποιεῖτε ὑμεῖς ἔλεος καὶ
δικαιοσύνην πρὸς τὸν κύριόν μου, ἀ-
παγγείλατέ μοι· εἰ δὲ μὴ, ἵνα ἐπι-
στρέψω εἰς δεξιὰ, ἢ εἰς ἀριστερά.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ, ἵνα ἐπιστρέψω
» εἰς δεξιὰ, ἢ ἀριστερὰ, ἀντὶ τοῦ ζητήσω αὐ-
τῷ γυναῖκα ὅθεν ἐὰν εὕρω.

ν. Ἀποκριθεὶς δὲ Λάβαν καὶ Βα-
θουὴλ, εἶπαν, παρὰ Κυρίου ἐξῆλθε
τὸ πρόσταγμα τοῦτο, οὐ δυνησόμεθα
οὖν ἀντειπεῖν κακὸν καλῷ.

Α Ο ΣΥΡΟΣ. Οὐ δυνησόμεθα εἰπεῖν κα-
λὸν, ἢ κακόν.

να. Ἰδοὺ Ῥεβέκκα ἐνώπιόν σου· λα-
βὼν ἀπότρεχε· καὶ ἔσω γυνὴ τῷ υἱῷ
τοῦ κυρίου σου, καθὰ ἐλάλησε Κύριος.

» ΑΔΗΛΟΥ. Καθὰ ἐλάλησε Κύριος.
τὸ βούλημα τοῦ Θεοῦ καὶ τὴν οἰκονομίαν,
λόγον καλεῖ.

Β νβ. Ἐγένετο δὲ ἐν τῷ ἀκοῦσαι τὸν
παῖδα τοῦ Ἀβραὰμ τῶν ῥημάτων αὐ-
τῶν, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν
νγ. τῷ Κυρίῳ. Καὶ ἐξενέγκας ὁ παῖς
σκεύη ἀργυρᾶ καὶ χρυσᾶ, καὶ ἱμα-
τισμὸν, ἔδωκε Ῥεβέκκᾳ. καὶ δῶρα
ἔδωκε τῷ ἀδελφῷ αὐτῆς. (1)

ΑΔΗΛΟΥ. Δεῖ γὰρ πάσης πράξεως
καθαρᾶς ἄρχειν τὴν πρὸς Θεὸν εὐχαρι-
Γ στίαν καὶ τιμήν. διὰ τοῦτο ὁ παῖς προσκυνεῖ
πρότερον, εἶτα χαρίζεται τὰ δῶρα.

νδ. Καὶ ἔφαγον, καὶ ἔπιον αὐτὸς
καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ ὄντες, καὶ
ἐκοιμήθησαν· καὶ ἀναστὰς τὸ πρωῒ
εἶπεν, ἐκπέμψατέ με, ἵνα ἀπέλθω
πρὸς τὸν κύριόν μου.

νε. Εἶπαν δὲ οἱ ἀδελφοὶ αὐτῆς,
Δ καὶ ἡ μήτηρ, μεινάτω ἡ παρθένος
μεθ' ἡμῶν ἡμέρας ὡσεὶ δέκα, καὶ
νϛ. μετὰ ταῦτα ἀπελεύσεται. Ὁ δὲ εἶ-
πε πρὸς αὐτοὺς, μὴ κατέχετέ με·
καὶ γὰρ Κύριος εὐώδωσε τὴν ὁδόν μου·
ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς
τὸν κύριόν μου.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐκ ἀνέχεται δὲ
Ε » λεγόντων, μεινάτω μεθ' ἡμῶν ἡ παρθέ-
» νος ἡμέρας ὡσεὶ δέκα. τοῦτο γὰρ ἐναν-
» τίον τῷ, ἰδοὺ ἡ Ῥεβέκκα ἐνώπιόν σου, λα-
» βὼν ἄπελθε. ὅθεν ἔγνωκε τὸ τοῦ ἤθους
ἀλλότριον. ἄλλως τε καὶ ὡς σπουδαῖος ὑπη-
ρέτης ἐπείγεται.

νζ. Οἱ δὲ εἶπαν, καλέσωμεν τὴν
παῖδα, καὶ ἐρωτήσωμεν τὸ στόμα αὐ-
νη. τῆς. Καὶ ἐκάλεσαν Ῥεβέκκαν, καὶ
εἶπαν αὐτῇ, πορεύσῃ μετὰ τοῦ ἀν-
θρώπου τούτου; ἡ δὲ εἶπε, πορεύ-
σομαι.

ΚΥΡΙΛΛΟΥ. Καὶ ἠρωτᾶτο μὲν ἡ παρ-
θένος, εἰ συμβαδιεῖται τῷ οἰκέτῃ προθύ-
μως· ἡ δὲ, κατένευσεν εὐθύς. ἑτοιμοτά-
τη γὰρ λίαν ἡ ἐξ ἐθνῶν Ἐκκλησία, μο-
νονουχὶ δὲ καὶ θερμὴ τὴν ἀγάπησιν τὴν εἰς
Χριστόν. καὶ μαρτυρεῖ γράφων ὁ θεσπέσιος
Η Δαβὶδ περὶ τῆς ἐξ ἐθνῶν ἀγέλης· τὴν Ψαλ. 9. 37.
» ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε
» τὸ οὖς αὐτοῦ.

νθ. Καὶ

(1) Τὸ, καὶ τῇ μητρὶ αὐτῆς, οὐ κεῖται ἐν τῷ κώδ.

νθ. Καὶ ἐξέπεμψαν Ῥεβέκκαν τὴν ἀδελφὴν αὐτῶν, καὶ τὰ ὑπάρχοντα αὐτῆς, καὶ τὸν παῖδα τοῦ Ἀβραάμ, καὶ τοὺς μετ' αὐτοῦ.

ΑΚΥΛΑΣ φησὶ καὶ τὴν τιτθὴν αὐτῆς.

ΣΥΜΜΑΧΟΣ καὶ τὴν τροφὸν αὐτῆς.

ξ. Καὶ εὐλόγησαν Ῥεβέκκαν τὴν ἀδελφὴν αὐτῶν, καὶ εἶπαν αὐτῇ, ἀδελφὴ ἡμῶν εἶ· γίνου εἰς χιλιάδας μυριάδων, καὶ κληρονομησάτω τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς καὶ οὗτοι ἀγνοοῦντες σημαίνουσι τῇ κόρῃ τὰ μέλλοντα ἔσεσθαι, τοῦ Θεοῦ τὴν διάνοιαν αὐτῶν πρὸς τοῦτο κατευοδώσαντος. ἀμφότερα γὰρ αὐτῇ προμηνύουσιν, ὅτι καὶ εἰς χιλιάδας μυριάδων ἔσται, καὶ ὅτι κληρονομήσει τὸ σπέρμα αὐτῆς τὰς πόλεις τῶν ὑπεναντίων. εἶδες διὰ πάντων δεικνυμένην ἐναργῆ τοῦ Θεοῦ τὴν πρόνοιαν; πῶς καὶ διὰ τῶν ἀπίστων προμηνύεσθαι τὰ μέλλοντα οἰκονομεῖ ὁ τῶν ἁπάντων δεσπότης;

ξα. Ἀναστᾶσα δὲ Ῥεβέκκα καὶ αἱ ἄβραι αὐτῆς, ἐπέβησαν ἐπὶ τὰς καμήλους, καὶ ἐπορεύθησαν μετὰ τοῦ ἀνθρώπου. καὶ ἀναλαβὼν ὁ παῖς τὴν Ῥεβέκκαν, ἀπῆλθεν.

Αἱ ἄβραι. Ἀκύλας, παιδίσκαι· Σύμμαχος, κοράσια.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες οἵαν ἄγεται νύμφην ὁ πατριάρχης; ὑδρευομένην, καὶ τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων φέρουσαν, καὶ νῦν πάλιν ἐπιβᾶσαν ἐπὶ τὰς καμήλους. οὐδαμοῦ ἡμίονοι ἀργύρῳ περιλαμπόμενοι τοὺς τραχήλους, οὐδὲ οἰκετῶν ἑσμός, οὐδὲ ἡ πολλὴ βλακεία ἡ νῦν γινομένη, ἀλλὰ τοσαύτη ἦν τῶν παλαιῶν γυναικῶν ἡ ἀνδρεία, ὡς καὶ ἐπὶ τὰς καμήλους αὐτὰς ἐπιβαίνειν, καὶ οὕτως ὁδοιπορεῖν.

ξβ. Ἰσαὰκ δὲ ἐπορεύετο διὰ τῆς ἐρήμου κατὰ τὸ φρέαρ τῆς ὁράσεως· αὐτὸς δὲ κατῴκει ἐν τῇ γῇ τῇ πρὸς Λίβα.

* ΩΡΙΓΕΝΟΥΣ. Πρέπουσα πορεία τῷ ἁγίῳ, διὰ μὲν τὴν πολλὴν ἀναχώρησιν πορευομένῳ διὰ τῆς ἐρήμου, διὰ δὲ τὴν εἰς Θεὸν θεωρίαν πορευομένῳ κατὰ τὸ φρέαρ τῆς ὁράσεως.

** ΠΡΟΚΟΠΙΟΥ. Νῦν μὲν οὖν πορεύεται κατ' αὐτὸ πρὶν λαβεῖν τὴν Ῥεβέκκαν, καὶ πρὶν εὐλογηθῆναι ὑπὸ τοῦ Θεοῦ, ἑξῆς δὲ καὶ κατοικεῖ παρ' αὐτῷ.

* ΤΟΥ ΑΥΤΟΥ. Φρέαρ ὁράσεως καλεῖται (1) ἀπὸ τοῦ τὸν Ἰσαὰκ καὶ τὴν Ῥεβέκκαν ἀλλήλους ἐκεῖ θεάσασθαι. (2)

Α ξγ. Καὶ ἐξῆλθεν Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ πεδίον τὸ πρὸς δείλης· καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε καμήλους ἐρχομένας.

ΑΚΥΛΑΣ. Τὸ, ἀδελεσχῆσαι, ὁμιλῆσαι ἐν χώρᾳ.

ΣΥΜΜΑΧΟΣ. Προσλαλῆσαι ἐν τῷ ἀγρῷ.

Β ΑΔΗΛΟΥ. Ἐξῆλθεν ἀδολεσχῆσαι. Ἐξῆλθε κατὰ μόνας τοῖς οἰκείοις λογισμοῖς συνομιλῆσαι.

„ ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ ἐξῆλθεν ἀδολεσχῆσαι πρὸς δείλης, ὁ Σύρος λέγει ἤρχετο ὁ Ἰσαὰκ ἀπὸ τῆς ἀγρὰς, καὶ ἦλθεν Ἰσαὰκ ἐκ τῆς γῆς, καὶ πάρεστι δείλη. ὁ δὲ Ἑβραῖος τὸ ἀδολεσχῆσαι, παίξαι φησί· καὶ τὸ χωρίον καὶ τὴν γῆν ὁμοίως λέγει.

Γ * ΩΡΙΓΕΝΟΥΣ. Ἐξελθεῖν δεῖ τῶν γηΐνων τὸν μέλλοντα περὶ τῶν θείων ὁμιλεῖν· ὅπερ ἀδολεσχῆσαι νῦν ὠνόμασεν. οὐ πρόσκειται δὲ τίνι εἰκότως, ἐπεὶ μηδὲ ἀνθρώπῳ ἡ τοιαύτη ὁμιλία γίνεται, ἀλλ' ἤτοι πρὸς Θεὸν, ἢ αὐτοῦ τινὸς πρὸς ἑαυτόν.

** ΤΟΥ ΑΥΤΟΥ. Τὸ δὲ πρὸς δείλης σύμβολόν ἐστι τοῦ μόλις ἐπὶ γήρως δύνασθαί τινα ἐξελθόντα μετὰ καταλήψεως τῶν θείων ὁμιλεῖν.

Δ ξδ. Καὶ ἀναβλέψασα Ῥεβέκκα τοῖς ὀφθαλμοῖς, εἶδε τὸν Ἰσαάκ· καὶ κατεπήδησεν ἀπὸ τῆς καμήλου.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπὶ καμήλου δὲ κομίζει κόρην οὐ τρυφερὰν, ἀλλ' συνεκτοῦσαν τῷ σώματι, καὶ φυσικὴν ἔχουσαν ὥραν. διὸ καὶ τὸν νυμφίον ὡς εἶδεν, ἐπήδησεν.

Ε ξε. Καὶ εἶπε τῷ παιδί, τίς ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος ὁ πορευόμενος ἐν τῷ πεδίῳ εἰς συνάντησιν ἡμῶν; εἶπε δὲ ὁ παῖς, οὗτός ἐστιν ὁ κύριός μου. ἡ δὲ λαβοῦσα τὸ θέριστρον, περιεβάλετο.

** ΠΡΟΚΟΠΙΟΥ. Θέριστρον δέ φασι τὸ ὁλόσημον.

ΑΔΗΛΟΥ. Ὅρα πανταχοῦ τὴν σωφροσύνην αὐτῆς, πῶς ἦν αἰσχυντηλὴ καὶ αἰδέσιμος.

Ζ

ξς. Καὶ διηγήσατο ὁ παῖς τῷ Ἰσαὰκ πάντα τὰ ῥήματα ταῦτα, ἃ ἐποίησεν.

** ΠΡΟΚΟΠΙΟΥ. Διατί δὲ ὁ παῖς ὑφ' ἑτέρου πεμφθεὶς ἐπὶ τὴν πρεσβείαν, „ ἑτέρῳ ἀποπρεσβεύει; διηγήσατο γάρ φησι τῷ Ἰσαάκ. Εὐαγγελίζεται τούτῳ, δι' ὃν Η ἐπέμφθη. καὶ προτέρῳ δὲ ἐνέτυχε κατὰ ὁδόν. πάντως δὲ καὶ τῷ Ἀβραὰμ εἶπεν, εἰ καὶ μὴ γέγραπται.

ξζ. Εἰ-

(1) Τινὲς δὲ οὕτω κεκλῆσθαί φασιν ἀπὸ, κτ. ὁ τῆς Αὐγ. κώδ. (2) Ἰδεῖν. ὁ αὐτ.

ξζ. Εἰσῆλθε δὲ Ἰσαὰκ εἰς τὸν οἶκον τῆς μητρὸς αὐτȣ͂. καὶ ἔλαβε τὴν Ῥεβέκκαν, καὶ ἐγένετο αὐτȣ͂ γυνή· καὶ ἠγάπησεν αὐτήν. καὶ παρεκλήθη Ἰσαὰκ περὶ Σάῤῥας τῆς μητρὸς αὐτȣ͂.

* ΠΡΟΚΟΠΙΟΥ. Διατὶ δὲ ȣ̓κ εἰς τὸν τȣ͂ πατρὸς οἶκον, ἀλλ᾽ εἰς τὸν τῆς μητρὸς εἰσέρχεσθαι λέγεται ὁ Ἰσαὰκ ἐπὶ γάμῳ; Ὅτι (1) ὁ μὲν πατὴρ πλείȣς ἀγαγόμενος γυναῖκας, (2) καὶ πλείȣς ἔσχεν οἴκȣς. λέγεται γὰρ (3) οἶκος καὶ τὸ ἐκ γυναικὸς καὶ τέκνων σύστημα.

* ΤΟΥ ΑΥΤΟΥ. Ἀκύλας δὲ ἐξέδωκεν, εἰσήγαγεν αὐτὴν εἰς τὴν σκηνὴν Σάῤῥας τῆς μητρὸς αὐτȣ͂.

** ΤΟΥ ΑΥΤΟΥ. Εἰκότως ἄρα ταύτην ἠγάπησεν, ἐξ ἀρετῶν τὸ φίλτρον εἰσάγȣσαν, καὶ ἱκανὴν ἐμποιῆσαι λήθην τῆς Σάῤῥας. ȣ̔́τω καὶ Χριστὸς τὴν ἐκκλησίαν νυμφεύεται, ȣ̓ τὴν παρȣ͂σαν τῶν Ἰȣδαίων προτιμήσας συναγωγὴν, καλέσας δὲ τὴν πόῤῥω τυγχάνȣσαν, καὶ ζήσασαν ἐν εἰδώλοις. ταύτην αὐτῷ κατεγγυήσαντος τȣ͂ πατρὸς, καὶ διὰ τῶν δȣ́λων Ἀποστόλων νυμφαγωγήσαντος· ἡρμοσάμην γὰρ ὑμᾶς, ὁ Παῦλός φησιν, ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν, παραστῆσαι τῷ Χριστῷ. πρὸς ἣν φησι καὶ Δαβὶδ τὸ, ἄκȣσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ ȣ̓͂ς σȣ, καὶ ἐπιλάθȣ τȣ͂ λαȣ͂ σȣ, καὶ τȣ͂ οἴκȣ τȣ͂ πατρός σȣ, ὅτι ἐπιθυμήσει ὁ βασιλεὺς τȣ͂ κάλλȣς σȣ. 2. Κορ. 11. Ψαλ. 44. 10, 11.

* ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ συνήφθη λοιπὸν ὁ Ἰσαὰκ τῇ Ῥεβέκκᾳ, παρεκλήθη, φησὶ, περὶ Σάῤῥας τῆς μητρὸς αὐτȣ͂. πάρεστι δὴ ȣ̓͂ν καὶ δι᾽ αὐτȣ͂ νοεῖν, ὅτι λελύπηται μὲν ὁ Χριστὸς, μόνον δὲ ȣ̓χὶ τεθνεώσης διὰ τὴν ἀπιστίαν τῆς Ἰȣδαίων συναγωγῆς, ἐξ ἧς καὶ αὐτὸς κατὰ σάρκα γεγένηται. ἐπειδὴ δὲ γέγονε νυμφίος τῆς ἐξ ἐθνῶν ἐκκλησίας, κατέληξε τρόπον τινὰ τῆς ἐπ᾽ ἐκείνῃ λοιπὸν κατηφείας. εἴρηται γὰρ διὰ τῶν Προφητῶν πρὸς τὴν ἐκκλησίαν· καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, ȣ̔́τως εὐφρανθήσεται καὶ Κύριος ἐπὶ σοί. Ἠσ. 62. 5.

ΚΕΦ. ΚΕ.

α. Προσθέμενος δὲ Ἀβραὰμ,
ἔλαβε γυναῖκα, ᾗ ὄνο-
β. μα Χετȣ́ρα. Ἔτεκε δὲ
αὐτῷ τὸν Ζεμβρᾶν, καὶ τὸν Ἰεκτὰν,
καὶ τὸν Μάδαν, καὶ τὸν Μαδαῒμ,
γ. καὶ τὸν Ἰεσβαὺκ, καὶ τὸν Σȣέ. Ἰε-
κτὰν δὲ ἐγέννησε τὸν Σαβὰν, καὶ τὸν
Θαιμὰν, καὶ τὸν Δαιμάν. υἱοὶ δὲ
Δαιμὰν ἐγένοντο Ῥαγȣὴλ, καὶ Ναβ-
δεὴλ, καὶ Ἀσȣριεὶμ, καὶ Λατȣ-
σιεὶμ, καὶ Λοωμεὶμ.

* ΩΡΙΓΕΝΟΥΣ. Χετȣ́ρα ἑρμηνεύεται μικροτέρα, ἢ ὑποδεεστέρα· Ἰεσβαὺκ, ἄφεσις, ἢ ἀφήσει· Σωΐε, Χρηστόλαλος· (4) Σαβὰν, ἀποστροφή· Θαιμὰν, ἔκλειψις αὐτῶν, ἢ συντελȣ́μενοι· Δαιδὰν, ἱκανὴ κρίσις, ἢ μονότης· Ῥαγȣὴλ, φίλος ἰσχυρὸς, ἢ ποιμανσία Θεȣ͂· Ναβδαινὰ, δȣλεύων τῷ Θεῷ· Ἀσȣριεὶμ, ἑδραῖοι, ἢ κατευθύνοντες· Λατȣσιεὶμ, σφυροκόποι.

* ΤΟΥ ΑΥΤΟΥ. Ἀπὸ τῶν τέκνων Χετȣ́ρας ἔθνη γέγονε πλεῖστα, ἃ κατῴκησαν τὴν Τρωγλοδύτην ἔρημον, καὶ τὴν εὐδαίμονα Ἀραβίαν, καὶ τὴν διήκȣσαν τὴν τε Μαδιανῖτιν, καὶ πόλιν Μαδιὰμ παρακειμένην τῇ ὑπὲρ τὴν Ἀραβίαν ἐρήμῳ, ἀντικρὺ Φαρὰν, εἰς ἀνατολὰς τῆς ἐρυθρᾶς θαλάσσης. ὅθεν τὸ Μαδιανιτῶν ἔθνος ἀπὸ Μαδιὰμ υἱȣ͂ Ἀβραὰμ, καὶ Χεττȣ́ρας. ὡς εἶναι δῆλον ἐκ τȣ́τȣ, ὅτι ὁ Ἰοθὼρ ὁ πενθερὸς Μωϋσέως ἀπόγονος ἦν τȣ͂ Ἀβραὰμ, καὶ συγγενὴς Μωϋσέως.

δ. Οἱ υἱοὶ δὲ Μαδιὰμ Γεφὰρ,
καὶ Ἀφὲρ, καὶ Ἐνὼχ, καὶ Ἀβιδρὰ,
καὶ Σεργαμά. πάντες ȣ̔͂τοι ἦσαν
υἱοὶ Χετȣ́ρας.

* ΩΡΙΓΕΝΟΥΣ. Γεφὰρ, ἐνδεής, ἢ ἐλλείπων· Ἀφὲρ, χȣ͂ς, ἢ γήϊνος, ἢ σποδός· Ἐνὼχ, χάρις σȣ· Ἀβριδρὰ, πατρός μȣ ὕψος.

* ΠΡΟΚΟΠΙΟΥ. Ἀπὸ τȣ͂ Ἀφὲρ τȣ͂ ἐκγόνȣ (5) Ἀβραὰμ καὶ Χετȣ́ρας, Ἀφρικὴ κέκληται. ἱστόρηται δὲ (6) ἐν τῇ πρώτῃ λογίᾳ τῆς ἀρχαιολογίας τȣ͂ Ἰωσήπȣ. (7)

ε. Ἔδωκε δὲ Ἀβραὰμ πάντα τὰ
ὑπάρχοντα αὐτȣ͂ Ἰσαὰκ τῷ υἱῷ αὐτȣ͂.
ς. Καὶ τοῖς υἱοῖς τῶν παλλακῶν αὐτȣ͂
ἔδωκεν Ἀβραὰμ δόματα· καὶ ἐξαπέ-
στειλεν αὐτȣ̀ς ἀπὸ Ἰσαὰκ τȣ͂ υἱȣ͂ αὐτȣ͂,
ἔτι ζῶντος αὐτȣ͂, πρὸς ἀνατολὰς εἰς
γῆν ἀνατολῶν.

ΠΡΟΚΟ-

(1) Τὰ ἀπὸ τȣ͂ διατὶ, ἄχρι τȣ͂, ὅτι ἐκ τȣ͂ τῆς Αὐγ. κώδ. ἐλήφθη.
(2) Δυνάμει καὶ πλείȣς. ὁ τῆς Αὐγ. κώδ.
(3) Οἶκος γὰρ ȣ̓ μόνον τὸ οἰκοδόμημα, ἀλλὰ καὶ τὸ ἐκ γαμικῆς συζυγίας καὶ τέκνων σύστημα. ὁ αὐτ.
(4) Χρηστὸς λαός. ἐν Τόμ. 2. σελ. 39. τῆς τȣ͂ Ῥȣαίȣ ἐκδόσ.
(5) Ἐγγόνȣ. ὁ αὐτ.
(6) Ὡς Ἰώσηπος ἐν τῷ τῆς ἀρχαιολογίας. ὁ αὐτ.
(7) Ἐν βιβλ. 1. κεφ. 16.

A ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Διαφορὰν δὲ φασιν ὑπαρχόντων καὶ δομάτων. τὸ μὲν γὰρ σημαίνει τὰ κλήματα, καὶ ὅσα βέβαια τῶν καμηλίων· δόματα δὲ, τὰ χειρόδοτα, καὶ ὧν ἡ χρῆσις ἐφήμερος.

ζ. Ταῦτα δὲ τὰ ἔτη ἡμερῶν ζωῆς Ἀβραὰμ ὅσα ἔζησεν, ἑκατὸν ἑβδομηκονταπέντε.

B η. Καὶ ἐκλείπων, ἀπέθανεν Ἀβραὰμ ἐν γήρει καλῷ πρεσβύτερος, καὶ πλήρης ἡμερῶν· καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τίς ἀγνοεῖ τῶν ἐντετυχηκότων ταῖς ἱερωτάταις βίβλοις, ὅτι σχεδὸν τῶν προγόνων ἑαυτοῦ πάντων ὁ σοφώτατος Ἀβραὰμ ὀλιγοχρονιώτατος εἰσάγεται; κἀκείνων μὲν, οἱ μακροβιώτατοι γεγόνασιν, οὐδὲ εἷς, οὗτος δὲ
Γ ἀναγέγραπται πρεσβύτερος. Φασὶν οὖν οἱ χρησμοὶ, ὅτι Ἀβραὰμ ἦν πρεσβύτερος προβεβηκὼς, καὶ Κύριος εὐλόγησε τὸν Ἀβραὰμ κατὰ πάντα. Τοῦτό μοι δοκεῖ τῶν προκειμένων αἰτίας ἀπόδοσις εἶναι, δι' ἣν πρεσβύτερος ἐλέχθη ὁ σοφός. ἐπιφροσύνη γὰρ Θεοῦ τὸ λογικὸν τῆς ψυχῆς μέρος ὅταν εὖ διατεθῇ, καὶ μὴ καθ' ἓν εἶδος, ἀλλὰ κατὰ πάσας τὰς ἐπιβολὰς εὐλογηθῇ, πρεσβυτέρᾳ γνώμῃ χρώμενον, καὶ αὐτὸ δήπου πρεσβύτερόν ἐστιν. οὕτω καὶ τοὺς συνέδρους τοῦ θεοφιλοῦς λαοῦ ἐν δέκα ἑβδομάδων ἀριθμὸν εἰληφότας, πρεσβυτέρους
Αριθ. 11. 16. ὀνομάζειν ἔθος. λέγεται γὰρ, συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραὴλ, οὓς αὐτὸς σὺ οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι. οὐκοῦν οὐ τοὺς ὑπὸ τῶν τυχόντων γέροντας νομιζομένους ὡς ἱεροφάντας, ἀλλ' οὓς ὁ σοφὸς οἶδε μόνος τῆς τῶν πρεσβυτέρων ἠξίωσε προσρήσεως. οὓς
E μὲν γὰρ ἂν οὗτος ἀποδοκιμάσῃ, καθάπερ ἀργυραμοιβὸς ἀγαθὸς, ἐκ τοῦ τῆς ἀρετῆς νομίσματος κεκιβδηλευμένους, νεωτεροποιοὶ τὰς ψυχὰς ἅπαντες· οὓς δ' ἂν γνωρίμους ἐθελήσῃ ποιήσασθαι, δόκιμοί τε καὶ φρόνημα πρεσβύτεροι κατὰ τὸ ἀναγκαῖόν εἰσι.

✱ ΠΡΟΚΟΠΙΟΥ. Οὐδεὶς κενὸς, πλήρης ἡμερῶν μεμαρτύρηται εἶναι· ἀλλ' οἵ-
Ἰωάν. 1. 16. τινες λέγοιεν ἂν, ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἀβραὰμ μὲν καὶ Ἰακὼβ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ· Ἰσαὰκ δὲ καὶ Ἰσμαὴλ πρὸς τὸ γένος αὐτοῦ. πλὴν καθ' ἑκάτερα φαίνεται, ὅτι Μωϋσῆς οἶδε μάλιστα μέλλοντα αἰῶνα. οὐδεὶς γὰρ προστίθεται τοῖς μὴ οὖσιν. ἄλλος δὲ προστίθεσθαί φησι λέγεται λαῷ μήπω γεγονότι. ἀρχὴ γὰρ αὐτὸς καὶ προπάτωρ τοῦ γένους ἐστί. τὸν οὖν μέλλοντα δι' αὐτὸν γενέσθαι, ὡς ἤδη γεγονότα, χαριζόμενος αὐτοῦ τῷ θεοπρεπεῖ τῶν ἀρετῶν, ἱδρύεται· ὡς καὶ λέγεσθαι, προστίθεσθαι.

θ. Καὶ ἔθαψαν αὐτὸν Ἰσαὰκ καὶ Ἰσμαὴλ οἱ δύω υἱοὶ αὐτοῦ εἰς τὸ σπήλαιον τὸ διπλοῦν, εἰς τὸν ἀγρὸν Χεβρὼν, τὸ τοῦ Σαὰρ τοῦ Χετταίου, ὅς ἐστιν ἀπέναντι Μαμβρῆ.

✱ ΩΡΙΓΕΝΟΥΣ. Ἐφρὼν, χοῦς, ἡ γήϊνος, ἡ ποδός· Σαὰρ, μεσημβρία· Μαμβρῆ, ἀπὸ ὁράσεως.

ι. Τὸν ἀγρὸν καὶ τὸ σπήλαιον, ὃν
ἐκτήσατο Ἀβραὰμ παρὰ τῶν υἱῶν τοῦ
Χέτ· ἐκεῖ ἔθαψαν Ἀβραὰμ, καὶ
ια. Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ. Ἐγένε-
το δὲ μετὰ τὸ ἀποθανεῖν Ἀβραὰμ,
εὐλόγησεν ὁ Θεὸς τὸν Ἰσαὰκ υἱὸν αὐ-
τοῦ. καὶ κατῴκησεν Ἰσαὰκ παρὰ τὸ
ιβ. Φρέαρ τῆς ὁράσεως. Αὗται δὲ αἱ
γενέσεις Ἰσμαὴλ υἱοῦ Ἀβραὰμ, ὃν
ἔτεκεν Ἄγαρ ἡ Αἰγυπτία ἡ παιδίσκη
Σάῤῥας τῷ Ἀβραάμ.

ιγ. Καὶ ταῦτα τὰ ὀνόματα τῶν
υἱῶν Ἰσμαὴλ, κατ' ὄνομα τῶν γε-
νεῶν αὐτοῦ. πρωτότοκος Ἰσμαὴλ,
Ναβαιὼθ, καὶ Κηδὰρ, καὶ Ἀβδιὴλ,
ιδ. καὶ Μασσὰν, Καὶ Μασμὰμ, καὶ
ιε. Ἰδουμὰ, καὶ Μασσῆ, Καὶ Χοδδὰδ,
καὶ Θημὰν, καὶ Θητοὺρ, καὶ Να-
φὲς, καὶ Κεδμάν.

✱ ΩΡΙΓΕΝΟΥΣ. Ἰσμαὴλ, ἀκοὴ Θεοῦ· Ναβαιὼθ, προφητεία· Κηδὰρ, συσκοτασμός· Ναβδεὴλ, δουλεύων Θεῷ· Μασσὰν, ἐξ ἡδυσμῶν· Μαζμὰν, προσοχὴ, ἡ ἀκοή· Ἰδουμὰ, σιωπή· Μασὶ, ἔπαρσις· Χολδὰδ, μέτρον κινούμενον· Θεμὰν, συντέλεια· Ἰετοὺρ, ἐξωρισμός· Ναφὲς, ἀναψυχή· Κιδμὰ, ἐμπρόσθιος.

ις. Οὗτοί εἰσιν οἱ υἱοὶ Ἰσμαήλ· καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν ἐν ταῖς σκηναῖς αὐτῶν, καὶ ἐν ταῖς ἐπαύλεσιν αὐτῶν· δώδεκα ἄρχοντες κατὰ τὰ ἔθνη αὐτῶν.

ΣΕΥΗΡΟΥ. Κατὰ τὰ ἔθνη αὐτῶν, τουτέστι τῶν φυλῶν. Φύλαρχοι γὰρ καὶ οὗτοι
Z γεγόνασιν, ὡς οἱ δώδεκα πατριάρχαι. Ἰσμαηλῖται δέ εἰσιν, οἱ καὶ Ἀγαρηνοὶ ἀπὸ τῆς Ἄγαρ. οἱ αὐτοὶ καὶ Σαρακηνοὺς ἑαυτοὺς καλοῦσιν ἀπὸ τῆς Σάῤῥας, θέλοντες ἐξευγενίζειν ἑαυτούς.

ιζ. Καὶ ταῦτα τὰ ἔτη ἡμερῶν τῆς ζωῆς Ἰσμαὴλ, ἑκατὸν τριακονταεπτὰ ἔτη. καὶ ἐκλείπων, ἀπέθανε· καὶ
H προσετέθη πρὸς τὸ γένος αὐτοῦ.

ΑΔΗΛΟΥ. Ἰδοὺ Ἰσμαὴλ εἶδε μέλλοντα αἰῶνα. οὐδεὶς γὰρ προστίθεται τοῖς μὴ οὖσιν.

ιη. Κα-

ιη. Κατῴκησε δὲ ἀπὸ Εὐϊλὰτ ἕως Σὺρ, ἥ ἐςι κατὰ πρόσωπον Αἰγύπτου ἕως ἐλθεῖν πρὸς Ἀσσυρίους· κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατῴκησεν.

✱ ΩΡΙΓΕΝΟΥΣ. Εὐϊλὰτ, ὀδύνουσα· Σὺρ, τεῖχος.

ΑΔΗΛΟΥ. Ὅτι ἀπὸ Αἰγύπτου ἕως Ἀσσυρίων οἱ Ἰσμαηλῖται οἰκοῦσι.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὡς ἄνω τῇ Ἄγαρ ὁ Θεὸς ἐπηγγείλατο, κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ ὁ Ἰσμαὴλ κατῴκησεν· ἐπὶ μὲν Αἰγύπτου, τῶν ἀπὸ μητρὸς ἀδελφῶν· ἐπὶ δὲ Ἀσσυρίων, τῶν ἀπὸ πατρός. ἦσαν δὲ διὰ μέσου ἀδελφοί· ἔνθεν οἱ Ἰσραηλῖται, καὶ ἡ γῆ τῆς ἐπαγγελίας· ἔνθεν δὲ, οἱ ἀπὸ τῆς Χετούρας.

ιθ. Αὗται δὲ αἱ γενέσεις Ἰσαὰκ υἱοῦ Ἀβραάμ· Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ.

κ. Ἦν δὲ Ἰσαὰκ ἐτῶν τεσσαρακοντατριῶν, (1) ὅτε ἔλαβε τὴν Ῥεβέκκαν θυγατέρα Βαθουὴλ τοῦ Σύρου ἐκ τῆς Μεσοποταμίας Συρίας, ἀδελφὴν Λάβαν τοῦ Σύρου, ἑαυτῷ εἰς γυναῖκα.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἦν δὲ Ἰσαὰκ ἐτῶν μ', ὅτε ἔλαβε τὴν Ῥεβέκκαν μετὰ τρία ἔτη τοῦ θανάτου Σάῤῥας. οὐκοῦν ἐπέζησεν Ἀβραὰμ μετὰ τὸν γάμον Ἰσαὰκ ἔτη τριακονταπέντε.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνος ἕνεκεν ἡμῖν τὸν χρόνον τοῦ Ἰσαὰκ ἐπισημαίνεται, καί φησιν· ἦν δὲ Ἰσαὰκ ἐτῶν μ', ὅτε ἔλαβε τὴν Ῥεβέκκαν; Οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ· ἀλλ' ἐπειδὴ μέλλει μετὰ ταῦτα τῆς Ῥεβέκκας ἡμῖν διηγεῖσθαι τὴν στείρωσιν, καὶ ὅτι ἐξ εὐχῆς τοῦ δικαίου τὰ τῆς παιδοποιΐας αὐτῇ γέγονε, βούλεται διδάξαι ἡμᾶς τὸ μέγεθος τῆς ὑπομονῆς τοῦ Ἰσαὰκ, καὶ σημᾶναι τὸν χρόνον ἀκριβῶς, ὅσον ἐν ἀπαιδίᾳ γέγονεν· ἵνα καὶ ἡμεῖς ζηλοῦντες τὸν δίκαιον, οὕτω προσεδρεύωμεν ταῖς πρὸς τὸν Θεὸν ἱκεσίαις, ἐπειδὰν αἰτῶμέν τι παρ' αὐτοῦ.

κα. Ἐδέετο δὲ Ἰσαὰκ Κυρίου περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. ἐπήκουσε δὲ αὐτοῦ ὁ Θεὸς, καὶ συνέλαβεν ἐν γαστρὶ Ῥεβέκκα ἡ γυνὴ αὐτοῦ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνος ἕνεκεν βίου ὄντα θαυμαστοῦ καὶ αὐτὴ, καὶ ὁ ἀνὴρ

A αὐτῆς, καὶ πολλῆς τῆς σωφροσύνης ἀμφότεροι ἐπιμελούμενοι, στεῖρα ἦν; οὐκ ἔχομεν ἐπιλαβέσθαι αὐτῶν τῆς ζωῆς, καὶ εἰπεῖν ὅτι τῶν ἁμαρτιῶν ἦν ἔργον ἡ στείρωσις. καὶ ἵνα μάθῃς τὸ θαυμαστὸν, ὅτι οὐκ αὐτὴ μόνον στεῖρα ἦν, ἀλλὰ καὶ ἡ μήτηρ τοῦ δικαίου ἡ Σάῤῥα· καὶ οὐχ ἡ μήτηρ δὲ αὐτοῦ μόνον, ἀλλὰ καὶ ἡ νυμφὴ, τοῦ Ἰακὼβ ἡ γυνὴ, ἡ Ῥαχὴλ λέγω. τί βούλεται τῶν στειρῶν τούτων ὁ χορός; Καὶ μεθ' ἕτερα.

B Τίς οὖν ἐστὶν ἡ αἰτία; Ἵνα ὅταν ἴδῃς τὴν Παρθένον τίκτουσαν τὸν κοινὸν ἡμῶν δεσπότην, μὴ ἀπιστήσῃς. γύμνασόν σου ἐνταῦθα τὴν διάνοιαν, φησὶν, ἐν τῇ μήτρᾳ τῶν στειρῶν· ἵν' ὅταν ἴδῃς πεπηρωμένην καὶ δεδεμένην μήτραν πρὸς παιδοποιΐαν ἀνοιγομένην ἐκ τῆς τοῦ Θεοῦ χάριτος, μὴ θαυμάσῃς ἀκούων ὅτι Παρθένος ἔτεκε. μᾶλλον δὲ θαύμασον καὶ ἐκπλάγηθι, ἀλλὰ μὴ ἀπιστήσῃς τῷ θαύματι.

Γ ΚΥΡΙΛΛΟΥ. Ὅρα τοίνυν τὴν Ῥεβέκκαν ὀψιζομένην (2) καὶ μὴ ὠδίνουσαν. στεῖρα γὰρ ἦν. ἀτεκνοῦσα (3) δ' οὖν ὅμως, ἐκ φιλοτιμίας Θεοῦ, καὶ ἐξ αἰτήσεως Ἰσαὰκ ἔτεκε τόν τε Ἡσαῦ τὸν πρωτότοκον, καὶ εὐθὺς καὶ κατόπιν ἰόντα τὸν Ἰακώβ. δι' ὧν εὖ μάλα ἐξεικονισθεῖεν ἂν οἱ δύο λαοί· ὅ, τε Ἰσραὴλ, καὶ μέντοι καὶ οἱ ἐξ ἐθνῶν. καὶ πρωτότοκος ὁ Ἰσραήλ· προεσκέκληται γὰρ διὰ νόμου· δεύτερος δὲ μετ'
Δ ἐκεῖνον ὁ ἐν πίστει Χριστοῦ.

κβ. Ἐσκίρτων δὲ τὰ παιδία ἐν αὐτῇ· εἶπε δὲ, εἰ οὕτω μοι μέλλει γίνεσθαι, ἵνα τί μοι τοῦτο;

„ ✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐσκίρτων, φη-
„ σὶ, τὰ παιδία ἐν αὐτῇ, καὶ πολλὴν αὐτῇ πόνον αἱ ὠδῖνες παρεῖχον. εἶπε γάρ φη-
„ σιν, εἰ οὕτω μοι μέλλει γίνεσθαι, ἵνα τί μοι
E τοῦτο; οὐδὲ γὰρ εἷς ἦν ὁ μέλλων τίκτεσθαι, ἀλλὰ δύο κατ' αὐτὸ ἐν τῇ γαστρὶ παιδία περιέφερε, καὶ ἡ στενοχωρία πολλὴν αὐτῇ τὴν ὀδύνην κατεσκεύαζεν.

ΚΥΡΙΛΛΟΥ. Ἀλλ' ἦν ἀσύμφωνος τῷ νέῳ λαῷ ὁ κατὰ χρόνον πρωτότοκος. τοῦτο γὰρ δηλοῖ τὸ ἐν αὐτῇ τῇ νηδύϊ διασκιρτᾶν τὰ βρέφη, τὴν ἐσομένην ὥσπερ ἔχθραν ὑποσημαίνοντα.

Z **Ἐπορεύθη δὲ πυθέσθαι παρὰ Κυρίου.**

„ ✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστιν, ἐπο-
„ ρεύθη πυθέσθαι παρὰ Κυρίου; Ἔδραμεν ἐπὶ τὴν ἀληθῆ γνῶσιν, καὶ ἐπὶ τὸν ἱερέα τὸν τοῦ θείου θεραπεύοντα, ἀπελθοῦσα διὰ τούτων λανθανόντως μαθεῖν τὴν γνῶσιν· καὶ διηγησαμένη πάντα τὰ καθ' ἑαυτὴν, ἐμάνθανεν ἅπαντα μετὰ ἀκριβείας, τοῦ φιλαν-

(1) Τὸ, τριῶν ἴσ. γραφικὸν ἁμάρτημα. τεσσαράκοντα γὰρ ἔχουσιν αἵ τε κοιναὶ τῆς Γραφ. ἐκδόσ. καὶ ὁ Χρυσόσ. καὶ ὁ Προκόπ.

(2) Ὀψὲ μὲν καὶ μόλις ὠδίνουσαν. ἐν Τόμ. 1. μέρ. 1. σελ. 96.

(3) Ἀποτεκοῦσαν δ' οὖν ὅμως ἐκ φιλοτιμίας Θεοῦ, καὶ ἐξ ἀγαπήσεως Ἰσαὰκ, τόν τε Ἡσαῦ, κτ. αὐτ.

φιλανθρώπου Θεοῦ διὰ τῆς τοῦ ἱερέως γλώττης ἐκκαλύπτοντος αὐτῇ ἅπαντα σαφῶς, καὶ ταύτῃ προθυμοτέραν αὐτὴν ἐργαζομένου. καὶ ἵνα μάθῃς ὅσον ἦν τότε τῶν ἱερέων τὸ ἀξίωμα, οὐδαμοῦ φησὶν, ὅτι ὁ ἱερεὺς ταῦτα ἀπεκρίνατο· ἀλλ' ἐπειδὴ εἶπεν, » ἐπορεύθη πυθέσθαι παρὰ Κυρίου, ἐπήγαγε, » καὶ εἶπε Κύριος αὐτῇ, διὰ τοῦ ἱερέως, δύο ἔθνη ἐν τῇ γαστρί σου περιέχεις. καὶ γὰρ καὶ ἑτέρωθι Ἄγγελον καλεῖ τὸν ἱερέα ἡ θεία Γραφὴ, δεικνῦσα ὅτι ἐκεῖνα φθέγγεται, ἅπερ ἐνηχήσει ἡ τοῦ πνεύματος χάρις.

ΘΕΟΔΩΡΙΤΟΥ. Διὰ τίνος μαθεῖν ἠθέλησεν ἡ Ῥεβέκκα περὶ τῶν κυοφορουμένων παιδίων; Τινές φασι πρὸς τὸν Μελχισεδὲκ αὐτὴν ἀπεληλυθέναι, ἅτε δὴ καὶ ἀρχιερέα ὄντα τοῦ Θεοῦ τοῦ ὑψίστου, καὶ ἐπίσημον ἐν εὐσεβείᾳ, καὶ λίαν περιφανῆ. ἐπειδὴ δὲ εἰώθεισαν οἱ πατριάρχαι καὶ θυσιαστήρια τῷ Θεῷ κατασκευάζειν ἐν οἷς ἐσκήνουν χωρίοις, εἰκὸς παρ' ἐν τούτων ἀπελθοῦσαν αὐτὴν, ἱκετεῦσαι τὸν τῶν ὅλων Θεὸν, γνωρίσαι τὰ συμβησόμενα.

ΓΕΝΝΑΔΙΟΥ. Ἐπορεύθη εἰς τόπον δηλονότι τινὰ, ἐν ᾧπερ παρ' αὐτοῖς ἐπιφαίνεσθαι τὸν Θεὸν πολλάκις συνέβαινε. τινὲς δὲ αὐτὴν παρὰ τὸν Μελχισεδὲκ ἔφασαν πεπορεῦσθαι. ἔστι δὲ οὐκ ἀπίθανον. ἦν γὰρ αὐτὸν εἰκὸς ἔτι καὶ περιεῖναι.

* ΠΡΟΚΟΠΙΟΥ. Ποῦ ἐπορεύθη (1) πυθέσθαι παρὰ Κυρίου, εἰ μὴ πρὸς Μελχισεδέκ; ἀπελθοῦσα καθ' ἑαυτὴν ἡσύχαζε, καὶ ταῖς δεήσεσι προσεκαρτέρει, παρακαλοῦσα τὸν Θεὸν ἀποκαλύψαι αὐτῇ, καὶ γνωρίσαι τί σημαίνει τὰ σκιρτήματα τῶν βρεφῶν.

ΔΙΟΔΩΡΟΥ. Ἐπορεύθη δὲ Ῥεβέκκα καὶ πυθέσθαι παρὰ Κυρίου, ἢ πάντως ἐπειδὴ τοῖς γνησίως προσευχομένοις ἀναχωρεῖν καὶ συλλέγειν τὴν διάνοιαν εἰς τὸ τυχεῖν τῆς τοῦ Θεοῦ βοηθείας. τινὲς δέ φασι πρὸς τὸν Μελχισεδὲκ ἀπεληλυθέναι αὐτὴν, στοχασμῷ μᾶλλον ἢ ἀληθείᾳ χρώμενοι.

κγ. Καὶ εἶπε Κύριος αὐτῇ, δύο ἔθνη ἐν τῇ γαστρί σου εἰσί· καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σου διασαλήσονται· καὶ λαὸς λαοῦ ὑπερέξει· καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσονι.

** ΠΡΟΚΟΠΙΟΥ. Καθ' ἱστορίαν δὲ οἱ ἐξ Ἡσαῦ Ἰδουμαῖοι τοῖς ἐξ Ἰσραὴλ δεδουλεύκασι μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον. ἡνίκα τὴν πόλιν ἐγείρουσι καὶ τὸν ναὸν ἀντέπραττον οἱ περίοικοι τῶν ἐθνῶν, ὧν ἡγοῦντο Ἰδουμαῖοι ἐν τῇ κοιλάδι τοῦ Ἰωσαφάτ. καταδιωχθέντες γὰρ ἕως τῆς χώρας, ἀπώλοντο. καὶ οἱ περισωθέντες ἠνδραποδίσθησαν κατὰ τὴν προφητείαν Ἀμὼς, καὶ Ἀβδιοῦ, Ἱερεμίου τε καὶ Ἰεζεκιήλ. ἐδούλευσαν δὲ καὶ οἱ τῇ τοῦ Χριστοῦ πίστει προσελθόντες τοῖς ἐξ Ἰακὼβ ἁγίοις μαθηταῖς καὶ Ἀποστόλοις, καὶ μέχρι νῦν τοῖς ἐξ ἐκείνων δουλεύουσιν.

* ΤΟΥ ΑΥΤΟΥ. Ὁ αὐχῶν εἶναι μείζων, δουλεύσει τῷ ἐκ ταπεινοφροσύνης ἐλάσονι.

ΑΔΗΛΟΥ. Δύο ἔθνη καὶ δύο λαοὺς αἱ θεῖαι δηλοῦσι Γραφαί. καὶ τούτου μάρτυς Μωϋσῆς. ἐν τῇ τεκνοποιΐᾳ γοῦν τὸν τῆς Ῥεβέκκας διηγούμενος βίον, λέγει μὲν ὅπως ἐπορεύθη πυθέσθαι παρὰ Κυρίου περὶ ὧν ἦν συλλαβοῦσα. τηνικαῦτα δέ φησιν » ὁ Κύριος εἶπεν αὐτῇ, δύο ἔθνη ἐν τῇ γαστρί σου ἐστὶ, καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σου » διασαλήσονται· καὶ λαὸς λαοῦ ὑπερέξει· » καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσονι. πολλὰ μὲν γὰρ ἔθνη, καὶ πολλοὶ τυγχάνουσι λαοί· δύο δὲ τούτους ἐξαιρέτως ὀνομάζουσι λαοὺς, οἳ τὰ δόγματα τῆς εὐσεβείας ἐγχειρισθῆναι κατηξιώθησαν· οὔτε δὲ σχισμάτων, οὔτε αἱρέσεων, ὡς ἐν ἀριθμῷ μέμνηται. ἀλλὰ δύο μέν εἰσι λαοὶ πολλαχοῦ γῆς ἐκτεταμένοι, χριστιανῶν τε καὶ Ἰουδαίων. ὁ δὲ μείζων εἶναι τοῖς χρόνοις αὐχῶν, λειπόμενος ἀρετῇ, δουλεύει τῷ νεωτέρῳ· δουλεύσει γὰρ ἄφρων φρονίμῳ.

ΚΥΡΙΛΛΟΥ. Ὃ δὴ καὶ τετέλεσται διὰ Χριστοῦ. πρῶτοι γὰρ ὄντες ὡς κατὰ χρόνον οἱ ἐξ Ἰσραὴλ, ὠνομασμένοι διὰ τοῦτο πρωτότοκοι, κατόπιν γεγόνασι, καὶ εἰς νῶτον τέθεινται τῶν διὰ πίστεως ἐν Χριστῷ, οἳ καὶ τὴν τοῦ πρωτοτόκου κεκληρονομήκασι δόξαν, διὰ τὸν ἐν αὐτοῖς πρωτότοκον, εἰ καὶ ἐστι μονογενής. ᾧ καὶ σύμμορφοι γεγόναμεν τὴν διὰ Χριστὸν ἔχοντες ἀναγέννησιν εἰς ἁγιασμόν τε καὶ ἀφθαρσίαν.

κδ. Καὶ ἐπληρώθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· καὶ τῇδε ἦν δίδυμα ἐν τῇ κοιλίᾳ αὐτῆς.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐπληρώθησαν » αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν. Σημειωτέον ἐφ' ὧν εἴρηται τοῦτο, εἰ ἐπὶ ἁγίων μόνον εἴρηται γυναικῶν. μέχρι γὰρ τοῦ δεῦρο οὐχ εὕρομεν ἐπὶ τῶν μὴ ἁγίων.

κε. Ἐξῆλθε δὲ ὁ πρωτότοκος πυρράκης· ὅλος, ὡσεὶ δορὰ, δασύς· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ, Ἡσαῦ.

ΑΔΗΛΟΥ. Ἡσαῦ ἑρμηνεύεται ποίησις, ἢ δρύϊνος κατὰ Φίλωνα· (2) Ἰακὼβ δὲ, πτερνιστής. (3)

ΚΥΡΙΛΛΟΥ. Καὶ ὁ μὲν Ἡσαῦ πυράκης ἦν ὅλος, καὶ ὡσεὶ δορὰ, δασύς. ἀνὴρ δὲ

(1) Ἐπορεύθη πυθέσθαι παρὰ Κυρίου δηλαδὴ πρὸς Μελχισεδέκ· ἢ γοῦν ἀπελθοῦσα, κτ. ὁ τῆς Αὐγ. κώδ.
(2) Ἐν τῷ περὶ τῆς εἰς τὰ προπαιδεύμ. συνόδ. βιβλ. σελ. 433.
(3) Ἐν τῷ περὶ τῶν μετονομαζομ. βιβλ. σελ. 1057.

δὲ λεῖος ὁ Ἰακώβ. θυμοῦ (1) γὰρ καὶ θηριωδίας τὸ εἶδος τοῦ Ἠσαῦ. τοιοῦτον δὲ καὶ Ἰσραήλ. τοιγάρτοι καὶ ἀπέκτειναν μὲν τοὺς ἁγίους Προφήτας, δεδυσσεβήκασι δὲ καὶ εἰς αὐτὸν ἐν ἐσχάτοις τὸν Ἐμμανουήλ. ἡ δέ γε λειότης ἀνθρωπίνης ἡμερότητος σύμβολον. τοιοῦτος δὲ ὁ ἐν πίστει καὶ νέος λαός. ἡ γὰρ τοῦ σώματος ἀστειότης, εἰς παράδειξιν τοῦ νοητοῦ καὶ ἔσωθεν κάλλους ἐστίν.

** ΤΟΥ ΑΥΤΟΥ. Ὁ μὲν Ἠσαῦ διερμηνεύεται δρῦς, τουτέστιν ἀπηνής τε καὶ ἀκαμπής. εἴρηται δέ που πρὸς τὸν Ἰσραὴλ
Ἠσ. 48. 4. παρὰ τοῦ Θεοῦ, γινώσκω ἐγὼ, ὅτι σκληρὸς
» εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ
» τὸ μέτωπόν σου χαλκοῦν.

κϛ. Καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ χεὶρ αὐτοῦ ἐπειλημμένη τῆς πτέρνης αὐτοῦ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, Ἰακώβ. Ἰσαὰκ δὲ ἦν ἐτῶν ἑξήκοντα, ὅτε ἔτεκεν αὐτοὺς Ῥεβέκκα.

ΕΥΣΕΒΙΟΥ. Ὅπερ προεφήτευσεν αὐτῇ ὁ Θεὸς πορευθείσῃ πρὸς τὸν Μελχισεδὲκ, τοῦτο νῦν δι' ἔργων τυποῦται καὶ προφητεύεται. ἐπιλήπτωρ γὰρ ὢν ὁ Ἰακὼβ τῆς τοῦ ἀδελφοῦ αὐτοῦ πτέρνης, ἐδήλου ὅτι κρατήσει αὐτοῦ, καὶ δοῦλον ἕξει καὶ ὑπηρέτην. πτέρνα γὰρ τοῦ καμάτου τὸ κύριον, καὶ ὑπηρεσίας σημαντικόν. Φασὶ δέ τινες, ὅτι ἐπειδήπερ πτερνίζειν αὐτὸν ἔμελλε, καὶ τοῦτο ἐν μέρει πτερνισμοῦ τοῦ Ἠσαῦ τίθησιν.

ΔΙΟΔΩΡΟΥ. Διατὶ τῆς πτέρνης τοῦ Ἠσαῦ ἐπειλημμένης, ὁ Ἰακὼβ τίκτεται; Τοῦ Θεοῦ δεικνύντος, ὅτι κρείττων τοῦ ἀδελφοῦ φανεὶς ἐν τοῖς τῆς εὐσεβείας ἀγῶσι, τὰ τῆς πρωτοτοκίας λήψεται βραβεῖα. καὶ παλαίων μὲν, ἔξεισι τῆς γαστρός· εἴχετο γὰρ τῆς πτέρνης· εἰς δὲ τοὺς αὐθαιρέτους ἀγῶνας προσελθὼν, εἴληφε τῆς τιμῆς τοὺς στεφάνους. Καὶ μετ' ὀλίγα. Λάβοι δ' ἄν τις τὸ πρᾶγμα τύπον Ἰουδαίων τε καὶ Χριστιανῶν· ὡς περὶ τούτου ὁ Ἀπόστολος τὰ κατὰ τὸν Ἰσμαὴλ, καὶ τὸν Ἰσαάκ. προσκρούει γὰρ ὁ πρεσβύτερος πανταχοῦ, καὶ ἐκβάλλεται· ὁ δὲ νέος εὐδοκιμεῖ, καὶ κληρονόμος γίνεται.

ΚΥΡΙΛΛΟΥ. Πτερνιστὴς ὁ Ἰακὼβ, οἷα νικᾶν εἰδώς. πτερνιεῖ γάρ τις ὃν ἂν ἡττήσειε. νικᾷ δὲ δὴ πάντως (2) ὁ ἐν Χριστῷ διὰ πίστεως, τὰ ἐκ τῆς ἁμαρτίας διαδραμὼν ἐγκλήματα, καὶ αὐτοῦ καταμβλύνων τοῦ θανάτου τὸ κέντρον.

** ΙΣΙΔΩΡΟΥ. Διατὶ ὁ Ἰακὼβ ἐν τῷ τίκτεσθαι τῆς πτέρνης ἐπείληπτο τοῦ
A Ἠσαῦ; Τῆς πτέρνης Ἠσαῦ ὁ Ἰακὼβ ἐπείληπτο, τοῦτο σημαίνων διὰ τοῦ σχήματος, ὅτι ὁ νοῦς ὁ βλέπων Θεὸν καθαρότητι· τοῦτο γὰρ Ἰσραὴλ ἑρμηνεύεται· πτερνίζει τὰ πάθη τὰ γαστρίμαργα. ὅπερ ἐπ' αὐτῶν ἐκείνων τετέλεστο, ἡνίκα τὴν ἀκαρτέρητον λύτταν ὁ Ἐδὼμ ἐπεδείξατο· καὶ τῆς πρεσβυγενείας τὴν τιμὴν οἰκέτιν ἐποίησε βρώσεως.

B **κζ. Ηὐξύνθησαν δὲ οἱ νεανίσκοι. καὶ ἦν Ἠσαῦ ἄνθρωπος εἰδὼς κυνηγεῖν, ἄγροικος· Ἰακὼβ δὲ, ἄνθρωπος ἄπλαστος, οἰκῶν οἰκίαν.**

ΚΥΡΙΛΛΟΥ. Ἰσήλικες μὲν γὰρ ἀλλήλοιν οἱ νεανίαι, πλὴν οὐκ ἰσογνώμονες, οὐδὲ ἐν σπουδαῖς ἀπαράλλακτοι. ὁ μὲν γὰρ Ἠσαῦ τὰς ἐν ἀγροῖς τε καὶ θήραις ἠγάπα διατριβάς· ὁ δὲ ἦν ἀστικὸς, εὐπρόσω-
Γ » πος (3) δηλονότι καὶ κοινωνικὸς, καὶ ἀνὴρ
» ἄπλαστος οἰκῶν οἰκίαν. καὶ ὁ μὲν, ἀκάθεκτος εἰς ἐπιθυμίας σαρκικὰς, καὶ τῶν ἄγαν εὐτελεστάτων τὰ ἴδια γέρα κατόπιν ὥσπερ τιθεὶς, καὶ τὰ ψυχρά τε καὶ ἕωλα ἀντωνούμενος· ὁ δὲ, τῶν ἀρίστων καὶ ἄπληστος ἐραστὴς, καὶ τὰ δι' ὧν ἂν γένοιτο λαμπρὸς πανταχόθεν ἀναζητῶν. ἐξεπρίατο γὰρ τὰ πρωτοτόκια, παραρριπτοῦντος αὐτὰ τοῦ Ἠσαῦ, καὶ τὸν τῆς γαστρὸς κόρον
Δ τῶν ἰδίων ἀξιωμάτων ἀτημελῶς προτετιμηκότος.

ΤΟΥ ΑΥΤΟΥ. Θηρευτὴς οὖν ἄρα καὶ ὁ Ἰσραήλ· ὁ δὲ γενναῖος καὶ ἐν πίστει λαὸς, ὁ κατὰ τὸν θεσπέσιον Ἰακὼβ, πρᾶος καὶ
» ἀκακοῦργος οἰκῶν οἰκίαν, τουτέστι τὴν ἐκκλησίαν. καὶ περὶ τούτων οἶμαί που λέγειν
» τὸν Δαβὶδ, Κύριος κατοικίζει μονοτρόπους Ψαλ. 67. 6.
ἐν οἴκῳ. μονότροπος γὰρ ὁ ἁπλοῦς ἐν
E Χριστῷ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἰακὼβ δὲ ἄνθρω-
» πος ἄπλαστος οἰκῶν οἰκίαν, τουτέστι μηδὲν ἔχων ἐπίπλαστον, ἢ ἐπείσακτον κακόν. οὐ γὰρ τὸ μὴ φρόνιμός φησι. πῶς γὰρ οὐ φρόνιμος ὁ τὴν εὐλογίαν τοῦ πατρὸς εὐμηχάνως ἑαυτῷ πορισάμενος; καὶ τὴν αἰτίαν τούτου τοῦ ἀπλάστου ἤθους διδάσκει, λέγων· ὅτι οὐκ ἐρέμβετο ἔξω. ἴσως δὲ καὶ ἀντιδιαστέλλει τῷ κυνηγέτῃ Ἠσαῦ, καὶ ἐν
Z ὑπαίθρῳ διάγοντι.

» ** ΒΑΣΙΛΕΙΟΥ. Ἰακὼβ ἄπλαστος,
» φησὶν, οἰκῶν οἰκίαν, τουτέστι τῇ ἐκ τῆς φύσεως ἁπλότητι κεχρημένος, οὐδὲν ἐκ τέχνης ἐπίπλαστον σχῆμα, οἷον προσωπεῖον, ἑαυτῷ πρὸς τὴν τῶν ἐντυγχανόντων ἀπάτην περιτιθείς.

(1) Αἴνιγμα δὴ οὖν ἡ πυρρότης θυμοῦ καὶ ὀργῆς. εἴπερ ἐστὶν ἀληθῶς ὡς ἐρυθρὸν ἀείπως τὸ χρῶμα τοῖς ἐν ὀργαῖς. θηριοπρεπὲς δὲ ὅτι τὸ λασιότριχον καὶ δασὺ πῶς ἂν ἐνδειξάσειέ τις; κατίδοι δ' ἂν, οἶμαι, πᾶς τις ἐν τοῖς τοιούτοις τρόποις τὸν Ἰσραήλ. καὶ θυμῷ μὲν, ἢ λογισμῷ τῷ καθήκοντι διοικούμενον· ἀπονενευκότα δὲ λίαν εἰς τὸ θρασὺ καὶ ἀνήμερον. τοιγάρτοι, κτ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 97.

(2) Οὐχ ὁ ἐν νόμῳ λαὸς, ἀλλ' ὁ ἐν Χριστῷ, κτ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 97.

(3) Εὐπρόσιτος. αὐτ. ἐν σελ. 98.

κη. Ἠγάπησε δὲ Ἰσαὰκ τὸν Ἡσαῦ, ὅτι ἡ θήρα αὐτοῦ βρῶσις αὐτῷ· Ῥεβέκκα δὲ ἠγάπα τὸν Ἰακώβ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς τοὺς παῖδας διενείμαντο. καὶ ἡ μὲν, διὰ τὸ ἐπὶ τῆς οἰκίας διατρίβειν ὁρῶσα τοῦ παιδὸς τὸ ἄπλαστον, πλείονα τὴν εὔνοιαν περὶ αὐτὸν ἐπεδείκνυτο· ὁ δὲ πατὴρ, διά τε τὸ πρωτότοκον ἐκεῖνον γεγενῆσθαι, καὶ διὰ τὴν θήραν ἠγάπα τὸν Ἡσαῦ.

ΚΥΡΙΛΛΟΥ. Ἠξίωτο γὰρ ἀγάπης τῆς ἄνωθεν ὁ πρωτότοκος Ἰσραὴλ· ὅτι ἐν νόμῳ πολιτείας τὴν κατόρθωσιν, τροφὴν ὥσπερ τινὰ προσεκόμιζε τῷ Θεῷ. γεγόνασι γὰρ ἅγιοι καὶ ἐν Ἰσραήλ.

ΤΟΥ ΑΥΤΟΥ. Ἡ Ῥεβέκκα διὰ τὴν συνήθειαν τὸν Ἰακὼβ ἠγάπα· ὅτι ᾤκει τὴν οἰκίαν, ἢ διὰ τὰς τοῦ Θεοῦ προρρήσεις. διατὶ δὲ ὁ Ἰσαὰκ τὸν Ἡσαῦ ἠγάπα; ἵνα δειχθῇ, ὅτι κἂν δίκαιοι ἦσαν, ἀλλ' ὅμως ἄνθρωποι. καὶ ἵνα φανῇ, ὅτι οὐχ ἡ ἀγάπη τῶν γονέων τὸν Ἰακὼβ παιδεύει, ἀλλ' αὐτὸς ἀπὸ προαιρέσεως ἦν καλός. (1)

** ΠΡΟΚΟΠΙΟΥ. Τίς δ' ἂν οὐκ ἀγάσαιτο τὸ, » ἠγάπησε τὸν Ἡσαῦ· ἡ δὲ Ῥεβέκκα ἠγάπα τὸν Ἰακώβ; τὸ μὲν γὰρ, παρελήλυθε· τὸ δὲ, πάρεστιν ἀεί. ἡ μὲν γὰρ ἀποδοχὴ τοῦ φαύλου κἂν συμβῇ ποτὲ, ὀλιγοχρόνιός ἐστι καὶ ἐφήμερος· ἡ δὲ τοῦ σπουδαίου, ἀθανατίζεται. καὶ τὸ μὲν σπουδαῖον, οὐ δι' ἕτερόν τι ἀγαπᾶται· τὸ δὲ μὴ » τοιοῦτον, ἐκ τῶν χρειῶν. ἠγάπησε γάρ » φησιν, ὅτι ἡ θήρα αὐτοῦ βρῶσις αὐτῷ.

κθ. Ἥψησε δὲ Ἰακὼβ ἕψημα· ἦλθε δὲ Ἡσαῦ ἐκ τοῦ πεδίου ἐκλείπων.

ΑΔΗΛΟΥ. Ὁ Σύμμαχος ἀντὶ τοῦ ἑψήματος, Ἐδὼμ τέθεικεν· ὃ ἑρμηνεύεται πυρρός. ὁ Ἰώσηπος (2) λέγει, ὅτι ξανθὴν φακὴν ἥψησε ὁ Ἰακώβ. καλεῖται δὲ τὸ ἐρυθρὸν παρ' ἐκείνοις, Ἐδώμ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπὶ μὲν τῶν σπουδαίων, ἡ ἔκλειψις εἶναι λέγεται πρόσθεσις· ἐκλείποντες γὰρ τὸν θνητὸν βίον, ἀθανάτῳ ζωῇ προστίθενται· ὁ δὲ φαῦλος ἔκλειψιν ἀναδέχεται, λιμὸν ἀρετῆς ὑπομένων ἀδιάστατον μᾶλλον ἢ σίτων καὶ ποτῶν.

λ. Καὶ εἶπεν Ἡσαῦ τῷ Ἰακὼβ, γεῦσόν με ἀπὸ τοῦ ἑψήματος τοῦ πυρροῦ τούτου, ὅτι ἐκλείπω. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ, Ἐδώμ.

** ΚΥΡΙΛΛΟΥ. Ἐκλήθη τὸ ὄνομα αὐτοῦ, Ἐδὼμ, τουτέστι γήϊνος. γηΐνου γὰρ ἀληθῶς καὶ χθαμαλωτάτου φρονήματος ἔλεγχος ἐναργὴς τὸ ἀλογῆσαι μὲν δόξης

A τῆς ἐνούσης αὐτῷ, καὶ τὰ τῆς γνώσεως πρεσβεῖα παρ' οὐδὲν ποιεῖσθαι παντελῶς, ἀνθελέσθαι δὲ μᾶλλον ὡς ἀμείνω καὶ προφερεστέραν τὴν πρόσκαιρον ἡδονὴν, καὶ τὸ παραυτίκα τερπνὸν ψήφῳ στεφανοῦν τῇ κρείττονι; κἂν εἰ πολλὴν ἔχοι τὴν ζημίαν.

λα. Εἶπε δὲ Ἰακὼβ τῷ Ἡσαῦ, ἀπόδος μοι σήμερον τὰ πρωτοτόκιά σου ἐμοί.

B ΦΙΛΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ. Τὸ μὲν ῥητὸν, οἷα τὸ δοκεῖν· ἐμφαίνει πλεονεξίαν νεωτέρου σφετερίζεσθαι ἀδελφοῦ δίκαια ποθοῦντος· ὁ δὲ σπουδαῖος οὐ πλεονέκτης, ἅτε ὀλιγοδείας καὶ ἐγκρατείας ἑταῖρος. σαφῶς οὖν ὁ ἐπιστάμενος, ὅτι αἱ ἄφθονοι περιουσίαι τῶν φαύλων χορηγοὶ τῶν ἁμαρτημάτων καὶ ἀδικημάτων αὐτῶν εἰσιν, ἀναγκαιότατον ἡγεῖται τὴν προσαναφλέγουσαν ὕλην, ὡς πυρὸς, τῆς κακίας

Γ ἀφαιρεῖν εἰς βελτίωσιν ἠθῶν. ὅπερ οὐ βλάβην, ἀλλὰ μεγίστην ὠφέλειαν περιποιεῖ τῷ ζημιοῦσθαι δοκοῦντι.

λβ. Καὶ εἶπεν Ἡσαῦ, ἰδοὺ ἐγὼ πορεύομαι τελευτᾷν· καὶ ἵνα τί μοι ταῦτα τὰ πρωτοτόκια;

** ΠΡΟΚΟΠΙΟΥ. Οὐ φησὶ δὲ, ἵνα τί μοι πρωτοτόκια; μετὰ προσθήκης δὲ τοῦ,

Δ ταῦτα. ὅ ἐστι τὰ πρὸς ἀρετὴν ἄγοντα καὶ εὐδαιμονίαν. ἔχω γάρ φησιν ἐξαίρετα ἕτερα· τὸ ἥδεσθαι, τὸ ἐπιθυμεῖν, τὸ ἀκολασταίνειν, τὸ πλεονεκτεῖν, καὶ ὅσα τούτων ἀδελφά. ὅθεν ἐπάγει, καὶ ἐφαύλισεν » Ἡσαῦ τὰ πρωτοτόκια.

λγ. Καὶ εἶπεν Ἰακὼβ, ὄμοσόν μοι σήμερον. καὶ ὤμοσεν αὐτῷ· ἀπέδοτο

E δὲ Ἡσαῦ τὰ πρωτοτόκια τῷ Ἰακώβ.

ΔΙΟΔΩΡΟΥ. Ἀνάξιος ἦν τῶν πρωτοτοκίων ὁ Ἡσαῦ, βίον ἀγριώτερον ζῶν, καὶ λυπῶν τοὺς γεννήσαντας. οἱ Ἰουδαῖοί φασι πρωτότοκον εἶναι τὸν Ἰακώβ. πρῶτος γὰρ ἐκ κοιλίας πλάττεται ὁ δεύτερος γεννώμενος.

ΙΣΙΔΩΡΟΥ. Οὐ τὸ καλεῖσθαι ἁπλῶς πρωτότοκον παρεχώρησε τῷ Ἰακὼβ ὁ

Z Ἡσαῦ, ἀλλὰ τὸ πατριαρχικὸν ἀξίωμα, τὸ τῇ ἀρετῇ μάλιστα, καὶ οὐ τῇ πρεσβυγενείᾳ χρεωστούμενον. ἐπειδὴ γὰρ τῷ πρωτοτόκῳ, καὶ ἡ βασιλεία, καὶ ἡ ἱερωσύνη, καὶ τὸ πατριαρχικὸν ἐχρεωστεῖτο ἀξίωμα, ἔρημος δὲ ὢν οὗτος ἀρετῆς, εἰς τοιαύτην ἀνάγκην κατέστη, ὥστε καὶ ἑκὼν πωλῆσαι, ὅπερ καὶ ἄκων ἀφαιρεθῆναι δίκαιος ἦν.

* ΚΥΡΙΛΛΟΥ. Ἦν οὖν ἐν δόξῃ τῇ παρὰ Θεῷ πρωτότοκος ὢν ὁ Ἰσραὴλ, (3) πλὴν

(1) Τοῦτο ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται· ἀλλ' οὐδὲ δοκεῖ τῶν τοῦ Κυρίλλου.

(2) Ἐν βιβλ. 2. κεφ. 1. περὶ Ἰουδαϊκ. ἀρχαιολογ.

(3) Τὰ ἀπὸ τοῦ ἦν, ἄχρι τοῦ, πλὴν, προσετέθη. ὡσαύτως καὶ τὰ ἀπὸ τοῦ γοῦν, ἄχρι τοῦ, ἀντεισκέκλωται.

πλὴν οὐ μέχρι παντὸς διεσώσατο τὴν τοῖς ἑαυτοῦ πρεσβείοις ἀπονεμηθεῖσαν τιμήν. παρακεχώρηκε δὲ ὥσπερ τῷ νέῳ καὶ κατόπιν ἰόντι λαῷ, τουτέστι τοῖς ἐξ ἐθνῶν, τὰ πρωτοτόκια, πολὺ λίαν ἀπονενοηκὼς εἰς τὰ σαρκός τε καὶ κόσμου. καὶ γοῦν ὡς ἐν ταῖς εὐαγγελικαῖς ἀνεγνώσθη παραβολαῖς, ἐποίει μὲν γάμους ὁ βασιλεὺς τῷ υἱῷ αὐτοῦ· εἶτα παρῆσαν οἱ δειπνοκλήτορες τοῖς δαιτυμόσιν ἀπαγγέλλοντες τὰ παρὰ
Ματθ. 22. 4. Θεοῦ, τουτέστιν, ἰδοὺ τὸ ἄριστόν μου ἡτοίμασα,
„ οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ
„ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους. οἱ
„ δὲ οὐκ ἤθελον ἐλθεῖν φησίν· ἀλλ' ἦν ἑκά-
„ στῳ παραίτησις τὸ δοκοῦν. ὁ μὲν γὰρ ἔφα-
Λουκ. 14. 20, 18. σκε, γυναῖκα ἔγημα, ἔχε με παρῃτημέ-
„ νον· ὁ δὲ ἀγρὸν ἠγόρασα, καὶ οὐ δύναμαι ἐλθεῖν. ὁρᾷς οὖν ὅπως μεμίμηται τὸν Ἠσαῦ; τὴν τῶν προσκαίρων καὶ σαρκικῶν ἀπόλαυσιν τῆς παρὰ Θεῷ δόξης προτετιμηκότες, μονονουχὶ δὲ καὶ ἑτέροις τὰ πρωτοτόκια προθέντες ἑλεῖν. ἀντεισκέκληνται γὰρ εὐθὺς οἱ ἐξ ἐθνῶν πιστεύσαντες, καὶ τὴν τῷ Ἰσραὴλ ὀφειλομένην ἀποκεκερδήκασι δόξαν, καὶ μέντοι καὶ εὐλογίαν, διὰ τὸ ἕτοιμον τῶν θείων μαθημάτων εἰς ὑπακοήν. Καὶ μετ' ὀλίγα. Εἰ γὰρ καὶ πτω-

A χείαν τῶν ἐθνῶν ἡ πληθὺς κατηῤῥώστησε τῶν θείων μαθημάτων, ἀλλ' εὐπετεστέρα γέγονεν ἐν τῇ πίστει, καὶ τοῖς διὰ Χριστοῦ θεσπίσμασιν ὀξὺ παραθεῖσα τὸ οὖς, (1) διὰ τῆς αὐτοῦ μεμαρτύρηται φωνῆς. ἔφη
„ γὰρ ὧδε διὰ τῆς τοῦ ψάλλοντος λύρας·
„ λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, εἰς ἀκοὴν Ψαλ. 17. 43, 44.
„ ὠτίου ὑπήκουσέ μου.

λδ. Ἰακὼβ δὲ ἔδωκε τῷ Ἠσαῦ
B ἄρτον, καὶ ἕψημα φακοῦ· καὶ ἔφαγε, καὶ ἔπιε· καὶ ἀναστὰς, ᾤχετο. καὶ ἐφαύλισεν Ἠσαῦ τὰ πρωτοτόκια.

ΑΔΗΛΟΥ. Ἀνάξιον εἰδὼς τὸν Ἠσαῦ τῶν πρωτοτοκίων, οὐ πονηρῶς ἀγοράζει ταῦτα. πῶς γὰρ οὐκ ἀνάξιος ὁ οὕτω ταῦτα φαυλίσας, ὡς καὶ φακοῦ πωλῆσαι;

ΦΙΛΩΝΟΣ. (2) Καὶ τὸ ῥητὸν τῆς
Γ διηγήσεως ἔλεγχον ἔχει ἀκολάστου, πρὸς νουθεσίαν τῶν θεραπεύεσθαι δυναμένων. ὁ γὰρ τοῦ τυχόντος ἕνεκα προεψήματος ἐκστὰς τῶν πρεσβείων τῷ νεωτέρῳ, καὶ δοῦλος γαστρὸς ἡδονῆς ἀναγραφεὶς, εἰς ὄνειδος προκείσθω τῶν μήποτε ζῆλον ἐγκρατείας λαβόντων.

ΚΕΦ. ΚϚ.

α. Ἐγένετο δὲ λιμὸς ἐπὶ τῆς γῆς, χωρὶς τοῦ λιμοῦ τοῦ πρότερον, ὃς ἐγένετο ἐν τῷ καιρῷ τοῦ Ἀβραάμ. ἐπορεύθη δὲ Ἰσαὰκ πρὸς Ἀβιμέλεχ βασιλέα Φυλιστιεὶμ εἰς Γέραρα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἵνα μὴ νομί-
E σῃς περὶ ἐκείνου τοῦ λιμοῦ αὐτὸν διαλέγεσθαι, διὰ τοῦτο ἐπήγαγε, χωρὶς τοῦ λιμοῦ τοῦ πατριάρχου, ἀντὶ τοῦ, ἕτερος τοιοῦτος. νῦν κατέλαβε λιμὸς τὴν γῆν ἐπὶ τοῦ Ἰσαάκ, οἷος καὶ ἐπὶ τοῦ πατρὸς αὐτοῦ. Καὶ μετ' ὀλίγα. Ὅθεν καὶ ὁ δίκαιος οὗτος θεασάμενος τὸν λιμὸν, ἐπορεύθη, φησὶ, πρὸς Ἀβιμέλεχ εἰς Γέραρα. ἐνταῦθα γὰρ καὶ ὁ Ἀβραὰμ μετὰ τὴν ἀπὸ τῆς Αἰγύπτου ἐπάνοδον πάλιν ἀπῆλθεν. εἰκὸς δὲ καὶ τοῦτον διὰ τοῦ-
Z το ἐκεῖ ἀπεληλυθέναι, ὡς ἐκεῖθεν ὁρμῆσαι βουλόμενον ἐπὶ τὴν Αἴγυπτον· καὶ ὅτι τοῦτό ἐστιν, ἄκουσον τῆς Γραφῆς λεγούσης·
„ ὤφθη γὰρ αὐτῷ, φησὶν, ὁ Θεὸς, καὶ εἶ-
„ πε, μὴ καταβῇς εἰς Αἴγυπτον.

β. Ὤφθη δὲ αὐτῷ Κύριος, καὶ εἶπε, μὴ καταβῇς εἰς Αἴγυπτον· κατοίκησον δὲ ἐν τῇ γῇ, ᾗ ἄν σοι εἴπω. (3)

ΘΕΟΔΩΡΟΥ. Διατί κωλύει ὁ Θεὸς τὸν Ἰσαὰκ εἰς τὴν Αἴγυπτον ἀποδημῆσαι, τοῦ λιμοῦ τοῦτον καταναγκάζοντος; Τὴν οἰκείαν τε σοφίαν καὶ κηδεμονίαν διὰ πάντων δηλοῖ ὁ δεσπότης Θεός. καὶ γὰρ τὸν πατριάρχην Ἀβραὰμ, οὐχ ὡς ἀπορῶν ἐν τῇ Παλαιστίνῃ διαθρέψαι συνεχώρησεν εἰς τὴν Αἴγυπτον ἀπελθεῖν, ἀλλ' ἵνα τοῖς Αἰγυπτίοις ἐπιδείξῃ τοῦ ἀνδρὸς τὴν εὐσέβειαν, καὶ ζηλῶσαι προτρέψῃ τοῦ πατριάρχου τὴν ἀρετήν. τὸν δὲ Ἰσαὰκ αὐτοῦ μεῖναι προσέταξε, καὶ τῇ τῶν ἀναγκαίων αὐτὸν περιέκλεισεν ἀφθονίᾳ, δεικνὺς ὡς καὶ τῷ πατρὶ ταῦτα παρασχεῖν οἷός τε ἦν, ἃ καὶ αὐτῷ δέδωκε φιλοτίμως. πάντων γὰρ ἐν ἐνδείᾳ ὄντων ἢ σπάνει τῶν ἀναγκαίων, καὶ τῆς γῆς ἀγόνου γεγενημένης, αὐτὸς σπείρας, πολύχουν ἔλαβε τὸν καρπόν.

ΩΡΙΓΕΝΟΥΣ. Εἴπου χρὴ κατοικεῖν ἐκ προστάγματος Θεοῦ, παροικήσει τὶς, ἔστιν ὁ Θεὸς μετ' αὐτοῦ, καὶ εὐλογεῖ αὐτόν. εἰ δὲ ὅπου οὐ δεῖ παροικεῖν, κατοικήσει τὶς, οὐκ ἔστιν ὁ Θεὸς μετ' αὐτοῦ, οὐδὲ εὐλογήσει αὐτόν.

γ. Καὶ παροίκει ἐν τῇ γῇ ταύτῃ· καὶ ἔσομαι μετὰ σοῦ, καὶ εὐλογήσω-
H σε· σοὶ γὰρ καὶ τῷ σπέρματί σου δώσω πᾶσαν

(1) Ὁ διὰ τῆς αὐτοῦ. ἐν Τόμ. 1. μερ. 1. σελ. 101.
(2) Ἴσ. τοῦ ἐπισκόπου. ἐν γὰρ τοῖς τοῦ Ἑβραίου οὐχ εὕρηται.
(3) Τὸ, ᾗ ἄν σοι εἴπω, καὶ τὸ, παροίκει ἐν τῇ γῇ ταύτῃ, προσετέθη.

πᾶσαν τὴν γῆν ταύτην· καὶ στήσω A τὸν ὅρκον μου, ὃν ὤμοσα Ἀβραὰμ τῷ πατρί σου.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁρᾷς Θεοῦ φιλανθρωπίαν; οὐ πρὸς τὴν οἰκείαν ἀξίαν ὁρῶν φθέγγεται, ἀλλὰ πρὸς τὴν ἀσθένειαν συγκαταβαίνων τὴν ἡμετέραν. ἐπειδὴ γὰρ οἱ ἄνθρωποι, ὡς ἐπὶ τὸ πλεῖστον, ἐκεῖνα εἰς ἔργον ἄγειν σπουδάζουσιν, οὐχ ἅπερ ἂν ἁπλῶς ὑπόσχωνταί τισιν, ἀλλ' B ὅσα ἂν μεθ' ὅρκου ἐπαγγέλλωνται· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ τῶν ὅλων Θεὸς πληροφορῶν τὸν δίκαιον, ὅτι πάντως ἔσται τὰ παρ' αὐτοῦ λεγόμενα, φησὶν, ἴσθι ὅτι τὰ παρ' ἐμοῦ ὀμνυθέντα εἰς ἔργον ἀχθῆναι δεῖ. τί οὖν; φησὶν, ὁ Θεὸς ὤμοσε; καὶ κατὰ τίνος ὀμῶσαι ἠδύνατο; ὁρᾷς, ὅτι συγκαταβάσεως ἦν τὸ εἰρημένον; τὴν γὰρ βεβαίωσιν τῆς ὑποσχέσεως ὅρκον ἐκάλεσε. Γ

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀδιαφοροῦσιν ὅρκων λόγοι Θεοῦ. καὶ κατὰ τίνος ἂν ὤμοσεν ὁ Θεὸς, ὅτι μὴ ἑαυτοῦ; λέγεται δὲ ὀμνύναι διὰ τὴν ἡμετέραν ἀσθένειαν τῶν ὑπολαμβανόντων ὡς ἐπ' ἀνθρώπου διαφέρειν λόγων ὅρκους, οὕτως ἐπὶ Θεοῦ.

δ. Καὶ πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ· καὶ δώσω Δ σοὶ καὶ τῷ σπέρματί σου τὴν γῆν ταύτην· καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς.

ε. Ἀνθ' ὧν ὑπήκουσεν Ἀβραὰμ τῆς ἐμῆς φωνῆς, καὶ ἐφύλαξε τὰ προστάγματά μου, καὶ τὰ δικαιώματά μου, καὶ τὰ νόμιμά μου.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Εἰ μήπω ἦν ὁ κατὰ Μωσέα νόμος, ἐφύλαξε δὲ Ἀβραὰμ E τὰ εἰρημένα, οὕτως αὐτὰ ἐφύλαξεν, ὡς
Ῥωμ. 2, 14. „ ἔθνη τὰ μὴ νόμον ἔχοντα, καὶ φύσει τὰ
„ τοῦ νόμου ποιοῦντα. μάλιστα δὲ σημειωτέον καὶ τὰ νόμιμα· ὅπερ οἱ λοιποὶ ἐκδεδώκασι, καὶ νόμους μου, ὅτι ἦσαν οἱ νόμοι τοῦ Θεοῦ τάχα οὐκ ἀρξάμενοι χρονικῶς.

ς. Κατῴκησε δὲ Ἰσαὰκ ἐν Γε-
ζ. ράροις. Ἐπηρώτησαν δὲ οἱ ἄνδρες τοῦ τόπου περὶ Ῥεβέκκας τῆς Z γυναικὸς αὐτοῦ· καὶ εἶπεν, ἀδελφή μου ἐστίν· ἐφοβήθη γὰρ εἰπεῖν, γυνή μου ἐστί· μήποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τοῦ τόπου περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι ὡραία τῇ ὄψει ἦν.

η. Ἐγένετο δὲ πολυχρόνιος ἐκεῖ. H παρακύψας δὲ Ἀβιμέλεχ βασιλεὺς Γεράρων, διὰ τῆς θυρίδος (1) εἶδε

A. τὸν Ἰσαὰκ παίζοντα μετὰ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἑβραῖοι δέ φασιν εὐσχημόνως εἰρῆσθαι τὸ παίζειν, ἀντὶ τοῦ συνουσιάζειν.

✱✱ ΚΛΗΜΕΝΤΟΣ. Ἐγὼ δὲ καὶ τὸν Ἰσαὰκ εἰς παῖδα ἀναφέρω· γέλως ἑρμηνεύεται ὁ Ἰσαάκ. τοῦτον ἑώρακε παίζοντα μετὰ τῆς γυναικὸς καὶ βοηθοῦ, τῆς B Ῥεβέκκας, ὁ περίεργος βασιλεύς. βασιλεύς μοι δοκεῖ, Ἀβιμέλεχ ὄνομα αὐτῷ, σοφία τὶς εἶναι ὑπερκόσμιος κατασκοποῦσα τῆς παιδείας τὸ μυστήριον· Ῥεβέκκαν δὲ ἑρμηνεύουσιν ὑπομονήν. ὢ τῆς φρονίμου παιδείας· γέλως, καὶ δι' ὑπομονῆς βοηθούμενος, καὶ ἔφορος ὁ βασιλεύς. ἀγαλλιᾶται τὸ πνεῦμα τῶν ἐν Χριστῷ παιδίων, ἐν ὑπομονῇ πολιτευόμενον· καὶ αὕτη ἡ θεία παιδεία. τοιαύτην τινὰ παίζειν παι- Γ δείαν τὸν ἑαυτοῦ Δία, Ἡράκλειτος λέγει. τί γὰρ ἄλλο εὐπρεπὲς ἔργον σοφῷ καὶ τελείῳ, ἢ παίζειν καὶ συνευφραίνεσθαι τῇ τῶν καλῶν ὑπομονῇ, καὶ τῇ διοικήσει τῶν καλῶν συμπανηγυρίζοντα τῷ Θεῷ; ἔστι καὶ ἄλλως ὑπολαβεῖν τὸ ὑπὸ τῆς προφητείας μηνυόμενον. χαίροντας ἡμᾶς καὶ γελῶντας ἐπὶ σωτηρίᾳ, ὡς τὸν Ἰσαάκ. ἐγέλα δὲ κἀκεῖνος τοῦ θανάτου λελυμένος, παίζων καὶ ἀγαλλιώμενος σὺν τῇ νύμφῃ Δ τῇ εἰς σωτηρίαν ἡμῖν βοηθῷ, τῇ ἐκκλησίᾳ, ᾗ ὑπομονὴ ὄνομα πάγιον τέθειται· ἤτοι, ἐπεὶ μόνη αὐτὴ εἰς τοὺς αἰῶνας μένει χαίρουσα ἀεὶ, ἢ ἐξ ὑπομονῆς τῶν πιστευόντων συνέστηκεν, οἵ ἐσμεν μέλη Χριστοῦ· καὶ ἡ τῶν εἰς τέλος ὑπομεινάντων μαρτυρία, καὶ ἡ ἐπὶ τούτοις εὐχαριστία. αὕτη δέ ἐστιν ἡ μυστικὴ παιδεία, καὶ ἡ σὺν τῇ σεμνῇ θυμηδίᾳ βοηθοῦσα σωτηρία. ὁ γοῦν βασιλεὺς ὁ Χριστὸς ἄνωθεν ἡμῖν ἐπισκοπεῖ τὸν γέ- E λωτα· καὶ διακύψας τῆς θυρίδος, ὥς φησιν ἡ Γραφὴ, τὴν εὐχαριστίαν, καὶ τὴν εὐλογίαν, ἀγαλλίασίν τε καὶ εὐφροσύνην, ἔτι τε ὑπομονὴν συνεργοῦσαν, καὶ τὴν τούτων συμπλοκὴν, τὴν ἐκκλησίαν ἐποπτεύει τὴν ἑαυτοῦ μόνον· ἐπιδεικνὺς τὸ πρόσωπον τὸ αὐτοῦ, τὸ λεῖπον τῇ ἐκκλησίᾳ, βασιλείῳ τελειουμένῃ κεφαλῇ. καὶ ποῦ ἄρα ἦν ἡ θυρὶς, δι' ἧς ὁ Κύριος ἐδείκνυτο; ἡ σὰρξ, δι' ἧς πεφανέρωται. αὐτός ἐστιν Z Ἰσαάκ· καὶ γάρ ἐστιν ἑτέρως ἐκλαβεῖν. τύπος ὅς ἐστι τοῦ Κυρίου. παῖς μὲν, ὡς υἱός· καὶ γὰρ υἱὸς ἦν Ἀβραὰμ, ὡς ὁ Χριστὸς τοῦ Θεοῦ· ἱερεῖον δὲ, ὡς ὁ Κύριος· ἀλλ' οὐ κεκάρπωται ὡς ὁ Κύριος. μόνον ἐβάστασε τὰ ξύλα τῆς ἱερουργίας ὁ Ἰσαὰκ, ὡς ὁ Κύριος τὸ ξύλον. ἐγέλα δὲ μυστικῶς, ἐμπλῆσαι ἡμᾶς προφητεύων χαρᾶς τὸν Κύριον, τοὺς αἵματι Κυρίου φθορᾶς λελυτρωμένους· οὐκ ἔπαθε δὲ μόνον. εἰκότως ἄρα ὁ H Ἰσαὰκ, τὰ πρωτεῖα τοῦ πάθους παραχωρῶν τῷ λόγῳ· ἀλλὰ καὶ τοῦ Κυρίου τὴν Θεότητα αἰνίττεται μὴ σφαγείς. ἀνέστη γὰρ

(1) Τὸ, διὰ τῆς θυρίδος οὐ κεῖται ἐν τῷ κώδ.

γὰρ μετὰ τὴν κηδείαν ὁ Ἰησοῦς μὴ παθὼν, καθάπερ ἱερουργίας ἀφειμένος ὁ Ἰσαάκ. A

θ. Ἐκάλεσε δὲ Ἀβιμέλεχ τὸν Ἰσαὰκ, καὶ εἶπεν αὐτῷ, ἆρά γε γυνή σου ἐστί; τί εἶπας, ὅτι ἀδελφή μου ἐστίν; εἶπε δὲ Ἰσαὰκ, εἶπα γὰρ, μήποτε ἀποθάνω δι' αὐτήν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ ἐκ τῶν τεκμηρίων ἐφωράθη ὁ δίκαιος, οὐκ ἔτι λοιπὸν ἀρνεῖται, ἀλλ' ὁμολογεῖ, καὶ τὴν αἰτίαν φανερὰν καθίστησι, δι' ἣν ἀδελφὴν καλέσαι κατεδέξατο. » εἶπε γάρ φησι, μήποτε ἀποθάνω δι' αὐτήν. ὁ τοῦ θανάτου φόβος εἰς τοῦτό με ἐλθεῖν κατηνάγκασεν. ἴσως δὲ μεμαθηκὼς ἦν, ὅτι καὶ ὁ πατὴρ τοῦτο τὸ δρᾶμα κατασκευάσας διέσωσεν ἑαυτὸν, καὶ διὰ τοῦτο καὶ αὐτὸς ταύτην ἦλθε τὴν ὁδόν. B

ι. Εἶπε δὲ Ἀβιμέλεχ, τί τοῦτο ἐποίησας ἡμῖν; μικροῦ ἐκοιμήθη τις τοῦ γένους μου μετὰ τῆς γυναικός σου, καὶ ἐπήγαγες ἂν ἐφ' ἡμᾶς ἄγνοιαν.

ΑΔΗΛΟΥ. Ἔτι τὰς πρὸς Ἀβραὰμ αἰδεῖται συνθήκας. ἄλλως δὲ καὶ τοῦ Θεοῦ τὴν ἀπειλὴν δεδοικὼς, ἣν ὑπέμεινέ τε καὶ ἤκουσε διὰ Σάρραν τὴν μητέρα τοῦ Ἰσαάκ. οὐκ ἀπεικὸς δὲ ἥμερον ὄντα τοῦτον τὸν Ἀβιμέλεχ, καὶ ἕτερον παρὰ τὸν ἐπὶ τοῦ Ἀβραὰμ, τῇ αὐτῇ δὲ ἐκείνῳ προσηγορίᾳ κεκλημένον, ὡς καὶ οἱ τῆς Αἰγύπτου βασιλεῖς τὴν τοῦ Φαραὼ πάντες εἶχον ὀνομασίαν, παρειληφέναι μὲν ἀκοῇ τὰ τότε γενόμενα, παιδεύεσθαι δὲ ἐξ ἐκείνων τὸ δέον. Γ

ια. Συνέταξε δὲ Ἀβιμέλεχ παντὶ τῷ λαῷ αὐτοῦ, λέγων, πᾶς ὁ ἁπτόμενος τοῦ ἀνθρώπου τούτου, ἢ τῆς γυναικὸς αὐτοῦ, θανάτου ἔνοχος ἔσται.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ γὰρ οὗτος ἦν ὁ φόβος, ὁ τοῦ θανάτου λέγω, κατασείων τοῦ δικαίου τὴν διάνοιαν, διὰ τοῦτο καὶ τοῦτον ἐκβληθῆναι πεποίηκεν ὁ φιλάνθρωπος δεσπότης, καὶ ἐν πάσῃ ἀσφαλείᾳ αὐτὸν λοιπὸν διάγειν. Δ

ιβ. Ἔσπειρε δὲ Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρεν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ ἑκατοστεύουσαν κριθήν. ηὐλόγησε δὲ αὐτὸν Κύριος.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐννόησον ὅσον ἦν ἑκατονταπλασίονα τῶν παρ' αὐτοῦ καταβαλλομένων ὑποδέχεσθαι. εἰ δὲ τοῦτό σοι μέγα φαίνεται, σκόπει τὴν ἐπίτασιν τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἣν, τοῦ χρόνου προϊόντος, περὶ ἡμᾶς ἐπεδείξατο. τοῖς γὰρ μετὰ τὴν αὐτοῦ παρουσίαν τὴν ἀρετὴν μετιοῦσιν, οὐ μόνον ἑκατονταπλασίονα ἐνταῦθα παρέχειν ὑπισχνεῖται, ἀλλὰ καὶ τὴν αἰώνιον ζωὴν, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν εἰς ἀπόλαυσιν.

ιγ. Καὶ ὑψώθη ὁ ἄνθρωπος· καὶ προβαίνων, μείζων ἐγένετο ἕως οὗ
ιδ. μέγας ἐγένετο σφόδρα. Ἐγένετο δὲ αὐτῷ κτήνη προβάτων, καὶ κτήνη βοῶν, καὶ γεώργια πολλά· ἐζήλωσαν δὲ αὐτὸν οἱ Φυλιστιείμ.

** ΠΡΟΚΟΠΙΟΥ. Μέγας ὁ δι' ὅλου βεβηκὼς πάντη κατ' ἀρετήν· καθὸ οὐδεὶς φαῦλος μέγας, οὐδὲ κατὰ τὴν γραφήν. Μωϋσῆς μὲν γὰρ μαρτυρεῖται μέγας, καὶ Ἰωάννης, καὶ αὐτὸς δὲ ὁ Κύριος· πλὴν τηρεῖ καὶ τὴν σφόδρα προσθήκην, οὐχ ἁπλῶς κειμένην. κατὰ βαθμὸν δὲ τοῦτο, καὶ οὐκ ἐφάπαξ· σφαλερὸν γάρ. μαρτυρεῖ δὲ τὸ παρὸν, ὅτι τῷ σπουδαίῳ καὶ τὰ κατὰ γεωργίαν, καὶ τὰ ἄλλα περὶ βίον εὐοδεῖ, καὶ τὰ ἐπιγινόμενα πολλαπλάσια τῶν ἐξ ἀρχῆς γίνεται, κατὰ τὴν ἑκατοστεύουσαν κριθήν. διό φησι καὶ Δαβὶδ, οὐ Ψαλ. 36. 19.
» καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ, καὶ
» ἐν ἡμέραις λιμοῦ χορτασθήσονται.

ιε. Καὶ πάντα τὰ φρέατα, ἃ ὤρυξαν οἱ παῖδες τοῦ πατρὸς αὐτοῦ ἐν τῷ χρόνῳ τοῦ πατρὸς αὐτοῦ ἐνέφραξαν αὐτὰ οἱ Φυλιστιεὶμ, καὶ ἔπλησαν αὐτὰ γῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει πόση τῶν αὐτόθι ἡ κακία, ὡς καὶ τῶν ὑδάτων φθονῆσαι τῷ δικαίῳ.

ις. Εἶπε δὲ Ἀβιμέλεχ πρὸς Ἰσαὰκ, ἄπελθε ἀφ' ἡμῶν· ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα.

E ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐδὲ ὁ βασιλεὺς ὁ ἐν τοσαύτῃ περιουσίᾳ καθεστὼς κατασχεῖν τὸν φθόνον ἴσχυσεν, ἀλλά φησιν, » ἄπελθε ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν » ἐγένου σφόδρα. Καὶ μετ' ὀλίγα. Τοιοῦτον γὰρ ἡ βασκανία. οὐκ ἀνέχεται πράως τὴν ἑτέρων εὐπραγίαν, ἀλλὰ τὴν τοῦ πλησίον εὐημερίαν, οἰκείαν δυσπραγίαν εἶναι νομίζει, καὶ τήκεται τοῖς τοῦ πλησίον ἀγαθοῖς. ὃ δὴ καὶ ἐνταῦθα γέγονε. Καὶ μετ' ὀλίγα. Καὶ ἀληθῶς δυνατώτερος ἦν, τὴν ἄνωθεν συμμαχίαν ἔχων ἐν ἅπασι, καὶ ὑπὸ τῆς τοῦ Θεοῦ δεξιᾶς φρουρούμενος. Z

ιζ. Καὶ ἀπῆλθεν ἐκεῖθεν Ἰσαὰκ, καὶ κατέλυσεν ἐν τῇ φάραγγι Γεράρων, καὶ κατῴκησεν ἐκεῖ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα τοῦ δικαίου τὴν πολλὴν ἐπιείκειαν· πῶς οὐκ ἐφρόνησε μέγα, οὐδὲ ὁρῶν διὰ τῶν πραγμάτων H πολλὴν τοῦ Θεοῦ τὴν ῥοπὴν περὶ αὐτὸν γινομένην, κατεξανέστη τοῦ βασιλέως, τῇ τοῦ συμμαχοῦντος αὐτῷ δυνάμει πεποιθώς· ἀλλὰ καθάπερ τις ἀνὴρ καὶ ἀπροστάτευτος, καὶ οὐδαμόθεν οὐδεμιᾶς ἀπολαύων βοηθείας,

A οὕτω μετὰ πολλῆς τῆς ἐπιεικείας, οὐδὲ μέχρι λόγων ἀντιτείνας τῷ βασιλεῖ, ἐποίει τὸ παρ' αὐτοῦ κελευόμενον, καὶ εὐθέως ἐκεῖθεν ἀπανίστατο, καὶ πορρωτέρω γενόμενος, κατέστελλε τοῦ πάθους τὴν φλόγα, ὁμοῦ καὶ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἐπιείκειαν ἐνδεικνύμενος, κἀκείνου τὸ πάθος παραμυθούμενος. » καὶ ἀπῆλθεν ἐκεῖθεν, καὶ » κατῴκησεν ἐν τῇ φάραγγι Γεράρων. καὶ ὅπερ ὁ Χριστὸς παραγενόμενος τοῖς μαθη-
Ματθ. 10. 23. ταῖς ἐνετέλλετο λέγων, ὅταν διώκωσιν B » ὑμᾶς, φεύγετε ἑτέρωθι, τοῦτο καὶ οὗτος ἤδη διὰ τῶν ἔργων ἐπλήρου. καὶ καθάπερ Δαβὶδ τοῦ Σαοὺλ τὸν πολὺν φθόνον καταστέλλων, διὰ τῆς ἀναχωρήσεως ἑαυτὸν ὑπεξάγων, ἐκείνου τὴν πολλὴν παρεμυθεῖτο φλεγμονήν· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ δίκαιος οὗτος ἐπλήρου τὸ ἀποστολικὸν ἐκεῖ-
Ῥωμ. 12. 19. νο λόγιον, δότε τόπον τῇ ὀργῇ. καὶ καταλιπὼν τὴν πόλιν, ἐξῆλθε, φησὶν, ἐν τῇ φάραγγι. Γ

ιη. Καὶ πάλιν Ἰσαὰκ ὤρυξεν ἐκεῖ τὰ φρέατα τοῦ ὕδατος, ἃ ὤρυξαν οἱ παῖδες Ἀβραὰμ τοῦ πατρὸς αὐτοῦ· καὶ ἐνέφραξαν αὐτὰ οἱ Φυλιστιεὶμ μετὰ τὸ ἀποθανεῖν Ἀβραὰμ τὸν πατέρα αὐτοῦ. καὶ ἐπωνόμασεν αὐτοῖς ὀνόματα κατὰ τὰ ὀνόματα, ἃ ἐπωνόμασεν Ἀβραὰμ ὁ πατὴρ αὐτοῦ. Δ

ΦΙΛΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ. Ἐμφραγέντα τὰ φρέατα ὀρύσσει πάλιν ὁ Ἰσαὰκ, ὅτι φύσει φιλάνθρωπός ἐστι, καὶ εὐμενὴς καὶ συγγνώμων ὁ ἀστεῖος, οὐδενὶ μνησικακῶν τὸ παράπαν, ἀλλὰ νικᾷν τοὺς ἐχθροὺς ἀξιῶν ἐν τῷ ποιεῖν εὖ μάλα, ἢ βλάπτειν. τοῖς γὰρ ἀβούλοις ἔθος ἐστὶ μήτε στήλας, μήτε μνημεῖόν τι ἀπολιπεῖν τῶν καλῶν εἰς εὐδοξίαν συμβαλλόμενον· ἢ ὅτι ῥηγνύμενοι φθόνῳ καὶ βασκανίᾳ τῆς τε περὶ ἐκεί- E νους εὐπραγίας ὀλιγωροῦσι καὶ τῆς αὐτῆς ὠφελείας. ἄμεινον ἡγούμενοι βλάπτεσθαι μᾶλλον, ἢ ὑφ' ὧν οὐκ ἔτι θέλουσιν εὐεργετεῖσθαι.

ιθ. Καὶ ὤρυξαν οἱ παῖδες Ἰσαὰκ ἐν τῇ φάραγγι Γεράρων· καὶ εὗρον ἐκεῖ φρέαρ ὕδατος ζῶντος.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ εὗρον » φρέαρ ὕδατος ζῶντος, ἀντὶ τοῦ κάτωθεν » ἀναβλύζοντος. Z

ΩΡΙΓΕΝΟΥΣ. Φιλοτιμητέον ἑκάστῳ εὐχομένῳ εἶναι τέκνον τοῦ Ἰσαὰκ ταῦτα νοῆσαι τὰ φρέατα, καὶ ὀρύξαι αὐτὰ ἐν ἑαυτῷ.

κ. Καὶ ἐμαχέσαντο οἱ ποιμένες Γεράρων μετὰ τῶν ποιμένων Ἰσαὰκ, φάσκοντες αὐτῶν εἶναι τὸ ὕδωρ. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ φρέατος, ἀδι- H κία· ἠδίκησαν γὰρ αὐτόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἵνα μάθῃς, ὅτι καὶ ἐπὶ τοῦ βασιλέως, οὐ διὰ τὴν ἐκείνου δυναστείαν ἐπεδείξατο τὴν ἐπιείκειαν, ἀλλὰ διὰ τὸν οἰκεῖον τρόπον, ὅρα αὐτὸν καὶ ἐπὶ τῶν ποιμένων τὸ αὐτὸ ποιοῦντα. καὶ καθάπερ ἐκεῖνος ἔλεγεν, ἄπελθε ἀφ' ἡμῶν, καὶ εὐθέως καθάπερ ἐπίταγμα δεξάμενος ὑπανεχώρει· οὕτω καὶ νῦν τῶν ποιμένων ἐπηρεάζειν ἐπιχειρούντων, καὶ τὸ φρέαρ οἰκειουμένων, παραχωρεῖ. καὶ ἵνα διηνεκὴς ᾖ τοῖς μετὰ ταῦτα ἡ γνῶσις τῆς ἀδικίας, ὄνομα ἐπιτίθησι τῷ φρέατι ἐκ τοῦ συμβεβηκότος. ἐπειδὴ γὰρ φανερὰν ἐπεδείξαντο τὴν ἀδικίαν, ἐκάλεσε, φησὶ, τὸ ὄνομα τοῦ φρέατος, τόπου ἀδικία. καὶ ἦν λοιπὸν καθάπερ ἐν στήλῃ χαλκῇ τὸ ὄνομα τοῦ τόπου διδασκαλία τοῖς ἑξῆς καὶ τῆς τοῦ δικαίου ἐπιεικείας, καὶ τῆς ἐκείνων ἀγνωμοσύνης.

κα. Ἀπάρας δὲ Ἰσαὰκ ἐκεῖθεν, ὤρυξε φρέαρ ἕτερον· ἐκρίνοντο δὲ καὶ περὶ ἐκείνου. καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ, ἐχθρία.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐνταῦθα οὐ πάντῃ, ὡς ἔοικε, τὸ φρέαρ ἀφείλοντο, ἀλλὰ διαμαχεσάμενοι, καὶ πρὸς τὸ προφανὲς τῆς ἀδικίας ὁρῶντες, ἀπέστησαν. διὰ τοῦτο ἐχθρίαν αὐτὸ προσηγόρευσεν, ἐπειδὴ ἔχθρας ὑπόθεσις κατέστη.

κβ. Ἀπάρας δὲ ἐκεῖθεν, ὤρυξε φρέαρ ἕτερον· καὶ οὐκ ἐμαχέσαντο περὶ αὐτοῦ. καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ, εὐρυχωρία, λέγων, διότι νῦν ἐπλάτυνεν ὁ Κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἡνίκα μὲν τὰ πρότερα φρέατα ἐκεῖνοι παρασπάσασθαι ἐπεχείρησαν, οὐκ ἐδυσχέραινεν, οὐκ ἀντέτεινεν, ἀλλὰ μόνον τῇ προσηγορίᾳ τῶν φρεάτων ἀνεξάλειπτον τὴν μνήμην τῆς ἐκείνων κακίας ἐναπετίθει· ἐνταῦθα δὲ πάλιν, ἐπειδὴ οὐδεὶς ἐμποδὼν γέγονεν, ἀλλὰ μετὰ ἀδείας πάσης τῶν οἰκείων πόνων ἀπήλαυε, τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ. ἐκάλεσε γὰρ αὐτὸ, εὐρυχωρίαν. εἶτα ἑρμηνεύει αὐτὴν τὴν προσηγορίαν· διὰ τοῦτό, » φησιν, εὐρυχωρίαν τοῦτο καλῶ, ὅτι ἐπλά- » τυνε Κύριος ἡμῖν, καὶ ηὔξησεν ἡμᾶς ἐπὶ » τῆς γῆς.

* ΩΡΙΓΕΝΟΥΣ. Διὰ τοῦ μὴ ἀνθίστασθαι τοῖς ἀδικοῦσι, δείκνυσιν ὅτι ἀληθῶς ἦν ἄπλαστος. ὅθεν ἀποδεξάμενος αὐτὸν τῆς ἀνεξικακίας ὁ Θεὸς, ἐπιφαίνεται αὐτῷ, καὶ ἐπαγγέλλεται τὴν γῆν, ἵνα μὴ ἀθυμῇ, ὅτι ὡς ξένος πάροικος προὔκειτο τοῖς ἀδικεῖν βουλομένοις, πληρῶν τὸ εἰρη- » μένον ἑκάστοτε, ἐὰν διώκωσιν.

κγ. Ἀνέβη δὲ ἐκεῖθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου.

κδ. Καὶ ὤφθη αὐτῷ Κύριος ὁ Θεὸς ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἶπεν, ἐγώ-

ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου· μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμι· καὶ εὐλόγηκά σε, καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι μὴ φοβοῦ; Μήσε ταῦτα ξενιζέτω, τὸ παρὰ τοῦ Ἀβιμέλεχ ἐλαθῆναι, τὸ παρὰ τῶν ποιμένων ἀδικηθῆναι. πολλὰ τοιαῦτα. καὶ ὁ πατὴρ ὁ σὸς πέπονθε, καὶ διὰ τοῦτο λαμπρότερος ἀνεδείχθη. Καὶ μετ' ὀλίγα. Σκόπει Θεοῦ φιλανθρωπίαν. εἰπὼν, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ δείξας ὅπως ᾠκειώσατο τὸν πατριάρχην, ὡς καταξιῶσαι Θεὸν ἑαυτὸν καλεῖν Ἀβραάμ· καὶ ὁ τῆς οἰκουμένης δεσπότης καὶ δημιουργὸς ἑνὸς ἀνθρώπου φάσκων εἶναι Θεὸς, οὐ συγκλείων μέχρι τοῦ πατριάρχου τὴν οἰκείαν δεσποτείαν, ἀλλὰ τὴν πολλὴν περὶ αὐτὸν εὔνοιαν δεικνὺς, οὕτω φησὶν αὐτὸν ᾠκειωσάμην, ὡς πάντων τῶν ἄλλων ἀντάξιον ἐκεῖνον ἐμοὶ νομισθῆναι.

κε. Καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον· καὶ ἐπεκαλέσατο τὸ ὄνομα Κυρίου· καὶ ἔπηξεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ. ὤρυξαν δὲ ἐκεῖ οἱ παῖδες Ἰσαὰκ ἐν φάραγγι Γεράρων φρέαρ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστιν ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον; Τὰς εὐχαριστίας, φησὶν, ἐκεῖ ἀνήνεγκε τῷ δεσπότῃ, ὑπὲρ ὧν τοσαύτην περὶ αὐτὸν κηδεμονίαν ἐπεδείξατο.

κϛ. Καὶ Ἀβιμέλεχ ἐπορεύθη πρὸς αὐτὸν ἀπὸ Γεράρων, καὶ Ὀχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ, καὶ Φιχὸλ ὁ ἀρχιστράτηγος τῆς δυνάμεως αὐτοῦ.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Κατάσκοποι μᾶλλον ἢ ἔνσπονδοι γενησόμενοι, καὶ πρὸς ἑκάτερον παρεσκευασμένοι· πόλεμον μὲν, εἰ ἀσθενοῦντα κατίδοιεν· εἰρήνην δὲ, εἰ δυνατώτερον ἑαυτῶν. (1)

κζ. Καὶ εἶπεν αὐτοῖς ὁ Ἰσαὰκ, ἵνα τί ἤλθετε πρός με; ὑμεῖς δὲ ἐμισήσατέ με, καὶ ἐξαπεστείλατέ με ἀφ' ὑμῶν.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Θέα μοι πόση τοῦ δικαίου ἡ πραότης. ὁρῶν τοὺς ἀπελάσαντας, καὶ τοσοῦτον περὶ αὐτὸν τὸ μῖσος ἐπιδειξαμένους, νῦν ἐν τάξει οἰκετῶν πρὸς αὐτὸν παραγινομένους, οὐκ ἐφρόνησε μέγα κατ' αὐτῶν, οὐδὲ τῇ δυνάμει τοῦ δεσπότου πεποιθὼς κατεξανίσταται τοῦ βασιλέως, ἀλλὰ πάλιν τὴν συνήθη ἐπιείκειαν ἐπιδεικνύμενος, μετὰ πολλῆς πραΰτητος φησὶ πρὸς αὐτοὺς, ἵνα τί ἤλθετε πρός με; ὑμεῖς

A δὲ ἐμισήσατέ με, καὶ ἀπεστείλατε ἀφ' ἡμῶν. τίνος ἕνεκεν, φησὶ, παραγενέσθαι πρός με κατεδέξασθε, τὸν ἐλαθέντα, τὸν μισηθέντα;

κη. Καὶ εἶπαν, ἰδόντες σε ἑωράκαμεν, ὅτι ἦν Κύριος μετὰ σοῦ· καὶ εἴπαμεν, γενέσθω ἀρὰ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον σοῦ· καὶ διαθησόμεθα μετὰ σοῦ διαθήκην.

B ✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἰδόντες, φησὶν, ὅτι Κύριος μετὰ σοῦ. Πόθεν ἡμῖν ἡ τοιαύτη γνῶσις; Ναὶ φησὶν, αὐτὰ ἡμῖν τὰ πράγματα ἀντὶ διδασκαλίας γέγονεν. εἴδομεν γὰρ, ὅτι ἐλαυνόμενος τῶν ἐλαυνόντων ἰσχυρότερος γέγονας, καὶ ἐπηρεαζόμενος τῶν ἐπηρεαζόντων περιγέγονας, καὶ ἐκ τῆς τῶν πραγμάτων ἀκολουθίας συνείδομεν, ὅτι πολλῆς ἀπολαύεις τῆς

Γ ἄνωθεν ῥοπῆς.

ΑΔΗΛΟΥ. Καὶ διαθησόμεθα μετὰ σοῦ διαθήκην, ἀντὶ τοῦ ὅρκου. τοῦτο δὲ εἶπον οἱ περὶ Ἀβιμέλεχ.

κθ. Μὴ ποιήσειν μεθ' ἡμῶν κακὸν, καθότι ἡμεῖς σε οὐκ ἐβδελυξάμεθα, καὶ ὃν τρόπον ἐχρησάμεθά σοι καλῶς, καὶ ἐξαπεστείλαμέν σε

Δ μετ' εἰρήνης. καὶ νῦν ἔσῃ σὺ εὐλογητὸς ὑπὸ Θεοῦ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνος ἕνεκεν οὕτω φοβεῖσθε τὸν δίκαιον, ὁρῶντες καὶ πρὸς τοὺς ἐπηρεάζοντας τοσαύτην τὴν ἐπιείκειαν ἐπιδεικνύμενον; Ἀλλ' ὁ ἀδέκαστος δικαστὴς, τὸ συνειδὸς, αὐτοὺς διήγειρε, καὶ εἰς ἔννοιαν ἤρχοντο, ὅσην περὶ τὸν δίκαιον τὴν ἀγνωμοσύνην ἐπεδείξαντο, καὶ

E διὰ τοῦτο ὑπὸ τοῦ φόβου καὶ τῆς δειλίας οὐ συνορῶσιν ὅπως ἐναντία λέγουσι. μὴ ποιήσειν, φησὶ, κακὸν, καθότι ἡμεῖς σε οὐκ ἐβδελυξάμεθα.

λ. Καὶ ἐποίησεν αὐτοῖς δοχήν· καὶ ἔφαγον, καὶ ἔπιον.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὐ διὰ τὸν ἔπαινον. οὐ γὰρ κολακείαν, ἥτινα ἄλλην

Z θεραπείαν ὁ σοφὸς ἀσπάζεται· ἀλλ' ἀποδεξάμενος αὐτῶν τὴν μετάνοιαν.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Διὰ τῆς ἑστιάσεως πληροφορῆσαι αὐτοὺς βούλεται, ὡς οὐδεμίαν μνήμην ποιεῖται τῶν εἰς αὐτὸν εἰργασμένων παρὰ αὐτῶν.

λα. Καὶ ἀναστάντες τὸ πρωῒ, ὤμοσεν ἄνθρωπος τῷ πλησίον αὐτοῦ· καὶ ἐξαπέστειλεν αὐτοὺς Ἰσαάκ.

H ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Αὗται αἱ συνθῆκαι, ἃς ἐποίησαν, μὴ ἀναιρεθῆναι καθάπερ

(1) Οὐδὲ τοῦτο, οὐδὲ τὰ ἑξῆς τρία τοῦ Φίλωνος. ἃ τοῖς τοῦ Φίλωνος ἐκδεδομένοις εὑρῆσθαι. ἅπερ οὐδὲ φιλωνίζειν ἐοίκασιν.

A θάπερ καὶ τὰ λοιπὰ ἔθνη τοὺς Φυλιςαίους ὕςερον παρὰ τῶν Ἰσραηλιτῶν. οὓς ἡ θεία Γραφὴ ποτὲ μὲν Χαναναίους καλεῖ, ποτὲ δὲ Καππαδόκας· ὕςερον δὲ Καππαδόκαι μετῴκησαν.

Καὶ ἀπῴχοντο ἀπ' αὐτοῦ μετὰ σωτηρίας.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Σωτηρίαν τὴν ἀπὸ τῶν ὅρκων ἔχοντες.

B ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἠνίξατο διὰ τούτου ἡ θεία Γραφὴ, ὅτι μετὰ πολλοῦ τοῦ φόβου τὸν κίνδυνον προσδοκῶντες παρεγένοντο· καὶ περὶ τοῦ παντὸς, ὡς εἰπεῖν, ἀγωνιῶντες τὴν πρὸς τὸν δίκαιον ἀπολογίαν ἔσπευσαν ποιήσασθαι.

λϐ. Ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ παραγενόμενοι οἱ παῖδες Ἰσαὰκ, ἀπήγγειλαν αὐτῷ περὶ τοῦ Γ Φρέατος, οὗ ὤρυξαν· καὶ εἶπαν, οὐχ εὕρομεν ὕδωρ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οἱ τὴν τῶν ὄντων φύσιν διερευνῶντες, καὶ τὰς περὶ ἑκάστων ζητήσεις μὴ ὀλιγώρως ποιούμενοι, παραπλήσια ποιοῦσι τοῖς τὰ φρέατα ὀρύττουσι. καὶ γὰρ ἐκεῖνοι τὰς ἐν ἀφανεῖ πηγὰς ἀναζητοῦσι. καὶ κοινὸς μὲν πόθος ἅπασιν ἐςὶ, ποτὸν ἀνευρεῖν· ἀλλὰ Δ τοῖς μὲν δι' οὗ σῶμα, τοῖς δὲ δι' οὗ ψυχὴ πέφυκε τρέφεσθαι. ὥσπερ οὖν ἔνιοι τῶν ἀνατεμνόντων τὰ φρέατα, τὸ ζητούμενον ὕδωρ πολλάκις οὐχ εὗρον, οὕτως οἱ προσωτέρω χωροῦντες τῶν ἐπιςημῶν, καὶ ἐπὶ πλέον ἐμβατεύοντες αὐταῖς, ἀδυνατοῦσι τοῦ τέλους ἐπιψαῦσαι.

λγ. Καὶ ἐκάλεσεν αὐτὸ ὅρκος.

E ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Διὰ τοῦθ' ὅρκος ὠνομάσθη προσφυέςατα τὸ πίςεως βεβαιότατον σύμβολον, μαρτυρίαν Θεοῦ περιεχούσης. ὡς γὰρ ὁ ὀμνὺς, τῶν ἀμφισβητουμένων καλεῖ Θεὸν μάρτυρα, ἐπ' οὐδενὶ οὕτως ἐςὶν εὐορκῆσαι, ὡς ἐπὶ τῷ μηδεμιᾶς ἐπιςήμης εὑρίσκεσθαι παρὰ τῷ τεχνίτῃ τέλος. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ ταῖς ἄλλαις, ὅσαι περὶ ἡμᾶς δυνάμεις, ὀλίγου δεῖν κεχώρηκεν. ὥσπερ γὰρ ἐν τῷ λεχθέντι φρέατι ὕδωρ φασὶ μὴ εὑρεθῆ- Z ναι, οὕτως οὐδὲ ἐν ὀφθαλμοῖς τὸ ὁρατὸν, οὐδὲ ἐν ὠσὶ τὸ ἀκούειν, οὐδ' ἐν μυκτῆρσι τὸ ὀσφραίνεσθαι, οὐδὲ συνόλως ἐν αἰσθήσεως ὀργάνοις τὸ αἰσθάνεσθαι. κατὰ τὸ παραπλήσιον δὲ, οὐδ' ἐν νῷ τὸ καταλαμβάνειν. πῶς γὰρ ἂν παροράν, ἢ παρακούειν, ἢ παρανοεῖν συνέβαινεν, εἴπερ ἐν τούτοις πάγιαι ἦσαν αἱ ἀντιλήψεις ἑκάςου, ἀλλὰ μὴ ἐπ' αὐτῶν Θεοῦ σπείροντος τὸ βέβαιον ἐπερείκεσαν;

H ** ΤΟΥ ΑΥΤΟΥ. Διατὶ τεσσάρων ὀρυττομένων φρεάτων ὑπὸ τῶν ἀμφὶ τῶν Ἀβραὰμ καὶ τὸν Ἰσαὰκ, τὸ τέταρτον καὶ τελευταῖον ὅρκος προσηγορεύθη; Μήποτε A δι' ὑπονοιῶν ἐκεῖνο βούλεται παραςῆσαι, ὅτι ἐν τῷ παντὶ τεττάρων ὄντων, ἐξ ὧν συνέςηκεν ὅδε ὁ κόσμος, καὶ ἐν ἡμῖν αὐτοῖς ἰσαρίθμων, ἐξ ὧν διαπλασθέντες, εἰς ἀνθρωπόμορφον εἶδος ἐτυπώθημεν; τὰ μὲν οὖν τρία πέφυκε καταλαμβάνεσθαι· τὸ δὲ τέταρτον, ἀκατάληπτον πᾶσι τοῖς κριταῖς ἐςίν. ἐν μὲν οὖν τῷ κόσμῳ, γῆν, καὶ ὕδωρ, καὶ ἀέρα, καὶ οὐρανὸν, τέτταρα εἶναι ταῦτα συμβέβηκεν. ὧν τὰ μὲν ἄλ- B λα, εἰ καὶ δυσεύρετα, ἀλλ' οὐκ εἰς ἅπαν ἀνευρέτου μοίρας ἠξίωται. Καὶ μετ' ὀλίγα. Ὁ δ' οὐρανὸς ἀκατάληπτον ἔχει τὴν φύσιν, οὐδὲν ἑαυτοῦ σαφὲς γνώρισμα πρὸς ἡμᾶς ἀποςείλας. Καὶ μετ' ὀλίγα. Ὅρκος οὖν διὰ τοῦτ' ὠνομάσθη τὸ τέταρτον καὶ ξηρὸν φρέαρ, ὅτι ἡ τοῦ τετάρτου τῶν ἐν τῷ κόσμῳ ζήτησις, ἀτελεύτητος καὶ πάντῃ δυσόρατος, οὐρανοῦ. ἴδωμεν δ' ὃν τρόπον καὶ τὸ ἐν ἡμῖν αὐτοῖς τέταρτον διαφερόντως καὶ κατ' Γ ἐξαίρετον λόγον ἀκατάληπτον εἶναι πέφυκεν. οὐκοῦν τέτταρα τὰ ἀνώτατα τῶν περὶ ἡμᾶς ἐςὶ, σῶμα, αἴσθησις, λόγος, νοῦς. τούτων μὲν δὴ τὰ τρία, οὐ κατὰ πάσας ἄδηλα τὰς ἰδέας ἐςὶν, ἀλλ' ἔχει τινὰ δείγματα ἐν ἑαυτοῖς καταλαμβάνεσθαι. Καὶ μετ' ὀλίγα. Ἆρ' οὖν καὶ τὸ τέταρτον τὸ ἐν ἡμῖν αὐτοῖς, ὁ ἡγεμὼν νοῦς, καταληπτός ἐςιν; οὐ δήπου. Καὶ μεθ' ἕτερα. Μικρολόγοι μὲν οὖν τινὲς ἴσως ὑπολήψονται περὶ Δ φρεάτων διορυχῆς τὸν τοσοῦτον εἶναι λόγον τῷ νομοθέτῃ· οἱ δ' ἐν τῇ μείζονι γραφέντες πατρίδι τῷδε τῷ κόσμῳ, τελειοτέρων φρονημάτων ὄντες, εἴσονται σαφῶς, ὅτι οὐ περὶ φρεάτων τεττάρων ἐςὶν, ἀλλὰ τῶν τοῦ παντὸς μερῶν ἡ ζήτησις τοῖς ὁρατικοῖς καὶ φιλοθεάμοσι, γῆς, ὕδατος, ἀέρος, οὐρανοῦ, ὧν ἕκαςον ἐπινοίαις εἰς ἄκρον πεποιημέναις διεξελθόντες· ἐν μὲν οὖν τοῖς τρισὶν εὗρόν τινα καταληπτά· διὸ E καὶ τρία ὀνόματα ἐπεφήμισαν τοῖς εὑρεθεῖσιν, ἀδικίαν, ἔχθραν, εὐρυχωρίαν· ἐν δὲ τῷ τετάρτῳ, τὸ παράπαν οὐδὲν, οὐρανῷ, καθάπερ ὀλίγῳ πρότερον ἐδηλώσαμεν. τὸ γὰρ τέταρτον ἄνυδρον καὶ ξηρὸν εὑρίσκεται, καὶ ὅρκος διὰ τὴν εἰρημένην αἰτίαν προσαγορεύεται.

Διὰ τοῦτο ἐκάλεσεν ὄνομα τῇ πόλει, Φρέαρ ὅρκου, ἕως τῆς σήμερον Z ἡμέρας.

ΑΔΗΛΟΥ. Διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα τῇ πόλει ἐκείνῃ, Φρέαρ ὅρκου, ἕως τῆς σήμερον ἡμέρας.

** ΠΡΟΚΟΠΙΟΥ. Ὁ Σύρος οὐκ ἔχει τῇ πόλει· ἀλλ' οὐδὲ ἐν τῇ κατασχέσει εὑρίσκεται πόλις οὕτω καλουμένη. τόπου τοίνυν τὸ ὄνομα· ἐπεὶ μηδὲ πόλις τὴν ἐκεῖ.

H λδ. Ἦν δὲ Ἠσαῦ ἐτῶν τεσσαράκοντα· καὶ ἔλαβε γυναῖκα Ἰουδεὶν τὴν θυγατέρα Βαιὴρ τοῦ Χετταίου, καὶ τὴν Μασεμμὰν θυγατέρα Ἐλὼμ τοῦ Εὐαίου.

A ** ΙΩΣΗΠΟΥ. Τῶν Ἰσάκου παίδων Ἤσαυος, περὶ ὃν μάλιστα ὁ πατὴρ ἐσπουδάκει, τεσσαράκοντα γεγονὼς ἔτη, γαμεῖ Ἄδαν τὴν Ἤλωνος, καὶ Ἀλιβάμην τὴν Ἐσεβέωνος, δυναστευόντων ἐν Χαναναίοις ἀνδρῶν θυγατέρας, ἑαυτὸν ποιήσας τῆς περὶ τὸν γάμον ἐξουσίας κύριον, καὶ μηδὲ τῷ πατρὶ συμβουλευσάμενος. οὐδὲ γὰρ ἐπέτρεψεν Ἴσακος ἐπ' αὐτῷ τῆς γνώμης γενομένης. οὐ γὰρ ἦν αὐτῷ δι' ἡδονῆς συνάψασθαι συγγένειαν πρὸς τοὺς ἐπιχωρίους. B οὐ βουλόμενος δὲ ἀπεχθὴς εἶναι τῷ παιδὶ κελεύων ἀφίστασθαι τῶν γυναικῶν, ἔκρινε σιγᾶν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνος ἕνεκεν ἡμῖν τὸν ἀριθμὸν τῶν ἐτῶν τοῦ Ἠσαῦ ἐσήμανεν; Οὐχ ἁπλῶς, ἀλλ' ἵνα ἐντεῦθεν καταμάθωμεν τοῦ Ἰσαὰκ τὸ γῆρας, καὶ ὅτι λοιπὸν προβεβηκὼς ἦν. ἐὰν γὰρ μνημονεύσωμεν τῶν ἔμπροσθεν εἰρημένων, καὶ ὅτι ἡνίκα μὲν ἔλαβε τὴν Ῥεβέκκαν, καὶ αὐτὸς τεσσαράκοντα ἐτῶν ἐτύγχανεν, ὅτε δὲ ἐτέχθησαν οἱ παῖδες, ἑξήκοντα ἐτῶν ἦν, εἰσόμεθα ὅτι νῦν ἑκατοστοῦ λοιπὸν ἔτους ἐπιβὰς, ἐν βαθυτάτῳ γήρᾳ ἐτύγχανεν. ἐπειδὴ γὰρ μέλλει μετὰ ταῦτα διηγεῖσθαι ἡμῖν, ὡς ὑπὸ τοῦ γήρως ἀμβλυτέρας ἔχε τὰς ὄψεις, διὰ τοῦτο τῶν ἐτῶν τοῦ Ἠσαῦ τὸν ἀριθμὸν ἐσήμανεν· ἵνα ἐντεῦθεν εἰδέναι B ἔχωμεν ἀκριβῶς τοῦ Ἰσαὰκ τὸν χρόνον.

λε. Καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ.

ἈΔΗΛΟΥ. Ὁ Σύρος οὐκ ἔχει ἐρίζουσαι, ἀλλ' οὐκ εὐαρεστοῦσαι· ἀντὶ τοῦ ἔριδι καὶ φιλονεικίᾳ πάντα ποιοῦσαι. ὁ γὰρ Σύρος καὶ ὁ Ἑβραῖος, παροργίζουσαι ἔφη.

ΚΕΦ. ΚΖ.

α. Ἐγένετο δὲ μετὰ τὸ γηρᾶσαι τὸν Ἰσαὰκ, καὶ ἠμβλύνθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ τοῦ ὁρᾶν· καὶ ἐκάλεσεν Ἠσαῦ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον· καὶ εἶπεν αὐτῷ, υἱέ μου. καὶ εἶπεν, ἰδοὺ ἐγώ.

β. Καὶ εἶπεν αὐτῷ, ἰδοὺ ἐγὼ γεγήρακα, καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου.

γ. Νῦν οὖν λάβε τὸ σκεῦός σου, τήν τε φαρέτραν καὶ τὸ τόξον· καὶ ἔξελθε εἰς τὸ πεδίον, καὶ θήρευσόν μοι θήραν.

ΘΕΟΔΩΡΟΥ. Καὶ τοῦτο τῆς θείας χάριτός ἔργον· ἵνα ἐν μέσῳ καιρὸς γένηται τῇ Ῥεβέκκᾳ κλέψαι τῷ Ἰακὼβ τὴν εὐλογίαν.

ΚΥΡΙΛΛΟΥ. Καὶ πρό γε τῶν ἄλλων, τῶν ἐν πίστει φημὶ καὶ ἐν Χριστῷ κεκλημένων, τῷ Ἰσραὴλ ἐνετέλλετο ὁ τῶν ὅλων δεσπότης καὶ πατὴρ, ξένιον ὥσπερ τι λαμπρὸν, καὶ καρποὺς ἐπιεικείας, καὶ οἱονεὶ πόνων ἀγαθῶν εὑρήματα προσκομίζειν Z ἐπείγεσθαι τὴν ἁνδάνουσαν αὐτῷ πολιτείαν καὶ ζωήν· ἣ διὰ τῆς ἐν νόμῳ ζωῆς τοῖς πάλαι προανεγράφετο, μονονουχὶ τοῖς τύποις ἐγκεκρυμμένη, καὶ ὡς ὕλη λανθάνουσα τῷ περιττῷ τοῦ γράμματος· οὐκ ἀνάλωτός γε μὴν τοῖς ἐθέλουσι φιλοθηρᾶν διὰ τῆς ἐν πνεύματι καὶ ἀκριβοῦς θεωρίας. τοῦτο οἶμαι ἐστὶ τὸ τῆς Ἠσαῦ θήρας ἐπιθυμῆσαι τὸν Ἰσαάκ. (1)

δ. Καὶ ποίησόν μοι ἐδέσματα, ὡς φιλῶ ἐγὼ, καὶ ἔνεγκέ μοι, ἵνα φάγω· ὅπως εὐλογήσει σε ἡ ψυχή μου, πρὶν ἀποθανεῖν με.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκεν ὁ Ἰσαὰκ Δ τῷ Ἠσαῦ δοῦναι τὴν εὐλογίαν ἐβούλετο; Κατὰ τὸν νόμον τῆς φύσεως. πρωτότοκος γὰρ ἦν. οἱ δὲ πρωτότοκοι καὶ πρῶτοι, καὶ διπλῆν ἐλάμβανον μοῖραν. ηὔξησε δὲ καὶ ἡ θεραπεία τὸ φίλτρον. ἡ γὰρ θήρα αὐτοῦ, βρῶσις αὐτῷ ἦν. Γεν. 25. 28. ἱκανὴ δὲ ἡ θεραπεία καὶ τοὺς ὠμοτάτους ἐκμειλίξασθαι, μήτιγε δὴ πατέρα, καὶ πατέρα φιλόστοργον. εὕροι δ' ἄν τις καὶ τὸν θεῖον Ἀπόστολον πλείσταις ὅσαις εὐλογίαις τοὺς E τεθεραπευκότας αὐτὸν ἀμειψάμενον.

ΦΙΛΩΝΟΣ. (2) Δυοῖν ὄντων υἱῶν, τοῦ μὲν ἀγαθοῦ, τοῦ δὲ ὑπαιτίου, τὸν ὑπαίτιον εὐλογήσειν φησίν· οὐκ ἐπειδὴ τοῦ σπουδαίου προκρίνει τοῦτον, ἀλλ' ὅτι ἐκεῖνον οἶδε καὶ δι' αὐτοῦ κατορθοῦν δυνάμενον, τοῦτον δὲ τοῖς ἰδίοις τρόποις ἁλισκόμενον· μηδεμίαν δὲ ἔχοντα σωτηρίας ἐλπίδα, εἰ μὴ τὰς εὐχὰς τοῦ πατρός. ὧν εἰ μὴ τύχοι, πάντων Z ἂν εἴη κακοδαιμονέστατος.

ε. Ῥεβέκκα δὲ ἤκουσε λαλοῦντος Ἰσαὰκ πρὸς Ἠσαῦ τὸν υἱὸν αὐτοῦ. ἐπορεύθη δὲ Ἠσαῦ πρὸς τὸ πεδίον θηρεῦσαι θήραν τῷ πατρὶ αὐτοῦ.

ς. Ῥεβέκκα δὲ εἶπε πρὸς Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν ἐλάσσω, ἰδοὺ ἐγὼ ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς

Ἠσαῦ

(1) Ἀπὸ τῶν ἐκδεδομ. ἀναπεπλήρωται, μόνου τοῦ, τοῦτο οἶμαι ἐστι, κτ. ἐν τῷ κώδ. κειμένου, καὶ τῷ ἐν τῇ 333. σελ. τοῦ Κυριλ. σιωπωμένου.

(2) Ἴσ. Ἐπισκόπου. οὐ γὰρ εὕρηται ἐν τοῖς τοῦ Ἑβραίου ἐκδεδομ. ὥσπερ οὐδὲ τὸ ἐν τῇ 331. σελ. τοῦ Φίλωνος, καίπερ τὸ, Ἑβραίου, πρόσκειται.

Ἠσαῦ τὸν ἀδελφόν σου, λέγοντος,
ζ. Ἔνεγκέ μοι θήραν, καὶ ποίησόν μοι
ἐδέσματα, ἵνα φαγὼν εὐλογήσω σε
ἐναντίον Κυρίου πρὸ τοῦ ἀποθανεῖν με.
η. Νῦν οὖν, υἱέ, ἄκουσόν μου, καθὰ ἐγώ-
σοι ἐντέλλομαι.

θ. Καὶ πορευθεὶς εἰς τὰ πρόβα-
τα, λάβε μοι ἐκεῖθεν δύο ἐρίφους
ἁπαλούς τε καὶ καλούς· καὶ ποιή-
σω αὐτοὺς ἐδέσματα τῷ πατρί σου,
ὡς φιλεῖ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐντεῦθεν ἐστὶ μα-
θεῖν τὸ τοῦ σώματος μέγεθος, καὶ τὴν ἐκ
κατασκευῆς φυσικὴν εὐεξίαν. ὁ γὰρ ἐν
γήρᾳ δύω πίοσιν ἐρίφοις κεχρημένος
προσψήμασι, τίς ἂν ὑπῆρχεν ἐν τῇ νεό-
τητι; καὶ ταῦτα ὢν ἐγκρατής, καὶ οὐκ
ἄπληστος.

ι. Καὶ εἰσοίσεις τῷ πατρί σου, καὶ
φάγεται, ὅπως εὐλογήσει σε ὁ πα-
τήρ σου πρὸ τοῦ ἀποθανεῖν αὐτόν.

ΑΔΗΛΟΥ. Οὐ διαμάχονται, κατὰ
τοὺς οὕτω νομίσαντας, τῶν γονέων αἱ γνῶ-
μαι· πρὸς ἓν δὲ τέλος ἐπείγονται. (1)
βούλεται γὰρ ἡ μέν, τὸν ἀγαθὸν ὢν ἄξιός
ἐστι τυχεῖν· ὁ δέ, οὐκ ἀτιμάσαι τὸν ἐξ αὐ-
τοῦ, ἀλλὰ τὴν ἀπορίαν τοῦ σκαιοῦ ἐλαιῶν,
καθ' ὅσον ἐστὶν ἐπανορθώσασθαι.

ια. Εἶπε δὲ Ἰακὼβ πρὸς Ῥεβέκ-
καν τὴν μητέρα αὐτοῦ, ἔστιν Ἠσαῦ ὁ
ἀδελφός μου ἀνὴρ δασύς, ἐγὼ δὲ
λεῖος.

ιβ. Μήποτε ψηλαφήσῃ με ὁ πα-
τήρ μου, καὶ ἔσομαι ἐναντίον αὐτοῦ ὡς
καταφρονῶν· καὶ ἐπάξω ἐπ' ἐμαυτὸν
κατάραν, καὶ οὐκ εὐλογίαν.

ΑΔΗΛΟΥ. Ὁ Σύμμαχος τό, κατα-
» φρονῶν, ἀντὶ τοῦ, καταπαίζων· ὁ δὲ Ἀ-
» κύλας, καταμωκώμενος.

** ΠΡΟΚΟΠΙΟΥ. Θαυμαστὸς τῆς πρὸς
ἄμφω τοὺς γονεῖς εὐσεβείας. τὸν μέν, ἵνα
μὴ κινήσῃ· τῆς δέ, μὴ παρακούσῃ. κα-
» λῶς δὲ τό, ἐπ' ἐμαυτὸν ἄξω. κἂν γὰρ
ἡσυχάζῃ φιλοσοργίᾳ τῇ πρὸς ἐμέ, τὸ
συνειδὸς ἐπιμέμψεται, ὡς ἄξια κατάρας
ἐργασάμενον. θαυμαστὴ δὲ καὶ τῆς εὐνοίας
ἡ μήτηρ.

ιγ. Εἶπε δὲ αὐτῷ ἡ μήτηρ, ἐπ'
ἐμὲ ἡ κατάρα σου τέκνον. μόνον ὑπά-
κουσον τῆς φωνῆς μου· καὶ πορευθείς,
ἔνεγκέ μοι.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἄξιον καὶ τὴν
μητέρα τῆς εὐνοίας θαυμάσαι, τὰς κα-
A τάρας ὁμολογοῦσαν ἐκδέξασθαι τὰς ὑπὲρ
ἐκείνου, καὶ τὸν υἱὸν τῆς ἐπ' ἀμφοτέρους
τοὺς γονεῖς τιμῆς. ἀνθέλκεται γὰρ ὑπὸ
τῆς πρὸς ἑκάτερον εὐσεβείας. τὸν μὲν
γὰρ πατέρα ἐδεδίει, μὴ δόξῃ φεναλίζειν,
καὶ ὑφαρπάζειν ἑτέρου γέρας· τὴν δὲ μη-
τέρα, μὴ καὶ ταύτης νομισθῇ παρακούειν
λιπαρῶς ἐγκειμένης. ὅθεν ἄγαν εὐλαβῶς
καὶ ὁσίως φησίν, οὐκ ὁ πατήρ με καταρά-
σεται, ἀλλ' ἐγὼ τὰς κατάρας ἐπ' ἐμαυ-
B τὸν ἄξω.

** ΙΣΙΔΩΡΟΥ. Ἡ Ῥεβέκκα ἀποστο-
λικήν, ὡς ἄν τις εἴποι, ἔχουσα μεγαλοψυ-
χίαν, εἵλετο κατάραν ὑποστῆναι, ἵνα ὁ
παῖς εὐλογίαν κληρονομήσῃ. καὶ τῶν μὲν
ἀγαθῶν, ἐκείνῳ παρεχώρει· οὐ γὰρ δὴ
μετ' ἐκείνου εὐλογεῖσθαι ἤμελλε· τὰ δὲ κα-
κά, αὐτὴ μόνη παρεσκευάζετο ὑπομένειν.
καὶ οὕτω προθύμως παρεσκεύαζε τὸ δρᾶ-
Γ μα, ὡς καὶ τῇ μελλήσει δυσχεραίνειν, καὶ
τῇ ταχυτῆτι χαίρειν, καὶ κατεπείγειν τὸν
παῖδα· καὶ ταῦτα, κινδύνου μεγίστου παρε-
στῶτος. ἀφεῖσα γὰρ εἰπεῖν, ὅτι ὁ πατήρ
σου εἰς γῆρας βαθὺ ἐλήλακε, καὶ τὸ τρα-
νὸν τῆς αἰσθήσεως ἀφῃρέθη, καὶ οὐ φωρά-
σει τὸν δόλον· ταῦτα πάντα συντεμοῦσα,
ἔφη τῷ παιδὶ ἀναδυομένῳ καὶ δεδοικότι,
» ἐπ' ἐμὲ ἡ κατάρα σου τέκνον, μόνον μὴ
διαφθείρῃς τὸ παρ' ἐμοῦ κατασκευασθὲν
Δ δρᾶμα, μηδ' ἀπολέσῃς ὀξύτατον ὂν τὸ θή-
ραμα, μηδὲ προδῷς τὸν θησαυρόν.

** ΘΕΟΔΩΡΙΤΟΥ. Πόθεν ἡ Ῥεβέκ-
κα τεθάῤῥηκεν, ὅτι δὴ τεύξεται τῆς εὐλο-
γίας ὁ Ἰακώβ· καὶ οὕτω τεθάῤῥηκεν, ὡς
» εἰπεῖν, ἐπ' ἐμὲ ἡ κατάρα σου τέκνον, μό-
» νον ἐπάκουσον τῆς φωνῆς μου; Προεγνώκει
καὶ παρὰ τοῦ Θεοῦ τῶν ὅλων, ὅτι ὁ μείζων Γ
» δουλεύσει τῷ ἐλάσσονι· ἐκείνῃ τῇ προῤῥήσει
πιστεύουσα, πάντα ἐκίνησε πόρον, ὡς τὸν
E Ἰακὼβ τὴν πατρικὴν εὐλογίαν λαβεῖν.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐθάῤῥει μὲν τῇ
» ἐπαγγελίᾳ τοῦ Θεοῦ τῇ λεγούσῃ, ὁ μείζων Γ
» δουλεύσει τῷ ἐλάσσονι· πάλιν δὲ ἐφοβεῖτο,
ὡς ἄνθρωπος, μήπως ἡ εὐλογία τοῦ πα-
τρὸς ὡς δικαίου μεταθήσῃ τὴν ἀπόφασιν
τοῦ Θεοῦ.

ιδ. Πορευθεὶς δέ, ἔλαβε καὶ ἤνεγ-
Z κε τῇ μητρί· καὶ ἐποίησεν ἡ μήτηρ
αὐτοῦ ἐδέσματα, καθὼς ἐφίλει ὁ
πατὴρ αὐτοῦ.

ιε. Καὶ λαβοῦσα Ῥεβέκκα τὴν στο-
λὴν Ἠσαῦ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυ-
τέρου τὴν καλήν, ἣ ἦν παρ' αὐτῇ ἐν
τῷ οἴκῳ, ἐνέδυσεν Ἰακὼβ τὸν υἱὸν αὐ-
τῆς τὸν νεώτερον.

H ΑΔΗΛΟΥ. Ἵνα καὶ διὰ τῆς στολῆς ἐκεῖ-
νος εἶναι δοκῇ, μὴ παρών, ὡς παρεστώς.

ιϛ. Καὶ

(1) Τὰ ἀπ' ἀρχῆς, ἄχρι τοῦ ἐπείγονται, ἐλήφθη ἐκ τοῦ τῆς Αὐγ. κώδ. καὶ τὰ ἑξῆς ἄλλως πως συντεταγμένα περιέχοντος.

ιϛ. Καὶ τὰ δέρματα τῶν ἐρίφων ἔθηκεν ἐπὶ τοὺς βραχίονας αὐτοῦ, (1) καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐτοῦ.

** ΙΣΙΔΩΡΟΥ. Τὰ δέρματα τῶν ἐρίφων ὁ Ἰακὼβ περιθέμενος, καὶ τὴν εὐλογίαν τοῦ πατρὸς πορισάμενος, τὸν Κύριον ἡμῶν καὶ σωτῆρα ᾐνίξατο, τὴν ἀναμάρτητον φύσιν ἀναμαρτήτως δεξάμενον, καὶ τὰ πάθη αὐτῆς ἐν ἑαυτῷ θανατώσαντα· τοῦτο γὰρ δηλοῖ ἡ τῶν νεκρῶν δερμάτων περίθεσις· ἐπειδὴ οὐδὲν ἐριφῶδες λοιπὸν ἐν τῇ φύσει κατέλιπε τῆς εὐωνύμου στάσεως καὶ κρίσεως ἄξιον· ἀλλὰ νεκρώσας αὐτῆς τὰ γήϊνα μέλη, καὶ βρῶσιν προσφιλῆ τῷ πατρὶ προσεκόμισε, τὴν ἡμετέραν ἀεὶ πεινῶντι σωτηρίαν, καὶ ἡμῖν ἐν ἑαυτῷ τὴν ἀναφαίρετον εὐλογίαν ἐπήγασε.

ιζ. Καὶ ἔδωκε τὰ ἐδέσματα, καὶ τοὺς ἄρτους, οὓς ἐποίησεν, εἰς τὰς χεῖρας Ἰακὼβ τοῦ υἱοῦ αὐτῆς.

ιη. Καὶ εἰσήνεγκε τῷ πατρὶ αὐτοῦ· εἶπε δὲ, πάτερ. ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ· τίς εἶ σὺ τέκνον;

ΚΥΡΙΛΛΟΥ. Ἐπετάττετο μὲν γὰρ, καθάπερ ἔφην ὁ Ἰσραὴλ, καὶ δὴ ὑπέσχετο κατορθοῦν. ἔφη γὰρ ἐν Χωρὴβ, (Ἐξοδ. 19. 8.) πάντα ὅσα εἶπε Κύριος ὁ Θεὸς ποιήσομεν καὶ ἀκουσόμεθα. μελλητὴς δὲ λίαν ἑωρᾶτο διὰ τῶν πραγμάτων, καίτοι πρόχειρος ὢν εἰς ἐπαγγελίαν. ταύτητοι καὶ διὰ μέσου χωρεῖ. φθάνει δὲ οὗτος ὁ πτερνιστὴς Ἰακὼβ, τουτέστιν ὁ νέος τε καὶ ἐν πίστει λαός. προεισκεκόμικε γὰρ τῷ Θεῷ τὰ ζητούμενα, ἀναδυομένου τε καὶ μέλλοντος τοῦ πρωτοτόκου λαοῦ, προεκαρποφόρησε τὴν πίστιν· ἣν καὶ ἐν τάξει τροφῆς ἡ θεία ποιεῖται φύσις. καὶ γὰρ ὁ Σωτὴρ οὕτω τοῖς ἁγίοις Ἀποστόλοις τὴν Σαμαρειτῶν ἐπιστροφὴν κατεμήνυσε, λέγων, (Ἰωάν. 4. 32.) ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε.

ιθ. Καὶ εἶπεν Ἰακὼβ τῷ πατρὶ, ἐγὼ Ἡσαῦ ὁ πρωτότοκός σου πεποίηκα καθὰ ἐλάλησάς μοι. ἀναστὰς, κάθισον καὶ φάγε τῆς θήρας μου, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου.

ΑΔΗΛΟΥ. Οὐκ ἐψεύσατο Ἰακὼβ, ἦν γὰρ ἀγοράσας τὰ πρωτοτόκια.

ΑΔΗΛΟΥ. Φάγε τῆς θήρας μου. Οὐδὲν τούτων ἐψεύσατο. δι' αὐτῆς γὰρ ἐθήρευσε τοῦ πατρὸς τὴν εὐλογίαν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα οὐ δοκεῖ ἐψεῦσθαι ὁ Ἰακὼβ, εἰπὼν, ἐγώ εἰμι Ἡσαῦ ὁ πρωτότοκός σου; Πριάμενος ἦν τὰ τῶν πρωτοτόκων πρεσβεῖα. ἀληθεύων τοιγαροῦν ἀποκαλεῖ ἑαυτὸν πρωτότοκον.

* ΠΡΟΚΟΠΙΟΥ. Δεδιὼς, (2) μήποτε συνεὶς ὁ πατὴρ ἀράσηται αὐτῷ, οὐκ ἐψεύσατο, αὐτὸς εἶναι πρωτότοκος Ἡσαῦ λέγων. μετήνεγκε (3) γὰρ εἰς αὐτὸν τὰ πρωτοτόκια τοῦ Ἡσαῦ διὰ τῆς πράσεως τοῦ φακοῦ μεθ' ὅρκων· καὶ θήραν καλεῖ, ὡς μὲν Ἰσαὰκ ἐνόμιζε τὴν διὰ τῶν θηρευθέντων τετραπόδων· ὡς δὲ ὁ Ἰακὼβ ἔλεγε, τὴν δι' ἧς ἐθήρευσε τοῦ πατρὸς τὴν εὐλογίαν. δόλῳ δὲ ἠγορακὼς τὰ πρωτοτόκια, τὴν περὶ τῶν πρωτοτοκίων εὐλογίαν δόλῳ παρὰ τοῦ πατρὸς ἔλαβεν οἰκονομίᾳ Θεοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί οὖν ἂν εἴποι τὶς, καὶ ψεύδει τῷ τοιούτῳ Θεὸς συνήργησε; Μὴ ἁπλῶς ἐξέταζε τὸ γινόμενον, ἀλλὰ τὸν σκοπὸν καταμάνθανε· καὶ ὅτι οὐ βιωτικῆς ἕνεκεν τινὸς πλεονεξίας τοῦτο ἐγίνετο, ἀλλὰ τοῦ πατρὸς τὴν εὐλογίαν ἐπισπάσασθαι ἐσπούδαζεν. ἄλλως δὲ εἰ μέλλοις ἁπλῶς τὰ γινόμενα ἐξετάζειν, καὶ μὴ τὸν σκοπὸν πανταχοῦ ἐπιζητεῖν, ὅρα σοι (4) καὶ τὸν πατριάρχην παιδοκτόνον ὀνομάζειν, καὶ τὸν Φινεὲς ἀνδροφόνον. ἀλλ' οὔτε ἐκεῖνος παιδοκτόνος, ἀλλὰ καὶ λίαν φιλόστοργος, εἰ καί τις ἄλλος, οὔτε οὗτος ἀνδροφόνος, ἀλλὰ τὸ μᾶλλον καὶ ἄγαν ζηλωτής. ἑκάτερος γὰρ αὐτῶν τὸ δοκοῦν τῷ Θεῷ διεπράττετο. διόπερ ὁ μὲν, διὰ τὴν ὑπακοὴν πολλῆς ἀξιοῦται τῆς ἄνωθεν ἀμοιβῆς· ὁ δὲ, διὰ τὸν ζῆλον ἀνακηρύττεται. » ἔστη γάρ φησι Φινεὲς, καὶ ἐξιλάσατο. (Ψαλ. 105. 30.) εἰ τοίνυν φόνος εὐδοκίμησε καὶ παιδοκτονία ἐν ἐκείνοις, ἐπειδὴ κατὰ Θεοῦ γνώμην ἐγένετο, καὶ οὐ τοῖς γεγονόσι προσέχομεν, ἀλλὰ τῷ σκοπῷ τῶν γινομένων, καὶ τῇ τῶν πεποιηκότων γνώμῃ, πολλῷ μᾶλλον καὶ ἐνταῦθα τοῦτο λογίζεσθαι χρή.

κ. Εἶπε δὲ Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ, τί τοῦτο, ὅτι ταχὺ εὗρες ὦ τέκνον; ὁ δὲ εἶπεν, ὃ παρέδωκε Κύριος ὁ Θεός σου ἐναντίον μου.

κα. Εἶπε δὲ Ἰσαὰκ τῷ Ἰακὼβ, ἔγγισόν μοι, καὶ ψηλαφήσω σε τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ, ἢ οὔ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τῷ Ἰσαὰκ τὸ βέλημα τὸ οἰκεῖον οὐκ ἀπεκάλυψεν ὁ Θεός; Ἵνα ἐναργὴς γένηται ἡ τοῦ Θεοῦ περὶ τὸν Ἰακὼβ κηδεμονία. δείκνυσι δὲ τοῦτο· τὸ τὸν μὲν Ἰσαὰκ ἐσπουδακέναι τὸν Ἡσαῦ εὐλογῆσαι· τὴν δὲ θείαν χάριν, καὶ παρὰ γνώμην τοῦ Ἰσαὰκ, ἐπὶ τὸν Ἰακὼβ ἑλκύσαι τὴν εὐλογίαν. τοῦτο δὲ καὶ αὐτὸς συνῆκεν ὁ Ἰσαάκ. ὡς γὰρ πάντα πόρον ἐκίνησε, καὶ ἀπέστειλε τὸν Ἡσαῦ ἐπὶ τὴν θήραν, καὶ τοῦ Ἰακὼβ τὴν τροφὴν προσενηνοχότος, πολλάκις ἤρετο, εἰ αὐτὸς εἴη Ἡσαῦ ὁ πρωτότοκος· καὶ οὐ μόνον ἤρετο, ἀλλὰ καὶ τὰς χεῖρας τῷ σώματι προσε-

(1) Τῷ, τοὺς βραχίονας αὐτοῦ, προσετέθη.
(2) Ἔφη δέ τις, ὡς δεδιώς. ὁ τῆς Αὐγ. κώδ.
(3) Ἐπρίατο γὰρ μεθ' ὅρκου τὰ πρωτοτόκια. ὁ αὐτ.
(4) Ἴσ. ὥρα σοι.

προσενήνοχεν· εἶτα τοῦ Ἠσαῦ εἰσεληλυθότος, τὸ γεγενημένον καταπλαγεὶς, οὐκ ἐχαλέπηνεν, ὡς παρὰ παιδὸς ἐξαπατηθεὶς, ἀλλὰ τὸν θεῖον ἔγνω σκοπόν· καὶ ἣν ἔδωκεν, ἐβεβαίωσεν εὐλογίαν.

κβ. Ἤγγισε δὲ Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ· καὶ ἐψηλάφησεν αὐτὸν, καὶ εἶπεν, ἡ μὲν φωνὴ, φωνὴ Ἰακώβ· αἱ δὲ χεῖρες, χεῖρες Ἠσαῦ.

ΩΡΙΓΕΝΟΥΣ. Τὴν εὐσεβῆ φωνὴν οὐκ
» ἂν λεχθεῖσαν ὑπὸ τοῦ Ἠσαῦ· ὃ παρέδωκε
» Κύριος ὁ Θεός σου ἐναντίον μου· ἐπιγνοὺς ὁ Ἰ-
» σαὰκ, εἶπεν· ἡ μὲν φωνὴ, φωνὴ Ἰακώβ.

ΚΥΡΙΛΛΟΥ. Τίνα δὴ οὖν ἄρα τρόπον ἐφαρμόσαιμεν ἂν τοῖς ἐν πίστει λαοῖς τὸ καὶ ὡς ἐν εἴδει γενέσθαι, καὶ ὡς ἐν μιμήματι τῆς ἰουδαϊκῆς πολιτείας, καὶ τὸ ἑτέραν ἔχειν παρ᾽ αὐτοὺς τὴν φωνήν; Οὐκοῦν ἐκεῖνό φαμεν, ὡς ἔστιν ἀεὶ παρὰ ταῖς θείαις Γραφαῖς ἔργου καὶ κατορθωμάτων, ἤτοι πρακτικῆς ἐνεργείας σημεῖον ἡ χείρ. ὅσον οὖν ἧκεν εἰς ἐνεργείας ταυτότητα, καὶ ποιότητα κατορθωμάτων, καὶ αὐτοὶ πληροῦσι τὸν νόμον οἱ ἐν Χριστῷ, νοητῶς τε καὶ πνευματικῶς ἱερουργούμενοι, καὶ εἰς ὀσμὴν εὐωδίας ἑαυτοὺς προσκομίζοντες τῷ Θεῷ καὶ πατρί. καὶ γοῦν ὁ Χριστὸς καίτοι διαῤῥήδην ἡμῖν νόμους τεθεικὼς
Ματθ. 5. 17. εὐαγγελικοὺς, μὴ νομίσητε, φησὶν, ὅτι
» ἦλθον καταλῦσαι τὸν νόμον, καὶ τοὺς Προ-
» φήτας, καὶ τὰ ἑξῆς. Καὶ μετ᾽ ὀλίγα. Τοῦτο οἶμαι ἐστι τὸ τὰς χεῖρας ἔχειν τοῦ Ἠσαῦ, πλὴν ἑτέραν παρ᾽ αὐτῶν τὴν φωνήν. οὐ γάρ τοι ταῖς τῶν Ἰουδαίων ἀθυρογλωσσίαις ἀποκεχρήμεθα, οὐδὲ μὴν τὸν ἀγοράσαντα ἡμᾶς δεσπότην ἀρνούμενοι, δυσφημεῖν εἰθίσμεθα. συνδοξολογοῦμεν δὲ μᾶλλον τῷ Θεῷ καὶ πατρὶ τὸν υἱὸν· καὶ Κύριον, καὶ σωτῆρα, καὶ λυτρωτὴν ὀνομάζομεν.

κγ. Καὶ οὐκ ἐπέγνω αὐτόν· ἦσαν γὰρ αἱ χεῖρες αὐτοῦ, ὡς αἱ χεῖρες Ἠσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ δασεῖαι. καὶ εὐλόγησεν αὐτόν.

ΕΥΣΕΒΙΟΥ. Θεὸς οἰκονόμει πάντως. ἐπείτοιγε καὶ ἀπὸ τῆς φωνῆς, καὶ ἀπὸ τῆς ἀφῆς, καὶ ἀπὸ τῆς διαφορᾶς τῶν βρωμάτων, ἀγρίων ζώων καὶ ἡμέρων, ἐπέγνω ἂν τὸν Ἰακώβ.

κδ. Καὶ εἶπε σὺ εἶ ὁ υἱός μου Ἠσαῦ; ὁ δὲ εἶπεν, ἐγώ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα τῆς θείας Γραφῆς τὴν παρατήρησιν. ἐπειδὴ ἠρώ-
» τησεν, εἰ σὺ εἶ Ἠσαῦ; καὶ εἶπεν, ἐγώ. καὶ πάλιν ἐψηλάφησεν αὐτὸν, καὶ ἠρέμα πως ἐνεδοίαζεν, ὑπὸ τῆς φωνῆς εἰς ὑπόνοιάν τινα, καὶ ὑπόκρισιν ἐμπεσών, καὶ πά-
» λιν ἠρώτησεν, εἰ σὺ εἶ ὁ υἱός μου Ἠσαῦ;

A κε. Καὶ εἶπε, προσάγαγέ μοι, καὶ φάγομαι ἀπὸ τῆς θήρας σου τέκνον, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου. καὶ προσήνεγκεν αὐτῷ, καὶ ἔφαγε· καὶ εἰσήνεγκεν αὐτῷ οἶνον, καὶ ἔπιε.

κς. Καὶ εἶπεν Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ, ἔγγισόν μοι, καὶ φίλησόν με τέκνον.

κζ. Καὶ ἐγγίσας, ἐφίλησεν αὐ-
B τόν.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἵνα μὴ νομίσῃ τὶς, ὅτι εἰς τὸ τοῦ Ἠσαῦ πρόσωπον τὴν εὐλογίαν ἐποιήσατο, ἀλλ᾽ εἰς ἐκεῖνον τὸν ὑπ᾽ αὐτοῦ φιληθέντα· διὰ τοῦτο ἐμνημόνευσεν ἡ θεία Γραφὴ, ὅτι καὶ ἐφίλησε, καὶ ηὐλόγησεν ἐκεῖνον τὸν ὑπ᾽ αὐτοῦ φιληθέντα.

Καὶ ὠσφράνθη τὴν ὀσμὴν τῶν
Γ ἱματίων αὐτοῦ, καὶ ηὐλόγησεν αὐτόν.

ΩΡΙΓΕΝΟΥΣ. Σαφῶς οὐκ αἰσθητὴ ἣν
» ἡ ὀσμὴ, ἀλλ᾽ ὁποίαν ὁ Παῦλός φησι, Χριστοῦ 2. Κορ. 2. 15.
» εὐωδία ἐσμέν. ἐγὼ δὲ οἶμαι καὶ ἑκάστην ἀρετὴν, ἰδίαν ἔχειν εὐωδίαν. ἥτις ἐστὶ συμπληρωτικὴ τῶν ἀρετῶν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί οὐχ ὥσπερ ὁ Ἰσαὰκ τὸν Ἰακὼβ, (1) τινὰς τῶν υἱῶν εὐλόγησεν, οὕτω καὶ ὁ Ἀβραὰμ τὸν Ἰσαάκ;
Δ Ἴσως ἐπειδὴ προσήχθη ἱερεῖον τῷ Θεῷ· καὶ γέγονεν αὐτῷ κειμήλιον· περὶ οὗ ἐλέ-
» γετο, ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, Γεν. 21. 12.
τὸ τῆς διαδοχῆς δηλονότι· οὐ χρείαν εἶχεν εὐλογίας ἔτι.

Καὶ εἶπεν, ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου, ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησε Κύριος.

ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ Σύρος ἀντὶ τοῦ
E » ἀγροῦ, ἀρούρας ἔχει· τὸ δὲ πλήρης, πε-
» πληρωμένας βλαστημάτων εὐωδεστάτων.

ΕΥΣΕΒΙΟΥ. Εἴη ὀσμὴ αὐτοῦ ἀγροῦ πλήρης, ὃν εὐλόγησε Κύριος, τοῦ Κυρίου ἡ εὐλογία.

✱✱ ΩΡΙΓΕΝΟΥΣ. Οἱ μακάριοι Προφῆται τὴν θείαν αἴσθησιν εὑρόντες, καὶ βλέποντες θείως, καὶ ἀκούοντες θείως, καὶ γευόμενοι ὁμοίως, καὶ ὀσφραινόμενοι,
Z ἵν᾽ οὕτως ὀνομάσω, αἰσθήσει οὐκ αἰσθητῇ, καὶ ἁπτόμενοι τοῦ λόγου μετὰ πίστεως, ὡς ἀποῤῥοὴν αὐτοῦ εἰς αὐτοὺς ἥκειν θεραπεύουσαν αὐτοὺς, οὕτως ἑώρων ἃ ἀναγράφουσιν ἑωρακέναι, καὶ ἤκουον ἃ λέγουσιν ἀκηκοέναι, καὶ τὰ παραπλήσια ἔπασχον, ὡς ἀνέγρα-
» φον, κεφαλίδα ἐσθίοντες διδομένην αὐτοῖς Ἰεζ. 3. 2.
βιβλίου. οὕτω δὲ καὶ Ἰσαὰκ ὠσφράνθη τῆς ὀσμῆς τῶν τοῦ υἱοῦ θειοτέρων ἱματίων,
» καὶ ἐπεῖπε πνευματικῇ εὐλογίᾳ τὸ, ἰδοὺ
H » ὀσμὴ τοῦ υἱοῦ μου, ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν
» εὐλόγησεν ὁ Κύριος.

ΚΥΡΙΛ-

(1) Πρόσθες τὸ, καὶ Ἰακὼβ, ὅπερ κατὰ παραδρομὴν τυχὸν οὐ κεῖται ἐν τῷ κώδ. οὐχ εὕρηται δὲ τὸ ὑπόμνημα τοῦτο ἐν τοῖς τοῦ Θεοδωρίτ. ἐκδεδομ.

ΚΥΡΙΛΛΟΥ. Ἀγρῷ τοιγαροῦν εὐλογημένῳ παρὰ Θεῷ παρεικάζει Χριστὸν, καὶ σφόδρα εἰκότως· [2. Κορ. 2. 14.] εἴπερ ἐστὶν ὀσμὴ τῆς γνώσεως τοῦ Θεοῦ καὶ πατρός. εἰ γὰρ ἐγνωκέ τις τὸν υἱὸν, ἔγνωκε πάντως καὶ τὸν πατέρα, διὰ τὸ τῆς φύσεως ταυτὸν, καὶ κατὰ πᾶν ὁτιοῦν ἴσως τε καὶ ἀπαραλλάκτως ἔχον.

** ΒΑΣΙΛΕΙΟΥ. Μύροις μὲν καὶ θυμιάμασιν ἐπιτέρπεται ἡ ψυχὴ, ἀλλὰ μύροις τοῖς πνευματικοῖς. ὁποῖος ἦν ὁ λέγων, [2. Κορ. 2. 15, 14.] Χριστοῦ εὐωδία ἐσμέν· καὶ, χάρις τῷ Θεῷ τῷ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι ἐν παντὶ τόπῳ. τοιαύτης ἀντελαμβάνετο ὀσμῆς ἀποπνεούσης τοῦ Ἰακὼβ ὁ πατὴρ Ἰσαάκ. ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου, ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησε Κύριος.

κη. Καὶ δῴη σοι Κύριος ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, καὶ πλῆθος σίτου καὶ οἴνου.

ΚΥΡΙΛΛΟΥ. Χριστὸν δὲ εἶναι τὴν οὐρανοῦ δρόσον, καὶ γῆς νοοῦμεν πιότητα. καταλαμπρύνεται γὰρ ὥσπερ ἡ τῶν Ἀγγέλων πληθὺς ταῖς ἄνωθεν καὶ πνευματικαῖς καταρδομένη δρόσοις· οὕτω καὶ πίων ἡ γῆ ὑετοῖς ἐντρυφῶσα τοῖς νοητοῖς εἰς καρποφορίαν πνευματικήν. ἀλλ᾽ ἡμεῖς μὲν οἱ ἐν Χριστῷ διὰ πίστεως, ἄρτῳ τε καὶ οἴνῳ πεπλουτίσμεθα, ἀμέτοχος δὲ τῶν τοιούτων ὁ Ἰσραήλ. οὐ γὰρ ἀπενήνεκται τοῦτο ταῖς εὐλογίαις Ἡσαῦ. ἀμέτοχοι δὲ καὶ ἑτέρως οἱ τάλανες Ἰουδαῖοι τῆς μυστικῆς εὐλογίας· ἐπεὶ μηδὲ τοῦτο δέδοται τῇ κατὰ νόμον λατρείᾳ, τετήρηται δὲ μᾶλλον τοῖς ἐν Χριστῷ καὶ πίστει λαοῖς. καὶ ἡμεῖς μὲν ἐν εἰρήνῃ διὰ Χριστὸν, ἐν πολέμοις δὲ ὁ Ἰσραήλ. διὸ καὶ κεκληρονόμηκεν αἰσθητῶς τῆς ἐπαγγελίας τὴν γῆν, τύπον ἔχουσαν τῆς ἄνω καὶ νοητῆς. ἧς καὶ αὐτὸς ὁ σωτὴρ μέμνηται λέγων, [Ματθ. 5. 5.] μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίς δὲ τῆς εὐλογίας ἡ ἑρμηνεία; Ἔμελλεν ἐξ αὐτοῦ κατὰ σάρκα βλαστήσειν ὁ δεσπότης Χριστὸς, ἡ τῶν ἐθνῶν προσδοκία, ὁ τῆς οἰκουμένης ἁπάσης καὶ σωτὴρ καὶ δεσπότης. ταῦτα προορῶν ὁ πατριάρχης, φησὶν, ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου, ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησε Κύριος. ὅτι δὲ πολλάκις ἀγρὸν, τὸν κόσμον ἡ θεία καλεῖ Γραφὴ, μάρτυς ὁ Κύριος ἐν τοῖς θείοις καὶ ἱεροῖς εὐαγγελίοις τὴν παραβολὴν ἑρμηνεύων. [Ματθ. 13. 38, 37.] ἀγρὸς γάρ φησιν ἐστὶν ὁ κόσμος· ὁ δὲ σπείρων τὸ καλὸν σπέρμα, ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου. ὅρα τοιγαροῦν ἐν τῷ Ἰακὼβ τῆς οἰκουμένης ἁπάσης τὴν σωτηρίαν. διὸ ἐπεύχεται αὐτῷ τοῦ οὐρανοῦ τὴν δρόσον, καὶ τῆς γῆς τὴν πιότητα. ἃ κατὰ μὲν τὸ πρόχειρον καὶ ἐπιπόλαιον τοῦ γράμματος νόημα, δηλοῖ τὴν ἄνωθεν χάριν, καὶ τῶν ἀπὸ γῆς ἀγαθῶν τὴν ἀφθονίαν· κατὰ δὲ τὴν τοῦ ἀγροῦ ἑρμηνείαν, αἰνίττεται τοῦ δεσπότου Χριστοῦ, διὰ τῆς δρόσου μὲν τὴν Θεότητα, διὰ δὲ τῆς πιότητος τῆς γῆς τὴν ἐξ ἡμῶν ἀνθρωπότητα. καὶ γὰρ ὁ μακάριος Δαβὶδ ταῦτα προαγορεύων, ἔφη· καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγόνες αἱ στάζουσαι ἐπὶ τῆς γῆς. [Ψαλ. 71. 6.] ὥσπερ γὰρ ἡ δρόσος ἀοράτως μὲν κάτεισι, κάτω δὲ συνισταμένη γίνεται δήλη· οὕτως ἀόρατος ὢν ὁ Θεὸς λόγος, διὰ τῆς σαρκὸς ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ ἐφανερώθη ἐν σαρκὶ, κατὰ τὸν θεῖον Ἀπόστολον. [1. Τιμ. 3. 16.] καὶ ὁ σῖτος καὶ ὁ οἶνος τῶν θείων ἐστὶ μυστηρίων αἴνιγμα. τούτῳ συμφωνεῖ τῷ λόγῳ καὶ τὰ ἑξῆς. καὶ δουλευσάτωσάν σοι ἔθνη. πάντα γάρ φησι τὰ ἔθνη ὁ θεῖος Δαβὶδ δουλεύσουσιν αὐτῷ, καὶ προσκυνήσουσιν οἱ ἄρχοντες. [Ψαλ. 71. 11, 10.] καὶ βασιλεῖς γάρ φησι Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς. ταύτην ἐκράτυνε τὴν εὐλογίαν καὶ ἡνίκα αὐτὸν εἰς Μεσοποταμίαν ἐξέπεμψεν. ἔσῃ γὰρ εἰς συναγωγὰς ἐθνῶν. καὶ δῴη σοι Κύριος τὴν εὐλογίαν Ἀβραὰμ τοῦ πατρός σου. [Γεν. 28. 3, 4.] τίς δὲ ἡ εὐλογία, ῥᾴδιον τῷ βουλομένῳ καταμαθεῖν. τῷ γὰρ Ἀβραὰμ ὁ τῶν ὅλων ἔφη Θεὸς, ἐν τῷ σπέρματί σου εὐλογηθήσεται πάντα τὰ ἔθνη τῆς γῆς. [Γεν. 22. 18.]

κθ. Καὶ δουλευσάτωσάν σοι ἔθνη, καὶ προσκυνησάτωσάν σοι ἄρχοντες· καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου· καὶ προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου. ὁ καταρώμενός σε, ἐπικατάρατος· ὁ δὲ εὐλογῶν σε, εὐλογημένος.

ΚΥΡΙΛΛΟΥ. Τίνας τοῦ πατρὸς τοὺς ἐκ τοῦ Ἡσαῦ λέγει. ἐπεὶ τάχα γε ὁ Ἰακὼβ τὸ ἐναντίον ἔπαθε, τῆς προφητείας ἐν τῷ σπέρματι προβαινούσης.

ΤΟΥ ΑΥΤΟΥ. Κεκυρίευκε γὰρ ὡς Θεὸς τῶν εἰς ἀδελφότητα παρενηνεγμένων Ἐμμανουὴλ, καὶ αὐτῷ κάμπτει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα, καὶ τὰ ἑξῆς. [Φιλιπ. 2. 10.] καὶ ὁ καταρώμενος μὲν, ἐπικατάρατος· ὁ δὲ εὐλογῶν, εὐλογημένος. ἐπάρατοι γὰρ καὶ θεομισεῖς οἱ δυσφημοῦντες αὐτόν· ἐπίμεστοι δὲ τῶν ἄνωθεν καὶ παρὰ Θεοῦ χαρισμάτων οἱ εὐλογεῖν σπουδάζοντες, τουτέστιν οἱ τὴν θείαν αὐτοῦ καταγγέλλοντες δόξαν. αὕτη μὲν οὖν ἡ Ἰακὼβ εὐλογία τῆς ἀναφορᾶς τὴν δύναμιν ἐπ᾽ αὐτὸν τὸν Ἐμμανουὴλ ἔχουσα, καὶ τοὺς ἐν πίστει δεδικαιωμένους.

λ. Καὶ ἐγένετο μετὰ τὸ παύσασθαι τὸν Ἰσαὰκ εὐλογοῦντα Ἰακὼβ τὸν υἱὸν αὐτοῦ· καὶ ἐγένετο, ὡς ἂν ἐξῆλθεν Ἰακὼβ ἀπὸ προσώπου Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ, καὶ Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὴν Ἰακὼβ ἔξοδον, εἴσοδον Ἡσαῦ παρίστησιν. ἐγένετο γάρ φησιν, ὅσον ἐξῆλθεν Ἰακὼβ, ἧκεν Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ. μέχρι μὲν γὰρ ἐνσχολάζει καὶ ἐμπεριπατεῖ τῇ ψυχῇ φρόνησις, ὑπερόριος ὁ ἀφροσύνης ἑταῖρος ἐκτετόξευται· ἐπειδὰν δὲ μεταναστῇ, γεγηθὼς κάτεισιν ἐκεῖνος τῆς πολεμίου καὶ δυσμενοῦς, δι' ἣν ἠλαύνετο καὶ ἐφυγαδεύετο, μηκέτι τὸν αὐτὸν χῶρον οἰκούσης.

λα. Καὶ ἐποίησε καὶ αὐτὸς ἐδέσματα, καὶ προσήνεγκε τῷ πατρὶ αὐτοῦ· καὶ εἶπε τῷ πατρὶ, ἀναστήτω ὁ πατήρ μου, καὶ φαγέτω ἀπὸ τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου.

» ΑΔΗΛΟΥ. Εἶπεν Ἡσαῦ, ἀναστήτω ὁ πατήρ μου. θρασύτερος ὁ λόγος, ὡς χωρικοῦ.

λβ. Καὶ εἶπεν αὐτῷ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ, τίς εἶ σύ; ὁ δὲ εἶπεν, ἐγώ εἰμι ὁ πρωτότοκός σου υἱὸς Ἡσαῦ.

λγ. Ἐξέστη δὲ Ἰσαὰκ ἔκστασιν μεγάλην σφόδρα· καὶ εἶπε, τίς οὖν ὁ θηρεύσας μοι θήραν, καὶ εἰσενέγκας μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ σε εἰσελθεῖν; καὶ εὐλόγησα αὐτὸν, καὶ εὐλογημένος ἔσται.

ΕΥΣΕΒΙΟΥ. Ἐπιβεβαιοῖ τὴν εὐλογίαν, οὐχ ὡς ψεύστην τὸν Ἰακὼβ ἀποστραφεὶς, ἀλλ' ὡς Θεοῦ οἰκονομίαν τὸ πρᾶγμα δεξάμενος. καὶ τὸν μὲν Ἰακὼβ, μετὰ τοῦ σπέρματος εὐλογεῖ· τὸν δὲ Ἡσαῦ, μόνον.

λδ. Ἐγένετο δὲ ἡνίκα ἤκουσε τὰ ῥήματα Ἡσαῦ Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ, ἀνεβόησε φωνὴν μεγάλην καὶ πικρὰν σφόδρα· καὶ εἶπε τῷ πατρὶ αὐτοῦ, εὐλόγησον δὴ κἀμὲ πάτερ.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι, φωνὴν μεγάλην σφόδρα, καὶ πικράν; τὸν θυμὸν ἠνίξατο διὰ τοῦ ῥήματος, καὶ τῆς ὀργῆς, ἧς ἐπλήσθη ταῦτα μαθὼν, τὴν ὑπερβολήν.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐκ ἐπὶ τῷ μὴ τυχεῖν (1) τῶν εὐλογιῶν οὕτω δυσχεραίνει, ὡς ἐπὶ τῷ τὸν ἀδελφὸν αὐτοῦ ἀξιωθῆναι. βάσκανος γὰρ ὢν, ἐπιμελέστερον προκρίνει τῆς ἰδίας ὠφελείας τὴν ἐκείνου ζημίαν. ταῦτα (2) γὰρ ἐμφαίνεται διὰ τοῦ μέγα καὶ πικρὸν ἐκβοῆσαι, καὶ ἐπιλέγειν, εὐλόγησον δὴ κἀμὲ πάτερ.

λε. Καὶ εἶπεν αὐτῷ, ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου, ἔλαβε τὴν εὐλογίαν σου.

A ΑΔΗΛΟΥ. Ἀλλ' ἄγε μετὰ δόλου ἔλαβεν, ἴσως εἴποι τὶς, οὐκ ἐπαινετός. τί οὖν » φησὶ, καὶ εὐλογημένος ἔσται; Ἀλλ' ἔοικεν αἰνίττεσθαι διὰ τοῦ λεχθέντος, ὅτι οὐ πᾶς δόλος ὑπαίτιός ἐστιν. ἐπεὶ καὶ λῃστὰς νυκτοφύλακες; καὶ πολεμίους στρατηγοὶ, οὓς ἀδόλως συλλαβεῖν οὐκ ἔστιν, ἐνεδρεύοντες κατορθοῦν δοκοῦσι. καὶ τὰ λεγόμενα στρατηγήματα τοιοῦτον λόγον ἔχει. καὶ τὰ τῶν ἀθλητῶν ἀγωνίσματα. καὶ γὰρ ἐπὶ τούτων ἡ ἀπάτη νενόμισται τίμιον. B καὶ οἱ δι' ἀπάτης περιγινόμενοι τῶν ἀντιπάλων, βραβείων ἀξιοῦνται καὶ στεφάνων. ὥστε οὐ » διαβολὴ τὸ, μετὰ δόλου, ἀλλ' ἐγκώμιον, ἰσοδυναμοῦν τῷ, μετὰ τέχνης. οὐδὲν γὰρ ἀτέχνως πράττει ὁ σπουδαῖος.

λς. Καὶ εἶπε, δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνισε γάρ με ἤδη δεύτερον τοῦτο· τά τε πρωτοτόκιά μου εἴληφε· Γ καὶ νῦν εἴληφε τὴν εὐλογίαν μου. καὶ εἶπεν Ἡσαῦ τῷ πατρὶ αὐτοῦ, οὐχ ὑπελίπου μοι εὐλογίαν πάτερ;

* ΚΥΡΙΛΛΟΥ. Εἰς τύπον τοῦ Χριστοῦ ὁ Ἰακὼβ λαμβάνεται. Χριστὸς γὰρ ἐστὶν ὁ ἀληθῶς πτερνιστής. πεπάτηκε γὰρ ὁλοτρόπως τὴν ἁμαρτίαν. καὶ καθὸ νοεῖται, Δ καὶ πέφηνεν ἄνθρωπος νεώτερος μέν ἐστι, καὶ τὸν πρὸ αὐτοῦ γεγονότων ὀψιγονέστερος, ἁγίων δὴ λέγω Προφητῶν, καὶ αὐτοῦ Μωσέως. ἔχει δὲ τὰ πρεσβεῖα, καὶ ἔστι πρωτότοκος, διὰ τὸ ἐν πολλοῖς ἀδελφοῖς καθηκέσθαι τὸν μονογενῆ. αὐτὸς γάρ ἐστιν ὁ εὐλογημένος παρὰ τοῦ πατρός.

ΤΟΥ ΑΥΤΟΥ. Πτερνιστὴς οὖν ἄρα λαὸς ὁ ἐν Χριστῷ διὰ πίστεως, καὶ ὡς ἐν τάξει E λελόγισται τῇ κατὰ τὸν θεσπέσιον Ἰακώβ. νοοῖτο δ' ἂν ὡς ἐν ἀπαρχῇ τοῦ τοιοῦδε γένους ὁ τῶν ἁγίων Ἀποστόλων χορός. οἳ γεγόνασι μὲν ἐξ αἵματος, καὶ γένους Ἰσραὴλ, ἐπειδὴ δὲ τὴν ἐν Χριστῷ πίστιν πεπλουτήκασι, καὶ ὑπέρ τινα στέφανον τὴν ἐκ τοῦ ἁγίου πνεύματος ἀνεδήσαντο χάριν, προσκεκρούκασι τοῖς ἐκγόνοις. ταύτητοι φονῶντας καταλιμπάνουσι, μόνον δὲ οὐχὶ πατρῴας ἑστίας, ἀλλὰ καὶ αὐτῆς τῆς ἐνεγκού- Z σης ἀπανιστάμενοι γῆς. φημὶ δὴ τῆς Ἱερουσαλὴμ, ἤτοι τῆς Ἰουδαίων χώρας, τῇ τῶν ἐθνῶν προσβάλλουσι, Χριστὸν ἔχοντες ἀρωγὸν, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν συλλήπτορα, καὶ συμπαραθέοντας τοὺς Ἀγγέλους, καὶ ἐλπίσι ταῖς ἄνωθεν ἐπερηρεισμένοι, καὶ προσδοκῶντες ἔσεσθαι πατέρες πολλῶν ἐθνῶν· ὡς πρὸς ἕω τε, καὶ δύσιν, καὶ βορρᾶν, καὶ νότον, τὸ ἐξ αὐτῶν ἐκτείνεσθαι σπέρμα, τουτέστι τοὺς διὰ πίστεως H ἀναγεννωμένους ἐν Χριστῷ, καὶ πνεύματι δεδικαιωμένους.

λζ. Ἀπο-

(1) Φασίν. ὁ τῆς Αὐγ. κώδ. (2) Τοῦτο γὰρ δηλοῖ τὸ μέγα τῆς φωνῆς καὶ πικρὸν. ὁ αὐτ.

λζ. Ἀποκριθεὶς δὲ Ἰσαὰκ, εἶπε τῷ Ἡσαῦ, εἰ κύριον αὐτὸν ἐποίησά σου, καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ πεποίηκα αὐτοῦ οἰκέτας, σίτῳ καὶ οἴνῳ ἐστήριξα αὐτόν· σοὶ δὲ τί ποιήσω τέκνον;

ΑΔΗΛΟΥ. Καὶ μὴν οὐκ εἶχεν ἄλλους υἱούς· ἀλλ' ἀδελφοὺς τοῦ Ἰακὼβ καλεῖ τοὺς ἐκ τοῦ σπέρματος Ἡσαῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ μὴν ἄλλους οὐκ εἶχεν υἱοὺς Ἰσαάκ. τινὲς μὲν οὖν φασὶν αὐτὸν λέγειν Ἀμμανίτας καὶ Μωαβίτας. ἐδούλευσαν γὰρ αὐτοῖς· (τοῖς ἐξ Ἰσραὴλ) ἀλλὰ καὶ πρὸ τοῦ Ἰακὼβ γέγονε ταῦτα, καὶ οὐκ ἐξ Ἀβραάμ, ἀλλ' ἐκ τοῦ Λώτ. καὶ ἐχρῆν εἰπεῖν ἀδελφοὺς τοῦ πατρὸς, οὐκ αὐτοῦ Ἰακώβ. τινὲς δὲ τοὺς ἀπὸ τοῦ Ἡσαῦ λέγουσιν. αὐτὸς γὰρ Ἡσαῦ δυνατώτερος ἦν Ἰακὼβ, καὶ προσεκυνήθη παρ' αὐτοῦ ἐκ Μεσοποταμίας ἐπανιόντος. εἰ δὲ καὶ λέγει, κύριόν σου αὐτὸν ἐποίησα, περὶ τοῦ σπέρματος ὁ λόγος. ὡς εἶναι ταυτὸν τὸ, σοῦ, καὶ πάντας τοὺς ἀδελφούς σου. τινὲς δὲ τὸν μὲν Ἰακὼβ, εἰς πρόσωπον Ἰούδα παρειλῆφθαί φασι τοῦ ἐξ αὐτοῦ γεγονότος· ἀδελφοὺς δὲ αὐτοῦ, τὰς ιβ΄. ἦρξε γὰρ αὐτῶν ἡ τοῦ Ἰούδα φυλή. ἐξ αὐτῆς γὰρ οἱ βασιλεῖς, ἐξ ὧν τὸ κατὰ σάρκα Χριστός. ὅθεν τὸ τιμιώτερον τοῦ σπέρματος εἰς τὸ πρόσωπον ἀνήγαγε τοῦ Ἰακώβ. ὥστε, ὅταν μὲν λέγῃ τὸ, κύριον αὐτὸν ἐποίησά σου, περὶ τῶν υἱῶν Ἡσαῦ φησίν· ὅτε δὲ, καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ, τοῦ Ἰούδα δηλοῖ δούλους ἔσεσθαι τοὺς τῶν ιβ΄ φυλῶν.

λη. Εἶπε δὲ Ἡσαῦ πρὸς τὸν πατέρα αὐτοῦ, μὴ εὐλογία μία σοι ἐστὶ πάτερ; εὐλόγησον δὴ κἀμὲ πάτερ. κατανυχθέντος δὲ τοῦ Ἰσαὰκ, ἀνεβόησε φωνὴν Ἡσαῦ, καὶ ἔκλαυσε.

λθ. Ἀποκριθεὶς δὲ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ, εἶπεν αὐτῷ, ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν.

ΑΔΗΛΟΥ. Οὐ καρπῶν ἀπόλαυσις, ἀλλὰ κατοίκησις πίονος γῆς. οὐχ ὥστε ἀπολαύειν τῶν ἐξ αὐτῆς· οὐ γὰρ ἐπήγαγεν ὡς ἐπὶ τοῦ Ἰακὼβ πλῆθος οἴνου, καὶ σίτου· ἀλλὰ πῶς ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ, καὶ τὰ ἑξῆς, λῃστρικὸν ἔχων βίον. διόπερ οὐκ εἴρηκεν ἐνταῦθα, δώσει σοι ὁ Θεός. οὐ γὰρ ἦν τοιαῦτα Θεοῦ διδόναι.

μ. Ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ, καὶ τῷ ἀδελφῷ σου δουλεύσεις. ἔσται δὲ ἡνίκα ἂν καθέλῃς, καὶ ἐκλύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου.

Α ΑΔΗΛΟΥ. Ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ. Ὡς ἔτι καὶ νῦν Ἄραβες λῃστεύοντες, καὶ πολεμοῦντες διαγίγνονται. τινὲς δέ φασιν, ὅτι ἀδελφοὺς τοῦ Ἡσαῦ καλεῖ τοὺς Μωαβίτας. ἐδούλευσαν γὰρ αὐτοῖς.

** ΒΑΣΙΛΕΙΟΥ. Εὐεργεσία τοῖς ὑποδεεστέροις, καὶ ἄρχειν ἑαυτῶν μὴ ἐπισταμένοις τὸ δουλεύειν τοῖς κατ' ἐπιστήμην ἄρχουσι. διόπερ ἐν εὐλογίαις εἴρηται τῷ Ἡ- Β σαῦ, καὶ τῷ ἀδελφῷ σου δουλεύσεις.

ΑΔΗΛΟΥ. Ἔσται δὲ ἡνίκα ἂν καθέλῃς, καὶ ἐκλύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου. Ἀντὶ τοῦ, εἰ καὶ ἐδουλώθης αὐτῷ, ἔσται ὅτε ἀφηνιάσεις· ὡς νῦν Ἰουδαῖοι χριστιανοῖς ὑποτάσσονται φόβῳ· ἀλλ' οὖν ἐλθόντος τοῦ ἀντιχρίστου ἀποσκιρτήσουσι, καὶ οὐκ ἔτι ἀνέξονται, ἀλλὰ καὶ τὸ ἐναντίον, κακοποιήσουσιν. ἢ οὕτω· νῦν μὲν ὑπ' αὐτόν εἶ· ἔσται δὲ καιρὸς, ὅταν ἀνταρσίαν Γ μελετήσῃς κατὰ τοῦ ἀδελφοῦ σου. καὶ γὰρ ἀντέστησαν οἱ υἱοὶ Ἡσαῦ τῷ Ἰσραὴλ κατὰ τὴν ἐξ Αἰγύπτου ἔξοδον.

μα. Καὶ ἐνεκότει Ἡσαῦ Ἰακὼβ περὶ τῆς εὐλογίας, ἧς εὐλόγησεν αὐτὸν Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ. εἶπε δὲ Ἡσαῦ ἐν τῇ διανοίᾳ, ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα Δ ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου.

* ΠΡΟΚΟΠΙΟΥ. Ἑαυτῷ ἐνεπόδισεν Ἡσαῦ τοῦ μὴ τάχιον τῆς εὐλογίας τυχεῖν ἐγκοτῶν τῷ Ἰακὼβ, καὶ μὴ καθαίρων τοῦ οἰήματος, ὥστε δουλεῦσαι ἑκουσίως τῷ ἀδελφῷ. εἰ δὲ (1) ἐν τῇ διανοίᾳ εἶπεν Ἡσαῦ, δῆλον ὅτι ἀπηγγέλη τῇ Ῥεβέκκᾳ οὐκ ἀπ' ἀνθρώπου.

ΑΚΑΚΙΟΥ. Εἶπε δὲ Ἡσαῦ ἐν τῇ δια- Ε νοίᾳ αὐτοῦ, ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου. ἀπηγγέλη δὲ Ῥεβέκκᾳ τὰ ῥήματα τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου. Εἰ ἐν τῇ διανοίᾳ τοῦτο εἶπεν ὁ Ἡσαῦ, πῶς ἀνηγγέλη τῇ Ῥεβέκκᾳ; μήποτε οὖν δι' ὀνειράτων, ἢ οἱασδήποτε ἀποκαλύψεως; θεοφιλὴς γὰρ ἐτύγχανε. συνέβαινε δὲ καὶ τὸν Ἡσαῦ ἀπ' ἀρχῆς μὲν τοῦτο λογίσασθαι, καὶ διανοηθῆναι παρ' Ζ ἑαυτῷ· μὴ στῆναι δὲ μέχρι τούτου, ἀλλ' ἐκπυστόν τινι, ἤ τισι ποιῆσαι τὸ διανοηθέν.

ΔΙΟΔΩΡΟΥ. Εἰ ἐν τῇ διανοίᾳ ὁ Ἡσαῦ ἠπείλησε, πῶς ἀπηγγέλη τῇ Ῥεβέκκᾳ; Εἰ μὴ τοῦτο βούλεται λέγειν, ὅτι ἔκρινεν ἀνελεῖν τὸν ἀδελφὸν, καὶ εἶπεν ἐν τῇ διανοίᾳ, ἀντὶ τοῦ ὥρισεν· οὐκ ἐν τῇ τοῦ θυμοῦ ὀξύτητι φθεγξάμενος, μετεβλήθη· ἀλλ' ἐπὶ τῆς καρδίας εἶχε τὴν κατὰ τοῦ ἀδελ- Η φοῦ μῆνιν. ἧς τὴν ἐπιμονὴν ἡ μήτηρ θεασαμένη, τὸν εὐλογηθέντα υἱὸν ἀσφαλίζεται.

(1) Φασὶ δὲ, ὡς εἰ ἐν τῇ διανοίᾳ. ὁ τῆς Αὐγ. κώδ.

ΓΕΝΝΑΔΙΟΥ. Τȣ̃ Ἡσαῦ κατὰ διάνοιαν τὸν φόνον τȣ̃ Ἰακὼβ μελετῶντος, » πῶς ἔφησε τὸ, ἀπηγγέλη δὲ τῇ Ῥεβέκκα » τὰ ῥήματα ταῦτα; Φημὶ τοίνυν, ὅτι διὰ τὸ σύνηθες εἶναι τῇ θείᾳ Γραφῇ τὰς τῆς ψυχῆς διαθέσεις εἰς λόγȣς πολλάκις καὶ φωνὰς σχηματίζειν, κἀνταῦθα τȣ̃το ἐποίησε.

ΚΥΡΙΛΛΟΥ. Ἑνεκότει δὲ ὁμοίως, καὶ ἐπεμήνιε δεινῶς· ὁ πρωτότοκος Ἰσραὴλ τοῖς ἐν πίστει, καὶ μετ' αὐτὸν, τȣτέστι τῷ νέῳ λαῷ, ἐπείτοι γέγονεν ἐν τάξει τῇ πρώτῃ παρὰ Θεῷ, καὶ ὡς ἐν πρωτοτόκȣ μοίρᾳ λελόγισαι, καὶ εὐλογίας τῆς ἄνωθεν ἐπίμεσος ἦν, τὴν ἐν Χριστῷ διὰ τȣ̃ πνεύματος καταπλȣτήσας χάριν.

μβ. Ἀπηγγέλη δὲ Ῥεβέκκα τὰ ῥήματα Ἡσαῦ τȣ̃ υἱȣ̃ αὐτῆς τȣ̃ πρεσβυτέρȣ. καὶ πέμψασα, ἐκάλεσε τὸν υἱὸν αὐτῆς τὸν νεώτερον, καὶ εἶπεν αὐτῷ, Ἡσαῦ ὁ ἀδελφός σȣ ἀπειλεῖ σοι τȣ̃ ἀποκτεῖναί σε.

μγ. Νῦν ȣ̃ν τέκνον ἄκȣσόν μȣ τῆς φωνῆς, καὶ ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν πρὸς Λάβαν τὸν ἀδελφόν μȣ εἰς Χαῤῥάν.

ΚΥΡΙΛΛΟΥ. Κινδυνεύοντι γὰρ καὶ διωκομένῳ τῷ νέῳ λαῷ τὰς τῶν φονώντων ὀργὰς παραιτεῖσθαι σωφρόνως συμβεβȣ́λευκεν ἡ Ἐκκλησία· ἧς τύπος ἦν ἡ Ῥεβέκκα. συνεπινεύει δὲ καὶ αὐτὸς ὁ τῆς Ῥεβέκκας νυμφίος, τȣτέστιν ὁ Χριστὸς, λέγων, ὅταν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἑτέραν. (Ματθ. 10. 23.)

** ΩΡΙΓΕΝΟΥΣ. Μανθάνομεν ἀπὸ τȣ́των, ὅτι δεῖ ἀποδιδράσκειν τȣ̀ς ἐπιβȣλεύοντας, καὶ διωγμȣ̀ς φεύγειν, εἰ καὶ ὁπλασιῶν καταξιωθῶμεν, ὡς ὁ Ἰακώβ. παρακληθείη δ' ἄν τις ἰδὼν τὰ παρακολȣθήσαντα τῷ Ἰακὼβ φεύγοντι ἀπὸ τȣ̃ Ἡσαῦ· ὁπλασιῶντε γὰρ ἠξιώθη, καὶ πατὴρ γεγένηται δώδεκα φυλῶν· καὶ ἐπανερχόμενος ἀπὸ τῆς διὰ τὸν διωγμὸν φυγῆς, γίνεται ἀντὶ Ἰακὼβ, Ἰσραήλ.

μδ. Καὶ οἴκησον μετ' αὐτȣ̃ ἡμέρας τινὰς, ἕως τȣ̃ ἀποστρέψαι τὸν θυμὸν, καὶ τὴν ὀργὴν τȣ̃ ἀδελφȣ̃ σȣ ἀπὸ σȣ̃.

με. Καὶ ἐπιλάθηται ἃ πεποίηκας αὐτῷ. καὶ ἀποστείλασα μεταπέμψομαί σε ἐκεῖθεν, μήποτε ἀτεκνωθῶ ἀπὸ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰ γὰρ καὶ ἐφίλει τὸν Ἰακὼβ, ἀλλ' ȣ̓δὲ τὸν Ἡσαῦ ἀπεστρέφετο. διὸ καὶ ἔλεγε, μήπως ἀτε» κνωθῶ ἐκ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ.

» ΩΡΙΓΕΝΟΥΣ. Ἐν ἡμέρᾳ μιᾷ, ὡς τȣ̃ ἀδελφοκτόνȣ πρότερον τῇ ἁμαρτίᾳ ἀποθνήσκοντος.

μϛ. Εἶπε δὲ Ῥεβέκκα πρὸς Ἰσαὰκ, προσώχθισα τῇ ζωῇ μȣ διὰ τὰς θυγατέρας τῶν υἱῶν Χὲτ, εἰ λήψεται Ἰακὼβ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης, ἵνα τί μοι τὸ ζῆν;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐνταῦθα αἰνίττεσθαί μοι δοκεῖ τῶν γυναικῶν τȣ̃ Ἡσαῦ τὸ δύστροπον, καὶ ὅτι πολλῆς ἀηδίας αὐτοῖς ὑπόθεσις γεγόνασι. καὶ γὰρ ἀνωτέρω διηγήσατο ἡμῖν ἡ θεία Γραφὴ, ὅτι ἔλαβεν ἀπὸ τῶν Χετταίων καὶ ἀπὸ τῶν » Εὐαίων γυναῖκας ὁ Ἡσαῦ, καὶ ἦσαν ἐρί» ζȣσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ. τȣ̃το ȣ̃ν αὐτὸ ὑπομνῆσαι αὐτὸν βȣλομένη, μονονȣχὶ ταῦτά φησι πρὸς αὐτόν· οἶδας ὅπως μοι τὴν ζωὴν πικρὰν πεποιήκασιν αἱ γαμεταὶ τȣ̃ Ἡσαῦ, καὶ ὅπως διὰ τὴν τȣ́των μοχθηρίαν λοιπὸν πρὸς πάσας ἀπεχθῶς ἔχω τὰς θυγατέρας τῶν υἱῶν Χὲτ, καὶ ἅπαν τὸ ἔθνος δι' ἐκείνας μεμίσηκα. εἰ τοίνυν συμβαίη καὶ τὸν Ἰακὼβ ἐκ τȣ́των ἀγαγέσθαι γυναῖκα, ποία μοι λοιπὸν ἔσται σωτηρίας ἐλπίς; ἵνα τί γάρ» μοι τὸ ζῆν; εἰ γὰρ ἐκείνας ἐνεγκεῖν ȣ̓κ ἰσχύομεν, εἰ καὶ ȣ̃τος φθάσει ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης λαβεῖν γυναῖκα, τὰ τῆς ζωῆς ἡμῖν οἴχεται.

* ΚΥΡΙΛΛΟΥ. Εὐτέχνως τὸ γύναιον ἀναπείθει τὸν πρεσβύτην ἐπιτρέψαι τῷ υἱῷ τὴν ἀποδημίαν: (1) ἀπὸ τȣ́των δὲ διδασκόμεθα, τοῖς πιστοῖς υἱοῖς μὴ λαμβάνειν ἐθνικὰς γυναῖκας.



ΚΕΦ.

(1) Τὰ ἑξῆς ἐν τοῖς τȣ̃ Κυρίλλ. ἐκδεδομ. ȣ̓χ εὕρηται.

ΚΕΦ. ΚΗ.

α. Προσκαλεσάμενος δὲ Ἰσαὰκ τὸν Ἰακὼβ, εὐλόγησεν αὐτόν· καὶ ἐνετείλατο αὐτῷ, λέγων, οὐ λήψῃ γυναῖκα ἐκ τῶν θυγατέρων Χαναάν.

ΚΥΡΙΛΛΟΥ. Παραθήγων τρόπον τινὰ τὸν ἐξ αὐτοῦ φῦντα καὶ τεθραμμένον εὐσεβῶς, κατ' ἴχνος ἰέναι τῆς πατρῴας ἀρετῆς.

β. Ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν, εἰς τὸν οἶκον Βαθουὴλ τοῦ πατρὸς τῆς μητρός σου· καὶ λάβε σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρός σου.

ΚΥΡΙΛΛΟΥ. Ἀκούεις ὅπως ὁ τῆς Ἐκκλησίας νυμφίος, τουτέστιν ὁ Χριστὸς, ἐντέλλεται τοῖς ἰδίοις εἰς τὴν τῶν Ἑλλήνων ἀπιστίαν πληθὺν, καὶ τεκνογονεῖν ἐκεῖθεν, καὶ πατέρας ὥσπερ ἀναφαίνεσθαι λαῶν;
1. Κορ. 4. 15. ἀμέλει φησὶν ὁ Ἀπόστολος Παῦλος, ἐν γὰρ
„ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς
„ ἐγέννησα.

γ. Ὁ δὲ Θεός μου εὐλογήσαι σε, καὶ αὐξήσαι σε, καὶ πληθύναι σε·
δ. καὶ ἔσῃ εἰς συναγωγὰς ἐθνῶν. Καὶ δῴη σοι τὴν εὐλογίαν Ἀβραὰμ τοῦ πατρός μου σοὶ, καὶ τῷ σπέρματί σου μετὰ σὲ, κληρονομῆσαι τὴν γῆν τῆς παροικήσεώς σου, ἣν ἔδωκεν ὁ Θεὸς τῷ Ἀβραάμ.

ΚΥΡΙΛΛΟΥ. Ηὐλόγηνται γὰρ οἱ ἐν Χριστῷ, ηὔξηνταί τε λίαν καὶ εἰς πλῆθος γεγόνασι καὶ συναγωγὰς ἐθνῶν, καὶ συγκληρονόμοι τέθεινται τῶν ἁγίων πατέρων, ἀνακλιθέντες μετὰ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

ε. Καὶ ἀπέστειλεν Ἰσαὰκ τὸν Ἰακώβ· καὶ ἐπορεύθη εἰς Μεσοποταμίαν πρὸς Λάβαν Βαθουὴλ τοῦ Σύρου.

ΑΔΗΛΟΥ. Σύρον καλεῖ τὸν Βαθουὴλ, ὡς τῷ χρόνῳ τοῦτο γενόμενον.

ΚΥΡΙΛΛΟΥ. Φθόνῳ δὴ οὖν διακεκαυμένος Ἡσαῦ, τουτέστιν ὁ Ἰσραὴλ, ἐδίωκε τὸν Ἰακὼβ, φημὶ δὴ Χριστόν. ἀδιαφορεῖ δὲ ὡς ἔφην ἐν τούτοις ἡμῖν ὁ λόγος, καὶ ποτὲ μὲν εἰς Χριστὸν ἀναφέρων τὸν Ἰακὼβ, ποτὲ δὲ εἰς τὸν νέον λαὸν τὸν ἐν πίστει. δεδιωγμένος δὲ τρόπον τινὰ καὶ οὐχ ἑκὼν ὁ Χριστὸς, εἰς τὴν τῶν ἐθνῶν ἀπεδήμησε χώραν, διαῤῥήδην ἀνακεκραγὼς,
Ἱερ. 12. 7, 8. ἐγκατέλειπον τὸν οἶκόν μου, ἀφῆκα τὴν
„ κληρονομίαν μου, ἔδωκα τὴν ἠγαπημένην
„ ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς. ἐγε-
„ νήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν
„ δρυμῷ· ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς,
„ διότι ἐμίσησα αὐτήν.

Β ΤΟΥ ΑΥΤΟΥ. Ἀπενοσφίζοντο μὲν γὰρ οἱ Ἀπόστολοι τῆς Ἰουδαίων ἀγέλης, ἅτε δὴ φονώσης κατ' αὐτῶν· μεταμείβοντες δὲ πόλεις καὶ χώρας, τὰς τῶν διωκόντων ὑποτρέχειν ὀργὰς συνεχῶς ἐσπούδαζον.

ς. Ἴδε δὲ Ἡσαῦ, ὅτι εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ, καὶ ἀπώχετο ἐκεῖθεν ἐν τῷ εὐλογεῖν αὐτόν· καὶ ἐνετείλατο αὐτῷ λέγων, οὐ λήψῃ γυ-
Γ ναῖκα ἀπὸ τῶν θυγατέρων Χαναάν.

ζ. Καὶ ἤκουσεν Ἰακὼβ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ· καὶ ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν τῆς Συρίας.

* ΚΥΡΙΛΛΟΥ. Ἀπαίρει δὴ οὖν ὁ θεσπέσιος Ἰακὼβ τῆς πατρῴας ἑστίας, καὶ πόλεως αὐτῆς καὶ γένους ἀπενοσφίζετο. ταύτῃτοι δεινῶς καὶ ἀλύειν ἤρχετο. ἐνε-
Δ νόει γάρ που κατὰ τὸ εἰκὸς, ὡς ἀλήτης ἔσται καὶ ξένος· καὶ οἰκήσει μὲν ἐπ' ἀλλοδαπῆς, ἔσται δὲ ἴσως καὶ ὑφ' ἑτέρους, καὶ ἀσυνήθη δουλείας δέξεται ζυγόν. εἴκειν γὰρ τοῖς κρατοῦσιν ἀνάγκη καὶ τοὺς ἄγαν εὐγενεῖς.

η. Καὶ εἶδεν Ἡσαῦ, ὅτι πονηραί εἰσιν αἱ θυγατέρες Χαναὰν ἐναντίον Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ.

Ε ΩΡΙΓΕΝΟΥΣ. Αἱ θυγατέρες Χαναὰν πονηραί εἰσιν οὐκ ἐναντίον Ἡσαῦ, ἀλλ' ἐναντίον Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ.

θ. Καὶ ἐπορεύθη Ἡσαῦ πρὸς Ἰσμαήλ· καὶ ἔλαβε τὴν Μαελὲθ θυγατέρα Ἰσμαὴλ τοῦ υἱοῦ Ἀβραὰμ, ἀδελφὴν Ναβαιὼθ, πρὸς ταῖς γυναιξὶν αὐτοῦ γυναῖκα.

Ζ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὥσπερ διορθῶσαι βουλόμενος τὸ οἰκεῖον πλάσμα, καὶ ἐξευμενίσασθαι τὸν πατέρα, προσθεὶς, φησὶν, ἔλαβε γυναῖκα πρὸς ταῖς γυναιξὶν αὐτοῦ θυγατέρα Ἰσμαὴλ τοῦ υἱοῦ Ἀβραάμ.

ι. Καὶ ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου· καὶ ἐπορεύθη εἰς Χαῤῥάν.

Η ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τίς ἡ Χαῤῥάν; καὶ διατί ὁ ἀπὸ τοῦ φρέατος ἐξελθὼν, εἰς αὐτὴν ἔρχεται; Ἔστι τοίνυν, ὡς ἔμοιγε φαίνεται, Χαῤῥὰν, μητρόπολίς τις αἰσθήσεων. ἑρμηνεύεται γὰρ ποτὲ μὲν ὀρυκτὴ,

ὀρυκλὴ, τοτὲ δὲ τρῶγλαι, δι' ἀμφοτέρων ὀνομάτων ἑνὸς δηλουμένου πράγματος. τὰ γὰρ σώματα ἡμῶν εἰς τὰ τῶν αἰσθήσεων ὄργανα τρόπον τινὰ ἐξορώρυκται, καὶ γέγονεν ἕκαστον τῶν ὀργάνων, ἑκάστης ὀπῆ τις αἰσθήσεως, ἐν ᾗ πέφυκε φωλεύειν. ὅπως ὖν τὶς ἀπὸ τοῦ φρέατος; ὃ καλεῖται ὅρκος, ὥσπερ ἀπὸ λιμένος ἐξαναχθῇ, παραγίνεται εὐθὺς εἰς Χαῤῥὰν ἀναγκαίως. τὸν γὰρ ἀποδημίαν στελλόμενον ἀπὸ τοῦ ἀρίστου καὶ ἀπειρομεγέθους ἐπιστήμης χωρίου, κατ' ἀναγκαῖον αἰσθήσεις ἀνὸυ ξεναγῶν ὑποδέχονται. κινεῖται γὰρ ἡ ψυχὴ πολλάκις μὲν ἀφ' ἑαυτῆς, ὅλον τὸν σωματικὸν ὄγκον ἐκδῦσα, καὶ τῶν αἰσθήσεων ὄχλον ἀποδράσασα· πολλάκις δὲ, καὶ ταῦτα ἐπαμπιχομένη. τὴν μὲν οὖν γυμνὴν κίνησιν αὐτῆς, τὰ νοήσει μόνον καταληπτὰ ἔλαχε· τὴν δὲ μετὰ σώματος, τὰ αἰσθητά. εἴτις οὖν ὁμιλεῖν εἰς ἅπαν ἀδυνατεῖ διανοίᾳ μόνῃ, δευτέραν καταφυγὴν, αἴσθησιν εὑρίσκεται. καὶ ὅστις ἂν σφαλῇ τῶν νοητῶν, αὐτίκα πρὸς τὰ αἰσθητὰ καταφέρεται. δεύτερος γὰρ ἀεὶ πλοῦς πρὸς αἴσθησιν τοῖς μὴ δυνηθεῖσι πρὸς τὸν ἡγεμόνα νοῦν εὐπλοῆσαι.

ια. Καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος.

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὑπερφυέστατα δὲ ἔχει τὸ μὴ φάναι ἐλθεῖν εἰς τὸν τόπον, ἀλλὰ ὑπαντῆσαι τόπῳ· ἑκούσιον μὲν γὰρ τὸ ἔρχεσθαι, τὸ δ' ὑπαντᾶν πολλάκις ἀκούσιον· ἵν' ἐξαπιναίως ὁ θεῖος λόγος ἀποφαινόμενος, ἀπροσδόκητον χαρὰν ἐλπίδος μείζονα ἐρήμῃ ψυχῇ συνοδοιπορεῖν μέλλων, προτείνῃ. καὶ γὰρ Μωϋσῆς ἐξάγει τὸν λαὸν εἰς συνάντησιν τοῦ Θεοῦ, σαφῶς εἰδὼς ἐρχόμενον αὐτὸν ἀοράτως πρὸς τὰς ποθούσας ψυχὰς ἐντυχεῖν αὐτῷ. τὴν δὲ αἰτίαν ἐπιφέρει, δι' ἣν

» τόπῳ ὑπήντησεν. ἔδυ γὰρ φησιν ὁ ἥλιος. οὐχ ὁ φαινόμενος οὗτος; ἀλλὰ τὸ τοῦ ἀοράτου καὶ μεγίστου Θεοῦ περιφεγγέστατον, καὶ περιαυγέστατον φῶς. τοῦτο ὅταν μὲν ἐπιλάμψῃ διανοίᾳ, τὰ δεύτερα λόγων δύεται φέγγη, πολὺ δὲ μᾶλλον οἱ αἰσθητοὶ τόποι πάντες ἐπισκιάζονται· ὅταν δ' ἑτέρως χωρήσῃ, πάντ' εὐθὺς ἀνίσχει καὶ ἀνατέλλει.

Καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ· καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη.

∗∗ ΙΩΣΗΠΟΥ. Διὰ τὸ πρὸς τοὺς ἐπιχωρίους μῖσος παρ' οὐδενὶ μὲν ἠξίου καταγέσθαι· ὕπαιθρος δὲ ηὐλίζετο, τὴν κεφαλὴν λίθοις ὑπ' αὐτοῦ συμφορουμένοις ἐπιτιθείς.

∗ ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ ὁ ἐν πίστει λαὸς
Ἡσ. 28. 16. ἐπανεπαύσατο τῷ Χριστῷ, ὅς ἐστι λίθος ἐκ-
» λεκτὸς, ἀκρογωνιαῖος, ἔντιμος· τοῦτο γὰρ

A οἶμαί ἐστι τὸ ἐφυπνοῦν τῷ λίθῳ· μεμαθήκαμεν, ὅτι μόνοι μὲν εἰς γῆν οὐκ ἔσονται, συλλήπτορας δὲ καὶ ἀρωγοὺς ἕξουσι τοὺς ἁγίους Ἀγγέλους ἄνωτε καὶ κάτω διαθέον-
» τας. ὄψεσθε, γὰρ φησιν ὁ Χριστὸς, τὸν Ἰωάν. 1. 51.
» οὐρανὸν ἀνεῳγότα, καὶ τὰ ἑξῆς.

ιβ. Καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ
B **ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῇ.**
ιγ. Ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς· καὶ εἶπεν, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ τοῦ πατρός σου. μὴ φοβοῦ· ἡ γῆ ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοσαύτας
Γ εὐλογίας λαβὼν ὁ Ἰακὼβ, ἀποδιδράσκει τὸν ἀδελφὸν, καὶ μόνος ἀποδημεῖ τῶν ἀναγκαίων ἐστερημένος; Ἐναργέστερον ἐν ταῖς δοκούσαις κακοπραγίαις ἡ τοῦ Θεοῦ κηδεμονία δηλοῦται. οἱ γὰρ ἐν εὐκληρίᾳ ὄντες, οὐχ οὕτως ἴσασιν ὅσων ἀγαθῶν ἀπολαύουσι. τούτου χάριν ἀποδιδράσκει, καὶ μόνος ἀποδημεῖ, ἵνα μετὰ πολλῆς περιουσίας ἐπανελθὼν, αὐτός τε γνῷ ὅση τοῦ Θεοῦ τῶν ὅλων ἡ προμήθεια, καὶ τοὺς ἄλ-
Δ λους διδάξῃ. ταύτην αὐτῷ τὴν κηδεμονίαν παραυτίκα διὰ τῆς ἐπιφανείας ἐδήλωσεν. ἐπέδειξε μὲν γὰρ αὐτῷ κλίμακα μέχρις αὐτοῦ διϊκνουμένην τοῦ οὐρανοῦ, καὶ τοὺς Ἀγγέλους ἀνιόντας καὶ κατιόντας· αὐτὸς δὲ ἄνωθεν ἐφεστὼς, παρεθάῤῥυνέ τε καὶ τὸ δέος ἐξήλαυνεν. ἐδήλουν δὲ οἱ Ἄγγελοι τὴν θείαν διακονίαν. περὶ τούτων γὰρ καὶ
» ὁ μακάριος ἔφη Παῦλος, οὐχὶ πάντες εἰσὶ Ἑβρ. 1. 14.
E » λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀπο-
» στελλόμενα, διὰ τοὺς μέλλοντας κληρονο-
» μεῖν σωτηρίαν; τούτων δὲ ἕκαστον ἱκανὸν ἦν θάρσος ἐνθεῖναι τῷ πατριάρχῃ. διδάσκεται γὰρ, ὡς οὐδὲν ἀτημέλητον, οὐδὲ ἀκηδεμόνευτον παρὰ τῷ τῶν ὅλων Θεῷ· ἀλλ' αὐτὸς ἅπαντα πρυτανεύει, διακόνοις χρώμενος τοῖς ἁγίοις Ἀγγέλοις. ἔδωκε δὲ αὐτῷ καὶ τὴν εὐλογίαν, ἣν καὶ τῷ πατρὶ καὶ τῷ προπάτορι ἐδεδώκει περί τε τῆς τοῦ σπέρματος πολυγονίας καὶ περὶ
Z » τοῦ τῆς οἰκουμένης δεσπότου. ἐνευλογηθή-
» σονται γὰρ φησιν ἐν τῷ σπέρματί σου πᾶ-
» σαι αἱ φυλαὶ τῆς γῆς. εἶτα ὑπισχνεῖται αὐτῷ καὶ τὴν ἐν τοῖς προκειμένοις κηδεμο-
» νίαν. ἰδοὺ γὰρ φησιν ἐγὼ μετὰ σοῦ, διαφυ-
» λάσσων τε ἐν τῇ ὁδῷ, ᾗ ἐὰν πορευθῇς. καὶ
» ἀποστρέψωσε εἰς τὴν γῆν ταύτην· ὅτι οὐ
» μήσε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάν-
» τα ὅσα ἂν ἐλάλησα.

H ΓΕΝΝΑΔΙΟΥ. Ἠνίττετο δὲ διὰ τούτων, καὶ τὸν Ἰακὼβ ἐξεδίδασκεν, οὐ μόνον τοὺς Ἀγγέλους ἐν τῷ καθ' ἡμᾶς εἶναι χώρῳ, τῷ ὑπερουρανίῳ φημὶ, ἀλλὰ καὶ τὸ μόνον τοῖς πᾶσιν ἄνωθεν ἐφεστάναι τὸν Κύριον, ἀγγε-

ἀγγελικαῖς δυνάμεσι τὰ καθ' ἡμᾶς διοικέμενον, καὶ μηδὲν ἀπρονόητον τῶν τῇδε ὡς ἔτυχε νομίζειν φέρεσθαι. μὴ τοίνυν δεῖν διὰ τοῦτο μηδὲ αὐτὴν τὴν ἐκδημίαν ὀκνεῖν. οὐ γὰρ πείσεσθαί τι δυσχερὲς ἐν αὐτῇ. καὶ γὰρ εἶναι τὸν ἐμφανισθέντα νῦν αὐτῷ τοῦτον ἐκεῖνον τὸν πατρῷον Θεὸν, καὶ οὐχ ἕτερον. ὃς ἐπαγγέλλεται σαφῶς αὐτῷ τε καὶ τοῖς ἐξ αὐτοῦ τῆς ἐφ' ἧς νῦν καθεύδει γῆς τὴν κατάσχεσιν.

ΔΙΟΔΩΡΟΥ. Κλίμαξ ἐφάνη τῷ Ἰακὼβ, καὶ Ἀγγέλων πλῆθος ἀνιόντων, καὶ κατιόντων, καὶ ὁ Κύριος ἐστηριγμένος ἐπὶ τῆς κλίμακος. ἐδήλου δὲ τήν τε κάθοδον τοῦ Ἰακὼβ, τὴν εἰς Μεσοποταμίαν, καὶ τὴν ἐκεῖθεν ἐπάνοδον, καὶ τὴν δι' Ἀγγέλων αὐτῷ χορηγηθησομένην βοήθειαν· πρὸ δὲ πάντων, τὴν τοῦ Κυρίου κάθοδον μετὰ ταῦτα ἐσομένην τοῦ ἐπὶ τῆς κλίμακος ἐστηριγμένου, τὴν ἐξ οὐρανῶν, καὶ τὴν ἐπάνοδον.

ΑΔΗΛΟΥ. Ἡ κλίμαξ ἐδήλου τὴν τοῦ Κυρίου κάθοδον ἐσομένην ἐξ οὐρανῶν. ἐδήλου δὲ καὶ τὴν δι' ἀρετῆς τῶν ἀνθρώπων εἰς οὐρανοὺς ἄνοδον. πλὴν καὶ τὴν ἀθυμίαν τοῦ δικαίου παραμυθεῖται, καὶ παραδείκνυσιν, ὅτι πλῆθος Ἀγγέλων ἄνω καὶ κάτω διάγουσα, τοὺς ἀνακειμένους τῷ Θεῷ διασώζει.

ΚΥΡΙΛΛΟΥ. Τοῦτό ἐστιν ἡ κλίμαξ, ἡ ἄνωτε καὶ κάτω τῶν ἁγίων πνευμάτων διαδρομὴ, πεμπομένων εἰς διακονίαν, διὰ τοὺς μέλλοντας κληρονομεῖν βασιλείαν. ἐπεστήρικτο δὲ τῇ κλίμακι Χριστὸς, ὡς μέχρι αὐτοῦ φθανόντων τῶν ἁγίων πνευμάτων, καὶ αὐτὸν ἐχόντων τὸν ἐπιστάτην, οὐχ ὡς ὄντα κατ' αὐτὰ, ἀλλ' ὡς Θεὸν καὶ Κύριον. Καὶ μετ' ὀλίγα. (1) Συλλαμβάνεται δὲ παραχρῆμα Θεὸς, ὁ καρδίας εἰδὼς καὶ νεφροὺς, καὶ ταῖς οὕτω πικραῖς ἀθυμίαις οὐκ ἐᾷ καταπνίγεσθαι τὴν τοῦ δικαίου ψυχήν. παρέδειξε γὰρ ὅτι πλῆθος Ἀγγέλων ἄνωτε καὶ κάτω διάττουσα, διασώζει ῥᾳδίως τοὺς ἀνακειμένους Θεῷ. τοῦτο γὰρ οἶμαι, καὶ ἕτερον οὐδὲν διὰ τῶν ὀνείρων ἐπαιδεύετο. αἰσθητῶς μὲν γὰρ τὴν εἰς τὰ ἄνω διήκουσαν ἐθεᾶτο κλίμακα, καὶ καθόδου δὲ καὶ ἀνόδου σημεῖον ἦν, εἰ καὶ ἐν παχέσιν ὥσπερ ἐγράφετο τύποις.

ιδ. Καὶ ἔσται τὸ σπέρμα σου, ὡς ἡ ἄμμος τῆς γῆς· καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν, καὶ Λίβα, καὶ βοῤῥᾶν, καὶ ἐπὶ ἀνατολάς. καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου.

ιε. Καὶ ἰδοὺ ἐγὼ μετὰ σοῦ διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς. καὶ ἀποστρέψω σε εἰς τὴν

Α γῆν ταύτην· ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι.

ΚΥΡΙΛΛΟΥ. Ἄξιοι δὴ οὖν καὶ θεοπτίας οἱ ἐν Χριστῷ, καὶ τοῦ διακεῖσθαι τεθαῤῥηκότως· ὅτι καὶ σώζει, καὶ ἐπαμύνει.
„ ἰδοὺ γάρ φησιν ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας Ματθ. 28. 20.
„ τὰς ἡμέρας.

Β ις. Καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν.

ΚΥΡΙΛΛΟΥ. Ἐμάνθανε γὰρ, ὡς ἐν παντὶ τόπῳ, καὶ πάσῃ χώρᾳ τὸ θεῖόν ἐστι, καὶ κατοικεῖ μὲν ἐν οὐρανῷ, περιέπει δὲ τὴν σύμπασαν γῆν, καὶ πεπλήρωκε τὴν οἰκουμένην, καὶ ὑπ' αὐτὸ πάντα ἐστὶ τὰ ἐν
Γ οὐρανοῖς πνεύματα· ἃ ἄνωτε καὶ κάτω διαθεῖν προστάττονται, καὶ αὐτὸν ἔχουσι κεφαλὴν καὶ ἐφεστηκότα.

ιζ. Καὶ ἐφοβήθη· καὶ εἶπεν, ὡς φοβερὸς ὁ τόπος οὗτος. οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὐκ ἔστι
Δ τοῦτο ὃ ἐδόξασα, ὅτι ἔστι Κύριος ἐν τόπῳ· περιέχει γὰρ, οὐ περιέχεται κατὰ τὸν ἀληθινὸν λόγον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καταπλαγεὶς, φησὶν, ὁ δίκαιος τὴν πολλὴν τοῦ Θεοῦ φι-
„ λανθρωπίαν, ἐφοβήθη, καὶ εἶπεν, οὐκ ἔστι
„ τοῦτο, ἀλλ' ἢ οἶκος τοῦ Θεοῦ, καὶ αὕτη ἡ
„ πύλη τοῦ οὐρανοῦ. οὗτος ὁ τόπος λοιπὸν ἐμοὶ οἶκος τοῦ Θεοῦ νενόμισται. τοσαύτης οὖν ἐπιφανείας ἀξιωθεὶς, καὶ αὐτὴν, ὡς εἰπεῖν,
Ε τὴν πύλην τοῦ οὐρανοῦ θεασάμενος, δίκαιος ἂν εἴη τὴν ὀφειλομένην εὐχαριστίαν ἀνενεγκεῖν ἐνταῦθα τῷ δεσπότῃ.

ιη. Καὶ ἀνέστη Ἰακὼβ τῷ πρωΐ, καὶ ἔλαβε τὸν λίθον, ὃν ἐπέθηκεν ἐκεῖ πρὸς κεφαλῆς αὐτοῦ· καὶ ἔστησεν αὐτὸν στήλην, καὶ ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς.

Ζ ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. (2) Ὁ Ἰακὼβ ἐνηχηθεὶς ἁγίῳ πνεύματι, πρῶτον μὲν αὐτὸ τὸ σωματικὸν εἶδος ὁρᾷ τοῦ Χριστοῦ, προαναγραφόμενον ἐναργῶς· ὅπερ ἐστὶν ὁρατὸν, καὶ τοπικῆς ἐχόμενον περιγραφῆς. δεύτερον δὲ καὶ τὸ νικηφόρον τοῦ σταυροῦ τρόπαιον κλίμακι ἀπεικαζόμενον. τούτῳ γὰρ ἐπεστηρίχθη μετεώρως, ἑλκύσας ἅπαντας πρὸς ἑαυτόν. ἔστι γοῦν ἐννοοῦντας ἰδεῖν, ὅπως ὀνόματι μὲν, αὐ-
Η τὰ τὰ τῶν πειρασμῶν πάθη κλιμακτῆρας ἔσθ' ὅτε κικλήσκουσί τινες, ἀμφικρήμνους ἀναβα-

(1) Τὰ ἑξῆς ἐν τοῖς ἐκδεδομένοις. οὐκ εἰσὶ μετ' ὀλίγα, ἀλλὰ πρὸ πολλῶν.
(2) Ἐκ τοῦ λόγου τοῦ εἰς τὴν ἐπιγραφὴν τῆς στηλογραφίας. καὶ ταῦτα κεῖται ἐν τῷ κώδ.

ἀναβάσεις ὑπεμφαίνουσα καὶ καταβάσεις·
σχήματι δὲ, τῷ σταυρῷ προσέοικεν ὀλίγως-
πως ἡ κλίμαξ, ὀρθίοις τε καὶ πλαγίοις
ἁρμοσθεῖσα ξύλοις. ὡς οὖν ἱστόρησε τὴν
τοιαύτην ὀπτασίαν, τὸν λίθον ἄρας, ἐφ'
ᾧ τὴν κεφαλὴν ἀνακλίνας, ἔστησε μὲν αὐ-
τὸν εἰς στήλην, ὑπόμνημα τῆς ἱστορίας, εἰ-
κόνα δὲ τοῦ φανέντος αὐτῷ προσώπου χα-
ρακτηρίζων, ἐν ᾧ μνήμης ἀνανέωσιν ἵδρυ-
σεν. οἶκον δὲ Θεοῦ προσειπὼν αὐτὸν, ἠνίτ-
τετο τὸν τοῦ Θεοῦ λόγου ναὸν, ὡς καὶ αὐτὸς
Ἰωάν. 2. 19. ἐξέφηνεν ὁ τοῦ παντοκράτορος υἱός· λύσατε
» τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγε-
» ρῶ αὐτόν. ἤδη δὲ καὶ πύλην οὐρανοῦ ὠνό-
μασε τὸν αὐτὸν, ἐπειδὴ διὰ τῆς τοῦ Χριστοῦ
θεουργίας τὸ σῶμά τε καὶ ψυχὴν καθαρι-
ζόμενοι, τῇ θείᾳ δυνάμεθα προσιέναι φύ-
σει. τοιγαροῦν οὐδὲ τὸ ἔλαιον ἀργῶς ἐπὶ τὸ
ἄκρον ἐπέχεε τῆς στήλης· ἀλλὰ τοῦτο μὲν
ἐκείνου δηλωτικὸν ἦν, ὃ διεπράττετο σπου-
δαίως ἡ Μαρία, μύρον ἐξ ἄκρων ἐπιχέου-
σα τοῖς τοῦ Χριστοῦ ποσίν. αὐτὸ δὲ πάλιν
ἐτύγχανεν ἐκεῖνο μήνυμα τῆς ταφῆς, ὡς
αὐτὸς ἐσαφήνισεν ἀναφανδὸν ὁ Κύριος. ὁ
δὲ λίθος οὗτος εἰκονίζει τὸν ἀκρογωνιαῖον
Ψαλ. 117. 22. ἐκεῖνον λίθον, ὃν ἀπεδοκίμασαν μὲν οἱ
» οἰκοδομοῦντες, εἰς γωνίας δὲ κεφαλὴν
» ἐγένετο.

ΚΥΡΙΛΛΟΥ. Ἀλλ' ἦν καὶ ὁ λίθος, ὡς
ἐν τύπῳ Χριστοῦ, τιμώμενος καὶ ἀναστηλού-
μενος, ἐλαίῳ τε δεδευμένος. κέχρισται γὰρ
παρὰ τοῦ Θεοῦ καὶ πατρὸς ὁ Ἐμμανουὴλ
Ψαλ. 44. 7. ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους
» αὐτοῦ· ἐγήγερται δὲ καὶ ἐκ νεκρῶν, καί-
τοι καταβεβηκὼς ἐθελοντὶ καὶ εἰς θάνα-
τον. καὶ τοῦτο οἶμαί ἐστι τὸ ἀναστηλῶσθαι
τὸν λίθον. κηρύττεται δὲ διὰ τῶν ἁγίων
Εὐαγγελιστῶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς,
ὡς κεχρισμένος παρὰ πατρὸς ἐν ἁγίῳ
πνεύματι, καὶ ἐγηγερμένος ἐκ νεκρῶν.

ΑΔΗΛΟΥ. Ὡσανεὶ στήλην ἀναστήσας
τῷ Θεῷ, ἔλαιον ἐπέχεεν εἰς θεραπείαν
τοῦ τὴν ὅρασιν δείξαντος. ὃν τρόπον εἰώ-
θασι διαπράττεσθαι οἱ ἱερεῖς, χρίοντες
τὰς τραπέζας τῶν ἐκκλησιῶν, καὶ τοὺς
κίονας. πρὸς δὲ ἀναγωγήν· λίθον φα-
σὶν εἶναι τὸν Χριστὸν, κεχρίσθαι δὲ πα-
ρὰ τοῦ πατρὸς ἔλαιον ἀγαλλιάσεως ἐν ἁ-
γίῳ πνεύματι.

ΘΕΟΔΩΡΟΥ. Ἐπέχεεν ὁ Ἰακὼβ ἔλαιον
ἐπὶ τὸ ἄκρον τοῦ λίθου, καὶ ἐκάλεσε τὸν
» τόπον, οἶκος Θεοῦ. ἦν δὲ τὸ πρᾶγμα τύ-
πος τῆς μωσαϊκῆς σκηνῆς· ἣν κατασκευά-
σας καὶ ἀναστήσας, ἔχρισεν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τὸν λίθον ἀλεί-
φει ὁ Ἰακώβ; Οἷς εἶχε τὸν μεγαλόδωρον
ἠμείψατο Κύριον. ὀρθώσας γὰρ τὸν λί-
θον, ὃν ὑπέθηκεν ἐν τῇ κεφαλῇ, κατέ-
χεεν αὐτοῦ ἔλαιον. τοῦτο δὲ καὶ νῦν ἐστιν
εὑρεῖν παρὰ πολλῶν γυναίων τῶν τῷ Κυ-
ρίῳ πεπιστευκότων γινόμενον. εἰώθασι γὰρ

A ἐν τοῖς θείοις σηκοῖς ἐλαίῳ χρίειν τὰς τῶν
ἀνακτόρων κιγκλίδας, καὶ τῶν ἁγίων μαρ-
τύρων τὰς θήκας. δηλοῖ δὲ τοῦτο τῆς ψυ-
χῆς τὴν εὐγένειαν. δέχεται δὲ καὶ τὰ
μικρὰ ὁ φιλάνθρωπος Κύριος, ἀποδεχό-
μενος τὸν τοῦ γινομένου σκοπόν.

**ιθ. Καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τό-
που ἐκείνου, οἶκος Θεοῦ.**

** ΠΡΟΚΟΠΙΟΥ. Μήποτε, δέ φασιν,
B ὡς ὁδὸς, οὕτω καὶ τόπος ἐστὶν ὁ Κύριος, ἐν
ᾧ ἀναπαυόμενος εἶδε κλίμακα; ὅθεν καὶ
φοβερὸν αὐτὸν ἔφη, καὶ πύλην οὐρανοῦ,
» καὶ οἶκον Θεοῦ. ὡς γὰρ, ἐγώ εἰμι ἡ θύρα, Ἰωάν. 10. 9.
οὕτω καὶ τόπος καὶ οἶκος τοῦ ἐν αὐτῷ Θεοῦ
καὶ πατρὸς ὁ Θεὸς λόγος ἐστί· καὶ πύλη
οὐρανοῦ, εἴγε θύρα· δι' οὗ εἰσελευσόμεθα εἰς
τὸν οὐρανὸν, τὸν θρόνον τοῦ Θεοῦ. τούτῳ
τῷ τόπῳ, ὡς ζῶντι καὶ ἐρχομένῳ πρὸς
αὐτὸν ἀπήντησεν ὁ Ἰακώβ.

Γ **Καὶ Οὐαλὰμ ἦν ὄνομα τῇ πόλει
τὸ πρότερον.**

ΕΒΡΑΙΟΣ. Οὐλαμλοὺζ Σεμαήρ.

ΟΙ ΕΒΔΟΜΗΚΟΝΤΑ. Καὶ Οὐλαμ-
λοὺζ ἦν ὄνομα τῇ πόλει. (1)

ΑΚΥΛΑΣ Πρότερον Λοὺζ ἦν ὄνομα τῇ
πόλει.

Δ ΑΔΗΛΟΥ. Ἰστέον, ὅτι οὐ λαμπρότερον
εἶπον οἱ περὶ Ἀκύλαν, καὶ οὐχ ὡς μέρος
τοῦ ὀνόματος. Λουζὰ δὲ τὴν πόλιν μετὰ
ταῦτα ῥητῶς καλεῖ.

** ΙΩΣΗΠΟΥ. Περιχαρὴς γενόμε-
νος ἐπὶ τοῖς ἑωραμένοις καὶ κατηγγελ-
μένοις, φαιδρύνει τε τοὺς λίθους, ὡς τηλι-
κούτων ἀγαθῶν ἐπ' αὐτοῖς προῤῥήσεως γε-
γενημένης, καὶ εὐχὴν ποιεῖται θύσειν ἐπ'
αὐτῶν, εἰ κτησάμενος βίον, ἀπαθὴς ἐπα-
E νίοι. τῷ δὲ Θεῷ δεκάτην τῶν πεποισμέ-
νων ποιεῖται, οὕτως αὖθις ἀφικόμενος. τί-
μιόν τε κρίνει τὸ χωρίον, ὄνομα αὐτῷ Βη-
θὴλ θέμενος. σημαίνει δὲ τοῦτο θείαν
ἑστίαν κατὰ τὴν τῶν Ἑλλήνων γλῶτταν.

ΔΙΟΔΩΡΟΥ. Ἡ Βεθὴλ Οὐλαμμαοὺζ
πρότερον λεγομένη, διὰ τὴν τῷ Ἰακὼβ
γενομένην ὀπτασίαν, Βεθὴλ ὠνομάσθη.

Z **κ. Καὶ ηὔξατο ὁ Ἰακὼβ εὐχὴν,
λέγων, ἐὰν ᾖ Κύριος μετ' ἐμοῦ, καὶ
διαφυλάξῃ με ἐν τῇ ὁδῷ ταύτῃ, ᾗ
ἐγὼ πορεύομαι ἐν αὐτῇ, καὶ δῷ μοι
ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβα-
λέσθαι.**

** ΒΑΣΙΛΕΙΟΥ. Ἡ εὐχὴ τοῦ Ἰακὼβ
» πρὸς τὸν Θεόν. ἐὰν δῷς μοι, φησὶν, ἄρ-
» τον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι·
H οὐκ ἐὰν τρυφὴν δῷς μοι καὶ πολυτέλειαν.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ ἱμάτιον κόσμος
ὑπάρχει ὑπὲρ χιτῶνα. διὸ καὶ ἡ ἁψαμένη
τοῦ

(1) Τὸ Οὐαλὰμ ἄρα, ὡς ἔοικεν, οὐκ ἔστι τῶν ἑβδομήκοντα.

τοῦ κρασπέδου τοῦ ἱματίου τοῦ σωτῆρος τεθεράπευται γυνή. δύναμις γὰρ ἐν αὐτῷ ἦν. καὶ τάχα διὰ τοῦτο οἱ στρατιῶται ἐπεδικάσαντο σχίσαντες αὐτὸν, κἂν μέρος ἔχειν, ὡς χρήσιμον, οὐκ εἰς τὸ περιβάλλεσθαι, ἀλλ' εἰς τὸ θεραπεύειν.

κα. Καὶ ἀποστρέψῃ με μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου. καὶ ἔσται Κύριός μοι εἰς Θεόν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἔσται μοι Κύ-
» ριος εἰς Θεόν. τάχα γὰρ οὐδέπω ἦν· ἀλλ' ἤμελλεν ὁ Ἰακὼβ γίνεσθαι ὁποῖος ἦν ὕστερόν ποτε Ἀβραάμ, ὅτε ἤκουσεν, ἐγὼ ὁ Θεός σου. οὐκοῦν ἦν Κύριος ὁ Θεὸς μετ' αὐτοῦ, καὶ οὐδέπω παρεῖχεν ἑαυτὸν, κύριος ὢν αὐτοῦ, εἶναι αὐτοῦ Θεός· ἀλλ' ὅτε διεφύλαξεν αὐτὸν, καὶ ὅτε δέδωκεν αὐτῷ τὸν ζῶντα ἄρτον φαγεῖν, καὶ περιβάλλεσθαι Χριστὸν Ἰησοῦν, καὶ σπλάγχνα οἰκτιρμοῦ.

κβ. Καὶ ὁ λίθος οὗτος, ὃν ἔστησα στήλην, ἔσται μοι οἶκος Θεοῦ· καὶ πάν-
A των ὧν ἐάν μοι δῷς, δεκάτην ἀποδεκατώσω αὐτά σοι.

ΕΥΣΕΒΙΟΥ. Ἐὰν ὑποστρέψω, φησὶ, διασωθεὶς, ὁ λίθος οὗτος ἔσται μοι οἶκος Θεοῦ· οἶκον γὰρ Θεοῦ ἐν τῷ τόπῳ οὐκ ἐποίησεν· ἀποδεκατοῦν δὲ τὰ ὑπάρχοντα ἐπαγγέλλεται, πρὸ τοῦ γραπτοῦ νόμου φύσει τὰ τοῦ νόμου ποιῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Οἶμαι δὲ ὅτι ὁ πρό-
B τερον λίθος, ὕστερον οἶκος Θεοῦ γίνεται. ὅτε πρότερον καὶ τοῖς ἀρχομένοις ὀλίγον ὁ κατ' ἀρχὰς λόγος τῷ μετὰ προκοπῆς τελειωθέντι σαφηνίζει καὶ εἰς γνῶσιν ἄγει τὸν Θεόν. τοιοῦτον δέ ἐστι καὶ τὸ ἐν τῷ Δανιὴλ, ὅτε ὁ τμηθεὶς ἐξ ὄρους ἄνευ χειρῶν λίθος ἐγένετο εἰς ὄρος μέγα. (Δαν. 2, 34.) Καὶ μετ' ὀλίγα. Πῶς οἶκος Θεοῦ ὁ εἷς λίθος; καὶ μὴν οἶκον Θεῷ ἐν τῷ τόπῳ οὐκ ἐποίησεν, ἀλλὰ θυσιαστήριον. ἀλλὰ τοῦτο λέγει· ὅτι ἐὰν ὑποστρέ-
Γ ψω, εὐχαριστήσω τῷ Θεῷ θυσιαστήριον ποιήσας. ἐὰν οὖν σωθῶ, ἔσομαι τοῦ Θεοῦ.
» τοῦτο γάρ ἐστιν, ἔσται μοι εἰς Θεόν.

ΚΕΦ. ΚΘ.

α. Καὶ ἐξάρας Ἰακὼβ τοὺς πόδας, ἐπορεύθη εἰς γῆν ἀνατολῶν πρὸς Λάβαν τὸν υἱὸν Βαθουὴλ τοῦ Σύρου, ἀδελφὸν δὲ Ῥεβέκκας μητρὸς Ἰακὼβ καὶ Ἠσαῦ.

ΑΔΗΛΟΥ. Ἀνατολῆς ἄνδρας καλεῖ τοὺς τὴν Μεσοποταμίαν οἰκοῦντας.

ΚΥΡΙΛΛΟΥ. Εἰδωλολάτρης ὁ Λάβαν. ἴδιος μὲν ὁ κόσμος Χριστοῦ, καθὸ φύσει νοεῖται Θεὸς, καὶ τῶν ὅλων Κύριος, καὶ δημιουργός· οὐκ ἴδιος δὲ πάλιν διὰ τὴν ἀπόστασιν, καὶ τὸ ἤδη πως δοκεῖν ἑτέρου γενέσθαι διὰ τὴν ἁμαρτίαν. ἐπεγράφετο γὰρ βασιλέα τὸν σατανᾶν. οὐκοῦν καταβέβηκεν ὁ λόγος ἐξ οὐρανοῦ, τὴν πατρῴαν ὥσπερ καταλελοιπὼς ἑστίαν· τοῦτο γὰρ ἔφην ἀρτίως· καὶ ἦν ὡς ξένος ἐν ἰδίῳ τῷ κόσμῳ· καθάπερ Ἰακὼβ καταλελοιπὼς τὸν πατρῷον οἶκον, πρὸς Λάβαν παρεγένετο. τύπος γὰρ ἦν Χριστοῦ.

β. Καὶ ὁρᾷ· καὶ ἰδοὺ φρέαρ ἐν τῷ πεδίῳ. ἦσαν δὲ ἐκεῖ δύω (1) ποίμνια προβάτων ἀναπαυόμενα ἐπ' αὐτοῦ· ἐκ γὰρ τοῦ φρέατος ἐκείνου ἐπότιζον τὰ ποίμνια· λίθος δὲ ἦν εἷς μέγας ἐπὶ τῷ στόματι τοῦ φρέατος.

* ΚΥΡΙΛΛΟΥ. Ὕδωρ δὴ οὖν τὸ ζωοποιὸν, ὁ θεῖος ἂν εἴη λόγος· πλὴν ἐν βάθει κεῖται πολλῷ, καὶ οὐκ ἂν οἶμαί τις αὐτὸν ἀνιδρωτὶ πορίσαιτό ποτε. οὐ γὰρ ἕτοιμος ἑλεῖν τοῖς ἐθέλουσιν ἁπλῶς. ἐπιπωματίζει δὲ ὥσπερ λίθος αὐτῷ βαρὺς καὶ δυσπαρακόμιστος, ἡ περὶ αὐτὸν ἀσάφεια τῆς ἐν ἡμῖν διανοίας νικῶσα τὸ ἀδρανές. Δ καὶ δὴ δεῖ πόνου καὶ ἱδρῶτος μακροῦ τοῖς τὰ νοητὰ κατανέμουσι θρέμματα πρὸς τὸ ἀπαλλάξαι μὲν τῆς ἀσαφείας τὸν λόγον· ἀρύσασθαί τε οὕτω λοιπὸν, καὶ οἱονείπως ἐκ βάθους εἰς τὸ ἄνωτε καὶ ἐμφανὲς ἐνεγκεῖν, παραθεῖναί τε σαφῶς εἰς ἀπόλαυσιν ζωαρκῆ τοῖς ἐντευξομένοις.

γ. Καὶ συνήγοντο ἐκεῖ πάντα τὰ ποίμνια. καὶ ἀπεκύλιον τὸν λίθον
E ἀπὸ τοῦ στόματος τοῦ φρέατος, καὶ ἐπότιζον τὰ πρόβατα, καὶ ἀπεκαθίστων τὸν λίθον ἐπὶ τὸ στόμα τοῦ φρέα-
δ. τος εἰς τὸν τόπον αὐτοῦ. Εἶπε δὲ πρὸς αὐτοὺς Ἰακὼβ, ἀδελφοὶ πόθεν ἐστὲ ὑμεῖς; οἱ δὲ εἶπαν, ἐκ Χαρρὰν ἐσμέν.

ε. Εἶπε δὲ αὐτοῖς, γινώσκετε Λάβαν τὸν υἱὸν Ναχώρ; οἱ δὲ εἶπαν, γι-
Z νώσκομεν.

ΑΔΗΛΟΥ. Τὸν ἔγγονον, υἱὸν καλεῖ. καὶ γὰρ ὁ Λάβαν, υἱὸς μὲν ἦν τοῦ Βαθουὴλ, ἔγγονος δὲ Ναχώρ.

ϛ. Εἶπε δὲ αὐτοῖς, ὑγιαίνει; οἱ δὲ εἶπαν, ὑγιαίνει. καὶ ἰδοὺ Ῥαχὴλ ἡ θυγάτηρ αὐτοῦ ἤρχετο μετὰ τῶν προβάτων.

H **ζ.** Καὶ εἶπεν Ἰακὼβ, ἔτι ἐστὶν ἡμέρα πολλή· οὔπω ἐστὶν ὥρα συναχθῆναι τὰ

(1) Τρία ἔχουσιν αἱ τῆς Γραφ. ἐκδόσ.

τὰ κλήνη· ποτίσαντες τὰ πρόβατα, ἀπελθόντες βόσκετε.

∗ ΚΥΡΙΛΛΟΥ. Ἀπενοσφίζοντο τοίνυν οἱ Ἀπόστολοι τῆς Ἰουδαίων χώρας, καὶ τὸν ἀλαζόνα καὶ ὑβριστὴν ἀφέντες λαὸν, ἐστρέφοντο εἰς τὰ ἔθνη, κατὰ τὰς τοῦ σωτῆρος ἡμῶν ἐντολάς. ἀλλ' ὅτι ποιμένες εἰσὶ πνευματικοὶ, καὶ παιδαγωγίας τῆς κατὰ Θεὸν ἐπιστήμονες, παραχρῆμα δεικνύουσιν, ἀπρακτεῖν οὐκ ἀνεχόμενοι περὶ τῶν σφίσιν αὐτοῖς ὅτι μάλιστα πρεποδεστάτων. προσκομίζουσι γὰρ εὐθὺς τῆς ἐν Χριστῷ διδασκαλίας τὸν λόγον, καθάπερ ἀμέλει καὶ ὁ θεσπέσιος Ἰακὼβ τοῖς ἀπὸ Χαῤῥὰν ποιμέσιν, ὅτι καὶ αὐτὸς εἴη ποιμὴν ἐναργὲς
» ἐποίει, λέγων· ἔτι ἐστὶν ἡμέρα πολλή· οὔπω
» ὥρα συναχθῆναι τὰ κτήνη, ποτίσαντες, καὶ τὰ ἑξῆς.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Τινὲς τὰ συνελθόντα ποίμνια, ὡς ἂν ἀποκυλισθέντος τοῦ λίθου ποτισθῇ, ἔτι πολλῆς οὔσης ἡμέρας, τὰ ἐπὶ συντελείᾳ ἔθνη φασὶ σωθησόμενα, ἐλθόντα τοῦ δουλεύειν ὑπὸ ζυγὸν ἕνα, κατὰ τὸν Σοφονίαν· ὅτε ὁμονοήσαντες εἰς τὸ καλὸν οἱ ποιμένες, δυναμωθέντες ὑπὸ τῆς ὁμονοίας, ἀποκαλύψαι δυνήσονται τὸ ὁραθὲν ὑπὸ τοῦ Ἰακὼβ φρέαρ· ὃν ὁ Ἰακὼβ πρὸ αὐτῶν, ὁ δηλῶν τὸν Χριστὸν, ἀπεκύλισε, καὶ τὰ πρόβατα τοῦ Λάβαν ἐπότισεν, ὅσον οὐδέπω γεννήσοντα ἐπίσημα τῷ Ἰακώβ. — Σοφον. 3. 9.

η. Οἱ δὲ εἶπαν, οὐ δυνησόμεθα, ἕως τοῦ συναχθῆναι πάντας τοὺς ποιμένας, καὶ ἀποκυλίσουσι τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος, καὶ ποτιοῦμεν τὰ πρόβατα.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Ὁ μέγας λίθος ἐστὶν ὁ τοῦ προσκόμματος. ὃν ἀποκυλίσαι χρεὼν, συναχθέντας ὑπὲρ τοῦ κοινοῦ τοὺς ποιμένας, ἑκάστου τὴν δύναμιν συνεισφέροντος. τοιαῦται τῶν ἐπισκόπων αἱ σύνοδοι περὶ ἐκκλησιαστικῶν ζητήσεων γινόμεναι. τὸν δὲ λίθον μόνος Ἰακὼβ ἀπεκάλυψε, τὸ πάντων ἔργων ἀνύσας.

θ. Ἔτι αὐτοῦ λαλοῦντος αὐτοῖς, καὶ Ῥαχὴλ ἤρχετο μετὰ τῶν προβάτων τοῦ πατρὸς αὐτῆς· αὕτη γὰρ ἔβοσκε τὰ πρόβατα τοῦ πατρὸς αὐτῆς.

∗ ΚΥΡΙΛΛΟΥ. Ἑρμηνεύεται μὲν οὖν Ῥαχὴλ, Θεοῦ πρόβατον. περιθείη δ' ἄν τις αὐτῇ, καὶ μάλα εἰκότως, τῆς ἐξ ἐθνῶν ἐκκλησίας τὸ σχῆμα. αὕτη γάρ ἐστι τὸ Χριστοῦ πρόβατον, τὸ τοῖς ἀρχαιοτέροις ποιμνίοις ἀναμιχθὲν, καὶ ταῖς τοῦ σωτῆρος αὐλαῖς ἐνσεσηκασμένον. τοιγάρτοι καὶ
A„ ἔφασκε· καὶ ἄλλα πρόβατα, καὶ τὰ ἑξῆς. — Ἰωάν. 10. 16.
ἐποίμαινον δὲ καὶ οἱ θεσπέσιοι μαθηταὶ τὴν ἐκκλησίαν Χριστοῦ, ἤτοι τὰ ὑπ' αὐτοῦ νοούμενα λογικὰ θρέμματα, καὶ δὴ καὶ γεγόνασιν αὐτῆς ἐρασταὶ καὶ νυμφαγωγοί.
» παρέστησαν γὰρ αὐτὴν τῷ Χριστῷ παρθέ- — Ἐφεσ. 5. 27.
» νον ἁγνὴν, καὶ τὰ ἑξῆς.

∗∗ ΚΛΗΜΕΝΤΟΣ. Τὴν ἀτυφίαν ἐκ
» διδάσκων, προσεπήγαγεν· αὕτη γὰρ ἔβο-
B» σκε τὰ πρόβατα τοῦ πατρὸς αὐτῆς.

ι. Ἐγένετο δὲ ὡς εἶδεν Ἰακὼβ τὴν Ῥαχὴλ θυγατέρα Λάβαν ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ, [καὶ τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ·] (1) καὶ προσελθὼν Ἰακὼβ, ἀπεκύλισε τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος.

Γ ∗ ΚΥΡΙΛΛΟΥ. Ἀλλ' οἱ μὲν παρ' Ἕλλησι ποιμένες, τουτέστιν οἱ παρ' αὐτοῖς σοφοὶ καὶ λογάδες, πολλοὶ κατὰ πληθὺν συνθέοντες, τῶν περὶ Θεοῦ δογμάτων οἱονεί τ' ἀληθὲς παροχλίζουσι. δοξάζουσι γὰρ οὐκ ὀρθὰ περὶ αὐτοῦ. Θεότητος μὲν ὁμολογοῦντες φύσιν, διανέμοντες δὲ τὴν τῆς Θεότητος δόξαν, οἷς ἂν ἕλοιντο τυχόν. ἐξαρκεῖ δὲ καὶ μόνος εἷς τῶν ἐν Χριστῷ ποιμένων ἀποκινῆσαι τοῦ φρέατος, καίτοι κομιδῇ δυσδιακόμιστον ὄντα τὸν λίθον, τουτέστι τὴν ἐπεῤῥιμμένην ταῖς περὶ Θεοῦ δόξαις ἐπικάλυψίν τε καὶ ἀσάφειαν. ἐναργῆ γὰρ τοῖς ἔθνεσι καθιστάντες τὴν ἀλήθειαν, καὶ τὸν ἕνα τῇ φύσει καὶ ἀληθῶς παραδεικνύντες Θεὸν, οὐ διαλελοίπασιν. Δ

∗ ΠΡΟΚΟΠΙΟΥ. Δείκνυσιν (2) ἡ Γραφὴ, ὅτι οὐ μόνον πλούτου περιουσίαν ἐχορήγει ὁ Θεὸς τοῖς τότε δικαίοις, ἀλλὰ καὶ ῥώμην σώματος καὶ κάλλος, εἰς τὸ παραζηλοῦν τὰ ἔθνη, καὶ ἕλκειν εἰς θεογνωσίαν. E

Καὶ ἐπότισε τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ.

∗ ΚΥΡΙΛΛΟΥ. Ἐνενόει γὰρ κατὰ τὸ εἰκὸς ἤθεσι τοῖς ἀρίστοις ἐντεθραμμένος, ὡς ἦν ἀκαλλέστατον κομιδῇ, παρθένον οὖσαν τὴν Ῥαχὴλ, καὶ ἐν ὥρᾳ γάμου, περιμεῖναι τῶν ποιμένων τὴν ἄθροισιν, ἵνα τοῦ λίθου κεκινημένου, ποτίσῃ τὰ πρόβατα, παραχωροῦσαν πρότερον δηλαδὴ τοῖς ἄλλοις, διά τε τὸ ἄναλκες καὶ τὴν παρθένῳ πρέπουσαν αἰδῶ. ἄλλως τε καὶ νόμος αὐτὸν ἐκάλει φιλοστοργίας, ὅς γε τὸ χρῆναι λοιπὸν τοῖς ἐξ αἵματος καὶ ἀγχιστεῦσιν ἀναφαίνεσθαι χρήσιμον. Z

∗ ΤΟΥ ΑΥΤΟΥ. Γνωρίζεται δὲ καὶ τῇ τοῦ Λάβαν θυγατρὶ, πρωτόλειον ὥσπερ τι καὶ ἀπαρχὴν τῆς εὐνοίας αὐτῷ καλοκάγα- H

(1) Τὰ μεταξὺ τῶν γραμμῶν προσετέθη. κατὰ παραδεδομένην γὰρ τυχὸν οὐ κεῖται ἐν τῷ κωδ. τὸ αὐτὸ δὲ νόει, ὅπου ἂν τὰς γραμμὰς ἴδοις.

(2) Δείκνυσι δὲ μόνος Ἰακὼβ ἀποκυλίσας τὸν λίθον, ὡς οὐ μόνον, κτ. ὁ τῆς Αὐγ. κώδ.

κἀγαθίας ἐπιδιδοὺς τὸ ἀξιῶσαι φροντίδος τὰ ὑπ' αὐτῆς βοσκόμενα, καὶ ποτίσαι τὰ πρόβατα.

ια. Καὶ κατεφίλησεν Ἰακὼβ τὴν Ῥαχήλ· καὶ βοήσας τῇ φωνῇ αὐτοῦ, ἔκλαυσε.

**ΚΥΡΙΛΛΟΥ. Ἀξιέραστον ἡγεῖτο τὴν κόρην. ἐφίλησε γάρ φησι τὴν Ῥαχήλ.

ιβ. Καὶ ἀπήγγειλεν Ἰακὼβ τῇ Ῥαχὴλ, ὅτι ἀδελφὸς τοῦ πατρὸς αὐτῆς ἐστί· καὶ δραμοῦσα, ἀπήγγειλε τῷ πατρὶ αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀνεψιὸς δὲ ὢν ὁ Ἰακὼβ τῆς Ῥαχήλ· εἴπερ ὁ μὲν Ῥεβέκκας υἱὸς, ἡ δὲ τοῦ Λάβαν θυγάτηρ, ἀδελφῶν ὄντων· τὸν Λάβαν θεῖον ὄντα, καλεῖ ἀδελφόν. οὐκοῦν ὅταν λέγῃ καὶ Ἀβραὰμ
Γεν. 20. 12. περὶ Σάῤῥας, ἀδελφή μου ἐστὶν, ἀδελφιδῆν λέγει, θυγατέρα Ἀῤῥάν. οὕτω γὰρ καὶ » τὸ, ἐκ πατρὸς, ἐκληπτέον. Ἀῤῥὰν γὰρ αὐτοῦ ἀδελφὸς, υἱὸς Θάῤῥα. ἀλλ' οὐκ ἐκ μητρὸς, ὥς φασί τινες, ἀδελφὴν αὐτὴν φησιν. οὐδαμοῦ γὰρ Θάῤῥα φαίνεται δευτέραν γαμήσας. πῶς οὖν ἀδελφὴ πατρὸς, καὶ οὐκ ἐκ μητρός; καὶ ὁ Λάβαν δὲ τὸν ἀδελφιδοῦν λέγει ἀδελφόν. καὶ τὸν Λάβαν δὲ υἱὸν Ναχὼρ λέγει, (ὁ Ἰακὼβ) τουτέστιν ἔγγονον. ἦν γὰρ υἱὸς Βαθουὴλ τοῦ Ναχώρ.

ιγ. Ἐγένετο δὲ ὡς ἤκουσε Λάβαν τὸ ὄνομα Ἰακὼβ τοῦ υἱοῦ τῆς ἀδελφῆς αὐτοῦ, ἔδραμεν εἰς συνάντησιν αὐτῷ· καὶ περιλαβὼν αὐτὸν, κατεφίλησε· καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, καὶ διηγήσατο Λάβαν πάντας τοὺς λόγους τούτους.

ΚΥΡΙΛΛΟΥ. Τῆς ἐν πίστει καὶ πνευματικῆς ἑνώσεως σημεῖον τῶν δύο λαῶν τὸ περιπλέκεσθαι τῷ Ἰακὼβ τὸν Λάβαν. διὸ καὶ ὡμολόγησεν, ὅτι ὀστοῦν εἴη, καὶ σὰρξ αὐτοῦ.

ΤΟΥ ΑΥΤΟΥ. Ὥσπερ εἰς ἀνδρὸς εἰδωλολάτρου κατῆρεν ἑστίαν ὁ Μωσῆς, οὕτω καὶ ὁ θεσπέσιος Ἰακώβ. εἰδώλων γὰρ ἔτι προσκυνητὴς ὁ Λάβαν ἦν.

ιδ. Καὶ εἶπεν αὐτῷ Λάβαν, ἐκ τῶν ὀστῶν μου, καὶ ἐκ τῆς σαρκός μου εἶ σύ. καὶ ἦν μετ' αὐτοῦ μῆνα ἡμερῶν.

ΚΥΡΙΛΛΟΥ. Ὅτι δὲ τὴν τοῦ γένους ἀρχὴν, καὶ οἱονεὶ τὰς πρώτας τῆς ῥίζης ἐκβολὰς ἐξ ἐθνῶν ἐσχήκασιν οἱ ἐξ Ἰσραὴλ, καὶ ἐκ τῶν τοῦ Λάβαν συνήσομεν λόγων. ἀνὴρ γὰρ εἰδωλολάτρης κατησπάζετο τὸν

A Ἰακὼβ, σάρκα τε αὐτὸν καὶ ὀστοῦν ἴδιον ἀπεκάλει. κέκληται γὰρ ὁ θεσπέσιος Ἀβραὰμ τὸ πρότερον τεθραμμένος ἐν γῇ Χαλδαίων ἤθεσί τε καὶ νόμοις τοῖς ἑλληνι-
» κοῖς, καὶ σημεῖον ἔλαβε περιτομῆς, σφρα- Ρωμ. 4. 11.
» γῖδα τῆς ἐν ἀκροβυστίᾳ πίστεως, κατὰ τὸ γεγραμμένον. συγγενὴς οὖν ἄρα τοῖς ἐξ ἐθνῶν καὶ ὁ πρωτότοκος Ἰσραήλ· ἀλλὰ καὶ ὁ τῷ νόμῳ (1) διεσαλμένος εἴς γε τὸ ἕτερος εἶναι δοκεῖν. ἀλλ' ἐν Χριστῷ γεγό-
B νασιν ἓν οἱ δύο. περιεῖλε γὰρ τὸ μεσολαβεῖν, καταργήσας τὸν ἐν γράμμασι νόμον, καὶ τὴν διϊστῶσαν περιτομήν.

ιε. Εἶπε δὲ Λάβαν τῷ Ἰακὼβ, ὅτι ἀδελφός μου εἶ, οὐ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι τίς ὁ μισθός σου ἐστί;

** ΚΥΡΙΛΛΟΥ. Οὐκ ἄμισθος ἦν τοῖς
Γ ἁγίοις Ἀποστόλοις ὁ ἐπὶ τοῖς κηρύγμασι πόνος, οὔτε μὴν ἀγέραστος ὁ ἱδρώς. ἔφη
» γὰρ ὁ Λάβαν πρὸς Ἰακὼβ, οὐ δουλεύσεις
» μοι δωρεάν. ἐποιοῦντο δὲ καὶ οἱ θεσπέσιοι μαθηταὶ λαμπρῶν αὐχημάτων ὑπόθεσιν τὴν τῶν πιστευόντων ἐν ἀρχαῖς πληθύν.
» προσεφώνει γοῦν ὁ Παῦλος αὐτοῖς, χαρὰ Φιλιπ. 4. 1.
» καὶ στέφανός μου.

ις. Τῷ δὲ Λάβαν ἦσαν δύο θυ-
Δ γατέρες· ὄνομα τῇ μείζονι, Λεία· καὶ ὄνομα τῇ νεωτέρᾳ, Ῥαχήλ.

ΚΥΡΙΛΛΟΥ. Λάβαν δὲ θυγατέρες ἀνδρὸς εἰδωλολατροῦντος ἔτι, Λεία τε καὶ Ῥαχήλ. κέκληται γὰρ ἐξ ἐθνῶν πρώτη μὲν ἡ τῶν Ἰουδαίων συναγωγή· ῥίζης γὰρ καὶ γένους ἑλληνικοῦ γέγονε καὶ αὐτὸς ὁ θεσπέσιος Ἀβραάμ· δευτέρα δὲ καὶ μετὰ τὴν πρώτην ἡ νεωτέρα, τουτέστιν ἡ ἐκκλη-
E » σία. καὶ οἱ μὲν ὀφθαλμοὶ Λείας, ἀσθενεῖς·
» Ῥαχὴλ δὲ καλὴ τῷ εἴδει, καὶ ὡραία τῇ
» ὄψει σφόδρα.

ιζ. Οἱ δὲ ὀφθαλμοὶ Λείας, ἀσθενεῖς· Ῥαχὴλ δὲ ἦν καλὴ τῷ εἴδει, καὶ ὡραία τῇ ὄψει σφόδρα.

ΚΥΡΙΛΛΟΥ. Περὶ γὰρ τῆς συναγω-
» γῆς ἔφησε Χριστὸς τοῖς Ἀποστόλοις, ἄφε- Ματθ. 15. 14.
Z » τε αὐτοὺς, τυφλοί εἰσιν, ὁδηγοὶ τυφλῶν·
» ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ, ὅτι βλέ- Ματθ. 13. 16.
» πουσι, καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούουσιν. οὐκοῦν τὸ ἀναλγὲς πρὸς θεοπτίαν τῆς Ἰουδαίων συναγωγῆς κατασημαίνοιτο ἂν εἰκότως διὰ τῶν τῆς Λείας ὀφθαλμῶν. τὸ δὲ σοφόν τε καὶ συνετὸν, καὶ τὸ πολὺ λίαν ἐξωραϊσμένον εἰς σύνεσιν τῶν ἐν πίστει, καὶ ἐν Χριστῷ, καὶ μέντοι καὶ τὸ ἐν ἔργοις περιφανὲς διὰ τοῦ τῆς Ῥαχὴλ προανεγράφετο κάλλους.
H καὶ πρὸς μὲν τὴν συναγωγὴν εἴρηται τὸ,
» ἰδοὺ οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου, οὐδὲ ἡ καρδία- Ἱερ. 22. 17.

(1) Καίτοι νόμῳ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 124.

Ἄσμ. 1. 15. σου καλή· πρὸς δὲ τὴν ἐκκλησίαν, οἱ ὀφ-
Ψαλ. 44. 11. θαλμοί σου περιστεραί. ἐπεθύμησε γὰρ τοῦ
» κάλλους αὐτῆς, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν.

ΤΟΥ ΑΥΤΟΥ. Ἀκαλλὴς γὰρ λίαν, καὶ πολὺ νοσοῦσα τὸ ἄῤῥωστον ἡ τῶν Ἰουδαίων
Ἱερ. 5. 21. συναγωγή. ὀφθαλμοὶ γὰρ αὐτοῖς, καὶ οὐ
» βλέπουσι κατὰ τὴν τοῦ Προφήτου, φησὶ, φωνήν. οὔτε γὰρ ἐγνώκασι τὰ Μωσέως, [οὔτε μὴν γεγόνασιν οἷοί τε καταθρεῖν τὰ ἐν αὐτῷ μυστήρια,] δι᾽ ὧν πολυτρόπως ὁ Ἐμμανουὴλ κατεγράφετο. καθαροὶ δὲ ἄγαν οἱ τῆς Ῥαχὴλ ὀφθαλμοί. τεθέαται γὰρ ἡ ἐξ ἐθνῶν ἐκκλησία τὴν δόξαν Χριστοῦ, καὶ ἐν αὐτῷ τὸν πατέρα. κέκληται δὲ πρὸς οἰκείωσιν τοῦ νοητοῦ νυμφίου, τουτέστι Χριστοῦ, μετὰ τὴν πρώτην. ἑρμηνεύεται δὲ, Θεοῦ ποίμνιον, ἡ Ῥαχήλ. ποίμνιον γὰρ τοῦ σωτῆρος ἡ ἐκκλησία. ὃς Ἰουδαίοις μὲν ἔφασκε δι᾽ ἑνὸς τῶν ἁγίων Προ-
Ζαχ. 11. 9. φητῶν, καὶ εἶπα, οὐ ποιμανῶ ὑμᾶς. τὸ
» ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖ-
» πον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα ἐσθιέ-
» τωσαν ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐ-
Ἰωάν. 10. 27. τοῦ· τὰ δὲ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου
» ἀκούει, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ δίδωμι
» αὐτοῖς ζωὴν αἰώνιον. ἔστι μὲν οὖν ποιμὴν ἀγαθὸς, καὶ ἐν πᾶσιν αὐτὸς πρωτεύων, κεχρημάτικε δὲ καὶ πρόβατον, ἐπείτοι γέγονε καθ᾽ ἡμᾶς. καὶ γοῦν καὶ ὁ Πρόδρο-
Ἰωάν. 1. 29. μός φησιν, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων
» τὴν ἁμαρτίαν τοῦ κόσμου.

ιη. Ἠγάπησε δὲ Ἰακὼβ τὴν Ῥαχήλ· καὶ εἶπε, δουλεύσω σοι ἑπτὰ ἔτη περὶ Ῥαχὴλ τῆς θυγατρός σου τῆς νεωτέρας.

ΚΥΡΙΛΛΟΥ. Ἐπεθύμει γὰρ καὶ ὁ Χριστὸς τῆς Ῥαχὴλ ἐν ἀρχαῖς, τουτέστι τῆς ἐξ ἐθνῶν ἐκκλησίας· τὴν δὲ Λείαν ἀπωθεῖτο, τουτέστι τὴν συναγωγήν· ὡς καὶ λέ-
Δευτ. 9. 14. γειν πρὸς τὸν Μωσέα, ἔασόν με, καὶ ἐξα-
» λείψω αὐτοὺς, καὶ τὰ ἑξῆς.

ΤΟΥ ΑΥΤΟΥ. Ῥαχὴλ τὴν νεωτέραν, τουτέστι τὴν ἐξ ἐθνῶν ἐκκλησίαν ἑαυτῷ μνηστεύεται Χριστὸς, καὶ τοῦτο διηνεκῶς· τὸ δὲ, ἑαυτῷ, νοείσθω κατὰ τοιόνδε τινὰ τρόπον. ἐμνηστεύσατο μὲν γὰρ τὴν Ἰουδαίων συναγωγὴν, ἀλλὰ διὰ μεσίτου Μωϋσέως· συνήφθη δὲ ὥσπερ τῇ ἐξ ἐθνῶν ἐκκλησίᾳ, φωναῖς ἰδίαις αὐτὴν εἰς τοῦτο καλῶν, καὶ καθ᾽ ἕνα τῶν ἐπὶ γῆς ὁρώμενος ἄνθρωπος. καλλιεύσε γὰρ τῇ νύμφῃ βοῶ-
Ἄσμ. 2. 14. σῃ, δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν
» μοι τὴν φωνήν σου. ἤκουον μὲν γὰρ καὶ οἱ παλαιοὶ λαλοῦντος αὐτοῦ, πλὴν διὰ Μω-
Ἑβρ. 1. 1. σέως, ἢ Προφητῶν. ἐν ἐσχάτοις δὲ τοῦ
» αἰῶνος καιροῖς αὐτὸς ἡμῖν δι᾽ ἑαυτοῦ λελά-
» ληκεν ὁ υἱὸς, καθὰ καὶ ὁ σοφὸς μεμαρτύρηκε Παῦλος.

ιθ. Εἶπε δὲ Λάβαν, βέλτιον δοῦναί με αὐτὴν σοὶ, ἢ δοῦναί με αὐτὴν ἀνδρὶ ἑτέρῳ· οἴκησον μετ᾽ ἐμοῦ.

A κ. Καὶ ἐδούλευσεν Ἰακὼβ περὶ Ῥαχὴλ ἔτη ἑπτά· καὶ ἦσαν ἐναντίον αὐτοῦ ὡς ἡμέραι ὀλίγαι, παρὰ τὸ ἀγαπᾷν αὐτὸν αὐτήν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅταν γὰρ τρωθῇ τις τῷ πόθῳ τῆς ἀγάπης, οὐδὲν ὁρᾷ τῶν δυσχερῶν, ἀλλ᾽ ἅπερ ἂν ᾖ κινδύνων μεστὰ, καὶ πολλῆς ἑτέρας ταλαιπωρίας, πάντα κοῦφος φέρει, πρὸς ἓν
B ὁρῶν μόνον, ὥστε τὸν οἰκεῖον ἀποπληρῶσαι πόθον.

ΑΔΗΛΟΥ. Οὕτως ὁ ποθῶν τὸν Θεὸν οὐ κάμνει.

κα. Εἶπε δὲ Ἰακὼβ τῷ Λάβαν, ἀπόδος τὴν γυναῖκά μου. πεπλήρωνται γὰρ αἱ ἡμέραι μου, ὅπως εἰσέλθω πρὸς αὐτήν.

Γ ΑΔΗΛΟΥ. Ὡς γυναῖκα καλεῖ ὁ Ἰακὼβ τὴν μνηστευθεῖσαν, μήπω συναφθεὶς αὐτῇ.

κβ. Συνήγαγε δὲ Λάβαν πάντας τοὺς ἄνδρας τοῦ τόπου, καὶ ἐποίησε γάμον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες τὸ παλαιὸν μεθ᾽ ὅσης σεμνότητος τοὺς γάμους ἐπετέλουν; Καὶ μετ᾽ ὀλίγα. Μήπου αὐλοί; μή-
Δ που κύμβαλα; μήπου χορεῖαι σατανικαί;

κγ. Καὶ ἐγένετο ἑσπέρα· καὶ λαβὼν Λάβαν Λείαν τὴν θυγατέρα αὐτοῦ, εἰσήγαγεν αὐτὴν πρὸς Ἰακώβ· καὶ εἰσῆλθε πρὸς αὐτὴν ὁ Ἰακώβ.

ΚΥΡΙΛΛΟΥ. Ἐπεθύμει μὲν τῆς νεωτέρας ἐν ἀρχαῖς, τουτέστι τῆς ἐξ ἐθνῶν ἐκκλησίας, ὁ ἐξ οὐρανοῦ νυμφίος· προει-
E σοικίζεται δὲ ὥσπερ τὴν πρεσβυτέραν οὐκ ἄνευ πόνων, οὐδ᾽ ἀμογητί. δεδούλευκε γὰρ περὶ Λείας ὁ Ἰακώβ. ὅτι δὲ πολλοῖς καὶ μεγάλοις ἐξήρηται πόνοις τῆς Αἰγυπτίων δουλείας ὁ Ἰσραὴλ, οὐκ ἀσυμφανές· ὅλη γὰρ αὐτοῖς πεπολέμηκεν ἡ κτίσις.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἔστι καὶ ἐκ τούτου πολλὰ συνιδεῖν. ἓν μὲν, τοῦ Ἰακὼβ τὸ ἄπλαστον, καὶ ὅπως πάσης πονηρίας ἐκτὸς ὢν, παρεκρούσθη· δεύτερον δὲ, ὅτι μετὰ
Z τοσαύτης εὐκοσμίας ἅπαντα ἐγίνετο, καὶ οὐδαμοῦ λαμπάδες καὶ χορεῖαι καὶ φῶτα τὴν χρείαν ὑπερβαίνοντα, ὡς καὶ τὴν ἀπάτην τοῦ Λάβαν εἰς ἔργον ἐλθεῖν. ἔστι δὲ καὶ τοῦ Λάβαν ἐντεῦθεν καταλαβεῖν τὴν περὶ τὸν Ἰακὼβ φιλοστοργίαν. τοῦτο γὰρ ἐμηχανήσατο, βουλόμενος ἐπὶ πλεῖον κατέχειν παρ᾽ ἑαυτῷ τὸν δίκαιον.

κδ. Ἔδωκε δὲ Λάβαν Λείᾳ τῇ
H θυγατρὶ αὐτοῦ Ζελφὰν τὴν παιδί-
κε. σκην αὐτοῦ, αὐτῇ παιδίσκην. Καὶ
εἶπεν Ἰακὼβ τῷ Λάβαν, τί τοῦτο
ἐποίησάς μοι; οὐ περὶ Ῥαχὴλ ἐδού-
λευσα

λευσα παρὰ σοί; καὶ ἵνα τί παρε-
κς. λογίσω με; Εἶπε δὲ Λάβαν, οὐκ
ἔστιν οὕτως ἐν τῷ τόπῳ ἡμῶν, δοῦναι τὴν
νεωτέραν πρὶν ἢ τὴν πρεσβυτέραν.
κζ. Συντέλεσον οὖν τὰ ἕβδομα ταύτης,
καὶ δώσω σοι καὶ ταύτην ἀντὶ τῆς
ἐργασίας, ἧς ἐργᾷ παρ' ἐμοὶ, ἔτι
ἑπτὰ ἔτη ἕτερα.

κη. Ἐποίησε δὲ Ἰακὼβ οὕτω· καὶ ἀνεπλήρωσε τὰ ἕβδομα ταύτης· καὶ ἔδωκεν αὐτῷ Λάβαν Ῥαχὴλ τὴν θυγατέρα αὐτοῦ γυναῖκα.

ΚΥΡΙΛΛΟΥ. Συντετελεσμένων δὲ τῶν ἑβδόμων τῆς πρεσβυτέρας, ἠγάγετο τὴν Ῥαχὴλ, τουτέστι τὴν νεωτέραν, τὴν καὶ ἐν ἀρχαῖς ποθουμένην. εἰσκέκληται γὰρ δευτέρα μετὰ τὴν πρώτην ἡ ἐξ ἐθνῶν ἐκκλησία, τὸ τοῦ Θεοῦ πρόβατον. ἑρμηνεύεται γὰρ οὕτω καὶ Ῥαχὴλ, καθάπερ ἤδη προεῖπον. ὅτι δὲ κέκμηκε τρόπον τινὰ καὶ ὑπὲρ αὐτῆς ὁ Χριστὸς, παρέδειξε πάλιν ἡμῖν ὁ θεσπέσιος Ἰακὼβ, τὸν ἑπταετῆ χρόνον καὶ ὑπὲρ Ῥαχὴλ ἀνατλάς. εἰ γὰρ ἐνεδέχετο καμεῖν, καίτοι Θεὸν ὄντα κατὰ φύσιν τὸν υἱὸν, πῶς ἂν οὐ γέγονεν ἐν τούτῳ, τὴν Ἡρώδου δίωξιν ὑπομείνας ἐν ἀρχαῖς, τὰς τῶν Φαρισαίων ἐπιβουλὰς, τὰς τῶν ἡγεμόνων συκοφαντίας, τὰ ἐμπτύσματα, τὰ ῥαπίσματα, τὰς κατὰ νώτου πληγὰς, τὴν τῶν στρατιωτῶν παροινίαν, καὶ αὐτὸν ἐπ' ἐσχάτοις τὸν ἐπὶ ξύλου θάνατον.

ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν ἐποιεῖτο σύνοικον ὁ Χριστὸς πρῶτον μὲν τὴν τῶν Ἰουδαίων συναγωγὴν, νυμφαγωγοῦντος Μωσέως, καὶ μεσιτευόντων Ἀγγέλων· ἐπ' ἐκείνῃ δὲ ὥσπερ δευτέραν τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, οἱονεὶ μεσίτου προειλημμένου καὶ ἐπ' αὐτῇ τοῦ μακαρίου Βαπτιστοῦ. τοιγάρτοι καὶ ἔφασκε τὸν νοητὸν τουτονὶ καὶ θεῖον ἡμῖν κα-
Ἰωάν. 3. 29, τασημαίνων γάμον, ὁ ἔχων τὴν νύμφην,
30. νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ; χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. ἔλεος δὲ καὶ πίστις τῇ νύμφῃ τὸ ἕδνον. ἔφη γάρ που διὰ φωνῆς Προφητῶν περὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας ὁ ἄνωθεν ἥκων καὶ ἐξ οὐρανοῦ νυμφίος·
Ὠσ. 2. 19, 20. καὶ μνηστεύσομαί σε ἐμαυτῷ εἰς τὸν αἰῶνα. καὶ μνηστεύσομαί σε ἐν δικαιοσύνῃ, καὶ ἐν κρίμασι, καὶ ἐν ἐλέει, καὶ οἰκτιρμοῖς. καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν πίστει· καὶ ἐπιγνώσῃ τὸν Κύριον.

κθ. Ἔδωκε δὲ Λάβαν Ῥαχὴλ τῇ θυγατρὶ αὐτοῦ Βαλλὰν τὴν παιδίσκην αὐτοῦ, αὐτῇ παιδίσκην.

λ. Καὶ εἰσῆλθε πρὸς Ῥαχὴλ· ἠγάπησε δὲ Ῥαχὴλ μᾶλλον ἢ Λείαν. καὶ ἐδούλευσεν αὐτῷ ἑπτὰ ἔτη ἕτερα.

ΚΥΡΙΛΛΟΥ. Εἴτις ἐκεῖνο λέγοι τῶν τὰ τοιάδε φιλοκρινεῖν εἰωθότων· οὐ γὰρ τῶν ἄγαν ἀπηχεστάτων λελόγισται παρ' ἡμῖν, τὸ δυοῖν εὐθὺς ὁμιλῆσαι γάμοις, καὶ δὴ καὶ γυναίων εἰσοικίσασθαι ξυνωρίδα, καὶ τούτων ἀδελφῶν· πρὸς τοῦτό φαμεν, ὅτι τοῖς ἀρχαιοτέροις ὅλος ἦν ὁ τοῦ βίου σκοπὸς εἰς πολυπαιδίαν· καὶ δὴ καὶ ἐν μοίρᾳ τῆς ἀνωτάτης πασῶν εὐημερίας τὸ χρῆμα λελόγιστο. ἀπήλλακτο δὲ καὶ μώμου παντὸς τὸ οὐχὶ μόναις δυσὶν, ἀλλὰ καὶ πλείοσι συγκατευνάζεσθαι γυναιξὶν, εἰς πληθὺν ἀμέτρητον τὸ γένος ἐκτείνοντας, καὶ γοῦν ἐν εὐλογίας τάξει παρὰ Θεοῦ τὴν τεκνογονίαν ἐδέχοντο.

λα. Ἰδὼν δὲ Κύριος ὁ Θεὸς, ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς· Ῥαχὴλ δὲ ἦν στεῖρα.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τῶν πατριαρχῶν αἱ γυναῖκες στεῖραι; καὶ γὰρ Σάῤῥα στεῖρα, καὶ Ῥεβέκκα, καὶ Ῥαχὴλ, καὶ μέντοι καὶ Λεία. ἰδὼν γάρ φησι Κύριος ὁ Θεὸς, ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς. Τὸ Ἰσραηλιτικὸν συστῆσαι γένος βουληθεὶς ὁ Θεὸς, δείκνυσιν οὐ κατὰ φυσικὴν ἀκολουθίαν, ἀλλὰ κατὰ τὴν τῆς χάριτος φιλοτιμίαν τὴν πολυγονίαν δεξάμενον. ταύτης δέγε τῆς κηδεμονίας ἐκεῖνο τὸ γένος τετύχηκεν, ἐπειδήπερ ὁ δεσπότης Χριστὸς ἐκεῖθεν ἔμελλε κατὰ σάρκα βλαστήσειν.

** ΩΡΙΓΕΝΟΥΣ. Ἀνοίγει μήτραν ἐπὶ ἁγίων γεννήσει. κατὰ δὲ τὸν πνευματικὸν νόμον, ψυχῆς ἀνοίγει μήτραν, ἵνα γεννήσῃ Θεοῦ λόγον ἡ ἐσομένη αὐτοῦ μήτηρ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ ἡ μὲν ἀπὸ τῆς εὐμορφίας τὴν εὔνοιαν ἐπεσπάσατο τοῦ ἀνδρὸς, ἡ δὲ ταύτης ἀπεστερημένη μισεῖσθαι ἐδόκει, ταύτην μὲν διεγείρει πρὸς γονὴν, ἐκείνης δὲ πηροῖ τὴν μήτραν, ἀμφότερα διὰ τὴν οἰκείαν φιλανθρωπίαν οἰκονομῶν· ἵνα καὶ αὕτη διὰ τὰ ἐξ αὐτῆς τικτόμενα σχῇ τινὰ παραμυθίαν, ἐφελκομένη εἰς τὸν περὶ αὐτὴν πόθον τὸν ἄνδρα, κἀκείνη μὴ διὰ τὸ κάλλος καὶ τὴν εὐμορφίαν κατεξανίστα τῆς ἀδελφῆς. καὶ διήνοιξε φησὶ τὴν μήτραν αὐτῆς. μάνθανε ἐντεῦθεν, ὅτι ὁ τῶν ἁπάντων δημιουργός ἐστιν ὁ τὰ πάντα οἰκονομῶν, καὶ τὴν φύσιν αὐτὴν διεγείρων πρὸς γονὴν, καὶ ὅτι οὐδὲν τῆς συνουσίας ὄφελος, μὴ τῆς ἄνωθεν συμμαχίας γενομένης. διὰ γὰρ τοῦτο εἶπεν, ὅτι διήνοιξε τὴν μήτραν αὐτῆς· ἵνα γνῶμεν, ὅτι αὐτὸς ὁ δεσπότης ἠβουλήθη τὴν Λείαν πρὸς τεκνογονίαν διεγεῖραι, ὥστε αὐτῆς τὴν ἀθυμίαν παραμυθήσασθαι. αὐτὸς γάρ ἐστιν ὁ καὶ ἐν τῇ μήτρᾳ διαπλάττων τὰ βρέφη καὶ ζωογονῶν, καθάπερ
καὶ Δαβὶδ φησίν. ἀντελάβου μου ἐκ τῆς Ψαλ. 138. 13.
γαστρὸς μητρός μου. καὶ ὅρα πῶς δείκνυσιν ἡμῖν ἡ θεία Γραφὴ τὸν τῆς φύσεως δημιουργὸν, ἑκάτερα τῇ οἰκείᾳ δυνάμει ἐργαζόμε-

Aa 3

γαζόμενον, καὶ τῆς μὲν τὴν μήτραν διεγείροντα, τῆς δὲ Ῥαχὴλ ἐπέχοντα. A

λβ. Καὶ συνέλαβε Λεία, καὶ ἔτεκεν υἱὸν τῷ Ἰακώβ· ἐκάλεσε δὲ τὸ ὄνομα αὐτοῦ Ῥουβὶμ, λέγουσα, διότι εἶδέ μου Κύριος τὴν ταπείνωσιν, καὶ ἔδωκέ μοι υἱόν· νῦν οὖν ἀγαπήσει με ὁ ἀνήρ μου.

B ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Νῦν ἀγαπήσει με ὁ ἀνήρ μου, τουτέστιν ἀληθῶς καὶ κυρίως. ἢ διὰ τὸ ἀνωτέρω, δύναται μὲν ἠγαπῆσθαι ὑπὸ τοῦ Ἰακὼβ, νομίζειν δὲ μισεῖσθαι ἐκ τοῦ τὴν Ῥαχὴλ μᾶλλον ἀγαπᾶσθαι. ἐκάλεσε δὲ τὸ ὄνομα αὐτοῦ Ῥουβίν. ἐπιτεταμένην ἔχει τὴν ἔμφασιν τοὔνομα καθ' ἱστορίαν. ἑρμηνεύεται γὰρ, ἴδετε υἱόν. τοῦτο γὰρ ὡς πρὸς τοὺς φιλτάτους φησὶ, τουτέστιν ὃν οὐ παρέχει τῷ φιλοῦντι ἡ φιλουμένη, στεῖρα τυγχάνουσα.

Γ ΩΡΙΓΕΝΟΥΣ. Πρώτη γὰρ ἐτέκνωσε τῷ Θεῷ τὴν Ἰουδαίων συναγωγὴν καὶ πλήθει ἡ ἐν χρόνῳ πρεσβυτέρα.

λγ. Καὶ συνέλαβε πάλιν Λεία, καὶ ἔτεκεν υἱὸν τῷ Ἰακὼβ δεύτερον· καὶ εἶπεν, ὅτι ἤκουσε Κύριος ὅτι μισοῦμαι, καὶ προσέδωκέ μοι καὶ τοῦτον. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, Συμεών. Δ

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες πῶς οὐχ ἁπλῶς, οὐδ' ὡς ἔτυχεν, οὐδὲ τὰς ὀνομασίας τοῖς τικτομένοις ἐπετίθει; ἐκάλεσε γὰρ αὐτὸν Συμεὼν, ἐπειδὴ ἤκουσε Κύριος. τοῦτο γὰρ ἑρμηνεύεται τὸ ὄνομα τῇ ἑβραϊκῇ διαλέκτῳ, ὅτι ἠκούσθη.

A λδ. Καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν υἱόν· καὶ εἶπεν, ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου. τέτοκα γὰρ αὐτῷ τρεῖς υἱούς. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, Λευΐ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Δοκεῖ μοι ἐνταῦθα αἰνίττεσθαι, ὅτι καὶ τῶν δύο τεχθέντων, οὐδέπω ἴσχυσεν εἰς τὴν περὶ αὐτὴν διάθεσιν ἐφελκύσασθαι τὸν ἄνδρα, ἀλλ' B ἔτι ὅλως ἦν πρὸς τὴν Ῥαχὴλ νενευκώς. διὰ τοῦτό φησιν, ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου. τάχα, φησὶ, κἂν ἡ προσθήκη τοῦ τρίτου παρασκευάσῃ τὸν ἄνδρα συνοίκως περὶ ἐμὲ διατεθῆναι. ἰδοὺ γὰρ αὐτῷ τέτοκα τρεῖς υἱούς.

λε. Καὶ συλλαβοῦσα, ἔτεκεν υἱόν· καὶ εἶπε, νῦν ἔτι τοῦτο ἐξομολογήσομαι Κυρίῳ. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, Ἰούδαν. καὶ ἔστη τοῦ τίκτειν. Γ

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὸ, ἐξομολογήσομαι, ἐνταῦθα, εὐχαριστήσω καὶ δοξάσω αὐτόν ἐστιν, ὅτι καὶ τέταρτον προσέθηκέ μοι υἱὸν, καὶ τοσαύτην μοι τὴν εὐπορίαν ἐχαρίσατο.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὅρα δὲ ὡς καὶ Ἰσαὰκ ἠγάπα τὸν Ἡσαῦ μᾶλλον ἢ τὸν Ἰακὼβ, καὶ ὅμως ὁ ἔλαττον ἀγαπώμενος, Δ ἔλαβε τὴν εὐλογίαν. ὥσπερ οὖν ἐνταῦθα ἡ μισουμένη γεννᾷ τὸν κληρονόμον τῆς εὐλογίας, Ἰούδαν, ἐξ οὗ ὁ Χριστός. ἵνα δὲ μὴ τῆς ἀγαπωμένης οἱ υἱοὶ πάντων προτιμηθῶσιν, ἐπέσχεν αὐτῆς τὴν κύησιν· ὡς ἂν μὴ μόνον τῷ πρότεροι εἶναι, ἀλλὰ καὶ τῷ πολὺ πρότεροι οἱ τῆς Λείας υἱοὶ, ἀνελλειπῶς ἔχωσι τὰς τιμάς. ταῦτα δὲ ᾠκονομεῖτο μᾶλλον διὰ τὸν Ἰούδαν.

ΚΕΦ. Λ.

α. Ἰδοῦσα δὲ Ῥαχὴλ, ὅτι οὐ τέτοκε τῷ Ἰακώβ· καὶ ἐζήλωσε Λείαν Ῥαχὴλ τὴν ἀδελφὴν αὐτῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν αἱ γυναῖκες ἐζηλοτύπουν ἀλλήλας; Ἀτελεῖς ἦσαν, καὶ δυσσεβοῦς ἀνδρὸς θυγατέρες, τὰ ξόανα Θεοὺς ὀνομάζοντος. τούτου ἕνεκεν νομοθετῶν ὁ Θεὸς, τὸν τοιοῦτον ἀπαγορεύει
Λευ. 18. 18. γάμον. οὐ λήψῃ, γάρ φησι, γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς ἀντίζηλον αὐτῆς.

Καὶ εἶπε τῷ Ἰακώβ, δός μοι τέκνα· εἰ δὲ μὴ, τελευτήσω ἐγώ.

✱✱ ΙΩΣΗΠΟΥ. Τῇ λύπῃ κατὰ κράτος ἁλοῦσα, ἠπείλει ἀναιρήσειν ἑαυτὴν, εἰ μὴ τέκοι. δός μοι γάρ φησι τέκνα· εἰ δὲ μὴ, τελευτήσω ἐγὼ, τουτέστιν ἐμαυτὴν χειρώσομαι.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀπερίσκεπτος ἡ αἴτησις καὶ γυναικώδης, καὶ ψυχῆς ὑπὸ τῆς ζηλοτυπίας πολιορκουμένης. Καὶ μετ' ὀλίγα. Δεινὸν ἡ ζηλοτυπία κακόν. καὶ γὰρ εἰς ἀφροσύνην ἐκπίπτει· ὃ δὴ καὶ αὕτη πέπονθεν. ὁρῶσα γὰρ τῶν τέκνων Z τῆς ἀδελφῆς τὸν χορὸν, καὶ τὴν οἰκείαν ἐρημίαν λογιζομένη, οὐκ ἔφερε τὴν ἐπήρειαν, οὐδὲ κατασχεῖν ἠδυνήθη τοῦ ταράττοντος αὐτὴν λογισμοῦ, ἀλλ' ἐκεῖνα τὰ ἀνοίας μεστὰ φθέγγεται ῥήματα, καί φησι, δός μοι τέκνα· εἰ δὲ μὴ, τελευτήσω ἐγώ. ἴσως εἶδε τοῦ ἀνδρὸς τὸν περὶ αὐτὴν πόθον, καὶ νομίζουσα παρὰ τὴν ἐκείνου αἰτίαν κἀκείνην τοσούτους ἐσχηκέναι παῖδας, καὶ ἑαυτὴν μηδέπω τετοκέναι, φησὶ, δός μοι τέκ- H να. εἶτα φοβῆσαι βουλομένη τὸν ἄνδρα, ἐπάγει, εἰ δὲ μὴ, τελευτήσω ἐγώ.

β. Ἐθυμώθη δὲ Ἰακὼβ τῇ Ῥαχὴλ, καὶ εἶπεν αὐτῇ, μὴ ἀντὶ Θεοῦ ἐγώ-

ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα τοῦ δικαίου τὴν σύνεσιν, ὅπως καὶ εἰς θυμὸν ἐξενεχθεὶς ἐκ τῶν παρ' αὐτῆς ῥηθέντων, μετὰ πολλῆς τῆς σοφίας τὴν πρὸς αὐτὴν ἀπόκρισιν ποιεῖται, μετὰ ἀκριβείας αὐτὴν πάντα διδάσκων, καὶ τὴν αἰτίαν αὐτῇ δήλην ποιῶν, ἵνα μὴ καταλιποῦσα τὸν δεσπότην, παρ' ἑτέρου ζητεῖ, ἅπερ ἐκεῖνος μόνος παρασχεῖν δύναται.

γ. Εἶπε δὲ Ῥαχὴλ τῷ Ἰακώβ, ἰδοὺ
ἡ παιδίσκη μου Βάλλα· εἴσελθε πρὸς αὐτήν· καὶ τέξεται ἐπὶ τῶν γονάτων μου. καὶ τεκνοποιήσομαι κἀγὼ ἐξ αὐτῆς.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι οὐ παλλακὰς παρεῖχον τὰς ἑαυτῶν παιδίσκας, ἀλλὰ γυναῖκας, τεκνοποιούμεναι τὰ ἐξ αὐτῶν. ὅθεν καὶ ἴσα διείλοντο τοῖς γνησίοις.

ΚΥΡΙΛΛΟΥ. Ἐπαπορήσειε δ' ἄν τις δικαίως, πῶς ἂν οἱ ἐκ τῆς δούλης, φημὶ δὴ τῆς Βάλλας βλαστήσαντες, ἐπιγράφοιντο τῇ Ῥαχήλ, καίτοι τῆς ἐξ ἐθνῶν ἐκκλησίας ἀποπληρούσῃ τὸν τύπον. τί οὖν πρὸς τοῦτο φαμέν; Ὅτι γεγόνασιν ἐν ἀρχαῖς οἱ μακάριοι Προφῆται καταριθμούμενοι μὲν ἐν τέκνοις τῆς δουλευούσης Ἱερουσαλήμ, υἱοὶ δὲ τρόπον τινὰ τῆς ἐξ ἐθνῶν ἐκκλησίας. ἐφρόνουν γὰρ τὰ αὐτῆς, ἀναδειχθήσεσθαι λέγοντες, καὶ ἀναλάμψειν κατὰ καιροὺς τὸ Χριστοῦ μυστήριον. οἱ δὲ μετ' ἐκείνους ἔτι πάλιν εἰς δουλείαν γεγεννημένοι, Χριστὸν οὐ προσήκαντο τῆς ἐλευθερίας τὸν χορηγόν. ὅτι δὲ ἀμείνους οἱ πρῶτοι τῶν μετ' αὐτούς, ἀταλαίπωρον ἰδεῖν, Θεοῦ λέγοντος διὰ φω-
Ἡσ. 1. 21. νῆς Ἡσαΐου, πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιὼν πλήρης κρίσεως; ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί.

δ. Καὶ ἔδωκεν αὐτῷ Βάλλαν τὴν
παιδίσκην αὐτῆς αὐτῷ γυναῖκα· καὶ
ε. εἰσῆλθε πρὸς αὐτὴν Ἰακώβ. Καὶ
συνέλαβε Βάλλα ἡ παιδίσκη Ῥαχήλ,
ϛ. καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν. Καὶ εἶπε
Ῥαχήλ, ἔκρινέ μοι ὁ Θεός, καὶ ἐπή-
κουσε τῆς φωνῆς μου, καὶ ἔδωκέ μοι
υἱόν· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐ-
ζ. τοῦ, Δάν. Καὶ συνέλαβεν ἔτι Βάλλα
ἡ παιδίσκη Ῥαχήλ, καὶ ἔτεκεν υἱὸν
η. δεύτερον τῷ Ἰακώβ. Καὶ εἶπε Ῥα-
χήλ, συναντελάβετό μου ὁ Θεός· καὶ
συνανεστράφην τῇ ἀδελφῇ μου, καὶ
ἐδυνάσθην. καὶ ἐκάλεσε τὸ ὄνομα
θ. αὐτοῦ, Νεφθαλείμ. Εἶδε δὲ Λεία,
ὅτι ἔστη τοῦ τίκτειν· καὶ ἔλαβε Ζελφὰν
τὴν παιδίσκην αὐτῆς, καὶ ἔδωκεν αὐ-
τὴν τῷ Ἰακὼβ γυναῖκα· εἰσῆλθε δὲ
ι. πρὸς αὐτὴν Ἰακώβ. Καὶ συνέλαβε
Ζελφὰ ἡ παιδίσκη Λείας, καὶ ἔτε-
κε τῷ Ἰακὼβ υἱόν.

ΘΕΟΔΩΡΙΤΟΥ. Πολλοὶ πρόφασιν ἀκολασίας ποιοῦνται τὸ τέτταρας ἐσχηκέναι γυναῖκας τὸν Ἰακώβ. Τὸν σκοπὸν ἑκάστου τῶν γινομένων ἐξετάζειν προσήκει. οὕτω γὰρ κρίνοντες, εὑρήσομεν καὶ Ἰακὼβ τὸν πατριάρχην μνηστευσάμενον μίαν, (1) ἀπατηθέντα δέ. ὃς καὶ παραυτίκα γοῦν τῆς ἀπάτης αἰσθόμενος, καὶ ἐδυσχέρανε, καὶ τοῦ κηδεστοῦ κατεβόησε. τῇ δὲ Βάλλᾳ οὐ διὰ φιληδονίαν, ἀλλὰ διὰ τὴν τῆς ὁμοζύγου παραμυθίαν ἐμίγη. τῆς γὰρ Ῥαχὴλ ἀνιωμένης διὰ τὴν ἀπαιδίαν, καὶ ἀλογίστως λεγούσης, δός μοι τέκνα. εἰ δὲ μήγε ἀποθανοῦμαι, ἐπέπληξε μὲν εὐσεβῶς ὁ πατριάρχης, καὶ ἔδειξε τὸν τῆς φύσεως ποιητήν, καὶ ὅτι οὐχ ὁ γάμος ἐστὶ παίδων δημιουργός, ἀλλ' ὁ τοῦ γάμου νομοθέτης Θεός. ἔφη γὰρ πρὸς αὐτήν, μὴ ἀντὶ Θεοῦ σοι εἰμὶ ἐγώ, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας; ψυχαγωγῶν δὲ ὅμως αὐτήν, ὑπέσχετο τῆς αἰτήσεως. ᾔτησε δὲ αὐτὸν τῇ παιδίσκῃ μιγῆναι, ἵνα τὸ ἐξ αὐτῆς φυόμενον οἰκεῖον ἀποκαλέσῃ παιδίον. τοῦτο καὶ ἐπὶ τῆς Ζελφᾶς ἐγένετο. πάλιν γὰρ Λεία παυσαμένη τοῦ τίκτειν, ἠντιβόλησεν αὐτὸν εἰς ἐκείνην σπεῖραι τὴν ἄρουραν. ταῦτα φιληδονίαν μὲν οὐδεμίαν αἰνίττεται· τὴν δὲ τοῦ ἀνδρὸς ἐπιείκειαν δείκνυσι, καὶ ὅπως τὰς γυναῖκας θεραπεύειν ἐσπούδαζε. πρὸς δὲ τούτῳ κἀκεῖνο σκοπητέον, ὅτι νόμος οὐδεὶς τηνικαῦτα ἦν ὁ τὴν πολυγαμίαν κωλύων. καὶ ὡς τρισολβίους ὑπελάμβανον τότε τοὺς πολλῶν παίδων γινομένους πατέρας· καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, αἱ θεῖαι μαρτυροῦσιν ἐπαγγελίαι. τῷ γὰρ Ἀβραὰμ ὁ τῶν ὅλων ἔφη Θεός, ἀνάβλεψον εἰς Γεν. 15. 5.
τὸν οὐρανόν, καὶ ἴδε τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. καὶ ἐπήγαγεν· οὕτως ἔσται τὸ σπέρμα σου· καὶ ὡς ἡ ἄμμος ἡ Γεν. 13. 16.
παρὰ τὸ χεῖλος τῆς θαλάσσης, ἥτις οὐκ ἐξαριθμηθήσεται ἀπὸ τοῦ πλήθους. οὐκ ἂν δὲ αὐτῷ ταύτην ἔδωκε τὴν ὑπόσχεσιν, εἰ μὴ τὴν πολυγονίαν μέγιστον ἐνόμιζεν εἶναι ἀγαθόν.

ΚΥΡΙΛΛΟΥ. Ἴδοι δ' ἄν τις καὶ μάλα σαφῶς καὶ ἐξ αὐτῶν, εἰ βούλοιτο, τῶν ὀνομάτων, ὅτι τρόφιμοι μὲν ἐκκλησίας εἶεν ἂν οἱ ἀπὸ τῆς Βάλλας, ἐχθροὶ δὲ μᾶλλον οἱ τῆς Ζελφάς. ἑρμηνεύεται μὲν γὰρ ὁ Δάν, κρίσις· Νεφθαλεὶμ δέ, πλατυσμός. τοῦτο γέγονε τοῖς Προφήταις τὸ κήρυγμα. ὅτι γὰρ ἔμελλεν ὁ Χριστὸς κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ καταψηφίσασθαι μέν, ὡς πλεονεκτήσαντος, καὶ ἀνῃρηκότος ἡμῶν τοῦ σατανᾶ, ἀνασῶσαι δὲ καὶ ἡμᾶς, καὶ

(1) Τὴν Ῥαχὴλ μνηστευσάμενον μόνην, παρὰ γνώμην δὲ συναφθέντα τῇ Λείᾳ. παραυτίκα γοῦν, κτ. ἡ ἐν Χάλ. ἔκδ.

καὶ ἐκ πολλῆς ἄγαν στενοχωρίας εἰς πλα-
τεῖαν ὥσπερ καταστῆσαι καρδίαν, χαλεπὸν
οὐδὲν ἐπιδεῖξαι πάλιν. ὁ μὲν γὰρ Δαβὶδ
ἀνακεκράγει λέγων, ὡς ἐκ προσώπου τῶν
ἐν Χριστῷ, καὶ ἡγιασμένων ἐν πνεύματι·
Ψαλ. 118. 32. ὁδῶν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυ-
2. Κορ. 6. 11, νας τὴν καρδίαν μου· ὁ δὲ σοφώτατος
13, 14. » Παῦλος, ἡ καρδία ἡμῶν πεπλάτυνται. καὶ
» πάλιν, πλατύνεσθε καὶ ὑμεῖς· μὴ γίνεσθε
» ἑτεροζυγοῦντες ἀπίστοις. ὅτι δὲ κρίσις ὀρ-
θὴ καὶ δικαία γέγονε παρὰ Χριστοῦ, σα-
φηνιεῖ δὴ πάλιν ὁ μακάριος Δαβὶδ, τὸ
τῶν πλεονεκτηθέντων πρόσωπον ἑαυτῷ
περιτιθεὶς, καὶ λέγων πρὸς τὸν τῶν ὅλων
Ψαλ. 34. 23. Θεὸν καὶ σωτῆρα Χριστὸν, ἐξεγέρθητι, καὶ
» πρόσχες τῇ κρίσει μου ὁ Θεός μου, καὶ τὰ
ἑξῆς. αὐτός γε μὴν ὁ σωτὴρ ἐναργὲς ἡμῖν
Ἰωάν. 12. 31, καθίστησι τοῦτο λέγων, νῦν κρίσις ἐστὶ τοῦ
32. » κόσμου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκ-
» βληθήσεται· κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς
γῆς, καὶ τὰ ἑξῆς. ὁρᾷς, ὅτι κρίσιν ἡμῖν
ἐσομένην δικαίαν, καὶ καρδίας πλατυσμὸν
οἱ Προφῆται προανεκήρυττον, τὸ ἐπὶ Χρι-
στῷ λαλοῦντες μυστήριον; γεγόνασι τοίνυν
ἐκ Βάλλας Δάν τε καὶ Νεφθαλεὶμ, ὅ ἐστι
κρίσις καὶ πλατυσμός· ἀπὸ δέ γε τῆς Ζελ-
φᾶς, Γὰδ καὶ Ἀσήρ· καὶ διερμηνεύεται
μὲν πειρατήριον ὁ Γάδ· πλοῦτός γε μὴν ὁ
Ἀσήρ. ἆρ' οὖν οὐχὶ τοιοῦτοι γεγόνασιν οἱ τε-
λευταῖοι μετὰ τοὺς πρώτους τῶν Ἰουδαίων
λαοί; ἐξ αὐτῶν γὰρ τοῦτο κατίδοι τὶς ἂν
τῶν κατὰ Χριστοῦ γεγονότων. οἱ μὲν γὰρ
ἐπείραζον αὐτὸν μετὰ τῶν καλουμένων Ἡ-
Ματθ. 22. 16, ρωδιανῶν, λέγοντες, διδάσκαλε οἴδαμεν,
17. » ὅτι ἀληθὴς εἶ, καὶ οὐ μέλλει σοι περὶ οὐδενός.
» οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων,
» ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις.
» ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ; προσήε-
σαν δὲ πειράζοντες, ἵνα παγιδεύσωσιν αὐ-
τόν· οἱ δὲ λημμάτων ἕνεκα, καὶ φιλο-
κερδίας οὐ παρεδέχοντο τὸν υἱόν. ἔφασαν
Ματθ. 21. 38. γὰρ ἐν ἑαυτοῖς οὗτός ἐστιν ὁ κληρονόμος,
» δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ τὰ ἑξῆς.
ὅτι δὲ φιλόπλουτοι ἄγαν οἱ Φαρισαῖοι γε-
γόνασι, καὶ τὸ τῶν Γραμματέων ἀνόσιον
στῖφος, κατίδοι τὶς ἂν τοῖς περὶ αὐτῶν γε-
γραμμένοις τὸν νοῦν ἐνιείς. ὁ μὲν γὰρ Κύ-
ριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀπεμπολῆσαι δεῖν
ἔφασκε τὸν ἐπίγειον πλοῦτον τοὺς τὰ ἄνω
φρονεῖν ᾑρημένους, καὶ διανέμειν τὰ ὄντα
Λουκ. 16. 14. πτωχοῖς. ἤκουον δὲ ταῦτα, φησὶν, οἱ Γραμ-
» ματεῖς καὶ οἱ Φαρισαῖοι φιλάργυροι ὄντες,
» καὶ ἐξεμυκτήριζον αὐτόν.

ια. Καὶ εἶπε Λεία, εὐτύχηκα. καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ, Γάδ.

» ✻✻ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τετύχηκα,
ἀντὶ τοῦ, ἐπέτυχον τοῦ σκοποῦ.

» ✻ ΠΡΟΚΟΠΙΟΥ. Εὐτύχηκα. Ἄλλος
δέ τις (1) φησὶ, μὴ εἰσέλθῃς εἰς οἶκον τοῦ
ἀδελφοῦ σου ἀτυχῶν.

A ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ἡ Γραφὴ μέμ-
νηται τύχης; Ἴδια τῆς Γραφῆς τὰ τοῦ
πνεύματος λόγια, αἱ θεῖαι διατάξεις, τῶν
δυσσεβῶν ἀνθρώπων τὰ ῥήματα· τὰ δὲ
ἄλλα ἱστορικῶς λέγει. χρὴ τοίνυν μὴ μό-
νον προσέχειν τῷ λόγῳ, ἀλλὰ καὶ τῷ προ-
» σώπῳ τοῦ λέγοντος. τὸ τοίνυν εὐτύχηκα,
οὐ τοῦ Ἰακὼβ ἐστὶ ῥῆμα, ἀλλὰ τῆς Λείας,
γυναικὸς, ὡς ἔφην, ἐν δυσσεβείᾳ τραφεί-
σης, καὶ κατὰ βραχὺ τὰ θεῖα παιδευομέ-
B νης. οὕτω καὶ ὁ ταύτης πατὴρ ἔφη τὸ,
» οἰωνισάμην· ἀλλ' ὁ θεῖος ἀπαγορεύει νόμος
τοῖς οἰωνοῖς κεχρῆσθαι. μηδεὶς οὖν τοὺς
τοιούτους λόγους τῆς θείας νομιζέτω Γρα-
φῆς· (2) οὕτω τέθεικεν ὁ θειότατος Μω-
σῆς καὶ τοῦ Φαραὼ τὸν βλάσφημον λόγον,
» οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ Ἐξόδ. 5. 2.
» ἐξαποστέλλω· ἀλλ' οὐ τοῦ θείου πνεύματος
οὗτος ὁ λόγος, ἀλλὰ τοῦ δυσσεβοῦς βασιλέως.
οὕτω πάλιν ἀκούομεν τοῦ Σενναχηρεὶμ λέ-
Γ » γοντος, μή σε ἀπατάτω ὁ Θεός σου, ἐφ' ᾧ Ησ. 37. 10.
» σὺ πέποιθας ἐπ' αὐτῷ, λέγων, ὅτι ῥύσε-
» ται Κύριος τὴν Ἱερουσαλὴμ ἐκ χειρός μου.
ἀλλ' οὐ βλασφημεῖν ἐντεῦθεν μανθάνομεν,
ἀλλὰ βλασφημίας κατηγορεῖν.

ιβ. Καὶ συνέλαβε Ζελφὰ ἡ παιδίσκη Λείας, καὶ ἔτεκεν ἔτι τῷ Ἰακὼβ υἱὸν δεύτερον.

Δ ιγ. Καὶ εἶπε Λεία, μακαρία ἐγὼ, ὅτι μακαρίζουσί με αἱ γυναῖκες. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, Ἀσήρ.

✻✻ ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες καὶ ταύ-
την τοὺς παρὰ τῆς παιδίσκης τεχθέντας
πῶς ᾠκειώσατο, καὶ μακαρίαν ἑαυτὴν εἶ-
ναι λέγει, καὶ μακαρισμοῦ ἀξίαν ἐπὶ τῷ
τόκῳ τῶν παίδων.

E ιδ. Ἐπορεύθη δὲ Ῥουβὶμ ἐν ἡμέρᾳ θερισμοῦ πυρῶν· καὶ εὗρε μῆλα μανδραγορῶν ἐν τῷ ἀγρῷ, καὶ ἤνεγκεν αὐτὰ πρὸς Λείαν τὴν μητέρα αὐτοῦ. εἶπε δὲ Ῥαχὴλ τῇ Λείᾳ τῇ ἀδελφῇ αὐτῆς, δός μοι τῶν μανδραγορῶν τοῦ υἱοῦ σου.

ΚΥΡΙΛΛΟΥ. [Λοιπὸν ἀφηγώμεθα τί-
νος ἂν εἶεν εἰς τύπον οἱ μανδραγόραι διὰ
Z τοῦ πρωτοτόκου Ῥουβὶμ ηὑρημένοι. τί δ' ἂν
βούλοιτο δηλοῦν ἡ εἰς ἄμφω τε καὶ ἐν ἴσῳ
τάχα που διανέμησις· δέδωκε γὰρ ἡ Λεία
τῇ Ῥαχήλ·] τί δὲ πρὸς τούτοις καὶ αὐτὴ
τῶν παίδων ἡ γέννησις ἐν ταῖς τῶν ὀνομά-
των σημασίαις ὠδίνουσα τὸ μυστήριον. Μαν-
δραγόραι τοίνυν φύονται μὲν ἐν ἀγροῖς· εἶ-
δος δὲ τὸ μῆλον αὐτῶν. ὑπνηλὸν δὲ ὅτι τὸ
χρῆμά ἐστι, καὶ βαθεῖ καταμεθύσκον κά-
ρῳ τοὺς μετεσχηκότας, οὐ μακροῦ δεήσειν,
H οἶμαι, πρὸς ἀπόδειξιν λόγου, τὰς τῶν ἀρ-
ρωστού-

(1) Καὶ ἡ παροιμία φησί. ὁ τῆς Αὐγ. κώδ.

(2) Τὰ γὰρ παρὰ τῶν ἐκ δυσσεβῶν εἰρημένα τίθησιν ὁ συγγραφεὺς, ἅτε δὴ Ἱστορίαν συγγράφων. οὕτω, κτ. ἡ ἐν Χάλ. ἔκδ.

ῥωστούντων ἀϋπνίας τῆς τῶν ἰατρῶν ἐμπει-
ρίας νικώσης ἔσθ' ὅτε τῇ τῶν μανδραγορῶν
φυσικῇ ἐνεργείᾳ. οἳ καὶ ὑποφήνειαν ἂν
ἡμῖν αἰνιγματωδῶς τὸ Χριστοῦ μυστήριον,
ὑπνοῦντος τρόπον τινὰ δι' ἡμᾶς, καὶ κα-
θιέντος ἑαυτὸν εἰς θάνατον, εἰ καὶ ἀνεβίω
πάλιν. Θεὸς γὰρ ἦν κατὰ φύσιν, εἰ καὶ
γέγονε σάρξ. ὅπου δὲ ὅλος θάνατος ἐν
ὕπνου τάξει παρειλημμένος, ζητητέον ἐκεῖ
καὶ τὴν εἰς ζωὴν ἀναβίωσιν. ὅλον δὲ
ὥσπερ ἐν τούτοις ἡμῖν τὸ Χριστοῦ μυστήριον.
Καὶ μεθ' ἕτερα. Ὕπνου δὴ οὖν σημεῖον οἱ μαν-
δραγόραι. καὶ τούτους εὑρίσκει πρωτότο-
κος ὢν ὁ Ῥουβίμ, εἶτα διεκόμισε τῇ μητρί·
ἡ δὲ διενείματο πρὸς τὴν ἀδελφήν. πρῶ-
τοι γὰρ οἱ ἐξ Ἰσραὴλ τοῦ πρωτοτόκου κατὰ
τὸν χρόνον νενοήκασί τε καὶ πεπλουτήκασι
τὸ ἐπὶ Χριστοῦ μυστήριον· καὶ δὴ καὶ τῇ ἰδίᾳ
μητρί, φημὶ δὴ τῇ Ἱερουσαλήμ, εὕρημα
λαμπρὸν τῆς ἐνούσης αὐτοῖς ἀγχινοίας
προσκεκομικότες, χαίρειν ἀνέπειθον. πρὸ
γὰρ τῆς ἐξ ἐθνῶν ἐκκλησίας μεμυσταγω-
γήκασιν οἱ θεσπέσιοι μαθηταὶ τοὺς ἀνὰ πᾶ-
σαν τὴν Ἰουδαίαν. εἰ γὰρ καὶ μὴ πάντες
τυχὸν πεπιστεύκασιν, ἀλλ' οὖν (1) ἅπασι
τὸν τοῦ Χριστοῦ ἐκήρυξαν λόγον ἔξειν καὶ
σεσῶσθαι. ὅτι δὲ προειλήφασιν ἐν πίστει
τοὺς ἐξ ἐθνῶν οἱ Ἰουδαῖοι, πρόδηλον δήπου,
καὶ οὐδενὶ τῶν ὄντων ἀσυμφανές.

ιε. Εἶπε δὲ Λεία, οὐχ ἱκανόν σοι
ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς
μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ; εἶπε
δὲ Ῥαχήλ, οὐχ οὕτω· κοιμηθήτω με-
τὰ σοῦ τὴν νύκτα ταύτην ἀντὶ τῶν μαν-
δραγορῶν τοῦ υἱοῦ σου.

ιϛ. Εἰσῆλθε δὲ Ἰακὼβ ἐξ ἀγροῦ
ἑσπέρας· καὶ ἐξῆλθε Λεία εἰς συνάν-
τησιν αὐτῷ· καὶ εἶπε, πρὸς ἐμὲ εἰ-
σελεύσῃ σήμερον· μεμίσθωμαι γάρ
σε ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ μου.
καὶ ἐκοιμήθη μετ' αὐτῆς τὴν νύκτα
ἐκείνην.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Εἰκότως τότε σπεί-
ρει τὸν γεωργὸν Ἰσάχαρ, κατὰ τὴν τοῦ Ἰα-
κὼβ περὶ αὐτοῦ εὐλογίαν.

ιζ. Καὶ ἐπήκουσεν ὁ Θεὸς Λείας·
καὶ συλλαβοῦσα, ἔτεκε τῷ Ἰακὼβ
υἱὸν πέμπτον.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἐπήκουσεν ὁ Θεὸς
Λείας, ἀπαθῶς καὶ διὰ παιδοποιίαν συνιού-
σης τῷ ἀνδρί, ἐφ' ᾧ καὶ ηὔχετο.

ιη. Καὶ εἶπε Λεία, ἔδωκεν ὁ Θεὸς
τὸν μισθόν μου, ἀνθ' οὗ ἔδωκα τὴν παι-
δίσκην μου τῷ ἀνδρί μου. καὶ ἐκάλεσε
τὸ ὄνομα αὐτοῦ, Ἰσάχαρ, ὅ ἐστι μι-
ιθ. σθός. Καὶ συνέλαβεν ἔτι Λεία, καὶ
κ. ἔτεκεν υἱὸν ἕκτον τῷ Ἰακώβ. Καὶ
εἶπε Λεία, δεδώρηταί ὁ Θεός μοι δῶ-
ρον καλὸν ἐν τῷ νῦν καιρῷ· αἱρετιεῖ
με ὁ ἀνήρ μου· τέτοκα γὰρ αὐτῷ
υἱοὺς ἕξ. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ,
Ζαβουλών.

ΚΥΡΙΛΛΟΥ. Λαβοῦσα τοίνυν ἡ Λεία
Β τοὺς μανδραγόρας, δύο τέτοκεν υἱούς, τὸν
Ἰσάχαρ τε καὶ Ζαβουλών. καὶ μισθὸς μὲν
ὁ Ἰσάχαρ ἑρμηνεύεται· ἑτέρως γε μὴν ὁ
Ζαβουλών, εὐόδωμά τε καὶ εὐλογία. ὡς
γὰρ ἔφην, παρὰ τῶν ἁγίων Ἀποστόλων, ὡς
παρὰ τέκνων ἰδίων, ἡ τῶν Ἰουδαίων συνα-
γωγὴ παραδεξαμένη λοιπὸν τὸ Χριστοῦ μυ-
στήριον, μήτηρ ἀνεδείχθη τέκνων τῶν ἐπὶ
μισθῷ τε καὶ εὐλογίᾳ εὐοδουμένων παρὰ Θεῷ.
Καὶ μεθ' ἕτερα. Οὐκοῦν τοὺς ἐπὶ μισθῷ τε καὶ
Γ εὐλογίαις εὐοδουμένους παρὰ Θεῷ τέτοκεν
ἡ Λεία. Ῥαχὴλ δ' ὁμοίως παρ' αὐτῆς λα-
βοῦσα τοὺς μανδραγόρας, τέτοκε τὸν Ἰω-
σήφ. παραδεξαμένη γὰρ ὥσπερ ἡ ἐξ ἐθ-
νῶν ἐκκλησία τὸ τοῦ Χριστοῦ μυστήριον διὰ
τῶν ἁγίων Ἀποστόλων, ὡς ἐξ ὁμαίμου καὶ
ἀδελφῆς τῶν Ἰουδαίων συναγωγῆς, μήτηρ
πέφηνε λαοῦ τοῦ ἐν προσθήκαις ἀεὶ καὶ εἰς
πλῆθος ἰόντος οὐ μετρουμένην. διερμηνεύε-
ται γὰρ Ἰωσήφ, προσθήκη Θεοῦ. προσέ-
Δ θεται δὲ ταῖς ἐξ Ἰσραὴλ ἀγέλαις ἡ ἐξ
ἐθνῶν ἐκκλησία. τοιγάρτοι καὶ ἔφασκεν
» ὁ Χριστός. καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ Ἰωάν. 10. 16.
» ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, καὶ τὰ ἑξῆς.

κα. Καὶ μετὰ τοῦτο ἔτεκε θυγα-
τέρα· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς
Δεῖνα.

κβ. Ἐμνήσθη δὲ ὁ Θεὸς τῆς Ῥα-
Ε χήλ, καὶ ἐπήκουσεν αὐτῆς, καὶ ἀνέῳ-
ξεν αὐτῆς τὴν μήτραν.

ΚΥΡΙΛΛΟΥ. Ὅτι τέξεται, καὶ πολ-
λῶν καὶ ἀναριθμήτων ἔσται τροφὸς ἡ στεῖ-
ρα Ῥαχήλ, τουτέστιν ἡ ἐξ ἐθνῶν ἐκκλησία,
» προανακεκράγει μὲν Ἡσαΐας· εὐφράνθη- Ἡσ. 54. 1.
» τι στεῖρα ἡ οὐ τίκτουσα, καὶ τὰ ἑξῆς· διεσά-
φει δὲ καὶ αὐτὸς ὁ θεσπέσιος Δαβίδ, περὶ
» Θεοῦ λέγων· ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, Ψαλ. 112. 9.
μητέρα, καὶ τὰ ἑξῆς. ἔφη δὲ πρὸς αὐ-
Ζ » τοὺς ὁ τῶν ὅλων Θεός, ἆρον κύκλῳ τοὺς Ἡσ. 49. 18, 12.
» ὀφθαλμούς σου, καὶ ἴδε πάντας· καὶ πά-
» λιν, ἰδοὺ πόῤῥωθεν ἔρχονται οὗτοι ἀπὸ βοῤ-
» ῥᾶ, καὶ οὗτοι ἀπὸ θαλάσσης, ἄλλοι δὲ ἐκ
» γῆς Περσῶν.

κγ. Καὶ συλλαβοῦσα, ἔτεκε τῷ
Ἰακὼβ υἱόν. εἶπε δὲ Ῥαχήλ, ἀφεῖ-
κδ. λεν ὁ Θεός μου τὸ ὄνειδος. Καὶ ἐκά-
Η λεσε τὸ ὄνομα αὐτοῦ Ἰωσήφ, λέγου-
σα, προσθήτω μοι ὁ Θεὸς υἱὸν ἕτερον.

ΚΥΡΙΛ-

(1) Ἀλλ' οὖν μετὰ τὸν ἐπὶ Χριστῷ προσήκουσι λόγον. σέσωσται δὲ τὸ κατάλειμμα κατὰ τὰς Γραφάς. ὅτι δέ, κτ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 136.

ΚΥΡΙΛΛΟΥ. Τέτοκε τοίνυν τὸν Ἰωσὴφ ἡ νεωτέρα Ῥαχὴλ, ἡ καλὴ τῷ εἴδει, καὶ λαμπραῖς ὀμμάτων βολαῖς ἀποστίλβουσα τὸ ἐπίχαρι, καίτοι τῆς Λείας οὐχ ὧδε ἐχούσης.

κε. Ἐγένετο δὲ ὡς ἔτεκε Ῥαχὴλ
τὸν Ἰωσὴφ, εἶπεν Ἰακὼβ τῷ Λάβαν,
ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τό-
κϛ. που μου καὶ εἰς τὴν γῆν μου. Ἀπόδος
τὰς γυναῖκάς μου, καὶ τὰ παιδία,
περὶ ὧν δεδούλευκά σοι, [ἵνα ἀπέλ-
θω· σὺ γὰρ γινώσκεις τὴν δουλείαν,
ἣν δεδούλευκά σοι.]

κζ. Εἶπε δὲ αὐτῷ Λάβαν, εἰ εὗρον
χάριν ἐναντίον σου, οἰωνισάμην ἄν· εὐ-
λόγησε γάρ με ὁ Θεὸς ἐπὶ τῇ σῇ εἰ-
κη. σόδῳ. Καὶ εἶπε, διάστειλον τὸν μι-
σθόν σου πρός με, καὶ δώσω.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ, εἰ εὗρον χάριν, δύναται μὲν κατὰ παράλειψιν τοῦ, μεῖνον σὺν ἐμοί· πρὸς ὃ ἔοικεν ἀποδίδοσθαι τὸ, ἐὰν ποιήσῃς μοι τὸ ῥῆμα τοῦτο, πάλιν ποιμανῶ τὰ πρόβατά σου· δύναται δὲ ἀποδίδοσθαι πρὸς τὸ, διάστειλον τὸν μισθόν σου. τὸ δὲ, εἰ εὗρον χάριν, τουτέστιν εἰ ἀρέσκει σοι τὸ λεγόμενον παρ' ἐμοῦ. μεταξὺ δὲ τὴν αἰτίαν ἀπέδωκε τῆς περὶ τὸν μισθὸν προδοσίας τὸ, οἰωνισάμην ἄν· ὡσεὶ ἔλεγε, καὶ γὰρ ὀφείλω τοσοῦτον εὐλογηθεὶς ἐπὶ σοί. ὡς μὲν οὖν περὶ τὴν πίστιν ἀλλόφυλος, οἰωνίζεται· οὐκ ἔτι γὰρ οἰωνισμὸς ἐν Ἰακώβ· ὡς δὲ ἐκ μέρους ὠφεληθεὶς, τὸ, εὐλόγησε γάρ με φησὶν ὁ Θεός. τῷ μὲν γὰρ μηδὲν ὠφεληθέντι, ἤρκει τὸ, οἰωνισάμην, εἰπεῖν· τῷ δὲ τελείως ὠφεληθέντι, μόνον τὸ, εὐλόγησέ με ὁ Θεός.

** ΩΡΙΓΕΝΟΥΣ. Οὐκ ἔστι μὲν οἰωνισμὸς ἐν Ἰακὼβ, ὁ δὲ Λάβαν φησὶν οἰωνισάμην ἄν, ὡς ἀλλότριος τῆς τοῦ Ἰακὼβ προαιρέσεως. ἧς οὐ τέλεον ἀλλότριος ὤν, προστιθεὶς τῷ, οἰωνισάμην, καὶ τὸ, εὐλόγησε γάρ με ὁ Θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐκ ἀγνοῶ, φησὶν, ὅτι μετὰ τὴν σὴν παρουσίαν πλουσίως ἀπήλαυσα τῆς παρὰ τοῦ Θεοῦ εὐνοίας. ἐπεὶ οὖν αἰσθάνομαι τῆς εὐεργεσίας, ἧς διὰ τὴν σὴν παρουσίαν ἔτυχον, ὃν βούλει μισθὸν πρότεινον, κἀγὼ ἑτοίμως παρέξω.

κθ. Εἶπε δὲ Ἰακὼβ, σὺ γινώσκεις ἃ δεδούλευκά σοι, καὶ ὅσα ἦν κτήνη σου μετ' ἐμοῦ.

λ. Μικρὰ γὰρ ὅσα σοι ἦν ἐναντίον ἐμοῦ· καὶ ηὐξήθη εἰς πλῆθος· καὶ εὐλόγησέ σε Κύριος ἐπὶ τῷ ποδί μου.

ΚΥΡΙΛΛΟΥ. Ἀντὶ τῆς εἰσόδου τὸν πόδα τιθείς. ὁ δὲ Λάβαν, οἰωνισάμην, ἀλλότριος ὢν τῆς πατριαρχικῆς προαιρέσεως, εἰ καὶ μὴ τελείως. εὐλόγησε γάρ με προσέθηκεν ὁ Θεὸς, οὐ πατρικὴν εὐλογίαν, οὐδὲ ἐν τοῖς ἐπουρανίοις, οὐδὲ ἐν Χριστῷ, ἀλλὰ σαρκικήν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλὰ καὶ αὐτὸς ὁ Ἰακὼβ ἔφη τῷ Λάβαν, εὐλόγησέ σε Κύριος ἐπὶ τῷ ποδί μου. Δήλη ἡ τοῦ ῥητοῦ διάνοια. πόδα γὰρ τὴν παρουσίαν ἐκάλεσεν· ἀντὶ τοῦ, διὰ τῆς ἐμῆς παρουσίας, καὶ τῆς ἐμῆς κηδεμονίας τῶν θεοσδότων ἀπήλαυσας ἀγαθῶν. εἰς γὰρ τὴν ἐμὴν εὐσέβειαν ἀφορῶν ὁ Θεὸς, τὰ ἐγχειρισθέντα μοι παρὰ σοῦ, πάσης εὐλογίας ἠξίωσε.

Νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον;

ΚΥΡΙΛΛΟΥ. Τουτέστι πότε τοῖς ἐμαυτοῦ παισὶ τὰ ζωαρκῆ συλλέξαιμι; κεκλήσομαι δὲ καὶ αὐτὸς οἰκοδεσπότης;

ΤΟΥ ΑΥΤΟΥ. Τέτοκεν ἡ Ῥαχὴλ τὸν Ἰωσὴφ, καὶ οἴκου λοιπὸν ἐρᾷ ὁ Ἰακώβ. πότε, γάρ φησι, ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον; τέτοκε μὲν γὰρ ἡ τῶν Ἰουδαίων συναγωγὴ, τουτέστιν ἡ Λεία τοὺς εἰς δουλείαν τὴν ὑπὸ νόμον· ἀλλ' οὔπω Χριστὸς οἶκον ἴδιον ἔχειν ὡμολόγει σαφῶς. οὐ γὰρ ἀπεδέχετο λίαν τὸν ἐκ λίθων ναὸν, ὃν Σολομὼν ἐδείματο. Καὶ μετ' ὀλίγα. Ἀλλ' οὐδὲ οἶκος Θεοῦ γέγονε νοητὸς ὁ Ἰσραήλ. οὐ γὰρ κατῴκησεν ἐν αὐτοῖς. ἐπειδὴ δὲ τέτοκεν ἡ ἐξ ἐθνῶν ἐκκλησία τὸν νέον τε καὶ ἐν προσθήκαις λαὸν, οἶκον ἴδιον λοιπὸν ἑαυτῷ ὁ σωτὴρ κατεσκευάζετο. καὶ τίς δὴ οὗτός ἐστιν; ἡμεῖς οἱ πιστεύσαντες. περὶ ὧν φησὶ, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ τὰ ἑξῆς. Ἱερ. 31. 33.

λα. Καὶ εἶπεν αὐτῷ Λάβαν, τί σοι δώσω; εἶπε δὲ αὐτῷ Ἰακὼβ, οὐ δώσεις μοι οὐθέν· ἐὰν ποιήσῃς μοι τὸ ῥῆμα τοῦτο, πάλιν ποιμανῶ τὰ πρόβατά σου, καὶ φυλάξω.

λβ. Παρελθέτω σήμερον τὰ πρόβατά σου, καὶ διαχώρισον ἐκεῖθεν πᾶν πρόβατον φαιὸν ἐν τοῖς ἄρνασι, καὶ πᾶν διάλευκον καὶ ῥαντὸν ἐν ταῖς αἰξὶν, ἔσται μοι μισθός.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ διαχώρισον ἐκεῖθεν, δὸς ταῦτα, φησὶ, τοῖς υἱοῖς σου νέμειν, ὅσα νῦν ἐστὶ πρόβατα μέλανα, καὶ αἶγες λευκαὶ, ἢ ποικίλαι· καὶ δός μοι τὰ λευκὰ πρόβατα, καὶ τὰς μελαίνας αἶγας. καὶ τὰ γεννώμενα τοῦ λοιποῦ πρόβατα μέλανα ἐκ λευκῶν γονέων τικτόμενα, καὶ αἱ γεννώμεναι αἶγες τοῦ λοιποῦ λευκαὶ, ἢ ποικίλαι, ἐκ μελάνων τῶν γονέων τικτόμεναι, ταῦτα ἔσται μοι πρὸς μισθόν.

* ΤΟΥ ΑΥΤΟΥ. Οὐδὲν ἐνυπόστατον ἔλαβεν Ἰακὼβ ἐν μισθῷ, ἀλλ' ἐλπίδα τοκετοῦ παραδόξου.

ΚΥΡΙΛΛΟΥ. Καὶ τί δὴ τοῦτό ἐστιν; Ἅπερ ἐν ταῖς οἴων τε καὶ αἰγῶν ἀγέλαις τὰ

μονοειδῆ

μονοειδῆ τοῖς τρέφουσιν, αἱρετώτερα· τὰ δὲ ῥαντὰ καὶ κατεστιγμένα τάξιν ἔχει δευτέραν, καὶ οὐκ ἐν ἴσῳ λόγῳ τοῖς ἄλλοις· ἔριον γὰρ ἐν αὐταῖς οὐ μονοειδὲς, ἀλλ' ἐν βραχεῖ παραλλὰξ ἑτερόχρουν τε ἐστὶ καὶ οἱονεὶ πεφυρμένον. δέχεται τοίνυν ἀπὸ τοῦ κόσμου Χριστὸς, οὐχὶ δήπου πάντως τὰ ἐν αὐτῷ τίμια, καὶ ἐν ἀνθρώποις ἀπόλεκτα, [ἀλλ' ὅσα μᾶλλον ἐν αὐτοῖς ἐν ὑφέσει τε εἶναι δοκεῖ, καὶ οὐκ ἐν ἴσῃ δόξῃ. πιστώ-
σεται δὲ τὸν λόγον καὶ ὁ θεσπέσιος Παῦλος
1. Κορ. 1. 26. ἐπιστέλλων τοῖς πεπιστευκόσι.] βλέπετε
» γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοὶ, ὅτι οὐ πολ-
» λοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοὶ,
καὶ τὰ ἑξῆς.

** ΤΟΥ ΑΥΤΟΥ. Νοηθείη δ' ἂν καὶ ἑτέρως, εἴπερ βούλοιτό τις ἐξακριβοῦν τὰ τοιάδε, σποδοειδὲς ῥαντόν. ποικίλον γάρ πως οἱ ἐν Χριστῷ τὸ εὐπρεπὲς ἔχοντες ὡς ἐν ἔργοις τε καὶ λόγοις. τὸ μὲν γὰρ φαιόν τε καὶ μέλαν καταλογισθείη εἰς αἴνιγμα τοῦ κατὰ Χριστὸν μυστηρίου, καὶ τὸν ἐπ' αὐτῷ σκοτεινὸν ἀσυμφανῆ τοῖς πολλοῖς καταγράψοι λόγον. Καὶ μετ' ὀλίγα. Οὐκοῦν τὸ βαθὺ καὶ οἱονεὶ μέλαν τῶν ἐπὶ Χριστοῦ δογμάτων, τὸ φαιὸν ἡμῖν ὑπαινίττεται χρῶμα. τὸ δέ γε λαμπρὸν καὶ οἱονείπερ διαφανὲς, τὸ ὡς ἐν ἔργοις φημὶ τοῖς κατ' εὐσέβειαν παραθήσει τὸ ἕτερον, τουτέστι τὸ λευκόν.

λγ. Καὶ ἐπακούσεταί μου ἡ δικαιοσύνη μου ἐν τῇ ἡμέρᾳ τῇ αὔριον· ὅτι ἐστὶν ὁ μισθός μου ἐνώπιόν σου.

ΚΥΡΙΛΛΟΥ. Ζῶσά ἐστιν ἡ δικαιοσύνη, καὶ ὁ Θεὸς, ἥτις ἐστὶ Χριστός. ἐπακούει δὲ ἐν τῇ μετὰ τὸν αἰῶνα τοῦτον ἡμέρᾳ τῇ αὔριον, ἐν τῇ μισθαποδοσίᾳ, ὅταν ὁ μισθὸς ἑκάστῳ ἀποδιδῶται. (1)

ΤΟΥ ΑΥΤΟΥ. Ταῦτα ἔλεγε βουλόμενος παραστῆσαι, ὅτι ὁ Θεὸς αὐτῷ δίδωσι τὰ ἐν ταῖσδε ταῖς χροιαῖς γινόμενα, οὐδὲ τῶν σπειρόντων, οὐδὲ τῶν τεκουσῶν ἐχόντων τάδε τὰ χρώματα. καὶ τάχα αἰνίττεται ἐν τῷ μυστικῷ τοιοῦτόν τι· ὅτι οἱ ἀπὸ τῶν ἐθνῶν πιστεύσαντες οὐκ ἐκ πατέρων, ὡς ἐπὶ τοῦ πρώτου λαοῦ, ἔχουσι τὸ, ἵν' οὕτως εἴπω καὶ ὀνομάσω, χρῶμα τῆς σωτηρίας· ἀλλ' ἀρκεῖ πρὸς τὸ τοιούτους εἶναι αὐτοὺς ἡ ποιμαντικὴ τοῦ Χριστοῦ καὶ σωτῆρος δύναμις,
Ματθ. 3. 9. τοῦ Θεοῦ, κατὰ τὸ γεγραμμένον, καὶ ἀπὸ λί-
» θων ἐγείραντος σπέρμα τῷ Ἀβραάμ.

Πᾶν ὃ ἐὰν μὴ ᾖ ῥαντὸν καὶ διάλευκον ἐν ταῖς αἰξὶ, καὶ φαιὸν ἐν τοῖς ἄρνασι, κεκλεμμένον ἔσται παρ' ἐμοί.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐὰν δὲ ἀπὸ τῶν γεννωμένων λάβω ἄλλο τι παρὰ τὰ φαιὰ καὶ τὰ διάλευκα, ἔχε με κλέπτην. ἤγουν ἐὰν ἀπὸ τῶν σῶν λευκῶν, ἢ φαιῶν τῶν

A νυν χωριζομένων ἀπόληταί τι, ἐγὼ αὐτὸ κέκλοφα, καὶ ἀποτίσω.

ΑΔΗΛΟΥ. Ὃ λέγει, τοιοῦτόν ἐστι· τὰ σήμερον ῥαντὰ, ἢ λευκὰ, ἢ φαιὰ, ἀποχώρισον ἀφ' ὧν παραλαμβάνω. καὶ ἐὰν οὖν ζητηθῇ μετὰ χρόνον ἐν τοῖς ἀφαιρουμένοις μοι, ζητείσθω παρ' ἐμοῦ, ὡς παρ' ἐμοῦ κλαπέντα.

B λδ. Εἶπε δὲ αὐτῷ Λάβαν, ἔστω κατὰ τὸ ῥῆμά σου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει τοῦ δικαίου τὴν σύνεσιν. ἐπειδὴ ᾔδει ὅσης ἀξιοῦται τῆς ἄνωθεν εὐνοίας, καὶ ἐδόκει κατὰ τὴν τῆς φύσεως ἀκολουθίαν τοῦτο, ἢ δυσχερὲς εἶναι, ἢ καὶ πάντη ἀδύνατον· σπάνιον γὰρ ποτε τοῦτο, ἐνηλλαγμένην εἶναι τὴν χροιὰν τῶν τικτομένων· ταῦτα αἰτεῖται παρ' αὐτοῦ. ὅθεν καὶ ταχέως ἐπέδραμεν
Γ » ὁ Λάβαν τῇ αἰτήσει, καί φησιν, ἔστω κα-
» τὰ τὸ ῥῆμά σου.

λε. Καὶ διέστειλεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοὺς τράγους τοὺς ῥαντοὺς καὶ τοὺς διαλεύκους, καὶ πάσας τὰς αἶγας τὰς ῥαντὰς καὶ τὰς διαλεύκους, καὶ πᾶν ὃ ἦν λευκὸν ἐν αὐτοῖς, καὶ πᾶν ὃ ἦν φαιὸν ἐν τοῖς ἄρνασι, καὶ ἔδωκε διὰ
Δ χειρὸς τῶν υἱῶν αὐτοῦ.

λϛ. Καὶ ἀπέστησεν ὁδὸν τριῶν ἡμερῶν ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον Ἰακώβ. Ἰακὼβ δὲ ἐποίμαινε τὰ πρόβατα Λάβαν τὰ ὑπολειφθέντα.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἰακὼβ δὲ ἐποί-
» μαινε τὰ πρόβατα Λάβαν τὰ ὑπολειφθέν-
τα. ποῖα δὴ ταῦτα; Τὰ μηδεμίαν ἔχοντα ἐν τῇ χροιᾷ διαφοράν. τοῦτο δὲ πᾶν ἐγέ-
E νετο, ἵνα καὶ ὁ δίκαιος διὰ τῶν πραγμάτων μάθῃ τὴν πολλὴν περὶ αὐτὸν κηδεμονίαν. καὶ ὁ Λάβαν ἴδῃ ὅσης ἀπολαύει τῆς ἄνωθεν ῥοπῆς ὁ Ἰακώβ.

λζ. Ἔλαβε δὲ ἑαυτῷ Ἰακὼβ ῥάβδον στυρακίνην χλωρὰν, καὶ καρυΐνην, καὶ πλατάνου· καὶ ἐλέπισεν αὐτὰς Ἰακὼβ λεπίσματα λευκὰ, περισύρων τὸ χλωρόν· ἐφαίνετο δὲ ἐπὶ
Z ταῖς ῥάβδοις τὸ λευκὸν, ὃ ἐλέπισε, ποικίλον.

ΚΥΡΙΛΛΟΥ. Ποιμενικῆς ἐπιστήμης τὸ εἰδέναι, φαμὲν, ὅτι τοῖς ὁρωμένοις τὰ ἐμφερῆ πάντη τε καὶ πάντως ἀποτέκοιεν ἂν ὄϊές τε καὶ αἶγες, καὶ τοῖς τῶν παραπιπτόντων χρώμασι γένοιτ' ἂν ὁμοειδῆ τὰ ἐξ αὐτῶν, ὁποῖα ἂν ἐν καιρῷ τοῦ κισσᾶν θεάσαιντο. ἔοικε δὲ φυσικοῖς τὸ χρῶμα κα-
H τορθοῦσθαι νόμοις. ἄῤῥητα δὲ τὰ τοιαῦτα παντελῶς, καὶ ταῖς ἡμετέραις διανοίαις ἄστιβῆ.

(1) Οὐδὲ τοῦτο, οὐδὲ τὸ ἑξῆς ἐν τοῖς τοῦ Κυρίλ. ἐκδεδομ. εὕρηται.

** ΤΟΥ ΑΥΤΟΥ. Θανάτου μὲν ἡ συρακίνη σημεῖον. ἀρώμασι γὰρ τὸ τεθνηκὸς θεραπεύεσθαι σῶμα. ἀρωμάτων δὲ ἥδιστον ὁ στύραξ. ἀπέθανε δὲ δι' ἡμᾶς ὁ Χριστὸς, καὶ ἐτάφη κατὰ τὰς Γραφάς. καρυΐνη δὲ, ἐγρηγόρσεώς τε καὶ ἀϋπνίας. ἐνεργεῖ γὰρ ἐν ἡμῖν τὰ τοιάδε φύσεως. ἐγήγερται δὲ ὑπὲρ ἡμῶν ὁ Χριστός. οὐ γὰρ γέγονε κάτοχος ταῖς ᾅδου πύλαις, οὔτε μὴν εἰς ἅπαν ἥλω τοῖς τοῦ θανάτου δεσμοῖς. ἡ ἐκ πλατάνου δὲ πάλιν ὑπεμφαίνειν ἔοικε τὸν εἰς ὕψος τε καὶ πρὸς τὰ ἄνω δρόμον, τουτέστι τὴν εἰς οὐρανοὺς ἀνάβασιν τοῦ Χριστοῦ. εὐφυὲς γὰρ τὸ ξύλον, καὶ τῶν ἄγαν εὐμηκεστάτων ἡ πλάτανος. ὑψώθη δὲ παρὰ τοῦ πατρὸς ὁ υἱός.

ΤΟΥ ΑΥΤΟΥ. Εἰ δὲ δὴ βούλοιτό τις, καὶ καθ' ἕτερόν τινα νοῦν ἐκλήψεσθαι τὸ φυτόν. καὶ τίς ὁ τρόπος; οἱ περὶ τὰς ὀνομάτων ἐτυμολογίας περιοπτότεροι, διὰ τὸ ἄγαν εὐρύνεσθαι τῷ ξύλῳ τὸ πέταλον, τὸ φυτὸν πλάτανον ὠνομάσθαι φασι. πλατυνόμεθα δὲ διὰ πίστεως καὶ ἀγάπης μονονουχὶ περιφώτες Χριστῷ. στενὸς γὰρ ὁ νόμος, καὶ τεθλιμμένος ἄγαν τῶν εἰδωλολατρούντων ὁ νοῦς. ὅτι δὲ καὶ ἡ ῥάβδος ἡ καρυΐνη, καθάπερ ἔλεγχος ἔφην, ἀϋπνίας ἐστὶν ἐμποιητικὴ φυσικῶς. μαθήσῃ, λέγοντος τοῦ Θεοῦ πρὸς τὸν προφήτην Ἱε-
Ἱερ. 1. 11, 12. ρεμίαν, τί σὺ ὁρᾷς Ἱερεμία; καὶ εἶπα,
» φησὶ, βακτηρίαν καρυΐνην. καὶ εἶπε πρός-
» με, καλῶς ἑώρακας. διότι ἐγρήγορα ἐγὼ
» ἐπὶ τοὺς λόγους μου τοῦ ποιῆσαι αὐτούς. οὐκοῦν ὡς ἐν εἴδει τῆς ῥάβδου νοούμενος ἑαυτὸν ἡμῖν ὥσπερ παρατίθησιν ὁ Χριστὸς, ὡς τεθνεῶτά τε καὶ ἐγηγερμένον, καὶ εἰς οὐρανοὺς ὑψούμενον, κατευρύνοντά τε διὰ τοῦ πνεύματος τὰς τῶν δεχομένων αὐτὸν καρδίας.

* ΤΟΥ ΑΥΤΟΥ. Περισύρει δὲ ὥσπερ καὶ Χριστὸς τήν τε τοῦ νόμου σκιὰν καὶ προφητικῶν συγγραμμάτων τὸ οἱονεὶ κάλυμμα. λελευκασμένον δὲ οὕτω καὶ εὐκάτοπτον κομιδῇ τὸν ἐν αὐτοῖς ἡμῖν ἀποφαίνων λόγον, ἐπ' ᾠδὴν ἀναφέρει πνευματικήν.

ΩΡΙΓΕΝΟΥΣ. Αἱ τρεῖς ῥάβδοι συμβολικῶς, αἱ τρεῖς δυνάμεις τῆς ψυχῆς εἰσὶν, ἤτοι τὸ τριμερές· εἰ δ' οὖν, τρεῖς θεωρίαι, τῶν σωμάτων, τῶν ἀσωμάτων, τῆς ἁγίας Τριάδος· ἤτοι γενικῶς, ἡ πρακτικὴ, διὰ τῆς καρυΐνης· ἡ θεωρητικὴ, διὰ τῆς στυρακίνης· διὰ [δὲ] τῆς πλατάνου, τὸν κόσμον τοῦτον καὶ τὴν θεωρίαν αὐτοῦ ἠνίξατο. τὸ περισύρειν τὸ χλωρὸν τούτου, τὴν ἀποταξίαν αὐτοῦ σημαίνει. καὶ τῆς μὲν πρακτικῆς τὸ χλωρόν ἐστι τὸ ἡδυπαθές· τῆς δὲ θεωρίας, τὸ περὶ τὰ σώματα ἀσχολεῖσθαι. τὸ δὲ χλωρὸν τῶνδε ἄλλων δύο ἐκδοχῶν βασάνιζε.

λη. Καὶ παρέθηκε τὰς ῥάβδους, ἃς ἐλέπισεν, ἐν τοῖς ληνοῖς τῶν ποτιστηρίων τοῦ ὕδατος· ἵνα ὡς ἂν ἔλθωσι
A τὰ πρόβατα πίνειν, ἐνώπιον τῶν ῥάβδων ἐλθόντων αὐτῶν εἰς τὸ πιεῖν, ἐγκισσήσωσι τὰ πρόβατα εἰς τὰς ῥάβδους.

ΚΥΡΙΛΛΟΥ. Ἀλλὰ ποῦ τὰς ῥάβδους ἐτίθει ὁ Ἰακώβ; Ἐν τοῖς ληνοῖς τῶν ποτιστηρίων. νοοῖντ' ἂν δὲ πάλιν ληνοί τε καὶ ποτιστήρια τῆς λογικῆς ἀγέλης ἡ Μωϋσέως συγγραφὴ, καὶ τὰ προφητικὰ κηρύγμα-
B τα, τὸν ἄνωθεν ἡμῖν καὶ παρὰ Θεοῦ μονονουχὶ βρύοντα λόγον.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν τὰς ῥάβδους λεπίσας, πίνουσι παρέθηκε τοῖς προβάτοις; Ὥσπερ ἠγάγετο μὲν γυναῖκας παιδοποιῆσαι ποθῶν, οὐκ ἐν τῷ γάμῳ δὲ εἶχε τὴν ἐλπίδα τῆς παιδοποιΐας, ἀλλ' ἐν τῷ τοῦ γάμου νομοθέτῃ Θεῷ· οὕτω καὶ τὰς ῥάβδους ἐλέπισεν, οὐ ταύταις θαῤῥῶν, ἀλ-
Γ λὰ τὴν θείαν ἐπικουρίαν προσμένων. ὅθεν καὶ τῆς θείας ἐπιφανείας τετύχηκε, καὶ
» λέγοντος ἤκουσεν· ἀνάβλεψον τοῖς ὀφ- Γεν. 31. 12, 13.
» θαλμοῖς σου, καὶ ἴδε τοὺς τράγους καὶ τοὺς
» κριοὺς ἀναβαίνοντας ἐπὶ τὰς αἶγας, δια-
» λεύκους, καὶ ποικίλους, καὶ σποδοειδεῖς ῥαν-
» τούς. ἑώρακα γὰρ ὅσα σοι Λάβαν ποιεῖ.
» ἐγώ εἰμι ὁ Θεός σου ὁ ὀφθείς σοι ἐν τόπῳ
» Θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔ-
» ξω μοι ἐκεῖ εὐχήν. ἐπειδὴ τὰ φαιὰ καὶ τὰ
Δ ποικίλα τοῖς υἱέσι τοῦ Λάβαν ἐνεχειρίσθη, καὶ τριῶν ἡμερῶν ὁδὸν ἀφεστήκεσαν ἐκεῖναι τούτων αἱ ποίμναι, δείκνυσιν αὐτῷ τῶν ἀδικουμένων ὁ πρόμαχος ποικίλους κριοὺς, καὶ τράγους ὀχεύοντας, ἵνα τῇ πείρᾳ μάθῃ πόσης ἀπολαύουσι προμηθείας οἱ τεθαῤῥηκότες τῷ τῶν ὅλων Θεῷ.

λθ. Καὶ ἐνεκίσσων τὰ πρόβατα εἰς τὰς ῥάβδους· καὶ ἔτικτον τὰ πρό-
E βατα διάλευκα καὶ ποικίλα καὶ σποδοειδῆ ῥαντά.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἔτικτον τὰ
» πρόβατα διάλευκα. ἢ τὰς αἶγας καλεῖ πρόβατα καταχρηστικῶς ἐνταῦθα· τὰ γὰρ ἀπὸ τῶν αἰγῶν λευκὰ συνεφώνησε λαμβάνειν λόγῳ μισθοῦ, οὐ τὰ τῶν προβάτων· ἢ ἕτερον σύμφωνον, ἐναντίον τοῦ πρώτου ὑπαινίττεται ἐνταῦθα γενόμενον· ὥστε τὰ
Z ἀπὸ τῶν μελάνων προβάτων λευκὰ λαμβάνειν τὸν Ἰακὼβ λόγῳ μισθοῦ. θεασάμενος γὰρ ὁ Λάβαν τὰς μελαίνας αἶγας, λευκὰς τικτούσας, καὶ πολὺ κερδαίνοντα τὸν δίκαιον, παρέβη τὸ πρῶτον σύμφωνον, καὶ ἐπὶ τὸ ἐναντίον ἦλθεν· ὥστε ἀπὸ τῶν μελάνων προβάτων λευκὰ λαμβάνειν τὸν Ἰακὼβ λόγῳ μισθοῦ. καὶ τοῦτο μᾶλλον ἀληθές ἐστιν. αὐτὸς γὰρ Ἰακὼβ μετὰ ταῦτα τὸ εὐμετάθετον τῆς γνώμης τοῦ Λάβαν
H » διαβάλλων, φησίν· ἐὰν οὕτως εἴπῃ, τὰ ποι- Γεν. 31. 8.
» κίλα ἔσται σου μισθὸς, καὶ τὰ ἑξῆς.

ΘΕΟΔΩΡΟΥ. Ἐπειδὴ δὲ ἐν τῇ Μεσοποταμίᾳ τὰ λευκὰ ζητεῖται πρόβατα, καὶ αἱ μέλανες αἶγες, ἐν δὲ τῇ Παλαιστίνῃ

τὸ

τὸ ἐναντίον; πρὸς τὸ τῶν πατριαρχῶν συμφέρον οἰκονομεῖται τὰ προειρημένα.

ΕΥΣΕΒΙΟΥ. Τὸ τῶν ῥάβδων οὐ φυσικόν ἐστιν· ἐπεὶ Λάβαν ἐχρήσατο ἂν αὐταῖς. οὕτω δὲ φυσικὸν οὐκ ἔστιν· ὅτι καὶ Ἄγγελος ἐφάνη τῷ Ἰακὼβ, δεικνὺς ὅτι κατ᾽ ἐνέργειαν Θεοῦ τοῦτο γίνεται.

ΑΔΗΛΟΥ. Ἀσυνήθες καὶ ξένον τὸ ἀπὸ τῶν λευκῶν προβάτων μέλανα τίκτεσθαι, ἀμφοτέρων τῶν γονέων ὄντων λευκῶν· ἀλλὰ Θεοῦ βουλομένου καὶ φύσις νικᾶται. Ἰδοὺ δὲ καὶ τύπος τῆς κλήσεως τῶν ἐθνῶν. οἱ γὰρ ἄπιστοι πιστοὶ ἐγένοντο κατὰ τὸ γε-
Ματθ. 3. 9. » γραμμένον, ὅτι ἐκ τῶν λίθων τούτων σπέρ-
» μα τῷ Ἀβραὰμ ἐγείρεται.

ΑΔΗΛΟΥ. Ἐπειδὴ πίστει ἐμηχανήσα-
» το τὰς ῥάβδους, εἰπὼν, καὶ ἐπακούσεταί
» μου ἡ δικαιοσύνη μου, ἔδειξεν αὐτῷ ὁ Θεὸς, ὅτι ἐπήκουσεν αὐτοῦ, καὶ ἀπεδέξατο αὐτοῦ τὴν πίστιν.

μ. Τοὺς δὲ ἀμνοὺς διέστειλεν Ἰακώβ· καὶ ἔστησεν ἐναντίον τῶν προβάτων κριὸν διάλευκον, καὶ πᾶν ποικίλον ἐν τοῖς ἀμνοῖς· καὶ διεχώρισεν ἑαυτῷ ποίμνια καθ᾽ ἑαυτὸν, καὶ οὐκ ἔμιξεν αὐτὰ εἰς τὰ πρόβατα Λάβαν.

» ** ΚΥΡΙΛΛΟΥ. Ἐποίησε, φησὶν, Ἰα-
» κὼβ ἑαυτῷ ποίμνια κατὰ μόνας, καὶ οὐκ
» ἔμιξεν αὐτὰ εἰς τὰ πρόβατα Λάβαν. ἀσύμβατον γὰρ τῷ ἁγίῳ τὸ βέβηλον, τῷ καθαρῷ τὸ ῥυπαρόν. κατὰ μόνας δὲ οἱ τοῦ Χριστοῦ, τὸ συναναφύρεσθαι τοῖς ἐν κόσμῳ παραιτούμενοι, καὶ φιλοσαρκίας ἁπάσης ἀπηλλαγμένοι, καὶ οὐκ ἄσημοι κατὰ τὸν βίον, γνωριμώτατοι δὲ μᾶλλον ἐξ ἀρετῆς.
» ἐγένετο γάρ φησι τὰ ἄσημα τοῦ Λάβαν,
» τὰ δὲ ἐπίσημα τοῦ Ἰακώβ.

μα. Ἐγένετο δὲ ἐν τῷ καιρῷ ᾧ ἐνεκίσσων τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα, ἔθηκεν Ἰακὼβ τὰς ῥάβδους ἐναντίον τῶν προβάτων ἐν τοῖς ληνοῖς, τοῦ ἐγκισσῆσαι αὐτὰ κατὰ τὰς ῥάβδους.

Α **μβ.** Ἡνίκα δ᾽ ἂν ἔτεκε τὰ πρόβατα, οὐκ ἐτίθει. ἐγένετο δὲ τὰ μὲν ἄσημα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα τοῦ Ἰακώβ.

** ΩΡΙΓΕΝΟΥΣ. Πάντα ταῦτα τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ δι᾽ ἡμᾶς, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε· παρ᾽ οἷς τὰ ποικίλα ἤδη ἐπίσημα γινόμενα, τῷ λόγῳ τοῦ Θεοῦ πολιτεύεται,
Β δοθέντα κλῆσις τῶν τροπικῶς καλουμένων Ἰακώβ. ἀπὸ γὰρ τῶν ἐθνῶν οἱ εἰς αὐτὸν πιστεύοντες ἐδηλοῦντο διὰ τῶν ἀναγεγραμμένων περὶ Λάβαν καὶ Ἰακώβ.

μγ. Καὶ ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα σφόδρα· καὶ ἐγένετο αὐτῷ κτήνη πολλὰ, καὶ βόες, καὶ παῖδες, καὶ παιδίσκαι, κάμηλοι, καὶ ὄνοι.

Γ * ΚΥΡΙΛΛΟΥ. Ὁρᾷς συναγείροντα τὸν Χριστὸν ἐκ παντὸς γένους, κατὰ τὸ γε-
» γραμμένον. ὁμοία γάρ ἐστιν ἡ βασιλεία Ματθ. 13. 47.
» τῶν οὐρανῶν, φησὶ, σαγήνῃ βληθείσῃ εἰς
» τὴν θάλασσαν, καὶ ἐκ παντὸς γένους συ-
» ναγαγούσῃ. δέχεται γὰρ τὸν δοῦλον, ἵνα τοῖς εἰς ἐλευθερίαν αὐχήμασιν ἀποφήνῃ λαμπρόν· δέχεται τοὺς ὑπὸ νόμον, ὡς ἱεροὺς ἤδη καὶ εἰς θυσίαν ἐπιτηδείους τὴν πνευματικὴν, ὡς ἐν αἰγὸς (1) τάξει τε καὶ
Δ βοὸς, ἵνα μεταστήσας εἰς φαιδρότητα πολιτείας εὐαγγελικῆς, ἱερωτέρους ἐργάσηται· δέχεται πρὸς τούτοις καὶ τὸ ἀνίερόν τε καὶ ἀκάθαρτον γένος, ὡς ἐν τάξει καμήλου, καὶ μέντοι καὶ ὄνου, ἵνα τῆς πολυθέου πλάνης τὸν ῥύπον ἐκτήξας, καθαρούς τε καὶ ἡγνισμένους τοῖς τῶν ἁγίων συνάψῃ χοροῖς, ψευδοεποῦσιν οὐδαμῶς. ἀληθὴς γὰρ ὁ λόγος. συνεκόμισε γὰρ ἅπαντας εἰς ἑαυτὸν τοὺς ἐν κόσμῳ Χριστὸς, ἐνοι-
Ε κισάμενός τε ταῖς ἰδίαις αὐλαῖς τὰς τῶν πιστευόντων ἀγέλας, πλοῦτον ἔχει τὸν θεοπρεπῆ.

** ΠΡΟΚΟΠΙΟΥ. Ὁ ἐξ ἐπισήμου πλοῦτος, οἷος ἦν ὁ τοῦ Ἰακὼβ, ἀληθινός ἐστι πλοῦτος· ὁ δὲ ἐξ ἀσήμου, οἷος ἦν ὁ τοῦ Λάβαν, κἂν πάνυ πολὺς ᾖ, οὐ κυρίως ἐστὶ πλοῦτος.

ΚΕΦ. ΛΑ.

α. Ἤκουσε δὲ Ἰακὼβ τὰ ῥήματα τῶν υἱῶν Λάβαν, λεγόντων, εἴληφεν Ἰακὼβ πάντα τὰ τοῦ πατρὸς ἡμῶν, καὶ ἐκ τοῦ πατρὸς ἡμῶν πεποίηκε πᾶσαν τὴν δόξαν.

* ΚΥΡΙΛΛΟΥ. Πεπλούτηκε μὲν γὰρ ἀληθῶς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἰς πληθὺν ἀμέτρητον, συναγείρων ἐν κόσμῳ τοὺς ἰδίους προσκυνητάς. οἳ καὶ διανοίας ἀγαθῆς ἀνάθημα λαμπρὸν τῆς ὑπ᾽ αὐτὸν ὁμολογίας ποιοῦνται τὴν ὁμολογίαν, λέ-
» γοντες, ἡμεῖς δὲ λαὸς νομῆς αὐτοῦ, καὶ Ψαλ. 94. 7.
» πρόβατα χειρὸς αὐτοῦ. ἀλλ᾽ ἠρεμεῖν ἐπὶ τούτοις οὐκ ἀνέχονται τὰ τοῦ κόσμου τέκνα· σεσυλημένον δὲ ὥσπερ τὸν ἑαυτῶν ὁρῶντα
Η πατέρα, καὶ τὴν τοῦ ἀγαθοῦ ποιμένος ὑποτρέχοντα χεῖρα τὰ τῶν προβάτων ἐπισημότατα· καὶ ποικιλλομένους ταῖς πολυει-

 δέσιν

(1) Οἷος τάξει. ἐν Τόμ. 1. μέρ. 1. σελ. 152.

δέσιν ἀρεταῖς τοὺς ὑπὸ Χριστοῦ γεννωμένους,
» τονθορύζουσι, λέγοντες, εἴληφεν Ἰακὼβ
» πάντα τὰ πρόβατα τοῦ πατρὸς ἡμῶν, καὶ
» ἐκ τῶν τοῦ πατρὸς ἡμῶν πεπλούτηκε πᾶ-
» σαν τὴν χώραν (1) ταύτην.

β. Καὶ εἶδεν Ἰακὼβ τὸ πρόσωπον τοῦ Λάβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτὸν, ὡς χθὲς καὶ τρίτην ἡμέραν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ εὐχαριστήσας τῷ δεσπότῃ, ὅτι διὰ τὴν τοῦ δικαίου παρουσίαν αὐξηθῆναι αὐτοῦ τὴν περιουσίαν πεποίηκε, νῦν παρατρέπεις τὴν διάνοιαν ὑπὸ τῶν παίδων, καὶ εἰς βασκανίαν ἐξαφθεὶς, ἴσως ἐπειδὴ ἑώρα ἐν πολλῇ περιουσίᾳ τὸν δίκαιον τυγχάνοντα, οὐχ ὁμοίως αὐτῷ προσφέρεσθαι ἐβούλετο.

γ. Εἶπε δὲ Κύριος πρὸς Ἰακὼβ, ἀποστρέφου εἰς τὴν γῆν τοῦ πατρός σου, καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ.

ΑΔΗΛΟΥ. Ὅτε ἐκαρποφόρησεν Ἰακὼβ, καὶ ἐπλούτησεν ἔξω τῆς γενεᾶς αὐ-
» τοῦ ὤν, τότε εἶπεν αὐτῷ ὁ Θεὸς, ἀποστρέφου. τοιούτους δήμοι νόει καὶ τοὺς ἐν ἀρεταῖς πλουτοῦντας.

** ΠΡΟΚΟΠΙΟΥ. Πλουτῶν δέ τις ἐνταῦθα κατὰ Θεὸν, ἔξω τῆς γενεᾶς αὐτοῦ ὑπάρχων, ἀκούσεται πρὸς τῇ ἐξόδῳ, ἀπο-
» στρέφου εἰς τὴν γῆν τοῦ πατρός σου.

δ. Ἀποστείλας δὲ Ἰακὼβ, ἐκάλεσε Λείαν, καὶ Ῥαχὴλ εἰς τὸ πεδίον
ε. οὗ τὰ ποίμνια. Καὶ εἶπεν αὐταῖς, ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν, ὅτι οὐκ ἔστι πρὸς ἐμοῦ, ὡς χθὲς καὶ τρίτην ἡμέραν· ὁ δὲ Θεὸς τοῦ πα-
ϛ. τρός μου ἦν μετ' ἐμοῦ. Καὶ αὐταὶ δὲ οἴδατε, ὅτι ἐν πάσῃ τῇ ἰσχύει μου δεδούλευκα τῷ πατρὶ ὑμῶν.

ζ. Ὁ δὲ πατὴρ ὑμῶν παρεκρούσατό με, καὶ ἤλλαξε τὸν μισθόν μου τῶν δέκα ἀμνῶν· καὶ οὐκ ἔδωκεν αὐτῷ ὁ Θεὸς κακοποιῆσαί με.

» * ΩΡΙΓΕΝΟΥΣ. Ἀκύλας, δέκα ἀριθ-
» μοὺς, [εἴρηκε] Σύμμαχος, δεκάκις ἀριθμῷ. ἔλεγεν οὖν, [ὥς φησιν] ὁ Ἑβραῖος δεκάκις ἠθέτηκε τὰς πρὸς τὸν Ἰακὼβ συνθήκας [ὁ Λάβαν,] διὰ τὸ τὰ γεννώμενα ἐπ' ὀνόματι τοῦ Ἰακὼβ [πλεῖστα ὅσα ὑπάρχειν, κἀκεῖνον ἐποφθαλμιᾷν αὐτόν.
» ὅπερ ἐδήλωσαν αἱ δύω ἐκδόσεις. καὶ πα-
» ρελογίσω τὸν μισθόν μου δέκα ἀμνάδας·]
» ἀμνῶν δὲ ὅλως οὐκ ἔχει [μνήμην,] οὓς συ-
» νέθετό μοι δοῦναι. καίπερ οὐδαμοῦ φαίνεται, ὅτι συνέθετο. ἀλλ' ἀφ' ὧν αὐτὸς λέγει φανερόν ἐστιν. [ὥσπερ γὰρ ἀποκτείνοντα τὸν Λάμεχ οὐκ εἰσάγει, ἐκζητούμενον

A δὲ, ὡς ἀπὸ τῆς ἐξηγήσεως εἶναι φανερὸν καὶ τὸ γενόμενον· οὕτω καὶ ἐνταῦθα.] πολλάκις οὖν ἡ Γραφὴ ἃ ἐν τῷ πράττεσθαι οὐκ ἐξηγήσατο, διά τινος ἐξηγουμένου ἐδήλωσε.

ΑΔΗΛΟΥ. Ἰακὼβ ταῖς γυναιξὶν αὐτοῦ
» λέγει περὶ τοῦ Λάβαν, καὶ ἤλλαξε τὸν μισ-
» θόν μου τῶν δέκα ἀμνῶν. ὁ δὲ Σύρος ἔχει,
» καὶ ἤλλαξε τὸν μισθόν μου δεκάκις ἀριθμῷ,
ἀντὶ τοῦ πολλάκις με ἠθέτησε, καὶ ἐν τῷ
B γάμῳ, καὶ ἐν τῇ προτάσει περὶ τῶν τικτομένων προβάτων. οὐ γὰρ δὴ δέκα προβάτων μισθὸς ἦν αὐτῷ ἀντὶ τῶν τοσούτων καμάτων. ὅτι δὲ τὰς συνεχεῖς αὐτοῦ μεταβολὰς διαβάλλει, τὰ ἑξῆς δείκνυσι. λέγει
» γὰρ, ἐὰν οὕτως εἴπῃ, τὰ ποικίλα ἔσται σοι
» μισθὸς, καὶ τέξεται πάντα τὰ πρόβατα
» ποικίλα· ἐὰν δὲ εἴπῃ, τὰ λευκὰ ἔσται σοι
» μισθὸς, καὶ τέξεται πάντα τὰ πρόβατα
» λευκά. δῆλον, ὅτι οὐχ ἵστατο ἐπὶ τῆς αὐ-
Γ τῆς γνώμης.

ΕΥΣΕΒΙΟΥ. Ἀντὶ τῶν δέκα ἀμνῶν ὁ
» Σύρος λέγει, καὶ ἤλλαξε τὸν μισθόν μου δεκάκις, ἀντὶ τοῦ πολλάκις. εἶπε γὰρ, ὅτι ἐὰν γεννήσῃ ποικίλα καὶ φαιὰ, ἔσται σά. ἰδὼν δὲ, ὅτι ἐπληθύνθησαν, πάλιν λέγει, ὅτι ἐὰν γεννήσῃ λευκὰ, ἔσται σά. δεκάκις οὖν ἤλλαξε τὸν μισθόν μου· ὁ δὲ Ἀκύλας, ἀριθμοὺς εἴρηκε.

Δ η. Ἐὰν οὕτως εἴπῃ, τὰ ποικίλα ἔσται σου μισθός· καὶ τέξεται πάντα τὰ πρόβατα ποικίλα. ἐὰν δὲ εἴπῃ, τὰ λευκὰ ἔσται σοι μισθός· καὶ τέξε-
θ. ται πάντα τὰ πρόβατα λευκά. Καὶ ἀφείλετο ὁ Θεὸς πάντα τὰ κτήνη τοῦ πατρὸς ὑμῶν, καὶ ἔδωκέ μοι αὐτά.
ι. Καὶ ἐγένετο ἡνίκα ἐνεκίσσων τὰ πρό-
E βατα ἐν γαστρὶ λαμβάνοντα· καὶ εἶδον τοῖς ὀφθαλμοῖς μου αὐτὰ ἐν τῷ ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀναβαίνοντες ἦσαν ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας, διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί.

ια. Καὶ εἶπέ μοι ὁ Ἄγγελος τοῦ Θεοῦ καθ' ὕπνον, Ἰακὼβ, Ἰακώβ. ἐγὼ δὲ εἶπα, τί ἐστι;

Z ΑΔΗΛΟΥ. Ὁρᾷς, ὅτι Ἄγγελον ἐνταῦθα τὸν τῆς μεγάλης βουλῆς λέγει; οὗτος ὁ τὴν κλίμακα τῆς ἐξ οὐρανῶν καθόδου αὐτοῦ σύμβολον διδοὺς, αὐτὸς καὶ ὁ μετ' αὐτοῦ παλαίσας.

ιβ. Καὶ εἶπεν, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διαλεύκους καὶ
H ποικίλους καὶ σποδοειδεῖς ῥαντούς· ἑώρακα γὰρ ὅσα σοι Λάβαν ποιεῖ.

ΧΡΥΣΟ-

(1) Πεποίηκε πᾶσαν τὴν δόξαν ταύτην. ἐν Τόμ. 1. μέρ. 1. σελ. 151.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐντεῦθεν μανθάνομεν, ὅτι ἐπειδὰν ἀδικούμενοι παρ' οὑτινοσοῦν, ἐπιεικῶς καὶ πρᾴως ἐνέγκωμεν, μείζονος καὶ δαψιλεστέρας ἀπολαύωμεν τῆς ἄνωθεν συμμαχίας.

ιγ. Ἐγὼ δὲ εἰμὶ ὁ Θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ Θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω μοι εὐχὴν ἐκεῖ. νῦν οὖν ἀνάστηθι, καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης, καὶ ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπισημήνασθαι δὲ προσήκει, ὡς Ἄγγελον εἰρηκὼς τὸν ἄνω „ ὀφθέντα, ἔδειξε τὸν αὐτὸν καὶ Θεόν. ἐγὼ „ γάρ εἰμι, φησὶν, ὁ Θεός σου ὁ ὀφθείς σοι „ ἐν τῇ ὁδῷ. εἶδε δὲ Ἀγγέλους μὲν ἀνιόντας καὶ κατιόντας διὰ τῆς κλίμακος, τὸν δὲ Κύριον ἄνω ἐστηριγμένον. τοῦτον δὲ ἐνταῦθα καὶ Ἄγγελον ὠνόμασε, καὶ Θεόν. Θεὸν μὲν, ὡς τοῦτο τὴν φύσιν ὄντα· Ἄγγελον δὲ, ἵνα γνῶμεν, ὡς οὐχ ὁ πατήρ ἐστιν ὁ ὀφθεὶς, ἀλλ' ὁ μονογενὴς υἱός. τίνος γὰρ Ἄγγελος ὁ πατήρ; ὁ δὲ υἱὸς καὶ Θεὸς, καὶ μεγάλης βουλῆς Ἄγγελος. αὐτὸς γὰρ ἡμῖν ἀπήγγειλε τοῦ πατρὸς τὰ μυστήρια.
Ἰωάν. 15. 15. ἃ γὰρ ἤκουσα, φησὶ, παρὰ τοῦ πατρός μου, „ ἐγνώρισα ὑμῖν. οὕτω τὸν κεκληκότα τὸν Ἀβραὰμ Ἄγγελον ὠνόμασε καὶ Θεόν.

„ ΑΔΗΛΟΥ. Ὁ Ἄγγελος τοῦ Θεοῦ ἐγώ „ εἰμι, φησὶν ὁ Θεὸς, ὁ ὀφθείς σοι ἐν τόπῳ „ Θεοῦ, οὗ ἤλειψάς μοι. ἀληθεύων λέγει· Θεὸς γάρ ἐστιν ὁ σωτήρ· ὁ δὲ Ἰακὼβ ηὔξατο, καὶ στήλην ἤλειψεν ἐν τοῖς ἀνωτέρω·
Γεν. 28. 13. ὅς τις αὐτῷ καὶ εἶπεν, ἐγὼ Κύριος ὁ Θεὸς τοῦ „ πατρός σου Ἀβραὰμ, καὶ Ἰσαάκ. σοὶ δώσω „ τὴν γῆν ταύτην, καὶ τῷ σπέρματί σου.

ιδ. Καὶ ἀποκριθεῖσαι Ῥαχὴλ καὶ Λεία, εἶπον αὐτῷ, μὴ ἔστιν ἡμῖν ἔτι μερὶς, ἢ κλῆρος ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν;

ιε. Οὐχ ὡς ἀλλότριαι λελογίσμεθα αὐτῷ; πέπρακε γὰρ ἡμᾶς, καὶ κατέφαγε καταβρώσει τὸ ἀργύριον ἡμῶν.

ΑΔΗΛΟΥ. Πέπρακε γὰρ ἡμᾶς τῇ ἐκμισθώσει τῆς ἐργασίας τῶν δεκατεσσάρων ἐτῶν.

ιϛ. Πάντα τὸν πλοῦτον καὶ τὴν δόξαν ἣν ἀφείλετο ὁ Θεὸς τοῦ πατρὸς ἡμῶν, ἡμῖν ἔσται, καὶ τοῖς τέκνοις ἡμῶν. νῦν οὖν ὅσα εἴρηκέ σοι ὁ Θεὸς, ποίει.

✱ ΚΥΡΙΛΛΟΥ. Συναγνάζοντος κατὰ Χριστοῦ τοῦ κόσμου, καὶ τῶν αὐτοῦ τέκνων, παράκλησις ἄνωθεν ἐξ οὐρανοῦ, τουτέστι παρὰ πατρὸς ταῖς τοῦ σωτῆρος δίδοται νύμφαις, φημὶ δὴ ταῖς ἐκκλησίαις. πλὴν ἡ παράκλησις δι' υἱοῦ, διαπορθμεύοντος ὥσπερ

A „ ἡμῖν τοὺς παρὰ πατρὸς λόγους· ὃν γὰρ Ἰωάν. 3. 34. „ ἀπέστειλεν ὁ Θεὸς, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ, κατὰ τὴν Ἰωάννου φωνήν. ἄθρει δὴ οὖν ὅπως προσελάλει μὲν ὁ Θεὸς τῷ Ἰακὼβ, ὁ δὲ ταῖς ἑαυτοῦ νύμφαις, Λείᾳ τε, φημὶ, καὶ Ῥαχήλ. ὁ δὲ τῆς παρακλήσεως λόγος ἦν τὸ δεῖν ἀπαίρειν αὐτὰς ὁμοῦ τῷ ἰδίῳ νυμφίῳ τῆς τοῦ πατρὸς ἑστίας. οὕτω καὶ ὁ μακάριος ψαλμῳδὸς ἐν πνεύματι „ πρὸς τὴν νύμφην φησὶν, ἄκουσον θύγα- Ψαλ. 44. 10.
B „ τερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπι- „ λάθου τοῦ λαοῦ σου, καὶ τὰ ἑξῆς. Καὶ μετ' ὀλίγα. Αἱ δὲ σεμναὶ τοῦ σωτῆρος νύμφαι κατακολουθεῖν μὲν ἑτοίμως ἐπαγγέλλονται, πεπρᾶσθαι δὲ ὥσπερ αὐτῷ παρὰ τοῦ κόσμου φασίν. ἐξεπρίατο γὰρ αἵματι τῷ ἰδίῳ τὰς ἐκκλησίας ὁ Ἐμμανουὴλ, καὶ ἠλλοτρίωνται τοῦ πάλαι πατρός. λόγος γὰρ αὐταῖς κοινωνίας, ἢ μερίδος οὐδεὶς ἔτι πρὸς κόσμον, ἐξ οὗ κέκληνται. πλοῦτος δὲ μᾶλλον αὐ-
Γ ταῖς, καὶ τοῖς τέκνοις αὐτῶν ὁ ὑπὲρ νοῦν καὶ λόγον, αὐτὸς ὁ Χριστός· αὐτὸς ἡ μερὶς, καὶ κλῆρος. δόξα τε καὶ καύχημα, καὶ πᾶν ὁτιοῦν τῶν εἰς λαμπρότητα, καὶ εὐημερίαν.

ιζ. Ἀναστὰς δὲ Ἰακὼβ, ἔλαβε τὰς γυναῖκας αὐτοῦ, καὶ τὰ παιδία αὐτοῦ
ιη. ἐπὶ τὰς καμήλους. Καὶ ἀπήγαγε πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ πᾶ-
Δ σαν τὴν ἀποσκευὴν αὐτοῦ, ἣν περιεποιήσατο ἐν τῇ Μεσοποταμίᾳ, καὶ πάντα τὰ αὐτοῦ, ἀπελθεῖν πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ εἰς γῆν Χαναάν.

✱ ΚΥΡΙΛΛΟΥ. Ἀπαίρει δὲ ὥσπερ καὶ ἀπὸ κόσμου Χριστὸς ὁμοῦ ταῖς ἑαυτοῦ νύμφαις, τουτέστι ταῖς ἐκκλησίαις, καὶ οἱονεὶ πανοικεὶ μετανίσταται νοητῶς τοῖς ἰδίοις
E „ ἐπιφωνῶν, ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν. ὁ Ματθ. 26. 46. δὲ τῆς ἀπάρσεως τρόπος οὐκ αἰσθητὸς, οὔτε μὴν εἰς τόπον ἐκ τόπου σωματικῶς ἐκπράττοιτο ἄν· κομιδῇ γὰρ εὔηθες τὸ ὧδε φρονεῖν, ἢ λέγειν· ἀλλ' ἐκ τοῦ φρονεῖν τὰ τοῦ κόσμου, πρὸς τὸ δρᾶν ἐθέλειν τὰ δοκοῦντα Θεῷ χρησίμως ἀποπεραίνεται. ὡς „ γὰρ ὁ μακάριος γράφει Παῦλος, οὐκ ἔχο- Ἑβρ. 13. 14. „ μεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλου-
Z „ σαν ἐπιζητοῦμεν, καὶ τὰ ἑξῆς.

ιθ. Λάβαν δὲ ᾤχετο κεῖραι τὰ πρόβατα αὐτοῦ· ἔκλεψε δὲ Ῥαχὴλ τὰ εἴδωλα τοῦ πατρὸς αὐτῆς.

✱✱ ΙΩΣΗΠΟΥ. Τοὺς τύπους τῶν Θεῶν ἐπεφέρετο ἡ Ῥαχήλα, καταφρονεῖν μὲν τῆς τοιαύτης τιμῆς τῶν Θεῶν διδάξαντος αὐτὴν τοῦ Ἰακώβου· ἵνα δ' εἰ καταληφθεῖεν ὑπὸ τοῦ πατρὸς αὐτῆς διωχ-
H θέντες, ἔχοι τούτοις προσφυγοῦσα, συγγνώμης τυγχάνειν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίς ὁ σκοπὸς τῆς τῶν εἰδώλων κλοπῆς; Τινὲς ἔφασαν, ἔτι διακει-

A διακειμένην περὶ αὐτὰ τὴν Ῥαχὴλ, κε-
κλοφέναι αὐτά. ἐγὼ δὲ τοὐναντίον ὑπολαμ-
βάνω. ὅτι καὶ τὸν πατέρα τῆς δεισιδαι-
μονίας ἐλευθερῶσαι βουλομένη, σεσύλη-
κεν αὐτά. τὸ γὰρ εὐσεβὲς αὐτῆς ἡ θεία
Γεν. 30. 22. διδάσκει Γραφή. ἐμνήσθη γάρ φησιν, ὁ
» Θεὸς Ῥαχὴλ, καὶ ἐπήκουσεν αὐτῆς ὁ Θεὸς,
» καὶ ἀνέῳξεν αὐτῆς τὴν μήτραν. ἀκούσα-
Γεν. 30. 2. σα γὰρ παρὰ τοῦ Ἰακὼβ, μὴ ἀντὶ Θεοῦ σοι
» ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας;
B δηλονότι σπουδαιοτέραν τῷ Θεῷ προσενήνο-
χε προσευχὴν, καὶ τετύχηκε τῆς αἰτή-
σεως. καὶ μέντοι καὶ τεκοῦσα, δεδήλωκε
Γεν.30.23,24. τὴν εὐσέβειαν. εἶπε γάρ φησι Ῥαχὴλ,
» ἀφεῖλέ μου ὁ Θεὸς τὸ ὄνειδος. καὶ ἐκάλε-
» σε Ῥαχὴλ τὸ ὄνομα αὐτοῦ Ἰωσὴφ, λέγουσα,
» προσθήτω μοι ὁ Θεὸς υἱὸν ἕτερον. πῶς τοί-
νυν ταύτην ἔχουσα περὶ τὸν Θεὸν τὴν διά-
θεσιν, τοῖς οὐκ οὖσι θεοῖς δουλεύειν ἠνέ-
χετο; ἐγὼ γὰρ οἶμαι καὶ ἕτερον ἐντεῦ-
θεν προδηλοῦσθαι. τύπον γὰρ εἶχεν ὁ Ἰα-
Γ κὼβ τοῦ τῶν ὅλων Θεοῦ. δύο γὰρ καὶ ὁ
Θεὸς ἔσχε λαούς· τὸν μὲν, πρεσβύτερον
κάλυμμα ἔχοντα ἐπὶ τὴν καρδίαν· τὸν δὲ,
νεώτερον τὸ τῆς πίστεως περικείμενον κάλ-
λος. καὶ ὁ Ἰακὼβ δύο γυναῖκας, τὴν μὲν
Λείαν, ἀσθενεῖς ἔχουσαν ὀφθαλμούς· τὴν
δὲ Ῥαχὴλ, καλὴν τῷ εἴδει, καὶ ὡραίαν τῇ
ὄψει σφόδρα. καὶ πολύπαιδα μὲν, τὴν
πρεσβυτέραν· στεῖφραν δὲ, τὴν νεωτέραν.
Δ καὶ γὰρ ἡ ἐξ ἐθνῶν ἐκκλησία στεῖρα ἦν
πάλαι, ἀλλ' ἐγένετο μετὰ ταῦτα πολύ-
Ἡσ. 54. 1. παις. εὐφράνθητι γάρ φησι στεῖρα ἡ οὐ
» τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα,
» ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου, μᾶλλον ἢ
» τῆς ἐχούσης τὸν ἄνδρα. ἐπειδὴ τοίνυν ἡ
ἐκκλησία τῷ σωτῆρι πεπιστευκυῖα Θεῷ. τὴν
προγονικὴν πρόῤῥιζον ἀνέσπασε πλάνην,
τύπος δὲ ταύτης ἐτύγχανεν οὖσα ἡ Ῥαχὴλ,
κέκλοφε τὰ εἴδωλα τοῦ πατρὸς, ἵνα τὴν
E ἀλήθειαν κἂν τούτῳ σκιαγραφήσῃ.

ΓΕΝΝΑΔΙΟΥ. Ἔοικέ πως ὅσον ἐκ τῶν εἰκότων ἀπὸ τῆς ἱστορίας ἔνεστι συλλογίσασθαι, τῇ θεοσεβείᾳ μὲν προσεσχηκέναι μᾶλλον τὴν Λείαν, καὶ κατὰ τοῦτο τῷ Ἰακὼβ ἠκολουθηκέναι· τῇ περὶ τὰ εἴδωλα δὲ δόξῃ τοῦ πατρὸς τὴν Ῥαχὴλ ἐμμεμενηκέναι. καὶ γοῦν ὑφελομένη ταῦτα φαίνεται κατὰ τὸν τῆς ἀποδημίας καιρὸν, οὐκ ἐπὶ τῷ συντρίψαι, καὶ ἀπολέσαι, καθὼς Z ὑπελάμβανον ἔνιοι. οὐκοῦν οὐδὲ συνέτριψεν ἐξ ἀρχῆς, ἀλλ' ἐπὶ τῷ μεθ' ἑαυτῆς ἔχειν αὐτά. δοκῶ δέ μοι καὶ τὸν Θεὸν διὰ τοῦτο τήν τε στείρωσιν λῦσαι τῇ Λείᾳ ταχέως, καὶ τὸ τῷ ἀνδρὶ συνταφῆναι χαρίσασθαι· καθάπερ τῇ Σάῤῥᾳ μετὰ τοῦ Ἀβραὰμ, καὶ μετὰ τοῦ Ἰσαὰκ τῇ Ῥεβέκκᾳ φαίνεται δωρησάμενος. ὧν οὐδέτερον ὑπάρξαι παραπλησίως ἔγνωμεν τῇ Ῥαχήλ.

H ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐχ ἁπλῶς οὐδὲ τοῦτο πρόσκειται, ἀλλ' ἵνα γνῶμεν, πῶς ἔτι τῆς πατρικῆς εἴχοντο συνηθείας, καὶ πολλὴν τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐπεδείκνυντο. ἐννόησον γὰρ ὅσην αὐτὴ

A σπουδὴν ἐποιήσατο, ὡς μηδὲν ἕτερον ὑφελέσθαι τῶν τοῦ πατρὸς, ἀλλὰ τὰ εἴδωλα μόνα. καὶ τοῦτο ἐποίει καὶ τὸν ἄνδρα λανθάνουσα. οὐδὲ γὰρ ἂν ἐκεῖνος συνεχώρησε ταῦτα γενέσθαι.

κ. Ἔκρυψε δὲ Ἰακὼβ Λάβαν τὸν Σύρον, τοῦ μὴ ἀπαγγεῖλαι αὐτῷ, ὅτι ἀποδιδράσκει.

B κα. Καὶ ἀπέδρα αὐτὸς, καὶ πάντα τὰ αὐτοῦ, καὶ διέβη τὸν ποταμὸν, καὶ ὥρμησεν εἰς τὸ ὄρος Γαλαάδ.

* ΠΡΟΚΟΠΙΟΥ. Ἀποδιδράσκειν δεῖ ἀπὸ τοῦ χείρονος, λαμβάνειν δὲ παρ' αὐτοῦ τὰ χρήσιμα, ὡς Ἰακώβ.

κβ. Ἀνηγγέλη δὲ Λάβαν τῷ Σύρῳ τῇ τρίτῃ ἡμέρᾳ, ὅτι ἀπέδρα ὁ Ἰακώβ.

Γ κγ. Καὶ παραλαβὼν πάντας τοὺς ἀδελφοὺς αὐτοῦ μεθ' ἑαυτοῦ, ἐδίωξεν ὀπίσω αὐτοῦ ὁδὸν ἡμερῶν ἑπτά· καὶ κατέλαβεν αὐτὸν ἐν τῷ ὄρει τῷ Γαλαάδ.

* ΚΥΡΙΛΛΟΥ. Ὅτι τοίνυν ἐπεμήνισεν ὁ κόσμος πλουτοῦντι Χριστῷ τὰς τῶν πιστευόντων ἀγέλας, καὶ ἐπιθρώσκει ὡς Δ λυπήσων, οὐ μακρῶν ἂν δέοι λόγων εἰς παράδειξιν ἐναργῆ. θέα γὰρ ὅπως ἀπαίροντος τοῦ Ἰακὼβ, διώκει φονῶν ὁ Λάβαν ὁμοῦ τοῖς ἰδίοις υἱοῖς.

κδ. Ἦλθε δὲ ὁ Θεὸς πρὸς Λάβαν τὸν Σύρον καθ' ὕπνον τὴν νύκτα, καὶ εἶπεν αὐτῷ, Φύλαξαι σεαυτὸν, μήποτε πονηρὰ λαλήσῃς μετὰ Ἰακώβ.

E ΑΔΗΛΟΥ. Ὅτε πρὸς τοὺς χείρονας ἔρχεται ὁ Θεὸς, οὐ δι' αὐτοὺς, ἀλλὰ διὰ τοὺς ἁγίους ἔρχεται· ὡς πρὸς Λάβαν, διὰ Ἰακώβ· καὶ πρὸς Βαλαὰμ, διὰ τὸν Ἰσραήλ.

ΚΥΡΙΛΛΟΥ. Διώκει μὲν ὁ Λάβαν μισῶν, φονῶντα δὲ ἀνασειράζει ὁ Θεός. οὐδ' ὅσον φησὶν εἰπεῖν ἀπηνέσι λόγοις καθειπεῖν ἐφιείς. ἔφη γὰρ πρὸς Λάβαν τὴν νύκτα,
» φησὶν, ὁ Θεός. Φύλαξαι, μήποτε λα-
Z » λήσῃς μετὰ Ἰακὼβ πονηρά.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐ προσέταξε τῷ Λάβαν εἰς τὰ οἰκεῖα ὑποστρέψαι, ἀλλὰ μόνον παρεκελεύσατο, μηδὲν φορτικὸν, μηδὲ ἐπαχθὲς διαλεχθῆναι τῷ δικαίῳ. τίνος ἕνεκεν, καὶ διὰ τί; Ἵνα μάθῃ καὶ διὰ τῶν ἔργων αὐτῶν ὁ δίκαιος καὶ διὰ τῶν πραγμάτων ὅσης ἀξιοῦται παρὰ τοῦ Θεοῦ τῆς κηδεμονίας. εἰ γὰρ ὑπέστρεψεν ὁ Λάβαν, πόθεν ἂν τοῦτο ἔγνω ὁ Ἰακὼβ, ἢ αἱ H τούτου γυναῖκες; καὶ διὰ τοῦτο συγχωρεῖ αὐτὸν ἀπελθεῖν, καὶ διὰ τῆς οἰκείας γλώττης ὁμολογῆσαι τὰ παρὰ τοῦ Θεοῦ πρὸς αὐτὸν ῥηθέντα, ἵνα καὶ ὁ δίκαιος πλείονα τὴν προθυμίαν κλήσηται περὶ τὴν ἀποδημίαν,

μίαν, καὶ θάρσος προσλάβῃ, καὶ αἱ τῦ-
τυ γυναῖκες μαθῦσαι ὅσης ἀξιῦται ὁ Ἰα-
κὼβ παρὰ τῦ τῶν ὅλων Θεῦ τῆς κηδεμο-
νίας, ἀποσείσωνται τὴν πατρικὴν πλά-
νην, καὶ θεογνωσίας ἐντεῦθεν ἀρκῦσαν
διδασκαλίαν δέξωνται. ὐδὲ γὰρ ὕτως ἦν
τὰ παρὰ τῦ Ἰακὼβ ἀξιόπιστα, ὡς τὰ πα-
ρὰ τῦ Λάβαν λεγόμενα, τῦ ἔτι περὶ τὰ
εἴδωλα ἐπτοημένυ. αἱ γὰρ παρὰ τῶν ἀπί-
στων μαρτυρίαι καὶ τῶν ἐχθρῶν τῆς εὐσε-
βείας ἀεὶ πολὺ τὸ ἀξιόπιστον ἔχυσι.

κε. Καὶ κατέλαβε Λάβαν τὸν
Ἰακώβ. Ἰακὼβ δὲ ἔπηξε τὴν σκη-
νὴν αὐτῦ ἐν τῷ ὄρει· Λάβαν δὲ ἔστη-
σε τὺς ἀδελφὺς αὐτῦ ἐν τῷ ὄρει
Γαλαάδ.

κϛ. Εἶπε δὲ Λάβαν τῷ Ἰακὼβ,
τί ἐποίησας; ἵνα τί κρυφῇ ἀπέδρας,
καὶ ἐκλοποφόρησάς με, καὶ ἀπήγα-
γες τὰς θυγατέρας μυ ὡς αἰχμαλώ-
τιδας μαχαίρᾳ;

» ** ΠΡΟΚΟΠΙΟΥ. Ὡς αἰχμαλώτι-
δας, φωνὴ φαύλυ, ταῦτα περὶ τῶν ὠφε-
λυμένων νομίζοντος· ὕτω καὶ πολλοὶ πε-
πιστευκότων πατέρες.

κζ. Καὶ εἰ ἀνήγγειλάς μοι, ἐξα-
πέστειλα ἄν σε μετ᾽ εὐφροσύνης, καὶ
μετὰ μυσικῶν τυμπάνων, καὶ κι-
θάρας.

** ΒΑΣΙΛΕΙΟΥ. Κιθάρας καὶ μυσι-
κῆς ὁ Λάβαν οἰκεῖος, μεθ᾽ ἧς ἐβύλετο πα-
» ραπέμπειν τὸν Ἰακώβ· εἰ γὰρ ἀνήγγει-
» λάς μοι, ἐξαπέστειλα ἄν σε μετ᾽ εὐφροσύ-
» νης, καὶ μετὰ μυσικῶν τυμπάνων, καὶ
» κιθάρας· ἀλλ᾽ ἀπεδίδρασκεν ὁ πατριάρ-
χης, ὡς ἐμπόδιον ὄσαν πρὸς τὸ ἐμβλέ-
πειν τοῖς ἔργοις Κυρίυ, καὶ κατανοεῖν τὰ
ἔργα τῶν χειρῶν αὐτῦ.

κη. Οὐκ ἠξιώθην καταφιλῆσαι
τὰ παιδία μυ, καὶ τὰς θυγατέρας μυ.
κθ. νῦν δὲ ἀφρόνως ἔπραξας. Καὶ νῦν
ἰσχύει ἡ χείρ μυ κακοποιῆσαί σε. ὁ δὲ
Θεὸς τῦ πατρός συ χθὲς εἶπε πρός
με, λέγων, Φύλαξαι σεαυτὸν, μή-
ποτε λαλήσῃς μετὰ Ἰακὼβ πονηρά.
λ. Νῦν ὖν πεπόρευσαι· ἐπεθύμησας
ἀπελθεῖν εἰς τὸν οἶκον τῦ πατρός συ·
λα. ἵνα τί ἔκλεψας τὺς Θεύς μυ; Ἀπο-
κριθεὶς δὲ Ἰακὼβ εἶπε τῷ Λάβαν,
ὅτι ἐφοβήθην· εἶπα γὰρ μήποτε
ἀφέλῃς τὰς θυγατέρας συ ἀπ᾽ ἐμῦ,
καὶ πάντα τὰ ἐμά.

λβ. Καὶ εἶπεν Ἰακὼβ, παρ᾽ ᾧ
ἐὰν εὕρῃς τὺς Θεύς συ, ὐ ζήσεται
ἐναντίον τῶν ἀδελφῶν ἡμῶν. ἐπί-
γνωθι τί ἐστι τῶν σῶν παρ᾽ ἐμοὶ, καὶ

A λάβε· καὶ ὐκ ἐπέγνω παρ᾽ αὐτῷ
ὐθέν. ὐκ ᾔδει δὲ Ἰακὼβ, ὅτι Ῥαχὴλ
ἡ γυνὴ αὐτῦ ἔκλεψεν αὐτύς.

** ΠΡΟΚΟΠΙΟΥ. Ὡς ἐπὶ τῦ Ἰωνά-
θαν ὁ Σαὺλ· καὶ οἱ ἀδελφοὶ τῦ Ἰωσὴφ·
περὶ τῦ κλέψαντος τὸ κόνδυ. τῦτο δὲ
ἔδοξεν εἶναι ἀπειλῆς καὶ ὅρυ· τὸ δὲ ἀλη-
θὲς, προῤῥήσεως ἦν· ἐπειδὴ ἤμελλεν ἡ
Ῥαχὴλ ἀποθνήσκειν ἐν τῷ τίκτειν τὸν
B Βενιαμίν.

λγ. Εἰσελθὼν δὲ Λάβαν, ἠρεύ-
νησεν εἰς τὸν οἶκον Λείας, καὶ ὐχ εὗρε·
καὶ ἐξῆλθεν ἐκ τῦ οἴκυ Λείας, καὶ
ἠρεύνησε τὸν οἶκον Ἰακὼβ, καὶ ὐχ
εὗρε· καὶ ἐν τῷ οἴκῳ τῶν δύω παιδι-
σκῶν, καὶ ὐχ εὗρε· καὶ εἰσῆλθεν
εἰς τὸν οἶκον Ῥαχήλ.

Γ ΚΥΡΙΛΛΟΥ. Ἀλλ᾽ ἐπαιτιᾶται μὲν ὁ
κόσμος ὡς σεσυλημένος, ἀπολωλότων αὐ-
τῷ τῶν Θεῶν· κέκλοφε δὲ τύτυς ἡ Ῥα-
χήλ· πλὴν ὅρα τὴν ἐπιχείρησιν, ἠρεύ-
νησε παρὰ τῇ Λείᾳ τὺς Θεὺς ὁ Λάβαν,
καὶ μέντοι καὶ παρὰ ταῖν δυοῖν θεραπαί-
» ναιν, καὶ ὐχ εὗρε, φησίν. ἐπεκάθητο
γὰρ αὐτοῖς ἡ Ῥαχὴλ, προφασιζομένη τὰ
κατειθισμένα.

Δ λδ. Ῥαχὴλ δὲ ἔλαβε τὰ εἴδωλα,
καὶ ἔβαλεν αὐτὰ εἰς τὰ σάγματα τῶν
καμήλων, καὶ ἐπεκάθισεν αὐτοῖς.

ΚΥΡΙΛΛΟΥ. Οὐ γὰρ τῆς τῶν Ἰυ-
δαίων συναγωγῆς, ἀλλ᾽ ὐδὲ τῶν εἰς δυλείαν
γεγεννημένων κατόρθωμα ἦν ἡ τῶν εἰδώ-
λων ἀφαίρεσις, ἀλλὰ τῆς νεωτάτης Ῥα-
χὴλ, τυτέστι τῆς ἐκκλησίας, ἀτιμίᾳ πε-
ριβαλύσης τὰ χειροποίητα, μόνον δὲ ὐχὶ
καὶ πληρύσης ἐπ᾽ αὐτοῖς τὸ διὰ τῆς τῦ
E » Προφήτυ φωνῆς εἰρημένον· καὶ ἐξαρεῖς Ἠσ. 30. 22.
» τὰ εἴδωλα τὰ περιηργυρωμένα, καὶ περι-
» κεχρυσωμένα, καὶ λεπτὰ ποιήσεις, καὶ
» λικμήσεις ὡς ὕδωρ ἀποκαθημένης, καὶ ὡς
» κόπρον ὤσεις αὐτά. ἐπειδὴ δὲ ὐχ εὑρίσκον-
ται παρὰ τῦ Λάβαν οἱ αὐτῦ Θεοὶ, τὰς εἰς
εἰρήνην συμβάσεις ἐποιεῖτο λοιπὸν πρὸς
τὸν θεσπέσιον Ἰακώβ. ὐκ ἔτι γὰρ ἔχων ὁ
κόσμος τὺς ψευδωνύμυς Θεὺς, φίλος ἔσται,
Z μᾶλλον δὲ καὶ γέγονεν ἤδη Χριστῷ.

λε. Καὶ εἶπε τῷ πατρὶ αὐτῆς,
μὴ βαρέως φέρε κύριε· ὐ δύναμαι
ἀναστῆναι ἐνώπιόν συ, ὅτι τὰ κατ᾽ ἐ-
θισμὸν τῶν γυναικείων μυ ἐστίν. ἠρεύ-
νησε δὲ Λάβαν ἐν ὅλῳ τῷ οἴκῳ, καὶ
ὐχ εὗρε τὰ εἴδωλα.

λϛ. Ὠργίσθη δὲ Ἰακὼβ, καὶ ἐμα-
H χέσατο τῷ Λάβαν. ἀποκριθεὶς δὲ
Ἰακὼβ εἶπε τῷ Λάβαν, τί τὸ ἀδίκη-
μά μυ, καὶ τί τὸ ἁμάρτημά μυ, ὅτι
κατεδίωξας ὀπίσω μυ;

ΑΔΗΛΟΥ. Μετὰ τὸ ἀποδύσασθαι τὰ ἐγκλήματα ὁ Ἰακὼβ, καὶ δεῖξαι ὅτι οὐδὲν ἠδίκησε, τότε χαλεπαίνει, ὁ θυμῷ νικηθεὶς, μετὰ δὲ τὸν ἔλεγχον, ὡς δικαστῇ τῷ θυμῷ χρώμενος.

λζ. Καὶ ὅτι ἠρεύνησας πάντα τὰ σκεύη τοῦ οἴκου μου; τί εὗρες ἀπὸ πάντων τῶν σκευῶν τοῦ οἴκου σου; θὲς ὧδε ἐναντίον τῶν ἀδελφῶν σου, καὶ ἐναντίον τῶν ἀδελφῶν μου, καὶ ἐλεγξάτωσαν ἀνὰ μέσον τῶν δύο ἡμῶν.

λη. Ταῦτά μοι εἴκοσιν ἔτη ἐγώ
εἰμι μετὰ σοῦ· τὰ πρόβατά σου, καὶ
αἱ αἶγές σου οὐκ ἠτεκνώθησαν· κριοὺς
τῶν προβάτων σου, οὐ κατέφαγον·
λθ. Θηρόβρωτον, οὐκ ἐνήνοχά σοι· ἐγὼ
ἀπετίννυον παρ' ἐμαυτοῦ κλέμματα
μ. ἡμέρας, καὶ κλέμματα νυκτός. Ἐγε-
νόμην τῆς ἡμέρας συγκαιόμενος τῷ
καύματι, καὶ τῷ παγετῷ τῆς νυ-
κτός· καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν
ὀφθαλμῶν μου.

ΩΡΙΓΕΝΟΥΣ. Καλοῦ ποιμένος παρρησία ἐμφαίνεται ταῖς φωναῖς ταύταις· ἃς ζηλωτέον. γεννησάτωσαν οὖν καρποὺς πνευματικοὺς τὰ ἐν τοῖς ποιμνίοις καὶ αἰπολίοις. ἀλλὰ καὶ τοὺς πλουσίους τῆς ποίμνης μὴ κατεσθίωμεν.

μα. Ταῦτά μοι εἴκοσιν ἔτη ἐγώ εἰμι ἐν τῇ οἰκίᾳ σου. ἐδούλευσά σοι δεκατέσσαρα ἔτη ἀντὶ τῶν δύο θυγατέρων σου, καὶ ἓξ ἔτη ἐν τοῖς προβάτοις σου· καὶ παρελογίσω τὸν μισθόν μου δέκα ἀμνάσιν.

μβ. Εἰ μὴ ὁ Φόβος τοῦ πατρός μου Ἀβραὰμ ἦν μοι, καὶ ὁ Φόβος Ἰσαὰκ, νῦν ἂν κενόν με ἐξαπέστειλας. τὴν ταπείνωσίν μου, καὶ τὸν πόνον τῶν χειρῶν μου εἶδεν ὁ Θεὸς, καὶ ἤλεγξέ σε χθές.

** ΠΡΟΚΟΠΙΟΥ. Ὃν ἐφοβήθη Ἰσαὰκ φόβον πρὸς Θεὸν, τοῦτον καὶ Ἰακὼβ αὐχεῖ πεφοβῆσθαι. καὶ κάτω δέ φησιν,
„ ὅτι ὤμοσεν Ἰακὼβ κατὰ τοῦ φόβου τοῦ πα-
„ τρὸς αὐτοῦ.

μγ. Ἀποκριθεὶς δὲ Λάβαν, εἶπε τῷ Ἰακὼβ, αἱ θυγατέρες, θυγατέρες μου, καὶ οἱ υἱοὶ, υἱοί μου, καὶ τὰ κτήνη, κτήνη μου· καὶ πάντα ὅσα σὺ ὁρᾷς, ἐμά ἐστι καὶ τῶν θυγατέρων μου. τί ποιήσω ταύταις σήμερον, ἢ τοῖς τέκνοις αὐτῶν, οἷς ἔτεκον;

** ΠΡΟΚΟΠΙΟΥ. Λάβαν ἴδια λέγει τὰ τοῦ Ἰακὼβ. ψευδόμενος. οὐκ ἂν δὲ Ἰακὼβ εἶπεν αὐτὰ εἶναι τοῦ Λάβαν. διὸ θαρ-

A ρῶν, ὡς μηδὲν ἐπαγόμενος τῶν τοῦ Λάβαν,
„ φησίν· ἐπίγνωθι τί ἐστι τῶν σῶν παρ' ἐμοί.
„ Καὶ τὰ κτήνη, κτήνη μου· καίτοι προσε-
„ μαρτύρησεν ἡ Γραφὴ, ὅτι ἐγένετο τὰ ἄση-
„ μα τοῦ Λάβαν, τὰ δὲ ἐπίσημα τοῦ Ἰακώβ.
ψεύδεται οὖν τὰ ἐπίσημα λέγων ἑαυτοῦ εἶ-
„ ναι. Καὶ πάντα ὅσα σὺ ὁρᾷς ἐμά ἐστιν.
ἀξίως τοῦ Ἰακὼβ νοῶν, ὅσα ἑώρα ὁ πατριάρχης ἐν διπλασίαις, καὶ προφητείαις, καὶ γνώσεσι, καὶ σοφίᾳ· καταγελάσεται
B „ τοῦ Λάβαν λέγοντος, ὅσα σὺ ὁρᾷς ἐμά ἐστι.

μδ. Νῦν οὖν δεῦρο, διαθώμεθα διαθήκην ἐγὼ καὶ σύ· καὶ ἔσται εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. εἶπε δὲ αὐτῷ, ἰδοὺ οὐδεὶς μεθ' ἡμῶν ἐστίν· ἰδοὺ ὁ Θεὸς μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ.

* ΩΡΙΓΕΝΟΥΣ. Ἐπειδὴ οὐχ εὕρηνται
Γ οἱ αὐτοῦ θεοὶ, συμβάσεις ποιεῖται μετὰ τοῦ θεράποντος Ἰακώβ. καὶ ὁ κόσμος δὲ ἡνίκα τοὺς ψευδωνύμους ἀπεβάλετο θεοὺς, φίλος γέγονε τοῦ Χριστοῦ.

„ ** ΠΡΟΚΟΠΙΟΥ. Ἰδοὺ οὐδεὶς μεθ' ἡμῶν ἐστὶν, ἀλλότριός φησιν. εἶπε γὰρ ἄνω,
„ Λάβαν δὲ ἔστησε τοὺς ἀδελφοὺς αὐτοῦ ἰδίᾳ
„ ἐν τῷ ὄρει Γαλαάδ.

με. Λαβὼν δὲ Ἰακὼβ λίθον, ἔστη-
Δ σεν αὐτὸν στήλην.

ΚΥΡΙΛΛΟΥ. Τῆς εἰρήνης σύνδεσμος
„ αὐτός ἐστιν ὁ εὐδοκιμώτατος λίθος, ὁ πο- Ἡσ. 28. 16.
„ λυτελὴς, ὁ ἀκρογωνιαῖος, ὁ ἔντιμος, ὁ
„ εἰς κεφαλὴν γωνίας, καὶ εἰς τὰ θεμέλια
„ Σιών. ἔστησε γὰρ Ἰακὼβ στήλην εἰς τύπον Χριστοῦ.

μς. Εἶπε δὲ Ἰακὼβ τοῖς ἀδελφοῖς
E αὐτοῦ, συλλέγετε λίθους· καὶ συνέλεξαν λίθους, καὶ ἐποίησαν βουνόν· καὶ ἔφαγον, καὶ ἔπιον ἐκεῖ ἐπὶ τοῦ βουνοῦ. καὶ εἶπεν αὐτῷ Λάβαν, ὁ βουνὸς οὗτος μαρτυρεῖ ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ σήμερον.

* ΩΡΙΓΕΝΟΥΣ. Σημειωτέον, ὅτι καὶ
„ ἐν τῷ Ἐκκλησιαστῇ γέγραπται, καιρὸς τοῦ Ἐκκλ. 3. 5.
„ βαλεῖν λίθους, καὶ καιρὸς τοῦ συναγαγεῖν
Z „ λίθους. συνάγονται δὲ κατὰ πρόσταξιν Ἰακὼβ, ὃς τύπος ἦν Χριστοῦ· ἵνα ἡ οἰκοδομὴ πληρωθῇ ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ἐκ λίθων ζώντων, ὅτε γίνεται οἶκος πνευματικὸς, ἱεράτευμα ἅγιον.

ΚΥΡΙΛΛΟΥ. Σωρεύονται καὶ ἕτεροι λίθοι, τῶν ἁγίων Ἀποστόλων, ἤτοι τῶν ἐν
H πίστει δεδικαιωμένων καὶ ἡγιασμένων ἐν πνεύματι προαναλάμψαντες ἀσείως. τὴν ἐπὶ Χριστῷ συνδρομήν.

** ΠΡΟΚΟΠΙΟΥ. Συλλέγουσι λίθους ἀδελφοὶ Χριστοῦ Ἀπόστολοι, καὶ οἱ τεταγμένοι,

A μένοι, νοήσαντες καὶ ποιήσαντες τὴν λέ-
Ὠσ. 14. 3. γουσαν ἐν τῷ Προφήτῃ ἐντολὴν, λάβετε μεθ᾽ ἑαυτῶν λόγους πολλοὺς, καὶ ἐπιστρέψατε πρὸς Κύριον.

μζ. Καὶ ἐκάλεσεν αὐτὸν Λάβαν, ὁ βουνὸς τῆς μαρτυρίας· καὶ Ἰακὼβ δὲ ἐκάλεσεν αὐτὸν, βουνὸς μάρτυς.

** ΠΡΟΚΟΠΙΟΥ. Ἑβραῖοί φασιν, ὅτι ὁ μὲν Λάβαν, συριστὶ ἐκάλεσεν αὐτόν· ὁ δὲ
B Ἰακὼβ, ἑβραϊστί. διὸ καὶ διττῶς ἑρμηνεύεται κατά τινα βραχεῖαν ἐναλλαγήν. ἔστι
Γεν. 2. 17. δὲ ὡς τὸ ξύλον τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, καὶ τὸ, βουνὸς μάρτυς.

** ΚΥΡΙΛΛΟΥ. Κέκληται ἡ τῶν λίθων ἄθροισις, βουνὸς μαρτυρίας παρά γε τῷ Λάβαν· ὁ δὲ θεσπέσιος Ἰακὼβ ἐπὶ τὸ ἔτι μεῖζόν τε καὶ ὑπερτεροῦν ἀσυγκρίτως, τουτέστι Χριστὸν, ἀνακομίζει τὸ νόημα, βουνὸς
Γ μάρτυς ὀνομάσας τὸ γεγενημένον. κεφαλὴ γὰρ τῶν πιστευόντων αὐτὸς ὁ Χριστός.

μη. Εἶπε δὲ Λάβαν τῷ Ἰακὼβ, ἰδοὺ ὁ βουνὸς οὗτος καὶ ἡ στήλη, ἣν ἔστησα ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ· μαρτυρεῖ ὁ βουνὸς οὗτος, καὶ μάρτυς ἡ στήλη αὕτη. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ, βουνὸς μαρτυρεῖ.

Δ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ βουνὸς οὗτος μαρτυρεῖ ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. Τί ἐστιν, ὁ βουνὸς οὗτος; Ἀντὶ τοῦ, τὰ ῥήματα τὰ ἐνταῦθα γινόμενα ἐν τῷ βουνῷ τούτῳ ὑπόμνησις ἡμῖν ἔσται διηνεκῶς.

μθ. Καὶ ἡ ὅρασις ἣν εἶπεν, ἐπίδοι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, ὅτι ἀποστησόμεθα ἕτερος ἀπὸ τοῦ ἑτέρου.

E ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἡ ὅρασις ἣν εἶδον. Δόξει ἀπροσλόγως ἐνταῦθα ἡ ὅρασις παρεῤῥίφθαι, ἣν εἶπεν (1) Ἰακώβ. ποίαν γὰρ ὅρασιν, ὅσον ἐπὶ τῷ ῥητῷ; μήποτε οὖν ὡς Προφήτης συνεῖδε τὸ καθ᾽ ἑαυτὸν καὶ τὸν Λάβαν μυστήριον, ἀναφέρων τὸν λόγον ἐπὶ τὸν, οὗ σύμβολον ἦν ὁ Λάβαν, καὶ τὸν Κύριον, οὗ τύπον ἐπλήρου ὁ Ἰακώβ; εἰ μὴ ἄρα τοῦτό φησι, καὶ τὸ ἐνύπνιον· ἐν τῷ, ὀφθεὶς ὁ Θεὸς εἶπέ μοι,
Z φύλαξαι τοῦ μὴ λαλῆσαι μετὰ Ἰακὼβ πονηρά· ἱκανὸν ὑπάρχει καὶ ἀξιόπιστον μαρτύριον ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ.

ν. Εἰ ταπεινώσεις τὰς θυγατέρας μου, εἰ λάβεις γυναῖκας ἐπὶ ταῖς θυγατράσι μου· ὅρα οὐθεὶς μεθ᾽ ἡμῶν ἐστί.
να. Καὶ εἶπε Λάβαν τῷ Ἰακὼβ, ἰδοὺ ὁ βουνὸς οὗτος, καὶ μάρτυς ἡ στήλη αὕτη.
νβ. Ἐάν τε γὰρ ἐγὼ μὴ διαβῶ πρὸς σὲ,

A μηδὲ σὺ διαβῇς πρός με τὸν βουνὸν τοῦτον, καὶ τὴν στήλην ταύτην ἐπὶ κακίᾳ.

νγ. Ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ναχὼρ κρινεῖ ἀνὰ μέσον ἡμῶν. καὶ ὤμοσεν Ἰακὼβ κατὰ τοῦ φόβου τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ.

ΑΔΗΛΟΥ. Ὡς ἐάν τις εἴποι, μὴ ἀτιμίαν ποιήσω τῷ πατρί μου. ὡσεὶ ἔλεγε;
B τὸν ὃν ἐφοβήθη Ἰσαὰκ ὁ πατήρ μου τὸν Θεόν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ὤμοσεν Ἰακὼβ κατὰ τοῦ φόβου τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ; Φόβον τοῦ Ἰσαὰκ, τὴν εὐσέβειαν ἐκάλεσε, τουτέστι τὸν Θεόν· οὗ τὸν φόβον ἐν τῇ ψυχῇ περιέφερε.

** ΠΡΟΚΟΠΙΟΥ. Ὥσπερ καὶ Παῦλος ὄμνυσι τὴν Κορινθίων καύχησιν. εἶπεν οὖν
Γ Ἰακὼβ, νὴ τὸν φόβον, ὃν ἐφοβήθη Ἰσαὰκ ὁ πατήρ μου τὸν Θεόν. ἄλλως τε ὁ σωτὴρ
μεθ᾽ ἡμῶν ἐστί. καὶ Ἡσαΐας φησὶ, Κύριον Ἡσ. 8. 13.
αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος. εὐλόγως δὲ τῷ ἀφόβῳ ὄμνυσι κατὰ τοῦ φόβου τοῦ πατρὸς αὐτοῦ, ἐλέγχων αὐτοῦ τὴν ἀφοβίαν.

νδ. Καὶ ἔθυσεν Ἰακὼβ θυσίαν ἐν τῷ ὄρει. καὶ ἐκάλεσε τοὺς ἀδελφοὺς
Δ αὐτοῦ, καὶ ἔφαγον, καὶ ἔπιον, καὶ ἐκοιμήθησαν ἐν τῷ ὄρει.

** ΠΡΟΚΟΠΙΟΥ. Εἰ δέ τις συμβάλοι, μετὰ τὸ συναχθῆναι τοὺς προειρημένους λίθους τὸν ἐξ αὐτῶν βουνὸν τῇ ἐν οὐρανοῖς οἰκοδομῇ, καὶ τὰ ἐπὶ τούτοις ἐπαγγελλόμενα ἐν ταῖς Ἐκκλησίαις ἐν ἐδωδίμοις καὶ ποτίμοις λόγοις, εἴσεται πῶς τε συνελέγησαν οἱ λίθοι, καὶ ἐγένετο βουνὸς, καὶ
E ἔφαγον ἐκεῖ ἐπὶ τοὺς βουνούς.

νε. Ἀναστὰς δὲ Λάβαν τὸ πρωῒ, κατεφίλησε τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ εὐλόγησεν αὐτούς. καὶ ἀποστραφεὶς Λάβαν, ἀπῆλθεν εἰς τὸν τόπον αὐτοῦ.

ΑΔΗΛΟΥ. Τοὺς υἱοὺς αὐτοῦ, ἀντὶ τοῦ εἰπεῖν τοὺς υἱοὺς Ἰακώβ.

Z ** ΩΡΙΓΕΝΟΥΣ. Τοῦ μὲν φαύλου διὰ τὴν κακίαν, ἐγγὺς ὁ τόπος· τοῦ δὲ διὰ προκοπῆς ὁδεύοντος ἐπεὶ μακράν ἐστιν ὁ τόπος, οὐ μικρὸς ὁ κόπος.

** ΠΡΟΚΟΠΙΟΥ. Τοῦ διὰ προκοπῆς ὁδεύοντος ἐπειδὴ μακράν ἐστιν ὁ τόπος, διὰ τοῦτο οὐκ ἀπέρχεται μὲν ὡς ὁ φαῦλος εἰς τὸν τόπον ἑαυτοῦ· ἀγαπητὸν δὲ, εἰ εἰς τὴν γῆν ἑαυτοῦ. ἥτις οἴσει αὐτόν ποτε ἐπὶ τὸν τόπον ἑαυτοῦ.

(1) Τὸ εἶπεν, ὡς ἐπιδιορθωμένον, εἶδε, γράφει ὁ αὐτ. τῆς Αὐγ. κώδ.

ΚΕΦ. ΛΒ.

α. Καὶ Ἰακὼβ ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ ὁδόν. καὶ ἀναβλέψας Ἰακὼβ, εἶδε παρεμβολὴν Θεοῦ παρεμβεβληκυῖαν· καὶ συνήντησαν αὐτῷ οἱ Ἄγγελοι τοῦ Θεοῦ.

ΘΕΟΔΩΡΟΥ. Τοῦ Λάβαν ἀπαλλαγεὶς ὁ Ἰακὼβ, ὁρᾷ παρεμβολὴν Ἀγγέλων· πάντως που τὴν ὁρισθεῖσαν μετὰ Μιχαὴλ τοῦ ἄρχοντος τοῦ λαοῦ Ἰσραήλ· ὃς κατέστη αὐτοῦ προεστάναι, ὡς Γαβριὴλ φησὶ πρὸς τὸν
Δαν. 10. 21. Δανιὴλ, Μιχαὴλ ὁ ἄρχων ὑμῶν. ἐπειδὴ γὰρ τὸν τοῦ Λάβαν φόβον ἀποθέμενος, μετέθηκε τὰς φροντίδας εἰς τὰ κατὰ Ἡσαῦ, δείκνυται ἡ παρεμβολὴ τῶν Ἀγγέλων, ὡς ἂν μὴ φοβοῖτο τὴν παρεμβολὴν τῶν σιωνόντων αὐτοῦ τῷ ἀδελφῷ.

** ΠΡΟΚΟΠΙΟΥ. Συναντῶσιν οἱ Ἄγγελοι τοῦ Θεοῦ ὡς ἀρχιστρατήγῳ δυνάμεως Κυρίου Χριστῷ, ἐν Ἰακὼβ τυπουμένῳ. παρεμβολὴ λεγόμενοι. τήρει δὲ, ὅτι ἀπιὼν μὲν, ὄναρ ὁρᾷ τὴν κλίμακα καὶ τοὺς Ἀγγέλους, καὶ ποιμαίνων πάλιν ὁρᾷ Ἀγγέλους, καὶ ἀκούει Θεοῦ· ἐπανιὼν δὲ, ὕπαρ βλέπει τὴν παρεμβολήν. καὶ πάλιν, ὅτε οὐκ ἔτι συνῆν Λάβαν τῷ Ἰακὼβ, τότε συνήντησαν αὐτῷ οἱ Ἄγγελοι τοῦ Θεοῦ. παρεμβολὴ δὲ λέγεται τοῦ Θεοῦ, πρὸς ἀντιδιαστολὴν τῶν τοῦ ἀλλοτρίου παρεμβολῶν, ὁποῖα τὰ πολλὰ δαιμόνια, τὰ ὡς ἐν παρεμβολῇ οἰκοῦντα τοῖς τάφοις.

ΑΔΗΛΟΥ. Δείκνυσιν αὐτῷ ὁ Θεὸς παρεμβολὰς Ἀγγέλων, ἵνα θαῤῥήσας μὴ φοβηθῇ τὸν ἀδελφὸν αὐτοῦ Ἡσαῦ, εἰδὼς ὅτι τὸν Θεὸν ἔχει βοηθόν. (1)

** ΚΥΡΙΛΛΟΥ. Σώζοντι τοὺς ἰδίους τῷ πάντων σωτῆρι Χριστῷ, καὶ τῆς ἐν κόσμῳ κακίας ἐξάγοντι, καὶ ἡ τῶν Ἀγγέλων παρέσται πληθὺς λειτουργοῦσα. Καὶ μετ᾽ ὀλίγα.
Ψαλ. 33. 7. Γέγραπται δὲ, ὅτι παρεμβαλεῖ Ἄγγελος
» Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ
Ψαλ. 90. 11. ῥύσεται αὐτούς· καὶ πάλιν, ὅτι τοῖς Ἀγ-
» γέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυ-
» λάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. σώζει δὴ ἅπαντας τοὺς ἀγαπῶντας αὐτὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

** ΩΡΙΓΕΝΟΥΣ. Ὁ Κύριός φησιν,
Ἰωάν. 14. 6. ἐγώ εἰμι ἡ ὁδός. τῷ οὖν τὴν ὁδὸν ταύτην πορευομένῳ συναντῶσιν Ἄγγελοι τοῦ Θεοῦ.

β. Εἶπε δὲ Ἰακὼβ, ἡνίκα εἶδεν αὐτοὺς, παρεμβολὴ Θεοῦ αὕτη. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, παρεμβολαί.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ ἐκάλεσε
» τὸ ὄνομα τοῦ τόπου ἐκείνου, παρεμβολαὶ, ὥστε ἐκ τῆς προσηγορίας διηνεκῆ τὴν ὑπόμνησιν εἶναι τῆς γεγενημένης αὐτῷ ἐκεῖσε ὀπτασίας.

γ. Ἀπέστειλε δὲ Ἰακὼβ ἀγγέλους ἔμπροσθεν αὐτοῦ πρὸς Ἡσαῦ τὸν ἀ-
B δελφὸν αὐτοῦ εἰς γῆν Σηεὶρ, εἰς χώραν Ἐδώμ.

δ. Καὶ ἐνετείλατο αὐτοῖς, λέγων, οὕτως ἐρεῖτε τῷ κυρίῳ μου Ἡσαῦ· οὕτω λέγει ὁ παῖς σου Ἰακὼβ, μετὰ Λάβαν παρῴκησα, καὶ ἐχρόνισα ἕως τοῦ νῦν.

* ΩΡΙΓΕΝΟΥΣ. Καλὰ τιμῶν τὸν πρεσ-
Γ βύτερον ἀδελφὸν ἀνυποκρίτως κύριον ἑαυ-
» τοῦ ἀποκαλεῖ. πλὴν καὶ ἀπόκρισις ὑπο- Παροιμ. 15. 1.
» πίπτουσα ἀποστρέφει θυμόν. καὶ ὡς μὲν ἄνθρωπος ἐφοβήθη, τῷ Θεῷ δὲ πιστεύσας, οὐκ ἔφυγεν, ἀλλ᾽ ἤρχετο.

ε. Καὶ ἐγένοντό μοι βόες, καὶ ὄνοι, καὶ πρόβατα, καὶ παῖδες, καὶ παιδίσκαι· καὶ ἀπέστειλα ἀναγγεῖλαι τῷ κυρίῳ μου Ἡσαῦ, ἵνα εὕρῃ ὁ παῖς
ϛ. σου χάριν ἐναντίον σου. Καὶ ἀπέστρεψαν οἱ ἄγγελοι πρὸς Ἰακὼβ, λέγοντες, ἤλθομεν πρὸς τὸν ἀδελφόν σου Ἡσαῦ· καὶ ἰδοὺ αὐτὸς ἔρχεται εἰς συνάντησίν σου, καὶ τετρακόσιοι ἄνδρες μετ᾽ αὐτοῦ.

ζ. Ἐφοβήθη δὲ Ἰακὼβ σφόδρα, καὶ ἠπορεῖτο· καὶ διεῖλε τὸν λαὸν
E τὸν μεθ᾽ ἑαυτοῦ, καὶ τοὺς βόας, καὶ τὰς καμήλους, καὶ τὰ πρόβατα εἰς δύο παρεμβολάς.

ΚΥΡΙΛΛΟΥ. Περιδεὴς ἦν ἄγαν. οὐ γὰρ ἠγνόει λελυπηκὼς τῆς τε εὐλογίας ἕνεκα καὶ αὐτῶν τῶν πρωτοτοκίων.

ΤΟΥ ΑΥΤΟΥ. Περιδεὴς ἦν ἄγαν ὁ θεσπέσιος Ἰακώβ. οὐ γὰρ εἶχεν εἰδέναι σαφῶς, πότερον δὴ φίλῳ καὶ εἰρηνικῷ περι-
Z τεύξεται, ἢ οὐδὲν ἧττον ἐπτοημένῳ πρὸς τὸ αὐτῷ συνῆθες θράσος, καὶ τὰ ἐκ φθόνου δρᾷν ᾑρημένῳ.

** ΠΡΟΚΟΠΙΟΥ. Δόξει ἐπίληπτος εἶναι ὁ φόβος τοῦ Ἰακὼβ, ἀλλ᾽ οὐχ οὕτως. ἐφοβεῖτο γὰρ μὴ ἄρδην ἀπόληται τὸ σπέρμα τοῦ Ἀβραὰμ, ἐν ᾧ προσεδοκῶντο πληρωθήσεσθαι αἱ ἐπαγγελίαι. προέπεμψε δὲ, καὶ ἵνα μὴ νομίσῃ τυχὸν, ὅτι παρ᾽ ἀλ-
H λοφύλοις ἦν, ὡς ἐχθρῷ κατασκευάζων τῷ Ἡσαῦ.

η. Καὶ

(1) Τὰ αὐτὰ ἄλλως πως καὶ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ. καὶ Ἀθανάσ. ἐν ἑρμην. 69. τῶν παραβολ. τοῦ εὐαγγελ.

η. Καὶ εἶπεν Ἰακὼβ, ἐὰν ἔλθῃ Ἠσαῦ εἰς παρεμβολὴν μίαν, καὶ ἐκκόψῃ αὐτὴν, ἔσται ἡ παρεμβολὴ ἡ δευτέρα εἰς τὸ σώζεσθαι.

ΚΥΡΙΛΛΟΥ. Εἰ ἥκοι σκληρὸς καὶ δύσερις ἔτι, καὶ τοῦ φονᾶν οὐκ ἀμείνων, φείσεται μὲν νηπίων, καὶ τὰ τῶν γυναικῶν ἐλεήσει δάκρυα. καταλαβὼν δὲ μόνον αὐτὸν, ἐκπλήσει τὰ ἐκ θυμοῦ, καὶ ἀποχρῶν ἔσται πρὸς ἄνεσιν (1) αὐτῷ τοῦ λελυπηκότος ὁ θάνατος. πλὴν ὅτι καὶ τὰ ἐλπίδος ἐπέκεινα ἀποβέβηκε, καὶ τοῦτο αὐτὸ, δυνάμει Θεοῦ, φθάσαντες ἤδη προείπομεν. ἠσπάσαντο γὰρ ἀλλήλους.

θ. Εἶπε δὲ Ἰακὼβ, ὁ Θεὸς τοῦ πατρός μου Ἀβραὰμ, καὶ ὁ Θεὸς τοῦ πατρός μου Ἰσαὰκ, Κύριε ὁ Θεὸς εἰπάς μοι, ἀπότρεχε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ εὖ σε ποιήσω.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Θεὸν νῦν καλεῖ τὸν
„ Ἄγγελον τὸν εἰπόντα αὐτῷ, ἀπότρεχε εἰς
„ τὴν γῆν τῆς γενέσεώς σου. καὶ τοῦ αὐτοῦ
ὄντος Θεοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ, ὡς περὶ δύω φησί. καὶ σημειωτέον τοῦτο διὰ τὰ ὅμοια τῇ φράσει.

ι. Ἱκανούσθω μοι ἀπὸ πάσης δικαιοσύνης, καὶ ἀπὸ πάσης ἀληθείας, ἧς ἐποίησας τῷ παιδί σου. ἐν γὰρ τῇ ῥάβδῳ μου διέβην τὸν Ἰορδάνην τοῦτον. νυνὶ δὲ γέγονα εἰς δύω παρεμβολάς.

„ ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀντὶ τοῦ, ἱκανοῦ-
„ ταί μοι ἀπὸ πάσης δικαιοσύνης, Ἀκύλας
„ ἐξέδωκε, μεμάκρυμαι παρὰ πάντας τοὺς
„ ἐλέους, καὶ ἀπὸ πάσης ἀληθείας. ὡς εὐχαριστῶν δὲ λέγει, ἱκανόν μοι ἐστὶ, καὶ γέμει μοι.

ΑΔΗΛΟΥ. Πεπλήρωμαι γὰρ παρὰ πάντας τοὺς ἐλέους, καὶ τῆς δικαιοσύνης καὶ ἀληθείας σου· καὶ εὐχαριστῶ σοι, ἱκανόν μοι ἐστὶ, γέμει μοι.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀρκείσθω, φησὶ, πρὸς τὴν ἐπὶ τοῦ παρόντος καιροῦ συμμαχίαν. ὁ γὰρ μέχρι τοῦ παρόντος τοσαύτην ἐπιδειξάμενος περὶ ἐμὲ κηδεμονίαν, δυνατὸς εἶ καὶ νῦν ἐξαρπάσαιμε τῶν ἐπικειμένων μοι κινδύνων. οὐδὲ γὰρ ἀγνοῶ,
„ ὅτι ἐν τῇ ῥάβδῳ μου ταύτῃ διῆλθον τὸν
„ Ἰορδάνην τοῦτον. νυνὶ δὲ διὰ τὴν σὴν περὶ ἐμὲ πρόνοιαν ὁ τὴν βακτηρίαν μόνην ἐπιφερόμενος, ἡνίκα εἰς τὴν ἀλλοτρίαν ἀπῄειν, νῦν μετὰ δύω παρεμβολῶν παραγέγονα.

ΚΥΡΙΛΛΟΥ. Ἔφη γὰρ, ὅτι μόνην ταυτηνὶ τὴν οἴκοθεν ἔχων ῥάβδον διέβην τὸν Ἰορδάνην, καὶ πολλῶν γέγονα δεσπότης τὸ σὸν ἔχων εὐμενὲς, ὦ δέσποτα. εἰσόμεθα τοίνυν καὶ διὰ τούτων ἡμεῖς, ὅτι πράους εἶναι προσήκει, καὶ εἰρηνικοὺς, καὶ διὰ παντὸς θηρᾶσθαι τρόπου τὸ διαζῆν ἀ-
„ μάχως. δοῦλον γὰρ Κυρίου, φησὶν, οὐ δεῖ 2. Τιμ. 2. 24.
„ μάχεσθαι, καὶ τὰ ἑξῆς. ἀποκεχρῆσθαι δέον μὲν γὰρ καὶ ταῖς ἀνθρωπίναις εὐτεχνίαις ἡμᾶς εἰς τὸ ἀγαθὸν, καὶ τὸ ἀπεῖργον οὐδέν.

ια. Ἐξελοῦμαι ἐκ χειρὸς τοῦ ἀδελ-
φοῦ μου Ἠσαῦ· ὅτι φοβοῦμαι ἐγὼ αὐ-
τὸν, μήποτε ἐλθὼν πατάξῃ με, καὶ
ιβ. μητέρας ἐπὶ τέκνοις. Σὺ δὲ εἶπας·
καλῶς, εὖ σε ποιήσω, καὶ θήσω τὸ
σπέρμα σου ὡς τὴν ἄμμον τῆς θαλά-
σσης, ἣ οὐκ ἀριθμηθήσεται ἀπὸ τοῦ
ιγ. πλήθους. Καὶ ἐκοιμήθη ἐκεῖ τὴν νύ-
κτα ἐκείνην· καὶ ἔλαβεν ὧν ἔφερε δῶ-
ρα, καὶ ἐξαπέστειλεν Ἠσαῦ τῷ ἀδελ-
ιδ. φῷ αὐτοῦ, Αἶγας διακοσίας, τρά-
ιε. γους εἴκοσι, κριοὺς εἴκοσι, Καμήλους
θηλαζούσας, καὶ τὰ παιδία αὐτῶν
τριάκοντα, βόας τεσσαράκοντα, ταύ-
ρους δέκα, ὄνους εἴκοσι, καὶ πώλους
δέκα.

ις. Καὶ ἔδωκε διὰ χειρὸς τοῖς παισὶν αὐτοῦ ποίμνιον κατὰ μόνας. εἶπε δὲ τοῖς παισὶν αὐτοῦ, προπορεύεσθε ἔμπροσθέν μου, καὶ διάστημα ποιεῖτε ἀνὰ μέσον ποίμνης καὶ ποίμνης.

„ ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Καὶ διάστημα ποιεῖ-
„ τε ἀνὰ μέσον ποίμνης καὶ ποίμνης. ὡς οἱ ὁδοιποροῦντες στρατηγοὶ πρὸς τὸ τῶν στρατευμάτων ἀσύγχυτον.

✱✱ ΙΩΣΗΠΟΥ. Ἦσαν οἱ πεμφθέντες ἐκ διαλειμμάτων, ἵνα συνεχέστερον ἐντυγχάνοντες, πολλοὶ δοκῶσιν.

ιζ. Καὶ ἐνετείλατο τῷ πρώτῳ,
λέγων, ἐάν σοι συναντήσῃ Ἠσαῦ ὁ
ἀδελφός μου, καὶ ἐρωτᾷ σε, λέγων,
τίνος εἶ; καὶ ποῦ πορεύῃ; καὶ τίνος
ιη. ταῦτα τὰ προπορευόμενά σου; Ἐρεῖς,
τοῦ παιδός σου Ἰακώβ. δῶρα ἀπέσταλ-
κε τῷ κυρίῳ μου Ἠσαῦ· καὶ ἰδοὺ αὐ-
ιθ. τὸς ὀπίσω ἡμῶν. Καὶ ἐνετείλατο τῷ
πρώτῳ, καὶ τῷ δευτέρῳ, καὶ τῷ τρί-
τῳ, καὶ πᾶσι τοῖς πορευομένοις ὀπί-
σω τῶν ποιμνίων τούτων, λέγων, κα-
τὰ τὸ ῥῆμα τοῦτο λαλήσατε Ἠσαῦ
ἐν τῷ εὑρεῖν ὑμᾶς αὐτόν.

κ. Καὶ ἐρεῖτε, ἰδοὺ ὁ παῖς σου Ἰακὼβ παραγίνεται ὀπίσω ἡμῶν. εἶπε γὰρ, ἐξιλάσομαι τὸ πρόσωπον αὐτοῦ ἐν τοῖς δώροις τούτοις τοῖς προπορευομένοις, καὶ μετὰ τοῦτο ὄψομαι τὸ πρόσω-

(1) Πρὸς ἄρκεσιν. ἐν Τόμ. 1. μέρ. 1. σελ. 168.

πρόσωπον αὐτοῦ· ἴσως γὰρ προσδέξεται τὸ πρόσωπόν μου. A

ΚΥΡΙΛΛΟΥ. Καθυφίκοιτο ἱεροπρεπῶς, ἐκεῖνό που πάντως κατορθοῦν ᾑρημένος, εἰ
Ῥωμ. 12. 18. δυνατὸν τὸ ἐξ ἡμῶν, μετὰ πάντων εἰρη-
» νεύετε. λόγος γὰρ ἔσθ' ὅτε ὁ τραχὺς καὶ ἀνάντης, καὶ ὑπεροψίας ἔμπλεως ἀφόρητος ἔσται τισίν. ὡς δὲ σοφὸς ἔγραφε
Παροιμ. 15. 1. παροιμιαστὴς, ἀπόκρισις ὑποπίπτουσα ἀπο-
» στρέψει θυμόν. B

* ΤΟΥ ΑΥΤΟΥ. Κρείττων γὰρ εἰρήνη χρημάτων· καὶ προοιχέσθω φιλίας τῆς εἰς ἀδελφοὺς τῶν προσκαίρων ἡ κτῆσις.

ΑΔΗΛΟΥ. Οὕτω δεῖ περιγίνεσθαι τῶν ἐχθρῶν, μακροθυμίᾳ, καὶ εὐεργεσίᾳ, καὶ
» ταπεινοφροσύνῃ. εἶπε γὰρ, ἐξιλάσομαι
» τὸ πρόσωπον αὐτοῦ ἐν δώροις.

κα. Καὶ προεπορεύοντο τὰ δῶρα κατὰ πρόσωπον αὐτοῦ. αὐτὸς δὲ ἐκοιμήθη τὴν νύκτα ἐκείνην ἐν τῇ παρεμβολῇ. Γ

κβ. Ἀναστὰς δὲ τὴν νύκτα ἐκείνην, ἔλαβε τὰς δύω γυναῖκας, καὶ τὰς δύω παιδίσκας, καὶ τὰ ἕνδεκα παιδία αὐτοῦ, καὶ διέβη τὴν διάβασιν τοῦ Ῥαβώκ. (1) Δ

ΩΡΙΓΕΝΟΥΣ. Ῥαβὼκ τόπος ἐστὶ τῆς Ἀραβίας ὁ νῦν καλούμενος Ἰαμβύκης.

ΚΥΡΙΛΛΟΥ. Πρὸς μὲν τοὺς διαβαίνοντας τὸν Ἰορδάνην, οὓ καὶ εἰς τύπον ὁ Ῥαβὼκ, οὐ παλαίει Χριστὸς, οὐδὲ ἐν τάξει πολεμίων, ἢ ἀντιπάλων ποιεῖται τοὺς τὰ αὐτοῦ τιμῶντας μυστήρια· διασώζει δὲ μᾶλλον, καὶ νενικηκότας τὸν κόσμον. ὡς ἐν μάχῃ φημὶ τῇ νοητῇ, στεφανοῖ, καὶ ταῖς ἀνωτάτω καταφαιδρύνει τιμαῖς. πάλη δὲ ὄνομα τῷ τόπῳ. τοῦτο γὰρ ἑρμηνεύοι- E
Ματθ. 11. 12. το Ῥαβώκ. βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τῶν
» οὐρανῶν, καὶ τὰ ἑξῆς. ὅτι τοίνυν ἔμελλον οἱ ἐξ Ἰακὼβ ἐσόμενοι κατὰ καιροὺς οὔτε διαβήσεσθε τὸν Ἰορδάνην. τουτέστι τὴν δύναμιν τοῦ ἁγίου βαπτίσματος, καὶ τὴν χάριν ἀνοσίως ἀτιμάσαι, καὶ αὐτὸν δὲ λοιπὸν ἀντίπαλον ἕξειν τὸν Ἐμμανουὴλ, ὑπεδήλου τὸ γεγονός. ἀκούεις γὰρ πῶς ἐν νυκτὶ γέγονεν ἡ πάλη.

κγ. Καὶ ἔλαβεν αὐτοὺς, καὶ διέβη τὸν χειμάῤῥουν, καὶ διεβίβασε πάντα τὰ αὐτοῦ

κδ. Ὑπελείφθη δὲ Ἰακὼβ μόνος· καὶ ἐπάλαιε μετ' αὐτοῦ ἄνθρωπος ἕως πρωΐ.

ΩΡΙΓΕΝΟΥΣ. Τί δ' ἂν ἄλλο εἴη ὁ λεγόμενος ἄνθρωπος ὁμοῦ καὶ Θεὸς ὁ συμπαλαίων καὶ συναγωνιζόμενος τῷ Ἰακὼβ, ἢ ὁ πολυμερῶς καὶ πολυτρόπως λαλήσας τοῖς πατράσιν ἱερὸς τοῦ Θεοῦ λόγος, Κύριος καὶ Θεὸς χρηματίζων;

ΘΕΟΔΩΡΟΥ. Πάντας δὲ τοὺς αὐτοῦ παραγαγὼν διὰ τοῦ ποταμοῦ, καὶ αὐτὸς ὑποληφθεὶς, τότε παλαίει τῷ φανέντι. καὶ οὗτος ἦν ἄρα ὁ ἐπὶ τῆς κλίμακος ἐστηριγμένος τῆς ἐν Βαιθὴλ φανείσης αὐτῷ. οἱ δὲ Ἄγγελοι οἱ ἀναβαίνοντες καὶ καταβαίνοντες, ἡ παρεμβολὴ ἦν.

ΚΥΡΙΛΛΟΥ. Ἐμαχέσατο τοίνυν ὁ Ἰσραὴλ τῷ Χριστῷ ἐν σκότει γεγονὼς, τουτέστι τὸν θεῖον φωτισμὸν οὐκ ἔχων, οὔτε μὴν τὴν διαυγάζουσαν ἡμέραν, οὔτε τὸν ἀνίσχοντα νοητῶς ἑωσφόρον ἐν ταῖς τῶν πιστευόντων καρδίαις. διαμεμένηκε γὰρ ἀπειθής. (2) ἐπειδὴ γὰρ τὸν Ἡσαῦ ἐφοβεῖτο, ἐπάλαισεν αὐτῷ. ἵνα θαῤῥεῖν ἔχῃ. ἀμέλει ἐπά-
» γει, ἐνίσχυσε μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων, καὶ τὰ ἑξῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκα παλαίει τῷ Ἰακὼβ ὁ Ἄγγελος; Δεδιότι τὸν ἀδελφὸν θάρσος ἐντίθησι. διάτοι τοῦτο καὶ τῆς νίκης αὐτῷ παρεχώρησε, μονονουχὶ λέγων, ἐμὲ νενίκηκας καὶ ἄνθρωπον δέδοικας; ἵνα δὲ μὴ μεγαλοφρονῇ δόξας νενικηκέναι Θεόν. τῇ ἀφῇ τοῦ μηροῦ τὸ ἐθελούσιον τῆς ἥττης ἐδήλωσε. τῇ γὰρ ἀφῇ τὴν νάρκην εἰργάσατο. γνοὺς δὲ τοῦ ἐπιφανέντος τὴν δύναμιν, τὴν εὐλογίαν αἰτεῖ· ὁ δὲ καὶ τὴν αἴτησιν δίδωσι, καὶ τὴν
» προσηγορίαν ἀμείβει. οὐκ ἔτι γάρ φησι
» κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ' ἢ
» Ἰσραὴλ ἔσται τὸ ὄνομά σου· ὅτι ἐνίσχυσας
» μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. ἔδειξε δὲ καὶ τὴν αἰτίαν τῆς νίκης. μὴ δείσῃς γάρ φησιν ἄνθρωπον, ἐμοῦ σοι τῆς νίκης παραχωρήσαντος. διέμεινε δὲ καὶ μετὰ τὴν ἐγρήγορσιν ὁ μηρὸς ναρκῶντε καὶ ὑποσκάζων, ἵνα μὴ φαντασίαν ὑπολάβῃ τὴν ὄψιν, ἀλλ' ἀκριβέστερον γνῷ τοῦ ἐνυπνίου τὸ ἀληθές. διὰ τοῦτο καὶ ἐρωτήσας τίνα προσηγορίαν εἶχεν, οὐ μόνον διαμαρτάνει τῆς αἰτήσεως, ἀλλὰ καὶ ἐπιπλήττεται, ὡς ὑπερβὰς τὰ μέτρα τῆς
Z » φύσεως. ἵνα τί γάρ φησιν ἐρωτᾷς τὸ ὄνο-
» μά μου; καὶ τοῦτό ἐστι θαυμαστόν. ἐπισημαντέον δὲ κἀνταῦθα, ὡς τὸν αὐτὸν καὶ
» ἄνθρωπον ἐκάλεσε καὶ Θεόν. ἐνίσχυσας
» γὰρ ἔφη μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων
» ἔσῃ δυνατός. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ
» τόπου ἐκείνου, εἶδος Θεοῦ. διὰ τούτων δὲ πάντων μανθάνομεν, ὡς ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς ἐφάνη κἀνταῦθα τῷ Ἰακώβ.

κε. Εἶδε

(1) Ὁ μὲν κώδ. Ῥαβὼκ, ἔντε τῇ τῆς Γραφῆς ῥήσει καὶ ἐν τοῖς ὑπομνήμασιν· αἱ δὲ τῆς Γραφ. ἐκδόσ. Ἰαβώχ. ὡσαύτως καὶ ὁ Χρυσόστομ. (ἐν κεφ. 32. τῆς Γενέσ.) ὁ δὲ Κύριλλ. (ἐν Τόμ. 1. μέρ. 1. σελ. 168.) καὶ ὁ Ὠριγέν. (ἐν Τόμ. 2. σελ. 43. τῆς τοῦ Ῥουαίου ἐκδόσ.) Ἰαβώκ. ὁ δὲ Ἰώσηπ. (ἐν Βιβλ. 1. κεφ. 19. περὶ Ἰουδαϊκ. ἀρχαιολ.) Ἰάβακχον. (2) Τὰ ἑπόμ. ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται· ἀλλ' οὐδ' ἀκόλουθα τοῖς ἡγουμ.

κε. **Εἶδε δὲ, ὅτι οὐ δύναται πρὸς αὐτόν· καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῷ παλαίειν αὐτὸν μετ᾽ αὐτοῦ.**

ΘΕΟΔΩΡΟΥ. Εἶδε δέ φησιν, ὅτι οὐ δύναται πρὸς αὐτόν· καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησεν. Ὁ μὲν Ἰακὼβ εἶδεν, ὅτι οὐ δύναται πρὸς τὸν Ἄγγελον, ὁ δὲ Ἄγγελος ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ.

ΓΕΝΝΑΔΙΟΥ. Ἐπιταθέντος τοῦ φόβου τῷ Ἰακὼβ, καὶ ταύτην ὁ Θεὸς ἐποιήσατο τὴν ἐπιφάνειαν, ψυχαγωγῶν τὸν δίκαιον. τὸ μὲν οὖν, εἶδεν ὅτι οὐ δύναται πρὸς αὐτὸν τὸν Ἰακὼβ, τουτέστιν ἐλαττοῦσθαι αὐτοῦ συνῆκε τὸν προσπαλαίοντα· οὕτω δηλονότι κατὰ τὴν πάλην προσενεχθέντος αὐτῷ τοῦ Θεοῦ, καὶ νικᾶσθαι μᾶλλόν πως προσποιησαμένου· τὸ, ἥψατο δὲ τοῦ μηροῦ αὐτοῦ τοῦ προσπαλαίοντος, ὡς ἂν οἶμαι διὰ τῆς ὀδύνης ἔμμονος ἡ μνήμη τῷ Ἰακὼβ τῆς ὄψεως παραμένῃ.

* ΚΥΡΙΛΛΟΥ. Ὁ μηρὸς, ὡς ἐπίπαν, παρά γε τῇ θεοπνεύστῳ Γραφῇ τὰ εἰς τέκνων γονὴν ἀναγκαῖα τοῦ σώματος ὑποφαίνει μόρια, καὶ αὐτὴν δὲ λοιπὸν ὡς ἐκ τούτου τὴν γονήν. ἐνάρκησε τοίνυν ὁ μηρὸς Ἰακώβ. ἐχώλαναν γὰρ οἱ ἐκ μηρῶν αὐτοῦ γεγονότες, τουτέστιν οἱ ἐξ Ἰσραήλ.

ΤΟΥ ΑΥΤΟΥ. Ἠλέγχετο δὲ πίπτων καὶ νικώμενος, ὅτι τὰ ἀνέφικτα ζητεῖ ὁ θεομαχεῖν ᾑρημένος, καὶ περιέπεσθαι προσδοκῶν τοῦ πάντα ἰσχύοντος Θεοῦ.

κς. **Καὶ εἶπεν αὐτῷ, ἀπόστειλόν με· ἀνέβη γὰρ ὁ ὄρθρος. ὁ δὲ εἶπεν, οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς.**

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἄγγελος ἦν ὁ παλαίσας μετὰ Ἰακὼβ, καὶ οὐ Θεὸς, ὡς ἐνόμισεν ὁ Ἰακώβ. λέγει γὰρ τελευτῶν,
[Γεν. 48. 16.] ὁ Ἄγγελος ὁ ῥυσάμενός με ἐκ νεότητός μου. καὶ αὐτὸς ᾔδει, ὅτι Ἄγγελος μὲν ἦν, Θεὸς δὲ δι᾽ Ἀγγέλου εἰργάζετο. Καὶ εἶπεν, ἀπόστειλόν με· ὁ δὲ εἶπεν, οὐ μή σε ἀποστείλω, καὶ τὰ ἑξῆς. ἆρα γὰρ ἀναχωρεῖν οὐκ ἠδύνατο; ἀλλὰ διδοὺς χώραν αὐτῷ εἰπεῖν. πάντως γὰρ ἤθελεν εἰπεῖν, ὤκνει δέ. λαβὼν δὲ παῤῥησίαν, φησὶν, οὐ μή σε ἀποστείλω. (1)

ΘΕΟΔΩΡΟΥ. Τόγε μὴν τὸν Ἄγγελον εἰπεῖν, ἀπόστειλόν με, προτρεπομένου ἦν, καὶ παῤῥησίαν διδόντος τῷ Ἰακὼβ εἰπεῖν, οὐ μή σε ἀποστείλω, εἰ μή με εὐλογήσῃς.

ΓΕΝΝΑΔΙΟΥ. Καὶ εἶπεν αὐτῷ, ἀπόστειλόν με· ἀνέβη γὰρ ὁ ὄρθρος. Εὔδηλον, ὅτι διὰ τῶν εἰρημένων γνῶσιν αὐτοῦ τῇ διανοίᾳ τοιαύτην ὁ Θεὸς ἐναπέθετο, ὡς ὁ ἐπιφανεὶς οὗτος εἴη ὁ Θεός. οὐ θέμις δὲ ὑπ᾽

[Α] ἀνθρώπων ὁρᾶσθαι Θεόν. ὅθεν, οἶμαι, συνεὶς τοῦτο καὶ ὁ μακάριος Ἰακὼβ, οὐ μή σε ἀποστείλω φησὶν, ἐὰν μή με εὐλογήσῃς. ὁ δὲ Θεὸς πρὸς αὐτὸν, οὐ κληθήσεται· τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ᾽ Ἰσραὴλ ἔσται τὸ ὄνομά σου. καὶ διὰ τῆς τοῦ ὀνόματος θέσεως, ὅστις ἐστὶν ὁ ἐπιφανεὶς αὐτῷ κατεμήνυσε.

ΚΥΡΙΛΛΟΥ. Τοῖς μὲν γὰρ ὡς ἐν νυκτίτε καὶ σκότει διατελοῦσιν ἔτι, καὶ ἀχλὺν ἔχουσι τὴν νοητὴν εἰς νοῦν καὶ καρδίαν,
[Β] οὔπωτε νοεῖν ἰσχύουσι τὸ ἐπ᾽ αὐτῷ μυστήριον, οἷς παλαίειτε καὶ μάχεται, καὶ νικᾶν ἔθος αὐτῷ· τοῖς γε μὴν ἐν φωτὶ γεγονόσι, καὶ ὡς ἐν ὄρθρῳ τῷ νοῒ, καὶ νενοηκόσιν εὖ μάλα τὸ μυστήριον, οὐκ ἔτι παλαίειν ἀξιοῖ· διανέμει δὲ μᾶλλον εὐλογίας πνευματικάς. (2)

ΤΟΥ ΑΥΤΟΥ. Συνίης, ὅπως οὐκ ἀνέχεται παλαίειν διαυγαζούσης ἡμέρας. οὔτε
[Γ] γὰρ μάχεται τοῖς ἐν φωτὶ γεγονόσιν. οἷς ἂν εἴη πρέπον τοῖς εἰς τοῦτο λαμπρότητος διεληλακόσι, καὶ τοῦτο φάναι τὸν Προφήτην λοιπὸν, ὁ Θεὸς ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω. [Ψαλ. 62. 1.]

ΤΟΥ ΑΥΤΟΥ. Ἀνίσχοντος γὰρ κατὰ νοῦν ἡμῖν τοῦ τῆς δικαιοσύνης φωτὸς, τουτέστι τοῦ Χριστοῦ, καὶ νοητὴν ἐν καρδίαις ἱέντος αὐγὴν, τότε δὴ τότε καὶ μάλα λαμπροὶ παραστησόμεθα αὐτῷ, καὶ διὰ τῆς
[Δ] εἰς ἅπαν ἐπιεικείας, καὶ τῆς ἄνωθεν θεοφιλίας ἑαυτοὺς αὐτοῦ ἀποφανοῦμεν ἀξίους. ὀφθαλμοὶ γὰρ Κυρίου, φησὶν, ἐπὶ δικαίους. [Ψαλ. 33. 15.] ὄρθρου γὰρ ἀνίσχοντος καταλύει τὴν πάλην.

ΤΟΥ ΑΥΤΟΥ. [Θέα δὲ ὅπως οἰκονομικῶς καὶ εὐτυχέστατα λίαν διδάσκει τὸν Ἰακὼβ ἀποφοιτᾶν ἐθέλοντα μεταποιεῖσθαίτε καὶ λίαν ἐπιθυμεῖν ἐπιδοῦναι τῶν ἀναγκαίων εἰς σωτηρίαν αὐτῷ. ὁ γὰρ ὅλως νενικηκὼς, καὶ ἀποστῆναι δυνάμενος, κἂν
[Ε] εἰ μὴ μεθοῖτο τυχὸν ὁ νενικημένος· ἐξουσίαν δὲ ὥσπερ ἐπιδιδοὺς τοῦ εἴπερ ἕλοιτο, καὶ ἀπρὶξ ἔχεσθαι τυχὸν, ἀπόστειλόν με, φησί. τούτῳ προσεοικὸς εὑρήσομεν τὸ πρὸς Μωσέα παρὰ Θεοῦ σοφῶς τε καὶ οἰκονομικῶς εἰρημένον. Καὶ μετ᾽ ὀλίγα. Ἔασόν με, [Ἐξόδ. 32. 10.] ἐξολοθρεύσω αὐτούς. Καὶ μετ᾽ ὀλίγα.] Οὐκοῦν κατὰ τοιόνδε τινα τρόπον πρὸς Ἰακὼβ εἴρηται τὸ, ἀπόστειλόν με, παρὰ τοῦ
[Ζ] παλαίοντος αὐτῷ. ὁ δὲ ταχύπου συνιεὶς τίς ὁ παλαίων ἐστὶ, καὶ ἐν αἰσθήσει λοιπὸν τοῦ παντὸς γεγονὼς πράγματος, μεταποιεῖται λίαν, καί φησι, οὐ μή σε ἀνῶ, ἐὰν μή με εὐλογήσῃς.

κζ. **Εἶπε δὲ, τί τὸ ὄνομά σου ἐστίν;**
κη. **ὁ δὲ εἶπεν, Ἰακώβ. Καὶ εἶπεν αὐτῷ, οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ᾽ ἢ Ἰσραὴλ ἔσται τὸ ὄνομά σου· ὅτι**
[Η] **ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατός.**

ΦΙΛΩ-

(1) Ἐν τοῖς ἐκδεδομ. τοῦτο οὐχ εὕρηται. ἀλλ᾽ οὐδ᾽ ἡ λέξις, οὐδ᾽ ὁ νοῦς ἐμφαίνει αὐτὸ γόνον τοῦ Ἑβραίου Φίλωνος.

(2) Ἄλλως πως καὶ λίαν συντόμως ταῦτα ἐν τοῖς ἐκδεδομ. κεῖται.

A ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἰακὼβ μὲν μαθήσεως καὶ προκοπῆς ὄνομα, ἀκοῆς ἐξηρτημένων δυνάμεων· Ἰσραὴλ δὲ, τελειότητος. ὅρασιν γὰρ Θεοῦ μηνύει τοὔνομα.

** ΙΩΣΗΠΟΥ. Ἐκέλευε καλεῖν αὐτὸν Ἰσράηλον. σημαίνει δὲ τοῦτο κατὰ τὴν Ἑβραίων γλῶτταν, τὸν ἀντιστάντα Ἀγγέλῳ θείῳ.

ΚΥΡΙΛΛΟΥ. Εἶπε δὲ αὐτῷ, οὐ κληθήσεται (φησι) τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου· τοῦ μὲν Ἰακὼβ σημαίνοντος τὸν πτερνίζοντα, τουτέστι τὸν εὐδρανῆ καὶ νηφάλιον εἰς τὸ δύνασθαι κατορθοῦν ἃ δεῖ· τοῦ δὲ Ἰσραὴλ, νοῦν ὁρῶντα Θεὸν ἑρμηνευομένου.

ΘΕΟΔΩΡΟΥ. Ὁ δὲ ἐρωτᾷ, τί τὸ ὄνομά σου; ὁ δὲ εἶπεν, Ἰακώβ. εἶπε δὲ αὐτῷ, οὐ κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ' ἢ Ἰσραὴλ ἔσται τὸ ὄνομά σου· ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. ἱκανή σοι, φησὶν, εὐλογία τὸ παλαῖσαι μετὰ Θεοῦ. καὶ σημεῖον ἔστω σοι μέγιστον τὸ Ἰσραὴλ μετονομασθῆναι. ὅπερ ἐστὶν ἄνθρωπος ὁρῶν Θεόν. καὶ μὴν εἰ τὴν φύσιν Ἄγγελος ἦν ὁ φανεὶς αὐτῷ, ψευδῶς ἀνεκλήθη Ἰσραὴλ ἀπὸ τοῦ τὸν ὄντα Θεὸν ἑωρακέναι. οὐκοῦν Θεὸς ἦν ὁ αὐτὸς, καὶ ἄνθρωπος, καὶ Ἄγγελος· πάντα ἀληθῶς. ἀλλὰ τὸ μὲν, τῆς ἐνανθρωπήσεως· τὸ δὲ, τῆς οἰκονομίας· τὸ δὲ, τῆς φύσεως.

ΓΕΝΝΑΔΙΟΥ. Ἰσραὴλ, ὁ ὁρῶν Θεὸν ἑρμηνεύεται. Ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. ἐγνώρισεν αὐτῷ διὰ τούτων σαφῶς τῆς ὄψεως τὴν αἰτίαν. οὐδεὶς γὰρ ἀνθρώπων σοῦ περιέσται, φησὶν, οὗ γε οὐδὲ ὁ Θεὸς περιγέγονεν.

κθ. Ἠρώτησε δὲ Ἰακὼβ, καὶ εἶπεν, ἀπάγγειλόν μοι τὸ ὄνομα. καὶ εἶπεν, ἵνα τί τοῦτο ἐρωτᾷς σὺ τὸ ὄνομά μου; (1) καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ.

ΔΙΟΔΩΡΟΥ. Καὶ εἶπεν Ἰακὼβ, ἀνάγγειλόν μοι τί ὄνομά σοι; καὶ εἶπεν, ἵνα τί τοῦτο ἐρωτᾷς; καὶ τοῦτό ἐστι θαυμασόν. Καλῶς ὁ Κύριος εἰς ἑαυτὸν λέγεσθαί φησι
Ψαλ. 8. 1. τὸ, Κύριε ὁ Κύριος ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. οὐ γὰρ ἂν Ἀγγέλου θαυμαστὸν εἴη τὸ ὄνομα, ἀλλ' ἢ υἱοῦ Θεοῦ· ὅτι Θεὸς καὶ Ἰησοῦς, ὅτι τοῦ κόσμου Σωτήρ.

ΑΔΗΛΟΥ. Τὸ, καὶ τοῦτό ἐστι θαυμασὸν, παρ' οὐδενὶ κεῖται ἐν τῷ ἐξαπλῷ.

ΓΕΝΝΑΔΙΟΥ. Εἶτα ζητήσαντι γνῶναι καὶ τὸ ὄνομα τοῦ ἐπιφανέντος, ἐπιτιμᾷ λοιπὸν, ὡς τοῦ δέοντος πλεονάζοντι· καὶ πρὸς μέτριον ἐπανάγων, εὐλαβέστερον ἀπεργάζεται. διὸ καὶ θαυμάζων ὁ πατριάρχης ἐπήγαγεν, εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. λέγει γὰρ, ὅτι καὶ ἐναργῶς οὕτω Θεὸν ἰδεῖν καταξιωθεὶς, ὅμως οὐδεμίαν, ὡς τοσοῦτον πλησιάσας, βλάβην ὑπέμεινα.

ΚΥΡΙΛΛΟΥ. Οὐκ ἀπαγγέλλει τοὔνομα ὁ Θεὸς, ὅτι κατὰ φύσιν ἐστὶ, καὶ διὰ τοῦτο τοῦτο δεικνύει. ὄνομα μὲν γὰρ, ὡς ἀνθρώπῳ τυχὸν ἰδικῶς, οὐδὲν ἂν εἴη Θεῷ. πλὴν ἐξ ὧν εἶναι πέφυκε πολλαχῶς ὀνομάζεται. φῶς γὰρ, καὶ ζωὴ, καὶ δύναμις, καὶ ἀλή-
B θεια, μονογενὴς, καὶ ἀπαύγασμα, καὶ χαρακτὴρ τοῦ γεννήσαντος, ἔλεος, καὶ σοφία, δικαιοσύνη, καὶ ἀπολύτρωσις.

** ΚΛΗΜΕΝΤΟΣ. Ἵνα τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου; ἐτήρει γὰρ τὸ ὄνομα τὸ καινὸν τῷ νέῳ λαῷ τῷ νηπίῳ. ἔτι δὲ καὶ ἀνονόμαστος ἦν ὁ Θεὸς ὁ Κύριος, μηδέπω γεγενημένος ἄνθρωπος.

λ. Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνο-
Γ μα τοῦ τόπου ἐκείνου, εἶδος Θεοῦ· εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή.

ΑΔΗΛΟΥ. Ἀκύλας φησὶ, πρόσωπον ἰσχυρὸν· ὁ Σύμμαχος, Φανουήλ.

** ΙΩΣΗΠΟΥ. Ἡσθεὶς δὲ τούτοις Ἰάκωβος, Φανύηλον ὀνομάζει τὸν τόπον. σημαίνει δὲ Θεοῦ πρόσωπον.

Δ ** ΚΛΗΜΕΝΤΟΣ. Πρόσωπον δὲ τοῦ Θεοῦ ὁ λόγος, ᾧ φωτίζεται ὁ Θεὸς καὶ γνωρίζεται.

ΚΥΡΙΛΛΟΥ. Συνιεὶς δὲ πάλιν ὁ μακάριος Ἰακὼβ, ὅτι Θεὸς ἂν εἴη λοιπὸν, ᾧ μηδὲν ὄνομα προσχέροιτο ἂν ἰδικὸν, ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου. εἶδος Θεοῦ. εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη ἡ ψυχή μου. εἶδε δὲ δηλονότι, ὡς ἐγχωρεῖ ἄνθρωπον ἰδεῖν Θεὸν
E ἐν εἴδει ἀνθρώπου. φησὶ γὰρ ὁ Μωϋσῆς, οὐδεὶς ὄψεταί μου τὸ πρόσωπον, καὶ ζήσε- Ἐξόδ. 33. 20.
ται ἐκ προσώπου τοῦ Θεοῦ. εἰ δὲ ἰδὼν, ἔζησεν ὁ Ἰακὼβ, τῆς τοῦ ὁρωμένου εὐεργεσίας ἦν, ὡς καὶ ἐπὶ Γεδεών.

λα. Ἀνέτειλε δὲ αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ· αὐτὸς δὲ ἐπέσκαζε τῷ μηρῷ αὐτοῦ.

Z * ΚΥΡΙΛΛΟΥ. Ὡς γὰρ ἔφθην ἤδη πεφωτισμένων τῶν Ἰουδαίων, πέπαυται μὲν ἡ πάλη, παρήλασε δὲ καὶ τὸ εἶδος τοῦ Θεοῦ, τουτέστιν ἀναβέβηκεν εἰς οὐρανοὺς ὁ Χριστός. οὐκ ἀπήλλακται δὲ χωλότητος ὁ Ἰσραήλ· σέσωσται δὲ οὐχ ἅπας· πάσχει δὲ ὥσπερ διὰ τῶν ἀπειθούντων ἐπὶ τὸ μὴ εἰς ἅπαν ὀρθοποδεῖν.

** ΤΟΥ ΑΥΤΟΥ. Εἶδος δὲ Θεοῦ τί ἂν ἕτερον εἴη, εἰ μὴ πάντως ὁ μετὰ παρρη-
H σίας βοῶν· ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Ἰωάν. 14. 9, 11.
πατέρα. ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. καὶ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. Ἰωάν. 10. 30.

λβ. Ἐνε-

(1) Ὅ ἐστι θαυμαστὸν πρόσκειται ἐν ταῖς τοῦ Ἄλδου ἐκδόσ.

λβ. Ἕνεκεν τούτου οὐ μὴ φάγωσιν οἱ υἱοὶ Ἰσραὴλ τὸ νεῦρον, ὃ ἐνάρκησεν, ὅ ἐστιν ἐπὶ τὸ πλάτος τοῦ μηροῦ, ἕως τῆς ἡμέρας ταύτης· ὅτι ἥψατο τοῦ πλάτους τοῦ νεύρου τοῦ Ἰακὼβ, καὶ ἐνάρκησεν.

** ΙΩΣΗΠΟΥ. Καὶ γενομένου διὰ τὴν μάχην ἀλγήματος αὐτῷ περὶ τὸ νεῦρον τὸ πλατὺ, αὐτός τε ἀπέχεται τῆς τούτου βρώσεως, καὶ δι᾽ ἐκεῖνον οὐδ᾽ ἡμῖν ἐστὶν ἐδώδιμον.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐκ ἀφ᾽ ἑαυτοῦ ἐνάρ- A κησεν ὁ μηρὸς τοῦ Ἰακὼβ, ἀλλ᾽ ἐπειδὴ ἥψατο ὁ ὀφθεὶς ὡς ἄνθρωπος. ἵνα διὰ παντὸς μεμνημένοι, ὅτι Θεὸς ὡς ἄνθρωπος ἐπάλαισε τῷ Ἰακὼβ, ὅταν ἴδωσι τὸν αὐτὸν Θεὸν καὶ ἄνθρωπον ἐπ᾽ ἐσχάτων ἐρχόμενον σῶσαι τὸ γένος τῶν ἀνθρώπων, μὴ ἀπιστήσωσι. φιλεῖ γὰρ ἀπιστεῖσθαι τὰ τῶν ὑπερβολῶν παρὰ τοῖς ἀνθρώποις, ἐὰν μὴ τῆς οἰκείας ἀληθείας ὕστερον ἴχνος καταλιμπάνῃ.

B * ΚΥΡΙΛΛΟΥ. Οἱ τὴν πίστιν οὐ προσηκάμενοι μεμενήκασιν ἐν χωλότητι καὶ ἐκτροπῇ τοῦ πάθους.

ΚΕΦ. ΛΓ.

α. Ἀναβλέψας δὲ Ἰακὼβ τοῖς
ὀφθαλμοῖς αὐτοῦ, εἶδε·
καὶ ἰδοὺ Ἡσαῦ ὁ ἀδελφὸς
αὐτοῦ ἐρχόμενος, καὶ τετρακόσιοι ἄν-
δρες μετ᾽ αὐτοῦ. καὶ ἐπιδιεῖλεν Ἰακὼβ
τὰ παιδία ἐπὶ Λείαν, καὶ ἐπὶ Ῥα-
β. χὴλ, καὶ τὰς δύω παιδίσκας. Καὶ
ἐποίησε τὰς δύω παιδίσκας καὶ τοὺς
υἱοὺς αὐτῶν ἐν πρώτοις, καὶ Λείαν καὶ
τὰ παιδία αὐτῆς ὀπίσω, καὶ Ῥαχὴλ
καὶ Ἰωσὴφ ἐσχάτους.

γ. Αὐτὸς δὲ προῆλθεν ἔμπροσθεν αὐτῶν· καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν ἑπτάκις, ἕως τοῦ ἐγγίσαι τῷ ἀδελφῷ αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς τὴν διαίρεσιν ποιησάμενος, αὐτὸς πρὸ πάντων
» τὴν δυστυχίαν ποιεῖται. καὶ προσεκύνη-
» σε, φησὶν, ἐπὶ τὴν γῆν ἑπτάκις, ἕως οὗ
» ἤγγισε τῷ ἀδελφῷ αὐτοῦ, ἐφελκόμενος καὶ διὰ τοῦ σχήματος, καὶ διὰ τῆς προσκυνήσεως τὸν ἀδελφὸν εἰς τὴν περὶ αὐτὸν εὔνοιαν.

δ. Καὶ συνέδραμεν Ἡσαῦ εἰς συνάντησιν αὐτῷ· καὶ περιλαβὼν αὐτὸν, ἐφίλησε, καὶ προσέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ· καὶ ἔκλαυσαν ἀμφότεροι.

ΚΥΡΙΛΛΟΥ. Καὶ γοῦν ἐδεδίει μὲν, ὡς ἔφην, ὁ θεσπέσιος Ἰακὼβ τὸν ἀδελφὸν Ἡσαῦ, καὶ ὡς αὐτίκα δὴ μάλα τὰ ἐξ ὀργῆς πεισόμενος, ἄθυμος ἦν. ὁ δὲ παρελθὼν, ἠσπάζετο· καὶ θυμὸν καὶ φθόνον πατήσας τὸν ἐξ ἀρχῆς, περιέφυ τὸν Ἰακὼβ, καὶ σὺν δάκρυσιν ἠσπάζετο, καὶ τοῖς τῆς φύσεως νόμοις τὸ βραβεύειν δύνασθαι τὰ εἰς ἀγάπην ἐδίδου.

ΤΟΥ ΑΥΤΟΥ. [Ἐκδέχεται δὲ οὕτω λοιπὸν καὶ αὐτὸν εἰς ἀγάπησιν τὸν Ἡσαῦ.] ἐπιστρέψει γὰρ κατὰ καιροὺς μετὰ τὴν τῶν ἐθνῶν κλῆσιν ὁ Ἰσραὴλ. καὶ αὐτὸν τὸν ἐν Χριστῷ πλοῦτον θαυμάσεται.

ε. Καὶ ἀναβλέψας, εἶδε τὰς γυ-
Γ ναῖκας, καὶ τὰ παιδία· καὶ εἶπε, τί
ταῦτά σοι ἐστίν; ὁ δὲ εἶπε, τὰ παιδία,
οἷς ἠλέησεν ὁ Θεὸς τὸν παῖδά σου.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὰ παιδία, οἷς
» ἠλέησέ με ὁ Θεός. ὁ Ἀκύλας ἐξέδωκεν,
» ἃ ἐχαρίσατο ὁ Θεὸς τῷ παιδίσκῳ· Σύμμα-
» χος δὲ, ἃ ἐδωρήσατο.

ς. Καὶ προσήγγισαν αἱ παιδίσκαι
καὶ τὰ τέκνα αὐτῶν, καὶ προσεκύνη-
ζ. σαν. Καὶ προσήγγισε Λεία καὶ τὰ
τέκνα αὐτῆς, καὶ προσεκύνησαν· καὶ
μετὰ ταῦτα προσήγγισε Ῥαχὴλ
η. καὶ Ἰωσὴφ, καὶ προσεκύνησαν. Καὶ
εἶπε, τί ταῦτά σοι ἐστὶ, πᾶσαι αἱ πα-
ρεμβολαὶ αὗται, αἷς ἀπήντηκα; ὁ δὲ
εἶπεν, ἵνα εὕρῃ ὁ παῖς σου χάριν ἐνώ-
θ. πιόν σου κύριε. Εἶπε δὲ Ἡσαῦ, ἔστι
E μοι πολλὰ ἀδελφέ· ἔστω σοι τὰ σά.

ι. Εἶπε δὲ Ἰακὼβ, εἰ εὕρηκα χάριν ἐναντίον σου, δέξαι τὰ δῶρα ταῦτα διὰ τῶν ἐμῶν χειρῶν. ἕνεκεν τούτου εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι πρόσωπον Θεοῦ· καὶ εὐδοκήσεις με.

ΑΔΗΛΟΥ. Σβέννυσι γὰρ μνησικα-
Z κίαν δῶρα.

» * ΠΡΟΚΟΠΙΟΥ. Ὡς ἂν εἴ τις ἴδοι πρό-
» σωπον Θεοῦ. ἑπτάκις γὰρ προσεκύνησεν, ὡς ἐνώπιον Θεοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Δέξαι, φησὶ, τὰ παρ᾽ ἐμοῦ σοι δῶρα προσαγόμενα. μετὰ τοσαύτης γὰρ περιχαρείας εἶδόν σου τὸ πρόσωπον, μεθ᾽ ὅσης ἄν τις ἴδοι Θεοῦ πρόσωπον. τοῦτο θεραπείας πολλῆς ἕνεκα ἐρ-
H ρέθη παρὰ τοῦ δικαίου, ὥστε αὐτὸν καταμαλάξαι, καὶ πρὸς τὴν ἀδελφικὴν εὔνοιαν
» ἀγαγεῖν. Καὶ εὐδοκήσεις με, ἀντὶ τοῦ, τὸ ἀρέσκον μοι ποιήσεις.

ια. Λάβε τὰς εὐλογίας μȣ, ἃς ἤνεγκά σοι· ὅτι ἠλέησέ με ὁ Θεός, καὶ ἔςι μοι πάντα. καὶ ἐβιάσατο αὐτὸν, καὶ ἔλαβε.

** ΚΛΗΜΕΝΤΟΣ. "Ὅτι τȣ̃ σοφȣ̃ πάν„ τα ἐςὶ, σαφῶς μίωύει, λέγων· διότι ἠλέη„ σέ με ὁ Θεὸς, ἔςι μοι πάντα. οἷος γὰρ δεῖν ὀρέγεσθαι διδάσκει, δι' ȣ̃ τὰ πάντα γέγονε, καὶ τοῖς ἀξίοις τὰ ἐπηγγελμένα νέμεται.

ιβ. Καὶ εἶπεν, ἀπάραντες πορευ-
ιγ. σώμεθα ἐπ' εὐθεῖαν. Εἶπε δὲ αὐτῷ, ὁ κύριός μȣ γινώσκει, ὅτι τὰ παιδία ἁπαλώτερα, καὶ τὰ πρόβατα καὶ αἱ βόες λοχεύονται παρ' ἐμοί· ἐὰν ȣ̃ν καταδιώξω αὐτὰς ἡμέραν μίαν, ἀποθανȣ̃νται πάντα τὰ κτήνη.

ιδ. Προελθέτω ὁ κύριός μȣ ἔμπροσθεν τȣ̃ παιδός σȣ· ἐγὼ δὲ ἐνισχύσω ἐν τῇ ὁδῷ κατὰ σχολὴν τῆς πορεύσεως τῆς ἐναντίον, καὶ κατὰ πόδα τῶν παιδαρίων, ἕως τȣ̃ ἐλθεῖν με πρὸς τὸν κύριόν μȣ εἰς Σηείρ.

* ΠΡΟΚΟΠΙΟΥ. Πρὸς τὸν πατέρα βȣλόμενος ὁρμῆσαι ὁ Ἰακὼβ, ἵνα μὴ πάλιν πρὸς φθόνον κινήσῃ τὸν ἀδελφὸν, (1) σιωπᾷ μὲν ὃ βȣ́λεται, λέγει δὲ ὁ μὴ πράττει πάνυ σοφῶς.

ιε. Εἶπε δὲ Ἡσαῦ, καταλείψω μετὰ σȣ̃ ἀπὸ τȣ̃ λαȣ̃ τȣ̃ μετ' ἐμȣ̃. ὁ δὲ εἶπεν, ἵνα τί τȣ̃το; ἱκανὸν, ὅτι
ιϛ. εὗρον χάριν ἐναντίον σȣ κύριε. Ἀπέςρεψε δὲ Ἡσαῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὴν ὁδὸν αὐτȣ̃ εἰς Σηείρ.

ιζ. Καὶ Ἰακὼβ ἀπαίρει εἰς σκηνάς· καὶ ἐποίησεν αὐτῷ οἰκίας, καὶ τοῖς κτήνεσιν αὐτȣ̃ ἐποίησε σκηνάς· διὰ τȣ̃το ἐκάλεσε τὸ ὄνομα τȣ̃ τόπȣ ἐκείνȣ Σκηναί.

ΚΥΡΙΛΛΟΥ. Τὸ ἐν σκηναῖς ȣ̃ν ἄρα κατοικεῖν τὸν Ἰακὼβ, ἤτοι τὸν Ἰσραὴλ,

A σημεῖον ἂν γένοιτο καὶ ȣ̓δενὶ πȣ τάχα τῶν εὖ φρονȣ́ντων ἀσυμφανὲς, τὸ παροικίαν ἡγεῖσθαι πρέπειν τὰ ἐν τῷ δε τῷ κόσμῳ πράγματα τȣ̀ς ἀναμένοντας ἤδη πρὸς τὸν Θεὸν, καὶ τὸν νῦν ἔχοντας ἐκλελαμπρυσμένον.

ΤΟΥ ΑΥΤΟΥ. Κατῴκησε μὲν γὰρ ἐν σκηναῖς, ὅτι πάροικον ἐν κόσμῳ τῶν ἁγίων τὸ γένος. τὸ δὲ ἁγιοπρεπὲς αὐτȣ̃
B δείκνυσι τὰ μεταξὺ, τὰ ἐπὶ τῇ θυγατρὶ συμβεβηκότα. μαθὼν γὰρ καὶ λελυπημένος ȣ̓ μετρίως τοῖς ἀγεννῶς ἠτιμωμένοις ὑπὸ θυμȣ̃, Συμεών τε φημὶ καὶ Λευΐ, ἐπετίμα σφοδρῶς, τὸ ἀνεξίκακον καὶ τὸ τλησιπαθὲς ἐν πειρασμοῖς διὰ πραγμάτων ἡμῖν ὑποφαίνων.

ιη. Καὶ ἦλθεν Ἰακὼβ εἰς Σαλὴμ πόλιν Σικίμων, ἥ ἐςιν ἐν γῇ Χαναὰν,
Γ ὅτε ἦλθεν ἐκ τῆς Μεσοποταμίας Συρίας· καὶ παρενέβαλε κατὰ πρόσωπον τῆς πόλεως.

ιθ. Καὶ ἐκτήσατο τὴν μερίδα τȣ̃ ἀγρȣ̃, ȣ̃ ἔςησεν ἐκεῖ τὴν σκηνὴν παρὰ Ἐμμὼρ πατρὸς Συχὲμ, ἑκατὸν ἀμνῶν.

„ ΑΔΗΛΟΥ. Πατρὸς Συχὲμ, Ἀκύλας,
Δ„ Συχέμ. ὅπερ ἑρμηνεύεται ὦμος, ἢ ὤμων· ἢ ὠμίας, ἢ ὠμί. (2) Σύμμαχος,
„ Σοχχώθ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὁ φιλομαθὴς εἰς τὸ τȣ̃ τόπȣ Συχὲμ ἐνείληπται. μεταληφθὲν δὲ τȣ̃νομα Συχὲμ, ὠμίασις καλεῖται· πόνȣ δὲ σύμβολον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. "Ὅρα τȣ̃ ἀνδρὸς τὸ φιλόθεον, καὶ τίνος ἕνεκεν ἀγρὸν
„ λαβεῖν ἐσπȣ́δασε. καὶ ἔςησεν ἐκεῖ, φησὶ,
E„ θυσιαςήριον, καὶ ἐπεκαλέσατο τὸν Θεὸν
„ τȣ̃ Ἰσραήλ. καὶ τȣ̃ ἀγρȣ̃ τὴν μερίδα δι' ȣ̓δὲν ἕτερον ὠνήσατο, ἢ ἵνα τὰς εὐχαριςίας ἀνενέγκῃ τῷ κοινῷ πάντων δεσπότῃ.

κ. Καὶ ἔςησεν ἐκεῖ θυσιαςήριον, καὶ ἐπεκαλέσατο τὸν Θεὸν Ἰσραήλ.

„ ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐκάλεσε τὸν Θεὸν Ἰσραήλ. ἐν πρώτοις Θεὸν Ἰσραήλ.

ΚΕΦ. ΛΔ.

α. Ἐξῆλθε δὲ Δεῖνα, ἡ θυγάτηρ Λείας, ἣν ἔτεκεν Ἰακὼβ, καταμαθεῖν τὰς θυγατέρας τῶν ἐγχωρίων.

* ΚΥΡΙΛΛΟΥ. Ἡ μὲν γὰρ οἷά τε παρθένος καὶ νεᾶνις ἔτι κȣρίζȣσα τῆς τȣ̃ πα-

H τρὸς ἐξέθει σκηνῆς, τὰς τῶν ἐπιχωρίων ἐποπτεύȣσα θυγατέρας· ἀνεπτόηται γάρ πως τὸ θῆλυ γένος ἀεὶ εἰς τὸ ἀγαπᾶν ἐπείγεσθαι τὴν ἰσήλικα· τȣ̃ Ἐμμὼρ δὲ αὐτὴν ὁ Συχὲμ ȣ̓κ ἐν κόσμῳ κατεβιάζετο. διεπαρθένευσε γάρ· καὶ ἀσχέτοις ἤδη ἐπιθυμίαις ἐναλȣ̀ς, σύνοικον ἠξίȣ ποιεῖσθαι τὴν κόρην.

ΤΟΥ

(1) Φθόνȣ δίκην παράσχῃ τῷ ἀδελφῷ, ὡς μέλλοντι παρορδοκιμεῖσθαι, σιωπᾷ, κτ. ὁ τῆς Αὐγ. κώδ.
(2) Ἴσ. ὠμίȣ, ἢ ὠμίασις.

ΤΟΥ ΑΥΤΟΥ. Λέγομεν, ὅτι ἠγάγε- A
το ὁ Ἰακὼβ τὴν Λείαν τῶν Λάβαν θυγα-
τέρων τὴν πρεσβυτέραν. καὶ Λεία μὲν, εἰς
τύπον τῆς Ἰουδαίων συναγωγῆς ἐστί· Ῥα-
χὴλ δὲ, τῆς ἐξ ἐθνῶν Ἐκκλησίας. Λείας
δὴ οὖν γέγονε τὰ τελευταῖα θυγάτηρ ἡ
Δεῖνα. τύπος ἂν γένοιτο καὶ αὐτὴ τῆς
τῶν ἐκ περιτομῆς πληθύος· ἣ καὶ ἐν χρό-
νοις γέγονε τοῖς ἐσχάτοις, καθ' οὓς ἐνην-
θρώπησεν ὁ μονογενής. ὅτε τοίνυν τῶν
ἐκ περιτομῆς ἡ τελευταία πληθὺς ἔξω B
βραχὺ γενομένη τῆς πατρῴας σκηνῆς, του-
τέστι τῶν κατὰ νόμον ἐθῶν, τοῖς ἐγχω-
ρίοις προσέβαλε, τουτέστιν ἐπεμίσγετο κα-
τὰ μαθήσεως λόγον τοῖς ἁγίοις Ἀποστό-
λοις, οὐκ ἔτι μὲν ζῶσιν ἰουδαϊκῶς, ἐν ὑπο-
λήψει δὲ ὥσπερ γεγονόσι τῶν ἑτερογενῶν·
τότε δὴ τότε διεπαρθενεύετο, τῆς ἐν Χρι-
στῷ καὶ εὐαγγελικῆς πολιτείας παρ' αὐτῶν
δεχομένη τὰ σπέρματα. ἀλλ' ἠγανάκτουν
πρὸς τοῦτο τῶν Ἰακὼβ παίδων τινὲς, του- Γ
τέστι Συμεὼν καὶ Λευῒ, οἵτε ἐν ὑπηκόων
κείμενοι τάξει, καὶ σὺν αὐτοῖς τὸ ἱερὸν καὶ
ἀπόλεκτον γένος. ἑρμηνεύεται μὲν γὰρ
Συμεὼν, ὑπακοή· Λευῒ δὲ, προσηλωμέ-
νος, ἢ ἀπόλεκτος. ὅτι δὲ τοῖς ἁγίοις Ἀπο-
στόλοις ἐπεφύοντο δεινῶς οἱ τῆς κατὰ νό-
μον ἱερωσύνης ἔχοντες τὰ αὐχήματα,
συνθεόντων αὐτοῖς καὶ λαῶν, πῶς ἐστιν
ἀμφιβάλλειν; ἐπέτριζον γὰρ τοὺς ὀδόντας,
τῶν ὑπὸ αὐτοὺς γεγονότων τὴν ἐπιστροφὴν, Δ
Πραξ. 5. 8. καταφθορὰν ὀνομάζοντες. ἰδοὺ γὰρ ἔφα-
» σκον πεπληρώκατε τῆς διδαχῆς ἡμῶν τὴν
» Ἱερουσαλήμ. ἐπειδὴ δὲ κατωνείδιζον ὡς οὐκ
ἔτι ζῶντας ἰουδαϊκῶς, ἐμάνθανον ὅτι τε-
τίμητο παρ' αὐτοῖς ἡ περιτομή· τὸ διατει-
χίζον δὲ ὅλως εἰς διαφορὰν οὐδὲν, εἴπερ
ἕλοιντο νοεῖν τὰ Μωϋσέως καθ' ὃν ἔδει τρό-
Ῥωμ. 2. 28, 29. πον. οὐ γὰρ ὁ ἐν τῷ φανερῷ, φησὶν, Ἰου-
» δαῖος, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περι-
» τομὴ, ἀλλ' ὁ ἐν κρυπτῷ Ἰουδαῖος, καὶ περι-
» τομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι.
ὁρᾷς πῶς οἱ δόξαν ἔχοντες ἀλλογενῶν, συ-
νεσχηματίζοντο τοῖς Ἰουδαίοις τὴν πνευμα-
τικὴν περιτομὴν, καὶ τὸν ἐν κρυπτῷ πε-
ριφέροντες Ἰουδαῖον; ἀλλὰ καὶ οὕτως ἀπε-
κτόνασι προανελόντες τοὺς Προφήτας, καὶ
αὐτὸν δὲ τὸν Ἐμμανουήλ.

ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν εἰς εἰκόνα τῶν
νοητῶν παραθέντες τὸ αἰσθητὸν, φέρε δὴ
λέγωμεν, ὅτι σκηνὴν ὥσπερ τινὰ θείαν
τὴν ἐξαίρετον πολιτείαν οἰκοῦσα ψυχὴ,
πάναγνος ἔσται καὶ καθαρὰ, καὶ βδελυ-
ρίας ἁπάσης ἀπηλλαγμένη· εἰ δὲ ἐξοίχοι-
τό ποι, καὶ πρὸς τὰς τῶν ἀλλοφύλων ἐπεί-
γοιτο θυγατέρας, τουτέστιν εἰ εὐρυνοῖτο καὶ
κατασκέπτοιτο τὴν ἐν κόσμῳ ζωὴν, τὸν
εὐφυᾶ τε καὶ εὐγενῆ καταφθαρήσεται νοῦν.

A εἴη γὰρ ἂν οὐκ ἀζήμιον τὸ συνδιαιτᾶσθαι
τοῖς φαύλοις τοὺς οἷς περ ἂν γένοιτο σκο-
πὸς τὸ διαβιῶναι λαμπρῶς.

ΤΟΥ ΑΥΤΟΥ. Παραφυλακτέον δὲ
τοῖς παραιτουμένοις τὴν καταφθορὰν τὸ
μὴ ἐξοίχεσθαί ποι τῆς πατρῴας σκηνῆς,
τουτέστι τοῦ οἴκου τοῦ Θεοῦ, μηδὲ ταῖς τῶν ἀλ-
λοφύλων, ἤτοι τῶν ἑτεροφρόνων προσ-
βάλλειν ἀγέλαις. ἐξελθοῦσα γὰρ Δεῖνα
B τῆς πατρῴας σκηνῆς, εἰς οἶκον ἀπηνέχ-
θη Συχέμ· ἀλλ' οὐκ ἂν ὑβρίσθη ποτὲ τοῖς
τοῦ πατρὸς δωματίοις ἐμφιλοχωρεῖν ἑλο-
μένη, καὶ σκηναῖς ἁγίαις ἐνδιαιτωμένη.
ὅτι γὰρ τὸ χρῆμα καλὸν, καὶ εἰς ὄνησιν
οὐκ ἀσυντελὲς, ἀναπείσει ψάλλων ὁ μα-
» κάριος Δαβὶδ, μίαν ᾐτησάμην παρὰ Κυ- Ψαλ. 26. 4.
» ρίου, καὶ τὰ ἑξῆς.

β. Καὶ εἶδεν αὐτὴν Συχὲμ ὁ υἱὸς
Γ Ἐμμὼρ ὁ Χοῤῥαῖος, ὁ ἄρχων τῆς
γῆς· καὶ λαβὼν αὐτὴν, ἐκοιμήθη
μετ' αὐτῆς· καὶ ἐταπείνωσεν αὐτήν.

» ΑΔΗΛΟΥ. Ἐμμὼρ ὁ Χοῤῥαῖος, Ἀκύ-
» λας, Εὐαῖός φησιν. Ἐμαὼρ δὲ ἑρμηνεύε-
ται ὄρνεον ἐκ τρώγλης.

* ΠΡΟΚΟΠΙΟΥ. Τὸ Παλαιστιναῖον (1)
οὐκ ἔχει υἱὸς Ἐμμὼρ, ἀλλ' Ἐμμὼρ μόνον·
ὑπαινιττόμενον, ὅτι πρὸς τῷ υἱῷ καὶ ὁ πα-
Δ τὴρ ἐμίανε τὴν παρθένον, (2) καὶ αὐτῆς
τῆς Γραφῆς πληθυντικῶς τὸν μιασμὸν ἐμ-
» φαινούσης. καὶ ἐμίαναν αὐτὴν, φησί.

γ. Καὶ προσέσχε τῇ ψυχῇ Δεί-
νας τῆς θυγατρὸς Ἰακώβ· καὶ ἠγά-
πησε τὴν παρθένον· καὶ ἐλάλησε κα-
τὰ τὴν διάνοιαν τῆς παρθένου αὐτῇ.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι, κατὰ
E » τὴν διάνοιαν τῆς παρθένου; Ἐπειδὴ νέα
ἦν ἡ κόρη, ἐκεῖνα, φησὶν, αὐτῇ διελέχ-
θη, ἃ ἦν ἱκανὰ ἐπισπάσασθαι καὶ ἑλεῖν
αὐτήν.

» * ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐλάλησε κατὰ
» τὴν διάνοιαν τῆς παρθένου, τουτέστι τὰ ἀρε-
στὰ αὐτῆς· ὡς εἶναι δηλονότι, οὐκ ἄκουσαν
ἐβιάσατο, ἀλλὰ θέλουσαν ἔφθειρε. διὸ
καὶ ὁ Θεὸς βδελυξάμενος αὐτῆς τὸ εὐχε-
ρὲς, οὐ προέστη αὐτῆς καθάπερ τῆς Σάῤ-
Z ῥας καὶ τῆς Ῥεβέκκας.

δ. Εἶπε δὲ Συχὲμ πρὸς Ἐμμὼρ
τὸν πατέρα αὐτοῦ, λέγων, λάβε μοι
ε. τὴν παῖδα ταύτην εἰς γυναῖκα. Ἰα-
κὼβ δὲ ἤκουσεν, ὅτι ἐμίανε Συχὲμ ὁ
υἱὸς Ἐμμὼρ Δεῖναν τὴν θυγατέρα
αὐτοῦ· (οἱ δὲ υἱοὶ αὐτοῦ εἰς τὸ πεδίον·)

 παρε-

(1) Τὸ Παλαιστινὸν. ὁ τῆς Αὐγ. κώδ.

(2) Ἀντὶ τῶν ἑξῆς ὁ αὐτ. κώδ. τάδε ἔχει. ὅπερ ἦν ἀσεβέστατον. καί μοι δοκεῖ τούτῳ συναγω-
» νίζεσθαι τὸ κάτω εἰρημένον· ἀπεκρίθησαν οἱ υἱοὶ Ἰακὼβ τῷ Συχὲμ, καὶ ἐλάλησαν αὐτοῖς μετὰ δόλου,
» ὅτι ἐμίαναν τὴν ἀδελφὴν αὐτῶν. πληθυντικῶς γὰρ εἶπε. καὶ πάλιν, ἀλλ' ὡσεὶ πόρνῃ χρήσονται τῇ
» ἀδελφῇ ἡμῶν;

παρεσιώπησε δὲ Ἰακὼβ, ἕως τȣ̃ ἐλ-
ϛ. θεῖν αὐτȣ́ς. Ἐξῆλθε δὲ Ἐμμὼρ ὁ
πατὴρ Συχὲμ πρὸς Ἰακὼβ, λαλῆ-
σαι αὐτῷ.

ζ. Οἱ δὲ υἱοὶ Ἰακὼβ ἦλθον ἐκ τȣ̃
πεδίȣ. ὡς δὲ ἤκȣσαν, κατενύγησαν
οἱ ἄνδρες, καὶ λυπηρὸν ἦν αὐτοῖς
σφόδρα, ὅτι ἄσχημον ἐποίησεν ἐν Ἰσ-
ραὴλ, κοιμηθεὶς μετὰ τῆς θυγατρὸς
Ἰακώβ· καὶ ȣ̓χ ȣ̔́τως ἔϛαι.

» **ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐϛι, κατε-
» νύγησαν; Ἐλυπήθησαν, ȣ̓κ ἀνεκτὸν αὐ-
τοῖς ὤφθη, ἀλλὰ καὶ πάνυ χαλεπὸν, καὶ
» λύπης αὐτῆς ὑπόθεσις γέγονε. λυπηρὸν
» γάρ φησιν ἦν αὐτοῖς σφόδρα, ὅτι ἄσχημον
» ἐποίησε, καὶ τὰ ἑξῆς.

**ΙΣΙΔΩΡΟΥ. Οἱ περὶ Συμεῶνα
καὶ Λευῒ, μετὰ τὸ ὑβρισθῆναι εἰς αὐτὴν
» τὴν σωφροσύνην τὴν ἀδελφὴν, κατενύ-
» γησαν, τȣτέϛι κατεπλήγησαν, καὶ κατε-
τρώθησαν ὑπὸ ζήλȣ· καὶ ȣ̔́τως εἰς ἀμετά-
θετον ἐξέπεσαν ὀργὴν, ὡς καὶ δόλῳ ȣ̓ μό-
νον τὸν ὑβριϛὴν, ἀλλὰ καὶ πᾶσαν αὐτȣ̃
τὴν πόλιν ἡβηδὸν κατασφάξαι.

» **ΠΡΟΚΟΠΙΟΥ. Ὡς δὲ ἤκȣσαν, κα-
» τενύγησαν, τȣτέϛιν ἥψατο αὐτῶν. Καὶ
» ȣ̓χ ȣ̔́τως ἔϛαι, ȣ̓ προβήσεται αὐτοῖς ὁ σκο-
πὸς αὐτῶν.

η. Καὶ ἐλάλησεν Ἐμμὼρ αὐτοῖς,
λέγων, Συχὲμ ὁ υἱός μȣ προείλετο
τῇ ψυχῇ αὐτȣ̃ τὴν θυγατέρα ὑμῶν·
δότε ȣ̓̃ν αὐτὴν αὐτῷ γυναῖκα.

**ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς ἤδη
τὸν μέλλοντα καταλήψεσθαι αὐτὸν ὄλε-
» θρον μηνύει. προείλετό φησι τῇ ψυχῇ,
ἀντὶ τȣ̃ τὴν ψυχὴν αὐτȣ̃ ἐξέδωκεν ὑπὲρ
τῆς θυγατρὸς αὐτῶν. ἐκεῖνος μὲν ἔλεγε,
τὴν ἐπιθυμίαν αὐτȣ̃ τὴν ἐπὶ τὴν κόρην δη-
λῶν· μετὰ βραχὺ δὲ ἐμάνθανεν, ὅτι τῆς
ἀπωλείας καὶ ἑαυτȣ̃ καὶ πάντων τῶν αὐ-
τόθι τȣ̃το ἔϛαι ὑπόθεσις.

θ. Καὶ ἐπιγαμβρεύσασθε ἡμῖν·
τὰς θυγατέρας ὑμῶν δότε ἡμῖν, καὶ
τὰς θυγατέρας ἡμῶν λάβετε τοῖς υἱοῖς
ι. ὑμῶν. Καὶ ἐν ἡμῖν κατοικεῖτε· καὶ
ἰδȣ̀ ἡ γῆ πλατεῖα ἐναντίον ὑμῶν. κα-
τοικεῖτε, καὶ ἐμπορεύεσθε ἐπ᾽ αὐτῆς,
ια. καὶ ἐγκτᾶσθε ἐν αὐτῇ. Εἶπε δὲ Συ-
χὲμ πρὸς τὸν πατέρα αὐτῆς, καὶ
πρὸς τȣ̀ς ἀδελφȣ̀ς αὐτῆς, εὕροιμι
χάριν ἐναντίον ὑμῶν· καὶ ὃ ἐὰν εἴποι-
τε δώσομεν.

ιβ. Πληθύνατε τὴν φερνὴν σφό-
δρα, καὶ δώσω καθ᾽ ὅτι ἂν εἴποιτέ
μοι. καὶ δώσετέ μοι τὴν παῖδα ταύ-
την εἰς γυναῖκα.

Α **ΧΡΥΣΟΣΤΟΜΟΥ. Τȣ̃το γὰρ, τȣ̃-
το τὸ ὀλέθριον πάθος πάντα πείθει τὸν
ἁλόντα καταδέξασθαι, μέχρις ἂν αὐτὸν
εἰς αὐτὸν ἀγάγῃ τȣ̃ ᾅδȣ τὸν πυθμένα.

ιγ. Ἀπεκρίθησαν δὲ οἱ υἱοὶ Ἰακὼβ
τῷ Συχὲμ, καὶ Ἐμμὼρ τῷ πατρὶ αὐ-
τȣ̃ μετὰ δόλȣ· καὶ ἐλάλησαν αὐτοῖς,
ὅτι ἐμίαναν τὴν ἀδελφὴν αὐτῶν.

Β ιδ. Καὶ εἶπαν αὐτοῖς Συμεὼν καὶ
Λευῒ οἱ ἀδελφοὶ Δείνας, οἱ υἱοὶ Λείας,
ȣ̓ δυνησόμεθα ποιῆσαι τὸ ῥῆμα τȣ̃-
το, δȣ̃ναι τὴν ἀδελφὴν ἡμῶν ἀν-
θρώπῳ, ὃς ἔχει ἀκροβυϛίαν· ἔϛι γὰρ
ὄνειδος ἡμῖν.

ΚΥΡΙΛΛΟΥ. Τότε δὴ τότε Συμεὼν καὶ
Λευῒ, οἱ τῆς νεάνιδος ἀδελφοὶ παρεθήγον-
το πρὸς ὀργὰς, καὶ ἀφόρητον ἐποιȣ̃ντο
Γ τὴν ὕβριν, ἀνόσιά τε λοιπὸν καὶ κατὰ τῶν
ἠδικηκότων ἐσκέπτοντο δρᾶν. ἀναπείθȣσι
μὲν γὰρ τȣ̀ς ἀπὸ Σικίμων τὴν πατρῴαν
αὐτȣ̀ς, καὶ νενομισμένην σύντελέσαι πε-
ριτομήν· ἀπεκτόνασι δὲ, παντὸς ἐλέȣς καὶ
οἰκτιρμῶν εἰς ἅπαν ἐξῃρημένων. ἀλλ᾽ ἠγα-
νάκτει ἐπὶ τȣ́τοις ὁ θεσπέσιος Ἰακώβ.

ιε. Μόνον ἐν τȣ́τῳ ὁμοιωθησόμεθα
ὑμῖν, καὶ οἰκήσομεν ἐν ὑμῖν, ἐὰν γέ-
Δ νησθε ὡς ἡμεῖς καὶ ὑμεῖς, ἐν τῷ πε-
ιϛ. ριτμηθῆναι ὑμῶν πᾶν ἀρσενικόν. Καὶ
δώσομεν τὰς θυγατέρας ἡμῶν ὑμῖν,
καὶ ἀπὸ τῶν θυγατέρων ὑμῶν ληψό-
μεθα ἡμῖν γυναῖκας, καὶ οἰκήσομεν
παρ᾽ ὑμῖν, καὶ ἐσόμεθα ὡς γένος ἕν.
ιζ. Ἐὰν δὲ μὴ εἰσακȣ́σητε ἡμῶν τȣ̃ περι-
τέμνεσθαι, λαβόντες τὰς θυγατέρας
ιη. ἡμῶν, ἀπελευσόμεθα. Καὶ ἤρεσαν
οἱ λόγοι ἐναντίον Ἐμμὼρ, καὶ ἐναν-
ιθ. τίον τȣ̃ Συχὲμ τȣ̃ υἱȣ̃ Ἐμμώρ. Καὶ
ȣ̓κ ἐχρόνισεν ὁ νεανίσκος τȣ̃ ποιῆσαι
τὸ ῥῆμα τȣ̃το· ἐνέκειτο γὰρ τῇ θυ-
γατρὶ Ἰακώβ. αὐτὸς δὲ ἦν ἐνδοξό-
τατος πάντων τῶν ἐν τῷ οἴκῳ τȣ̃ πα-
κ. τρὸς αὐτȣ̃. Ἦλθε δὲ Ἐμμὼρ καὶ
Συχὲμ ὁ υἱὸς αὐτȣ̃ πρὸς τὴν πύλην
τῆς πόλεως αὐτῶν, καὶ ἐλάλησαν
πρὸς τȣ̀ς ἄνδρας τῆς πόλεως αὐτῶν,
κα. λέγοντες, Οἱ ἄνθρωποι ȣ̔̃τοι εἰρηνι-
κοί εἰσι, μεθ᾽ ἡμῶν οἰκείτωσαν ἐπὶ
τῆς γῆς, καὶ ἐμπορευέσθωσαν αὐτήν·
ἡ δὲ γῆ ἰδȣ̀ πλατεῖα ἐναντίον αὐτῶν.
τὰς θυγατέρας αὐτῶν ληψόμεθα
ἡμῖν γυναῖκας, καὶ τὰς θυγατέρας
κβ. ἡμῶν δώσομεν αὐτοῖς. Μόνον ἐν τȣ́-
τῳ ὁμοιωθήσονται ἡμῖν οἱ ἄνθρωποι
τȣ̃ κατοικεῖν μεθ᾽ ἡμῶν, ὥϛε εἶναι
λαὸν ἕνα· ἐν τῷ περιτέμνεσθαι ἡμῶν
πᾶν ἀρσενικὸν, καθὰ καὶ αὐτοὶ πε-
ριτέ-

κγ. ριτέτμηνται. Καὶ τὰ κτήνη αὐτῶν,
καὶ τὰ τετράποδα, καὶ τὰ ὑπάρχον-
τα αὐτῶν οὐχ ἡμῶν ἔσαι; μόνον ἐν
τούτῳ ὁμοιωθῶμεν αὐτοῖς, καὶ οἰκή-
σουσι μεθ' ἡμῶν.

κδ. Καὶ εἰσήκουσαν Ἐμμὼρ, καὶ Συχὲμ τοῦ υἱοῦ αὐτοῦ πάντες οἱ ἐκπορευόμενοι τὴν πύλην τῆς πόλεως αὐτῶν. καὶ περιετέμνοντο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτῶν πᾶς ἄρσην.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐδὲν ὠφέλησεν αὐτοὺς ἡ περιτομή. οὐ γὰρ θεοσεβείας ἕνεκεν περιετμήθησαν. ἀλλ' οἱ μὲν ἄρχοντες, ἡδονῆς χάριν· οἱ δὲ ὑπήκοοι, διὰ φόβον. ἄλλως τε καὶ τύπος ἦν τὰ γινόμενα τῆς ὕστερον πάντων τῶν Παλαιστίνων ἀπωλείας.

Γ κε. Ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὅτε ἦσαν ἐν τῷ πόνῳ, ἔλαβον οἱ δύο υἱοὶ Ἰακὼβ Συμεὼν καὶ Λευῒ οἱ ἀδελφοὶ Δείνας, ἕκαστος τὴν μάχαιραν αὐτοῦ, καὶ εἰσῆλθον εἰς τὴν πόλιν ἀσφαλῶς, καὶ ἀπέκτειναν πᾶν ἀρσενικόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστιν, εἰς τὴν πόλιν ἀσφαλῶς; καίτοι δύο μόνοι ὄντες, πρὸς τοσοῦτον πλῆθος παρετάττοντο. Ἀλλὰ πολλὴν αὐτοῖς τὴν ἀσφάλειαν προεξένει τὸ πάντας ἐκείνους καθάπερ τραυματίας κεῖσθαι. ἵνα γὰρ τοῦτο ἡμῖν δῆλον ποιήσῃ ἡ θεία Γραφὴ, φησίν· ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὅτε ἦσαν ἐν τῷ πόνῳ. τοῦτο ἐκείνοις τὴν ἀσφάλειαν κατεσκεύαζε, καὶ τοὺς δύο ἰσχυροτέρους τῶν πολλῶν εἰργάζετο.

** ΚΛΗΜΕΝΤΟΣ. Σικιμῖται κολάζονται καταπεπτωκότες, τὴν ἁγίαν ὑβρίζοντες παρθένον. τάφος ἡ κόλασις αὐτοῖς, καὶ τὸ μνημόσυνον τῆς ἐπιτιμίας εἰς σωτηρίαν παιδαγωγεῖ.

κς. Τότε Ἐμμὼρ καὶ Συχὲμ
τὸν υἱὸν αὐτοῦ ἀπέκτειναν ἐν στόματι μα-
χαίρας· καὶ ἔλαβον τὴν Δείναν ἐκ τοῦ
κζ. οἴκου Συχὲμ, καὶ ἀπῆλθον. Οἱ δὲ Z
υἱοὶ Ἰακὼβ εἰσῆλθον ἐπὶ τοὺς τραυμα-
A τίας, καὶ διήρπασαν τὴν πόλιν, ἐν
ᾗ ἐμίαναν Δείναν τὴν ἀδελφὴν αὐ-
κη. τῶν. Καὶ τὰ πρόβατα αὐτῶν, καὶ
τοὺς βόας αὐτῶν, καὶ τοὺς ὄνους αὐ-
τῶν, ὅσατε ἦν ἐν τῇ πόλει, καὶ ὅσα
κθ. ἐν τῷ πεδίῳ, ἔλαβον. Καὶ πάντα
τὰ σώματα αὐτῶν, καὶ πᾶσαν τὴν
ἀποσκευὴν αὐτῶν, καὶ τὰς γυναῖκας
αὐτῶν ᾐχμαλώτευσαν· καὶ διήρπα-
B σαν ὅσατε ἦν ἐν τῇ πόλει, καὶ ὅσα
ἦν ἐν ταῖς οἰκίαις.

λ. Εἶπε δὲ Ἰακὼβ Συμεὼν καὶ Λευῒ, μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι τοῖς κατοικοῦσι πᾶσαν τὴν γῆν, ἔν τε τοῖς Χαναναίοις, καὶ τοῖς Φερεζαίοις. ἐγὼ δὲ ὀλιγοστὸς εἰμι ἐν ἀριθμῷ· καὶ συναχθέντες ἐπ' ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι ἐγὼ, καὶ ὁ οἶκός μου.

* ΠΡΟΚΟΠΙΟΥ. Ἠγανάκτησε δὲ Ἰακὼβ περὶ αὐτῶν. ἐνόμιζε γὰρ αὐτοὺς ἀσεβεῖν. (1)

Δ ΚΥΡΙΛΛΟΥ. Ἀλλ' ἠγανάκτει ἐπὶ τούτοις ὁ θεσπέσιος Ἰακὼβ, [ἐπετίμα τε, λέγων· μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι τοῖς κατοικοῦσι τὴν γῆν. οὐ γὰρ μεμέτρηται τοῖς ἀπεκτονόσι τὰ ἐξ ὀργῆς, οὔτε μὴν ὡς ὑπὸ πατρὶ τεθραμμένοι δικαίῳ πεφρονήκασί τι τῶν οὐκ εἰς ἅπαν ἐκτετραμμένων. πεπορθήκασι γὰρ, ἀπεκτόνασι δὲ τοὺς συνελομένους τὰ ἴσα φρονεῖν αὐτοῖς, καὶ πίστει τεθαῤῥηκότας.]

E λα. Οἱ δὲ εἶπαν, ἀλλ' ὡσεὶ πόρνῃ χρήσονται τῇ ἀδελφῇ ἡμῶν;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα τοὺς παῖδας σωφροσύνης ἕνεκεν τὴν ἀμείνω ἐπιδειξαμένους. ἀπολογοῦνται γὰρ τῷ πατρὶ, καί φασι· κατῄσχυναν ἡμᾶς, ὡς εἰπεῖν, ὡσεὶ πόρνῃ ἐχρήσαντο τῇ ἀδελφῇ ἡμῶν. καὶ διὰ τοῦτο, τοῦτο ποιῆσαι κατηναγκάσθημεν, ἵνα καὶ τοῖς εἰς τὸ ἑξῆς διδασκαλία γένηται, μὴ τοιαῦτα τολμᾶν.



(1) Τοὺς πρὸς χάριν τοῦ βασιλέως περιτμηθέντας. καὶ ταῦτα πρόσκειται ἐν τῷ τῆς Αὐγ. κώδ.

ΚΕΦ. ΛΕ.

α. Εἶπε δὲ ὁ Θεὸς Ἰακὼβ, ἀναστὰς, ἀνάβηθι εἰς τὸν τόπον Βαιθήλ· καὶ οἴκει ἐκεῖ· καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ Θεῷ τῷ ὀφθέντι σοι, ἐν τῷ ἀποδιδράσκειν σε ἀπὸ προσώπου Ἠσαῦ τοῦ ἀδελφοῦ σου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ γὰρ εἶδεν αὐτὸν δεδοικότα διὰ τὰ ὑπὸ τῶν παίδων γεγενημένα τὴν αὐτόθι οἴκησιν, εἶπε, » φησὶν, ὁ Θεός· ἀναστὰς, ἀνάβηθι εἰς τὸν » τόπον Βαιθήλ· καὶ οἴκει ἐκεῖ.

ΑΔΗΛΟΥ. Βαιθὴλ ἑρμηνεύεται οἶκος Θεοῦ. ἐκεῖ γὰρ ὤφθη αὐτῷ ὁ Θεὸς ἐν τῷ ἀποδιδράσκειν.

β. Εἶπε δὲ Ἰακὼβ τῷ οἴκῳ αὐτοῦ, καὶ πᾶσι τοῖς μετ' αὐτοῦ, ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς μεθ' ὑμῶν ἐκ μέσου ὑμῶν, καὶ καθαρίσασθε, καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ποίους ἄν τις εἴποι θεούς; οὐδαμοῦ γάρ ἐστιν ἰδεῖν θεοὺς αὐτὸν ἐσχηκότα. ἄνωθεν γὰρ καὶ ἐξ ἀρχῆς φιλόθεος ἦν ὁ δίκαιος. Ἀλλ' αἰνιττόμενος ἴσως τοὺς θεοὺς τοὺς τοῦ Λάβαν, οὓς ἡ Ῥαχὴλ ἦν ὑφελομένη, διὰ τοῦτό φησιν· ἐπειδὴ μέλλομεν τῷ ἀληθινῷ Θεῷ, τῷ ἀεί μοι τὴν παρ' αὐτοῦ προστασίαν νείμαντι, τὰς εὐχαριστίας ἀναφέρειν, ἐξάρατε, εἴ τι» νά ἐστιν ὑμῖν εἴδωλα, καὶ καθαρίσασθε, καὶ » ἀλλάξατε τὰς στολὰς ὑμῶν, καὶ οὕτως ἐπὶ τὴν πόλιν ὁρμήσομεν· καὶ ἔξωθεν καὶ ἔσωθεν αὐτοὺς καθάραντες, οὕτω συνέλθετε· μὴ μόνον τῇ τῶν ἱματίων φαιδρότητι τὴν καθαρότητα δεικνῦντες, ἀλλὰ καὶ τῇ τῶν εἰδώλων ἀφαιρέσει τοὺς λογισμοὺς τῆς διανοίας ἐκκαθάραντες, οὕτως ἀνέλθωμεν ἐπὶ τὴν Βαιθήλ.

** ΚΥΡΙΛΛΟΥ. Τίνα τρόπον εἰς οἶκον ἰέναι προσήκει Θεοῦ, καθίστησιν ἐναργὲς τοῖς ἑπομένοις αὐτῷ. ἀποβαλεῖν γὰρ ἐκέλευσε, συρφετόν ὥσπερ τινὰ καὶ ἀκαθαρσίαν, τοὺς ἀλλοτρίους θεοὺς, καὶ ἀλλάξαι τὰς στολάς. ὃ δὴ καὶ δρᾷν ἔθος εἰς ὄψιν ἡμᾶς καλουμένους Θεοῦ, καὶ εἰς τὸν θεῖον αὐτοῦ ναὸν ἀγελαύνοντας, κατὰ τὸν καιρὸν μάλιστα τοῦ ἁγίου βαπτίσματος. δεῖ γὰρ ἡμᾶς ποιεῖσθαι μὲν ὥσπερ ἐκ μέσου τοὺς ἀλλοτρίους θεοὺς, καὶ τῆς τοιᾶσδε πλάνης ἀποφοιτῶντας λέγειν, ἀποτάσσομαί σοι σατανᾶ, καὶ πάσῃ τῇ πομπῇ σου, καὶ πάσῃ τῇ λατρείᾳ σου. δεῖ δὲ πάντας ἡμᾶς ἀλλάξαι καὶ τὴν στολὴν, ἀποδυομένους μὲν ὥσπερ τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, μεταμφιεννυμένους δὲ τὸν νέον τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν.

γ. Καὶ ἀναστάντες, ἀναβῶμεν εἰς Βαιθήλ· καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ Θεῷ τῷ ἐπακούσαντί μου ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ' ἐμοῦ, καὶ διέσωσέ με ἐν τῇ ὁδῷ, ᾗ ἐπορεύθην.

Β » ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ, ἀναστάντες ἀ» ναβῶμεν εἰς Βαιθὴλ, προφητεία τῆς κλήσεως τῶν ἐθνῶν, ἀνιόντων εἰς οἶκον Θεοῦ. τοῦτο γὰρ δηλοῖ τὸ Βαιθήλ.

δ. Καὶ ἔδωκαν τῷ Ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἳ ἦσαν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν· καὶ κατέκρυψεν Γ αὐτὰ Ἰακὼβ ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σικίμοις· καὶ ἀπώλεσεν αὐτὰ ἕως τῆς σήμερον ἡμέρας.

** ΚΥΡΙΛΛΟΥ. Ἀποβεβλήκασι καὶ τὰ ἐν τοῖς ὠσὶν αἱ μετὰ τοῦ Ἰακὼβ γυναῖκες. εἰσελθοῦσαι γὰρ καὶ γυναῖκες εἰς οἶκον Θεοῦ, κόσμημα μὲν οὐδὲν ἔχουσαι σαρκικὸν, ἀπολύουσαι δὲ καὶ αὐτὰς τὰς τρίχας, ἐγκλημάτων τάχα που τῶν ἐξ ἐμΔ πλοκῆς τὰς ἑαυτῶν ἀπαλλάττουσι κεφαλάς. τοῦτο εἶναί φημι τὸ περιελεῖν τὰς γυναῖκας τὸν ἐν τοῖς ὠσὶ κόσμον.

ε. Καὶ ἐξῆρεν Ἰσραὴλ ἐκ Σικίμων,
καὶ ἐγένετο φόβος Θεοῦ ἐπὶ τὰς πό-
λεις τὰς κύκλῳ αὐτοῦ· καὶ οὐ κατε-
ς. δίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραήλ. Ἦλ-
θε δὲ Ἰακὼβ εἰς Λουζὰ, ἥ ἐστιν ἐν γῇ
Χαναὰν, ἥ ἐστι Βαιθὴλ, αὐτὸς, καὶ
ζ. πᾶς ὁ λαὸς, ὃς ἦν μετ' αὐτοῦ. Καὶ
ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐκά-
λεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Βαι-
θήλ· ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ Θεὸς,
ἐν τῷ ἀποδιδράσκειν ἀπὸ προσώπου
Ἠσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ.

η. Ἀπέθανε δὲ Δεβόρρα ἡ τροφὸς Ῥεβέκκας, καὶ ἐτάφη κατώτερον Ζ Βαιθὴλ ὑπὸ τὴν βάλανον· καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα αὐτῆς, βάλανος πένθους.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁρᾷς πῶς ἀεὶ ἀπὸ τῶν συμβαινόντων τοὺς τόπους ὀνομάζει, ὥστε διηνεκῆ διασώζεσθαι τὴν μνήμην; Καὶ πῶς ἄν τις εἴποι, ἡ τροφὸς τῆς Ῥεβέκκας συνῆν τῷ Ἰακὼβ πρόσφατον ἀπὸ τῆς Μεσοποταμίας παραγενομένῳ, καὶ Η μηδέπω τὴν πρὸς τὸν πατέρα συντυχίαν ποιησαμένῳ; Ἢ τάχα τοῦτο ἂν εἴποιμεν, ὅτι ἡνίκα ἀπὸ τοῦ Λάβαν ἐπανῄει, συνανελθεῖν τῷ Ἰακὼβ ἐπεθύμησεν, ὥστε διὰ μακροῦ τοῦ χρόνου τὴν Ῥεβέκκαν θεάσασθαι·

θαι· καὶ πρὶν τὰ τῆς δυστυχίας γενέσθαι, ἐκεῖ τὸν βίον κατέλυσεν.

θ. Ὤφθη δὲ ὁ Θεὸς τῷ Ἰακὼβ ἔτι ἐν Λουζᾷ, ὅτε παρεγένετο ἐκ Μεσοποταμίας τῆς Συρίας· καὶ εὐλόγησεν αὐτὸν ὁ Θεός.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνος ἕνεκεν » πρόσκειται τὸ, ἔτι; Οὐχ ἁπλῶς, ἀλλ' ἵνα μάθῃς, ὅτι καὶ ἤδη ἐν τῷ τόπῳ τούτῳ ὤφθη αὐτῷ πρότερον, ἡνίκα φεύγων τὸν ἀδελφὸν, ἐπὶ τὴν Μεσοποταμίαν ἐποιεῖτο τὴν ὁρμήν. καὶ νῦν οὖν φησὶ, καθάπερ τότε ὤφθη αὐτῷ ἀπιόντι, οὕτω καὶ νῦν ἐπανερχομένῳ ἐν τῷ αὐτῷ τόπῳ ἐπιφαίνεται, καὶ βεβαιοῖ τὰς ὑποσχέσεις, ἃς ἡνίκα ἀπῄει πρὸς αὐτὸν ἐποιήσατο, παρασκευάζων τὸν δίκαιον θαῤῥῆσαι τοῖς ἐπηγγελμένοις, καὶ μὴ διὰ τὸν ἐν μέσῳ χρόνον ἐνδοιάσαι.

ι. Καὶ εἶπεν αὐτῷ ὁ Θεὸς, τὸ ὄνομά σου Ἰακὼβ οὐ κληθήσεται ἔτι Ἰακὼβ, ἀλλ' ἢ Ἰσραὴλ ἔσαι τὸ ὄνομά σου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καίτοι καὶ ἤδη τὴν προσηγορίαν αὐτῷ ἦν ἐπιθεὶς, ἡνίκα τὴν διάβασιν ἐποιήσατο τοῦ Ἰαβώχ, ἀλλὰ πλείονα πληροφορίαν ἐνθεῖναι τῷ δικαίῳ βουλόμενος, καὶ νῦν τὴν αὐτὴν ποιεῖται » πρὸς αὐτὸν εὐλογίαν, καί φησιν, Ἰσραὴλ » κληθήσεται τὸ ὄνομά σου.

ια. Εἶπε δὲ αὐτῷ ὁ Θεὸς, ἐγὼ ὁ Θεός σου· αὐξάνου, πληθύνου. ἔθνη καὶ συναγωγαὶ ἐθνῶν ἔσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξε-
ιβ. λεύσονται. Καὶ τὴν γῆν, ἣν δέδωκα τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ, σοὶ δέδωκα αὐτήν· σοὶ ἔσαι, καὶ τῷ σπέρματί σου μετὰ σὲ δώσω τὴν γῆν ταύτην.

ιγ. Ἀνέβη δὲ ὁ Θεὸς ἀπ' αὐτοῦ ἐκ τοῦ τόπου, οὗ ἐλάλησε μετ' αὐτοῦ.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀνέβη, φη» σὶν, ὁ Θεὸς ἀπ' αὐτοῦ· οὐχ ἵνα καὶ ἐν τόπῳ νομίσωμεν περικεκλεῖσθαι τὸ θεῖον, ἀλλ' ἵνα καὶ διὰ τούτου μάθωμεν αὐτοῦ τὴν ἄφατον φιλανθρωπίαν, ὅτι τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ συγκαταβαίνουσα ἡ τοῦ πνεύματος χάρις, οὕτως ἅπαντα διηγεῖται. τὸ γὰρ ἀνέβη καὶ κατέβη, ἀνάξιον Θεοῦ. ἀλλ' ἐπειδὴ τοῦτο μάλιστα τεκμήριον τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας, τὸ διὰ τὴν ἡμετέραν διδασκαλίαν καὶ τῆς παχύτητος τῶν τοιούτων ῥημάτων ἀνέχεσθαι, διὰ τοῦτο ἀνθρωπίναις λέξεσι κέχρηται, ἐπειδὴ οὐδὲ δυνατὸν ἦν ἑτέρως τὴν ἀκοὴν τὴν ἀνθρωπίνην ἐνεγκεῖν τῶν λεγομένων τὸ ὕψος, εἰ πρὸς τὴν ἀξίαν τοῦ δεσπότου ἡμῖν διελέγετο.

A ιδ. Καὶ ἔστησεν Ἰακὼβ στήλην ἐν τῷ τόπῳ, ᾧ ἐλάλησε μετ' αὐτοῦ ὁ Θεὸς, στήλην λιθίνην· καὶ ἔσπεισεν ἐπ' αὐτὴν σπονδὴν, καὶ ἐπέχεεν ἐπ'
ιε. αὐτὴν ἔλαιον. Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου, ἐν ᾧ ἐλάλησε μετ' αὐτοῦ ἐκεῖ ὁ Θεὸς, Βαιθήλ.

ΚΥΡΙΛΛΟΥ. Ὅταν τοίνυν ἀναβῶμεν εἰς Βαιθὴλ, τουτέστιν εἰς οἶκον Θεοῦ, ἐκεῖ B τὸν λίθον ἐπιγνωσόμεθα· λίθον τὸν ἐκ» λεκτὸν, τὸν εἰς κεφαλὴν γεγονότα γωνίας, Ψαλ. 117. 22. τουτέστι Χριστόν. ὀψόμεθα δὲ χριόμενον παρὰ τοῦ πατρὸς εἰς εὐφροσύνην καὶ ἀγαλλίαμα πάσης τῆς ὑπ' οὐρανόν. κέχρισαι γὰρ, ὡς ἔφην, παρὰ τοῦ Θεοῦ καὶ πατρὸς ὁ υἱὸς, Ψαλ. 44. 7. ἡ πάντων ἡμῶν εὐφροσύνη, τὸ οἰκουμενικὸν ἀγαλλίαμα, κατὰ τὴν τοῦ Προφήτου φωνήν. Ἴδοις γὰρ καὶ τοῦτο προκατυπούμενον ἐν τοῖς ἀρτίως ἡμῖν εἰρημένοις. Γ ἀνέστηλε γὰρ Ἰακὼβ τὸν λίθον, ἐλαίῳ τε καὶ οἴνῳ καταρδεύων αὐτόν. τύπος δ' ἄρα τὸ δρώμενον ἦν μυστηρίου τοῦ κατὰ Χριστόν.

ιϛ. Ἀπάρας δὲ Ἰακὼβ ἐκ Βαιθὴλ, ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐπέκεινα τοῦ πύργου Γάδερ. ἐγένετο δὲ ἡνίκα ἤγγισεν εἰς Χαβαθρὰ ἐλθεῖν εἰς Δ γῆν Ἐφραθὰ, ἔτεκε Ῥαχήλ· καὶ ἐδυστόκησεν ἐν τῷ τοκετῷ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Προσωτέρω πάλιν ἀναχωρεῖ ὁ δίκαιος, ἐπειγόμενος κατὰ μικρὸν φθάσαι τὸν τόπον ἔνθα κατῴκει ὁ Ἰσαάκ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἐπέκεινα τοῦ πύρ» γου Γαδέρ. οὐκ εὐθέως τυχὸν, ἀλλὰ με- E τὰ χρόνον. ὁ γὰρ Θεὸς εἶπεν αὐτῷ οἰκῆσαι ἐν Βαιθήλ.

ιζ. Ἐγένετο δὲ ἐν τῷ σκληρῶς αὐτὴν τίκτειν, εἶπεν αὐτῇ ἡ μαῖα, θάρσει, καὶ γὰρ οὗτός σοι ἐστὶν υἱός.

ιη. Ἐγένετο δὲ ἐν τῷ ἀφιέναι αὐτὴν τὴν ψυχήν· ἀπέθνησκε γάρ· Z ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, υἱὸς ὀδύνης μου· ὁ δὲ πατὴρ ἐκάλεσεν αὐτὸν Βενιαμίν.

* ΚΥΡΙΛΛΟΥ. Οἶμαι δὴ οὖν, ὅτι νοοῖτο ἂν εἰκότως υἱὸς ὀδύνης ὁ λαὸς καὶ ἡ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς τῶν πιστευόντων πληθύς. κατ' ἐκεῖνο γὰρ ἔσαι καιροῦ καὶ » ὁ τῆς ἀνομίας υἱὸς, ὁ ἀντικείμενος καὶ 2. Θεσ. 2. 4. » ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν, H » ἢ σέβασμα.

ΑΔΗΛΟΥ. Ὁ μακάριος Παῦλος πρότερον μὲν πορθῶν τὴν ἐκκλησίαν υἱὸς ὀδύνης ἦν, ὕστερον δὲ γέγονεν υἱὸς δυνάμεων.

ιθ. Ἀπέ-

ιθ. Ἀπέθανε δὲ Ῥαχὴλ, καὶ ἐτάφη ἐν τῇ ὁδῷ τῦ ἱπποδρόμυ Ἐφραθὰ, αὕτη ἐςὶ Βηθλεέμ.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ὁ τῆς Ῥαχὴλ θάνατος σημαίνει πυ πάντως τῆς τῶν πιςευόντων ἀγέλης, τυτέςι τῆς ἐκκλησίας, τὸν ἐν Χριςῷ νοόμενον θάνατον, εἰς ἑτέραν ὥσπερ ἀποφέροντα ζωὴν· εἴπερ ἐςὶν ἀληθὲς, ὅτι τὰ καθ' ἡμᾶς μεταςήσεται ἐκ φθορᾶς εἰς ἀφθαρσίαν, ἐκ θανάτυ πρὸς ζωὴν, ἐξ ἀσθενείας εἰς δύναμιν, ἐξ ἀτιμίας εἰς δόξαν, ἐκ μεμετρημένων καιρῶν εἰς μακραίωνα βίον.

κ. Καὶ ἔςησεν Ἰακὼβ ςήλην ἐπὶ τῦ μνημείυ αὐτῆς· αὕτη ἐςὶν ἡ ςήλη μνημείυ Ῥαχὴλ, ἕως τῆς σήμερον ἡμέρας.

ΚΥΡΙΛΛΟΥ. Πλεῖςαι μὲν τῶν ἁγίων κεκοίμηνται γυναικῶν, ἐπὶ μόνῳ δὲ τῷ μνήματι Ῥαχὴλ ὁ μυςικὸς καὶ ἱερὸς ἀνεςηλώθη λίθος. τί δὲ ἐντεῦθεν δίδωσι νοεῖν τοῖς εὐμαθεςέροις τὸ αἴνιγμα; Βεβασίλευκεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, κατέληξε δὲ τότε τῆς καθ' ἡμῶν τυραννίδος, ὅτε καὶ ἐνηνθρώπησεν ὁ μονογενὴς, καὶ ὥσπερ τινὰ παρθένον ἁγνὴν ἑαυτῷ παρέςησε τὴν ἐκκλησίαν, ἧς εἰς εἰκόνα παρελήφθη Ῥαχήλ. ὑκῦν τὸ μὴ τεθεῖσθαι λίθυς ἐπὶ τοῖς ἑτέρων μνημείοις, σημεῖον ἂν γένοιτο καὶ μάλα τρανὸν, τῦ μήπω τὸν καθ' ἡμῶν κατηγωνίσθαι θάνατον, ἅτε δὴ καὶ ὔπω καθ' ἡμᾶς γεγονότος τῦ μονογενῦς. ἐπειδὴ δὲ γέγονε καθ' ἡμᾶς, τυτέςιν ἄνθρωπος, καὶ τὸν τῆς σαρκὸς ὑπομείνας θάνατον, οἰκονομικῶς τέθειται ἐν μνημείῳ, γέγονεν ἡμῖν λίθος οἷάτις καὶ ὑποςήριγμα, τὴν τῦ ἀνθρώπυ φύσιν ἀνέχων εἰς ἀφθαρσίαν, καὶ εἰς τὸ δύνασθαι νικᾶν τὸν ἐξ ἀρᾶς τε καὶ ἁμαρτίας ἀναφύντα θάνατον. ἔνθα γὰρ ὁ Χριςὸς, ἐκεῖ πυ πάντως καὶ πλημμελημάτων ἄφεσις, καὶ δικαίωσις διὰ πίςεως. ὑκῦν ὐκ ἀπέςη τῶν ἐν πίςει κεκοιμημένων. γράφει δὲ καὶ ὁ
Κολασ. 3. πάνσοφος Παῦλος· ἀπεθάνετε γὰρ, καὶ
3, 4. „ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριςῷ ἐν
„ τῷ Θεῷ. ὅταν ὁ Χριςὸς φανερωθῇ ἡ ζωὴ
A „ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. (1)

κα. Ἐγένετο δὲ ἡνίκα κατῴκησεν Ἰσραὴλ ἐν τῇ γῇ ἐκείνῃ, ἐπορεύθη Ῥυβὶμ, καὶ ἐκοιμήθη μετὰ Βάλλας τῆς παλλακῆς τῦ πατρὸς αὐτῦ· καὶ ἤκυσεν Ἰσραὴλ, καὶ πονηρὸν ἐφάνη ἐναντίον αὐτῦ.

B ✱ ΚΥΡΙΛΛΟΥ. Οὐκῦν εἰς εἰκόνα τῆς Ἰυδαίων συναγωγῆς τὴν τῦ Ἰακὼβ ἀνοίσομεν παλλακίδα, φημὶ δὴ τὴν Βάλλαν, ᾗ κεκοινώνηκεν ὁ Ῥυβὶμ, τυτέςιν ὁ λαὸς ὁ πρῶτος· καθότι ἑρμηνεύεται μὲν ἡ Βάλλα, πεπαλαιωμένη, βεβηλώσεώς γε μὴν υἱὸς, ὁ Ῥυβίμ. πεπαλαίωται δὲ ὥσπερ καὶ ἐῤῥυτίδωται μὲν ἡ τῶν Ἰυδαίων συναγωγὴ, ἀντανέφυ δὲ ὁ νέος καὶ ἐν πίςει λαός.

Γ κβ. Ἦσαν δὲ οἱ υἱοὶ Ἰακὼβ δώδεκα.
κγ. Υἱοὶ Λείας, πρωτότοκος Ἰακὼβ, Ῥυβὶμ, Συμεὼν, Λευὶ, Ἰύδας, Ἰσάχαρ, Ζαβυλών.

κδ. Υἱοὶ δὲ Ῥαχὴλ, Ἰωσὴφ, καὶ Βενιαμίν.

ΑΔΗΛΟΥ. Συναριθμεῖ καὶ τὸν Βενιαμὶν μετὰ τῶν ἐν Μεσοποταμίᾳ. παρεὶς
Δ γὰρ ἦν ἤδη ἐκεῖσε.

κε. Υἱοὶ δὲ Βάλλας παιδίσκης Ῥαχὴλ, Δὰν, καὶ Νεφθαλείμ.
κς. Υἱοὶ δὲ Ζελφὰς, παιδίσκης Λείας, Γὰδ, καὶ Ἀσήρ. ὗτοι υἱοὶ Ἰακὼβ, οἳ ἐγένοντο αὐτῷ ἐν Μεσοποταμίᾳ
κζ. τῆς Συρίας. Ἦλθε δὲ Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτῦ εἰς Μαμβρῆ, εἰς πόλιν τῦ Εὐάκ· αὕτη ἐςὶ
E Χεβρὼν ἐν γῇ Χαναὰν, ὗ παρῴκη-
κη. σεν Ἀβραὰμ καὶ Ἰσαάκ. Ἐγένοντο δὲ αἱ ἡμέραι Ἰσαὰκ, ἃς ἔζησεν, ἑκα-
κθ. τὸν ὀγδοήκοντα. Καὶ ἐκλιπὼν Ἰσαὰκ ἀπέθανε· καὶ προσετέθη πρὸς τὸ γένος αὐτῦ πρεσβύτερος καὶ πλήρης ἡμερῶν· καὶ ἔθαψαν αὐτὸν Ἡσαῦ καὶ Ἰακὼβ οἱ υἱοὶ αὐτῦ.

ΚΕΦ. ΛϚ.

α. Αὗται δὲ αἱ γενέσεις Ἡσαῦ·
β. αὐτός ἐςιν Ἐδώμ. Ἡσαῦ δὲ ἔλαβε γυναῖκας ἑαυτῷ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων· τὴν Ἀδὰ, θυγατέρα Ἐλὼμ τῦ Χετταίυ· καὶ τὴν Ὀλιβαμὰ, θυγατέρα
γ. Ἀνὰ τῦ υἱῦ Σεβεγὼν τῦ Εὐαίυ. Καὶ τὴν Βασεμὰθ, θυγατέρα Ἰσμαὴλ,
δ. ἀδελφὴν Ναβαιώθ. Ἔτεκε δὲ Ἀδὰ τῷ Ἡσαῦ τὸν Ἐλιφάς· καὶ Βασε-
ε. μὰθ ἔτεκε τὸν Ῥαγυήλ. Καὶ Ὀλιβεμὰ ἔτεκε τὸν Ἰεὺς, καὶ τὸν Ἰεγλὼν, καὶ τὸν Κορέ. ὗτοι υἱοὶ Ἡσαῦ, οἱ ἐγέ-
ϛ. νοντο αὐτῷ ἐν γῇ Χαναάν. Ἔλαβε δὲ

(1) Ἐν τοῖς ἐκδεδομ. τῦτο ὐχ εὕρηται.

δὲ Ἡσαῦ τὰς γυναῖκας αὐτȣ͂, καὶ τȣ̀ς ὑȣ̀ς, καὶ τὰς θυγατέρας, καὶ πάντα τὰ σώματα τȣ͂ οἴκȣ αὐτȣ͂, καὶ πάντα τὰ ὑπάρχοντα αὐτȣ͂, καὶ πάντα τὰ κτήνη, καὶ πάντα ὅσα ἐκτήσατο, καὶ πάντα ὅσα περιεποιήσατο ἐν γῇ Χαναάν· καὶ ἐπορεύθη ἐκ γῆς Χαναὰν ἀπὸ προσώπȣ Ἰακὼβ τȣ͂ ἀδελφȣ͂ αὐτȣ͂. Ἦν γὰρ αὐτῶν πολλὰ τὰ ὑπάρχοντα, τȣ͂ οἰκεῖν ἅμα· καὶ ȣ̓κ ἠδύνατο ἡ γῆ τῆς παροικήσεως αὐτῶν φέρειν αὐτȣ̀ς, ἀπὸ τȣ͂ πλήθȣς τῶν ὑπαρχόντων αὐτῶν.

η. Ὤκησε δὲ Ἡσαῦ ἐν τῷ ὄρει Σηείρ. Ἡσαῦ ȣ̓τός ἐςιν Ἐδώμ.

** ΠΡΟΚΟΠΙΟΥ. Φαίνεται Ἡσαῦ πρὶν τὸν Ἰακὼβ ἐπανελθεῖν οἰκῶν ἐν ὄρει Σηείρ. πῶς ȣ̓͂ν νυῦ ἀναχωρεῖ εἰς τὸ ὄρος Σηείρ; Ἢ ᾤκει μὲν ἐν Σηεὶρ, ȣ̓ τέλεον δὲ διὰ τὸν πατέρα· ἐλθόντος δὲ τȣ͂ Ἰακὼβ, παντελῶς μετῳκίσθη.

θ. Αὗται δὲ αἱ γενέσεις Ἡσαῦ τȣ͂ πατρὸς Ἐδὼμ ἐν τῷ ὄρει Σηείρ. Καὶ ταῦτα τὰ ὀνόματα τῶν ὑῶν Ἡσαῦ. Ἐλιφὰς ὑὸς Ἄδας γυναικὸς Ἡσαῦ· καὶ Ῥαγȣὴλ ὑὸς Βασεμὰθ γυναικὸς Ἡσαῦ. Ἐγένοντο δὲ οἱ ὑοὶ Ἐλιφὰς, Θαιμὰν, Ὠμὰν, Σωφὰρ, Γοθὼμ, καὶ Κενέζ.

ιβ. Θάμνα δὲ ἡ παλλακὴ Ἐλιφὰς τȣ͂ ὑȣ͂ Ἡσαῦ ἔτεκε τῷ Ἐλιφὰς τὸν Ἀμαλήκ. ȣ̓͂τοι οἱ ὑοὶ Ἄδας γυναικὸς Ἡσαῦ.

ΑΔΗΛΟΥ. Ὅτι ὁ Ἐλιφὰζ ὁ Θαιμὰν πρωτότοκος ἦν ὑὸς τȣ͂ Ἡσαῦ· ὁ δὲ Ἀμαλὴκ ὑὸς τȣ͂ Ἐλιφὰζ ἐκ παλλακῆς.

ιγ. Οὗτοι ὑοὶ Ῥαγȣήλ· Ναχὼθ, Ζαρὲ, Βοσὼρ, καὶ Μοζέ· ȣ̓͂τοί εἰσιν οἱ ὑοὶ Βασεμὰθ γυναικὸς Ἡσαῦ. Οὗτοι δὲ ἦσαν οἱ ὑοὶ Ὀλιβεμὰς θυγατρὸς Ἀνὰ τȣ͂ ὑȣ͂ Σεβεγὼν, γυναικὸς Ἡσαῦ· ἔτεκε δὲ τῷ Ἡσαῦ τὸν Ἰεȣ̀ς, καὶ τὸν Ἰεγλὼμ, καὶ τὸν Κορέ. Οὗτοι ἡγεμόνες ὑοὶ Ἡσαῦ. ὑοὶ Ἐλιφὰς πρωτοτόκȣ Ἡσαῦ· [ἡγεμὼν Σωφὰρ, ἡγεμὼν Κενὲζ, Ἡγεμὼν Κορὲ,] ἡγεμὼν Γοθὰ, ἡγεμὼν Ἀμαλήκ. ȣ̓͂τοι ἡγεμόνες Ἐλιφὰς ἐν γῇ Ἰδȣμαίᾳ· ȣ̓͂τοι ὑοὶ Ἄδας. Καὶ ȣ̓͂τοι οἱ ὑοὶ Ῥαγȣὴλ ὑȣ͂ Ἡσαῦ. ἡγεμὼν Ναχὼθ, ἡγεμὼν Ζαρὲ, ἡγεμὼν Σομὲ, (1) ἡγεμὼν Μοζέ. ȣ̓͂τοι

A ἡγεμόνες Ῥαγȣὴλ ἐν γῇ Ἐδώμ· ȣ̓͂τοι
ιη. ὑοὶ Βασεμὰθ γυναικὸς Ἡσαῦ. Οὗ-
τοι δὲ ὑοὶ Ὀλιβεμὰς γυναικὸς Ἡσαῦ.
ἡγεμὼν Ἰεȣ̀ς, ἡγεμὼν Ἰεγλὼμ, ἡγε-
μὼν Κορέ. ȣ̓͂τοι ἡγεμόνες Ὀλιβεμὰς
ιθ. θυγατρὸς Ἀνὰ γυναικὸς Ἡσαῦ. Οὗ-
τοι ὑοὶ Ἡσαῦ, καὶ ȣ̓͂τοι ἡγεμόνες αὐ-
κ. τῶν· ȣ̓͂τοί εἰσιν ὑοὶ Ἐδώμ. Οὗτοι δὲ
ὑοὶ Σηεὶρ τȣ͂ Χορραίȣ, τȣ͂ κατοικȣ͂ν-
B τος τὴν γῆν· Λωτὰν, Σωβὰλ, Σε-
κα. βεγὼν, Ἀνὰ, Καὶ Δισὼν, καὶ Ἀ-
σὰρ, καὶ Ῥισών. ȣ̓͂τοι ἡγεμόνες τȣ͂
Χορραίȣ τȣ͂ ὑȣ͂ Σηεὶρ ἐν τῇ γῇ Ἐδώμ.
κβ. Ἐγένοντο δὲ ὑοὶ Λωτάν· Χορρὶ, καὶ
Αἱμάν· ἀδελφὴ Λωτὰν, Θάμνα.
κγ. Οὗτοι δὲ ὑοὶ Σωβάλ· Γωλὼμ, καὶ
Μανακὼθ, καὶ Γαιβὴλ, καὶ Σωφὰρ
Γ καὶ Ὠμάρ.

κδ. Καὶ ȣ̓͂τοι ὑοὶ Σεβεγών· Ἀϊὲ, καὶ Ἀνά. ȣ̓͂τός ἐςιν Ἀνὰ, ὃς εὗρε τὸν Ἰαμεὶν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμε τὰ ὑποζύγια Σεβεγὼν τȣ͂ πατρὸς αὐτȣ͂.

ΑΚΥΛΑΣ. Αὐτὸς Αἰνὰν, ὃς εὗρε Σωτȣσιμεὶμ ἐν τῇ ἐρήμῳ ἐν τῷ βόσκειν αὐτὸν τȣ̀ς ὄνȣς τȣ͂ Σεβαιγών.

Δ ΘΕΟΔΟΤΙΩΝ. Οὗτός ἐςιν ὁ Αἰνὰν, ὃς εὗρε τὸν Ἰαμεὶν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμε τὰ βȣκόλια Σεβαιγὼν τȣ͂ πατρὸς αὐτȣ͂.

* ΔΙΟΔΩΡΟΥ. Ὁ Σύρος καὶ ὁ Ἑβραῖος τὸν Ἰαμεὶν, ὕδωρ βȣ́λονται λέγειν· ἀντὶ τȣ͂ εὗρε πηγὴν ἐν τῇ ἐρήμῳ. οἱ δὲ ἑρμηνεύσαντες αὐτὴν πως τὴν λέξιν τὴν ἑβραϊκὴν τεθείκασι.

E ΤΟΥ ΑΥΤΟΥ. (2) Τί ἐςιν, ȣ̓͂τός ἐςιν ὁ Ἀνὰν, ὃς εὗρε τὸν Ἰαμεὶν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμε τὰ ὑποζύγια Σεβαιγὼν τȣ͂ πατρὸς αὐτȣ͂; Ὁ Σύρος λέγει πηγὴν αὐτὸν εὑρηκέναι. ἡ γὰρ πηγὴ, Ἀνὰν καλεῖται τῇ Σύρων φωνῇ.

ΣΧΟΛΙΟΝ.

ΑΔΗΛΟΥ. Πανταχȣ͂ μὲν τὸ ὕδωρ, Ἀμμαῒμ λέγεται ἐν τῷ ἑβραϊκῷ· ἡ δὲ πη-
γὴ, Μωκώρ· ἐν γὰρ τῷ λέ. ψαλμῷ εἰς
Z „ τὸ, παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ ἑβραϊκῷ Ψαλ. 35. 9.
κεῖται, Μωκὼρ αϊȣ́μ. ȣ̓́τε ȣ̓͂ν τὸν Ἰαμεὶν κατὰ Διόδωρον εὗρον ἀντὶ ὕδατος· ȣ̓́τε ἀντὶ τῆς πηγῆς τὸ αἰνάν. κατὰ Θεοδώριτον δὲ, ȣ̓ τὸ αἰνὰν, πηγὴν ἔδει λέγεσθαι, ἀλλ' ἢ ἄρα τὸ Ἰαμείν. ὁ γὰρ Αἰνὰν εὗρε τὸν Ἰαμεὶν, ȣ̓χ ὁ Ἰαμεὶν τὸν Αἰνάν.

„ ** ΠΡΟΚΟΠΙΟΥ. Οὗτός ἐςιν Αὐ-
„ νὰν, ὃς εὗρε τὸν Αἰαμὶν ἐν τῇ ἐρήμῳ. ὁ
H „ Σύρος ἀντὶ τȣ͂ Αἰαμὶν, ὃς εὗρεν, ἔχει, τὸ
ὕδωρ. ὁ δὲ Ἑβραῖος αὐτὸ σχεδὸν τὸ Αἰα-
μὶν,

(1) Ἐν τῷ ιγ'. ἐδ. Βοσὼρ φησιν. ἤτοι ȣ̓͂ν γραφικὸν ἁμάρτημα τὸ, Βοσὼρ, ἢ διώνυμος ἦν ὁ Βοσώρ.
(2) Τȣ͂ Θεωδωρίτȣ ἐςὶν, ὡς μαρτυρȣ͂σι τά τε ἐκδεδομένα αὐτȣ͂ συγγράμ. καὶ ὁ προκείμ. σχολιαςής.

μὶν, ὕδωρ σημαίνει. αὕτη γὰρ ἡ λέξις κατελείφθη, καὶ ὀλίγον παρηλλάγη.

κε. Οὗτοι δὲ υἱοὶ Ἀνά· Δισὼν,
κϛ. καὶ Ὀλιβεμὰ θυγάτηρ Ἀνά. Οὗτοι
δὲ υἱοὶ Δισών· Ἀμαδὰ, καὶ Ἀσβὰν,
κζ. καὶ Ἰεθρὰν, καὶ Χαῤῥάν. Οὗτοι δὲ
υἱοὶ Ἀσάρ· Βαλαὰμ, καὶ Ζουκὰμ,
κη. καὶ Ἰωϋκὰμ, καὶ Οὐκάμ. Οὗτοι
κθ. δὲ υἱοὶ Ῥισών· Ὥς, καὶ Ἀράμ. Οὗτοι δὲ ἡγεμόνες Χοῤῥί· ἡγεμὼν Λωτὰν, ἡγεμὼν Σωβὰλ, ἡγεμὼν Σε-
λ. βεγὼν, ἡγεμὼν Ἀνὰ, Ἡγεμὼν Δισὼν, ἡγεμὼν Ἀσὰρ, ἡγεμὼν Ῥισών. οὗτοι ἡγεμόνες Χοῤῥὶ ἐν ταῖς ἡγεμονίαις αὐτῶν ἐν γῇ Ἐδώμ.

λα. Καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Ἐδὼμ, πρὸ τοῦ βασιλεῦσαι βασιλέα ἐν Ἰσραήλ.

✻✻ ΠΡΟΚΟΠΙΟΥ. Ζητητέον ἀποπότε λέγει βασιλεῦσαι τοὺς βασιλέας ἐν τῇ Ἐδώμ. ἆρα εὐθὺς μετὰ τὸν Ἐδώμ; ἀλλ' ἐκεῖνο μόνους λέγει πρὸ τοῦ βασιλεῦσαι βασιλέα ἐν Ἰσραὴλ, ἐν Ἐδὼμ βασιλεῦσαι. πολλαὶ δὲ γενεαὶ ἀπὸ Ἡσαῦ, ἕως τοῦ βασιλεῦσαι βασιλέα ἐπὶ Ἰσραήλ. παρατηρητέον δὲ, διατὶ καταριθμεῖ τοὺς βασιλέας Ἐδὼμ ἕως ὅτε βασιλεὺς ἀνέστη ἐπὶ Ἰσραήλ. ἆρα ὅτι ὁ Σαοὺλ πρῶτος βασιλεύσας, ἐξήλειψε τὸν Ἀμαλήκ; τί οὖν πρὸς τὰ ἄλλα ἔθνη τὰ ἐκ τοῦ Ἡσαῦ; τοῦ γὰρ Ἀμαλὴκ ἐξαλειφθέντος, τοῦ Ἐδὼμ ἔθνος μετὰ ταῦτα ἀναγέγραπται. δῆλον δὲ, ὅτι τοὺς βασιλέας λέγει τοὺς ἕως τότε βασιλεύσαντας, ἕως ὅτε ἀνέστη βασιλεὺς ἐν Ἰσραήλ. ὥσπερ γὰρ οὐκ ἦν δυνατὸν εὐθέως τοὺς ἐξ Ἰακὼβ πληθυνθῆναι, οὕτως οὐδὲ τοὺς ἐξ Ἡσαῦ. βασιλέας δέ φησι τοὺς καθόλου. οἱ γὰρ κατὰ μέρος ἡγεμόνες ἦσαν, καὶ τάχα τοὺς βασιλεῖς ἀριθμεῖται τοὺς ἐν γῇ Ἐδὼμ βασιλεύσαντας, ἀφ' οὗ οἱ υἱοὶ Ἰσραὴλ πληρώσαντες μ' ἔτη ἐν τῇ ἐρήμῳ, ἐπέβαινον τῆς γῆς τῆς ἐπαγγελίας. καὶ γὰρ ὁ πρῶτος βασιλεὺς, Βαλὰκ εὑρίσκεται, καὶ ἴσως ὁ μετακαλεσάμενος Βαλαὰμ τὸν μάντιν καταράσασθαι τοὺς Ἰσραηλίτας. πρὸς τὸ ἄνω δὲ εἴρη-
„ ται, οὗτοι οἱ βασιλεῖς. ἔφη γὰρ ἤδη, ὀκτὼ βασιλεῖς αὐτοκράτορες ἦσαν τοῦ σπέρματος Ἡσαῦ.

λβ. Καὶ ἐβασίλευσεν ἐν Ἐδὼμ Βαλὰκ υἱὸς τοῦ Βαιώρ· καὶ ὄνομα τῇ πόλει αὐτοῦ, Δενναβά.

λγ. Ἀπέθανε δὲ Βαλὰκ, καὶ
A ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἰωβὰβ υἱὸς Ζαρὰ ἐκ Βοσόρας.

ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ Ἰὼβ πόθεν κατάγει τὸ γένος; Ἀπὸ τοῦ Ἡσαῦ. τοῦτο
„ γὰρ καὶ ἡ κατ' αὐτὸν ἱστορία διδάσκει. ἄν- Ἰώβ. 1. 1.
„ θρωπος ἦν, φησὶν, ἐν χώρᾳ τῇ Αὐσίτιδι.
δεδήλωκε δὲ τοῦτο καὶ ὁ μακάριος Μωϋσῆς.
τῶν γὰρ ἐκ τοῦ Ἡσαῦ βεβασιλευκότων τὰς
„ διαδοχὰς συγγράφων, οὕτως ἔφη· ἀπέ-
B „ θανε δὲ Βαλὰκ, καὶ ἐβασίλευσεν ἀντ' αὐ-
„ τοῦ Ἰωβὰβ υἱὸς Ζαρὰ ἐκ Βοσόρας. συμφωνεῖ δὲ ταῦτα τῇ τοῦ Ἰὼβ ἱστορίᾳ.

λδ. Ἀπέθανε δὲ Ἰωβὰβ, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀσὼμ ἐκ τῆς
λε. γῆς Θαιμανών. Ἀπέθανε δὲ Ἀσὼμ,
καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Ἀδὰδ υἱὸς
Βαρὰδ, ὁ ἐκκόψας Μαδιὰμ ἐν τῷ
πεδίῳ Μωάβ· καὶ ὄνομα τῇ πόλει
λϛ. αὐτοῦ Γεθθαίμ. Ἀπέθανε δὲ Ἀδὰδ,
καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ Σαμαδὰ
λζ. ἐκ Βασεκᾶς. Ἀπέθανε δὲ Σαμαδὰ
ἐκ Βασεκᾶς, καὶ ἐβασίλευσεν ἀντ'
αὐτοῦ Σαοὺλ ἐκ Ῥωωθὼθ τῆς παρὰ
λη. ποταμόν. Ἀπέθανε δὲ Σαοὺλ, καὶ
ἐβασίλευσεν ἀντ' αὐτοῦ Βαλαεννὼν
λθ. υἱὸς Ἀχομώρ. Ἀπέθανε δὲ Βαλαεν-
νὼν υἱὸς Ἀχομὼρ, καὶ ἐβασίλευσεν
Δ ἀντ' αὐτοῦ Ἀράδ· καὶ ὄνομα τῇ πό-
λει αὐτοῦ Φογόρ· ὄνομα δὲ τῇ γυ-
ναικὶ αὐτοῦ Μετεβεὴλ, θυγάτηρ Μα-
μ. τραῒθ, υἱοῦ Μεζιβωώβ. Ταῦτα τὰ
ὀνόματα τῶν ἡγεμόνων Ἡσαῦ, ἐν
ταῖς φυλαῖς αὐτῶν, κατὰ τὸν τόπον
αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν, καὶ
ἐν τοῖς ἔθνεσιν αὐτῶν. ἡγεμὼν Θαι-
μὰν, ἡγεμὼν Θαμνὰ, ἡγεμὼν Φει-
μα. νὼν, ἡγεμὼν Γωλὰ, Ἡγεμὼν Κε-
μβ. νὲζ, ἡγεμὼν Ἰέθερ, Ἡγεμὼν Μα-
ζὰρ, ἡγεμὼν Ἐλεικεμά. (1)

μγ. Ἡγεμὼν Μαγεδιὴλ, ἡγεμὼν Ἰλὰς, ἡγεμὼν Ζαφώειν. οὗτοι ἡγεμόνες Ἐδὼμ ἐν ταῖς κατῳκοδομημέναις ἐν τῇ γῇ τῆς κλήσεως αὐτῶν. αὐτὸς Ἡσαῦ πατὴρ Ἐδώμ.

Z ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Σημειωτέον τὸ, ἐν
„ ταῖς καλῳκοδομημέναις πόλεσι τέ, τοπάρχαι, οὐ βασιλεῖς καθόλου.

μδ. Κατῴκησε δὲ Ἰακὼβ ἐν τῇ γῇ, οὗ παρῴκησεν ὁ πατὴρ αὐτοῦ ἐν γῇ Χαναάν. αὗται δὲ αἱ γενέσεις Ἰακώβ.

ΚΕΦ.

(1) Ἦτε τάξις καὶ τῶν ὀνομάτων τῶν ἡγεμόνων ἔνια, τῶν ἐν ταῖς ἄλλαις τῆς Γραφ. ἐκδόσ. διαφέρουσιν. ἔνθεντοι παρήλλακται καὶ ἡ τοῦ μά, καὶ μβ' ἐδ. διαίρεσις.

ΚΕΦ. ΛΖ.

α. Ἰωσὴφ δεκαεπτὰ ἐτῶν ἦν,
ποιμαίνων μετὰ τῶν ἀδελ-
φῶν αὐτοῦ τὰ πρόβατα τοῦ
πατρὸς αὐτοῦ, ὢν νέος, μετὰ τῶν
υἱῶν Βάλλας, καὶ μετὰ τῶν υἱῶν Ζελ-
φὰς τῶν γυναικῶν τοῦ πατρὸς αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Ἑπτακαίδεκα ἦν ἐτῶν,
ἱδρῶτός γε μὴν οὐκ ἠμέλει ποιμενικοῦ· τοῖς
δὲ ἄλλοις ἀδελφοῖς ἀναμὶξ τῶν ἴσων ἥπτε-
το σπουδασμάτων, οὐ τὴν τοῖς ἐν ἥβῃ θυ-
μηρεστέραν καὶ ἀεί πως προσφιλῆ ῥαστώνην
τετιμηκώς, οὐ τὴν πρόωρον τοῦ βίου φρον-
τίδα παραιτούμενος, οὐδὲ τὸ ἀνεῖσθαι μᾶλ-
λον ἠγαπηκώς, ἅτε δὴ καὶ ἐν μειρακίοις
ἔτι τελῶν· ἀλλ' οἷα πρεσβύτης ἐν ἰδίᾳ
μὲν λογισμῶν ἤδη γεγονώς, καὶ τὸν νοῦν
ἔχων εὖ βεβηκότα, πολιῷ τε λόγῳ χρώ-
μενος, καὶ τῆς ἐσομένης λαμπρότητος
προαναφαίνων τὸ κάλλος, ἐθαυμάζετο
μὲν εἰκότως παρά γε τῷ θαυμασίῳ καὶ φι-
λοστόργῳ πατρί, καὶ ἀγάπης καὶ φειδοῦς
„ διαφερόντως ἠξίωτο. ἦν γὰρ αὐτῷ, φη-
„ σί, καὶ γήρως υἱός. Καὶ μετ' ὀλίγα. Ἀλλ' ἦν
Ἰωσὴφ δέκα καὶ ἑπτὰ ἐτῶν. καὶ ὅτι μὲν
νέος ἦν κομιδῇ, παραδείξει καὶ διὰ τούτων
ἡμῖν ἡ Γραφή. νεώτατον δὲ τῶν ἄλλων,
καὶ αὐτὸν εἶναί φαμεν τὸν Ἐμμανουήλ, τὸ
ἐν χρόνῳ πρεσβύτερον τοῖς πρὸ αὐτοῦ γε-
γονόσιν ἀνάπτοντες, οἷον Μωϋσῇ καὶ Προ-
φήταις. ἐκβασανίζοντες δὲ τῶν γεγραμ-
μένων τὴν δύναμιν, γνωσόμεθά τι καὶ ἕτε-
ρον διὰ τούτου κατασημαίνεσθαι. διαγρά-
ψει γάρ πως ἡμῖν καὶ αὐτῆς που τάχα τῆς
μετὰ σαρκὸς οἰκονομίας τὸ βαθὺ μυστή-
ριον καὶ ὁ τῶν ἐτῶν ἀριθμός. τίνα δὲ
τρόπον; διατρανοῦν, ὡς ἔνι, πειράσομαι.
ἔθος τῇ θείᾳ Γραφῇ τοὺς ἀνόπην ἰόντας
τῶν ἀριθμῶν, μετὰ τὴν αὐτοῖς τεταγμέ-
νην ἐκπλήρωσιν, τελειότητος ποιεῖσθαι
σύμβολον. οἷόν τί φημι. τὸν δέκα εἴπερ
τὶς ἀναμετρῆσαι καὶ ὑποτρέχειν ἕλοιτο,
πάλιν ἐκ μονάδος ἄρξεται καθάπερ τὸ
πρῶτον, καὶ εἰς τέλος καταλήξει τὸ αὐ-
τό. ὁμοίως καὶ ἐπὶ τῆς ἑβδομάδος. ἀρ-
ξάμενος γὰρ ἀπὸ πρώτης, ἄνεισι μὲν ἐφε-
ξῆς ἐπὶ τὴν ἑβδομάδα, εἶτα κατακλείσας
εἰς τέλος ἐκεῖ τὸν τῶν ἡμερῶν ἀριθμόν,
ἐπανήξει πάλιν ἐπὶ τὴν πρώτην. τελειό-
τητος οὖν ἄρα ταύτῃ τοι ποιεῖται σημεῖα
τοὺς ὧδε ἔχοντας τῶν ἀριθμῶν ὁ ἱερὸς ἡμῖν
λόγος. καὶ γοῦν ἐν τῇ τῶν ταλάντων δια-
νομῇ τὸν εἰς λῆξιν ἥκοντα φιλεργίας τῆς
κατὰ Θεόν, δέκα, φησίν, εἰληφέναι τά-
λαντα· καὶ μὴν καὶ ἐπάνω τεθεῖσθαι πό-
λεων δέκα, τὴν τῶν εὐδοκιμήσεων τελειό-
τητα, πάντῃ τε καὶ πάντως ἰσομοιροῦσαν
τοῖς ἱεροῖς διατάγμασι δεικνὺς ὁ τούτων
1. Βασ. 2. 5. διανομεύς, τουτέστιν ὁ Χριστός. στεῖραν δὲ
„ τεκεῖν ἑπτά, τῶν ἁγίων τις ἔφη· τὸ ἑπτά-
που τιθεὶς ἀντὶ τοῦ πολλά. καὶ ὅσα λοιπὸν
εἰς τέλειον ἀριθμὸν καταλογισθείη ἂν ὑπὸ
τῶν ἀναμετρεῖν ᾑρημένων.

ΤΟΥ ΑΥΤΟΥ. Ὅταν τοίνυν λέγηται
περὶ Ἰωσήφ, ὅτι ἦν ἐτῶν δεκαεπτά, συν-
τεθεῖσθαι δώσομεν τὸν Ἐμμανουὴλ εἰς ἕνα
Χριστὸν καὶ υἱὸν ἐκ δυοῖν τελείοιν, Θεότη-
Β τός τε καὶ ἀνθρωπότητος. οὐ γάρ τοι πα-
ραδεξόμεθα τὸ τισὶ δοκοῦν, οἰομένοις ὅτι
ψυχῆς λογικῆς ὁ θεῖος ἐκεῖνος κεκένωτο
ναός, ὃν ἐκ τῆς ἁγίας παρθένου καὶ Θεο-
τόκου πεφόρηκεν ὁ ἐκ Θεοῦ πατρὸς λόγος.
ἀλλ' ὥσπερ ἦν Θεότητι τέλειος, οὕτω καὶ ἐν
ἀνθρωπότητι, πλὴν εἰς ἕνα συγκείμενος
ἀπορρήτως καὶ ὑπὲρ νοῦν. οὐκοῦν σημαίνει
μὲν τὸ τέλειον ἐν Θεότητι, καὶ ὑπαινίττε-
ταί πως ἡμῖν ὁ δέκα ἀριθμός. τὸ δὲ οὕτως
Γ ἔχειν ἐν ἀνθρωπότητι ὑπεμφήνειεν ἂν ὁ
ἑπτά, μειονεκτούμενος μὲν ἐν τριάδι τοῦ δε-
κάτου ἀριθμοῦ, ὑπενηνεγμένος δὲ αὐτῷ,
καὶ οἱονεὶ προσκείμενος. μετὰ γὰρ τὸν
δέκα ἀριθμὸν συμβέβηκεν ὁ ἑπτά. ἐν ὑπε-
ροχῇ δὲ τριάδος, τουτέστι Θεότητος ὁ ἐκ
Θεοῦ πατρὸς λόγος· ἐν ὑφέσει δὲ τὸ ἀν-
θρώπινον, καὶ Θεοῦ δόξης ἐν μειώσει. καὶ
ὁ μέν, ὡς Θεὸς λόγος, νοεῖται προών,
προσγέγονε δὲ αὐτῷ τὸ ἀνθρώπινον. οὐκοῦν
Δ ἀναγκαίως προτέτακται μὲν ὁ δέκα ἀριθ-
„ μός, ἐπενήνεκται δὲ ὁ ἑπτά. Ἰωσὴφ γάρ,
„ φησι, δέκα καὶ ἑπτὰ ἐτῶν ἦν. ἄθρει δέ μοι
πρὸς τούτῳ τὸ πρόσκαιρόν τε καὶ ἄναρχον
τοῦ Ἐμμανουὴλ κατά τε τὸ ἀνθρώπινον καὶ
τὸ θεῖον. γέγονε μὲν γὰρ ἀπαρίθμησις
ἐτῶν, ὡς ἐν εἰκόνι τῷ Ἰωσήφ, ἀλλ' ἐπενή-
„ νεκται τό, ἦν. τέτακται γὰρ διὰ τὴν γέ-
νεσιν τὴν καθ' ἡμᾶς νοουμένην εἰς ἐτῶν ἀ-
ριθμόν, καὶ διὰ τὸ ἀνθρώπινον, καίτοι
Ε Θεὸς ὢν ὁ λόγος· ἀλλ' ἔσεται πάντως τό,
„ ἦν ἐπ' αὐτῷ. νοεῖται γὰρ καὶ ἔστιν ἀληθῶς
τῷ πατρὶ συναΐδιος. καὶ ὥς ὁ θεσπέσιός
„ φησιν Ἰωάννης, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ Ἰωάν. 1. 1.
τὰ ἑξῆς. οὐκοῦν, ἐρῶ γὰρ εἰς αὖθις, δέκα
μὲν καὶ ἑπτὰ ἐτῶν ἦν Ἰωσήφ, τὰς δὲ τοῦ
πατρὸς ἀγέλας συνεποίμαινε τοῖς ἀδελ-
φοῖς, τοῖς ἀπὸ τῆς Ζελφάς φημι καὶ
Βάλλας, τουτέστι τοῖς ἐκ θεραπαινῶν. γε-
γονὼς γὰρ ἄνθρωπος ὁ ἐκ Θεοῦ πατρὸς
Ζ λόγος, τὴν τῶν Ἰουδαίων ἄνω τε καὶ κάτω
περιέθει χώραν, συναγείρων ὥσπερ εἰς
ἀγάπησιν τὴν ὡς πρὸς Θεὸν καὶ πατέρα
τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ.

ΤΟΥ ΑΥΤΟΥ. Συνεποίμαινε τοίνυν
καθ' ἡμᾶς γεγονὼς ὁ υἱὸς τοῦ Θεοῦ τοῖς ἐκ
δουλείας ἅμα καὶ ἐκ πορνείας γεγεννημέ-
νοις. καθηγοῦντο γὰρ ἔτι τῶν ἐξ Ἰσραὴλ
οἱ κατὰ νόμον προεστηκότες, καίτοι διδά-
Η σκοντος ἤδη καὶ μυσταγωγοῦντος Χριστοῦ τοὺς
προσιόντας αὐτῷ, καὶ εἰς τὴν τῆς ἀλη-
θείας ἀποκομίζοντος τρίβον. αὕτη δὲ ἦν
„ αὐτός. τοιγάρτοι καὶ ἔφασκεν, ἐγώ εἰμι Ἰωάν. 14. 6.
„ ἡ ὁδός. ἀλλ' οἱ μὲν Γραμματεῖς καὶ Φα-

ρισαῖοι,

A ρισαῖοι, οἱ καὶ τὴν τῆς νομοθεσίας ἔχοντες δόξαν κατέβοσκον εἰς τριβόλους, καὶ εἰς ἀκάνθας, καὶ εἰς πλάνησιν, καὶ εἰς διδασκαλίας ἐνταλμάτων ἀνθρώπων· ὁ δὲ εἰς νομὴν ἀγαθὴν, καὶ εἰς πόαν ὥσπερ εὐανθεστάτην τῶν εὐαγγελικῶν παιδευμάτων τὴν εὐφυᾶ καὶ ἀξιάγαστον γνῶσιν. καὶ οἱ μὲν ἦσαν ποιμένες ῥάθυμοί τε καὶ ἀναπεπτωκότες, καὶ πρός γε δὴ τούτοις χρημάτων ἡττώμενοι, καὶ φιλοκερδίαν νοσοῦντες ἐσχάτην·

B Ἰεζ. 34. 5. » τὸ γάλα κατεσθίοντες, τὰ ἔρια περιβαλλόμενοι, καὶ τὸ παχὺ σφάζοντες, καὶ τὸ δόκιμον ἀπεμπολοῦντες, κατὰ τὴν τοῦ Προφήτου φωνήν· ὁ δὲ ὢν

Ἰωάν. 10. 15. » ποιμὴν ἀγαθὸς, τὴν ψυχὴν αὐτοῦ τιθεὶς ὑπὲρ τῶν προβάτων.

Κατήνεγκαν δὲ Ἰωσὴφ ψόγον πονηρὸν πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτῶν.

ΣΥΜΜΑΧΟΣ. Κατήνεγκε δὲ Ἰωσὴφ ψόγον αὐτῶν πονηρὸν πρὸς τὸν πατέρα αὐτῶν.

ΑΚΥΛΑΣ. Καὶ ἤνεγκεν Ἰωσὴφ τὸν ψόγον αὐτῶν πονηρὸν πρὸς τὴν μητέρα αὐτοῦ.

ΔΙΟΔΩΡΟΥ. Κατήνεγκαν δὲ ψόγον πονηρὸν Ἰωσὴφ πρὸς τὸν πατέρα αὐτῶν.

Δ ΑΔΗΛΟΥ. Ὁ Σύρος δὲ καὶ ὁ Ἑβραῖος » ἀντὶ τοῦ, κατήνεγκαν, κατήνεγκεν ἔχουσι, τουτέστιν ὁ Ἰωσὴφ διέβαλε τοὺς ἀδελφοὺς τῷ πατρὶ, ὡς οὐκ εὐτάκτους ὄντας. ὅθεν καὶ ἐμισήθη παρ᾽ αὐτῶν.

E ΚΥΡΙΛΛΟΥ. Ἠδίκει μὲν γὰρ αὐτοὺς ὁ νεανίας οὐδέν. ἡ δὲ τοῦ πατρὸς ἀγάπη, καὶ τὸ τοῦ παιδὸς εὐφυὲς τῆς ἀδίκου βασκανίας αὐτοῖς ἐνέλιψε τὸ πῦρ· καὶ τοῖς ἀπὸ γλώττης κατηκόντιζόν πως, διαλοιδορούμενοί που καὶ διασύροντες, ἐφ᾽ οἷς ἦν εἰκὸς τὸν ἔφηβον ἤδη κατονειδίζεσθαι παρ᾽ ἐχθρῶν. » τοῦτο δὲ οἶμαί ἐστι τό, κατήνεγκαν ψόγον » πονηρὸν πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτῶν.

γ. Ἰακὼβ δὲ ἠγάπα τὸν Ἰωσὴφ παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ, ὅτι υἱὸς γήρους ἦν αὐτῷ

Z ✻✻ ΚΥΡΙΛΛΟΥ. Τὰς ἐν ἡμῖν διαθέσεις ὁ λόγος ἡμῖν πολυπραγμονεῖ. αἱ μὲν γὰρ ἐπὶ παισὶ τῶν γεγεννηκότων φιλοστοργίαι ἶσαί τε εἰς ἅπαν παρά γε τισὶ, καὶ κατ᾽ οὐδένα τρόπον ἐν μείοσι. πλεονεκτεῖ δὲ πολλάκις καὶ καταβιάζεται τὸν νοῦν ἡ φύσις, ἀπονεῖμαί τι βραχὺ παρὰ τοὺς ἄλλους συμπείθουσα τοῖς καταδεεστέροις, ἅτε δὴ καὶ ὑπάρχουσιν ἐν χρείᾳ φειδοῦς τῆς προὐργιαιτέρας. ἄλλως τε πολλῶν ἔσθ᾽ ὅτε γεγεννημένων, καταλήγει πως, καὶ τῷ

H τελευταίῳ λοιπὸν ἐνορμίζεται τῆς ἀγάπης τὸ περιττὸν, τὴν ἐπὶ τοῖς προλαβοῦσι φιλοστοργίαν τοῦ μετ᾽ αὐτοὺς εἰς ἑαυτόν πως ἁρπάζοντος. φιλόκαινος γὰρ ὁ ἀνθρώπινος νοῦς, καὶ τῶν μὲν ἤδη προγεγονότων

A τὸν κόρον οὐκ ἀποσείεται· τῶν δὲ οὔπω παρόντων, ἢ καὶ ἀρτίως πεπορισμένων μεταποιεῖται λίαν, καὶ ἀκμαιοτέραν ἐπ᾽ αὐτοῖς τὴν ἐπιθυμίαν εἰσδέχεται. ἠγάπα τοίνυν παρὰ τοὺς ἄλλους τὸν Ἰωσὴφ ὁ θε» σπέσιος Ἰακὼβ, ὅτι γήρως υἱὸς ἦν αὐτῷ. ἰστέον δὲ ὅτι, καίτοι τὴν Λείαν προεισοικισάμενος ἐν Χαῤῥὰν, ἠγάπησε τὴν Ῥαχὴλ, ἣ τὸν Ἰωσὴφ ἐκτέτοκε, καὶ τελευτῶσα τὸν Βενιαμίν. πρὸς δὴ τοῦτό φαμεν,

B ὅτι ἄμφω μὲν ἤστην γήρως υἱώ· τὸ δέ γε τοῦ Ἰωσὴφ πρὸς πᾶν ὁτιοῦν εὐφυὲς οὐκ ἴσον ἐφ᾽ ἅπασιν. ἑτεροκλινῆ δὲ ὥσπερ καὶ ἐπ᾽ αὐτὸν νενευκότα παρέδειξε τὸν πρεσβύτην. διελογίζετο γάρ που κατὰ τὸ εἰκὸς, ὡς ἔσται λαμπρὸς καὶ ἀοίδιμος. καὶ ὁ τῶν τῆς νεότητος σκιρτημάτων οὐ πεφροντικὼς, εἰς ἄνδρα ἤδη τελῶν, πῶς οὐκ ἂν γένοιτο τῶν τεθαυμασμένων;

Γ ΤΟΥ ΑΥΤΟΥ. [Ἀλλ᾽ ἠγαπᾶτο, φη» σὶ, παρὰ τοῦ πατρὸς, ὅτι υἱὸς γήρως ἦν » αὐτῷ. γεγόνασι μὲν γὰρ καὶ ἕτεροι ποιμένες καλοί τε καὶ ἀγαθοὶ πρὸ τῆς τοῦ σωτῆρος ἡμῶν ἀναδείξεως τῆς ἐν κόσμῳ καὶ μετὰ σαρκός· καὶ πρό γε τῶν ἄλλων Μωσῆς ὁ θεσπέσιος, καὶ οἱ καθεξῆς τὰς λογικὰς ἀγέλας διαποιμαίνοντες.] πλὴν διαφερόντως ἠγάπησε τὸν υἱὸν ὁ πατὴρ, καίτοι τελευταῖον ὄντα μετὰ τοὺς ἄλλους,

Δ καὶ ἐν ἐσχάτοις τοῦ αἰῶνος γεγονότα καιροῖς. ἁρμόσει μὲν οὖν [τῷ] Ἰακὼβ υἱὸν γήρους [ἔχειν τὸν Ἰωσήφ· Θεὸς δὲ ἀγήρως,] ἄναρχός τε καὶ ἄναυξης καὶ ἀεὶ παντέλειος. ταύτῃ τοι σαφῶς τῆς τοῦ πρέποντος θήρας ἀφαμαρτεῖν οὐκ ἐφιέντες τὸν λόγον, γήρως ὥσπερ γεγενῆσθαι υἱόν φαμεν τῷ Θεῷ καὶ πατρὶ τὸν Ἐμμανουὴλ, ὡς ἐν χρόνοις τε γεγονότα τελευταίοις τοῦ αἰῶνος, δηλονότι τοῦ ἐνεστηκότος. καὶ ἐπεί-

E τοι γε μετ᾽ αὐτὸν ἕτερος οὐδείς· οὐ γὰρ ἐν ἑτέρῳ σώζεσθαι προσδοκήσομεν· ἀρκέσει δὴ μόνος, ὅτι μηδὲ ἐν ἄλλῳ τῳ κεῖσθαι φαμὲν τὴν τοῦ κόσμου σωτηρίαν.

ΑΔΗΛΟΥ. Ἐν πάσαις ἀρεταῖς διαλάμπων, εἰκότως ἠγαπᾶτο παρὰ τῷ θεσπεσίῳ πατρί.

Z ΙΣΙΔΩΡΟΥ. Οὐδὲ Ἰωσὴφ, ὦ βέλτιστε, κατὰ χάριν βασιλείας ἠξιώθη. πολλαῖς γὰρ ἀρεταῖς, καὶ ἔτι μειράκιον ὢν, ἐκόμα. διὸ καὶ ὁ πατὴρ αὐτὸν ἠγάπα παρὰ τοὺς ἄλλους υἱούς. ἐπειδὴ δὲ ἑώρα αὐτὸν φθονούμενον, θεραπεύων ἐκείνων τὸν φθόνον, τῆς ἀγάπης τὴν ὑπόθεσιν ἔλεγεν, οὐκ ἐκ τῆς τοῦ παιδὸς τίκτεσθαι ἀρετῆς, ἀλλ᾽ ἐκ τῆς τελευταίας γονῆς. ὅτι δὲ τοῦτο σκῆψις ἦν τοῦ πατρὸς, σβέσαι βουληθέντος τὸν πυρσευόμενον κατ᾽ αὐτοῦ φθόνον, ἐκ τούτου γὰρ καὶ ψόγον πονηρὸν ἔπλασαν

H κατ᾽ αὐτοῦ· δῆλον ἐκεῖθεν. εἰ γὰρ διὰ τοῦτο ἠγαπᾶτο, ὅτι ὀψίγονος ἦν, ὀψιγονώτερος Βενιαμίν, καὶ οὗτος ἦν δίκαιος μᾶλλον ἀγαπηθῆναι. ἀλλ᾽ ὡς ἔφην τὴν σοφωτάτην τοῦ πατρὸς σκῆψιν ὁ Μωϋσῆς εἰ-

σηγή-

3

A διηγήσατο. ὅτι γὰρ ἐξαιρέτοις ἀρεταῖς καὶ ἔτι μειράκιον νέον ἐκόμα, ἔδειξε καὶ ἡ νεότης, καὶ ἡ ἄλλη πᾶσα ἡλικία, οὐ τὰς ἐξ ἀρχῆς ἀρετὰς ἀπωλέσασα, ἀλλὰ καὶ αὐξήσασα, καὶ συνηθεῖν παρασκευάσασα.

Ἐποίησε δὲ αὐτῷ χιτῶνα ποικίλον.

ΚΥΡΙΛΛΟΥ. Ἀλλ' ἦν καὶ τοῦτο τοῖς ἀδελφοῖς αὐτοῦ βασκανίας ἐρέθισμα, καὶ B φθόνου πρόφασις, καθὰ καὶ αὐτοῦ τοῦ πράγματος διδάσκει τὸ πέρας. ἐπεμαίνοντο δὲ καὶ οἱ Φαρισαῖοι τῷ ἠγαπημένῳ, τουτέστι Χριστῷ, διὰ τὸ παρὰ Θεοῦ καὶ πατρὸς ποικιλότροπόν τινα καλαμφιέννυσθαι δόξαν. τεθαύμαστο γὰρ κατὰ πολλοὺς οἶμαι τρόπους. τοῦτο μὲν, ὡς ζωοποιός· τοῦτο δὲ, ὡς φῶς, καὶ καταφωτίζειν οἷός τε ὢν τοὺς ἐν σκότει, καθαρίζων λεπροὺς, Γ καὶ τὰ λοιπὰ θεοπρεπῆ θαύματα ἐπιτελῶν.

** ΩΡΙΓΕΝΟΥΣ. Χιτὼν ποικίλος ἐστὶν ἕξις ἀρίστη ταῖς ἀρεταῖς κεκοσμημένη.

γ. Ἰδόντες δὲ οἱ ἀδελφοὶ αὐτοῦ, ὅτι ὁ πατὴρ φιλεῖ αὐτὸν ἐκ πάντων τῶν υἱῶν αὐτοῦ, ἐμίσησαν αὐτὸν, καὶ οὐκ ἠδύναντο λαλεῖν αὐτῷ οὐδὲν εἰρηνικόν.

Δ * ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ἐφθόνησαν τῷ Ἰωσὴφ οἱ ἀδελφοὶ αὐτοῦ; Ἠγαπᾶτο παρὰ τοῦ πατρὸς, καὶ ὡς ὀψίγονος, καὶ ὡς τῆς Ῥαχὴλ υἱὸς, καὶ ὡς ἀρετῇ διαπρέπων. ἐβάσκαινον τοίνυν ὁρῶντες αὐτὸν προτιμώμενον. καὶ πρῶτον μὲν ἐπειράθησαν κακῶς αὐτὸν παρὰ τῷ πατρὶ διαθεῖναι, πολλαῖς κατ' αὐτοῦ λοιδορίαις χρώμενοι· τοῦ σκοποῦ δὲ διαμαρτάνοντες, ἀνε- E λεῖν ἐβουλήθησαν· εἶτα συμβουλευσάμενοι, ἀπέδοντο.

** ΩΡΙΓΕΝΟΥΣ. Ὁ μισῶν ἀδυνάτως ἔχει πρὸς τὸ εἰρηνικόν τι λαλεῖν τῷ μισουμένῳ. ἀποθώμεθα οὖν τὸ μῖσος, ἵνα λαλῶν εἰρηνικὰ διωηθῶμεν.

δ. Ἐνυπνιασθεὶς δὲ Ἰωσὴφ ἐνύπνιον, ἀπήγγειλεν αὐτὸ τοῖς ἀδελ-
ε. φοῖς αὐτοῦ. Καὶ εἶπεν αὐτοῖς, ἀκού-
Z σατε δὴ τοῦ ἐνυπνίου τούτου, οὗ ἐνυπνιάσθην.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐκ εἰδὼς τὴν κακίαν τῶν ἀδελφῶν ὁμόνοιαν, ὡς ἀδελφοῖς προσεφέρετο, καὶ τὰ ἐνύπνια, ἅπερ αὐτῷ ὁ Θεὸς ἀπεκάλυπτε, προμηνύων αὐτῷ τὴν περιφάνειαν ἐν ᾗ γίνεσθαι ἔμελλε, καὶ τῶν ἀδελφῶν τὴν ὑποταγὴν, εἰς μέσον προετίθει.

H **ϛ. Ὤμην ὑμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ· καὶ ἀνέστη**

A **τὸ ἐμὸν δράγμα, καὶ ὠρθώθη· περιστραφέντα δὲ τὰ δράγματα ὑμῶν, προσεκύνησαν τὸ ἐμὸν δράγμα.**

ΚΥΡΙΛΛΟΥ. Τῷ μὲν νεανίᾳ προαναφαίνει ὁ Θεὸς, ὡς ἔσται κατὰ καιροὺς λαμπρὸς καὶ ἀπόβλεπτος, καὶ τῶν ἀδελφῶν ἐν ἀμείνοσι ταῖς λήξεσι καὶ ταῖς εὐκλείαις κατεστεμμένος. πρόκλησις δὲ, οἶμαι, τὸ δρώμενον ἦν, ἀκουούσα τὸ μειράκιον εἰς B ἔφεσιν ἀρετῆς. ὃν περ γὰρ τρόπον οἱ παιδοτρίβαι τούς γε νέους ἀλείφοντες, παραθήγουσι μὲν εἰς εὐτολμότατον φρόνημα, καὶ τὸ τληπαθὲς ἑλέσθαι καὶ τιμᾶν ἀναπείθουσι, τὰ γέρα προαγορεύοντες αὐτοῖς, ἃ τῇ τοῦ νικᾶν συνθέουσι δόξῃ, τὰς τῶν ἀγωνοθετούντων φιλοτιμίας, τὰς παρὰ τῶν θεωμένων εὐφημίας, τοὺς ἐπαίνους, τοὺς κρότους· οὕτω καὶ ὁ τῶν ὅλων Θεὸς, ὅταν ἴδῃ ψυχὴν εὐφυᾶ καὶ δόκιμον, καὶ Γ ἀκιβδήλῳ διαπρέπουσαν νῷ, καὶ πρὸς πανοτιοῦν ἄριστον ἔχουσαν ἐπιτηδείως, παρακαλεῖ τότε πρὸς τὸ ἑλέσθαι τὸ ἀγαθὸν, προαναδεικνὺς τὰ ἐσόμενα, καὶ προανιστὰς οἰκονομικῶς εἰς προθυμίαν, δῆλον δὲ ὅτι τὴν ἐπ' ἀρεταῖς.

ΕΥΣΕΒΙΟΥ. (1) Τί βούλεται ἡ τῶν δραγμάτων προσκύνησις; Δράγμα μὲν εἰς καιροῦ σημεῖον παραδεξόμεθα· τό γε μὴν δόξῃ περιφανὲς, ἡ τοῦ ἑνὸς ἔγερσις ὑπεμ- Δ φαίνειν ἄν. ὅτε τοίνυν ἥξει καιρὸς, καθ' ὃν ἔσται μὲν εὐκλεὴς ὁ θεσπέσιος Ἰωσὴφ, ὑποπεσεῖται δὲ ὥσπερ αὐτῷ καὶ ὑπενεχθήσεται καὶ αὐτὴ τῶν ἀδελφῶν ἡ πληθὺς, προϋπέδειξεν αἰνιγματωδῶς τὸ αὐτοῦ δράγμα παρὰ τῶν ἑτέρων προσκυνούμενον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ τῶν δραγμάτων ὄναρ προσημαίνει τὴν διὰ τῶν πυρῶν γεγενημένην προσκύνησιν. σιτοδοχίας γὰρ E χάριν εἰς τὴν Αἴγυπτον εἰσελθόντες, κατὰ τὴν πρόρρησιν, προσεκύνησαν τῷ Ἰωσήφ.

* ΠΡΟΚΟΠΙΟΥ. Δράγμα εἶδεν. ἐπειδὴ δι' ἀφορίας αὐτῷ γέγονε τοῦ κατάρξαι τῆς Αἰγύπτου, καὶ προσκυνηθῆναι παρὰ τῶν ἀδελφῶν.

ζ. Εἶπαν δὲ αὐτῷ οἱ ἀδελφοὶ αὐτοῦ, μὴ βασιλεύων βασιλεύσῃς ἐφ' ἡμᾶς, ἢ κυριεύων κυριεύσῃς ἡμῶν;
Z καὶ προσέθεντο ἔτι μισεῖν αὐτὸν ἕνεκεν τῶν ἐνυπνίων αὐτοῦ, καὶ ἕνεκεν τῶν ῥημάτων αὐτοῦ.

ΓΕΝΝΑΔΙΟΥ. Ἀναγκαίως τὰς αἰτίας τοῦ μίσους τοῦ κατ' αὐτοῦ προεκτίθεται. καὶ πρῶτον μὲν λέγει τοῦ πατρὸς αὐτῶν τὸ περὶ αὐτὸν φίλτρον ἐξαίρετον· ὃ καὶ βουληθέντες ἀμβλῦναι διαβολαῖς, οὐκ ἐξίσχυσαν, τοῦ Ἰακὼβ ἐν γήρᾳ γενομένου, καὶ H πλέον ὑπεραγαπῶντος αὐτόν· δευτέραν δὲ καὶ τρίτην αἰτίαν λέγει τοῦ μίσους, τὰ ἐνύπνια.

(1) Τοῦ Κυρίλλου ἐστί· καὶ μαρτυρεῖ οὐ μόνον τὰ ἐκδεδομένα, ἀλλὰ καὶ ἡ φράσις αὐτή.

Α * ΚΥΡΙΛΛΟΥ. Ἐκεῖνο ἄξιον ἰδεῖν, ὅπως ὁ φθόνος ἀνοσίαν ἔχει τὴν ἔφοδον, καὶ διὰ τῶν ἴσων ἔρχεται κακῶν. εὑρήσομεν δὲ τυφλὸν καὶ θεομάχον ὅτι μάλιστα τὸ θηρίον. ἐπιτήρει γὰρ ὅπως Θεοῦ προαναγγέλλοντος τῷ Ἰωσὴφ τὴν τῆς ἐσομένης εὐκλείας λαμπρότητα, δέον ἐκεῖνο διενθυμεῖσθαι σαφῶς, ὡς οὐκ ἂν ὁ τὰ δίκαια κρίνων Θεὸς ἐποίησεν ἂν τοῖς οὐχ ἑλεῖν ἀξίοις τὰς ἀνωτάτω τιμὰς, εἶτα χαίρειν
Β ἐπ' ἀδελφῷ διαφανεστάτην ἔχοντι τὴν ἐλπίδα, καὶ θείᾳ ψήφῳ τετιμημένῳ, τοῦτο μὲν οὐ δεδράκασιν, ἁδρότερον δὲ τοῦ φθόνου διανιστῶσι τὸ κέντρον, καὶ θηρίων δίκην ἐπιμεμήνασι, μονονουχὶ καὶ ἐπιτιμῶντες τῷ Θεῷ τῷ τὴν δόξαν ὑπισχνουμένῳ.

ΤΟΥ ΑΥΤΟΥ. Ἐμίσησαν οἱ ἀδελφοὶ τὸν Ἰωσὴφ διὰ τὰ ἐνύπνια, καὶ Ἰουδαῖοι τὸν Χριστὸν διὰ τὰ θαύματα. βλέπε τὴν κακίαν πῶς τυφλώττει. διατί πολεμεῖς τῷ
Γ τὰ ἐνύπνια θεασαμένῳ; ἆρα ἀληθεύει τὰ ἐνύπνια, ἢ ψεύδεται; εἰ μὲν ἀληθεύει, ποία μηχανὴ περιγράψει τὴν ἀλήθειαν; εἰ δὲ ψεύδεται, τί βασκαίνεις τῷ φανταζομένῳ; (1)

η. Εἶδε δὲ ἐνύπνιον ἕτερον, καὶ διηγήσατο αὐτὸ τῷ πατρὶ αὐτοῦ, καὶ τοῖς ἀδελφοῖς αὐτοῦ· καὶ εἶπεν, ἰδοὺ
Δ ἐνυπνιάσθην ἐνύπνιον ἕτερον· ὥσπερ ὁ ἥλιος, καὶ ἡ σελήνη, καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με.

ΓΕΝΝΑΔΙΟΥ. Οὐδὲν παράδοξον, εἰ τῆς μητρὸς αὐτοῦ τελευτησάσης, σὺν τῷ ἡλίῳ καὶ τοῖς ἄστροις τοῖς ἕνδεκα καὶ τὴν σελήνην ἔδοξεν αὐτὸν προσκυνοῦσαν ὁρᾶν. μάλιστα μὲν γὰρ οὐ διαπαντὸς ἐξισάζει πρὸς ἀκρίβειαν τοῖς πράγμασι τὰ ἐνύπνια·
Ε πολλὰς δὲ καὶ λίαν ἐκτόπους, ὡς ἐπὶ τὸ πλεῖστον, παρέχεται τὰς ἐξαλλαγάς. ὅμως ἐπὶ τοῦ παρόντος οὐ πάνυ τὸ γεγονὸς ὑπάρχει παράλογον, τῶν τε τὰς ἄλλας μητέρας τῶν ἀδελφῶν αὐτοῦ περιεῖναι, καὶ τῷ τὴν Ῥαχὴλ αὐτὴν, κἂν εἰ ἐνεργείᾳ μὴ προσεκύνησεν αὐτὸν διὰ τὸ προτελευτῆσαι, ἀλλὰ δυνάμει γε οὐδὲν ἧττον ἐν τῷ Ἰακὼβ τοῦτο πεποίηκεν.

Ζ ΩΡΙΓΕΝΟΥΣ. Σαφῶς ἡ μήτηρ τοῦ Ἰωσὴφ πρὸ τῶν ἐνυπνίων ἐτελεύτησε. μήποτε οὖν δυνάμεθα τὴν Μαριὰμ καὶ τὸν Ἰωσὴφ εἰπεῖν προφητεύεσθαι προσκυνήσειν τῷ Χριστῷ;

θ. Καὶ ἐπετίμησεν αὐτῷ ὁ πατὴρ αὐτοῦ, καὶ εἶπεν αὐτῷ, τί τὸ ἐνύπνιον τοῦτο, ὃ ἐνυπνιάσθης; ἆράγε ἐλθόντες ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου
Η καὶ οἱ ἀδελφοί σου προσκυνῆ-
ι. σαί σε ἐπὶ τὴν γῆν; Ἐζήλωσαν δὲ
αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· ὁ δὲ πατὴρ αὐτοῦ διετήρησε τὸ ῥῆμα.

ΚΥΡΙΛΛΟΥ. Ἀνακόπτει μὲν γὰρ εὐφυῶς τῶν ἀκροωμένων τὸν φθόνον, καὶ ἀφορήτῳ θράσει καταχεόμενον τοῦ νεανίσκου (2) τιθασσεύει τρόπον τινὰ, καὶ καλεῖ πρὸς τὸ ἥμερον. οὐκ ἐᾷ [δὲ] τὸ μειράκιον τῇ τῶν ὁραμάτων ἐλπίδι καταλαζονεύεσθαι τῶν ἀδελφῶν, ἀλλ' οὐδὲ τῆς εἰς πατέρα τιμῆς ὀλιγωρεῖν, [μονονουχὶ καὶ πρόωρον τῆς ἐσομένης λαμπρότητος τὴν ὑπεροχὴν ἁρπάζειν ἐν ἑαυτῷ. ὅρα γὰρ ὅπως περιΐστησιν εὐφυῶς εἰς ἔκβασιν οὐκ ἐνδεχομένην τῶν ὁραμάτων τὴν δύναμιν. τεθνεώσης γὰρ ἤδη τῆς Ῥαχὴλ, ἣ τὸν Ἰωσὴφ ἐκτέτοκε· μὴ ἐγώ φησι, καὶ ἡ μήτηρ σου προσκυνήσομέν σοι; ἔδρα δὲ τοῦτο καθάπερ ἔφην ἀρτίως, καὶ τῆς τοῦ νεανίσκου φρενὸς κατασύρων τὸν ὄγκον, καὶ τῶν ἀδελφῶν τὸν ἐγηγερμένον ἐπ' αὐτὸν κατευνάζων φθόνον.] ἔσεσθαί γε μὴν τὸ χρῆμα προσεδόκα αὐτός. ἀκήκοε γὰρ οὐ παρέργως· ἀλλ' οὐδὲ λήθης ἀξίους ποιεῖται τοὺς λόγους. τετήρηκε γὰρ αὐτοὺς, ὅτι καὶ εἰς πέρας ἐκβήσονται τάχα που τεθαῤῥηκώς.

ια. Ἐπορεύθησαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ βόσκειν τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν εἰς Συχέμ.

ιβ. Καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσὴφ, οὐχὶ οἱ ἀδελφοί σου, ποιμαίνουσιν εἰς Συχέμ; δεῦρο ἀποστελῶ σε πρὸς αὐτούς· εἶπε δὲ αὐτῷ, ἰδοὺ ἐγώ.

ΑΔΗΛΟΥ. Πρόφασις ἦν τοῦ μέλλοντος ἔρχεσθαι εἰς Αἴγυπτον, καὶ σιτοδοτεῖν τῷ λαῷ.

ιγ. Εἶπε δὲ αὐτῷ Ἰσραὴλ, πορευθεὶς ἴδε, εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου, καὶ τὰ πρόβατα· καὶ ἀνάγγειλόν μοι. καὶ ἀπέστειλεν αὐτὸν ἐκ τῆς κοιλάδος τῆς Χεβρών· καὶ ἦλθεν εἰς Συχέμ.

ΚΥΡΙΛΛΟΥ. Ἀπεστάλη δὲ παρὰ τοῦ Θεοῦ καὶ πατρὸς καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐπισκεψόμενος τοὺς ἐξ Ἰσραὴλ, εἰ διατελοῦσιν ἐν εὐρωστίαις, δῆλον δὲ ὅτι ταῖς νοηταῖς, καὶ εἰ μεμένηκεν ἐν καλῷ τὰ ὑπ' αὐτοὺς θρέμματα, τῆς τῶν ποιμαίνων ἐπιεικείας οὐκ ἀμοιρήσαντα.

ιδ. Καὶ εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ· ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος, λέγων, τί ζητεῖς;

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Εὗρε, φησὶν, ἄνθρωπος αὐτὸν πλανώμενον ἐν τῷ πεδίῳ,

(1) Ἐν τοῖς ἐκδεδομέν. τοῦτο οὐχ εὕρηται, ἀλλ' οὐδ' ἔοικε τῶν τοῦ Κυρίλ.
(2) Καὶ θράσει ἀφορήτῳ τὸν νεανίσκον καταχεόμενον. ἐν τόμ. 1. μερ. 1. σελ. 18[illegible].

πεδίῳ, δηλῶν ὅτι οὐχ ὁ πόνος καθ' αὐτὸν, ἀλλ' ὁ μετὰ τέχνης ἀγαθόν. Καὶ μεθ' ἕτερα. Τοῦ δ' εὑρόντος ἐν τῷ πεδίῳ πλανώμενον αὐτὸν ἀνθρώπου τὸ κύριον ὄνομα οὐ φασί τινες δεδηλῶσθαι. Καὶ μετ' ὀλίγα. Τοῦ πρὸς ἀλήθειαν ἀνθρώπου τὸ ἰδιαίτατον καὶ εὐθυβολώτατον ὄνομά ἐστιν αὐτὸ, ἄνθρωπος, ἠρθρωμένη καὶ λογικῆς διανοίας οἰκειοτάτη πρόσρησις. οὗτος ὁ ἄνθρωπος ἐν ἑκάστου τῇ ψυχῇ κατοικῶν, τοτὲ μὲν ἄρχων καὶ βασιλεὺς εὑρίσκεται, τοτὲ δὲ δικαστὴς καὶ βραβευτὴς τῶν κατὰ τὸν βίον ἀγώνων, ἔστι δ' ὅτε μάρτυρος καὶ κατηγόρου λαβὼν τάξιν, ἀφανῶς ἡμᾶς ἔνδοθεν ἐλέγχει, μηδὲ διᾶραι τὸ στόμα ἐῶν· ἀναλαμβανόμενος δὲ καὶ ἐπιστομίζων ταῖς τοῦ συνειδότος ἡνίαις τὸν αὐθάδη καὶ μετὰ ἀφηνιασμοῦ δρόμον γλώττης ἐπίσχεν. οὗτος ὁ ἔλεγχος ἐπύθετο τῆς ψυχῆς, ἡνίκα τὴν πλάνην εἶδεν αὐτῆς. τί ζητεῖς; ἆρά γε φρόνησιν; τί οὖν ἐπὶ πανουργίας βαίνεις; ἀλλὰ σωφροσύνην; ἀλλ' ἐπὶ φειδωλίαν ἡ τρίβος ἄγει. ἀλλὰ ἀνδρίαν; θρασύτης προσέρχεται ταύτῃ. ἀλλ' εὐσέβειαν μετέρχῃ; δεισιδαιμονίας ἡ ὁδός.

ιε. Ὁ δὲ εἶπε, τοὺς ἀδελφούς μου ζητῶ· ἀπάγγειλόν μοι ποῦ βόσκουσιν.

ιϛ. Εἶπε δὲ αὐτῷ ὁ ἄνθρωπος, ἀπήρκασιν ἐντεῦθεν· ἤκουσα γὰρ αὐτῶν λεγόντων, πορευθῶμεν εἰς Δωθαείμ. καὶ ἐπορεύθη Ἰωσὴφ ὄπισθεν τῶν ἀδελφῶν αὐτοῦ, καὶ εὗρεν αὐτοὺς εἰς Δωθαείμ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οἱ βόσκοντες, τροφὰς τὰ αἰσθητὰ πάντα παρέχουσι τῷ τῶν αἰσθήσεων ἀλόγῳ καὶ ἀπλήστῳ θρέμματι, δι' ἃς ἀκράτορες ἑαυτῶν γενόμενοι καὶ κακοδαιμονοῦμεν· οἱ δὲ ποιμαίνοντες, ἀρχόντων καὶ ἡγεμόνων ἔχοντες δύναμιν, τὰ ἐξηγριωμένα ἡμεροῦσι, σέλλοντες τὸ τῶν ἐπιθυμιῶν μέγεθος. εἴπερ οὖν ἐζήτει τοὺς ἀρετῆς πρὸς ἀλήθειαν ἀσκητὰς, ἐσκέπτετ' ἂν αὐτοὺς ἐν βασιλεῦσιν, οὐκ ἐν οἰνοχόοις, ἢ σιτοποιοῖς, ἢ μαγείροις. οἱ μὲν γὰρ, τὰς ἡδονὰς εὐτρεπίζουσιν· ἐκεῖνοι δὲ, ἡδονῶν ἄρχουσι. διὸ καὶ ἀποκρίνεται ὀρ-
» θῶς ὁ τὴν ἀπάτην ἰδὼν ἄνθρωπος, ἀπήρ-
» κασιν ἐντεῦθεν. δείκνυσι δὲ τὸν σωματικὸν ὄγκον, δηλῶν ὅτι πάντες, οἷς ὑπὲρ κλήσεως ἀρετῆς πόνος διαθλεῖται, τὸν περίγειον καταλελοιπότες χῶρον, μετεωρολογεῖν ἐγνώκασιν, οὐδεμίαν τῶν σωματικῶν ἐφελκόμενοι χηρῶν. καὶ γὰρ λεγόντων
» ἀκηκοέναι, φησὶν αὐτὸν, εἰς Δωθαείμ
» πορευθῶμεν· ἑρμηνεύεται δὲ ἔκλειψις ἱκανή· παριστάντων, ὅτι οὐ μέσως, ἀλλ' ἄκρως ἀπόλειψιν καὶ ἔκλειψιν τῶν ἃ μὴ πρὸς ἀρετὴν συνεργεῖ μεμελετήκασι.

ΚΥΡΙΛΛΟΥ. Ἀλλὰ εὕρηνται μὲν οὐκ ἔν γε Συχὲμ, ἀλλ' ἐν Δωθαείμ. καὶ τί δὴ τοῦτό ἐστι; διερμηνεύεται μὲν γὰρ Συχὲμ, ὦμος· σημεῖον ἂν γένοιτο φιλεργίας τὸ

A μέλος. κατείθισαι γάρ πως ἡ θεόπνευστος Γραφὴ ποτὲ μὲν εἰς ἰσχὺν, ποτὲ δὲ εἰς ἔργου τύπον ποιεῖσθαι τὸν ὦμον. οἷον ἐκεῖ-
„ νό φαμεν, τὸ, δὸς καρδίαν σου εἰς τοὺς ὤ- Ἱερ. 31. 21.
„ μους σου, τουτέστιν εἰς φιλεργίαν. Δωθαεὶμ δὲ πάλιν, ἔκλειψις ἱκανή. κατελείφθησαν τοίνυν οἱ ἐξ Ἰσραὴλ οὐκ ἐν φιλεργίαις ὄντες ταῖς εἰς ἀρετὴν, οὔτε μὴν εὐδοκιμήσεσι ταῖς κατὰ νόμον, ἀλλ' ἐκλείψει πολλῇ, δικαιοσύνης δηλονότι, καὶ ἁπάσης
B ἐπιεικείας, οὐ γὰρ ἦν δίκαιος, οὐδὲ εἷς, οὐκ
„ ἦν ὁ ποιῶν χρηστότητα, καὶ τὰ ἑξῆς. Ψαλ. 13. 3.

ιζ. Προεῖδον δὲ αὐτὸν μακρόθεν πρὸ τοῦ ἐγγίσαι πρὸς αὐτοὺς· καὶ ἐπονηρεύσαντο τοῦ ἀποκτεῖναι αὐτόν.

** ΠΡΟΚΟΠΙΟΥ. Βουλεύονται μὲν οὖν κατὰ τοῦ ἁγίου θάνατον. ὁ δὲ Θεὸς ἔργον ἔχει οὐ μόνον τὰ παρ' ἑαυτοῦ διδόναι ἀγαθὰ, ἀλλὰ καὶ τὴν ἡμετέραν κακίαν εἰς
Γ ἀγαθὴν χρῆσιν μετενεγκεῖν, καὶ τὴν κακίαν εἰς οἰκονομίαν μεταχειρίζεται. ἥτις δὴ κακία ἐπῄνει καὶ μὴ βουλομένη τὸν Ἰωσήφ. ἅπας γὰρ πωλῶν ἐπαινεῖ τὸν πωλούμενον διὰ πλείω τιμήν.

ιη. Εἶπε δὲ ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· ἰδοὺ ὁ ἐνυπνιαστὴς ἐκεῖνος
ιθ. ἔρχεται. Νῦν οὖν δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ ῥίψωμεν αὐτὸν εἰς
Δ ἕνα τῶν λάκκων· καὶ ἐροῦμεν, θηρίον πονηρὸν κατέφαγεν αὐτόν· καὶ ὀψόμεθα, τί ἔσται τὰ ἐνύπνια αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες, ὅτι τῶν ἐνυπνίων τὴν ἔκβασιν προσδοκῶντες, ἀνελεῖν αὐτὸν ἐπεχείρουν;

κ. Ἀκούσας δὲ Ῥουβὶμ, ἐξείλετο αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν καὶ εἶπεν,
E οὐ πατάξωμεν αὐτὸν εἰς ψυχήν.

ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Ῥουβὶμ καὶ Ἰούδας ἄριστα συνεβουλεύσαντο. πρὸς γὰρ ἄνδρας εἶχον ἀνημέρους. οἱ γὰρ ἀμφὶ τὸν Συμεῶνα καὶ Λευῒ οὐ μετρίως ἀπογευσάμενοι τῆς ἀνδροφονίας, ἐν σιωπηθείᾳ μὲν ἤδη ποτὲ τοῦ πράγματος ἐγεγόνεισαν, ἕρπειν δὲ περὶ τὰς τοιαύτας ὠρέγοντο κνίσας ἰχνευτικῶς.

Ζ ** ΠΡΟΚΟΠΙΟΥ. Ῥουβὶμ δὲ σώζειν ὁρμήσας, ᾤετο διὰ τοῦτο διαλλάττεσθαι τῷ πατρὶ διὰ τὴν εἰς Βάλλαν παρανομίαν, τὴν παλλακίδα τοῦ πατρὸς αὐτοῦ.

κα. Εἶπε δὲ αὐτοῖς Ῥουβὶμ, μὴ ἐκχέετε αἷμα· ἐμβάλλετε αὐτὸν εἰς τὸν λάκκον τοῦτον τὸν ἐν τῇ ἐρήμῳ, χεῖρα δὲ μὴ ἐπενέγκητε αὐτῷ. ὅπως
H ἐξέλητε αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἀποδῷ αὐτὸν τῷ πατρὶ αὐτοῦ.
κβ. Ἐγένετο δὲ ἡνίκα ἦλθεν Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, ἐξέδυσαν τὸν Ἰωσὴφ

Ἰωσὴφ τὸν χιτῶνα τὸν ποικίλον τὸν περὶ αὐτόν.

κγ. Ἔῤῥιψαν αὐτὸν εἰς τὸν λάκκον· ὁ δὲ λάκκος κενὸς, ὕδωρ οὐκ εἶχεν.

ΑΔΗΛΟΥ. Οὐ σφάζεται Ἰωσὴφ, ἀλλὰ ζῶν εἰς τὸν λάκκον κατέρχεται. εἰκὼν γὰρ ἦν τοῦ ἐν τῇ ζωῇ τὸν ᾅδην σκυλεύσαντος. κενὸς δὲ καὶ ὁ λάκκος, ὥσπερ καὶ ὁ τάφος τοῦ σωτῆρος.

ΣΕΥΗΡΙΑΝΟΥ. Ζῶν εἰς τὸν λάκκον κατέρχεται, ἐπειδὴ εἰκὼν ἦν τοῦ ζῶντος. κατέβη Ἰωσὴφ εἰς λάκκον κενόν. ἦν δὲ καὶ τὸ μνῆμα τοῦ Σωτῆρος κενὸν, νεκρὸν μὴ ἔχον.

ΚΥΡΙΛΛΟΥ. [Ἀλλ' ἐπέγνωσαν μὲν παρόντα μετὰ σαρκὸς τὸν ἠγαπημένον, τὸν νοητὸν Ἰωσήφ. ἔφη γὰρ ὁ μακάριος εὐ-
Ἰωάν. 12. 42. αγγελιστὴς Ἰωάννης, ὅπως μέντοι καὶ ἐκ
» τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν,
» ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν.] ἐπιγνόντες τοίνυν Ἰουδαῖοι πεπαρῳνήκασιν εἰς Χριστόν. ἀπεκτόνασι γὰρ, καὶ ὥσπερ εἰς λάκκον τοῦτον καθῆκαν οἱ δείλαιοι, τὸ βαθὺ καὶ σκοτεινὸν τοῦ θανάτου βάραθρον, τουτέστι τὸν ᾅδην. καθίεσαν εἰς λάκκον οὐ τεθνεῶτα τὸν Ἰωσὴφ, πλὴν ὡς τεθνηξόμενον, καὶ οὐκ εἰς μακράν.

ΤΟΥ ΑΥΤΟΥ. Ἄθρει δὴ λοιπὸν τῶν ἱερῶν γραμμάτων τὴν νῆψιν, καὶ τὸ πο-
» λὺ ἀπεξεσμένον εἰς τὸ ἀκριβές. ὁ λάκ-
» κος, φησὶ, κενὸς, ὕδωρ οὐκ εἶχεν. ἵνα σαφῶς καὶ ἐναργῶς ὁ ᾅδης ἡμῖν διὰ τούτου κατασημαίνηται. καὶ τίνι τρόπῳ; ὕδωρ μὲν γὰρ σύμβολον ἂν εἴη ζωῆς, ὡς ζωοποιόν. ὕδωρ δὲ οὐκ εἶναί φησιν ἐν τῷ λάκκῳ. τῶν γὰρ ζωῆς ἐστερημένων νοοῖτ' ἂν εἰκότως ὁ ᾅδης οἶκός τε καὶ ἐνδιαίτημα.

κδ. Ἐκάθισαν δὲ φαγεῖν ἄρτον. καὶ ἀναβλέψαντες τοῖς ὀφθαλμοῖς, εἶδον· καὶ ἰδοὺ ὁδοιπόροι Ἰσμαηλῖται ἤρχοντο ἐκ Γαλαάδ· καὶ αἱ κάμηλοι αὐτῶν ἔγεμον θυμιαμάτων καὶ ῥητίνης καὶ στακτῆς· ἐπορεύοντο δὲ καταγαγεῖν εἰς Αἴγυπτον.

** ΕΦΡΑΙΜ. Ὡς δὲ ὠμοὶ ἐνέβαλον τὸν Ἰωσὴφ ἐν τῷ λάκκῳ, ἐκάθισαν τοῦ φαγεῖν καὶ πιεῖν μετὰ χαρᾶς. ὥσπερ ἄντις νικήσας πόλεμον πεπέρωσηται, οὕτω καὶ οὗτοι μετὰ χαρᾶς τῆς καρδίας ἀνέκειντο.

** ΤΟΥ ΑΥΤΟΥ. Οἱ ἀδελφοὶ τοῦ Ἰωσὴφ ἐσθιόμενοι ἅμα δὴ ἐπώλησαν αὐτὸν, σφάξαντες τῇ προθέσει· οὕτω τὸν αὐτὸν
A τρόπον καὶ Ἰουδαῖοι βδελυκτοὶ τὸ πάσχα ἐσθίοντες, ἔσφαξαν τὸν Σωτῆρα.

κε. Εἶπε δὲ Ἰούδας πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, τί χρήσιμον, ἐὰν ἀποκτείνωμεν τὸν ἀδελφὸν ἡμῶν, καὶ κρύψωμεν τὸ αἷμα αὐτοῦ;

Τί χρήσιμον. Ἀκύλας, τί πλεονέκτημα. Ἄλλος, τί κέρδος.

B **κς. Δεῦτε ἀποδώμεθα αὐτὸν τοῖς Ἰσμαηλίταις τούτοις· αἱ δὲ χεῖρες ἡμῶν μὴ ἔστωσαν ἐπ' αὐτὸν, ὅτι ἀδελφὸς ἡμῶν, καὶ σὰρξ ἡμῶν ἐστίν· ἤκουσαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ.**

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ ἤκουσαν, ἐπείσθησαν.

ΣΕΥΗΡΙΑΝΟΥ. Ἔδει γὰρ τότε τὴν
Γ πρᾶσιν τοῦ Ἰωσὴφ γενέσθαι διὰ τοῦ Ἰούδα, ἐπειδὴ καὶ ἡ πρᾶσις τοῦ Σωτῆρος διὰ Ἰούδα τοῦ προδότου ἐγένετο. ἡ δὲ ἐπιβουλὴ τῶν ἐπιβουλευσάντων ὁδὸς προκοπῆς ἐγένετο τῷ φθονουμένῳ.

κζ. Καὶ παρεπορεύοντο οἱ ἄνθρωποι οἱ Μαδιναῖοι οἱ ἔμποροι, καὶ ἐξείλκυσαν καὶ ἀνεβίβασεν τὸν Ἰωσὴφ ἐκ τοῦ λάκκου· καὶ ἀπέδοντο
Δ **τὸν Ἰωσὴφ τοῖς Ἰσμαηλίταις εἴκοσι χρυσῶν. καὶ κατήγαγον τὸν Ἰωσὴφ εἰς Αἴγυπτον.**

** ΙΩΣΗΠΟΥ. Τοῖς ἐμπόροις ἀποδίδονται τὸν Ἰώσηπον ἀνελκύσαντες ἐκ τοῦ λάκκου, μνῶν (1) εἴκοσι, ἑπτακαίδεκα ἐτῶν γεγονότα.

ΚΥΡΙΛΛΟΥ. Ἀνεβιβάσθη τὸ παιδά-
E ριον. ἀνεβίω δὲ καὶ ὁ Χριστὸς ἐκ νεκρῶν. οὐ γὰρ γέγονε τῷ λάκκῳ κάτοχος, οὐ μεμένηκεν εἰς ᾅδου, κεκένωκε δὲ μᾶλλον αὐτόν. ἔφη γὰρ τοῖς ἐν δεσμοῖς, ἐξέλθετε. ἐπειδὴ δὲ ἀνεβιβάσθη, καὶ οὐκ εἰς μακρὰν ὁ θεσπέσιος Ἰωσὴφ ἀπῆρεν εἰς τὴν Αἴγυπτον, ἐκπριαμένων αὐτὸν τῶν Ἰσμαηλιτῶν· ἦσαν δὲ ἀρωμάτων ἔμποροι. ἀνεβίω μὲν γὰρ καὶ ὁ Χριστὸς, καὶ ἀναβέβηκεν ἐκ τοῦ λάκκου· μεταπεφοίτηκε δὲ, τὴν Ἰου-
Z δαίαν ἀφεὶς [εἰς τὴν τῶν ἐθνῶν χώραν, περιφερόντων αὐτὸν τῶν] νοητῶν Ἰσμαηλιτῶν, [τουτέστι τῶν] ἐν ὑπακοῇ Θεοῦ. ἑρμηνεύεται γὰρ οὕτως ἡ λέξις. τίνες δ' ἂν εἶεν οἱ τοιοίδε; πάλιν οἱ μακάριοι μαθηταὶ, τὸ ὡς ὑποθέντες τοῖς διὰ Χριστοῦ παιδεύμασι, καὶ ἀπαρχὴ γεγονότες τῶν εὐδοκιμούντων ἐν ὑπακοῇ καὶ πίστει, καὶ τοῖς ὑπὲρ νόμον αὐχήμασιν. οἱ γὰρ τοιοίδε νοοῖντ'

(1) Μνᾶς, ἥτις τῇ ἑβραϊδι μνήμη καλεῖται. ἡ δὲ Ἰταλικὴ μνᾶς τεσσαράκοντα στατήρων ἐστίν. ὅπερ οὐγγίων κʹ, λίτρας μιᾶς καὶ διμοίρου. Ἐπιφάν. ἐν τῷ περὶ μέτρ. καὶ σταθμ. βιβλ. Ἴστεον δὲ, ὅτι τὸ, μνήμη, μανὴ φησὶν ὁ Πετάβ. (ἐν τοῖς τοῦ Ἐπιφαν. σχολ.) δεῖν ἀναγινώσκεσθαι. περὶ δὲ τῆς μνᾶς ὁ τοῦ Νικάνδρου σχολιαστὴς, (αὐτ.) τάδε φησὶν, ἡ δὲ Ἰταλικὴ μνᾶ, λίτραν μίαν ἥμισυ, ἰσοδύναμος δὲ καὶ ἰσοστάσιος τῇ ἰταλικῇ μνᾷ ἡ ἀττικὴ, καθ' Ἥρωνα.

νοοῖντ' ἂν εἰκότως καὶ ἀρωμάτων ἔμποροι,
τὸ Χριστοῦ μυστήριον εὐωδιάζοντες, καὶ ἁπά-
σης ἀρετῆς ἰδέαν ἐν ἰδίαις ψυχαῖς ἀνα-
ματτόμενοι γενικῶς. οὗτοι τὸν Ἰωσὴφ ἐξε-
πρίοντο τρόπον τινὰ, πάντα μὲν ἀφέντες
τὰ ἐν νόμῳ λαμπρὰ, τὸν ἕνα δὲ καὶ πο-
λυτίμητον ἐμπορευσάμενοι μαργαρίτην,
κατὰ τὴν αὐτοῦ τοῦ Σωτῆρος παραβολήν.
οὗτοι τοῖς ἔθνεσι διεκομίσαντο τὸν Χριστὸν,
ἱερουργοῦντες τὸ εὐαγγέλιον.

ΤΟΥ ΑΥΤΟΥ. [Καθεὶς ἑαυτὸν εἰς
κένωσιν ὁ μονογενὴς, καὶ ἐν τοῖς καθ' ἡ-
μᾶς γεγονώς· κεχρηματικὼς καὶ ἀδελ-
φὸς τοῖς ἐπὶ τῆς γῆς, καὶ πρόγε τῶν ἄλ-
λων τοῖς ἐξ Ἰσραὴλ, θάνατον ὑπέμεινε,
καὶ ἀνέτλη σταυρὸν, καταβέβηκέ τε εἰς
ᾅδου, οὗ καὶ εἰς τύπον ὁ λάκκος· πλὴν ἀ-
νεβίω πάλιν, καὶ τῶν ἐξ αἵματος Ἰσραὴλ]
ἀπενοσφίζετο. δέδοται [δὲ] ὥσπερ [τοῖς]
τῶν νοητῶν ἀρωμάτων ἐμπόροις, τουτέστι
τοῖς ἁγίοις Ἀποστόλοις, οἳ τὸ αὐτοῦ μυστή-
ριον εὐωδιάζοντες, εἰς τὴν τῶν ἐθνῶν κα-
θήκοντο χώραν, διὰ τῶν εὐαγγελικῶν κη-
ρυγμάτων τοῖς οὐκ εἰδόσιν αὐτὸν ἀποφέ-
ροντες τὴν τοῦ δούλου μορφὴν περικείμενον.
κηρύσσεται γὰρ ὁ δι' ἡμᾶς ἐν σαρκὶ γεγο-
νὼς λόγος καὶ ἐν τῇ τοῦ δούλου μορφῇ. τοῦ-
το οἶμαί ἐστι τὸ ἀπενεχθῆναι διὰ τῶν Ἰσ-
μαηλιτῶν τὸν Ἰωσὴφ εἰς Αἴγυπτον.

κη. Ἀνέστρεψε δὲ Ῥουβὶμ ἐπὶ τὸν
λάκκον, καὶ οὐχ ὁρᾷ τὸν Ἰωσὴφ ἐν
τῷ λάκκῳ· καὶ διέῤῥηξε τὰ ἱμάτια
αὐτοῦ. —

** ΚΥΡΙΛΛΟΥ. Κεκώλυκε Ῥουβεὶμ
φονῶντας τοὺς ἀδελφούς. δεδυσφόρηκε δὲ
καὶ Ἰούδας. καὶ ἦν μὲν Ῥουβεὶμ πρωτότο-
κος· Ἰούδας γε μὴν ἐκ τῆς εἰς βασιλείαν
κεκλημένης φυλῆς. οὐκοῦν ὅσοι τὴν τοῦ
πρωτοτόκου συμμορφίαν πεπλουτήκασιν, εἴ-
περ ἦσαν ἐξ Ἰουδαίων, καὶ ὅσοι κέκληνται
πρὸς τὴν τῶν οὐρανῶν βασιλείαν, τὸ διὰ
Χριστοῦ προσηκάμενοι κήρυγμα, δεδυσφο-
ρήκασιν οὐ μικρῶς ἐπὶ τοῖς κατ' αὐτοῦ τολ-
μήμασιν. ἦσαν γὰρ ἦσαν οὐκ εὐαρίθμητοι
κατ' ἐκεῖνο καιροῦ, κατάτε τὴν Ἱερουσαλὴμ
καὶ τὴν ἑτέραν τῶν Ἰουδαίων χώραν οἱ λε-
λυπημένοι καὶ συναλγήσαντες Χριστῷ ἠτι-
μασμένῳ.

κθ. Καὶ ἀνέστρεψε πρὸς τοὺς ἀ-
δελφοὺς· καὶ εἶπε, τὸ παιδάριον οὐκ
ἔστιν ἐν τῷ λάκκῳ· ἐγὼ δὲ ποῦ πο-
λ. ρεύσομαι ἔτι; Λαβόντες δὲ τὸν χι-
τῶνα τοῦ Ἰωσὴφ, ἔσφαξαν ἔριφον
αἰγῶν, καὶ ἐμόλυναν τὸν χιτῶνα τῷ
λα. αἵματι. Καὶ ἀπέστειλαν τὸν χιτῶνα
τὸν ποικίλον, καὶ εἰσήνεγκαν τῷ πα-
τρὶ αὐτῶν· καὶ εἶπαν, τοῦτον εὕρο-

(1) Τὰ ἑξῆς ἐκ τοῦ τῆς Αὐγ. κώδ. ἐλήφθη.
(3) Ἔξη δέ. ὁ αὐτ.

A μεν, ἐπίγνωθι εἰ χιτὼν τοῦ υἱοῦ σου
ἐστὶν, ἢ οὔ.

λβ. Καὶ ἐπέγνω αὐτὸν, καὶ εἶπε,
χιτὼν τοῦ υἱοῦ μου ἐστί· θηρίον πονηρὸν
κατέφαγεν αὐτόν· θηρίον ἥρπασε τὸν
Ἰωσήφ.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐκ ἀποκαλύπτει
δὲ ὁ Θεὸς τῷ Ἰακὼβ, ὅτι ζῇ ὁ Ἰωσὴφ, καὶ
B ὅτι εἰς Αἴγυπτον κατήχθη· ἵνα μήπως
οὗτος λυτρούμενος τὸν υἱὸν, ἐμποδίσῃ τῇ
ὕστερον οἰκονομίᾳ τοῦ Θεοῦ, (1) κατάτε Αἴ-
γυπτον αὐτὴν καὶ ἐν τῇ Ἐξόδῳ γεγενημέ-
νην. ἀμέλει ὅτε λοιπὸν ἐγνώσθη τῷ Ἰα-
κὼβ ὕστερον, ὅτι ζῇ Ἰωσὴφ, τότε αὐτῷ
ἐπιφαίνεται ὁ Θεὸς θαῤῥεῖν παρακελευό-
„ μενος, ὅτι Ἰωσὴφ ὁ υἱὸς ἐπιβαλεῖ τὰς Γεν. 46. 4.
„ χεῖρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμούς σου. ὥσπερ
δὲ Ἰωσὴφ εἰ ἔμενε παρὰ τῷ πατρὶ, ἡ Αἴ-
Γ γυπτος τὸν τοῦ λιμοῦ θεραπευτὴν οὐκ ἐδέ-
χετο· οὕτως ὁ μονογενὴς, εἰ ἔμενε παρὰ
τῷ πατρὶ ἐν τῇ ἁγίᾳ δόξῃ κρυπτόμενος,
τὴν οἰκουμένην οὐκ ἔσωζε.

λγ. Διέῤῥηξε δὲ Ἰακὼβ τὰ ἱμά-
τια αὐτοῦ, καὶ ἐπέθετο σάκκον ἐπὶ
τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐπένθει τὸν
υἱὸν αὐτοῦ ἡμέρας πολλάς.

Δ ΑΔΗΛΟΥ. Κατὰ τὸν αὐτὸν καιρὸν
ἐτελεύτησε καὶ Βάλλα πενθοῦσα τὸν Ἰω-
σὴφ, ἡ καὶ ἐθήλασεν αὐτὸν, καίγε ἡ Δεῖ-
να θυγάτηρ Ἰακώβ. τρία πένθη. διὰ
τοῦτο κακοῦσιν ἑαυτοὺς οἱ Ἰσραηλῖται τῇ δε
κάτῃ τοῦ ἑβδόμου μηνὸς, ἄποδον ἐσθίοντες.

* ΠΡΟΚΟΠΙΟΥ. Κἀκεῖνο πάλιν σκο-
πήσωμεν, ὅτι ὥσπερ ὁ Ἰωσὴφ ἐν τῇ οἰ-
κίᾳ (2) τοῦ πατρὸς ἐπενθεῖτο ὡς νεκρὸς,
ἦξε δὲ (3) ἐν Αἰγύπτῳ, καὶ ἐβασίλευεν·
E οὕτω Χριστὸς, παρὰ μὲν Ἰουδαίοις νεκρὸς
εἶναι νενόμισται, ἐν δὲ τοῖς ἔθνεσι πιστεύε-
ται ζῶν καὶ διαμένων καὶ βασιλεύων εἰς
τοὺς αἰῶνας.

λδ. Συνήχθησαν δὲ πάντες οἱ υἱοὶ
αὐτοῦ καὶ αἱ θυγατέρες, καὶ ἦλθον
παρακαλέσαι αὐτόν· καὶ οὐκ ἤθελε
παρακληθῆναι, λέγων, ὅτι καταβή-
Z σομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς
ᾅδου. καὶ ἔκλαυσεν αὐτὸν ὁ πατὴρ
αὐτοῦ.

„ ** ΠΡΟΚΟΠΙΟΥ. Υἱοὶ αὐτοῦ καὶ αἱ
„ θυγατέρες. ὡς εἶναι δῆλον, ὅτι καὶ θυ-
γατέρας εἶχεν ἄλλας· ἢ μᾶλλον τὰς ἐκ-
γόνους οὕτω καλεῖ.

* ΚΥΡΙΛΛΟΥ. Πάρεστι κἀντεῦθεν ἰδεῖν,
ὅτι λελύπηκεν οὐ μετρίως τὸν ἐν τοῖς οὐρα-
H νοῖς πατέρα καὶ Θεὸν ἡ εἰς Χριστὸν παροι-
νία καὶ μιαιφονία. προσκεκρούκασι δὲ οὕτω
δεινῶς,

(2) Ἐν μὲν τῷ οἴκῳ. ὁ τῆς Αὐγ. κώδ.

A δεινῶς, ὡς παραιτεῖσθαι παράκλησιν. μόνον δὲ ἐχὶ καὶ ἀνέχεσθαι μηδενὸς, εἴπερ ἕλοιτό τις τὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι λιτάς. ἐλιπάρεν μὲν γὰρ οἱ Προφῆται πολλάκις, καὶ σώσεσθαι παρεκάλεν τὸν Ἰσραὴλ, καίτοι δεδρακότα τὰ ἐπέκεινα λόγε παντὸς κατὰ τῶν Προφητῶν. κατενόησε δὲ τὴν ἡμερότητα πολλάκις Θεός. οἰκέται γὰρ ἦσαν οἱ κινδινεύσαντες. ἐπειδὴ δὲ εἰς αὐτὸν πεπαρωνήκασι τὸν υἱὸν, ἀπαράκλητος ὁ πατὴρ, δυσανάτρεπτος ὁ B θυμός. ὕβρισαι γὰρ ἐκ ἔτι Προφήτης, ἀλλὰ Προφητῶν δεσπότης, καὶ ὁ τῶν ὅλων Σωτὴρ, τετέσι Χριςός.

λε. Οἱ δὲ Μαδιναῖοι ἀπέδοντο τὸν Ἰωσὴφ εἰς Αἴγυπτον τῷ Πεντεφρῆ τῷ σπάδοντι Φαραὼ ἄρχοντι μαγείρων.

ΑΔΗΛΟΥ. Μαδιναῖοι Ἰσμαηλῖται καὶ ἄκοντες ἐπαινεσι τὸν παῖδα, (πᾶς γὰρ πωλῶν ἐγκωμιάζει) περὶ τὸ κέρμα βλέποντες.

✱ ΩΡΙΓΕΝΟΥΣ. Τοῖς μὲν παρὰ (1) Ἀκύλᾳ καὶ Συμμάχῳ Φετιφὰρ εἴρηται ἐν τέτῳ τῷ τόπῳ· ἐν δὲ ἑτέρῳ Φετιφαρέ. καὶ ἡ μὲν τε παρόντος ὀνόματος ἑρμηνεία παράκειται τῇ λέξει· ἡ δὲ ἔκδοσις (2) τε ἑτέρε, ἐν τοῖς ἑξῆς φανεῖται.

ΚΕΦ. ΛΗ.

α. Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ, κατέβη Ἰέδας ἀπὸ τῶν ἀδελφῶν αὐτε, καὶ ἀφίκετο ἕως πρὸς ἄνθρωπόν τινα Ὀδο-
β. λαμίτην, ᾧ ὄνομα Εἴρας. Καὶ εἶδεν Ἰέδας ἐκεῖ θυγατέρα ἀνθρώπε Χαναναίε, ᾗ ὄνομα Σαυ· καὶ ἔλαβεν αὐτὴν, καὶ εἰσῆλθε πρὸς αὐτήν.
γ. Καὶ συλλαβεσα ἔτεκεν υἱὸν, καὶ ἐκά-
δ. λεσε τὸ ὄνομα αὐτε Ἤρ. Καὶ συλλαβεσα ἔτι ἔτεκεν υἱὸν, καὶ ἐκάλε-
ε. σε τὸ ὄνομα αὐτε Αὐνάν. Καὶ προσθεῖσα ἔτι ἔτεκεν υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτε, Σηλώμ. αὕτη δὲ ἦν ἐν Χασβὶ, ἡνίκα ἔτεκεν αὐτές.

✱✱ ΚΥΡΙΛΛΟΥ. Καταβέβηκε τοίνυν Ἰέδας, καὶ ἀφίκετο πρὸς ἄνθρωπον, ᾧ ὄνομα Ἴρας. αἰπόλος δὲ ἔτος, καὶ τεχνίτης τὰ ποιμενικά. καὶ τὴν Σαβᾶν ἐκεῖσε θεασάμενος, ἐποιεῖτο μὲν συνοικέσιον, μητέρα δὲ καὶ τριῶν ἀπέδειξε τέκνων· Ἤρ δὴ λέγω, καὶ Αὐνᾶν, καὶ μέντοι καὶ Σηλώμ. καὶ ὁ μὲν Ἤρ δερμάτινος, τετέσι σάρκινος, ἑρμηνεύεται· πεπληγὼς δὲ καρδίαν Αὐνᾶν· ἐκπασμὸς δὲ ὁ τρίτος, ἤγεν ὑπόλυσις καὶ εἰρήνευσις. καταβέβηκε δὲ καὶ ἐξ ἐρανῶν καθάπερ ἔκτινος ἁγίας γῆς ὁ μονογενὴς τε Θεε λόγος, ὁ ἀληθῶς ὑμνέμενος, καὶ τῆς βασιλείας τὴν δόξαν φυσικῶς ἀνημμένος. τετὶ γὰρ ἡμῖν τὸ τε Ἰέδα πρόσωπον ὑπεμφαίνειεν ἄν. αἴνεσιν μὲν γὰρ ἡ τε ὀνόματος σημασία δηλοῖ. βασιλικωτάτη δὲ τῶν ἄλλων, καὶ ἐν ταῖς εἰς ἄκρον ὑπεροχαῖς ἡ Ἰέδα τέθειται φυλή. Καὶ μετ' ὀλίγα. Καταβέβηκε τοίνυν ὁ μονογενὴς τε Θεε λόγος, καὶ ἐπεφοίτησε μὲν τῇ ἐρήμῳ Μαδιὰμ διαποιμαίνοντι τότε τῷ μακαρίῳ Μωσεῖ· ὤφθη γὰρ αὐτῷ ἐν εἴδει πυρὸς ἐν τῇ βάτῳ· καὶ σωήφθη τρόπον τινὰ δι' αὐτε, καθάπερ ἀλλοφύλῳ Χαναναίᾳ γυναικὶ, τῇ κατ' Αἴ-

Γ γυπτον συναγωγῇ τῶν υἱῶν Ἰσραήλ· καθάπερ ἀμέλει καὶ Ἰέδας διὰ τε ποιμαίνοντος τῇ Σαβᾷ, ἣ διερμηνεύεται ὕψωσίς τε καὶ ἔπαρσις. κεκλημένη γὰρ ὥσπερ εἰς οἰκειότητα τὴν ὡς πρὸς Θεὸν ἡ τῶν Ἰεδαίων συναγωγὴ, χθαμαλὴ μὲν ἦν ἐκ ἔτι καὶ πεπατημένη, καὶ τὸ τῆς δελείας ἔχεσα σμικροπρεπὲς, ὑψηλὴ δὲ γέγονε καὶ διαφανής. λελύτρωται γὰρ ὡς ἐκ καμίνε σιδηρᾶς, καὶ ἐξ οἴκε δελείας, κατὰ τὸ γεγραμμένον. εἶτα τῆς ἐν Αἰγύπτῳ συ-
Δ ναγωγῆς τῆς ὡς ἀλλοφύλε καὶ εἰδωλολατρέσης ποτὲ τρεῖς γεγόνασι λαοὶ, τῶν υἱῶν τάξιν ἀποπληρεντες Θεῷ, καὶ μιᾶς μὲν ὥσπερ ἐκπεφυκότες μητρὸς, μερισάμενοι δὲ τὴν ἐν χρόνῳ γένεσιν.

ς. Καὶ ἔλαβεν Ἰέδας γυναῖκα Ἤρ τῷ πρωτοτόκῳ αὐτε, ᾗ ὄνομα
ζ. Θάμαρ. Ἐγένετο δὲ Ἤρ ὁ πρωτότοκος Ἰέδα πονηρὸς ἐναντίον Κυρίε·
E καὶ ἀπέκτεινεν αὐτὸν ὁ Θεός.

η. Εἶπε δὲ Ἰέδας πρὸς Αὐνὰν, εἴσελθε πρὸς τὴν γυναῖκα τε ἀδελφε σε, καὶ ἐπιγάμβρευσον αὐτὴν, καὶ ἀνάςησον σπέρμα τῷ ἀδελφῷ σε.

» ΔΙΟΔΩΡΟΥ. Εἶπε δὲ Ἰέδας τῷ Αὐ-
» νὰν, εἴσελθε πρὸς τὴν γυναῖκα τε ἀδελ-
Z » φε σε, καὶ ἐπιγαμβρεῦσαι αὐτὴν, καὶ
» ἀνάςησον σπέρμα τῷ ἀδελφῷ σε. Τετο καὶ διὰ Μωϋσέως ὁ Θεὸς ὕςερον προσάττει. μήποτε ἐν ἤδη ἐδεδώκει τὸν νόμον τετον; λέγει γὰρ καὶ τῷ Ἀβραὰμ διαλεγόμενος
» αὐτῷ· ᾔδειν γὰρ ὅτι συντάξει τοῖς τέκνοις Γεν. 18. 19.
» αὐτε Ἀβραὰμ, καὶ τῷ οἴκῳ αὐτε μετ' αὐ-
» τόν· καὶ φυλάξεσι τὰς ὁδὲς Κυρίε τε
» Θεε, δικαιοσύνην ποιεῖν καὶ κρίσιν. τὸ δὲ ἀνιςᾶν σπέρμα τῷ ἀδελφῷ, τοῖς πενθεσι
H παρέσχε παραμυθίαν, ὅτε ἔπω ἐδέδωτο τῆς ἐκ νεκρῶν ἀναςάσεως φανερὰ ἡ ἐπαγγελία.

θ. Γνες

(1) Περὶ Ἀκύλαν καὶ Σύμμαχον ὀρθότ. (2) Ἔκθεσις. ἐν Τόμ. 2. σελ. 43. τῆς τε Ῥεαίε ἐκδόσ.

θ. Γνοὺς δὲ Αὐνὰν, ὅτι οὐκ αὐτῷ A ἔσται τὸ σπέρμα, ἐγίνετο ὅταν εἰσήρχετο πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ἐξέχεεν ἐπὶ τὴν γῆν τοῦ μὴ δοῦναι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ

ΑΔΗΛΟΥ. Ἐπειδὴ νόμῳ ἐκείνου ἤμελλεν εἶναι τὰ γιγνόμενα, καὶ αὐτοῦ ὀνομάζεσθαι, εἰ καὶ οὗτος φύσει πατὴρ ἦν, διὰ τοῦ εἰπεῖν, ἐπιγαμβρεύσει.

ι. Πονηρὸν δὲ ἐφάνη ἐναντίον τοῦ B Θεοῦ, ὅτι ἐποίησε τοῦτο· καὶ ἐθανάτωσε καὶ τοῦτον.

ΩΡΙΓΕΝΟΥΣ. Πᾶς ὁ σπείρων εἰς τὴν σάρκα, καὶ τὰ ἔργα τῆς σαρκὸς ἐν τῇ γῇ θησαυρίζων, ὅμοιος τῷ Αὐνάν· διὸ καὶ θανατοῦται ὑπὸ τοῦ Θεοῦ.

ια. Εἶπε δὲ Ἰούδας Θάμαρ τῇ Γ νύμφῃ αὐτοῦ, κάθου χήρα ἐν τῷ οἴκῳ τοῦ πατρός σου, ἕως μέγας γένηται Σηλὼμ ὁ υἱός μου. εἶπε γὰρ, μήποτε ἀποθάνῃ καὶ οὗτος, ὥσπερ καὶ οἱ ἀδελφοὶ αὐτοῦ. ἀπελθοῦσα δὲ Θάμαρ, ἐκάθητο ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς.

ΚΥΡΙΛΛΟΥ. Παῖδες μὲν οὖν οὗτοι γεγόνασι τῷ Ἰούδᾳ τρεῖς. ἐπειδὴ δὲ εἰς ἥβην Δ ἧκον οἱ νεανίαι, δέχεται τὴν Θάμαρ, καὶ τῷ πρωτοτόκῳ συγκαθείργνυσι, τουτέστι τῷ Ἤρ. ἐπειδὴ δὲ ἦν πονηρὸς ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ, πρὸ παίδων γονῆς τῶν καθ' ἡμᾶς ἀπηλλάττετο. „ἀπέκτεινε γάρ φησιν „αὐτὸν ὁ Θεός. εἶτα προτρέπει τὸν Αὐνὰν ὁ πατὴρ τῇ τοῦ ἀδελφοῦ συγκατευνάζεσθαι γυναικὶ, καὶ ἀναστῆσαι σπέρμα τῷ κατοιχομένῳ. ὁ δὲ ἐπείπερ οὐκ αὐτοῦ, φησὶν, E ἤμελλεν ἔσεσθαι τὸ γεννώμενον, τὸν συνόδου νόμον ἠδίκει καταχέων εἰς τὴν γῆν. διόλλυται δὲ καὶ οὗτος εὐθύς. οὗ γεγονότος, ἐδεδίει λοιπὸν Ἰούδας τὸν τρίτον συγκατευνάζειν υἱὸν, φημὶ δὴ τὸν Σηλώμ. εἶτα καιροῦ γεγονότος δεδυσφόρηκεν ἡ Θάμαρ ἐπὶ τῷ μελλησμῷ τοῦ γάμου. ἐτόπαζε δὲ ἤδη πως, ὡς οὐκ ἀνήσει τὸ πέρας αὐτῇ τὸ ἐπηγγελμένον ὁ κηδεστής. σκήπτεται δὲ μᾶλλον ὑπερτιθεὶς καὶ παραβιβάζων Z εἰς ἐλπίδας οὐκ ἐσομένας τὸ προσδοκηθέν. καὶ τί δὴ πρὸς τοῦτο μηχανᾶται λοιπόν;

** ΤΟΥ ΑΥΤΟΥ. Ὅτι οὐδεὶς ἐν νόμῳ δικαιοῦται παρὰ Θεῷ, οὔτε μὴν ἐν τῇ τῶν Ἰουδαίων συναγωγῇ τῆς τοῦ Θεοῦ γαληνότητος ἡ μέθεξις ἦν· „ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται, (Ῥωμ. 4. 15.) κατὰ τὸ γεγραμμένον· ὑποφαίνοιεν ἂν αἰνιγματωδῶς τῶν Ἰούδα παίδων ἡ γένεσις, συνῳκηκότων τῇ Θάμαρ. Ἤρ μὲν γὰρ ὁ πρωτότοκός ἐστι δερμάτινος, H ἤτοι γήϊνος. ἐπείπερ δὲ ἦν πονηρὸς, θανάτῳ κατεδικάζετο. πονηρὸς δὲ κατὰ τὸ A ἀληθὲς ὁ πρῶτος ὤφθη λαὸς, καταγογγύζων Θεοῦ, καὶ λέγων· „μὴ δυνήσεται ὁ „Θεὸς ἑτοιμάσαι τράπεζαν, (Ψαλ. 77. 19) καὶ τὰ ἑξῆς. Καὶ μετ' ὀλίγα. „Πέπτωκε δὲ τὰ κῶλα αὐτῶν „ἐν τῇ ἐρήμῳ, (Ἑβρ. 3. 17.) κατὰ τὸ γεγραμμένον. οὐκοῦν ὁ πρωτότοκος Ἤρ, τουτέστιν ὁ πονηρός τε καὶ σαρκικὸς, διόλωλε πρῶτος, καρπὸν οὐδένα ἔχων εὐσεβείας. τοῦτο γὰρ ὑπεμφήνειεν ἂν ἡμῖν, ὡς ἐν τύπῳ, πάλιν ἡ ἀπαιδία. B εἰκόνες γὰρ ὥσπερ τῶν ἐν νοήσει τὰ αἰσθητά. εἶτα μετ' ἐκεῖνον δεύτερος ὥσπερ τις υἱὸς τοῦ λυτρωσαμένου Θεοῦ, καὶ ἐξ οἴκου δουλείας ἐξαγαγόντος ὁ μετ' ἐκείνους λαός. Καὶ μετ' ὀλίγα. Ἦν γὰρ ἀληθῶς Αὐνὰν, τουτέστι πεπληγὼς καρδίαν. ἐτράπετο γὰρ ἐκτόπως εἰς πολυθεΐαν, τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς καταλελοιπώς. οὐκοῦν καὶ ἀπώλετο καὶ δεδούλευκεν ἀλλοφύλοις. τοῦτο γὰρ ἡμᾶς ἡ τῶν καλουμένων κριτῶν ἐδίΓ δαξε βίβλος. τέθνηκε τοίνυν ἐν ἀπαιδίᾳ καὶ οὗτος, καθὼς καὶ ὁ Ἤρ, σπείρων εἰς οὐδὲν, τουτέστιν εἰς γῆν. ὅθεν ἦν εἰκὸς οὐδένα πάντως ἀποκερδᾶναι καρπὸν, ἢ καὶ ἀναστῆσαι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. κατῴκνησε δὲ καὶ ὁ μέσος τε καὶ ὡς ἐν χρόνῳ δεύτερος λαὸς διὰ τῆς κατὰ νόμον ἐπιεικείας ἀντὶ τῶν ἀπειθησάντων ἑαυτὸν ὥσπερ ἀναστῆσαι Θεῷ, καὶ νέον ἤδη πως ἀνταναφύντα λαὸν ἐπιδεῖξαι διὰ πραγΔ μάτων. τοῦτο γάρ ἐστιν οἶμαι αἰνιγματωδῶς τὸ ἀναστῆσαι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. ἀνῃρημένοιν δὴ οὖν τοῖν δυοῖν ὡς ἐπ' αἰτίαις εὐλόγοις· ὁ μὲν γὰρ ἦν πονηρὸς, ὁ δὲ πεπληγὼς καρδίαν· ἐξείργει τὸν τρίτον τῆς πρὸς Θάμαρ ὁμιλίας, δεδιὼς δὴ ὁ πατὴρ, μὴ ἄρα πως τοῖς ἤδη διολωλόσι καὶ αὐτὸς καταφθείροιτο. τὸν γάρ τοι τρίτον λαὸν, τὸν οἱονεὶ καὶ νεώτατον, τὸν ὡς ἐν λοισθίῳ καιρῷ τῶν ἁγίων Προφητῶν, μεθ' ὧν καὶ E γείτων εὐθὺς ὁ θεσπέσιος Βαπτιστὴς, τὸν δὴ παρόντα δεικνύων τὸν ἐξ οὐρανοῦ, τουτέστι Χριστὸν, οὐκ ἐφῆκε Θεὸς οἱονείπως ἐνέχεσθαι ταῖς ἀγκάλαις τῶν Ἰουδαίων συναγωγῆς, οὔτε μὴν ἐθέλει τὸν ἀπ' αὐτῆς ἔχειν καρπὸν, μὴ ἄρα πως ἀπώλοιτο καὶ „αὐτός. ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται. (Ῥωμ. 4. 15.) Καὶ μετ' ὀλίγα. Ἀσυναφὴς οὖν τῇ Θάμαρ Σηλὼμ ὁ νεώτατος. διὰ δὲ τοῦτο χήρα μεμένηκε, καὶ μακροὺς ἐν τούτῳ διατετέλεκε Z χρόνους. οὐ γὰρ ἐφίετο Θεοῦ καρποφορεῖν ἔτι τὴν Ἰουδαίων συναγωγὴν, χήρα τις ὥσπερ καὶ ἠτεκνωμένη, καὶ ἀνδρὸς ἐρήμη, τοῦ νοητοῦ νυμφίου, κεχρημάτικέ τε καὶ γέγονεν ἀληθῶς.

ιβ. Ἐπληθύνθησαν δὲ αἱ ἡμέραι, καὶ ἀπέθανε Σαῦνα (1) ἡ γυνὴ Ἰούδα. καὶ παρακληθεὶς ὁ Ἰούδας, ἀνέH βη πρὸς τοὺς κείροντας τὰ πρόβατα αὐτοῦ. καὶ κατέβη Εἴρας ὁ ποιμὴν αὐτοῦ

(1) Τὸ Σαῦνα ἀνωτέρω, ἐν τῷ 2. ἐδ. ὁ κώδ. γράφει Σαῦ· αἱ δὲ τῆς Γραφ. ἐκδόσ. Σαυὰ, πλὴν τῆς τοῦ Ἀλδ. γραφοῦσ. Συύα. ὁ δὲ Κυριλλ. (ἐν Τόμ. 1. μέρ. 1. σελ. 196.) Σαβᾶ. ὁ δὲ Χρυσόσ. (ἐν τῷ 38. τῆς γεν. κεφ.) Σαύα.

αὐτοῦ ὁ ὀδολαμίτης εἰς Θάμνα μετ' A
ιγ. αὐτοῦ. Καὶ ἀπηγγέλλη Θάμαρ τῇ
νύμφῃ αὐτοῦ, λέγοντες, ἰδοὺ ὁ πενθε-
ρός σου ἀνέβη εἰς Θάμνα, κεῖραι τὰ
πρόβατα αὐτοῦ, αὐτὸς καὶ Εἴρας ὁ
ποιμὴν αὐτοῦ.

ιδ. Καὶ περιελομένη τὰ ἱμάτια τῆς
χηρεύσεως αὐτῆς ἀφ' ἑαυτῆς, περιέ-
βαλε τὸ θέριστρον, καὶ ἐκαλλωπίσατο, B
καὶ ἐκάθισε πρὸς ταῖς πύλαις Αἰνᾶν,
ἥ ἐστιν ἐν παρόδῳ Θαμνά. εἶδε γὰρ
ὅτι μέγας γέγονεν ὁ Σηλώμ· αὐτὸς
δὲ οὐκ ἔδωκεν αὐτὴν αὐτῷ γυναῖκα.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ἡ Θάμαρ
ἑταιρικὸν σχῆμα περιθεμένη, τὸν κηδεστὴν
ἐξηπάτησε; Περιφανὲς ἄγαν ἐγεγόνει τοῦ
Ἀβραὰμ τὸ γένος, διὰ τὴν εἶχεν εὐσέβειαν.
τοῦτο ἡ Θάμαρ εἰδυῖα, σπουδὴν ἔσχεν ἐξ ἐκεί- Γ
νου παιδοποιῆσαι τοῦ γένους. ἐπειδὴ τοίνυν
αὐτὴν ὁ κηδεστὴς οὐ κατηγγύησε τῷ νεω-
τέρῳ παιδὶ, δείσας μὴ τοῖς ἀδελφοῖς καὶ
αὐτὸς παραπλησίως τελευτήσῃ, ἠναγκά-
σθη κλέψαι τῆς παιδοποιΐας τὰς ἀφορ-
μὰς, ἐπειδὴ προφανῶς λαβεῖν αὐτὰς ἐκω-
λύετο. πρὸς δὲ τούτῳ καὶ ἐλέγχει τὸν κη-
δεστὴν, ὡς αὐτὸν μὲν οὐ σωφρονοῦντα, αὐ-
τὴν δὲ σωφρονεῖν ἀναγκάζοντα. τοῦτο δὲ
κἀκεῖνος κρίνων, ἐδήλωσε. κύουσαν μὲν Δ
γὰρ αὐτὴν μεμαθηκὼς, κατεψηφίσατο
θάνατον. γνοὺς δὲ ὅθεν ἐκύησε, τὴν μὲν
ἀθῶον ἀπέφηνεν, ἑαυτὸν δὲ κατέκρινε.
" δεδικαίωται γὰρ ἔφη Θάμαρ ἢ ἐγώ· οὗ εἵ-
" νεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ μου.
ὅτι δὲ παιδοποιΐας χάριν, καὶ οὐ φιληδο-
νίας, τοῦτο ἡ Θάμαρ ἐμηχανήσατο, τὰ
μετὰ ταῦτα δηλοῖ. οὐκ ἔτι γὰρ οὔτε τῷ
Ἰούδᾳ, οὔτε ἄλλῳ συνήφθη τινί. ἠρκέσθη
δὲ τὸ μήτηρ κληθῆναι τῶν ἐξ ἐκείνου βε- E
βλαστηκότος τοῦ σπέρματος.

ιε. Καὶ ἰδὼν αὐτὴν Ἰούδας, ἔδοξεν
αὐτὴν πόρνην εἶναι· κατεκαλύψα-
το γὰρ τὸ πρόσωπον αὐτῆς, καὶ οὐκ
ις. ἐπέγνω αὐτήν. Ἐξέκλινε δὲ πρὸς
αὐτὴν τὴν ὁδόν· καὶ εἶπεν αὐτῇ, ἔα-
σόν με εἰσελθεῖν πρὸς σέ· οὐ γὰρ
ἔγνω, ὅτι ἡ νύμφη αὐτοῦ ἐστίν. ἡ δὲ Z
εἶπε, τί μοι δώσεις, ἐὰν εἰσέλθῃς
πρός με;

** ΚΥΡΙΛΛΟΥ. Ἐννοοῦντες οὖν ἄρα
τῆς κατὰ καιροὺς οἰκονομίας τοὺς τρόπους,
ψόγου καὶ καταβοῆς, τῆς ἐπί γε τῷ πορνεῦ-
σαί φημι, αὐτήν τε τὴν Θάμαρ καὶ μέντοι
καὶ τὸν Ἰούδαν εἰκότως ἀπαλλάξομεν. συνό-
δον δὲ μᾶλλον οἰκονομικὴν γενέσθαι φαμέν.
ἡ μὲν γὰρ ἐπεθύμει γονῆς ἐλευθέρας, τοῦ H
κατὰ νόμον συνῳκηκότος ἐστερημένη, ὁ δὲ
ἦν ἤδη πως οὐκ ἐν αἰτίᾳ πολλῇ, τοῦ καὶ εἴ-
περ ἕλοιτο συνελθεῖν ἑτέρᾳ, τεθνεώσης
αὐτῷ τῆς πρώτης.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μηδεὶς ταῦτα
ἀκούων, καταγινωσκέτω τῆς Θάμαρ. ὡς
ἔφθην γὰρ εἰπὼν καὶ οἰκονομίᾳ ὑπηρετεῖ-
το. καὶ διὰ τοῦτο οὔτε αὕτη μέμψιν τινὰ
ὑπέμεινεν, οὔτε ὁ Ἰούδας ἐγκλήμασιν ὑπεύ-
θυνος γέγονε. καὶ γὰρ ἐντεῦθεν ὁδῷ προ-
βαίνων, εὑρήσεις ἐκ τῶν παίδων τῶν τούτῳ
τεχθέντων τὸν Χριστὸν κατάγοντα τὸ γέ-
νος· ἄλλως δὲ καὶ τὰ δύω παιδία κατὰ
ταυτὸν τικτόμενα τῶν δύω λαῶν ἦν τύπος,
καὶ προαναφώνησις τῆς πολιτείας τῆς Ἰου-
δαϊκῆς καὶ τῆς πνευματικῆς.

ιζ. Ὁ δὲ εἶπεν, ἐγώ σοι ἀποστελῶ
ἔριφον αἰγῶν ἐκ τῶν προβάτων μου.
ἡ δὲ εἶπεν, ἐὰν δῷς ἀῤῥαβῶνα, ἕως
τοῦ ἀποστεῖλαί σε.

ΚΥΡΙΛΛΟΥ. Εἶτα συνηρπάζετο πρὸς
ἐπιθυμίαν. αἰτοῦντι δὲ τῷ γυναίῳ μισθώ-
ματα, πέμψειν ἔριφον ἐπηγγέλλετο.

ιη. Ὁ δὲ εἶπε, τίνα τὸν ἀῤῥαβῶ-
νά σοι δώσω; ἡ δὲ εἶπε, τὸν δακτύ-
λιόν σου, καὶ τὸν ὁρμίσκον, καὶ τὴν
ῥάβδον τὴν ἐν τῇ χειρί σου. καὶ ἔδω-
κεν αὐτῇ· καὶ εἰσῆλθε πρὸς αὐτήν·
καὶ ἐν γαστρὶ ἔλαβεν ἐξ αὐτοῦ.

ΔΙΟΔΩΡΟΥ. Τὸν ὁρμίσκον, ὃν δέδω-
κεν ὁ Ἰούδας τῇ Θάμαρ, ὁ Σύρος ὠράριον
λέγεσθαί φησι, καὶ οὐχ ὁρμίσκον· Σύμμα-
" χος δὲ, στρεπτὸν ἐγχειρίδιον.

" ΑΔΗΛΟΥ. Τὸν δακτύλιόν σου, φησὶ,
" καὶ τὸν ὁρμίσκον, καὶ τὴν ῥάβδον. ὁ Ἀ-
" κύλας, τὴν σφαγίδα σου, καὶ τὸ στρεπτόν
" σου. Ἄλλος δέ φησι τὸν ὁρμίσκον, ὠράριον·
ὁ δὲ ἅγιος Κύριλλος, κοσμήματι τῶν περὶ
τὴν δέῤῥιν, ἔθει χαλδαϊκῷ κοσμουμένῳ τῷ
Ἰούδᾳ. χρυσῷ γὰρ οὗτοι καὶ χεῖρας καὶ
δέῤῥιν καταλαμπρύνουσι, καὶ αὐτὴν τὴν
τρίχα στεφανοῦσιν ἔσθ' ὅτε.

ΚΥΡΙΛΛΟΥ. Ὅμηρα τῆς ἐπαγγελίας
αἰτούσῃ, δίδωσι τὴν ῥάβδον, καὶ τὸν δα-
κτύλιον, καὶ τὸν ὁρμίσκον, τουτέστι κόσμη-
μάτι τῶν περὶ τὴν δέῤῥιν. οἰηθείη δ' ἄν-
τις καὶ μάλα εἰκότως, ἅτε Χαλδαῖον ὄν-
τα τὸν Ἰούδαν, μὴ ἐν ῥαθυμίᾳ γενέσθαι
τοῦ κατακαλλύνεσθαι φιλεῖν. φιλόκοσμοι
γὰρ οἱ Χαλδαῖοι, χρυσῷ [δὲ] καὶ χεῖρας
καὶ δέῤῥιν καταλαμπρύνουσι, καὶ αὐτὴν
τὴν τρίχα στεφανοῦσιν ἔσθ' ὅτε.

** ΤΟΥ ΑΥΤΟΥ. Ἰδίαν γὰρ ὥσπερ
καὶ ἀναγκαιοτάτην ἔχων φροντίδα Χρι-
στὸς τὸ δέχεσθαι τοὺς καρποὺς τῆς λογικῆς
ἀγέλης, δῆλον δὲ ὅτι τῶν πεπιστευκότων
καὶ ἡγιασμένων ἐν πνεύματι, παροδικὴν
ὥσπερ τινὰ καὶ οὐχὶ πάντως ἐσπουδασμένην
ποιήσεται κατὰ καιροὺς τὴν πρὸς τὴν τῶν
Ἰουδαίων συναγωγὴν ἐν πνεύματι κοινω-
νίαν. ἔγκαρπον δὲ ὥσπερ ἀποφανεῖ, τὴν
παρ' αὐτοῦ σοφίαν ὠδίνουσαν. παραθήσε-
ται δὲ ὥσπερ ἑαυτὸν αὐτῇ, καθάπερ καὶ
ἡμῖν αὐτοῖς, ὡς ῥάβδον δυνάμεως, ὡς εἰ-
κόνα

κόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ καὶ πατρός· τοῦτο γὰρ ὁ δακτύλιος· ὡς ὡραῖον κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. τουτί γὰρ οἶμαι δηλοῦν τὸν ὁρμίσκον. σκεῦος γὰρ ἅπαν τὸ τελοῦν εἰς κόσμημα, κάλλους ἂν νοοῖτο σημεῖον. ἀποστέλλει δὲ αὐτῇ καὶ τὸν ἔριφον, τουτέστι τῶν ἡμαρτημένων χαρίζεται τὴν ἄφεσιν. ἔριφος γὰρ κατὰ νόμον ὑπὲρ ἁμαρτίας ἐσφάζετο, καὶ πλημμελημάτων ἄφεσιν ὑπαινίττεται.

„ ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐν γαστρὶ ἔλα-
„ βεν ἐξ αὐτοῦ. Οὕτως οἰκονομία τις ἦν καὶ ἐπὶ τῶν θυγατέρων τοῦ Λώτ· ἐπειδὴ μὴ δι' ἀκολασίαν, ἀλλὰ παίδων ἐπιθυμίαν τὸ γεγονός.

ιθ. Καὶ ἀναστᾶσα, ἀπῆλθε, καὶ
περιείλετο τὸ θέριστρον ἀφ' ἑαυτῆς,
καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς χηρεύ-
κ. σεως αὐτῆς. Ἀπέστειλε δὲ Ἰούδας
τὸν ἔριφον ἐξ αἰγῶν ἐν χειρὶ τοῦ ποι-
μένος αὐτοῦ τοῦ Ὀδαλαμίτου, κομί-
σασθαι τὸν ἀρραβῶνα παρὰ τῆς γυ-
κα. ναικός· καὶ οὐχ εὗρεν αὐτήν. Ἐπη-
ρώτησε δὲ τοὺς ἄνδρας τοὺς ἐκ τοῦ
τόπου· ποῦ ἐστὶν ἡ πόρνη ἡ γενομένη
ἐν Αἰνὰν ἐπὶ τῆς ὁδοῦ; καὶ εἶπαν,
κβ. οὐκ ἦν ἐνταῦθα πόρνη. Καὶ ἀπεστρά-
φη πρὸς Ἰούδαν· καὶ εἶπεν, οὐχ εὗρον·
καὶ οἱ ἄνδρες οἱ ἐκ τοῦ τόπου λέγουσι,
μὴ εἶναι ὧδε πόρνην.

κγ. Εἶπε δὲ Ἰούδας, ἐχέτω αὐτά· ἀλλὰ μήποτε καταγελασθῶμεν· ἐγὼ μὲν ἀπέσταλκα τὸν ἔριφον τοῦτον, σὺ δὲ οὐχ εὕρηκας.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ταῦτα μαθὼν
„ ὁ Ἰούδας, εἶπε, φησὶ, μήποτε καταγνωσθῶμεν, ὡς ἀγνώμονες νομισθέντες. οὐδὲ γὰρ ᾔδει τὸ γεγενημένον.

κδ. Ἐγένετο δὲ μετὰ τρίμηνον ἀπηγγέλη τῷ Ἰούδᾳ, λέγοντες, ἐκπεπόρνευκε Θάμαρ ἡ νύμφη σου, καὶ ἰδοὺ ἐν γαστρὶ ἔχει ἐκ πορνείας. εἶπε δὲ Ἰούδας, ἐξαγάγετε αὐτὴν, καὶ κατακαυθήτω.

ΚΥΡΙΛΛΟΥ. Δείκνυσι τὸ πρᾶγμα καὶ ἐν τῇ παλαιᾷ τοῖς εὐσεβέσιν, ὅτι ἀσύγγνωστον τὸ πορνεύειν χήραν. (1)

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μεγάλη ἡ ἀγανάκτησις, ἀφόρητος ἡ τιμωρία, ἐπειδὴ καὶ τὸ ἁμάρτημα μέγα εἶναι δοκεῖ.

κε. Αὐτὴ δὲ ἀγομένη πρὸς τὸν πενθερὸν αὐτῆς, λέγουσα, ἐκ τοῦ ἀνθρώπου οὗτινος ταῦτά ἐστιν, ἐγὼ ἐν γαστρὶ ἔχω. καὶ εἶπεν, ἐπίγνωθι, τί-

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

A νος ὁ δακτύλιος καὶ ὁ ὁρμίσκος καὶ ἡ ῥάβδος αὐτη.

** ΚΥΡΙΛΛΟΥ. Καταδεδίκασο ἡ Θάμαρ ὡς πεπορνευμένη. σώζεται δὲ ὅπως, ὑπέδειξε γὰρ τὴν ῥάβδον, τὸν δακτύλιόν τε καὶ τὸν ὁρμίσκον. διωμολόγηκέ τε σαφῶς, ὡς κεκυοφόρηκεν ἐξ Ἰούδα, καὶ τὸν αὐτὸν καρπὸν ἔχοι. ἀπαλλάξει δὲ καὶ αὐτὴν τοῦ κολάζεσθαι δεῖν τὴν τῶν Ἰουδαίων
B συναγωγὴν κατὰ καιροὺς ὁ Χριστὸς, τῆς πρὸς αὐτὸν κοινωνίας τὰ σύμβολα φέρουσαν· καὶ ὅτι κεκυοφόρηκε τὰ αὐτοῦ δεικνύουσαν ἐναργῶς. οὕτω γάρ που καὶ αὐτοί φασιν οἱ διὰ τῆς εἰς Χριστὸν πίστεως εὐδοκι-
„ μεῖν ᾑρημένοι· διὰ τὸν φόβον σου Κύριε ἐν Ἡσ. 26. 18.
„ γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέ-
„ κομεν πνεῦμα σωτηρίας σου, ὃ ἐκυήσαμεν
„ ἐπὶ τῆς γῆς.

Γ κς. Ἐπέγνω δὲ Ἰούδας· καὶ εἶπε, δεδικαίωται Θάμαρ ἢ ἐγώ· οὗ εἵνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼμ τῷ υἱῷ μου. καὶ οὐ προσέθετο ἔτι τοῦ γνῶναι αὐτήν.

„ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι, δεδι-
„ καίωται αὐτὴ ἢ ἐγώ; Τουτέστιν ἐκείνη μὲν ἀνεύθυνος, ἐγὼ δὲ ἑαυτὸν καταδικάζω, καὶ μηδενὸς ἐλέγχοντος, ἐμαυτὸν ἐκκα-
Δ λύπτω, μᾶλλον δὲ ἀρκοῦντα ἔλεγχον ἔχω τὸν ἀρραβῶνα τὸν παρ' ἐμοῦ δοθέντα. εἶτα πάλιν ἀπολογίαν ὑπὲρ τῆς αὐτῆς συντι-
„ θεὶς, φησὶν, οὗ εἵνεκεν οὐκ ἔδωκα αὐτὴν Ση-
„ λὼμ τῷ υἱῷ μου. τάχα δὲ τοῦτο γέγονε καὶ δι' ἣν μέλλω ἐρεῖν αἰτίαν. ἐπειδὴ γὰρ ἐνόμιζεν ὁ Ἰούδας παρὰ τὴν ἐκείνης αἰτίαν τὸν θάνατον ἐπενηνέχθαι τῷ Ἢρ καὶ τῷ Αὐνὰν, καὶ τοῦτο δεδοικὼς, τὸν Σηλὼμ αὐτῇ οὐ δέδωκε, καὶ ταῦτα ὑποσχόμενος· ἵνα
E γνῷ δι' αὐτῶν τῶν πραγμάτων, ὡς οὐκ ἐκείνη αἰτία τοῦ θανάτου ἐκείνοις γεγένηται, ἀλλὰ διὰ τὴν οἰκείαν πονηρίαν τὰς τιμω-
„ ρίας ἐδέχοντο· ἀπέκτεινε γὰρ αὐτὸν, φη-
„ σὶν, ὁ Θεός· καὶ πάλιν, ἐθανάτωσεν αὐτὸν, περὶ τοῦ δευτέρου· διὰ τοῦτο αὐτὸς μίγνυται ἀγνοῶν τῇ οἰκείᾳ νύμφῃ, καὶ μανθάνει διὰ τῶν ἔργων, ὅτι οὐχ ἡ ταύτης αἰτία, ἀλλ' ἡ ἐκείνων κακία ὑπευθύνους αὐτοὺς τῇ τιμωρίᾳ γενέσθαι πεποίηκε. καὶ ἐξομολογησάμενος τὸ οἰκεῖον ἁμάρτημα,
Z „ κἀκείνην τῆς τιμωρίας ἀπαλλάξας, οὐ προ-
„ σέθετο, φησὶν, ἔτι τοῦ γνῶναι αὐτήν. δεικνὺς, ὅτι οὐδ' ἂν τὸ πρότερον αὐτῇ συνεγένετο, εἰ μὴ ἀγνοίᾳ τὴν μίξιν εἰργάσατο.

** ΠΡΟΚΟΠΙΟΥ. Νύμφην εἶναι μα-
„ θὼν, οὐ προσέθετο ἔτι τοῦ γνῶναι αὐτήν. ὃ καὶ ὁ Δαβὶδ ἐποίησε μετὰ τὸ εἰσελθεῖν τὸν Ἀβεσσαλὼμ πρὸς τὰς παλλακὰς αὐτοῦ. τὸ γὰρ πρᾶγμα μετὰ γνῶσιν ἀσε-
H βὲς καὶ ἀθέμιτον, ὡς δηλοῖ καὶ ὁ προ-
„ φήτης Ἀμὼς, λέγων· καὶ υἱὸς καὶ πα- Ἀμ. 2. 7.
„ τὴρ αὐτοῦ, εἰσεπορεύοντο πρὸς τὴν αὐτὴν παιδί-

» παιδίσκην, ὅπως βεβηλώσωσι τὸ ὄνομα τοῦ
» Θεοῦ αὐτῶν.

ΑΔΗΛΟΥ. Εὗρον δὲ σχόλιον παρακείμενον, ὡς ἐν τῇ διαθήκῃ μαρτυρεῖ αὐτῇ ὁ Θεὸς, ὅτι ἔσχεν αὐτὴν Ἰούδας, καὶ ἐπένθησεν ἐπὶ πολὺ τὴν ἀνομίαν.

κζ. Ἐγένετο δὲ ἡνίκα ἔτικτε, καὶ
τῇδε ἦν δίδυμα ἐν γαστρὶ αὐτῆς.
κη. Ἐγένετο δὲ ἐν τῷ τίκτειν αὐτὴν, ὁ εἷς
προεξήνεγκε τὴν χεῖρα αὐτοῦ· λαβοῦ-
σα δὲ ἡ μαῖα, ἔδησεν ἐπὶ τὴν χεῖρα
αὐτοῦ τὸ κόκκινον, λέγουσα, οὗτος ἐξε-
κθ. λεύσεται πρῶτος. Ὡς δὲ ἐπισυνή-
γαγε τὴν χεῖρα, καὶ εὐθὺς ἐξῆλ-
θεν ὁ ἀδελφὸς αὐτοῦ. ἡ δὲ εἶπε, τί
διεκόπη διὰ σὲ φραγμός; καὶ ἐκά-
λ. λεσε τὸ ὄνομα αὐτοῦ, Φαρές. Καὶ
μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐ-
τοῦ, ἐφ᾽ ὃν ἦν ἐπὶ τῇ χειρὶ αὐτοῦ τὸ
κόκκινον· καὶ ἐκάλεσε τὸ ὄνομα αὐ-
τοῦ, Ζαρά.

» Τί διεκόπη διὰ σὲ φραγμός; ἄλλως.
» τί διήπλωσας καθ᾽ ἡμῶν ἄπλωμα;

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τί δὲ νῦν ὁ φραγμὸς δηλοῖ; Φασὶ τοίνυν, ὡς διδύμων τικτομένων, μετὰ τὸν τοῦ πρώτου τόκον διαλιπὼν ὁ δεύτερος ἐξέρχεται. τί οὖν, φησὶ, διατεμὼν τὸν φραγμὸν, τουτέστι τὸ διάστημα, μεθ᾽ ὃ ἤμελλες ἐξιέναι μετὰ τὸν τὴν χεῖρα προεξενεγκόντα, φθάσας αὐτὸς ἐξῆλθες; μήποτε δὲ τὴν ἔσοδον τῆς χειρὸς οὕτως ἐκάλεσε;

ΑΔΗΛΟΥ. Ὁ εἷς, φησὶν, ἐξήνεγκε τὴν χεῖρα, εἰς τὸ γινώσκεσθαι τὸν πρωτότοκον.

ΔΙΟΔΩΡΟΥ. Τῆς Θάμαρ τὰ δίδυμα τικτούσης, τοῦ τε Ζαρὰ τὴν χεῖρα προεξαγαγόντος, ἐν τῷ δακτύλῳ ῥάμμα κόκκινον ἔδησεν ἡ μαῖα, τίνος ἕνεκεν; Ἐπειδὴ συμβαίνει τὰ δίδυμα τὴν ὁμοιότητα ἀπαραλλάκτως ἔχειν, ἵνα γινώσκηται ἐν τοῖς τεχθεῖσιν ὁ πρωτότοκος. ἐπειδὴ δὲ συστείλαντος τοῦ Ζαρὰ τὴν χεῖρα, Φαρὲς προεξῆλθεν, ὥσπερ διὰ φραγμοῦ τοῦ Ζαρὰ διαβαίνων, φησὶ πρὸς τὸν Ζαρὰ ἡ μαῖα,
» τί διεκόπη διὰ σὲ φραγμός; εἰ δὲ καὶ πρὸς τὸν Φαρὲς, τὸν ὥσπερ φραγμῷ τῷ ἀδελφῷ χρησάμενον, καὶ τοῦτον διακόψαντα, εἴρηται, τὴν αὐτὴν ἔχει ἔννοιαν. ὁ δὲ
» Σύρος καὶ ὁ Ἑβραῖος φασι, τί διεκόπη ἐπὶ σὲ διακοπή; ὃ μᾶλλον ἂν εἰκότως τῷ Ζαρὰ λέγοιτο. δεῖ δὲ ἐπισημειώσασθαι, ὅτι ἡ μὲν φύσις, τὸν Ζαρὰ πρωτότοκον ἐποίει προεξενεγκόντα τὴν χεῖρα· ὁ δὲ Θεὸς, τῷ Φαρὲς παρέσχε τὸ ἀξίωμα. ἐξ οὗ ὁ Δαβὶδ, καὶ τὸ βασιλικὸν γένος, καὶ τὸ κατὰ σάρκα ὁ Κύριος.

A ΓΕΝΝΑΔΙΟΥ. Διδύμων ὄντων τῶν τικτομένων, τοῦ ἑνὸς τὴν χεῖρα προεξενεγκόντος, ἡ μαῖα τῷ δακτύλῳ κόκκινον περιῆψεν, ὡς ἂν μὴ περὶ τὴν λοιπὴν αὐτῶν θεραπείαν ἀσχοληθεῖσα, τὸν πρωτότοκον ἀγνοήσῃ. ἐπειδὴ δὲ αὖθις ἐπισυνάγοντος ἐκείνου τὴν χεῖρα, προεξῆλθεν ὁ δοκῶν τεχθήσεσθαι ὕστερον, θαυμάσασα, φησὶν,
» ἡ μαῖα τότε, τί διεκόπη διὰ σὲ φραγμός; ἔφησεν ἐπ᾽ αὐτῷ· τουτέστιν, ὅτι καθάπερ
B τι διατείχισμα τὴν τάξιν διατεμόμενος, ἐτέχθης παραδόξως πρότερος τοῦ προτέρου. καὶ Φαρὲς αὐτὸν, ὡς ἀπὸ τοῦ συμβάντος ἐπονομάσασα, Ζαρὰ τὸν ἕτερον προσηγόρευσεν. ἐσημαίνετο μέντοι καὶ διὰ τούτων τὰ μέλλοντα. καὶ ὁ Φαρὲς τὰ πρεσβεῖα λαμβάνει πρὸ τοῦ Ζαρὰ τεχθεὶς, διὰ τὸ μέλλειν ἐκ τοῦ γένους αὐτοῦ τὸ κατὰ σάρκα Χριστὸν Ἰησοῦν τὸν ἐπὶ πάντων Θεὸν ἀναδείκνυσθαι. ταύτην γε μὴν τὴν κατὰ
Γ τὸν Ἰούδαν πᾶσαν ἱστορίαν μεταξὺ τῆς περὶ τοῦ Ἰωσὴφ ὁ Μωσῆς παρενέβαλεν, οὐ μόνον διὰ τὸ ὑπὸ τοὺς αὐτοὺς γενέσθαι χρόνους αὐτήν· ἢ οὕτω γε ἂν ἡμῖν καὶ ἄλλα γενόμενα πάμπολλα διηγήσατο· ἀλλὰ καὶ διὰ τὸ μάλιστα τῆς πάσης αὐτοῦ συγγραφῆς ταύτην εἶναι τὸ κυριώτατον, καὶ πρὸς τὸν σύμπαντα σκοπὸν ἀναγκαιοτάτην αὐτῷ ταύτης εἶναι τὴν ἔκθεσιν. ἡ γὰρ κατὰ σάρκα τοῦ Χριστοῦ γενεαλογία, διὰ τὸν Φα-
Δ ρὲς ἐπὶ τὸν Ἰούδαν τὸν ἐκ τοῦ Ἰσραὴλ ἀναφέρεται. ἐπειδὴ τοίνυν ἔμελλον Ἰουδαῖοι βασκαίνοντες τῇ ἐν Χριστῷ τῶν ἐθνῶν σωτηρίᾳ, πολεμεῖν τῷ κηρύγματι, καὶ διαβάλλειν τὸ εὐαγγέλιον, ὡς δυσγενεῖς καὶ ἀκαθάρτους καὶ ἀποβλήτους ἀνθρώπους ἁπλῶς εἰσδεχόμενον, καλῶς ὁ Προφήτης διὰ τῆσδε τῆς ἱστορίας ἐκείνους μὲν ἐπ᾽ εὐγενείᾳ πεφυσημένους εἰκῇ, διελέγχει. Χαναναίους ἐξ ἡμισείας τυγχάνοντας· τὰ δὲ
E ἔθνη, καὶ λίαν εἰκότως δείκνυσι σεσωσμένα. πρόδηλον μὲν γὰρ, ὅτι καὶ οἱ λοιποὶ τῶν πατριαρχῶν Χαναναίας ἠγάγοντο. πόθεν γὰρ ἔλαβον ἄλλοθεν; ὁ μέντοι Μωσῆς μόνῃ τῇ μνήμῃ τῇ κατὰ τὸν Ἰούδαν ἠρκέσθη, διά τε τὸ τὴν φυλὴν ταύτην ἁπασῶν γενέσθαι προτιμοτέραν, καὶ ὥστε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀπ᾽ αὐτῆς τῆς ἐκ πορνείας συστάσης τὸ κατὰ σάρκα γεγεννημένον φαίνεσθαι· καὶ δικαίως μὴ διὰ
Z τοῦτο τοὺς ἐθνικοὺς μᾶλλον ἀποστρεφόμενον, ἢ διὰ τὴν τῶν τρόπων εὐγένειαν προσιέμενον.

ΚΥΡΙΛΛΟΥ. Γένοιτο δ᾽ ἂν καὶ τοῦτο σημεῖον οὐκ ἀσύμφανες τοῦ προκεκλῆσθαι τὰ ἔθνη τῶν ἐξ αἵματος Ἰσραὴλ, καὶ τὴν τοῦ πρωτοτόκου δόξαν ἑλεῖν τοὺς ἐν ὑστέροις καιροῖς ἐκτετιμημένους. ἕψεται δὲ ὅτι καὶ αὐτὸς οὐκ ἀμφίλογον τὴν Χριστοῦ θυσίαν
H κατεδέξατο. (1) αἵματος γὰρ τοῦ ἁγίου τύπος ἂν εἴη τὸ κόκκινον. τίς οὖν ἄρα ἐστὶν ὁ τὸ μεσότειχον τοῦ φραγμοῦ διαλύσας, καὶ
ἐν

(1) Καταδεξάμενος. ἐν Τόμ. 1. μέρ. 1. σελ. 201.

ἐν τάξει μὲν πρωτοτόκου κεκληκὼς τὸν δεύτερον, κατόπιν δὲ θεὶς τὸν πρῶτον; ἢ δῆλον, ὅτι ὁ Χριστός.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος τὸ μήνυμα τὰ κατὰ τὸν Ζαρὰ καὶ Φαρές; Τῶν δύο λαῶν, ὁ Φαρὲς τῶν Ἰουδαίων, καὶ ὁ Ζαρὰ τῶν ἐξ ἐθνῶν πεπιστευκότων. καὶ γὰρ πρὸ τοῦ νόμου ἦσαν πολλοὶ τῆς εὐσεβείας τρόφιμοι, κατὰ πίστιν, οὐ κατὰ νόμον πολιτευόμενοι. διὰ τοῦτο ὁ Ζαρὰ προεξήνεγκε τὴν χεῖρα, τὴν πρὸ τοῦ νόμου πολιτείαν δεικνύς. τὸ δὲ κόκκινον σπαρτίον, μήνυμα τῶν τῶν παλαιῶν θυσιῶν. καὶ γὰρ ἐκεῖνοι θυσίαις τὸν Θεὸν ἐξιλεοῦντο, καὶ Ἄβελ, καὶ Ἐνὼχ, καὶ Νῶε, καὶ Μελχισεδὲκ, καὶ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ. εἶτα ἐκείνου τὴν χεῖρα συστείλαντος, ἐξῆλθεν ὁ Φαρές. μέσος γὰρ ὁ νόμος τῶν πρὸ νόμου καὶ μετὰ νόμον. διὸ καὶ ὁ μακάριος λέγει
Ῥωμ. 5. 20. Παῦλος, νόμος δὲ παρεισῆλθε, διδάσκων
» ὅτι καὶ πρὸ τοῦ νόμου κατὰ πίστιν ἐδικαιοῦντο, καὶ μετὰ τὸν νόμον ἡ χάρις διέλαμψε. καὶ ὁ Κύριος δὲ κατὰ σάρκα ἐκ τοῦ
Ῥωμ. 9. 5. Φαρὲς ἐβλάστησεν. ὧν γὰρ, φησὶν, οἱ πα-

A » τέρες, καὶ ἐξ ὧν Χριστὸς τὸ κατὰ σάρκα, » ὁ ὢν ἐπὶ πάντων Θεός· καὶ εἰς τὴν πρὸς » Ἑβραίους· πρόδηλον γὰρ, ὅτι ἐξ Ἰουδαίων Ἑβρ. 7. 14.
» ἀνατέταλκεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. τοῦτο καὶ ὁ μακάριος Ματθαῖος τὴν γενεαλογίαν συγγράφων, ἐδίδασκε. τοῦτο μέντοι τὸ διήγημα τέθεικεν ὁ μακάριος Μωϋσῆς, διδάσκων Ἰουδαίους, ὡς τοῦ Δαβὶδ τὸ πολυθρύλλητον γένος ἐκ γυναικῶν ἀλλοφύλων συνέστη· ἵνα μὴ κατὰ τῶν
B ἐξ ἐθνῶν πεπιστευκότων ἀλαζονεύωνται, ὡς ἀκήρατον φυλάξαντες τὴν εὐγένειαν.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τῆς ἐκκλησιαστικῆς πολιτείας ἐν τοῖς κατὰ τὸν Ἀβραὰμ φανείσης χρόνοις, εἶτα ἐν τῷ μέσῳ συσταλείσης, ἦλθεν ὁ ἰουδαϊκὸς λαὸς, καὶ ἡ νομικὴ πολιτεία, καὶ τότε ὁλόκληρος ὁ νέος [ἐφάνη] λαὸς [μετὰ τῶν αὐτοῦ
» νόμων. διὸ καὶ ἡ μαῖα φησι, τί διεκόπη
Γ » διὰ σὲ φραγμός; ὅτι τὴν ἐλευθερίαν τῆς πολιτείας ἐπεισελθὼν ὁ νόμος διέκοψε.] Φραγμὸν γὰρ τὸν νέον λαὸν ἡ Γραφὴ
» καλεῖ. καθεῖλες γάρ φησι τὸν φραγμὸν Ψαλ. 79. 12.
» αὐτῆς.

ΚΕΦ. ΛΘ.

α. Ἰωσὴφ δὲ κατήχθη εἰς Αἴγυπτον.

** ΕΦΡΑΙΜ. Ἡ κάθοδος Ἰωσὴφ εἰς Αἴγυπτον σημαίνει τὴν τοῦ Σωτῆρος ἡμῶν κάθοδον ἐπὶ τῆς γῆς.

* ΠΡΟΚΟΠΙΟΥ. Κατῆλθεν εἰς Αἴγυπτον Ἰωσὴφ, ἐπειδὴ καὶ ὁ Σωτὴρ τοῖς ἔθ-
Ματθ. 20. 18. νεσι παρεδόθη. ἰδοὺ γάρ φησιν ἀναβαίνο-
» μεν εἰς Ἱεροσόλυμα, καὶ τὰ ἑξῆς.

Καὶ ἐκτήσατο αὐτὸν Πετεφρῆς ὁ εὐνοῦχος Φαραὼ, ἀρχιμάγειρος, ἀνὴρ αἰγύπτιος, ἐκ χειρὸς τῶν Ἰσμαηλιτῶν, οἳ κατήγαγον αὐτὸν ἐκεῖ.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς εὐνοῦχος ὢν ὁ ἀρχιμάγειρος, γυναῖκα εἶχε; Μάλιστα μὲν οὖν, καὶ τοὺς εὐνούχους καὶ τοὺς ἐκτομίας ὁμωνύμως καλοῦσιν. οὐδὲν δὲ τὸν ἀπειρόκαλον? καὶ εὐνοῦχον ὄντα γυναῖκα ἔχειν ἐν τῇ οἰκίᾳ, τῶν ἔνδον ἐπιμελουμένην πραγμάτων.

ΑΔΗΛΟΥ. Εἰ εὐνοῦχος ὁ Πεντεφρῆς, πῶς εὑρίσκεται γυναῖκα ἔχων; Ἀλλ' ὁ μὲν Σύρος, μιᾷ προσηγορίᾳ τόν τε σπάδοντα καὶ τὸν πιστὸν ἄνδρα λέγει τοῖς δεσπόταις· ὁ δὲ Ἑβραῖος, ἀληθῶς εὐνοῦχον, καὶ τοῦτον ἀπὸ τῆς πίστεως· ἐπειδὴ φιλεῖ τὸ τῶν εὐνούχων γένος μάλιστα πιστεύεσθαι τὰ τιμιώτερα τῶν κτημάτων, καὶ αὐτὴν τὴν τῶν βασιλέων σωτηρίαν. καὶ οὐδὲν θαυμαστὸν· ὅπου γε καὶ Ἀβραὰμ, καὶ
Ψαλ. 104. 15. Ἰσαὰκ, καὶ Ἰακὼβ, χριστοί. μὴ ἅπτεσθε
» γάρ φησι τῶν χριστῶν μου. λέγεται δὲ καὶ

Δ Κῦρος ὁ Πέρσης χριστός. οὕτως ἄρα καὶ Ἡσ. 45. 1.
τὴν τοῦ σπάδοντος ὁ ἀρχιμάγειρος προσηγορίαν εἶχε καὶ τότε, γυναῖκα ἔχων διὰ τὴν εὔνοιαν.

ΑΔΗΛΟΥ. Πῶς εὐνοῦχον εἶναι φήσας τὸν Πετεφρῆν, γυναῖκα τοῦτον εἶπεν ἔχειν; Οἶμαι τοίνυν ἐγὼ τῶν δύο τὸ ἕτερον. ἢ διὰ τὸ εὔνουν, εὐνοῦχον αὐτὸν καταχρηστικῶς προσειρῆσθαι, ἢ καὶ τῷ ὄντι τῶν μορίων ἐκτετμημένον, ἔχειν ἐν γαμετῆς τά-
E ξει τὸ γύναιον. ὃ δὴ καὶ ἐφ' ἡμῶν ἔγνωμεν ὑπὸ πολλῶν πολλάκις γινόμενον.

ΑΔΗΛΟΥ. Εἰ εὐνοῦχος ὁ Πετεφρῆς, πῶς εὑρίσκεται γυναῖκα ἔχων, τὴν τοῦ Ἰωσὴφ ἐρῶσαν; Ἀλλ' ἡ θεία Γραφὴ σπάδοντας καὶ εὐνούχους καλεῖ καὶ τοὺς μὴ ὄντας εὐνούχους· καὶ τὸν τόπον δὲ τούτων καὶ πίστιν ἐπέχοντας. ὥσπερ καὶ ὁ μακάριος Ἡσαΐας τοὺς περὶ Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας προφητικῶς σπάδοντας καλεῖ, λέ-
Z » γων τῷ Ἐζεκίᾳ· καὶ ἀπὸ τῶν υἱῶν σου τῶν Ἡσ. 39. 7.
» ἐξερχομένων ἀπὸ σοῦ, ὧν γεννήσεις, λή-
» ψονται ἀπὸ σοῦ, καὶ ποιήσουσι σπάδοντας
» ἐν τῷ οἴκῳ τοῦ βασιλέως Βαβυλωνίων. καὶ χριστοὺς ὁμοίως καλεῖ καὶ τοὺς μὴ ἔχοντας μὲν χρίσμα, τὴν δὲ τοῦ Χριστοῦ εὐσέβειαν κεκτημένους, ὡς ἐν τῷ ρδ' ψαλμῷ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀρχιμάγειρος ὁ παρασπιστής, καὶ οἷον σπαθάριος.

H β. Καὶ ἦν Κύριος μετὰ Ἰωσήφ· καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων· καὶ ἐγένετο ἐν τῷ οἴκῳ παρὰ τῷ κυρίῳ τῷ αἰγυπτίῳ.

ΓΕΝΝΑ-

ΓΕΝΝΑΔΙΟΥ. Ἦν δὲ Κύριος, φησὶ, μετὰ Ἰωσήφ· καὶ ἦν ἀνὴρ, φησὶν, ὧν ἐπετήδευεν εὐστοχῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ δὲ, ἦν ἀνὴρ ἐπιτυγχάνων, ὁ Σύρος κατευοδῶν ἔχει, ὡς μετ' ὀλίγα φησὶν, ἔγνω ὁ Κύριος αὐτοῦ, ὅτι ὁ Θεὸς εὐοδοῖ ὅσα ἂν ποιῇ· μᾶλλον δὲ, κατευθύνων, ἔχει, ὡς καὶ ἐπὶ τοῦ Σαμψών·
Κριτ. 14. 6. κατηύθυνεν ἐπ' αὐτὸν πνεῦμα Κυρίου. καὶ τοῦτο καὶ ἐνταῦθα οἰκειότερον.

ΔΙΟΔΩΡΟΥ. Ἦν γάρ φησιν ἀνὴρ ἐπιτυγχάνων, ἢ κατὰ τὸν Σύρον, κατευοδούμενος. οὐ γὰρ μόνον ὡς σοφὸς ἐπέβαλε τοῖς αἰνίγμασιν, ἀλλὰ καὶ οἷα ὑπὸ τοῦ Θεοῦ ὁδηγούμενος.

** ΩΡΙΓΕΝΟΥΣ. Καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων. ὡς ἐπὶ σκοπὸν βάλλων, ἔτεινε τὸ ἡγεμονικὸν ἑαυτοῦ, καὶ ἀεὶ ἐπετύγχανε. πολλαχοῦ δὲ κέχρηται τούτῳ ἡ Γραφή.

ΘΕΟΔΩΡΙΤΟΥ. Θῶμεν τὴν Λείαν, ὡς ἀτελῆ κατὰ τὴν εὐσέβειαν, εἰρηκέναι τὸ,
Γεν. 30. 11. εὐτύχηκα. καὶ πῶς ὁ ἱστοριογράφος τὰ κατὰ τὸν Ἰωσὴφ συγγράφων, εἶπε τὸ, ἦν ἀνὴρ ἐπιτυγχάνων; Ἀνάγνωθι τὸ προτεταγμένον ῥητὸν, καὶ εὑρήσεις τὴν λύσιν. εἰπὼν γὰρ, ἦν Κύριος μετὰ Ἰωσὴφ, ἐπήγαγε. καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων· καὶ προσέθηκε. καὶ ἐγένετο ἐν τῷ οἴκῳ παρὰ τῷ Κυρίῳ τῷ αἰγυπτίῳ. ᾔδει δὲ ὁ κύριος αὐτοῦ, ὅτι Κύριος μετ' αὐτοῦ, καὶ ὅσα ἂν ποιῇ, Κύριος εὐοδοῖ. οὐκοῦν εἰς ἅπαντα ἐπετύγχανεν, ἐπειδὴ Κύριος ἦν μετ' αὐτοῦ. αὐτὸς γὰρ εὐώδου τὰ παρ' αὐτοῦ γινόμενα. τοῦτο καὶ τὰ κατὰ τὸ δεσμωτήριον διηγούμενος ἔφη. πάντα γὰρ ἦν, φησὶ, διὰ χειρὸς Ἰωσήφ, διὰ τὸ τὸν Κύριον μετ' αὐτοῦ εἶναι. καὶ ὅσα αὐτὸς ἐποίει, Κύριος εὐώδου ἐν ταῖς χερσὶν αὐτοῦ.

γ. Ἤδει δὲ ὁ κύριος αὐτοῦ, ὅτι Κύριος μετ' αὐτοῦ ἐστὶ, καὶ ὅσα ἐὰν ποιῇ, Κύριος εὐοδοῖ ἐν ταῖς χερσὶν
δ. αὐτοῦ. Καὶ εὗρεν Ἰωσὴφ χάριν ἐναντίον τοῦ κυρίου αὐτοῦ, εὐηρέστει δὲ αὐτῷ· καὶ κατέστησεν αὐτὸν ἐπὶ τὸν οἶκον αὐτοῦ· καὶ πάντα ὅσα ἦν ἐν αὐτῷ, ἔδωκε διὰ χειρὸς Ἰωσήφ.

ε. Ἐγένετο δὲ μετὰ τὸ κατασταθῆναι αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ, καὶ ἐπὶ πάντα ὅσα ἦν αὐτῷ· καὶ εὐλόγησε Κύριος τὸν οἶκον τοῦ Αἰγυπτίου διὰ Ἰωσήφ· καὶ ἐγενήθη εὐλογία Κυρίου ἐν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ ἐν τῷ οἴκῳ, καὶ ἐν τῷ ἀγρῷ.

** ΩΡΙΓΕΝΟΥΣ. Διὰ τὸν ἅγιον ἐν οἴκῳ ὄντα Αἰγυπτίου, εὐλογεῖται ὁ οἶκος καὶ τὰ ὑπάρχοντα, καὶ ὁ ἀγρὸς τοῦ αἰγυπτίου. αὕτη δὲ οὐ πνευματικὴ εὐλογία.

A ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐμάνθανε λοιπὸν καὶ ὁ βάρβαρος, ὅτι τῶν ᾠκειωμένων ἐστὶ τῷ Θεῷ ὁ νομιζόμενος οἰκέτης.

ς. Καὶ ἐπέτρεψε πάντα ὅσα ἦν αὐτῷ εἰς χεῖρας Ἰωσήφ· καὶ οὐκ ᾔδει τῶν καθ' αὐτὸν οὐδὲν, πλὴν τοῦ ἄρτου, οὗ ἤσθιεν αὐτός· καὶ ἦν Ἰωσὴφ καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει
B σφόδρα.

** ΕΦΡΑΙΜ. Θεωρῶν Πετεφρὴς τὴν κατάστασιν τοῦ νέου, πολλήν τε ἐπισήμην καὶ εὐγνωμοσύνην, πάντα ἃ ἐκέκτητο διὰ χειρῶν Ἰωσὴφ δέδωκε τοῦ παγκάλου, ὡς γνησίου υἱοῦ· καὶ παντελῶς οὐκ ᾔδει τί ἐποίει Ἰωσὴφ ἐν πᾶσι πράγμασιν, οὔτε μέχρι ῥήματος, εἰ μὴ μόνον τὸν ἄρτον, ὃν ἤσθιεν ἐν τῇ ὥρᾳ. εἶδε γὰρ τὸν Ἰωσὴφ πάνυ ὄντα πιστὸν, μάλιστα πεῖραν λαβὼν, ὅτι
Γ ἐπληθύνοντο τὰ ὑπάρχοντα αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνος ἕνεκεν ἡμῖν τὴν εὐμορφίαν τοῦ σώματος διηγεῖται; Ἵνα μάθωμεν, ὅτι οὐ μόνον τῇ κατὰ ψυχὴν εὐμορφίᾳ ἦν καλὸς, ἀλλὰ καὶ τῷ σώματι. ἐν αὐτῷ γὰρ τῷ ἄνθει τῆς ἡλικίας νέος ἦν, καὶ καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει. ταῦτα δὲ προλαβοῦσα διηγεῖται περὶ αὐτοῦ ἡ θεία Γραφὴ, ἵνα διδάξῃ ἡμᾶς, ὡς ἁλοῦσα τῷ κάλλει τοῦ νεανίσκου
Δ ἡ Αἰγυπτία, πρὸς τὴν παράνομον ἐκείνην μίξιν αὐτὸν ἐκάλει.

ζ. Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, καὶ ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ τὸν Ἰωσήφ· καὶ εἶπε, κοιμήθητι μετ' ἐμοῦ.

E ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ ἐγένετο, φησὶ, μετὰ ταῦτα. τί ἐστι, μετὰ ταῦτα; Μετὰ τὸ πάσης τῆς οἰκίας τὴν ἐξουσίαν αὐτὸν ἐμπιστευθῆναι, καὶ μετὰ τὸ ἐν τοσαύτῃ εἶναι τιμῇ ἀξιωθῆναι παρὰ τοῦ δεσπότου.

η. Ὁ δὲ οὐκ ἤθελεν· εἶπε δὲ τῇ γυναικὶ τοῦ κυρίου αὐτοῦ· εἰ ὁ κύριός μου οὐ γινώσκει δι' ἐμὲ οὐδὲν ἐν τῷ
Z οἴκῳ αὐτοῦ, καὶ πάντα ὅσα ἐστὶν ἐν τῷ οἴκῳ αὐτοῦ ἔδωκεν εἰς τὰς χεῖ-
θ. ράς μου, Καὶ οὐχ ὑπερέχει ἐν τῇ οἰκίᾳ ταύτῃ οὐδὲν ἐμοῦ, οὐδὲ ὑπεξῄρηται ἀπ' ἐμοῦ οὐδὲν, πλὴν σοῦ διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι· καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ;

H ** ΠΡΟΚΟΠΙΟΥ. Ἔοικε δὲ Ἰωσὴφ ἔνδον ἔχων τὴν τῆς νεότητος φλόγα, δι' ἣν καὶ μᾶλλον θαυμάζεται, καὶ ἔξωθεν τῆς Αἰγυπτίας τὰς προσβολὰς, οὐχ ὑπὲρ ἑαυτοῦ τότε μόνον, ἀλλὰ καὶ ὑπὲρ ἐκείνης ἀλγεῖν,

ἀλγεῖν, πρὸς τοσοῦτον κρημνὸν ἐπειγομένης ἐλθεῖν. καὶ τοῦτο δῆλον ἐκ τῆς τῶν ῥημάτων ἐπιεικείας ἐχόντων δύναμιν συμβουλῆς. οὐδὲν γὰρ ἔφη τραχὺ πρὸς αὐτήν· καίπερ εἰδὼς, ὅτι πλὴν τοῦ μὴ τυχεῖν, πάντα φέρει ῥᾳδίως διὰ τὸν ἔρωτα· ἀλλ' εὐσεβείας αὐτὴν καὶ δικαιοσύνης ὑπέμνησε. τὴν μὲν, ἐξ ὧν εὖ πάσχει παρὰ τοῦ δεσπότου· τὴν δὲ, ἐξ ὧν Θεὸς ἐφορᾷ ὁ καὶ τῶν λανθανόντων κριτής· ἅμα δὲ καὶ ταπεινῶς ὑπεμφαίνων, ὅτι μὴ ὡς φιλόσοφρων ἠρνήσατο τὴν πρᾶξιν, ἀλλ' ὡς πιστὸς καὶ θεοσεβής.

ι. Ἡνίκα δὲ ἐλάλει τῷ Ἰωσὴφ ἡμέραν ἐξ ἡμέρας, καὶ οὐχ ὑπήκουσεν αὐτῇ καθεύδειν μετ' αὐτῆς, τοῦ συγγενέσθαι αὐτῇ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἵνα μάθωμεν τὴν ὑπερβάλλουσαν τοῦ δικαίου ἀρετὴν, καὶ ὅτι οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ καὶ πολλάκις τὸν ἀγῶνα τοῦτον ὑπέμεινε, καὶ τῆς λέξεως ταύτης ἀπείχετο, καὶ συμβουλεύων
» οὐκ ἐπαύσατο, φησὶν ἡ Γραφή· ἡνίκα δὲ
» ἐλάλει ἡμέραν ἐξ ἡμέρας, καὶ οὐχ ὑπήκου-
» σεν αὐτῆς.

ια. Ἐγένετο δὲ τοιαύτη τὶς ἡμέρα, καὶ εἰσῆλθεν Ἰωσὴφ εἰς τὴν οἰκίαν ποιεῖν τὰ ἔργα αὐτοῦ, καὶ οὐδεὶς ἦν τῶν ἐν τῇ οἰκίᾳ ἔσω.

ιβ. Καὶ ἐπεσπάσατο αὐτὸν τῶν ἱματίων, λέγουσα, κοιμήθητι μετ' ἐμοῦ. καὶ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς, ἔφυγε καὶ ἐξῆλθεν ἔξω.

ΚΥΡΙΛΛΟΥ. Ἔτι μὲν γὰρ νέος ἦν, καὶ ἐν ἐφήβοις τελῶν. εἰκοσὸν γὰρ ἔτος ἦγεν, ἡνίκα παρὰ τῆς Αἰγυπτίας πρὸς τὸ ἀσελγὲς ἐξεκαλεῖτο, καὶ σὺν βίᾳ πολλῇ συνωθεῖτο εἴς γε τὸ θελῆσαι δρᾷν ἃ μὴ θέμις. ἡ μὲν γὰρ ἐνῆπτο τῶν ἱματίων ἀπρίξ τε καὶ ἀναιδῶς, καὶ εἰς ἀνεθέλητον ἁμαρτίαν οὐ μετρίως κατεβιάζετο· ὁ δὲ καὶ αὐτὸ τὸ ἱμάτιον ἀφεὶς, μαχλώσης ἀγρίας ἀπηλλάττετο, καὶ ἀνάλωτος ἦν τῷ πάθει. σεσυκοφάντηται δὲ μετὰ τοῦτο, περιτρέποντος εἰς αὐτὸν τοῦ γυναίου τὰ ἐγκλήματα· καὶ ἐν αἰτίαις αἰσχρότητος ὁ σώφρων τε καὶ φιλελεύθερος ἦν.

ΕΥΣΤΑΘΙΟΥ. Θεῖος οὐδέπω νόμος προὐγράφη, οὐ μοιχεύσεις. Ἰωσὴφ δὲ ἑαυτῷ συντηρῆσαι νόμον ἐπειράθη, ὑπερβολῇ σωφροσύνης ἀσκούμενος.

ΑΔΗΛΟΥ. Θαύματος ἄξιος Ἰωσὴφ ἐν αὐτῇ τῇ τῆς ἡλικίας ἀκμῇ· εἰκοσὸν γὰρ ἦγεν ἔτος· καταγωνισάμενος τῶν μαγγανευμάτων τοῦ ἀθλίου γυναίου.

ΕΥΣΕΒΙΟΥ. Μιμεῖται πάλιν τοῦ Χριστοῦ τὸ σῶμα. κατεσχέθη ὑπὸ τῆς γυναικὸς ὁ Ἰωσήφ· ὁ Σωτὴρ κατέχεται ὑπὸ τοῦ

A θανάτου πρὸς βραχύ. ἀλλ' Ἰωσὴφ ἀπεδύσατο τὰ ἱμάτια, καὶ προσέῤῥιψε τῇ ἀκολάστῳ· ὁ δὲ Σωτὴρ ἀναστὰς, τὰ ἱμάτια ἀπεδύσατο, καὶ προσέῤῥιψε τῷ τάφῳ.

ιγ. Καὶ ἐγένετο ὡς εἶδεν ὅτι κα-
τέλιπε τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερ-
σὶν αὐτῆς, ἔφυγε καὶ ἐξῆλθεν ἔξω.
ιδ. Καὶ ἐκάλεσε τοὺς ὄντας ἐν τῇ οἰκίᾳ·
καὶ εἶπεν αὐτοῖς, λέγουσα, ἴδετε,
B εἰσήγαγεν ἡμῖν παῖδα Ἑβραῖον ἐμ-
παίζειν ἡμῖν· καὶ εἰσῆλθε πρός με,
λέγων, κοιμήθητι μετ' ἐμοῦ· καὶ ἐ-
ιε. βόησα φωνῇ μεγάλῃ. Ἐν δὲ τῷ
ἀκοῦσαι αὐτὸν, ὅτι ὕψωσα τὴν φω-
νήν μου καὶ ἐβόησα, καταλιπὼν τὰ
ἱμάτια αὐτοῦ παρ' ἐμοὶ, ἔφυγε καὶ
ιϛ. ἐξῆλθεν ἔξω. Καὶ καταλιμπάνει
τὰ ἱμάτια παρ' ἑαυτῇ, ἕως ἦλθεν
ιζ. ὁ κύριος αὐτοῦ. Καὶ ἐλάλησεν αὐτῷ
κατὰ τὰ ῥήματα ταῦτα, λέγουσα,
εἰσῆλθε πρός με ὁ παῖς ὁ Ἑβραῖος,
ὃν εἰσήγαγες πρὸς ἡμᾶς, ἐμπαῖξαί
μοι· καὶ εἶπέ μοι, κοιμηθήσομαι με-
ιη. τὰ σοῦ. Ὡς δὲ ἤκουσεν, ὅτι ὕψωσα
τὴν φωνὴν καὶ ἐβόησα, κατέλιπε τὰ
ἱμάτια αὐτοῦ παρ' ἐμοὶ, καὶ ἔφυγε
ιθ. καὶ ἐξῆλθεν ἔξω. Ἐγένετο δὲ ὡς
ἤκουσεν ὁ κύριος αὐτοῦ τὰ ῥήματα
τῆς γυναικὸς αὐτοῦ, ὅσα ἐλάλησε
πρὸς αὐτὸν, λέγουσα, οὕτως ἐποίησέ
μοι ὁ παῖς σου· καὶ ἐθυμώθη ὀργῇ.

κ. Καὶ λαβὼν ὁ κύριος Ἰωσὴφ,
ἐνέβαλεν αὐτὸν εἰς τὸ ὀχύρωμα, εἰς
τὸν τόπον, ἐν ᾧ οἱ δεσμῶται τοῦ βα-
E σιλέως κατέχονται ἐκεῖ ἐν τῷ ὀχυ-
ρώματι.

** ΙΣΙΔΩΡΟΥ. Μηδὲ λόγου μεταδοὺς, ὅπερ τινὲς αἰτιῶνται, εἰς δεσμωτήριον ἐνέβαλεν, οὐ βαρβαρικὸν σφάλμα σφαλόμενος, ὡς οἴονταί τινες· ἢ γὰρ ἂν αὐτὸν καὶ κατέσφαξεν, ἢ γοῦν τοῖς νόμοις παραδέδωκε, τῆς κατηγορίας σφαγὴν ὠδινούσης· ἀλλ' ἐκ τοῦ εἰκότος ἴσως ἐννοήσας. ὅτι ἐρῶσα
Z καὶ ἐπιμανεῖσα αὐτῷ, ἀποτυχοῦσα τῆς θήρας, τὴν κατηγορίαν ἐνεστήσατο. καὶ εἰ μεταδοίη λόγον τῷ νέῳ, οὐ μόνον ἀπελύσατο τὴν γραφὴν, ἀλλὰ καὶ εἰς τὴν γραψαμένην ἀντιπεριστήσει τὸ ἔγκλημα. μᾶλλον δ' ὅπερ εἰπεῖν ἀληθέστερον, τοῦ βραβεύοντος τῆς σωφροσύνης τὴν ὀργὴν τοῦ ἀνδρὸς κατευνάσαντος, καὶ στήλην σεμνότητος τῷ βίῳ ἐγείραντος, καὶ τοῖς ἀδελφοῖς λιμώττουσι τροφέα τηρήσαντος, καὶ τῇ Αἰ-
H γύπτῳ ἄρχοντα χειροτονήσαντος.

ΑΔΗΛΟΥ. Καὶ μετὰ τὴν τῆς σωφροσύνης ἐπίδειξιν συνεχώρησεν ὁ Θεὸς καὶ ἐδεσμεύθη· καὶ οὐδὲ οὕτως ἤλεγξε τὴν ἄδικον τῆς γυναικὸς ἐπιβουλήν.

ΕΥΣΕΒΙΟΥ. Ἐμβάλλεται Ἰωσὴφ εἰς τὸ δεσμωτήριον, ἐπειδὴ καὶ ὁ Χριστὸς εἰς τὸν τάφον ἦν.

** ΕΦΡΑΙΜ. Ἐπειδὴ ἁμαρτίαν ἐνίκησεν Ἰωσὴφ, ἐν τῇ φρουρᾷ τίθεται μέχρις ὥρας σέμματος· οὕτω καὶ ὁ Κύριος ἡμῶν, ἵνα ἄρῃ πᾶσαν ἁμαρτίαν τοῦ κόσμου, ἐν τῷ μνήματι τίθεται.

κα. Καὶ ἦν Κύριος μετὰ Ἰωσὴφ, καὶ κατέχεεν αὐτοῦ ἔλεος· καὶ ἔδωκεν αὐτῷ χάριν ἐναντίον τοῦ ἀρχιδεσμοφύλακος.

** ΕΦΡΑΙΜ. Ἰωσὴφ ἐν τῇ φρουρᾷ διετῆ χρόνον ἐποίησε, διατρίψας ἐκεῖσε ἐν ἀδείᾳ μεγάλῃ· ὁ δὲ Κύριος ἡμῶν τρεῖς ἡμέρας ἐν ᾅδῃ ἔμεινεν, ὡς δυνατὸς μὴ ὑπομείνας φθοράν.

κβ. Καὶ ἔδωκεν ὁ ἀρχιδεσμοφύλαξ τὸ δεσμωτήριον διὰ χειρὸς Ἰωσὴφ, καὶ πάντας τοὺς ἀπηγμένους ὅσοι ἐν τῷ δεσμωτηρίῳ, καὶ πάντα ὅσα ποιοῦσιν ἐκεῖ αὐτὸς ἦν ποιῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Πανταχοῦ τὴν τοῦ κρατεῖν ἐδείκνυεν ἐπιτηδειότητα. κρείττων ἀδελφῶν γεγονὼς, καὶ μετὰ τὸν δεσπότην τῆς οἰκίας τῆς ἐκείνου κρατῶν· καὶ ἐν τῷ δεσμωτηρίῳ, σώματι μὲν δουλεύων τῷ δεσμοφύλακι, ψυχῇ δὲ κρατῶν.

ΕΥΣΕΒΙΟΥ. Ἄρχων τῶν δεσμωτῶν Ἰωσὴφ, ἐπειδὴ καὶ ζώντων καὶ νεκρῶν βασιλεύει Χριστός.

A κγ. Οὐκ ἦν ὁ ἀρχιδεσμοφύλαξ τοῦ δεσμωτηρίου γινώσκων, δι' αὐτὸν οὐθέν· πάντα γὰρ ἦν διὰ χειρὸς Ἰωσὴφ, διὰ τὸ τὸν Κύριον μετ' αὐτοῦ εἶναι· καὶ ὅσα ἂν αὐτὸς ἐποίει, ὁ Κύριος εὐώδου ἐν ταῖς χερσὶν αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Πλὴν ἐκράτει τοῦ δεσμωτηρίου φησί. γέγονε δὲ κρατῶν καὶ ἐν
B τοῖς ἔθνεσιν ὁ Χριστὸς, ὡς ἐν προσώπῳ φημὶ τῶν ἁγίων Ἀποστόλων. οἳ καὶ τὰ Γαλ. 6. 17.
» στίγματα αὐτοῦ περιφέρειν ἔφασκον ἐν ἰδίῳ σώματι. παρῃτοῦντο μέντοι συσχηματίζεσθαι τοῖς τὰ τοῦ κόσμου φρονεῖν αἱρουμένοις, ἀπωτάτω δὲ ἦσαν σαρκικῶν ἐπιθυμιῶν. τοιοῦτος γὰρ τῶν ἁγίων ὁ δῆμος. ἀλλ' ἐπεβουλεύοντο διὰ τοῦτο, καὶ δὴ καὶ συκοφαντούμενοι παρὰ τῶν εἰωθότων ἡγεῖσθαι φορτικοὺς τοὺς ἐν Χριστῷ ζῆν ἐθέλοντας, πειρασμοῖς περιπεπτώκασι, δεσμῶται γεγό-
Γ νασι, καὶ τὰ λοιπὰ ὑπέμειναν δυσχερῆ· πλὴν καὶ ἐν αὐτοῖς ἐπλατύνοντο τοῖς πόνοις, τῆς τοῦ Θεοῦ χάριτος τὰ λυπηρὰ ἐξημερούσης αὐτοῖς, οὓς ἦν μάλιστα διαπονήσειν εἰκός. ἐπεγάννυτο γὰρ, ὡς ἔφην, ὁ δεσμοφύλαξ τῷ Ἰωσήφ.

ΑΔΗΛΟΥ. Πάντα τύπος ἦν τοῦ Χριστοῦ τὰ εἰς τὸν Ἰωσήφ. ἡ γυνή, ἀντὶ τοῦ θανάτου· τὸ δεσμωτήριον, ἀντὶ τοῦ τάφου· τὸ
Δ αὐτὸν κύριον εἶναι τῶν δεσμωτῶν, ὥσπερ τὸν Χριστὸν νεκρῶν καὶ ζώντων, καὶ ὅσα ἄλλα.

ΚΕΦ. Μ.

α. Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα, ἥμαρτεν ὁ ἀρχιοινοχόος τοῦ βασιλέως Αἰγύπτου, καὶ ὁ ἀρχισιτοποιὸς τῷ κυρίῳ αὐτῶν βασιλεῖ Αἰγύπτου.

** ΩΡΙΓΕΝΟΥΣ. Νομίζω ὅτι τὸ ἀνάλογον τῷ, ἥμαρτον βασιλεῖ Αἰγύπτου, λέγοιτ' ἂν περὶ τῶν μαρτύρων, ὅτι τῷ νοητῷ βασιλεῖ τῆς Αἰγύπτου οὗτοι ἁμαρτάνουσιν, ἀλλ' οὐ τῷ Θεῷ. εἰς γὰρ τὸν τοῦ κόσμου νόμον δοκοῦσιν ἁμαρτάνειν, ἐναντίον ὄντα τῷ νόμῳ τοῦ Θεοῦ.

β. Καὶ ὠργίσθη ἐπὶ τοῖς δυσὶν εὐνούχοις αὐτοῦ, ἐπὶ τῷ ἀρχιοινοχόῳ, καὶ
γ. ἐπὶ τῷ ἀρχισιτοποιῷ. Καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ παρὰ τῷ δεσμοφύλακι εἰς τὸ δεσμωτήριον, εἰς τὸν τόπον, οὗ Ἰωσὴφ ἀπῆκτο ἐκεῖ.

δ. Καὶ συνέστησεν ὁ Ἀρχιδεσμώτης τῷ Ἰωσὴφ αὐτούς· καὶ παρέστη αὐτοῖς. ἦσαν δὲ ἡμέρας ἐν τῇ φυλακῇ πλείους.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι τὸ, παρέστη αὐτοῖς; Ἀντὶ τοῦ, παρεμυθεῖτο, ἐθάρ-
E » ρου αὐτῶν τὸν λογισμὸν, διήγειρεν αὐτῶν τὴν διάνοιαν, οὐ συνεχώρει καταποθῆναι ὑπὸ τῆς ἀθυμίας.

ε. Καὶ εἶδον ἀμφότεροι ἐνύπνιον, ἑκάτεροι ἐνύπνιον ἐν μιᾷ νυκτί. ὅρασις τοῦ ἐνυπνίου τοῦ ἀρχιοινοχόου καὶ ἀρχισιτοποιοῦ, οἳ ἦσαν τῷ βασιλεῖ Αἰγύπτου, οἱ ὄντες ἐν τοῖς δεσμωτη-
ϛ. ρίοις. Εἰσῆλθε δὲ πρὸς αὐτοὺς Ἰωσὴφ τὸ πρωῒ, καὶ εἶδεν αὐτοὺς, καὶ ἦσαν τεταραγμένοι.

ζ. Καὶ ἠρώτα τοὺς εὐνούχους Φαραὼ, οἳ ἦσαν μετ' αὐτοῦ ἐν τῇ φυλακῇ παρὰ τῷ κυρίῳ αὐτοῦ, λέγων, τί ὅτι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ σήμερον;

H ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς καὶ ἐν δεσμωτηρίῳ τυγχάνων, τὴν οἰκείαν ἀρετὴν ἐπεδείκνυτο, καὶ τὰς ἀθυμίας ἑτέροις ἐπικουφίζειν ἐσπούδαζεν.

η. Οἱ

η. Οἱ δὲ εἶπαν αὐτῷ, ἐνύπνιον εἴδομεν, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτῷ. εἶπε δὲ Ἰωσὴφ, οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστί; διηγήσασθε οὖν μοι.

ΑΔΗΛΟΥ. Θαυμαστὸς καὶ πιστὸς ὁ Ἰωσήφ. οὐ γὰρ ἀπὸ τῶν οἰκείων ἐνυπνίων ἀπελπίσας τὰ ἀλλότρια ἐξουδένωσεν· ἀλλ' ἑρμηνεύει, καὶ ἀπεκδέχεται τὰ οἰκεῖα θεάματα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα σύνεσιν, καὶ ταπεινοφροσύνης ὑπερβολήν. οὐκ εἶπεν, ὅτι ἐγὼ ὑμῖν διακρίνω, ἐγὼ ὑμῖν λέγω τῶν ὀνειράτων τὴν ἔκβασιν, ἀλλὰ τί; » διηγήσασθε οὖν μοι. Θεὸς γάρ ἐστι μόνος ὁ τὰ τοιαῦτα ἀποκαλύπτων.

θ. Καὶ διηγήσατο ὁ ἀρχιοινοχόος
τὸ ἐνύπνιον αὐτοῦ τῷ Ἰωσήφ· καὶ εἶ-
πεν, ἐν τῷ ὕπνῳ μου ἦν ἄμπελος ἐναν-
ι. τίον μου. Ἐν δὲ τῇ ἀμπέλῳ τρεῖς
πυθμένες, καὶ αὐτὴ θάλλουσα ἀνε-
νηνοχυῖα βλαστούς· πέπειροι οἱ βό-
ια. τρυες σταφυλῆς. Καὶ τὸ ποτήριον
Φαραὼ ἐν τῇ χειρί μου· καὶ ἔλαβον
τὴν σταφυλήν, καὶ ἐξέθλιψα αὐτὴν
εἰς τὸ ποτήριον Φαραὼ, καὶ ἔδωκα
τὸ ποτήριον εἰς τὴν χεῖρα Φαραώ.
ιβ. Καὶ εἶπεν αὐτῷ Ἰωσήφ, τοῦτο ἡ σύγ-
κρισις αὐτοῦ. οἱ τρεῖς πυθμένες, τρεῖς
ιγ. ἡμέραι εἰσίν. Ἔτι τρεῖς ἡμέραι, καὶ
μνησθήσεται Φαραὼ τῆς ἀρχῆς σου, καὶ ἀποκαταστήσει σε ἐπὶ τὴν ἀρχὴν τῆς οἰνοχοΐας σου, καὶ δώσεις τὸ ποτήριον Φαραὼ εἰς τὴν χεῖρα αὐτοῦ κατὰ τὴν ἀρχήν σου τὴν προτέραν, ὡς ἦσθα οἰνοχοῶν.

ιδ. Ἀλλὰ μνήσθητί μου διὰ σεαυτοῦ, ὅταν εὖ γένηταί σοι· καὶ ποιήσεις ἐν ἐμοὶ ἔλεος· καὶ μνησθήσῃ περὶ ἐμοῦ πρὸς Φαραὼ, καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος τούτου.

** ΠΡΟΚΟΠΙΟΥ. Δύο ἔτη ἕτερα, φασὶν, ἐν τῷ δεσμωτηρίῳ πεποιηκέναι τὸν Ἰωσήφ, ἐπειδὴ καταλιπὼν τὴν τοῦ Θεοῦ βοήθειαν, ἐπὶ τῷ οἰνοχόῳ τὴν ἐλπίδα πεποίηται, τὴν αὐτοῦ προστασίαν αἰτῶν. ψευδὲς δὲ τοῦτο. γέγονε γὰρ οἰκονομικῶς, ὡς ἂν λύσας τῷ Φαραὼ τὰ ἐνύπνια, πρὸς βασιλείαν ἐξέλθῃ.

ιε. Ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων· καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ' ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον.

» ΑΔΗΛΟΥ. Ὅτι κλοπῇ ἐκλάπην, ἀντὶ τοῦ εἰς ἔργον αἰγύπτιον ἐπὶ κακίᾳ.

A * ΠΡΟΚΟΠΙΟΥ. Τῇ πίστει προλαμβάνει τὸ μέλλον. οὔπω γὰρ ἦν ἡ γῆ αὐτὴ τῶν Ἑβραίων.

** ΩΡΙΓΕΝΟΥΣ. Τὸ μηδὲν ἐπιχωρίων Αἰγυπτίων ποιεῖν αἰνίσσεται διὰ τοῦ, » ὧδε οὐκ ἐποίησα οὐδέν. Αἰγυπτίων δὲ ἔργον ἦν καὶ τὸ συνελθεῖν τῇ τοῦ κυρίου γυναικί.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ταῦτα ἀκούοντες B παιδευώμεθα, ἐπειδάν τισι τοιούτοις περιπέσωμεν, μὴ ἐκείνους σπουδάζειν περιβάλλειν λοιδορίαις, καὶ τὴν γλῶσσαν ἀκονᾷν κατὰ τῆς ἑτέρων κατηγορίας, ἀλλὰ μόνον πράως καὶ ἡμέρως ἑαυτοὺς ἀνευθύνους δεικνύναι, καὶ μιμεῖσθαι τὸν θαυμάσιον τοῦτον, ὅτι οὐδὲ ἐν συμφορᾷ ὤν, κατεδέξατο κἂν μέχρι ῥημάτων ἐκπομπεῦσαι τῆς Αἰγυπτίας τὴν ἀσέλγειαν.

Γ ις. Καὶ εἶδεν ὁ ἀρχισιτοποιὸς, ὅτι ὀρθῶς συνέκρινε· καὶ εἶπε τῷ Ἰωσήφ, κἀγὼ εἶδον ἐνύπνιον· καὶ ᾤμην τρία κανᾶ χονδριτῶν αἴρειν ἐπὶ τῆς κεφαλῆς μου.

ΑΚΥΛΑΣ. Τρεῖς κοφίνους γύρεως.

ΣΥΜΜΑΧΟΣ. Τρία κανᾶ βάϊνα.

Δ ιζ. Ἐν δὲ τῷ κανῷ τῷ ἐπάνω, ἀπὸ πάντων τῶν γενῶν, ὧν ὁ βασιλεὺς Φαραὼ ἐσθίει ἔργον σιτοποιοῦ· καὶ τὰ πετεινὰ κατήσθιον αὐτὰ ἀπὸ τοῦ κανοῦ τοῦ ἐπάνω τῆς κεφαλῆς μου.

ιη. Ἀποκριθεὶς δὲ Ἰωσὴφ, εἶπεν αὐτῷ, αὕτη ἡ σύγκρισις αὐτοῦ. τὰ τρία κανᾶ, τρεῖς ἡμέραι εἰσίν.

** ΩΡΙΓΕΝΟΥΣ. Καὶ ἀνωτέρω εἴρηται, E » οἱ τρεῖς πυθμένες, τρεῖς ἡμέραι εἰσίν. » οὐκοῦν τὸ, τρεῖς ἡμέραι καὶ διὰ πυθμένων, καὶ διὰ κανῶν παρίσταται· συγχρησαμένης προνοίας εἰς παράστασιν τριῶν ἡμερῶν οἰκείοις παραδείγμασι τοῦ ἑκατέρου βίου. τοιαῦτα δ' ἂν εὕροις καὶ ἐν ταῖς λοιπαῖς Γραφαῖς· τὸ αὐτὸ δηλούμενον ἀπὸ διαφόρων εἶναι δοκούντων παραδειγμάτων.

Z ιθ. Ἔτι τριῶν ἡμερῶν, ἀφελεῖ Φαραὼ τὴν κεφαλήν σου ἀπὸ σοῦ· καὶ κρεμάσει σε ἐπὶ ξύλου, καὶ φάγεται τὰ ὄρνεα τοῦ οὐρανοῦ τὰς σάρκας ἀπὸ σοῦ.

κ. Ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ, ἡμέρᾳ γενέσεως ἦν Φαραὼ, καὶ ἐποίει πότον πᾶσι τοῖς παισὶν αὐτοῦ· καὶ ἐμνήσθη τῆς ἀρχῆς τοῦ ἀρχιοινοχόου, H καὶ τῆς ἀρχῆς τοῦ ἀρχισιτοποιοῦ ἐν μέσῳ τῶν παίδων αὐτοῦ.

** ΩΡΙΓΕΝΟΥΣ. Τῶν μὲν πρὸ ἡμῶν ἐτήρησέ τις, ὅτι φαῦλός ἐστιν ὁ τὰ γενέ-

A σεως τιμῶν πράγματα, καὶ τὴν ἡμέραν τῆς γενέσεως αὐτοῦ ἀποδεχόμενος. ἡμεῖς δὲ βεβαιοῦμεν τὴν διήγησιν, καὶ ἐπὶ τοῦ Ἡρώδου τὸ παραπλήσιον εὑρόντες, ὅτε καὶ ἡ θυγάτηρ Ἡρωδιάδος ὠρχήσατο, καὶ ἀπετμήθη ἡ Ἰωάννου κεφαλή.

* ΤΟΥ ΑΥΤΟΥ. Οὐδαμοῦ δίκαιος φαίνεται γενεθλίων ἄγων ἡμέραν.

κα. Καὶ ἀπεκατέστησε τὸν ἀρχιοινοχόον ἐπὶ τὴν ἀρχὴν αὐτοῦ· καὶ ἔδωκε τὸ ποτήριον εἰς τὰς χεῖρας Φαραώ.

κβ. Τὸν δὲ ἀρχισιτοποιὸν ἐκρέμασε, καθὰ συνέκρινεν αὐτοῖς Ἰωσήφ.

κγ. Οὐκ ἐμνήσθη δὲ ὁ ἀρχιοινοχόος τοῦ Ἰωσὴφ, ἀλλ' ἐπελάθετο αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ τοῦτο οἰκονομικῶς, ὡς ἂν εὐκαίρως αὐτοῦ μνησθῇ, ὅταν
B ὁ καιρὸς φθάσῃ τῆς βασιλείας αὐτοῦ.

ΚΕΦ. ΜΑ.

α. Ἐγένετο δὲ μετὰ δύω ἔτη ἡμερῶν, Φαραὼ εἶδεν ἐνύπνιον. ᾤετο ἑστάναι ἐπὶ τοῦ ποταμοῦ.

ΩΡΙΓΕΝΟΥΣ. Ὁ ἐπὶ τοῖς ῥευστοῖς καὶ ἀβεβαίοις πεποιθὼς, ᾤετο ἐπὶ τοῦ ποταμοῦ ἑστάναι· ἀφ' οὗ τὰ δοκοῦντα εὐδαιμονικὰ εἶναι ἀναβαίνει, ὅτε καὶ οἱ βόες αὐτοῦ παχεῖς εἰσίν. ἀλλὰ πάντως κατεσθίεται ταῦτα ὑπὸ τῶν χειρόνων. πρὸς δὲ τὸ,
Γεν. 37. 7, 9. ᾤετο συγκρινεῖς τὸ, ᾤμην ὑμᾶς δεσμεύειν
„ δράγματα. ἐπὶ δὲ τοῦ ἑτέρου ἐνυπνίου
„ ὥσπερ, φησὶν, ὁ ἥλιος καὶ ἡ σελήνη καὶ
„ ἕνδεκα ἀστέρες προσεκύνουν μοι. πάλιν-
Γεν. 40. 9, 16. τε αὖ, ὁ μὲν ἀρχιοινοχόος ἐν τῷ ὕπνῳ
„ μου, φησὶν, ἦν ἄμπελος, καὶ τὰ ἑξῆς·
„ ὁ δὲ ἀρχισιτοποιὸς, ᾤμην τρία κανᾶ χον-
„ δριτῶν αἴρειν ἐπὶ τῆς κεφαλῆς μου, καὶ
τὰ ἑξῆς.

* ΤΟΥ ΑΥΤΟΥ. Τὸ μὲν διηγηματικὸν τῆς Γραφῆς πρόσωπόν φησιν, „ ᾤετο ἑστάναι ἐπὶ τοῦ ποταμοῦ, „ οὐ παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ· „ ὁ δὲ Φαραὼ φησιν, ᾤμην ἑστάναι παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ, οὐκ ἐπὶ τοῦ ποταμοῦ. τὰ μέντοιγε ἐν Αἰγύπτῳ πράγματα, ἤτοι τὰ ἐν τοῖς κοσμικοῖς ἀπὸ χρηστοτέρων ἀρχόμενα, ὧν σύμβολον ἡ εὐθηνία, εἰς πικρότερον καταλήγει, ὧν ἡ εὐθηνία καὶ ὁ λιμὸς τύπος. τοιοῦτον δέ ἐστι καὶ ἐπὶ τοῦ κατὰ τὸν πλούσιον λόγου θεωρῆσαι. οἱονεὶ [γὰρ] τὰ ἑπτὰ ἔτη τῆς εὐθηνίας [τὴν] αὐτῷ ἀπολαμβάνοντι τὰ ἀγαθὰ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ, ἐνδεδυμένῳ πορφύραν λαμπρῶς. λήγει δὲ αὐτῷ εἰς τὰ ἐναντία, ἀπολαμβάνοντι τὰ κακὰ μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν. τοιαῦτα δ' ἂν ἴδοις καὶ ἐπὶ τῶν τὴν πλατεῖαν καὶ εὐρύχωρον ὁδευόντων, ὧν τὸ τέλος ἀπώλεια. οἷς δὲ ἀρχὴ τὸ στενὸν καὶ τεθλιμ-
Λουκ. 6. 25. μένον, τὸ τέλος ζωή. διὸ, οὐαὶ τοῖς ἐμπε-
„ πλησμένοις, ὅτι πεινάσουσι· καὶ τοῖς γε-
Ματθ. 5. 4. λῶσιν, ὅτι κλαύσουσι. μακάριοι οἱ πεν-
„ θοῦντες καὶ κλαίοντες, ὅτι αὐτοὶ παρα-
„ κληθήσονται.

Γ **β.** Καὶ ἰδοὺ ὥσπερ ἐκ τοῦ ποταμοῦ ἀνέβαινον ἑπτὰ βόες, καλαὶ τῷ εἴδει, καὶ ἐκλεκταὶ ταῖς σαρξὶ, καὶ ἐβόσκοντο ἐν τῷ ἄχει.

ΑΔΗΛΟΥ. Ἄχος ἐστὶ τὸ λεπτὸν καὶ βοτανῶδες φυτάριον.

* ΩΡΙΓΕΝΟΥΣ. Τοῦ Φαραὼ τὰ ἐνύπνια βόες ἦσαν καὶ στάχυες. δι' ὧν [γὰρ] ἡ γῆ γεωργεῖται καὶ ἅπερ φέρει, προσημαντικὰ εὐθηνίας τε καὶ ἀφορίας [ἐγένετο τῷ βασιλεῖ.]

Δ **γ.** Ἄλλαι δὲ ἑπτὰ βόες ἀνέβαι-
νον μετὰ ταύτας ἐκ τοῦ ποταμοῦ,
αἰσχραὶ τῷ εἴδει, καὶ λεπταὶ ταῖς
σαρξὶ, καὶ ἐνέμοντο παρὰ τὰς βόας
δ. ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ. Καὶ
κατέφαγον αἱ ἑπτὰ βόες αἱ αἰσχραὶ
καὶ λεπταὶ ταῖς σαρξὶ τὰς ἑπτὰ
βόας τὰς καλὰς τῷ εἴδει, καὶ τὰς
E ἐκλεκτάς· καὶ οὐ διάδηλοι ἐγένοντο,
ὅτι εἰς τὰς κοιλίας αὐτῶν εἰσῆλθον.
ἠγέρθη δὲ Φαραώ.

ε. Καὶ ἐνυπνιάσθη τὸ δεύτερον·
καὶ ἰδοὺ ἑπτὰ στάχυες ἀνέβαινον ἐν
ϛ. πυθμένι ἑνὶ ἐκλεκτοὶ καὶ καλοί. Ἄλ-
λοι δὲ ἑπτὰ στάχυες λεπτοὶ καὶ ἀνε-
μόφθοροι ἀνεφύοντο μετ' αὐτούς.

Z * ΩΡΙΓΕΝΟΥΣ. Ὁ μὲν Ἰωσὴφ οὐ στάχυας, ἀλλὰ δράγματα [εἶδεν· ὁ δὲ Αἰγύπτιος, οὐ δράγματα, ἀλλὰ στάχυας. καὶ πάλιν ὁ [μὲν] ἀρχιοινοχόος, τοὺς τρεῖς πυθμένας βλέπει, εἰς τρεῖς ἡμέρας· ὁ δὲ βασιλεὺς, τοὺς ἐν πυθμένι ἑνὶ ἑπτὰ στάχυας εἰς τὸ συνημμένον τῶν ἑπτὰ ἐτῶν. καὶ γίνεται τοῦ ἑνὸς ὀνόματος, τοῦ πυθμένος, διάφορος ἡ ἑρμηνεία. ἐάν ποτε οὖν ὅπως τὶς (1) διηγεῖται τὴν Γραφὴν, μὴ
H δοκείτω ἔτι βιάζεσθαι αὐτήν. καὶ ἔτι τηρητέον, ὅτι ἐπὶ μὲν τῆς εὐθηνίας, ἑπτὰ στάχυες ἑώρανται ἀναβαίνοντες ἐν πυθ-
μένι

(1) Εἴποτε οὖν ἄλλως τίς. α' Τόμ. 2. σελ. 45. τῆς τοῦ Ῥουαίου ἐκδόσ.

μένι ἑνί· ἐπὶ δὲ τοῦ λιμοῦ, ἑπτὰ μὲν στά-
χυες, οὐκ ἔτι δὲ ἐν πυθμένι ἑνὶ, ἀλλ' ἐν
καλάμῳ. (1)

ζ. Καὶ κατέπιον οἱ ἑπτὰ στά-
χυες οἱ λεπτοὶ καὶ ἀνεμόφθοροι
τοὺς ἑπτὰ στάχυας τοὺς ἐκλεκτοὺς. καὶ
τοὺς πλήρης. ἠγέρθη δὲ Φαραὼ, καὶ
ἦν ἐνύπνιον.

„ ΑΚΥΛΑΣ. Τὸ ἀνεμόφθοροι, ἐφθαρ-
„ μένοι καύσωνι.
„ ΣΥΜΜΑΧΟΣ. Πεφρυγμένοι ἀνέμῳ.

η. Ἐγένετο δὲ πρωῒ, καὶ ἐτα-
ράχθη ἡ ψυχὴ αὐτοῦ. καὶ ἀποστεί-
λας, ἐκάλεσε πάντας τοὺς ἐξηγη-
τὰς Αἰγύπτου, καὶ πάντας τοὺς σο-
φοὺς αὐτῆς· καὶ διηγήσατο αὐτοῖς
Φαραὼ τὸ ἐνύπνιον αὐτοῦ, καὶ οὐκ ἦν
ὁ ἀπαγγέλλων αὐτὸ τῷ Φαραώ.

„ * ΑΚΥΛΑΣ. Τὸ ἐξηγητὰς, κρυφιαστάς.
„ * ΣΥΜΜΑΧΟΣ. Μάγους.
„ ΑΛΛΟΣ. Σοφούς.

** ΩΡΙΓΕΝΟΥΣ. Ὅλης Αἰγύπτου πῶς
ἐκάλεσε τοὺς ἐξηγητὰς καὶ σοφοὺς ἅμα, ζη-
τητέον ὡς πρὸς τὴν λέξιν, καὶ εἰ πρὸς
ἀναγωγὴν δεῖται ἐξηγητῶν Αἰγυπτίων ὁ
Φαραὼ, ὡς σοφωτέρων. ὅλης δὲ Αἰγύ-
πτου φαμὲν, ὡς ἀκολούθου τῷ, πάντας τοὺς
„ ἐξηγητὰς Αἰγύπτου; καὶ πάντας τοὺς σο-
„ φοὺς αὐτῆς.
„

* ΤΟΥ ΑΥΤΟΥ. [Οὐκ οἶμαι, ὅτι τέ-
λεον ἐσιώπων, ἀλλὰ πάντα μᾶλλον ἔλε-
γον, ἢ αὐτὸ τὸ τῆς ἐνυπνίων διηγήσεως.
ἀλλ' ἐρεῖ τὶς, πῶς ᾔδει ὁ Φαραὼ πότερον
ἐπιτυγχάνουσιν οἱ ἐξηγηταὶ καὶ σοφοὶ Αἰ-
γύπτου διηγούμενοι τὰ ἐνύπνια, ἢ μή;] Ἔ-
λεγε [δὲ πρὸς ταῦτα] ὁ Ἑβραῖος, (2) ὅτι
Φαραὼ ἰδὼν τὸ ἐνύπνιον, εἶδε καὶ τὴν διή-
γησιν αὐτοῦ. [ἥτις αὐτοῦ ἀπέπεσε τῆς μνή-
μης.] ἕκαστον οὖν ἀκούων, ἀνεμιμνήσκετο οὗ
ἤδη ἑώρακε. διὰ τοῦτο καὶ ἐξεπλάγη τὸν
Ἰωσὴφ, [καὶ ἀθρόως αὐτὸν προήγαγε,]
καὶ πᾶσαν τὴν Αἴγυπτον αὐτῷ κατεπίστευ-
σε, [καὶ τὸν σῖτον αὐτῆς καὶ τὴν σωτη-
ρίαν τῶν Αἰγυπτίων· ἐπεὶ ἅμα γε διηγήσα-
το τὰ ὀνείρατα, καὶ οὕτος ὑπεμνήσθη τὰ
αὐτὰ εἶναι τὰ προδεδηλωμένα αὐτῷ.]

θ. Καὶ ἐλάλησεν ὁ ἀρχιοινοχόος
πρὸς Φαραὼ, λέγων, τὴν ἁμαρ-
τίαν μου ἀναμιμνήσκω σήμερον. Φα-
ι. ραὼ ὠργίσθη τοῖς παισὶν αὐτοῦ, καὶ
ἔθετο ἡμᾶς ἐν φυλακῇ ἐν τῷ οἴκῳ
τοῦ ἀρχιμαγείρου, ἐμέ τε καὶ τὸν ἀρ-

ια. χισιτοποιόν. Καὶ εἴδομεν ἑκάτερος
ἐνύπνιον ἐν νυκτὶ μιᾷ ἐγώ τε καὶ αὐτὸς,
ἕκαστος κατὰ τὸ ἑαυτοῦ ἐνύπνιον εἴδο-
ιβ. μεν. Ἦν δὲ ἐκεῖ μεθ' ἡμῶν νεανί-
σκος παῖς Ἑβραῖος δοῦλος τοῦ ἀρχι-
μαγείρου, καὶ διηγησάμεθα αὐτῷ τὸ
ἐνύπνιον, καὶ συνέκρινεν ἡμῖν τὰ ἐνύ-
πνια ἡμῶν, ἀνδρὶ κατὰ τὸ ἐνύπνιον
ιγ. αὐτοῦ ἀπέλυσεν. Ἐγενήθη δὲ κα-
θὼς συνέκρινεν ἡμῖν οὕτω καὶ συνέ-
βη, ἐμέ τε ἀποκατασταθῆναι εἰς τὴν
ἀρχήν μου, ἐκεῖνον δὲ κρεμασθῆναι.

ιδ. Ἀποστείλας δὲ Φαραὼ, ἐκά-
λεσε τὸν Ἰωσήφ· καὶ ἐξήγαγεν
αὐτὸν ἐκ τοῦ ὀχυρώματος, καὶ ἐξύ-
ρησαν αὐτὸν, καὶ ἤλλαξαν τὴν στολὴν
αὐτοῦ· καὶ ἦλθε πρὸς Φαραώ.

Γ ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὁ μὲν οὖν
βασιλεὺς ἀκούσας, προστάττει σπεύσαν-
τας ἀνακαλεῖν τὸν νεανίαν· οἱ δ' ἀποκεί-
ραντες· βαθεῖαι γὰρ ἦσαν αὐτῷ χαῖται
καθειργμένῳ κεφαλῆς καὶ γενείου· καὶ
ἀντὶ ῥυπώσης λαμπρὰν ἐσθῆτα ἀντιδόν-
τες, καὶ τ' ἄλλα φαιδρύναντες, εἰσάγουσι
πρὸς βασιλέα.

** ΕΦΡΑΙΜ. Ἰωσὴφ ἐκ φυλακῆς τῇ
Δ κελεύσει Φαραὼ ἐκβάλλεται εὐμενῶς. ὡς
τύπος ἀληθινὸς, ἑρμηνεύων ῥᾳδίως ἐνυ-
πνίων τὴν λύσιν, εὐθηνίαν σημαίνων τὴν
μέλλουσαν ἔσεσθαι· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς
Χριστὸς ἠγέρθη ἐν νεκρῶν τῇ ἰδίᾳ δυνάμει
σκυλεύσας τὸν ᾅδην· προσφέρων τῷ πα-
τρὶ αὐτοῦ τὴν ἡμῶν καταλλαγὴν, κηρύσ-
σων ἀνάστασιν καὶ ζωὴν αἰώνιον.

ιε. Εἶπε δὲ Φαραὼ τῷ Ἰωσήφ·
Ε ἐνύπνιον ἑώρακα, καὶ ὁ συγκρίνων
οὐκ ἔστιν αὐτό· ἐγὼ δὲ ἀκήκοα περὶ σοῦ
λεγόντων, ἀκούσαντά σε ἐνύπνια, συγ-
κρῖναι αὐτά.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς αἰ-
σχυνόμενος ὁ Φαραὼ, οὐ λέγει φανερῶς,
ὅτι οὐδεὶς τῶν παρ' ἐμοὶ σοφῶν ἴσχυσε δια-
„ κρῖναι τὰ ὀνείρατα. ἀλλὰ τί; ἐνύπνιον
„ ἑώρακα, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό.

Ζ ις. Ἀποκριθεὶς δὲ Ἰωσὴφ τῷ Φα-
ραὼ, εἶπεν, ἄνευ τοῦ Θεοῦ οὐκ ἀποκρι-
θήσεται τὸ σωτήριον Φαραώ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀκύλας οὕτως· ἄ-
„ νευ ἐμοῦ, οὐκ ἀποκριθήσεται τὸ σωτήριον·
„ ὁ δὲ Σύρος, οὐκ ἀποκριθησόμεθα τὴν δε
„ τοῦ Θεοῦ οἰκονομίαν πρὸς σωτηρίαν Αἰγύ-
πτου. σωτήριον εἰκότως καλεῖ. τοῦτο γὰρ

 τῶν

(1) Ἄλλος φησὶν ἐν καλάμῳ ἑνί. ἐν Τόμ. 2. σελ. 45. τῆς ῥηθ. ἐκδόσ.
(2) Ὁ Ἰώσηπος. (ἐν βιβλ. 2. κεφ. 3. περὶ Ἰουδαϊκ. ἀρχαιολογ.) φησὶ, Φαραώθης ὁ βασιλεὺς ὑπὸ τὴν αὐτὴν ἑσπέραν ὄψεις ἐνυπνίων θεασάμενος δύω, καὶ μετ' αὐτῶν τὴν ἑκατέρας ἐξήγησιν, ταύτης μὲν ἠμνημόνευσε, τῶν δὲ ὀνειράτων κατεῖχεν, ἀχθόμενος ἐπὶ τοῖς ἑωραμένοις.

τῶν ἐνυπνίων ἡ ἑρμηνεία. συμφωνεῖ δὲ
Γεν. 40. 8. τῷ εἰρημένῳ, οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφη-
» σις αὐτῶν;

** ΩΡΙΓΕΝΟΥΣ. Εὔλογος Ἰωσὴφ ἐν
ᾧ προοιμιάζεται ἀπὸ Θεοῦ. τήρει δὲ, ὅτι
Γεν. 39. 9. πρὸς μὲν τὴν γυναῖκα εἶπε· καὶ ποιήσω
» τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσο-
» μαι ἐναντίον τοῦ Θεοῦ. ἀλλὰ καὶ πρὸς τοὺς
Γεν. 40. 8. ἐν φυλακῇ σὺν οὖσί φησιν· οὐχὶ διὰ τοῦ
» Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστι;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς διὰ
τῆς ἀποκρίσεως παιδεύει τὸν Φαραὼ εἰδέ-
ναι καὶ τῶν παρ' αὐτοῦ σοφῶν τὴν ἀσθέ-
νειαν, καὶ τοῦ δεσπότου τὴν δύναμιν.

ιζ. Ἐλάλησε δὲ Φαραὼ τῷ Ἰω-
σὴφ, λέγων, ἐν τῷ ὕπνῳ μου ᾤμην
ἑστάναι παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ.
ιη. Καὶ ἰδοὺ ἐκ τοῦ ποταμοῦ ἀνέβαινον ἑπτὰ
βόες καλαὶ τῷ εἴδει, καὶ ἐκλεκταὶ
ταῖς σαρξὶ, καὶ ἐνέμοντο ἐν τῷ ἄχει.
ιθ. Καὶ ἰδοὺ, ἑπτὰ βόες ἕτεραι ἀνέβαινον
ὀπίσω αὐτῶν ἐκ τοῦ ποταμοῦ, πονη-
ραὶ καὶ αἰσχραὶ τῷ εἴδει, καὶ λεπταὶ
ταῖς σαρξὶν, οἵας οὐκ εἶδον τοιαύτας
ἐν ὅλῃ τῇ γῇ Αἰγύπτου αἰσχροτέρας.
κ. Καὶ κατέφαγον αἱ ἑπτὰ βόες αἱ αἰ-
σχραὶ καὶ λεπταὶ τὰς ἑπτὰ βόας τὰς
πρώτας τὰς καλὰς καὶ ἐκλεκτάς.
κα. Καὶ εἰσῆλθον εἰς τὰς κοιλίας αὐτῶν·
καὶ αἱ ὄψεις αὐτῶν αἰσχραὶ, καθὰ
καὶ τὴν ἀρχήν. ἐξεγερθεὶς δὲ, ἐκοι-
κβ. μήθην. Καὶ εἶδον πάλιν ἐν τῷ ὕ-
πνῳ, καὶ ὥσπερ ἑπτὰ στάχυες ἀνέβαι-
νον ἐν πυθμένι ἑνὶ πλήρεις καὶ καλοί.
κγ. Ἄλλοι δὲ ἑπτὰ στάχυες, λεπτοὶ καὶ
ἀνεμόφθοροι ἀνήρχοντο ἐχόμενοι αὐ-
κδ. τῶν. Καὶ κατέπιον οἱ ἑπτὰ στάχυες
οἱ λεπτοὶ καὶ ἀνεμόφθοροι τοὺς ἑπτὰ
στάχυας τοὺς καλοὺς καὶ τοὺς πλήρεις.
εἶπα οὖν τοῖς ἐξηγηταῖς, καὶ οὐκ ἦν
ὁ ἀπαγγέλλων μοι αὐτό.

κε. Καὶ εἶπεν Ἰωσὴφ τῷ Φαραὼ,
τὸ ἐνύπνιον Φαραὼ ἕν ἐστιν· ὅσα ὁ
Θεὸς ποιεῖ, ἔδειξε τῷ Φαραώ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ταξίωμα
τοῦ λέγοντος οὐδὲν καταπλαγεὶς, ὥσπερ
ὑπηκόῳ βασιλεὺς, ἀλλ' οὐχ ὑπήκοος βασι-
λεῖ παῤῥησίᾳ σὺν αἰδοῖ χρώμενος, διε-
λέγετο.

κϛ. Αἱ ἑπτὰ βόες αἱ καλαὶ, ἑπτὰ
ἔτη εἰσί· καὶ οἱ ἑπτὰ στάχυες οἱ καλοὶ
ἑπτὰ ἔτη εἰσί. τὸ ἐνύπνιον Φαραὼ ἕν ἐστι.
κζ. Καὶ αἱ ἑπτὰ βόες αἱ λεπταὶ αἱ ἀνα-
βαίνουσαι ὀπίσω αὐτῶν, ἑπτὰ ἔτη ἐστί·
καὶ οἱ ἑπτὰ στάχυες οἱ λεπτοὶ καὶ ἀνε-
μόφθοροι, ἑπτὰ ἔτη ἐστίν· ἔσονται δὲ
κη. ἑπτὰ ἔτη λιμός. Τὸ δὲ ῥῆμα ὃ εἴρη-
κα Φαραὼ, ὅσα ὁ Θεὸς ποιεῖ, ἔδει-
κθ. ξε Φαραώ. Ἰδοὺ ἑπτὰ ἔτη ἔρχεται
εὐθηνία πολλὴ ἐν πάσῃ τῇ γῇ Αἰγύ-
λ. πτου. Ἥξει δὲ ἑπτὰ ἔτη λιμὸς μετὰ
ταῦτα. καὶ ἐπιλήσονται τῆς πλησ-
μονῆς τῆς μετὰ ταῦτα ἐσομένης ἐν ὅλῃ
γῇ Αἰγύπτῳ· καὶ ἀναλώσει ὁ λιμὸς
λα. τὴν γῆν. Καὶ οὐκ ἐπιγνωσθήσεται ἡ
εὐθηνία ἐπὶ τῆς γῆς ἀπὸ τοῦ λιμοῦ τοῦ
ἐσομένου μετὰ ταῦτα· ἰσχυρὸς γὰρ ἔσται
λβ. σφόδρα. Περὶ δὲ τοῦ δευτερῶσαι τὸ
ἐνύπνιον Φαραὼ δὶς, ὅτι ἀληθὲς ἔσται
τὸ ῥῆμα τὸ παρὰ τοῦ Θεοῦ· καὶ τα-
λγ. χυνεῖ ὁ Θεὸς τοῦ ποιῆσαι αὐτό. Νῦν
οὖν σκέψαι ἄνθρωπον φρόνιμον καὶ συ-
νετὸν, καὶ κατάστησον αὐτὸν ἐπὶ τῆς
λδ. γῆς Αἰγύπτου. Καὶ ποιησάτω Φα-
ραὼ, καὶ καταστησάτω τοπάρχας ἐπὶ
τῆς γῆς· καὶ ἀποπεμπτωσάτωσαν
πάντα τὰ γεννήματα τῆς γῆς Αἰγύ-
πτου τῶν ἑπτὰ ἐτῶν τῆς εὐθηνίας.
λε. Καὶ συναγαγέτωσαν πάντα τὰ βρώ-
ματα τῶν ἑπτὰ ἐτῶν τῶν ἐρχομένων
τῶν καλῶν τούτων· καὶ συναχθήτω
ὁ σῖτος ὑπὸ χεῖρα Φαραώ· βρώμα-
λϛ. τα ἐν ταῖς πόλεσι φυλαχθήτω. Καὶ
ἔσται πεφυλαγμένα τῇ γῇ εἰς τὰ ἑπτὰ
ἔτη τοῦ λιμοῦ, ἃ ἔσονται ἐν τῇ γῇ Αἰ-
γύπτου, καὶ οὐκ ἐκτριβήσεται ἡ γῆ ἐν
λζ. τῷ λιμῷ. Ἤρεσε δὲ τὸ ῥῆμα ἐναν-
τίον Φαραὼ, καὶ ἐναντίον πάντων τῶν
παίδων αὐτοῦ.

λη. Καὶ εἶπε Φαραὼ πᾶσι τοῖς
E παισὶν αὐτοῦ, μὴ εὑρήσομεν ἄνθρωπον
τοιοῦτον, ὃς ἔχει πνεῦμα Θεοῦ ἐν
αὐτῷ;

** ΩΡΙΓΕΝΟΥΣ. Μεῖζον ἢ κατὰ ἄν-
θρωπον ἰδὼν Φαραὼ τὸ τὴν ἐκπεσοῦσαν
τῆς μνήμης αὐτοῦ λύσιν τοῦ ὀνείρατος σε-
σαφηνίσθαι ὑπὸ τοῦ Ἰωσὴφ, πνεῦμα εἶπε
Θεοῦ ἔχειν αὐτὸν ἐν ἑαυτῷ.

Z * ΤΟΥ ΑΥΤΟΥ. Ἠναγκάσθη καὶ Φα-
ραὼ ἕνα Θεὸν εἰπεῖν. [καὶ τούτῳ δὲ συνᾴ-
δει τὸ περὶ τῆς λύσεως τοῦ ὀνείρατος προα-
ποδεδομένον.]

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες πῶς ἔγνω
καὶ αὐτὸς, ὅτι ἐκ τῆς ἄνωθεν ἀποκαλύ-
ψεως αὐτῷ κατάδηλα γέγονε; τίνα γάρ,
φησιν εὑρήσομεν, ὃς τοιαύτης ἠξίωται χά-
ριτος, ὡς πνεῦμα Θεοῦ ἔχειν ἐν ἑαυτῷ;

H λθ. Εἶπε δὲ Φαραὼ τῷ Ἰωσὴφ,
ἐπειδὴ ἔδειξέ σοι ὁ Θεὸς πάντα, οὐκ
ἔστιν ἄνθρωπος φρονιμώτερος καὶ συ-
νετώτερός σου.

μ. Σὺ

μ. Σὺ ἔσῃ ἐπὶ τῷ οἴκῳ μου, καὶ ἐπὶ τῷ ῥήματί σου ὑπακούσεται πᾶς ὁ λαός μου· πλὴν τὸν θρόνον ὑπερέξω σου ἐγώ.
μα. Εἶπε δὲ Φαραὼ τῷ Ἰωσὴφ, ἰδοὺ καθίστημί σε σήμερον ἐπὶ πάσης γῆς Αἰγύπτου.

ΚΥΡΙΛΛΟΥ. Ἐδιώκετο μὲν γὰρ Χριστὸς, καθάπερ ἔφην ἀρτίως, ὡς ἐν προσώπῳ τῶν ἁγίων Ἀποστόλων· ἀλλὰ καὶ ἐν αὐτοῖς ὄντες τοῖς πόνοις οἱ περὶ ὧν ὁ λόγος, ὡς σοφοὶ λίαν καὶ τὰ πολλοῖς ἀπόρρητα διατρανοῦν οἷοί τε ὑπῆρχον· φανεροί τε ἐν ἀρχαῖς τὸ μὲν πρῶτον τισὶν, εἶτα καὶ αὐτοῖς τοῖς κρατοῦσι τῆς γῆς. οἳ καὶ πιστεύσαντες, ὅτι καὶ αὐτὴν ἔχουσι τῶν ἐσομένων τὴν γνῶσιν ἐξ ἀποκαλύψεως Θεοῦ ἐν πνεύματι, ὥσπερ τινὰς οἰκονόμους καὶ ἄρχοντας τῶν ἐθνῶν γενέσθαι συγκεχωρήκασι, διανέμειν τε τοῖς ἐν λιμῷ μαθημάτων ἃ καὶ εἰς ζωὴν συνέχει τὴν ἀκήρατον, τουτέστι τὸν θεῖόν τε καὶ οὐράνιον λόγον, καὶ τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων ἀποκομίζουσαν παίδευσιν. οὗτοι κατεκλήσαντο, μᾶλλον δὲ δι' αὐτῶν ὁ υἱὸς, τῷ Θεῷ καὶ πατρὶ τὴν τῶν ἐθνῶν χώραν, καθάπερ ἀμέλει καὶ τῷ Φαραὼ τὴν τῶν Αἰγυπτίων ὁ Ἰωσήφ.

μβ. Καὶ περιελόμενος Φαραὼ τὸν δακτύλιον ἀπὸ τῆς χειρὸς αὐτοῦ, περιέθηκεν αὐτὸν ἐπὶ τὴν χεῖρα Ἰωσὴφ, καὶ ἐνέδυσεν αὐτὸν στολὴν βυσσίνην, καὶ περιέθηκε κλοιὸν χρυσοῦν ἐπὶ τὸν τράχηλον αὐτοῦ.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Δίδωσιν οὖν αὐτῷ σφραγῖδα βασιλικὴν, καὶ ἱερὰν ἐσθῆτα, καὶ κύκλον χρυσοῦν περιδέραιον.

μγ. Καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸ ἅρμα τὸ δεύτερον τῶν αὐτοῦ· καὶ ἐκήρυξεν ἔμπροσθεν αὐτοῦ κῆρυξ· καὶ κατέστησεν αὐτὸν ἐφ' ὅλης τῆς Αἰγύπτου.

✱✱ ΕΦΡΑΙΜ. Ἰωσὴφ ἐκάθισεν ἐν ἅρματι Φαραὼ, λαβὼν ἐξουσίαν ἐπὶ πᾶσαν Αἴγυπτον· ὁ δὲ σωτὴρ ἡμῶν βασιλεὺς πρὸ αἰώνων ἀνελθὼν εἰς οὐρανοὺς ἐν νεφέλῃ φωτεινῇ, ἐκ δεξιῶν τοῦ πατρὸς κάθηται μετὰ δόξης, ὡς υἱὸς μονογενής.

» ΩΡΙΓΕΝΟΥΣ. Καὶ ἐκήρυσσεν ἔμ-
» προσθεν αὐτοῦ κῆρυξ. Τὸ ἑβραϊκὸν ἔχει ἀβρήχ· ὃ κυρίως σημαίνει πατὴρ ἁπαλὸς, καὶ εἰκότως. ἐν ἁπαλὸς γὰρ ὢν κατὰ τὴν ἡλικίαν, ὡς πατὴρ σωτήριον ἀρχὴν Αἰγυπτίοις ἐνεδείξατο. δηλοῖ δὲ οὐδὲν

A. ἡ λέξις, ἢ τὸ γονατίζειν. Φανερὰ γάρ ἐστιν ἡ φωνὴ τοῦ κήρυκος.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Κελεύει περιελθεῖν τὴν πόλιν, περιερχομένου κήρυκος, καὶ δηλοῦντος τοῖς ἀγνοοῦσι τὴν χειροτονίαν.

B μδ. Εἶπε δὲ Φαραὼ τῷ Ἰωσὴφ, ἐγὼ Φαραώ. ἄνευ σοῦ οὐκ ἐξαρεῖ οὐδεὶς τὴν χεῖρα αὐτοῦ ἐπὶ πάσης γῆς Αἰγύπτου.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τίς γὰρ ἂν προσεδόκησε μιᾷ ἡμέρᾳ τὸν αὐτὸν ἀντὶ μὲν δούλου δεσπότην, ἀντὶ δὲ δεσμώτου πάντων ἀξιονικότατον, καὶ τὸν ὑποδιάκονον εἱρκτοφύλακος, ὕπαρχον βασιλέως ἔσεσθαι, καὶ ἀντὶ τῆς εἱρκτῆς τὰ βασίλεια οἰκήσειν, τὰ πρῶτα τῶν ἐπὶ τιμαῖς φερόμενον ἀντὶ τῶν εἰς ἀτιμίαν ἐσχάτων; ἀλλ'
Γ ὅμως γέγονε ταῦτα, καὶ γενήσεται πολλάκις, ὅταν δοκῇ τῷ Θεῷ. μόνον ἔστι ὑφεσάσθω καλοκἀγαθίας ἐμπύρευμα ταῖς ψυχαῖς. ὅπερ ἀναγκαῖόν ποτε ῥιπιζόμενον ἐκλάμψαι.

με. Καὶ ἐκάλεσε Φαραὼ τὸ ὄνομα Ἰωσὴφ, ψομθομφανήχ.

ΑΔΗΛΟΥ. Ὁ Σύρος ἔχει, ὁ εἰδὼς τὰ
» κρυπτά· ὁ Φίλων (1) κρυπτῶν εὑρετὴς,
Δ» ἢ ὀνειροκρίτης.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ψομθονφανὴχ ἑρμηνεύεται κεκρυμμένα ἀνεκάλυψε. παρὰ δὲ τῷ Σύρῳ, ὁ εἰδὼς τὰ κρυπτά. ὁ δὲ
» Φίλων ὁ Ἑβραῖος Αἰγυπτίων φησὶ φωνῇ, ὁ ὀνειροκρίτης.

✱ ΩΡΙΓΕΝΟΥΣ. Ἐκάλεσε δὲ Φα-
» ραὼ τὸ ὄνομα τοῦ Ἰωσὴφ ψομθομφανὴχ,
» ὃ ἑρμηνεύεται, ᾧ ἀνεκαλύφθη τὸ μέλλον.
E Ἀκύλας, Ἀσαμφανή· Σύμμαχος, Σαφαθφανῆ, [κεκρυμμένα ἀπεκάλυψε.]

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνα ἑρμηνείαν ἔχει τὸ ψομθομφανήχ; Τῶν ἀπορρήτων ἑρμηνευτὴν αὐτὸν κέκληκεν, ὡς τοὺς ὀνείρους διασαφήσαντα.

Καὶ ἔδωκεν αὐτῷ τὴν Ἀσενὲθ θυγατέρα Πετεφρῆ ἱερέως Ἡλιουπόλεως
Z αὐτῷ γυναῖκα.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐγγυᾷ πρὸς γάμον αὐτῷ τὴν ἐπιφανεστάτην τῶν κατ' Αἴγυπτον ἱερέως Ἡλίου θυγατέρα.

✱✱ ΙΩΣΗΠΟΥ. Γαμεῖ τε καὶ γάμον ἀξιολογώτατον. ἄγεται γὰρ Πετεφροῦ θυγατέρα τῶν ἐν Ἡλιοπόλει ἱερέων, συμπράξαντος αὐτῷ τοῦ βασιλέως, ἔτι παρθένον, Ἀσανέθην ὀνόματι.

ΩΡΙΓΕ-

(1) Ὁ μὲν Φίλων, (ἐν τῷ περὶ Ἰωσὴφ βιβλ. σελ. 543) μετονομάζει δ' αὐτὸν, φησὶν, ἀπὸ τῆς ὀνειρωτικῆς, ἐγχωρίῳ γλώττῃ προσαγορεύσας· Ἰώσηπος δὲ (ἐν τῷ 3. κεφ. τοῦ 2. περὶ Ἰουδαϊκ. ἀρχαιολογ. βιβλ.) Καὶ προσηγόρευσεν αὐτὸν ψονθομφάνηχον, ἀπιδὼν αὐτοῦ πρὸς τὸ παράδοξον τῆς συνέσεως. σημαίνει γὰρ τὸ ὄνομα κρυπτῶν εὑρετήν. ὥστε παρὰ μὲν Φίλωνι τὸ, ὀνειροκρίτης· παρὰ δὲ Ἰωσήπῳ τὸ, κρυπτῶν εὑρετὴς, κεῖται.

* ΩΡΙΓΕΝΟΥΣ. Τὸ μὲν Φουτιφὰρ ἐν ὀνόματι τοῦ πατρός ἐστι τῆς γαμηθείσης τῷ Ἰωσήφ. οἰήσεται δέ τις ἕτερον εἶναι τοῦτον παρὰ τὸν ὠνησάμενον τὸν Ἰωσήφ· οὐ μὴν οὕτως ὑπειλήφασιν Ἑβραῖοι· ἀλλ᾽ ἐξ ἀποκρύφου λέγουσι τὸν αὐτὸν εἶναι καὶ δεσπότην, καὶ πενθερὸν γενέσθαι. καί φασι ταύτην τὴν Ἀσωνὲθ διαβεβληκέναι τὴν μητέρα παρὰ τῷ πατρὶ, ὡς ἐπιβουλεύσασαν τῷ Ἰωσήφ, καὶ οὐκ ἐπιβουλευθεῖσαν· ἣν καὶ ἐκδέδωκε τῷ Ἰωσήφ, δεῖξαι σπουδάσας καὶ τοῖς Αἰγυπτίοις, ὅτι μηδὲν τοιοῦτον ἡμάρτηται παρὰ τοῦ Ἰωσήφ εἰς τὸν οἶκον αὐτοῦ.

** ΙΟΥΣΤΙΝΟΥ. Εἰ εὐσεβεῖ λογισμῷ οἱ πατριάρχαι κινούμενοι, ἑαυτοῖς καὶ τοῖς παισὶ τὰς γαμετὰς ἐκ τῆς οἰκείας συγγενείας εἰλήφασι, πῶς οὐ παρὰ τὸν εὐσεβῆ τῶν προγόνων σκοπὸν Ἰωσήφ καὶ Μωϋσῆς διεπράξαντο, ὁ μὲν Αἰγυπτίαν, ὁ δὲ Μαδιανῖτιδα γυναῖκα γημάμενος; Οἱ μὲν πατριάρχαι φόβῳ τοῦ μὴ ἐκτραπῆναι τοὺς υἱοὺς αὐτῶν τῆς εὐσεβείας, οὐκ ἐπέτρεπον αὐτοὺς ἐκ τῶν ἐθνικῶν λαβεῖν γαμετάς· ὁ δὲ Μωϋσῆς καὶ ὁ Ἰωσήφ, τοῦ τοιούτου φόβου ἦσαν ἀνώτεροι. οὐδὲν οὖν κατὰ παράβασιν τοῦ σκοποῦ τῶν πατέρων πεποιηκότες φαίνονται ὅ, τε Μωϋσῆς καὶ ὁ Ἰωσήφ λαβόντες ἐθνικὰς γαμετάς. οὐ γὰρ μόνον αὐτοὶ οὐκ ἐξετράπησαν τῆς εὐσεβείας ὑπὸ τῶν ἑαυτῶν γυναικῶν, ἀλλὰ καὶ τὰς ἑαυτῶν γυναῖκας εἰς τὴν ἑαυτῶν μετέφερον εὐσέβειαν.

μς. Ἰωσὴφ δὲ ἦν ἐτῶν τριάκοντα, ὅτε ἔστη ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου. ἐξῆλθε δὲ Ἰωσὴφ ἀπὸ προσώπου Φαραὼ, καὶ διῆλθε πᾶσαν τὴν Αἴγυπτον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μὴ ἁπλῶς νομίσωμεν τῶν ἐτῶν τὸν χρόνον ἐγκεῖσθαι, ἀλλ᾽ ἵνα μάθωμεν, ὅτι οὐκ ἔστιν οὐδενὶ ἀμελοῦντι τῆς ἀρετῆς, ἀπολογία· οὐδὲ ἔξεστί τινι προβαλέσθαι νεότητα, ἔνθα ἀρετὴν ἐπιδείξασθαι δεῖ. ἰδοὺ γὰρ οὗτος οὐ μόνον νέος ἦν, ἀλλὰ καὶ καλὸς τῷ εἴδει, καὶ ὡραῖος τῇ ὄψει. ἔστι γὰρ καὶ νέον ὄντα μὴ κεκτῆσθαι τὴν τοῦ σώματος εὐμορφίαν. οὗτος δὲ μετὰ τῆς νεότητος καὶ καλὸς ἦν τῷ εἴδει καὶ ὡραῖος τῇ ὄψει, καὶ σχεδὸν ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει τυγχάνων, δοῦλος καὶ αἰχμάλωτος ἐγένετο. δεκαεπτὰ ἐτῶν γὰρ ἦν, φησὶν, ἡνίκα κατήχθη εἰς Αἴγυπτον, εἶτα ἐν αὐτῇ τῇ καμίνῳ τῆς νεότητος γεγενημένῳ ἐπιτίθεται ἡ ἀκόλαστος Αἰγυπτία, ἡ δέσποινα αὐτοῦ γεγενημένη· καὶ οὐδὲ οὕτω περιεγένετο τῆς ἀνδρείας τοῦ δικαίου. εἶτα τὸ δεσμωτήριον, καὶ ἡ ἐπὶ τοσοῦτον χρόνον ἐκεῖ ταλαιπωρία. καὶ ἔμενε καθάπερ ἀδάμας, οὐ μόνον οὐ γινόμενος ἀσθενέστερος, ἀλλὰ καὶ πλείονα ἰσχὺν προσλαμβάνων.

μζ. Καὶ ἐποίησεν ἡ γῆ ἐν τοῖς ἑπτὰ
μη. ἔτεσι τῆς εὐθυνίας τὰ δράγματα. Καὶ
συνήγαγε πάντα τὰ βρώματα τῶν
ἑπτὰ ἐτῶν, ἐν οἷς ἦν εὐθηνία ἐν γῇ
Αἰγύπτῳ· καὶ ἔθηκε τὰ βρώματα ἐν
ταῖς πόλεσι· βρώματα τῶν πεδίων τῆς
πόλεως τῶν κύκλῳ αὐτῆς ἔθηκεν ἐν
μθ. αὐτῇ. Καὶ συνήγαγεν Ἰωσὴφ σῖτον
ὡσεὶ τὴν ἄμμον τῆς θαλάσσης πολὺν
σφόδρα, ἕως οὐκ ἠδύναντο ἀριθμῆσαι·
ν. οὐ γὰρ ἦν ἀριθμός. Τῷ δὲ Ἰωσὴφ
ἐγένοντο υἱοὶ δύω πρὸ τοῦ ἐλθεῖν τὰ
ἑπτὰ ἔτη τοῦ λιμοῦ, οὓς ἔτεκεν αὐτῷ
Ἀσενὲθ ἡ θυγάτηρ Πετεφρῆ ἱερέως
Ἡλιουπόλεως.

να. Ἐκάλεσε δὲ Ἰωσὴφ τὸ ὄνομα τοῦ πρωτοτόκου, Μανασσῆ· ὅτι ἐπιλαθέσθαι ἐποίησέ με ὁ Θεὸς πάντων τῶν πόνων μου, καὶ πάντων τῶν τοῦ πατρός μου.

ΚΥΡΙΛΛΟΥ. Ἑρμηνεύεται μὲν ὁ Μανασσῆς, λήθη κακῶν τῶν συμβεβηκότων· εἰς αὔξησιν δὲ καὶ εἰς ἐπίδοσιν εἴς γε τὸ ἄμεινον ὁ Ἐφραίμ. ἐξ ἱερᾶς γὰρ ὥσπερ μητρὸς, φημὶ δὴ τῆς ἐκκλησίας, καρποὶ γεγόνασι, καὶ ἐν υἱοῖς Θεοῦ διὰ πίστεως τῆς ἐν Χριστῷ καταλογισθεῖεν ἂν οἱ ἐξ ἐθνῶν κεκλημένοι, [οἳ] καὶ εἰς λήθην ἐνεχθήσονται τῶν πόνων. ἐπιλησθήσονται γὰρ, φησὶ, τὴν θλίψιν αὐτῶν τὴν πρώτην, καὶ οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν. (Ἡσ. 65. 16.) ἐπὶ τῆς κεφαλῆς αὐτῶν αἴνεσις· καὶ ἀγαλλίαμα καὶ εὐφροσύνη καταλήψεται αὐτούς· ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός. (Ἡσ. 35. 10.) ἥξουσι δὴ οὖν κατὰ καιροὺς εἰς λήθην κακῶν. βαδιοῦνται δὲ καὶ εἰς αὔξησιν, ἐπὶ τὸ τῆς ἐλπίδος γλυκὺ διατρέχοντες πέρας. μετοικήσονται γὰρ ἐκ τῶν ἐπιγείων εἰς τὰ οὐράνια, ἀπὸ τῶν ἐν χρόνῳ μεμετρημένων εἰς τὰ ἐπέκεινα χρόνων, ἐκ φθορᾶς εἰς ἀφθαρσίαν, εἰς δόξαν ἐξ ἀτιμίας, ἐξ ἀσθενείας εἰς δύναμιν.

* ΩΡΙΓΕΝΟΥΣ. Τὸ μὲν πάντων ἐπιλαθέσθαι πόνων, τοῦ Θεοῦ τοῦτο ποιήσαντος, σαφῶς καλόν ἐστιν. εἰ δὲ καὶ πάντων τῶν τοῦ πατρὸς αὐτοῦ Ἰακὼβ ὁ Ἰωσὴφ ἐπελάθετο, καὶ τοῦτο ποιήσαντος τοῦ Θεοῦ αὐτῷ, ζητητέον. οὐ γὰρ Θεὸς ποιεῖ ἐπιλαθέσθαι τὸν Ἰωσὴφ λόγων τοῦ Ἰακὼβ, καὶ υἱῶν αὐτοῦ, καὶ πράξεων αὐτοῦ, εἰ μὴ ἄρα πόνων αὐτοῦ, ἵν᾽ ᾖ ἀπὸ κοινοῦ τὸ, πόνων, οὕτω· πάντων τῶν πόνων μου, καὶ πάντων τῶν τοῦ πατρός μου πόνων.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅτι ἐπιλαθέσθαι με ἐποίησε πάντων τῶν πόνων μου καὶ τῶν τοῦ πατρός μου. Τί ἐστι, πάντων τῶν πόνων μου; Ἐνταῦθα αἰνίττεσθαί μοι δοκεῖ τήν τε προτέραν δουλείαν καὶ τὴν δευτέραν, καὶ τὴν ἐν τῷ δεσμωτηρίῳ ταλαιπωρίαν. καὶ πάντων τῶν τοῦ πατρός μου· τὸν χωρισμὸν, ὃν ὑπέμεινεν ἔξω τῶν ἀγκαλῶν γενόμενος τῶν πατρικῶν· ὅτι ἐν ἀώρῳ

ἀώρῳ ἡλικίᾳ μετὰ τοσαύτης ἀνατραφεὶς A ἐπιμελείας, δουλείαν ἀντὶ τῆς ἐλευθερίας ἠλλάξατο.

νβ. Τὸ δὲ ὄνομα τοῦ δευτέρου ἐκάλεσεν, Ἐφραΐμ· ὅτι ηὔξησέ με ὁ Θεὸς ἐν γῇ ταπεινώσεώς μου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα καὶ τὴν τούτου προσηγορίαν εὐχαριστίας πεπληρωμένην. οὐ μόνον γάρ φησι τῶν λυπηρῶν λήθην ἐποιησάμην, ἀλλὰ καὶ ηὐξήθην ἐν τῇ γῇ, ἐν ᾗ τοσαύτην ὑπέμεινα ταπείνωσιν, ὡς ἐν τοῖς ἐσχάτοις γενέσθαι, καὶ τὸν περὶ τοῦ ζῆν ἐπικρεμασθῆναί μοι κίνδυνον.

ΩΡΙΓΕΝΟΥΣ. Μυστικῶς ἡ πνευματικὴ Αἴγυπτος, γῆ ταπεινώσεώς ἐστι τοῦ δικαίου. παρ' ᾧ παρὰ τῷ Ἀποστόλῳ λέγεται,
Φιλιπ. 3. 21. τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν· καὶ ἐν
Ψαλ. 43. 25, ψαλμοῖς, ἐταπεινώθη εἰς χοῦν ἡ ζωὴ ἡμῶν.
19. » καὶ πάλιν, ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ
» κακώσεως.

νγ. Παρῆλθον δὲ τὰ ἑπτὰ ἔτη τῆς εὐθηνίας, ἃ ἐγένοντο ἐν τῇ γῇ Αἰγύπτῳ.
νδ. Καὶ ἤρξαντο τὰ ἑπτὰ ἔτη τοῦ λιμοῦ ἔρχεσθαι, καθὰ εἶπεν Ἰωσήφ. καὶ ἐγένετο λιμὸς ἐν πάσῃ τῇ γῇ· ἐν δὲ πάσῃ γῇ Αἰγύπτῳ οὐκ ἦσαν ἄρτοι.
νε. Καὶ ἐπείνασε πᾶσα ἡ γῆ Αἰγύπτου. ἐκέκραξε δὲ ὁ λαὸς πρὸς Φαραὼ περὶ ἄρτων. καὶ εἶπε Φαραὼ πᾶσι τοῖς Αἰ- B γυπτίοις, πορεύεσθε πρὸς Ἰωσήφ, καὶ
νς. ὃ ἐὰν εἴπῃ ὑμῖν, ποιήσατε. Ὁ δὲ λιμὸς ἦν ἐπὶ προσώπου πάσης τῆς γῆς. ἀνέῳξε δὲ Ἰωσὴφ πάντας τοὺς σιτοβολῶνας, καὶ ἐπώλει τοῖς Αἰ-
νζ. γυπτίοις. Καὶ πᾶσαι αἱ χῶραι εἰσῆλθον εἰς Αἴγυπτον ἀγοράζειν πρὸς Ἰωσήφ· ἐπεκράτησε γὰρ ὁ λιμὸς ἐν Γ πάσῃ τῇ γῇ.

ΚΕΦ. ΜΒ.

α. Ἰδὼν δὲ Ἰακὼβ ὅτι ἐστὶ πρᾶσις ἐν Αἰγύπτῳ, εἶπεν Ἰακὼβ τοῖς υἱοῖς αὐτοῦ, ἵνα τί
β. ῥαθυμεῖτε; Ἰδοὺ ἀκήκοα, ὅτι ἐστὶ σῖτος ἐν Αἰγύπτῳ· καταβῆτε ἐκεῖ, καὶ πρίασθε ἡμῖν μικρὰ βρώματα, ἵνα ζῶ-
γ. μεν, καὶ μὴ ἀποθάνωμεν. Κατέβησαν δὲ οἱ ἀδελφοὶ Ἰωσὴφ οἱ δέκα, πρίασθαι σῖτον ἐξ Αἰγύπτου.
δ. Τὸν δὲ Βενιαμὶν τὸν ἀδελφὸν Ἰωσὴφ, οὐκ ἀπέστειλε μετὰ τῶν ἀδελφῶν αὐτοῦ· εἶπε γὰρ, μήποτε συμ-
ε. βῇ αὐτῷ μαλακία. Ἦλθον δὲ οἱ υἱοὶ Ἰσραὴλ εἰς Αἴγυπτον ἀγοράζειν μετὰ τῶν ἐρχομένων· ἦν γὰρ καὶ ὁ λιμὸς ἐν γῇ Χαναάν.

ς. Ἰωσὴφ δὲ ἦν ἄρχων τῆς Αἰγύπτου· οὗτος ἐπώλει παντὶ τῷ λαῷ τῆς γῆς. ἐλθόντες δὲ οἱ ἀδελφοὶ Ἰωσὴφ, προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν.

* ΩΡΙΓΕΝΟΥΣ. Διὰ τὸ μὴ εἶναι λαοὺς τῆς γῆς τοὺς υἱοὺς Ἰακὼβ οὐκ ἐπώλει αὐτοῖς· ἀπεδίδου δὲ τὰ ἀργύρια δίς· ἔπρεπε γὰρ τοὺς υἱοὺς Ἰσραὴλ προῖκα λαμβάνειν σῖτον.

ΤΟΥ ΑΥΤΟΥ. Χαριέντως περὶ αὐτῶν, ὅτε μὲν ἀγοράζουσι, [φησὶ,] ὅτε δὲ προσκυνοῦσι τὸν Ἰωσὴφ, πλὴν τοῦ Βενιαμίν. οὗτος γὰρ οὔτε τὸν Ἡσαῦ, οὔτε τὸν Ἰωσὴφ προσκυνεῖ. διὸ ἐν τῇ μερίδι γίνεται αὐτοῦ ὁ ναός.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκεν, χρόνου τοσούτου παρεληλυθότος, οὔτε Ἰωσὴφ [τῷ πατρὶ] τὴν δουλείαν ἐγνώρισεν, οὔτε ὁ Θεὸς δι' ἀποκαλύψεως ἐγνώρισε τῷ Ἰακώβ; Ἔδει κατὰ τὴν πρόῤῥησιν τὴν πρὸς τὸν Ἀβραὰμ γεγενημένην, τὸν Ἰακὼβ Δ μετὰ τῶν παίδων καὶ τῶν ἐκγόνων εἰς Αἴγυπτον κατελθεῖν. εἰ δὲ τὰ κατὰ τὸν Ἰωσὴφ ἐγνώκει, πάντως ἂν αὐτὸν λύτρα πεπομφὼς ἐπανήγαγε. τοῦτο χάριν αὐτὸν ἀθυμοῦντα παρεῖδεν, ἵνα καὶ τὴν οἰκονομίαν πληρώσῃ, καὶ θυμηδεστέραν αὐτῷ μετὰ ταῦτα τὴν ζωὴν καταστήσῃ. καὶ αὐτὸς δὲ Ἰωσὴφ τοῦ Θεοῦ τὴν οἰκονομίαν διδάσκει τοὺς ἀδελφούς. εἰς γὰρ ζωὴν, φησὶν, ἀπέσταλκέ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν, E » τοῦ διαθρέψαι λαὸν πολύν. καὶ ὁ Δαβὶδ » φησι ταῦτα, καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν Ψαλ. 104. 16.
» γῆν, πᾶν στήριγμα ἄρτου συνέτριψεν. ἀ- 17.
» πέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς » δοῦλον ἐπράθη Ἰωσήφ, καὶ τὰ ἑξῆς. εἰ δὲ ὁ πατριάρχης τοῦ παιδὸς τὴν δουλείαν ἐγνώκει, πάντως ἂν αὐτὸν ἐλυτρώσατο· λυτρωθεὶς δὲ, οὐκ ἂν τὸ δεσμωτήριον ᾤκησεν· εἰ δὲ μὴ τοῦτο ἐγεγόνει, οὐκ ἂν τοὺς ὀνείρους τοῖς οἰκέταις ἐκείνοις ἡρμήνευσε· Z μὴ ἑρμηνεύσας δὲ, γνώριμος οὐκ ἂν ἐγεγόνει τῷ Φαραώ· γνώριμος δὲ μὴ γεγονὼς, οὐκ ἂν τὴν διὰ τῶν ὀνείρων ἐσαφήνισε πρόῤῥησιν· τοῦτο δὲ μὴ δεδρακὼς, οὐκ ἂν ἐπιστεύθη τῆς Αἰγύπτου τὰς ἡνίας· τὴν Αἴγυπτον δὲ μὴ παραλαβὼν, οὐκ ἂν τὸν πατριάρχην μετὰ τοῦ γένους εἰσήγαγεν εἰς τὴν Αἴγυπτον. ἐκ τοῦ τέλους δὴ οὖν γίνεται δῆλος ὁ τῆς θείας οἰκονομίας σκοπός.

ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν οὐκ ἐξήμαρτον H οἱ ἀδελφοὶ οἰκονομίᾳ ὑπουργήσαντες θείᾳ. Τὸ μὲν ἐκείνων ἔργον, βασκανία καὶ φθόνος· σοφὸς δὲ ὢν ὁ Θεὸς, τῇ πονηρίᾳ τῇ ἐκείνων εἰς τοὐναντίον ἐχρήσατο. δι' ὧν γὰρ ἐπειράθησαν κωλῦσαι τῶν ὀνείρων τὴν

τὴν ἔκβασιν, διὰ τούτων ἐπιτέθεικε τοῖς ὀνείροις τὸ τέλος.

ζ. Ἰδὼν δὲ Ἰωσὴφ τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπέγνω· καὶ ἠλλοτριοῦτο ἀπ' αὐτῶν, καὶ ἐλάλησεν αὐτοῖς σκληρά. καὶ εἶπεν αὐτοῖς, πόθεν ἥκατε; οἱ δὲ εἶπαν, ἐκ γῆς Χαναὰν, ἀγοράσαι βρώματα.

** ΙΩΣΗΠΟΥ. Γνωρίσας τοὺς ἀδελφοὺς οὐδὲν ἐνθυμουμένους περὶ αὐτοῦ, διὰ τὸ μειράκιον μὲν αὐτὸν ἀπαλλαγῆναι, εἰς τοῦτο δὲ προελθεῖν τῆς ἡλικίας, καὶ τῶν χαρακτήρων ἐνηλλαγμένων ἀγνώριστος αὐτοῖς εἶναι, τῷ δὲ μεγέθει τοῦ ἀξιώματος, οὐδ' εἰς ἐπίνοιαν ἐλθεῖν αὐτοῖς δυναμένοις, διεπείραζεν ὡς ἔχοιεν γνώμης περὶ τῶν ὅλων. Καὶ μετ' ὀλίγα. Ὑπὲρ δὲ τοῦ γνῶναι τὰ κατὰ τὸν πατέρα, καὶ τὰ συμβεβηκότα αὐτῷ μετὰ τὴν ἰδίαν ἀπαλλαγὴν, ταῦτ' ἔπραττε, μαθεῖν τε βουλόμενος καὶ τὰ περὶ Βενιαμὶν τοῦ ἀδελφοῦ. ἐδεδίει γὰρ μὴ κἀκεῖνον ὁμοίως οἷς εἰς αὐτὸν ἐτόλμησαν εἶεν ἀπεσκευασμένοι τοῦ γένους.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν εὐθὺς ὀφθεὶς τοῖς ἀδελφοῖς ὠμότερον προσηνέχθη; Μεμνημένος τῶν εἰς αὐτὸν γεγενημένων, καὶ τὸν Βενιαμὶν οὐκ ἰδὼν, ὑπετόπασε κἀκεῖνον τὰ αὐτὰ παρ' αὐτῶν πεπονθέναι. ἐπειδὴ δὲ ζῶντα τὸν ἀδελφὸν εἶδε, καὶ συγγνώμης, καὶ παντοδαπῆς κηδεμονίας ἠξίωσεν.

η. Ἐπέγνω δὲ Ἰωσὴφ τοὺς ἀδελφοὺς αὐτοῦ· αὐτοὶ δὲ οὐκ ἐπέγνωσαν
θ. αὐτόν. Καὶ ἐμνήσθη Ἰωσὴφ τῶν ἐνυπνίων αὐτοῦ, ὧν εἶδεν αὐτός· καὶ εἶπεν αὐτοῖς, κατάσκοποί ἐστε, κατανοῆσαι τὰ
ι. ἴχνη τῆς γῆς ἥκατε. Οἱ δὲ εἶπαν, οὐχὶ κύριε· οἱ παῖδές σου ἤλθομεν πρίασθαι
ια. βρώματα. Ἅπαντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου· εἰρηνικοί ἐσμεν, οὐκ εἰσὶν οἱ
ιβ. παῖδές σου κατάσκοποι. Εἶπε δὲ αὐτοῖς, οὐχὶ, ἀλλὰ τὰ ἴχνη τῆς γῆς ἤλθετε ἰδεῖν.

ιγ. Οἱ δὲ εἶπαν, δώδεκά ἐσμεν οἱ παῖδές σου ἀδελφοὶ ἐν γῇ Χαναάν· καὶ ἰδοὺ ὁ νεώτερος μετὰ τοῦ πατρὸς ἡμῶν· ὁ
ιδ. δὲ ἕτερος οὐχ ὑπάρχει. Εἶπε δὲ αὐτοῖς Ἰωσὴφ, τοῦτό ἐστιν ὃ εἴρηκα ὑμῖν, λέγων, ὅτι κατάσκοποί ἐστε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὢ τῆς τῶν ῥημάτων ἀπάτης. καὶ τὸν τοῖς ἐμπόροις παρ' αὐτῶν διαπραθέντα τῷ ἀριθμῷ συνῆψαν· καὶ οὐ λέγουσι, δώδεκα ἦμεν, ἀλλὰ „ δώδεκά ἐσμεν ἀδελφοί. καὶ ἰδοὺ ὁ νεώτερος „ μετὰ τοῦ πατρὸς ἡμῶν. τοῦτο γὰρ ἦν αὐτῷ τὸ σπουδαζόμενον γνῶναι, εἰ μὴ καὶ τὸν „ ἀδελφὸν τὰ αὐτὰ διατεθείκασιν. ἰδοὺ ὁ „ νεώτερος μετὰ τοῦ πατρὸς ἡμῶν· ὁ δὲ

A „ ἕτερος οὐχ ὑπάρχει. καὶ οὐ λέγουσι τὴν „ αἰτίαν σαφῶς, ἀλλ' ἁπλῶς, οὐχ ὑπάρχει. ἐκ τούτου εἰς ὑποψίαν ἐλθὼν, μήπως καὶ εἰς τὸν Βενιαμὶν τὰ ὅμοια εἰργάσαντο, „ Φησί· τοῦτό ἐστιν ὃ εἴρηκα ὑμῖν, ὅτι κατά„ σκοποί ἐστε.

ιε. Ἐν τούτῳ φανεῖσθε. μὰ τὴν ὑγίειαν Φαραὼ, οὐ μὴ ἐξέλθητε ἐντεῦθεν, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώ-
ις. τερος ἔλθῃ ὧδε. Ἀποστείλατε ἐξ ὑμῶν ἕνα, καὶ λάβετε τὸν ἀδελφὸν ὑμῶν· ὑμεῖς δὲ ἀπάχθητε ἕως τοῦ φανερὰ γενέσθαι τὰ ῥήματα ὑμῶν, εἰ ἀληθεύετε ἢ οὔ· εἰ δὲ μὴ, νὴ τὴν ὑγίειαν
ιζ. Φαραὼ, ἦ μὴν κατάσκοποί ἐστε. Καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ ἡμέρας τρεῖς.
ιη. Εἶπε δὲ αὐτοῖς τῇ ἡμέρᾳ τῇ τρίτῃ,
Γ τοῦτο ποιήσατε, καὶ ζήσεσθε· τὸν Θεὸν γὰρ ἐγὼ φοβοῦμαι.

ιθ. Εἰ εἰρηνικοί ἐστε, ἀδελφὸς ὑμῶν εἷς κατασχεθήτω ἐν τῇ φυλακῇ· αὐτοὶ δὲ βαδίσατε, καὶ ἀπαγάγετε τὸν ἀγορασμὸν τῆς σιτοδοσίας ὑμῶν.
κ. Καὶ τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον ἀγάγετε πρός με, καὶ πιστευθήσονται τὰ ῥήματα ὑμῶν· εἰ δὲ μὴ, ἀποθα-
Δ νεῖσθε. ἐποίησαν δὲ οὕτω.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει σύνεσιν. βουλόμενος καὶ τὴν περὶ τούτους εὔνοιαν ἐπιδείξασθαι, καὶ τοῦ πατρὸς τὴν ἔνδειαν παραμυθήσασθαι, καὶ περὶ τοῦ ἀδελφοῦ μαθεῖν τὸ ἀληθὲς, ἕνα κατασχεθῆναι προστάξας, τοὺς ἄλλους ἀπελθεῖν ἐκέλευσε.

κα. Καὶ εἶπεν ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ, ναὶ, ἐν ἁμαρτίαις γάρ
E ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν τὴν θλίψιν τῆς ψυχῆς αὐτοῦ, ὅτε κατεδέετο ἡμῶν, καὶ οὐκ εἰσηκούσαμεν αὐτοῦ· καὶ ἕνεκεν τούτου ἐπῆλθεν ἐφ' ἡμᾶς ἡ θλίψις αὕτη.

** ΩΡΙΓΕΝΟΥΣ. Κατὰ τὸ σιωπώ„ μενον κατεδέετο. οὐ γὰρ ἀναγέγραπται
Z „ πῶς κατεδέετο.

ΑΔΗΛΟΥ. Ἀπαιτεῖ ἡμᾶς ὁ Θεὸς εὐθύνας, φησὶν, ὑπὲρ ὧν εἰς τὸν ἀδελφὸν ἡμῶν ἐπλημμελήσαμεν, οἰόμενοι ἀναιρεθῆναι αὐτόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα μοι ἐνταῦθα τὸν ἀδέκαστον δικαστὴν, τὸ συνειδὸς αὐτῶν κατεξανιστάμενον, καὶ οὐδενὸς ἐλέγχοντος, οὐδὲ εἰς μέσον ἄγοντος, αὐτοὺς
H ἑαυτῶν κατηγόρους γινομένους.

κβ. Ἀποκριθεὶς δὲ Ῥουβὶμ, εἶπεν αὐτοῖς, οὐκ ἐλάλησα ὑμῖν, λέγων, μὴ ἀδικήσητε τὸ παιδάριον, καὶ οὐκ εἰσηκού-

εἰσηκούσατέ μου; καὶ ἰδοὺ τὸ αἷμα αὐτοῦ ἐκζητεῖται.

** ΩΡΙΓΕΝΟΥΣ. Ἐν τοῖς ἀνωτέρω λέλεκται, ὅτι μὴ παρόντος τοῦ Ῥουβὶμ, πέπραται τοῖς Ἰσμαηλίταις ὁ Ἰωσὴφ, καὶ
Γεν.37 29,30. μετὰ τὸ πραθῆναι αὐτὸν, ἀνέστρεψεν ὁ
„ Ῥουβὶμ ἐπὶ τὸν λάκκον, καὶ οὐχ ὁρᾷ τὸν
„ Ἰωσὴφ ἐν τῷ λάκκῳ· καὶ διέῤῥηξε τὰ
„ ἱμάτια αὐτοῦ. καὶ ἐπέστρεψε πρὸς τοὺς
„ ἀδελφοὺς αὐτοῦ· καὶ εἶπε, τὸ παιδάριον
„ οὐκ ἔστιν· ἐγὼ δὲ ποῦ πορεύσομαι ἔτι; καὶ οὐ φαίνεται μεμαθηκὼς παρὰ τῶν ἀδελφῶν περὶ τοῦ Ἰωσὴφ, ὅτι ἐπράθη. μήποτε οὖν οἰόμενος ἀνῃρῆσθαι αὐτὸν, νῦν φησὶν, ἰδοὺ
„ τὸ αἷμα αὐτοῦ ἐκζητεῖται.

κγ. Αὐτοὶ δὲ οὐκ ᾔδεισαν, ὅτι ἀκούει Ἰωσήφ· ὁ γὰρ ἑρμηνευτὴς ἀνὰ μέσον αὐτῶν ἦν.

κδ. Ἀποστραφεὶς δὲ ἀπ' αὐτῶν, ἔκλαυσεν Ἰωσήφ. καὶ πάλιν προσῆλθε πρὸς αὐτοὺς, καὶ εἶπεν αὐτοῖς. καὶ ἔλαβε τὸν Συμεὼν ἀπ' αὐτῶν, καὶ ἔδησεν αὐτὸν ἐναντίον αὐτῶν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκεν τὸν δεύτερον, καὶ οὐ τὸν πρῶτον τῶν ἀδελφῶν καθειρχθῆναι προσέταξεν; Ἐγνώκει τοῦ Ῥουβὶμ τὸν σκοπὸν, καὶ ᾔδει σαφῶς ὁπόσους ὑπὲρ αὐτοῦ πρὸς τοὺς ἀδελφοὺς ἐποιήσατο λόγους, καὶ ὅσην ὑπὲρ τῆς αὐτοῦ σωτηρίας εἰσενήνοχε σπουδήν. ἐπειδὴ τοίνυν οὐ συνήργησεν ὁ Συμεὼν τῷ Ῥουβὶμ, μάλα δικαίως αὐτὸν καθειρχθῆναι προσέταξεν, ἀλλὰ καὶ ἐκδεδημηκότων τῶν ἀδελφῶν, πάσης αὐτὸν θεραπείας ἠξίωσε. τούτων μέντοι γιγνομένων, ἡσυχίαν ἄγειν τὸ συνειδὸς οὐκ ἠνέχετο, ἀλλὰ τῆς γεγενημένης εἰς τὸν ἀδελφὸν παρανομίας ἀνέμνη-
„ σεν. εἶπε γάρ φησιν ἕκαστος πρὸς τὸν ἀ-
„ δελφὸν αὐτοῦ, καὶ ἐν ἁμαρτίαις γάρ ἐσμεν
„ περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν
„ τὴν θλίψιν τῆς ψυχῆς αὐτοῦ, ὅτε κατε-
„ δέετο ἡμῶν, καὶ οὐκ εἰσηκούσαμεν αὐτοῦ. ἕνε-
„ κεν τούτου ἐπῆλθεν ἐφ' ἡμᾶς πᾶσα ἡ θλίψις αὕτη. καὶ ὁ Ῥουβὶμ δὲ εἰς καιρὸν ἐπάγει τὸν ἔλεγχον· εἶπε γάρ φησιν αὐτοῖς,
„ οὐκ ἐλάλησα ὑμῖν, λέγων, μὴ ἀδικήσετε
„ τὸ παιδάριον, καὶ οὐκ εἰσηκούσατέ μου; καὶ
„ ἰδοὺ τὸ αἷμα αὐτοῦ ἐκζητεῖται. ἐντεῦθεν ἔστι σαφῶς γνῶναι τὸ ἀληθὲς τοῦ συνειδότος κριτήριον. τῆς γὰρ πρὸ δύω καὶ εἴκοσι ἐτῶν γεγενημένης ἀναμιμνήσκει παρανομίας.

** ΙΣΙΔΩΡΟΥ. Διὰ τί τοὺς ἄλλους ἀδελφοὺς παρεὶς ὁ Ἰωσὴφ, τὸν Συμεῶνα μόνον διεκέλευε δεθῆναι; Ἐπειδὴ τῶν τὴν τραγῳδίαν ἐκείνην κατ' αὐτοῦ δραματουργησάντων κορυφαιότατος ἦν. εἰ γὰρ ἐφράξατο μετὰ τοῦ πρεσβυτάτου, τοῦ γνώμην ἀρίστην εἰσηγησαμένου, ἴσως ἂν καὶ τὴν ἐπιβουλὴν ἀνέτρεψεν. ἐκεῖνος μὲν γὰρ νεώτερος ἦν, δεύτερος ὢν καθ' ἡλικίαν,

A τῶν δ' ἄλλων πρεσβύτερος. καὶ εἰκὸς ἦν καὶ τοὺς ἄλλους ἢ φοβηθέντας, ἢ δυσωπηθέντας τὴν τῶν πρεσβυτάτων γνώμην, σβέσαι τὴν ἐπιβουλὴν, καὶ μάλιστα καὶ τοῦ τετάρτου ἀγανακτοῦντος ἐπὶ τοῖς γινομένοις, καὶ αὐτοῦ τοῦ πράγματος ἔχοντος πολλὴν ῥοπὴν πρὸς τὸ μὴ πραχθῆναι. ἐπεὶ τοίνυν οὐδὲ ῥῆξαι φωνὴν ὑπὲρ τοῦ δικαίου ἐτόλμησεν, ἐκέλευσεν αὐτὸν δεθῆναι, ὡς ὑπὲρ τῶν ἀδελφῶν ὁμηρεύσαντα·
B οὐ τιμωρούμενος αὐτὸν τοσοῦτον· μετ' οὐ πολὺ γὰρ εὐηργέτησεν· ὅσον παιδεύων, μηκέτι τοῖς αὐτοῖς ἐπιχειρεῖν. εἰς γὰρ ἀγῶνα αὐτὸν τοιοῦτον καταστήσας, καὶ εἰς ἔννοιαν ἀγαγὼν τῶν οὐ δεόντως πεπραγμένων, ὕστερον ἀκέραιον τῷ πατρὶ πέπομφε.

ΓΕΝΝΑΔΙΟΥ. Ἔδησεν ἐξ ἁπάντων τὸν Συμεὼν ἢ ὡς πεπολεμηκότα πλέον αὐτῷ, ἢ μᾶλλον ὡς τῶν ἄλλων ὄντα μετὰ
Γ τοῦ Ῥουβὶμ τιμιώτερον, καὶ δυνάμενον αὐτοῖς ἐπανάγκασμα γενέσθαι πρὸς τὴν τοῦ ζητουμένου Βενιαμὶν παράστασιν.

κε. Ἐνετείλατο δὲ Ἰωσὴφ ἐμπλῆσαι τὰ ἀγγεῖα αὐτῶν σίτου, καὶ ἀποδοῦναι τὸ ἀργύριον ἑκάστῳ εἰς τὸν σάκκον αὐτοῦ, καὶ δοῦναι αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδόν. καὶ ἐγενήθη αὐτοῖς οὕτω.

Δ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πόσην φιλοτιμίαν ἐπιδείκνυται· καὶ ἄκοντας αὐτοὺς εὐεργετεῖ, οὐ τὸν σῖτον μόνον δεδωκὼς, ἀλλὰ καὶ τὰ ἀργύρια.

κϛ. Καὶ ἐπιθέντες τὸν σῖτον ἐπὶ
τοὺς ὄνους αὐτῶν, ἀπῆλθον ἐκεῖθεν.
κζ. Λύσας δὲ εἷς τὸν μάρσιππον αὐτοῦ,
δοῦναι χορτάσματα τοῖς ὄνοις αὐτοῦ, οὗ
κατέλυσαν, εἶδε τὸν δεσμὸν τοῦ ἀρ-
E γυρίου αὐτοῦ, καὶ ἦν ἐπάνω τοῦ στόματος
κη. τοῦ μαρσίππου. Καὶ εἶπε τοῖς ἀδελ-
φοῖς αὐτοῦ, ἀπεδόθη μοι τὸ ἀργύριον,
καὶ ἰδοὺ τοῦτο ἐν τῷ μαρσίππῳ μου. καὶ
ἐξέστη ἡ διάνοια αὐτῶν· καὶ ἐταράχ-
θησαν πρὸς ἀλλήλους, λέγοντες, τί τοῦ-
κθ. το ἐποίησεν ὁ Θεὸς ἡμῖν; Ἦλθον δὲ
πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν εἰς
γῆν Χαναὰν, καὶ ἀπήγγειλαν αὐτῷ
Z πάντα τὰ συμβάντα αὐτοῖς, λέγοντες,
λ. Λελάληκεν ὁ ἄνθρωπος ὁ κύριος τῆς
γῆς πρὸς ἡμᾶς σκληρὰ, καὶ ἔθετο ἡ-
μᾶς ἐν φυλακῇ, ὡς κατασκοπεύοντας
λα. τὴν γῆν. Εἴπαμεν δὲ αὐτῷ, εἰρηνι-
κοί ἐσμεν, οὐκ ἐσμὲν κατάσκοποι. Δώ-
λβ. δεκα ἀδελφοί ἐσμεν υἱοὶ τοῦ πατρὸς
ὑμῶν· ὁ εἷς οὐχ ὑπάρχει· ὁ δὲ μικρὸς,
H μετὰ τοῦ πατρὸς ὑμῶν σήμερον ἐν γῇ
Χαναάν.

λγ. Εἶπε δὲ ἡμῖν ὁ ἄνθρωπος ὁ κύριος τῆς γῆς, ἐν τούτῳ γνώσομαι ὅτι

εἰρηνικοί ἐστε· ἀδελφὸν ἕνα ἄφετε ὧδε μετ' ἐμοῦ· τὸν δὲ ἀγορασμὸν τῆς σιτοδοσίας τοῦ οἴκου ὑμῶν λαβόντες, ἀπέλ-
λδ. θετε. Καὶ ἀγάγετε πρός με τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον. καὶ γνώσομαι, ὅτι οὐ κατάσκοποί ἐστε, ἀλλ' ὅτι εἰρηνικοί ἐστε· καὶ τὸν ἀδελφὸν ὑμῶν ἀποδώσω ὑμῖν, καὶ τῇ γῇ ἐμπορεύεσθε.

** ΠΡΟΚΟΠΙΟΥ. Διηγούμενοι δὲ τῷ Ἰακὼβ τὰ παρὰ τοῦ Ἰωσήφ, τὸ τῆς φυ-
» λακῆς ἐσιώπησαν· ἀντὶ τοῦ, κατασχεθή-
» τω ἐν τῇ φυλακῇ, εἰπόντες, ὧδε ἄφετε
» μετ' ἐμοῦ. ὥσπερ καὶ ἀντὶ τοῦ, εἰ δὲ μὴ
» ἀποθανεῖσθε, τὸ, καὶ τὸν ἀδελφὸν ὑμῶν
» ἀποδώσω ὑμῖν, καὶ ἐν τῇ γῇ ἐμπορεύεσθε·
μὴ καὶ ποιήσωσι τὸν Ἰακὼβ ὀκνηρὸν πρὸς τὸ πέμψαι Βενιαμίν.

λε. Ἐγένετο δὲ ἐν τῷ κατακενοῦν αὐτοὺς τοὺς σάκκους αὐτῶν, [καὶ ἦν ἑκάστου ὁ δεσμὸς τοῦ ἀργυρίου ἐν τῷ σάκκῳ αὐτῶν·] καὶ εἶδον τοὺς δεσμοὺς τοῦ ἀργυρίου αὐτῶν αὐτοὶ, καὶ ὁ πατὴρ αὐτῶν, καὶ ἐφοβήθησαν.

** ΠΡΟΚΟΠΙΟΥ. Πλέον δὲ ὁ Ἰακὼβ ἐφοβήθη θεασάμενος τὸ ἀργύριον, μὴ δόλος ἐστί.

λϛ. Εἶπε δὲ αὐτοῖς Ἰακὼβ ὁ πατὴρ αὐτῶν, ἐμὲ ἠτεκνώσατε. Ἰωσὴφ

A οὐκ ἔστι, Συμεὼν οὐκ ἔστι, καὶ τὸν Βενιαμὶν λήψεσθε; ἐπ' ἐμὲ ἐγένοντο ταῦτα πάντα.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπ' ἐμὲ ἐγέ-
» νοντο ταῦτα πάντα. ἱκανὰ τὰ ῥήματα δεῖξαι τοῦ πατρὸς διακοπτόμενα τὰ σπλάγχνα. καὶ γὰρ ὥσπερ τὰ κατὰ τὸν Ἰωσὴφ αὐτῷ ἀπηγόρευτο· ἐνόμιζε γὰρ θηρῶν κατάβρωμα γεγενῆσθαι· οὕτω καὶ τὰ
B κατὰ τὸν Συμεῶνα ἀπηγόρευσε· λοιπὸν δὲ καὶ περὶ τοῦ Βενιαμὶν ἐδεδοίκει.

λζ. Εἶπε δὲ Ῥουβὶμ τῷ πατρὶ αὐτοῦ, λέγων, τοὺς δύο υἱούς μου ἀπόκτεινον, ἐὰν μὴ ἀναγάγω αὐτὸν πρὸς σέ. δὸς αὐτὸν εἰς τὴν χεῖρά μου, κἀγὼ αὐ-
λη. τὸν ἄξω πρὸς σέ. Ὁ δὲ εἶπεν, οὐ καταβήσεται ὁ υἱός μου μεθ' ὑμῶν, ὅτι
Γ ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανε, καὶ αὐτὸς μόνος καταλέλειπται· καὶ συμβήσεται αὐτὸν μαλακισθῆναι ἐν τῇ ὁδῷ, ᾗ ἐὰν πορεύησθε, καὶ ἤξετε τὸ γῆράς μου μετὰ λύπης εἰς ᾅδου.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τῷ Ῥουβὶμ οὐκ ἐθάῤῥησε δοῦναι τὸν Βενιαμὶν ὁ πατήρ; Ὕποπτος ἦν αὐτῷ διὰ τὴν παράνομον συνουσίαν, καὶ τῆς εὐνῆς τὴν παρανομίαν.
Δ ἠγνόει δὲ καὶ ὅσην ὑπὲρ τοῦ Ἰωσὴφ εἰσενήνοχε σπουδήν.

ΚΕΦ. ΜΓ.

α. Ὁ δὲ λιμὸς ἐνίσχυσεν ἐπὶ τῆς
β. γῆς. Ἐγένετο δὲ ἡνίκα συνετέλεσαν καταφαγεῖν τὸν σῖτον, ὃν ἤνεγκαν ἐξ Αἰγύπτου· καὶ εἶπεν αὐτοῖς ὁ πατὴρ αὐτῶν, πάλιν πορευθέντες, πρίασθε ἡμῖν μικρὰ
γ. βρώματα. Εἶπε δὲ αὐτῷ Ἰούδας, λέγων, διαμαρτυρίᾳ διαμεμαρτύρηται ἡμῖν ὁ ἄνθρωπος ὁ κύριος τῆς γῆς, λέγων, οὐκ ὄψεσθε τὸ πρόσωπόν μου, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος
δ. μεθ' ὑμῶν ᾖ. Εἰ μὲν οὖν ἀποστέλλῃς τὸν ἀδελφὸν ἡμῶν, καταβησόμεθα, καὶ ἀγοράσομέν σοι βρώματα.
ε. Εἰ δὲ μὴ ἀποστέλλῃς τὸν ἀδελφὸν ἡμῶν μεθ' ἡμῶν, οὐ πορευσόμεθα· ὁ γὰρ ἄνθρωπος εἶπεν ἡμῖν, λέγων, οὐκ ὄψεσθέ μου τὸ πρόσωπον, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ' ὑμῶν ᾖ.

ϛ. Εἶπε δὲ Ἰσραὴλ, τί ἐκακοποιήσατέ με, ἀπαγγείλαντες τῷ ἀνθρώπῳ, ὅτι ἐστὶν ὑμῖν ἀδελφός;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Στενὰ πάντοθεν ἦν τῷ Ἰακώβ· διὸ καὶ ἀποδυρόμενός
E» φησι πρὸς αὐτούς· τί ἐκακοποιήσατέ με,
» ἀπαγγείλαντες τῷ ἀνθρώπῳ, ὅτι ἐστὶν
» ὑμῖν ἀδελφός; τί ἐκακοποιήσατέ με; διατί, φησὶν, ἐμοὶ τούτων τῶν κακῶν αἴτιοι γεγένησθε; εἰ γὰρ μὴ τοῦτο ἐγνωρίσατε, οὐκ ἂν τοῦ Συμεὼν ἀπεστερήθην, οὐκ ἂν τοῦτον ἐπεζήτησεν.

ζ. Οἱ δὲ εἶπαν, ἐρωτῶν ἐπηρώτησεν ἡμᾶς ὁ ἄνθρωπος καὶ τὴν γε-
Z νεὰν ἡμῶν, λέγων, εἰ ἔτι ὁ πατὴρ ὑμῶν ζῇ, εἰ ἔστιν ἐν ὑμῖν ἀδελφός· καὶ ἀπηγγείλαμεν αὐτῷ κατὰ τὴν ἐπερώτησιν ταύτην· μὴ ᾔδειμεν, ὅτι ἐρεῖ ἡμῖν, ἀγάγετε τὸν ἀδελφὸν ὑμῶν;

η. Εἶπε δὲ Ἰούδας πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτοῦ, ἀπόστειλον τὸ παιδά-
H ριον μετ' ἐμοῦ· καὶ ἀναστάντες πορευσόμεθα, [ἵνα ζῶμεν] καὶ μὴ ἀποθάνωμεν καὶ ἡμεῖς καὶ σὺ καὶ ἡ ἀποσκευὴ ἡμῶν.

ΩΡΙΓΕ-

ΩΡΙΓΕΝΟΥΣ. Μήποτε προφητεύει,
ὅτι ἤμελλε μετὰ τῆς Ἰούδα φυλῆς εἶναι
Βενιαμίν.

θ. Ἐγὼ δὲ ἐκδέχομαι αὐτόν· ἐκ
χειρός μου ζήτησον αὐτόν. ἐὰν μὴ ἀ-
γάγω αὐτὸν πρὸς σὲ, καὶ στήσω αὐτὸν
ἐναντίον σου, ἡμαρτηκὼς ἔσομαι εἰς σὲ
πάσας τὰς ἡμέρας.

** ΩΡΙΓΕΝΟΥΣ. Μηδὲν τῶν δεινῶν
γενέσθαι ὡς ἀνθρώπῳ τῷ Βενιαμὶν λογι-
σάμενος Ἰούδας, προφητικῶς, οἶμαι, τῷ
πατρὶ ἐπαγγέλλεται.

ι. Εἰ μὴ γὰρ ἐβραδύναμεν, ἤδη
ἂν ὑπεστρέψαμεν δίς.

ια. Εἶπε δὲ αὐτοῖς Ἰσραὴλ ὁ πα-
τὴρ αὐτῶν, εἰ οὕτως ἐστὶ, τοῦτο ποιή-
σατε· λάβετε ἀπὸ τῶν καρπῶν τῆς
γῆς ἐν τοῖς ἀγγείοις ὑμῶν, καὶ κα-
ταγάγετε τῷ ἀνθρώπῳ δῶρα τῆς ῥη-
τίνης, καὶ τοῦ μέλιτος, θυμίαμα, καὶ
στακτὴν, καὶ τερέβινθον, καὶ κάρυα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Βλέπε λοιπὸν
ἐνταῦθα, ἀγαπητὲ, πῶς ἡ τοῦ λιμοῦ ἀνάγ-
κη ἐνίκησε τὴν φιλοστοργίαν τοῦ πατρός.
ὁρῶν γὰρ οὐδεμίαν αὐτοὺς εὑρίσκοντας πα-
ραμυθίαν ἑτέραν, καὶ τὸν λιμὸν ἐπιτεινό-
» μενον, φησίν· εἰ οὕτως ἐστὶ, καὶ τοῦτο δεῖ
πάντως γενέσθαι, καὶ οὐχ οἷόν τε ὑμᾶς κα-
τελθεῖν, εἰ μὴ καὶ τοῦτον λάβοιτε, ὀφεί-
λετε καὶ δῶρα ἀποκομίσαι τῷ ἀνδρὶ, καὶ
τὸ ἀργύριον δὲ, ὅπερ ἐν τοῖς μαρσίπποις
ὑμῶν εὑρήκατε, καὶ ἕτερον ἀργύριον, ὥστε
» πρίασθαι· καὶ τὸν ἀδελφὸν ὑμῶν λάβετε,
» καὶ ἀναστάντες κατάβητε πρὸς τὸν ἄν-
» θρωπον.

ΩΡΙΓΕΝΟΥΣ. Ἀπὸ τῶν καρπῶν τῆς
γῆς φέρεται τῷ Ἰωσὴφ δῶρα, ἃ οὐκ ἔχει
Αἴγυπτος· ἔστι δὲ μέλι, ῥητίνη, θυμία-
μα, στακτὴ, τερέβινθος, κάρυα. [καὶ ἀνω-
τέρω δὲ αἱ κάμηλοι ἔγεμον θυμιαμάτων,
ῥητίνης, στακτῆς, ἀλλ' οὐχὶ καὶ μέλιτος,
καὶ τερεβίνθου, καὶ καρύων.] καὶ οἱ μὲν
Μαδιηναῖοι τρία εἴδη κατάγουσιν ἀγορά-
σαντες μετὰ τοῦ Ἰωσήφ· οἱ δὲ υἱοὶ Ἰσραὴλ,
ἅπαντα. ἔδει γὰρ τὰ μὲν ὑποδεέστερα, ἀπὸ
τῶν νόθων τοῦ Ἀβραὰμ φέρεσθαι [παίδων·]
τὰ δὲ πλείονα, ἀπὸ τῶν γνησίων, ὡς τῆς
Αἰγύπτου τούτων χρείαν ἐχούσης.

ιβ. Καὶ τὸ ἀργύριον δισσὸν λάβε-
τε ἐν ταῖς χερσὶν ὑμῶν· τὸ ἀργύριον
τὸ ἀποστραφὲν ἐν τοῖς μαρσίπποις ὑ-
μῶν, ἀποστρέψατε μεθ' ὑμῶν· μήπο-
ιγ. τε ἀγνόημά ἐστι. Καὶ τὸν ἀδελφὸν
ὑμῶν λάβετε· καὶ ἀναστάντες, κατά-
βητε πρὸς τὸν ἄνθρωπον.

ιδ. Ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν
ἐναντίον τοῦ ἀνθρώπου, καὶ ἀποστείλαι
A τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα, καὶ τὸν
Βενιαμίν. ἐγὼ μὲν γὰρ καθὰ ἠτέκνω-
μαι, ἠτέκνωμαι.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς τὴν
ἄφατον αὐτοῦ φιλοστοργίαν ἐπιδείκνυται,
ἣν περὶ τὸν Ἰωσὴφ ἐκέκτητο. ἵνα γὰρ μή-
τις νομίσῃ περὶ τοῦ Βενιαμὶν, ἢ περὶ τοῦ
» Συμεὼν εἰρῆσθαι τὸ, ἐγὼ γὰρ καθὰ ἠτέ-
» κνωμαι, ἠτέκνωμαι, διὰ τοῦτο προλαβών-
B » φησιν· ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν, καὶ
» ἀποστείλαι τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα, καὶ
τὸν Βενιαμίν. εἰ καὶ ὅτι, φησὶ, κἂν οὗτοι
» διασωθῶσιν, ἀλλ' ἐγὼ καθὰ ἠτέκνωμαι,
» ἠτέκνωμαι. ἐννόει πῶς ὅλως τῇ εὐνοίᾳ
τῷ Ἰωσὴφ ἦν προσκείμενος. ὁρῶν γὰρ
τοσοῦτον χορὸν παίδων αὐτοῦ περιεστῶτα,
ἄτεκνον ἑαυτὸν εἶναι ἐνόμιζεν, ἐπειδὴ ἐκεί-
νου ἀπεστερεῖτο.

Γ ιε. Λαβόντες δὲ οἱ ἄνδρες τὰ δῶ-
ρα ταῦτα καὶ τὸ ἀργύριον διπλοῦν,
ἔλαβον ἐν ταῖς χερσὶν αὐτῶν καὶ τὸν
Βενιαμίν.

ις. Εἶδε δὲ Ἰωσὴφ αὐτοὺς, καὶ
τὸν Βενιαμὶν τὸν ἀδελφὸν αὐτοῦ τὸν
ὁμομήτριον· καὶ εἶπε τῷ ἐπὶ τῆς οἰ-
κίας αὐτοῦ, εἰσάγαγε τοὺς ἀνθρώπους
τούτους εἰς τὴν οἰκίαν, καὶ σφάξον θύ-
Δ ματα, καὶ ἑτοίμασον· μετ' ἐμοῦ γὰρ
φάγονται οἱ ἄνθρωποι οὗτοι ἄρτους τῇ
μεσημβρίᾳ.

** ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ ἧκον ὁμοῦ τῷ
παιδὶ, λοιπὸν ἐπὶ τὴν ἑστίαν ἐκάλει, ὕδα-
τι δὲ διανενιγμένους ἄρτοις τε καὶ οἴνῳ κα-
τεκόρεννυ λοιπόν. τεθλιμμένοι γὰρ ὥσ-
περ καὶ ἀφορήτῳ λιμῷ ἐκπεπιεσμένοι, δῆ-
λον δὲ ὅτι τῷ νοητῷ, κατὰ καιροὺς Ἰουδαῖοι,
E τὴν ὀφρὺν ἀφέντες τὴν ὑψηλὴν καὶ ἀγέ-
ρωχον, ἥξουσιν ἐπὶ Χριστὸν τῆς παρ' αὐτοῦ
γλιχόμενοι τροφῆς, ἁγίας τε καὶ πνευ-
ματικῆς φημὶ καὶ ζωοποιοῦ. ὁ δὲ προσ-
δέξεται μὲν, πλὴν οὐ δίχα τοῦ νέου λαοῦ,
οὗ καὶ εἰς τύπον εἴη ἂν ὁ Βενιαμίν. ἐλ-
θόντες δὲ ὥσπερ ἐν ὁμοψυχίᾳ καὶ ὡς ἐν
γνώμῃ μιᾷ, προσδέξεται μὲν ἱλαρῶς, εἰ-
σοίσει δὲ ὥσπερ εἰς ἴδιον οἶκον, τουτέστι τὴν
ἐκκλησίαν. εἶτα διανίψας ὕδατι καθαρῷ
Z τῷ τῆς παλιγγενεσίας λουτρῷ, ἄρτῳ τε
καὶ οἴνῳ διαθρέψει μυστικῶς ὁ λόγος.

ιζ. Ἐποίησε δὲ ὁ ἄνθρωπος καθὰ
εἶπεν Ἰωσήφ· καὶ εἰσήγαγε τοὺς ἀν-
θρώπους εἰς τὴν οἰκίαν τοῦ Ἰωσήφ.

ιη. Ἰδόντες δὲ οἱ ἄνδρες ὅτι εἰσήχ-
θησαν εἰς τὸν οἶκον τοῦ Ἰωσὴφ, εἶπαν,
διὰ τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς
H μαρσίπποις τὴν ἀρχὴν, ἡμεῖς εἰσα-
γόμεθα, τοῦ συκοφαντῆσαι ἡμᾶς, καὶ
ἐπιθέσθαι τοῦ λαβεῖν ἡμᾶς εἰς παῖδας
καὶ τοὺς ὄνους ἡμῶν.

⁂ ΩΡΙΓΕΝΟΥΣ. Ἀπίθανον τὸ ἐν τοιαύτῃ νομίζοντας εἶναι περιστάσει περὶ τῶν ὄνων φροντίζειν· εἰ μὴ ἀλληγορεῖται.

ιθ. Προσελθόντες δὲ πρὸς τὸν ἄνθρωπον τὸν ἐπὶ τοῦ οἴκου τοῦ Ἰωσήφ, ἐλάλησαν αὐτῷ ἐν τῷ πυλῶνι τοῦ οἴ-
κ. κου, Λέγοντες, δεόμεθα κύριε· κατέβημεν τὴν ἀρχὴν πρίασθαι βρώματα.
κα. Ἐγένετο δὲ ἡνίκα ἤλθομεν καταλῦσαι, καὶ ἠνοίξαμεν τοὺς μαρσίππους ἡμῶν, καὶ τόδε τὸ ἀργύριον ἑκάστου ἐν τῷ μαρσίππῳ αὐτοῦ· τὸ ἀργύριον ἡμῶν ἐνταῦθα ἐν σταθμῷ ἀπεστρέψαμεν
κβ. νῦν ἐν ταῖς χερσὶν ἡμῶν. Καὶ ἀργύριον ἕτερον ἠνέγκαμεν μεθ' ἑαυτῶν ἀγοράσαι βρώματα. οὐκ οἴδαμεν τίς ἐνέβαλε τὸ ἀργύριον εἰς τοὺς μαρσίππους ἡμῶν.

κγ. Εἶπε δὲ αὐτοῖς, ἵλεως ὑμῖν, μὴ φοβεῖσθε. ὁ Θεὸς ὑμῶν καὶ ὁ Θεὸς τῶν πατέρων ὑμῶν ἔδωκεν ὑμῖν θησαυροὺς ἐν τοῖς μαρσίπποις ὑμῶν· τὸ δὲ ἀργύριον ὑμῶν εὐδοκιμοῦν ἀπέχω. καὶ ἐξήγαγε πρὸς αὐτοὺς τὸν Συμεών.

⁂ ΧΡΥΣΟΣΤΟΜΟΥ. Μὴ δειλιᾶτε, φησὶ, μηδὲ τούτου ἕνεκεν ἀγωνιᾶτε. οὐδεὶς ὑμῖν ταύτης ἕνεκεν τῆς αἰτίας ἔγκλημα περιάψει. καὶ γὰρ τὸ ἀργύριον πεπληρώμεθα.

ΩΡΙΓΕΝΟΥΣ. Ἔοικεν (1) ὠφεληθῆναι ὁ ἄνθρωπος οὗτος εἰς θεοσέβειαν παρὰ τοῦ Ἰωσήφ.

κδ. Καὶ ἤνεγκεν ὕδωρ νίψαι τοὺς πόδας αὐτῶν· καὶ ἔδωκε χορτάσ-
κε. ματα τοῖς ὄνοις αὐτῶν. Ἡτοίμασαν δὲ τὰ δῶρα, ἕως τοῦ ἐλθεῖν Ἰωσὴφ μεσημβρίας· ἤκουσαν γὰρ ὅτι ἐκεῖ μέλ-
κς. λει ἀριστᾶν. Εἰσῆλθε δὲ Ἰωσὴφ εἰς τὴν οἰκίαν, καὶ προσήνεγκαν αὐτῷ [τὰ] δῶρα, ἃ εἶχον ἐν ταῖς χερσὶν αὐτῶν εἰς τὸν οἶκον· καὶ προσεκύνησαν αὐ-
κζ. τῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. Ἠρώτησε δὲ αὐτοὺς, πῶς ἔχετε; καὶ εἶπεν αὐτοῖς, ὑγιαίνει ὁ πατὴρ ὑμῶν ὁ πρεσβύτερος, ὃν εἴπατε ἔτι ζῆν;
κη. Οἱ δὲ εἶπαν, ὑγιαίνει ὁ παῖς σου ὁ πατὴρ ἡμῶν, ἔτι ζῇ. καὶ εἶπεν, εὐλογημένος ὁ ἄνθρωπος ἐκεῖνος τῷ Θεῷ. καὶ κύψαντες προσεκύνησαν
κθ. αὐτῷ. Ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ Ἰωσὴφ, εἶδε Βενιαμὶν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομήτριον· καὶ

A εἶπεν, οὗτος ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος, ὃν εἴπατε πρός με ἀγαγεῖν; καὶ εἶπεν, ὁ Θεὸς ἐλεήσαισε τέκνον.

λ. Ἐταράχθη δὲ Ἰωσήφ· συνεστρέφετο γὰρ τὰ σπλάγχνα αὐτοῦ ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ, καὶ ἐζήτει κλαῦσαι· εἰσελθὼν δὲ εἰς τὸ ταμεῖον, ἔκλαυσεν ἐκεῖ.

B ⁂ ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει πόσην καρτερίαν ἐπιδείκνυται· καὶ ἔτι ἄγνοιαν προσποιεῖται, ἵνα διὰ τῶν ἑξῆς γενομένων δοκιμὴν αὐτῶν τῆς γνώμης λαβεῖν δυνηθῇ, ὅπως πρὸς τὸν Βενιαμὶν διάκεινται. καὶ ἐπειδὴ ὑπὸ τῆς φύσεως αὐτῆς „ ἐνικᾶτο, συνεστρέφετο αὐτοῦ, φησὶ, τὰ „ σπλάγχνα, καὶ ἐζήτει κλαῦσαι.

λα. Καὶ νιψάμενος τὸ πρόσωπον
Γ αὐτοῦ, ἐξελθὼν ἐνεκρατεύσατο· καὶ εἶπε, παράθετε ἄρτους.

λβ. Καὶ παρέθηκαν αὐτῷ μόνῳ, καὶ αὐτοῖς καθ' ἑαυτοὺς, καὶ τοῖς Αἰγυπτίοις τοῖς συνδειπνοῦσιν αὐτῷ καθ' ἑαυτούς· οὐ γὰρ ἐδύναντο οἱ Αἰγύπτιοι συνεσθίειν μετὰ τῶν Ἑβραίων ἄρτους· βδέλυγμα γάρ ἐστι τοῖς Αἰγυπτίοις
Δ πᾶς ποιμὴν προβάτων.

⁂ ΧΡΥΣΟΣΤΟΜΟΥ. Παρέθηκαν αὐτῷ μόνῳ, ἅτε δὴ ὡς βασιλεῖ καὶ ἄρχοντι πάσης Αἰγύπτου, κἀκείνοις καθ' ἑαυτοὺς, καὶ τοῖς Αἰγυπτίοις τοῖς συνδειπνοῦσι μετ' αὐτοῦ καθ' ἑαυτούς. οὐδὲ γὰρ ἐδύναντο οἱ Αἰγύπτιοι συνεσθίειν μετὰ τῶν „ Ἑβραίων. βδέλυγμα γάρ ἐστι τοῖς Αἰ- „ γυπτίοις.

E ⁎ ΠΡΟΚΟΠΙΟΥ. Βδέλυγμα γὰρ ἁμαρτωλῷ θεοσέβεια.

λγ. Ἐκάθισαν δὲ ἐναντίον αὐτοῦ, ὁ πρωτότοκος κατὰ τὰ πρεσβεῖα αὐτοῦ. καὶ ὁ νεώτερος κατὰ τὴν νεότητα αὐτοῦ. ἐξίσταντο δὲ οἱ ἄνθρωποι ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ.

„ ⁂ ΠΡΟΚΟΠΙΟΥ. Καὶ ὁ νεώτερος
Z „ κατὰ τὴν νεότητα αὐτοῦ, ὡς εὑρεθῆναι τὸν Βενιαμὶν ἐγγὺς τοῦ Ἰωσήφ.

⁂ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τοῦτο ἐκείνους εἰς ἔκπληξιν ἦγε, καὶ ἐν ἀπορίᾳ καθίσαντο, πόθεν αὐτῷ ἡ γνῶσις ἐγένετο τῆς διαφορᾶς τῶν ἡλικιῶν.

⁂ ΕΦΡΑΙΜ. Ἠκούσατε, πῶς πάντοθεν εἰς δειλίαν αὐτοὺς ἄγει ὁ Ἰωσήφ· ἕκαστον ἐκέλευσεν ἀνακλιθῆναι κατ' ὄνομα
H καλῶν· καὶ κατὰ τάξιν, ὡς ἐτέχθησαν, καὶ ἐκέχρητο ἑκάστῳ σχήματι μαντευόμενος

(1) Ἔοικεν ὁ ἐπὶ τοῦ οἴκου τοῦ Ἰωσὴφ ἄνθρωπος ταῦτα εἰρηκέναι, ὠφεληθεὶς εἰς θεοσ. κτ. ἐν Τόμ. 2. σελ. 48. τῆς τοῦ Ῥουαίου ἐκδόσ.

μενος εἰς τὸ κόνδυ· ποτήριόν ἐςιν ἀργυρῦν, ὃ ἐκράτει ἐν τῇ χειρὶ αὐτῦ. τίθησι μὲν τὸ κόνδυ, καὶ ἔκρουε τῷ δακτύλῳ τῆς δεξιᾶς αὐτῦ· καὶ τὸ κόνδυ κρουόμενον, ἦχον μέγαν ἀνέπεμπεν εἰς τὰς ἀκοὰς τῶν παρεςηκότων τῇ οἰκίᾳ. εἶτα κρούσας ἅπαξ, ἔφη· πρῶτός ἐςι Ῥουβίμ· πρῶτος ἀνακλιθήτω κατὰ τιμήν. κρούσας δὲ πάλιν, ἀνέδειξε τὸ ὄνομα τῦ δευτέρου, λέγων· οὗτος Συμεὼν ὁ δεύτερος, ἀνακλιθήτω κατὰ τὴν γέννησιν. κρούσας δὲ πάλιν τὸ τρίτον, ἔφη, Λευΐς· φησὶν, ἀνακλιθήτω καὶ τιμηθήτω. καὶ οὕτω πάντας ἀνέκλινε, κατ' ὄνομα καλῶν αὐτοὺς καὶ κατὰ τάξιν. εἰς ἔκςασιν οὖν αὐτοὺς ἤνεγκε περὶ τούτου, καὶ πλείονα δειλίαν· ὥςε αὐτοὺς λογίζεσθαι, ὅτι οὗτος πάντας οἶδε, μήτιγε ἄρα ἐπίςαται ἐκ τούτου; καὶ πλείονα δειλίαν εἶχον διὰ τὸ κόνδυ μᾶλλον, καὶ πρὸς ἀλλήλους ἐνένευον, λέγοντες ἕκαςος· ὅτι ἡμεῖς τὸ πρότερον εἴπομεν ψευδόμενοι ἐκ θηρίου πονηροῦ τὸν

A Ἰωσὴφ ἀναιρεῖσθαι. καὶ ἦσαν χειμαζόμενοι ἱκανῶς περὶ αὐτοῦ. ἵνα δὲ τὴν ὑπόνοιαν αὐτῶν ἀφέλῃ, μερίδας αὐτοῖς δίδωσι· πλείονας δὲ τῷ ἰδίῳ ἀδελφῷ τῷ Βενιαμὶν, δεκαπλασίονα δέδωκεν ὑπὲρ τοὺς ἄλλους. τί δήποτε τοῦτο ποιῶν Ἰωσὴφ τοῖς ἀδελφοῖς, καὶ ἐκ τοῦ κόνδυ δεικνύει τὸ ὄνομα ἑκάςου; ἵνα μεῖζον τὸ ἔγκλημα ποιήσῃ αὐτοῖς.

B **λδ.** Ἦραν δὲ μερίδα παρ' αὐτοῦ πρὸς αὐτούς. ἐμεγαλύνθη δὲ ἡ μερὶς Βενιαμὶν παρὰ τὰς μερίδας πάντων πενταπλασίως πρὸς τὰς ἐκείνων· ἔπιον δὲ, καὶ ἐμεθύσθησαν μετ' αὐτοῦ.

» ΩΡΙΓΕΝΟΥΣ. Ἐμεγαλύνθη, ἡ διὰ τὴν Ἱερουσαλὴμ, ἢ ὡς τύπος τοῦ ἀποςόλου Παύλου. καὶ Ἰησοῦς δὲ τῆς φυλῆς ὢν Ἐφραὶμ, διεμέρισε ταῖς ἄλλαις φυλαῖς

Γ τὴν γῆν.

ΚΕΦ. ΜΔ.

α. Καὶ ἐνετείλατο Ἰωσὴφ τῷ ὄντι ἐπὶ τῆς οἰκίας αὐτοῦ, λέγων, πλήσατε τοὺς μαρσίππους τῶν ἀνθρώπων τούτων σίτου, ὅσον ἂν ἄρωσι. καὶ ἐμβάλετε ἑκάςου τὸ ἀργύριον ἐπὶ τοῦ ςόματος τοῦ μαρσίππου.

β. Καὶ τὸ κόνδυ μου τὸ ἀργυροῦν ἐμβάλετε εἰς τὸν μάρσιππον τοῦ νεωτέρου, καὶ τὴν τιμὴν τοῦ σίτου αὐτοῦ. ἐγενήθη δὲ κατὰ τὸ ῥῆμα Ἰωσὴφ, καθὼς εἶπε.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἅμα τῇ ἕω μεταπεμψάμενος τὸν ἐπίτροπον τῆς οἰκίας, κελεύει τὰ ἀγγεῖα τῶν ἀνδρῶν ὅσα ἐπηνέγκαντο, γεμίσαι σίτου. καὶ πάλιν ἐπὶ τῶν ςομάτων τὴν τιμὴν ἐν βαλαντίοις καταθεῖναι· εἰς δὲ τὸ τοῦ νεωτάτου, τὸ κάλλιςον τῶν ἀργυρῶν ἔκπωμα, ᾧ πίνειν ἔθος εἶχεν αὐτός.

✱✱ ΙΩΣΗΠΟΥ. Κελεύει τὸν ταμίαν τόν τε σῖτον αὐτοῖς δοῦναι μεμετρημένον, καὶ τὴν τιμὴν πάλιν ἐγκρύψαι τοῖς σάκκοις· εἰς δὲ τὸ Βενιαμὶν φορτίον καὶ σκύφον ἀργυροῦν· ᾧ πίνων ἔχαιρε, βαλόντα καταλιπεῖν. ἐποίει δὲ ταῦτα, διάπειραν βουλόμενος τῶν ἀδελφῶν λαβεῖν, πότερόνποτε βοηθοῦσι τῷ Βενιαμὶν κλοπῆς ἐναγομένῳ, καὶ δοκοῦντι κινδυνεύειν, ἢ καταλιπόντες ὡς οὐδὲν αὐτοὶ κεκακουργηκότες, ἄπιασι πρὸς τὸν πατέρα.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὸ κατὰ τὸ κόνδυ κατεσκεύασε δρᾶμα; Βασανίσαι τῶν ἀδελφῶν ἠβουλήθη τὴν γνώμην, καὶ γνῶναι σαφῶς, εἰ τῷ Βενιαμὶν συκοφαντουμένῳ συναγωνίζονται. διὰ τοῦτο καὶ εἰς τὸν ἐκείνου σάκκον τὸ κόνδυ κατέκρυψεν. ἐπειδὴ δὲ οὐχ ἁπλῶς συνηγοροῦντας, ἀλλὰ καὶ ὑπερμαχοῦντας ἐθεάσατο, ῥίψας τὸ

Δ προσωπεῖον τὸ ἀρχικὸν, τὸ ἀδελφικὸν ἐπέδειξε πρόσωπον. ἐκείνων δὲ καταπληξάντων, καὶ μονονουχὶ χάναι αὐτοῖς βουληθέντων τὴν γῆν, αὐτὸς παραθαῤῥύ-
» νει λέγων, μὴ λυπεῖσθε, μηδὲ σκληρὸν Γεν. 45. 5
» ὑμῖν φαινέσθω, ὅτι ἀπέδοσθέ με ὧδε· εἰς
» γὰρ ζωὴν ἀπέςαλκέ με ὁ Θεὸς ἔμπροσθεν
» ὑμῶν.

γ. Τὸ πρωῒ διέφαυσε· καὶ οἱ ἄνθρωποι ἀπεςάλησαν, αὐτοὶ καὶ οἱ ὄνοι

δ. αὐτῶν. Ἐξελθόντων δὲ αὐτῶν τὴν πόλιν, οὐκ ἀπέσχον μακρὰν· καὶ Ἰωσὴφ εἶπε τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ, ἀναςὰς ἐπιδίωξον ὀπίσω τῶν ἀνθρώπων, καὶ καταλήψῃ αὐτοὺς, καὶ ἐρεῖς αὐτοῖς, τί ὅτι ἀνταπεδώκατε πονηρὰ ἀντὶ καλῶν;

Z **ε.** Ἵνα τί ἐκλέψατέ μου τὸ κόνδυ τὸ ἀργυροῦν; οὐ τοῦτό ἐςιν, ἐν ᾧ πίνει ὁ κύριός μου; αὐτὸς δὲ οἰωνισμῷ οἰωνίζεται ἐν αὐτῷ. πονηρὰ συνετελέσατε ἃ πεποιήκατε.

ΘΕΟΔΩΡΟΥ. Κόνδυ μὲν, τὸ λεγόμε-
» νον ἁπλοπότιον λέγει· τὸ δὲ, οἰωνισμῷ
» οἰωνίζεται ἐν αὐτῷ, τοῦτό φησιν· ὅτι ἔγκριτον, ὡς ἄρχοντος, τοῦτό ἐςιν αὐτοῦ παρὰ

H τοῖς συνεσθιομένοις αὐτὸ τὸ ποτήριον. ἔχει τοίνυν σύμβολον ὥσπερ αὐτὸ τῆς ἀρχῆς αὐτοῦ πάσης ἐπιβουλήν.

ΑΔΗΛΟΥ. Οὐχ ὥς τινες λέγουσιν ἐν αὐτῷ ἐμαντεύετο· ἀλλ' ὅτι φησὶν, ἐὰν ἀπολέσῃ

ἀπολέσῃ αὐτὸ, εἰς σύμβολον ἀγαθὸν οὐ δέχεται τὴν τούτου ἀπώλειαν.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, οἰωνισμῷ οἰω-
» νίζεται ἐν αὐτῷ; Αὐξῆσαι τῆς δοκούσης κλοπῆς τὸ ἔγκλημα βουληθέντες, μαντείας ὄργανον τὸ ποτήριον ὀνομάζουσι. τοῦ-
» το δὲ καὶ αὐτὸς ἔφη ὁ Ἰωσήφ· οὐκ οἴδατε
» ὅτι οἰωνισμῷ οἰωνιεῖται ἄνθρωπος, οἷος ἐγώ; ταῦτα δὲ ἔλεγεν, οὐ μαντείᾳ καὶ οἰωνισμοῖς κεχρημένος, ἀλλὰ πρὸς τὴν προκειμένην ὑπόθεσιν σχηματίζων τοὺς λόγους. ἄξιον δὲ αὐτοῦ θαυμάσαι τῶν λόγων τὸ ἀκριβές. οὐδὲ ἀδελφοὺς γὰρ ὑποκρινόμενος, ἠνέσχετο ἑαυτῷ τὸν οἰωνισμὸν περιθεῖναι· ἄλλῳ δὲ τὴν αὐτὴν πεπιστευμένῳ ἀρχήν. οὐ γὰρ εἶπεν, οἰωνιεῖσθαι, (1) ἀλλ'
» οἰωνισμῷ οἰωνιεῖται ἄνθρωπος, οἷος ἐγώ.

ϛ. Εὑρὼν δὲ αὐτοὺς, εἶπεν αὐτοῖς
ζ. κατὰ τὰ ῥήματα ταῦτα. Οἱ δὲ εἶπαν αὐτῷ, ἵνα τί λέγει ὁ κύριος κατὰ τὰ ῥήματα ταῦτα; μὴ γένοιτο τοῖς παισί-
η. σου ποιῆσαι κατὰ τὸ ῥῆμα τοῦτο. Εἰ τὸ μὲν ἀργύριον, ὃ εὕρομεν ἐν τοῖς μαρσίπποις, ἀπεστρέψαμεν πρὸς σὲ ἐκ γῆς Χαναὰν, πῶς ἂν κλέψαιμεν ἐκ τοῦ οἴκου τοῦ κυρίου σου ἀργύριον ἢ χρυ-
θ. σίον; Παρ' ᾧ ἐὰν εὕρῃς τὸ κόνδυ τῶν παίδων σου, ἀποθνησκέτω· καὶ ἡμεῖς ἐσόμεθα παῖδες τῷ κυρίῳ ἡμῶν.

ι. Ὁ δὲ εἶπε, καὶ νῦν ὡς λέγετε, οὕτως ἔσται· ὁ ἄνθρωπος παρ' ᾧ ἂν εὑρεθῇ τὸ κόνδυ, αὐτὸς ἔσται μου παῖς, ὑμεῖς δὲ ἔσεσθε καθαροί.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ μὴν οὐχ οὕτως
» εἶπον ἐκεῖνοι, ἀλλ' ἀποθνησκέτω. Τὸ οὖν κατὰ τὸ κόνδυ καὶ τὸν Βενιαμὶν οἰκονομεῖ Ἰωσήφ, ἐξετάζων τῶν ἀδελφῶν τὴν διάνοιαν, ὅπως ἔχῃ πρὸς τὸν Βενιαμίν. εἶτα γνησίαν διάθεσιν καὶ ἀδελφικὴν θεασάμενος, τότε γνωρίζεται αὐτοῖς.

ια. Καὶ ἔσπευσαν, καὶ καθεῖλον
ιβ. ἕκαστος τὸν μάρσιππον αὐτοῦ. Ἠρεύνα δὲ ἀπὸ τοῦ πρεσβυτέρου ἀρξάμενος, ἕως ἦλθεν ἐπὶ τὸν νεώτερον. καὶ εὗρε τὸ κόνδυ ἐν τῷ μαρσίππῳ τοῦ Βενια-
ιγ. μίν. Καὶ διέρρηξαν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπέθηκαν ἕκαστος τὸν μάρσιππον αὐτοῦ ἐπὶ τὸν ὄνον αὐτοῦ, καὶ
ιδ. ἐπέστρεψαν εἰς τὴν πόλιν. Εἰσῆλθε δὲ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πρὸς Ἰωσήφ, ἔτι αὐτοῦ ὄντος ἐκεῖ, καὶ ἔπεσον ἐναντίον αὐτοῦ ἐπὶ τὴν γῆν.

ιε. Εἶπε δὲ αὐτοῖς Ἰωσήφ, τί τὸ πρᾶγμα τοῦτο ὃ ἐποιήσατε; οὐκ οἴδα-

A τε ὅτι οἰωνισμῷ οἰωνίζεται ἄνθρωπος, οἷος ἐγώ;

» ΣΥΜΜΑΧΟΣ. Καὶ γὰρ ἔγνωτε, ὅτι
» πειρασμῷ πειράζεται ὅμοιος ἐμοί.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ οὐκ ἐνοεῖτε, ὅτι οἱ κατ' ἐμὲ ἐν ὑπεροχῇ ὄντες, οἰωνίζονται ἐκ τῆς ἀπωλείας τῶν τοιούτων; οὐ μὴν αὐτός. οὐ γὰρ εἶπεν, ἐγὼ οἰωνίζομαι, ἀλλ' οἱ ὄντες τῆς ἐμῆς καταστάσεως.

B », ** ΠΡΟΚΟΠΙΟΥ. Ὅτι οἰωνισμῷ οἰω-
» νιεῖται ἄνθρωπος, οἷος ἐγώ; ἀντὶ τοῦ, ἕκαστος. ἀσφαλῶς δὲ, οὐδὲ μέχρι ῥήματος τὸ, οἰωνίζομαι, λέγειν ἠνέσχετο.

ιϛ. Εἶπε δὲ Ἰούδας, τί ἀντεροῦμεν τῷ κυρίῳ, ἢ τί λαλήσωμεν, ἢ τί δικαιωθῶμεν; ὁ δὲ Θεὸς εὗρε τὴν ἀδικίαν τῶν παίδων σου. ἰδού ἐσμεν οἰκέ-
Γ ται τῷ κυρίῳ ἡμῶν, καὶ ἡμεῖς, καὶ παρ' ᾧ εὑρέθη τὸ κόνδυ.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ δὲ Θεὸς
» εὗρε τὴν ἀδικίαν τῶν παίδων σου. Πάλιν ἑαυτοὺς ἀναμιμνήσκουσι τῶν ἤδη ὑπ' αὐτῶν
» εἰς αὐτὸν γεγενημένων· ἰδοὺ ἐσμεν οἰκέται
» τῷ κυρίῳ ἡμῶν, καὶ ἡμεῖς, καὶ παρ' ᾧ
» εὑρέθη τὸ κόνδυ. τέως πολλὴν ἐπιδείκνυνται συγγνωμοσύνην, καὶ ἑαυτοὺς ἅμα τῷ
Δ ἀδελφῷ τῇ δουλείᾳ ὑποτάττουσιν.

ιζ. Εἶπε δὲ Ἰωσήφ, μή μοι γένοιτο ποιῆσαι τὸ ῥῆμα τοῦτο. ὁ ἄνθρωπος παρ' ᾧ εὑρέθη τὸ κόνδυ, αὐτὸς ἔσται μου παῖς· ὑμεῖς δὲ ἀνάβητε μετὰ σωτηρίας πρὸς τὸν πατέρα ὑμῶν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς ὅπερ ἐδεδοίκει ὁ πατὴρ, τοῦτο αὐτοῖς συμβέβη-
E κε. καὶ θόρυβον ὑπομένουσι καὶ ταραχὴν, οὐκ εἰδότες ὅ, τι καὶ πράξωσιν.

ιη. Ἐγγίσας δὲ αὐτῷ Ἰούδας, εἶπε, δέομαι κύριε· λαλησάτω ὁ παῖς σου ῥῆμα ἐναντίον σου, καὶ μὴ θυμωθῇς τῷ παιδί σου, ὅτι σὺ εἶ μετὰ Φαραώ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει πῶς δι' ὅλου ὡς δεσπότῃ δοῦλος διαλέγεται· καὶ μνημόνευέ μοι τῶν ὀνειράτων τῶν δραγ-
Z μάτων, ἐξ ὧν καὶ μείζονα τὸν κατ' αὐτοῦ φθόνον ἠκόνησαν, καὶ ἐκπλήττου τὴν ἀμήχανον τοῦ Θεοῦ σοφίαν, ὅπως τοσούτων κωλυμάτων ἐν μέσῳ γενομένων, εἰς ἔργον ἅπαντα ἐξῆει.

ιθ. Κύριε, σὺ ἠρώτησας τοὺς παῖδάς σου, λέγων, εἰ ἔχετε πατέρα ἢ ἀδελφόν;

H κ. Καὶ εἴπαμεν τῷ κυρίῳ, ἔστιν ἡμῖν πατὴρ πρεσβύτερος, καὶ παιδίον γήρους

(1) Ἴσ. οἰωνιεῖσθαι. ἡ δὲ ἐν χάλ. ἔκδοσ. οἰωνίζομαι, ἀλλ' οἰωνισμῷ οἰωνίζεται.

γήρως νεώτερον αὐτῷ, καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανεν, αὐτὸς δὲ μόνος ὑπελείφθη τῇ μητρὶ αὐτοῦ, ὁ δὲ πατὴρ αὐτὸν ἠγάπησεν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνος ἕνεκεν καὶ ἐνταῦθα ψεύδεται, οὕτω λέγων, ὅτι ὁ
» ἀδελφὸς αὐτοῦ ἀπέθανε, καίτοι τοῖς ἐμπόροις αὐτὸν ἀπέδοντο; Ἀλλ' ἐπειδὴ οὕτω τὸν πατέρα διέθηκαν, ὡς ἀναιρεθέντος αὐτοῦ, καὶ ὑπὸ θηρίων βρωθέντος. ἄλλως δὲ καὶ ἐνόμισαν οὐ φέροντα τὴν δουλείαν τὴν παρὰ τοῖς βαρβάροις, ἤδη τεθνηκέ-
» ναι. διὰ τοῦτό φησι, καὶ ὁ ἀδελφὸς αὐ-
» τοῦ ἀπέθανεν.

κα. Εἶπας δὲ τοῖς παισί σου, καταγάγετε αὐτὸν πρός με, καὶ ἐπιμε-
κβ. λοῦμαι αὐτοῦ. Καὶ εἴπαμεν τῷ κυρίῳ,
οὐ δυνήσεται τὸ παιδίον καταλιπεῖν
τὸν πατέρα· ἐὰν δὲ καταλίπῃ τὸν πα-
κγ. τέρα, ἀποθανεῖται. Σὺ δὲ εἶπας
τοῖς παισί σου, ἐὰν μὴ καταβῇ ὁ ἀδελ-
φὸς ὑμῶν ὁ νεώτερος μεθ' ὑμῶν, οὐ
προσθήσεσθε ἔτι ἰδεῖν τὸ πρόσω-
κδ. πόν μου. Ἐγένετο δὲ ἡνίκα ἀνέβη-
μεν πρὸς τὸν παῖδά σου, πατέρα δὲ
ἡμῶν, ἀπηγγείλαμεν αὐτῷ τὰ ῥή-
κε. ματα τοῦ κυρίου. Εἶπε δὲ ἡμῖν ὁ πα-
τὴρ ἡμῶν, βαδίσατε πάλιν, ἀγορά-
κς. σατε ἡμῖν μικρὰ βρώματα. Ἡμεῖς
δὲ εἴπαμεν, ἀλλ' εἰ μὲν ὁ ἀδελφὸς ἡμῶν ὁ νεώτερος καταβαίνει μεθ' ἡμῶν, καταβησόμεθα· οὐ γὰρ δυνησόμεθα ἰδεῖν τὸ πρόσωπον τοῦ ἀνθρώπου, τοῦ ἀδελφοῦ τοῦ νεωτέρου μὴ ὄντος μεθ' ἡμῶν.

κζ. Εἶπε δὲ ὁ παῖς σου πατὴρ ἡ-
μῶν πρὸς ἡμᾶς, ὑμεῖς γινώσκετε ὅτι
κη. δύο ἔτεκέ μοι ἡ γυνή. Καὶ ἐξῆλθεν
Α ὁ εἷς ἀπ' ἐμοῦ· καὶ εἴπατε θηριόβρωτος γέγονε, καὶ οὐκ εἶδον αὐτὸν ἔτι.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει πῶς διὰ τῆς ἀπολογίας τοῦ Ἰούδα πάντα μετὰ ἀκριβείας μανθάνει ὁ Ἰωσὴφ τὰ μετὰ τὴν αὐτοῦ πρᾶσιν ἐν τῇ οἰκίᾳ γεγονότα· καὶ ὅπως τὸν πατέρα διέθηκαν, καὶ τίνα περὶ αὐτοῦ εἰρήκασι.

Β κθ. Καὶ νῦν οὖν ἐὰν λάβητε καὶ
τοῦτον ἐκ τοῦ προσώπου μου, καὶ συμβῇ
αὐτῷ μαλακία ἐν τῇ ὁδῷ, καὶ κατά-
ξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου.
λ. Νῦν οὖν ἐὰν εἰσπορεύωμαι πρὸς τὸν
παῖδά σου, πατέρα δὲ ἡμῶν, καὶ τὸ
παιδίον μὴ ᾖ μεθ' ἡμῶν, (ἡ δὲ ψυχὴ
αὐτοῦ ἐκκρέμαται ἐκ τῆς τούτου ψυ-
λα. χῆς,) Καὶ ἔσαι ἐν τῷ ἰδεῖν αὐτὸν μὴ
Γ ὂν τὸ παιδίον μεθ' ἡμῶν, τελευτήσει,
καὶ κατάξουσιν οἱ παῖδές σου τὸ γῆρας
τοῦ παιδός σου, πατρὸς δὲ ἡμῶν, με-
λβ. τὰ ὀδύνης εἰς ᾅδου. Ὁ γὰρ παῖς σου
ἐκδέδεκται τὸ παιδίον παρὰ τοῦ πατρός, λέγων, ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σέ, καὶ στήσω αὐτὸν ἐνώπιόν σου, ἡμαρτηκὼς ἔσομαι πρὸς τὸν πατέρα πάσας τὰς ἡμέρας.

Δ λγ. Νῦν οὖν παραμενῶ σοι παῖς
ἀντὶ τοῦ παιδίου, οἰκέτης τοῦ κυρίου·
τὸ δὲ παιδίον ἀναβήτω μετὰ τῶν ἀ-
λδ. δελφῶν. Πῶς γὰρ ἀναβήσομαι
πρὸς τὸν πατέρα, τοῦ παιδίου μὴ ὄντος μεθ' ἡμῶν; ἵνα μὴ ἴδω τὰ κακά, ἃ εὑρήσει τὸν πατέρα μου.

Ε ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Συνέχεε ταῦτα τὸν Ἰωσήφ, καὶ ἱκανὴν αὐτῷ παρέσχεν ἀπόδειξιν καὶ τῆς εἰς τὸν πατέρα τιμῆς, καὶ τῆς περὶ τὸν ἀδελφὸν φιλοστοργίας.

ΚΕΦ. ΜΕ.

α. Καὶ οὐκ ἠδύνατο Ἰωσὴφ ἀνέχεσθαι πάντων τῶν παρεστηκότων αὐτῷ· ἀλλ' εἶπεν, ἐξαποστείλατε πάντας ἀπ' ἐμοῦ. καὶ οὐ παρειστήκει οὐδεὶς ἔτι τῷ Ἰωσήφ, ἡνίκα ἀνεγνωρίζετο τοῖς ἀδελφοῖς αὐτοῦ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὑπὲρ τοῦ μηδὲν ὄνειδος προσβαλεῖν τοῖς ἀδελφοῖς ἕνεκα τῆς πράξεως; οὐδένα τῶν Αἰγυπτίων ἐδικαίωσε παρεῖναι κατὰ τὴν πρώτην ἀναγνώρισιν.

β. Καὶ ἀφῆκε φωνὴν μετὰ κλαυθμοῦ· ἤκουσαν δὲ πάντες οἱ Αἰγύπτιοι,
Ζ καὶ ἀκουστὸν ἐγένετο εἰς τὸν οἶκον Φαραώ.

γ. Εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, ἐγώ εἰμι Ἰωσήφ· ἔτι ὁ πατήρ μου ζῇ; καὶ οὐκ ἠδύναντο οἱ ἀδελφοὶ αὐτοῦ ἀποκριθῆναι αὐτῷ· ἐταράχθησαν γάρ.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐταράχθησαν
Η γάρ. εἰκότως. ἐννοοῦντες τίνα μὲν αὐτὸν αὐτοὶ διέθηκαν, οἷος δὲ αὐτὸς περὶ αὐτοὺς γέγονε, καὶ λογιζόμενοι τὴν περιφάνειαν ἐν ᾗ καθειστήκει, περὶ αὐτῆς, ὡς εἰπεῖν, τῆς σωτηρίας ἠγωνίων.

** ΕΦΡΑΙΜ. Καθάπερ Ἰωσὴφ ἔλεγε παῤῥησίᾳ τοῖς ἀδελφοῖς αὐτοῦ ἐκφοβῶν » καὶ ἐκτρέμων· ἐγώ εἰμι Ἰωσὴφ, ὃν ὑμεῖς ἀπέδοσθε εἰς δουλείαν, νῦν δὲ βασιλεύω, ὑμῶν μὴ θελησάντων· οὕτω καὶ ὁ Κύριος δείκνυσι τὸν σταυρὸν ἐν τύπῳ φωτοειδεῖ τοῖς αὐτὸν σταυρώσασι, καὶ ἐπιγινώσκουσιν αὐτὸν τὸν σταυρὸν, καὶ τὸν υἱὸν τοῦ Θεοῦ τὸν σταυρωθέντα ὑπ' αὐτῶν.

δ. Εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, ἐγγίσατε πρός με· καὶ ἤγγισαν. καὶ εἶπεν, ἐγώ εἰμι Ἰωσὴφ ὁ ἀδελφὸς ὑμῶν, ὃν ἀπέδοσθε εἰς Αἴ-
ε. γυπτον. Νῦν οὖν μὴ λυπεῖσθε, μηδὲ σκληρὸν ὑμῖν φανήτω, ὅτι ἀπέδοσθέ με· εἰς γὰρ ζωὴν ἀπέστειλέ με ὁ
ϛ. Θεὸς ἔμπροσθεν ὑμῶν. Τοῦτο γὰρ δεύτερον ἔτος λιμὸς ἐπὶ τῆς γῆς, καὶ ἔτι λοιπὰ πέντε ἔτη, ἐν οἷς οὐκ ἔσται ἀροτρίασις, οὐδὲ ἀμητός.

ζ. Ἀπέστειλε γάρ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν, ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς, καὶ ἐκθρέψαι ὑμῶν κατάλειψιν μεγάλην.

ΩΡΙΓΕΝΟΥΣ. [Ἐπειδὴ ὁ Θεὸς ἀπέστειλε διὰ τὴν τῶν πολλῶν ζωὴν τὸν Ἰωσὴφ ἔμπροσθεν τῶν ἀδελφῶν αὐτοῦ εἰς Αἴγυπτον, δηλονότι ὁ Θεὸς ἀποστέλλων αὐτὸν εἰς Αἴγυπτον, συγκατεχρήσατο τῷ ζήλῳ καὶ τῇ προαιρέσει τῶν ἀδελφῶν αὐτοῦ εἰς τὴν περὶ τοῦ Ἰωσὴφ ἐπὶ ζωῇ πολλῶν οἰκονομίαν.] οὐκοῦν ἔσθ' ὅτε συγχρώμενος ἑτέρων ἁμαρτίαις ὁ Θεὸς, οἰκεῖα βουλεύεται ἐπὶ ἄλλων σωτηρίᾳ.

η. Νῦν οὖν οὐχ ὑμεῖς με ἀπεστάλκατε ὧδε, ἀλλ' ὁ Θεὸς ἐποίησέ με, ὡς πατέρα Φαραὼ, καὶ κύριον παντὸς τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης γῆς Αἰγύπτου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον παραμυθεῖται αὐτοὺς, λέγων, μὴ αὐτοῖς αὐτὸν ἐπιγράφειν τὴν αἰτίαν, καὶ τὴν εἰς Αἴγυπτον αὐτοῦ κάθοδον, ἀλλὰ τὸν Θεὸν τοῦτο πεποιηκέναι, ὥστε εἰς ταύτην αὐτὸν ἐλθεῖν τὴν περιφάνειαν.

ΩΡΙΓΕΝΟΥΣ. Ὁ ἄρχων τῶν σωματικῶν πραγμάτων, καὶ μηδαμῶς αὐτοῖς εἴκων, λέγοι ἂν [τὸ,] ἐποίησέ με ὁ Θεὸς [πάσης τῆς γῆς Αἰγύπτου κύριον.]

θ. Σπεύσαντες οὖν, ἀνάβητε πρὸς τὸν πατέρα μου, καὶ εἴπατε αὐτῷ, τάδε λέγει ὁ υἱός σου Ἰωσήφ· ἐποίησέ με ὁ Θεὸς κύριον πάσης γῆς Αἰγύπτου· κατάβηθι οὖν πρός με, καὶ μὴ
ι. μείνῃς. Καὶ κατοικήσεις ἐν γῇ Γεσὲμ Ἀραβίας· καὶ ἔσῃ ἐγγύς μου σὺ καὶ

A οἱ υἱοί σου, καὶ οἱ υἱοὶ τῶν υἱῶν σου, τὰ πρόβατά σου, καὶ οἱ βόες σου, καὶ ὅσα
ια. σοι ἐστί. Καὶ θρέψω σε ἐκεῖ· ἔτι γὰρ πέντε ἔτη λιμός· ἵνα μὴ ἐκτριβῇς σὺ καὶ οἱ υἱοί σου, καὶ πάντα τὰ ὑπάρχον-
ιβ. τά σου. Ἰδοὺ οἱ ὀφθαλμοὶ ὑμῶν βλέπουσι, καὶ οἱ ὀφθαλμοὶ Βενιαμὶν τοῦ ἀδελφοῦ μου, ὅτι τὸ στόμα μου τὸ λα-
ιγ. λοῦν πρὸς ὑμᾶς. Ἀπαγγείλατε οὖν τῷ πατρί μου πᾶσαν τὴν δόξαν μου τὴν ἐν Αἰγύπτῳ, καὶ ὅσα ἴδετε· καὶ ταχύναντες, καταγάγετε τὸν πατέρα
ιδ. μου ὧδε. Καὶ ἐπιπεσὼν ἐπὶ τὸν τράχηλον Βενιαμὶν, ἔκλαυσεν ἐπὶ τῷ τραχήλῳ αὐτοῦ.

ιε. Καὶ καταφιλήσας πάντας τοὺς ἀδελφοὺς αὐτοῦ, ἔκλαυσεν ἐπ'
Γ αὐτούς. καὶ μετὰ ταῦτα ἐλάλησαν οἱ ἀδελφοὶ αὐτοῦ πρὸς αὐτόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τότε μετὰ τὴν τοσαύτην διάλεξιν καὶ τὰ δάκρυα καὶ τὴν συμβουλὴν, ἣν πρὸς αὐτοὺς ἐποιήσατο, μόλις ἠδυνήθησαν λαλῆσαι πρὸς » αὐτόν. μετὰ ταῦτα γάρ φησιν ἐλάλη- » σαν πρὸς αὐτόν.

Δ ιϛ. Καὶ διεβοήθη ἡ φωνὴ εἰς τὸν οἶκον Φαραὼ, λέγοντες, ἥκασιν οἱ ἀδελφοὶ Ἰωσήφ· ἐχάρη δὲ Φαραὼ, καὶ ἡ θεραπεία αὐτοῦ.

ΑΔΗΛΟΥ. Καὶ γὰρ ἦν ἀληθῶς ἄξιον χαρᾶς τὸ γνῶναι, ὅτι δοῦλος αὐτῶν οὐκ ἐβασίλευσεν, ἀλλ' εὐγενὴς ἐξ εὐγενῶν.

ιζ. Καὶ εἶπε Φαραὼ πρὸς Ἰωσήφ, εἶπον τοῖς ἀδελφοῖς σου, τοῦτο ποιή-
E σατε· γεμίσατε τὰ πορεῖα ὑμῶν, καὶ ἀπέλθετε εἰς γῆν Χαναάν.

ιη. Καὶ παραλαβόντες τὸν πατέρα ὑμῶν, ἥκετε πρός με· καὶ δώσω ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου, καὶ φάγεσθε τὸν μυελὸν τῆς γῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα καὶ τὸν βασιλέα, πῶς ἤδη φροντίζει περὶ τῆς τοῦ
Z Ἰακὼβ ἐπανόδου.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ φάγεσθε τὸν » μυελὸν τῆς γῆς. τὰ ἀγαθὰ τῆς γῆς ὁ Σύρος ἔχει. τοῦτο γὰρ καὶ ὑποκαλῶν φησι.

ιθ. Σὺ δὲ ἔντειλε ταῦτα· λαβεῖν αὐτοὺς ἁμάξας ἐκ γῆς Αἰγύπτου τοῖς παιδίοις ὑμῶν, καὶ ταῖς γυναιξὶν ὑμῶν· καὶ ἀναλαβόντες τὸν πατέρα
H ὑμῶν, παραγίνεσθε.

κ. Καὶ μὴ φείσησθε τοῖς ὀφθαλμοῖς τῶν σκευῶν ὑμῶν· τὰ γὰρ πάντα ἀγαθὰ Αἰγύπτου ὑμῖν ἔσται.

ΠΡΟΚΟ-

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ μὴ φείσηθε
» τοῖς ὀφθαλμοῖς τῶν σκευῶν ὑμῶν, πάντων καταφρονήσατε.

ΩΡΙΓΕΝΟΥΣ. Εἴτι ὑπάρχει ἐν τῇ τροπικῶς καλουμένῃ Αἰγύπτῳ, οὐκ Αἰγυπτίων ἐςὶν, ἀλλὰ τοῦ Ἰσραήλ. διὰ τοῦτο καὶ ἐν τῇ Ἐξόδῳ συσκευάζουσιν οἱ Ἑβραῖοι τοὺς Αἰγυπτίους, καὶ λαμβάνουσι σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, καὶ ἔτι ἀγαθὸν ἐν Αἰγύπτῳ ὤν.

κα. Ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ἰσραήλ· ἔδωκε δὲ Ἰωσὴφ αὐτοῖς ἁμάξας κατὰ τὰ εἰρημένα ὑπὸ Φαραὼ τοῦ βασιλέως Αἰγύπτου· καὶ ἔδωκεν αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδόν.

κβ. Καὶ πᾶσιν ἔδωκε δισσὰς στολάς· τῷ δὲ Βενιαμὶν ἔδωκε τριακοσίους χρυσοῦς, καὶ πέντε ἐξαλλασσούσας στολάς.

» ΑΔΗΛΟΥ. Ἐξαλλασσούσας, τουτέστι διαφόρους. ὁ Σύρος, πέντε ζυγὰς στολῶν, καὶ
» διακοσίους [χρυσίνους.]

» ** ΠΡΟΚΟΠΙΟΥ. Πέντε ἐξαλλασσούσας στολὰς, ἀλλασσομένας, διαφόρους. ὁ δὲ
» Σύρος πέντε ζυγάς φησιν, ὡς καὶ ἄνω τὴν μερίδα ἐπλεόνασε πενταπλασίως.

κγ. Καὶ τῷ πατρὶ αὐτοῦ ἐξαπέστειλε κατὰ τὰ αὐτά. καὶ δέκα ὄνους αἴροντας ἀπὸ πάντων τῶν ἀγαθῶν Αἰγύπτου, καὶ δέκα ἡμιόνους αἴρουσας ἄρτους τῷ πατρὶ αὐτοῦ εἰς ὁδόν.

κδ. Ἐξαπέστειλε δὲ Ἰωσὴφ τοὺς ἀδελφοὺς αὐτοῦ· καὶ ἐπορεύθησαν. καὶ εἶπεν αὐτοῖς, μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ.

ΘΕΟΔΩΡΙΤΟΥ. Μάλα δὲ χαριέντως καὶ προπέμπων αὐτοὺς, παρῄνει. μὴ ὀρ-
» γίζεσθε γάρ φησιν ἐν τῇ ὁδῷ, ἀντὶ τοῦ μηδενὶ τοιαῦτα δράσητε, οἷα εἰς ἐμὲ τετολμήκατε.

» ** ΠΡΟΚΟΠΙΟΥ. Μὴ ὀργίζεσθε ἐν
» τῇ ὁδῷ, ἐγκαλοῦντες ἀλλήλοις, φησὶν, ἕνεκεν τῶν εἰς ἐμὲ γενομένων· φοβούμενοι καὶ αἰσχυνόμενοι ποίῳ τρόπῳ λέξομεν τῷ πατρί.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα γνώμην φιλόσοφον. οὐ μόνον αὐτὸς πᾶσαν αὐτοῖς ἀφῆκε τὴν ὀργὴν, καὶ τῶν ἐγκλημάτων αὐτοὺς ἀπήλλαξεν, ἀλλὰ καὶ αὐτοῖς πα-
» ραινεῖ, μὴ ὀργίζεσθε κατὰ τὴν ὁδόν. εἰ γὰρ

A ἰωίκα εἰσήκεισαν πρώην ἐπὶ τοῦ Ἰωσὴφ, ἔλε-
» γον πρὸς ἑαυτούς· ναὶ ἐν ἁμαρτίαις ἐσμὲν Γεν. 42. 21, 22.
» περὶ τοῦ Ἰωσὴφ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπε-
» ρείδομεν αὐτοῦ τὴν θλίψιν· καὶ ἐπιςὰς ὁ
» Ῥουβὴν ἔλεγεν, οὐκ εἶπον ὑμῖν, μὴ ἀδική-
» σητε τὸ παιδάριον, καὶ οὐκ εἰσηκούσατέ μου;
πολλῷ μᾶλλον εἰκὸς ἦν αὐτὸν κατεξανίστασθαι αὐτῶν. καὶ διὰ τοῦτο καταςέλλων αὐτῶν τὸν θυμὸν, καὶ τὴν πρὸς ἀλλήλους
» φιλονεικίαν, φησὶ, μὴ ὀργίζεσθε ἐν τῇ
B » ὁδῷ, ἀλλ' ἐννοήσαντες ὅτι οὐδεμίαν ὑμῖν αἰτίαν ἐπήγαγον ὑπὲρ τῶν εἰς ἐμὲ γεγενημένων, καὶ αὐτοὶ πρὸς ἀλλήλους συνοίκως διατεθῆτε.

κε. Καὶ ἀνέβησαν ἐξ Αἰγύπτου, καὶ ἦλθον εἰς γῆν Χαναὰν πρὸς Ἰακὼβ
κϛ. τὸν πατέρα αὐτῶν. Καὶ ἀνήγγειλαν αὐτῷ, λέγοντες, ὅτι ὁ υἱός σου Ἰωσὴφ ζῇ, καὶ οὗτος ἄρχει πάσης γῆς
Γ Αἰγύπτου. καὶ ἐξέστη τῇ διανοίᾳ Ἰακώβ· οὐ γὰρ ἐπίστευσεν αὐτοῖς.

κζ. Ἰδὼν δὲ τὰς ἁμάξας, ἃς ἀπέστειλεν Ἰωσὴφ, ὥστε ἀναλαβεῖν αὐτὸν, ἀνεζωπύρησε τὸ πνεῦμα Ἰακὼβ τοῦ πατρὸς αὐτῶν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστιν, ἀνε-
Δ » ζωπύρησε; Καθάπερ τὸ λυχνιαῖον πῦρ, ἐπειδὰν ἐπιλίπῃ ἡ τοῦ ἐλαίου τροφὴ, καὶ μέλλῃ σβέννυσθαι, εἰ μικρόν τις ἐπιστάξειεν αὐτῷ ἔλαιον, ἀθρόον τὸ σβέννυσθαι μέλλον, λαμπρότερον δείκνυσι τὸ φῶς· τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ πρεσβύτης οὗτος, μονονουχὶ σβέννυσθαι μέλλων ὑπὸ τῆς ἀθυ-
» μίας· οὐκ ἠθέλησε γάρ φησι παρακληθῆ- Γεν. 37. 35.
» ναι, λέγων, ὅτι καταβήσομαι πενθῶν εἰς ᾅδου· μαθὼν πάλιν, ὅτι ζῇ, καὶ ὅτι ἄρχει
E » τῆς Αἰγύπτου, καὶ ὁρῶν τὰς ἁμάξας, ἀνε-
» ζωπύρησε, φησὶ, νέος ἐκ γέροντος γέγονεν, ἀπέθετο τῆς ἀθυμίας τὸ νέφος, τὴν ζάλην τῶν λογισμῶν ἀποκρουσάμενος, ἐν γαλήνῃ λοιπὸν ἐτύγχανε, τοῦ Θεοῦ ταῦτα ἅπαντα οἰκονομοῦντος, ὥστε τῶν τοσούτων πόνων τὴν παραμυθίαν εὕρασθαι τὸν δίκαιον, καὶ κοινωνῆσαι τῷ παιδὶ τῆς εὐημερίας· ἄλλως δὲ ἵνα καὶ τὸ ὄναρ πληρω-
» θῇ, ὅπερ αὐτὸς διέκρινεν, εἰπών· ἆρά γε Γεν. 37. 10.
Z » ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου, καὶ οἱ
» ἀδελφοί προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν;

κη. Εἶπε δὲ Ἰσραὴλ, μέγα μοί ἐστιν, εἰ ἔτι Ἰωσὴφ ὁ υἱός μου ζῇ. πορευθεὶς, ὄψομαι αὐτὸν πρὸ τοῦ ἀποθανεῖν με.



ΚΕΦ. Μϛ.

α. Ἀπάρας δὲ Ἰσραὴλ, καὶ πάντα τὰ αὐτοῦ, ἦλθεν εἰς τὸ Φρέαρ τοῦ ὅρκου· καὶ ἔθυσε θυσίαν τῷ Θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ.

B ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ταῦτα ἀκούοντες παιδευώμεθα, ὅπερ ἂν μέλλοιμεν διαπράττεσθαι, κἂν πράγματι τινὶ ἐγχειρήσωμεν, κἂν ἀποδημίας ἁπτώμεθα, πρότερον τὴν διὰ τῆς εὐχῆς θυσίαν ἀναφέρειν τῷ δεσπότῃ, καὶ τὴν ἐκείνου συμμαχίαν καλοῦντας, οὕτως ἅπτεσθαι τῶν προκειμένων, καὶ μιμεῖσθαι τῶν δικαίων τούτων τὸ φιλόθεον.

β. Εἶπε δὲ ὁ Θεὸς τῷ Ἰσραὴλ ἐν ὁράματι τῆς νυκτὸς, Ἰακὼβ, Ἰακώβ. ὁ δὲ εἶπε, τί ἐστι;

γ. Ὁ δὲ λέγει, ἐγώ εἰμι ὁ Θεὸς τῶν πατέρων σου. μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον· εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ ἠγωνία πρὸς τὸ μῆκος τῆς ὁδοῦ, διὰ τοῦτό φησι, μὴ πρὸς τὴν τοῦ γήρως ἀσθένειαν ἀπίδῃς.

δ. Καὶ ἐγὼ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον, καὶ ἐγὼ ἀναβιβάσω σε εἰς τέλος· καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμούς σου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐγώ σοι συνέσομαι, καὶ πάντα σοι εὔμαρῆ καταστήσω. σκόπει συγκατάβασιν ῥημάτων, καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον. τί τούτου μακαριώτερον γένοιτ' ἂν, τοῦ τὸν Θεὸν ἔχειν συνοδοιπόρον; εἶτα ἡ παραμυθία, ἧς μάλιστα ἐδεῖτο ὁ πρεσβύτης· καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς χεῖρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμούς σου. ἐκεῖνος ὁ περιπόθητος αὐτός σε περιστελεῖ, καὶ τὰς χεῖρας ἐπιβαλεῖ τοῖς ὀφθαλμοῖς σου. χαίρων οὖν καὶ πάσης ἀγωνίας ἐκτὸς γεγονὼς, οὕτως ἔχου τῆς ὁδοῦ.

ΑΔΗΛΟΥ. Ὁ Θεὸς διὰ τὸν δίκαιον εἰς Αἴγυπτον καταβαίνει, οὐ γενόμενος πρὸ αὐτοῦ ἐκεῖ.

** ΩΡΙΓΕΝΟΥΣ. Καὶ ἐγὼ ἀναβιβάσω σε εἰς τέλος. πρέπουσα ἐπαγγελία τῷ Θεῷ, οὐ μόνον ἀναβιβάζειν, ἀλλὰ καὶ ἐπὶ τέλος φέρειν τὸν ἀναβιβαζόμενον.

* ΤΟΥ ΑΥΤΟΥ. [Πρὸς τοὺς ἀπὸ τῆς Πεντατεύχου ζητοῦντας τὴν μετὰ ταῦτα ζωὴν, φήσομεν, ἐπείπερ ἀψευδής ἐστιν ὁ εἰπὼν, ἀναβιβάσω σε,] ἀνεβίβασεν ἐν τῇ ζωῇ ταύτῃ ὕστερον, καὶ μετὰ τὴν ἔξοδον [ἀνεβίβασεν αὐτὸν,] ὅτε μετὰ τοῦτο Ἰωσὴφ ἐπέβαλε τὰς [ἑαυτοῦ] χεῖρας τοῖς ὀφθαλμοῖς τοῦ σώματος Ἰακώβ. ἀνεβίβασε δὲ [ὁ Θεὸς,] ἀνάγων μετὰ τὸ τέλος τοῦ βίου ἐπὶ τὸ παρ' ἑαυτῷ τέλος τὸν Ἰσραήλ.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐγὼ ἀναβιβάσω σε εἰς τέλος, ἕως τῆς συντελείας. ὅ φησιν ὁ οβ' ψαλμός. διὰ τοῦτο ὁ λαός μου ἐπιστρέψει ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς. Ψαλ. 72. 10.

ε. Ἀνέστη δὲ Ἰακὼβ ἀπὸ τοῦ Φρέατος τοῦ ὅρκου. καὶ ἀνέλαβον οἱ υἱοὶ Ἰακὼβ τὸν πατέρα ἑαυτῶν, καὶ τὴν
Γ ἀποσκευὴν, καὶ τὰς γυναῖκας αὐτῶν ἐπὶ τὰς ἁμάξας, ἃς ἀπέστειλεν Ἰωσὴφ ἆραι αὐτὸν, καὶ τὰ κτήνη αὐτῶν, καὶ κατέβησαν εἰς Αἴγυπτον.

** ΩΡΙΓΕΝΟΥΣ. Ὁ μὲν ἐλθὼν ἐπὶ τὸ Φρέαρ τοῦ ὅρκου, Ἰσραήλ ἐστι, φέρων μετὰ πάντων τῶν αὐτοῦ, οἶμαι, Ἰακώβ· ὁ δὲ ἀνιστάμενος ἀπὸ τοῦ Φρέατος τοῦ ὅρκου, Ἰακώβ ἐστιν. ἐδεῖτο γὰρ ἀναστάσεως οὐχ ὁ Ἰσ-
Δ ραὴλ, ἀλλ' ὁ Ἰακώβ. εἶτα μετὰ τοῦτο δεόμενον ἀναλήψεως Ἰακὼβ, πατέρα ἀνειλήφασιν οἱ υἱοὶ οὐχὶ Ἰακὼβ, ἀλλ' Ἰσραήλ.

** ΤΟΥ ΑΥΤΟΥ. Ἀπέστειλε Φαραὼ ἁμάξας ἆραι, οὐ τὸν Ἰσραὴλ, ἀλλὰ τὸν Ἰακώβ. εἰσῆλθεν εἰς Αἴγυπτον, οὐ κατέβη Ἰακώβ. τῷ γὰρ Ἰσραὴλ εἴρηται, μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον.

ϛ. Καὶ ἀναλαβόντες τὰ ὑπάρ-
E χοντα αὐτῶν, καὶ πᾶσαν τὴν κτῆσιν αὐτῶν, ἣν ἐκτήσαντο, εἰσῆλθεν εἰς Αἴγυπτον Ἰακὼβ, καὶ πᾶν τὸ σπέρμα αὐτοῦ μετ' αὐτοῦ.

** ΩΡΙΓΕΝΟΥΣ. Σπέρμα μὲν νῦν τοῦ Ἰακὼβ λέλεκται· ἀνωτέρω δὲ, υἱοὶ Ἰσραήλ. πλὴν ἅπερ Ἰακὼβ, καὶ πᾶν τὸ σπέρμα αὐτοῦ εἰσῆλθεν εἰς Αἴγυπτον, οὐκ εἰσῆλθε δὲ Ἤρ, καὶ Αὐνὰν, οὐκ ἦσαν σπέρ-
Z μα τοῦ Ἰακώβ.

ζ. Οἱ υἱοὶ, καὶ υἱοὶ τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ· θυγατέρες, καὶ αἱ θυγατέρες τῶν θυγατέρων αὐτοῦ· καὶ πᾶν τὸ σπέρμα αὐτοῦ ἤγαγεν εἰς Αἴγυπτον.

** ΩΡΙΓΕΝΟΥΣ. Θυγατέρες, καὶ θυγατέρες τῶν θυγατέρων αὐτοῦ. δηλο-
H νότι τὰς θυγατέρας ἔχων μεθ' ἑαυτοῦ, καὶ τοὺς γαμβροὺς συνεπάγετο. οὐ γὰρ ἠνείχετο ἔξω τῆς οἰκίας αὐτοῦ ἀποστέλλειν τὰς θυγατέρας, μήπως τραπεῖεν εἰς εἰδωλολατρείαν.

ΤΟΥ

** ΤΟΥ ΑΥΤΟΥ. Εἰ μὴ ἔχει θυγατέρας ὁ Ἰακὼβ, πῶς αἱ θυγατέρες αὐτοῦ καταβαίνουσιν εἰς Αἴγυπτον; μὴ τοίνυν ἀλληγορεῖται; ἑξῆς δὲ λέγει ἐκ Λείας εἶναι, καὶ θυγατέρας λγʹ Δίνας ὀνομασθείσης.

η. Ταῦτα δὲ τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ τῶν εἰσελθόντων εἰς Αἴγυπτον· Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ. πρωτότοκος Ἰακὼβ, Ῥουβίμ.

ΑΔΗΛΟΥ. Εὐκαίρως ὁ Μωσῆς καταλέγει τοὺς κατιόντας εἰς Αἴγυπτον· ἵνα ὅταν ἐξελθόντες ἀριθμηθῶσι, φανῇ τὸ πλῆθος τῇ δυνάμει τοῦ Θεοῦ αὐξηθέν.

** ΩΡΙΓΕΝΟΥΣ. Υἱῶν, οὐκ Ἰακὼβ, ἀλλ' Ἰσραὴλ, εἰσελθόντων, οὐ καταβάντων εἰς Αἴγυπτον, τὰ ὀνόματα ταῦτά ἐστι.

** ΤΟΥ ΑΥΤΟΥ. Ἀνωτέρω εἰπὼν τὰ ὀνόματα τῶν υἱῶν εἶναι τοῦ Ἰσραὴλ, νῦν τοῦ Ἰακὼβ εἶναι πρωτότοκόν φησι τὸν Ῥουβήμ.

θ. Υἱοὶ δὲ Ῥουβίμ· Ἑνὼχ, καὶ Φαλλοὺς, Ἀσρὼμ, καὶ Χαρμί.

ι. Υἱοὶ δὲ Συμεών· Ἰεμουὴλ, καὶ Ἰαμεὶν, καὶ Ἰαὼδ, καὶ Ἰαχεὶμ, καὶ Ἀσαὰρ, καὶ Σαοὺλ υἱὸς τῆς Χαναανίτιδος.

** ΠΡΟΚΟΠΙΟΥ. Ἰαμεὶν, ὅθεν Ἰαμεναῖοι.

ια. Υἱοὶ δὲ Λευΐ· Γηρσὼν, Καὰθ, καὶ Μεραρί.

ιβ. Υἱοὶ δὲ Ἰούδα· Ἢρ, καὶ Αὐνὰν, καὶ Σηλὼμ, καὶ Φαρὲς, καὶ Ζαρά. ἀπέθανε δὲ Ἢρ καὶ Αὐνὰν ἐν γῇ Χαναάν. ἐγένοντο δὲ υἱοὶ Φαρές· Ἀσρὼν, καὶ Ἰεμουήλ.

** ΠΡΟΚΟΠΙΟΥ. Υἱοὶ Φαρὲς, Ῥὼμ, ἐξ οὗ ὁ Χριστός.

ιγ. Υἱοὶ δὲ Ἰσσάχαρ· Θῶλα, καὶ
ιδ. Φουὰ, καὶ Ἰασοὺβ, καὶ Ζαμβράν. Υἱοὶ
δὲ Ζαβουλών· Σερὲθ, καὶ Ἀλλὼν, καὶ
ιε. Ἀϊήλ. Οὗτοι υἱοὶ Λείας, οὓς ἔτεκε τῷ
Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῆς Συρίας,
καὶ Δείναν τὴν θυγατέρα αὐτοῦ· πᾶσαι αἱ ψυχαὶ υἱοὶ καὶ θυγατέρες, τριά-
ιϛ. κοντα τρεῖς. Υἱοὶ δὲ Γάδ· Σαφὼν,
καὶ Ἀγγὶς, καὶ Σαυνὶς, καὶ Θασοβὰν,
καὶ Ἀνιδεὶς, καὶ Ἀρονιδεὶς, καὶ Ἀροη-
ιζ. λείς. Υἱοὶ δὲ Ἀσήρ· Ἰεμνὰ, καὶ Ἰε-
σουὰ, καὶ Ἰεοὺλ, καὶ Βαρεία, καὶ Σά-
ρα ἀδελφὴ αὐτῶν. υἱοὶ δὲ Βαρεία·
ιη. Χοβὸρ, καὶ Μελχιήλ. Οὗτοι υἱοὶ
Ζελφᾶς, ἣν ἔδωκε Λάβαν Λείᾳ τῇ

Α θυγατρὶ αὐτοῦ, ἣ ἔτεκε τούτους τῷ
ιθ. Ἰακὼβ, δεκαὲξ ψυχάς. Υἱοὶ δὲ
Ῥαχὴλ γυναικὸς Ἰακώβ· Ἰωσὴφ,
καὶ Βενιαμίν.

κ. Ἐγένοντο δὲ υἱοὶ Ἰωσὴφ ἐν γῇ Αἰγύπτῳ, οὓς ἔτεκεν αὐτῷ Ἀσενὲθ θυγάτηρ Πετεφρῆ ἱερέως Ἡλιουπόλεως, τὸν Μανασσῆ, καὶ τὸν Ἐφραίμ.
Β ἐγένοντο δὲ υἱοὶ Μανασσῆ, οὓς ἔτεκεν αὐτῷ ἡ παλλακὴ ἡ Σύρα τὸν Μαχείρ. Μαχεὶρ δὲ ἐγέννησε τὸν Γαλαάδ. υἱοὶ δὲ Ἐφραὶμ ἀδελφοῦ Μανασσῆ· Σουταλὰμ, καὶ Ταάμ. υἱοὶ δὲ Σουταλάμ· Ἐδώμ.

** ΩΡΙΓΕΝΟΥΣ. Σημειωτέον, ὅτι σὺν τοῖς γενομένοις ἐν γῇ Χαναὰν υἱοῖς Ἰακὼβ, ἀριθμεῖ αὐτοὺς καὶ τοὺς ἐν Αἰγύπτῳ
Γ ὄντας υἱοὺς Ἰωσήφ. συμβάλλεται γὰρ τοῦτο εἰς τὸ ἑξῆς ῥητὸν περὶ τὰ τέλη; ἔνθα
„ φησὶν, ἐμοί εἰσιν Ἐφραὶμ καὶ Μανασσῆ, ὡς Γεν. 48. 5.
„ Ῥουβὴμ καὶ Συμεών.

κα. Υἱοὶ δὲ Βενιαμίν· Βαλὰ, καὶ Χοβὼρ, καὶ Ἀσβήλ. ἐγένοντο δὲ υἱοὶ Βαλά· Γηρὰ, καὶ Νοεμὰν, καὶ Ἀγχεὶμ, καὶ Ῥὼς, καὶ Μαμφὶν, καὶ Φι-
Δ μείμ. Γηρὰ δὲ ἐγέννησε τὸν Ἀράδ.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐκ τῆς φυλῆς Βενιαμὶν, (1) Ῥώς· ἀφ' οὗ Ῥωμαῖοι. διό φησιν ὁ μακάριος Παῦλος, ἴσως ἐκ τούτου καταγόμενος, ἐγὼ δὲ καὶ γεγέννημαι.

* ΤΟΥ ΑΥΤΟΥ. Ἀρὰδ, ὅθεν Ἄραδος.

κβ. Οὗτοι δὲ υἱοὶ Ῥαχὴλ, οὓς ἔτεκε τῷ Ἰακώβ· πᾶσαι αἱ ψυχαὶ
Ε δεκαοκτώ.

ΑΔΗΛΟΥ. Οἱ ἑβδομήκοντα ιή, διὰ τοὺς ὀβελισμούς.

κγ. Υἱοὶ δὲ Δάν· Ἀσόμ.

ΑΔΗΛΟΥ. Τοῦ δὲ Δὰν πληθυντικῶς υἱοὶ εἴρηνται, ὡς καὶ τοῦ Σουταλὰμ, ὁ Ἐδώμ. ἔδει γὰρ τοῦ ὄφεως ὀλίγον εἶναι τὸ σπέρμα.

Ζ κδ. Υἱοὶ δὲ Νεφθαλείμ· Ἀσιὴλ,
καὶ Γωυνὶ, καὶ Ἰασσαὰρ, καὶ Συλ-
κε. λείμ. Οὗτοι υἱοὶ Βάλλας, ἣν ἔδωκε
Λάβαν Ῥαχὴλ τῇ θυγατρὶ αὐτοῦ, ἣ
ἔτεκε τούτους τῷ Ἰακώβ· πᾶσαι αἱ
κϛ. ψυχαὶ ἑπτά. Πᾶσαι δὲ αἱ ψυχαὶ αἱ
εἰσελθοῦσαι μετὰ Ἰακὼβ εἰς Αἴγυ-
πτον, οἱ ἐξελθόντες ἐκ τῶν μηρῶν
Η αὐτοῦ, χωρὶς γυναικῶν τῶν υἱῶν Ἰα-
κὼβ, πᾶσαι αἱ ψυχαὶ, ἑξηκονταέξ.
κζ. Υἱοὶ δὲ Ἰωσὴφ οἱ γενόμενοι αὐτῷ ἐν
γῇ

(1) Υἱοὶ δὲ Βενιαμίν. ὁ τῆς Αὐγ. κώδ.

γῇ Αἰγύπτῳ, ψυχαὶ ἐννέα. πᾶσαι αἱ ψυχαὶ οἴκου Ἰακὼβ αἱ εἰσελθοῦσαι εἰς Αἴγυπτον μετὰ Ἰακὼβ, ἑβδομηκονταπέντε.

κη. Τὸν δὲ Ἰούδαν ἀπέστειλεν ἔμπροσθεν αὐτοῦ πρὸς Ἰωσήφ· συναντῆσαι αὐτῷ καθ' Ἡρώων πόλιν, εἰς γῆν Ῥαμεσσῆ.

» ΑΔΗΛΟΥ. Ἀπέστειλεν ἔμπροσθεν αὐτοῦ, ὡς πεῖραν ἑαυτοῦ δεδωκότα τῆς συνέσεως ἐν τῇ ὑπὲρ Βενιαμὶν ἀπολογίᾳ. εἰκὸς δὲ ἠγαπᾶτο ὑπὸ Ἰωσήφ, ὡς συμβουλεύσας πραθῆναι αὐτόν.

* ΠΡΟΚΟΠΙΟΥ. Μήτι αὕτη ἐστὶν ἡ τῶν Ἡρώων πόλις, ἧς μεμνημένον τὸν Μανεθωνᾶ, ἀναφέρει Ἰώσηπος. (1) καὶ γὰρ καὶ τὴν Ῥαμεσσῆ ἐν τῇ Ἐξόδῳ φησὶν, ὅτι Ἰσραὴλ αὐτὴν ἐκτήσαντο. (2)

κθ. Ζεύξας δὲ Ἰωσὴφ τὰ ἅρματα αὐτοῦ, ἀνέβη εἰς συνάντησιν Ἰσραὴλ τῷ πατρὶ αὐτοῦ καθ' Ἡρώων πόλιν· καὶ ὀφθεὶς αὐτῷ, ἔπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ· καὶ ἔκλαυσε κλαυθμῷ πλείονι.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πηγὰς ἠφίει δακρύων, ὁμοῦ καὶ τὴν ὑπερβάλλουσαν ἡδονὴν δεικνύμενος, καὶ εὐχαριστῶν τῷ δεσπότῃ ὑπὲρ τῶν γεγενημένων.

λ. Καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσήφ, ἀποθανοῦμαι ἀπὸ τοῦ νῦν, ἐπεὶ ἑώρακα τὸ πρόσωπόν σου· ἔτι γὰρ σὺ ζῇς.

ΑΔΗΛΟΥ. Μνημονεύσας ὁ Ἰακὼβ τοῦ » ῥήματος τοῦ Θεοῦ, ὅτι ἐπιβαλεῖ τὰς χεῖ- » ρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμούς σου, φησὶν, ὅσον εἶδόν σε, ἀποθανοῦμαι.

** ΩΡΙΓΕΝΟΥΣ. Θαυμαστόν ἐστι, τὸν γενόμενον ἐν Αἰγύπτῳ μὴ βλαβῆναι ἀπὸ τῶν Αἰγυπτίων, καὶ μεῖναι ἐν τῇ κατὰ Θεὸν ζωῇ. διόπερ θαυμάζων ὁ Ἰακὼβ, » εἶπε τῷ Ἰωσὴφ τὸ, ἔτι γὰρ σὺ ζῇς.

λα. Εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, ἀναβὰς ἀπαγγελῶ τῷ Φαραὼ, καὶ ἐρῶ αὐτῷ, οἱ ἀδελφοί μου, καὶ ὁ οἶκος τοῦ πατρός μου,

A οἳ ἦσαν ἐν γῇ Χαναὰν, ἥκασι πρός με.
λβ. Οἱ δὲ ἄνδρες εἰσὶ ποιμένες· ἄνδρες γὰρ κτηνοτρόφοι ἦσαν· καὶ τὰ κτήνη, καὶ τοὺς βόας, καὶ πάντα τὰ αὐτῶν ἀγηόχασιν.

** ΙΩΣΗΠΟΥ. Ποιμένας αὐτοὺς ἀγαθοὺς ἔλεγε, καὶ μηδενὶ τῶν ἄλλων, ἢ τούτῳ μόνῳ προσανέχειν, τοῦτε μὴ διεζευγμένους, ἀλλ' ἐν ταυτῷ τυγχάνοντας ἐπι- B μελεῖσθαι τοῦ πατρὸς προνοούμενος, τοῦτε τοῖς Αἰγυπτίοις εἶναι προσφιλεῖς, μηδὲν πράττοντας τῶν αὐτῶν ἐκείνοις. Αἰγυπτίοις γὰρ ἀπειρημένον ἦν περὶ νομὰς ἀναστρέφεσθαι.

λγ. Ἐὰν οὖν καλέσῃ ὑμᾶς Φαραὼ, καὶ εἴπῃ ὑμῖν, τί τὸ ἔργον
λδ. ὑμῶν; Ἐρεῖτε, ἄνδρες κτηνοτρόφοι
Γ ἐσμὲν οἱ παῖδές σου ἐκ παιδὸς ἕως τοῦ νῦν, καὶ ἡμεῖς, καὶ οἱ πατέρες ἡμῶν· ἵνα κατοικήσητε ἐν γῇ Γεσὲμ Ἀραβίας. βδέλυγμα γάρ ἐστιν Αἰγυπτίοις πᾶς ποιμὴν προβάτων.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ γὰρ ἐκεῖνοι ἐβδελύττοντο καὶ ἐξευτέλιζον τοὺς τὴν ποιμαντικὴν ἠσκηκότας, ἅτε δὴ αὐτοὶ περὶ τὴν σοφίαν τὴν αἰγυπτιακὴν ἐσχολα- Δ κότες, διὰ τοῦτο παραινεῖ τὸ ἐπιτήδευμα αὐτῶν προβαλέσθαι, ἵνα μετὰ προφάσεως εὐλόγου τὴν καλλιστεύουσαν αὐτοῖς γῆν ἀφορίσας, παρασκευάσῃ μετὰ πολλῆς διάγειν τῆς ἀδείας.

» ΑΔΗΛΟΥ. Βδέλυγμα Αἰγυπτίοις πᾶς » ποιμὴν προβάτων, ἀλλ' οὐχ Ἑβραίοις. εἰ μὲν οὖν, ὡς ποιμὴν ἐφέστηκεν ἡμῖν, βδέλυγμά ἐστιν Αἰγυπτίοις· εἰ δὲ ὡς μισθωτὸς, E τάχα καὶ φίλος Αἰγυπτίοις.

** ΜΑΞΙΜΟΥ. Κτηνοτρόφος μέν ἐστι νοητὸς, ὁ πρακτικός. κτηνῶν γὰρ λόγον ἐπέχουσι τὰ ἠθικὰ κατορθώματα. διὸ » καὶ ἔλεγεν ὁ Ἰακὼβ, ἄνδρες κτηνοτρόφοι » εἰσὶν οἱ παῖδές σου. ποιμὴν δὲ προβάτων, ὁ γνωστικός. προβάτων γὰρ λόγον ἐπέχουσιν οἱ λογισμοὶ, ἐπὶ τὰ ὄρη τῶν θεωρημάτων ὑπὸ τοῦ νοῦ ποιμαινόμενοι. διὰ Z » τοῦτο καὶ βδέλυγμα τοῖς Αἰγυπτίοις πᾶς » ποιμὴν προβάτων, ἤγουν ταῖς ἐναντίαις δυνάμεσιν.

ΚΕΦ. ΜΖ.

α. Ἐλθὼν δὲ Ἰωσὴφ ἀπήγγειλε Φαραὼ, λέγων, ὁ πατήρ μου, καὶ οἱ ἀδελφοί μου, καὶ τὰ κτήνη, καὶ οἱ βόες αὐτῶν, καὶ πάντα τὰ αὐτῶν ἦλθον ἐκ γῆς Χαναάν· καὶ ἰδού εἰσιν ἐν γῇ Γεσέμ.
β. Ἀπὸ δὲ τῶν ἀδελφῶν αὐτοῦ παρέλαβε πέντε ἄνδρας, καὶ ἔστησεν
γ. αὐτοὺς ἐναντίον Φαραώ. Καὶ εἶπε Φαραὼ τοῖς ἀδελφοῖς Ἰωσήφ, τί τὸ

(1) Ἐν τῷ κατὰ Ἀπίων. 1. λόγ. σελ. 1039.

(2) Ὡς ἔκτισαν υἱοὶ Ἰσραήλ. ὁ τῆς Αὐγ. κώδ.

τὸ ἔργον ὑμῶν; οἱ δὲ εἶπαν τῷ Φαραὼ, ποιμένες προβάτων οἱ παῖδές σε ἐκ παιδὸς ἕως τοῦ νῦν, καὶ ἡμεῖς, καὶ οἱ πατέρες ἡμῶν.

δ. Εἶπαν δὲ τῷ Φαραὼ, παροικεῖν ἐν τῇ γῇ ἥκαμεν· οὐ γάρ ἐστι νομὴ τοῖς κτήνεσι τῶν παίδων σου· ἐνίσχυσε γὰρ ὁ λιμὸς ἐν γῇ Χαναάν. νῦν οὖν κατοικήσομεν ἐν γῇ Γεσέμ. Β εἶπε δὲ Φαραὼ τῷ Ἰωσὴφ, κατοικείτωσαν ἐν γῇ Γεσέμ.

** ΩΡΙΓΕΝΟΥΣ. Παῤῥησιάζονται τὸ ποιμένες εἶναι πρὸς τὸν Φαραώ. εἶτα ἵνα
» μὴ ταραχθῇ Φαραὼ, φασὶ παροικεῖν ἐν
» γῇ ἥκαμεν.

Εἰ δὲ ἐπίσῃ, ὅτι εἰσὶν ἐν αὐτοῖς ἄνδρες δυνατοὶ, κατάστησον αὐτοὺς ἄρχοντας τῶν ἐμῶν κτηνῶν. Γ ἦλθον δὲ εἰς Αἴγυπτον πρὸς Ἰωσὴφ Ἰακὼβ, καὶ οἱ υἱοὶ αὐτοῦ· καὶ ἤκουσε Φαραὼ βασιλεὺς Αἰγύπτου.

** ΩΡΙΓΕΝΟΥΣ. Τοὺς τοῦ Ἰσραὴλ δυνατοὺς Φαραὼ βούλεται ἄρχοντας καταστῆσαι Αἰγυπτίων κτηνῶν. εἴ τις δέ ἐστι τοῦ Ἰσραὴλ δυνατὸς, φευγέτω τὸ ἐπὶ τούτοις βούλημα.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἦλθε δὲ εἰς Αἴ-
» γυπτον πρὸς Ἰωσὴφ Ἰακώβ. ἀπὸ Γεσὲμ εἰσῆλθον εἰς τὰ ἐσώτερα τῆς Αἰγύπτου, ὅπου ἦν Φαραώ.

ε. Καὶ εἶπε Φαραὼ τῷ Ἰωσὴφ, λέγων, ὁ πατήρ σου, καὶ οἱ ἀδελφοί
ς. σου ἥκασι πρὸς σέ. Ἰδοὺ ἡ γῆ Αἰγύπτου ἐναντίον σου ἐστίν· ἐν τῇ βελτίσῃ γῇ κατοίκησον τὸν πατέρα σου, καὶ
ζ. τοὺς ἀδελφούς σου. Εἰσήγαγε δὲ Ἰωσὴφ τὸν πατέρα αὐτοῦ, καὶ ἔστησεν αὐτὸν ἐναντίον Φαραώ· καὶ εὐλόγη-
η. σεν Ἰακὼβ τὸν Φαραώ. Εἶπε δὲ Φαραὼ τῷ Ἰακὼβ, πόσα ἔτη ἡμερῶν τῆς ζωῆς σου;

θ. Καὶ εἶπεν Ἰακὼβ τῷ Φαραὼ, αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ, ἑκατὸν τριάκοντα ἔτη. μικραὶ καὶ πονηραὶ γεγόνασιν αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου· οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῆς ζωῆς τῶν πατέρων μου, ἃς ἡμέρας παρῴκησαν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπειδὴ πολλάκις ὁ τῶν ἐτῶν ἀριθμὸς τῆς ζωῆς τοῦ Ἰακὼβ ἐθαυμάζετο τῷ Φαραὼ, προστίθησιν Ἰα-
» κὼβ, μικραὶ καὶ πονηραὶ, ταῖς τῶν πατέρων παραβαλλόμεναι· τοιαύτας γὰρ θλίψεις οὐδεὶς ὑπέστη τῶν πρὸ αὐτοῦ πατριαρχῶν· ἵνα μάθῃ, ὅτι παρὰ Θεοῦ ηὐ-

Α λόγηται τὸ σπέρμα, καὶ πολυετὲς ὂν, καὶ πάντων τῶν ἀγαθῶν μετέχον δι' εὐσέβειαν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Αἰνίττεται ἐνταῦθα τὰ ἔτη τῆς δουλείας, ἧς ὑπέμεινε παρὰ τῷ Λάβαν, διὰ τὴν φυγὴν ἣν διὰ τὸν ἀδελφὸν ἐποιήσατο· εἶτα μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον τὸ πένθος τὸ ἐν τοσούτῳ χρόνῳ, ὃ ἔσχε διά τε τὸν τοῦ Ἰωσὴφ θάνατον, καὶ τὰς ἄλλας τὰς ἐν τῷ μέσῳ ταλαιπωρίας. πόσον γὰρ οἴει τὸν φόβον αὐτὸν ἐσχηκέναι, ἡνίκα διὰ τὴν ἀδελφὴν οἱ περὶ τὸν Συμεὼν καὶ τὸν Λευῒ αὔτανδρον πόλιν ἀνεῖλον, καὶ πάντας τοὺς ἐν Σηκίμοις αἰχμαλώτους ἔλαβον;

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι πᾶσα ἡ ἐν σώματι ζωὴ, παροικία λέγεται. ὁ δὲ
» Ἀκύλας, ἡμέραι, φησὶν, ἐτῶν προσηλυτεύσεώς μου. προσήλυτος γὰρ ἡ ψυχὴ ἐνθάδε.

ι. Καὶ εὐλογήσας Ἰακὼβ τὸν Φαραὼ, ἐξῆλθεν ἀπ' αὐτοῦ.

* ΩΡΙΓΕΝΟΥΣ. Οὐκ ἂν δίκαιον εὐλογήσας, ἐξῆλθεν ἀπ' αὐτοῦ. [ζητητέον δὲ εἴποτε ἅγιόν τις εὐλογήσας, ἀπῆλθεν ἀπ' αὐτοῦ.] ἀλλ' ἐνθάδε μὲν εὐλογῶν, ἐξέρχεται· ἀνωτέρω δὲ [ὁ Ἰακὼβ] εὐλογίας τυγχάνων, εἰσέρχεται.

Δ

ια. Καὶ κατῴκισεν Ἰωσὴφ τὸν πατέρα αὐτοῦ, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ· καὶ ἔδωκεν αὐτοῖς κατάσχεσιν ἐν Αἰγύπτῳ. ἐν τῇ βελτίσῃ γῇ, ἐν γῇ Ῥαμεσσῆ, καθὰ προσέταξε Φαραώ.

** ΚΥΡΙΛΛΟΥ. Ἀνεγνωρίζετο μὲν τοῖς ἀδελφοῖς ὁ Ἰωσὴφ ἅμα τῷ Βενιαμὶν ἀφιγμένοις, καὶ δὴ καὶ τραπέζης αὐτοὺς
Ε ἠξίου, καθάπερ ἔναγχος ἔφην. κλῆρον δὲ οὐδένα δοὺς ὅλως, ἀποτρέχειν ἐκέλευε κατακομιοῦντας πρὸς αὐτὸν τὸν πατέρα, φημὶ δὴ τὸν Ἰακώβ. ἐπειδὴ δὲ καταβέβηκε, καὶ ἤδη παρόντα τεθέαται τοῖς τέκνοις ὁμοῦ, τότε δὴ τότε τὴν ἁπασῶν ἀρίστην ἀπένειμε γῆν. σημεῖον δ' ἂν γένοιτο καὶ τοῦτο σαφὲς, ὅτι δέξεται μὲν ὁ Χριστὸς τοὺς ἐξ Ἰσραὴλ ἐπιστρέφοντας ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, σωζόντος αὐτοῖς δηλο-
Ζ νότι κατὰ τρόπον ὁμοψυχίας καὶ τοῦ νέου λαοῦ· τοῦτο γὰρ, ὡς ἔφην, ὁ Βενιαμὶν πλὴν οὐ δίχα τῶν ἁγίων πατέρων ὁ ἐν ἐλπίσιν ἡμῖν ἀποδοθήσεται κλῆρος. ὥσπερ γὰρ αὐτοὶ καίτοι κατὰ πίστιν ἀποθανόν-
» τες, ὡς γοῦν ὁ σοφὸς ἔφη Παῦλος, οὐκ ἐκο- Ἑβρ. ια. 39.
» μίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ 40.
» ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ
» χωρὶς ἡμῶν τελειωθῶσιν· οὕτω καὶ ἡμεῖς περιμένομεν τοὺς πατέρας, ἵνα μὴ χωρὶς
Η αὐτῶν τελειωθῶμεν. ὁμοῦ τοιγαροῦν τοῖς ἁγίοις πατράσιν, οἱ πρῶτοί τε καὶ μέσοι καὶ τελευταῖοι λαοὶ τὸν ἄριστόν τε καὶ ἀνεκποίητον τῆς τῶν οὐρανῶν βασιλείας ἀποληψόμεθα κλῆρον ἐν Χριστῷ.

ιβ. Καὶ

ιβ. Καὶ ἐσιτομέτρει Ἰωσὴφ τῷ πατρὶ, καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ σῖτον κατὰ σῶμα.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι, κατὰ σῶμα; Τὸ ἀρκοῦν ἑκάστῳ. ἔθος γὰρ τῇ Γραφῇ ποτὲ μὲν ἀπὸ τῆς ψυχῆς τὸν πάντα ἄνθρωπον καλεῖν, ποτὲ δὲ ἀπὸ τοῦ σώματος. καὶ ὥσπερ ἀνωτέρω ἔλεγεν, ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατέβη Ἰακὼβ εἰς Αἴγυπτον, ἵνα εἴπῃ ἑβδομήκοντα πέντε ἄνδρας καὶ γυναῖκας· οὕτω καὶ ἐνταῦθα κατὰ σῶμα, ἀντὶ τοῦ καθ' ἕκαστον ἄνθρωπον.

ιγ. Σῖτος δὲ οὐκ ἦν ἐν πάσῃ τῇ γῇ· ἐνίσχυσε γὰρ ὁ λιμὸς σφόδρα. ἐξέλιπε δὲ ἡ γῆ Αἰγύπτου καὶ ἡ γῆ Χαναὰν ἀπὸ τοῦ λιμοῦ.

ιδ. Συνεισήγαγε δὲ Ἰωσὴφ πᾶν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν γῇ Χαναὰν, τοῦ σίτου, οὗ ἠγόραζον, καὶ ἐσιτομέτρει αὐτοῖς. καὶ εἰσήνεγκεν Ἰωσὴφ πᾶν τὸ ἀργύριον εἰς τὸν οἶκον Φαραώ.

** ΩΡΙΓΕΝΟΥΣ. Καὶ ποῦ ἔδει πᾶν τὸ Αἰγύπτου ἀργύριον καὶ Χαναὰν γενέσθαι, ἢ ἐν τῷ οἴκῳ Φαραώ;

ιε. Καὶ ἐξέλιπε πᾶν τὸ ἀργύριον, ὥστε ἀναλωθῆναι ἐκ γῆς Αἰγύπτου, καὶ ἐκ γῆς Χαναάν· ἦλθον δὲ πάντες οἱ Αἰγύπτιοι πρὸς Ἰωσὴφ, λέγοντες, δὸς ἡμῖν ἄρτους, καὶ ἵνα τί ἀποθνήσκομεν ἐναντίον σου; ἐκλέλοιπε γὰρ τὸ ἀργύριον ἡμῶν.

ιϛ. Εἶπε δὲ αὐτοῖς Ἰωσήφ· φέρετε τὰ κτήνη ὑμῶν, καὶ δώσω ὑμῖν ἄρτους ἀντὶ τῶν κτηνῶν ὑμῶν, εἰ ἐκλέλοιπε τὸ ἀργύριον ὑμῶν.

* ΩΡΙΓΕΝΟΥΣ. Οὐκ ὠμῶς τοῦτο ποιεῖ Ἰωσὴφ, ἀλλ' ἵνα μὴ κάμωσι τὰ κτήνη τρέφοντες, καὶ ἵνα μετὰ ταῦτα χάριν αὐτὰ δέξωνται παρὰ τοῦ Φαραώ.

ιζ. Ἤγαγον δὲ τὰ κτήνη πρὸς Ἰωσήφ· καὶ ἔδωκεν αὐτοῖς Ἰωσὴφ ἄρτους ἀντὶ τῶν ἵππων, καὶ ἀντὶ τῶν προβάτων, καὶ ἀντὶ τῶν βοῶν, καὶ ἀντὶ τῶν ὄνων· καὶ ἐξέθρεψεν αὐτοὺς ἐν ἄρτοις ἀντὶ πάντων τῶν κτηνῶν αὐτῶν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ.

ιη. Ἐξῆλθε δὲ τὸ ἔτος ἐκεῖνο. καὶ ἦλθον πρὸς αὐτὸν ἐν τῷ ἔτει τῷ δευτέρῳ, καὶ εἶπαν αὐτῷ, μήποτε ἐκτριβῶμεν ἀπὸ τοῦ κυρίου ἡμῶν; εἰ γὰρ ἐκλέλοιπε τὸ ἀργύριον καὶ τὰ ὑπάρχοντα καὶ τὰ κτήνη πρὸς σὲ τὸν κύριον ἡμῶν, καὶ οὐχ ὑπολείπεται ἡμῖν ἐναντίον τοῦ κυρίου ἡμῶν ἀλλ' ἢ τὸ ἴδιον σῶμα καὶ ἡ γῆ ἡμῶν.

** ΩΡΙΓΕΝΟΥΣ. Ἐπεὶ περὶ τῶν ἁμαρτωλῶν λέγεται τὸ, διὰ τὸ εἶναι αὐτοὺς σάρκας· διὰ τοῦτο καὶ νῦν Αἰγύπτιοι, ὡς σάρκες, ὑπολελεῖφθαί φασιν αὐτοῖς οὐχὶ ψυχὴν, ἀλλὰ τὸ ἴδιον σῶμα. τοῦτο δὲ νομιστέον ὑπὸ πάντων τῶν ἀλλοτρίων τοῦ Θεοῦ λέγεσθαι. Γεν. 6. 3.

ιθ. Ἵνα οὖν μὴ ἀποθάνωμεν ἐναντίον σου, καὶ ἡ γῆ ἡμῶν ἐρημωθήσεται, κτῆσαι ἡμᾶς καὶ τὴν γῆν ἡμῶν ἀντὶ ἄρτων, καὶ ἐσόμεθα καὶ ἡμεῖς καὶ ἡ γῆ ἡμῶν παῖδες τῷ Φαραώ· δὸς ἡμῖν σπέρμα, ἵνα [σπείρωμεν, καὶ ζῶμεν, καὶ] μὴ ἀποθάνωμεν, καὶ ἡ γῆ οὐκ ἐρημωθήσεται.

* ΩΡΙΓΕΝΟΥΣ. Ἐναντίον Φαραὼ θέλουσιν οἱ Αἰγύπτιοι ζῆν, οὐκ ἐναντίον τοῦ Θεοῦ.

** ΤΟΥ ΑΥΤΟΥ. Κτῆμα βούλονται γενέσθαι οἱ Αἰγύπτιοι τοῦ Φαραὼ, ὡς οἱ ἅγιοι τοῦ Θεοῦ.

κ. Καὶ ἐκτήσατο Ἰωσὴφ πᾶσαν τὴν γῆν τῶν Αἰγυπτίων Φαραώ· ἀπέδοντο γὰρ οἱ Αἰγύπτιοι τὴν γῆν αὐτῶν Φαραώ· ἐπεκράτησε γὰρ αὐτῶν ὁ λιμός· καὶ ἐγένετο ἡ γῆ τῷ Φαραώ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε Ἰωσὴφ καὶ τὴν γῆν τῶν Αἰγυπτίων, καὶ τὰ κτήνη προσεπόρισε τῷ βασιλεῖ; Οὔτε τὰ κτήνη θρέψαι οἷοί τε ἦσαν ἐν σιτοδείᾳ καὶ σπάνει σιτίων, οὔτε σπεῖραι τὴν γῆν. ταῦτα τοίνυν λαβὼν ἐν τῷ καιρῷ τοῦ λιμοῦ, ὕστερον ἀποδέδωκε, τῆς προσόδου τὸ πέμπτον εἰσφέρειν νομοθετήσας, ἵνα ἐν ταῖς ἐνδείαις ἀποκειμένας ἔχωσι τὰς τῆς ζωῆς ἀφορμάς.

» ** ΩΡΙΓΕΝΟΥΣ. Ἐπεκράτησε γὰρ αὐτῶν ὁ λιμὸς, δηλονότι τῶν Αἰγυπτίων. οὐ γὰρ ἂν εἴρηται περὶ τοῦ Ἰσραὴλ, ὅτι ἐπεκράτησεν αὐτῶν ὁ λιμός.

κα. Καὶ τὸν λαὸν κατεδουλώσατο αὐτῷ εἰς παῖδας, ἀπὸ ἄκρων ὁρίων Αἰγύπτου ἕως ἄκρων.

» ** ΠΡΟΚΟΠΙΟΥ. Κατεδουλώσατο αὐτῷ εἰς παῖδας. ἐναπογράφους ἐποίησε.

κβ. Χωρὶς τῆς γῆς τῶν ἱερέων μόνον. ταύτην οὐκ ἐκτήσατο Ἰωσήφ· ἐν δόσει γὰρ ἔδωκε δόματα τοῖς ἱερεῦσι Φαραὼ, καὶ ἤσθιον τὴν δόσιν, ἣν ἔδωκεν αὐτοῖς Φαραώ. διὰ τοῦτο οὐκ ἀπέδοντο τὴν γῆν αὐτῶν.

ΣΥΜΜΑ-

* ΣΥΜΜΑΧΟΣ. Σύνταξις γὰρ ἦν τοῖς ἱερεῦσιν.

ΑΔΗΛΟΥ. Καὶ γὰρ μερὶς ἦν τοῖς ἱερεῦσιν [ἐκ συγχωρήσεως Φαραώ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἐν δόσει γὰρ ἔδω-
» κε δόματα τοῖς ἱερεῦσι, τουτέστι διάρια. καὶ γὰρ ὁ Σύμμαχος, σύνταξιν ἐξέδωκε. καλῶς δὲ φόρου ὑποτελεῖς τοὺς Αἰγυπτίους ποιεῖ, καὶ δούλους, ὡς ἂν ἀστασίαστος μετὰ ταῦτα φυλάττοιτο ἡ ἀρχή· ἔχοιεν δὲ καὶ τὰς ἀποπεμπτώσεις ἀποτιθεμένας ἐν λιμῷ, ἢ ἐν πολέμῳ παραμυθίαν.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰς θεραπείαν τοῦ βασιλέως τὴν ἱερατικὴν γῆν ἀτελῆ καταλέλοιπε μόνην. ταύτης δὲ τῆς τιμῆς οἱ τοῦ Θεοῦ τοῦ ὄντος οὐκ ἀπολαύουσιν ἱερεῖς. τοσοῦτον οἱ δυσσεβεῖς τοῖς οὐκ οὖσι θεοῖς ἀπένεμον σέβας.

κγ. Εἶπε δὲ Ἰωσὴφ τοῖς Αἰγυπτίοις, ἰδοὺ κέκτημαι ὑμᾶς καὶ τὴν γῆν ὑμῶν σήμερον Φαραώ. λάβετε ἑαυτοῖς σπέρματα, καὶ σπείρατε τὴν
κδ. γῆν. Καὶ ἔσται τὰ γεννήματα αὐτῆς, καὶ δώσετε τὸ πέμπτον μέρος τῷ Φαραώ· τὰ δὲ τέσσαρα μέρη ἔσται ὑμῖν αὐτοῖς εἰς σπέρμα τῇ γῇ, καὶ εἰς βρῶσιν ὑμῖν, καὶ πᾶσι τοῖς ἐν τοῖς οἴκοις ὑμῶν, καὶ εἰς βρῶσιν τοῖς νηπίοις ὑ-
κε. μῶν. Καὶ εἶπαν, σέσωκας ἡμᾶς· εὕρομεν χάριν ἐναντίον τοῦ κυρίου ἡμῶν, καὶ ἐσόμεθα παῖδες Φαραώ.

κς. Καὶ ἔθετο αὐτοῖς Ἰωσὴφ εἰς πρόσταγμα ἕως τῆς ἡμέρας ταύτης ἐπὶ γῆς Αἰγύπτου, ἀποπεμπτοῦν τῷ Φαραώ, χωρὶς τῆς γῆς τῶν ἱερέων μόνον· οὐκ ἦν τῷ Φαραώ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀκουέτωσαν οἱ νῦν, ὅσην τοῖς ἱερεῦσι τῶν εἰδώλων προνομίαν παρεῖχον τὸ παλαιόν· καὶ παιδευέσθωσαν κἂν γοῦν τὴν ἴσην παρέχειν τιμὴν τοῖς τοῦ τῶν ὅλων Θεοῦ τὴν λειτουργίαν ἐγκεχειρισμένοις. εἰ γὰρ ἐκεῖνοι πλανώμενοι, καὶ τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐπιδεικνύμενοι, ὅτι ἐνόμιζον, διὰ τοῦτο μάλιστα πλείονα τὴν ἀμοιβὴν ἀπονέμειν τοῖς εἰδώλοις, τοσαύτης ἠξίουν τιμῆς τοὺς τούτων θεραπεύοντας, πόσης οὐκ ἂν εἶεν καταγνώσεως ἄξιοι, οἱ νῦν τὴν εἰς τούτους θεραπείαν ἀποτεμνόμενοι; ἢ οὐκ οἶσθα, ὅτι εἰς τὸν τῶν ὅλων δεσπότην ἡ τιμὴ διαβαίνει; μὴ τοίνυν πρὸς τὸν τὴν τιμὴν δεχόμενον ἀφόρα. οὐ γὰρ διὰ τοῦτον ὀφείλεις ποιεῖν τὰ παρὰ σαυτοῦ, ἀλλὰ δι' ἐκεῖνον, ᾧ ἱερᾶται.

κζ. Κατῴκησε δὲ Ἰσραὴλ ἐν γῇ Αἰγύπτῳ ἐπὶ γῆς Γεσέμ· καὶ ἐκλη-

(1) Ἴσ. θάψῃ. καὶ

A ρονομήθησαν ἐπ' αὐτῆς· καὶ ηὐξήθησαν καὶ ἐπληθύνθησαν σφόδρα.

ΑΚΥΛΑΣ. Κατεσχέθησαν, καὶ ηὐξήθησαν.

ΑΔΗΛΟΥ. Ἐπιτηρητέον, ὅτι ἐπ' ἀσε-
» βῶν οὐδέποτε εἴρηται τό, ηὐξήθησαν.

κη. Ἐπέζησε δὲ Ἰακὼβ ἐν γῇ Αἰγύπτῳ δεκαεπτὰ ἔτη. καὶ ἐγένοντο αἱ
B ἡμέραι Ἰακὼβ ἐνιαυτῶν τῆς ζωῆς αὐτοῦ
κθ. ἑκατὸν τεσσαρακονταεπτὰ ἔτη. Ἤγγισαν δὲ αἱ ἡμέραι Ἰσραὴλ τοῦ ἀποθανεῖν. καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ Ἰωσήφ· καὶ εἶπεν αὐτῷ, εἰ εὕρον χάριν ἐναντίον σου, ὑπόθες τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ποιήσεις ἐπ' ἐμὲ ἐλεημοσύνην καὶ ἀλήθειαν, τοῦ μή με
Γ θάψαι ἐν Αἰγύπτῳ.

λ. Ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου· καὶ ἀρεῖς με ἐξ Αἰγύπτου, καὶ θάψεις με ἐν τῷ τάφῳ αὐτῶν. ὁ δὲ εἶπεν, ἐγὼ ποιήσω κατὰ τὸ ῥῆμά σου.

ΑΔΗΛΟΥ. Τὸ κοιμηθῆναι λέγειν τὸν Ἰακώβ, ἀνάστασιν ὑποφαίνει. ὅπερ Σαμαρεῦσι λεκτέον.

Δ ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ὁ Ἰακὼβ εἰς τὴν Χεβρὼν τὸ σῶμα αὐτοῦ ταφῆναι κελεύει; Οὐ τάφου φροντίζων, ὥς τινες ὑπειλήφασιν, ἀλλὰ τὸ γένος ψυχαγωγῶν, καὶ διδάσκων, ὡς ἅπαντας αὐτοὺς ὁ δεσπότης Θεὸς μεταστήσει τῆς Αἰγύπτου, καὶ τὴν ἐπηγγελμένην αὐτοῖς ἀποδώσει γῆν. τοῦτον δὲ σαφέστερον ὁ Ἰωσὴφ τὸν λόγον ἀπέφηνε. τελευτῶν γάρ, οὕτως ἔφη· ἐγὼ Γεν.50.24,25.
» ἀποθνήσκω· ἐπισκοπῇ δὲ ἐπισκέψεται
» ὑμᾶς ὁ Θεός, καὶ ἀνάξει ὑμᾶς ὁ Θεὸς ἐκ
E » τῆς γῆς ταύτης εἰς τὴν γῆν, ἣν ὤμοσεν
» ὁ Θεὸς τοῖς πατράσιν ἡμῶν, τῷ Ἀβραάμ,
» καὶ τῷ Ἰσαάκ, καὶ τῷ Ἰακώβ. καὶ ὥρκι-
» σεν Ἰωσὴφ τοὺς υἱοὺς Ἰσραήλ, λέγων, ἐν τῇ
» ἐπισκοπῇ ᾗ ἐπισκέψεται ὑμᾶς ὁ Θεός,
» καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ' ὑμῶν. ὡς εἶναι δῆλον, ὅτι κἀκεῖνος καὶ οὗτος τὴν ἄνοδον προαγορεύοντες, τὰ περὶ τῆς ταφῆς ἐνετείλαντο.

Z λα. Εἶπε δὲ αὐτῷ, ὄμοσόν μοι. καὶ ὤμοσεν αὐτῷ. καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

ΑΚΥΛΑΣ. Προσεκύνησεν Ἰσραὴλ ἐπὶ κεφαλῆς τῆς κλίνης.

ΣΥΜΜΑΧΟΣ. Καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς κλίνης.

H ΓΕΝΝΑΔΙΟΥ. Μέλλων τελευτᾶν ὁ Ἰακώβ, παρακαλεῖ τὸν Ἰωσήφ, ἵνα ἐν τῷ τάφῳ τῶν πατέρων, ἐν γῇ Χαναὰν τὸν νεκρὸν . . . . (1) ἡσθεὶς ὁ πρεσβύτης, καὶ πληρο-

πληροφορίαν περὶ τῶν ἐπαγγελιῶν ἐντεῦθεν ἀπολαβὼν, ᾠήθη χάριν Θεῷ δεῖν καθομολογῆσαι. μὴ νομίσας δὲ πρέπειν αὐτῷ κατακεκλιμένῳ ταύτην ποιήσασθαι, βιάζεται μὲν ἑαυτὸν πρὸς ἐπανόρθωσιν, ἐπιστηριχθεὶς δὲ καὶ ἐπαναπαυσάμενος τῇ ἐν χερσὶ βακτηρίᾳ, πληροῖ τὴν προσκύνησιν. τὸ γὰρ, προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ, τοῦτό ἐστιν· οὐχ ὥστινες ἁπλῶς ἐφαντάσθησαν, ὅτι τῇ ῥάβδῳ προσκυνήσας, ἐν αἰνίγματι τῷ σταυρῷ προσεκύνησεν. οὐδὲ γὰρ οὕτω γέγραπται, ὅτι προσεκύνησε τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ, ἀλλὰ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. ὅμοιον δὲ τὸ ἐν τῇ δευτέρᾳ τῶν
3. Βασ. 1. 47. Βασιλειῶν. καὶ προσεκύνησεν ὁ βασιλεὺς Δαβὶδ ἐπὶ τῆς κοίτης αὐτοῦ. κἀν τούτοις γὰρ ὁ Δαβὶδ ὑπερησθεὶς, ἐφ' οἷς ἔτι ζῶν ἐθεάσατο τῆς βασιλείας ἐπιβάντα τὸν Σολομῶντα, πρὸς εὐχαριστίαν μὲν τοῦ Θεοῦ κινεῖται θερμότερον, ἡττηθεὶς δὲ τῷ γήρᾳ, τῇ τῆς κεφαλῆς ἐπικλήσει πληροῖ τὴν προσκύνησιν. ἐπὶ κεφαλῆς τῆς κλίνης, ἢ ἐπὶ τὸ ἄκρον τῆς κλίνης.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ; [Καὶ πρεσβύτης ὢν, καὶ ἀσθενῶς διακείμενος, ἐπὶ τῆς κλίνης κατέκειτο. γνοὺς δὲ τοῦ παιδὸς τὴν παρουσίαν, ἐξαναστὰς ἐκαθέσθη. βακτηρίᾳ δὲ κεχρημένος ἐπεστηρίζετο αὐτῇ, τοῦ μὲν ἄκρου ταύτης ἐπειλημμένος τῇ δεξιᾷ, ἐπικείμενον δὲ τὸ πρόσωπον ἔχων. ἡσθεὶς τοίνυν ἐπ' αὐτῷ, καὶ τῇ τῆς ταφῆς ἐπαγγελίᾳ, προσεκύνησεν ἐπικλίνας τῇ ῥάβδῳ τὴν κεφαλήν. καὶ] πρῶτον μὲν τὸ τοῦ Ἰωσὴφ ἐνύπνιον τὸ πέρας ἐδέξατο· εἶδε γὰρ τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ ἕνδεκα ἀστέρας προσκυνοῦντας αὐτῷ· πρὸς δὲ τούτοις προαγορεύει καὶ τῆς Ἐφραὶμ φυλῆς τὴν βασιλείαν, καὶ τῶν δέκα φυλῶν τὴν ὑποταγήν. ταῦτα γὰρ καὶ ὁ θεῖος Ἀπόστολος ἔφη· πίστει Ἑβρ. 11. 21. Ἰακὼβ ἕκαστον τῶν υἱῶν Ἰωσὴφ ηὐλόγησε, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

ΔΙΟΔΩΡΟΥ. Ῥάβδον μὲν ὁ Ἰακὼβ εἶχεν, οἷα δὴ γέρων. πρότερον δὲ αὐτὸς ὁ Ἰακὼβ γέρων ὢν, καὶ δυσκινήτως ἔχων, τοῦ ἄκρου τῆς ῥάβδου ἁψάμενος, κατεφίλησεν αὐτὸ τῆς ῥάβδου τὸ μέρος, οὗ ἥψατο ἢ ὁ Ἰωσὴφ προσκυνήσας τῷ πατρὶ, ἥψατο τοῦ ἄκρου τῆς ῥάβδου διὰ τὸ πολὺ κατακύψαι ἕως τῆς γῆς. φανερῶς οὐκ εἴρηκεν ἢ τῷ Θεῷ προσκυνήσας ὁ Ἰακὼβ, τοῦ ἄκρου τῆς ῥάβδου ἥψατο διὰ τὸ γῆρας· ὡς καὶ ὁ Δαβὶδ, τοῦ Σολομῶντος βασιλεύσαντος, εὐχαριστῶν, ἐπὶ τῆς κλίνης, ἐφ' ἧς ἔκειτο, τῷ Θεῷ προσεκύνησεν.

ΕΥΣΕΒΙΟΥ. Προσεκύνησεν αὐτὸ τὸ σύμβολον τῆς βασιλείας. ἕτεροι δέ φασιν, ὅτι ὁ Ἰακὼβ κατεῖχε ῥάβδον, ὡς πρεσβύτερος. ὀμόσαντος οὖν τοῦ Ἰωσὴφ, τὴν κεφαλὴν ἔκλινεν, ὡς προσκυνῶν. τῆς οὖν κεφαλῆς ἐπινευούσης, ἀνάγκη προσκυνῆσαι αὐτὸν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου. οὕτω γὰρ καὶ γέγραπται.

ΚΕΦ. ΜΗ.

α. Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα, καὶ ἀπηγγέλη Ἰωσὴφ, ὅτι ὁ πατήρ σου ἐνοχλεῖται. καὶ ἀναλαβὼν τοὺς δύο υἱοὺς αὐτοῦ τὸν Μανασσῆ καὶ τὸν Ἐφραὶμ, ἦλθε πρὸς Ἰακώβ.

β. Ἀπηγγέλη δὲ τῷ Ἰακὼβ, λέγοντες, ἰδοὺ ὁ υἱός σου Ἰωσὴφ ἔρχεται πρὸς σέ. καὶ ἐνισχύσας Ἰακὼβ, ἐκάθισεν ἐπὶ τὴν κοίτην.

** ΩΡΙΓΕΝΟΥΣ. Ἐνισχύσας ἐκάθισεν, ἵνα τοὺς ἐνθέους εἴπῃ λόγους. οἶμαι γὰρ τὸν μὲν Ἰακὼβ ἠνωχλῆσθαι, τὸν δὲ Ἰσραὴλ ἐνισχυκέναι, ὃς καὶ εὐλόγησε τοὺς υἱοὺς Ἰωσὴφ, καὶ τὰ ἑξῆς ἐν οἷς οὐκ ὀνομάζεται ἐπὶ τῶν παιδίων Ἰακώβ.

γ. Καὶ εἶπεν Ἰακὼβ τῷ Ἰωσὴφ, ὁ Θεός μου ὤφθη μοι ἐν Λουζᾷ ἐν γῇ Χαναὰν, καὶ εὐλόγησέ με.

δ. Καὶ εἶπέ μοι, ἰδοὺ ἐγὼ αὐξανῶ σε, καὶ πληθυνῶ σε, καὶ ποιήσω σε εἰς συναγωγὰς ἐθνῶν· καὶ δώσω σοι τὴν γῆν ταύτην, καὶ τῷ σπέρματί σου μετὰ σὲ εἰς κατάσχεσιν αἰώνιον.

** ΩΡΙΓΕΝΟΥΣ. Ἤτοι οὐκ αὔξει ὁ ἀσεβὴς, ἢ οὐκ ἀπὸ Θεοῦ αὔξει. τὸ δ' ὅμοιον ἐρεῖς καὶ διὰ τὸ, πληθυνῶ. Θεὸς γὰρ εὐλογῶν ταῦτά φησιν.

ΑΔΗΛΟΥ. Ὅτι αἰώνιον οὐ τὸ ἀΐδιον σημαίνει· ὡς μήπω ἀναφέρων ἐπὶ τὴν γῆν, ἥτις τύπος ἦν Ἰουδαίων. ἐκείνην κατάσχεσιν αἰώνιον ὠνόμασε.

ε. Νῦν οὖν οἱ δύο υἱοί σου, οἱ γενόμενοί σοι ἐν γῇ Αἰγύπτῳ πρὸ τοῦ με ἐλθεῖν πρὸς σὲ εἰς Αἴγυπτον, ἐμοί εἰσιν, Ἐφραὶμ καὶ Μανασσῆς· ὡς Ῥουβὶμ καὶ Συμεὼν ἔσονταί μοι.

* ΩΡΙΓΕΝΟΥΣ. Ὡς Ῥουβὶμ καὶ Ἐφραίμ· ἀμφότεροι γὰρ πρωτότοκοι· ὡς Μανασσῆς καὶ Συμεών· ἑκάτερος γὰρ τῇ μητρὶ αὐτῶν δεύτερος· τουτέστι φύλαρχοι καὶ αὐτοί.

ΘΕΟΔΩ.

ΘΕΟΔΩΡΙΤΟΥ. Δέδωκεν αὐτῷ κλῆρον διπλοῦν. Ἐφραὶμ γάρ φησι καὶ Μανασσῆς, ὡς Ῥουβὶμ καὶ Συμεών.

ΚΥΡΙΛΛΟΥ. Ἐτέθραπτο γὰρ ὁ μακάριος Ἰακὼβ ἐν γήρᾳ καλῷ κατὰ τὸ γεγραμμένον. ἐπειδὴ δὲ τῶν καθ' ἡμᾶς ἀπεδήμει πραγμάτων, εὐλογεῖν ἐσκέπτετο τοὺς ἐξ Ἰωσήφ. οἳ ἐπείπερ ἦσαν ἐκ μητρὸς ἀλλογενοῦς τῆς Ἀσενὲθ, θυγατρὸς Πετεφρῆ ἱερέως Ἡλιουπόλεως, ἵνα μήτις αὐτοὺς καταμυσάττοιτο τῶν ἐξ Ἰσραὴλ, καὶ ἔκφυλόν τε καὶ ὀθνεῖον ἡγοῖτο τὸ γένος, σοφῶς τε καὶ οἰκονομικῶς ὁ θεσπέσιος Ἰακὼβ αὐτόν τε τὸν Ἰωσὴφ, καὶ τοὺς ἑτέρους υἱοὺς πειρᾶται διδάσκειν, ὅτι ταῖς θείαις ἑπόμενος ψήφοις, πάντας οἰκειοῦται τοὺς ἐξ αὐτῶν γεγονότας. ὤφθη γάρ μοι φησὶν ὁ Θεὸς ἐν γῇ Χαναάν. Καὶ μετ' ὀλίγα. Καὶ ἡμεῖς οἱ ἐν πίστει δεδικαιωμένοι γεγόναμεν ἐν Χριστῷ Θεοῦ μὲν υἱοὶ, τῶν δὲ ἁγίων οἰκεῖοι, μεσιτεύοντος αὐτοῦ, καὶ δι' αὐτοῦ συνδέοντος καὶ αὐτῷ τῷ πατρὶ, καὶ τοῖς τῶν ἁγίων χοροῖς. καθάπερ ἀμέλει καὶ Ἰωσὴφ οἱονεὶ μεταξὺ κείμενος, υἱοὺς μὲν ἐποίει τοῦ ἰδίου πατρὸς τὸν Ἐφραὶμ καὶ Μανασσῆ, ἐγγράφεσθαι δὲ καὶ αὐτοὺς τῷ καταλόγῳ τῶν πατριαρχῶν.

ΤΟΥ ΑΥΤΟΥ. Εἰ γὰρ καὶ γεγόναμεν μητρὸς ὥσπερ ἑτερογενοῦς διὰ τὸ ἐξ ἐθνῶν κεκλῆσθαι τὴν ἐκκλησίαν, ἀλλ' ἐξαρκέσει μεσολαβῶν ὁ Ἐμμανουὴλ, καὶ εἰς τὸ συνάψαι τῷ Θεῷ καὶ πατρὶ, καὶ τοῖς τῶν ἁγίων ἐγγράψαι κλήροις, καὶ εἰς τὴν ἐκείνοις πρέπουσαν δόξαν ἐνεγκεῖν, καὶ ἱερὸν ἡμᾶς ἀποφῆναι γένος. ἄθρει δὲ ὅπως ἐξ ἀγάπης τῆς περὶ τὸν μακάριον Ἰωσὴφ εἰς υἱοὺς ἰδίους κατατάττει τοὺς ἐξ αὐτοῦ. ἠγαπήμεθα γὰρ καὶ ἡμεῖς ἐν Χριστῷ. καὶ ἐπείπερ δι' αὐτοῦ ἐν πνεύματι γέννησιν γεγεννήμεθα τὴν πνευματικὴν, ἀξιόληπτοι λοιπὸν γεγόναμεν τῷ πατρὶ, καὶ τοῖς πρὸ ἡμῶν ἁγίοις συντετάγμεθα. πλὴν εἰ καὶ υἱοὶ κεκλήμεθα τοῦ Θεοῦ καὶ πατρὸς, ὑπὸ χεῖρα πάλιν ἐσόμεθα τοῦ προσάγοντος ἡμᾶς, καὶ συνενοῦντος αὐτῷ, τουτέστι τοῦ Χριστοῦ.

ς. Τὰ δὲ ἔκγονα, ἃ ἐὰν γεννήσῃς μετὰ ταῦτα, σοὶ ἔσονται ἐπὶ τῷ ὀνόματι τῶν ἀδελφῶν αὐτῶν· κληθήσονται ἐν τοῖς ἐκείνων κλήροις.

** ΩΡΙΓΕΝΟΥΣ. Οἱ ἐσόμενοι, φησὶν, ἕτεροι παῖδές σου ταῖς ἐπωνύμοις φυλαῖς τῶν ἀδελφῶν αὐτῶν ταχθήσονται ἐν τῇ κληροδοσίᾳ.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐπὶ τῷ ὀνόματι τῶν ἀδελφῶν αὐτῶν· κληθήσονται ἐν τοῖς ἐκείνων κλήροις, τουτέστιν οὐχ ἕξουσιν αὐτοὶ φυλὰς ἰδίας, ἀλλ' εἰς τὰς φυλὰς Ἐφραὶμ καὶ Μανασσῆ ἀνενεχθήσονται.

ζ. Ἐγὼ δὲ ἡνίκα ἠρχόμην ἐκ Μεσοποταμίας τῆς Συρίας, ἀπέθανε A Ῥαχὴλ ἡ μήτηρ σου ἐν γῇ Χαναὰν, ἐγγίζοντός μου κατὰ τὸν ἱππόδρομον Χαβραθὰ τῆς γῆς, τοῦ ἐλθεῖν εἰς Ἐφραθά· καὶ κατώρυξα αὐτὴν ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου· αὕτη ἐστὶ Βηθλεέμ.

η. Ἰδὼν δὲ Ἰσραὴλ τοὺς υἱοὺς Ἰωσὴφ, εἶπε, τίνες σοὶ οὗτοι;

* ΩΡΙΓΕΝΟΥΣ. Δόξει ἐναντίον εἶναι B τῷ, ἰδὼν [δὲ Ἰσραὴλ τοὺς υἱοὺς Ἰωσὴφ, τὸ] οἱ ὀφθαλμοὶ Ἰσραὴλ ἐβαρυώπησαν [ἀπὸ τοῦ γήρους.] εἰ μήπου οὐκ ἔστι ταυτὸν τῷ τοὺς ὀφθαλμοὺς μὴ δύνασθαι βλέπειν, τὸ ἰδεῖν τὸν Ἰσραὴλ [τὸ σπέρμα τοῦ Ἰωσὴφ,] τοῦ Θεοῦ δείξαντος αὐτῷ τὰ γενησόμενα.

** ΠΡΟΚΟΠΙΟΥ. Ἰδὼν δὲ Ἰσραὴλ τοὺς υἱοὺς Ἰωσήφ. δῆλον ὡς διὰ τῶν ἄλλων αἰσθήσεων. δίχα τῶν ὀφθαλμῶν, ἤγουν διανοίᾳ προφητικῇ.

Γ

θ. Εἶπε δὲ Ἰωσὴφ τῷ πατρὶ αὐτοῦ, οἱ υἱοί μου εἰσὶν, οὓς ἔδωκέ μοι ὁ Θεὸς ἐνταῦθα. καὶ εἶπεν Ἰακὼβ, προσάγαγέ μοι αὐτοὺς, ἵνα εὐλογήσω αὐτούς.

ι. Οἱ ὀφθαλμοὶ δὲ Ἰσραὴλ ἐβαρυώπησαν ἀπὸ τοῦ γήρως, καὶ οὐκ ἠδύ- Δ ναντο βλέπειν, καὶ ἤγγισεν αὐτοὺς πρὸς αὐτόν· καὶ ἐφίλησεν αὐτοὺς, καὶ περιέλαβεν αὐτούς.

ΚΥΡΙΛΛΟΥ. Τύπος δ' ἂν γένοιτο καὶ μάλα σαφὴς, φίλημα μὲν ἀγάπης, ἑνώσεως δὲ περίληψις, ἤτοι περιπλοκή. τοιγάρτοι καὶ ὁ σοφώτατος Παῦλος ἐπιστέλλει, λέγων τοῖς εἰς Χριστὸν πιστεύσασιν, ὁτὲ μὲν, νυνὶ δὲ οἱ ποτὲ ὄντες μακρὰν, Ἐφεσ. 2 E ἐγενήθητε ἐγγὺς, προσκομίζοντος δηλονότι τοῦ υἱοῦ· ὁτὲ δὲ αὖ, νῦν δὲ γνόντες Γαλ. 4. Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ. ἐποπτείας γὰρ ἄξιοι. καὶ ἐπιγινώσκει μόνους ὁ Θεὸς καὶ πατὴρ τοὺς πνευματικὴν ἔχοντας οἰκειότητα πρὸς τὸν υἱὸν, καὶ τὴν διὰ τοῦ πνεύματος ἀναγέννησιν ὑπ' αὐτῷ τοὺς δι' αὐτοῦ (1) πλουτήσαντας.

ια. Καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰω- Z σὴφ, ἰδοὺ τοῦ προσώπου σου οὐκ ἐστερήθην, καὶ ἰδοὺ ἔδειξέ μοι ὁ Θεὸς καὶ τὸ σπέρμα σου.

ΚΥΡΙΛΛΟΥ. Ὅσον μὲν γὰρ ἧκεν εἰς Ἰουδαίους, ὁ πατὴρ ἐστέρηται τοῦ υἱοῦ. οἰηθέντες γὰρ, ὅτι καταχθήσεται ταῖς εἰς ᾅδου πύλαις, καὶ ὁμοῦ τοῖς ἄλλοις κείσεται νεκρὸς, θανάτῳ περιβεβλήκασιν· ἀλλ' οὐκ ἐνεδέχετο κρατεῖσθαι θανάτῳ τὸν τῆς H ζωῆς ἀρχηγόν. οὐκοῦν ἀνεβίω, καὶ πάλιν αὐτὸν ὁ πατὴρ τεθέαται, [καὶ τὸ ἐξ αὐτοῦ δὲ καὶ ἐν αὐτῷ γένος, δῆλον δὲ ὅτι τοὺς πιστεύ-

(1) Ὑπ' αὐτῷ τε καὶ δι' αὐτοῦ. ἐν Τόμ. 1. μερ. 1. σελ. 209.

1. Πέτρ. 2. 9. πιστεύσαντας, τὸ ἔθνος τὸ ἅγιον, τὸ βα-
» σίλειον ἱεράτευμα, τὸν εἰς περιποίησιν
λαόν. οἷς καὶ αὐτὸς ὁ χριστὸς ἐπιγάννυται,
Ἡσ. 8. 18. λέγων, ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅμοι ἔδω-
» κεν ὁ Θεός.]

ιβ. Καὶ ἐξήγαγεν αὐτοὺς Ἰωσὴφ ἀπὸ τῶν γονάτων αὐτοῦ, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν.

ΚΥΡΙΛΛΟΥ. Εἰσδεδέγμεθα γὰρ εἰς προσκυνητὰς οἵτε πρῶτοι καὶ μετ' ἐκείνους λαοὶ, προσκομιζόντων ἡμᾶς, οὐ Μωσέως, οὐ Προφητῶν· ἀργότερος γὰρ εἰς σωτηρίαν ὁ νόμος· ἀλλ' αὐτοῦ τοῦ υἱοῦ. δι' αὐτοῦ γὰρ
Ῥωμ. 5. 2. τὴν προσαγωγὴν ἐσχήκαμεν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα καὶ τοὺς παῖδας πῶς ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἐπαίδευε τὴν ὀφειλομένην τιμὴν ἀπονέμειν τῷ πρεσβύτῃ.

ιγ. Λαβὼν δὲ Ἰωσὴφ τοὺς δύω υἱοὺς αὐτοῦ, τόν τε Ἐφραὶμ ἐν τῇ δεξιᾷ, ἐξ ἀριστερῶν δὲ Ἰσραήλ, τὸν δὲ Μανάσσῆ ἐν τῇ ἀριστερᾷ, ἐκ δεξιῶν δὲ Ἰσραὴλ, ἤγγισεν αὐτοὺς αὐτῷ.

ΚΥΡΙΛΛΟΥ. Ἦν σκοπὸς τῆς ἐξ ἐθνῶν ἀγέλης προτάξαι τὸν Ἰσραήλ. εἰς δεξιὸν γὰρ ἵστησι τὸν Μανασσῆ τοῦ πατρὸς Ἰωσήφ. ἐπειδὴ δὲ πέρα λόγου δεδυσσεβήκασιν εἰς αὐτὸν, προτετίμηκεν ὁ πατὴρ τοὺς ἐν χρόνῳ δευτέρους, τουτέστι τὰ ἔθνη. καὶ γεγόνασιν οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι.

ιδ. Ἐκτείνας δὲ Ἰσραὴλ τὴν χεῖρα τὴν δεξιὰν, ἐπέβαλεν ἐπὶ τὴν κεφαλὴν Ἐφραὶμ, οὗτος δὲ ἦν ὁ νεώτερος, καὶ τὴν ἀριστερὰν ἐπὶ τὴν κεφαλὴν Μανασσῆ, ἐναλλὰξ τὰς χεῖρας.

ΕΥΣΕΒΙΟΥ. Ὁ Ἐφραὶμ τίθεται πρῶτος τοῦ Μανασσῆ· αὐτοῦ γὰρ ἀνέστη ἡ βασιλεία ἐπὶ τὰς δέκα φυλάς· καὶ αὐτὸς ἔλαβε τὰ Σίκιμα, ἃ ἐπηγγείλατο ὁ Ἰακὼβ τῷ Ἰωσήφ· ὡς εὑρεθῆναι τὸν Ἐφραὶμ ἔχοντα τὰς δύω δεξιὰς τοῦ πατρὸς καὶ τοῦ πάππου, ἐπισημόνως ἀντιστρέψας.

ΩΡΙΓΕΝΟΥΣ. Ὅτι παρηκολούθουν οἱ Προφῆται νοοῦντες περὶ ὧν ἐπροφήτευον. ἀμέλει μετὰ ταῦτα τῶν δέκα φυλῶν ἐξῆρχεν ἡ τοῦ Ἐφραὶμ φυλή. ἐξ αὐτοῦ γὰρ ὁ μακάριος Ἰησοῦς ὁ τοῦ Ναυῆ, ἀληθινὸς τύπος ὢν τοῦ Χριστοῦ, κατήγετο ἐν τοῖς Ἀριθμοῖς. διὸ καὶ τοῦ Ἰωσὴφ ἡ εὐλογία ἐπ' αὐτὸν ἀναφέρεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Προφητικῶς δὲ προτέταχε τοῦ Μανασσῆ τὸν Ἐφραίμ. καὶ γὰρ τοῦ Ἰωσήφ, ὡς πρωτοτόκῳ τῷ Μανασσῆ, τὰ πρεσβεῖα φυλάξαντος, καὶ κατὰ τάξιν ἑκάτερον στήσαντος, ἐναλλάξας ὁ πατριάρχης τὰς χεῖρας, ἐπετίθει καὶ τῷ νεω-
A τέρῳ τὴν δεξιὰν, τὴν εὐώνυμον δὲ τῷ πρεσβυτέρῳ. εἶτα νομίσας ὁ Ἰωσὴφ ἐξ ἀγνοίας τοῦτο δεδρακέναι τὸν πατέρα, καὶ τοπάσας τοῦ πάθους εἶναι τῶν ὀφθαλμῶν
» τὴν αἰτίαν, καὶ εἰρηκὼς, οὐχ οὕτω πάτερ·
» οὗτος γάρ ἐστιν ὁ πρεσβύτερος· ἤκουσεν, οἶδα
» τέκνον, οἶδα· καὶ οὗτος ὑψωθήσεται, ἀλλ'
» ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ
ἔσται. ἐπισημαντέον δὲ, ὅτι πανταχοῦ τῶν πρωτοτόκων οἱ μετ' αὐτοὺς προτιμῶνται.
B καὶ γὰρ τοῦ Κάϊν προεκρίθη ὁ Ἄβελ, καὶ
» τοῦ Ἰάφεθ ὁ Σὴμ δεύτερος ὤν· ἀδελφῷ Γεν. 10. 12.
» γάρ φησιν Ἰάφεθ τοῦ μείζονος· καὶ τοῦ Ἰσμαὴλ ὁ Ἰσαὰκ, καὶ τοῦ Ἡσαῦ ὁ Ἰακὼβ, καὶ τοῦ Ῥουβὶμ καὶ Ἰούδα ὁ Ἰωσὴφ, καὶ τοῦ Μανασσῆ ὁ Ἐφραίμ. τοῦτο καὶ ἐν τοῖς μετὰ ταῦτα εὕροι τις ἄν. καὶ γὰρ τοῦ Ἀαρὼν ὁ Μωϋσῆς προετάχθη, καὶ Δαβὶδ νεώτατος ὢν τῶν ἑπτὰ ἀδελφῶν. ὁ μέντοι πα-
» τριάρχης Ἰακὼβ ἐδίδαξε [διὰ τῆς προρ-
Γ » ῥήσεως τῆς ταφῆς] τὴν αἰτίαν. ἰδοὺ γάρ
» φησιν ἐγὼ ἀποθνήσκω, καὶ ἔσται ὁ Θεὸς
» μεθ' ὑμῶν, καὶ ἀποστρέψει ὑμᾶς ὁ Θεὸς
» εἰς τὴν γῆν τῶν πατέρων ἡμῶν.

** ΙΣΙΔΩΡΟΥ. Ἡ εὐλογία τοῦ πατριάρχου, ἣν τοῖς υἱέσι τοῦ Ἰωσὴφ ἐπευξάμενος ἔδωκεν, οὐκ εἰς ἐκείνους μόνον πεπλήρωτο, ἀλλὰ καὶ τύπος μειζόνων πραγμάτων γεγένηται. ἡ γὰρ ἐναλλαγὴ τῶν χειρῶν, τὸν σωτήριον προεδήλου σταυρόν· καὶ
Δ ἡ τοῦ ἥττονος προσαγωγὴ, τὸν νέον ὑπεδείκνυ λαὸν, μονονουχὶ βοῶσα διὰ τοῦ σχήματος, ὅτε σταυρὸς εἰς εὐλογίαν φανῇ, ὁ ἥττων λαὸς μεγαλυνθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.

ιε. Καὶ εὐλόγησεν αὐτοὺς, καὶ εἶπεν, ὁ Θεὸς, ᾧ εὐηρέστησαν οἱ πατέρες μου ἐνώπιον αὐτοῦ, Ἀβραὰμ καὶ
E Ἰσαὰκ, ὁ Θεὸς ὁ τρέφων με ἐκ νεότητος ἕως τῆς ἡμέρας ταύτης.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σκόπει ταπεινοφροσύνην τοῦ πατριάρχου, ὅρα ψυχὴν φιλόθεον, οὐκ ἐτόλμησεν εἰπεῖν ὁ Θεὸς, ᾧ
» εὐηρέστησα, ἀλλὰ τί; ᾧ εὐηρέστησαν οἱ πα-
» τέρες μου.

ις. Ὁ Ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν εὐλογῆσαι τὰ παι-
Z δία ταῦτα. καὶ ἐπικληθήσεται ἐν αὐτοῖς τὸ ὄνομά μου, καὶ τὸ ὄνομα τῶν πατέρων μου, Ἀβραὰμ καὶ Ἰσαὰκ· καὶ πληθυνθείησαν εἰς πλῆθος πολὺ ἐπὶ τῆς γῆς.

** ΑΘΑΝΑΣΙΟΥ. Εἰρηκὼς, ὁ ῥυό-
» μενός με ἐκ πάντων τῶν κακῶν, ἔδειξε μὴ τῶν κτισθέντων τινὰ Ἀγγέλων, ἀλλὰ τὸν λόγον εἶναι τοῦ Θεοῦ, ὃν τῷ πατρὶ συνάπτων ηὔχετο· δι' οὗ καὶ οὓς ἐὰν θέλῃ ῥύεται
H ὁ Θεός. τοῦτον γὰρ καὶ μεγάλης βουλῆς Ἄγγελον ὑπὸ πατρὸς εἰδὼς καλούμενον, οὐκ ἄλλον, ἀλλ' ἢ αὐτὸν εἶναι τὸν εὐλογοῦντα, καὶ ῥυόμενον ἐκ τῶν κακῶν, ἔλεγεν. οὐ

γὰρ

γὰρ αὐτὸς μὲν ἠξίου παρὰ τοῦ Θεοῦ εὐλογεῖσθαι, τοὺς δὲ ἐγγόνους ἤθελε παρὰ Ἀγγέ-
Γεν. 32. 26, 30. λου· ἀλλ' ὃν αὐτὸς παρεκάλει λέγων, οὐ μή-
» σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς· Θεὸς
» δὲ ἦν οὗτος, ὡς αὐτός φησιν· εἶδον Θεὸν
» πρόσωπον πρὸς πρόσωπον· τοῦτον εὐλογῆσαι καὶ τοὺς υἱοὺς Ἰωσὴφ ηὔχετο.

ΚΥΡΙΛΛΟΥ. Ηὐλόγησε δὲ Ἰακὼβ τὰ μειράκια, Θεὸν ὀνομάζων τὸν τρέφοντα, καὶ Ἄγγελον τὸν ῥυόμενον αὐτὸν, τῷ Θεῷ καὶ πατρὶ συντάττων εἰς ἅπαντα τὸν υἱόν.
Ησ. 9. 6. ὃς διὰ φωνῆς Προφητῶν, μεγάλης βουλῆς
» Ἄγγελος ὀνομάζεται. οὐκοῦν πᾶσα χάρις, καὶ πάσης εἰς ἡμᾶς εὐλογίας γένοιτ' ἂν τρόπος οὐχ ἑτέρως, πλὴν ὅτι δι' υἱοῦ παρὰ τοῦ πατρός. καὶ γοῦν ὁ θεσπέσιος Παῦλος,
Ἐφεσ. 1. 2. χάρις ὑμῖν καὶ εἰρήνη, [φησὶν], ἀπὸ Θεοῦ
» πατρὸς [ἡμῶν, καὶ Κυρίου] Ἰησοῦ Χριστοῦ.

ΑΔΗΛΟΥ. Ὅτι ἐν τῇ παλαιᾷ οἱ ἅγιοι, Ἀγγέλους εἶχον συνόντας αὐτοῖς· ἐν δὲ τῇ νέᾳ, πᾶς χριστιανός.

» ΑΔΗΛΟΥ. Ἔσται εἰς πλῆθος ἐθνῶν· ὅτι ἡ εὐλογία τοῦ Ἰωσὴφ ἐπὶ τὸν Ἰησοῦν τοῦ Ναυῆ ἀναφέρεται.

ιζ. Ἰδὼν δὲ Ἰωσὴφ, ὅτι ἐπέβαλεν ὁ πατὴρ τὴν δεξιὰν αὐτοῦ ἐπὶ τὴν κεφαλὴν Ἐφραίμ, βαρὺ αὐτῷ κατεφάνη· καὶ ἀντελάβετο Ἰωσὴφ τῆς χειρὸς τοῦ πατρὸς αὐτοῦ, ἀφελεῖν αὐτὴν ἀπὸ τῆς κεφαλῆς Ἐφραὶμ ἐπὶ
ιη. τὴν κεφαλὴν Μανασσῆ. Εἶπε δὲ Ἰωσὴφ τῷ πατρὶ αὐτοῦ, οὐχ οὕτω πάτερ· οὗτος γὰρ ὁ πρωτότοκος· θὲς τὴν δεξιάν σου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

ιθ. Καὶ οὐκ ἠθέλησεν, ἀλλ' εἶπεν, οἶδα τέκνον, οἶδα. καὶ οὗτος ἔσται εἰς λαὸν, καὶ οὗτος ὑψωθήσεται· ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ εἰς πλῆθος ἐθνῶν.

* ΚΥΡΙΛΛΟΥ. Ἀχάλλει γε μὴν ὁ θεσπέσιος Ἰωσὴφ, κατόπιν ὥσπερ τοῦ νέου τιθέμενον ἰδὼν τὸν πρωτότοκον. εἶτα τοῦ μυστηρίου τὴν δύναμιν διεσάφησεν ὁ πατὴρ
» λέγων, καὶ οὗτος εἰς λαὸν ἔσται, καὶ τὰ ἑξῆς.

κ. Καὶ εὐλόγησεν αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγων, ἐν ὑμῖν εὐλογηθήσεται πᾶς Ἰσραὴλ, λέγοντες, ποιήσαι σε ὁ Θεὸς ὡς Ἐφραὶμ καὶ Μανασσῆ. καὶ ἔθηκε τὸν Ἐφραὶμ ἔμπροσθεν τοῦ Μανασσῆ ἐν τῇ εὐλογίᾳ.

ΚΥΡΙΛΛΟΥ. Ὅσον μὲν γὰρ ἧκεν εἰς τὸ δοκεῖν τῷ Χριστῷ, οὐκ ἂν πέπλωκε τῆς οἰκείας δόξης ὁ Ἰσραήλ. καὶ γοῦν ἔφασκεν
Ματθ. 15. 24. ἐναργῶς, οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρό-
» βατα τὰ ἀπολωλότα, καὶ τὰ ἑξῆς. ἐπειδὴ δὲ πεπώρωται κατὰ τὸ γεγραμμένον,

A καὶ τὴν τοῦ καλοῦντος εἰς σωτηρίαν περιϊβρύζων κλῆσιν, ἀπομεμένηκεν ἀπειθὴς, τέθειται πρὸς εὐώνυμον, τὸ μεῖον ἔχων ἐν δόξῃ. καὶ εὐλογεῖται μὲν καὶ ὑψοῦται καὶ αὐτὸς ἔν γε τῷ σεσωσμένῳ μέρει· καὶ
» τοῦτό ἐστι τὸ κατάλειμμα, κατὰ τὴν τοῦ Κριτ. 5. 11.
Προφήτου φωνήν· ὑπερκείσεται δὲ λίαν ὁ ἐξ ἐθνῶν, καὶ εἰς συναγωγὰς ἐθνῶν κατευρυνθῇ μᾶλλον ἤπερ ὁ Ἰσραὴλ τῇ τῶν πιστευσάντων ἀμετρήτῳ πληθύϊ ποιούμενος
B τὴν ὑπεροχήν. μιᾷ μέντοι καὶ ἴσῃ χάριτι κατεστέμμεθα πρὸς ἁγιασμὸν οἵ τε ἐξ Ἰσραὴλ καὶ μέντοι καὶ οἱ ἐξ ἐθνῶν πιστεύσαντες, καὶ ἐν Χριστῷ δεδικαιωμένοι.

** ΩΡΙΓΕΝΟΥΣ. Εὐκαίρως χρήσῃ τῷ ῥητῷ, περὶ τοῦ ἐν προσευχῇ ἔμπροσθεν ἱστάναι τὸν τιμιώτερον.

κα. Εἶπε δὲ Ἰσραὴλ τῷ Ἰωσὴφ,
Γ ἰδοὺ ἐγὼ ἀποθνήσκω· καὶ ἔσται ὁ Θεὸς μεθ' ὑμῶν, καὶ ἀποστρέψει ὑμᾶς εἰς τὴν γῆν τῶν πατέρων ὑμῶν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ τοὺς υἱοὺς εὐλόγησε, καὶ τὰ μέλλοντα προορῶν, προέθηκε τὸν νεώτερον τοῦ πρεσβυτέρου, βουλόμενος πεῖσαι τὸν Ἰωσὴφ, ὅτι οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ τοῦτο πεποίηκεν, ἀλλὰ προφητεύων τὰ μέλλοντα ἔσεσθαι, προλέγει
Δ αὐτῷ καὶ τὴν οἰκείαν τελευτὴν, καὶ ὅτι ἐπανήξουσιν ἐκ τῆς ἀλλοτρίας εἰς τὴν Χαναὰν, εἰς τὴν γῆν τῶν πατέρων αὐτῶν, καὶ χρηστὰς αὐτοῖς ἐλπίδας ὑποτείνει, ὥστε τῇ προσδοκίᾳ κουφίζεσθαι.

κβ. Ἐγὼ δὲ δίδωμί σοι Σίκιμα ἐξαίρετον ὑπὲρ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐκ χειρὸς Ἀμορραίων ἐν μαχαίρᾳ μου καὶ τόξῳ.

E » ΑΔΗΛΟΥ. Ἐξαίρετον ὑπὲρ τοὺς ἀδελφούς σου. μερίδα πλείονα, ἥτις καὶ αὐτῷ ὡς πρωτοτόκῳ δέδοται.

ΑΔΗΛΟΥ. Οὐ συνήδεται Ἰακὼβ τῷ ἔργῳ τοῦ Λευῒ καὶ Συμεών· ὅμως δὴ γενόμενον αὐτῷ ἦν, ὅτι τῶν υἱῶν αὐτοῦ ἦν. τὰ δὲ τῶν υἱῶν, τοῦ πατρός. διὸ καὶ τῶν Σικιμιτῶν τὴν ἀναίρεσιν ἑαυτῷ ἐπιγράφει.
Z τινὲς δέ φασιν, ὅτι μετὰ τὴν ἀναίρεσιν αὐτῶν προσεδόκα Ἰσραὴλ ἀπὸ τῶν περιοίκων ἀναιρεθήσεσθαι. ὁ δὲ Θεὸς ἔκστασιν αὐτοῖς καὶ φόβον ἐνέβαλε τοῦ μὴ ἐπιδιῶξαι. οὐκοῦν καλῶς τῇ τοῦ Θεοῦ βοηθείᾳ ἐπιγράφει τὴν τῶν Σικιμιτῶν ἀναίρεσιν· καὶ τὴν κατάσχεσιν, τόξον αὐτοῦ καλεῖ καὶ μάχαιραν.

** ΠΡΟΚΟΠΙΟΥ. Ὁ μὲν Ἰωσὴφ λαμβάνει τὰ Σίκιμα κατ' ἐξαίρετον, ὁ δὲ
H Χριστὸς ἵνα δείξῃ ὅτι αὐτοῦ ἐστὶ πάντα, αὐτοῖς ἐλθὼν διαμερίζει ταύτην τοῖς πιστοῖς
» ἔθνεσιν, ὡς ὁ ψαλμὸς που φησίν· ὑψωθή- Ψαλ. 59. 6.
» σομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοι-
» λάδα τῶν σκηνῶν διαμετρήσω, ὡς ἰδίαν δηλονό-

δηλονότι, καὶ ὡς κληρονόμος πάντων. πᾶσαι γὰρ αἱ κληρονομίαι εἰς αὐτὸν μετῆλθον. ἡ γὰρ κληρονομία αὐτοῦ πάντα τὰ ἔθνη, καὶ κατάσχεσις αὐτοῦ τὰ πέρατα τῆς γῆς. ὅθεν μετὰ ταῦτα φησὶν ὁ Δα-
Ψαλ. 77. 67, 68. βὶδ ἐν τῷ οζ´ Ψαλμῷ, „ἀπώσατο τὸ σκήνωμα Ἰωσὴφ, καὶ τὴν φυλὴν Ἐφραὶμ οὐκ
A „ἐξελέξατο. καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα, τὸ ὄρος Σιών.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Σίκιμα τὸ ἐξαίρετον χωρίον τῷ Ἰωσὴφ παρὰ τοῦ Ἰακὼβ δεδομένον, τύπος τῆς διαθήκης τῆς μόνῳ δοκούσης τῷ Ἰσραὴλ δεδωρῆσθαι.

Κ Ε Φ. ΜΘ.

α. Ἐκάλεσε δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ, καὶ εἶπε, συνάχθητε, ἵνα ἀναγγελῶ ὑμῖν, τί ἀπαντήσει ὑμῖν ἐπ᾽ ἐσχάτων
β. τῶν ἡμερῶν. Ἀθροίσθητε, καὶ ἀκούσατε υἱοὶ Ἰακὼβ, ἀκούσατε Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Καὶ οἱ κατὰ σάρκα πατέρες τελευτᾶν μέλλοντες, τὸν ἴδιον τοῖς παισὶ παραπέμπουσι κλῆρον· καὶ οἱ πνευματικοὶ πολλῷ μᾶλλον ἀπὸ κόσμου μεθίστασθαι μέλλοντες, τὸ δοθὲν αὐτοῖς ἀγαθὸν ἐκ Θεοῦ τοῖς παισὶ παραπέμπουσι διὰ τῆς εἰς αὐτοὺς εὐλογίας. οὕτως ὁ Ἰσαὰκ γηράσας, ἠθέλησεν εὐλογεῖν τὸν Ἡσαῦ, ὁ Ἰακὼβ τοὺς ἐκγόνους τοὺς ἐξ Ἰωσὴφ προσαχθέντας αὐτῷ. νῦν δὲ περὶ πάντων τῶν παίδων προὔλαβε τὰ ἀποβησόμενα. καὶ ἐκ εὐλογίας καλεῖ τὰς προφητείας τὸ γράμμα, ἐπειδή τινες τῶν φυλῶν ἐπετιμήθησαν μᾶλλον ἤπερ εὐλογήθησαν.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἐπαγγέλλεται μὲν ὁ θεσπέσιος Ἰακὼβ προαγορεύειν τοῖς τέκνοις τὰ ἐν ἐσχάτοις· ποιεῖταί γε μὴν τῶν παρῳχηκότων τὴν μνήμην, καὶ πλημμέλειαν ἀναμετρεῖ, πρώτην μὲν τὴν τοῦ Ῥουβεὶμ, εἶτα γείτονα εὐθὺς καὶ μετ᾽ ἐκείνην, τὴν Συμεὼν καὶ Λευΐ. εἶτα τίς ὁ φάναι θαῤῥῶν, ὡς εὐλογίας τισὶν ἔσται τρόπος, ἡ τῶν ἤδη προεπταισμένων ἀνάμνησις, καὶ οὐκ ἂν νοοῖτο ψευδοεπὴς, καὶ τοῦ καθήκοντος ἐξώκειλε νοῦ; βαθὺς οὖν ἄρα, καὶ οὐ λίαν ἐκκείμενος τοῖς ἑλεῖν ἐθέλουσιν ὁ ἐπὶ τῷδε λόγος. Καὶ μετ᾽ ὀλίγα. Ἄθρει δὲ ὅπως, οἷς μὲν ἀπὸ τῶν ἤδη γεγενημένων τὰ ἐν ὑστέροις ἐσόμενα ζωγραφεῖ, ἑτέροις δὲ αὖ τὴν τῶν ὀνομάτων ἀφήγησιν, ἤτοι τὴν ἑρμηνείαν, μήνυσιν ὥσπερ τινὰ ποιεῖται τῶν ἐσομένων, καὶ σαφῆ προανάδειξιν.

✱✱ ΙΣΙΔΩΡΟΥ. Τὰ μέλλοντα λέγειν ὁ Ἰακὼβ ὑποσχόμενος, καὶ τὰ φθάσαντα τοῖς υἱοῖς ἐξηγούμενος, οὐ κατόπιν ἐπαγγελίας ἐβάδισεν, ἀλλὰ Θεοῦ δακτύλῳ ἐψηλαφήθη τὴν αἴσθησιν, καὶ σιγὴν ἐπετάγη συμφέρουσαν. προθέμενος γὰρ εἰπεῖν αὐτοῖς τὴν ἐξ αὐτῶν ἐσομένην τῆς θείας οἰκονομίας σάρκωσιν, λήθην τῶν βουλευθέντων ὑπέμεινεν, ἀμείψας τοῖς παρελθοῦσι τὰ μήπω γενόμενα. σὺ μὲν γὰρ, φησὶν, ἀξίαν γνώμην τοῦ τοσούτου μυστηρίου κτησάμενος, εἰκότως ἐπιστεύθης αὐτοῦ καὶ τὴν εἴδησιν· οἱ δὲ, οὐ κατάλληλον ἔξουσι τῷ πατρὶ τὴν εὐσέβειαν.

Γ γ. Ῥουβὶμ πρωτότοκός μου, σὺ ἰσχύς μου, ἀρχὴ τέκνων μου, σκληρὸς φέρεσθαι, καὶ σκληρὸς αὐθάδης.

ΘΕΟΔΟΤΙΩΝ. Ῥουβὶμ πρωτότοκός μου, σὺ ἰσχύς μου, καὶ ἀρχὴ τέκνων μου, σκληρὸς φέρεσθαι, σκληρὸς καὶ αὐθάδης· ἐξύβρισας ὡς ὕδωρ, μὴ ἐκζέσῃς.

ΑΚΥΛΑΣ. Ῥουβὶμ πρωτότοκός μου, σὺ ἰσχύς μου, καὶ κεφάλαιον λύπης μου, περισσὸς ἄρσει, (1) καὶ περισσὸς κράτει,
Δ ἐθάμβευσας ὡς ὕδωρ μὴ περισσεύσῃς.

ΣΥΜΜΑΧΟΣ. Ῥουβὶμ πρωτότοκός μου, καὶ ἀρχὴ ὀδύνης, περισσὰ λαβεῖν, καὶ ἐκ περισσοῦ ὑπερζέσας ὡς ὕδωρ, οὐκ ἔσῃ περισσότερος.

„ ΔΙΟΔΩΡΟΥ. Ὁ Σύρος ἔχει, Ῥουβὶμ „ πρωτότοκός μου, ἡ δύναμίς μου, καὶ ἡ ἀρ-
E „ χὴ τῆς ἰσχύος· ἐπλανήθης ὡς ὕδωρ, μὴ παραμείνῃς, ἀντὶ τοῦ μὴ ζήσῃς, εἰ τῆς ἀκολασίας ὁ φόνος χεῖρον.

„ ΓΕΝΝΑΔΙΟΥ. Ῥουβὶμ πρωτότοκός μου, „ καὶ ἀρχὴ τέκνων μου, τουτέστιν ὁ πρῶτος ἐξ ἐμοῦ γεννηθεὶς, καὶ ἐν ᾧ πρώτῳ τεχθέντι τὸ ἰσχυρὸν καὶ τὸ ἀκατάλυτον ἔσχον, τῇ διαδοχῇ πρὸς τὸ φθαρτὸν καὶ ἀσθενὲς „ τῆς φύσεως ἀνταγωνισάμενος· σκληρὸς „ φέρεσθαι, καὶ σκληρὸς αὐθάδης.

Z ΙΠΠΟΛΥΤΟΥ. Ὁ πρῶτος λαὸς ὁ ἐκ περιτομῆς ἰσχύς μου, καὶ ἀρχὴ τέκνων μου, καθὼς ὑπέσχετο ὁ Θεὸς τῷ Ἀβραὰμ τὴν ἐπαγγελίαν, καὶ τῷ σπέρματι αὐτοῦ. σκλη- „ ρὸς δὲ φέρεσθαι, ἐπειδὴ παρεσκληρώθη ὁ λαὸς πρὸς τὴν ὑπακοὴν τοῦ Θεοῦ. καὶ „ σκληρὸς αὐθάδης, ὅτι οὐ μόνον σκληρὸς πρὸς τὴν ὑπακοὴν τοῦ Θεοῦ, ἀλλ᾽ ὅτι καὶ αὐθάδης ἐγένετο πρὸς τὸ χεῖρας ἐπιβαλεῖν τῷ Κυρίῳ.

ΚΥΡΙΛ-

(1) Ἐν μὲν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. τῆς Γραφ. ἐκδόσ. περισσὸς ἄρσει, καὶ περισσὸς κράτει, ὡσαύτως καὶ παρὰ Ἱππολύτῳ. ὁ δὲ Προκόπιος φησιν, (ἐν τῷ τῆς Αὐγ. κώδ.) ὁ δὲ Ἀκύλας, ἀπὸ τοῦ σκληρὸς αὐθάδης, οὕτως ἐξέδωκε· περισσὰ λαβεῖν, καὶ ἐκ περισσοῦ κρατῆσαι ὑπερέζεσας· ὡς ὕδωρ οὐκ ἔσῃ περισσότερος.

ΚΥΡΙΛΛΟΥ. Ἐπὶ γὰρ τῷ πρωτοτόκῳ
καὶ ἐξ Αἰγύπτου λαῷ πολλῆς ἰσχύος ἐπί-
δειξις γέγονε παρὰ Θεοῦ. ἐκολάζετο δὲ
κατὰ πλείστους τρόπους τῶν Αἰγυπτίων ἡ
χώρα. (1) ἄλλος δέ φησιν ἐν τῇ πρώτῃ
1. Παραλ. 5. 1. τῶν Παραλειπομένων, ὅτι τὰ πρωτοτόκια
τοῦ Ῥουβὶμ ἐδόθη τῷ Ἰωσήφ.

» ΤΟΥ ΑΥΤΟΥ. Ἀλλ' ἦν σκληρὸς φέρε-
» σθαι, καὶ σκληρὸς αὐθάδης, τουτέστιν ἀμε-
ταποίητος, ἀκαμπὴς καὶ ἄγριος, ἐπελευ-
στικός. ὁρμητίαι γὰρ Ἰουδαῖοι κατὰ τὸ ἀλη-
θὲς, καὶ πολὺ λίαν ἐξίτιοι. διὸ καὶ ἀκοῦ-
Πραξ. 7. 51. σι, σκληροτράχηλοι, καὶ ἀπερίτμητοι
» τῇ καρδίᾳ.

δ. Ἐξύβρισας ὡς ὕδωρ, μὴ ἐκζέσῃς.

ΑΔΗΛΟΥ. Δῆλον, ὅτι τὸν πατέρα,
μιγεὶς τῇ αὐτοῦ παλλακῇ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τῷ Ῥουβὶμ αὐθάδειαν
ἐπιμέμφεται καὶ θρασύτητα, καὶ τὴν εἰς
τὴν πατρῴαν εὐνὴν παροινίαν. οὗ δὴ χά-
ριν ὀλίγους αὐτοῦ γεγενῆσθαι τοὺς ἀπογόνους
» προλέγει. τοῦτο γὰρ δηλοῖ τὸ, ὡς ὕδωρ,
» μὴ ἐκζέσῃς, ἀντὶ τοῦ, μὴ πληθυνθείης εἰς
πολυγονίαν.

ΔΙΟΔΩΡΟΥ. Πάντες οἱ ἀδελφοὶ, πλὴν
τοῦ Ῥουβὶμ, μικροῦ μὲν ἀνελόντες τὸν Ἰω-
σήφ, φιλανθρώπως δὲ ἀποδεχόμενοι,
πῶς οὐ δέχονται τὴν κατάραν; Τοῦτο πρόῤ-
ῥησίς ἐστι μᾶλλον ἐν κατάρας σχήματι.
ἀλλ' ἐὰν πρόῤῥησις, πῶς οὐκ ἐκβαίνει τὸ
ἔργον; ζῇ γὰρ ἡ φυλὴ Ῥουβὶμ, καὶ κλη-
ρονομεῖ τὴν γῆν πρώτη τῶν ἄλλων φυλῶν.
Ἴσως οὖν, ἐπειδὴ Μωϋσῆς καὶ αὐτὸς περὶ
τὴν τελευτὴν προλέγων περὶ τῶν φυλῶν,
Δευτ. 33. 6. ζήτω, φησὶ, Ῥουβὶμ, καὶ μὴ ἀποθανέτω,
ἀντὶ τοῦ μὴ ὑποκείσθω τῇ κατάρᾳ τοῦ πα-
» τρὸς τῇ λεγούσῃ, μὴ ζήσῃ. ἔδει μὲν γὰρ
τὸν πατέρα ἀδικηθέντα εἰς κοίτην, κατα-
ρᾶσθαι τῷ παιδὶ, φοβοῦντα τοὺς ἑξῆς. ἔδει
δὲ τὸν Μωσέα τὸν παρανόμου κοίτης ἕνεκεν
καταραθέντα, τῆς κατάρας ἀπαλλάξαι
διὰ τὴν εἰς τὸν Ἰωσὴφ φειδώ. ἀλλ' ἐρεῖ τις,
εἰ ἡ κατάρα τοῦ Ἰακὼβ οὐ προχωρεῖ κατὰ
» τοῦ Ῥουβὶμ, πῶς λέγει, συνάχθητε ἵνα
» ἀπαγγείλω ὑμῖν τί ἀπαντήσεται ὑμῖν;
τοῦτο γὰρ ψευδοπροφήτου μᾶλλόν ἐστιν. ἀλλ'
ἐροῦμεν τῷ ταῦτα λέγοντι, ὅτι καὶ ὁ Θεὸς
Ἰων. 3. 4. αὐτὸς, τρεῖς ἔτι ἡμέραι, λέγων, καὶ Νι-
» νευὴ καταστραφήσεται, διὰ τῆς καθ' ὧν
ἠπείλησε μετανοίας ἀνακαλεῖται τὴν ἀ-
πόφασιν, ὡς καὶ διὰ Μωϋσέως τὴν τοῦ Ἰα-
κὼβ κατὰ τοῦ Ῥουβὶμ κατάραν.

ΕΥΣΕΒΙΟΥ. Τουτέστι μὴ ἀναβῇς ὡς
ὕδωρ, μὴ ἐπαρθῇς, ἢ ὑψωθῇς. ὁ δὲ Μω-
σῆς ἐναντιοῦται τῷ Ἰακὼβ, λύων τὴν κα-
τάραν. οὐ γὰρ ἔδει ἀπὸ πρώτης κατάρας
Δευτ. 33. 6. ἄρξασθαι· ἔπειτα ὡς εὐχὴ, ζήτω Ῥουβίμ.
μνημονεύεται δὲ, ὅτι καὶ τὸν Ἰωσὴφ ἐκ
A τῶν χειρῶν τῶν ἀδελφῶν αὐτοῦ ἐζήτει ῥύ-
σασθαι.

ΓΕΝΝΑΔΙΟΥ. Ἐξύβρισας ἀκαθέ-
τως, ἀντὶ τοῦ ἀλογίστως, καὶ θερμότερον
τοῦ δέοντος πρὸς πρᾶξιν παράνομον ὁρμή-
σας, ἐξήμαρτες. βούλεται δὲ εἰπεῖν τὴν
γενομένην ἀθέσμως κοίτην πρὸς Βάλλαν.
τοῦ μέντοι μέλλοντος ἐπάγειν, συνετώτατα
» λίαν αὐτοῦ προτάττει τὸ, ὡς ὕδωρ μὴ ἐκ-
B » ζέσῃς· πρὸ τῆς κατηγορίας καὶ τῶν ἐλέγ-
χων ἐξαρπάζων ὥσπερ αὐτὸν τῆς ὀφειλού-
σης, ὅσον ἐπὶ τῷ τοῦ πλημμεληθέντος
τολμήματι, δικαίως ἐπαχθῆναι κολά-
σεως. διὰ γὰρ αὐτὸ τοῦτο καὶ τὴν ἀρχὴν
τοῦ περὶ αὐτὸν λόγου τοιαύτην ἐποιήσατο
κατασκευαστικὴν ἱκανῶς πρὸς τὸ τῆς πα-
» ραιτήσεως εὔλογον. τὸ οὖν, ὡς ὕδωρ μὴ
» ἐκζέσῃς, τοῦτό φησιν, ὅτι μὴ γένοιτό σοι
διὰ τὸ συμβάν σοι περὶ τὴν τοῦ πατρός σου
Γ κοίτην ἐκ προπετείας πλημμέλημα, τῆς
πρὸς ἐπίδοσιν τοῦ γένους εὐλογίας ἀποπε-
σεῖν· μηδὲ δοίης ὑπὲρ τούτου δίκην, τὸ μὴ
γενέσθαι πατὴρ, ἀποψυγέντος τοῦ τῆς φύ-
σεως ἐν σοὶ καὶ ἀποσβεσθέντος πρὸς παι-
δοποιΐαν θερμοῦ, παραπλησίως ὕδατι χω-
ρισθέντι πυρός. ὥστε δηλονότι νῦν ἐν εὐ-
λογίας εἴδει προλέγει τῆς φυλῆς τὴν ἐσο-
μένην ἐπίδοσιν. ἄξιόν γε μὴν ἔκρινεν εἶναι
συγγνώμης αὐτὸν, καὶ τοῦ μὴ τῆς φυλαρ-
Δ χίας ἀποπεσεῖν, διὰ τὸ ἄλλην τε αὐτῷ
συνειδέναι τινὰ τυχὸν ἀρετὴν, καὶ μάλιστα
διὰ τὸ μὴ σύμψηφον γινόμενον τοῖς ἀδελ-
φοῖς, ἐξαρπάσαι θανάτου τὸν Ἰωσήφ.

ΘΕΟΔΩΡΟΥ. Ἐπειδὴ γὰρ ἴδιόν ἐστι τοῦ
ὕδατος θερμαίνεσθαί τε, τοῦ πυρὸς ὑποκει-
μένου, καὶ ἀποτίθεσθαι τὴν θέρμην τα-
χέως, τοῦ πυρὸς ἀφαιρεθέντος, μὴ κατ'
ἐκεῖνο, φησὶν, ἀπόλλοιο, καὶ ἀφανισθείης
εἰς τὸ παντελὲς τῷ θανάτῳ. τοῦτο γὰρ
E » λέγει, ὡς ὕδωρ μὴ ἐκζέσῃς. εἰ γὰρ καὶ
τὸ ἁμάρτημά φησιν ἄξιόν ἐστιν ὄλεθρόν σοι
ἐπαγαγεῖν, ἀλλὰ μὴ οὕτως ἀπόλλοιο, μη-
δὲ δίκην ὕδατος διαφθαρείης, τὴν ἐνοῦσαν
ἀποθέμενος θέρμην, τῷ διαδοχὴν ἐκ σοῦ
μηδεμίαν γενέσθαι.

» ΙΠΠΟΛΥΤΟΥ. Ἐξύβρισας, ἐπειδὴ
διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐξύβρισεν
» ὁ λαὸς τὸν πατέρα. μὴ ἐκζέσῃς δὲ λέγει
Z τὸ πνεῦμα παρακλητικῶς, ἵνα μὴ τέλεον
ἐκζέσας ὑπερχυθῇ, ἐλπίδα δοὺς αὐτῷ σω-
τηρίας. τὸ γὰρ ἐκζέσαν καὶ ἐκχυθὲν,
ἀπώλετο.

ΚΥΡΙΛΛΟΥ. Τὸ ἐκζέον ὕδωρ ἄνω που
φέρεται τῶν λεβήτων ὑπερχεόμενον, καὶ
» δοκεῖ πως εἶναι καὶ πολύ. διό φησι, μὴ
» ἐκζέσῃς· ὅ ἐστι, μὴ ὑπεραρθῇς εἰς πλῆθος.
εὐαρίθμητοι γὰρ ὡς πρὸς τὴν τῶν Ἑλλή-
H νων πληθὺν οἱ ἐξ αἵματος Ἰσραὴλ ἀνασε-
σωσμένοι διὰ πίστεως τῆς ἐν Χριστῷ.

Ἀνέβης

(1) Τὰ ἑξῆς ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται.

Ἀνέβης γὰρ ἐπὶ τὴν κοίτην τοῦ πατρός σου· τότε ἐμίανας τὴν στρωμνὴν, οὗ ἀνέβης.

ΚΥΡΙΛΛΟΥ. Κέκλοφε μὲν οὖν τὸν τοῦ πατρὸς γάμον ὁ Ῥουβὶμ· ἥλω τε οὐκ ἀσυμφανῶς, δεδρακὼς ἃ μὴ θέμις, καὶ ὡς πονηρὸν τὸ πρᾶγμα καὶ αὐταῖς ταῖς ἐξ Ἰα-
Γεν. 35. 21. κὼβ κατεδικάζετο ψήφοις. πονηρὸν γάρ
» φησιν ἐφάνη ἐνώπιον Ἰακώβ.

ΤΟΥ ΑΥΤΟΥ. Μεταπλάττοντες δὲ ὥσπερ τῆς πλημμελείας τὸν τύπον ἐπί [τι] τῶν ἐοικότων, τὴν τοῦ πρωτοτόκου λαοῦ, φημὶ δὴ τοῦ Ἰσραὴλ, ἁμαρτίαν ὀψόμεθα. γυναῖκα γὰρ οἷά τι τὴν ἐξ Αἰγύπτου συναγωγὴν προσηγάγετο ὁ Θεὸς διά τοι τῆς κατὰ νόμον νοητῆς κοινωνίας. προσίετο γὰρ καὶ ἠξίου μὲν οἰκειότητος, ἐγκαρπόν τε οὕτω καὶ τέκνων ἐτίθει μητέρα, μονονουχὶ νυμφαγωγοῦντος αὐτὴν τοῦ πανσόφου Μωϋσέως, καὶ τῆς συναφείας τὸν τρόπον μεσολαβούντων Ἀγγέλων. ἀλλ' ἡ πρὸς τοῦτο παρὰ Θεοῦ παρενεχθεῖσα συναγωγὴ τὸν τῆς γνησιότητος ἔλυπει νόμον, συναπτομένη τρόπον τινὰ τοῖς τοῦ γεγαμηκότος υἱοῖς, καὶ ὑπ' αὐτοῖς πορνεύουσα· καὶ καρποφοροῦσα μὲν οὐκ ἔτι τῷ διὰ νόμου συνῳκηκότι, ὑποφέρουσα δὲ μᾶλλον τὸν οἰκεῖον νοῦν τοῖς ἑτέρων σπερματισμοῖς, νοητοῖς δὲ δηλονότι, καὶ τοῖς κατὰ μάθησιν λέγω. ἀτιμάζουσα γὰρ ὡς ἔθος τὸ προσκεῖσθαι Θεῷ, πρὸς ἐντάλματα καὶ διδασκαλίας ἐτράπετο τινῶν μαθημάτων. τῶν γὰρ ἄνωθεν ἀλογήσασα, τὸ δοκοῦν ἁπλῶς ἐποιεῖτο νόμον.

ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν ἐκπεπόρνευκε μὲν ἡ τῶν Ἰουδαίων συναγωγὴ, ἀλλ' ἦγε παρθένος ἁγνή τε καὶ ἄμωμος ἡ σπίλου παντὸς καὶ ῥυτίδος ἀπηλλαγμένη, τουτέστιν ἡ Ἐκκλησία, σεπτὸν καὶ ἀδιαλώβητον τῷ Χριστῷ τὸν τῆς συζυγίας τρόπον διατη-
Ἀσμ. 2. 16. ρήσειν ὑπισχνεῖται, λέγουσα, ἀδελφιδός-
» μου ἐμοὶ, κἀγὼ αὐτῷ. οὐκοῦν εἰς εἰκόνα τῆς τῶν Ἰουδαίων συναγωγῆς τὴν τοῦ Ἰακὼβ παροίσωμεν παλλακὴν, φημὶ δὴ τὴν Βάλλαν, ἧ κεκοινώνηκεν ὁ Ῥουβὶμ, τουτέστιν ὁ λαὸς ὁ πρωτότοκος. καθότι διερμηνεύεται μὲν ἡ Βάλλα, πεπαλαιωμένη· βεβηλώσεως γε μὴν υἱὸς, ὁ Ῥουβίμ. πεπαλαίωται δὲ ὥσπερ, καὶ ἐρρυτίδωται μὲν ἡ τῶν Ἰουδαίων συναγωγή· ἀντανέφυ δὲ ὁ νέος καὶ ἐν πίστει λαός. καὶ ἐπ' αὐτῷ δὴ
Ψαλ. 101. 18. χαίρων ψαλλέτω Δαβὶδ, λαὸς ὁ κτιζόμε-
» νος αἰνέσει τὸν Κύριον. καινὴ γὰρ κτίσις οὗτος ἐν Χριστῷ κατὰ τὰς Γραφάς· βέβηλος δὲ καὶ ῥυπῶν λαὸς νοοῖτ' ἂν πάλιν ὁ Ἰσραὴλ, τὴν διὰ Χριστοῦ κάθαρσιν οὐκ εἰσδεδεγμένος.

ΤΟΥ ΑΥΤΟΥ. Ἀναβεβήκασι τοίνυν ἐπὶ κοίτην πατρὸς οἱ ἐξ Ἰσραήλ· παρωθούμενοι μὲν τὸ τῷ νομοθέτῃ δοκοῦν, ὡς ἔθος· τοὺς ἰδίους δὲ τοῖς παιδευομένοις εἰσ-

A κρίνοντες λόγους, καὶ ἀκαθαρσίας αὐτοῖς ἐνιέντες σπέρματα.

» ΙΠΠΟΛΥΤΟΥ. Ἀνέβης γὰρ ἐπὶ τῆς
» κοίτης τοῦ πατρός σου. πρῶτον μὲν τὸ συμβὰν λέγει, ὅτι ἐπ' ἐσχάτων τῶν ἡμερῶν μέλλει ὁ λαὸς ἐπιβουλεύειν τῇ κοίτῃ τοῦ πατρὸς, τουτέστι τῇ νύμφῃ ἐκκλησίᾳ πρὸς τὸ βούλεσθαι αὐτὴν διαφθεῖραι. ὅπερ καὶ πράττει μέχρι καὶ σήμερον, ἐπιβουλεύων
B αὐτῇ διὰ τῶν βλασφημιῶν.

ε. Συμεὼν καὶ Λευῒ ἀδελφοὶ συνετέλεσαν ἀδικίαν ἐξ αἱρέσεως αὐτῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Ὁ Ἑβραῖος οὐ συμφωνεῖ τῷ ἑλληνικῷ, λέγων οὕτω· Συμεὼν
» καὶ Λευῒ ἀδελφοὶ σκεύη ὕβρεως, ἐν τῇ βου-
» λῇ αὐτῶν μὴ εἰσέλθῃ ἡ ψυχή μου, καὶ ἐν
» τῷ λαῷ αὐτῶν μὴ χρονίσῃ ἡ δόξα μου. ὅτι
» ἐν τῷ θυμῷ αὐτῶν ἀνεῖλον ἄνδρας, καὶ ἐν
Γ» τῇ βουλῇ αὐτῶν καθεῖλον τείχη.

ΙΠΠΟΛΥΤΟΥ. Ἐπειδήπερ ἐκ τοῦ Συμεὼν Γραμματεῖς, ἐκ δὲ τοῦ Λευῒ ἱερεῖς· Γραμματεῖς γὰρ καὶ ἱερεῖς συνετέλεσαν ἀδικίαν ἐξ αἱρέσεως αὐτῶν· μίαν γνώμην ἔχοντες, ἀνεῖλον τὸν Κύριον.

* ΚΥΡΙΛΛΟΥ. Συνετέλεσαν τοίνυν ἀδικίαν Συμεὼν καὶ Λευῒ, τουτέστι λαοί τε καὶ ἱερεῖς ἐξ αἱρέσεως αὐτῶν. συμπεφω-
Δ νήκασι γὰρ, καὶ συνέβησαν ἀλλήλοις εἰς τὴν κατὰ τῶν ἁγίων ἀδικίαν ὅ,τε Συ-
» μεὼν καὶ ὁ Λευΐ. τὸ δὲ, ἐξ αἱρέσεως αὐτῶν, ἀντὶ τοῦ, κατὰ σκέψιν, καὶ κατὰ θέλησιν. οὐ γὰρ ἔκ γε τοῦ συμβεβηκότος αὐτοῖς ἁπλῶς τὰ δεινὰ τῶν πεπονθότων κατεσχεδιάζετο, ἀλλ' οὐδὲ ἀπροβούλευτα τὰ τολμήματα, καὶ τὸ ἔκτοπον θράσος· ἀλλ' ἐκ συνεδρίων αὐτῶν ἐπὶ τὸ δρᾷν ᾔεσαν τὰ παντὸς ἐπέκεινα κακοῦ.

E

ς. Εἰς βουλὴν αὐτῶν μὴ ἔλθῃ ἡ ψυχή μου, καὶ ἐπὶ τῇ συστάσει αὐτῶν μὴ ἐρεῖσαι τὰ ἧπατά μου.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, μὴ γένοιτό μοι ἐπιθυμῆσαι τῶν τοιούτων. ἐκ τοῦ ἥπατος γὰρ λέγουσι τὸ ἐπιθυμητικὸν κινεῖσθαι.
» διὸ εἶπε, μὴ προσερείσῃ τὰ ἧπατά μου τοῖς
» τοιούτοις· ἀντὶ τοῦ, μὴ γένοιτό μοι πλη-
Z σιάσαι καὶ ἐπιστηριχθῆναι τῇ ἐπιστάσει καὶ συναγωγῇ τῶν προειρημένων.

ΙΠΠΟΛΥΤΟΥ. Τοῦτο λέγει ἐπὶ τῇ συνελθούσῃ, ᾗ ἔμελλον συνέρχεσθαι ἐπὶ τὸν Κύριον. ὅτι δὲ ταύτην [τὴν] συνέλευσιν λέγει, δῆλόν ἐστιν ἡμῖν. ψάλλει γὰρ ὁ μα-
» κάριος Δαβὶδ, ἄρχοντες συνήχθησαν Ψαλ. 2. 2.
» κατὰ τοῦ Κυρίου, καὶ τὰ ἑξῆς. ἐπὶ ταύτην δὲ τὴν συνέλευσιν προηγόρευσε τὸ
» πνεῦμα λέγον, μὴ ἐρεῖσαι τὰ ῥήματά-
H μου· (1) ῥύσασθαι βουλόμενον αὐτοὺς ὡς, εἰ δυνατὸν, μὴ γενέσθαι δι' αὐτῶν τὸ μέλλον κακόν.

Ὅτι

(1) Τὰ ἧπατά μου. ἐν τοῖς ἐκδεδομ.

Ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους, καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον.

* ΙΠΠΟΛΥΤΟΥ. Ἀπέκτειναν μὲν τοὺς ἀνθρώπους, ἐνευροκόπησαν δὲ ταῦρον. ὅτι ταῦρον ἰσχυρὸν τὸν Χριστὸν λέγει. ἐνευροκόπησαν δὲ, ἐπειδὴ τῷ ξύλῳ πεπηγότος αὐτοῦ διέτρησαν τὰ νεῦρα.

ΚΥΡΙΛΛΟΥ. Ὅτι ἐν τῷ θυμῷ αὐτῶν [ἀπέκτειναν ἀνθρώπους, καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν] ἐνευροκόπησαν ταῦρον. [ἀπεκτόνασι μὲν γὰρ ἁγίους, ὡς ἔφην, ἀνοσίῳ θυμῷ πρὸς ὠμότητα καὶ ἀπανθρωπίαν στρατηγούμενοι, ἀνήνυτον δὲ καὶ ἀκατάσκεπτον ἐπιθυμίαν παντελῶς εἰς νοῦν ἑλόντες οἱ τάλανες, ἐνευροκόπησαν ταῦρον, τουτέστι Χριστόν. καὶ τίς ἡ ἐπιθυμία, προλαβόντες εἰρήκαμεν. ἐπεγνωκότες μὲν γὰρ ὅτι κληρονόμος ἐστὶν, ἐπεθύμησαν ἔχειν τὴν κληρονομίαν αὐτοῦ.] καὶ ὅρα τοῦ λόγου τὴν ἐπιτήρησιν. ἀπέκτειναν μὲν γὰρ τοὺς ἀνθρώπους, ἐνευροκόπησαν δὲ τὸν ταῦρον: θανάτῳ μὲν γὰρ περιβεβλήκασι τοὺς ἁγίους, καὶ μεμενήκασι νεκροὶ τὸν τῆς ἀναστάσεως καιρὸν περιμένοντες. ἀλλ' οἷά τις μόσχος νευροκοπούμενος, ὤκλασε μὲν εἰς γῆν οἱονεὶ πως ὁ Χριστὸς, ἑκὼν ὑπομείνας τὸν τῆς σαρκὸς θάνατον, πλὴν οὐ γέγονε τῷ θανάτῳ κάτοχος: ἀλλ' εἰ καὶ γέγονεν ἐν νεκροῖς, ὡς ἄνθρωπος, ἀπομεμένηκε ζῶν τῇ τῆς Θεότητος φύσει. ταῦρος δὲ ὁ Χριστός. εὐσθενὲς γὰρ ὅτι μάλιστα τὸ ζῶον καὶ καθαρόν τε καὶ ἱερώτατον. Κύριος δὲ τῶν δυνάμεων ὁ υἱός, ὃς οὐ πεποίηκεν ἁμαρτίαν, ἑαυτὸν δὲ μᾶλλον ἔθυσεν ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ πατρί. ἀκουέτωσαν τοίνυν οἱ τὸν οὕτω σεπτὸν νευροκοπήσαντες ταῦρον· ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης, καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρύνθη. Καὶ μεθ' ἕτερα: Ἀλλ' ὅγε τῶν Ἰουδαίων δῆμος τετόλμηκεν εἰπεῖν νευροκοπῶν τὸν ταῦρον, αἱ χεῖρες ἡμῶν ἐξέχεαν τὸ αἷμα τοῦτο. ἕτερον γὰρ οἶμαι παρὰ τοῦτό ἐστιν οὐδὲν, τὸ ἀσυνέτως εἰπεῖν
Ματθ. 27. 25. ἐπὶ Χριστῷ· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς· καὶ τὰ ἑξῆς·

ζ. Ἐπικατάρατος ὁ θυμὸς αὐτῶν ὅτι αὐθάδης, καὶ ἡ μῆνις αὐτῶν ὅτι ἐσκληρύνθη. διαμεριῶ αὐτοὺς ἐν Ἰακὼβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ.

ΘΕΟΔΩΡΙΤΟΥ. Νεμεσᾷ δὲ καὶ τῷ Συμεὼν καὶ τῷ Λευΐ, τῶν Σικιμιτῶν τὸν ἄδικον ὄλεθρον ὀδυρόμενος, καὶ εὔχεται, μηδεμίαν κοινωνίαν ἔχειν εἰς τὴν παρανομίαν ἐκείνην: ἐπαρᾶται μέντοι οὐκ αὐτοῖς, ἀλλὰ τοῖς πονηροῖς αὐτῶν πάθεσι, τῇ ὀργῇ καὶ τῇ μήνιδι. ἐπιθυμίαν δὲ τὴν ὀργὴν ἐκάλεσεν. ἐκ ταύτης γὰρ καὶ ἡ ὀργὴ τὴν ἐτυμολογίαν ἔχει. ὀρέγεται γὰρ ὁ ὀργιζόμενος ἀμύνασθαι τὸν ἐχθρόν. καὶ αὐτὴ δὲ ἡ τιμωρία, πρόῤῥησις ἦν. διαμεριῶ γὰρ αὐτοὺς, φησὶν, ἐν Ἰακὼβ, καὶ διασπερῶ

A αὐτοὺς ἐν Ἰσραήλ. ἀλλ' ἡ τοῦ Λευΐ φυλὴ διὰ τὴν ἄκραν διεσπάρη τιμὴν, ὡς ἑκάστῃ φυλῇ συνεῖναι λευΐτας καὶ ἱερέας, καὶ τὴν παρ' αὐτῶν ὠφέλειαν καρποῦσθαι. οὐκ ἔλαβον γὰρ ἴδιον κλῆρον. ἀλλ' ἐν ἑκάστῃ φυλῇ τινὲς αὐτοῖς ἀπενεμήθησαν πόλεις, καὶ τῆς προαστείου γῆς ὡρισμένων πήχεων ἀριθμός. καὶ ἡ τοῦ Συμεὼν δὲ φυλὴ οὐκ ἔσχε κλῆρον κεχωρισμένον, ἀλλὰ κατὰ τὴν τοῦ πατριάρχου πρόῤῥησιν μεταξὺ τῶν ἄλλων
B διεσπάρη φυλῶν.

ΑΔΗΛΟΥ. Τὴν μὲν φυλὴν τοῦ Λευΐ, λυτροῦται Μωσῆς τῆς κατάρας· ὁ δὲ Συμεὼν κλῆρον οὐκ εἴληφεν, ἐν δὲ μέσῳ τῷ Ἰούδα κατῳκίσθη.

** ΙΠΠΟΛΥΤΟΥ. Ἀνακαλεῖται Μωϋσῆς τὴν κατὰ τοῦ Λευΐ κατάραν, μᾶλλον καὶ εἰς εὐλογίαν αὐτὴν ἀνατρέπει, διὰ τὸν ὕστερον ὑπὲρ τοῦ Θεοῦ ζῆλον τῆς φυλῆς καὶ
Γ τοῦ Φινεές. τὴν μέντοι κατὰ τοῦ Συμεὼν οὐκ ἀνεκαλέσατο. διὸ δὴ καὶ εἰς ἔργον ἐξέβη· ὁ γὰρ Συμεὼν οὐκ εἴληφε μὲν ὡς αἱ λοιπαὶ φυλαὶ κληρονομίαν. ἐν γὰρ μέσῳ τοῦ Ἰούδα κατοικήθη· ἐσώζετο δὲ, εἰ καὶ ὀλίγη τὸν ἀριθμὸν ἦν.

η. Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσί σοι υἱοὶ τοῦ
Δ πατρός σου.

ΑΔΗΛΟΥ. Ὁ Ἑβραῖος, Ἰούδα, σοὶ ἐξομολογήσονται οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ τὰ μετάφρενα τῶν ἐχθρῶν σου. Αἰνέσουσιν ὡς Θεὸν τὸν ἐκ σοῦ μέλλοντα προέρχεσθαι οἱ διὰ πίστεως ἁγιασμοῦ, διὰ πνεύματος ἁγίου κεκλημένοι πρὸς ἀδελφότητα, ὡς Ἰάκωβος ὁ ἀδελφὸς τοῦ Κυρίου, καὶ οἱ λοιποί.

Ε ΑΔΗΛΟΥ. Ὁ Ἰούδας τῶν τριῶν τῶν πρὸ αὐτοῦ μὴ εὐλογηθέντων οὗτος πρῶτος ἐτάγη ἐν τοῖς εὐλογημένοις. καὶ μή τι τοῦτο δίδωσιν ἡμῖν ἔννοιαν, ὅτι πρωτοτόκου αἰτίαν ἔχει;

ΓΕΝΝΑΔΙΟΥ. Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσί σοι υἱοὶ τοῦ πατρός σου· Τουτέστι καὶ συγγενῶν καὶ ἀλλοφύλων κατάρξεις, καὶ γενήσῃ παρὰ πᾶ-
Ζ σιν ἐπαινετός.

ΔΙΟΔΩΡΟΥ. Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου, καὶ τὰ ἑξῆς. Ὥσπερ τῷ Ῥουβὶμ καὶ τῷ Συμεὼν καὶ τῷ Λευΐ προλέγων, οὐκ αὐτοῖς τὰ συμβησόμενα, ἀλλὰ ταῖς ἐξ αὐτῶν φυλαῖς προαγορεύει· οὕτω καὶ τοῦ Ἰούδα τὴν φυλὴν, Ἰούδα ὀνομάζει, τὴν ἐκ τοῦ Ἰούδα· οὐ περὶ τοῦ Κυρίου λέγων νῦν, ὥστινες οἴονται, ἀλλὰ τῆς βασιλευούσης τῶν
Η ἄλλων φυλῆς.

** ΩΡΙΓΕΝΟΥΣ. Οὐκ ἐκεῖνον τὸν Ἰούδαν τὸν υἱὸν τοῦ Ἰακὼβ οἱ ἀδελφοὶ αὐτοῦ ᾔνεσαν. τοῦτον δὲ τὸν Ἰούδαν αἰνέσουσιν οἱ ἀδελφοί· ἐπεί φησιν οὗτος ὁ Ἰούδας· διηγήσομαι Ψαλ. 21. 22.

σομαι τὸ ὄνομάσου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε: οὐ λέγεται πρὸς ἐκεῖνον τὸν Ἰούδαν, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου. ποῦ εὑρίσκεται ἐπὶ νώτου τῶν ἐχθρῶν τὰς χεῖρας ἐκεῖνος ὁ Ἰούδας ἐπιτεθείς; ἡ ἱστορία οὐδὲν τοιοῦτον ἀνέγραψε περὶ αὐτοῦ. ἐὰν δὲ νοήσῃς τὴν ἐπιδημίαν τοῦ Κυρίου Ἰησοῦ καταργοῦντος τὸν διάβολον, ἀπεκδυομένου τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ δειγματίζοντος, καὶ θριαμβεύοντος ἐν τῷ ξύλῳ, ὁρᾷς πῶς ἐπὶ τοῦ- B τον τὸν Ἰούδαν πεπλήρωται ἡ λέγουσα προφητεία· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου.

ΙΠΠΟΛΥΤΟΥ. Ἐχθροὺς λέγων, κα-
Ψαλ. 109. 1. θώς φησιν ὁ πατὴρ αὐτοῦ, κάθου ἐκ δεξιῶν μου, καὶ τὰ ἑξῆς. ἐχθροὶ γάρ εἰσιν οἱ διώξαντες αὐτὸν, καὶ ἕως τῆς σήμερον διώκοντες. τὸ δὲ, αἱ χεῖρές σου, τουτέστιν ἡ ἰσχύς σου. τὸ δὲ, ἐπὶ νώτου τῶν ἐχθρῶν σου, Γ ὅτι κἂν ἀποφύγωσιν αὐτὸν, ἐπ' ἐσχάτων τῶν καιρῶν ἐξομολογήσεται αὐτῷ ὁ λαός. οὗτοι γάρ εἰσιν οἱ υἱοὶ τοῦ πατρὸς αὐτοῦ, κα-
Ἡσ. 1. 2. θὼς λέγει διὰ Ἡσαΐου τοῦ προφήτου, υἱοὺς ἐγέννησα, καὶ τὰ ἑξῆς.

θ. Σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ υἱέ μου ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν;

** ΠΡΟΚΟΠΙΟΥ. Ὁ μὲν Ἀκύλας φησὶ, σκύλαξ λέοντος Ἰούδα· ἀπὸ ἁλώσεως υἱέ μου ἀνέβης· κάμψας, κατεκλίθης· ὁ δὲ Σύμμαχος, σκύμνος λέοντος Ἰούδα· ἐκ θηριαλώσεως υἱέ μου ἀνέβης· ὀκλάσας ἡδράσθης. δι' ὧν σαφῶς παρίσταται ἡ ἐκ νεκρῶν ἀνάστασις, καὶ ἡ ἐξ ᾅδου ὥσπερ ἔκ τινος θηριαλώσεως τοῦ Σωτῆρος ἡμῶν ἀποφυγή. τὸ δὲ ὀκλάσαι καὶ ἑδρασθῆναι, ἀλλὰ μὴ καταπεσεῖν, ὅμου τὸν θά- E νατον ἔδειξε διὰ τοῦ ὀκλάσαι, καὶ τὸ μὴ ὑποσυρῆναι ὁμοίως ταῖς τῶν ἄλλων ἀνθρώπων ψυχαῖς διὰ τοῦ ἡδρᾶσθαι.

ΓΕΝΝΑΔΙΟΥ. Σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ υἱέ μου ἀνέβης· ἀναπεσὼν, ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; Τὸ μὲν ἐκ βλαστοῦ υἱέ μου ἀνέβης, ἀντὶ τοῦ ηὐξήθης, καθάπερ ἔκ τινος ἀγαθῆς ῥίζης, ἐμοῦ, πρέμνος εὐθαλὴς ἐκβεβλαστηκώς· τὸ δὲ, ὡς λέων, καὶ ὡς σκύ- Z μνος ἐκ παραλλήλου, δηλοῖ τὸ αὐτό· ὡς
Ψαλ. 8. 4. τὸ, τίς ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; τὸ δὲ, ἀναπεσὼν, ἐκοιμήθη· τίς ἐγερεῖ αὐτόν; τὴν ἐπὶ τῆς γῆς αὐτοῦ λέγει βεβαίω-
Ψαλ. 67. 13. σιν. ἔστι γὰρ παραπλήσιον τῷ, ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων. καὶ γοῦν πολλάκις τῶν λοιπῶν φυλῶν πολεμουμένων τε καὶ ἀπαγομένων, ὡς ἐπὶ τὸ πλεῖστον αὐτὴ μηδὲν ὑπὸ τῶν πολεμίων ἀδικουμένη διέμει- H νε. φησὶν οὖν, ὅτι φοβερὸς, ὡς λέων, γενήσῃ τοῖς ἅπασι.

A ΔΙΟΔΩΡΟΥ. Σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ υἱέ μου ἀνέβης. Τὸ ἰσχυρὸν, λέοντι παραβάλλει· τὴν δὲ ὀξεῖαν εἰς πλῆθος ἐπίδοσιν, εὐεργεῖ βλαστήματι. ἀναπεσὼν, ἐκοιμήθη ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; νῦν κοίμησιν λέγει τὴν κληρονομίαν τῆς ἀπονεμηθείσης τῷ Ἰούδᾳ γῆς, ὡς καὶ ὁ Δαβίδ· ἐὰν κοι- Ψαλ. 67. 13.
μηθῆτε ἀνὰ μέσον τῶν κλήρων, τουτέστιν ἀναπαύητε καὶ τῶν κλήρων ἀπολάβητε: B τὸν γὰρ προσήκοντα κλῆρον αὐτῷ εἰληφὼς ὁ Ἰούδας, καὶ καταπαύσας, καὶ ὥσπερ κοιμηθεὶς ἐκ τῶν πολλῶν πόνων τῶν προειληφότων, καθάπερ λέων ἀναπεσὼν, πλατύτερος γέγονε, καὶ λέοντος φοβερώτερος. ὃν ἀναστῆσαι τῶν δυσχερῶν ἐστί.

ΕΥΣΕΒΙΟΥ. Οἶδε γὰρ αὐτὴν, ἅτε προνομίων ἠξιωμένην, πρὸ τῶν λοιπῶν φυλῶν τετιμῆσθαι. καὶ ἐπεὶ ἐξῆρχεν ἐν Γ πολέμοις, καὶ μόνη τοῦ παντὸς ἔθνους ἡγεῖτο ἐν ταῖς πρὸς τοὺς ἐχθροὺς παρατάξεσιν, εἰκότως ἐπιλέγεται πρὸς αὐτὴν, αἱ χεῖρές σου ἐπὶ νῶτον τῶν ἐχθρῶν σου. εἶτα διὰ τὸ ἀρχικὸν καὶ βασιλικὸν ἀξίωμα, σκύμνος λέοντος εἶναι λέγεται πρὸς αὐτήν. σεμνυνόμενος δὲ ὁ πατριάρχης ὁμοῦ καὶ προφήτης ἐπὶ τῷ τῆς φυλῆς ἀξιώματι προστίθησι, λέγων, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης. τὸ δὲ, ἀναπεσὼν, ἐκοιμήθης ὡς Δ λέων, καὶ ὡς σκύμνος λέοντος, τὸ γαῦρον ὁμοῦ καὶ θαρσαλέον, καὶ τὸ ἐπὶ τῶν ἔξωθεν ἐπιόντων ἀκατάπληκτον, τό, τε ἄφοβον καὶ τῶν ἐχθρῶν καταφρονητικὸν παρίστησι. τοιοῦτον δὲ αὐτὸν ὄντα, μᾶλλον δὲ τοιαύτην οὖσαν τὴν φυλὴν, τίς, φησὶν, ἀναστήσει; μέγαν τινὰ καὶ θαυμαστὸν, σπάνιόν τε καὶ δυσθεώρητον ἔσεσθαι τὸν μέλλοντα ἀναστήσειν τοῦ θρόνου, καὶ μεταστήσειν τοῦ ἀρχικοῦ ἀξιώματος τὴν διαληφθεῖσαν φυλὴν αἰνιξάμενος, θαυμαστικῶς ἐπι- E λέγει τὸ, τίς ἄρα εἴη ὁ τὸν Κύριον ἡμῶν ἀναστήσων ἐκ νεκρῶν; τίς δ' ἄλλος, ἢ ὁ πατὴρ τοῦ Κυρίου;

ΤΟΥ ΑΥΤΟΥ. Τίς, φησὶν, ἀναστήσει αὐτόν; τουτέστιν οὐκ ἀβούλητον ὑπέστη θάνατον, ἀλλὰ καίτοι πάντας ἑλεῖν ὡς λέων καὶ καταπλῆσαι δυνάμενος, καὶ τῆς τῶν θηρευόντων ἐκδῦναι χειρὸς, ἀνεκλίθη. καὶ οὐ καθάπερ ᾠήθησαν οἱ σταυροῦν ᾑρημένοι Z θανάτῳ κατεσχημένος, ἀλλ' οἷον ὕπνῳ χρησάμενος, καὶ καταμύσας βραχύ. (1)

ΩΡΙΓΕΝΟΥΣ. Τὸν κατ' οἰκονομίαν θάνατον σημαίνει τὸ, κατακλιθείς. λέων ἐστὶν ὁ Χριστὸς τοῖς τελείως ἀποθηριωθεῖσι· τοῖς δὲ ἔτι εἰσαγωγικοῖς, σκύμνος.

ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦ Ἰούδα πολλοὺς ἐπαίνους διέξεισι. Ἰούδα σὲ αἰνέσαιεν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτων ἐχθρῶν σου· H προσκυνήσουσί σοι υἱοὶ τοῦ πατρός σου. σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ υἱέ μου ἀνέβης· ἀναπεσὼν, ἐκοιμήθης ὡς λέων, καὶ ὡς

(1) Τὰ αὐτὰ καὶ ὁ Κύριλλος ἐν Τόμ. 1. μέρ. 1. σελ. 223.

ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; Ἀλλὰ τούτων [A] οὐδὲν τῷ Ἰούδᾳ ἁρμόττει, ἀλλ᾽ ἢ τῇ ἐκ τούτου βλαστησάσῃ φυλῇ. βασιλικὴ γὰρ ἦν αὕτη, πρῶτον μὲν τοῦ Δαβὶδ βασιλεύσαντος, εἶτα τῶν ἐξ ἐκείνου. καὶ πασῶν δὲ τῶν ἄλλων φυλῶν ἦν δυνατωτάτη. καὶ γὰρ ἡνίκα Δαβὶδ ὁ βασιλεὺς ἀριθμηθῆναι προσέταξε τὸν λαὸν, τετρακοσίας τοῦ Ἰούδα χιλιάδας εὗρε, τῶν δὲ ἄλλων φυλῶν ἐννακοσίας. καὶ μέντοι κἂν τῇ ἐρήμῳ διαριθμηθέντες, πλείους ὤφθησαν τῶν ἄλλων [B] φυλῶν. ἀλλὰ τὸ ἀκριβὲς τῆς προῤῥήσεως τὴν ἔκβασιν ἔλαβεν ἐπὶ τοῦ δεσπότου Χριστοῦ· ὃς ἐκ βλαστοῦ ἀνέτειλε, κατὰ τὸν πατριάρχην Ἰακὼβ, καὶ κατὰ τὸν προφήτην
[Ἡσ. 11. 1.] Ἡσαΐαν, ἐξῆλθε ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀνέβη. αὐτῷ δὲ καὶ τὸ, ἀναπεσὼν δὲ, ἐκοιμήθη ὡς λέων, ἁρμόττει. καὶ τὸ, ὡς σκύμνος λέοντος. ὥσπερ γὰρ ὁ λέων καὶ καθεύδων ἐστὶ φοβερὸς, [Γ] οὕτως ὁ δεσποτικὸς θάνατος φοβερὸς καὶ τῷ θανάτῳ καὶ τῷ διαβόλῳ γεγένηται. λέοντα δὲ αὐτὸν, καὶ σκύμνον κέκληκε λέοντος, ὡς βασιλέα καὶ βασιλέως υἱὸν, καὶ Θεὸν καὶ Θεοῦ υἱόν. καὶ κατὰ τὸ ἀνθρώπινον γὰρ ἐκ τοῦ Δαβὶδ ἐβλάστησε, καὶ ὡς Θεὸς πρὸ αἰώνων ἐκ τοῦ πατρὸς ἐγεννήθη. καὶ τὸ, τίς ἐγερεῖ αὐτόν; τὴν ἄφατον αὐτοῦ δείκνυσι δύναμιν. αὐτὸς γὰρ ἑαυτὸν ἀ-
[Ἰωάν. 2. 19.] νέστησε, κατὰ τὴν αὐτοῦ πρόῤῥησιν· λύσατε γάρ φησι τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν [Δ] ἡμέραις ἐγερῶ αὐτόν.

ΚΥΡΙΛΛΟΥ. Σκύμνος οὖν λέοντος ὁ Χριστὸς, καθάπερ ἀπὸ βλαστοῦ καὶ ἐκ ῥίζης εὐγενοῦς ἀναφὺς, τῆς ἁγίας παρθένου. καὶ γάρ ἐστιν αὐτὸς ἡ τῆς δυνάμεως ῥάβδος, ἣν ἐκ Σιὼν ἡμῖν ἀπέστειλεν ὁ Θεός· ἡ πάντας παρακαλοῦσα καὶ ἀνέχουσα βακτηρία, ἡ τῆς εὐθύτητός τε καὶ βασιλείας, ἡ ὀρθῶς μὲν καὶ πρᾴως τὰς τῶν ἁγίων ἀγέλας διαποιμαίνουσα, [E] συντρίβουσα δὲ καθάπερ τι σκεῦος κεραμέως ὀστράκινον τοὺς ὑπ᾽ αὐτῷ νέμεσθαι μὴ ἀνεχομένους. αὕτη ἡ ῥάβδος ἡ Ἀαρὼν, ἡ τύπον ἔχουσα τὴν θείαν σκηνὴν, καὶ εἰς τὰ ἅγια τῶν ἁγίων εἰσενηνεγμένη, ἡ ἐξανθήσασα κάρυα· ὅπερ ἐστὶν ἀναστάσεως σύμβολον. ξύλον γὰρ τὸ ἐκ καρύας, ἀγρυπνίας πως ἐστὶν ἐμποιητικόν. ἐκτετίμηται δὲ τὸ τῆς ἀναστάσεως μυστήριον ἐν ἐκκλησίαις Θεοῦ. διὰ τοῦτο καὶ ὁ μακάριος [Z] Ἰακὼβ βλαστὸν ὀνομάσας, εὐθὺς διαμέμνηται τῆς οἰκονομίας.

* ΤΟΥ ΑΥΤΟΥ. Ἀναπεσὼν ἐκοιμήθη, τουτέστιν οὐκ ἀβούλητον θάνατον ὑπέστη Χριστὸς, καίτοι πάντας ἑλεῖν, ὡς λέων, καὶ καταπτοῆσαι δυνάμενος.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί δέ ἐστι τὸ, ἀναπεσὼν, ἐκοιμήθη ὡς λέων; Ὥσπερ δὴ ὁ λέων οὐκ ἐγρηγορὼς μόνον, ἀλλὰ καὶ [H] καθεύδων ἐστὶ φοβερὸς, οὕτω καὶ ὁ Χριστὸς οὐ πρὸ τοῦ σταυροῦ μόνον, ἀλλὰ καὶ ἐν αὐτῷ [A] τῷ σταυρῷ, καὶ ἐν αὐτῇ τῇ τελευτῇ φοβερὸς ἦν, καὶ τὰ μεγάλα τότε εἰργάζετο θαύματα· ἥλιον ἀποστρέφων, πέτρας τέμνων, τὴν γῆν κλονῶν, τὸ καταπέτασμα σχίζων, τὴν γυναῖκα τοῦ Πιλάτου δεδιττόμενος. Καὶ μετ᾽ ὀλίγα. Τότε σκότος τὴν οἰκουμένην κατελάμβανε, καὶ νὺξ ἐν ἡμέρᾳ μέσῃ ἐφαίνετο. τότε ὁ θάνατος ἐτήκετο, καὶ ἡ τυραννὶς αὐτοῦ ἐλύετο. πολλὰ οὖν σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη. ταῦτα ἄνω- [B] θεν προλέγων ὁ πατριάρχης, καὶ δεικνὺς ὅτι σταυρούμενός ἐστι φοβερὸς, ἀναπεσὼν, φησὶν, ἐκοιμήθη ὡς λέων. καὶ οὐκ εἶπε, κοιμηθήσῃ, ἀλλ᾽ ἐκοιμήθη, διὰ τὸ πάντως ἐσόμενον. ἔθος γὰρ τοῖς προφήταις πανταχοῦ τὰ μέλλοντα, ὡς γεγενημένα προλέγειν. ὥσπερ γὰρ οὐκ ἔνι τὰ γεγενημένα, μὴ γεγενῆσθαι· οὕτως οὐδὲ τοῦτο. διά τοι τοῦτο, τῷ στοχασμῷ τοῦ παρῳχηκότος χρόνου, τὰ μέλλοντα προαναφωνοῦσι, τὸ [Γ] ἀδιάπτωτον αὐτῶν, καὶ πάντως ἐσόμενον διὰ τούτων ἐνδεικνύμενοι. τὸ γὰρ πάντως μέλλον, ἤδη γεγένηται παρὰ Θεῷ· καὶ πᾶς χρόνος αὐτῷ πάρεστιν· ὡς ἐν τῷ, ὤρυ- [Ψαλ. 21. 16.]
ξαν χεῖράς μου. (1)

ΑΔΗΛΟΥ. Ὥσπερ ὁ λέων, φησὶ, καὶ κοιμώμενος, καὶ ἐγρηγορὼς φοβερός ἐστιν, οὕτω καὶ ὁ Χριστὸς δηλονότι μέχρι τῆς ἐλεύσεως αὐτοῦ.

[Δ] ι. Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ὃ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν.

ΓΕΝΝΑΔΙΟΥ. Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται. Ὠήθησάν τινες τὰς προῤῥήσεις ταύτας οὐκ εἰληφέναι τὴν ἔκβασιν, ἀπὸ τοῦ καὶ τὴν φυλὴν [E] ταύτην γενομένην ὑπὸ Βαβυλωνίοις αἰχμάλωτον, τὴν βασιλείαν ἀποβαλεῖν· οὐ προσχόντες, ὅτι καὶ κατὰ τὰς ἡμέρας ἐκείνας οὐδὲν ἧττον ἡ φυλὴ αὕτη τῶν ἄλλων καθηγεῖτο φυλῶν, ἐπανιοῦσά τε πρὸς τὰ Ἱεροσόλυμα, τῆς ἐπανόδου διὰ τοῦ Ζοροβάβελ κατάρξασα, καὶ μετὰ ταῦτα πρὸς τὰς μακεδονικὰς ἐφόδους ἡγησαμένη παντὸς τοῦ λαοῦ, ἄχρις οὗ μετὰ τὴν τοῦ Σωτῆρος ἐπιδημίαν ὑπὸ Ῥωμαίων αἰχμάλωτοι [Z] γενόμενοι, τῆς γῆς εἰς τὸ παντελὲς ἐκπεπτώκασι.

ΔΙΟΔΩΡΟΥ. Ἄχρι τούτου περὶ τῆς φυλῆς εἰπὼν, ἐντεῦθεν ἕτερόν τι βούλεται λέγειν. οὐκ ἐκλείψει γάρ φησιν ἄρχων ἐξ Ἰούδα, καὶ τὰ ἑξῆς. Ἄλλος γὰρ ἄρα Ἰούδας, ἄλλοι δὲ οἱ ἄρχοντες οἱ ἐκ τοῦ Ἰούδα, καὶ ἕτερος ἡ προσδοκία τῶν ἐθνῶν, τοῦ ἐλθόντος, ἐπέλιπον οἱ ἄρχοντες οἱ ἐξ Ἰούδα. τίς [H] οὖν ὁ Ἰούδας; ἡ φυλή. τίνες δὲ οἱ ἄρχοντες; οἱ βασιλεῖς. τίς ἡ προσδοκία τῶν ἐθνῶν; ὁ Κύριος. τί οὖν, ἕως τῆς τοῦ Σωτῆρος παρουσίας

(1) Ἐν τοῖς ἐκδεδομ. ταῦτα οὐχ εὕρηται.

.ρουσίας βασιλεῖς ἦσαν οἱ ἐκ τῆς φυλῆς Ἰούδα; ἀλλ' οὐδεὶς φαίνεται τῶν Ἰσραηλιτῶν ἄρξας μετὰ τὸν Ζοροβάβελ ἐκ φυλῆς Ἰούδα. πρὸ γὰρ τοῦ Κυρίου φανερώτατα οἱ ἀπὸ Μωδεεὶμ τῆς κώμης Ἀσαμωναῖοι τῆς λευϊτικῆς φυλῆς τυγχάνοντες, ἦρξαν τοῦ λαοῦ, καὶ τελευταῖον ἐβασίλευσαν. πῶς οὖν σωθήσεται τὸ, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, εἰ μὴ οὕτω νοηθείη; ὅτι ἐξ Ἰακὼβ οὐκ ἐκλείψει ἄρχων, τουτέστιν ἡ φυλὴ ἄρχουσα καὶ κρατοῦσα, καὶ μείζων τῶν ἄλλων οὖσα, ἕως ἂν ἔλθῃ ὁ Κύριος. ὅτι δὲ τὴν φυλὴν, ἄρχοντα λέγει ὁ Μωϋσῆς, ἀλλ' οὐ τοὺς ἐν αὐτῷ βασιλεύσαντας, μαρτυρεῖ ὁ Ἀκύλας, σκῆπτρον εἰρηκὼς, ἀντὶ τοῦ, ἄρχων. σκῆπτρον δὲ ἡ φυλὴ ὀνομάζεται. καὶ γὰρ ἀληθῶς τὸ κατὰ τῶν ἄλλων ἀξίωμα διετέλεσεν ἔχουσα ἡ φυλὴ Ἰούδα τὸν πλείονα χρόνον, καὶ τὸν ναὸν ἔχουσα, καὶ τὴν κιβωτὸν, καὶ πᾶσαν τὴν λατρείαν, ἕως ἀπειθήσασα τῷ Κυρίῳ, σὺν ταῖς ἄλλαις ᾐχμαλωτίσθη ὑπὸ Ῥωμαίων.

ΚΥΡΙΛΛΟΥ. Ἦρχον μὲν γὰρ Ἰουδαῖοι, καὶ ἐξ αἵματος Ἰσραὴλ οἱ παρ' αὐτοῖς ἦσαν ἡγούμενοι, μέχρις ἂν Ἡρώδης Ἀντιπάτρου παῖς, Παλαιστινὸς τὸ γένος, Τετράρχης ὠνόμασαι, καὶ μετεποιήσατο τῆς ἀρχῆς. ἐφ' οὗ καὶ αὐτὸς γεγέννηται Χριστὸς, ἡ τῶν ἐθνῶν προσδοκία. ὅτι γὰρ σέσωσαι τῶν ἐθνῶν ἡ πληθὺς, γεννηθέντος αὐτοῦ, μακρῶν οὐ δεήσει πρὸς ἀπόδειξιν λόγων, αὐτοῦ διακεκραγότος τοῦ πράγματος. πλὴν ὅτι προεισέφρησε μὲν [διὰ] πίστεως ὁ ἐξ ἐθνῶν ἀρτιγενής τε καὶ νέος λαὸς, εἰσκληθήσεται δὲ μετ' αὐτὸν ὁ Ἰσραὴλ. ἐδίδαξε λέγων εὐθὺς. δεσμεύων πρὸς ἄμπελον, καὶ τὰ ἑξῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Προσαγορεύει καὶ τῆς ἐπιφανείας αὐτοῦ τὸν καιρόν· οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν. τοῦτο τῆς τοῦ Κυρίου παρουσίας σημεῖον σαφέστατον. ἐξέλειπον γὰρ τῶν Ἰουδαίων οὐχ οἱ βασιλεῖς μόνοι, ἀλλὰ καὶ οἱ ἱερεῖς, καὶ οἱ Προφῆται, ὥστε δειχθῆναι τὸ τῆς προῤῥήσεως τέλος. τοῦ γὰρ Σωτῆρος ἡμῶν τίκτεσθαι μέλλοντος, ἀλλόφυλοι αὐτῶν ἐκράτησαν βασιλεῖς, ἵνα ὁ αἰώνιος δειχθῇ βασιλεὺς, ἡ τῶν ἐθνῶν προσδοκία, κατὰ τὴν δοθεῖσαν παρὰ τοῦ Θεοῦ τῶν ὅλων πατριάρχαις ἐπαγγελίαν. καὶ γὰρ καὶ τῷ Ἀβραὰμ, καὶ τῷ Ἰσαὰκ, καὶ τῷ Ἰακὼβ ὑπέσχετο ὁ τῶν ὅλων Θεὸς ἐν τῷ σπέρματι αὐτῶν εὐλογήσειν πάντα τὰ ἔθνη τῆς γῆς. τοῦτο ἐνταῦθα παρεδήλωσε, τὸν Ἰούδαν εὐλογῶν ὁ Ἰακὼβ ὁ πατριάρχης. οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν.

ΑΔΗΛΟΥ. Τὸ ἐνταῦθα λεγόμενον, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐ περὶ αὐτοῦ ἐκείνου τοῦ πρώτου ἀνδρὸς ἐξακούειν δεήσει·

A ὥσπερ οὐδὲ τὸ, Ἰούδα σὲ αἰνέσαιεν οἱ ἀδελφοί σου, καὶ τὰ ἑξῆς, ἐπ' ἐκείνου ἀνεφέρετο. πλείοσι γὰρ χρόνοις ἄρχοντες καὶ ἡγούμενοι τοῦ Ἰούδα κατέστησαν οὐκ ἐκ τῆς ἐκείνου τοῦ ἀνδρὸς διαδοχῆς. πρῶτος γὰρ Μωσῆς αὐτὸς ἡγήσατο τοῦ λαοῦ, οὐκ ἐξ Ἰούδα, ἀλλ' ἐκ τοῦ Λευὶ γεγονώς. εἶτα ὁ Ἰησοῦς ὁ ἐκ φυλῆς Ἐφραίμ· μεθ' ὃν ἦρξε Δεβόῤῥα ἐκ φυλῆς Ἐφραὶμ, καὶ Βαρὰκ ἐκ φυλῆς Νεφθαλείμ· μεθ' οὓς Γεδεὼν ἐκ
B φυλῆς Μανασσῆ, καὶ οἱ ἐφεξῆς ἐκ φυλῶν ἑτέρων. εἶτα, ἀναρχίας γενομένης, ἡγεῖτο αὐτῶν Ἡλὶ ὁ ἱερεὺς ἐκ φυλῆς Λευΐ. οὗτοι πάντες Κριταὶ οὐκ ἐκ διαδοχῆς Ἰούδα, ἐκ διαφόρων δὲ φυλῶν ἄλλοθεν ἄλλος γενόμενος. καὶ ὁ μετὰ τούτους πρῶτος αὐτῶν βασιλεύσας Σαοὺλ ἐκ φυλῆς ἦν Βενιαμίν. πῶς οὖν τὸ, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ τὰ ἑξῆς, ὡς ἂν οἰηθείη τὶς ἐπὶ τοὺς ἐκ φυλῆς Ἰούδα ἄρχοντας καὶ ἡγουμέ-
Γ νους ἀνενεχθήσεται; ὅτε φαίνονται ἀπὸ τῶν χρόνων τῆς τοῦ Ἰακὼβ τελευτῆς ὅλοις ἔτεσιν ἐγγύς που χιλίοις οὐκ ἐκ μόνης τῆς φυλῆς Ἰούδα προαχθέντες, ἀλλ' ἐξ ἄλλων, μέχρι τῶν τοῦ Δαβὶδ χρόνων.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τοὺς προτέρους μεμψάμενος υἱοὺς Ἰακὼβ, ὡς διά τινα πλημμελήματα τῆς μελλούσης προῤῥήσεως ἀναξίους γεγενημένους, ὡς κρείττονι τῶν
Δ ἀδελφῶν Ἰούδα, τάδε θεσπίζει. ἐσκόπει γὰρ διὰ τίνος τῶν παίδων ἡ περὶ τῶν ἐθνῶν ἐπαγγελία προβήσεται, αὐτῷ τε καὶ τοῖς αὐτοῦ πατράσιν ἐκ Θεοῦ δεδομένη. ἐπὶ δὲ τὸν τέταρτον ἐλθὼν τὸν Ἰούδαν, ὁμοῦ μὲν τὸν φήσαντα αὐτῷ χρησμόν· βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται· τέλος λήψεσθαι θεσπίζει διὰ τῆς τούτου διαδοχῆς, ἐξ οὗ καὶ τὸ βασιλικὸν γένος συνέστη, ὁμοῦ δὲ παρίστησι καὶ τὸν περὶ τῆς τῶν Γεν. 31. 11.
E ἐθνῶν κλήσεως χρόνον. ἐξ αὐτοῦ δεικνὺς καὶ τὸν δι' οὗπερ ἡ κλῆσις Χριστὸν, δι' ὃν καὶ βασιλικῆς ἠξιώθη παρὰ τοὺς ἄλλους φυλῆς. καὶ ἀπὸ τῶν Μωσέως χρόνων, Θεοῦ προστάξει, κατὰ τὴν διάταξιν, τῶν λοιπῶν ἡγεῖτο φυλῶν. καὶ ἐν τῷ ἐγκαινισμῷ τῆς σκηνῆς πρῶτοι τὰ δῶρα προσήνεγκαν· καὶ ἐν τῷ διαμερισμῷ τῆς γῆς αἱ μὲν ἄλλαι φυλαὶ διὰ κλήρου, ἀκληρωτὶ δὲ αὕτη τὸ οἰκεῖον μέρος κομίζεται· καὶ μετὰ τὴν τε-
Z λευτὴν Ἰησοῦ, Θεὸς προσέταξεν ἐπὶ τοὺς Χαναναίους ταύτην ἡγήσασθαι· καὶ πανταχοῦ ταύτην ἡγουμένην εὑρήσομεν. εἰ γὰρ καὶ οἱ Κριταὶ ἐκ διαφόρων ὡρμῶντο μερῶν, ἀλλ' οὖν καθόλου ἡ τοῦ Ἰούδα φυλὴ τοῦ παντὸς ἔθνους ἡγεῖτο. πολὺ δὲ μᾶλλον ἀπὸ τῆς τοῦ Δαβὶδ βασιλείας, καὶ κάτω, μέχρι τῆς αἰχμαλωσίας τῆς εἰς Βαβυλῶνα, καὶ μετὰ τὴν ἐπάνοδον. καὶ ἐν Παραλειπομένοις δὲ πρώτη γενεαλογεῖται. λείπε-
H ται δὴ οὖν τούτοις ἀκολούθως καὶ ἐν τοῖς μετὰ ταῦτα χρόνοις τὴν αὐτὴν φυλὴν τῶν λοιπῶν ἡγεῖσθαι μέχρι τῆς τοῦ Σωτῆρος ἐπιδημίας· εἰ καὶ μὴ θείαν ἔχομεν μέχρι ταύτης ἱστοροῦσαν Γραφήν· λόγος γὰρ αὐτὴν

τὴν τῶν πασῶν ἡγεῖσθαι φυλῶν μέχρι τὸ γένος ὑπὸ Ῥωμαίων δεδούλωται. διὸ καὶ τὸ πᾶν ἔθνος ἐξ αὐτῆς προσαγορεύονται, (1) ἀλλ' οὐκ ἀπὸ τοῦ Ῥουβὶμ, ὃς πρωτότοκος ἦν, καίτοι τῶν πρωτοτόκων τιμωμένων κατὰ τὸν νόμον· οὐδὲ ἀπὸ τοῦ Λευῒ πρεσβυτέρου ὄντος, καὶ ἱερωσύνῃ τετιμημένου, ἢ καὶ ἀπὸ τοῦ Ἰωσὴφ ἄρξαντος Αἰγύπτου, καὶ τῶν ἀδελφῶν, καὶ τῶν ἐξ αὐτοῦ, χρόνον ἐπὶ πλεῖστον ἡγησαμένων τῶν θ' φυλῶν. διατὶ δὲ μὴ ἀπὸ τοῦ Βενιαμίν; ὅπερ ἦν ἐν τῷ κλήρῳ ἡ τοῦ παντὸς ἔθνους μητρόπολις. ἀλλὰ γὰρ ἡ τοῦ Ἰούδα φυλὴ ἄνωθεν ἦν ἀρχικὴ, καὶ ἡγεῖτο πάντων, ἕως ἦσαν αὐτόνομοι κατὰ τὴν προφητείαν· ἦσαν δὲ μέχρι τῶν Αὐγούστου χρόνων ἐλεύθεροι καὶ αὐτόνομοι· καθ' ὃν, Χριστοῦ φανέντος, τὸ ἔθνος ἅπαν δεδούλωται. ὅτε καὶ πρῶτος ἀλλόφυλος Ἡρώδης ἡγήσατο, καὶ βασιλεὺς Αὔγουστος, ὁ καὶ τὴν ἀρχὴν ἐγχειρίσας αὐτῷ μετὰ καὶ τῆς συγκλήτου, (2) ἐξ Ἀντιπάτρου γεγονότι τὸ γένος Ἀσκαλωνίτου ἱεροδούλου Ἀπόλλωνος, καὶ Κυπρίνης ἐξ Ἀράβων μητρός. οὗτος γὰρ τὸν ἐκ διαδοχῆς τῶν ἀρχιερέων ὕστατον ἡγησάμενον Ὑρκανὸν ἀνελὼν, (3) Ἰουδαίων ἀναγορεύεται βασιλεύς. καὶ ἁπλῶς, ὡς ἐπὶ τῆς Ῥωμαίων ἀρχῆς, ἄλλος μὲν ἐξ ἄλλων ἐθνῶν βασιλεῖς, καὶ ἄρχοντες, καὶ στρατηγοὶ προχειρίζονται, Ῥωμαίων δὲ τὸ πᾶν ὠνόμασται κράτος· οὕτως ἐπὶ τῶν Ἰουδαίων, τὸ μὲν πᾶν κράτος τῆς Ἰούδα ὑπῆρχε καθόλου φυλῆς, οἱ δὲ κατὰ μέρος βασιλεῖς καὶ ἄρχοντες ἐξ ἄλλων φυλῶν ἔσθ' ὅτε προυβάλλοντο.

ια. Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ.

ΓΕΝΝΑΔΙΟΥ. Εἰπών γε μὴν ὁ Προφή-
» της, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ μεταστὰς ἅπαξ ἀπὸ τῆς φυλῆς ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ, πάντα λοιπὸν περὶ αὐτοῦ λέγει τὰ καθεξῆς· δυναμένων μὲν καὶ αὐτῶν παχυμερέστερον εἰς τὸ κοινὸν ἐκλαμβάνεσθαι, ὡς πολύοινον τοῦ Ἰούδα κατακληρωθέντος μερίδα· τὸ δὲ ἀληθινὸν, ἐπὶ τοῦ σωτῆρος ἡμῶν εἰληφότων Χριστοῦ.
» καὶ οὗτος προσδοκία ἐθνῶν. ἐν αὐτῷ γὰρ ἡ κοινὴ καὶ καθολικὴ γέγονε τῶν ἀνθρώπων σωτηρία.

ΤΟΥ ΑΥΤΟΥ. Τὸ ἐν τοῖς ἁγίοις Εὐαγγελίοις ἀναγεγραμμένον ἐνταῦθά φησιν. ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, δεῖξαι θελήσας, ὅτι τοῦ σταυροῦ τὸ πάθος ἑκὼν ὑποδέχεται, κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα, πληρῶν τὴν ἐφ' ἑαυτῷ προφητείαν, τὴν,

A „ μὴ φοβοῦ θύγατερ Σιὼν, ἰδοὺ ὁ βασιλεύς- Ζαχ. 9. 9.
„ σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς
„ πρᾷος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ
„ πῶλον υἱὸν ὑποζυγίου· ὥρμησε μὲν ἐλθεῖν εἰς Ἱεροσόλυμα, κελεύει δέ τισι τῶν μα-
„ θητῶν ἀπελθεῖν εἰς τὴν κατέναντι κώμην, Μάρ. 11. 2.
κἀκεῖ δεδεμένην ὄνον εὑρόντας, καὶ τὸν πῶλον αὐτῆς λύσαντας, ἀγαγεῖν πρὸς αὐτόν. καθεσθεὶς δὲ ἐπ' αὐτὸν, εἴσεισι μὲν εἰς τὴν πόλιν, ὡς εἷς τῶν πολλῶν· ἵνα
B μὴ τῷ παραδόξῳ καὶ λαμπρῷ τῆς εἰσόδου δόξῃ πρὸς ἑαυτὸν αὐτὴν ἐφελκύσασθαι· τὸ δὲ ἀληθείας ἔχειν οὕτω τὸ πρᾶγμα, καὶ τὸ θεῖον ἄντικρυς εἶναι ῥοπὴν, τὴν εἰς τοῦτο αὐτοὺς κατεστήσασαν.

ΕΥΣΕΒΙΟΥ. Αἰνίττεσθαι δὲ ἡγοῦμαι διὰ τούτων, τὸν μὲν πῶλον, ἀντὶ (4) τῶν Ἀποστόλων καὶ μαθητῶν τοῦ Σωτῆρος ἡμῶν χορόν· τὴν δὲ ἄμπελον, ἐν ᾗ τὸν πῶλον
Γ προσέδησε, τὴν ἔνθεον καὶ ἀόρατον αὐτοῦ δύναμιν, ἣν αὐτὸς παραστὰς, ἐδίδασκε λέ-
„ γων, ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, ὁ Ἰωάν. 15. 1.
„ πατήρ μου ὁ γεωργός ἐστιν. ἕλιξ δὲ τῆς ἀποδοθείσης ἀμπέλου, εἴη ἂν ἡ τοῦ Θεοῦ λόγου διδασκαλία, ἐν ᾗ τὸν πῶλον τῆς ὄνου κατεδήσατο, τὸν νέον καὶ ἐξ ἐθνῶν λαὸν, γέννημα τυγχάνοντα τῶν Ἀποστόλων αὐτοῦ.

ΙΠΠΟΛΥΤΟΥ. Πῶλον λέγει τὴν ἐξ
Δ ἐθνῶν· ἄλλον, τὴν ἐκ περιτομῆς κλῆσιν. ὄνον δὲ μίαν, τουτέστιν ἐκ μιᾶς πίστεως οἱ δύο πῶλοι, ὅπερ ἐστὶν αἱ δύο κλήσεις. καὶ τὸν μὲν πῶλον, προσδεδέσθαι ἐν τῇ ἀμπέλῳ· τὸν δὲ ἕτερον, ἐν τῇ ἕλικι. ἤτοι τὴν μὲν ἐξ ἐθνῶν ἐκκλησίαν, προσδεδέσθαι τῷ Κυρίῳ· τὸν δὲ ἐκ περιτομῆς, τῇ τοῦ νόμου παλαιότητι.

ΚΥΡΙΛΛΟΥ. Προσέδησε γὰρ ἑαυτῷ, ὥσπερ διὰ πίστεως, ἡ ἄμπελος ἡ ἀληθινὴ
E τὸν ἐξ ἐθνῶν σεσωσμένον λαὸν, ὃν τῷ πώλῳ παρεικάζει. προσδήσει δὲ ἔτι τῇ ἕλικι τῆς ἀμπέλου, τουτέστι τῇ ἀγάπῃ τῇ παρ' ἑαυτῷ τὸν πῶλον τῆς ὄνου αὐτοῦ, φημὶ δὴ τὸν ἐκ τῆς ἀρχαιοτέρας τῆς Ἰουδαίων μητρὸς, ἤτοι τῆς συναγωγῆς, πεπιστευκότα λαόν. οὕτω πρὸς ἀλλήλους ἡμερωθέντας, ὥστε τῇ ἕλικι προσδεδεμένους μὴ ἀποπηδᾷν, ἀλλ' ἀνέχεσθαι, καὶ μὴ λυμαίνεσθαι τὴν ἄμπελον.

Z ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα δυικῶς τὸν ἐξ ἐθνῶν καὶ Ἰουδαίων συστάντα λαὸν, δεσ-
» μεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ, καὶ τῇ
» ἕλικι τῆς ἀμπέλου τὸν πῶλον τῆς ὄνου αὐτοῦ. ὅτι δὲ ἄμπελος ὁ Ἰσραὴλ ὠνομάζετο, ἅπαντες οἱ Προφῆται διδάσκουσι. καὶ γὰρ
» Δαβὶδ φησιν, ἄμπελον ἐξ Αἰγύπτου μετῆ- Ψαλ. 79. 8.

ρας,

(1) Ἐκλήθησαν δὲ τὸ ὄνομα, ἐξ ἧς ἡμέρας ἀνέβησαν ἐκ Βαβυλῶνος, ἀπὸ τῆς Ἰούδα φυλῆς, ἧς πρώτης ἐλθούσης εἰς ἐκείνους τοὺς τόπους, αὐτοί τε καὶ ἡ χώρα τῆς προσηγορίας αὐτῆς μετέλαβον. Ἰώσηπ. ἐν κεφ. 5. τοῦ 11. βιβλ. περὶ Ἰουδαϊκ. ἀρχαιολογ.

(2) Ἰώσηπ. ταῦτα ἱστορεῖ ἐν κεφ. 26. τοῦ 14. βιβλ. περὶ Ἰουδαϊκ. ἀρχαιολογ.

(3) Ὁ αὐτ. ἐν κεφ. 9. τοῦ 15. βιβλ. περὶ Ἰουδαϊκ. ἀρχαιολογ. (4) Ἴσ. τὸν τῶν Ἀποστόλων.

Ἡσ. 5. 1. ρας, καὶ τὰ ἑξῆς. καὶ ὁ Ἡσαΐας, ἀμπε-
λὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν
τόπῳ πίονι. καὶ διὰ τοῦ Ἱερεμίου ὁ τῶν ὅλων
Ἱερ. 2. 21. ἔφη Θεὸς, ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον
καρποφόρον πᾶσαν ἀληθινήν. καὶ διὰ τοῦ
Δευτ. 32. 32. νομοθέτου, ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμ-
πελος αὐτῶν. καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς
Λουκ. 20. 9. εὐαγγελίοις, ἄνθρωπός τις ἐφύτευσεν ἀμ-
πελῶνα, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ
ἀπεδήμησε. πῶλον δὲ, τὸν ἐξ ἐθνῶν ὀνο-
μάζει λαὸν, ὡς ἀδάμαστον ὄντα, καὶ πω-
λοδάμνην οὐκ ἔχοντα. τοῦτο γὰρ καὶ ὁ Κύ-
ριος ἠνίξατο τοῖς Ἀποστόλοις, προστεταχὼς
εἰς τὴν κατέναντι πόλιν ἀπελθεῖν, καὶ
λῦσαι τὴν ὄνον τὴν δεδεμένην, καὶ τὸν
Μάρ. 11. 2. ταύτης πῶλον, ἐφ᾽ ὃν οὐδεὶς, φησὶν, ἀν-
θρώπων ἐκάθισεν. οὔτε γὰρ πατριάρχης,
οὔτε νομοθέτης, οὔτε προφήτης τῆς τῶν
ἐθνῶν ἐφρόντισε σωτηρίας. οἱ δὲ θεῖοι Ἀ-
πόστολοι προσαχθέντες μαθητεῦσαι πάν-
Ματθ. 28. 19. τα τὰ ἔθνη, καὶ βαπτίσαι εἰς τὸ ὄνομα τοῦ
πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύμα-
τος, ἔλυσαν μὲν τὴν ὄνον, τουτέστι τῶν ἀν-
θρώπων τὴν φύσιν, τὴν δεδεμένην ταῖς
τῆς ἁμαρτίας σειραῖς· ἔλυσαν δὲ καὶ τὸν
πῶλον, τὸν ἐκ ταύτης βεβλαστηκότα λαόν.
καὶ ἐπιθέντες αὐτῷ τὰ ἑαυτῶν ἱμάτια, του-
Γαλ. 3. 27. τέστι τὴν χάριν, ἧς ἔτυχον· ὅσοι γὰρ εἰς
Χριστὸν ἐβαπτίσθησαν, Χριστὸν ἐνεδύσαντο·
ἐπιπώλιον ἀπέφηναν τὸν ἀδάμαστον πῶλον,
καὶ ἐπεκάθισαν αὐτῷ τὸν δεσπότην, καὶ
προσέδησαν αὐτὸν τῇ ἀμπέλῳ, τουτέστιν
ἑαυτοῖς· ἐξ Ἰουδαίων γὰρ οἱ Ἀπόστολοι·
καὶ οὐ μόνον αὐτοὶ, ἀλλὰ καὶ οἱ ἑβδομήκον-
τα μαθηταὶ, καὶ οἱ τρισχίλιοι, οὓς κατὰ
ταυτὸν ἐσαγήνευσε τῶν Ἀποστόλων ὁ πρῶ-
τος, καὶ οἱ πεντακισχίλιοι, καὶ αἱ πολλαὶ
μυριάδες, περὶ ὧν ὁ τρισμακάριος Ἰάκω-
βος τῷ θειοτάτῳ διελέχθη Παύλῳ. οὐ μό-
νον τοίνυν τοῖς Ἀποστόλοις συνήφθησαν οἱ
πεπιστευκότες, ἀλλὰ καὶ τοῖς τῶν Ἀποστό-
λων μαθηταῖς. καὶ τοῦτο προορῶν ὁ πα-
τριάρχης, ἔφη· δεσμεύων πρὸς ἄμπε-
λον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τῆς
ἀμπέλου τὸν πῶλον τῆς ὄνου αὐτοῦ.

ΔΙΟΔΩΡΟΥ. Δεσμεύων πρὸς ἄμπε-
λον τὸν πῶλον αὐτοῦ, καὶ ἐν τῇ ἕλικι τῆς
ἀμπέλου τὸν πῶλον τῆς ὄνου αὐτοῦ. Τινές
φασιν, ἐπειδὴ ὁ Κύριος ἀπέστειλε τοὺς μα-
θητὰς τὸν πῶλον ἀγαγεῖν, ἐφ᾽ οὗ καθίσας
εἰσῆλθεν εἰς τὰ Ἱεροσόλυμα, προλέγεσ-
θαι ταῦτα παρὰ τοῦ Ἰακώβ· ἕτεροι δὲ,
ὅπερ καὶ ἀληθέστερον κατὰ τὴν ἀκολουθίαν
εἶναι δοκεῖ τοῖς πολλοῖς, ὅτι ἄμπελος ὁ
Ἡσ. 5. 7. Ἰσραήλ· ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ,
οἶκος τοῦ Ἰσραήλ ἐστιν· ὄνος δὲ καὶ πῶλος,
οἱ τοῖς κτήνεσι τοῖς ἀνοήτοις ὁμοιωθέντες.
τὰ γὰρ ἔθνη συνῆψεν ὁ Κύριος τῷ ἀμπε-
λῶνι, καὶ προσέδησε τῷ Ἰσραήλ. ἕτεροι
δὲ λέγουσι, τὸ δυνατὸν τῆς τοῦ Σωτῆρος
διδαχῆς εἰς τὸ ἥμερον ἀγούσης τὸ ἐν ἀν-

A θρώποις ἄγριον προλέγεσθαι, καὶ τὸ ἐγ-
κρατὲς τῶν διδασκομένων. οὐχ οἷόν τε γὰρ
πῶλον ἀμπέλῳ προσδεσμευθέντα μὴ λυ-
μήνασθαι τῇ σταφυλῇ. ἀλλ᾽ ὁ Σωτὴρ, φησὶ,
προσδήσει τῇ ἀμπέλῳ τὸν πῶλον, οὕτως
ἡμερώσας αὐτοῦ τὰ σκιρτήματα, καὶ τὰς
τῆς γαστρὸς ἀλόγους ὁρμὰς, ὡς μηδὲν βλά-
πτεσθαι τὴν ἄμπελον ἐξ αὐτοῦ. ὅμοιον τῷ,
οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκουσθήσε- Ἡσ. 42. 2, 3
ται ἐν ταῖς πλατείαις ἡ φωνὴ αὐτοῦ. κά-
B λαμον συντετριμμένον οὐ κατεάξει, καὶ λί-
νον τυφόμενον οὐ σβέσει. ὥσπερ οὖν αὐτὸς
ταῦτα, οὕτω καὶ οἱ πρότερον μὲν κτηνώ-
δεις, ὑπὸ δὲ τῆς εἰς αὐτὸν πίστεως φωτισ-
θέντες, δεσμευθέντες πρὸς ἄμπελον, οὐ
βλάψουσι. ταῦτα ἡμεῖς οὐ διϊσχυριζόμεθα,
ἀλλὰ τὸ φανὲν κρεῖττον τοῖς ἐντυγχάνουσι
καταλείψομεν· εἰδέναι μέντοι αὐτοὺς ἀξιοῦν-
τες, ὅτι τοῦ ἀλληγορικοῦ τὸ ἱστορικὸν πλεῖ-
στον ὅσον προτιμῶμεν.

Γ **Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὸ περιβόλαιον αὐτοῦ.**

ΓΕΝΝΑΔΙΟΥ. Πλυνεῖ ἐν οἴνῳ τὴν στο-
λὴν αὐτοῦ. τῆς διδασκαλίας ἐκάλεσεν. (1)
ἐξεργάσεται, τῷ τοὺς ἄλλους μολύνοντι;
τούτῳ λαμπρότερος αὐτὸς καθιστάμενος.
οὔτε γὰρ οἴνῳ καθαίρειν ἱμάτια φύσις,
Δ ἀλλὰ μολύνειν· καὶ θανάτου τὸ διαφθείρειν
τοὺς ἀποθνήσκοντας ἴδιον, οὐκ ἐπιδοξοτέρους
ποιεῖν. ἀλλ᾽ ὅμως ἐπὶ τοῦτο (2) γεγένηται,
μετὰ τὸν τριήμερον θάνατον αὐτοῦ, ἀθά-
νατον διὰ τῆς ἀναστάσεως τὴν σάρκα κο-
μισαμένου. καλῶς δὲ οἴνῳ παρεικάζει τὸ
πάθος. αἷμα σταφυλῆς αὐτὸν προσηγό-
ρευσε, πόῤῥωθεν προμηνύων τὴν ἐπὶ τοῦ
μυστικοῦ μέλλουσαν ἡμῖν δι᾽ αὐτοῦ παραδίδοσ-
θαι χροιάν.

E ΘΕΟΔΩΡΟΥ. Εἰρηκὼς τὸ τῆς ὄνου,
ἦγουν τοῦ πώλου, ἐφ᾽ ᾧπερ ἐκαθέσθη πρὸ τοῦ
πάθους ὁ Κύριος, ἐπάγει καὶ τοῦ πάθους
τὴν μήνυσιν. πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν
αὐτοῦ, καὶ τὰ ἑξῆς. ἔθος τῇ Γραφῇ οἴνῳ
παρεικάζειν τὰς τιμωρίας, καὶ τοὺς θανά-
τους· ὡς τὸ, ποτήριον ἐν χειρὶ Κυρίου οἴνου Ψαλ. 74. 8.
ἀκράτου· ἵνα εἴπῃ, ὅτι ἐπὶ τῆς ἐξουσίας
ἐστὶ τῆς αὐτοῦ τὰς τιμωρίας ἐπαγαγεῖν οἷς
βούλεται. κἀνταῦθα τοίνυν τὸ πάθος καὶ
Z τὸν θάνατον οἶνον εἰπὼν, καλῶς προσέ-
θηκε τὸ εἶναι αἷμα τῆς σταφυλῆς τὴν πε-
ριβολὴν αὐτοῦ· ὡς ἂν τῷ τοῦ αἵματος ὀνό-
ματι σαφέστερον δηλώσῃ τὸ πάθος. στολὴν
μὲν οὖν αὐτοῦ ὀνομάζει τὴν ληφθεῖσαν τοῦ
δούλου μορφήν. εὔδηλον δὲ, ὡς οἴνῳ πλύνεσ-
θαι ἐσθῆτα οὐχ οἷόν τε· τοὐναντίον δὲ καὶ μο-
λύνεται οἴνῳ εὐθὺς, ὡς καὶ δυσέκπλυτον
εἶναι τὸν ἐξ αὐτοῦ μολυσμόν. ἀλλ᾽ ἐπειδὴ
ὁ θάνατος πᾶσι μὲν ἀνθρώποις ἀπόθεσίς
H ἐστι ζωῆς, τῷ δὲ Κυρίῳ οὐκ ἀπόθεσις ζωῆς,
ἀλλὰ μετάστασις πρὸς ἑτέραν τινὰ κρείτ-
τονα.

(1) Ἐλλειπές. Ἴσ. δὲ ἀναγνωστέον οὕτω· οἶνον, τὴν διδασκαλίαν ἐκάλεσεν. ἢ, τὸ δυνατὸν τῆς διδασκαλίας ἐκάλεσεν. ἐξεργάσεται δὲ τῷ, κτ.

(2) Ἴσ. ἐπὶ τούτῳ, ἢ ἐπὶ τοῦτον.

τονα γέγονε ζωὴν, εἰς ἣν ἐκ νεκρῶν ἀναστὰς μετελήλυθε. διὰ τοῦτο λέγει, πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ τὰ ἑξῆς· ἵνα εἴπῃ, ὅτι δέξεται τὸ πάθος οὐκ ἐπὶ τιμωρίᾳ, ὡς οἱ λοιποὶ, ἀλλ' ὡς πολὺ λαμπρότερος ἐξ αὐτοῦ φανῆναι, ἀθάνατος καὶ ἄφθαρτος γεγονώς.

ΕΥΣΕΒΙΟΥ. Σκέψαι καὶ αὐτὸς, μήποτε ὡς ἐν ἀποῤῥήτοις τὸ μυστικὸν αἰνίττεται πάθος αὐτοῦ, ἐν ᾧ τὴν στολὴν αὐτοῦ καὶ τὸ περιβόλαιον ἀποπλύνας, λουτρὸν ἡμῖν παρέσχε, δι' οὗ τῶν εἰς αὐτὸν πεπιστευκότων ἀποπλύνει τὰ παλαιὰ ῥύπη. διὰ γὰρ τοῦ οἴνου, ὅπερ ἦν τοῦ αἵματος αὐτοῦ σύμβολον, τοὺς εἰς τὸν θάνατον αὐτοῦ βαπτιζομένους, καὶ ἐπὶ τὸ αἷμα αὐτοῦ πεπιστευκότας τῶν πάλαι κακῶν ἀποκαθαίρει, ἀποπλύνων αὐτῶν καὶ ἀποσμήχων τὴν παλαιὰν στολὴν, καὶ τὸ περιβόλαιον.

ΚΥΡΙΛΛΟΥ. Πεφοινιγμένα γὰρ τῷ αἵματι τὰ ἐνδύματα ἔχων κατεφαίνετο ταῖς ἄνω δυνάμεσιν ὁ Χριστός· καὶ οἷον ἐξ οἴνου νέου κατακεχρωσμένα πρὸς τὸ ἐρυθρόν.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα καὶ τὸ πάθος προλέγει. πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα. Καὶ τὸ μὲν σῶμα αὐτοῦ, στολὴν ὀνομάζει· τὸ δὲ αἷμα, οἶνον· ἐπειδὴ καὶ τὸν μυστικὸν οἶνον, αἷμα κέκληκεν ὁ δεσπότης. ἀκούομεν δὲ καὶ τοῦ εὐαγγελιστοῦ Ἰωάννου διδάσκοντος, ὡς τοῦ στρατιώτου νύξαντος
Ἰωάν. 19. 34. τὴν πλευρὰν, ἐξῆλθεν αἷμα καὶ ὕδωρ. οὗτοι δὲ οἱ κρουνοὶ διὰ τοῦ σώματος κατεῤῥύησαν. διὰ τοῦτό φησιν ὁ πατριάρχης, πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ.

ΙΠΠΟΛΥΤΟΥ. Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, τουτέστι διὰ τοῦ ἁγίου πνεύματος, καὶ τοῦ λόγου τῆς ἀληθείας καθαριεῖ τὴν σάρκα, ὅπερ ἐμφαίνει τὴν στολήν· καὶ ἐν αἵματι σταφυλῆς θλιβείσης, καὶ ἀνιείσης αἷμα, ὅπερ ἐστὶν ἡ σὰρξ τοῦ Κυρίου, πᾶσαν τὴν ἐξ ἐθνῶν κλῆσιν καθαρίζει.

ΔΙΟΔΩΡΟΥ. Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ. Οὐ μόνον, φησὶ, τοὺς κλυδωνίζοντας ἡμερώσει, ἀλλὰ καὶ διὰ τῶν ἐναντίων, τἀναντία διανύσεται. αἷμα σταφυλῆς βάπτει τὰ ἱμάτια. τούτῳ τῷ αἵματι τῷ βάπτοντι καὶ σπιλοῦντι πλυνεῖ, φησὶ, τὴν στολὴν αὐτοῦ· ὥσπερ πηλῷ τῷ τυφλοῦντι τοὺς ὑγιεῖς ὀφθαλμοὺς τῷ ἐκ γενετῆς τυφλῷ. καὶ θάνατον τὸν ἑαυτοῦ, οὐ προσθήκην παρέσχεν, ἀλλ' ἀναίρεσιν τῷ θανάτῳ. εἰ δέ τινες αἷμα μὲν σταφυλῆς εἰς τὸ τοῦ Σωτῆρος αἷμα καὶ μυστήρια λάβοιεν, τὴν δὲ περιβολὴν εἰς τὴν σάρκα, δεκτοὶ ἂν εἶεν εὐσεβείας ἕνεκα.

ιβ. Χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα.

ΑΔΗΛΟΥ. Κατάκοροι, θερμοὶ, διάπυροι, φοβεροί.

ΓΕΝΝΑΔΙΟΥ. Χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα· Τουτέστιν οἱονεὶ κραιπάλῃ τινὶ καὶ μέθῃ τῷ ἐκ τοῦ πάθους κάρῳ συγκατασχεθεὶς, λαμπρότερος αὖθις ἐξαναστήσεται. καὶ γὰρ τοιουτότροποι τῶν ἐξοινωμένων οἱ ὀφθαλμοὶ, τῷ μὲν πλεῖστῳ συμμεμυκότες, τοῦ βλεφάρου τὴν κόρην ἐπικαλύπτοντος, βραχὺ δέ τι, καὶ αὐτὸ καταπληκτικὸν ὑπανεῳγότες, κατὰ τοὺς ὀργίλον τι καὶ πικρὸν ὑποβλεπομένους. καὶ μέντοι οἱ ὀδόντες τῶν τοιούτων, ὅτι τῷ οἴνῳ περισμηχόμενοι, λευκοὶ προφαίνονται, τῶν χειλῶν περισεσηρότων αὐτῶν, πάντη τοῦτο κατάδηλον. ἔλαβόν γε (1) μὴν τὴν μὲν τῶν ὀφθαλμῶν κάρωσιν, ἐπὶ τοῦ θανάτου, διὰ τὸ τοῖς ἅπασι τοῦτον ἐπίδηλον γεγονέναι· τὴν λευκότητα δὲ τῶν ὀδόντων, ἐπὶ τῆς ἀναστάσεως· ὡς ταύτης ἐν ἀποῤῥήτῳ μᾶλλον, καὶ οὐχ ὡσαύτως ἀναφανδὸν γεγονυίας.

ΘΕΟΔΩΡΟΥ. Χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα. Ἐπειδὴ γὰρ τῶν οἴνῳ πολλῷ κεχρημένων ἔθος ὑφαίμους πως εἶναι τοὺς ὀφθαλμοὺς, τοῦτο λέγει· ὅτι κατὰ μὲν τὸ πάθος καὶ τὸν θάνατον ἀλλοίωσίν τινα φανεῖται δεξάμενος. τοσαύτην δὲ ἕξει ἐπὶ τὸ κρεῖττον μεταβολὴν, ὡς γάλακτος φανῆναι λαμπρότερος. ἀπὸ γὰρ τῶν ὀδόντων, ὡς ἀπὸ μέρους, τὸ πᾶν εἰπεῖν ἠβουλήθη· καὶ μάλιστα ἐπειδή πως ἀποκεκρυμμένους μὲν εἶναι τοῖς χείλεσι τοὺς ὀδόντας συμβαίνει, ἀναφαίνεσθαι δὲ διανοιγομένου τοῦ στόματος. οὕτω δέ πως καὶ ἡ περὶ αὐτὸν λαμπρότης κεκρυμμένη κατὰ τὸν τοῦ θανάτου καιρὸν, ἀναφανήσεται πᾶσι διὰ τῆς ἀναστάσεως.

ΚΥΡΙΛΛΟΥ. Ὅτι δὲ, κἂν εἰ γέγονεν ἐν νεκροῖς, κἂν εἰ τὰς τῶν Ἰουδαίων παροινίας ἀνέτλη, ῥαπίσματα καὶ ὀνειδισμοὺς, οὐ πολὺς αὐτῷ τῶν τοιούτων ὁ λόγος πεπονθότι δι' ἡμᾶς, καὶ ἀνασώσαντι τὴν ὑπ' οὐρανὸν, ἔστι δὲ μᾶλλον ἐν ταῖς αὐτῷ φιλτάταις ἀεὶ καὶ συνήθεσιν εὐθυμίαις, παραδείξειεν ἂν εἰπὼν, χαροποὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου. νοηθείη γὰρ ἂν ἐν τούτοις, καθάπερ ἐγῷμαι, τὸ φιλομειδὲς, καὶ τὸ ἀείπως εὔθυμόν τε καὶ ἱλαρὸν τῆς Θεότητος αὐτοῦ. ἱλαρὸς γάρ πως ἀεὶ τοῖς πεπωκόσιν ὁ νοῦς, καὶ τῶν καταλυπεῖν εἰωθότων ὅτι μάλιστα καταφρονητής. ἐπειδὴ δὲ ἐξ ὀδόντων ὥσπερ πρόεισιν ὁ λόγος, λευκοὺς εἶναι καὶ αὐτούς φησιν, ὡς καθαρόν τε καὶ ἔκλευκον τὸν ἀπὸ γλώττης ἰόντας λόγον. ἁμαρτοεπὴς γὰρ οὐδαμῶς,

(1) Ἔλαβέ γε ὀρθότερ.

μῶς, εὐθυῤῥήμων δὲ μᾶλλον, καὶ ἀληθὴς ὁ Χριστός. καὶ πᾶν ὅ,τι φθέγξαιτο, τοῦτό ἐστιν ἁγιοπρεπὲς καὶ τεθαυμασμένον, καὶ πλείστην ὅσην ἐμποιοῦν τοῖς ἀκροωμένοις τὴν εἰς ψυχήν τε καὶ νοῦν λαμπρότητα.

ΙΠΠΟΛΥΤΟΥ. Τουτέστι φαιδροὶ οἱ ὀφθαλμοὶ αὐτοῦ, ὡς ἀπὸ τοῦ λόγου τῆς ἀληθείας. ἐπιβλέπουσι γὰρ ἐπὶ πάντας τοὺς
» πιστεύοντας εἰς αὐτόν. καὶ λευκοὶ οἱ ὀδόν-
» τες αὐτοῦ ἢ γάλα. τὸ φωτοειδὲς τῶν ῥημάτων αὐτοῦ δηλοῖ. διὰ τοῦτο λευκοὺς ὀνομάζει, γάλακτι δὲ παρεικάζει, ὡς καὶ σάρκα καὶ ψυχὴν διατρέφοντα.

ΤΟΥ ΑΥΤΟΥ. Πάλιν ἀποῤῥήτως τῆς καινῆς διαθήκης τοῦ Σωτῆρος ἡμῶν τὰ μυ-
» στήρια ἡγοῦμαι διαγορεύειν. καὶ τὸ, λευκοὶ
» οἱ ὀδόντες αὐτοῦ ἢ γάλα, τὸ λαμπρὸν καὶ καθαρὸν τῆς μυστηριώδους τροφῆς δηλοῦν.

» ΤΟΥ ΑΥΤΟΥ. Καὶ τὸ, λευκοὶ οἱ ὀδόν-
» τες αὐτοῦ ἢ γάλα λαμβάνομεν, ὅτι τὰ ῥήματα αὐτοῦ φωτεινὰ γίνονται τοῖς πιστεύουσι δι' αὐτοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα δεικνὺς τὴν ἀπὸ
» τοῦ πάθους γενησομένην εὐθυμίαν· χαρο-
» ποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου. εὐφροσύνη γὰρ τῆς οἰκουμένης τὸ σωτήριον πάθος. ὅτι δὲ οὕτω τὸ πάθος ἐκάλεσε, μάρ-
Ματθ. 26. 39. τυς αὐτὸς ὁ Κύριος, λέγων, πάτερ, εἰ
» δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ. οὕτω καὶ τοῖς υἱοῖς ἔφη Ζεβεδαίου·
Ματθ. 20. 22. δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν; τὸ τοίνυν χαροποιὸν τῶν ὀφθαλμῶν τὴν μετὰ τὸ πάθος εὐφροσύνην δηλοῖ. μετὰ γὰρ τὸ πάθος καὶ τὴν ἀνάστασιν εἰς ἅπασαν ἀπεστάλησαν τὴν οἰκουμένην οἱ μαθηταὶ τὴν σωτηρίαν προσφέροντες τοῖς πιστεύουσι. τῆς δέ γε διδασκαλίας τὸ διειδὲς καὶ διαφανὲς λευκοτάτοις ὀδοῦ-
» σιν ἀπείκασε. λευκοὶ γὰρ οἱ ὀδόντες αὐ-
» τοῦ, φησὶν, ἢ γάλα. τοσαῦτα εἴρηκεν ὁ πατριάρχης εὐλογῶν τὸν Ἰούδαν.

» ΔΙΟΔΩΡΟΥ. Τὸ δὲ, χαροποιοὶ οἱ ὀφ-
» θαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, ἀντὶ τοῦ ὑπὲρ οἶνον. οἶνος ἔχει γοῦν τρυγίαν· τὸ δὲ καθαρὸν, τὸ βλεπτικὸν καὶ ἀθόλωτον· τὸ χαροποιὸν ἔχων, οὐ σκοτῶν τὴν διάνοιαν, ἀλλὰ νῆψιν ἐργαζόμενος ταῖς ψυχαῖς. καὶ λευ-
» κοὶ, φησὶν, οἱ ὀδόντες αὐτοῦ ἢ γάλα. ὀδόντας εἴωθεν ἡ θεία Γραφὴ καὶ ἐπὶ λό-
Ψαλ. 56. 4. γων λαμβάνειν, ὡς τὸ, οἱ υἱοὶ ἀνθρώπων οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη. ἐπάγει
» γοῦν, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα. ὡς καὶ νῦν ὀδόντας λευκοὺς ὑπὲρ γάλα, τὸ καθαρὸν αὐτοῦ τῆς διδασκαλίας ἐκάλεσε.

ιγ. Ζαβουλὼν παράλιος κατοικήσει καὶ αὐτὸς παρ' ὅρμον πλοίων, καὶ παρατενεῖ ἕως Σιδῶνος.

* ΙΠΠΟΛΥΤΟΥ. Παράλιος θαλασσῶν, κατοικήσει γε μὴν τὴν Ζαβουλὼν, τὴν
A ἐν τῇ θαλάσσῃ γείτονα χώραν προλέγει, καὶ ὡσανεὶ ἀναμιγῆναι τοῖς ἔθνεσι τὸν Ἰσραὴλ, ὅτε δὴ καὶ εἰς μίαν ποίμνην ἠγμένων τῶν δύο λαῶν· δῆλον δὲ ἐν τῷ Εὐαγ-
» γελίῳ, γῆ Ζαβουλὼν, καὶ γῆ Νεφθαλεὶμ, Ματθ. 4. 15.
καὶ τὰ ἑξῆς. σωματικώτερον δὲ νοήσεις τὴν ἑκατέρωθεν γῆς καὶ θαλάσσης χορη-
» γίαν. καὶ αὐτὸς παρ' ὅρμον πλοίων, τουτέστιν ὡς ἐν λιμένι ἀσφαλεῖ, ἀνάπτων εἰς Χριστὸν τὰ τῆς ἐλπίδος πείσματα.

B ΤΟΥ ΑΥΤΟΥ. Δηλοῖ καὶ τοῦτο τὴν ἐξ ἐθνῶν κλῆσιν, ὅτι εἰς πᾶσαν τὴν γῆν καὶ τὴν θάλασσαν ἐξελεύσεται ἡ χάρις
» τοῦ Χριστοῦ. λέγει γὰρ, καὶ παρ' ὅρμον
» πλοίων, καὶ παρατενεῖ ἕως Σιδῶνος. ὅτι δὲ εἰς τὴν ἐξ ἐθνῶν κλῆσιν τοῦτο προκηρύσσει, δηλοῦται ἐν τῷ Εὐαγγελίῳ ἡμῖν,
» γῆ Ζαβουλὼν, καὶ γῆ Νεφθαλεὶμ ὁδὸν Ματθ. 4. 15, 16.
» θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία
» τῶν ἐθνῶν. ὁ λαὸς ὁ καθήμενος ἐν σκότει
Γ » εἶδε φῶς μέγα, καὶ τὰ ἑξῆς.

ΤΟΥ ΑΥΤΟΥ. Κατοικήσει γε μὴν αὐτὸν, ἤτοι τὸν Ζαβουλὼν, τὴν τῇ θαλάσσῃ γείτονα χώραν διεβεβαιοῦτο σαφῶς, οἱονεί πως ἐκεῖνα λέγων, ὅτι τοῖς ἔθνεσιν ἀναμὶξ ἔσται λοιπὸν ὁ Ἰσραὴλ, ἅτε δὴ καὶ εἰς μίαν ποίμνην συνηγμένων τῶν δύο λαῶν, καὶ ὑπὸ χεῖρα τὴν ἑνὸς τοῦ κατὰ φύσιν ἀγαθοῦ γεγονότων ἀρχι-
Δ ποίμενος, τουτέστι Χριστοῦ. (1)

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοῦτον εὐλογῶν καὶ
» Μωϋσῆς, εἶπεν· εὐφρανθήσεται Ζαβου- Δευτ. 33. 18.
λὼν, καὶ ὑπὸ χεῖρα τὴν ἑνὸς ἐν τῇ λήξει τῆς γῆς, καὶ τὴν ἑκατέρωθεν ἔχειν χορηγίαν τῶν τε ἐκ γῆς καὶ θαλάττης καλῶν ὁ Μωσῆς προφητεύει. (2)

ΚΥΡΙΛΛΟΥ. Διερμηνεύεται Ζαβουλὼν εὐωδία τε καὶ εὐλογία παρὰ τοῖς τὰ τοιάδε
E διατρανοῦν εὖ μάλα κατειθισμένοις. εὐλογημένους δὴ οὖν τινὰς ἄρα τῶν ἐξ Ἰσραὴλ εὑρήσομεν, καὶ τὴν ἐφ' ἅπασι τοῖς ἀνδάνουσι Θεῷ εὐωδίαν πεπλουτηκότας· πλὴν ὅτι τοὺς διὰ πίστεως τῆς εἰς Χριστὸν δεδικαιωμένους, καὶ τῇ τοῦ ἁγίου πνεύματος λελαμπρυσμένους χάριτι· ὡς καὶ ἰσχύσαι λοιπὸν οὐ ψευδοεποῦντας ἀνακράζειν, εὐλο-
» γημένοι ἡμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι, Ψαλ. 113. 15.
καὶ τὰ ἑξῆς. Καὶ μετ' ὀλίγα. Οὐκοῦν εἶεν ἂν
Z εὐλογημένοι καὶ εὐωδούμενοι τὴν εἰς Χριστὸν πίστιν οἱ τετιμηκότες ἐξ Ἰσραήλ.

* ΤΟΥ ΑΥΤΟΥ. Ἔσται δὲ καὶ παρ' ὅρμον πλοίων, τουτέστιν ὡς ἐν λιμένι τυχὸν ἀσφαλεῖ, καὶ εἰς Χριστὸν ἀνάπτων τῶν ἐλπίδων τὰ πείσματα. ἐκ πολλῆς γὰρ ἀποφοιτήσας ζάλης, ὁρμισθήσεται λοιπὸν τῇ παρ' αὐτῷ χάριτι, καθάπερ ἀμέλει καὶ ἐν λιμέσιν ὁλκάδες. καὶ μέχρι δὲ αὐτῆς παρατείνεσθαι τῆς Σιδῶνος εἶπεν, ὑποδη-
H λῶν ὡς ἔοικεν, ὅτι τοσαύτη προσείωσις τῇ πνευματικῇ συνδρομῇ τῶν δύο γενήσεται λαῶν,

(1) Τὰ αὐτὰ αὐταῖς λέξεσιν ὁ Κύριλλος ἐν τόμ. 1. μέρ. 1. σελ. 225.
(2) Τὰ αὐτὰ αὐτολεξεὶ ὁ Ἱππόλυτ. ἐν τοῖς ἐκδεδομ.

λαῶν, ὡς τοὺς ἐξ αἵματος Ἰσραὴλ καὶ αὐτὰς ἐμπλῆσαι τὰς πόλεις τὰς ἐν πολλῇ παρὰ τῷ Θεῷ γεγενημένας αἰτίᾳ, καὶ διαρπάζουσας τρόπον τινὰ τοὺς σεβομένους αὐτόν. (1)

ιδ. Ἰσάχαρ τὸ καλὸν ἐπεθύμησεν, ἀναπαυόμενος ἀνὰ μέσον τῶν κλήρων.

** ΠΡΟΚΟΠΙΟΥ. Τῆς Γαλιλαίας τὰ μὲν πρὸς θαλάσσῃ καὶ δύσει, Ζαβουλὼν ἐκληρώσατο καὶ Νεφθαλείμ· τὰ δὲ ἀνατολικώτερα τούτων, ὁ Ἰσάχαρ· μεταξὺ οὖν τῶν κλήρων ἀναπαύεσθαί φησιν αὐτὸν Ἰακώβ· μέσος γὰρ τοῦτε Ἰωσὴφ καὶ τῶν περὶ Ζαβουλών· ἃ κεκληροδότηται προσανέχων.

» ΑΔΗΛΟΥ. Ἰσάχαρ τὸ καλὸν ἐπεθύμησε. λαμβάνεται καὶ τοῦτο τύπος τῶν Ἀποστόλων· ὅτι καταλιπόντες τὴν ἐκ νόμου πολιτείαν, ἠκολούθησαν τῷ Χριστῷ, καὶ ἐπιθυμήσαντες τὸ καλὸν, ἠκολούθησαν τῇ τοῦ Κυρίου διδασκαλίᾳ.

ΚΥΡΙΛΛΟΥ. Μισθὸς δὲ πάλιν ὁ Ἰσάχαρ ἑρμηνεύεται. εἴη δ' ἂν ὡς ἀπό γε τοῦ σημαινομένου τύπος οἷά τις, καὶ εἰκὼν οὐκ ἀσυμφανὴς τῶν ἐν τάξει μισθοῦ παρὰ τοῦ Θεοῦ καὶ πατρὸς ἀπονεμηθέντων Χριστῷ.
Ψαλ. 2. 8. αἴτησαι γάρ φησι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη, καὶ τὰ ἑξῆς. ψάλλει δέ που καὶ [πάλιν] ὁ θεσπέσιος Δαβὶδ, τοὺς δοθέντας, οἶμαί που, τῷ Ἐμμανουὴλ μονονουχὶ
Ψαλ. 126. 3. καταδεικνύς. ἰδοὺ ἡ κληρονομία Κυρίου
» υἱοὶ, [ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός.] δέδοται γὰρ, ὡς ἔφην, τῷ Ἐμμανουὴλ μισθὸς οἱ ἅγιοι οἱ πεπιστευκότες ἀπό τε τῶν ἐξ Ἰσραὴλ, καὶ τῆς ἑτέρας πληθύος, φημὶ δὴ τῆς ἐξ ἐθνῶν. Κύριον δὲ ὀνομάσας τὸν Ἰησοῦν, καὶ καρπὸν αὐτὸν ἔφη γεγενῆσθαι γαστρὸς, διὰ τὴν καθ' ἡμᾶς ὁμοίωσιν. γεγέννηται γὰρ ἐκ γυναικὸς, καὶ καρπὸς νηδύος ἐδείχθη παρθενικῆς. οὐκοῦν τοὺς πιστεύσαντας ἀποκεκέρδηκεν ὁ Χριστὸς, καὶ περὶ αὐτῶν τάχα που πρὸς τὸν ἐν οὐρα-
Ἰωάν. 17. 6. νοῖς πατέρα φησὶν, οὓς δέδωκάς μοι ἐκ τοῦ
» κόσμου, σοὶ ἦσαν, κἀμοὶ αὐτοὺς δέδωκας. οὗτοι δὴ οὖν τὸ καλὸν ἐπεθύμησαν, τουτέστι πᾶν ὅπερ ἂν λέγοιτό τε καὶ ἐστὶν ἀληθῶς ἐξαίρετον, καὶ τῶν ὅτι μάλιστα φιλτάτων τῷ Θεῷ, τοῦτο ποιοῦντες περὶ πολλοῦ, καὶ κατορθοῦν σπουδάζοντες· ὡς ἐκ διανοίας ἀ-
Ψαλ. 18. 9. γαθῆς ἀναφωνοῦντας λέγειν, τὰ κρίματα
» Κυρίου ἀληθινὰ, καὶ τὰ ἑξῆς.

** ΤΟΥ ΑΥΤΟΥ. Ὁ γνώμης τοίνυν εἰς τοῦτο προσήκων λαὸς κατασκέψεται μὲν ἀκριβῶς τοὺς περὶ Θεοῦ κλήρους, τουτέστι τὰ ἐν ἐλπίσιν ἀγαθὰ τοῖς εὐσεβοῦσιν ἐπηγγελμένα. περὶ ὧν καὶ ὁ θεῖος ἔφη
Ψαλ. 30. 15. Δαβίδ· ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. καταλύσει δὲ ὥσπερ ἐν αὐτοῖς καὶ ἐπαναπαύσεται πάντη τε καὶ πάντως, ὅτι τεύξεται προσδοκῶν.

ΙΠΠΟΛΥΤΟΥ. Ἐπειδὴ οἱ τὰς ἐντολὰς φυλάσσοντες οὐκ ἀποταξάμενοι τοῖς νομικοῖς διδάγμασιν, ἐπαναπαύονται καὶ ἐπ' αὐτοῖς, καὶ τῇ τοῦ Κυρίου ἡμῶν διδασκα-
» λίᾳ. ὅπερ ἐστὶν, ἀνὰ μέσον τῶν κλήρων.
» καθὼς καὶ ὁ Κύριος λέγει, οὐκ ἦλθον κατα- Ματθ. 5. 17.
» λῦσαι τὸν νόμον καὶ τοὺς Προφήτας, ἀλλὰ πληρῶσαι. καὶ γὰρ ὁ Κύριος ἡμῶν ἐν τῷ τὰς ἐντολὰς φυλάσσειν, οὐ καταλύει τὸν νόμον, καθὼς ἐν Εὐαγγελίοις φησίν.

ιε. Καὶ ἰδὼν τὴν ἀνάπαυσιν ὅτι καλὴ, καὶ τὴν γῆν ὅτι πίων, ὑπέθηκε τὸν ὦμον αὐτοῦ εἰς τὸ πονεῖν· καὶ ἐγενήθη ἀνὴρ γεωργός.

ΙΠΠΟΛΥΤΟΥ. Τῶν ἀφωρισθέντων αὐτῷ ἐν μέρει κληρονομίας, καὶ κτήσεως τόπων γῆς, τουτέστι τῆς διδασκαλίας τοῦ Κυρίου. ἀνάπαυσις γὰρ αὕτη καλὴ, κα-
» θὼς καὶ αὐτὸς λέγει, δεῦτε πρός με πάν- Ματθ. 11. 28.
» τες οἱ κοπιῶντες, καὶ τὰ ἑξῆς.

» ΤΟΥ ΑΥΤΟΥ. Καὶ τὴν γῆν ὅτι πίων. ὅπερ ἐστὶν ἡ σὰρξ τοῦ Κυρίου ἡμῶν ἡ πίων, τουτέστιν ἡ λιπαρά. αὕτη γὰρ ἡ ῥέουσα γάλα καὶ μέλι.

» ΤΟΥ ΑΥΤΟΥ. Ὑπέθηκε τὸν ὦμον
» αὐτοῦ εἰς τὸ πονεῖν, καὶ ἐγενήθη ἀνὴρ γεωργός. ὅπερ ἐποίησαν οἱ Ἀπόστολοι. λαβόντες γὰρ τὴν δύναμιν παρὰ Θεοῦ, καὶ ὑποθέντες ἑαυτοὺς εἰς τὸ πονεῖν, ἐγενήθησαν γεωργοὶ τοῦ Κυρίου, ἐργασάμενοι τὴν γῆν, τουτέστι τὴν ἀνθρωπότητα, διὰ τοῦ κηρύγματος τοῦ Κυρίου ἡμῶν.

ΑΔΗΛΟΥ. Πλὴν καὶ ἡ γῆ, ἐν ᾗ κατῴκησε, πίων καὶ λιπαρά. γῆ δὲ πίων ἐστὶ καὶ ἡ σὰρξ τοῦ Κυρίου ἐπιρρέουσα μέλι καὶ γάλα. καὶ τοῦτο δὲ οἱ Ἀπόστολοι ἐπεποιήκεισαν, γενόμενοι γεωργοὶ τοῦ παγκοσμίου ἀγροῦ.

** ΚΥΡΙΛΛΟΥ. Ἐπαινέσας δὴ οὖν τὴν ἑαυτοῦ βουλήν τε καὶ κρίσιν, καὶ οὐ μετρίου θαύματος τὴν ἐν γε τούτοις ἀξιώσας ἀνάπαυσιν, τουτέστι τὴν εἰς τὸν αἰῶνα τιμὴν, τὴν ὡς ἐν ἁγιασμῷ τελείῳ ἔχοντι ζωὴν, τὴν ἀτελεύτητον δόξαν, τὴν αναπόβλητον βασιλείαν, καὶ ὅσα καὶ νοῦ καὶ γλώττης ἐπέκεινα, τληπαθὴς ἔσται λοιπόν. ἑωρακὼς γὰρ, ὅτι πίων ἡ γῆ, τὸν ὦμον ὑποθήσει, φησὶ, καὶ ἀγαπήσει τὸν πόνον. δέχεται δὲ τὸ παράδειγμα παρὰ τῶν ὡς ἄριστα γηπονεῖν εἰωθότων. οἳ φιλεργέστατοί εἰσι καὶ σκαπάνης φίλοι, καὶ μὴν καὶ ἀρότροις ἐνιδροῦν σπουδάζουσι, εἰ δὴ πεῖραν λάβοιντο γῆς, ἐννοοῦντες, οἶμαί που, καρπὸν τὸν ἀμφιλαφῆ, καὶ τὰ ἐξ αὐτῆς ἐσόμενα.

ις. Δὰν

(1) Τὰ αὐτὰ καὶ Ἱππόλυτ. ἐν τοῖς ἐκδεδομ.

ιϛ. Δὰν κρινεῖ τὸν λαὸν αὐτοῦ, ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ.

ΓΕΝΝΑΔΙΟΥ. Τὴν τῆς φυλῆς ταύτης ἡγεμονίαν, τὴν διὰ τοῦ Σαμψὼν προμηνύει, τοῦτο λέγων· ὅτι τοσοῦτον ἰσχυρὸς ὁ ἐξ αὐτῆς κριτὴς ἀναστήσεται, ὡς τῶν δώδεκα φυλῶν εὐκόλως οὕτως, ὡσανεὶ καὶ μιᾶς κατάρξει φυλῆς.

ΔΙΟΔΩΡΟΥ. Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαὸν, ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ. τοῦτο καὶ τὴν ὀλίγωσιν τῆς φυλῆς δηλοῖ, καὶ τὸ δυνατόν. οὐ γὰρ εἶπεν, ἐπιδώσει ὡσεὶ καὶ μία φυλὴ, ἀλλὰ κρινεῖ. καὶ ταῦτα πλήθει πλεῖον ὅσον ἐλαττουμένης.

ΚΥΡΙΛΛΟΥ. Ἕπεται πάλιν τῇ τοῦ ὀνόματος ἐτυμολογίᾳ ὁ λόγος. κριτὴν γὰρ, ἤτοι κρίσιν, σημαίνει ὁ Δάν. ἐμφαίνοι δ' ἂν ἐφ' ἑαυτῷ οὑτωσὶ πάλιν τὸν εὐκλεᾶ καὶ περίοπτον τῶν ἁγίων Ἀποστόλων χορόν· οἳ εἰς ἀρχὴν τέθεινται τῶν πεπιστευκότων, καὶ τὸ κρίνειν ἔλαχον, κατανέμοντος αὐτοῖς τὸ χρῆμα τοῦ Χριστοῦ.

ιζ. Καὶ γενηθήτω Δὰν ὄφις ἐφ' ὁδοῦ, ἐγκαθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου· καὶ πεσεῖται ὁ ἱππεὺς
ιη. εἰς τὰ ὀπίσω, Τὴν σωτηρίαν περιμένων Κυρίου.

ΓΕΝΝΑΔΙΟΥ. Καὶ γενηθήτω Δὰν, ἀντὶ τοῦ τῷ Δὰν γενηθήτω. Δὰν ὄφις ἐφ' ὁδοῦ, ἐγκαθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου· καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω, τὴν σωτηρίαν περιμένων Κυρίου· ἵνα εἴπῃ, ὅτι ὅνπερ τρόπον ὄφις ἐφ' ὁδοῦ, παριόντος ἵππου τὴν πτέρναν δακὼν, ἐξ ἀνάγκης καὶ τὸν ἐποχούμενον συγκαταστρέφει, ὡς ἐλπίδα σωτηρίας αὐτῷ μίαν ὑπολείπεσθαι μόνην, τὴν θείαν βοήθειαν· οὕτω καὶ τὸν Σαμψὼν ἡ γυνὴ ῥίψασα δι' ἀπάτης, πάντα τὸν ἐπαναπαυόμενον αὐτῷ συγκαταστρέψει λαόν· ἄχρις οὗ πάλιν τῆς θείας τυχὼν ἀντιλήψεως, ἀμύνηται τοὺς ἠδικηκότας αὐτῷ. τὸ δὲ γενησόμενον ἐν προστακτικῷ σχήματι προεφήτευσε, γενηθήτω, λέγων, τῷ Δὰν ὄφις, ὡς τὸ
Σοφον. 1. 2. παρὰ τῷ Προφήτῃ, ἐκλείψει ἐκλιπέτω ἡ γῆ ἀπὸ προσώπου Κυρίου. εὐκαίρως δὲ τῷ ὄφει τὴν διὰ τῆς γυναικὸς ἀπάτην ἀπείκασεν· ἐπειδὴ καὶ τὸν Ἀδὰμ πρότερον διὰ τῆς γυναικὸς ὁ αὐτὸς παρεκρούσατο.

ιϛ' ΔΙΟΔΩΡΟΥ. Καὶ γενηθήτω Δὰν ὄφις ἐφ' ὁδοῦ, ἐγκαθήμενος ἐπὶ τρίβου, καὶ τὰ ἑξῆς. Ἐνήδρευσέ ποτε ἡ Δὰν φυλὴ τοῖς τὴν πόλιν Λαΐσαν οἰκοῦσι, καὶ ἐπιστάντες ἀθρόως, πάντας μὲν ἀνεῖλον, αὐτοὶ δὲ τὴν πόλιν ᾤκησαν, ἣν καὶ τῷ ὀνόματι τῆς φυλῆς Δὰν κεκλήκασιν. ὅπερ προλέγει ὁ Ἰακώβ, ὄφει παραβάλλων δάκνοντι πτέρναν ἵππου· κεῖται γὰρ ἡ Δὰν ἐσχάτη πάσης τῆς γῆς αὐτῶν· καὶ τοὺς ἐπ' αὐ-

A τῆς πρὸ τούτου, ἱππεῖ πεπτωκότι οὐκ ἐπὶ πρόσωπον, ὥστε ταχέως ἀναστῆναι, ἀλλ' εἰς τὰ ὀπίσω. ὃν, πολέμου παρόντος, ἀναστῆναι τῶν ἀδυνάτων· πλὴν εἰ μὴ ὁ πάντα δυνάμενος Θεὸς βοηθήσῃ. τοῦτο γάρ ἐστι τὸ, τὴν σωτηρίαν περιμένων παρὰ Κυρίου. οὐκ ἐπειδὴ ἔμελλον τυγχάνειν Θεοῦ βοηθοῦ, ἀλλ' οὕτω πίπτειν, ὡς τὴν τοῦ σώματος καὶ τῆς ἀναιρέσεως ἀπαλλαγὴν, μόνης δέεσθαι τῆς τοῦ Θεοῦ βοηθείας.

B ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦ δὲ Ζαβουλὼν προεῖπε τὴν παράλιον οἴκησιν· τοῦ δὲ Ἰσαχὰρ τὴν γηπονίαν· τοῦ δὲ Δὰν, κατὰ μέν τινας τὰ ὑπὸ τοῦ Σαμψὼν γεγενημένα· ἐκ ταύτης γὰρ ἦν τῆς φυλῆς, συναριθμηθῆ δὲ καὶ τοῖς κριταῖς· καὶ διὰ τοῦτό φησιν, ἔφη, Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαὸν, ὡσεὶ καὶ μιᾷ φυλῇ ἐν Ἰσραήλ· ἔνιοι δέ φασι τὰ κατὰ τὴν Λαΐσαν, τὴν νῦν Πανεάδα καλουμένην προσαγορεῦσαι.
Γ ἐξαπίνης γάρ τινες ἀπὸ ταύτης ὁρμώμενοι τῆς φυλῆς, ταύτῃ προσβαλόντες τῇ πόλει, εἷλόν τε κατὰ κράτος καὶ ᾤκησαν, καὶ τὴν οἰκείαν αὐτῇ προσηγορίαν ἐπέθηκαν. Δὰν γὰρ αὐτὴν ἐκάλεσαν. ἐγὼ δὲ οἶμαι τὸ θεῖον πνεῦμα τὰ κατὰ τὸν Σωτῆρα τὸν ἡμέτερον διὰ τοῦ πατριάρχου προθεσπίσαι, καὶ τὰ κατὰ τὸν ἀντίχριστον διὰ ταύτης εἰπεῖν τῆς προρρήσεως. σφόδρα δὲ αὐτῷ καὶ τὰ
Δ γεγραμμένα ἁρμόττει. Δὰν γάρ φησι κρινεῖ τὸν ἑαυτοῦ λαὸν, ὡσεὶ καὶ μιᾷ φυλῇ ἐν Ἰσραήλ. ὥσπερ γάρ φησιν ἐκ τῆς Ἰούδα φυλῆς ὁ σωτὴρ καὶ Κύριος ἡμῶν βλαστήσας διασώσει τὴν οἰκουμένην, οὕτως ἐκ τῆς τοῦ Δὰν φυλῆς ὄφις ὀλέθριος ἐξελεύσεται. τοῦτο γὰρ λέγει, καὶ γενηθήτω Δὰν ὄφις ἐφ' ὁδοῦ, ἐγκαθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου· καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω, τὴν σωτηρίαν περι-
E μένων Κυρίου. ἐπειδὴ γὰρ ἀπάταις παντοδαπαῖς κεχρημένος, πειρᾶται τοὺς φενακιζομένους ἀγρεῦσαι εἰς θάνατον, ὄφει τινὶ αὐτὸν ἀπεικάζει, παρά τινα τρίβον φωλεύοντι, καὶ τοῖς παριοῦσι λυμαινομένῳ. ἵππον δὲ οἶμαι καλεῖν αὐτὸν, τὸ σῶμα· ἐπιβάτην δὲ, τὴν ψυχήν· τὸ δὲ εἰς τοὐπίσω πεσεῖν, τουτέστιν ὕπτιον κεῖσθαι, τὸν θάνατον παραδηλοῖ. τοιοῦτον γὰρ τῶν τεθνεώτων τὸ σχῆμα. διὰ δὲ τῆς
Z πτέρνης, τὴν ἀπάτην ᾐνίξατο. ἐπειδὴ γὰρ τοὺς μὲν ἐξαπατᾷ, τοῖς δὲ χαλεπὰς ἐπιφέρει κολάσεις, διὰ τοῦ ἵππου τὸ σῶμα δεδήλωκεν, οὗ δακνομένου καὶ διαφθειρομένου, ὁ θάνατος γίνεται, τοὺς τῆς ἐλπίδος τοῖς ὑπομένουσι κομίζων καρπούς. καρπὸς δὲ τῆς τοιαύτης ἐλπίδος ἡ σωτηρία.

ΙΠΠΟΛΥΤΟΥ. Δηλοῦται ἡμῖν εἶναι ἱππεὺς ὁ Κύριος· πτέρνα δὲ, ὅτι πρὸς ἔσχατον τῶν καιρῶν· τὸ δὲ ὅτι πεσεῖται,
H τὸν θάνατον αὐτοῦ δηλοῖ, καθὼς γέγραπται ἐν τῷ Εὐαγγελίῳ· ἰδοὺ οὗτος κεῖται Λουκ. 2. 34.
εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν.

ΤΟΥ

** ΤΟΥ ΑΥΤΟΥ. Ὄφις τίς ἐστιν; Ἀλλ' A ἢ ὁ ἀπ' ἀρχῆς πλάνος ὁ ἐν τῇ Γενέσει εἰρημένος, ὁ πλανήσας τὴν Εὔαν, καὶ πτερνίσας τὸν Ἀδάμ. Καὶ μετ' ὀλίγα. Ὅτι μὲν γὰρ οὗτος ἐκ τῆς φυλῆς τοῦ Δὰν μέλλει γεννᾶσθαι, καὶ ἀντιτάσσεσθαι, τύραννος ὢν βασιλεὺς, κριτὴς δεινὸς, καὶ διάβολος, φησὶν ὁ Προφήτης, Δὰν κρινεῖ τὸν λαὸν αὐτοῦ, ὡσεὶ καὶ μίαν φυλὴν ἐν Ἰσραήλ. ἀλλ' ἐρεῖ τὶς, ὅτι τοῦτο ἐπὶ τοῦ Σαμψὼν εἴρηται· ὃς ἐκ τῆς φυλῆς τοῦ Δὰν γεννηθεὶς, ἔκρινε τὸν λαὸν αὐτοῦ εἴκοσι ἔτη. B Τὸ μὲν ἐπὶ τοῦ Σαμψὼν μερικὸν γεγένηται, τὸ δὲ καθόλου πληρωθήσεται ἐπὶ τὸν ἀντίχριστον. λέγει γὰρ καὶ Ἱερεμίας οὕτως·
Ἱερ. 8. 16. ἐκ Δὰν ἀκουσόμεθα φωνὴν ὀξύτητος ἵππων αὐτοῦ· ἀπὸ φωνῆς χρεμετισμοῦ ἱππασίας ἵππων αὐτοῦ ἐσείσθη πᾶσα ἡ γῆ. καὶ
Δευτ. 33. 22. πάλιν Μωϋσῆς φησὶ, σκύμνος λέοντος Δὰν, καὶ ἐκπηδήσεται ἐκ τοῦ Βασάν. ἀλλ' ἵνα μή τις σφαλῇ περὶ τοῦ Σωτῆρος εἰρῆσθαι τὸ ῥητὸν τοῦτο, ἐπιστησάτω τὸν νοῦν. Δὰν φησι σκύμνος λέοντος· τὴν φυλὴν ὀνομάσας τοῦ Δὰν, ἐσαφήνισε τὸ προκείμενον, ἐξ ἧς μέλλει ὁ διάβολος γεννᾶσθαι. ὥσπερ γὰρ ἐκ τῆς φυλῆς Ἰούδα γεννᾶται ὁ Χριστὸς· οὕτως ἐκ τῆς Δὰν φυλῆς γεννήσεται ὁ ἀντίχριστος. τοῦ μὲν Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ υἱοῦ τοῦ Θεοῦ, διὰ τὸ βασιλικὸν καὶ ἔνδοξον, λέοντος προκεκηρυγμένου· τῷ αὐτῷ τρόπῳ καὶ τὸν διάβολον ὁμοίως λέοντα προανηγόρευσεν ἡ Γραφὴ, διὰ τὸ τυραννικὸν αὐτοῦ καὶ βίαιον.

* ΚΥΡΙΛΛΟΥ. (1) Ἐπειδὴ δὲ τῆς ἐν νόμῳ σκιᾶς οἱονεί πως συνεσταλμένης, καὶ τῆς ἐν πνεύματι καὶ ἀληθοῦς λατρείας εἰσκεκομισμένης, λαμπροτέρων ἔδει τῷ κόσμῳ κριτῶν, εἰσκέκληνται πρὸς τοῦτο λοιπὸν οἱ θεσπέσιοι μαθηταὶ, καὶ εἰς τὸν τῶν κατὰ νόμον καθηγητῶν εἰσέφρησαν κλῆρον. τοιγάρτοι πρὸς μὲν τὴν τῶν Ἰουδαίων μητέρα, φημὶ δὴ τὴν Ἱερουσαλὴμ, ἐλέγετο παρὰ Θεοῦ διὰ τῆς τοῦ ψάλλοντος φωνῆς,
Ψαλ. 44. 16. ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου, τουτέστιν οἱ σοὶ χρηματίζοντες υἱοί· πρὸς δέ γε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. Καὶ μετ' ὀλίγα. Πλὴν ὅτι τὸ ἄρχειν αὐτοῖς οὐκ ἀταλαίπωρον ἔσται παντελῶς, ἔμελλον δὲ μᾶλλον καὶ ἀναριθμήτων πειρᾶσθαι κακῶν· παραποδισθήσονται δὲ, καὶ οὐκ εἰς ἅπαν εὑρήσουσι τῆς ἀποστολῆς τὸν δρόμον κινδύνων ἀπηλλαγμένον, ὡς ἐν τύπῳ παραδείγματος ὑπέφηνεν εἰπὼν, ὅτι γεννηθήτω ἀντὶ τοῦ ἔσται τῷ Δὰν ὁ τῶν διωκόντων δῆμος, ὡς ὄφις ἐν ὁδῷ, καθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου, τουτέστι δεινὰ καὶ ἄφυκτα δήγματα διδούς.

A τάχα τοι τὰ τῶν ἐχθρῶν δήγματα δυσδιάφευκτά πως ἐστὶ κατά γε αὐτὴν, εἰ γένοιντο τὴν πτέρναν. αὐτός γάρ σου τηρήσει Γεν. 3. 15. κεφαλὴν, καὶ σὺ αὐτοῦ τηρήσεις πτέρναν. ἐπεβούλευσαν δὲ οὕτω τινὲς τοῖς ἁγίοις Ἀποστόλοις, ὡς καὶ αὐτὸν ἐπαγαγεῖν τὸν τῆς σαρκὸς θάνατον. καὶ δή τι τοιοῦτον ὑποστῆναί φαμεν αὐτοὺς, ὁποῖον πάθοι ἂν τυχὸν ἱππεὺς, ὀκλάσαντος ἵππου, καὶ ἀνόπιν ὥσπερ ὑφιζηκότος. ὑπεραρθήσεται B γὰρ ὁ ἐπιβάτης, καὶ εἰς γῆν, οἷμαι πού, περιπεσὼν, περιμενεῖ τὸν σώζοντα. περιμεμενήκασι δὲ καὶ οἱ θεσπέσιοι μαθηταὶ τὸν τῆς ἑαυτῶν δόξης καὶ σωτηρίας καιρὸν, καθ' ὃν εἰσκεκλήσονται εἰς βασιλείαν ἀκλόνητον, ἐπιφωνοῦντος αὐτοῖς τοῦ Χριστοῦ τὸ, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός Ματθ. 25. 34. μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς τοῦ κόσμου. Εἰ δὲ μὴ βούλοιτό τις οὐχὶ τῷ Δὰν ἔσεσθαί τι- Γ νας ὡς ὄφεις ἐγκαθημένους, ἀλλ' αὐτὸν ἑτέροις ἐπιβουλεύειν τὸν Δάν· ἐκεῖνο ἐροῦμεν, ὅτι τὸ κρίνειν τε καὶ καθηγεῖσθαι λαῶν ἔχοντες οἱ Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ἐχθρῶν δίκην ἐπεφύοντο τῷ Χριστῷ, καὶ οἱονεί πως τοῦτον ἐκπίπτειν διὰ ὑψηλῆς ὁδεύοντα καὶ λείας ἄττοντα τρίβου δήγμασι παρακόπτοντες ἀνοσίως ἐσπούδαζον. ἀλλ' εἰ καὶ πέπτωκεν ὁ ἱππεὺς, ἐθελοντὴς ἀνατλὰς τὸν τῆς σαρκὸς θά- Δ νατον, ἀλλ' οὖν καὶ ἀναβιώσεται, συλλήπτορα καὶ ἐπαρωγὸν ποιούμενος τὸν πατέρα. δύναμις γὰρ ὢν τοῦ Θεοῦ καὶ πατρὸς ὁ υἱὸς, τὸν ἴδιον αὐτὸς ἐζωογόνει ναόν. ταύτῃ τοι σεσῶσθαι λέγεται παρὰ τοῦ πατρὸς, κεκινδυνευκὼς ὡς ἄνθρωπος· καίτοι κατὰ φύσιν ὑπάρχων Θεὸς, καὶ ὅλην αὐτὸς εἰς τὸ εὖ εἶναι συνέχων ὁρατήν τε καὶ ἀόρατον κτίσιν. οὕτω που συνεὶς ὁ θεσπέσιος Παῦλος περὶ αὐτοῦ φησίν· εἰ καὶ 2. Κορ. 13. 4. E ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ.

ΑΔΗΛΟΥ. Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαόν. Ὁ μὲν Ἱππόλυτος, εἰς τύπον τοῦ πονηροῦ ἀνάγει τὸν Δάν. κρινεῖ γάρ φησι τοὺς ἀπατωμένους ὑπ' αὐτοῦ. γέγονε δὲ καὶ Ἰούδας ὁ Ἰσκαριώτης ἐκ τῆς Δὰν φυλῆς. ἐν τούτῳ γὰρ ἐγκρυβεὶς ὁ ἀρχαῖος ὄφις, παρέδωκε τὸν Κύριον. ἐφ' ὁδοῦ μὲν τῷ Κυρίῳ Z συναναστρεφόμενος, ἐνεδρεύων δὲ τὴν ὁδὸν τῆς δικαιοσύνης. τὸ δὲ, ἐπὶ τρίβου, τὰ ἴχνη ἐνεδρεύων τοῦ ὑποδείξαντος ἡμῖν τὴν τρίβον τῆς ζωῆς. δάκνων δὲ πτέρναν ἵππου τῆς ἐν σαρκὶ ἐλεύσεως τοῦ Κυρίου. ὁ δὲ Εὐσέβιος Ἐμέσης τὸν κατὰ διαδοχὴν τῆς φυλῆς Δὰν ἐγειρόμενον Σαμψὼν λέγει. διὰ δὲ τὸ ἰσχυρὸν παραβάλλει αὐτὸν, φησὶν, ὄφει ἐν ὁδῷ, ὃς ἔβαλε τὸν ἱππέα, τὴν πτέρναν τοῦ ἵππου δακών· οὕτω κατέβαλεν, ὡς

(1) Ἐπιγέγραπται Κυρίλλῳ, καίπερ καὶ ἐν τοῖς τοῦ Ἱππολύτ. ἐκδεδομ. κείμενον, οὐ μόνον διὰ τὸ ἐν τοῖς τοῦ Κυρίλλου εὑρεθῆναι, ἀλλὰ καὶ διὰ τὴν φράσιν, καὶ δι' ἣν ἔχει συνάφειαν τῷ ἀνωτέρῳ τοῦ Κυρίλλου, κατά γε τὴν ἔννοιαν, ὑπομνήματι.

ὡς μὴ δύνασθαι ἄλλως ἀναστῆναι, εἰ μὴ χειρὶ Κυρίου. οὐκ ὀλίγας γὰρ πληγὰς ἐπήγαγε τοῖς ἀλλοφύλοις. ὁ δὲ Μωσῆς φησὶν
[Δευτ. 32. 22.] ἐν ταῖς εὐλογίαις, σκύμνος λέοντος ἐκπηδήσεται ἐκ τοῦ Βασάν.

ιθ. Γὰδ, πειρατήριον πειρατεύσει αὐτόν· αὐτὸς δὲ πειρατεύσει αὐτὸν κατὰ πόδας.

ΘΕΟΔΩΡΙΤΟΥ. Προλέγει καὶ τῷ Γὰδ τὰς ἐσομένας αὐτῷ παρὰ τῶν λῃστρικῶν ἐφόδων ἐπιβουλάς. τοῦτο γὰρ λέγει, πειρατήριον πειρατεύσει αὐτόν. προαγορεύει δὲ καὶ τὴν ἐσομένην αὐτοῦ νίκην. καὶ αὐτὸς γάρ φησι πειρατεύσει αὐτὸν κατὰ πόδας· ὡσαύτως καὶ τῷ Ἀσὴρ τὴν σιτοφόρον χώραν, καὶ τῷ Νεφθαλεὶμ τὴν εἰς πλῆθος ἐπίδοσιν. τοῦτο γὰρ ἔφη, στέλεχος ἀνειμένον ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Πολεμικὴν εἶναι τὴν φυλὴν δηλοῖ διὰ τούτων ὁ Ἰακὼβ, κρατήσουσαν τῶν προσπολεμησόντων αὐτῇ.

ΙΠΠΟΛΥΤΟΥ. Λαμβάνομεν τὸν πειρατὴν, τὸν ἐπίβουλον. οὐδεὶς δὲ ἄλλος ἐπίβουλος ἐγένετο τοῦ Κυρίου, ἢ ὁ λαός.

ΤΟΥ ΑΥΤΟΥ. Πειρατεύσει, τουτέστιν ἐπιβουλεύσει αὐτῷ κατὰ πόδας. δηλοῦται ἡμῖν ἡ ἀντίληψις ἡ παρὰ τοῦ Κυρίου τοῖς ἐπιβουλεύσασιν αὐτῷ. τὸ δὲ, κατὰ πόδας, ὅτι ἐν τάχει ποιήσει τὴν ἐκδίκησιν ὁ Κύριος. καλῶς ὁπλισθήσεται τὸν πόδα, καὶ τὸ εἰρημένον πειρατήριον πειρατεύσει αὐτόν. Εὔζωνος εὐζωνήσει αὐτὸν, (1) ἀντὶ τοῦ ἔνοπλος ἀνὴρ καὶ πολεμικὸς ἐνοπλίσει αὐτὸν, καὶ ὁπλιστὴς τὸν πόδα ἔσται. μᾶλλον τοῦτο θέλει εἰπεῖν, ἔνοπλος Γὰδ κατόπιν τῶν ἀδελφῶν αὐτοῦ ἀκολουθήσει. κἂν γὰρ ὁ κλῆρος αὐτοῦ πέραν ἦν τοῦ Ἰορδάνου, ἀλλ᾽ οὖν ἐτάγησαν συνακολουθῆσαι τοῖς ἀδελφοῖς αὐτῶν ἔνοπλοι, ἕως οὗ λάβωσι κἀκεῖνοι τοὺς ἑαυτῶν κλήρους. ἢ τάχα τοῦτο εἶπεν, ὅτι λῃστρικῷ τρόπῳ ἔμελλον ζῆν οἱ περὶ τὸν Γὰδ, καὶ σύστημα λῃστῶν, ὅ ἐστι πειρατήριον, λαβεῖν σὺν αὐτῷ τοῦτον. καὶ ὅτι μέλλει κατόπιν αὐτῶν ἰέναι καὶ αὐτὸς ὁμοίως πειρατεύων, ὅ ἐστι λῃστεύων.

ΚΥΡΙΛΛΟΥ. Ἡρμήνευσε πάλιν τὸ τί δ᾽ ἂν βούλοιτο δηλοῦν ὁ Γάδ. πειρασμὸς γὰρ, ἢ πειρατήριον. πρέποι δ᾽ ἂν, οἶμαι, καὶ διὰ τούτου νοεῖσθαι τὸν θεοστυγῆ τε καὶ ἀλαζόνα τῶν Γραμματέων καὶ Φαρισαίων ἑσμόν. Καὶ μεθ᾽ ἕτερα. Οὐκοῦν πειρατήριον ὁ Γὰδ, τουτέστιν οἱ ἀεὶ πειράζοντες Φαρισαῖοι τὸν Ἰησοῦν· πλὴν ἀντεπειράζοντο κατὰ πόδας, τουτέστιν εὐθύς. Χριστὸς γὰρ ἦν ὁ κατὰ τὴν τοῦ Προφήτου φωνὴν δρασ-
[Ἰώβ. 5. 13.] σόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, καὶ τῇ σοφίᾳ αὐτοῦ τὰς τῶν πολυ-
A πλόκων βουλὰς περιιστὰς ἀστείως εἰς ἀντίστροφον ζήτησιν.

(1) Ὁ Ἀκύλας.

κ. Ἀσὴρ, πίων αὐτοῦ ὁ ἄρτος· καὶ αὐτὸς δώσει τροφὴν ἄρχουσι.

ΙΠΠΟΛΥΤΟΥ. Ἀσὴρ ἐκληρονόμησε τὰ περὶ Πτωλεμαΐδα καὶ Σιδῶνα. καὶ διὰ τοῦτό φησι, πίων αὐτοῦ ὁ ἄρτος· καὶ αὐτὸς δώσει τροφὴν ἄρχουσι.

B

ΤΟΥ ΑΥΤΟΥ. Τοῦτον λαμβάνομεν εἰς τύπον τῆς κλήσεως τῆς ἡμετέρας. τὸ γὰρ πίων, λιπαρόν ἐστι. λιπαρὸς δὲ τίνος ὁ ἄρτος, ἢ ἡμῶν; ὁ γὰρ Κύριός ἐστιν ἡμῶν ὁ ἄρτος, καθὼς λέγει αὐτός. ἐγώ εἰμι [Ἰωάν. 6. 35.]
ὁ ἄρτος τῆς ζωῆς. τίς δὲ ἄλλος δώσει τροφὴν ἄρχουσιν, ἢ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός; οὐ μόνον τοῖς ἐξ ἐθνῶν πιστεύουσιν, ἀλλὰ καὶ τοῖς ἐκ περιτομῆς ἐξάρξασι τῆς
Γ πίστεως, τουτέστι πατράσι, καὶ πατριάρχαις, καὶ προφήταις, καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, καὶ εἰς τὸ πάθος.

ΚΥΡΙΛΛΟΥ. Πλοῦτον δηλοῖ ὁ Ἀσήρ. ὧδε γὰρ ἔχει τοῦ σημαινομένου ἡ δήλωσις. εἴη δ᾽ ἂν, οἶμαί που, καὶ ἐνθάδε νοούμενος ὁ ἐν ᾧ πάντες εἰσὶν οἱ θησαυροὶ τῆς σο- [Κολασ. 2. 3.]
φίας καὶ τῆς γνώσεως ἀπόκρυφοι, τουτέστι Χριστὸς, ὁ ἐν ἀγρῷ κρυπτόμενος θησαυρὸς,
Δ ὁ πολύτιμος μαργαρίτης, ὁ καὶ ἐν προσώπῳ τῆς σοφίας ἐναργέστατα λέγων, πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει, καὶ κτῆσις πολ- [Παροιμ. 8. 18.]
λῶν καὶ δικαιοσύνη. αὐτὸς ὁ τὴν γῆν ἐπισκεψάμενος καθά φησιν ὁ Δαβὶδ, ἐπλή- [Ψαλ. 64. 9.]
θυνας τοῦ πλουτίσαι αὐτήν. συνεπτώχευσε δὲ ἡμῖν, καίτοι πλούσιος ὢν ὡς Θεὸς, ἵνα [2. Κορ. 8. 9.]
ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν. τούτῳ δὴ πάντως ἐστὶ καὶ πίων ὁ ἄρτος, τουτέστι λιπαρὸς ἄγαν καὶ τροφιμώτατος.
E τρέφει γὰρ ἡμᾶς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οὐ μάννα καθιεὶς, καθὰ καὶ πάλαι τοῖς ἐξ Ἰσραὴλ, ἀλλ᾽ ἑαυτὸν ταῖς τῶν πιστευόντων ἐνοικίζων ψυχαῖς διὰ τοῦ ἁγίου πνεύματος. Καὶ μετ᾽ ὀλίγα. Ἄρτος δὲ καὶ ἑτέρως νοεῖται ζωοποιὸς, κατά γε τὰ τῶν ἀπορρήτων μυστήρια. δίδωσι δὲ τοῖς ἄρχουσι τροφήν. φαίην γὰρ ἂν, ὅτι θρόνοι τε καὶ ἐξουσίαι, ἀρχαὶ, καὶ δυνάμεις, Ἄγγελοι, [καὶ Ἀρχάγγελοι,] καὶ πᾶσα ἡ κτίσις
Z ἁγία καὶ λογικὴ τροφὴν ποιεῖται Χριστόν. καὶ ὡς ἂν νοεῖσθαι τὸ χρῆμα πρέποι. ἀλλὰ καὶ τοῖς τῶν ἐπὶ γῆς ποιμνίων καθηγηταῖς διανέμει τροφὰς, δῆλον δὲ ὅτι τὰς πνευματικάς· τὴν τῶν θείων μυστηρίων ἀποκάλυψιν, τὴν ἁπάσης εἴδησιν ἀρετῆς, ἵνα καὶ αὐτοὶ τοὺς ὑπεζευγμένους ἀποτρέφοιεν λαοὺς τοῖς εἰς ζωὴν παιδεύμασι.

H

κα. Νεφθαλεὶμ στέλεχος ἀνειμένον ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος.

ΑΔΗΛΟΥ.

ΑΔΗΛΟΥ. Γεννήματι λέγει ἢ τῷ φυτῷ, ἢ τῷ ἐκ τοῦ φυτοῦ καρπῷ.

ΙΠΠΟΛΥΤΟΥ. Καὶ αὐτὸς εἰς τύπον τῶν ἡμετέρων παραλαμβάνεται, καθὼς δηλοῖ τὸ Εὐαγγέλιον· (Ματθ. 4. 15. 16.) γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου, καὶ τὰ ἑξῆς. καὶ τοῖς καθημένοις ἐν σκότει φῶς ἀνέτειλεν αὐτοῖς. ποῖον δὲ ἄλλο φῶς ἦν, ἢ ἡ κλῆσις ἡ ἐξ ἐθνῶν; ἥτις ἐστὶ τὸ στέλεχος, τουτέστι τὸ ξύλον τοῦ Κυρίου, ᾧ ἐγκεντρισθεῖσα καρποφορεῖ. τὸ δὲ, ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος, τὸ ὑπερβάλλον τῆς κλήσεως δηλοῖ ἡμῖν.

** ΚΥΡΙΛΛΟΥ. Ἐφαρμόσειεν ἄν, οἶμαί τις, καὶ οὐκ ἀπὸ σκοποῦ καὶ τόδε δὴ πάλιν αὐτῷ που τάχα τῷ Ἐμμανουὴλ, καὶ μὴν εἰ βούλοιτο, καὶ αὐτοῖς τοῖς ἐν πίστει δεδικαιωμένοις, καὶ ἡγιασμένοις ἐν πνεύματι. Καὶ μετ' ὀλίγα. Ῥίζα μὲν γάρ οἷά τις καὶ ἀμπέλου στέλεχος ἐμβεβοθρευμένης ἀσφαλῶς τῶν εἰς καινότητα ζωῆς ἐνηωρημένων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· κλημάτων δὲ δίκην ἡμεῖς καθ' ἕνωσιν τὴν ἐν πνεύματι προσπεφυκαμέν τε καὶ ἀπηρτήμεθα νοητῶς, ἀγάπῃ τῇ εἰς αὐτὸν συνδούμενοι, καὶ ἐνσπαταλῶντες πιότητι τῇ παρ' αὐτοῦ, καὶ τῇ θείᾳ τρεφόμενοι χάριτι πρὸς καρποφορίαν ἀρετῆς. Καὶ μεθ' ἕτερα. Ἀλλ' ὅγε Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς στέλεχος γέγονεν ἀνειμένον. ἐντρυφᾷ γὰρ ἀεὶ ταῖς ἀκαταλήκτοις εἰς τὸ ἄνω φοραῖς, καὶ ὅλης, ὡς ἔπος εἰπεῖν, τῆς ὑπ' οὐρανὸν κατευρυνεται.

** ΤΟΥ ΑΥΤΟΥ. Στέλεχος δὴ οὖν ἀνειμένον Νεφθαλεὶμ, ἢ αὐτὸς ὁ Χριστὸς, ἢ οἱ Χριστοῦ γνώριμοι. ἐπειδὴ δέ φησιν, ἐπιδιδοὺς τῷ γεννήματι κάλλος, ὑποδηλώσειεν ἄν, ὡς ἐγῷμαι, τοιοῦτόν τι πάλιν. ἐν ἀρχαῖς μὲν γὰρ ὁ Χριστὸς ἐν τῷ καθ' ἡμᾶς ὁρώμενος σχήματι, ὅτι Θεὸς κατὰ φύσιν ἐστὶ καὶ εἰ γέγονε σάρξ, οὐκ ἐπιστεύετο. Καὶ μετ' ὀλίγα. Ἐπειδὴ δὲ πρὸς ἐπίδοσιν ἐν ἡμῖν ἡ περὶ αὐτοῦ κεχώρηκε γνῶσις, ἐπιστεύθη λοιπὸν, ὅτι Θεὸς κατὰ φύσιν ἐστὶ, καὶ αὐτῷ (Φιλιπ. 2. 10.) πᾶν γόνυ κάμψει, προσκυνούσης αὐτὸν τῆς ὑπ' οὐρανόν.

ΤΟΥ ΑΥΤΟΥ. Εἰ δὲ δὴ καὶ ἐφ' ἡμῖν νοοῖτο τυχὸν τὸ, ἐπιδιδοὺς τῷ γεννήματι κάλλος, οὐκ ἀσυμφανὴς ὁ λόγος. προκόπτοντες γὰρ ἀεὶ κατ' ἀρετὴν, καὶ τῶν (Φιλιπ. 3. 14.) ἀμεινόνων ἐφικνούμενοι, ἤτοι τοῖς ἔμπροσθεν ἐπεκτεινόμενοι, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν, εἰς κάλλος ἀεὶ τὸ περιφανέστερον ἀναθρώσκομεν· κάλλος δέ φημι τὸ πνευματικὸν, ἵνα καὶ ἐφ' ἡμῖν λέγοιτο λοιπὸν, (Ψαλ. 44. 11.) ἐπεθύμησεν ὁ βασιλεὺς τοῦ κάλλους σου.

κϐ. Υἱὸς ηὐξημένος Ἰωσὴφ, υἱὸς ηὐξημένος ζηλωτὸς, υἱός μου νεώτατος· πρός με ἀνάστρεψον.

A ΙΠΠΟΛΥΤΟΥ. Τίς ἄλλος ηὐξημένος υἱὸς καὶ ζηλωτὸς ἕως τῆς σήμερον, εἰ μὴ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός;

* ΤΟΥ ΑΥΤΟΥ. Τίς ἄλλος οὗτος; ἢ καθὼς δείκνυται ἡμῖν διὰ τοῦ Ἀποστόλου, ὅτι ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ· (1. Κορ. 15. 47.) καὶ ἐν τῷ Εὐαγγελίῳ δὲ, τὸν ποιήσαντα τὸ θέλημα τοῦ πατρὸς, εἶπεν ὁ πρῶτος. (Ματθ. 21. 31.) τὸ δὲ, πρός με ἀνάστρεψον, δηλοῦται ἡμῖν B ἡ μετὰ τὸ πάθος ἀνάληψις εἰς τὸν οὐρανὸν πρὸς τὸν πατέρα.

ΑΔΗΛΟΥ. Πρός με ἀνάστρεψον, τὴν μετὰ τὸ πάθος ἀνάληψιν εἰς οὐρανόν φησι πρὸς τὸν πατέρα.

ΚΥΡΙΛΛΟΥ. Ἐπ' αὐτὸν δὲ πάλιν τὸν Ἐμμανουὴλ ὁ τῆς προφητείας διέρπει λόγος. ἐπειδὴ, οἶμαί που, τὸ ἐξ αὐτῆς δηλούμενον ἕτερον οὐδέν ἐστιν, ἢ ὅπερ ἔφην Γ ἀρτίως, ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος. τὸ γὰρ ηὐξῆσθαι λέγειν αὐτὸν, τὴν εἰς τὸ ἀπ' ἀρχῆς ἐπίδοσιν καὶ ἀναδρομὴν τῆς ἐνούσης εὐκλείας αὐτῷ φυσικῶς σημαίνει τοῦτο πάντως, κατάγε τὸ ὀρθῶς ἔχειν ὑπειλημμένον. ἐπειδὴ γὰρ ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, Θεὸς ὑπάρχων ἐκ Θεοῦ, κεκένωκεν ἑαυτὸν κατὰ τὰς Γραφὰς, καθεὶς ἐθελοντὴς ἑαυτὸν εἰς ὅπερ οὐκ ἦν, καὶ τὴν ἄδοξον ταύτην σάρκα ἠμ- Δ πέσχετο, καὶ ἐν τῇ τοῦ δούλου μορφῇ πέφηνε, γεγονὼς ὑπήκοος τῷ Θεῷ καὶ πατρὶ μέχρι θανάτου· ταύτῃ τοι λοιπὸν καὶ ὑπερυψοῦσθαι λέγεται, καὶ ὡς οὐκ ἔχων, διὰ τὸ ἀνθρώπινον, μονονουχὶ καὶ ἐν χάριτος μοίρᾳ λαμβάνει τὸ ὄνομα τὸ ὑπὲρ (Φιλιπ. 2. 9.) πᾶν ὄνομα, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. ἀλλ' ἦν τὸ χρῆμα κατὰ τὸ ἀληθὲς, οὐ δόσις, ὡς ἐν ἀρχῇ, τῶν οὐκ ἐνόντων αὐτῷ φυσικῶς· πολλοῦγε καὶ δεῖ· νοοῖ- E το δ' ἂν μᾶλλον ἀναφοίτησις, καὶ ἀναδρομὴ πρὸς τὸ ἐν ἀρχῇ, καὶ οὐσιωδῶς καὶ ἀναποβλήτως ὑπάρχον αὐτῷ. τοιγάρτοι καὶ ἔφασκεν ὁ τῆς ἀνθρωπότητος τὸ σμικροπρεπὲς ὑποδὺς οἰκονομικῶς, πάτερ (Ἰωάν. 17. 5.) δόξασόν με τῇ δόξῃ, ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. ἀεὶ γὰρ ἦν ἐν δόξῃ θεοπρεπεῖ, τῷ ἰδίῳ συνυπάρχων γεννήτορι πρὸ παντὸς αἰῶνος καὶ χρόνου, καὶ τῆς τοῦ κόσμου καταβολῆς. Καὶ μετ' ὀλίγα. Νοοῖτο Z δ' ἂν εἰκότως καὶ Νεώτατος. πέφηνε γὰρ ἐν τελευταίοις τοῦ αἰῶνος καιροῖς, καὶ μετὰ τὸν τῶν ἁγίων Προφητῶν εὐκλεᾶ τε καὶ ἀξιάγαστον χορόν. καὶ ἁπαξαπλῶς μετὰ πάντας τοὺς πρὸ τῆς ἐπιδημίας, ὡς ἐν υἱῶν τάξει λελογισμένους δι' ἀρετήν. Ζηλωτὸς δὲ ὅτι γέγονεν ὁ Ἐμμανουὴλ, πῶς ἐστιν ἀμφιβάλλειν; ἀλλὰ ζηλωτὸς μὲν ἁγίοις, οἳ τοῖς ἴχνεσιν αὐτοῦ κατακολουθεῖν σπουδάζοντες, καὶ πρὸς τὸ θεῖον αὐτοῦ μορ- H φούμενοι κάλλος, αὐτόν τε ποιούμενοι τῶν πρακτέων ὑπογραμμὸν, τὴν ἁπασῶν ἀρίστην ἀποφέρονται δόξαν. Ζηλωτός γε μὴν καὶ καθ' ἕτερον ἂν νοοῖτο τρόπον τοῖς οὐκ

ἀγαπᾶν ᾐρημένοις, φημὶ δὴ τοῖς Ἰουδαίων
καθηγηταῖς, ἤτοι τοῖς Γραμματεῦσι καὶ
Φαρισαίοις, οἳ πικρὸν ἐν ἑαυτοῖς ὠδίνοντες
ζῆλον, καὶ βασκανίας ὑπόθεσιν τὴν ἀπα-
ράβλητον αὐτοῦ ποιούμενοι δόξαν, κατὰ
πολλοὺς ἡλίσκοντο τρόπους. διανίστη μὲν
γὰρ τοὺς νεκροὺς ὁ Χριστὸς ὀδωδότας ἤδη
καὶ διεφθαρμένους, καὶ τὰς ἄλλας θεοση-
μείας ἐπετέλει· τοὺς δὲ κατατεθηπέναι
δέον, καὶ πρὸς τὸ χρῆναι πιστεύειν ἴεσθαι
λοιπὸν οὐδὲν ἐνδοιάζοντας· οἱ δὲ τοῦτο μὲν
οὐκ ἔδρων, ἐδάκνοντο δὲ φθόνῳ, καὶ πι-
κρὰς εἰς νοῦν ἐδέχοντο λύπας. Καὶ μετ' ὀλίγα.
Ζηλωτὸς μὲν οὖν ἄρα καὶ τοῖς μισεῖν ἑλο-
μένοις, πλὴν οὐκ εἰς ἅπαν ἁλώσιμος. εἰ
γὰρ καὶ ἀνέτλει σταυρὸν, ἀλλ' ὡς Θεὸς
ἀνεβίω πατήσας τὸν θάνατον. μονονουχὶ
δὲ καὶ τοῦ Θεοῦ καὶ πατρὸς ἐπιφωνοῦντος,
» καὶ λέγοντος, [πρός με ἀνάστρεψον. ἀνα-
βέβηκε γὰρ εἰς τοὺς οὐρανοὺς, ἵνα καὶ ἀκού-
Ψαλ. 109. 1. ση λέγοντος], κάθου ἐκ δεξιῶν μου, καὶ
τὰ ἑξῆς.

ΤΟΥ ΑΥΤΟΥ. Αὔξησιν δὴ οὖν νοη-
τέον ἐπὶ Χριστοῦ τὴν τῆς εὐκλείας ἐπίδοσιν,
ἣν ἀεί πως εὐρυτέραν τε ἔχει, οἷα Θεὸς καὶ
ποιητὴς ὢν, καὶ τῶν ὅλων Κύριος συνδο-
ξολογούμενός τε καὶ συμπροσκυνούμενος τῷ
Θεῷ καὶ πατρὶ, καὶ ὡς αὐτὸς ὑπάρχων
τῶν αἰώνων ποιητής.

**κγ. Εἰς ὃν διαβουλευόμενοι ἐλοι-
δόρουν, καὶ ἐνεῖχον αὐτῷ κύριοι τοξευ-
κδ. μάτων. Καὶ συνετρίβη μετὰ κράτους
τὰ τόξα αὐτῶν· καὶ ἐξελύθη τὰ νεῦρα
βραχιόνων χειρῶν αὐτῶν, διὰ χεῖρα
δυνάστου Ἰακώβ. ἐκεῖθεν ὁ κατισχύσας
Ἰσραὴλ παρὰ Θεοῦ τοῦ πατρός σου.**

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὴν κατὰ τοῦ Ἰω-
σὴφ ἐπιβουλὴν λέγει, καὶ τὴν παρὰ Θεοῦ
βοήθειαν· καὶ οὕτως ἐπάγει τὴν εὐλο-
γίαν, μισθὸν τῆς περὶ τοὺς ἀδελφοὺς ἀνεξι-
κακίας καὶ φειδοῦς.

» ΑΔΗΛΟΥ. Τὸ δὲ, εἰς ὃν διαβουλευόμε-
» νοι ἐλοιδόρουν, δῆλον ὅτι τῶν Ἰουδαίων ὁ
δῆμος. καὶ τὰ λοιπὰ ὁμοίως· σωματικῶς
μὲν, εἰς τοὺς ἀδελφούς· πνευματικῶς δὲ,
εἰς τὸν Χριστόν.

» ΙΠΠΟΛΥΤΟΥ. Τὸ δὲ, εἰς ὃν διαβου-
» λευόμενοι ἐλοιδόρουν, τίνες εἰ μὴ ὁ λαὸς ὁ
» κατὰ τοῦ Κυρίου ἡμῶν; καὶ ἐνεῖχον αὐτῷ.
» τίνες ἐνεῖχον αὐτῷ; οἱ καὶ μέχρι σήμε-
ρον ἐνέχουσιν. οὗτοι κύριοι τοξευμάτων, οἱ
καταπολεμεῖν τὸν Κύριον δοκοῦντες. εἰ
γὰρ καὶ ἐνίσχυσαν τοῦ ἀναιρεθῆναι αὐτὸν,
ἀλλὰ καὶ συνετρίβη μετὰ κράτους τὰ τόξα
αὐτῶν. φανερῶς δὲ ἡμῖν δηλοῦται, ὅτι με-
τὰ τὴν ἀνάστασιν συντέτριπται τὰ τόξα
αὐτῶν μετὰ κράτους.

ΕΥΣΕΒΙΟΥ. Οὐκ ἠδύναντο χειρῶν εἰ-
πεῖν, ἢ ὤμων· ἀλλ' ἐπειδὴ τὰ ἐν μέσῳ τοῦ
Α τόξου πλατέα, βραχίονες λέγονται, εὐκαί-
ρως βραχίονας λέγει.

ΚΥΡΙΛΛΟΥ. Ὅτι γὰρ ὑποπεπλώκασι
καὶ οἱ πλεῖστοι ὅσην τὴν κατ' αὐτοῦ μανίαν
» ὠδίνοντες, ἐδίδαξεν εἰπὼν, εἰς ὃν διαβου-
» λευόμενοι ἐλοιδόρουν, καὶ ἐνεῖχον αὐτῷ
» κύριοι τοξευμάτων. συνέδρια γὰρ συνα-
γείροντες, ἐβουλεύοντο πικρὰ τῶν τοξευ-
μάτων οἱ κύριοι, τουτέστιν οἱ τῶν λαῶν ἡγού-
Β μενοι, οἱ ἐπ' αὐτῷ παραθήγοντες τοὺς οἱο-
νεὶ τραυματίζοντας ἀκίδων ἐν τάξει, μο-
νονουχὶ δὲ καὶ ἐμπηγνυμένους, διὰ τὸ δρᾷν
ἃ μὴ θέμις ἀποτολμᾷν. οἳ καὶ θηρίων
ἀγρίων ἐπέθρωσκον δίκην. πλὴν συνε-
» τρίβη τὰ τόξα αὐτῶν, καὶ ἐξελύθη νεῦρα
» βραχιόνων αὐτῶν, διὰ χεῖρα δυνάστου Ἰα-
κώβ, τουτέστι τοῦ Θεοῦ καὶ πατρός. ὅς ἐστι
τῶν δυνάμεων Κύριος. ὃς καὶ εὐλογεῖσ-
θαι παρεσκεύασε τὸν υἱὸν ἐν τῷ οὐρανῷ,
Γ καὶ ἐπὶ τῆς γῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα τοῦ Ἰωσὴφ τὸν
φθόνον, καὶ τὰς παντοδαπὰς ἐπιδείξας
ἐπιβουλὰς, τὴν θείαν ὑμνεῖ κηδεμονίαν,
δι' ἧς τοὺς πεπολεμηκότας ἐνίκησε. συνε-
» τρίβη γάρ φησι μετὰ κράτους τὰ τόξα
» αὐτῶν, καὶ ἐξελύθη νεῦρα βραχιόνων, διὰ
» χεῖρα δυνάστου Ἰακώβ. ἐκεῖθεν ὁ κατισχύ-
» σας Ἰσραὴλ παρὰ Θεοῦ τοῦ πατρός σου. καὶ
» ἐβοήθησέ σοι ὁ Θεὸς ὁ ἐμός· καὶ ηὐλόγη-
Δ » σέ σε εὐλογίαν οὐρανοῦ ἄνωθεν, καὶ εὐλο-
» γίαν γῆς ἐχούσης πάντα, ἕνεκεν εὐλογίας
» μαστῶν καὶ μήτρας, εὐλογίας πατρός σου
» καὶ μητρός σου· ὑπερίσχυσας ὑπὲρ εὐλογίας
» ὀρέων μονίμων, καὶ ἐπιθυμίας θινῶν αἰω-
» νίων· ἔσονται ἐπὶ κεφαλῆς Ἰωσὴφ, καὶ
» ἐπὶ κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν. διὰ
πάντων δὲ τούτων ὕμνησε τὸν οἰκεῖον Θεὸν,
ὃς καὶ αὐτὸν κρείττονα τοῦ πεπολεμηκότος
ἀπέφηνεν ἀδελφοῦ, καὶ τὸν υἱὸν ἄμαχον
Ε ἔδειξε, παρὰ τοσούτων ἀδελφῶν ἐπιβουλευ-
θέντα. ταύτης δέ φησι τῆς κηδεμονίας
τετύχηκας, τῆς εἰς τοὺς γεγεννηκότας θε-
ραπείας μισθὸν κομισάμενος. τοῦτο γὰρ
» λέγει, ἕνεκεν εὐλογίας μαστῶν καὶ μή-
» τρας, εὐλογίας πατρός σου καὶ μητρός σου.
γηροκόμος γὰρ σπουδαῖος τοῦ πατρὸς ἐγε-
γόνει. τὰ δὲ εἰς αὐτὸν γεγενημένα, κοι-
νὰ αὐτοῦ τε καὶ τῆς μητρὸς εἶναί φησι. τῆς
γὰρ αὐτῆς ἂν κἀκείνη κηδεμονίας ἀπή-
Ζ λαυσεν, εἰ μὴ θᾶττον ὑπεξῆλθε τὸν βίον.

**κε. Καὶ ἐβοήθησέ σε ὁ Θεὸς ὁ ἐμός·
καὶ εὐλόγησέ σε εὐλογίαν ἀπ' οὐρανοῦ
ἄνωθεν, καὶ εὐλογίαν γῆς ἐχούσης
πάντα, ἕνεκεν εὐλογίας μαστῶν καὶ
μήτρας.**

ΙΠΠΟΛΥΤΟΥ. Σαφῶς ἡμῖν δείκνυ-
ται, ὅτι ἡ βοήθεια καὶ ἡ ἀντίληψις τοῦ
Η παιδὸς, οὐ παρ' ἄλλου τινὸς, ἢ παρὰ τοῦ
πατρὸς καὶ Θεοῦ ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς.
» τὸ δὲ, Θεός μου, δηλοῦται ὅτι τὸ πνεῦμα
λέγει διὰ τοῦ Ἰακώβ.

ΤΟΥ

ΤΟΥ ΑΥΤΟΥ. Τοῦτο ἡμῖν δηλοῦται, ὅτι ἡ εὐλογία ἀπὸ τοῦ οὐρανοῦ ἐστὶ τὸ πνεῦμα τὸ κατελθὸν διὰ τοῦ λόγου ἐπὶ τὴν σάρκα. μαστῶν δὲ καὶ μήτρας τῆς παρθένου εὐλογίας λέγει.

** ΚΥΡΙΛΛΟΥ. Ταύτην ἐναγράφαμεν τὴν ἄνωθεν εὐλογίαν, καὶ τὴν ἐν τῇ γῇ κάτω τὴν πάντα ἔχουσαν, τουτέστιν ἐν ᾗ διὰ χριστὸν πᾶσα λοιπὸν ἀρετή, καὶ λίαν ἀμφιλαφεῖς οἱ τῆς εἰς Θεὸν εὐσεβείας καρποί. εἴρηται γάρ που πρὸς τὸν υἱόν,
Ψαλ. 64. 9. ἐπεσκέψω τὴν γῆν, καὶ μεθύσας αὐτὴν
» ἐπλήθυνας, τοῦ πλουτίσαι αὐτήν.

κς. Εὐλογίας πατρός σου καὶ μητρός σου.

» ΙΠΠΟΛΥΤΟΥ. Τὸ δέ, πατρὸς καὶ
» μητρός σου, τοῦτο λέγει· εὐλογίαν πατρός, ἣν ἐλάβομεν ἐπὶ τὴν Ἐκκλησίαν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΚΥΡΙΛΛΟΥ. Τὸ δεδόσθαι γε μὴν αὐτῷ τὴν ἄνωθεν εὐλογίαν, καὶ μέντοι καὶ τὴν ἀπὸ τῆς γῆς, διεβεβαιοῦτο σαφῶς ἕνεκεν εὐλογίας μαστῶν καὶ μήτρας, εὐλογίας πατρὸς καὶ μητρός. δι' οὗ σαφῶς τε καὶ ἐναργῶς ἥ τε ἐκ Θεοῦ καὶ πατρὸς γέννησις τοῦ μονογενοῦς, καὶ ἡ διὰ τῆς ἁγίας παρθένου σημαίνεται, καθὸ νοεῖται καὶ πέφυκεν ἄνθρωπος. υἱὸς γὰρ ὑπάρχων φυσικῶς τε καὶ ἀληθῶς τοῦ Θεοῦ καὶ πατρός, δι' ἡμᾶς ἀνέτλη τὴν διὰ γυναικός τε καὶ μήτρας γέννησιν, καὶ μαστοὺς τεθήλακεν. οὐ γάρ τοι, κατά τινας, δοκήσει γέγονεν ἄνθρωπος, ἀλλ' ὡς τοῦτο κατὰ ἀλήθειαν πεφυκώς, ὅπερ ἐσμὲν αὐτοί, τοῖς τῆς φύσεως ἑπόμενος νόμοις, καὶ τροφῆς ἠνέχετο, καίτοι ζωὴν αὐτὸς τῷ κόσμῳ διδούς.

Ὑπερίσχυσεν ὑπὲρ εὐλογίας ὀρέων μονίμων, καὶ ἐπ' εὐλογίαις θινῶν αἰωνίων.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα ἐπεύχεται αὐτῷ περιφάνειαν, ὥστε γενέσθαι αὐτὸν παρὰ πᾶσιν ἐπίσημον. ὑπερίσχυσας γάρ,
» φησιν ὑπὲρ εὐλογίας ὀρέων μονίμων, καὶ
» ἐπιθυμίας θινῶν αἰωνίων· ἔσονται ἐπὶ κε-
» φαλῆς Ἰωσήφ, καὶ ἐπὶ κεφαλῆς ὧν ἡγή-
» σατο ἀδελφῶν. τὰς δὲ θῖνας, ὁ Ἀκύλας βουνοὺς ἡρμήνευσεν. ἐπειδὴ τοίνυν πόρρωθεν ὁρῶνται καὶ οἱ βουνοὶ καὶ τὰ ὄρη, τούτοις παραπλησίως εὔχεται γνώριμον αὐτὸν γενέσθαι, καὶ πάντων περιφανέστατον.

ΑΔΗΛΟΥ. Τὸ ὕψος καὶ μέγεθος τῆς
» εὐλογίας προκηρύσσει τό, ὑπὲρ εὐλογίας
» ὀρέων μονίμων· τὸ δέ, θινῶν αἰωνίων, τὸ βέβαιον καὶ ἰσχυρὸν τῆς σωτηρίας, καὶ τὸ εἰς τοὺς αἰῶνας διαμεῖναι.

» ΚΥΡΙΛΛΟΥ. Ὑπερίσχυσας ὑπὲρ εὐλο-
» γίας ὀρέων μονίμων, καὶ θινῶν αἰωνίων.

A ὄρη αἰώνια καὶ μονιμώτατα, καὶ θῖνας αἰωνίους, τοὺς ἁγίους φησί, διὰ τὸ ἦρθαι τῆς γῆς, καὶ φρονεῖν μὲν οὐδὲν τῶν κατερριμμένων, ζητεῖν δὲ τὰ ἄνω, καὶ εἰς τὰ τῶν ἀρετῶν εὖ μάλα διάττειν ὑψώματα.

Ἔσονται ἐπὶ κεφαλὴν Ἰωσήφ, καὶ ἐπὶ κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν.

ΑΔΗΛΟΥ. Δηλοῖ ἡμῖν καὶ ὧδε περὶ τοῦ
B Κυρίου, λέγει γὰρ ἄλλος, κεφαλὴ Ἰωσήφ, καὶ πάντων ἡμῶν ἦν Ἰησοῦς Χριστός. τοῦτο ἡμῖν δηλοῖ, ὅτι πάντων ἡμῶν ἐστὶν ἡ κεφαλὴ ὁ Κύριος ἡμῶν.

ΑΔΗΛΟΥ. Λαμβάνεται Ἰωσὴφ εἰς τύπον τοῦ Κυρίου σαφέστατα. πρόδηλον δὲ ὅτι τό, αἱ εὐλογίαι αἱ ἐπὶ κορυφὴν, ὧν ἡγήσατο ἀδελφῶν αὐτοῦ, περὶ τῶν εἰς αὐτὸν πεπιστευκότων φησίν. οὐ γὰρ ἐπαι-
Γ σχύνεται ἀδελφοὺς αὐτοὺς καλῶν ἐν διαφόροις τῆς Γραφῆς τόποις.

ΚΥΡΙΛΛΟΥ. Κατόπιν οὖν ἄρα τῆς Χριστοῦ δόξης καὶ οἱ τῶν πατέρων ἐπισημότατοι, καὶ εἰς λῆξιν ἥκοντες ἀρετῆς. οἱ μὲν γάρ, ἦσαν οἰκέται· ὁ δὲ Κύριος, ὡς υἱὸς τὰ δι' ὧν ἐκεῖνοι γεγόνασι λαμπροὶ κεχορήγηκεν αὐτοῖς. τοιγάρτοι καὶ λέ-
» γουσιν, ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς Ἰωάν. 1. 16.
» πάντες ἐλάβομεν.

Δ ** ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν τῆς δόξης ὁ στέφανος ἐπικείσεται μὲν φυσικῶς τῇ τοῦ Σωτῆρος ἡμῶν κεφαλῇ· διαβήσεται δὲ οὐδὲν ἧττον, καὶ δῶρον ἔσται δοτὸν καὶ ἐπ' αὐτοὺς ἁγίους τοὺς ἐπ' αὐτῷ γεγονότας. οἳ τὸν ἀμάραντον τῆς δόξης περικείσονται στέφανον, καὶ κοινωνοὶ τῶν αὐτοῦ παθημάτων γεγενημένοι, συμμεθέξουσι τῆς εὐκλείας. ἄραγε γὰρ ὅτι συμπεπονθότες αὐτῷ, καὶ
E συμβασιλεύσουσι.

κζ. Βενιαμὶν λύκος ἅρπαξ, τὸ πρωϊνὸν ἔδεται ἔτι, καὶ εἰς τὸ ἑσπέρας διασώσει τροφήν.

» ΑΔΗΛΟΥ. Ὁ Σύρος τό, ἔδεται ἑσπέ-
» ρας, ἁρπάσει, φησί, τὸ πρωϊνὸν μεριεῖ
» σκῦλα.

ΕΥΣΕΒΙΟΥ. Βούλεται τὴν τόλμαν
Z προαγορεύειν, ἣν ἐτόλμησαν, καὶ τὸν πρὸς τοὺς ἀδελφοὺς αὐτῶν πόλεμον, καὶ τὴν τῶν παρθένων ἁρπαγήν.

» ΤΟΥ ΑΥΤΟΥ. Τὸ πρωϊνὸν ἔδεται, ἀντὶ τοῦ πολεμήσει, ὡς καὶ τῷ Βαλαὰμ
» λέγει, οὐ κοιμηθήσεται ἕως φάγῃ θήραν, Ἀριθ. 23. 24.
» καὶ αἷμα τραυματιῶν πίεται. διαδώσει
» τροφὴν ἑαυτῷ, τουτέστιν ἁρπάζοντες, ἑαυτοῖς τὴν ἁρπαγὴν διαδιδοῦσιν.

H ΑΠΟΛΙΝΑΡΙΟΥ. Αὐτόθεν ἐμφαίνει τὸ πολεμικὸν αὐτῆς, οἷον καὶ πέφυκε τὸ τῶν ἐν Γαβαὰ πολεμιστῶν. ἥ ἐστι τῆς Βενιαμὶν φυλῆς. διόπερ αὐτὴν ἀπεικάζει λύκῳ,

λύκῳ ἅρπαγι, διαρπάζουσαν τὰ τῶν πολε-
μίων, καὶ διανεμομένην. καταλιμπάνων
δὲ αἴνιγμα τοῦτο καὶ εἰς Παῦλον ἐκ τῆς Βε-
νιαμίτιδος ὄντα φυλῆς· διαρπασάμενον
πρῶτον τὴν Ἐκκλησίαν, μετὰ δὲ ταῦτα
τῶν ὄντως πολεμίων δαιμόνων τὰ σκῦλα
διανείμαντα, τουτέστι τοὺς ἀνθρώπους, τοὺς
ἐξαγομένους ἐκ τῆς τῶν δαιμόνων δυνα-
στείας, καὶ διανεμομένους τοῖς ἄρχουσι τῆς
Ἐκκλησίας. ὡς καὶ ὁ Κύριος δεδήλωκεν,
ἑαυτὸν δεσμοῦντα τὸν ἰσχυρὸν, καὶ τὰ σκῦ-
λα αὐτοῦ διαδιδόντα.

ΙΠΠΟΛΥΤΟΥ. Δηλοῦται ἡμῖν καὶ τοῦ-
το διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ· ὅτι ἡ Βενιαμὶν φυλὴ ἐν ταῖς ἀρ-
χαῖς, ὅπερ ἐστὶ τὸ πρωϊνὸν, διώκει. ὁ γὰρ
Σαοὺλ ὢν ἐκ τῆς Βενιαμὶν φυλῆς, τὸν εἰς
τύπον τοῦ Κυρίου κείμενον Δαβὶδ ἐδίωκε.

ΤΟΥ ΑΥΤΟΥ. Συναρμόζει πάνυ τῷ
ἐκ φυλῆς Βενιαμὶν Παύλῳ. ὅτε γὰρ ἦν
νέος, λύκος ἦν ἅρπαξ· διέδωκε δὲ τρο-
φὴν πνευματικὴν πιστεύσας.

ΚΥΡΙΛΛΟΥ. Προτέτοκε Ῥαχὴλ τὸν
θεσπέσιον Ἰωσὴφ, ἐπ' αὐτῷ δὲ τὸν Βενια-
μίν. ἀλλ' υἱὸς μὲν νεώτατος Ἰωσὴφ πρὸς
τοῦ πατρὸς ὠνομάζετο. οὕτω τε ἔχειν τὸ
χρῆμα δώσομεν. νεώτατον δὲ νεωτάτου
φαμὲν γενέσθαι τοῦ Ἰωσὴφ τὸν Βενιαμίν.
καὶ δὴ νοοῖτ' ἂν εἰκότως εἰκὼν οἷά τις καὶ
τύπος τοῦ νεωτάτου λαοῦ. ὃς καὶ διὰ τῶν
ἁγίων κέκληται μαθητῶν μετά γε τὸ ἐκ
νεκρῶν ἀναβιῶναι Χριστὸν, καὶ πρὸς τὸν
ἐν οὐρανοῖς Πατέρα καὶ Θεὸν ἀνελθεῖν. ἅρ-
παγι δὲ λύκῳ παρεικάζεται, διά τε τὸ
ὁρμᾶν εἰς ὀρέξεις τὰς ἐπί γε τὴν μαθη-
τείαν, καὶ ἐπιθρώσκειν ἀεὶ μάλα προθύ-
μως οἷά τισι θήραις ταῖς εἰς πᾶν ὁτιοῦν
τῶν τρεφόντων εἰς εὐεξίαν, δῆλον δὲ ὅτι
τὴν πνευματικήν.

** ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν λύκος ὁ
Βενιαμὶν, ὁ νέος καὶ ἐν πίστει λαὸς, οὐ καὶ
τὸ λίαν ἕτοιμον εἰς τὸ διώκεσθαι νοεῖν τὸ
τελειοῦν εἰς ὄνησιν, καὶ μέντοι καὶ τὸ ἰσχύ-
σαι ἑτέρους ὠφελεῖν, ὑποφαίνει, λέγων· τὸ
» πρωϊνὸν ἔδεται ἔτι, καὶ τὸ ἑσπέρας διαδώ-
» σει τροφήν. Καὶ μετ' ὀλίγα. Ὅμοιον, ὡς εἰ
λέγοι, μαθητιῶν ἔτι, καὶ πρὸς τὸ ἀρτίως
ἔχειν οὔπω διεληλακὼς, ὠφελήσειεν ἂν
ἑτέρους. καὶ ὀλίγος κομιδῇ διαδείξει και-
ρὸς τοὺς ἄρτι πεπιστευκότας καὶ εἰς τὸ δι-
δάσκειν ἐπιτηδείους.

** ΤΟΥ ΑΥΤΟΥ. Εἰ δὲ δὴ προσήκει
καὶ ἐπ' αὐτοῦ τοῦ μακαρίου Παύλου τὴν ἐπὶ
τῷ Βενιαμὶν προαγόρευσιν ἐκπεπεράνθαι
λέγειν, καὶ τῇδε ἂν ἔχοι καλῶς τε καὶ
ἀληθῶς. ὁ γὰρ διώκων τὴν ἐκκλησίαν,
καὶ λύκου δίκην τοῖς ἀγαπῶσι Χριστὸν ἐπι-
τρέχων, ἐν ὀλίγῳ κομιδῇ πρὸς πᾶν τοὐ-
ναντίον μετεποιήθη καιρῷ. εὐηγγελίσατο
γὰρ τὴν πίστιν ἣν ἐπόρθει ποτὲ, καὶ ἀνα-
φέρει τὰ χαριστήρια τεθειμένος εἰς ἀπο-

A » στολήν· καίτοι πρότερον ὢν βλάσφημός
» τε καὶ διώκτης καὶ ὑβριστής. οὕτω γάρ που 1. Τιμ. 1. 13.
» φησὶν αὐτός. γέγονε δὲ καὶ ἐκ φυλῆς
Βενιαμίν. καὶ αὐτὸν δὲ τὸν θεσπέσιόν φη- Ῥωμ. 11. 1.
μι Δαβὶδ τῆς κατ' αὐτὸν ἱστορίας διαμε-
μνῆσθαι σαφῶς ἐν ξζ' ψαλμῷ, λέγοντα·
» ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει. ἄρχον- Ψαλ. 67. 27.
» τες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζα-
» βουλὼν, ἄρχοντες Νεφθαλείμ. Ἰουδαῖοι
γὰρ ὄντες καὶ ἐξ αἵματος Ἰσραὴλ οἱ μα-
B κάριοι μαθηταὶ, καθηγηταὶ γεγόνασι τῶν
ἐν Χριστῷ διὰ πίστεως δεδικαιωμένων. μεθ'
ὧν καὶ αὐτὸς ὁ ἐκ φυλῆς Βενιαμὶν ἐπιστέλ-
» λων τε καὶ λέγων, εἴτε γὰρ ἐξέστημεν, 2. Κορ. 5. 13.
» Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν. εὐηγγελίζε-
το γὰρ ἔθνεσί τε καὶ Ἰουδαίοις τὸν Κύριον
ἡμῶν Ἰησοῦν Χριστόν.

» ΓΕΝΝΑΔΙΟΥ. Βενιαμὶν λύκος ἅρπαξ
» τὸ πρωϊνὸν ἔδεται ἔτι, καὶ εἰς τὸ ἑσπέρας
Γ » διαδώσει τροφήν. Οὐκ ἀγνοῶ μὲν, ὅτι
τοῦτό τινες εἰς τὸν ἀπόστολον Παῦλον, ὡς
τῆς φυλῆς ὄντα Βενιαμὶν, ἐξειλήφασι,
καὶ οὐκ ἀφυῶς, οὐδ' ἀλλοτρίως. ὅμως οἶμαι
μᾶλλον οἰκειότερον τὴν πρόῤῥησιν εἰς πᾶ-
σαν τείνειν κοινῇ τὴν φυλήν. τῇ γὰρ
φυλῇ ταύτῃ τοιοῦτόν τι γέγονε μετὰ τὸ
τὴν γῆν τῆς ἐπαγγελίας λαβεῖν τὸν λαόν.
εἰς σοδομιτικὴν οὗτος ὁ Βενιαμὶν ὕβριν ἐξώ-
κειλεν. ὥστε Λευΐτου ποτέ τινος ἅμα τῇ αὐ-
Δ τοῦ γυναικὶ κατὰ τὴν πάροδον εἰς Γαβαὰ
τὴν πόλιν αὐτοῦ καταλύσαντος, ὑπεδέξα-
το αὐτὸν οὐδὲ εἷς ἐξ αὐτῶν. πρεσβύτου δέ
τινος ἐκ τῆς Ἐφραὶμ φυλῆς παροικοῦντος
αὐτοῖς, ἐν τῇ πλατείᾳ περιτυχόντος αὐ-
τῷ, καὶ οἴκαδε αὐτὸν εἰς ἑαυτὸν εἰσκαλε-
σαμένου, περιστάντες οἱ περὶ Βενιαμὶν τὸ
δωμάτιον, πρὸς βίαν ἐζήτουν πρὸς παροι-
νίαν τὸν ἄνθρωπον. τοῦ δὲ κατὰ πολλὴν
ἀνάγκην τὴν γαμετὴν αὐτοῖς ἀνθ' ἑαυτοῦ
E προϊεμένου, λαβόντες ἐκεῖνοι τὸ γύναιον,
εἰς τοσοῦτον ἐμπαίξαντες αὐτῷ παρεχρή-
σαντο, ὡς μὴ δυνηθῆναι αὐτῷ μηδὲ μέ-
χρις αὐγῆς ἐξαρκέσαι. ἀνελόμενος οὖν ὁ
Λευΐτης μεθ' ἡμέραν νεκρὸν τοῦ γυναίου τὸ
σῶμα, καὶ κομίσας εἰς τὸν οἶκον τὸν ἑαυ-
τοῦ, διαιρεῖ μὲν εἰς δώδεκα μοίρας αὐτὸ,
μίαν δὲ κατὰ φυλὴν ἑκάστην διαπεμψάμε-
νος, οὕτω πᾶσι τὸ τολμηθὲν ἐφανέρωσεν.
ἐπὶ τοῦτο πρὸς τὸν Βενιαμὶν τοῖς λοιποῖς
Z γίνεται πόλεμος. καὶ προτέραν μὲν καὶ
δευτέραν ὁ Βενιαμὶν μάχην νικᾷ, καὶ χι-
λιάδας εἰς τεσσαράκοντα τοῦ Ἰσραὴλ διαφ-
θείρει. συμπεσὼν δὲ τὴν ὑστέραν, ἡττᾶ-
ται δεινῶς· ὡς μικροῦ μὲν καὶ κινδυνεῦσαι
παντελῶς τὴν φυλὴν ἐκτριβῆναι. τῶν
περιλειφθέντων δέ γε τοὺς πλείονας ἁρπα-
σαμένους ἑαυτοῖς ἐκ τῶν συγγενῶν νεανί-
δας, εἰς γυναῖκας λαβεῖν, διὰ τὸ προομω-
μοκέναι τὸν λαὸν ἑκόντας αὐτῶν ἐπιγαμ-
H βρεύσασθαι μηδενί. ταῦτα οὖν ἅπασαν ἐν
τούτοις αὐτοῦ προμηνύει τὴν περιπέτειαν.
ὅτι τὰ μὲν πρῶτα καὶ ἀλογίστως ὁ Βενιαμὶν
ἐξορμήσας, οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ
δὶς

δὶς ἐπιτεύξεται. θηράσει γάρ φησι. καὶ » τῷ, ἔτι, ἡ προσθήκη τοῦτο παρασημαίνει. τελευταῖον δὲ ἤδη τροφὴ γενήσεται πάλιν ἑτέροις αὐτός. δύναται μέντοι καὶ ἑτέρως αὐτὰ ταῦτά πως τοῦ Βενιαμὶν ἐκληφθῆναι, διὰ τὸ τῇ τοῦ Ἰούδα συγκεκληρῶσθαι καὶ τὴν τούτου φυλήν. καὶ νικᾶν μὲν ὡς ἐπὶ τὸ πλεῖστον τοὺς πολεμίους, ὡς καὶ κατὰ περιουσίαν πλουτεῖν ἀπὸ τῶν σκύλων αὐτῶν· ὀψὲ δέ ποτε τοῦ καιροῦ, καὶ πρὸς ἑσπέραν αὐτὴν τῶν ἰουδαϊκῶν ἤδη πραγμάτων, ὑπὸ πολεμίους γενέσθαι.

ΔΙΟΔΩΡΟΥ. Τινὲς εἰς Παῦλον τὸν ἀπόστολον, τὸν ἐκ φυλῆς Βενιαμὶν ταῦτα λέγεσθαί φασιν, οὐ συνεωρακότες, ὅτι ταῖς φυλαῖς προλέγει ὁ Ἰακὼβ ἅπερ φησίν. εἰ δὲ τοῦ Κυρίου ἐν τῇ τοῦ Ἰούδα προῤῥήσει ῥητῶς ἐμνημόνευσεν, ἀλλὰ πρότερόν τι περὶ τῆς φυλῆς εἰπών. οἱ μὲν οὖν εἰς τὸν Παῦλον τὸ εἰρημένον νοήσαντες, ἐπειδή φασι πρῶτον ἐδίωξεν, εἶτα ἐδιώχθη, » τὸ πρωϊνὸν εἶπεν, ὅτι ἔδεται. τὸ δὲ, » ἑσπέρας διαδώσει τροφήν, ἤτοι διωκόμενος, ἢ τρέφων τοὺς οἷς ἐκήρυττε. τινὲς » δὲ, τὸ, πρωϊνὸν ἔδεται, ἐνόησαν ἀντὶ τοῦ, παιδευόμενος ὑπὸ Γαμαλιὴλ τῷ νομικῷ, καὶ τραφεὶς κατὰ τὸν νόμον ἐν νέοις καλῶς, ἔσται διδάσκαλος εὐκαίρως πολλῶν » ἐθνῶν. διὸ δὴ καὶ διαδώσει εἶπε. τὸ δὲ τῆς προφητευομένης ἱστορίας ἀληθὲς, οὕτως ἔχει. ἀνήρ τις τῆς Ἐφραὶμ φυλῆς, ἐκ τῆς φυλῆς Ἰούδα παλλακὴν εἴληφε. καὶ τὰ λοιπὰ ὁμοίως Γενναδίῳ κατὰ τὴν προκειμένην ἱστορίαν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν δὲ Βενιαμὶν λύκον ἅρπαγα κέκληκε διὰ τὸ συμβεβηκὸς πάθος τῇ τούτου φυλῇ. διὸ ἐπήγαγε, τὸ » πρωϊνὸν ἔδεται, καὶ εἰς τὸ ἑσπέρας διαδώσει τροφήν. ἐν γὰρ τῇ πρώτῃ καὶ τῇ δευτέρᾳ συμπλοκῇ νενικηκότες, ὕστερον ἄρδην ἀπώλοντο, πλὴν ὀλίγων τινῶν ἄγαν εὐαριθμήτων. οὓς οἱ νενικηκότες οἰκτείραντες, δοῦναι μὲν αὐτοῖς γυναῖκας διὰ τὸν ὅρκον ὑπείδοντο, ἑτέρως δὲ αὐτοῖς τὸν γάμον ἐμηχανήσαντο. εἰδέναι δὲ χρή, ὥστινες εἰς τὸν θεσπέσιον Παῦλον τὴν πρόῤῥησιν εἵλκυσαν. λύκου γὰρ δίκην ἐλυμαίνετο τὴν Ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος. ὕστερον δὲ τὴν πνευματικὴν τροφὴν τῇ οἰκουμένῃ διέδωκε.

κη. Πάντες οὗτοι υἱοὶ Ἰακὼβ δώδεκα· καὶ ταῦτα ἐλάλησεν αὐτοῖς ὁ πατὴρ αὐτῶν· καὶ εὐλόγησεν αὐτούς. ἕκαστον κατὰ τὴν εὐλογίαν αὐτοῦ εὐλόγησεν αὐτούς.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς εὐλογῆσαι λέγεται τοὺς παῖδας ὁ Ἰακὼβ, ἐνίοις ἐπαρασάμενος; Οὔτε ἀραί εἰσιν, οὔτε εὐλογίαι, ἀλλὰ προῤῥήσεις οἱ τελευταῖοι τοῦ Πα- A „ τριάρχου λόγοι. συνάχθητε γάρ φησιν, „ ἵνα ἀπαγγείλω ὑμῖν, τί ἀπαντήσεται ὑ- „ μῖν ἐπ' ἐσχάτου τῶν ἡμερῶν. ἐμνήσθη δὲ καὶ τῶν παρ' ἐνίων γεγενημένων· οὐκ ἐπειδὴ δίκας οἱ παῖδες εἰσεπράττοντο τῶν πατρικῶν ἁμαρτημάτων, ἀλλὰ σχηματίζων εἰς ἀρὰν καὶ εὐλογίαν τοὺς λόγους εἰς κοινὴν τῶν ἐντευξομένων ὠφέλειαν.

ΑΔΗΛΟΥ. Πάντες οἱ υἱοὶ Ἰακὼβ, καὶ B οἱ ἐκ τῶν παιδισκῶν, καὶ οἱ ἐκ τῶν ἐλευθέρων ἐξ ἴσου τὴν πατρικὴν κληρονομίαν διεδέξαντο. οὕτως ἡ συγχώρησις τοῦ Θεοῦ καὶ (1) παιδισκῶν ποιῆσαι παῖδας τὸν Ἰακὼβ· δεικνύντος τοῦ Θεοῦ, ὅτι παρ' αὐτῷ, „ οὐ δοῦλος, οὐκ ἐλεύθερος, ὥς φησιν ὁ Παῦλος πρὸς Γαλάτας. Γαλ. γ. κη.

„ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ εὐλόγησεν „ αὐτοὺς, φησὶν, ἕκαστον κατὰ τὴν εὐλογίαν αὐτοῦ, ἣν εὐλόγησεν αὐτούς· ἀντὶ τοῦ, Γ „ ἅπερ ἐχρῆν ἑκάστῳ προεμήνυσε, καὶ τὰ ἐφ' ἑκάστης φυλῆς συμβησόμενα προανεφώνησε.

κθ. Καὶ εἶπεν αὐτοῖς, ἐγὼ προστίθεμαι πρὸς τὸν ἐμὸν λαόν. θάψατέ με μετὰ τῶν πατέρων μου ἐν τῷ σπηλαίῳ, ὅ ἐστιν ἐν τῷ ἀγρῷ Ἐφρὼν τοῦ Χετταίου.

Δ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς διὰ τῆς ἐπισκήψεως ταύτης μεγίστην αὐτοῖς παραμυθίαν χαρίζεται. ἐνενόουν γὰρ, ὅτι οὐκ ἂν ὁ δίκαιος τοῦτο διεστείλατο, εἰ μὴ πάντως ᾔδει τὴν ἄνοδον αὐτῶν ἐσομένην, καὶ τῆς δουλείας τῆς ἐν Αἰγύπτῳ τὴν ἀπαλλαγήν.

λ. Ἐν τῷ σπηλαίῳ τῷ διπλῷ, τῷ
Ε ἀπέναντι Μαμβρῆ, ἐν γῇ Χαναὰν,
ὃ ἐκτήσατο Ἀβραὰμ παρὰ Ἐφρὼν
τοῦ Χετταίου τὸ σπήλαιον εἰς κτῆσιν μνη-
λα. μείου. Ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ
Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ· καὶ ἐκεῖ
ἔθαψαν Ἰσαὰκ καὶ Ῥεβέκκαν τὴν
γυναῖκα αὐτοῦ· καὶ ἐκεῖ ἔθαψαν Λείαν,
λβ. Ἐν τῇ κτήσει τοῦ ἀγροῦ καὶ τοῦ σπηλαίου
τοῦ ὄντος ἐν αὐτῷ παρὰ τῶν υἱῶν Χέτ.

Ζ λγ. Καὶ κατέπαυσεν Ἰακὼβ ἐπιτάσσων τοῖς υἱοῖς αὐτοῦ. καὶ ἐξάρας Ἰακὼβ ἐπὶ τὴν κλίνην τοὺς πόδας, ἐξέλιπε· καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὥσπερ μεθ' ἡδονῆς τὸ πρᾶγμα καταδεχόμενος, οὕτω μετὰ τὸ πάντα διατάξασθαι, τοὺς πόδας Η ἐξάρας, ἀντὶ τοῦ ἐφαπλώσας ἢ τείνας, ὡς » ἂν εἴποι τις, ἐξέλιπε· τουτέστι, κατέλυσε

(1) Ἴσ. καὶ ἐκ.

» λυσε τὴν ζωήν, καὶ προσετέθη πρὸς τὸν
» λαὸν αὐτοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Ταῦτα τοῦ Ἰακὼβ εἰρηκότος, καὶ τὴν οἰκείαν τελευτὴν μεμηνυκότος, ὁ συγγραφεὺς ἔφη, καὶ ἐξάρας
» τοὺς πόδας ἐπὶ τὴν κλίνην, ἐξέλιπε· καὶ
» προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. διὰ δὲ τούτων τῶν λόγων ἠνίξατο τὴν ἐλπίδα τῆς ἀναστάσεως. εἰ γὰρ παντάπασι διεφθείροντο, καὶ μὴ εἰς ἕτερον μετέβαινον βίον,

A „ οὐκ ἂν εἶπε, προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. τοῦτο δὲ καὶ πρὸς Ἀβραὰμ αὐτὸς ὁ
„ τῶν ὅλων ἔφη Θεός· σὺ δὲ ἀπελεύσῃ πρὸς Γεν. 15. 15.
„ τοὺς πατέρας σου, τραφεὶς ἐν γήρει καλῷ. ἐντεῦθεν καὶ ὁ Κύριος τὴν τῶν Σαδδουκαίων ἀπιστίαν διήλεγξεν, εἰρηκώς· ὅτι
» δὲ ἐγείρονται οἱ νεκροί, οὐκ ἀνέγνωτε, Ματθ. 22. 31,
» ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, 32.
» καὶ ὁ Θεὸς Ἰακώβ; οὐκ ἔστιν ὁ Θεός, Θεὸς
» νεκρῶν, ἀλλὰ ζώντων.

ΚΕΦ. Ν.

α. Καὶ ἐπιπεσὼν Ἰωσὴφ ἐπὶ τὸν τράχηλον τοῦ πατρὸς αὐτοῦ, ἔκλαυσεν ἐπ' αὐτῷ, καὶ ἐφίλησεν αὐτόν.

✻✻ ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες παιδὸς φιλοστοργίαν; εἶδες πεπυρωμένην ἀγάπην; καὶ μετὰ τὴν τῆς ψυχῆς ἀναχώ-
» ρησιν, ἐπιπεσὼν ἐπὶ τὸ πρόσωπον, καὶ καταφιλήσας, ἔκλαυσεν ἐπ' αὐτῷ.

β. Καὶ προσέταξεν Ἰωσὴφ τοῖς παισὶν αὐτοῦ τοῖς ἐνταφιασταῖς ἐνταφιάσαι τὸν πατέρα αὐτοῦ· καὶ ἐνεταφίασαν οἱ ἐνταφιασταὶ τὸν Ἰσραήλ.

γ. Καὶ ἐπλήρωσαν αὐτοῦ τεσσαράκοντα ἡμέρας· οὕτω καταριθμοῦνται αἱ ἡμέραι τῆς ταφῆς· καὶ ἐπένθησεν αὐτὸν Αἴγυπτος ἑβδομήκοντα ἡμέρας.

ΑΔΗΛΟΥ. Οἱ μὲν Αἰγύπτιοι, ἑβδομήκοντα ἡμέρας πενθοῦσιν· οἱ δὲ Ἰσραηλῖται, τριάκοντα.

» ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐπλήρωσαν αὐ-
» τοῦ τεσσαράκοντα ἡμέρας. Ὁ ἀριθμὸς οὗτος κατὰ νόμον αἰγύπτιον. νῦν γὰρ τριακοστὰ ποιοῦσι. καὶ τὸν Ἀαρὼν καὶ Μωϋσῆν τριάκοντα ἡμέρας ἐπένθησαν μόνας, ὡς ἐν Ἀριθμοῖς καὶ Δευτερονομίῳ φησίν.

δ. Ἐπεὶ δὲ παρῆλθον αἱ ἡμέραι τοῦ πένθους, ἐλάλησεν Ἰωσὴφ πρὸς τοὺς δυνάστας Φαραώ, λέγων, εἰ εὗρον χάριν ἐναντίον ὑμῶν, λαλήσατε περὶ ἐμοῦ εἰς τὰ ὦτα Φαραώ, λέγοντες.

ε. Ὁ πατήρ μου ὥρκισέ με, ἐν τῷ μνημείῳ ᾧ ὤρυξα ἐμαυτῷ ἐν γῇ Χαναάν, ἐκεῖ με θάψεις. νῦν οὖν ἀναστάς, θάψω τὸν πατέρα μου, καὶ ἐπανελεύσομαι.

» ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Ἐν τῷ μνημείῳ ᾧ
» ὤρυξα ἐγὼ ἐμαυτῷ ἐν γῇ Χαναάν, ἐκεῖ με θάψεις. Καὶ μὴν Ἀβραὰμ ὤρυξεν· ἀλλ' οἰκειοῦται τὰ τοῦ πατρός, ὥσπερ ἄνω. τὰ Γεν. 48. 22.
» τῶν υἱῶν, λέγων· ἐν μαχαίρᾳ μου, καὶ
» ἐν τόξῳ.

Γ ς. Καὶ εἶπε Φαραὼ τῷ Ἰωσήφ, ἀνάβηθι, θάψον τὸν πατέρα σου, κα-
ζ. θάπερ ὥρκισέ σε. Καὶ ἀνέβη Ἰωσὴφ θάψαι τὸν πατέρα αὐτοῦ. καὶ συνανέβησαν μετ' αὐτοῦ πάντες οἱ παῖδες Φαραώ, καὶ οἱ πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ, καὶ πάντες οἱ πρεσβύτεροι
η. γῆς Αἰγύπτου, Καὶ πᾶσα ἡ πανοικία Ἰωσήφ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ,
Δ καὶ πᾶσα ἡ οἰκία ἡ πατρικὴ αὐτοῦ· καὶ τὴν συγγένειαν, καὶ τὰ πρόβατα, καὶ τοὺς βόας ὑπελίποντο ἐν γῇ Γεσέμ.

θ. Καὶ συνανέβησαν μετ' αὐτοῦ καὶ ἅρματα καὶ ἱππεῖς, καὶ ἐγένετο ἡ παρεμβολὴ μεγάλη σφόδρα.

Ε ✻✻ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα διὰ τὴν εἰς Ἰωσὴφ τιμήν, πόσην ἐπιδείκνυνται σπουδὴν οἱ Αἰγύπτιοι, καὶ συνανέρχονται τῷ Ἰωσήφ, ὥστε γενέσθαι αὐτοὺς παρεμβολὴν μεγάλην.

ι. Καὶ παρεγένοντο ἐφ' ἅλωνα Ἀτάδ, ὅ ἐστι πέραν τοῦ Ἰορδάνου· καὶ ἐκόψαντο αὐτὸν κοπετὸν μέγαν καὶ ἰσχυρὸν σφόδρα. καὶ ἐποίησε τὸ πέν-
Ζ θος τῷ πατρὶ αὐτοῦ ἑπτὰ ἡμέρας.

ΑΔΗΛΟΥ. Τόπος ἐστὶ πέραν τοῦ Ἰορδάνου, διεστηκὼς τῆς Ἱεριχοῦς τρισὶ σημείοις. καὶ νῦν καλεῖται Βηθαγλά. ὅ ἐστι μεθερμηνευόμενον τόπος κύκλου.

✻✻ ΠΡΟΚΟΠΙΟΥ. Διέστηκεν ὁ τόπος Ἱεριχοῦς τρισὶ σημείοις, ὡς ἀπὸ δύο σημείων τοῦ Ἰορδάνου. καὶ νῦν καλεῖται Βη-
Η θαγλά. ὅπερ ἑρμηνεύεται τόπος κύκλου, διὰ τὸ ἐκεῖ κοπτομένους τὸν Ἰακὼβ κυκλοῦν.

✻✻ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ταῦτα ἀκούων, μὴ ἁπλῶς παράτρεχε, ἀλλὰ τὸν καιρὸν ἐννοῶν,

A ἐννοῶν, καθ' ὃν ἐγένετο, πάσης αἰτίας ἀπάλλατε τὸν Ἰωσήφ. οὐδέπω γὰρ ἦσαν τοῦ ᾅδου αἱ πύλαι συγκλασθεῖσαι, οὐδὲ τοῦ θανάτου τὰ δεσμὰ διαλυθέντα, οὐδὲ κοίμησις ὁ θάνατος λεγόμενος ἦν. διὰ τοῦτο ἐπειδὴ ἐδεδοίκεσαν τὸν θάνατον, ταῦτα ἐποίουν. νυνὶ δὲ διὰ τὴν τοῦ Θεοῦ χάριν, ἐπειδὴ ὕπνος ὁ θάνατος γέγονε, καὶ κοίμησις ἡ τελευτὴ, καὶ πολλὴ τῆς ἀναστάσεως ἡ πληροφορία, ὡς ἀπὸ ζωῆς εἰς ζωὴν μεθιστάμενοι, οὕτως ἀγαλλόμεθα καὶ εὐφραινόμεθα.

ια. Καὶ εἶδον οἱ κάτοικοι τῆς γῆς
Χαναὰν τὸ πένθος ἐπὶ ἅλωνι Ἀτὰδ,
καὶ εἶπαν, πένθος τοῦτο μέγα ἐστὶ τοῖς
Αἰγυπτίοις. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνο-
μα τοῦ τόπου, πένθος Αἰγύπτου, ὅ ἐστι
ιβ. πέραν τοῦ Ἰορδάνου. Καὶ ἐποίησαν
αὐτῷ οὕτως οἱ υἱοὶ αὐτοῦ, καθὼς ἐνε-
ιγ. τείλατο αὐτοῖς. Καὶ ἀνέλαβον αὐ-
τὸν ἐν γῇ Χαναάν· καὶ ἔθαψαν αὐ-
τὸν εἰς τὸ σπήλαιον τὸ διπλοῦν, ὃ ἐκτή-
σατο Ἀβραὰμ τὸ σπήλαιον ἐν κτήσει
μνημείου παρὰ Ἐφρὼν τοῦ Χετταίου,
ιδ. κατέναντι Μαμβρῆ. Καὶ ὑπέστρεψεν
Ἰωσὴφ εἰς Αἴγυπτον, αὐτὸς καὶ οἱ
ἀδελφοὶ αὐτοῦ; καὶ οἱ συναναβάντες
ιε. θάψαι τὸν πατέρα αὐτοῦ. Ἰδόντες
δὲ οἱ ἀδελφοὶ Ἰωσὴφ, ὅτι τέθνηκεν
ὁ πατὴρ αὐτῶν, εἶπαν, μήποτε μνη-
σικακήσῃ ἡμῖν Ἰωσὴφ, καὶ ἀνταπό-
δομα ἀνταποδώσει ἡμῖν πάντα ὅσα
ις. ἐνεδειξάμεθα αὐτῷ. Καὶ παραγενό-
μενοι πρὸς Ἰωσὴφ, εἶπαν, ὁ πατήρ
σου ὥρκισέ σε πρὸ τοῦ τελευτῆσαι αὐ-
ιζ. τὸν, λέγων, Οὕτως εἴπατε τῷ Ἰω-
σήφ· ἄφες αὐτοῖς τὴν ἁμαρτίαν αὐ-
τῶν, ὅτι πονηρά σοι ἐνεδείξαντο. καὶ
νῦν δέξαι τὴν ἀδικίαν τῶν θεραπόντων
τοῦ Θεοῦ τοῦ πατρός σου. καὶ ἔκλαυ-
σεν Ἰωσὴφ λαλούντων αὐτῶν πρὸς
αὐτόν.

ιη. Καὶ ἐλθόντες πρὸς αὐτὸν, εἶπον, οἵδε ἡμεῖς σοὶ οἰκέται.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πόσον ἐστὶν ἀρετὴ, πῶς ἰσχυρὸν καὶ ἄμαχον, καὶ ὅση τῆς κακίας ἡ ἀσθένεια. ἰδοὺ γὰρ, ὁ μὲν τοσαῦτα πεπονθὼς βασιλεύει, οἱ δὲ ταῦτα διαθέντες τὸν ἀδελφὸν, οἰκέται εἶναι παρακαλοῦσι τοῦ παρ' αὐτῶν εἰς δουλείαν ἐκδοθέντος.

ιθ. Καὶ εἶπεν αὐτοῖς Ἰωσὴφ, μὴ φοβεῖσθε, τοῦ γὰρ Θεοῦ εἰμὶ ἐγώ.

ΑΚΥΛΑΣ. Ὅτι μὴ Θεὸς ἐγώ;

ΣΥΜΜΑΧΟΣ. Μὴ γὰρ ἀντὶ Θεοῦ ἐγώ;

ΣΑΜΑΡΕΙΤΙΚΟΝ. Μὴ φοβεῖσθε, καὶ γὰρ φοβούμενος Θεόν εἰμι.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τοῦ Θεοῦ γάρ εἰμι ἐγὼ, καὶ τὸν δεσπότην τὸν ἐμὸν μιμοῦμαι, καὶ εὐεργεσίαις ἀμείβεσθαι σπουδάζω τοὺς τὰ ἀνήκεστά με διαθέντας.

B ** ΠΡΟΚΟΠΙΟΥ. Ὡς εὐσεβὴς, καὶ ἐν συμφοραῖς, καὶ ἐν εὐπραγίαις μέμνηται τοῦ Θεοῦ.

κ. Ὑμεῖς ἐβουλεύσασθε κατ' ἐμοῦ
εἰς πονηρὰ, ὁ δὲ Θεὸς ἐβουλεύσατο
περὶ ἐμοῦ εἰς ἀγαθὰ, ὅπως γενηθῇ
ὡς σήμερον, ἵνα διατραφῇ λαὸς πο-
κα. λύς. Καὶ εἶπεν αὐτοῖς, μὴ φοβεῖσ-
Γ θε· ἐγὼ διαθρέψω ὑμᾶς, καὶ τὰς
οἰκίας ὑμῶν. καὶ παρεκάλεσεν αὐ-
τοὺς, καὶ ἐλάλησεν αὐτῶν εἰς τὴν καρ-
κβ. δίαν. Καὶ κατῴκησεν Ἰωσὴφ ἐν Αἰ-
γύπτῳ, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ,
καὶ πᾶσα ἡ πανοικία τοῦ πατρὸς αὐ-
τοῦ. καὶ ἔζησεν Ἰωσὴφ ἔτη ἑκατὸν
κγ. δέκα. Καὶ εἶδεν Ἰωσὴφ Ἐφραὶμ
παιδία, ἕως τρίτης γενεᾶς· καὶ υἱοὶ
Δ Μαχεὶρ τοῦ υἱοῦ Μανασσῆ ἐτέχθησαν
κδ. ἐπὶ τῶν μηρῶν Ἰωσήφ. Καὶ εἶπεν
Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ, λέγων,
ἐγὼ ἀποθνήσκω· ἐπισκοπῇ δὲ ἐπισ-
κέψεται ὑμᾶς ὁ Θεὸς, καὶ ἀνάξει ὑ-
μᾶς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν,
ἣν ὤμοσεν ὁ Θεὸς τοῖς πατράσιν ἡ-
μῶν, Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ
E Ἰακώβ.

κε. Καὶ ὥρκισεν Ἰωσὴφ τοὺς υἱοὺς Ἰσραὴλ, λέγων, ἐν τῇ ἐπισκοπῇ ᾗ ἐπισκέψεται ὑμᾶς ὁ Θεὸς, καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ' ὑμῶν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τοῦτο ἐποίει οὐχ ἁπλῶς, οὐδὲ μάτην, ἀλλὰ δύο ταῦτα
Z οἰκονομῶν· ἓν μὲν, ἵνα μὴ οἱ Αἰγύπτιοι μεμνημένοι τῶν τοσούτων αὐτοῦ εὐεργεσιῶν, καὶ εὐκόλως ἐξ ἀνθρώπων Θεοὺς προσαγορεύοντες, ὑπόθεσιν ἀσεβείας ἔχωσι τοῦ δικαίου τὸ σῶμα· ἕτερον δὲ, ἵνα ὦσι πεπληροφορημένοι, ὅτι πάντως ἐπανήξουσιν. εἰ γὰρ μὴ τοῦτο ἦν ὡμολογημένον, οὐκ ἂν οὕτω διεστείλατο, ὥστε μετ' αὐτῶν ἀναγαγεῖν τὰ ὀστᾶ.

H ** ΕΠΙΦΑΝΙΟΥ. Εἰ μὴ ἐλπὶς ἦν ἀναστάσεως, τίς ὀστέων ἡ ἐπιμέλεια, περὶ τῶν φθειρομένων ὀστέων ἐντέλλεσθαι τοὺς δικαίους;

κϛ. Καὶ ἐτελεύτησεν Ἰωσὴφ ὢν ἐτῶν ἑκατὸν δέκα· καὶ ἔθαψαν αὐτὸν, καὶ ἔθηκαν αὐτὸν ἐν τῇ σορῷ ἐν Αἰγύπτῳ.

** ΠΡΟΚΟΠΙΟΥ. Ὁ Ἰωσὴφ ἑπτακαίδεκα ἔτη ἐποίησεν ἐν γῇ Χαναὰν, καὶ δέκα ἐτῶν εἵλκυσε δουλείαν. τρία δὲ ἔτη ἐν τῷ δεσμωτηρίῳ διέτριψε, καὶ ὀγδοήκοντα ἔτη ἦν δεύτερος τῷ βασιλεῖ, καὶ ἐξουσιάζων ἐν πάσῃ γῇ Αἰγύπτου. ἡμεῖς δὲ τὸν τῶν ἀγαθῶν δοτῆρα Θεὸν, καὶ τοῦ ἁγίου πνεύματος χορηγὸν, τὸν ἀποκαλύπτοντα τοῖς ἀξίοις τὴν ἐναποκειμένην τῇ θείᾳ Γραφῇ γνῶσιν, δοξάσωμεν. ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ αὐτῷ δόξα σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

ΤΕΛΟΣ ΤΗΣ ΓΕΝΕΣΕΩΣ.



ΕΞΟΔΟΣ



ΕΞΟΔΟΣ

ΕΞ ΑΙΓΥΠΤΟΥ ΤΩΝ ΥΙΩΝ ΙΣΡΑΗΛ ΣΥΓΓΡΑΦΗ ΜΩΣΗ.

ΑΔΗΛΟΥ. Ὅτι τὸ πρῶτον βιβλίον ὁ Μωσῆς, Γένεσιν προσηγόρευσε· τὸ δεύτερον δὲ, Ἔξοδον· συμβολικῶς διὰ τῆς ἱστορίας τὴν ἐν τῷδε τῷ βίῳ πρόσκαιρον ἡμῖν ὑπογράφων ζωήν. καὶ ἀριθμεῖ τοὺς εἰσελθόντας εἰς Αἴγυπτον, ἵνα ἀκούων μετὰ ταῦτα τὸ πλῆθος τῶν τοσούτων μυριάδων, τῇ πρὸς Ἀβραὰμ εὐλογίᾳ τοῦ Θεοῦ ἐπιγράψῃς τὸ πρόςαγμα.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τοῖς κατεχομένοις ὑπὸ τοῦ νοητοῦ Φαραὼ τὴν ἀπ᾽ αὐτοῦ δίδωσιν ἔξοδον ἐπιστρέφουσιν ὁ Φιλοικτίρμων Θεὸς, οὐκ ἐῶν ἔτι πηλῷ καὶ [illegible]ινθείᾳ συνέχεσθαι, πρὸς δὲ γῆν μεταφέρων τὴν ῥέουσαν μέλι καὶ γάλα. πῶς τοίνυν ἐστὶν ἐξελθεῖν, καὶ πῶς ὁδευτέον, δηλουμένοις ἀκολουθήσωμεν.

ΚΕΦ. Α.



α. Ταῦτα τὰ ὀνόματα τῶν
υἱῶν Ἰσραὴλ τῶν εἰ-
σπορευομένων εἰς Αἴ-
γυπτον ἅμα Ἰακὼβ
τῷ πατρὶ αὐτῶν, ἕ-
β. καστος πανοικίᾳ αὐτῶν εἰσῆλθον. Ῥου-
γ. βὶμ, Συμεὼν, Λευΐ, Ἰούδας. Ἰσσά-
δ. χαρ, Ζαβουλὼν, καὶ Βενιαμὶν, Δὰν
καὶ Νεφθαλεὶμ, Γὰδ, καὶ Ἀσήρ.

ε. Ἰωσὴφ δὲ ἦν ἐν Αἰγύπτῳ. ἦ-
σαν δὲ αἱ ψυχαὶ πᾶσαι ἐξ Ἰακὼβ,
πέντε καὶ ἑβδομήκοντα.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀριθμεῖ τοὺς μετὰ Ἰακὼβ, ἔργῳ δεικνὺς τὴν τοῦ Θεοῦ πληρωθεῖσαν ἐπαγγελίαν πρὸς Ἀβραάμ. ἵνα τὸ πλῆθος ὁρῶντες, τὴν αἰτίαν γνωρίσωμεν.

ϛ. Ἐτελεύτησε δὲ Ἰωσὴφ, καὶ
πάντες οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα
ἡ γενεὰ ἐκείνη.

ζ. Οἱ δὲ υἱοὶ Ἰσραὴλ ηὐξήθησαν,
καὶ ἐπληθύνθησαν, καὶ χυδαῖοι ἐγέ-
νοντο, καὶ κατίσχυσαν σφόδρα σφόδρα·
ἐπλήθυνε δὲ ἡ γῆ αὐτούς.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Χυδαῖοι ἐγένοντο, τουτέστιν εἰς πλῆθος ἐχύθησαν· ὅθεν Ἀκύλας, ἐχέοντο, φησίν· ὁ δὲ Σύμμαχος, ἐξεῖρψαν, ὡς ἐπὶ τῶν ἐκ γῆς ἀναδιδομένων.

✱✱ ΕΠΙΦΑΝΙΟΥ. Πάντως γάρ που ὁ χρόνος τῆς αὐτῶν παροικίας καὶ ἐπιμιξίας διὰ ῥαθυμίαν τὸ χυδαῖον εἰργάσατο.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, χυδαῖοι ἐγένοντο; Οὐχ ὥς τινες νενοήκασιν ὑβριστικῶς αὐτὸ τέθεικεν, ἀλλὰ τὸ πλῆθος δεδήλωκεν. οὕτω γὰρ ηὐξήθησαν, φησὶν, ὡς κατὰ πάσης ἐκείνης ἐκχεθῆναι τῆς γῆς. οὕτω καὶ οἱ περὶ τὸν Ἀκύλαν ἡρμηνεύκασιν. τοῦτο δὲ καὶ τὰ ἑξῆς δηλοῖ. ἐπλήθυνε γάρ φησιν ἡ γῆ αὐτούς. καὶ μετ᾽ ὀλίγα. καθότι δὲ αὐτοὺς ἐταπείνουν, τοσούτῳ πλείους ἐγίνοντο, καὶ ἴσχυον σφόδρα σφόδρα. E

η. Ἀνέστη δὲ βασιλεὺς ἕτερος ἐπ᾽
Αἴγυπτον, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ.
θ. Εἶπε δὲ τῷ ἔθνει αὐτοῦ, ἰδοὺ τὸ ἔθνος
Z τῶν Ἰσραηλιτῶν μέγα πλῆθος, καὶ
ἰσχύει ὑπὲρ ἡμᾶς.

ι. Δεῦτε καὶ κατασοφισώμεθα αὐ-
τοὺς, μήποτε πληθυνθῇ, καὶ ἡνίκα
ἐὰν συμβῇ πόλεμος ἡμῖν, προστεθή-
σονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους,
καὶ ἐκπολεμήσαντες ἡμᾶς, ἐξελεύ-
σονται ἐκ τῆς γῆς.

H ΑΔΗΛΟΥ. Κατασοφισώμεθα αὐτοὺς, ἀντὶ τοῦ, μηχανῇ τινὶ κακώσωμεν αὐτοὺς καὶ μεθόδοις. Φανερῶς γὰρ κατάγχειν οὐχ οἷόν τε, μηδεμίαν δεδωκότας τοῦ πράγματος πρόφασιν.

ια. Καὶ ἐπέστησαν αὐτοῖς ἐπιστάτας τῶν ἔργων, ἵνα κακώσωσιν αὐτοὺς ἐν τοῖς ἔργοις: καὶ ᾠκοδόμησαν πόλεις ὀχυρὰς τῷ Φαραὼ, τήν τε Πειθὼ, καὶ Ῥαμεσσῆ, καὶ Ὢν, ἥ ἐστιν Ἡλιούπολις.

» ** ΠΡΟΚΟΠΙΟΥ. Πόλεις ὀχυρὰς, ἢ τειχήρεις φησὶν, ἢ μεγάλας, ὡς τῷ πλήθει τῶν ἐνοικούντων αὐτὰς ὠχυρῶσθαι. ὁ γὰρ Ἀκύλας, σκηνωμάτων, ἐξέδωκε. »

ΚΥΡΙΛΛΟΥ. Ἐπιστάτας δὲ ὥσπερ τῶν ἔργων τῶν ὅτι μάλιστα φιλτάτων αὐτῷ κατεχειροτόνησε τῶν ἀδικουμένων ὁ Σατανᾶς τοὺς ἀκαθάρτους δαίμονας, ἤτοι τὰς ὑπ' αὐτῷ δυνάμεις. οἳ ταῖς πολυτρόποις τῶν παθῶν πλεονεξίαις τὸν ἑκάστου τῶν ἐπὶ τῆς γῆς καταφορτίζουσι νοῦν, δεδιότες, οἶμαί που, μὴ ἄρα κατὰ σχολὴν τῆς διανοίας τὸν ὀφθαλμὸν ἀνείντες πρὸς Θεὸν, τῆς ὑπ' αὐτῷ δουλείας ἐκλύσειαν τὸν αὐχένα. φιλελεύθερα γὰρ ἡ ἀνθρώπου φύσις. ὅτι δὲ δόξα τε καὶ πλοῦτος τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ αὐτῷ δὲ τῷ Σατανᾷ λελόγισται, καί ἐστιν ὁ εἰκαῖος ἡμῶν περισπασμὸς, καὶ οἱ περὶ σάρκα πόνοι καὶ σπουδαὶ, βλέπουσαι πρὸς τὰ γεωδέστερα, παραδείξειεν ἂν αἰνιγματωδῶς τὸ πόλεις ἐγείρειν τῷ Φαραὼ τοὺς ἐξ Ἰσραὴλ, πηλῷ τε καὶ πλινθείαις ἐντρυχομένους.

ιβ. Καθότι δὲ αὐτοὺς ἐταπείνουν, τοσούτῳ πλείους ἐγίνοντο, καὶ ἴσχυον σφόδρα σφόδρα.

* ΚΥΡΙΛΛΟΥ. Περιειστήκει δὲ τῷ τυράννῳ πρὸς τὸ παρ' ἐλπίδας ἡ σκῆψις. ἐν γάρ τοι τῷ ταπεινοῦσθαι, φησὶ, τοὺς κολαζομένους, ἐν ὑπορροχαῖς τὸ δεῖγμα μείζοσιν ἦν, καὶ πλείους ἐγίνοντο, διὰ τοῦ κακοῦν εἰωθότος, ὠφελεῖν ἐθέλοντος τοῦ Θεοῦ τοὺς ἀνοσίως ἐξυβριζομένους. (1) ὅσον γὰρ ὁ Ἰσραὴλ ἐπληθύνετο, τοσοῦτον ηὔξετο τὸ μῖσος τῶν Αἰγυπτίων. συνεχώρει δὲ ὁ Θεὸς τοῦτο γίνεσθαι κατὰ τοῦ Ἰσραὴλ παρὰ τῶν Αἰγυπτίων· ἵνα καὶ τοὺς Θεοὺς τῶν Αἰγυπτίων ὑπ' αὐτῶν ἐπιβουλευόμενοι, μισήσωσι, καὶ ἑτοίμως ἐξέλθωσιν ἐξ Αἰγύπτου. ὅπερ οὐκ ἂν ἠνέσχοντο, τρυφὴν ἔχοντες καὶ εἰρήνην.

Καὶ ἐβδελύσσοντο οἱ Αἰγύπτιοι ἀπὸ τῶν υἱῶν Ἰσραήλ.

ΑΔΗΛΟΥ. Ὁ Σύρος καὶ ὁ Ἑβραῖος, » ἐθλίβοντο, ὁρῶντες αὐτοὺς πληθυνομένους, καὶ ἐκάκουν αὐτούς. συγχωρεῖ δὲ ὁ Θεὸς τοῦτο· ἵνα καὶ τοὺς Θεοὺς τῶν Αἰγυπτίων μισήσωσι, καὶ ἑτοίμως ἐξελθεῖν ἐπιθυμήσωσι.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ, ἐβδελύσσοντο » οἱ Αἰγύπτιοι ἀπὸ τῶν υἱῶν Ἰσραὴλ, ὁ Ἑ- » βραῖος, ἐθλίβοντο, φησὶ, δηλονότι πληθυνομένους ὁρῶντες.

ιγ. Καὶ κατεδυνάστευον οἱ Αἰγύπτιοι τοὺς υἱοὺς Ἰσραὴλ βίᾳ.

ιδ. Καὶ κατώδυνον αὐτῶν τὴν ζωὴν ἐν τοῖς ἔργοις τοῖς σκληροῖς, τῷ πηλῷ καὶ τῇ πλινθείᾳ, καὶ πᾶσι τοῖς ἔργοις τοῖς ἐν τοῖς πεδίοις, κατὰ πάντα τὰ ἔργα, ὧν κατεδουλοῦντο αὐτοὺς μετὰ βίας.

** ΙΩΣΗΠΟΥ. Τόν τε γὰρ ποταμὸν εἰς διώρυχας πολλὰς αὐτοῖς προσέταξαν διατεμεῖν, τείχη τε οἰκοδομῆσαι ταῖς πόλεσι καὶ χώματα, ὅπως ἂν εἴργοι τὸν ποταμὸν μὴ λιμνάζειν ἕως ἐκείνων ἐπεκβαίνοντα· πυραμίδας τε ἀνοικοδομοῦντες ἐξέτρυχον ἡμῶν τὸ γένος, ὡς τέχνας τε παντοίας ἀναδιδάσκεσθαι, καὶ τοῖς πόνοις γενέσθαι συνήθεις. καὶ τετρακοσίων μὲν ἐτῶν χρόνον ἐπ' αὐταῖς διήνυσαν ταῖς ταλαιπωρίαις. ἀντεφιλονείκουν γὰρ, οἱ μὲν Αἰγύπτιοι τοῖς πόνοις ἐξαπολέσαι τοὺς Ἰσραηλίτας ἐθέλοντες· οἱ δὲ, ἀεὶ κρείττους φαίνεσθαι τῶν ἐπιταγμάτων.

ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ ὑπὸ δεινῷ καὶ ἀλιτηρίῳ δεσπότῃ γεγόναμεν, φημὶ δὴ τῷ Σατανᾷ, τῷ πηλῷ καὶ τῇ πλινθείᾳ κατετρυχόμεθα, τουτέστι τοῖς περὶ γῆν τε, καὶ ἐν αὐτῇ βδελυροῖς σπουδάσμασιν οὐκ ἀνιδρωτὶ τελουμένοις. οὐ γὰρ ἀπήλλακται πόνων, κἂν εἰ τὸ εἰκαῖον ἔχοι ὁ τοῦδε τοῦ βίου περισπασμός.

ιε. Καὶ εἶπεν ὁ βασιλεὺς τῶν Αἰγυπτίων ταῖς μαίαις τῶν Ἑβραίων· τῇ μιᾷ αὐτῶν ὄνομα Σεπφώρα· καὶ τὸ ὄνομα τῆς δευτέρας Φουά.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μαίας Ἑβραίων ὠνόμασε Σεπφώραν τε καὶ Φουάν. ἡ μὲν γὰρ, ὀρνίθιον· Φουὰ δὲ, ἐρυθρὸν ἑρμηνεύεται. τῆς μὲν οὖν θείας ἐπιστήμης, ὄρνιθος τρόπον τὸ ἀεὶ μετεωροπολεῖν ἴδιον· τῆς δὲ ἀνθρωπίνης, αἰδῶ καὶ σωφροσύνην ἐμποιεῖν, ὥστε ἐρυθριᾷν, ἐφ' οἷς δεῖγμα ἄξιον ἐναργέστατον.

ις. Καὶ εἶπεν, ὅταν μαιοῦσθε τὰς Ἑβραίας, καὶ ὦσι πρὸς τῷ τίκτειν, ἐὰν μὲν ἄρσεν ᾖ, ἀποκτείνατε αὐτό· ἐὰν δὲ θῆλυ, περιποιεῖσθε αὐτό.

** ΚΥΡΙΛΛΟΥ. Λόγου γὰρ ἐδόκει μηδενὸς ἀξιοῦν τὸ ἄναλκι καὶ ἀφιλοπόλεμον, καὶ εἰς δειλίας εὔκολον, καὶ νόμῳ φύσεως τεθρυμμένον.

ΝΥΣΣΗΣ. Ἡ ὑλικὴ καὶ ἐμπαθεστέρα διάθεσις, τὸ θῆλυ τῆς ζωῆς, ὃ τῷ τυράννῳ φίλον ἐστὶ ζωογονούμενον· τὸ δὲ κατεσκληκὸς καὶ σύντονον τῆς ἀρετῆς, καὶ ὁ ἀνδρώδης τόκος, πολέμιος.

ιζ. Ἐφο-

(1) Τὰ ἑξῆς ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

ιζ. Ἐφοβήθησαν δὲ αἱ μαῖαι τὸν Θεὸν, καὶ οὐκ ἐποίησαν καθότι συνέταξεν αὐταῖς ὁ βασιλεὺς Αἰγύπτου·
ιη. καὶ ἐζωογόνουν τὰ ἄρσενα. Ἐκάλεσε δὲ ὁ βασιλεὺς Αἰγύπτου τὰς μαίας· καὶ εἶπεν αὐταῖς, τί ὅτι ἐποιήσατε τὸ πρᾶγμα τοῦτο, καὶ ζωογονεῖτε τὰ ἄρσενα;

ιθ. Εἶπαν δὲ αἱ μαῖαι τῷ Φαραὼ, οὐχ ὡς αἱ γυναῖκες Αἰγύπτου, αἱ Ἑβραῖαι· τίκτουσι γὰρ πρὶν ἢ εἰσελθεῖν εἰς αὐτὰς τὰς μαίας· καὶ ἔτικτον.

ΣΥΜΜΑΧΟΣ. Μαῖαι γάρ εἰσι, καὶ πρὶν εἰσελθεῖν τὰς μαίας τίκτουσι.

ΘΕΟΔΟΤΙΩΝ. Ὅτι ζωογονοῦσιν αὗται, διότι πρὶν εἰσελθεῖν πρὸς αὐτὰς τίκτουσι.

ΔΙΟΔΩΡΟΥ. Οἱ τῶν Ἑβδομήκοντα ἑρμηνεία τὴν ταχυτῆτα δοκεῖ σημαίνειν τῶν ἑβραίων γυναικῶν, τὴν κατὰ τὸ τίκτειν, φθάνουσαν τὴν παρουσίαν τῶν μαιῶν· ἡ δὲ τοῦ Συμμάχου καὶ Θεοδοτίωνος, ὅτι αἱ γυναῖκες τῶν Ἑβραίων ἴσασι τὴν μαιευτικὴν ἐπιστήμην, καὶ τῆς τῶν μαιῶν παρουσίας οὐ χρήζουσι. διὸ δὴ αὐταῖς προχωρεῖ καὶ τὸ ζωογονεῖν τοὺς ἄῤῥενας.

κ. Εὖ δὲ ἐποίει ὁ Θεὸς ταῖς μαίαις· καὶ ἐπλήθυνεν ὁ λαὸς, καὶ ἴσχυον σφόδρα.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Εὖ δὲ ἐποίει ὁ Θεὸς ταῖς μαίαις. τοῦτο σιωπηκλέον πρὸς τὸ,
» καὶ ἐποίησαν ἑαυταῖς οἰκίας. τὰ γὰρ ἄλλα διὰ μέσου.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Αἱ μαῖαι τῶν Αἰγυπτίων καταφρονήσασαι τῶν ἐπιταγμάτων τῶν ὠμῶν ἐκείνων, καὶ παραλογισάμεναι τὸ ἀπηνὲς τοῦ βασιλέως δόγμα, πολλῆς ἀπήλαυσαν τῆς εὐετηρίας. ταῦτα δὲ ἀμφότερα τῆς τοῦ Θεοῦ προνοίας ἦν· τό, τε γὰρ γυναῖκας ἀνδρειοτέρας ἀποφῆναι τῶν τὰ διαδήματα φορούντων, τό, τε ἀμοιβὰς ταύταις ἀποδιδόναι, καὶ εἰς πλῆθος
» αὐτὰς ἐκτεῖναι πολύ. τὸ γὰρ, εὖ ἐποίει
» ταῖς μαίαις, τουτέστιν, ἐξετάθη αὐτῶν ἡ συγγένεια. δι' ὧν γὰρ εὐηργέτουν τοὺς Ἰουδαίους, διὰ τούτων ἐλάμβανον παρὰ τοῦ Θεοῦ τὰς ἀμοιβάς.

κα. Ἐπεὶ οὖν ἐφοβοῦντο αἱ μαῖαι τὸν Θεὸν, ἐποίησαν ἑαυταῖς οἰκίας.

ΣΥΜΜΑΧΟΣ. Ἐπειδὴ ἐφοβοῦντο αἱ μαῖαι τὸν Θεὸν, ἐποίησαν ἑαυταῖς οἰκίας.

ΑΚΥΛΑΣ. Ἐπεὶ οὖν ἐφοβοῦντο αἱ μαῖαι τὸν Θεὸν, ἐποίησαν ἑαυταῖς οἴκους.

ΑΔΗΛΟΥ. Φανερώτερον ἡρμήνευσαν ὁ Σύμμαχος καὶ Ἀκύλας. οὐ γὰρ αἱ μαῖαι

A ἐποίησαν ἑαυταῖς οἰκίας, ὅπερ ἄν τις οἰηθείη κατὰ τοὺς Ἑβδομήκοντα· ἀλλ' ὁ Θεὸς ἐποίησεν (1) ἑαυταῖς οἴκους, οὐ τοὺς χειρο-
» τεύκτους, ἀλλ' οὓς φησὶν ὁ Δαβίδ· οἶκος Ψαλ. 134. 19.
» Ἰσραὴλ εὐλογήσατε τὸν Κύριον, οἶκος Ἀα-
» ρὼν εὐλογήσατε τὸν Κύριον· καὶ ὁ Ἡσαΐας
» τῷ Ἄχαζ, ἀκούσατε δὴ οἶκος Δαβὶδ, τὰς Ησ. 7. 13.
συγγενείας καὶ τὰς φατρίας ἑκάστης φυλῆς οἴκους ὀνομάζων. τοιοῦτόν ἐστι τὸ, ἐποίη-
» σεν αὐταῖς οἴκους, τουτέστιν ηὔξησεν αὐ-
B ταῖς τὸ γένος· καὶ εἰς συγγενείας καὶ φατρίας διαβοήτους ἐξετάθησαν. οἶδε γὰρ ἡ Γραφὴ καὶ τὰς φυλὰς, καὶ τὰς τούτων συγγενείας, οἴκους καλεῖν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Διὰ τῶν οἰκιῶν, τὰς κλήσεις, καὶ τὴν τῆς ὑπάρξεως καὶ τοῦ γένους περιουσίαν δηλοῖ.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τίνες, ἐπειδὴ ἐφο-
» βοῦντο αἱ μαῖαι τὸν Θεὸν, ἐποίησαν ἑαυταῖς
Γ » οἰκίας; Τοῦ Φαραὼ κελεύσαντος διαφθείρειν τὰ ἄῤῥενα, ἐκεῖναι δι' εὐλάβειαν ὑπεργῆσαι τῷ τῆς παιδοκτονίας οὐκ ἠνέχοντο νόμῳ. οὗ δὴ χάριν αὐτὰς ὁ Θεὸς ἀμειβόμενος, ἀφθονίαν αὐταῖς ἀγαθῶν ἐδωρήσατο.

» ΕΥΣΕΒΙΟΥ. Ἐποίησαν ἑαυταῖς οἰκίας, ἀντὶ τοῦ, τὸ ἐξ αὐτῶν γένος ἐπλήθυνεν.

ΤΟΥ ΑΥΤΟΥ. Τὰς ἀχειροποιήτους καὶ ἐν τοῖς οὐρανοῖς. τοιαύτας γὰρ ποιοῦσιν οἱ
Δ εὐαρεστοῦντες Θεῷ. ἢ ἐπειδὴ τὸ τοῦ Ἰσραὴλ γένος ἔσωζον, καὶ ἐζωογόνουν αὐτὰ, ἐπλήθυνεν ὁ Θεὸς τὸ ἐξ αὐτῶν γένος. ὡς ὑπαναχωρούσας δὲ αὐτὰς λέγει, ποιήσασθαι οἰκίας ἐκτὸς, δεδοικυίας μήποτε ἐκ τοῦ εἰσιέναι βιασθῶσι τὸν φόνον ἐργάζεσθαι. ἢ
» ἄλλως τὰς οἰκίας ἐκληπτέον. Ἰακὼβ ἄ- Γεν. 25. 27.
» πλαστος οἰκῶν οἰκίαν, σωζομένης τῆς ἱστορίας, ὡς ἀποίκων ζητήσεις.

E κβ. Συνέταξε δὲ Φαραὼ παντὶ τῷ λαῷ αὐτοῦ, λέγων, πᾶν ἄρσεν ὃ ἐὰν τεχθῇ τοῖς Ἑβραίοις, εἰς τὸν ποταμὸν ῥίψατε· καὶ πᾶν θῆλυ ζωογονεῖτε αὐτό.

ΚΥΡΙΛΛΟΥ. Κατευνασμένον ποιεῖται τὸ ἄρσεν, τουτέστι τὸ νενευκὸς εἰς ἀνδρείαν, δῆλον δὲ ὅτι τὴν ἐπ' ἀρεταῖς. μόνον δὲ οὐχὶ καὶ ἀποπνίγει τὸ μάχιμον τοῖς τῶν
Z ἡδονῶν ἐγκαθιεὶς τέλμασι. προσίεται δὲ τὸ μὴ εὐσθενὲς, καὶ ὡς ἄχρηστον ἀμαχεὶ τοῖς ἰδίοις ὑποφέρει ζυγοῖς. ἐνδείξειε δὲ οὐκ ἀσυμφανῶς τὸ ῥίπτεσθαι μὲν δεῖν τὸ ἄρσεν ἐν ὕδασι λέγειν, ζωογονεῖσθαι γε μὴν τὸ θῆλυ· ὡς τύπος γένοιντο (2) τῶν ἀφανεστέρων τὰ ὡς ἐν ὄψει τε καὶ ἐναργείᾳ.

ΤΟΥ ΑΥΤΟΥ. Πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἐπιδημίας οὐκ ἦν ἐπὶ γῆς τὸ ἄρσεν ἀνεπιβούλευτον. ἄρσεν δὲ νοοῦμεν τὸ ὂν
H ἐν ἀνδρείᾳ τῇ πνευματικῇ, καὶ ἧς ἂν εἶεν καρποὶ τὰ ἁνδάνοντα τῷ Θεῷ. οὐκοῦν ἐν κινδύνῳ.

(1) Κατὰ τὸν δ' ἄρα τὸν χολιαστὴν, ἐποίησεν ἔν τε Ἀκ. καὶ Συμ. ἀναγνωστέον, κἂν, ἐποίησαν ὁ κώδ. γράφῃ. ἀλλὰ καὶ παρὰ Θεοδοτ. κεῖται τὸ, ἐποίησαν.
(2) Τύπος γὰρ ἂν γένοιντο. ἐν Τόμ. 1. μέρ. 1. σελ. 347.

κινδύνῳ τὸ ἄρσεν, μονονουχὶ ταῖς κοσμικαῖς ἡδοναῖς, οἷά τε βορβόροις ἢ τέλμασιν ἐγκαθιέντος τοῦ Σατανᾶ, καὶ ἐναποπνίγοντος γενικῶς τοὺς παραιτουμένους τὸ ἄναλκι καὶ θηλυπρεπὲς, τὸ ὡς ἐν ἤθει φημὶ καὶ τρόποις. τοιγάρτοι καὶ ἔφασκον οἱ πνευματοφόροι [κατατεθηπότες οἶμαι πρὸς τὴν ἁπάντων ἐκτροπὴν ἐπὶ τὸ μὴ
Ψαλ. 13. 3. ἔχον ὀρθῶς,] πάντες ἐξέκλειναν, ἅμα
» ἠχρειώθησαν.

** ΤΟΥ ΑΥΤΟΥ. Τοῖς ἀνδριζομένοις πολεμεῖ μὲν ἀοράτως ὁ Σατανᾶς, σιωτίθησι δὲ τὰ τῆς ἐπιβουλῆς ὡς ἔνγε τρόπῳ τριπλῷ. καὶ ἀπάρχεται μὲν τῆς μάχης

A διὰ κακούργων σκεμμάτων, τὴν εἰς ἀρετὴν ἐπίδοσιν ἀποκωλύων τοῦ νοῦ. ἐντρύχεσθαι γὰρ ἀδοκήτοις παρασκευάζει πόνοις, καὶ σκληροῖς ἀγῶσιν ὁμιλεῖν. ἀδικεῖν δὲ ἰσχύσας διὰ τούτων οὐδὲν, ἐπαμύνοντος τοῦ Θεοῦ, τοὺς κατὰ πίστιν ἡμῖν ἰδίους καὶ ταυτοεθνεῖς παροτρύνει πολλάκις, καὶ καλαθήγειν ἐπιχειρεῖ πρὸς ἀπέχθειάν τε καὶ μάχην. καὶ
» μαρτυρήσει λέγων ὁ Παῦλος· κινδύνοις ἐν 2. Κορ. 11. 26.
» ψευδαδέλφοις, κινδύνοις ἐκ γένους. εἰ δὲ
B δὴ γένοιτο καὶ τούτου διαμαρτεῖν, τὸν θεῖον αὐτοῖς ἐνιέντος φόβον τοῦ τῶν ἁγίων προεστηκότος, καθὰ καὶ τὸ πάλαι ταῖς μαίαις, ἀναφανδὸν ἐγείρει λοιπὸν τοὺς σφετέρους ὑπασπιστὰς εἰς ἀγριότητα καὶ μιαιφονίαν.

ΚΕΦ. Β.

α.  Ην δέ τις ἐκ τῆς φυλῆς Λευῒ, ὃς ἔλαβεν ἐκ τῶν θυγατέρων Λευΐ.

ΑΔΗΛΟΥ. Ὁ μὲν πατὴρ Μωϋσέως, Ἀβραάμ· (1) ἡ δὲ μήτηρ, Ἰωχαβὲτ, ἐκ φυλῆς Λευΐ. τούτου ἀδελφὸς γίνεται Ἀαρὼν, καὶ ἀδελφὴ Μαριάμ.

ΚΥΡΙΛΛΟΥ. Ἄρρεν ἦν ὅτι διὰ τὴν τῆς Θεότητος ἀκακίαν ὡς ἐν νηπίῳ Χριστὸς σημαίνεται. σεσίγηται δὲ καὶ ἐν τοῖς ἱεροῖς γράμμασιν οἰκονομικῶς ὁ Μωσέως πατήρ. καίτοι γὰρ ἐνὸν εἰπεῖν ὁ δεῖνα τυχὸν ἔλα-
» βεν ἐκ τῶν θυγατέρων Λευΐ. τὸ, ἦν δέ τίς φησιν, ὅτι καὶ ἀπάτωρ τὸ κατὰ σάρκα Χριστὸς πλαγίως ὑποδηλῶν, πλὴν ἐν ὑποψίᾳ γέγονε πατρός. ἐνομίζετο γὰρ υἱὸς Ἰωσήφ.

β. Καὶ ἔσχεν αὐτὴν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν ἄρσεν. ἰδόντες δὲ αὐτὸ ἀστεῖον, ἐσκέπασαν αὐτὸ μῆνας τρεῖς.

ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ δὲ γέγονε μεθ' ἡμῶν, καὶ τοῖς ἐπιβουλευομένοις ἐναρίθμιος ἦν ὁ Ἐμμανουὴλ, τὸ φύσει τε καὶ ἀληθῶς ἄρρεν βρέφος, τουτέστι τὸ θρύπτεσθαι μὴ εἰδός· οὐ γὰρ μεμαλάκισαι πρὸς ἁμαρτίαν· διέλαθε μὲν ἐν ἀρχαῖς τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου. κέκρυπται γὰρ τὸ παιδίον, φημὶ δὴ ὁ Μωσῆς.

ΤΟΥ ΑΥΤΟΥ. Ἀλλ' ἦν ἀστεῖόν φησι
Ψαλ. 44. 2. τὸ παιδίον. καὶ γὰρ ὡραῖος κάλλει παρὰ
» τοὺς υἱοὺς τῶν ἀνθρώπων ὠνόμασαι, καὶ ἐστὶν ὁ Χριστός.

γ. Ἐπεὶ δὲ οὐκ ἠδύναντο ἔτι κρύπτειν αὐτὸ, ἔλαβεν ἡ μήτηρ αὐτοῦ θίβην, καὶ κατέχρισεν αὐτὴν ἀσφαλ-
Γ τοπίσσῃ, καὶ ἐνέβαλε τὸ παιδίον εἰς αὐτὴν, καὶ ἔθηκεν αὐτὴν εἰς τὸ ἕλος παρὰ τὸν ποταμόν.

ΑΔΗΛΟΥ. Κιβωτὸς παπύρου θήκης. ἢ ὑδρία, ἢ πλατυσμός. ἣν τινες καλοῦσι στίλην. (2)

ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ δὲ προῆλθεν εἰς ἡλικίαν· τοῖς τοῦ διαβόλου στρατηγήμασι κατατεθηγμένη πρὸς μιαιφονίαν ἡ τεκοῦσα συναγωγή· πέφηνε γὰρ ἐξ Ἰουδαίων τὸ
Δ κατὰ σάρκα Χριστός· κατέκλεισεν ἐν μνημείῳ. τύπος δ' ἂν γένοιτο καὶ τοῦδε σαφὴς, διὰ χειρὸς ὥσπερ τῆς ἰδίας μητρὸς ἐν τῇ καλαμίνῃ θήβῃ καθιέμενος ὁ Μωσῆς, καὶ πρός γε τούτοις ἐκτιθέμενος· ἠλλοτρίωσε γὰρ ἑαυτῆς τὸν Ἐμμανουὴλ ἡ τῶν Ἰουδαίων συναγωγή.

** ΤΟΥ ΝΥΣΣΗΣ. Οἱ μὲν τῷ τυ-
E ράννῳ τοὺς τόκους αὐτῶν χαριζόμενοι, γυμνά τε καὶ ἀπρονόητα τῷ ῥεύματι τὰ τέκνα διαδιδόασι. ῥεῦθρον δὲ τοῦ βίου φημὶ, τὸν τοῖς ἐπαλλήλοις πάθεσι κυμαινόμενον· ὑφ' οὗ τὸ ἐν τῷ ῥεύματι γινόμενον, ὑποβρύχιον καταδύεταί τε καὶ καταπνίγεται. οἱ δὲ σώφρονές τε καὶ προνοητικοὶ λογισμοὶ, οἱ τῆς ἀνδρείας γονῆς πατέρες, ὅταν κατάγειν πρὸς τὰ τῆς ζωῆς κύματα τὸ ἀγαθὸν ἔκγονον ἡ τοῦ βίου ἀνάγκη βιάσηται, κιβωτῷ πρὸς τὸ μὴ γενέσθαι βύθιον τὸν
Z τῷ ῥεύματι δοθέντα κατασφίζονται. κιβωτὸς δ' ἂν εἴη ἐκ διαφόρων σανίδων συμπεπηγυῖα ἡ ἐκ ποικίλων μαθημάτων συμπηγνυμένη παίδευσις· ἡ ἄνω τῶν κυμάτων τὸν δι' αὐτῆς ἐπιφερόμενον τοῦ βίου ἀνέχουσα. ἧς ὑπαρχούσης, οὐδὲ ἐπὶ πολὺ τῷ σάλῳ τῶν ὑδάτων ἐμπλανηθήσεται, ταῖς τῶν κυμάτων ὁρμαῖς συμφερόμενος· ἀλλ' ἐπὶ τοῦ σαθεροῦ τῆς ὄχθης, τουτέστιν ἔξω

(1) Ὅρα τὸ 21. ἐδ. τοῦ 6. τῆς Ἐξόδ. κεφ.

(2) Ἐν μὲν ταῖς σημειώσ. ταῖς εἰς τὴν Γραφ. (τὴν ἐν Φρανεκ. ἐκδοθεῖσ.) τὰ δὲ κεῖται· θίβη κιβωτὸς παπύρου, ἢ ὑδρία, ἢ πλατυσμὸς, ἣν τινες καλοῦσι στίλην. Παρὰ δὲ Ἰωσήπῳ, τάδε, (ἐν κεφ. 5. τοῦ 2. περὶ Ἰουδ. Ἀρχ. βιβλ.) μηχανῶνται πλέγμα βίβλινον ἐμφερὲς τῇ κατασκευῇ κοιτίδι. Παρὰ δὲ τῷ ἁγίῳ Κυρίλλῳ, τάδε, (ἐν Τόμ. 1. μέρ. 1. σελ. 250.) ἐγκατακλείσασα τῇ θίβῃ, ἤτοι τῇ κλειστῇ.

ἔξω τοῦ βιωτικοῦ σάλου γενόμενος, αὐτομάτως ὑπὸ τῆς φορᾶς τῶν ὑδάτων πρὸς τὸ σαθερὸν ἀπωθήσεται. ὃ δὴ καὶ τῇ πείρᾳ μανθάνομεν. ὅτι καὶ τοὺς μὴ συνδιαβαπτιζομένους ἔτι ταῖς ἀνθρωπίναις ἀπάταις, αὐτῶν τῶν πραγμάτων ἡ ἄστατός τε καὶ πεφορημένη κίνησις ἀφ' ἑαυτῆς ἀπωθεῖται, ὥσπερ τὶ βάρος μάταιον, τοὺς διὰ τῆς ἀρετῆς ἐνοχλοῦντας λογιζομένη.

B

δ. Καὶ κατεσκόπευσεν ἡ ἀδελφὴ αὐτοῦ μακρόθεν, μαθεῖν τί τὸ ἀποβησόμενον αὐτῷ.

ε. Κατέβη δὲ ἡ θυγάτηρ Φαραὼ λούσασθαι ἐπὶ τὸν ποταμόν· καὶ αἱ ἅβραι αὐτῆς παρεπορεύοντο παρὰ τὸν ποταμόν. καὶ ἰδοῦσα τὴν θῖβην ἐν τῷ ἕλει, ἀποστείλασα τὴν ἅβραν, ἀνείλετο αὐτήν.

Γ

ΘΕΟΔΟΤΟΥ. Οἱ μὲν γονεῖς ῥίπτουσι τὸ παιδίον, ὁ δὲ Θεὸς παρακελεύεται τῇ θυγατρὶ Φαραὼ ἀγνοούσῃ, ἐξελθεῖν ἐπὶ τὸν ποταμόν.

ΕΥΣΕΒΙΟΥ. Ἐσώθη Μωϋσῆς διὰ συμβόλου τῆς κοινῆς σωτηρίας τῆς ἐκκλησίας. ἡ γὰρ κιβωτὸς ἀπὸ ξύλου ἦν· καὶ τὸ ξύλον ἐπὶ ὕδατος· καὶ σωτηρία τῷ ἀπαγορευθέντι· καὶ ἡ ἀναλαβοῦσα οὐκ Ἰουδαία, ἀλλ' Αἰγυπτία.

Δ

ΚΥΡΙΛΛΟΥ. Ἀλλ' ἡ τοῦ Φαραὼ θυγάτηρ, τουτέστιν ἡ ἐξ ἐθνῶν ἐκκλησία, καίτοι πατέρα ποτὲ λαχοῦσα τὸν Σατανᾶν, εὑρίσκεται παρ' ὕδασιν. ὧν ἂν νοοῖτο τύπος τὸ ἅγιον βάπτισμα, δι' οὗ καὶ ἐν ᾧ χριστὸς εὑρίσκεται, καὶ ἀνοίγει τὴν θῖβιν. ὅτι γὰρ οὐ μεμένηκεν ὁ χριστὸς ἐν νεκροῖς, ἀνεβίω δὲ μᾶλλον πατήσας τὸν θάνατον, ἔξω τε μνημείου γέγονε, πεπιστεύκασιν ἀληθῶς οἱ διὰ πίστεως εὑρηκότες τὸν δι' ἡμᾶς εἰς θάνατον ἐλθόντα, καὶ ὑπὲρ ἡμῶν εἰς ζωήν.

E

ΤΟΥ ΑΥΤΟΥ. Ἄγονος καὶ στεῖρα, φησὶν, (1) ἡ τοῦ Φαραὼ θυγάτηρ. νοείσθω δὲ ταῦτα ἡ ἔξωθεν φιλοσοφία, ὡς ἀεὶ ὠδίνουσα, καὶ μηδέποτε ζωογονοῦσα τῷ τόκῳ. (2)

ϛ. Ἀνοίξασα δὲ, ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θίβῃ. καὶ ἐφείσατο αὐτοῦ ἡ θυγάτηρ Φαραώ.

Z

ΚΥΡΙΛΛΟΥ. Εὑρίσκεται (3) κλαῖον τὸ παιδίον. περιτεύξόμεθα καὶ ἡμεῖς τῷ χριστῷ, τὴν τῶν Ἰουδαίων ἀνοσιότητα καὶ τὰ εἰς αὐτὸν γεγονότα διηγουμένῳ, μονονουχὶ καὶ κλαίοντι. δεδυσφορηκὼς γάρ φησιν, ὤρυξαν χεῖράς μου, καὶ πόδας μου, καὶ τὰ ἑξῆς. Ψαλ. 21. 16.

ΤΟΥ ΝΥΣΣΗΣ. Ὁ δὲ τῶν τοιούτων ἔξω γενόμενος, μιμείσθω τὸν Μωσέα, καὶ μὴ φειδέσθω τῶν δακρύων, κἂν ἐν κιβωτῷ κατησφαλισμένος τύχῃ. ἀσφαλὴς γὰρ φύλαξ τῶν δι' ἀρετῆς σωζομένων τὸ δάκρυον.

Καὶ ἔφη, ἀπὸ τῶν παιδίων τῶν Ἑβραίων τοῦτο.

✻ ΘΕΟΔΩΡΙΤΟΥ. Πόθεν ἔγνω ἡ θυγάτηρ τοῦ Φαραὼ, ὅτι Ἑβραῖον ἦν τὸ παιδίον; Ἡ περιτομὴ τοῦτο δεδήλωκεν. ἐντεῦθεν δῆλον, ὡς Αἰγύπτιοι κατ' ἐκεῖνον οὔπω περιετέμνοντο τὸν καιρόν. ὕστερον δὲ τοὺς Ἑβραίους ζηλώσαντες, τὸν τῆς περιτομῆς ἐποιήσαντο (4) νόμον. ὅθεν καὶ διὰ Ἱερεμίου ἔφη ὁ τῶν ὅλων Θεὸς, ἐπισκέ- Ἱερ. 9. 25, 26.
„ψομαι ἐπὶ πάντας τοὺς περιτεμνομένους
„ἀκροβυστίαν αὐτῶν· ἐπ' Αἴγυπτον, καὶ ἐπ'
„Ἐδώμ, καὶ τὰ ἑξῆς.

✻ ΚΥΡΙΛΛΟΥ. Ὅτι δὲ καὶ ἐξ Ἰουδαίων πέφηνε χριστὸς, ἐπέγνωτε καὶ πεπίστευκεν ἡ ἐξ ἐθνῶν ἐκκλησία. εἶπε γὰρ ἡ
„θυγάτηρ Φαραὼ, ἀπὸ τῶν παιδίων τῶν
„Ἑβραίων τοῦτο.

ζ. Καὶ εἶπεν ἡ ἀδελφὴ αὐτοῦ τῇ θυγατρὶ Φαραὼ, θέλεις καλέσω σοι γυναῖκα τροφεύουσαν ἐκ τῶν Ἑβραίων,

η. καὶ θηλάσει σοι τὸ παιδίον; Ἡ δὲ εἶπεν αὐτῇ ἡ θυγάτηρ Φαραὼ, πορεύου. ἐλθοῦσα δὲ ἡ νεᾶνις, ἐκάλεσε τὴν μητέρα τοῦ παιδίου.

θ. Εἶπε δὲ πρὸς αὐτὴν ἡ θυγάτηρ Φαραὼ, διατήρησόν μοι τὸ παιδίον τοῦτο, καὶ θήλασόν μοι αὐτό· ἐγὼ δὲ δώσω σοι τὸν μισθόν. ἔλαβε δὲ ἡ γυνὴ τὸ παιδίον, καὶ ἐθήλαζεν αὐτό.

✻ ΚΥΡΙΛΛΟΥ. Πλὴν ὅτι κατὰ καιροὺς παρὰ τῆς ἐξ ἐθνῶν ἐκκλησίας δέξεται χριστὸν ἡ τῶν Ἰουδαίων συναγωγὴ, μυσταγωγουμένη δηλονότι τὸ ἐπ' αὐτῷ μυστήριον, παραδείξειεν ἂν καὶ λίαν ἀμογητὶ τὸ ἐκ τῆς θυγατρὸς Φαραὼ παραδέξασθαι τὸ παιδίον τὴν τεκοῦσαν αὐτό. ἐκθεμένη γὰρ ὥσπερ τὸν Ἰησοῦν ἡ τῶν Ἰουδαίων συναγωγὴ, καὶ ἀποβαλοῦσα ταῖς ἀπειθείαις, ἐν τελευταίοις αὐτὸν καιροῖς παραδέξεται ταῖς τῆς ἐκκλησίας μυσταγωγουμένη φωναῖς· [καὶ ὅτι μὴ ἀκερδὲς, ἀλλ' ἐν μεγάλαις ἐλπίσι τὸ χρῆμα αὐτῇ λοιπὸν ἀναπεπεισμένη. θέα γὰρ ὅπως ἡ τοῦ Φαραὼ θυγάτηρ μισθοὺς ἐπηγγέλλετο τῇ Μωσέως μητρὶ, παιδοκομεῖν ἑλομένη τὸ ἐξ αὐτῆς.]

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Οὐκοῦν τοσοῦτον τὶς τῇ τῶν Αἰγυπτίων βασιλίδι συζήσας, ὅσον μὴ δοκεῖν ἄμοιρος εἶναι τῶν παρ'

(1) Θυγάτηρ ἦν τῷ βασιλεῖ τῆς χώρας ἀγαπητὴ καὶ μόνη. ταύτην φασὶ γυμαμένην ἐκ πολλοῦ χρόνου, μὴ κυΐσκειν, τέκνων ὡς εἰκὸς ἐπιθυμοῦσαν, καὶ μάλιστα γενεᾶς ἄρρενος, κτ. Φιλ. ὁ Ἑβρ. ἐν τῷ 1. λόγ. περὶ βίου Μωϋσ.

(2) Τοῦτο ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. ὅμοιον δὲ τῷ τοῦ Νύσ. τῷ εἰς τὸ 10. ἐδ. τοῦδε τοῦ κεφ.

(3) Εὑρίσκει. ἐν Τόμ. 1. μέρ. 1. σελ. 251.

(4) Ἠσπάσαντο. ἡ ἐν Χάλ. ἔκδοσ.

παρ' ἐκείνης σεμνῶν· ἀναδραμέτω δὴ πρὸς τὴν κατὰ φύσιν μητέρα, ἧς οὐδὲ παρὰ τῇ βασιλίδι τρεφόμενος ἀπεσχίσθη, τῷ μητρῴῳ γάλακτι, καθὼς ἡ ἱστορία φησὶ, τιθηνούμενος. ὅπερ μοι δοκεῖ διδάσκειν, εἰ τοῖς ἔξωθεν λόγοις καθομιλοίημεν ἐν τῷ καιρῷ τῆς παιδεύσεως, μὴ χωρίζεσθαι τοῦ ὑποτρέφοντος ἡμᾶς τῆς ἐκκλησίας γάλακτος. τοῦτο δ' ἂν εἴη τὰ νόμιμά τε καὶ τὰ ἔθη τῆς ἐκκλησίας, οἷς τρέφεταί ψυχὴ καὶ ἁδρύνεται, ἐντεῦθεν τῆς εἰς ὕψος ἀναδρομῆς τὰς ἀφορμὰς ποιουμένη.

ι. Ἁδρυνθέντος δὲ τοῦ παιδίου, εἰσήγαγεν αὐτὸ πρὸς τὴν θυγατέρα Φαραώ. καὶ ἐγενήθη αὐτῇ εἰς υἱόν.

ΤΟΥ ΝΥΣΣΗΣ. Εἰ δὲ ἡ ἄγονος καὶ στεῖρα βασιλέως οὖσα θυγάτηρ· ἣν οἶμαι τὴν ἔξωθεν νοεῖσθαι φιλοσοφίαν· ὑποβαλλομένη τὸν νέον, μήτηρ τοῦ τοιούτου κληθήσεται· ἕως τότε συγχωρεῖ ὁ λόγος μὴ ἀπωθεῖσθαι τὴν τῆς ψευδωνύμου μητρὸς οἰκειότητα, ἕως ἄν τις τὸ ἀτελὲς τῆς ἡλικίας ἐν ἑαυτῷ βλέπῃ. ὁ δὲ πρὸς ὕψος ἤδη ἀναδραμὼν, ὡς περὶ τοῦ Μωσέως ἐμάθομεν, αἰσχύνην ἡγήσεται τῆς κατὰ φύσιν ἀγόνου παῖς ὀνομάζεσθαι. ἄγονος γὰρ ὡς ἀληθῶς ἡ ἔξωθεν παίδευσις, ἀεὶ ὠδίνουσα, καὶ μηδέποτε ζωογονοῦσα τῷ τόκῳ.

Ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Μωσῆν, λέγουσα, ἐκ τοῦ ὕδατος ἀνειλόμην αὐτόν.

⁂ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Δίδωσιν ὄνομα, θεμένη Μωσῆν ἐτύμως, διὰ τὸ ἐκ τοῦ ὕδατος αὐτὸν ἀνελέσθαι. τὸ γὰρ ὕδωρ, μῶς ὀνομάζουσιν Αἰγύπτιοι.

ια. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις μέγας γενόμενος Μωϋσῆς, ἐξῆλθε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ.

ΚΥΡΙΛΛΟΥ. Καὶ γάρ ἐστιν ἀληθὴς ὁ
Γαλ. 4. 4. θεσπέσιος γράφων Παῦλος, ὅτε δὲ ἦλθε
» τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ
» Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς,
» γενόμενον ὑπὸ νόμον.

* ΤΟΥ ΑΥΤΟΥ. Ἢ γὰρ οὐχὶ τὸν ἐκ Θεοῦ πατρὸς λόγον ἐν τοῖς καθ' ἡμᾶς γεγονότα, τουτέστιν ἄνθρωπον, μονονουχὶ ἐκβεβηκέναι δώσομεν, ἔξω τε γενέσθαι τῆς θεοπρεποῦς ἐροῦμεν εὐκλείας; εἴπερ ἐστὶν ἀληθὲς, ὅτι πλούσιος ὢν, ἐπτώχευσε, καὶ καθῆκεν ἑαυτὸν εἰς κένωσιν.

ΤΟΥ ΑΥΤΟΥ. [Ἐκβέβηκε τοίνυν πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, τουτέστι τοὺς υἱοὺς Ἰσραήλ. αὐτῶν γὰρ αἱ ἐπαγγελίαι, αὐτῶν οἱ πατέρες, πρὸς οὓς τὰ ἐπηγγελ-
Ματθ. 15. 24. μένα.] τοιγάρτοι καὶ ἔφασκεν, οὐκ ἀπε-
» στάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολω-
» λότα οἴκου Ἰσραήλ.

Α ΑΔΗΛΟΥ. Οὐ τοσοῦτον διὰ τὴν σάρκα, ὅσον διὰ τὴν αὐτοῦ διάθεσιν ἀδελφοὺς αὐτοῦ καλεῖ.

⁂ ΠΡΟΚΟΠΙΟΥ. Πεπαίδευται Μωϋ-
» σῆς πάσῃ σοφίᾳ Αἰγυπτίων, ὡς ὁ πρωτο- Πραξ. 7. 22.
μάρτυς φησὶ Στέφανος. ἔδει γὰρ πρὸ τοῦ μέλλοντος τῶν Αἰγυπτίων πολέμου τὰ κείνων κατασκοπῆσαι σαθρά. διὸ καὶ τοῦτον ὑπεληλυθέναι τοῖς Αἰγυπτίοις ὁ Θεὸς ᾠκονόμησεν. οὐκ ἀγνώμων δὲ περὶ τοὺς εὐεργέ-
Β τας ὁ Μωϋσῆς. οὐ γὰρ τῇ λαβούσῃ, τῷ δὲ ὑποβαλόντι ταύτῃ Θεῷ τὴν χάριν ὡμολόγησε, βασιλείας αὐτὸν, καὶ τῶν ἐν Αἰγύπτῳ προτιμήσας λαμπρῶν. εἰ δὲ μὴ προὔκειτο Θεὸς, οὐκ ἂν ἄλλον τῆς Αἰγυπτίας προὐτίμηκε. νῦν δὲ ἣν αὐτὸς ὁ καὶ διὰ τῶν ἐχθρῶν σώσας αὐτὸν, ὑπὲρ ὃν οὐ δεῖ ἀγαπᾷν πατέρα ἢ μητέρα. οἱ μὲν γὰρ, ὑπουργοὶ πρὸς τὴν γένεσιν· ὁ δὲ, κτίζων Θεός: ὃς καὶ ποταμῷ παραβληθέντα τοῦτον διέ-
Γ σωσε, καὶ τὴν Αἰγυπτίαν ἐξήγαγεν εἰς καιρὸν, καὶ πρὸς τὸν τόπον, εἰς τὸ τὸ παιδίον ἀναλαβεῖν. ἤδει δὲ καὶ πρὸς ἀνθρώπους συγγνωμονεῖν, ὅτε καὶ τὰ τῆς εὐσεβείας συνέτρεχεν. ἐξῆλθε γὰρ τῶν ἀδελφῶν εἰς ἐπίσκεψιν. μηδεὶς οὖν ἀγαπάτω τοῦ Θεοῦ τοὺς ἐχθροὺς, μὴ καὶ λάθῃ μισῶν τὸν Θεόν. ἐσκόπει τοίνυν, ὡς αὐτὸς μένεστιν ἐν πλούτῳ τε καὶ τρυφῇ, ὁ δὲ τοῦ Θεοῦ λαὸς, τὰ τέκνα τοῦ Ἀβραὰμ ἐν πηλῷ:
Δ ὅτε καὶ εἰ ἦν ἄλλος, ἠδέσθη ἂν ἴσως, ὅτι καὶ Ἰουδαῖός ἐστιν, εἰπεῖν· ἀλλὰ προτιμᾷ τὴν εὐσέβειαν. ὃ δὴ προγνοὺς ὁ Θεὸς, τοσαύτης αὐτὸν ἐκ παιδὸς κηδεμονίας ἠξίωσεν. ἀδελφοὺς δὲ καλεῖ, οὐ διὰ τὴν σάρκα τοσοῦτον, ὅσον διὰ τὴν ἐκ πατέρων εὐσέβειαν.

Καὶ κατανοήσας δὲ τὸν πόνον αὐτῶν, ὁρᾷ τινὰ αἰγύπτιον ἄνδρα τύπτοντα
Ε **τινὰ Ἑβραῖον τῶν ἀδελφῶν αὐτοῦ τῶν υἱῶν Ἰσραήλ.**

⁂ ΤΟΥ ΝΥΣΣΗΣ. Ἀληθὴς ὁ λόγος, ὅτι δύο πολεμίων μέσος γενήσεται, ὁ πρὸς τὰ ἔξωθεν δόγματα, καὶ μὴ πρὸς τὰ πάτρια βλέπων. ἀνθίσταται γὰρ ὁ κατὰ τὴν θρησκείαν ἀλλόφυλος τῷ Ἑβραίῳ λόγῳ, ἰσχυρότερος φανῆναι τοῦ Ἰσραηλίτου φιλονεικῶν. καὶ πολλοῖς γε τῶν ἐπιπο-
Ζ λαιοτέρων τοιοῦτος ἔδοξεν. οἳ καταλιπόντες τὴν πατρῴαν πίστιν, τῷ ἐχθρῷ συνεμάχησαν, παραβάται τῆς πατρίου διδασκαλίας γενόμενοι. ὁ μέντοι κατὰ τὸν Μωσέα μέγας τε καὶ γενναῖος τὴν ψυχὴν, νεκρὸν ἀποδείκνυσι τῇ παρ' αὐτοῦ πληγῇ τὸν τῷ λόγῳ τῆς εὐσεβείας ἀντεγειρόμενον. καὶ ἄλλως δ' ἄν τις εὕροι τὴν τοιαύτην ἐν ἡμῖν μάχην. μέσος γὰρ ὁ ἄνθρωπος οἱονεί τι ἔπαθλον ἀγῶνος τοῖς ἐκ τοῦ
Η ἐναντίου μεταποιουμένοις πρόκειται. καὶ ὅπερ ἂν προσεθῇ, τοῦτον νικητὴν τοῦ ἐναντίου ποιεῖ. οἷον, εἰδωλολατρεία καὶ θεοσέβεια, ἀκολασία καὶ σωφροσύνη, δικαιοσύνη καὶ ἀδικία, τῦφος καὶ μετριότης, καὶ

καὶ πάντα τὰ ἐξ ἀντιθέτου νοούμενα, Αἰγυπτίου τινὸς ἄντικρυς ἐστὶ πρὸς Ἑβραῖον μάχη.

ιβ. Περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε, οὐχ ὁρᾷ οὐδένα· καὶ πατάξας τὸν Αἰγύπτιον, ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ.

ΑΔΗΛΟΥ. Τὸν ἀναιρεθέντα Αἰγύπτιον, ἐπιστάτην φημὶ τῶν ἔργων ὑπάρχειν ὠμότατον. (1) ἦν γὰρ εὐαγὲς τὸν ἐπ' ὀλέθρῳ ζῶντα ἀνθρώπων ἀπολύσθαι.

** ΠΡΟΚΟΠΙΟΥ. Ζηλώσας, ἀπέκτεινε τὸν Αἰγύπτιον, ὥς φασί τινες (2) ὠμότατον ἐργοδιώκτην ὑπάρχοντα. οὐ γὰρ ἦν ἄξιον ἁπλῶς φόνου τὸ μάχεσθαι. ἀλλ' ἐνόμισε δίκαιον τὸν ἐπ' ὀλέθρῳ ζῶντα τῶν ἀνθρώπων ἀπολύσθαι. Καὶ μετ' ὀλίγα. Εἰ δὲ καὶ ἦν ὁ τυχὼν ὁ Αἰγύπτιος, ἀλλ' οὖν τὸν ὑπὲρ τοῦ λαοῦ ζῆλον εἰς τὸν ἐμπεσόντα διὰ προθυμίαν ἐπλήρωσε. διὰ Θεὸν δὲ πᾶν γινόμενον, κἂν ᾖ φόνος, εἰς ἄκρον εὐσεβείας λογίζεται. ἔχεις τοὺς δύο φόνους τοῦ Φινεὲς, δι' οὓς παρὰ τὴν τάξιν ἱερωσύνης αἰωνίας ἠξίωται, τοσοῦτον ἰσχύσας, ὀργιζομένου Θεοῦ, ὅσον τοῦ πατρὸς Ἀαρὼν τὸ θυμίαμα. ἔχεις Ἠλιοῦ τοὺς φόνους, καὶ τὴν ἀνάληψιν. ἔχεις Σαμουὴλ τὸν τοσοῦτον ἱερέα, διὰ τὴν πρόσαξιν τοῦ Θεοῦ ἣν παρέβη Σαοὺλ, χερσὶν ἰδίαις μελίσαντα τὸν Ἄγαγ. ἀλλὰ καὶ Πέτρος ὁ κορυφαῖος Ἀνανίαν καὶ Σάπφειραν ἀπέκτεινεν. ἐφ' ὧν ἁπάντων οὐκ ὠμότης πέφυκεν, ἀλλ' εὐσέβεια. ἦν δὲ σύμβολον τὸ γενόμενον, ὅτι μέλλει Θεὸς διὰ Μωσέως Αἰγυπτίους ἀποκτενεῖν, καὶ σώζειν τὸν Ἰσραήλ.

ΕΥΣΕΒΙΟΥ. Ἀνεῖλε Μωσῆς, οὐ θυμῷ εἴξας, οὐδὲ ὀργῇ νικηθεὶς, ζήλῳ δέ. πᾶν δὲ ὃ ἂν γένηται εἰς λόγον Θεοῦ, εὐσέβεια. κἂν φόνος ᾖ διὰ Θεόν. οὐκ ἔστι φόνος. δύο ἐν μιᾷ χειρὶ φονεύσας ὁ Φινεὲς, ἤκουσεν·
Ψαλ. 105. 30. » ἔστη Φινεὲς, καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν » ἡ θραῦσις. διάφορος γὰρ ἡ προαίρεσις φονέως καὶ εὐσεβοῦντος. καὶ τὸ πρᾶγμα τὸ γενόμενον διὰ τοῦ Φινεὲς, ἱερωσύνη μᾶλλον ἢ φόνος. τοσοῦτον γὰρ ἴσχυσεν ὁ διπλοῦς οὗτος φόνος, ὅτι τοῦ θανάτου ἐπινεμομένου τὸν δι' ἀσέβειαν. (3) ὅπερ ἴσχυσε τὸ θυμιατήριον τοῦ πατρὸς Ἀαρὼν, τοσοῦτον ἴσχυσε φόνος, μᾶλλον δὲ ἡ εὐσέβεια.

ΚΥΡΙΛΛΟΥ. Ἀπεκτονὼς δὲ τρόπον τινὰ τὸν ἀδικεῖν ᾑρημένον, κατέκρυψεν εἰς τὴν γῆν, τουτέστιν ἐν τοῖς ὑποχθονίοις ἐτίθει μέρεσι, κατακλείων εἰς ᾅδου. τοῦτο τοίνυν φημὶ, τὸ ἐν ψάμμῳ κρύπτειν τεθνεῶτα τὸν Αἰγύπτιον. ὅτι δὲ τὰ τῶν δαιμόνων θεομισῆ καὶ ἀκάθαρτα στίφη τῇ τοῦ Σωτῆρος ἡμῶν ἀῤῥήτῳ δυνάμει συνηλαύνετο μὲν εἰς τὸν ᾅδην, κατεδικάζετο δὲ

Α τὴν ἄβυσσον οἰκεῖν, ἀναμάθοι τις ἂν εἰκότως ἐκ τῶν εὐαγγελικῶν ἀναγνωσμάτων.
» παρεκάλουν γὰρ αὐτὸν, φησὶν, οἱ δαίμο- Λουκ. 8. 31.
» νες, ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσ-
» σον ἀπελθεῖν.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐπιτήρει δὲ ὅτι περιβλεψάμενος ὁ Μωσῆς ὧδε καὶ ὧδε, καὶ τεθεαμένος οὐδένα, τεθνεῶτα τὸν Αἰγύπτιον κατέκρυψεν ἐν ψάμμῳ. Καὶ μετ' ὀλίγα.
Β Πολεμεῖ γὰρ Κύριος ἐπὶ Ἀμαλὴκ, πλὴν
» ἐν χειρὶ κρυφαίᾳ, καθὰ γέγραπται· καὶ Ἐξόδ. 17. 16.
οὐδενὸς ὁρῶντος τῶν ἐπὶ γῆς, ᾠκονομεῖτο διὰ Χριστοῦ τὰ τῶν πραγμάτων ἀποῤῥητότερα. πῶς γὰρ, ἢ πότε κατεδικάζοντο τῶν δαιμόνων τὰ στίφη, καὶ τὴν ἄβυσσον οἰκεῖν προσετάττοντο, τίς ἂν εἰδείη τῶν ἐπὶ γῆς;

ΓΡΗΓΟΡΙΟΥ. (4) Παιδεύει τοίνυν ἡμᾶς ὁ Μωσῆς τῷ καθ' ἑαυτὸν ὑποδείγ-
Γ ματι, συνίστασθαι μὲν τοῖς ὁμοφύλοις τῇ ἀρετῇ, ἀναιρεῖν δὲ τὸν ἐκ τοῦ ἐναντίου τῇ ἀρετῇ ἐπεμβαίνοντα. τῷ ὄντι γὰρ ἡ τῆς εὐσεβείας ἐπικράτησις, θάνατος καὶ διαφθορὰ τῆς εἰδωλολατρείας γίνεται. οὕτω καὶ διὰ τῆς δικαιοσύνης ἀναιρεῖται ἡ κακία, καὶ τῇ μετριότητι ὁ τύφος καταφονεύεται.

ιγ. Ἐξελθὼν δὲ τῇ ἡμέρᾳ τῇ δευ-
Δ τέρᾳ, ὁρᾷ δύο ἄνδρας Ἑβραίους διαπληκτιζομένους· καὶ λέγει τῷ ἀδικοῦντι, διατί τύπτεις τὸν πλησίον;

ΚΥΡΙΛΛΟΥ. Προκατακλείσας γὰρ ὥσπερ εἰς ᾅδου τὸν Σατανᾶν ὁ Ἐμμανουὴλ, δικαιοσύνης ἐφαίνετο βραβευτὴς τοῖς ἐξ Ἰσραὴλ, καὶ φιλαλληλίας διδάσκαλος· ἀγάπης μὲν τῆς εἰς τοὺς ἀδελφοὺς μεταποιεῖσθαι κελεύων, εἰρήνης δὲ καὶ ὁμοψυ-
Ε χίας οὐδὲν ἡγεῖσθαι ἄμεινον. τοιγάρτοι
» καὶ ἔφασκεν, εἰρήνην τὴν ἐμὴν δίδωμι Ἰωάν. 14. 27.
» ὑμῖν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. οἱ δὲ τὴν εἰσήγησιν ἐπαινέσαι δέον, καὶ θαυμάσαι τὸν διαλλακτὴν τῆς εἰρήνης, τὸν χορηγὸν τῆς ἀγάπης, τὸν πρύτανιν τῶν ἀρίστων αὐτοῖς μαθημάτων, δεδυσσεβήκασιν οὐ μετρίως. οὐ γὰρ ἐποιοῦντο καθηγητὴν τὸν τῶν ἀγαθῶν χορηγόν.

Ζ ** ΠΡΟΚΟΠΙΟΥ. Μαχομένους εὑρὼν ἀδελφοὺς, ἀντὶ φόνου νουθεσίαν προσήγαγεν. ὅπερ ἐδήλου τό· καὶ κριτὴν αὐτὸν ἔσεσθαι τῷ λαῷ μετὰ τὴν τῶν Αἰγυπτίων ἀναίρεσιν. ὃ δὴ καὶ ἄκων ἐδήλωσεν ὁ πλη-
» θυντικῶς εἰπών, τίς σε κατέστησεν ἄρχον-
» τα καὶ δικαστὴν ἐφ' ἡμᾶς;

ΓΡΗΓΟΡΙΟΥ. (5) Ἀλλὰ καὶ ἡ τῶν ἐμφυλίων πρὸς ἀλλήλους στάσις καὶ ἐν ἡμῖν γίνεται. οὐ γὰρ ἂν αἱ τῶν πονηρῶν αἱρέ-
Η σεων δογματοποιίαι χώραν ἔχον, μὴ εἰς ἀντι-

(1) Τὰ ἑξῆς ἐν τῷ περὶ βίου Μωϋσ. γ. λογ. Φίλων. τοῦ Ἑβρ. κεῖνται.
(2) Ὁ Φιλ. αὐτ.
(3) Ἴσ. τοῦ δι' ἀσέβειαν, ἐῤῥύσατο. ἄλλως γὰρ ἐλλειπής.
(4) Τοῦ Νύσσης.
(5) Τοῦ Νύσσης.

ἀντίταξιν τῶν λογισμῶν τοῖς ἀληθεστέροις ἀντιβαινόντων.

ιδ. Ὁ δὲ εἶπε, τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ πρὸ τῆς χειροτονίας δημαγωγὸς ἦν διὰ τῶν ἔργων. διὸ καὶ σφόδρα ἀνοήτως ἔλεγε πρὸς αὐτὸν ὁ Ἑβραῖος ἐκεῖνος, » τίς σε κατέστησεν » ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; τί λέγεις; τὰ ἔργα ὁρᾷς, καὶ περὶ τῆς προσηγορίας ἀμφιβάλλεις; ὥσπερ ἂν εἴ τις ἰδὼν τέμνοντα ἰατρὸν ἄριστα, καὶ τῷ πεπονηκότι μέλει τοῦ σώματος βοηθοῦντα, λέγει, τίς σε κατέστησεν ἰατρὸν, καὶ τέμνειν ἐκέλευσεν; ἡ τέχνη, ὦ βέλτιστε, καὶ ἡ νόσος ἡ σή· οὕτω καὶ τοῦτον ἡ ἐπιστήμη τοιοῦτον ἐποίησε. καὶ γὰρ τέχνη τὸ ἄρχειν ἐστὶν, οὐκ ἀξίωμα μόνον· καὶ τέχνη τεχνῶν ἁπασῶν ἀνωτέρα. εἰ γὰρ ἡ τῶν ἔξωθεν ἀρχὴ, τέχνη καὶ ἐπιστήμη πασῶν βελτίων ἐστὶ, πολλῷ μᾶλλον αὕτη. καὶ γὰρ τοσούτῳ ἀμείνων ἐκείνης αὕτη ἡ ἀρχὴ, ὅσῳ τῶν ἄλλων ἐκείνη· μᾶλλον δὲ καὶ πολλῷ πλέον.

ΚΥΡΙΛΛΟΥ. Ἐνεκαλεῖτο μὲν γὰρ ὁ θεσπέσιος Μωσῆς, ὡς ἀνελὼν τὸν Αἰγύπτιον, καίτοι θλίβοντα καὶ ἐγκείμενον. καταχωννύων δὲ ὥσπερ εἰς ἄβυσσον ὁ Χριστὸς τὰ πονηρὰ δαιμόνια, [καὶ] τῆς καθ' ἡμῶν τυραννίδος καὶ οὐχ ἑκόντα μεθιστὰς, διὰ τὸ τῶν ἐχόντων ἐκπέμπειν αὐτά· καίτοι δέον ἐπὶ τούτῳ θαυμάζεσθαι, [τοὺς τῶν εἰωθότων φιλοψογεῖν οὐ διέδρα λόγους.]
Ματθ. 12. 24. ἔφασκον [γὰρ], οὗτος οὐκ ἐκβάλλει τὰ δαι» μόνια, εἰ μὴ ἐν Βεελζεβοὺλ, καὶ τὰ ἑξῆς.

Ἢ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες τὸν Αἰγύπτιον χθές; ἐφοβήθη δὲ Μωσῆς, καὶ εἶπεν, εἰ οὕτω γέγονεν ἐμφανὲς τὸ ῥῆμα τοῦτο.

** ΠΡΟΚΟΠΙΟΥ. Αὐτὸς δὲ ἦν, ὡς ἔοικεν, ὃν εὐεργέτησεν ἀποκτείνας ὁ Μωϋσῆς τὸν Αἰγύπτιον· οὐδεὶς γὰρ ἄλλος παρῆν· πλὴν εἰ μὴ φίλος ὢν οὗτος τοῦ ἐκδικηθέντος, ἀκήκοε τὸ γεγονὸς παρ' αὐτοῦ.

ΑΔΗΛΟΥ. Ἐγχωροῦν ἐστὶν αὐτὸν μὲν μὴ ἑωρακέναι, ὑπ' ἄλλου δὲ ὁραθῆναι. οὐ μὴν παρὰ τὸ μὴ εἶναί τινα θεωροῦντα, ἢ θεωρήσαντα, ἀνηγγελκέναι τῷ ταῦτα εἰπόντι. ἔφασαν δέ τινες, ἐκεῖνον εἶναι τοῦτον, ὃν Μωσῆς ἐῤῥύσατο παρὰ τοῦ φονευθέντος.

ιε. Ἤκουσε δὲ Φαραὼ τὸ ῥῆμα τοῦτο, καὶ ἐζήτει ἀνελεῖν Μωϋσῆν. ἀνεχώρησε δὲ Μωϋσῆς ἀπὸ προσώπου Φαραὼ, καὶ ᾤκησεν ἐν γῇ Μαδιάμ.

* ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοῦτο ἀκούσας ὁ βασιλεὺς, ἠγανάκτει δεινὸν ἡγούμενος, οὐκ εἴ τις τέθνηκεν; ἢ ἀνῄρηκεν ἀδίκως ἢ δικαίως, ἀλλ' εἰ ὁ θυγατριδοῦς αὐτῷ μὴ συμφωνεῖ, μηδὲ τοὺς αὐτῷ ἐχθροὺς, καὶ φίλους ὑπείληφεν· ἀλλὰ μισεῖ μὲν οὓς [αὐτὸς] στέργει, φιλεῖ δὲ οὓς ἀποβέβληται, καὶ ἐλεεῖ τοὺς πρὸς οὓς ἀτρέπτως καὶ ἀπαραιτήτως ἔχει. λαβόμενοι δὲ ἅπαξ ἀφορμῆς οἱ ἐν τέλει, καὶ τὸν νεανίαν ὑφορώμενοι, μυρίας διαβολὰς ἐπλώτλουν. οἱ μὲν ἔνθεν, οἱ δὲ ἔνθεν. καὶ τοιαῦτα διεξιόντων, ὑπεχώρησεν.

ΑΔΗΛΟΥ. Φυγαδεύουσι τὸν Μωϋσέα οἱ Ἰουδαῖοι, ὃν ἔσωσαν οἱ Αἰγύπτιοι. καὶ φυγαδεύουσιν αὐτὸν, ἐπειδὴ εὐηρέστησε. ποῦ ἀπέλθῃ λοιπόν; οἱ Αἰγύπτιοι οὐ δέχονται, Ἰσραηλῖται ἐδίωξαν. ποῦ ὀφείλει ἀπελθεῖν διωκόμενος, ἢ εἰς τὰ ἔθνη; ὁρᾷς αἰνίγματα τῆς καινῆς ἐν τῇ παλαιᾷ ἀναγεγραμμένα;

ΑΔΗΛΟΥ. Καὶ ὁ χριστὸς, φησὶν, ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν φυγαδεύεται. Μωϋσῆς δὲ ὑπό τε τῶν Ἰσραηλιτῶν τῶν εὐεργετηθέντων, καὶ τῶν Αἰγυπτίων οὐ δέχεται· καὶ προστρέχει λοιπὸν ἐπὶ τὰ ἔθνη. αἰνίγματα ταῦτα τῆς καινῆς.

ΚΥΡΙΛΛΟΥ. Μετακεχώρηκε τοίνυν ἐκ τῆς Αἰγυπτίων εἰς Μαδιὰμ ὁ Μωσῆς. ἐν ἴσῳ δὲ τρόπῳ καὶ ὁ χριστὸς ἐκ τῆς Ἰουδαίας πρὸς τὴν Γαλιλαίαν.

ΕΥΣΕΒΙΟΥ. Μηδεὶς ἡμῶν ἔστω φίλος τῶν τοῦ Θεοῦ ἐχθρῶν. ὅσον γάρ τις ἀγαπᾷ τὸν Θεὸν, τοσοῦτον μισεῖ τοὺς ἀντικειμένους Θεῷ.

** ΤΟΥ ΝΥΣΣΗΣ. Ἐὰν οὖν ἀσθενέστεροι ὦμεν, ὥστε δι' ἑαυτῶν δοῦναι τῷ δικαίῳ τὸ κράτος, ὑπερισχύοντος διὰ τῶν ἐπιχειρημάτων τοῦ χείρονος, καὶ τὴν ἀρχὴν τῆς ἀληθείας ἀπωθουμένου, φεύγεον ἐντεῦθεν ὡς τάχιστα, καθ' ὁμοιότητα τοῦ ἱστορικοῦ ὑποδείγματος, πρὸς μείζονά τε καὶ ὑψηλοτέραν τῶν μυστηρίων διδασκαλίαν.

Ἐλθὼν δὲ εἰς γῆν Μαδιὰμ, ἐκάθισεν ἐπὶ τοῦ φρέατος.

** ΙΩΣΗΠΟΥ. Εἰς πόλιν Μαδιηνὴν ἀφικόμενος, πρὸς τῇ μὲν ἐρυθρᾷ θαλάσσῃ κειμένην, ἐπώνυμον δὲ ἑνὸς τῶν Ἀβράμῳ γενομένων ἐκ Χεττούρας υἱῶν, καθεσθεὶς ἐπί τινος φρέατος, ἐκ τοῦ κόπου καὶ τῆς ταλαιπωρίας ἠρέμει, μεσημβρίας οὔσης, οὐ πόῤῥω τῆς πόλεως.

ΚΥΡΙΛΛΟΥ. Ἔθος τῇ θείᾳ Γραφῇ παρεικάζειν λάκκῳ τὴν ἔμφυτον ἐν ἡμῖν περὶ Θεοῦ γνῶσιν, καθ' ἣν πρὸς ἕκαστα τῶν πρακτέων ποδηγούμεθα. ἀναβρύει γὰρ ὥσπερ ἐν ἡμῖν, καθάπερ ἀπὸ πηγῆς τοῦ νοῦ, καὶ ἡ παντὸς εἴδησις ἀγαθοῦ, καὶ τῆς περὶ Θεοῦ δόξης ἡ ὡς ἐν ἐσόπτρῳ τε καὶ αἰνίγματι γνῶσις.

ιϛ. Τῷ δὲ ἱερεῖ Μαδιὰμ ἦσαν ἑπτὰ θυγατέρες, ποιμαίνουσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ἰοθώρ. παραγενόμεναι

A **νόμεναι δὲ ἤντλȣν ἕως ἔπλησαν τὰς
δεξαμενὰς, ποτίσαι τὰ πρόβατα τȣ͂
πατρὸς αὐτῶν.**

ΑΔΗΛΟΥ. Οὐδαμȣ͂ λέγει τὸν Ἰοθὼρ
ἱερέα εἰδώλων, ἀλλὰ τȣ͂ ἔθνȣς. τινὲς δέ-
φασιν, ὅτι τȣ͂ Ἀβραὰμ ἀπόγονος ὑπάρ-
χων, θεοσεβὴς ἦν. διὸ καὶ ὁ Μωσῆς πρὸς
συγγενῆ κατέφυγεν. ὁ γὰρ Μαδιὰμ υἱὸς
ἦν Ἀβραὰμ καὶ Χετȣ́ρας, ἐξ ȣ͂ τὸ ἔθνος,
B ὡς ἡ Γραφὴ λέγει.

** ΚΥΡΙΛΛΟΥ. Ἐν τάξει δὴ ȣ͂ν τȣ͂
κόσμȣ τὸν Ἰοθὼρ παραδεξόμεθα, ὅς ἦν
ἱερεὺς τῶν Μαδιηναίων, ȣ̓ Θεῷ τῷ φύσει
καὶ ἀληθῶς ποιȣ́μενος τὴν λατρείαν, ἀλ-
λὰ τοῖς κτίσμασι παρὰ τὸν κτίσαντα, ἢ
τοῖς ἐκ λίθων πεποιημένοις, καὶ τοῖς τεκ-
τόνων φιλοτεχνήμασι. πεπλάνητο δὲ καὶ
ὁ κόσμος, δαιμονίοις καὶ ȣ̓ Θεῷ προσκυ-
νῶν. ἑρμηνεύεται δὲ καὶ Ἰοθὼρ περισσό-
Γ της, ἢ περιττός. τοιȣ͂τος δὲ καὶ ὁ κόσμος,
περιττότης ὢν ὅλος.

ΤΟΥ ΑΥΤΟΥ. Ἄθρει δὴ, ὅτι μία μὲν
ἡ Λευῒ θυγάτηρ. ἡ τὸν ἱερὸν τεκȣ͂σα Μω-
σέα· πλείȣς τε μὴν καὶ ἑπτὰ τὸν ἀριθμὸν
αἱ Ἰοθὼρ τȣ͂ Μαδιηναίȣ. μία γὰρ ἡ τῶν
Ἰȣδαίων πληθὺς, ἐξ ἧς καὶ γεγέννηται
κατὰ σάρκα Χριστὸς, ὡς ἐν τύπῳ τῷ κα-
τὰ Μωσέα· πολλαὶ δὲ λίαν αἱ οἱονεὶ τȣ͂
Δ κόσμȣ θυγατέρες, εἴτȣν πληθύες, εἴτȣν
ἀγέλαι τυχὸν τῶν ἐν αὐτῷ κατοικȣ́ντων
ἐθνῶν. ἀφεὶς ȣ͂ν ἄρα Χριστὸς τὴν ὅθεν
ἐξέφυ κατὰ τὴν σάρκα συναγωγὴν, ἐπὶ
τὰς πολλὰς τῶν ἐθνῶν ἀπονένευκεν ἀγέ-
λας· ἃς πονηροὶ ποιμένες κατεβιάζοντο,
τȣτέστιν οἱ κοσμοκράτορες τȣ͂ κόσμȣ τȣ́τȣ,
διέσωσε δὲ αὐτός.

**ιζ. Παραγενόμενοι δὲ οἱ ποιμένες,
E ἐξέβαλον αὐτάς· ἀναστὰς δὲ Μωϋ-
σῆς ἐῤῥύσατο αὐτὰς, καὶ ἤντλησεν
αὐταῖς, καὶ ἐπότισε τὰ πρόβατα
αὐτῶν.**

ΚΥΡΙΛΛΟΥ. Ὁ Χριστὸς ἐπήμυνεν. ἀ-
πεσόβησε γὰρ τȣ̀ς ἀλιτηρίȣς ψευδοποι-
μένας, πεπότικε δὲ τὸ ὕδωρ τὸ ζῶν, τȣ-
τέστι τὸ θεῖον καὶ ȣ̓ράνιον αὐτȣ͂ κήρυγμα,
τȣ̀ς εἰς αὐτὸν πιστεύσαντας. τοιγάρτοι
Ἰωάν. 7. 37. καὶ ἔφασκεν, εἴτις διψᾷ, ἐρχέσθω, καὶ
Z τὰ ἑξῆς.

ΤΟΥ ΑΥΤΟΥ. Οὐκȣ͂ν παραληψόμε-
θα μὲν τὸν Ἰοθὼρ εἰς τὸ τȣ͂ κόσμȣ πρό-
σωπον, τȣ͂ περισσότητος καὶ ἐξιτηλίας
μεμεστωμένȣ· θυγατέρας δὲ αὐτȣ͂ εἶναι
φαμὲν ἑπτὰ, τὰς ἁπανταχȣ͂ τῶν ἐθνῶν
ἀγέλας, ὡς ἐφ᾽ ἑκάστῃ τῶν θυγατέρων Ἰο-
θὼρ πληθύος σημαινομένης. οἱ δέ γε ποι-
μένες οἱ πονηροί τε καὶ βιαιότατοι νοοῖντ᾽
H ἂν εἰκότως τὰ τῶν δαιμονίων στίφη. ὁ δὲ
ἐπαμύνων, Χριστὸς, ὁ καὶ θείοις ἡμᾶς ἐκ-
μεθύσκων νάμασι.

** ΤΟΥ ΝΥΣΣΗΣ. Κἂν ἀλλοφύλῳ
πάλιν συγγενέσθαι δέῃ, τȣτέστι κἂν τῇ

A ἔξω συγγενέσθαι φιλοσοφίᾳ καταναγκάζῃ
ἡ χρεία· καὶ τȣ͂το ἑλώμεθα, τȣ̀ς πονηρȣ̀ς
ποιμένας τῆς ἀδίκȣ τῶν φρεάτων χρή-
σεως ἀποσκεδάσαντες· ὅπερ ἐστὶ τȣ̀ς τῶν
κακῶν διδασκάλȣς ἐπὶ τῇ πονηρᾷ χρήσει
τῆς παιδεύσεως διελέγξαντες· ȣ̔́τως ἐφ᾽
ἑαυτȣ̀ς ἰδιάσομεν, ȣ̓κ ἔτι μαχομένοις τισὶ
συμπλεκόμενοί τε καὶ μεσιτεύοντες, ἀλλ᾽
ἐν ὁμοφρονȣ͂σί τε καὶ ὁμογνωμονȣ͂σι τοῖς
παρ᾽ ἡμῶν βȣκολȣμένοις συζήσομεν, πάν-
B των τῶν ἐν ἡμῖν τῆς ψυχῆς κινημάτων,
προβάτων δίκην, τῷ βȣλήματι τȣ͂ ἐπι-
στατȣ͂ντος λόγȣ ποιμαινομένων. καὶ ȣ̔́τω
προσεδρεύȣσιν ἡμῖν τῇ εἰρηνικῇ ταύτῃ καὶ
ἀπολέμῳ διαγωγῇ, ἐπιλάμψει τότε ἡ ἀ-
λήθεια, ταῖς ἰδίαις μαρμαρυγαῖς τὰς τῆς
ψυχῆς ὄψεις περιαυγάζȣσα.

**ιη. Παρεγένοντο δὲ πρὸς Ῥαγȣὴλ
τὸν πατέρα αὐτῶν. ὁ δὲ εἶπεν αὐ-
Γ ταῖς, τί ὅτι ἐταχύνατε τȣ͂ παραγε-
νέσθαι σήμερον;**

ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ δὲ τὰς τῶν ἀνο-
σίων ποιμένων πλεονεξίας διέδρων αἱ νεά-
νιδες, ὑπονοστȣ͂σι πρὸς Ῥαγȣὴλ τὸν αὐ-
τῶν πατέρα, φημὶ δὴ πρὸς Ἰοθώρ. ἐρω-
μένȣ δὲ τῆς ἀσυνήθȣς αὐτὰς ταχυτῆτος
τὴν αἰτίαν, τὴν Μωσέως ἐπικȣρίαν εὐθὺς
ἀπαγγέλȣσι.

Δ ** ΤΟΥ ΑΥΤΟΥ. Ἐπιτήρει δὲ ὅπως
οἰκονομικῶς δὴ λίαν τὸ γράμμα τὸ ἱερὸν,
τὸν τῶν ἑπτὰ νεανίδων πατέρα πρὶν μὲν
εἰς αὐτὰς γενέσθαι τὴν διὰ Μωσέως ἐπι-
κȣρίαν, ὠνόμασεν Ἰοθὼρ, εἶτα μετὰ τȣ͂-
το, Ῥαγȣήλ. καὶ Ἰοθὼρ μὲν περιττότης,
ἤτοι περιττὸς ἑρμηνεύεται, καθάπερ ἤδη
προεῖπον· Ῥαγȣὴλ δὲ, ποιμασία Θεȣ͂. κε-
χρήσομαι γὰρ τῇ λέξει διὰ τὸ χρήσιμον.
ἐλέγομεν δὲ τὸ τȣ͂ κόσμȣ πρόσωπον πε-
E ριθέντες αὐτῷ, ὅτι περιττὸς καὶ εἰκαῖος
ἀληθῶς ὁ ἐν κόσμῳ περισπασμός. ἀλλ᾽
ἦν μὲν ἐν τȣ́τοις πρὶν ὠφεληθῆναι παρὰ
Χριστȣ͂ τὸν τῶν νεανίδων χορόν. ἐπειδὴ δὲ
πλεονεξίας ἐξῄρηται, καὶ τῆς τῶν ἀνο-
σίων ποιμένων ἔξω τέθειται χειρὸς, τό-
τε δὴ τότε μετωνόμασται Ῥαγȣὴλ, ἤτοι
ποιμασία κατά γε τὴν τῆς ἑρμηνείας δύ-
ναμιν. ὑποδεδράμηκε γὰρ τὴν χεῖρα τȣ͂
πάντων ἀρχιποίμενος, φημὶ δὴ Χριστȣ͂.

Z **ιθ. Αἱ δὲ εἶπαν, ἄνθρωπος Αἰγύ-
πτιος ἐῤῥύσατο ἡμᾶς ἀπὸ τῶν ποιμέ-
νων, καὶ ἤντλησεν ἡμῖν, καὶ ἐπότισε
τὰ πρόβατα.**

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀμφότε-
» ρα τιθέασι· διὰ μὲν τȣ͂, ἄνθρωπος, τὰ
λόγῳ θεωρητὰ μηνύȣσαι· διὰ δὲ τȣ͂, Αἰ-
» γύπτιος, παριστᾶσαι τὰ αἰσθητά.

H **κ. Ὁ δὲ εἶπε ταῖς θυγατράσιν
αὐτȣ͂, καὶ πȣ͂ ἐστί; καὶ ἵνα τί ȣ̔́τω
καταλελοίπατε τὸν ἄνθρωπον; κα-
λέσατε ȣ͂ν αὐτὸν, ὅπως φάγῃ ἄρτον.**

» ✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ποῦ ἐστὶν ὁ
» ἄνθρωπος; ἐν τίνι μέρει τῶν καθ᾽ ὑμᾶς, οἰκεῖον τὸ λογικὸν εἶδος; ἵνα τὶ αὐτὸν ῥᾳδίως οὕτω καταλελοίπατε; ἀλλ᾽ οὐχ ἅπαξ ἐντυχοῦσαι περιέχετε, κτῆμα κάλλιστον καὶ λυσιτελέστατον ἑαυταῖς. ἀλλ᾽ εἰ μὴ πρότερον, νῦν αὐτὸν καλέσατε, ὅπως ἂν φάγῃ, καὶ τραφῇ ταῖς ὑμετέραις βελτιώσεσι, καὶ πρὸς αὐτὸν οἰκειώσεσι.

κα. Κατῳκίσθη δὲ Μωσῆς παρὰ τῷ ἀνθρώπῳ· καὶ ἐξέδοτο Σεπφώραν τὴν θυγατέρα αὐτοῦ Μωσεῖ εἰς γυναῖκα.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ ἀλλόφυλον γυναῖκα ἔγημεν ὁ Μωσῆς; Τύπος ἦν τοῦ δεσπότου Χριστοῦ, ὃς ἐξ Ἰουδαίων κατὰ σάρκα βεβλαστηκὼς, τὴν ἐξ ἐθνῶν ἐκκλησίαν νύμφην ἑαυτοῦ προσηγόρευσε.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀλλὰ τί δράσει Μωϋσῆς ὑπὸ φίλων τε καὶ πολεμίων βαλλόμενος; Ἐπὶ τὰ ἔθνη χωρεῖ, τὴν Ἀραβίαν καταλαβὼν, Χριστοῦ τύπος γενόμενος. τοιγαροῦν αὐτὸν εἰδωλολάτρης ἱερεὺς ὑποδέχεται, καὶ τὴν πρὸς αὐτὸν συγγένειαν ἠσμενίσατο. ὁ δὲ Θεὸν ἀγαπῶν, προτιμᾷ τῶν βασιλείων τὴν ἔρημον, καὶ πενίαν τρυφῆς.

ΚΥΡΙΛΛΟΥ. Ὁ δὲ εἰσοικίζεται παραχρῆμα τὸν ἄνθρωπον, καὶ Σεπφώραν αὐτῷ δίδωσι γαμεῖν τῶν ἑαυτοῦ θυγατέρων τὴν προὔχουσαν καὶ εὐπρεπεστάτην. ἡ δὲ τέτοκε τὸν Γηρσάμ. ἐπειδὴ γὰρ ὠφέλησεν ὁ Χριστὸς τὰ ἐν κόσμῳ ἐθνῶν συστήματα, ἐγνωρίζετο μὲν αὐτῷ, μυσταγωγούντων αὐτῷ τῶν δι᾽ αὐτοῦ σεσωσμένων, ὅτι ἐπαμύνειν οἷός τε ἐστὶ, καὶ μὴν καὶ χειρὸς ἐξελέσθαι ῥᾳδίως τῶν ἀδικεῖν ᾑρημένων. οὕτω τε λοιπὸν προσίεται μὲν ἀσμένως, καθὰ καὶ ὁ Ῥαγουὴλ τὸν Μωσέα, δείκνυσι δὲ ὥσπερ οἰκειότητα τὴν ὡς πρὸς αὐτὸν νύμφην, οἷάτινα περικαλλεστάτην παριστὰς αὐτῷ τὴν ἐκκλησίαν, ἣ διὰ τῆς Σεπφώρας νοεῖται. διερμηνεύεται γὰρ ἐπίσκεψις, ἢ ὡραία, καὶ μέντοι καὶ χάρις πνοῆς. ἐπεσκέψατο γὰρ ἀνατολὴ ἐξ ὕψους τὴν ἀληθῶς εὐπρεπῆ καὶ ὡραιοτάτην, φημὶ δὴ τὴν ἐκκλησίαν, καὶ δῶρον αὐτῇ καὶ ξένιον οὐρανοῦ κεχάρισται τῆς ἑαυτοῦ πνοῆς τὴν ἐπίδοσιν, φημὶ δὴ τὴν τοῦ ἁγίου πνεύματος χάριν.

κβ. Ἐν γαστρὶ δὲ λαβοῦσα ἡ γυνὴ, ἔτεκεν υἱόν· καὶ ἐπωνόμασε Μωσῆς τὸ ὄνομα αὐτοῦ Γηρσὰμ, λέγων, ὅτι πάροικός εἰμι ἐν γῇ ἀλλοτρίᾳ.

» ✱ ΠΡΟΚΟΠΙΟΥ. Πάροικός εἰμι ἐν γῇ
» ἀλλοτρίᾳ. Οὐχ ὅτι πατρίδα τὴν Αἴγυπτον ἐπεγράφετο, ἀλλ᾽ ὅτι καὶ τῶν συγ-
A γενῶν ἐκεχώριστο, καὶ τῶν δυσσεβῶν γονέων, ἐθνικῷ πενθερῷ συνών.

ΚΥΡΙΛΛΟΥ. Τέτοκε δὲ αὐτῷ τὸν Γηρσὰμ, φημὶ δὴ λαὸν τὸν πάροικον ἀληθῶς. οἱ γάρτοι τῷ θείῳ κατεσφραγισμένοι πνεύματι, καὶ τῆς ἄνωθεν ἐπισκοπῆς ἠξιωμένοι, καὶ εἰς ὡραιότητα διαπεπλασμένοι τὴν ὡς πρὸς υἱὸν, πάροικοι κατὰ τὸ ἀληθές εἰσιν ἐν τῷδε τῷ κόσμῳ. ἁρμόσειε δ᾽ αὐτοῖς ὅτι μάλιστα διακεκρα-
B » γέναι τε καὶ λέγειν, οὐκ ἔχομεν ὧδε μένου- Ἑβρ. 13. 14.
» σαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦ-
» μεν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. περιπατοῦντες γὰρ ἐπὶ γῆς, ἐν οὐρανῷ πολιτεύονται, καὶ γλίχονται οὐδαμῶς τῶν ἐν τῷδε τῷ κόσμῳ πραγμάτων· μεταποιοῦνται δὲ σφόδρα τῶν εἰς τὸν αἰῶνα τὸν μέλλοντα. ἀκολουθεῖν γὰρ ἐγνώκασι τῷ δι᾽ ἡμᾶς ἐν τῷδε τῷ κόσμῳ παρῳκηκότι Χριστῷ.

Γ

κγ. Τὸ δὲ ὄνομα τοῦ δευτέρου Ἐλιέζερ· ὁ γὰρ Θεὸς τοῦ πατρός μου βοηθός μου, καὶ ἐρρύσατό με ἐκ χειρὸς Φαραώ.

κδ. Μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου. καὶ κατεστέναξαν οἱ υἱοὶ Ἰσ-
Δ ραὴλ ἀπὸ τῶν ἔργων, καὶ ἀνεβόησαν· καὶ ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν Θεόν.

✱ ΚΥΡΙΛΛΟΥ. Κατεβιάζοντο μὲν οἱ Αἰγύπτιοι τοὺς ἐξ Ἰσραὴλ τὸν τῆς ἀναγκαίας θητείας ἐπιρριπτοῦντες ζυγὸν, καὶ πικροὺς αὐτοῖς καὶ ἀφιλοικτίρμονας ἐργοκηδεστὰς ἐπιστήσαντες, οἳ κατώδυνον αὐτῶν τὴν ζωὴν, καθὰ γέγραπται. οἱ δὲ ταῖς
E ἄγαν πλεονεξίαις ἐκπεπιεσμένοι, κλαίοντές τε καὶ κατοιμώζοντες, τῆς ἄνωθεν ἡμερότητος ἀξιοῦσθαι λοιπὸν ἐλιπάρουν οἱ τάλανες· ἀλλ᾽ ἐπεσκέπτετο ὁ Θεός.

✱ ΤΟΥ ΑΥΤΟΥ. Διδάξειεν ἂν εὖ μάλα καὶ σαφῶς, ὅτι καὶ τοῖς ἀκαθάρτοις πνεύμασι καὶ τῷ διαβόλῳ σκοπὸς συνωθεῖν ἐπείγεσθαι τοὺς ἐπὶ γῆς εἰκαίοις ἐνιδροῦν σπουδάσμασι, καὶ τὰ σαρκὸς ἔργα πληροῦν· ἵνα μὴ σχολαῖον ἔχοντες τὸν νοῦν
Z καὶ ἀναμύοντα πρὸς τὰ ἄνω, τὸν τῶν ὅλων εἰδεῖεν Θεόν. οὕτω τε λοιπὸν καὶ εἰς τὸ αὐτῷ δοκοῦν ἀπευθύνοιντο, (1) καὶ τῆς τῶν ἀπηγορευμένων δουλείας ἀπονεύσωσι γενικῶς. ἐπειδὴ δὲ ἔνεστι τῇ ἀνθρωπείᾳ φύσει τὸ φιλελεύθερον, οὐκ ἐπαινοῦμεν ἐσθ᾽ ὅτε τὰ πάθη· καταμυσαττόμεθα δὲ πολλάκις ἀνανήφοντες βραχὺ, καὶ τῶν τῆς σαρκὸς ἡδονῶν τὸ ἄχαρι διαπτύοντες, τὴν ἄνωθεν καὶ παρὰ Θεοῦ διψῶμεν ἐπικουρίαν,
H καὶ τῆς ἀβουλήτου ἀβελτηρίας (2) οὐ μικρὰν ποιούμεθα τὴν καταβόησιν. τοῦτο οἶμαι ἐστὶ τὸ

(1) Ἀπευθύνοντο, καὶ τῆς ἐπ᾽ αὐτῷ δουλείας ἀπονεύωσι ζυγόν. ἐπειδὴ δὲ, κτ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 261.
(2) Τῆς ἀβουλήτου δουλείας. αὐτ.

τὸ κατασενάξαι πρὸς Θεὸν τοὺς υἱοὺς Ἰσραήλ. ἐπειδὴ δὲ ἐστιν ἀγαθὸς, ἀπέστειλεν ἡμῖν σωτῆρα καὶ λυτρωτὴν ἐξ οὐρανοῦ τὸν υἱὸν, ὃς γέγονε καθ᾽ ἡμᾶς, τουτέστιν ἄνθρωπος.

** ΒΑΣΙΛΕΙΟΥ. Ζῶντος γὰρ τοῦ βασιλέως τοῦ πονηροῦ, στενάζειν οὐκ ἠδύναντο. κατηνάγκαζε γὰρ αὐτοὺς ἐν ἔργοις σκληροῖς, μὴ ἐπιτρέπων ἀνανεύειν πρὸς τὸν Θεόν. ἐπειδὴ δὲ ἐκ ποδῶν ἐγένετο ὁ πονηρὸς, τότε δέον κροτεῖν καὶ ἐπιχαίρειν τῇ πτώσει τοῦ ἐχθροῦ. οἱ δὲ ἐκ τοῦ παραδόξου ἀναγράφονται στένειν· ἐνδεικνυμένου τοῦ λόγου, ὅτι ἕως ὁ φιλοσώματος νοῦς ἐπεκράτει, ὑπὸ τῆς ἀναισθησίας οὐδὲ ᾔδεσαν ὀδύρεσθαι τὸ ἐκ τῆς ἁμαρτίας κακόν. ἐπειδὴ δὲ ἔλαβον σχολὴν ἀπὸ τῶν παθῶν, ἄρχονται τῆς θεραπείας ἀπὸ τοῦ στένειν, ἐν τοῖς ὑλικοῖς καὶ σωματικοῖς ἔργοις βαρυνόμενοι. διὸ καὶ ἐπήκουσεν αὐτῶν ὁ φιλάνθρωπος Θεός.

** ΩΡΙΓΕΝΟΥΣ. Ἡνίκα κατεστέναξαν οἱ υἱοὶ Ἰσραὴλ, οὔτε ἀπὸ τῆς πλινθείας, οὔτε ἀπὸ τοῦ πηλοῦ, οὔτε ἀπὸ τῶν ἀχύρων κατεστέναξαν, ἀλλ᾽ ἀπὸ τῶν ἔργων· καὶ
" ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς Θεὸν, οὐκ ἀπὸ πηλοῦ, ἀλλὰ πάλιν ἀπὸ τῶν ἔργων. διὸ

A " καὶ εἰσήκουσε Κύριος τῶν στεναγμῶν αὐτῶν. οὐκ εἰσήκουσε στεναγμοῦ τῶν οὐκ ἀπὸ ἔργων βοώντων πρὸς αὐτὸν, ἀλλ᾽ ἀπὸ πηλοῦ καὶ τῶν γηΐνων πράξεων.

** ΠΡΟΚΟΠΙΟΥ. Πότε γὰρ κατὰ καιρὸν ἄν τις στενάξειεν, ἢ τελευτῶντος ἐν αὐτῷ τοῦ βασιλέως Αἰγύπτου; ὡς καὶ τοῦ Ὀζίου τελευτήσαντος, Ἡσαΐας εἶδε τὸν Κύριον. ὥσπερ οὖν καὶ νῦν ἐπάγει, καὶ
B " ἐγνώσθη αὐτοῖς. εἰδωλολατρήσαντες γὰρ, καὶ πηλίνοις ἔργοις κατεσχημένοι, ἠγνόουν τὸν Κύριον.

κε. Καὶ εἰσήκουσεν ὁ Θεὸς τὸν στεναγμὸν αὐτῶν· καὶ ἐμνήσθη ὁ Θεὸς τῆς διαθήκης αὐτοῦ τῆς πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. καὶ ἐπεῖδεν ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐγνώσθη
Γ **αὐτοῖς.**

ΚΥΡΙΛΛΟΥ. Ὅτε τοίνυν ἐσμὲν ἐν ἀγνοίᾳ Θεοῦ, τότε καὶ τοῖς ἀδικοῦσιν ὑποκείμεθα, καὶ τοῖς τῆς ἁμαρτίας βορβόροις ἐγκαλινδούμεθα, πονηροὺς καὶ ὠμοὺς τῶν τοιούτων ἔχοντες ἐπιστάτας τοὺς ἀκαθάρτους δαίμονας. ἕψεται δὲ πάντως τῷ γνῶναι Θεὸν τῆς ἐλευθερίας ἡ χάρις.

ΚΕΦ. Γ.

α. Καὶ Μωϋσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ἰοθὼρ τοῦ γαμβροῦ αὐτοῦ τοῦ ἱερέως Μαδιάμ· καὶ ἦγε τὰ πρόβατα ὑπὸ τὴν ἔρημον, καὶ ἦλθεν εἰς τὸ ὄρος Χωρήβ.

** ΠΡΟΚΟΠΙΟΥ. Ὁμοίως γαμβρὸν, τὸν πενθερὸν ἡ θεία καλεῖ Γραφή. γαμβρὸς γὰρ ἑκάτερος ἀπὸ γάμου τὴν ἀγχιστείαν ἔχων. ἔχεις δὲ ἐπ᾽ ἀμφοτέρων τὴν αὐτὴν προσηγορίαν ἐν τῇ τελευταίᾳ τῶν Κριτῶν ὑποθέσει.

ΕΥΣΕΒΙΟΥ. Ἐκ βασιλείων ἐξελθὼν, ποιμὴν ἐγένετο ἐν ἐρήμῳ, καὶ οὐκ ἤχθετο. εἴ τις γὰρ θέλει σῶσαι τὴν ἀγάπην καὶ τὸ φίλτρον τὸ περὶ Θεὸν, εἴτε ἐν πενίᾳ, εἴτε ἐν πόλεσι διαφυλάττεται, εἴτε ἐν δεσμωτηρίῳ, οὐκ ἀγανακτεῖ. ἔχεις τούτου ἐν τῇ Γραφῇ παραδείγματα.

ΤΟΥ ΑΥΤΟΥ. Ποιμαίνει Μωσῆς τεσσαράκοντα ἔτη. μεμέρισται γὰρ αὐτοῦ ἡ ζωὴ εἰς τρεῖς ἀριθμοὺς ἴσους. ὅτε γέγονε τεσσαράκοντα ἐτῶν, ἐπεσκέψατο τοὺς ἀδελφοὺς, καὶ ἐδιώχθη· τεσσαράκοντα ἔτη ποιμαίνων, τεσσαράκοντα ἔτη προΐσταται τοῦ λαοῦ, ἵνα τὰ Αἰγυπτίων μάθῃ διὰ τεσσαράκοντα ἐτῶν· τὰ δὲ τῆς ποιμαντικῆς τῶν προβάτων διδαχθῇ τεσσαράκοντα ἐτῶν, ἐπειδὴ ἤμελλεν ἐπὶ τεσσαράκοντα ἔτη λογικὰ πρόβατα πιστεύεσθαι. καὶ πᾶσα μὲν ἡγεμονία χαλεπὴ, καὶ προβάτων, καὶ ἵππων, καὶ βοῶν· οὐχ οὕτω δὲ ὡς τῶν λογικῶν· καὶ ὁμοίων, ἀλλὰ πολὺ τὸ δέος καὶ τὴν ὑποταγὴν ἐχόντων. ἐνταῦθα δὲ ὁμοτίμων, καὶ τῆς αὐτῆς ὄντων φύσεως, καὶ ἄνθρωπον ἀνθρώπους ποιμαίνειν, ἔνθα τὸ ἴσον τῆς φύσεως χαλεπωτέραν ποιεῖ
E τὴν ἐπιστασίαν. τὸ δὲ ὅλον, ἵνα ἑτοιμότερος εὑρεθῇ διὰ τῆς παιδεύσεως τῆς ἐνούσης εἰς τὴν ἐπιστασίαν τῶν λογικῶν προβάτων.

ϛ. Ὤφθη δὲ αὐτῷ ὁ Ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς ἐκ τοῦ βάτου· καὶ ὁρᾷ ὅτι ἡ βάτος καίεται πυρὶ, ὁ δὲ βάτος οὐ κατεκαίετο.

Z ΕΥΣΕΒΙΟΥ. Ὡς λοιπὸν τῷ Μωσῇ πεπληρῶσθαι τὰ τῶν γυμνασίων, τῆς δ᾽ Αἰγυπτίοις τὰ τῆς ὠμότητος, τῷ δὲ Ἰσραὴλ τὰ τῆς ταπεινότητος, τῷ δὲ Θεῷ τὰ τῶν ἐπαγγελιῶν τῶν πρὸς Ἀβραὰμ, Μωσῆς μὲν ἐποίμαινε, Θεὸς δὲ ὀπτασίαν καθῆκε. καὶ πῦρ μακρόθεν ἐφαίνετο ἐν βάτῳ μαχόμενον, φύσις κεχαλινωμένη. πῦρ ἦν ἐν βάτῳ, καὶ βάτος εἶχε πῦρ ἐν κόλποις μὴ καιομένη. ξένον ἦν τὸ ὅραμα,
H καὶ παρὰ φύσιν τὸ θέαμα. ἐπισπᾶται δὲ τὰ ξένα, καὶ ἐφέλκεται τὰ μὴ ἐν συνήθει.

* ΠΡΟΚΟΠΙΟΥ. Ὤφθη μὲν Μωσῇ οὐχ ὁ Κύριος, ἀλλ᾽ ὁ Ἄγγελος· ἐκάλεσε

 δὲ

δὲ αὐτὸν οὐκ ἔτι ὁ Ἄγγελος, ἀλλ' ὁ Κύ-
ριος. (1) Κύριος μὲν γὰρ ἦν ὁ διαταττό-
μενος· Ἄγγελος δὲ ὁ τῷ θείῳ λόγῳ δια-
κονούμενος. καὶ οὐδὲ ἅπαξ εὕροις δι' ὅλης
τῆς νομοθεσίας τὴν Γραφὴν σημειουμένην,
ὅτι δὴ ὤφθη ὁ Θεὸς, ἢ ὁ Κύριος τῷ Μω-
σῇ. ὅπερ ἐξαίρετον ἐπὶ μόνον τῶν τριῶν
πατριαρχῶν εἰρημένον φαίνεται. ὡς ἐκ
τούτων εἶναι πρόδηλον τὴν πᾶσαν νομο-
θεσίαν τοῖς κατὰ τὴν ἔρημον, οἷα δὴ νη-
πίοις τὰς ψυχὰς, καὶ εἰσαγομένοις ὥσπερ
διὰ παιδαγωγῶν καὶ οἰκονόμων τῶν Ἀγγέ-
λων, (2) παραδεδόσθαι.

ΤΟΥ ΑΥΤΟΥ. Παρατηρητέον δὲ, ὅτι
οὐ πῦρ λαλεῖ τῷ Μωσῇ ἐν τῇ βάτῳ, οὐδὲ
πῦρ νομοθετεῖ τῷ λαῷ ἐν τῷ ὄρει, ἀλλ' ὁ
Θεὸς ἐν πυρί. ὥστε ὅταν λέγῃ κατωτέρω,
Δευτ. 4. 24. πῦρ καταναλίσκον Κύριος ὁ Θεὸς, τὴν
αἰτίαν ἐπάγει, δι' ἣν αὐτὸν Κύριον ἐπωνό-
» μασε. Θεὸς γάρ φησι ζηλωτής. [τουτέστιν]
ὁ ζῆλος τοῦ Θεοῦ ὑπὲρ (3) ἡμῶν, ἤτοι καθ'
ἡμῶν σφοδρὸς, ὥσπερ πῦρ καταναλίσκον.

ΚΥΡΙΛΛΟΥ. Ἡ βάτος ἀκανθῶδές
ἐστι φυτὸν, δηλοῖ δὲ ὡς τῆς ἀκανθώδους
καὶ ὑπὸ τὴν ἁμαρτίαν διὰ τὴν παράβασιν
γενομένης φύσεως κοινωνήσει τὸ πατρι-
κὸν φῶς, χωρὶς ἁμαρτίας. ὁ δὲ Εὐσέ-
βιός φησιν, ἐν τοιούτῳ ὤφθη φυτῷ, ἀφ'
οὗ εἰ καὶ βούλοιντο γλύψαι εἰς Θεὸν, μὴ
δύνανται. (4)

ΤΟΥ ΑΥΤΟΥ. Πυρὶ τὴν θείαν παρει-
κάζει φύσιν τὸ γράμμα τὸ ἱερὸν, διὰ τὸ
παναλκὲς καὶ τὸ πανταχόσε δύνασθαι κα-
ταθρεῖν εὐκόλως· ξύλοις δὲ καὶ πόαις
ταῖς ἐν ἀγρῷ, τὸν ἀπὸ γῆς ἄνθρωπον.
Δευτ. 4. 24. τοιγάρτοι φησὶν, ὁ Θεὸς ἡμῶν πῦρ κατα-
Ψαλ. 102. 15. ναλίσκον· καὶ, ἄνθρωπος ὡσεὶ χόρτος αἱ
» ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως
ἐξανθήσει. ἀλλ' ὥσπερ ἐστὶν οὐ φορητὸν ἀ-
κάνθαις τὸ πῦρ, οὕτω καὶ Θεότης ἀνθρω-
πότητι. πλὴν ἐν Χριστῷ συνέβη, καὶ γέ-
Κολ. 2. 9. γονεν οἰστή. κατῴκησε γὰρ ἐν αὐτῷ πᾶν
» τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς,
1. Τιμ. 6. 16. καθὰ γέγραπται· καὶ, ὁ φῶς οἰκῶν ἀπρό-
» σιτον, τουτέστι Θεὸς τῷ ἐκ παρθένου ναῷ
κατηυλίζετο, καθεὶς ἑαυτὸν εἰς ἡμερό-
τητα, καὶ οἱονεὶ παραστέλλων τὴν ἀκρά-
τητον τῆς ἰδίας φύσεως προσβολήν· ἵνα
γένηται χωρητὸς, καθάπερ ἀμέλει καὶ
ἀκάνθαις τὸ πῦρ. ὅτι δὲ τὸ φθείρεσθαι
πεφυκὸς, τουτέστι τὴν σάρκα, φθορᾶς
ἀπετέλει κρείττονα, δείκνυσιν αἰνιγματω-
δῶς τὸ ἐπὶ τῷ βάτῳ πῦρ, ἀδιαλώβητον
παντελῶς τηρῆσαν τὸ ξύλον. ὅτι δὲ τὸν
ἴδιον ἐζωοποίει ναὸν, καὶ ἄφθαρτον ἀπε-
τέλει, καὶ θανάτου κρείττω, ζωὴ κατὰ
φύσιν ὑπάρχων ὁ ἐκ Θεοῦ λόγος, πῶς ἂν

A ἐνδοιάσειέ τις; ἐφείδετο τοίνυν τῆς ἀκάν-
θης τὸ πῦρ, καὶ οἰστὴ γέγονεν ἡ φλὸξ μι-
κρῷ καὶ ἀσθενεστάτῳ ξύλῳ. κεχώρηται
γὰρ, ὡς ἔφην, Θεότης ἐν ἀνθρωπότητι,
καὶ τοῦτο γέγονεν ἐν Χριστῷ τὸ μυστήριον.
κατῴκησε δὲ καὶ ἐν ἡμῖν ὁ λόγος, οὐ δίκας
πραττόμενος, ἀλλὰ χρησταῖς περιαστράπτων
προσβολαῖς.

ΤΟΥ ΑΥΤΟΥ. Οὐ κατεκαίετο τοίνυν
ὁ βάτος, περιεχομένης αὐτῷ τῆς φλογός.
B οὐ γὰρ ἐξητήμεθα δίκας τῶν ἡμαρτημέ-
νων· περιλάμπει δὲ μᾶλλον ἡμᾶς ὁ Χρι-
στὸς διὰ τοῦ ἁγίου πνεύματος, καὶ ἔστιν ἐν
ἡμῖν δι' αὐτοῦ· καὶ ἐν αὐτῷ κράζομεν, ἀβ- Ῥωμ. 8. 15.
» βᾶ ὁ πατήρ.

ΤΟΥ ΑΥΤΟΥ. Οὐ γὰρ ἦν ἀμήχανον
τῷ φιλαγάθῳ Θεῷ, οἰστὸν ἑαυτὸν ἀποφῆ-
ναι τοῖς τῆς ἀνθρωπότητος μέτροις. καὶ
τοῦτο ἡμῖν προϋπέφηνεν αἰνιγματωδῶς ὁ
Γ Μωσέα μυσταγωγῶν, καὶ τὸν τῆς ἐνανθρω-
πήσεως τρόπον, ὡς ἐν τύποις ἔτι ζωγρα-
φῶν. ἐπεφοίτησε μὲν γὰρ ὡς ἐν εἴδει πυ-
ρὸς τῷ βάτῳ κατὰ τὴν ἔρημον, καὶ ἐνή-
στραπται μὲν τῷ θάμνῳ τὸ πῦρ, πλὴν οὐ
κατεκαίετο. τεθαύμακε δὲ τὴν ὅρασιν ὁ
Μωσῆς· καίτοι πῶς οὐκ ἀσύμβατον εἴη ἂν
τῷ πυρὶ τὸ ξύλον; πῆ δὲ ὅπως ταῖς τῆς
φλογὸς ἐμβολαῖς ἡ εὐκατάπρηστος ὕλη;
ἀλλ' ἦν, ὡς ἔφην, μυστηρίου τὸ χρῆμα τύ-
Δ πος, οἰστὴν ἀποφαίνοντος τοῖς τῆς ἀνθρω-
πότητος μέτροις τὴν θείαν τοῦ λόγου φύ-
σιν, αὐτοῦ γε ἐθέλοντος. ἀδυνατεῖ γὰρ αὐ-
τῷ παντελῶς οὐδέν. (5)

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Δι' οὗ διδασ-
κόμεθα καὶ τὸ κατὰ τὴν παρθένον μυ-
στήριον, ἀφ' ἧς καὶ τὸ τῆς Θεότητος φῶς
ἐπέλαμψε τῷ ἀνθρωπίνῳ βίῳ διὰ γεννή-
σεως. ἀδιάφθορον δὲ ἐφύλαξε τὴν ἐξά-
ψασαν θάμνον, ἅτε τοῦ βλαστοῦ τῆς παρ-
E θένου (6) μὴ καταμαρανθέντος τῷ τόκῳ.

ΣΕΥΗΡΟΥ. Ὁ τοῦ Θεοῦ υἱὸς, φησὶν,
ὃς καὶ Ἄγγελος ἐκλήθη, ὡς τὴν τοῦ πα-
τρὸς ἐξαγγέλλων βουλὴν, ἐφάνη ἐν τῇ βά-
τῳ εἰς τύπον τῆς παρθένου. ὥσπερ γάρ
ἐστιν οὐ φορητὸν ἀκάνθαις τὸ πῦρ, οὕτω καὶ
Θεότης ἀνθρωπότητι.

ΤΟΥ ΑΥΤΟΥ. Ποῦ ποτέ εἰσιν οἱ λέ-
γοντες, πῶς Θεὸς ἡνώθη σαρκί; πῶς τὸ
Z ἀσώματον συνέβαινε σώματι; τοῦτό σοι τὸ
θαῦμα προζωγραφῶν τὸ μυστήριον, γε-
νέσθω πάσης ἀποδείξεως ἐναργέστερον.

ΤΟΥ ΑΥΤΟΥ. Προτυποῦσα τὴν ἀμέ-
ριστον ἕνωσιν τοῦ Θεοῦ λόγου πρὸς τὸ ἀνθρώ-
πινον φύραμα, τὴν φορητὴν διὰ φιλαν-
θρωπίαν καὶ ἄτρεπτον. ἡ δὲ βάτος ἐστὶν
ἀκαν-

(1) Ἀλλ' ὁ Κύριος ὁ καὶ διαταττόμενος, διακονοῦντος Ἀγγέλου. καὶ οὐδαμοῦ τῆς νομοθεσίας φησὶν ἡ Γραφὴ, ὡς ὤφθη Κύριος τῷ Μωσῇ. ὅπερ κτ. ὁ τῆς Αὐγ. κώδ. (2) Δι' Ἀγγέλων. ὁ αὐτ.
(3) Ὁ ὑπὲρ ὑμῶν ἢ καθ' ὑμῶν ὁ αὐτ.
(4) Ἡ τοῦ Εὐσεβίου ἀνάμνησις, καὶ τὸ μὴ ἐν τοῖς ἐκδεδομέν. κεῖσθαι, ἔτι δὲ καὶ ἡ φράσις ἀλλότριον τοῦτο ἐμφαίνουσι τῶν τοῦ Κυρίλλου.
(5) Οὐδὲ τοῦτο ἐν τοῖς ἐκδεδομ. εὕρηται. ἀλλ' οὐδεὶς ἂν, οἶμαι, ἐνδοιάσειε τῶν τοῦ Κυρίλλου εἶναι.
(6) Τῆς παρθενίας. ἐν τῇ εἰς τὸν τοῦ Μωϋσ. βίον θεωρ.

ἀκανθῶδες φυτὸν, δηλοῦν ὡς τῆς ἀκανθώδους καὶ ὑπὸ τὴν ἁμαρτίαν γενομένης διὰ τὴν τοῦ Ἀδὰμ παράβασιν φύσεως ἐκοινώνησεν, ἁμαρτίας χωρίς· ἵνα καὶ εἰς ἡμᾶς παραπέμψῃ τὸ κατὰ τῆς ἁμαρτίας κράτος· δεύτερος ἡμῶν χρηματίσας Ἀδὰμ, καὶ τῆς ἀναπλάσεως ἀρχηγὸς, ὥσπερ ὁ πρῶτος τῆς πλάσεως.

ΤΟΥ ΑΥΤΟΥ. Εἰς ἔνδειξιν τοῦ παραδόξου τόκου τῆς τοῦ Ἐμμανουὴλ κατὰ σάρκα γεννήσεως. πέρα γὰρ παντὸς λόγου Θεὸς ἐσκήνωσεν ἐν μήτρᾳ παρθένου, καὶ ἀτρέπτως ἐξ ἀρχῆς ἐσαρκώθη· καὶ οὔτε τὴν κύουσαν μητέρα κατέφλεξεν, ἢ ἀνήλωσεν· οὔτε τὴν σάρκα, ἣν καθ' ὑπόστασιν ἥνωσεν ἑαυτῷ ψυχὴν ἔχουσαν νοεράν· οὔτε μὴν τεχθεὶς, τὴν παρθενίαν τῆς τεκούσης διέλυσε. Καὶ μετ' ὀλίγα. Διὰ μὲν τῆς καύσεως, τὸ παθητὸν καὶ θνητὸν τῆς σαρκὸς κατὰ τὸν καιρὸν τῶν παθῶν καὶ τοῦ θανάτου παρασαίη· διὰ δὲ τοῦ ἀκαύστου, τὸ μὴ ἐναπομεῖναι τῷ θανάτῳ, καὶ εἰς τὸ παντελὲς κατασχεθῆναι.

ΤΟΥ ΑΥΤΟΥ. Ἡ βάτος ἡ καιομένη καὶ μὴ κατακαιομένη, ἥτις ἐστὶν ἀκανθῶδες φυτὸν, προτυποῖ τὴν ἕνωσιν τοῦ λόγου πρὸς τὴν ἀνθρωπίνην σάρκα, τὴν ἀκανθώδη καὶ ὑπὸ ἁμαρτίαν, καὶ φορητὴν γενομένην τοῦ δέξασθαι τὸν λόγον.

ΤΟΥ ΑΥΤΟΥ. Ἡ δὲ βάτος ἡ καιομένη καὶ μὴ κατακαιομένη εἰς τὴν σάρκωσιν ὁρᾷ τοῦ μονογενοῦς, καὶ τὸ ἀνέκφρασον τῆς ἑνώσεως τοῦ λόγου πρὸς τὴν σάρκα· μήτε εἰς σάρκα μεταβληθέντος, μήτε τὴν σάρκα εἰς τὴν Θεότητα μεταβαλόντος. ὥσπερ οὔτε ἡ βάτος ἐπαύσατο εἶναι βάτος, οὔτε τὸ πῦρ συναπεσβέσθη, ἀλλ' ἔντι ἡ καιομένη βάτος, οὐ τῇ φύσει, ἀλλὰ τῇ ἑνώσει θεωρουμένη.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὦ βάτε, ἣν εἶδε Μωϋσῆς ἐν τῷ ὄρει καιομένην καὶ μὴ κατακαιομένην· παρθένε Μαρία, γεννῶσα καὶ μὴ φθειρομένη.

ΤΟΥ ΑΥΤΟΥ. Ὥσπερ γὰρ ἐκεῖνος ἐκαίετο, καὶ οὐ κατεκαίετο· οὕτω καὶ τὸ σῶμα ἐκεῖνο ἀπέθανε μὲν, οὐ κατεσχέθη δὲ διὰ τοῦ θανάτου διηνεκῶς. (1)

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δηλοῖ [τὸ] τὴν βάτον καίεσθαι, καὶ μὴ καταφλέγεσθαι; Τὴν τοῦ Θεοῦ δύναμιν καὶ φιλανθρωπίαν κηρύττει, ὅτι φρυγανώδη ὄντα τὸν βάτον, τὸ ἄσβεστον οὐ καταναλίσκεται πῦρ. οἶμαι δὲ καὶ ἕτερα διὰ τούτου παραδηλοῦσθαι. ὅτι ὁ Ἰσραὴλ ὑπὸ τῶν Αἰγυπτίων ἐπιβουλευόμενος, οὐκ ἀναλωθήσεται, ἀλλὰ κρείττων ἔσαι τῶν πολεμούντων· καὶ ὡς ὁ μονογενὴς ἐνανθρωπήσας, καὶ παρθενικὴν οἰκήσας νηδὺν, φυλάξει τὴν παρθενίαν ἀκήρατον. Φασὶ δέ τινες ἐν βάτῳ φανῆναι τὸν Θεὸν, καὶ οὐκ ἐν ἄλλῳ φυτῷ, διὰ τὸ

A μὴ δύνασθαί τινα ἐκ βάτου γλύψαι Θεόν. εἰκὸς γὰρ ἦν Ἰουδαίους καὶ τοῦτο τολμῆσαι, εἴπερ ἐν ἄλλῳ ὤφθη φυτῷ.

✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Σύμβολον ὁ μὲν καιόμενος βάτος, τῶν ἀδικουμένων· τὸ δὲ φλέγον πῦρ, τῶν ἀδικούντων· τὸ δὲ μὴ κατακαίεσθαι τὸ καιόμενον, τοῦ μὴ πρὸς τῶν φθαρήσεσθαι ἐπιτιθεμένων τοὺς ἀδικουμένους, ἀλλὰ τοῖς μὲν ἄπρακτον

B καὶ ἀνωφελῆ γενήσεσθαι τὴν ἐπίθεσιν, τοῖς δὲ τὴν ἐπιβουλὴν ἀζήμιον· ὁ δὲ Ἄγγελος, προνοίας τῆς ἐκ Θεοῦ, τὰ λίαν φοβερὰ παρὰ τὰς πάντων ἐλπίδας κατὰ πολλὴν ἡσυχίαν ἐξευμαρίζοντος.

γ. Εἶπε δὲ Μωϋσῆς, παρελθὼν ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο, τί ὅτι οὐ κατακαίεται ὁ βάτος.

✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐζήτει

Γ ποτὲ προαχθεὶς ὑπὸ τοῦ φιλομαθοῦς καὶ τὰς αἰτίας, αἷς τἀναγκαιότατα τῶν ἐν τῷ κόσμῳ πραγμάτων ἐπιτελεῖται. θεώμενος γὰρ ὅσα ἐν γενέσει φθειρόμενα καὶ γεννώμενα, ἀπολλύμενά τε αὖ καὶ διαμένοντα, τέθηπε καὶ καταπέπληκται καὶ ἐκβοᾷ, φάσκων, ὅτι ὁ βάτος καίεται καὶ οὐ κατακαίεται. τὸν γὰρ ἄβατον οὐ πολυπραγμονεῖ χῶρον, ὡς θείων ἐνδιαίτημα φύσεων.

Δ

δ. Ὡς δὲ εἶδε Κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν Κύριος ἐκ τοῦ βάτου, λέγων, Μωϋσῆ· ὁ δὲ εἶπε, τί ἐστι;

» ΣΕΥΗΡΟΥ. Καὶ ἐκάλεσεν αὐτὸν Κύ-
» ριος ἐκ τῆς βάτου. πῶς ὁ αὐτὸς Ἄγγελος Κυρίου, καὶ Κύριος; τὸ γὰρ Κύριος ὄνομα πάντων μὲν, ὅσα μετὰ Θεὸν, ἐστὶ ξένον, μόνον δὲ ἀληθῶς ἁρμόττον αὐτῷ. ψάλλει

E γάρ πως καὶ ὁ προφήτης Δαβὶδ πρὸς αὐ-
» τὸν, καὶ γνώτωσαν ὅτι ὄνομά σοι Κύριος, Ψαλ. 82. 18.
καὶ τὰ ἑξῆς. Παρίστησι τοίνυν ἡμῖν τὸ προκείμενον, ὡς ὁ υἱὸς ἦν ὁ ἐπὶ τῆς βάτου φανεὶς, ἡ εἰκὼν ἡ ζῶσα καὶ ἀπαράλλακτος τοῦ πατρὸς, ὁ ἐν αὐτῷ δεικνὺς καὶ διαγγέλλων ἀκριβῶς, οἷα δὴ χαρακτὴρ ἀληθὴς, τὸν γεγεννηκότα· καὶ ὥσπερ λόγος ὁ ἀνωτάτω, τὸν πάντων ἐπέκεινα νοῦν, ὃν

Z » καὶ Ἡσαΐας ὁ προφήτης, καὶ υἱὸν, καὶ Ἡσ. 9. 6.
» μεγάλης βουλῆς Ἄγγελον προσηγόρευσεν, ὡς τὴν τοῦ πατρὸς ἐξαγγέλλοντα βουλήν.

» ΤΟΥ ΑΥΤΟΥ. Καὶ ἐκάλεσεν αὐτὸν
» Κύριος ἐκ τοῦ βάτου. Αὐτὸν τὸν υἱὸν καλεῖ Ἄγγελον, ὃς καὶ ἐστὶ Κύριος, ὡς ὄντα μεγάλης βουλῆς Ἄγγελον.

ε. Καὶ εἶπε, μὴ ἐγγίσῃς ὧδε, λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ

H **γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστί.**

 ✻✻ ΦΙΛΩ-

(1) Οὐδέτερον ἐν τοῖς τοῦ Χρυσοστ. ἐκδεδομ. εὕρηται.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μὴ ἐγγίσῃς ὧδε, ἴσον τῷ, μὴ πρόσιθι τοιαύτῃ διασκέψει· περιεργίας γὰρ καὶ φιλοπραγμοσύνης μείζονος ἢ κατὰ ἀνθρωπίνην δύναμιν τὸ ἔργον· ἀλλὰ τὰ μὲν γεγονότα θαύμαζε σάς· τὰς δὲ αἰτίας, δι᾽ ἃς ἢ γέγογεν ἢ φθείρεται, μὴ πολυπραγμόνει. ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας, φησὶν, ἅγιός ἐστι. ποῖος τόπος; ἢ δῆλον ὅτι ὁ αἰτιολογικὸς, ὃν μόνον ταῖς θείαις ἀνῆψε φύσεσιν, ἄνθρωπον οὐδένα νομίσας ἱκανὸν εἶναι αἰτιολογίας ἐφάψασθαι.

ΚΥΡΙΛΛΟΥ. Ἐν ἐρήμῳ τοίνυν ὁ βάτος, καὶ ἁγία λοιπὸν ἡ τοῦτον ἔχουσα γῆ. καὶ προσιὼν Μωϋσῆς ἀνακόπτεται, καὶ τοῦ ποδὸς ἀπολύειν προστάττεται τὸ ὑπόδημα. νεκρότητος δὲ καὶ φθορᾶς τὸ χρῆμα σημεῖον. πᾶν γὰρ ὑπόδημα, ζώου λείψανόν ἐστι τεθνεῶτος, ἤδη κατεφθαρμένου. ἀπρόσιτος οὖν ὁ Χριστὸς τοῖς ἐν νόμῳ, καὶ τῇ παιδαγωγικῇ λατρείᾳ. προαπονίζεσθαι γὰρ ἀνάγκη τὸν ἐκ τῆς ἁμαρτίας ῥύπον, καὶ ἐστὶν ἀμήχανον αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας. δικαιοῦται γὰρ οὐδὲ εἷς ἐν νόμῳ. οὔπω δὲ κατηργημένης τῆς ἁμαρτίας, ἰσχύειν ἀνάγκη τὴν φθορὰν, καὶ τὸν θάνατον. δεῖ οὖν ἄρα τοὺς ἰδεῖν ἐθέλοντας τὸ Χριστοῦ μυστήριον, τὴν ἐν τύποις προαποθέσθαι λατρείαν, τὴν μήτε φθορᾶς, μήτε ἁμαρτίας κρείττονα.

✱ ΤΟΥ ΑΥΤΟΥ. Συνιέναι δεῖ, ὅτι [οὐκ ἂν] ἀγχοῦ γένοιτό τις τοῦ παναγνοῦ Θεοῦ, μὴ οὐχὶ πάντα ῥύπον τῆς ἑαυτοῦ ἀπονίζων ψυχῆς, νεκρότητός τε καὶ ἁπάσης τῆς ὡς ἐν πράγμασι νοουμένης ἀπολύων τὸν πόδα, τουτέστι τὴν εἰς τὰ πρακτέα βάδισιν νοητήν. ἢ γὰρ οὐχὶ νοοῖτ᾽ ἂν τὸ ὑπόδημα νεκροῦ ζώου λείψανον; τύπος οὖν ἄρα νεκρότητος νοητῆς τὸ χρῆμά ἐστιν. ἣν εἴπερ ἀποφορτίσαιτο, τὰ δι᾽ ὧν ἡμῶν (1) ἐξοίχοιτο διαῤῥήξας δεσμὰ, ἥξει τε ἀγχοῦ καὶ οἰκεῖος ἔσται Θεῷ, καὶ πρός γε τὸ σώζειν ἑτέρους δύνασθαι λοιπὸν ἐπιτηδείως ἔχων.

ΤΟΥ ΑΥΤΟΥ. Τὴν ἔρημον δὲ καὶ ἀκανθοτόκον, ἐν ᾗ καὶ ὁ βάτος, γῆν ἁγίαν καλεῖ. πᾶς γὰρ χῶρος ἅγιος, ἐν ᾧ ἂν εἴη Χριστός. εὖ δὲ δὴ καὶ ἐν ἐρήμῳ φαίνεται, τύπον ἐχούσῃ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας· πρὸς ἣν φησιν, εὐφράνθητι ἡ ἔρημος ἡ διψῶσα. Ἡσ. 35. 1.

ΤΟΥ ΑΥΤΟΥ. Δεῖ γὰρ ὡς ἀληθῶς πάσης νεκρᾶς καὶ σαρκικῆς φαντασίας ὥσπερ ὑποδημάτων τινῶν λύσαι τὸν ἐπί τι τῶν θείων θεωρημάτων ἀναβῆναι πειρώμενον. (2)

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Παρ᾽ ἐκείνου τοῦ φωτὸς διδασκόμεθα, τί ποιήσαντες, ἐντὸς τῶν ἀκτίνων τῆς ἀληθείας στησόμεθα. οὐ γὰρ ἔστι δεδεμένοις ποσὶν ἀναδραμεῖν πρὸς τὸ ὕψος ἐκεῖνο, ἐν ᾧ τὸ φῶς

A τῆς ἀληθείας ὁρᾶται, εἰ μὴ περιλυθείη τῶν τῆς ψυχῆς βάσεων ἡ νεκρά τε καὶ γηΐνη τῶν δερμάτων περιβολὴ, ἡ περιτεθεῖσα κατ᾽ ἀρχὰς τῇ φύσει, ὅτε διὰ τῆς παρακοῆς τοῦ θείου θελήματος ἐγυμνώθημεν· καὶ οὕτως ἐπακολουθήσει, τούτων ἡμῖν γενομένων, ἡ τῆς ἀληθείας γνῶσις.

ΤΟΥ ΑΥΤΟΥ. Εἰ μὴ λυθείη τὶς, φησὶ, τῶν βάσεων τῆς ψυχῆς, ἤγουν τῆς B νεκρᾶς καὶ γηΐνης τῶν δερμάτων περιβολῆς, δεδεμένοις ποσὶ πρὸς τὸ ὕψος ἀναδραμεῖν τοῦ θείου φωτὸς, οὐδαμῶς δύναιτ᾽ ἄν. (3)

ΕΥΣΕΒΙΟΥ. Οὐ μολύνει τὸ ὑπόδημα τὴν ἁγίαν γῆν. καὶ λύσας γὰρ, ἐκεῖ ἀπέθετο. ἀλλὰ βούλεται αὐτὸν γνῶναι, ποῦ ἐφέστηκε, τίς ὁ παρὼν, καὶ τὸν τόπον ἁγιάζων. κατὰ φύσιν γὰρ πῦρ, βάτος οὐ διαφυλάττει.

Γ ΤΟΥ ΑΥΤΟΥ. Τί οὖν ἐμόλυνε τὸ ὑπόδημα τὴν ἁγίαν γῆν; ἔσω δέ. ἔλυσε τὸ ὑπόδημα Μωσῆς. οὐχὶ ἐπὶ τῆς γῆς ἔθετο τὸ ὑπόδημα; ἀλλὰ φαίνεται, ὅτι βούλεται αὐτὸν ἐπιγνῶναι, ποῦ ἐφέστηκε, τίς ὁ παρὼν, καὶ τὸν τόπον ἁγιάζων. ἵνα οὖν μάθῃ, ὅτι ἁγίου παρουσία, καὶ οὐχὶ πῦρ κατὰ φύσιν καίει τὸν βάτον, ἐκάλει τὴν γῆν ἁγίαν· ἵνα ἀπὸ τοῦ τόπου γνωσθῇ ὁ παρών.

Δ ΔΙΟΔΩΡΟΥ. Τινὲς τὸ, λύσαι τὸ ὑπόδημα τῶν ποδῶν σου, φασὶ πρὸς Μωσέα, ἵνα μὴ τὴν γυναῖκα λαβὼν, κατέλθῃ εἰς Αἴγυπτον, μέλλων τὸν λαὸν ἀνάγειν, τὸ ἑξῆς ἀναγινώσκοντες, τὸ, ὁ γὰρ τόπος, ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν. ἀλλ᾽ οὐκ ἐπειδὴ ὁ τόπος γῆ ἁγία ἦν, διὰ τοῦτο οὐκ ἐχρῆν λαβεῖν τὴν γυναῖκα ἀπιόντα εἰς τὴν Αἴγυπτον. ἕτεροι δέ φασιν, ὅτι ἐπειδὴ τὸ ὑπόδημα ἐκ δερμάτων κατεσκεύασται, νομοθετεῖν δὲ τοῖς ἱερεῦσιν ἔμελλεν ὁ ἀρχιερεὺς Μωσῆς, μὴ μετὰ τοιούτων ὑποδημάτων λειτουργεῖν τῷ Θεῷ ἐν τῇ σκηνῇ, λαλῶν τότε τῷ Μωϋσῇ ὁ Θεὸς, ἤδη τὸν νόμον αὐτῷ δίδωσι προλαβών· οὐκ ἐνθυμηθέντες, ὅτι καὶ πολλὰ ἕτερα τοὺς ἱερεῖς δεῖ ποιεῖν, πολλῷ τούτου ἀναγκαιότερα, ἅπερ ἐχρῆν πρότερον Μωσέα προσαχθῆναι ποιεῖν. καὶ τὸ μεῖζον, ὅτι τοῦτο αὐτὸ, τὸ λύσαι τὸ ὑπόδημα, καὶ Ἰησοῦ τῷ τοῦ Z Ναυῆ φησὶ Μιχαὴλ ὁ ἀρχιστράτηγος. καὶ οὐκ ἂν εἴποι τὶς τοῦτο εἰρῆσθαι τῷ Ἰησοῦ, ἐπειδὴ γυναῖκα ἐπεφέρετο εἰς Αἴγυπτον· ὅθεν ἐχρῆν ἐξαγαγεῖν τὸν λαόν· ἢ ὅτι τοιαῦτα νομοθετεῖν ἔμελλεν. ὑπόλοιπον ἡμῖν τὴν αἰτίαν εἰπεῖν. Εὐλογημένος εἶ, φησὶ, καὶ εὐλογεῖς καὶ ἁγιάζεις τὸν τόπον, οὐ ἐὰν ἐπιβαίνῃς, ἱερεὺς ὢν, καὶ πνευματοφόρος. λύσον οὖν τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου, ἵνα γυμνοῖς τοῖς ποσὶν ἁγιάσῃς H τὴν γῆν, ἐν ᾗ ἕστηκας· καὶ ὥσπερ ἵνα χρίσῃς τὸν τόπον, ἐν ᾧ μετ᾽ οὐ πολὺ λαλήσω τῷ

(1) Ὧν ἂν ἐξοίχοιτο. ἐν Τόμ. 1. μέρ. 2. σελ. 511.
(2) Τοῦτο ἐν τοῖς ἐνδεδομ. οὐχ εὕρηται.
(3) Οὐδὲ τοῦτο ἐν τοῖς τοῦ Νύσ.

τῷ λαῷ, οὐ ἱερεὺς ἔσῃ, ἐκ μέσου πυρός. A ταύτῃ τῇ διανοίᾳ καὶ τῷ Ἰησοῦ ὁ ἀρχιστράτηγος εἶπε. λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου. (Ἰησ. 5. 16.) ἀφ' οὗ γάρ φησιν ἐπέβης τῆς γῆς, ἣν ὁ Θεὸς ἐπηγγείλατο τῷ Ἰσραὴλ, πεπλήρωσαι πνεύματος. γυμνοῖς τοῖς ποσὶν ἁγίασον τὴν γῆν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί προσετάχθη Μωσῆς τὸ ὑπόδημα λῦσαι; Τινές φασιν, ἵνα τὰς βιωτικὰς ἀποῤῥίψῃ μερίμνας, τὰς τῷ θνητῷ βίῳ συνεζευγμένας. νεκρὰ γὰρ τῶν ὑποδημάτων τὰ δέρματα. τινὲς δὲ, ἵνα γυμνοῖς, φασὶ, τοῖς ποσὶν ἁγιάσῃ τὴν γῆν. ἐγὼ δὲ οὐδέτερον τούτων προσίεμαι. πρῶτον μὲν γὰρ οὐδέπω, οὔτε ἀρχιερεὺς, οὔτε προφήτης ἐκεχειροτόνητο. ἔπειτα δὲ, τοῦ Θεοῦ τὸν τόπον καθιερώσαντος, καὶ τοῦτον ἅγιον ὀνομάσαντος, περιττὸν οἶμαι λέγειν, Μωσέα τοῖς ποσὶν ἁγιάσαι τὸν τόπον. δύο τοίνυν ἡγοῦμαι διὰ τούτων δηλοῦσθαι. πρῶτον μὲν γὰρ εὐλαβέστερον αὐτὸν τῷδε τῷ λόγῳ καθίστησιν, ὥστε μετὰ δέους τῶν προσταττομένων ἀκοῦσαι· ἔπειτα προπαιδεύεται, πῶς χρὴ τοὺς ἱερέας ἐν τῇ σκηνῇ λειτουργεῖν. γυμνοῖς γὰρ κἀκεῖνοι τοῖς ποσὶ τὰς λειτουργίας ἐπετέλουν, καὶ τὰς θυσίας.

ϛ. Καὶ εἶπεν αὐτῷ, ἐγώ εἰμι ὁ Θεὸς τοῦ πατρός σου, Θεὸς Ἀβραὰμ, καὶ Θεὸς Ἰσαὰκ, καὶ Θεὸς Ἰακώβ.

** ΚΥΡΙΛΛΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ. Εἰ γὰρ Ἀβραὰμ τετελεύτηκε καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, Θεός ἐστιν ἄρα τῶν μὴ ὄντων. πότε βασιλεὺς εἶπεν, ὅτι βασιλεύς εἰμι στρατιωτῶν, ὧν μὴ ἔχει; πότε τὶς ἐνεδείξατο πλοῦτον, ὃν μὴ ἐκέκτητο; δεῖ τοίνυν ὑφεστάναι καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ἵνα τῶν ὄντων Θεὸς ᾖ Θεός. οὐ γὰρ εἶπεν ἤμην αὐτῶν, ἀλλ' εἰμί.

** ΒΑΣΙΛΕΙΟΥ. Ἵνα ἀειμνημόνευτον ποιήσῃ τὴν τιμὴν τοῖς ἁγίοις, συνῆψεν ἑαυτῷ τὰ τῶν δούλων ὀνόματα. ὥστε ὁσάκις ἂν γένηται μνήμη Θεοῦ, τοσαυτάκις κἀκείνων τὴν μνήμην συναναφέρεσθαι.

Ἀπέστρεψε δὲ Μωϋσῆς τὸ πρόσωπον αὐτοῦ· ηὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον τοῦ Θεοῦ.

ΕΥΣΕΒΙΟΥ. Ἔφριξε Μωσῆς τὸ θέαμα. φρικωδεστέρα δὲ ἡ ἀκοὴ, καὶ ἐντάραχος ἦν ἡ ἡδονή. διὰ τοῦτο εὐλαβηθεὶς, ἀπεστράφη τὸ πρόσωπον.

* ΚΥΡΙΛΛΟΥ. Ἄθρει τὸ τοῦ νόμου ἀδρανές. ἐμφανίζει μὲν γὰρ ἑαυτὸν ὁ τῶν ὅλων Θεὸς, ἀλλὰ ἐμφανῆ καθιστάντος, ἀποστρέφει τὸ πρόσωπον Μωσῆς. σημεῖον δ' ἂν γένοιτο καὶ τοῦτο ἡμῖν ἐναργὲς, τοῦ μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ τὴν θεοπρεπῆ τοῦ υἱοῦ καταθρῆσαι δόξαν, ἑαυτὸν ἐμφανίζοντος, καὶ μονονουχὶ προσάγοντος εἰς ἐπίγνωσιν. Καὶ μετ' ὀλίγα. Ἡμεῖς δὲ οἱ πιστεύσαντες οὐκ εὐλαβούμεθα κατεμβλέψαι ἐνώπιον τοῦ Θεοῦ. ἀλλ' ὡς ὁ μακάριος [ἔφη] » Παῦλος, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν (2. Κορ. 3. 18.) » δόξαν Κυρίου κατοπτριζόμεθα.

ζ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τῆς κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν· οἶδα B γὰρ τὴν ὀδύνην αὐτῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Τί δέ φησι πρὸς τὸν Μωϋσῆν ὁ Θεός; Εἶδον καὶ ἤκουσα τὴν κάκωσιν τοῦ λαοῦ· ὡσεὶ ἔλεγεν, ἣν καὶ σὺ εἶδες, καὶ ἤκουσας. οὐδὲ γάρ σοι ταῦτα ἤρεσεν ἀποκτείναντι τὸν Αἰγύπτιον.

η. Καὶ κατέβην ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς Αἰγυπτίων, καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης, εἰς γῆν Γ ἀγαθὴν καὶ πολλὴν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, εἰς τὸν τόπον τῶν Χαναναίων, καὶ Χετταίων, καὶ Ἀμοῤῥαίων, καὶ Φερεζαίων, καὶ Γεργεσαίων, καὶ Εὐαίων, καὶ Ἰεβουσαίων.

ΗΣΥΧΙΟΥ. Ἐνταῦθα μὲν δοκεῖ περὶ τοῦ λαοῦ τῶν Ἰουδαίων λέγειν. λέγεται δὲ περὶ πάσης τῆς φύσεως, ἧς ἕνεκα σάρκα λαβεῖν κατέβη. ὅπερ οὐ κατὰ τὸν καιρὸν Δ τοῦ Μωσέως, ἀλλ' ὕστερον, ἐνδημήσαντος τοῦ υἱοῦ, γεγένηται.

ΣΕΥΗΡΟΥ. Αὐτὸς καὶ ἐν ἐσχάτοις καιροῖς ἐπὶ πᾶν ἐπεκάμφθη τὸ ἡμέτερον γένος, ὑπὸ τῶν δαιμόνων τῶν πικρῶν ἐργοδιωκτῶν ἐλαυνόμενον· καὶ ὀξέως, διὰ (Ἡσ. 8. 3.) τῆς προφητείας Ἡσαΐου, ἐπειγόμενον παρίστησιν ἑαυτὸν, ἀφελέσθαι, καὶ γυμνῶσαι τῶν σκύλων τὸν πονηρόν. ἅπερ ἦμεν E ἡμεῖς.

** ΩΡΙΓΕΝΟΥΣ. Εἴπερ ἡ πᾶσα γῆ αὕτη ἐπικατάρατος ἐν τοῖς ἔργοις ἐστὶ τοῦ Ἀδὰμ, καὶ τῶν ἐν αὐτῷ ἀποθανόντων, δῆλον ὅτι καὶ πάντα τὰ μόρια αὐτῆς μετέχει τῆς ἀρᾶς, ἐν οἷς ἐστὶ καὶ ἡ Ἰουδαία γῆ· ὥστε μὴ δύνασθαι ἐφαρμόζειν αὐτῇ τὸ, » εἰς γῆν ἀγαθὴν καὶ πολλὴν, εἰς γῆν ῥέ» ουσαν γάλα καὶ μέλι· κἂν συμβολικῶς σκιὰ εἶναι ἀποδεικνύηται ἡ Ἰουδαία καὶ ἡ Ἱερου- Z σαλὴμ τῆς καθαρᾶς ἐν καθαρῷ κειμένης οὐρανῷ γῆς ἀγαθῆς καὶ πολλῆς, ἐν ᾗ ἐστὶν ἡ ἐπουράνιος Ἱερουσαλήμ. περὶ ἧς διαλαβὼν ὁ Ἀπόστολος, ὡς συνεγερθεὶς Χριστῷ, καὶ τὰ ἄνω ζητῶν, καὶ νοῦν οὐρανὸν οὐδεμιᾶς ἐχόμενον ἰουδαϊκῆς μυθολογίας, φησὶν, » ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει (Ἑβρ. 12. 22.) » Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ » μυριάσιν Ἀγγέλων, πανηγύρει. ἵνα δέ τις πεισθῇ, μὴ παρὰ τὸ βούλημα τοῦ θείου πνεύ- H ματος ἡμᾶς λέγειν περὶ τῆς παρὰ Μωϋσῇ γῆς ἀγαθῆς καὶ πολλῆς· ἐπιστησάτω πᾶσι μὲν τοῖς Προφήταις, διδάσκουσι τὴν εἰς Ἱερουσαλὴμ ἐπάνοδον τῶν πεπλανημένων καὶ ἀποπεπτωκότων ἀπ' αὐτῆς, καὶ ἀπα-

ἁπαξαπλῶς ἀποκαθισαμένων εἰς τὸν κα- A λέμενον τόπον καὶ πόλιν τοῦ Θεοῦ παρὰ
Ψαλ. 75. 2. τῷ εἰπόντι, ὅτι ἐν εἰρήνῃ ἁγία ὁ τόπος
Ψαλ. 47. 1, 2. αὐτοῦ· λέγοντι δὲ καὶ τὸ, μέγας ὁ Κύ-
„ ριος, καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ „ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ, εὐρίζω „ ἀγαλλιάματι πάσης τῆς γῆς. ἀρκεῖ δὲ ἐπὶ τοῦ παρόντος παραθέσθαι τὰ ἀπὸ τοῦ τριακοστοῦ ἕκτου ψαλμοῦ, οὕτως ἔχοντα περὶ
Ψαλ. 36. 9, 11, 22, 29. τῆς τῶν δικαίων γῆς, οἱ δ' ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν·
„ καὶ μετ' ὀλίγα, οἱ δὲ πραεῖς κληρονομή- „ σουσι γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλή- „ θει εἰρήνης· καὶ μετ' ὀλίγα, οἱ εὐλογοῦν- „ τες αὐτὸν κληρονομήσουσι γῆν· καὶ πά- „ λιν, οἱ δίκαιοι κληρονομήσουσι γῆν, καὶ „ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐ- τῆς. ὅρα δ' εἰ μὴ τὸ καθαρὰν εἶναι ἐν καθαρῷ τῷ οὐρανῷ τὴν γῆν, δηλοῦται τοῖς ἀκούειν δυναμένοις τῶν οὕτως εἰρημένων ἐν
Ψαλ. 36. 34. τῷ αὐτῷ ψαλμῷ, ὑπόμεινον τὸν Κύριον, Γ
„ καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ· καὶ ὑψώσει- „ σε τοῦ κατακληρονομῆσαι τὴν γῆν.

θ. Καὶ νῦν ἰδοὺ κραυγὴ τῶν υἱῶν Ἰσραὴλ ἥκει πρός με· καὶ ἐγὼ ἑώρακα τὸν θλιμμὸν, ὃν οἱ Αἰγύπτιοι
ι. θλίβουσιν αὐτούς. Καὶ νῦν δεῦρο, ἀπο- στείλωσε εἰς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ἐξάξεις τὸν λαόν μου τοὺς υἱοὺς Ἰσ- ραὴλ ἐκ γῆς Αἰγύπτου.

ια. Καὶ εἶπε Μωϋσῆς πρὸς τὸν Θεὸν, τίς εἰμι, ὅτι πορεύσομαι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ὅτι ἐξάξω τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου;

ΑΔΗΛΟΥ. Ὁρᾷς αὐτὸν παραιτούμενον διὰ τοὺς Ἰσραηλίτας μάλιστα, καὶ τὴν ἀπιστίαν αὐτῶν ἐκκλίνοντα; οὗτος ὁ Μωϋσῆς εἰς ὃν καυχῶνται. καυχῶνται δὲ οὐκ αὐτοὶ, ἀλλ' ἡ τοῦ Μωσέως προαίρεσις.

ΑΔΗΛΟΥ. Παραιτεῖται ὁ Μωσῆς. ὅσον μὲν γὰρ εἰς τὸ ῥύσασθαι τὸν Ἰσραὴλ, καὶ πάνυ ἐβούλετο. ὁ γὰρ καὶ πρὶν προσαχθῆναι ἀπελθὼν, πολλῷ μᾶλλον ἂν καὶ σφοδρότερον ἀπῆλθε κελευόμενος. ὅσον μὲν οὖν εἰς τὸ ῥύσασθαι τὸν λαὸν, πρόθυμος ἦν· ὅσον δὲ εἰς τὸ τὸν λαὸν πεῖσαι τὴν εὐεργεσίαν δέξασθαι, οὐ πρόθυμος. καὶ εὑρίσκετο μὲν κενὸν τὸ πρόσαγμα. οὐ γὰρ τοσοῦτον Αἰγυπτίων Μωσῆς τὴν σκληρότητα παραιτεῖται, ὅσον Ἰσραὴλ τοῦ εὐεργετουμένου χάριν.

ΒΑΣΙΛΕΙΟΥ. Παραιτεῖται Μωσῆς, διότι ᾔδει τὴν ὑπόθεσιν, ἧς ἕνεκεν ἀπεστέλλετο. ὤκνει πρός τε τὸ ἀνένδοτον τῆς καρδίας τοῦ Φαραὼ ἀποβλέπων, καὶ πρὸς τὸ δυσπειθὲς πάλιν καὶ δυσάγωγον τοῦ λαοῦ. πεῖραν γὰρ εἶχε τῆς ἀγνωμοσύνης τῶν Ἰουδαίων, ὅτι καὶ εὐεργετηθέντες ἐφυγάδευσαν αὐτόν. διὸ καὶ τὴν κακίαν αὐτῶν μὴ φέρων, πρὸς τὴν ἐν τῇ ἐρήμῳ

ἡσυχίαν ἀνεχώρησεν, [ἐπὶ προφάσει τοῦ ποιμαίνειν, τοὺς τῶν πόλεων καὶ τῶν πολλῶν ἀνθρώπων θορύβους ἀποδιδράσκων.
„ διὰ τοῦτό φησι, τίς εἰμι ἐγὼ, ὅτι πορεύ- „ σομαι πρὸς Φαραὼ, καὶ ὅτι ἐξάξω τὸν „ λαὸν ἐκ γῆς Αἰγύπτου; οὔτε γὰρ Φαραὼ ἄνευ μεγάλων κακῶν ἐξαποστέλλει τὸν λαόν· καὶ ὁ λαὸς οὐκ εὔκολος μεταχειρισθῆναι, ἀντιβαίνων ἀεὶ τοῖς πρὸς σωτηρίαν αὐτοῦ ἐπιμελουμένοις.]

B ** ΚΥΡΙΛΛΟΥ. Ἆρ' οὖν οὐκ ἐναργὴς ὁ τύπος; καὶ ὁ τῆς παραιτήσεως τρόπος οὐχὶ τὴν ἀναφορὰν ἐπὶ τὸν ἀσυγκρίτως ὑπερτεροῦν καὶ ὑπερκείμενον ἔχει, τουτέστι
„ Χριστόν; ὡς τὸ, τίς εἰμι ἐγὼ λέγειν ἀνάρμοστον. εὐπετὲς δὲ λίαν τὸ ἐξελέσθαι λαοὺς, καὶ σώζειν ἔθνη, καὶ ἀποκομίζειν εἰς ἐλευθερίαν, συντετριμμένου καὶ ἀτονήσαντος τοῦ πρὸς δουλείαν συνέχοντος, τουτέστι τοῦ Σατανᾶ. τί δὲ, οὐχὶ κἀντεῦθεν ἰδεῖν ἀταλαίπωρον παντελῶς, ὅτι τῆς ἁπάντων σωτηρίας πρύτανις γέγονεν ὁ μονογενής; δι' αὐτοῦ γὰρ ἐκλελυτρώμεθα· καί φησιν
„ ὁ Προφήτης, οὐ πρέσβυς, οὐκ Ἄγγελος, Ἡσ. 63. 9.
„ ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς.

ιβ. Εἶπε δὲ ὁ Θεὸς Μωσῇ, λέγων, ὅτι ἔσομαι μετὰ σοῦ· καὶ τοῦτό σοι τὸ σημεῖον ὅτι ἐγώ σε ἐξαποστέλλω, ἐν
Δ τῷ σε ἐξαγαγεῖν τὸν λαόν μου ἐξ Αἰγύπτου, καὶ λατρεύσετε τῷ Θεῷ ἐν τῷ ὄρει τούτῳ.

ιγ. Καὶ εἶπε Μωϋσῆς πρὸς τὸν Θεὸν, ἰδοὺ ἐγὼ ἐλεύσομαι πρὸς τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐρῶ πρὸς αὐτοὺς, ὁ Θεὸς τῶν πατέρων ὑμῶν ἀπέσταλκέ με πρὸς ὑμᾶς· καὶ ἐρωτήσουσί με, τί ὄνομα αὐτῷ; τί ἐρῶ πρὸς αὐτούς;

E ΑΔΗΛΟΥ. Εἰς ἐμαυτὸν βλέπων, ἀπορῶ φησὶν, ἐπειδὴ μέλλω λέγειν ἐγὼ πρὸς
„ δῆμον ὅλον, ὁ Θεὸς τῶν πατέρων ἀπέσταλ- „ κέ με πρὸς ὑμᾶς. ἀντισταθμῶμαι τὸ ἐμὸν ἀσθενὲς τῷ μεγέθει τῶν ῥημάτων, ὧν λέγειν ἐντέταλμαι, καὶ λίαν ἀγωνιῶ. καὶ γὰρ αὐτίκα μάλα ἐροῦσιν ἐκεῖνοι, πρὸς οὓς πέμπομαι, τὸν Θεὸν τῶν πατέρων ὑμῶν λέγεις, ὦ οὗτος, ἀπεσταλκέναι σε πρὸς ἡ-
Ζ „ μᾶς. οὐκοῦν τί ὄνομα αὐτῷ; φράσον ἡμῖν.

ΑΔΗΛΟΥ. Ζητεῖς ὄνομα Θεοῦ; καὶ τίς ὁ μετονομάσας; τίς γὰρ αὐτοῦ προϋπῆρχεν, ἵνα μάθῃς τὴν προσηγορίαν; τίς δὲ ἦν ὅμοιος, ἵνα τοῦτο ποιήσῃ; ἀκατονόμαστον ζητεῖς προσηγορίαν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἤθελε μὲν οὖν καὶ Μωϋσῆς ἐλευθερῶσαι τὸν Ἰσραὴλ, ὁ καὶ τὸν Θεὸν προλαβών· πόσῳ γε μᾶλλον ἐξ
H ἐκείνου πεμπόμενος; ἠπόρει δὲ πῶς ἄρα τούτους καὶ πείσειεν. οὐ δέδοικε λίαν τοὺς Αἰγυπτίους, διὰ δὲ τούτους σκληροὺς ὄντας παραιτεῖται. τοιγαροῦν οὐ περὶ ἐκείνων, περὶ δὲ
„ τούτων φησὶν, ἐροῦσί μοι, τί ὄνομα αὐτῷ;

ιδ. [Καὶ]

ιδ. [Καὶ] εἶπε Κύριος ὁ Θεὸς πρὸς Μωϋσῆν, ἐγώ εἰμι ὁ Ὤν. οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραὴλ, ὁ Ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς.

ΕΥΣΕΒΙΟΥ. Ἐπειδὴ οὐχ εὑρέθη τὶς λέξις σημαίνουσα τὸ ἀκατονόμαστον, ἐπέφησιν, ὁ Ὤν. τὸ γὰρ Ὢν πράγματός ἐστι σημαντικὸν, οὐχὶ ὀνόματος δηλωτικὸν Θεοῦ. ὁ Ὢν, ὁ δι᾽ ἑαυτὸν ὢν, οὐ μὴν παρ᾽ ἄλλου ἔχων τὸ εἶναι.

** ΙΟΥΣΤΙΝΟΥ. Διά τινος μετοχῆς ἕνα καὶ μόνον Θεὸν ἑαυτὸν εἶναι μυστικῶς διδάσκει. ἐγὼ γάρ φησιν εἰμὶ ὁ Ὤν· ἀντιδιαστέλλων ἑαυτὸν δηλονότι ὁ ὢν τοῖς μὴ οὖσιν, ἵνα γνῶσιν οἱ πρότερον ἀπατηθέντες, ὅτι οὐχὶ τοῖς οὖσιν, ἀλλὰ τοῖς μὴ οὖσι προσέχον. Καὶ μεθ᾽ ἕτερα. Τὴν ἀϊδιότητα αὐτοῦ ὁ Θεὸς τῷ Μωσῇ σημῆναι θέλων, ἐγώ εἰμι ὁ Ὤν, ἔφη, τῆς ὢν συλλαβῆς οὐχ ἕνα μόνον δηλούσης, ἀλλὰ τοὺς τρεῖς, τόν τε παρεληλυθότα, καὶ τὸν ἐνεστῶτα, καὶ τὸν μέλλοντα.

** ΤΟΥ ΝΥΣΣΗΣ. Πολλῷ τὶς τῷ μεταξὺ χρόνῳ ταῖς ὑψηλαῖς δι᾽ ἡσυχίας ἐμφιλοσοφήσας μελέταις, μόλις κατανοήσει τί μέν ἐστιν ὡς ἀληθῶς τὸ ὂν, ὃ τῇ αὐτοῦ φύσει τὸ εἶναι ἔχει· τί δὲ τὸ μὴ ὂν, ὃ ἐν τῷ δοκεῖν εἶναι μόνον ἐστὶν, ἀνυπόστατον ἔχον ἐφ᾽ ἑαυτοῦ τὴν φύσιν. ὅ μοι δοκεῖ τότε ὁ μέγας Μωϋσῆς, ἐν τῇ θεοφανείᾳ παιδευθεὶς, γνῶναι· ὅτι οὐδὲν τῶν ἄλλων, ὅσα τε τῇ αἰσθήσει καταλαμβάνεται, καὶ ὅσα κατὰ διάνοιαν θεωρεῖται, τῷ ὄντι ὑφέστηκε, πλὴν τῆς ὑπεράνω ἑστώσης οὐσίας καὶ αἰτίας τοῦ παντὸς, ἀφ᾽ ἧς ἐξῆπται τὸ πᾶν. εἰ γάρ τι καὶ ἄλλο ἐν τοῖς οὖσιν ἡ διάνοια βλέπει, ἀλλ᾽ ἐν οὐδενὶ τῶν ὄντων τὸ ἀπροσδεὲς τοῦ ἑτέρου ἐνθεωρεῖ ὁ λόγος, ᾧ δυνατόν ἐστι δίχα τῆς μετουσίας τοῦ ὄντος εἶναι. τὸ δὲ ὡσαύτως ἔχον ἀεὶ, τὸ αναυξὲς, τὸ ἀμείωτον, τὸ πρὸς πᾶσαν μεταβολὴν, τήν τε πρὸς τὸ κρεῖττον καὶ τὴν πρὸς τὸ χεῖρον, ἐπίσης ἀκίνητον. τοῦ μὲν γὰρ χείρονος, ἠλλοτρίωται· τὸ δὲ κρεῖττον, οὐκ ἔχει, τὸ δὲ παντὸς ἀνενδεὲς ἑτέρου, τὸ μόνον ὀρεκτὸν, καὶ παρὰ παντὸς μετεχόμενον, καὶ ἐν τῇ μετουσίᾳ τῶν μετεχόντων οὐκ ἐλαττούμενον, τοῦτό ἐστιν ὡς ἀληθῶς τὸ ὄντως ὂν, καὶ ἡ τούτου κατανόησις, ἡ τῆς ἀληθείας γνῶσίς ἐστι.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὸ δὲ ὁ Ὤν, τοῦ ἀεὶ εἶναι σημαντικόν ἐστι, καὶ τοῦ ἀνάρχως εἶναι, καὶ τοῦ ὄντως εἶναι καὶ κυρίως.

** ΑΘΑΝΑΣΙΟΥ. Ἐγώ εἰμι ὁ Ὤν· καὶ τὸ ἐγώ εἰμι Κύριος ὁ Θεός· καὶ ὅπου ποτὲ λέγει ἡ Γραφὴ, ὁ Θεὸς, ἡμεῖς ἀναγινώσκοντες, οὐδὲν ἕτερον, ἢ αὐτὴν τὴν ἀκατάληπτον αὐτοῦ οὐσίαν, σημαινομένην νοοῦμεν· καὶ ὅτι ἐστὶν, ὅνπερ λέγουσι.

Α ιε. Καὶ εἶπε πάλιν Κύριος ὁ Θεὸς πρὸς Μωϋσῆν, οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραὴλ, Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ ἀπέσταλκέ με πρὸς ὑμᾶς. τοῦτό μου ἐστὶν ὄνομα αἰώνιον, καὶ μνημόσυνον γενεῶν γενεαῖς.

Β ΕΥΣΕΒΙΟΥ. Ἀλλ᾽ οὐ νοοῦσι, φησὶ, τίς ἐστιν ὁ Ὤν. τοὺς πατέρας αὐτῶν ἔχων ἀγαθοὺς δούλους, ὁμολογῶ ἐμαυτὸν Θεὸν εἶναι ἐκείνων. εἰπὲ αὐτοῖς, ὁ Θεὸς Ἀβραὰμ, καὶ τὰ ἑξῆς.

ΒΑΣΙΛΕΙΟΥ. Τούτῳ οὐδεὶς ἀντερεῖ, μὴ ἐκ προσώπου τοῦ Κυρίου εἰρῆσθαι. (1) τὸ μὲν γὰρ Ὤν, προτέτακται, διὰ τὸ ἓν καὶ κοινὸν τῆς οὐσίας· τὸ δὲ, ὁ Θεὸς Ἀβραὰμ,
Γ καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ μετὰ τῆς ἐνάρθρου προσθήκης, ἵνα δηλώσῃ τὸν διωρισμένον ἑκάστης ὑποστάσεως χαρακτῆρα, καὶ ἰδιάζοντα.

ΣΕΥΗΡΟΥ. Ταῦτα τῆς ἁγίας Τριάδος ἐστὶ τελεωτάτη καὶ περιφανεστάτη θεολογία. προτέτακται γὰρ συνημμένως τὸ ἓν καὶ κοινὸν τῆς οὐσίας καὶ τῆς Θεότητος τῶν τριῶν ὑποστάσεων. ἔφη γὰρ, οὕτως ἐρεῖς, ὁ Ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς. τὸ
Δ γὰρ ὢν, οὐσίας καὶ ὑπάρξεως ὄνομα παραστατικόν· τὴν δὲ οὐσίαν ἐκ τοῦ εἶναι προσηγορεῦσθαι, πᾶσι κατάδηλον. ἵνα οὖν μή τις νομήσειεν, ὡς ἕτερός ἐστιν ὁ Ὢν παρὰ τὸν τῶν πατέρων Θεὸν, συνέζευξε, μηδὲν τὸ παράπαν διελὼν, ἢ ἐν μέσῳ θεὶς, ἀλλὰ προστάξας εἰπεῖν, ὁ Ὢν ἀπέσταλκέ με, ὁ Θεὸς τῶν πατέρων ὑμῶν. τί οὖν, μέχρι τούτων στησόμεθα, καὶ ἐν ὑποστάσει μιᾷ καὶ προσώπῳ τὸν ὄντα, τὸν Θεὸν τῶν πατέ-
Ε ρων ὑποληψόμεθα; λεγέσθω γὰρ καὶ πρόσωπον πρὸς τὴν τοῦ ὑποκειμένου σαφήνειαν, μὴ ἐννοούντων ἡμῶν ἐπὶ τοῦ ἀσωμάτου μήτε σχῆμα, μήτε περιγραφὴν, ἅπερ ἐπὶ τῶν σωμάτων τῇ τοῦ προσώπου σημασίᾳ συμπέπλεκται. ἀλλ᾽ εἴπερ ἐβούλετο, τοῦτο οὕτω νομίζεσθαι, καὶ κατὰ τὴν ἰουδαϊκὴν ἀχλὺν καὶ σμικρολογίαν ὑποστάσει μιᾷ τὴν Θεότητα περικλείεσθαι, τῆς ἀληθείας μὴ ἑτέρως ἐχούσης, οὐκ ἂν μετὰ τὸ εἰπεῖν, ὁ Ὤν,
Ζ καὶ ὁ Θεὸς τῶν πατέρων ὑμῶν, ἑτέρας ἐδεῖτο προσθήκης. εἰ δὲ καὶ πατέρων ὀνομαστὶ, διὰ τὸ πρὸς τὴν τῶν προγόνων θεοφιλίαν καὶ ἀρετὴν ἑλκύσαι τοὺς ἀκουσομένους, ἐπιμνησθῆναι προὔκειτο· ὁ Θεὸς τῶν πατέρων ὑμῶν προσεπάγειν ἐχρῆν, Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ. νυνὶ δὲ τὸ διηυκρινημένον καὶ ἀσύγχυτον, ἐν ταὐτῷ δὲ καὶ ὁμότιμον, καὶ κατὰ πᾶν ὁτιοῦν ἀπαράλλακτον σαφέστατα δηλῶν τῶν
Η τριῶν ὑποστάσεων, ἐξεπίτηδες ἐπιφέρει, καὶ μετὰ πλείστης ὅσης ἐμφάσεως· ὁ Θεὸς Ἀβραὰμ,

(1) Τὰ μὲν ἄχρι τοῦδε κεῖται ἐν τῷ ε. κατ᾽ Εὐνόμ. λόγ. τὰ δὲ ἑξῆς ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

» Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς » Ἰακώβ. εἰ γὰρ μὴ τοῦτο ἦν, καὶ (1) μέχρι τῆς Τριάδος ἵςατο τὰ τῆς Θεολογίας, ἔδει προσθεῖναι καὶ ὁ Θεὸς Ἰωσήφ. ἦν γὰρ καὶ οὗτος αὐτῷ φίλος ἐκ σπαργάνων αὐτῶν, καὶ τοὺς προγόνους ὑπερακοντίσας ταῖς ἀρεταῖς, καὶ σωφροσύνῃ πρὸς τὴν πυρὰν τῆς πορνείας παραταξάμενος. Καὶ μετ' ὀλίγα. Τί οὖν τὸ οὕτως ἐπίσημον ἐσιώπησεν; ἦν γὰρ καὶ αὐτοῦ, καθάπερ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ὁ Θεὸς, διὰ τὴν τῆς θεολογίας καὶ τῆς λοιπῆς ἀρετῆς οἰκειότητα· τάχα δὲ, ταὐτὸν εἰπεῖν θεοφιλίαν, καὶ γενικῶς ἀρετήν. διά τοι τοῦτο καὶ ὁ ψάλλων Προφήτης πρὸς τὸν Θεὸν, ἔλεγεν·
Ψαλ. 79. 1. ὁ ποιμαίνων τὸν Ἰσραὴλ, καὶ τὰ ἑξῆς. οὗτος (2) ἦν καὶ Ἰωσὴφ Θεὸς, ὁ Θεός. ὥςε » τὸ εἰπεῖν, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς » Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, μέχρι (3) τῶν τριῶν ςῆσαι τὴν ἐπαρίθμησιν, θεολογία τίς ἦν ἀκριβεςάτη, καὶ οὐχ ἁπλῆ προγόνων ἀνάμνησις. καὶ ἡ τῶν ἄρθρων προσθήκη πολλὴν ἡμῖν καὶ μεγίςην εἰσάγει τούτων ἀπόδειξιν. οὐ γὰρ εἶπεν ἄνευ τῶν ἄρθρων, ἀλλ' ἐφ' ἑκάςῳ παραπεφυλαγμένως, » ὁ Θεὸς Ἀβραὰμ, καὶ τὰ ἑξῆς· ἵνα δηλώσῃ τὸν διωρισμένον ἑκάςης ὑποςάσεως χαρακτῆρα, καὶ ἰδιάζοντα· καὶ ἀμίκτως μὲν ἔχοντα κατ' αὐτὸ τὸ ἴδιον, ὡς μὴ τὰς τρεῖς εἰς ἓν συγχύσθαι καὶ συναλείφεσθαι, μὴ διαιροῦντα δὲ τὴν τῆς Δ οὐσίας ταυτότητα. καὶ γὰρ εἰ καὶ ἐξαίρετον καὶ ἀμιγὲς ὁ πατὴρ ἔχει τὸ εἶναι πατὴρ, καὶ τὸ μὴ ἔκ τινος γεγεννῆσθαι· καὶ ὁ υἱὸς ὡσαύτως τὸ εἶναι υἱὸς, καὶ τὸ γεννητῶς μὲν, συναϊδίως δὲ ὡς ἀπαύγασμα, καὶ τὸ ἐκλελάμφθαι καὶ γεγεννῆσθαι ἀῤῥήτως καὶ ὑπὲρ νοῦν ἐκ πατρός· καὶ παραπλησίως τὸ πνεῦμα τὸ ἅγιον, αὐτὸ τὸ εἶναι πνεῦμα ἅγιον, καὶ τὸ ἀχρόνως καὶ ἀδιαςάτως μὴ γεγεννῆσθαι, ἀλλ' ἐκπο- Ε ρεύεσθαι παρὰ τοῦ Θεοῦ καὶ πατρός· καὶ τὸ ἴδιον ἑκάςῳ παγίως ἔνεςι, καὶ οὐ μεταχωρεῖ πρὸς ἕτερον· τοῦτο γὰρ κυρίως ἰδιότης· ἀλλ' οὖν μία Θεότης ἐν τοῖς τρισὶ, καὶ ταυτότης οὐσίας, παραλλαγῆς πάσης χηρεύουσα. πῶς γὰρ οἷόν τε τὸ ἐξ αὐτοῦ τοῦ πατρὸς γεννηθὲν, μὴ ἴδιον εἶναι τῆς οὐσίας αὐτοῦ νοεῖν, ἀλλ' ἀπεξενωμένον καὶ ἔξωθεν; μὴ ἴδιον εἶναι τῆς οὐσίας αὐτοῦ Ζ νοεῖν; (4) εἰ μὲν (5) γὰρ κοινωνεῖ τῆς οὐσίας αὐτῷ, μήτε γεγεννῆσθαι, μήτε ἐκπεπορεῦσθαι, λεγέσθω· γεννήσεως δὲ ὀνομαζομένης, καὶ υἱοῦ τοῦ γεγεννημένου, καὶ ἐκπορεύσεως διαγγελλομένης ἐξ αὐτοῦ τοῦ Θεοῦ, καὶ τοῦ ἐκπορευομένου, πνεύματος ἁγίου προσαγορευομένου, πῶς δύναμαι τὰ βοῶντα τὸ κοινὸν τῆς φύσεως, ἤγουν οὐσίας, ὀνόματι παραγράψασθαι, καὶ ἕτερον εἰπεῖν τῇ οὐσίᾳ τὸν γεγεννηκότα, καὶ ἐξ ἄλλης

Α. τινὸς φύσεως διορίζεσθαι τὸν γεγεννημένον υἱόν; ἢ τὸ πνεῦμα τὸ ἅγιον χωρίζειν ἐκείνου, παρ' οὗ θεοπρεπῶς ἐκπορεύεται; καθάπερ οὐκ ἄντις τῆς πηγῆς ἐκπορευόμενον ποταμὸν ἑτέρας εἶναι παρὰ τὴν πηγὴν φύσεως ἀποφήναιτο. τί γὰρ εἶπεν ὁ » τῷ Μωσῇ χρηματίζων; ἐγώ εἰμι ὁ Ὢν, καὶ » ἀπέςαλκέ με πρὸς ὑμᾶς Κύριος ὁ Θεὸς » τῶν πατέρων ὑμῶν. καὶ οὕτω τὴν μονάδα διὰ τούτων τῶν ὀνομάτων προθεὶς· τοῦ, Β. Ὢν· καὶ τοῦ, Κύριος· καὶ τοῦ, Θεοῦ· παρὰ πόδας τὴν τριττὴν σημασίαν ἐπάγει τῶν » ὑποςάσεων· ὁ Θεὸς Ἀβραὰμ, καὶ τὰ λοιπά. ὥςε τὸ, Ὢν· καὶ τὸ, Κύριος· καὶ τὸ, Θεὸς, ἐπὶ ἑκάςην ἴσως καὶ ὁμοτίμως ἐκτείνεσθαι τῶν ὑποςάσεων. Ὢν καὶ γὰρ ὁ πατὴρ, Ὢν καὶ ὁ υἱὸς, Ὢν καὶ ὁ παράκλητος, τουτέςι τὸ πνεῦμα τὸ ἅγιον. μὴ γάρ τις ἀμαθῶς κατασμικρυνέτω τούτῳ τῷ οὐδετέρῳ τῆς κλήσεως· ἐπεὶ καὶ πνεῦμα Γ ὁ Θεὸς καὶ πατὴρ προσηγόρευται. πνεῦ- Ἰωάν. 4. 24.
» μα γάρ φησιν ὁ Θεὸς, καὶ τὰ ἑξῆς. τὸν » αὐτὸν τρόπον καὶ τὸ, Κύριος ὁ Θεὸς, ἐπὶ τὰς τρεῖς ὑποςάσεις διαβαίνει. καὶ ὥσπερ Κύριος ὁ πατὴρ, οὕτω Κύριος καὶ ὁ υἱὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον. καὶ Θεὸς πάλιν, οὐκ ἄλλος μὲν ὁ πατὴρ, ἄλλος δὲ ὁ υἱὸς, ἕτερος δὲ τὸ πνεῦμα ὑποληφθήσεται. μιᾶς δὲ οὔσης οὐσίας ἐν τῇ ἁγίᾳ Τριάδι, κυριότητός τε καὶ Θεότητος, τὸ τῶν Δ τριῶν ὑποςάσεων ὁμοτίμως προτετάχθαι τὸ, Ὢν· καὶ τὸ, Θεὸς, καὶ τὸ, Κύριος· πᾶς Ἄρειος ὁ κατὰ τῆς ἀληθείας λυττήσας εἰκῆ, τὸ, ἦν ποτε, ὅτε οὐκ ἦν ὁ υἱὸς, ἡ θεομάχος ψυχὴ ἀπετόλμησεν εἰπεῖν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο;

» ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοῦτο γάρ » μου, φησὶν, ὄνομά ἐςιν αἰώνιον, Θεὸς Ἀβραὰμ, καὶ Θεὸς Ἰσαὰκ, καὶ Θεὸς Ἰακώβ. ἀντὶ τοῦ καθάπαξ, τὸ πρός τι. καὶ Ε μήποτε εἰκότως; ὀνόματος γὰρ ὁ Θεὸς οὐ δεῖται· μὴ δεόμενος δ' ὅμως ἐχαρίζετο τῷ γένει τῶν ἀνθρώπων κλῆσιν οἰκείαν, ἵνα ἔχοντες καταφυγὴν πρὸς ἱκεσίας καὶ λιτὰς, μὴ ἀμοιρῶσιν ἐλπίδος χρηςῆς.

ιϛ. Ἐλθὼν συνάγαγε τὴν γερουσίαν τῶν υἱῶν Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, Κύριος ὁ Θεὸς τῶν πατέρων Ζ ὑμῶν ὦπταί μοι, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ, λέγων· ἐπισκοπῇ ἐπέσκεμμαι ὑμᾶς, καὶ ὅσα συμβέβηκεν ὑμῖν ἐν Αἰγύπτῳ.

» ΑΔΗΛΟΥ. Ἐπισκοπῇ ἐπέσκεμμαι, ἐπιβλέψει ἐπέβλεψα· καὶ ὡς ἄνωθεν ἐφ' ὑμᾶς βαλὼν τὴν ὄψιν, οὕτω μεγαλοπρεπῶς ὑμῶν φροντίζω.

ιζ. Καὶ

(1) Καὶ μὴ ἀναγνωςέον, ἢ ὑπονοητέον τὸ, μή. (2) Ἴσ. οὕτως. (3) Καὶ μέχρι ὀρθότερ.

(4) Ἐλλείπει τί. ἀναπληρωτέον δὲ τυχὸν οὕτω, νοεῖν τὸ πνεῦμα τὸ ἅγιον; ἢ ἐπαναληπτέον πάντα οὕτω· πῶς γὰρ οἷόν τε τὸ ἐξ αὐτοῦ τοῦ πατρὸς ἐκπορευθὲν, μὴ ἴδιον εἶναι τῆς οὐσίας αὐτοῦ νοεῖν, ἀλλ' ἀπεξενωμένον, καὶ ἔξωθεν;

(5) Ἀναγν. εἰ μὴ γάρ.

ιζ. Καὶ εἶπεν, ἀναβιβάσω ὑμᾶς ἐκ τῆς κακώσεως τῶν Αἰγυπτίων εἰς τὴν γῆν τῶν Χαναναίων, καὶ Χετταίων, καὶ Εὐαίων, καὶ Ἀμοῤῥαίων, καὶ Φερεζαίων, καὶ Γεργεσαίων, καὶ Ἰεβουσαίων, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι.

ιη. Καὶ εἰσακούσονταί σου τῆς φωνῆς. καὶ εἰσελεύσῃ σὺ, καὶ ἡ γερουσία Ἰσραὴλ πρὸς Φαραὼ βασιλέα Αἰγύπτου· καὶ ἐρεῖς πρὸς αὐτὸν, Κύριος ὁ Θεὸς τῶν Ἑβραίων προσκέκληται ἡμᾶς· πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον, ἵνα θύσωμεν Κυρίῳ τῷ Θεῷ ἡμῶν.

ιθ. Ἐγὼ δὲ οἶδα, ὅτι οὐ προήσεται ὑμᾶς βασιλεὺς Αἰγύπτου πορευθῆναι, ἐὰν μὴ μετὰ χειρὸς κραταιᾶς.

» ** ΚΛΗΜΕΝΤΟΣ. Πορεύου, φησὶ,
» καὶ εἰπὲ τῷ Φαραὼ, ἵνα ἐξαποστείλῃ τὸν
» λαόν· ἐγὼ δὲ οἶδα, ὅτι οὐ μὴ ἐξαποστείλῃ αὐτούς. ἐμφαίνει γὰρ ἄμφω, καὶ τὸ θεῖον, προειδὼς τὸ ἐσόμενον· καὶ τὸ φιλάνθρωπον τὸ αὐτοῦ, τῷ αὐτεξουσίῳ τῆς ψυχῆς ἀφορμὰς μετανοίας χαριζόμενος.

ΘΕΟΔΩΡΙΤΟΥ. Προειδὼς ὁ Θεὸς τοῦ Φαραὼ τὸ δυσπειθὲς, τί δήποτε μὴ ἐξ ἀρχῆς αὐτὸν ἐκόλασεν; Ὅτι προῄδει, δεδήλωκεν· οἶδα γάρ φησιν, ὅτι οὐ προήσεται
» ὑμᾶς Φαραὼ βασιλεὺς Αἰγύπτου, εἰ μὴ με-
» τὰ χειρὸς κραταιᾶς. καὶ ἐκτείνας τὴν
» χεῖρα πατάξω τοὺς Αἰγυπτίους· ἀλλ' ὅμως ἀγαθὸς ὢν καὶ φιλάνθρωπος, κολάζειν ἐκ μόνης προγνώσεως οὐκ ἀνέχεται, ἀλλ' ἀναμένει τῶν πραγμάτων τὸ τέλος, καὶ δείκνυσιν ἅπασι τῆς τιμωρίας τὸ δίκαιον. ἄλλως τε καὶ πολλῷ δικαιότερον τὸ τὴν ἐκείνου γυμνωθῆναι κακίαν καὶ πονηρίαν τοῦ τὸν Θεὸν ἁπλῶς νομισθῆναι. εἰ γὰρ πρὸ τῶν ἐλέγχων ἐκόλασεν, ἔδοξεν ἂν καὶ ὠμὸς εἶναι καὶ ἄδικος. νῦν δὲ καὶ τοῦ Θεοῦ τὸ μακρόθυμον δέδεικται, κἀκείνου τὸ θηριῶδες καὶ δυσσεβὲς ἐλήλεγκται.

κ. Καὶ ἐκτείνας τὴν χεῖρά μου, πατάξω τοὺς Αἰγυπτίους ἐν πᾶσι τοῖς θαυμασίοις, οἷς ποιήσω ἐν αὐτοῖς· καὶ μετὰ ταῦτα ἐξαποστελῶ ὑμᾶς.

κα. Καὶ δώσω χάριν τῷ λαῷ τούτῳ ἐνώπιον τῶν Αἰγυπτίων· ὅταν δὲ ἀποτρέχητε, οὐκ ἀπελεύσεσθε κενοί.

ΩΡΙΓΕΝΟΥΣ. Αὕτη ἡ ἐπαγγελία τῷ
» Ἀβραὰμ προεδέδοτο· μετὰ ταῦτα, λέ- Γεν. 15. 14.
» γοντος τοῦ Θεοῦ, ἐξελεύσονται ὧδε μετὰ
» ἀποσκευῆς πολλῆς.

κβ. Ἀλλὰ αἰτήσει γυνὴ παρὰ γείτονος καὶ συσκήνου αὐτῆς σκεύη ἀργυρᾶ, καὶ χρυσᾶ, καὶ ἱματισμόν· καὶ ἐπιθήσετε ἐπὶ τοὺς υἱοὺς ὑμῶν, καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν· καὶ συσκευάσετε τοὺς Αἰγυπτίους.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ συσκευάσετε
» τοὺς Αἰγυπτίους. ὁ Σύρος, ἐκτινάξατε, κε-
» νώσατε, φησίν. Ἀκύλας, συλήσατε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ γὰρ πολὺν ἐδούλευσαν χρόνον, καὶ τὸν μισθὸν οὐκ ἀπέλαβον, ἄκοντας αὐτοὺς ἀπαιτηθῆναι παρεσκεύασεν ὁ Θεός.

ΘΕΟΔΩΡΙΤΟΥ. Αἰτιῶνταί τινες τὸ προστεταχέναι τὸν Θεὸν τοῖς Ἑβραίοις αἰτῆσαι τοὺς Αἰγυπτίους σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἱματισμὸν, καὶ σκυλεῦσαι τοὺς Αἰγυπτίους. οὕτω γὰρ καὶ ὁ Σύμμαχος τὸ
» σκευάσασθαι ἡρμήνευσε. Πολὺν ἐν Αἰγύπτῳ χρόνον ὑπέμεινεν ὁ λαὸς πλινθουργῶν, καὶ τειχοποιῶν, καὶ πόλεις οἰκοδομῶν. ἐβουλήθη τοίνυν μισθὸν αὐτοὺς τῶν πόνων λαβεῖν ὁ δεσπότης Θεός. διὸ δὴ καὶ ταῦτα δρᾶσαι προσέταξε. καὶ μηδεὶς ἄδικον νομιζέτω, τοῦ Φαραὼ τὸν λαὸν ἠδικηκότος, τοὺς Αἰγυπτίους τὸν μισθὸν εἰσπραχθῆναι. ἐκοινώνουν γὰρ κἀκεῖνοι τῆς ἀδικίας, μιμούμενοι τὴν τοῦ βασιλέως ὠμότητα.

ΚΕΦ. Δ.

α. Ἀπεκρίθη δὲ Μωϋσῆς, καὶ εἶπεν, ἐὰν μὴ πιστεύσωσί μοι, μηδὲ εἰσακούσωνται τῆς φωνῆς μου, (ἐροῦσι γὰρ, ὅτι οὐκ ὦπταί σοι ὁ Θεὸς,) τί ἐρῶ πρὸς αὐτούς;

ΚΥΡΙΛΛΟΥ. Ἐδεδίει γὰρ Μωσῆς, μὴ ἄρα τις εἶναι δόξειε τοῖς υἱοῖς Ἰσραὴλ φιλοψευδής τε καὶ εἰκαιόμυθος· ὦφθαι μὲν λέγων ἑαυτῷ τὸν τῶν ὅλων Θεὸν, εἰπεῖν δὲ προστάξαι, τῆς Αἰγυπτίων πλεονεξίας ὅτι πρέπει λοιπὸν ἀποφοιτᾶν ἐῤῥωμένως. ταύτῃτοι θαυματουργεῖν ἐκελεύετο, καὶ τὰ ὑπὲρ ἀνθρώπου φύσιν ἐργάζεσθαι, μεταπλάττοντος τοῦ Θεοῦ τὴν ῥάβδον εἰς ὄφιν. ὡς ἂν νοοῖτο λοιπὸν οὐκ αὐτόμολος ἀληθῶς, ἀλλ' ἄνωθεν καὶ τῶν παρὰ Θεοῦ θεσπισμάτων διακομιστής.

β. Εἶπε δὲ αὐτῷ Κύριος, τί τοῦτο τὸ ἐν τῇ χειρί σου; ὁ δὲ εἶπε, ῥάβδος.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μωσῇ φησὶ,
» τί τοῦτο τὸ ἐν τῇ χειρί σου; ἵνα ὅταν ἴδῃ ὄφιν γεγενημένον, μὴ ἐπιλάθηται ὅτι ῥάβδος ἦν πρὸ τούτου, ἀλλὰ τῆς οἰκείας ἀναμνησθεὶς φωνῆς, ἐκπλαγῇ τὸ γινόμενον.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐχ ὡς αὐτὸ μὴ ὁρῶν, ἢ μανθάνειν βουλόμενος, ἀλλ' ἐνάγων αὐτὸν ἐπὶ τὰ σύμβολα τὰ διὰ τῆς ῥάβδου. ἵνα καὶ ἡ ἀρχὴ τῶν σημείων ἀπὸ ξύλου γένηται. ἀκούσας δὲ ὅτι ῥάβδος, ῥίπτειν ἐκέλευσεν· ἵνα γὰρ μὴ μεταβληθείσης εἰς ὄφιν, ἀμφιβάλλῃ μὴ καὶ ὄφιν κρατῶν ἐλάνθανε, πρότερον αὐτὸν ἐφίστησιν, ὅτι ῥάβδος ἦν.

γ. Καὶ εἶπε, ῥίψον αὐτὴν εἰς τὴν γῆν. καὶ ἔῤῥιψεν αὐτὴν ἐπὶ τὴν γῆν, καὶ ἐγένετο ὄφις· καὶ ἔφυγε Μωϋσῆς ἀπ' αὐτοῦ.

** ΕΠΙΦΑΝΙΟΥ. Ἔῤῥιψε τὴν ξηρὰν ῥάβδον. καὶ τὸ ξηρὸν ὁ Θεὸς ὑγρὸν ἐπετέλει, καὶ οὐ μόνον ὑγρὸν, ἀλλὰ καὶ ἔμψυχον, ἀλλὰ καὶ τῇ φύσει παρηλλαγμένον, καὶ τῇ οὐσίᾳ ἑτέρως ἐσχηματισμένον. οὐκ ἦν φάντασμα τὸ ἔργον· ἀληθείᾳ γὰρ Θεοῦ προστάγματι ἐργάζεται, καὶ οὐ φαντασίᾳ. ἐν ἅπασι γὰρ διορθουμένην τὴν ἡμῶν διάνοιαν παρέστησε διὰ Μωϋσέως τὴν ἀλήθειαν. ἔγνω γὰρ ὁ Προφήτης, ὅτι τὸ γινόμενον οὐκ ἦν δοκήσει, ἀλλ' ἀληθείᾳ, ἐν τῷ ἀποδρᾶσαι. εἰ γὰρ φαντασίᾳ ᾔδει τὸ γινόμενον, οὐκ ἂν ἀπεδίδρασκεν ἀπὸ προσώπου τοῦ ὄφεως. ἀλλὰ μὴ πάλιν τοῦτο εἰς σκάνδαλον γενήσεται τοῖς φιλονείκοις, καὶ εἴπωσιν, ὅτι ἄλλη ἦν ἡ ῥάβδος, ὁ δὲ Θεὸς ἔδωκεν αὐτῇ ἀλλοῖον σῶμα, ὡς ἠθέλησε· καὶ πρῶτον μὲν οὖν μαθέτωσαν, ὅτι οὐκ ἄλλην ἀντὶ ἄλλης ἐψύχωσεν, ἀλλ' αὐτὴν ἐκείνην τὴν ξηρὰν οὖσαν ἐψύχωσεν. ὅτι τοῦτο τὸ δοθὲν τῇ ῥάβδῳ σῶμα, καὶ κινούμενον ὑπ' αὐτοῦ γένος, ἢ εἶδος, εἰς κρίσιν ὁ Θεὸς οὐκ ἐκάλει, ἀλλὰ πληροφορίαν μὲν διὰ τῆς ῥάβδου ἀναστάσεως εἰργάσατο· τὸ δὲ ἴδιον δυνατὸν ὁ Θεὸς ἀπεδείκνυ, ἵνα μήτις ἀπιστήσῃ τῷ δυνατῷ ἐν πᾶσι. καὶ αὐτὸ δὲ μετὰ πάσης ἀσφαλείας ἐποιήσατο. οὐ γὰρ μέρος τι τῆς ῥάβδου ἤγειρεν, ἀλλ' ὅλην τὴν ῥάβδον μετέβαλεν, ὡς ἠθέλησε.

ΚΥΡΙΛΛΟΥ. Ῥάβδῳ παρεικάζει τὸν
τοῦ Θεοῦ λόγον ἡ Γραφὴ, διὰ τὸ πάντα στη-
Ψαλ. 32. 6. ρίζεσθαι παρ' αὐτοῦ· τῷ λόγῳ γὰρ Κυρίου,
Ψαλ. 36. 17. φησὶν, οἱ οὐρανοὶ ἐστερεώθησαν· καὶ, ὑπο-
„ στηρίζει τοὺς δικαίους ὁ Κύριος. ὑπενηνέγ-
Ἰεζ. 20. 37. μεθα δὲ τῷ πατρὶ διὰ τοῦ υἱοῦ. διάξω γὰρ
„ αὐτοὺς, φησὶν, ὑπὸ τὴν ῥάβδον μου. ῥάβδος
δὲ καὶ ἑτέρως βασιλείας σύμβολον. βα-
σιλεύει δὲ διὰ υἱοῦ τῶν ὅλων ὁ Θεὸς καὶ πα-
Ἠσ. 11. 1. τήρ. αὐτὸς ἡ ῥάβδος ἡ ἐκ ῥίζης Ἰεσσαὶ, ἡ
πάντας ἡμᾶς παρακαλοῦσα πνευματικῶς,
Ψαλ. 22. 4. κατὰ τὸ, ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου,
„ αὐταί με παρεκάλεσαν. ῥάβδος δὴ οὖν καὶ
ὁ υἱός. ἀλλ' ἕως μὲν ἦν ὡς ἐν χειρὶ τοῦ πατρὸς, καὶ ἐν τοῖς τῆς Θεότητος ὑψώμασιν, οὔπω γενόμενος καθ' ἡμᾶς, ἐπλανώμεθα τῇ κτίσει λατρεύοντες. ἐπειδὴ δὲ μονονουχὶ τῆς ἰδίας δόξης καταλελοιπὼς τὰ ὑψώματα, καὶ οἱονεὶ τὴν τοῦ πατρὸς χεῖρα, γεγονέναι καθ' ἡμᾶς, (οὓς ὁ υἱὸς

A „ αὐτὸς πονηροὺς ἀπεκάλει, λέγων· εἰ οὖν Ματθ. 7. 11.
„ ὑμεῖς πονηροὶ ἐστε, καὶ οἴδατε δόματα ἀγα-
„ θὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλ-
„ λον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει
„ ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;) μονονουχὶ καὶ
εἰς ὄφιν αὐτὸν μετεσκευάσθαι φαμὲν, διά τοι καὶ μόνην τὴν πρὸς ἡμᾶς ὁμοιότητα, καὶ τὸ ἐν ἴσῳ γενέσθαι σχήματι. πονηρὸς γὰρ ὄφις ὁ ἄνθρωπος, εἰ πρὸς ἡμερότητα τὴν Θεοῦ συγκρίνοιτο.

B ΤΟΥ ΑΥΤΟΥ. Μεταβέβηκε τοίνυν εἰς ὄφιν ἡ ῥάβδος. γέγονε γὰρ ἄνθρωπος ὁ μονογενὴς, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ κεχρημάτικε μεθ' ἡμῶν πονηρὸς, καίτοι κατὰ φύσιν ὢν ἀγαθός. ἀλλ' ὅτι γεγονότα καθ' ἡμᾶς τὸν μονογενῆ, παρεδεξάμεθα μὲν ἡμεῖς, οὐκ ἠγάπησαν δὲ οἱ Ἰουδαῖοι· ἀποδεδραμήκασι γὰρ ὥσπερ αὐτοῦ· σαφὲς ἂν γένοιτο διὰ τῶν ἱερῶν Γραμμάτων.
Γ ἔφυγε γὰρ Μωϋσῆς ἀπὸ προσώπου αὐτοῦ, πονηρὸν γὰρ εἶναι νομίσαντες, συνεσκύρωσαν πονηροῖς.

** ΤΟΥ ΑΥΤΟΥ. Τὸ τοίνυν ἀποπέσαι χειρὸς τῆς Μωσέως τὴν ῥάβδον, κατασημειώσειεν ἂν, ὡς ἦν ἐν ἀρχαῖς ὁ κατ' εἰκόνα τὴν θείαν πεποιημένος παραδείσου φυτὸν, καὶ ἐν δόξῃ βασιλείας, καὶ ἐν χειρὶ τοῦ δημιουργοῦ· κατώλισθε δὲ εἰς γῆν διὰ τὸ φρονεῖν ἑλέσθαι τὰ σαρκικὰ, καὶ διὰ τῆς
Δ εἰς ἄκρον ἡκούσης πικρίας, ὄφις ἦν ὥσπερ τις τοῖς τῆς Θεότητος ὀφθαλμοῖς. ἀλλ' ἐκελεύετο Μωσῆς ἐκτεῖναι τὴν χεῖρα, καὶ ἐπιλαβέσθαι τῆς κέρκου. ἀνεπλάττετο δὲ πρὸς τὸ ἐν ἀρχαῖς εὐθύς. καὶ ὄφις μὲν ἦν οὐκ ἔτι, ῥάβδος δὲ πάλιν καὶ παραδείσου φυτόν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ πρῶτον σημεῖον δέδωκε τῆς ῥάβδου τὴν εἰς ὄφιν μεταβολήν; Ἐπειδὴ λογικῆς ὁ Φαραὼ φύ-
E σεως ὢν, ὠμότητι κατὰ τῶν Ἑβραίων ἐχρήσατο, καὶ τὸ θεοειδὲς θηριῶδες ἀπέφηνε, τὴν ῥάβδον δι' ἧς αὐτὸν ἐμαστίγωσεν, εἰς ὄφιν μεταβληθῆναι προσέταξεν· εἰς ἔλεγχον μὲν τῆς ἐκείνου θηριωδίας, ἔμφασιν δὲ τῆς δυσμενείας. καὶ γάρ τοι τῇ τοῦ ὄφεως ἀρᾷ καὶ τοῦτο προσέθεικεν,
„ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέ- Γεν. 3. 15.
„ σον τῆς γυναικὸς, καὶ τὰ ἑξῆς.

Z ** ΠΡΟΚΟΠΙΟΥ. Καλῶς δὲ ὅπου ἡ ῥάβδος, ἐνταῦθα ὁ ὄφις. ὅπου τὸ ξύλον, ἐνταῦθα ὁ ἐπίβουλος. ἀλλ' ἰδὼν, φεύγει. ᾔδει γὰρ τὸ πάλαι πάθος ἐξ ὄψεως.

δ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, ἔκτεινον τὴν χεῖρά σου, καὶ ἐπιλαβοῦ τῆς κέρκου. καὶ ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο τῆς κέρκου· καὶ ἐγένετο
H ῥάβδος ἐν τῇ χειρὶ αὐτοῦ.

ΑΔΗΛΟΥ. Ἡ μὲν δειλία, διὰ τὴν ἀρχαίαν παράβασιν ἐφόβει· τὸ δὲ πρόσταγμα, θάρσος ἐπεδίδου ἐπιλαβέσθαι. πάλιν ἐγένετο ξύλον, ἵνα δειχθῇ, ὅτι μέλλει νεκροῦσθαι

νεκροῦσθαι σώματι ἀνθρωπίνῳ ὁ ὄφις διὰ A
ξύλου· καὶ ὅτι ἡ καταρχὴ τῶν σημείων
ἀπὸ ξύλου γενήσεται.

ΚΥΡΙΛΛΟΥ. Πλὴν ὅτι κατὰ καιροὺς
δράξεται μὲν ὁ Ἰσραὴλ τοῦ Χριστοῦ· γνώσε-
ται δὲ, ὅτι πονηρὸς μὲν οὐδαμῶς, στήριγ-
μα δὲ μᾶλλον καὶ ἰσχὺς πνευματικὴ τῶν
πεπιστευκότων, δι' αὐτοῦ τοῦ γεγονότος εἰ-
σόμεθα. φεύγοντα γὰρ Μωσέα ὁ Θεὸς
ἐπιστρέφει. ἐπειδὴ δὲ τοῦ ὄφεως ἐπελάβε-
το, γέγονε ῥάβδος τῇ χειρὶ αὐτοῦ. οὐκοῦν B
τοῖς μὲν οὐκ εἰδόσι, πονηρὸς εἶναι δοκεῖ
διὰ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν· εἴγε μὴν
ἐπιλάβοιτό τις αὐτοῦ διὰ πίστεως, ῥάβδον
εὑρήσει καὶ στήριγμα.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ὅτε δὲ εὐδόκησεν
ὁ Θεὸς καὶ πατὴρ ἀνακεφαλαιώσασθαι τὰ
πάντα ἐν τῷ Χριστῷ, καὶ ἀνακλίσαι τὸ
ποιηθὲν εἰς τὸ ἀπ' ἀρχῆς, ἀπέστειλεν ἡμῖν
ἐξ οὐρανοῦ τὸν μονογενῆ, τὴν χεῖρα τὴν
δεξιὰν τὴν τῶν ὅλων ἐργάτιν καὶ σώτει-
Ψαλ. 117. 15. ραν ἀληθῶς· κατά γε τὸ, δεξιὰ Κυρίου
16. „ ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με.
τότε δὴ τότε τῆς ἐν γῇ κειμένης ἀνθρω-
πότητος ἐπελάβετο, καὶ πικρίας ἡμᾶς
ἀπαλλάξας θηριοπρεποῦς, τῆς ἐν φαυ-
λότητι καὶ ἁμαρτίας, ἀνεκόμισέ τε δι'
ἁγιασμοῦ πρὸς βασιλίδα τιμὴν, καὶ ἡμε-
ρότητα τὴν εἰς ἀρετήν. ἐνδιαίτημα δὲ τὸ
ἀρχαῖον τοῖς πιστεύουσι διδοὺς, ἐν ἀπαρχῇ
καὶ πρώτῳ τῷ συγκεκρεμαμένῳ λῃστῇ·
Λουκ. 23. 43. ἀμὴν ἀμὴν λέγω σοι, φησὶ, σήμερον μετ'
„ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

ΤΟΥ ΑΥΤΟΥ. Ἀρχὴ μὲν γὰρ ὥσπερ
παντὸς ζώου [ἡ] κεφαλὴ, κέρκος δὲ πέρας.
φέρε δὴ οὖν ὡς ἕν τι ζῶον τὸ σύμπαν ἡμῖν
τοῦ ἀνθρώπου γένος καταλογιζέσθω πρὸς
τὸ παρόν. ἐπελάβετο τοίνυν τῆς κέρκου
Χριστὸς, τουτέστιν ἐν ἐσχάτοις, καὶ τελευ-
ταῖον· καταπεφοίτηκε γὰρ ἐν ἐσχάτοις
τοῦ αἰῶνος καιροῖς· ἀλλ' ὥσπερ τῆς κέρκου
Μωϋσῆς ἐπελάβετο, καὶ μέχρις αὐτῆς
ἀνέβη τῆς κεφαλῆς ὁ μεταπλασμός· με-
τεστοιχειοῦτο γὰρ ὁλοκλήρως εἰς ῥάβδον ὁ
ὄφις· κατὰ τὸν ἴσον τουτονὶ τρόπον, καὶ εἰ
τῶν ἐσχάτων ἐπελάβετο Χριστὸς, ἀλλ' εἰς
πᾶν διήκει τὸ γένος, καὶ μέχρις αὐτῆς
ἀφικνεῖται τῆς κεφαλῆς, τουτέστιν Ἀδὰμ,
ἡ διὰ τῆς χάριτος ἀναμόρφωσις. γέγρα-
Ρωμ. 14. 9. πται γὰρ, ὅτι εἰς τοῦτο χριστὸς ἀπέθανε
„ [καὶ ἀνέστη,] ἵνα ζώντων καὶ νεκρῶν κυ-
„ ριεύσῃ.

ε. Καὶ εἶπε Κύριος, ἵνα πιστεύσω-
σί σοι ὅτι ὦπταί σοι Κύριος ὁ Θεὸς τῶν
πατέρων αὐτῶν, ὁ Θεὸς Ἀβραὰμ,
καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ.

ϛ. Εἶπε [δὲ] αὐτῷ Κύριος πάλιν,
εἰσένεγκε τὴν χεῖρά σου εἰς τὸν κόλ-
πον σου. καὶ εἰσήνεγκε τὴν χεῖρα αὐ-
A τοῦ εἰς τὸν κόλπον αὐτοῦ. καὶ εἶπεν,
ἐξένεγκε τὴν χεῖρά σου ἐκ τοῦ κόλπου
σου, καὶ ἐξήνεγκεν αὐτὴν ἐκ τοῦ κόλ-
που αὐτοῦ, καὶ ἐγένετο ἡ χεὶρ αὐτοῦ
ζ. ὡσεὶ χιών. Καὶ εἶπε πάλιν, εἰσέ-
νεγκε τὴν χεῖρά σου εἰς τὸν κόλπον σου.
καὶ εἰσήνεγκε τὴν χεῖρα αὐτοῦ εἰς τὸν
κόλπον αὐτοῦ, καὶ ἐξήνεγκεν αὐτὴν
ἀπὸ τοῦ κόλπου αὐτοῦ, καὶ πάλιν ἀ-
B πεκατεστάθη εἰς τὴν χρόαν τῆς σαρ-
κὸς αὐτοῦ.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Διὰ τῆς ἀλ-
λοιωθείσης δεξιᾶς ἐσήμανεν, ὡς ὁ μονογε-
νὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς,
οὗτος ἡ δεξιὰ τοῦ ὑψίστου. ὅτε [δὲ] ἡμῖν
ἐκ τῶν κόλπων ἀπεφάνη τῶν πατρικῶν,
καθ' ἡμᾶς ἠλλοιώθη. ἐπὰν δὲ τὰς ἡμε-
τέρας ἀσθενείας ἐκμάξας, ἐπανήγαγε τὴν
Γ ἐν ἡμῖν γενομένην χεῖρα ἐπὶ τὸν ἴδιον (1)
τοῦ πατρὸς κόλπον, τότε τὸ ἐμπαθὲς καὶ
τρεπτὸν τῆς φύσεως, διὰ τῆς πρὸς τὸ
ἄτρεπτον κοινωνίας εἰς ἀπάθειαν μετε-
στοιχείωσε.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἡ δὲ εἰς ὄφιν με-
ταβολὴ τῆς βακτηρίας, μὴ ταραττέσθω
τοὺς φιλοχρίστους, ὡς ἀπεμφαίνοντι ζώῳ
προσαρμοζόντων ἡμῶν τὸν τοῦ μυστηρίου λό-
γον. αὐτὴ γὰρ ἡ ἀλήθεια διὰ τῆς εὐαγ-
Δ γελικῆς φωνῆς οὐ παραιτεῖται τὴν τοιαύ-
„ την εἰκόνα, δι' ὧν φησίν· ὥσπερ γὰρ Μωϋ- Ἰωάν. 3. 14.
„ σῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως
„ ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου. εἰ γὰρ
ὁ τῆς ἁμαρτίας πατὴρ, ὄφις ὠνομάσ-
θη ὑπὸ τῆς θείας Γραφῆς, καὶ τὸ ἐκ τοῦ
ὄφεως γεννηθὲν πάντως ὄφις ἐστίν. οὐκοῦν
ἀκολούθως ἡ ἁμαρτία τοῦ γεγεννηκότος
„ αὐτὴν ἐστὶ συνώνυμος. ἀλλὰ μὴν ἁμαρτίαν
E „ δι' ἡμᾶς γενέσθαι τὸν Κύριον ὁ ἀποστολικὸς Ῥωμ. 8. 3.
διαμαρτύρεται λόγος, τὸν τὴν ἁμαρτη-
τικὴν ἡμῶν φύσιν περιβαλλόμενον. κα-
τὰ λόγον ἄρα τῷ Κυρίῳ προσαρμόζει τὸ
αἴνιγμα.

ΚΥΡΙΛΛΟΥ. Χεῖρα δὴ οὖν ἔθος τῇ θεο-
πνεύστῳ Γραφῇ τὸν χριστὸν ἀποκαλεῖν. ὅρα
δὴ τοίνυν τὴν Μωσέως χεῖρα κρυπτομένην
ἐν τῷ κόλπῳ αὐτοῦ, εἶτα πρὸς τὸ ἔξω
φερομένην, καὶ ὁρωμένην [ἐν] λέπρᾳ·
Z καὶ πάλιν εἰσφερομένην ἐν τῷ κόλπῳ αὐ-
τοῦ, καὶ παραχρῆμα τοῦ πάθους ἀπηλλαγ-
μένην. ἐννοοῦντες δὲ τὸ Χριστοῦ μυστήριον, καὶ
τὸν τῆς ἐνανθρωπήσεως τρόπον, ὅπῃ τε
καὶ ὅπως ἂν ἔχῃ καταθρεῖν σπουδάζοντες,
τοιοῦτον γεγονὸς εὑρήσομεν. ἦν μὲν γὰρ
ὁ υἱὸς οἱονείπως ἐν κόλποις τοῦ Θεοῦ καὶ πα-
τρὸς, καὶ [δι'] αὐτοῦ τὰ πάντα πεποίηκεν
ὁ πατήρ· αὐτὸς γάρ ἐστιν ὁ βραχίων ὁ
ὑψηλὸς, ἡ πάντα ἰσχύουσα χεὶρ, ἡ ἀξιο-
H θαύμαστος δεξιά· ἐπειδὴ δὲ τρόπον τινὰ
τὸν ἴδιον ἐκβέβηκε τόπον, γενόμενος ἄν-
θρωπος,

(1) Ἴδιον κόλπον· κόλπος δὲ τῆς δεξιᾶς ὁ πατήρ· τότε οὐ τὸ ἀπαθὲς τῆς φύσεως εἰς πάθος ἠλλοίωσεν, ἀλλὰ τὸ τρεπτόν τε καὶ ἐμπαθὲς διὰ τῆς, κτ. ἐν τῇ θεωρ. τῇ εἰς τὸν τοῦ Μωϋσ. βίον.

'Ησ. 53. 4. [A] θρωπος, καὶ τὰς ἀσθενείας ἡμῶν ἔλαβε, κατὰ τὴν τοῦ Προφήτου φωνὴν, ἐν ὑπολήψει γέγονεν ἀκαθαρσίας· ἀκάθαρτος γὰρ ἡ ἀνθρώπου φύσις, ὡς πρὸς Θεὸν, εἴγε ἀληθὲς, ὥς φησιν Ἡσαΐας ὁ προφήτης, 'Ησ. 64. 6. ὅτι πᾶσα ἡ δικαιοσύνη ἡμῶν, ὡς ῥάκος ἀποκαθημένης· ἀλλ' ὁ ἐν δοκήσει γεγονὼς ἀκαθαρσίας ὡς ἄνθρωπος, ὅτε τὴν καθ' ἡμᾶς εὐτεχνεστάτην οἰκονομίαν διαγαγὼν εἰς πέρας, ἀνέβη πρὸς τὸν πατέρα, καὶ [B] ἐν κόλποις γέγονεν αὐτοῦ, τότε δὴ τότε, καὶ αὐτὴν ἀπεκρούσατο τὴν δόκησιν τοῦ γενέσθαι μεθ' ἡμῶν ἐν νεκρότητι καὶ ἀκαθαρσίᾳ. δοξολογεῖται γὰρ παρὰ πάντων ὡς Θεός.

ΤΟΥ ΑΥΤΟΥ. Ὅτι δὲ καὶ τὰ ἐν ἀνθρώποις ἀδύνατα, παρ' αὐτῷ τῷ Θεῷ δυνατὰ, ἀφῆκε νοεῖν ὁ τῶν ὅλων Θεὸς διὰ τοῦ τὴν Μωσέως χεῖρα θεραπεῦσαι λελεπρωμένην, ὡς ἂν εἰδεῖεν οἱ υἱοὶ Ἰσραὴλ, [Γ] ὅτι κἂν ἀδιαφύλακτον ἔχοιεν τὴν συμφορὰν, Αἰγυπτίοις ὑπεζευγμένοι, καὶ νόσον ὥσπερ τινὰ παθόντες ἐσχάτην, τὴν ὑπ' ἐκείνοις δουλείαν· ἀλλ' εὐμήχανος ὁ ἰατρὸς, καὶ τὰ πολὺ δυσίατα τῶν παθῶν παρενεγκεῖν εὐκόλως εἰδώς. ἅμα γὰρ εἰσήνεγκεν ὁ Μωσῆς τὴν χεῖρα, καὶ ἀπήλλακται τοῦ νοσεῖν. ὑπαινίττεται δέ τι καὶ ἕτερον. μακροὺς γὰρ ἐν Αἰγύπτῳ τρίβοντες χρόνους οἱ ἐξ Ἰσραὴλ, ἐξέθορον μὲν [Δ] τῆς ἄνωθεν, καὶ ἐκ πατέρων αὐτοῖς συνήθους θεοσεβείας, ἔθεσι δὲ μᾶλλον τῆς ἐπιχωρίοις ἐνιζήσαντες, λελατρεύκασι τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ κατωλισθήκασιν εἰς πᾶν εἶδος ἀκαθαρσίας. μόνον δὲ οὐχὶ τεθνεῶτα λοιπὸν, καὶ κατεψυγμένον ἐσχήκασι νοῦν. ἀκαθαρσίας γὰρ καὶ νεκρότητος σημεῖον ἡ λέπρα. μεμυσταγώγηκε δὲ διὰ τοῦ θαύματος, ὡς εἰ παραδέξαιτο Θεὸς αὐτοὺς, καὶ οἷον ἐγκολπώσαιτο πάλιν, [E] οὐ δυσαπότρεπτον ἕξουσι τὴν ἀκαθαρσίαν· διακρούσονται δὲ ῥᾳδίως τὸν ἐκ τῆς νοητῆς νεκρότητος μολυσμόν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἡ λέπρωσις τῆς χειρὸς τί δηλοῖ; Ἐν εὐσεβείᾳ τραφὲν τὸ γένος τοῦ Ἰακὼβ, εἰς τὴν Αἴγυπτον εἰσελήλυθεν· ἀλλ' ἐκεῖ τῶν Αἰγυπτίων μετέμαθε τὴν ἀσέβειαν. τῆς ἐκείνων δὲ δουλείας ἀπαλλαγὲν, τὸν τῶν ὅλων ἐπέγνω Θεόν. [Z] δεδήλωκε τοίνυν διὰ τῆς ἀλλοιώσεως τῆς χειρὸς, τὴν λέπρωσιν αὐτῶν, καὶ τὴν μετὰ τοῦτο κάθαρσιν. πρὸς δὲ τούτοις καὶ ἕτερον ᾠκονόμει ὁ δεσπότης Θεός. ἐπειδὴ γὰρ ἔμελλε τὸν περὶ τῶν λεπρῶν τιθέναι νόμον, καὶ ἀκαθάρτους τούτους προσαγορεύειν· οὐδὲν δὲ τῶν ἀκουσίων ἀκάθαρτον· ἕτερα διὰ τούτων οἰκονομῶν, τούτοις ἐχρήσατο τοῖς νόμοις· ἅπερ ἐν ἐκείνοις γενόμενοι τοῖς χωρίοις σὺν Θεῷ φάναι δηλώσομεν. [H] ἐλέπρωσε τοῦ νομοθέτου τὴν χεῖρα τοὺς τὰ τέλεια πεπαιδευμένους διδάσκων, ὡς οὐδὲν τῶν τοιούτων ἀκάθαρτον. ἡ γὰρ τὰ θαύματα ἐκεῖνα ἐργασαμένη δεξιὰ, λεπρὰ πρότερον γενομένη, ταῖς θεοση-

[A] μίαις ὑπούργησε, καὶ τὰ στοιχεῖα μετέβαλεν. ἐκ τούτου καὶ τὸν νομοθέτην ἐπαίδευε μὴ μεγαλοφρονεῖν, ἀλλ' εἰδέναι τὴν φύσιν, τῆς λεπρωθείσης ἀναμιμνησκόμενον δεξιᾶς.

** ΩΡΙΓΕΝΟΥΣ. Ὁ κόλπος Μωϋσέως δύο δυνάμεις ἔχει, τὴν μὲν προτέραν καὶ κατὰ τὰ τοῦ γράμματος νοήματα ποιοῦσαν τὴν πρᾶξιν τοῦ πράττοντος ὡσεὶ χιὼν, ὅσον ἐπὶ τῇ Ἑβραίων φωνῇ, ἢ καὶ [B] λεπρῶσαν· τὴν δευτέραν, καὶ κατὰ τὸν πνευματικὸν νόμον καθαρὰν ἀποδεικνῦσαν τὴν πολιτείαν, καὶ ἀποκαθιστανομένην εἰς τὸ βούλημα τῆς φύσεως τοῦ λόγου. καὶ τήρει γε, ὅτι ἐπιφέρεται τούτοις τό· ἐὰν μὴ πιστεύσωσι, μηδὲ εἰσακούσωσι τῆς φωνῆς τοῦ σημείου τοῦ δευτέρου. ὁ γὰρ μὴ πιστεύσας τῇ ἐκδοχῇ τοῦ γράμματος διὰ μεγαλόνοιαν, πιστεύσει τῇ πνευματικῇ τοῦ νόμου διηγήσει. ἐὰν δέ τις μὴ πιστεύσῃ τοῖς δυσὶ [Γ] σημείοις τούτοις· τῷ μὲν προτέρῳ, ὅτι λεπρὰν ποιεῖ τὴν πρᾶξιν· τῷ δὲ δευτέρῳ, ὅτι ἀποκαθίστησιν αὐτὴν εἰς τὸ κατὰ φύσιν· τὸ ὕδωρ τοῦτο, αἷμα γίνεται. γέγραπται γὰρ, καὶ ἔσται ἐὰν μὴ πιστεύσωσι τοῖς δυσὶ σημείοις τούτοις, μηδὲ εἰσακούσωσι τῆς φωνῆς σου, λήψῃ ἀπὸ τοῦ ὕδατος τοῦ ποταμοῦ, καὶ ἐκχεεῖς ἐπὶ τὸ ξηρόν. καὶ ἔσται τὸ ὕδωρ, ὃ ἐὰν λάβῃς ἀπὸ τοῦ ποταμοῦ, αἷμα ἐπὶ τοῦ ξηροῦ. καὶ πρόσχες δὲ, ὅτι [Δ] ἐπὶ τούτου τοῦ σημείου οὐκ ἔτι λέγεται τὸ, ἢ πιστεύσωσί σοι, ἢ οὐ πιστεύσωσι. δηλοῦται γὰρ, ὅτι τῷ μὴ πιστεύσαντι τοῖς δυσὶ σημείοις, τὸ λαμβανόμενον ἀπὸ τοῦ ποταμοῦ ὕδωρ, αἷμα γίνεται, δι' ἀπιστίαν ποτίμου ἀπολαύειν οὐ δυναμένῳ λόγου.

η. Ἐὰν δὲ μὴ πιστεύσωσι, μηδὲ εἰσακούσωσι τῆς φωνῆς τοῦ σημείου τοῦ πρώτου, πιστεύσωσι τῆς φωνῆς τοῦ σημείου τοῦ δευτέρου. [E]

ΚΥΡΙΛΛΟΥ. Προβάλλεται τὰ σημεῖα τοῖς Ἰσραηλίταις, ὡς ἀπίστοις.

θ. Καὶ ἔσται ἐὰν μὴ πιστεύσωσι τοῖς δυσὶ σημείοις τούτοις, μηδὲ εἰσακούσωσι τῆς φωνῆς σου, λήψῃ ἀπὸ τοῦ ποταμοῦ τοῦ ὕδατος, καὶ ἐκχεεῖς ἐπὶ τὸ ξηρὸν, καὶ ἔσται τὸ ὕδωρ, ὃ ἐὰν λάβῃς [Z] ἀπὸ τοῦ ποταμοῦ, αἷμα ἐπὶ τοῦ ξηροῦ.

** ΚΥΡΙΛΛΟΥ. Ἄθρει δὴ οὖν πάλιν τὴν τῶν Ἰουδαίων ἀπείθειαν προεγνωσμένην. μελληταὶ γὰρ ἀεί περ καὶ βραδεῖς εἰς σύνεσιν, καὶ δυσμετακόμιστοι πρὸς ἀλήθειαν. ἠπειθήκασι γὰρ τῷ τῆς ἐνανθρωπήσεως τρόπῳ, καὶ τοῖς διὰ μέσου παραδόξως τετελεσμένοις. ὀψὲ δὲ καὶ μόλις τῷ τελευταίῳ σημείῳ πεπιστεύκασιν, εἰ καὶ μὴ [H] πάντες τυχὸν, ἀλλ' οὖν τὸ κατάλειμμα τὸ κατ' ἐκλογὴν χάριτος, ὡς ὁ μακάριος γράφει Παῦλος. 'Ρωμ. 11. 5. καὶ τί τὸ τελευταῖον σημεῖον; ὁ ἐπὶ ξύλου θάνατος, καὶ ἡ τῷ θανάτῳ παρεζευγμένη καὶ γείτων εὐθὺς ἀναβίωσις

τοῦ

τοῦ Χριστοῦ. ὅτι δὲ σημεῖον δέδοται τοῖς υἱοῖς Ἰσραὴλ τοῦ Σωτῆρος ὁ θάνατος, καὶ αὐτὸ τὸ μέγα καὶ ἀξιάγαστον τῆς ἐκ νεκρῶν ἀναστάσεως, σαφὲς ἂν γένοιτο δι' αὐτῶν τῶν τοῦ Σωτῆρος ῥημάτων. Καὶ μετ' ὀλίγα.
Ματθ. 12. 39, 40. Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπι-
» ζητεῖ· καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ
» μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. ὥσπερ
» γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς
» ἡμέρας καὶ τρεῖς νύκτας· οὕτως ἔσται ὁ υἱὸς
» τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς, τρεῖς
» ἡμέρας καὶ τρεῖς νύκτας.

* ΤΟΥ ΑΥΤΟΥ. Ζωῆς μὲν γὰρ τύπος, ἤτοι σημεῖον, τὸ ὕδωρ. καὶ γὰρ ἐστιν ἀληθῶς ἀναγκαῖον εἰς τοῦτο, καὶ χρειωδέστατον τοῖς ἐπὶ τῆς γῆς. οὐκοῦν, οἱάπερ ἐκ ποταμοῦ τοῦ ζωογονοῦντος τὰ πάντα πατρὸς, ζωὴ καὶ αὐτὸς ἐξέφυ κατὰ ἀλήθειαν ὁ υἱός. ὅτι δὲ οὐκ ἔξωθεν ὑποστὰς, ἀλλ' ἐξ αὐτοῦ κατὰ φύσιν ἐστὶ τοῦ Θεοῦ καὶ πατρὸς, ἐδιδάσκετο Μωϋσῆς· οὐδὲν δὲ ἧτ-
» τον καὶ ἡμεῖς αὐτοί. λήψῃ γὰρ φησιν
» ἀπὸ τοῦ ὕδατος τοῦ ποταμοῦ. εἶτα τοῦτο ἐκχέειν εἰς γῆν προσετάττετο. τοῦτο δέ ἐστιν αἰνιγματωδῶς τῆς ἐνανθρωπήσεως τὸ μυστήριον. ζωὴ γὰρ ὑπάρχων ὁ μονογενὴς, καὶ ὡς ἐκ ζωῆς τοῦ Θεοῦ καὶ πατρὸς ἀποῤῥήτως γεγεννημένος, ἀνεμίχθη τρόπον τινὰ τῇ ἐκ γῆς ἀνθρωπότητι, καθάπερ ἀμέλει τὸ ὕδωρ τῇ γῇ.

ΤΟΥ ΑΥΤΟΥ. Ἄθρει δὴ ὅπως εἰ μὴ ἐξέχεεν ὁ Μωσῆς τὸ ὕδωρ εἰς γῆν, οὐκ ἂν μετεποιήθη εἰς αἷμα. ὅπερ ἐστὶν ἐναργὲς θανάτου σημεῖον. ἔξω γὰρ νοούμενος τῆς σαρκὸς ὁ ἐκ Θεοῦ λόγος, ζωὴ καὶ ζωοποιός ἐστιν. ἐπειδὴ δὲ κατῴκηκεν ἐν σαρκὶ, τότε δὴ τότε καὶ τεθνάναι λέγεται κατὰ τὸ ἀνθρώπινον.

** ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν πρώτη μὲν ἀντίληψις ἡμῖν ἐν Χριστῷ, διὰ νόμου τοῦ
Ἡσ. 8. 20. » κατὰ Μωσέα. νόμον γὰρ εἰς βοήθειαν δέδωκε, κατὰ τὴν τοῦ Προφήτου φωνήν. ἐπελάβετο δὲ τῆς κέρκου Μωσῆς. δευτέρα δὲ κάθαρσις ἐν Χριστῷ δὴ πάλιν διὰ Προφητῶν ἁγίων, καὶ διὰ τῆς Ἰωάννου φωνῆς καὶ ἀποστολῆς. οἱ μὲν γὰρ ἔφασκον, λού-
Ἡσ. 1. 16. » σασθε, καθαροὶ γένεσθε· ὁ δὲ, εἰς βάπτισμα μετανοίας ἐκάλει. τρίτον δὲ σημεῖον, ὃ καὶ ἔσχατον εἶναί φασιν, ὁ Χριστοῦ θανά-
» τος, ἐφ' ᾧ καὶ πίστις. ἐὰν γὰρ μὴ πιστεύ-
» σωσί σοι, φησὶ, μηδὲ εἰσακούσωσι τῆς φω-
» νῆς τοῦ σημείου τοῦ πρώτου, πιστεύσουσι τῆς
» φωνῆς τοῦ σημείου τοῦ δευτέρου. ὁρᾷς, ὅτι τὴν πίστιν ἀκολουθήσειν εὖ μάλα φησὶν, οὐχὶ τῷ πρώτῳ σημείῳ, τουτέστιν οὐ τῇ ἀντιλήψει τῇ κατὰ νόμον· οὔτε μὴν τῇ διὰ μέσου καθάρσει, τουτέστι τῇ διὰ Προφητῶν ἁγίων, καὶ Ἰωάννου τυχόν· μόνῃ δὲ τῇ φωνῇ τοῦ σημείου τοῦ ἐσχάτου. οὐ γὰρ ἄφωνον τὸ Χριστοῦ μυστήριον· καλεῖ δὲ σύμπαντας τοὺς ἀνὰ πᾶσαν τὴν γῆν ὑψηλῷ καὶ διαπρυσίῳ κηρύγματι πρὸς τὴν δι' ὕδατός τε καὶ αἵματος κάθαρσιν, καὶ μὴν καὶ εἰς ζωοποίησιν τὴν κατὰ μετάληψιν τῆς ἁγίας σαρκός.

ι. Εἶπε δὲ Μωϋσῆς πρὸς Κύριον, δέομαι Κύριε· οὐκ εὔλαλός εἰμι πρὸ τῆς χθὲς, οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας, οὐδὲ ἀφ' οὗ ἤρξω λαλεῖν τῷ θεράποντί σου· ἰσχνόφωνος καὶ βραδύγλωσσός εἰμι ἐγώ.

ΑΚΥΛΑΣ. Μογιλάλος, [οὐκ] ἀνὴρ ῥημάτων.

ΣΥΜΜΑΧΟΣ. Οὐκ εὔλαλος.

ΑΔΗΛΟΥ. Οὐ πρὸς τάχος φησὶν, ἀλλὰ πρὸς ἀσφάλειαν μετὰ βραδυτῆτος λαλεῖν εἰθισμένος.

ΘΕΟΔΩΡΙΤΟΥ. Ὑπουργῷ κεχρημένος τῷ Μωϋσῇ ὁ τῶν ὅλων Κύριος, τί δή ποτε ἰσχνόφωνον αὐτὸν διέπλασε καὶ βραδύγλωσσον; Ἐπειδὴ τοῦτο μᾶλλον τὴν δύναμιν ἐδείκνυ τὴν θείαν. ὥσπερ γὰρ ἁλιέας, καὶ τελώνας, καὶ σκυτοτόμον, κήρυκας ἀληθείας, καὶ διδασκάλους εὐσεβείας ἐχειροτόνησεν· οὕτω διὰ φωνῆς ἀσθενοῦς, καὶ γλώσσης βραδείας κατήχησε τοὺς Αἰγυπτίους σοφούς.

ΒΑΣΙΛΕΙΟΥ. Τέως μὲν οὐκ ᾐσθάνετο ἑαυτοῦ βραδυγλώσσου ὄντος, ὅς γε πάσῃ σοφίᾳ Αἰγυπτίων ἐπεπαίδευτο. ὅτε δὲ τοῦ χρηματίζοντος, (1) τότε εἶδε τὴν ἑαυτοῦ ἀσθένειαν. ἑώρα γὰρ τῆς γλώττης αὐτοῦ τὸ ἀσθενὲς ὑπηρετεῖν τῷ μεγέθει τῶν νοηθέντων μὴ δυναμένης.

* ΚΥΡΙΛΛΟΥ. Οὐ γὰρ εὐσθενὴς ὁ νόμος, οὐδὲ ἀποχρόντως ἔχων εἰς τὸ πᾶσαν δύνασθαι διασῶσαι τὴν γῆν, καὶ τῆς τοῦ διαβόλου τυραννίδος ἐξελέσθαι τὸν ἄνθρωπον.

* ΤΟΥ ΑΥΤΟΥ. Οὐκ ἠγνόει δὲ Μωσῆς, ὡς βραδύγλωσσός τε καὶ ἰσχνόφωνος ἦν, ἀρξαμένου μάλιστα διαλέγεσθαι πρὸς αὐτὸν τοῦ Θεοῦ, καὶ λόγους ποιεῖσθαι περὶ
» αὐτοῦ προστάττοντος. οὕτω γάρ φησιν ἐρεῖς Ἐξόδ. 3. 14.
» τοῖς υἱοῖς Ἰσραὴλ, ἐγώ εἰμι ὁ Ὤν. τοῦτό μου ἐστὶν ὄνομα. βραδύγλωσσος δὲ ὁ Μωσῆς πρὸς τὸ διαρθροῦν εὖ μάλα τὸν περὶ τοῦ ὄντος λόγον· οὔτε μὴν οἷός τε ἦν μυσταγωγεῖν πρὸς τὴν ἐν ἁγίᾳ Τριάδι προσκυνουμένην σεπτὴν καὶ ἄῤῥητον φύσιν. καὶ ἰσχνόφωνος μὲν πρὸς τοῦτο, μόνοις δὲ μόλις τοῖς ἐξ Ἰσραὴλ προσλαλεῖν δυνάμενος, ἀκουόμενός τε κατὰ μόνην τὴν Ἰουδαίαν, τῶν ἄλλων ἁπάντων ἐθνῶν, οὐδ' ὅσον [εἰπεῖν,] εἰς οὓς ἐλθόντων τὸ κήρυγμα.

ΤΟΥ ΑΥΤΟΥ. Βραδύγλωσσος γὰρ ὁ παλαιὸς νόμος, καὶ ὑποψελλίζων ἡμῖν τῷ Θεῷ δοκοῦν· στόμα δὲ Μωσέως τὸ εὐφωνότατον ὁ Χριστὸς, μεθιστὰς τοὺς τύπους εἰς ἀλήθειαν.

ια. Εἶπε

(1) Ἴσ. τοῦ χρηματίζοντος ἤκουε. ἐν τοῖς ἐκδεδομ. δὲ τοῦτο οὐχ εὕρηται.

ια. Εἶπε δὲ Κύριος πρὸς Μωσῆν· τίς ἔδωκε στόμα ἀνθρώπῳ; καὶ τίς ἐποίησε δύσκωφον καὶ κωφὸν, βλέποντα καὶ τυφλόν; οὐκ ἐγὼ Κύριος ὁ Θεός;

ΕΥΣΕΒΙΟΥ. Οὐ τὸ πάθος ἐποίησεν, ἀλλὰ τὸν ἄνθρωπον. ἀντὶ τοῦ, τὰ ἐμὰ διημαρτήματα ἐμοὶ διορθοῦσθαι δυνατόν. οὕτω καὶ ὁ ἐκ γενετῆς τυφλὸς, οὐ κατὰ ἁμαρτίαν πατέρων οὕτω γεγέννηται, ἀλλ' ἵνα δοξασθῇ ὁ Θεὸς διὰ τῆς ἰάσεως αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Ζητεῖται, εἰ τὰ καθολικὰ μόνον ποιήσας ὁ Θεὸς, ἀφ' ἑαυτῆς τρέχειν τὴν φύσιν ἐποίησεν· ἢ κατὰ μέρος ἑκάστῳ τῶν τικτομένων παρίσταται. εἰ γὰρ τοῦτο, τυφλοὺς αὐτὸς ποιεῖ, καὶ κωφοὺς, καὶ χωλούς. ὅπερ ἀπεμφαίνει Θεοῦ. Ἀλλ' ἡ φύσις παρ' αὐτοῦ λαβοῦσα τὸν δρόμον, ἔσθ' ὅτε πρὸς τὸ εὐθὺ διακόπτεται, Γ πληττομένων τῶν ἐν κοιλίαις ἐμβρύων διὰ μάχης, ἢ πληγῶν, ἢ πηδημάτων μητρὸς, ἢ καὶ βλαπτικῆς τινὸς βρώσεως, δι' ὧν ταῖς κατὰ μέρος ἀταξίαις, ἢ ῥαθυμίαις ἡ φύσις πηροῦται. τὸ οὖν ἐποίησα δύσκωφον καὶ κωφὸν, οὐ τὸ πάθος, ἀλλὰ τὸν ἄνθρωπον δηλοῖ. Καὶ μετ' ὀλίγα. Τὴν γὰρ ἔκβασιν ἡ Γραφὴ πολλάκις, ὡς αἰτίαν
Λουκ. 8. 10. προτίθεται· ὡς τὸ, ἵνα βλέποντες μὴ ἴδωσι, καὶ ἀκούοντες μὴ ἀκούσωσι. Δ Ζητεῖται δὲ πάλιν, εἰ ὡς σῶμα ἀπὸ σώματος, οὕτως ἀπὸ ψυχῆς ψυχή· ἢ καθάπερ ἐπὶ τοῦ Ἀδὰμ, πρῶτον τὸ σῶμα καθ' ἑαυτὸ διαπλάττεται, εἶτα ψυχὴ ἀθάνατος ἐπεισάγεται, μὴ πρότερον οὖσα, νῦν δὲ κτιζομένη παρὰ Θεοῦ. Καὶ μᾶλλον τοῦτο δοκεῖ τοῖς πολλοῖς, τῆς Γραφῆς ποτὲ μὲν λε-
Ψαλ. 32. 15. γούσης, ὁ πλάσσων κατὰ μόνας τὰς καρδίας αὐτῶν, τουτέστι ψυχάς· ποτὲ δὲ, ὁ
Ζαχ. 12. 1. πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ, ὡς, Ε ἐν τῷ Ἀδάμ. Θεὸς μὲν οὖν δίδωσι τὰς ψυχάς· τῆς δὲ μοιχείας, ἢ πορνείας, τοὺς ἀνθρώπους αἰτιασώμεθα. τοὺς γὰρ τεχθέντας οὕτως, ἐνδέχεται εὐσεβεῖς εἶναι καὶ σώφρονας, τοῖς πλημμελῶς γινομένοις κεχρημένους καλῶς τοῦ Θεοῦ.

ιβ. Καὶ νῦν πορεύου, καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου, καὶ συμβιβάσω σε ὃ μέλλεις λαλῆσαι.

Συμβιβάσω. Ἀκύλας, φωτίσω. Σύμμαχος, ὑποδείξω. Ἄλλος, χειραγωγῶν καὶ πράως ὑποτιθέμενος, ἐπιβιῶναί σε ποιήσω τῆς χρείας.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ συμβιβάσω σε, διδάξω σε, εἰς ἁρμονίαν ἄξω σε λόγων.

ιγ. Καὶ εἶπε [Μωϋσῆς,] δέομαι Κύριε· προχείρισαι ἄλλον δυνάμενον, ὃν ἀποστελεῖς.

Α ΕΥΣΕΒΙΟΥ. Ἤδει γὰρ ὁ Προφήτης τὸν μέλλοντα πέμπεσθαι Ἰησοῦν τὸν Χριστὸν τὸν σωτῆρα τὸν ἀληθινόν.

** ΚΥΡΙΛΛΟΥ. Προγινώσκων ὁ θεσπέσιος Μωσῆς τὸν διαρκῶς ἔχοντα πρὸς τὸ ἀκριβὲς καὶ ἀπεξεσμένον τοῖς ἀκροωμένοις ἐμποιῆσαι λόγον τὸν περὶ Θεοῦ, καὶ εἰς τὸ πάσῃ ῥᾳδίως διακηρύξαι τῇ γῇ, τουτέστι Χριστὸν, δέομαι Κύριε, φησὶ, προχείρισαι ἄλλον δυνάμενον, ὃν ἀποστελεῖς. Β Χριστὸς γάρ ἐστιν ὁ δυνάμενος ἀληθῶς· καὶ ὅτι κατὰ καιροὺς κατ' εὐδοκίαν τοῦ Θεοῦ καὶ πατρὸς εἰς τοῦτο προχειρισθήσεται, καὶ διὰ νόμου προήγγελτο. ἡ δέ γε Μωσέως παραίτησις, καὶ μετὰ θείαν ὑπόσχεσιν, καὶ μετὰ πολλῶν σημείων ἐπίδειξιν, τύπος ἂν εἴη κατοκνοῦντός τε ἅμα καὶ παραιτουμένου τοῦ Ἰσραὴλ τὴν ὑπὸ Χριστοῦ θείαν τε καὶ εὐαγγελικὴν λειτουργίαν καὶ ὑπακοήν. οἳ, μετὰ μυρίους ὅσους τοὺς περὶ πίστεως Γ λόγους καὶ τερατουργίας ἐπίδειξιν, τετηρήκασι τὸ δυσήκοον, καὶ μεμενήκασιν ἀπειθεῖς. καὶ διττή γε ἡ Μωσέως παραίτησις. δύω γὰρ χρόνοι, καθ' οὓς ἐξίτιος καὶ δυσάγωγος ἦν ὁ Ἰσραήλ· διὰ Μωσέως τε καὶ Ἰησοῦ καὶ Κριτῶν, καὶ μετ' ἐκεῖνον εὐθὺς, καθ' ὃν γεγόνασι Προφῆται καὶ Ἰωάννης, ὁ καθάπερ ἐν μεταιχμίῳ κείμενος Ἀποστόλων τε καὶ Προφητῶν. πέρας μὲν γὰρ ἦν προφητικῆς λειτουργίας, ἀπαρχὴ δὲ Δ ὥσπερ λαμπρότητος ἀποστολικῆς.

* ΒΑΣΙΛΕΙΟΥ. Ἐλθέτω φησὶν ὁ ἀληθινὸς νομοθέτης, ὁ Χριστός. ἐπειδὴ δὲ οὔπω ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, οὐκ εἰσηκούσθη.

ΤΟΥ ΑΥΤΟΥ. (1) Πολλοὶ σπουδάρχαι, πολλοὶ αὐτοχειροτόνητοι, τὴν παροῦσαν λαμπρότητα διώκοντες, τὴν δὲ μέλλουσαν κρίσιν οὐ προορώμενοι. ἀλλ' οὐ Μωσῆς τοιοῦ- Ε τος· ἀλλ' ὁ πάντα εὐπειθὴς καὶ εὐήκοος, ὅτε ἀπεστέλλετο πρὸς λαὸν, δέομαι φησὶ, Κύριε· προχείρισαι ἄλλον, ὃν ἀποστελεῖς. διὸ καὶ οἱονεὶ φιλονεικότερον αὐτοῦ ἀντέχεσθαι τὸν Θεὸν παρεσκεύασεν, αὐτῇ τῇ παραιτήσει καὶ τῇ ὁμολογίᾳ τῆς ἀσθενείας, τὸ ἄξιος εἶναι τοῦ προεστάναι δεικνύς. διὸ καλῶς ἔχει τὸ παράγγελμα, τὸ, μὴ ζήτει γενέσθαι κριτὴς, μήποτε οὐκ ἰσχύσῃς ἐξᾶραι ἁμαρτίαν. Σειρ. 7. 6.

Ζ ιδ. Καὶ θυμωθεὶς ὀργῇ Κύριος ἐπὶ Μωϋσῆν, εἶπεν, οὐκ ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου ὁ Λευΐτης; ἐπίσταμαι, ὅτι λαλῶν λαλήσει αὐτός σοι: καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι, καὶ ἰδών σε χαρήσεται ἐν ἑαυτῷ.

** ΚΥΡΙΛΛΟΥ. Ἡ Μωσέως παραίτησις πρὸς ὀργὰς ἐκάλει Θεόν· καὶ μεθίστη Η τὸ χρῆμα λοιπὸν εἰς ἑτέραν ὥσπερ οἰκονομίαν, δι' ἧς ἀνασώζεσθαι χρῆν τοὺς ταῖς τῶν Αἰγυπτίων πλεονεξίαις κατηχθημένους.

ΤΟΥ

(1) Κυρίλλου ψευδῶς γράφει ὁ κώδ.

A ΤΟΥ ΑΥΤΟΥ. Προσκεκρȣκότος γὰρ ὥσπερ ὡς ἀδρανȣ̃ς τȣ̃ νόμȣ, καὶ ἠπειθηκότων ἄγαν τῶν ἐξ Ἰσραὴλ, προσετέθη Χριςὸς ὁ ἀληθῶς Λευΐτης, καὶ μέγας ἀρχιερεὺς τοῖς ὑπὸ νόμον τεταγμένοις, ὡς ἀδελφὸς διὰ τὸ ἀνθρώπινον, ὁ Μωσῇ μὲν λαλήσας ὡς Θεὸς, συμβιβαζόμενος δὲ παρὰ τȣ̃ πατρὸς κατάγε τὸ σχῆμα τὸ προφητικὸν, εἰ καί ἐςι Προφητῶν Κύριος.
Δευτ. 18. 18. Προφήτην γάρ φησιν ἀναςήσω αὐτοῖς ἐκ
„ τῶν ἀδελφῶν αὐτῶν, καὶ τὰ ἑξῆς.

B

ιε. Καὶ ἐρεῖς πρὸς αὐτὸν τȣ̀ς λόγȣς τȣ́τȣς, καὶ δώσεις τὰ ῥήματά μȣ εἰς τὸ ςόμα αὐτȣ̃, καὶ ἐγὼ ἀνοίξω τὸ ςόμα σȣ καὶ τὸ ςόμα αὐτȣ̃, καὶ συμβιβάσω ὑμᾶς εἰς ἃ ποιήσετε.

ις. Καὶ λαλήσει αὐτός σοι πρὸς τὸν λαὸν, καὶ αὐτὸς ἔςαι σοι ςόμα· σοὶ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς τὸν Θεόν.

ΚΥΡΙΛΛΟΥ. Διαλέγεται μὲν ὁ Μωσῆς, διατρανοῖ δὲ τὸν λόγον Ἀαρών. εἰ μὴ γὰρ νοηθείη πνευματικῶς ὁ νόμος, ἀποκαλύπτοντος ἡμῖν τὰ ἐν αὐτῷ τȣ̃ Χριςȣ̃, σκοτεινὸν καὶ ἀσυμφανὲς τοῖς ἀκροωμένοις ἔςαι τὸ δηλȣ́μενον. καὶ γȣ̃ν οἱ Ἰȣδαῖοι τὸν διερμηνεύοντα τὰ Μωσέως ȣ̓κ ἔχοντες, τȣτέςι Χριςὸν, ἀπομεμενήκασιν ἀπειθεῖς. τοιγάρτοι καὶ ἔφασκεν ὁ Παῦ-
2. Κορ. 3 14. λος· ἄχρι γὰρ τῆς σήμερον ἡμέρας τὸ
„ αὐτὸ κάλυμμα ἐπὶ τῆς παλαιᾶς διαθή-
„ κης μένει, μὴ ἀνακαλυπτόμενον, ὅ, τι ἐν
„ Χριςῷ καταργεῖται.

∗∗ ΤΟΥ ΑΥΤΟΥ. Ὀρθῶς ȣ̓̃ν ἔφασκεν ὁ τῶν ὅλων Θεὸς πρὸς τὸν ἱεροφάντην
„ Μωσέα περὶ τȣ̃ Ἀαρών· ὅτι λαλῶν λαλή-
„ σει αὐτός σοι, καὶ αὐτὸς ἔςαι σȣ ςόμα· σὺ
„ δὲ αὐτῷ τὰ πρὸς τὸν Θεόν. καὶ ȣ̓ δήπȣ φαμὲν, ὅτι τῷ Θεῷ προσεχέςερον, καὶ μᾶλλον ἐγγὺς παρὰ τὸν Ἐμμανȣὴλ ὁ Μωσῆς. ὁ μὲν γάρ ἐςιν υἱὸς καὶ ἐκ Θεȣ̃ πατρὸς κατὰ φύσιν, ὁ δὲ μεθ᾽ ἡμῶν ἐν οἰκέταις, κἂν εἰ καλοῖτο γνήσιος. δοκεῖ δέ πως γεγενῆσθαι τὰ πρὸς τὸν Θεὸν αὐτῷ. κεχρημάτικε γὰρ ὑπὸ νόμον ὡς ἄνθρωπος ὁ Χριςὸς, καὶ τετήρηκε τὰ Μωσέως. Καὶ μετ᾽ ὀλίγα. Ταύτῃ τοι Μωσῆς μὲν γεγενῆσθαι λέγεται τὰ πρὸς τὸν Θεὸν αὐτῷ.

ιζ. Καὶ τὴν ῥάβδον ταύτην τὴν ςραφεῖσαν εἰς ὄφιν λήψῃ ἐν τῇ χειρί σȣ, ἐν ᾗ ποιήσεις ἐν αὐτῇ τὰ σημεῖα.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Δι᾽ ἧς σωφρονίζονται μὲν οἱ ἁμαρτάνοντες, ἀναπαύονται δὲ οἱ τὴν ἀνωφερῆ καὶ δυσόρθυτον τῆς ἀρετῆς πορείαν ἀνιόντες, διὰ τῶν ἀγαθῶν ἐλπίδων τῇ βακτηρίᾳ τῆς πί-
Ἑβρ. 11. 1. ςεως ἐπερειδόμενοι. ἔςι γὰρ πίςις ἐλπιζο-
„ μένων ὑπόςασις.

ιη. Ἐπορεύθη δὲ Μωσῆς, καὶ ἀπέςρεψε πρὸς Ἰοθὼρ τὸν γαμβρὸν αὐτȣ̃· καὶ εἶπεν αὐτῷ, πορεύσομαι, καὶ ἀποςρέψω πρὸς τȣ̀ς ἀδελφȣ́ς μȣ τȣ̀ς ἐν Αἰγύπτῳ, καὶ ὄψομαι, εἰ ἔτι ζῶσι. καὶ εἶπεν Ἰοθὼρ τῷ Μωϋσῇ, βάδιζε ὑγιαίνων. μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτȣ.

ΑΔΗΛΟΥ. Κρύπτει τὸν πενθερὸν αὐτȣ̃ Ἰοθὼρ ὁ Μωσῆς τὴν ἀποςολὴν τὴν παρὰ Θεȣ̃, ἵνα μὴ ὑποπτεύσας ὁ πενθερὸς ὅτι μισήσας χωρίζεται, κωλύσῃ τὴν κάθοδον.

∗ ΠΡΟΚΟΠΙΟΥ. Οὐχ ἄλλος ὁ τελευτήσας πρὶν φανῇ ὁ Θεὸς Μωϋσῇ, καὶ ἄλλος ὁ μετὰ ταῦτα· ἀλλὰ περὶ τȣ̃ αὐτȣ̃ ἀναλαμβάνει. (1) ὅτι δὲ τȣ̃τό ἐςιν, ἐπά-
„ γει ὁ Θεὸς, βάδιζε· τεθνήκασι γὰρ οἱ
Γ „ ζητȣ̃ντες τὴν ψυχήν σȣ. [εἰ δὲ ἄλλος ἦν ȣ̓̃τος ὁ τελευτήσας, ȣ̓κ ἂν ἐῤῥέθη τȣ̃το κατιέναι μέλλοντι τῷ Μωσῇ, καὶ περὶ τὴν ὁδὸν ὄντι.] τȣ̃το δὲ καὶ τῷ μακαρίῳ Ἰωσὴφ τῷ ἀνδρὶ τῆς ἁγίας παρθένȣ φησὶν ὁ Ἄγγελος. ἐξ ὧν ἁπάντων δείκνυται, ὅτι τύπος ἀκριβὴς ὁ Μωσῆς τȣ̃ Κυρίȣ.

ιθ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν ἐν Μαδιὰμ, βάδιζε, ἄπελθε εἰς Αἴ-
Δ γυπτον· τεθνήκασι γὰρ πάντες οἱ ζη-
κ. τȣ̃ντες τὴν ψυχήν σȣ. Ἀναλαβὼν δὲ Μωϋσῆς τὴν γυναῖκα, καὶ τὰ τέκνα αὐτȣ̃, ἀνεβίβασεν αὐτὰ ἐπὶ τὰ ὑποζύγια, καὶ ἐπέςρεψεν εἰς Αἴγυπτον. ἔλαβε δὲ Μωϋσῆς τὴν ῥάβδον τὴν ἀπὸ τȣ̃ Θεȣ̃ ἐν τῇ χειρὶ αὐτȣ̃.

∗∗ ΚΥΡΙΛΛΟΥ. Προκεχειρισμένος
E εἰς ἀποςολὴν ὁ θεσπέσιος Μωσῆς, ȣ̓κ εὐθυδρομεῖ πρὸς τȣ̃το τὰ ἐν κόσμῳ μεθεὶς, μερίζεται δὲ καὶ εἰς φροντίδα σαρκικὴν, καὶ τοῖς κατὰ γένος προανακοινȣ̃ται τὴν ἀποδημίαν. καὶ ȣ̓ πρότερον ἐξέθη τῆς Μαδιηναίων, εἰ μὴ τεθνεῶτα λοιπὸν τὸν τῆς Αἰγυπτίων ἐμάνθανε τύραννον. ἐδεδίει γὰρ τεθνάναι λίαν. ἐπειδὴ δὲ τῶν ἐπὶ τȣ́τοις δειμάτων ἀπήλλακτο, προηγγελκότος αὐτῷ τȣ̃ Θεȣ̃, τότε δὴ μόλις
Z ἀναλαβὼν τὴν γυναῖκα καὶ τὰ παιδία, κάτεισιν εἰς τὴν Αἴγυπτον, ἀποπεραίνων τὰ προσεταγμένα. τύπος δ᾽ ἂν εἴη ταυτὶ τῆς κατὰ νόμον ζωῆς, μεμερισμένης τρόπον τινὰ, καὶ ἐπ᾽ ἄμφω βλεπȣ́σης, πρός τε τὰ θεῖά φημι καὶ τὰ ἀνθρώπινα. ἔςι γὰρ φροντίδος ȣ̓κ ἐλευθέρα γεώδȣς τε καὶ κοσμικῆς, ȣ̓́τε μὴν εἰς ἅπαν ἱερά· καίτοι τῆς εὐαγγελικῆς πολιτείας ȣ̓κ ἐχȣ́σης ὅλως τὸ μερίζεσθαι πρὸς τὰ σαρκὸς, ἤγȣν
H πρὸς τὰ ἐν κόσμῳ πράγματα, ὁλοτρόπως δὲ ὥσπερ ἀφιερȣ́σης τῷ Θεῷ τȣ̀ς ὑπὸ Χριςῷ γεγονότας.

κα. Εἶπε

(1) Περὶ τȣ̃ αὐτȣ̃ ἐπανάληψις. ἀμέλει μετ᾽ αὐτὴν φησὶν ὁ Θεὸς, βάδιζε, κτ. ὁ τῆς Αὐγ. κώδ.

κα. Εἶπε δὲ Κύριος πρὸς Μωϋ-
σῆν, πορευομένου σου καὶ ἀποστρέφον-
τος εἰς Αἴγυπτον, ὅρα πάντα τὰ τέ-
ρατα ἃ ἔδωκα ἐν ταῖς χερσί σου, ποιή-
σεις αὐτὰ ἐναντίον Φαραώ· ἐγὼ δὲ
σκληρυνῶ τὴν καρδίαν Φαραώ, καὶ οὐ
μὴ ἐξαποστείλῃ τὸν λαόν.

ΑΔΗΛΟΥ. Παρατηρητέον, πῶς εἷς
ἕκαστος τῶν ἀνισταμένων βασιλέων ἐφά-
μιλλος ἐτύγχανε τῇ γνώμῃ τῷ πρὸ αὐτοῦ,
καὶ σχεδὸν τούτῳ τὴν διαδοχὴν ἐκληροῦτο.
» πλὴν εἰπὼν ὁ Θεός, σκληρυνῶ τὴν τοῦ
» Φαραὼ καρδίαν, αὐτὸς προλαβὼν τὴν
γνώμην ἐδήλωσε τοῦ σκληρυνομένου ἐν τοῖς
'Εξόδ. 3. 19, 20. προλαβοῦσι λόγοις, λέγων οὕτως· ἐγὼ δὲ
» οἶδα, ὅτι [οὐ] προήσεται ὑμᾶς Φαραὼ βα-
» σιλεὺς Αἰγύπτου πορευθῆναι, εἰ μὴ μετὰ
» χειρὸς κραταιᾶς. καὶ ἐκτείνας τὴν χεῖρά
» μου, πατάξω τοὺς Αἰγυπτίους ἐν πᾶσι τοῖς
» θαυμασίοις μου, οἷς ποιήσω ἐν αὐτοῖς. καὶ
» μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς.

ΘΕΟΔΩΡΟΥ. Ἐπειδὴ χρόνῳ πολλῷ
μακροθυμῶν διετέλεσεν. εἰ γὰρ ἀπὸ τῆς
προγνώσεως τὰς τιμωρίας ἐπῆγεν ὁ δε-
σπότης, πόθεν ἂν ἐγνώσθη τοῦ Θεοῦ τὸ δί-
καιον τοῖς οὐχ ὁρῶσι τὸ τῆς γνώσεως τέ-
λος; διὰ τοῦτο ἀναμένει πᾶσαν κακίαν
φανερὰν γενέσθαι, καὶ τηνικαῦτα τὴν
τιμωρίαν ἐπάγει.

» ΔΙΟΔΩΡΟΥ. Πῶς νοητέον, ὅτι ἐγὼ
» σκληρυνῶ τὴν καρδίαν Φαραώ; Ἀπὸ πα-
ραινέσεως ἤρξατο ὁ Θεός· εἶτα ὡς ἠπεί-
θει ὁ Φαραώ, μετρίας αὐτῷ ἐπῆγε πλη-
γάς. οὕτως οὖν, καὶ οὐχ ἑτέρως σκληρύνει,
τῷ φείδεσθαι, καὶ Μωσέως εὐχομένου, τὰς
πληγὰς ἀποστρέφειν. ἔδει γὰρ καὶ Μω-
σέα παρακαλοῦντα, τὸν Φαραὼ πείθεσθαι·
καὶ τὸν Θεὸν ἀκούειν Μωσέως, καὶ δεικνύναι
ὅτι μέγιστός ἐστι Προφήτης ὑπὸ Θεοῦ ἀπε-
σταλμένος. ὃ μάλιστα τὸν Φαραὼ σκληρό-
τερον ἐποίει. οἱ γὰρ ἀπειθεῖς παιδευό-
μενοι μέν, ἐνδιδόασιν· ἀπαλλαττόμενοι δέ,
σκληροὶ μένουσι, καὶ τῆς σκληρότητος αἴ-
τιος ὁ ἐνδιδούς. κακίᾳ τοίνυν καὶ σκλη-
ρότητι ἐσκλήρυνε τὴν καρδίαν Φαραὼ ὁ
Θεός· ἀλλὰ καὶ τὸ λέγειν τὸν Θεόν, ἀπό-
'Εξόδ. 5. 1. λυσον τὸν λαόν μου ἵνα μοι λατρεύσῃ, σκλη-
ρὸν ἐποίει τὸν Φαραώ, καὶ ὀργιλώτερον,
καὶ πολὺ πλέον τὸ τῶν πληγῶν μὴ συνα-
πολαύειν τοὺς Ἰσραηλίτας. ἀλλ' οὐ διὰ τοῦ-
το τὸν Θεὸν ἐχρῆν ἀπὸ μεγίστων ἄρξασθαι
πληγῶν, ἵνα μὴ σκληρὸς αὐτὸς νομισθῇ.
κρεῖττον γὰρ διὰ χρηστότητα τοῦ Θεοῦ, τὸ
ἀπειθὲς δειχθῆναι τοῦ Φαραώ, ἢ δι' ἀπο-
τομίαν, ἐλεεῖσθαι μὲν τὸν Φαραώ, δια-
βάλλεσθαι δὲ τὸν Θεόν, ὅτι μὴ ἀπὸ χρη-
στότητος ἤρξατο.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τό, ἐγὼ σκληρυνῶ
» τὴν καρδίαν Φαραώ, πῶς νοητέον; Μά-
λα ῥᾴδιον ἦν, τὸν Θεὸν μετὰ τὴν πρώτην
ἀπείθειαν πανωλεθρίαν ἐπαγαγεῖν. ἀλλ'
ἀφράστῳ κεχρημένος μακροθυμίᾳ, με-

Α τρίας αὐτῷ παιδείας ἐπήγαγε. ταῦτα δὲ
ἀντίτυπον ἐποίει τὴν ἐκείνου καρδίαν. οἰό-
μενος γὰρ μὴ δύνασθαι τὸν Θεὸν μείζοσι
χρήσασθαι τιμωρίαις, τῶν μετρίων κατε-
φρόνει μαστίγων. καὶ ὅτι ταῦθ' οὕτως ἔχει,
ἡ ἱστορία διδάσκει. πρῶτον μὲν γὰρ τῶν
θείων ἐκείνων ἐπακούσας ῥημάτων, ἐξα- 'Εξόδ. 5. 1, 2.
» πόστειλον τὸν λαόν μου ἵνα μοι λατρεύσωσιν
» ἐν τῇ ἐρήμῳ, ὑπολαβὼν ἔφη· τίς ἐστι Κύ-
» ριος, οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ; οὐκ
Β » οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξα-
ποστελῶ. ἔπειτα δὲ τῆς ῥάβδου μεταβλη-
θείσης εἰς ὄφιν, φησὶν ἡ θεία Γραφή·
» καὶ κατίσχυσεν ἡ καρδία Φαραώ· καὶ οὐκ 'Εξόδ. 7. 13, 14.
» εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησεν αὐ-
» τοῖς Κύριος. καὶ εὐθὺς ἐπάγει· εἶπε δὲ
» Κύριος πρὸς Μωϋσῆν, βεβάρυνται ἡ καρ-
» δία Φαραώ, τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαόν.
ἀμφότερα δὲ σημαίνει τὸ τῆς γνώμης
» αὐθαίρετον, καὶ τὸ κατίσχυσεν ἡ καρδία
Γ » Φαραώ, καὶ τὸ βεβάρυνται ἡ καρδία Φα-
ραώ. βαρύνεται μὲν γὰρ καρδία ὑπὸ πο-
νηρίας καθελκομένη. καὶ τοῦτο γὰρ σα-
φῶς ἡμᾶς διδάσκει ὁ μακάριος Δαβίδ. αἱ
» ἀνομίαι μου γάρ φησιν ὑπερῆραν τὴν κε- Ψαλ. 37. 4.
» φαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθη-
» σαν ἐπ' ἐμέ. καὶ ὁ Ζαχαρίας τὴν ἀνομίαν Ζαχ. 5. 8.
ἐθεάσατο μολίβδου τάλαντον ἐν τῷ στόματι
φέρουσαν. ἡ δέ γε ἀπονοίᾳ χρωμένη καρ-
δία κατισχύειν λέγεται, ὡς ἀνθισταμένη
Δ τῷ δεσπότῃ Θεῷ, καὶ νικᾶν αὐτοῦ νεανιευο-
μένη τὴν δύναμιν. ἡ γὰρ εὐσεβὴς ὑπο-
τάσσεται κατὰ τὴν προφητικὴν παραίνε-
» σιν τὴν λέγουσαν, ὑποτάγηθι τῷ Κυρίῳ, Ψαλ. 36. 7.
» καὶ ἱκέτευσον αὐτόν. ἡ δέ γε ἀντίτυπος,
καὶ οἱονεὶ λιθίνη, σκληρύνεται. ὅθεν ὁ
τῶν ὅλων Θεὸς διὰ τοῦ προφήτου Ἰεζεκιὴλ
» περὶ τῶν Ἰουδαίων ἔφη, καὶ ἐκσπάσω τὴν Ἰεζ. 11. 19.
» καρδίαν τὴν λιθίνην ἐξ αὐτῶν. διά τοι
τοῦτο καὶ ὁ μακάριος Μωϋσῆς τὴν ἐπινί-
Ε κιον ᾄδων ᾠδήν, περὶ τοῦ Φαραὼ καὶ τῶν
» Αἰγυπτίων εἴρηκε, κατέδυσαν εἰς βυθὸν 'Εξόδ. 15. 5,
» ὡσεὶ λίθος· καὶ πάλιν, ἔδυσαν ὡσεὶ μό- 10.
» λιβδος ἐν ὕδατι σφοδρῷ. ἐπειδὴ γὰρ ἐβά-
» ρυναν ἑαυτῶν τὴν καρδίαν, ἔδυσαν ὡσεὶ
» μόλιβδος· ἐπειδὴ δὲ ἐσκλήρυναν, κατέ-
» δυσαν εἰς βυθὸν ὡσεὶ λίθος. ὅτι δὲ ἡ
ἀντιτυπία τῆς καρδίας καὶ σκληρότης τι-
μωρίαν ἐπάγει, μάρτυς ὁ θεῖος Ἀπόστο-
» λος, λέγων· ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς Ῥωμ. 2. 4,
Ζ » μετάνοιάν σε ἄγει· κατὰ δὲ τὴν σκληρό- 5, 6.
» τητά σου, καὶ ἀμετανόητον καρδίαν σου θη-
» σαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς,
» καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας τοῦ
» Θεοῦ. ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα
αὐτοῦ. πρὸς δὲ τούτοις κἀκεῖνο σκόπει, ὡς
εἰ φύσει πονηρὸς ἦν ὁ Φαραώ, οὐκ ἂν αὐτοῦ
τὴν γνώμην ἐνήλλαξε. νῦν δὲ ὁρῶμεν,
ὑπὸ μὲν τῆς παιδείας αὐτὸν μαλαττόμε-
νον, ὑπὸ δὲ τῆς μακροθυμίας σκληρυνό-
Η μενον. παιδευόμενος γὰρ ἀντιβολεῖ τὸν
» νομοθέτην, προσεύξασθε περὶ ἐμοῦ λέγων· 'Εξόδ. 8. 8.
» καὶ πάλιν, ὁ Κύριος δίκαιος, ἐγὼ δὲ καὶ
» ὁ λαός μου ἀσεβής. τῆς δὲ τιμωρίας παυο- 'Εξόδ. 9. 27.
μένης, ἐβαρύνετο καὶ ἐσκληρύνετο, καὶ
τοῖς

τοῖς θείοις προστάγμασιν ἀντέλεγε. καὶ
τῆς μὲν κυνομυίας ἐπενεχθείσης ἐν Αἰ-
γύπτῳ, θῦσαι προσέταξε τῷ Θεῷ· τοῦ
θειοτάτου δὲ Μωϋσέως εἰρηκότος μὴ δύνα-
σθαι τοῦτο δρᾶσαι διὰ τοὺς Αἰγυπτίους· τὰ
γὰρ ὑπ' ἐκείνων, φησὶ, θεοποιούμενα θύ-
σομεν, καὶ καταλεύσοντες ἡμᾶς ἀποκτενοῦ-
σιν· ἐπέτρεψεν εἰς τὴν ἔρημον ἀπελθεῖν,
καὶ τὰς θυσίας ἐπιτελέσαι. ἐπὶ τούτοις,
τοῦ Προφήτου προσευξαμένου, καὶ τὴν κυ-
νόμυιαν ἀποφήναντος φροῦδον, ἐβαρυνέ-
Ἐξόδ. 8. 32. φησι τὴν καρδίαν αὐτοῦ καὶ ἐπὶ τούτου τοῦ
» καιροῦ, καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι τὸν
λαόν. τοῦτο καὶ ἐπὶ τοῦ λοιμοῦ γεγένηται
Ἐξόδ. 9. 7. τῶν κτηνῶν· καὶ εἶδε, φησὶ, Φαραὼ, ὅτι
» οὐκ ἐτελεύτησεν ἀπὸ πάντων τῶν κτηνῶν
» τῶν υἱῶν Ἰσραὴλ οὐδὲν, καὶ ἐβαρύνθη ἡ
» καρδία Φαραὼ, καὶ οὐκ ἐξαπέστειλε τὸν
λαόν. ἐν τούτοις ἅπασι δείξας τὸ τῆς γνώ-
μης αὐθαίρετον, καὶ διδάξας ὅπως αὐτοῖς
ἐπηνέχθη τῶν φλυκταινῶν τὸ πάθος, καὶ
ὅτι καὶ τοῖς φαρμακοῖς ἡ νόσος ἐπέσκηψε,
καὶ οὐκ ἠδύναντο οἱ φαρμακοὶ στῆναι ἐναν-
τίον Μωϋσῆ διὰ τὰ ἕλκη· ᾐσχύνοντο γὰρ
καθηλκωμένοι, καὶ σφίσιν αὐτοῖς ἐπα-
Ἐξόδ. 9. 12, μῦναι μὴ δυνάμενοι, ἐπήγαγε· καὶ ἐσκλή-
16, 34, 35. ρυνε Κύριος τὴν καρδίαν Φαραὼ, καὶ οὐκ
» εἰσήκουσεν αὐτῶν, καθὰ συνέταξεν αὐτοῖς
Κύριος. καὶ μετ' ὀλίγα πρὸς αὐτὸν ἔφη
» τὸν Φαραώ· ἕνεκεν τούτου διετηρήθης, ἵνα
» δείξω καὶ ἐν σοὶ τὴν ἰσχύν μου, καὶ ὅπως
» διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ.
καὶ αὖθις μετ' ὀλίγα, καὶ ταῦτα ἔφη.
» ἰδὼν γάρ φησι Φαραὼ, ὅτι πέπαυται ὁ
» ὑετὸς, καὶ ἡ χάλαζα, καὶ αἱ φωναὶ, καὶ
» προσέθετο Φαραὼ τοῦ ἁμαρτάνειν· καὶ
» ἐβάρυνε τὴν καρδίαν αὐτοῦ, καὶ τῶν θερα-
» πόντων αὐτοῦ. καὶ ἐσκληρύνθη ἡ καρδία
» Φαραώ· καὶ οὐκ ἐξαπέστειλε τοὺς υἱοὺς Ἰσ-
» ραὴλ, καθάπερ ἐλάλησε Κύριος τῷ Μωϋ-
» σῇ. τὸ δὲ, καθάπερ ἐλάλησε, τὴν πρό-
γνωσιν τοῦ Θεοῦ δηλοῖ, ἀντὶ τοῦ, οὐδὲν τούτων
ἠγνόησεν ὁ τῶν ὅλων Θεὸς, ἀλλ' ἐξ ἀρχῆς
προείρηκε. ταῦτα δὲ πάντα διεξῆλθον,
δεῖξαι βουλόμενος, ὡς οὔτε φύσεως ἦν ὁ
Φαραὼ πονηρᾶς, οὔτε ὁ δεσπότης Θεὸς
σκληρὰν αὐτοῦ καὶ ἀντίτυπον τὴν γνώμην
εἰργάσατο. ὁ γὰρ νῦν μὲν εἰς τοῦτο ῥέπων,
νῦν δὲ εἰς ἐκεῖνο, δείκνυσι τὸ τῆς γνώμης
αὐθαίρετον. ἵνα δὲ καὶ ἔκ τινος εἰκόνος
τὸ ἀμφιβαλλόμενον διαλύσω· ὁ ἥλιος τῇ
τῆς θέρμης ἐνεργείᾳ τὸν μὲν κηρὸν ὑγραί-
νει, τὸν δὲ πηλὸν ξηραίνει, καὶ τὸν μὲν
μαλάττει, τὸν δὲ σκληρύνει. ὥσπερ τοίνυν
οὗτος τῇ ἐνεργείᾳ τῇ μιᾷ τὰ ἐναντία ποιεῖ,
οὕτω τῇ τοῦ Θεοῦ τῶν ὅλων μακροθυμίᾳ,
οἱ μὲν ὠφέλειαν, οἱ δὲ βλάβην καρποῦν-
ται· καὶ οἱ μὲν μαλάττονται, οἱ δὲ σκλη-
ρύνονται. τοῦτο καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς
Ἰωάν. 9. 39. εὐαγγελίοις δεδήλωκεν· εἰς κρίμα γάρ
» φησιν ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον,
» ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέ-
» ποντες τυφλοὶ γένωνται. τοῦτο δὲ οὐ τοῦ
δεσπότου δηλοῖ τὸν σκοπόν· οὐδὲ γὰρ τούτου
χάριν ἐλήλυθεν, ἵνα τυφλοὺς ἀποφήνῃ

Α τοὺς βλέποντας· ἀλλὰ τὸ γενησόμενον δε-
δήλωκεν. αὐτὸς μὲν γὰρ βούλεται πάν- 1. Τιμ. 2. 4.
» τας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνω-
» σιν ἀληθείας ἐλθεῖν. ἐπειδὴ δὲ τὸ αὐ-
θαίρετον ἔχει τῶν ἀνθρώπων ἡ φύσις, οἱ
μὲν πεπιστευκότες σωτηρίας ἀπήλαυσαν,
οἱ δὲ ἀπιστήσαντες πρόξενοι ἑαυτοῖς τῆς
γεέννης γεγένηνται. οὕτως ὁ Ἰούδας βλέ-
πων· Ἀπόστολος γὰρ ἦν· ὕστερον ἐτυφλώ-
θη. ὁ δὲ θεσπέσιος Παῦλος τυφλὸς ὢν
Β πρότερον, ἀνέβλεψεν ὕστερον. οὕτω διὰ
τῆς τοῦ Σωτῆρος ἐπιφανείας ἐτυφλώθη-
σαν μὲν τῶν Ἰουδαίων οἱ πλεῖστοι, ἀνέβλε-
ψαν δὲ τὰ ἔθνη. οὐ μὴν ἐπειδή τινες ἔμελ-
λον ἀπιστήσειν, ἐχρῆν μὴ γενέσθαι τὴν
κατὰ σάρκα τοῦ Σωτῆρος ἡμῶν οἰκονομίαν.
τοῦτο γὰρ ἀπεστέρει τὴν οἰκουμένην τῆς
σωτηρίας. οὕτω καὶ ὁ θειότατος ἔφη Συ-
» μεών· ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνά- Λουκ. 2. 34.
» στασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς ση-
Γ » μεῖον ἀντιλεγόμενον. κἀκεῖνο μέντοι εἰδέ-
ναι χρὴ, ὡς τὸν παρόντα βίον ὁ τῶν
ὅλων Θεὸς στάδιον τοῖς ἀνθρώποις ἀπέ-
φηνεν, ἵνα ἐν τούτῳ ἀγωνιζόμενοι, δηλώ-
σωσι τὸν οἰκεῖον σκοπόν· ἐν δέ γε τῷ μέλ-
λοντι τὴν δικαίαν ποιούμενος κρίσιν, τοὺς
μὲν ὡς νικηφόρους ἀγωνιστὰς στεφανώσῃ,
τοὺς δὲ κολάσῃ, ὡς τῆς κακίας ἐργάτας
γεγενημένους. ἐπειδὴ δὲ οὐχ ἅπαντες τῷ
μέλλοντι πιστεύουσι βίῳ, μάλα σοφῶς ὁ
Δ τῶν ὅλων Θεὸς καὶ κολάζει τινὰς ἐν τῷδε
τῷ βίῳ πονηρίᾳ συνεζηκότας, καὶ αὖ πά-
λιν ἄλλους ἀνακηρύττει εὐσεβείας πεφρον-
τικότας ὡς μάλιστα. τούτου χάριν ὁ θεῖος
» Ἀπόστολος τινὰς μὲν σκεύη ὀργῆς, τινὰς Ῥωμ. 9. 22,
» δὲ σκεύη ἐλέους ὠνόμασεν. ἐπειδὴ δι' ἐκεί- 23.
νους μὲν, δῆλος γίνεται κολάζων ἐνδίκως
ὁ δεσπότης Θεός· διὰ δὲ τούτων, ἐπιμε-
λείας παντοδαπῆς ἀξιῶν καὶ προμηθείας
τοὺς τῆς ἀρετῆς ἀθλητάς. ἴδοι δ' ἄν τις
Ε καὶ τῶν σωμάτων τοὺς ἰατροὺς τομαῖς καὶ
καυτῆρσι χρωμένους, καὶ τοὺς κεκρυμμέ-
νους χυμοὺς καὶ χαλεπὴν τὴν νόσον ἐργα-
ζομένους, ἀναμοχλεύοντας καὶ ἐξάγον-
τας, καὶ τὰ λανθάνοντα πάθη δῆλα
ποιοῦντας. οὕτω καὶ ὁ τῶν ὅλων Θεὸς τῶν
λογισμῶν τὴν πονηρίαν ταῖς παιδείαις
γυμνοῖ. τοῦτο γὰρ καὶ ἐν τῷ Δευτερονο-
» μίῳ πρὸς τὸν Ἰσραὴλ ἔφη. καὶ μνησθήσῃ Δευτ. 8. 2, 3.
» πᾶσαν τὴν ὁδὸν, ἣν ἤγαγέ σε Κύριος ὁ
Ζ » Θεός σου τεσσαρακοστὸν ἔτος ἐν τῇ ἐρήμῳ,
» ὅπως κακώσῃ σε καὶ πειράσῃ σε, καὶ δια-
» γνωσθῇ τὰ ἐν τῇ καρδίᾳ σου, εἰ φυλάξῃ
» τὰς ἐντολὰς αὐτοῦ, ἢ οὔ. καὶ ἐκάκωσέ σε,
» καὶ ἐλιμαγχόνησέ σε, καὶ τὰ ἑξῆς. κα-
θάπερ δὲ πάλιν οἱ ἰατροὶ τοὺς ἀνηκέστως
διακειμένους, πολλῶν παρόντων, τέμνουσιν,
οὐκ ἐκείνοις τοσοῦτον ἐπικουροῦντες· ἴσασι
γὰρ αὐτῶν τὴν νόσον ἀνίατον· ἀλλὰ τοὺς
φοιτητὰς τὸν τῆς ἰατρείας διδάσκοντες
Η τρόπον· οὕτω καὶ τὸν Φαραὼ ὠμοτάτῃ καὶ
θηριώδει χρησάμενον γνώμῃ ταῖς παντο-
δαπαῖς τιμωρίαις ὑπέβαλεν ὁ Θεὸς, πάν-
τας ὡς ἔπιπαν διδάσκων ἀνθρώπους, ὡς
αὐτὸς ἰθύνει τὴν κλίσιν· καὶ τοῖς μὲν

Rr 2 ἀδικου-

ἀδικουμένοις ἐπαμύνει δικαίως, κολάζει δὲ
τοὺς ἀδικοῦντας ἐνδίκως. τοῦτο γὰρ καὶ
Ἐξόδ. 9. 16. πρὸς αὐτὸν ἔφη τὸν Φαραώ, ἕνεκεν τού-
» του διετηρήθης, ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν
» ἰσχύν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου
» ἐν πάσῃ τῇ γῇ. ὅτι δὲ ἐπὶ παντὸς διέδρα-
με τῶν πεπραγμένων ἡ μνήμη, μαρτυρεῖ
μὲν ἡ Ῥαὰβ ἡ πόρνη, λέγουσα τοῖς κα-
Ἰησ. 2. 9, 10. τασκόποις, ὅτι ὁ φόβος ὑμῶν, καὶ ὁ τρόμος
» ὑμῶν ἐπέπεσεν ἐφ' ἡμᾶς. ἠκούσαμεν γὰρ
» ὅπως κατεξήρανε Κύριος ὁ Θεὸς ὑμῶν τὴν
» ἐρυθρὰν θάλασσαν πρὸ προσώπου ὑμῶν.
μαρτυροῦσι δὲ καὶ οἱ ἀλλόφυλοι πόρρωθεν
τὴν κιβωτὸν θεασάμενοι, καὶ βοήσαντες,
1. Βασ. 4. 8. οὐαὶ ἡμῖν ἀλλόφυλοι· οὗτος ὁ Θεὸς ὁ πα-
» τάξας τὴν Αἴγυπτον.

** ΩΡΙΓΕΝΟΥΣ. Ὥσπερ ἐπί τινων
σωματικῶν παθημάτων, εἰς βάθος τοῦ,
ἵν' οὕτως εἴπω, κεχωρηκότος κακοῦ, ὁ ἰα-
τρὸς εἰς τὴν ἐπιφάνειαν διά τινων φαρμά-
κων ἕλκει καὶ ἐπισπᾶται τὴν ὕλην, φλεγ-
μονὰς χαλεπὰς ἐμποιῶν, καὶ διοιδήσεις,
καὶ πόνους πλείονας ὧν εἶχέ τις πρὶν ἐπὶ
τὸ θεραπευθῆναι ὁδεῦσαι· ὥσπερ ἔθος
ποιεῖν αὐτοῖς ἐπὶ λυσσοδήκτων, καὶ ἑτέρων
τινῶν τὰ παραπλήσια τούτοις πεπονθό-
των· οὕτως οἶμαι καὶ τὸν Θεὸν οἰκονομεῖν
τὴν κρύφιον κακίαν, εἰς τὸ βάθος κεχω-
ρηκυῖαν τῆς ψυχῆς. καὶ ὥσπερ λέγει ὁ
ἰατρὸς ἐπὶ τοῦδέ τινος· ἐγὼ φλεγμονὰς
ποιήσω περὶ τὸν τόπον τῆς ἀνέσεως, καὶ
διοιδῆσαι ἀναγκάσω τάδε τινὰ μέρη, ὥστε
ἀπόστημα χαλεπὸν ἐργάσασθαι· λέγοντος
δὲ ταῦτα τοῦ ἰατροῦ, ὁ μὲν ἀκούων αὐτοῦ
ἐπιστημονικώτερος, οὐκ αἰτιάσεται; ἀλλὰ
καὶ ἐπαινέσεται τὸν ταῦτα οἱονεὶ ἀπει-
λοῦντα ἐργάσασθαι· ὁ δέ τις λέξει φάσ-
κων, ἀλλότριον τῆς τῶν ἰατρῶν ἐπαγγε-
λίας ποιεῖν, τὸ δέον ὑγιάζειν, ἐπὶ φλεγ-
μονὰς καὶ ἀποστήματα ἄγοντα· οὕτω δὲ
» οἶμαι καὶ τὸν Θεὸν εἰρηκέναι τὸ, ἐγὼ σκλη-
» ρυνῶ τὴν καρδίαν Φαραώ· καὶ τούτων γε-
γραμμένων, ὁ μὲν ἀκούων ὡς Θεοῦ λογίων,
τὸ μὲν ἀξίωμα τοῦ λέγοντος τηρῶν ἀπο-
δέχεται, καὶ ζητῶν πᾶς εὑρίσκει καὶ ἐν
τούτοις ἀγαθότητα τοῦ Θεοῦ παραστῆσαι γι-
νομένην· φανερώτερον μὲν ἐπὶ σωτηρίᾳ
τοῦ λαοῦ, διὰ πλειόνων παραδόξων πιστο-
ποιουμένου· καὶ δεύτερον περὶ τῶν Αἰγυ-
πτίων, ὅσοι ἔμελλον τὰ γινόμενα κατα-
πληττόμενοι ἀκολουθεῖν τοῖς Ἑβραίοις·
Ἐξόδ. 12. 38. ἐπίμικτος γάρ φησι λαὸς πολὺς τῶν Αἰ-
» γυπτίων συνεξῆλθεν αὐτοῖς· ἀποῤῥητό-
τερον δὲ καὶ βαθύτερον τάχα, καὶ ἐπὶ
τῷ ὄφελος γενέσθαι αὐτῷ τῷ Φαραώ, οὐκ
ἔτι ἀποκρύπτοντι τὸν ἰὸν, οὐδὲ τὴν ἕξιν
συνέχοντι, ἀλλ' ἕλκοντι καὶ εἰς τοὐμφανὲς
ἄγοντι αὐτὸν, καὶ τάχα διὰ τοῦ πράττειν
ἐκλύοντι, ἵνα πάντα τὰ τῆς ἐνυπαρχούσης
κακίας ἐκβράσματα ἐπιτελέσας, ἄτονον
ὕστερον ἔχῃ τὸ τῶν κακῶν οἰστικὸν δένδρον,
καὶ τάχα ξηραινόμενον ἐπὶ τέλει, ὅτε
καταποντοῦται. οὐχ ὡς οἰηθείη ἄν τις ἐπὶ
τῷ παντελῶς ἀπολέσθαι, ἀλλ' ἐπὶ τῷ ἀπο-

A βαλόντα τὰ ἁμαρτήματα κουφισθῆναι, καὶ
τάχα ἐν εἰρήνῃ ἀπὸ τοσούτου πολέμου τῆς
ψυχῆς εἰς ᾅδου καταβῆναι. ἀλλ' εἰκὸς
δυσπαθῶς ἕξειν τοὺς ἐντευξομένους, βίαιον
ὑπολαμβάνοντας εἶναι τὸ λεγόμενον, ὡς
ἄρα συμφέρον γεγονέναι τῷ Φαραὼ τὸ
ἐσκληρῦνθαι αὐτοῦ τὴν καρδίαν, καὶ ὑπὲρ
αὐτοῦ πάντα τὰ ἀναγεγραμμένα γεγονέ-
ναι, μέχρι καὶ τῆς καταποντώσεως. ὅρα
δὲ εἰ δυνάμεθα ἐντεῦθεν τὸ δυσπαθὲς πε-
B ριελόντες, πειθὼ ἐνεργάσασθαι τοῦ περὶ
» τῶν εἰρημένων. πολλαὶ αἱ μάστιγες, φη- Ψαλ. 31. 10.
» σὶν ὁ Δαβὶδ, τοῦ ἁμαρτωλοῦ· ὁ δὲ υἱὸς αὐ-
» τοῦ διδάσκει, ὅτι μαστιγοῖ ὁ Θεὸς πάντα Παροιμ. 3. 12.
» υἱὸν ὃν παραδέχεται. ἔτι δὲ αὐτὸς ὁ Δα-
βὶδ ἀπαγγελίαν προφητεύων τὴν περὶ
Χριστοῦ, καὶ τῶν εἰς αὐτὸν πιστευόντων,
» φησίν· ἐὰν ἐγκαταλείπωσιν υἱοὶ αὐτοῦ τὸν Ψαλ. 88. 30,
» νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευ- 31, 32, 33.
» θῶσιν· ἐὰν τὰ δικαιώματά μου βεβηλώ-
Γ » σωσι, καὶ τὰς ἐντολάς δέ μου μὴ φυλάξω-
» σιν, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας
» αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν·
» τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐ-
τῶν. ὄντως χάρις Θεοῦ ἐστὶ τὸ ἄνομον ἐπι-
σκεφθῆναι ῥάβδῳ, καὶ τὸν ἁμαρτωλὸν
μάστιξι. καὶ ὅσον γε οὐ μαστιγοῦται ὁ ἁμαρ-
τάνων, παιδεύσει καὶ διορθώσει οὐδέπω
ὑπάγεται. Καὶ μετ' ὀλίγα. Παρατηρητέον δὲ
καὶ ἐπὶ ταῖς προφητικαῖς ἀπειλαῖς ἐπὶ
Δ » τοῖς πολλοῖς ὅτι ἐπιλέγεται τὸ, γνώσον-
» ται ὅτι ἐγώ εἰμι Κύριος. καὶ ἀπειλεῖ οὐ μό-
νον Ἰσραηλίταις, ἀλλὰ καὶ Αἰγυπτίοις,
καὶ Ἀσσυρίοις, καὶ ἑτέροις ἐχθροῖς τοῦ
λαοῦ. τοῦτο δὲ τὸ ἐπὶ τέλει πολλῶν νομι-
ζομένων ἀπειλῶν καὶ ἐν τῇ Ἐξόδῳ ἀνα-
γέγραπται. Καὶ μεθ' ἕτερα. Ἡμεῖς δὲ πολ-
λαχόθεν πειθόμενοι, καὶ πόνον καὶ κόλα-
σιν τὰ προσαγόμενα ἀπὸ τοῦ Θεοῦ νομίζο-
μεν γίνεσθαι οὐδέποτε κατὰ τῶν πασχόν-
E των, ἀλλ' ἀεὶ ὑπὲρ αὐτῶν. Καὶ μεθ' ἕτερα.
Οὐ θαυμαστὸν οὖν εἰ καὶ τὰ περὶ τὸν Φα-
ραὼ τὸν σκληρυνόμενον, καὶ ἐπὶ τέλει
τοιαύταις κολάσεσι περιβαλλόμενον ἀπὸ
ἀγαθότητος οἰκονομεῖται Θεοῦ.

** ΤΟΥ ΑΥΤΟΥ. Ἔλεγε δέ τις τῶν
καθ' ἡμᾶς, ἀπὸ τῆς συνηθείας τὸ ζητού-
μενον παραμυθούμενος, ὅτι πολλάκις οἱ
χρηστοὶ κύριοι μακροθυμοῦντες ἐπὶ τοὺς ἁ-
Z μαρτάνοντας τῶν οἰκετῶν, λέγειν εἰώθα-
σι τὸ, ἐγώ σε ἀπώλεσα, καὶ, ἐγώ σε πο-
νηρὸν ἐποίησα, μετὰ τοῦ ἤθους ἐμφαίνον-
τες ὅτι ἡ χρηστότης αὐτῶν καὶ μακροθυ-
μία πρόφασις δοκεῖ γεγονέναι τῆς ἐπὶ
πλεῖον πονηρίας. ὥσπερ οὖν τούτων λεγο-
μένων, δύναταί τις λέγειν συκοφαντῶν,
ὅτι ὡμολόγησεν ὁ δεσπότης πονηρὸν πε-
ποιηκέναι τὸν οἰκέτην· οὕτω τὰ ὑπὸ τῆς
ἀγαθότητος τοῦ Θεοῦ πρόφασις γενόμενα
H τῆς σκληρότητος τοῦ Φαραὼ, ἐσκληρυκέ-
ναι ἀναγέγραπται τὴν καρδίαν Φαραώ.
παραμυθήσεται δὲ οὗτος ἐξ ἀποστολικῶν
» ῥητῶν ὃ νενόηκεν· ἢ τοῦ πλούτου τῆς χρη- Ῥωμ. 2. 4.
» στότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς 5, 6.
μακρο-

» μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; διὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως, καὶ δικαιοσύνης τοῦ Θεοῦ. ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ὁ αὐτὸς γοῦν Ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ φησίν·
Ῥωμ. 9. 22. εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν, καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ, ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν· ὡς τῆς μακροθυμίας αὐτοῦ ἐνδοχυίας τὰ σκεύη τῆς ὀργῆς, καὶ οἱονεὶ γεγεννηκυίας. εἰ γὰρ παρὰ τὸ μακροθυμεῖν αὐτὸν οὐ κολάζοντα τοὺς ἁμαρτάνοντας, ἀλλ' ἐλεοῦντα, ἐπλεόνασε τῇ χύσει, αὐτός πως ἤνεγκε τῇ ἑαυτοῦ μακροθυμίᾳ τὰ σκεύη τῆς ὀργῆς, καὶ ἵν' οὕτως εἴπω, αὐτὸς τὰ πάντα πεποίηκε σκεύη ὀργῆς, καὶ κατὰ τοῦτο αὐτὸς ἐσκλήρυνε τὴν καρδίαν αὐτῶν. Γ ὅτε γὰρ σημείων τοσούτων καὶ τεράτων γενομένων, οὐ πείθεται ὁ Φαραὼ, ἀλλὰ μετὰ τηλικαῦτα ἀνθίσταται, πῶς οὐ σκληρότερος καὶ ἀπιστότερος ἐλέγχεται; τῆς σκληρότητος καὶ ἀπιστίας δοκούσης ἐκ τῶν τερασίων δυναμένης γεγονέναι. ὅμοιον δὲ καὶ τὸ ἐν τῷ
Ἰωάν. 9. 39. Εὐαγγελίῳ· εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον. οὐ γὰρ προέθετο ὁ Σωτὴρ εἰς κρίμα ἐλθεῖν, ἀλλ' ἠκολούθησε τῷ ἐληλυθέναι αὐτὸν, Δ τὸ εἰς κρίμα αὐτὸν ἐληλυθέναι τῶν μετὰ τὰ τεράσια οὐ πεπιστευκότων αὐτῷ· ἀλλὰ καὶ εἰς πτῶσιν ἐλήλυθε.

κϐ. Σὺ δὲ ἐρεῖς τῷ Φαραὼ, τάδε λέγει Κύριος· υἱὸς πρωτότοκός μου Ἰσραήλ.

ΑΔΗΛΟΥ. Πρωτότοκος ἐκλήθη, ὡς ἔχων νοῦν ὁρῶντα Θεόν.

Ε

κγ. Εἶπα δέ σοι, ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσῃ· σὺ δὲ οὐκ ἐβούλου ἐξαποστεῖλαι αὐτὸν, ὅρα οὖν, ἐγὼ ἀποκτενῶ τὸν υἱόν σου τὸν πρωτότοκον.

** ΩΡΙΓΕΝΟΥΣ. Λεκτέον οὖν τοῖς φάσκουσι δικαίου εἶναι ταῦτα Θεοῦ, καὶ ὑπολαμβάνουσι κατὰ τὸ πρόχειρον τῆς λέξεως ἐσκληρῶσθαι τὴν καρδίαν Φαραὼ Ζ βασιλέως, ἵνα μὴ ἐξαποστείλῃ τὸν λαὸν αὐτοῦ, πῶς δίκαιος ὁ σκληρύνας τὴν καρδίαν, καὶ ἀπειλῶν εἰ μὴ ἀπολύσει, ἀποκτεῖναι τὸν πρωτότοκον αὐτοῦ υἱόν; θλιβόμενοι γὰρ πονηρὸν αὐτὸν ὁμολογήσουσιν. εἶτα πάλιν ἀπὸ ἑτέρων ἀνατραπήσονται, καὶ ἀναχθήσονται εἰς τὸ μὴ τῇ προχείρῳ λέξει δουλεύειν, οὐ δυναμένῃ κατ' αὐτοὺς σῶσαι τὸ δίκαιον τοῦ δημιουργοῦ. ἅπαξ δὲ Η ἐὰν νῦν ἀναγκασθῶσι βεβιασμένως ταῦτα ἐξετάζειν, ἀναβήσονται ἐπὶ τὸ μηκέτι κατηγορεῖν τοῦ δημιουργοῦ, ἀλλὰ φάσκειν αὐτὸν ἀγαθὸν εἶναι. πυστέον οὖν τῶν οἰο-» μένων νενοηκέναι τὸ, ἐσκλήρυνε Κύριος ὁ

A » Θεὸς τὴν καρδίαν Φαραὼ, πότερον ἀληθῶς πιστεύουσι λέγεσθαι ταῦτα ὑπὸ τοῦ Θεοῦ, διὰ Μωϋσέως ἐνθουσιῶντος, ἢ ψευδῶς; εἰ μὲν γὰρ ψευδῶς, οὔτε δίκαιος ἔτι κατ' αὐτοὺς ὁ Θεὸς, οὔτε ἀληθὴς, καὶ ὅσον ἐπὶ τούτοις, οὐδὲ Θεός· εἰ δὲ ἀληθῶς, κατανοείτωσαν, εἰ μὴ ὡς αὐτεξούσιον αἰτιᾶται λέγων, εἰ δὲ μὴ βούλει ἐξαποστεῖλαι αὐτόν. καὶ ἀλλαχοῦ· ἕως τίνος οὐ βούλει ἐντραπῆναί με; δυσωπητικῶς λέ- 'Ἐξόδ. 8. 2. 'Ἐξόδ. 10. 3.
Β γεται πρὸς τὸν Φαραὼ οὐκ ἐντρεπόμενον, οὐ παρὰ τὸ μὴ δύνασθαι, ἀλλὰ παρὰ τὸ μὴ βούλεσθαι.

κδ. Ἐγένετο δὲ ἐν τῇ ὁδῷ ἐν τῷ καταλύματι συνήντησεν αὐτῷ Ἄγγελος· καὶ ἐζήτει ἀποκτεῖναι αὐτόν.

ΙΣΙΔΩΡΟΥ. Τὸ μὲν μῆκος αἰσχύνομαι, ὅσον τὸ γράμμα ἀφίκεται, τὸν δὲ Γ τῦφον οὐκ ἤνεγκα καὶ παρὰ σοῦ ἐρωτώμενος. ὅμως ἐπειδὴ καὶ γονεῖς προσεπαγάλλονται τοῖς τῶν παίδων γυμνάσμασιν, εἰ καὶ ψιλὰ εἴη ἀθύρματα, συντόμως ἐρῶ. ὁ Ἄγγελος ὑπαντήσας Μωσῇ καταβαίνοντι εἰς Αἴγυπτον, καὶ βουληθεὶς ἀνελεῖν αὐτὸν, οὐ τὸν φόνον ἐκδικῶν ὃν πάλαι ζηλώσας εἰργάσατο, τὴν μάχαιραν κατ' αὐτοῦ ἀνετείνατο, ἀλλὰ τοῦ νόμου παράβασιν ἐγκαλῶν αὐτῷ, ὃν πληροῦν ἐπο-Δ ρεύετο. νομοθέτης γὰρ παρὰ Θεοῦ προχειρισθεὶς, καὶ φυλάσσειν τὸν νόμον ἀκριβῶς ὀφείλων, αὐτὸς ἐκ προοιμίων τοῦτον παρέβαινε, τοὺς υἱοὺς ἀκροβύστους εἰς Αἴγυπτον ἐπαγόμενος, κἀκείνην τὴν ἐντολὴν καταργῶν, ἥτις μόνη Ἑβραίους καὶ ἀλλοφύλους διέκρινεν. ἐπεὶ δὲ Σεπφώρα ψῆφον λαβοῦσα, τὸν υἱὸν περιέτεμεν, ἐν συναισθήσει γενομένη τοῦ πταίσματος, καὶ πρὸς τοὺς πόδας τοῦ Ἀγγέλου προσέπεσεν, Ε εὐθὺς αὐτὸς ἀνεχώρησεν, ἐκεῖνο δείξας αἴτιον τῆς τοῦ Θεοῦ ἀγανακτήσεως, ὃ ἡ πίστις τῆς γυναικὸς ἐσχεδιάσατο. καὶ γὰρ φιλεῖ ἐν ἀνάγκῃ τὰ γύναια ἀσθενεστέροις τῶν ἀνδρῶν κεχρῆσθαι μηχανήμασι, καὶ τῆς πρὸς Θεὸν καταφυγῆς γνησιώτερον ἅπτεσθαι.

ΕΥΣΕΒΙΟΥ. Ἐνταῦθα ἐπιπηδᾷ ὁ Ἰουδαῖος, καί φησι, περιέτεμε γυνὴ τὸν υἱὸν, καὶ οὐκ ἀνῃρέθη Μωσῆς. τοσοῦτον ἰσχύει Ζ περιτομή. εἰ ἡ περιτομὴ τοῦ ἑνὸς παιδὸς ἴσχυσε σῶσαι τὸν πατέρα, ὦ Ἰουδαῖε, ἡ τοῦ δευτέρου ἀκροβυστία, πῶς οὐδὲν ἔβλαψεν; εἰ ἡ περιτομὴ ἦν ἡ προστατοῦσα τοῦ παιδὸς, ὁ Μωσῆς τοῦτο μαθὼν, οὐκ ἂν ἐν τῇ ἐρήμῳ ὅλους τοὺς γεννηθέντας παῖδας, Ἀγγέλου προηγουμένου, ἐτόλμησεν ἀφεῖναι ἀπεριτμήτους, πεῖραν λαβὼν ἐξ ὧν αὐτὸς ἔπαθεν. ἀλλ' οὐδὲ Μωσῆς ὑπεβάλετο περιτεμεῖν, ἀλλ' ἡ μήτηρ ἐσχεδιάσατο. καί-Η τοι εἰ ἀποκτεῖναι ἠθέλησεν ὁ Ἄγγελος, προέφθανε πάντως ἡ χεὶρ τοῦ Ἀγγέλου εἰς ἀναίρεσιν· ἀλλ' οὐκ ἤθελε φονεῦσαι, ἀλλὰ τὴν γυναῖκα ἀποστρέψαι. πῶς γὰρ τὸν λαὸν μέλλων ἐξαγαγεῖν ἐξ Αἰγύπτου, αὐτὸς

αὐτὸς τὴν γυναῖκα καὶ τοὺς παῖδας εἰσέφερεν; ὅτι δὲ οὔτε ἡ γυνὴ αὐτοῦ μετ' αὐτοῦ εἰσῆλθεν, οὔτε οἱ παῖδες πάλιν, αὐτὸς μαρτυρεῖ. ἔπεμψε γὰρ πρὸς τὸν πατέρα αὐτοὺς, ὡς σιωπεῖς τὴν αἰτίαν, καὶ παραφυλαξάμενος εἰσενεγκεῖν τὴν γυναῖκα.

ΑΔΗΛΟΥ. Ὁ Εὐσέβιος λέγει, διὰ τοῦτο ἐζήτει ὁ Ἄγγελος ἀνελεῖν αὐτὸν, διὰ τὸ ἐπιφέρεσθαι αὐτῷ καταβαίνοντι εἰς Αἴγυπτον τὴν γυναῖκα καὶ τὰ παιδία, ὡς ἀπιστοῦντι ἐξελθεῖν ἐξ Αἰγύπτου. ἀπειληθεὶς δὲ οὐκ ἔτι εἰσήγαγεν, ἀλλ' ἔπεμψε πρὸς τὸν πενθερόν. ὅτι δὲ οὐ διὰ τὸ ἀπεριτμήτους εἶναι τοὺς υἱοὺς ἠγανακτήθη ὁ Μωϋσῆς, σημαίνει τὸ ἐν τῇ ἐρήμῳ πάντας τοὺς γεννηθέντας παῖδας ἀπεριτμήτους ἐᾶσαι. μὴ οὖν μαγαλοφρονείτωσαν οἱ Ἰουδαῖοι ἐπὶ τῇ περιτομῇ.

ΔΙΟΔΩΡΟΥ. Οὐχ ὁρῶ πῶς ὁ Ἄγγελος ἀνελεῖν ἐβούλετο τὸν Μωσέα, ἢ κατὰ τοὺς ἄλλους ἑρμηνευτὰς, (1) ὁ Κύριος, προειδὼς ὅσα δι' αὐτοῦ ποιήσει θαύματα κατ' Αἴγυπτον, καὶ κατὰ τὴν ἔρημον πᾶσαν· πλὴν εἰ μήτις, ὅπερ ἀληθές ἐστιν εἴποι· ὅτι ὁ μὲν Μωσῆς ἐνόμισε τὸν Θεὸν ὠργίσθαι αὐτῷ, ἐπειδὴ τὸν λαὸν ἀμελητὶ προσταχθεὶς ἀναγαγεῖν, καὶ γυναῖκα καὶ τέκνα ἀπεφέρετο εἰς Αἴγυπτον. διὸ δὴ καὶ ἀπέπεμψεν αὖθις τὰ φίλτατα πρὸς τὸν πενθερόν. ἡ δὲ Σεπφώρα, ἐπειδὴ τὰ παιδία Μωϋσέως ἀπερίτμητα ἦν, ᾠήθη τὸν Θεὸν αὐτῷ διὰ τοῦτο ὀργισθῆναι. ἐβεβαίωσε δὲ αὐτὴν τὴν ὑποψίαν, τὸ τὸν « Ἄγγελον ἀκούσαντα, ὅτι ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου τοῦ περιτμηθέντος, » ἀναχωρῆσαι. ἐγὼ δὲ, εἰ τοῦτο ἦν ἀληθὲς, λέγω δὴ ὅπερ ὑπετόπασεν ἡ γυνὴ, ἀπορῶ τί δήποτε ὁ Ἄγγελος ἀνεχώρησε, μὴ καὶ τοῦ ἑτέρου παιδίου περιτμηθέντος; διατί δὲ Μωϋσῆς, εἰ διὰ τὸ ἀπερίτμητα εἶναι τὰ παιδία περὶ τὸ ζῆν ἐκινδύνευε, τοὺς ἐν τῇ ἐρήμῳ τεχθέντας ἀπεριτμήτους κατέλιπεν; ὥστε εἰ καὶ ἡ Σεπφώρα, διὰ τὸ ἀπερίτμητα αὐτῶν μεμενηκέναι τὰ παιδία, ᾠήθη τὸν Θεὸν αὐτοῖς ὠργίσθαι· καὶ ὁ Μωϋσῆς ἐπειδὴ τὴν γυναῖκα ἔχων καὶ τὰ παιδία κάτεισιν εἰς Αἴγυπτον, καὶ διὰ τοῦτο ἀπέπεμψε τὴν γυναῖκα. ἀλλὰ φανερὸν, ὅτι τὸν Μωσέα δεδοικότα τὸν Φαραὼ, ὡς καὶ ἀντιπεῖν τῷ Θεῷ πέμποντι αὐτόν· τὸ τελευταῖον δὲ ἤξαντα φοβεῖ ὁ Ἄγγελος, ὡς καὶ αὐτίκα ἀναιρήσων, ἵνα ἔχων ἐν νῷ τὸν ἀπὸ τῆς ἀοράτου δυνάμεως κίνδυνον, κραταιοτέρῳ φόβῳ καὶ μείζονι τὸν ἀπὸ τοῦ Φαραὼ φόβον ἐξώσηται. οὐ θαυμαστὸν δὲ, εἰ ταύτην μὲν τὴν αἰτίαν ἐσιώπησεν ὁ Ἄγγελος, τοῦ δῆθεν ἀνελεῖν ἐθέλειν τὸν Προφήτην, πρόφασιν δὲ τῆς ἀναχωρήσεως εἴληφε τὸ ῥῆμα τῆς Σεπφώρας. τοιοῦτον γάρ τοι καὶ τῷ Βαλαὰμ Ἄγγελος ποιεῖ. τὸ μὲν πρῶτον, κωλύων

A αὐτὸν ἀπελθεῖν καλούμενον ὑπὸ τοῦ Βαλάκ· ὡς δὲ ἐπέμεινεν ἐπειγόμενος ἐξορμῆσαι, τοῦτο μὲν συγχωρήσας, κατὰ δὲ τὴν ὁδὸν φοβῶν αὐτὸν, ξίφος ἀμφῆκες ἔδειξεν εἰς ἀναίρεσιν τοῦ μάντεως· οὐχ ἵνα ἀνέλῃ, ἀλλ' ἵνα φοβήσῃ, καὶ τῶν τοῦ Βαλὰκ τιμῶν καταφρονῆσαι παρασκευάσῃ, καὶ τὸ δοκοῦν τῷ Θεῷ προτιμήσῃ. καὶ τοῦτο μὲν οἰκονομεῖ, φησὶ δὲ τῷ Βαλαὰμ, « ὅτι εἰ μὴ ἐξέκλινεν ἡ ὄνος, σὲ μὲν ἂν ἐξε- Ἀριθ. 22. 23.
B κέντησα, τὴν δὲ ὄνον περιεποιησάμην. » ὥσπερ τοίνυν ἐνταῦθα τῆς ὄνου τὴν ἔκκλησιν, πρόφασιν εἴρηκε τοῦ μηκέτι ἀνῃρηκέναι δοκεῖν, τὸ δὲ ἀληθὲς ἀπειλὴ ἦν τὸ γινόμενον καὶ κατάπληξις, δι' ἣν αἰτίαν εἰρήκαμεν· οὕτω καὶ τὸν Μωσέα παραγεγονὼς ὁ Κύριος φοβῆσαι, ὡς ἱκανῶς εἶχεν αὐτῷ τὰ τῆς οἰκονομίας, τῆς ἀναχωρήσεως εἴληφε πρόφασιν, τὴν φωνὴν τῆς « Σεπφώρας, εἰπούσης, ἔστη τὸ αἷμα τῆς
Γ περιτομῆς τοῦ παιδίου. »

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ἐβουλήθη ὁ Ἄγγελος ἀνελεῖν τὸν Μωϋσῆν; Ἡ γυνὴ μὲν ἐτόπασε διὰ τὸ θάτερον τῶν παιδίων μὴ περιτμηθῆναι κατὰ τὸν τῶν Ἑβραίων νόμον. παραυτίκα οὖν αὐτῷ τὴν περιτομὴν προσενήνοχε. τινὲς δέ φασιν, ἐπειδὴ πεμφθεὶς ἐπ' ἐλευθερίᾳ τῶν ὁμοφύλων, κοινωνὸν εἶχε τῆς ὁδοῦ τὴν ὁμόζυγον. οὓς
Δ ἐχρῆν σιωπεῖν, ὅτι πρὸς τὸ πεῖσαι τὸν κηδεστὴν, ὡς οὐ καταφρονήσει τῆς γυναικὸς, οὐδὲ ἑτέραν αὐτῆς προτιμήσει, λαβεῖν αὐτὴν ἠναγκάσθη· ἀλλ' οὐ καταφρονητικῶς διακονῶν τῷ θείῳ προστάγματι. αὐτίκα γοῦν λαβὼν τὴν ἀφορμὴν τοῦ Ἀγγέλου, τὴν γυναῖκα πρὸς τοὺς οἰκείους ἀναστρέψαι προσέταξε. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἡ ἱστορία διδάσκει. μετὰ γὰρ τὴν ἔξοδον τὴν ἐξ Αἰγύπτου, διαβάντων αὐτῶν τὴν
E ἐρυθρὰν θάλασσαν, καὶ εἰς τὸ Σίναιον παραγενομένων ὄρος, ἀφίκετο σὺν τῇ γυναικὶ πρὸς αὐτὸν ὁ κηδεστής. λέγει δὲ « οὕτως ἡ ἱστορία· ἔλαβε δὲ Ἰοθὼρ ὁ γαμβρὸς Ἐξόδ. 18. 2, 3, 5.
Μωσῆ Σεπφώραν τὴν γυναῖκα Μωσῆ μετὰ τὴν ἄφεσιν αὐτῆς· καὶ τοὺς δύο υἱοὺς αὐτοῦ, καὶ ἦλθε πρὸς τὸν Μωϋσῆν εἰς τὴν ἔρημον. » τοιγάρτοι ἄλλο τι κατασκευάζων ὁ Ἄγγελος, ἔδειξε τὴν ῥομφαίαν γυμνήν. ἐπειδὴ γὰρ ὁ μέγας Μωσῆς ἐδεδίει τὸν
Z Φαραὼ, καὶ πολλάκις τοῦτο τὸ δέος ἐδήλωσε, νῦν μὲν λέγων, « τίς εἰμι ἐγὼ ὅτι πο- Ἐξόδ. 3. 11.
ρεύσομαι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου; νῦν δὲ, προχείρισαι ἄλλον δυνάμενον, ὃν ἐξαποστελεῖς· καὶ πάλιν, ἰσχνόφωνος καὶ βραδύγλωσσος ἐγώ εἰμι· » ἀπειλεῖ αὐτῷ τιμωρίαν ὁ Ἄγγελος, φόβῳ φόβον ἐξελαύνων, τῷ μείζονι τὸν ἐλάττονα· μονονουχὶ λέγων διὰ τῆς γεγυμνωμένης ῥομφαίας· εἰ τὸν Φαραὼ δέδοικας, μᾶλλον δεῖσον ἐμὲ
H τὸν καὶ ἀοράτως σοι τὴν πληγὴν ἐπενεγκεῖν δυνάμενον.

ΚΥΡΙΛ-

(1) Κατά γε Σύμμαχον καὶ Θεοδοτίωνα. αὐτοὶ γὰρ, Κύριος ἀντὶ τοῦ, Ἄγγελος, ἐξέδωκαν. ὁ δὲ Ἀκύλας, Θεός.

** ΚΥΡΙΛΛΟΥ. Τύπος οὖν ἄρα σαφής τε καὶ ἐναργὴς, τοῦ μέχρι Μωσέως ἰσχύσαι τὸν θάνατον, καὶ ὑποκεῖσθαι φθορᾷ τὰ ἀνθρώπινα, τὸ ἀγγελικὸν ἐγχείρημα κατὰ Μωσέως τότε.

κε. Καὶ λαβοῦσα Σεπφώρα ψῆφον, περιέτεμε τὴν ἀκροβυστίαν τοῦ υἱοῦ αὐτῆς· καὶ προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ, καὶ εἶπεν, ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου.

ΑΔΗΛΟΥ. Ὁ Ἀκύλας ἀντὶ τοῦ, ἔστη
„ τὸ αἷμα τῆς περιτομῆς, εἶπε· νυμφίον
„ αἵματος ἔχω· ὁ δὲ Ἑβραῖος, ἐσφράγισε
„ τὸ αἷμα τῆς περιτομῆς.

ΑΔΗΛΟΥ. Ἡ γυνὴ Μωσέως, κατὰ τὸν Ἰησοῦν, ἐκ πέτρας περιέτεμε τὸν υἱὸν αὐτῆς. ἦν γὰρ ἱερέως θυγάτηρ, καὶ ἴσως ἐφύλαττε τὰ πάτρια.

ΚΥΡΙΛΛΟΥ. [Ἡ νοητὴ Σεπφώρα, τουτέστιν ἡ ἐκκλησία, ἡ ἐκ Μαδιάμ τε καὶ ἐξ ἐθνῶν, περιτέτμηκε ψήφῳ.] τύπος δ' ἂν εἴη καὶ αὕτη τοῦ πνεύματος διάτοι τὸ παναλκὲς καὶ ἄθραυστον, καὶ μὴν ὅτι καὶ ἐκ πέτρας. χριστοῦ γὰρ τὸ πνεῦμα,
1. Κορ. 10. 4. πέτρα δὲ ὁ χριστὸς, καθὰ καὶ ὁ σοφώτατος γράφει Παῦλος.

ΤΟΥ ΑΥΤΟΥ. Διατρανοῖ δὲ πάλιν ὁ τύπος, ὡς ἐν τῷ αἵματι τοῦ χριστοῦ νενίκηται θάνατος, σέσωσαι δὲ καὶ αὐτὴ τῶν ἁγίων πατέρων ἡ ἁγία πληθὺς, μᾶλλον δὲ καὶ σύμπαν τὸ ἄνωθεν καὶ πρὸ αὐτοῦ γένος. ἀπέθανε γὰρ ὑπὲρ πάντων, καὶ ὁ πάντων ἐν αὐτῷ λέλυται θάνατος.

„ ** ΤΟΥ ΑΥΤΟΥ. Ἔστη δὲ τὸ αἷμα, φησὶν, οὐχ ὡς τῆς τοῦ αἵματος ῥύσεως ἀποπαυσαμένης. οὐδὲ γὰρ, οἶμαι, τοῦτο μεθίστη ποτὲ τοῦ φονᾶν ἐθέλειν τὸν ὀλοθρευτὴν· ἀλλ' οἱονεί πως ἔλεγε, πέπρακται καὶ πεπλήρωται τὸ δοκοῦν τῷ Θεῷ, τουτέστιν ἡ περιτομὴ τοῦ παιδίου. ὥσπερ ἂν εἴτις λέγοι τυχὸν, ὁ τοῦδε τοῦ πράγματος ἔστη τύπος, ἤγουν ἔστη τυχὸν ὁ πρὸς τόδε λόγος, ἀντὶ τοῦ πρὸς πέρας ἥκει καὶ δέδεικται. Καὶ μεθ' ἕτερα. Παραδεχθείσης τοιγαροῦν πρὸς ἡμῶν τῆς Σεπφώρας εἰς πρόσωπον τῆς ἐξ ἐθνῶν ἐκκλησίας, ἔσται πως πάντως τὸ ἐξ αὐτῆς παιδίον εἰς τύπον τοῦ νέου λαοῦ, τὴν ἐν Χριστῷ διὰ πνεύματος νηπιότητα καὶ εἰς Θεὸν ἀναγέννησιν δεξαμέ-
Ψαλ. 101. 18. νων τῶν πεπιστευκότων, ὃς καὶ λαὸν κτιζό-
„ μενον ἔφη πως Δαβίδ. τὸ τοίνυν ἀρτιγενὲς ἐν Χριστῷ παιδίον, τουτέστιν ὁ νέος τε καὶ διὰ πίστεως λαὸς, περιτομῇ δυσωπεῖ θάνατον. σύμβολον γὰρ ἡ ψῆφος τῆς ἀρρήτου φύσεως, ἧς τὸ εὐσθενές τε καὶ ἄθραυστον, ὡς ἐν σκληρᾷ τῇ λίθῳ σημαίνεται.

** ΤΟΥ ΝΥΣΣΗΣ. Ὁ συναντῶν Ἄγγελος τὸν περὶ θανάτου φόβον ἐπάγει, ὃν

A ἱλεοῦται ἡ σύμβιος, ἡ καθαρὸν ἀποδεικνῦσα τὸ ἑαυτοῖς ἔγγονον τῇ περιαιρέσει τοῦ ἰδιώματος, ἐφ' ᾧ γνωρίζεται τὸ ἀλλόφυλον. Καὶ μετ' ὀλίγα. Ἔστι γάρ τι τῆς φιλοσόφου γονῆς ἐν μαθήμασι σαρκῶδές τε καὶ ἀπόβυστον, οὗ περιαιρεθέντος, τῆς ἰσραηλιτικῆς συγγενείας ἐστὶ τὸ λειπόμενον. οἷον, ἀθάνατον εἶναι τὴν ψυχὴν, καὶ ἡ ἔξωθεν φιλοσοφία φησίν. οὗτος ὁ εὐσεβὴς ἐστὶ τόκος. ἀλλὰ μεταβαίνειν ἀπὸ σωμά-
B των εἰς σώματα, καὶ ἐκ λογικῆς φύσεως εἰς ἄλογον αὐτὴν μεταφύεσθαι. τοῦτο ἡ σαρκώδης τε καὶ ἀλλόφυλός ἐστιν ἀκροβυστία. καὶ ἄλλα τοιαῦτα πολλά. Καὶ μετ' ὀλίγα. Ὧν περιαιρεθέντων, ἵλεως ἡμῖν ὁ τοῦ Θεοῦ Ἄγγελος γίνεται, ὡς γνησίῳ τόκῳ τῶν τοιούτων δογμάτων ἐπαγαλλόμενος.

κς. Καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ, διότι εἶπεν, ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ
Γ **παιδίου μου.**

** ΚΥΡΙΛΛΟΥ. Ἀπέδρα θάνατος, καὶ τῆς ἐν Χριστῷ περιτομῆς τετιμηκὼς τὸ μυστήριον ἀποπεφοίτηκε τοῦ Μωσέως ὁ ἀποκτεῖναι ζητῶν, αἰνιγματωδῶς ἡμῖν ὑποφωνοῦντος τοῦ πράγματος, ὡς οὐ μόνον τῶν ἠξιωμένων τῆς ἐν Χριστῷ περιτομῆς ἀπέστη θάνατος, ἀλλὰ καὶ αὐτοῖς τὸ χρῆμα, φημὶ δὲ δὴ τὸ Χριστοῦ μυστήριον, βεβοήθηκε
Δ τοῖς πατράσιν. ὥσπερ γὰρ πάντες ἀπεθάνομεν ἐν Ἀδὰμ, οὕτω καὶ εἰς πάντας ἡ διὰ Χριστοῦ φέρεται χάρις.

κζ. Εἶπε δὲ Κύριος πρὸς Ἀαρὼν, πορεύθητι εἰς συνάντησιν Μωσῇ εἰς τὴν ἔρημον. καὶ ἐπορεύθη, καὶ συνήντησεν αὐτῷ ἐν τῷ ὄρει τοῦ Θεοῦ, καὶ κατεφίλησεν αὐτόν.

E ** ΤΟΥ ΝΥΣΣΗΣ. Κατ' ἀρχὰς μὲν τοῦ κατ' ἀρετὴν βίου συντυχία γίνεται τῷ Μωσεῖ πολεμική τε καὶ στασιώδης, Ἑβραῖον καταπονοῦντος τοῦ Αἰγυπτίου, καὶ πάλιν Ἑβραίου πρὸς τὸ ὁμόφυλον στασιάζοντος. εἰ δὲ πρὸς τὸ μεῖζον τῶν τῆς ψυχῆς κατορθωμάτων, διά τε τῆς μακρᾶς ἐπιμελείας καὶ διὰ τῆς ἐν τῷ ὕψει γενομένης φωταγωγίας ἐπαρθέντι, (1) φίλιός τε καὶ εἰρηνικὴ γίνεται ἡ συντυχία, θεόθεν
Z τοῦ ἀδελφοῦ πρὸς τὴν ἀπάντησιν αὐτοῦ παρορμηθέντος. Καὶ μετ' ὀλίγα. Λόγος τίς ἐστιν ἐκ πατρικῆς παραδόσεως τὸ πιστὸν ἔχων, ὅς φησι· πεσούσης ἡμῶν εἰς ἁμαρτίαν τῆς φύσεως, μὴ παριδεῖν τὸν Θεὸν τὴν πτῶσιν ἡμῶν ἀπρονόητον, ἀλλ' Ἄγγελόν τινα τῶν τὴν ἀσώματον εἰληχότων φύσιν παρακαθιστᾶν εἰς συμμαχίαν τῇ ἑκάστου ζωῇ. ἐκ δὲ τοῦ ἐναντίου τὸν φθορέα τῆς φύσεως ἀντιμηχανᾶσθαι τὸ ἴσον διὰ πονηροῦ τινὸς
H καὶ κακοποιοῦ δαίμονος, τῇ τοῦ ἀνθρώπου ζωῇ λυμαινόμενον. ἐν μέσῳ δὲ ὄντα τῶν δύω

(1) Ἐπαρθείη ὀρθότερ. ἢ ἐπαρθέντι δὲ πρὸς τὸ μεῖζον, κτ. ὡς παρὰ Προκοπ. ἐν τῷ τῆς Αὐγ. κώδ. ἢ καὶ οὕτω, πρὸς δὲ τὸ μεῖζον, κτ.

A δύω τὸν ἄνθρωπον, τὸν ἑκατέρου τῶν παρεπομένων σκοπὸν ὑπεναντίως πρὸς τὸν ἕτερον ἔχοντα, δι' ἑαυτοῦ ποιεῖν κατὰ τοῦ ἄλλου ἐπικρατέστερον· προδεικνύοντος τοῖς λογισμοῖς τοῦ μὲν ἀγαθοῦ τὰ τῆς ἀρετῆς ἀγαθὰ, ὅσα δι' ἐλπίδος τοῖς κατορθοῦσιν ὁρᾶται· τοῦ δὲ ἑτέρου, τὰς ὑλώδεις ἡδονὰς, ἀφ' ὧν ἐλπὶς μὲν ἀγαθῶν οὐδεμία, τὸ δὲ παρὸν καὶ μετεχόμενον καὶ ὁρώμενον τὰς αἰσθήσεις τῶν ἀνοητοτέρων ἀνδραποδίζεται. B εἴπερ οὖν ἀλλοτριωθείη τῶν ἐπὶ κακῷ δελεαζόντων, πρὸς τὸ κρεῖττον τοῖς λογισμοῖς ἐπιτρέψας, καὶ οἱονεὶ κατὰ νώτου τὴν κακίαν ἐποίησεν· ἀντιπρόσωπον τὴν ἑαυτοῦ ψυχὴν, οἷόν τι κάτοπτρον, πρὸς τὴν ἐλπίδα τῶν ἀγαθῶν στήσας, ὡς τῆς προδεικνυμένης αὐτῷ θεόθεν ἀρετῆς τὰς εἰκόνας τε καὶ τὰς ἐμφάσεις τῷ καθαρῷ τῆς ἰδίας ψυχῆς ἐντυπώσασθαι· τότε αὐτῷ ἡ τοῦ ἀδελφοῦ συμμαχία συναντᾷ καὶ συνίσταται. Γ ἀδελφὸς γάρ τρόπον τινὰ κατὰ τὸ λογικόν τε καὶ νοερὸν τῆς ψυχῆς τοῦ ἀνθρώπου ὁ Ἄγγελος, ὁ τότε, καθὼς εἴρηται, φαινόμενός τε καὶ παριστάμενος, ὅταν τῷ Φαραὼ προσεγγίζωμεν.

κη. Καὶ ἀνήγγειλε Μωϋσῆς τῷ Ἀαρὼν πάντας τοὺς λόγους Κυρίου, οὓς ἀπέστειλε, καὶ πάντα τὰ σημεῖα ἃ ἐνετείλατο αὐτῷ. Δ

κθ. Ἐπορεύθη [δὲ] Μωϋσῆς καὶ
Ἀαρὼν, καὶ συνήγαγον πᾶσαν τὴν
λ. γερουσίαν τῶν υἱῶν Ἰσραήλ. Καὶ ἐλά-
λησεν Ἀαρὼν πάντα τὰ ῥήματα ταῦ-
τα, ἃ ἐλάλησεν ὁ Θεὸς πρὸς Μωϋ-
σῆν· καὶ ἐποίησε τὰ σημεῖα ἐναν-
τίον τοῦ λαοῦ.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ὁ τοίνυν ἑαυτὸν τῷ ἐπιφανέντι ἐνδυναμώσας, καὶ τὸν τοιοῦτον ἀδελφὸν συμμαχόν τε καὶ παραστάτην χρησάμενος, θαῤῥῶν τῷ λαῷ τοὺς ὑπὲρ τῆς ἐλευθερίας εἰσάγει λόγους, καὶ πατρικῆς εὐγενείας ὑπομιμνήσκει, καὶ ὅπως ἂν ἔξω γένοιντο τῆς περὶ τὸν πηλόν τε καὶ τὴν πλίνθον ταλαιπωρίας δίδωσι γνώμην. τί οὖν ἡμᾶς διὰ τούτων παιδεύει ἡ ἱστορία; τὸ μὴ δεῖν κατατολμᾷν τῆς ἐν τῷ λαῷ φωνῆς τὸν μὴ διὰ τοιαύτης ἀγωγῆς πρὸς τὴν τῶν πολλῶν ὁμιλίαν τὸν λόγον παρασκευάσαντα. ὁρᾷς γάρ; ὡς νέος ὢν ἔτι, καὶ πρὶν εἰς τοσοῦτον αὐξηθῆναι τῇ ἀρετῇ ἐπὶ δύω τινῶν ἀνθρώπων οὐκ ἀξιόπιστος ἐνομίσθη σύμβουλος εἰρήνης γενέσθαι τοῖς στασιάζουσι. νυνὶ δὲ τοσαύταις μυριάσι κατὰ ταὐτὸν διαλέγεται, μονονουχὶ βοώσης σοι τοῦτο τῆς ἱστορίας, μὴ ἐπιτολμᾷν ἐν τῇ διδασκαλίᾳ τῇ συμβουλῇ τῶν ἀκουόντων, εἰ μὴ διὰ τοιαύτης ἐπιμελείας ἡ περὶ τούτου κατορθωθείη σοι δύναμις.

λα. Καὶ ἐπίστευσεν ὁ λαὸς καὶ ἐχάρη, ὅτι ἐπεσκέψατο ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ὅτι εἶδεν αὐτῶν τὴν θλίψιν. κύψας δὲ ὁ λαὸς, προσεκύνησε.

** ΠΡΟΚΟΠΙΟΥ. Καλὴ ἡ πίστις, εἴπερ ἐνέμεινε, καὶ μὴ μετὰ ταῦτα γογγύζουσι. οὗτοι γάρ εἰσιν ὁ πρὸς τὸν πατέρα εἰπὼν υἱὸς, ὡς ἀπέρχομαι εἰς τὸν ἀμπελῶνα, τῇ μὲν φωνῇ πρόθυμος, τῷ δὲ ἔργῳ πολέμιος.

Κ Ε Φ. Ε.

α. Καὶ μετὰ ταῦτα εἰσῆλθε Μωϋσῆς καὶ Ἀαρὼν πρὸς Φαραὼ, καὶ εἶπαν αὐτῷ, τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα ἑορτάσωσί μοι ἐν τῇ ἐρήμῳ.

** ΚΥΡΙΛΛΟΥ. Z Διατί δὲ μὴ μᾶλλον ἐν Αἰγύπτῳ λατρεύειν ἐκέλευε; τί δὲ πρὸς ἐρήμους ἐκάλει τόπους; ἆρα οὐκ ἀκόλουθον συνιδεῖν, ὅτι τοὺς οἵγε λατρεύειν τῷ πάντων κρατοῦντι Θεῷ ἔμελλον, πρῶτον μὲν ᾤετο δεῖν τὸν τῆς ἑτέρων δουλείας ἀποπέμπεσθαι ζυγὸν, προαποθέσθαι δὲ ὥσπερ τὸ τοῖς διαβολικοῖς προστάγμασιν, ὡς ἐξ ἀνάγκης, ὑπηρετεῖν, ἀποπαύσασθαι δὲ καὶ πηλοῦ καὶ πλινθείας; ὅ ἐστι πάλιν ἀποσχέσθαι τε καὶ καταλῆξαι λοιπὸν τῆς τῶν H ἐπιγείων ἔργων ἀκαθαρσίας· ἵνα πᾶσαν ὥσπερ ἐκβαίνοντες τὴν τοῦ πλεονεκτήσαντος χώραν, λοιπὸν ὡς εἰς ἔρημον, ἐλευθερόν τε καὶ ἀνειμένον γεγονότες φρόνημα, καθαροὶ καθαρῶς προσίοιεν ταῖς εἰς Θεὸν λατρείαις.

** ΤΟΥ ΑΥΤΟΥ. Ἑορτὴ γὰρ ὄντως ἀληθὴς τὸν τῆς ἀνεθελήτου δουλείας ἀπολύσασθαι ζυγὸν, καὶ ὑπὸ Θεῷ γενέσθαι λοιπὸν, καὶ τὰ αὐτῷ θυμήρη πληροῦν, ἀντεξάγοντος οὐδενὸς, ἤγουν τὸ αὐτῷ δοκοῦν ἀνθελέσθαι τε καὶ ἀγαπᾷν ἀναγκάζοντος.

β. Καὶ εἶπε Φαραὼ, τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ, ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραήλ; οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστέλλω.

ΚΥΡΙΛΛΟΥ. Ἀθυρογλωττεῖ λίαν ὁ Φαραὼ, καὶ τῆς τοῦ Θεοῦ δόξης καταθρασύνεται, μήποτε τὸν Κύριον, ὅστις ποτέ ἐστιν εἰδέναι λέγων, μήτε μὴν ἀνήσειν τὸν Ἰσραήλ.

ΕΥΣΕΒΙΟΥ. Ἀγρία ἡ φωνὴ ἡ προτρέπουσα τὸν σώζοντα σώζειν, διεγείρουσα τὴν δίκην.

δίκην, ἐκδικοῦσα τὰ αἵματα τῶν βρεφῶν,
καὶ τῶν νηπίων τὴν ἄδικον ἀπώλειαν.

**γ. Καὶ λέγουσιν αὐτῷ, ὁ Θεὸς
τῶν Ἑβραίων προσκέκληται ἡμᾶς·
πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν
εἰς τὴν ἔρημον, ὅπως θύσωμεν Κυ-
ρίῳ τῷ Θεῷ ἡμῶν· μήποτε συναν-
τήσῃ ἡμῖν θάνατος ἢ φόνος.**

ΚΥΡΙΛΛΟΥ. Καταλύει δὲ οὐδαμῶς ὁ
θεσπέσιος Μωσῆς, ἀποπεραίνεσθαι δὲ δεῖν
τὸ τῷ Θεῷ δοκοῦν εὖ μάλα διϊσχυρίζεται.
παραποδίζοντος γὰρ εἰς ἐλευθερίαν ἰέναι
τοῦ Σατανᾶ τοὺς ὅσοιπερ ἂν εἶεν ὑπ' αὐτῷ
γεγονότες, κατανδρίζεσθαι δεῖ, καὶ ἀμεί-
νους γίνεσθαι παντὸς μὲν κωλύματος, καὶ
ἥκιστα ὁρᾶσθαι δειλοὺς, ἐγκεῖσθαί τε λέγον-
» τας, ὁ Θεὸς τῶν Ἑβραίων προσκέκληται
» ἡμᾶς, καὶ τὰ ἑξῆς.

✱ ΤΟΥ ΑΥΤΟΥ. Οὐ γὰρ δὴ καθ'
ὁμοιότητα, φησὶ, τὴν πρὸς ὑμᾶς, ὦ Αἰ-
γύπτιοι, οὐ μόσχος ἡμῖν τοῖς Ἑβραίοις τὸ
σέβας, ἀλλ' οὐδὲ ὗς, ἢ αἶξ, ἢ βρέτας ἀν-
δρὸς, ἢ πτηνῶν ἀποσκίασμα, καὶ ἑρπε-
τῶν εἰκόνες τὰ ἐν σηκοῖς ἱδρυμένα. ἐπι-
κέκληται δὲ [ἡμᾶς] ὁ Θεὸς καὶ δεσπότης,
ὃς τόδε τὸ σύμπαν διετεκτήνατο. μέγας
οὖν ἄρα καὶ τοῖς Αἰγυπτίοις ἀσύντακτος,
καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν ὁ τῶν Ἑβραίων
Θεὸς, ὃς εἰς ἔρημον ἡμᾶς καλεῖ, τὴν εὐά-
ρεστον αὐτῷ θυσίαν προσκομιοῦντας ἐκεῖ.
σκοτισμὸς μὲν οὖν Αἴγυπτος ὀνομάζεται;
χρῆναι δὲ οἶμαι καλῶς τοὺς οἵπερ ἐσμὲν
πνευματικοὶ καὶ πνευματικῶς προσβάλλειν
τοῖς ἐν σκιᾷ καὶ τύποις. δεῖ γὰρ ἡμᾶς ἀπο-
φοιτῶντας εὖ μάλα παντὸς, οἶμαι, πράγ-
ματος τοῦ κατασκοτοῦν εἰωθότος, καὶ ὥσπερ
τινὰ χώραν ἐκβεβηκότος τὴν ὑπὸ τῷ τυ-
ράννῳ κειμένην. φημὶ δὴ τῷ Σατανᾷ, τὸ
ἐν ἁμαρτίαις εὔκολον μεταχωρεῖν ἐπεί-
γεσθαι νεανικῶς, εἰς ἀνειμένην τε καὶ κα-
θαρωτέραν ζωὴν, καὶ πολιτείας ἔννομον
διαστείχειν ὁδὸν, οὐχ ὑποκειμένην δαίμοσι.
διωησόμεθα γὰρ εὖ τότε τοὺς τῆς δικαιο-
σύνης καρποὺς καταθύειν Θεῷ.

ΤΟΥ ΑΥΤΟΥ. Στέλλεσθαι δὲ δεῖν τοὺς
ἐξ Ἰσραὴλ ὁδῶν τριῶν ἡμερῶν διεβεβαιοῦτο
κατὰ τὴν ἔρημον, τὸ μὴ ἐγγὺς εἶναί που
τῶν τῆς φαυλότητος ὅρων, καὶ ζωῆς τῆς
τυραννουμένης, διὰ τούτου δηλῶν.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Σκήπτεται δέ τι
καὶ σοφὸν ὁ θεσπέσιος Μωσῆς, καὶ εὐαφόρ-
μως δὴ λίαν ἀπονοσφίζεσθαι δεῖν τῆς Αἰ-
γύπτου φησὶ τοὺς ὑπὸ Θεοῦ κεκλημένους. μή-
» πως γὰρ συναντήσῃ ἡμῖν θάνατος, φησὶν,
» ἢ φόνος. καὶ τί δὴ τοῦτο; Καὶ μετ' ὀλίγα· Αἰ-
γυπτίοις ἦν ἔθος, τετήρηται δὲ καὶ εἰς
δεῦρο παρὰ τοῖς τῶν εἰδώλων προσκυνη-
ταῖς, τὸ δεῖν εἰσφοιτῶντας ἐν ἱεροῖς, νεκρῷ
περιτυχεῖν παραιτεῖσθαι σώματι. μολυσ-
μὸν γὰρ εἶναι τὸν ἀνωτάτω φασὶ τὸ, οὐχ
ὅπως δὴ μόνον, εἴ τις ἕλοιτο θήγειν, ἀλλὰ
A γὰρ κἂν εἰ ἐν ψιλαῖς ταυτὶ παραπίπτοι
θέαις. οὐκοῦν ἐκ τῶν παρὰ σφίσιν ἐθῶν
ἀναπείθει φρονεῖν, ὡς οὐκ ἂν γένοιτο κα-
θαρῶς τὸ θύειν αὐτοῖς, εἰ ἐξ ἀπροόπτου
ποθὲν τοῦτο δρᾶν ἠργμένοις παρατύχοι
νεκρὸς ἢ φόνος, τουτέστιν ἢ νόμῳ φύσεως
τετελευτηκὼς, ἢ ὑπὸ τοῦ τῶν φονευόντων
ἐκβεβιασμένος. ὑμῖν γὰρ ἔφασκεν, ἱερά τε
ἐστὶ καὶ τεμένη, κλεῖθρά τε καὶ πύλαι, ὧν
εἴσω τυχὸν εἰσδεδραμηκόσιν ἐξέσται θύειν
B ἁγνῶς, ὥσπερ ἂν οἴεσθε κατὰ σφᾶς αὐτούς·
ἡμᾶς δὲ ἀνάγκη κατὰ μέσην θύοντας πό-
λιν, ἐν τριόδοις τε καὶ ἐν ἀγροῖς, ταῖς τῶν
τεθνεώτων καταμολύνεσθαι θέαις. τὸ γὰρ
ἀπεῖργον ὅροις, παντελῶς οὐδέν. καὶ ὁ
μὲν τῆς ἱστορίας λόγος ἔχοι ἂν ἡμῖν, ὡς
ἐν αἰσθήσει τῶν Αἰγυπτίων, τὸ πιθανόν·
εἴη δ' ἂν ὀρθῶς εἰρημένον τὸ ὑπὸ τοῦ παν-
σόφου Μωσέως κἂν εἰ νοοῖτο πνευματικῶς.
χρὴ γὰρ ἡμᾶς ὡς ἐν ἐρήμῳ θύειν, καὶ
Γ ἑορτὴν ἁγίαν ἀποπεραίνειν Θεῷ, τῆς Αἰ-
γυπτίων ἀπαίροντας, παραιτεῖσθαι δὲ καὶ
θανάτου θέαν. σχολαίῳ γὰρ νῷ καὶ βεβη-
κότι μακρὰν τοῦ καταποντίζεσθαι κοσμι-
κῶς, καὶ τῶν εἰς νεκρότητα καὶ φθορὰν
κατακομιζόντων τὸν ὀφθαλμὸν ἀπαλλάτ-
τοντες, θύσομεν καθαρῶς τῷ πάντων
κρατοῦντι Θεῷ. ἔργα δὲ νεκρὰ, τὰ σαρ-
κὸς ἂν εἴη. σκοτισμὸς δὲ κοσμικὸς, ἡ ἐκ
πονηρῶν καὶ εἰκαίων περισπασμῶν ἐπιθό-
Δ λωσις, τὸν καθαρόν τε καὶ διαυγῆ τῆς δια-
νοίας αἰθέρα καταμολύνουσα. ὧν ὅτι προ-
σῆκον ἀπονοσφίζεσθαι τοὺς εἰλικρινῶς λα-
τρεύειν ἐθέλοντας, καὶ ὁ τῆς ἱστορίας ἡμᾶς
ἀναπείθει λόγος.

**δ. Καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς
Αἰγύπτου, ἵνα τί Μωϋσῆ καὶ Ἀαρὼν
διαστρέφετε τὸν λαὸν ἀπὸ τῶν ἔργων;
ἀπέλθετε ἕκαστος ὑμῶν πρὸς τὰ ἔργα
ε. αὐτοῦ. Καὶ εἶπε Φαραὼ, ἰδοὺ νῦν πο-
λυπληθεῖ ὁ λαὸς τῆς γῆς· μὴ οὖν κα-
ταπαύσωμεν αὐτοὺς ἀπὸ τῶν ἔργων.**

**ϛ. Συνέταξε δὲ Φαραὼ τοῖς ἐργο-
διώκταις τοῦ λαοῦ καὶ τοῖς γραμμα-
ζ. τεῦσι, λέγων, Οὐκ ἔτι προσθήσεσθε
διδόναι ἄχυρον τῷ λαῷ εἰς τὴν πλιν-
θουργίαν καθάπερ ἐχθὲς καὶ τρίτην
Z ἡμέραν· ἀλλ' αὐτοὶ πορευέσθωσαν καὶ
συναγαγέτωσαν ἑαυτοῖς ἄχυρα.**

✱ ΤΟΥ ΝΥΣΣΗΣ. Γενομένων τῶν
χρηστοτέρων λόγων, καὶ τῆς ἐλευθερίας
ὑποδειχθείσης, καὶ τῶν ἀκουόντων πρὸς
τὴν ἐπιθυμίαν ταύτην ἐπιῤῥωσθέντων,
παροξύνεται ὁ πολέμιος, καὶ ἐπιτείνει
τὴν ἀλγηδόνα τοῖς ὑπηκόοις τοῦ λόγου. οὐδὲ
τοῦτο ἔξω τῶν νῦν γινομένων ἐστί. πολλοὶ
H γὰρ παραδεξάμενοι τὸν ἐλευθερωτὴν τῆς
τυραννίδος λόγον, καὶ προσιθέμενοι τῷ
κηρύγματι, μέχρι τοῦ νῦν ταῖς τῶν πει-
ρασμῶν προσβολαῖς ὑπὸ τοῦ ἀντικειμένου
ἐπηρεάζονται. ἐξ ὧν πολλοὶ μὲν δοκιμώ-

Ss e τεροι

τεροι καὶ βεβαιότεροι περὶ τὴν πίστιν καθίσανται, τῇ προσβολῇ τῶν λυπούντων στομούμενοι· τῶν δὲ ἀσθενεστέρων τινὲς κατεποκλάζουσι τοῖς τοιούτοις συμπτώμασιν, ἄντικρυς ἐκεῖνα φθεγγόμενοι, τὸ λυσιτελεῖν αὐτοῖς μᾶλλον ἀνηκόοις μεῖναι τοῦ τῆς ἐλευθερίας κηρύγματος, ἢ τοῖς τοιούτοις διὰ τὴν αἰτίαν ταύτην συνενεχθῆναι. ὃ καὶ τότε ἐγένετο ὑπὸ μικροψυχίας τῶν Ἰσραηλιτῶν ἐν αἰτίᾳ ποιουμένων τοὺς τὴν ἀπαλλαγὴν αὐτοῖς τῆς δουλείας ἀπαγγείλαντας.

η. Καὶ τὴν σύνταξιν τῆς πλινθουργίας ἧς αὐτοὶ ποιοῦσι, ποιήσουσι· καὶ καθ' ἑκάστην ἡμέραν ἐπιβαλεῖτε αὐτοῖς· οὐκ ἀφελεῖτε οὐδέν· σχολάζουσι γάρ· διὰ τοῦτο αὐτοὶ κεκράγασι, λέγοντες, πορευθῶμεν, καὶ θύσωμεν τῷ Θεῷ ἡμῶν.

» ΑΔΗΛΟΥ. Σχολάζουσι γάρ. σχολὴν λέγων τὴν τῆς αὐτῶν ἐλευθερίας ἐπιθυμίαν.

ΚΥΡΙΛΛΟΥ. Τοῖς μὲν οὖν ἐξ Ἰσραὴλ δύστοιστος οἶμαί τις καὶ δρυμὺς τῆς ἀρχαίας ἐλευθερίας εἰσέδυ πόθος, ἀπονενευκότες δὲ ἤδη πρὸς τοῦτο, κατερέθιζον εἰς ὀργὰς τὸν τοῖς τῆς δουλείας ἐγκαταδέοντα ζυγοῖς. ὃς ἔργον εἶναι σχολῆς τὴν ἐπὶ τοιοῖσδε λέγων ἐπιθυμίαν, ἐγκαλατείνεσθαι σφίσι τὸν ἐπὶ τοῖς ἔργοις ἱδρῶτα κελεύει, τῆς μὲν ἐν ἔθει συντάξεως ἐξαιτουμένης, περιτεμνομένης δὲ ἀσυνήθως αὐτοῖς τῆς τῶν ἀχύρων διανομῆς.

ΤΟΥ ΑΥΤΟΥ. Ἢ γὰρ οὐκ ἀληθὲς εἶναι φήσεις, ὡς ἐπειδὰν ἑλοίμεθα τῆς τοῦ διαβόλου πλεονεξίας ἀπολύσασθαι τὸν ζυγὸν, καὶ τὸ λαμπρὸν καὶ ἐλεύθερον τῆς εἰς Θεὸν λατρείας ἀντανελέσθαι καύχημα, κατὰ τὸ ἐν ψαλμοῖς ὑμνούμενον, σχο-
Ψαλ. 45. 10. λάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεὸς, ἐγκαλέσει μὲν ἡμῖν ὡς ἀνόσιον τὸ χρῆμα, καὶ τὴν ἐπὶ τούτῳ σχολὴν καὶ θέλησιν, κατεξανίσαται δὲ τοῖς ἄλλοις ὁμοῦ πονηροῖστε καὶ ἀκαθάρτοις πνεύμασιν ὁ πάντων ἐχθρὸς, σαρκικῆς δὲ καὶ γεώδους ἀκαθαρσίας, καὶ τῶν ἐν κόσμῳ περισπασμῶν ἀκαταλήκτως ἔχεσθαι κατὰ τὸ ἑκάστῳ σύνηθες ἐπαναγκάζων ἀγρίως, ἀπέχεσθαι δὲ τῆς ἐντριβοῦς φαυλότητος ἥκιστα μὲν ἐφιεὶς, δυσόριστον μὲν καὶ τοῦτο τιθεὶς, ὡς ἂν μὴ τῷ λίαν ἀνετοίμῳ διαπτύοιτό τε καὶ εἰς κόρον ἴοι τὸ κακόν; τουτὶ γὰρ οἶμαι καταδηλοῦν τὸ ἐξαιτεῖν μὲν εὐτόνως τῆς πλινθείας τὴν σύνταξιν, τὰ δὲ, δι' ὧν ἂν γένοιτο ῥᾳδίως, ἀποστερεῖν, τουτέστι τὸ ἄχυρον.

* * ΤΟΥ ΝΥΣΣΗΣ. Τῷ βλαπτικῷ καὶ φθοροποιῷ δαίμονι τοῦτο κατὰ τῶν ἀνθρώπων ἐσπουδάζετο, τὸ μὴ εἰς τὸν οὐρανὸν βλέπειν τὸ ὑποχείριον, ἀλλὰ τὸ εἰς γῆν κύπτειν, καὶ ἐν ἑαυτῷ τὸν πηλὸν πλινθεύειν. ὅ,τι γὰρ ἂν ᾖ τῆς ὑλικῆς ἀπολαύσεως ἐκ γῆς ἐστὶ πάντως ἢ ὕδατος, παντί που δῆλον· ὥστε τὶ τῶν περὶ γαστέρα καὶ θοίνην σπουδαζομένων, ὥστε καὶ ὅσα περὶ τὸν πλοῦτον ὁρᾶται. ἡ δὲ τῶν στοιχείων τούτων μίξις, πηλὸς γίνεται καὶ ὀνομάζεται. Καὶ μετ' ὀλίγα. Ἡ δὲ καλάμη καὶ τὸ ἐκ ταύτης ἄχυρον, ὃ καταμιγνύειν τῇ πλίνθῳ καταναγκάζεται ὁ τοῖς τυραννικοῖς ὑπακούων προστάγμασι, παρά τε τοῦ θείου εὐαγγελίου, καὶ παρὰ τῆς ὑψηλῆς τοῦ Ἀποστόλου φωνῆς, ἀμφοτέρων ὁμοίως πυρὸς ὕλην τό,τε ἄχυρον καὶ τὴν καλάμην ἑρμηνευσάντων. (1)

θ. Βαρυνέσθω τὰ ἔργα τῶν ἀν-
θρώπων τούτων, καὶ μεριμνάτωσαν
ταῦτα, καὶ μὴ μεριμνάτωσαν ἐν λό-
ι. γοις κενοῖς. Κατέσπευδον δὲ αὐτοὺς
οἱ ἐργοδιῶκται τοῦ λαοῦ καὶ οἱ γραμμα-
τεῖς· καὶ ἔλεγον πρὸς τὸν λαὸν, λέ-
γοντες, τάδε λέγει Φαραώ· οὐκ ἔτι
ια. δίδωμι ὑμῖν ἄχυρα. Αὐτοὶ ὑμεῖς πο-
ρευόμενοι συλλέγετε ἑαυτοῖς ἄχυρα,
ὅθεν ἂν εὕρητε· καὶ τὴν σύνταξιν τῆς
πλινθείας ἀποδώσετε· οὐ γὰρ ἀφαι-
ρεῖται ἀπὸ τῆς συντάξεως ὑμῶν οὐθέν.
ιβ. Καὶ διεσπάρη ὁ λαὸς ἐν ὅλῃ Αἰγύπτῳ,
ιγ. συναγαγεῖν καλάμην εἰς ἄχυρα. Οἱ
δὲ ἐργοδιῶκται κατέσπευδον αὐτοὺς,
λέγοντες, συντελεῖτε τὰ ἔργα ὑμῶν
τὰ καθήκοντα καθ' ἡμέραν, καθά-
περ καὶ ὅτε τὸ ἄχυρον ἐδίδοτο ὑμῖν.
ιδ. Καὶ ἐμαστιγώθησαν οἱ γραμματεῖς
τοῦ γένους τῶν υἱῶν Ἰσραὴλ, οἱ κατα-
σταθέντες ἐπ' αὐτοὺς ὑπὸ τῶν ἐπιστα-
τῶν τοῦ Φαραὼ, λεγόντων, διατί οὐ συ-
νετελέσατε τὰς συντάξεις τῆς πλιν-
θείας ὑμῶν καθάπερ ἐχθὲς καὶ τρί-
την ἡμέραν, καὶ τὸ τῆς σήμερον;

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί δὲ συνεχώρησε ταῦτα παθεῖν τὸν λαόν; Ἵνα μὴ μόνον τοὺς Αἰγυπτίους, ἀλλὰ καὶ τοὺς ἐκείνων μισήσωσι θεοὺς, ὡς τοιαῦτα παρ' αὐτῶν πεπονθότες· καὶ ἵνα συντόμως ἀκούσωσιν ἐξελθεῖν κελευόμενοι. εἰ γὰρ τούτων οὕτω γεγενημένων, ἀνεμιμνήσκοντο τῆς ἐν Αἰγύπτῳ τροφῆς, καὶ πολλάκις ἐπειράθησαν ἀναστρέψαι, τίς ἂν αὐτοὺς ἔπεισε καταλιπεῖν τὴν Αἴγυπτον, μηδὲν παρ' αὐτῶν πεπονθότας δεινόν;

ιε. Εἰσελθόντες δὲ οἱ γραμματεῖς
τῶν υἱῶν Ἰσραὴλ κατεβόησαν πρὸς
Φαραὼ,

(1) Τὴν δὲ καλάμην καὶ τὸ ἐκ ταύτης ἄχυρον τό,τε θεῖον ἑρμήνευσαν εὐαγγέλιον, καὶ Παῦλος ὁ μεγαλόφωνος, πυρὸς ὕλην εἰπόντες. οὕτω παρὰ Προκοπίῳ ἐν τῷ τῆς Αὐγ. κώδ. κεῖται. ὃ δὴ καὶ ὀρθότερ. τῷ τῆς συντάξ. λόγῳ.

Φαραὼ, λέγοντες, ἵνα τί οὕτω ποιεῖς A
ιϛ. τοῖς σοῖς οἰκέταις; Ἄχυρον οὐ δίδο-
ται τοῖς οἰκέταις σου, καὶ τὴν πλίν-
θον λέγουσιν ἡμῖν ποιεῖν· καὶ ἰδοὺ οἱ
παῖδές σου μεμαστίγωνται. ἀδικήσεις
ιζ. οὖν τὸν λαόν σου. Καὶ εἶπεν αὐτοῖς,
σχολάζετε, σχολασταί ἐστε· διὰ τοῦτο
λέγετε, πορευθῶμεν, καὶ θύσω-
ιη. μεν τῷ Θεῷ ἡμῶν. Νῦν οὖν ἀπελ-
θόντες, ἐργάζεσθε· τὸ γὰρ ἄχυρον
οὐ δοθήσεται ὑμῖν, καὶ τὴν σύνταξιν
ιθ. τῆς πλινθείας ἀποδώσετε. Ἑώρων
δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ἰσραὴλ
ἑαυτοὺς ἐν κακοῖς, λέγοντες, οὐκ ἀπο-
λείψετε ἀπὸ τῆς πλινθείας τὸ καθῆ-
κ. κον τῇ ἡμέρᾳ. Συνήντησαν δὲ Μωϋ-
σῇ καὶ Ἀαρὼν ἐρχομένοις εἰς συνάν-
τησιν αὐτοῖς, ἐκπορευομένων αὐτῶν
ἀπὸ Φαραώ.

κα. Καὶ εἶπαν αὐτοῖς, ἐπίδοι ὁ Θεὸς ὑμᾶς καὶ κρίναι· ὅτι ἐβδελύξατε τὴν ὀσμὴν ὑμῶν ἐναντίον Φαραὼ, καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, δοῦναι ῥομφαίαν εἰς τὰς χεῖρας αὐτοῦ, ἀποκτεῖναι ἡμᾶς.

ΚΥΡΙΛΛΟΥ. Ἐπαιτιῶνται δὲ λίαν Μωσέα τε καὶ Ἀαρὼν, τῆς ἐπενηνεγμένης αἰκίας αὐτοῖς πρόφασιν αὐτοὺς γεγε- B νῆσθαι. λέγοντες, καὶ δυσχερεστέραν ἀνατλῆναι τῆς πλεονεξίας τὴν ἔφοδον· οὐχ ἑτέρου δὲ χάριν, ἢ ὅτι δὴ μόνον τῆς ἐλευθερίας αὐτοῖς εἰσέδυ πόθος τοῖς παρ᾽ αὐτῶν λόγοις ἀναπεπεισμένοις. ἅμα γὰρ ἡμᾶς ἐπιθυμία χρηστὴ, καὶ λογισμὸς ἀγαθὸς ἀνεσόβησε τυχὸν πρὸς τὸ δεῖν ἑλέσθαι τὰ δοκοῦντα Θεῷ, καὶ νόμου τοῦ πρὸς εὐσέβειαν διαμεμνήμεθα, καὶ κατάγχει μάλιστα χειρόνως ἐπὶ τὸ μὴ ἑλέσθαι τὰ Γ κρείττονα ὁ πάντων ἐχθρός· πλὴν ἐκρύεται καὶ σώζει Θεός.

ΚΕΦ. ϛ.

α. Ἐπέστρεψε δὲ Μωσῆς πρὸς
Κύριον, καὶ εἶπε, Κύριε·
διατί ἐκάκωσας τὸν λαὸν
τοῦτον; καὶ ἵνα τί ἀπέσταλκάς με;
β. Καὶ ἀφ᾽ οὗ εἰσπεπόρευμαι πρὸς Φα-
ραὼ λαλῆσαι ἐπὶ τῷ ὀνόματί σου,
ἐκάκωσε τὸν λαὸν τοῦτον· καὶ οὐκ ἐρ-
γ. ρύσω τὸν λαόν σου. Καὶ εἶπε Κύριος
τῷ Μωσῇ, ἤδη ὄψει ἃ ποιήσω τῷ
Φαραώ· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξα-
ποστελεῖ αὐτοὺς ἐκ τῆς γῆς αὐτοῦ, καὶ
ἐν βραχίονι ὑψηλῷ ἐκβαλεῖ αὐτούς.
δ. Ἐλάλησε δὲ ὁ Θεὸς πρὸς Μωϋσῆν,
καὶ εἶπεν αὐτῷ, ἐγὼ Κύριος.

ε. Καὶ ὤφθην πρὸς Ἀβραὰμ καὶ
Ἰσαὰκ καὶ Ἰακὼβ, Θεὸς ὢν αὐτῶν·
καὶ τὸ ὄνομά μου Κύριος οὐκ ἐδήλωσα
αὐτοῖς.

» ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς. Τοῦ γὰρ ὑπερβατοῦ μετατεθέντος; ἑξῆς ἂν τοιοῦτος εἴη λόγος· ὄνομά μου τὸ κύριον οὐκ ἐδήλωσα αὐτοῖς, ἀλλὰ τὸ ἐν καταχρήσει.

» ** ΒΑΣΙΛΕΙΟΥ. Καὶ τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς, ὡς μεῖζον δηλονότι, ἢ ὥστε ἀνθρωπίνῃ ἀκοῇ χωρηθῆναι.

** ΑΘΑΝΑΣΙΟΥ. Τίς δέ ἐστι τὴν οὐσίαν, οὔτε ἡμῖν ἀπεκάλυψεν, οὔτε τοῖς πρὸ ἡμῶν. λέγει γὰρ, ὤφθην πρὸς τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τοὺς πατέρας ὑμῶν, Θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου οὐκ ἐγνώρισα αὐτοῖς.

Δ ΚΥΡΙΛΛΟΥ. Καὶ τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς, ἀλλὰ σοί. καὶ ὅμως φησὶν ἥττων ἐκείνων εἶ περὶ τὴν πίστιν ἔτι. καὶ ταῦτα πλέον αὐτῶν εἰληφὼς τὸ τετράγραμμον τὸ ἀνέκφρασον ἄλλοις, ὅτι μὴ τοῖς ἀρχιερεῦσιν, ὃ τῷ χρυσῷ πετάλῳ ἐπεγράφετο. ἔστι δὲ τὰ τέσσαρα γράμματα ταῦτα Ἰὼθ, Ἄλφ, Οὐδοῦθ, (1) Γίδ. (2) ὃ λέγεται τοῦ ἀεὶ ζῆν τὸν Θεὸν, καὶ ἀΐδιον εἶναι, σημαντικὸν ὄνομα· ὡς εἶπεν E ἄν. ἐγώ εἰμι ὁ ὤν. τοῦτο τοίνυν τοῖς μὲν πατριάρχαις οὐκ ἀπεκάλυψεν ὁ Θεός, οὐδὲ τῷ Ἰακὼβ, ἰδικῶς ἐπερωτήσαντι, ὅτε ἐπάλαισεν αὐτῷ· ἐπεὶ μὴ τούτου χρεία ἦν. Φησὶ, πιστοῖς οὖσι. τοῖς δὲ ἐξ αὐτῶν ἔδωκα, ὧν ἡ ἀσθένεια μοχοποιεῖν ἔμελλε. (3)

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, τὸ ὄνομά μου Κύριος, οὐκ ἐδήλωσα αὐτοῖς; Διδάσκει πόσης αὐτὸν καὶ τιμῆς καὶ εὐμενείας ἠξίωσεν. ὃ γὰρ τοῖς πατριάρχαις οὐκ ἐδήλωσεν Z ὄνομα, τοῦτο αὐτῷ δῆλον ἐποίησεν. Ἔφη γὰρ πρὸς αὐτὸν, ἐγώ εἰμι ὁ ὤν. τοῦτο δὲ παρ᾽ Ἑβραίοις ἄφραστον ὀνομάζεται. (Ἐξοδ. 3. 14.) ἀπείρηται γὰρ αὐτοῖς τοῦτο διὰ τῆς γλώττης προφέρειν· γράφεται δὲ διὰ τῶν τεσσάρων στοιχείων. διὸ καὶ τετράγραμμον αὐτὸ λέγουσι. τοῦτο καὶ τῷ πετάλῳ ἐπεγέγραπτο τῷ χρυσῷ, ὃ τῷ μετώπῳ τοῦ ἀρχιερέως ἐπετίθετο, τῇ ταινίᾳ τῆς κεφαλῆς προσδεσμούμενον. καλοῦσι δὲ αὐτὸ Σαμαρεῖται H μὲν, Ἰαβέ· Ἰουδαῖοι δὲ, Ἀϊά.

(1) Οὐαὺθ. ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.
(2) Ἠθ. αὐτ.
(3) Ἐν τοῖς ἐκδεδομέν. τοῦτο οὐχ εὕρηται.

ΔΙΟΔΩΡΟΥ. Ἔστι τὰ τέσσαρα τοῦ ὀνόματος γράμματα ταῦτα, Ἰὼθ, Ἀλῆφ, Οὖ, Ἀνέ. τοῦ δὲ ἀεὶ ζῆν, καὶ ἀΐδιον εἶναι Θεὸν, σημαντικὸν ὄνομα τοῦτο. τοίνυν φησὶ, τὸ ὄνομα τοῦτο, οὐδὲ τοῖς περὶ τὸν Ἀβραὰμ ἀπεκάλυψα, ἀλλὰ σοὶ πάντως πρῶ. ἐπειδὴ μὴ ἦν καιρὸς εἰπεῖν τοῖς πατριάρχαις τὸ ὄνομα, ὃ ἐχώριζε τὸν Θεὸν τῶν εἰδώλων. ἐπειδὴ γὰρ καὶ δαίμονες Θεοὶ καὶ Κύριοι ὠνομάσθησαν ὑπὸ τῶν θεραπευόντων αὐτοὺς, τὸ τετράγραμμον ὄνομα ἔδωκεν ὁ Θεὸς τὸ τότε ἀνέκφρασον τοῖς πιστοῖς.

ΑΔΗΛΟΥ. Οὐκ ἐδήλωσα αὐτοῖς, τουτέστιν οὐκ εὔδηλον καὶ φανερὸν ἐποίησα τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, ἀλλ' ὡς δι' αἰνιγμάτων παρέδειξα.

ς. Καὶ ἔστησα τὴν διαθήκην μου πρὸς
αὐτοὺς, ὥστε δοῦναι αὐτοῖς τὴν γῆν τῶν
Χαναναίων, τὴν γῆν ἣν παρῳκήκασιν,
ζ. ἐν ᾗ καὶ παρῴκησαν ἐπ' αὐτῆς. Καὶ
ἐγὼ εἰσήκουσα τὸν στεναγμὸν τῶν υἱῶν
Ἰσραὴλ, ὃν οἱ Αἰγύπτιοι καταδουλοῦνται
αὐτοὺς· καὶ ἐμνήσθην τῆς διαθήκης
ὑμῶν.

η. Βάδιζε, εἶπον τοῖς υἱοῖς Ἰσραὴλ,
ἐγὼ Κύριος· καὶ ἐξάξω ὑμᾶς ἀπὸ
τῆς δυναστείας τῶν Αἰγυπτίων· καὶ ῥύσομαι
ὑμᾶς ἐκ τῆς δουλείας αὐτῶν, καὶ
λυτρώσομαι ὑμᾶς ἐν βραχίονι ὑψηλῷ,
καὶ ἐν κρίσει μεγάλῃ.

* ΚΥΡΙΛΛΟΥ. Ἀποτρέποντος γὰρ ἡμᾶς τοῦ Σατανᾶ, καὶ ἁπάσης ἀγαθῆς ἐξιστάντος ἐπιθυμίας, καὶ τῶν εἰς τοῦτο διανευμάτων, δι' ὧν ἂν δύναιτο παρωθοῦντος τρόπων, προτρέπει πρὸς θέλησιν ἀγαθὴν ὁ τοῦ Θεοῦ νόμος, ἄθραυστον μὲν τὸν ἐπικουροῦντα δεικνὺς, ἐλπίδι δὲ τῇ λαμπροτάτῃ παραθήγων εἰς εὐτολμίαν, καὶ πίστει νευρῶν, καὶ Θεῷ προσνέμων ὡς ἀληθῶς σωτῆρι καὶ λυτρωτῇ.

θ. Καὶ λήψομαι ὑμᾶς ἐμαυτῷ,
καὶ ἔσομαι ὑμῶν Θεός· καὶ γνώσεσθε,
ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἐξάγων
ὑμᾶς ἐκ τῆς Αἰγύπτου, καὶ ἐκ
ι. τῆς δυναστείας τῶν Αἰγυπτίων. Καὶ
εἰσάξω ὑμᾶς εἰς τὴν γῆν, εἰς ἣν ἐξέτεινα
τὴν χεῖρά μου, δοῦναι αὐτὴν τῷ
Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακώβ·
καὶ δώσω αὐτὴν ὑμῖν ἐν κλήρῳ.
ια. ἐγὼ Κύριος. Ἐλάλησε δὲ Μωϋσῆς
οὕτω τοῖς υἱοῖς Ἰσραήλ· καὶ οὐκ εἰσήκουσαν
Μωϋσῆ ἀπὸ τῆς ὀλιγοψυχίας,
καὶ ἀπὸ τῶν ἔργων τῶν σκληρῶν.
ιβ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, λέγων,
ιγ. Εἴσελθε, λάλησον πρὸς Φαραὼ βασιλέα
Αἰγύπτου, ἵνα ἐξαποστείλῃ τοὺς
ιδ. υἱοὺς Ἰσραὴλ ἐκ τῆς γῆς αὐτοῦ. Ἐλάλησε
δὲ Μωϋσῆς ἐναντίον Κυρίου, λέγων,
ἰδοὺ οἱ υἱοὶ Ἰσραὴλ οὐκ εἰσήκουσάν
μου, καὶ πῶς εἰσακούσεταί μου Φα-
ιε. ραώ; ἐγὼ δὲ ἄλογός εἰμι. Εἶπε δὲ
Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν, καὶ
συνέταξεν αὐτοῖς πρὸς Φαραὼ βασιλέα
Αἰγύπτου, ὥστε ἐξαγαγεῖν τοὺς
ιϛ. υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου. Καὶ
οὗτοι οἱ ἀρχηγοὶ οἴκων πατριῶν αὐτῶν.
υἱοὶ Ῥουβεὶμ πρωτοτόκου Ἰσραήλ·
Ἐνὼχ, καὶ Φαλλοὺς, Ἀζρὼμ, καὶ
Χαρμί· αὕτη ἡ συγγένεια Ῥουβείμ.
ιζ. Καὶ υἱοὶ Συμεών· Ἰεμουὴλ, Ἰαμὶμ,
καὶ Ἀὼδ, καὶ Ἰαχὶν, καὶ Σαὰρ, καὶ
Σαοὺλ ὁ ἐκ τῆς Φοινικίσσης. αὗται αἱ
ιη. πατριαὶ τῶν υἱῶν Συμεών. Καὶ ταῦτα
τὰ ὀνόματα τῶν υἱῶν Λευῒ κατὰ
συγγενείας αὐτῶν· Γηρσὼν, Καὰθ,
καὶ Μεραρί. καὶ τὰ ἔτη τῆς ζωῆς
ιθ. Λευῒ, ἑκατὸν τριακονταεπτά. Καὶ
οὗτοι υἱοὶ Γεδσών· Λοβενὶ, καὶ Σεμεΐ·
κ. οἶκοι πατριᾶς αὐτῶν. Καὶ υἱοὶ Καάθ·
Ἀμβρὰμ, καὶ Ἰσσὰρ, Χεβρὼν, καὶ
Ὀζιήλ. καὶ τὰ ἔτη τῆς ζωῆς Καὰθ,
κα. ἑκατὸν τριακοντατρία ἔτη. Καὶ υἱοὶ
Μεραρί· Μοολὶ, καὶ Ὁμοσί. οὗτοι
οἶκοι πατριῶν Λευῒ, κατὰ συγγενείας
κβ. αὐτῶν. Καὶ ἔλαβεν Ἀμβρὰμ τὴν
Ἰοχάβελ θυγατέρα τοῦ ἀδελφοῦ τοῦ
πατρὸς αὐτοῦ αὐτῷ εἰς γυναῖκα· καὶ
ἐγέννησεν αὐτῷ τόν τε Ἀαρὼν καὶ τὸν
Μωϋσῆν, καὶ Μαριὰμ τὴν ἀδελφὴν
αὐτῶν. τὰ δὲ ἔτη τῆς ζωῆς Ἀμβρὰμ,
κγ. ἑκατὸν τριακονταεπτὰ ἔτη. Καὶ υἱοὶ
Ἰσσαάρ· Κορὲ, καὶ Ναφὲκ, καὶ Ζεχρί.
κδ. Καὶ υἱοὶ Ὀζιήλ· Μισαὴλ, καὶ Ἐλισαφὰν,
καὶ Σετρί.

κε. Ἔλαβε δὲ Ἀαρὼν τὴν Ἐλισάβετ
(1) θυγατέρα Ἰεμιναδὰβ ἀδελφὴν
Ναασσὼν αὐτῷ γυναῖκα· καὶ ἔτεκεν
αὐτῷ τόν τε Ναδὰβ, καὶ Ἀβιοὺδ,
Ζ καὶ Ἐλεάζαρ, καὶ Ἰθάμαρ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τῆς τοῦ Ἀαρὼν γυναικὸς, οὐ τὸν πατέρα μόνον, ἀλλὰ καὶ τὸν ἀδελφὸν δῆλον ἡμῖν πεποίηκεν; Ἔλαβε δὲ Ἀαρὼν τὴν Ἐλισάβετ θυγατέρα Ἀμιναδὰβ ἀδελφὴν Ναασσὼν γυναῖκα· καὶ ἔτεκεν αὐτῷ τόν τε Ναδὰβ, καὶ Ἀβιοὺδ, καὶ Ἐλεάζαρ, καὶ Ἰθάμαρ. Τῆς βασιλικῆς καὶ τῆς ἱερατικῆς φυλῆς
Η τὴν ἐπιμιξίαν διδάσκει. ὁ γὰρ Ναασσὼν, υἱὸς τοῦ Ἀμιναδάβ· ὁ δὲ Ἀμιναδὰβ, τοῦ Ἀράμ· ὁ δὲ Ἀρὰμ, τοῦ Ἐσρώμ· ὁ δὲ Ἐσρὼμ,

(1) Ἐλισαβέθ. ἡ ἐν Φρανεκ. ἔκδοσ. καὶ Ἐλισαβέτ. ἡ τοῦ Ἀλδ.

Ἐσρὼμ, τȣ̃ Φαρὲς· ὁ δὲ Φαρὲς, τȣ̃ Ἰȣ́δα. ȣ̃τος δὲ ὁ Ναασσὼν Φύλαρχος ἦν τȣ̃ Ἰȣ́δα. ἐκ τῆς τȣ́των συγγενείας ὁ Κύριος κατὰ σάρκα γεγέννηται. ȣ̓ μάτην τοίνυν τῆς βασιλικῆς καὶ τῆς ἱερατικῆς Φυλῆς τὴν ἐπιμιξίαν ἐδίδαξεν· ἀλλὰ δεικνὺς, ὡς ὁ δεσπότης Χριςὸς ἐξ ἀμφοτέρων ἐβλάστησε, βασιλεὺς καὶ ἱερεὺς κατὰ τὸ ἀνθρώπινον χρηματίσας.

∗ ΠΡΟΚΟΠΙΟΥ. Σημειωτέον, ὡς οἱ ἱερεῖς, ȣ̓ μόνον ἐκ Φυλῆς Λευῒ κατήγοντο, καὶ μάλιστα οἱ ἀρχιερεῖς, ἀλλὰ καὶ ἐκ τῆς Φυλῆς Ἰȣ́δα. ἐκ Φυλῆς γὰρ Ἰȣ́δα ὁ Ναασσὼν, καὶ ὁ τȣ́τȣ πατὴρ Ἀμιναδὰβ, ὡς ἐν τοῖς Ἀριθμοῖς μαθήσῃ.

κς. Υἱοὶ δὲ Κορὲ· Ἀσεὶς, καὶ Ἐλκανὰ, καὶ Ἀβιάσαρ. αὗται αἱ
κζ. γενέσεις Κορέ. Καὶ Ἐλεάζαρ ὁ τȣ̃ Ἀαρὼν ἔλαβε τῶν θυγατέρων Φȣτιὴλ αὐτῷ γυναῖκα· καὶ ἔτεκεν αὐτῷ τὸν Φινεές. αὗται αἱ ἀρχαὶ πατριᾶς
κη. Λευϊτῶν, κατὰ γένος αὐτῶν. Οὗτος Ἀαρὼν καὶ Μωϋσῆς, οἷς εἶπεν ὁ Θεὸς αὐτοῖς ἐξαγαγεῖν τȣ̀ς υἱȣ̀ς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτȣ σὺν δυνάμει αὐτῶν.

κθ. Οὗτοί εἰσιν οἱ διαλεγόμενοι Φαραὼ βασιλεῖ Αἰγύπτȣ, ὥςε ἐξαγαγεῖν τȣ̀ς υἱȣ̀ς Ἰσραὴλ ἐξ Αἰγύπτȣ
λ. αὐτὸς Ἀαρὼν καὶ Μωϋσῆς, Ἡ ἡμέρα ἐλάλησε Κύριος πρὸς Μωϋσῆν ἐν γῇ Αἰγύπτῳ.

∗ ΠΡΟΚΟΠΙΟΥ. Διατί ἐνταῦθα γενεαλογήσας ἀπὸ τȣ̃ Ῥȣβὴμ, ἐλθὼν εἰς Λευῒ κατέπαυσε; Δῆλον, ὅτι διὰ τȣ̃το ἄρχεται, ἵνα τὸν Λευῒ γενεαλογήσῃ, καὶ „εἴπῃ περὶ Μωσέως καὶ Ἀαρών· ȣ̃τοί εἰσιν „οἱ προσδιαλεγόμενοι Φαραὼ βασιλεῖ Αἰγύπτȣ, (1) πρὶν ἀναςῆναι κριτὴν, ἢ βασιλέα, ἢ ἀρχιερέα. ἡ δὲ Φυλὴ ἐκράτει, καὶ ἀπὸ ταύτης ἔδει γενεαλογεῖν. ὅταν „ȣ̃ν ὁ Θεὸς λέγῃ, τετάρτῃ γενεᾷ ἐλεύσον- „ται ὧδε· ἀπὸ τῆς Λευῒ Φυλῆς, ὡς ἀρχέσης (2) δεῖ γενεαλογῆσαι. ὅταν δὲ λέ„γῃ ἐνταῦθα, πέμπτῃ γενεᾷ ἀνέβησαν οἱ „υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτȣ, ἀπὸ τȣ̃ Ἰακὼβ ἀρκτέον. (3) ἐπεὶ μέγα ζήτημα κινεῖται, „ὅπως ὁ Θεὸς μὲν λέγει, τετάρτῃ δὲ γε„νεᾷ ἀποςραφήσονται ὧδε, τȣτέςιν εἰς τὴν γῆν τῆς ἐπαγγελίας· ὁ δὲ Μωϋσῆς, „πέμπτῃ γενεᾷ ἀνέβησαν ἐξ Αἰγύπτȣ· ἡ δὲ πέμπτη ἔπεσεν ἐν τῇ ἐρήμῳ· ἡ ἕκτη δῆλον, ὅτι εἰσῆλθε. κατὰ ȣ̃ν τὴν πέμπτην γενεὰν, ἀπὸ τȣ̃ Ἰακὼβ λέγει.

Γεν. 15. 16.

Ἐξόδ. 13. 18.

λα. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων, ἐγὼ Κύριος· λάλησον πρὸς Φαραὼ βασιλέα Αἰγύ-
λβ. πτȣ ὅσα ἐγὼ λέγω πρὸς σέ. Καὶ εἶπε Μωϋσῆς ἐναντίον Κυρίȣ, ἰδȣ̀ ἐγὼ ἰσχνόφωνός εἰμι, καὶ πῶς εἰσακȣ́σεταί μȣ Φαραώ;

ΚΕΦ. Ζ.

α. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, ἰδȣ̀ δέδωκά σε Θεὸν Φαραὼ, καὶ Ἀαρὼν ὁ ἀδελφός σȣ ἔςαι σȣ Προφήτης.

∗∗ ΤΟΥ ΝΥΣΣΗΣ. Μωϋσῆς τῶν Αἰγυπτίων ἐχειροτονήθη Θεὸς, ȣ̃τω πρὸς αὐτὸν εἰπόντος τȣ̃ χρηματίζοντος, „ὅτι „Θεόν σε δέδωκα τῷ Φαραώ. ἐκεῖ ἐξȣσίας τινὸς εἴτε ἐποπτικῆς, εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς ἐγένετο τȣ̃ Φαραὼ Θεὸς ὁ Μωϋσῆς; Ὥσπερ ὁ Θεὸς προσέταττε τῷ Μωϋσῇ, ȣ̃τω πάλιν ὁ Μωϋσῆς τῷ Ἀαρών. διὸ δὴ καὶ Προφήτης ἀνηγορεύθη Ἀαρὼν τȣ̃ Μωϋσȣ̃.

ΑΚΑΚΙΟΥ. Ὃν τρόπον ὁ Θεὸς διὰ Προφητῶν λαλεῖ τοῖς ἀνθρώποις, ȣ̃τω καὶ ὁ Μωϋσῆς δι' Ἀαρὼν τῷ Φαραώ. διερμηνεύων τὸν νȣ̃ν τȣ̃ λόγȣ, φησὶ καὶ „Ἀαρὼν ὁ ἀδελφός σȣ ἔςαι σȣ Προφήτης.

β. Σὺ δὲ λαλήσεις αὐτῷ πάντα ὅσα ἐντέλλομαί σοι· ὁ δὲ Ἀαρὼν ὁ ἀδελφός σȣ λαλήσει πρὸς Φαραὼ, ὥςε ἐξαποςεῖλαι τȣ̀ς υἱȣ̀ς Ἰσραὴλ ἐκ τῆς γῆς αὐτȣ̃.

γ. Ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν Φαραὼ, καὶ πληθυνῶ τὰ σημεῖά μȣ καὶ τὰ τέρατα ἐν γῇ Αἰγύπτῳ.

ΑΚΑΚΙΟΥ. Σκληρύνειν ὁ Θεὸς λέγεται τὸν ἀπειθῆ ταῖς θείαις παραγγελίαις Φαραὼ, ȣ̓κ εὐεικτον γινόμενον πρὸς τȣ̀ς τυπȣ̃ντας τὴν ψυχὴν χαρακτῆρας τῶν θείων παραγγελμάτων. σκληρὸς γὰρ, ὁ μὴ παρὰ τῶν χαρακτήρων τȣ̃ λόγȣ τυπȣ́μενος. καὶ ὁ μὲν ἀπειθὴς, ἤδη σκληρὸς, πρὶν ἄλλος ἐπιβαλὼν τὰς σφραγῖδας ἐλέγξει τὸ ἀντίτυπον τȣ̃ ὑποκειμένȣ. ὅταν δὲ καὶ ἁπαλωτέροις καὶ προσηνέσι λόγοις παραινῆται, χρηςότητος καταφρονῶν, θυμὸν δὲ μὴ δεδιὼς, τέως ἡσυχάζοντα,

(1) Αἰγύπτȣ. ȣ̃τοι πρῶτοι ἄρχȣσι, πρὶν κτ. ὁ τῆς Αἰγ. κώδ.
(2) Ὡς διὰ τȣ́των ἀρχȣ́σης ὁ αὐτ.
(3) Ἀρκτέον. ἡ γὰρ ἀπὸ τȣ̃ Λευῒ πέμπτη ἔπεσεν ἐν τῇ ἐρήμῳ· ἡ γὰρ ἕκτη εἰσῆλθεν· ὁ γὰρ Ἀαρὼν ἀπὸ μὲν Ἰακὼβ, πέμπτος· ἀπὸ δὲ Λευῒ, τέταρτος. Φινεὲς ȣ̃ν ὁ εἰσελθὼν, ἕκτος ἐξ Ἰακὼβ. ἐςὶ γὰρ Ἰακὼβ, Λευῒ, Καὰθ, Ἀμβραμ, Ἀαρὼν, Φινεές. ὁ αὐτ.

ζοντα, ἔτι μᾶλλον σκληρύνεται, τȣτέσι σκληρὸς ὢν, ἐλέγχεται, ἐν ȣδενὶ λόγῳ τιθέμενος τὴν ἀγαθότητα τȣ̃ προσάτ]οντος. ὁ δὲ χρηστότητος λόγον ἀκȣ́ων, καὶ νομίζων τȣ̃τον κολακείαν εἶναι καὶ ἀδυναμίαν τȣ̃ προσάσσοντος, ἀντιτάσσεται, ὡς περιεσόμενος τῇ δυνάμει τȣ̃ θείȣ θελήματος· καὶ, τὸ χρηστὸν τȣ̃ Θεȣ̃ πρὸς μετάνοιάν σε ἄγον, ἀφορμὴν τȣ̃ σκληρύνεσθαι τῷ ἀθέῳ γίνεται. ἡ ȣ̓̃ν ἀφορμὴ τῆς ἀγαθότητος, πρόφασις σκληρότητος τοῖς κακῶς φρονȣ̃σιν ἐνομίσθη. Καὶ μετ᾽ ὀλίγα. Ἐὰν ȣ̓̃ν λέγῃ ὁ Θεὸς, ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραὼ, δυνάμει τȣ̃τό φησιν· ἐγὼ δὲ σκληρὸν ἐλέγξω τὸ ἡγεμονικὸν Φαραὼ, τȣ̃ ἐπιληψίμȣ τῆς ἐπαγγελίας λυομένȣ ὑπὸ τῆς τοιᾶσδε διανοίας.

Ῥωμ. 2. 4.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Ἐπειδὴ αὐτὸς ὑπὸ τῆς ἄγαν κακίας ἀνίατος ἦν, ἐσκλήρυνε δὲ αὐτὸν τῇ μακροθυμίᾳ, καὶ τῇ τῆς τιμωρίας ἀναβολῇ ἐπιτείνων αὐτȣ̃ τὴν κακίαν· ἵνα εἰς τὸν ἔσχατον ὅρον αὐξηθείσης αὐτȣ̃ τῆς πονηρίας, τὸ δίκαιον ἐπ᾽ αὐτῷ τῆς θείας κρίσεως διαφανῇ.

δ. Καὶ ȣ̓κ εἰσακȣ́σεται ὑμῶν Φαραὼ· καὶ ἐπιβαλῶ τὴν χεῖρά μȣ ἐπ᾽ Αἴγυπτον, καὶ ἐξάξω σὺν δυνάμει μȣ τὸν λαόν μȣ τȣ̀ς υἱȣ̀ς Ἰσραὴλ ἐκ γῆς
ε. Αἰγύπτȣ σὺν ἐκδικήσει μεγάλῃ. Καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι, ὅτι ἐγὼ Κύριος, ἐκτείνων τὴν χεῖρά μȣ ἐπ᾽ Αἴγυπτον, καὶ ἐξάξω τȣ̀ς υἱȣ̀ς Ἰσραὴλ
ς. ἐκ μέσȣ αὐτῶν. Ἐποίησε δὲ Μωϋσῆς καὶ Ἀαρὼν καθάπερ ἐνετείλατο αὐτοῖς Κύριος, ȣ̓́τως ἐποίησαν.

ζ. Μωϋσῆς δὲ ἦν ἐτῶν ὀγδοήκοντα, Ἀαρὼν δὲ ὁ ἀδελφὸς αὐτȣ̃ ὀγδοηκοντατριῶν ἦν ἐτῶν, ἡνίκα ἐλάλησε πρὸς Φαραώ.

ΚΥΡΙΛΛΟΥ. Ἀκȣ́εις ὅπως ἄμφω μὲν ἦσην ἴσοι κατά γε τὸ ἥκειν εἰς ὀγδοηκοσὸν ἔτος· ἐν ὑπεροχῇ δὲ τριάδος ἐν ὑπεροχῇ Ἀαρών. (1) ȣ̓κȣ̃ν Μωϋσέως πρεσβύτερος, εἰ καὶ μετ᾽ αὐτὸν εἰς διακονίαν. ȣ̓́τω καὶ ὁ Χριστὸς ἴσος μὲν κατά τι Μωσεῖ διὰ τὸ ἀνθρώπινον, καὶ δεύτερος εἰς οἰκονομίαν· ὑπερκείμενος δὲ καὶ ὑπερανεστηκὼς, ὡς ἐν Θεότητι, καὶ δόξῃ τῇ κατὰ τὴν ἁγίαν Τριάδα.

η. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν
θ. καὶ Ἀαρὼν, λέγων, Ἐὰν λαλήσῃ πρὸς ὑμᾶς Φαραὼ, λέγων, δότε ἡμῖν σημεῖον ἢ τέρας· καὶ ἐρεῖς Ἀαρὼν τῷ ἀδελφῷ σȣ, λάβε τὴν ῥάβδον, καὶ ῥίψον αὐτὴν ἐναντίον Φαραὼ, καὶ ἐναντίον τῶν θεραπόντων αὐτȣ̃· καὶ ἔσαι δράκων.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ἴδε πῶς γέγονεν ὁ Μωσῆς Θεὸς τȣ̃ Φαραὼ, ὃν ἐδεδοίκει, τȣ̃ Ἀαρὼν ὑπȣργȣ̃ντος τοῖς σημείοις καὶ τοῖς λόγοις αὐτȣ̃. ἐν μὲν γὰρ τῇ ἐρήμῳ, Θεὸς προσάσσει τῷ Μωσεῖ ῥίψαι τὴν ῥάβδον· ἐπὶ τȣ̃ Φαραὼ δὲ, Μωσῆς τῷ Ἀαρών. (2)

ΣΕΥΗΡΟΥ. Ῥάβδον γὰρ ἐκελεύετο φέρειν ὁ Μωσῆς, καὶ ἐν αὐτῇ τὴν τῶν θαυμάτων ἐπιδείκνυσθαι δύναμιν· ἵνα μάθωμεν, ὡς ἡ ῥάβδος ȣ̓ δι᾽ ἕτερόν τι τὰς δυνάμεις ἐνήργει, ἢ διὰ τὸν ἐγκεκρυμμένον αὐτῇ τύπον τȣ̃ τιμίȣ σαυρȣ̃. καὶ χωρὶς αὐτῆς, τȣ̃ διὰ σαυρȣ̃ σημείȣ, τεθαυματȣ́ργηκεν ȣ̓δὲν ὁ θεσπέσιος Μωσῆς.

ι. Εἰσῆλθε δὲ Μωϋσῆς καὶ Ἀαρὼν ἐναντίον Φαραὼ, καὶ τῶν θεραπόντων αὐτȣ̃· καὶ ἐποίησαν ȣ̓́τω, καθάπερ ἐνετείλατο αὐτοῖς Κύριος. καὶ ἔῤῥιψεν Ἀαρὼν τὴν ῥάβδον αὐτȣ̃ ἐναντίον Φαραὼ, καὶ ἐναντίον τῶν θεραπόντων αὐτȣ̃, καὶ ἐγένετο δράκων.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Διὰ τȣ̃το ἐπὶ μὲν τῆς βάτȣ καὶ τȣ̃ Ἰσραὴλ ὁ Θεὸς τὴν ῥάβδον εἰς ὄφιν μεταβάλλει, ἐπὶ δὲ τȣ̃ Φαραὼ εἰς δράκοντα· ἵνα τῷ μεγέθει καταπλήξῃ τὸ σκληρὸν τῶν Αἰγυπτίων. δῆλον δὲ ὅτι ἀληθὲς τὸ σημεῖον, τὸ δὲ τῶν μάγων φαντασία. διὸ καὶ κατεπόθη ὑπὸ τῆς ἀληθείας ἡ φαντασία.

ια. Συνεκάλεσε δὲ Φαραὼ τȣ̀ς σοφισὰς, καὶ τȣ̀ς φαρμακȣ̀ς· καὶ ἐποίησαν οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν ὡσαύτως.

ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ ἧκον πρὸς Φαραὼ διαλεξόμενοι πάλιν οἱ ἀμφὶ Μωσέα, ἀνεῖναί τε τῆς Αἰγυπτίων καὶ ἀπολῦσαι δεσμῶν τῶν πάλαι τὸν Ἰσραὴλ ἀναπείσοντες, σημείοις ἐκδυσωπεῖν τοῖς ὑπὲρ λόγον ἤθελον, ῥάβδȣ τε εἰς ὄφιν μεταπλασμὸν ἐπεδείκνυον, καὶ τὰ ἀπὸ τȣ̃δε μείζονά τε καὶ ὑπερφερῆ κατορθȣ̃ν δύνασθαι προχειρότατα διὰ Θεȣ̃ σαφῶς ἐπηγγέλοντο. ὁ δὲ τοῖς ἰδίοις ἰσȣργεῖν ἐκέλευσε μάγοις, μονονȣχὶ διὰ τȣ́των βοῶν, ȣ̓κ ἀγνῶτες ἔργων τῶν τοιȣ́των ἡμεῖς· πλεῖσοι δὲ ὅσοι παρ᾽ Αἰγυπτίοις, [ἢ] καθ᾽ ὑμᾶς καὶ μελέτη μάγοις τὸ θαυματȣργεῖν, οἷς καὶ ὑμεῖς ἐναρίθμιοι. ὡς ȣ̓̃ν διασύρων τȣ̀ς περὶ Μωσέα ὁ Φαραὼ, ἤγαγε τȣ̀ς μάγȣς, μονονȣχὶ λέγων, ὅτι ȣ̓ μόνον ὑμεῖς ποιεῖτε σημεῖα· ἀλλὰ καὶ οἱ παρ᾽ ἡμῖν μάγοι.

ΓΡΗΓΟ-

(1) Ἴσ. ἐν ὑπεροχῇ δὲ τριάδος ὑπερέχει Ἀαρών. τὰ δὲ ἀπὸ τȣ̃ ἐν ὑπεροχῇ, ἄχρι τȣ̃, εἰ καὶ, ἐν τοῖς ἐκδεδομ. ȣ̓ κεῖται.

(2) Οὐδὲ τȣ̃το ȣ̓δὲ τὰ ἑξῆς δύω τȣ̃ Νυσ. ἐν τοῖς ἐκδεδομ. εὕρηται.

A ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ἠδύνατο κωλῦσαι τοὺς μάγους περὶ τὴν ἀρχήν, ἀλλ' οὐ βούλεται. ἡ γὰρ νίκη λαμπροτέρα γίνεται, ὅταν οἱ ἀντιμαχόμενοι ὦσι. διὰ τοῦτο καὶ τὸν διάβολον εἴασεν ἡττώμενον, ἵνα ἴδῃς ἀνθρώπους ἐστεφανωμένους κατ' αὐτοῦ, καὶ ἀνακηρυττομένους.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δή ποτε συνεχώρησεν ὁ Θεὸς τοῖς φαρμακοῖς τὰ αὐτὰ δρᾶσαι τῷ Μωσεῖ; Εἰσί τινες καὶ νῦν τῶν ἀσεβείᾳ συζώντων, οἵ φασι γοητείᾳ τεθαυματουργηκέναι τὸν θεσπέσιον Μωϋσῆν. B διὸ τούτου χάριν ἐνδέδωκεν ὁ Θεὸς τοῖς φαρμακοῖς ἔνια δρᾶσαι, ἵνα δειχθῇ τὸ διάφορον. μετέβαλον μὲν γὰρ καὶ αὐτοὶ τὰς ῥάβδους εἰς ὄφεις, ἀλλ' ἡ Μωϋσοῦ ῥάβδος τὰς ἐκείνων κατέπιε. καὶ μετέβαλον κἀκεῖνοι εἰς αἷμα τὸ ὕδωρ, ἀλλ' εἰς τὴν προτέραν ἐπαναγαγεῖν τὸ ὕδωρ οὐκ ἴσχυσαν φύσιν. καὶ τοὺς βατράχους ἐξήγαγον, οὐ μὴν καὶ ἀπαλλάξαι αὐτῶν τὰς τῶν Αἰγυπτίων ἠδυνήθησαν οἰκίας. Γ καὶ εἰς μὲν τὸ παιδεύειν τοὺς Αἰγυπτίους, καὶ τοῖς φαρμακοῖς ἐνεργεῖν ἐνεδίδου· εἰς δὲ τὸ παύειν τὴν τιμωρίαν, οὐκ ἔτι. ἐπειδὴ γὰρ ὑπὸ τοῦ Θεοῦ κολαζόμενος τῶν Αἰγυπτίων ὁ βασιλεὺς οὐκ ἠρκεῖτο ταῖς θεηλάτοις πληγαῖς, ἀλλὰ καὶ τοῖς φαρμακοῖς αὔξειν τὴν τιμωρίαν ἐκέλευε· καὶ διὰ τούτων αὐτὸν ἐκόλαζεν ὁ Θεός, μονονουχὶ λέγων, ἐπειδὴ τέρπῃ κολαζόμενος, Δ καὶ διὰ τῶν ἐμῶν θεραπόντων παιδεύω, καὶ διὰ τῶν σῶν σε κολάζω. ἰδὼν δὲ αὐτὸν πλέον σκληρυνόμενον, ἐκώλυσε τὴν ἐκείνων ἐνέργειαν. καὶ οἱ τὸ μεῖζον ζῶον ἐξαγαγόντες τὸν βάτραχον, τὸν σκνῖπα τὸν σμικρότατον ἐξαγαγεῖν οὐκ ἴσχυσαν, ἀλλὰ δάκτυλον Θεοῦ τὴν πληγὴν προσηγόρευσαν. τὰς μέντοι φλυκτίδας καὶ τοῖς ἐκείνων ἐπήνεγκε σώμασιν, ἵνα καὶ αὐτοὶ μάθωσι, καὶ ὁ ἀνόητος αὐτῶν βασιλεύς, E ὡς οὐ μόνον ἐπέχειν οὐ δύνανται τὰς θεηλάτους ὀργάς, ἀλλὰ καὶ αὐτοὶ συντιμωροῦνται τοῖς ἄλλοις. ἀναιδείας τοίνυν τὸ λέγειν, μαγγανείᾳ τινὶ τεθαυματουργηκέναι τὸν Μωϋσῆν, τῶν μάγων βοώντων, ὅτι θείας ἦν δυνάμεως τὰ σημεῖα. εἰ γὰρ φαντασίας ἦν τὰ παρ' αὐτοῦ δρώμενα, ἔδει κἀκείνους φαντάσαι, καὶ τὸν ὁμότεχνον διελέγξαι. νῦν δὲ διαῤῥήδην βοῶσι, δάκτυλον τοῦ Θεοῦ τοῦτο.

Z ιβ. Καὶ ἔῤῥιψαν ἕκαστος τὴν ῥάβδον
αὐτοῦ, καὶ ἐγένοντο δράκοντες· καὶ
κατέπιεν ἡ ῥάβδος Ἀαρὼν τὰς ἐκείνων ῥάβδους.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐκ πολλοῦ τοῦ περιόντος διαναστὰς πρὸς ὕψος ὁ ἐκ τῆς ῥάβδου Μωσέως γενόμενος δράκων, τὰ μὲν στέρνα εὐρύνει, τὸ δὲ στόμα διανοίξας, ὁλκοῦ H πνεύματος ῥύμῃ βιαιοτάτῃ, καθάπερ βόλους ἰχθύων πάντας ἐν κύκλῳ σαγηνεύσας ἐπισπᾶται· καὶ καταπιών, εἰς τὴν ἀρχαίαν φύσιν τῆς βακτηρίας μετέβαλεν.

A οὕτω μὲν οὖν ἑκάστου τοῦτο τεθεαμένου τῶν ἐθελοκακούντων τὸ ὕποπτον διήλεγξεν ἡ μεγαλουργηθεῖσα ὄψις, ὡς μηκέτι νομίζειν τῶν ἀνθρώπων σοφίσματα καὶ τέχνας εἶναι τὰ γινόμενα, πεπλασμένα πρὸς ἀπάτην· ἀλλὰ δύναμιν θειοτέραν τὴν τούτων αἰτίαν, ᾗ πάντα δρᾶν εὐμαρές.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Τὸ ἴσον ἐνομίσθη θαυματοποιεῖν ἡ γοητεία [ἐν ταῖς τῶν μάγων ῥάβδοις.] καὶ ἠλέγχθη διὰ B τῆς ἐνεργείας τὸ σόφισμα, [δείξαντος τοῦ δράκοντος τοῦ ἐκ τῆς Μωϋσέως ῥάβδου μεταβληθέντος ἐκ τοῦ διαφαγεῖν τὰ γοητικὰ ξύλα, τοὺς ὄφεις δῆθεν, ὅτι οὐδεμίαν ἀμυντικὴν οὐδὲ ζωτικήν τινα δύναμιν] εἶχον αἱ [τῶν γοήτων] ῥάβδοι, πλὴν τοῦ σχήματος. ὃ τοῖς ὀφθαλμοῖς τῶν εὐεξαπατήτων [ἡ] γοητεία σοφισαμένη παρέδειξε.

ΤΟΥ ΑΥΤΟΥ. Ὅταν τοίνυν τὶς τῶν Γ ἐν ἀρετῇ προεχόντων ἀποσπᾶν ἐθέλῃ τοὺς τῇ ἀπάτῃ δεδουλωμένους εἰς βίον ἐμφιλόσοφόν τε καὶ ἐλεύθερον, οἶδεν ὁ ταῖς ποι- » κίλαις, καθώς φησιν ὁ Ἀπόστολος, μεθοδίαις (Ἐφεσ. ϛ. ια.) κατὰ τῶν ψυχῶν ἡμῶν σοφιστεύων, ἀντιπαραγαγεῖν τῷ θείῳ νόμῳ τὰ τῆς ἀπάτης σοφίσματα. ταῦτα δὲ λέγω, πρὸς τοὺς αἰγυπτίους δράκοντας βλέπων τῷ λόγῳ, τουτέστι πρὸς τὰς ποικίλας τῆς ἀπάτης κακίας· ὧν τὸν ἀφανισμὸν ἡ τοῦ Μω- Δ σέως ῥάβδος ἐργάζεται. οὕτω τοίνυν καὶ ὁ τὴν θείαν ἐκείνην κεκλημένος τῆς ἀρετῆς ῥάβδον τὴν τὰς σεσοφισμένας ἐξαφανίζουσαν ῥάβδους ὁδῷ τινὶ καὶ ἀκολουθίᾳ πρὸς τὰ μείζω πρόεισι τῶν θαυμάτων.

ιγ. Καὶ κατίσχυσεν ἡ καρδία Φα-
ραώ· καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθά-
ιδ. περ ἐλάλησε Κύριος. Εἶπε δὲ Κύριος
πρὸς Μωϋσῆν, βεβάρυται ἡ καρδία Φα-
E ραώ, τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαόν.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. [Ἐπειδὴ δὲ ὁμολογεῖν ἀναγκασθέντες ὑπὸ τῆς τῶν γινομένων ἐμφανοῦς ἐνεργείας, οὐδὲν ἧττον ἐθρασύνοντο, τῆς αὐτῆς ἀπανθρωπίας καὶ ἀσεβείας, ὥσπερ ἀγαθοῦ τινος, ἐπειλημμένοι βεβαιότατα, μήτε τοὺς καταδουλωθέντας ἀδίκως ἐλεοῦντες, μήτε τὰ διὰ τῶν λόγων προσαττόμενα δρῶντες,] Z ἅτε δὴ τοῦ Θεοῦ τρανοτέραις χρησμῶν ἀποδείξεσι ταῖς διὰ σημείων καὶ τεράτων τὸ βούλημα δεδηλωκότος, ἐμβριθεστέρας ἐπαναστάσεως ἐδέησε, καὶ πληγῶν ἐσμοῦ. αἷς ἄφρονες νουθετοῦνται, οὓς λόγος οὐκ ἐπαίδευσε. δέκα [δ'] ἐπάγονται τῇ χώρᾳ πληγαί, κατὰ τῶν τέλεια ἡμαρτηκότων τέλειος ἀριθμὸς [κολάσεως.] προλέγει δὲ Μωϋσῆς τὰς πληγάς, καὶ τὸν καιρόν, ἵνα μὴ δόξῃ τοῖς πολλοῖς αὐτομάτως γίνεσθαι.

H » ✱ ΩΡΙΓΕΝΟΥΣ. Τὸ, βεβάρυται ἡ » καρδία Φαραώ, λεγόμενον ὑπὸ Κυρίου μετὰ τὴν μεταβαλοῦσαν (1) εἰς δράκοντα ῥάβδον

(1) Μεταβληθεῖσαν ὀρθότερ.

ῥάβδον τοῦ Ἀαρὼν, καὶ καταπιοῦσαν τὰς » τῶν μάγων ῥάβδους, ἔξεστιν (1) ἰδεῖν, εἰ » ἕτερόν ἐστι τοῦ, ἐσκληρῶσθαι τὴν καρδίαν » Φαραὼ, λεγομένου πολλάκις, καὶ τοῦ κατι- » σχυκέναι. καὶ γὰρ καὶ τοῦτο οὕτως εἴρηται, » καὶ κατίσχυσεν ἡ καρδία Φαραώ· καὶ οὐκ » εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησε Κύριος. δοκεῖ δέ μοι ἡ μὲν ἐνδιδοῦσα καρδία πρὸς τὰ θεῖα, ἀπαλύνεσθαι καὶ μὴ ἰσχύειν ἀνθίστασθαι τῇ Θεότητι, [καὶ] μὴ βαρύνεσθαι, μηδὲ ἕλκεσθαι κάτω εἰς γῆν καὶ ὕλην· ἡ δὲ ἀντιτείνουσα καὶ ἐναντιουμένη τῷ θείῳ βουλήματι, σκληροῦσθαι, ἢ (2) ἀντιτυπεῖν δίκην λίθου, καὶ ἀποκρούεσθαι τὸν λόγον, καὶ κατ' ἀπόνοιαν ἀνθίστασθαι μετά τινος ψευδωνύμου ἰσχύος. ἀνάγκη δὲ τὴν τοιαύτην καρδίαν καθελκομένην ὑπὸ τῆς κακίας οὔσης κατωφεροῦς, βαρύνεσθαι· οὐ μὴν κατὰ τὴν αὐτὴν ἐπίνοιαν (3) ταῦτα τῇ καρδίᾳ συμβαίνει, εἰ καὶ μιᾷ καὶ τῇ αὐτῇ συμβέβηκε φαύλῃ οὔσῃ τὸ κατισχύειν καὶ τὸ βαρύνεσθαι. ἡ μὲν γὰρ, ὡς εἴρηταί που, λιθίνη γίνεται καρδία καὶ σκληρύνεται· ἡ δὲ, οὐ παραχωρεῖ ὡς κρείττονι τῇ θείᾳ φύσει, ἀλλὰ θεομαχεῖν ἱσταμένη, κατ' αὐτῆς ἰσχύειν λέγεται.

ιε. Βάδισον πρὸς Φαραὼ τὸ πρωΐ·
καὶ ἰδοὺ αὐτὸς ἐκπορεύεται ἐπὶ τὸ ὕδωρ,
καὶ στήσῃ συναντῶν αὐτῷ ἐπὶ τὸ χεῖ-
λος τοῦ ποταμοῦ· καὶ τὴν ῥάβδον τὴν
στραφεῖσαν εἰς ὄφιν λήψῃ ἐν τῇ χειρί
ις. σου. Καὶ ἐρεῖς πρὸς αὐτὸν, Κύριος ὁ
Θεὸς τῶν Ἑβραίων ἀπέσταλκέ με πρὸς
σὲ, λέγων, ἐξαπόστειλον τὸν λαόν μου,
ἵνα λατρεύσωσί μοι ἐν τῇ ἐρήμῳ· καὶ
ἰδοὺ οὐκ εἰσήκουσας ἕως τούτου.

ιζ. Τάδε λέγει Κύριος, ἐν τούτῳ γνώσῃ ὅτι ἐγὼ Κύριος· ἰδοὺ ἐγὼ τύπτω τῇ ῥάβδῳ τῇ ἐν τῇ χειρί μου ἐπὶ τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ, καὶ μεταβαλεῖ εἰς αἷμα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐπειδὴ γὰρ τὸ ὕδωρ Αἰγύπτιοι διαφερόντως ἐκτετιμήκασιν, ἀρχὴν τῆς τῶν ὅλων γενέσεως τοῦτο εἶναι νομίζοντες, αὐτὸ πρῶτον ἠξίωσε καλέσαι πρὸς τὴν τῶν ἀποδεχομένων ἐπίπληξίν τε καὶ νουθεσίαν.

ιη. Καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ
τελευτήσουσι· καὶ ἀποζέσει ὁ ποτα-
μὸς, καὶ οὐ δυνήσονται πιεῖν ὕδωρ οἱ
ιθ. Αἰγύπτιοι ἐκ τοῦ ποταμοῦ. Εἶπε δὲ
Κύριος πρὸς Μωϋσῆν, εἶπον Ἀαρὼν,
λάβε τὴν ῥάβδον σου, καὶ ἔκτεινον τὴν
χεῖρά σου ἐπὶ τὰ ὕδατα Αἰγύπτου, καὶ
ἐπὶ τοὺς ποταμοὺς αὐτῶν, καὶ ἐπὶ τὰς
διώρυχας αὐτῶν, καὶ ἐπὶ τὰ ἕλη αὐ-
τῶν, καὶ ἐπὶ πᾶν συνεστηκὸς ὕδωρ αὐ-
τῶν, καὶ ἔσται αἷμα. καὶ ἐγένετο αἷμα
ἐν πάσῃ γῇ Αἰγύπτου, ἔν τε τοῖς ξύ-
λοις καὶ τοῖς λίθοις.

κ. Καὶ ἐποίησαν οὕτω Μωϋσῆς καὶ Ἀαρὼν, καθάπερ ἐνετείλατο αὐτοῖς Κύριος· καὶ ἐπάρας Ἀαρὼν τὴν ῥάβδον αὐτοῦ, ἐπάταξε τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ ἐναντίον Φαραὼ, καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ· καὶ μετέβαλε πᾶν τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ εἰς αἷμα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοῦ Μωσέως ἀδελφοῦ προστάξει θείᾳ κατενεγκόντος τὴν βακτηρίαν ἐπὶ τὸν ποταμὸν, ὁ μὲν εὐθὺς ἀπὸ Αἰθιοπίας ἄχρι θαλάσσης εἰς αἷμα τρέπεται· συνεξαιματοῦνται δ' αὐτῷ λίμναι, διώρυχες, κρῆναι, φρέατα, πηγαὶ, σύμπασα ἡ κατ' Αἴγυπτον οὐσία ὕδατος· ὡς ἀπορίᾳ ποτοῦ τὰ παρὰ ταῖς ὄχθαις ἀνασέλλειν, τὰς δ' ἀνατεμνομένας φλέβας, καθάπερ ἐν ταῖς αἱμορραγίαις, κρουνηδὸν αὐλοὺς ἀκοντίζειν αἵματος, μηδεμιᾶς ἐνορωμένης διαυγοῦς λιβάδος.

** ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε πρώτην αὐτοῖς τὴν τοῦ ὕδατος ἐπήγαγε πληγήν; Πρῶτον ἐπειδὴ μέγα ἐφρόνουν ἐπὶ τῷ ποταμῷ, καὶ Θεὸν τοῦτον ἐνόμιζον, τὴν τῶν νεφῶν αὐτοῖς παρέχοντα χρείαν· ἔπειτα καὶ διὰ τὰ βρέφη τῶν Ἰουδαίων εἰς τοῦτον παραπεμφθέντα. μεταβληθεὶς γὰρ εἰς αἷμα, τῆς γεγενημένης κατηγορεῖ παιδοκτονίας. τούτου χάριν καὶ τοὺς βατράχους ἀνέβλυσε τὰ ὕδατα, ἀντὶ τῶν ἐν ἐκείνοις ἀποπνιγέντων ἀναδοθέντας παιδίων. μιμεῖται γάρ πως τὰ βρέφη τοὺς βατράχους βαδίζοντα. μηδέπω γὰρ τοῖς ποσὶ μόνοις κεχρῆσθαι δυνάμενα, ταῖς χερσὶν ἐπαμύνει τῇ τῶν ποδῶν ἀσθενείᾳ. προσώζεσε δὲ ἐκ τῶν βατράχων ἡ γῆ· ἐπειδὴ προσώζεσαν καὶ ἐσάπησαν τῶν Αἰγυπτίων οἱ μώλωπες ἐκ τῆς παμπόλλης πονηρίας.

ΕΥΣΕΒΙΟΥ. Πρώτη πληγὴ αἵματος. δικαία ἡ κρίσις. αἵματος γὰρ πλησθεὶς τῶν βρεφῶν, εἰς αἷμα μεταβάλλεται ὁ ποταμός. ἐβόα γὰρ τὸ αἷμα τῶν νηπίων. γέγονε τὸ θαῦμα. οὐχ ηὑρίσκετο ὕδωρ· ὅλον γὰρ ἦν αἷμα· καλεῖ τοὺς φαρμακοὺς Αἰγύπτου, ἵνα ἐλαττώσῃ τὸ θαῦμα.

ΤΟΥ ΑΥΤΟΥ. Πάλιν ἡ ῥάβδος, ἧς χωρὶς οὐδὲν ἐγένετο, ποταμὸν ἔτυπτε· καὶ αἷμα μὲν παρέφυεν, ὕδωρ δὲ ἀνεκαλεῖτο. ἄκουε ταῦτα, καὶ σκόπει τὰ μυστήρια, καὶ ὅτι διὰ τῆς ῥάβδου, καὶ ὅτι δι' ὕδατος. ἐπειδὴ δὲ οὐ μόνον ἐν τῷ ποταμῷ αὐτοὺς ἠδίκησεν, ἀλλὰ καὶ ἐν τῇ γῇ· πλίνθους γὰρ ἔβαλλον· ἐκβάλλει ἐκ τῆς γῆς ὁ Θεὸς τιμωρίας κατ' αὐτῶν καὶ δι' ὑδάτων πολλάς· εἴτε δὲ εἰς ξύλινα σκεύη, εἴτε εἰς λίθινα εὑρέθη ὕδωρ ἐν Αἰγύπτῳ, γέγονεν αἷμα.

ΓΡΗΓΟ-

(1) Ἄξιον ἰδεῖν. ἐν Τόμ. 2. σελ. 121. τῆς τοῦ Ῥου. ἐκδόσ.
(2) Καὶ ἀντιτυπεῖν. αὐτ. (3) Διάνοιαν. αὐτ.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ἡ θαυματοποιΐα οὐ τῷ σκοπῷ τῆς ἐκπλήξεως τῶν ἐντυγχανόντων γίνεται, ἀλλὰ πρὸς τὸ χρήσιμον τῶν σωζομένων βλέπει. τοῖς γὰρ αὐτοῖς τῆς ἀρετῆς θαύμασι καθαιρεῖται μὲν τὸ πολέμιον, αὔξεται δὲ τὸ ὁμόφυλον. πρῶτον δὲ γενικώτερον τῶν ἐπὶ μέρους θαυμάτων τὸν κατὰ ἀναγωγὴν καταμάθωμεν σκοπὸν, εἶθ' οὕτω δυνατὸν ἂν γένοιτο ἡμῖν καὶ τοῖς καθ' ἕκαστον ἐφαρμόσαι τὸ νόημα. ἡ γὰρ διδασκαλία τῆς ἀληθείας πρὸς τὰς διαθέσεις τῶν δεχομένων τὸν λόγον συμμεταβάλλεται. ἐπίσης γὰρ τοῖς πᾶσι τοῦ λόγου τὸ καλὸν ἢ τὸ κακὸν προδεικνύντος, ὁ μὲν εὐπειθῶς πρὸς τὸ δεικνύμενον ἔχων, ἐν φωτὶ τὴν διάνοιαν ἔχει· τῷ δὲ ἀντιτύπως διακειμένῳ, καὶ μὴ καταδεχομένῳ πρὸς τὴν ἀκτῖνα τῆς ἀληθείας διαβλέψαι, παραμένει τῆς ἀγνοίας ὁ ζόφος. εἰ δὲ τὸ καθόλου νοηθὲν ἡμῖν ἐν τοῖς τοιούτοις, ψεῦδος οὐκ ἔστιν· οὐδ' ἂν τὸ καθ' ἕκαστον πάντως ἑτεροίως ἔχοι, τῆς ἐπὶ μέρους ἐξετάσεως συναποδειχθείσης τῷ λόγῳ. οὐκοῦν οὐδὲν θαυμαστὸν ἀπαθῆ τὸν Ἑβραῖον μένειν τῶν Αἰγυπτίων κακῶν ἐν μέσοις τοῖς ἀλλοφύλοις ἀναστρεφόμενον· ἐπεὶ καὶ νῦν ἐστὶ τὸ ἴσον γινόμενον ἰδεῖν. ταῖς γὰρ πολυανθρώποις πόλεσι πρὸς τὰς ἐναντίας δόξας διεστηκυίαις, πότιμον καὶ διαφανές ἐστι τὸ νᾶμα τῆς πίστεως, ὃ διὰ τῆς θείας διδασκαλίας ἀρύονται· τοῖς δὲ διὰ τῆς πονηρᾶς ὑπολήψεως αἰγυπτιάζουσι διεφθορὸς αἷμα τὸ ὕδωρ γίνεται.

κα. Καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ ἐτελεύτησαν· καὶ ἀπώζεσεν ὁ ποταμὸς, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ οἱ Αἰγύπτιοι ἐκ τοῦ ποταμοῦ· καὶ ἦν τὸ αἷμα ἐν πάσῃ γῇ Αἰγύπτου.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐναπέθνησκε δὲ καὶ τὰ γένη τῶν ἰχθύων ἅπαντα, ἅτε τῆς ζωτικῆς δυνάμεως εἰς φθοροποιὸν μεταβαλούσης· ὡς δυσωδίας πάντα διὰ πάντων ἀναπεπλῆσθαι, τοσούτων σηπομένων ἀθρόον σωμάτων. πολὺς δὲ καὶ ἀνθρώπων ὄχλος ὑπὸ δίψους διαφθαρεὶς, ἔκειτο σωρηδὸν ἐπὶ τῶν τριόδων, οὐ σθενόντων ἐπὶ τὰ μνήματα τῶν οἰκείων τοὺς τετελευτηκότας ἐκκομίζειν.

κβ. Ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν. καὶ ἐσκληρύνθη ἡ καρδία Φαραὼ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ εἶπεν ὁ Κύριος.

** ΙΟΥΣΤΙΝΟΥ. Εἰ πάντα τὰ ὕδατα αἷμα ὑπὸ Μωσέως γεγένηται, πῶς
» ἐπάγει ἡ Γραφὴ τὸ, ἐποίησαν δὲ καὶ οἱ
» ἐπαοιδοὶ τῶν Αἰγυπτίων ὡσαύτως; ἢ γὰρ ψευδὲς τὸ πάντα τὰ ὕδατα γενέσθαι αἷμα ὑπὸ Μωσέως, ἢ πάλιν τὸ τοὺς ἐπαοιδοὺς πεποιηκέναι ὡσαύτως. καὶ περὶ τῶν λοιπῶν A τῶν κατ' αὐτοὺς θαυμάτων ὁ αὐτὸς λόγος. Πάντων τῶν ὑδάτων τῶν ἐπάνω τῆς γῆς αἷμα γενομένων, ἠναγκάζοντο οἱ Αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ ὀρύττειν φρέατα, καὶ ἀντλεῖν ὕδωρ, καὶ ποτίζειν ἐξ αὐτοῦ ἑαυτούς τε καὶ τὰ ζῶα αὐτῶν καὶ τὰ θρέμματα. ἐκ τούτου τοῦ ὕδατος τοῦ ἐκ τῶν φρεάτων ἀντλουμένου ἐποίησαν οἱ ἐπαοιδοὶ τὸ αἷμα. καὶ οὐδαμῶς διέψευσται ὁ λόγος. καὶ τὰ μὲν ὑπὸ Μωσέως B γενόμενα θαύματα, ἅτε κατὰ τὴν θείαν γεγενημένα ἐνέργειαν, κατὰ μεταβολὴν γεγένηται φύσεως τοῦ προκειμένου εἰς τὴν φύσιν τοῦ ἐκτελουμένου· τὰ δὲ ὑπὸ τῶν ἐπαοιδῶν γενόμενα, κατὰ τὴν ἐνέργειαν ἐγένοντο τῶν δαιμόνων, τῶν φαντασάντων τὰς ὄψεις τῶν ὁρώντων, τὸν μὴ ὄφιν ὁρᾷν ὡς τὸν ὄφιν, καὶ τὸ μὴ αἷμα ὡς αἷμα, καὶ τοὺς μὴ βατράχους ὡς βατράχους.

Γ ** ΤΟΥ ΝΥΣΣΗΣ. Πάσης τότε τῆς τῶν ὑδάτων φύσεως κατὰ τὴν Αἴγυπτον τῷ προστάγματι Μωϋσέως εἰς αἷμα τραπείσης, ὡς καὶ τοὺς ἰχθύας, εἰς σαρκώδη παχύτητα τοῦ ὕδατος μετατεθέντος, διαφθαρῆναι, τοῖς Ἑβραίοις ἀρυομένοις μόνοις ὕδωρ τὸ αἷμα ἦν. ὅθεν ἔσχε καὶ ἡ μαγγανεία καιρὸν ἐν τῷ παρὰ τοῖς Ἑβραίοις εὑρισκομένῳ ὕδατι τὸ αἱματῶδες εἶδος παρασοφίσασθαι.

Δ ** ΤΟΥ ΑΥΤΟΥ. Πολλάκις ἐπιχειρεῖ ὁ παρασοφισμὸς τῆς ἀπάτης καὶ τὸ τῶν Ἑβραίων ποτὸν τῷ μολυσμῷ τοῦ ψεύδους αἷμα ποιῆσαι, τουτέστι τὸν ἡμέτερον λόγον, καὶ ἡμῖν δεῖξαι, μὴ τοιοῦτον ὄντα, οἷός ἐστιν. ἀλλ' οὐκ ἀχρειώσειε καθόλου τὸ ποτὸν, κἂν ἐκ τοῦ προχείρου δι' ἀπάτης περιφοινίξῃ τὸ εἶδος. πίνει γὰρ ὁ Ἑβραῖος τὸ ἀληθινὸν ὕδωρ, κἂν παρὰ τῶν E ἐναντίων πιθανῶς διαβάλληται, οὐδὲν πρὸς τὸ εἶδος τῆς ἀπάτης ἐπιστρεφόμενος.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ ὅλον τὸ ὕδωρ εἰς
» αἷμα μετεβλήθη, πῶς ἐποίησαν οἱ ἐπαοι-
» δοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐ-
» τῶν ὡσαύτως; Ἐπέλαζεν αὐτοῖς καὶ ἡ θάλαττα· τὸ δὲ πότιμον ὕδωρ εἰς αἷμα μετεβλήθη μόνον. ἠδύναντο τοίνυν μετακομίσαι θαλάττιον ὕδωρ εἰς τὰ βασίλεια, καὶ μεταβαλεῖν εἰς τὴν τοῦ αἵματος Z χροιὰν, τοῦ Θεοῦ δηλονότι συγχωροῦντος αὐτοῖς ἐνεργεῖν, δι' ἃς εἰρήκαμεν αἰτίας. ἐπισημήνασθαι μέντοι καὶ τοῦτο δεῖ, ὡς τοὺς μὲν βατράχους ἐκ τῶν ὑδάτων ἐξήγαγε, τοὺς δὲ σκνῖπας ἐκ τοῦ χώματος, τὴν δὲ κυνόμυιαν ὅθεν ἠθέλησεν. ἵνα μάθωσιν, ὡς ῥᾴδιον ἦν τῷ Θεῷ καὶ δίχα ὑδάτων, καὶ δίχα γῆς παράγειν ἃ βούλεται. τούτου χάριν καὶ προλέγει τὰς τιμωρίας, H ἵνα μὴ ἀπὸ ταυτομάτου ταῦτα συμβαίνειν τοπάσωσιν, ἀλλὰ γνῶσι θεηλάτους εἶναι πληγάς.

** ΠΡΟΚΟΠΙΟΥ. Πῶς οὖν ὁμοίως ἔπραττον οἱ τῶν Αἰγυπτίων φαρμακοί; Ἡ

A κατὰ φαντασίαν, ἢ Θεοῦ συγχωροῦντος, ἵνα μειζόνως κολάζοιντο· λύσεως γὰρ ζητουμένης, ἐπέσφιγγον τὰ δεσμά· καὶ ἅμα Φαραὼ μὴ διὰ μιᾶς πληγῆς κολασθῇ, πολλῶν ἄξιος ὤν.

ΑΔΗΛΟΥ. Καὶ οἱ μάγοι μετέβαλον τὸ ὕδωρ εἰς αἷμα συνεργείᾳ δαιμόνων, κατὰ συγχώρησιν Θεοῦ πρὸς βλάβην πλείονα τῶν Αἰγυπτίων. ἕως μέντοι τρίτης πληγῆς τοῦτο ἐποίησαν, καὶ ἐν τῇ τετάρτῃ B ἠσθένησαν· ἵνα γνωσθῇ πᾶσιν, ὅτι κἀκεῖνα οὐκ ἰδίᾳ ἰσχύϊ ἐποίησαν. Τινὲς δὲ λέγουσι, παντὸς ὕδατος, αἵματος γεγενημένου, ποῦ εὑρέθη ὕδωρ; Πάντως δι' οἰκονομίαν ἔμεινε μικρόν· ἢ τῶν περὶ Μωσέα ποιούντων τὸ σημεῖον, συμπαρόντες κἀκεῖνοι ἐν αὐτῇ τῇ ῥοπῇ ἐποίουν. ἄλλοι δὲ λέγουσιν, ἐκ τῶν υἱῶν Ἰσραὴλ ἤνεγκαν ὕδωρ, καὶ ἐποίησαν αἷμα.

Γ ΑΔΗΛΟΥ. Οὐκ ἀπίθανον εἶναι (1) καὶ τὸν Μωσέα μετὰ τὴν μεταβολὴν τὴν εἰς αἷμα, πάλιν εἰς τὴν οἰκείαν ὄψιν καὶ φύσιν ἀποκαταστῆσαι τὸ ὕδωρ, ὅπως οἱ μάγοι τὴν οἰκείαν τέχνην ἀντεπιδείξωνται.

κγ. Ἐπιστραφεὶς δὲ Φαραὼ, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ· καὶ οὐκ ἐπέστησε τὸν νοῦν αὐτοῦ οὐδὲ ἐπὶ τούτῳ.

Δ κδ. Ὤρυξαν δὲ πάντες οἱ Αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ, ὥστε πιεῖν ὕδωρ· καὶ οὐκ ἐδύναντο πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ.

⁂ ΙΩΣΗΠΟΥ. Ὁ ποταμὸς αὐτοῖς αἱματώδης, Θεοῦ κελεύσαντος, ἐρρύη, πίνεσθαί τε μὴ δυνάμενος, καὶ πηγὴν ἑτέραν ὑδάτων οὐκ ἔχουσιν. οὐχὶ δὲ τὴν χρόαν μόνον ἦν τοιοῦτος, ἀλλὰ καὶ τοῖς πειρωμένοις E ἀλγήματα καὶ πικρὰν ὀδύνην προσέφερεν. ἦν δὲ τοιοῦτος μὲν Αἰγυπτίοις, Ἑβραίοις δὲ γλυκὺς καὶ πότιμος, καὶ μηδὲν τοῦ κατὰ φύσιν παρηλλαγμένος.

κε. Καὶ ἀνεπληρώθησαν ἑπτὰ ἡμέραι, μετὰ τὸ πατάξαι Κύριον τὸν ποταμόν.

ΕΥΣΕΒΙΟΥ. Οὐ μετὰ τὴν συμπλήρωσιν Z τῶν ἑπτὰ ἡμερῶν ἀναλελύσθαι τὴν τροπὴν τοῦ αἵματος ὁ λόγος φησὶν, ἀλλ' ὅλον τοῦτο ἐπισημειοῦται, ὅτι μετὰ τὸ πατάξαι Κύριον τὸν ποταμὸν, ἑπτὰ μέσων ἡμερῶν τελεσθεισῶν, ἀρχὴ ἑτέρας γίνεται παραδοξοποιΐας.

⁂ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐπὶ ἡμέρας ἑπτὰ τὸ δεινὸν ἐκράτησεν, ἕως οἱ μὲν Αἰγύπτιοι τοὺς ἀμφὶ Μωϋσῆν, οὗτοι δὲ τὸν Θεὸν ἱκέτευσαν, οἶκτον λαβεῖν τῶν ἀπολλυμένων. ὁ δὲ τὴν φύσιν ἵλεως μεταβάλλει τὸ αἷμα εἰς ὕδωρ πότιμον, ἀποδοὺς τῷ ποταμῷ καθαρὰ τὰ ἀρχαῖα ῥεῖθρα καὶ σωτήρια.

⁂ ΠΡΟΚΟΠΙΟΥ. Τὸ δὲ τῆς διαφθορᾶς εἰς ἑβδόμην ἡμέραν διαμεμενηκέναι δοκεῖ. πρὸς ὅπερ ἀποροῦσιν οἱ τῆς Ἐκκλησίας ἐχθροί. πῶς ἂν ἡ Αἴγυπτος οὖσα θερμοτάτη, χωρὶς ὕδατος πρὸς τοσαύτας ἡμέρας διήρκεσε; Καὶ τί θαυμαστὸν, εἰ Θεοῦ δίκας αὐτοῖς εἰσπράττεσθαι βουλομένου, διήρκεσαν; ἡ δὲ θεία Γραφὴ καὶ ἄλλην ἀποφαίνει διάνοιαν. τραπέντων γὰρ τῶν ἐπιπολῆς συνεστηκότων ὑδάτων, « ὤρυξάν φησιν οἱ Αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ, ὥστε πιεῖν ἐντεῦθεν, » ὡς μὴ τῶν ἐν βάθει διαφθαρέντων ὑδάτων μετασχόντων τοῦ φθοροποιοῦ γεγονότος ἀέρος. ὅπερ ἐδήλωσεν ὁ θεῖος λέγων χρησμός· « λάβε τὴν ῥάβδον, καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὰ ὕδατα Αἰγύπτου, καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ἑξῆς. » ἐντεῦθεν καὶ ἡ περὶ τοῦ πόθεν ἔσχον ὕδωρ οἱ φαρμακοὶ τῶν Αἰγυπτίων ἀπορία λυθήσεται. πρὸς δὲ τούτοις, οὐδέ φησιν ἡ Γραφὴ ἐπὶ ὅλαις ἑπτὰ ἡμέραις παραμεῖναι τὴν εἰς αἷμα μεταβολήν. εἰκὸς γὰρ ἅμα τε γενέσθαι εἰς ἔνδειξιν τῆς θείας μεγαλουργίας, καὶ πρὸς τὴν οἰκείαν φύσιν, διὰ φιλανθρωπίαν, ἐπανελθεῖν. ὥστε καὶ τοὺς φαρμακοὺς λαβόντας, μεταβαλεῖν. διὸ καὶ ἐπιλέγει ἡ Γραφὴ, « καὶ ἐσκληρύνθη ἡ καρδία Φαραὼ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν. » ὅπερ ἐπὶ τοῖς συμπεράσμασι τῶν λοιπῶν σημείων ἐπιφέρειν εἴωθε. καὶ ἑξῆς δὲ ἐπισημαίνεται ὁ λόγος, « φάσκων, καὶ οὐκ ἐπέστησε τὸν νοῦν αὐτοῦ οὐδὲ ἐπὶ τούτῳ, » οὐδὲ πεπαυμένης ἤδη τῆς εἰς αἷμα μεταβολῆς τῶν ὑδάτων. εἰ γὰρ μὴ ἐπέπαυτο, εἰκὸς ἦν ἐπιστῆσαι τὸν νοῦν τῷ γεγονότι, καὶ τὸν Μωϋσῆν ἱκετεῦσαι περὶ τοῦ παύσασθαι. τοῦτο γὰρ ἐπὶ τῶν ἄλλων ποιεῖ. πρὸς δὲ τῷ τοῦτο μὴ νῦν εἰπεῖν τὴν Γραφὴν, καὶ ἐπισημαίνεται « ὅτι οὐκ ἐπέστησεν ὁ Φαραὼ τὸν νοῦν αὐτοῦ οὐδὲ ἐπὶ τούτῳ· » δῆλον, ὡς οὐδὲ ἐπὶ τῆς εἰς δράκοντα τῆς ῥάβδου μεταβολῆς, διὰ τὴν μίμησιν τῶν φαρμακῶν, καὶ νῦν οὐδὲν ἧττον καταφρονήσας.



ΚΕΦ.

(1) Ἴσ. ἐστὶν, ἢ εἶναί φασι.

Κ Ε Φ. Η.

α. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, εἴσελθε πρὸς Φαραὼ, καὶ ἐρεῖς πρὸς αὐτὸν, τάδε λέγει Κύριος· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσωσιν.

β. Εἰ δὲ μὴ βούλει σὺ ἐξαποστεῖλαι, ἰδοὺ ἐγὼ τύπτω πάντα τὰ ὅριά σου βατράχοις.

ΑΔΗΛΟΥ. Ὡς πληγῆς οὔσης ταύτης, ἐλέχθη τοῦτο. διὸ καὶ πληγαὶ καλοῦνται. ἐβασάνιζον γὰρ τὰ τοιαῦτα τὰς τῶν Αἰγυπτίων ψυχάς.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Διπλοῦν ἐγίνετο τὸ ἀγαθόν. Αἰγύπτιοι ἐτύπτοντο, καὶ Ἰσραὴλ ἐπαιδεύετο. ὡς γάρ φησιν ὁ σοφώτατος Σολομὼν, ἄφρονος τυπτομένου, ὁ εὔφρων ὠφελεῖται. (1)

γ. Καὶ ἐξερεύξεται ὁ ποταμὸς βατράχους· καὶ ἀναβάντες εἰσελεύσονται εἰς τοὺς οἴκους σου, καὶ εἰς τὰ ταμεῖα τῶν κοιτώνων σου, καὶ ἐπὶ τῶν κλινῶν σου, καὶ εἰς τοὺς οἴκους τῶν θεραπόντων σου, καὶ τοῦ λαοῦ σου, καὶ ἐν τοῖς φυράμασί σου, καὶ ἐν τοῖς κλι-
δ. βάνοις σου. Καὶ ἐπὶ σὲ, καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τοὺς θεράποντάς σου ἀναβήσονται οἱ βάτραχοι.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Οὕτω καὶ τὸ τῶν βατράχων γένος [τὸ] εἰδεχθὲς καὶ πολύφωνον, ᾧ ἀμφίβιος μὲν ἡ ζωὴ, ἑρπυστικὸν δὲ τὸ πήδημα. ἀηδὴς δὲ οὐ μόνον ἡ ὄψις, [ἀλλὰ] καὶ τοῦ χρωτὸς ἡ δυσωδία· ὃ τοῖς οἴκοις, καὶ ταῖς κλίναις, καὶ τοῖς ταμείοις τῶν Αἰγυπτίων εἰσέρπει. τῆς δὲ τῶν Ἑβραίων ζωῆς οὐκ ἐφάπτεται. ἀληθῶς γὰρ βατράχων ἄντικρυς γένη ἐστὶ τὰ φθοροποιὰ τῆς κακίας γεννήματα, ἐκ τῆς ῥυπαρᾶς καρδίας τῶν ἀνθρώπων, οἷον ἔκ τινος βορβόρου ζωογονούμενα. οὗτοι οἱ βάτραχοι οἰκοῦσι μὲν τὰς οἰκίας τῶν αἰγυπτιαζόντων κατὰ τὴν τοῦ βίου προαίρεσιν· δείκνυνται δὲ καὶ ἐπὶ τῶν τραπεζῶν, καὶ τῶν κλινῶν οὐκ ἀπέχονται, καὶ εἰς τὰ ταμεῖα τῶν ἀποθέτων εἰσδύουσιν. ὅταν γὰρ ἴδῃς τὸν ῥυπαρόν τε καὶ ἀκόλαστον βίον, ἀληθῶς ἐκ πηλοῦ τικτόμενον, καὶ τῇ πρὸς τὸ ἄλογον μιμήσει κατὰ τὸ εἶδος τῆς ζωῆς ἐν οὐθετέρᾳ φύσει ἀκριβῶς μένοντα· καὶ ἄνθρωπον μὲν κατὰ τὴν φύσιν ὄντα, κτήνος δὲ διὰ πάθος γινόμενον, καὶ διὰ τοῦτο ἀμφίβιον ἐκεῖνο καὶ ἐπαμφοτερίζον τὸ τῆς ζωῆς εἶδος ἐπιδεικνύοντα, εὑρήσεις καὶ ἐπὶ τούτου τοιαῦτα τῆς νόσου γνωρίσματα, οὐκ ἐπὶ τῆς κλίνης μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς τραπέζης, καὶ ἐν τοῖς ταμείοις, καὶ κατὰ πᾶσαν τὴν οἴκησιν. ἐπισημαίνεται γὰρ διὰ πάντων ὁ τοιοῦτος τὴν ἀσωτείαν. ὥστε πᾶσι ῥᾴδιον ἐπιγνῶναι διὰ τῶν κατὰ τὸν οἶκον σπουδαζομένων τὸν βίον τόν τε ἀκόλαστον καὶ τὸν καθαρεύοντα. ὅταν ἐπὶ τούτου μὲν, ἐπὶ τῶν τοίχου κονιαμάτων δεικ-
Β νύηται παρὰ τῆς τέχνης δι' εἰδώλων τινῶν τὰ τῆς ἐμπαθοῦς ἡδονῆς ὑπεκκαύματα, δι' ὧν ὑπομιμνήσκεται τῆς νόσου ἡ φύσις, διὰ τῆς ὄψεως ἐκ τῆς ἀτιμίας τῶν θεαμάτων ἐπὶ τὴν ψυχὴν εἰσχεομένου τοῦ πάθους· ἐπὶ δὲ τοῦ σωφρονοῦντος, φυλακὴ πᾶσα καὶ προμήθεια, τοῦ καὶ τὸν ὀφθαλμὸν καθαρεύειν τῶν ἐμπαθῶν θεαμάτων. καὶ ἡ τράπεζα ὁμοίως, καθαρὰ μὲν ἡ τοῦ σωφρονοῦντος εὑρίσκεται. βατραχώδης δὲ
Γ καὶ πολύσαρκος τῶν πρὸς τὸν βορβορώδη βίον ἰλυσπωμένων. κἂν τὰ ταμεῖα ἐρευνήσῃς, τουτέστι τὰ κρυπτὰ τοῦ βίου αὐτοῦ καὶ ἀπόρρητα, πολὺ μᾶλλον ἐν ἐκείνοις σωρείαν βατράχων κατανοήσεις. εἰ δὲ ταῦτα ἡ τῆς ἀρετῆς ῥάβδος ποιεῖν κατὰ τῶν Αἰγυπτίων ὑπὸ τῆς ἱστορίας λέγεται, μὴ ξενιζώμεθα περὶ τὸν λόγον. καὶ γὰρ ἐσκληρῶσθαι παρὰ τοῦ Θεοῦ καὶ τὸν τύραννον ἡ ἱστορία φησί. πῶς οὖν ἂν εἴη κατάκρι-
Δ τος τῇ ἄνωθεν ἀνάγκῃ σκληρῶς καὶ ἀντιτύπως διατιθέμενος; οὐχ ὡς τὴν ἀντιτυπίαν ἐν τῇ ψυχῇ τοῦ Φαραὼ τῆς θείας βουλήσεως ἐντιθείσης, ἀλλ' ὡς τῆς προαιρέσεως διὰ τῆς πρὸς τὴν κακίαν προσκλίσεως τὸν ἐκμαλάσσοντα τὴν ἀντιτυπίαν λόγον οὐ δεχομένης. οὕτω καὶ ἡ τῆς ἀρετῆς ῥάβδος ἐν τοῖς Αἰγυπτίοις φανεῖσα, τὸν μὲν Ἑβραῖον καθαρὸν τῆς βατραχώδους ζωῆς ἐργάζεται· τὸν δὲ αἰγύ-
Ε πτιον βίον πλήρη τῆς τοιαύτης δείκνυσι νόσου. ἀλλ' ἔστιν ὅτε τοῦ Μωσέως καὶ ὑπὲρ τούτων τὰς χεῖρας ἐκτείναντος, ἀφανισμὸς τῶν βατράχων γίνεται. καὶ δὴ καὶ νῦν ἐστὶ γνῶναι γινόμενον. οἱ γὰρ τὴν ἔκτασιν τῶν χειρῶν τοῦ νομοθέτου κατανοήσαντες, (συνήσεις δὲ πάντως ὅ,τι σοὶ λέγει τὸ αἴνιγμα· ὥστε νοῆσαι διὰ μὲν τοῦ νομοθέτου τὸν ἀληθινὸν νομοθέτην, διὰ δὲ τῆς τῶν χειρῶν ἐκτάσεως τὸν ἐπὶ τοῦ
Ζ σταυροῦ τὰς χεῖρας ἐκτείναντα.) οἱ τέως πρὸς ὀλίγον τοῖς ῥυπαροῖς καὶ βατραχώδεσι λογισμοῖς συζῶντες. εἰ πρὸς τὸν ὑπὲρ ἡμῶν τὰς χεῖρας ἐκτείναντα ἴδοιεν, ἀπαλλάσσονται τῆς πονηρᾶς αὐτῶν συνοικήσεως, νεκρωθέντος τοῦ πάθους καὶ ἀποζέσαντος. ἀληθῶς γὰρ τοῖς ἀπηλλαγμένοις τῆς τοιαύτης νόσου, μετὰ τὴν νέκρωσιν τῶν ἑρπυστικῶν κινημάτων, ἄτοπός τις καὶ δυσώδης ἡ τῶν προβεβιωμέ-
Η νων γίνεται μνήμη, δι' αἰσχύνης τὴν ψυχὴν ἀηδίζουσα.

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. τὸ δὲ ῥητ. ἐλήφθη ἴσ. ἐκ τοῦ 11. ἐδ. τοῦ 21. κεφ. ἢ ἐκ τοῦ 3. τοῦ 22. τῶν Παροιμ.

ε. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, εἶπον Ἀαρὼν τῷ ἀδελφῷ σου, ἔκτεινον τῇ χειρί σου τὴν ῥάβδον σου ἐπὶ τοὺς ποταμοὺς, καὶ ἐπὶ τὰς διώρυχας, καὶ ἐπὶ τὰ ἕλη, καὶ ἀνάγαγε τοὺς βα-
ς. τράχους. Καὶ ἐξέτεινεν Ἀαρὼν τὴν χεῖρα ἐπὶ τὰ ὕδατα Αἰγύπτου, καὶ ἀνήγαγε τοὺς βατράχους· καὶ ἀνεβιβάσθη ὁ βάτραχος, καὶ ἐκάλυψε τὴν γῆν Αἰγύπτου.

ζ. Ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν, καὶ ἀνήγαγον τοὺς βατράχους ἐπὶ τὴν γῆν αὐτῶν.

ΑΔΗΛΟΥ. Καὶ ἐπὶ ταύτης τῆς πληγῆς ἐποίησαν οἱ φαρμακοὶ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων, καὶ ἀνήγαγον τὸν βάτραχον. ὅμως βλέπων ὁ Φαραὼ, ὅτι οἱ φαρμακοὶ ἐφιστάμενοι τοῖς περὶ Μωσέα, μόνον προσθήκην τοῦ κακοῦ ἐποίουν, οὐκ ἔλεγεν αὐτοῖς, εὔξασθε περὶ ἐμοῦ, ἵνα παύσηται ἡ πληγή. εἶδε γὰρ καὶ ἐπὶ τῆς ῥάβδου τῆς στραφείσης εἰς ὄφιν, ὅτι ἡ Μωσέως κατέπιε τὰς ἐκείνων, καὶ πάλιν ἀπεκατέστη εἰς τὸ ἀρχαῖον· καὶ ἐπὶ τοῦ αἵματος, ὅτι εὐχομένων αὐτῶν, πλέον τὸ αἷμα διέμεινεν. ὁμοίως καὶ ἐπὶ τῶν βατράχων προσθήκη ἐγίνετο. διὸ μᾶλλον καὶ Μωσῆς » εἶπε τῷ Φαραὼ, τάξαι πρός με, πότε » εὔξωμαι περὶ σοῦ· ἵνα εἰδῇς, ὅτι οὐκ ἔστι » Θεὸς ἄλλος πλὴν Κυρίου τοῦ Θεοῦ· ἵνα μὴ ἐλθόντες πολλάκις οἱ φαρμακοὶ ἀπατήσωσιν αὐτὸν, λέγοντες, ἡμεῖς ἐπαύσαμεν τὴν πληγήν. ἰδοὺ γάρ φησιν, ὡς ὁρᾷς, ὅτι ἡ τῶν μάγων εὐχὴ μᾶλλον ἀδικεῖ τοὺς Αἰγυπτίους.

η. Ἐκάλεσε δὲ Φαραὼ Μωϋσῆν καὶ Ἀαρὼν, καὶ εἶπεν, εὔξασθε περὶ ἐμοῦ πρὸς Κύριον, καὶ περιελέτω τοὺς βατράχους ἀπ' ἐμοῦ, καὶ ἀπὸ τοῦ ἐμοῦ λαοῦ· καὶ ἐξαποστελλῶ τὸν λαὸν, καὶ θύσουσι Κυρίῳ.

θ. Εἶπε δὲ Μωϋσῆς πρὸς Φαραὼ, τάξαι πρός με πότε εὔξωμαι περὶ σοῦ, καὶ περὶ τῶν θεραπόντων σου, ἀφανίσαι τοὺς βατράχους ἀπὸ σοῦ, καὶ ἀπὸ τοῦ λαοῦ σου, καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν, πλὴν ἐν τῷ ποταμῷ ὑπολειφθήσονται.

ΑΔΗΛΟΥ. Ἔβλεπεν ὁ Φαραὼ προσθήκην κακοῦ ποιοῦντας τοὺς φαρμακοὺς, καὶ οὐκ ἔλεγεν αὐτοῖς, εὔξασθε περὶ ἐμοῦ, ἵνα παύσῃ ἡ πληγή. διὸ καὶ Μωσῆς εἶπε τῷ » Φαραὼ, τάξαι πρός με πότε εὔξωμαι » περὶ σοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Θαῤῥῶν ὁ Μωϋσῆς ὑπισχνεῖτο τὰς πληγὰς ἀνακαλεῖσθαι, καὶ ἡμέραν ὁρίζει, καθ' ἣν τοῦτο ἔσαι.

A προσευχόμενος δὲ, κατώρθου, δεικνὺς ὅτι οὔτε τῆς αὐτοῦ δυνάμεως ἦν τὰ γινόμενα· καὶ ὁμοίως εὐχερὲς τῷ θαυματουργοῦντι Θεῷ καὶ ἐπάγειν πληγὴν, καὶ ἀπάγειν. αὐτῷ γὰρ ὑπακούει τὰ πάντα.

ι. Ὁ δὲ εἶπεν, εἰς αὔριον. εἶπεν οὖν, ὡς εἴρηκας· ἵνα εἰδῇς, ὅτι οὐκ ἔστιν ἅγιος, πλὴν Κύριος.

B ** ΠΡΟΚΟΠΙΟΥ. Ὅρα πῶς ὁ μὲν θεῖος Μωϋσῆς πρὸς εὐεργεσίαν ἐστὶν ἑτοιμότατος, τῷ Φαραὼ τὴν κρίσιν διδοὺς τῆς περὶ τὸ πεπαῦσθαι τὸ δεινὸν προθεσμίας· ὁ δὲ καὶ περὶ ταύτην ἐστὶ μελητής, νομίζων που πάντως ἀπὸ ταυτομάτου, ἢ καὶ προσκαίρου μαγείας γεγονέναι, καὶ παύσεσθαι, ἅμα καὶ τὴν θεόθεν εὐεργεσίαν χωρὶς ἀνάγκης μεγίστης ἀπαξιῶν.

Γ ια. Καὶ περιαιρεθήσονται οἱ βάτραχοι ἀπὸ σοῦ, καὶ ἀπὸ τῶν οἰκιῶν ὑμῶν, καὶ ἐκ τῶν ἐπαύλεων, καὶ ἀπὸ τῶν θεραπόντων σου, καὶ ἀπὸ τοῦ λαοῦ σου, πλὴν ἐν τῷ ποταμῷ ὑπολειφθή-
ιβ. σονται. Ἐξῆλθε δὲ Μωϋσῆς καὶ Ἀαρὼν ἀπὸ Φαραώ· καὶ ἐβόησε Μωϋσῆς πρὸς Κύριον περὶ τοῦ ὁρισμοῦ τῶν βατράχων, ὡς ἐτάξατο τῷ Φαραώ.

Δ ιγ. Ἐποίησε δὲ Κύριος καθάπερ εἶπε Μωϋσῆς· καὶ ἐτελεύτησαν οἱ βάτραχοι ἐκ τῶν οἰκιῶν, καὶ ἐκ τῶν ἐπαύλεων, καὶ ἐκ τῶν ἀγρῶν.

ΑΔΗΛΟΥ. Φονεύει ὁ Θεὸς τοὺς βατράχους, ἵνα μὴ μόνον δείξῃ τοὺς ἀναβαίνοντας κωλυθέντας· ἀλλ' ὅτι καὶ ἀποθανόντων αὐτῶν, οὐκ εἶχον λέγειν, ὡς οἱ αὐτοὶ πάλιν ἀνῆλθον. E

ιδ. Καὶ συνήγαγον αὐτοὺς θημωνίας θημωνίας· καὶ ὤζεσεν ἡ γῆ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπὶ τῇ πρώτῃ μάστιγι ἐπώζεσεν ὁ ποταμὸς, ἐπὶ δὲ τῇ τῶν βατράχων ἡ γῆ. σὰρξ γὰρ καὶ αἷμα ἦσαν Αἰγύπτιοι· οὕτω δὲ καὶ ἡ γῆ· τὰ παχύτερα τῶν σωμάτων γενόμενοι. ἐπαχύνθη γὰρ αὐτῶν ἡ καρδία. ὅθεν ἐπεὶ Z προσώζεσαν καὶ ἐσάπησαν αὐτῶν οἱ μώλωπες τῆς ἁμαρτίας, διὰ τοῦτο ὤζεσεν αὐτῶν καὶ ὁ ποταμὸς καὶ ἡ γῆ.

ιε. Ἰδὼν δὲ Φαραὼ ὅτι γέγονεν ἀνάψυξις, ἐβαρύνθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησε Κύριος.

** ΠΡΟΚΟΠΙΟΥ. Τρισὶ τούτοις ἐχρήσατο H ῥήμασιν ἡ Γραφὴ, τῷ ἐνισχυκέναι, καὶ ἐβαρῶσθαι, καὶ ἐσκληρῶσθαι τοῦ Φαραὼ τὴν καρδίαν. καὶ ποτὲ μὲν ὑφ' ἑαυτοῦ, ποτὲ δὲ λέγεται τοῦτο πάσχειν ὑπὸ Θεοῦ. ἔοικεν οὖν ἀπαλιώεσθαι μὲν ἡ ἐνδι-

δοῦσα

δῦσα πρὸς τὰ θεῖα καρδία, καὶ μὴ ἰσχύειν ἀνθίσαϑαι τῇ θειότητι, καὶ μὴ βαρύνεϑαι, μηδὲ εἰς γῆν ἕλκεϑαι κάτω· ἡ δὲ ἀντιτάνυσα, σκληρύνεϑαι, καὶ ἀντιτυπῦσα δίκην λίϑυ, τὸν θεῖον ἀποκρύεϑαι λόγον, καὶ ἀποκρυομένη μετάτινος ἴσαϑαι ψευδωνύμυ ἰσχύος. περὶ μίαν δὲ τὰ πάϑη, διαφόροις ἐπινοίαις συμβαίνοντα. καθὸ μὲν γὰρ λιθίνη, σκληρύνεται· καθὸ δὲ βαρεῖα, καθέλκεται· καθὸ δὲ μὴ παραχωρεῖ θεομαχῦσα τῇ κρείττονι φύσει, καὶ αὐτῆς ἰσχύειν λέγεται. διόπερ πρὸς μὲν
Ἰεζ. 11. 19. τὸ πρῶτον, Ἱερεμίας φησὶ τὸ, ἐκσπάσω
„ τύτων τὰς λιθίνας καρδίας, καὶ ἐμβαλῶ
Ψαλ. 37. 4. σαρκίνας· πρὸς δὲ τὸ δεύτερον, ὁ Δαβὶδ,
„ αἱ ἁμαρτίαι ὑπερῆραν τὴν κεφαλήν μυ,
„ ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ·
Ζαχ. 5. 7, 8. καὶ Ζαχαρίας, εἶδον γυναῖκα καθημένην
„ ἐπὶ τάλαντον μολίβυ· καὶ ἐῤῥέθη, ὅτι
„ αὕτη ἐςὶν ἡ ἀνομία. ἐπεὶ ὖν ἡ καρδία Φα-
Ἐξόδ. 15. 10, 5, 6. ραὼ καὶ τῶν Αἰγυπτίων ἐβεβάρυντο, ἔδυ-
„ σαν ὡσεὶ μόλιβος ἐν ὕδατι σφοδρῷ· καὶ
„ ἐπεὶ ἐσκλήρυντο, ἔδυσαν εἰς βυθὸν ὡσεὶ
„ λίθος· καὶ ἐπεὶ κατίσχυσε, λέγεται πρὸς τὸν καθελόντα αὐτὴν Κύριον, ἡ δεξιά-
„ συ Κύριε δεδόξασαι ἐν ἰσχύει. Καὶ μετ' ὀλίγα. Τριῶν ὖν εἰρημένων, τῶν μὲν ἄλλων ὐδὲν
„ ἐπὶ Θεῦ λέγεται, μόνον δὲ τὸ, σκληρυνῶ
„ τὴν καρδίαν Φαραὼ, ποτὲ δὲ καὶ τὸ,
„ ἐσκληρύνθη ἡ καρδία Φαραώ. διὸ καὶ ὁ Ἀπόςολος ποτὲ μὲν αὐτὸν αἰτιᾶται τὸν
Ῥωμ. 2. 5. σκληρυνόμενον, λέγων, κατὰ δὲ τὴν σκλη-
„ ρότητά συ, καὶ ἀμετανόητον καρδίαν θη-
„ σαυρίζεις σεαυτῷ ὀργήν· ποτὲ δὲ, ὡς ζήτημα προβάλλει τὸν σκληρυνόμενον ὑπὸ
Ῥωμ. 9. 18, 20. Κυρίυ· ἄρ' ὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει
„ σκληρύνει; οἷς ἐπενήνοχε τὸ, μενῦνγε σὺ,
„ ὦ ἄνθρωπε, τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; ἢ τὸ δυσχερὲς τῆς ἀπορίας ἰδὼν, καὶ τὴν λύσιν μὴ θαῤῥῶν καλαπισεῦσαι γράμμασιν, ἢ μὴ κρίνων ἀποκρίσεως ἄξιον τὸν ἐγκαλῦντα τῇ θείᾳ προνοίᾳ. τῦτο γὰρ ὐκ ἂν εἶπε τῷ ἔχοντι παῤῥησίαν ἀποκρίναϑαι τῷ Θεῷ· ὁποῖος ἦν ὁ Μωϋσῆς, ὃς
Ἐξόδ. 19. 19. ἐλάλει, φησὶν, ὁ δὲ Θεὸς ἀπεκρίνατο
Ἐξόδ. 33. 11. φωνῇ. καὶ ὅτι ἐλάλει ὡς φίλος φίλῳ.

ιϛ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, εἶπον Ἀαρὼν, ἔκτεινον τῇ χειρί συ τὴν ῥάβδον συ, καὶ πάταξον τὸ χῶμα τῆς γῆς· καὶ ἔσονται σκνίπες ἐν τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσι, [καὶ ἐν πάσῃ γῇ Αἰγύπτυ.]

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Οὐκ ἀπειλεῖ τὸν Φαραὼ τὸν σκνίπα, καὶ τότε ἐπάγει· ἀλλὰ ψευσάμενον τιμωρεῖται. (1)

ΕΥΣΕΒΙΟΥ. Διὰ τῶν σμικροτάτων τύτων τὸ ὑπερέχον καὶ ἄμαχον τῆς οἰκείας ἰσχύος δεικνύει.

ιζ. [Ἐξέτεινεν ὖν Ἀαρὼν τῇ χειρὶ τὴν ῥάβδον, καὶ ἐπάταξε τὸ χῶμα A **τῆς γῆς· καὶ ἐγένοντο οἱ σκνίπες ἐν τοῖς ἀνθρώποις, ἔν τε τοῖς τετράποσι,] καὶ ἐν παντὶ χώματι τῆς γῆς ἐγένοντο οἱ σκνίπες ἐν πάσῃ γῇ Αἰγύπτυ.**

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἴσως ἄν τις ἐπιζητήσειε, διατὶ τοῖς ὕτως ἀφανέσι καὶ ἠμελημένοις ζώοις ἐτιμωρεῖτο τὴν χώραν, παρεὶς ἄρκτυς καὶ λέοντας καὶ παρδάλεις, καὶ τὰ ἄλλα γένη τῶν ἀτιθάσσων B θηρίων, ἃ σαρκῶν ἀνθρωπείων ἅπτεται· καὶ εἰ μὴ ταῦτα, τὰς γῦν αἰγυπτίας ἀσπίδας, ὧν τὰ δήγματα πέφυκεν ἀνυπερθέτως ἀναιρεῖν; Εἰ δ' ὄντως ἀγνοεῖ, μαθέτω, πρῶτον μὲν, ὅτι τὺς οἰκήτορας ὁ Θεὸς νυθετῆσαι μᾶλλον ἐβύλετο, ἢ διαφθεῖραι· βυληθεὶς γὰρ ἀφανίζειν εἰς ἅπαν, ὐκ ἂν ζώοις ἐχρῆτο πρὸς τὰς ἐπιθέσεις, ὥσπερ συνεργοῖς, ἀλλὰ τοῖς θεηλάτοις κακοῖς λιμῷ τε καὶ λοιμῷ· μετὰ δὲ ταῦτα κἀκεῖ- Γ νο προσδιδασκέϑω μάθημα πρὸς ἅπαντα τὸν βίον ἀναγκαῖον. τί δὲ τῦτ' ἐςίν; ἄνθρωποι μὲν γὰρ ὅταν πολεμῶσι, τὸ δυνατώτατον εἰς συμμαχίαν ἐπικυρικὸν ἐξετάζυσιν, ὃ τὴν αὐτῶν ἀσθένειαν ἐκπλήσει· Θεὸς δ' ἡ ἀνωτάτω καὶ μεγίςη δύναμις, ὧ ὐδενὸς χρεῖος, ἐάν πυ βυληθῇ καθάπερ ὀργάνοις τισὶ χρήσαϑαι πρὸς τὰς τιμωρίας, ὐ τὰ ἐῤῥωμενέςατα καὶ μέγιςα αἱρεῖται, τῆς τύτων ἀλκῆς ἥκιςα Δ φροντίζων, ἀλλὰ τοῖς εὐτελέσι καὶ μικροῖς ἀμάχυς καὶ ἀητλήτυς δυνάμεις ἐγκατασκευάσας, ἀμύνεται δι' αὐτῶν τὺς ἀδικῦντας, καθὰ καὶ νῦν. τί γὰρ εὐτελέςερον σκνιπός; ἀλλ' ὅμως τοσῦτον ἴσχυσεν, ὡς ἀπαγορεῦσαι πᾶσαν Αἴγυπτον, καὶ ἐκ-
„ βοᾶν ἀναγκαϑῆναι, ὅτι δάκτυλος Θεῦ
„ τῦτ' ἐςί. χεῖρα γὰρ Θεῦ μηδὲ τὴν σύμπασαν οἰκυμένην ὑποςῆναι ἂν ἀπὸ περάτων ἐπὶ πέρατα, μᾶλλον δ' ὐδὲ τὸν σύμ- E παντα κόσμον.

ιη. Ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ ταῖς φαρμακείαις αὐτῶν, ἐξαγαγεῖν τὸν σκνίπα· καὶ ὐκ ἠδύναντο. καὶ ἐγένοντο οἱ σκνίπες ἔν τε τοῖς ἀνθρώποις, καὶ ἐν τοῖς τετράποσιν.

ΑΔΗΛΟΥ. Ἕως τρίτυ σημείυ ἴσχυον καὶ οἱ μάγοι συνεργείᾳ δαιμόνων, καὶ μετὰ ταῦτα ἠσθένησαν. Z

ιθ. Εἶπαν ὖν οἱ ἐπαοιδοὶ τῷ Φαραὼ, δάκτυλος Θεῦ ἐςὶ τῦτο· καὶ ἐσκληρύνθη ἡ καρδία Φαραὼ, καὶ ὐκ εἰσήκυσεν αὐτῶν, καθάπερ ἐλάλησε Κύριος.

„ ∗ ΠΡΟΚΟΠΙΟΥ. Δάκτυλος Θεῦ ἐςὶ τῦτο, ἀντὶ τῇ τῦ Θεῦ ἐνεργείᾳ ταῦτα H γίνεται, καὶ ὐκ ἀνθρώπων· ὅτι ὅλως παρὰ Θεῦ ἡ ἀφὴ αὕτη. εἰ γὰρ μὴ ἠθέλησεν (2) ὁ Θεὸς, ὐκ ἐφέροντο αἱ πληγαί· ἀλλ

Tt 3

(1) Ἐν τοῖς ἐκδεδομ. ὐχ εὕρηται.

(2) Ἤθελε, φησὶν, ὁ Θεός. ὁ τῆς Αὐγ. κώδ.

Α ἀλλ' ἅπαξ ἅπαντα (1) ἀπώλεσεν. ἐπεὶ οὖν ἠρέμα ἐγίνοντο τὰ γινόμενα, δάκτυλον ἐκάλεσαν, ἀλλ' οὐ χεῖρας. ὅμως καὶ τῷ δακτύλῳ παρεχώρησαν.

** ΤΟΥ ΑΥΤΟΥ. Ἡ μὲν οὖν τρίτη μάστιξ, δάκτυλος εἴρηται· ἡ δὲ πέμπτη, ὡσανεὶ συμπληρωθέντων πέντε δακτύλων ἐξ ἑκάστης μάστιγος, χεὶρ ὠνόμασται· ἃς τὸ πνεῦμα τὸ θεῖον ἐνήργησε. λέγεται
Λουκ. 11. 20. Β δὲ ἐν Εὐαγγελίῳ, εἰ δὲ ἐγὼ ἐν δακτύλῳ
» Θεοῦ ἐκβάλλω τὰ δαιμόνια· ὅπερ ἑρμη-
Ματθ. 12. 28. νεύων ἀλλαχοῦ, φησὶν, εἰ δὲ ἐγὼ ἐν πνεύ-
» ματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια.

ΑΔΗΛΟΥ. Δάκτυλον Θεοῦ λέγει τὸ καθ' ἓν τῶν τοῦ πνεύματος χαρισμάτων.

ΑΔΗΛΟΥ. Πιεζόμενος τῇ πληγῇ, ὑπισχνεῖτο τὴν ἄφεσιν· παυομένης, πάλιν σκληρὸς ἦν, κινεῖσθαι τοῦ Μωσέως τὰς πληγὰς δοκῶν. ἐξ οὗ δηλονότι οἰκεία αὐτοῦ Γ ἡ σκληρότης ἦν, καὶ οὐκ ἐκ Θεοῦ. ἢ γὰρ ἂν ὤφειλεν, ἢ πάντοτε σκληρὸς εἶναι, ἢ πάντοτε πειθήνιος.

κ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, ὄρθρισον τῷ πρωΐ, καὶ στῆθι ἐναντίον Φαραώ· καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται ἐπὶ τὸ ὕδωρ, καὶ ἐρεῖς πρὸς αὐτὸν, τάδε λέγει Κύριος· ἐξαπόστειλον τὸν
κα. λαόν μου, ἵνα μοι λατρεύσῃ. Ἐὰν δὲ Δ
μὴ βούλει ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐξαποστελῶ ἐπὶ σὲ, καὶ ἐπὶ τοὺς θεράποντάς σου, καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τοὺς οἴκους σου κυνόμυιαν· καὶ πλησθήσονται αἱ οἰκίαι τῶν Αἰγυπτίων κυνομυίας, καὶ εἰς τὴν γῆν ἐφ' ἧς εἰσιν ἐπ' αὐτῆς.

κβ. Καὶ παραδοξάσω ἐν τῇ ἡμέρᾳ Ε ἐκείνῃ τὴν γῆν Γεσὲμ, ἐφ' ἧς ὁ λαός μου ἐστὶν ἐπ' αὐτῆς, ἐφ' ἧς οὐκ ἔσται ἐκεῖ ἡ κυνόμυια· ἵνα ἴδῃς, ὅτι ἐγὼ Κύριος πάσης τῆς γῆς.

** ΠΡΟΚΟΠΙΟΥ. Νῦν πρῶτον ἡ Γεσὲμ τῶν αἰγυπτίων πληγῶν διαστέλλεται.

κγ. Καὶ δώσω διαστολὴν ἀνὰ μέσον τοῦ ἐμοῦ λαοῦ, καὶ ἀνὰ μέσον τοῦ Ζ σοῦ λαοῦ. ἐν δὲ τῇ αὔριον ἔσται τὸ σημεῖον τοῦτο.

κδ. Ἐποίησε δὲ Κύριος οὕτω· καὶ παρεγένετο ἡ κυνόμυια πλῆθος εἰς τοὺς οἴκους Φαραὼ, καὶ εἰς τοὺς οἴκους τῶν θεραπόντων αὐτοῦ, καὶ εἰς πᾶσαν τὴν γῆν Αἰγύπτου· καὶ ἐξωλοθρεύθη ἡ γῆ ἀπὸ τῆς κυνομυίας.

Η ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Λοιπαὶ δὲ τιμωρίαι τρεῖς εἰσὶν αὐτουργηθεῖσαι δίχα

Α τῆς ἀνθρώπων ὑπηρεσίας. πρώτη ἡ γενομένη διὰ ζώου τῶν ἐν τῇ φύσει πάντων θρασυτάτου, κυνομυίας, ἣν ἐτύμως ἐκάλεσαν οἱ θετικοὶ τῶν ὀνομάτων· σοφοὶ γὰρ ἦσαν· ἐκ τῶν ἀναιδεστάτων ζώων συνθέντες τοὔνομα, μυίας, καὶ κυνός. τοῦ μὲν τῶν χερσαίων θρασυτάτου, τῆς δὲ τῶν πτηνῶν. ἐπιφοιτῶσι γὰρ καὶ ἐπιτρέχουσιν ἀδεῶς, κἂν ἀνείργῃ τις, εἰς τὸ ἀήττητον ἀντιφιλονεικοῦσιν, ἄχρις ἂν αἵματος καὶ Β σαρκῶν κορεσθῶσιν. ἡ δὲ κυνόμυια τὴν ἀφ' ἑκατέρου τόλμαν προσειληφυῖα δηκτικὸν, καὶ ἐπίβουλον ζῶόν ἐστι. καὶ γὰρ πόρρωθεν μετὰ ῥοίζου καθάπερ βέλος εἰσακοντίζεται, καὶ ἐμπίπτουσα βιαίως, εὖ μάλα ἐγχρίμπτεται. τότε δὴ καὶ θεήλατος ἦν ἡ προσβολὴ, ὡς δεδιπλασιάσθαι τὴν ἐξ αὐτῆς ἐπιβουλὴν, οὐκ ἔτι μόνον τοῖς φυσικοῖς κεχρημένης πλεονεκτήμασιν, ἀλλὰ καὶ τῆς ἐκ θείας ἐπιφροσύνης. ἢ τὸ ζῶον Γ ὥπλιζε, καὶ πρὸς ἀλκὴν ἀνήγειρε κατὰ τῶν ἐγχωρίων.

κε. Ἐκάλεσε δὲ Φαραὼ Μωϋσῆν καὶ Ἀαρὼν, λέγων, ἐλθόντες θύσατε Κυρίῳ τῷ Θεῷ ἡμῶν ἐν τῇ γῇ.

ΚΥΡΙΛΛΟΥ. Ἀντεξάγοντι μὲν γὰρ τῷ Σατανᾷ, καὶ ταῖς εἰς τὸ ἀγαθὸν ἡμῶν προθυμίαις ἀντιφέρεσθαι νεανικῶς ἐγνωΔ κότι τὴν ἑαυτοῦ μισοπονηρίαν, ἀντανίστησι Θεὸς, καὶ κατάγχει θρασυνόμενον, καὶ τιθασσεύει πληγαῖς. ὁ δὲ τότε μόλις ἐφίησι μὲν οὐχ ἑκών· πειρᾶται δ' οὖν ὅμως ἀναπείθειν ἡμᾶς ποιεῖσθαι [μὲν] οὐκ ἀκριβῆ τὴν εἰς Θεὸν λατρείαν, μὴ μὴν ἔτι πάντως καὶ τῆς ὑπ' αὐτῷ δουλείας ἀποφοιτᾶν. οὐ γὰρ ἔξω γῆς ἰδίας, ἀλλ' ἐν αὐτῇ χρῆναι θύειν τοῖς Ἰουδαίοις ἐκέλευε.

κς. Καὶ εἶπε Μωϋσῆς, οὐ δυνα-Ε τὸν γενέσθαι οὕτω. τὰ γὰρ βδελύγματα τῶν Αἰγυπτίων θύσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν. ἐὰν γὰρ τὰ βδελύγματα τῶν Αἰγυπτίων θύσωμεν ἐναντίον αὐτῶν, λιθοβοληθησόμεθα.

ΚΥΡΙΛΛΟΥ. [Σοφώτατα δὲ Μωσῆς, οὐ δυνατὸν γενέσθαι οὕτω φησί. γίνεται μὲν γὰρ ἀεὶ τῶν φαύλων εἰσηγητὴς ὁ τῆς Ζ ἁμαρτίας εὑρετής· ἐκπέμπει δὲ νόμος ὁ θεῖος αὐτά. καὶ ἀποφάσκει τὸ δρᾶν ἅπερ ἂν ἐκείνῳ δοκῇ.] προσεκτέον τοιγαροῦν τοῖς ἐθέλουσι βιοῦν ὀρθῶς, οὐχ οἷς περ ἂν λέγοι φενακίζων ὁ πονηρὸς, ἀλλ' οἷς τὸ θεῖον ἡμῖν ἀναφωνεῖ χρησμῴδημα· λύ-
» χνος γάρ φησι τοῖς ποσί μου ὁ νόμος σου, Ψαλ. 118. 105.
» καὶ φῶς ταῖς τρίβοις μου.

** ΤΟΥ ΑΥΤΟΥ. Συνέχοντος τοίνυν ἡμᾶς, ἤγουν καθείργειν ἐθέλοντος, καὶ ὑπ' Η αὐτῷ ποιεῖσθαι τοῦ πονηροῦ, λατρευτέον Θεῷ τῷ κατὰ φύσιν μόνῳ, καὶ διψυχίας
» ἰόντες ὡς ἀπωτάτω, λέγωμεν, οὐ δυνατὸν γενέσθαι

(1) Ἅπαντας ἄν. ὁ τῆς Αὐγ. κώδ.

Ματθ. 6. 24. γενέσθαι οὕτω. δύναται γὰρ οὐδεὶς δυσὶ κυρίοις δουλεύειν. Καὶ μετ' ὀλίγα. Εὐάφορμος ἡ παραίτησις. βδελύγματα γὰρ ἐνθάδε φησὶ τὰ σεβάσματα. μόσχοι δὲ ἦσαν τοῖς Αἰγυπτίοις τὸ σέβας. ταυτὶ δέ φησιν, εἰ τῷ τῶν Ἑβραίων καταθύσομεν Θεῷ, ἀκονήσομεν εἰς ὀργὰς πάντη τε καὶ πάντως τοὺς Αἰγυπτίους, δύσοιστον τὸ χρῆμα ποιουμένους. Καὶ μετ' ὀλίγα. Ἕκαστον οὖν ἄρα τῶν ἐν ἡμῖν παθῶν, αἰγυπτίων τῶν νοητῶν ἐστὶ βδέλυγμα, τουτέστι σεβασμιώτατον. ὅτι γὰρ ἔθος τῇ θείᾳ Γραφῇ βδέλυγμα λέγειν τὸ ἐν εἰδώλου τάξει, καὶ οἱονεί τι σέβας, ἀναπείθει λέγων Θεὸς διὰ τῆς Ἱερεμίου φωνῆς περὶ τῆς Ἰουδαίων συναγωγῆς· (Ἱερ. 11. 15.) τί ἡ ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα; εἰ δὲ δή τις βούλοιτο λέγειν βδέλυγμα τῶν Αἰγυπτίων, τὸ οἱονεὶ μίσημα καὶ παραίτησιν, οὐκ ἂν ἐξοίχοιτο τοῦ πρέποντος νοῦ. ἃ γὰρ ἔθος ἀεὶ μισεῖν καὶ καταβδελύττεσθαι τοῖς ἀκαθάρτοις πνεύμασι, ταυτὶ πρὸς ἡμῶν εἰς ὀσμὴν εὐωδίας ἀνακείσεται τῷ Θεῷ, καὶ θυσία πνευματική· πίστις, πραότης, ἐγκράτεια, σωφροσύνη, φιλαλληλία, καὶ τῆς εἰς Θεὸν γνησιότητος τὰ αὐχήματα.

ΤΟΥ ΝΥΣΣΗΣ. Τὰ σεβάσματα αὐτῶν φησὶ, τὸν βοῦν, τὸ πρόβατον, τὴν αἶγα. ταῦτα γὰρ ἐσέβοντο. ἐὰν οὖν ἃ ἐκεῖνοι σέβονται θύσωμεν, ὁρῶντες αὐτὰ ἀποκτενοῦσιν ἡμᾶς. (1)

κζ. Ὁδὸν τριῶν ἡμερῶν πορευσόμεθα εἰς τὴν ἔρημον· καὶ θύσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν ἐν τῇ ἐρήμῳ, καθάπερ εἶπε Κύριος ἡμῖν.

κη. Καὶ εἶπε Φαραὼ, ἐγὼ ἀποστέλλω ὑμᾶς, καὶ θύσατε τῷ Θεῷ ὑμῶν ἐν τῇ ἐρήμῳ· ἀλλ' οὐ μακρὰν ἀποτενεῖτε πορευθῆναι. εὔξασθαι οὖν περὶ ἐμοῦ πρὸς Κύριον.

** ΚΥΡΙΛΛΟΥ. Καὶ τίνες ἂν εἶεν οἱ ἐν τῇ γῇ θύοντες τοῦ πονηροῦ; νοοῖντο δ' ἂν τίνες καὶ οἱ ἔξω γῆς; Οἱ μὲν γὰρ οὔπω τῆς Αἰγυπτίων ἐκβεβηκότες, καὶ Θεῷ θύοντες ἐν αὐτῇ, πολλοὶ λίαν, καὶ ἀριθμοῦ τάχα κρείττονες· οἱ δὲ ἔξω τε καὶ ἐν ἐρήμῳ, κομιδῇ βραχεῖς καὶ ἀπόλεκτοι. πολλοὶ γάρ εἰσι κλητοὶ, φησὶν, ὀλίγοι δὲ ἐκλεκτοί. (Ματθ. 20. 16.) Καὶ μετ' ὀλίγα. Οἱ δέ γε πλεῖστοι τῶν κεκλημένων ἐμφιλοχωροῦσιν ἔτι τοῖς πάλαι κακοῖς, διανοίᾳ δὲ οὔπω τῇ ὁλοχερεῖ, κοσμικῆς ἀπάτης ἐκβεβηκότες, ὡς ἐν γυμνῇ τε καὶ μόνῃ τῇ πίστει λατρεύουσι Θεῷ. τούτους εἶναί φαμεν τοὺς ἐν Αἰγύπτῳ θύοντας, ἤγουν ἔξω βραχὺ γεγονότας. οὐ μακρὰν γὰρ ἀποτενεῖτε, φησὶν, ὁ σκληροκάρδιος Φαραὼ, κἂν εἰ τῆς Αἰγυπτίων ἐκτρέχητε γῆς. οἵ γε μὴν ὁλοκλήρῳ μεταστάσει τῇ εἰς ἀγαθὸν εὐαρεστεῖν ἐθέλοντες τῷ Θεῷ, ἀπηλλαγμένοι τε καὶ εἰς ἅπαν συγχύσεως κοσμικῆς, ἔξω φέρονται τῆς Αἰγυπτίων, καὶ τὴν τυράννου διαδιδράσκουσι χεῖρα, καὶ καθάπερ ἐν ἐρήμῳ, τῇ σχολαίᾳ τε καὶ ἀνειμένῃ ζωῇ, καθαροὶ καθαρῶς θύουσι τῷ Θεῷ. φαίην δ' ἂν ἔγωγε, καὶ καθ' ἕτερόν τινα τρόπον ἀποστάτω δεῖν τῆς Αἰγυπτίων φέρεσθαι γῆς τοὺς ἐκ τοῦ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα πρὸς ἀλήθειαν τρέχοντας, καὶ εἰς ἐπίγνωσιν κεκλημένους τοῦ κατὰ φύσιν ὄντος Θεοῦ. ἐκβεβήκασι γὰρ οὔπω τελείως οἱ τὰ τῆς ἀρχαίας ἀπάτης οὔπω τῆς ἑαυτῶν διανοίας ἀποτρίβοντες λείψανα. παρατηροῦνται γάρ τινες ἡμέρας, καὶ μῆνας, καὶ καιροὺς, καὶ ἐνιαυτούς. οὗτοι πρὸς τὸ ἐλεύθερον ἀξίωμα διὰ Χριστοῦ κεκλημένοι, τὴν Αἰγυπτίων οἰκοῦντες, ἔτι θύουσι τῷ Θεῷ; τὸν οὐχὶ ἂν ἀβούλητον τῷ Σατανᾷ διασώζοντες βίον. εἰ δὲ δή τις ἐξοίχοιτο παντελῶς, τοῖς ἀρχαιοτέροις ἔθεσιν ἐρρῶσθαι φράσας, ἐν ἐρήμῳ θύει, καὶ τὴν ἐπαίνου παντὸς ἀξίαν ἐπιτηδεύει ζωήν.

κθ. Εἶπε δὲ Μωϋσῆς, ἰδοὺ ἐγὼ ἐξελεύσομαι ἀπὸ σοῦ, καὶ εὔξομαι πρὸς τὸν Θεὸν, καὶ ἀπελεύσεται ἡ κυνόμυια ἀπὸ Φαραὼ, καὶ ἀπὸ τῶν θεραπόντων αὐτοῦ αὔριον. μὴ προσθεὶς ἔτι Φαραὼ ἀπατῆσαι, τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαὸν θῦσαι Κυρίῳ.

ΑΔΗΛΟΥ. Δῆλον πῶς καθ' ἑκάστην ἐσκληρύνετο μακροθυμίαν τοῦ Θεοῦ. αὐτὸς δι' ἑαυτοῦ προστιθεὶς τῆς κακίας τὴν ὑπερβολήν. λέγει τοίνυν πρὸς αὐτὸν, μὴ προσθεὶς ἔτι Φαραὼ ἀπατῆσαι τὸν λαόν.

ΤΟΥ ΝΥΣΣΗΣ. Κατήρτησας, φησὶ, σεαυτὸν, ὦ Φαραὼ, εἰς ἀπώλειαν, ἄξια μυρίων θανάτων εἰργάσω· γενοῦ μοι σκεῦος ὀργῆς φοβούσης καὶ σωφρονιζούσης τὴν οἰκουμένην.

ΤΟΥ ΑΥΤΟΥ. Εἰ ὁ Θεὸς ἐσκλήρυνε τὴν καρδίαν Φαραὼ, ὡς νοοῦσιν οἱ πολλοὶ, πῶς ἀπειθοῦντι διὰ Μωϋσέως ἐγκαλεῖ; ἢ πῶς αὐτός φησιν ὁ Μωϋσῆς, μὴ προσθεὶς ἔτι ἐξαπατῆσαι; ὅρα δὲ τὴν δύναμιν τοῦ ἀγαθοῦ καὶ πανσόφου καὶ δυνατοῦ καὶ δικαίου Θεοῦ· πόσης γέμει σοφίας, ἰσχύος τε καὶ φιλανθρωπίας, οἷς κέχρηται πρὸς τὸ γένος τῶν ἀνθρώπων, ὧν τύπος ὁ Φαραώ. πρῶτον μὲν ἀπὸ νουθεσίας ἄρχεται, ταύτῃ δὲ μὴ πειθομένους, ἀπειλεῖ παιδεύειν· εἶτα μὴ εὐλαβηθέντας τὴν ἀπειλὴν, ἵνα μὴ ἄχρηστοι γενώμεθα, παιδεύει μὲν, ἐλαφρῶς δὲ πάνυ τὰ πρῶτα καὶ συμμέτρως, ὅσον φοβῆσαι μόνον, ὡς ἐπὶ τοῦ αἵματος, καὶ τοῦ βατράχου, καὶ τοῦ σκνιπός· πρὸς δὲ ταῦτα βαρυνομένους, ἔτι δὲ καὶ τῇ ζημίᾳ τῶν ὑπαρχόντων παιδεύει· πρὸς δὲ ἔτι σκληρυνομένων ἡμῶν, ἅπτεται λοιπὸν καὶ τοῦ σώματος ὅσον εἰς τὸ παιδεῦσαι, οὐκ ἀπολέσαι. καὶ τὸ μεῖζον, ὅτι παρακαλούμενος ἐνδίδωσι πρὸς ἕκαστον.

(1) Οὐδὲ τοῦτο, οὐδὲ τὰ δύω ἑπόμενα τοῦ Νύσ. ἐν τοῖς ἐκδεδομ. εὕρηται.

ἕκαστον· ἀνιάτως δὲ καὶ ἀμεταθέτως ἔχοντας πρὸς σωτηρίαν, ἐξολοθρεύει λοιπὸν, ἵνα μὴ καὶ ἑτέροις ἡ τούτων ζωὴ προσβλαβὴς γένηται· καὶ προσαδικηθῶσιν οἱ παρ᾽ αὐτῶν ἀδικούμενοι.

λ. Ἐξῆλθε δὲ Μωϋσῆς ἀπὸ Φαραὼ, καὶ ηὔξατο πρὸς τὸν Θεόν.

λα. Ἐποίησε δὲ Κύριος καθάπερ εἶπεν αὐτῷ Μωϋσῆς· καὶ περιεῖλε τὴν κυνόμυιαν ἀπὸ Φαραὼ, καὶ ἀπὸ τῶν A θεραπόντων αὐτοῦ, καὶ ἀπὸ τοῦ λαοῦ αὐτοῦ, καὶ οὐκ ἀπελείφθη οὐδεμία.

λβ. Καὶ ἐβάρυνε Φαραὼ τὴν καρδίαν αὐτοῦ καὶ ἐπὶ τοῦ καιροῦ τούτου, καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι τὸν λαόν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὅρα ποσάκις ψεύδεται τὰς ὑποσχέσεις ὁ Φαραώ. ψεύστης Ἰωάν. 8. 44.
B» γάρ ἐστι, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκε,
» κατὰ τὴν τοῦ Σωτῆρος φωνήν.

Κ Ε Φ. Θ.

α. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, εἴσελθε πρὸς Φαραὼ, καὶ ἐρεῖς αὐτῷ, τάδε λέγει Κύριος ὁ Θεὸς τῶν Ἑβραίων· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσί μοι.

β. Εἰ μὲν οὖν μὴ βούλῃ ἐξαποστεῖλαι τὸν λαόν μου, ἀλλ᾽ ἔτι ἐγκρατεῖς

γ. αὐτοὺς, Ἰδοὺ ἡ χεὶρ Κυρίου ἔσται ἐν τοῖς κτήνεσί σου τοῖς ἐν τοῖς πεδίοις: ἔν τε τοῖς ἵπποις, καὶ ἐν τοῖς ὑποζυγίοις, καὶ ἐν ταῖς καμήλοις, καὶ βουσὶ, καὶ προβάτοις, θάνατος μέγας σφόδρα.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Πρῶτον ἐν τοῖς κτήνεσιν ἵπποι πατάσσονται οἱ ψευδεῖς εἰς σωτηρίαν· δεύτερον τὰ ὑποζύγια τὰ ἐξ ὅλων ἀκάθαρτα· οὔτε γὰρ διχηλεῖ, οὔτε μηρυκᾶται· τρίτον αἱ κάμηλοι, διὰ μὲν τὴν μηρύκησιν ὡσανεὶ καθαραὶ τυγχάνουσαι, διὰ δὲ τὸ μὴ διχηλεῖν, ἀκάθαρτοι. ἐξ ἡμισείας οὖν καθαρὰ τὰ τρίτα. μεθ᾽ ἃ, τῆς πληγῆς ἀμαυροτέρας γενομένης, οἱ βόες τύπτονται τοῦ Φαραώ, καὶ τελευταῖον πάντων τὸ πρᾳότατον ἐν τοῖς κτήνεσι πρόβατον.

δ. Καὶ παραδοξάσω ἐγὼ ἀνὰ μέσον τῶν κτηνῶν τῶν Αἰγυπτίων, καὶ ἀνὰ μέσον τῶν κτηνῶν τοῦ Ἰσραήλ: καὶ οὐ τελευτήσει ἀπὸ πάντων τῶν υἱῶν Ἰσραὴλ ῥητόν.

ε. Καὶ ἔδωκε Κύριος ὁ Θεὸς ὅρον, λέγων, ἐν τῇ αὔριον ποιήσει Κύριος τὸ ῥῆμα τοῦτο ἐπὶ τῆς γῆς.

ΑΔΗΛΟΥ. Πάντως ἵνα παρακαλέσωσι, καὶ ἀνήσει αὐτούς.

ϛ. Καὶ ἐποίησε Κύριος τὸ ῥῆμα τοῦτο τῇ ἐπαύριον· καὶ ἐτελεύτησε πάντα τὰ κτήνη τῶν Αἰγυπτίων· ἀπὸ δὲ τῶν κτηνῶν τῶν υἱῶν Ἰσραὴλ οὐκ ἐτελεύτησεν οὐδὲ ἕν.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μετὰ τὴν κυνόμυιαν ἕπετο τιμωρία πάλιν, ἄνευ συμπράξεως ἀνθρωπίνης, βοσκημάτων θάνατος. βουκόλια γὰρ καὶ αἰπόλια καὶ ποίμνια μεγάλα, καὶ ὅσαι ὑποζυγίων καὶ ἄλλων θρεμμάτων ἰδέαι πᾶσαι, μιᾷ ἡμέ-
Γ. ρᾳ, ὡς ἀφ᾽ ἑνὸς συνθήματος ἀγεληδὸν διεφθείροντο, τὴν ἀνθρώπων ἀπώλειαν, ἢ μικρὸν ὕστερον ἔμελλε γίνεσθαι, προμηνύουσαι· καθάπερ ἐν ταῖς λοιμώδεσι νόσοις λέγεται γοῦν, προαγών τις εἶναι λοιμικῶν ἀῤῥωστημάτων ἡ ζώων ἀλόγων αἰφνίδιος φθορά.

ζ. Ἰδὼν δὲ Φαραὼ, ὅτι οὐκ ἐτελεύτησεν ἀπὸ τῶν κτηνῶν Ἰσραὴλ οὐδὲ
Δ. ἓν, ἐβαρύνθη ἡ καρδία Φαραὼ, καὶ
η. οὐκ ἐξαπέστειλε τὸν λαόν. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν, λάβετε ὑμῖν πλήρεις τὰς χεῖρας αἰθάλης καμιναίας, καὶ πασάτω αὐτὴν Μωϋσῆς εἰς τὸν οὐρανὸν ἐναντίον Φαραὼ, καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ.

E θ. [Καὶ γενηθήτω κονιορτὸς ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου.] καὶ ἔσται ἐπὶ τοὺς ἀνθρώπους, καὶ ἐπὶ τὰ τετράποδα ἕλκη φλυκτίδες ἀναζέουσαι ἐν τοῖς ἀνθρώποις, καὶ ἐν τοῖς τετραπόδοις, ἐν πάσῃ τῇ γῇ Αἰγύπτου.

» Ἀναζέουσαι, Ἀκύλας, πεταζόμεναι·
» Σύμμαχος, ἐξανθοῦσαι.

Z ι. Καὶ ἔλαβον τὴν αἰθάλην τὴν καμιναίαν, καὶ ἔπασεν αὐτὴν Μωϋσῆς εἰς τὸν οὐρανόν· καὶ ἐγένετο ἕλκη φλυκτίδες ἀναζέουσαι ἐν τοῖς ἀνθρώποις, καὶ ἐν τοῖς τετραπόδοις ἐν πάσῃ γῇ Αἰγύπτου.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Κελεύσαντος τοῦ Θεοῦ, τέφραν ἀπὸ καμίνου λαμβάνουσι ταῖς χερσίν, ἣν Μωϋσῆς κατὰ μέρος
H εἰς τὸν ἀέρα διέπαττεν. ἔπειτα κονιορτὸς αἰφνίδιον ἐπενεχθεὶς, ἀνθρώποις τε καὶ ἀλόγοις ζώοις ἀγρίαν καὶ δυσαλγῆ κατὰ τῆς δορᾶς ἁπάσης ἕλκωσιν εἰργάζετο. καὶ τὰ σώματα εὐθὺς σινώδει ταῖς ἐξανθήσεσιν,

σεσιν, ὑποπύους ἔχοντα φλυκταίνας, ἃς ἐτόπασεν ἄν τις ἀφανῶς ὑποκαιομένας ἀναζεῖν, ἀλγηδόσι τε καὶ περιωδυνίαις κατὰ τὸ εἰκὸς ἐκ τῆς ἑλκώσεως καὶ φλογώσεως πιεζόμενοι, μᾶλλον ἢ οὐχ ἧττον τῶν σωμάτων τὰς ψυχὰς ἔκαμνον ἐκτετρυχωμένοι ταῖς ἀνίαις. ἓν γὰρ ἄν τις ἀπὸ κεφαλῆς ἄχρι ποδῶν συνεχὲς ἕλκος ἐθεάσατο, τῶν κατὰ μέλος καὶ μέρος ἐσπαρμένων εἰς μίαν καὶ τὴν αὐτὴν ἰδέαν ἀποκριθέντων.

* ΤΟΥ ΝΥΣΣΗΣ. Ὡσαύτως καὶ ἡ καμιναία κόνις ἐκείνη τὰς ὀδυνηρὰς φλυκταίνας τοῖς Αἰγυπτίοις ἐπάγουσα κατὰ λόγον ἂν νοηθείη· διὰ τοῦ κατὰ τὸ ὄνομα τῆς καμίνου αἰνίγματος, ἡ διὰ τοῦ πυρὸς κατὰ τὴν γέενναν ἀπειληθεῖσα κόλασις, ἣ μόνον ἅπτεται τῶν αἰγυπτιαζόντων κατὰ τὸν βίον. εἰ δέ τις ἀληθῶς Ἰσραηλίτης ἐστὶ, καὶ τοῦ Ἀβραὰμ τέκνον, καὶ πρὸς ἐκεῖνον τῷ βίῳ βλέπει, ὡς δεῖξαι τῇ προαιρέσει τὴν πρὸς τοὺς ἐκλεκτοὺς ἀγχιστείαν τοῦ γένους, οὗτος ἀπαθὴς φυλάσσεται τῆς καμιναίας ἐκείνης ὀδύνης.

ια. Καὶ οὐκ ἠδύναντο οἱ φαρμακοὶ στῆναι ἐναντίον Μωϋσῆ διὰ τὰ ἕλκη· ἐγένοντο δὲ ἕλκη ἐν τοῖς φαρμακοῖς, καὶ ἐν πάσῃ γῇ Αἰγύπτῳ.

ιβ. Ἐσκλήρυνε δὲ Κύριος τὴν καρδίαν Φαραὼ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ.

ΑΔΗΛΟΥ. Ὁ Θεὸς οὐ γίνεταί τινι τῶν κακῶν αἴτιος, ἀλλ' οἱ ἀπειθοῦντες αὐτῷ. » τὸ οὖν, ἐσκλήρυνε Κύριος τὴν καρδίαν Φαραὼ, μᾶλλον οὕτω δεῖ νοεῖν· ἰδοὺ ἀφῆκα αὐτὸν ποιεῖν ὃ προείρηται, ἀντὶ τοῦ, συγχωρῶ αὐτῷ ἀδικῆσαι τοὺς Ἑβραίους, καὶ σκληρυνθῆναι κατ' αὐτῶν, καὶ οὐκ ἀνακόπτω αὐτοῦ τὴν προαίρεσιν, ἢ πρὸ τῆς πλημμελείας ἀναιρῶ αὐτόν. οὐ γὰρ ἔθος τῷ Θεῷ τοῦτο ποιεῖν, ἵνα μὴ ἀνέλῃ τῶν ἀνθρώπων τὸ αὐτεξούσιον.

ιγ. Εἶπε δὲ Κύριος τῷ Μωϋσῇ,
ὄρθρισον τῷ πρωῒ, καὶ στῆθι ἐναντίον
Φαραὼ, καὶ ἐρεῖς πρὸς αὐτὸν, τάδε
λέγει Κύριος ὁ Θεὸς τῶν Ἑβραίων· Z
ἐξαπόστειλον τὸν λαόν μου, ἵνα λα-
ιδ. τρεύσωσί μοι. Ἐν τῷ γὰρ νῦν καιρῷ
ἐγὼ ἐξαποστελῶ πάντα τὰ συναντή-
ματά μου εἰς τὴν καρδίαν σου, καὶ τῶν
θεραπόντων σου, καὶ τοῦ λαοῦ σου· ἵνα
ἴδῃς, ὅτι οὐκ ἔστιν, ὡς ἐγὼ, ἐν πάσῃ
τῇ γῇ.

ιε. Νῦν γὰρ ἀποστείλας τὴν χεῖρά μου, πατάξω σὲ, καὶ τὸν λαόν σου θανάτῳ, καὶ ἐκτριβήσῃ ἀπὸ τῆς γῆς. H

A. ΑΔΗΛΟΥ. Προλέγει αὐτῷ τὸν ὄλεθρον ὁ Θεὸς, ἵνα μὴ σχοίη ἀγνοίας ἀπολογίαν. προλέγει πάντως, ἵνα φοβηθῶσι καὶ παρακαλέσωσι, καὶ ἀνήσει αὐτούς· καὶ οὐκ ἐποίησαν τοῦτο. ἀμέλει γοῦν ἐπὶ τῆς ἀπειλῆς τῆς χαλάζης οἱ φοβηθέντες ἐπίστευσαν, καὶ ἐξέφυγον σὺν τοῖς ἑαυτῶν κτήνεσι τὴν πληγήν.

ιϛ. Καὶ ἕνεκεν τούτου διετηρήθης, B ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες εὐαγγέλιον τὸν θάνατον γινόμενον, καὶ κήρυγμα τὴν θεήλατον πληγὴν ἐκείνην, πανταχοῦ περιϊοῦσαν, καὶ ἀνακηρύττουσαν τὴν τοῦ Θεοῦ δύναμιν; προνοεῖ τοίνυν τῆς οἰκουμένης ἁπάσης, καὶ ἡνίκα τὰ Ἰουδαίων διοικεῖ. Γ καίτοιγε ἐγνώρισε τὴν δύναμιν αὐτοῦ καὶ πάλαι, οἷον ἐπὶ τοῦ Ἰωσὴφ, ἐπὶ τοῦ Ἀβραὰμ, ἀλλ' ὅμως νῦν σαφέστερον. πῶς; τότε μὲν, δι' εὐεργεσίας· ὕστερον δὲ, διὰ πληγῆς· καὶ οὐ διαλιμπάνει, ὃ καὶ πολλάκις ἔφθην εἰπὼν, συνεχῶς καὶ καθ' ἑκάστην γενεὰν ἀναδεικνὺς ἑαυτὸν διὰ τῶν πραγμάτων, καὶ γνωρίζων. οὐχ ὁμοίως δὲ ἀεὶ τοῦτο ποιεῖ, ἀλλὰ ποικίλως καὶ διαφόρως. τότε μὲν γὰρ διὰ τῆς γυναικὸς τοῦ Δ Ἀβραὰμ, πηρώσας τὰς ὠδῖνας τῆς φύσεως· ὕστερον δὲ διὰ λιμοῦ, καὶ δι' εὐετηρίας. μετὰ δὲ ταῦτα, διὰ τῶν πληγῶν τῶν ἐπαλλήλων.

ΑΔΗΛΟΥ. Σημείωσαι, ὅτι πολλάκις, διὰ τὸ εἰς ὠφέλειαν ἄλλων βασανισθῆναι τὸν ἀσεβῆ, οὐκ ἀπόλλυται πρὸ ὥρας κάκιστος ὤν. ἔπειτα δὲ, ἵνα εἰ μετὰ τὴν ἀκμὴν τῆς ἡλικίας καὶ παραδρομὴν, οὔτε βάσανος ἐν πείρᾳ σωφρονίζῃ τὸν ἄπιστον, E οὐ σημεῖον καὶ θαυματουργίας αὐτοψία, ἄρα σκεῦος ἀπωλείας ὁ τοιοῦτος.

ΤΟΥ ΝΥΣΣΗΣ. Ἐφ' ὧν ἐπιμένεις ἀπειθῶν, κήρυξον ἄκων τὸν Θεὸν, ὃν ἑκουσίως ἀρνῇ. (1)

ιζ. Ἔτι οὖν σὺ ἐμποιῇ τοῦ λαοῦ μου, τοῦ μὴ ἐξαποστεῖλαι αὐτούς;

ιη. Ἰδοὺ ἐγὼ ὕω ταύτην τὴν ὥραν
αὔριον χάλαζαν πολλὴν σφόδρα, ἥτις
τοιαύτη οὐ γέγονεν ἐν Αἰγύπτῳ, ἀφ'
ἧς ἡμέρας ἔκτισαι, ἕως τῆς ἡμέρας
ιθ. ταύτης. Νῦν οὖν κατάσπευσον συνα-
γαγεῖν τὰ κτήνη σου, καὶ ὅσα σοι ἐστὶν ἐν
τῷ πεδίῳ· πάντες γὰρ ἄνθρωποι, καὶ
τὰ κτήνη, ὅσα ἂν εὑρεθῇ ἐν τοῖς πε-
δίοις, καὶ μὴ εἰσέλθῃ εἰς οἰκίαν, πέσῃ
δὲ ἐπ' αὐτὰ χάλαζα, τελευτήσει.

ΘΕΟΔΩΡΗΤΟΥ. Τί δήποτε μέλλων ἐπιφέρειν τὴν χάλαζαν, παρεγγύησεν αὐτοῖς εἰς

(1) Οὐδὲ τοῦτο, οὐδὲ τὸ ἑπόμ. τοῦ Νύσ. ἐν τοῖς ἐκδεδόμ. εὕρηται.

εἰς τοὺς οἴκους τὰ κτήνη συναγαγεῖν; Φιλάνθρωπος ὢν ὁ δεσπότης, ἐλαίῳ τὰς τιμωρίας κεράννυσιν. ἄλλως τε καὶ ἤδει τινὰς ἀξίους φειδοῦς. τοῦτο γὰρ καὶ ἡ θεία
„ διδάσκει Γραφή. ὁ φοβούμενος γάρ φησι
„ τὸ ῥῆμα Κυρίου τῶν θεραπόντων Φαραὼ,
„ συνήγαγε τὰ κτήνη αὐτοῦ εἰς τοὺς οἴκους.
„ ὃς δὲ οὐ προσέχε τῇ διανοίᾳ εἰς τὸ ῥῆμα
„ Κυρίου, ἀφῆκε τὰ κτήνη ἐν τοῖς πεδίοις.
τὴν δὲ χάλαζαν καὶ τοὺς σκηπτοὺς αὐτοῖς ἐπενήνοχε, δεικνὺς ὡς αὐτός ἐστι τῶν ἁπάντων στοιχείων ὁ δεσπότης. ἐπειδὴ γὰρ καὶ Αἰγύπτιοι καὶ Ἕλληνες ἐνόμιζον τοὺς μὲν οὐρανίους, τοὺς δὲ ἐπιγείους, τοὺς δὲ ὑποχθονίους εἶναι Θεούς· καὶ τοὺς μὲν τῆς γῆς, τοὺς δὲ τῆς θαλάττης δεσπόζειν· καὶ τοὺς μὲν τῶν ὀρέων, τοὺς δὲ τῶν πεδίων ἔχειν τὴν ἐξουσίαν· διὸ καὶ οἱ Σύροι ἔλε-
3. Βασ. 20. 23. γον, Θεὸς ὀρέων ὁ Θεὸς Ἰσραὴλ, καὶ
„ [οὐ] Θεὸς κοιλάδων· ἀναγκαίως ἄγαν ὁ τῶν ὅλων Θεὸς οὐ μόνον αὐτοὺς διὰ τοῦ ποταμοῦ καὶ τῆς γῆς, ἀλλὰ καὶ διὰ τοῦ ἀέρος, καὶ διὰ τῆς θαλάσσης ἐπαίδευσε· καὶ οὐρανόθεν αὐτοῖς κεραυνοὺς ἐπαφῆκε, διδάσκων ὡς αὐτός ἐστιν ὁ τῶν ὅλων ποιητὴς καὶ δεσπότης. τοῦτο γὰρ καὶ ὁ μακά-
„ ριος Μωϋσῆς εἴρηκε πρὸς αὐτόν· ἵνα γνῷς,
„ ὅτι τοῦ Κυρίου ἡ γῆ, καὶ σὺ, καὶ οἱ θερά-
„ ποντές σου.

ΑΔΗΛΟΥ. Ὡς κτισμάτων ἰδίων ὁ Θεὸς φείδεται τῶν Αἰγυπτίων, εἰ καὶ εἰδωλολάτραι ἦσαν. διὸ καὶ παραγγέλλει ἀσφαλίσασθαι ἑαυτοὺς, ἵνα πειραχθῶσι. διὰ γὰρ τοῦτο καὶ ἐδάμαζεν αὐτοὺς τῷ τρόπῳ, βουλόμενος αὐτοὺς σωφρονισθῆναι· ποτὲ μὲν, διὰ λόγου φοβῶν· ἄλλοτε δὲ, διὰ πληγῶν σωφρονίζων.

κ. Ὁ φοβούμενος τὸ ῥῆμα Κυρίου τῶν θεραπόντων Φαραὼ, συνήγαγε τὰ κτήνη αὐτοῦ εἰς τοὺς οἴκους.

ΑΔΗΛΟΥ. Συνήγαγε τὰ κτήνη τῶν τοῦ Φαραὼ θεραπόντων.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Διὰ τούτους ἄρα προλέγει τὸ ἐσόμενον. ἤδη γὰρ πολλοὶ τῶν Αἰγυπτίων ὠφέλοιντο, καὶ τὸν Θεὸν ἔγνωσαν, καὶ συνεξῆλθον τῷ Ἰσραήλ. οἰκονομίᾳ δὲ Θεοῦ, μὴ πάντα ἀπόλλυται τὰ ὑποζύγια, ἵνα ἔχῃ ζεῦξαι ὁ Φαραὼ μετὰ ταῦτα τὰ ἅρματα. ὡς μὲν αὐτὸς ἔσπευδεν, ἀνελεῖν ἐν τῇ ἐρήμῳ τοὺς Ἰσραηλίτας· ὡς δὲ ὁ Θεὸς ᾠκονόμησεν, ἵνα καταποντισθῇ.

κα. Ὃς δὲ μὴ προσέχε τῇ διανοίᾳ εἰς τὸ ῥῆμα Κυρίου, ἀφῆκε τὰ
κϐ. κτήνη ἐν τῷ πεδίῳ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, ἔκτεινον τὴν χεῖρά σου εἰς τὸν οὐρανὸν, καὶ ἔσαι χάλαζα ἐπὶ πᾶσαν γῆν Αἰγύπτου, ἐπί τε τοὺς ἀν-

A θρώπους καὶ τὰ κτήνη, καὶ ἐπὶ πᾶσαν βοτάνην τὴν ἐπὶ τῆς γῆς.

κγ. Ἐξέτεινε δὲ Μωϋσῆς τὴν χεῖρα αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ Κύριος ἔδωκε φωνὰς καὶ χάλαζαν· καὶ διέτρεχε τὸ πῦρ ἐπὶ τῆς γῆς. καὶ ἔβρεξε Κύριος χάλαζαν ἐπὶ πᾶσαν γῆν Αἰγύπτου.

B „ Ἔδωκε φωνάς. Ἄλλος φησὶν, ἀνέμων
„ ἤχους. Ἄλλος, βροντάς.

κδ. Ἦν δὲ ἡ χάλαζα καὶ τὸ πῦρ φλογίζον ἐν τῇ χαλάζῃ· ἡ δὲ χάλαζα πολλὴ σφόδρα, ἥτις οὐ γέγονε τοιαύτη ἐν Αἰγύπτῳ, ἀφ' οὗ γεγένηται ἐπ' αὐτῆς ἔθνος.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τῆς Αἰγύπτου
Γ δὲ, τῆς χειμερινῆς ἐαριζούσης τροπῆς, (1) τῶν μὲν πρὸς θαλάττῃ μόνον ψεκάσιν ἀραιαῖς λιπαινομένων, τῶν δὲ ὑπὲρ Μέμφιν ἔνθα τὸ βασίλειον Αἰγύπτου μηδὲ νιφομένων τὸ παράπαν, ἐξαίφνης οὕτως ἐνεωτέρισεν ὁ ἀὴρ, ὥσθ' ὅσα ἐν ταῖς δυσχειμερίαις ἀθρόα κατασκῆψαι, φορὰς ὑετῶν, χάλαζαν πολλὴν καὶ βαθεῖαν, ἀνέμων συμπιπτόντων καὶ ἀντιπαταγούντων βίας, νεφῶν ῥήξεις ἐπαλλήλους, ἀστραπὰς, βρον-
Δ τὰς, κεραυνοὺς συνεχεῖς, οἳ τερατωδεστάτην ὄψιν παρείχοντο. θέοντες γὰρ διὰ τῆς χαλάζης, μαχομένης οὐσίας, οὔτε ἔτεμον (2) αὐτὴν, οὔτε ἐσβέννυντο. μένοντες δὲ ἐν ὁμοίῳ, καὶ δολιχεύοντες ἄνω καὶ κάτω, διετήρουν τὴν χάλαζαν.

κε. Ἐπάταξε δὲ ἡ χάλαζα ἐν πάσῃ γῇ Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους· καὶ πᾶσαν βοτάνην τὴν ἐν
E τῷ πεδίῳ ἐπάταξεν ἡ χάλαζα· καὶ πάντα τὰ ξύλα τὰ ἐν τοῖς πεδίοις συνέτριψε.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὑπέλαβον, ὅπερ καὶ ἦν, ἐκ μηνυμάτων θείων κεκαινουργῆσθαι τὰ σύμπαντα, νεωτερίσαντος ὡς οὔπω πρότερον τοῦ ἀέρος ἐπὶ λύμῃ καὶ φθορᾷ δένδρων τε καὶ καρπῶν, οἷς συνεφθάρη ζῷα οὐκ ὀλίγα. τὰ μὲν πε-
Z ριψύξεσι, τὰ δὲ βάρει τῆς ἐπιπιπτούσης χαλάζης, ὥσπερ καταλευσθέντα, τὰ δὲ ὑπὸ τοῦ πυρὸς ἐξαναλωθέντα· ἔνια δ' ἡμίφλεκτα διέμεινε, τοὺς τύπους τῶν κεραυνίων τραυμάτων εἰς νουθεσίαν τῶν ὁρώντων ἐπιφερόμενα.

κϛ. Πλὴν ἐν τῇ γῇ Γεσὲμ, οὗ ἦσαν οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ἐγένετο ἡ χάλαζα.

H κζ. Ἀποστείλας δὲ Φαραὼ, ἐκάλεσε Μωϋσῆν καὶ Ἀαρὼν, καὶ εἶπεν αὐτοῖς,

(1) Τῆς χώρας δὲ οὕτω κειμένης, καὶ ταῖς χειμεριναῖς ἐαριζούσης τροπαῖς. ἐν τῷ περὶ βίου Μωϋσ. βιβλ. 1. σελ. 621.
(2) Ἔτηκον. αὐτ.

αὐτοῖς, ἥμαρτηκα τὸ νῦν· ὁ Κύριος δίκαιος, ἐγὼ δὲ καὶ ὁ λαός μου ἀσεβής.

» ΑΔΗΛΟΥ. Ἡμάρτηκα καὶ νῦν, ἐν
» καιρῷ ἕως τοῦ νῦν.

* ΠΡΟΚΟΠΙΟΥ. Ταῦτα νῦν λέγει
Ἐξόδ. ε. β. ὁ πρότερον βοῶν ἀσεβῶς, οὐκ οἶδα τὸν
» Κύριον.

κη. Εὔξασθε οὖν πρὸς Κύριον, καὶ παυσάσθω τοῦ γενηθῆναι φωνὰς Θεοῦ, καὶ χάλαζαν, καὶ πῦρ· καὶ ἐξαποστελῶ ὑμᾶς, καὶ οὐκ ἔτι προσθήσεσθε μένειν.

κθ. Εἶπε δὲ αὐτῷ Μωϋσῆς, ὡς ἂν ἐξέλθω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖράς μου πρὸς Κύριον, καὶ αἱ φωναὶ παύσονται, καὶ ἡ χάλαζα, καὶ ὁ ὑετὸς οὐκ ἔτι ἔσαι· ἵνα γνῷς, ὅτι τοῦ Κυρίου ἡ γῆ.

ΩΡΙΓΕΝΟΥΣ. Ὁ γὰρ τῶν πάντων δημιουργὸς πρὸς τὴν κέλευσιν, τὴν φύσιν εἴκουσαν ἐποίει.

ΤΟΥ ΑΥΤΟΥ. Τὶ σημειωτέον; Ὅτι οὐ πάντα τῇ ῥάβδῳ τερατουργεῖ Μωϋσῆς, ἀλλὰ καὶ χερσὶ καὶ λόγῳ, ἵνα μὴ τὴν ῥάβδον μαγικαῖς ἀπάταις τελεῖσθαι οἱ πολλοὶ νομίσωσι.

A

λ. Καὶ σὺ καὶ οἱ θεράποντές σου,
ἐπίσταμαι, ὅτι οὐδέπω πεφόβησθε τὸν
λα. Κύριον. Τὸ δὲ λίνον καὶ ἡ κριθὴ
ἐπλήγη· ἡ γὰρ κριθὴ παρεστηκυῖα,
καὶ τὸ λίνον σπερματίζον.

λβ. Ὁ δὲ πυρὸς καὶ ἡ ὄλυρα οὐκ
B ἐπλήγη, ὄψιμα γὰρ ἦν.

ΑΔΗΛΟΥ. Εἶδος σπέρματος, ὃ τοῖς κτήνεσι τροφὴ γίνεται.

λγ. Ἐξῆλθε δὲ Μωϋσῆς ἀπὸ
Φαραὼ ἐκ τῆς πόλεως, καὶ ἐξεπέ-
τασε τὰς χεῖρας αὐτοῦ πρὸς Κύριον·
καὶ αἱ φωναὶ ἐπαύσαντο, καὶ ἡ χά-
λαζα, καὶ ὁ ὑετὸς οὐκ ἔσταξεν ἐπὶ τὴν
λδ. γῆν. Ἰδὼν δὲ Φαραὼ, ὅτι πέπαυται
ὁ ὑετὸς καὶ ἡ χάλαζα καὶ αἱ φωναὶ,
προσέθετο τοῦ ἁμαρτάνειν· καὶ ἐβά-
ρυνε τὴν καρδίαν αὐτοῦ, καὶ τῶν θε-
λε. ραπόντων αὐτοῦ. Καὶ ἐσκληρύνθη ἡ
καρδία Φαραὼ, καὶ οὐκ ἐξαπέστειλε
τοὺς υἱοὺς Ἰσραὴλ, καθάπερ ἐλάλησε
Κύριος Μωϋσῇ.

ΚΕΦ. Ι.

α. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, λέγων, εἴσελθε πρὸς Φαραώ. ἐγὼ γὰρ ἐβάρυνα τὴν καρδίαν αὐτοῦ, καὶ τῶν θεραπόντων αὐτοῦ, ἵνα ἑξῆς ἐπέλθῃ τὰ σημεῖά μου ταῦτα ἐπ' αὐτούς.

E

β. Ὅπως διηγήσησθε εἰς τὰ ὦτα τῶν τέκνων ὑμῶν, καὶ τοῖς τέκνοις τῶν τέκνων ὑμῶν, ὅσα ἐμπέπαιχα τοῖς Αἰγυπτίοις, καὶ τὰ σημεῖά μου, ἃ ἐποίησα ἐν αὐτοῖς. καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος.

» ΑΔΗΛΟΥ. Ἐμπέπαιχα, ὥσπερ παιγνίῳ παιδαρίων αὐτοῖς ἐχρησάμην.

γ. Εἰσῆλθε δὲ Μωϋσῆς καὶ Ἀαρὼν ἐναντίον Φαραὼ, καὶ εἶπαν αὐτῷ, τάδε λέγει Κύριος ὁ Θεὸς τῶν Ἑβραίων· ἕως τίνος οὐ βούλει ἐντραπῆναί με; ἐξαπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσί μοι.

ΑΔΗΛΟΥ. Ταῦτα λέγων ὁ Θεὸς, δείκνυσιν ὅτι κἂν τόδε τι θέλῃ γενέσθαι, ἀλλ' οὐκ ἀναιρεῖ τὸ αὐτεξούσιον τῶν ἀνθρώπων.

δ. Ἐὰν δὲ μὴ θέλῃς ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐπάγω ταύτην
τὴν ὥραν αὔριον ἀκρίδα πολλὴν ἐπὶ
ε. πάντα τὰ ὅριά σου. Καὶ καλύψει
τὴν ὄψιν τῆς γῆς, καὶ οὐ δυνήσῃ κατι-
δεῖν τὴν γῆν· καὶ κατέδεται πᾶν τὸ
περισσὸν τὸ καταλειφθὲν, ὃ κατέλι-
E πεν ὑμῖν ἡ χάλαζα, καὶ κατέδεται
πᾶν τὸ ξύλον τὸ φυόμενον ὑμῖν ἐπὶ
ς. τῆς γῆς. Καὶ πλησθήσονταί σου αἱ
οἰκίαι, καὶ αἱ οἰκίαι τῶν θεραπόντων
σου, καὶ πᾶσαι αἱ οἰκίαι αἱ ἐν πάσῃ
γῇ Αἰγύπτῳ· ἃ οὐδέποτε ἑωράκασιν
οἱ πατέρες σου, οὐδὲ οἱ πρόπαπποι αὐ-
τῶν, ἀφ' ἧς ἡμέρας γεγόνασιν ἐπὶ
τῆς γῆς ἕως τῆς ἡμέρας ταύτης. καὶ
Z ἐκκλίνας, ἐξῆλθεν ἀπὸ Φαραώ.

ζ. Λέγουσι δὲ οἱ θεράποντες Φαραὼ πρὸς αὐτὸν, ἕως τίνος ἔσαι ἡμῖν σκῶλον; ἀπόστειλον τοὺς ἀνθρώπους, ὅπως λατρεύσωσι Κυρίῳ τῷ Θεῷ αὐτῶν. ἢ εἰδέναι βούλει, ὅτι ἀπόλωλεν Αἴγυπτος;

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Εἰς ἀκρι-
H βεστάτην ἔννοιαν τῶν οἰκείων ἐλθόντες οἱ ἐν τέλει κακῶν, προσελθόντες ἔλεγον τῷ βασιλεῖ, μέχρι τίνος οὐκ ἐπιτρέπεις τὴν ἔξοδον τοῖς ἀνδράσιν; ἢ οὔπω μανθάνεις ἐκ τῶν γινομένων, ὅτι ἀπόλωλεν Αἴγυπτος;

** ΚΥΡΙΛΛΟΥ. Μόλις οἱ πάλαι δει-
νοίτε καὶ ἄθραυσοι τῆς τοῦ Φαραὼ βδελυ-
ρίας ὑπασπισαὶ πλείστην ὅσην αὐτοῦ ποιοῦν-
ται καταβολήν. καί μοι πάλιν ἐντεῦθεν
ἔπεισι νοεῖν, ὡς ἔσιπου τάχα τῶν ὑπ' αὐτῷ
δυναμέων ἀμείνων ὁ Σατανᾶς, ἐφ' οἷς ἂν
αὐτῷ τὸ νικᾶν πρέποι. αἱ μὲν γὰρ, ὡς
ἔοικε, σκληραὶ μέν εἰσιν ἄγαν καὶ ἀμεί-
λικτοι κομιδῆ, καὶ ὀψὲ μὲν καὶ μόλις, ἴσ-
σαι δ' οὖν ὅμως κἂν γοῦν εἰς μετρίαν αἴσθη-
σιν τῆς θείας ὀργῆς· ὁ δὲ ἔσιν ἀγριότητι
τῇ ὑπὲρ λόγον ὑπερφερὴς, καὶ κατεσκλη-
Ἰώβ. 41. 15. κὼς εἰς ἄκρον. γέγραπται γὰρ, ὅτι ἡ καρ-
„ δία αὐτοῦ πέπηγεν ὥσπερ λίθος, ἕστηκε δὲ
„ ὥσπερ ἄκμων ἀνήλατος.

η. Καὶ ἐπέστρεψαν τόν τε Μωϋσῆν
καὶ Ἀαρὼν πρὸς Φαραώ. καὶ εἶπεν
αὐτοῖς, πορεύεσθε, λατρεύσατε Κυ-
ρίῳ τῷ Θεῷ ὑμῶν. τίνες δὲ καὶ τίνες
εἰσὶν οἱ εἰσπορευόμενοι;

θ. Καὶ λέγει Μωϋσῆς, σὺν τοῖς
νεανίσκοις ἡμῶν καὶ τοῖς πρεσβυτέροις
πορευσόμεθα, σὺν τοῖς υἱοῖς, καὶ θυ-
γατράσι, καὶ προβάτοις, καὶ βουσὶν
ἡμῶν πορευσόμεθα· ἔστι γὰρ ἑορτὴ
Κυρίῳ τῷ Θεῷ ἡμῶν.

* ΚΥΡΙΛΛΟΥ. Συνίες δὴ οὖν, ὦ φιλό-
της, ὡς ἀρίστην μὲν ὁ Μωϋσῆς ποιεῖσθαι
δεῖν ἔφασκε τὴν ἀνάζευξιν. ὁ δὲ οὐχ οὕτω,
φησὶν, ἀνήσειν δὲ ἀπὸ μέρους, καὶ ὁμη-
ρεύειν τρόπον τινὰ ταῖς τῶν ἀπαιρόντων
ὑποστροφαῖς δεῖν ἔφη τὸ λειπόμενον ἐκ
τῆς ἀποσκευῆς. οἰχέσθω γὰρ πᾶς μὲν
ὑμῶν νεανίας φησὶ, πᾶν δὲ γένος τὸ ἐν
ἀκμαῖς. ὁ δὲ θεῖος Μωσῆς, ὅτι προσήκει
ἀπαίρειν εὖ μάλα διϊσχυρίζεται, παρο-
φθέντος οὐδενός· ἀλλ' ὁμοῦ τοῖς ἐν ἥβῃ
καὶ ἐν δυσμαῖς ἡλικίας, υἱοῖς τε καὶ θυ-
γατράσι, καὶ βοῶν ἀγέλαις, καὶ ἑτέροις
θρέμμασι.

ΤΟΥ ΑΥΤΟΥ. Καὶ γάρ τοι προσήκει
τοὺς τῆς ἀληθοῦς ἐλευθερίας μεταποιεῖσθαι
σπουδάζοντας, τῶν μὲν ἐν κόσμῳ φιλεῖν
ἀπαλλάττεσθαι κακῶν, καὶ τρίβον ἰέναι
τὴν ἐπ' ἀρεταῖς, οὐδὲν τὸ παράπαν τούτων
ταῖς ἑαυτῶν ψυχαῖς τε καὶ διανοίαις ἀφιέν-
τας λείψανον, δι' οὗ δὴ πάλιν ταῖς τοῦ πονη-
ροῦ πλεονεξίαις ὑπενεχθεῖεν ἄν. καλεῖ δὲ
Ψαλ. 148. 12. πρὸς τοῦτο νόμος θεῖος νεανίσκους καὶ παρ-
„ θένους, πρεσβύτας μετὰ νεωτέρων, κατὰ
τὴν τοῦ ψάλλοντος φωνὴν, καὶ πᾶν εἶδος
ἡλικίας νοουμένης ἐν Χριστῷ. Καὶ μετ' ὀλίγα.
Εἶεν δ' ἂν καὶ ἑτέρως, νεανίαι μὲν εἰς
ἀνδρείας τύπον, φρονήσεως δὲ πρεσβύ-
ται, νηπιότητος δὲ τῆς ἐν Χριστῷ νοουμένης
υἱοί τε καὶ θυγατέρες. σὺν ἀνδρείᾳ γὰρ
καὶ φρονήσει καὶ ἁπλότητι τῇ κατὰ Θεὸν
ἀπαίρομεν ἐξ ἁμαρτίας εἰς ἁγιασμόν.

ΤΟΥ ΑΥΤΟΥ. Πρόβατα καὶ βοῦς
συναποτρέχειν εἰπὼν, κατασημαίνειεν ἂν
οἶμαι τοῦτο, ὅτι προσήκει μηδ' αὐτὰ με-
A θεῖναι τῷ Σατανᾷ τὰ σωματικά τε καὶ
ἀλογώτερα τῶν ἐν ἡμῖν κινημάτων.

ι. Καὶ εἶπε πρὸς αὐτοὺς, ἔσω οὕτω
Κύριος μεθ' ὑμῶν· καθότι ἀποσέλ-
λω ὑμᾶς, μὴ καὶ τὴν ἀποσκευὴν ὑμῶν;
ἴδετε ὅτι πονηρία πρόσκειται ὑμῖν.

ΑΔΗΛΟΥ. Βλέπετε, ὅτι οὐ δι' εὐχὴν
θέλετε ἐξελθεῖν, ἀλλὰ διὰ κακίαν προ-
B φασίζεσθε τὴν εὐχήν. τί γὰρ θέλετε τὰς
περιουσίας ὑμῶν, εἰ μὴ σκοπεῖτε ἀπο-
δρᾶναι;

ια. Μὴ οὕτω. πορευέσθωσαν δὲ οἱ
ἄνδρες, καὶ λατρεύσατε τῷ Θεῷ·
τοῦτο γὰρ αὐτοὶ ζητεῖτε. ἐξέβαλον δὲ
αὐτοὺς ἀπὸ Φαραώ.

ΚΥΡΙΛΛΟΥ. [Ἀνθ' ὅτου δὴ οὖν ἀνίησι
μὲν τοὺς ἐν ἥβῃ καὶ ἀκμαῖς, μεταποιεῖται
Γ δὲ τῶν ἑτέρων ὁ Φαραώ; Τοὺς μὲν γὰρ
σφριγῶντάς τε καὶ νέους, καὶ ἀκμαιοτέ-
ραν ἔχοντας τὴν ἕξιν εἰς εὐσέβειαν, ἡγεῖ-
ται φορτικούς. ἀπαλλακτιᾷ γὰρ οἶμαι καὶ
οὐχ ἑκὼν τῶν ἀνθεστηκότων, οἳ καί εἰσιν
ἀντιπράττειν οἷοί τε, καὶ σφίσιν ἑαυτοῖς
ἐπαμύνειν ἀδικουμένοις, κατά γε τὸ, ἀν-
„ τίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' Ἰακ. 4. 7.
ὑμῶν.] μεταποιεῖται δὲ λίαν τοῦ μὴ ἀν-
δρίζεσθαι πεφυκότος, καὶ ὡς γένος ἀδρα-
Δ νὲς καὶ ἀφιλοπόλεμον ἀγαπᾷ τὸ νοσοῦν ἐν
ἑαυτῷ φρόνημα, τὸ θῆλυ καὶ μαλακὸν,
καὶ οἷον μὴ ἡβηκός τε καὶ ἄναλκι καὶ μει-
ρακιῶδες ἔτι, καὶ τὸ παχύ τε καὶ ἀλο-
γώτερον, ὡς ἐν τύπῳ βοῶν καὶ προβά-
των. ψευδομυθεῖ δὲ πάλιν ὁ σκληρὸς καὶ
ἀκαμπὴς Φαραώ.

ιβ. Εἶπε δὲ Κύριος πρὸς Μωϋ-
σῆν, ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν
E γῆν Αἰγύπτου· καὶ ἀναβήτω ἀκρὶς
ἐπὶ τὴν γῆν, καὶ κατέδεται πᾶσαν
βοτάνην τῆς γῆς, καὶ πάντα τὸν
καρπὸν τῶν ξύλων, ὃν ὑπελίπετο
ἡ χάλαζα.

ιγ. Καὶ ἐπῆρε Μωϋσῆς τὴν ῥάβδον
εἰς τὸν οὐρανὸν, καὶ Κύριος ἐπήγαγεν
ἄνεμον νότον ἐπὶ τὴν γῆν ὅλην τὴν
Z ἡμέραν ἐκείνην, καὶ ὅλην τὴν νύκτα.
τὸ πρωῒ ἐγενήθη, καὶ ὁ ἄνεμος ὁ νό-
ιδ. τος ἀνέλαβε τὴν ἀκρίδα. Καὶ ἀνή-
γαγεν αὐτὴν ἐπὶ πᾶσαν γῆν Αἰγύπτου·
καὶ κατέπαυσεν ἐπὶ πάντα τὰ ὅρια
Αἰγύπτου πολλὴ σφόδρα. προτέρα αὐ-
τῆς οὐ γέγονε τοιαύτη ἀκρὶς, καὶ μετὰ
ιε. ταύτην οὐκ ἔσαι οὕτω. Καὶ ἐκάλυψε
τὴν ὄψιν τῆς γῆς, καὶ ἐφθάρη ἡ γῆ.
H καὶ κατέφαγε πᾶσαν τὴν βοτάνην
τῆς γῆς, καὶ πάντα τὸν καρπὸν τῶν
ξύλων, ὃς ὑπελείφθη ἀπὸ τῆς χα-
λάζης· οὐ κατελείφθη χλωρὸν ἐν
τοῖς

τοῖς ξύλοις, καὶ ἐν πάσῃ βοτάνῃ τοῦ A
πεδίου, ἐν πάσῃ γῇ Αἰγύπτου.

ΑΔΗΛΟΥ. Ἡ πληγὴ τῆς ἀκρίδος. ὁ νότος δὲ ἄγει τὴν ἀκρίδα, ὁ λὶψ τὴν ὀρτυγομήτραν. διὰ τοῦ νότου καὶ τὴν ἐρυθρὰν ξηραίνει.

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἄνεμος καταῤῥάττει νότος βιαιότατος ὅλην τὴν ἡμέραν καὶ νύκτωρ προσεπιτεινόμενος καὶ σφοδρούμενος, αὐτὸς καθ' αὑτὸν μεγάλη B ζημία. ξηρός τε γάρ ἐστι καὶ κεφαλαλγὴς, καὶ βαρυήκοος, ἄσας τε καὶ ἀδημονίας ἐμποιεῖν ἱκανὸς, καὶ μάλιστ' ἐν Αἰγύπτῳ κειμένῃ κατὰ τὰ νότια, δι' ὧν αἱ περιπολήσεις τῶν φωσφόρων ἀστέρων, ὡς ἅμα τῷ διακινηθῆναι, τὸν ἀφ' ἡλίου φλογμὸν συνεπωθεῖσθαι, καὶ πάντα καίειν. ἀλλὰ γὰρ ἅμ' αὐτῷ καὶ πλῆθος ἀμήχανον ζώων ἐπεφέρετο, φθοροποιὸν φυτῶν, ἀκρίδες, αἳ ῥεύματος τρόπον ἀπαύστως διέφλεγον ὅσα Γ οἱ κεραυνοὶ ὑπελείποντο καὶ ἡ χάλαζα· ὡς μηδὲν ἐν τῇ τοσαύτῃ χώρᾳ βλαστάνον ἔτι θεωρεῖσθαι.

ιϛ. Κατέσπευσε δὲ Φαραὼ καλέσαι Μωϋσῆν καὶ Ἀαρὼν, λέγων, ἡμάρτηκα ἐναντίον Κυρίου τοῦ Θεοῦ
ιζ. ὑμῶν, καὶ εἰς ὑμᾶς. Προσδέξασθε
οὖν μοι τὴν ἁμαρτίαν ἔτι νῦν, καὶ προσ-
σεύξασθε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, Δ
καὶ περιελέτω ἀπ' ἐμοῦ τὸν θάνατον
ιη. τοῦτον. Ἐξῆλθε δὲ Μωϋσῆς ἀπὸ
Φαραὼ, καὶ ηὔξατο πρὸς τὸν Θεόν.
ιθ. Καὶ μετέβαλε Κύριος ἄνεμον ἀπὸ
θαλάσσης σφόδρα, καὶ ἀνέλαβε
τὴν ἀκρίδα, καὶ ἀνέλαβεν αὐτὴν εἰς
τὴν θάλασσαν τὴν ἐρυθράν. καὶ οὐχ
ὑπελείφθη ἀκρὶς μία ἐν πάσῃ γῇ E
Αἰγύπτου.

κ. Καὶ ἐσκλήρυνε Κύριος τὴν καρδίαν Φαραὼ, καὶ οὐκ ἐξαπέστειλε τοὺς υἱοὺς Ἰσραήλ.

ΑΔΗΛΟΥ. Τῇ συνηθείᾳ τῆς ἀνεξικακίας ἀναισθητότερον ἐποίησεν ἀπὸ τοῦ παρόντος φόβου.

κα. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, Z ἔκτεινον τὴν χεῖρά σου εἰς τὸν οὐρανόν· καὶ γενηθήτω σκότος ἐπὶ γῆς Αἰγύπτου, ψηλαφητὸν σκότος.

κβ. Ἐξέτεινε δὲ Μωϋσῆς τὴν χεῖρα εἰς τὸν οὐρανόν· καὶ ἐγένετο σκότος, γνόφος, θύελλα ἐπὶ πᾶσαν γῆν Αἰγύπτου τρεῖς ἡμέρας.

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Λαμπρᾶς H ἡμέρας οὔσης, ἐξαπιναίως ἀναχεῖται σκότος, ἴσως μὲν καὶ ἡλίου γενομένης ἐκλείψεως τῶν ἐν ἔθει τελειοτέρας· ἴσως δὲ καὶ συνεχείαις νεφῶν, καὶ πυκνότησιν ἀδιαστάτοις, καὶ λύσει βιαιοτάτῃ τῆς τῶν ἀκτίνων φορᾶς ἀνακοπείσης, ὡς ἀδιαφορεῖν ἡμέραν νυκτός. καὶ τί γὰρ, ἀλλ' ἢ μίαν νύκτα νομίζεσθαι μακροτάτην, τρισὶν ἡμέραις ἴσην, καὶ ταῖς ἰσαρίθμοις νυξί;

κγ. Καὶ οὐκ εἶδεν οὐδεὶς τὸν ἀδελφὸν αὐτοῦ· καὶ οὐκ ἐξανέστη οὐδεὶς ἐκ τῆς κοίτης αὐτοῦ τρεῖς ἡμέρας· πᾶσι δὲ τοῖς υἱοῖς Ἰσραὴλ ἦν φῶς ἐν πᾶσιν B οἷς κατεγίνοντο.

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τότε φασὶ τοὺς μὲν ἐῤῥιμμένους ἐν ταῖς εὐναῖς, μὴ τολμᾷν ἐξανίστασθαι· τοὺς δ' ὁπότε κατεπείγοι τι τῶν τῆς φύσεως ἀναγκαίων, ἐπαφωμένων τοίχων, ἤ τινος ἑτέρου, καθάπερ τυφλοὺς, μόλις προέρχεσθαι. καὶ γὰρ τοῦ χρειώδους πυρὸς τὸ φέγγος, τὸ μὲν ὑπὸ τῆς κατεχούσης ζάλης ἐσβέννυτο, τὸ δὲ Γ τῷ βάθει τοῦ σκότους ἀμαυρούμενον ἐνηφανίζετο· ὡς τὴν ἀναγκαιοτάτην, ὄψιν τῶν αἰσθήσεων ὑγιαίνουσαν, πηρὸν εἶναι, μηδὲν ὁρᾷν δυναμένην· τετράφθαι δὲ καὶ τὰς ἄλλας, οἷα ὑπηκόους, πεσούσης τῆς ἡγεμονίδος. οὔτε γὰρ λέγειν τις, οὔτ' ἀκούειν, οὔτε προσενέγκασθαι τροφὰς ὑπέμενεν, ἀλλ' ἡσυχίᾳ καὶ λιμῷ παρέτεινον αὑτοὺς, οὐδεμιᾷ τῶν αἰσθήσεων σχολάζοντες, ἀλλ' ὑπὸ τοῦ πάθους ὅλοι συνηρπασμένοι.

Δ ΑΔΗΛΟΥ. Εἰ ἐν πᾶσιν οἷς κατεγίνοντο οἱ Ἰσραηλῖται ἦν φῶς. οὐκοῦν καὶ ἐπὶ τοῦ ὕδατος τὸ αὐτὸ νοητέον· ἵνα δῶμεν
» χώραν ἔχειν τὸ, ἐποίησαν δὲ ὡσαύτως
» καὶ οἱ ἐπαοιδοί.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Οὕτω καὶ τὴν διάνοιαν ταύτην νόει μοι· καὶ τὸν ἀέρα διὰ τῆς ῥάβδου, τοῖς μὲν τῶν Αἰγυπτίων ὀφθαλμοῖς μελαινόμενον, ἐπὶ δὲ τῶν Ἑ- E βραίων τῷ ἡλίῳ καταλαμπόμενον. δι' οὗ μάλιστα βεβαιοῦται τῆς ἀποδοθείσης διανοίας ὁ λόγος· ὅτι οὐκ ἄνωθέν τις ἀναγκαστικὴ δύναμις τὸν μὲν ἐν ζόφῳ, τὸν δὲ ἐν φωτὶ γενέσθαι παρασκευάζει· ἀλλ' οἴκοθεν ἔχομεν ἐν τῇ ἑαυτῶν φύσει τε καὶ προαιρέσει τὰς τοῦ φωτός τε καὶ σκότους αἰτίας οἱ ἄνθρωποι, πρὸς ὅπερ ἂν ἐθέλωμεν, ἐπὶ τοῦτο γινόμενοι. καὶ γὰρ κατὰ τὴν ἱστορίαν, οὐ διά τινος τείχους, ἢ ὄρους ἐπι- Z προσθοῦντος τὰς ὄψεις, καὶ τὰς ἀκτῖνας ἀποσκιάζοντος ὁ τῶν Αἰγυπτίων ὀφθαλμὸς ἐν σκότει ἦν· ἀλλ' ἐπίσης πάντα τοῦ ἡλίου ταῖς ἀκτῖσι καταφωτίζοντος, οἱ μὲν Ἑβραῖοι τοῦ φωτὸς κατετρύφων, οἱ δὲ ἄγαν ἀναισθήτως εἶχον τῆς χάριτος. οὕτω πᾶσι κατὰ τὸ ἴσον τοῦ φωτεινοῦ βίου κατ' ἐξουσίαν προκειμένου, οἱ μὲν ἐν σκότει διαπορεύονται, διὰ τῶν πονηρῶν ἐπιτηδευμάτων πρὸς τὸν τῆς κακίας ζόφον συνε- H λαυνόμενοι, οἱ δὲ τῷ φωτὶ τῆς ἀρετῆς λαμπρύνονται.

ΤΟΥ ΑΥΤΟΥ. Τοὺς δὲ λεπτοὺς σκνῖπας ἐκείνους, οἱ τοῖς ἀφανέσι δήγμασι τοὺς Αἰγυπτίους ἀλγύνουσι, τήν τε κώνωπα ὀδυνηρῶς

ὀδυνηρῶς διὰ τοῦ δήγματος ἐμφυομένην τοῖς σώμασι, τήν τε ὑπὸ τῶν ἀκρίδων καταφθειρομένην γεωπονίαν, καὶ τοὺς ἄνωθεν πρηστῆρας τοῖς τῆς χαλάζης λίθοις συγκαταπίπτοντας, οὐκ ἄν τις τῷ εἱρμῷ τῶν ἐξηλασμένων ἑπόμενος κάμνοι τὰ καθ' ἕκαστα προσαρμόζων τοῖς καταλλήλοις νοήμασιν. ἅπερ ἅπαντα ποιεῖ μὲν κατὰ τὸ προηγούμενον ἡ αἰγυπτία προαίρεσις, ἐπάγει δὲ ἡ ἀδέκαστος τοῦ Θεοῦ δίκη, ἐπακολουθοῦσα ταῖς κατ' ἀξίαν προαιρέσεσι. μὴ γὰρ δὴ τοῦτο τῇ προχείρῳ λέξει ἀκολουθοῦντες νοήσωμεν, ὅτι παρὰ τοῦ Θεοῦ γίνεται τὰ λυπηρὰ τοῖς τῶν τοιούτων ἀξίοις· ἀλλ' ὅτι ἕκαστος ἑαυτῷ τῶν πληγῶν γίνεται δημιουργὸς, διὰ τῆς οἰκείας δημιουργίας καὶ προαιρέσεως τὴν τῶν ἀλγεινῶν παρασκευὴν ἑτοιμάζων. Καὶ μετ' ὀλίγα. Ὥσπερ γὰρ ἐκ τῆς ἀτακτοτέρας διαίτης φθοροποιὸς χυμὸς καὶ χολώδης ἐν τοῖς σπλάγχνοις συνίσταται, ὃν [ὁ] ἰατρὸς διὰ τῆς τέχνης εἰς ἐμετὸν ἐφελκυσάμενος, οὐκ ἂν αἰτία γένοιτο τοῦ αὐτὸς ἐμποιῆσαι τῷ σώματι τὸν νοσώδη χυμόν· ἀλλ' ἐνεποίησε μὲν ἡ τῆς τροφῆς ἀταξία, εἰς δὲ τὸ ἐμφανὲς ἤγαγεν ἡ ἰατρικὴ ἐπιστήμη· οὕτω κἂν παρὰ τοῦ Θεοῦ γίνεσθαι λέγηται τοῖς μοχθηροῖς τὴν προαίρεσιν ἀλγεινὴ ἀνταπόδοσις, εὔλογον ἂν εἴη νοεῖν, ἐξ ὑμῶν αὐτῶν τὰς ἀρχὰς καὶ τὰς αἰτίας τὰ τοιαῦτα λαμβάνειν πάθη. τῷ γὰρ ἀναμαρτήτως βεβιωκότι, οὐ σκότος ἐστὶν, οὐ σκώληξ, οὐ γέεννα, οὐ πῦρ, οὐκ ἄλλο τὶ τῶν φοβερῶν ὀνομάτων. (1) ὡς δὴ καὶ ἡ ἱστορία φησὶ, τοῖς Ἑβραίοις μὴ εἶναι τὰς αἰγυπτίας πληγάς. [εἰ οὖν] ἐν τῷ αὐτῷ τόπῳ, καὶ τῷ μὲν ἐστὶ κακὸν, τῷ δὲ οὐκ ἔστι, τῆς τῶν προαιρέσεων διαφορᾶς ἐν τοῖς καταλλήλοις δεικνυούσης ἑκάτερον, δῆλον δ' ἂν εἴη τὸ μηδὲν τῶν κακῶν δίχα τῆς ἡμετέρας προαιρέσεως δύνασθαι συστῆναι.

κδ. Καὶ ἐκάλεσε Φαραὼ Μωϋσῆν καὶ Ἀαρὼν, λέγων, βαδίζετε, λατρεύετε Κυρίῳ τῷ Θεῷ ὑμῶν, πλὴν τῶν προβάτων καὶ τῶν βοῶν ὑμῶν ὑπολείπεσθε· καὶ ἡ ἀποσκευὴ ὑμῶν
κε. ἀποτρεχέτω μεθ' ὑμῶν. Καὶ εἶπε Μωϋσῆς, οὐ. ἀλλὰ καὶ σὺ δώσεις ἡμῖν ὁλοκαυτώματα καὶ θυσίας, ἃ ποιήσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν.

ΚΥΡΙΛΛΟΥ. [Τίνα τοῖς εἰρημένοις παρά γε τοῦ πανσόφου Μωσέως ἐφαρμόσαιμεν ἂν τὴν διάνοιαν; ἢ πῶς ἄν τις λάβοι τὰ ἐξ Αἰγύπτου καὶ Φαραὼ, καὶ ἀναθείη Θεῷ; Σαφὴς ὁ λόγος. ὁ μὲν γὰρ τοῖς δυσσεβεῖν ἐθέλουσιν ἀνθεστηκὼς καὶ μαχόμενος, εἰ μὴ παντελῶς ἐξείη τὸ ὑπ' αὐτῷ κεῖσθαί τινας, κἂν γοῦν ἐκ μέρους τοῦτο ἔχειν ἐπιθυμεῖ.] ὁ [δέ γε] τοῦ Θεοῦ νόμος τομωτάτην τινὰ ποιεῖσθαι διδάσκει τὴν ἀποφοίτησιν, οὐδ' ὅπως τιοῦν ὑπ' αὐτῷ κεῖσθαί τε καὶ μένειν ἐῶντας, οὐ ψυχῆς, οὐ νοῦ μόριον, οὐ σωματικοῦ κινήματος ἀφορμήν. προσέτι δὲ δεῖν καὶ τῆς ἐν κόσμῳ ζωῆς τὰ κάλλιστα καὶ ἐξαίρετα προσκομίζειν Θεῷ. τοῦτο γὰρ οἶμαι δηλοῦν τὸ ἐξ Αἰγύπτου λαβεῖν, καὶ καταθῦσαι Θεῷ. ἢ οὐχὶ τοῦτο δρῷεν ἂν οἱ διὰ σοφίας κοσμικῆς τοῖς ἱεροῖς καὶ θείοις ἡμῶν ἐπαγωνιζόμενοι δόγμασι, τὸ λαμπρὸν ἐν λέξεσι, καὶ τὸ ἐν διανοίαις ἄκρον θηρώμενοι, καὶ τὴν λογικὴν λατρείαν ἐπιτελοῦντες Θεῷ.

κϛ. Καὶ τὰ κτήνη πορεύσονται μεθ' ἡμῶν, καὶ οὐχ ὑπολειψόμεθα ὁπλήν. ἀπ' αὐτῶν γὰρ ληψόμεθα λατρεῦσαι Κυρίῳ τῷ Θεῷ ἡμῶν· ἡμεῖς δὲ οὐκ οἴδαμεν τὶ λατρεύσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν, ἕως τοῦ ἐλθεῖν ἡμᾶς ἐκεῖ.

ΑΔΗΛΟΥ. Διὰ τὸ ἐπὶ πολὺ συνεῖναι τοῖς Αἰγυπτίοις οἱ Ἑβραῖοι, ἐπελάθοντο τὶ δεῖ εὔξασθαι.

** ΠΡΟΚΟΠΙΟΥ. Ἵνα μὴ λέγῃ Φαραὼ, οὐκοῦν τὰ πρὸς θυσίαν ἐπιτήδεια λαβόντες, τὰ λοιπὰ καταλείψατε· ὁ δὲ ἄδηλον ἐπὶ τούτοις τὸ θεῖον νεῦμά φησιν.

κζ. Ἐσκλήρυνε δὲ Κύριος τὴν καρδίαν Φαραὼ, καὶ οὐκ ἠβουλήθη ἐξαποστεῖλαι αὐτούς.

κη. Καὶ λέγει αὐτῷ Φαραὼ, ἄπελθε ἀπ' ἐμοῦ· πρόσεχε σεαυτῷ ἔτι προσθεῖναι ἰδεῖν μου τὸ πρόσωπον· ᾗ δ' ἂν ἡμέρᾳ ὀφθῇς μοι, ἀποθανῇ.
κθ. Λέγει δὲ Μωϋσῆς, εἴρηκας· οὐκ ἔτι ὀφθήσομαί σοι εἰς πρόσωπον.

ΑΔΗΛΟΥ. Οὐκ εὐθὺς ἐξῆλθεν, ἀλλ' ἔμεινεν ἕως εἶπεν αὐτῷ τὴν μέλλουσαν ἔσεσθαι τῶν πρωτοτόκων ἀπώλειαν.



ΚΕΦ.

(1) Ὀνομάτων τε καὶ πραγμάτων. ἐν τῇ θεωρίᾳ εἰς τὸν τοῦ Μωϋσ. βίον.

ΚΕΦ. ΙΑ.

α. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, ἔτι μίαν πληγὴν ἐπάξω ἐπὶ Φαραὼ, καὶ Αἴγυπτον, καὶ μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς ἐντεῦθεν. ὅταν δὲ ἐξαποστέλλῃ ὑμᾶς σὺν παντὶ, ἐκβολῇ ἐκβαλεῖ ὑμᾶς.

β. Λάλησον οὖν κρυφῇ εἰς τὰ ὦτα τοῦ λαοῦ, καὶ αἰτησάτω ἕκαστος ἀπὸ τοῦ πλησίον, καὶ γυνὴ ἀπὸ τῆς πλησίον, σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμόν.

** ΙΣΙΔΩΡΟΥ. Οὐκ ἔστιν ἀδίκου κρίσεως, ὡς οἴει, τὸ κελεῦσαι τοὺς πλεῖστα μοχθήσαντας, καὶ πόλεις σὺν πόνῳ οἰκοδομήσαντας, σκυλεῦσαι τοὺς Αἰγυπτίους, καὶ χρυσία λαβεῖν, ἢ ἀργύρια παρ' ἐκείνων, οἷς τοὺς πόνους κατέθεντο. ἀλλὰ καὶ σφόδρα ἀδεκάστου κριτοῦ, ἄξιον εἶναι τῆς τροφῆς ἐργάτην θεσπίζοντος. εἰ γάρ τις ἡμῶν καὶ γνωστικοῦ ἐπέτυχε πνεύματος, εὗρεν ἂν παρὰ πολὺ τὸν μισθὸν, καὶ οὕτω δεδομένον, τῆς κατωδύνου πλινθείας, καὶ πολυστενάκτου οἰκοδομίας, δι' ἣν αὐτοῖς ὁ δίκαιος κριτὴς καὶ τὴν χάριν πρὸς τὴν χρῆσιν προσέθηκε.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐπειδὴ τοῖς Ἑβραίοις μακρὸν δουλεύσασιν οἱ Αἰγύπτιοι χρόνον τὸν μισθὸν οὐκ ἀπέδοσαν, ἄκοντας αὐτοὺς εἰσπραχθῆναι παρεσκεύασεν ἡ τῆς δικαιοσύνης πηγή. διὰ τοῦτ' ἔφη, » χρησάσθω ἕκαστος παρὰ τῆς γείτονος αὐτοῦ » καὶ συσκήνου σκεύη ἀργυρᾶ καὶ χρυσᾶ. εἰ μὲν γὰρ μὴ δουλεύσασι τοῦτο προσέταξεν, ἴσως ἄν τις ἄδικον τοῦτο ἐνόμισεν εἶναι. εἰ δὲ τοὺς τὴν ἐλευθερίαν ἀφελομένους χρήμασιν ἀμύνασθαι ἐκέλευσεν, οὐ μόνον μὴ ἠδικῆσθαι ἐκείνους, ἂν ἔγωγε φαίην, ἀλλὰ μηδὲ τὴν ἴσην τιμωρίαν ἀπῃτῆσθαι. ποῦ γὰρ ἴσον, χρημάτων στέρησις καὶ ἐλευθερίας; ὑπὲρ ἧς οὐ μόνον τὰς οὐσίας προΐεσθαι, ἀλλὰ καὶ ἀποθνήσκειν οἱ νοῦν ἔχοντες ἐθέλουσι.

** ΤΟΥ ΝΥΣΣΗΣ. Τοῦτο οὐκ ἄν τις ἐκ τοῦ προχείρου νοήσας, ἀποδέξαιτο τοῦ νομοθέτου τὴν γνώμην, εἰ ἀποστερεῖν τοὺς χρήσαντας ἐγκελεύεται. καὶ ὑφηγητὴς ἀδικίας γίνεται. ἀλλ' οὐδ' ἂν κατ' ἀλήθειάν τις εἴποι ταῦτα διατάσσειν τὸν νομοθέτην, πρὸς τοὺς ἐφεξῆς βλέπων νόμους, τοὺς ἄνω καὶ κάτω τὴν κατὰ τοῦ πέλας ἀδικίαν κωλύοντας· κἄν τισι δοκῇ εὔλογον εἶναι τὸ ἔργον, τὰ μισθώματα παρὰ τῶν Αἰγυπτίων τοὺς Ἰσραηλίτας διὰ τῆς ἐπινοίας ταύτης εἰσπράττεσθαι. οὐδὲ γὰρ ἧττον ἔγκλημά τί ἐστι μὴ καθαρεύειν ψεύδους τε καὶ ἀπάτης τὸ τοιοῦτον παράγγελμα. ὁ γὰρ ἐν χρήσει λαβών τι, καὶ μὴ ἀποδιδοὺς πάλιν τῷ χρήσαντι, εἰ μὲν ἀλλότριον εἴη, ὡς ἀποστερήσας ἠδίκησεν· εἰ δὲ τὸ ἑαυτοῦ κρατοῖ, ὡς παραλογισάμενος τὸν ἐλπίδι τοῦ λαβεῖν χρήσαντα, πάντως ἀπατεὼν ὠνόμασται. οὐκοῦν ὁ ὑψηλότερος λόγος τῆς προχείρου διανοίας ἁρμοδιώτερος, ὁ κελεύων τοὺς τὸν ἐλεύθερον βίον
B μετιόντας δι' ἀρετῆς, καὶ τὸν ἔξωθεν τῆς παιδεύσεως πλοῦτον παρασκευάζεσθαι, ᾧ οἱ κατὰ τὴν πίστιν ἀλλόφυλοι καλλωπίζονται. τὴν γὰρ ἠθικὴν καὶ φυσικὴν φιλοσοφίαν, γεωμετρίαν τε καὶ ἀστρονομίαν, καὶ τὴν λογικὴν πραγματείαν, καὶ πάντα ὅσα παρὰ τοῖς ἔξω τῆς ἐκκλησίας σπουδάζεται, κελεύει ὁ τῆς ἀρετῆς καθηγούμενος παρὰ τῶν τὰ τοιαῦτα πλουτούντων ἐν Αἰγύπτῳ λαβόντα λόγῳ χρήσεως ὑποδέξα-
Γ σθαι, ὡς ἐν καιρῷ χρησιμευόντων, ὅταν δέῃ τὸν θεῖον τοῦ μυστηρίου ναὸν διὰ τοῦ λογικοῦ πλούτου καλλωπισθῆναι. οἱ γὰρ τὸν τοιοῦτον ἑαυτοῖς θησαυρίζοντες πλοῦτον, προσάγουσι τῷ Μωϋσεῖ περὶ τὴν σκηνὴν τοῦ μαρτυρίου ποιοῦντι, τὸ παρ' ἑαυτοῦ ἕκαστος πρὸς τὴν τῶν ἁγίων κατασκευὴν συνεισφέρων. ὃ δὴ καὶ νῦν ἐστιν ἰδεῖν γινόμενον. πολλοὶ τὴν ἔξω παίδευσιν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ καθάπερ τι δῶρον προσάγουσιν,
Δ οἷος ἦν ὁ μέγας Βασίλειος, ὁ καλῶς τὸν αἰγύπτιον πλοῦτον ἐμπορευσάμενος κατὰ τὸν τῆς νεότητος χρόνον, καὶ ἀναθεὶς τῷ Θεῷ, καὶ τῷ τοιούτῳ πλούτῳ κατακοσμήσας τὴν ἀληθῆ τῆς ἐκκλησίας σκηνήν.

γ. Κύριος δὲ ἔδωκε τὴν χάριν τῷ λαῷ αὐτοῦ ἐναντίον τῶν Αἰγυπτίων· καὶ ἔχρησαν αὐτοῖς.

ΑΔΗΛΟΥ. Διὸ οὐκ ἄδικος ἡ ἀποστέρη-
E σις. ἦσαν γὰρ πολλὰ ἀδικηθέντες ὑπὸ Αἰγυπτίων οἱ Ἑβραῖοι.

ΑΔΗΛΟΥ. Καλὴ ἡ πανουργία τῶν Ἑβραίων κατασοφισαμένων τοὺς Αἰγυπτίους, καὶ τὸν μισθὸν τῆς ἐργασίας τῶν πόλεων ἀπολαυόντων, καὶ ὕλας ἑαυτοῖς πρὸς τὴν σκηνὴν συμπορισαμένων.

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Εἰσηγοῦμαί τι καὶ τῶν οὐκ ἐμῶν, μᾶλλον δὲ καὶ λίαν ἐμῶν,
Z ἂν πνευματικῶς θεωρῇς. χρῆσαι παρ' Αἰγυπτίων σκεύη χρυσᾶ καὶ ἀργυρᾶ. μετὰ τούτων ὅδευσον, ἐκ τῶν ἀλλοτρίων ἐφοδιάσθητι, μᾶλλον δὲ τῶν σῶν. χρεωστεῖταί σοι μισθὸς τῆς δουλείας καὶ τῆς πλινθείας. σόφισαι καὶ σὺ περὶ τὴν ἀπαίτησιν, καλῶς ἀποστέρησον. ἔσω, ταλαιπώρηκας ἐνταῦθα τῷ πηλῷ, μαχόμενος τῷ μοχθηρῷ τούτῳ καὶ ῥυπαρῷ σώματι, καὶ πόλεις οἰκοδομῶν ἀλλοτρίους, ὧν ἀπόλλυται τὸ μνημόσυνον μετ' ἤχου. τί δ' αὖ 1) προῖκα
H ἐξέρχῃ καὶ ἄμισθι; τί δὲ καταλείψεις αἰγυπτίαις καὶ ταῖς ἀντικειμέναις δυνάμεσιν

(1) Τί δαί; ἐν λόγ. 42.

μεσιν ἃ κακῶς ἐκτήσαντο, καὶ χείρω δαπανήσουσιν; οὐκ ἔστιν ἐκείνων, ἐσύλησαν, ἥρ- Ἀγ. 2. 8. πασαν τὸν εἰπόντα, (1) ἐμόν ἐστι τὸ χρυ- » σίον καὶ τὸ ἀργύριον, καὶ δώσω αὐτὸ ᾧ βούλομαι. χθὲς ἦν ἐκείνων· συνεχωρεῖτο γάρ· σήμερον σοὶ προσάγει καὶ δίδωσιν ὁ δεσπότης, ὡς καλῶς χρησομένῳ καὶ σω- Λουκ. 16. 9. τηρίως. κτησώμεθα οὖν αὐτοῖς φίλους ἐκ » τοῦ Μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλείπωσιν ἀντιλάβωνται ἡμῶν (2) ἐν καιρῷ κρίσεως. εἰ μέν τις εἶ Ῥαχὴλ, ἢ Λεία, ψυχὴ πατριαρχικὴ καὶ μεγάλη, καὶ τὰ εἴδωλα κλέψον ἅπερ ἂν εὕρῃς τοῦ σοῦ πατρὸς, οὐχ ἵνα φυλάξῃς, ἀλλ' ἵν' ἀφανίσῃς· εἰ δὲ Ἰσραηλίτης, σοφῶς πρὸς τὴν γῆν τῆς ἐπαγγελίας μετένεγκε.

Καὶ ὁ ἄνθρωπος Μωϋσῆς μέγας ἐγενήθη σφόδρα ἐναντίον τῶν Αἰγυπτίων, καὶ ἐναντίον Φαραὼ, καὶ ἐναντίον πάντων τῶν θεραπόντων αὐτοῦ.

** ΙΟΥΣΤΙΝΟΥ. Εἰ ἐπαιδεύθη Μωϋσῆς ἐν πάσῃ σοφίᾳ Αἰγυπτίων, καὶ ἦν δυνατὸς ἐν ἔργοις καὶ λόγοις, καθώς φησιν ἡ θεία Γραφὴ, πῶς ἀστρονομίαν, καὶ γεωμετρίαν, καὶ ἀστρολογίαν, καὶ τὰ τούτοις ἑπόμενα οὐ μετῆλθεν ὁ αὐτὸς μακάριος Προφήτης; τῶν γὰρ Αἰγυπτίων τότε ἡ σοφία τὰ τῆς πλάνης ὑπῆρχε διδάσκουσα διδάγματα· διατί οὖν ἐπὶ τούτοις λόγοις, ἢ ἔργοις ὑπὸ τῆς Γραφῆς θαυμάζεται; Θαυμάζει τὸν Προφήτην ἡ θεία Γραφὴ ἐπὶ τῇ δυναστείᾳ τῶν λόγων καὶ τῶν ἔργων, οὐχ ἕνεκεν τῶν λόγων καὶ τῶν ἔργων καθ' αὐτά· ἀνάξια γὰρ ἦν ἐκεῖνα καθ' αὐτὰ πρὸς τὰ ἐγκώμια τοῦ Προφήτου· ἀλλ' ἐπειδὴ δι' ἑκατέρας μὲν περίβλεπτος ὑπῆρχε τοῖς Αἰγυπτίοις ὁ Προφήτης, τῆς τε τοῦ λόγου παιδείας, καὶ τῆς τοῦ βίου κοσμικῆς λαμπρότητος, ἀμφοτέρων δὲ τὴν εἰς Θεὸν εὐσέβειαν τιμήσας, διὰ τοῦτο αὐτὸν ἐθαύμασεν ἡ θεία Γραφή. ἀστρονομία δὲ καὶ ἀστρολογία, καὶ γεωμετρία, παρ' Αἰγυπτίοις τότε χυδαῖά τε καὶ πεζὰ καὶ ἀγοραῖα μαθήματα λελόγιστο. τίμια δὲ ἦν τότε παρ' αὐτοῖς μαθήματα τὰ ἱερογλυφικὰ καλούμενα, τὰ ἐν τοῖς ἀδύτοις, οὐ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς ἐγκρίτοις παραδιδόμενα. ὧν ὁ Προφήτης εἰ καὶ τὴν εἴδησιν ἔχεν, ἀλλ' οὐκ ἔτι καὶ τὴν χρῆσιν, ὡς ἀντικειμένην τῇ κατὰ Θεὸν πολιτείᾳ τῶν Ἑβραίων· δι' ἣν καταφρονήσας τῆς ἐν Αἰγύπτῳ πάσης βασιλικῆς δυναστείας, εἵλετο συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ.

δ. Καὶ εἶπε Μωϋσῆς, τάδε λέγει Κύριος· περὶ μέσας νύκτας ἐγὼ εἰσπορεύομαι εἰς μέσον Αἰγύπτου.

A ε. Καὶ τελευτήσει πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἀπὸ τοῦ πρωτοτόκου Φαραὼ, ὃς κάθηται ἐπὶ τοῦ θρόνου αὐτοῦ, ἕως τοῦ πρωτοτόκου τῆς θεραπαίνης τῆς παρὰ τὸν μύλον, καὶ ἕως πρωτοτόκου παντὸς κτήνους.

ΑΔΗΛΟΥ. Οἱ Αἰγύπτιοι πᾶν ἀρσενικὸν τῶν υἱῶν Ἰσραὴλ ἀνεῖλον, ὁ δὲ Θεος φιλάνθρωπος ὢν, μόνα τὰ πρωτότοκα B τῶν Αἰγυπτίων ἀναιρεῖσθαι προστάσσει.

** ΤΟΥ ΝΥΣΣΗΣ. Εἴ τις μόνον εἰς τὴν ἱστορίαν βλέποι, πῶς ἡ θεοπρεπὴς ἔννοια τοῖς γεγενῆσθαι λεγομένοις διασωθήσεται; ἀδικεῖ ὁ Αἰγύπτιος, καὶ ἀντ' ἐκείνου κολάζεται τὸ ἀρτιγενὲς αὐτοῦ νήπιον, ᾧ διὰ τὸ τῆς ἡλικίας ἀτελὲς οὐδεμία τίς ἐστι καλοῦ τε καὶ μὴ τοιούτου διάκρισις. Καὶ μετ' ὀλίγα. Ποῦ τὸ δίκαιον, ποῦ Γ τὸ εὐσεβὲς, ποῦ τὸ ὅσιον; ποῦ Ἰεζεκιὴλ » βοῶν, ὅτι ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ Ἰεζ. 18. 4. » ἀποθανεῖται, καὶ ὅτι οὐ λήψεται τὴν τοῦ πατρὸς ἁμαρτίαν ὁ ἐξ ἐκείνου γεννώμενος; πῶς ἀντινομοθετεῖ ἡ ἱστορία τῷ λόγῳ; οὐκοῦν οὐκ (3) εὐλογώτερον ἂν εἴη πρὸς τὴν ἀναγωγὴν τοῦ νοήματος ὁρῶντας, εἰ καί τι γέγονε τυπικῶς, δόγμα διὰ τῶν γενομένων πιστεύειν τὸν νομοθέτην ἐκτίθεσθαι. τὸ δὲ δόγμα τοιοῦτόν ἐστι. τὸ δεῖν πρὸς τὴν Δ κακίαν τινὰ δι' ἀρετῆς συμπλεκόμενον, τὰς πρώτας τῶν κακῶν ἀρχὰς εἰς ἀφανισμὸν ἔχειν. τῇ γὰρ ἀναιρέσει τῆς ἀρχῆς, καὶ τὸ μετ' ἐκείνην συναφανίζεται, καθὼς διδάσκει διὰ τοῦ Εὐαγγελίου ὁ Κύριος, μονονουχὶ διαῤῥήδην βοῶν ἀναιρεῖν τῶν Αἰγυπτίων κακῶν τὰ πρωτότοκα, δι' ὧν κελεύει τὴν ἐπιθυμίαν ἀνελόντας καὶ τὴν ὀργὴν, μηκέτι δεδοικέναι μήτε τῆς μοιχείας τὸ μίασμα, μήτε τοῦ φόνου τὸ E ἄγος. οὐ γὰρ ἂν ἐφ' ἑαυτοῦ συσταίη τούτων ἑκάτερον, εἰ μὴ φόνον μὲν ἡ ὀργὴ, μοιχείαν δὲ ἡ ἐπιθυμία τελεσφορήσειεν. ἐπεὶ οὖν ὁ εἰς κακίαν τεκνογονῶν, πρὸ τῆς μοιχείας τίκτει τὴν ἐπιθυμίαν, καὶ τὴν ὀργὴν πρὸ τοῦ φόνου, ὁ ἀνελὼν τὸν πρωτότοκον, συνανεῖλε πάντως καὶ τὴν ἀκολουθοῦσαν τῷ πρωτοτόκῳ γονήν. ὥσπερ καὶ ἐπὶ τοῦ ὄφεως, ὁ τὴν κεφαλὴν πλήξας, ὅλον συναπενέκρωσε τὸν κατόπιν ὁλκὸν, Z ὃν ἐφέλκεται.

ϛ. Καὶ ἔσται κραυγὴ μεγάλη κατὰ πᾶσαν τὴν γῆν Αἰγύπτου, ἥτις τοιαύτη οὐ γέγονε, καὶ τοιαύτη οὐκ ἔτι προστεθήσεται.

ζ. Ἐν δὲ πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ οὐ γρύξει κύων τῇ γλώσσῃ αὐτοῦ, ἀπὸ ἀνθρώπου ἕως κτήνους· ὅπως εἰδῇς ὅσα παρα-

(1) Ἥρπασαν, τοῦ εἰπόντος. ἐν λόγ. 42.

(2) Ἵνα ὅταν ἐκλείπωμεν, ἀντιλάβωμεν ἐν καιρῷ κρίσεως. αὐτ.

(3) Ἤτοι ἀφαιρετέον τὸ οὐκ, ἢ ἐρωτηματικῶς τὴν περίοδον ἀναγνωστέον. ὁ μεταφραστὴς δὲ λατῖνος ὅλην τὴν περικοπὴν ταύτην καταλιπὼν, ἄλλα τινὰ, οὐκ οἶδ' ὅθεν παραλαβὼν, τίθησι.

παραδοξάσει Κύριος ἀνὰ μέσον Αἰγυπτίων καὶ ἀνὰ μέσον τοῦ Ἰσραήλ.

ΑΔΗΛΟΥ. Οὐκ ἀποφθέγξεται κύων, ὡς ἀλγῶν, ἢ ἐνοχλούμενος.

η. Καὶ καταβήσονται πάντες οἱ παῖδές σου οὗτοι πρός με, καὶ προσκυνήσουσίμε, λέγοντες, ἔξελθε σὺ καὶ πᾶς ὁ λαός σου οὗ σὺ ἀφηγῇ. καὶ μετὰ ταῦτα ἐξελεύσομαι. ἐξῆλθε δὲ Μωϋσῆς ἀπὸ Φαραὼ μετὰ θυμοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Τὰ προκείμενα ῥητὰ Μωϋσῆς εἶπε τῷ Φαραὼ, δηλονότι πρὶν ἐξελθεῖν ἀπ' αὐτοῦ μετὰ τὸ ἀπειληθῆναι αὐτόν. ἅπαξ γὰρ συνθέμενος μηκέτι βλέπειν αὐτοῦ τὸ πρόσωπον, οὐκ ἂν

A εἰσῆλθεν. ἤδη δὲ τοῦτο προειρήκει Θεὸς τῷ Μωϋσῇ. κἀκείνην τὴν ἐντολὴν ἐνταῦθα πληροῖ, καὶ μάλιστα ὑπομνησθεὶς παρὰ
» Θεοῦ εἰπόντος, ἔτι μίαν πληγὴν ἐπάξω
» ἐπὶ Φαραὼ, σημαίνων τὴν τῶν πρωτοτόκων, ἣν ἐξεδέχετο Μωϋσῆς.

θ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, οὐκ εἰσακούσεται ὑμῶν Φαραὼ, ἵνα πληθυνῶ τὰ σημεῖά μου, καὶ τὰ τέ-
ι. ρατα ἐν γῇ Αἰγύπτῳ. Μωϋσῆς δὲ καὶ Ἀαρὼν ἐποίησαν πάντα τὰ τέρατα ταῦτα ἐναντίον Φαραώ. ἐσκλήρυνε δὲ Κύριος τὴν καρδίαν Φαραὼ, καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου.

ΚΕΦ. ΙΒ.

α. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν, λέγων,
β. Ὁ μὴν οὗτος ὑμῖν ἀρχὴ μηνῶν, πρῶτος ἐστι ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ.

** ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Μὴν μὲν εἰσάγεται πρῶτος, μᾶλλον δὲ ἀρχὴ μηνῶν· εἴτε τις τοῦτο παρ' Ἑβραίοις ὢν ἀπ' ἀρχῆς, εἴτε ὕστερον ἐντεῦθεν γενόμενος, καὶ παρὰ τοῦ μυστηρίου τὸ εἶναι πρῶτος λαβών.

* ΚΥΡΙΛΛΟΥ. Ἐν ἀρχῇ τοῦ ἔτους ὁρίζεται, καὶ ἐν τῷ πρώτῳ μηνὶ τῆς ἱερουργίας ὁ καιρός. ἀρχὴ γὰρ πάντων, καὶ ἐν ἀρχῇ πάντων ἐστὶν ὁ Χριστός· ἐπεὶ μηδὲ πρόσφατος διὰ τὴν ἐκ πατρὸς προαιώνιον γέννησιν. δούλοις δὲ οὖσιν ἔτι τοῖς ἐξ Ἰσραὴλ, καὶ ὑπὸ χεῖρα πράττουσιν Αἰγυπτίων τὰ τοιαῦτα διαπράττεται, ὑπεμφαίνων, μὴ ἂν ἄλλως δύνασθαι τὴν τοῦ ἀνθρώπου ψυχὴν πρὸς ἐλευθερίαν μὲν τὴν ἐξ ἁμαρτίας ἀναδραμεῖν, τὴν δὲ τοῦ διαβόλου πλεονεξίαν διαφυγεῖν, εἰ μὴ διὰ τῆς τοῦ χριστοῦ
Ἰωάν. 8. 36. μετουσίας. αὐτὸς γάρ φησιν ὅτι, ἐὰν ὁ
» υἱὸς ἡμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι
» ἔσεσθε.

** ΠΡΟΚΟΠΙΟΥ. Καλῶς δὲ τὸ, ὁ
» μὴν οὗτος ὑμῖν· ἄλλος γὰρ ἄλλοις, ἢ διὰ τόπους, ἢ διὰ ὕδωρ, ἢ διὰ εἴδωλα. μᾶλλον
» δὲ τὸ, ὑμῖν, Μωϋσεῖ φησὶ καὶ τῷ Ἀαρὼν ὁ Θεός. τοῦτο γὰρ οὐ προσέταξεν εἰπεῖν τῇ συναγωγῇ τῶν υἱῶν Ἰσραήλ. ἀλλὰ μόνα τὰ περὶ προβάτου. τῷ γὰρ ἀποταξαμένῳ τῷ κόσμῳ, καὶ γενέσεως ἑτέρας καταρχοντι, ἑτέρωτε γεγονότι παρ' ὃ ἦν, ἁρ-
» μόσει τὸ, ὁ μὴν οὗτος ἀρχὴ μηνῶν.

γ. Λάλησον πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ, λέγων, τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρόβατον κατ' οἴκους πατριῶν, ἕκαστος πρόβατον κατ' οἰκίαν.

ΩΡΙΓΕΝΟΥΣ. Ἀπὸ τῆς δεκάτης λαμβάνειν φησὶ πρόβατον, καὶ τρέφειν ἕως τῆς δεκάτης τετάρτης· καὶ ἐπονομάσαι λέγοντας, τοῦτο τὸ πρόβατον θύεται ὑπὲρ τοῦδε καὶ τοῦδε, οὐχ ὑπερβαινόντων αὐτῶν δέκα ὀνομάτων. καὶ τῇ δεκάτῃ τετάρτῃ θύεται ἀνὰ μέσον τῶν ἑσπερινῶν, ἀρχομένης τῆς δεκάτης πέμπτης· ὡς γί-
Δ νεσθαι ἀπὸ τῆς λήψεως μέχρι τῆς θύσεως ἡμέρας πέντε, ὅτε πλήρης ἐστι τῆς σελήνης τὸ φῶς.

ΘΕΟΔΩΡΙΤΟΥ. Παρεγγυᾶται δὲ τοῦτο λαβεῖν τῇ δεκάτῃ τοῦ πρώτου μηνὸς, ἵνα εὐτρεπίσῃ πρὸ τῆς ἑορτῆς, τῇ δὲ ιδ΄ πρὸς ἑσπέραν τυθῆναι. κατὰ ταύτην γὰρ τὴν ἑσπέραν καὶ ὁ δεσπότης Χριστὸς παρεδόθη τοῖς Ἰουδαίοις.

E ** ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Τῇ δεκάτῃ τοῦ μηνός. οὗτος γὰρ ἀριθμῶν πληρέστατος, ἐκ μονάδων πρώτη μονὰς τελεία· καὶ γεννητικὴ τελειότητος.

ΚΥΡΙΛΛΟΥ. Λαμβάνεται δὲ τὸ πρόβατον ἀπὸ δεκάτης τοῦ μηνὸς, καὶ διατηρεῖται μέχρι τῆς δεκάτης τετάρτης, ἵνα σφάζηται πρὸς ἑσπέραν. καὶ τοῦ δὴ χάριν ἐρεῖ τις τυχόν; βαθὺς δὲ ὄντως ὁ λόγος. τί γάρ εἰπέ μοι διεκώλυεν ἡμέρᾳ
Z πρώτῃ λαμβάνεσθαι τοῦ μηνός; τί δὲ ἄρα νομοθετεῖν ἐποίησε τὸν Θεὸν ἐν ἡμέραις πέντε διατετηρημέναις ἱερουργεῖν οὕτω πρὸς ἑσπέραν; πέντε γὰρ ἡμερῶν ἀριθμὸν εὑρήσομεν ἀπὸ τῆς δεκάτης ἀρξάμενοι, καὶ ἐφ' ἑξῆς ἀνιόντες ἄχρι τῆς τεσσαρεσκαιδεκάτης. Τὸ μὲν οὖν μὴ ἐν ἡμέρᾳ πρώτῃ λαμβάνεσθαι τὸν ἀμνὸν, ἀλλ' ἐν τῇ δεκάτῃ τοῦ μηνὸς, σημαίνειν ἔοικεν, ὅτι μακροί τινες ἦσαν αἰῶνες οἱ πρὸ ἡμῶν, καθ'
H οὓς ἦν ἀεὶ, καὶ ἐστι, καὶ ἔσται ὁ Θεός. εἰσβαίνει δὲ μετ' ἐκείνους αἰὼν οὗτος ὁ καθ' ἡμᾶς, ὡς διὰ πενθημέρου τῆς ἀρτίως ἡμῖν εἰρημένης ὁδοῦ εἰς πέντε καιροὺς διαιρουμένος. τοῦτο γὰρ σημαίνει τοῦ Σωτῆρος ἡ παραβολή.

Ματθ. 20. 1, 2, 3, 4, 5, 6, 7, 8. βολῆ. ὁμοία γάρ ἐστί φησιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. συμφωνήσας δὲ μετ' αὐτῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. καὶ ἐξελθὼν περὶ τρίτην ὥραν, καὶ ἕκτην, καὶ ἐννάτην ἐποίησεν ὡσαύτως. περὶ δὲ τὴν ἐνδεκάτην ὥραν ἐξελθὼν, εὗρεν ἄλλους, καὶ λέγει αὐτοῖς, τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; λέγουσιν αὐτῷ, ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. λέγει αὐτοῖς, ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνά μου. ὁρᾷς ἐναργῶς εἰς πέντε καιροὺς τὸν καθ' ἡμᾶς αἰῶνα διῃρημένον; καὶ πρῶτον μὲν λογιούμεθα, καθ' ὃν ἦν ἐν παραδείσῳ Ἀδάμ· δεύτερον, ὡς ἐν ὥρᾳ τρίτῃ δηλούμενον, καθ' ὃν ἦν Νῶε· τρίτον δὲ, ὡς ἐν ἕκτῃ, καθ' ὃν ἦν Ἀβραάμ· τέταρτον, ὡς ἐν ὥρᾳ πάλιν ἐννάτῃ, τοῦ Μωσέως καὶ τῶν Προφητῶν. περὶ δὲ τὴν ἐνδεκάτην, τουτέστιν ἐν τῷ πέμπτῳ καιρῷ, συστελλομένης ἤδη τῆς ἡμέρας, ἤγουν τοῦ παρόντος αἰῶνος, ἐμισθώσατο τὰ ἔθνη Χριστὸς, κεκλημένα πρὸς ἐπίγνωσιν ἀληθείας παρ' ἑτέρου μηδαμῶς κατὰ τοὺς ἄνωθεν χρόνους. διὸ δὴ μετὰ πάντας οἱ τελευταῖοί φασι τὸ, οὐδεὶς ἡμᾶς ἐμισθώσατο. λαμβάνεται τοίνυν τὸ πρόβατον κατὰ τὴν ἡμέραν τῆς πενθημέρου τὴν πρώτην, τουτέστι τὴν δεκάτην, τύπον ἐπέχουσαν τῆς τοῦ αἰῶνος ἀρχῆς. καὶ διατηρηθὲν ἐν τῷ τελευταίῳ καιρῷ, τουτέστιν ἐν τῇ δεκάτῃ τετάρτῃ, σφάζεται πρὸς ἑσπέραν· ἵνα πάλιν ἐννοῇς, ὡς οὐ πρόσφατόν ἐστι τὸ Χριστοῦ μυστήριον, ἀλλ' ἐφυλάττετο μὲν ἐν προγνώσει τοῦ πατρὸς ἐξ αὐτῆς τῆς τοῦ κόσμου καταβολῆς, ἀπέθανε δὲ ὑπὲρ ἡμῶν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, οὔπω τοῦ νοητοῦ καὶ θείου φωτὸς καταλάμψαντος, ἀλλὰ τῷ τῆς ἀγνοίας σκότῳ κεκαλυμμένης ἔτι

Ἰωάν. 8. 12. τῆς γῆς. διὰ τοῦτο καὶ, ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, ἐπιδημήσας ἔλεγεν ὁ Χριστός.

ΤΟΥ ΑΥΤΟΥ. Λαβέτωσαν δέ φησιν ἕκαστος πρόβατον κατ' οἰκίαν. τελείως γὰρ ἐν ἑκάστῳ Χριστὸς διὰ τοῦ πνεύματος ἐνοικίζεται, καὶ οὐ μεμέρισται κατὰ τὸν Ἀπόστολον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί φησιν ὁ τύπος; Λάβετε ἀρνίον κατ' οἰκίαν, καὶ θύσατε, καὶ ποιήσατε ὡς προσέταξε καὶ ἐνομοθέτησεν. ὁ δὲ Χριστὸς οὐχ οὕτως. οὐ γὰρ προστάττει τοῦτο γενέσθαι, ἀλλ' αὐτὸς αὐτὸ γίνεται, θυσίαν ἑαυτὸν καὶ προσφορὰν τῷ πατρὶ προσενεγκών.

δ. Ἐὰν δὲ ὀλιγοστοὶ ὦσιν ἐν τῇ οἰκίᾳ, ὥστε μὴ ἱκανοὺς εἶναι εἰς πρόβατον, συλλήψεται μεθ' ἑαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ· κατ' ἀριθμὸν [ψυχῶν] συναριθμηθήσεται εἰς πρόβατον.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκέλευσε δὲ καὶ τοὺς ἀρκοῦντας εἰς ἐδωδὴν προβάτου κατὰ ταυτὸν θύσαι τὸ πάσχα, φιλαδελφίαν αὐτοὺς ἐκπαιδεύων, καὶ τὸν εἰς τοὺς πένητας ἔλεον. διὰ τοῦτο παρακελεύεται τὰ περιττεύοντα τῶν κρεῶν κατακαίεσθαι, καὶ εἰς τὴν ὑστεραίαν μὴ φυλάττεσθαι. ταύτῃ καταναγκάζων αὐτοὺς, καλεῖν τοὺς δεομένους εἰς κοινωνίαν τῆς ἑορτῆς.

ΚΥΡΙΛΛΟΥ. Πλὴν ἐὰν ὦσι, φησὶν, ὀλιγοστοὶ, ὡς μὴ ἱκανοὺς εἶναι εἰς πρόβατον, συλλήψεται μεθ' ἑαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ. οἱ γὰρ οὐκ ἔχοντες ἐξ ἑαυτῶν τὸ τελείως δύνασθαι συνιέναι μόνοι τὸ Χριστοῦ μυστήριον, διὰ τὴν τῆς οἰκείας διανοίας ἀσθένειαν, μεθέξουσιν αὐτοῦ συνεργάτας ὥσπερ τοὺς ὁμοπίστους δεξάμενοι. δι' ἀλλήλων γὰρ (1) ἐσθ' ὅτε καὶ εἰς μείζους θεωρίας ἀναβαίνειν ἰσχύομεν. ὥσπερ ἀμέλει καὶ ὁ εὐνοῦχος ἀνεπυνθάνετο τοῦ Φιλίππου τῆς περὶ Χριστοῦ προφητείας ἀκροώμενος. δέομαί σου περὶ τίνος ὁ Προφήτης λέγει, περὶ ἑαυτοῦ, ἢ περὶ ἑτέρου τινός; Πράξ. 8. 34. ὁρᾷς ὅπως τὸν γείτονα συλλαβὼν, μέτοχος ἤδη τοῦ νοητοῦ προβάτου διὰ τῆς ἐρεύνης ἀνεδείκνυτο.

** ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Θαυμαστὸν δὲ οὐδὲν, εἰ μάλιστα μὲν κατ' οἶκον ἕκαστον ἐπιζητεῖται τὸ πρόβατον, εἰ δὲ μὴ καὶ κατ' οἴκους πατριῶν, διὰ πενίαν ἐρανιζόμενον. ἐπειδὴ κράτιστον μάλιστα μὲν αὐτὸν ἕκαστον ἀρκεῖν ἑαυτῷ πρὸς τελείωσιν, καὶ θυσίαν ζῶσαν ἁγίαν προσάγειν τῷ καλοῦντι Θεῷ, πάντοτε καὶ διὰ πάντων καθιερούμενον. εἰ δὲ μὴ, καὶ συνεργοῖς εἰς τοῦτο κεχρῆσθαι τοῖς κατ' ἀρετὴν ὁμογενέσι καὶ ὁμοτρόποις. τοῦτο γάρ μοι δοκεῖ βούλεσθαι, τὸ κοινωνεῖν τοῖς ἔγγιστα τοῦ θύματος, εἰ δεήσειε.

ε. Πρόβατον δὲ τέλειον, ἄρσεν, ἐνιαύσιον ἔσται ὑμῖν· ἀπὸ τῶν ἀμνῶν καὶ ἀπὸ τῶν ἐρίφων λήψεσθε.

ΘΕΟΔΩΡΙΤΟΥ. Κελεύει τοίνυν αὐτοὺς λαβεῖν οὐ μόνον ἐκ τῶν προβάτων ἄρνας ἐνιαυσίμους, ἀλλὰ καὶ ἐκ τῶν αἰγῶν ἐρίφους· οὐχ ἵνα κατὰ ταυτὸν τοῦτον κἀκεῖνον θύσωσιν, ἀλλ' ἵνα ὁ μὲν πρόβατον ἔχων, τοῦτο θύσῃ· ὁ δὲ σπανίζων προβάτου, τὸν ἔριφον.

ΤΟΥ ΑΥΤΟΥ. Τὸ δὲ μὴ μόνον ἐκ προβάτων, ἀλλὰ καὶ ἐξ ἐρίφων λαμβάνειν, τὴν θείαν πάλιν κηρύττει φιλανθρωπίαν. οὐ γὰρ μόνον ὑπὲρ δικαίων, ἀλλὰ καὶ ὑπὲρ ἁμαρτωλῶν ὁ δεσπότης Χριστὸς τὸ σωτήριον ὑπομεμένηκε πάθος. οὕτω δὲ νοεῖν αὐτὸς ἡμᾶς ἐξεπαίδευσεν. ἀμνοῖς μὲν γὰρ τὸν τῶν ἁγίων ἀπείκασε σύλλογον, τὸ δὲ σύστημα τῶν ἁμαρτωλῶν ἐρίφοις. ἔριφον γὰρ ὑπὲρ ἁμαρτίας ὁ νόμος προσέφερε. καὶ τῶν θείων δὲ μυστηρίων οἱ μετα-

(1) Διὰ γὰρ τῆς ἀλλήλων νουθεσίας. ἐν Τόμ. 1. σελ. 270.

μεταλαμβάνοντες, οἱ μὲν ὡς προβάτου μεταλαμβάνουσιν, ἅτε δὴ τελείαν τὴν ἀρετὴν κεκλημένοι, οἱ δὲ ὡς ἐρίφου, διὰ μετανοίας ἐξαλείφοντες τὰς τῶν ἁμαρτημάτων κηλίδας. οὕτω καὶ ὁ Σωτὴρ ἡμῶν οὐκ ἐκ σιτίνων μόνον, ἀλλὰ καὶ ἐκ κριθίνων ἄρτων τοὺς συνελθόντας διέθρεψε.

ΩΡΙΓΕΝΟΥΣ. Τέλειον, οὐ διὰ τὴν Θεότητα μόνον, ἧς οὐδὲν τελειότερον, ἀλλὰ καὶ διὰ τὴν πρόσληψιν τὴν χρισθεῖσαν Θεότητι, καὶ γενομένην ὅπερ τὸ χρίσαν, καὶ θαῤῥῶ λέγειν ὁμόθεον. ἄῤῥεν δὲ, ὡς ὑπὲρ τοῦ Ἀδὰμ προσαγόμενον, μᾶλλον τοῦ στεῤῥοῦ τὸ στεῤῥότερον, τοῦ πρώτου πεσόντος ὑπὸ τὴν ἁμαρτίαν, καὶ ὅτι μάλιστα μηδὲν θῆλυ μηδὲ ἄνανδρον ἐν αὐτῷ φέρον, ἀλλὰ καὶ ἐκραγὲν βίᾳ δεσμῶν παρθενικῶν τε καὶ μητρικῶν κατὰ πολλὴν ἐξουσίαν, καὶ τεχθὲν ἄρσεν ἐκ τῆς προφήτιδος, ὡς Ἡσαΐας εὐαγγελίζεται. (1) Ἡσ. 8. 3.

ΤΟΥ ΑΥΤΟΥ. Ἐνιαύσιον δὲ, ὡς ἥλιον δικαιοσύνης, ἢ ἐκεῖθεν ὁρμώμενον, ἢ τῷ ὁρμωμένῳ περιγραπτὸν, καὶ εἰς ἑαυτὸν ἐπιστρέφοντα, στέφανόν τε χρηστότητος εὐλογούμενον, καὶ πανταχόθεν ἴσον ἑαυτῷ καὶ ὅμοιον· οὐ μόνον δὲ, ἀλλὰ καὶ ὡς ζωογονοῦν τὸν τῶν ἀρετῶν κύκλον, ἠπίως ἐπιμιγνυμένων καὶ κιρναμένων ἀλλήλαις φιλίας νόμῳ. (2)

ΤΟΥ ΑΥΤΟΥ. Ἐνιαύσιον πρόβατον ὁ Χριστός ἐστι. [τὸ γὰρ] ἐν μηδενὶ ὑστερεῖσθαι, μηδὲ ἐλλειπές τι ἔχειν, διὰ τοῦ ἐνιαυτοῦ δηλοῦται.

** ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Διὰ τοῦτο λαμβάνεται πρόβατον μὲν, διὰ τὴν ἀκακίαν, καὶ τὸ ἔνδυμα τῆς ἀρχαίας γυμνώσεως. τοιοῦτον γὰρ τὸ ὑπὲρ ἡμῶν σφάγιον, ἔνδυμα ἀφθαρσίας καὶ ὂν, καὶ καλούμενον.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐκλέγεται δὲ οὐκ ἐκ τῶν ἀρνῶν μόνον, ἀλλὰ καὶ τοῦ χείρονος εἴδους, καὶ τῆς ἀριστερᾶς χειρὸς τῶν ἐρίφων, ὅτι μὴ ὑπὲρ τῶν δικαίων μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἁμαρτωλῶν σφαγιάζεται. τάχα δὲ ὑπὲρ τούτων καὶ πλέον, ὅσῳ καὶ μείζονος χρῄζομεν τῆς φιλανθρωπίας.

ΚΥΡΙΛΛΟΥ. Ἔστω δέ φησι τὸ πρόβατον τέλειον. πάντα γὰρ ἦν ἐν Χριστῷ τὰ θεοπρεπῆ γνωρίσματα. ἀλλ' ἔστω καὶ ἄρσεν. αὐτὸς γάρ ἐστιν ὁ πᾶσιν ἡμῖν ἐνιεὶς τῆς θεογνωσίας τὰ σπέρματα, καὶ ὥσπερ τινὰ γῆν ἀποτελῶν τῷ Θεῷ καὶ πατρὶ τὴν ἀνθρωπότητα διὰ τῶν εὐαγγελικῶν κηρυγμάτων. ἀλλ' ἔστω φησὶ καὶ ἐνιαύσιον, ἢ κατὰ τὸν χρόνον, ἵνα μὴ ᾖ ἀτελὲς, οὔπω πληρωθέντος ἐπ' αὐτῷ τοῦ ἔτους, ἢ ὅτι τὴν τοῦ πάσχα ἑορτὴν καθ' ἕκαστον ἔτος ἔμελλον ἐπιτελεῖν οἱ τὰ ἐκ τοῦ πάθους κερδαίνοντες ἀγαθά. ἀπὸ δὲ τῶν ἀμνῶν καὶ τῶν ἐρίφων λαμβάνεται. καὶ ὁ μὲν ἀμνὸς, ὡς καθαρόν τε καὶ ἄμωμον κατὰ νόμους νοεῖται· ἔριφος δὲ, ὑπὲρ ἁμαρτίας προσφέρεται. εὑρήσεις δὲ τοῦτο καὶ ἐν Χριστῷ. ἦν γὰρ ὁ αὐτὸς, καὶ ὡς ἄμωμον ἱερεῖον εἰς ὀσμὴν εὐωδίας ἀναφέρων ἑαυτὸν τῷ πατρὶ, καὶ ὡς ἔριφος ὑπὲρ τῶν ἡμετέρων ἁμαρτιῶν σφαζόμενος.

ϛ. Καὶ ἔσται ὑμῖν διατετηρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου. καὶ σφάξουσιν αὐτὸ πᾶν τὸ πλῆθος τῆς συναγωγῆς υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν.

** ΙΩΣΗΠΟΥ. Ἐκέλευσε Μωϋσῆν παραγγεῖλαι τῷ λαῷ θυσίαν ἑτοίμην ἔχειν, παρεσκευασμένους τῇ τρισκαιδεκάτῃ τοῦ ξανθικοῦ μηνὸς εἰς τὴν τεσσαρεσκαιδεκάτην. ὃς παρὰ μὲν Αἰγυπτίοις Φαρμουθὶ καλεῖται, Νεισὰν δὲ παρ' Ἑβραίοις, Μακεδόνες δ' αὐτὸν, Ξανθικὸν προσαγορεύουσιν.

ΩΡΙΓΕΝΟΥΣ. Διαιρεῖται δὲ εἰς πέντε ἡμέρας, ἴσως ὅτι καθαρτικὸν αἰσθήσεων τὸ ἐμὸν θῦμα, ἐξ ὧν τὸ πταίειν, καὶ περὶ ἃς ὁ πόλεμος, εἰσδεξαμένας τὸ κέντρον τῆς ἁμαρτίας. (3)

ΤΟΥ ΑΥΤΟΥ. Πρὸς ἑσπέραν δὲ κελευόμεθα σφάξαι τὸ πρόβατον, ἐπειδὴ καὶ ἐσχάτῃ ὥρᾳ τὸ ἀληθινὸν ἡμῶν πρόβατον εἰς τὸν κόσμον ἦλθεν, ὁ Σωτήρ.

* ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ἐντεῦθεν ἡ ἱερὰ νὺξ καὶ τοῦ παρόντος βίου, τῆς κεχυμένης τῆσδε νυκτὸς ἀντίπαλος, καθ' ἣν τὸ πρωτόγονον λύεται σκότος, καὶ εἰς φῶς ἅπαντα, καὶ τάξιν, καὶ εἶδος ἔρχεται, καὶ κόσμον ἡ πρὶν ἀκοσμία λαμβάνει.

ΤΟΥ ΑΥΤΟΥ. Τὸ πρὸς ἑσπέραν μὲν, ὅτι ἐπὶ συντελείᾳ τῶν αἰώνων τὸ Χριστοῦ πάθος. ἐπεὶ καὶ κοινωνεῖ τοῦ μυστηρίου τοῖς μαθηταῖς ἐν ἑσπέρᾳ, λύων τὸ κέντρον (4) τῆς ἁμαρτίας.

ΚΥΡΙΛΛΟΥ. Θαυμάσεις δὲ καὶ ἑτέραν οἰκονομίαν. σφάζεται γὰρ ὁ ἀμνὸς ἐν τῇ ιδ' τοῦ μηνὸς ἡμέρᾳ, πλήρη τὴν οἰκείαν ἔχοντος δόξαν τοῦ σεληνιακοῦ κύκλου, καὶ νόθῳ μὲν ὥσπερ φωτὶ τὴν οἰκουμένην καταυγάζοντος, ἀρχομένου δ' οὖν ὅμως ἀπολήγειν· ἵνα νοήσῃς, ὡς ἐξ εἰκόνος, ὅτι κατὰ πᾶσαν μὲν ἐδοξάζετο τὴν οἰκουμένην ὁ τῆς νυκτὸς ἄρχων διάβολος, διὰ τῆς σελήνης, ὡς ἐν τύπῳ δηλούμενος· σελήνη γὰρ εἰς ἀρχὴν τέθειται τῆς νυκτός· καὶ ὥσπερ νόθον τι φῶς τὴν τοῦ κόσμου σοφίαν ταῖς τῶν πλανωμένων καρδίαις ἐντιθεὶς, πληρεστάτην ἑαυτῷ τὴν δόξαν ἐπραγματεύετο. ἀπέθανε δὲ δι' ἡμᾶς ὁ Χριστὸς ὁ ἀμνὸς ὁ ἀληθινὸς, καὶ τὴν τοῦ διαβόλου κατέλυσε δόξαν. ἀπολήγειν γὰρ αὐτὴν ἀνάγκη λοιπὸν, καὶ δαπανᾶσθαι.

(1) Τὰ αὐτὰ καὶ ὁ Θεολόγ. Γρηγόρ. ἐν τῷ 42. λόγ.

(2) Τὰ αὐτὰ καὶ ὁ Θεολόγ. αὐτ.

(3) Τὰ αὐτὰ καὶ ὁ Θεολόγ. αὐτ.

(4) Τὸν σκότον. αὐτ.

καὶ τοῦτο ἦν ἄρα τὸ ἐν ψαλμοῖς ᾀδόμενον
Ψαλ. 17. 17. περὶ τοῦ χριστοῦ. ἀνατελεῖ ἐν ταῖς ἡμέραις
» αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης, ἕως
» οὗ ἀνταναιρεθῇ ἡ σελήνη. ἀνέτειλε γὰρ ἐν ἡμέραις χριστοῦ δικαιοσύνη τε καὶ εἰρήνη, καὶ ὁ τῆς νυκτὸς ἄρχων ἀντανῃρέθη. ἐπιτήρει δὲ ὅπως οὐκ εἶπεν, ἀναιρεῖσθαι ἁπλῶς τὴν σελήνην, ἀλλ' ἀνταναιρεῖσθαι. ὡς γὰρ ἤδη προανελὼν τὸν ἄνθρωπον, ἀνταναιρεῖται διάβολος.

ΑΔΗΛΟΥ. Ἐπὶ συντελείᾳ τοῦ αἰῶνος τοῦ ἀληθινοῦ προβάτου χριστοῦ, οὗ ἡ σὰρξ ἀληθής ἐστι βρῶσις.

ζ. Καὶ λήψονται ἀπὸ τοῦ αἵματος, καὶ θήσουσιν ἐπὶ τῶν δύω σταθμῶν, καὶ ἐπὶ τὴν φλιὰν, ἐν τοῖς οἴκοις ἐν οἷς ἂν φάγωσιν αὐτὰ ἐπ' αὐτοῖς.

ΘΕΟΔΩΡΙΤΟΥ. Ταῦτα δὲ πάντα τῶν ἡμετέρων μυστηρίων ἐστὶν αἰνίγματα. χρίομεν γὰρ καὶ ἡμεῖς τῷ αἵματι τοῦ ἡμετέρου ἀμνοῦ, οὐ μόνον τὴν φλιὰν, ἀλλὰ καὶ τοὺς δύω σταθμούς. κατὰ μὲν τὸ ὁρώμενον, τὴν γλῶτταν καὶ τὰ χείλη καθαίροντές τε καὶ ἁγιάζοντες· κατὰ δὲ τὸ νοούμενον, ἀντὶ μὲν φλιᾶς τὸ λογικὸν, ἀντὶ δὲ τῶν δύω σταθμῶν τὸ θυμοειδὲς καὶ τὸ ἐπιθυμητικόν.

ΚΥΡΙΛΛΟΥ. Μετὰ δέ γε τὴν σφαγὴν, καταχρίειν τῷ αἵματι τοὺς τῶν οἰκιῶν σταθμοὺς καὶ τὴν φλιὰν ἐπιτάττει, σημαίνων, ὅτι τῷ τιμίῳ αἵματι τοῦ χριστοῦ τὴν ἐπίγειον ἑαυτῶν οἰκίαν ἀσφαλιζόμεθα, τουτέστι τὸ σῶμα, τὴν ἐκ παραβάσεως νέκρωσιν διὰ μετοχῆς τῆς ζωῆς ἀπελαύνοντες. καὶ αὐτὸν δὲ τὸν ὀλοθρευτὴν ὡς ἀπωτάτω ποιούμεθα διὰ τῆς χρίσεως.

* ΩΡΙΓΕΝΟΥΣ. Ὃ (1) θύομεν, καὶ χρίομεν τοὺς οἴκους ἡμῶν τῷ αἵματι· λέγω δὴ τὸ σῶμα, εἴπερ χρίσις ἡ πίστις ἐστὶν ἡ εἰς αὐτὸν, δι' ἧς πιστεύω τὴν τοῦ ὀλοθρευτοῦ δύναμιν καταργουμένην. μετὰ δὲ τὸ χρισθῆναι ἡμᾶς, τουτέστι τὸ πιστεῦσαι εἰς τὸν χριστὸν, τότε καὶ ἐπὶ τὴν βρῶσιν ἔρχεσθαι κελευόμεθα· μήτε δὲ ὠμὰς, (2) μήτε ἡψημένας ἐν ὕδατι, ἀλλ' ὀπτὰς πυρί.

* ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ἐντεῦθεν ὁ ἀμνὸς σφάζεται, καὶ σφραγίζονται τῷ τιμίῳ αἵματι πρᾶξις καὶ λόγος, εἴτουν ἕξις καὶ ἐνέργεια αἱ τῶν θυρῶν τῶν ἡμετέρων παραστάδες· λέγω διὰ τῶν τοῦ νοῦ κινημάτων τε καὶ δογμάτων καλῶς ἀνοιγομένων καὶ κλειομένων ἐκ θεωρίας. ἐπειδὴ μέτρον ἐστί τι καὶ καταλήψεων.

** ΤΟΥ ΝΥΣΣΗΣ. Φυλακή ἐστι καὶ ἀσφάλεια, τὸ τῷ αἵματι τοῦ ἀμνοῦ τήν τε φλιὰν καὶ τοὺς σταθμοὺς τῆς εἰσόδου κατασημήνασθαι. ταῦτα περὶ ψυχῆς ἡμῖν φυ-

A σιολογοῦντος δι' αἰνιγμάτων τοῦ λόγου, ὃ καὶ ἡ ἔξωθεν παίδευσις ἐφαντάσθη, διαιροῦσα τὴν ψυχὴν εἰς τὸ λογιστικὸν καὶ ἐπιθυμητικὸν καὶ θυμοειδές. τούτοις δὲ καὶ τὴν ἐπιθυμίαν ὑποβεβηκέναι φασὶν, ἑκατέρωθεν τὸ διανοητικὸν τῆς ψυχῆς ὑπερείδουσαν· τὸν δὲ λογισμὸν ἀμφοτέροις ἐπεζευγμένον, συνέχειν τε αὐτὰ καὶ ὑπ' ἐκείνων ἀνέχεσθαι· πρὸς μὲν ἀνδρείαν τῷ θυμῷ στομούμενον, πρὸς δὲ τὴν τοῦ ἀγαθοῦ **B** μετουσίαν δι' ἐπιθυμίας ὑψούμενον. ἕως ἂν οὖν ἡ ψυχὴ τῷ σχήματι τούτῳ κατησφαλισμένη τύχῃ, καθάπερ τισὶ γόμφοις τοῖς κατ' ἀρετὴν νοήμασι τὸ βέβαιον ἔχουσα, ἐν πάσῃ δι' ἀλλήλων γίνεται τῇ πρὸς τὸ καλὸν συνεργείᾳ, παρέχοντος ἤδη δι' ἑαυτοῦ τοῖς ὑποβεβηκόσι τοῦ λογισμοῦ τὴν ἀσφάλειαν, καὶ ἐν τῷ μέρει παρ' ἐκείνων τὴν ἴσην χάριν ἀντιλαμβάνοντος. εἰ δὲ ἀναστραφείη τὸ σχῆμα, καὶ τὰ ἄνω γένοιτο **Γ** κάτω, ὥστε κατὰ τὸ πατούμενον μέρος τὸν λογισμὸν πεσόντα, ἄνω ἑαυτοῦ ποιῆσαι τὴν ἐπιθυμητικήν τε καὶ θυμώδη διάθεσιν, τότε ὁ ὀλοθρεύων εἰς τὰ ἐντὸς παραδύεται, μηδεμιᾶς τῆς ἐκ τοῦ αἵματος ἀντιπαθείας ἀντιβαινούσης αὐτῷ πρὸς τὴν εἴσοδον, τουτέστι τοῖς οὕτω διακειμένοις τῆς εἰς χριστὸν πίστεως συμμαχούσης. τῷ γὰρ αἵματι πρῶτον ἐπαλείφειν κελεύει τὴν ἄνω φλιὰν, εἶθ' οὕτως ἐπιθιγγάνειν τῶν σταθ**Δ**μῶν ἑκατέρωθεν. πῶς ἂν οὖν τὶς ἐπαλείψειε τὸ ἄνω πρῶτον, τὸ μὴ εὑρισκόμενον ἄνω;

η. Καὶ φάγονται τὰ κρέα τῇ νυκτὶ ταύτῃ ὀπτὰ πυρί.

** ΙΣΙΔΩΡΟΥ. Διὰ τί ὀπτὰ πυρὶ τὰ κρέα τοῦ ἀμνοῦ ἐσθίειν προσέταξεν; Ὀπτὰ πυρὶ τὰ κρέα τοῦ ἀμνοῦ ἤσθιον Ἑβραῖοι, τυπικῶς τὸ μέγα τῆς θείας οἰκονομίας μυ**E**στήριον σκιαγραφοῦντες διὰ τῆς βρώσεως, καὶ τὸν ἀμνὸν τοῦ Θεοῦ προμανθάνοντες, τὸ πῦρ τῆς θείας οὐσίας σαρκὶ ἀφράστως συμπλέκοντα τῇ νῦν παρ' ἡμῶν ἐσθιομένῃ, καὶ τὴν ἄφεσιν τῶν κακῶν ἐργαζομένῃ.

ΚΥΡΙΛΛΟΥ. Ἐσθίεσθαι δὲ προστάττει ταύτῃ τῇ νυκτὶ τὰ κρέα, τουτέστι κατὰ τὸν ἐνεστῶτα αἰῶνα. οὕτω γὰρ αὐτὸν καὶ ὁ
» Παῦλος ἀποκαλεῖ, [λέγων·] ἡ νὺξ προέ- Ῥωμ. 13. 12.
Z » κοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. ἡμέραν λέγων τὸν αἰῶνα τὸν μέλλοντα. ἕως μὲν οὖν ἐσμὲν ἐν τῷδε τῷ κόσμῳ, διὰ τῆς ἁγίας σαρκὸς (3) παχυτέρως ἔτι μεταληψόμεθα τοῦ χριστοῦ, ἐκεῖσε δὲ καθ' ἕτερόν τινα τρόπον ἁγιασθησόμεθα, καὶ ὡς οἶδεν αὐτός. ἄλλως τε καὶ ὁμολογίαν ἔχει τοῦ πάθους καὶ τοῦ θανάτου τοῦ χριστοῦ, τῆς σαρκὸς
» καὶ τοῦ αἵματος ἡ μετάληψις. ὁσάκις γὰρ 1. Κορ. 11. 26.
» φησιν ἐσθίετε τὸν ἄρτον τοῦτον, καὶ τὸ
H » ποτήριον πίνετε, τὸν ἐμὸν θάνατον καταγγέλ-

(1) Τὸ, ὃ, ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται.

(2) Μήτε δὲ ὠμὰ, μήτε ἑψημένα ἐν ὕδατι, ἀλλ' ὀπτὰ πυρί. ἐν Τόμ. 2. τῆς τοῦ Ῥου. ἐκδόσ. σελ. 122.

(3) Σαρκός τε καὶ αἵματος. ἐν Τόμ. 1. μέρ. 1. σελ. 271.

A ταγγέλλετε. οὐκοῦν ἐπὶ μὲν τοῦ παρόντος αἰῶνος διὰ τῆς μετοχῆς τῶν εἰρημένων καταγγέλλομεν τὸν θάνατον αὐτοῦ· ὅταν δὲ λοιπὸν ἐν τῇ δόξῃ παραγένηται τοῦ πατρὸς, οὐκ εὐκαίρως ἔτι τὴν ἐπὶ τῷ πάθει προσοίσομεν ὁμολογίαν αὐτῷ, ἀλλ' ἐπι-
1. Κορ. 13. 12. γνωσόμεθα καθαρῶς ὡς Θεὸν, πρόσωπον
» πρὸς πρόσωπον.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Βούλεται γὰρ τροφὴν ἡμῖν γενέσθαι τὸ σῶμα, ὅθεν ἀ-
B πεῤῥύη τὸ αἷμα, ὃ χωρίζει τοῦ ὀλοθρεύτου τῶν πρωτοτόκων, ἐπὶ τῶν εἰσόδων δεικνύμενον.

* ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Οὐχ ἑψόμενος δὲ, ἀλλ' ὀπτώμενος πυρὶ, ὡς ἂν μηδὲν ἀθεώρητον, μηδὲ ὑδαρὲς ὁ λόγος ἡμῖν ἔχῃ, μηδὲ εὐδιάλυτος, ἀλλ' ὅλος συνεστὼς ἢ καὶ στεῤῥὸς, καὶ τῷ καθαρτικῷ πυρὶ δεδοκιμασμένος, καὶ παντὸς ὑλώδους ἐλεύ-
Γ θερος, καὶ ἀπέριττος· καὶ τοῖς καλοῖς ἄνθραξι βοηθώμεθα, τὸ διανοητικὸν ἡμῶν ἀνάπτουσι, καὶ καθαίρουσι παρὰ τοῦ πῦρ ἐλθόντος βαλεῖν ἐπὶ τῆς γῆς, τὸ τῶν μοχθηρῶν ἕξεων ἀναλωτικὸν, καὶ τὴν ἄναψιν ἐπισπεύδοντος.

Καὶ ἄζυμα ἐπὶ πικρίδων ἔδονται.

ΚΥΡΙΛΛΟΥ. Ἀλλὰ καὶ ἄρτους ἀζύμους ἐπὶ πικρίδων φάγονται, φησὶ, σημαίνων
Δ ὅτιπερ οἱ μέτοχοι γεγονότες Χριστοῦ, ἀζύμοις ὥσπερ καὶ καθαρωτάταις ἐπιθυμίαις τὴν ἑαυτῶν ὀφείλουσιν ἀποτρέφειν ψυχὴν, εἰς ἄδολόν τινα καὶ ἀμιγῆ φαυλότητος προσεθίζοντες πολιτείαν· καὶ μὴ παραιτεῖσθαι διὰ τοῦτο τὰς ἐκ τῶν πειρασμῶν πικρίας.

ΤΟΥ ΑΥΤΟΥ. Κατεδηδοκότες δὲ τὸν ἀμνὸν, ἄρτους ἀζύμους ἤσθιον, ἐπ' αὐτῶν τῶν εὐαγγελικῶν παιδευμάτων, ὡς ἐν ἀζύ-
E μῳ τε καὶ καθαρωτάτῃ τροφῇ, παραδηλοῦντος τοῦ τύπου τὴν ἀστειότητα· πλὴν οὐκ ἐσομένην ἀνιδρωτὶ, καὶ πικρίας δίχα τῆς κατὰ τὰς θλίψεις. τὸ γὰρ τὰς πικρίδας συνεσθίεσθαι τοῖς ἄρτοις οὐκ ἐζυμωμένοις, τὴν ἄδολον καὶ καθαρωτάτην ἐν Χριστῷ ζωὴν, οὐ δίχα πικρίας ἐσομένην ὑποδηλοῖ. συνοιστέον τοιγαροῦν ἀναγκαίως ταῖς ἀζύ-
2. Τιμ. 3. 12. μοις τροφαῖς τὴν πικρίδα. πάντες γὰρ
Z » οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ διωχθή-
» σονται, φησί.

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ἐπὶ δὲ πικρίδων, διὰ τὸ πικρὸν τοῦ κατὰ Θεὸν βίου καὶ πρόσαντες τοῖς ἀρχομένοις μάλιστα, καὶ ἡδο-
Ματθ. 11. 30. νῶν ὑψηλότερον. εἰ γὰρ καὶ χρηστὸς ὁ νέος
» ζυγὸς, καὶ τὸ φορτίον ἐλαφρὸν, ὥσπερ ἀκούεις, ἀλλὰ διὰ τὴν ἐλπίδα τοῦτο καὶ τὴν ἀντίδοσιν, πολλῷ τῆς ἐνταῦθα κακοπαθείας οὖσαν δαψιλεστέραν. ἐπεὶ ἄλλως γε,
H τίς οὐκ ἂν εἴποι πολὺ τῶν νομικῶν διατάξεων τὸ εὐαγγέλιον ἐργωδέστερον εἶναι καὶ μοχθηρότερον; τοῦ γὰρ νόμου τὰ τέλη τῶν ἁμαρτημάτων κωλύοντος, ἡμεῖς καὶ τὰς αἰτίας, ὡς πράξεις σχεδὸν ἐγκαλούμεθα.

A ** ΩΡΙΓΕΝΟΥΣ. Τί βούλεται ὁ λόγος λέγων, ὅτι δεῖ τὸν ἑορτάζοντα τῷ Θεῷ ἄζυμα ἐπὶ πικρίδων ἐσθίειν κατανοητέον. τὰ μὲν ἄζυμα διηγήσατο ὁ Ἀπόστολος. οὐκ ἔστιν ἐμὴ ἡ ἑρμηνεία. τὸ δὲ ἀκόλουθον τῆς ἑρμηνείας ἀναγκαῖόν ἐστι παραπλήσιον εἶναι τῇ ἀποστολικῇ διηγήσει. ὁ Ἀπόστολος τὰ περὶ τῶν ἀζύμων διηγήσατο λέγων·
» ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν 2. Κορ. 5. 8.
» ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύ-
B » μοις εἰλικρινείας καὶ ἀληθείας. δέον ἐστὶν ἀποδοῦναι τὸν λόγον περὶ τῶν πικρίδων ἀκολούθως τῷ τὰ ἄζυμα εἶναι εἰλικρινείας καὶ ἀληθείας. ἔχε δὲ εἰλικρίνειαν καὶ ἀλήθειαν, καὶ πικρίδες ἔσονταί σοι· καὶ ἐσθίεις μετὰ πικρίδων τὰ ἄζυμα τῆς εἰλικρινείας καὶ ἀληθείας. οἷον, Παῦλος ἐπειδήπερ ἤσθιε τὰ ἄζυμα εἰλικρινείας καὶ ἀληθείας, καὶ πικρίδας ἤσθιε. πῶς πικρίδας ἤσθιε;
» λέγων, ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων Γαλ. 4. 16.
Γ » ὑμῖν. πῶς πικρίδας ἤσθιεν; ἐν κόπῳ, καὶ 2. Κορ. 11. 27, 28.
» μόχθῳ, καὶ ἐν ἀγρυπνίαις πολλάκις, καὶ
» ἐν λιμῷ καὶ δίψει, χωρὶς τῶν παρεκτός. εἰ ταῦτα οὐκ ἦν ἀλήθεια μετὰ πικρίδων;

ΘΕΟΔΩΡΙΤΟΥ. Μετὰ πικρίδων δὲ αὐτὸ βρωθῆναι προσέταξεν, εἰς ἀνάμνησιν τῆς ἐν Αἰγύπτῳ πικροτάτης δουλείας. διὰ δὲ τῶν ἀζύμων ἐμφαίνει, οὐ μόνον τῆς ὁδοιπορίας τὸ σύντονον, καὶ τὸ τῆς τροφῆς
Δ αὐτοσχέδιον, ἀλλ' ὅτι καὶ προσήκει μηδὲν ἴχνος τῆς αἰγυπτιακῆς ἐπιφέρεσθαι πολιτείας. οὕτω γὰρ καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς
» εὐαγγελίοις ἡρμήνευσε· προσέχετε, λέ- Ματθ. 16. 6.
» γων, ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ
» Γραμματέων.

θ. Οὐκ ἔδεσθε ἀπ' αὐτῶν ὠμὸν οὐδὲ ἡψημένον ἐν ὕδατι, ἀλλ' ἢ ὀπτὰ πυρί· κεφαλὴν σὺν τοῖς ποσὶ καὶ τοῖς
E ἐνδοσθίοις.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἁρμόττει δὲ ἡμῖν καὶ τὸ μήτε ὠμὰ, μήτε ἑψημένα ἐσθίειν, ἀλλ' ὀπτὰ πυρί. οὔτε γὰρ μόνῳ τῷ γράμματι προσβλέπομεν, ἀλλὰ τὴν διάνοιαν ἐρευνῶμεν, οὔτε μὴν ἀνθρωπείους λογισμοὺς τοῖς θείοις ἐπεισάγομεν λογίοις· τοῦτο γὰρ καὶ
Ἠσαΐας τινῶν κατηγόρησεν, ὡς ἀναμιγ- Ἠσ. 1. 22.
νύντων ὕδατι τὸν οἶνον· ἀλλὰ μόνον χρώμεθα τῷ θείῳ πυρὶ, τῇ τοῦ ἁγίου πνεύμα-
Z τος χάριτι.

ΚΥΡΙΛΛΟΥ. Πυρὶ δὲ ὀπτῶντας ἐσθίειν κελεύει τοῦ προβάτου τὰ κρέα, διὰ τὸ χρῆναι θερμοὺς εἶναι τῷ πνεύματι τοὺς μεταλαμβάνοντας τοῦ Χριστοῦ. ζέειν δὲ αὐτοὺς Ῥωμ. 12. 11.
τῷ πνεύματι κελεύει καὶ Παῦλος.

» ΤΟΥ ΑΥΤΟΥ. Τί δέ ἐστι τὸ, οὐκ ἔδεσθε
» ἀπ' αὐτῶν ὠμόν; Ὁ ὠμὸν ἐσθίων, οὐκ εἰς πέψιν ἐσθίει, ἀλλ' οὐδὲ ὑπείκει τοῖς ὀδοῦσιν
H ὅλως ἡ τοιάδε τροφή. τοῦτο δ' ἂν δρῷεν οἱ μὴ δι' ἐρεύνης ἀκριβοῦς τὸν ἐπὶ Χριστῷ καταλεπτύνοντες λόγον, πυροῦντές τε καὶ δοκιμάζοντες κατὰ τὸ ὑπὸ τοῦ Δαβὶδ με-
» λῳδούμενον· καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθή- Ψαλ. 38. 3.

„ σεται πῦρ. κωλύει δὲ πάλιν ἐσθίειν ἑψη- A
μένον ἐν ὕδατι, τὴν ὑδαρεστέραν καὶ ἐκλε-
λυμένην περὶ αὐτοῦ διάληψιν, οὐ καλὴν
ἔσεσθαι τροφὴν τοῖς πιστεύουσιν ὑποδηλῶν.
ὑδαρεστέρα δὲ περὶ αὐτοῦ διάληψις τὸ μὴ
Θεὸν οἴεσθαι κατὰ φύσιν ὑπάρχειν αὐτὸν,
ἀλλ' εἰς τὴν τῶν ποιημάτων κατακομίζειν
τάξιν. κεφαλὴν δὲ πάλιν σὺν τοῖς ποσὶ
καὶ τοῖς ἐντοσθίοις ἐπιτάττει φαγεῖν, ὅλην
ἐξ ὅλου τοῦ κατ' αὐτὸν μυστηρίου τὴν γνῶσιν
ταῖς τῶν πιστευόντων διανοίαις ἐνοικίζεσθαι B
θέλων. χρὴ γὰρ εἰδέναι πρὸ πάντων, ὅτι-
περ ἦν ἐν ἀρχῇ, Θεὸς ὢν ὁ λόγος, ἐν πα-
τρὶ καὶ μετὰ πατρὸς, τουτέστιν ἡ κεφαλὴ
ἀρχὴ παντὸς ὑπάρχουσα μυστηρίου· δεύτε-
ρον δὲ, ὅτι καὶ Θεὸς ὢν, πάλιν ἐπανήξει
κριτὴς, τέλος ἐπιθήσων τῇ καθ' ἡμᾶς
οἰκονομίᾳ. τοῦτο [γὰρ ἡμῖν σημαίνουσιν]
οἱ πόδες, τέλος ὄντες τοῦ σώματος. νοή-
σεις δὲ ἐνταῦθα τὸν ἀποκεκρυμμένον καὶ
οἱονεὶ μέσον τῆς ἐνανθρωπήσεως λόγον. Γ
οὐκοῦν ὅλος ἐν ἡμῖν ἐστι διὰ πίστεως ὁ χριστός.
τούτου γὰρ ἕνεκεν, οἶμαι καὶ τὸν Ἰωάννην
Ἀποκ. 1. 8. εἰπεῖν, ὁ ὢν, ὁ ἦν, ὁ ἐρχόμενος.

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ὅσον μὲν οὖν σαρ-
κῶδες τοῦ λόγου καὶ τρόφιμον, μετὰ τῶν
ἐντοσθίων καὶ τῶν κρυφίων τοῦ νοῦ βρωθή-
σεται, καὶ ἀναλωθήσεται, καὶ εἰς πέψιν
πνευματικὴν ἀναδοθήσεται, ἄχρι κεφα-
λῆς καὶ ποδῶν, τῶντε πρώτων περὶ Θεό-
τητος θεωρημάτων, καὶ τῶν τελευταίων Δ
τῆς σαρκώσεως φρονημάτων.

ΤΟΥ ΝΥΣΣΗΣ. Εἰ δὲ τὸ πρόβατον ὁ
χριστός ἐστι, τίνες τῶν θείων λόγων αἱ σάρ-
κες, εἰ μὴ αἱ θεῖαι Γραφαί; ἃς τρώγειν
οὔτε ὠμὰς, οὔτε ἡψημένας προσῆκεν. οἵτι-
νες οὖν αὐταῖς λέξεσι ψιλαῖς χρῶνται,
οὗτοι ἂν τὰς σάρκας τοῦ Σωτῆρος τρώγοιεν
ὠμὰς καὶ μεταλαμβάνοντες αὐτό. (1) ἐπεὶ
2. Κορ. 3. 6. τὸ γράμμα ἀποκτείνειν, τὸ δὲ πνεῦμα ζωο- E
„ ποιεῖν, διδάσκει ὁ Ἀπόστολος ἡμᾶς. εἰ δὲ
τὸ πνεῦμα ἀπὸ τοῦ Θεοῦ δίδοται ἡμῖν, καὶ
Ἑβρ. 12. 29. ὁ Θεὸς πῦρ καταναλίσκον ἐστὶν, ὁ Ἀπόστο-
Ῥωμ. 12. 11. λος ἐπιστάμενος, διδάσκει ἡμᾶς τῷ πνεύ-
„ ματι ζέοντας. (2) καλῶς οὖν λέγω πῦρ,
τὸ πνεῦμα τὸ ἅγιον, ὃ ἀναλαμβάνοντας
ἡμᾶς δεῖ προσομιλῆσαι ταῖς σαρξὶ τοῦ χρι-
στοῦ, λέγω δὴ ταῖς θείαις Γραφαῖς· ἵνα
διὰ τούτου τοῦ πνευματικοῦ πυρὸς ὀπτήσαντες
αὐτὰς, φάγωμεν ὀπτὰς πυρί. ἀλλοιωθή- Z
σεται γὰρ διὰ τοῦ τοιούτου πνεύματος τὰ
ῥητὰ, καὶ τὸ ἡδὺ καὶ τρόφιμον αὐτῶν
ὀψόμεθα. Καὶ μεθ' ἕτερα. Μὴ συνεψεῖν ὕ-
δωρ κελευόμεθα τὰς τοῦ Σωτῆρος σάρκας,
λέγω δὴ τὰς λέξεις τῶν Γραφῶν, μηδὲ
ἐπιμίσγειν τοῖς ῥητοῖς ἑτέραν τινὰ ὕλην
ἐξυδαροῦν δυναμένην διὰ τῆς συνεψήσεως
αὐτὰ, ἀλλὰ μόνῳ τῷ θείῳ πυρὶ, τουτέστι
τῷ θείῳ πνεύματι ἑψοῦντας μεταλαμβά-
νειν αὐτῶν. οἱ μόναις ταῖς λέξεσιν ἐπε- H
ρειδόμενοι τῶν Γραφῶν, ὠμῶν μεταλαμ-
βάνουσι τῶν κρεῶν· εἰ δὲ διὰ τοῦ πνεύμα-
τος ὁρῶσι τὴν ἀληθῆ περιτομὴν, εἰ τύχοι
καὶ τὸ ἀληθινὸν σάββατον, καὶ ἐργά-
ζονται ἕως ἡμέρα ἐστὶ, πρὶν ἐλθεῖν τὴν
„ νύκτα, ὅτε οὐκ ἔτι οὐδεὶς δύναται ἐργά- Ἰωάν. 9. 4.
„ ζεσθαι, ἤδη διὰ τοῦ πνεύματος ἡψημένον
ἐσθίουσι τὸ ῥητόν.

** ΩΡΙΓΕΝΟΥΣ. Οὐκ ὠμὴν βρω-
τέον τὴν σάρκα τοῦ ἀμνοῦ, ὥσπερ ποιοῦσιν
οἱ τῆς λέξεως δοῦλοι, τρόπον ἀλόγων ζώων
καὶ ἀποτεθηριωμένων πρὸς τοὺς ἀληθῶς
λογικοὺς, διὰ τοῦ συνιέναι βούλεσθαι τὰ
πνευματικὰ, λόγου μεταλαμβάνοντες θη-
ρίων ἀπηγριωμένων. Φιλοτιμητέον δὲ τῷ
εἰς ἕψησιν μεταλαμβάνοντι τὸ ὠμὸν τῆς
Γραφῆς, μὴ ἐπὶ τὸ πλαδαρώτερον καὶ
ὑδαρέστερον μεταλαμβάνειν τὰ γεγραμ-
μένα. ὅπερ ποιοῦσιν οἱ κνηθόμενοι τὴν
ἀκοὴν, καὶ ἀπὸ μὲν τῆς ἀληθείας ἀπο-
στρέφοντες αὐτὴν, ἐπὶ δὲ τὸ ἀνειμένον καὶ
ὑδαρέστερον τῆς πολιτείας μεταλαμβάνον-
τες τὰς κατ' αὐτοὺς ἀγωγάς. ἡμεῖς δὲ τῷ
ζέοντι πνεύματι, καὶ τοῖς δεδομένοις ὑπὸ
Θεοῦ διαπύροις λόγοις, ὁποίους Ἱερεμίας
εἰλήφει ἀπὸ τοῦ λέγοντος πρὸς αὐτὸν, ἰδοὺ Ἱερ. 5. 14.
„ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ·
ὀπτὰ ποιήσωμεν τὰ κρέα τοῦ ἀμνοῦ, ὥστε τοὺς
μεταλαμβάνοντας αὐτῶν λέγειν, χριστοῦ
„ ἡμῖν λαλοῦντος, ὅτι ἡ καρδία ἡμῶν καιο- Λουκ. 24. 32.
„ μένη ἦν ἐν τῇ ὁδῷ, ὡς διήνοιγεν ἡμῖν τὰς
„ Γραφάς. Καὶ μετ' ὀλίγα. Ἀρκτέον δὲ ἐν τῷ
ἐσθίειν ἀπὸ τῆς κεφαλῆς, τουτέστι τῶν κο-
ρυφαιοτάτων καὶ ἀρχικῶν δογμάτων περὶ
τῶν ἐπουρανίων, καὶ καταληκτέον ἐπὶ τοὺς
πόδας, τὰ ἔσχατα τῶν μαθημάτων, τὰ
ζητοῦντα περὶ τῆς τελευταίας ἐν τοῖς οὖσι
φύσεως. ἤτοι τῶν ὑλικωτέρων, ἢ τῶν κα-
ταχθονίων, ἢ τῶν πονηρῶν πνευμάτων,
καὶ ἀκαθάρτων δαιμόνων. ὁ γὰρ περὶ αὐ-
τῶν λόγος, ἕτερος ὢν αὐτῶν, ἐναποκεί-
μενος τοῖς μυστηρίοις τῆς Γραφῆς δύναται
τροπικώτερον πόδες ὠνομάσθαι τοῦ ἀμνοῦ.
καὶ τῶν ἐντοσθίων δὲ, ἐσωτερικῶν καὶ ἀπο-
κεκρυμμένων οὐκ ἀφεκτέον.

ι. *Οὐ καταλείψετε ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ.*

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ μὴ καταλι-
πεῖν τῶν κρεῶν εἰς τὴν ὑστεραίαν, οὕτω
νοοῦμεν, ὅτι ὁ μέλλων βίος τῶν συμβόλων
οὐ δεῖται. αὐτὰ γὰρ ὁρῶμεν ἐν ἐκείνῳ τὰ
πράγματα.

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. [Οὐκ ἐξοίσομεν
δὲ οὐδὲν, οὐδὲ εἰς τὸ πρωΐ καταλείψομεν,
ὅτι μηδὲ ἔκφορα τοῖς ἔξω τὰ πολλὰ τῶν
ἡμετέρων μυστηρίων,] μηδὲ ὑπὲρ τὴν νύκτα
ταύτην ἔστι τὶς κάθαρσις· καὶ τὸ τῆς ἀνα-
βολῆς οὐκ ἐπαινετὸν τοῖς τοῦ λόγου μετα-
λαμβάνουσιν. ὥσπερ γὰρ τὴν ὀργὴν μὴ διη-
μερεύειν, ἀλλὰ προκαταλύειν ἡλίου, καλὸν
καὶ Θεῷ φίλον χρονικῶς τε καὶ ἀναγω-
γικῶς.

(1) Ἴσ. αὐτὸν, ἢ αὐτάς. τὸ ὑπόμνημα δὲ τοῦτο ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.
(2) Ἐλλειπὴς ἡ περίοδος. ἴσ. δὲ ἀναγνωστ. ζέειν, ἢ ζέοντας. εἶναι.

γικῶς· ἐπιδύεσθαι γὰρ σοφιζομένοις ἡμῖν οὐκ ἀσφαλὲς τὸν τῆς δικαιοσύνης ἥλιον· οὕτω τὴν τοιαύτην βρῶσιν μὴ διανυκτερεύειν, μηδὲ εἰς τὸ ἑξῆς ἀποτίθεσθαι.

» ΚΥΡΙΛΛΟΥ. Τὸ δὲ, οὐχ ὑπολείψετε » ἀπ' αὐτῶν ἕως πρωῒ, [αἰνιγματωδῶς, ὡς ἔοικε, διὰ τούτων ἀποκωλύων τὰς ἐπίγε τὸ βούλεσθαι νοῆσαι τελείως οὐκ ἀγαθὰς ὑπερθέσεις.] Τουτέστι (1) μὴ πεμπέσθω, φησὶν, εἰς ἀναβολὴν ἡ τελεία καὶ ἀληθὴς περὶ αὐτοῦ γνῶσις· μηδὲ φυλαττέτωσάν τινες ἑαυτοῖς εἰς ὑπέρκαιρον χάριν τὸ μετασχεῖν τελείως αὐτοῦ, μετεσχηκότες ἅπαξ, καὶ ὅλως ἀψάμενοι. τοῦτο μέντοι ποιοῦσιν οἱ διὰ μὲν τῆς κατηχήσεως τῶν περὶ χριστοῦ δογμάτων ἀπογευσάμενοι, φυλάττοντες δὲ τὸν διὰ τοῦ βαπτίσματος φωτισμὸν εἰς μακρὰν καὶ ὑπέρωρον ἀναβολὴν, τὴν ἐπὶ γήρᾳ φημί. πολὺ γὰρ τὸ βλάβος ἐντεῦθεν. μάλιστα μὲν γὰρ εἰ καὶ τῆς βουλῆς ἐπιτεύξεται, οὐκ ἀσφαλὴς ἡ ἐλπίς. ἁγιάζεται μὲν γὰρ, πλὴν μόνην ἔχει τῶν ἁμαρτημάτων τὴν ἄφεσιν: καὶ τὸ τάλαντον ἀποκομίζει τῷ οἰκείῳ δεσπότῃ ξηρὸν, οὐδὲν ἐπεργάσασθαι σχολάσας αὐτῷ.

Καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ. τὰ δὲ καταλειπόμενα ἀπ' αὐτοῦ ἕως πρωῒ, ἐν πυρὶ κατακαύσετε.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὰ δὲ ὀστᾶ τῶν προβάτων συντρίβουσιν οἱ κακῶς τὰ θεῖα νοοῦντες λόγια, καὶ εἰς τὴν οἰκείαν αὐτῶν πειρώμενοι μεταφέρειν ἀσέβειαν.

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ὅσον δὲ ὀστῶδες καὶ ἄβρωτον καὶ ἡμῖν δυσθεώρητον, οὔτε συντριβήσεται κακῶς διαιρούμενον καὶ νοούμενον· ἐῶ γὰρ λέγειν, ὅτι μήτε κατὰ τὴν ἱστορίαν τοῦ Ἰησοῦ συνετρίβη, καίτοι γε τοῦ θανάτου τοῖς σταυρωταῖς ἐπισπευδομένου διὰ τὸ σάββατον· οὔτε ἀποῤῥιφήσεται καὶ περισυρήσεται, ἵνα μὴ δοθῇ τὰ ἅγια τοῖς κυσὶ, καὶ κακοῖς τοῦ λόγου σπαράκταις· ὥσπερ οὐδὲ τοῖς χοίροις τὸ λαμπρὸν τοῦ λόγου καὶ μαργαρῶδες, ἀλλὰ πυρὶ καταναλωθήσεται, ὡς καὶ τὰ ὁλοκαυτώματα, τῷ πάντα ἐρευνῶντι καὶ εἰδότι πνεύματι λεπτυνόμενα καὶ σωζόμενα, οὐκ ἀπολλύμενα καθ' ὑδάτων ὥσπερ σπειρόμενα.

» ΚΥΡΙΛΛΟΥ. Ἀλλὰ καὶ ὀστοῦν οὐ συντρί- » ψετε ἀπ' αὐτοῦ. Ἄβρωτα τοῖς ἡμετέροις ὀδοῦσιν ἀεὶ τὰ ὀστᾶ. τοιοῦτος δέ τίς ἐστι ταῖς ἀνθρωπίναις διανοίαις ὁ λόγος, ἵν' οὕτως εἴπω, καὶ κεκρυμμένος τῆς θεότητος αὐτοῦ λόγος. ὅτι μὲν γὰρ Θεὸς ὁ υἱὸς, καὶ γεγέννηται ἐκ τοῦ πατρὸς, πιστεύομεν· ζητοῦμεν δὲ πῶς, οὐκ ἔτι. οὐκοῦν ὀστᾶ, τὴν τῶν ὑπὲρ νοῦν δογμάτων στεῤῥότητα λέγει· καὶ ταῦτα συντρίβειν ἡμᾶς οὐκ ἐᾷ. συντρίβου-

A σι δὲ ὅσον ἐφ' ἑαυτοῖς, οἱ τὰ ὀρθὰ διαστρέφοντες αἱρετικοὶ, καὶ τὸν τῆς θείας γεννήσεως περιεργαζόμενοι τρόπον. καὶ ἱστορικώτερον. (2) δὲ γέγονεν, οὐ συντριψάντων τῶν στρατιωτῶν τὰ σκέλη αὐτοῦ. » τὰ δὲ καταλειπόμενα ἀπ' αὐτοῦ ἕως πρωῒ πυρὶ καλακαίεσθαι λέγει· πρωῒ πάλιν ὀνομάζων τὸν εἰς αἰῶνα τὸν μέλλοντα φωτισ- » μὸν, ὅτε πρόσωπον πρὸς πρόσωπον τὸν ἑαυτῶν ὀψόμεθα βασιλέα, οὐκ ἔτι καθά- 1. Κορ. 13. 12. B » περ νῦν, ἐν αἰνίγματι καὶ ἐκ μέρους, ὡς ὁ Παῦλός φησιν. ὡς οὖν μελλούσης τηνικάδε διὰ λαμπροτέρας ἐμφανισθήσεσθαι τρόπον τινὰ τῆς ὡς ἐν αἰνίγματι περὶ αὐτοῦ θεωρίας, ὥσπερ ἐν τύπῳ πάλιν πυρὶ κατακαυθήσεσθαι λέγει τὰ καταλειπόμενα ἀπ' αὐτοῦ ἕως πρωΐ.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ἐκ πυρὸς δὲ προτεθεῖσαν ἡμῖν τὴν ἐδωδὴν, τὴν Γ θερμὴν ταύτην λέγω καὶ ἔμπυρον πίστιν, ἀμελλητὶ προσδεχόμεθα. ἧς ἐμφαγόντες ὅσον ἐκ προχείρου γίνεται ληπτὸν τῷ ἐσθίοντι, τὸ ἐγκεκρυμμένον τοῖς στεῤῥοτέροις καὶ δυσλήπτοις νοήμασι καὶ τῷ λόγῳ, ἀπεριέργαστον καὶ ἀπολυπραγμόνητον καταλιμπάνομεν, τῷ πυρὶ προθέντες τὴν τοιαύτην τροφήν. ὡς δ' ἂν σαφηνισθείη τὰ περὶ τούτων αἰνίγματα, ταῦτα φαμέν· ὅτι τῶν θείων παραγγελμάτων ὅσα μὲν Δ πρόχειρον τὴν κατανόησιν ἔχει, οὐ νωθρῶς καὶ κατηναγκασμένως μετιέναι προσήκει, ἀλλ' οἷον πεινῶντας καὶ μετ' ὀρέξεως ἐμφορεῖσθαι τῶν προκειμένων, ὥστε γενέσθαι τὴν τροφὴν ἡμῖν εἰς εὐεξίας ἐφόδιον· ὅσα δὲ κέκρυπται τῶν νοημάτων, οἷον τὸ ζητεῖν, τίς ἡ οὐσία τοῦ Θεοῦ; τί πρὸ τῆς κτίσεως ἦν; τί τὸ ἔξω τῶν φαινομένων; τίς ἡ ἀνάγκη τῶν γινομένων; καὶ ὅσα τοιαῦτα ὑπὸ τῶν περιέργων ἀνερευνᾶται, ταῦτα E τῷ ἁγίῳ πνεύματι συγχωρεῖν μόνῳ γινώ- » σκειν, τῷ τὰ βάθη τοῦ Θεοῦ διερευνῶντι, 1. Κορ. 2. 10. καθά φησιν ὁ Ἀπόστολος. τὸ γὰρ ἀντὶ τοῦ πνεύματος πολλαχῇ τὸ πῦρ ὑπὸ τῆς Γραφῆς μνημονεύεσθαί τε καὶ ὀνομάζεσθαι, οὐκ ἄν τις τῶν πεπαιδευμένων τὴν Γραφὴν ἀγνοήσειε. προσάγει δὲ τῇ τοιαύτῃ διανοίᾳ ἡμᾶς καὶ τὸ τῆς σοφίας παράγγελ- » μα, ὅτι ἰσχυρότερά σου μὴ ἐρεύνα· τουτέστι Σειρ. 3. 21, 22. » τὰ ὀστᾶ τοῦ λόγου μὴ σύντριβε· οὐ γὰρ ἔστι- Z » σοι χρεία τῶν κρυπτῶν.

** ΩΡΙΓΕΝΟΥΣ. Ὡς ἑνὶ σώματι τῇ ἁπάσῃ προσελθετέον Γραφῇ, καὶ τὰς ἐν τῇ ἁρμονίᾳ τῆς πάσης συνθέσεως αὐτῆς ἐντονωτάτας καὶ στεῤῥοτάτας συνοχὰς οὐ συντριπτέον, οὐδὲ διακοπτέον. ὅπερ πεποιήκασιν οἱ τὴν ἑνότητα τοῦ ἐν πάσαις ταῖς Γραφαῖς πνεύματος, τὸ ὅσον ἐπ' αὐτοῖς, συντρίβοντες. αὕτη μέντοιγε ἡ ἀπὸ τοῦ ἀμνοῦ προειρημένη προφητεία τὴν νύκτα H μόνην ἡμᾶς τρεφέτω τοῦ ἐν τῷ βίῳ σκότους.

(1) Μὴ γὰρ πεπέμφθω. ἐν Τόμ. 1. μέρ. 1. σελ. 273.

(2) Μεμνῆσθαί γε μὴν ἀναγκαῖον, ὅτι καὶ ἱστορικώτερον περὶ τοῦ Σωτῆρος ἡμῶν ἐλήφθη τὸ γεγραμμένον, οὐ συντριψάντων τῶν τοῦ Πιλάτου στρατιωτῶν, κτ. αὐτ. ἐν σελ. 274.

A τους. ὡς γὰρ τῆς ἀνατολῆς τῆς ἡμέρας
τῶν μετὰ τὸν βίον τοῦτον οὐδὲν καταλεί-
πεται, πλέον ἔσται ἡμῖν τῆς ἐπὶ τοῦ παρόντος μό-
νου χρησίμου ἡμῖν οὕτω τροφῆς. παρελθού-
σης γὰρ τῆς νυκτὸς, καὶ ἐπελθούσης τῆς
μετὰ ταῦτα ἡμέρας, τὸν μηδαμῶς ἀπὸ
τῶν παλαιοτέρων καὶ κατωτέρω ζυμούντων
ἄζυμον ἔχοντες ἄρτον φαγόμεθα, χρή-
σιμον ὑμῖν ἐσόμενον, ἕως δοθῇ τὸ μετὰ
τὸν ἄζυμον μάννα, ἡ ἀγγελικὴ καὶ μὴ
B ἀνθρωπίνη τροφή.

ια. Οὕτω δὲ φάγεσθε αὐτό. αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ἡμῖν δὲ ὁ δεσπό-
της ἐκέλευσεν ἔχειν τὰς ὀσφύας περιε-
ζωσμένας, καὶ τοὺς πόδας ὑποδεδεμένους,
καὶ τοὺς λύχνους καιομένους, ὡς οἰκέτας δε-
σπότην προσμένοντας. ἀλλ᾽ Ἑβραῖοι μὲν,
Γ ὡς Αἰγυπτίων ἀπαλλαττόμενοι, καὶ εἰς τὴν
χαναναίαν γῆν εἰσαγόμενοι, τοῦτο εἶχον
τὸ σχῆμα· ἡμεῖς δὲ, ὡς ἐντεῦθεν εἰς τὸν
ἕτερον μεθιστάμενοι βίον.

ΚΥΡΙΛΛΟΥ. Σχῆμα δὲ προκεῖσθαι τοὺς
» ἐσθίοντας (1) τοιόνδε φησὶν, ἔστωσαν αἱ
» ὀσφύες ἡμῶν περιεζωσμέναι, καὶ τὰ ὑπο-
» δήματα ἐν τοῖς ποσὶ, καὶ αἱ βακτηρίαι ἐν
» ταῖς χερσὶν ἡμῶν· καὶ φάγεσθε αὐτὸ με-
» τὰ σπουδῆς. πάσχα ἐστὶ τῷ Κυρίῳ. Τὸ μὲν
Δ οὖν περιεζῶσθαι τὴν ὀσφὺν, γοργότητος
ἂν εἴη σύμβολον, καὶ φρονήματος νεανικοῦ
Ἰώβ. 38. 3. κατὰ τὸ εἰρημένον πρὸς τὸν Ἰὼβ, ζῶσαι
ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου. καὶ πάλιν πε-
Ησ. 11. 5. » ρί τινος ἐν Προφήταις, καὶ ἔσται δικαιοσύνῃ
» ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, ἀντὶ τοῦ γορ-
γὸς καὶ ἀνδρεῖος ἐν δικαιοσύνῃ.

ΤΟΥ ΑΥΤΟΥ. Τὸ περιεζῶσθαι τὴν
ὀσφὺν, γοργότητος ἂν εἴη σύμβολον καὶ
Ἱερ. 1. 17. » φρονήματος νεανικοῦ. καὶ σὺ περίζωσαι
E » τὴν ὀσφύν σου, καὶ ἀνάστηθι, καὶ εἰπὸν πρὸς
» αὐτοὺς πάντα ὅσα ἐντέλλομαί σοι. καὶ πά-
Ἱερ. 4. 5, 6. λιν, ἀναγγείλατε ἐν τῷ Ἰούδᾳ, καὶ ἀκουσθή-
» τω ἐν Ἰσραήλ· εἴπατε, σημάνατε σάλ-
» πιγγι ἐπὶ τῆς γῆς, καὶ κράξατε μέγα·
» εἴπατε, συνάχθητε, καὶ εἰσέλθωμεν εἰς
» τὰς πόλεις τὰς τειχήρεις. ἀναλαβόν-
» τες φύγετε εἰς Θεόν· ἐπισπεύσατε, μὴ
» στῆτε. (2).

Z ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Τὸ δὲ σχῆμα
τῶν τὴν τροφὴν ταύτην προσφερομένων
σύντονόν τε καὶ κατεσπουδασμένον εἶναι,
οὐχ οἷον ἐπὶ τῶν εὐπαθούντων ἐν συμπο-
σίοις ὁρᾶται· ὧν ἂν ἕτοιμοι (3) αἱ χεῖ-
ρες, ἐλαφραὶ δὲ αἱ τῶν ἱματίων περιβο-
λαὶ, τῆς τε ὁδοιπορικῆς παρασκευῆς οἱ
πόδες ἐλεύθεροι· ἀλλ᾽ ἐκ τοῦ ἐναντίου τὰ
πάντα. πόδες μὲν διειλημμένοι τοῖς ὑπο-
δήμασι, ζώνη δὲ τὸ περιῤῥέον τοῦ χιτῶνος
συσφίγγουσα, διὰ χειρὸς δὲ ἀμυντικὴ τῶν
ἐχθρῶν βακτηρία. καὶ ἐν τούτῳ τῷ σχή-
ματι προστίθεται αὐτοῖς ἡ βρῶσις, [ἄνευ
τινὸς] ὀψαρτυτικῆς καρυκείας, ἐπὶ πυ-
ρὸς κατὰ τὸ συμβὰν ἐκ τοῦ παρατυχόν-
τος σχεδιασθεῖσα, ἣν κατὰ πᾶσαν ἔπειξιν
ἁρπαλέως οἱ δαιτυμόνες καταναλίσκουσι,
μέχρις ἂν ἅπαν ἐκδαπανηθῇ τοῦ ζώου τὸ
σῶμα. καὶ τῶν ὀστέων περιεσθίοντες ὅσον
ἐδώδιμον, τοῦ ἐντὸς οὐ προσάπτονται. τὸ
γὰρ συντρίβειν τοῦ ζώου τούτου τὰ ὀστᾶ, τῶν
ἀπειρημένων ἐστί.

∗ ΤΟΥ ΑΥΤΟΥ. Ὅ, τε τοῖς ποσὶ πε-
ρικεχυμένος χιτὼν, καὶ μέχρι τῶν βασί-
μων καθειμένος, ἐμπόδιον ἂν εἴη τῷ τὴν
ὁδὸν ταύτην κατὰ σπουδὴν διαθέοντι. χι-
τὼν δ᾽ ἂν ἡμῖν κατὰ τὸ ἀκόλουθον νοηθείη
ἡ ἀπολαυστικὴ τῶν ἐν τῷ βίῳ τούτῳ σπου-
δαζομένων πλατύτης, ἣν εἰς ὀλίγον ὁ σώ-
φρων λογισμὸς συστέλλει, ζώνη τοῦ ὁδοιπο-
ροῦντος γινόμενος. τὸ δὲ σωφροσύνην εἶναι
τὴν ζώνην, μαρτυρεῖται τῷ τύπῳ περὶ ὃν
ἐνεργεῖται. (4)

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ὀσφὺς δὲ τοῖς
μὲν ἀλόγοις ἄνετος [ἔσω] καὶ ἄδετος. οὐ-
δὲ γὰρ λόγον ἔχουσι τὸν κρατοῦντα τῶν
ἡδονῶν. οὔπω λέγω, ὅτι κἀκεῖνα ὅρον οἶδε
τῆς φυσικῆς κινήσεως. σοὶ δὲ ἀναστελλέσθω
ζώνη καὶ σωφροσύνη τὸ ἐπιθυμητικόν τε
καὶ χρεμετιστικὸν, ὡς ἡ θεία φησὶ Γραφὴ, Ἱερ. 5. 8.
τὸ τοῦ πάθους αἰσχρὸν διασύρουσα, ἵνα κα-
θαρῶς ἐσθίῃς τὸ πάσχα, νεκρώσας τὰ μέ-
λη τὰ ἐπὶ τῆς γῆς, καὶ τὴν Ἰωάννου ζώνην
μιμούμενος τοῦ ἐρημικοῦ καὶ προδρόμου, καὶ
μεγάλου τῆς ἀληθείας κήρυκος.

∗ ∗ ΤΟΥ ΑΥΤΟΥ. Οἶδα καὶ ζώνην
ἄλλην, τὴν στρατιωτικὴν λέγω καὶ ἀνδρι-
» κὴν, καθ᾽ ἣν εὔζωνοι Συρίας, καὶ μονό- 4. Βασ. 5. 2.
» ζωνοί τινες ὀνομάζονται. καθ᾽ ἣν καὶ τῷ
» Ἰὼβ χρηματίζων, φησὶν ὁ Θεός· μὴ, ἀλ- Ἰώβ. 38. 3.
» λὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου, καὶ
» δὸς ἀπόκρισιν ἀνδρικήν. ἣν καὶ ὁ θεῖος
» Δαβὶδ περιεζῶσθαι δύναμιν ἐκ Θεοῦ μεγα- Ψαλ. 17. 32.
λαυχεῖ, καὶ τὸν Θεὸν αὐτὸν εἰσάγει ἐνδε-
» δυμένον δύναμιν, καὶ περιεζωσμένον δη- Ψαλ. 92. 1.
λαδὴ κατὰ τῶν ἀσεβῶν. εἰ μή τῳ φίλον,
τὸ περιὸν τῆς δυνάμεως, καὶ οἷον ἀνεσταλ-
μένον οὕτω παραδηλοῦσθαι, καθὸ καὶ φῶς
ἀναβάλλεται ὡς ἱμάτιον. τὸ γὰρ ἄσχετον
αὐτοῦ τῆς δυνάμεως καὶ τοῦ φωτὸς τίς ὑπο-
στήσεται; ζητῶ τί κοινὸν ὀσφύϊ καὶ ἀλη-
θείᾳ; τί δαὶ τῷ ἁγίῳ Παύλῳ νοεῖται τὸ
» φάσκειν· στῆτε οὖν περιεζωσμένοι τὴν ὀσ- Ἐφεσ. 6. 14.
» φὺν ὑμῶν ἐν ἀληθείᾳ; μήποτε ὡς τοῦ
θεωρητικοῦ τὸ ἐπιθυμητικὸν περισφίγγον-
τος, καὶ οὐκ ἐῶντος ἀλλαχοῦ φέρεσθαι; οὐ
γὰρ ἐθέλει τὸ περί τι διακείμενον ἐρωτι-
κῶς πρὸς τὰς ἄλλας ἡδονὰς τὴν αὐτὴν
ἔχειν δύναμιν.

Καὶ

(1) Σχῆμα δὲ τοὺς δαιτυμόνας κελεύει τοιοῦτον ἔχειν. αἱ ὀσφ. κτ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 274.
(2) Ταῦτα, οὐδὲν τοῖς ἀνωτέρω διαφέροντα, εἰ μὴ τοῖς τῆς Γραφῆς ῥητοῖς, ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται.
(3) Ἄνετοι μὲν αἱ χεῖρες. ἐν τῷ περὶ τῆς εἰς τὸν βίον Μωϋσ. θεωρ. βιβλ.
(4) Μαρτύρεται τῷ τρόπῳ, περὶ ὃν ἐνεργεῖται ἡ ζωή. αὐτ.

Καὶ τὰ ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν. A

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Τὰ δὲ ὑποδήματα, ὁ μὲν τῆς ἁγίας γῆς καὶ θεοστιβοῦς ψαύειν μέλλων, ἀποδυέσθω, καθὰ καὶ Μωσῆς ἐκεῖνος ἐπὶ τοῦ ὄρους Σινά· ἵνα μηδὲν νεκρὸν φέρῃ, μηδὲ μέσον Θεοῦ καὶ ἀνθρώπων. ὡς δὲ καὶ εἴτις μαθητὴς ἐπὶ τὸ Εὐαγγέλιον πέμπεται, φιλοσόφως καὶ ἀπερίττως, ὃν δεῖ τῷ ἀχάλκῳ καὶ ἀράβδῳ B καὶ μονοχίτωνι, ἔτι καὶ γυμνοποδεῖν· ἵνα φανῶσιν οἱ πόδες ὡραῖοι τῶν εὐαγγελιζομένων εἰρήνην, καὶ ἄλλο πᾶν ἀγαθόν. ὁ δὲ φεύγων Αἴγυπτόν τε καὶ τὰ αἰγύπτια ὑποδεδέσθω τῆς τε ἄλλης ἀσφαλείας ἕνεκα, καὶ τῆς πρὸς τοὺς σκορπίους καὶ ὄφεις, οὓς πολλοὺς Αἴγυπτος τρέφει, ὥστε μὴ βλάπτεσθαι παρὰ τῶν τηρούντων τὴν πτέρναν, οὓς πατεῖν ἐκελεύσθημεν.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. [Παρεσκευάσθαι χρὴ] χερσί τε καὶ ποσὶ, καὶ τῇ λοιπῇ πρὸς τὴν ὁδὸν ἀσφαλείᾳ, ὡς ἂν μὴ ταῖς ἀκάνθαις τοῦ βίου· ἄκανθαι δ' ἂν εἶεν αἱ ἁμαρτίαι· γυμνοῖς τε καὶ ἀφυλάκτοις τοῖς ποσὶ βλαβείημεν, τὴν τῶν ὑποδημάτων στεῤῥότητα τῶν ποδῶν προβαλλώμεθα. ταῦτα δέ ἐστιν ὁ ἐγκρατὴς καὶ κατεσκληκὼς βίος, ὁ θραύων δι' ἑαυτοῦ καὶ περικλῶν τὰς τῆς ἀκάνθης ἀκμὰς, καὶ κωλύων ἐκ λεπτῆς τε καὶ ἀφανοῦς ἀρχῆς τὴν ἁμαρτίαν ἐπὶ τοῦ εἴσω ὠθεῖσθαι.

ΚΥΡΙΛΛΟΥ. Σημαίνει δὲ τὸ ὑπόδημα τὴν ἑτοιμότητα τῆς γνώμης πρὸς τὸ βαδίζειν ἀμελητὶ πρὸς ὅπερ ἂν βούλοιτο Θεός. ἐπεὶ καὶ Παῦλος οὕτω νοήσας γράφει· καὶ
Ἐφεσ. 6. 15. ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ, καὶ τὰ ἑξῆς.

Καὶ αἱ βακτηρίαι ὑμῶν ἐν ταῖς χερσὶν ὑμῶν. E

* ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Περὶ δὲ τῆς βακτηρίας οὕτως ἔχω, καὶ τοῦ περὶ ταύτην αἰνίγματος. τὴν μὲν, ὑπερειστικὴν οἶδα· τὴν δὲ, ποιμαντικὴν καὶ διδασκαλικὴν, καὶ τὰ λογικὰ πρόβατα ἐπιστρέφουσαν. ἀλλὰ σοὶ τοίνυν τὴν ὑπερείδουσαν ὁ νόμος διακελεύεται· μήπου τὸν λογισμὸν ὀκλάσῃς αἷμα Θεοῦ καὶ πάθος ἀκούων καὶ θάνατον, Z μήπου περιενεχθῇς ἀθέως, ὡς Θεοῦ συνήγορος· ἀλλ' ἀνεπαισχύντως καὶ ἀνενδοιάστως φάγε τὸ σῶμα, πίε τὸ αἷμα, εἰ τῆς ζωῆς ἐπιθυμητικῶς ἔχεις, μήτε τοῖς περὶ σαρκώσεως ἀπιστῶν λόγοις, μήτε τοῖς περὶ τὸ πάθος βλαπτόμενος· ἐρηρεισμένος ἵστασο, πάγιος, βεβηκὼς, ἐν μηδενὶ σαλευόμενος ὑπὸ τῶν ἀντικειμένων, μηδὲ A πιθανότητος λόγοις παρασυρόμενος· ἐπὶ τὸ ὕψος αὐτοῦ στῆθι. ἐν ταῖς αὐλαῖς Ἱερουσαλὴμ στῆσον τοὺς πόδας· ἐπὶ τῆς πέτρας ἔρεισον, ἵνα μὴ σαλεύηταί σου τὰ κατὰ Θεὸν διαβήματα.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ἥτ' αὖ τῶν θηρίων ἀμυντικὴ βακτηρία, ὁ τῆς ἐλπίδος λόγος ἐστὶν, ᾧ καὶ τὸ κάμνον τῆς ψυχῆς ὑπερείδομεν, καὶ τὸ ὑλακτοῦν ἀμυνόμεθα.

B ΚΥΡΙΛΛΟΥ. Ῥάβδος δὲ ἡ μετὰ χεῖρας, τὴν ἀντιστηρίζουσαν ἡμῶν ἐλπίδα, καὶ ἀνέχουσαν πρὸς ὑπομονὴν, ὑποφαίνει.

Καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς. πάσχα ἐστὶ Κυρίου.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί φεύγουσιν ἐπιτελέσαι προσέταξε τὴν ἑορτὴν τοῦ πάσχα; Ἀείμνηστον ἐβουλήθη φυλαχθῆναι τῆς σωτηρίας τὴν μνήμην. διά τοι τοῦτο καὶ νο-
Γ „ μοθετῶν, ἔλεγεν· ἐὰν ἐρωτήσῃ σε ὁ υἱός-
„ σου, λέγων, τί ἐστι τὸ πάσχα; ἐρεῖς ὅτι ἐν
„ τῇ σήμερον ἡμέρᾳ ἐξήγαγε τοὺς πατέρας
„ ἡμῶν Κύριος ὁ Θεὸς ἐκ γῆς Αἰγύπτου. τούτου χάριν παρακελεύεται ταύτην ἐπιτελοῦντας τὴν ἑορτὴν, τῆς ὁδοιπορίας περι-
„ κεῖσθαι τὸ σχῆμα. ἔστωσαν γάρ φησιν αἱ
„ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ τὰ ὑπο-
„ δήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ
Δ „ βακτηρίαι ἐν ταῖς χερσὶν ὑμῶν· καὶ ἔδε-
„ σθε αὐτὸ μετὰ σπουδῆς. πάσχα ἐστὶ Κυρίου.
τὸ δὲ πάσχα ὁ μὲν Φίλων (1) ἡρμήνευσε, διαβατήρια· ὁ δὲ Ἰώσηπος, (2) ὑπερβασία· ὁ δὲ Σύμμαχος, ὑπέρβασις· ὁ δὲ Θεοδοτίων, Φασέχ, αὐτὴν τὴν Ἑβραίαν φωνὴν τεθεικώς. σημαίνει δὲ τὸ ὄνομα τῶν Ἑβραίων, πρωτοτόκων ἡ σωτηρία. παρεκελεύσατο γὰρ δέσμην ὑσσώπου λαβεῖν, καὶ τῷ αἵματι τοῦ θυομένου προβάτου ἐμβάψαντας τοὺς σταθμοὺς ἐπιχρίσαι καὶ E τὴν φλιάν· ἵνα ὅτε εἰσέλθῃ ὁ ὀλοθρεύων πατάξαι τὰ πρωτότοκα τῶν Αἰγυπτίων, ἰδὼν τὸ αἷμα, ὑπερβῇ τῶν Ἑβραίων τὰς οἰκίας. οὐκ ἐπειδὴ τοιούτων ἐδεῖτο σημείων ἡ ἀσώματος φύσις, ἀλλ' ὅτι διὰ τοῦ συμβόλου κἀκείνους ἔδει μαθεῖν τὴν τοῦ Θεοῦ κηδεμονίαν, καὶ ἡμᾶς τοὺς ἄμωμον ἀμνὸν θύοντας γνῶναι προδιαγραφέντα τὸν τύπον.

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Κατὰ σπουδὴν μὲν, Z ἵνα μὴ πάθωμεν ὅπερ ὁ Λὼτ ἐκεῖνος ἀπηγόρευται παρὰ τῆς ἐντολῆς. μὴ περιβλεψώμεθα, μηδὲ ἱστῶμεν ἐν πάσῃ τῇ περιχώρῳ, εἰς τὸ ὄρος ἀποσωθῶμεν, μὴ συμπαραληφθῶμεν τῷ σοδομιτικῷ καὶ ξένῳ πυρὶ, μηδὲ εἰς στήλην ἁλὸς παγῶμεν ἐκ τῆς ἐπὶ τὸ χεῖρον ἐπιστροφῆς. ὅπερ ἐργάζεται μέλλησις.

ΤΟΥ

(1) Τῷ δὴ μηνὶ τούτῳ περὶ τεσσαρεσκαιδεκάτην ἡμέραν μέλλοντος τοῦ σεληνιακοῦ κύκλου γίνεσθαι πλησιφαοῦς, ἄγεται τὰ διαβατήρια, δημοφανὴς ἑορτὴ, τὸ Χαλδαϊστὶ λεγόμενον πάσχα. ἐν τῷ 3. λόγ. περὶ βίου Μωϋσ. σελ. 686.

(2) Ὅθεν νῦν ἔτι κατὰ τὸ ἔθος οὕτω θύομεν, τὴν ἑορτὴν πάσχα καλοῦντες. σημαίνει δὲ ὑπερβασία, διότι κατ' ἐκείνην τὴν ἡμέραν ὁ Θεὸς αὐτοὺς ὑπερβὰς Αἰγυπτίοις ἐναπέσκηψε τὴν νόσον. ἐν βιβλ. 2. κεφ. 5. περὶ Ἰουδαϊκ. ἀρχαιολογ.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Τὸ πάσχα τοῦτο τὸ μέγα τε καὶ σεβάσμιον, Φάσκα τοῖς Ἑβραίοις προσαγορεύεται κατὰ τὴν ἐκείνων Φωνήν. δηλοῖ δὲ ἡ Φωνὴ τὴν διάβασιν· ἱστορικῶς μὲν, διὰ τὴν ἐξ Αἰγύπτου πρὸς τὴν Χαναναίαν Φυγὴν καὶ μετανάστασιν· πνευματικῶς δὲ, διὰ τὴν ἐκ τῶν κάτω πρὸς τὰ ἄνω, καὶ τὴν γῆν τῆς ἐπαγγελίας πρόοδον καὶ ἀνάβασιν. ὅπερ δὲ πολλαχοῦ τῆς Γραφῆς συμβὰν εὕρομεν, ἀπὸ τῶν ἀσαφεστέρων μεταποιηθέντα τινὰ τῶν ὀνομάτων ἐπὶ τὸ σαφέστερον, ἢ τῶν ἀγροικοτέρων ἐπὶ τὸ εὐσχημονέστερον, τοῦτο κἀνταῦθα τεθεωρήκαμεν. τοῦ γὰρ σωτηρίου πάθους ὄνομα τοῦτο εἶναί τινες νομίσαντες, εἶτα ἐξελληνίζοντες τὴν Φωνὴν, κατὰ τὴν τοῦ Φι πρὸς τὸ Πι, καὶ τοῦ Κ πρὸς τὸ Χι μεταποίησιν, Πάσχα τὴν ἡμέραν προσηγορεύκασι. παραλαβοῦσα δὲ ἡ συνήθεια τὴν Φωνὴν, ἰσχυροτέραν ἐποίησε, προσρεχούσης τῆς τῶν πολλῶν ἀκοῆς ὡς εὐσεβεστέρῳ τῷ ῥήματι.

ΚΥΡΙΛΛΟΥ. Μετὰ σπουδῆς δὲ ἐσθίεσθαι τὸν ἀμνὸν [ἐπιτάττει.] τὸ μὴ νωθρὸν μηδὲ παρειμένον ἐν ἔργοις ἀγαθοῖς [ἀναφαίνεσθαι δεῖν τὸν ἐν μεθέξει γεγονότα Χριστοῦ σαφῶς δὴ λίαν ὑποτυπῶν. Καὶ μετ' ὀλίγα. Οὐχ ἁβροδίαιτόν τινα καὶ ἀνειμένον ὁρᾶσθαι βούλεται τὸν ἡγιασμένον διὰ Χριστοῦ, ἀλλὰ σχῆμα τὸ τοῖς ὁδίταις πρέπον περιτίθησιν ὁ νόμος αὐτῷ, δύω ταῦτα κατὰ τὸ εἰκὸς ὑπεμφαίνων· ἢ γὰρ ὅτι διαβήσεταί ποτε καὶ δραμεῖται πρὸς ἀλήθειαν τὰ ἐν τύπῳ καὶ σκιᾷ· ἢ ὅτι προσήκει τὸν ἅπαξ μετεσχηκότα Χριστοῦ, γοργοῖς ὥσπερ καὶ εὐτροχωτάτοις ποσὶ ταῖς εἰς τὸ ἀγαθὸν προθυμίαις ἀποκεχρημένον ἐπὶ πᾶσαν ἀρετὴν ἰέναι, τὴν ἐν κόσμῳ βδελυρὰν ἡδονὴν παρατρέχοντα.] ἐπάγει δὲ τὴν αἰτίαν τοῦ δεῖν ὁρᾶσθαι τοιοῦτον, πάσχα λέγων ἐστὶ Κυρίῳ, τουτέστι διαβατήριον· διαβαίνομεν γὰρ ἀπὸ τῆς ἐν κόσμῳ ζωῆς εἰς θεοφιλῆ πολιτείαν· εἶτα καὶ τὸ ἐκ τούτου κέρδος.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀπὸ τῆς πράξεως ἐτέθη τῇ ἑορτῇ τοὔνομα. καλεῖται γὰρ Φασὲ, ὅπερ ἐστὶ πλαλέσι τοῖς βήμασι χρῆσθαι. ὃ δήτινες ἐξελλήνισαν, διὰ τὸ Χριστοῦ πάθος οὕτως εἰρῆσθαι νομίσαντες, καὶ Πάσχα τὸ Φασὲ πεποιήκασι.

ιβ. Καὶ διελεύσομαι ἐν γῇ Αἰγύπτῳ ἐν τῇ νυκτὶ ταύτῃ, καὶ πατάξω πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ ἀνθρώπου ἕως κτήνους· καὶ ἐν πᾶσι θεοῖς Αἰγυπτίων ποιήσω τὴν ἐκδίκησιν. ἐγὼ Κύριος.

ΑΔΗΛΟΥ. Ἐν πᾶσι θεοῖς. ἐσέβοντο γὰρ καὶ ἑρπετὰ καὶ ὄρνεα.

ιγ. Καὶ ἔσται τὸ αἷμα ὑμῖν ἐν σημείῳ ἐπὶ τῶν οἰκιῶν, ἐν αἷς ὑμεῖς ἐστὲ ἐκεῖ. καὶ ὄψομαι τὸ αἷμα, καὶ σκεπάσω ὑμᾶς, καὶ οὐκ ἔσται ἐν ὑμῖν πληγὴ τοῦ ἐκτριβῆναι, ὅταν παίω ἐν τῇ Αἰγύπτῳ.

ΚΥΡΙΛΛΟΥ. Πᾶν μὲν πρωτότοκον ἐν γῇ Αἰγύπτου πατάξειν ἐπαγγέλλεται, αὐτοῖς δὲ τοῖς τὸν ἀμνὸν βεβρωκόσιν ἐν σημείῳ γενέσθαι τὸ αἷμά φησιν, ὡς ὑπὸ σκέπην ἐντεῦθεν εἶναι τὴν παρ' αὐτοῦ. κολάζει μὲν γὰρ ὁ Θεὸς τὸν ἀπειθῆ καὶ ἀνήκοον, καὶ τῆς ἁγιότητος ἀμέτοχον τῆς διὰ Χριστοῦ· γνωρίζει δὲ μόνους καὶ φροντίδος ἀξιοῖ τοὺς κεχρισμένους τῷ αἵματι τοῦ ἀμνοῦ τοῦ ἀληθινοῦ.

ΤΟΥ ΑΥΤΟΥ. Δι' οὗ πάρεστι νοεῖν, ὡς ἐστὶν ἀμήχανον διὰ Μωσέως, ἢ νόμου καταργεῖσθαι θάνατον. ἐξίστησι δὲ τὸν ὀλοθρευτὴν τὸ τίμιον αἷμα Χριστοῦ, καὶ ἀπαλλάττει φθορᾶς τοὺς ἡγιασμένους. ζωὴ γάρ ἐστιν ἐκ ζωῆς, καὶ Θεὸς τῶν ὅλων, ὡς ἐκ Θεοῦ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Καὶ ὄψομαι τὸ αἷμα, καὶ σκεπάσω ὑμᾶς. Ἵνα γνῶμεν, ὡς μυστήριον τὸ τελούμενον, αἰτίαν λέγει μὴ ἐπιβάλλουσαν. ἆρα γὰρ εἰ μὴ τὸ αἷμα ἔβλεπεν, οὐκ ἐγίνωσκεν Ἰουδαίου καὶ Αἰγυπτίου διάκρισιν; καὶ μὴν παρῆν ἡ περιτομὴ, τὸ σημεῖον διακρίνουσα. τοῦτο σύμφωνον τῷ παρὰ τῷ Ἰεζεκιὴλ· ἐφ' οὗ δὲ τὸ σημεῖόν ἐστι, μὴ ἀποκλείνητε. ἵνα εἴπωμεν, ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε. Ἰεζ. 9. 6.

✱ ΤΟΥ ΑΥΤΟΥ. Ὁρᾷς, ὅτι ἄνευ αἵματος οὐχ οἷόν τε ἦν γενέσθαι σωτηρίαν, οὔτε τοῖς πρώτοις, οὔτε τοῖς ἐσχάτοις. (1)

ΤΟΥ ΑΥΤΟΥ. Καθάπερ οἱ ἀνδριάντες οἱ βασιλικοὶ, εἰ καὶ ἄψυχοι, ἀλλ' ὅμως τοὺς καταφεύγοντας ἐμψύχους καὶ αἴσθησιν ἔχοντας ἀνθρώπους σώζουσιν, οὐκ ἐπειδὴ εἰκόνες εἰσὶν, ἀλλ' ὅτι τοῦ βασιλέως· οὕτω δὴ καὶ τὸ αἷμα τοῦ ἀμνοῦ ἀνθρώπους ἔσωσεν, (2) ἀλλ' ὅτι τοῦ αἵματος τοῦ χριστοῦ τύπος ἦν.

ιδ. Καὶ ἔσται ἡ ἡμέρα αὕτη ὑμῖν μνημόσυνον, καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν Κυρίῳ εἰς τὰς γενεὰς ὑμῶν· νόμιμον αἰώνιον ἑορτάσετε αὐτήν.

ιε. Ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε· ἀπὸ δὲ τῆς πρώτης ἡμέρας ἀφανιεῖτε ζύμην ἐκ τῶν οἰκιῶν. πᾶς ὃς ἂν φάγῃ ζύμην, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραὴλ, ἀπὸ τῆς ἡμέρας τῆς πρώτης, ἕως τῆς ἡμέρας τῆς ἑβδόμης.

ΤΟΥ

(1) Τοῖς ὑστέροις. ὁ τῆς Αὐγ. κώδ.

(2) Ἴσ. οὐχ ὅτι αἷμα, ἀλλ' ὅτι τοῦ αἵματος, κτ. ταῦτα δὲ ἄλλως πως συντεταγμένα ἐν τῷ τῆς Αὐγ. κώδ. κεῖται.

A ** ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ἐντεῦθεν ἄρσις τῆς ζύμης ἑπταήμερος· οὗτος γὰρ μυστικώτατος ἀριθμῶν, καὶ τῷ κόσμῳ τούτῳ σύστοιχος· τῆς παλαιᾶς καὶ ὀξώδους κακίας, οὐ γὰρ τῆς ἀρτοποιοῦ τε καὶ ζωτικῆς· ἵνα μηδὲν αἰγύπτιον ἐπισιτιζώμεθα φύραμα, καὶ λείψανον Φαρισαϊκῆς καὶ ἀθέου διδασκαλίας.

ΚΥΡΙΛΛΟΥ. Ἐφ' ἑπτὰ δὲ ὅλαις ἡμέραις ἄρτοις ἀζύμοις τρέφεσθαι κελεύει τοὺς B τὸν ἱερὸν φαγόντας ἀμνόν· καθαρωτάταις ἐπιθυμίαις καὶ πάσης φαυλότητος ἀπῳκισμέναις τὴν ἑαυτῶν ψυχὴν ἀποτρέφειν ἀναπείθων τοὺς ἡγιασμένους [διὰ Χριστοῦ.]

ΘΕΟΔΩΡΙΤΟΥ. Διὰ τοῦτο καὶ ἡμῖν ὁ θεῖος παρακελεύεται Παῦλος, βοῶν,
1. Κορ. 5. 7. 8. ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε
„ νέον φύραμα, καθὼς ἐστὲ ἄζυμοι. καὶ ἐπή-
„ γαγε· καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν Γ
„ ἐτύθη Χριστός. καὶ προσέθηκεν· ὥστε ἑορ-
„ τάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύ-
„ μῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις
„ εἰλικρινείας, [καὶ ἀληθείας.]

ιϛ. Καὶ ἡ ἡμέρα ἡ πρώτη, κεκλήσεται ἁγία· καὶ ἡ ἡμέρα ἡ ἑβδόμη, κλητὴ ἁγία ἔσται ὑμῖν.

ΣΕΥΗΡΟΥ. Κλητὴν ἁγίαν καλεῖ τὴν Δ ἐκ Θεοῦ κληθεῖσαν, οὐκ ἐξ ἀνθρώπων. ἢ οὕτως. ἡ πρώτη, ἁγία· ἡ δὲ ἑβδόμη, κλητὴ ἁγία. ἢ μᾶλλον ἐν τῇ πρώτῃ οὐ γίνεται κλῆσις καὶ συναγωγή. ἀλλ' ἕκαστος ἐν οἴκῳ μένων ἐσθίει τὸ πρόβατον· ἐν δὲ τῇ ἑβδόμῃ, κλῆσις γίνεται, καὶ συναγωγὴ λαῶν. ἀμφότεραι δὲ ὁμοίως ἅγιαι.

ΚΥΡΙΛΛΟΥ. Ἁγία δὲ ἡ πρώτη καὶ ἑβδόμη καλείσθω, φησὶν, ἡμέρα. ἅγιος E γὰρ ἡμῶν ὁ ἐν ἀρχῇ τῆς γενέσεως χρόνος, ἐν παραδείσῳ διαιτωμένου τοῦ Ἀδάμ. ἅγιος δὲ πάλιν ὁ ἐν ἐσχάτοις διὰ Χριστοῦ, δικαιοῦντος ἐν πίστει ἡμᾶς, καὶ εἰς ὅπερ ἦμεν ἐν ἀρχαῖς ἀνακομίζοντος. οὐκοῦν ὅλον ἡμῖν ἐν τούτοις τὸ περὶ τοῦ Σωτῆρος ἡμῶν προανετυποῦτο μυστήριον. διὸ καλῶς πρὸς
Ἰωάν. 5. 46. Ἰουδαίους αὐτός φησιν· εἰ ἐπιστεύετε Μωσῇ,
„ ἐπιστεύετε ἂν ἐμοί. περὶ γὰρ ἐμοῦ ἐκεῖνος
„ ἔγραψε.

Z Πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐταῖς, πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ, τοῦτο μόνον ποιηθήσεται ὑμῖν.

ΣΕΥΗΡΟΥ. Ἀντὶ τοῦ, τὴν πρὸς τὸ σῶμα ἡδυπάθειαν, καὶ ὅσα περὶ τὴν τοῦ βίου ὕλην ἀσχολεῖται περὶ τὴν βάναυσον ἐργασίαν, τοῦτο μὴ ποιεῖτε. τοῦτο γάρ ἐστι λατρευτόν. ὅσα δὲ πρὸς ὠφέλειαν ὁρᾷ H ψυχῆς, ποιεῖν ὁ νόμος οὐ κωλύει. διὸ τὸ πεπτωκὸς πρόβατον εἰς βόθρον οὐκ ἀπηγόρευται ἀνασπᾶν. διὰ τοῦτο καὶ ἡ περιτομὴ ἐν σαββάτῳ ἐγένετο, ὡς πνευματι- A κή τις οὖσα πρᾶξις. ὁ γὰρ περιτεμνόμενος τὸν ἐξ ἡδονῆς καὶ ὕπνου φθειρόμενον ἄνθρωπον ἀποτίθεται τῇ τῆς ἀκροβυστίας ἀποβολῇ. ἥτις ἐστὶ τύπος τοῦ βαπτίσματος.

ΤΟΥ ΑΥΤΟΥ. Λατρευτὸν ἔργον ἐστὶν ὃ μὴ πρὸς ὠφέλειαν ψυχῆς, πρὸς δὲ τὴν σαρκικὴν ἡδυπάθειαν βλέπει. ὅ ἐστιν ἐμπορία, γεωργία, καὶ τὰ ὅμοια.

ΚΥΡΙΛΛΟΥ. Τὸ ἀργεῖν ἐπιτάξας ὁ B νόμος, προσέθηκεν, ὅτι ποιηθήσεται παρὰ πάντων, ὅσαπερ ἂν ποιηθείη πάσῃ ψυχῇ, τουτέστι τὰ φυσικά τε καὶ ἀναγκαῖα. νόμον γὰρ ἡ φύσις οἶδε μόνον τὸν ἑαυτῆς, καὶ παντὸς ἑτέρου κατεξανίσταται νόμου. διακωλύεται δὲ τὸ σύμπαν ὑπ' οὐδενὸς πρὸς τὸ τὰ αὐτῷ τεταγμένα πληροῦν. χρῆμα δὲ φυσικόν τε καὶ ἀναγκαῖον ἡ τροφή. (1)

ιζ. Καὶ φυλάξεσθε τὴν ἐντολὴν Γ ταύτην· ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ ἐξάξω τὴν δύναμιν ὑμῶν ἐκ γῆς Αἰγύπτου. καὶ ποιήσετε τὴν ἡμέραν ταύτην εἰς τὰς γενεὰς ὑμῶν νόμιμον αἰώνιον.

ιη. Ἐναρχομένου τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου, ἀφ' ἑσπέρας ἔδεσθε ἄζυμα, ἕως ἡμέρας μιᾶς καὶ εἰκάδος τοῦ μηνὸς, ἕως ἑσπέρας.

Δ ΑΔΗΛΟΥ. Οὐκοῦν ἡ ἡμέρα ἀπὸ τῆς ἑσπέρας ἄρχεται. οὕτω γὰρ καὶ δεῖ. ἐπείπερ καὶ ἀπὸ τοῦ δρόμου τῆς σελήνης τὴν ἀρίθμησιν ποιούμενοι τοῦ μηνὸς, τότε ὀφείλομεν ἄρχεσθαι τῆς ψήφου τῶν ἡμερῶν τῶν ἑπτὰ, ἀπὸ ιε', ἕως τῆς κα'. σημειωτέον δὲ, ὅτι τὴν νύκτα καὶ τὴν ἡμέραν, μίαν ἡμέραν καλεῖ διὰ τὴν ἀνάστασιν.

ιθ. Ἑπτὰ ἡμέρας ζύμη οὐχ εὑρε- E θήσεται ἐν ταῖς οἰκίαις ὑμῶν. πᾶς ὃς ἂν φάγῃ ζυμωτὸν, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ συναγωγῆς υἱῶν Ἰσραὴλ, ἔν τε τοῖς γειώραις, καὶ τοῖς αὐτόχθοσι τῆς γῆς.

ΩΡΙΓΕΝΟΥΣ. Ἐξολοθρευθήσεται ἄνθρωπος ἕνεκεν ζύμης. καὶ ὁ τῶν ὅλων Θεὸς ὁ χρηματίζων τοὺς νόμους, ὡς ὀλοθρεύει μοιχὸν, ὡς ὀλοθρεύει πόρνον, οὕτως ὀλο- Z θρεύει τὸν ἔχοντα ζύμην ἐν τῇ οἰκίᾳ αὐτοῦ ἐν τῇ τῶν ἀζύμων ἡμέρᾳ. τοῦτο κατὰ Θεόν ἐστι; τοῦτο κατὰ νόμον τὸν οὐράνιόν ἐστιν; ἀλλ' εἴποιμι ἂν, ὅτι ἐὰν ἔχῃς ζύμην πονηρίας, καὶ μὴ ἐξολοθρεύσῃς πᾶσαν ζύμην κακίας ἀπὸ τοῦ ἡγεμονικοῦ σου· τοῦτο γάρ ἐστιν ἡ ἀληθινὴ οἰκία σου· ὁ Θεὸς τῶν ὅλων νομοθετεῖ ἐξολοθρευθῆναί σε, μὴ ἀποβαλόντα τὴν ζύμην τὴν παλαιὰν ἀπὸ σεαυτοῦ. χρὴ γάρ σε ἐλθόντα εἰς τὸν και- H ρὸν τῶν νέων, νέον γενόμενον, μηδὲν
„ ἔχειν ἀρχαῖον. τὰ ἀρχαῖα παρῆλθον, 2. Κορ. 5. 17.
καὶ τὰ ἑξῆς. ὅρα πῶς δεῖ ἑορτάζειν ἐν μηνὶ τῶν νέων τὴν ἑορτὴν τῶν ἀζύμων.

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἄνωθεν δὲ προμεμήνυκε τὴν τῶν ἐθνῶν σωτηρίαν ὁ τῶν ὅλων Θεός. καὶ γὰρ τοὺς προσηλύτους μεταλαγχάνειν τοῦ πάσχα προσέταξε. γειώραν γὰρ τὸν προσήλυτον προσηγόρευσε, καὶ ἰσονομίας αὐτῷ μετέδωκε. ἔσται γάρ» φησιν ὥσπερ ὁ αὐτόχθων τῆς γῆς.

κ. Πᾶν ζυμωτὸν οὐκ ἔδεσθε· ἐν παντὶ κατοικητηρίῳ ὑμῶν ἔδεσθε ἄζυμα.

κα. Ἐκάλεσε δὲ Μωϋσῆς πᾶσαν γερουσίαν υἱῶν Ἰσραὴλ, καὶ εἶπεν αὐτοῖς, ἀπελθόντες, λάβετε ὑμῖν πρόβατα ἑαυτοῖς κατὰ συγγενείας ὑμῶν, καὶ θύσατε τὸ πάσχα.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸν μὲν πρῶτον περὶ τοῦ πάσχα νόμον, ὁ Κύριος ἐχρημάτισε πρὸς Μωϋσῆν τε καὶ Ἀαρών· τὸν δὲ δεύτερον, Μωϋσῆς ἀπὸ τοῦ ἐν αὐτῷ πνεύματος οὐ πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ, τῇ δὲ γερουσίᾳ μόνον ἐντέλλεται.

** ΚΥΡΙΛΛΟΥ. Τὸ κατ' οἴκους πατριῶν, ἤτοι κατὰ συγγενείας λαμβάνεσθαι τὸν ἀμνὸν, ὑποφαίνοιεν ἂν οἶμαί που τῆς πνευματικῆς οἰκειότητος τὸ ὡς ἐν πίστει τε καὶ ὁμονοίᾳ ταυτόν. οὐ γὰρ τοῖς ἐξίτηλα φρονεῖν ᾑρημένοις συνεορτάσομεν, οὐδὲ τοῖς ἕτερα ἄττα παράγε τὸ ὀρθῶς ἔχον καὶ ἀληθῶς φρονεῖν εἰωθόσι κοινωνήσομεν τῆς ἁγίας καὶ ζωοποιοῦ θυσίας. ἀλλὰ τοῖς ὁμόφροσί τε καὶ ἀδελφοῖς ὡς ἐν ἑνότητι πνεύματος, καὶ ἐν ταυτότητι πίστεως.

κβ. Λήψεσθε δὲ δέσμην ὑσσώπου, καὶ βάψαντες ἀπὸ τοῦ αἵματος τοῦ παρὰ τὴν θύραν, καθίξετε τῆς φλιᾶς, καὶ ἀπ' ἀμφοτέρων τῶν σταθμῶν ἀπὸ τοῦ αἵματος ὅ ἐστι παρὰ τὴν θύραν.

** ΚΥΡΙΛΛΟΥ. Τὸν ὕσσωπον πόαν εἶναί φασι, καὶ δὴ καὶ ἰατρῶν θαυμάζουσι παῖδες, ὡς οὐχ ἀνικάνως ἔχουσαν εἴς γε τὸ δύνασθαι καὶ μάλα γενικῶς τὴν ἐν σπλάγχνοις ἐκτήκειν ἀκαθαρσίαν, καὶ καταλεπτύνειν εὖ μάλα τὰ τῶν φλεγμάτων συμπεπηγότα, εἰ ἄτοι τὸ τῆς ἐνούσης αὐτῇ φυσικῆς θερμασίας εὐσθενές. συνῆπται δὴ οὖν, καθάπερ ἔφην ἀρτίως, τῇ ὑσσώπῳ τὸ αἷμα, πλαγίως ἡμῖν τοῦ τύπου σημαίνοντος, ὡς οὐ μόνον ἡμᾶς ἀπαλλάττει φθορᾶς τὸ τίμιον αἷμα χριστοῦ, ἀλλὰ γὰρ καὶ ἁπάσης ἀκαθαρσίας τῆς εἰς τὸ εἴσω κεκρυμμένης· ἀποψύχεσθαι μὲν οὐκ ἐᾷ πρὸς τὸ ῥᾴθυμον, ζέοντας δὲ μᾶλλον ἀποτελεῖ τῷ πνεύματι.

ΤΟΥ ΑΥΤΟΥ. Θύραν δὲ νοήσεις τῆς ἀρτίως εἰρημένης οἰκίας τὰς ἐν ἡμῖν αἰσθήσεις, δι' ὧν ταῖς ἁπάντων καρδίαις ἡ τῶν πραγμάτων διακονεῖται ποιότης, καὶ ἡ τῶν ἐπιθυμιῶν ἀμέτρητος ἐπιχεῖται πλη-

A θύς. θυρίδας δὲ αὐτὰς καλεῖ ὁ προφήτης » Ἰωὴλ, λέγων, καὶ εἰσελεύσονται κλέπται Ἰωήλ. 2. 9.
» διὰ τῶν θυρίδων ἡμῶν. οὐ γὰρ ἦσαν καταкεχρισμέναι τῷ αἵματι τοῦ χριστοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Δοκεῖ δὲ καὶ τὸ καθ' ἱστορίαν σημαίνειν τὸν ὕσσωπον, ᾧ περιθέντες σπόγγον ὄξους διψῶντι τῷ Σωτῆρι προσήνεγκαν.

ΩΡΙΓΕΝΟΥΣ. Φλιᾶς μὲν, ὡς ἀποδέδωκέ τις τῶν πρὸ ἡμῶν, τοῦ λογικοῦ· ἀμφοτέρων δὲ τῶν σταθμῶν, θυμικοῦ, καὶ ἐπιθυμητικοῦ. B

ΤΟΥ ΑΥΤΟΥ. Οὐ γὰρ αὐτὸς γενόμενον τὸν ὀλοθρευτὴν δι' ἐπινοίας ἐκβάλλομεν, ἀλλ' ὅπως ἂν μηδὲ τὴν ἀρχὴν παρεισδύῃ, φυλακὴν διὰ τοῦ νόμου ποιούμεθα. φυλακὴ δέ ἐστι καὶ ἀσφάλεια τὸ τῷ αἵματι τοῦ ἀμνοῦ τήν τε φλιὰν καὶ τοὺς σταθμοὺς τῆς εἰσόδου κατασημαίνεσθαι. (1). Γ

Ὑμεῖς δὲ οὐκ ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου αὐτοῦ ἕως πρωΐ.

ΚΥΡΙΛΛΟΥ. Θύρα τῆς οἰκίας ἡμῶν
» ἐστὶν ὁ χριστὸς, ὁ εἰπὼν, ἐγώ εἰμι ἡ θύρα· Ἰωάν. 10. 9.
οἰκία δὲ ἡ ἐκκλησία. εἴ τις οὖν βούλεται μηδὲν παθεῖν ὑπὸ τοῦ ὀλοθρευτοῦ, μὴ ἐξελθέτω τὴν θύραν τῆς οἰκίας αὐτοῦ, μηδὲ ἀναχωρείτω ἀπὸ τῆς ἐκκλησίας. ἐκκλησία δέ ἐστιν, οὐχὶ τὸ εἶναι ἐν τῷ οἴκῳ, ἔνθα Δ δοκοῦσι συνάγεσθαι οἱ τῆς ἐκκλησίας, ἀλλὰ καὶ τὸ διάνοιαν εἶναι ἐν αὐτοῖς τοῦ πράττειν ἔργα, ἃ κελεύεταί τις ποιεῖν ἐν ἐκκλησίᾳ. Καὶ μετ' ὀλίγα. Μηδεὶς ἔξω γενέσθω τῆς θύρας τοῦ οἴκου αὐτοῦ, τουτέστι μὴ ἐξέρχεσθε ἑαυτῶν. ὅταν γὰρ ἐν τοῖς πάθεσι γενώμεθα, ἐξερχόμεθα ἀπὸ τῆς θύρας· ὅτε δὲ παρ' αὐτοῖς ἐσμὲν, συστρέψαντες ἑαυτῶν τὸν νοῦν, καὶ τὸν λόγον ἔχομεν ἔνδον τῆς οἰκίας, καὶ οὐκ ἐξερχόμεθα τῆς E θύρας. (2)

** ΤΟΥ ΑΥΤΟΥ. Ὅτι δὲ ἀναγκαῖον καὶ λυσιτελὲς τοῖς γε ἅπαξ ἠξιωμένοις μεταλαχεῖν τοῦ χριστοῦ τὸ ἀσφαλῆ τε καὶ ἀνεξίτητον ποιεῖσθαι φιλεῖν τὴν ἐν ἁγιασμῷ ζωὴν, ὑποσημαίνει πάλιν ὁ νόμος, εἴσω καθίζων θυρῶν τοὺς τὸν ἀμνὸν κατεδηδοκότας, ἵνα μὴ τοῖς Αἰγυπτίοις συνολοθρευθεῖεν, τῶν οἴκων ἐκβεβηκότες. ἐνZ δοιάσαι γὰρ οὐ θέμις ὡς ἀπαστισοῦν τῶν τελούντων ἐν ἡγιασμένοις οἴκον ὥσπερ τινὰ τὴν ἀρετὴν ἔχων, εἰ ἐξοίχοιτό πως ἁγιασμοῦ, συνδιολεῖται τοῖς ἄλλοις καὶ συνυποκείσεται ταῖς ποιναῖς, αἵπερ ἂν ἐπιφέροιντο τοῖς τὴν ἀσελγῆ καὶ ἀνίατον κατηῤῥωστηκόσι ζωήν. ταύτητοι καὶ ὁ θε-
» σπέσιος ἡμῖν μελῳδὸς, μὴ συναπολέσῃς, Ψαλ. 25. 9, 10.
» φησὶ, μετὰ ἀσεβῶν τὴν ψυχήν μου, καὶ
» μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. ὧν ἐν
H» χερσὶν αἱ ἀνομίαι. ἄθρει δὴ οὖν ὅπως, οὐκ
» ἐξελεύσεσθε, φησὶ, τὴν θύραν τοῦ οἴκου
» ὑμῶν ἕως πρωΐ. νυκτὶ μὲν γὰρ παρεικάζει τὸ

(1) Τὰ αὐτὰ καὶ ὁ Νύσσης (ἐν τῇ θεωρ. εἰς τὸν τοῦ Μωϋσ. βίον.) ὧν μέρ. ἐν τῷ 7. ἐδ. τοῦ δὲ τοῦ κεφ.
(2) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται· ἀλλ' οὐδ' ἔοικε τῶν τοῦ Κυρίλ.

A τὸ γράμμα τὸ ἱερὸν, τὸν αἰῶνα τὸν ἐνεστηκότα· ἡμέραν δὲ αὖ ἔσεσθαι προσδωκωμένην, αἰῶνα τὸν μέλλοντα. Καὶ μετ' ὀλίγα. Οὐκοῦν τὸ μέχρι παντὸς τοῦ βίου, κατα» σημαίνειεν ἂν τὸ, ἕως πρωῒ, τουτέστιν ἕως ἂν ὁ μέλλων ἀναδειχθείη καιρός. πῶς δ' ἂν καὶ τοῦτο γένοιτο πρὸς ἡμῶν; ἐν γὰρ τῷ τέλει τῆς ἑκάστου ζωῆς, μονονουχὶ καὶ εἰσβέβηκεν ὁ μέλλων αἰών· εἴπερ ἐστὶν ἀληθὲς, ὅτι δεδικαίωται μὲν ἀπὸ ἁμαρτίας ὁ θάνατον ὑποδύς. Ἰώβ. 3. 23. B συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ, κατὰ τὸ γεγραμμένον, τετήρηται δὲ τῷ βήματι τοῦ Χριστοῦ· καὶ ὡς ἂν ἔχοι τῷ ἰδίῳ τέλει καταληφθεὶς, οὕτω καὶ παραστήσεται.

κγ. Καὶ παρελεύσεται Κύριος
πατάξαι τοὺς Αἰγυπτίους, καὶ ὄψεται
τὸ αἷμα ἐπὶ τῆς φλιᾶς, καὶ ἐπ' ἀμ-
φοτέρων τῶν σταθμῶν· καὶ παρελεύ-
Γ σεται Κύριος τὴν θύραν, καὶ οὐκ ἀφή-
σει τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς
κδ. οἰκίας ὑμῶν πατάξαι. Καὶ φυλά-
ξασθε τὸ ῥῆμα τοῦτο νόμιμον σεαυτῷ,
κε. καὶ τοῖς υἱοῖς σου ἕως αἰῶνος. Ἐὰν δὲ
εἰσέλθητε εἰς τὴν γῆν, ἣν ἂν δῷ Κύ-
ριος ὑμῖν, καθότι ἐλάλησε, φυλά-
κϛ. ξασθε τὴν λατρείαν ταύτην. Καὶ
Δ ἔσται ἐὰν λέγωσι πρὸς ὑμᾶς οἱ υἱοὶ
ὑμῶν, τίς ἡ λατρεία αὕτη;

κζ. Ἐρεῖτε αὐτοῖς, θυσία τὸ πάσχα τοῦτο Κυρίῳ, ὃς ἐσκέπασε τοὺς οἴκους τῶν υἱῶν Ἰσραὴλ ἐν Αἰγύπτῳ, ἡνίκα ἐπάταξε τοὺς Αἰγυπτίους, τοὺς δὲ οἴκους ἡμῶν ἐρρύσατο. καὶ κύψας ὁ λαὸς προσεκύνησε.

E ΑΔΗΛΟΥ. Σημείωσαι, ὅτι θυσία ἐστὶ τὸ πάσχα, καὶ ὅτι οἱ μὴ ἱερεῖς οὐ δύνανται ποιῆσαι τοῦτο· ὅμως ἐν τῷ Δευτερονομίῳ Δευτ. 16. 6. ἐν μόνῃ τῇ ἐκλελεγμένῃ πόλει λέγει θύεσθαι τὸ πάσχα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπεὶ οὕτως ἦσαν ἀναίσθητοι καὶ ἀγνώμονες, τῇ ὑποθέσει τῶν ἑορτῶν ἐγκατέδησε τῶν δωρεῶν τὰ ὑπομνήματα ὁ Θεός· καὶ διὰ τοῦτο καὶ τὸ Z » πάσχα θύειν ἐκέλευσεν, ἵνα ἐάν σε ἐρωτή» ση, φησὶν, ὁ υἱός σου, τί ἐστι τὸ πάσχα τοῦτο; εἴπῃς, ὅτι τοῦ προβάτου τὸ αἷμα ἐπέχρισαν ταῖς θύραις ποτὲ ἡμῶν οἱ πρόγονοι ἐν Αἰγύπτῳ, ἵνα μὴ ὁ ὀλοθρεύων ἐλθὼν καὶ ἰδὼν τολμήσῃ εἰσπηδῆσαι, καὶ ἐπαγάγῃ πληγήν. καὶ ἦν ἡ ἑορτὴ λοιπὸν ὑπόμνησις σωτηρίας διηνεκής. μᾶλλον δὲ οὐ τοῦτο μόνον ἐκέρδαινον, ὅτι τῶν παλαιῶν αὐτοὺς ἀνεμίμνησκεν εὐεργετημάτων, ἀλ- H λὰ καὶ ἕτερον μεῖζον, ὅτι τὰ μέλλοντα προδιετύπου. καὶ γὰρ τύπος ἦν ἐκεῖνος ὁ ἀμνὸς ἑτέρου ἀμνοῦ πνευματικοῦ, καὶ πρόβατον προβάτου· καὶ τὸ μὲν ἦν σκιὰ, τὸ δὲ ἀλήθεια.

κη. Καὶ ἀπελθόντες, ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καθὰ ἐνετείλατο Κύριος τῷ Μωϋσῇ καὶ Ἀαρὼν, οὕτως ἐποίησαν.

κθ. Ἐγενήθη δὲ μεσούσης τῆς νυκτὸς, καὶ Κύριος ἐπάταξε πᾶν πρωτότοκον ἐν ὅλῃ γῇ Αἰγύπτου, ἀπὸ πρωτοτόκου Φαραὼ τοῦ καθημένου ἐπὶ θρόνου, ἕως πρωτοτόκου τῆς αἰχμαλωτίδος τῆς ἐν τῷ λάκκῳ, καὶ πᾶν πρωτότοκον κτήνους.

ΚΥΡΙΛΛΟΥ. (1) Δι' Ἀγγέλων γὰρ ὁ Θεὸς τὰς θανατηφόρους ταύτας ἐπάγει πληγὰς, ὡς καὶ [ἐν] ταῖς Βασιλείαις 4. Βασ. 19. 35. ἔγνωμεν πῶς ἐν μιᾷ νυκτὶ ὁ Ἄγγελος ἀνεῖλε τῶν Ἀσσυρίων ρπέ χιλιάδας.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τῶν Αἰγυπτίων ἀνεῖλε τὰ πρωτότοκα; Ἐπειδὴ πρωτόγονον ὄντα τοῦ Θεοῦ τὸν Ἰσραὴλ, ἄγαν σκληρῶς ἐκεῖνος ἐδουλαγώγει· τοῦτο γὰρ καὶ » αὐτὸς εἴρηκεν ὁ δεσπότης Θεὸς, υἱὸς πρω- Ἐξόδ. 4. 22. » τότοκός μου Ἰσραήλ· μάλα δικαίως τὰ τῶν Αἰγυπτίων πρωτότοκα θανάτῳ παρέπεμψεν. ἰστέον μέντοι, ὡς ὁ πρωτόγονος καὶ ἀδελφοὺς ἔχει. ὁ γὰρ πρωτόγονος, ἢ πρωτότοκος πολλῶν ἐστὶ πρῶτος. γινωσκέτω τοίνυν ὁ Ἰσραὴλ, ὡς πρῶτος μὲν τοῦ Θεοῦ λαὸς ἐχρημάτισε· πεπιστευκότα δὲ τὰ ἔθνη, οὐ μόνον τῆς σωτηρίας τετύχηκεν, ἀλλὰ καὶ τῶν πρωτοτοκίων ἀπήλαυσε. » λαὸς γὰρ λαοῦ ὑπερέξει· καὶ ὁ μείζων δου- Γεν. 25. 23. » λεύσει τῷ ἐλάσσονι.

** ΒΑΣΙΛΕΙΟΥ. Πολλαχοῦ οἱ λάκκοι ὀνομάζονται τὰ ὑπόγεια ὀρύγματα, εἰς φυλακὴν δεσμίων ἐπιτετηδευμένα. οὕτω » γὰρ εἴρηται ἐν τῇ ἐξόδῳ· ἀπὸ πρωτοτόκου » Φαραὼ, ἕως πρωτοτόκου τῆς αἰχμαλωτί» δος τῆς ἐν τῷ λάκκῳ.

λ. Καὶ ἀνέστη Φαραὼ νυκτὸς, καὶ πάντες οἱ θεράποντες αὐτοῦ, καὶ πάντες οἱ Αἰγύπτιοι, καὶ ἐγενήθη κραυγὴ μεγάλη ἐν πάσῃ γῇ Αἰγύπτου· οὐ γὰρ ἦν οἰκία, ἐν ᾗ οὐκ ἦν ἐκεῖ τεθνηκώς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Συνέβη καὶ διὰ τὴν κοινοπραγίαν τοῦ πάθους ἁπάντων ἀθρόως ὁμοθυμαδὸν ἐκβοησάντων, ἕνα θρῆνον ἀπὸ περάτων ἐπὶ πέρατα συνηχῆσαι κατὰ πάσης τῆς χώρας. καὶ μέχρι μὲν ἐν ταῖς οἰκίαις διέτριβον, ἀγνοοῦν ἕκαστος τὸ τοῦ πλησίον κακὸν, ἐπὶ τῷ ἑαυτοῦ μόνον ἔστενε· προελθὼν δὲ καὶ γνοὺς τὰ τῶν ἄλλων, διπλοῦν πένθος πρὸς τῷ ἰδίῳ καὶ τὸ κοινὸν εὐθὺς ἐλάμβανεν, ἐπ' ἐλάττονι καὶ κουφοτέρῳ μεῖζον καὶ βαρύτερον, ἅτε καὶ τὴν ἐλπίδα τῆς παραμυθίας ἀφῃρημένος.

(1) Τοῦ Ὠριγένους ἐστίν. οὐ γὰρ ἐν τοῖς τοῦ Κυρίλ. ἀλλ' ἐν τοῖς τοῦ Ὠριγέν. ἐκδεδομ. κεῖται.

ρημένος. τίς γὰρ ἔμελλε παρηγορεῖν ἕτερον, αὐτὸς ὢν τοῦδε χρεῖος;

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ἐντεῦθεν ἡ τελευταία καὶ βαρυτάτη τοῖς διώκταις πληγὴ, καὶ νυκτὸς ὄντως ἀξία. καὶ θρηνεῖ τὰ πρωτότοκα τῶν οἰκείων λογισμῶν καὶ
Ἡσ. 48. 14. πράξεων Αἴγυπτος· ὃ καὶ σπέρμα χαλδαϊκὸν ἐξαιρόμενον τῇ Γραφῇ καλεῖται, καὶ
Ψαλ. 136. 9. νήπια βαβυλώνια τῇ πέτρα προσκρουόμενα καὶ λυόμενα, καὶ βοῆς πάντα μεστὰ, καὶ κραυγῆς Αἰγυπτίοις. καὶ ἡμῶν ἀποχωρήσει τὴν ἰκαῦτα ὁ ἐκείνων ὀλοθρευτὴς, αἰδοῖ καὶ φόβῳ τοῦ χρίσματος.

λα. Καὶ ἐκάλεσε Φαραὼ Μωϋσῆν καὶ Ἀαρὼν νυκτὸς, καὶ εἶπεν αὐτοῖς, ἀνάστητε, καὶ ἐξέλθετε ἐκ τοῦ λαοῦ μου, καὶ ὑμεῖς, καὶ οἱ υἱοὶ Ἰσραήλ· βαδίζετε, λατρεύετε Κυρίῳ τῷ Θεῷ ὑμῶν, καθὰ λέγετε.

ΑΔΗΛΟΥ. Τινὲς δὲ λέγουσι, πῶς Μω-
Ἐξόδ. 10. 29. σῆς εἰπὼν, οὐκ ἔτι ὀφθήσομαί σοι εἰς πρό-
„ σωπον, νῦν ἔρχεται πρὸς αὐτόν; Καὶ τό-
„ τε ὡς ὑπακούων τῷ Φαραὼ εἶπεν, εἴρηκας,
ἀντὶ τοῦ ὃ λέγεις ποιῶ· καὶ νῦν καλούμε-
„ νος, μονονουχὶ λέγει, εἴρηκας, ἰδοὺ πάλιν
ὀφθήσομαί σοι, ὡς βασιλεῖ ὑπακούων, κατὰ
Τίτ. 3. 1. τὸ, ἀρχαῖς καὶ ἐξουσίαις, καὶ τὰ ἑξῆς.

λβ. Καὶ τὰ πρόβατα, καὶ τοὺς βόας ὑμῶν ἀναλαβόντες πορεύεσθε, εὐλογήσατε δὲ κἀμέ.

λγ. Καὶ κατεβιάζοντο οἱ Αἰγύπτιοι τὸν λαὸν σπουδῇ ἐκβαλεῖν αὐτοὺς ἐκ τῆς γῆς· εἶπαν γὰρ, ὅτι πάντες ἡμεῖς ἀποθνήσκομεν.

✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὅπερ δὲ ἐν τοῖς τοιούτοις φιλεῖ, τὰ παρόντα νομίσαντες ἀρχὴν εἶναι μειζόνων, καὶ περὶ τῆς τῶν ἔτι ζώντων ἀπωλείας καταδείσαντες, συνέδραμον εἰς τὰ βασίλεια δεδακρυμένοι, καὶ τὰς ἐσθῆτας περιερρηγμένοι κατεβόων τοῦ βασιλέως, ὡς πάντων αἰτίου τῶν συμβεβηκότων δεινῶν. Καὶ μετ' ὀλίγα. Εἶτ' ἄλλος ἄλλον παρεκάλει τὸν λεὼν μετὰ πάσης σπουδῆς ἐξ ἁπάσης τῆς χώρας ἐξελαύνειν, καὶ τὸ μίαν ἡμέραν, μᾶλλον δὲ ὥραν αὐτὸ μόνον κατασχεῖν, πρὸς ἀνήκεστον τιμωρίαν τιθέμενοι.

λδ. Ἀνέλαβε δὲ ὁ λαὸς τὸ ἄλευρον (1) αὐτῶν πρὸ τοῦ ζυμωθῆναι τὰ φυράματα αὐτῶν ἐνδεδεμένα ἐν τοῖς ἱματίοις αὐτῶν, ἐπὶ τῶν ὤμων.

✻ ΚΥΡΙΛΛΟΥ. Οὐ γὰρ οἶμαι δεῖν τοὺς τῷ Θεῷ κολλᾶσθαι μέλλοντας οἰκειότητά τε πρὸς αὐτὸν ᾐρημένους, κακίας λείψανον ἐπιφέρεσθαι κοσμικῆς, οὔτε μὴν ἀλλοτρίαις καὶ ἀνιέροις ἐφοδιάζεσθαι τροφαῖς, δῆλον δὲ ὅτι ταῖς νοηταῖς. ἀζύμους δὲ εἶναι φιλεῖν, ἄρτου τε ἐφίεσθαι λοιπὸν τοῦ ζωογονοῦντος τὸν κόσμον. ἑορτάσειαν γὰρ οἱ τοιοίδε καθαρῶς, καὶ τὴν ἀξιόληπτον τῷ Θεῷ λατρείαν ἀποπεραίνοντες, ὑπ' αὐτῷ μενοῦσι διαπαντός.

λε. Οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐποίησαν καθὰ συνέταξεν αὐτοῖς Μωσῆς· καὶ ᾔτησαν παρὰ τῶν Αἰγυπτίων σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἱματισμόν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τῆς βιαίας ἐργασίας δίκαιον ἀπαιτοῦντες μισθόν. (2)

λς. Καὶ Κύριος ἔδωκε χάριν τῷ λαῷ αὐτοῦ ἐναντίον τῶν Αἰγυπτίων· καὶ ἔχρησαν αὐτοῖς· καὶ ἐσκύλευσαν τοὺς Αἰγυπτίους.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μετὰ τὴν τῶν πρωτοτόκων τῶν Αἰγυπτίων ἀπώλειαν οἱ Ἑβραῖοι διωκόμενοι καὶ ἐλαυνόμενοι, τῆς αὐτῶν εὐγενείας εἰς ἔννοιαν ἐλθόντες, τόλμημα τολμῶσιν ὁποῖον εἰκὸς ἦν τοὺς ἐλευθέρους καὶ μὴ ἀμνήμονας, ὧν ἐπεβουλεύθησαν ἀδίκως. πολλὴν γὰρ λείαν ἐκφορήσαντες, τὴν μὲν αὐτοὶ διεκόμιζον ἐπηχθισμένοι, τὴν δὲ τοῖς ὑποζυγίοις ἐπέθεσαν· οὐ διὰ φιλοχρηματίαν, ἢ ὡς ἄν τις κατηγορῶν εἴποι, τὴν τῶν ἀλλοτρίων ἐπιθυμίαν· πόθεν; ἀλλὰ πρῶτον μὲν, ὧν παρὰ πάντα τὸν χρόνον ὑπηρέτησαν, ἀναγκαῖον μισθὸν κομιζόμενοι· εἶτα δὲ ὑπὲρ ὧν κατεδουλώθησαν ἐν ἐλάττοσι καὶ οὐχὶ τοῖς ἴσοις ἀντιλυποῦντες. ποῦ γὰρ ἐστὶν ὅμοιον ζημία χρημάτων καὶ στέρησις ἐλευθερίας; ὑπὲρ ἧς οὐ μόνον προΐεσθαι τὰς οὐσίας οἱ νοῦν ἔχοντες, ἀλλὰ καὶ ἀποθνήσκειν ἐθέλουσιν. ἐν ἑκατέρῳ δὴ κατώρθουν, εἴθ' ὡς ἐν εἰρήνῃ μισθὸν λαμβάνοντες, ὃν παρ' ἀκόντων πολὺν χρόνον οὐκ ἀποδιδόντων ἀπεστεροῦντο· εἴθ' ὡς ἐν πολέμῳ τὰ τῶν ἐχθρῶν φέρειν ἀξιοῦντες νόμῳ τῶν κεκρατηκότων. οἱ μὲν γὰρ χειρῶν ἦρξαν ἀδίκων, ξένους καὶ ἱκέτας, ὡς ἔφην πρότερον, καταδουλωσάμενοι τρόπον αἰχμαλώτων· οἱ δὲ, καιροῦ παραπεσόντος, ἠμύναντο δίχα τῆς ἐν ὅπλοις παρασκευῆς, προασπίζοντος καὶ τὴν χεῖρα ὑπερέχοντος τοῦ δικαίου.

λζ. Ἀπῆραν δὲ οἱ υἱοὶ Ἰσραὴλ ἐκ Ῥαμεσσῆ εἰς Σοκχὼθ εἰς ἑξακοσίας χιλιάδας πεζῶν, οἱ ἄνδρες, πλὴν τῆς ἀποσκευῆς.

✻✻ ΙΩΣΗΠΟΥ. Τὸ μὲν πᾶν πλῆθος τῶν μεταναστάντων γυναιξὶν ἅμα καὶ τέκνοις σκοποῦσιν οὐκ εὐαρίθμητον ἦν. οἱ δὲ στρατεύσιμον ἔχοντες ἡλικίαν ἑξήκοντα μυριάδες ἦσαν.

λη. Καὶ

(1) Τὸ στέαρ. ἡ ἐν Φρανεκ. καὶ ἡ ἐν Κανταβρ. ἐκδόσ. ὡσαύτως καὶ Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 46. ἡ δὲ τοῦ Ἀλδ. ἐκδ. τὰ στέατα.

(2) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

λη. Καὶ ἐπίμικτος πολὺς συνανέβη αὐτοῖς, καὶ πρόβατα, καὶ βόες, καὶ κτήνη πολλὰ σφόδρα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὗτοι ἦσαν οἱ ἐκ γυναικῶν γεννηθέντες τοῖς Ἑβραίοις Αἰγυπτίων, καὶ τῷ πατρῴῳ γένει προσνεμηθέντες· καὶ ὅσοι τὸ θεοφιλὲς ἀγάμενοι τῶν ἀνδρῶν ἐπηλύται ἐγένοντο. καὶ εἴ τινες τῶν μεγέθει καὶ πλήθει τῶν ἐπαλλήλων κολάσεων σωφρονισθέντες, μετεβάλοντο.

λθ. Καὶ ἔπεψαν τὸ σταῖς, ὃ ἐξήνεγκαν ἐξ Αἰγύπτου, ἐγκρυφίας ἀζύμους, οὐ γὰρ ἐζυμώθη· ἐξέβαλον γὰρ αὐτοὺς οἱ Αἰγύπτιοι, καὶ οὐκ ἠδυνήθησαν ὑπομεῖναι· οὐδὲ ἐπισιτισμὸν ἐποίησαν ἑαυτοῖς εἰς τὴν ὁδόν.

μ. Ἡ δὲ παροίκησις τῶν υἱῶν Ἰσραὴλ, ἣν παρῴκησαν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν γῇ Χαναὰν, αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν, τετρακόσια τριάκοντα ἔτη.

ΑΔΗΛΟΥ. Ἔνθα μὲν λέγει ὁ λόγος,
Πραξ. 7. 6. ὅτι μετὰ υ ἔτη ἐπανέρχονται οἱ υἱοὶ Ἰσραὴλ, μόνα τὰ ἔτη ἃ ἔμειναν ἐν Αἰγύπτῳ ἀριθμεῖ· ὅταν δὲ εἴπῃ, υλ', καὶ ἃ ἔμειναν ἐν γῇ Χαναὰν μετὰ Ἰακὼβ μετὰ τὸ ἐπανελθεῖν αὐτὸν ἐκ Μεσοποταμίας ἀριθμεῖ.
Ἐξόδ. 13. 18. λέγει γὰρ πάλιν, » πέμπτῃ δὲ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραήλ. ὥσπερ οὖν ἀριθμεῖται ὁ χρόνος, ὃν ἔμειναν ἐν γῇ Χαναὰν, οὕτω καὶ ὧδε συναριθμουμένου τοῦ Ἰακώβ.
Γεν. 15. 16. ὅταν δὲ εἴπῃ τετάρτῃ γενεᾷ· Ἰακὼβ ἐγέννησε τὸν Λευῒ, Λευῒ τὸν Καὰθ, ἐξ οὗ Ἀαρὼν, ἐξ οὗ Ἐλεάζαρ· οὐκ ἀριθμεῖ τὸν Ἰακώβ.

μα. Καὶ ἐγένετο μετὰ τὰ τετρακόσια τριάκοντα ἔτη, ἐξῆλθε πᾶσα ἡ δύναμις Κυρίου ἐκ γῆς Αἰγύπτου νυκτός.

ΚΥΡΙΛΛΟΥ. Μετὰ δὲ τὸ σκυλεῦσαι τοὺς Αἰγυπτίους, καὶ τῶν πρωτοτόκων τὸν θάνατον, λελύτρωνται μόλις οἱ ἐξ Ἰσραὴλ, καταθύσαντες τὸν ἀμνὸν εἰς τύπον χριστοῦ. ἦν γὰρ οὐχ ἑτέρως τότε δυνασθαι τυχεῖν· ἐπείπερ ἐστὶ πᾶσα λύτρωσις ἐν χριστῷ, καὶ δι' αὐτοῦ πᾶσα δόσις ἀγαθή. ἐκπέμπονται δὲ τῆς Αἰγυπτίων κατὰ μέσην νύκτα, μονονουχὶ σκότους τε ὁμοῦ καὶ δουλείας ἀπαλλαττόμενοι. ἐν γάρτοι σκότῳ τῷ νοητῷ, ἦν οὐκ ἐν φωτὶ τῷ θείῳ, τὸ δοῦλον εἰς ἁμαρ-
Ἰωάν. 3. 20. τίαν ἀείπως εἶναι φιλεῖ. πᾶς γὰρ ὁ τὰ
» φαῦλα πράσσων μισεῖ τὸ φῶς, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν.

* ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ἐντεῦθεν φεύγομεν Αἴγυπτον, τὴν σκυθρωπὴν καὶ διώκτριαν ἁμαρτίαν, καὶ Φαραὼ τὸν ἀόρατον τύραννον, καὶ τοὺς πικροὺς ἐργοδότας, πρὸς τὸν ἄνω μετασκευαζόμενοι κόσμον,

A καὶ τοῦ πηλοῦ καὶ τῆς πλινθείας ἐλευθερούμεθα, τῆς τε τοῦ ἀχύρου καὶ σφαλερᾶς τοῦ σαρκίου τοῦδε συστάσεως, καὶ μηδ' ὅσον ἀχυρώδεσι λογισμοῖς ἐπὶ τῶν πολλῶν κρατουμένης.

μβ. Προφυλακή ἐστι Κυρίου, ὥστε ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ἐκείνη ἡ νὺξ αὕτη προφυλακὴ Κυρίου, ὥστε πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ εἶναι εἰς
B γενεὰς αὐτῶν.

» Νὺξ αὕτη προφυλακή. Ἀκύλας, παρατηρήσεως. Σύμμαχος, παρατετηρημένη. Σαμαρειτικὸν, φυλάξεως ἐστὶ τῷ Κυρίῳ.

μγ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν, οὗτος ὁ νόμος τοῦ πάσχα. πᾶς ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτοῦ.

μδ. Καὶ πάντα οἰκέτην τινὸς, ἢ ἀργυρώνητον περιτεμεῖς αὐτόν· καὶ τότε φάγεται ἀπ' αὐτοῦ.

ΩΡΙΓΕΝΟΥΣ. Ἀκολούθως τοῖς παρατεθεῖσι τρίτος ἐστὶν οὗτος νόμος, ὃν εἶπε πάλιν ὁ Κύριος παρὰ τοὺς δύο νόμους. πρόσχες δὲ τῇ ἀκριβείᾳ τῆς Γραφῆς, ὅτι οὐκ εἶπε τοῦτον τὸν νόμον τὸν περὶ τοῦ πάσχα ὁ Κύριος ἐν τῇ ἀρχῇ. εἰ γὰρ εἰρήκει ἔτι ὄν-
Δ των ἐν Αἰγύπτῳ, πρὶν ἀπᾶραι ἐκ τῆς Αἰγύπτου τὸν Ἰσραὴλ τὸ, » πᾶς ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτοῦ, καὶ πάντα οἰκέτην τινὸς καὶ ἀργυρώνητον περιτεμεῖς· καὶ τότε φάγεται ἀπ' αὐτοῦ, οὐκ ἂν ἐξεληλύθησαν ὁ ἐπίμικτος πολὺς ὄχλος ὁ ἐξελθὼν ἐξ Αἰγύπτου. ἐτήρησεν οὖν τὸν νόμον τοῦτον, ἵνα μετὰ τὸ ἐξελθεῖν τοὺς βουλομένους δοθῇ ἄλλος νόμος. Καὶ μετ' ὀλίγα. Ἐὰν οὖν ἀλληγορῶμεν ταῦτα εἰς τὴν ψυχὴν ἡμῶν, ἐροῦμεν·
E ὅτι οἰκογενεῖς μέν εἰσιν οἱ συμπεφυκότες ἡμῖν καὶ γεωργηθέντες λόγοι, καὶ ἐπιστῆμαι, ἀπὸ συμφύτων ἐννοιῶν ἀρξάμενοι· ἀργυρώνητοι δὲ, ὅσοι ἐκ διδασκαλίας ἡμῖν ἐπιγίνονται ἔξωθεν ἀπὸ μαθημάτων. πάντως οὖν δεῖ φησὶ περιτέμνειν καὶ καθαίρειν καὶ τοὺς οἰκογενεῖς, καὶ τοὺς ἀργυρωνήτους. ἀλλογενῆ δὲ οὐδένα δεῖ παραλαμβάνειν, οἷον ἀλλότριον δόγμα προσιεμένους. ἀλλογενῆ γὰρ οὐ παραδέχεται, ὃς βούλεται βε-
Z βηλῶσαι τὴν ἑορτὴν τοῦ Κυρίου.

με. Πάροικος καὶ μισθωτὸς οὐκ ἔδεται ἀπ' αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Πάροικός ἐστιν ἐκκλησίας, ὅστις πρὸς ἡμέρας συνάγεται, μετὰ ταύτας καὶ μετὰ θείαν ἀκολουθίαν καὶ μύησιν ἀποστάτης γενόμενος· ὃς οὐκ ἔδεται ἀπὸ τοῦ προβάτου. μισθωτὸς δὲ ὥσπερ ἐκεῖ-
H νος, οὗ μὴ τὰ πρόβατα ἴδια, καὶ διὰ τοῦτο τῷ λύκῳ παραχωρῶν. φιλεῖ γὰρ οὐχ ὅλῃ ταῦτα ψυχῇ· ἀλλὰ διὰ τοὺς μισθοὺς τοὺς ἔξωθεν δοκεῖ περιέπειν τὰ πρόβατα. οὕτω καὶ ὁ μισθωτὸς ὁ ἐν υἱοῖς Ἰσραὴλ ὁ τῇ δυσε-

βείᾳ

A βείᾳ προφάσει μισθὸν (1) προσερχόμενος, πορισμὸν δοκῶν τὴν εὐσέβειαν, καὶ πλουτεῖν ἐντεῦθεν οἰόμενος. τοιοῦτοι καὶ οἱ διὰ δόξαν ἀνθρώπων μετιόντες τὰς ἀρετάς. ὁ γὰρ τέλειος, ὡς ὁ πατὴρ ὁ οὐράνιος, αὐτὰς δι' ἑαυτὰς ἐπιτηδεύει τὰς ἀρετὰς, (Σοφ. 1. 1.) ἀγάπῃ τούτων καὶ πόθῳ, κατὰ τὸ, ἀγαπήσατε δικαιοσύνην οἱ κρίνοντες τὴν γῆν. τὸ γὰρ διά τι γιγνόμενον, ἔλαττόν ἐστιν ἐκείνου δι' ὃ γίγνεται. ὡς προτιμᾶσθαι τῆς ἀρετῆς, τὸν μισθόν. B διόπερ ὁ τοιοῦτος οὐκ ἐσθίει τὸ πάσχα τοῦ χριστοῦ, τῆς δικαιοσύνης ἄλλο τὶ προτιμῶν.

μς. Ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, καὶ οὐ καταλείψετε ἀπὸ τῶν κρεῶν εἰς τὸ πρωῒ, καὶ οὐκ ἐξοίσετε ἀπὸ τῆς οἰκίας τῶν κρεῶν ἔξω· καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ.

Γ ✱ ΩΡΙΓΕΝΟΥΣ. Εἰ γὰρ ἐν ἐκκλησίᾳ ἐσθίεις λόγους Θεοῦ, ἐσθίεις δὲ καὶ εἰς Ἰουδαίων συναγωγὴν, παραβαίνεις τὴν λέγουσαν ἐντολὴν, ἐν οἰκίᾳ μιᾷ βρωθήσεται. εἰ δὲ μεταλαμβάνεις λόγων Θεοῦ ἐν οἰκίᾳ μιᾷ τῇ ἐκκλησίᾳ, εἶτα καταλιπὼν αὐτὴν, ὑπολαμβάνεις μεταλαμβάνειν Θεοῦ ἐν αἱρετικῇ συναγωγῇ, λεγούσης τῆς ἐντολῆς, ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, σὺ οὐκ ἐσθίεις ἐν οἰκίᾳ μιᾷ. μίαν οὖν ἐννοήσας οἰκίαν τὴν ἐκκλησίαν, μηδαμοῦ ἔσθιε τοῦ προβάτου ἔξω Δ γενόμενος τῆς οἰκίας.

ΤΟΥ ΑΥΤΟΥ. Ἐκκλησιαστικὸν λόγον οὐ δεῖ ἔξω τῆς ἐκκλησίας πρεσβεύειν, ὡς ἔξω τῆς ἐκκλησίας μὴ ἐκφέρειν τὰ κρέα· φημὶ δὴ εἰς συναγωγὰς Ἰουδαίων, ἢ αἱρετικῶν. ὅμοιον γάρ ἐστι τὸ ῥίψαι τοὺς μαργαρίτας [ἔμπροσθεν τῶν χοίρων.]

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τὸ, ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, φυλάττουσιν οἱ πιστοὶ, ἐν μόνῃ E τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ τῶν θείων μεταλαμβάνοντες μυστηρίων, τὰς δὲ τῶν αἱρετικῶν συναγωγὰς βδελυττόμενοι.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἐπὶ τὸ πάσχα τιθεὶς νόμον, καταθύεσθαι μὲν προσέταξε τὸν ἀμνὸν, πλὴν ἐν οἰκίᾳ, φησὶ, βρωθήσεται μιᾷ, καὶ οὐκ ἐξοίσετε τῶν κρεῶν αὐτοῦ ἔξω. μεμέρισται γὰρ οὐδαμῶς ὁ χριστὸς, ἀλλ' εἷς ὁλοκλήρως καὶ ἐν ἑκάστῳ καὶ ἐν Z πᾶσιν ἐστὶ, καὶ αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, συλλέγων ἡμᾶς εἰς ἕνωσιν τήν τε πρὸς ἀλλήλους ἐν ὁμοψυχίᾳ, καὶ τὴν δι' ἑαυτοῦ πρὸς Θεὸν ἐν πνεύματι.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἐκέλευσεν ὁ νόμος τὸ πρόβατον θύεσθαι κατὰ τὴν ἡμέραν, ἤτοι τὴν ἑορτὴν τοῦ πάσχα. καὶ ἦν εἰς τύπον χριστοῦ. ἀλλ' ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, φησὶ, καὶ οὐκ ἐξοίσετε τῶν κρεῶν αὐτοῦ. ἔξω τοίνυν τὸ δῶρον ἐκφέρουσιν οἱ H μὴ ἐν τῇ μιᾷ καὶ καθολικῇ οἰκίᾳ τοῦ χριστοῦ, τουτέστι τῇ ἐκκλησίᾳ, τελοῦντες αὐτόν.

A μζ. Πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ποιήσει αὐτό.

μη. Ἐὰν δέ τις προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος ποιῆσαι τὸ πάσχα Κυρίου, περιτεμεῖς αὐτοῦ πᾶν ἀρσενικόν· καὶ τότε προσελεύσεται ποιῆσαι αὐτό· καὶ ἔσται ὥσπερ ὁ αὐτόχθων τῆς γῆς. πᾶς ὁ ἀπερίτμητος οὐκ B ἔδεται ἀπ' αὐτοῦ.

ΣΕΥΗΡΟΥ. Γινώσκομεν γὰρ, ὡς ἡ ἐν σαρκὶ περιτομὴ τυπικῶς γενομένη τὸ παλαιὸν, εἰκόνα ἐπεῖχε τοῦ σωτηρίου βαπτίσματος, διὰ τῆς ἀποβολῆς τῆς ἀκροβυστίας τὴν ἄρνησιν δηλοῦσα τῆς κατὰ σάρκα γεννήσεως, καὶ υἱοὺς ποιοῦσα τοὺς περιτεμνομένους Θεοῦ.

ΩΡΙΓΕΝΟΥΣ. Πᾶν γέννημα ψυχῆς νοητὸν ὑπερβαῖνον τὰ ὑλικὰ, (ὑλικὰ δὲ Γ τὰ θήλεα) περιτέμνειν καὶ καθαίρειν δεῖ, ἵν' οὕτω τὶς μεταλαμβάνῃ τῶν κρεῶν τοῦ πάσχα. ὡς αὐτόχθων δὲ τῆς γῆς καὶ ὁ προσήλυτος γίνεται. οὐ γὰρ τὰ σπέρματα προτιμᾷ ὁ Θεὸς τὰ εὐγενῆ, ἀλλὰ προαίρεσιν ἀποδέχεται.

ΤΟΥ ΑΥΤΟΥ. Ἀπερίτμητον τῇ σαρκὶ τὸν μὴ περιτεμνόμενον τὰ σαρκικά φησιν, ὥσπερ καὶ ἀπερίτμητον ὀφθαλμοῖς τὸν βλέποντα πρὸς ἃ μὴ δεῖ.

Δ ΤΟΥ ΑΥΤΟΥ. Ὁρᾶτε μή τις ὑμῶν ἀπερίτμητός ἐστι τῇ καρδίᾳ· μή τις οὐ περιτέτμηται τὰς περιτομὰς, ἃς ὁ λόγος διδάσκει περιτέμνεσθαι. ποίας δὲ ταύτας; ἀπερίτμητοι τὰ ὦτα ὀνειδίζονταί τινες ὄντες, καὶ ὅτε (2) οὐ περιτέτμηνται τὴν ἀκοὴν, ἀκάθαρτοί εἰσιν. ἀπερίτμητος χείλεσιν ὁ μὴ περιτεμνόμενος τοὺς λόγους τοὺς ἐναντίους καὶ ἀκαθάρτους. οὕτως ἐστὶ καὶ E ἀπερίτμητον εἰπεῖν τῇ σαρκὶ, τὸν μὴ περιτεμνόμενον τὰ σαρκικὰ πράγματα· καὶ ἀπερίτμητον ὀφθαλμοῖς, τὸν βλέποντα ἃ μὴ δεῖ, καὶ μὴ καθαίροντα τὸ ὁρατικόν· καὶ ἀπερίτμητον χερσὶ, τὸν πράττοντα ἃ μὴ χρή.

μθ. Νόμος εἷς ἔσται τῷ ἐγχωρίῳ καὶ τῷ προσηλύτῳ τῷ προσελθόντι ἐν ὑμῖν.

Z ν. Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καθὰ ἐνετείλατο Κύριος τῷ Μωϋσῇ καὶ Ἀαρὼν πρὸς αὐτοὺς, οὕτως ἐποίησαν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὁ μὴ κατὰ τὸ γράμμα δεχόμενος, ἀκούων δὲ τοῦ βουλήματος τῆς Γραφῆς, οὗτός ἐστιν ὁ ποιῶν καθάπερ ἐλάλησε Κύριος τῷ Μωσεῖ καὶ Ἀαρών.

να. Καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, H ἐξήγαγε Κύριος τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν.

ΚΕΦ.

(1) Ἴσ. μισθοῦ.

(2) Καὶ ὅσα. ἐν Τόμ. 2. σελ. 124.

ΚΕΦ. ΙΓ.

α. Ἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, λέγων.

β. Ἁγίασόν μοι πᾶν πρωτότοκον πρωτογενὲς διανοῖγον πᾶσαν μήτραν ἐν τοῖς υἱοῖς Ἰσραὴλ ἀπὸ ἀνθρώπε ἕως κτήνες, ἐμοί ἐστιν.

ΑΔΗΛΟΥ. Ὑποφόρες ποίησόν μοι τὲς πρωτοτόκες, ἤτοι ἀφόρισόν μοι.

ΑΛΛΟΣ. Τῶν θείων εὐεργεσιῶν μὴ ὑπάρχειν ἀμνήμονα τὸν λαὸν πραγματευόμενος ὁ Θεὸς, ἀφιερῦν τὰ πρωτότοκα κελεύει ἀντὶ τῶν πρωτοτόκων τῶν Αἰγυπτίων.

ΚΥΡΙΛΛΟΥ. Εὐαφόρμως μὲν ἦν ὁ τῶν ὅλων Θεὸς τὴν τῶν πρωτοτόκων ἀνάθεσιν αἰτεῖ, καὶ αὐτῷ χρῆναι διϊσχυρίζεται καθιερῦν ἡμᾶς τὰ ἀρσενικά. ἐπειδὴ γὰρ διολώλασι μὲν τὰ Αἰγυπτίων πρωτότοκα, σέσωσαι δὲ πανοικὶ, καὶ διέδρα τὸν ὄλεθρον ὁ ἠγαπημένος Ἰσραὴλ τῷ αἵματι τῦ ἀμνῦ κατακεχρισμένος, ὃς ἦν εἰς τύπον Χρισῦ, τῦ δι' ἡμᾶς ἐν νεκροῖς γεγονότος, ἵνα καταργήσῃ τὸν θάνατον, ταύτῃ τοι δικαίως εἶεν ἂν αὐτοῖς μὲν ὲκ ἔτι τὰ σεσωσμένα· πρέποι δ' ἂν μᾶλλον αὐτὰ διακεκλῆσθαι λοιπὸν ὡς ἴδια τὸν ὑπὲρ αὐτῶν κεκινδυνευκότα. ὅνπερ γὰρ τρόπον οἱ τὲς ἤδη γεγονότας ὑπὸ χεῖρα βαρβαρικὴν ἀπαλλάττειν ἰχύοντες, καὶ τῆς ἀδοκήτως ἐπενεχθείσης δελείας ἐλευθερῦν, διὰ τῦ τὴν πρὸς ἐκείνες ἀνατλῆναι μάχην, μονονεχὶ τὴν δεσποτικὴν λοιπὸν ἐπέχεσι τάξιν, αἵματι τῷ ἰδίῳ τὲς ἁλόντας κατακτώμενοι· κατὰ τὸν ἴσον, οἶμαι, τετονὶ λόγον καὶ ὁ Κύριος ἡμῶν Ἰησῦς Χρισὸς τὸ τῶν ἀκαθάρτων δαιμόνων δελώσας ξίφος, καὶ τὸ ἴδιον αἷμα τεθεικὼς ὑπὲρ ὑμῶν· ἀποσήσας τε ὕτω τὸν θάνατον, καὶ καταλύσας τὴν φθορὰν, ἰδίες ἡμᾶς ποιεῖται λοιπὸν, ὡς τὴν ἑαυτῶν μὲν ὲκ ἔτι, τὴν αὐτῦ δὲ μᾶλλον διαζῶντας ζωήν. εἰ μὴ γὰρ ἀπέθανεν ὑπὲρ ἡμῶν, ὲκ ἂν διεσώθημεν· καὶ εἰ μὴ γέγονεν ἐν νεκροῖς, ὲκ ἂν τὸ δυσάντητον τῦ θανάτε κατεσείσθη κράτος. Καὶ πάλιν. (1) Ὥσπερ ὖν μονονεχὶ τὴν τῦ σφαγέντος ἀμνῦ ζωὴν ἔζων οἱ ἐξ Ἰσραὴλ, ὕτω καὶ ἡμεῖς ὲχὶ τὴν ἰδίαν ἔτι διαζῶμεν ζωὴν, ἀλλὰ τὴν τῦ δι' ἡμᾶς ἀποθανόντος Χρισῦ· εἰ καὶ ἀνεβίω πάλιν. ζωὴ γὰρ ἦν κατὰ φύσιν, ὡς Θεός.

ΤΟΥ ΑΥΤΟΥ. [Ἀγαπᾷ τὸ πρωτότοκον ὁ Θεὸς καὶ πατὴρ, ὡς ἐν εἰκόνι Χρισῦ διαπρέπον. μόνα δὲ ἀπόλεκτα τὰ ἀρσενικὰ τῶν πρωτοτόκων.] ἔδει γὰρ σώζεσθαι τῷ Χρισῷ τὸ αὐτὸ μάλισα πρεπωδέστατον κάλλος καὶ ἐν τοῖς κατ' εἰκόνα τὴν πρὸς αὐτὸν, ὡς ἐν εἴδει τῷ τῶν πρωτοτόκων μεμορφωμένοις. ἔστι γὰρ ὁμῦ πρωτοτόκος τε καὶ ἄρσην, ὅτι μὴ οἶδε μαλακισμὸν τὸν εἰς ἁμαρτίαν. μαλακισμῦ δὲ τύπος τὸ θῆλυ. δεῖ δὴ ὖν ἄρα τὲς τὴν εἰκόνα φορῦντας Χρισῦ παραιτεῖσθαι μὲν φρόνημα τὸ θηλυπρεπὲς, ἀποσείεσθαι δὲ μᾶλλον ὡς ἐπάρατον ἀληθῶς καὶ Θεῷ κατεσυγημένον τὸ μαλθακόν τε καὶ ἄναλκες, καὶ σφριγῶσαν ἔχειν καὶ ἀνδροπρεπῆ τὴν προθυμίαν, εἰς γε τὸ δύνασθαί γε φημὶ κατορθῦν ἀρετήν.

γ. Εἶπε δὲ Μωϋσῆς πρὸς τὸν λαὸν, μνημονεύετε τὴν ἡμέραν ταύτην, ἐν ᾗ ἐξήλθετε ἐξ Αἰγύπτε, ἐξ οἴκε δελείας· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγε Κύριος ὑμᾶς ἐντεῦθεν. καὶ ὲ βρωθήσεται ζύμη.

δ. Ἐν γὰρ τῇ σήμερον ὑμεῖς ἐκπορεύεσθε ἐν μηνὶ τῶν νέων.

** ΙΩΣΗΠΟΥ. Κατέλιπον τὴν Αἴγυπτον μηνὶ ξανθικῷ, πέμπτῃ καὶ δεκάτῃ κατὰ σελήνην.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι ἐν ἡμέρᾳ τῶν νέων ἐξῆλθον οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτε, τῇ δεκάτῃ τετάρτῃ ἡμέρᾳ τῦ μηνός. ὅτε ἔφαγον τὸ πάσχα ἦλθον εἰς Ῥαμεσῆ, ἦλθον εἰς Σοκχώθ, ὡς κεῖται ἐν τοῖς Ἀριθμοῖς, ἐν πεντηκοσῷ ἐννάτῳ ἀριθμῷ. Ἀριθ. 33. 5.

ε. Καὶ ἔσαι ἡνίκα εἰσαγάγῃ σε Κύριος ὁ Θεός σε εἰς τὴν γῆν τῶν Χαναναίων, καὶ Χετταίων, καὶ Ἀμοῤῥαίων, καὶ Εὐαίων, καὶ Ἰεβεσαίων, καὶ Γεργεσαίων, καὶ Φερεζαίων, ἣν ὤμοσε τοῖς πατράσι σε δῦναί σοι γῆν ῥέεσαν γάλα καὶ μέλι· καὶ ποιήσεις τὴν λατρείαν ταύτην ἐν τῷ μηνὶ τέτῳ.

ϛ. Ἓξ ἡμέρας ἔδεσθε ἄζυμα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ ἑορτὴ Κυρίε.

ΑΔΗΛΟΥ. Αἱ μὲν ὖν ἓξ, ἀζύμων ἦσαν· ἡ δὲ ἑβδόμη καὶ ἑορτὴν εἶχε, συναγωγὴν λαῶν, ἀναγνώσματα, θυσίας, καὶ ἄλλ' ὅ,τι παρὰ τὰς ἄλλας.

ζ. Ἄζυμα ἔδεσθε τὰς ἑπτὰ ἡμέρας· ὲκ ὀφθήσεταί σοι ζυμωτὸν, ὲδὲ ἔσαι σοι ζύμη ἐν πᾶσι τοῖς ὁρίοις σε,
η. ἑπτὰ ἡμέρας. Καὶ ἀναγγελεῖς τῷ υἱῷ σε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγων, διὰ τῦτο

(1) Τὸ, καὶ πάλιν, τὸ μετ' ὀλίγα ἐμφαίνει. ἐν γὰρ τοῖς ἐκδεδομένοις ὀλίγα τινὰ ἐν τῷ μεταξὺ κεῖται.

τοῦτο ἐποίησε Κύριος ὁ Θεός μοι, ὡς ἐξεπορευόμην ἐξ Αἰγύπτου.

θ. Καὶ ἔσαι σοι σημεῖον ἐπὶ τῆς χειρός σου, καὶ μνημόσυνον πρὸ ὀφθαλμῶν σου, ὅπως ἂν γένηται ὁ νόμος Κυρίου ἐν τῷ σόματί σου· ἐν [γὰρ] χειρὶ κραταιᾷ ἐξήγαγέ σε Κύριος ἐξ Αἰγύπτου.

ΑΔΗΛΟΥ. Ἀπὸ μεταφορᾶς τῶν δεσμούντων τοὺς ἑαυτῶν δακτύλους πρὸς ὑπόμνησιν πραγμάτων· ἢ καθὼς οἱ σφραγιζόμενοι τὴν χεῖρα ἐκ βασιλέως στρατιῶται· οὕτω καὶ οὗτοι στρατευθέντες ὑπὸ Κυρίου, ἵνα ποιῶσι τὰ προστάγματα.

ι. Καὶ φυλάξασθε τὸν νόμον τοῦτον κατὰ καιροὺς ὡρῶν, ἀφ' ἡμερῶν
ια. εἰς ἡμέρας. Καὶ ἔσαι ὡς ἂν εἰσαγάγῃ σε Κύριος ὁ Θεός σου εἰς τὴν γῆν τῶν Χαναναίων, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου· καὶ δώσω σοι αὐτήν.

ιβ. Καὶ ἀφοριεῖς πᾶν διανοῖγον μήτραν, τὰ ἀρσενικὰ τῷ Κυρίῳ· πᾶν διανοῖγον μήτραν ἐκ τῶν βουκολίων σου, ἢ ἐν τοῖς κτήνεσί σου, ἁγιάσεις ὅσα ἂν γένηταί σοι, τὰ ἀρσενικὰ τῷ Κυρίῳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὰ μέντοι πρωτότοκα καὶ τῶν βοῶν καὶ τῶν προβάτων προσφέρεσθαι νενομοθέτηκεν ὁ δεσπότης Θεὸς, τῆς τῶν πρωτοτόκων σωτηρίας ἀναμιμνήσκων. οὐδὲ γὰρ αὐτὸς τῶν θυμάτων ἐδεῖτο, ἀλλὰ τὴν ἐκείνων ὠφέλειαν ἐπραγματεύετο. τοῦτο γὰρ καὶ αὐτὸς ὁ νόμος δηλοῖ· » ἐὰν ἐρωτήσῃ σε ὁ υἱός σου, λέγων, τί ἐστι » τοῦτο; καὶ ἐρεῖς πρὸς αὐτὸν, ὅτι ἐν χειρὶ » κραταιᾷ ἐξήγαγεν ἡμᾶς Κύριος ἐκ τῆς » Αἰγύπτου, ἐξ οἴκου δουλείας. ἡνίκα δὲ ἐσκλη- » ρύνθη Φαραὼ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέ- » κτεινε Κύριος πᾶν πρωτότοκον ἐν γῇ Αἰ- » γύπτου ἀπὸ πρωτοτόκου ἀνθρώπων ἕως » πρωτοτόκου κτηνῶν. διὰ τοῦτο ἐγὼ θύω τῷ » Κυρίῳ πᾶν διανοῖγον μήτραν, τὰ ἀρσενι- » κά· καὶ πᾶν πρωτότοκον τῶν υἱῶν μου λυ- » τρώσομαι. καὶ ἔσαι εἰς σημεῖον ἐπὶ τῆς » χειρός σου, καὶ ἀσάλευτον πρὸ ὀφθαλ- » μῶν σου· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ σε » Κύριος ἐξ Αἰγύπτου. τοιγάρτοι τούτων ἕκαστον, οὐ τῆς τοῦ Θεοῦ χρείας ἕνεκα, ἀλλὰ τῆς τοῦ λαοῦ ἐγένετο ὠφελείας.

ιγ. Πᾶν διανοῖγον μήτραν ὄνου, ἀλλάξεις προβάτῳ· ἐὰν δὲ μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό· πᾶν πρωτότοκον ἀνθρώπου τῶν υἱῶν σου λυτρώσῃ.

» ΑΔΗΛΟΥ. Λυτρώσῃ, ἀντὶ τοῦ ἀργύριον ὑπὲρ τιμῆς αὐτοῦ δώσῃς. ἐλευθερώσεις » αὐτό. ὁ δὲ Ἀκύλας, τενοντώσεις. Σύμ-

A » μαχος, ἀποκτενεῖς. Θεοδοτίων, νωτοκο- » πήσεις. Σαμαρειτικὸν, παραδώσεις.

ΚΥΡΙΛΛΟΥ. Ἱερὸν τὸ πρόβατον. τοιγάρτοι καὶ ὑπὲρ ὄνου προσάγεται. ὑπαινίττεται δὲ πάλιν ἡμῖν ὁ νόμος ἐν τούτοις, ὅτι καὶ τὸ βέβηλον ἅγιον ἐν Χριστῷ, καὶ τὸ ἀνίερον ἱερὸν, καὶ δεκτὸν δι' αὐτοῦ καὶ τὸ ἀπαράδεκτον. ἐπειδὴ γὰρ ἦμεν ἁμαρτωλοὶ καὶ ἀκάθαρτοι, γέγονεν αὐτὸς ὑπὲρ ἡμῶν θῦμα ἅγιον, καὶ εἰς ὀσμὴν εὐωδίας.
B ἀπέθανε γὰρ ὑπὲρ ἁμαρτιῶν, δίκαιος ὑπὲρ ἀδίκων, ὑπὲρ τῶν ἀκαθάρτων ὁ καθαρὸς, καθὰ καὶ πρόβατον ὑπὲρ ὄνου. λυτροῦται δέ γε τὰ τῶν ἀνθρώπων πρωτότοκα δώρων κατὰ τὸ εἰκὸς, ἤτοι τίμημα τῶν προσκομιζομένων. (1) διὰ ποίαν αἰτίαν; ὅτι τὸ ἀνατιθέμενον τῷ Θεῷ καταθύεσθαι πάντως ἐχρῆν. παραιτεῖται δὲ τὴν ἀνδροκτονίαν ὁ κτίσας ἐν ἀφθαρσίᾳ τὰ
Γ » πάντα Θεός. οὐ γὰρ ἐποίησε θάνατον, οὐδὲ » τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων, κατὰ τὸ γεγραμμένον· οὔτε μὴν ἴσως τοῖς ἀκαθάρτοις δαίμοσι, τοῖς καταφθειρομένοις· ἐφήδεται (2) δὲ τοῖς εἰς ζωὴν γεγονόσι. προσάττει δὲ μᾶλλον ὑπὲρ αὐτοῦ καταθεῖναι τὸ λύτρον, μονονουχὶ δὲ καὶ διαῤῥήδην ὁμολογεῖν, ὡς αὐτῷ τὴν οἰκείαν ὀφείλομεν ζωήν. τοῦτο γὰρ ἐποίει καὶ τὸ καλούμενον δίδραχμον τελεῖσθαι προσάττων. λύτρον δὲ τὸ ἀληθές τε καὶ ὑπὲρ πάντων αὐτὸς
Δ ἂν νοοῖτο Χριστὸς, δι' οὗ, καὶ ἐν ᾧ νενικήκαμεν τὴν φθοράν. δέδωκε γὰρ ἑαυτὸν ὑπὲρ ἡμῶν.

Σοφ. α. 13.

ιδ. Ἐὰν δὲ ἐρωτήσῃ σε ὁ υἱός σου μετὰ ταῦτα, λέγων, τί τοῦτο; καὶ ἐρεῖς αὐτῷ, ὅτι ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ἡμᾶς Κύριος ἐκ γῆς Αἰγύπτου, ἐξ
ιε. οἴκου δουλείας. Ἡνίκα δὲ ἐσκλήρυνε
E Φαραὼ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ πρωτοτόκου ἀνθρώπων ἕως πρωτοτόκου κτηνῶν. διὰ τοῦτο θύω ἐγὼ τῷ Κυρίῳ πᾶν διανοῖγον μήτραν, τὰ ἀρσενικά· καὶ πᾶν πρωτότοκον τῶν υἱῶν μου λυ-
ις. τρώσομαι. Καὶ ἔσαι εἰς σημεῖον ἐπὶ τῆς χειρός σου, καὶ ἀσάλευτον πρὸ ὀφθαλμῶν σου· ἐν γὰρ χειρὶ κραταιᾷ
Z ἐξήγαγέ σε Κύριος ἐξ Αἰγύπτου.

ιζ. Ὡς δὲ ἐξαπέστειλε Φαραὼ τὸν λαὸν, οὐχ ὡδήγησεν αὐτοὺς ὁ Θεὸς ὁδὸν γῆς Φιλιστιεὶμ, ὅτι ἐγγὺς ἦν· εἶπε γὰρ ὁ Θεὸς, μήποτε μεταμελήσῃ τῷ λαῷ ἰδόντι πόλεμον, καὶ ἀποστρέψῃ εἰς Αἴγυπτον.

ΚΥΡΙΛΛΟΥ. Ἐπ' εὐθείας οὔσης τῆς ὁδοῦ
H τῆς ἀπαγούσης πρὸς τὴν γῆν τῆς ἐπαγγελίας, δι' ἑτέρας αὐτοὺς τῆς ἐν κύκλῳ μακρο-

(1) Τῶν προσδοκιμαζομένων. ἐν Τόμ. 1. μέρ. 1. σελ. 278.

(2) Οὔτε μὴν ἐν ἴσῳ τοῖς ἀκαθάρτοις δαίμοσι, τοῖς καταφθειρομένοις ἐφήδεται. προσάττει δὲ, κτλ. αὐτ.

μακροτέρας ἀποκομίζει, τὸ ἕτοιμον εἰς ἀπόστασιν, καὶ τὸ νενευκὸς εἰς δουλείαν αὐτῶν προεγνωκὼς ὁ πάντων Θεός. Α

** ΤΟΥ ΑΥΤΟΥ. Τοὺς ἀπὸ ζωῆς κοσμικῆς καὶ δαιμονιώδους πλεονεξίας, ὥσπερ τινὸς γῆς Αἰγυπτίων ἀπαίροντας, ὁδὸς εὐθεῖα καὶ ὀλίγη παντελῶς ἀποφέρει πρὸς ἁγιασμὸν, καὶ εἰς ἐλπίδα τὴν παρὰ Θεῷ, πίστις ἡ ἐν Χριστῷ, καὶ ἡ κατ' αὐτὸν δικαίωσις, κατά γε τὸ ὑπὸ τοῦ Παύλου σοφῶς
Ῥωμ. 10. 8. εἰρημένον. ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στό- Β
» ματί σου καὶ ἐν τῇ καρδίᾳ σου, καὶ τὰ ἑξῆς. ταύτην οὖν ἄρα τὴν οὕτως ἀγχοῦ καὶ συνεσταλμένην ὁδὸν διαστείχειν οὐκ ἠφίει τοὺς πάλαι Θεός· ἐπενόει δὲ, ὥσπερ τινὰ κύκλον τὴν ἐπ' εὐθεῖαν οὐκ ἔχοντα, τὸν ἐν περιστροφαῖς λόγων καὶ ἐν αἰνίγμασι νόμον, μακροτέραν ἔχοντα καὶ οὐκ ἀταλαίπωρον τὴν παιδαγωγίαν. ἵνα ὥσπερ τινὰ μελέτησιν τῶν τελειοτέρων τὰ ἐν σκιαῖς ἔχοντες, καὶ προκατηχούμενοι τὸ μυστήριον, μὴ τοῖς τυχοῦσιν ἁπλῶς καταπλοοῖντο δείμασιν, εἰς ἀποδρομὴν καὶ ἀπόστασιν τὴν ἀπὸ Χριστοῦ· Γ προγεγυμνασμένοι δὲ ὥσπερ καὶ ἀναμανθάνοντες τὸ ἀληθῶς ὠφελοῦν, ἑτοιμότεροι μὲν ἂν εἶεν πρὸς τὴν τῆς ἀληθείας ἔφεσίν τε καὶ προθυμίαν, ἐρηρεισμένην δὲ καὶ ἀνακατάσειστον ἔχοιεν τὴν εἰς Θεὸν ἀγάπησιν. διὰ μακρᾶς οὖν ὥσπερ, καὶ οὐκ εὐθείας ὁδοῦ, τῆς κατὰ τὸ γράμμα λατρείας, παιδαγωγὸς ἦν ὁ νόμος. Δ

ιη. Καὶ ἐκύκλωσεν ὁ Θεὸς τὸν λαὸν ὁδὸν τὴν εἰς τὴν ἔρημον, εἰς τὴν ἐρυθρὰν θάλασσαν. πέμπτῃ δὲ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου.

ΔΙΩΔΩΡΟΥ. Πέμπτῃ δέ φησι γενεᾷ
» ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου. ὁ δὲ
» Ἀκύλας, ἐνωπλισμένοι φησί· Σύμμαχος, Ε
» ὁπλῖται. οὐκοῦν εἶχον ὅπλα ἀπ' Αἰγύπτου,
ὡς ἡ τούτων ἔκδοσις δηλοῖ· εἰλήφασι δὲ καὶ τὰ καταποντισθέντα ὕστερον Αἰγυπτίων, ἵνα ἔχοιεν τὰ ἔθνη καταπολεμεῖν.

ΚΥΡΙΛΛΟΥ. Ἀπὸ μὲν τοῦ Ἰακὼβ γενεαλογῶν, εὑρήσεις έ· ἀπὸ δὲ τοῦ Λευΐ, δ'.
Γεν. 15. 16. ὅπερ καὶ ἐν τῇ Γενέσει κεῖται. (1)

** ΤΟΥ ΑΥΤΟΥ. Ἐκλελυτρώμεθα γὰρ ἐκ δουλείας, καὶ μὴν καὶ πόνων τῶν ἐν Ζ εἰκαίοις περισπασμοῖς, καὶ ταλαιπωρίας τῆς περὶ γῆν τε καὶ χοῦν, κατὰ τὴν εὐαγγελικὴν παραβολὴν, ὡς ἐν πέμπτῃ γε-
Ματθ. 20. 1, νεᾷ, τῷ πέμπτῳ καιρῷ. ὁμοία γάρ ἐστιν ἡ
6, 7. » βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπό-
» τῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι
» ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. τοῦτο δὲ καὶ περὶ τὴν ἕκτην τε καὶ ἐνάτην ἔφη δρᾶν. περὶ δὲ τὴν ἑνδεκάτην εὗρεν ἄλλους
» ἀργοὺς, ἔφη τε πρὸς ἐκείνους, τί ἑστήκατε Η
» ὧδε ὅλην τὴν ἡμέραν ἀργοί; ὑπάγετε
» καὶ ὑμεῖς ἐργάζεσθε εἰς τὸν ἀμπελῶνά μου.

Α ἄθρει δὴ οὖν ὡς ἐν πέμπτῃ γενεᾷ πεμπομένους εἰς τὸν ἀμπελῶνα τοὺς τελευταίους, καὶ ἐν καιροῖς τοῖς ἐσχάτοις, ὅτε γέγονεν ἄνθρωπος ὁ μονογενὴς, καὶ τὴν ὑπὲρ τῆς ἁπάντων ζωῆς ὑπομεμένηκε σφαγήν.

ιθ. Καὶ ἔλαβε Μωϋσῆς τὰ ὀστᾶ Ἰωσὴφ μεθ' αὐτοῦ· ὅρκῳ γὰρ ὥρκισεν Ἰωσὴφ τοὺς υἱοὺς Ἰσραὴλ, λέγων,
Β ἐν τῇ ἐπισκοπῇ ᾗ ἐπισκέψεται Κύριος ὑμᾶς, καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ' ὑμῶν.

ΚΥΡΙΛΛΟΥ. Περὶ τῶν ὀστέων Ἰωσὴφ σημειωτέον, ὅτι οἱ μὲν Ἰουδαῖοι χρυσὸν καὶ ἄργυρον ἐπεφέροντο, ὡς νηπιώδεις· ὁ δὲ πνευματικὸς Μωσῆς μηδένα μιασμὸν ὑφορώμενος, τὰ ὀστᾶ Ἰωσὴφ ἐβάσταζεν. (2)

** ΙΟΥΣΤΙΝΟΥ. Εἰ ἐναντία ἑαυτῷ
Γ Μωσῆς οὐκ ἐδίδασκε, τὰ μὲν ὀστέα τοῦ Ἰωσὴφ ἐπαγόμενος, τὸν δὲ ἁπτόμενον νεκροῦ ὡς ἀκάθαρτον μυσαττόμενος· καὶ εἰ ἦν τὶς εὔλογος παρὰ τούτῳ αἰτία, ταύτην μὲν νυνὶ μάθωμεν· τίνος δὲ ἕνεκεν ἡ Γραφὴ οὐκ εἶπε δι' ἣν αἰτίαν ἐκεῖνα ποιῶν Μωσῆς, ταῦτα ἐδίδασκεν; Ἐπειδὴ τελευτῶν ὁ Ἰωσὴφ περὶ τῆς μετακομιδῆς τῶν ὀστέων αὐτοῦ ὥρκισε τοὺς υἱοὺς Ἰσραήλ· καὶ ἦν ἀμφότερα τῷ Μωσῇ εἰς φυλακὴν προκείμε-
Δ να, τὸ μὴ παραβαίνειν τὸν ὅρκον, καὶ τὸ μὴ ἅπτεσθαι νεκροῦ· διὰ τοῦτο τῇ λύσει τοῦ νόμου λέγοντος μὴ ἅψασθαι νεκροῦ, ἐφύλαξε τὸν ὅρκον ἀπαράβατον. ἀδύνατον γὰρ ἦν αὐτῷ ἀμφότερα φυλάξαι ἀπαράβατα, καὶ τὸν νόμον, καὶ τὸν ὅρκον. τῇ μείζονι οὖν φυλακῇ τοῦ ὅρκου, ἔλυσε τὴν ἐλάττονα φυλακὴν τοῦ νόμου. πανταχοῦ γὰρ τὸ ἔλαττον κακὸν αἱρετώτερον τοῦ μείζονος. καὶ τοιαῦτα πολλὰ εὑρίσκεται ἐν τῇ θείᾳ Γραφῇ,
Ε ἅτινα οὐ λογίζεται ὁ Θεὸς εἰς ἁμαρτίαν τῶν παραβαινόντων αὐτὰ, διὰ τὴν ἐν αὐτοῖς συμβεβηκυῖαν ἀνάγκην, ὡς τὴν ὀκταήμερον περιτομὴν, καὶ τὴν ὀκταήμερον περικύκλωσιν τῆς Ἱεριχὼ, καὶ τὴν ἐν σαββάτῳ προσαγωγὴν τῶν θυσιῶν· ἅτινα περιέχουσι τοῦ σαββάτου τὴν λύσιν. Καὶ μετ' ὀλίγα. Τὸ δὲ ζητεῖν διὰ τί οὐκ εἶπεν ὁ Προφήτης τούτων τὴν αἰτίαν, ὅμοιόν ἐστι τῷ λέγειν, διὰ τί μὴ πᾶσαι αἱ Γραφαὶ ἡρμηνευμέναι
Ζ παρεδόθησαν παρὰ τῶν ἐκτεθεικότων αὐτάς· ἐπειδὴ ἐν τῇ τοῦ πράγματος διηγήσει ἐμφαντικῶς περιέχεται ἡ τοῦ πράγματος ἔννοια, διότι οὐκ ἐδοκίμασεν ἡ Γραφὴ τὸ ἐκθετικῶς ταῦτα δηλῶσαι.

** ΠΡΟΚΟΠΙΟΥ. Τῷ μὲν Ἰσραὴλ ὄντι σαρκικῷ, συνεβούλευσε λῆψιν χρημάτων· ἑαυτῷ δὲ, λῆψιν ὀστῶν, προτιμότερα τῶν αἰγυπτίων θησαυρῶν ἡγησάμενος τοῦ δικαίου τὰ λείψανα· ὡς καὶ αὐτὸς Ἰω-
Η σὴφ τὰ τοῦ πατρὸς μετενήνοχε. καὶ μολυσμὸν ἐντεῦθεν οὐχ ὑπελάμβανον, εἰ καὶ τοῖς παχυτέροις ὁ νόμος τοῦτό φησιν. ἰδοὺ γὰρ

(1) Ἐν τοῖς Ἐκδεδομ. οὐχ εὕρηται.

(2) Οὐδὲ τοῦτο.

γὰρ αὐτὸς ὁ τὸν νόμον θεὶς Μωϋσῆς, ἐ A μόνον ἐφάπτεται, ἀλλ' οἱονεὶ κεκομικὼν ἐπὶ τῶν ὤμων ἀράμενος ἐπ' ἔτη μ', ἐκ ἐγκληθεὶς, ἐ μεταγνὲς ὁ ἐν ὅλῳ τῷ οἴκῳ πιςὸς, Ἰεδαίοις μὲν τὸ γράμμα, ἑαυτῷ δὲ τὸ πρᾶγμα διδὲς. ἐπίςευε γὰρ τῷ ὡς ζώντων ἔτι τῶν ἁγίων Θεῷ χρηματίζοντι. αἰσχυνέθωσαν ἐν ἡμῖν ἐγκαλἔντες, ὅτι τοῖς μάρτυσι παραβάλλομεν, τὸν νομοθέτlω ὁρῶντες ἐκκλησιαςικὰ μᾶλλον ἢ νομικὰ διαπραττόμενον.

κ. Ἐξάραντες δὲ οἱ υἱοὶ Ἰσραὴλ ἐκ Σοκχὼθ, ἐςρατοπέδευσαν ἐν Ὀθὼμ παρὰ τὴν ἔρημον.

ΩΡΙΓΕΝΟΥΣ. Ἐν τοῖς Ἀριθμοῖς κᾶ- Ἀριθ. 33. 7. ται, ἀπὸ Βεθὰ ἐπὶ ςόμα Εἰρὼθ· ὅ ἐςιν „ ἀπέναντι Βεελσεπφὼν ἐχόμενα τἕ βορρᾶ· παρεμβεβληκέναι τὲς υἱὲς Ἰσραὴλ.

κα. Ὁ δὲ Θεὸς ἡγεῖτο αὐτῶν, ἡμέρας μὲν ἐν ςύλῳ νεφέλης, δεῖξαι αὐτοῖς τὴν ὁδόν· τὴν δὲ νύκτα, ἐν ςύλῳ πυρός.

* ΚΥΡΙΛΛΟΥ. Ὁρᾶς ὅπως τῆς τῶν Αἰγυπτίων γῆς ἐκπεφοιτηκότων τῶν ἐξ Ἰσραὴλ καθηγεῖται Θεὸς ἐν ςύλῳ νεφέλης καὶ πυρός; ἐγράφετο δὲ δι' ἀμφοῖν ὁ Χριςός: πρῶτον μὲν, ὅτι ςύλος καὶ ἑδραίωμα τῆς ἀληθείας ἐςὶν ἀκατάσειςόν τε καὶ ἄθραυςον παντελῶς, καὶ ἀνέχων ὑψἕ τlω γlω. ἀπηλλάγμεθα γὰρ ἐν Χριςῷ τἕ φρονεῖν τὰ σαρκὸς, καὶ τοῖς ἐπιγείοις ἐγκαλινδεῖσθαι κακοῖς. γέγραπται γὰρ, „ ὅτι τἕ Θεἕ οἱ κραταιοὶ τῆς γῆς, καὶ τὰ ἑξῆς. Ψαλ. 46. 9.

ΤΟΥ ΑΥΤΟΥ. Νύκτα μὲν γὰρ ὀνομάζειν ἔθος τῇ θείᾳ Γραφῇ τὸν πρὸ τῆς ἐπιδημίας καιρὸν, καθ' ὃν ἐπιτυραννἕντος B τἕ Σατανᾶ, κατεκράτει τῶν ἐπὶ τῆς γῆς τὸ τῆς ἀγνωσίας σκότος· ἡμέραν δὲ αὖ τῆς τἕ Σωτῆρος ἐπιδημίας τὸν χρόνον, καθ' ὃν πεφωτίσμεθα, τὰς τῆς ἀληθἕς θεογνωσίας αὐγὰς εἰσδεξάμενοι κατὰ νἕν, καὶ τὸν τῆς δικαιοσύνης ἥλιον τοῖς τῆς καρδίας ὄμμασι βλέποντες. Καὶ μετ' ὀλίγα. Νοεμενἕ τοιγαρἕν εἰς νύκτα τἕ παλαιἕ καιρἕ, εἰς ἡμέραν δὲ αὖ, τἕ καθ' ὃν γέγονεν ἄνθρωπος ὁ μονογενὴς, φαμὲν, ὅτι Γ προηγεῖτο τῶν ἐξ Ἰσραὴλ ἐν εἴδει πυρὸς, ὡς ἐν τῷ κατακρίνοντί τε καὶ κολάζοντι νόμῳ· κολάσεως γὰρ σημεῖον τὸ πῦρ· ἡμῶν δὲ ἐν εἴδει νεφέλης, ὡς ἐν τύπῳ τἕ ἁγίε βαπτίσματος, καὶ τῆς δι' ὕδατος σωτηρίας. ἢ ἐχ ὕδωρ ἡ νεφέλη;

κβ. Οὐκ ἐξέλειπεν ὁ ςύλος τῆς νεφέλης ἡμέρας, καὶ ὁ ςύλος τἕ πυρὸς νυκτὸς ἐναντίον παντὸς τἕ λαἕ.

ΚΕΦ. ΙΔ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων, Λάλη-
β. σον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἀποςρέψαντες ςρατοπεδευσάτωσαν ἀπέναντι τῆς ἐπαύλεως, ἀνὰ μέσον Μαγδώλε καὶ ἀνὰ μέσον τῆς θαλάσσης, ἐξ ἐναντίας Βεελσεπφών. ἐνώπιον αὐτῶν ςρατοπεδεύσεις ἐπὶ τῆς
γ. θαλάσσης. Καὶ ἐρεῖ Φαραὼ περὶ τῶν υἱῶν Ἰσραὴλ, πλανῶνται ἕτοι ἐν τῇ γῇ· συγκέκλεικε γὰρ αὐτὲς ἡ ἔρημος.

δ. Ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν Φαραὼ, καὶ καταδιώξεται ὀπίσω αὐτῶν· καὶ ἐνδοξασθήσομαι ἐν Φαραὼ, καὶ ἐν πάσῃ τῇ ςρατιᾷ αὐτἕ· καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι, ὅτι ἐγὼ Κύριος. καὶ ἐποίησαν ἕτω.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐχ αὐτεργῶν τlω σκληρότητα, ἀλλὰ δι' ὧν τὰ ἐκ Θεἕ γεγονότα περὶ τὸν κύκλον τῆς ὁδἕ πρόφασιν λαμβάνει Φαραὼ τῆς ἰδίας σκληρότητος, ἀδίκως τἕτο ποιῶν. ἕπω γὰρ τlω τῶν τριῶν ἡμερῶν παρῆλθον ὁδὸν, ἔνθα θύσειν ὁ Μωϋσῆς ἐπηγγείλατο. ἐκ ἄρα πρόφασιν εὔλογον εἴληφε.

ε. Καὶ ἀνηγγέλη τῷ βασιλεῖ τῶν E Αἰγυπτίων, ὅτι πέφευγεν ὁ λαός. καὶ μετεςράφη ἡ καρδία Φαραὼ, καὶ τῶν θεραπόντων αὐτἕ ἐπὶ τὸν λαόν· καὶ εἶπαν, τί τἕτο πεποιήκαμεν, τἕ ἐξαποςεῖλαι τὲς υἱὲς Ἰσραὴλ, τἕ μὴ δελεύειν ἡμῖν;

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ἀλγησάτω ὁ διώκτης, καὶ γνώτω κατασοφισθεὶς, ὅτι μάτlω ἐτυράννει, καὶ κατεδελἕτο τὲς κρείτ- Z τονας. ἂν ἕτως ἐξέλθῃς Αἴγυπτον, εὖ οἶδ' ὅτι ςύλῳ πυρὸς καὶ νεφέλης ὁδηγηθήσῃ νυκτὸς καὶ ἡμέρας. ἔρημος [ἡμερωθήσεται,] θάλασσα τμηθήσεται, Φαραὼ βυθισθήσεται, ἄρτος ὀμβρίσει, πέτρα πηγάσει, Ἀμαλὴκ καταπολεμηθήσεται, ἐχ ὅπλοις μόνον, ἀλλὰ καὶ ἀπολέμοις χερσὶ δικαίῳ, (1) ςίχlω ὁμἕ τυπἕσαις, καὶ ςαυρἕ τρόπαιον τὸ ἀήττητον, ποταμὸς ἀνακοπήσεται, ἥλιος ςήσεται, σελήνη H ἐπισχεθήσεται, τείχη καταῤῥιφθήσεται καὶ δίχα μηχανημάτων, σφῆκες προδραμἕνται

(1) Πολεμίαις χερσὶ δικαίων. ἐν λόγῳ 42. ὀρθότερ. δὲ τὸ προκείμεν. ει ἀντὶ τἕ, δικαίῳ, δικαίε, ληφθῇ.

ται ὁδοποιοῦσαι τῷ Ἰσραὴλ, καὶ τοὺς ἀλλοφύλους ἀνείργουσαι. τ᾽ἄλλα δὲ ὅσα ἐπὶ τούτοις καὶ σὺν τούτοις ἱστόρηται, ἵνα μὴ μακρὸν ἀποτείνω τὸν λόγον, παρὰ Θεοῦ σοι δοθήσεται.

ϛ. Ἔζευξε δὲ Φαραὼ τὰ ἅρματα αὐτοῦ, καὶ πάντα τὸν λαὸν αὐτοῦ συνήγαγε μεθ᾽ ἑαυτοῦ.

ΚΥΡΙΛΛΟΥ. Ἐκπεφοιτηκότων δὲ τῆς Αἰγυπτίων τῶν ἐξ Ἰσραὴλ, ἀνεκαίετο πρὸς ὀργὰς ὁ πάλαι πλεονεκτῶν, τουτέστιν ὁ Φαραὼ, καὶ διώκειν ἐπεχείρει.

ζ. Καὶ ἔλαβεν ἑξακόσια ἅρματα ἐκλεκτὰ, καὶ πᾶσαν τὴν ἵππον τῶν Αἰγυπτίων, καὶ τριστάτας ἐπὶ πάντων.

ΩΡΙΓΕΝΟΥΣ. Τοὺς πρὸς τρεῖς δυναμένους μάχεσθαι, ἢ τοὺς ἐν τῇ παρατάξει μετὰ τὸν πρωτοστάτην καὶ δευτεροστάτην ἱσταμένους ἐν τῇ τρίτῃ τάξει. ἄλλοι δέ φασιν, ὡς εἰς τὰς χρείας τῶν πολέμων ἅρματα ἐποίουν μεγάλα, ὥστε καὶ τρεῖς χωρεῖν, ἵνα ὁ μὲν εἷς ἡνιοχεῖ, οἱ δὲ δύω πολεμῶσιν· ἢ τοὺς ἐπὶ τριῶν ἵππων βεβηκότας. οἱ γὰρ παλαιοὶ ἐν τοῖς πολέμοις ἐπὶ δύω, ἢ τριῶν ἵππων ἐπωχοῦντο ἐξιόντες ἁρματηλάται. ἢ τριστάτην λέγει τὸν ἐν τῷ καθέζεσθαι τὸν βασιλέα τρίτον ἱστάμενον, ἤτοι τρίτην ἔχοντα καθέδραν· οἷος ἦν ὁ Δαβὶδ παρὰ τῷ Σαοὺλ, ὡς ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν εὑρήσεις.

ΤΟΥ ΝΥΣΣΗΣ. Τὶς γὰρ οὐκ οἶδεν, ὅτι στρατὸς αἰγύπτιός ἐστι τὰ ποικίλα τῆς ψυχῆς πάθη, οἷς καταδουλοῦται ὁ ἄνθρωπος; ἐκεῖνοι οἱ ἵπποι, ἐκεῖνα τὰ ἅρματα, καὶ οἱ ἐπ᾽ αὐτῶν ἀναβάται, καὶ τοξόται, καὶ σφενδονῆται, καὶ ὁπλομάχοι, καὶ ὁ λοιπὸς ὅμιλος τῆς τῶν ἐχθρῶν παρατάξεως. τὶ γὰρ ἄν τις διαφέρειν εἴποι τοὺς θυμώδεις τῶν λογισμῶν, ἢ τὰς πρὸς ἡδονήν τε καὶ λύπην καὶ πλεονεξίαν ὁρμὰς τῆς μνημονευθείσης στρατιᾶς; λίθος ἀντικρυς ἀπὸ σφενδόνης ἡ λοιδορία, καὶ λόγχη τὴν αἰχμὴν ἐπισείουσα ἡ θυμώδης ὁρμή· τὸ δὲ περὶ τὰς ἡδονὰς πάθος, οἱ ἵπποι νοείσθωσαν, ἀσχέτῳ τινὶ ὁρμῇ τὸ ἅρμα δι᾽ ἑαυτῶν ἐφελκόμενοι.

η. Καὶ ἐσκλήρυνε Κύριος τὴν καρδίαν Φαραὼ βασιλέως Αἰγυπτίων, καὶ κατεδίωξεν ὀπίσω τῶν υἱῶν Ἰσραήλ· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐξεπορεύοντο
θ. ἐν χειρὶ ὑψηλῇ. Καὶ κατεδίωξαν οἱ Αἰγύπτιοι ὀπίσω αὐτῶν, καὶ εὗρον αὐτοὺς παρεμβεβληκότας παρὰ τὴν θάλασσαν· καὶ πᾶσα ἡ ἵππος, καὶ τὰ ἅρματα Φαραὼ, καὶ οἱ ἱππεῖς αὐτοῦ, καὶ πᾶσα ἡ στρατεία αὐτοῦ ἀπέναντι τῆς ἐπαύλεως, ἐξ ἐναντίας
ι. Βεελσεπφών. Καὶ Φαραὼ προῆγε. καὶ ἀναβλέψαντες οἱ υἱοὶ Ἰσραὴλ τοῖς

A ὀφθαλμοῖς, ὁρῶσι· καὶ οἱ Αἰγύπτιοι ἐστρατοπέδευσαν αὐτῶν· καὶ ἐφοβήθησαν σφόδρα· ἀνεβόησαν δὲ οἱ υἱοὶ
ια. Ἰσραὴλ πρὸς Κύριον. Καὶ εἶπαν πρὸς Μωϋσῆν, παρὰ τὸ μὴ ὑπάρχειν μνήματα ἐν Αἰγύπτῳ, ἐξήγαγες ἡμᾶς θανατῶσαι ἐν τῇ ἐρήμῳ. τὶ τοῦτο ἐποίησας ἡμῖν, ἐξαγαγὼν ἡμᾶς ἐξ Αἰγύπτου;

B ιβ. Οὐ τοῦτο ἦν τὸ ῥῆμα, ὃ ἐλαλήσαμεν ἐν Αἰγύπτῳ πρὸς σὲ, λέγοντες, πάρες ἡμᾶς, ὅπως δουλεύσωμεν τοῖς Αἰγυπτίοις; κρεῖσσον γὰρ ἡμᾶς δουλεύειν τοῖς Αἰγυπτίοις, ἢ ἀποθανεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ.

ΣΕΥΗΡΟΥ. Συνήθες γὰρ Θεῷ τοὺς εὐεργεσίας τινὸς ἀπολαύσαντας διὰ τῶν
Γ ἐπιπόνων δοκιμάζειν· ἵνα μὴ γνώμῃ πως κατὰ τοὺς μαστιγίας τῶν οἰκετῶν καὶ ἀγνώμονας, εὐεργετούμενοι μὲν τὸν δεσπότην ἐπιγινώσκομεν, παιδευόμενοι δὲ ἀπαρνώμεθα· οὕτως ἱστόρηται παιδεύσας τοὺς υἱοὺς Ἰσραήλ. ἐξαγαγὼν γὰρ αὐτοὺς ἐξ Αἰγύπτου, καὶ τῆς ὠμοτάτης δουλείας ἐλευθερώσας, καὶ παραστήσας ὡς αὐτός ἐστιν ὁ τῶν πατέρων Θεός· Θεὸς Ἀβραὰμ, Θεὸς Ἰσαὰκ, Θεὸς Ἰακώβ· καὶ τὴν οἰκείαν γνῶ-
Δ σιν αὐτοῖς δωρησάμενος, καὶ τὴν ἄμαχον δύναμιν μυρίοις ὅσοις σημείοις τε καὶ τέρασιν ἐνδειξάμενος, εὐθέως διὰ πείρας ἦγε, καὶ παιδευτικὴν δοκιμασίαν προσέφερε. συνεχώρει δὲ τῷ Φαραὼ μετὰ πλήθους ἁρμάτων καὶ ἱπποτῶν ὄπισθεν τὴν φυγήν. μέσοι δὲ ἀπειλημμένοι, καὶ τὰς ψυχὰς οὐχ ἧττον ἢ τὰ σώματα πιεζόμενοι, πρὸς ἀγενῆ καὶ δουλοπρεπῆ ψιθυρισμὸν κατηνέχθησαν· καὶ τῆς Αἰγυπτίων δουλείας
E ἐμέμνηντο, καὶ τοῖς λογισμοῖς ἦσαν παρὰ τὸν Νεῖλον οἱ τῇ ἐρυθρᾷ θαλάσσῃ τὸ ἴχνος ὅσον οὔπω κλυζόμενοι.

ιγ. Εἶπε δὲ Μωϋσῆς πρὸς τὸν λαὸν, θαρσεῖτε, στήκετε, καὶ ὁρᾶτε τὴν σωτηρίαν τὴν παρὰ Κυρίου, ἣν ποιήσει ἡμῖν σήμερον. ὃν τρόπον γὰρ ἑωράκατε τοὺς Αἰγυπτίους σήμερον, οὐ
Z προσθήσεσθε ἔτι ἰδεῖν αὐτοὺς εἰς τὸν αἰῶνα χρόνον.

ΚΥΡΙΛΛΟΥ. Ἐξαίρουσι τοιγαροῦν οἱ ἐξ Ἰσραὴλ εἰς τὴν ἁγίαν σπεύδοντες γῆν, ἐν στύλῳ πυρὸς καὶ νεφέλης προβαδίζοντός τε καὶ ἡγουμένου Θεοῦ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν εἰς τὴν ἁγίαν τε καὶ ἄνω ἀφικέσθαι πόλιν, μὴ οὐχὶ καθηγουμένου Χριστοῦ, καὶ ἐναργῆ καθιστάντος τὴν τῆς σωτηρίας ὁδόν. τοῖσγε μὴν τοῦτο δρᾷν ᾑρημένοις, ἐπιτρίζουσι
H μὲν τοὺς ὀδόντας οἱ κατὰ τόνδε τὸν κόσμον ἐχθροὶ, παραθήγει δὲ εἰς εὐτολμίαν ὁ νόμος, καὶ παραθαρσύνει πεφοβημένους· καὶ ὅτι πεσεῖται τῶν ἐναντίων τὸ ξίφος, εὖ μάλα καταδηλοῖ. τὸ γὰρ ἐκ ποδῶν

γενέσθαι τὰς Αἰγυπτίους τουτέστι πάντως ὑπαινίττεται· τοὺς δὲ ἐν φόβοις ὄντας τοῦ παθῶν, ὡς ἐν τύπῳ πάλιν τοῦ ἁγίου βαπτίσματος διέσωζε Θεός.

ΓΡΗΓΟΡΙΟΥ. (1) Ὅτι τοῖς πρὸς ἀρετὴν ἤδη βλέπουσι, καὶ τῷ νομοθέτῃ κατὰ τὴν ζωὴν ἑπομένοις, ὅταν καταλίπωσι τῆς τῶν Αἰγυπτίων δυναστείας τοὺς ὅρους, ἐπακολουθοῦσί πως αἱ τῶν πειρασμῶν προσβολαὶ, στενοχωρίας τε καὶ φόβους καὶ τοὺς περὶ τῶν ἐσχάτων κινδύνους ἐπάγουσαι· δι' ὧν καταπτοηθεῖσα τῶν κατὰ πίστιν νεοπαγῶν ἡ διάνοια, εἰς παντελῆ τῶν ἀγαθῶν ἀνελπιστίαν ἐκπίπτει. ἀλλ' εἰ Μωσῆς εἴη τὶς, ἢ τὸν κατ' αὐτὸν ἐπιστάτην τοῦ λαοῦ τύχοι, ἀντιστήσει τῷ φόβῳ τὴν συμβουλὴν, τῇ τῆς θείας συμμαχίας ἐλπίδι τὸ κατεπληχὸς τῆς διανοίας καταθαρσύνων.

⁎ ΠΡΟΚΟΠΙΟΥ. Χρόνῳ τὸ πρᾶγμα ὑπέβαλε μακρῷ, οὐκ αἰῶνι διηνεκεῖ. εἶδον γὰρ αὖθις τοὺς Αἰγυπτίους οἱ Ἑβραῖοι ὡπλισμένους, ἀλλὰ μετὰ πολλὰς γενεάς. (2) Τοῦτο λέγει, ὅτι οὐκ ἔτι αὐτοὺς ὄψεσθε εἰς χρόνον τοῦ αἰῶνος τούτου. ἔμελλον γὰρ πάντες ἀποθνήσκειν ἐν τῇ θαλάσσῃ.

ιδ. Κύριος πολεμήσει ὑπὲρ ὑμῶν, καὶ ὑμεῖς σιγήσεσθε.

⁎⁎ ΜΑΞΙΜΟΥ. Τοὺς ἔτι δειλιῶντας τὸν πρὸς τὰ πάθη πόλεμον, καὶ φοβουμένους τὴν τῶν ἀοράτων ἐχθρῶν ἐπιδρομὴν, σιωπᾶν δεῖ· τουτέστι τὸν ὑπὲρ ἀρετῆς ἀντιῤῥητικὸν μὴ μεταχειρίζεσθαι τρόπον· ἀλλὰ παραχωρεῖν τῷ Θεῷ δι' εὐχῆς τὴν ὑπὲρ ἑαυτῶν μέριμναν. πρὸς οὓς ἐν Ἐξόδῳ
» λέγεται, Κύριος πολεμήσει ὑπὲρ ὑμῶν,
» καὶ ὑμεῖς σιγήσεσθε. τοὺς δὲ ἤδη μετὰ τὴν ἀναίρεσιν τῶν διωκόντων τοὺς τῶν ἀρετῶν ἐπιζητοῦντας τρόπους πρὸς εὐγνώμονα μάθησιν, δέον ἔχειν μόνον ἠνεῳγμένον τῆς
Δευτ. 6. 4. διανοίας τὸ οὖς· πρὸς οὓς φησιν, ἄκουε Ἰσ-
» ραήλ. τῷ δὲ σφόδρα διὰ τὴν κάθαρσιν τῆς θείας ἐφιεμένῳ γνώσεως, ἁρμόδιος ἡ εὐλαβὴς παῤῥησία· πρὸς ὃν εἰρήσεται,
» τί βοᾷς πρός με; οὐκοῦν ὅτῳ μὲν σιωπὴ διὰ φόβον προσέτακται, πρόσφορος μόνον ἡ πρὸς Θεὸν καταφυγή· ὅτῳ δὲ ἀκούειν παρακελεύεται, ἁρμόδιος ἡ πρὸς ὑπακοὴν τῶν θείων ἐντολῶν ἑτοιμότης· τῷ δὲ γνωστικῷ, τὸ δι' ἱκεσίαν ἀπαύστως βοᾶν ἐπιτήδειον, ὑπέρ τε τῆς τῶν κακῶν ἀποτροπῆς, καὶ εὐχαριστίας τῆς τῶν ἀγαθῶν μετουσίας.

ιε. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, τί βοᾷς πρός με; λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἀναζευξάτωσαν.

⁎⁎ ΒΑΣΙΛΕΙΟΥ. Ἡ θεία ἀκοὴ οὐ φωνῆς δεῖται πρὸς αἴσθησιν. οἶδε γὰρ καὶ ἐν τῷ κινήματι τῆς καρδίας γνωρίσαι τὰ ἐπιζητούμενα. ἢ οὐκ ἀκούεις, ὅτι Μωϋσῆς μηδὲν φθεγγόμενος, ἀλλὰ τοῖς ἀλαλήτοις ἑαυτοῦ στεναγμοῖς ἐντυγχάνων τῷ Κυρίῳ,
» ἤκουετο παρὰ τοῦ Κυρίου λέγοντος, τί βοᾷς
» πρός με; οἶδεν ὁ Θεὸς καὶ αἵματος ἀκοῦσαι δικαίου, ᾧ γλῶσσα οὐ πρόσεστιν, οὐδὲ φωνὴ τὸν ἀέρα περῶσα. ἔργων δὲ δικαίων παρουσία, μεγαλοφωνία ἐστὶ παρὰ Θεῷ.

ΤΟΥ ΝΥΣΣΗΣ. Ἀλλ' ἐν ᾧ θαῤῥεῖν τῆς Ἰσραηλίταις διακελεύεται Μωσῆς, μηδεμίαν φωνὴν κατὰ τὸ φαινόμενον πρὸς τὸν Θεὸν ποιησάμενος, βοᾶν παρ' αὐτοῦ τοῦ Θεοῦ μαρτυρεῖται· διδάσκοντος, οἶμαι, τοῦ λόγου, ὅτι εὐηχός ἐστιν ἐκείνη ἡ φωνὴ, καὶ μέχρι τῆς θείας ἀκοῆς ἀναβαίνουσα, οὐχ ἡ μετά τινος διατάσεως γινομένη κραυγὴ, ἀλλ' ἡ μετὰ καθαρᾶς συνειδήσεως ἀναπεμπομένη ἐνθύμησις. ἡ γὰρ κεκολλημένη ψυχὴ τῷ Θεῷ πρὸς αὐτὸν βοᾷ.

ΣΕΥΗΡΟΥ. Τῶν γὰρ πνευματοφόρων καὶ ἁγίων ἀνδρῶν, εἰ καὶ τὰ χείλη μέμυκε, καὶ ἡ γλῶσσα πέπηγεν, ἡ διάνοια βοᾷ πρὸς Θεόν.

ιϛ. Καὶ σὺ ἔπαρον τὴν ῥάβδον σου, καὶ ἔκλεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ ῥῆξον αὐτήν· καὶ εἰσελθέτωσαν οἱ υἱοὶ Ἰσραὴλ ἐν μέσῳ τῆς θαλάσσης κατὰ τὸ ξηρόν.

⁎ ΚΥΡΙΛΛΟΥ. Ἡ οὐχ ὡς ὁ θεσπέσιος γράφει Παῦλος περὶ τῶν ἐξ Ἰσραὴλ, ὅτι 1. Κορ. ιο. 2.
» πάντες εἰς τὸν Μωϋσέα ἐβαπτίσθησαν ἐν
» τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ; χρὴ τοιγαροῦν τοὺς ἀκολουθεῖν ἐθέλοντας τῷ Χριστῷ, καὶ πρὸς τὴν ἄνω πόλιν σπεύδοντας, μὴ ἐνίζησαι τῷ νόμῳ, μηδὲ ταῖς διὰ Μωσέως ἐντολαῖς ἀμεταστάτως ἐγκαταυλίζεσθαι, καὶ σκιαῖς καὶ τύποις ἐμφιλοχωρεῖν. ἀναζευγνύναι δὲ μᾶλλον, καὶ μεταχωρεῖν ἑτέρωθι, τουτέστιν ἐπὶ τὸ ἅγιον βάπτισμα. τοῦτο γὰρ ἔδρων οἱ πάλαι κατὰ πρόσταξιν Θεοῦ διὰ μέσον ἰόντες κυμάτων, καὶ ὡς ὁ Παῦλός φησιν, ἐν θαλάσσῃ βαπτιζόμενοι. τότε γὰρ δὴ τότε, καὶ αὐτὸν ἕξουσιν ἀρωγὸν τὸν Θεόν τε καὶ ἀνθρώπων μεσίτην Χριστόν. Θεὸς γὰρ ὢν ὁ λόγος γέγονε σάρξ. καὶ καθ' ἕτερον δὲ τρόπον μεσίτην νοήσεις οἰκονομικῶς, ὡς διὰ μέσου χωρεῖν εἰωθότα τῶν τε σεβομένων αὐτὸν, καὶ τῶν διωκόντων αὐτοὺς, καὶ συμμίσγειν οὐκ ἐῶντα, τάς τε τῶν ἐναντίων ἐφόδους ἀποκωλύοντα.

ΣΕΥΗΡΟΥ. Τίς δὲ ἦν ὁ τῆς ἐρυθρᾶς θαλάσσης ἐνεργήσας τὴν διαίρεσιν; Χριστὸς ὁ ὑπὸ τῆς ῥάβδου προτυπωθείς.

ιζ. Καὶ ἰδοὺ ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραὼ, καὶ τῶν Αἰγυπτίων πάντων, καὶ εἰσελεύσονται ὀπίσω αὐτῶν· καὶ ἐνδοξασθήσομαι ἐν Φαραὼ, καὶ ἐν πάσῃ τῇ στρατιᾷ αὐτοῦ, καὶ

(1) Τοῦ Νύσσης.

(2) Τὰ ἑπόμενα ἐν τῷ τῆς Αὐγ. κώδ. οὐ κεῖται.

A καὶ ἐν τοῖς ἅρμασι, καὶ ἐν τοῖς ἵπποις
η. αὐτοῦ. Καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι, ὅτι ἐγώ εἰμι Κύριος, ἐνδοξαζομένου μου ἐν Φαραὼ, καὶ ἐν τοῖς ἅρμασι, καὶ ἐν τοῖς ἵπποις αὐτοῦ.

ιθ. Ἐξῆρε δὲ ὁ Ἄγγελος τοῦ Θεοῦ ὁ προπορευόμενος τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ, καὶ ἐπορεύθη ἐκ τῶν ὄπισθεν· ἐξῆρε δὲ [καὶ] ὁ στύλος B τῆς νεφέλης ἀπὸ προσώπου αὐτῶν, καὶ ἔστη ἐκ τῶν ὀπίσω αὐτῶν.

ΚΥΡΙΛΛΟΥ. Ὡς ἐν Ἀγγέλῳ δὲ πάλιν, καὶ ὡς ἐν στύλῳ νεφέλης ὁ Χριστὸς σημαίνεται·
Ἡσ. 9. 6. » καλεῖται γὰρ τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος. πλὴν ἐκεῖνό φημι, καὶ οὐκ ἀπὸ σκοποῦ, καθάπερ ἡγοῦμαι, τὸ δοκοῦν οἰχήσεται. ἄρτι μὲν γὰρ τῆς ἐν κόσμῳ καὶ φιληδόνου ζωῆς ἀποφοιτᾶν ᾑρημένοι, Γ ἔπεσθαί τε δεῖν ὅτι μάλιστα διεσπουδακότες τοῖς τοῦ Θεοῦ νόμοις, οὔπω γε μὴν τὴν διὰ τοῦ ἁγίου βαπτίσματος καταπλουτήσαντες χάριν, οὐ λίαν ἐσμὲν εὐσθενεῖς, ἤγουν ἐπιτήδειοι πρὸς τὸ χρῆναι ταλαιπαθεῖν, καὶ ἀνέχεσθαι πόνων τῶν ὑπὲρ ἀρετῆς, καὶ πολέμων πεῖραν δύνασθαι διενεγκεῖν. ὥσπερ δὲ τὰ ἀρτιθαλῆ τῶν φυτῶν τῆς ἀκμαιοτάτης μὲν τοῦ ἡλίου βολῆς παραιτεῖται τὸ βλάβος, ἀδικοῖντο δ' ἂν οὐ μετρίως, εἰ Δ πνευμάτων ἐμβολαῖς ἀγριωτέραις διακραδαίνοιντο, δεῖ δὲ δὴ πάντως αὐτοῖς τῶν ἐκ τέχνης ἐπικουρημάτων, καὶ τῆς ἐν κύκλῳ περιβολῆς· κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον ἡ τοῦ ἀνθρώπου ψυχὴ ἄρτι τῆς τῶν παθῶν δουλείας ἐκτρέχουσα, καὶ πρὸς τὰ ἀμείνω μεθορμιζομένη, καὶ τῷ θείῳ κατακολουθεῖν ἐθέλουσα νόμῳ, τρυφερόνουστέ ἐστι καὶ εὐαφεστέρα, καὶ μετασοβοῖτο ἂν εὐκόλως, ἀνόπιν ἱδρῶτά τε θεασαμένη, E καὶ πολέμων πόνον, ἀσπαστὸν ἡγήσεται τὸ ἐν οἷς ἦν ποτὲ, διαγίνεσθαι πάλιν. καὶ γοῦν οἱ ἐξ Ἰσραὴλ τὴν τῶν Αἰγυπτίων τεθεαμένοι παρασκευὴν, καὶ πρὸς μόνην τοῦ πολέμου τὴν θέαν ἀπειρηκότες, ἐπεφύοντο λέγοντες τῷ θεσπεσίῳ Μωσῇ· » οὐ τοῦτο » ἦν τὸ ῥῆμα, ὃ ἐλαλήσαμεν ἐν Αἰγύπτῳ » πρὸς σέ; καὶ τὰ ἑξῆς.

* ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν ἀδρανὴς εἰς μάχην, καὶ πρὸς δουλείαν ἑτοιμοτάτη, καὶ Z εὐκαταπλόητος κομιδῇ πρὸ τοῦ ἁγίου βαπτίσματος ἡ τοῦ ἀνθρώπου ψυχή· ἡ δὲ δὴ τυχοῦσα τῆς χάριτος τὴν ἐξ ὕψους δύναμιν ἀμφιεσαμένη, εὐσθενέστατα μὲν ἀνταγωνιεῖται τοῖς διώκειν ἐθέλουσι, καὶ διαμαχεῖται γενναίως. ῥᾷστα δ' ἂν διακρούσαιτο τὰς τῶν πολεμίων ἐπαναστάσεις, στρατηγοῦντός τε καὶ ὑπερασπίζοντος τοῦ Χριστοῦ. περιεσόμεθα δὲ οὐχ ἑτέρως, ἢ κατὰ τὸν αὐτὸν τρόπον. H

ΑΔΗΛΟΥ. Ἕτερος ἦν τις ὁ προπορευόμενος τῶν υἱῶν Ἰσραὴλ Ἄγγελος, καὶ ἡ νεφέλη ἄλλη μέν τις ἐτύγχανε περὶ τὸν Ἄγγελον· τοῦ Κυρίου δὲ αὐτοῦ σωματικὸν

A ὥσπερ ὄργανον ἦν, δι' οὗ τὴν φύσιν ὢν αὐτὸς ἀσώματος, καὶ πάσης ἐπέκεινα αἰσθητῆς καὶ ὑλικῆς οὐσίας, δι' αἰσθητῆς φωνῆς τῆς ἰδίας φωνῆς ἠξίου τὸν θεράποντα. καὶ τῆς τοιαύτης γε οἰκονομίας αὐτὸς ὁ Κύριος τὸν λόγον ἀποδιδοὺς τῷ Μωσῇ, φησὶν, » ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρὸς σὲ, Ἐξόδ. 19. 9.
» καὶ πιστεύσωσί μοι.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ὅταν φύγῃ τὶς τὸν Αἰγύπτιον, καὶ ἔξω τῶν ὅρων γεB νόμενος πρὸς τὰς προσβολὰς τῶν πειρασμῶν δειλιάσῃ, ἄνωθεν τὴν ἐκ παραδόξου σωτηρίαν ὁ ὁδηγὸς ὑποδείκνυσιν, ὅταν περιστοιχισάμενος ὁ ἐχθρὸς τῇ ἑαυτοῦ δυνάμει τὸν διωκόμενον, βατὴν ὑπ' ἀνάγκης κατασκευάσῃ αὐτῷ τὴν θάλασσαν, εἰς ἣν καθηγεῖται ὁ ὁδηγὸς, ἡ νεφέλη. τοῦτο γὰρ ὄνομα τῷ ὁδηγοῦντι. [ὅπερ καλῶς τοῖς πρὸ ἡμῶν εἰς τὴν τοῦ ἁγίου πνεύματος Γ μετελήφθη χάριν.]

κ. Καὶ εἰσῆλθον ἀνὰ μέσον τῆς παρεμβολῆς τῶν Αἰγυπτίων, καὶ ἀνὰ μέσον τῆς παρεμβολῆς Ἰσραήλ. καὶ ἐγένετο γνόφος καὶ σκότος· καὶ διῆλθεν ἡ νύξ· καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν νύκτα.

ΑΚΥΛΑΣ. Καὶ ἐγένετο ἡ νεφέλη, καὶ σκότος, καὶ ἐφώτισε τὴν νύκτα, καὶ οὐκ Δ ἤγγισεν οὗτος πρὸς τοῦτον.

ΣΥΜΜΑΧΟΣ. Καὶ ἡ νεφέλη σκότος μὲν ἐκεῖθεν, φαίνουσα δὲ ἐντεῦθεν.

ΣΑΜΑΡΕΙΤΙΚΟΝ. Καὶ ἦν τὸ νέφος καὶ τὸ σκότος, καὶ ἔφαινε τὴν νύκτα. παρῆλθεν ἡ νὺξ διὰ μέσου τῶν δύο στρατοπέδων σκοτίζουσα μόνους Αἰγυπτίους.

κα. Ἐξέτεινε δὲ Μωσῆς τὴν χεῖρα E ἐπὶ τὴν θάλασσαν· καὶ ἐπήγαγε Κύριος τὴν θάλασσαν ἐν ἀνέμῳ νότῳ βιαίῳ ὅλην τὴν νύκτα, καὶ ἐποίησε τὴν θάλασσαν ξηράν· καὶ διεσχίσθη τὸ ὕδωρ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Καταδύντος δ' ἡλίου, νότος εὐθὺς ἤρξατο κατασκήπτειν βιαιότατος, ὑφ' οὗ τὸ πέλαγος ὑπανεχώρησεν· εἰωθὸς μὲν ἀμπωτίζειν, Z τότε δὲ καὶ μᾶλλον ὠθούμενον τὸ πρὸς αἰγιαλοῖς ὑπεσύρη, καθάπερ εἰς χαράδραν, ἢ χάρυβδιν. ἀστήρ τε προυφαίνετο οὐδεὶς, ἀλλὰ πυκνὸν καὶ μέλαν νέφος ἅπαντα τὸν οὐρανὸν ἐπεῖχε, γνοφώδους τῆς νυκτὸς οὔσης εἰς κατάπληξιν τῶν διωκόντων. προσταχθεὶς δὲ Μωϋσῆς, τῇ βακτηρίᾳ παίει τὴν θάλασσαν· ἡ δὲ ῥαγεῖσα διΐσταται, καὶ τῶν τμημάτων τὰ μὲν πρὸς τῷ ῥαγέντι μέρει μετέωρα πρὸς ὕψος ἐξαίρεH ται, καὶ παγέντα τρόπον τείχους, κραταιῶς ἠρέμει καὶ ἡσύχαζε· τὰ δ' ὀπίσω σταλέντα καὶ χαλινωθέντα, τὴν εἰς τὸ πρόσω φορὰν καθάπερ ἡνίαις ἀφανέσιν ἀνεχαιτίζετο· τὸ δὲ μεσαίτατον, ἐν ᾧ ἡ ῥῆξις

A ῥῆξις ἐγένετο, ἀναξηρανθὲν, ὁδὸς εὐρεῖα καὶ λεωφόρος γίνεται.

ΕΥΣΕΒΙΟΥ. Συνείχετο δὲ ὁ Ἰσραὴλ ἐκ τῶν δύο, ἐκ θαλάσσης προκειμένης, καὶ ἐξ Αἰγύπτου, ἀντικειμένων. καὶ ὁ Θεὸς μὲν ἐκέλευε, Μωϋσῆς δὲ ἐκελεύετο, ἡ ῥάβδος δὲ ἐπήρθη, καὶ ἡ θάλασσα ἐσχίζετο. εἱστήκει τὸ ὕδωρ, ἐπηρτημένον μὲν, κεχαλινωμένον δέ.

B **κβ. Καὶ εἰσῆλθον οἱ υἱοὶ Ἰσραὴλ ἐν μέσῳ τῆς θαλάσσης κατὰ τὸ ξηρόν· καὶ τὸ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων.**

* ΠΡΟΚΟΠΙΟΥ. Ἐτόλμησε (1) δέ τις τῶν Ἑλλήνων (2) εἰπεῖν, ὥς τινας τῶν Αἰγυπτίων εἶναι τοὺς Ἑβραίους, ποιμένας τῶν θρεμμάτων· εἶτα τοῖς δεσπόταις ἐπαναστάντας, ἐξελθεῖν τῆς Αἰγύπτου· οὔτε ἀπὸ Γ τῆς ἑβραΐδος γλώττης, καὶ τῶν ἑβραϊκῶν ὀνομάτων, ὅσον τὸ διάφορον κατανοήσας.

ΘΕΟΔΩΡΙΤΟΥ. Τινές φασιν εἰς δώδεκα διαιρέσεις διαιρεθῆναι τὴν θάλασσαν, καὶ ἑκάστην φυλὴν καθ' ἑαυτὴν διαβῆναι. καὶ τοῦτο νομίζουσι τὸν μακάριον Δαβὶδ
Ψαλ. 135. 13. εἰρηκέναι, τῷ καταδιελόντι τὴν ἐρυθρὰν » θάλασσαν εἰς διαιρέσεις. Ἐγὼ δὲ διχῇ νομίζω διαιρεθῆναι τὸ πέλαγος. τοῦτο γὰρ » Δ καὶ ἡ θεία διδάσκει Γραφή· τὸ δὲ ὕδωρ » αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων· τὴν δὲ ὁδὸν εὐρεῖαν γενέσθαι σύμμετρον τῷ πλήθει τῶν παριόντων.
Ψαλ. 105. 9. ὡδήγησε γὰρ αὐτοὺς ἐν ἀβύσσῳ, ὡς ἐν » ἐρήμῳ. τοῦτο δὲ τῆς ὁδοῦ τὴν εὐρυχωρίαν δηλοῖ. οὐδὲ ἐκεῖνος μέντοι ὁ λόγος τῷ τῆς εὐσεβείας λυμαίνεται λόγῳ. καὶ τοῦτο γὰρ κἀκεῖνο τῆς θείας ἔργον θαυματουργίας. χρὴ μέντοι ἀκολουθεῖν τῇ τῆς θείας Γραφῆς ἀληθείᾳ. τῇ δὲ τοῦ ὕδατος πανωλε- E θρίᾳ τὸν Φαραὼ πανστρατιᾷ παραδέδωκεν ὁ δικαιότατος δικαστὴς, ἐπειδήπερ δι' ὕδατος ἀνεῖλε τῶν Ἑβραίων τὰ βρέφη.

ΤΟΥ ΑΥΤΟΥ. (3) Ἐπειδὴ ἴχνη τοῦ τότε γεγενημένου θαύματος εἰς ἔτι καὶ νῦν δείκνυται, τῆς ἐρυθρᾶς ἀμπωτιζούσης, καὶ τῆς ὑπηργμένης παρὰ τοῦ Θεοῦ δωρεᾶς τοῖς Ἑβραίοις ἀνάμνησιν παρεχούσης, Ἕλληνες τὸ γινόμενον πρόφασιν λαμβάνουσιν ἀσε- Z βείας, ἐν πλείοσι τῆς θαλάσσης τόποις δεικνύντες ἀμπωτισμοὺς, φύσεως ἔργον, οὐ θείου θαύματος. ἡμεῖς δὲ συγχωρήσαντες αὐτοῖς ὃ βούλονται νοεῖν, καὶ τῆς φύσεως εἶναι τὸν ἀμπωτισμὸν τῆς ἐρυθρᾶς κατὰ τοὺς τόπους, ἐν οἷς ἀπώλοντο μὲν οἱ Αἰγύπτιοι, διεσώθησαν δὲ οἱ Ἑβραῖοι, δόντες, πειθόμεθα αὐτοῖς (4) εἴπου τῆς θαλάσσης ἀμπωτισμὸς μέσον τέμνει καὶ κόλπον· καὶ τοῦτον χοινοτενῶς, ὥστε γυμνοῦν τὸν κρυπτόμενον αὐτοῖς τόπον, καὶ ποιεῖν ὁδὸν πλατεῖαν, μᾶλλον δὲ ὁδοὺς εὐθείας, ὅπερ τοῖς Ἰσραηλίταις παρέσχε Θεὸς, κα-
» τὰ τὸν Δαβὶδ, λέγοντα· τῷ καταδιελόν- Ψαλ. 135. 13.
» τι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις· καὶ εἰ τὸ θαλάττιον ὕδωρ σχισθὲν ἐκ δεξιῶν τε καὶ ἐξ εὐωνύμων, φύσιν ἔχει στῆναι, δίκην τειχῶν, ἀρραγές. ὅπερ ἐπὶ τῶν Ἰσραηλιτῶν γέγονεν, ὁδῷ τοῖς θαλαττίοις τόποις χρωμένων. εἰ δὲ ἀπιστεῖεν, ὅτι ταῦτά ποτε γέγονε, διατὶ μὴ τὰς κατὰ μέρος ἀντιλογίας ἀφέντες, αὐτὸ τοῦτο ζητοῦσι πρὸς ἡμᾶς, διδασκάλῳ χρώμενοι τῇ ἀληθείᾳ, μᾶλλον δὲ τὴν ἀλήθειαν ἐκ τῶν ἀποδεικνυμένων πραγμάτων διδασκόμενοι; ἐγχωρεῖ τὴν ἐρυθρὰν ἀμπωτίζειν, πῇ μὲν ἐπιτρέχουσαν, πῇ δὲ ἀναχωροῦσαν· ἀλλ' ἐπὶ τῶν Ἰσραηλιτῶν οὐκ ἦν ἀμπωτισμός. πῶς γὰρ τὸ σχισθῆναι τὴν θάλασσαν, καὶ παγῆναι εἰς τειχῶν στάσιν, εἴη ἂν ἀμπωτισμός;

κγ. Κατεδίωξαν δὲ οἱ Αἰγύπτιοι, καὶ εἰσῆλθον ὀπίσω αὐτῶν πᾶσα [ἡ] ἵππος Φαραὼ, καὶ τὰ ἅρματα, καὶ οἱ ἀναβάται εἰς μέσον τῆς θαλάσσης.

ΕΥΣΕΒΙΟΥ. Καὶ ὁ μὲν λαὸς ἠκολούθει τῷ προηγουμένῳ, Φαραὼ δὲ ἐνταῦθα σκληρύνεται, καὶ μάχεται ὁμοῦ Θεῷ καὶ θαλάσσῃ, μετὰ δέκα πληγὰς, μετὰ τὸ ἐκδιῶξαι, μετὰ τὸ ὠθῆσαι τὸν λαόν. οὐκ ἤρκει δὲ ἡ πίστις τῶν προηγησαμένων. οὐ φοβῇ μετὰ θαλάσσης; οὐ σχίζῃ μετὰ σχισθείσης; οὐ τρέμεις; οὐδὲ τρέμει τὸ ὕδωρ, ἀλλ' ἕστηκεν ἐκκρεμὲς προστάγματι κεχαλινωμένον. ἀλλ' ἤλαυνε τὸ αἷμα τῶν παίδων, καὶ ὁ ἄδικος τῶν νηπίων θάνατος. ὅθεν καὶ Ἰσραὴλ ἅπαξ διεσώθη· Αἰγύπτιοι δὲ ὅσοι ἐξῆλθον, πάντες ἀπώλοντο.

κδ. Ἐγενήθη δὲ ἐν τῇ φυλακῇ τῇ ἑωθινῇ, καὶ ἐπέβλεψε Κύριος ἐπὶ τὴν παρεμβολὴν τῶν Αἰγυπτίων ἐν στύλῳ πυρὸς καὶ νεφέλης, καὶ συνετάραξε κε. τὴν παρεμβολὴν τῶν Αἰγυπτίων. Καὶ συνέδησε τοὺς ἄξονας τῶν ἁρμάτων αὐτῶν, καὶ ἤγαγεν αὐτοὺς μετὰ βίας. καὶ εἶπαν οἱ Αἰγύπτιοι, Φύγωμεν ἀπὸ προσώπου Ἰσραήλ· ὁ γὰρ Κύριος πολεμεῖ ὑπὲρ αὐτῶν τοὺς Αἰγυπτίους.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἡ ὁδηγὸς νεφέλη πρωτοστατοῦσα τὸν ἄλλον χρόνον, ἀνακάμπτει πρὸς τὰ οὔραια τοῦ πλήθους, ὅπως ὀπισθοφυλακῇ· καὶ ταχθεῖσα μεθόριος τῶν διωκόντων καὶ τῶν διωκομένων, τοὺς μὲν ἡνιοχοῦσα σωτηρίως καὶ ἀσφαλῶς ἐπήλαυνε, τοὺς δὲ ἀνεῖργε καὶ ἀνέκρουεν ἐφορμᾶν

(1) Ἕτεροι δὲ τῶν Ἑλλήνων, Αἰγυπτίους τοὺς Ἑβραίους εἶναί φασι, καὶ ποιμένας, κτ. ὁ τῆς Αὐγ. κώδ.

(2) Ὁ μὲν Μανέθων ποιμένας, ὥς φησιν Ἰώσηππος· (ἐν βιβλ. 1. καὶ 2. κατὰ Ἀπίων.) ὁ δὲ Ἀπίων, Αἰγυπτίους τοὺς Ἑβραίους ἐνόμισεν.

(3) Ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται.

(4) Ἴσ. πυθόμεθα αὐτῶν.

ἐφορμᾷν ἐπειγομένες. ἅπερ ὁρῶντες Αἰγύπτιοι, θορύβε ᾖ ταραχῆς πάντ' ἐπλήρεν, τάς τε τάξεις ὑπὸ δέες συνέχεον, ἐπεμπίπλοντες ἀλλήλοις, ᾖ ζητῦντες ἤδη φυγεῖν, ὅτ' ἐδὲν ὄφελος.

κϛ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, ἔκλεινον τὴν χεῖρά σε ἐπὶ τὴν θάλασσαν, καὶ ἀποκαταςήτω τὸ ὕδωρ, καὶ ἐπικαλυψάτω τὲς Αἰγυπτίες, ἐπίτε τὰ ἅρματα καὶ τὲς ἀναβάτας.

κζ. Ἐξέτεινε δὲ Μωϋσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ἀπεκατέςη τὸ ὕδωρ πρὸς ἡμέραν ἐπὶ χώρας. οἱ δὲ Αἰγύπτιοι ἔφυγον ἐπὶ τὸ ὕδωρ· καὶ ἐξετίναξε Κύριος τὲς Αἰγυπτίες μέσον τῆς θαλάσσης.

ΕΥΣΕΒΙΟΥ. Πάλιν ἡ ῥάβδος ἐπὶ τὴν θάλασσαν· ἣ ἐπισφιγχθεῖσα παρὰ τὴν φύσιν, κατεπήχθη εἰς φύσιν, θυμῷ καταςρέψασα καὶ ἅρματα καὶ ἐπιβάτην. συνέπεσεν ἵππους τῷ ἵππῳ· μετανοεῖ Φαραὼ ἀκαίρως.

ΤΟΥ ΑΥΤΟΥ. Οὕτω τὰ θαύματα ἐγίνετο διὰ τῆς ῥάβδε. Αἰγύπτιοι ἐτύπλοντο, Ἰσραὴλ ἐξεβάλετο, Θεὸς ἐγινώσκετο, θάλασσα ἐχίζετο καὶ ἐρράπλετο· καὶ τοῖς μὲν ἦν ὁδὸς, τοῖς δὲ ὄλεθρος. καὶ τὸ πεπλωκὸς τῶν νηπίων ἔχει τὴν ἐκδίκησιν.

κη. Καὶ ἐπαναςραφὲν τὸ ὕδωρ, ἐκάλυψε τὰ ἅρματα καὶ τὲς ἀναβάτας, καὶ πᾶσαν τὴν δύναμιν Φαραὼ, τὲς εἰσπορευομένες ὀπίσω αὐτῶν εἰς τὴν θάλασσαν· ἐ κατελείφθη ἐξ αὐτῶν ἐδὲ εἷς.

ΣΕΥΗΡΟΥ. Περαιωθέντων δὲ τῶν διωκομένων, καὶ ςάντων ἐπὶ τῆς ἀβρόχε γῆς, τὸ τεῖχος ὑπορρεῦσαν ᾖ χυθὲν, τοῖς ἐναπολειφθεῖσι τάφος ἐγένετο, καὶ πανςρατιᾷ τὲς διώκοντας ἐπεκάλυψεν αὐτοῖς ἵπποις καὶ ἅρμασιν.

** ΙΣΙΔΩΡΟΥ. Τὴν τῶν Ἑβραίων ἀῤῥένων μιαιφονίαν ὁμοίᾳ Θεὸς ἀντημείψατο ἐκδικήσει, ἐν τῇ ἐρυθρᾷ πάντας ἄῤῥενας ἀποπνίξας, ἵνα καὶ τοῖς σώμασιν ἔχῃ ἡ δίκη τὸ ὅμοιον.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Βέλεται γὰρ πᾶν αἰγύπτιον πρόσωπον, τετέςι πᾶν ἁμαρτίας εἶδος, ὥσπερ τινὶ βυθῷ, τῷ σωτηρίῳ βαπτίσματι καταπνίξαντας, μόνες ἀναδῦναι. μηδὲν κατὰ τὸν βίον ἐπισυρομένες ἀλλόφυλον. τῦτο γάρ ἐςιν ὃ διὰ τῆς ἱςορίας ἀκέομεν, ἤ φησιν, ἐν τῷ αὐτῷ ὕδατι ζωῇ ᾖ θανάτῳ διακρίνεσθαι τὸ ἐχθρὸν καὶ τὸ φίλον· τῦ μὲν ἐχθρῦ φθειρομένε, τῦ φίλε δὲ ζωογονεμένε. ὡς εἴ γε πολλοὶ

A τῶν τὸ βάπτισμα τὸ σωτήριον προσδεξαμένων ἀγνοίᾳ τῶν τῦ νόμε παραγγελμάτων τὴν παρελθῦσαν τῆς κακίας ζύμην τῇ ζωῇ τῦ μετὰ ταῦτα βίε καταμιγνύεσι, καὶ τὸν ςρατὸν τὸν αἰγύπτιον, καὶ μετὰ τὸ περάσαι τὸ ὕδωρ, ζῶντα μετ' αὐτῶν διὰ τῶν ἐπιτηδευμάτων ἐπάγονται. πάντα γὰρ ὅσα διὰ κακίαν ἐνεργεῖται, τῶν τυράννων ἐςὶ καὶ δεσποτῶν ἀπαρίθμησις. οἷς ὁ δελεύων, κἂν διεξεληλυθὼς τύχῃ τὸ

B ὕδωρ, ὅπω κατά γε τὸν ἐμὸν λόγον τῦ μυςικῦ ὕδατος ἔθιγεν· ὗ ἔργον ἐςὶν ἡ τῶν πονηρῶν τυράννων ἀπώλεια.

κθ. Οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης· τὸ δὲ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων.

ΚΥΡΙΛΛΟΥ. Προασφαλίζεται τὴν

Γ ἀλήθειαν ὁ Θεὸς, εἰδὼς τῶν ἀπιςέντων τὰς κακονοίας. καὶ διὰ τῦτό φησι, « καὶ » τὸ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖ» χος ἐξ εὐωνύμων. ὅπερ ἀσφαλίζεται καὶ περὶ τῦ Ἰορδάνε. καὶ εἰς αὐτὸν, ὅτε ξηρῷ ποδὶ διεβίβασεν αὐτὲς, ὅτι μακρὰν ἀπ' αὐτῶν σφόδρα μέχρι τῦδε τῦ τόπε ἐςάθη τὸ καταφερόμενον ὕδωρ· ἵνα μήτις ἕτερόν τι δωηθῇ κακῶς ἐννοῆσαι πρὸς ὄλεθρον τῆς ψυχῆς αὐτῦ. (1)

Δ

λ. Καὶ ἐρρύσατο Κύριος τὸν Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ χειρὸς Αἰγυπτίων. καὶ εἶδεν Ἰσραὴλ τὲς Αἰγυπτίες τεθνηκότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

λα. Εἶδε δὲ Ἰσραὴλ τὴν χεῖρα τὴν μεγάλην, ἃ ἐποίησε Κύριος τοῖς Αἰγυπτίοις, καὶ ἐφοβήθη ὁ λαὸς τὸν

E Κύριον, καὶ ἐπίςευσαν τῷ Θεῷ, καὶ Μωϋσῇ τῷ θεράποντι αὐτῦ.

** ΒΑΣΙΛΕΙΟΥ. Δήλη ἡ διαφορὰ δεσπότε καὶ δέλε. ἥνπερ καὶ δεικνὺς ὁ γράφων, εἴρηκε· Μωσεῖ τῷ θεράποντι αὐτῦ. Θεὸς μὲν γὰρ ὡς δεσπότης, καὶ ὡς ἀποςείλας Μωσέα πιςεύεται· Μωσῆς δὲ, ὡς θεράπων ἀποςαλείς.

** ΤΟΥ ΝΥΣΣΗΣ. Ὁ διελθὼν τὸ

Z νοηθὲν ἡμῖν πέλαγος, καὶ ἰδὼν ἐν αὐτῷ νεκρὸν τὸν θεωρηθέντα τῦτον Αἰγύπτιον, ἐκ ἔτι πρὸς Μωσέα μόνον ὁρᾷ τὸν τῆς ἀρετῆς ῥαβδῦχον· ἀλλὰ πιςεύει μὲν κατὰ τὸ προηγέμενον τῷ Θεῷ, καθὼς ὁ τῆς ἱςορίας λόγος φησὶ, πείθεται δὲ τῷ θεράποντι αὐτῦ Μωϋσεῖ· ὃ καὶ νῦν βλέπομεν παρὰ τῶν ἀληθῶς τὸ ὕδωρ περαιεμένων γινόμενον. οἱ τῷ Θεῷ ἑαυτὲς ἀναθέντες, καὶ τοῖς θεραπεῦσι διὰ τῆς ἱερωσύνης τὸ

H θεῖον πείθονται καὶ ὑπακέεσι, καθώς φησιν ὁ Ἀπόςολος. Ἑβρ. 13. 17.

ΚΕΦ.

(1) Ἐν τοῖς ἐκδεδομ. ἐχ εὕρηται.

ΚΕΦ. ΙΕ.

α. Τότε ᾖσε Μωϋσῆς καὶ οἱ υἱοὶ Ἰσραὴλ τὴν ᾠδὴν ταύτην.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Δύω χοροὺς, τὸν μὲν ἀνδρῶν, τὸν δὲ γυναικῶν ἐπὶ τῆς ἠϊόνος στήσαντες, εὐχαριστικοὺς ὕμνους εἰς τὸν Θεὸν ᾖδον, ἐξάρχοντος μὲν Μωϋσέως τοῖς ἀνδράσιν, ἀδελφῆς δὲ τούτου ταῖς γυναιξίν. ἡγεμόνες γὰρ οὗτοι τῶν χορῶν ἐγεγένηντο.

ΕΥΣΕΒΙΟΥ. (1) Ὠδή ἐστιν ἡ ἐν δόγμασιν ὀρθοῖς θεολογία, ἣν αὐτὴ καθ' ἑαυτὴν ἡ τοῦ τελείου ψυχὴ μεμελέτηκεν ἀναπέμπειν τῷ Θεῷ.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Ὠδή ἐστιν ὅσα θεωρίας ἔχεται ψυχῆς, (2) καὶ θεολογίας. ᾠδή ἐστι φωνὴ ἔμμελος ἀποδιδομένη ἐναρμονίως, χωρὶς ἐνηχήσεως ὀργάνου. ταύτην τὴν πρώτην ᾖσαν ᾠδὴν οἱ υἱοὶ Ἰσραὴλ, ἀβρόχῳ ποδὶ τὴν ἐρυθρὰν διαπεράσαντες θάλασσαν, καὶ αὐτοῖς ἅρμασι καὶ ἵπποις τοὺς διώκοντας Αἰγυπτίους καταποντιζομένους καὶ ὑποβρυχίους γεγονότας θεασάμενοι. οὐκ ἄμπωτίν τινα καὶ παλίρροιαν περὶ τὸν τόπον γινομένην παρατηρησάμενοι· ὥς φασιν οἱ τοῖς εἰδώλοις προσετηκότες, καὶ τῇ διανοίᾳ ἐμματαιάζοντες. ταύτην δὲ μάλιστα ᾔδεσαν, εἰ ἦν ἀληθῶς, πρό γε τούτων Αἰγύπτιοι, ὡς μᾶλλον προσοικοῦντες τοῖς τόποις· (3) [ἀλλὰ τὴν ἄμαχον τοῦ Θεοῦ δύναμιν ἀγωνιζομένην καὶ ὑπερασπίζουσαν αὐτῶν θεασάμενοι.]

Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν.

ΚΥΡΙΛΛΟΥ. Ἀπολυσάμενος μόλις ὁ Ἰσραὴλ τὸν δυσαχθῆ τῆς δουλείας ζυγὸν, χαριστηρίοις ὕμνοις καταγεραίροντες ἔφα-
» σκον, ἄσωμεν τῷ Κυρίῳ.

** ΤΟΥ ΑΥΤΟΥ. Τεθαυματούργηκε γὰρ χρησίμως ὁ τῶν ὅλων Θεός. καίτοι γὰρ πλεῖστά τε ὅσα καὶ λίαν ἀξιοθαύμαστα παραδείξας αὐτοῖς τὰ ἐν Αἰγύπτῳ σημεῖα, προσέτι φιλοτίμως τὸ καὶ δι' αὐτῆς διάττειν θαλάσσης δύνασθαι τοὺς ὑπ' αὐτῷ γεγονότας, ἵνα εὖ βεβηκότα λοιπὸν καὶ ἐρηρεισμένον ἐν αὐτοῖς ἔχοιεν νοῦν, καὶ δὴ καὶ πιστεύοιεν, ὡς οὐ καθ' ἕνα τῶν ψευδωνύμων ἐστὶ Θεῶν, ἤγουν ἀνθρωπίνης εὑρέματα τέχνης, καὶ τὸ βρέτας ἁπλῶς ἐκ ξύλου καὶ λίθου πεποιημένον· ἀλλ' ὅτι τῶν ὅλων ὑπάρχων Κύριος, ὡς ὑπὸ πόδας κειμένῃ κελεύει τῇ κτίσει, καὶ ὅπερ ἂν ἕλοιτο κατορθοῦν, εὐκόλως διαπεραίνεται.

ΤΟΥ ΑΥΤΟΥ. Ἵνα δὲ καὶ ἔτι μειζόνως θαυμάζοντες ὠφελοῖντο πλουσιώτερον, ἀπαίρειν ἐκέλευσε, καὶ εἰς τὴν τοῖς πατράσιν ἐπηγγελμένην ἐπείγεσθαι γῆν, στρατηγοῦντος τοῦ πανσόφου Μωϋσέως.

ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ. Ἡ οὐ πᾶσαν αἰσθητὴν καὶ μικροπρεπῆ ὑπεραίρει δόξαν ὁ τὴν κτίσιν ἅπασαν σύνδρομον ἔχων, καὶ τοῖς αὐτοῦ νεύμασιν εἴκουσαν, B καὶ τροπουμένην τοὺς ἀνθεστηκότας καὶ λυπεῖν ἐπειγομένους τὸν ἑαυτῆς ποιητὴν; οὐ φυσικῇ τινὶ πάντως ὁρμῇ, ἀλλὰ καὶ παρὰ φύσιν βιαζομένην τοῦ δημιουργοῦ ἐκπληροῦν τὴν βουλήν. οὐ κρείττων πάσης ἀνθρωπίνης δοξολογίας ὁ τὸν ἑαυτοῦ λαὸν διὰ μέσης ἰέναι παρασκευάσας θαλάσσης, καὶ δι' ἠπείρου διαπερᾶσαι τὸ πέλαγος, τὸν δὲ ἄδικον καὶ ἀσεβῆ τῶν Αἰγυπτίων λαὸν, τὴν αὐτὴν ἐκείνοις βαδίζειν κατόπιν ὁδὸν ἐπει- Γ γόμενον, καὶ φονῶντα κατὰ τῶν ἀναιτίων καὶ ξένων, ἀμογητὶ τροπωσάμενος, καὶ ἀθρόως ἅπαντας ἀνελών;

* ΤΟΥ ΑΥΤΟΥ. Τότε μὲν τὸν Φαραὼ καὶ ἅπαν αὐτοῦ τὸ στρατόπεδον καταποντίσας, νυνὶ δὲ διὰ τῆς ἐπιφανείας τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὸν νοητὸν Φαραὼ, καὶ τὴν πονηρὰν αὐτοῦ δύναμιν τοῖς τῆς ἀτιμίας ἐπιβαίνου- Δ σαν πάθεσιν ἐν τοῖς τοῦ Ἰορδάνου ῥείθροις καταβαπτίσας, καὶ τὸν ἀληθινὸν Ἰσραὴλ ἐλεύθερον τῆς αὐτοῦ δουλείας ἐκδῦναι παρασκευάσας, ὡς μηκέτι ἡμᾶς αὐτὸν φο-
» βεῖσθαι, πειθομένους τῷ λέγοντι, ἐὰν Δευτ. 20. 1.
» ἐξέλθῃς εἰς πόλεμον πρὸς τοὺς ἐχθρούς-
» σου, καὶ ἴδῃς ἵππον καὶ ἀναβάτην καὶ
» λαὸν πλείονα, οὐ φοβηθήσῃ, ὅτι Κύριος
» μετὰ σοῦ.

** ΑΘΑΝΑΣΙΟΥ. Ὁ Μωϋσῆς εἰδὼς, E ὅτι πάντων τῶν βυθισθέντων μία ἐστὶν ἡ φύσις, καὶ περὶ τῶν ἵππων καὶ περὶ τῶν
» ἀνδρῶν λέγει, ἄσωμεν τῷ Κυρίῳ ἐνδόξως
» γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρ-
» ριψεν εἰς θάλασσαν. τὰ πλήθη τῶν ἀνδρῶν ἐκάλεσεν ἕνα ἄνθρωπον, καὶ τὰ πλήθη τῶν ἵππων ἐκάλεσεν ἵππον ἕνα, διὰ τὴν κοινωνίαν τῆς φύσεως.

ϛ. Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό Z μοι εἰς σωτηρίαν. οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν. Θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν.

* ΒΑΣΙΛΕΙΟΥ. Ἠμύνετο γὰρ τοῖς ἀδικουμένοις, καὶ δίκην ἀετοῦ ταῖς πτέρυξιν [ὡς νεοσσοὺς] ἐσκέπασε, καὶ συνήγαγεν οὐκ εἰς ἀπώλειαν, ὡς Αἰγυπτίους συνταράξας, καὶ ἀγαγὼν αὐτοὺς μετὰ βίας, καὶ ἐπικαλύψας τῷ ὕδατι, ἀλλ' ἐν στύλῳ πυ- H ρὸς καὶ νεφέλης εἰς σωτηρίαν. τεῖχος γὰρ

(1) Καισαρείας πρόσκειται ἐν τῷ 3. Τόμ. τῆς εἰς τοὺς Ψαλ. σειρ. ἐν ᾗ καὶ ἡ ᾠδὴ αὕτη.
(2) Ὑψηλῆς. εἰς τὸν 29. Ψαλ. ψιλῆς δὲ ἐν τῷ εἰρημ. Τόμ.
(3) Τὰ ἑπόμ. ἐκ τοῦ προδιαληφθέν. Τόμ. ἐλήφθη.

γὰρ ἦν αὐτοῖς τὸ ὕδωρ ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων.

ΤΟΥ ΑΥΤΟΥ. Τῇ δεικτικῇ ἀντωνυμίᾳ τὸ ἀκοινώνητον αὐτοῦ πρὸς τοὺς μὴ ὄντας ἐνδειξάμενος. οὗτός μου Θεὸς, οὐχ οἱ ψευδώνυμοι, οὐχ οἱ πάλαι ὑφ' ὑμῶν λατρευόμενοι ἐν Αἰγύπτῳ, τοῦτον καὶ δοξάζω. Κύριον γὰρ τὸν Θεόν μου προσκυνήσω, καὶ αὐτῷ μόνῳ λατρεύσω. εἰ γὰρ καὶ ἡμεῖς ἐν Αἰγύπτῳ πλανηθέντες ἐθύομεν δαιμονίοις, καὶ οὐ Θεῷ· ἀλλὰ νῦν φαμὲν, ὡς τὸν Θεὸν τῶν πατέρων ἡμῶν, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, σεβασθησόμεθα καὶ ὑψώσομεν, μηδὲν χαμαίζηλον ἢ ταπεινὸν περὶ αὐτοῦ φανταζόμενοι, ἀλλὰ γινώσκοντες αὐτὸν Θεὸν ἀληθινὸν, (1) [οὐ κτίσμα ἢ ποίημα, ἀλλὰ πάσης κτίσεως ποιητὴν, καὶ ὑπεράνω πάσης τῆς ὁρωμένης καὶ οὐχ ὁρωμένης κτίσεως, οὐ πρόσφατον ἀλλ' ἀΐδιον. τοῦτον γὰρ αὐτὸν ὄντα ἠπίστατο καὶ Ἰακὼβ ὁ ἡμέτερος πατριάρχης ἀμεταθέτως, μηδέποτε ἄλλοτε ἄλλας ἐσχηκὼς περὶ αὐτοῦ δόξας. διὸ καὶ αὐτὸν, φαμὲν, ὡς αὐτὸν τοῦτον τὸν ῥυσάμενον ἡμᾶς, καὶ τοῦ πατρὸς ἡμῶν γεγονότα Θεὸν δοξάζομεν, τὰς εὐεργεσίας αὐτοῦ διηγούμενοι, καὶ ἀναγγέλλοντες τὰ ἔργα αὐτοῦ, καὶ ὑπὸ περιχαρείας διαφόρως ταυτολογοῦντες· ποτὲ μὲν, ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν λέγοντες· ποτὲ δὲ, ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν.]

γ. Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα αὐτῷ.

δ. Ἅρματα Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν.

ΤΟΥ ΝΥΣΣΗΣ. Δύναμις δὲ τοῦ νοητοῦ Φαραὼ, τῶν ἀτόπων ἐπιτηδευμάτων καὶ ἀτιμίας παθῶν ὁ σύλλογος, ἅπερ ζευγνὺς διεγείρει πολέμους τοῖς φοβουμένοις τὸν Θεόν· ἀλλὰ καὶ τοὺς τοιούτους πολέμους συντρίβει ὁ Κύριος, ποιῶν ἡμᾶς ἐπιβαίνειν ἐπὶ ἀσπίδα καὶ βασιλίσκον, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

Ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ.

* ΤΟΥ ΝΥΣΣΗΣ. Ἐπιλέκτους φησὶν, ὡς τοῖς ἄλλοις εἶναι τοιούτους δοκοῦντας, καὶ τῇ προσκαίρῳ ἡδονῇ τοὺς ἀνοήτους ἀντέχεσθαι αὐτῶν δελεάζοντας· καὶ αὐτῷ δὲ τῷ Σατανᾷ νομιζομένῳ τοιούτῳ· (2)
ς. ἐπεὶ καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτὰ ἑτέρωθι φησὶν ἡ θεία Γραφή.

ΤΟΥ ΑΥΤΟΥ. Τριστάτας ὀνομάζει ἡ ἱστορία. νοήσεις δὲ τοὺς τρεῖς τούτους πάντως τοὺς φερομένους ὑπὸ τοῦ ἅρματος, τὴν

A τριμερῆ τῆς ψυχῆς διαίρεσιν, εἰς τὸ λογικόν τε καὶ ἐπιθυμητικὸν καὶ θυμοειδὲς ἀναπέμπων τὸ νόημα. ταῦτα οὖν πάντα, καὶ ὅσα τούτοις ὁμόφυλα τῷ καθηγουμένῳ τῆς πονηρᾶς ἐφόδου συνεισπίπτει τῷ Ἰσραηλίτῃ ἐπὶ τὸ ὕδωρ. ἐφ' ὧν ἡ τοῦ ὕδατος φύσις, ἡγουμένης τῆς κατὰ τὴν βακτηρίαν πίστεως, καὶ τῆς φωτιζούσης νεφέλης, ζωοποιὸς μὲν γίνεται τῶν εἰς αὐτὴν καταφευγόντων, ἀναιρετικὴ δὲ τῶν διωκόντων.

B * ΩΡΙΓΕΝΟΥΣ. Εἰς τὰς τῶν πολέμων χρείας ἅρματα ἐποίουν μεγάλα, ὡς καὶ τρεῖς χωρεῖν· ἵν' ὁ μὲν εἰς ἡνιοχῇ, οἱ δὲ δύο πολεμῶσιν. ἢ [τριστάτας λέγει,] τοὺς ἐπὶ τριῶν ἵππων ἐπιβεβηκότας. οἱ γὰρ παλαιοὶ ἐν πολέμῳ ἐξιόντες ἁρματηλάται, ἐπὶ τριῶν ἵππων ἐπωχοῦντο. φησὶ γὰρ καὶ πᾶσαν τὴν ἵππον, καὶ τριστάτας ἐπ' αὐτῶν. ἢ τοὺς ἰσχυροὺς καὶ πρὸς τρεῖς δυναμένους ἀντιστῆναι. ἢ τριστάτας τοὺς ἐν
Γ παρατάξει τρίτους ἱσταμένους ἐν φάλαγγι, τούτῳ τῷ τρόπῳ τῆς παρεμβολῆς ἱσταμένης φαλαγγοειδῶς. τοῦ γὰρ πρώτου πίπτοντος ἢ ἀποκάμνοντος, ὁ τριστάτης ὑπεισήρχετο τὸν ἐκείνου τόπον. ἢ τριστάτην λέγει τὸν τρισσὸν, τουτέστι τὸν ἐν τῷ καθέζεσθαι τὸν βασιλέα τρίτον ἱστάμενον, ἤτοι τὴν τρίτην ἔχοντα καθέδραν. οἷος ἦν ὁ Δαβὶδ παρὰ τῷ Σαούλ. τοῦτο δὲ εὑρή-
Δ σεις ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν. (3)

ε. Πόντῳ ἐκάλυψεν αὐτούς· κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.

* ΒΑΣΙΛΕΙΟΥ. Λίθων γὰρ ἦσαν ἀναισθητότεροι καὶ βαρύτεροι, μηδὲν κοῦφον ἢ μετάρσιον ἔχοντες, [ἢ ἀεροπορεῖν δυνάμενον· ὡσεὶ φορτίον γὰρ βαρὺ ἐβαρύνθησαν· καὶ οὐκ ἐν τοῖς ἐπιπολαιοτέροις τῆς θαλάσσης, ἀλλὰ καὶ ἐν τῷ βάθει τοῦ ὕδα-
E τος αὐτῆς.] ἐπεὶ [οἱ τοιοῦτοι] καὶ εἰς βυθὸν κακῶν ἐληλυθότες, κατεφρόνησαν. διὸ καὶ εἰς βάθος ἔδυσαν.

ς. Ἡ δεξιά σου Κύριε δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου Κύριε χεὶρ ἔθραυσεν ἐχθρούς.

* ΒΑΣΙΛΕΙΟΥ. Δεξιὰν, καὶ βραχίονα, καὶ χεῖρα καλεῖν οἶδε πολλάκις τὸν
Z υἱὸν ἡ θεία Γραφή. ἀλλὰ καὶ δύναμιν. Χρι- 1. Κορ. 1. 24.
» στὸς γὰρ [Θεοῦ] δύναμις, καὶ Θεοῦ σοφία. αὕτη γοῦν καὶ δεδόξασται, ἀήττητος οὖσα δύναμις τοῦ πατρός· συντρίψασα τότε μὲν τὸν Φαραὼ, νυνὶ δὲ καὶ τὸν Σατανᾶν, καὶ πᾶσαν τὴν δύναμιν αὐτοῦ.

** ΣΕΥΗΡΟΥ. Χριστὸς δέ ἐστιν ἡ τοῦ ὑψίστου πάντα ἰσχύουσα δεξιὰ, ἡ τῶν ἐξαισίων θαυμάτων ἐργάτις.

(1) Τὰ ἑξῆς ἐλήφθη ἐκ τοῦ ἄρτι εἰρημ. Τόμ. (2) Νομιζομένους τοιούτους. αὐτ.

(3) Τοῦτο ἐλλειπέστερον κεῖται ἐν τῷ 7. ἐδ. τοῦ 14 κεφ. καὶ ἐν μὲν ταῖς σημειώσ. τῆς ἐν τῇ Φρανεκ. ἐκδόσ. τῆς Γραφ. τῷ τε Ὠριγέν. καὶ τῷ Νύσ. Γρηγορ. ἐπιγέγραπται· ἐν δὲ τῷ εἰρημ. 3. Τόμ. τῆς τῶν ψαλ. σειρ. Ἰωάννῃ.

A ζ. Καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. ἀπέστειλας τὴν ὀργήν σου· κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην.

* ΒΑΣΙΛΕΙΟΥ. Ὅτι ἀπαθὴς ὁ Θεὸς, εἴρηται πολλάκις. ὀργὴν δὲ καλεῖ Θεοῦ ἡ θεία Γραφὴ τὴν κατὰ τῶν ἁμαρτανόντων καὶ τοῦ κολάζεσθαι ἀξίων τιμωρητικὴν κίνησιν, ἢ καὶ τοὺς ταύτῃ ἐξυπηρε-
Ψαλ. 77. 49. τουμένους Ἀγγέλους. ἀπέστειλε γὰρ εἰς αὐ-
» τοὺς ὀργὴν καὶ θυμὸν, ἀποστολὴν δι' Ἀγ-
» γέλων πονηρῶν. ὀργὴ δὲ καὶ θυμὸς πῶς ἂν ἀποσταλείη; εἴγε ἀληθῶς τὴν ὀργὴν θήσομεν, ἢ τὸν θυμὸν, ζέσιν ὄντα τοῦ περικαρδίου αἵματος. ἀλλ' οὐδὲ σῶμα τὸ θεῖον, οὔτε ἐμπαθές. ὀργὴν δὲ ἀποστελλομένην ὑποληπτέον τὴν τοῖς ἁμαρτωλοῖς ἐπαγομένην τιμωρίαν. ἥτις καὶ κατέφαγεν αὐτοὺς, τουτέστιν ἀνήλωσεν, ὡς καλάμην ὑπὸ πυρός.

η. Καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου ἔστη τὸ ὕδωρ· ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα· ἐπάγη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.

* ΒΑΣΙΛΕΙΟΥ. Πνεῦμα δὲ θυμοῦ τὸν Ἄγγελον, τὸν ἐξυπηρετούμενον τῇ τοιαύτῃ τιμωρίᾳ, φησίν· ἢ καὶ τὸν νότον, ὃς καὶ ἐσώρευσε τὸ ὕδωρ, ἤγουν διέστησε, καὶ πήξας τὴν ῥευστὴν φύσιν, ὡς τεῖχος ἐποίησεν.

θ. Εἶπεν ὁ ἐχθρὸς, διώξας καταλήψομαι, μεριῶ σκῦλα. ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου.

* ΒΑΣΙΛΕΙΟΥ. Ἀλλὰ θεασάμενος ὁ Αἰγύπτιος, ἐνόμισε καὶ αὐτῷ τρίβον παρασκευασθῆναι, καὶ ἐπιδιώκειν δύνασθαι τοὺς υἱοὺς Ἰσραήλ. κἀνώσω φησὶ τοὺς φεύγοντας, καὶ λείαν ἐξ ὀλίγου ποιήσω, τοὺς μὲν ἀνελὼν, τοὺς δὲ καὶ ζωγρῶν, καὶ ὑποχειρίους ἐργαζόμενος.

ι. Ἀπέστειλας τὸ πνεῦμά σου· ἐκάλυψεν αὐτοὺς θάλασσα· ἔδυσαν ὡσεὶ μόλιβδος ἐν ὕδατι σφοδρῷ.

Ἐξόδ. 14. 21. * ΒΑΣΙΛΕΙΟΥ. Ἐπήγαγε γάρ φησι
» Κύριος τὴν θάλασσαν ἐν ἀνέμῳ νότῳ βιαίῳ. πνεῦμα δὲ Θεοῦ νοήσομεν τὸν νότον, ὡς ποίημα ποιητοῦ, καὶ κτίσμα δημιουργοῦ.

ια. Τίς ὅμοιός σοι ἐν θεοῖς Κύριε; τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα.

* ΒΑΣΙΛΕΙΟΥ. Τὸ τίς ἐνταῦθα, ἀντὶ τοῦ οὐδείς. οὔτε γὰρ ἐν δυναστείαις, ὡς ὁ Σύμμαχος ἐξέδωκεν, οὔτε ἐν ἁγιασμῷ ἐξισωθῆναί [τις δυνήσεται, ἢ κατά τι γοῦν ὁμοιωθῆναι.] οὐδὲ γὰρ συγκρίνεται τὰ ἀσύγκριτα, οὐδὲ τῷ ποιητῇ τὰ ποιήματα, οὐδὲ τῷ ὄντι τὰ μὴ ὄντα, καὶ εἰς γένεσιν παραχθέντα. πάντων γὰρ καὶ ἐν πᾶσιν ὑπερανέστηκεν ἀσυγκρίτοις ὑπεροχαῖς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί λέγεις, ὦ Μωϋσῆ, ὅλως γάρ ἐστι σύγκρισις; Οὐ κατὰ σύγκρισιν τοῦτο ποιῶν εἶπον, φησίν· ἀλλ' ἐπειδὴ πρὸς Ἰουδαίους διαλέγομαι, τοὺς μεγάλην περὶ τῶν δαιμόνων ἔχοντας δόξαν, τῇ ἀσθενείᾳ αὐτῶν συγκαταβαίνων, τοῦτον
B τῆς διδασκαλίας εἰσήγαγον τὸν τρόπον.

ιβ. Ἐξέτεινας τὴν δεξιάν σου, καὶ κατέπιεν αὐτοὺς ἡ γῆ.

ΤΟΥ ΝΥΣΣΗΣ. Ἡ γὰρ πάλαι συστελλομένη διὰ τὴν ἀνοχὴν καὶ χρηστότητα καὶ μακροθυμίαν, ἐξετάθη κατὰ τῶν Αἰγυπτίων. ταύτης γὰρ καταφρονήσαντες, καὶ βελτιωθῆναι μὴ βουληθέντες, ἐθησαύρισαν ἑαυτοῖς ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς.
Γ καταπεπωκέναι δὲ αὐτοὺς τὴν γῆν φησὶ, χάσματος γεγενημένου μετὰ τὸ ἐκβρασθῆναι αὐτοὺς ἀπὸ τῆς θαλάσσης, καὶ σκυλευθῆναι ὑπὸ τῶν υἱῶν Ἰσραήλ· πρότερον, τοῦ Θεοῦ βουληθέντος πεῖσαι τοὺς υἱοὺς Ἰσραὴλ, ὡς ἄρδην ἀπώλοντο, ὑπ' ὄψιν ἀγαγόντος τὰ σώματα, καὶ ὡς οὐ φαντασίᾳ τινὶ τὰ γινόμενα, σκυλεῦσαι παρασκευάσαντος, καὶ ἀφανῆ ἐν ταῖς ἐκείνων ὄψεσι γενέσθαι καταποθέντα ὑπὸ τὴν γῆν.

Δ ιγ. Ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω· παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἅγιόν σου.

* ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Δικαιοσύνη γὰρ ἀληθῶς τὸ διασῶσαι ξένους ἐπιβουλευομένους, ἐλευθέρους καταδουλουμένους, ἐπιστρέψαι πεπλανημένους, εὐσεβεῖς ἐκ
E πειρασμῶν ῥύσασθαι.

» * ΤΟΥ ΑΥΤΟΥ. Παρεκάλεσας, του-
» τέστι διεβάσασας· οὕτω γὰρ ὁ Σύμμαχος διερμήνευσε· προετρέψω, φρουρῶν αὐτοὺς ἐν ἅπασι, καὶ τοὺς ἐχθροὺς ἀμυνόμενος, καὶ ἄφθονον αὐτοῖς τὴν τῶν ἀγαθῶν περιουσίαν δωρούμενος, ἕως οὗ εἰς αὐτὴν, ἣν ἐπηγγείλω, κατέστησας γῆν· κατάλυμα δὲ ἅγιον, καὶ ὁ εὐσεβὴς λογισμὸς, καὶ ἡ τῶν ἀγαθῶν πράξεων ἐργασία· εἰς ἣν αὐτοὺς
Z παρεκάλεσε, συμπαθῶν αὐτῶν τῇ νηπιότητι, καὶ τροποφορῶν αὐτοὺς ὡς πατὴρ καὶ διδάσκαλος.

ιδ. Ἤκουσαν ἔθνη, καὶ ὠργίσθησαν· ὠδῖνες ἔλαβον κατοικοῦντας Φυλιστιείμ.

» ΤΟΥ ΝΥΣΣΗΣ. Ὠργίσθησαν, ἤγουν ἐκλονήθησαν, ἐταράχθησαν. ἀδελφὰ γὰρ
H ἤλπιζον πείσεσθαι τοῖς Αἰγυπτίοις οἱ ἀλλόφυλοι.

* ΤΟΥ ΑΥΤΟΥ. Καὶ τούτοις Ῥαὰβ ἡ πόρνη μαρτυρεῖ, τὸν κλόνον αὐτῶν τοῖς κατασκόποις δηλώσασα· καὶ ἀλλόφυλοι

τὴν

A τὴν κιβωτὸν θεασάμενοι, καὶ τὸ, οὐαὶ ἡμῖν, ἐπιφωνοῦντες, ὡς ἐν ταῖς βασιλείαις γέγραπται.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅπου ἐὰν βούληται ἡ Γραφὴ ἀφόρητόν τινα ἡμῖν ὀδύνην ἐνδείξασθαι, τῷ ὀνόματι τῆς ὠδῖνος αὐτὴν ὑπογράφει. διό φησιν ὠδῖνες ἔλαβον κατοικοῦντας Φυλιστιεὶμ, τουτέστι φόβος, τρόμος, πόνος, ὀδύνη.

ιε. Τότε ἔσπευσαν ἡγεμόνες Ἐδὼμ, καὶ ἄρχοντες Μωαβιτῶν· ἔλαβεν αὐτοὺς τρόμος· ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν.

B * ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ἐδὼμ καὶ Σιεὶρ ὁ Ἡσαῦ ὠνομάζετο, [ὁ τοῦ Ἰακὼβ ὁμογάστριος ἀδελφὸς, ἐξ οὗ καὶ Ἰδουμαῖοι κατάγονται.] Μωαβῖται δὲ οἱ ἀπὸ τοῦ Μωὰβ, οἱ υἱοὶ Λώτ. οὗτοι τὴν ὑπερασπίζουσαν τοῦ Ἰσραὴλ μαθόντες χεῖρα, τρόμῳ συνεσχέθησαν. Τὸ δὲ, ἔσπευσαν, ἐθορυβήθησαν, ἐκδεδώκασιν ἄλλοι. περὶ δὲ τοὺς χρόνους ἀδιαφοροῦσα ἡ θεία Γραφὴ, πῇ μὲν ἀπαγγέλλει, ὡς ἤδη γεγενημένα τὰ πράγματα, τῇ προρρήσει τῶν μελλόντων θαρροῦσα· πῇ δὲ, ὡς μήπω γεγενημένα, ἐσόμενα δὲ διηγεῖται.

Γ * ΤΟΥ ΑΥΤΟΥ. Ταῦτα δέ φαμεν θαρροῦντες ἐξ ὧν ἤδη εἰς ἡμᾶς ἐπεδείξω, τοὺς μὲν ἐχθροὺς τροπωσάμενος καὶ ἐπικλύσας αὐτοῖς ἅπαν τὸ πέλαγος, τὸν δὲ Ἰσραὴλ διαγαγὼν, ὡς ἐν ἠπείρῳ σχεδιασθείσῃ τῷ σῷ προστάγματι, διὰ μέσου τοῦ ὕδατος. τούτοις ἢ καὶ νοητῶς ἐπιβαλεῖς [κατὰ] τὸν πνευματικὸν νόμον, τοῦ πνευματικοῦ ῥητοῦ γινόμενος ὑψηλότερος. ἄρχοντας γὰρ καὶ ἡγεμόνας Ἐδὼμ, καὶ τῶν λοιπῶν ἀσεβῶν ἀλλοφύλων ἐθνῶν, τὸν Σατανᾶν νοήσεις, καὶ τὰς ὑπ' αὐτὸν πονηρὰς δυνάμεις. οἵτινες καὶ ἐκλονήθησαν, τὴν ἄμαχον τοῦ Θεοῦ χεῖρα διαναστᾶσαν κατ' αὐτῶν ὡς ἀσεβῶν θεασάμενοι, καὶ βοῶντες, ἔα τί ὑμῖν καὶ σοὶ, υἱὲ τοῦ Θεοῦ; ἦλθες πρὸ καιροῦ, καὶ τὰ ἑξῆς. καὶ τῷ φθόνῳ δὲ συσχεθέντες ἐτάκησαν ὁρῶντες ὠδίνουσαν τὴν Σιὼν, καὶ τίκτουσαν ἐν ἡμέρᾳ μιᾷ ἔθνος τοσοῦτον, καὶ λαὸν κτιζόμενον, καὶ αἰνοῦντα τὸν Κύριον.

ις. Ἐπιπέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος· μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν· ἕως ἂν παρέλθῃ ὁ λαός σου Κύριε· ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος, ὃν ἐκτήσω.

* ΤΟΥ ΝΥΣΣΗΣ. Ὅπερ ἐστὶ, τῇ ὑπερβολῇ τῆς σῆς δυνάμεως ἀκίνητοι διαμεινάτωσαν, ὑπὸ τοῦ δέους ἐκνευρισθέντες. ταῦτα δὲ αὐτοῖς συμβῆναι παρακαλοῦμεν, οὐ μισάδελφοι ὄντες, ἀλλ' ἵνα μήτι κακὸν διαπεροῦντες προσλάβωμεν οἱ παραδόξως σωθέντες ἐκ χειρὸς τῶν Αἰγυπτίων, καὶ λαός σου χρηματίσαντες, καὶ γενόμενοι κτῆμα τοῦ διασώσαντος.

ιζ. Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατειργάσω Κύριε, ἁγίασμα Κύριε, ὃ
ιη. ἡτοίμασαν αἱ χεῖρές σου. Κύριος βασιλεύων τὸν αἰῶνα, καὶ ἐπ' αἰῶνα, καὶ ἔτι.

* ΤΟΥ ΝΥΣΣΗΣ. Δεόμεθα, ὅπως καὶ εἰσαγάγῃς ἡμᾶς, καὶ καταπαύσῃς εἰς τὴν γῆν, ἣν τοῖς πατράσιν ἡμῶν ἐπηγγείλω, καὶ εἰς τὸ κατεργασθὲν, ἤτοι εὐτρεπισθὲν, τῇ σῇ προγνώσει κατοικητήριον καὶ ἁγίασμα. ὃ οἶκον προσευχῆς ὥρισας ἔσεσθαι, καὶ ἡτοίμασας τῇ σῇ μερίδι, καὶ τῷ σχοινίσματι τῆς κληρονομίας σου. αὐτὸς γὰρ εἶ ὁ βασιλεύων εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἐπέκεινα.

* ΤΟΥ ΑΥΤΟΥ. Τίνες δὲ αἱ χεῖρες; Ὁ Κύριος βασιλεύων εἰς τὸν αἰῶνα. δι' οὗ καὶ πάντα πεποίηκεν ὁ πατὴρ, καὶ κατέλυσε τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ συνέτριψε τὰς τῶν δρακόντων κεφαλὰς ἐπὶ τοῦ ὕδατος, καὶ ἠλευθέρωσε τὸν ἴδιον λαὸν ἀπὸ τῆς καταδυναστείας αὐτῶν.

** ΜΑΞΙΜΟΥ. Οἴδαμεν τὶ κατὰ τὴν Γραφὴν ὑπεραιώνιον· ὅπερ ὅτι μέν ἐστιν, ἐσήμανε· τί δὲ τοῦτό ἐστιν, οὐκ ὠνόμασε, Δ » κατὰ τὸ, Κύριος βασιλεύων τὸν αἰῶνα, καὶ » ἐπ' αἰῶνα, καὶ ἔτι. οὐκοῦν ἐστι τι πρᾶγμα ὑπὲρ αἰῶνας, ἡ ἀκραιφνὴς τοῦ Θεοῦ βασιλεία. οὐ γὰρ δὴ θέμις εἰπεῖν ἦρχθαι, ἢ φθάνεσθαι ὑπὸ αἰώνων ἢ χρόνων τὴν τοῦ Θεοῦ βασιλείαν. ταύτην δὲ πιστεύομεν εἶναι τῶν σωζομένων κληρονομίαν, καὶ μονὴν, καὶ τόπον, καθὼς ὁ ἀληθὴς παραδίδωσι λόγος· ὡς τέλος τῶν δι' ἐφέσεως πρὸς τὸ ἔσχατον ὀρεκτὸν κινουμένων. ἐν ᾧ γινόμενοι, πάσης τῆς ὁποιασοῦν δέχονται E παῦλαν κινήσεως· ὡς μηκέτι χρόνου τινὸς ὄντος αὐτῶν, ἢ αἰῶνος τοῦ διαβηθῆναι ὀφείλοντος, οἷα δὴ μετὰ πάντα καταντήσασιν εἰς τὸν Θεὸν, τὸν πρὸ πάντων ὄντα τῶν αἰώνων, καὶ ὃν φθάνειν αἰώνων φύσις οὐ πέφυκεν.

ιθ. Ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι, καὶ ἀναβάταις εἰς θάλασσαν, Z καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

κ. Ἔλαβε δὲ Μαριὰμ ἡ προφῆτις ἡ ἀδελφὴ Ἀαρὼν τὸ τύμπανον ἐν τῇ χειρὶ αὐτῆς, καὶ ἐξῆλθον πᾶσαι αἱ γυναῖκες ὀπίσω αὐτῆς μετὰ
κα. τυμπάνων καὶ χορῶν. Ἐξῆρχε δὲ αὐταῖς Μαριὰμ, λέγουσα, ᾄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Κέχρηται δὲ ὁ μὲν τῶν ἀνδρῶν χορὸς ἡγεμόνι τῷ Μωϋσῇ, ὁ δὲ τῶν γυναικῶν τῇ τούτου ἀδελφῇ Μαριάμ, ἀνακρουομένῃ τὸ τύμπανον, ὅπερ ἐστὶ νεκρωσάσῃ τὰ μέλη τὰ ἑαυτῆς δι' ἐγκρατείας. ζώου γὰρ νεκροῦ δέρμα τὸ τύμπανον. τὸν δὲ αὐτὸν ὕμνον ᾄδουσιν οἱ χοροὶ, ἀντίφωνον ἀναπέμποντες ἁρμο-
» νίαν, καὶ ἐφυμνοῦντες, ᾄσωμεν τῷ Κυρίῳ.

κβ. Ἐξῆρε δὲ Μωϋσῆς τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ θαλάσσης ἐρυθρᾶς, καὶ ἤγαγεν αὐτοὺς εἰς τὴν ἔρημον Σούρ. καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ, καὶ οὐχ εὕρισκον ὕδωρ, ὥστε πιεῖν.

** ΚΥΡΙΛΛΟΥ. Ἄθρει δὴ οὖν πῶς οὐκ ἀγυμνάστως αὐτοὺς λελυτρωμένους, οὐδὲ τῷ τῆς εὐθυμίας ἐντρυφῶντας πλάτει, παρακομίζεσθαι πρὸς τὸ ῥᾴθυμον ἐφίησιν οἰκονομικῶς· ἵνα μὴ κατὰ βραχὺ πρὸς λήθην ἰόντες τοῦ διασώζειν ἰσχύοντος, εἰς τὴν ἐν Αἰγύπτῳ πλάνην εὐκόλως ὑπονοστήσειαν. συλλέγουσι γὰρ οἱ πόνοι πρὸς Θεόν.
Ἡσ. 26. 16. καὶ γοῦν ὁ Προφήτης φησὶ, Κύριε ἐν θλί-
» ψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παι-
» δεία σου ἡμῖν. μακρὰν τοιγαροῦν καὶ διψάδα διϊόντες γῆν, ἐν σπάνει γεγόνασι τῶν
» ἀναγκαίων εἰς ζωήν· οὐ γὰρ εὕρισκον ὕδωρ,
» ὥστε πιεῖν.

κγ. Ἦλθον δὲ εἰς Μερρὰν, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ Μερρᾶς· πικρὸν γὰρ ἦν. διὰ τοῦτο ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, πικρία.

* ΚΥΡΙΛΛΟΥ. Μερρὰ μὲν ἑρμηνεύεται πικρία, λαμβάνεται δὲ πρὸς ἡμῶν εἰς τὸν τοῦ νόμου τύπον. πικρὸς γὰρ ὁ νόμος ἦν, ὅτι καὶ κολαστής. καὶ τούτου μάρ-
Ἑβρ. 10. 28. τυς ὁ Παῦλος, λέγων· ἀθετήσας τις νό-
» μον Μωσέως, ἐπὶ δυσὶν, ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. πικρὸς οὖν καὶ ἀφόρητος τοῖς πάλαι, καὶ ἀπαράδεκτος· διὰ τοῦτο καθάπερ ἀμέλει καὶ ὕδωρ πικρόν. ἀλλ' ἐγλυκάνθη καὶ αὐτὸς διὰ τοῦ τιμίου σταυροῦ· οὗ καὶ εἰς τύπον ἦν τῷ μακαρίῳ Μωσῇ τὸ τηνικαῦτα παραδειχθὲν παρὰ Θεοῦ ξύλον. ὅτι γὰρ εἰς πνευματικὴν θεωρίαν μεταπεφοίτηκεν ἡ σκιὰ, εἰς τὸ τοῦ Χριστοῦ μυστήριον, τοῖς τῆς διανοίας ὄμμασι τεθεάμεθα τοῖς ἐν τῷ νόμῳ τύποις ἐγκεχωρισμένον (1) τότε. καίτοι δὲ πικρὸς ὁ νόμος ὢν, ἀποβέβληκε τὸ εἶναι τοιοῦτος.

κδ. Καὶ διεγόγγυζεν ὁ λαὸς κατὰ Μωϋσῆ, λέγοντες, τί πιόμεθα;

** ΚΥΡΙΛΛΟΥ. Ὅρα δεδιψηκότα μὲν ἐν ἐρήμῳ τὸν Ἰσραὴλ, καὶ τοῦ πανσόφου Μωσέως καταγογγύζοντα, νηποινί γε μὴν εἰς τοῦτο πεσόντα μικροψυχίας. οὐ γὰρ ἐκτέτικε δίκας, οὐδὲ ὑπέστη τὰ ἐξ ὀργῆς,

Α καίτοι κολάζειν εἰωθότος τοῦ Θεοῦ τοὺς ἐπὶ τῷδε καταγνωσμένους. ἐλεεῖται γὰρ ἐν ἀρχαῖς ὁ ἐν γυμνάσμασιν ἔτι τοῖς ὑπὲρ ἀρετῆς, ἔσθ' ὅτε καὶ πταίων· ἀσύγγνωστον δὲ μετὰ τοῦτο τὴν ἄγαν ἔχει μικροψυχίαν, καὶ τὴν ἀχάλινον ὑποδρομὴν, ἣν ἂν ποιοῖτο τυχὸν εἰς ἐκλόπους ἐπιθυμίας.

κε. Ἐβόησε δὲ Μωϋσῆς πρὸς Κύριον· καὶ ἔδειξεν αὐτῷ Κύριος ξύλον.
Β καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ξύλον δείκνυσιν. ὃ προσέταξεν ἀράμενον, εἰς τὰς πηγὰς καθεῖναι· τάχα μὲν καὶ κατεσκευασμένον ἐκ φύσεως, ποιεῖν δύναμιν, ἣ τάχα ἠγνοεῖτο, τάχα δὲ καὶ τότε πρῶτον ποιηθὲν, εἰς ἣν ἔμελλεν ὑπηρετεῖν χρείαν.

Γ ΘΕΟΔΩΡΙΤΟΥ. Ὁποῖον ἦν τὸ ξύλον τὸ γλυκᾶναν ἐν Μερρᾷ τὸ ὕδωρ; Περιττὸν, καὶ ἀνόητον τὸ τὰ σεσιγημένα ζητεῖν. ἀρκεῖ δὲ ἡμῖν μαθεῖν, ὡς διὰ τοῦ ξύλου τὸ πικρὸν ὕδωρ εἰς γλυκεῖαν μετεβλήθη ποιότητα. καὶ τοῦτο γὰρ τὴν ἡμετέραν προδηλοῖ σωτηρίαν. τὸ γὰρ σωτήριον τοῦ σταυροῦ ξύλον τὴν πικρὰν τῶν ἐθνῶν ἐγλύκανε θάλατταν.

ΑΔΗΛΟΥ. Ξύλον λέγει τὸ τίμιον τοῦ
Δ σταυροῦ, τὸ (2) ἀποκεκρυμμένον μυστήριον.
» διὸ καὶ εἶπεν ἐμφαντικῶς τὸ, ἔδειξε. δι' οὗ ξύλου ζωοποιοῦ τὸ ζωοποιὸν σημαίνεται βάπτισμα.

ΚΥΡΙΛΛΟΥ. [Τέλος νόμου Χριστὸς εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, νοούμενος δηλονότι πνευματικῶς.] τύπος δ' ἂν εἴη καὶ τοῦδε σαφὴς τὸ ἐπὶ τῇ Μερρᾷ συμβεβηκός. δηλοῖ γὰρ τὸ ξύλον τὸν τοῦ Σωτῆρος σταυρὸν, ἤτοι τὸ ἐπ' αὐτῷ μυστήριον.
Ε ὅπερ εἰ γένοιτο τοῖς ἐν νόμῳ παραδεκτὸν, γλυκὺ τὸ πικρὸν εὑρήσουσιν. οὐ γὰρ τοῖς πιστεύουσιν εἰς Χριστὸν φιλαίτιός τε καὶ κολαστὴς ὁ νόμος. (3) ἄλλως καὶ λόγῳ μόνῳ γλυκὺ ποιῆσαι τὸ πικρὸν δυνάμενος ὁ Θεὸς, διὰ ξύλου τὴν μεταβολὴν ἐργάζεται, τὸν τύπον διδοὺς τῆς διὰ ξύλου σωτηρίας. τοῦτο γὰρ προφητείας ἐστὶν εἶδος, δι' ἔργων προδεικνυούσης τὸν ἥξοντα, καὶ διὰ ξύλου τὸ πικρὸν τῆς γνώμης τῶν ἀνθρώπων εἰς τὸ
Ζ τῆς εὐσεβείας γλυκὺ μεταθήσοντα.

* ΤΟΥ ΑΥΤΟΥ. Πικροὺς δὲ λίαν ὄντας τοὺς ὑπὲρ ἀρετῆς ἱδρῶτας, εἰς τὸ ἡδύτερον καὶ γλυκὺ μεταπλάττει Χριστὸς, ὃς εἴρηταί γε καὶ ἐστὶ ξύλον ζωῆς. δείκνυται δὲ τῷ θεσπεσίῳ Μωσῇ παρὰ Θεοῦ τὸ ξύλον. ἀποκαλύπτει γὰρ μόνος τὸν υἱὸν ὁ πατήρ. οὐκοῦν ἐν Χριστῷ τῷ τῆς ζωῆς ξύλῳ γλυκέα μὲν τὰ πικρὰ, φορητὰ δὲ τὰ δύσοιστα, καὶ
Η εἰς ζωὴν ἀναγκαῖα τὰ ὡς ἐν ἰδίᾳ φύσει καταφέρειν εἰωθότα.

ΤΟΥ

(1) Ἴσ. ἐγκεχωρημένον. ἄλλως δὲ ταῦτα ἐν τοῖς ἐκδεδομ. συντέτακται. (2) Ἴσ. καί.
(3) Τὰ ἑξῆς ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

A ΤΟΥ ΝΥΣΣΗΣ. Τῷ γὰρ καταλελοιπότι τὰς αἰγυπτίας ἡδονὰς, αἷς ἐδούλευε πρὶν διαβῆναι τὴν θάλασσαν δύσληπτός τε καὶ ἀνάντης ὁ βίος ὁ τῶν ἡδονῶν κεχωρισμένος παρὰ τὴν πρώτην δοκεῖ. ἀλλ' εἰ τὸ ξύλον ἐμβληθείη τῷ ὕδατι, τουτέστι τὸ τῆς ἀναστάσεως παραλάβοι μυστήριον, ὃ διὰ τοῦ ξύλου τὴν ἀρχὴν ἔσχε· ξύλον δὲ ἀκούσας, τὸν σταυρὸν ἐνόησας· τότε παντὸς γλυκάσματος τοῦ τὴν αἴσθησιν δι' ἡδονῆς γαργαλίζοντος γλυκύτερός τε καὶ ποτιμώτερος ὁ κατ' ἀρετὴν γίνεται βίος, τῇ ἐλπίδι τῶν μελλόντων ἐφηδυνόμενος.

ΑΔΗΛΟΥ. Νεκρώσας τὶς καὶ ἀποκρίνας ἑαυτοῦ τὸ ἀλλόφυλον, γεύσεται τῆς Μεῤῥᾶς, τουτέστι τοῦ κεχωρισμένου τῶν ἡδονῶν βίου. ὃ πικρὸν καὶ ἀηδὲς παρὰ τὴν πρώτην τοῖς γευσαμένοις τὴν αἴσθησιν.

Γ Ἐκεῖ ἔθετο αὐτῷ δικαιώματα καὶ κρίσεις· καὶ ἐκεῖ αὐτὸν ἐπείρασε, καὶ εἶπεν.

ΩΡΙΓΕΝΟΥΣ. Ὅτε Θεὸς πειράζει, ἐπ' ὠφελείᾳ πειράζει, οὐκ ἐπὶ τῷ κακοποιῆσαι. διὸ καὶ ἐλέχθη, ὅτι ὁ Θεὸς ἀπείρα- (Ἰακ. 1. 13.)
» στός ἐστι κακῶν· ὡς καὶ μετ' ὀλίγα ἐπάγει ὁ λόγος, λέγων· ἐὰν ἀκοῇ ἀκούσῃς Κυρίου
» τοῦ Θεοῦ σου, πᾶσαν νόσον, ἣν ἐπήγαγον
» τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σέ. ὁ οὖν φέρων τοὺς πειρασμοὺς γενναίως, στεφανοῦται. ἄλλο δέ ἐστιν ἐπὶ τοῦ διαβόλου. ἐκεῖνος πειράζει, ἵνα τοὺς πειθομένους αὐτῷ θανατώσῃ. καὶ ὁ μὲν, ἀγνοῶν τὸ ἐσόμενον· ὁ δὲ Θεὸς, εἰδὼς μὲν τὸ ἐσόμενον, πλὴν δίδους τῷ ἀνθρώπῳ πράττειν ὃ θέλει διὰ τὸ αὐτεξούσιον.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ, ἐκεῖ ἔθετο
» δικαιώματα καὶ κρίσεις, οὐ τὸν νόμον φησίν· οὗτος γὰρ ὕστερον ἐν Χωρὴβ ἐδόθη· ἀλλ' ἅπερ ἐδήλωσε διὰ τοῦ λέγειν, ἐπείραζεν, ἀντὶ τοῦ προκατήχει, καὶ προεγύμναζεν αὐτοὺς εἰς ὑπακοὴν τοῦ μηκέτι πειράζειν, παρακαλεῖν δὲ πρὸς τὴν συνήθη βοήθειαν τὸν Θεόν.

κϛ. Ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ ἀρεστὰ ἐναντίον αὐτοῦ ποιήσῃς, καὶ ἐνωτίσῃ ταῖς ἐντολαῖς αὐτοῦ, καὶ φυλάξῃ πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σέ. ἐγὼ γάρ εἰμι Κύριος ὁ ἰώμενός σε.

* ΠΡΟΚΟΠΙΟΥ. Πρώτη ἐντολὴ πρὸς
» τὸν Ἰσραὴλ ἡ τῆς ὑπακοῆς· [ἐὰν γὰρ
» ἀκοῇ ἀκούσῃς, φησὶ, τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου· προκατηχοῦσα τοὺς μέλλοντας δέχεσθαι νόμον.]

κζ. Καὶ ἦλθον εἰς Αἰλείμ. καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα στελέχη φοινίκων. παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα.

* ΚΥΡΙΛΛΟΥ. Παραδεξάμενοι τοίνυν τὰ δικαιώματα Χριστοῦ, τότε δὴ τότε καὶ εἰς Αἰλεὶμ ἥξομεν· ὅ ἐστιν ἀνάβασις. ἀναβιβαζόμεθα γὰρ ἐκ τῆς ἀρχαίας ἡμῶν νηπιότητος εἰς ἀρτίως ἔχουσαν φρένα, καὶ B εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ καταντήσαντες, ταῖς τῶν νοητῶν ὑδάτων πηγαῖς ἐντρυφήσομεν. δυωκαίδεκα δὲ αὗται, τὸν τῶν ἁγίων ἡμῖν Ἀποστόλων καταγράφουσαι χορόν. περιτευξόμεθα δὲ καὶ τοὺς ἑβδομήκοντα στελέχους τῶν φοινίκων, (1) οὓς ἀνέδειξεν ὁ Κύριος. ὅτι δὲ πηγαὶ κατὰ τὸ ἀληθὲς οἱ θεσπέσιοι μαθηταὶ, τὸν θεῖον ἡμῖν καὶ σωτήριον καὶ ἀναγκαῖον εἰς ζωὴν ἀναβρύοντες λόγον, Γ παραδείξειεν εὖ μάλα τοῖς ἐν νόμῳ δεδικαιωμένοις ὁ τῶν ὅλων Θεὸς, οὕτω λέγων·
» ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν Ἡσ. 12. 3.
» πηγῶν τοῦ σωτηρίου. ἁγίου δὲ περὶ παντὸς ὁ θεσπέσιος αἰνιττόμενος μελῳδὸς, δί-
» καιος ὡς φοίνιξ, φησὶν, ἀνθήσει. καὶ Ψαλ. 91. 12.
μήτι θαυμάσῃς· ἐπεὶ καὶ αὐτὸς ὁ Χριστὸς τῇ τοιᾷδε κλήσει κατονομάζεται παρά γε τῇ θεοπνεύστῳ Γραφῇ. ἔφη γὰρ πάλαι ἡ νοητὴ νύμφη, τουτέστιν ἡ Ἐκ- Δ κλησία περὶ τοῦ ἄνωθεν καὶ ἐξ οὐρανοῦ
» νυμφίου, φημὶ δὴ Χριστοῦ· εἶπα ἀναβήσο- Ἀσμ. 7. 8.
» μαι ἐπὶ τῷ φοίνικι, κρατήσω τῶν ὕψεων
» αὐτοῦ. ἔστι γὰρ ἀειθαλὲς τὸ φυτὸν, γλυκύ τε καὶ εὔριζον, καὶ λελευκασμένην ἔχον τὴν καρδίαν. τοιοῦτος πως ἐστὶ νοητῶς ὁ Χριστός.

ΤΟΥ ΑΥΤΟΥ. Ἑρμηνεύεται δὲ πάλιν τὸ Αἰλεὶμ, εἰς ἀνάβασιν, ἤγουν εἰς αὔξησιν. καὶ πάλιν, ἣν εἰς Αἰλεὶμ δώ-
E » δεκα, φησὶν, ὑδάτων πηγαὶ, καὶ ἑβδο-
» μήκοντα στελέχη φοινίκων. ἀναβαίνοντες εἰς τελειοτέραν σύνεσιν, καὶ εἰς αὔξησιν ἀνατρέχοντες τὴν πνευματικὴν, τὰς δώδεκα πηγὰς εὑρήσομεν, τουτέστι τοὺς ἁγίους Ἀποστόλους· καὶ τὰ ἑβδομήκοντα τῶν φοινίκων στελέχη, τοὺς ἀναδειχθέντας δηλονότι παρὰ Χριστοῦ. καὶ εὖγε δὴ σφόδρα, πηγαῖς μὲν οἱ μαθηταὶ παρεικάζονται, Z φοίνιξι δὲ πάλιν οἱ μετ' ἐκείνους ὄντες τὸν ἀριθμὸν ἑβδομήκοντα. ἀρυόμεθα μὲν γὰρ ὡς ἐκ πηγῶν ἁγίων ἐκ τῶν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μαθητῶν παντὸς εἴδησιν ἀγαθοῦ· θαυμάζομεν δὲ καὶ τοὺς ἑβδομήκοντα, καὶ οἱονεὶ φοίνικας αὐτοὺς εἶναί φαμεν. εὐκάρδιον γὰρ τὸ φυτὸν, εὔριζόν τε καὶ εὔκαρπον, καὶ ἀεὶ τοῖς ὕδασιν ἐντεθηλός. τοιούτους δὲ καὶ τοὺς ἁγίους εἶναί φαμεν. καθαρὸς μὲν γὰρ ὁ νοῦς αὐ- H τοῖς, βεβηκώς τε καὶ εὔκαρπος, καὶ τοῖς νοητοῖς ὕδασιν ἐντρυφᾶν εἰωθώς.

ΤΟΥ

(1) Φοινίκων. γέγραπται γὰρ, ὅτι μετὰ τοὺς ἁγίους Ἀποστόλους ἀνέδειξεν ὁ Κύριος ἑτέρους ἑβδομήκοντα. ὅτι δὲ, κτ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 284.

ΤΟΥ ΝΥΣΣΗΣ. Τὶ ἐν τούτοις εὑρίσκομεν, δι' ἀκολούθου προϊούσης τῆς ἱστορίας; Ὅτι τὸ τοῦ ξύλου μυστήριον, δι' οὗ πότιμον τῆς ἀρετῆς τὸ ὕδωρ τοῖς διψῶσι γίνεται, προσάγει ἡμᾶς ταῖς δώδεκα πηγαῖς, καὶ τοῖς ἑβδομήκοντα Φοίνιξι, τουτέστι τῇ τοῦ Εὐαγγελίου διδασκαλίᾳ, ἐν ᾗ πηγαὶ δώδεκα, [οἱ Ἀπόστολοι, τοσούτους τοῦ Κυρίου πρὸς τὴν χρείαν ταύτην ἐκλεξαμένου, καὶ πηγάζειν δι' αὐτῶν τὸν λό- A γον ποιήσαντος·] ὡς καί τινα τῶν Προφητῶν προαναφωνῆσαι τὴν ἀποστολικὴν βρύουσαν χάριν, ἐν οἷς φησὶν, » ἐν ἐκ- Ψαλ. 68. 26. » κλησίαις εὐλογεῖτε τὸν Θεὸν, Κύριον ἐκ » πηγῶν Ἰσραήλ. [ἑβδομήκοντα δ' ἂν εἶεν Φοίνικες, οἱ κατὰ πᾶσαν τὴν οἰκουμένην ἔξω τῶν δώδεκα μαθητῶν ἐπιχειροτονηθέντες Ἀπόστολοι, τοσοῦτοι τὸν ἀριθμὸν ὄντες, ὅσους εἶναί φησιν ἡ ἱστορία τοὺς Φοίνικας.

ΚΕΦ. ΙϚ.

α. Ἀπῆραν δὲ ἐξ Αἰλεὶμ, καὶ ἦλθον πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ εἰς τὴν ἔρημον Σὶν, ὅ ἐστιν ἀνὰ μέσον Αἰλεὶμ, καὶ ἀνὰ μέσον Σινᾶ· τῇ δὲ πεντεκαιδεκάτῃ ἡμέρᾳ, τῷ μηνὶ τῷ δευτέρῳ ἐξεληλυθότων αὐτῶν ἐκ γῆς Αἰγύπτου,
β. Διεγόγγυζε πᾶσα ἡ συναγωγὴ υἱῶν
γ. Ἰσραὴλ ἐπὶ Μωϋσῆν καὶ Ἀαρών. Καὶ εἶπαν πρὸς αὐτοὺς οἱ υἱοὶ Ἰσραὴλ, ὄφελον ἀπεθάνομεν πληγέντες ὑπὸ Κυρίου ἐν γῇ Αἰγύπτῳ, ὅταν ἐκαθίσαμεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν, καὶ ἠσθίομεν ἄρτους εἰς πλησμονήν· ὅτι ἐξηγάγετε ἡμᾶς εἰς τὴν ἔρημον ταύτην, ἀποκτεῖναι πᾶσαν τὴν συναγωγὴν ταύτην ἐν λιμῷ.

ΚΥΡΙΛΛΟΥ. [Ἐξῴχοντο οὐ κομιδῇ τῶν εἰς ἀποδημίαν πεφροντικότες, καὶ τὰ ἐν χερσὶ μόλις ἁρπάσαντες· μονονουχὶ δὲ τῶν οἴκοι κειμένων κεκλοφότες ἀναγκαίως τὰ λίαν εὐπάροιστα. ἃ δὴ καὶ κατεδηδοκότες, εἶτα πόθεν ἂν αὐτοῖς ἐν ἐρήμῳ τὰ ζωαρκῆ προσγένοιντο διηπορηκότες, κατώλισθον εἰς ἐπιθυμίαν τῆς ἐν Αἰγύπτῳ τροφῆς.] Καὶ ὅτι μὲν τῶν ἐσχάτων ἐξῄρουντο πόνων καὶ τῆς ἐκεῖσε δουλείας, ἐπιλανθάνονται, καὶ οἱονεί πως κατακεχράγασι τῆς ἐπικουρίας· καὶ ὅτι λελύτρωνται χαλεπαίνουσι, καὶ τῆς τριποθήτου καὶ εὐκλαιοτάτης ἅπασιν ἀνθρώποις ἐλευθερίας, γαστρὸς ἀκαθάρτου προτάττουσι κόρον. Καὶ πάλιν. Τὸ μὲν γὰρ τὰ ζωαρκῆ παρ' αὐτοῦ δέχεσθαι θέλειν, μῶμον ἂν ἔχοι παντελῶς οὐδένα· λυπεῖ δὲ λίαν ὁ γογγυσμός. καὶ γοῦν αὐτὸς ὁ Σωτὴρ ἐν προσευχαῖς » ἡμᾶς ἐδίδαξε λέγειν, τὸν ἄρτον ἡμῶν, Ματθ. ϛ'. 11. Γ καὶ τὰ ἑξῆς.

δ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, ἰδοὺ ἐγὼ ὕω ὑμῖν ἄρτους ἐκ τοῦ οὐρανοῦ.

ΑΔΗΛΟΥ. Ἄνωθεν αὐτοῖς ἐπὶ χώρας ἄγει τὴν αἰσθητὴν τροφὴν, προπαιδεύων τῆς ἐπιγείου καταφρονεῖν, καὶ τῆς ζωοποιοῦ γλίχεσθαι, ἥτις ἐστὶν ὁ Χριστός.

ΤΟΥ ΝΥΣΣΗΣ. Ἄξιον δὲ μηδὲ τοῦτο Δ παραδραμεῖν ἀθεώρητον, ὅτι μετὰ τὸ διαβιῶναι τὴν θάλασσαν, καὶ γλυκανθῆναι τοῖς τῆς ἀρετῆς ὁδοιπόροις τὸ ὕδωρ, καὶ μετὰ τὴν ἁβρὰν ἐκείνην διαγωγὴν τὴν κατὰ τὰς πηγὰς καὶ τοὺς Φοίνικας, καὶ μετὰ τὸ πιεῖν τῆς πέτρας, (1) τότε παντελῶς ἡ τῶν αἰγυπτίων ἐφοδίων ἐπίλειψις γίνεται. καὶ οὕτως οὐδεμιᾶς αὐτοῖς ὑπολειφθείσης ἀλλοφύλου τροφῆς, ἣν ἐξ Αἰγύπτου ἐπεσιτίσαντο, ἄνωθεν ἐπιῤῥεῖ ἡ E τροφὴ, ποικίλη τὶς ἅμα καὶ μονοειδὴς οὖσα. τὸ μὲν γὰρ φαινόμενον μονοειδὲς ἦν, ἡ δὲ ποιότης τὸ ποικίλον εἶχεν, ἑκάστῳ προσφόρως κατὰ τὸ εἶδος τῆς ἐπιθυμίας ἐγγινομένη. τί οὖν ἐστὶν ὃ μανθάνομεν; δι' ὅσων προσήκει καθαρσίων ἑαυτὸν ἐκκαθᾶραι τῆς αἰγυπτίας καὶ ἀλλοφύλου ζωῆς, ὥστε κενῶσαί τινα τὸν τῆς ψυχῆς αὐτοῦ

(1) Πρῶτον, ὡς ἔοικεν, ὁ θεῖος οὗτος πατήρ φησι τὸ ἐκ τῆς πέτρας ὕδωρ πιεῖν, εἶθ' οὕτω τοὺς ἐκ τοῦ οὐρανοῦ ἄρτους φαγεῖν τοὺς Ἑβραίους. ὅπερ καὶ ἐν τῷ περὶ τοῦ βίου Μωσέως λόγῳ πλατύτερον ἐκτί» θησι, λέγων· πάλιν κἀκεῖθεν ὁ ὁδηγὸς, ἡ νεφέλη πρὸς ἕτερον ἄγει τόπον τὸν στρατὸν ἀναστήσασα. ἔρημος » δέ τις οὗτος ἦν, ἐν αὐχμηρᾷ καὶ διακεκαλυμμένῃ τῇ ψάμμῳ, μηδεμιᾶς ὑδάτων ἰκμάδος ὑπονοτιζούσης τὸν » χῶρον. ἐν ᾧ πάλιν τὸν λαὸν τοῦ δίψους καταπονήσαντος, πέτρα τὶς ἐπὶ γεωλόφου ῥάβδῳ πληγεῖσα παρὰ » τοῦ Μωϋσέως, ὕδωρ ἐκδίδωσιν ἡδύ τε καὶ πότιμον, καὶ τῆς χρείας τοῦ τοσούτου λαοῦ δαψιλέστερον. ἔνθα δὲ » καὶ τῆς παρασκευῆς τῶν τροφῶν ἐπιλιπούσης, ἣν ἐξ Αἰγύπτου πρὸς τὴν ὁδοιπορίαν ἐπεσιτίσαντο, καὶ » λιμῷ τοῦ λαοῦ πιεζομένου, γίνεται τὸ πάντων ἀπιστότατον θαῦμα, οὐκ ἐκ γῆς, κατὰ τὸ νενομισμένον, » αὐτοῖς τῆς τροφῆς φαινομένης· ἀλλ' ἄνωθεν ἐκ τοῦ οὐρανοῦ δροσοειδῶς καταῤῥεούσης, κτ. συνᾴδει δὲ τῇ τῆς Γραφῆς ἀκολουθίᾳ ὅ,τε Φίλων ὁ Ἑβραῖος, (ἐν τῷ περὶ τοῦ βίου Μωϋσ. λόγ.) καὶ ὁ Ἰώσηπος, (ἐν βιβλ. 3. κεφ. 2. περὶ Ἰουδαϊκ. ἀρχαιολογ.) καὶ ὁ ἐν ἁγίοις Κύριλλος, (ἐν βιβλ. 3. τῶν Γλαφ.) καὶ ὁ Ὠριγένης, ὡς ἐξ αὐτῆς τῆς τῶν εἰς τὴν Ἔξοδ. ὑπομνημάτων αὐτοῦ τάξεως κατιδεῖν ῥᾴδιον. ἤτοι οὖν ἀντιγράφῳ τινὶ ἐνέτυχεν ὁ θεῖος Γρηγόριος, τὰ τῆς ἱστορίας οὕτω συντεταγμένα ἔχοντι· ἢ αὐτὸς οὕτω συντέταχεν, ἵνα βέλ» τιον ἡ κατὰ ἀναγωγὴν εὐθύνοιτο θεωρία· καὶ τοῦτο τυχὸν αὐτῷ βούλεται τὸ, τὰς οὖν ἐν τῷ μέσῳ » καταγωγὰς ὑπερβὰς τῷ λόγῳ, τῆς κατὰ τὴν πέτραν θαυματοποιΐας ἐπιμνησθήσομαι· ἢ τῇ τοῦ ϛζ. Ψαλμοῦ τάξει ἐπηκολούθησε, προτάττοντος τοῦ μάννα τὸ τῆς πέτρας θαῦμα. ἀλλ' ὁ Ψαλμὸς τοῦ τὸ δεύτερον ἐν Κάδης ἐκ τῆς πέτρας ἐξαχθέντος ὕδατος μνημονεύει, ὡς ὁ Ἡσύχιος (ἐν τῇ τῶν Ψαλ. σειρ.) ἀναπτύσσει.

A αὐτοῦ θύλακον πάσης τῆς κατὰ κακίαν τροφῆς, ἣν σιτοποιοῦσιν οἱ Αἰγύπτιοι, καὶ οὕτω τὴν ἄνωθεν κατιοῦσαν τροφὴν ἐν αὐτῇ καθαρᾷ τῇ ψυχῇ δέξασθαι· ἣν οὐ σπόρα τις ἡμῖν ἐκ γεωπονίας ἀνέφυσεν, ἀλλ' ἕτοιμος, ἄπορός τε καὶ ἀνήροτος, ἄνωθεν μὲν κατιοῦσα, ἐπὶ γῆς δὲ εὑρισκομένη. νοήσεις δὲ πάντως τὴν ἀληθῆ ταύτην βρῶσιν διὰ τοῦ κατὰ τὴν ἱστορίαν αἰνίγματος, ὅτι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς
B οὐκ ἀσώματόν τι χρῆμά ἐστι. πῶς γὰρ σώματι τροφὴ γένοιτο τὸ ἀσώματον; τὸ δὲ μὴ ἀσώματον, σῶμα πάντως ἐστί. τὸ δὲ σῶμα τοῦτο τοῦ ἄρτου, οὔτε ἄροσις, οὔτε σπορὰ ἐγεώργησεν, ἀλλ' ἡ γῆ οἵα ἐστὶ μείνασα, πλήρης εὑρίσκεται τῆς θείας ταύτης τροφῆς, ἧς οἱ πεινῶντες μετέχουσι, τὸ κατὰ τὴν παρθένον μυστήριον διὰ τῆς θαυματοποιΐας ταύτης προπαιδευόμενοι. οὗτος τοίνυν ὁ ἀγεώργητος ἄρτος, καὶ λό-
Γ γος ἐστὶ τῷ πολυειδεῖ τῆς ποιότητος κατὰ τὰς τῶν ἐσθιόντων ἐπιτηδειότητας συνεξαλλάσσων τὴν δύναμιν. οἶδε γὰρ οὐ μόνον ἄρτος, ἀλλὰ καὶ γάλα γίνεσθαι, καὶ κρέας, καὶ λάχανον, καὶ ὅ,τι περ ἂν ᾖ τῷ προσφερομένῳ κατάλληλόν τε καὶ καταθύμιον, ὡς διδάσκει ὁ τὴν τοιαύτην παρατιθεὶς ὑμῖν τράπεζαν, πάλιν ὁ θεσπέσιος Παῦλος, ὁ τοῖς τελειοτέροις στερρότέραν τε καὶ κρεώδη βρῶσιν ποιῶν τὸν λόγον,
Δ καὶ λάχανον τοῖς ἀσθενεστέροις, καὶ γάλα τοῖς νηπιάζουσι.

ΚΥΡΙΛΛΟΥ. Ἔχεις ἤδη καὶ μάλα σαφῶς ἐν τούτῳ ὁρᾶν τὸ ἐν ψαλμοῖς μελῳ-
Ψαλ. 77. 24, δούμενον, „ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς, ἄρ-
25. „ τον Ἀγγέλων ἔφαγεν ἄνθρωπος· ἀλλ' ἐστιν, οἶμαι, πᾶσι διαφανὲς, ὅτι τῶν ἐν τοῖς οὐρανοῖς δυνάμεων λογικῶν, οὐχ ἕτερος ἂν νοοῖτο καὶ ἄρτος καὶ τροφὴ παρὰ τὸν ἐκ Θεοῦ πατρὸς μονογενῆ. αὐτὸς οὖν ἄρα τὸ μάννα τὸ ἀληθὲς, ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ, ὁ πάσῃ κτίσει λογικῇ παρὰ Θεοῦ πατρὸς χορηγούμενος.

Καὶ ἐξελεύσεται ὁ λαὸς, καὶ συλλέξουσι τὸ τῆς ἡμέρας εἰς ἡμέραν.

* ΚΥΡΙΛΛΟΥ. Ἐφήμερος οὖν εὐλόγως ἡ συγκομιδή· καὶ ἀποκωλύει τηρεῖν ὁ νομοθέτης εἰς τὴν αὔριον, ὡς δι' αἰνιγμάτων τοῖς ἀρχαιοτέροις ὑποδηλῶν, ὅτι τοῦ σωτηρίου λοιπὸν ἀναλάμψαντος χρόνου, καθ' ὃν ἐν κόσμῳ μετὰ σαρκὸς ὁ μονογενὴς πέφηνε, καταργηθήσονται πάντως οἱ διὰ τοῦ νόμου τύποι, καὶ τὸ συλλέγειν ἔτι τροφὰς ἐκεῖθεν εἰκαῖον, αὐτῆς ἤδη παρακειμένης τῆς ἀληθείας ἡμῖν εἰς τρυφὴν καὶ ἀπόλαυσιν.

Ὅπως πειράσω αὐτοὺς, εἰ πορεύσονται τῷ νόμῳ μου, ἢ οὔ.

ΑΔΗΛΟΥ. Νόμον ἐνταῦθα καλεῖ τὸ μὴ πλέον τῆς χρείας ἀναλέγεσθαι τὸ μάννα. νόμος γὰρ πᾶν ὅ,τι ἂν προστάτῃ ὁ Θεός. καὶ τούτων τῶν νόμων, οἱ μὲν διαιωνίζουσιν, οἱ δὲ πρόσκαιροι δίδονται· ὥσπερ καὶ ὁ τοῦ μάννα, καὶ ὁ τῆς περιτομῆς, καὶ ὁ τῶν σαββάτων.

ε. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ, καὶ ἑτοιμάσουσιν ὃ ἐὰν εἰσενέγκωσι· καὶ ἔσται διπλοῦν ὃ ἐὰν συναγάγωσι τὸ καθ' ἡμέραν εἰς ἡμέραν.

* ΚΥΡΙΛΛΟΥ. Οὐκ ἐᾷ συλλέγειν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τὸ μάννα τὸ αἰσθητὸν, τὸ δὲ ἤδη πορισθὲν καὶ συνειλεγμένον κατὰ τὴν πρὸ αὐτῆς ποιεῖσθαι κελεύει τροφήν. ἡ μὲν γὰρ ἑβδόμη σημαίνει τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τὸν χρόνον, καθ' ὃν ἐν ἁγιασμῷ σαββατίζομεν τῶν τῆς ἁμαρτίας ἔργων ἀποπαυόμενοι, καὶ δεχόμενοι μὲν εἰς τροφὴν καὶ πληροφορίαν τῆς πίστεως, καὶ τὴν ἤδη συγκεκοσμημένην ἡμῖν διὰ τοῦ νόμου ἕνωσιν, (1) οὐ μὴν ὡς ἐξ ἀνάγκης ἔτι συλλέγοντες, λαμπροτέρας ἤδη παρακειμένης τροφῆς, καὶ τὸν ἄρτον ἔχοντες [τὸν] ἐξ οὐρανοῦ. ἐν διπλῷ δὲ τῷ μέτρῳ πρὸ τῆς ἁγίας ἑβδόμης τὸ μάννα συλλέγεται· καί μοι νοήσεις πάλιν ἐντεῦθεν, ὅτι κατακλειομένου τοῦ νόμου πρὸς τὸ ἐν τῷ χρόνῳ τέλος, καὶ ἐρχομένης ἤδη τῆς ἁγίας ἑβδόμης, τουτέστι τῆς ἐπιδημίας Χριστοῦ, ἐν διπλῷ τρόπον τινὰ τῷ μέτρῳ γενήσεται τῶν οὐρανίων ἀγαθῶν ἡ εὕρεσις, καὶ διττή τις ἡ χάρις, πρὸς τοῖς ἐκ νόμου χρησίμοις καὶ τὴν εὐαγγελικὴν εἰσάγουσα παίδευσιν.

ς. Εἶπε δὲ Μωϋσῆς καὶ Ἀαρὼν πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ, ἑσπέρας γνώσεσθε, ὅτι ἐξήγαγε Κύ-
ζ. ριος ὑμᾶς ἐκ γῆς Αἰγύπτου. Καὶ
E πρωῒ ὄψεσθε τὴν δόξαν Κυρίου ἐν τῷ εἰσακοῦσαι τὸν γογγυσμὸν ὑμῶν ἐπὶ τῷ Θεῷ. ἡμεῖς δὲ τί ἐσμεν, ὅτι διαγογ-
η. γύζετε καθ' ἡμῶν; Καὶ εἶπε Μωϋσῆς, ἐν τῷ διδόναι Κύριον ὑμῖν ἑσπέρας κρέα φαγεῖν, καὶ ἄρτους τὸ πρωῒ εἰς πλησμονὴν, διὰ τὸ εἰσακοῦσαι Κύριον τὸν γογγυσμὸν, ὃν ὑμεῖς διεγογγύζετε καθ' ἡμῶν. ἡμεῖς δὲ τί ἐσμεν;
Z οὐ γὰρ καθ' ἡμῶν ἐστιν ὁ γογγυσμὸς ὑμῶν, ἀλλὰ κατὰ τοῦ Θεοῦ.

* ΚΥΡΙΛΛΟΥ. Ἐπαγγέλλεται τοῖς ἐξ Ἰσραὴλ ὁ Μωϋσῆς χορηγηθήσεσθαι μὲν παρὰ Θεοῦ τὴν ὀρτυγομήτραν τὸ πρὸς ἑσπέρας, ἐπιγνώσεσθαι δὲ διϊσχυρίζεται διὰ τούτου σαφῶς, ὅτι Κύριος ἀνήγαγεν αὐτοὺς ἐξ Αἰγύπτου. καί μοι πάλιν τὴν ἐφ' ἑκάστῳ τῶν εἰρημένων ἐννόει διαφοράν. ἡ μὲν
H γὰρ ὀρτυγομήτρα σημαίνει πως τὸν νόμον. χθαμαλοπετὴς γὰρ ὄντως ἀεὶ, καὶ περὶ γῆν τὸ στρούθιον· οὕτω δ' ἂν ἴδοις καὶ τοὺς διὰ

(1) Συγκεκομισμένην ἡμῖν διὰ τοῦ νόμου γνῶσιν. ἐν Τόμ. 4. σελ. 316.

διὰ νόμου παιδαγωγουμένους εἰς χθαμαλωτέραν διατυπουμένους θεοσέβειαν, [ὅσον δὴ ἧκεν εἰς θυσίαν] φημὶ, καὶ περιῤῥαντήρια, καὶ καθάρσεις ἰουδαϊκάς. ὀλίγον δὲ οὗτοι τῆς γῆς ἀνοχλίζονταί πως, καὶ ἀναβαίνειν δοκοῦσιν αὐτῆς· εἰσὶ δ' οὖν ὅμως ἐν αὐτῇ, καὶ περὶ αὐτήν. οὐ γὰρ ἐν νόμῳ τὸ τελείως ἀγαθὸν, καὶ ὑψηλὸν εἰς σύνεσιν. χορηγεῖταί γε μὴν ἐν ἑσπέρᾳ· ἤτοι τὸ ἐν γράμματι σκοτεινὸν τοῦ λόγου πάλιν ἡμῖν διὰ τῆς ἑσπέρας σημαίνοντος· ἢ τὴν ἀφεγγῆ τοῦ κόσμου κατάστασιν, οὔπω τὸ φῶς ἔχοντος τὸ ἀληθινὸν, τουτέστι Χριστόν. (Ἰωάν. 12. 46.) ὃς ἐνανθρωπήσας, φησὶν, ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα. γνώσεσθαι δὲ λέγει τοὺς υἱοὺς Ἰσραὴλ, ὅτι Κύριος αὐτοὺς ἀνήγαγεν ἐξ Αἰγύπτου. γνῶσις γὰρ μόνη τῆς καθόλου διὰ Χριστοῦ σωτηρίας ἐν τοῖς μωσαϊκῆς ὁρᾶται συγγράμμασιν, οὔπω παρούσης αὐτοπροσώπως τῆς χάριτος. αὐτὸ γὰρ τοῦτο καὶ ὑπεδήλου, προσιθεὶς, τὸ πρωῒ ὄψεσθε τὴν δόξαν Κυρίου, ἐν τῷ διδόναι ὑμῖν ἄρτους εἰς πλησμονήν. λελυμένης γὰρ ὡς ἐν τάξει νυκτὸς τῆς νομικῆς ἀχλύος, καὶ ἡλίου τοῦ νοητοῦ πᾶσιν ἡμῖν ἀνατείλαντος, τὴν δόξαν Κυρίου, παρόντος ἤδη, κατοπτριζόμεθα, τὸν ἄρτον εἰς πλησμονὴν τὸν ἐξ οὐρανοῦ κομιζόμενοι, πάλιν δέ φημι τὸν Χριστόν.

θ. Εἶπε δὲ Μωϋσῆς πρὸς Ἀαρὼν,
εἶπον πάσῃ τῇ συναγωγῇ υἱῶν Ἰσραὴλ,
προσέλθετε ἐναντίον τοῦ Θεοῦ· εἰσα-
ι. κήκοε γὰρ ὑμῶν τὸν γογγυσμόν. Ἡνί-
κα δὲ ἐλάλει Ἀαρὼν πάσῃ συναγω-
γῇ υἱῶν Ἰσραὴλ, καὶ ἐπεστράφησαν εἰς
τὴν ἔρημον, καὶ ἡ δόξα Κυρίου ὤφθη
ια. ἐν νεφέλῃ. Καὶ ἐλάλησε Κύριος
ιβ. πρὸς Μωϋσῆν, λέγων, Εἰσακήκοα
τὸν γογγυσμὸν τῶν υἱῶν Ἰσραήλ. λά-
λησον πρὸς αὐτοὺς, λέγων, τὸ πρὸς
ἑσπέραν ἔδεσθε κρέα, καὶ τὸ πρωῒ
πλησθήσεσθε ἄρτων· καὶ γνώσεσθε,
ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

ιγ. Ἐγένετο δὲ ἑσπέρα· καὶ ἀνέβη ὀρτυγομήτρα, καὶ ἐκάλυψε τὴν παρεμβολήν. τὸ πρωῒ δὲ ἐγένετο καταπαυομένης τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς.

ΚΥΡΙΛΛΟΥ. Οἶμαι δὲ ἐγὼ πολυπραγμονεῖσθαι πρέπειν καὶ πρό γε τῶν ἄλλων τί μὲν ὀρτυγομήτρα, τί δὲ καὶ τὸ μάννα κατασημαίνει αἰνιγματωδῶς, καὶ ὡς ἐν ἐσόπτρῳ σκιᾶς. ὅτι τοίνυν σαρκικῶν ἐπιθυμιῶν οὐκ ἀπηλλαγμένη τῶν Ἰουδαίων ἡ ζωή, νοοῖτ' ἂν εἰκότως καὶ ἐλέγξειε τὸ ἐδώδιμα αὐτοὺς ζητεῖν τὰ ἐν Αἰγύπτῳ κρέα, καὶ ταῖς εἰς τοῦτο ῥοπαῖς ἐκνενικημένον καὶ μόνον δὲ οὐχὶ τυραννούμενον ἔχειν τὸν νοῦν. ἀλλ' οὐκ ἂν ὁρῷτο τὰ καθ' ἡμᾶς ἐν τούτοις. ἡγιάσμεθα γὰρ ἐν Χριστῷ, καὶ ἐσμὲν ἐπέκεινα σαρκικῆς ἀκαθαρσίας. ἐπιμαρτυρήσει δὲ γράφων ὁ θεσπέσιος Παῦλος· οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. (Γαλ. 5. 24.) καὶ τί ἐστι τὸ, ἐσταύρωσαν; ἀντὶ τοῦ θανάτῳ παραδεδώκασι, νοητῷ δηλονότι, διὰ τὸ μὴ ἀνέχεσθαι κατὰ σάρκα ζῆν, μήτε μὴν ἐλέσθαι φρονεῖν τὰ πρόσκαιρα, κατανεκροῦν δὲ μᾶλλον τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, καὶ τὰ ὅμοια. (Κολασ. 3. 5.)

ΤΟΥ ΑΥΤΟΥ. [Ἐν ἑσπέρᾳ τῶν ὀρτυγομητρῶν γίνεται πρὸς τὴν Ἰουδαίων συναγωγὴν πλῆσις·] πλαγίως ἡμῖν τοῦ πράγματος ὑπεμφαίνοντος, ὅτι μηδέ ἐστιν ἐν φωτὶ νοητῷ τῶν γηΐνων ὁ ἐραστὴς, ἀλλ' ὡς ἐν νυκτὶ καὶ σκότῳ. καὶ τὸ χρῆμά ἐστιν οὐ διεψευσμένον. ἀμαθίας γὰρ καὶ πωρώσεως, ἤγουν ἀχλύος τῆς νοητῆς ὁ τῶν Ἰουδαίων οὐκ ἀπήλλακτο νοῦς. τοιγάρτοι καὶ ὁ Χριστὸς προσεφώνει, λέγων, ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. (Ἰωάν. 8. 12.) ἐν ἀχλύϊ δὴ οὖν καὶ ἐν σκότῳ λοιπὸν οἱ οὔπω πεπιστευκότες. οὐ γὰρ ἀφίκοντο πρὸς τὸ φῶς. ἔφη δὲ περί τε τῶν Φαρισαίων καὶ τῶν ὑπὸ χεῖρα λαῶν ὁ Χριστός· ἄφετε αὐτοὺς, τυφλοί εἰσιν, ὁδηγοὶ τυφλῶν. (Ματθ. 15. 14.) ἀφεγγὴς οὖν ἄρα τῶν Ἰουδαίων ὁ νοῦς.

ιδ. Καὶ ἰδοὺ ἐπὶ πρόσωπον τῆς ἐρήμου λεπτὸν ὡσεὶ κόριον λευκὸν, ὡσεὶ πάγος ἐπὶ τῆς γῆς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τῇ ὑστεραίᾳ περὶ τὴν ἕω, δρόσος βαθεῖα καὶ πολλὴ περὶ σύμπαν ἦν ἐν κύκλῳ τὸ στρατόπεδον. ἣν ἀπένιφεν ἡσυχῇ, ἀήθη ὑετὸν καὶ παρηλλαγμένον, οὐχ ὕδωρ, οὐ χάλαζαν, οὐ χιόνα, οὐ κρύσταλλον· ταῦτα γὰρ αἱ τῶν νεφῶν ἀπεργάζονται μεταβολαὶ ταῖς χειμεριναῖς τροπαῖς· ἀλλὰ κέγχρον βραχυτάτην καὶ λευκοτάτην. ἣ διὰ τὴν ἐπάλληλον φορὰν σωρηδὸν προὐκέχυτο τῶν σκηνῶν, ἄπιστος ὄψις.

** ΙΩΣΗΠΟΥ. Μέλιτι ἦν τὴν γλυκύτητα καὶ τὴν ἡδονὴν ἐμφερές. ὅμοιον δὲ τῇ τῶν ἀρωμάτων βδέλλῃ· τὸ δὲ μέγεθος, τῷ κοριάνδρου σπέρματι.

ΚΥΡΙΛΛΟΥ. Ὅρα δὲ πάλιν τὴν τῶν νοημάτων διασκευήν. περὶ μὲν γὰρ τῆς ὀρτυγομήτρας φησὶν, ὅτι ἐκάλυψε τὴν παρεμβολήν, περὶ δέ γε τοῦ μάννα φησὶν, ὅτι πρωῒ καταβέβηκε, καταπαυομένης τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς ἐπὶ πρόσωπον τῆς ἐρήμου. ἡ μὲν γὰρ διὰ νόμου παίδευσις, ἡ ἐν τύποις φημὶ καὶ σχήμασιν, ἣν τῷ τῆς ὀρτυγομήτρας εἴδει παραβεβλήκαμεν, τὴν τῶν Ἰουδαίων καλύπτει συναγωγήν. κεῖται γὰρ, ὡς ὁ Παῦλός φησι, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν, καὶ πώρωσις ἀπὸ μέρους. (2. Κορ. 5. 15.) ἐπὰν μέντοι γένηται πρωῒ, τουτέστιν ἀνίσχοντος ἤδη καὶ τὴν οἰκουμένην ὅλην περιαστράπτοντος τοῦ Χριστοῦ, ἐπὰν καὶ ἡ δρόσος καταλήγῃ λοιπὸν, τουτέστιν ἡ παχεῖα καὶ ἀχλυώδης τῶν νομι-

κῶν

A κῶν ἐπιταγμάτων εἰσήγησις· τέλος γὰρ νόμου καὶ Προφητῶν ὁ Χριστός· τότε δὴ πάντως τὸ ἀληθὲς ἡμῶν καὶ ἐξ οὐρανοῦ καταβήσεται μάννα, εὐαγγελικὴν δὲ δηλονότι διδασκαλίαν τοῦτό φαμεν, οὐκ ἐπὶ τὴν τῶν Ἰσραηλιτῶν συναγωγὴν, ἀλλὰ κύκλῳ τῆς παρεμβολῆς, εἰς πάντα δηλονότι τὰ ἔθνη.

ΤΟΥ ΑΥΤΟΥ. [Καὶ ἐπὶ πρόσωπον τῆς ἐρήμου,] τουτέστι τῆς ἐξ ἐθνῶν ἐκκλη-

B

'Ησ.54.1. σίας, περὶ ἧς εἴρηται, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ἐπὶ γὰρ πᾶσαν τὴν οἰκουμένην ἡ τοῦ νοητοῦ μάννα κατασκεδάννυται χάρις, ἣ καὶ τῷ κορίῳ παραβάλλεται, καὶ λεπτὸν ὀνομάζεται. λεπτὴ γὰρ ὄντως καὶ ἀποψυκτικὴ ἡ τοῦ Θεοῦ λόγου δύναμις, τὴν ἐκ σαρκικῶν κινημάτων πύρωσιν ἐν ἡμῖν κατευνάζουσα, καὶ εἰς τὸ βάθος τῆς καρδίας εἰσδύουσα. ψυχροτάτην δὲ εἶναί φασι καὶ αὐτῆς τῆς πόας, τουτέστι τοῦ κορίου

Γ

τὴν ἐνέργειαν τὴν ἐν ποιότητι φυσικήν.(1) ὅτι τὸ μάννα καὶ λόγος ἦν, καὶ ἄρτος δηλοῦται, ἡνίκα εἶπε Μωϋσῆς ἀποκρινόμενος πρὸς τὴν πεῦσιν τῶν υἱῶν Ἰσραὴλ, ὁπότε εἶπεν ἕτερος τῷ ἑτέρῳ, τί ἐστι τοῦτο; οὐ γὰρ ᾔδεισαν τί ἦν. τί οὖν εἶπε Μωϋσῆς ἀποκρινόμενος πρὸς τὴν πεῦσιν τῶν υἱῶν Ἰσραήλ; οὗτος, φησὶν, ὁ ἄρτος, ὃν ἔδωκε Κύριος ὑμῖν φαγεῖν. τοῦτο τὸ ῥῆμα ὃ συνέταξε Κύριος. διὰ τοῦτο δὲ καὶ τὸ μάννα

Δ

λεπτὸν ἦν ὡσεὶ κόριον λευκὸν, ὡσεὶ πάγος τῆς γῆς. ἐπειδήπερ ὁ λόγος, οὗ σύμβολον ἐκεῖνο τὸ μάννα ἦν, λεπτός ἐστι τῇ αὐτοῦ φύσει, καὶ διήκων διὰ πάντων πνευμάτων νοερῶν, καθαρῶν, λεπτοτάτων. ἔστι δὲ

Σοφ. 7. 22. καὶ ἡ σοφία πνεῦμα νοερὸν, ἅγιον, μονογενὲς, πολυμερὲς, λεπτὸν, καὶ τὰ ἑξῆς. ἦν δὲ καὶ ὡσεὶ κόριον πρὸς τῷ εἶναι λεπτόν. φασὶ δὲ τὴν τοῦ κορίου φύσιν ὅλην δι' ὅλου

E

λόγον ἔχειν σπέρματος. ὡς μηδὲ ἐν τῷ κατακόπτεσθαι τὸ τοῦ κορίου σπέρμα ἐξαφανίζεσθαι αὐτοῦ τὴν δύναμιν, ὡς οὐκ ἔτι δυναμένου σπείρεσθαι. τοιοῦτος δὲ δι' ὅλου ὁ λόγος. πᾶν γὰρ μόριον αὐτοῦ γεωργεῖσθαι πέφυκεν ἐν καλῇ καὶ ἀγαθῇ γῇ, τουτέστι ψυχῇ. ἔστι δὲ τὸ μάννα λευκόν. φῶς γὰρ ὁ λόγος, καὶ λαμπρὸς, καὶ κατὰ τοῦτο λευκὸς τῷ αὐτοῦ συνιέντι, καὶ τρεφομένῳ ὑπ' αὐτοῦ. ἔστι δὲ καὶ ὡσεὶ πάγος. συνε-

Z

στραμμένος γὰρ, καὶ οὐδαμοῦ πλαδῶν, οὐδὲ διεῤῥυηκὼς, ἀλλὰ πάγιος ὁ οὐράνιος λόγος, ἀπαγγέλλων ἡμῖν τὰ οὐράνια.

ΤΟΥ ΑΥΤΟΥ. Λογιούμεθα οὖν τὸ μάννα σκιὰν εἶναι καὶ τύπον τῶν διὰ Χριστοῦ παιδευμάτων τε καὶ χαρισμάτων. ἃ καὶ ἄνωθέν ἐστι καὶ ἐξ οὐρανοῦ, καὶ τὸ γεῶδες οὐκ ἔχει ποθέν· ἀμοιρεῖ δὲ μᾶλλον καὶ βδελυρίας σαρκικῆς, καὶ ἔστιν ἀληθῶς οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἁγίων Ἀγ-

H

γέλων τροφή. πεφανέρωκε γὰρ ἡμῖν ὁ υἱὸς ἐν ἑαυτῷ τὸν πατέρα, καὶ τὸν περὶ

A τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος λόγον δι' αὐτοῦ πεπαιδεύμεθα, καὶ εἰς πᾶσαν τρίβον ἀρετῆς εὖ μάλα παιδαγωγούμεθα. τροφὴ δὲ πνευμάτων, ἡ ἔν γε τούτοις ὀρθὴ καὶ ἀκίβδηλος γνῶσις. εἴη δ' ἂν ὡς ἐν φωτὶ καὶ ἡμέρᾳ τῶν διὰ Χριστοῦ παιδευμάτων ἡ χορηγία. τοιγάρτοι τὸ μάννα κατεδόθη τοῖς ἀρχαιοτέροις, διαυγαζούσης ἡμέρας, καὶ σκιδναμένου φωτός. διήυγασε γὰρ ἡμῖν 2.Πέτρ.1.19.

B τοῖς πιστεύουσιν ἡ ἡμέρα, κατὰ τὸ γεγραμμένον, καὶ φωσφόρος ἀνέτειλεν ἐν ταῖς ἁπάντων καρδίαις, καὶ ὁ τῆς δικαιοσύνης ἀνίσχων ἥλιος, τουτέστι Χριστὸς ὁ τοῦ νοητοῦ μάννα δοτήρ.

ιε. Ἰδόντες δὲ οἱ υἱοὶ Ἰσραὴλ, εἶπαν ἕτερος τῷ ἑτέρῳ, τί ἐστι τοῦτο; οὐ γὰρ ᾔδεισαν τί ἦν. εἶπε δὲ Μωϋσῆς πρὸς αὐτοὺς, οὗτος ὁ ἄρτος, ὃν ἔδωκε

Γ Κύριος ὑμῖν φαγεῖν.

* ΚΥΡΙΛΛΟΥ. [Αὐτὸ δὲ δὴ τοῦτο] τὸ ὡς ἐν ζητήσει ῥηθὲν ὀνοματοποιοῦνται τῷ πράγματι, καὶ τῇ Σύρων ἀποκαλοῦσι γλώττῃ μάννα, ἀντὶ τοῦ, τί ἐστι τοῦτο;

ΤΟΥ ΑΥΤΟΥ. Ψάλλει που ὁ θεσπέσιος Δαβὶδ περί τε τῶν υἱῶν Ἰσραὴλ, καὶ τοῦ πάντα ἰσχύοντος Θεοῦ, ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. ἄρτον Ἀγγέλων ἔφαγεν ἄν- Ψαλ. 77. 24, 25.

Δ θρωπος, τὸ μάννα λέγων, οὐρανοῦ καὶ Ἀγγέλων τροφήν· ἵνα τῶν αἰσθητῶν καὶ ὁρατῶν τὸν οἰκεῖον ἱέντες ἐπέκεινα νοῦν, τὴν πνευματικὴν καὶ θείαν κατασκεπτώμεθα χορηγίαν, ἣν ταῖς τῶν ἁγίων ψυχαῖς ἐνίησι Θεὸς, τὸν Ἀγγέλους τρέφοντα, καὶ ζωογονοῦντα τοὺς ἀνθρώπους Θεὸν λόγον ἐγκαταυλίζεσθαι ποιῶν τοῖς τὴν πίστιν εἰσδεχομένοις. κατῴκηκε γὰρ ὁ Χριστὸς ἐν ταῖς καρδίαις ἡμῶν διὰ τοῦ ἁγίου πνεύματος. καὶ ἄρτῳ ζῶντι καὶ ἐξ οὐρανοῦ τρεφό-

E μεθα πρὸς εὐεξίαν τε καὶ ἰσχὺν τὴν πνευματικήν. τύπος οὖν τοῦ τοιοῦδε τὸ μάννα, σαφὴς καὶ ἀνενδοιάστως ἔχων.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ἄρτον Ἀγγέλων τὸ μάννα προσηγόρευσεν ὁ προφήτης Δαβίδ; Ὡς Ἀγγέλων τῇ τούτου δωρεᾷ διηκονηκότων. ἡ γὰρ ἀσώματος φύσις οὐ δεῖται τροφῆς. οὕτως ἄρτος οὐρανοῦ προσηγορεύθη, ἐπειδὴ ἄνωθεν κατηνέχθη, οὐκ

Z ἐξ αὐτοῦ τοῦ οὐρανοῦ, ἀλλ' ἐκ τοῦ ἀέρος. οὕτω καὶ πετεινὰ τοῦ οὐρανοῦ προσηγόρευται τὰ τὸν ἀέρα διαπερῶντα.

ις. Τοῦτο τὸ ῥῆμα ὃ συνέταξε Κύριος.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὗτός ἐστιν ὁ ἄρτος, ὃν ἔδωκε Κύριος αὐτοῖς φαγεῖν. τίς οὖν ὁ ἄρτος εἰπέ; τοῦτο, φησὶ, τὸ ῥῆμα ὃ συνέταξε Κύριος· ἡ θεία σύν-

H ταξις αὕτη τὴν ὁρατικὴν ψυχὴν φωτίζει τε ὁμοῦ καὶ γλυκαίνει, φέγγος μὲν τὸ ἀληθείας ἀπαστράπτουσα, πειθοῖ δὲ ἀρετῇ γλυκείᾳ

(1) Τὰ ἑπόμενα ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται.

γλυκείᾳ τοὺς διψῶντας καὶ πεινῶντας καλοκἀγαθίας ἐφηδύνουσα.

Συναγάγετε ἕκαστος ἀπ' αὐτοῦ εἰς τοὺς καθήκοντας γομὸρ, κατὰ κεφαλὴν κατὰ ἀριθμὸν ψυχῶν ὑμῶν, ἕκαστος σὺν τοῖς συσκήνοις ὑμῶν συλλέξατε.

ΑΔΗΛΟΥ. Τὸ γομὸρ, μόδιοι δεκαπέντε, τὸ δέκατον τῶν τριῶν μέτρων.

ΕΠΙΦΑΝΙΟΥ. Τὸ γομὸρ, δέκατον τοῦ μεγάλου μέτρου, τουτέστι τῆς ἀρτάβης. ὃ γίνεται ἑπτὰ ξέσαι καὶ πέμπτον.

ΚΥΡΙΛΛΟΥ. Χρὴ γὰρ ἡμᾶς τῶν θείων τε καὶ εὐαγγελικῶν ἀναπίμπλασθαι μαθημάτων. ἐν ἴσῳ δὲ μέτρῳ μικροῖς καὶ μεγάλοις διανέμει ἡμῖν ὁ Χριστὸς τὴν παρ' αὐτοῦ χάριν, καὶ ὁμοίως ἅπαντας ἀποτρέφει, εἰς ζωὴν συναγείρειν τε τοῖς ἄλλοις ἐθέλει τοὺς ἀσθενεστέρους, (1) καὶ ἱδροῦν ὑπὲρ ἀδελφῶν, καὶ τοὺς ἰδίους αὐτοῖς ἐκδανείζειν πόνους, καὶ τῶν ἄνωθεν χαρισμάτων ποιεῖσθαι κοινωνούς. καὶ τοῦτο οἶμαί ἐστι τὸ εἰρημένον πρὸς τοὺς ἁγίους Ἀποστόλους,
Ματθ. 10. 8. δωρεὰν ἐλάβετε, καὶ τὰ ἑξῆς. μόνον γὰρ οὐχὶ πλεῖστον ἑαυτοῖς τὸ μάννα συλλέγοντες, διανέμειν ἐσπούδαζον τοῖς τὴν αὐτὴν οἰκοῦσι σκηνὴν, τουτέστι τὴν ἐκκλησίαν. διετέλουν γὰρ οἱ θεσπέσιοι μαθηταὶ [illegible]ετοῦντες, εἰσηγούμενοι, πρὸς πᾶν ὁτιοῦν ποδηγοῦντες τῶν ἐπαινουμένων, καὶ ἀφθόνως ἅπασι παρατιθέντες εἰς μέθεξιν, ἣν αὐτοὶ παρὰ Χριστοῦ πεπλουτήκασι χάριν.

* * ΤΟΥ ΑΥΤΟΥ. Εἰ δὲ δὴ νοοῖτο
„ καθ' ἕτερον τρόπον τὸ, ἕκαστος σὺν τοῖς
„ συσκηνίοις ὑμῶν συλλέξατε, τουτέστι μὴ χύδην ἅπαντες, μηδὲ ἀναμὶξ, ἀλλὰ κατὰ γένος, ἤτοι κατὰ σκηνὰς ποιείσθωσαν τὴν συγκομιδὴν, τοιῶσδε νοήσεις. χρὴ γὰρ ἡμᾶς τοῖς ὁμοπίστοις ὁμοῦ τῶν θείων ἐμφορεῖσθαι λόγων, καὶ ζητεῖν τὸ μάννα τὸ νοητόν· οὐ τοῖς ἑτερόφροσι, μονονουχὶ δὲ καὶ ἀλλογενέσιν ἀσυνέτως συναποφέρεσθαι. ὃ δὴ καὶ ποιοῦμεν, ἀποσοβοῦντες μὲν ἐκκλησιῶν τοὺς ἑτεροδόξους καὶ διεστραμμένους, ὁμοῦ δὲ τοῖς κατὰ πίστιν οἰκείοις τὰς ἐξ οὐρανοῦ πλουτοῦντες τροφάς.

ιζ. Καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Ἰσραήλ. καὶ συνέλεξαν ὁ τὸ πολὺ καὶ ὁ τὸ ἔλαττον.

ιη. Καὶ ἐμέτρησαν τὸ γομὸρ, καὶ οὐκ ἐπλεόνασεν ὁ τὸ πολὺ, καὶ ὁ τὸ ἔλαττον οὐκ ἠλαττόνησεν· ἕκαστος εἰς τοὺς καθήκοντας παρ' ἑαυτῷ συνέλεξαν.

ΤΟΥ ΝΥΣΣΗΣ. Τὰ δὲ ὅσα περὶ τὴν τροφὴν ἐκείνην ἡ ἱστορία διέξεισι θαύματα, δόγματα, πρὸς τὸν κατ' ἀρετὴν βίον ἐστί. Φησὶ γὰρ ἴσην πᾶσι προκεῖσθαι τὴν τῆς τροφῆς μετουσίαν, οὐδὲν κατὰ διαφορὰν τῆς τῶν συλλεγόντων δυνάμεως, οὔτε πλεονάζουσαν κατὰ τὴν χρείαν, οὔτε ἐλλείπουσαν. τοῦτο δέ ἐστι, κατά γε τὸν ἐμὸν λόγον, συμβουλή τις τῷ κοινῷ προκειμένη, μὴ παριέναι τοὺς ὅρους τῆς χρείας τοὺς τὰς ἀφορμὰς τοῦ ζῆν ἐκ τῶν ὑλικῶν πορίζομένους, ἀλλ' εὖ εἰδέναι, ὅτι ἓν μέτρον τῇ φύσει τῆς ἐδωδῆς ἐπὶ πάντων ἐστὶν ἡ πρὸς ἡμέραν ἀπόλαυσις. [ἐν ᾗ κἂν πολλαπλάσια παρασκευασθῇ τῆς χρείας, ἡ γαστὴρ τὰ ἴδια μέτρα διαβῆναι φύσιν οὐκ ἔχει, οὐδὲ τῇ ἀπληστίᾳ τῆς παρασκευῆς συνεκτείνεται. ἀλλὰ καθώς φησιν ἡ ἱστορία, οὔτε ὁ τὸ πολὺ λαβὼν, ἐπλεόνασε· ποῦ γὰρ ἀπόθηται τὸ πλέον, οὐκ ἔχει· οὔτε ὁ τὸ ὀλίγον, ἠλαττόνησε. πρὸς γὰρ τὸ εὑρεθὲν συσταλεῖσα ἡ χρεία συνεμετρήθη.]

ιθ. Εἶπε δὲ Μωϋσῆς πρὸς αὐτοὺς, μηδεὶς καταλιπέτω ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ.

ΚΥΡΙΛΛΟΥ. Ἕκαστον μὲν οὖν τὸ ἀρκοῦν αὐτῷ συγκομίζειν ἐκέλευσεν. εἴργει δὲ οὐδαμῶς εἴπερ ἕλοιντο τυχὸν καὶ τοῖς ἀποῦσι συλλέγειν, καὶ τῷ τῆς ἀγάπης καταφαιδρύνεσθαι νόμῳ. ἀποφάσκει δὲ παντελῶς φυλάττειν εἰς τὸ πρωΐ, καίτοι τοῦτο δρᾷν ἀφιεὶς πρὸ τοῦ σαββάτου· ἵνα μὴ ὁ τῆς ἀργίας ἀτιμάζοιτο νόμος. οὐ γὰρ ἦν ὅλως εὑρεῖν ἐν σαββάτῳ, μὴ καθιέντος Θεοῦ.

* ΤΟΥ ΑΥΤΟΥ. Εἴργονται δὲ καταλιμπάνειν εἰς τὸ πρωΐ, τοῦ νόμου πάλιν ἡμῖν ὑπεμφαίνοντος, ὅτι τὸ κεχρῆσθαι τοῖς τύποις, παρῳχηκότος τοῦ χρόνου, καθ' ὃν ἦσαν χρήσιμοί τε ἔτι καὶ ἀναγκαῖοι, πάντη τε καὶ πάντως ὑπὸ κρίσιν ἄγει καὶ κόλασιν. ἐξέζεσε γὰρ σκώληκας τὸ τετηρημένον· καὶ κολάσεως δὲ καὶ φθορᾶς μήνυσις ἂν εἴη καὶ αὕτη σαφής. ἔσονται γὰρ πάντως ὑπὸ φθορὰν καὶ κόλασιν οἱ τηροῦντες τὴν σκιὰν μετὰ τὴν τῆς ἀληθείας ἀνάδειξιν.

* ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν ἀποφάσκει τὸ φυλάττειν εἰς τὸ πρωΐ, ἵνα διὰ τοῦ πρωῒ τὸν μετὰ τὸν νόμον νοήσῃς καιρὸν, καθ' ὃν ἡ τοῦ Χριστοῦ πέφηνε παρουσία, καὶ τὸ θεῖον ἀνέλαμψε φῶς.

* ΤΟΥ ΑΥΤΟΥ. Τὸ πρωῒ πάλιν ἐν τούτοις, τὸν λαμπρὸν ἡμῖν καὶ διαφανέστατον τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας κατασημαίνει καιρόν· ὅτε λελυμένης τρόπον τινὰ τῆς τε κατὰ νόμον σκιᾶς, καὶ τῆς ἐν τοῖς ἔθνεσιν ἀχλύος διαβολικῆς, φωτὸς ἡμῖν δίκην ἀνέτειλεν ὁ μονογενής, καὶ ὄρθρος ἐδείχθη πνευματικός. ἐπιτάττει τοίνυν ὁ μακάριος Μωϋσῆς τὸ ἐν τύπῳ μάννα μὴ καταλιμπάνειν εἰς τὸ πρωΐ. ἀνατείλαντος γὰρ ἡμῖν τοῦ μνημονευθέντος ἀρτίως καιροῦ, περιττὰ λοιπὸν καὶ

(1) Τοὺς ἀσθενεστέρους. ἐν Τόμ. 1. μέρ. 1. σελ. 290.

καὶ ἄκαιροι παντελῶς αἱ κατὰ νόμον σκιαὶ, διὰ τὴν ἤδη παροῦσαν ἀλήθειαν.

κ. Καὶ οὐκ εἰσήκουσαν Μωϋσῆ, ἀλλὰ κατέλιπόν τινες ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ· καὶ ἐξέζεσε σκώληκας, καὶ ἐπώζεσε. καὶ ἐπικράνθη Μωϋσῆς δι' αὐτούς.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὸ καταλειφθὲν εἰς τὴν ὑστεραίαν τοῦ μάννα διεφθάρη; Ἐπειδὴ νόμου παράβασις ἦν. διδάσκων γὰρ αὐτοὺς τῶν φροντίδων ἐλεύθερον βίον, ὑπέσχετο καθ' ἑκάστην αὐτοῖς ἡμέραν παρέχειν τὴν ἀναγκαίαν αὐτοῖς τροφήν. ἐκεῖνοι δὲ ἀπιστήσαντες, μέρος τοῦ συλλεγέντος εἰς τὴν ὑστεραίαν ἐφύλαξαν, διὰ τοῦτο ἐπώζεσεν. ὅτι γὰρ οὐ τῆς τοῦ μάννα φύσεως ἦν τὸ πάθος, μαρτυρεῖ τὸ σάββατον· ἐν ᾧ ἀλώβητον διετηρήθη τὸ τῇ παρασκευῇ συλλεγέν. μαρτυρεῖ δὲ καὶ τὸ ἐν τῇ κιβωτῷ ἐπὶ πολλαῖς διαφυλαχθὲν γενεαῖς.

* ΚΥΡΙΛΛΟΥ. Τύπος δ' ἂν εἶεν οἱ εἰς τὸ πρωῒ τηρήσαντες τῆς ἀπειθήσειν μελλούσης αὐτῷ πληθύος ἰουδαϊκῆς. οἷς καὶ τὸ ἐντελῶς ἐθέλειν τὸν ἐν γράμμασι τηρῆσαι νόμον, καὶ σαπρίας καὶ σκωλήκων ἔσται παραίτιον. ἀκούεις γὰρ ὅπως καὶ πικραίνεται λίαν ὁ νομοθέτης ἐπ' αὐτοῖς.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Τὸ δὲ τοῖς περιττοῦντι ταμιεύουσιν εἰς σκωλήκων γένεσιν μεταποιεῖσθαι, τὴν ἀπληστίαν βοᾷ τρόπον τινὰ τοῖς πλεονέκταις διὰ τούτων ὁ λόγος, ὅτι πᾶν τὸ ἔξω τῆς χρείας ὑπὸ τῆς πλεονεκτικῆς ταύτης ἐπιθυμίας ἐκφερόμενον, ἐν τῇ ἐξῆς ἡμέρᾳ, τουτέστιν ἐν τῷ προσδοκωμένῳ βίῳ, σκώληξ τὸ ταμιευθὲν γίνεται. νοεῖς δὲ πάντως ὁ ἀκούων διὰ τοῦ σκώληκος τούτου τὸν ἀτελεύτητον σκώληκα, τὸν διὰ τῆς πλεονεξίας ζωογονούμενον.

κα. Καὶ συνέλεξαν αὐτὸ πρωῒ πρωῒ ἕκαστος τὸ καθῆκον αὐτῷ. ἡνίκα δὲ διεθέρμαινεν ὁ ἥλιος, ἐτήκετο.

κβ. Ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ ἕκτῃ συνέλεξαν τὰ δέοντα διπλᾶ, δύο γομὸρ τῷ ἑνί. εἰσῆλθον δὲ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς, καὶ ἀνήγγειλαν Μωϋσῇ.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Τὸ δὲ ἐν μόνῳ τῷ διαρκεῖν τῷ σαββάτῳ ἀπόθετον μηδεμίαν διαφθορὰν ὑπομένον, τοιαύτην τινὰ συμβουλὴν περιέχει· ὅτι δὴ τότε χρησέον ἐστὶ τῇ πλεονεκτικῇ προαιρέσει, ἐν ᾗ τὸ συναγόμενον διαφθορὰν οὐ προσίεται· τότε χρήσιμον ἡμῖν γινόμενον, ὅταν παρελθόντες τὴν τοῦ βίου τούτου παρασκευὴν, ἐν τῇ μετὰ τὸν θάνατον ἀπρα-

A ξίᾳ γενώμεθα. ἡ γὰρ πρὸ τοῦ σαββάτου ἡμέρα, παρασκευὴ πρὸς τὸ σάββατον καὶ ἔστι καὶ ὀνομάζεται. αὕτη δ' ἂν εἴη ὁ βίος οὗτος, ἐν ᾧ τὰ τῆς ἐρχομένης ζωῆς ἑαυτοῖς εὐτρεπίζομεν· ἐν ᾗ ἔργον οὐδὲν τῶν [νῦν] ἡμῖν συγκεχωρημένων ἐπιτελεῖται, οὔτε γεωργία, οὔτε στρατεία, οὐκ ἐμπορία, οὐκ ἄλλο τι τῶν ὧδε σπουδαζομένων οὐδέν· ἀλλ' ἐν ἀπραξίᾳ πάσῃ τῶν τοιούτων ἔργων διάγοντες, τῶν νῦν ἡμῖν παρὰ τὸν βίον B καταβεβλημένων σπερμάτων τοὺς καρποὺς ποριζόμεθα. ἀφθάρτους μὲν, εἴπερ ἀγαθὰ εἴη τοῦ βίου τὰ σπέρματα· φθαρτικοὺς δὲ καὶ ὀλεθρίους, εἰ τοιαῦτα ἡμῖν τὰ γεώργια τῆς ζωῆς ταύτης ἐκφύσειεν. » ὁ γὰρ σπείρων εἰς τὸ πνεῦμα, φησὶν, ἐκ τοῦ Γαλ. 6. 8. » πνεύματος θερίσει ζωὴν αἰώνιον· ὁ δὲ σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν. ἀλλ' ἡ πρὸς τὸ κρεῖττον ἑτοιμασία μόνη κυρίως παρασκευὴ ὀνομάζε- Γ ται, καὶ κυροῦται δήπουθεν τῷ νόμῳ· ἧς τὸ ἀπόθετον, ἀφθαρσία ἐστί. τὸ δὲ ἐκ τοῦ ἐναντίου νοούμενον, παρασκευὴ οὔτε ἐστὶν, οὔτε λέγεται. τὴν γὰρ τῶν ἀγαθῶν στέρησιν οὐκ ἄν τις εἰκότως παρασκευὴν, ἀλλ' ἔκπτωσιν παρασκευῆς ὀνομάσειε. διὸ μόνην τὴν πρὸς τὸ κρεῖττον κατορθουμένην παρασκευὴν νομοθετεῖ τοῖς ἀνθρώποις ἡ ἱστορία, τὸ ἐναντίον διὰ τῆς παραλείψεως ποιεῖν τοῖς συνετοῖς καταλείπουσα.

Δ **κγ. Εἶπε δὲ Μωϋσῆς πρὸς αὐτοὺς, τοῦτο τὸ ῥῆμά ἐστιν ὃ ἐλάλησε Κύριος. σάββατα ἀνάπαυσις ἁγία τῷ Κυρίῳ αὔριον. ὅσα ἂν πέσσητε, πέσσετε· καὶ ὅσα ἐὰν ἕψητε, ἕψετε· καὶ πᾶν τὸ πλεονάζον καταλείπετε αὐτὸ εἰς ἀποθήκην ἕως πρωΐ.**

ΩΡΙΓΕΝΟΥΣ. Ἀπογράφομαι τὰ πε- E ρὶ τοῦ σαββάτου εἰρημένα· πρῶτον κατὰ τὸ ῥητὸν, ἵν' εἴδω τί σημαίνει τὸ γράμμα· δεύτερον δὲ κατὰ τὴν ἀναγωγήν, καθ' ἣν εἴποιμι ἂν ἡμέραν σαββάτου ἐνεστηκέναι τῷ δικαίῳ καταλύσαντι τὰ τοῦ κόσμου ἔργα, καὶ σχολάζοντι τῷ Θεῷ, τῷ μήτε τοῦ τόπου, ἐν ᾧ ἔστηκε, τοῦ Χριστοῦ ἀφισαμένῳ· μήτε πῦρ καίοντι, κατὰ τὸ μηδὲν ἁμαρτάνειν, μήτε βαστάγματα αἴροντι, (1) προστάγματος ὄντος βαρυτάτου πάσης ἁ- Z » μαρτίας. καθὰ ὁ μελῳδὸς φησιν, ὡσεὶ Ψαλ. 37. 4. » φορτίον βαρὺ ἐβαρύνθησαν.

ΤΟΥ ΑΥΤΟΥ. Ἑτέρα δὲ ἀπογραφὴ » ἂν εἴη τοῦ σαββάτου, καθ' ἣν ἀπολείπεται Ἑβρ. 4. 9. » σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ, ἀνάπαυσις ἱερὰ καὶ ἁγία. ὁ δὲ ποιήσας πάντα τὰ ἔργα αὐτοῦ, ἄξιος κρίνεται ἐκείνου τοῦ σαββάτου· σχολάζων οὐδενὶ, ἢ τῇ θεωρίᾳ τῆς ἀληθείας καὶ τῆς σοφίας. ταῦτα δὲ διὰ H τὸ μεμνῆσθαι κἀνταῦθα τὸν Μωσέα περὶ τοῦ σαββατίζειν, παρεθέμεθα.

(1) Αἴροντι. βάσταγμα ὄρους βαρύτερον πᾶσα ἁμαρτία. διὸ ἔλεγεν ὁ ὑμνῳδὸς, κλ. ἐν Τόμ. 2. σελ. 125. τῆς τοῦ Ῥουαίου ἐκδόσ.

κδ. Καὶ κατέλιπον ἀπ' αὐτῦ ἕως πρωῒ, καθάπερ συνέταξεν αὐτοῖς Μωϋσῆς. καὶ ἐκ ἐπώζεσεν, ἐδὲ σκώληξ ἐγένετο ἐν αὐτῷ.

ΚΥΡΙΛΛΟΥ. Ἐτήρυν δὲ εἰς τὸ πρωῒ σαββατίζειν μέλλοντες οἱ ἐξ Ἰσραὴλ, καὶ τῦτο Θεῦ προστάττοντος. τί ἂν τὸ φυλάττεσθαι τὸ τῦ σαββάτυ προσυλλεχθὲν, μὴ μίω ἔτι καὶ καταφθείρεσθαι, μηδὲ τοῖς τετηρηκόσιν ἐπιπικραίνεσθαι τὸν Μωσέα; Ἀφιγμένοι γὰρ διὰ πίσεως εἰς τὸν ἐν Χριςῷ νοέμενον σαββατισμὸν, τυτέςιν εἰς ἀργίαν τε καὶ κατάληξιν τῶν ἁμαρτημάτων, ἐχ ὡς ἄχρησον παραιτέμεθα τίω προσαρωθεῖσαν ἐν ἡμῖν, καὶ οἱονεὶ προαποκειμένίω τῦ νόμυ παίδευσιν, χειραγωγῦσαν
Γαλ. 3. 24. ἡμᾶς εἰς Χριςόν. παιδαγωγὸς γὰρ ἡμῶν
„ ὁ νόμος. ἔχοντες δὲ μᾶλλον αὐτὸν ὁμῦ τοῖς εὐαγγελικοῖς παιδεύμασιν, ἐκ ἐσόμεθα μακρὰν τῦ καὶ ἐπαινεῖσθαι πρέπειν. καὶ τῦτο δρῶσι Θεὸς ἐκ ἐπιπικραίνεται. καὶ γῦν ὁ Σωτὴρ τυτὶ δὴ διδάσκων αὐτὸς,
Ματθ. 13. 52. διὰ τῦτο, φησὶ, λέγω ὑμῖν, ὅτι πᾶς γραμ-
„ ματεὺς μαθητευθεὶς τῇ βασιλείᾳ τῶν ὀρα-
„ νῶν, ὅμοιός ἐςιν ἀνθρώπῳ οἰκοδεσπότῃ,
„ ὅςις ἐκβάλλει ἐκ τῦ θησαυρῦ αὐτῦ καινὰ
„ καὶ παλαιά.

κε. Εἶπε δὲ Μωϋσῆς, Φάγετε σήμερον· ἔςι γὰρ σάββατα τῷ Κυρίῳ·
κϛ. ἐχ εὑρεθήσεται ἐν τῷ πεδίῳ. Ἓξ ἡμέρας συλλέξετε· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα, ἐκ ἔςιν ἐν αὐτῇ.

κζ. Ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐξῆλθόν τινες ἐκ τῦ λαῦ συλλέξαι, καὶ ἐχ εὗρον.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ ἐν τοῖς σάββασιν ἐ παρεῖχε τὸ μάννα; Ἐπειδὴ μόνοις αὐτοῖς τῦ σαββάτυ τίω ἀργίαν ἐνομοθέτησεν. ἔργῳ αὐτὲς ἐδίδαξε φυλάττειν τίω ἐντολίω. τὸν δὲ τῆς φύσεως ἐκ ἐκώλυσε δρόμον. ἀνίςχει γὰρ ἥλιος ἢ σελήνη, ὡσαύτως καὶ τὰ νέφη τὸν ὑετὸν ὠδίνει, καὶ ἄνεμοι πνέυσι, καὶ γυναῖκες τίκτυσι, καὶ τῶν ἀλόγων τὰ γένη.

✱ ΚΥΡΙΛΛΟΥ. Ἐπάρατον δὲ καὶ ὑπόδικον ἐτίθει τὸ ἐν σαββάτῳ συλλέγειν· μᾶλλον δὲ ἐδὲ καθίει τὸ μάννα Θεός. σαββατίζοντες γὰρ νοητῶς ἐν τύποις, ἐκ ἔτι μὲν συλλέξομεν. ἐ γὰρ σαρκικῆς ἀνεξόμεθα περιτομῆς, ἐδὲ βόας, ἢ πρόβατα καταθύσομεν. παρωσόμεθα γὰρ τὸ παχὺ τῶν τύπων, αὐτίω ἔχοντες τίω ἀλήθειαν, τυτέςι Χριςόν.

κη. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, ἕως τίνος ἐ βέλεσθε εἰσακέειν τὰς ἐν-
κθ. τολάς μυ, καὶ τὸν νόμον μυ; Ἴδετε· ὁ γὰρ Κύριος ἔδωκεν ὑμῖν τὴν ἡμέραν ταύτην τὰ σάββατα· διὰ τῦτο αὐτὸς ἔδωκεν ὑμῖν τῇ ἡμέρᾳ τῇ ἕκτῃ ἄρτυς δύω ἡμερῶν. καθήσεσθε ἕκαςος εἰς τὲς οἴκυς ὑμῶν· μηδεὶς ἐκπορευέσθω ἐκ τῦ τόπυ αὐτῦ τῇ ἡμέρᾳ τῇ ἑβδό-
λ. μῃ. Καὶ ἐσαββάτισεν ὁ λαὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ.

λα. Καὶ ἐπωνόμασαν οἱ υἱοὶ Ἰσραὴλ τὸ ὄνομα αὐτῦ, Μάν· ἦν δὲ ὡς σπέρμα κορίυ λευκόν· τὸ δὲ γεῦμα αὐτῦ ὡς ἐγκρὶς ἐν μέλιτι.

Ὡς σπέρμα κορίυ. τὸ Σαμαρειτικὸν, ὡς σπέρμα ὀρύζης.

Ἐγκρὶς ἐν μέλιτι. Ἀκύλας, ἄμυλος ἐν ἐλαίῳ.

✱✱ ΙΩΣΗΠΟΥ. Ἔτι δὲ καὶ νυῦ ὕεται πᾶς ἐκεῖνος ὁ τόπος, καθάπερ καὶ τότε Μωϋσῇ χαριζόμενον τὸ θεῖον κατέπεμψε τίω διατροφίω. καλῦσι δὲ Ἑβραῖοι τὸ βρῶμα τῦτο μάννα. τὸ γὰρ μᾶν ἐπερώτησις κατὰ τίω ἡμετέραν διάλεκτον, τί τῦτ' ἐςιν, ἀνακρίνυσα.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ μάννα ἐκλήθη; Εὐθὺς αὐτὸ θεασάμενοι, ἀλλήλυς ἠρώτων, τί τῦτο; ἐπέθεσαν ἂν αὐτῷ προσηγορίαν, τί τῦτο; τῦτο γὰρ ἑρμηνεύεται τὸ μάννα. τῦτο δὲ καὶ ἡ ἱςορία δι-
„ δάσκει. ἰδόντες γάρ φησιν οἱ υἱοὶ Ἰσραὴλ,
„ εἶπον ἕτερος τῷ ἑτέρῳ, τί ἐςι τῦτο; ἐ γὰρ ᾔδεσαν τί ἦν. ἐγένετο τοίνυν ἡ ἐρώτησις
„ ὄνομα. τὸ δὲ, ὡς ἐγκρὶς ἐν μέλιτι, ὁ Σύμμαχος ὅτως ἡρμίωευσεν, ὡς ἄμυλος ἐν μέλιτι.

ΩΡΙΓΕΝΟΥΣ. Ἐγὼ δὲ περὶ τῦ λόγυ οἶμαι εἰρῆσθαι, ὃ πρὸς τὸ ῥητὸν νομίζεται περὶ τῦ μάννα λελέχθαι· ὅτι ἔδωκεν ὁ Θεὸς τὸ μάννα ἀντὶ τροφῆς πρὸς πᾶσαν ἡδονίω ἰχύον, καὶ πρὸς πᾶσαν ἐναρμόνιον γεῦσιν. τῇ γὰρ τῦ προσφερομένε ἐπιθυμίᾳ ὑπηρετῦν, πρὸς ὅ,τι ἐβέλετο, μετεκρίνετο. ὅτω καὶ ἐν τῷ λόγῳ πάσης πνευματικῆς βρώσεως ἐςὶ ποιότης, ἵνα τὰ μὲν
„ ἀρτιγέννητα, κατὰ τὸν Πέτρον, ἐν Χρι- 1.
„ ςῷ βρέφη τὸ λογικὸν ἐπιποθῦντα γάλα,
„ καὶ οἱ ἐν Χριςῷ, κατὰ Παῦλον, νήπιοι 1.
„ ποτιζῶσιν ἐν αὐτῷ. ὁ δὲ ἀσθενῶν, λάχανα ἐσθίει. ὁ δὲ τέλειος μεταλάβῃ ςερρᾶς τροφῆς, ἅτε διὰ τίω ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἔχων πρὸς διάκρισιν καλῦ τε καὶ κακῦ. (1)

λβ. Εἶπε δὲ Μωϋσῆς, τῦτο τὸ ῥῆμα, ὃ συνέταξε Κύριος, πλήσατε τὸ γομὸρ τῦ μὰν εἰς ἀποθήκην εἰς τὰς γενεὰς ὑμῶν· ἵνα ἴδωσι τὸν ἄρτον, ὃν ἐφάγετε ὑμεῖς ἐν τῇ ἐρήμῳ, ὡς ἐξήγαγεν ὑμᾶς Κύριος ἐκ γῆς Αἰγύπτυ.

ΠΡΟΚΟ-

(1) Ἐν τοῖς ἐκδεδομ. ἐχ εὕρηται.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τῦτο τὸ ῥῆμα, ὃ
» συνέταξε Κύριος. Ἔθος τῇ Γραφῇ τὰ ἀποτελέσματα τῶν ἔργων καλεῖν τοῖς ὀνόμασι τῶν αἰτίων. ὃ γὰρ ἐποίησε Θεῦ λόγος καὶ πρόςαγμα, τῦτο Θεῦ ῥῆμα καλεῖ. καὶ τὸ μάννα δὲ ὐκ ὄνομα, ἀλλ' ἡ ἐρώτησις ὄνομα γέγονε.

λγ. **Καὶ εἶπε Μωϋσῆς πρὸς Ἀαρὼν, λάβε ςάμνον χρυσῦν ἕνα, καὶ ἔμβαλε εἰς αὐτὸν πλῆρες γομὸρ τῦ μάννα, καὶ ἀποθήσεις αὐτὸ ἐναντίον τῦ Θεῦ, εἰς διατήρησιν εἰς τὰς γενεὰς**
λδ. **ὑμῶν. Ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσῇ. καὶ ἀπέθετο Ἀαρὼν ἐναντίον τῦ μαρτυρίυ εἰς διατήρησιν.**

ΑΔΗΛΟΥ. Καὶ ἡ ςάμνος εἰς τὸν Χριςὸν ὁρᾷ τὸν ἄνωθεν, καὶ τὸ μάννα, κατελθόντα. εἰς δὲ τὴν χαλκευθεῖσαν ἐνεβλήθη διὰ τῆς ἑνώσεως, ὐ κατενεχθείσης ἄνωθεν τῆς σαρκός.

ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ γὰρ αὐτὸς ἡμῖν τὸ μάννα τὸ ἀληθὲς ἀνεδείχθη Χριςὸς, ὡς ἐν εἰκόνι τοῖς ἀρχαιοτέροις διὰ τύπυ δηλύμενος, ἀναγκαίως διὰ τῦ προκειμένυ [διδάσκει] τίνος ἔςαι καὶ πόσης ἀνάπλεως ἀρετῆς τε καὶ δόξης ὁ τὸ μάννα τὸ νοητὸν ἀποθησαυρίζων ἐν αὐτῷ, καὶ εἰς τὰ ἐσώτατα τῆς ἑαυτῦ καρδίας εἰσφέρων τὸν Ἰησῦν διὰ τῆς εἰς αὐτὸν πίςεώς τε ὀρθῆς καὶ ἀγάπης ὁλοτελῦς. ἀκύεις γὰρ ὅπως ἐν σκεύει χρυσῷ πλῆρες τὸ γομὸρ τῦ μὰν ἐνετέθη διὰ χειρὸς Ἀαρὼν, εἰς διατήρησιν ἐναντίον τῦ Θεῦ. ἡ γὰρ θεία ὄντως καὶ θεοφιλὴς ψυχὴ, τελείως ἐν ἑαυτῇ τὸν ἐπὶ Χριςῷ λόγον ὠδίνυσα, καὶ ὅλον λαβῦσα τὸν ὐράνιον θησαυρὸν, σκεῦος μὲν ἔςαι τίμιον, ὡς ἀπὸ χρυσῦ, προσενεχθήσεται δὲ διὰ τῦ πάντων ἀρχιερέως τῷ Θεῷ καὶ πατρὶ, καὶ εἰς ὄψιν ἀνενεχθήσεται τῦ τὰ πάντα συνέχοντός τε καὶ διασώζοντος εἰς διατήρησιν, καὶ τὸ φθειρόμενον, ὅσον εἰς οἰκείαν φύσιν, ὐκ ἐῶντος καταφθείρεσθαι.

λε. **Οἱ δὲ υἱοὶ Ἰσραὴλ ἔφαγον τὸ μὰν ἔτη τεσσαράκοντα, ἕως ἦλθον**
A' **εἰς γῆν οἰκυμένην τὸ μὰν ἔφαγον, ἕως παρεγένοντο εἰς μέρος τῆς Φοινίκης.**

ΑΔΗΛΟΥ. Ἢ ὡς Προφήτης προλέγει τὸν χρόνον, ἢ ὕςερον ἔγραφε τὰ γεγονότα.

λς. **Τὸ δὲ γομὸρ τὸ δέκατον τῶν τριῶν μέτρων ἦν.**

ΣΕΥΗΡΙΑΝΟΥ. Ὅτι τὸ μέγα γομὸρ,
B καθὰ εἴρηται, μοδίων δεκαπέντε· τὸ δὲ μικρὸν, μοδίων δέκα, καὶ ὁ μόδιός ἐςι ξεςῶν εἰκοσιδύω. ἔςι δὲ γομὸρ πάλιν τὸ δέκατον τῦ μεγάλυ μέτρυ, ἤτοι τῆς ἀρτάβης. ὃ γίνεται ξεςῶν ἑπλὰ καὶ πέμπλον.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ γομὸρ μέτρον ἦν ἑβραϊκόν. διδάσκει δὲ ὁ νομοθέτης, ὅτι τῶν τριῶν μέτρων τὸ δέκατον ἦν. ὡς δὲ Ἰώσηπος (1) ἔφη, τρεῖς ἥμισυ κοτύλας ἐχώρει.

Γ » ** ΚΛΗΜΕΝΤΟΣ. Τὸ γόμορ, φησὶ,
» τὸ δέκατον τῶν τριῶν μέτρων ἦν. ἐν ἡμῖν γὰρ αὐτοῖς τρία μέτρα, τρία κριτήρια μηνύεται· αἴσθησις μὲν, αἰσθητῶν· λεγομένων δὲ ὀνομάτων καὶ ῥημάτων, ὁ λόγος· νοητῶν δὲ, ὁ νῦς. ὁ τοίνυν γνωςικὸς ἀφέξεται μὲν τῶν κατὰ λόγον, καὶ τῶν κατὰ διάνοιαν, καὶ τῶν κατ' αἴσθησιν καὶ ἐνέργειαν ἁμαρτημάτων· ἀκηκοὼς,
Δ » ὅπως ὁ ἰδὼν πρὸς ἐπιθυμίαν, ἐμοίχευσε. Ματθ. 5. 28.
» λαβών τε ἐν νῷ, ὡς μακάριοι οἱ καθαροὶ Ματθ. 5. 8.
» τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται, Ματθ. 15. 11.
» κἀκεῖνο ἐπιςάμενος, ὅτι ὐ τὰ εἰσερχόμενα
» εἰς τὸ ςόμα κοινεῖ τὸν ἄνθρωπον, ἀλλὰ
» τὰ ἐξερχόμενα διὰ τῦ ςόματος ἐκεῖνα κοι-
» νεῖ τὸν ἄνθρωπον. ἐκ γὰρ τῆς καρδίας
» ἐξέρχονται διαλογισμοί. τῦτ' οἶμαι τὸ κατὰ Θεὸν ἀληθινὸν καὶ δίκαιον μέτρον, ᾧ μετρεῖται τὰ μετρύμενα, ἡ τὸν ἄνθρωπον συνέχυσα δεκάς. ἣν ἐν κεφαλαίῳ τὰ
E προειρημένα τρία ἐδήλωσε μέτρα. εἴη δ' ἂν σῶμά τε καὶ ψυχὴ, αἵ τε πέντε αἰσθήσεις, καὶ τὸ φωνητικὸν, καὶ σπερματικὸν, καὶ τὸ διανοητικὸν, ἢ πνευματικὸν, ἢ ὅπως καὶ βύλει καλεῖν. χρὴ δὲ, ὡς ἔπος εἰπεῖν, τῶν ἄλλων ἁπάντων ὑπεραναβαίνοντας, ἐπὶ τὸν νῦν ἵςασθαι.

ΚΕΦ. ΙΖ.

α. **Καὶ ἀπῆρε πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ἐκ τῆς ἐρήμυ Σὶν κατὰ παρεμβολὰς αὐτῶν, διὰ ῥήματος Κυρίυ· καὶ παρενέβαλον ἐν Ῥαφιδὴν. ὐκ ἦν**
β. **δὲ ὕδωρ τῷ λαῷ πιεῖν. Καὶ ἐλοιδορεῖτο ὁ λαὸς πρὸς Μωϋσῆν, καὶ ἔλεγον, δὸς ἡμῖν ὕδωρ ἵνα πίωμεν. καὶ**
H **εἶπεν αὐτοῖς Μωϋσῆς, τί λοιδορεῖσθέ μοι, καὶ τί πειράζετε Κύριον;**

ΚΥΡΙΛΛΟΥ. Ἦσαν μὲν γὰρ δι' ἠπείρυ ξηρᾶς, πολλὴν διψάδα παραθέοντες γῆν. εἶτα τοῖς ἐκ τῆς ὁδοιπορίας ἀλύοντες πόνοις, καὶ κἂν εἰ βραχύτι συνῆπτα τῶν εἰωθότων, λύπην δυσφόρητον τῦτο εἶχον, καὶ ἐποιῦντο κατὰ Μωσέως καὶ Ἀαρὼν τὴν

(1) Ὁ Ἰώσηπος (ἐν βιβλ. 3. κεφ. 1. περὶ Ἰυδαϊκ. ἀρχαιολ.) περὶ μὲν τῦ γομὸρ, φησί· παραγγέλλεται δ' ἐξ ἴσυ ἀσσάρωνα, τῦτο δ' ἐςὶ μέτρον, εἰς ἑκάςην ἡμέραν συλλέγειν· περὶ δὲ τῦ ἀσσάρωνος, (ἐν κεφ. 7. τῦ αὐτ. βιβλ.) ἐκ δύο ἀσσάρων. ὁ μέτρον Ἑβραίων ἑπλὰ κοτύλας ἀττικὰς ἔχει.

τὴν καταβολήν. πλείστης δὲ ὅσης καὶ ἀξιαγάστου θεοσημίας θεωροὶ γεγονότες, καὶ τῆς θείας δυνάμεως τὴν ὑπεροχὴν διὰ πείρας αὐτῆς ἐκμεμαθηκότες, ὅμως ἐδεδίεσαν ἔτι, μὴ ἄρα πως ἀτονήσῃ πρός γε τῷ χρῆναί φημι διανέμειν τὰ ζωαρκῆ, καὶ πανταχόθεν αὐτοῖς ἐκπορίζειν τὰ ἐδώδιμα, καὶ τὰς τῶν ὑδάτων ποιεῖσθαι χορηγίας. ἀλλ' ἡττῶνται τῆς ὀλιγοψυχίας, μειρακιώδη καὶ ἄνανδρον ἔχοντες νοῦν· κἂν εἰ μικροῦ λάβοιντό τινος τοῦ πεφυκότος ἀνιᾶν, ἐπιπηδῶσιν εὐθὺς τῷ παιδαγωγῷ, καὶ κατακεκράγασιν ἀνοσίως, ὅτι καὶ γέγονεν ὅλως μεσίτης αὐτοῖς, καὶ κέκληται δι' αὐτοῦ πρὸς ἐλευθερίαν.

γ. Ἐδίψησε δὲ ἐκεῖ ὁ λαὸς ὕδατι· καὶ ἐγόγγυζεν ὁ λαὸς ἐπὶ Μωϋσῆ, λέγοντες, ἵνα τί ἀνεβίβασας ἡμᾶς ἐξ Αἰγύπτου ἀποκτεῖναι ἡμᾶς, καὶ τὰ κτήνη καὶ τὰ τέκνα ἡμῶν τῷ
δ. δίψει; Ἐβόησε δὲ Μωϋσῆς πρὸς Κύριον, λέγων, τί ποιήσω τῷ λαῷ τούτῳ; ἔτι μικρὸν καὶ καταλιθοβολήσουσί με.

ε. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, προπορεύου τοῦ λαοῦ τούτου· λάβε δὲ μετὰ σεαυτοῦ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ· καὶ τὴν ῥάβδον, ἐν ᾗ ἐπάταξας τὸν ποταμὸν, λάβε ἐν τῇ χειρί σου, καὶ πορεύσῃ.

** ΚΥΡΙΛΛΟΥ. Προστάττεται Μωσῆς κατακροῦσαι τῇ ῥάβδῳ τὴν πέτραν. ἀλλ' οὐκ ἠγνόει Θεὸς, ὅτι ταῖς τῶν δήμων ἐπαναστάσεσιν ὀλιγοψυχήσας βραχὺ καὶ αὐτὸς, ὀκλάσει περὶ τὴν πίστιν. διὰ τοῦτό φη-
» σι, λάβε μετὰ σεαυτοῦ ἀπὸ τῶν πρεσβυ-
» τέρων τοῦ λαοῦ, καὶ τὰ ἑξῆς. ἐπιτήρησον ὅτι βεβαιῶν εἰς πίστιν πρὸς ἀνάμνησιν τῆς ἐν Αἰγύπτῳ τερατουργίας ἀποφέρει, λέ-
» γων· λάβε τὴν ῥάβδον ἐν τῇ χειρί σου, ἐν
» ᾗ ἐπάταξας τὸν ποταμόν· ὡς λέγων, ἡ ῥάβδος μέγαν μεταβάλλουσα ποταμὸν εἰς αἷμα ἀῤῥήτῳ δυνάμει τοῦ τὰ τοιάδε κατορθοῦντος Θεοῦ, ἐξοίσει λίαν εὐκόλως καὶ ἐκ τῆς πέτρας τὸ ὕδωρ.

ς. Ὧδε ἐγὼ ἕστηκα, πρὸ τοῦ σὲ ἐλθεῖν ἐκεῖ ἐπὶ τῆς πέτρας ἐν Χωρήβ. καὶ πατάξεις τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ, καὶ πίεται ὁ λαός. καὶ ἐποίησε Μωϋσῆς οὕτως ἐναντίον τῶν υἱῶν Ἰσραήλ.

** ΚΥΡΙΛΛΟΥ. Οὐ γὰρ μόνος ἔσῃ, φησὶν, οὐδὲ σὺ τοῦ θαύματος ἀποτελεστὴς εἴης πάλιν· ἀλλ' ἐγὼ τὴν πέτραν μητέρα πολλῶν ἀποδείξω ναμάτων, προευτρεπίζω τὸ θαῦμα, καὶ περιμενῶ τὴν σὴν ὑπουργίαν.

A * ΤΟΥ ΑΥΤΟΥ. Πέτρα παραλαμβάνεται ὁ Χριστὸς διὰ τὸ ἄθραυστον καὶ ἀκλόνητον. ἐρήρεισται γὰρ ἐν ἰδίοις ἀγαθοῖς ἡ θεία τε καὶ ὑπερτάτη φύσις. (1)

ΤΟΥ ΝΥΣΣΗΣ. Ὁ γὰρ ἐν τῷ ὕδατι καταλιπὼν νεκρὸν τὸν Αἰγύπτιον, καὶ τῷ ξύλῳ γλυκανθεὶς, καὶ ταῖς ἀποστολικαῖς ἐντρυφήσας πηγαῖς, ὑπό τε τῇ σκιᾷ τῶν φοινίκων ἀναπαυσάμενος, καθὰ προείρηται ἤδη, καὶ τοῦ Θεοῦ δεκτικὸς γίνεται. ἡ
B » γὰρ πέτρα, καθὼς ὁ Ἀπόστολός φησιν, 1. Κορ. 10. 4.
» ἐστὶν ὁ Χριστὸς, ὁ ἄνικμος μὲν καὶ ἀντίτυπος τοῖς ἀπίστοις· εἰ δέ τις προσάγοι τὴν ῥάβδον τῆς πίστεως, ποτὸν τοῖς διψῶσι γενόμενος, καὶ ἐντὸς τῶν εἰσδεχομένων
» αὐτὸν εἰσρέων. ἐγὼ, γάρ φησι, καὶ ὁ πα- Ἰωάν. 14. 23.
» τήρ μου ἐλευσόμεθα, καὶ τὰ ἑξῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ πα-
» ρὰ τοῦ Ἀποστόλου εἰρημένον, πάντες εἰς 1. Κορ. 10.
Γ » τὸν Μωϋσῆν ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ 2, 4.
» καὶ ἐν τῇ θαλάσσῃ· καὶ πάντες τὸ αὐτὸ
» πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ
» πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ
» πέτρα ἦν ὁ Χριστός; Τύπος ἦν τῶν νέων τὰ παλαιά. καὶ σκιὰ μὲν ὁ νόμος Μωσέως, σῶμα δὲ ἡ χάρις. ἐπειδὴ τοίνυν ἐδίωκον τοὺς Ἑβραίους οἱ Αἰγύπτιοι, διαβάντες δὲ τὴν ἐρυθρὰν θάλατταν οἱ Ἑβραῖοι, τῆς πικρᾶς τῶν Αἰγυπτίων ἀπηλ-
Δ λάγησαν δεσποτείας, τύπον ἔχει τῆς κολυμβήθρας ἡ θάλαττα· ἡ δὲ νεφέλη, τοῦ πνεύματος· ὁ δὲ Μωϋσῆς, τοῦ σωτῆρος Χριστοῦ· τοῦ σταυροῦ δὲ, ἡ ῥάβδος· τοῦ διαβόλου, ὁ Φαραώ· τῶν δαιμόνων, οἱ Αἰγύπτιοι· τὸ δὲ μάννα, τῆς θείας τροφῆς· τὸ δὲ τῆς πέτρας ὕδωρ, τοῦ σωτηρίου αἵματος. ὥσπερ γὰρ ἐκεῖνοι μετὰ τὸ διαβῆναι τὴν ἐρυθρὰν, καὶ τῆς ξένης τροφῆς, καὶ τοῦ παραδόξου ἀπήλαυσαν νάματος·
E οὕτως ἡμεῖς μετὰ τὸ σωτήριον βάπτισμα τῶν θείων μεταλαμβάνομεν μυστηρίων.

* ΤΟΥ ΑΥΤΟΥ. Διατί [ἡ] πέτρα Χριστὸς ὠνομάσθη; Ὡς τύπος γενομένη τοῦ δεσπότου Χριστοῦ. οὕτω καὶ ἡ θάλαττα, βάπτισμα προσηγορεύθη· καίτοι οὐδενὸς [ἐν] αὐτῇ βαπτισθέντος. κεκονιαμένος γὰρ αὐτὴν, ἢ διάβροχος παρῆλθεν ὁ Ἰσραήλ.

** ΠΡΟΚΟΠΙΟΥ. Σημειωτέον, ὅτι
Z τὸ τοῦ μάννα καὶ τῆς ὀρτυγομήτρας θαῦμα, προγενέστερόν ἐστι τοῦ πατάξαι τὴν πέτραν, καὶ ὕδωρ ἐκβαλεῖν ἀπ' αὐτῆς· ἐπειδήπερ ὁ οζ'. ψαλμὸς δοκεῖ προτάττειν τὸ τῆς πέτρας. πάλιν δὲ διεγόγγυσεν ἡ συναγωγὴ, καὶ τῆς ὁδοῦ τὴν ταλαιπωρίαν προβάλλεται. ἐν δὲ τοῖς Ἀριθμοῖς καὶ τῶν ἠθέων κατὰ μέρος ἀντιπαρατίθησι
» μνήμην, λέγουσα· οὗ οὐ σπείρεται, οὐδὲ συ- Ἀριθ. 20. 5.
» κα, οὐδὲ ἄμπελοι, οὐδὲ ῥόαι, οὐδὲ ὕδωρ ἐστὶ
H πιεῖν. καὶ ὅτι ταῦτα γέγονε μετὰ τελευτὴν Μαριὰμ ἐν μηνὶ τῷ πρώτῳ, τὰ κατὰ τὴν πέτραν φημὶ, ἔνθα καὶ παραλαβεῖν προ-

(1) Τὰ αὐτὰ καὶ Ὠριγέν. ἐν Τόμ. 2. σελ. 125. τῆς τοῦ Ῥουαίου ἐκδόσ.

προσάττεται μόνον τὸν Ἀαρὼν, καὶ λαλῆσαι πρὸς τὴν πέτραν· καὶ ὡς ἐδίσαζεν, εἰπὼν,
'Αριθ. 20. 10. μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὑμῖν
» ὕδωρ; διὸ καὶ δὶς τὴν πέτραν ἐπάταξε, καίτοι προσάπαξ ἀνατείνας ἐν Αἰγύπτῳ, καὶ μεταβαλὼν τὸ ὕδωρ εἰς αἷμα. διὸ καὶ ἐπετιμήθη σὺν τῷ ἀδελφῷ, μὴ εἰσαγαγεῖν τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας.

ζ. Καὶ ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, πειρασμὸς, καὶ λοιδόρησις, διὰ τὴν λοιδορίαν τῶν υἱῶν Ἰσραὴλ, καὶ διὰ τὸ πειράζειν Κύριον, λέγοντας, εἰ ἔστι Κύριος ἐν ἡμῖν, ἢ οὔ.

η. Ἦλθε δὲ Ἀμαλὴκ, καὶ ἐπολέμησεν Ἰσραὴλ ἐν Ῥαφιδίν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἦν μὲν ὁ Ἀμαλὴκ
Γεν. 36. 12. τρίτος ἀπὸ Ἡσαῦ, ὡς ἐν τῇ Γενέσει φησὶν ἀπὸ Θάμνας τῆς παλλακῆς.

θ. Εἶπε δὲ Μωϋσῆς τῷ Ἰησοῦ, ἐπίλεξαι σεαυτῷ ἄνδρας, καὶ ἐξελθὼν παράταξαι τῷ Ἀμαλὴκ αὔριον. καὶ ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς κορυφῆς τοῦ βουνοῦ, καὶ ἡ ῥάβδος τοῦ Θεοῦ ἐν τῇ χειρί μου.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπειδὴ ἤμελλεν ὁ Ἰησοῦς διαδέχεσθαι τὸν Μωϋσέα, καὶ πόλεμον μέγιστον ἀναδέχεσθαι πρὸς τὰ ἔθνη τὰ τὴν Παλαιστίνην οἰκοῦντα, προγυμνάζει αὐτὸν ἔτι περιὼν ὁ Μωϋσῆς, καὶ τῇ δυνάμει τῶν οἰκείων εὐχῶν νικᾶν παρασκευά-
'Αριθ. 13. 16. ζει. ἐν δὲ τοῖς Ἀριθμοῖς Αὐσὴν αὐτὸν καλεῖ, καὶ μετωνόμασεν αὐτὸν Μωϋσῆς Ἰησοῦν. προληπτικῶς οὖν ἐνταῦθα λέγεται
'Ιησ. 18. 28. Ἰησοῦς, ὡς καὶ τὴν ὕστερον κληθεῖσαν Ἱερουσαλὴμ προλαβὼν ἕως ἐν τῷ Ἰησοῦ καλεῖ, πρότερον Ἰεβοῦς καλουμένην· καὶ τὴν Βαισὰν, Σκυθόπολιν.

* ΤΟΥ ΑΥΤΟΥ. Ὅτι τύπος ἦν Ἰησοῦς ὁ τοῦ Ναυὴ τοῦ ἀληθινοῦ Ἰησοῦ. ἀπὸ γὰρ τοῦ Ἰορδάνου ἄρχειν ἤρξατο τοῦ λαοῦ. (1) ὅθεν καὶ ὁ Χριστὸς βαπτισθεὶς ἤρξατο εὐαγγελίζεσθαι. καὶ ὅτι δώδεκα ἔστησε τοὺς διαιροῦντας τὴν κληρονομίαν· (2) ὡς ὁ Κύριος δώδεκα καὶ τοὺς Ἀποστόλους εἰς πᾶσαν τὴν οἰκουμένην ἀπέστειλε. (3) πιστεύσασαν Ῥαὰβ τὴν πόρνην ἔσωσεν ὁ τυπικὸς, ὁ
Ματθ. 21. 31. δὲ ἀληθής φησιν, ἰδοὺ οἱ τελῶναι καὶ αἱ
» πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασι-
» λείαν τοῦ Θεοῦ. ἀλαλάγματι ἐπὶ τοῦ τυπικοῦ ἔπεσε τὰ τείχη Ἱεριχοῦς, καὶ προῤῥήσει (4) τοῦ ἀληθινοῦ οὐκ ἀφέθη λίθος ἐπὶ λίθου ἐν τῷ ναῷ. καὶ τὸ τέλος πάντων, ὅτι αὐτὸς εἰσήγαγε τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, οὐχ ὁ νομοθέτης Μωϋσῆς. ἀτελὴς γὰρ ὁ νόμος, ἡ δὲ τοῦ Θεοῦ χάρις τελεία.

A ΚΥΡΙΛΛΟΥ. Προσαττόμενον ὑπὸ Μωσέως ἐννοήσας Ἰησοῦν, τί ἂν ἕτερον ὑποτοπήσαι τις ἂν, ἢ ἐκεῖνό που πάντως, ὅτι Θεὸς ὢν ὁ Λόγος, γέγονεν ὑπὸ νόμον κατά γε τὸ τῆς ἀνθρωπότητος [σχῆμα,] καὶ ὑπετάγη τρόπον τινὰ ταῖς διὰ Μωσέως ἐντολαῖς κατὰ διαφόρους τρόπους;

* ΤΟΥ ΑΥΤΟΥ. Ἐπιλεξάμενος γὰρ ἐκ παντὸς Ἰσραὴλ, καὶ ἐκ παντὸς ἔθνους ὁ Χριστὸς ἄνδρας δυνατοὺς, φημὶ δὲ δὴ πά-
B λιν τοὺς ἁγίους Ἀποστόλους, καὶ τοὺς διὰ πίστεως κεκλημένους· οἷς ἂν λέγοιτο κα-
» λῶς, ὑμεῖς δὲ γένος ἐκλεκτὸν, βασίλειον 1. Πέτρ. 2. 9.
» ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περι-
» ποίησιν· παρετάξατο σὺν αὐτοῖς τῷ ἄρχοντι τοῦ αἰῶνος τούτου, περὶ οὗ φησὶν αὐ-
» τὸς ὁ πάντα νικῶν, νῦν κρίσις τοῦ αἰῶνος 'Ιωάν. 12. 31.
» τούτου, νῦν ὁ ἄρχων τοῦ αἰῶνος τούτου ἐκ-
» βληθήσεται ἔξω. στεφανοῖ δὲ ψήφῳ λαμπρᾷ τοὺς σὺν αὐτῷ τε καὶ δι' αὐτοῦ νικήσαν-
Γ » τας ὁ θεσπέσιος Ἰωάννης. γράφω γὰρ 1. 'Ιωάν. 2. 13.
» ὑμῖν φησὶ νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ
» νενικήκατε τὸν πονηρόν.

ΤΟΥ ΑΥΤΟΥ. Εἰς αὔριον δὲ τὴν παράταξιν ἐπιτελεῖσθαι δεῖν ἔφη Μωϋσῆς. οὐ γὰρ ἐν χρόνῳ τῷ κατ' αὐτὸν τὰ Χριστοῦ πέφηνε κατορθώματα. πέπρακται δὲ μᾶλλον ἐν τῷ ἑξῆς καὶ γείτονι, τουτέστι μετὰ Μωσέα καὶ νόμον.

Δ ΑΔΗΛΟΥ. Παρετάττετο δὲ Ἰησοῦς συνεπιλέκτοις ἀνδράσι, καὶ ἐνίκα τὸν Ἀμαλήκ. ἐπιλεξάμενος γὰρ τοὺς ἁγίους ὁ Χριστὸς, ὧν ἀπαρχὴ γεγόνασιν οἱ θεσπέσιοι μαθηταὶ, νενίκηκε τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου. Μωσῆς δὲ ὁ κελεύων ἦν. γέγονε γὰρ ὑπὸ νόμον ὁ Ἰησοῦς, καίτοι νομοθέτης ὑπάρχων ὡς Θεός. καὶ τῆς παρατάξεως ὁ καιρὸς οὐκ αὐτὴν ἐκείνην ἐπράττετο τὴν ἡμέραν, καθ' ἣν οἱ Μω-
E σέως γεγόνασι λόγοι, ἀλλ' εἰς αὔριον, τουτέστιν εἰς ὑπέρθεσιν ἑτέρου καιροῦ. προηγόρευσε γὰρ ὁ νόμος τὰ ἐσόμενα, καὶ τῶν τοῦ Σωτῆρος κατορθωμάτων λαμπρὰν ἔχει τὴν ἀφήγησιν, εἰ νοοῖτο πνευματικῶς.

ι. Καὶ ἐποίησεν Ἰησοῦς καθάπερ εἶπεν αὐτῷ Μωϋσῆς, καὶ παρετάξατο τὸν Ἀμαλήκ. καὶ Μωϋσῆς καὶ
Z Ἀαρὼν καὶ Ὢρ ἀνέβησαν ἐπὶ τὴν κορυφὴν τοῦ βουνοῦ.

ΚΥΡΙΛΛΟΥ. [Εἶτα πρός τινα βουνὸν, καὶ ἐπὶ κορυφὴν ἄνεισι γηλόφου Μωσῆς,] ὡς ἂν δύναιτο καταθρεῖν τὴν μάχην καὶ τὰ ἐν αὐτῇ τοῦ πάντων Ἰησοῦ κατορθώματα. ἀναβιβάζει γὰρ ἡμᾶς συμμέτρως καὶ ἡ κατὰ νόμον παιδαγωγία πρὸς τὸ οἱονεὶ μακρόθεν δύνασθαι καθορᾶν τὰ Χριστοῦ στρατηγήματα.

ια. Καὶ

(1) Ὅτι τε ἀπὸ τοῦ Ἰορδάνου παρείληφε τὴν ἀρχήν. ὁ τῆς Αὐγ. κώδ.
(2) Κατέστησε τοὺς κληροδοτοῦντας τὴν γῆν. ὁ αὐτ.
(3) Ἀπέστειλεν εἰς τὸ διαμετρῆσαι τὴν κοιλάδα τῶν σκηνῶν. ὁ αὐτ.
(4) Καὶ διὰ τὸ εἰπεῖν τὸν Κύριον οὐ μὴ ἀφεθῇ λίθος ἐπὶ λίθον, πέπτωκεν ὁ ναός. ὁ αὐτ.

ια. Καὶ ἐγένετο ὅταν ἐπῆρε Μωϋσῆς τὰς χεῖρας, κατίσχυεν Ἰσραήλ· ὅταν δὲ καθῆκε τὰς χεῖρας, κατίσχυεν Ἀμαλήκ.

ΚΥΡΙΛΛΟΥ. Καὶ ἀνατείναντος μὲν Μωσέως τὰς χεῖρας, κατίσχυεν ὁ Ἰσραὴλ. καθιέντος δὲ, ἡττᾶτο, [καὶ κατίσχυεν Ἀμαλήκ.] ἀνάλωτος γὰρ τῷ διαβόλῳ, καὶ παντὶ γέγονεν ἐχθρῷ καταδηεῖν ἐθέλοντι πικρῶς· οὐχὶ δὲ πᾶς Ἰσραὴλ, ἀλλ' ὅσοι τὴν πρὸς Χριστὸν τετιμήκασι συμμορφίαν, διὰ τοῦ φορέσαι τὸν ὀνειδισμὸν αὐτοῦ, τουτέστι τὸν τίμιον σταυρόν.

ΤΟΥ ΑΥΤΟΥ. Χεῖρες γὰρ ἀποτάδην εἰς ἀέρα δεικνύμεναι, τὸ τοῦ σταυροῦ σχῆμα διαγράφουσιν ἐναργῶς. ὅσοι γε μὴν οὐ προσήκαντο τὸν σταυρὸν, εὐκατάδρομοι γεγόνασι τοῖς ἐχθροῖς, οὐκ ἔχοντες τὸν ἐπαρωγόν. ὅταν οὖν ἡμῖν ἐκλείνῃ τὰς χεῖρας Μωϋσῆς, τὸ τοῦ σταυροῦ σημεῖον δεικνύων, πίπτει ἀτονήσας ὁ Ἀμαλήκ. σημαίνει δέπου πάντως τὸ σχῆμα ἡμῖν τοὺς διὰ τοῦ τιμίου σταυροῦ νικῶντας τὸν Σατανᾶν, καὶ κατισχύοντας τῶν ἐχθρῶν.

ΤΟΥ ΑΥΤΟΥ. Ὅταν δὲ καθιέντα τὰς χεῖρας βλέπωμεν, εἶτα τὸν Ἀμαλὴκ κατισχύοντα, τοὺς ὑπὸ τῷ διαβόλῳ γεγενημένους καὶ νενικημένους ἐννοήσομεν, διὰ τὸ μὴ δεῖν ἐθέλειν προσήκασθαι τὸν σταυρόν. οἷς καὶ
Ἰωάν. 8. 24. ὁ Χριστὸς προσεφώνει λέγων· ἀμὴν ἀμὴν „ λέγω ὑμῖν, ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, „ ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τῶν Μωϋσοῦ χειρῶν ἐκτεταμένων, ἐνίκα Ἰσραὴλ, καθιεμένων δὲ, ἡττᾶτο; Τοῦ σταυρωθέντος ὑπὲρ ἡμῶν ἐπλήρου τὸν τύπον ἐκτείνων τὰς χεῖρας. ἐδείχθη τοίνυν καὶ ἐν τῷ τύπῳ τῆς ἀληθείας ἡ δύναμις. ὥσπερ γὰρ τοῦ θεράποντος τὰς χεῖρας ἐκτείνοντος, ἔπεσεν Ἀμαλήκ· οὕτω τοῦ δεσπότου τὰς χεῖρας ἐκτείναντος, κατελύθη τοῦ διαβόλου τὸ ξίφος. καὶ ἐν ἐκείνῳ δὲ τῷ πολέμῳ ὁ τοῦ Σωτῆρος ἡμῶν ὁμώνυμος τὸ τρόπαιον ἔστησε, τότε ταύτην τὴν προσηγορίαν λαβὼν, καὶ τοῖς λογάσι χρησάμενος συνεργοῖς, [ὡς ὁ δεσπότης Χριστὸς ὑπουργοῖς] τοῖς ἱεροῖς Ἀποστόλοις.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Σημαίνει δὲ τὸ ἐν ὕψει τὰς χεῖρας ἔχειν Μωσέα, τὴν διὰ τῶν ὑψηλοτέρων θεωρίαν τοῦ νόμου· τὸ δὲ εἰς γῆν ἐπικλίνειν, τὴν ταπεινὴν καὶ κατὰ τὸ γράμμα τοῦ νόμου ἐξήγησίν τε καὶ παρατήρησιν.

ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ. Καταπιπτούσης ἡμῶν τῆς δραστικῆς δυνάμεως, ἰσχύει τὰ ἀντιπαλαίοντα ἡμῖν· ὑψουμένης δὲ καὶ διαιρουμένης, (1) δυνατὸν γίνεται τὸ διορατικὸν ἐν ἡμῖν, ὅπερ Ἰσραὴλ λέγεται.

ΣΕΥΗΡΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. (2) Ὁρᾶτε σαφῶς, ὡς ἡ σημείωσις τοῦ σταυροῦ τυ-

A πωθεῖσα διὰ Μωϋσέως χειρῶν, καὶ προηγούμενος τῆς παρατάξεως Ἰησοῦς, τοὺς πολεμίους ἐτρέψατο· οὕτω δὴ καὶ ἡμεῖς, καθάπερ ἐπὶ τοῦ ὄρους ὁ Μωϋσῆς, ἐπὶ τοῦ μετώπου τὴν σφραγίδα τοῦ σταυροῦ καταγράφοντες, καὶ προηγουμένως τὸν σωτῆρα Ἰησοῦν Χριστὸν ὀνομάζοντες, τοὺς νοητοὺς πολεμίους τρεπόμεθα, τοὺς δαίμονας λέγω, καὶ τὸν τούτων ἀρχηγέτην διάβολον. ἄλλος δέ φησιν, ὡς διὰ μὲν τῆς ἐκτάσεως τῶν
B χειρῶν, ὁ σταυρὸς δηλοῦται· ἐνεργοῦντος δὲ τοῦ Ἰησοῦ Χριστοῦ. ἡ ἀντιπαράταξις τοῦ νοητοῦ Ἀμαλὴκ καταλύεται.

ιβ. Αἱ δὲ χεῖρες Μωϋσῆ βαρεῖαι. καὶ λαβόντες λίθον ὑπέθηκαν ὑπ' αὐτὸν, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. Ἀαρὼν δὲ καὶ Ὢρ ἐστήριζον τὰς χεῖρας αὐτοῦ ἐντεῦθεν εἷς, καὶ ἐντεῦθεν
Γ εἷς. καὶ ἐγένοντο αἱ χεῖρες Μωϋσῆ ἐστηριγμέναι ἕως δυσμῶν ἡλίου.

ΑΔΗΛΟΥ. Ὁ Ἰώσηπός φησιν, (3) ὅτι ὁ Ὢρ ἀνὴρ ἦν Μαρίας τῆς ἀδελφῆς Μωϋσέως. καὶ ὅτι (4) τῶν Αἰγυπτίων ἐκβρασθέντων ὑπὸ τῆς θαλάσσης ἅμα τοῖς ὅπλοις, ταῦτα οἱ υἱοὶ Ἰσραὴλ ἀνελόμενοι, ἐπολέμουν πρὸς Ἀμαλήκ.

** ΤΟΥ ΝΥΣΣΗΣ. Ἡ ἀληθὴς ἱερωσύνη διὰ τοῦ συνημμένου αὐτῇ λόγου θείου
Δ τὰς ἐν βαρύτητι τῆς ἰουδαϊκῆς διανοίας εἰς γῆν ἐῤῥιμμένας ἐνεργείας τοῦ νόμου πάλιν ἀνάγει εἰς τὸ ὕψος· καὶ πίπτοντα τὸν νόμον εἰς ἔδαφος ὑπερείδει τῷ λίθῳ, ὥστε αὐτὸν ἀνεστῶτα τῷ σχήματι τῆς τῶν χειρῶν ἐκτάσεως, τὸν ἑαυτοῦ σκοπὸν ὑποδεικνύειν τοῖς βλέπουσιν. ἀληθῶς γὰρ τοῖς καθορᾶν δυναμένοις ἐν τῷ νόμῳ μάλιστα τὸ κατὰ τὸν σταυρὸν θεωρεῖται μυστήριον. διό φησί που
E „ τὸ Εὐαγγέλιον, ὅτι ἐκ τοῦ νόμου τὸ Ἰῶτα Ματθ. 5. 18.
„ καὶ ἡ κεραία οὐ παρέρχεται· σημαῖνον διὰ τῶν εἰρημένων τήν τε ἐκ πλαγίου γραμμὴν καὶ τὴν κάθετον, δι' ὧν τὸ σχῆμα τοῦ σταυροῦ καταγράφεται. ὅπερ καὶ ἐν τῷ Μωϋσῇ τότε βλεπόμενον· ὃς ἀντὶ τοῦ νόμου νοεῖται· τροπαίου καὶ νίκης αἴτιον τοῖς ὁρῶσι καθίσταται.

ΚΥΡΙΛΛΟΥ. Βαρείας δὲ εἶναί φησι τὰς χεῖρας Μωϋσέως, καὶ μόλις ἐπαιρομένας, ὀκνηρῶς τε λίαν ἐκτεινομένας εἰς τὸ κατα-
Z δεῖξαι δεῖν τὸ τοῦ σταυροῦ τίμιον σχῆμα, ἐκεῖνο οἶμαί που δηλῶν αἰνιγματωδῶς, ὡς οὐ λίαν ἕτοιμος ἦν εἰς τὸ παραδέχεσθαι τὴν πίστιν ὁ Ἰσραὴλ, δυσοκνότατος δὲ καὶ μόλις ἐρχόμενος εἰς τὸ θέλειν ἀναλαβεῖν τὸν
„ ὀνειδισμὸν τοῦ Χριστοῦ. σκάνδαλον γὰρ Ἰου- 1. Κορ. 1. 23.
„ δαίοις διατοι τοῦτο καλῶς ὀνομάζει τὸν σταυρὸν καὶ ὁ θεσπέσιος Παῦλος.

„ ** ΤΟΥ ΑΥΤΟΥ. Λίθος δὲ τίμιος, Ησ. 28. 16.
H „ ἐκλεκτὸς, ἀκρογωνιαῖος, ἔντιμος, ὁ Χριστὸς, ἐφ' ᾧ καὶ ἀναπαυόμενοι. δηλοῖ γὰρ ἡ καθη-

(1) Διαιρομένης ὀρθότερ. ἐν τοῖς ἐκδεδομ. δὲ οὐχ εὕρηται.
(2) Ἀπὸ λόγου λά. καὶ τοῦτο πρόσκειται ἐν τῷ κώδ.
(3) Ἐν κεφ. 2. τοῦ περὶ Ἰουδαϊκ. ἀρχαιολογ. 3. βιβλ.
(4) Ἐν κεφ. 7. τοῦ 2. βιβλ.

κάθησις τὴν ἀνάπαυσιν· οἱ ἐπιεικέστεροι A δὴ καὶ εὐμαθέστεροι τῶν ἐξ Ἰσραὴλ, τὸ λῆμμα τῆς χάριτος τῆς κατ' ἐκλογὴν, ἁπλοῦσι τὰς χεῖρας, τουτέστι καταδέχονται τὸν σταυρὸν, στηρίζοντος οἱονεί πως καὶ διακρατοῦντος αὐτοὺς καὶ πρός γε τοῦτο Χριστοῦ, ὃς ἐν Ὥρ τε καὶ Ἀαρὼν σημαίνεται, νοούμενος ἐν ταὐτῷ κριτὴς καὶ ἀρχιερεύς. Ὢρ μὲν γὰρ ἦν ἀδέκαστος κριτής· Ἀαρὼν δὲ, ἀρχιερεὺς, ὁ τὸ λῆμμα συνέχων τὸ κατ' ἐκλογὴν τῆς χάριτος τῶν ἐξ Ἰσραὴλ B πρὸς τὴν διὰ πίστεως σωτηρίαν.

ιγ. Καὶ ἔτρέψατο Ἰησοῦς τὸν Ἀμαλὴκ, καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν φόνῳ μαχαίρας.

ΘΕΟΔΩΡΙΤΟΥ. Ποίοις ὅπλοις ἐχρῶντο τῷ Ἀμαλὴκ πολεμοῦντες οἱ υἱοὶ Ἰσραήλ; Τῶν Αἰγυπτίων ὑποβρυχίων γεγενημένων, ἐξεβράσθη αὐτῶν μετὰ τῶν ὅπλων εἰς τὴν ἠϊόνα τὰ σώματα. ταῦτα σκυλεύσαντες, ἐχρῶντο τούτοις ἐν τοῖς πολέμοις.

ιδ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, κατάγραψον τοῦτο εἰς μνημόσυνον ἐν βιβλίῳ, καὶ δὸς εἰς τὰ ὦτα Ἰησοῦ· ὅτι ἀλοιφῇ ἐξαλείψω τὸ μνημόσυνον Ἀμαλὴκ ἐκ τῆς ὑπ' οὐρανόν.

** ΙΩΣΗΠΟΥ. Προεφήτευε πανωλεθρίᾳ τοὺς Ἀμαληκίτας ἀπολουμένους, καὶ μηδένα αὐτῶν ὑπολειφθησόμενον εἰς αὖθις, διὰ τὸ Ἑβραίοις ἐπιστρατεύσασθαι, καὶ ταῦτα ἐν ἐρήμῳ τε γῇ καὶ ταλαιπωρουμένοις.

** ΚΥΡΙΛΛΟΥ. Ἔμελλε γὰρ διὰ τῆς τῶν ἁγίων Εὐαγγελιστῶν συγγραφῆς εἰς ἀτελεύτητον καὶ μακρὰν ἐκτείνεσθαι μνήμην τὰ διὰ Χριστοῦ κατορθώματα. δίδοσθαί γε μὴν ἔφη τὴν συγγραφὴν εἰς τὰ ὦτα τοῦ Ἰησοῦ. ἀνάθημα γὰρ ὥσπερ, ἔπαινοί τε καὶ ἐγκώμια τῷ Χριστῷ, τὰ τῶν ἁγίων συγγράμματα.

ιε. Καὶ ᾠκοδόμησε Μωϋσῆς θυσιαστήριον· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ, Κύριός μου καὶ καταφυγή.

** ΚΥΡΙΛΛΟΥ. Τύπος δ' ἂν εἴη καὶ τοῦτο Χριστοῦ. Κύριος γὰρ ἡμῖν γέγονε, καὶ καταφυγή· νενικηκὼς γὰρ (1) τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, πατήσας δὲ τοῦ θανάτου τὸ κράτος, καὶ ἀναθεὶς ἑαυτὸν ὑπὲρ ἡμῶν ὥσπερ ἄμωμον ἱερεῖον εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ πατρί. τύπος οὖν ἄρα Χριστοῦ τὸ θυσιαστήριον, ᾧ καὶ πρέ- Γ
» ποντε καὶ ἀληθὲς ὄνομα, Κύριός μου κα-
» ταφυγή μου.

ις. Ὅτι ἐν χειρὶ κρυφίᾳ πολεμεῖ Κύριος ἐπὶ Ἀμαλὴκ ἀπὸ γενεῶν εἰς γενεάς.

** ΙΟΥΣΤΙΝΟΥ. Κρυφία δύναμις τοῦ Θεοῦ γέγονε τῷ σταυρωθέντι Χριστῷ, ὃν καὶ τὰ δαιμόνια φρίσσει, καὶ πᾶσαι ἁπλῶς αἱ Δ ἀρχαὶ καὶ ἐξουσίαι τῆς γῆς.

** ΚΥΡΙΛΛΟΥ. Ἐν χειρὶ δὲ κρυφαίᾳ πολεμήσας τὸν νοητὸν Ἀμαλὴκ καὶ νενικηκὼς ὁ Χριστὸς, κατεκράτησε τῶν ἐθνῶν, καὶ διήρπασεν αὐτοῦ τὰ σκεύη.

ΚΕΦ. ΙΗ.

α. Ἤκουσε δὲ Ἰοθὼρ ἱερεὺς Μαδιὰμ ὁ γαμβρὸς Μωϋσῆ πάντα ὅσα ἐποίησε Κύριος Ἰσραὴλ τῷ ἑαυτοῦ λαῷ· ἐξήγαγε γὰρ Κύριος τὸν Ἰσραὴλ ἐξ Αἰγύπτου.

β. Ἔλαβε δὲ Ἰοθὼρ ὁ γαμβρὸς Μωϋσῆ Σεπφώραν τὴν γυναῖκα Μωϋσῆ μετὰ τὴν ἄφεσιν αὐτῆς.

ΕΠΙΦΑΝΙΟΥ ΚΥΠΡΟΥ. Λέγει ὡς ἀφ' οὗ ἤρξατο Μωϋσῆς προφητεύειν, οὐκ ἐμίγη τῇ ἰδίᾳ γυναικί. (2)

γ. Καὶ τοὺς δύω υἱοὺς αὐτοῦ· ὄνομα τῷ ἑνὶ Γηρσὰμ, λέγων, πάροικός
δ. εἰμι ἐν γῇ ἀλλοτρίᾳ· Καὶ ὄνομα τοῦ δευτέρου Ἐλιέζερ, λέγων, ὁ γὰρ Θεὸς E τοῦ πατρός μου βοηθός μου, καὶ ἐξείλετό με ἐκ χειρὸς Φαραώ.

ε. Καὶ ἦλθεν Ἰοθὼρ ὁ γαμβρὸς Μωϋσῆ καὶ οἱ υἱοὶ καὶ ἡ γυνὴ πρὸς Μωϋσῆν εἰς τὴν ἔρημον, οὗ παρενέβα-
ς. λον εἰς τὸ ὄρος τοῦ Θεοῦ. Ἀνηγγέλη δὲ Μωϋσῆ, λέγοντες, ἰδοὺ Ἰοθὼρ ὁ γαμβρός σου παραγίνεται πρὸς σὲ, καὶ ἡ γυνὴ, καὶ οἱ δύω υἱοί σου μετ' αὐ-
ζ. τοῦ. Ἐξῆλθε δὲ Μωϋσῆς εἰς συνάντησιν τῷ γαμβρῷ αὐτοῦ, καὶ προσεκύνησεν αὐτῷ, καὶ ἐφίλησεν αὐτὸν, καὶ ἠσπάσαντο ἀλλήλους, καὶ εἰσήγα-
η. γεν αὐτὸν εἰς τὴν σκηνήν. Καὶ διηγήσατο Μωϋσῆς τῷ γαμβρῷ πάντα ὅσα ἐποίησε Κύριος τῷ Φαραὼ, καὶ τοῖς

Ccc 2

(1) Τὸ γὰρ ἢ περιττὸν, ἢ παραπληρωματικόν.

(2) Ἐν τοῖς τοῦ Ἐπιφανίου (ἐν Βιβλ. 3. τόμ. 2. κατὰ αἱρέσ.) τάδε εὕρηται. Μετὰ γὰρ τὸ προφητεῦσαι Μωϋσῆν, οὐκ ἔτι γυναικὶ συνῆπται, οὐκ ἔτι τεκνογονίσκει, οὐκ ἔτι γεννᾷ ὁ τοιοῦτος. Σχολαιότερον γὰρ τὸν βίον εἶχε πρὸς τὸν δεσπότην. πῶς γὰρ ἠδύνατο ἐν ὄρει Σινᾶ τεσσαράκοντα νύκτας, καὶ τεσσαράκοντα ἡμέρας διατελεῖν, γάμῳ προσανέχων; ἢ πῶς ἠδύνατο τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ πρὸς οἰκονομίαν Θεοῦ ἕτοιμος εἶναι, πρὸς ἱερωσύνην τε σχολάζειν; καὶ πῶς τὰ μυστήρια διηγεῖσθαι, καὶ τὸ συνομιλεῖν Θεῷ, τῷ γάμῳ συνημμένος διατελεῖν;

τοῖς Αἰγυπτίοις ἕνεκεν τοῦ Ἰσραὴλ, καὶ πάντα τὸν μόχθον τὸν γενόμενον αὐτοῖς ἐν τῇ ὁδῷ, καὶ ὅτι ἐξείλετο αὐτοὺς Κύριος ἐκ χειρὸς Φαραὼ, καὶ ἐκ χειρὸς τῶν Αἰγυπτίων.

* ΚΥΡΙΛΛΟΥ. Ἢ οὐκ εἶναί φῃς ἀλλογενῆ τε καὶ ἐξ ἐθνῶν τὸν Μαδιηναῖον; οὐ γάρ που ῥίζης τῆς Ἀβραὰμ ἐξέφυ. ἦν δὲ ἱερουργός τε καὶ λάτρις τῆς κατ᾽ ἐκεῖνον τοῦ καιροῦ νενομισμένης ἐπὶ γῆς ἐθελοθρησκείας. προσεκύνουν μὲν γὰρ, ὡς ὁ πολὺς ἔχει λόγος, ᾤοντό τε αὐτοὶ κατὰ σφᾶς αὐτοὺς, ὑψίστῳ Θεῷ, καθάπερ ἀμέλει καὶ Μελχισεδέκ· προσεδέχοντο δὲ καὶ ἑτέρους τάχα που θεοὺς, ἐναριθμοῦντες αὐτῷ τὰ ἐξαίρετα τῶν κτισμάτων, γῆν τε καὶ οὐρανὸν, ἥλιον καὶ σελήνην. καὶ τὰ τῶν ἄστρων ἐπισημότερα. καὶ πλημμέλημα μὲν ἐν ἀρχαίοις ἡ ἐπὶ τῷδε καταφθορὰ καὶ πλάνησις, διήκει δὲ καὶ εἰς δεῦρο καὶ παρατείνεται. φρονοῦσι γὰρ ὧδε παραληροῦντες ἔτι τῶν ἐν τῇ Φοινίκῃ καὶ Παλαιστίνῃ τινές· οἳ σφᾶς μὲν αὐτοὺς θεοσεβεῖς ὀνομάζουσιν, οἷμον δέ τινα θρησκείας μεταστείχουσι μέσην, οὔτε τοῖς Ἰουδαίων ἔθεσι καθαρῶς, οὔτε τοῖς Ἑλλήνων προσκείμενοι, εἰς ἄμφω δὲ ὥσπερ διαῤῥιπτούμενοι, καὶ μεμερισμένοι. Ἦν [οὖν] ἄρα καὶ ὁ Ἰοθὼρ τοιοῦτόν τινα κατὰ τὸ εἰκὸς θρησκείας διέπων τρόπον. ὃς ἐπείπερ ἔγνω τὰ παρὰ τοῦ Θεοῦ γεγονότα πρὸς σωτηρίαν τῶν ἐξ Ἰσραὴλ, σεπτοῖς καὶ ἀξιαγάστοις διηγήμασι κατακηλούμενος, πανγενεί τε καὶ πανοικεὶ πρὸς τὸν ἱερὸν ἀφικνεῖται Μωϋσῆν. ὃς ἐπείπερ εἶδεν, ἀσμένως προσεδέξατό τε καὶ εἰσκεκόμικεν εἰς τὴν ἰδίαν σκηνήν. ἀφηγεῖται δὲ ἀκριβέστερον τὰ διὰ τῆς θείας ἰσχύος εὖ μάλα κατωρθωμένα, καὶ τὰ παντὸς ἐπέκεινα λόγου τερατουργήματα.

θ. Ἐξέστη δὲ Ἰοθὼρ ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς οἷς ἐποίησε Κύριος αὐτοῖς, ὅτι ἐξείλετο αὐτοὺς ἐκ χειρὸς τῶν Αἰ-
ι. γυπτίων καὶ ἐκ χειρὸς Φαραώ. Καὶ
εἶπεν Ἰοθὼρ, εὐλογητὸς Κύριος, ὅτι ἐξείλετο τὸν λαὸν αὐτοῦ ἐκ χειρὸς Αἰγυπτίων καὶ ἐκ χειρὸς Φαραώ.

ιά. Νῦν ἔγνων ὅτι μέγας Κύριος παρὰ πάντας τοὺς θεοὺς ἕνεκεν τούτου, ὅτι ἐπέθεντο αὐτοῖς.

ΑΔΗΛΟΥ. Ἐφώρμησαν ἐπ᾽ αὐτοὺς, καὶ εἰς τὴν γῆν τῶν Αἰγυπτίων ἐλθόντες οἱ Ἰσραηλῖται, νενικήκασιν αὐτῶν τὰς θρησκείας. εἰ γὰρ ἐν τῇ γῇ τῇ ἑαυτῶν ταῦτα πεποίηκεν ὁ Θεὸς, αὐτῶν ἐδόκει τῶν ἰδίων, φησὶ, κρατεῖν τόπων, καὶ οὐ μέγας εἶναι Κύριος παρὰ πάντας τοὺς θεούς.

ΚΥΡΙΛΛΟΥ. Καλεῖται μὲν εἰς μετάγνωσιν τὴν ὡς πρὸς Θεὸν ἡ τῶν πλανωμένων πληθὺς, φημὶ δὴ τὰ ἔθνη, πρῶτον μὲν ἐξ ἀκουσμάτων ὧν ἄν τις ποιοῖτο περὶ Θεοῦ, εἶθ᾽ οὕτως αὐτὰ δι᾽ ἑαυτῶν πρὸς τὸν θεῖον ὥσπερ αὐτομολοῦντα νόμον, τουτέστι τὴν διὰ γράμματος ἱεροῦ κατήχησιν. ὥστε καὶ εἰς τὴν πρώτην εἰστρέχειν σκηνήν· εἰσαγωγικὸς γὰρ ὁ νόμος· εἶτα τοῖς ἀρχαιοτέροις διηγήμασιν ἀναπεπεισμένα, μεταχωρεῖ καὶ εἰς τὸ φρονεῖν ἑλέσθαι λοιπὸν, ὅτι δὴ Θεὸς εἷς τε ἐστὶ καὶ μόνος. καὶ μὴν καὶ εἰς τὸ χρῆναι καρποφορεῖν αὐτῷ. τὴν γάρ τοι Μωϋσέως διήγησιν ἀκηκοὼς ὁ Μαδιηναῖος, νῦν ἔγνων, φησὶν, ὅτι μέγας Κύριος παρὰ πάντας τοὺς θεούς.

ιβ. Καὶ ἔλαβεν Ἰοθὼρ ὁ γαμβρὸς Μωϋσῆ ὁλοκαυτώματα καὶ θυσίας τῷ Θεῷ· παρεγένοντο δὲ καὶ Ἀαρὼν καὶ πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ συμφαγεῖν ἄρτους μετὰ τοῦ γαμβροῦ Μωϋσῆ, ἐναντίον τοῦ Θεοῦ.

ΚΥΡΙΛΛΟΥ. Στοιχειωτὴς οὖν ἄρα, καὶ εἰς πρώτας ἡμᾶς εἰσβολὰς τῆς ἀληθοῦς θεογνωσίας ἀποφέρει Μωσῆς, τουτέστιν ἡ διὰ τῶν ἀρχαιοτέρων γραμμάτων κατήχησις εἰσαγωγική. τελειοῖ δὲ Χριστὸς τοὺς διὰ νόμου κατηχουμένους. νόμον δὲ εἰ λέγοιμι πάλιν, διαθήκην ἐννόει τὴν παλαιάν.

** ΤΟΥ ΑΥΤΟΥ. Καὶ γοῦν πρὸς μὲν τὸν Ἰοθὼρ μόνοις ἐχρῆτο τοῖς περὶ Θεοῦ διηγήμασιν ὁ Μωσῆς· γνώμης τε εἰς τοῦτο μεθίστη λοιπὸν, ὡς διαῤῥήδην ὁμολογεῖν οὐκ εἶναι Θεὸν ἕτερον, πλὴν ὅτι μόνος ὁ εἷς, ὁ φύσει καὶ ἀληθῶς. πίστις δὲ αὕτη κατηχουμένων ἡ πρώτη, τὸ τῆς πολυθέου δόξης ἀπαλλάττεσθαί φημι, καὶ τὸν ἀληθῶς ἕνα τε καὶ φύσει παραδέχεσθαι Θεόν.

** ΤΟΥ ΑΥΤΟΥ. Τελειοῖ γὰρ ἡμᾶς ἄρτῳ τῷ ζῶντι Χριστὸς, ὁ ἀληθέστερος Ἀαρών· τελειοῖ δὲ οὐ μόνον τοὺς ἐξ ἐθνῶν, ἀναμὶξ δὲ μᾶλλον τοὺς ἐξειλεγμένους ἐξ αἵματος Ἰσραὴλ, ὧν ἂν εἶεν τύπος οἱ πρεσβύτεροι. ἔμφασιν δὲ πρὸς ἁγιασμὸν οὐ μετρίαν ἔχει, τὸ ὡς ἐνώπιον Θεοῦ τὸν ἄρτον χρῆναι φαγεῖν. τί γὰρ οὕτως ἐν ὄψει Θεοῦ, ὡς μυστικὴ τράπεζα, καὶ θυσία, καὶ οἱ ταύτης μετέχοντες;

ιγ. Καὶ ἐγένετο μετὰ τὴν ἐπαύ-
ριον συνεκάθισε Μωϋσῆς κρίνειν τὸν
λαόν. παρειστήκει δὲ πᾶς ὁ λαὸς Μωϋ-
ιδ. σῆ ἀπὸ πρωῒ ἕως ἑσπέρας. Καὶ ἰδὼν
Ἰοθὼρ πάντα ὅσα ἐποίει τῷ λαῷ,
λέγει, τί τοῦτο ὃ σὺ ποιεῖς τῷ λαῷ;
διατί σὺ κάθησαι μόνος, πᾶς δὲ ὁ
λαὸς παρέστηκέ σοι ἀπὸ πρωῒ ἕως δεί-
ιε. λης; Καὶ λέγει Μωϋσῆς τῷ γαμβρῷ,
ὅτι παραγίνεται πρός με ὁ λαὸς ἐκ-
ις. ζητῆσαι κρίσιν παρὰ τοῦ Θεοῦ. Ὅταν
γὰρ γένηται αὐτοῖς ἀντιλογία, καὶ
ἔλθωσι πρός με, διακρίνω ἕκαστον,
καὶ συμβιβάζω αὐτοῖς τὰ προστάγ-
ματα τοῦ Θεοῦ καὶ τὸν νόμον αὐτοῦ.

ιζ. Εἶπε

ιζ. Εἶπε δὲ ὁ γαμβρὸς Μωϋσῆ πρὸς αὐ-
τὸν, οὐκ ὀρθῶς σὺ ποιεῖς τὸ ῥῆμα τοῦτο.
ιη. Φθορᾷ καταφθαρήσῃ καὶ σὺ, καὶ
πᾶς ὁ λαὸς οὗτος, ὅς ἐστι μετὰ σοῦ. βα-
ρύ σοι τὸ ῥῆμα τοῦτο, οὐ δυνήσῃ ποιεῖν
ιθ. αὐτὸ σὺ μόνος. Νῦν οὖν ἄκουσόν μου,
καὶ συμβουλεύσω σοι, καὶ ἔσται ὁ Θεὸς
μετὰ σοῦ. γίνου σὺ τῷ λαῷ τὰ πρὸς
τὸν Θεὸν., [καὶ ἀνοίσεις τοὺς λόγους
κ. αὐτῶν πρὸς τὸν Θεόν·] Καὶ διαμαρ-
τύρῃ αὐτοῖς τὰ προστάγματα τοῦ Θεοῦ
καὶ τὸν νόμον αὐτοῦ, καὶ σημανεῖς αὐ-
τοῖς τὰς ὁδοὺς ἐν αἷς πορεύσονται ἐν
αὐταῖς, καὶ τὰ ἔργα ἃ ποιήσουσι.

κα. Καὶ σὺ σεαυτῷ σκέψαι ἀπὸ
παντὸς τοῦ λαοῦ ἄνδρας δυνατοὺς, θεο-
σεβεῖς, ἄνδρας δικαίους, μισοῦντας
ὑπερηφανίαν, καὶ καταστήσεις αὐτοὺς
ἐπ' αὐτῶν χιλιάρχους, καὶ ἑκατον-
τάρχους, καὶ πεντηκοντάρχους, καὶ δε-
κάρχους, καὶ γραμματοεισαγωγεῖς.

„ ΑΔΗΛΟΥ. Γραμματοεισαγωγεῖς, ἤτοι ἀπογραφομένους τὰ συμβαίνοντα, ἢ τὰ δοκοῦντα ἐν ταῖς δίκαις.

κβ. Καὶ κρινοῦσι τὸν λαὸν πᾶσαν
ὥραν· τὸ δὲ ῥῆμα τὸ ὑπέρογκον ἀνοί-
σουσιν ἐπὶ σέ· τὰ δὲ βραχέα τῶν κρι-
μάτων κρινοῦσιν αὐτοί· καὶ κουφιοῦσιν
ἀπὸ σοῦ, καὶ συναντιλήψονταί σοι.
κγ. Ἐὰν τὸ ῥῆμα τοῦτο ποιήσῃς, κατισχύ-
σει σε ὁ Θεὸς, καὶ δυνήσῃ παραστῆναι,
καὶ πᾶς ὁ λαὸς οὗτος ἥξει εἰς τὸν τό-
πον αὐτοῦ μετ' εἰρήνης.

κδ. Ἤκουσε δὲ Μωϋσῆς τῆς φω-
νῆς τοῦ γαμβροῦ, καὶ ἐποίησεν ὅσα
εἶπεν αὐτῷ.

ΚΥΡΙΛΛΟΥ. Ὅτι δὲ διὰ Χριστοῦ τελειούμενοι, καὶ διὰ τῆς ἐν νόμῳ παιδαγω-
A γίας πρὸς ἀμείνω σύνεσιν ἀναθρώσκομεν, ἀμογητὶ διοψόμεθα, σαφῆ τοῦ πράγματος εἰκόνα δεχόμενοι Μωϋσέα τε καὶ Ἰοθώρ. Μωϋσῆς μὲν ὁ θεσπέσιος ἐκάθητο κρίνων,
„ φησὶ, παρειστήκει δὲ πᾶς ὁ λαὸς ἀπὸ πρωΐθεν ἕως ἑσπέρας. εἰσηγεῖται δὲ γνώμην ὁ Ἰοθὼρ, ἣν τετιμηκὼς ὁ Μωϋσῆς, ἄριστά τε
„ ἔχειν νενοηκὼς προσεδέξατο. ἤκουσε γὰρ
„ Μωϋσῆς, φησὶ, τῆς φωνῆς τοῦ γαμβροῦ αὐτοῦ. ἢ γὰρ οὐχὶ πάντῃ τε καὶ πάντως ὁ
B τὴν ἀμείνω βουλὴν καὶ γνώμην οἷός τε λέγειν, νοοῖτ' ἂν ὑπάρχειν καὶ ἐν συνέσει τῇ προφερεστέρᾳ; ὅτι δὲ ἀμείνω καὶ ἐπέκεινα πολὺ τῆς ἐν νόμῳ κατηχήσεως ἡ διὰ Χριστοῦ τελείωσις εἰς νόμον ἡμᾶς ἀποφέρουσα τὸν ἀσυγκρίτως ὑπερκείμενον, ἐκδείξειεν
„ ἂν εὐκόλως ὁ ἱερώτατος Παῦλος, διὰ τὸ Φιλιπ. 3. 8.
„ ὑπερέχον τῆς γνώσεως τοῦ Χριστοῦ, καθά-
„ φησιν αὐτὸς, τὰ ἐν νόμῳ κέρδη προθυμό-
„ τατα ζημιούμενος, σκύβαλα εἶναι νομίζων,
Γ „ ἵνα Χριστὸν Ἰησοῦν κερδήσῃ.

* ΤΟΥ ΑΥΤΟΥ. Πεπλεονεκτήκαμεν οὖν ἄρα κατὰ σύνεσιν ἡμεῖς οἱ ἐκ τῶν ἐθνῶν πιστοὶ τοὺς ἐν νόμῳ· καὶ οἱ τοῖς κατὰ νόμον διηγήμασι κατηχούμενοι, φαγόντες τὸν ἄρτον ἐνώπιον τοῦ Θεοῦ, τὰ ἀμείνω καὶ φρονεῖν καὶ λαλεῖν πεπαιδεύμεθα. γνωμοδοτεῖ γὰρ Ἰοθὼρ, καὶ ὑπακούει Μωσῆς. εἴη δ' ἂν εἰκότως πρόσωπον
Δ μὲν ὥσπερ τῶν ἐξ ἐθνῶν Ἰοθὼρ, Μωσῆς δὲ τῶν κατὰ νόμον.

κε. Καὶ ἐπέλεξε Μωϋσῆς ἄνδρας
δυνατοὺς ἀπὸ παντὸς Ἰσραὴλ, καὶ
ἐποίησεν αὐτοὺς ἐπ' αὐτῶν χιλιάρ-
χους, καὶ ἑκατοντάρχους, καὶ πεντη-
κοντάρχους, καὶ δεκάρχους, καὶ γραμ-
κϛ. ματοεισαγωγεῖς. Καὶ ἔκριναν τὸν
E λαὸν πᾶσαν ὥραν. τὸ δὲ ῥῆμα τὸ
ὑπέρογκον ἀνέφερον ἐπὶ Μωϋσῆν·
πᾶν δὲ ῥῆμα ἐλαφρὸν ἔκρινον αὐτοί.
κζ. Ἐξαπέστειλε δὲ Μωϋσῆς τὸν γαμβρὸν
αὐτοῦ, καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ.

ΚΕΦ. ΙΘ.

α. Τοῦ δὲ μηνὸς τοῦ τρίτου τῆς
ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐκ
γῆς Αἰγύπτου τῇ ἡμέρᾳ
ταύτῃ, ἦλθον εἰς τὴν ἔρημον Σινά.
β. Καὶ ἐξῆραν ἐκ Ῥαφιδὶν, καὶ ἦλθον
εἰς τὴν ἔρημον τοῦ Σινὰ, καὶ παρενέ-
βαλεν ἐκεῖ Ἰσραὴλ κατέναντι τοῦ ὄρους.
γ. Καὶ Μωϋσῆς ἀνέβη εἰς τὸ ὄρος τοῦ
Θεοῦ· καὶ ἐκάλεσεν αὐτὸν ὁ Θεὸς ἐκ
Z τοῦ ὄρους, λέγων, τάδε ἐρεῖς τῷ οἴκῳ
Ἰακὼβ, καὶ ἀναγγελεῖς τοῖς υἱοῖς Ἰσ-
δ. ραήλ. Αὐτοὶ ἑωράκατε ὅσα πεποίη-
κα τοῖς Αἰγυπτίοις, καὶ ἀνέλαβον ὑμᾶς
ὡσεὶ ἐπὶ πτερύγων ἀετῶν, καὶ προση-
γαγόμην ὑμᾶς πρὸς ἐμαυτόν.

ε. Καὶ νῦν ἐὰν ἀκοῇ ἀκούσητε τῆς
φωνῆς μου, καὶ φυλάξεσθε τὴν διαθήκην
μου, ἔσεσθέ μοι λαὸς περιούσιος (1) ἀπὸ
πάν-

(1) Ἡ μὲν ἐπιούσιος προσηγορία φησὶν Ὠριγένης, (ἐν τῷ περὶ εὐχῆς λόγ. ἐν Τόμ. 1. σελ. 246. τῆς τοῦ Ῥουαίου ἐκδόσ.) τὸν εἰς τὴν οὐσίαν συμβαλλόμενον ἄρτον σημαίνει· ἡ δὲ περιούσιος, τὸν περὶ τὴν οὐσίαν καταγινόμενον λαὸν, καὶ κοινωνοῦντα αὐτῇ. μηδένα δέ ποτε Ἑλλήνων ταύταις χρήσασθαι, παρὰ δὲ τῶν τὰ ἑβραϊκὰ ἑρμηνευσάντων ποιηθῆναι.

πάντων τῶν ἐθνῶν. ἐμὴ γάρ ἐστι πᾶσα
ς. ἡ γῆ. Ὑμεῖς δὲ ἔσεσθέ μοι βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον. ταῦτα τὰ ῥήματα ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ.

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τίς ἐστιν, ἔσεσθέ μοι λαὸς περιούσιος ἀπὸ πάντων τῶν ἐθνῶν· ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ; Ἁπάντων εἰμὶ, φησὶ, ποιητὴς καὶ δεσπότης, καὶ πάντων ὡς ποιητὴς προμηθοῦμαι. ὑμᾶς δὲ οἷόν τινα λαὸν ἐξαίρετον ἐμαυτῷ ἀφιέρωσα. τοῦτο γὰρ ἐπήγαγεν, ὑμεῖς δὲ ἔσεσθέ μοι εἰς βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον. ὥσπερ γὰρ τοὺς Λευΐτας, Ἰσραηλίτας ὄντας, τῶν ἄλλων φυλῶν προτετίμηκε, καὶ εἰς τὴν θείαν ἀφώρισε λειτουργίαν, οὐ τῶν ἄλλων ἀμελῶν, [ἀλλὰ διὰ τούτων] τὴν ἐκείνων ποιούμενος ἐπιμέλειαν· οὕτω τὸ τοῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ ἐξελέξατο σπέρμα· πρῶτον ἐπειδὴ ἐξ αὐτῶν ἔμελλε βλαστάνειν ὁ δεσπότης Χριστὸς τὸ κατὰ σάρκα· ἔπειτα διὰ τῶν εἰς τούτους γιγνομένων τὴν οἰκείαν ἐπιδεικνὺς δύναμιν, καὶ πάντας διδάσκων ἀνθρώπους τὴν τῆς θεογνωσίας ὁδόν. τούτων μέντοι εἰρημένων, ἀπεκρίθη πᾶς ὁ λαὸς, καὶ εἶπε· πάντα ὅσα εἶπεν ὁ Θεὸς ποιεῖν, ποιήσομεν, καὶ ἀκουσόμεθα. αὕτη δὲ ἡ τοῦ λαοῦ συνθήκη ὑπογραφῇ τινὶ ἔοικε γραμματίου. ὅθεν καὶ τὴν οἰκείαν παραβάντες ὁμολογίαν, ταῖς τῆς νομοθεσίας ἀραῖς ὑπεβλήθησαν. ὧν τοὺς εἰς αὐτὸν πεπιστευ-
Γαλ. 3. 13. κότας Χριστὸς ἠλευθέρωσε. Χριστὸς γάρ φησιν ἐξηγόρασεν ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. τὸ μέντοι περιούσιος, ἐξαίρετος ὁ Σύμμαχος ἡρμήνευσε.

» ΣΕΥΗΡΟΥ. Λαὸς περιούσιος, τουτέστι κατ᾽ ἐξαίρετον ἐν περιουσίᾳ καὶ κλήματι λελογισμένος. ἐπειδὴ κλήματα μὲν τοῦ πεποιηκότος ἅπαντες ἄνθρωποι· κλήματα δὲ οἱ διὰ τῆς ἐπιγνώσεως εἰσποιηθέντες ὑπὸ Θεοῦ, καὶ τὰ τῆς αὐτοῦ δεσποτείας ἄξια πράττοντες, καὶ ὑπ᾽ οὐδενὸς ἢ πάθους ἁμαρτίας, ἢ νόθου Θεοῦ δεσποζόμενοι.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Προκατηχεῖ τὸν λαὸν τῆς τοῦ νόμου δόσεως, προκαταρτίζων καὶ προτρεπόμενος ἀγαθῶν ὑποσχέσεσιν. ἔσεσθε γάρ μοι, φησὶ, λαὸς περιούσιος, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον. ἀλλ᾽ ἐπεὶ μὴ γεγόνασιν ἐκεῖνοι, εἰς τοὺς ἐν
1. Πέτρ. 2. 9, 10. Χριστῷ τὸ τῆς χάριτος ἐπληρώθη, ὥς φησι καὶ Πέτρος ἐν τῇ καθολικῇ.

ζ. Ἦλθε δὲ Μωϋσῆς, καὶ ἐκάλεσε τοὺς πρεσβυτέρους τοῦ λαοῦ· καὶ παρέθηκεν αὐτοῖς πάντας τοὺς λόγους τούτους, οὓς συνέταξεν αὐτοῖς ὁ Θεός.

» ΣΕΥΗΡΟΥ. Τὸ δὲ, παρέθηκε, ῥῆμα, τραπέζης ἔμφασιν ἔχει καὶ τροφῆς πεφυκυίας τρέφειν ψυχήν.

η. Ἀπεκρίθη δὲ πᾶς ὁ λαὸς ὁμοθυμαδὸν, καὶ εἶπε, πάντα ὅσα εἶπεν ὁ Θεὸς, ποιήσομεν καὶ ἀκουσόμεθα. ἀνήνεγκε δὲ Μωϋσῆς τοὺς λόγους τοῦ λαοῦ πρὸς τὸν Θεόν.

» ΑΔΗΛΟΥ. Ὁμοθυμαδὸν, ἀντὶ τοῦ, ὁμονοητικῶς καὶ ὁμοψύχως.

✱✱ ΙΣΙΔΩΡΟΥ. Σὺ μὲν ἴσως ἀλλόκοτον νομίζεις τὴν φωνὴν, ἅτε παρὰ Ἰουδαίων, τῶν μηδὲν ὀρθὸν μήτε λεγόντων μήτε πραττόντων, ῥηθεῖσαν· ἐγὼ δὲ ἐπειδὴ ὁ νομοθέτης αὐτοὺς εἰς τοῦτο οὐ κατεμέμψατο, ἡγοῦμαι, ὅτι ἃ χρὴ μανθάνοντας πράττειν, ταῦτα διὰ τοῦ πράττειν μανθάνομεν. διὰ τοῦτο εὖ εἰρῆσθαι, πάντα ὅσα εἶπε Κύριος, ποιήσομεν καὶ ἀκουσόμεθα. οἱ μὲν γὰρ ἄλλο τι μανθάνοντες, εἰκότως ἀκούουσι, καὶ τότε ποιοῦσιν· οἱ δὲ τὰς θείας ἐντολὰς εἰς ἔργον φέρειν προηγούμενοι, ἀπὸ τῆς πράξεως μανθάνουσιν, οὐ τοῦ λόγου τοσοῦτον, ὅσον τῆς πράξεως τὴν γνῶσιν τικτούσης. τῷ ὄντι γὰρ ὁ τῆς ἀρετῆς ἀσκητὴς δι᾽ αὐτῆς τῆς ἀσκήσεως παιδεύεται τὴν ἀρετὴν, καὶ τρόπον τινὰ μανθάνει, ὅτι χρησιμωτάτη καὶ πρεπωδεστάτη καὶ φυλακτικωτάτη ἐστὶ, καὶ συμφερόντως νενομοθέτηται.

θ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, ἰδοὺ ἐγὼ παραγίνομαι πρὸς σὲ ἐν στύλῳ νεφέλης, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρὸς σὲ, καὶ σοὶ πιστεύσωσιν εἰς τὸν αἰῶνα.

ΚΥΡΙΛΛΟΥ. Ἐπειδήπερ αὐτοὺς, φημὶ δὴ τοὺς ἐξ Ἰσραὴλ, ἐκ τῆς ἀρχαίας ἐκείνης βεβήλου ψευδολατρείας, πρὸς ἣν ἐν Αἰγύπτῳ ὠλισθηκότες ὑπῆρχον, εἰς ἐπίγνωσιν ἀληθείας ἀνακομίζειν ἤθελεν ὁ δημιουργὸς, ἵνα μὴ δοκοῖεν τῷ μὴ ὄντι λατρεύειν Θεῷ, ταῖς τοῦ Μωσέως φωναῖς πεφενακισμένοι, ταύτῃ τοι χρησίμως καὶ τῆς ἐν τύποις αὐτοὺς θεοπτίας ἀξιοῖ. βεβαιοτέρα γὰρ πίστει τιμᾶσθαι φιλεῖ τὸ ὁρώμενον. καθικνεῖσθαι δὴ οὖν ἀναφανδὸν ἐπαγγέλλεται, καὶ οὐκ εἰς μακράν.

✱ ΠΡΟΚΟΠΙΟΥ. Τύπος ἦν ἄρα τῆς ἐν τῷ ὄρει μεταμορφώσεως τοῦ Κυρίου, καὶ μαρτυρίας τοῦ πατρός. φοβῶν δὲ κελεύει μὴ ἅψασθαι τοῦ ὄρους μηδένα, καὶ ὡς παῖδας δεδιττόμενος.

ΤΟΥ ΑΥΤΟΥ. Οὐ γὰρ ἂν ἄλλως ἐνὴν ἡμᾶς μαθεῖν τὴν ἀλήθειαν, εἰ μὴ ἀνθρωπίνως ἐγέγραπτο, καὶ πρὸς τὸ ἡμῶν ἀσθενές. ἐπεὶ πρόδηλον, ὡς διὰ φωνητικῶν ὀργάνων οὐ φθέγγεται Θεὸς ὁ ἀσώματος. αὐτὸ γὰρ τὸ θελῆσαι μόνον, ῥῆμά ἐστι. (1)

ι. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, καταβὰς διαμάρτυραι πρὸς τὸν λαὸν, καὶ

(1) Τοῦτο ἐν τῷ τῆς Αὐγ. κώδ. οὐ κεῖται.

καὶ ἅγνισον (1) αὐτὲς σήμερον καὶ αὔριον, ἢ πλυνάτωσαν τὰ ἱμάτια.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ἐ μόνον ἁγνιθῆναι, ἀλλὰ καὶ πλῦναι τὰ ἱμάτια προσετάχθησαν, ἡνίκα τὸν νόμον ἐδέχοντο; Διὰ τῶν σωματικῶν αὐτὲς ἐπὶ τὰ πνευματικὰ ποδηγεῖ, καὶ δέος ἐντίθησι, καὶ εὐλαβεστέρες ποιεῖ. ἐλογίζοντο γὰρ ἐκ τέτων, ὡς πολλῷ μᾶλλον τὴν διάνοιαν καθαρεύειν προσήκει. διά τοι τἕτο καὶ σαλπίγγων φωναὶ, καὶ κλύποι βροντῶν, καὶ γνόφος, καὶ θύελλα, καὶ πῦρ ἐν τῇ τῷ ὄρες ἀκρονυχίᾳ, καὶ καπνὸς ἄφρασος ἐκπεμπόμενος· ἵνα διὰ τέτων ἁπάντων τὴν λιθίνην αὐτῶν καταμαλάξῃ καρδίαν. ἐπειδὴ γὰρ τὰς μὲν τοῖς Αἰγυπτίοις ἐπενεχθείσας ἐθεάσαντο τιμωρίας, αὐτοὶ δὲ πεῖραν τῆς παιδείας ἐκ ἔλαβον, διὰ τέτων δεδίττεται οἷα παῖδας. ὥστε μὴ μόνον ἀγαπᾷν διὰ τὰς ἀῤῥήτες εὐεργεσίας, ἀλλὰ καὶ δεδιέναι διὰ τὰς τιμωρίας. τέτε χάριν καὶ περὶ τῶν ἱερέων ἔφη, οἱ ἱερεῖς οἱ » ἐγγίζοντες Κυρίῳ τῷ Θεῷ ἁγιασθήτω- » σαν, μήποτε ἀπαλλάξῃ ἀπ' αὐτῶν Κύριος. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτὲς θαῤῥεῖν, ἅτε δὴ τὴν θείαν λειτεργίαν πεπισευμένες, διδάσκει ὡς διαφερόντως τὲς λειτεργεῖν τῷ Θεῷ προσεταγμένες ὑπερτέρες εἶναι τῶν γηΐνων προσήκει.

» ** ΙΣΙΔΩΡΟΥ. Πλυνάτωσαν τὰ ἱμά- » τια σήμερον καὶ αὔριον, καὶ ἔσωσαν ἕτοι- » μοι εἰς τὴν ἡμέραν τὴν τρίτην, λέγει ἡ » Γραφὴ, τἕτο δηλἕσα· οἱ ἐν ταῖς δύω διαθήκαις καὶ ταῖς αὐτῶν διανοίαις τὴν καθαρότητα τῆς πολιτείας κτησάμενοι, καὶ τῆς πίσεως τὴν ἁγνείαν εὑράμενοι, εἰς τὴν τριήμερον τῷ Κυρίε χειραγωγἕνται ἀνάστασιν· ἢ καὶ βασιλεία ἐρανῶν ὀνομάζεται. σήμερον γὰρ τὴν τῷ νόμε λέγει κατάστασιν· αὔριον δὲ, τὴν εὐαγγελικὴν σημαίνει ἀλήθειαν, ὡς ὑπὸ τῷ νόμε μηνυθεῖσαν, καὶ μετ' ἐκεῖνον φανεῖσαν.

ΣΕΥΗΡΟΥ. Τἕτο σημαίνει ὁ νἕς· ὅτι ἐ δεῖ ἐν τῇ τῶν θείων λογίων διδασκαλίᾳ τοῖς αὐτοῖς λόγοις, ἢ ὀνόμασι χρήσασθαι, » ὥσπερ ἐσὶ τὸ, ἁγίασον αὐτές.

ΚΥΡΙΛΛΟΥ. Σαρκικῆς μὲν ἀκαθαρσίας ἀπαλλάττεσθαι πρέπει, καὶ πρός γε δὴ τέτῳ εὐειματεῖν, ἵν' ὀρθῶς τε καὶ καθηκόντως τὸ τῆς ἑορτῆς ὑπαλλάττοιτο (1) σχῆμα. ἑορτὴ γὰρ ὄντως καὶ ἀξιάγασος τὸ τῆς ἔτω περιφανἕς ἀξιἕσθαι τιμῆς. καὶ εἰς τρίτην αὐτὲς τὴν ἐγκράτειαν παρατείνειν ἡμέραν, ἀποπλύνεσθαι δὲ καὶ αὐτὰ πρσέταχε τὰ ἄμφια.

ΤΟΥ ΑΥΤΟΥ. Καταγράφεταί πως ἡμῖν ἡ δι' ὕδατος κάθαρσις, δῆλον δὲ ὅτι καὶ [διὰ] πνεύματος, τὸν ἐν ἡμῖν ἐκτρίβοντος ῥύπον, καὶ ψυχικῶν ἡμᾶς ἀπαλλάττοντος μολυσμῶν. ἔθημα δὲ ποιεῖνται λαμπρὸν, τὴν ἄνωθεν χάριν, ἢ καὶ » αὐτὸν τὸν Ἐμμανεὴλ. ἐνδύσασθε γάρ (Ῥωμ. 13. 14.) » φησι τὸν Κύριον ἡμῶν Ἰησἕν Χρισὸν, καὶ » τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπι- » θυμίαν.

ΤΟΥ ΑΥΤΟΥ. Τοιγάρτοι καὶ ἡμεῖς οἱ ἐν Χρισῷ δεδικαιωμένοι καὶ ἡγιασμένοι διὰ τῷ πνεύματος, μισεῖν κεκελεύσμεθα τὸν ἐκ τῆς σαρκὸς μεμολυσμένον χιτῶνα. ἐκεῖν προεὐτρεπισὴς ὁ νόμος, καὶ τῶν διὰ Χρισἕ χαρισμάτων προαναφαίνει τὸ κάλλος, ὡς ἐν παχέσιν ἔτι τοῖς τύποις.

ΤΟΥ ΝΥΣΣΗΣ. Τἕτο δέ ἐσι τὸ διὰ πάντων καθαρεῦσαι δέον τὸν μέλλοντα προβαίνειν τῇ τῶν ὄντων θεωρίᾳ, ὡς ψυχῇ καὶ σώματι καθαρὸν εἶναι καὶ ἀκηλίδωτον τὸν ἐν ἑκατέρῳ ῥύπον καταλλήλως ἀποκλεισάμενον· ὡς ἂν καθαροὶ καὶ τῷ τὰ κρυπτὰ ὁρῶντι φανείημεν, καὶ ἡ κατὰ τὸ φαινόμενον εὐσχημοσύνη τῇ ἔσω τῆς ψυχῆς διαθέσει συμβαίνει. διὰ τἕτο πρὸ τῆς ἐπὶ τὸ ὄρος ἀνόδε τῷ θείῳ προσάγματι τὰ ἱμάτια πλύνεται, τῆς εὐσχήμονος τῷ βίε περιβολῆς παραδηλεμένης ἡμῖν τῷ τῶν ἱματίων αἰνίγματι. ἐ γὰρ ἄν τις εἴποι τὸν αἰσθητὸν τἕτον ῥύπον τῶν ἱματίων, ἐμπόδιον τῆς ἀνόδε τοῖς πρὸς Θεὸν ἀνιἕσι γίνεσθαι.

ια. Καὶ ἔσωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινὰ, ἢ ἐναντίον παντὸς τῷ λαῷ.

** ΚΥΡΙΛΛΟΥ. Ἀλλ' ἦν ἐν ἀρχαῖς σκιαγραφίᾳ τὶς ὥσπερ τῆς τῷ Σωτῆρος ἡμῶν ἐπιδημίας, μέλλοντος ἐπιλάμψειν τοῖς ἐπὶ τῆς γῆς, ὡς ἐν ἡμέρᾳ τρίτῃ, τῷ λοίσθῳ καιρῷ. καθ' ὃν καὶ γέγονε σὰρξ ὁ λόγος, καὶ ἐπέφανεν ἡμῖν κατὰ τὰς γραφάς.

ιβ. Καὶ ἀφοριεῖς τὸν λαὸν κύκλῳ, λέγων, προσέχετε ἑαυτοῖς τῷ ἀναβῆναι εἰς τὸ ὄρος, καὶ θίγειν τι αὐτῷ. πᾶς ὁ ἁψάμενος τῷ ὄρες, θανάτῳ τελευτήσει.

ΣΕΥΗΡΟΥ. Πλησιάσαι τῷ Θεῷ ἐ συνεχωρἕντο, ἐ μόνον οἱ τῶν ἡδονῶν δἕλοι, ἀλλὰ καὶ πᾶς ὁ ἔχων ἐν ἑαυτῷ ἄλογον καὶ ἄγριον πάθος.

ιγ. Οὐχ ἅψεται αὐτῷ χείρ· ἐν γὰρ λίθοις λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται. ἐάν τε κτήνος ἐάν τε ἄνθρωπος, ἐ ζήσεται. ὅταν αἱ φωναὶ, καὶ αἱ σάλπιγγες, καὶ ἡ νεφέλη ἀπέλθῃ ἀπὸ τῷ ὄρες, ἐκεῖνοι ἀναβήσονται ἐπὶ τὸ ὄρος.

ΤΟΥ

(1) Οἱ λοιποὶ, ἁγίασον. ἐν ταῖς σημειώσ. ταῖς ἐν τῇ Γραφῇ τῇ ἐν Φρανεκ. ἐκδοθείσῃ.

(2) Ὑπoπλάττοιτο. ἐν Τόμ. 1. μέρ. 1. σελ. 317.

A ΤΟΥ ΝΥΣΣΗΣ. Αἱ γὰρ αἱρετικαὶ ὑπολήψεις λίθοι τινὲς ἀτεχνῶς εἰσὶν, αὐτὸν τὸν ἐργάτην τῶν πονηρῶν δογμάτων καταχωννῦντες.

ΤΟΥ ΑΥΤΟΥ. (1) Τὸ δὲ μηδὲν τῶν ἀλόγων συγχωρῆσαι ἐπὶ τοῦ ὄρους φαίνεσθαι, σημαίνει κατὰ τὴν ἡμετέραν ὑπόληψιν τὸ ὑπερβῆναι τὴν ἐξ αἰσθήσεως γενομένην γνῶσιν ἐν τῇ τῶν νοητῶν θεωρίᾳ. ἴδιον γὰρ τῆς ἀλόγου φύσεως τὸ κατ' αἴσθη-
B σιν μόνον δίχα διανοίας οἰκονομεῖσθαι.

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ἀνιόντι δέ μοι προθύμως ἐπὶ τὸ ὄρος, ἢ τό γε ἀληθέστερον εἰπεῖν, προθυμουμένῳ τε ἅμα καὶ ἀγωνιῶντι, τὸ μὲν διὰ τὴν ἐλπίδα, τὸ δὲ διὰ τὴν ἀσθένειαν, ἵνα τῆς νεφέλης εἴσω γένωμαι, καὶ Θεῷ συγγένωμαι· τοῦτο γὰρ κελεύει ὁ Θεός· εἰ μέν τις Ἀαρὼν, συνανίτω, [καὶ στηκέτω πλησίον, κἂν ἔξω
Γ μένειν τῆς νεφέλης δέῃ, τοῦτο δεχόμενος. εἰ δέ τις Ναδὰβ, ἢ Ἀβιοὺδ, ἢ τῆς γερουσίας, ἀνίτω μὲν, ἀλλὰ στηκέτω] πόῤῥωθεν κατὰ τὴν ἀξίαν τῆς καθάρσεως. εἰ δέ τις τῶν πολλῶν καὶ οὐκ ἀξίων ὕψους τοιούτου καὶ θεωρίας, εἰ μὲν ἄναγνος πάντη, μηδὲ προσίτω· οὐ γὰρ ἀσφαλές· εἰ δὲ πρόσκαιρα γοῦν ἡγνισμένος, κάτω μενέτω, καὶ μόνης ἀκουέτω τῆς φωνῆς καὶ τῆς σάλπιγγος τῶν ὑψηλῶν τῆς εὐσε-
Δ βείας ῥημάτων, καπνιζόμενόν τε τὸ ὄρος βλεπέτω καὶ καταστραπτόμενον, ἀπειλήν τε ὁμοῦ καὶ θαῦμα τοῖς ἀνιέναι μὴ δυναμένοις. εἰ δέ τις θηρίον ἐστὶ πονηρὸν καὶ ἀνήμερον, καὶ ἀνεπίδεκτον παντὶ λόγῳ θεωρίας καὶ θεολογίας, μὴ ἐμφωλευέτω ταῖς ὕλαις κακούργως καὶ κακοήθως, ἵνα τινὸς λάβηται δόγματος, ἢ ῥήματος, ἀθρόως προσπηδήσαν, καὶ σπαράξῃ τοὺς ὑγιαίνοντας λόγους ταῖς ἐπηρείαις· ἀλλ'
E ἔτι πόῤῥωθεν στηκέτω καὶ ἀποχωρείτω τοῦ ὄρους, ἢ λιθοβοληθήσεται καὶ συντριβήσεται, καὶ ἀπολεῖται κακὸς κακῶς. λίθοι γὰρ τοῖς θηριώδεσιν οἱ ἀληθεῖς λόγοι καὶ στεῤῥοί. εἴτε πάρδαλις εἴη, συναποθνησκέτω τοῖς ποικίλμασιν· εἴτε λέων ἁρπάζων, καὶ ὠρυόμενος, καὶ ζητῶν ἥν τινα βρῶσιν ποιήσεται τῶν ἡμετέρων ψυχῶν, ἢ λέξεων· εἴτε σῦς καταπατῶν τοὺς διαυγεῖς μαργαρίτας τῆς ἀληθείας· εἴτε λύ-
Z κος ἀραβικὸς καὶ ἀλλόφυλος, ἢ καὶ τούτων ὀξύτερος τοῖς σοφίσμασιν· εἴτε ἀλώπηξ δολερά τις ψυχὴ καὶ ἄπιστος, καὶ ἄλλοτε ἄλλη τοῖς καιροῖς καὶ ταῖς χρείαις συμμορφουμένη, ἣν νεκρὰ τρέφει καὶ ὀδωδότα σώματα, ἢ ἀμπελῶνες μικροὶ, τῶν μεγάλων διαπεφευγότων· εἴτε ἄλλο τὶ τῶν αἱμοβόρων, καὶ ἀποβλήτων τῷ νόμῳ, καὶ οὐ καθαρῶν εἰς βρῶσίν τε καὶ ἀπόλαυσιν. βούλεται γὰρ τούτων ἀποχωρήσας ὁ
H λόγος, οὕτω πλαξὶ στεῤῥαῖς καὶ λιθίναις ἐγγράφεσθαι, καὶ ταύταις ἀμφοτέρωθεν, διά τε τὸ φαινόμενον τοῦ νόμου καὶ τὸ κρυ-

(1) Ὁ Κώδ. ψευδῶς ἐπιγράφει Κυρίλλῳ.

A πτόμενον. καὶ τὸ μὲν, τοῖς πολλοῖς καὶ κάτω μένουσι· τὸ δὲ, τοῖς ὀλίγοις καὶ ἄνω φθάνουσι.

ιδ'. Κατέβη δὲ Μωϋσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν λαὸν, καὶ ἡγίασεν αὐτούς· καὶ ἔπλυναν τὰ ἱμάτια αὐτῶν.

ιε. Καὶ εἶπε τῷ λαῷ, γίνεσθε ἕτοιμοι, τρεῖς ἡμέρας μὴ προσέλ-
B θητε γυναικί.

ΚΥΡΙΛΛΟΥ. [Ἐν τῷ χρῆναι λέγειν μὴ συγκατευνάζεσθαι γυναιξὶν, ὁμιλίας δὲ τῆς πρὸς ἐκείνας ἀποφοιτᾶν,] τῶν τῆς σαρκὸς ἡδονῶν ἡ νέκρωσις εὖ μάλα κατασημαίνεται.

ΤΟΥ ΑΥΤΟΥ. Οὗτός ἐστιν ὁ ἁγνισμός. ὅθεν καὶ ὁ Δαβὶδ τῷ Ἀβιάθαρ, ἐκ τοῦ εἶναι αὐτοὺς ἐκτὸς γυναικῶν τρεῖς ἡμέ-
Γ ρας, ἔλεγε καθαροὺς εἶναι τοὺς σὺν αὐτῷ ἄνδρας. (2)

** ΤΟΥ ΝΥΣΣΗΣ. Χρὴ τὸν μέλλοντα προβαίνειν τῇ τῶν ὑψηλῶν κατανοήσει, πάσης αἰσθητικῆς τε καὶ ἀλόγου κινήσεως προκαθᾶραι τὸν τρόπον, καὶ πᾶσαν δόξαν, τὴν ἐκ προλήψεώς τινος γεγενημένην, τῆς διανοίας ἐκπλύναντα, τῆς τε συνήθους ὁμιλίας χωρισθέντα τῆς πρὸς τὴν ἰδίαν σύνοικον, τουτέστι τὴν αἴσθησιν, ἢ συ-
Δ ζυγής πως ἐστὶ τῇ ἡμετέρᾳ φύσει καὶ σύνοικος· καὶ ταύτης καθαρὸν γενόμενον, οὕτω κατατολμῆσαι τοῦ ὄρους.

ις. Ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ γενηθέντος πρὸς ὄρθρον, ἐγένοντο φωναὶ καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπ' ὄρους Σινά.

ΚΥΡΙΛΛΟΥ. Ἐπεδήμησε γὰρ, ὡς ἔφην,
E καὶ καταβέβηκε πρὸς ἡμᾶς ἐξ οὐρανοῦ ὁ μονογενὴς, οὐκ ἐν γε τῷ πρώτῳ καιρῷ, οὐδὲ ἐν ἀρχαῖς τοῦ αἰῶνος τούτου, οὔτε μὴν ἐν τῷ δευτέρῳ καὶ τῷ διὰ μέσου χρόνῳ, ἀλλ' ὡς ἐν τρίτῳ καὶ τελευταίῳ, καὶ ὡς ἐν ὄρθρῳ τε καὶ ἡμέρας ἀρχῇ, τουτέστιν ἀπεληλαμένης ἤδη τῆς νοητῆς ἀχλύος, τῆς ἐνούσης ἡμῖν, καὶ οἱονεὶ παρελαυνούσης νυκτὸς, καὶ ἠφανισμένου τοῦ σκότους. ὁ μὲν γὰρ ἐξ ἀπάτης, καὶ πλεονεξίας ὑπονοηθεὶς
Z εἶναι Θεὸς τοῦ αἰῶνος τούτου, κατεσκότισε νοητῶς τὴν σύμπασαν γῆν, ἀποφέρων εἰς πολύθεον πλάνησιν, καὶ εἰς πᾶν εἶδος ἀκαθαρσίας. ὁ δὲ τῶν ὅλων Θεὸς καὶ Κύριος, τουτέστι Χριστὸς, ἐπέφανεν ἡμῖν, καὶ τὴν τριπόθητον ἀληθῶς ἀνέδειξεν ἡμέραν, ἧς καὶ ὁ θεσπέσιος Δαβὶδ ἐμέμνη-
» το, λέγων, αὕτη ἡ ἡμέρα, καὶ τὰ ἑξῆς. Ψαλ. 117. 24
Καὶ μετ' ὀλίγα. Ὄρθρου δὴ οὖν καὶ ὡς ἐν ἡμέρᾳ τρίτῃ καταβέβηκεν ὁ μονογενής.

H ΤΟΥ ΑΥΤΟΥ. Νοῒ μὲν γὰρ ὁρᾶται μόλις ἡ ὑπερτάτη καὶ ἀνῳκισμένη φύσις, ἡ παντὸς ἐπέκεινα γεννητοῦ. ἐπειδὴ δὲ δι'

ἐμφα-

(2) Τοῦτο ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

ἐμφανεστέρων αὐτοῖς πραγμάτων τὰ τῆς
θεοπτίας χρειωδῶς ἐξεπράττετο, ταύτῃ-
τοι λοιπὸν ἀναγκαίως τῆς οἰκονομίας ὁ
τρόπος διὰ πολλῶν ἐγχωρεῖ δειμάτων.
φωναί τε γὰρ ἦσαν καὶ ἀστραπαὶ διεκπί-
πτουσαι. συνηγείρετο δὲ καὶ νεφέλη γνο-
φώδης, ἵνα καὶ ἡ κτίσις ὑπηρετοῦσα φαίνη-
ται, καὶ τῷ τῶν ὅλων Θεῷ δοῦλον ὑποφέ-
ρουσα τὸν αὐχένα.

ΤΟΥ ΑΥΤΟΥ. Ἀστραπαὶ δὲ ἦσαν, εἰς
τύπον τοῦ θείου φωτὸς, καὶ τῆς νοητῆς αὐ-
γῆς, δηλονότι τῆς ἐν πνεύματι διὰ Χριστοῦ
καταλαμπούσης τὰ σύμπαντα, καὶ δια-
θεούσης τὴν ὑπ' οὐρανόν. οὕτω γάρ πυ καὶ
ὁ προφήτης Δαβὶδ ἀνεφώνει, λέγων πρὸς
6. 4. τὸν τῶν ὅλων σωτῆρα Χριστόν· ἔφαναν αἱ
„ ἀστραπαί σου τῇ οἰκουμένῃ. ὅτι δὲ δυσκά-
τοπτον ἀληθῶς τὸ Χριστοῦ μυστήριον, ὑπεμ-
φαίνειεν ἂν ὁ γνόφος. καὶ γοῦν ὁ Δαβίδ-
7. 11, φησιν, ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ,
„ κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ· σκοτεινὸν ὕδωρ
„ ἐν νεφέλαις ἀέρων. ἀπὸ τῆς τηλαυγή-
„ σεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον.
κεκρυμμένον γὰρ οὕτως ἐστὶ τὸ Χριστοῦ μυ-
στήριον, ὡς δεῖσθαι μόνης μυσταγωγίας τῆς
ἄνωθεν, καὶ ἀποκαλύψεως τῆς παρὰ Θεοῦ.

Φωνὴ τῆς σάλπιγγος ἤχει μέγα. καὶ ἐπτοήθη πᾶς ὁ λαὸς ὁ ἐν τῇ παρεμβολῇ.

ΣΕΥΗΡΟΥ. Καὶ πάντα ἁπλῶς ἦν
ἀγωνίας πλήρη καὶ δειμάτων. ὥστε καὶ
. 21. Μωσέα λέγειν, ἔκφοβός εἰμι καὶ ἔντρομος.
„ φοβερὸν γὰρ ὑπῆρχε τὸ φανταζόμενον,
ὥς φησιν ὁ Ἀπόστολος. καλῶς δὲ σφόδρα
τὸ φανταζόμενον εἶπεν, οὐ τὸ νοούμενον,
ἤτοι δηλούμενον. φαντασία γάρ τις ἦν καὶ
ὁμοίωσις καὶ σκιὰ, καὶ ὡς ἐν εἰκόνι προ-
τύπωσις τῶν μελλόντων, καὶ τῶν ἐν Χρι-
στῷ φανερωθησομένων τὰ ἀμυδρῶς ἐν νόμῳ
τότε παραδεικνύμενα.

ΚΥΡΙΛΛΟΥ. Σάλπιγγι παρεικάζει
τῶν διὰ Χριστοῦ κηρυγμάτων τὴν εὐφωνίαν.
Καὶ πάλιν. Σάλπιγξ δὲ ἡ μεγάλη ἦν ὁ Χρι-
στὸς, ἤτοι τὰ δι' αὐτοῦ κηρύγματα, περιη-
4.14. χοῦντα τὴν ὑπ' οὐρανόν. εἶπε γὰρ, ὅτι κη-
„ ρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βα-
„ σιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον
„ πᾶσι τοῖς ἔθνεσι.

ιζ. Καὶ ἐξήγαγε Μωϋσῆς τὸν λαὸν εἰς τὴν συνάντησιν τοῦ Θεοῦ ἐκ τῆς παρεμβολῆς· καὶ παρέστησαν ὑπὸ τὸ ὄρος.

ΚΥΡΙΛΛΟΥ. [Ὅρα τὴν Μωσέως παι-
δαγωγίαν. ἀποφέρει πρὸς Θεόν· παιδα-
γωγεῖ γὰρ ἐπὶ Χριστόν· καὶ παρίστησι μὲν
τοὺς ὑπ' αὐτῷ τέως παιδαγωγουμένους ἐπὶ
τὸ ὄρος, οὐκ ἀναβιβάζει γε μὴν ἐν αὐτῷ.]
ὄρος δὲ νοήσεις ἐνταῦθα τὴν ὑπερφυᾶ τε
καὶ ὑπεραίρουσαν γνῶσιν μυστηρίου τοῦ κατὰ
Χριστόν. ὑψηλὴ γὰρ λίαν, καὶ ἥκιστα μὲν
τοῖς ἐν νόμῳ βατὴ, πρέπουσα δὲ μᾶλλον
ἡμῖν τοῖς ἡγιασμένοις ἐν πνεύματι. ὡς
„ γὰρ αὐτὸς εἴρηκεν ὁ Σωτὴρ, ὑμῖν δέδοται Ματθ. 13. 11.
„ γνῶναι τὰ μυστήρια τῆς βασιλείας· τούτοις
δὲ οὐ δέδοται, φησὶ, τοῖς Ἰουδαίοις.

ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν παρίστησι μὲν
ὑπὸ τὸ ὄρος Μωσῆς, οὐκ ἀναβιβάζει δὲ ἐν
αὐτῷ. ὡς γὰρ ἔφην ἀρτίως, τὸ τέλειόν τε
καὶ ὑψηλὸν ἐν σοφίᾳ καὶ γνώσει κερδαί-
νομεν διὰ Χριστοῦ μᾶλλον, οὐ διὰ Μωσέως.
ὁ μὲν γὰρ ἦν οἰκέτης, καὶ παιδαγωγός·
ὁ δὲ ὡς τῶν ὅλων Κύριος, γνώσεως ἡμῖν
„ τῆς τελείας ἐπεφάνη δοτήρ. ἐν αὐτῷ Κολασ. 2. 3.
„ γάρ εἰσιν οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώ-
σεως οἱ ἀπόκρυφοι.

ιη. Τὸ δὲ ὄρος τὸ Σινὰ ἐκαπνίζετο ὅλον, διὰ τὸ καταβεβηκέναι τὸν Θεὸν ἐπ' αὐτὸ ἐν πυρί· ἀνέβαινε δὲ ὁ καπνὸς, ὡσεὶ καπνὸς καμίνου· καὶ ἐξέστη πᾶς ὁ λαός.

ΚΥΡΙΛΛΟΥ. Τὸ μὲν οὖν ἐν ὄρει κατα-
φοιτῆσαι τὸν Θεὸν, σημεῖον ἂν γένοιτο
καὶ μάλα σαφὲς, τοῦ διανοίαις αὐτὸν οὐ
χθαμαλωτάταις ἐπιφοιτᾶν, οὔτε μὴν ἐ-
ναυλίζεσθαι φιλεῖν τοῖς γεῶδες καὶ χα-
μαιρριφὲς ἔχουσι τὸ φρόνημα· ἀλλ' ὅτω-
περ ἂν [ὁ νοῦς] πρὸς ἀρετῶν τὸ ὄρος ἀνέλ-
θοι, καὶ τὸ τούτων ὕψος οἱονεὶ κορυφὴν
ὑπερτείνουσαν ἔχων, κάτω πυ βλέποι τὰ
ἀνθρώπινα, καὶ μόνα φαντάζοιτο τὰ πα-
ρὰ Θεῷ. κατασημήνειε δ' ἂν καὶ ἑτέρως,
ὑψηλὴ μὲν ὅτι καὶ ἐπηρμένη τῶν καθ'
ἡμᾶς ἡ περὶ Θεοῦ γνῶσις, μόνοις δὲ τάχα-
πυ κἂν γοῦν ἐκ μέρους ἁλώσιμος τοῖς τὰ
„ ὑψηλὰ πέτεσθαι μεμελετηκόσι. νεοσσοὶ Ἰώβ. 5. 7.
„ γὰρ γυπὸς τὰ ὑψηλὰ πέτονται, κατὰ τὸ
γεγραμμένον.

ΤΟΥ ΑΥΤΟΥ. Ἐν εἴδει πυρὸς φαίνε-
ται ὁ Θεός. κολαστὴς γὰρ ὁ νόμος, καὶ
ἐν τάξει πυρὸς τοὺς ἁλισκομένους δαπανῶν.
τοιγάρτοι καὶ ἔφασκεν ὁ μακάριος Μωϋ-
„ σῆς, ὅτι ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον. Δευτ. 4. 24.
καπνὸς δὲ, καὶ γνόφος, καὶ θύελλα, τὸ
ἀσυμφανές τε καὶ ἀμυδρὸν, καὶ οἱονεὶ γνο-
φῶδες τοῦ γράμματος ἐμφαίνοντα. καὶ ἡ
σάλπιγξ τὴν παχεῖαν καὶ ἀσημοτέραν
ἐξήγησιν δηλοῖ· καὶ ὅτι ὁ νόμος πρὸς μά-
χην ἐγείρει τὴν κατὰ παθῶν· στεφανοῦν
δὲ οὐκ οἶδεν. ἐξείργει μὲν γὰρ ἁμαρτίας,
διδάσκει δὲ οὐδαμῶς τὸ τελείως ἀγαθόν.
τετελείωκε γὰρ οὐδὲν, κατὰ τὴν τοῦ Παύλου Ἑβρ. 7. 19.
φωνήν. (1)

ΤΟΥ ΑΥΤΟΥ. Καταπεφοίτηκε γὰρ
ἐξ οὐρανοῦ δι' ἡμᾶς ὁ τοῦ Θεοῦ λόγος, ὡς πῦρ Μαλαχ. 3. 2.
„ χωνευτηρίου· κατὰ τὴν τοῦ Προφήτου φω-
νήν. καὶ αὐτὸς ἡμᾶς ἐβάπτισεν ἐν πνεύ-
ματι ἁγίῳ καὶ πυρί· πυρὶ δὲ τῷ νοητῷ
τὸν ἐν ἡμῖν δαπανῶντι συρφετὸν, καὶ
τὸν ἐκ τῆς ἁμαρτίας ἐκλήκοντι ῥύπον,
καὶ

(1) Τοῦτο ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

καὶ ἀποψύχεσθαί ποι πρὸς ἐκλύτους ἡδονὰς οὐκ ἐφιέντι τὸν νοῦν. ἀπετετελέσμεθα δὲ ταύτῃ τοι, τῷ πνεύματι ζέοντες. καὶ τοῦτο αὐτὸ εἰς ἡμᾶς ἀνήγγηκεν ὁ Χριστός. τοι-
Λουκ. 12. 49. γάρτοι καὶ ἔφασκε, „πῦρ ἦλθον βαλεῖν
„ἐπὶ τὴν γῆν.

ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν ἐν εἴδει πυρὸς οἰκονομικῶς δὴ λίαν τοῖς ἀρχαιοτέροις ἐφαίνετο, πλὴν οὐ δίχα καπνοῦ. συνήσομεν δὲ καὶ διὰ τοῦτο πάλιν, ὅτι καὶ θρηνεῖν καὶ κατοιμώζειν ἀνάγκη τοὺς καταπίπτοντας εἰς τὸ ῥᾴθυμον, καὶ τῆς θείας αὐτοῦ δόξης καταφρονεῖν ἡρημένους. δακρυρροεῖν γὰρ ἀνάγκη τοὺς ἐν καπνῷ. κατοιχήσονται δὲ πρὸς τὸ ἐξώτερον σκό-
Ματθ. 8. 12. τος οἱ θεομισεῖς καὶ ἀλιτήριοι. ἐκεῖ γὰρ
„ἔσαι, φησὶν, ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς
„τῶν ὀδόντων.

* ΠΡΟΚΟΠΙΟΥ. [Καὶ κάτεισιν ἐν εἴδει πυρὸς ὁ Θεὸς,] δεικνὺς ὅτι πῦρ ἐκδέχεται τοὺς παρακούοντας· οὐχ ὅτι τῆς ὕλης χρήζει ὁ Θεὸς βοηθοῦ, καθάπερ οἱ Μανιχαῖοί φασιν. ὅτε γὰρ ἠβουλήθη, Ἀγγέλου δυνάμει, ρπέ χιλιάδας ἀνεῖλεν ἐν μιᾷ νυκτὶ, οὐ δεηθεὶς πυρὸς, οὐδὲ ἑτέρας τινὸς ὕλης τῶν στοιχείων.

ΣΕΥΗΡΟΥ. Ἐφ' ᾗ Θεοτόκῳ καὶ σεμνυνόμεθα, τοῦ ἡμετέρου γένους ἔχοντες αὐτὴν ἐγκαλλώπισμα· τὴν λογικὴν γῆν, ἐξ ἧς ὁ δεύτερος Ἀδὰμ ἑαυτὸν κατὰ σάρκα ἔπλασεν, ὁ ἄπλαστος καὶ ἀγέννητος· τὸ τῆς παρθενίας φυτὸν, ἐξ οὗ Χριστὸς ἡ οὐράνιος κλίμαξ κατεσκευάσθη κατὰ σάρκα διὰ τοῦ πνεύματος· ἵνα ἡμεῖς ἐπ' αὐτὴν τὸ ἴχνος ἐρείσαντες δυνηθῶμεν ἀναβῆναι πρὸς οὐρανὸν, τὸ νοητὸν ὄρος Σινᾶ, τὸ μὴ καπνιζόμενον, ἀλλὰ τῷ ἡλίῳ τῆς δικαιοσύνης καταλαμπόμενον· καὶ μὴ δέκα ἐντολὰς μόνον χαριζόμενον, ἀλλ' αὐτὸν τὸν νομοθέτην ἐπὶ γῆς ὁρώμενον, καὶ συναναστρεφόμενον τοῖς ἀνθρώποις ἡμῖν· καὶ οὐχ ἓν ἔθνος, τὸν Ἰσραὴλ, ἀλλὰ πᾶν ἔθνος καὶ γένος τῷ Εὐαγγελίῳ παιδεύοντα, καὶ τῇ πειθοῖ σαγηνεύοντα.

ιθ. Ἐγένοντο δὲ αἱ φωναὶ τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρότεραι σφόδρα.

** ΤΟΥ ΝΥΣΣΗΣ. Ἐσάλπισεν ὁ νόμος καὶ οἱ Προφῆται τὸ θεῖον τῆς κατὰ ἄνθρωπον οἰκονομίας μυστήριον· ἀλλ' ἀθενέστεραι ἦσαν αἱ πρῶται φωναὶ, ἢ ὥστε καθικνεῖσθαι τῆς ἀπειθοῦς ἀκοῆς. διὸ ἡ βαρυκοΐα τῶν Ἰουδαίων τὴν φωνὴν τῶν σαλ-
„πίγγων οὐ παρεδέξατο. προβαίνουσαι δὲ,
„καθώς φησιν ὁ λόγος, αἱ σάλπιγγες, ἐγέ-
„νοντο ἰσχυρότεραι. αἱ γὰρ τελευταῖαι φωναὶ, αἱ διὰ τῶν εὐαγγελικῶν κηρυγμάτων γεγενημέναι, καθίκοντο τῆς ἀκοῆς. οὕτω τοῦ πνεύματος τοῦ διὰ τῶν ὀργάνων ἠχοῦντος, γενναιότερον ἐν τοῖς ἐφεξῆς, καὶ εὐτονώτερον ποιουμένου τὸν ἦχον. ὄργανα δ' ἂν εἶεν οἷα πνευματικὸν φθόγγον ἠχοῦντα,

A Προφῆται καὶ Ἀπόστολοι· ὧν, καθώς φη-
„σιν ἡ ψαλμῳδία, εἰς πᾶσαν τὴν γῆν ἐξῆλ- Ψαλ. 18. 4.
„θεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα
„τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

* ΚΥΡΙΛΛΟΥ. Ὡς ἐν ἀρχαῖς μὲν ὀλίγους ἀκροᾶσθαι μόλις· ὕστερον δὲ πολλοὺς, μᾶλλον δὲ καὶ πᾶσαν [τὴν] συναγωγήν· σάλπιγξ μὲν γὰρ ἡ εὐφωνοτάτη καὶ ἠχὴν ἱεῖσα τὴν διαπρύσιον, τὸ εὐαγγελικόν ἐστι κήρυγμα, καθάπερ ἤδη προείπομεν. ἀλλ'
B ἠκούετο μὲν ἐν ἀρχαῖς εἰς μόνην τὴν Ἰουδαίαν, προβαίνοντος δὲ τοῦ καιροῦ εἰς πᾶσαν τὴν ὑπ' οὐρανόν. περιήεσαν γὰρ οἱ θεσπέσιοι μαθηταὶ, τοῖς ἁπανταχόσε κηρύττοντες· ὥστε καὶ ἀπὸ Ἱερουσαλὴμ μέχρι τοῦ Ἰλλυρικοῦ, μᾶλλον δὲ καὶ μέχρις αὐτῶν ἀφικέσθαι τῶν τερμάτων [τῆς γῆς,] καὶ ἐξ ἠοῦς εἰς ἑσπέραν τὴν ἱερὰν ἀπηχῆσαι σάλπιγγα. τοῦτο οἶμαί ἐστι τὸ γίνεσθαι τὰς
Γ φωνὰς τῆς σάλπιγγος ἰσχυροτέρας.

ΑΔΗΛΟΥ. Τί οὖν ἡμῖν διὰ τούτων ὑπεμφαίνειεν ἂν ἡ τοῦ νόμου σκιά; Ὀλίγοι μὲν γὰρ ἦσαν ἐν ἀρχαῖς οἱ τὸ εὐαγγελικὸν λαλοῦντες κήρυγμα· γεγόνασι δὲ μετὰ τοῦτο πολλοί. καὶ ἄρχεται τούτου Χριστός. προαναδείξας γὰρ προαπολέγειν τοὺς δυοκαί-
„δεκα μαθητὰς, ἀνέδειξε, φησὶ, καὶ ἑτέ- Λουκ. 10. 1.
„ρους ἑβδομήκοντα.

Δ Μωϋσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ.

** ΚΥΡΙΛΛΟΥ. Λαλεῖ μὲν ὁ Μωσῆς, ἀποκρίνεται δὲ Θεὸς τούτῳ φωνῇ, οὐκ ἰδίᾳ πάντως φωνῇ· τοῦτο γὰρ οὐ φησίν· ἀλλ' ἁπλῶς τε καὶ ἀπολελυμένως φωνῇ, τῇ διὰ κτύπου ῥημάτων ἀνθρωπικώτερον παραδόξως ἀποτελουμένῃ. περὶ τί γὰρ ἂν τῶν ἔργων ἀτονήσαι Θεός; Καὶ μετ' ὀλίγα. Καὶ ὁ μὲν τύπος ἐν τούτοις. ἴδωμεν δὲ τὴν
E ἀλήθειαν. ἔχεις τοιγαροῦν ἐν ἁγίοις εὐαγ-
„γελίοις λαλοῦντα τὸν Κύριον, πάτερ δόξα- Ἰωάν. 12. 28,
„σόν σου τὸν υἱόν· ἀποκρινόμενον δὲ διὰ φω- 30.
„νῆς τὸν πατέρα· καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω. οὐκ εἶναι δὲ τὴν φωνὴν ἀληθῶς τοῦ Θεοῦ καὶ πατρὸς ὁ Σωτὴρ ἔδειξεν, εἰπὼν
„τοῖς τηνικάδε παροῦσιν, οὐ δι' ἐμὲ ἡ φωνὴ
„αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς. ὁρᾷς ὅπως γεγενῆσθαι σαφῶς διϊσχυρίσατο τὴν φωνήν; ἐπεὶ μὴ τῇ διὰ κτύπου κεχρῆσθαι φω-
Z νῇ τὴν θείαν οἴεσθαι φύσιν ἀκόλουθον, κἂν ταῖς ἡμετέραις συσχηματίζηται χρείαις, καὶ λαλῇ καθ' ἡμᾶς οἰκονομικῶς.

* ΤΟΥ ΑΥΤΟΥ. [Ἐζήτει μὲν γὰρ ὡς διάκονος τὸν νόμον Μωσῆς, καὶ τῶν θείων θεσπισμάτων μεσίτης καὶ ὑπουργός· ἀπεκρίνετο δὲ Θεὸς τῇ ἰδίᾳ φωνῇ,] τουτέστι δι' υἱοῦ. φωνὴ γὰρ καὶ λόγος ὁ υἱὸς τοῦ πατρός.

H κ. Κατέβη δὲ Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινᾶ ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους· καὶ ἐκάλεσε Κύριος Μωϋσῆν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους· καὶ ἀνέβη Μωϋσῆς.

κα. Καὶ

κα. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Μωϋσῆν, λέγων, καταβὰς διαμάρτυραι τῷ λαῷ, μήποτε ἐγγίσωσι πρὸς τὸν Θεὸν ἐπὶ τὸ ὄρος κατανοῆσαι, καὶ πέσῃ ἐξ αὐτῶν πλῆθος.

** ΚΥΡΙΛΛΟΥ. Κάτεισιν εἰς τὸ ὄρος ὁ ὑπὲρ πάντων Θεός, εἶτα κεκλημένος ἄνεισιν ὁ Μωσῆς. ἐ γάρ ἐστι τῶν ἐνδεχομένων ἰσχῦσαι τινὰς εἰς τὰ τῆς ἀληθῦς θεοπ͂ίας ἀναθρώσκειν ὑψώματα, μὴ ἐχὶ καθιέντος ἑαυτὸν τῦ Θεῦ, καὶ ταῖς ἡμετέραις διανοίαις προσιτὸν γενέσθαι παρασκευάζοντος. αὐτῦ δὲ καλῦντος, ἄνεισιν ἔτω μόλις εἰς ὑπερφυᾶ καὶ ἐξῃρημένην οἱονεὶ κορυφὴν, τὴν περὶ αὐτῦ γνῶσιν ἀληθῆ. ὅπερ ἐποίει Χριστὸς, ἀποκαλύπτων ἡμῖν τὸν πατέρα καὶ Θεόν. καὶ ἄστιβες μὲν τοῖς ἀγελαίοις τὸ ὄρος. ἀνέμβατος γὰρ τοῖς πολλοῖς ἡ τῆς ἄγαν ὑπερτενῦς γνώσεως χάρις, βάσιμος δὲ μόνοις τοῖς εἰδόσι διαστείχειν αὐτὴν, μᾶλλον δὲ καὶ εἰς τῦτο κεκλημένοις παρὰ Θεῦ, καθάπερ ἀμέλει καὶ Μωσῆς.

ΤΟΥ ΑΥΤΟΥ. Μόνον μὲν γὰρ εἰς τὸ ὄρος ἀναφοιτᾶν κελεύει τὸν μεσιτεύοντα, φημὶ δὴ Μωσέα· προσίεται δὲ τῶν ἄλλων ἐδένα, καὶ ἄστιβες αὐτοῖς ἀποφαίνει τὸ ὄρος. προσαπειλεῖ δὲ καὶ θάνατον, εἰ καταφρονεῖν ἕλοιτό τις· ἐκ ὠμὸς ὤν, (1) ἐδὲ ἀπηνὴς, ἀλλ' ἢ δυσπρόσιτος. τοιῦτον γὰρ τὸ ἐγγὺς δύνασθαι γενέσθαι Θεῦ. Καὶ πάλιν. Δεῖν γὰρ ἔγωγε φημὶ διὰ πολλῶν τρόπων ἡμᾶς θηρᾶσθαι φιλεῖν τὸ τελῦν εἰς ὄνησιν. ἐκ ἔδει δὲ τοῖς ἴσοις τιμᾶσθαι παρὰ Θεῦ λαὸς καὶ ἡγέμενον, τὸν παιδαγωγήσειν μέλλοντα καὶ τὸς ὑπ' αὐτῷ, τὸν τῦ νόμυ διάκονον, καὶ ἐφ' ὃν οἱ νόμοι. ἐξῃρημένον δὲ μᾶλλον τὴν δόξαν εἶναι, ἄμεινον δήπυ καὶ σοφὸν, καὶ τοῖς ὑπ' αὐτῷ κεισομένοις χρησιμώτατον.

κβ. Καὶ οἱ ἱερεῖς οἱ ἐγγίζοντες Κυρίῳ τῷ Θεῷ ἁγιασθήτωσαν, μήποτε ἀπαλλάξῃ ἀπ' αὐτῶν Κύριος.

** ΚΥΡΙΛΛΟΥ. Γέγονε δὲ καὶ αὐτῆς τῆς ἱερωσύνης μετάθεσις, ἐκ ἐχέσης τὸ ἀμεμπ͂ον καὶ τὸ ἄκρως ἅγιον. Καὶ μετ' ὀλίγα. Ὡς ἐκ ἔχεσα τοίνυν τὸ τελείως ἅγιον, ἁγιασθησομένη δὲ κατὰ καιρὸς ἐν Χριστῷ, τῶν τύπων μεταπλαττομένων εἰς ἀλήθειαν, προστέταχεν ἁγιάζεσθαι. προσθεὶς δὲ ὅτι, „μήποτε ἀπαλλάξῃ ἀπ' αὐτῶν „Κύριος, ἔφηκε νοεῖν ὅτι θάνατος ἡ δίκη τοῖς τὴν ἐν νόμῳ τιμῶσιν ἱερωσύνην, ἀναδειχθείσης ἐν κόσμῳ τῆς διὰ Χριστῦ.

** ΤΟΥ ΑΥΤΟΥ. Ἀποκαθαίρεσθαι δὲ δεῖν τὸς ἱερωσύνη κατεσεμμένυς παρεγγυᾷ, λέγων· „μήποτε ἀπαλλάξῃ ἀπ' αὐ„τῶν Κύριος. σφαλερὸν γὰρ κομιδῆ τῆς ἱερωσύνης τὸ χρῆμα, καὶ κινδύνων ἐκ ἀπωτάτω, μᾶλλον δὲ καὶ λίαν ἐγγὺς, εἰ μὴ ὀρθῶς τὸ πρέπον τὸ ἀμώμητον εἰς ζωήν. ἁγίυς γὰρ εἶναι πρέπει τὸς τῷ παναγνῳ λειτυργῦντας Θεῷ.

κγ. Καὶ εἶπε Μωϋσῆς πρὸς τὸν Θεὸν, ἐ δυνήσεται ὁ λαὸς προσαναβῆναι εἰς τὸ ὄρος τὸ Σινά· σὺ γὰρ διαμεμαρτύρησαι ἡμῖν, λέγων, ἀφόρισαι τὸ ὄρος, καὶ ἁγίασαι αὐτό.

κδ. Καὶ εἶπεν αὐτῷ Κύριος, βάδιζε, κατάβηθι, καὶ ἀνάβηθι σὺ καὶ Ἀαρὼν μετὰ σῦ. οἱ δὲ ἱερεῖς καὶ ὁ λαὸς μὴ βιαζέσθωσαν ἀναβῆναι πρὸς τὸν Θεὸν, μήποτε ἀπολέσῃ ἀπ' αὐτῶν Κύριος.

** ΚΥΡΙΛΛΟΥ. Ὁρᾷς πῶς ἀπεπέμπετο Μωσῆς; εἶτα μόνος ἐκ ἐπιστρέφει· ἄνεισι δὲ πάλιν, συνομαρτῦντος αὐτῷ καὶ συνδιαθέοντος Ἀαρὼν, ὃς ἦν εἰς τύπον Χριστῦ τῦ μεγάλυ ἱερέως. δι' αὐτῦ γὰρ, ὡς ἔφην, προσιτὸς ὁ πατήρ· καὶ ἀποπεμπτοι γεγονότες κατὰ καιρὸς οἱ ἐν νόμῳ, τυτέστιν ὁ Ἰσραὴλ, ἐπιγνώσονται μὲν ἐν ἐσχάτοις καιροῖς τὸν ὅσιόν τε καὶ ἄκακον ἀρχιερέα, τυτέστι Χριστόν. προσελεύσονται δὲ δι' αὐτῦ τῷ Θεῷ καὶ πατρὶ, καθάπερ εἰς ὄρος ἀναθρώσκοντες τὸ σεπτὸν καὶ μέγα τῆς οἰκονομίας μυστήριον.

** ΤΟΥ ΑΥΤΟΥ. Ἄνεισιν ὁ Μωσῆς καὶ ἐ δίχα τῦ Ἀαρὼν, ὃς ἦν εἰς τύπον Χριστῦ. τίμιος γὰρ ὁ νόμος ἐν Χριστῷ, καὶ ὡς ἅγιος δι' αὐτὸν, ἐγγὺς Θεῦ, καὶ μετὰ Θεῦ. διακηρύττει γὰρ καὶ αὐτὸς τὸν ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν κατὰ τὰς Γραφάς. παρεζεύχθω ἐν ὁ νόμος Χριστῷ, διὰ τῆς ἐν πνεύματι θεω„ρίας. ἀκήκοε γὰρ ὁ Μωσῆς, ἀνάβηθι σὺ „καὶ Ἀαρών. ἃ ἐν Θεὸς συνέζευξεν, ἄν- Μάρκ. 10. 9.
„θρωπος μὴ χωριζέτω, τῆς ἐν Χριστῷ θεωρίας ἀποκομίζων τὸν νόμον, διὰ τὸ μόνῃ προσκεῖσθαι τῇ σκιᾷ, καὶ μὴ εἰς εἰκόνα τῶν τύπων παραδέχεσθαι τὴν ἀλήθειαν. εἴργεται γε μὴν ἀναφοιτᾶν εἰς τὸ ὄρος τοῖς δήμοις ὁμῦ τὸ γένος τὸ ἱερόν. ἐ γὰρ τοῖς ἐν νόμῳ παιδαγωγυμένοις, ἐδὲ τοῖς ἔτι τὴν ἐν σκιαῖς τελῦσι λατρείαν δέδοται παρὰ Θεῦ τὸ ἐν ὑψηλοῖς καὶ ὑπερτάτοις εἶναι δόγμασι, τοῖς περὶ αὐτῦ. τετήρηται δὲ μᾶλλον τοῖς ἐν πίστει δεδικαιωμένοις καὶ ἐν Χριστῷ κεκλημένοις εἰς ὑπακοὴν, καὶ πολὺ τῆς ἀρχαιοτέρας διενεγκῦσαν γνῶσιν.

κε. Κατέβη δὲ Μωϋσῆς πρὸς τὸν λαὸν, καὶ εἶπεν αὐτοῖς.

(1) Οὐκ ὠμὸς, ἐδ' ἀπηνὴς, ἢ δυσπρόσιτος εἶναι ζητῶν ὑπονοεῖσθαι. κομιδῆ γὰρ εὔηθες τὸ ὧδε φρονεῖν. ἀλλ' ἵν' ἔχοιεν εἰδέναι καὶ νοεῖν, ὅτι τῶν ἄγαν ἐξῃρημένων ἐστὶ, καὶ ἐν ὑπερτάταις ὄντως ὑπεροχαῖς τιμῆς τε καὶ δόξης, τὸ ἐγγὺς εἶναι δύνασθαι Θεῦ. ἐν Τόμ. 1. μέρει. 1. σελ. 318.

ΚΕΦ. Κ.

α. Καὶ ἐλάλησε Κύριος πάντας τοὺς λόγους τούτους, λέγων, β. Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας.

** ΚΛΗΜΕΝΤΟΣ. Ἡ μὲν πρώτη τῆς δεκαλόγου ἐντολὴ παρίστησιν, ὅτι μόνος εἷς ἐστὶ Θεὸς παντοκράτωρ. ὃς ἐκ τῆς Αἰγύπτου τὸν λαὸν μετήγαγε διὰ τῆς ἐρήμου εἰς τὴν πατρῴαν γῆν· ὅπως καταλαμβάνωσι μὲν διὰ τῶν θείων ἐνεργημάτων, ὡς ἐδύναντο, τὴν δύναμιν αὐτοῦ· ἀφιστῶνται δὲ τῆς τῶν γεννητῶν εἰδωλολατρείας, τὴν πᾶσαν ἐλπίδα ἐπὶ τὸν κατὰ ἀλήθειαν ἔχοντες Θεόν.

* ΚΥΡΙΛΛΟΥ. Πρέπουσαν τοῖς νόμοις ἐποιήσατο τὴν ἀρχὴν, ἑαυτὸν εἶναι λέγων τὸν διὰ τεράτων ἐξαγαγόντα αὐτοὺς ἐκ γῆς Αἰγύπτου.

γ. Οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Πρώτη καὶ μία ἐντολὴ, δευτέρας οὔσης τῆς μετὰ ταῦτα περὶ εἰδώλων καὶ ὁμοιωμάτων διεξιούσης. ἄλλως γὰρ οὐκ ἄν τις σώσειε τὴν δεκάλογον. καὶ εἴη ἂν ἡ πρώτη περὶ δυνάμεων ἀσωμάτων, ἅς τινες (1) προσκυνοῦσι χωρὶς εἰδώλων τε καὶ ὁμοιωμάτων.

** ΑΘΑΝΑΣΙΟΥ. Οὐχ ὡς ὄντων δὲ Θεῶν ἄλλων κωλύει αὐτοὺς τούτους ἔχειν· ἀλλ' ἵνα μήτις τὸν ἀληθινὸν ἀποστραφεὶς Θεὸν, ἑαυτῷ τὰ μὴ ὄντα θεοποιεῖν ἄρξηται. ὁποῖοί εἰσιν οἱ παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν ὀνομασθέντες καὶ δειχθέντες, οὐκ ὄντες Θεοί. καὶ αὐτὴ δὲ ἡ λέξις τὸ μὴ εἶναι αὐτοὺς Θεοὺς δείκνυσι, δι' ἧς » φησὶν, οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι. ὅπερ ἐπὶ μέλλοντος σημαίνεται. τὸ δὲ ἐπὶ μέλλουσι γινόμενον, οὐκ ἔστι τότε, ὅτε ταῦτα λέγεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, » οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ; Οἱ μίαν οὐσίαν τῆς Τριάδος ὁμολογοῦντες, φυλάττουσι τὸν νόμον τῆς θείας φωνῆς. ἄλλο γάρ τι παρὰ τὴν θείαν φύσιν θεοποιεῖν οὐκ ἀνέχονται. οἱ δὲ τὴν Ἀρείου καὶ Εὐνομίου περικείμενοι λώβην, τὸν θεῖον νόμον ἄντικρυς παραβαίνουσι· Θεὸν μὲν τὸν Κύριον ὁμολογοῦντες, κτιστὸν δὲ ἀποκαλοῦντες, καὶ τῆς θείας οὐσίας ἀλλότριον. τοῦ γὰρ Θεοῦ λέγοντος, » οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ, οὗτοι ἕτερον Θεὸν ἐπεισάγουσι.

δ. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, H οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς.

ΩΡΙΓΕΝΟΥΣ. Ἄλλο εἴδωλον, καὶ ἕτερον ὁμοίωμα· ὁμοίωμα μὲν γάρ ἐστιν, ἐὰν ποιῇς ἰχθύος, ἢ τετράποδος, ἢ θηρίου, ἢ διὰ τεχνουργίας, ἢ διὰ ζωγραφίας ὁμοίωμα. B εἴδωλον δὲ, ὅσα ἀνατυποῦσα ψυχὴ ποιεῖ ἐξ οὐχ ὑπαρχόντων πρωτοτύπων· οἷον ἀναμεμιγμένον τι ζῶον ἀπὸ ἀνθρώπου καὶ ἵππου.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἴδωλον καὶ ὁμοίωμα ποίαν ἔχει διαφοράν; Τὸ εἴδωλον οὐδεμίαν ὑπόστασιν ἔχει. τὸ δὲ ὁμοίωμα, τινός ἐστιν ἴνδαλμα καὶ ἀπείκασμα. ἐπειδὴ τοίνυν ἀναπλάττουσιν Ἕλληνες τὰς οὐχ ὑφεστώσας Γ μορφώσεις, σφίγγας, καὶ τρίτωνας, καὶ κενταύρους· καὶ Αἰγύπτιοι κυνοπροσώπους, καὶ βουκεφάλους· εἴδωλα καλεῖ τὰ τῶν οὐχ ὑφεστώτων μιμήματα· ὁμοιώματα [δὲ,] οἷον ἡλίου, σελήνης, ἀστέρων, ἀνθρώπων, θηρίων, ἑρπετῶν, καὶ τῶν τούτοις παραπλησίων. τούτοις κελεύει μὴ προσκυνεῖν, μηδὲ λατρεύειν. οὐχ ἁπλῶς δὲ ἀπαγορεύει ἀμφότερα· ἀλλ' ἐπειδὴ συμβαίνει τινὰς προσκυνῆσαι μὲν διὰ φόβον ἀνθρώπινον, Δ οὐ μὴν καὶ λατρεῦσαι κατὰ ψυχὴν, ἐδίδαξεν ὡς ἑκάτερον ἀσεβές.

ΑΔΗΛΟΥ. Πῶς οὖν τὰ χερουβὶμ προσέταττε γίνεσθαι κατωτέρω; Ἀλλ' οὐκ εἰς τὸ προσκυνεῖν αὐτά· ἀλλ' ἵνα ἐκ τῶν ἐναντίων αὐτὰ προσκυνῇ τὴν κιβωτὸν τοῦ μαρτυρίου, ὡς λειτουργοὶ, μόσχου πρόσωπον ἔχοντα, καὶ ἀφιστῶντα τὸν Ἰσραὴλ τῆς εἰδωλολατρείας τῶν μόσχων, οὓς μάλιστα ἐτίμων οἱ Αἰγύπτιοι, διὰ τοῦ δεικνύειν αὐ- E τοῖς, ὅτι αὐτὸς ὁ μόσχος, ὃν προσκυνοῦσιν Αἰγύπτιοι, οὗτος προσκυνεῖ τὴν κιβωτὸν τοῦ Θεοῦ.

ΚΥΡΙΛΛΟΥ. Εἰ καὶ ποιοῦμεν ὁμοιώματα ἀνθρώπων θεοσεβῶν, οὐκ ἐπὶ τὸ προσκυνεῖν ὡς Θεοῖς· ἀλλ' ἵνα ὁρῶντες αὐτοὺς, εἰς ζῆλον αὐτῶν ἔλθωμεν. εἰ δὲ ποιοῦμεν ὁμοιώματα τοῦ Χριστοῦ, οὐχ ἵνα τῷ ὁμοιώματι προσκυνῶμεν ὡς Θεῷ, ἀλλ' ἵνα Z ὁ νοῦς διὰ τοῦ ὁρᾷν ἀναπληρωθῇ. οὐ γὰρ εἰκόνι φθαρτῇ φθαρτοῦ ἀνθρώπου προσκυνοῦμεν· ἀλλ' ἐπειδὴ ὁ Θεὸς ἠξίωσεν ἀτρέπτως γενέσθαι ἄνθρωπος, ποιοῦμεν αὐτοῦ εἰκόνα, ὡς ἀνθρώπου, καίπερ εἰδότες αὐτὸν φύσει Θεὸν ὄντα. οὐχὶ αὐτὴν οὖν Θεὸν τὴν εἰκόνα λέγομεν, ἀλλὰ Θεὸν εἰδότες τὸν ἐν τῇ εἰκόνι γραφέντα, οὗ τὸ ὁμοίωμα ἔχει ἡ εἰκών. (2)

ε. Οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσης αὐτοῖς.

ΩΡΙΓΕ-

(1) Ὁ Πλάτων καὶ οἱ Πλατωνικοί. παρὰ Ἐπιφαν. ἐν αἱρέσ. 4. ἀπὸ Ἑλλήνων.

(2) Οὐδὲ εὕρηται ἐν τοῖς ἐκδεδομέν. οὐδ' ἔοικε τῶν τοῦ Κυρίλλου.

ΩΡΙΓΕΝΟΥΣ. Ἄλλο προσκυνεῖν, καὶ ἄλλο λατρεύειν. ὁ μὲν γὰρ ἐξ ὅλης ψυχῆς δουλεύων τούτοις, οὐ μόνον προσκυνεῖ, ἀλλὰ καὶ λατρεύει· ὁ δὲ καθυποκρινόμενος, καὶ διὰ τὰ ἔθνη ποιῶν, οὐ λατρεύει μὲν, προσκυνεῖ δέ. εὑρήσεις δὲ τοιούτους ἐν τοῖς Ἀριθμοῖς χαριζομένους γυναιξὶ, καὶ εἴδωλα προσκυνοῦντας.

Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ, Θεὸς ζηλωτὴς, τί
» σημαίνει; Ὁ νόμος τάξιν ἐπέχει ἀνδρὸς,
ὁ δὲ λαὸς γυναικός. καὶ τοῦτο ἡμᾶς ἐδίδαξεν ὁ δεσπότης Θεὸς, διὰ μὲν Ἡσαΐου,
Ἡσ. 50. 1. » λέγων· ποῖον τοῦτο τὸ βιβλίον τοῦ ἀποσα-
Ἰερ. 3. 20, 1. σίου τῆς μητρὸς ὑμῶν; διὰ δὲ Ἰερεμίου, κα-
» θὼς ἀθετεῖ γυνὴ εἰς τὸν συνόντα αὐτῇ,
» οὕτως ἠθέτησεν εἰς ἐμὲ ὁ οἶκος Ἰσραὴλ, καὶ
» ὁ οἶκος Ἰούδα, λέγει Κύριος. καὶ πάλιν·
» ἐὰν ἀποστείλῃ ἀνὴρ τὴν γυναῖκα αὐτοῦ, καὶ
» πορευθεῖσα γένηται ἀνδρὶ ἑτέρῳ, μὴ ἀνα-
» κάμψασα ἀνακάμψει πρὸς αὐτὸν ἔτι;
» οὐ μιαινομένη μιανθήσεται ἡ γυνὴ ἐκείνη;
» σὺ δὲ ἐξεπόρνευσας εἰς ποιμένας πολλοὺς,
» ἀνέκαμπτες πρός με, λέγει Κύριος. καὶ ὁ
Ῥωμ. 7. 1, 2, 3, 4. Ἀπόστολος δέ φησιν, ὅτι ὁ νόμος κυριεύει
» τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ. ἡ γὰρ
» ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νό-
» μῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, κατήργηται
» ἀπὸ τοῦ νόμου τοῦ ἀνδρὸς, τοῦ μὴ εἶναι αὐ-
» τὴν μοιχαλίδα, γενομένην ἀνδρὶ ἑτέρῳ.
» οὕτω καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ
» τοῦ σώματος [τοῦ Χριστοῦ,] εἰς τὸ γενέσθαι
» ὑμᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι. τούτου χάριν Θεὸν ζηλωτὴν ἑαυτὸν ὀνομάζει, τοῖς ἀνθρωπίνοις μὲν κεχρημένος ὀνόμασι, δεδιττόμενος δὲ αὐτοὺς, καὶ σωφρονεῖν ἀναγκάζων. ὥσπερ γὰρ ἀνὴρ ῥάθυμον ἔχων γυναῖκα παραινῶν αὐτῇ λέγει, ζηλότυπός εἰμι, οὐ δύναμαι βλέπειν ἄλλως σε προσδιαλεγομένην ἀνδρί· οὕτως ὁ δεσπότης Θεὸς τῆς δεισιδαιμονίας αὐτοὺς ἀπαλλάξαι βουλόμενος, οὐ μόνον ζηλωτὴν ἑαυτὸν, ἀλλὰ
Δευτ. 4. 24. καὶ πῦρ καταναλίσκον ἐκάλεσεν. ὅτι δὲ φιλοστοργίας ὁ τοιοῦτος ζῆλος, αὐτὸς τοῦτο δεδήλωκεν ὁ Θεὸς διὰ τοῦ Ἰεζεκιὴλ εἰπών·
Ἰεζ. 16. 42. [διὰ τοῦτο ἀποστήσεται ὁ ζῆλός μου ἀπὸ σοῦ· τουτέστιν, ὅτε ἠγάπων,] ἐχρώμην τῷ ζήλῳ, ἀπωσάμενος δέ σε, καὶ τὸν ζῆλον ἔσβεσα. τοῦτο καὶ δι' ἑτέρου Προφήτου δε-
Ὠσ. 4. 14. δήλωκεν, εἰπών· οὐκ ἐπισκέψομαι τὰς θυ-
» γατέρας σου ὅταν πορνεύσωσι, καὶ ἐπὶ τὰς
» νύμφας ὑμῶν ὅταν μοιχεύσωσιν. ἀγάπης τοίνυν ὁ ζῆλος δηλωτικός.

ΤΟΥ ΑΥΤΟΥ. Πῶς τὸ δίκαιον σώζεται, τῶν παίδων ὑπὲρ τῶν πατέρων κολαζομένων; Μείζους αἱ ἀπειλαὶ τῶν κολάσεων παρὰ τῷ δεσπότῃ Θεῷ. καὶ τοῦτο ῥᾴδιον μαθεῖν παρὰ τῆς θείας Γραφῆς.
Γεν. 17. 14. πᾶς γάρ φησιν ἀπερίτμητος ἄρσην, ὃς
» οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ,

A » ἐξολοθρευθήσεται. ἀλλ' ἔστιν εὑρεῖν τοὺς μὲν περιτετμημένους ἐν τῇ ἐρήμῳ, διαφόρως ἀναιρεθέντας· τοὺς δὲ ἀπεριτμήτους μεμενηκότας, τῆς τῶν προγόνων ἐπαγγελίας τετυχηκότας. τούτους γὰρ ἐν Γαλγάλοις Ἰησοῦς περιέτεμεν. οὕτω ταῖς ἐχούσαις ζύμην οἰκίαις πανωλεθρίαν ἠπείλησεν, ἀλλ' οὐκ ἐπήγαγε τὴν τιμωρίαν κατὰ τὴν ἀπειλήν. καὶ ἐνταῦθα τοίνυν, ὡς φιλοπαιδείας πεφροντικότας δεδίττεται ταῖς
B » ἀπειλαῖς, καί φησιν· ἀποδιδοὺς ἁμαρτίας
» πατέρων ἐπὶ τέκνα, ἐπὶ τρίτην καὶ τε-
» τάρτην γενεὰν τοῖς μισοῦσί με. ὅτι γὰρ γυμνῷ προσέχειν τῷ γράμματι δυσσεβὲς, αὐτὸς ὁ Θεὸς διδάσκει τἀναντία νομοθε-
» τῶν· οὐκ ἀποθανοῦνται γάρ φησι παῖδες Δευτ. 24. 16.
» ὑπὲρ πατέρων, οὐδὲ πατέρες ὑπὲρ παίδων·
» ἀλλ' ἕκαστος ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθα-
» νεῖται. καὶ διὰ τοῦ προφήτου Ἰεζεκιὴλ φη-
» σι, τίς ὑμῖν ἡ παραβολὴ αὕτη λεγόντων, Ἰεζ. 18. 2, 3, 4.
Γ » οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόν-
» τες τῶν τέκνων ἡμωδίασαν; ζῶ ἐγὼ λέγει
» Κύριος, εἰ ἔσται ἡ παραβολὴ αὕτη, ἀλλὰ
» τῶν φαγόντων τὸν ὄμφακα καὶ οἱ ὀδόντες
» αἱμωδιάσουσιν. ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσι. καὶ τὰ ἑξῆς δὲ τὴν αὐτὴν ἔχει διάνοιαν. ἐγὼ δὲ οἶμαι μᾶλλον τὴν θείαν φιλανθρωπίαν ἐμφαίνειν τὴν ἀπειλήν.
» πρόσκειται γὰρ, τοῖς μισοῦσί με; τουτέστι μακροθυμῶ τοῖς πατράσιν ἡμαρτηκόσι,
Δ μακροθυμῶ καὶ παισίν. εἰ δὲ οἱ ἔκγονοι καὶ ἀπέκγονοι τὴν τῶν πατέρων καὶ προγόνων ζηλώσαιεν πονηρίαν, ἐπάξω τὴν τιμωρίαν. ἡ δὲ τῶν προγόνων εὐσέβεια, μέχρι πολλοῦ τῷ γένει προξενήσει τὴν σωτη-
» ρίαν. ποιῶν γάρ φησιν ἔλεος εἰς χιλιά-
» δας καὶ μυριάδας τοῖς ἀγαπῶσί με, καὶ
» τοῖς φυλάττουσι τὰ προστάγματά μου. εὕροι δ' ἄν τις κἀν τῇ ἱστορίᾳ τὴν τῶν θείων λο-
» γίων ἀλήθειαν. πέμπτῃ γὰρ γενεᾷ, φη- Ἐξοδ. 13. 18.
E » σὶν, ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου. ἀλλὰ τοῖς τῶν Αἰγυπτίων ἐν Αἰγύπτῳ δεδουλευκότες Θεοῖς, οὐκ ἔτισαν δίκας οὔτε οἱ πατέρες αὐτῶν, οὔτε οἱ προπάτορες. αὐτοὶ δὲ ζηλώσαντες τὴν ἐκείνων ἀσέβειαν, ἐκολάσθησαν· ὡς μετὰ τοσαύτην εὐεργεσίαν, καὶ τὰ μυρία θαύματα τὴν ἀσέβειαν οὐκ ἐκπλύναντες. οἱ δὲ τούτων παῖδες τὸν σωτῆρα Θεὸν ἠγαπηκότες, τῆς προγονικῆς ἀπήλαυσαν ὑποσχέσεως. καὶ ὁρῶ-
Z μεν τὸ ἀψευδὲς τῆς πρὸς τοὺς πατριάρχας γεγενημένης ἐπαγγελίας. τὰ γὰρ ἔθνη διὰ τοῦ σπέρματος Ἀβραὰμ τῆς εὐλογίας τετύχηκεν. ἐπειδὴ τοίνυν τὸν μόσχον ἔμελλον προσκυνεῖν, τὴν τιμωρίαν προαπειλεῖ.

ΔΙΟΔΩΡΟΥ. Πῶς τοῦτο τὸ ζήτημα λύσωμεν; Ὁ Ἰσραὴλ τετάρτῃ γενεᾷ ἐξῆλθεν ἐξ Αἰγύπτου· τὴν δὲ εἰδωλολατρείαν ἀπὸ τρίτης γενεᾶς ἤρξαντο νοσεῖν. ἐπειδὴ
H δὲ ἔμελλον μοσχοποιεῖν ἐν τῇ ἐρήμῳ, προαπειλεῖ καὶ μαρτύρεται, μονονουχὶ λέγων· εἰδωλολατρήσατε ἐν Αἰγύπτῳ, τῆς μὲν ἐπιμιξίας ὑμᾶς ἀπαιτούσης, τῆς δὲ ἀντιπωλήσεως ὑμᾶς ὠφελείας οὐκ οὔσης. νῦν ἐχωρίσθη-

ρίσθητε τῶν πλανώντων, ἐθεάσασθε θαύματα κατ' Αἰγυπτίων. εἰ οὖν καὶ μετὰ ταῦτα εἰδωλολατρήσετε, τὰς τῶν πατέρων ὑμῶν ἁμαρτίας ὑμῖν ἐπαγάγω, οὐ τὰς τιμωρίας. οὐδὲ γὰρ ὧν ἥμαρτον ἐκεῖνοι δίκας ἐκτίσατε· ἀλλὰ μετὰ τοσαύτην εὐεργεσίαν τοῖς αὐτοῖς ἐπιμένοντες, δικαίαν ὑφέξετε δίκην· ἐπεὶ μηδὲ χρὴ συγγνῶναι ὑμῖν, ὡς » ἐκείνοις. οὐκοῦν τὸ, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, οὐ γενικῆς ἐστὶ νομοθεσίας, ἀλλὰ μερικῆς, τοῖς ἐξελθοῦσιν ἐκ τῆς Αἰγύπτου ῥηθείσης τε καὶ ἐπαχθείσης. » τὸ δὲ, ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, γενικῆς τε καὶ διηνεκοῦς ἐστὶ τοῖς ἀγαπῶσιν, οὐ τοῖς μισοῦσιν, ὃν ἠγάπησαν οἱ πατέρες. ὥστε καὶ ἡ ἁμαρτία τῶν πατέρων ἀποδίδοται τοῖς τέκνοις τοῖς διαδεξαμένοις αὐτὴν, καὶ τὸ παρὰ Θεοῦ ἔλεος τοῖς υἱοῖς τῶν ἠγαπηκότων αὐτὸν, ὡς καὶ οἱ πατέρες αὐτῶν.

Γ ΚΥΡΙΛΛΟΥ. Ἔδει γὰρ ἔδει σκληροῖς καταπτοεῖσθαι δείμασι τοὺς ἀνεξίτηλον μέλλοντας ποιεῖσθαι τὴν ἐντολήν. τοιγάρτοι καὶ ζηλωτὴν ἑαυτὸν ὀνομάζει Θεόν. καὶ ἁμαρτίας πατέρων ἐπιλήθειν τὰ τοῖς ἐξ αὐτῶν, εἰ κατ' ἐκείνους ἕλοιντο βιοῦν. καὶ προγονικοῖς ἁμιλλᾶσθαι κακοῖς. οὐ γάρ που φαμὲν, ὡς τοῖς γε ὅλως οὐδὲν πεπλημμεληκόσιν αἱ τῶν πατέρων ἐγκατασκήπτουσιν ἁμαρτίαι, καίτοι διαῤῥήδην ἀνακεκραγό- Δευτ. 24. 16. τος τοῦ Θεοῦ· Δ οὐκ ἀποθανοῦνται πατέρες » ὑπὲρ τέκνων, οὐδὲ τέκνα ὑπὲρ πατέρων· » ἕκαστος τῇ αὐτοῦ ἁμαρτίᾳ ἀποθανεῖται· ἀλλ' εἰ ταῖς τῶν πατέρων ἕποιντο γνώμαις οἱ ἐξ αὐτῶν, καὶ προγονικῆς δυσσεβείας ἔσοιντο ζηλωταὶ, παρατείνει που τάχα καὶ εἰς αὐτοὺς ὁ θυμός· κἂν εἰ γένοιτό πως ἐξ ἐμφύτου φιλανθρωπίας ἀνεῖναι τοῖς πρώτοις τὸν ἐπὶ πάντων Θεὸν, οὓς καὶ κολάζεσθαι δεῖν· ἀλλ' οὖν γε ὀψὲ τοῖς δευτέροις, ἢ γοῦν τοῖς τρίτοις ἐπάγει τὴν ἐν ἀρχαῖς Ε τῷ βεβήλῳ γένει πρέπουσάν τε καὶ ὀφειλομένην ὀργήν. (1) τοῦτο νενοήκασιν οὐκ ὀρθῶς τῶν Ἰουδαίων οἱ δῆμοι· ᾤοντο γὰρ εἶναι Θεὸν σκληρὸν, καὶ μακρὸν εἰς ὀργάς· ὥσπερ οἱ ἀπὸ τῶν αἱρέσεων. καὶ γοῦν αὐτό γε τοῦτο διαγελῶντες, ἔφασκον· οἱ Ἰεζ. 18. 2, 3, 4. πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες » τῶν τέκνων ἡμωδίασαν. ταύτῃ τοι ὁ Θεός » φησι τῷ προφήτῃ Ἰεζεκιήλ· υἱὲ ἀνθρώπου, » τί ὑμῖν ἡ παραβολὴ αὕτη ἐν Ἰσραὴλ, λέ- Ζ » γοντες, οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ » οἱ ὀδόντες τῶν τέκνων ἡμωδίασαν; ζῶ ἐγὼ » λέγει Κύριος, ὅτι οὐ μὴ γένηται ἡ παρα» βολὴ αὕτη· ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰ» σιν, ὃν τρόπον ἡ ψυχὴ τοῦ πατρὸς, οὕτω » καὶ τοῦ υἱοῦ, ἐμαί εἰσι. ψυχὴ ἡ ἁμαρτάνου» σα, αὕτη ἀποθανεῖται. ὁ δὲ υἱὸς οὐ μὴ » λήψεται τὴν ἁμαρτίαν τοῦ πατρὸς αὐτοῦ. πῶς γάρ ἐστι μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινὸς ὁ τῶν ὅλων δεσπότης, εἰ Η μὴ ἀνίησιν ἁμαρτίας, καὶ καθαρίζει τὸν

ἔνοχον, παρατείνει δὲ μᾶλλον τὴν ἀγανάκτησιν ἐπὶ τρίτην καὶ τετάρτην γενεάν; τάχα εἰ μή τις μεταξὺ παρεισβάλλουσα μετάγνωσις ἀνακόψει τὴν ὀργήν. ἀλλ' εἰ μὴ τοῦτο γένηται τυχόν· οἱ δὲ ἐκ τοῦ πρώτου τρίτοι τε καὶ τέταρτοι τοῖς ἴσοις τε καὶ χείροσιν ἀναλοῖεν κακοῖς, καὶ προγονικῆς δυσσεβείας εὑρίσκοιντο μιμηταὶ, τότε δὴ τότε λοιπὸν ἐπάγει τὰς δίκας, ἀποχρῶσαν τῷ γένει τὴν ἐπὶ τοῖς ἤδη παB ρῳχηκόσιν ἀνεξικακίαν ἐπιδιδούς.

ΣΕΥΗΡΟΥ. Ἡμαρτέ τις, καὶ μακροθύμως τοῦτον ἤνεγκεν ὁ Θεὸς, τὴν μετάνοιαν αὐτοῦ, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν ἐκδεχόμενος. μὴ μεταβαλλόμενος δὲ οὗτος, συναπῆλθε τῇ ἀσεβείᾳ, τοῖς μέλλουσι δικαστηρίοις παραπεμφθείς· ὅτε τὸ πρὸς ἀξίαν ἑκάστῳ τοῖς ὀρθοτάτοις τοῦ Θεοῦ ζυγοῖς ἀντιδίδοται. εἶτα τὸ τοῦ πα- Γ τρὸς τούτου παιδίον τῆς πατρῴας ἁμαρτίας κατόπιν ἐβάδισε, καὶ παραπλησίως ὑπεξῆλθε τὸν βίον. τότε λοιπὸν ὁ ἐκ τούτου γεννηθεὶς, πατρώζει καὶ αὐτὸς τὴν ἁμαρτίαν. ὁ μακρόθυμος τὴν πρόνοιαν ἐπιδείκνυται κἂν τῷ παρόντι, τὸ πρὸς ἀξίαν αὐτῷ ἀποδιδούς. ὅπερ ἐκομίσατο ἂν καὶ ὁ τούτου πατὴρ, εἰ μή γε τὰ τῆς μακροθυμίας ἐνεδαψιλεύσατο μέτρα. λόγοις οἷς οἶδεν ὁ ἐν σοφίᾳ ταῦτα οἰκονομῶν. πολλά- Δ κις γὰρ τῇ χρηστότητι καὶ τὴν τρίτην γενεὰν ὑπερβὰς, ἐπὶ τὴν τετάρτην τὴν τῆς ἀνταποδόσεως ἤνεγκε ψῆφον. διὰ τοῦτο » οὐχ ἁπλῶς, ἐπὶ τρίτην καὶ τετάρτην γε» νεὰν, ἀλλὰ προστέθειται, τοῖς μισοῦσί με· ἵνα δειχθῇ σαφῶς, ὡς διὰ τὸ οἰκεῖον μῖσος, ὅπερ ἐμίσουν Θεὸν, καὶ οὐ διὰ τὸ τῶν πατέρων καταδικάζονται, εἰ καὶ ἐκείνους ἐζήλωσαν. ὅτι δὲ τοῦτο οὕτως ἔχει, κἂν τῷ Δευτερονομίῳ παρέστησεν ὁ Μωσῆς, Ε » λέγων· οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ Δευτ. 24. 16. » τέκνων, καὶ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ » πατέρων· ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀπο» θανεῖται.

» ΤΟΥ ΑΥΤΟΥ. Τὸ γὰρ εἰρημένον, ἐγὼ » Θεὸς ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, νοητέον, οὐχ ὡς τῶν τέκνων ὑπὲρ τῶν πατρῴων ἁμαρτημάτων δίκας ἀποτιννύντων, ἀλλ' ἐκ τῶν αὐτοῖς πλημμελουμένων, ὅταν πατρώζῃ τὴν ἁΖ μαρτίαν καὶ διώκῃ καὶ μιμῆται τὴν τῶν γονέων ἀσέβειαν· καὶ ᾖ τέκνα ὡς ἀληθῶς ἐκείνων, διὰ τὴν τῆς κακίας ὁμοίωσιν. οὕτω γὰρ ἔθος ἡμῖν ἐπὶ τῶν μιμουμένων τὴν πατρῴαν πονηρίαν λέγειν· ἀληθῶς ὁ δεῖνα τέκνον ἐστὶ τοῦ πατρός. διὸ καὶ ὁ Κύ» ριος, οὐχ ἁπλῶς εἶπεν, ἀποδιδοὺς ἁμαρ» τίας ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην » γενεὰν, ἀλλὰ προσέθηκε, τοῖς μισοῦσί με· τουτέστιν, ὅταν τῷ εἰς Θεὸν μίσει τῶν παΗ τέρων ἀκολουθήσωσιν. ἐνίοτε γὰρ ἐπὶ μέντινων, ἀναβάλλεται τὴν δίκην, καὶ οὐκ ἐπάγει

(1) Τὰ μὲν ἄχρι τοῦδε κεῖται ἐν Τόμ. 1. μέρ. 2. σελ. 174. τὰ δὲ ἑπόμενα ἐν Τόμῳ 4. σελ. 593. ἀλλὰ πλατύτερον, καὶ ἄλλως ἔχοντα.

ἐπάγει τὴν τιμωρίαν, μνώμενος αὐτῶν τὴν μετάνοιαν· ἵνα ἢ βελτίους γένωνται μεταμελόμενοι, ἢ εἰ μὴ τοῦτο, μετὰ τὸν τῇδε βίον ταῖς μελλούσαις ταμιευθῶσι κολάσεσιν. ἐπὶ δέ τινων, τῶν ἐξ ἐκείνων ἴσως, ἢ τῶν μετέπειτα πολλάκις τῆς αὐτῶν ἀσεβείας ἀντεχομένων, ἐπιφέρει τὴν δικαίαν ὀργὴν, τὴν πρόνοιαν ἐνδεικνύμενος, καὶ ἄλλους παιδεύων ἐκ τοῦ παραδείγματος. ἤνεγκεν ἂν καὶ ἐπὶ τοὺς πατέρας αὐτῶν, εἴγε κἀκείνους ἐνταῦθα κολάζειν ἔκρινε, καὶ μὴ ταῖς μελλούσαις αὐτοὺς δίκαις ἐτήρησε, μηδὲ τῇ τῆς τιμωρίας ἀναβολῇ μεταμαθόντας εὐσεβεῖν. οὕτω δοκεῖ τὰ τέκνα τὰς τῶν πατέρων δίκας ἐκτίνειν. καὶ ταῦτα ὑπὲρ τῶν οἰκείων ἁμαρτιῶν, ἐν οἷς ἐμιμήσαντο τοὺς τεκόντας, τὰς εὐθύνας ὑπέχοντα.

ΑΚΑΚΙΟΥ. Ζηλωτὴς ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς. Δόξει ἐναντίον εἶναι τούτῳ τὸ, οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ υἱῶν, καὶ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων· ἕκαστος τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται. ὁμοίως δὲ καὶ τὰ ἐν τῷ Ἰεζεκιὴλ πρὸς τοὺς λέγοντας, οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων αἱμωδιάσουσιν. ἀλλ' οὐκ ἔστιν ἐναντία, εἰ σαφῶς νοηθείη αὐτό τε τὸ, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, καὶ τὸ, οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ υἱῶν, καὶ τὸ πρὸς τοὺς λέγοντας, οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ τὰ ἑξῆς. πρῶτον μὲν οὖν παράθες τὸ, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα τῷ, μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν, παιδείαν οὐκ ἐδέξασθε· δι' οὗ τάχα τὸν κοινὸν τοῦτον παρίστησι θάνατον, ὃν ἀποστέλλει ποτὲ τοῖς τέκνοις τῶν ἁμαρτησάντων πατέρων· οὔτιγε πρὸς παιδείαν, αὐτῶν τελευτώντων, ἀλλὰ πρὸς τὸ τιμωρήσασθαι τοὺς γονεῖς. διὸ, ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν, εἶπεν. ἕως γὰρ τούτων παρεκτείνει ποτὲ ὁ τῶν ἀνθρώπων χρόνος, ὥσπερ περὶ τοῦ Ἰὼβ εἴρηκε· καὶ εἶδεν υἱοὺς ἕως τετάρτης γενεᾶς. τὸ δὲ, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας σημειώσῃ, ὅτι οὐκ εἶπε τοῖς τέκνοις τῶν ἀγαπώντων με, ἀλλ' αὐτοῖς τοῖς ἀγαπῶσί με. δι' οὗ τὸ ἄπειρον παρίστησι τοῦ χρόνου, ἐν ᾧ καὶ μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν ἡ τῷ Θεῷ ἀνακειμένη ψυχὴ ἀνεξάλειπτον ἕξει τὸ παρὰ τοῦ Θεοῦ ἔλεος. δοκεῖ δὲ ἀντικεῖσθαι τὸ ὑπὸ τοῦ Ἱερεμίου εἰρημένον οὕτως· ἀποδιδοὺς ἁμαρτίας πατέρων εἰς κόλπον τέκνων αὐτῶν μετ' αὐτούς. εἰ γὰρ μετ' αὐτοὺς, οὐκ ἔτι διὰ τὸ αὐτοὺς τιμωρεῖσθαι· ἐκτὸς εἰ μή τις ἐκλάβοιτο τὸ, μετ' αὐτοὺς, οὐχὶ μετὰ τὸν

Α θάνατον αὐτῶν, ἀλλὰ μετὰ τὴν προτέ-
ραν αὐτῶν τιμωρίαν, ἥτις ἦν πρὸ τῆς διὰ
τῶν τέκνων. ὁ Διονύσιος (1) δὲ ἐν μιᾷ
τῶν περὶ μετανοίας ἐπιστολῶν τροπικώτε-
ρον ἐξείληφε τὰ κατὰ τοὺς τόπους. οἷον,
» ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα,
ἀντὶ τοῦ, ἀποδιδοὺς τὰς τιμωρίας τῶν προ-
τέρων ἁμαρτιῶν ἐπὶ τὰς δευτέρας. περὶ
» δὲ τοῦ, οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ Δευτ. 24. 16.
» υἱῶν, λεκτέον, ὅτι ὁ νομοθετῶν, καὶ μά-
Β λιστα Θεὸς, ἑτέροις νομοθετεῖ, καὶ οὐχ
ἑαυτῷ· ἐπεὶ μηδὲ ὁμοίως ἀνθρώποις πο-
» λιτεύεται. πῶς γὰρ τὸ, οὐ ποιήσεις σεαυ-
τῷ εἴδωλον, ἑαυτῷ ἐνομοθέτει, ἅτε τῶν
» ὅλων αὐτὸς ὢν Θεός; ἢ τὸ, οὐ πορνεύσεις,
» ἄσαρκος ὢν καὶ ἀσώματος; ἢ τὸ, οὐ κλέ-
ψεις, τῶν πάντων Κύριος ὑπάρχων; διὸ
» καὶ τὸ, οὐκ ἀποθανοῦνται, παρ' ἀνθρώποις
νομοθετεῖ, διὰ τὸ τὰ ἐν ποσὶ μόνα οἵους τε
εἶναι κρίνειν, οὐ μὴν καὶ παρ' αὐτῷ. ὃς
Γ πάντων οἶδε μόνος καὶ τὰς διανοίας, καὶ
τὰς αἰτίας, δι' ἃς ἀποκτείνει οὓς βούλεται,
κἂν μὴ ἁμάρτωσι, καὶ ζωοποιεῖ ὁμοίως.
» ὡς εἰκότως ἂν περὶ αὐτοῦ εἰρῆσθαι, τὰ κρί- Ψαλ. 35. 6.
» ματά σου ἄβυσσος πολλὴ, καὶ ἑξῆς. περὶ
δὲ τῶν ἐν τῷ Ἰεζεκιὴλ εἰρημένων, λεκτέον,
ὅτι οὐ περὶ κοινοῦ θανάτου λέγει, οὐδὲ περὶ
κοινῆς ζωῆς· ἀλλὰ θάνατον, ὃν ἀποθνή-
σκουσι τῷ Θεῷ οἱ ἁμαρτάνοντες. περὶ οὗ
» φησὶ, θάνατος ἁμαρτωλῶν πονηρός. εἰ Ψαλ. 33. 21.
Δ γὰρ περὶ τοῦ κοινοῦ θανάτου, ἢ τῆς κοινῆς
ζωῆς ὁ λόγος ἦν τῷ Προφήτῃ, ἐναντίον
» ἂν εἴη τὸ εἰρημένον ἀλλαχοῦ· ἵνα τί δὲ Ἰώβ. 21. 7.
» ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ ἐν πλού-
τῳ; τὸ δὲ αὐτὸ ἄτοπον ἔσται καὶ ἐπὶ τοῦ
» θανάτου τῶν ἁγίων· ἐπειδὴ, ἐλιθάσθη- Ἑβρ. 11. 37.
» σαν, ἐπρίσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέ-
» θανον. ζητήσεις καὶ περὶ τοῦ, καὶ ὑμεῖς Ματθ. 23. 32,
» ἐπληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν· 36.
» καὶ, ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν
Ε » ταύτην· καὶ, οὔπω γὰρ ἀναπεπλήρωνται Γεν. 15. 16.
» αἱ ἁμαρτίαι τῶν Ἀμοῤῥαίων. καὶ μήποτε
οὕτω δεῖ ἀκούειν καὶ ταῦτα; οἷον, οἱ μὲν
πατέρες ὑμῶν εἰ καὶ ἥμαρτον, ὦ Ἰσραη-
λῖται· οἷον, Κάϊν φονεύσας τὸν ἀδελφὸν
Ἄβελ, καὶ Ἀμὼς τὸν Ζαχαρίαν· ἀλλ' οὐκ
ἐπὶ τὸ πέρας τῶν ἁμαρτημάτων ἦλθον,
οὐδὲ τὸ μέτρον ἀνεπλήρωσαν, τουτέστι τῷ
τὰς χεῖρας ἐπιβαλεῖν τῷ Χριστῷ, ὥσπερ
ὑμεῖς. τὸ δὲ αὐτὸ καὶ περὶ τῶν Ἀμοῤ-
Ζ ῥαίων λεκτέον. κατασκευάσεις δὲ πῶς
πληροῦται τὸ μέτρον τῶν ἁμαρτημάτων
ἀπὸ δείγματος. οἷον, νόμος ἐστὶ παλαιὸς
ἐν ἀγῶνι, τὸν τρὶς καταβαλλόμενον ὑπὸ
τοῦ ἀντιπάλου, τὴν τελείαν ἧτταν ἔχειν·
κἂν μὲν τὸ πρῶτον καταβληθῇ, ἡττήθη
μὲν, ἀλλ' οὐ τελείως· κἂν τὸ δεύτερον,
ὡσαύ-

(1) Ὁ Ἀρεοπαγίτης ἐν τῇ πρὸς Δημόφιλον ἐπιστολῇ τάδε λέγει· ἢ τὴν διπλῆν ἁμαρτίαν, ὡς τὰ λόγια φησὶ, κατὰ τοὺς ἀσεβεῖς ἁμαρτάνομεν· ἅπερ τοῖς τοῦ Ἀκακίου οὐ πάνυ συνᾴδει. ἴσως οὖν Διονύσιον, τὸν Κορίνθου φησὶ, τὸν περὶ τὸ 170 ἔτος ἀκμάσαντα (Φαβρίκ. ἐν βιβλ. 5. κεφ. 1. σελ. 191. τῆς Ἑλλην. βιβλιοθήκ.) καὶ διαφόρους ἐπιστολὰς συγγεγραφότα. ἐν αἷς καὶ τὴν τῇ Ἐκκλησίᾳ τῇ παροικούσῃ Ἄμαστριν. ἐν ᾗ καὶ τοὺς ἐξ οἵας δ' οὖν ἀποπτώσεως, εἴτε πλημμελείας, εἴτε μὴν αἱρετικῆς πλάνης ἐπιστρέφοντας, δεξιοῦσθαι προστάττει, ὡς μαρτυρεῖ Εὐσέβιος ἐν τῷ 23. κεφ. τοῦ 4. περὶ Ἐκκλησιας. ἱστορ. βιβλ. ἢ τὸν Ἀλεξανδρείας (τὰ περὶ τούτου εὑρήσεις ἐν τῇ ἀρχῇ τῆσδε τῆς βιβλ.) καὐτὸς γὰρ περὶ μετανοίας τοῖς Αἰγυπτίοις ἔγραψε.

ὡσαύτως· εἰ δὲ τὸ τρίτον, τελείως ἡττή-
θη. οὕτως οὖν νομιστέον καὶ πάσας τὰς γε-
νεὰς, οἷον ἀθλητήν τινα εἶναι.

ΩΡΙΓΕΝΟΥΣ. Τίνα τοῦτο τὸ ῥητὸν οὐκ
ἐτάραξεν; εἰ ἥμαρτε μὲν ὁ πατὴρ, ὁ δὲ
υἱὸς καὶ ἡ τρίτη καὶ τετάρτη γενεὰ ἀπο-
λαμβάνει τὴν ἁμαρτίαν. καὶ οὕτως ἐτά-
ραξεν, ὡς τοὺς μὲν κατηγορῆσαι καὶ τοῦ
δεδωκότος τοὺς νόμους Θεοῦ· τοὺς δὲ οὐ κατη-
γορῆσαι μὲν, ἀληθῶς δὲ ἐλπίζειν τοιαῦ-
τά τινα καὶ προσδοκᾶν, ὅτι τὰ ἁμαρτή-
ματα αὐτῶν οἱ υἱοὶ ἀπολαμβάνουσιν. Ἰου-
δαῖοι ταῦτα νομίζουσιν, οὐκ ἀναπλάττοντες
ἄλλον Θεόν. Σαμαρεῖς ταῦτα ὑπολαμβά-
νουσιν, ὡς καὶ αὐτοὶ δοξάζοντες μετεσχη-
κέναι τοῦ ἑνὸς Θεοῦ. οἱ ἀπὸ τῶν αἱρέσεων
οὐκ ἀρεσκόμενοι τῷ ἀγαθὸν ἢ δίκαιον εἶναι
Θεὸν δύνασθαι, τὸν ἀποδιδόντα ἁμαρτίας
πατέρων εἰς κόλπον τέκνων αὐτῶν, λέγου-
σιν, ὅτι ὁ τοῦ νόμου Θεὸς οὐκ ἔστι δίκαιος, οὐκ
ἔστιν ἀγαθὸς, ἀποδιδοὺς τὰ ἁμαρτήματα
[τῶν πατέρων] ἐπὶ τοὺς υἱούς· ἀλλὰ τίς
ἐστιν ἐκείνου μείζων Θεός. ὁ δὲ ἐκκλησιαστι-
κὸς, οὔτε ὡς Ἰουδαῖος σωματικῶς ἀκούει τῶν
λεγομένων, οὔτε ὡς αἱρετικὸς ἀναπλάσσει
ἄλλον, ἀλλ' ἕστηκεν ἀμφοτέρων μέσος, καὶ
λέγει, καλῶς μὲν ταῦτα γεγράφθαι, οὐκ
οἶδα δὲ τῶν γεγραμμένων τὸν νοῦν. ἀνατεί-
νατε οὖν τὰς διανοίας πάντες, καὶ αἰτή-
σασθε τὸν Θεὸν, ἵνα ὑμῖν ἀποκαλύψῃ, ὡς
ἀγαθός ἐστιν ὁ ἀποδιδοὺς ἁμαρτίας πατέ-
ρων ἐπὶ τέκνα. τίνες οἱ πατέρες; φέρε
τὰς Γραφὰς μάρτυρας. ἐξετασθήτω τὰ
λόγια τὰ ἱερά· λέγει ὁ σωτὴρ καὶ Κύριος
Ἰωάν. 8. 44. Ἰησοῦς Χριστὸς τοῖς ἁμαρτάνουσιν, ὅτι ὑμεῖς
„ ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ· καὶ τὰς
„ ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν.
„ ἐκεῖνος ἀνθρωποκτόνος ἐστὶν ἀπ' ἀρχῆς,
„ καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν. οὐκοῦν εἴ τις
ἁμαρτάνει ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὶ,
καὶ διὰ τοῦτο τὸ ἁμάρτημα τοῦ διαβόλου
ἔφθασεν ἐπὶ τὸν υἱόν. πλὴν ἐκεῖνός ἐστιν ὁ
πρῶτος ἁμαρτωλὸς, ὁ ὑποβαλών μοι τὸ
ἁμάρτημα· ἐγὼ [δέ] εἰμι ὁ δεύτερος ἁμαρ-
τωλὸς, ὁ μὴ ἐκβαλὼν τὸ βούλημα αὐτοῦ,
ἀλλὰ παραδεξάμενος αὐτοῦ τὴν ἐνέργειαν·
Ἐφεσ. 6. 16. δέον με εἶναι καθωπλισμένον τὴν πανο-
πλίαν τοῦ Θεοῦ, καὶ ἔχοντα τὸν θυρεὸν τῆς
πίστεως, ἵνα πάντα τὰ βέλη τοῦ πονηροῦ
τὰ πεπυρωμένα σβεσθῇ ἐν τῷ θυρεῷ τῆς
πίστεώς μου. ἐὰν οὖν ἁμαρτάνω, ποιῶ τὰ
τοῦ διαβόλου βεβληκότος εἰς τὴν καρδίαν,
ἵνα τόδε τὸ ἁμάρτημα, ἢ τόδε ποιήσω.
πρῶτον παραδέχομαι αὐτοῦ τὸ βέλος, καὶ
ὅταν παραδέξωμαι αὐτὸ, τότε καὶ αὐτὸν
παραδέχομαι. καὶ γὰρ ἐπὶ τοῦ Ἰούδα τοῦτο
γέγραπται, ὅτι οὐ πρῶτον εἰσῆλθεν ὁ Σα-
τανᾶς εἰς αὐτὸν, ἀλλὰ πρῶτον τοῦ διαβόλου
βεβληκότος εἰς τὴν καρδίαν, ἵνα παρα-
Ἰωάν. 13. 27. δῷ αὐτὸν Ἰούδας Σίμων ὁ Ἰσκαριώτης, εἶτα
„ μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς αὐτὸν ὁ Σα-
„ τανᾶς. οὐκοῦν ἔχω πατέρα, εἰ μὲν ἅγιός
εἰμι, Θεόν· εἰ δὲ ἁμαρτωλός εἰμι, τὸν διά-
βολον ἔχω πατέρα· ἀλλὰ καὶ τὸν προσε-
χῶς ἐνεργήσαντα, φέρ' εἰπεῖν ἀντίχριστον,

A ἢ ἄγγελόν τινα τοῦ διαβόλου, ἢ δαιμόνιον
δὲ, οὗ τὴν ἐνέργειαν παρεδεξάμην. καὶ
ἁπαξαπλῶς εἰσί μοι πατέρες μυρίοι, ἐὰν
γένωμαι ἁμαρτωλός· ὥσπερ πάλιν ἐὰν γέ-
νωμαι δίκαιος, πατήρ μου ἐστὶν ὁ Θεὸς, κα-
„ θά φησιν ὁ Σωτήρ· τεκνία, ἔτι μικρὸν μεθ' Ἰωάν. 13. 33.
„ ὑμῶν εἰμί. καὶ πάλιν, θύγατερ ἡ πίστις σου Ματθ. 9. 22,
„ σέσωκέ σε. καὶ πάλιν, τέκνον ἀφέονταί σου 2.
„ αἱ ἁμαρτίαι. οὕτως οἶδα καὶ ἄλλους πατέ-
ρας, κατὰ τὸ εἰρημένον τῷ Ἀβραάμ· σὺ
B „ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου, οὐ πρὸς Γεν. 15. 15.
τοὺς κατὰ σάρκα πατέρας· οὐ γὰρ ἦσαν
πιστοὶ, οὐκ ἦσαν ἅγιοι, ὡς δῆλον ἐκ τῆς ἱστο-
ρίας τῆς γεγραμμένης περὶ αὐτῶν. εἰ γὰρ
ἦν ἅγιος αὐτοῦ ὁ πατὴρ, οὐκ ἂν ἐλέγετο
„ αὐτῷ, ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τοῦ Γεν. 12. 1.
„ οἴκου τοῦ πατρός σου. ἔχει γὰρ ὁ λόγος τὸ
σωματικὸν, ἔχει καὶ τὸ πνευματικόν. εἰ
νενόηκας τοὺς πατέρας, ὅρα λοιπὸν ὅ, τι
ἀπολαμβάνεις σὺ ὁ παραδεξάμενος τὴν
Γ ἐνέργειαν, διὰ τὸ ἡμαρτηκέναι, γενόμενος
ὑπὸ τοῦ διαβόλου, ἤ τινος τῶν ὑπ' αὐτὸν
πνευμάτων. γενόμενος οὖν ἐκείνων υἱὸς,
ἀπολαμβάνεις ἀπὸ ἀγαθοῦ Θεοῦ σε ἐπισκε-
πτομένου. οὐ γὰρ ἐπισκέπτεται τὸν πατέ-
ρα σου, ἀλλ' ἐπισκέπτεταί σε, καὶ λέγει σοι,
„ ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ Ψαλ. 44. 10.
„ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τὰ
ἑξῆς. καὶ ἐπισκοπῶν σε, ἐκεῖνο τὸ ἁμάρ-
τημα ὃ ὑπέβαλέ σοι ὁ διάβολος πατὴρ,
Δ ἀποδίδωσί σοι ὡς ἀγαθός. ἐπισκέπτεται
γάρ σε τὸν υἱὸν τοῦ πονηροῦ πατρὸς, τὰ
„ ἁμαρτήματα ἀποδιδούς. ἐπισκέψομαι οὖν Ψαλ. 88. 32,
„ ἐν ῥάβδῳ τὰς ἀνομίας ὑμῶν τῶν ἁγίων· 33.
„ ἐπισκέψομαι δὲ καὶ ἐν μάστιξι τὰς ἀδι-
„ κίας αὐτῶν. διὰ τί; ἵνα τὸ ἔλεός μου μὴ
„ διασκεδάσω ἀπ' αὐτῶν. ὅτε γὰρ καταλί-
πῃ τινὰ, οὐκ ἔτι αὐτὸν οὔτε κολάζει, οὔτε
μαστιγοῖ. μαστιγοῖ δὲ οὐ πάντας, ἀλλὰ πάν- Παροιμ. 3. 12.
„ τα υἱὸν ὃν παραδέχεται Κύριος. καὶ λέγε-
E ται ἐν τῷ Προφήτῃ περὶ τῶν πάνυ ἁμαρ-
„ τωλῶν, οὐκ ἐπισκέψομαι ἐπὶ τὰς θυγατέ- Ὠσ. 4. 14.
„ ρας ὑμῶν ὅταν πορνεύσωσι, καὶ ἐπὶ τὰς
„ νύμφας ὑμῶν ὅταν μοιχευθῶσι. τοσοῦτον
χρόνον ὁ διάβολος ἁμαρτάνει ἀπὸ κτίσεως
καὶ καταβολῆς κόσμου, καὶ οὔτε πῦρ, οὔτε
μάστιξ. οὐ γὰρ ἄξιός ἐστι τῶν κολάσεων τῶν
ἀπὸ Θεοῦ. οὐ γὰρ δύναται εἰπεῖν ὁ διάβο-
„ λος, Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, Ψαλ. 6. 1.
καὶ τὰ ἑξῆς. ἕκαστος οὖν συνειδὼς ἑαυτῷ
Z ἁμαρτίαν, εὐχέσθω κολασθῆναι. καλὸν
γὰρ τὸ μηδὲν ἄξιον κολάσεως πεποιηκέ-
ναι. εἰ δέ τι ἄξιον κολάσεως πεποιήκα-
μεν, οὕτω κολασθῶμεν, ὥστε ἐνθάδε μὲν
ἀπολαβεῖν; μετὰ δὲ ταῦτα εἰς [τοὺς] κόλ-
πους Ἀβραὰμ ἀναπαύσασθαι.

ΘΕΟΦΙΛΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ. Αἱ
γὰρ αὐστηραὶ τιμωρίαι, τὰς ῥοώδεις τῶν
κακῶν πολλάκις ἴσασιν ἐπιδρομὰς ἀνα-
H στέλλειν.

ϛ. Καὶ ποιῶν ἔλεος εἰς χιλιάδας
τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσου-
σι τὰ προστάγματά μου.

ΣΕΥΗ-

ΣΕΥΗΡΟΥ. Πρόσεχε ἀκριβῶς, ὅτι τὴν μὲν τιμωρίαν ἐπὶ τετάρτης γενεᾶς ἥπλωσε, τὴν δὲ φιλανθρωπίαν εἰς χιλίας.

ζ. Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ Κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

** ΚΛΗΜΕΝΤΟΣ. Ὁ δεύτερος (1) δὲ ἐμήνυε λόγος, μὴ δεῖν λαμβάνειν, μηδὲ ἐπιφέρειν τὸ μεγαλεῖον κράτος τοῦ Θεοῦ, ὅπερ ἐστὶ τὸ ὄνομα· τοῦτο γὰρ μόνον ἐχώρουν καὶ ἔτι νῦν οἱ πολλοὶ μαθεῖν· μὴ φέρειν τούτου τὴν ἐπίκλησιν ἐπὶ τὰ γενητὰ καὶ μάταια. ἃ δὴ οἱ τεχνῖται τῶν ἀνθρώπων πεποιήκασι. καθ' ὧν ὁ Ὢν οὐ τάσσεται· ἐν ταυτότητι γὰρ ἀγεννήτῳ αὐτὸς μόνος.

ΚΥΡΙΛΛΟΥ. (2) Τοῦτό τινες ἔδρων ξύλοις τε καὶ λίθοις τὴν τοῦ Θεοῦ κλῆσιν ἀνάπτοντες, καὶ τὸ ὑπὲρ πᾶν ὄνομα κατακομίζοντες ἀμαθῶς εἰς ἀνθρωπίνης χειρὸς φιλοτέχνημά τε καὶ πόνον.

** ΑΘΑΝΑΣΙΟΥ. Εἰ γὰρ ὅλως ἄξιος τυγχάνει τὶς ὀνομάσαι τὸν Θεὸν, ἀξιόπιστός ἐστι καὶ χωρὶς ὅρκου πιστευθῆναι. ὁ γὰρ πρὸς τὸ μεῖζον ἱκανὸς γενόμενος, πολλῷ πλέον πρὸς τὸ ἔλαττον γένοιτ' ἂν ἱκανός. εἰ δὲ μή ἐστιν ἀξιόπιστος χωρὶς ὅρκου πιστευθῆναι, οὐκ ἔστιν ἄρα ἄξιος οὐδὲ ὀνομάσαι τὸ ὄνομα Κυρίου.

" ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, οὐ λήψῃ τὸ " ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ; Τινές φασιν ἀπαγορεύειν [τὸ ἐπιθεῖναι] τοῖς A ματαίοις, [τουτέστι τοῖς] εἰδώλοις τὴν τοῦ Θεοῦ προσηγορίαν· τινὲς δὲ, τὸ ὀμωμοκότα ψεύσασθαι. ἐγὼ δὲ οἶμαι, τὸν θεῖον παρακελεύεσθαι νόμον, δίχα διδασκαλίας, ἢ προσευχῆς, ἢ ἀναγκαίας τινὸς χρείας, τὴν θείαν μὴ προφέρειν προσηγορίαν. καὶ γὰρ εἰώθασί τινες, καὶ παίζοντες, καὶ γελῶντες, προφέρειν ὡς ἔτυχε διὰ τῆς γλώττης τὸ σεβάσμιον ὄνομα. τοῦτο οἶμαι τὸν θεῖον νόμον ἀπαγορεύειν. εἰ γὰρ τὴν πολυτελε- B στέραν ἐσθῆτα ταῖς ἑορταῖς φυλάττειν εἰώθασιν οἱ πολλοὶ, πολλῷ μᾶλλον τὸ θεῖον ὄνομα προσευχαῖς καὶ διδασκαλίαις ἀφιεροῦν δίκαιον.

η. Μνήσθητι τὴν ἡμέραν τῶν σαβ-
θ. βάτων ἁγιάζειν αὐτήν. Ἓξ ἡμέρας
ἐργᾷ, καὶ ποιήσεις πάντα τὰ ἔργα-
ι. σου. Τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ, σάβ-
βατα Κυρίῳ τῷ Θεῷ σου. οὐ ποιήσεις
Γ ἐν αὐτῇ πᾶν ἔργον σὺ, καὶ ὁ υἱός σου,
καὶ ἡ θυγάτηρ σου, καὶ ὁ παῖς σου,
καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου, καὶ τὸ
ὑποζύγιόν σου, καὶ πᾶν κτῆνος, καὶ ὁ
ια. προσήλυτος ὁ παροικῶν ἐν σοί. Ἐν
γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τὸν
οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν
καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατέ-
Δ παυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. διὰ
τοῦτο εὐλόγησε Κύριος τὴν ἡμέραν
τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν.

** ΚΛΗΜΕΝΤΟΣ. Τρίτος δέ ἐστι λόγος, ὁ μηνύων γεγονέναι πρὸς τοῦ Θεοῦ τὸν κόσμον,

(1) Ἰστέον, ὅτι ἡ τοῦ Κλήμεντος τῆς δεκαλόγου διαίρεσις (ἡ ἐν τῷ 6. στρωμ.) ἤτοι ἐλλειπής ἐστιν, ἢ ἐλλειπὴς ἅμα τε καὶ ταῖς τῶν ἄλλων ἀσύμφωνος. εἰ μὲν γὰρ ὁ παρ' αὐτῷ δεύτερος λόγος, τρίτος ληφθῇ, καὶ ὁ τρίτος τέταρτος, ἐλλείπει μόνον αὐτῇ ἥτε δευτέρα περὶ τῶν εἰδώλων ἐντολὴ, καὶ ἡ περὶ ψευδομαρτυρίας ἐννάτη· εἰ δ' ὁ δεύτερος δεύτερος, καὶ ὁ τρίτος τρίτος, καὶ ἡ ἀνομοιότης συμπαρομαρτεῖ τῇ ἐλλείψει. ὁ μὲν γὰρ Φίλων ὁ Ἑβραῖος. (ἐν τῷ περὶ τοῦ τίς ὁ τῶν θείων πραγμ. κληρονομ. λόγ. σελ. 504.) οὕτω τὴν δεκάλογον διεῖλε· Πρῶτός ἐστι θεσμὸς ὁ ἐναντιούμενος τῇ πολυθέῳ δόξῃ - - - Δεύτερος δὲ περὶ τοῦ μὴ θεοπλαστεῖν τὰ μὴ αἴτια - - - Τρίτος δὲ ὁ περὶ ὀνόματος Κυρίου - - - Τέταρτος δὲ περὶ τῆς ἀειπαρθένου καὶ ἀμήτορος ἑβδομάδος - - - Πέμπτος δὲ ὁ περὶ γονέων τιμῆς - - - ἀπαγόρευσις Μοιχείας, (προτάττει τοῦ φόνου τὴν μοιχείαν, ᾧ καὶ ὁ Κλήμης ἕπεται) Ἀνδροφονίας, Κλοπῆς, Ψευδομαρτυρίας, Ἐπιθυμίας. Ὁ δὲ Ἰώσηπος (ἐν τῷ 4. κεφ. τοῦ περὶ Ἰουδ. Ἀρχ. 3. βιβλ.) οὕτω· Διδάσκει μὲν οὖν ἡμᾶς ὁ Πρῶτος λόγος, ὅτι Θεός ἐστιν εἷς, καὶ τοῦτον σέβεσθαι μόνον· ὁ δὲ Δεύτερος κελεύει, μηδενὸς εἰκόνα ζώου ποιήσαντας προσκυνεῖν· ὁ Τρίτος δὲ, ἐπὶ μηδενὶ φαύλῳ τὸν Θεὸν ὀμνύναι· ὁ δὲ Τέταρτος, παρατηρεῖν τὰς ἑβδομάδας ἀναπαυομένους ἀπὸ παντὸς ἔργου· ὁ δὲ Πέμπτος, γονεῖς τιμᾶν· ὁ δὲ Ἕκτος, ἀπέχεσθαι φόνου· ὁ δὲ Ἕβδομος, μὴ μοιχεύειν· ὁ δὲ Ὄγδοος, μὴ κλοπὴν δρᾶν· ὁ δὲ Ἔννατος, μὴ ψευδομαρτυρεῖν· ὁ δὲ Δέκατος, μηδενὸς ἀλλοτρίου ἐπιθυμίαν λαμβάνειν. ὁ δὲ θεῖος Ἀθανάσιος (ἐν τῇ συνόψ. τῆς Γραφ.) ὁμοίως· Περιέχει δὲ τοῦτο τὸ βιβλίον - - - - καὶ τὰς ἐν πλαξὶ δέκα ἐντολὰς ταύτας. Πρώτην, ἐγώ εἰμι Κύριος ὁ Θεός σου· Δευτέραν, οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα· Τρίτην, οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· Τετάρτην, μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων· Πέμπτην, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου· Ἕκτην, οὐ φονεύσεις· Ἑβδόμην, οὐ μοιχεύσεις· Ὀγδόην, οὐ κλέψεις· Ἐννάτην, οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ· Δεκάτην, οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐθ' ὅσα τῷ πλησίον σου ἐστί· ὡσαύτως δὲ καὶ ὁ Θεολόγος Γρηγόριος, τοῖς δε τοῖς χρυσοῖς ἔπεσι.

Τοὺς δὲ νόμους ἐχάραξε Θεὸς δέκα ἔν ποτε πλαξὶ
Λαϊνέαις, σὺ δέ μοι ἔγγραφε σῇ κραδίῃ.
Οὐ γνώσῃ Θεὸν ἄλλον, ἐπεὶ σέβας οἶον ἑνός γε.
Οὐ στήσεις ἴνδαλμα κενὸν, καὶ ἄπνοον εἰκώ.
Οὔποτε μαψιδίως μνήσῃ μεγάλοιο Θεοῖο.
Σάββατα πάντα φύλασσε μετάρσια καὶ σκιόεντα.
Ὄλβιος, ἣν τοκέεσσι φέρῃς χάριν, ἣν ἐπέοικε.
Φεύγειν ἀνδροφόνον παλάμης ἄγος, ἀλλοτρίης τε
Εὐνῆς· κλεπτοσύνην τε κακόφρονα· μαρτυρίην τε
Ψευδῆ, ἀλλοτρίων τε πόθον, σπινθῆρα μόροιο.

(2) Τῷ Νύσσης ψευδῶς ἐπιγράφει ὁ κώδ.

κόσμον, καὶ δεδωκέναι ἀνάπαυσιν ἡμῖν τὴν ἑβδόμην ἡμέραν, διὰ τὴν κατὰ τὸν βίον κακοπάθειαν. Θεὸς γὰρ ἄκμητός τε καὶ ἀπαθὴς, καὶ ἀπροσδεής. ἀναπαύλης δὲ ἡμεῖς οἱ σαρκοφοροῦντες δεόμεθα. ἡ ἑβδόμη τοίνυν ἡμέρα, ἀνάπαυσις κηρύσσεται, ἀποχὴ κακῶν, ἑτοιμάζουσα τὴν ἀρχέγονον ἡμέραν, τὴν τῷ ὄντι ἀνάπαυσιν ἡμῶν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τὸ σάββατον τῇ ἀργίᾳ τετίμηκε; Φιλανθρωπίαν τὸν λαὸν ἐξεπαίδευσε. ἐπήγαγε γὰρ, ἵνα ἀναπαύσηται ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου, καὶ τὸ ὑποζύγιόν σου, καὶ πᾶν κτῆνος, καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί.

✱ ΤΟΥ ΑΥΤΟΥ. Καὶ διατὶ μὴ ἐν ἄλλῃ ἡμέρᾳ τοῦτο γίνεσθαι προσέταξε; Τοῦτο ἄν τις εἴπε καὶ περὶ ἄλλης ἡμέρας, τί δήποτε ταύτην ἐξελέξατο, καὶ οὐχ ἑτέραν; εἶχε δὲ ὅμως αὕτη λόγον τινὰ, πεῖσαι δυνάμενον τὴν τῶν Ἰουδαίων ὠμότητα, τὸ τὸν τῶν ὅλων Θεὸν ἐν ἓξ ἡμέραις τὰ πάντα δημιουργῆσαι, ἐν δὲ τῇ ἑβδόμῃ μηδὲν ποιῆσαι, εὐλογίᾳ δὲ ταύτην τιμῆσαι. τοῦτο γὰρ ἔφη Μωϋσῆς, ὅτι ἐν ἓξ ἡμέραις ἐποίησε Κύριος ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἡγίασεν αὐτήν.

ΚΥΡΙΛΛΟΥ. Καταριθμίζει λοιπὸν τὰ ἀνθρώπινα, καὶ ὥσπερ τινὰ κανόνα πρὸς τὸ εὐθὺ τῆς ἁπάντων πολιτείας ὁρίζει τὸν νόμον. ἁπάσης δὲ ἡμᾶς ἐξίστησιν ἁμαρτίας, τὸν τῆς ἐν Χριστῷ δικαιοσύνης, καὶ πρό γε τῶν ἄλλων, κατασημαίνων καιρόν· καθ᾽ ὃν ἡ τελειοτάτη λύτρωσις, καὶ ἡ τῆς φαυλότητος καταφθορὰ, καὶ ἀναμόρφωσις εἰς τὸ ἀπ᾽ ἀρχῆς, καὶ ζωῆς ἀνακαινισμὸς τῆς ἐν ἁγιότητι καὶ φιλοθεΐᾳ. τοιγάρτοι φησὶ, μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων ἁγιάζειν αὐτήν.

ΤΟΥ ΑΥΤΟΥ. Τὸ σάββατον τελευταία τῆς ἑβδομάδος ὑπάρχον [ἡμέρα,] κατασημαίνειεν ἂν οἶμαί που τὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας καιρόν. ὃς πέφηνε μὲν ἐπὶ συντελείᾳ, καὶ μονονουχὶ πρὸς αὐταῖς ἤδη ταῖς τοῦ παρόντος αἰῶνος δυσμαῖς. ἀρχὴ δὲ καὶ θύρα καὶ ὁδὸς ἡμῖν ἐγεγόνει εἰς ἀπόνιψιν ἁμαρτίας, εἰς ἐλευθερίαν καὶ ἄφεσιν, εἰς ἀφθαρσίαν [καὶ] εἰς ζωὴν, καὶ εἰς ἐλπίδα τὴν μέλλουσαν. πολυτρόπως δὲ ἡμῖν τὸν ἐν Χριστῷ νοούμενον σαββατισμὸν καὶ ἡ τῶν ἱερῶν γραμμάτων αἰνίττεται πίστις· ὁτὲ μὲν, τὴν ἐν αὐτῷ κατάληξιν, τὴν ὡς ἐξ ἁμαρτιῶν καταγράφουσα, καὶ τὴν ὅτι μάλιστα πικρὰν καὶ ἀπηνῆ τοῦ παραβαίνοντος καθαρίζουσα δίκην· ὁτὲ δὲ, τὴν ἐν αὐτῷ λύτρωσιν καὶ ἄφεσιν, εἰς ἐλευθερίαν, καὶ μὴν [καὶ] εὐτρεπισμὸν [τὸν] εἰς τὸν αἰῶνα τὸν μέλλοντα τυπικῶς ὑποφαίνουσα. διὰ πίστεως γὰρ τῆς ἐν Χριστῷ νοουμένης πνευματικῶς σαββατίζομεν, τῶν ἐν τῷδε τῷ κόσμῳ περισπασμῶν ἀπολήγοντες, καὶ περιφορᾶς εἰκαίας ἀποπαυόμενοι, καὶ φαυλότητος ἀπονοσφιζόμενοι, καὶ τὸν τῆς ἁμαρτίας διεκδύντες ζυγὸν. ἀνείμεθα λοιπὸν εἰς ἐλεύθερον ἁγιασμόν. Καὶ μετ᾽ ὀλίγα. Καίτοι πῶς οὐκ ἀληθὲς, ὡς εἴπερ ἐστὶν ὁ σαββατισμὸς τὸ μόνον ἀργεῖν ἐν σαββάτῳ; πῶς οὐκ εἰσῆλθεν εἰς τὴν κατάπαυσιν Ἰσραὴλ, καίτοι τὴν ἐν σαββάτῳ τηρήσας ἀργίαν; ἀλλ᾽ ἦν εἰς τύπον τὸ χρῆμα τῆς εἰς Χριστὸν καταπαύσεως, καὶ τοῦ καταλήξειν ἐξ ἁμαρτίας δικαιουμένου ἐν πίστει. Καὶ μετ᾽ ὀλίγα. [Μνήσθητι, φησὶ, τὴν ἡμέραν τῶν σαββάτων ἁγιάζειν αὐτήν.] ἀποπεραίνομεν δὲ τοῦτο καὶ λίαν ἐπιεικῶς, εἰ ἁγίων ἔργων ἐπιμεληταὶ φανοίμεθα, σαββατίζοντες νοητῶς. Καὶ μεθ᾽ ἕτερα. Προσθείην δ᾽ ἂν, ὅτι [τῶν] εἰς ἀνδρείαν τὴν πνευματικὴν, καὶ τοῦ συντρίβειν ἐχθροὺς, καὶ νικᾶν ἐν Χριστῷ τοὺς ἀνθεστηκότας, οὐκ ἂν καταλήξαιμεν εἰκότως, νοητῶς σαββατίζοντες. εἰκόνα δέ σοι παροίσω πάλιν τὸν ἀρχαῖον ἐκεῖνον Ἰησοῦν ὁμοῦ τοῖς ἐξ Ἰσραὴλ ᾑρηκότα τὴν Ἱεριχὼ κατὰ τὴν ἑβδόμην ἡμέραν, τουτέστιν ἐν τῷ σαββάτῳ.

✱ ΤΟΥ ΑΥΤΟΥ. Ἀποπαύεσθαι μὲν ἔργου παντὸς, ἀνίεσθαι δὲ, [καὶ] ἀνάπαυσιν ἐπιτηδεύειν ἐν αὐτῷ, τὴν ἐπὶ τέλει τῶν αἰώνων ἐσομένην τοῖς ἁγίοις ἀνάπαυσίν τε καὶ τρυφὴν διὰ τούτου δηλῶν· ὅτε τῆς ἐν κόσμῳ καταλήξαντες ζωῆς, καὶ τοὺς ἐπὶ ταῖς ἀγαθουργίαις ἱδρῶτας ἀπονιψάμενοι, τὸν ἄπονόν τε καὶ καμάτου δίχα διαζήσονται βίον [οἱ] ἐν Χριστῷ.

ΣΕΥΗΡΟΥ. Τοῦτο σαφηνίζων ἐν ἑτέρῳ τόπῳ, φησὶ, πᾶν ἔργον οὐ ποιήσετε, πλὴν Ἐξόδ. ιβ. 16. ὅσα ποιηθήσεται πάσῃ ψυχῇ. τούτῳ μόνον τῷ τρόπῳ καὶ ἡ περιτομὴ πρὸς ψυχῆς ὠφέλειαν ὁρῶσα, καὶ πνευματική τις οὖσα πρᾶξις ἐνηργεῖτο καὶ μάλα δικαίως. ὁ γὰρ περιτεμνόμενος, τὸν ἐξ ἡδονῆς καὶ ὕπνου φθειρόμενον ἄνθρωπον ἀποτίθεται τῇ τῆς ἀκροβυστίας ἀποβολῇ, τύπον ἐπεχούσῃ τοῦ ἁγίου βαπτίσματος. ἐν ᾧ τὸν παλαιὸν ἄνθρωπον ἀποδυόμενοι, τὸν πνευματικὸν καὶ νέον ἀμφιεννύμεθα, Χριστὸν ἐνδυόμενοι.

ΤΟΥ ΑΥΤΟΥ. Ὁ βοῦς εἰς τὸν Ἰσραὴλ νοεῖται, τὸ καθαρὸν ζῶον καὶ διχηλοῦν τὴν ὁπλήν. ἦν γὰρ διδαχθεὶς ἐκ τοῦ νόμου διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος, καὶ ἀνάγειν μηρυκισμόν. κατήσθιε γὰρ καὶ ἀνεμασσᾶτο τὰ Μωσέως προστάγματα.

ιβ. Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος ἔσῃ ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.

✱✱ ΤΟΥ ΝΥΣΣΗΣ. Οἶδά τινα νόμον τῆς φύσεως ἴδιον, αὐταῖς ταῖς θείαις πλαξὶν ἐντετυπωμένον παρὰ τοῦ νομοθέτου τῆς φύσεως· ὃς πᾶσαν ἀγαθὴν ἀμοιβὴν τοῖς ἰδίοις γονεῦσιν ἐκτιννύναι κελεύει, ὅσην ἂν

» ἂν ἡ δύναμις φέροι. τίμα γάρ φησι τὸν » πατέρα σου, καὶ τὴν μητέρα σου, ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίαις, ἵνα εὖ σοι » γένηται. εἰ δὲ πρωτεύει κατ' ἐπαγγελίαν οὗτος ὁ νόμος, καὶ τὸ κατόρθωμα τούτου ἴδιον κέρδος τοῦ φυλάσσοντος γίνεται· ἐπαναστρέφει γὰρ ἡ εἰς τοὺς γονέας τιμὴ εἰς τὸν πεπληρωκότα τὸν νόμον. καλῶς ἂν ἔχοι, πάντα τόν γε νῦν ἔχοντα πρὸς ταύτην βλέπειν τὴν ἐντολὴν, ἧς τὸ πέρας εὐεργεσία καὶ χάρις τοῦ ποιήσαντος γίνεται.

ΚΥΡΙΛΛΟΥ. Χρῆμα γὰρ ὅτι μάλιστα τῶν ἀναγκαίων ἡμῖν ἀποφαίνων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν εἰς τοὺς φύσαντας αἰδῶ, φειδοῦς ἠξίου καὶ λόγου τὴν ἑαυτοῦ μητέρα. ἀπηρτημένος γὰρ ἤδη τοῦ τιμίου σταυροῦ, καὶ τῷ ξύλῳ προσηλωμένος, τῷ γνησίῳ μαθητῇ τὴν ἁγίαν ἐδίδου παρθένον, καὶ γηροκόμον αὐτῇ καθιστὰς τὸν
Ἰωάν. 19. 26. » ἠγαπημένον, ἔλεγε· γύναι, ἰδοὺ ὁ υἱός σου.
27. » καὶ τῷ μαθητῇ, ἰδοὺ ἡ μήτηρ σου. (1)

ΤΟΥ ΑΥΤΟΥ. Θεμέλιον γὰρ ὥσπερ τινὰ [προκαταθεὶς ἀναγκαίως τὸ ἀκριβὲς εἰς θεογνωσίαν, καὶ] προενριζώσας ἐν αὐτοῖς τοῦ νομοθέτου τὴν εἴδησιν, κάτεισιν ἐπὶ τὰ ἀνθρώπινα, καὶ τῇ εἰς Θεὸν αἰδοῖ γείτονα τίθησι καὶ συνημμένην εὐθὺς τὴν εἰς πατέρα καὶ μητέρα τιμήν.

** ΤΟΥ ΑΥΤΟΥ. Ὥσπερ ὁ Θεὸς πάντων ἐστὶν ἀρχὴ καὶ γένεσις, καθὸ ποιητὴς καὶ δημιουργός· οὕτω καὶ ἕκαστος τῶν εἰς γονέας τετελεκότων τῷ ἐξ αὐτοῦ φύντι τέκνῳ ῥίζα τὶς ὥσπερ ἐστὶ γενέσεως, καὶ τῆς εἰς τὸ εἶναι παρόδου, πηγή. εἰς τύπον δὴ οὖν τοῦ πάντων δημιουργοῦ ἡ πατρὸς καὶ μητρὸς ὑπουργία πρὸς ὕπαρξιν, εἰς ἅπαντας τοὺς ἐπὶ τῆς γῆς· τοιγάρτοι τῶν ἄλλων προφερεστέραν τὴν εἰς αὐτοὺς ποιεῖσθαι τιμὴν, ὁ νόμος προσέταχεν, οὔτε γερῶν ἀποστήσας τοὺς ᾑρημένους τιμᾷν, οὔτε ποινῆς ἀπαλλάττων τοὺς τοῦτο δρᾷν οὐκ ἀνεχομένους.

ιγ. Οὐ φονεύσεις.

ΑΔΗΛΟΥ. Ταύτῃ μᾶλλον πληρῶν τὸ
Ματθ. 5. 22. τοῦ νόμου βούλημα ὁ Κύριός φησιν· ἐγὼ δὲ
» λέγω ὑμῖν, μηδὲ ὀργίζεσθαι τῷ ἀδελφῷ.

ιδ. Οὐ μοιχεύσεις.

ιε. Οὐ κλέψεις.

ις. Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ
ιζ. πλησίον σου μαρτυρίαν ψευδῆ. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε παντὸς κτήνους αὐτοῦ, οὔτε ὅσα τῷ πλησίον σου ἐστί.

** ΠΡΟΚΟΠΙΟΥ. Μετὰ Θεὸν, καὶ τὴν πρὸς τοὺς γονέας αἰδῶ, ἀκόλουθος ἡ πρὸς τοὺς ἄλλους φιλανθρωπία.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὗτοι γενικοὶ σχεδὸν πάντων ἁμαρτημάτων εἰσὶ κανόνες, ἐφ' οὓς ἕκαστον ἀναφέρεσθαι τῶν ἐν εἴδει συμβέβηκε.

** ΜΑΞΙΜΟΥ. Τὰ μὲν τῶν τοῦ νόμου ἐντολῶν, καὶ σωματικῶς καὶ πνευματικῶς ἀνάγκη φυλάττειν· τὰ δὲ, πνευματικῶς μόνον. οἷον τὸ, » οὐ μοιχεύσεις, οὐ φονεύσεις, » οὐ κλέψεις, καὶ τὰ ὅμοια, καὶ σωματικῶς καὶ πνευματικῶς χρὴ φυλάττειν. καὶ πνευματικῶς δὲ τριττῶς. (2) τὸ δὲ περιτέμνεσθαι, καὶ φυλάττειν τὸ σάββατον, καὶ σφάξαι τὸν ἀμνὸν, καὶ ἔσθεσθαι ἄζυμα ἐπὶ πικρίδων, καὶ τὰ ὅμοια, πνευματικῶς μόνον.

ιη. Καὶ πᾶς ὁ λαὸς ἑώρα τὴν φωνὴν, καὶ τὰς λαμπάδας, καὶ τὴν φωνὴν τῆς σάλπιγγος· καὶ τὸ ὄρος καπνίζον ἦν. Φοβηθέντες δὲ πᾶς ὁ λαὸς ἔστησαν μακρόθεν.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι ἀδιαφόρως ἡ Γραφὴ τάττει τὸ τῶν αἰσθήσεων, ἀντὶ ἀκοῆς ὅρασιν εἰποῦσα. οὐδεὶς δὲ ὁρᾷ φωνήν. πλὴν δύο φωνῶν μέμνηται, καὶ μᾶλλον τὴν μίαν φωνὴν λέγει, τὴν διὰ τὸν τοῦ Θεοῦ λόγον· τὴν δ' ἑτέραν τὴν τῆς σάλπιγγος, βροντήν.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ πῶς ἂν γένοιτο τὸ ἀκουστὸν, ὁρατόν; Ἢ τοῦτο Γραφῆς ἰδίωμα. εὕροις δ' ἂν καὶ τὸ ὁρατὸν
ἀκουστὸν, ὡς τὸ ἐν πή ψαλμῷ· τότε ἐλά- Ψαλ. 88. 19.
» λησας ἐν ὁράσει τοῖς υἱοῖς τῶν ἀνθρώπων,
» καὶ εἶπας, ἐθέμην βοήθειαν ἐπὶ δυνατόν.
» καὶ ἐν Ἀμὼς δέ φησι· λόγοι οἳ ἐγένοντο Ἀμ. 1. 1.
» ἐν Ἀκαρεὶμ ἐκ Θεκουὲ, οὓς εἶδεν. ἐμφανῆ γὰρ τοῖς ἁγίοις Προφήταις καθίστησι Θεὸς ὁμοῦ ταῖς ἀποκαλύψεσι μονονουχὶ καὶ αὐτὰ τὰ πράγματα, ὡς δοκεῖν ὁρᾶσθαι τοὺς λό-
» γους. τοιοῦτόν ἐστι καὶ τὸ, ἡ ὅρασις Ἀβδιοῦ· Ἀβδ. 1. 1.
» καὶ τὸ, πρόσεχε σεαυτῷ καὶ φύλαξον τὴν Δευτ. 4. 9.
» ψυχήν σου σφόδρα. μήποτε ἐπιλάθῃ τοὺς
» λόγους, οὓς ἑωράκασιν οἱ ὀφθαλμοί σου.

ΚΥΡΙΛΛΟΥ. Ὤοντο μὲν γὰρ οἱ τῶν Ἰουδαίων δῆμοι τὴν ἀπόρρητον ἀληθῶς τεθεᾶσθαι φύσιν, μεσολαβοῦντος Μωσέως, καὶ παριστάντος αὐτοὺς ἐν Χωρὴβ, καὶ συλλέγοντος εἰς ἐκκλησίαν ὑπὸ τὸ ὄρος Σινά. ἐπειδὴ δὲ καὶ σαλπίγγων ἠχὴ διαπρύσιος διάττουσα κατεπτόει τοὺς ἀκροωμένους, ᾤοντο κατὰ σφᾶς αὐτοὺς καὶ φωνῆς τῆς θείας γενέσθαι κατήκοοι. ἀλλ' ὅτι ταῦτα μειρακιωδῶς ἐσκέπτοντο, πεπληροφόρηκεν ἐναρ-

(1) Τῷ ὑπομνήματι τούτῳ, τῷ μὴ ἐν τοῖς ἐκδεδομ. εὑρεθέντι, παραλόγως ἦν τὸ ἑξῆς ἐπισυνημμένον.
(2) Ἴσ. κατά τε συγκατάθεσιν, πάλιν, καὶ προσβολήν.

Ἰωάν. 5. 37, 38. ἐναργῶς οὕτω λέγων ὁ Χριστός· ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε, οὔτε εἶδος αὐτοῦ ἑωράκατε. καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε ἐν ὑμῖν μένοντα· ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. οὐκοῦν οἱ πιστεύσαντες τεθεάμεθα μὲν ἐν τῷ υἱῷ τὸν πατέρα, παρεδεξάμεθα δὲ καὶ τὸν λόγον αὐτοῦ. ταύτῃ τοι καὶ λελυτρώμεθα. Ἡσ. 63. 9. σέσωκε γὰρ ἡμᾶς, οὐ πρέσβυς, οὐκ Ἄγγελος, καὶ τὰ ἑξῆς.

ιθ. Καὶ εἶπαν πρὸς Μωϋσῆν, λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεὸς, ἵνα μὴ ἀποθάνωμεν.

** ΚΥΡΙΛΛΟΥ. Ἐν εἴδει τοίνυν πυρὸς καταβεβηκότος τοῦ Θεοῦ, καίτοι δόξαν αἰσθητὴν, καὶ οὐ σφόδρα τοῖς τεθεαμένοις ἀσινῆ δεικνύοντος, δυσφόρητον κομιδῆ τὴν αὐτοπρόσωπον ἐποιεῖτο θέαν ὁ Ἰσραήλ. περίφοβοι δὲ καὶ τρέμοντες ἐλιπάρουν τὸν δημαγωγὸν, φημὶ δὴ Μωσέα, καὶ δὴ καὶ ἔφασαν· λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεὸς, μήποτε ἀποθάνωμεν. ἰδοὺ δὴ σαφῶς, μεσιτεύεσθαι παρεκάλουν, ὡς ἀκράτῳ δηλονότι τῇ τοῦ Θεοῦ δόξῃ προσβαλεῖν οὐχ οἷοί τε. ἴθι δὴ οὖν, καθάπερ ἐξ ἐμφανοῦς εἰκόνος τῶν ἀρτίως ἡμῖν εἰρημένων, ἐπὶ τὸν μονογενῆ· ὃς ἐπείπερ οὐκ ἦν γυμνῇ πρὸς ἡμᾶς ἀφικέσθαι τῇ θείᾳ δόξῃ, ὡς ἂν τὴν τοῦ Θεοῦ καὶ πατρὸς ἐκπαιδεῦσαι βούλησιν, γέγονε καθ' ἡμᾶς, μεσίτης τοῦ Θεοῦ καὶ ἀνθρώπων.

κ. Καὶ λέγει αὐτοῖς Μωϋσῆς, θαρσεῖτε· ἕνεκεν τοῦ πειράσαι ὑμᾶς παρεγενήθη ὁ Θεὸς πρὸς ὑμᾶς, ὅπως ἂν γένηται ὁ φόβος αὐτοῦ ἐν ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε.

ΑΔΗΛΟΥ. Τουτέστι ταῖς πρώταις ὑμᾶς ἐναρμόσαι τῆς εὐσεβείας κινήσεσι.

κα. Εἱστήκει δὲ πᾶς ὁ λαὸς μακρόθεν. Μωϋσῆς δὲ εἰσῆλθεν εἰς τὸν γνόφον, οὗ ἦν ὁ Θεός.

* ΤΟΥ ΝΥΣΣΗΣ. [Τί δὲ δὴ βούλεται τὸ ἐντὸς τοῦ γνόφου γενέσθαι τὸν Μωϋσέα, καὶ οὕτως ἐν αὐτῷ τὸν Θεὸν ἰδεῖν; Καὶ μετ' ὀλίγα. Ἐν τούτῳ γὰρ ἡ ἀληθὴς εἴδησις τοῦ ζητουμένου· καὶ ἐν τούτῳ τὸ ἰδεῖν, ἐν τῷ μὴ ἰδεῖν. ὅτι ὑπέρκειται πάσης εἰδήσεως τὸ ζητούμενον,] οἱόντινι γνόφῳ τῇ ἀκαταληψίᾳ πανταχόθεν διειλημμένον. διό φησι καὶ ὁ ὑψηλὸς Ἰωάννης ὁ ἐν τῷ
1. Ἰωάν. 4. 12. λαμπρῷ τούτῳ γνόφῳ γενόμενος, ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε· οὐ μόνον τοῖς ἀνθρώποις, ἀλλὰ καὶ πάσῃ νοητῇ φύσει τὴν θείαν γνῶσιν ἀνέφικτον εἶναι τῇ ἀποφάσει ταύτῃ διοριζόμενος. ὅτε οὖν μείζων ἐγένετο

A κατὰ τὴν γνῶσιν Μωσῆς, (1) εἰς τὸν γνόφον εἰσέδυ, οὗ ὁ Θεὸς ἦν· ὃς καὶ ἔθετο σκό- Ψαλ. 17. 11. τος ἀποκρυφὴν αὐτοῦ, καθά φησιν ὁ Δαβίδ· ἐν τῷ ἀδύτῳ μυηθεὶς τὰ ἀπόρρητα.

κβ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, τάδε ἐρεῖς τῷ οἴκῳ Ἰακὼβ, καὶ ἀναγγελεῖς τοῖς υἱοῖς Ἰσραήλ· ὑμεῖς ἑωράκατε, ὅτι ἐκ τοῦ οὐρανοῦ ἐλάλησα
κγ. πρὸς ὑμᾶς. Οὐ ποιήσετε ἑαυτοῖς Θεοὺς ἀργυροῦς, καὶ Θεοὺς χρυσοῦς. οὐ ποιήσετε ὑμῖν αὐτοῖς.

κδ. Θυσιαστήριον ἐκ γῆς ποιήσετέ μοι, καὶ θύσετε ἐπ' αὐτοῦ τὰ ὁλοκαυτώματα, καὶ τὰ σωτήρια ὑμῶν, τὰ πρόβατα, καὶ τοὺς μόσχους ὑμῶν παντὶ τόπῳ, οὗ ἐὰν ἐπονομάσωσι τὸ ὄνομά
Γ μου ἐκεῖ, καὶ ἥξω πρὸς σὲ καὶ εὐλογήσω σε.

ΑΔΗΛΟΥ. Τὸν Χριστὸν ὑποδείκνυσιν ἡμῖν τὸν ἀρχιερέα τὸν μέγαν ἐξ αὐτοῦ προτυπούμενον, τὸν αὐτὸν ὄντα καὶ θῦμα· καὶ γάρ ἐστιν ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν Ἰωάν. 1. 29. ἁμαρτίαν τοῦ κόσμου· καὶ θυσιαστήριον ὑπάρχοντα νοερόν. ἐκ γῆς μὲν, ἐπείπερ λόγος ὢν καὶ υἱὸς τοῦ Θεοῦ καὶ πατρὸς προαιώνιος, σὰρξ ἀτρέπτως ἐγένετο, τουτέστιν ἄν-
Δ θρωπος, ἑνώσας ἑαυτῷ καθ' ὑπόστασιν σῶμα τὸ ἡμῖν τοῖς ἐκ γῆς οὖσιν ὁμοιοπαθές τε καὶ ὁμοούσιον, ψυχὴν ἔχον τὴν λογικήν· ἐκ λίθων δὲ ὁλοκλήρων, δηλαδὴ Θεότητος καὶ ἀνθρωπότητος, τελείως ἐχουσῶν, ἐπείπερ εἷς ἐστιν ἐκ δυοῖν, καὶ ἀμέριστος μετὰ τὴν ἄφραστον ἕνωσιν, ὁ αὐτὸς Θεός τε καὶ ἄνθρωπος, καὶ οὐκ ἀνὰ μέρος εἰς δύο διῃρημένος καὶ διατετμημένος εἰς ἄνθρωπον καὶ Θεὸν ἰδικῶς· καὶ
E μένων καὶ ἄτρωτος καὶ ἀνάλωτος ταῖς ἐξ ἁμαρτίας πληγαῖς. ἁμαρτίαν γὰρ οὐκ Ἡσ. 53. 9. ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. ταῦτα σαφῶς ὑπαινίττεται τὸ τοὺς λίθους τοῦ θυσιαστηρίου τοῦ τυπικοῦ μὴ εἶναι τμητούς.

κε. Ἐὰν δὲ θυσιαστήριον ἐκ λίθων ποιῇς μοι, οὐκ οἰκοδομήσεις αὐτοὺς τμητούς. τὸ γὰρ ἐγχειρίδιόν σου ἐπιβέ-
Z βληκας ἐπ' αὐτοὺς, καὶ μεμίανται.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἐὰν δὲ θυσιαστήριον ἐκ λίθων ποιήσῃς μοι, οὐκ οἰκοδομήσεις αὐτοὺς τμητούς· τὸ γὰρ ἐγχειρίδιόν σου ἐπιβέβληκας ἐπ' αὐτῷ, καὶ μεμίανται; Ὅτι σιδήρῳ ἐχρῶντο καὶ οἱ τὰ ξύλα τῆς σκηνῆς τεκτηνάμενοι, καὶ οἱ τὸν χρυσὸν, καὶ τὸν ἄργυρον, καὶ τὸν χαλκὸν ἐργασάμενοι, οὐδένα ἀντερεῖν οἶμαι.
H ὅτι δὲ καὶ [οἱ] ἱερεῖς ταῖς μαχαίραις ἱεράτευον

(1) Τότε ὁμολογεῖ τὸν Θεὸν ἰδεῖν, τουτέστι τότε γνῶναι, ὅτι ἐκεῖνό ἐστι τῇ φύσει τὸ θεῖον, ὃ πάσης γνώσεώς τε καὶ καταλήψεώς ἐστιν ἀνώτερον. εἰσῆλθε γάρ φησι Μωϋσῆς εἰς τὸν γνόφον, οὗ ἦν ὁ Θεός. τίς ὁ Θεός; ὃς ἔθετο κτ. ἐν τῇ εἰς τὸν βίον Μωϋσ. θεωρίᾳ.

τεῦον τὰς θυσίας, καὶ ἀπέδεχον, καὶ ἔτεμνον, ἀναμφίλεκτον οἶμαι καὶ τοῦτο. ζητητέον τοίνυν, πῶς ταῦτα μὲν ὁ σίδηρος οὐκ ἐμίανε, τοὺς δὲ τμητοὺς ἐμίανε λίθους. τοιγάρτοι δῆλόν ἐστιν, ὡς ἄλλα δι' ἄλλων κατασκευάζει. ἐπειδὴ γὰρ ἐν τῇ ἐρήμῳ τεσσαράκοντα διετέλεσαν ἔτη, συνεχῶς ἀπαίροντες, καὶ τοὺς τόπους ἀμείβοντες, ἀπάγει ἐκ λίθων εἰργασμένων οἰκοδομεῖσθαι θυσιαστήριον, ἵνα μὴ τούτων τὴν γνῶ τὴν ἐπηγγελμένην ἀπειληφότων, ἐν τοῖς θυσιαστηρίοις τούτοις οἱ πλησιόχωροι τὰς τῶν δαιμόνων θυσίας ἐπιτελῶσι. διὰ τοῦτο προσέταξεν, ἢ ἐκ γῆς, ἢ ἐξ αὐτοφυῶν λίθων ταῦτα κατασκευάζεσθαι· ἐπειδήπερ ἑκάτερον εὐδιάλυτον. ὅτι δὲ μετὰ τὴν τοῦ ναοῦ κατασκευὴν οὐκ ἐξῆν ἑτέρωθι θύειν, αὐτὸς ὁ νόμος διδάσκει. εἰ δὲ θύειν ἔξω τοῦ ναοῦ ὁ νόμος ἀπεῖργε, καὶ τὸ θυσιαστήριον οἰκοδομεῖν ὡσαύτως ἐκώλυσεν. αὐτίκα γοῦν εἰς ἔλεγχον τῶν ἀσεβούντων Ἠλίας ὁ πάνυ προσενεγκεῖν ἐν τῷ Καρμηλίῳ θυσίαν ἀναγκασθεὶς, ἰσαρίθμους τῶν φυλῶν αὐτοφυεῖς συνέθηκε λίθους, καὶ ἐπὶ τούτων τὴν θυσίαν προσήνεγκεν. ὥστε τὴν οἰκοδομὴν εὐθὺς διαλυθῆναι, καὶ μηδένα ἕτερον ἐν ἐκείνῳ τῷ χωρίῳ θυσίαν προσενεγκεῖν.

*ΚΥΡΙΛΛΟΥ. Λίθος ἐκλεκτὸς ἔντιμος, ὁ Χριστός· ὁλοκλήρων δὲ λίθων φησὶ, δηλαδὴ Θεότητος, καὶ ἀνθρωπότητος· ἄτρωτος μὲν ἁμαρτίαις, οὐ μεμερισμένος δὲ Θεότε καὶ κόσμῳ, καὶ εἰ γέγονε σάρξ. (1)

» ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τί ἐστι, τὸ γὰρ » ἐγχειρίδιόν σου, καὶ τὰ ἑξῆς; Οἱ τὴν φύσιν παρεγχειρεῖν τολμῶντες, καὶ τὰ ἔργα τῆς φύσεως ἐγχειρήμασιν ἰδίοις μεταμορφοῦντες, τὰ ἀμίαντα μιαίνουσι. τέλεια γὰρ καὶ πλήρη τὰ τῆς φύσεως, προσθήκης οὐδεμιᾶς δεόμενα.

ΑΛΛΟΣ. Ἐν τοῖς λειτουργοῖς τμῆμά τι, ἢ διαίρεσις μὴ ἔσω φησὶν, ἀλλὰ πάντες ἔσωσαν ἓν σῶμα, καὶ εἷς ἄνθρωπος, ἤτοι ναὸς ἅγιος τοῦ Θεοῦ.

ΑΛΛΟΣ. Ἐγχειρίδιον ὀνομάζει τὸ ὑπὸ τῶν λατομούντων ἐκ σιδήρου ἐγχειριζόμενον ὄργανον. τὸ γὰρ ἐκ τῶν τετμημένων λίθων κατεσκευασμένον θυσιαστήριον, ἀπόβλητον κρίνει καὶ μεμιασμένον. παρίστησι γὰρ τὸ ἐκ τῶν αὐτομάτων λίθων, καὶ φυσικῶς ἀναδιδομένων ἐκ γῆς οἰκοδομούμενον θυσιαστήριον. εἰσάγει δὲ ὁ τύπος τὸ τὸν Θεὸν τοῖς ἁπλοῖς καὶ φυσικοῖς τῆς ψυχῆς ἡμῶν κινήμασι καὶ διαλογισμοῖς ἐπιτέρπεσθαι, καὶ οὐχὶ τοῖς ἐκ τέχνης καὶ ἐπινοίαις λαξευομένοις διανοήμασι, καὶ ἐπιμιγνυμένοις τῇ ἀληθείᾳ, καὶ τῇ ἐντεῦθεν λαμπρότητι.

ΘΕΟΔΩΡΟΥ. Εἰ τὰ ἐπὶ τοῦ θυσιαστηρίου σφαττόμενα σίδηρος ἀνῄρει, καὶ τὰ ξύλα τὰ ἀναπτόμενα ἐπὶ τοῦ βωμοῦ σίδηρος ἔσχιζε, τί ἐκώλυε τοὺς λίθους τοῦ θυσιαστηρίου σιδήρῳ τμηθῆναι; Πῶς ὁ Δαβὶδ κωλύεται ναὸν οἰκοδομῆσαι; Ἐπειδὴ πολεμιστὴς ὢν, πολλοὺς ἀνεῖλε. Τοῦτο οὖν τὸ περὶ τοῦ Δαβὶδ δείκνυσι τὴν αἰτίαν τῆς τοιαύτης νομοθεσίας. φονᾶν γὰρ ἡμᾶς οὐ βούλεται, οὐδὲ χαίρειν ἀνθρώπων σφαγαῖς. καὶ τοῦτο τοὺς οἰκείους ἐκδιδάσκων, καὶ εἰς φιλανθρωπίαν ὁδηγῶν, φησί. τινὲς δέ φασιν, ὅτι οὐ λιθοξόους, ἀλλὰ τοὺς ἱερέας βούλεται τὸ θυσιαστήριον ποιεῖν· ὥσπερ καὶ Ἠλίας ἐπὶ Ἀχαὰβ, ὅτε τοὺς ἀνιέρους τῶν εἰδώλων ἱερέας ἀνεῖλε· κρεῖττον εἶναι λέγων ἀπείρους τῆς λιθουργικῆς ὄντας τοὺς ἱερέας οἰκοδομεῖν θυσιαστήριον ἀπὸ λίθων εἰκαίων, ἥτινα τῶν ἐκτὸς τοῦ ἱερατικοῦ γένους ἐπιστήμονα τοῦ πράγματος. οὐ γὰρ ἡ ἐπιστήμη, ἀλλ' ἡ τῶν ἱερέων τάξις ἁγιάζει τὸ γινόμενον.

κς. Οὐκ ἐπιβήσῃ ἐν ἀναβαθμίσιν ἐπὶ τὸ θυσιαστήριόν μου, ὅπως μὴ ἀνακαλύψῃς τὴν ἀσχημοσύνην σου ἐπ' αὐτοῦ.

**ΚΥΡΙΛΛΟΥ. Ἀλλὰ πῶς ἂν τυχὸν γένοιτο τοῦτο, ἐρεῖ τις εὐθύς; καίτοι ἐκ λίνου κατεσκευασμένον τοῖς ἱερεῦσιν ἐδί» δου τὸ περισκελές· ἵνα καλύπτῃ, φησὶν, Ἐξόδ. κη. 38.
» ἀσχημοσύνην χρωτὸς αὐτοῦ. εἴπερ οὖν ἄρα καὶ ὕψου διάττειν ἐχρῆν, οὐδὲν ἂν ἠδίκησε τὸ χρῆμα αὐτοὺς περιεσταλμένους τὸ ἄσχημον. ποῖ δ' οὖν ἄρα τὸν τοῦ νόμου φαμὲν εἶναι σκοπόν; Τοῖς τῶν εἰδώλων προσκυνηταῖς εὐκλεὲς εἶναί τε καὶ ἀναγκαῖον ἐδόκει, τὸ ὕψου τοῖς τεμένεσιν ἱδρῦσθαι βωμούς. καὶ οὐ πολὺς ἦν αὐτοῖς ὁ ἐπί γε τῷ χρῆναι σεμνῶς περιεστάλθαι λόγος. εὐφυῶς οὖν ὁ νόμος ἀπὸ τοῦ συμβαίνειν εἰωθότος, τοὺς θείους ἱερουργοὺς ἀνορθοῖ πρὸς τὸ ἄμεινον, καὶ ὡς ἐκ τύπου σωματικοῦ, πρὸς
» θεωρίαν ἄγει πνευματικήν. οὐ γὰρ ἀνα» βήσῃ, φησὶν, ἐν ἀναβαθμοῖς ἐπὶ τὸ θυ» σιαστήριόν μου, ἵνα μὴ ἀποκαλύψῃς τὴν
» ἀσχημοσύνην σου ἐπ' αὐτοῦ· τουτέστιν ὁ θεῖος λειτουργὸς ὁ πρὸς λειτουργίαν ἡγιασμένος τὴν ἐμὴν, ζητείτω τὰ ταπεινά· μὴ ἀναθρωσκέτω πρὸς τὸ ὕψος· παραιτείσθω τὴν ἀλαζονείαν, ἵνα μὴ ἀσχήμων ὁρῷτο καὶ ἀκαλλής.

ΣΕΥΗΡΙΑΝΟΥ. Προσήκει, φησὶ, τὸν ἱερωμένον Θεῷ τοιοῦτον εἶναι τῷ βίῳ καὶ ταῖς ἀρεταῖς, ὡς μὴ δεῖσθαι ἑτέρας ἀναβάσεως· εἰ δὲ μὴ οὕτως ἔχοι, πρὸς τὸ ἄσχημον αὐτῷ καταλήξειν τὴν τῆς ἱερωσύνης τάξιν.



Eee 3 ΚΕΦ.

(1) Περίληψίς ἐστι τῶν ἐν Τόμ. 1. μέρ. 2. σελ. 290.

ΚΕΦ. ΚΑ.

α. Καὶ ταῦτα τὰ δικαιώματά μου ἀπαριθμήσεις (1) ἐνώπιον αὐτῶν.

ΩΡΙΓΕΝΟΥΣ. Ἀναγκαῖον ἐξετάσαι τί νόμος, καὶ τί πρόσαγμα, τί δὲ δικαιώματα, καὶ κρίματα, καὶ μαρτύρια, καὶ ἐντολαί. δικαιώματα μὲν οὖν, τὸ ἐνθάδε B
» εἰρημένον, ἐὰν κλήσῃ παῖδα Ἑβραῖον, καὶ τὰ ἑξῆς περὶ αὐτοῦ εἰρημένα· κρίμα δὲ, ἵνα ἱερέως θυγάτηρ ἐὰν μοιχευθῇ, πυρὶ
Ἐξόδ. 20. 3. κατακαίηται· ἐντολαὶ δὲ, οὐκ ἔσονταί σοι
Ἐξόδ. 19. 10. Θεοὶ ἕτεροι· πρόσαγμα δὲ, καταβὰς δια-
» μάρτυραι τῷ λαῷ, καὶ πλυνάτωσαν τὰ
Δευτ. 30. 19. ἱμάτια αὐτῶν· μαρτύρια δὲ, διαμαρτύρο-
» μαι ὑμῖν σήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν.

β. Ἐὰν κλήσῃ παῖδα Ἑβραῖον, ἓξ Γ ἔτη δουλεύσει σοι· τῷ δὲ ἔτει τῷ ἑβδόμῳ ἀπελεύσεται ἐλεύθερος δωρεάν.

* ΩΡΙΓΕΝΟΥΣ. Σημαίνει ἡ ἐν τῷ ἑβδόμῳ ἔτει λύτρωσις, ἔτι δὲ καὶ ἡ ἐν τῷ σαββάτῳ τῶν ἔργων κατάπαυσις, τὴν ἐν χάριτι ἡμῶν διὰ Χριστὸν ἐλευθερίαν.

** ΚΥΡΙΛΛΟΥ. Τὸν μὲν ἄλλον ἅπαντα χρόνον, πρὸ τῆς τοῦ Σωτῆρος ἡμῶν Δ ἐπιδημίας, πνεύματι δουλείας ὁ Ἰσραὴλ κατεσφίγγετο, νόμῳ τῷ κολάζοντι καταζευγνύμενος. ἐπειδὴ δὲ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς· τέθειται δὲ ἡμῖν καὶ τοῦδε τύπος τὸ σάββατον· ἐπέλαμψεν ὁ Ἐμμανουὴλ, τότε δὴ τὸ μὲν δουλείας ἀφῄρηται πνεῦμα· προσκεκομικότες δὲ ὅλως οὐδὲν εἰς ἀπολύτρωσιν τῷ δεσπότῃ, φιλανθρωπίνῳ χάριτι κέκληνται πρὸς ἐλευθερίαν, καὶ εἰς τὴν τῆς υἱοθεσίας δόξαν. δεδι-
Γαλ. 2. 16. καίωνται γὰρ οἱ πιστεύσαντες οὐκ ἐξ ἔργων
» νόμου κατὰ τὰς Γραφὰς, ἀλλ' ἐκ πίστεως. καὶ τοῦτο εἶναί φημι τὸ, ἀπελεύσεται ἐλεύθερος δωρεάν.

γ. Ἐὰν δὲ αὐτὸς μόνος εἰσέλθῃ, καὶ μόνος ἐξελεύσεται· ἐὰν δὲ γυνὴ συνεισέλθῃ μετ' αὐτοῦ, καὶ ἡ γυνὴ
δ. συνεξελεύσεται μετ' αὐτοῦ. Ἐὰν δὲ ὁ κύριος δῷ αὐτῷ γυναῖκα, καὶ τέκῃ Z αὐτῷ υἱοὺς καὶ θυγατέρας, ἡ γυνὴ καὶ τὰ παιδία ἔσται τῷ κυρίῳ αὐτῆς·
ε. αὐτὸς δὲ μόνος ἐξελεύσεται. Ἐὰν δὲ ἀποκριθεὶς εἴπῃ ὁ παῖς, ἠγάπηκα τὸν κύριόν μου, καὶ τὴν γυναῖκά μου, καὶ τὰ παιδία μου, οὐκ ἀποτρέχω B ἐλεύθερος.

ϛ. Προσάξει αὐτὸν ὁ κύριος πρὸς τὸ κριτήριον τοῦ Θεοῦ, καὶ τότε προσάξει αὐτὸν πρὸς τὴν θύραν ἐπὶ τὸν σταθμὸν, καὶ τρυπήσει ὁ κύριος τὸ οὖς τῷ ὀπητίῳ, καὶ δουλεύσει αὐτῷ εἰς τὸν αἰῶνα.

* ΩΡΙΓΕΝΟΥΣ. Ἀκύλας καὶ Σύμμα- Γ χος εἶπον, πρὸς τοὺς Θεούς. Θεοὺς δὲ τοὺς κριτὰς ὀνομάζουσι, καὶ Θεοῦ κριτήριον τὴν τούτων ψῆφον.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τοῦ Ἑβραίου, τοῦ τὴν ἐλευθερίαν δέξασθαι μὴ βουλομένου, διατρηθῆναι τὸ ὠτίον προσέταξε; Πάντων αὐτοὺς προτιμᾶν τὴν ἐλευθερίαν διδάσκει. τὸν τοίνυν ταύτης οὐκ ἀντεχόμενον, ἀλλὰ τὴν δουλείαν ἀσπαζόμενον, εἰς αἰσχύνην τοῦτο λαβεῖν τὸ σημεῖον παρακε- Δ λεύεται. πρὸς δὲ τούτῳ, καὶ ὑπακοὴν διὰ τῆς ἀκοῆς τὸ σημεῖον ἐμφαίνει, καὶ τὸ παρὰ τὴν θύραν μὴ ἐξεῖναι προβαίνειν οὐκ ἐπιτρέποντος τοῦ δεσπότου.

» ΤΟΥ ΑΥΤΟΥ. Διατί πρόσκειται, καὶ
» δουλεύσει αὐτῷ εἰς τὸν αἰῶνα, δήλης οὔσης τῆς ἀνθρωπίνης ζωῆς; Ἐντεῦθεν δῆλον, ὡς οὐ πανταχοῦ ὁ αἰὼν τοῦ ἀπείρου δηλωτικὸς, ἀλλ' ἔστιν ὅτε καὶ ὡρισμένου χρόνου σημαντικός. οὕτω καὶ ὁ μακάριος λέγει Δα- E
» βίδ· ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προ- Ψαλ. 89. 8.
» σώπου σου· τὸν δὲ ἀνθρώπινον οὕτως ὠνόμασε βίον.

ζ. Ἐὰν δέ τις ἀποδῶται (2) τὴν ἑαυτοῦ θυγατέρα οἰκέτιν, οὐκ ἀπελεύσεται, ὥσπερ ἀποτρέχουσιν αἱ δοῦλαι.

ΑΔΗΛΟΥ. Τοῦτο καλεῖται παρὰ Ῥωμαίοις in manuco (3)· ἐπεί τι ὅπερ ἐποίει Z τὴν γυναῖκα καὶ τῷ ἀνδρὶ filideloſcu. τὸ δὲ,

(1) Ἃ παραθήσῃ. ἡ ἐν Φρανεκ. ἔκδοσ. ἡ δὲ τοῦ Ἀλδ. παραθήσεις.

(2) Ἄλλος (ἐν ταῖς σημειώσ. τῆς ἐν Φραν. ἐκδόσ.) καὶ ὅταν πωλήσῃ ἀνὴρ τὴν θυγατέρα εἰς οἰκέτιν, οὐκ ἐξελεύσεται. Σύμμαχ. Οὐ προσελεύσεται προσέλευσιν δουλικήν, εἰ μὴ ἀρέσκῃ ἐν ὀφθαλμοῖς τῷ κυρίῳ αὐτῆς ἡ μὴ καθωμολογημένη. Θεοδοτ. Οὐκ ἐξελεύσεται, ὥσπερ ἐκπορεύονται οἱ δοῦλοι. εἰ πονηρά ἐστιν ἐν ὀφθαλμοῖς τοῦ κυρίου αὐτῆς, ἣν οὐ καθωμολογήσατο αὐτήν.

(3) Ὅτι μὲν τὸ, in manuco, καὶ τὸ filideloicu ὑπὸ χειρὸς τῆς λατινίδος ἀπείρου κακῶς ἐγράφησαν, δῆλον· τί δὲ καὶ σημαίνουσι, δεινὸν κατανοῆσαι, παντὸς τοῦ εἰκασθέντος ἀκαταλλήλου τοῖς λοιποῖς τῇ κατὰ τὸν Ἕλληνα λόγον συντάξει. προτέθεινται δὲ καὶ πολλοῖς, ὧν οἱ μὲν ὅλως ἀγνοοῦντες ὤφθησαν, οἱ δὲ ἔθησαν γενναῖον οὐδέν. εἷς δέ τις τῶν ἄλλων δόξας σοφώτερος, εἴρηκε τάδε· In primo loco nihil aliud eſſe ſecundum ius Romanum et formulas loquendi poteſt, quam *in manus dare*, quod eſt in loco de nuptiis ἀποδόσθαι filiam. In altero eſſe debet τῷ ἀνδρὶ *filiam elocare*, quae eſt formula iuris latini, quae eodem modo dicitur ſed alio reſpectu. κατ' αὐτὸν ἄρα τὴν μὲν τῶν λέξεων, ἀναγνωστέον in manus dare, τουτέστιν ἐν χερσὶ διδόναι, ἢ ὡς αὐτός φησιν ἀποδόσθαι· τὴν δὲ, filiam elocare, ἐκδιδόναι, ἢ εἰς

δὲ, οὐκ ἀπελεύσεται, ἵνα εἴπῃ τῷ ἑβδόμῳ ἔτει κατὰ τὸν νόμον· ἀλλ᾽ ὡς συνεύνῳ δώσει αὐτῇ τὴν παῤῥησίαν.

η. Ἐὰν δὲ μὴ εὐαρεστήσῃ τῷ κυρίῳ αὐτῆς, ἣν (1) οὐ καθωμολογήσατο αὐτῇ ἐν ὀφθαλμοῖς, ἀπολυτρώσει αὐτήν· ἔθνει δὲ ἀλλοτρίῳ οὐ κύριός ἐστι πωλεῖν αὐτὴν, ὅτι ἠθέτησεν

θ. αὐτῇ. Ἐὰν δὲ τῷ υἱῷ καθομολογήσῃ αὐτὴν, κατὰ τὸ δικαίωμα τῶν θυ-
ι. γατέρων ποιήσει αὐτῇ. Ἐὰν δὲ ἄλλην λάβῃ αὐτῷ, τὰ δέοντα καὶ τὸν ἱματισμὸν καὶ τὴν ὁμιλίαν αὐτῆς οὐκ
ια. ἀποστερήσει. Ἐὰν δὲ τὰ τρία ταῦτα μὴ ποιήσῃ αὐτῇ, ἐξελεύσεται δωρεὰν ἄνευ ἀργυρίου.

ΠΡΟΚΟ-

εἰς γάμου κοινωνίαν παραδοῦναι. Ἐπεὶ δὲ ἐν τοῖς τοιούτοις χώραν ἔχουσιν αἱ εἰκασίαι, καὶ τὰ δόξαντα ἡμῖν προσθήσομεν, κἂν οὐδενὸς τυχὸν λόγου ἄξια. Ἐξῆν τοῖς πατράσι καὶ παρὰ Ῥωμαίοις, καθάπερ καὶ παρ᾽ Ἑβραίοις τὰ ἑαυτῶν πωλεῖν τέκνα. μαρτυρεῖ δὲ τοῦτο ὅ,τε τοῦ Ῥωμύλου νόμος, λέγων· In liberos (Ἱστ. Διψ. παρὰ Διονυσ. τῷ Ἁλικαρνασ.) suprema patrum auctoritas esto: venumdare, occidere liceto. ὅπερ ἐστὶν, ὑπερτάτη ἐν τοῖς τέκνοις ἡ τῶν πατέρων ἐξουσία ἔστω· πωλεῖν, κτείνειν θέμις· καὶ ὁ Κικέρων, (libr. 1. de orator.) καὶ Διονύσιος ὁ Ἁλικαρνασσεύς. (ἐν βιβλ. 2. περὶ Ῥωμαϊκ. ἀρχαιολογ.) ἐπεὶ δὲ ἐξουσίαν εἶχεν ὁ πωλήσας πατὴρ τὸ πραθὲν ἐλευθερῶσαι τέκνον, ὡς φησὶν ὅ,τε τοῦ Ῥωμύλου νόμος καὶ ὁ ῥηθεὶς Διονύσιος, (αὐτ.) ἡ τοιαύτη τυχὸν πρᾶσις ἐκαλεῖτο in manu esse, ἐν χειρὶ ἢ ὑπὸ χεῖρα εἶναι· οὐχ ὡς δοῦλον δὲ ψιλὸν, ἀλλ᾽ ὡς filium, ἢ filiam familiae, εἴτουν υἱὸν ἢ θυγατέρα οἴκου. Εἰ οὖν ὁ σχολιαστὴς λέγων, τοῦτο καλεῖται παρὰ Ῥωμαίοις, κτ. ἐννοεῖ τὸ, ἐὰν δέ τις ἀποδῶται τὴν ἑαυτοῦ θυγατέρα οἰκέτιν· ὃ καὶ πιθανὸν ἔοικε· προστίθησι γὰρ ἔπειτα τὴν τοῦ λοιποῦ ῥητοῦ ἀνάπτυξιν, λέγων· τὸ δὲ οὐκ ἀπελεύσεται, κτ. τὸ μὲν in manuco, in manu ee ἢ eē, ἤτοι in manu esse, ἀναγνώσ. ὅπερ ἐστὶν ἐν χειρὶ ἢ ὑπὸ χεῖρα εἶναι· τὸ δὲ filidelelcu, filiam οἴκου, θυγατέρα τῆς οἰκίας. ἔστι δὲ πάντως τερατώδης ἡ λέξις, καὶ οἷον τραγέλαφός τις, ἐκ λατινίδος καὶ ἑλληνίδος συγκειμένη, (ὡς καὶ τὰ αὐτῆς δηλοῦσι στοιχεῖα) καὶ κακῶς γεγραμμένη. ὃ ἡ τοῦ γράψαντος πεποίηκεν ἀμάθεια. εἰ δὲ διὰ τοῦ, τοῦτο καλεῖται παρὰ Ῥωμαίοις, κτ. τὸ, οὐκ ἀπελεύσεται ἀναπτύσσει, τὸ, in manuco, manumissio ἀναγνωσ. ἔστι δὲ manumissio, ὥς φησὶ Θεόφιλος ὁ Ἀντικήνσωρ (ἐν βιβλ. 1. τιτλ. 5.) datio libertatis, τουτέστιν ἡ δόσις τῆς ἐλευθερίας. καὶ γὰρ ἐφ᾽ ὅσον τίς ἐστιν ἐν τῇ δουλείᾳ, τῇ χειρὶ καὶ τῇ ἐξουσίᾳ ὑπόκειται τῇ ἡμετέρᾳ. καὶ ἐλευθερωθεὶς ἀπαλλάττεται τῆς ὑπεξουσιότητος. τοῖς ἀπελευθέροις δὲ ὡς ἰδίοις τέκνοις βουλόμενοι ἐχρῶντο. εἶχον γὰρ οὗτοι, ὥς φησιν ὁ αὐτὸς Θεόφιλος, (αὐτ.) ἣν καὶ ὁ ἐλευθερῶν ἐλευθερίαν, καὶ ἀμφότεροι ἦσαν πολῖται Ῥωμαῖοι.

Τοῦτον τῆς Γραφῆς τὸν τόπον ὁ ἱερὸς Αὐγουστῖνος (οὐδενὸς ἄλλου τῶν ἀρχαιοτέρων ὑπόμνημα εὕρηται) ἀσαφέστατον, διὰ τοὺς ἀήθεις τρόπους τοῦ λέγειν, εἶναι εἰπὼν (ἐν τῇ εἰς τὴν Ἔξοδ. σειρᾷ τοῦ Λιπσεμάνου) πρότερον, οὕτω λευκαίνει ὕστερον. Τὸν περὶ δουλείας τῶν Ἑβραίων ἀνδρῶν νόμον, καὶ περὶ τῶν γυναικῶν νοητέον. διατί οὖν αὕτη οὐχ οὕτως ἀπελεύσεται, ὥσπερ ἀποτρέχουσιν αἱ δοῦλαι; εἰ μὴ ὅτι εταπεινώθη ἐν τῇ τοιαύτῃ δουλείᾳ τῷ ἑαυτῆς μιγεῖσα κυρίῳ. τοῦτο μὲν γὰρ ἐν τοῖς ἑξῆς ὁπωσοῦν ἀναπτύσσεται - - - - Ἐὰν δὲ μὴ εὐαρεστήσῃ τῷ κυρίῳ αὐτῆς, ἣν οὐ καθωμολογήσατο, τουτέστιν οὐκ ἔλαβεν αὐτὴν γυναῖκα αὐτοῦ, ἀμείψει αὐτήν. τουτέστιν ὅπερ ἀνωτέρω εἴρηκεν, οὐκ ἀπελεύσεται, ὥσπερ ἀποτρέχουσιν αἱ δοῦλαι. δίκαιον γὰρ αὐτὴν λαβεῖν τὶ, καθότι εταπεινώθη. οὐ γὰρ ἐμίγη αὐτῇ, ἵνα γυναῖκα αὐτοῦ ποιήσῃ, ἤτοι καθομολογήσῃ αὐτὴν ἑαυτῷ. ὃ δὲ εἴπομεν, ἀμείψει αὐτὴν, τινὲς τῶν μεταφρασῶν, ἐξαγοράσει αὐτὴν, εἰρήκασιν. ἀλλ᾽ εἰ ὁ Ἕλλην τοῦτο ἔλεγεν, ἐγέγραπτο ἂν, ἀπολυτρώσεται, ὥσπερ δὴ ἐγράφη, καὶ αὐτὸς ἀπολυτρώσεται τὸν Ἰσραήλ. (ψαλ. 129. 8.) ἐκεῖ μὲν γὰρ, ἀπολυτρώσεται, ἐγράφη· ὧδε δὲ, ἀπολυτρώσει ἀναγινώσκομεν. ὅπου γε νοητέον λαμβάνειν τὶ μᾶλλον ἢ τὴν τῆς ἀπολυτρώσεως τιμὴν διδόναι. πῶς γὰρ ἂν δῷ ὁ κύριος αὐτῆς, ἵνα τὴν δούλην αὐτοῦ ἐξαγοράσῃ; Ἔθνει δὲ ἀλλοτρίῳ οὐ κύριός ἐστι πωλεῖν αὐτὴν, ὅτι ἠθέτησεν αὐτῇ· τουτέστιν, οὐχ ὅτι ἠθέτησεν ἐν αὐτῇ, κύριός ἐστι πωλεῖν αὐτὴν, εἴτουν οὐ τοσοῦτον ὑπ᾽ αὐτοῦ ἐξουσιασθήσεται, ὥστε καὶ ἔθνει ἀλλοτρίῳ ἐξεῖναι αὐτῷ πωλεῖν αὐτήν. - - - - Ἐὰν δὲ τῷ υἱῷ καθομολογήσῃ αὐτὴν, κατὰ τὸ δικαίωμα τῶν θυγατέρων ποιήσει αὐτῇ. ἐντεῦθεν οὖν ἀναπτύσσειν ἄρχεται ὃ προείρηκεν, ἣν οὐ καθωμολογήσατο. τὶ γὰρ ἄλλο εἴη ἂν τὸ, ἐὰν δὲ τῷ υἱῷ καθομολογήσῃ. εἰ μὴ τὸ, συζεύξῃ αὐτὴν εἰς γάμου κοινωνίαν τῷ υἱῷ; ὅπου γε φησὶ, κατὰ τὸ δικαίωμα τῶν θυγατέρων ποιήσει αὐτῇ· τουτέστιν, οὕτω παραδώσει ὥσπερ θυγατέρα, προῖκα δῆθεν δοὺς αὐτῇ - - - - Ἐὰν δὲ ἄλλην λάβῃ αὐτῷ· τουτέστιν, οὐκ αὐτὴν ἡγήσηται γυναῖκα τοῦ υἱοῦ αὐτοῦ, ἀλλὰ λάβῃ ἄλλην, τὰ δέοντα καὶ τὸν ἱματισμὸν καὶ τὴν ὁμιλίαν αὐτῆς οὐκ ἀποστερήσει - - - - τί δέ ἐστι, τὴν ὁμιλίαν οὐκ ἀποστερήσει; εἰ μὴ τὸ, μισθὸν ὑπὲρ τῆς συνουσίας δώσει - - - - Ἐὰν δὲ τὰ τρία ταῦτα μὴ ποιήσῃ, κτ. νόει τάδε· εἰ αὐτὸς οὐκ εταπείνωσεν αὐτὴν συμμιγεὶς αὐτῇ, οὐδὲ τῷ υἱῷ συνέζευξεν, οὐδὲ ἄλλην λαβὼν τῷ υἱῷ αὐτοῦ, αὐτὴν ἐξέβαλεν· ἐξελεύσεται δωρεάν· ἤτοι ἀρκεῖ αὐτῇ μὴ ὑπὸ δουλείαν εἶναι. ἀπελεύσεται γὰρ μηδὲν λαβοῦσα, ὡς ὁ Ἑβραῖος δοῦλος.

Ἄλλος δέ τις τῶν νεωτέρων (ὁ Καλμέτ. ἐν τοῖς εἰς τὴν Ἔξοδ. ὑπομνημ.) φησὶν, ὅτι ἐπώλει τὰς θυγατέρας ὁ πατὴρ ἐπ᾽ ἐλπίδι τοῦ ἢ αὐτὸν τυχὸν τὸν ἀγοράζοντα, ἢ τὸν υἱὸν αὐτοῦ εἰς γάμου κοινωνίαν αὐτὰς λαβεῖν. ἐπεὶ ἐν τῇ τοῦ μέλλοντος γάμου προκαταλήψει ἐπώλουν, περιττὴ ἦν ἡ αὐτῶν συγκατάθεσις, τοῦ γάμου τελουμένου. ὅτι μὲν γὰρ ὁ πατὴρ ἤθελεν, ἀποχρόντως ἐδήλου, τὴν θυγατέρα πωλῶν. αὗται δὲ αἱ ὠνηταὶ γυναῖκες δευτέραν τῶν οἰκοδεσποινῶν ἐπεῖχον τάξιν, δεύτεραι οὖσαι, καὶ ὡς παλλακαὶ νομιζόμεναι. Ἰστέον μὲν γὰρ, ὅτι τρεῖς παρ᾽ Ἑβραίοις αἱ τῶν γυναικῶν τάξεις, (ὁμοίως καὶ παρ᾽ Ἕλλησιν, ὡς ἐν τῷ τέλει τοῦ κατὰ Νεαίρ. λόγ. μαρτυρεῖ ὁ Δημοσθένης) ὧν τὴν μὲν πρώτην, εἶχον αἱ οἰκοδέσποιναι· τὴν δὲ δευτέραν, αἱ παλλακαί· τὴν δὲ τρίτην, αἱ πόρναι. ὧν τὴν χρῆσιν ἀποτόμως ἀπαγορεύει ὁ νόμος.

(1) Ἡ μὲν ἐν Φρανεκ. ἔκδοσ. ἣ αὐτῷ καθωμολογήσατο. ἡ δὲ τοῦ Ἀλδ. ἣν οὐ καθωμολογήσατο αὐτήν. ὁ δὲ Ἀλεξανδρ. κώδ. ἣν οὐ καθωμολογήσατο αὐτῷ.

* ΠΡΟΚΟΠΙΟΥ. Ἀπολυτρώσει αὐτήν, δῆλον ὅτι ἀναδιδοὺς αὐτὴν τῷ πατρὶ, καὶ λαμβάνων ἴσως τὸ τίμημα.

** ΤΟΥ ΑΥΤΟΥ. Πῶς δὲ δίκαιον ἐπὶ παλλακείᾳ πριάμενον καὶ συγγενόμενον, ἀναλαμβάνειν τὸ τίμημα; Πλὴν τὸ ἐπαγόμενον περὶ τῆς υἱῷ συναφθείσης ἐν ἐπιτιμίου λόγῳ, τὸ, ἐξελεύσεται δωρεὰν ἄνευ ἀργυρίου, ὡς δωρεὰν ταύτην οὐκ ἦν ἐξελθεῖν. (1) (ἀπὸ τοῦ μισθώσαντος πρὸς τὸν πατέρα) ὅθεν ἴσως καὶ τὸ, λυτρώσει, φησί. Τί οὖν ἐστι τὸ, οὐκ ἀπελεύσεται, ὥσπερ ἀποτρέχουσιν αἱ δοῦλαι; Ἢ τοίνυν τὸ μὴ πραθῆναι ταύτην ᾧ ἂν ἐθέλῃ παρίστησιν· οὐδὲ γὰρ ἔθνει ἑτέρῳ· ἢ καὶ αὐτὴν ἀξιοῖ λαμβάνειν ἃ καὶ περὶ τῆς τῷ υἱῷ συναπτομένης φησίν. εἰ δὲ παρεῖχεν αὐτῇ (ὁ πατὴρ ὁ ἔχων τὴν παλλακὴν) τὰ δέοντα, καὶ τὸν ἱματισμὸν, καὶ τὴν ὁμιλίαν, οὐκ ἄδικον εἰ καὶ αὐτὸς ἐλάμβανε τὴν τιμήν· σαφήνεια τοίνυν τοῦ πρώτου τὸ δεύτερον. (τὸ περὶ υἱοῦ) ἐπεὶ καὶ τίς ἡ ἀποκλήρωσις τοῦ, ἐπὶ μὲν τοῦ πατρὸς τοιῶσδε, ἐπὶ δὲ τοῦ υἱοῦ ἑτέρως; ὥστε καὶ ἐπὶ τοῦ πατρὸς κοινὸν τὸ, κατὰ τὸ δικαίωμα τῶν θυγατέρων ποιήσει αὐτῇ. ὅπερ ὁ Σύμμαχος, τῶν νεανίδων, ἐξέδωκε. κατὰ τὰς εὐγενίδας γὰρ συνῴκει αὐτῷ, οὐχ ὡς δούλη καταφρονουμένη. τοιγαροῦν καὶ ἀπιοῦσα, τὰ τῆς ὁμιλίας λαμβάνει. καὶ τοῦτο ἄρα κοινὸν ἐπὶ τοῦ πατρός.

ΑΔΗΛΟΥ. Ἄνευ ἀργυρίου, ἄνευ τοῦ ἀναδοῦναι, φησὶ, τὸ τίμημα.

ιβ Ἐὰν δὲ πατάξῃ τὶς τινὰ, καὶ ἀποθάνῃ, θανατούσθω.

ιγ. Ὁ δὲ οὐχ ἑκὼν, ἀλλ' ὁ Θεὸς παρέδωκεν εἰς τὰς χεῖρας αὐτοῦ, δώσω σοι τόπον οὗ φεύξεται ἐκεῖ ὁ φονεύσας.

ΑΔΗΛΟΥ. Τὸν ἀκουσίως φονεύοντα, λέγει, καταφεύγειν ἐπὶ τὸ θυσιαστήριον· καίπερ λέγων κατὰ συγχώρησιν Θεοῦ γεγενῆσθαι τὸν φόνον. ὅμως κατὰ τὸ φαινόμενον αὐτὸς εἰργάσατο τὸν φόνον. καὶ δεῖ διακριθῆναι τὰ τῆς διαθέσεως, ἵνα μὴ ὡς φονεὺς ἀπόληται.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν ἀκουσίως πεφονευκότα διατὶ φεύγειν προτρέπεται; (2) Τὴν φονικὴν αὐτῶν ἰατρεύων γνώμην, καὶ διδάσκων, ὡς εἰ τὸ παρὰ γνώμην ἀνελεῖν, ἔνοχον τιμωρίας ποιεῖ, πολλῷ μᾶλλον τὸ γνώμῃ φονεύειν κολάσεως ἄξιον. πρὸς δὲ τούτῳ, καὶ τοὺς παίοντας (3) ξύλῳ, καὶ τοὺς ἀκοντίζοντας λίθοις, προμηθεστέρους ἐργάζεται. καὶ μέντοι καὶ τοὺς ἄλλο τι τοιοῦτον δρῶντας παρασκευάζει δεδιέναι καὶ τρέμειν, ἵνα δὴ μὴ παρὰ γνώμην τινὰ τῶν πελαζόντων, ἢ πόῤῥωθεν ὄντων πημαίνωσι. χαλινοῖ δὲ καὶ τὸν τῶν συγγενῶν τοῦ πεφονευμένου θυμὸν τῇ τοῦ πεφονευκότος φυγῇ.

ιδ. Ἐὰν δέ τις ἐπιθῆται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν δόλῳ, καὶ καταφύγῃ, ἀπὸ τοῦ θυσιαστηρίου μου λήψῃ αὐτὸν θανατῶσαι.

ΑΔΗΛΟΥ. Ἀνωτέρω εἰπὼν περὶ τοῦ ἀκουσίως φονεύοντος, ὧδε περὶ τοῦ θελήσαντος φονεῦσαι, μὴ μὴν ἐπιτυχόντος τοῦ σκοποῦ, διαλέγεται· τὴν προαίρεσιν τιμωρούμενος, καὶ τοῦ ἔργου μὴ γεγονότος.

ιε. Ὃς τύπτει πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ, θανατούσθω.

ις. (4) Ὃς ἂν κλέψῃ τὶς τινὰ τῶν υἱῶν Ἰσραὴλ, καὶ καταδυναστεύσας αὐτὸν ἀποδῶται, καὶ εὑρεθῇ ἐν αὐτῷ, θανάτῳ θανατούσθω.

* ΚΥΡΙΛΛΟΥ. Οὐ γάρ τοι θέμις τὸ ἱερὸν ἐν Χριστῷ καταδουλοῦσθαι γένος, καὶ εἰς δουλείαν οὐκ ἐντριβῆ παρακομίζεσθαί ποι παρά γε τῶν τοῦτο δρᾷν εἰωθότων. ὥσπερ γὰρ οἱ τὰ μειράκια φενακίζοντες, πόλεώς τε καὶ οἴκων ἀπονοσφίζουσι, καὶ αὐχημάτων αὐτὰ τῶν ἐλευθέρων ἐκτέμνοντες, τοῖς τῆς ἀναγκαίας δουλείας ὑποφέρουσι ζυγοῖς· τὸν αὐτὸν οἶμαι τρόπον, οἱ τοὺς ὀρθὰ φρονεῖν ἑλομένους, καὶ τὸν ἐλευθέροις πρέποντα βίον ἐπιτηδεύοντας, ἐπὶ τὸ σφίσιν αὐτοῖς ἀνοητότατα δοκοῦν, πολυπλόκοις ἐννοιῶν ἀπάταις ἀποκομίζοντες, λῃστείας εἰκότως τῆς ἐπὶ ψυχὴν ἀνθρώπων ὑπομένουσι τὴν γραφήν. ποινὴ δὲ αὐτοῖς ὁ θάνατος. τοῖς τοιούτοις, μηδὲ (2. Ἰωάν. 10.) χαίρειν λέγετε, φησὶ τοῦ Σωτῆρος ὁ μαθητής.

ιζ. Ὁ κακολογῶν πατέρα ἢ μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω.

ΚΥΡΙΛΛΟΥ. Ὥσπερ γὰρ ἐπὶ Θεοῦ τὸ γλώττης πλημμέλημα τιμᾶται θανάτῳ, οὕτω καὶ ἐπὶ τῶν γεγεννηκότων.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐν ἴσῳ δὲ ὥσπερ τέθεικε λόγῳ τὸ εἰς Θεὸν ἁμαρτεῖν, καὶ τοὺς κατὰ σάρκα φύσαντας. τὸν μὲν γὰρ δύσφημον ὁ νόμος τὴν ἐπὶ θανάτῳ ψῆφον ὑπομένειν κεκέλευκεν. ὀνομάζων γάρ φησι (Λευιτ. 24. 16.) τὸ ὄνομα Κυρίου, θανάτῳ θανατούσθω. τὸν δὲ τοῖς γονεῦσιν ἀκρατῆ καὶ ἀχάλινον ἐξοπλίζοντα γλῶσσαν ταῖς ἰσοστάθμοις ὑποτίθει ποιναῖς. ὁ κακολογῶν γάρ φησι πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω.

ιη. Ἐὰν

(1) Τὰ ἐν τῷδε τῷ ὑπομνήμ. μεταξὺ τῶν καμπύλων ὁρώμενα, οὐκ ἐπ' εὐθείας ἔκειντο ἐν τῷ τῆς Αὐγ. κώδ. ἀλλ' ἐπάνω τῶν σειρῶν. (2) Παρακελεύεται; ἡ ἐν χάλ. ἔκδοσ.

(3) Τοὺς τέμνοντας ξύλα, καὶ τοὺς ἀκοντίζοντας λίθους αὐτ.

(4) Τοῦτο 17. ἐστὶν ἐν τοῖς ἐκδεδομ. τὸ δὲ 17. ἐστὶ 16.

ιη. Ἐὰν δὲ λοιδορῶνται δύω ἄνδρες, **A**
καὶ πατάξῃ τὶς τὸν πλησίον λίθῳ ἢ
πυγμῇ, καὶ μὴ ἀποθάνῃ, κατακλι-
ιθ. θῇ δὲ ἐπὶ τὴν κοίτην, Ἐὰν ἐξαναστὰς
ὁ ἄνθρωπος περιπατήσῃ ἔξω ἐπὶ
ῥάβδου, ἀθῷος ἔσται ὁ πατάξας· πλὴν
τῆς ἀργίας αὐτοῦ ἀποτίσει, καὶ τὰ
ἰατρεῖα.

Λοιδορῶνται. Ἀκύλας, διαμάχωνται.

» ** ΚΥΡΙΛΛΟΥ. Τῆς ἀργίας αὐτοῦ » ἀποτίσει, καὶ τὰ ἰατρεῖα. καὶ ταυτὶ μὲν ὁ νόμος· ἀλλ᾽ ὅγε Σωτὴρ τὸ τελείως ἀγα-
Ματθ. 5. 39. θὸν εἰσφέρων, τῷ παίοντί σε, Φησὶν, εἰς » τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ » τὴν ἄλλην.

κ. Ἐὰν δέ τις πατάξῃ τὸν παῖδα αὐτοῦ ἢ τὴν παιδίσκην αὐτοῦ ἐν ῥάβδῳ, καὶ ἀποθάνῃ ὑπὸ τὰς χεῖρας αὐτοῦ, δίκῃ ἐκδικηθήσεται.

ΚΥΡΙΛΛΟΥ. Θανάτῳ τιμᾶται τὴν εἰς ἄπαν ὀργήν. οὐ γὰρ ἐπείτοι γεγόναμεν ἐκ πλεονεξίας δεσπόται, καὶ ζωῆς ἀπείργειν ἐφῆκεν ὁ Θεὸς τοὺς ὑπὸ χεῖρα.

κα. Ἐὰν δὲ διαβιώσῃ ἡμέραν μίαν ἢ δύω, οὐκ ἐκδικηθήσεται· τὸ γὰρ ἀργύριον αὐτοῦ ἐστίν.

* ΚΥΡΙΛΛΟΥ. Μετάγε τὸ ῥωστῆσαί πως ἀθῷοῦται ὁ δεσπότης. οὐ γὰρ ἐθέλει τὶς ἀποβαλεῖν ὃν ἀργυρίοις ἐπρίατο. (1)

κβ. Ἐὰν δὲ μάχωνται δύω ἄνδρες, καὶ πατάξωσι γυναῖκα ἐν γαστρὶ ἔχουσαν, καὶ ἐξέλθῃ τὸ παιδίον αὐτῆς μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται· καθότι ἂν ἐπιβάλῃ ὁ ἀνὴρ τῆς γυναικός· καὶ δώσει μετὰ ἀξιώ-
κγ. ματος. Ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς.

ΑΔΗΛΟΥ. Πρὸς τὸ δεῖναι τὴν ζημίαν ὅσην ἐὰν εἴπῃ ὁ ἀνὴρ τῆς γυναικὸς, καὶ ἡ ἀξία τοῦ προσώπου ζητεῖται· ἵνα καὶ πρὸς ταύτην ζημιωθῇ. δύω οὖν ζημίας ὑφίσαται· μίαν μὲν, ὡς ἐπιχειρίσας τὸ ὑπὲρ αὐτόν· δευτέραν δὲ, ὑπὲρ οὗ ἐποίησεν ἐκ» τρῶσαι τὴν γυναῖκα. τὸ δὲ, μετὰ ἀξιώματος, ἤτοι ἵνα σκοπηθῇ ἡ οὐσία τούτων καὶ τὰ πρόσωπα, καὶ πρὸς τὴν δύναμιν ἐπιβληθῇ ἡ ζημία· ἵνα μὴ εἰς ἀπέραντον ἐκλανθῇ ἡ καταδίκη.

ΑΔΗΛΟΥ. Οὐχ ὅτι μετὰ τὸν ἐξεικονισμὸν ψυχοῦται τὸ βρέφος ὁ νόμος τοῦτο διώρισεν, ἀλλ᾽ ὡς τέλειον ἄνθρωπον ἀπεκλονότος τοῦ παίσαντος, ὡς μηδὲ βραχύτι μόριον ἐλλείπειν ἔτι τῶν ἐξ ἀμφοῖν τελούντων τὸ ζῶον.

ΑΔΗΛΟΥ. Καὶ τὸ ἐξεικονιζόμενον ἄμβλωμα ἔμψυχόν ἐστιν. ὅπερ τὶς διὰ πληγῆς κατάγων, εἰς χρήματα ζημιοῦται, ὡς μὴ τελείου ὄντος τοῦ ἀνθρώπου. τὸ γὰρ ἐξεικονισμένον, τέλειόν ἐστι. διὸ καὶ φονεύς ὁ τυπήσας.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν ἐξεικονισμένον; Φασὶ τοῦ σώματος ἐν τῇ μήτρᾳ τελείου διαπλασθέντος, τότε ψυχοῦσθαι τὸ **B** ἔμβρυον· καὶ γὰρ τοῦ Ἀδὰμ τὸ σῶμα πρότερον ὁ ποιητὴς διαπλάσας, οὕτως ἐνεφύσησε τὴν ψυχήν. κελεύει τοίνυν ὁ νομοθέτης, γυναικὸς ἐγκύμονος ἀμβλωσάσης ἐν μάχῃ, εἰ μὲν ἐξεικονισμένον ὂν ἐξέλθοι τὸ βρέφος, τουτέστι μεμορφωμένον, φόνον τὸ πρᾶγμα καλεῖσθαι, καὶ τὴν ἴσην ὑπέχειν τιμωρίαν τὸν δεδρακότα· εἰ δὲ μὴ ἐξέλθοι μεμορφωμένον, μὴ λογίζεσθαι φόνον, ἐπειδήπερ οὐδέπω ψυχωθὲν ἐξημβλώθη· ἀλλὰ ζημίαν τιννύειν τὸν αἴτιον. **Γ**

ΔΙΟΔΩΡΟΥ. Ἐὰν γάρ φησιν ἐξαμβλώσῃ ἡ γυνὴ, καὶ μὴ ἀποθάνῃ, ἕως ζημίας ἵσταται ὁ κίνδυνος τῷ αἰτίῳ· ἐὰν δὲ τελευτήσῃ, ἕως θανάτου· ἐὰν δὲ ὀφθαλμὸν ἀποβάλῃ, καὶ συνόλως εἰπεῖν, ὅπερ ἂν ἀπὸ τῆς μάχης ἡ ἐξάμβλωσις πάθῃ, τὸ αὐτὸ καὶ ὁ αἴτιος. ἐὰν δὲ περὶ τοῦ βρέφους ὁ λόγος ᾖ, καὶ τοῦ τὸν αἴτιον τῆς ἐξαμβλώσεως ὑφίστασθαι ἃ καὶ τὸ βρέφος, **Δ** οὐχ ὁρῶ πῶς τραῦμα ἕξει τὸ ἀμβλωθρίδιον. μήποτε οὖν καὶ ὑπὲρ ὧν πάσχει τὸ βρέφος, καὶ ὑπὲρ ὧν ἡ μήτηρ ὑφίσταται, κελεύει ὁ Θεὸς τὸν πλήξαντα κολάζεσθαι ἐκεῖνα, ἃ τὸ βρέφος πέπονθεν, ἢ ἡ κύουσα; » διατὶ δὲ ἂν ᾖ ἐξεικονισμένον, δώσει ψυχὴν » ἀντὶ ψυχῆς; ἢ πάντως ὡς τοῦ βρέφους τότε δεχομένου ψυχὴν, ὅταν ἐξεικονισθῇ.

ΚΥΡΙΛΛΟΥ. Λόγος μὲν ἐν τῇ μήτρᾳ τὸ ἔμβρυον ἀνθρωποειδὲς ὁρᾶσθαι μόλις, **E** καὶ εἰς τύπους ἰέναι τότε τοῦ καθ᾽ ἡμᾶς σώματος, ὅτε καὶ ἀριθμὸς ἐπ᾽ αὐτῷ τεσσαρακοστῆς ἡμέρας διαπεραίνεται. ταύτητοι Φασὶ, Μωσέα μὲν ἐκ τῆς ἐν Αἰγύπτῳ πλάνης οἱονείπως ἀνωδίνοντάτε καὶ ἀναμορφοῦντα τὸν Ἰσραὴλ εἰς τὴν ἐν νόμῳ ζωὴν, σιτίων ἀπέχεσθαι καὶ ποτῶν τεσσαράκοντα ἡμέρας· καὶ εἰς ἡμᾶς δὲ αὐτοὺς ὑποτοπητέον δρᾶσαίτε τοῦτο καὶ ὑπομεῖ- **Z** ναι Χριστόν. ἀνεμορφοῦτο γὰρ ἐν αὐτῷ πρὸς ἁγιασμὸν δι᾽ ἐγκρατείας ἡ φύσις, ἐξ ἀκρατοῦς ὀρέξεως ἐν ἀρχαῖς ἐν τῷ πρωτοπλάστῳ τὸν ἐξ ἁμαρτίας καὶ παρακοῆς ἀρρωστήσασα μολυσμόν.

* ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν καρπὸς ἂν εἴη καὶ κύημα νοῦ πίστις ἡ εἰς Χριστὸν, δι᾽ ἐντελοῦς γνώσεως ἡμᾶς ἀναπλάττουσα πρὸς αὐτὸν, καὶ εἰς θεῖον διαμορφοῦσα τύπον. καὶ γοῦν οἱ πεπιστευκότες διὰ φωνῆς Ἡσαΐου **H** τοῦτο οἶμαί που διασημαίνοντες, εὖ μάλα » διακεκράγασι, διὰ τὸν φόβον σου Κύριε Ἡσ. 26. 18
» ἐν γαστρὶ ἐλάβομεν, καὶ τὰ ἑξῆς. ἐκεῖνο καρπὸς

(1) Ἄλλως πως ταῦτα ἐν τοῖς ἐκδεδομ. (ἐν Τόμ. 1. μέρ. 2. σελ. 281.) συντέτακται.

καρπὸς ἂν εἴη καὶ κύημα νοῦ τὸ πνευματι-
A κὸν· καὶ σωτήριον, πίστις· ἡ εἰς Θεὸν, ἢ
καὶ τοὺς θείους χαρακτῆρας ἐνσημαίνεται.
τοῖς οὖν ἐκ τελειοτέρας γνώσεως μετερρυη-
κόσιν ἀμαθῶς εἰς τὴν μείω τε καὶ ἀτελε-
στέραν· Γαλάται δὲ οὗτοι· προσεφώνει λέ-
Γαλ. 4. 19. γων ὁ θεσπέσιος Παῦλος, τεκνία μου, οὓς
» πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς
[ἐν] ὑμῖν. ἐναρξάμενοι γὰρ πνεύματι, τὴν
κατὰ σάρκα τελείωσιν ἐπετήδευον, εἰς τὴν
B τοῦ νόμου λατρείαν μετενηνεγμένοι. ταύτῃ-
τοι καὶ ἀτελεσφόρητον ἐν αὐτοῖς τὴν Χρι-
στοῦ μόρφωσιν ἐπετέλουν, οἱονείπως ἀπαμ-
βλίσκοντες τὸ ἔν γε σφίσιν αὐτοῖς ὡς ἐν
νηδύϊ κείμενον ἀγαθόν. οὐκοῦν τὸ ἐν γνώσει
τέλειον καὶ ἀκραιφνὲς εἰς πίστιν, τοῦ Σω-
τῆρος τὴν μόρφωσιν ταῖς ἁπάντων ἡμῶν
εἰσοικίζεται ψυχαῖς, καὶ τοῦτο ἐν ἡμῖν ὡς
θεία τις ἔσται σπορά. ὅταν τοίνυν ὡς ἀπό-
γε τῆς τινῶν λογομαχίας σκανδαλίζοιν-
Γ τό τινες· εἶτα ἡ τοῦτο παθοῦσα ψυχὴ τὴν
ὡς ἐν ὠδῖσι κειμένην, καὶ εἰς νοῦν ἔσω τε-
θειμένην ἀπαμβλίσκει πίστιν τε καὶ γνῶσιν,
εἰ μὲν εἴη, φησὶ, μὴ ἐξεικονισμένη, του-
τέστι εἰ ἀτελὴς ἔτι καὶ ἀκαλλεστέρα, ζημίαν
ὑπομένει πάντῃ τε καὶ πάντως ὁ τοῦ σκαν-
δάλου παραίτιος. ἣν ἂν ἐπιβάλῃ, φησὶν,
ὁ ταύτης νυμφίος, τουτέστι Χριστός· καὶ
» δώσει μετὰ ἀξιώματος, τουτέστιν ὁμολογεί-
τω καὶ χάριν, μὴ τὴν εἰς ὄλεθρον παντε-
Δ λῆ ποινὴν ὑποστάς. εἰ δ' εἴη, φησὶν, ἐξει-
κονισμένον τὸ τῆς ψυχῆς ἡμῶν [κύημα]
νοητὸν, τουτέστιν εἰ ἡ γνῶσις εἴη καὶ πίστις
τὴν Χριστοῦ φέρουσα (1) μόρφωσιν, τοῖς
» περὶ τῶν ἐσχάτων ὑποκείσεται λόγοις, ὡς
» ἤδη καὶ φονευτής. ψυχῆς γὰρ θάνατος
ἡ τῆς ἀμωμήτου πίστεως ἀπόθεσις, καὶ (2)
ἀρτίως ἐχούσης πίστεως ζημία.

κδ. Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ,
E ὀδόντα ἀντὶ ὀδόντος, χεῖρα ἀντὶ χει-
κε. ρὸς, πόδα ἀντὶ ποδὸς, Κατάκαυμα
ἀντὶ κατακαύματος, τραῦμα ἀντὶ
τραύματος, μώλωπα ἀντὶ μώλωπος.

** ΙΣΙΔΩΡΟΥ. Καὶ τὰ δοκοῦντα εἶναι
ἀπάνθρωπα τοῦ νόμου, ἡμερότητα πνεῖ.
» τὸ γὰρ νομοθετεῖσθαι, ὀφθαλμὸν ἀντὶ ὀφ-
θαλμοῦ ἐκκολάπτεσθαι, οὐκ ὠμὸν καὶ ἀπάν-
θρωπον, ἀλλὰ δικαιοσύνης μὲν γέμει ἐκ
Z τοῦ προχείρου λαμβανόμενον· νοούμενον δὲ,
καὶ φιλανθρωπίας, ὡς ἔφην. ἵνα γὰρ τῷ
φόβῳ τοῦ παθεῖν τὸν μέλλοντα δρᾷν σω-
φρονίσῃ, καὶ ἀναστείλῃ τὴν κακίαν, τοῦτο
εἰκότως διηγόρευσεν.

κϛ. Ἐὰν δέ τις πατάξῃ τὸν ὀφ-
θαλμὸν τοῦ οἰκέτου αὐτοῦ, ἢ [τὸν ὀφ-
θαλμὸν] τῆς θεραπαίνης αὐτοῦ, καὶ
H ἐκτυφλώσῃ, ἐλευθέρους ἐξαποστελεῖ
κζ. αὐτοὺς ἀντὶ τοῦ ὀφθαλμοῦ αὐτῶν. Ἐὰν
A δὲ τὸν ὀδόντα τοῦ οἰκέτου; ἢ τὸν ὀδόντα
τῆς θεραπαίνης αὐτοῦ ἐκκόψῃ, ἐλευ-
θέρους ἐξαποστελεῖ αὐτοὺς ἀντὶ τοῦ ὀδόν-
τος αὐτῶν.

* ΚΥΡΙΛΛΟΥ. Κατακωλύει τὸ θρά-
σος, καὶ συμμέτρους ἀποτελεῖ τὰς τῶν
κλησαμένων ὁρμὰς, καὶ οὐ μέχρις ἐκείνων
ἰέναι βούλεται, δι' ὧν ἂν γένοιτο [τὴν] εἰς
τὸ εὖ εἶναι ζημίαν ὑπενεγκεῖν τοὺς ὑπεζευ-
B γμένους. ἐφίησι δὲ οὐδαμῶς ἀχαλινώτως
ἰέναι τὰ ἐκ θυμοῦ, καὶ εἰς αὐτὴν ἤδη πράτ-
τεσθαι τὴν φύσιν, ἧς ἂν νοοῖτο μόνος ὑπάρ-
χων δεσπότης ὁ δημιουργός. δουλεία γὰρ
καὶ τὸ ἐπὶ τῇδε πάθος, οὐκ ἀῤῥώστημα φυ-
σικὸν, ἀλλ' εἰσποιητὸν ἐκ πλεονεξίας. ἐν
Χριστῷ μὲν οὖν ὁ Θεὸς καὶ πατὴρ ὅλην εὐ-
θὺς ἀναπλάττει πρὸς τὸ ἐν ἀρχαῖς τὴν
» φύσιν. εἴ τις γὰρ ἐν Χριστῷ καινὴ κτίσις. 2. Κορ. 5. 17.

* ΤΟΥ ΑΥΤΟΥ. Εἰ δὲ δὴ ἑρμηνεύοιτο
Γ πνευματικῶς ὁ τοῦ νόμου σκοπὸς, προσβά-
λοις ἂν καὶ καθ' ἕτερον τρόπον τοῖς ἐν
αὐτῷ τεθεωρημένοις. φῶς μὲν γὰρ τουτὶ
τὸ ἐγκόσμιον τοῖς τοῦ σώματος ὀφθαλμοῖς
εἰσδεχόμεθά τε καὶ θαυμάζομεν· φῶς δὲ
τὸ θεῖον καὶ νοητὸν ἐν ταῖς ἡμετέραις
ἀνίσχει καρδίαις. καὶ τροφὴ μὲν ἡ τοῦ σώ-
ματος, τοῖς ὀδοῦσι καταλεαίνεται, καὶ ἔστι
τὸ χρῆμα πρὸς ζωὴν ὁδός· τὰ δέ γε τῶν
θείων θεωρημάτων σκληρὰ καὶ δυσέφικτα,
Δ καθάπερ ὀδόντι τῇ τῆς διανοίας ἰσχύϊ μο-
νονουχὶ συνθρύπτεται, καὶ ἀποτρέφει ψυ-
χήν. καὶ γοῦν ἡ σοφία τὴν θείαν ἡμῖν καὶ
» πνευματικὴν ἁπλοῦσα τράπεζαν, ἔλθετε, Παροιμ. 9. 5.
» φάγετε, φησὶ, τὸν ἐμὸν ἄρτον. οὐκοῦν
κἂν εἰ οἰκέταις συμβαίνοι τυχὸν περί τι
τῶν τοιούτων τὸ βλάβος, παραπαίοντος
δεσπότου καὶ παρολισθεῖν ἀναγκάζοντος ἐξ
ὀρθότητος δογμάτων εἰς ἔκτοπον πλάνη-
σιν, λελύσθω, φησὶν, ὁ δεσμὸς, καὶ λό-
E γος ἔσω, φησὶ, μηδεὶς ἀναγκαίου ζυγοῦ·
διεῤῥίφθω δέ ποι καὶ τῆς ἐξουσίας τὸ δεῖ-
μα, ἴτω τε λοιπὸν ὁ κατεζευγμένος ὅποι-
περ ἂν αὐτῷ τὸ ἀλωβήτως ἔχειν εὑρίσ-
κοιτο. ψυχῆς γὰρ ἄμεινον οὐδέν.

* ΤΟΥ ΑΥΤΟΥ. [Ἴδοις δ' ἂν ἀληθῆ
τὸν λόγον καὶ ἐν καιροῖς ἔτι τοῖς καθ' ἡμᾶς
πληρούμενον. οὐ γὰρ ἀνέχονται δεσποτῶν
οἰκέται παρακομιζόντων εἰς πλάνησιν, τῆς
Z ἐπηρτημένης αὐτοῖς ἐξουσίας ὑπεξαγα-
γόντες γενικῶς τὸ ἔν γε τούτῳ πειθήνιον.
ἄχθει μὲν γὰρ τῷ δουλείας τὸν τοῦ σώμα-
τος ὑπενεγκόντες αὐχένα, τηροῦσιν ἀθόλω-
τον ἐν ἑαυτοῖς τὸν νοῦν· καὶ τὸ δεῖν εἰδέναι
σαφῶς τε καὶ ἀπλανῶς τὸν περὶ τῆς ἀλη-
θοῦς πίστεως λόγον, πολλοῦ δὴ λίαν, μᾶλλον
δὲ τοῦ παντὸς εἶναι ἄξιον πεπιστεύκασι.
καὶ] τροφὴν ποιοῦνται τὸ χρῆμα πνευμα-
τικὴν, οἷάπερ ὀδόντι τῷ νῷ κατατρίβον-
H τες τὸ εἰς οὓς ἐρχόμενον, καὶ τὴν τῶν
θείων νοημάτων ἀναμασσώμενοι δύναμιν.

κη. Ἐὰν

(1) Φέρουσα. ἐν Τόμ. 1. μέρ. 2. σελ. 261.
(2) Καὶ τῆς ἀρτίως ἐχούσης γνώσεως ἡ ζημία. αὐτ.

κη. Ἐὰν δὲ κερατίσῃ ταῦρος ἄνδρα ἢ γυναῖκα καὶ ἀποθάνῃ, λίθοις λιθοβοληθήσεται ὁ ταῦρος, καὶ ȣ̓ βρωθήσεται τὸ κρέας αὐτȣ̃· ὁ δὲ κύριος τȣ̃ ταύρȣ ἀθῶος ἔςαι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὸν κερατιςὴν ταῦρον ἀναιρεῖσθαι κελεύει; Καὶ διὰ τῶν ἀλόγων παιδεύων τȣ̀ς λογικȣ̀ς ἡλίκον ὁ φόνος κακόν.

ΚΥΡΙΛΛΟΥ. Ταύρῳ παρεικάζει τὸν ὑβριςὴν καὶ ἀλαζόνα, καὶ πλεονεκτεῖν ἰσχύοντα. γαῦρον γὰρ ἀείπως ἐςὶ καὶ ἀγέρωχον τὸ ζῶον, καὶ πάνδεινον εἰς ἀλκήν. τὸν δὴ τοιȣ̃τον εἴπερ ἀνέλοι τινὰ ταῖς πλεονεξίαις, ἀποτιννύναι δίκην ἐπ' αὐτῷ θανάτῳ προσέταχε. χρῆναι γὰρ ἔφη λιθόλευσον τελευτᾷν.

** ΤΟΥ ΑΥΤΟΥ. Ὑποκλέπτει δὲ τῆς ὀργῆς τὸν κεκλημένον, εἰ μὴ τῆς πλεονεξίας εἰδείη τὸν τρόπον, μηδὲ τῆς ἐκείνȣ φαυλότητος ἁλίσκοιτο κοινωνός. ȣ̓ γὰρ ἡμῶν ἐγκλήματα τὰ ἑτέρων, εἰ λαθραῖα γένοιτο τυχόν. ἐσθίειν δὲ ȣ̓κ ἐᾷ τȣ̃ ταύρȣ τὰ κρέα, τȣ̃τοι μὴ χρῆναι μεταλαχεῖν τῆς ἑτέρων ἀκαθαρσίας, ὡς ἐν τύπῳ τῷ κατὰ τὴν βρῶσιν καὶ τὴν οἱονεὶ μέθεξιν, ὑποτυπῶν.

κθ. Ἐὰν δὲ ὁ ταῦρος κερατιςὴς ᾖ πρὸ τῆς ἐχθὲς καὶ πρὸ τῆς τρίτης, καὶ διαμαρτύρωνται τῷ κυρίῳ αὐτȣ̃, καὶ μὴ ἀφανίσῃ αὐτὸν, ἀνέλῃ δὲ ἄνδρα ἢ γυναῖκα ὁ ταῦρος, (1) καὶ λιθοβοληθήσεται, καὶ ὁ κύριος αὐτȣ̃ προσαποθανεῖται.

** ΚΥΡΙΛΛΟΥ. Συγκαταδικάζεσθαι τῷ μόσχῳ δεδικαίωκε τὸν δεσπότην, εἴπερ εἰδείη τὸ πλημμεληθὲν, καὶ μαθὼν ἐλέγχοιτο τὴν πλεονεξίαν. τὸ γὰρ ἀπείργειν δύνασθαι τῆς ἀδικίας τȣ̀ς τρόπȣς, καὶ κατακωλύειν εὖ μάλα τὸ πλημμελὲς, εἶτα τȣ̃το δρᾷν ȣ̓κ ἀνέχεσθαι καὶ λίαν ἐσπȣδασμένως, μονονȣχὶ καὶ συνειργασμένον ἀποφαίνει τὸν ἄνθρωπον, καὶ ὅσον ἧκεν εἰς θέλησιν καὶ ταυτοβȣλίαν τοῖς ἐθέλȣσιν ἀνοσιȣργεῖν καὶ συνεκπονεῖν ἠρημένον.

λ. Ἐὰν δὲ λύτρα ἐπιβληθῇ αὐτῷ, δώσει λύτρα τῆς ψυχῆς αὐτȣ̃ κατὰ πάντα ὅσα ἂν ἐπιβάλωσιν αὐτῷ.

ΚΥΡΙΛΛΟΥ. Κατακρίνει μὲν γὰρ θανάτῳ τὰ παγχάλεπα τῶν πλημμελημάτων ὁ πάντων κριτής. πλὴν προσίεται τȣ̀ς ἡμαρτηκότας, καὶ λύτρα φέροντας τὰ τῆς ἁμαρτίας λυτικὰ, τὸ ἐν μετανοίαις δάκρυον, τὸν ἐπὶ ταῖς μεταγνώσεσι πόνον, τῆς ἐλεημοσύνης τȣ̀ς τρόπȣς. κα-

A „ τακαυχᾶται γὰρ ἔλεος κρίσεως, κατὰ τὰς Γραφάς. Ἰακ. 2. 13.

λα. Ἐὰν δὲ υἱὸν κερατίσῃ ἢ θυγατέρα, κατὰ τὸ δικαίωμα τȣ̃το

λβ. ποιήσȣσιν αὐτῷ. Ἐὰν δὲ παῖδα κερατίσῃ ὁ ταῦρος ἢ παιδίσκην, ἀργυρίȣ τριάκοντα δίδραχμα δώσει τῷ κυρίῳ αὐτῶν, καὶ ὁ ταῦρος λιθο-

B βοληθήσεται.

ΚΥΡΙΛΛΟΥ. Ἀκριβῆ δὲ ὁ νόμος καὶ τὴν ἐπὶ τοῖς πεπονθόσι ποιεῖται διαςολήν. εἰ μὲν γὰρ υἱὸν ἢ θυγατέρα, φησὶν, ὁ μόσχος ἀνέλῃ, θνησκέτω ἀφιλοικτιρμόνως· εἰ δὲ παῖδα ἢ παιδίσκην, ἀργύριον ἔσω τὸ ὑπὲρ τȣ́των ζητȣ́μενον. τίς ȣ̓̃ν ὁ λόγος, πῶς ȣ̓κ ἄξιον ἰδεῖν; καί τοι τὸ ἐλεύθερόν γε καὶ δȣ̃λον ἐν ἡμῖν ἐκ πλεο-
„ νεξίας, καὶ ȣ̓κ ἀῤῥώσημα φύσεως. εἷς Μαλαχ. 2. 10.
Γ „ γὰρ ἡμᾶς ἔκτισε Θεὸς, καὶ εἷς ὁ πάντων πατὴρ, κατὰ τὴν τȣ̃ Προφήτȣ φωνήν. ἆρ' ȣ̓̃ν ὡς ἔγκλημα τὴν δȣλείαν καταγράφει τινῶν ὁ πάντων δημιȣργός; ἆρα καὶ παρ' αὐτῷ τὸ δȣ̃λον ἐν μείοσι, καὶ δόξῃ πλεονεκτεῖ τὸ ἐλεύθερον; ȣ̓̃μενȣν.
„ ἐν γὰρ Χριςῷ Ἰησȣ̃ ȣ̓κ ἔνι δȣ̃λος. ȣ̓δὲ ἐλεύ- Γαλ. 3. 28.
„ θερος. ȣ̓κȣ̃ν σκιὰ γὰρ ὁ νόμος· διὰ μὲν υἱȣ̃ τε καὶ θυγατρὸς, τὸ ἐλεύθερον τῶν ἁγίων σημαίνεται γένος· διὰ δὲ παιδός-
Δ [τε καὶ παιδίσκης,] τὸ δȣ̃λον ἔτι καὶ ὑπὸ ζυγὸν ἁμαρτίας. ἔςι δὲ ȣ̓ ταὐτὸν τὸ πλημμελεῖν εἰς ἁγίȣς καὶ ἁμαρτωλȣ́ς. κολάζεται δὲ ȣ̓κ ἐν ἴσῳ μέτρῳ τὰ ἐπ' ἄμφω. ὅτι μὲν γὰρ τὴν φύσιν ἀδελφοὶ ȣ̓̃τοί τε κἀκεῖνοι, παντὶ τῷ σαφές· ἀλλ' ἔςι τὸ ἅγιον ἐν ὑπεροχῇ τῇ πνευματικῇ, καὶ ἐν τοῖς τῆς ἀρετῆς ὑψώμασι, καὶ παρὰ Θεῷ τίμιον, ὡς [καὶ] ἐν υἱȣ̃ τάξει γενέσθαι καὶ θυγατρὸς, καὶ τὸ ἀνθρώπινόν τε καὶ δȣ-
E λοπρεπὲς ὑπερφέρεσθαι μέτρον.

λγ. Ἐὰν δέ τις ἀνοίξῃ λάκκον ἢ λατομήσῃ λάκκον, καὶ μὴ καλύψῃ αὐτὸν, καὶ ἐμπέσῃ ἐκεῖ μόσχος ἢ ὄνος,

λδ. Ὁ κύριος τȣ̃ λάκκȣ ἀποτίσει, ἀργύριον δώσει τῷ κυρίῳ αὐτῶν· τὸ δὲ τεθνηκὸς αὐτῷ ἔςαι.

* ΚΥΡΙΛΛΟΥ. Τȣ̃το δέ ἐςιν αἰνιγμα-
Z „ τωδῶς, τὸ μὴ τιθέναι πρόσκομμα τῷ Ῥωμ. 14. 13.
„ ἀδελφῷ εἰς σκάνδαλον, καὶ τὸ ὠφελεῖν πεφυκὸς, ȣ̓κ ἐᾷν ἄχρησον γενέσθαι τισίν· ȣ̓̃τε μὴν ὁρᾶσθαι πρὸς θάνατον τὰ ἡμῖν τε καὶ ἑτέροις ἀναγκαῖα πρὸς ζωήν.

ΤΟΥ ΑΥΤΟΥ. Εἰς θεωρίαν λέγοντες (2) τὸ χρῆμα πνευματικὴν, ἐκεῖνο ἐρȣ̃μεν. λάκκον ἔοικεν ὀνομάζειν ἐν τȣ́τοις ἡμῖν ὁ νόμος, τῆς θεοπνεύςȣ Γραφῆς τὴν γνῶσιν, καὶ τὸν περὶ τῆς ἁγίας καὶ ὁμοȣ-
H σίȣ Τριάδος λόγον, καὶ τȣ̃ κατὰ Χριςὸν μυςηρίȣ τὴν δύναμιν. (3) κεῖται γὰρ ὥσπερ ἐν

(1) Ἡ μὲν ἐν Φρανεκ. ἔκδοσ. ὁ ταῦρος λιθοβοληθήσεται· ἡ δὲ τȣ̃ Ἀλδ. λιθοβοληθήσεται ὁ ταῦρος.
(2) Ἀναγαγόντες. ἐν Τόμ. 1. μέρ. 2. σελ. 249. (3) Τὴν εἴδησιν. αὐτ.

ἐν βάθει, καὶ ζωοποιὸν ἔχει τὴν εἴδησιν. (1) ἐκεῖν ὁ συγγράμμασι μὲν τοῖς ἀρχαιοτέροις ἐντυχών, καὶ σὺν πόνῳ πολυπραγμονῶν τῆς θεοπνεύστου Γραφῆς τοὺς λόγους, καὶ τὴν ἀκριβῆ τε καὶ ἀκιβδήλευτον γνῶσιν ἀναζητῶν, πολλὴν ἂν ἔχοι τὴν ἐμφέρειαν πρός γε τὸν ὀρύττοντα λάκκον. ζητεῖ γὰρ ὕδωρ ζωοποιὸν, καὶ πηγὴν εὐφραίνουσαν, καὶ χειμάῤῥου τρυφῆς. ὁ δὲ δὴ εἰς τοῦτο λοιπὸν συνέσεως ἀφιγμένος, ὡς καὶ ἰδίᾳ δύνασθαι παραδοῦναι γραφῇ τοῦ μυστηρίου τὸν λόγον, λατομεῖ λάκκον. καινουργεῖ γὰρ ὥσπερ, οὐ τοῖς ἑτέρων ἱδρῶσιν ἐποικοδομῶν, ἀλλὰ τοῖς ἰδίοις ἑαυτόν τε καὶ ἑτέρους ὠφελῶν. ὀρύττουσι δὲ λάκκους

Ἰερ. 2. 13. „ συντετριμμένους, κατὰ τὴν τοῦ Προφήτου φωνὴν, καὶ οἱ τῆς ψευδωνύμου γνώσεως ἐρασταί. εἴτις τοίνυν ὀρύξει λάκκον, ἀσφαλιζέσθω φησὶ, μὴ ἄρα τισὶν ὀλέθρου γένοιτο τρόπος τὸ καλῶς εἰρῆσθαι (2) δοκοῦν. δεῖ γὰρ ἡμᾶς οὕτως ὀρθῶς τε καὶ ἀπηκριβωμένως τὸν περὶ Θεοῦ ποιεῖσθαι λόγον, ὡς μηδενὶ γενέσθαι σκανδάλου πρόφασιν. καὶ τοῦτο οἶμαί ἐστι τὸ πῶμα ἐπικεῖσθαι τῷ λάκκῳ, τὸ τῆς καθηκούσης ἀσφαλείας μὴ ἀμοιρεῖν τὸν λόγον. ἐὰν γὰρ πέσῃ, „ φησὶν, ἢ βοῦς ἢ ὄνος, ὁ πεπονηκὼς ἀποτίσει. βοῦν δὲ καὶ ὄνον ὀνομάζει πάλιν οὐχ ἁπλῶς, ἀλλ' ἐν λόγῳ βαθεῖ. καὶ βοῦν μέν φησιν, ἵνα νοήσῃς τὸ ἱερὸν καὶ καθαρὸν γένος· ὄνον δὲ αὖ, ἵνα συνῇς τὸ ἀνίερον καὶ ἀκάθαρτον. οὐ γὰρ προσάγεται κατὰ νόμους εἰς θυσίαν τῷ Θεῷ. ἱερὸν δὲ γένος καὶ καθαρὸν εἶναί φαμεν τοὺς ἡγιασμένους διὰ πίστεως· ἀνίερον δὲ καὶ ἀκάθαρτον, τοὺς οὔπω κεκαθαρμένους διὰ τοῦ ἁγίου βαπτίσματος, ἀλλ' ἐνεστιγμένον ἔχοντας ἔτι τῆς ἁμαρτίας τὸν μολυσμόν. ὅμοιον οὖν, ὡσεὶ λέγοι· εἴ τι γένοιτο βλάβος, ἢ περί τινα τῶν ἤδη βεβαπτισμένων, καὶ κατεσφραγισμένων διὰ τῆς χάριτος εἰς οἰκειότητα τὴν πρὸς Θεόν; ἢ εἰς τινὰ τυχὸν τῶν οὔπω τοιούτων, ὀφλήσει δίκην ὁ τοῦ σκανδάλου πρόξενος, καὶ αὐτῷ μενεῖ τὸ τεθνηκὸς, τουτέστιν αὐτοῦ γενήσεται τοῦ παθόντος ὁ θάνατος.

ΤΟΥ ΑΥΤΟΥ. Διὰ μὲν τῆς ὄνου νοήσεις τὸ ἐξ ἐθνῶν, διὰ δὲ τοῦ βοὸς τὸ ἱερὸν καὶ ἀπόλεκτον γένος.


λε. Ἐὰν δὲ κερατίσῃ τινὸς ταῦρος τὸν ταῦρον τοῦ πλησίον αὐτοῦ, καὶ τελευτήσῃ, ἀποδώσονται τὸν ταῦρον ζῶντα, καὶ διελοῦνται τὸ ἀργύριον αὐτοῦ, καὶ τὸν ταῦρον τὸν τεθνηκότα διελοῦνται.

ΚΥΡΙΛΛΟΥ. [Εἰ πλεονεξίας ἐπιγένοιτο καὶ ἀδικίας τρόπος παρ' οὐχ ἑκόντος τινὸς εἰς ἕτερον,] ἐντρυφάτω, φησὶν, ὁ ἠδικημένος τοῖς τοῦ λυπήσαντος ἀγαθοῖς, καὶ κοινὰς ἐχέτωσαν τὰς θυμηδίας. τοῦτο γὰρ οἶμαί ἐστι τὸ διελέσθαι [τὸν ταῦρον τὸν ζῶντα. κοινὰς δὲ ποιείτω, φησὶ, καὶ ἀνεθελήτως προσκεκρουκὼς τὰς τοῦ πεπονθότος συμφοράς. τουτὶ γὰρ οἶμαι παραδηλοῦν, τὸ διελέσθαι τὸν τεθνηκότα. ὁρᾷς οὖν ὅπως ὁ νόμος αἰνιγματωδῶς ἔτι καὶ κατεσκιασμένως τὸν φιλάλληλον εἰσηγεῖται τρόπον; ἢ οὐχὶ δὴ „ τοῦτό ἐστι τὸ, χαίρειν μετὰ χαιρόντων, καὶ Ῥωμ. 12. 15.
„ κλαίειν μετὰ κλαιόντων;]

ΑΔΗΛΟΥ. χρὴ δὲ γινώσκειν, ὅτι οὗτος ὁ πατὴρ ἐν πᾶσι τὴν τοῦ ταύρου προσηγορίαν ἐπὶ τοὺς πλεονέκτας λαμβάνει. (3)

λϛ. Ἐὰν δὲ γνωρίζηται ὁ ταῦρος ὅτι κερατιστής ἐστι πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης, καὶ διαμεμαρτυρημένοι ὦσι τῷ κυρίῳ αὐτοῦ, καὶ μὴ ἀφανίσῃ αὐτὸν, ἀποτίσει ταῦρον ἀντὶ ταύρου ὁ κύριος (4) αὐτοῦ, ἀποτίσει τὸ ἀργύριον ἀντὶ ταύρου, ὁ δὲ τετελευτηκὼς αὐτῷ ἔσται.

ΚΥΡΙΛΛΟΥ. Εἰ δὲ δὴ, φησὶν, ὁ πλεονεκτῶν εἰδείη σαφῶς, ὅτι πείσεταί [τι] δεινὸν ὁ πέλας, τῶν τῆς πλεονεξίας τρόπων οὐκ ἀνῃρημένων, ζημίαν αὐτὸς τὴν ἴσην ὑπομενεῖ, καὶ τὴν τοῦ παθόντος συμφορὰν ἐπαντλήσει μόνῃ τῇ ἰδίᾳ ψυχῇ. τοῦτο γὰρ αἰνιγματωδῶς δη-
„ λοῖ τὸ, ἀποτίσει ταῦρον ἀντὶ ταύρου, ὁ
„ δὲ τετελευτηκὼς αὐτοῦ ἔσται. οὐ γὰρ μέχρι τοῦ τῶν οἰκείων ἀγαθῶν ἀποπεσεῖν τοῖς ἀδικοῦσιν ὁ λόγος, ἀλλ' ἰδίαν ἕξουσι συμφορὰν, καὶ αὐτῶν ἔσται πάθος τὸ τῷ πέλας συμβεβηκός.



ΚΕΦ.

(1) Τὴν δύναμιν. ἐν Τόμ. 1. μέρ. 2. σελ. 249. (2) Εἰργάσθαι. αὐτ.
(3) Καὶ ἐπὶ Χριστόν. ὅρα τὸ ἐν τῇ 513. σελ. ὑπόμνημα.
(4) Τὸ, ὁ κύριος αὐτοῦ, ἀποτίσει τὸ ἀργύριον ἀντὶ ταύρου. ἐν τῇ ἐν Φραν. ἐκδ. οὐ κεῖται.

ΚΕΦ. ΚΒ.

α. Ἐὰν δὲ κλέψῃ τὶς μόσχον ἢ πρόβατον, καὶ σφάξῃ αὐτὸ ἢ ἀποδῶται, πέντε μόσχους ἀποτίσει ἀντὶ τοῦ μόσχου, καὶ τέσσαρα πρόβατα ἀντὶ τοῦ προβάτου.

ΑΔΗΛΟΥ. Διὰ τὸ ἐν ὑπεροχῇ καὶ μεγέθει εἶναι τὸν μόσχον, μεῖον δὲ τὸ πρόβατον.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Κελεύει τέτταρα μὲν πρόβατα ἀποτίνειν, βοῦς δὲ πέντε τὸν κλέπτην, ἀνθ' ἑνὸς τοῦ ὑφαιρεθέντος. ἐπειδὴ πρόβατον μὲν φέρει δασμοὺς δ', γάλα, καὶ τυρὸν, καὶ ἔρια, καὶ ἐτήσιον ἄρνα· ὁ δὲ βοῦς, ε'· τρεῖς μὲν τοὺς αὐτοὺς ἐν γάλακτι καὶ τυρῷ καὶ γεννήμασι, δύο δὲ ἐξαιρέτους, ἄροτρον γῆς, καὶ ἀλοητόν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ὁ μόσχον κεκλοφὼς, πενταπλάσια ἀπαιτεῖσθαι κελεύεται, ὁ δὲ πρόβατον, τετραπλάσια; Ὅτι τὰ μείζονα τῶν ἁμαρτημάτων, μειζόνων ἄξια τιμημάτων. οὕτω καὶ ὁ Θεὸς ἐδίδαξεν. (Λυκ. 12. 48.) » ᾧ μὲν γάρ φησι πολὺ δοθήσεται, πολὺ καὶ ἀπαιτήσουσι παρ' αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Μόσχος μὲν δὴ καὶ πρόβατον, καθαρά τε ἄμφω καὶ ἱερὰ, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνακομιζόμενα τῷ Θεῷ· ἀλλ' ὁ μὲν μόσχος, ἐν ὑπεροχῇ καὶ μεγέθει σώματος· θάτερόν γε μὴν, οὐχ οὕτω. μόσχου γὰρ μεῖον τὸ πρόβατον. μόσχοι δὴ οὖν καὶ πρόβατα ὥσπερ τινὰ ζῶα καθαρά τε καὶ ἱερώτατα, τῶν διὰ πίστεως δεδικαιωμένων ἡ ἁγία πληθὺς, διχηλοῦντες τὴν ὁπλὴν, καὶ μηρυκισμὸν ἀνάγοντες κατὰ τὸν νόμον, καὶ καρπῶν ἡμέρων ὄντες ἐργάται. γηπονεῖ γὰρ ὁ μόσχος. ἔγκαρπον δὲ καὶ τὸ πρόβατον. ἐνεσώκισαι μὲν γὰρ ταῖς θείαις αὐλαῖς, τουτέστιν ἐκκλησίαις, ἡ τῶν κεκλημένων ἀγέλη. πολλοὶ δὲ λίαν οἱ κλέπται περὶ αὐτὴν διορύττοντές τε καὶ παρεισδύοντες, καὶ πολυτρόποις φενακισμοῖς τὰς τῶν ἁπλουστέρων ψυχὰς ἐξέλκοντες, καὶ μονονουχὶ καταπιπράσκοντες τῷ ὀλοθρεύοντι Σατανᾷ. πλὴν ὁ δεδρακώς τι τοιοῦτον, πέντε μόσχους ἀποτίσει ἀνθ' ἑνὸς, καὶ τέσσαρα πρόβατα ἀντὶ προβάτου. πενταπλασίονα μὲν γὰρ ἐπὶ τῷ μόσχῳ τὴν δίκην, τετραπλασίονα δὲ [δεῖν] ἐφ' ἑνὶ προβάτῳ γενέσθαι φησὶ, κατὰ τὸ μέτρον οἶμαί που τῆς πνευματικῆς κατ' ἀρετὴν ποσότητος τῶν ἀπολλυμένων ἐπιτιθεὶς τὴν κόλασιν. τύπος δ' ἂν εἴη καὶ σκιὰ τῆς ἐν ἀρετῇ ποσότητος ἡ σωματική. καὶ γάρτοι μεῖον καὶ μεῖζον ἐν ἐπιεικείαις ἀταλαίπωρον ἰδεῖν ἔν γε τοῖς πεπιστευκόσιν· ἐπεὶ μὴ ἐν ἴσῳ πάντες (1. Κορ. 7. 7.) τυγχάνουσιν, ἀλλ' ἕκαστος ἡμῶν ἴδιον » ἔχει χάρισμα ἐκ Θεοῦ, ὁ μὲν οὕτως, ὁ » δὲ οὕτως.

β. Ἐὰν δὲ ἐν τῷ διορύγματι εὑρεθῇ ὁ κλέπτης, καὶ πληγεὶς ἀποθάνῃ, γ. οὐκ ἔστιν αὐτῷ φόνος. Ἐὰν δὲ ἀνατείλῃ ὁ ἥλιος ἐν αὐτῷ, ἔνοχός ἐστιν, ἀνταποθανεῖται· ἐὰν δὲ μὴ ὑπάρχῃ αὐτῷ, πραθήτω ἀντὶ τοῦ κλέμματος.

Β ΚΥΡΙΛΛΟΥ. Εἰ δὲ δὴ κλέπτων καὶ διορύττων, ἔτι δὲ καὶ τὰ τῆς λῃστείας ἔργα πληρῶν, ὡς ἐν νυκτὶ καὶ σκότῳ τοῦτο δρᾷν καταφωραθείη, φησὶ, τεθνηξάτω, ὅτε καὶ τὸ χρῆμα οὐ φόνος, οὔτε τῷ δράσαντι γραφή. πλεονέκτης γὰρ καὶ βίαιος ὁ πεσὼν, καὶ πολέμου τέτρωται νόμῳ. ἡλίου δὲ ἀνατείλαντος, καὶ παρελάσαντος ἤδη τοῦ τῆς λῃστείας καιροῦ, τὴν τοῦ πλήττοντος Γ εἴργει χεῖρα, καὶ φόνου γραφὴν καθορίζει τοῦ τολμήματος. ἕως μὲν γὰρ ὁ κλέπτης ὁ νοητὸς τὴν τοῦ πιστεύσαντος εἰς Χριστὸν καταλωβᾶται ψυχὴν, καὶ ἀγάπης ἐξέλκῃ τῆς εἰς Θεὸν, εἰ καὶ ἐν αὐτοῖς ἁλοίη τοῖς πλημμελήμασι, πάθοι ἂν οὐκ ἀδίκως. ψυχὴν γὰρ ἀπέκτεινε τὴν ἀμείνω σώματος. ἡλίου δὲ ἀνατείλαντος αὐτῷ κατὰ νοῦν, καὶ διαυγασάσης ὡς ἐν τάξει φωτὸς τῆς ἡμέρας τῆς ἀληθοῦς γνώσεως, κινδυ- Δ νεύειν οὐκ ἐᾷ. κολάζεται γὰρ τὰ νυκτὸς ἔργα καὶ σκότους· τὰ δὲ ὡς ἐν φωτὶ λοιπὸν, οὐκ ἔτι. ἀνεῖσθαι γὰρ τῶν ἀρχαίων ἐγκλημάτων, καὶ τῶν ἐν ἀγνοίᾳ καὶ σκότῳ, δεδικαίωκεν ὁ Θεός. καὶ δὴ καὶ λεγέσθω τοῖς ἐξ ἁμαρτίας εἰς φῶς ἀφιγμένοις τὸ » νοητὸν, οἱ ποτὲ σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ. (Ἐφεσ. 5. 8.) οὕτω δεδικαίωκεν ὁ Χριστὸς καὶ τὸν θεσπέσιον Παῦλον, τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην, καὶ ὑβριστήν. Ε καθ' ὑπερβολὴν γὰρ ἐδίωκε τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθει αὐτήν. (1. Κορ. 15. 9)

ΤΟΥ ΑΥΤΟΥ. Ὁρᾷς ὅπως ἀτιμίαν ὁ νόμος τὴν δουλοπρεπῆ καταγράφει σαφῶς τῶν διηνεκῆ καὶ ἀνέκλειπτον ἐχόντων τὴν ἁμαρτίαν, καὶ μηδ' ὅσον εἰπεῖν λύτροις ἀποκρύεσθαι τὰ ἐγκλήματα δυναμένων, διά γε τὸ τῆς γνώμης ἀσθενὲς οὐκ ἀνεχομένων ἱδροῦν εἰς μετάγνωσιν, καὶ διὰ τῶν εἰς τοῦτο πόνων ἐκμειλίσσεσθαι Θεόν; Ζ οὓς καὶ πιπράσκεσθαι εὖ μάλα φησίν. ἐναριθμεῖσθαι γὰρ οὐκ ἐᾷ τοῖς διὰ τῆς θείας χάριτος ἠλευθερωμένοις, τοὺς οὕτω μεμολυσμένους.

δ. Ἐὰν δὲ καταληφθῇ καὶ εὑρεθῇ ἐν τῇ χειρὶ αὐτοῦ τὸ κλέμμα ἀπὸ ὄνου ἕως προβάτου ζῶντα, διπλᾶ αὐτὰ ἀποτίσει.

Η * ΚΥΡΙΛΛΟΥ. [Εἰ δὲ κεκλοφὼς μὲν ἁλοίη, φησὶν, οὔπω δὲ ἀνελὼν,] τουτέστιν εἰ φενακισμοῦ καὶ ἀπάτης ἀρξάμενος τῆς εἰς ἑτέρους καταλαμβάνοιτό τις τῶν ἑτεροδοξεῖν εἰωθότων, νενικηκὼς δὲ οὔτω καὶ κατα-

καλακομίσας εἰς ὄλεθρον τοὺς ἀκροωμένους, ἀποτίσει διπλᾶ. ἀναλήψεται γὰρ τὸ οἰκεῖον τῆς ἀγέλης ὁ δεσπότης, προσεξαιτηθήσεται δὲ καὶ λόγους ὁ βωμολόχος· τοῦτο γὰρ ἂν εἴη τὸ ἐν διπλῷ· καὶ ζημίαν ὑπομενεῖ τὴν εἰς θάνατον. ὃ γὰρ ἠθέλησε δρᾷν εἰς ἑτέρους, πάθοι ἂν αὐτὸς καὶ μάλα εἰκότως.

ε. Ἐὰν δὲ καταβοσκήσῃ τὶς ἀγρὸν ἢ ἀμπελῶνα, καὶ ἀφῇ τὸ κτῆνος αὐτοῦ καταβοσκῆσαι ἀγρὸν ἕτερον, ἀποτίσει ἐκ τοῦ ἀγροῦ αὐτοῦ κατὰ τὸ γέννημα αὐτοῦ· ἐὰν δὲ πάντα τὸν ἀγρὸν καταβοσκήσῃ, ἢ τὰ κάλλιστα τοῦ ἀγροῦ αὐτοῦ, ἢ τὰ βέλτιστα τοῦ ἀμπελῶνος αὐτοῦ ἀποτίσει.

* ΚΥΡΙΛΛΟΥ. Ἁρμόσοι δ' ἄν, ὡς γέ μοι φαίνεται, τῶν προκειμένων ἡ δύναμις τοῖς τῶν αἱρέσεων εὑρεταῖς, ὧν οἱ βδελυροὶ καὶ ἀνέστατοι μαθηταὶ, κτηνῶν ἀλόγων δίκην, ληΐα τε καὶ ἀμπελῶνας κατανέμονται τοὺς δεσποτικοὺς, εἰς κρίμα τε καὶ κόλασιν τῶν τῆς πλανήσεως εὑρετῶν. συμβήσεται γὰρ ἐκείνοις ἡ τῶν καλλίστων ζημία, τουτέστιν ὁ περὶ αὐτὴν ὄλεθρος τὴν ψυχήν. ἀμπελῶνος γὰρ, ἢ γοῦν ληΐου τυχὸν, καὶ ἀνὰ μέρος ἑκάστου τῶν καθ' ἡμᾶς νοουμένων τὸ ἐν αὐτῷ βέλτιστον ἡ ψυχή.

ς. Ἐὰν δὲ ἐξελθὸν πῦρ εὕρῃ ἀκάνθας, καὶ προσεμπρήσῃ ἅλωνα ἢ στάχυς ἢ πεδίον, ἀποτίσει ὁ τὸ πῦρ ἐκκαύσας.

** ΚΥΡΙΛΛΟΥ. Ἄκανθα μὲν, ἡ μυσαρωτάτη καὶ βέβηλος ἀθυροστομία τῶν διεστραμμένων· σῖτος δὲ καὶ ἄσταχυς, ὁ ψυχωφελής τε καὶ τροφιμώτατος τῆς ἀληθείας λόγος· ψιλὸν δὲ πεδίον, ἡ θεόπνευστος Γραφή. ὅταν τοίνυν οἱάπερ φλόγες, ἢ πῦρ, τοῖς τῶν ἑτεροδοξούντων τε καὶ Ἑλλήνων φενακισμοῖς οἱ τῶν ἁγίων μυσταγωγῶν ἐπιφύοιντο λόγοι τοῖς τῆς ἀληθείας συνηγοροῦντες δόγμασι, καὶ τὰ κατὰ μόνης ἰόντων ἀκάνθης, φησὶ, καὶ καταφλεγόντων μὲν ὡς ἄχρηστον καὶ ἀγρίαν ὕλην τὰ παρ' ἐκείνοις συγγράμματα, μὴ συναδικούντων δὲ σῖτον ἢ ἄσταχυν, τουτέστι νηφέτωσαν οἱ μυσταγωγοὶ, μή ἄρα τι καταπημήνειαν τῶν τῆς ἀληθείας δογμάτων· ἢ ἴστω, φησὶν, ὁ σὺν ἀσφαλείᾳ τοῦτο δρᾷν οὐκ ἀνεχόμενος, ὡς εἴπερ τι γένοιτο συγκαταφλεχθῆναι τοῖς φαύλοις τῶν ἀναγκαίων εἰς ὄνησιν, ἀποτίσει τῆς ἀπροσεξίας τοὺς λόγους.

ζ. Ἐὰν δέ τις δῷ τῷ πλησίον ἀργύριον ἢ σκεύη φυλάξαι, καὶ κλαπῇ ἐκ τῆς οἰκίας τοῦ ἀνθρώπου, ἐὰν εὑρεθῇ ὁ κλέψας, ἀποτίσει διπλοῦν.

A **η.** Ἐὰν δὲ εὑρεθῇ ὁ κλέψας, προσελεύσεται ὁ κύριος τῆς οἰκίας ἐνώπιον τοῦ Θεοῦ, καὶ ὀμεῖται (1) μὴ πεπονηρεῦσθαι ἐφ' ὅλης τῆς παρακαταθήκης τοῦ πλησίον.

ΑΔΗΛΟΥ. Ὀμεῖται, ὅτι οὐδὲν ὁτιοῦν πεποίηκεν ἢ ἔργῳ ἢ λόγῳ ἄδικον κατὰ τῆς παραθήκης.

B **θ.** Κατὰ πᾶν ῥητὸν ἀδίκημα, περί τε μόσχου, καὶ ὑποζυγίου, καὶ προβάτου, καὶ ἱματίου, καὶ πάσης ἀπωλείας τῆς ἐγκαλουμένης· ὁτιοῦν ἐὰν ᾖ, ἐνώπιον τοῦ Θεοῦ ἐλεύσεται ἡ κρίσις ἀμφοτέρων, καὶ ὁ ἁλοὺς διὰ τοῦ Θεοῦ,
ι. ἀποτίσει διπλοῦν τῷ πλησίον. Ἐὰν
δέ τις δῷ τῷ πλησίον ὑποζύγιον ἢ
πρόβατον ἢ μόσχον ἢ πᾶν κτῆνος φυ-
Γ λάξαι, καὶ τελευτήσῃ ἢ συντριβῇ ἢ
αἰχμάλωτον γένηται, καὶ μηδεὶς γνῷ,
ια. Ὅρκος ἔσται τοῦ Θεοῦ ἀνὰ μέσον ἀμ-
φοτέρων, ἦ μὴν μὴ αὐτὸν πεπονηρεῦ-
σθαι καθόλου τῆς παρακαταθήκης τοῦ
πλησίον· καὶ οὕτω προσδέξεται ὁ κύ-
ιβ. ριος αὐτοῦ, καὶ οὐ μὴ ἀποτίσῃ. Ἐὰν
δὲ κλαπῇ παρ' αὐτοῦ, ἀποτίσει τῷ
ιγ. κυρίῳ αὐτοῦ. Ἐὰν δὲ θηριάλωτον γέ-
νηται, ἄξει αὐτὸν ἐπὶ τὴν θήραν, καὶ
ιδ. οὐκ ἀποτίσει. Ἐὰν δὲ αἰτήσῃ τὶς ἀπὸ
τοῦ πλησίον, καὶ συντριβῇ ἢ ἀποθάνῃ
ἢ θηριάλωτον (2) γένηται, ὁ δὲ κύριος
ιε. μὴ ᾖ μετ' αὐτοῦ, ἀποτίσει. Ἐὰν δὲ
ὁ κύριος αὐτοῦ ᾖ, οὐκ ἀποτίσει. ἐὰν δὲ
μισθωτὸς ᾖ, ἔσται αὐτῷ ἀντὶ τοῦ μισθοῦ
ις. αὐτοῦ. Ἐὰν δὲ ἀπατήσῃ τὶς παρθένον
E ἀμνήστευτον, καὶ κοιμηθῇ μετ' αὐτῆς,
φερνῇ φερνιεῖ αὐτὴν ἑαυτῷ γυναῖκα.
ιζ. Ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ, καὶ μὴ
βούληται ὁ πατὴρ αὐτῆς δοῦναι [αὐτὴν]
αὐτῷ γυναῖκα, ἀργύριον ἀποτίσει τῷ
πατρὶ καθ' ὅσον ἐστὶν ἡ φερνὴ τῶν παρ-
ιη. θένων. Φαρμακοὺς οὐ περιποιήσετε.

ιθ. Πᾶν κοιμώμενον μετὰ κτήνους
Z θανάτῳ ἀποκτενεῖται.

** ΠΡΟΚΟΠΙΟΥ. Μῖξις γὰρ νοητὴ πρὸς νοῦν ἀλογίαν νοσήσαντα, θανάτου πρόξενος τοῖς τε φθαρεῖσι καὶ φθείρουσι.

κ. Θυσιάζων θεοῖς, ἐξολοθρευθήσεται, πλὴν Κυρίῳ μόνῳ.

ΑΔΗΛΟΥ. Ἀναθεματισθήσεται.

κα. Καὶ προσήλυτον οὐ κακώσετε,
H οὔτε μὴ θλίψητε αὐτόν· ἦτε γὰρ προσήλυτοι ἐν γῇ Αἰγύπτῳ.

κβ. Πᾶ-

(1) Ἡ μὴν πρόσκειται ἔν τε τῇ ἐν Φρανεκ. καὶ ἐν τῇ τοῦ Ἀλδ. καὶ ἐν τῇ ἐν Καταβρ. ἐκδόσ. ἐν δὲ τῇ ἐν Ὀξον. εἰ μὴν. ὃ γραφικὸν δοκεῖ ἁμάρτημ.

(2) Αἰχμάλωτον. αὐτ.

κϐ. Πᾶσαν χήραν καὶ ὀρφανὸν ἐ κακώσετε.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Χήραν καὶ ὀρφανὸν ἀπείρηται κακῦν. ἐξαιρέτε γὰρ προνοίας μεταδίδωσιν, ἐπειδὴ τὲς ἀναγκαίες βοηθὲς καὶ ἡγεμόνας (1) ἀφῄρηνται. βέλεται γὰρ τῇ φυσικῇ κοινωνίᾳ χρωμένες, τὰς ἐνδείας ὑπὸ τῶν ἐν περιεσίᾳ ἀναπληρεῖσθαι.

κγ. Ἐὰν δὲ κακίᾳ κακώσητε αὐτὲς, καὶ κεκράξαντες καταβοήσωσι πρός με, ἀκοῇ εἰσακέσομαι τῆς φωνῆς αὐτῶν.

κδ. Καὶ ὀργισθήσομαι θυμῷ πρὸς ὑμᾶς, καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ, καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι, καὶ τὰ παιδία ὑμῶν ὀρφανά.

κε. Ἐὰν δὲ ἀργύριον ἐκδανείσῃς τῷ ἀδελφῷ τῷ πενιχρῷ τὸ παρὰ σοὶ, ἐκ ἔσῃ αὐτὸν κατεπείγων, ἐκ ἐπιθήσεις αὐτῷ τόκον.

κς. Ἐὰν δὲ ἐνεχύρασμα ἐνεχυριάσῃς τὸ ἱμάτιον τῦ πλησίον, πρὸ

κζ. δυσμῶν ἡλίε ἀποδώσεις αὐτῷ. Ἔςι γὰρ τῦτο περιβόλαιον αὐτῷ, μόνον τῦτο τὸ ἱμάτιον ἀσχημοσύνης αὐτῦ· ἐν τίνι κοιμηθήσεται; ἐὰν ἐν καταβοήσῃ πρός με, εἰσακέσομαι αὐτῦ· ἐλεήμων γάρ εἰμι.

** ΚΥΡΙΛΛΟΥ. Τὸ γλυκὺ τῆς φιλαδελφίας μάθημα προτιθεὶς, προσηπείλησε τὴν ὀργὴν. μονονεχὶ δὲ καὶ ἀπολογεῖται χρηςῶς τοῖς αὐτὴν ὑπομεῖναι μέλλεσιν, εἰ μὴ ποιοῖντο διὰ σπεδῆς τὴν εἰς

» ἀδελφὲς εὐσπλαγχνίαν. ἐλεήμων γάρ εἰμι φησί.

κη. Θεὲς ἐ κακολογήσεις, καὶ ἄρχοντα τῦ λαῦ σε ἐκ ἐρεῖς κακῶς.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Προνοεῖται τῶν ἰδιωτῶν, ὡς μὴ περιπίπτοιεν ἀνηκέςοις τιμωρίαις. οἱ γὰρ κακῶς ἀκέσαντες ἄρχοντες τὲς εἰπόντας, ἐ μετὰ δίκης ἀμύνονται, καταχρήσονται δυναςείαις εἰς πανωλεθρίαν. ἐπεὶ, φησὶν, (2) ἐ περὶ παντὸς ἄρχοντος ἔοικε νομοθετεῖν· ἀλλ' ὡσανεὶ τῦ λαῦ τῦδε, ἢ ἔθνες ἡγεμόνα σπεδαῖον ὑποτίθεται διὰ πλειόνων. καταχρηςικῶς δὲ δυνατὲς, ἢ ἱερεῖς, ἢ προφήτας, ἢ ἁγίες ἄνδρας, (3) ὡς Μωσέα. ἰδὲ

» γὰρ ἐθηκάσε Θεὸν Φαραὼ, ἐλέχθη πρὸς

» Μωϋσῆν.

ΕΥΣΕΒΙΟΥ. Θεὲς, τὲς κριτάς. καὶ τῦτο δῆλον ἐκ τῶν ἐπαγομένων. φησὶ γὰρ,

» καὶ ἄρχοντα τῦ λαῦ σε.

Α„ ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, Θεὲς

» ἐ κακολογήσεις; Τὲς κριτὰς ὀνομάζει Θεὲς, ὡς κατὰ μίμησιν τῦ τῶν ὅλων Θεῦ κρίνειν πεπιςευμένες. τῦτο σαφέςερον ἐδίδαξεν ὁ προφήτης Δαβίδ. εἰπὼν γὰρ, ὁ

» Θεὸς ἔςη ἐν συναγωγῇ Θεῶν, ἐν μέσῳ δὲ Ψαλ. 81. 1, 2,

» Θεὲς διακρινεῖ, ἐπήγαγεν· ἕως πότε κρί- 3, 4, 5,

» νετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν 6, 7.

» λαμβάνετε; κρίνατε ὀρφανῷ καὶ πτωχῷ,

» ταπεινὸν καὶ πένητα δικαιώσατε. ἐξέλε-

Β„ σθε πένητα καὶ πτωχὸν, ἐκ χειρὸς ἁμαρ-

» τωλῦ ῥύσασθε αὐτόν. εἶτα κατηγορῶν,

» προςέθηκεν· ἐκ ἔγνωσαν ἐδὲ συνῆκαν,

» ἐν σκότει διαπορεύονται. ἐπιδείκνυσι δὲ

» καὶ τὴν οἰκείαν φιλοτιμίαν. ἐγὼ γὰρ φη-

» σιν εἶπα, Θεοίἐςε, καὶ υἱοὶ ὑψίςε πάντες.

» ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ

» ὡς εἷς τῶν ἀρχόντων πίπτετε. ἕτω καὶ

» ἐνταῦθα, Θεὲς ἐ κακολογήσεις, καὶ ἄρ-

» χοντα τῦ λαῦ σε ἐκ ἐρεῖς κακῶς.

Γ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνας ἐνταῦθα λέγει Θεὲς; Τὲς ἄρχοντας. διὸ καὶ ἐπά-

» γει· Θεὲς ἐ κακολογήσεις, καὶ ἄρχοντα

» τῦ λαῦ σε ἐκ ἐρεῖς κακῶς. λέγει καὶ τὲς ἐκ προγόνε τινὸς ἐναρέτε γεγεννημένες. ἐπειδὴ γὰρ ὁ Ἐνὼς πολλὴν ἀρετὴν ἐπιδειξάμενος, ἐκλήθη τῷ ὀνόματι τῦ Θεῦ· οἱ δὲ ἐξ ἐκείνε πάντες, καὶ οἱ ἔκγονοι τῦ ἀδελφῦ ἐκείνε ἀλλήλοις ἐμίγνυντο, υἱὲς

Δ„ τῦ Θεῦ καλεῖ τὲς ἐναρέτες. ἤρξαντο Γεν. 4. 26.

» γάρ φησιν, ἐπικαλεῖσθαι τῷ ὀνόματι τῦ Θεῦ. λέγει δὲ καὶ τὸν τῶν Ἰεδαίων λαὸν, ταύτῃ τιμηθέντα τῇ προσηγορίᾳ ἐν τῷ

» λέγειν, ἐγὼ εἶπα Θεοίἐςε, καὶ υἱοὶ ὑψίςε Ψαλ. 81. 6.

» πάντες· καὶ ἄλλος, υἱὸς πρωτότοκός με Ἐξόδ. 4. 22.

Ἰσραήλ. καὶ γὰρ ἕτως ἐκάλει αὐτῶν τὸν δῆμον δι' οἰκείαν φιλανθρωπίαν.

» ΑΔΗΛΟΥ. Θεὸν ἐ βλασφημήσεις.

Θεὲς λέγει ἢ τὲς ἱερεῖς, ἢ τὲς προφή-

Ε τας, ἢ τὲς διδασκάλες, ἢ τὲς ἡγεμόνες τῶν φυλῶν, ὥσπερ ἐν τάξει ὄντας αὐτοῖς Θεός. (4) ὁ δὲ ἅγιος Ἀθανάσιος, (5) ἁγίες ἄνδρας φησίν.

** ΩΡΙΓΕΝΟΥΣ. Προςέτακται μετὰ

» τῶν ἄλλων καὶ τὸ, Θεὲς ἐ κακολογήσεις· ἵνα μὴ ἐθίζηται ἡμῶν τὸ σόμα ὀντιναῦν

» κακολογεῖν, ἀκεόντων, εὐλογεῖτε, καὶ Ῥωμ. 12. 14.

» μὴ καταρᾶσθε· καὶ διδασκομένων, ὅτι οἱ 1. Κορ. 6. 10.

Ζ„ λοίδοροι βασιλείαν Θεῦ ἐ κληρονομήσεσι.

** ΚΥΡΙΛΛΟΥ. Τὸ γὰρ, οἶμαι, διαλοιδορεῖσθαι φιλεῖν καὶ τοῖς κατὰ φύσιν ἐκ ἔσι Θεοῖς, μελέτη τίς ἐςιν ὥσπερ καὶ τρίβος πρὸς τὴν ἐπὶ τῷ κατὰ φύσιν Θεῷ γλωσσαλγίαν ἡμᾶς παροτρύνεσα. Καὶ μετ' ὀλίγα. Ὤετο γὰρ δεῖν τὸ τῆς Θεότητος ὄνομα, καὶ εἰ ψευδὲς ἐνυπάρχει τισὶ, ταῖς αὐτῷ πρεπέσαις καταγεραίρεσθαι δόξαις, καὶ ἐχὶ πάντως ἡμᾶς τοῖς πεπλανημένοις Θεοῖς

(1) Κηδεμόνας. ἐν Τόμ. 2. σελ. 677. τῆς τῦ Μαγγαίε ἐκδόσ.

(2) Τὸ, ἐπεὶ φησὶ, προσθήκη δοκεῖ. ἐχ εὕρηται δὲ ἐν τοῖς ἐκδεδομ. τό δε τὸ ὑπόμνημα.

(3) Ἐλλιπές. ἀναπληρωτέον δὲ τυχὸν, ἕτω· ἢ ἁγίες ἄνδρας, Θεὲς φησιν. (4) Ἴσ. Θεῶν.

(5) Ἐν τῷ κατὰ Μακεδον. 1. διαλόγῳ, τῷ ἐν Τόμ. 2. σελ. 262. τῆς ἐν Κολον. ἐκδόσ.

Θεοῖς ἀπονέμειν τινὰ τιμὴν ὁ νόμος διεκε- Α λεύσατο. σεπτὸν δὲ ἡγεῖσθαι διδάσκει τὸ τῆς Θεότητος ὄνομα, καὶ εἰ κλέπτοιτο παρά τινων.

κθ. Ἀπαρχὰς ἅλωνος καὶ ληνοῦ σου οὐ καθυστερήσεις. τὰ πρωτότοκα

λ. τῶν υἱῶν σου δώσεις ἐμοί. Οὕτω ποιήσεις τὸν μόσχον σου καὶ τὸ πρόβατόν σου καὶ τὸ ὑποζύγιόν σου, ἑπτὰ ἡμέρας ἔσαι ἐπὶ τὴν μητέρα, τῇ δὲ ἡμέρᾳ τῇ ὀγδόῃ ἀποδώσεις μοι αὐτό.

λα. Καὶ ἄνδρες ἅγιοι ἔσεσθε. καὶ κρέας θηριάλωτον οὐκ ἔδεσθε, τῷ κυνὶ ἀποῤῥίψατε αὐτό.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκεν θηριάλωτον κρέας ἐσθίειν ἀπαγορεύει; Λογικωτέραν αὐτοὺς διδάσκει ζωὴν, καὶ μηδὲν ἔχειν θηριῶδες παρεγγυᾷ. τὰ γὰρ θηρία οὐ θύει πρότερον, εἶθ' οὕτως ἐσθίει. διὰ τοῦτο μετ' ὀλίγα καὶ τῶν ἐχθρῶν ἐπιμελεῖσθαι κελεύει, καὶ τοῦ δυσμενῶς διακειμένου τὸν βοῦν πλανώμενον μὴ παρορᾷν, ἀλλ' ἐπιστρέφειν εἰς τὴν τοῦ δυσμενοῦς οἰκίαν, καὶ τὸ ὑποζύγιον πεπτωκὸς ἀνιστᾷν, καὶ ταῖς τοιαύταις εὐεργεσίαις τὰς καταλλαγὰς μηχανᾶσθαι. διδάσκει δὲ διὰ τούτων, ὡς εἷς παλαιᾶς καὶ καινῆς διαθήκης νομοθέτης, καὶ ὁ τοῦτον δεδωκὼς τὸν νόμον, καὶ τὸν εὐαγγελικὸν ἐδωρήσατο.

ΚΥΡΙΛΛΟΥ. Κύνα δὲ τὸν ἀναιδῆ καὶ ἀκάθαρτον ἄνθρωπον ὀνομάζειν ἔθος τῇ θείᾳ Γραφῇ. πρέπον δ' ἂν εἴη τῷ τοιῷδε τυχὸν ἅπας ὁτιοῦν, οἶμαι, λόγος βδελυ- Β ρὸς καὶ δυσώδης, καὶ ἐξ αὐτοῦ συγκείμενος τοῦ Βεελζεβοὺλ, ὡς θηρὸς ἀγρίου κατεδηδοκότος τὴν ὑποπεσοῦσαν αὐτῷ, καὶ ὑπηρετοῦσαν εἰς τοῦτο ψυχήν. λέγει γὰρ οὐδεὶς, » ἀνάθεμα Ἰησοῦς, εἰ μὴ ἐν Βεελζεβούλ. 1. Κορ. 12. 3. ἁγίοις γε μὴν τὸ ἐν μεθέξει γενέσθαι τῶν οὕτω σαθρῶν καὶ κεκιβδηλευμένων ἐννοιῶν-τε καὶ λόγων, ἀνάρμοστον. κομιδῇ. κοινω- » νία γὰρ οὐδεμία φωτὶ πρὸς σκότος. τὸ 2. Κορ. 6. 14. Γ τοίνυν μεταλαχεῖν ἀνοσίων εἰσηγημάτων, καὶ ὧν ἂν ποιοῖτο λόγων ἀνὴρ γεγονὼς κατάβρωμα διαβολικὸν, καὶ τῆς τῶν δαιμόνων ἀγέλης οἱονεί πως τροφὴ, μολυσμὸν εἶναί φησι, καὶ ἀποφάσκει μηδαμῶς τούτων μεταχεῖν.

ΚΕΦ. ΚΓ.

α. Οὐ παραδέξῃ ἀκοὴν ματαίαν. οὐ συγκαταθήσεις μετὰ τοῦ ἀδίκου γενέσθαι μάρτυς ἄδικος.

* ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μάταιόν φησιν, οὔτε ἀκοαῖς, οὔτε ἄλλῃ τινὶ τῶν αἰσθήσεων προσιτέον. ἀκολουθοῦσι γὰρ ταῖς ἀπάταις αἱ μέγισται ζημίαι. διὸ καὶ παρ' ἐνίοις νομοθέταις ἀπείρηται μαρτυρεῖν ἀκοῇ· ὡς τὸ μὲν ἀληθὲς ὄψει πιστευόμενον, τὸ δὲ Ε ψεῦδος ἀκοῇ. (1)

β. Οὐκ ἔσῃ μετὰ πλειόνων ἐπὶ κακίᾳ· οὐ προσεθήσῃ μετὰ πλήθους ἐκκλῖναι μετὰ πλειόνων, ὥστε ἐκκλῖναι κρίσιν.

γ. Καὶ πένητα οὐκ ἐλεήσεις ἐν κρίσει.

* ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Πενία καθ' Ζ ἑαυτὴν μὲν ἐλέους χρήζει, εἰς ἐπανόρθω- Δ σιν ἐνδείας· εἰς δὲ κρίσιν ἰοῦσα, βραβευτῇ χρῆται τῷ τῆς ἰσότητος νόμῳ. θεῖον γὰρ ἡ δικαιοσύνη [καὶ] ἀδέκαστον. ὅθεν ἐν ἑτέ- » ροις εὖ εἴρηται, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστί. Δευτ. 1. 17.

ΚΥΡΙΛΛΟΥ. Δικαίως τὸ δίκαιον διώξεις· ὥς τό γε λυπεῖν (2) τὸν νόμον, κἂν εἴ τι τῶν ἀγαθῶν ὑπάρχειν δοκῇ, νοοῖτ' ἂν » εἰκότως οὐκ ἀπλημμελές. ἔστι δίκαιος ἀ- Ἐκκλ. 7. 16. » πολλύμενος ἐν δικαίῳ αὐτοῦ, κατὰ τὸ γεγραμμένον. δεῖται οὖν εὐτεχνίας τὸ ἀγαθόν· καὶ τὸ ἐποιχείρειν οὐκ ἐν καιρῷ, τῆς εἰς νόμον ἀδικίας οὐκ ἂν διαφύγῃ γραφήν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί δή ἐστι τὸ λεγόμενον; Μὴ κατακλασθῇς, μηδὲ ἐπικαμφθῇς, φησὶν, ἐὰν πένης ὁ ἀδικῶν τύχῃ. εἰ δὲ πένητι χαρίζεσθαι οὐ χρὴ, πολλῷ μᾶλλον πλουτοῦντι.

** ΙΣΙΔΩΡΟΥ. Ἐπειδὴ ὁ μὲν δεόμενος δεῖται τοῦ δώσοντος, ὁ δὲ ἀμφισβητῶν τοῦ δικάσοντος, οὐ τὴν πενίαν φιλοπραγμονεῖν βούλεται, ἀλλὰ παρακαλεῖν. εἰ δὲ τὴν

(1) Ταῦτα μὲν ὁ Φίλων παρὰ Ἰωάν. τῷ Δαμασκ. ἐν τοῖς παραλλήλ. ἐν δὲ τοῖς περὶ δικαστοῦ (ἐν σελ. 719.) τάδε· διὸ καὶ τῶν παρ' Ἕλλησιν ἔνιοι νομοθετῶν μεταγράψαντες ἐκ τῶν ἱερωτάτων Μωϋσέως στηλῶν, εὖ διατάξασθαι δοκοῦσι, μὴ μαρτυρεῖν ἀκοήν· ὡς δέον, ἃ μὲν εἶδέ τις, πιστὰ κρίνειν· ἃ δὲ ἤκουσε, μὴ πάντως βέβαια.

Παρ' Ἕλλησι δὲ λέγων, τὸν Σόλωνα τυχὸν ὑπαινίττεται. ὁ γὰρ Δημοσθένης ἐν μὲν τῇ ἀρχῇ τοῦ πρὸς Εὐβουλίδ. λόγ. τάδε φησίν· ᾤμην μὲν οὖν ἔγωγε, ὦ ἄνδρες δικασταὶ, προσήκειν Εὐβουλίδῃ, καὶ πᾶσι δὲ ὅσοι νῦν ἐπὶ ταῖς ἀποψηφίσεσι κατηγοροῦσιν, ὅσα ἴσασιν ἀκριβῶς λέγειν, καὶ μηδεμίαν προσάγειν ἀκοὴν πρὸς τὸν τοιοῦτον ἀγῶνα. οὕτω γὰρ τοῦτο ἄδικον καὶ σφόδρα πάλαι κέκριται, ὥστε οὐδὲ μαρτυρεῖν ἀκοὴν ἐῶσιν οἱ νόμοι. ἐν δὲ τῇ ἀρχῇ τοῦ κατὰ Στεφάνου 2. λόγ. Οἱ δέ γε νόμοι οὐ ταῦτα λέγουσιν· ἀλλ' ἃν εἰδῇ τις, καὶ οἷς ἂν παραγένηται πραττομένοις ταῦτα μαρτυρεῖν κελεύουσιν ἐν γραμματείῳ γεγραμμένα. ἵνα μήτ' ἀφελεῖν ἐξῇ μηδὲν, μήτε προσθεῖναι τοῖς γεγραμμένοις. ἀκοὴν δὲ οὐκ ἐῶσι ζῶντος μαρτυρεῖν, ἀλλὰ τεθνεῶτος.

(2) Ἴσ. λιπεῖν. ἐν δὲ τοῖς ἐκδεδομέν. οὐχ εὕρηται.

A τὴν παράκλησιν ἀφεῖσα, εἰς συκοφαντίαν τραπείη, ἐλεεῖσθαι ἐν κρίσει οὐκ ἂν εἴη δικαία. διὰ τοῦτο ἔφη, οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει. ἐλεητέον μὲν γὰρ, οὐ κρινόμενον δὲ, ἀλλ' ἀντιβολοῦντα. εἰ δὲ τὸ παρακαλεῖν εἰς τὸ ἐγκαλεῖν τρέψειε, τὸ δίκαιον ἔμπροσθεν τοῦ ἐλέου θετέον. οὐ γὰρ δίκαιον, τὸ δίκαιον διαφθείρεσθαι.

** ΤΟΥ ΑΥΤΟΥ. Τὸ παρὰ τοῦ νομοθέτου εἰρημένον· οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει· B οὐκ ἀπανθρωπίας, ἀλλὰ φιλανθρωπίας καὶ δικαιοσύνης ἁπάσης ἐστὶν ἀνάμεστον. δύω γὰρ κατορθοῖ τὰ μέγιστα· ἓν μὲν, τὸ μὴ τοὺς πένητας εἰς φιλοπραγμοσύνην ἀλεῖψαι· ἕτερον δὲ, τὸ τοὺς ἀδίκως κρίνοντας, καὶ τοῖς πλουσίοις τὴν τῆς νίκης ὀρέγοντας ψῆφον, ἐκ πολλοῦ τοῦ περιόντος φοβῆσαι. εἰ γὰρ τοῖς παλαίουσι τῷ ἀτιθάσσῳ καὶ δυσνουθετήτῳ τῆς πενίας θηρίῳ, ὅταν ἀντὶ τοῦ παρακαλεῖν ἐγκαλῶσιν, Γ οὐ χρὴ χαρίζεσθαι, πολλῷ μᾶλλον τοῖς ὑπὸ πολλῆς χλιδῆς εἰς τοὺς πένητας ἐξυβρίζουσι.

δ. Ἐὰν δὲ συναντήσῃς τῷ βοῒ τοῦ ἐχθροῦ [σου,] ἢ τῷ ὑποζυγίῳ αὐτοῦ πλανωμένοις, ἀποστρέψας ἀποδώσεις αὐτῷ.

ΙΣΙΔΩΡΟΥ. Τὴν ἀπόδοσιν τοῦ ὑποζυγίου ἀρχὴν ποιεῖται σπονδῶν ἔσεσθαι καὶ καταλλαγῶν. Δ εἰ μὴ γὰρ τελέως ἐστὶν ἀχάριστος, πάντως ἂν τὴν ψυχὴν ἡμέρωται. ἐπίτασις δὲ τοῦ προτέρου τὸ δεύτερον. (1)

ε. Ἐὰν δὲ ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον αὐτοῦ, οὐ παρελεύσῃ αὐτὸ, ἀλλὰ συνεγερεῖς αὐτὸ μετ' αὐτοῦ.

E ** ΙΣΙΔΩΡΟΥ. Οὐ γὰρ τοῦ ζώου τοσοῦτον κηδόμενος, ἀλλ' αὐτῶν ἕνεκα μάλιστα τῶν ἀνθρώπων τοῦτ' ἐθέσπισεν. ὁ γὰρ ἐχθρὸς ἐρχόμενος εἰς τὸ συνεγεῖραι τὸ πεπτωκὸς ζῶον, πάντως ὁμιλήσει τῷ ἐχθρῷ, καὶ λέξει· ἐκεῖθεν σὺ ἔγειρον, κἀγὼ ἐντεῦθεν. ὁμιλία δὲ προοίμιόν ἐστι καταλλαγῆς, καὶ ὁδὸς ἐπὶ φιλίαν ἄγουσα. τρία τοίνυν κάλλιστα ἐσπούδασε κατορθωθῆναι ἡ θεία γαληνότης. ἓν μὲν, τὸ μὴ διαφθαρῆναι τὸ ζῶον· Z ἕτερον δὲ, τὸ μὴ ζημιωθῆναι τὸν δεσπότην· τρίτον δὲ, τὸ καταλλαγῆναι πρὸς φιλίαν τοὺς ἐχθρούς. ὁ γὰρ παθὼν εὖ, εἰ καὶ λίθων ἀναισθητότερος εἴη, σπουδάσει ἀμείψασθαι τὸν εὐεργέτην· ὁ δὲ εὐεργέτην ἐπιγραφόμενος, οὐκ ἂν δήπου ἐχθρὸν ἔτι ὁρίζεται. ὁρᾷς, πῶς ἡ ἄῤῥητος σοφία πρὸς ἀγαθότητα καὶ φιλανθρωπίαν βλέπουσα νομοθετεῖ;

ϛ. Οὐ διαστρέψεις κρίμα πένητος ἐν H κρίσει αὐτοῦ.

A ζ. Ἀπὸ παντὸς ῥήματος ἀδίκου ἀποστήσῃ. ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς· καὶ οὐ δικαιώσεις τὸν ἀσεβῆ ἕνεκεν δώρων.

ΚΥΡΙΛΛΟΥ. Ἵνα ὀρθῶς τε καὶ ἀδεκάστως τὰ παρεμπίπτοντα διακρίνοιτο, καὶ οἱ τῆς πλεονεξίας ἀφανίζωνται τρόποι.

η. Καὶ δῶρα οὐ λήψῃ· τὰ γὰρ δῶρα B ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων, καὶ λυμαίνεται ῥήματα δίκαια.

** ΙΣΙΔΩΡΟΥ. Ὀρθὸν τὸ δίκαιον ἐκείνῳ φαίνεται, τῷ χρημάτων κρείττονι, ᾧ οὐδὲν κέρδος τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς ἐπισκοτεῖ. εἰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, τοὺς ἀσόφους τί οὐκ ἐργάζεται; ὥσπερ γὰρ ἐὰν ἐπὶ θάτερα τοῦ ζυγοῦ χρυσίον προσενέγκῃς, καθέλκεται ἡ πλάστιγξ, Γ καὶ ἄνισον δείκνυσι τὸν ζυγόν· οὕτω καὶ ὅταν ὁ τῆς ψήφου κύριος χρυσίον λάβῃ, οὐδὲν ἂν ὀρθῶς, οὐδ' ὑγιῶς ψηφιεῖται. ὁ δὲ τῶν κρίσεων ὅρον, τὸ δίκαιον, οὐ τὴν οἰκείαν βούλησιν ποιούμενος, ἐκεῖ ῥέπειν παρασκευάζει τὰς ψήφους, ἔνθα τὴν δίκην νεύουσαν θεάσηται.

θ. Καὶ προσήλυτον οὐ κακώσετε, οὐδὲ μὴ θλίψετε· ὑμεῖς γὰρ οἴδατε Δ τὴν ψυχὴν τοῦ προσηλύτου· αὐτοὶ γὰρ προσήλυτοι ἦτε ἐν γῇ Αἰγύπτῳ.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐμφανέστατα παρίστησιν, ὅτι προσήλυτός ἐστιν οὐχ ὁ περιτμηθεὶς τὴν ἀκροβυστίαν, ἀλλ' ὁ τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας, καὶ τὰ ἄλλα πάθη τῆς ψυχῆς. ἐν Αἰγύπτῳ γὰρ τὸ Ἑβραίων γένος οὐ περιετέτμητο· κακωθὲν δὲ πάσαις κακώσεσι τῆς παρὰ τῶν ἐγχωρίων E περὶ τοὺς ξένους ὠμότητος, ἐγκρατείᾳ καὶ καρτερίᾳ συνεβίου, οὐκ ἀνάγκῃ μᾶλλον, ἢ ἐθελουσίῳ γνώμῃ, διὰ τὴν ἐπὶ τὸν σωτῆρα Θεὸν καταφυγήν. ὃς ἐξ ἀπόρων καὶ ἀμηχάνων ἐπιπέμψας τὴν εὐεργέτιν δύναμιν, ἐῤῥύσατο τοὺς οἰκέτας. διὰ τοῦτο προστίθησιν, ὑμεῖς γὰρ οἴδατε τὴν ψυχὴν τοῦ προσηλύτου. τίς δὲ προσηλύτου διάνοιά ἐστιν; ἀλλοτρίωσις τῆς πολυθέου δόξης, οἰκείωσις δὲ τῆς πρὸς τὸν ἕνα καὶ πατέρα τῶν Z ὅλων τιμῆς. δεύτερον, ἐπήλυδας ἔνιοι καλοῦσι τοὺς ξένους. ξένοι δὲ καὶ οἱ πρὸς τὴν ἀλήθειαν ηὐτομοληκότες, τὸν αὐτὸν τρόπον τοῖς ἐν Αἰγύπτῳ ξενιτεύσασιν. οὗτοι μὲν γὰρ, ἐπήλυδες χώρας· ἐκεῖνοι δὲ, νομίμων καὶ ἐθῶν εἰσί. τὸ δὲ ὄνομα κοινὸν ἑκατέρων ἐπήλυδες (2) ὑπογράφεται.

ι. Ἓξ ἔτη σπερεῖς τὴν γῆν σου, καὶ ια. εἰσάξεις τὰ γεννήματα αὐτῆς. Τῷ H δὲ ἑβδόμῳ ἔτει ἄφεσιν ποιήσεις, καὶ ἀνήσεις αὐτὴν, καὶ ἔδονται οἱ πτωχοὶ τοῦ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. ἴσ. δὲ μέρος ἐστὶ τινὸς τῶν ζητουμένων τοῦ Ἰσιδώρου ἐπιστολῶν.
(2) Ἐπηλύδων. ἐν Τόμ. 2. σελ. 677. τῆς προειρημ. ἐκδόσ.

Ggg

τοῦ ἔθνους σου· τὰ δὲ ὑπολειπόμενα A
αὐτῆς ἔδεται τὰ θηρία τὰ ἄγρια.
οὕτω ποιήσεις τὸν ἀμπελῶνά σου, καὶ
τὸν ἐλαιῶνά σου.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοῖς μὲν
δεσπόταις οὐκ ἐφῆκεν ἐργάζεσθαι, στοχαζό-
μενος τοῦ μηδεμιᾶς λύπης αἴτιος αὐτοῖς
γενέσθαι· ὡς τὰ μὲν ἀναλώματα παρασχοῦ-
σι, τὰς δ᾽ ἀντὶ τούτων προσόδους οὐ λαμβά-
νουσι· τοὺς δ᾽ ἀπόρους, ὡς ἰδίων ἀπολαύειν B
τότε γοῦν τῶν ἀλλοτρίων εἶναι δοκούντων
ἠξίωσε, ταπεινοῦ σχήματος αὐτοὺς ἀπαλ-
λάττων, καὶ τῶν ἐπὶ μεταίταις ὀνείδων.
ἆρ᾽ οὐκ ἄξιον ἐρασθῆναι τῶν νόμων, οἳ το-
σαύτης γέμουσιν ἡμερότητος; δι᾽ ἣν οἱ μὲν
πλούσιοι διδάσκονται μεταδιδόναι καὶ κοι-
νωνεῖν ὧν ἔχουσι· παρηγοροῦνται δ᾽ οἱ πέ-
νητες, μὴ πάντοτε ταῖς τῶν εὐπόρων οἰ-
κίαις ἐπιφοιτᾶν ἀναγκαζόμενοι, πρὸς ἐπα-
νόρθωσιν ὧν ἐνδεεῖς εἰσίν· ἀλλ᾽ ἔστιν ὅτε Γ
καὶ προσοδευόμενοι καθάπερ ἐξ ἰδίων κτη-
μάτων τοὺς ἀπαυτοματίζοντας καρπούς·
χῆραι καὶ ὀρφανοὶ παῖδες, (1) ὅσοι ἄλλοι
τῶν ἠμελημένων καὶ ἀφανῶν, ἕνεκα τοῦ
μὴ περιουσιάζειν, τότε περιουσιάζουσι ταῖς
τοῦ Θεοῦ δωρεαῖς ἐναπιναίως πεπλουτηκό-
τες· ὃς αὐτοὺς πρὸς κοινωνίαν ἐκάλεσε
τῶν κτητόρων ἐν τῷ τῆς ἱερᾶς ἑβδόμης
ἀριθμῷ.

ιϛ. Ἓξ ἡμέρας ποιήσεις τὰ ἔργα Δ
σου, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀναπαύ-
σῃ· ἵνα ἀναπαύσηται ὁ βοῦς σου, καὶ
τὸ ὑποζύγιόν σου, καὶ ἵνα ἀναψύξῃ ὁ
υἱὸς τῆς παιδίσκης σου καὶ ὁ προσή-
λυτος.

** ΜΑΞΙΜΟΥ. Ὁ νόμος τὸ σάββα-
» τον δέδωκεν, ἵνα, φησὶν, ἀναπαύσηται
» τὸ ὑποζύγιόν σου, καὶ ὁ παῖς σου. ἀμφότε- E
ρα δὲ ταῦτα δι᾽ αἰνιγμάτων τὸ σῶμα δηλοῦ-
σι. τοῦ γὰρ πρακτικοῦ νοὸς ὑποζύγιόν ἐστι τὸ
σῶμα, ἀχθοφορεῖν βίᾳ τοῖς τρόποις τῶν
ἀρετῶν κατὰ τὴν πρᾶξιν ἀναγκαζόμενον·
τοῦ δὲ θεωρητικοῦ παῖς, ὡς ἤδη λογωθὲν
τοῖς θεωρήμασι, καὶ λογικῶς ταῖς γνω-
στικαῖς ἐπιταγαῖς τοῦ νοὸς ὑπηρετούμενον.
ἀμφοτέροις δὲ σάββατόν ἐστι τῶν αὐτοῖς
ἐνεργουμένων κατά τε πρᾶξιν καὶ θεωρίαν
καλῶν τὸ πέρας, τὴν πρόσφορον ἑκάστῳ Z
παρέχον ἀνάπαυσιν.

ιγ. Πάντα ὅσα λελάληκα πρὸς
ὑμᾶς, φυλάξασθε. καὶ ὄνομα Θεῶν
ἑτέρων οὐκ ἀναμνήσεσθε, οὐδὲ μὴ ἀκου-
σθῇ ἐκ τοῦ στόματος ὑμῶν.

ιδ. Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ἑορ- A
τάσατέ μοι.

ΣΕΥΗΡΙΑΝΟΥ. Ἑορτή ἐστι κάθαρσις
διανοίας καὶ συνειδότος.

ΑΔΗΛΟΥ. Πρώτη ἑορτὴ, τῶν ἀζύμων·
δευτέρα, θερισμὸς πρωτογεννημάτων· τρί-
τη, συναγωγὴ τῶν καρπῶν. (2)

ΑΔΗΛΟΥ. Περὶ ἑορτῶν τριῶν. ά,
B ἐξέρχεται ἐξ Αἰγύπτου, οἷον τῆς ἁμαρτίας·
β΄, γίνεται ἐν ἐπτὰ, οἷον ὑπὸ νόμον· γ΄,
τοῦ ἐνιαυτοῦ τέλος, ἐν βασιλείᾳ.

ιε. Τὴν ἑορτὴν τῶν ἀζύμων φυλά-
ξασθε. ἑπτὰ ἡμέρας ἔδεσθε ἄζυμα,
καθάπερ ἐνετειλάμην σοι κατὰ τὸν
καιρὸν τοῦ μηνὸς τῶν νέων. ἐν γὰρ αὐ-
τῷ ἐξῆλθες ἐκ γῆς Αἰγύπτου.

Γ ΩΡΙΓΕΝΟΥΣ. Αἱ ἑορταὶ τοίνυν τοῦ
Θεοῦ οἷς ἐστὶ πνεῦμα, πνευματικαί εἰσι· καὶ
οὐδεὶς χοϊκὸς ἑορτάζει τὰς ἑορτὰς τὰς
» πνευματικάς. τίς γὰρ συμφωνία δικαιο- 2. Κορ. 6. 14.
» σύνης καὶ ἀνομίας; ἵνα μὴ τὰ ἑξῆς λέγω.
οὐ δύναται χοϊκὸς ἑορτάσαι ἑορτὰς πνευ-
ματικὰς, ὥσπερ οὐδὲ πνευματικὸς ἑορτὴν
χοϊκήν. Καὶ μετ᾽ ὀλίγα. Τίς οὖν ἐστὶν ὁ μὴν τῶν
νέων; εἰ τοὺς αἰσθητοὺς φήσεις καρποὺς, οὔπω
ἐνέστηκεν ὁ μὴν τῶν νέων, τοῦ ἐνιαυτοῦ φέρ᾽
Δ εἰπεῖν ὀψιμωτέρου ὄντος. τὸ δὲ, ἐὰν γένη-
ταί ποτε ἐνιαυτὸς, ὥστε μηδὲ φέρειν τὴν
γῆν καρποὺς, ἄρα (3) δυνάμεθα ἑορτά-
ζειν ἐν τῷ μηνὶ τῶν νέων, ὡς κεκέλευκεν
ὁ Θεὸς ἑορτάζειν τοὺς ἑορτάζοντας. οὐκοῦν
δεῖ κατ᾽ ἐνιαυτὸν τὴν ἑορτὴν ἑορτάζειν.
ἐπαπορῶ δὲ πάλιν καὶ περὶ τοῦ δευτέρου
νόμου, τοῦ κατὰ τὴν ἑορτὴν τὴν δευτέραν.
φησὶ γὰρ ἑορτὴν οὐ θερισμοῦ, (4) ἀλλὰ
πρωτογεννημάτων. ἐάν τις σπείρῃ, καὶ μὴ
E γένωνται οἱ καρποὶ πρῶτοι, ἀλλὰ τελευ-
ταῖοι, οὗτος οὐκ ἂν δύναιτο ἑορτάσαι τὴν
ἀρχὴν τοῦ θερισμοῦ τῶν πρωτογεννημάτων.
δεῖ γάρ σε ἔχειν γεννήματα, ἵνα δυνηθῇς
ἑορτάζειν. τί δὲ ἂν χώραν μὴ ἔχω; πῶς
ἂν δυναίμην τὴν ἑορτὴν ταύτην ἑορτάζειν,
» τῆς λέξεως λεγούσης, καὶ ἑορτὴν θερισμοῦ
» πρωτογεννημάτων ποιήσεις τῶν ἔργων σου,
» ὧν ἐὰν σπείρῃς ἐν τῷ ἀγρῷ σου; οὐκ ἔσπειρα,
οἰκοδόμος εἰμί· οὐκ ἔσπειρα, ὑφάντης εἰμί·
Z ἀγρὸν οὐκ ἔχω, πῶς δύναμαι τὴν δευτέραν
ἑορτάζειν ἑορτήν; καὶ δὴ καὶ περὶ τὴν τρί-
» την· καὶ ἑορτὴν συντελείας ἐπ᾽ ἐξόδῳ τοῦ
» ἐνιαυτοῦ, τοῦ ἐν τῇ συναγωγῇ τῶν ἔργων
ἐκ τοῦ ἀγροῦ σου. δεῖ μὲν οὖν τὴν τρίτην ἑορ-
τάζοντας, ἔχειν ἔργα συντελείας ἐπ᾽ ἐξό-
δῳ τοῦ ἐνιαυτοῦ. Καὶ μεθ᾽ ἕτερα. Τί οὖν βούλε-
ται

(1) Καὶ ὅσοι. ὀρθότερ.

(2) Ἐκ τοῦ 10. κεφ. τοῦ 3. βιβλ. τοῦ Ἰωσήπ. τοῦ περὶ Ἰουδαϊκ. ἀρχαιολογ. τυχὸν ἐλήφθη. ὁ δὲ Φίλων (ἐν τῇ ἀρχῇ τοῦ περὶ ἑβδόμης λόγ.) δέκα εἶναί φησι τὰς ἑορτάς.

(3) Ἆρα δυνάμεθα ἑορτάζειν ἐν τῷ μηνὶ τῶν νέων, ὡς κεκέλευκεν ὁ Θεὸς ἑορτάζειν τοὺς ἑορτάζοντας; ἐν Τόμ. 2. σελ. 128. τῆς τοῦ Ρου. ἐκδόσ. ἀλλ᾽ ἐὰν ἐρωτηματικὸν ᾖ, τὸ ἑξῆς οὐχὶ οὐκοῦν ἀναγνωστέον, ὡς καὶ ἡ ῥηθῆσα ἔκδοσις ἔχει, ἀλλ᾽ οὔκουν.

(4) Τοῦ θερισμοῦ τῶν πρωτογεννημάτων. ἐν τῇ ῥηθ. ἐκδόσ.

ται ὁ λόγος ἡμῖν λέγειν, [ὁ κελεύων ἡμᾶς
ἑορτάζειν τὴν ἑορτὴν τῶν ἀζύμων τῷ μηνὶ
τῶν νέων;] εἰ βούλει ἑορτάζειν τὴν ἑορτὴν
τῶν ἀζύμων τῷ μηνὶ τῶν νέων, ἀπόθου τὸν
παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐ-
τοῦ. καὶ ἵνα ποιήσῃς τὴν ἑορτὴν ἐν τῷ
μηνὶ τῶν νέων, καὶ σὺ νέος γενοῦ· ἵνα γέ-
νηται ὁ μὴν τῆς ἑορτῆς τῶν νέων, καὶ σὸς
μήν. νέων γὰρ καὶ παλαιῶν (1) οὐκ ἔστιν
οὗτος ὁ μήν. πῶς οὖν δεήσει καὶ σὲ νέον γε-
νέσθαι; νοήσας τὰς ἑορτάς. τὴν ἑορτὴν
τῶν νέων ὁ ἀπόστολος Παῦλός φησιν, ἐκ-
Κολασσ. 3. 9, 10. » δυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς
» πράξεσιν αὐτοῦ· καὶ ἐνδυσάμενοι τὸν νέον,
» τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκό-
» να τοῦ κτίσαντος. οὐκοῦν ἵνα ἀγάγῃς τὴν
ἑορτὴν ἐν μηνὶ τῶν νέων, νέον σε γενέσθαι
δεῖ, καὶ πᾶσαν ἀποθέσθαι παλαιότητα.
εἶτα ποίαν ἑορτὴν πρώτην ἄγεις; ὅτι τὴν
ἑορτὴν τῶν ἀζύμων, μάνθανε ἀπὸ τοῦ
1. Κορ. 5. 7, 8. Ἀποστόλου· τὸ γὰρ πάσχα, φησὶν, ὑπὲρ
» ἡμῶν ἐτύθη, Χριστός. ὥστε ἑορτάζωμεν μὴ
» ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ
» πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ
ἀληθείας. ἅμα δὲ συνάγαγε τὰ νενομο-
θετημένα περὶ τῆς ἑορτῆς τῶν ἀζύμων,
καὶ ὄψει μὲν τὸ ἄλογον τῶν τῷ ῥητῷ ὡς
πνευματικῷ μὴ προσεχόντων, καταφρο-
νούντων δὲ τῶν πνευματικῶν ὡς μὴ χρησί-
μων. εὑρήσεις δὲ ἐν τῷ ἰδίῳ τόπῳ, τῷ
περὶ τῶν ἀζύμων, πλατυτέραν τὴν περὶ
τούτου ἐξήγησιν.

Οὐκ ὀφθήσῃ ἐνώπιόν μου κενός.

ΑΛΛΟΣ φησὶ, κοῦφος. ὁ δὲ λόγος
ἀπαιτεῖ, ἕκαστον προσάγειν Θεῷ δῶρον.

ΩΡΙΓΕΝΟΥΣ. Ἴσθι, ὅτι πᾶς ἄνθρω-
πος ἢ κενός ἐστιν, ἢ πλήρης. εἰ μὲν γὰρ
οὐκ ἔχει ἅγιον πνεῦμα, οὐκ ἔχει γνῶσιν τοῦ
κτίσαντος, οὐ παρεδέξατο τὴν ζωὴν, Ἰη-
σοῦν τὸν Χριστόν· οὐκ οἶδε (2) τὸν πατέρα
τὸν ἐν οὐρανοῖς, ἢ (3) οὐ βιοῖ κατὰ τὸν λό-
γον, κατὰ τὸν νόμον τὸν οὐράνιον· οὐ σω-
φρονεῖ, οὐ δικαιοπραγεῖ· ὁ τοιοῦτος κενός
ἐστιν. εἰ δὲ κεχώρηκε τὸν εἰπόντα Θεὸν,
Λευϊτ. 26. 12. ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω,
» καὶ ἔσομαι αὐτοῖς Θεὸς, οὗτος οὐκ ἔστι κενὸς,
ἀλλὰ πλήρης.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, οὐκ ὀφθήσῃ
» ἐνώπιον Κυρίου τοῦ Θεοῦ σου κενός; Ἀπιὼν
προσκυνῆσαι τῷ δεσπότῃ Θεῷ, τὰ δυνατά
σοι πρόσφερε δῶρα. ἡμᾶς δὲ ὁ λόγος δι-
δάσκει, εἰ μὲν χρήματα ἔχοιμεν, μετὰ τῆς
τῶν πενήτων θεραπείας προσεύχεσθαι τῷ
Θεῷ. εἰ δὲ τὸν ἀκτήμονα προῃρούμεθα
βίον, μὴ κενὴν ἔχειν τῶν ἀγαθῶν τὴν ψυ-
χὴν, ἀλλ' ἔχουσαν τὸν πλοῦτον τῆς ἀρετῆς.

ιϛ. Καὶ ἑορτὴν τοῦ θερισμοῦ πρωτο-
γεννημάτων ποιήσεις τῶν ἔργων σου,

A ὧν ἂν σπείρῃς ἐν τῷ ἀγρῷ σου. καὶ ἑορ-
τὴν συντελείας ἐπ' ἐξόδῳ τοῦ ἐνιαυτοῦ
ἐν τῇ συναγωγῇ τῶν ἔργων σου τῶν ἐκ
τοῦ ἀγροῦ σου.

Συντελείας. Ἀκύλας, συλλογῆς. Σύμ-
μαχος, συγκομιδῆς. Σαμαρειτικὸν, συ-
νεισφορᾶς.

ΘΕΟΔΩΡΙΤΟΥ. Ποία ἐστὶν ἑορτὴ ὁ
θερισμὸς τῶν πρωτογεννημάτων, καὶ ποία
B » ἐστὶ τῆς συντελείας ἐπ' ἐξόδῳ τοῦ ἐνιαυτοῦ;
Ἑορτὴν τῶν πρωτογεννημάτων, τὴν Πεν-
» τηκοστὴν καλεῖ· ἑορτὴν δὲ συντελείας ἐπ'
» ἐξόδῳ τοῦ ἐνιαυτοῦ, τὴν τῆς Σκηνοπηγίας.
» καὶ τοῦτο διδάσκων ἐπήγαγε· τρεῖς καιροὺς
» τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου
» ἐνώπιον Κυρίου τοῦ Θεοῦ σου· τουτέστι τῇ ἑορτῇ
τοῦ Πάσχα, καὶ τῇ Πεντηκοστῇ. καὶ τῇ Σκη-
νοπηγίᾳ. ἀναμιμνήσκει δὲ τὸ μὲν Πάσχα,
τῆς ἐξόδου τῆς ἐξ Αἰγύπτου, καὶ τῆς παρα-
Γ σχεθείσης ἐλευθερίας· ἡ δὲ Πεντηκοστὴ, τῆς
εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσόδου. ἐκεῖ
γὰρ σπείροντες, τὰς ἀπαρχὰς τῶν γεννη-
μάτων προσέφερον. ἐν γὰρ τῇ ἐρήμῳ τὸν
ἄσπορον καὶ ἀνήροτον ἤσθιον ἄρτον. ἡ δὲ
Σκηνοπηγία, τὴν ἐν ἐρήμῳ διαγωγὴν ὑπο-
γράφει. ἐν σκηναῖς γὰρ οἰκοῦντες, τεσσα-
ράκοντα διετέλεσαν ἔτη. ἐν ταύταις ταῖς
ἑορταῖς συντρέχειν εἰς τὸν θεῖον νεὼν πα-
ρηγγύησεν· ἵνα καὶ τῶν θείων ἀναμιμνή-
Δ σκωνται δωρεῶν, καὶ εἰς ὁμόνοιαν καὶ φι-
λίαν συνάπτωνται· καὶ φιλεορτασταὶ ὄντες,
μὴ περὶ τὰ τεμένη τῶν δαιμόνων τρυφῶ-
σιν, ἀλλ' ἐν τῷ ναῷ τοῦ πεποιηκότος. καὶ
τὰ ἀγαθὰ χορηγοῦντος, τῆς ἑορταστικῆς
ἀπολαύωσιν εὐωχίας.

ΚΥΡΙΛΛΟΥ. Οὐκοῦν εἰ θέλεις τὴν ἑορ-
τὴν ἄγειν τὴν δευτέραν, ὡς ὁ λόγος σοι τοῦ
» νόμου ὁ πνευματικὸς ἐνετείλατο· ἰδοὺ γάρ- Ἰωάν. 4. 35, 36.
E » φησι λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς
» ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευ-
» καί εἰσι πρὸς θερισμὸν ἤδη. καὶ ὁ θερίζων
» μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς
» ζωὴν αἰώνιον· ἀγρὸν ἔχε, κεκτημένος τὸ
πνεῦμα· καὶ ἀγρὸν ἔχων, σπεῖρε εἰς τὸ
πνεῦμα· σπεῖρον εἰς τὸν ἀγρὸν, καὶ πει-
ράθητι θερίσαι θερισμὸν πρωτογεννημά-
των, ὥστε μὴ εἶναί σου ἀναβαλλόμενα καὶ
ὑπερτιθέμενα τὰ σπέρματα, ἀλλ' εἶναι
Z ταχῆ, ἀνατελλομένου τοῦ δράγματος. ἐὰν
μή τις ἔχῃ τὸ δράγμα, οὐ δύναται ἑορτά-
» ζειν ταύτην τὴν ἑορτήν. καὶ ἑορτὴν θε-
» ρισμοῦ πρωτογεννημάτων ποιήσεις τῶν ἔρ-
γων σου, τουτέστιν ἐὰν μὴ σὰ ᾖ τὰ ἔργα,
καὶ ἐκ τοῦ ἀγροῦ σου, οὐ δυνήσῃ ποιῆσαι ταύ-
την τὴν ἑορτήν. (4)

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἔχει πᾶς ἄνθρω-
πος ἀγρὸν, ἐν ᾧ σπείρει. περὶ οὗ φησιν
» ὁ Ἀπόστολος· ὃ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦ- Γαλ. 6. 7, 8.
H » το καὶ θερίσει. ὁ σπείρων εἰς τὴν σάρκα,

ἐκ

(1) Καὶ οὐ παλαιῶν ἐστίν. ἐν Τόμ. 2. σελ. 128. τῆς τοῦ Ῥου. ἐκδόσ.
(2) Εἰ οὐκ οἶδεν. αὐτ.
(3) Εἰ. αὐτ.
(4) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. πείθει δὲ καὶ ὁ νοῦς καὶ ἡ λέξις, καὶ ἡ τῆς ἑρμηνείας ἀκολουθία ἀποσπασμάτιον εἶναι τοῦ ἐν τῷ 15. ἐδ. ὑπομνήματος τοῦ Ὠριγένους.

» ἐκ τῆς σαρκὸς θερίσει φθοράν· ὁ δὲ σπεί-
» ρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θε-
» ρίσει ζωὴν αἰώνιον. οὐκοῦν ἀγρὸς τὸ πνεῦ-
μα, ἐν ᾧ σπείρων, ζήτει ἵνα ἀνατείλῃ σοι
πρωτογεννήματα· ὧν ἐκτὸς, οὐκ ἂν ἑορ-
Γαλ. 5. 22. τάσαις. τίνα ταῦτα; ὁ δὲ καρπὸς τοῦ
» πνεύματος ἀγάπη, χαρὰ, εἰρήνη, μακρο-
» θυμία, ἐγκράτεια. περὶ ὧν ἔλεγεν ὁ Ἰη-
Ματθ. 7. 16. σοῦς, ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε
αὐτούς. θερισμοῦ τοίνυν ἡ ἑορτή. ποίου τού-
Ἰωάν. 4. 35, του; ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλ-
36. » μοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι
» λευκαί εἰσι πρὸς θερισμόν. ὁ θερίζων μι-
» σθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς
» ζωὴν αἰώνιον. οὐκοῦν σπείρας εἰς τὸν εἰρη-
μένον ἀγρὸν, πειράθητι θερίσαι θερισ-
μὸν πρωτογεννημάτων· ὥστε μὴ εἶναί σου
ἀναβαλλόμενα καὶ ὑπερτιθέμενα τὰ σπέρ-
ματα, ἀλλ' ὡς ποιῆσαί σε ἐν πρώτοις ἀνα-
φέρειν τὸ δράγμα· ὃ μὴ ἔχων οὐκ ἂν ἑορ-
τάσαις, οὐδ' ἂν μὴ ᾖ ταῦτα τῶν ἔργων
σου, καὶ τοῦ ἀγροῦ σου. πρωτογεννήματα δὲ,
τῷ ἀνυπερθέτῳ· ἵνα ᾖ πρὸ τῶν ἄλλων
τὰ σὰ, μὴ χρόνῳ μόνον, ἀλλὰ καὶ τῷ δια-
φέροντι, καὶ τῷ βεβιωκέναι φιλοτιμότε-
ρον τῶν εἰς τὸ πνεῦμα σπειρόντων.

ιζ. Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθή-σεται πᾶν ἀρσενικόν σου ἐνώπιον Κυ-ρίου τοῦ Θεοῦ σου.

* ΩΡΙΓΕΝΟΥΣ. Τί ἐστι τὸ ῥητὸν εἴποι-
μι ἄν. ὃ πράττομεν, ἢ θῆλυ ἐστὶν, ἢ ἀρσε-
νικόν. εἰ μὲν οὖν θηλυκόν ἐστιν ὃ ποιοῦμεν,
ἢ σωματικόν ἐστιν, ἢ σαρκικόν. σπείρον-
τες γὰρ εἰς τὴν σάρκα, ποιοῦμεν θῆλυ τὸ
γέννημα τῆς ψυχῆς ἡμῶν, οὐκ ἄῤῥεν, ἀλλ'
ἐκνενευρισμένον, ἁπαλόν τε καὶ ὑλικόν. εἰ
μέντοι βλέποντες τὰ αἰώνια, καὶ πρὸς
τοῖς κρείττοσιν ἔχοντες τὴν διάνοιαν, καρ-
ποφοροῦμεν τοὺς καρποὺς τοῦ πνεύματος, E
καὶ πάντα τὰ γεννήματα ἡμῶν ἀῤῥενά
ἐστι. τὰ τοίνυν φερόμενα ἐνώπιον τοῦ Θεοῦ,
τὰ καὶ ὀφθησόμενα τῇ ὄψει τοῦ κτίσαντος,
ἀρσενικὰ ἔστω, οὐχὶ θήλεα. οὐ γὰρ τὰ
θηλυκὰ, καὶ τὰ σωματικὰ ἀξιοῖ βλέπειν
ὁ Θεός.

. ΚΥΡΙΛΛΟΥ. Ὅτι μὲν τὸ πληροῦν ἑορ-
τὰς τῷ Θεῷ, πρέποι ἂν ὅτι μάλιστα τοῖς
ἀνδριζομένοις, καὶ οὐχὶ δὴ μᾶλλον τοῖς ἀνα-
πεπτωκότα καὶ ἄναλκιν ἔν γε δὴ σφίσιν Z
αὐτοῖς ἔχουσι νοῦν, καὶ τεθρυμμένον ἀεὶ
πρὸς τὰ σαρκός τε καὶ κόσμου, παρέδειξεν
εἰπὼν τὸ ῥητόν. ἐποπτείας γὰρ τῆς ἄνω-
θεν ἄξιον τῆς παρὰ Θεοῦ τὸ ἀρσενικὸν, κα-
τά γε τοὺς ἤδη προειρημένους τρόπους. πλὴν
ἐνομοθέτει χρησίμως τὸ χρῆναι πληροῦν
ἑορτὰς ἁγίας. ἔδει γὰρ τοῖς ἀναβαίνουσιν
εἰς ἀρχὴν παιδαγωγίας ὀρθῆς, καὶ ὑπὸ
ζεύγλην ἤδη πως ἰοῦσι τὴν ὑπὸ Θεῷ. τῆς ἐν
νόμῳ πολιτείας τὸ τέλος, ὅτι πάντη τε H
καὶ πάντως ἐκτελευτήσειεν ἂν αὐτοῖς εἰς
τρυφάς τε καὶ εὐθυμίας, δῆλον δὲ ὅτι πνευ-
ματικὰς, εὖ μάλα παραδηλοῦν.

(1) Τοῦ Ἑβραίου.

A ιη. Ὅταν γὰρ ἐκβάλλω ἔθνη ἀπὸ
προσώπου σου, καὶ ἐμπλατύνω τὰ ὅριά
σου, οὐ θυμιάσεις ἐπὶ ζύμῃ αἷμα θυ-
μιάματός μου, οὐδὲ μὴ κοιμηθῇ στέαρ
τῆς ἑορτῆς μου ἕως πρωΐ.

ΦΙΛΩΝΟΣ. (1) Ἀντὶ τοῦ, οὐ δεῖ ζυμω-
τὸν παρεῖναι ἐπὶ τῶν θυσιαζομένων· ἀλλὰ
πάντα τὰ προσαγόμενα εἰς θυσίαν ἢ προ-
σφορὰν, ἄζυμα δεῖ εἶναι. Αἰνίττεται διὰ
B συμβόλου δύο τὰ ἀναγκαιότατα: ἓν μὲν,
τὸ καταφρονεῖν ἡδονῆς· ζύμη γὰρ ἥδυσμα
τροφῆς, οὐ τροφή· ἕτερον δὲ, τὸ μὴ δεῖν
ἐπαίρεσθαι φυσωμένους ὑπὸ κενῆς οἰήσεως:
ἀνίερον γὰρ ἑκάτερον, ἡδονή τε καὶ οἴησις,
μητρὸς μιᾶς, ἀπάτης, ἔκγονα. Τὸ αἷμα
τῶν θυσιῶν δεῖγμα ψυχῆς ἐστὶ σπενδομένης
Θεῷ. μιγνύναι δὲ τὰ ἄμικτα οὐχ ὅσιον.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, οὐ θύσεις
Γ » ἐπὶ ζύμῃ αἷμα θυμιάματός μου; Ἀζύμους
ἄρτους τῷ θυσιαστηρίῳ προσέφερον· ζυμί-
τας δὲ ἀπαγορεύει προσφέρειν, διὰ τῶν
αἰσθητῶν διδάσκων τὰ νοητά. ἐπειδὴ γὰρ
ὁ ἄζυμος ἄρτος αὐτοσχέδιός ἐστιν, ὁ δὲ ζυμί-
της ἔχει τι τῆς ζύμης τῆς παλαιᾶς· ἀπα-
γορεύει ὁ νόμος, μηδὲν τοῖς θείοις τῆς αἰ-
γυπτιακῆς ἀναμιγνύναι διδασκαλίας. οὕτω
καὶ ὁ Κύριος τοῖς ἱεροῖς ἔλεγε μαθηταῖς,
» προσέχετε ἀπὸ τῆς ζύμης τῶν Γραμμα- Ματθ. 16. 6.
Δ » τέων καὶ Φαρισαίων.

ΑΔΗΛΟΥ. Κελεύει τὰ στέατα αὐθημε-
ρὸν ἀναλίσκεσθαι, γινόμενα ὕλην ἱερᾶς
φλογός.

ιθ. Τὰς ἀπαρχὰς τῶν πρωτο-γεννημάτων τῆς γῆς σου εἰσοίσεις εἰς τὸν οἶκον Κυρίου τοῦ Θεοῦ σου.

ΚΥΡΙΛΛΟΥ. Διὰ τὸ εὐγνώμονας αὐ-
E τοὺς φαίνεσθαι, τῷ Θεῷ εὐχαριστοῦντας· ἢ
καὶ εἰς ἀποτροφὴν ἱερέων τε καὶ Λευϊτῶν.

Οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μη-τρὸς αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἢ μὴ ἐκβαλὼν ἄρ-
να ἀπὸ μητρὸς ἑψήσῃς· ἢ ἕψων ἄρνα, μὴ
ἐπιβάλλῃς τὸ γάλα τῆς μητρὸς αὐτοῦ· ἢ
ἐν ὅσῳ γαλουχεῖ, οὐ θύσεις καὶ ἑψήσεις. ὃ
Z καὶ μᾶλλον, διὰ τὸ τῆς τεκούσης ὀδυνηρόν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Πάνυ γὰρ
ὑπέλαβεν εἶναι δεινὸν τὴν τροφὴν ζῶντος,
ἥδυσμα γενέσθαι καὶ παράρτυσιν ἀναιρε-
θέντος. καὶ τὴν μὲν φύσιν ἐπιμεληθεῖ-
σαν αὐτοῦ τῆς διαμονῆς, ὀμβρῆσαι γάλα,
ὃ διὰ μαστῶν τῆς τεκούσης, ὡς ἐκ δεξαμε-
νῶν φέρεσθαι διετάξατο· τὴν δὲ τῶν ἀν-
θρώπων ἀκρασίαν τοσοῦτον ἐπιβλῶναι, ὡς
τῷ τῆς ζωῆς αἰτίῳ καταχρήσασθαι καὶ
H πρὸς τὴν τοῦ ὑπολοίπου σώματος ἀνάλω-
σιν· ἐπειδὴ τὰ σὺν γάλακτι κρέα συνέψειν
ἀξιοῖ, μὴ σὺν ὠμότητι, χωρὶς δὲ ἀσε-
βείας ἑψέτω. μυρίαι θρεμμάτων ἀγέλαι
εἰσὶ

εἰσὶ πανταχοῦ, καὶ καθ' ἑκάστην ἡμέραν ἀμελγόμεναι. Καὶ μετ' ὀλίγα. Ὥστε ἀφθονίας ὑπαρχούσης τῶν ἀρνῶν ἢ ἐρίφων ἥτινος ἑτέρου, τὸν γάλακτι μητρῴῳ κρέα συνέψοντα, χαλεπὴν ἐπιδείκνυσθαι τρόπων σκαιότητα, ἀναγκαιότατον καὶ συγγενέστατον λογικῇ ψυχῇ πάθος ἐκτετμημένον τὸν ἔλεον. A

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τό, οὐχ
» ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ; Πολλάκις ἔφην, ὅτι διὰ πάντων αὐτοὺς φιλανθρωπίαν διδάσκει. τινὲς οὖν φασὶν ἀπαγορεύειν τὸν νόμον τὸ συγγενὲς ἐσθίειν, τινὲς δὲ τὸ τῷ μητρῴῳ γάλακτι μὴ συνεψεῖν. τρόπον γάρ τινα καὶ τὴν μητέρα συνεψεῖ. ἀπαγορεύει δὲ καὶ τὸ τῷ Θεῷ προσφέρειν κατὰ ταυτὸν μητέρα, καὶ τὸ τεχθὲν ἐξ αὐτῆς. καὶ αὐτοῖς [δὲ] παρεκελεύσατο στρουθῶν εὑρηκόσι τὴν νεοττιὰν, μὴ συνθηρεύειν τοῖς νεοττοῖς τὴν μητέρα. τοῦτο γάρ ἐστι τὸ ἐξαλεῖψαι τὸ γένος τῶν ὀρνίθων.

ΚΥΡΙΛΛΟΥ. Ἰστέον δὲ, ὡς ὁ Σύμμα-
» χος ἐκδέδωκεν, οὐ σκευάσεις ἔριφον διὰ
» γάλακτος μητρὸς αὐτοῦ. καὶ ἔστιν ὑποτόπασαι κατὰ διάνοιαν, ὡς βούλεται τοὺς ἁμαρτωλοὺς ἐπιστρέφειν, καὶ βρωσίμους ἀποτελεῖν ἔτι νηπιάζοντας, καὶ δυναμένους ῥᾳδίως ὠφελεῖσθαι εἰ ἀποσταῖεν τῆς τῶν κακῶν διδασκαλίας καὶ παιδαγωγίας. ἔριφοι γὰρ οἱ ἐξ εὐωνύμων παριστάμενοι τῷ
Ματθ. 7. 23. Θεῷ, καὶ ἀκούοντες, ἀμὴν λέγω ὑμῖν, οὐδέ-
» ποτε ἔγνων ὑμᾶς. μήτηρ δὲ αὐτῶν ἡ κακία, ἡ δίκην νηπίων αὐτοὺς γαλουχοῦσά τε καὶ τιθηνουμένη. (1)

ΤΟΥ ΑΥΤΟΥ. Ἄρνα μὲν τὸν ἀρτιγενῆ καὶ ὑπότιτθον ἄρτι σφάττειν οὐκ ἐᾷ, δεικνὺς ὅτι τὸ ἀτελὲς ἔτι, καὶ ἐν συνέσει βραχὺ, οὔπω μὲν ἱερὸν, ἔτι δὲ ἀπαράδεκτον διὰ τοῦτο τῷ Θεῷ. τοιοῦτοί τινες ἦσαν ἀσοφοί τε καὶ ὀλιγογνώμονες, πρὸς οὓς ὁ
Ἑβρ. 5. 12. θεσπέσιος γράφει Παῦλος· καὶ γὰρ ὀφεί-
» λοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον,
» πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς,
» τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων
» τοῦ Θεοῦ· καὶ γεγόνατε χρείαν ἔχοντες
» γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς. οὐκοῦν ἀτελὲς ἔτι τὸ ἐν γάλακτι καὶ ὑπομάζιον, κατά γε τὸ ἐν συνέσει φημὶ καὶ εὐρωστίᾳ πνευματικῇ.

ΕΥΣΕΒΙΟΥ. Τοὺς γὰρ κατὰ Θεὸν νηπιάζοντας, καὶ διὰ τοῦτο ἀτελεῖς τὴν διάνοιαν, διὰ πυρὸς καὶ θλίψεως ἄγειν οὐ δυνατόν· ἀλλὰ καταλιμπάνειν ἄχρις οὗ ἔλθωσιν εἰς μέτρον ἡλικίας, καὶ εἰς ἀνδρίαν πνευματικήν.

κ. Καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ἵνα φυλάξῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σε εἰς τὴν γῆν, ἣν ἡτοίμασά σοι.

ΑΔΗΛΟΥ. Ἡγοῦμαι προφανῶς ἐνταῦθα αἰνίττεσθαι τὸν υἱὸν, τὸν τῆς μεγάλης βουλῆς Ἄγγελον, τὸν φυσικῶς τὴν προσηγορίαν ἔχοντα τοῦ ἀποστείλαντος αὐτὸν πατρός. Θεὸς γὰρ καὶ ὁ υἱὸς, καθὰ καὶ ὁ πατήρ. ταῦτα μὲν, εἰ ὡς ἀπὸ Θεοῦ καὶ πατρὸς εἴρηται· εἰ δὲ ἀπὸ τοῦ υἱοῦ, νοήσεις Ἄγγελον προπορευόμενον αὐτὸν, καὶ τοῦ ἀποστείλαντος τὴν προσηγορίαν λαχόντα, Ἰησοῦν τὸν τοῦ Ναυῆ. αὐτὸς γὰρ αἰσθητῶς
B εἰσήγαγεν αὐτοὺς εἰς τὴν γῆν, ἣν ἐπηγγείλατο ὁ Θεὸς τοῖς πατράσιν αὐτῶν· νοητῶς δὲ, ὁ ἀληθινὸς Ἰησοῦς εἰσάξει ἡμᾶς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἐὰν μὴ ἀπειθῶμεν αὐτῷ.

κα. Πρόσεχε σεαυτῷ, καὶ εἰσάκουε αὐτοῦ, καὶ μὴ ἀπείθει αὐτῷ, οὐ γὰρ ὑποστείληταί σε· τὸ γὰρ ὄνομά μου ἐστὶν ἐπ' αὐτῷ.

Γ

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸ δ' οὐ μὴ ὑπο-
» στείληται, Σύμμαχος ἐκδέδωκεν, οὐκ ἀφήσει παράπτωμα ὑμῶν.

ΑΔΗΛΟΥ. Τουτέστιν ἐὰν αὐτῷ ἀπειθήσῃς, οὐκ ἀναβάλλεται τοῦ τιμωρήσασθαί σε· καὶ οὐχ ὑποστελεῖ ἑαυτὸν ἀναχωρῆσαι, ἐκ μέσου ἑαυτὸν ποιῶν ἀπὸ σοῦ.

Δ *κβ. Ἐὰν ἀκοῇ ἀκούσητε τῆς φωνῆς μου, καὶ ποιήσητε πάντα ὅσα ἂν εἴπω σοι, καὶ φυλάξητε τὴν διαθήκην μου, ἔσεσθέ μοι λαὸς περιούσιος ἀπὸ πάντων τῶν ἐθνῶν· ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ. ὑμεῖς δὲ ἔσεσθέ μοι βασίλειον ἱεράτευμα, καὶ ἔθνος ἅγιον. ταῦτα τὰ ῥήματα ἐρεῖς τοῖς υἱοῖς Ἰσραὴλ, ἐὰν ἀκούσῃς τῆς φωνῆς μου, καὶ*
E *ποιήσῃς πάντα ὅσα εἴπω σοι, ἐχθρεύσω τοῖς ἐχθροῖς σου, καὶ ἀντικείσομαι τοῖς ἀντικειμένοις σοι.*

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Φωνὴν Θεοῦ, τὸν πρὸ μικροῦ λεχθέντα Ἄγγελον ὑπονοητέον μηνύεσθαι. τοῦ γὰρ λέγοντος ὁ Προφήτης, Ἄγγελος κυρίως ἐστίν. ἀνάγκη γὰρ τὸν ἀκοῇ ἀκούοντα, τουτέστι τὸν τὰ λεγόμενα βεβαίως παραδεχόμενον, ἔργοις ἐπιτελεῖν τὰ λεχθέντα. λόγου γὰρ πίστις
Z ἔργον. ὁ δὲ καὶ τοῖς εἰρημένοις καταπειθὴς, καὶ ἐνεργῶν τὰ ἀκόλουθα, σύμμαχον καὶ ὑπερασπιστὴν ἐξ ἀνάγκης ἔχει τὸν διδάσκαλον· ὅσα μὲν τῷ δοκεῖν βοηθοῦντα τῷ γνωρίμῳ, τὸ δ' ἀληθὲς τοῖς αὐτοῦ δόγμασι καὶ παραγγέλμασιν. ἅπερ οἱ ἐναντίοι καὶ ἐχθροὶ βούλονται καθαιρεῖν.

ΣΕΥΗΡΟΥ. Τουτέστι κατ' ἐξαίρετον ἐν περιουσίᾳ καὶ κλήματι λελογισμένους. ἐπει-
H δὴ κτίσματα μὲν τοῦ πεποιηκότος, ἅπαντες ἄνθρωποι· κλήματα δὲ, οἱ διὰ πίστεως καὶ ἐπιγνώσεως εἰσποιηθέντες ὑπὸ Θεοῦ, καὶ τὰ

(1) Οὐδὲ εὕρηται ἐν τοῖς ἐκδεδομέν. οὐδ' ἔοικε τῶν τοῦ Κυρίλλου.

τὰ τῆς αὐτοῦ δεσποτείας ἄξια πράττοντες, καὶ ὑπ᾽ οὐδενὸς, ἢ πάθους ἁμαρτίας, ἢ νόθου Θεοῦ δεσποζόμενοι.

ΤΟΥ ΑΥΤΟΥ. Ὡς βασιλεῖ μὲν ἀφωρισμένον, ὡς Θεῷ δὲ καθιερωθέν. καὶ ἠγνόουν οἱ δείλαιοι καὶ ταλαίπωροι, ὡς πραγμάτων ὑπῆρχε σημαντικὰ ὀνόματα. ἐκεῖνοι γάρ εἰσιν ἐν περιουσίᾳ λελογισμένοι
» Θεοῦ, καὶ κυρίως καλοῦνται λαὸς περιού-
Ῥωμ. 6. 13. σιος, οἱ κατὰ Παῦλον δοῦλα δικαιοσύνῃ εἰς
» ἁγιασμὸν παριστάντες τὰ μέλη αὐτῶν. καὶ
» ὁμοίως, ἔθνος ἅγιον ἐκεῖνο, καὶ βασίλειον
» ἱεράτευμα, οἱ κατὰ τὸν αὐτὸν Ἀπόστολον
Ῥωμ. 12. 1. θυσία τὶς ζῶσα τυγχάνοντες εἰς ὀσμὴν
» εὐωδίας τὴν νοητήν. ἀμέλει καὶ οὐχ ἁπλῶς
οὕτως ὁ τῶν ὅλων Θεὸς ἐχρῆτο τοῖς τιμίοις
» ὀνόμασιν· ἀλλὰ προειπὼν, ἐὰν ἀκοῇ ἀκού-
» σητε τῆς φωνῆς μου, καὶ ποιήσητε ὅσα ἂν
» εἴπω, καὶ φυλάξητε τὴν διαθήκην μου, ἔσε-
» σθέ μοι λαὸς περιούσιος. καὶ τὰ ἑξῆς. ἕως
μὲν οὖν τοῖς Ἰσραηλίταις οὐκ ἦν ἔρημα πράξεων παντελῶς ταῦτα τὰ ὀνόματα· καὶ ἁμαρτανόντων αὐτῶν, καὶ λεγόντων τῷ
1. Βασ. 8. 5. Σαμουὴλ, κατάστησον ἐφ᾽ ἡμᾶς βασιλέα
» δικάζειν ἡμᾶς καθὼς πάντα τὰ ἔθνη, καὶ
ἐλυπεῖτο ὁ Θεὸς, καὶ περιείχετο ὡς ἠγαπημένων, καὶ τῷ Σαμουὴλ ἀπεκρίνατο,
1. Βασ. 8. 7. φάσκων, οὐ σὲ ἐξουδενώκασιν, ἀλλ᾽ ἐμὲ ἐξου-
» δένωσαν τοῦ μὴ βασιλεύειν ἐπ᾽ αὐτῶν· καὶ
κατὰ τὴν Ἡσαΐου φωνὴν, ὡς ἀμπελῶνι
Ἡσ. 5. 2. » τῷ ἔθνει φραγμὸν περιέβαλε τὴν οἰκείαν
βοήθειαν· καὶ τῶν καταδυναστευόντων ἐπεκράτουν ἀντιμαχόμενοι. ἡνίκα δὲ λοιπὸν,
Γεν. 15. 16. κατὰ τὸ γεγραμμένον, ἀνεπληροῦντο αἱ
» ἁμαρτίαι, καὶ πρὸς τὴν τρύγα τῆς ἄνω-
θεν ὀργῆς ὤκειλαν, τότε δὴ τότε τὰ τοῦ Προφήτου ῥήματα ἐκεῖνα πρὸς ἔργον ἐχώ-
Ἡσ. 5. 5. » ρει, καὶ ἡ ἀπειλὴ τοῦ Θεοῦ λέγοντος· νῦν
» οὖν ἀναγγελῶ ὑμῖν τί ποιήσω τῷ ἀμπελῶνί
» μου· ἀφελῶ τὸν φραγμὸν αὐτοῦ. καὶ ἔσται
» εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον
» αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. διὸ καὶ
μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον ἐπιλαθόμενοι τῆς τηλικαύτης εὐεργεσίας, μετὰ τὰς τῶν Μακεδόνων καὶ τῶν ἐκείνων ἀπογόνων πολιορκίας τε καὶ ἐπαγωγὰς, ἔσχατον ὑπὸ Ῥωμαίους τοὺς πάντων ἐπικρατεστέρους ἐγένοντο· καὶ ἦσαν ὑποτελεῖς φόρου, καὶ μὴ βουλόμενοι· καὶ κινδυνεύοντες καὶ αὐτῆς τῆς σκιώδους λατρείας ἐκπεσεῖν, τὴν ἐτέλουν Θεῷ.

κγ. Πορεύσεται γὰρ ὁ Ἄγγελός μου ἡγούμενός σου, καὶ εἰσάξει σε πρὸς τὸν Ἀμορραῖον, καὶ Χετταῖον, καὶ Φερεζαῖον, καὶ Χαναναῖον, καὶ Γεργεσαῖον, καὶ Εὐαῖον, καὶ Ἰεβουσαῖον, καὶ ἐκτρίψω αὐτούς.

κδ. Οὐ προσκυνήσεις τοῖς Θεοῖς αὐτῶν, οὐδὲ λατρεύσεις αὐτοῖς. οὐ ποιήσεις κατὰ τὰ ἔργα αὐτῶν· ἀλλὰ καθαιρέσει καθελεῖς αὐτοὺς, καὶ συντρίβων συντρίψεις τὰς στήλας αὐτῶν.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Στῆλαί εἰσι τὰ δόγματα συμβολικῶς· ἅπερ ἑστάναι καὶ ἐρηρεῖσθαι δοκεῖ. τῶν δὲ κατεστηλιτευμένων δογμάτων, τὰ μὲν ἀστεῖά ἐστιν, ἃ καὶ θέμις ἀνακεῖσθαι, καὶ βεβαίαν ἔχειν τὴν ἵδρυσιν· τὰ δὲ, ἐπίληπτα, ὧν τὴν καθαίρεσιν ποιεῖσθαι λυσιτελές. τὸ δὲ, κα-
» θαιρῶν καθελεῖς, καὶ συντρίβων συντρί-
ψεις, τοιοῦτον ὑποβάλλει νοῦν· ἔνιά τινες καθαιροῦσιν ὡς ἀναστήσοντες, καὶ συντρίβουσιν ὡς αὖθις ἁρμοσόμενοι. βούλεται δὲ τὰ καθαιρεθέντα ἅπαξ καὶ συντριβέντα, μηκέτι τυχεῖν ἀνορθώσεως, ἀλλ᾽ εἰς ἅπαν ἠφανίσθαι τὰ ἐναντία τοῖς ἀγαθοῖς καὶ καλοῖς.

κε. Καὶ λατρεύσεις Κυρίῳ τῷ Θεῷ σου· καὶ εὐλογήσω τὸν ἄρτον σου καὶ τὸν οἶνόν σου καὶ τὸ ὕδωρ σου, καὶ ἀποστρέψω πᾶσαν μαλακίαν ἀπὸ σοῦ.

ΑΔΗΛΟΥ. Τοῦτο ὁ λόγος αἰνίττεται, ὅτι τῶν μὴ ἀπειθούντων τῷ ἀποστελλομένῳ Ἀγγέλῳ ὑπὸ Θεοῦ καὶ πατρὸς, καὶ τὸ ὄνομα ἔχοντι τοῦ ἀποστείλαντος αὐτὸν, καὶ μὴ προσκυνούντων Θεοῖς ἑτέροις, ἀλλὰ καὶ τὰς στήλας αὐτῶν συντριβόντων Κυρίῳ τῷ Θεῷ, ὁ ἄρτος καὶ ὁ οἶνος εὐλογεῖται, τουτέστιν ἡ μυστικὴ εὐλογία· ὁμοίως δὲ καὶ τὸ ὕδωρ, δι᾽ ὧν ψυχῆς πάσης ἀποστρέφεται μαλακία.

ΑΔΗΛΟΥ. Τροφὴν καὶ ὑγίειαν αἰνίττεται· τροφὴν μὲν, δι᾽ ἄρτου καὶ ὕδατος· ὑγίειαν δὲ διὰ τοῦ μαλακίαν ἀποστρέφειν. δεύτερον, ἐγκράτειαν εἰσηγεῖται, τὴν τῶν ἀναγκαίων μετουσίαν μόνον ἐπειπών. πρὸς δὲ τούτοις, μάθημα ἡμᾶς αἰσιώτατον αναδιδάσκει, δηλῶν ὅτι οὔτε ἄρτος, οὔτε ὕδωρ, καθ᾽ ἑαυτὰ τρέφουσιν· ἀλλ᾽ ἔστιν ὅτε καὶ βλάπτουσι μᾶλλον ἢ ὠφελοῦσιν, ἐὰν μὴ θεῖος λόγος καὶ τούτοις χαρίσηται τὰς ὠφελητικὰς δυνάμεις. ἧς χάριν αἰτίας
» φησὶν, εὐλογήσω τὸν ἄρτον σου καὶ τὸ
» ὕδωρ· ὡς οὐχ ἱκανὰ καθ᾽ ἑαυτὰ τρέφειν
ἄνευ θείας (1) καὶ ἐπιφροσύνης.

κϛ. Οὐκ ἔσται ἄγονος, οὐδὲ στεῖρα ἐπὶ τῆς γῆς σου.

ΑΔΗΛΟΥ. Τοῦτο διχῶς νοητέον. ἢ γὰρ τοῖς ἔτι ἀτελέσι, καὶ πρὸς πολυπαιδείαν ἐπτοημένοις ἐν ἐπαγγελίας τρόπῳ λέγεται τὸ τοιοῦτον· ἢ παραίνεσίς ἐστι καὶ νομοθεσία, μὴ δεῖν αὐτοὺς τῶν προειρημένων τυχόντας, ἀγόνους καὶ ἀκάρπους ἀγαθῶν ἔργων διατελεῖν.

Τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρῶν ἀναπληρώσω.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, τὸν
» ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρώσω; Τὴν ὡρισμένην

(1) Ἴσ. θείας βοηθείας καὶ ἐπιφροσύνης.

ὡρισμένην φησὶ τοῖς ἀνθρώποις ζωήν· τουτέστιν εἰς γῆρας μακρὸν ἐλθεῖν σε παρασκευάσω.

ΣΕΥΗΡΟΥ. Οὐ λέγει ὅτι τὸν ὡρισμένον ἀνθρώποις ἀριθμὸν ἀναπληρώσω· οὐδὲ γὰρ ὥρισαι· οὐδὲ τοῦτο λέγει, ὅτι ἐὰν μὴ » ἁμάρτῃς, ἀναπληρώσω τὸν ἀριθμὸν τῶν ἡμερῶν σου. οὐκοῦν κατὰ ἁμαρτανόντων οὐκ ἐπληροῦντο. εἰ δὲ ἐν τῷ ὑπακούοντι τὴν πληρῶσαι, ἄρα οὐ καθολικὸν ὅρον τάσσει· ἀλλὰ τοῦτο λέγει, οὐ πρὸ γήρως ἀποθανεῖσθε, ἀλλὰ τελειώσαντες τὴν ἡλικίαν. » τοῦτο γάρ ἐστι, τὸν ἀριθμὸν τῶν ἡμερῶν» σου ἀναπληρώσω.

» ΘΕΟΔΩΡΟΥ. Τὸν ἀριθμὸν, φησὶ, τῶν » ἡμερῶν σου ἀναπληρώσω, τουτέστιν εἰς λιπαρὸν ἄξω σε γῆρας καὶ πλῆρες. ὥσπερ γὰρ ἀώρους ἀπειλεῖ θανάτους παρακούουσιν, οὕτω μακροβίωσιν ὑπακούουσιν ὑπισχνεῖται. οὐ γὰρ ὅρον ζωῆς ἔχοντα δείκνυσιν ἕκαστον τῶν ἀνθρώπων· τοὐναντίον δὲ καὶ μηκυνομένην, ὡς ἔφην, τοῖς εὐσεβοῦσι ζωὴν, καὶ περικοπτομένην τοῖς παρακούουσιν. ὅπερ οὐκ ἂν ἦν, εἰ ὥριστο τῆς ζωῆς ὁ χρόνος. καθάπερ γὰρ ὅρος τοῦ Θεοῦ τὸ ἀποθανεῖν, καὶ κρατεῖ δικαίων καὶ ἀδίκων ὁμοῦ, καὶ ὁ διαφεύγων οὐδείς· οὕτως εἰ ὥριστο ὅσον ὑπάρχει τῆς ἑκάστου ζωῆς, οὔτε δίκαιος αὐτὴν σαλεύειν διὰ δικαιοσύνην, οὔτε ἄδικος διὰ ἀδικίαν ἐδύνατο. εἰ δὲ καὶ θάνατοι δι' ἁμαρτίας· ὧν εἷς ὁ πρὸ τοῦ κατακλυσμοῦ, καὶ ἕτερος ὁ Σοδόμων καὶ Γομόῤῥας, καὶ ὁ τοῦ Φαραὼ, καὶ τῶν Αἰγυπτίων· καὶ πολλοὶ ἕτεροι, καθὼς καὶ ὁ Ἀπόστολος λέγει,
1. Κορ. 11. 30. διὰ τοῦτο πολλοὶ ἐν ὑμῖν ἀσθενεῖς καὶ ἄῤῥω-
» στοι, καὶ κοιμῶνται ἱκανοί· πολλαὶ δὲ καὶ θανάτου ἀπαλλαγαὶ γεγόνασιν, ἐφ' ὧν πολλάκις ηὐχαριστήθη ὁ ῥυσάμενος· ποῦ ὁ τῆς ζωῆς ὅρος; εἰ κατά τινας ὥρισαί τις παρὰ Θεοῦ τῆς ζωῆς ἡ ποσότης, δῆλον ὅτι τὰ μὲν ἐν τῇ γαστρὶ τελευτῶντα βρέφη τοῦτον ἔλαβε παρὰ τοῦ Θεοῦ τοῦ ζῆν τὸν ὅρον. ὅπερ ἄτοπον. καὶ ὁ λῃστὴς ἀναίτιος, καὶ ὁ τὸ δηλητήριον διδοὺς, ὧν ἕκαστος ὑπηρετεῖται τῷ τοῦ Θεοῦ ὅρῳ, καὶ τῇ βουλήσει. πάντως γὰρ ἀποθανεῖν ἔδει τὸν ἐπιβουλευόμενον. ἄρα οὖν τούτων τὸν Θεὸν αἰτιασαίμεθα; καὶ πῶς οὐκ ἀσεβές; τὸ δὲ ἐν ταῖς Βασιλείαις ὑπὸ τοῦ Δαβὶδ περὶ τοῦ
1. Βασ. 26. 10. Σαοὺλ ῥηθὲν, τὸ, ἐὰν μὴ ἔλθῃ ἡ ὥρα
Ψαλ. 101. 23. αὐτοῦ· καὶ τὸ ἐν τοῖς ψαλμοῖς, τὴν ὀλι-
» γότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι, οὐχ ὅρον Θεοῦ σημαίνοι ἂν, ἀλλὰ τὸ πάντως ἕκαστον ῥητάς τινας ἡμέρας ζήσαντα ἀπελθεῖν· ὧν τὴν πρόγνωσιν ὁ Θεὸς ἔχει. εἰ δέ τις μὴ δέχοιτο ταύτην τούτου τὴν λύσιν, πῶς ἄρα νοήσωμεν τὸ ὑπ' αὐτοῦ τοῦ Δαβὶδ ῥηθὲν, οὐ μερικῶς, ἀλλὰ γενικῶς; περὶ
Ψαλ. 89. 10. γὰρ τῆς ἀνθρωπότητος λέγει· αἱ ἡμέραι
» τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα
» ἔτη, ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη. καὶ γὰρ εὑρίσκομεν βρέφη, τὰ μὲν, οὐδὲ

A μίαν ζήσαντα· τὰ δὲ, ἓν ἔτος, ἢ δύο· τὰ δὲ, δέκα, ἢ εἴκοσι· πολλοὺς δὲ τῶν ἀνθρώπων καὶ ἑκατοστὸν ἔτος ὑπερβεβηκότας. πῶς οὖν αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἑβδομήκοντα, ἢ ὀγδοήκοντα ἔτη; οὕτως οὐχ ὅρον τινὰ δείκνυσιν· ἀλλ' ἐπειδὴ ὀλίγοι τὴν προειρημένην ποσότητα ὑπερβαίνουσι, τὸ ἀσθενὲς ὁμοῦ καὶ βραχυχρόνιον τοῦ ἀνθρωπείου γένους οὕτω φησίν. οὐκοῦν καὶ λέ-
» γει ἡ θεία Γραφή· ἐὰν μὴ ἔλθῃ ἡ ἡμέρα 1. Βασ. 26. 10.
B » αὐτοῦ· καὶ, μὴ ἀναγάγῃς με ἐν ἡμίσει Ψαλ. 101. 24.
ἡμερῶν μου· οὐχ ἵνα δείξῃ παρὰ τοῦ Θεοῦ κείμενον ὅρον, ἀλλ' ἐπειδὴ πάντως ἕκαστος ἡμῶν βιώσεται ῥητὰς ἡμέρας, ἃς ὁ Θεὸς προγινώσκει. οὕτως αὐτὸ ἔφη. ἡ δὲ πρόγνωσις οὐκ ἔστιν ὅρος. ἐπείτοιγε εἰ ὅρος ἦν ἡ πρόγνωσις, προεγίνωσκε δὲ ὁ Θεὸς τὴν τοῦ Ἀδὰμ παράβασιν, καὶ τοῦ διαβόλου τὴν τροπὴν, καὶ τῶν ἀνδροφόνων τὰς ἐπιχειρήσεις, καὶ τῶν ἀσεβῶν τὴν πλάνην,
Γ αὐτὸς ὥρισεν ἄρα τούτους, οἵους εἰρήκαμεν γενέσθαι. ἐπειδὴ καὶ προῄδει ὅτι ἔσονται. τοῦτο δὲ πρόδηλον, ὡς ἀσεβὲς νοεῖν.

κζ. Καὶ τὸν φόβον μου ἀποστελῶ ἡγούμενόν σου, καὶ ἐκστήσω πάντα τὰ ἔθνη, εἰς οὓς σὺ ἐκπορεύσῃ εἰς αὐτούς· καὶ δώσω πάντας τοὺς ὑπεναντίους σου φυγάδας.

Δ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸ μὲν ῥητὸν ἐμφανές. εἰς κατάπληξιν ἐχθρῶν ἰσχυρὰ δύναμις ὁ φόβος. ὑφ' οὗ μᾶλλον ἢ τῆς τῶν ἀντιπάλων ἐφόδου ῥώμη ἁλίσκεται. τὸ δὲ πρὸς διάνοιαν οὕτω· δυοῖν οὐσῶν αἰτιῶν, ὧν τὸ θεῖον ἄνθρωποι τιμῶσιν, ἀγάπης καὶ φόβου, τὸ μὲν ἀγαπᾶν ἐστὶν ὀψίγονον, τὸ δὲ φοβεῖσθαι συνίσταται πρότερον. ὥστε οὐκ ἀπὸ σκοποῦ λέλεκται τὸ ἡγεῖσθαι τὸν φόβον, τῆς ἀγάπης ὕστερον καὶ ὀψὲ προσ-
E γινομένης. (1)

» ΑΛΛΟΣ. Ὅτι δὲ ὁ κατοικῶν ἐν βοη- Ψαλ. 90. 1, 7.
» θείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ, καὶ τὰ ἑξῆς, καὶ ὁ θεσπέσιος ἡμᾶς ἐδίδαξε Δαβίδ. τῷ τοιούτῳ οὖν καὶ ὁ Θεὸς ἐπηγγείλατο λέγων,
» πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυ-
» ριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. ταῦτα γάρ ἐστι τὰ ἔθνη, τὰ ἐκ τοῦ φόβου τοῦ Θεοῦ ἐξιστάμενα, καὶ φυγαδευόμενα ὑπὸ τῶν ἁγίων· εἴτε τὰ τῆς πονηρίας νοήσεις
Z πνεύματα, εἴτε τὰ τῆς ἀτιμίας πάθη, ἔθνη νῦν προσαγορευόμενα κατὰ τὸν τῆς ἀλληγορίας νόμον.

κη. Καὶ ἀποστελῶ τὰς σφηκίας προτέρας σου· καὶ ἐκβαλεῖς τοὺς Ἀμοῤῥαίους, καὶ τοὺς Εὐαίους, καὶ τοὺς Χαναναίους, καὶ τοὺς Χετταίους ἀπὸ σοῦ.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἀποστελῶ τὰς
H » σφηκίας προτέρας σου; Ὡς τοῖς Αἰγυπτίοις βατράχους, καὶ σκνίπας καὶ κυνομυίας ἔπεμψεν· οὕτω τοῖς Χαναναίοις, καὶ τοῖς ἄλλοις

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

ἄλλοις ἔθνεσι, τὰς σφηκίας. τοῦτο δὲ δηλοῖ τὴν ὑπερβάλλουσαν δύναμιν τοῦ Θεοῦ· ὅτι καὶ διὰ τῶν σμικρῶν ζωυφίων, καὶ τοῖς οἰκείοις ἐπικουρεῖ, καὶ τοῖς ἐναντίοις ἐπάγει τὸν ὄλεθρον. τοῦτο καὶ διὰ τοῦ μακαρίου
Ψαλ. 80. 13, 14. λέγει Δαβίδ· Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα· ἀντὶ τοῦ εὐπετῶς ἂν μάλα καὶ ῥᾳδίως τοὺς πολεμοῦντας αὐτοῖς ἐξωλόθρευσα. (1) ἐν τῷ μηδενὶ τοὺς ἐχθροὺς τῶν Ἰσραηλιτῶν ἐκβαλεῖν ἐπαγγέλλεται. οὐ γὰρ τὸ ζῶον νῦν τὴν σφηκίαν λέγει, τῷ δὲ ὀνόματι τοῦ ζώου διὰ βραχείας προφάσεως, μεγάλην παρέξειν ὑπισχνεῖται τὴν βοήθειαν.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Σύμβολον ὑποληπτέον εἶναι τοὺς σφῆκας ἀνελπίστου δυνάμεως, θείᾳ πομπῇ σαλευομένης. ἥτις ἀφ' ὑψηλοτέρων κατ' ἄκρον τὸ οὖς ὑποφέρουσα τὰς πληγάς, εὐστοχήσει πᾶσι τοῖς βλήμασι· καὶ διαθεῖσα, οὐδὲν ἀντιπεσεῖται τὸ παράπαν.

ΕΥΣΕΒΙΟΥ. Οὐ πάντως σφῆκας οὕτω λέγει. ἀλλ' ἐπειδὴ πλῆθος (2) τῶν ἄλλων φυλῶν, ὃ ἔδει καταστραφῆναι, πολὺ ἦν, καὶ ἐδεδοίκεισαν, λέγει, ἐν τῷ μηδενὶ αὐτοὺς ἐλάσαι, καὶ ὡσεὶ διὰ σφηκῶν. καὶ ἵνα μὴ νικήσαντες οἱ Ἰσραηλῖται τῇ τοῦ Θεοῦ βοηθείᾳ, τῷ ἑαυτῶν βραχίονι τὸ κατόρθωμα ἐπιγράψωσιν.

ΑΛΛΟΣ. Εἶδος μυιῶν αἱ σφηκίαι. ἀλληγορικώτερον δὲ τοὺς ὀλοθρευτάς φησιν Ἀγγέλους, τοὺς πολεμοῦντας σὺν τῷ Ἰσραήλ.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἀνάξιον κρίνας ὁπλιτῶν ἔργον γενέσθαι τὸν φόνον ἐκείνων τῶν ἀσεβῶν, καὶ παιδεύων αὐτοὺς διὰ τούτου γνῶναι τὸ σφῶν εὐτελές.

κθ. Οὐκ ἐκβαλῶ αὐτοὺς ἀπὸ προσώπου σου ἐν ἐνιαυτῷ ἑνί, ἵνα μὴ γένηται ἡ γῆ ἔρημος, καὶ πολλὰ γένηται
λ. ἐπὶ σὲ θηρία τῆς γῆς. Κατὰ μικρὸν ἐκβαλῶ αὐτοὺς ἀπὸ σοῦ, ἕως ἂν αὐξηθῇς καὶ κληρονομήσῃς τὴν γῆν.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐὰν ἄρτι τοῦ εἰσαγομένου καὶ μανθάνοντος σπουδάσῃς, πᾶσαν τὴν ἀμάθειαν ἐκτεμών, ἀθρόαν ἐπιστήμην εἰσοικίσαι, τοὐναντίον οὗ διανοῇ, πράξεις. οὔτε γὰρ τὴν ἀφαίρεσιν ἑνὶ καιρῷ γινομένην ὑπομένει, οὔτε τὴν ἄφθονον ῥύμην καὶ φορὰν τῆς διδασκαλίας. (3) πρὸς τούτοις εἴποι τὶς ἄν, οὐκ ἐβούλετο αὐτοὺς καταπεσεῖν εἰς τὸ ῥᾴθυμον, καὶ τῆς ἐπαγγελίας κατακληρονομῆσαι τὴν γῆν, ἀγώνων χωρίς. τὰ γὰρ πόνῳ κτηθέντα παρὰ τοῖς ἔχουσι τίμια, τὰ δ' ἀπόνως κτη-

A θέντα καταφρονεῖται ῥᾳδίως. ὅθεν βουλόμενος αὐτοὺς νήφειν καὶ ἐγρηγορέναι, καὶ ὡς ἔχοντας ἐχθροὺς πρός τε τὸν Θεὸν ἐπιστρέφειν καὶ τῆς παρ' αὐτοῦ ἐπικουρίας δεῖσθαι, τοῦτο ποιεῖν ἐπαγγέλλεται, ὁμοῦ καὶ γυμνάζων αὐτοὺς πρὸς ἀντίστασιν ἐχθρῶν. τοῦτο δὲ καὶ νοητῶς ὁρῶμεν γινόμενον. ψυχὴ γὰρ διὰ τῆς θείας συνεργείας ἀπαλλαγεῖσα παθῶν, καὶ πρὸς τὸ ῥᾴθυμον ὀλισθήσασα, ὡς μηκέτι παθεῖν
B ὑποπτεύουσα, ὑπὸ τῶν ἀοράτων καὶ πονηρῶν πνευμάτων περιστοιχίζεται, δίκην αὐτῇ θηρίων ἐπιθρωσκόντων, καὶ σφοδρότερον πολεμούντων. ὅθεν καὶ λόγιον ἡμᾶς διδάσκει, μὴ πιστεύειν ἐχθρῷ. ἑπτὰ γὰρ Σειρ. 12. 10.
πονηρίαι εἰσὶν ἐν αὐτῷ.

λα. Καὶ θήσω τὰ ὅριά σου ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης, ἕως τῆς θαλάσσης τῆς Φιλιστιείμ· καὶ ἀπὸ τῆς
Γ ἐρήμου, ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου. καὶ παραδώσω εἰς τὰς χεῖρας ὑμῶν τοὺς ἐγκαθημένους ἐν τῇ γῇ, καὶ ἐκβαλῶ αὐτοὺς ἀπὸ σοῦ.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ταῦτα μὲν αὐτοῖς ὁ Θεὸς ἐπηγγείλατο πειθομένοις αὐτῷ, καὶ τὰ προστεταγμένα φυλάττουσιν. ἐπειδὴ δὲ παραβάται καὶ ἀπειθεῖς τοῦ
Δ θείου νόμου ἀπεδείκνυντο, συνέστειλε τὴν ἐπαγγελίαν ἀπὸ Δὰν ἕως Βηρσαβεέ.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς ἐπαγγειλάμενος ὁ Θεὸς μέχρι τοῦ Εὐφράτου ποταμοῦ παραδώσειν αὐτοῖς τὴν γῆν, οὐκ ἐπλήρωσε τὴν ὑπόσχεσιν; Διὰ Ἱερεμίου τοῦ προφήτου τοῦτο σαφέστερον πεποίηκεν ὁ Θεός. πέρας
„ γάρ φησι λαλήσω ἐπὶ ἔθνος καὶ βασι- Ἱερ. 18. 9.
„ λείαν, τοῦ οἰκοδομεῖν καὶ καταφυτεύειν.
E „ καὶ ἔσται, ἐὰν στραφῇ τὸ ἔθνος ἐκεῖνο ποιῆσαι πονηρά, οὐ μὴ ἐπαγάγω ἐπ' αὐτῷ πάντα τὰ ἀγαθὰ ἃ ἐλάλησα, καὶ τὰ ἑξῆς. εἰσήγαγε τοίνυν αὐτοὺς ὁ Θεὸς εἰς ἣν ἐπηγγείλατο γῆν. ἐπειδὴ δὲ φυλάξαι τὸν θεῖον οὐκ ἠβουλήθησαν νόμον, οὐ πᾶσαν αὐτοῖς παραδέδωκεν, ἀλλ' εἴασέ τινας διηνεκῶς αὐτοῖς πολεμοῦντας, ἵνα πολεμούμενοι τὴν θείαν αἰτῶσι βοήθειαν. καὶ τοῦτο διαφερόντως ἡ τῶν Κριτῶν ἱστορία διδάσκει. Δαβὶδ μέντοι τῷ βασιλεῖ καὶ
Z τούτους ὑπέταξε. καὶ γὰρ οἱ ἀλλόφυλοι φόρους ἐδίδοσαν, καὶ Συρία Δαμασκοῦ, καὶ Συρία Σουβᾶ. καὶ Σολομῶν δέ, ἕως ηὐσέβει, ταύτην εἶχε τὴν δυναστείαν· ἀποκλίνας δὲ εἰς τὴν ἀσέβειαν, τῆς ἐξουσίας ἐξέπεσε. καὶ τούτοις δὲ δώσειν ἐπηγγείλατο, τὰς ἐντολὰς καὶ τὸν νόμον φυλάττουσιν.

λβ. Οὐ

(1) Τὰ ἑπόμενα ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται. (2) Τὸ πλῆθος. ὀρθότερ.

(3) Ἀντὶ τῶν ἑπομένων ἐν τοῖς ἐκδεδομέν. (ἐν Τόμ. 2. σελ. 663. τῆς τοῦ Μαγγ. ἐκδόσ.) τάδε κεῖται. ἀλλὰ καθ' ἑκάτερον, τό, τε ἐκτεμνόμενον καὶ προστιθέμενον, ὀδυνηθεὶς καὶ περιαλγήσας, ἀφηνιάσει. τὸ δὲ ἡσυχῇ καὶ μετρίως ἀφαιρεῖν μὲν τῆς ἀπαιδευσίας, προστιθέναι δὲ τῆς παιδείας τὸ ἀνάλογον, ὠφελείας γένοιτ' ἂν ὁμολογουμένης αἴτιον.

λϐ. Οὐ συγκαταθήσῃ αὐτοῖς καὶ τοῖς Θεοῖς αὐτῶν διαθήκην.

λγ. Καὶ ἐκ ἐγκαθήσονται ἐν τῇ γῇ σε, ἵνα μὴ ἁμαρτεῖν σε ποιήσωσι πρός με· ἐὰν γὰρ δουλεύσῃς τοῖς Θεοῖς αὐτῶν, ἔτοι ἔσονταί σοι πρόσκομμα.

* ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὡς ἄνθρωποι προσπταίσαντες, (1) καὶ ἀρτίοις

A βαίνειν ποσὶν ἀδυνατοῦντες, μακρὰν τῆ κατὰ τὴν ὁδὸν τέλους ὑστερίζουσι, προκαμόντες· (2) οὕτω καὶ ψυχὴ τὴν πρὸς εὐσέβειαν ἄγουσαν ἀνύειν κωλύεται, προεντυγχάνουσα ταῖς ἀσεβέσιν ἀνοδίαις. αὗται γάρ εἰσιν ἐμπόδιοι, καὶ προσπταισμάτων αἰτίαι· δι' ὧν χωλαίνων ὁ νοῦς ὑστερίζει τῆς κατὰ φύσιν ὁδοῦ. ἡ δὲ ὁδός ἐστιν ἐπὶ τὸν πατέρα τῶν ὅλων τελευτῶσα.

ΚΕΦ. ΚΔ.

α. Καὶ Μωϋσῇ εἶπεν, ἀνάβηθι πρός με σὺ καὶ Ἀαρὼν, καὶ Ναδὰβ, καὶ Ἀβιοὺδ, καὶ ἑβδομήκοντα τῶν πρεσβυτέρων Ἰσραήλ· καὶ προσκυνήσουσι μακρόθεν τῷ Κυρίῳ.

ΚΥΡΙΛΛΟΥ. Οὐ γάρ ἐστι χθαμαλὸς ἢ κατερριμμένος τῶν ἁγίων ὁ νοῦς· ἀλλὰ φρονήματος μὲν ὑπερφέρεται τοῦ γεωδεστέρου, καὶ σαρκικῶν ἐπιθυμιῶν, ὕψου δὲ δὴ μᾶλλον ἀναφοιτᾷ. καί ἐστιν ἀληθὲς τὸ
Ψαλ. 46. 9. εἰρημένον διὰ τοῦ Δαβίδ· ὅτι τοῦ Θεοῦ οἱ
» κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

** ΤΟΥ ΑΥΤΟΥ. Οἱ μὲν οὖν ἐξ Ἀαρὼν γεγονότες υἱοὶ, τὸ ἱερὸν ἡμῖν σημαίνουσι γένος· οἱ δὲ πρεσβύτεροι, τοὺς ἀριστίνδην ἐξειλεγμένους· Ἀαρὼν δὲ πάλιν αὐτὸν ἡμῖν ὑποπλάττεται τὸν Χριστόν. Καὶ μετ' ὀλίγα. Ἀναβησόμεθα τοίνυν κατὰ καιροὺς καὶ εἰς τὴν ἄνω πόλιν οἱ ἀπόλεκτοί τε καὶ ἱεροὶ, συνόντος ἡμῖν καὶ ἡγουμένου Χριστοῦ τοῦ μεγάλου ἱερέως, τοῦ δι' ἡμᾶς καθ' ἡμᾶς γεγονότος, καὶ συμπροσκυνοῦντος ἡμῖν. καίτοι πατέρα ὄντα κατὰ φύσιν, τὸν Θεόν.

Γ ϐ. Καὶ ἐγγιεῖ Μωϋσῆς μόνος πρὸς τὸν Θεὸν, αὐτοὶ δὲ οὐκ ἐγγιοῦσιν, ὁ δὲ λαὸς οὐ συναναβήσεται μετ' αὐτῶν.

» * ΚΥΡΙΛΛΟΥ. [Οὐ γὰρ ἀνελεύσεται,
» φησὶν, ὁ λαὸς σὺν αὐτοῖς.] ὅτι κατὰ τὴν
Ματθ. 20. 16. τοῦ Σωτῆρος ἡμῶν φωνὴν, πολλοὶ μὲν κλη-
» τοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

* ΤΟΥ ΑΥΤΟΥ. [Ἄνιμεν δὲ, οὐ δίχα Χριστοῦ. συνῆν γὰρ τότε τοῖς προσκυνοῦσιν ὁ Ἀαρὼν, καὶ τοῖς ἔτι μακρὰν ἐνάριθμιος ἦν.] οὕτω καὶ ὁ Χριστὸς μακρὰν μεθ' ἡμῶν δι' ἡμᾶς, [ἵνα] καὶ ἡμεῖς σὺν αὐτῷ τε καὶ δι' αὐτοῦ ἐγγὺς τοῦ πατρός. πάντα γὰρ δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ᾠκονομεῖτο σοφῶς.

γ. Εἰσῆλθε δὲ Μωϋσῆς, καὶ διηγήσατο τῷ λαῷ πάντα τὰ ῥήματα τοῦ Θεοῦ καὶ τὰ δικαιώματα. ἀπεκρίθη δὲ πᾶς ὁ λαὸς μιᾷ φωνῇ, λέγοντες, πάντας τοὺς λόγους, οὓς ἐλάλησε Κύριος, ποιήσομεν, καὶ ἀκουσόμεθα.

δ. Καὶ ἔγραψε Μωϋσῆς πάντα τὰ ῥήματα Κυρίου.

ΚΥΡΙΛΛΟΥ. Χρὴ γὰρ, οἶμαι, τοὺς τῆς ὑψηλῆς τε καὶ ἄνω πορείας ἐφιεμένους, εἰς νοῦν καὶ καρδίαν ἐγκεχαραγμένον ἔχειν ἀεὶ τὸν τοῦ Θεοῦ νόμον, ἀναφωνεῖν τε οὕτω λοιπὸν καθάπερ ἐκ λύρας
» πρὸς αὐτὸν, ἐν τῇ καρδίᾳ μου ἔκρυψα Ψαλ. 118. 11.
» τὰ λόγιά σου.

Δ ΤΟΥ ΑΥΤΟΥ. [Γράφει τοίνυν ὁ μακάριος Μωσῆς πάντα τὰ ῥήματα τοῦ Κυρίου.] περὶ ὧν καὶ αὐτὸς ἐπεφώνει τοῖς δι' αὐτοῦ παιδαγωγουμένοις, μᾶλλον δὲ καὶ ἡμῖν
» αὐτοῖς· καὶ λαλήσεις ἐν αὐτοῖς καθήμενος Δευτ. 6. 7.
» ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ, καὶ κοι-
» ταζόμενος, καὶ διανιστάμενος.

Ὀρθρίσας δὲ Μωϋσῆς τὸ πρωῒ, ᾠκοδόμησε θυσιαστήριον ὑπὸ τὸ ὄρος, καὶ δώδεκα λίθους ἔστησεν εἰς τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

E ΚΥΡΙΛΛΟΥ. Ὄρθρου γὰρ ὥσπερ καὶ πρωΐας ἤδη γενομένης, μόνον δὲ οὐχὶ καὶ φωσφόρου διαυγάζοντος, καὶ νοητῆς ἡμῖν ἀνισχούσης ἡμέρας, παροιχομένης ἤδη νυκτὸς, καὶ δαιμονιώδους ἀργήσαντος σκότους, λαμπρὸν ἀνεδείχθη τῆς ἐκκλησίας τὸ κάλλος. τὸ σεπτὸν ἐχούσης θυσιαστήριον, ἐφ' ᾧ τὸ Χριστοῦ τελεῖται μυστήριον.

Z ΑΔΗΛΟΥ. Θυσιαστήριόν φησι τὴν ἐκκλησίαν Χριστοῦ, ὑψοῦ ὥσπερ ἐπ' ὄρους οἰκοδομουμένην. διὰ τῶν δώδεκα λίθων τοῦ Ἰσραὴλ, τὸν ἐξ αἵματος δὲ χορὸν αἰνίττεται. (3)

ε. Καὶ ἐξαπέστειλε τοὺς νεανίσκους τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀνήνεγκαν ὁλοκαυτώματα· καὶ ἔθυσαν θυσίαν σωτηρίου τῷ Θεῷ μοσχάρια.

ΚΥΡΙΛ-

(1) Ὥσπερ οἱ προσπταίσαντες. ἐν Τόμ. 2. σελ. 656. τῆς τοῦ Μανγ. ἐκδόσ.

(2) Προσκάμνοντες. αὐτ.

(3) Περίληψις ταῦτά εἰσι τῶν τοῦ Κυρίλλου, τῶν ἐν Τόμ. 1. μέρ. 1. σελ. 329. καὶ 330.

ΚΥΡΙΛΛΟΥ. Τοῦτο δεδρακότας ἐστὶν ἰδεῖν τοὺς ἁγίους Ἀποστόλους. οἳ πᾶσαν, ὡς ἔπος εἰπεῖν, περιεφοίτων τὴν γῆν, ἱερουργοῦντες πνευματικῶς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ λειτουργοῦντες, καὶ προσάγοντες ὁλοκαυτώματα, τουτέστι τοὺς ἐν ἀμωμήτῳ πίστει διαπρεπεῖς. καὶ μὴν καὶ σπουδάσμασι τοῖς εἰς ἀρετὴν εὖ μάλα διηρτισμένους. οὐ γάρ ἐστιν, οὐκ ἔστι διανοίας ἀδρανοῦς τὸ μυσταγωγεῖν· διώκεσθαι σαφῶς, οὔτε νοῦ νοσοῦντος τὸ ἄναλκι, καὶ καταῤῥεῖν εἰωθότος εἰς ἐπιθυμίας κοσμικάς· ἐσχυκασμένου δὲ καὶ νεανικῶς ἔχοντος, ὡς καὶ εἰπεῖν
Φιλιπ. 1. 21. διώκεσθαι λοιπὸν, ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς, καὶ τὰ ἑξῆς. νεανίας γὰρ ὁ τοιοῦτος. καὶ τῶν ἄγαν ἀλκιμωτάτων. πρέποι δ' ἂν αὐτῷ τὸ καθιεροῦν τῷ Θεῷ τὰ ὁλοκαυτώματα, καὶ θυσίας πνευματικὰς, καὶ ἱερουργίας ἅπτεσθαι τῆς νοητῆς, καὶ τὴν τοῦ σωτηρίου θυσίαν ἀποπληροῦν.

ΤΟΥ ΑΥΤΟΥ. Μόσχῳ τελείῳ παρεικάζεται Χριστός· ποτὲ δὲ μικρῷ μοσχαρίῳ, καὶ ἀνθότου, πάλιν ἐρῶ· γέγονεν ἄνθρωπος ὁ μονογενὴς, καὶ ὑπὸ ζυγὸν δουλείας, εἴπερ ἐστὶν ἀληθὲς ὅτι πέφηνεν ἐν δούλου μορφῇ. ἀλλ' εἰ καὶ ὅσον ἧκεν εἰπεῖν, εἴς γε τὸ ἐν σαρκὶ μυστήριον. γέγονε μεθ' ἡμῶν ὑπὸ ζυγὸν δουλείας, ἀλλ' ἦν δουλείας ἀπείρατος, ὅτι φύσεως ἦν τῆς ἄνωθέν τε καὶ ἐλευθέρας. διὰ τοῦτο μοσχαρίῳ παρεικάζεται, ὅτι ὑπὸ ζυγὸν, καὶ ἔξω ζυγοῦ. ἀπείρατον γὰρ ζυγοῦ τὸ μοσχάριον, εἰ καὶ ἄνω πέφυκεν ὑπὸ ζυγὸν τὸ τοιόνδε γένος. ἄλλως τε εἰ καὶ γέγονεν ὑπὸ νόμον ὡς ὑπὸ ζυγὸν, ἀλλ' ἦν καὶ οὕτως ἐλεύθερος. ἦν γὰρ καὶ ὑπὲρ νόμον ὡς νομοθέτης.

ϛ. Λαβὼν δὲ Μωϋσῆς τὸ ἥμισυ τοῦ αἵματος ἐνέχεεν εἰς κρατῆρα, τὸ δὲ ἥμισυ τοῦ αἵματος προσέχυσε πρὸς τὸ θυσιαστήριον.

ΚΥΡΙΛΛΟΥ. Ὅτι δὲ ἦν ἀναγκαῖον ἁγιάζεσθαι τῷ αἵματι τοὺς ἄνω διάττοντας, καὶ ἐγγίζειν Θεῷ γλιχομένους, δέδειχεν ὁ Μωϋσῆς, καταῤῥαίνων τῷ αἵματι πάντα τὸν λαὸν καὶ αὐτὸ τὸ βιβλίον. εἰσόμεθα δὲ καὶ διὰ τούτου πάλιν, ὅτι καὶ αὐτὸς ὁ νόμος ἀτελὴς εἰς ἁγιασμόν. ἀθρει γὰρ ὅπως τῷ τοῦ αἵματος ῥαντισμῷ καὶ αὐτὸς ἁγιάζεται. κατορθοῖ δὲ τοῦτο τῶν διὰ Χριστοῦ μυστηρίων ἡ χάρις. τῷ γὰρ τιμίῳ αἵματι τοῦ νοητοῦ ἀμνοῦ πάντες οἱ πιστοὶ ἐῤῥαντίσθημεν.

ζ. Καὶ λαβὼν τὸ βιβλίον τῆς διαθήκης, ἀνέγνω εἰς τὰ ὦτα τοῦ λαοῦ. καὶ εἶπαν, πάντα ὅσα ἐλάλησε Κύριος, ποιήσομεν καὶ ἀκουσόμεθα.

ΑΔΗΛΟΥ. Ὅτι πάντα τὰ εἰρημένα
Ἐξόδ. 20. 2. ῥήματα, ἀπὸ τοῦ, ἐγώ εἰμι Κύριος ὁ Θεὸς,

A „ ἕως τοῦ, ἐὰν γὰρ δουλεύσῃς τοῖς Θεοῖς αὐ- Ἐξόδ. 23. 33.
„ τῶν, οὗτοι ἔσονταί σοι πρόσκομμα. ἐστὶν ἡ διαθήκη· ἣ καὶ ἐν βιβλίῳ ἐγράφη διὰ προστάγματος Κυρίου· ἀλλ' οὖν τίποτέ ἐστιν ἡ διατύπωσις τῆς σκηνῆς; Ἐπαναβαίνουσα διδασκαλία· καὶ πάλιν, αἱ ἐν ταῖς πλαξὶ γραφαὶ θειοτέρων καὶ μυστικωτέρων πραγμάτων δηλώσεις. ὧν ἐστερήθησαν τότε οἱ υἱοὶ Ἰσραὴλ, Μωσέως αὐτοῦ κρίναντος μὴ ἀξίους αὐτοὺς τῶν θείων πλακῶν,
B καὶ τῶν ἐν αὐταῖς θείων γραμμάτων.

η. Λαβὼν δὲ Μωϋσῆς τὸ αἷμα, κατεσκέδασε τοῦ λαοῦ, καὶ εἶπεν, ἰδοὺ τὸ αἷμα τῆς διαθήκης, ἧς διέθετο Κύριος πρὸς ὑμᾶς περὶ πάντων τῶν λόγων τούτων.

ΑΔΗΛΟΥ. Ταῦτα τύπος ἐγίνετο τῶν μελλόντων ἐπὶ τῆς καινῆς διαθήκης. τῷ
Γ γὰρ τιμίῳ αἵματι τοῦ ἀμνοῦ τοῦ Θεοῦ πάντες οἱ πιστοὶ ἐῤῥαντίσθημεν.

θ. Καὶ ἀνέβη Μωϋσῆς, καὶ Ἀαρὼν, καὶ Ναδὰβ, καὶ Ἀβιοὺδ, καὶ ἑβδομήκοντα τῶν πρεσβυτέρων Ἰσραήλ.

ι. Καὶ εἶδον τὸν τόπον οὗ ἑστήκει ἐκεῖ ὁ Θεὸς τοῦ Ἰσραήλ· καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ ὡσεὶ ἔργον πλίνθου
Δ σαπφείρου, καὶ ὥσπερ εἶδος στερεώματος τοῦ οὐρανοῦ τῇ καθαριότητι.

** ΚΥΡΙΛΛΟΥ. Τεθέανται τὸν τοῦ Θεοῦ λεγόμενον τόπον, ὡς ἐν εἴδει στερεώματος οὐρανοῦ. ἐναυγὴς γὰρ ὁ οὐρανὸς, καὶ σαπφείρῳ ἐοικὸς τὸ ἀνωτάτω καὶ αἰθέριον χρῶμα.

ΤΟΥ ΑΥΤΟΥ. Ἔδει γὰρ ἔδει [τοὺς] τὴν πολύθεον ποτὲ κατηῤῥωστηκότας πλά-
E νησιν, καὶ τῇ κτίσει λελατρευκότας, εἶτα κεκλημένους εἰς ἐπίγνωσιν Θεοῦ, χρησίμως τε καὶ ἀναγκαίως ἰδεῖν, ὅτι καὶ αὐτὸν ὑποπόδιον ἔχει τὸν οὐρανὸν, καὶ ὅτι τῶν ὅλων ἐστὶ δεσπότης, ὡς παρενεγκὼν τὰ πάντα πρὸς ὕπαρξιν, ὁ τῆς ἀρχαίας αὐτοὺς ἀπάτης ἀπολυτρούμενος.

ΣΕΥΗΡΟΥ. Ἐπειδὴ γὰρ ἐν Αἰγύπτῳ γεγονότες οἱ ἐξ Ἰσραὴλ, λελατρεύκασι
Z τῇ κτίσει, καὶ Θεὸν ἐκάλουν τὸν οὐρανὸν, χρησίμως αὐτοῖς ὁ τῶν ὅλων Κύριος, καὶ ἐπ' αὐτοῦ βεβηκὼς ἐφαίνετο τοῦ στερεώματος· ἵν' εἰδεῖεν, ὅτι πάντα ὑπὸ πόδας ἔχει, καὶ αὐτῶν [ἐστὶ] τῶν οὐρανῶν δεσπότης, ὡς δημιουργός. (1)

* ΠΡΟΚΟΠΙΟΥ. Διὸ περὶ τῆς ἀειπαρθένου (2) προφητεύων ὁ μακάριος Ἰὼβ,
„ γῆ, φησὶν, ἐξ αὐτῆς ἐξελεύσεται ἄρτος; Ἰώβ. 28. 5.
„ ὑποκάτωθεν ἐστράφη ὡσεὶ πῦρ. τόπος σαπ-
H „ φείρου οἱ λίθοι αὐτῆς· τὸ καθαρὸν (3) καὶ ἅγιον

(1) Τὰ αὐτὰ αὐτολεξεὶ καὶ ὁ Κύριλλος ἐν Τόμ. 1. μέρ. 2. σελ. 381.

(2) Ἡ δὲ σάπφειρος δύναται καὶ τὴν ἁγίαν σημαίνειν παρθένον, περὶ ἧς προφητεύων ὁ Ἰὼβ, κτ. ὁ τῆς Αὐγ. κώδ.

(3) Τὸ καθαρὸν σῶμα τῆς παρθένου δηλῶν. ὁ αὐτ.

ἅγιον καὶ ἀμίαντον τῆς παρθενίας σῶμα δηλῶν· καὶ ὅτι τὸν τοῦ νόμου Θεὸν τέτοκε. καὶ ἐν τῷ ᾄσματι ἡ νύμφη περὶ τοῦ νυμφίου
Ἀσμ. 5. 14. φησὶ, κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον
» ἐπὶ λίθου σαπφείρου· κοιλίαν Χριστοῦ καλοῦσα τὸν χορὸν τῶν ἁγίων τὸν παρ' αὐτοῦ λοχευθέντα. καθαρὸν (1) δὲ ὡς πυξίον ἐλεφάντινον, ὅπερ οὐ παραδέχεται ῥύπον. ἐπὶ τοῦτο (2) καὶ κωδίκιλλον γράφονται οὐκ ἐπιγείου ἀρχῆς, ἀλλ' ἐπουρανίου βασιλείας. ἐπὶ λίθου δὲ σαπφείρου φησὶν, ἐπειδὴ ὡς ἂν ὁ σάπφειρος προσπελάσῃ πράγματι, τοῦτο πρὸς ἑαυτὸν ἐπισπᾶται· οὕτω καὶ ὁ τῶν ἁγίων χορὸς τοὺς πλησιάζοντας διὰ τῆς πίστεως, καὶ τῆς πνευματικῆς χάριτος, εἰς οὐρανοὺς ἀνιμᾶται.

ΑΔΗΛΟΥ. Τῷ γὰρ οὐρανίῳ θεάματι τὴν χροιὰν ἐμφερής ἐστιν ὁ σάπφειρος. ὅπερ δηλοῖ τῶν ἐντολῶν τὸ θεῖόν τε καὶ οὐράνιον.

ΔΙΔΥΜΟΥ. Δηλοῦται γὰρ καὶ ἐν τῇ λέξει ταύτῃ, ὡς ἔνθα Θεοῦ παρουσία νόησιν ἔσχε, τόπον εἰρήκασιν εἶναι τῶν ποδῶν αὐτοῦ, βεβαίως ἱδρυμένων ἔνθα ἀρετὴ πρακτική· ἢ δηλοῦται διὰ τῆς πλίνθου τῆς σαπφειρίνης· καὶ σοφία, ἥτις διὰ τῶν νοητῶν (3) θεωρία ὑπάρχειν τῇ καθαρότητι παραβάλλεται.

ια. Καὶ τῶν ἐπιλέκτων τοῦ Ἰσραὴλ οὐ διεφώνησεν οὐδείς.

* ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοὺς ἑβδομήκοντα ἄνδρας λέγει, τοὺς μετὰ Μωσέως, καὶ Ἀαρὼν, καὶ Ναδὰβ, καὶ Ἀβιούδ. τὸ
» δὲ, οὐ διεφώνησαν, τοῦτο μᾶλλον δηλοῖ, ὅτι πάντες ἐπίσης εἶδον τὸν τόπον, ἐν ᾧ εἱστήκει ὁ Θεός· ἢ ὅτι οὐδεὶς ἀπελείφθη.

ΤΟΥ ΑΥΤΟΥ. Τὸ μὲν ῥητὸν διήγημα, φανερὰν ἔχει τὴν ἀπόδοσιν, ὡς ἁπάντων σώων διατηρηθέντων· τὸ δὲ πρὸς διάνοιαν, τὸ πάντας περὶ τὴν εὐσέβειαν συμφώνους εἶναι, καὶ ἐν μηδενὶ τῶν ἀγαθῶν διαφωνεῖν.

Καὶ ὤφθησαν ἐν τῷ τόπῳ τοῦ Θεοῦ, καὶ ἔφαγον καὶ ἔπιον.

ΚΥΡΙΛΛΟΥ. Ὅτι δὲ καὶ τοῖς εἰς τὴν ἄνω κατὰ καιροὺς εἰσελαύνουσι πόλιν παρακείσεται πάντως τὸ καὶ τῶν θείων χαρισμάτων πλουσίως μεταχεῖν, καὶ τὸ ἐντρυφῆσαι τοῖς παρὰ Χριστοῦ καὶ πνευματικοῖς ἀγαθοῖς, διδάξει σαφῶς τὸ ἐν τόπῳ γεγενημένους τοῦ Θεοῦ, φαγεῖν καὶ πιεῖν τοὺς ἀναβεβηκότας.

ιβ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, ἀνάβηθι πρός με εἰς τὸ ὄρος, καὶ ἴσθι ἐκεῖ· καὶ δώσω σοι τὰ πυξία τὰ λί-

A θινα, τὸν νόμον καὶ τὰς ἐντολὰς, ἃς ἔγραψα νομοθετῆσαι αὐτοῖς.

ΣΕΥΗΡΟΥ. Τί δὲ τοῦτό ἐστι; καὶ γὰρ αἰνίγματί πως προσέοικε. πῶς ἐπὶ τοῦ ὄρους ἀναβὰς ὁ Μωϋσῆς ἅμα τῷ Ἀαρὼν καὶ τοῖς πρεσβυτέροις τοῦ Ἰσραὴλ, καὶ αὐτόπτας τοῦ τόπου καταστήσας, ἐφ' οὗπερ ὁ νομοθέ-
» της ἔστη Θεὸς, ἤκουε πάλιν, ἀνάβηθι πρός-
» με εἰς τὸ ὄρος, καὶ δώσω σοι τὰ πυξία τὰ
B » λίθινα; καὶ πῶς ἅπαξ τὰς ἐντολὰς τοῦ νόμου λαβὼν, καὶ ταύτας καταβὰς, καὶ καθάπερ εἶπον τῷ λαῷ παραθέμενος,
» ἤκουε, δώσω σοι τὰ πυξία τὰ λίθινα, τὸν
» νόμον καὶ τὰς ἐντολὰς, ἃς ἔγραψα νομο-
» θετῆσαι αὐτοῖς; Ἐγὼ φράσω τὴν αἰτίαν σαφῶς· καὶ γνώσεσθε, ὡς ἐν αἰνίγματι καὶ σκιᾷ μερικῆς καταλήψεως, μυστηρίων ἄφατον πέλαγος. Διπλοῦς ἦν ὁ νόμος, ἐκ μὲν ἐπιπολῆς ἔχων τὰ τοῦ γράμματος
Γ παραγγέλματα, ἐν δὲ τῷ βάθει πνευματικὰ κρύπτων νοήματα. διὰ τοῦτο γὰρ ἔσωθέν τε καὶ ἔξωθεν γεγράφθαι τὰς τοῦ νόμου πλάκας φησὶ τὸ γράμμα τὸ ἱερόν. (4) διὰ τοῦτο καὶ Παῦλος τὸν νόμον πῇ μὲν διαθήκην γράμματος προσηγόρευε, πῇ
» δὲ ἔλεγεν, οἴδαμεν ὅτι ὁ νόμος πνευματικός ἐστι. Ῥωμ. 7. 14. τὸ μὲν οὖν γράμμα, ὃ καὶ πιστευθῆναι δυνατὸς ἦν ὁ κατὰ σάρκα Ἰσραὴλ, νηπιωδῶς καὶ ἀτελῶς διακείμενος,
Δ καταβὰς ὁ Μωσῆς διεμαρτύρατο τῷ λαῷ· καὶ μετὰ τοῦτο, παραλαβὼν τὸν Ἀαρὼν καὶ τὴν γερουσίαν τοῦ Ἰσραὴλ, μέχρι τῆς πρώτης κορυφῆς τοῦ ὄρους ἀνήγαγε, τουτέστιν ἐπὶ τὸ ὕψος τῆς μερικῆς τῶν θείων χρησμῶν ἀναβάσεως, δι' ἧς τὸ γράμμα, καὶ ἡ κατὰ τοῦτο ἔννοια μόνον ἀπεκαλύπτετο. ὅτε δὲ ἤμελλε τὴν ἔνδοθεν γραφὴν τῶν πλακῶν, τὸ πνεῦμά φημι καὶ τὸ βάθος τοῦ νόμου πιστεύεσθαι, δι' οὗ τὰ τῆς πο-
E λιτείας τῆς εὐαγγελικῆς παρεδείκνυτο· καὶ ἐπὶ τοῦ ὄρους ὢν, ἀκούει ὑψηλοτέρας κλήσεως, καὶ ἀναγωγῆς λεγούσης, ἀνά-
» βηθι πρός με εἰς τὸ ὄρος, καὶ ἴσθι ἐκεῖ·
» καὶ δώσω σοι τὰ πυξία τὰ λίθινα· διαναστὰς, καὶ μετάρσιος τῇ θεωρίᾳ γενόμενος, τὸν μὲν Ἰησοῦν τοῦ Ναυῆ παρελάμβανεν, ὃς τύπον ἐπεῖχεν Ἰησοῦ τοῦ ἐμοῦ καὶ σωτῆρος Χριστοῦ· καὶ γὰρ οὐκ ἐνῆν χωρὶς Ἰησοῦ τὸ τοῦ νόμου βάθος, καὶ τὰ τοῦ εὐαγ-
Z γελίου φανεροῦσθαι μυστήρια· τὸν δὲ Ἀαρὼν καὶ τοὺς πρεσβυτέρους τοῦ Ἰσραὴλ ἐκεῖ κατέλιμπανε.

ΤΟΥ ΑΥΤΟΥ. Οὐ γὰρ εἶπε μόνον,
» ἀνάβηθι εἰς τὸ ὄρος, ἀλλὰ καὶ τὸ, πρός-
» με, προσέθηκεν. ὅπερ δηλοῖ τὴν ὑψηλοτέραν μὲν ἀνάβασιν ὡς πρὸς ἡμᾶς, ὡς δὲ πρὸς Θεὸν ἐγγυτέρω. καὶ πάλιν, οὐκ
» εἶπε, καὶ δώσω σοι τὰς πλάκας, ἀλλὰ
» τὰ πυξία τὰ λίθινα. ὅπερ φανεροῖ τῆς εὐαγ-

(1) Καθάριον δὲ ὡς πυξίον τὸ ἐλεφάντινον. ὁ τῆς Αὐγ. κώδ.
(2) Τὰ ἀπὸ τοῦ, ἐπὶ τοῦτο, ἄχρι τοῦ, βασιλείας, οὐ περιέχει ὁ εἰρημ. κώδ.
(3) Ἴσ. διὰ τὸ τῶν νοητῶν θεωρίαν ὑπάρχειν.
(4) Ἤτοι ἐν κεφ. 2. ἐδ. 9. καὶ 10. τοῦ Ἰεζ. ἢ ἐν κεφ. 5. ἐδ. 1. τῆς Ἀποκαλύψ.

A εὐαγγελικῆς νομοθεσίας τὸ ἄσηπτον. τοιοῦτον γὰρ τὸ ξύλον τὸ πύξινον. πρόδηλον γάρ, ὡς τὸ μὲν γράμμα τοῦ νόμου πρόσκαιρα νομοθετοῦν, γέγονεν ἐγγὺς ἀφανισμοῦ, καὶ γεγήρακε· τὸ δὲ πνεῦμα, νεάζει, καὶ διὰ τοῦ εὐαγγελίου λάμψαν, μέχρι τῆς συντελείας τοῦ αἰῶνος ἀνθεῖ.

» ΤΟΥ ΑΥΤΟΥ. Ἀνάβηθι πρός με εἰς τὸ ὄρος· καὶ δώσω σοι τὰ πυξία τὰ λίθινα, τὸν νόμον καὶ τὰς ἐντολάς, ἃς ἔγραψα νομοθετῆσαι αὐτοῖς. μετὰ δὲ τὴν ἁμαρτίαν, οὐχ οὕτως· ἀλλά,
B
Ἐξόδ. 34. 1. λάξευσον σεαυτῷ δύο πλάκας λιθίνας, καθάπερ αἱ πρῶται, καὶ ἀνάβηθι πρός με εἰς τὸ ὄρος· καὶ γράψω ἐπὶ τῶν πλακῶν τὰ ῥήματα, ἃ ἦν ἐπὶ ταῖς πλαξὶ ταῖς πρώταις, ἃς συνέτριψας· τοῦτο δηλοῦντος τοῦ λόγου διὰ τοῦ τύπου, ὡς τὴν ἀρχὴν ὁ Θεὸς διαπλάσας τὸν ἄνθρωπον, καὶ μετὰ ταῦτα διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας ἀναπλάσας αὐτόν, ἐπὶ ταῖς πλαξὶ τῆς αὐτοῦ καρδίας,
Γ
καθαραῖς οὔσαις, ἃς ἔκτισε καὶ ἀνεκαίνισε, τοὺς οἰκείους νόμους ἔγραψε, πάλαι μὲν τὸν τῆς φύσεως, ὕστερον δὲ τὸν εὐαγγελικὸν καὶ τοῦ πνεύματος. ἅστινας τῆς καρδίας πλάκας εἴ τις διὰ τῆς ἁμαρτίας συντρίψειεν, οὐκ ἄλλης τῆς αὐτῆς (1) ἀξιοῦται γραφῆς τῷ δακτύλῳ τοῦ Θεοῦ γραφομένης· εἰ μή τι γε αὐτὸς ἑαυτῷ ταύτας διὰ τῆς μετανοίας λαξεύσειε, τὸ τῆς ἁμαρτίας ἀποξύσας αἶσχος πράξεσι καθαραῖς.

Δ

ιγ. Καὶ ἀναστὰς Μωϋσῆς καὶ Ἰησοῦς ὁ παρεστηκὼς αὐτῷ, ἀνέβησαν ἐπὶ τὸ ὄρος τοῦ Θεοῦ.

✱ ΚΥΡΙΛΛΟΥ. [Κέκληται μὲν ὁ Μωσῆς, τὸν ἐν σκιαῖς ἔτι καὶ γράμμασιν ὑποδεξάμενος νόμον· συνανατρέχει δὲ αὐτῷ μὴ συγκεκλημένος ὁ Ἰησοῦς εἰς τύπον Χριστοῦ. ὃς οὐ καλεῖται παρὰ πατρὸς ἴσως τοῖς
E
ἄλλοις· σώζει γὰρ ἀεί· βατὴν δὲ τοῖς καλουμένοις τὴν ὁδὸν ἐργάζεται, μεσιτεύων καὶ σώζων.] ἀμήχανον γὰρ ἐγγὺς γενέσθαι τοῦ Θεοῦ καὶ πατρὸς καθ' ἕτερον ἡμᾶς τρόπον, πλὴν ὅτι διὰ μόνης τῆς τοῦ ἀληθινοῦ Ἰησοῦ μεσιτείας.

ιδ. Καὶ τοῖς πρεσβυτέροις εἶπεν, ἡσυχάζετε αὐτοῦ, ἕως ἀναστρέψωμεν πρὸς ὑμᾶς. καὶ ἰδοὺ Ἀαρὼν καὶ Ὢρ
Z
μεθ' ὑμῶν· ἐάν τινι συμβῇ κρίσις, προσπορευέσθωσαν αὐτοῖς.

ΑΔΗΛΟΥ. Καὶ ὀπίσω, ὅπου ἡ τοῦ Ἀμαλὴκ μάχη, μέμνηται τοῦ Ὢρ. καὶ (2) μᾶλλον ἐκ τοῦ λευϊτικοῦ γένους ἦν, ἢ τάχα τοῦ γένους ἦν τοῦ Ἰούδα, καὶ τῆς φυλῆς ἐκείνης. καὶ γὰρ ὁ Βεσελεὴλ εὑρίσκεται ἔγγονος τοῦ Ὢρ, υἱὸς δὲ τοῦ Οὐρί.

H
ΣΕΥΗΡΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Οὐ γὰρ ἴσχυε τοῦ κατὰ σάρκα Ἰσραήλ, καὶ τῆς λευϊτικῆς ἱερωσύνης ἡ δύναμις μικρὰ βλέπουσα, καὶ τῇ σκιᾷ τῶν ἐντολῶν ἐναπειλίζουσα, πρὸς τὸ κεκρυμμένον χωρῆσαι τοῦ νόμου κάλλος, καὶ τοῖς πνευματικοῖς καὶ εὐαγγελικοῖς περιλαμφθῆναι νοήμασι.

ιε. Καὶ ἀνέβη Μωϋσῆς εἰς τὸ ὄρος, καὶ ἐκάλυψεν ἡ νεφέλη τὸ ὄρος.

ις. Καὶ κατέβη ἡ δόξα τοῦ Θεοῦ ἐπὶ τὸ ὄρος τὸ Σινά, καὶ ἐκάλυψεν αὐτὸ ἡ νεφέλη ἓξ ἡμέρας. καὶ ἐκάλεσε Κύριος τὸν Μωϋσῆν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐκ μέσου τῆς νεφέλης.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐναργέστατα δυσωπεῖ τοὺς ἐγγὺς ὑπὸ ἀσεβείας εἴτε ἠλιθιότητος οἰομένους τοπικὰς καὶ μεταβατικὰς κινήσεις εἶναι περὶ τὸ θεῖον. ἰδοὺ γὰρ ἐμφανῶς, οὐ τὸν οὐσιώδη [Θεὸν] τὸν κατὰ τὸ εἶναι μόνον ἐπινοούμενον κατεληλυθέναι φησίν, ἀλλὰ τὴν δόξαν αὐτοῦ. διττὴ δὲ ἡ περὶ τὴν δόξαν ἐκδοχή. ἡ μέν, τὴν παρουσίαν ἐμφαίνουσα τῶν δυνάμεων, ἐπεὶ καὶ βασιλέως λέγεται δόξα ἡ στρατιωτικὴ δύναμις· ἡ δέ, τῇ δοκήσει αὐτοῦ μόνου, καὶ ὑπολήψει δόξης θείας. ὡς ἐνεργάσασθαι ταῖς τῶν παρόντων διανοίαις φαντασίαν ἀφίξεως Θεοῦ, ὡς ἥκοντος εἰς βεβαιοτάτην πίστιν τῶν μελλόντων νομοθετεῖσθαι.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸν ἴσον ἀριθμὸν ἀπένειμε καὶ τῇ τοῦ κόσμου γενέσει, καὶ τῇ τοῦ ὁρατικοῦ γένους ἐκλογῇ, τὴν ἑξάδα· βουλόμενος ἐπιδεῖξαι, ὅτι αὐτὸς καὶ τὸν κόσμον ἐδημιούργησε, καὶ τὸ γένος εἵλετο. ἡ δὲ ἀνάκλησις τοῦ Προφήτου, δευτέρα γένεσίς ἐστι τῆς προτέρας ἀμείνων. ἑβδόμη δὲ ἀνακαλεῖται ἡμέρα, ταύτῃ διαφέρων τοῦ πρωτοπλάστου. ὅτι ἐκεῖνος μέν, ἐκ γῆς καὶ μετὰ σώματος συνίστατο· οὗτος δέ, ἄνευ σώματος. διὸ τῷ μὲν γηγενεῖ, ἀριθμὸς οἰκεῖος ἀπενεμήθη ἑξάς· τούτῳ δέ, ἡ ἱερωτάτη φύσις τῆς ἑβδομάδος.

ιζ. Τὸ δὲ εἶδος τῆς δόξης Κυρίου, ὡσεὶ πῦρ φλέγον ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, ἐναντίον τῶν υἱῶν Ἰσραήλ.

» ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸ δὲ εἶδος τῆς δόξης Κυρίου, φησίν, ἐμφερέστατον εἶναι φλογί, μᾶλλον δὲ οὐκ εἶναι, ἀλλὰ φαίνεσθαι τοῖς ὁρῶσι· τοῦ Θεοῦ δεικνύντος ὅπερ ἐβούλετο δοκεῖν εἶναι πρὸς τὴν τῶν θεωμένων κατάπληξιν· μὴ ὢν τοῦτο, ὅπερ ἐφαίνετο. ἐπιφέρει γοῦν τό, ἐνώπιον τῶν υἱῶν Ἰσραήλ, ἐναργέστατα μηνύων, ὅτι φαντασία φλογὸς ἦν, ἀλλ' οὐ φλὸξ ἀληθής. ὥσπερ δὲ ἡ φλὸξ πᾶσαν τὴν παραβληθεῖσαν ὕλην ἀναλίσκει, οὕτως ὅταν ἐπιφοιτήσῃ εἰλικρινὴς Θεοῦ ἔννοια τῇ ψυχῇ, πάντας τοὺς ἑτεροδόξους ἀσεβείας λογισμοὺς διαφθείρει, καθοσιοῦσα τὴν ὅλην διάνοιαν.

ΤΟΥ

(1) Ἴσ. οὐκ ἄλλης τινός.

(2) Ἴσ. ὃς μᾶλλον.

ΤΟΥ ΑΥΤΟΥ. Ὅτι ἤμελλε κατάκριτος ἔσεσθαι ἡ ἀποικισθεῖσα γενεά; καὶ ἐπὶ τεσσαρακονταετίαν φθείρεσθαι, μυρία μὲν εὐεργετηθεῖσα, διὰ μυρίων δὲ ἐπιδειξαμένη τὸ ἀχάριστον.

ιη. Καὶ εἰσῆλθε Μωϋσῆς εἰς τὸ μέσον τῆς νεφέλης, καὶ ἀνέβη εἰς τὸ ὄρος· καὶ ἦν ἐκεῖ ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας.

ΑΔΗΛΟΥ. Ἐνταῦθα ἠξιώθη ὁ μέγας Μωϋσῆς μετὰ τεσσαράκοντα ἡμέρας, ἐν ἄλλαις ἓξ ἡμέραις ἰδεῖν δι' ὀπτασιῶν ἃ καὶ ἐν ταῖς ἄλλαις ἓξ ἡμέραις ἐποίησεν ὁ

A Θεός, τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ πάντα τὰ ἐν αὐτῇ, κατὰ τάξιν μιᾶς ἑκάστης ἡμέρας· καὶ συγγράψαι παρεκελεύσθη.

** ΠΡΟΚΟΠΙΟΥ. Τεσσαράκοντα δὲ μένει τὰς πάσας ἡμέρας ἐν ὄρει Μωϋσῆς, ὅσα ἤμελλεν ἔτη τῶν εὖ παθόντων ἡ ἀγνώμων φθείρεσθαι γενεά. ὑπὲρ ὧν ἐν ἰσαρίθμοις ἡμέραις ἱκέτευε τὸν πατέρα. καὶ μάλιστα παρὰ τοιοῦτον καιρόν, ἐν ᾧ δίδονται νόμοι, καὶ φορητὸν ἱερόν, ἡ σκηνή.

B τίσι γὰρ οἱ νόμοι; ἄραγε τοῖς ἀπολλυμένοις; ὑπὲρ τίνων δὲ αἱ θυσίαι τῶν μικρὸν ὕστερον φθαρησομένων; προῄδει γὰρ ὡς Προφήτης τὰ ἐσόμενα.

ΚΕΦ. ΚΕ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων,
β. Εἶπον τοῖς υἱοῖς Ἰσραήλ, καὶ λάβετέ μοι ἀπαρχὰς παρὰ πάντων, οἷς ἂν δόξῃ τῇ καρδίᾳ, λήψεσθε τὰς ἀπαρχάς μου.

* ΚΥΡΙΛΛΟΥ. Ὁρᾷς ὅπως ἐπὶ τὸ χρῆναι καρποφορεῖν τὸ λυσιτελές τε καὶ χρειωδέστατον εἰς ἐκκλησίας σύστασιν προτρέπει λαοὺς, προσκομίζοντας τὰ κατ' ἰσχύν τε καὶ γνώμην.

γ. Καὶ αὕτη ἐστὶν ἡ ἀπαρχή, ἣν λήψεσθε παρ' αὐτῶν· χρυσίον, ἀργύριον, χαλκόν.

ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ προσέταξεν ὁ Θεὸς τοὺς Ἰσραηλίτας λαβεῖν παρὰ τῶν Αἰγυπτίων χρυσίον καὶ ἀργύριον, καὶ τὰ λοιπά, μισθὸν τῆς μακρᾶς δουλείας· εἰκότως ἀπαρχὴν ὠνόμασεν ἅπερ προσήνεγκαν· ἐξ ὧν εἰλήφασι δι' αὐτούς. (1)

δ. Καὶ ὑάκινθον, πορφύραν, κόκκινον διπλοῦν, καὶ βύσσον κεκλωσμένην, καὶ τρίχας αἰγείας.

ΚΥΡΙΛΛΟΥ. Οὐ γάρτοι χρυσὸν ἐξαιτεῖ μόνον, ἤγουν τὰ πολλοῖς δυσπόριστα τυχόν, ἀλλὰ καὶ τρίχας [αἰγείας,] καὶ κριῶν δέρματα, δεικνὺς ὅτι καὶ τὸ βραχὺ καὶ τὸ εὐτελές, εἰ μηδὲν ἔχοι λαμπρότερον ὁ καρποφορεῖν ᾑρημένος, οὐκ ἀπόβλητον Θεῷ· ἢ καὶ τάχα που καὶ ἐν ἴσῳ τοῖς τιμιωτάτοις, ἢ καὶ ἐν ἐπαίνῳ μείζονι, καθάπερ ἀμέλει καὶ ὁ Χριστὸς οὐκ ἀθαύμαστον ἦφίει τὴν χήραν τὴν τοὺς δύο ὀβολοὺς παρεσχηκυῖαν.

ε. Καὶ δέρματα ἠρυθροδανωμένα, καὶ δέρματα ὑακίνθινα, καὶ ξύλα ἄσηπτα.

ΑΛΛΟΣ φησὶν Ἰάνθινα τὸ, δέρματα ὑακίνθινα· οἱ λοιποί, πεπυρωμένα.

(1) Ἐν τοῖς ἐκδεδομέν. οὐχ εὕρηται.

** ΕΠΙΦΑΝΙΟΥ. Ἐκ δερμάτων μὲν
Γ τότε κατασκευάζει τὴν σκηνὴν ἠρυθροδανωμένων, καὶ ὑακινθίνων, καὶ τὰ ἑξῆς. ἵνα δείξῃ τὴν σκηνὴν ἐκείνην, σκηνὴν μὲν οὖσαν, ἀποδεχομένην δὲ τὴν τελειοτάτην σκηνὴν τοῦ Χριστοῦ. δέρμα γὰρ ἀπὸ σώματος γίνεται, νεκρὸν ὄν, ὡς σκιὰ σώματος ζῶντος, ἵνα δείξῃ σώματα εἶναι τὴν σκηνὴν τοῦ Θεοῦ. ἐπειδὴ γὰρ ἐν σώμασιν ἁγίοις κατασκηνοῖ » ὁ Θεός, πληρουμένου τοῦ ῥητοῦ, ὅτι κατα- Λευϊτ. 26. 12.
» σκηνώσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω.

Δ ς. Καὶ ἔλαιον εἰς τὴν φαῦσιν, θυμιάματα εἰς τὸ ἔλαιον τῆς χρίσεως, καὶ εἰς τὴν σύνθεσιν τοῦ θυμιάματος.

ζ. Καὶ λίθους σαρδίου, καὶ λίθους εἰς τὴν γλυφὴν εἰς τὴν ἐπωμίδα, καὶ τὸν ποδήρη.

η. Καὶ ποιήσεις μοι ἁγίασμα, καὶ ὀφθήσομαι ἐν ὑμῖν.

E ΚΥΡΙΛΛΟΥ. Ἐπιφαίνεται γὰρ ἐν Ἐκκλησίᾳ Χριστός, καὶ ἐπιλάμπει τοῖς ἐν » αὐτῇ, κατὰ τὸ ἐν ψαλμοῖς, Θεὸς Κύριος, Ψαλ. 117. 27.
» καὶ ἐπέφανεν ἡμῖν.

ΤΟΥ ΑΥΤΟΥ. [Ἐπιτήρει δὲ ὅπως, καίτοι καταβεβηκὼς ἐπὶ τὸ ὄρος ἐν εἴδει πυρός, ὀφθείς τε τῷ λαῷ παντί, γέγραπται γὰρ οὕτως, ὡς οὔπω φανείς, τό, ὀφ» θήσομαι, φησίν, ἐν ὑμῖν, ἐγηγερμένου τοῦ ἁγιάσματος.] μόνον γὰρ οὐχὶ διακεκραγὼς ὁρᾶται σαφῶς, ὅτι σκιαὶ μὲν [αἱ
Z ὀπτασίαι] ἐκεῖναι τῆς ἀληθοῦς θεοπτίας· ἡ δὲ ἀληθὴς ἀνάδειξις, ὁ Χριστός. ἐν ᾧ καὶ αὐτὸν τεθεάμεθα τὸν πατέρα.

θ. Καὶ ποιήσεις μοι κατὰ πάντα ὅσα ἐγὼ δεικνύω σοι ἐν τῷ ὄρει, τὸ παράδειγμα τῆς σκηνῆς, καὶ τὸ παράδειγμα τῶν σκευῶν αὐτῆς· οὕτω
H ποιήσεις.

ΘΕΟΔΩΡΟΥ. Κρεῖττον ὡς οἶμαι, τὸ μὲν παράδειγμα τῆς σκηνῆς, ὑπόδειγμα ὀνομά-

ὀνομάζειν· τὸ δὲ παράδειγμα τῶν σκευῶν, A
ὁμοίωμα. ἐπειδὴ γὰρ ἡ σκηνὴ τύπος ἦν
τῆς κτίσεως, περὶ ἧς Μωϋσῆς ἱστορεῖ· καὶ
ἀξιοῦντι δὲ τῷ Θεῷ συνεῖναι τοῖς ἀνθρώ-
ποις, ἔδει σκηνὴν γενέσθαι, τῆς κτίσεως
ὅλης, τοῦ μεγίστου ναοῦ, τὸ σχῆμα φέρου-
σαν, ἵνα γινώσκωσιν οἱ ἄνθρωποι, ὅτι οἱ
Ἰσραηλῖται τὸν τοῦ παντὸς Κύριον ἔχουσι
συγκατιόντα, οὐκ ἐν κολαπτοῖς καὶ γλυ-
φαῖς ἀνθρώπων προσδεόμενον, ἀλλ᾽ οἷα δε-
σπότην τῶν ὅλων τῷ τοῦ παντὸς ἀφομοιώ- B
ματι ἐγκατοικοῦντα· ἵνα καὶ ἐν βραχεῖ
τῷ γινομένῳ, μέγα φαίνηται τὸ οἰκονο-
μούμενον καὶ θεοπρεπές· διὰ τοῦτο ὑπό-
δειγμα καλεῖ τὸ παράδειγμα τῆς σκηνῆς.
» καὶ μετὰ ταῦτα, φησὶν, ὅρα ποιήσεις κα-
» τὰ τὸν τύπον τὸν δειχθέντα σοι. μίμημα
ἄρα τοῦ παντὸς ἡ σκηνή. τῶν δὲ σκευῶν,
ὁμοίωμα εἰκότως προσηγόρευσεν. οὐ γὰρ
ὡς ὄντων ἔδει παράδειγμα παρασχεῖν, ἀλ-
λὰ τὸ τοῦ σχήματος αὐτῶν ὁμοίωμα διὰ
τῆς προφητικῆς ὀπτασίας ὑποδειχθῆναι
τῇ ψυχῇ τοῦ Μωϋσέως.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὴν σκηνὴν τί δήποτε
προσέταξεν ὁ Θεὸς γενέσθαι; Αὐτὸς ὁ δε-
σπότης Θεὸς τὴν αἰτίαν δεδήλωκεν· ἔφη
» δὲ οὕτω· καὶ ποιήσεις μοι ἁγίασμα, καὶ
» ὀφθήσομαι ἐν ὑμῖν. καὶ ποιήσεις κατὰ
» πάντα ὅσα ἐγὼ δείκνυμί σοι ἐν τῷ ὄρει,
» τὸ παράδειγμα τῆς σκηνῆς, καὶ τὸ πα-
» ράδειγμα τῶν σκευῶν αὐτῆς. ἐπειδὴ γὰρ
ἐν τῷ σιναίῳ ὄρει τὸν νόμον ἐδεδώκει, εἰκὸς
δὲ ἦν τινὰς ὑποτοπῆσαι περιγεγράφθαι
τὸ θεῖον, ἐκέλευσε γενέσθαι σκηνήν· ἵνα
ἐκεῖθεν τὴν οἰκείαν ποιούμενος ἐπιφάνειαν,
ἐκπαιδεύει τὸν λαὸν τὴν εὐσέβειαν. ὥσπερ
γὰρ τὴν ἐπηγγελμένην αὐτῶν ἀπειληφό-
των γῆν, τὸν νεὼν γενέσθαι προσέταξε,
καὶ τὰς θείας ἐκεῖ γίνεσθαι λειτουργίας
ἐνομοθέτησεν· ἵνα μὴ ἀδεῶς τοῦτο δρῶν-
τες, τῇ τῶν ἀλιτηρίων δαιμόνων περιπέ-
σωσι πλάνῃ· οὕτως ὁδοιποροῦσι, καὶ τὴν
ἔρημον διαβαίνουσι, σκηνὴν ποιῆσαι προ-
σέταξε, μεταβῆναι καὶ αὐτὴν δυναμέ-
νην· ἵνα τὰς προσευχὰς, καὶ τὰς ἱερουρ-
γίας ἐν ταύτῃ προσφέρωσι. καὶ ταῦτα
δὲ τῆς αὐτῶν γεγένηται χρείας ἕνεκεν.
ἐπειδὴ γὰρ ἐν τῷ ὄρει τοῦ μεγάλου Μωϋ-
σέως πλείους διατρίψαντος ἡμέρας, πρὸς
Ἐξόδ. 32. 1. τὸν Ἀαρὼν ἔφασαν, ποίησον ἡμῖν Θεοὺς,
» οἳ προπορεύσονται ἡμῶν· καὶ τὴν εἰκόνα
τοῦ μόσχου κατασκευάσαντες, ἐβόων χο-
Ἐξόδ. 32. 4. ρεύοντες· οὗτοι οἱ Θεοί σου Ἰσραὴλ, οἱ ἐξα-
» γαγόντες σε ἐκ γῆς Αἰγύπτου· τὴν σκηνὴν
ταύτην γενέσθαι προσέταξεν ὁ Θεὸς, καὶ
ἀπαιρόντων ἡγεῖσθαι νενομοθέτηκε, καὶ
αὐλιζομένων ἵστασθαι· ὥστε καὶ τοὺς ἱερέας
ἐν ταύτῃ τὰς θυσίας ἐπιτελεῖν.

ΤΟΥ ΝΥΣΣΗΣ. Ἐν τύπῳ προεπαι-
δεύθη Μωϋσῆς τὸ περὶ τῆς σκηνῆς τῆς
τὸ πᾶν περιεχούσης μυστήριον. αὕτη δ᾽ ἂν
εἴη Χριστὸς, ἡ τοῦ Θεοῦ δύναμις, καὶ ἡ τοῦ
Θεοῦ σοφία· ἣ ἀχειροποίητος οὖσα κατὰ
τὴν ἰδίαν φύσιν, δέχεται τὸ κατασκευα-

A′ σθῆναι, ὅταν ἐν ἡμῖν δέῃ τὴν σκηνὴν ταύ-
την παγῆναι. ὥστε τὴν αὐτὴν τρόπον τι-
νὰ καὶ ἀκατάσκευον καὶ κατεσκευασμένην
εἶναι. τῷ μὲν προϋπάρχειν, ἄκτιστον· τῷ
δὲ τὴν ὑλικὴν ταύτην δέξασθαι σύστασιν,
[κτιστὴν γενομένην.]

ι. Καὶ ποιήσεις κιβωτὸν μαρτυ-
ρίου ἐκ ξύλων ἀσήπτων, δύω πήχεων
καὶ ἡμίσεος τὸ μῆκος· καὶ πήχεως
B καὶ ἡμίσεος τὸ πλάτος αὐτῆς, καὶ
πήχεως καὶ ἡμίσεος τὸ ὕψος αὐτῆς.

* ΚΥΡΙΛΛΟΥ. Ἡ κιβωτὸς τύπος ἂν
εἴη καὶ εἰκὼν τοῦ Χριστοῦ. τὸν γὰρ τῆς ἐναν-
θρωπήσεως τοῦ μονογενοῦς ἀνασκοπούμενοι
τρόπον, καθάπερ ἐν κιβωτῷ τῷ τῆς Παρ-
θένου ναῷ τὸν ἐκ Θεοῦ πατρὸς λόγον ἐνηυ-
» λισμένον ὀψόμεθα. κατῴκει καὶ γὰρ ἐν Κολασ. 2. 9.
» αὐτῷ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σω-
Γ » ματικῶς, κατὰ τὰς Γραφάς.

** ΤΟΥ ΑΥΤΟΥ. Ἄσηπτα μὲν ἦν αὐ-
τῆς τὰ ξύλα, χρυσῷ δὲ τῷ καθαρῷ καὶ
δοκιμωτάτῳ κατεκαλλύνετο ἔσωθέν τε καὶ
ἔξωθεν. ἄφθαρτον γὰρ τὸ σῶμα Χριστοῦ,
καθάπερ τινὶ χρυσῷ, τῇ τοῦ ἐνοικοῦντος
λόγου δυνάμει καὶ λαμπρότητι, καὶ τῇ τοῦ
ἁγίου πνεύματος φύσει καὶ ἐνεργείᾳ ζωο-
ποιῷ, πρὸς ἀφθαρσίαν διακρατούμενον.

Δ ια. Καὶ καταχρυσώσεις αὐτὴν
χρυσίῳ καθαρῷ, ἔσωθεν καὶ ἔξωθεν
χρυσώσεις αὐτήν· καὶ ποιήσεις αὐτῇ
κυμάτια χρυσᾶ στρεπτὰ κύκλῳ.

ΑΔΗΛΟΥ. Ἡ κιβωτὸς ἔσωθεν καὶ
ἔξωθεν ἔχει τὸν χρυσὸν, ὅς ἐστι Χριστὸς,
ὁ πᾶσαν πληρῶν τῆς ἰδίας φαιδρότητος
τὴν κτίσιν ὡς Θεός· ἔχων σάρκα ἄνευ
E φθορᾶς, ἐκ Παρθένου δίχα σπορᾶς ἀνδρὸς
συστᾶσαν. εἰς τοῦτο γὰρ ἔχει τὸ ἐξαίρετον,
ἐπεὶ ὁμοούσιος πᾶσιν.

ΑΔΗΛΟΥ. Ὅτι τὸ μὲν καθαρὸν τοῦ
χρυσίου, παριστᾷ τὴν θείαν φύσιν· τὸ δὲ
ἄσηπτον τῶν ξύλων, τὴν ἀνθρωπίνην. εἰ
γὰρ καὶ ἄσηπτον τὸ ξύλον, ἀλλὰ δεκτικὸν
παθῶν, καὶ τομῆς, καὶ θανάτου.

** ΚΥΡΙΛΛΟΥ. Σύμβολον τῆς ὑπερ-
Z λάμπρου Θεότητος ὁ χρυσὸς, ἐπαληλειμ-
μένης ὥσπερ τῷ ἁγίῳ σώματι, καὶ τὴν
ἰδίαν αὐτοῦ λαμπρότητά τε καὶ ἀφθαρσίαν
ἐνιείσης ἀπορρήτως.

ΣΕΥΗΡΟΥ. Ἦ οὐ τοιοῦτος Χριστός; εἷς
ὢν ἐκ δυοῖν, Θεότητος, ὡς χρυσίου φανο-
τάτου καὶ ἀποστίλβοντος· καὶ ἐξ ἀνθρω-
πότητος, ἀμιγὴς φθορᾶς, ὡς ἐκ ξύλων
ἀσήπτων, διὰ τὴν ἐκ πνεύματος ἁγίου καὶ
ἐκ Παρθένου Μαρίας ἁγνὴν καὶ ἄσπορον
H κύησιν τοῦ λόγου, μὴ ἀψύχῳ σαρκὶ μόνον
ἑνώσαντος ἑαυτὸν, ἀλλ᾽ ἐμψυχωμένῃ νοε-
ρᾷ. τοῦτο γάρ ἐστι τὸ χρυσίον ἐπαλειλῆφ-
θαι τοῖς ξύλοις ἔσωθεν καὶ ἔξωθεν. καὶ
θέα μοι καὶ κατ᾽ ἐκεῖνο τοῦ τύπου τὸ ἀκριβές.
ὥσπερ

A ὥσπερ γὰρ τὸ ἄσηπτον ξύλον, ξύλον ἐστὶ
τὴν φύσιν, καὶ τοῖς λοιποῖς ξύλοις τὴν
φύσιν τῇ σήψει δαπανωμένοις συγγενές τε
καὶ ὁμοούσιον· μόνον δὲ τὸ ἄσηπτον ἔχον
ἴδιον καὶ ἐξαίρετον· οὕτω καὶ ἡ λογικῇ ψυ-
χωθεῖσα σὰρξ τοῦ Χριστοῦ, συγγενὴς μὲν
ἡμῖν, καὶ τῆς αὐτῆς φύσεως ὑπῆρχε, καὶ
ὁμοούσιος· πλουτοῦσα δὲ μόνη τὸ φθορᾶς
τῆς ἐξ ἁμαρτίας ἐλεύθερον καὶ ἀνέπα-
φον, τὸ ἐκ πνεύματος ἁγίου καὶ ἐκ Παρ-
θένου συνειλῆφθαι καὶ ἡνῶσθαι τῷ λόγῳ· B
Ἡσ. 53. 9. » ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δό-
» λος ἐν τῷ στόματι αὐτοῦ. πλὴν ὥσπερ τὰ
ξύλα τῆς κιβωτοῦ, σήψεως μὲν ἦν κρείτ-
τω, τέμνεσθαι δὲ ἐπεφύκει καὶ καίεσθαι·
τὸν αὐτὸν τρόπον καὶ τὸ πανάγιον σῶμα
Χριστοῦ, τῆς μὲν ἁμαρτίας καὶ τῆς ἐκ ταύ-
της φθορᾶς, ἄμοιρον ἦν· δεκτικὸν δὲ
ὅμως αἰκιῶν, καὶ πληγῶν, καὶ τομῆς, καὶ
θανάτου, καὶ τῶν τούτοις παραπλησίων
παθῶν. εἰ γὰρ μὴ οὕτως εἶχεν, οὐκ ἂν Γ
ὑπέστη τοῦ θανάτου τὴν πεῖραν· ἐν ᾗ τὸν
τὸ κράτος ἔχοντα τοῦ θανάτου κατέλυσε,
μέχρι ταφῆς, καὶ τῆς εἰς ᾅδου καταβά-
σεως προελθὼν, καὶ ἀγνοήσας καὶ τὴν ἐν-
τεῦθεν φθορὰν, διὰ τῆς ἐκ νεκρῶν θείας
ἐγέρσεως. Καὶ μετ' ὀλίγα. Ὥστε διὰ πάντων
ἄφθαρτον ἀπεφάνθη τὸ σῶμα Χριστοῦ· τῇ
μὲν ἐξ ἁμαρτίας φθορᾷ, παντελῶς ἄβα-
τον· τῇ δὲ ἐκ τοῦ θανάτου καὶ τῆς ταφῆς,
δεκτικὸν μὲν, ἐν ἑαυτῷ δὲ καταλῦσαν αὐ- Δ
τήν· καὶ οὐ κρατηθὲν ὑπ' αὐτῆς διὰ τὴν
πρὸς τὸν λόγον ἕνωσιν, τὸν κατὰ φύσιν
ἄφθαρτον, καὶ ἀπαθῆ, καὶ ἀθάνατον.

ιβ. Καὶ ἐλάσεις αὐτῇ τέσσαρας
δακτυλίους χρυσοῦς, καὶ ἐπιθήσεις ἐπὶ
τὰ τέσσαρα κλίτη· δύω δακτυλίους
ἐπὶ τὸ κλίτος τὸ ἓν, καὶ δύω δακτυ-
λίους ἐπὶ τὸ κλίτος τὸ ἕτερον.

E ΚΥΡΙΛΛΟΥ. Μέτοχοι γὰρ τῆς δόξης
οἱ ἀμφ' αὐτόν. τοιοῦτοι οἱ μαθηταὶ, οἳ κα-
θάπερ τισὶ δακτυλίοις ταῖς ψυχαῖς ἐνειρό-
μενοι τῶν σωζομένων, δι' ἑαυτῶν πρὸς τὸ
ὕψος τῆς ἀρετῆς τοὺς κειμένους ἐπὶ γῆς
ἀναφέρουσι. (1)

ιγ. Καὶ ποιήσεις ἀναφορεῖς ἐκ ξύ-
λων ἀσήπτων, καὶ καταχρυσώσεις
ιδ. αὐτὰ χρυσίῳ. Καὶ εἰσάξεις τοὺς ἀνα- Z
φορεῖς εἰς τοὺς δακτυλίους τοὺς ἐν τοῖς
κλίτεσι τῆς κιβωτοῦ, αἴρειν τὴν κιβω-
ιε. τὸν ἐν αὐτοῖς. Ἐν τοῖς δακτυλίοις
τῆς κιβωτοῦ τῆς διαθήκης ἔσονται οἱ
ἀναφορεῖς ἀκίνητοι.

* ΚΥΡΙΛΛΟΥ. Χρυσοῖ δὲ καὶ οἱ τὴν κι-
βωτὸν αἴροντες ἀναφορεῖς, καὶ οἱ κρίκοι,
καὶ πάντα τὰ ἐν αὐτῇ. μέτοχοι γὰρ τῆς
τοῦ Χριστοῦ δόξης οἱ ἀμφ' αὐτὸν, καὶ ὡς ἐν H
ἀγάπῃ καὶ ἁγιασμῷ προσερηρεισμένοι καὶ

A χρήσιμοι. τοιοῦτοί τινες ἦσαν οἱ μακάριοι
μαθηταὶ, δύναμιν παρ' αὐτοῦ τὴν θεοπρε-
πῆ δεχόμενοι, καὶ τῆς ἄνωθεν ὑπεροχῆς
τὴν λαμπρότητα μεθεκτῶς ἐκπεπληκτη-
κότες, καὶ πληροῦντες διὰ τοῦτο τὰς θεο-
σημείας.

ΤΟΥ ΝΥΣΣΗΣ. (2) Ἔφη που ὁ Ἀπό-
στολος περὶ τοῦ μονογενοῦς, ὃν ἀντὶ σκηνῆς
» παρειλήφαμεν, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ Κολασ. 1, 16.
» πάντα τὰ ἀόρατά τε καὶ ὁρατὰ, εἴτε θρό-
B » νοι, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, εἴτε κυ-
» ριότητες, εἴτε δυνάμεις. ἐκεῖ στῦλοι ἀρ-
γυρολαμπεῖς καὶ χρυσήλατοι, καὶ ἀνα-
φορεῖς, καὶ δακτύλιοι, καὶ τὰ Χερουβὶμ
ἐκεῖνα τὰ ταῖς πτέρυξι τὴν κιβωτὸν ἐπι-
κρύπτοντα, καὶ τὰ ἄλλα πάντα, ὅσα ἡ
τῆς σκηνοπηγίας περιγραφὴ περιέχει, εἰ
μέν τις πρὸς τὸν ἄνω βλέποι κόσμον, αἱ
ὑπερκόσμιοι δυνάμεις εἰσὶν αἱ ἐν τῇ σκηνῇ
θεωρούμεναι, αἱ κατὰ θείαν βούλησιν τὸ
Γ πᾶν ὑπερείδουσαι. ἐκεῖ οἱ ἀληθινοὶ ἀνα-
» φορεῖς ἡμῶν, οἱ εἰς διακονίαν ἀποστελλό- Ἑβρ. 1. 14.
» μενοι διὰ τοὺς μέλλοντας κληρονομεῖν σω-
τηρίαν. οἳ καθάπερ δακτυλίοις τισὶ ταῖς
ψυχαῖς ἐνειρόμενοι τῶν σωζομένων, δι'
ἑαυτῶν πρὸς τὸ ὕψος τῆς ἀρετῆς τοὺς κει-
μένους ἐπὶ γῆς ἀναφέρουσι.

ις. Καὶ ἐμβαλεῖς εἰς τὴν κιβωτὸν
τὰ μαρτύρια, ἃ ἂν δῶσοι.

Δ ιζ. Καὶ ποιήσεις ἱλαστήριον ἐπίθε-
μα χρυσίου καθαροῦ, δύω πήχεων καὶ
ἡμίσεος τὸ μῆκος, καὶ πήχεως καὶ
ἡμίσεος τὸ πλάτος αὐτοῦ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τούτου
μῆκος μὲν καὶ πλάτος μεμήνυται, βάθος
δ' οὐδὲν, ἐπιφανείᾳ γεωμετρικῇ μάλιστα
ὁμοιούμενον.

E ** ΚΥΡΙΛΛΟΥ. Τὸ ἱλαστήριον, ὅσον
μὲν ἧκεν εἰς τὸ γράμμα καὶ σκιὰν, ἐκ
χρυσοῦ ἐπεποίητο καθαροῦ, καὶ ἐπήρτη-
τό πως ἐπικειμένη τῇ κιβωτῷ. εἴρηται
» γὰρ ἐπίθεμα διὰ τοῦτο. Καὶ μετ' ὀλίγα. Φα-
μὲν δὲ εἶναι τὸ ἱλαστήριον, εἰ νοοῖτο πνευ-
ματικῶς, τὸν δι' ἡμᾶς γενόμενον ἄνθρω-
» πον, ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ Ῥωμ. 3. 25.
» πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς
» δικαιοσύνης αὐτοῦ. Καὶ μετ' ὀλίγα. Δι' αὐτοῦ
Z γὰρ ἱλασμὸς, εὐχή τε πᾶσα, καὶ αἴτησις
ἀγαθῶν.

ΑΔΗΛΟΥ. Αὐτὸς οὖν ὁ Χριστὸς ἱλαστή-
ριον. δι' αὐτοῦ γὰρ ἡμῖν ἵλεως ὁ πατήρ.
τὸ μέντοι ἱλαστήριον ὑπὲρ τῆς κιβωτοῦ κεί-
μενον, ἐφ' οὗ τῶν κατὰ τὸν νόμον ἱερω-
μένων οὐδεὶς ἱερούργησεν, οὔτε τὸ παράπαν
αἷμα ἐπέθηκεν, ὃ ταῖς πτέρυξι συνεκα-
λύπτετο τῶν Χερουβὶμ ἑκατέρωθεν, Χρι-
» στὸν ἡμῖν σημαίνει σαφῶς, ὃν προέθετο ὁ Ῥωμ. 3. 25.
H » Θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵ-
ματι, καθὰ Παῦλός φησιν· ὑπὲρ μὲν τῆς
κιβωτοῦ

(1) Ἐν τοῖς ἐκδεδομ. ταῦτα οὐ κεῖται, τῶν ἑπομένων δὲ τοῦ Κυρίλλου καὶ τοῦ Νύσσης ὑπομνημάτων περίληψις εἶναι ἔοικε.
(2) Τῷ Θεολόγῳ ψευδῶς ἐπιγράφει ὁ κώδ.

A κιβωτοῦ κείμενον, καὶ ἐντεῦθεν δηλοῦν, ὡς
ἅπας ὁ τῆς ἐνσάρκου παρουσίας, ἤγουν οἰκο-
νομίας, εἰς τοῦτο ἀνεφέρετο καὶ συνεπε-
ραίνετο, λόγος· εἰς τὸ γενέσθαι αὐτὸν,
1. Ἰωάν. 4. 10. κατὰ τὸ γεγραμμένον, ἱλασμὸν περὶ τῶν
» ἁμαρτιῶν ἡμῶν. ἱερεῦσι δὲ ἀψηλάφητον,
ἐπείπερ οὐδενὸς τῶν ἀνθρώπων, ἀλλ' αὐτοῦ
Ἑβρ. 9. 28. προσάγειν ἑαυτόν. ὃ καὶ πεποίηκεν, ἅπαξ
» προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν
ἁμαρτίας. ἡμεῖς γὰρ νῦν ἱερουργοῦντες, οὐ
πρωτοτύπως αὐτὸν θύομεν, ἀλλ' ἐκείνης τῆς
ὑπ' αὐτοῦ προσενεχθείσης θυσίας διὰ τῶν
μυστικῶς δρωμένων τελοῦμεν ἀνάμνησιν.

ΣΕΥΗΡΟΥ. Καί μοι δοκεῖ διὰ τοῦτο
ὑπὲρ τῆς κιβωτοῦ κεῖσθαι, τῆς ἐκ χρυσίου
καθαροῦ καὶ ξύλων ἀσήπτων κατεσκευασ-
μένης, καὶ προτυπούσης τὸν ἐκ Θεότητος
καὶ ἀνθρωπότητος ἕνα Χριστὸν, ἵνα πα-
ραστήσῃ σαφῶς, ὡς τέλος τῆς τοιαύτης
Γ οἰκονομίας ὁ τῶν ἡμετέρων ἁμαρτιῶν ἐστὶν
ἱλασμός. τὴν προξενήσεν ἡμῖν τὸ ὑπὲρ
ἡμῶν τυθῆναι Χριστόν. ἀκούομεν γὰρ Παύ-
1. Κορ. 5. 7. λου λέγοντος, ὡς τὸ πάσχα ἡμῶν ὑπὲρ
» ἡμῶν ἐτύθη Χριστός.

ΤΟΥ ΑΥΤΟΥ. Τῷ θυσιαστηρίῳ τῶν
ὁλοκαυτωμάτων καθ' ἑκάστην ἡμέραν τὰ
τεθυμένα ἐπέκειτο· καὶ τὸ αἷμα τῶν θυ-
σιῶν ἐπεχρίσατο· καὶ τῷ θυσιαστηρίῳ τοῦ
θυμιάματος ἅπαξ τοῦ ἐνιαυτοῦ, κατὰ τὴν
Δ ἡμέραν τοῦ ἱλασμοῦ. τῷ ἱλαστηρίῳ δὲ, οὔτε
ἅπαξ· ἀλλ' ἦν τὸ παράπαν αἵματος καθα-
ρὸν, ἵνα μάθωμεν, ὅτι Χριστὸς τὸ ἀληθὲς
ἱλαστήριον, αὐτὸς ἑαυτὸν προσήνεγκεν. ἀν-
θρώπων οὐδενὸς δυναμένου τῇ τοιαύτῃ προσ-
ψαῦσαι θυσίᾳ. διὸ καὶ Παῦλος ἐν τῇ πρὸς
Ἑβραίους ἐπιστολῇ γέγραφε, πῇ μὲν, ὅτι
Ἑβρ. 9. 28. ὁ Κύριος ἅπαξ προσενεχθεὶς εἰς τὸ πολ-
» λῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χω-
» ρὶς ἁμαρτιῶν ὀφθήσεται τοῖς αὐτὸν ἀπεκ-
E » δεχομένοις εἰς σωτηρίαν διὰ πίστεως· πῇ
Ἑβρ. 10. 12. δὲ, ὅτι μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας
» θυσίαν, εἰς τὸ διηνεκὲς ἐκάθισεν ἐν δεξιᾷ
τοῦ Θεοῦ. ὥστε ἡμᾶς μηκέτι προσφέρειν θυ-
σίαν, ἀλλ' ἐκείνης τῆς ἅπαξ ὑπὲρ αὐτοῦ
προσενεχθείσης ἀνάμνησιν τελεῖν, καὶ
ταύτῃ καθαίρεσθαι.

**ΙΣΙΔΩΡΟΥ. Ἡ μὲν κιβωτὸς καὶ
τὸ ἱλαστήριον, ὅπερ ἦν τῆς κιβωτοῦ ἐπίθε-
μα, ἀνθρώπου φυλάττοντος τὰ θεῖα λόγια,
Z καὶ ἵλεων ἔχοντος τὸν Θεὸν, καὶ φυλατ-
τομένου ὑπὸ τῶν θείων δυνάμεων, καθώς-
Ψαλ. 118. 11. φησιν ὁ μελῳδὸς, ἐν τῇ καρδίᾳ μου ἔκρυψα
Ψαλ. 16. 18. τὰ λόγιά σου, διὸ καὶ ἔλεγεν, ἐν σκέπῃ
» τῶν πτερύγων σου σκεπάσεις με, οἷον τῶν
δυνάμεων τὰ Χερουβὶμ ταῖς πτέρυξι καὶ
τὴν κιβωτὸν ἐφύλαττον καὶ τὸ ἱλαστήριον·
φυσικώτερον δὲ τοῦ τὸν νόμον πληρώσαν-
τος Χριστοῦ, τοῦ γενομένου ἱλασμοῦ περὶ τῶν
ἁμαρτιῶν ἡμῶν, ἐδήλου ἐναργῆ τεκμήρια.
H ὅστις τὸν νόμον πληρῶν, οὕτως ἱλάσεται τοῦ
Ῥωμ. 3. 25. κόσμου τὴν ἁμαρτίαν. προέθετο γὰρ αὐ-
» τὸν ὁ Θεὸς, ὥς φησιν ὁ τῶν δεσποτικῶν
» χρησμῶν ταμίας, ἱλαστήριον· ὥστε ἐν τῷ
αὐτοῦ αἵματι ἐνδείξασθαι τὴν οἰκείαν δι-
καιοσύνην. ἀντεισήγαγε γὰρ λύτρον τὸν
μονογενῆ, ἵνα ἔχῃ λόγον ἡ χάρις. εἷς γὰρ
ὑπὲρ πάντων, καὶ ὑπὲρ τὴν πάντων ἀξίαν
ἱερεῖον δεξάμενος, καὶ τὴν ἔχθραν ἔλυσε,
καὶ τὴν καταδίκην ἀφῆκε, καὶ εἰς υἱοθε-
σίαν ἀνῆγε, καὶ μυρίοις ἀγαθοῖς ἐκόσμησε.

ιη. Καὶ ποιήσεις δύω Χερουβὶμ χρυ-
σᾶ τορευτὰ, καὶ ἐπιθήσεις αὐτὰ ἐξ
ἀμφοτέρων τῶν κλιτῶν τοῦ ἱλαστηρίου.
ιθ. Ποιηθήσεται δὲ Χερουβὶμ εἷς ἐκ τοῦ
κλίτους τούτου, καὶ Χερουβὶμ εἷς ἐκ τοῦ
κλίτους τοῦ δευτέρου [τοῦ] ἱλαστηρίου·
καὶ ποιήσεις τοὺς δύω Χερουβὶμ ἐπὶ τὰ
δύω κλίτη αὐτοῦ.

ΑΔΗΛΟΥ. Τῶν Χερουβὶμ φύσει μὲν,
οὐδὲν ὅμοιον γένος ἐν τοῖς ἀοράτοις· ὄψις
δὲ ἦν μόσχου, κατὰ τὸν προφήτην Ἰεζε-
κιὴλ. εἰρηκὼς γὰρ τέσσαρα πρόσωπα ἔχειν Ἰεζ. 1. 10.
Γ ἕκαστον τῶν Χερουβὶμ ἐν τῇ δειχθείσῃ αὐτῷ
ὀπτασίᾳ, τὸ μὲν λέοντος, τὸ δὲ ἀετοῦ, τὸ
δὲ ἀνθρώπου· τὸ δὲ τέτρατον πρόσωπον,
τοῦ Χερουβὶμ φησὶν ἀνωτέρω, ὅπερ ἔλεγεν
εἶναι μόσχου, πρόσωπον εἶναι τοῦ Χερουβίμ.

ΑΔΗΛΟΥ. Ὅπερ ἤδη προεῖπον, ὑπη-
ρεσίας ἦν καὶ δουλείας· καὶ οὐδεμίαν παρεῖ-
χον εἰδωλολατρείας πρόφασιν τοῖς Ἰου-
δαίοις. πᾶσι γὰρ τοῖς ζώοις λατρεύσαντες,
Δ ὡς ὁ Ἰεζεκιὴλ φησι, καὶ τοῦτο ἐν τοῖς κρυ- Ἰεζ. 20. 32.
πτοῖς οἴκοις τοῦ ναοῦ τοῦ Θεοῦ, οὐδαμοῦ φαίνον-
ται τὰ Χερουβὶμ τετιμηκότες.

**ΙΣΙΔΩΡΟΥ. Τὰ Χερουβὶμ θρόνος
» ὄντα καὶ ἅρμα τοῦ Θεοῦ, ὁ καθήμενος γὰρ Ψαλ. 79. 1.
» ἐπὶ τῶν Χερουβὶμ ἐμφάνηθι· ἐδήλου τὸν ᾧ
κατεσκεύασται ὁ ναὸς, ὅτι ἀχώρητός ἐστι
καὶ ἀσχημάτιστος. τῆς δὲ βασιλείας αὐτοῦ
σύμβολον ἔκειτο ταῦτα. ἐπειδὴ γὰρ ναοῦ
E λόγος οὐδεὶς, ὃν μὴ σέφει ἄγαλμα· ὁ δὲ
τούτων ἡγεμὼν καὶ ποιητὴς ἐπέκεινα πά-
σης φύσεώς ἐστι, καὶ ἀνθρωπίνης ἐπινοίας,
διὰ τοῦ θρόνου τοῦ παμβασιλέως δεσπότου
ἐχαρακτήρισε.

κ. Ἔσονται οἱ Χερουβὶμ ἐκτείνοντες
τὰς πτέρυγας ἐπάνωθεν, συσκιάζον-
τες ταῖς πτέρυξιν αὐτῶν ἐπὶ τοῦ ἱλα-
στηρίου, καὶ τὰ πρόσωπα αὐτῶν εἰς
Z ἄλληλα, εἰς τὸ ἱλαστήριον ἔσονται τὰ
πρόσωπα τῶν Χερουβίμ.

ΑΔΗΛΟΥ. Τὸ δὲ καὶ ὑπὸ τῶν Χερουβὶμ,
ἱλαστήριον αὐτὸν οἰκονομικῶς γενόμενον,
συσκιάζεσθαι, πῶς οὐ παρίστησιν ἐναργῶς
Θεὸν εἶναι καὶ ἐν σαρκὶ, καίτοι παθόντα
ὑπὲρ ἡμῶν; ταῖς ἄνω δυνάμεσιν, ὡς καὶ
πρὸ τοῦ πάθους φρικτὸν, καὶ μᾶλλον σε-
βάσμιον διὰ τὴν ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ,
H » κατὰ Παῦλον εἰπεῖν, τῆς πολυποικίλου σο- Ἐφεσ. 3. 10.
φίας φανέρωσιν.

ΣΕΥΗΡΟΥ. Κἀκεῖνο δὲ τὸ ἱλαστήριον
ὑπερκείμενον τῆς κιβωτοῦ πάλιν ἐνδεικνύ-
ται, τοῖς Χερουβὶμ ἔνθεν κἀκεῖθεν συσκια-
ζόμενον,

ζόμενον, ὡς ὁ τοῦ Θεοῦ λόγος, εἰ καὶ συνεπλάκη σαρκὶ, ψυχὴν ἐχούσῃ τὴν νοερὰν, οὐκ ἀπέστη τῆς θείας ὑπεροχῆς· ἀλλ' ὑπεράνισχε τὰ τῆς θεοπρεποῦς δόξης, μὴ συγκαλυπτόμενα τῇ τῆς σαρκὸς ταπεινότητι.

ΤΟΥ ΝΥΣΣΗΣ. Χερουβὶμ δὲ εἰπὼν ὁ λόγος κατακαλύπτοντα ταῖς πτέρυξι τὰ ἐγκείμενα τῇ κιβωτῷ τῆς διαθήκης μυστήρια, βεβαιοῖ τὴν ἀποδοθεῖσαν ἡμῶν περὶ τῆς σκηνῆς θεωρίαν. τὸ γὰρ ὄνομα τοῦτο τῶν περὶ τὴν θείαν φύσιν θεωρουμένων δυνάμεων μεμαθήκαμεν, ἃς ὁ Ἡσαΐας καὶ ὁ Ἰεζεκιὴλ κατενόησαν.

** ΚΥΡΙΛΛΟΥ. Δορυφορίας μὲν ἀπόδειξις ἐναργὴς ἡ εἰς δεξιά τε καὶ εὐώνυμα στάσις. τὸ δὲ τῶν ἀνωτάτω δυνάμεων οἱονεί πως εὔτονόν τε καὶ ἀκόρεστον εἰς θεοπτίαν ὑπεμφαίνειν ἔοικε τὸ βλέπειν ἀεὶ τὰ Χερουβὶμ ἐπὶ τὸ ἱλαστήριον.

κα. Καὶ ἐπιθήσεις τὸ ἱλαστήριον ἐπὶ τὴν κιβωτὸν ἄνωθεν, καὶ εἰς τὴν κιβωτὸν ἐμβαλεῖς τὰ μαρτύρια, ἃ ἂν δῶ σοι.

ΚΥΡΙΛΛΟΥ. Καὶ ἦν μὲν, ὡς ἔφην, ἡ κιβωτὸς ὁ Χριστὸς, ὡς ἐν τῷ σώματι (1) ὁ Θεὸς λόγος. πλὴν εἰς γῆν ἡ κιβωτός. γέγονε γὰρ καὶ ἐν ὑφέσει καὶ ἐν χθαμαλότητι τῇ καθ' ἡμᾶς ὁ μονογενής. μορφὴν γὰρ ὑπέδυ τὴν δουλοπρεπῆ, καὶ κεκένωκεν ἑαυτόν. αὐτὸς γάρ (2) ἐστι τὸ ἱλαστήριον, τὸ καὶ ὑψοῦ κείμενον, καὶ ὑπὸ τῶν ἄνω δυνάμεων δορυφορούμενον. οὐ γὰρ ἐκ μόνων ἡμῖν τῶν τῆς κενώσεως μέτρων (3) γνώριμος ὁ Χριστὸς, ἀλλὰ καὶ ἐξ ὧν ἐστὶ Θεὸς καὶ τῶν ὅλων Κύριος.

κβ. Καὶ γνωσθήσομαί σοι ἐκεῖθεν,
καὶ λαλήσω σοι ἄνωθεν τοῦ ἱλαστηρίου
ἀνὰ μέσον τῶν δύω Χερουβὶμ, τῶν ὄντων ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, καὶ κατὰ πάντα ὅσα ἂν ἐντείλωμαί σοι πρὸς τοὺς υἱοὺς Ἰσραήλ.

» ΚΥΡΙΛΛΟΥ. Ἄνωθεν δὲ τοῦ ἱλαστηρίου
» γνωσθήσομαί σοι, φησὶ, καὶ λαλήσω σοι, δύω που καθάπερ ἐγῷμαι καὶ διὰ τούτου δηλῶν. ἢ γὰρ ὅτι ἄνθρωπος ὢν ὁ Χριστὸς, τὰ ὑπὲρ ἀνθρώπου λαλήσει φύσιν, καὶ οὐχὶ δὴ μόνοις ἐμμενεῖ τοῖς τῆς κενώσεως μέτροις, διά γε τὸ εἶναι Θεὸς καὶ ἐκ Θεοῦ
Ἰωάν. 10. 30. κατὰ φύσιν· ἐγὼ γὰρ, ἔφασκε, καὶ ὁ
Ἰωάν. 14. 9. πατὴρ ἕν ἐσμεν· καὶ, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· ἢ ἐκεῖνό που τάχα· γινώσκεται γὰρ ἄνωθεν τοῦ ἱλαστηρίου καὶ τῶν Χερουβὶμ, τουτέστιν ἐν ὑπεροχῇ καὶ δόξῃ τῇ ὑπὲρ ἄνθρωπον, καὶ παντὸς ἐπέκεινα γενητοῦ, ὧν τὸ ἀκρότατόν τε καὶ ὑπέρτατον τὰ Σεραφὶμ, καὶ εἰ γέγονε σάρξ.

A' ΤΟΥ ΑΥΤΟΥ. Χρυσοῦν δὲ τὸ ἱλαστήριον, καὶ αὐτὰ τὰ Σεραφίμ. ἡ μὲν γὰρ εὐκλεής τε καὶ περικαλλεστάτη φύσις, Θεός· ἐν ὁμοιώσει δὲ τῇ πρὸς αὐτὸν κατὰ μέθεξιν, τὰ γενητά. τοῖς δὲ ἀγχοῦ καὶ ἐν κύκλῳ γεγονόσιν αὐτοῦ, τὴν τῆς ἰδίας καὶ φυσικῆς φαιδρότητος ἐπιμερίζει μέθεξιν· ὡς φωτὸς ἐπί τι τῶν πέλας ἀντανακλωμένου, καὶ λαμπρότητι τῇ ἰδίᾳ τὸ προστυχὸν καταυγάζοντος.

B » ΤΟΥ ΑΥΤΟΥ. Ἄνωθεν τῶν Χερουβὶμ
» γνωσθήσομαί σοι φησὶν ὁ πάντων δεσπότης, τὴν ἄρρητον φύσιν μὴ ἐν οἷς ἡ κλίσις ζητεῖσθαι προστάττων, ἀλλ' ἐπέκεινα παντὸς τοῦ κεκλημένου πρὸς ὕπαρξιν. Θεοῦ γὰρ φύσει λόγος τε καὶ τόπος ὁ πρεπωδέστατος, τὸ πέρα τε καὶ ἄνω παντὸς γενητοῦ. οὐκοῦν ὁ ὑπεράνω τῶν Χερουβὶμ τόπος, καὶ αἰσθητῶς, ἐν τῇ ἁγίᾳ σκηνῇ, μονονουχὶ τὴν θείαν ἡμῖν κατεδήλου φύσιν.

Γ

κγ. Καὶ ποιήσεις τράπεζαν χρυσίου καθαροῦ, δύω πήχεων τὸ μῆκος, καὶ πήχεως τὸ εὖρος, καὶ πήχεως καὶ ἡμίσους τὸ ὕψος αὐτῆς.

** ΚΛΗΜΕΝΤΟΣ. Ἡ δὲ τράπεζα ἡ ἐν τῷ ναῷ, πηχῶν ἐγεγόνει ἕξ. (4) καὶ πόδες οἱ τέσσαρες, ἀνὰ πῆχυν ἕνα ἥμισυ. συνάγουσιν οὖν τοὺς πάντας, πήχεις δώδε-
Δ κα, συμφώνως τῷ κατὰ τὸν ἐνιαύσιον κύκλον ἑλιγμῷ τῶν μηνῶν δώδεκα, καθ' οὓς τὰ πάντα φύει τε καὶ τελεσφορεῖ ἡ γῆ, ταῖς τέσσαρσιν ὥραις οἰκειουμένη. γῆς δ' οἶμαι εἰκόνα ἡ τράπεζα δηλοῖ· τέσσαρσιν ὑπερειδομένη ποσὶ, θέρει, μετοπώρῳ, ἔαρι, χειμῶνι.

κδ. Καὶ ποιήσεις αὐτῇ στρεπτὸν κυμάτιον χρυσοῦν κύκλῳ· καὶ ποιήσεις
κε. αὐτῇ στεφάνην παλαιστοῦ κύκλῳ. Καὶ ποιήσεις στρεπτὸν κυμάτιον τῇ στεφάνῃ κύκλῳ.

** ΚΛΗΜΕΝΤΟΣ. Κυμάτια στρεπτὰ, φησὶν ἔχειν τὴν τράπεζαν, ἤτοι ὅτι περιόδοις καιρῶν κυκλεῖται τὰ πάντα, ἢ καὶ τάχα τὴν ὠκεανῷ περιρρεομένην ἐδήλου γῆν.

κϛ. Καὶ ποιήσεις αὐτῇ τέσσαρας
Z δακτυλίους χρυσοῦς, καὶ ἐπιθήσεις τοὺς δακτυλίους ἐπὶ τὰ τέσσαρα μέρη τῶν
κζ. ποδῶν αὐτῆς ὑπὸ τὴν στεφάνην. Καὶ ἔσονται οἱ δακτύλιοι εἰς θήκας τοῖς ἀναφορεῦσιν, ὥστε αἴρειν ἐν αὐτοῖς τὴν
κη. τράπεζαν. Καὶ ποιήσεις τοὺς ἀναφορεῖς ἐκ ξύλων ἀσήπτων, καὶ καταχρυσώσεις αὐτοὺς χρυσίῳ καθαρῷ, καὶ
H ἀρθήσεται ἐν αὐτοῖς ἡ τράπεζα.

κθ. Καὶ

(1) Ὡς ἐν ἀφθάρτῳ σώματι Θεὸς λόγος. ἐν Τόμ. 1. μέρ. 2. σελ. 306.
(2) Δὲ πάλιν ἐστί. αὐτ. σελ. 307.
(3) Τρόπων γνώριμος ὁ υἱός. αὐτ.
(4) Τουτέστι τὴν περίμετρον.

A κθ. Καὶ ποιήσεις τὰ τρυβλία αὐτῆς, καὶ τὰς θυΐσκας, καὶ τὰ σπονδεῖα, καὶ τοὺς κυάθους, ἐν οἷς σπείσεις ἐν αὐτοῖς, ἐκ χρυσίου καθαροῦ ποιήσεις αὐτά.

ΑΔΗΛΟΥ. Σκεύη μυακώδη, δι' ὧν ἀνέφερον τὰ ἐπὶ τῆς τραπέζης ἀπομένοντα λεπτά τινα.

B ✱ ΚΥΡΙΛΛΟΥ. Τρυβλία τε καὶ θυΐσκαι, κύαθοί τε καὶ σπονδεῖα, [καὶ τὰ δι' ὧν τῆς ἁγίας τραπέζης ἡ μυστικὴ καὶ ἱερωτάτη πληροῦται χρεία,] τῶν θείων κειμηλίων τύπος ἂν εἴη σαφής.

ΑΔΗΛΟΥ. Σκεύη ἦν χρυσᾶ αἱ θυΐσκαι, ἐν αἷς περιετρίβετο τὰ ἀρώματα τοῦ ἐλαίου τῆς χρίσεως, ἢ τοῦ θυμιάματος τῆς συνθέσεως, ὡς ἐν ἑξκαιδεκάτῳ ἀριθμῷ τῶν Ἀριθμῶν κεῖται αἴνιγμα οὕτω· καὶ
Ἀριθ. ζ. 20. θυΐσκην μίαν πλήρη θυμιαμάτων.

Γ ΑΔΗΛΟΥ. Τὰ σπονδεῖα, ποτήριά εἰσι μικρὰ, ἔχοντα πυθμένια, δι' ὧν εἰς ὕψος τὸν οἶνον ἠκόντιζον. τοῦτο γάρ ἐστι σπονδή.

ΑΔΗΛΟΥ. Κύαθοι, δι' ὧν ἤντλουν τὸν οἶνον ἐκ τῶν κεράμων. ταῦτα δὲ πάντα τῶν θείων κειμηλίων τύπος ἂν εἶεν σαφής.

Δ λ. Καὶ ἐπιθήσεις ἐπὶ τὴν τράπεζαν ἄρτους ἐνωπίους ἐναντίον μου διαπαντός.

Ἀκύλας, ἄρτους προσώπου· Σύμμαχος, προθέσεως. (1)

ΘΕΟΔΩΡΟΥ. Ἡ μὲν τράπεζα, ἐφ' ἧς οἱ ἄρτοι προέκειντο, σύμβολον ἦν τοῦ ἐνιαυσιαίου κύκλου, ὡς τέσσαρσι πληρουμένου ταῖς τροπαῖς, χειμῶνί τε καὶ θέρει, ἔαρι καὶ μετοπώρῳ. διὰ τῆς καθ' ἑκάστην γὰρ πρὸς

E τὸ χρήσιμον γιγνομένης τῶν τεσσάρων στοιχείων μεταβολῆς, τῶν ἀπὸ γῆς καρπῶν τήν τε ἀφθονίαν ἡμῖν παρέχεται καὶ τὴν ἀπόλαυσιν ἐπὶ συστάσει τοῦ παρόντος βίου.

ΑΔΗΛΟΥ. Τὸν μελιζόμενον τῇ καινῇ διαθήκῃ ζωοποιὸν ἄρτον.

ΚΥΡΙΛΛΟΥ. Ἐναργῶς ἄρτον ἡμῖν τὸν ἐξ οὐρανοῦ καταδεικνύει, προκεισόμενον κατὰ καιροὺς ἐν ἁγίαις τραπέζαις τῶν ἐκκλησιῶν, καὶ ζωὴν διδόντα τῷ κόσμῳ.

λα. Καὶ ποιήσεις λυχνίαν ἐκ χρυσίου καθαροῦ· τορευτὴν ποιήσεις τὴν λυχνίαν· ὁ καυλὸς αὐτῆς, καὶ οἱ καλαμίσκοι, καὶ οἱ κρατῆρες, καὶ οἱ σφαιρωτῆρες, καὶ τὰ κρίνα ἐξ αὐτῆς ἔσται.

A Ἀκύλας, (2) ἐξημυγδαλωμένην, ἐκτετορνευμένην ἀμύγδαλα.

Ὁ καυλός. Ἄλλος, μηρός. τὰ κρίνα. Σύμμαχος, ἄνθη.

ΚΥΡΙΛΛΟΥ. Χρυσῆ μὲν ἡ λυχνία, τύπον ἐπέχουσα τοῦ Χριστοῦ. Φύσει γὰρ καὶ ἀληθείᾳ Θεὸς ὁ υἱός. χρυσῷ δὲ παρεικαστέον τὴν θείαν λαμπρότητα, καὶ ὑπεροχήν. τορευτὴ δὲ, ὅτι περικαλλὴς καὶ πέ-
B ρα λόγου παντὸς, τό γε ἧκον εἰς εὐμορφίαν τὴν νοητὴν, ὁ Ἐμμανουήλ. γέγραπται
» γὰρ ὅτι ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν Ψαλ. 44. 2.
ἀνθρώπων. οὐκοῦν καὶ τὸ ἐκτετορεῦσθαι τὴν λυχνίαν εἰς εἶδος εὐπρεπὲς, δῆλον ὅτι τὸ θεοπρεπὲς καταδείξειεν ἂν εὖ μάλα τοῦ Ἐμμανουήλ.

λβ. Ἓξ δὲ καλαμίσκοι ἐκπορευόμενοι ἐκ πλαγίων, τρεῖς καλαμίσκοι
Γ τῆς λυχνίας ἐκ τοῦ κλίτους αὐτῆς τοῦ ἑνὸς, καὶ τρεῖς καλαμίσκοι ἐκ τοῦ κλίτους τοῦ δευτέρου.

ΚΥΡΙΛΛΟΥ. Εἰς δεξιὸν καὶ εἰς εὐώνυμον οἱάπερ ἐκ μέσου καυλοῦ ἐκπεφυκότας, ἀναθρώσκειν τοὺς καλαμίσκους, καὶ εἰς ὕψος αἴρεσθαι, φησὶ, τὸ ἰσοστατοῦν. εἷς γὰρ ὢν κατὰ φύσιν ὁ μονογενὴς, καὶ ἐν ἁπλότητι κατ' οὐσίαν ὡς Θεὸς, διαφόροις ἐνεργείαις
Δ οἱονεὶ πολλοστὸς εἶναι δοκεῖ· ἀλλ' οὐδὲν εἰσενηνεγμένον ἢ ὀθνεῖον ἐν αὐτῷ, κἂν εἰ νοοῖτό πως τοῖς θεοπρεπέσιν ἀξιώμασιν οὐχ ἁπλοῦς. Φῶς γὰρ καὶ ζωὴ, καὶ δύναμις, καὶ ἀφθαρσία νοεῖται. ὅτι γὰρ οὐδὲν εἰσποιητὸν ἐν αὐτῷ διδάξαι βεβουλημένος,
» προσεπήνεγκεν οἶμαί που τὸ, οἱ σφαιρωτῆ-
» ρες, καὶ οἱ καλαμίσκοι, καὶ τὰ κρίνα ἐξ
» αὐτῆς ἔστωσαν· ὅλη τορευτή.

E λγ. Καὶ τρεῖς κρατῆρες ἐκτετυπωμένοι καρυΐσκους· ἐν καλαμίσκῳ τῷ ἑνὶ σφαιρωτὴρ καὶ κρίνον. οὕτω τοῖς ἓξ καλαμίσκοις τοῖς ἐκπορευο-
λδ. μένοις ἐκ τῆς λυχνίας. Καὶ ἐν τῇ λυχνίᾳ τέσσαρες κρατῆρες ἐκτετυπωμένοι καρυΐσκους. οἱ σφαιρωτῆρες
λε. καὶ τὰ κρίνα αὐτῆς. Ὁ σφαιρωτὴρ ὑπὸ τοὺς δύω καλαμίσκους ἐξ αὐτῆς·
Z καὶ σφαιρωτὴρ ὑπὸ τοὺς δύω καλαμίσκους ἐξ αὐτῆς· οὕτω τοῖς ἓξ καλαμίσκοις τοῖς ἐκπορευομένοις ἐκ τῆς λυχνίας.

λϛ. Οἱ σφαιρωτῆρες καὶ οἱ καλαμίσκοι ἐξ αὐτῆς ἔστωσαν· ὅλη τορευτὴ ἐξ ἑνὸς χρυσίου καθαροῦ.

ΚΥΡΙΛ.

(1) Ὁ Ἰώσηπος ἐν μὲν τῷ 7. κεφ. τοῦ 3. περὶ Ἰουδαϊκ. ἀρχαιολογ. βιβλ. τάδε φησὶ, διετίθεσαν ἄρτων τε δώδεκα ἀζύμους κατὰ ἓξ ἐπ' ἀλλήλους κειμένους καθαροὺς πάνυ - - - μετὰ δὲ ἡμέρας ἑπτὰ πάλιν οἱ ἄλλοι ἐκομίζοντο ἄρτοι ἐν τῷ καλουμένῳ ὑφ' ἡμῶν σαββάτῳ· ἐν δὲ τῷ 10. κεφ. τάδε, τῷ δὲ σαββάτῳ πρωῒ κομισθέντες, ἐπὶ τῆς ἱερᾶς τραπέζης τίθενται - - - καὶ τότε μὲν ἀντ' ἐκείνων ἄλλοι κομίζονται, οἱ δὲ τοῖς ἱερεῦσι πρὸς τροφὴν δίδονται.

(2) Κυρίλλῳ ψευδῶς ἐπιγράφει ὁ κώδ.

ΚΥΡΙΛΛΟΥ. Ἐξ αὐτῦ γὰρ τῦ Ἐμμανυὴλ πάντα τὰ ἐν αὐτῷ, καὶ κατὰ Φύσιν αὐτῦ, καὶ ἐπακτὸν ὐδέν. καὶ ἔςιν ἐξ ὅλος » χρυσίυ καθαρῦ, τυτέςιν ὅλως δι᾽ ὅλυ Θεὸς, ὐκ ἐν ἴσῳ τοῖς γενητοῖς ἡγιασμένος· ὐδὲ ὥσπερ Ἄγγελοι τυχὸν, ἐν ἰδίᾳ μὲν νοούμενοι Φύσει, κατηγλαϊσμένοι δὲ τῇ ἄνωθεν χάριτι καὶ δόξῃ, καὶ οἷάπερ χρυσίῳ καθαρῷ τῇ τῦ πνεύματος δόσει κατακεχρισμένοι· ἀλλ᾽ αὐτόχρημα τῇ Φύσει Θεὸς, ἡ καθαρωτάτη τε καὶ ὑπερτάτη Φύσις.

λζ. Καὶ ποιήσεις τὺς λύχνυς αὐτῆς ἑπτά· καὶ ἐπιθήσεις τὺς λύχνυς αὐτῆς, καὶ Φανῦσιν ἐκ τῦ ἑνὸς προσώπυ.

ΚΥΡΙΛΛΟΥ. Ἑπτὰ δὲ οἱ λύχνοι. κατὰ πολλὺς γὰρ τρόπυς ὁ παρὰ Χριςῦ Φωτισμός. καὶ ᾧ μὲν δέδοται λόγος σοφίας,
1. Κορ. 12. 8, 10. » ἑτέρῳ δὲ λόγος γνώσεως, διακρίσεις τε » πνευμάτων, καὶ τὰ λοιπά. τελειότητος δὲ σημεῖον ὁ ἕβδομος πάλιν ἀριθμός. παντέλειος δὲ καὶ κατὰ Φύσιν ἰδίαν ὁ Ἐμμανυὴλ, ὡς Θεός. καὶ τῶν παρ᾽ αὐτῦ χαρισμάτων ἡ διανομὴ (1) τελείως ἐγχεῖται τοῖς ἐλεεῖν ἀξίοις.

*ΤΟΥ ΝΥΣΣΗΣ. Τὰς πολυσχιδεῖς τῦ πνεύματος μαρμαρυγὰς ὑπεμφαίνει, καθώς Φησιν Ἡσαΐας, ἑπλαχῇ διαιρῶν τὰς λαμπηδόνας τῦ πνεύματος. Ἡσ. 11. 2, 3.

ΙΩΣΗΠΟΥ. (2) Ἐνέφαινον μὲν, οἱ μὲν ἑπτὰ λύχνοι, τὺς πλανήτας· τοσῦτοι γὰρ ἀπ᾽ αὐτῆς διῄρητο τῆς λυχνίας· οἱ δὲ ἐπὶ τῆς τραπέζης ἄρτοι δώδεκα, τόν τε ζωδιακὸν κύκλον καὶ τὸν ἐνιαυσιαῖον· τὸ θυμιατήριον δὲ διὰ τῶν τρισκαίδεκα θυμιαμάτων, οἷς ἐκ θαλάσσης ἀνεπίμπλατο τῆς τε ἀοικήτυ καὶ οἰκυμένης, ἐσήμαινεν ὅτι τῦ Θεῦ πάντα καὶ τῷ Θεῷ. τὸ δὲ ἐνδότατον μέρος διείργετο ὁμοίως, ὡς καταπετάσματι πρὸς τὸ ἔξωθεν. ἔκειτο δὲ ὐδὲν ὅλως ἐν αὐτῷ. ἄβατον δὲ καὶ ἀθέατον ἦν πᾶσιν. ἁγίυ δὲ ἅγιον ἐκαλεῖτο.

λη. Καὶ τὸν ἐπαρυςῆρα αὐτῆς, [καὶ τὰ ὑποθέματα αὐτῆς] ἐκ χρυσῦ καθαρῦ.

ΚΥΡΙΛΛΟΥ. Καὶ αὗται δὲ αἱ ἐπαρυςρίδες τὰς τῶν θείων χαρισμάτων χορηγίας σημαίνυσι.

λθ. Τάλαντον χρυσίυ καθαρῦ ποιήσεις πάντα τὰ σκεύη ταῦτα.

**ΙΩΣΗΠΟΥ. Κατὰ πρόσωπον τῆς τραπέζης τῷ πρὸς μεσημβρίαν τετραμμένῳ τοίχῳ πλησίον ἵςαται λυχνία ἐκ χρυσῦ κεχωνευμένη, διάκενος, ςαθμὸν ἔχυσα μνᾶς ἑκατόν. Ἑβραῖοι μὲν καλῦσι κίγχαρες· εἰς δὲ τὴν ἑλληνικὴν μεταβαλλόμενον γλῶσσαν σημαίνει τάλαντον.

μ. Ὅρα, ποιήσεις κατὰ τὸν τύπον τὸν δεδειγμένον σοι ἐν τῷ ὄρει.

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Σκιαγραφίαν τινὰ καὶ προχάραγμα τῶν ἀοράτων παραδεικνὺς τὰ ὁρώμενα. καὶ πείθομαι μηδὲν εἰκῇ, μηδ᾽ ἀλογίστως, μηδὲ χαμερπῶς τύτων διατετάχθαι, μηδὲ ἀναξίως τῆς τῦ Θεῦ νομοθεσίας, καὶ τῆς τῦ Μωσέως ὑπυργίας· [εἰ καὶ χαλεπὸν ἑκάςῃ τῶν σκιῶν, ἑκάςην ἐφευρεῖν θεωρίαν εἰς λεπτὸν καταβαίνοντα, ὅσα τε περὶ τῆς σκηνῆς αὐτῆς, καὶ μέτρων, καὶ ὕλης, καὶ τῶν αἰρόντων ταῦτα Λευϊτῶν τε καὶ λειτυργῶν· ὅσα τε περὶ θυσιῶν καὶ καθαρσίων καὶ ἀφαιρεμάτων νενομοθέτηται. καὶ μόνοις εἶναι θεωρητὰ τοῖς κατὰ Μωσέα τὴν ἀρετὴν, ἢ ὅτι ἐγγυτάτω τῆς ἐκείνυ παιδεύσεως.] ἐπεὶ καὶ ἐν αὐτῷ τῷ ὄρει Θεὸς ἀνθρώποις Φαντάζεται· τὸ μέν τι, καταβαίνων αὐτὸς τῆς οἰκείας περιωπῆς· τὸ δὲ, ἡμᾶς ἀνάγων ἐκ τῆς κάτωθεν ταπεινώσεως. ἵνα χωρηθῇ μετρίως γῦν γενητῇ Φύσει, καὶ ὅσον ἀσφαλὲς, ὁ ἀχώρητος. ὐδὲ γὰρ οἷόν τε ἄλλως ἐν περινοίᾳ Θεῦ γενέσθαι σώματος ὑλικῦ καὶ δεσμίυ νῦ πάχος μὴ βοηθύμενον.

ΚΕΦ. ΚϚ.

α. Καὶ τῇ σκηνῇ ποιήσεις δέκα αὐλαίας βύσσυ κεκλωσμένης, καὶ ὑακίνθυ, καὶ πορφύρας, καὶ κοκκίνυ κεκλωσμένυ, Χερυβὶμ ἐργασίαν ὑφαντῦ ποιήσεις αὐτάς.

ΚΥΡΙΛΛΟΥ. Δέκα μὲν [αἱ] αὐλαῖαι καὶ ἀλλήλων ἀπηρτισμέναι· πολλαὶ γὰρ
Ἰωάν. 14. 2. » μοναὶ παρὰ τῷ πατρὶ, καὶ τῶν ἐνοικύντων ἐν αὐταῖς εἰς δέ πυ πάντως καὶ ὅσιος ὁ σκοπὸς, μία δὲ καὶ ἡ περὶ Θεῦ γνῶσις.
» ἐν γὰρ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ γεγραμμένον. ἐκδέξῃ δὲ, εἰ δοκεῖ, 1. Κορ. 7. 15.
τὰς δέκα αὐλαίας, εἶναί τε οἴσῃ τὸ πλήρωμα τῶν ἐν κόσμῳ ἐκκλησιῶν, ὐ διεσπασμένων εἰς διχόνοιαν, ἢ εἰς ἀσύμφωνον δόξαν, ἀλλ᾽ ἡνωμένων ἐν πνεύματι, καὶ οἱονείπως συνεσφιγμένων εἰς ἓν καθ᾽ ἑνότητα τὴν ἐν Χριςῷ διὰ πίςεως. πανταχῆ
» γὰρ καὶ ἐν πᾶσιν, εἷς Κύριος, μία πίςις, Ἐφεσ. 4. 5.
» ἓν βάπτισμα.

ΤΟΥ ΑΥΤΟΥ. [Ἴςια δὲ ταῖς αὐλαίαις » ἐκ βύσσυ κεκλωσμένης, καὶ ὑακίνθυ, καὶ πορφυ-

(1) Ἐν διανομῇ τελείως ἔγκειται τοῖς ἐλεεῖν ἀξίοις. ἐν Τόμ. 1. μέρ. 2. σελ. 299.

(2) Οὐ κατὰ λέξιν ἐλήφθη, ἀλλὰ κατ᾽ ἔννοιαν συνελέχθη, (ἔκ τε τῦ 7. καὶ τῦ 6. κεφ. τῦ 3. βιβλ. τῦ περὶ Ἰυδαϊκ. ἀρχαιολογ.) πολλῶν ἔξωθεν προσεθέντων. οἷον, τῦ θυμιατηρίυ, τῶν τρισκαίδεκα θυμιαμάτων, τῆς ἀοικήτυ καὶ οἰκυμένης θαλάσσης. ἅπερ δὴ τί ποτέ ἐστιν, ἡμῖν ἄδηλον.

» πορφύρας, καὶ κοκκίνου κεκλωσμένου.] A παμποίκιλος γὰρ τῆς ἐκκλησίας ὁ κόσμος, καθά φησιν ὁ θεσπέσιος Δαβὶδ περὶ αὐτῆς·
Ψαλ. 44. 9. παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, καὶ τὰ ἑξῆς. κόσμημα δὲ καὶ ὡραϊσμὸς ἐν αὐτῇ πολυειδὴς ὁ Χριστός. εἷς μὲν κατὰ φύσιν ὑπάρχων, αἰνίγμασι δὲ πολλοῖς καὶ διαφόροις νοούμενος. οἷον, φέρε εἰπεῖν, ὡς βύσσος κεκλωσμένη. ἰσχνὸς γὰρ ὢν καὶ ἀσώματος κατὰ φύσιν ὁ ἐκ Θεοῦ πατρὸς λόγος, κέκλωσται τρόπον τινὰ διὰ τῆς οἱονεὶ B πρὸς σάρκα συμπλοκῆς. οὐκοῦν ὡς βύσσος κεκλωσμένη, καὶ μὴν [καὶ] ὡς ὑάκινθος, ὅτι μὴ ἐκ γῆς, ἀλλ' ἄνωθεν καὶ ἐξ οὐρανοῦ. ὑακίνθῳ γάρ πως παρεικάζεται τὸ ὑψοῦ τε καὶ ἄνω καὶ αἰθέριον σῶμα, τὸ καὶ μέχρις αὐτοῦ διῆκον τοῦ στερεώματος. οὐκοῦν ὡς ὑάκινθος, διὰ τὸ ἐξ οὐρανοῦ· πορφύρα δὲ, ὅτι μὴ δοῦλος, ὡς γενητὸς, ἀλλ' ἐκ Θεοῦ βασιλεὺς καὶ τῶν ὅλων Κύριος· κεκλωσμένον δὲ κόκκινον· ἐν συμπλοκῇ γὰρ, Γ ὡς ἔφην, τῇ πρὸς σάρκα νοούμενος, καὶ ὑπάρχων ἀληθῶς ὁ τοῦ Θεοῦ λόγος, τὸ ἴδιον αἷμα δέδωκεν ὑπὲρ ἡμῶν. αἵματος δὲ σημεῖον τὸ κόκκινον. Χερουβὶμ δὲ τῶν δέῤῥεων ἡ γραφὴ, τὸ συνῆφθαι τάχα που τοῖς ἄνω τὰ κάτω, καὶ ταῖς ἐν οὐρανῷ δυνάμεσι τὴν ἐπὶ γῆς ἐκκλησίαν ἡνῶσθαι λοιπὸν καταδηλοῦντος εὖ μάλα τοῦ πράγματος.

β. Μῆκος τῆς αὐλαίας τῆς μιᾶς Δ ὀκτὼ καὶ εἴκοσι πήχεων, καὶ εὖρος τεσσάρων πήχεων. ἡ αὐλαία ἡ μία ἔσται μέτρον. τὸ αὐτὸ ἔσται πάσαις ταῖς αὐλαίαις.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸ ῥητὸν διασταλτέον » οὕτως· ἡ αὐλαία ἡ μία ἔσται μέτρον. τουτέστι πρὸς τὴν μίαν ποιήσεις πάσας. καὶ » πρὸς σαφήνειαν ἐπάγει, τὸ αὐτὸ ἔσται » μέτρον ταῖς αὐλαίαις. αὐλαίας δὲ καλεῖ E τὰ παραπετάσματα, καὶ Ῥωμαίων φωνῇ, κορτίνας.

✱✱ ΚΥΡΙΛΛΟΥ. Πλάτος δὲ ἑκάστη τῶν αὐλαιῶν, πήχεις τέσσαρες. καὶ ὀκτὼ καὶ εἴκοσι τὸ μῆκος. καὶ περίεργον μὲν καὶ ἰσχνὸν τὸ αἴνιγμα, πλὴν οἶμαι καταδηλοῦν αὐτὸ σκοτεινῶς τε καὶ ἀμυδρῶς, ὅτι καὶ ἡ διὰ νόμου παίδευσις δεκτήπως ἐν ἐκκλησίαις, στενωτάτη μὲν οὖσα διά γε τὸ ἀσυμφανὲς τοῦ γράμματος· προϊόντος γε μὴν Z εἰς μῆκος τοῦ χρόνου, τέλος ἕξει τὸ περὶ Χριστοῦ μυστήριον, τουτέστι τὴν ὀγδόην, ἤτοι τὴν ἐν ὀγδόῃ γενομένην ἀνάστασιν. τέλος γὰρ νόμου καὶ Προφητῶν ὁ Χριστός.

γ. Πέντε δὲ αὐλαῖαι ἔσονται ἐξ ἀλλήλων ἐχόμεναι ἡ ἑτέρα ἐκ τῆς ἑτέρας· καὶ πέντε αὐλαῖαι ἔσονται συνε-
δ. χόμεναι ἑτέρα τῇ ἑτέρᾳ. Καὶ ποιήσεις αὐταῖς ἀγκύλας ὑακινθίνας ἐπὶ H

A τοῦ χείλους τῆς αὐλαίας τῆς μιᾶς ἐκ τοῦ ἑνὸς μέρους εἰς τὴν συμβολήν· καὶ οὕτω ποιήσεις ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς ἐξωτέρας πρὸς τῇ συμβολῇ τῇ δευτέρᾳ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Εἰς δὲ β' πεντάδας διῄρηκε τὰς αὐλαίας ἀλλήλαις, εἰπὼν τὰς πέντε συνέχεσθαι, καὶ τὸ πῶς οὐ προσέθηκεν. εἰ μὴ μόνον ἐπὶ τῶν ἄκρων ἑκα-B τέρας πεντάδος ἀγκύλας καὶ κρίκους εἰπὼν, ὡς ἂν αἱ έ ταῖς έ συνάπτοιντο. μήποτε οὖν συνέβαινε πρὸς ἀλλήλας ἐῤῥάφθαι τὰς έ; εἰ γὰρ καὶ αὐτῶν ἑκάστη ἀγκύλας εἶχε καὶ κρίκους, πῶς ἔχει λόγον ἡ τῶν β' πεντάδων διαίρεσις, γινομένου καθ' ἑκάστην ὅπερ καὶ κατὰ τὸ μέσον ἐγίνετο; εἰ μὴ ἄρα τοῖς μὲν ἄκροις τοῦ πλάτους αἱ έ πρὸς ἀλλήλας συνήπτοντο· τοῖς δὲ ἄκροις τοῦ μήκους, αἱ έ ταῖς έ. ὅθεν ἴσως καὶ ἀντι-Γ προσώπους φησίν· ὅπερ ἐπὶ τῶν δέῤῥεων ἀπεμφαίνει, τῆς ἑνδεκάτης ἐπιδιπλουμένης κατὰ πρόσωπον τῆς σκηνῆς. ἐφ' ὧν καὶ β' πήχεις τῷ μήκει παρὰ τὰς αὐλαίας προσέθηκεν· ὡς ἂν ἑκατέρωθεν εἷς πῆχυς χαλώμενος, σκέποι τὰ πλάγια τῆς σκηνῆς, ὥσπερ καὶ τὸ πρόσωπον αὐτῆς διὰ τῆς ἐπιδιπλουμένης ἑνδεκάτης δέῤῥεως. ἐσαφήνισε δὲ τὸ παρ' ἡμῶν ἐπὶ τῶν αὐ-» λαιῶν εἰρημένον. εἰπών· καὶ ποιήσεις ἀγ-Δ » κύλας ν' ἐπὶ τοῦ χείλους τῆς δέῤῥεως τῆς » μιᾶς, τῆς ἀνὰ μέσον. ὡς γὰρ τῆς συμβολῆς τῆς πεντάδος (τῶν δέῤῥεων) καὶ ἑξάδος, κατὰ τὸ ἄκρον τοῦ πλάτους τῶν δύω μέσων αὐλαιῶν γινομένης, ἀλλ' οὐ κατὰ τὸ ἄκρον τοῦ μήκους τῶν έ πρὸς τὰς έ, οὕτω φησί. τοῦ δὲ μήκους τῆς σκηνῆς λ' πήχεις ἐπέχοντος, τὸ πλάτος τῶν αὐλαιῶν τῶν ἐπικειμένων, πήχεων ἦν μ'. τούτων δὲ λ' μὲν, ἐστέγαζον τὴν σκηνήν· θ' δὲ, κατὰ E τοῦ ὀπισθοδόμου ἐπεῤῥίπτοντο· ὁ δὲ εἷς, φησὶν, ἐπὶ πρόσωπον τῆς σκηνῆς.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Σύμβολα (1) τῇ σκηνῇ ἐν κύκλῳ διαλάμπουσι. τὴν γὰρ ἀγαπητικὴν καὶ εἰρηνικὴν τῶν πιστευόντων ὁμόνοιαν ἐννοῶν τις, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος.

ε. Πεντήκοντα δὲ ἀγκύλας ποιήσεις τῇ αὐλαίᾳ τῇ μιᾷ, καὶ πεντήκον-Z τα ἀγκύλας ποιήσεις ἐκ τοῦ μέρους τῆς αὐλαίας κατὰ τὴν συμβολὴν τῆς δευτέρας, ἀντιπρόσωποι ἀντιπίπτουσαι εἰς ἀλλήλας ἑκάστη.

Τὸ Σαμαρειτικόν φησι, διαδεχόμεναι συμβολαὶ μία τὴν μίαν ἀντὶ προσώπου, (2) κατὰ τὸ προσέχειν ἀλλήλαις.

ϛ. Καὶ ποιήσεις κρίκους πεντήκοντα H χρυσοῦς· καὶ συνάψεις τὰς αὐλαίας ἑτέραν

(1) Τὰς δὲ αὐλαίας, αἱ διὰ τῆς μετὰ ἀλλήλων συμβολῆς τὴν σκηνὴν ἐν κύκλῳ διαλαμβάνουσι, τὴν ἀγαπητικήν τε, κτ. ἐν τῇ θεωρ. εἰς τὸν τοῦ Μωϋσ. βίον.

(2) Μία πρὸς μίαν ἀντιπροσώπως. ἐν ταῖς σημειώσ. ταῖς εἰς τὴν ἐν Φρανεκ. ἐκδοθ. Γραφήν.

ἑτέραν τῇ ἑτέρᾳ τοῖς κρίκοις· καὶ ἔσται ἡ σκηνὴ μία.

ζ. Καὶ ποιήσεις δέῤῥεις τριχίνας σκέπην τῆς σκηνῆς, ἕνδεκα δέῤῥεις ποιήσεις αὐτάς.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ δέῤῥεις εἶχε τριχίνας ἐπικειμένας, καὶ μέντοι καὶ διφθέρας ποικίλας· ὥστε καὶ τὸν ὑετὸν ἀπείργειν, καὶ τὸν φλογμόν.

ΤΟΥ ΝΥΣΣΗΣ. Ἡ γὰρ τῶν τριχῶν συμπλοκὴ τραχύ τε καὶ δυσαφὲς ἀπεργαζομένη ὕφασμα, τὴν τραχεῖαν καὶ δαπανητικὴν τῶν τῇ ἀρετῇ καθομιλούντων ἐγκράτειαν ὑπαινίττεται. τὰ δὲ τοιαῦτα πάντα δείκνυσιν ἐφ' ἑαυτῆς ἡ ἐν παρθενίᾳ ζωή, ἡ τὴν σάρκα τῶν οὕτω βιούντων ὑποπιέζουσα.

ΣΕΥΗΡΟΥ. Τῶν μὲν δεῤῥῶν ἐνδακνυμένων τὸ τραχὺ τοῦ φιλοσόφου βίου, καὶ ἀπεσκληκὸς τοῖς πόνοις τῆς ἀρετῆς, καὶ τὴν ἐν σπηλαίοις καὶ νάπαις καὶ ὄρεσι δίαιταν, οἷς τὸ τῶν αἰγῶν ἐπιτέρπεται γένος, τὰς ἐκεῖσε πόας νεμόμενον.

η. Τὸ μῆκος τῆς δέῤῥεως τῆς μιᾶς, ἔσται τριάκοντα πήχεων, καὶ τεσσάρων πήχεων τὸ εὖρος τῆς δέῤῥεως τῆς μιᾶς. μέτρον τὸ αὐτὸ ἔσται ταῖς ἕνδεκα
θ. δέῤῥεσι. Καὶ συνάψεις τὰς πέντε δέῤῥεις ἐπὶ τὸ αὐτό, καὶ τὰς ἓξ δέῤῥεις ἐπὶ τὸ αὐτό. καὶ ἐπιδιπλώσεις τὴν δέῤῥιν τὴν ἕκτην κατὰ πρόσωπον τῆς σκηνῆς.

✱✱ ΚΥΡΙΛΛΟΥ. Δέκα ἐγείρει τὰς αὐλαίας, εἶτα πῶς οὐκ ἰσάριθμοι ταύταις αἱ δέῤῥεις, περιττεύει δὲ μία, τουτέστιν ἡ ἑνδεκάτη; Πέντε μὲν γὰρ αὐλαίας ἀλλήλαις συνεσφιγμένας ὅτι προσῆκε γενέσθαι φησίν· ἑτέρας δὲ πέντε, κατὰ τὸ αὐτὸ δὲ σχῆμα, καὶ ἐν ἴσῳ τρόπῳ ἀντιτεταγμένας. τοιγαροῦν ἀλλήλαιν καὶ ἀντιπροσώπως ἀντεγηγερμέναιν, ὡς ἐκ βοῤῥέου τυχὸν καὶ νότου, ἢ γοῦν ἐξ ἠοῦς καὶ μέντοι καὶ δυσμῶν, ἑνδεκάτη τις ἡ διὰ μέσου λοιπὸν ἐσχεδιάζετο πλευρά, ἀνὰ μέρος ποιουμένη τὰς δέκα, διῃρημένας εἰς δύω, ἐφ' ᾗ τάχα που καὶ δέῤῥις ἡ ἑνδεκάτη περιτετάνυσται, κρίκοις τε καὶ ἀγκύλαις ἄμφω συνέχουσα τὰς πλευράς.

✱ ΤΟΥ ΑΥΤΟΥ. [Καθ' ὁμοιότητα δὲ τῶν ἄλλων, καὶ οἱ ταύτης στῦλοι, πλὴν ἧττους ἐν ἀριθμῷ. αἱ μὲν γὰρ δέκα αὐλαῖαι, καθάπερ ἤδη προεῖπον, εἰς μῆκος ἐξετείνοντο πήχεων ὀκτὼ καὶ εἴκοσι, ἥ γε μὲν ἑνδεκάτη καὶ μεσαιτάτη τῶν ἄλλων, τὸ εὖρος τῶν πέντε, τετραπήχεις δὲ αὗται, πρὸς τὸ εἰκοσάπηχύ που διατετάνυσται μέ-
» τρον. διὰ τοῦτό φησι· καὶ ἐπιδιπλώσεις τὴν
» δέῤῥιν τὴν ἕκτην,] ἵνα μὴ τῷ περιττῶς ἐκκεκρεμασμένῳ τὸ τῆς αὐλῆς κάλλος διαλυμαίνοιτο.

A ΤΟΥ ΑΥΤΟΥ. [Ἐν ταύτῃ δὴ οὖν τῇ μεταξὺ τῶν ἄλλων, καὶ ὡς ἑνδεκάτῃ, τὰ ἱερά τε καὶ θεῖα τετάχατο σκεύη, διαμορφοῦντα ποικίλως] ἔν γε δὴ σφίσιν αὐτοῖς τὸν Ἐμμανουήλ. τάχα που καὶ τοῦ ἀριθμοῦ τόδε κατασημαίνοντος, ὡς ἐν τελευταίοις τοῦ αἰῶνος καιροῖς, καὶ ὡς ἐν ὥρᾳ τῇ ἑνδεκάτῃ τυχὸν ἀναφανεῖται Χριστός, καὶ ἡ Χριστὸν ἔχουσα σκηνή, τουτέστιν ἡ ἐκκλησία.

B ι. Καὶ ποιήσεις ἀγκύλας πεντήκοντα ἐπὶ τοῦ χείλους τῆς δέῤῥεως τῆς μιᾶς, τῆς ἀνὰ μέσον κατὰ τὴν συμβολήν· καὶ πεντήκοντα ἀγκύλας ποιήσεις ἐπὶ τοῦ χείλους τῆς δέῤῥεως,
ια. τῆς συναπτούσης τῆς δευτέρας. Καὶ ποιήσεις κρίκους χαλκοῦς πεντήκοντα· καὶ συνάψεις τοὺς κρίκους ἐκ τῶν ἀγκυλῶν, καὶ συνάψεις τὰς δέῤῥεις, καὶ
ιβ. ἔσται ἕν. Καὶ ὑποθήσεις τὸ πλεονάζον ἐν ταῖς δέῤῥεσι τῆς σκηνῆς· τὸ ἥμισυ τῆς δέῤῥεως τὸ ὑπολελειμμένον ὑποκαλύψεις τὸ πλεονάζον τῶν δέῤῥεων τῆς σκηνῆς· ἐπικαλύψεις ὀπίσω
ιγ. τῆς σκηνῆς. Πῆχυν ἐκ τούτου, καὶ πῆχυν ἐκ τούτου ἐκ τοῦ ὑπερέχοντος τῶν δέῤῥεων τοῦ μήκους ἐκ τῶν δέῤῥεων τῆς σκηνῆς· ἔσται συγκαλύπτον ἐπὶ τὰ
Δ πλάγια τῆς σκηνῆς ἔνθεν καὶ ἔνθεν, ἵνα καλύπτῃ.

ιδ. Καὶ ποιήσεις κατακάλυμμα τῇ σκηνῇ δέρματα κριῶν ἠρυθροδανωμένα, καὶ ἐπικαλύμματα δέρματα ὑακίνθινα ἐπάνωθεν.

E ΚΥΡΙΛΛΟΥ. Καλύμματα δὲ ταῖς αὐλαίαις, δέῤῥεις, ἀγκύλαις τε καὶ κρίκοις συνεσφιγμέναι. καὶ μὴν καὶ ἐπικαλύμματα, δέρματα ὑακίνθινα, καὶ δέρματα κριῶν ἠρυθροδανωμένα, τῆς ἐκκλησίας τὸν σκεπαστὴν Χριστὸν ὑπεμφαίνοντα. διὰ μὲν τῆς ὑακίνθου πάλιν, ὡς ἐξ οὐρανοῦ τε καὶ ἄνωθεν, διὰ δέ γε τοῦ ἐρυθροῦ χρώματος, ὡς ἐν σαρκὶ γέγονε.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Εἰ δὲ καὶ δέρματα ἐν τούτοις ὁρᾶται πεφοινιγμένα βαφῇ, καὶ τρίχες ἐξυφανθεῖσαι, οὐδὲ οὕτως ὁ εἱρμὸς τῆς θεωρίας διακοπήσεται. ὁ γὰρ προφητικὸς ὀφθαλμὸς ἐν τῇ τῶν θείων ὀπτασίᾳ γενόμενος, ἐκεῖ κατόψεται προωρισμένον τὸ σωτήριον πάθος· ὅπερ ἐν ἑκατέρῳ τῶν εἰρημένων σημαίνεται. τοῦ μὲν ἐρυθήματος, τὸ αἷμα· τῆς δὲ τριχός, ἑρμηνευούσης τὴν νέκρωσιν. ἄμοιρος γὰρ αἰσθήσεως ἡ θρὶξ ἐν τῷ σώματι. διὸ κυρίως νεκρότητος γίνεται σύμβολον. ὅταν οὖν τὴν ἄνω σκηνὴν βλέπῃ, [ταῦτα] διὰ τούτων ὁ Προφήτης ὁρᾷ. εἰ δέ τις τὴν κάτω σκηνὴν θεωροίη· ἐπειδὴ πολλαχῇ Χριστὸς ἡ ἐκκλησία παρὰ τοῦ Παύλου κατονομάζεται· καλῶς ἂν ἔχοι τοὺς ὑπηρέτας τοῦ μυστηρίου,

στηρίου, οὓς καὶ στύλους τῆς ἐκκλησίας κατονομάζει ὁ λόγος, Ἀποστόλους τε καὶ Προφήτας καὶ διδασκάλους, τὰ ὀνόματα ταῦτα νομίζειν εἶναι. Καὶ μετ' ὀλίγα. Δέρμα δὲ πεφοινιγμένον, καὶ δέῤῥεις ἀπὸ τριχῶν. πρὸς κόσμον τῆς σκηνῆς συντελοῦσαι, καταλλήλως ἂν νοηθεῖεν ἥ τε νέκρωσις τῆς ἁμαρτητικῆς σαρκὸς, ἧς αἴνιγμα τὸ πεφοινιγμένον δέρμα ἐστὶ, καὶ ἡ τραχεῖα διαγωγὴ κατ' ἐγκράτειαν, οἷς ὡραΐζεται μάλιστα ἡ τῆς ἐκκλησίας σκηνή. τὰ γὰρ δέρματα ζωτικὴν ἐν ἑαυτοῖς οὐκ ἔχοντα δύναμιν τὴν ἐκ φύσεως, τῇ βαφῇ τοῦ ἐρυθήματος εὐανθῆ γίνεται. ὅπερ διδάσκει. τὴν διὰ τοῦ πνεύματος ἐπανθοῦσαν χάριν μὴ ἐν ἑτέροις γίνεσθαι, εἰ μή τινες ἑαυτοὺς τῇ ἁμαρτίᾳ νεκρώσαιεν.

ΣΕΥΗΡΟΥ. Τῶν δὲ δερμάτων ὑποφαινόντων τὴν νέκρωσιν τῆς σαρκὸς τοῖς τῆς ἀσκήσεως φορτίοις κατατετηγμένης, καὶ τὸ μὲν ἐκ τῆς τρυφῆς λιπαίνεσθαι διαπλυσάσης, εἰς δέρμα δὲ μόνον ἐκλεπτυνθείσης, καὶ πρὸς μίμησιν ἀναβαινούσης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ παθόντος σαρκὶ, κἀκεῖθεν τὸ ἐν σαρκὶ ἐρυθρὸν καὶ ὡραῖον εἰς εὐπρέπειαν ἐφελκομένης ἐκ τοῦ θείου αἵματος τοῦ τὸν κόσμον τῆς ἁμαρτίας καθάραντος. θαυμάσειε δ' ἄν τις τὸ ἀπηκριβωμένον τῆς θείας Γραφῆς. οὐ γὰρ εἶπεν ἐρυθροῖς δέρμασι σκέπεσθαι τὰς δέῤῥεις, ἀλλ' ἠρυθροδανωμένοις· διὰ τῆς ἐπιστάσεως δηλοῦσα τοὺς
Ἑβρ. 12. 4 μέχρι τοῦ αἵματος, καθὼς Παῦλός φησι,
» πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζομένους. καὶ τῷ ἡγεμονικῷ τῆς καρδίας ἐστερεωμένους. τοῦτο γὰρ ὑποφαίνει τὸ κριῶν εἶναι τὰ δέρματα. καὶ γὰρ ἡγεμὼν ὁ κριὸς τῆς ἑπομένης ἀγέλης αὐτῷ.

ιε. Καὶ ποιήσεις στύλους τῇ σκηνῇ ἐκ ξύλων ἀσήπτων.

ιϛ. Δέκα πήχεων ποιήσεις τὸν στύλον τὸν ἕνα, καὶ πήχεως ἑνὸς καὶ ἡμίσους τὸ πλάτος τοῦ στύλου τοῦ ἑνός.

ΚΥΡΙΛΛΟΥ. Στύλοι δὲ ταῖς αὐλαίαις, [εὖρος μὲν εἰς πῆχυν ἰόντες ἕνα τε καὶ ἥμισυ, μῆκος δέ γε μὴν εἰς δέκα.] κεφαλὰς μὲν καὶ σῶμα χρυσῷ διαπεπασμένοι, βάσεσι δὲ διπλαῖς καὶ ἀργυραῖς ἐπερηρεισμένοι. νοεῖται δὲ πάλιν ὡς ἐν ἑκάστῳ στύλῳ Χριστὸς, τῆς ἐκκλησίας τὸ ἔρεισμα
1. Τιμ. 3. 15. καὶ ἑδραίωμα, κατὰ τὴν τοῦ Παύλου φωνήν. ἵστησι γὰρ καὶ συνέχει τὰ πάντα αὐτός. καὶ διὰ μὲν τοῦ ἑνός τε καὶ ἡμίσους πήχεως, ὡς τέλειος μὲν κατὰ φύσιν Θεότητος, μείων δὲ αὖ, ὡς ἐν ἀνθρωπότητος μέτροις, πλαγίως ὑποσημαίνεται. ἢ οὐκ ἀληθὲς εἰπεῖν, ὅτι παντέλειος μὲν, ὡς ἐν ὁλοκλήρῳ πήχει Χριστὸς, ἐπείτοι Θεὸς κατὰ φύσιν· ὡς δὲ ἐν ἡμίσει πήχεως, ὑφειμένος διὰ τὸ ἀνθρώπινον; τέλειον γὰρ ἐν γενητοῖς οὐδέν.
2. Κορ. 8. 9. πλούσιος δὲ ὢν, ἐπτώχευσε δι' ἡμᾶς, καὶ καθῆκεν ἑαυτὸν εἰς κένωσιν ὁ μονογενής.

Α ΤΟΥ ΑΥΤΟΥ. Μῆκος δὲ τῷ στύλῳ δεκάπηχυ. παντέλειος γάρ ἐστιν ἐν ὑψώμασι τῆς Θεότητος ὁ Χριστός. τελειότητος δὲ σημεῖον ὁ εἰς δέκα τρέχων ἀριθμὸς παρά γε τῇ θείᾳ λαμβάνεται Γραφῇ.

ιζ. Δύο ἀγκωνίσκους τῷ στύλῳ τῷ ἑνὶ, ἀντιπίπτοντας ἕτερον τῷ ἑτέρῳ. οὕτω ποιήσεις πᾶσι τοῖς στύλοις τῆς σκηνῆς.

Β ** ΠΡΟΚΟΠΙΟΥ. Τοὺς στύλους σανίδας, φησὶ, παχείας, πρὸς ἀλλήλας ἁρμοττομένας διά τινων ἀγκωνίσκων. οὕτω δὲ καλεῖ γωνιώδεις τινὰς ἐκκοπὰς, εἰς ἀλλήλας ἐμβαλλομένας, ὡς μὴ διαχαίνειν τῶν σανίδων τὸ μέσον. ἑκάστην δὲ σανίδα συνεῖχεν ὀρθὴν βάσις ἐκ δύο συγκειμένη μερῶν, μέσην ποιούντων αὐτὴν ἐν τῇ πρὸς ἄλληλα συμβολῇ.

Γ ιη. Καὶ ποιήσεις στύλους τῇ σκηνῇ, εἴκοσι στύλους ἐκ τοῦ κλίτους τοῦ πρὸς βοῤῥᾶν.

ιθ. Καὶ τεσσαράκοντα βάσεις ἀργυρᾶς ποιήσεις τοῖς εἴκοσι στύλοις· δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ· καὶ δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ εἰς ἀμφότερα τὰ μέρη
Δ αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Ἐξ ἀργύρου δὲ καὶ ἐκ δυοῖν ἡ βάσις. λαμπρὸς γὰρ ἐν γῇ καὶ διαφανὴς
» ὁ Χριστὸς, κατά γε τὸ, Θεὸς Κύριος, καὶ Ψαλ. 117. 27.
» ἐπέφανεν ἡμῖν, καὶ οἱονεὶ διφυᾶ τὴν γνῶσιν ἔχει. νοεῖται γὰρ ἐν ταυτῷ Θεὸς καὶ ἄνθρωπος. τοῦτο γὰρ οἶμαι ἐστὶ τὸ διπλῆν ὥσπερ ἔχειν καὶ ἐξ ἀργύρου τὴν βάσιν.

κ. Καὶ τὸ κλίτος τὸ δεύτερον τὸ
κα. πρὸς νότον, εἴκοσι στύλους. Καὶ τεσσαράκοντα βάσεις αὐτοῖς ἀργυρᾶς· δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ εἰς ἀμφό-
κβ. τερα τὰ μέρη αὐτοῦ. Καὶ ἐκ τῶν ὀπίσω τῆς σκηνῆς κατὰ τὸ μέρος τὸ πρὸς
κγ. θάλασσαν ποιήσεις ἓξ στύλους. Καὶ δύο στύλους ποιήσεις ἐπὶ τῶν δύο γω-
κδ. νιῶν τῆς σκηνῆς ἐκ τῶν ὀπισθίων. Καὶ ἔσονται ἐξ ἴσου κάτωθεν· καὶ κατὰ τὸ
Ζ αὐτὸ ἔσονται ἴσοι ἐκ τῶν κεφαλίδων εἰς σύμβλησιν μίαν. οὕτω ποιήσεις ἀμφοτέραις ταῖς δυσὶ γωνίαις· ἴσαι
κε. ἔστωσαν. Καὶ ἔσονται ὀκτὼ στύλοι, καὶ βάσεις αὐτῶν ἀργυραῖ δεκαέξ· δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ, καὶ δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ, εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ.

Η ΘΕΟΔΩΡΙΤΟΥ. Ὅτι δὲ τριάκοντα πήχεων ἦν τὸ μῆκος τῆς σκηνῆς, καὶ δέκα τὸ εὖρος, καταμαθεῖν εὐπετές. εἴκοσι γὰρ σανίδας εἶχε τὸ νότιον μέρος, καὶ τοσαύτας τὸ βόρειον. σανίδας γὰρ τοὺς στύλους ὠνόμα-

ὠνόμασαν οἱ ἄλλοι ἑρμηνευταί. ἑκάστης δὲ σανίδος πῆχυν ἐχούσης καὶ ἥμισυ πήχεως, τριάκοντα πήχεις αἱ εἴκοσι σανίδες ἐπλήρουν. οὕτω πάλιν τὸ πρὸς δυσμὰς ἀποβλέπον ἓξ εἶχε σανίδας, τὸ αὐτὸ μέτρον ἐχούσας, καὶ δύο ἐν ταῖς γωνίαις. δώδεκα οὖν πήχεις ἐκ τούτων συναγόμενοι, οἱ μὲν δέκα τὸ ἔνδον εὖρος ἐπλήρουν· οἱ δὲ ἄλλοι δύο, τῶν ἑκατέρωθεν πλευρῶν τὰς ἁρμονίας ἐδέχοντο.

ΤΟΥ ΑΥΤΟΥ. Δρυφάκτῳ τοίνυν ἡ σκηνὴ προσεῴκει, σανίδας ἔχουσα πάντοθεν συνηρμοσμένας ἀλλήλαις. εἶχον δὲ καὶ τὰς βάσεις ἀργυρᾶς, καὶ τὰς κεφαλίδας ὡσαύτως. καὶ αὐταὶ δὲ καὶ ἔνδοθεν καὶ ἔξωθεν ἦσαν ἠλειμμέναι χρυσῷ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἦσαν κ΄ στῦλοι ἀπὸ ἑνὸς ἡμίσεος πήχεως. ὡς εἶναι τῆς σκηνῆς τὸ μῆκος, λ΄ πήχεων· τὸ δὲ πλάτος, ή στύλων, τουτέστι ιβ΄ πήχεων ἴσων τοῖς πρώτοις, καὶ ἀλλήλοις, κατὰ τὰς κεφαλὰς καὶ τὰς βάσεις· πλὴν τῶν β΄ γωνιαίων, οἵτινες τῇ καμπῇ τῆς γωνίας συνεῖχον ἑκατέραν πλευρὰν, τὴν εἰς μῆκός τε καὶ πλάτος φημί. εἰ τοίνυν τὸ μῆκος τῶν αὐλαιῶν, πήχεων κή΄ τὸ δὲ τῆς σκηνῆς πλάτος, ιβ΄ συνέβαινε τοὺς ἄλλους ις΄ πήχεις κατὰ τῶν τῆς σκηνῆς ἐπερρίφθαι τοίχων, τὰ πλάγια σκέποντας ἑκατέρωθι πρὸς ή, δύο πήχεις τοῦ ἐδάφους ἀπέχοντας, ὡς ἂν μὴ κατὰ γῆς ὕφασμα τὸ ἱεροπρεπὲς ἐπισύροιτο. τὸ γὰρ ὕψος τῆς σκηνῆς ί πήχεων ἦν. τινὲς δὲ τὸ πλάτος τῆς σκηνῆς ί πήχεων εἰπόντες σὺν τῷ βάθει τῶν κιόνων, εἰς τὰς πλαγίας ἐπέρριψαν, ὡς ἕνα πῆχυν ἀπέχειν ἀπὸ τῆς γῆς.

κς. Καὶ ποιήσεις μοχλοὺς ἐκ ξύλων ἀσήπτων· πέντε τῷ ἑνὶ στύλῳ ἐκ
κζ. τοῦ ἑνὸς μέρους τῆς σκηνῆς, Καὶ πέντε μοχλοὺς τῷ ἑνὶ στύλῳ τῷ κλίτει τῆς σκηνῆς τῷ δευτέρῳ, καὶ πέντε μοχλοὺς τῷ στύλῳ τῷ ὀπισθίῳ κλίτει τῆς
κη. σκηνῆς τῷ πρὸς θάλασσαν. Καὶ ὁ μοχλὸς ὁ μέσος ἀναμέσον τῶν στύλων διϊκνείσθω ἀπὸ τοῦ ἑνὸς κλίτους εἰς τὸ ἕτερον κλίτος.

** ΠΡΟΚΟΠΙΟΥ. Ὡς ἂν οἱ στῦλοι δὲ πρὸς ἀλλήλους συσφίγγοιντο μέσον ξύλον εἶχεν ἕκαστος, δι᾽ ὅλου τοῦ πλάτους τοῦ κίονος διϊκνούμενον· οὗ τὰ ἄκρα τοῖς ἄκροις τῶν ἑκατέρωθεν κιόνων ἡρμόττετο, ὡς ἂν ἀλλήλους διακρατοῖεν οἱ κίονες· ὃν μέσον ἐκάλει μοχλόν. οἱ δὲ δ΄ ἄλλοι μοχλοὶ οὐκ ἐκ μέσου διείροντο, ἀλλ᾽ ἐκ τῆς ἔξωθεν ἐπιφανείας δακτυλίοις ἐμπεπηγόσι συνείχοντο, διακρατοῦντες πρὸς ἀλλήλους τοὺς κίονας.

κθ. Καὶ τοὺς στύλους καταχρυσώσεις χρυσίῳ· καὶ τοὺς δακτυλίους ποιή-

A σεις χρυσοῦς, εἰς οὓς εἰσάξεις τοὺς μοχλούς· καὶ καταχρυσώσεις τοὺς μοχλοὺς χρυσίῳ.

ΚΥΡΙΛΛΟΥ. Χρυσῇ δὲ τῷ στύλῳ κεφαλὴ, καὶ μὴν καὶ σῶμα χρυσοῦν. φύσεως γὰρ τῆς ἀνωτάτω καταπλουτεῖ τὸν ἐναυλισμὸν ὁ ἐκ Παρθένου ναός. σύμβολον δὲ Θεότητος ὁ χρυσὸς, ὑπεροχὴν ἔχων τὴν κατὰ πάντων τῶν ἐξ ὕλης (1) τυχὸν,
B τῆς ὁποιασοῦν λέγω.

λ. Καὶ ἀναστήσεις τὴν σκηνὴν κατὰ τὸ εἶδος τὸ δεδειγμένον σοι ἐν τῷ ὄρει.

λα. Καὶ ποιήσεις καταπέτασμα ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου, καὶ βύσσου νενησμένης· ἔργον ὑφαντὸν ποιήσεις αὐτὸ
λβ. Χερουβίμ. Καὶ ἐπιθήσεις αὐτὸ ἐπὶ τεσσάρων στύλων ἀσήπτων κεχρυσωμένων χρυσίῳ· καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ αἱ βάσεις αὐτῶν τέσσαρες ἀργυραῖ.

** ΚΥΡΙΛΛΟΥ. Τὸ καταπέτασμα τὸ ἐπὶ τεσσάρων στύλων χρυσῶν, ὧν αἱ βάσεις ἀργυραῖ, τὸ Χριστοῦ μυστήριον ὑπεδήλου τότε. τί γάρ; οὐχὶ καταπέτασμα τὸ σῶμα Χριστοῦ καὶ ὁ σοφὸς ἡμῖν ὠνόμασε Παῦλος,
Δ „ οὕτω λέγων, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσ- Ἑβρ. ι. κ.
„ φατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσμα-
„ τος, τουτέστι τῆς σαρκὸς αὐτοῦ;

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν δὲ ὄροφον εἶχεν ἐξ ὑφασμάτων ποικίλων, ἐκ διαφόρων κατεσκευασμένων χρωμάτων. τὸ μὲν γὰρ ἦν ἀλουργὲς, τὸ δὲ ῥοδοειδὲς, ἢ κοκκοβαφὲς, τὸ δὲ ὑακίνθῳ προσεοικός· ἡ δὲ βύσσος τὴν λευκὴν εἶχε χροιάν. καὶ ταῦτα
E δὲ τῶν τεσσάρων ἦν στοιχείων αἰνίγματα. ὁ μὲν γὰρ ὑάκινθος, τῷ ἀέρι προσέοικε· τὸ δὲ ῥοδοειδὲς, ἢ κοκκοβαφὲς, τῷ πυρί· τὸ δὲ ἀλουργὲς, μιμεῖται τὴν θάλασσαν· ἐκείνη γὰρ τρέφει τὴν κόχλον, ἐξ ἧς τὸ τοιοῦτον γίνεται χρῶμα· ἡ δὲ βύσσος, τὴν γῆν. ἐκ ταύτης γὰρ φύεσθαι λέγεται.

λγ. Καὶ θήσεις τὸ καταπέτασμα ἐπὶ τοὺς στύλους· καὶ εἰσοίσεις ἐκεῖ
Z ἐσώτερον τοῦ καταπετάσματος τὴν κιβωτὸν τοῦ μαρτυρίου· καὶ διοριεῖ τὸ καταπέτασμα ὑμῖν ἀναμέσον τοῦ ἁγίου καὶ ἀναμέσον τοῦ ἁγίου τῶν ἁγίων.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶχε δὲ αὕτη τῆς κτίσεως τὴν εἰκόνα. ὥσπερ γὰρ τὸν οὐρανὸν καὶ τὴν γῆν δημιουργήσας ὁ δεσπότης Θεὸς, μέσον πάλιν ἐξέτεινε τὸ στερέωμα, καὶ διώρισε τὰ ὑπερῷα τῶν κάτω· οὕτω
H μίαν μὲν γενέσθαι προσέταξε τὴν σκηνὴν, τριάκοντα μὲν πήχεων τὸ μῆκος, δέκα δὲ τὸ εὖρος ἔχουσαν· ἐν μέσῳ δὲ τὸ καταπέτασμα

(1) Ὡς ἐν ὕλης τυχὸν τῆς τοιᾶσδε λόγῳ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 318.

πέτασμα διατείνας ἐν τύπῳ τοῦ στερεώμα- A
τος, διχῆ διεῖλεν αὐτὴν, καὶ τὸ μὲν παρὰ
τὴν θύραν μέρος ἐκάλεσεν ἅγια, τὸ δὲ
„ τοῦ καταπετάσματος ἔνδον, ἅγια ἁγίων
Ψαλ. 113. 16. ὠνόμασε. καὶ ὥσπερ λέγει ὁ Δαβὶδ, ὁ οὐρα-
„ νὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε
„ τοῖς υἱοῖς τῶν ἀνθρώπων. οὕτω τὸ ἔξω μὲν
τοῦ καταπετάσματος, εἰσιτητὸν ἦν τοῖς
ἱερεῦσι· τὰ δὲ ἔνδον, ἄψαυστα ἦν εἰσιέναι;
καὶ ἄδυτα, καὶ ἀνάκτορα. τὸν ἀρχιερέα
γὰρ ἅπαξ τοῦ ἔτους νόμος ἦν εἰσιέναι. ἦν B
δὲ ἐκεῖ τὰ τῶν Χερουβὶμ εἰκάσματα, τύ-
πον τῶν ἀσωμάτων δυνάμεων ἔχοντα. ἐν
μέσῳ δὲ τούτων ἡ κιβωτὸς ἔκειτο, τὰς
πλάκας ἔχουσα τοῦ νόμου, καὶ τὴν στάμνον
τοῦ μάννα, καὶ τὴν ῥάβδον Ἀαρὼν τὴν
βλαστήσασαν. ἐπέκειτο δὲ ταύτῃ τὸ ἱλα-
στήριον ταῖς πτέρυξι τῶν Χερουβὶμ σκιαζό-
μενον. ἐν τούτῳ δὲ ὁ τῶν ὅλων Θεὸς τὴν
οἰκείαν ἐπιφάνειαν ἐποιεῖτο. ἐπειδὴ γὰρ
ἡ θεία φύσις ἀνείδεός τε καὶ ἀσχημάτιστος, Γ
ἀόρατός τε καὶ ἀπερίληπτος, καὶ τῆς
τοιαύτης οὐσίας εἰκόνα τεθῆναι παντά-
πασι τῶν ἀδυνάτων, τὰ σύμβολα τῶν με-
γίστων αὐτοῦ δωρεῶν ἔνδον κεῖσθαι προσέ-
ταξεν. αἱ μὲν γὰρ πλάκες τὴν νομοθε-
σίαν ἐδήλουν, τὴν δὲ ἱερωσύνην ἡ ῥάβδος,
τὸ δὲ μάννα τὴν ἐν ἐρήμῳ τροφὴν, καὶ
τὸν ἀχειροποίητον ἄρτον· τό γε ἱλαστή-
ριον, τῆς προφητείας σύμβολον ἦν. ἐκεῖ-
θεν γὰρ αἱ προῤῥήσεις ἐγίνοντο. ὥσπερ Δ
γὰρ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων
ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖ-
ται, οὕτω διὰ τούτων ὁ μεγαλόδωρος ἐγνω-
ρίζετο. τὰ μὲν οὖν ἔνδον τῆς σκηνῆς, τῶν
ἐπουρανίων εἶχε τὸν τόπον. διὸ καὶ ἅγια
„ τῶν ἁγίων ὠνόμασαι. καὶ ὅτι τοῦτο ἀλη-
θὲς, μάρτυς ὁ θεῖος Ἀπόστολος, οὕτω λέ-
Ἑβρ. 9. 24. γων· οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλ-
„ θεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν,
„ ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν ἐμφανι- E
„ σθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν.
καὶ πάλιν, περὶ τῆς θείας ἐλπίδος δια-
Ἑβρ. 6. 19, λεγόμενος, καὶ ταῦτα προσέθηκεν· ἣν ὡς
20. „ ἄγκυραν ἔχομεν ἀσφαλῆ τε καὶ βεβαίαν,
„ καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ κα-
„ ταπετάσματος· ὅπου πρόδρομος ὑπὲρ ἡμῶν
„ εἰσῆλθεν Ἰησοῦς, γενόμενος ἀρχιερεὺς κα-
„ τὰ τὴν τάξιν Μελχισεδέκ.

ΑΔΗΛΟΥ. Μᾶλλον ἅγιον ἁγίων καλεῖ Z
τὴν κιβωτὸν, τὴν εἴσω τοῦ καταπετάσ-
ματος οὖσαν· ἅγιον δὲ ἁπλῶς, τὰ ἔξω τοῦ
καταπετάσματος. οἷον, τὴν λυχνίαν, καὶ
τὴν τράπεζαν.

** ΤΟΥ ΝΥΣΣΗΣ. Ἀληθῶς ἅγιόν
τι χρῆμά ἐστι, καὶ ἁγίων ἅγιον, καὶ τοῖς
πολλοῖς ἄληπτόν τε καὶ ἀπρόσιτον, ἡ τῶν
ὄντων ἀλήθεια. ἧς ἐν τοῖς ἀδύτοις καὶ
ἀποῤῥήτοις τῆς τοῦ μυστηρίου σκηνῆς καθι-
δρυμένης, ἀπολυπραγμόνητον εἶναι χρὴ H
τῶν ὑπὲρ κατάληψιν ὄντων τὴν κατανόη- A
σιν· πιστεύοντες εἶναι μὲν τὸ ζητούμενον,
οὐ μὴν τοῖς ὀφθαλμοῖς πάντων προκεῖσθαι,
ἀλλ' ἐν τοῖς ἀδύτοις τῆς διανοίας μένειν
ἀπόῤῥητον.

*λδ. Καὶ κατακαλύψεις τῷ κατα-
πετάσματι τὴν κιβωτὸν τοῦ μαρτυρίου
ἐν τῷ ἁγίῳ τῶν ἁγίων.*

λε. Καὶ θήσεις τὴν τράπεζαν ἔξω- B
*θεν τοῦ καταπετάσματος, καὶ τὴν
λυχνίαν ἀπέναντι τῆς τραπέζης ἐπὶ
μέρους τῆς σκηνῆς τὸ πρὸς νότον· καὶ
τὴν τράπεζαν θήσεις ἐπὶ μέρους τῆς
σκηνῆς τὸ πρὸς βοῤῥᾶν.*

ΘΕΟΔΩΡΙΤΟΥ. Οὐκοῦν τὰ μὲν ἔνδον
τοῦ καταπετάσματος, τὴν τῶν οὐρανῶν
εἶχεν εἰκόνα· τὰ δὲ ἐκτὸς, τῶν ἐπιγείων.
Γ διὸ καὶ τοῖς ἱερεῦσι διηνεκῶς ἦν βατά. εἶχε
δὲ ταῦτα λυχνίαν μὲν ἐν τῷ νοτίῳ μέρει
κειμένην ἑπτάκαυλον, ἰσαρίθμους ἔχουσαν
λύχνους ἐπικειμένους. ἐδήλουν δὲ οὗτοι τῶν
ἡμερῶν τῆς ἑβδομάδος τὸν ἀριθμόν. τρά-
πεζαν δὲ ἐν τῷ βορείῳ χρυσῆν, ἐφ' ἧς
ἄρτους προκεῖσθαι προσέταξε δυωκαίδεκα.
καὶ φιάλας χρυσᾶς πλήρεις λιβανωτοῦ
καὶ ἁλῶν. ἐν δὲ τῷ μέσῳ τῆς λυχνίας καὶ
τῆς τραπέζης χρυσοῦν ἔκειτο θυμιατήριον.
Δ ταῦτα δὲ ἦν αἰνίγματα τῶν ἀπὸ γῆς τοῖς
ἀνθρώποις δεδωρημένων καρπῶν.

ΚΛΗΜΕΝΤΟΣ. Ἥ τε λυχνία ἐν τοῖς
νοτίοις ἔκειτο τοῦ θυσιαστηρίου· δι' ἧς αἱ τῶν
ἑπτὰ φωσφόρων κινήσεις δεδήλωνται, νο-
τίους τὰς περιπολήσεις ποιουμένων. τρεῖς
γὰρ ἑκατέρωθεν τῆς λυχνίας ἐκπεφύ-
κασι κλάδοι, καὶ ἐπ' αὐτοῖς οἱ λύχνοι·
ἐπεὶ καὶ ὁ ἥλιος ὥσπερ λυχνία μέσος τῶν
ἄλλων πλανητῶν τεταγμένος, τοῖς τε ὑπὲρ
E αὐτὸν, τοῖς τε ὑπ' αὐτὸν, κατά τινα θείαν
μουσικὴν ἐνδίδωσι τοῦ φωτός. [ἔχει δέ τι
καὶ ἄλλο αἴνιγμα ἡ λυχνία ἡ χρυσῆ, τοῦ
σημείου τοῦ Χριστοῦ, οὐ τῷ σχήματι μόνῳ, ἀλ-
λὰ καὶ τῷ φωτεμβολεῖν πολυτρόπως καὶ
πολυμερῶς τοὺς εἰς αὐτὸν πιστεύοντας, ἐλ-
πίζοντάς τε καὶ βλέποντας διὰ τῆς τῶν
πρωτοκτίστων (1) διακονίας. Φασὶ δ' εἶναι
„ ἑπτὰ ὀφθαλμοὺς Κυρίου τὰ ἑπτὰ πνεύμα- Ἀποκ. 5. 6.
„ τα, ἐπαναπαυόμενα τῇ ῥάβδῳ τῇ ἀνθούσῃ Ἡσ. 11. 1, 2.
Z ἐκ τῆς ῥίζης Ἰεσσαί.] πρὸς δὲ τοῖς βο-
ρείοις τοῦ θυσιαστηρίου (2) ἡ τράπεζα εἶχε
τὴν θέσιν: ἐφ' ἧς ἡ πρόθεσις (3) τῶν
ἄρτων· ὅτι τροφιμώτατα τῶν ἀνθρώπων
τὰ βόρεια. [εἶεν δ' ἂν μονάι τινες εἰς ἓν
σῶμα, καὶ σύνοδον μίαν συμπνεουσῶν ἐκ-
κλησιῶν· τά τε ἐπὶ τῆς ἁγίας κιβωτοῦ
ἱστορούμενα μηνύει τὰ τοῦ νοητοῦ κόσμου, τοῦ
ἀποκεκρυμμένου καὶ ἀποκεκλεισμένου τοῖς
πολλοῖς.] καὶ μὴν καὶ τὰ χρυσᾶ ἐκεῖνα
H ἀγάλματα· ἑξαπτέρυγον ἑκάτερον αὐτῶν·
εἴτε

(1) Τουτέστι τῶν Ἀποστόλων, καὶ τῶν ἄλλων τοῦ Χριστοῦ μαθητῶν; δι' ὧν εἰς τὴν σύμπασαν τὸ τοῦ εὐαγγελίου ἐξετάθη φῶς. (2) Τοῦ θυμιατηρίου. ἐν λόγ. 5. τῶν στρωματ. σελ. 667.

(3) Ἡ παράθεσις. αὐτ.

εἴτε τὰς δύω ἄρκτους, ὡς βούλονταί τινες, ἐμφαίνει· εἴτε, ὅπερ μᾶλλον, τὰ δύω ἡμισφαίρια. ἐθέλει δὲ τὸ ὄνομα τὸ (1) Χερουβὶμ δηλοῦν ἐπίγνωσιν πολλήν. δώδεκα δὲ πτέρυγας ἀμφότερα εἶχε, καὶ διὰ τοῦ ζωδιακοῦ κύκλου, καὶ τοῦ κατ' αὐτὸν φερομένου χρόνου, τὸν αἰσθητὸν κόσμον δηλοῖ.

ΘΕΟΔΩΡΟΥ. Ἡ δὲ λυχνία σύμβολον ἦν τῆς ἀποτελουμένης παρὰ τοῦ Θεοῦ ἡμέρας. ὅθεν καὶ ἑπτὰ τοὺς φωστῆρας εἶχε, σύμβολον τῆς ἑβδομάδος τῶν ἡμερῶν. οὕτω μὲν οὖν εἶχεν ἡ πρώτη σκηνή. λέγει δὲ καὶ τὰ τῆς δευτέρας. ἡ μὲν οὖν κιβωτὸς τῆς διαθήκης, τῆς τοῦ θείου θεραπείας τε καὶ ἐπιγνώσεως σύμβολον ἦν· αἱ δὲ ἐν αὐτῇ πλάκες τῆς διαθήκης καὶ ἡ τοῦ Ἀαρὼν ῥάβδος, τοῦτο ἐσήμαινον· τὸ τὴν περὶ τὸν Θεὸν θεραπείαν διά τε τῆς τῶν νομίμων πληροῦσθαι φυλακῆς, καὶ τῆς κατὰ τὴν ἱερατείαν λειτουργίας. ἡ δὲ τὸ μάννα ἔχουσα στάμνος, ὑπόμνημα ἦν τοῦ καιροῦ, καθ' ὃν ταῦτα παρὰ τοῦ Θεοῦ παιδευόμενοι, τὸ μάννα κατὰ τὴν ἔρημον διετρέφοντο. τὸ μέντοι χρυσοῦν θυμιατήριον, σύμβολον τοῦ δεκτὸν εἶναι τῷ Θεῷ καὶ ἡδὺ τὴν ἀπὸ τούτων πληρουμένην ἀρετήν. περὶ πάντα δὲ χρυσὸς, εἰς μήνυμα τοῦ πάντων εἶναι τῶν ἐπὶ γῆς τιμιωτέρων Θεῷ τὴν περὶ ταῦτα τῶν ἀνθρώπων ἐμμέλειαν. τὰ δὲ ὑπεράνω τούτων Χερουβὶμ, μήνυμα τῶν ἀοράτων καὶ λειτουργικῶν δυνάμεων· ὧν ἐν μέσῳ τούτων τὸν Θεὸν χρηματίζειν συνέβαινεν· ἐπειδὴ καὶ ταῖς ἀοράτοις δυνάμεσι, διακόνοις κεχρῆσθαι τῷ Θεῷ ἔθος, καὶ διὰ τούτων πάντα πληροῦν τὰ εἰς ὠφέλειαν συντείνοντα τῶν ἡμετέρων ψυχῶν.

ΓΕΝΝΑΔΙΟΥ. Τὴν μὲν λυχνίαν οἶμαι τὸ ἐκ τῶν αἰσθητῶν τούτων ἄστρων αἰνίττεσθαι φῶς· τὴν τράπεζαν δὲ, τὴν γῆν· τὴν δὲ πρόθεσιν τῶν ἄρτων, τὴν ἐκ τῆς γῆς τῶν ἡμῖν ἐπιτηδείων ἀνάδοσιν. αὕτη δὲ ἡ πρώτη σκηνὴ ἐπωνομάζετο ἅγια. μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ
Ἑβρ. 9. 3, 4. » ἡ λεγομένη ἅγια ἁγίων· χρυσοῦν ἔχουσα » θυμιατήριον, καὶ τὰ ἑξῆς. σύμβολον ταῦτα τῆς μελλούσης καταστάσεως· ὥσπερ οὖν τὰ πρῶτα, τῆς παρούσης ζωῆς. τὸ μὲν οὖν θυμιατήριον σημαίνειν μοι δοκεῖ τὸ κεχαρισμένην αὐτὴν εἶναι Θεῷ· τὸ δὲ μάννα, τὴν οὐράνιον καὶ πνευματικὴν τοῦ Σωτῆρος τροφήν· τὴν δὲ ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, τὸ τὴν ἱερωσύνην πρὸς τὸ ἀειθαλὲς ἐν Χριστῷ προβήσεσθαι καὶ τὸ τέλειον· τὰς δὲ πλάκας τῆς διαθήκης, τὰς τῆς καινῆς διαθήκης σαρκίνας πλάκας τῶν καρδιῶν· τὸν δὲ ἐν ἅπασι χρυσὸν, τὸ τιμιώτερα τῶν παρόντων εἶναι τὰ μέλλοντα.
Ἑβρ. 9. 5. » ὑπεράνω δὲ τῆς κιβωτοῦ Χερουβὶμ δό- » ξης, κατασκιάζοντα τὸ ἱλαστήριον. ἦν τὶ χρυσοῦν πέταλον Ἰουδαίοις πεποιημένον ἐπὶ τῆς κιβωτοῦ, καὶ ἱλαστήριον τοῦτο ἐκάλουν, ἀπὸ τοῦ τὸν Θεὸν ἐξιλεούμενον χρηματίζειν αὐτοῖς, ἐρωτῶσι περὶ τῶν κατεπειγόντων ἀπ' αὐτοῦ τὰ πρακτέα. ἐπὶ τούτῳ Χερουβὶμ ἔσωτα δύω πεποίητο, σύμβολα τῆς καθέδρας ὄντα τῆς θείας. διὰ τοίνυν τοῦ κατασκευάζοντος θρόνου τὸ ἱλαστήριον, τὸ παρεῖναί τε οἶμαι τὸν ἐν τῷ θρόνῳ, καὶ ἐπισκιάζειν ἐξιλεούμενον, ἐσημαίνετο.

λϛ. Καὶ ποιήσεις ἐπίσπαστρον (2) ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου, καὶ βύσσου κεκλωσμένης, ἔργον ποικιλτοῦ.

ΑΔΗΛΟΥ. Εἶδος καλύμματος. εἰς ὃ εἰσῄει ἡ κιβωτὸς, ὡς ἐπισπαστόν. ἀμέλει τοῦτο αὐτὸ καὶ καταπέτασμα ἐκαλεῖτο. ἀλλὰ τὸ κυρίως καταπέτασμα ἐν τάξει βήλου χαλᾶται· τὸ δὲ ἐπίσπαστον, ὡς σκηνὴ παστοειδὴς γίνεται. ἅπερ ἀμφότερα σκέπουσι πάντως τὸ εἴσοδον. ἢ ἐπίσπαστον λέγει τὸ καταπέτασμα τὸ ἔχον κρίκους, ὡς δι' αὐτῶν ἕλκεσθαι, καὶ διὰ τούτων συστέλλεσθαι.

ΑΔΗΛΟΥ. Τὸ μὲν καταπέτασμα τὸ δεύτερον, ὅτι διεῖργεν ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων, ὑφαντὸν ἦν Χερουβὶμ, καὶ ἐπετέθειτο ἐπὶ τέσσαρας κίονας χρυσοῦς, βάσεις ἔχοντας ἀργυρᾶς. τὸ δὲ καταπέτασμα τὸ τέταρτον τὸ πρὸ τοῦ ἁγίου, τὸ λεγόμενον ἐπίσπαστρον, ποικιλτὸν ἦν, καὶ οὐκ ἔτι ὡς τῷ δευτέρῳ Χερουβὶμ. ἐπετίθετο δὲ πέντε κίοσι, βάσεις ἔχουσι χαλκᾶς. τὴν δὲ διαφορὰν σκόπει ὅση.

** ΚΥΡΙΛΛΟΥ. Ἐπίσπαστρον μὲν ὀνομάζει τῆς θύρας τὸ περιτάνυσμα, διὰ τὸ, οἶμαι, λεπτοῖς κρίκοις ἀνόπιν ἕλκεσθαι, διϊχνευμένης τῆς εἰσβολῆς· ἀντεπισπᾶσθαι δὲ αὖ καὶ κατουρώσεσθαι τῶν θυρῶν, κρύπτειν τὰ ἅγια.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπίσπαστρον δέ φησι, δι' οὗ συνήγετό τε καὶ ἡπλοῦτο τὸ καταπέτασμα. ἕτερον, ὡς ἔοικε, καταπέτασμα καλύπτον τήν λυχνίαν τε καὶ τὴν τράπεζαν, ἐπὶ έ κιόνων κρεμάμενον, ὥσπερ ἐπὶ δ' τὸ πρῶτον. διὸ ὁ μὲν Ἀκύλας φη- » σὶ, καὶ ποιήσεις τῷ ἐπισπάστρῳ· οἱ δὲ ό, » καὶ ποιήσεις τῷ καταπετάσματι έ στύλους. τινὲς (3) δὲ κατὰ τοῦ προπύλου ταῦτα φασὶν, ὡς ἂν τὰ τῆς σκηνῆς τοῖς ἔξωθεν ὁρῶσιν ἀθέατα.

λζ. Καὶ ποιήσεις τῷ καταπετάσματι πέντε στύλους, καὶ χρυσώσεις αὐτοὺς χρυσίῳ· καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ. καὶ χωνεύσεις αὐτοῖς πέντε βάσεις χαλκᾶς.

ΚΕΦ.

(1) Τῶν Χερουβίμ. αὐτ.

(2) Ἐπίσπαστρον τῇ θύρᾳ τῆς σκηνῆς. ἡ ἐν Φρανεκ. ἐκδ. ὡσαύτως καὶ ἡ ἐν Κανταβριγ. ἡ δὲ τοῦ Ἀλδ. ἐπίσπαστρον τῇ θύρᾳ ἐξ ὑακίνθου.

(3) Ἰώσηπ. ἐν κεφ. 5. τοῦ 3. περὶ Ἰουδαϊκ. ἀρχαιολ. βιβλ. καὶ Φίλ. ὁ Ἑβρ. ἐν τῷ 3. περὶ Μωϋσ. λόγ. σελ. 667.

Kkk

ΚΕΦ. ΚΖ.

α. Καὶ ποιήσεις θυσιαστήριον ἐκ
ξύλων ἀσήπτων, πέντε
πηχέων τὸ μῆκος, καὶ πέν-
τε πήχεων τὸ εὖρος· τετράγωνον ἔσται
τὸ θυσιαστήριον, καὶ τριῶν πήχεων
β. τὸ ὕψος αὐτοῦ. Καὶ ποιήσεις τὰ κέ-
ρατα ἐπὶ τῶν τεσσάρων γωνιῶν. ἐξ
αὐτοῦ ἔσται τὰ κέρατα, καὶ καλύψεις
αὐτὰ χαλκῷ.

» ΑΔΗΛΟΥ. Θυσιαστήριον, ὅ ἐστι βωμός. ἐν ᾧ ἐγίνετο τὰ ἀπὸ τηγάνου, καὶ τὰ ἄλλα πάντα τὰ ἀπὸ πυρός.

** ΠΡΟΚΟΠΙΟΥ. Θυσιαστήριον δέ φασι, (1) καλεῖ τὸν ἐν ὑπαίθρῳ βωμὸν τῶν εἰσόδων τῆς σκηνῆς, ἄντικρυς ἀφεστῶτα τοσοῦτον, ὅσον ἱκανὸν λειτουργοῖς εἶναι διάστημα πρὸς τὰς καθ' ἑκάστην ἡμέραν ἐπιτελουμένας θυσίας. τὴν δὲ ἐν μεθορίῳ τῶν δ' καὶ ε' κιόνων, περὶ ὧν ἐρεῖ. ὅπερ ἐστὶν εἰπεῖν κυρίως πρόναον, εἰργόμενον δυσὶν ὑφάσμασι, τῷ μὲν ἔνδον, ὃ καλεῖται καταπέτασμα· τῷ δὲ ἐκτὸς, ὃ προσαγορεύεται κάλυμμα· ἔνθα τὴν καὶ τὸ θυσιαστήριον, καὶ ἡ λυχνία, καὶ ἡ τράπεζα.

ΚΥΡΙΛΛΟΥ. Πεντάπηχυ μὲν οὖν εὖρός τε καὶ μῆκος τὸ θυσιαστήριον. ἔδει γὰρ ἔδει μέτρων αὐτῷ; καὶ λίαν ἀφθονωτάτων. σχίζεσθαι (2) γὰρ ἐπ' αὐτῷ, καὶ βοῶν ἔμελλον ἀναφέρεσθαι τμήματα, καὶ ὁλοκαυτώσεις, οἵων τε καὶ τράγων ἀναφοραὶ καθιερούμεναι Θεῷ. ταύτητοι χαλκῆ καὶ ἐσχάρα καὶ πυρεῖον αὐτῷ, κρεάγραι τε καὶ φιάλαι, καὶ πάντα αὐτοῦ τὰ σκεύη, ὡς ἂν δύναιντο ταῖς κατὰ νόμον θυσίαις τὴν παρά γε σφῶν αὐτῶν εἰσκομίζοντα χρείαν, ταῖς τοῦ πυρὸς μὴ καταφθείρεσθαι προσβολαῖς. στεφάνην δὲ καὶ [τὰ] ἐπὶ ταῖς γωνίαις κέρατα τῷ τεχνουργήματος κάλλει προθήσομεν. ἄχαρι δὲ οὐδὲν παρὰ τῷ πανσόφῳ Θεῷ. πλὴν, ἐκεῖνο πάλιν φέρε δὴ λέγωμεν, ἀκριβῆ τὸν νοῦν ἐπερείδοντες τοῖς ἐφ' ἑκάστῳ θεωριζομένοις. θυσιαστήριον γενέσθαι προσέταξε ταῖς κατὰ νόμον θυσίαις ἐοικός τε καὶ πρέπον, ἀλλ' οὐδὲν ἐν αὐτῷ χρυσοῦν, καθάπερ ἀμέλει καταθεωρτότις ἂν ἐπίτε τῆς κιβωτοῦ, λυχνίας τε αὖ καὶ τραπέζης, καὶ τῶν ἀμφ' αὐτήν. τῆς θείας δὲ καὶ ἀκηράτου φύσεως τὴν κατὰ πάντων ὑπεροχὴν, καὶ ἀσύγκριτον λαμπρότητα, τὴν ὡς ἐν νοήσει λέγω, τὸ χρυσίον ἡμῖν καταδηλοῦν εὖ μάλα ἐλέγομεν. ἄθρει δὴ οὖν ἀχρύσωτον παντελῶς τῆς κατὰ νόμον λατρείας τὸ θυσιαστήριον, αἰνιγματώδους χρηματίσαντος (3) ἡμῖν τοῦ Θεοῦ καὶ μάλα σαφῶς, ὅτι πνεύματος ἁγίου πρόξενος ἥκιστα μὲν ὁ νόμος, τετίμηται δὲ οὐχὶ τῇ τοιαύτῃ χάριτι ἐν τῷ τύπῳ τῆς λατρείας ἡ δύναμις. πνεῦμα [γὰρ] τὴν δουλείας ἐπὶ τὸν Ἰσραήλ. ἀλλ' ἡμῖν τὸ δῶρον ἀπενεμήθη διὰ Χριστοῦ μετὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν. ἐνεφύσησε γὰρ
» λέγων, λάβετε πνεῦμα ἅγιον. τοιγάρτοι Ἰωάν. 20. 22.
Β καὶ Παῦλος προσφωνεῖ τοῖς πεπιστευκόσιν,
» οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς Ῥωμ. 8. 15.
» φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας,
» ἐν ᾧ κράζομεν, ἀββᾶ ὁ πατήρ.

γ. Καὶ ποιήσεις στεφάνην τῷ θυ-
σιαστηρίῳ, καὶ τὸν καλυπτῆρα αὐτοῦ, καὶ
τὰς φιάλας αὐτοῦ, καὶ τὰς κρεάγρας
αὐτοῦ, καὶ τὸ πυρεῖον αὐτοῦ, καὶ πάν-
Γ τα τὰ σκεύη αὐτοῦ ποιήσεις χαλκᾶ.

» ΑΔΗΛΟΥ. Εἰς τὸ, τὸν καλυπτῆρα αὐτοῦ. Εἶδος καυκίου, ἐν ᾧ ἀνέματτον σὺν τῷ ἐλαίῳ τὴν σεμίδαλιν. κεῖται ἐν τῷ δεκάτῳ
» ἕκτῳ Ἀριθμῷ, ἐν ᾧ φησὶ, τρυβλίον ἀρ- Ἀριθ. 7. 19.
» γυροῦν καὶ φιάλην, ἀμφότερα πλήρη σε-
» μιδάλεως ἀναπεποιημένης ἐλαίῳ.

ΑΔΗΛΟΥ. Κρεάγραι, τριοδόντια, ἐργαλεῖα χαλκᾶ, δι' ὧν ἀνέσπων τὰ κρέα
Δ ἐκ τῶν λεβήτων.

δ. Καὶ ποιήσεις ἐσχάραν ἔργῳ δι-
κτυωτῷ χαλκῆν· καὶ ποιήσεις τῇ ἐσχά-
ρᾳ τέσσαρας δακτυλίους χαλκοῦς ἐπὶ
τὰ τέσσαρα κλίτη.

ΑΔΗΛΟΥ. Ἕως τοῦ νῦν γίνεται τοῦτο· ἵνα ἐπὶ τῷ κοσκινώματι ἐπιτεθῇ κρέας, καὶ διὰ τῆς ἀτμῆς τῆς ἀναδιδομένης ἐκ τοῦ λέβητος ἑψηθῇ, μὴ ἐπιβαλλομένου ὕδα-
Ε τος. τὸ δὲ δικτυωτὸν τετραγωνοειδές ἐστι σχῆμα ὑπόμηκες· οὕτω καὶ αὕτη ἡ ἐσχάρα· καὶ περίθεμα καλεῖται, ὡς ἐπ' αὐτῆς τῶν κρεῶν ἐπιβαλλομένων.

ε. Καὶ ὑποθήσεις αὐτοὺς ὑπὸ τὴν
ἐσχάραν τοῦ θυσιαστηρίου κάτωθεν. ἔσται
δὲ ἡ ἐσχάρα ἕως τοῦ ἡμίσους τοῦ θυσια-
ς. στηρίου. Καὶ ποιήσεις ἀναφορεῖς τῷ
θυσιαστηρίῳ ἐκ ξύλων ἀσήπτων, καὶ
ζ. περιχαλκώσεις αὐτοὺς χαλκῷ. Καὶ
εἰσάξεις τοὺς φορεῖς εἰς τοὺς δακτυ-
λίους· καὶ ἔστωσαν οἱ φορεῖς κατὰ
τὰ δύο πλευρὰ τοῦ θυσιαστηρίου ἐν τῷ
η. αἴρειν αὐτό. Κοῖλον σανιδωτὸν ποιή-
σεις αὐτό· κατὰ τὸ παραδειχθέν σοι
ἐν τῷ ὄρει, οὕτω ποιήσεις αὐτό.

θ. Καὶ ποιήσεις αὐλὴν τῇ σκηνῇ·
Η εἰς τὸ κλίτος τὸ πρὸς νότον ἱστία τῆς
αὐλῆς

(1) Ὁ Φίλ. ὁ Ἑβρ. ἐν τῷ περὶ Μωϋσ. 3. λόγ. σελ. 668. καὶ ὁ Ἰώσηπ. ἐν τῷ 7. κεφ. τοῦ 3. περὶ Ἰουδαϊκ. ἀρχαιολ. βιβλ. (2) Σχίσαι. ἐν Τόμ. 1. μέρ. 2. σελ. 302. Ἴσ. δὲ σχίζαι, ὀρθότερ.
(3) Τὸ χρῆμα τιθέντος. αὐτ. σελ. 303.

αὐλῆς ἐκ βύσσου κεκλωσμένης· μῆκος
ι. ἑκατὸν πήχεων τῷ ἑνὶ κλίτει. Καὶ οἱ στῦλοι αὐτῆς εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ, καὶ οἱ κρίκοι αὐτῶν καὶ αἱ ψαλίδες ἀργυραῖ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ποιήσεις αὐλὴν τῇ σκηνῇ. Ταύτης ἐν μέσῳ ἦν ἡ σκηνή. ὅθεν ταύτης τοὺς στύλους οὐ δεῖ λαμβάνειν ἡρμοσμένους ἀλλήλοις, ὥσπερ αὐτῆς τῆς σκηνῆς, διαστάδὸν δὲ κατὰ τὰ μέσα φυλάττοντας. ε γὰρ εἶχον πήχεις μεταξύ. πῶς γὰρ ἂν καὶ περιεῖχον, ἰσάριθμοι τοῖς περιεχομένοις τυγχάνοντες; ἀνεῖχον δὲ τὰ ἱστία κύκλῳ τοῖς πλαγίοις ἐπερριμμένα, τοίχων δίκην, ἀλλ᾽ οὐ στέγης τρόπον, ὥσπερ οἱ τῆς σκηνῆς.

ια. Οὕτω τῷ κλίτει τῷ πρὸς βορρᾶν ἱστία ἑκατὸν πήχεων μῆκος· καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι χαλκοῖ, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ· καὶ οἱ κρίκοι αὐτῶν, καὶ αἱ ψαλίδες τῶν στύλων, καὶ αἱ βάσεις περιηργυρωμέ-
ιβ. ναι ἀργυρίῳ. Τὸ δὲ εὖρος τῆς αὐλῆς τὸ κατὰ θάλασσαν ἱστία πεντήκοντα πήχεων· οἱ στῦλοι αὐτῶν δέκα, καὶ
ιγ. αἱ βάσεις αὐτῶν δέκα. Καὶ εὖρος τῆς αὐλῆς τῆς πρὸς ἀνατολὰς ἱστία πεντήκοντα πήχεων· οἱ στῦλοι αὐτῶν δέκα, καὶ αἱ βάσεις αὐτῶν δέκα.
ιδ. Καὶ πεντεκαίδεκα πήχεων τῶν ἱστίων τὸ ὕψος τῷ κλίτει τῷ ἑνί· στῦλοι αὐτῶν τρεῖς, καὶ βάσεις αὐτῶν τρεῖς.
ιε. Καὶ τὸ κλίτος τὸ δεύτερον δεκαπέντε πήχεων τῶν ἱστίων τὸ ὕψος· στῦλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς.

** ΠΡΟΚΟΠΙΟΥ. Ἦν δὲ τὰ μὲν εἰς μῆκος ἱστία, πήχεων ρ' ἐξ ἑκατέρου μέρους· τὰ δὲ εἰς πλάτος, ν'· οἱ δὲ συνέχοντες κίονες, οἱ μὲν εἰς μῆκος πρὸς κ' ἑκατέρωθεν, οἱ δὲ εἰς πλάτος πρὸς ι'. τὸ δὲ ὕψος κύκλῳ, ιε' πήχεων. ἀλλ᾽ ἔξωθεν τῶν εἰρημένων κιόνων κατάτε μῆκος καὶ πλάτος ἑκατέρωθεν εὑρίσκομεν γ' καὶ γ' ἐξ ἑκατέρου κλίτους, καὶ δ' κατὰ τὴν εἴσοδον τῆς αὐλῆς. καὶ μήποτε τούτους ἐνυφασμένους δεῖ λαβεῖν τοῖς ἱστίοις ἐκ ποικιλίας. ὡς αὐ-
» τὸς ἔφη, ῥαφιδευτοῦ; τοιγαροῦν ἐπὶ τῶν ἄλλων τὰς ὕλας εἰπὼν, καὶ τὸν περικείμενον κόσμον ταῖς κεφαλίσι καὶ ταῖς βάσεσιν, ἐπὶ τούτων οὐδὲν τοιοῦτον προσέθηκε. τοὐναντίον δὲ, μετὰ τὸν τῶν δ' λόγον, ὥσπερ ἀντιδιαστέλλων αὐτοῖς τοὺς ἐν κύκλῳ;
» φησί· πάντες οἱ στῦλοι τῆς αὐλῆς αὐτῶν
» κύκλῳ κατηργυρωμένοι. τινὲς δὲ (1) τοὺς δ' πρὸ τῆς αὐλῆς ἑστάναι φασὶ, προπυλαίου χρείαν πληροῦντας, ἐπικειμένου παραπετάσματος καταντικρὺ τῆς σκηνῆς· ὡς ἂν μὴ ἐκ παρόδου πάλιν ὁρῷτο, ὥσπερ ἔνδον ἐν

A τῇ σκηνῇ, καὶ οἷον ἐκεῖνο τὸ παραπέτασμα. μήποτε οὖν καὶ οἱ γ' ἑκατέρωθεν κόσμου χάριν; προσγράφεται δὲ ἀντὶ μὲν τοῦ πρὸς λίβα, πρὸς νότον· ἀντὶ δὲ τοῦ πρὸς ἀπηλιώτην, πρὸς βορρᾶν, πρὸς τὸ σαφέστερον μεταποιηθέν. ἐπιφέρει γὰρ τὰ λοιπὰ δύο κλίματα, τό, τε πρὸς θάλασσαν, ὅ ἐστι πρὸς δύσιν, καὶ τὸ πρὸς ἀνατολάς.

ιϛ. Καὶ τῇ πύλῃ τῆς αὐλῆς κά-
B λυμμα· εἴκοσι πήχεων τὸ ὕψος ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου, καὶ βύσσου κεκλωσμένης τῇ ποικιλίᾳ τοῦ ῥαφιδευτοῦ· στῦλοι αὐτῶν τέσσαρες, καὶ αἱ βάσεις αὐτῶν τέσσαρες.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκ μέντοι τοῦ ἑῴου μέρους τὴν θύραν γενέσθαι προσέταξεν, ἵνα καὶ αὐτὸς ἀνίσχων ὁ ἥλιος, οἱόντινα
Γ προσκύνησιν προσφέρῃ τοῖς προπυλαίοις, εὐθὺς ἐκεῖσε τὰς ἀκτῖνας ἐκπέμπων· καὶ οἱ Θεῷ μόνῳ λατρεύειν προστεταγμένοι ὄπισθεν τὸν ἥλιον ἔχωσι πρὸς τὴν σκηνὴν τετραμμένοι, καὶ μὴ τοῦτον, ἀλλὰ τὸν τούτου ποιητὴν προσκυνῶσιν.

» ΑΔΗΛΟΥ. Τῇ ποικιλίᾳ τοῦ ῥαφιδευτοῦ, ἀντὶ τοῦ, οἱ στῦλοι ἐν τῷ ὑφάσματι γένωνται κεντητοὶ ἀπὸ ῥαφίδος, ἀγκόπλεκτοι οἱ λεγόμενοι.

Δ

ιζ. Πάντες οἱ στῦλοι τῆς αὐλῆς κύκλῳ χαλκοῖ, καὶ κατηργυρωμένοι ἀργυρίῳ, καὶ αἱ κεφαλίδες αὐτῶν ἀργυραῖ, καὶ αἱ βάσεις αὐτῶν χαλκαῖ.

ΚΥΡΙΛΛΟΥ. Ἀργύρῳ μὲν ἐκ κεφαλῆς εἰς πόδας καταγλαΐζεσθαι δεῖν εὖ μάλα φησί· βάσεσι δὲ αὖ ὑπερηρεῖσθαι χαλκαῖς, καὶ κεφαλίσιν ἀργυραῖς. τύπος δ᾽ ἂν εἶεν
E καὶ αὗται Χριστοῦ. Φωτὸς μὲν ὅτι διέλαμψε δίκην, αὐγαῖς δηλονότι ταῖς νοηταῖς ἀπαστράπτων ὡς Θεὸς, τοῦ ἀργύρου σημαίνοντος· ὅτι [δὲ] λαμπρὸς [καὶ] εὐηχὴς ὁ περὶ γῆν αὐτῷ πεποίηται λόγος, τουτέστι τὸ κήρυγμα τὸ εὐαγγελικὸν, τοῦ περιαργύρου χαλκοῦ ὑποφαίνοντος. εὐηχὴς μὲν γὰρ ὁ χαλκὸς, λαμπρὸν δὲ λίαν καὶ διαφανὲς τοῦ ἀργύρου τὸ χρῆμα. ἔνεστι δὲ τοῦτο τοῖς εὐαγγελικοῖς κηρύγμασι. καὶ κατίδοι τις ἂν τοῦ
Z Σωτῆρος τὸν λόγον, ἔχοντα μὲν τῆς εἰς ἄκρον εὐσεβείας τὸ ειδὲς καὶ καθαρὸν, ὅλην δὲ ὥσπερ περιβομβοῦντα τὴν οἰκουμένην. εἰ δὲ δήτις ἕλοιτο τοὺς ἁγίους Ἀποστόλους καὶ Εὐαγγελιστὰς, ὡς ἐν τοῖς τοιοῖσδε τυχὸν ἀνατυποῦσθαι στύλοις, λογιεῖται τὰ εἰκότα. καὶ γάρ εἰσιν ἀληθῶς ἄργυροι μὲν ὥσπερ, διὰ τὸ ἐν μεθέξει [γενέσθαι] Χριστοῦ
» τοῦ φωτίζοντος· τοιγάρτοι φαμὲν, καὶ Ψαλ. 89. 17.
» ἔσται ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ [ἡμῶν]
H ἐφ᾽ ἡμᾶς· ὀνομάζονται δὲ καὶ τοῦ κόσμου φῶς, χαλκῷ δὲ καὶ ἀργύρῳ μονονουχὶ ἐμβεβηκότες. ἐρεισμάτι γὰρ αὐτοῖς ὥσπερ τῷ

(1) Φίλ. ὁ Ἑβρ. ἐν τῷ περὶ βίου Μωϋσ. 3. λόγῳ σελ. 668.

τῷ λαμπρῷ τε καὶ εὐηχεστάτῳ κεχρῆσθαι
Ψαλ. 67. 11. λόγῳ. Κύριος γάρ φησι δώσει ῥῆμα τοῖς
„ εὐαγγελιζομένοις, καὶ τὰ ἑξῆς.

ιη. Τὸ δὲ μῆκος τῆς αὐλῆς ἑκατὸν ἐφ᾽ ἑκατόν· καὶ εὖρος πεντήκοντα ἐπὶ πεντήκοντα· καὶ ὕψος πέντε πήχεων ἐκ βύσσου κεκλωσμένης, καὶ αἱ βάσεις αὐτῶν χαλκαῖ.

ΚΥΡΙΛΛΟΥ. Ἄθρει δὴ οὖν, ὅτι στεναὶ μὲν αἱ πρῶται γεγόνασιν αὐλαὶ, καὶ εἰς τρίτην διήκουσαι δεκάδα πήχεων. εὖρος μὲν γὰρ αὐταῖς τέσσαρες, μῆκος δὲ εἰκοσιοκτώ. αἱ δὲ μετ᾽ ἐκείνας, εὐρεῖαί τε οὕτω καὶ μακραί. ἑκατὸν [γὰρ] ἐφ᾽ ἑκατὸν, καὶ πεντήκοντα ἐπὶ πεντήκοντα, βλέπουσαί τε ἡ μὲν εἰς ἠῶ, ἡ δὲ εἰς ἑσπέραν τε καὶ λίβα. ἢ οὐχὶ δὴ τοῦτό ἐστιν ἐναργῶς τὸ πάλαι παρηγγελμένον διὰ φωνῆς Ἡσαΐου πρὸς τὴν ἐν ἐσχάτοις καιροῖς ἀναδεδειγμέ-
Ἡσ. 54. 2, 3. νην ἐκκλησίαν; πλάτυνον τὸν τόπον τῆς
„ σκηνῆς σου, καὶ τῶν αὐλαιῶν σου, πῆξον,
„ μὴ φείσῃ, ἔτι εἰς τὰ δεξιὰ καὶ εἰς τὰ
„ ἀριστερὰ ἐκπέτασον. στενουμένη γὰρ ἐν ἀρχαῖς ἡ ἐκκλησία Χριστοῦ, λοιπὸν εἰς ἠῶ καὶ δύσιν, βοῤῥᾶν τε καὶ νότον ἐξευρύνεται, καὶ διὰ παντὸς ἥκει τόπου.

ιθ. Καὶ πᾶσα ἡ κατασκευὴ τῆς σκηνῆς, καὶ πάντα τὰ ἐργαλεῖα καὶ οἱ πάσσαλοι τῆς αὐλῆς χαλκοῖ.

κ. Καὶ σὺ σύνταξον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ λαβέτωσαν ἔλαιον ἐξ ἐλαιῶν ἄτρυγον καθαρὸν κεκομμένον εἰς φῶς, ἵνα καίηται λύχνος διαπαντός.

ΚΥΡΙΛΛΟΥ. Τὸ δὲ ἄτρυγον καθαρὸν κεκομμένον εἰς φῶς εἶναι τὸ ἔλαιον, σημαίνει, ὅτι τρυγὸς ὥσπερ ῥύπου παντὸς ἀπήλλακται παντελῶς ὁ περί γε τῶν θείων δογμάτων ὀρθός τε καὶ ἀληθὴς καὶ ἀμιγὴς τοῦ χείρονος λόγος· ὃς ἀεὶ τοῦ Σωτῆρος ἐγείρει τὸν φωτισμὸν, οὐκ αὐτὸς οἴκοθέν τι προσιθεὶς εἰς λαμπρότητα τῷ Χριστῷ· κομιδῇ γὰρ εὔηθες τὸ ἀνθρώπου νομίζειν δεῖσθαι αὐτόν· ἀλλ᾽ ὅτι φῶς τὸ ἀληθινὸν καὶ ἀπαύγασμα τοῦ πατρὸς ὑπάρχων ὁ Χριστὸς, τοῖς ὀρθοδοξοτάτοις τῶν διδασκόντων λόγοις, τοῦτο ὅπερ ἐστὶν ἀληθῶς ταῖς τῶν πιστευόντων διανοίαις φαίνεται.

ΑΔΗΛΟΥ. Ἔστι γὰρ καὶ ἐκ σπερμάτων λύχνος καιόμενος ἐν τῇ σκηνῇ, φησὶν, (1) ὁ μακάριος Βαπτιστής. ἔλαιον δὲ ἄτρυγον, τὴν ἀθόλωτον τοῦ παναγίου πνεύματος φύσιν, ἥτις συνέχει καὶ αὔξει τὸν ἐν τῇ ψυχῇ φωτισμόν.

ΑΔΗΛΟΥ. Λύχνος οὖν ὡς ἐν τύπῳ πάλαι καιόμενος, καὶ φαίνων διαπαντὸς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ὁ μακάριος ἦν Βαπτιστής. καὶ τὸ μὲν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου φαίνειν αὐτὸν, σημαίνει καλῶς, ὅτι δεκτὸς ἐν ἐκκλησίαις ὁ παρ᾽ αὐτοῦ φωτισμὸς, καὶ οὐκ ἔξω κείσεται τῆς ἱερᾶς τε καὶ θείας αὐλῆς τοῦ Σωτῆρος.

κα. Ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ἔξωθεν τοῦ καταπετάσματος τοῦ ἐπὶ τῆς διαθήκης καύσει αὐτὸν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἀφ᾽ ἑσπέρας ἕως πρωῒ ἐναντίον Κυρίου, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν παρὰ τῶν υἱῶν Ἰσραήλ.

ΚΥΡΙΛΛΟΥ. Τό γε μὴν ἔξω τοῦ καταπετάσματος ὁρᾶσθαι τὸν λύχνον, δηλοῖ ὅτι τὸν ἁπλούστερον καὶ εἰσαγωγικὸν εἰσοίσει φωτισμὸν τὸ εἰς μετάνοιαν βάπτισμα. (2)

ΤΟΥ ΑΥΤΟΥ. Τοὺς ἐν ταῖς Ἐκκλησίαις κατὰ καιρὸν ἱερουργοῦντας ὑποσημαίνουσι, τουτέστι τοὺς ἐν αὐταῖς διδασκάλους, καὶ τῶν θείων θυσιαστηρίων λειτουργούς. οὗτοι τὸν νοητὸν λύχνον, τουτέστι τὸν Ἰωάννην, ἀεὶ διαλάμποντα τηρεῖν ἐπιτάττον-
„ ται. τοῦτο γάρ ἐστι τὸ, καύσουσιν αὐτὸν ἀπὸ
„ ἑσπέρας ἕως πρωΐ. ὁ γὰρ σύμπας καιρὸς, ἐν ᾧ προσήκει τὸ τοῦ λύχνου φαίνεσθαι φῶς, τὸ μῆκός ἐστι τῆς νυκτὸς, δι᾽ οὗ σημαίνεται τοῦ παρόντος αἰῶνος τὸ μέτρον. φῶς γὰρ τὸν μέλλοντα νοοῦμεν αἰῶνα.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἔξωθεν δὲ τοῦ καταπετάσματος ἥτε τῶν λύχνων θέσις καὶ μὴν καὶ ἡ καῦσις. φῶς γὰρ ὑπάρχων κατὰ φύσιν ὁ Χριστὸς, οὐ δεῖται φωτὸς, ἀλλ᾽ ἡμῖν αὐτοῖς τοῖς ἔξω θεότητος, καθὸ γενητοῖς, τὸ ἴδιον ἐνίησι φῶς.

✱ ΤΟΥ ΑΥΤΟΥ. Ἄσβεστος γὰρ ὥσπερ ὁ παρὰ Χριστοῦ φωτισμὸς ἐν Ἐκκλησίᾳ σώζεται, ταῖς τῶν ἱερᾶσθαι κεκληρωμένων ἐπιεικείαις· οἳ ταῖς εἰς ὀρθότητα μυσταγωγίαις τὸν τῶν πιστευόντων καταλαμπρύνουσι νοῦν. τουτὶ γάρ οἶμαί ἐστι τὸ ἀνακαίεσθαι τοὺς λύχνους ἀπὸ ἑσπέρας ἕως πρωΐ· σκοτίαν δὲ εἶναί φαμεν τὴν ἐκ διαβόλου πλάνησιν, καὶ νοητὴν ὥσπερ τινὰ νύκτα κατὰ νοῦν ἀνθρώποις συμβαίνουσαν, τὰ τῶν ἀνοσίων αἱρετικῶν ἀφεγγῆ τε καὶ ἀμυδρὰ μυθάρια. διηνεκὲς οὖν ἄρα καὶ ἀκατάληκτον τοῦ Σωτῆρος τὸ φῶς ὁρῷτο ἂν ἐν Ἐκκλησίαις, διερμηνευόντων ὀρθῶς τὰ θεῖά τε καὶ εὐαγγελικὰ κηρύγματα τῶν ἐν αὐταῖς διδασκάλων.

ΘΕΟΔΩΡΙΤΟΥ. Πρὸ δὲ τῆς σκηνῆς ἔξω τὸ χαλκοῦν ἦν θυσιαστήριον, τὸ τὰ προσφερόμενα δεχόμενον θύματα. δηλοῖ δὲ τοῦτο περιττὰ εἶναι ταῦτα, καὶ μὴ ἀρεστὰ τῷ τῶν ὅλων Θεῷ. ὅθεν ἐπιτελεῖσθαι μὲν αὐτὰ συνεχώρησε διὰ τὴν Ἰουδαίων ἀσθένειαν, ἔξω δὲ τῆς σκηνῆς ἱερουργεῖσθαι προσέταξεν, ὡς τοῖς ἔνδον οὐκ ἀναγκαῖα. ἡμεῖς δὲ τὴν τοῖς ἔνδον ἀπονεμηθεῖσαν λειτουργίαν ἐπιτελοῦμεν. θυμίαμα γὰρ, καὶ λυχνιαῖον φῶς προσφέρομεν τῷ Θεῷ, καὶ τὴν μυστικὴν τῆς ἁγίας τραπέζης ἱερουργίαν.

ΚΕΦ.

(1) Ἴσ. ὁ Κύριλλος. τό δε γὰρ καὶ τὸ ἑπόμενον ὑπόμνημα συλλογαὶ τῶν ἐν Τόμ. 1. μέρ. 2. σελ. 344, καὶ 345. ἐοίκασιν εἶναι μετά καίτινος προσθήκης.

(2) Τοῦτό τε καὶ τὸ ἑπόμενον ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηνται.

ΚΕΦ. ΚΗ.

α. Καὶ σὺ προσαγάγου πρὸς σεαυτὸν τόν τε Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐκ τῶν υἱῶν Ἰσραὴλ, ἱερατεύειν ἐμοὶ Ἀαρὼν, καὶ Ναδὰβ, καὶ Ἀβιοὺδ, καὶ Ἐλεάζαρ, καὶ Ἰθάμαρ υἱοὺς Ἀαρών.

ΚΥΡΙΛΛΟΥ. Ὀνομαστὶ μὲν οὖν οἱ ἀπόλεκτοι κέκληνται πρὸς ἱερουργίαν. Ἑβρ. 5. 4. » οὐ γὰρ » ἑαυτῷ τὶς λαμβάνει τὴν τιμὴν, ἀλλ' ὁ κα» λούμενος ὑπὸ τοῦ Θεοῦ, κατὰ τὸ γεγραμμένον. ἴτω δὴ οὖν αὐτόμολος μηδεὶς εἰς τὸ ἱερᾶσθαι Θεῷ, περιμενέτω δὲ κλῆσιν. ὁ γοῦν ἁρπάζειν ἐπιχειρῶν ὃ μὴ ταῖς ἄνωθεν ἔχει ψήφοις, τὴν Δαθὰν καὶ Ἀβειρὼν ὑφέξει δίκην.

ΤΟΥ ΑΥΤΟΥ. Κέκληται μὲν ὥσπερ εἰς ἀρχιερέα Χριστὸς διὰ βουλῆς τοῦ πατρός. συγκέκληνται δὲ τρόπον τινὰ αὐτῷ, καὶ συνεργοὶ τέθεινται πρὸς ἱερουργίαν καὶ οἱ θεσπέσιοι μαθηταί. τοιγάρτοι 1. Κορ. 3. 9. καὶ διαῤῥήδην ἔφασκον, Θεοῦ γάρ ἐσμεν συνεργοί· περιεφοίτων δὲ αὖ καὶ τὴν ὑφήλιον πᾶσαν, ἱερουργοῦντες εἰς τὰ ἔθνη τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. κέκληνται μὲν γὰρ εἰς ἀποστολὴν [διὰ] Χριστοῦ, καὶ ἀληθὴς ὁ λόγος. ἀλλ' ἦν που πάντως θελητὸν τῷ πατρί. μία γὰρ ἐφ' ἅπασι τοῖς δρωμένοις ἡ ψῆφος, ὅτι καὶ βουλὴ καὶ σοφία καὶ θέλησις τοῦ πατρὸς ὁ υἱός. οὐκοῦν Ἀαρὼν τύπος ἂν εἴη Χριστοῦ, καὶ τῆς ἐν πνεύματί τε καὶ ἀληθείᾳ νοουμένης ἱερωσύνης οἱονεὶ προανάδειξις, ὡς ἐν σκιαῖς ἔτι ταῖς ἀμυδροτέραις. συνίες δὲ, ὅτι προστάττεται Μωσῆς προσάγεσθαι πρὸς ἑαυτὸν τὸν Ἀαρών. ἀσθενὴς γάρ πως καὶ ἀτελὴς ὁ νόμος, Ἑβρ. 10. 4, εἰ ἀπονοσφίζοιτο τοῦ Χριστοῦ. ἀδύνατον γὰρ 11, 14. » αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρ» τίας. Χριστὸς γὰρ μίαν ὑπὲρ ἁμαρτιῶν » προσενέγκας θυσίαν, τετελείωκεν εἰς τὸ » διηνεκὲς τοὺς ἁγιαζομένους. ἴσωσαν οὖν οἱ σκιᾶς ἔτι καὶ γράμματος φίλοι, καὶ μωσαϊκῶν ἐνταλμάτων ἀπρὶξ ἡμμένοι, ὡς εἰ μὴ προσαγάγοιντο πρὸς ἑαυτοὺς τὸν ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστὸν, εἰς οὐδὲν αὐτοῖς τῆς ἐν Z τύπῳ λατρείας καταλήξει τὸ σπούδασμα. ποῖα γὰρ εἰσὶν παρά γε τῷ φιλαρέτῳ Θεῷ τῆς ἐν νόμῳ ζωῆς τὰ αὐχήματα;

B

β. Καὶ ποιήσεις στολὴν ἁγίαν Ἀαρὼν τῷ ἀδελφῷ σου εἰς τιμὴν καὶ δόξαν.

* ΚΥΡΙΛΛΟΥ. Παῦλος μὲν ὁ σοφώτατος τοῖς ἐν πίστει δεδικαιωμένοις τὴν ἁγίαν ὄντως καὶ ἐξ οὐρανοῦ στολὴν ἀνάπτεσθαι δεῖν » συμβουλεύει, γράφων· ἐνδύσασθε τὸν Κύ- Ῥωμ. 13. 14. » ριον ἡμῶν Ἰησοῦν Χριστόν. τοῦτό τοι καὶ Ἡσαΐας ὁ προφήτης προανακεκράγει λέγων » ὡς ἐκ προσώπου τῆς ἐκκλησίας, ἀγαλλιάσθω Ἡσ. 61. 10. » ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με » ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης. ἔσθημα δὴ οὖν τὸ εἰς τιμὴν καὶ δόξαν ἀληθῶς τῷ ἱερῷ καὶ ἁγίῳ γένει, Χριστὸς, κόσμημά τε λαμπρὸν καὶ ὑπερκόσμιον ταῖς Γ » τῶν ἁγίων ψυχαῖς. ὅσοι γὰρ εἰς Χριστὸν Γαλ. 3. 27. » ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, φησί.

γ. Καὶ σὺ λάλησον πᾶσι τοῖς σοφοῖς τῇ διανοίᾳ, οὓς ἐνέπλησα πνεύματος αἰσθήσεως. καὶ ποιήσουσι τὴν στολὴν τὴν ἁγίαν Ἀαρὼν εἰς τὸ ἅγιον, ἐν ᾗ ἱερατεύσει μοι.

Δ

** ΚΥΡΙΛΛΟΥ. Θέα ὅπως τῆς συνέσεως τῆς παρὰ Θεοῦ, τῶν ἐσθημάτων τοὺς τεχνουργοὺς ἀναπεπλῆσθαί φησιν, εἰς εὐανθῆ ποικιλουργίαν ἀποκομίζοντος, καὶ τὴν Χριστοῦ τοῖς ἀμφίοις ἐγγράφοντος δόξαν.

δ. Καὶ αὗται αἱ στολαὶ, ἃς ποιήσουσι. τὸ περιστήθιον, καὶ τὴν ἐπωμίδα, καὶ τὸν ποδήρη, καὶ χιτῶνα κοσυμβωτὸν, καὶ κίδαριν, καὶ ζώνην. καὶ E **ποιήσουσι στολὰς ἁγίας Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς τὸ ἱερατεύειν μοι.**

ΑΛΛΟΣ. Περιβόλαιον, τὸ περιστήθειον. Ἄλλος, λόγιον. καὶ τὴν ἐπωμίδα. (1) δύω ἐπ' ἀμφοτέρων τῶν ὤμων ἐπιτιθέμεναι· ἢ δύω ὦμοι συνημμένοι ἔσονται.

ΑΔΗΛΟΥ. Εἶδός ἐστιν ἱματίου χιτὼν ἰάνθινος, (2) ἕως ποδῶν φθάνων. οὗτος καὶ ἐπενδύτης καλεῖται.

Kkk 3 ΑΔΗΛΟΥ.

(1) Ἐνδύεται τὸν λεγόμενον ἐφώδην, ἑλληνικῇ δ' ἐπωμίδι προσεοικότα. γίνεται γὰρ τοῦτον τὸν τρόπον· ὑφανθεὶς ἐπὶ βάθους χυαῖος ἔκπηχυ, χρωμάτων παντοίων καὶ χρυσοῦ πεποικιλμένου περίπυκλον τοῦ στέρνου τὸ μέσον καταλιμπάνει, χειρίσι τε ἠσκημένος, καὶ τῷ παντὶ σχήματι χιτὼν εἶναι πεποιημένος. τῷ δὲ διακένῳ τοῦ ἐνδύματος συνέσει περίτμημα σπιθαμῆς τὸ μέγεθος, χρυσῷ τε καὶ τοῖς αὐτοῖς τῷ ἐφώδει βάμμασι διηνθισμένον· ἐσσὴν μὲν καλεῖται, σημαίνει δὲ τοῦτο κατὰ τὴν Ἑλλήνων γλῶτταν, λόγιον. Ἰώσηπ. ἐν κεφ. 8. τοῦ περὶ Ἰουδαϊκ. ἀρχαιολογ. 3. βιβλ.

Ἱερὰν ἐσθῆτα κατεσκεύαζεν ὁ τεχνίτης τῷ μέλλοντι ἀρχιερεῖ καθίστασθαι, παγκάλην καὶ θαυμασιωτάτην, ἔχουσαν ἐν τοῖς ὑφάσμασι πλοκήν. τὰ δ' ὕφη διττὰ ἦν, τὸ μὲν ὑποδύτης, τὸ δὲ προσαγορευόμενον ἐπωμίς - - - Τὸ δὲ λόγιον τετράγωνον, διπλοῦν κατεσκευάζετο, ὡσανεὶ βάσις - - - Ὅλον δ' ἁλυσιδίοις χρυσοῖς ἀνήρτητο πρὸς τὴν ἐπωμίδα, σφιγγόμενον ἐξ αὐτῆς, ὑπὲρ τοῦ μὴ χαλᾶσθαι. Φίλ. ὁ Ἑβρ. ἐν τῷ 3. περὶ βίου Μωϋσ. λόγ. σελ. 670.

(2) Ἀρκτέον δὲ ἀπὸ τοῦ ποδήρους. οὗτος ὁ χιτὼν σύμπας ἐστὶν ὑακίνθινος. Φίλ. αὐτ. ἐν σελ. 671. ὁ δὲ Ἰώσηπ. (ἐν τῷ εἰρημ. κεφ.) Ἐπενδυσάμενος δὲ ἐξ ὑακίνθου πεποιημένον χιτῶνα. τὸ ἰάνθινος ἄρα, ἀναγνωστέον ὑακίνθινος.

ΑΔΗΛΟΥ. Κοσυμβωτὸν, συσφιγκτόν. εἰκὸς γὰρ αὐτὸν δι' ἁλύσεων καὶ κρίκων συσφίγγεσθαι ἐκ μέρους ὅλον δι' ὅλου διὰ τὸ εὔσολον.

Τὸ, κίδαριν, κατὰ τὸ Σαμαρειτικὸν, πηλίον, (1) ἤτοι καθ' ἑτέραν γραφὴν μίτραν.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τοῖς ἱερεῦσι δὲ παντοδαπὸν περιτέθεικε κόσμον, τὸν μὲν λαὸν καταπλήττοντα τῷ διαφόρῳ τοῦ σχήματος, αὐτοὺς δὲ τοὺς ἱερέας διδάσκοντα, ὅπως χρὴ τὴν ψυχὴν ὡραΐζειν, καὶ τὸν τῆς ἀρετῆς αὐτῇ κόσμον περιτιθέναι.

ΤΟΥ ΑΓΙΟΥ ΑΘΑΝΑΣΙΟΥ. Ὡς Ἀαρὼν τὸν ποδήρη, οὕτω καὶ ὁ λόγος ἔλαβε τὴν ἀπὸ γῆς ἀνθρωπίνην σάρκα, Μαρίαν ἀντὶ [τῆς] ἀνεργάστου γῆς ἐσχηκὼς μητέρα τοῦ σώματος· ἵνα ἔχων τὸ προσφερόμενον, αὐτὸς ὡς ἀρχιερεὺς ἑαυτὸν προσενέγκῃ. τούτου γὰρ ἦν τὰ παλαιὰ σκιά.

ΑΔΗΛΟΥ. Χιτῶνα δὲ, καὶ ποδήρη, καὶ τέλειον, καὶ ἐξ ἄκρων εἰς ἄκρα διήκοντα, ὡς μηδὲν ὑπάρχειν γυμνὸν ἀρετῆς, ἢ ἀκατακάλυπτον.

ε. Καὶ αὐτοὶ λήψονται τὸ χρυσίον, καὶ κόκκινον, καὶ τὴν ὑάκινθον, καὶ τὴν πορφύραν, καὶ τὴν βύσσον.

ΚΥΡΙΛΛΟΥ. Θέα δὴ οὖν, ὅτι διὰ τῶν αὐτῶν εἰδῶν, ἐξ ὧν ἡ σκηνὴ κατεσκευάσθη, καὶ ἡ τοῦ πρέχοντος ἐν ἱερωσύνῃ διεσκευάσθη στολὴ, τὴν Χριστοῦ δόξαν ὡς ἐν εἰκόνι δὴ πάλιν καὶ τύποις ὠδίνουσα. λόγοι γὰρ οἱ αὐτοὶ, γνῶσίς τε οὐχ ἑτέρα τὸ Χριστοῦ κάλλος καλασημαίνουσι. γινώσκεται γὰρ ὡς ἐν χρυσῷ μὲν, Θεός· ὡς ἐν τῇ πορφύρᾳ δὲ, τὸ βασίλειον ἔχων ἀξίωμα· καὶ ὡς ἐν βύσσῳ λεπτῇ, λόγος ἰσχυὸς καὶ ἀσώματος· ὡς ἐν κοκκίνῳ, διὰ τὴν σάρκα· ἐν ὑακίνθῳ γε μὴν ἀεροφανεῖ, τοιοῦτος γὰρ χρὼς, ὁ ὑακίνθινος διὰ τὸ ἄνωθεν καὶ ἐξ οὐρανοῦ. Θεὸς γὰρ ὁμοῦ καὶ βασιλεὺς ὁ ἐκ Θεοῦ πατρὸς λόγος. αἱ αὐταὶ τοιγαροῦν ἀπαραλλάκτως, καὶ ὡς ἐν θεωρίᾳ λεπτῇ τῶν ἐσθημάτων αἱ ὗλαι, καὶ μέντοι καὶ τῶν κατεσκευασμένων ἐν τῇ ἁγίᾳ σκηνῇ.

ΑΔΗΛΟΥ. Ὁ ἱερεὺς διὰ τὸ ποικίλον τῶν ἀρετῶν ἔχει τὴν ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου καὶ βύσσου στολήν· τὸν

A δὲ ποδήρη, ὡς μηδὲν ἔχων γυμνὸν ἀρετῆς ἀπ' ἄκρων ἕως τέλους· τὴν δὲ ζώνην, διὰ τὴν εὐκοσμίαν, φυλάττουσαν τὰ γονοποιὰ ἐν καθαρότητι. ἔχει δὲ καὶ ὑποδύτην, ὡς διὰ τῆς τῶν ἀρετῶν ἀναβάσεως γνῶσιν λαμβάνων τῶν λανθανόντων μυστηρίων.

ς. Καὶ ποιήσουσι τὴν ἐπωμίδα ἐκ βύσσου κεκλωσμένης, ἔργον ὑφαντὸν ποικιλτοῦ.

B ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκέλευσε δὲ αὐτῷ καὶ ἐφεστρίδα γενέσθαι, ἣν οἱ ἑβδομήκοντα ἐπωμίδα ἐκάλεσαν. ἐν δὲ ταῖς Βασιλείαις εὑρίσκομεν Ἐφοὺδ αὐτὴν κατὰ τὴν τῶν Ἑβραίων γλῶτταν ὠνομασμένην. αὕτη εἶχεν ἐφ' ἑκατέρου τῶν ὤμων δύο λίθους πολυτελεῖς, ἔχοντας τῶν φυλῶν τὰς προσηγορίας ἐγγεγραμμένας.

Γ ✱ ΚΥΡΙΛΛΟΥ. ["Υφασμάτι χιτῶνος ὡς ἐν εἴδει καὶ μέχρι στέρνου διῆκον γενέσθαι προσέταχεν, ὡς αὐτοῖς ἔσω τε καὶ ὡς ἐν χρῷ καὶ μέχρι ποδῶν ἐσθήμασιν ἐπενηνεγμένου, καὶ τὴν ἐκ χρυσοῦ καὶ πορφύρας ἀπαστράπτον αὐγὴν, τοῖς τῶν θεωμένων ὀφθαλμοῖς σεπτόν τε καὶ ἱεροπρεπὲς ἐντέκοι τὸ θαῦμα.] τοῦτο κέκληκεν ἐπωμίδα, διὰ τὸ, οἶμαι, βραχὺ τοῦ τεχνήματος, καὶ ἀμφοῖν δὴ μόλις ἐπιτετανύσθαι τοῖν ὤμοιν.

Δ ζ. Δύο ἐπωμίδες ἔσονται αὐτῷ συνέχουσαι αὐτῷ ἑτέρα τὴν ἑτέραν, ἐπὶ τοῖς δυσὶ μέρεσιν ἐξηρτημέναι.

ΚΥΡΙΛΛΟΥ. Δύο ἐπωμίδες ἐπ' ἀμφοτέρων τῶν ὤμων ἐπιτιθέμεναι, καὶ ἔχουσαι εἰς τὰ ἄκρα ἑαυτῶν ἀσπιδίσκας χρυσᾶς, ὡς ζώνας λεπτάς. δι' ὧν ἐπὶ νώτου συζευγνύμεναι ἐκ μέρους, καὶ ἐν τῷ στήθει ἐκ τοῦ ἄλλου μέρους ἐδεσμοῦντο, συνδεσ-

E μέμεναι ἔνθεν καὶ ἔνθεν τοῦ λογίου.(2)

ΑΔΗΛΟΥ. Αἱ δὲ ἐπωμίδες τύπον ἐπεῖχον φιλοπονίας, καὶ νοητῆς ἐργασίας.

ΣΕΥΗΡΟΥ. Φιλοπονίας δὲ τύπον ἐπλήρουν, καὶ νοητῆς ἐνεργείας τῶν ἀρετῶν. καὶ δηλοῖ τοῦτο τὸ γράμμα τὸ ἱερὸν περὶ τοῦ Ἰσάχαρ ἑνὸς τῶν παίδων τοῦ Ἰακὼβ, λέγων· ὑπέθετο τὸν ὦμον αὐτοῦ εἰς Γεν. 49. 15.
„ τὸ πονεῖν· καὶ ἐγένετο ἀνὴρ γεωργός.

η. Καὶ

(1) Πῖλος, κόσμος περικεφάλαιος, ὃν οἱ μὲν κυρβασίαν, οἱ δὲ τιάραν, ἄλλοι δὲ κίδαριν καλοῦσι. Σουΐδ. ἐν λεξ.

Ὑπὲρ δὲ τῆς κεφαλῆς φορεῖ πῖλον ἄκωνον, οὐ διηκνύμενον εἰς πᾶσαν αὐτὴν, ἀλλ' ἐπ' ὀλίγον ὑπερβεβηκότα μέσης. καλεῖται μὲν μασναεμφθής. τῇ δὲ κατασκευῇ τοιοῦτός ἐστιν, ὡς στεφάνη δοκεῖν, ἐξ ὑφάσματος λιναίου ταινία πεποιημένη παχεῖα. καὶ γὰρ ἐπιπτυσσόμενον ῥάπτεται πολλάκις. ἔπειτα σινδὼν ἄνωθεν αὐτὴν ἐκπεριέρχεται, διήκουσα μέχρι μετώπου, τήν τε ῥαφὴν τῆς ταινίας, καὶ τὸ ἀπ' αὐτῆς ἀπρεπὲς καλύπτουσα, καὶ ὅλῳ δὲ τῷ κρανίῳ γιγνομένη ἐπίπεδον. Ἰώσηπ. ἐν τῷ προδιαληφθ. κεφ.

Πρὸς δὲ καὶ κίδαρις κατεσκευάζετο. κιδάρει γὰρ οἱ τῶν ἑῴων βασιλεῖς ἀντὶ διαδήματος εἰώθασι χρῆσθαι - - - Κίδαριν δὲ ἀντὶ διαδήματος ἐπιτίθησι τῇ κεφαλῇ, δικαιῶν τὸν ἱερωμένον τῷ Θεῷ, καθ' ὃν χρόνον ἱερᾶται προφέρειν ἁπάντων, καὶ μὴ μόνον ἰδιωτῶν, ἀλλὰ καὶ βασιλέων. Φίλ. ἐν σελ. 671, καὶ 673.

Ἀλλὰ καὶ ὁ πῖλος ὁ χρυσοῦς, ὁ ἀνατεταμένος, τὴν ἐξουσίαν μηνύει τὴν βασιλικὴν τοῦ Κυρίου· εἴ γε ἡ κεφαλὴ τῆς Ἐκκλησίας ὁ Σωτήρ. σημεῖον γοῦν ἡγεμονικωτάτης ἀρχῆς ὁ πῖλος ὁ ὑπὲρ αὐτήν. ἄλλως τε ἀκηκόαμεν, ὡς εἴρηται καὶ τοῦ Χριστοῦ κεφαλὴ ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Κλήμ. ἐν βιβλ. 5. τῶν στρωμ.

(2) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

A η. Καὶ τὸ ὕφασμα τῶν ἐπωμίδων ὅ ἐστιν ἐπ' αὐτῷ, κατὰ τὴν ποίησιν ἐξ αὐτοῦ ἔσται ἐκ χρυσίου, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου διανενησμένου, καὶ βύσσου κεκλωσμένης.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Ταῦτα, τὰ σύμβολα τῶν στοιχείων τυγχάνουσιν, ἐξ ὧν τὰ πάντα συνέστηκεν, ἃ περιβαλλόμενοι εἰσῄεσαν εἰς τὰ ἅγια, δι' αὐτῶν ὑπὲρ τοῦ κόσμου τὸν Θεὸν ἱλεούμενοι. B ἡ βύσσος μὲν γὰρ, ἀντὶ τῆς γῆς· ὁ δὲ ὑάκινθος, ἀντὶ τοῦ ἀέρος· καὶ ἡ πορφύρα, ἀντὶ τοῦ ὕδατος· καὶ τὸ κόκκινον, ἀντὶ τοῦ πυρός.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ἃ δὲ διὰ τούτων μανθάνομεν, ταῦτά ἐστιν· ὅτι τὰ ἄνω τῆς περιβολῆς, ὅσα τῆς καρδίας ἰδίως γίνεται κόσμος, ἐκ πολλῶν καὶ διαφόρων κατακιρνᾶται. ἡ οὖν ὑάκινθος τῇ πορφύρᾳ συμπλέκεται· τῇ γὰρ καθαρότητι τῆς Γ ζωῆς ἡ βασιλεία συνέζευκται· κόκκος τῇ βύσσῳ συναναπλέκεται, ὅτι πέφυκέ πως τῷ τῆς αἰδοῦς ἐρυθήματι τὸ λαμπρόν τε καὶ καθαρὸν τοῦ βίου ἐμφύεσθαι· ὁ δὲ χρυσὸς τοῖς ἄνθεσι τούτοις συμπαραλάμπων, τὸν ἀποκείμενον τῷ τοιούτῳ βίῳ θησαυρὸν ὑπαινίττεται.

θ. Καὶ λήψῃ τοὺς δύω λίθους, [λίθους] σμαράγδου, καὶ γλύψεις ἐν αὐτοῖς τὰ ὀνόματα τῶν υἱῶν Ἰσραήλ. Δ

ΚΥΡΙΛΛΟΥ. Ὠχρὰ μὲν λίθος ἡ σμάραγδος. ἐνήχεται δὲ αὐτῇ τὸ αὐγοειδὲς ἐν βάθει, καὶ οἱονεὶ σκότῳ συγκέκραται φῶς, ἑκατέρου πρὸς ἑαυτὸ νικᾶν ἀνθέλκοντος. ἆρ' οὖν πρὸς τὸ ὕψος τε καὶ ἄνω βλέπων ὁ τοῦ σώματος ὀφθαλμὸς, καὶ κατατείνας εἰς τὸ βαθὺ πρὸς αἰθέρα καὶ οὐρανὸν, οὐχὶ τοιᾷδέ τινι προσβάλλει θέᾳ; ὠχρὸς γάρ πως, καὶ ὡς ἐν βάθει μέλας, E καὶ φωτὶ μετρίῳ συμμιγὴς ὁ ἀνωτάτω λίαν αἰθήρ. εἰκόνα δὴ οὖν οὐρανοῦ τὴν λίθον τὸ γράμμα τὸ ἱερὸν ποιεῖται. [καὶ] μήτοι θαυμάσῃς ὅτε καὶ σαπφείρῳ παρεικάζει πάλιν αὐτόν. ὠχρὰ γὰρ ἡ σάπφειρος, καὶ τῆς ἐν σμαράγδῳ θέας οὐ μακράν. Καὶ πάλιν. Οὐρανοῦ δὴ οὖν σημεῖον ἡ σμάραγδος, γεγραμμένον ἔχουσα κατὰ γένος τὸν Ἰσραὴλ, καὶ τόπον λαχοῦσα τὴν ἐπωμίδα. δι' οὗπερ ἔστι νοεῖν, ὡς οἵπερ ἂν Z εἶεν οἱ τὴν ἀπογραφὴν λαχόντες ἐν οὐρανῷ, οὗτοι πάντῃ τε καὶ πάντως ἐπαναπαύσονται τῷ Χριστῷ, μονονουχὶ καὶ ἐπ' ὤμων ἔχοντι, καὶ ὡς ἐν τάξει ποιμένῳ τοὺς ἀγαθούς.

ι. Ἓξ ὀνόματα ἐπὶ τὸν λίθον τὸν ἕνα, καὶ τὰ ἓξ ὀνόματα τὰ λοιπὰ ἐπὶ τὸν λίθον τὸν δεύτερον κατὰ τὰς γενέσεις αὐτῶν. H

A ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, τὸν πρῶτον Ῥουβὶμ, πρῶτον ἵνα τάξῃς, καὶ τὸν δεύτερον, καὶ ἁπλῶς ἕκαστον κατὰ τὴν τάξιν καὶ τὴν γέννησιν αὐτοῦ, ἕως τοῦ Βενιαμὶν τοῦ ἐσχάτου ἐν τῷ δευτέρῳ λίθῳ. (1)

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀναγκαίως δὲ καθ' ἑκάτερον τὸν λίθον ἓξ ὀνόματα ἐγγλύφεται· διότι καὶ τῶν ἡμισφαιρίων ἑκάτερον δίχα τέμνον τὸν ζωοφόρον, ἓξ ἐναπολαμβάνει ζώδια. B

ια. Ἔργον λιθουργικῆς τέχνης· γλύμμα σφραγίδος διαγλύψεις τοὺς δύω λίθους ἐπὶ τοῖς ὀνόμασι τῶν υἱῶν Ἰσραήλ.

ΑΔΗΛΟΥ. Οὕτω γλυφήτωσαν, ἵνα καὶ ἀπομάξασθαί τις δυνηθῇ ἐν καιρῷ τῶν ὀνομάτων τῆς γραφῆς.

Γ ιβ. Καὶ θήσεις τοὺς δύω λίθους ἐπὶ τῶν ὤμων τῆς ἐπωμίδος· λίθοι μνημοσύνου εἰσὶ τοῖς υἱοῖς Ἰσραήλ· καὶ ἀναλήψεται Ἀαρὼν τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ ἔναντι Κυρίου ἐπὶ τῶν δύω ὤμων αὐτοῦ, μνημόσυνον περὶ αὐτῶν.

** ΚΥΡΙΛΛΟΥ. Μνημόσυνον τὴν ἐν γε τοῖς λίθοις ἀπογραφὴν ἔσεσθαι, φησὶ, τοῖς υἱοῖς Ἰσραὴλ ἔναντι Κυρίου, μονονουχὶ Δ καὶ ἐνατενίζοντος ὡς ἐν Ἀαρών. εἰσδέχεται γὰρ ἡμᾶς ὁ Θεὸς καὶ πατὴρ εἰς ἀνάμνησιν ἐν Χριστῷ· καὶ γεγόναμεν ἐν αὐτῷ γνώριμοί τε καὶ ἐποπτείας ἄξιοι, καὶ ὡς ἐν βίβλῳ Θεοῦ.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Πατριάρχαι δὲ ταῖς ἐπωμίσιν ἐγγεγραμμένοι, οὐ μικρὰ πρὸς τὸν τοιοῦτον ἡμῖν καλλωπισμὸν συνεισφέρουσι. τοῖς γὰρ προλαβοῦσι τῶν ἀγαθῶν ὑποδείγμασι κατακοσμεῖται μᾶλλον ἡ E τῶν ἀνθρώπων ζωή.

ιγ. Καὶ ποιήσεις ἀσπιδίσκας ἐκ χρυσίου καθαροῦ.

ΚΥΡΙΛΛΟΥ. [Ἀσπιδίσκας δύω προσέταξε γενέσθαι ἐκ χρυσίου δὴ καθαροῦ,] εὐρυτέρας μὲν ἢ κατὰ νομίσματος κύκλον, ἐν εἴδει γε μὴν τῷ αὐτῷ. κυκλοτερὲς γὰρ τὸ νόμισμα.

Z ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Πάλιν δὲ τῷ κόσμῳ τῶν πέπλων ἕτερος ἄνωθεν ἐπιβάλλεται κόσμος· ἀσπιδίσκαι ἐκ χρυσίου καθ' ἑκατέρων τῶν ἐπωμίδων καθειμέναι, καὶ δι' ἑαυτῶν ἀνέχουσαί τι χρυσότευκτον ἐν τετραγώνῳ τῷ σχήματι, δώδεκα λίθοις καταλαμπόμεναι, στοιχηδὸν διακειμένοις.

ΤΟΥ ΑΥΤΟΥ. Τὸ μὲν δὴ σχῆμα τοῦ κόσμου, τοῦτο· ἡ δὲ διάνοια, ἡ μὲν τῶν ἀσπίδων τῶν καθειμένων ἀπὸ τῶν ὤμων, H τὸ περιδέξιον κατὰ τῆς τοῦ ἀντικειμένου ὁπλίσεως

(1) Ἐγγέγραπται δὲ τούτοις τῶν Ἰακώβου παίδων τὰ ὀνόματα γράμμασιν ἐπιχωρίοις γλώσσῃ τῇ ἡμετέρᾳ, κατὰ ἓξ τῶν λίθων ἑκατέρωθεν. οἱ πρεσβύτεροι δὲ εἰσι κατὰ ὦμον τὸν δεξιόν. Ἰώσηπ. ἐν τῷ S. κεφ. τοῦ 3. περὶ Ἰουδαϊκ. ἀρχαιολ. βιβλ.

ὁπλίσεως ὑπαινίττεται. ὥστε διχῇ τῆς ἀρετῆς κατορθουμένης, διά τε πίστεως καὶ τῆς κατὰ τὸν βίον τοῦτον ἀγαθῆς συνειδήσεως, πρὸς ἀμφότερα κατησφαλίσθαι ταῖς τῶν ἀσπίδων προβολαῖς, ἄτρωτον τῶν τοιούτων
2. Κορ. 6. 7. βελῶν διαμένοντα, διὰ τῶν ὅπλων τῆς δι-
» καιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν.

ιδ. Καὶ ποιήσεις δύω κροσσωτὰ ἐκ χρυσίου καθαροῦ, καταμεμιγμένα ἐν ἄνθεσιν, ἔργον πλοκῆς· καὶ ἐπιθήσεις τὰ κροσσωτὰ τὰ περιπεπλεγμένα ἐπὶ τὰς ἀσπιδίσκας, κατὰ τὰς παρωμίδας αὐτῶν ἐκ τῶν ἐμπροσθίων.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, ἐκ χρυσονήματος ὑφασμένα ἐν τῇ ὑφῇ. ἄνθη γάρ, οἷον ῥόδα, κρίνα, καὶ τὰ τοιαῦτα.

* ΚΥΡΙΛΛΟΥ. Σειρὰς εἶναί φαμεν τὰ κροσσωτά, ἐκπεποικιλμένην ἐχούσας τὴν ὡς ἐν χρώμασιν ὄψιν. ἄνθη γὰρ ἔφη τὰ χρώματα. βύσσος δὲ ἦν ἄρα καὶ πορφύρα ταυτί, [καὶ νῆμα χρυσοῦν, καὶ μὴν καὶ ὑάκινθος, καὶ κλῶσμα τὸ κόκκινον.]

ιε. Καὶ ποιήσεις λόγιον τῶν κρίσεων, ἔργον ποικιλτοῦ· κατὰ τὸν ῥυθμὸν τῆς ἐπωμίδος ποιήσεις αὐτὸ ἐκ χρυσίου, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου, καὶ βύσσου κεκλωσμένης.

Λόγιον. ὁ Ἑβραῖος, ἐσσήν.

» ΑΔΗΛΟΥ. Κατὰ τὸν ῥυθμὸν τῆς ἐπωμίδος, ἀντὶ τοῦ, κατὰ τὴν κατασκευὴν τῆς ἐπωμίδος ὑφανθὲν ἐκ χρυσίου, καὶ πορφύρας, καὶ κοκκίνου, καὶ βύσσου, καὶ ὑακίνθου· ἤτοι ἵνα ἔχῃ ἀλυσιδωτά, καὶ κρίνους, δι' ὧν ἐδεσμεύετο ταῖς ἐπωμίσι.

ΚΥΡΙΛΛΟΥ. Καὶ τοῦτο δὲ πάλιν ἐτύμως καὶ λίαν εὐλόγως τὸ ὡς ἐν καρδίᾳ καὶ σπλάγχνοις ἐπιτιθέμενον, λόγιον τῶν κρίσεων ὠνομάσθαι. δεῖγμα (1) γὰρ ὥσπερ τοῦ ἐν ἡμῖν λογικοῦ, καρδία καὶ σπλάγχνον. ἐνερήρεισται δὲ ὥσπερ καὶ ἐγκαταβέβληται φυσικῶς τῷ ἐν ἡμῖν λόγῳ καὶ ἡ ἐφ' ἑκάστῳ τῶν πρακτέων ὀρθή τε καὶ ἀδιάβλητος κρίσις, τουτέστιν ἡ δικαιοκρισία, καὶ τὸ ἐν ἑκάστῳ πρέπον. ἢ γὰρ οὐχὶ λόγος ὁ ἐν ἡμῖν τὰς τῶν πρακτέων ταλαντεύει φύσεις, καὶ ἀποκρίνει τῶν ἀμεινόνων τὸ ἄχαρί τε καὶ ἀλυσιτελές; κρίσιν δὲ ἔθος ὀνομάζειν τῇ θεοπνεύστῳ Γραφῇ τὴν ὀρθότητα καὶ δικαιοκρισίαν. καὶ γοῦν ὁ θεσπέσιος ψάλλει Δα-
Ψαλ. 105. 3. βίδ. μακάριοι οἱ φυλάσσοντες κρίσιν, καὶ
» ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ.

ΣΕΥΗΡΟΥ. Νοητῶς δὲ ὑποφαίνει τὴν τοῦ λογικοῦ καὶ ἡγεμονικοῦ τῆς ψυχῆς βεβασανισμένως κάθαρσιν· τούτου γὰρ ἔνδει-
A ξις ὁ χρυσός· καὶ τὴν παγίαν καὶ στερρὰν ἐν τοῖς καλοῖς κρίσιν, καὶ ἀμετάθετον, καὶ προκεκηρυγμένην ἅπασι, καὶ λαμπράν. ὅπερ οἱ διαφανεῖς λίθοι μηνύουσι· καὶ τῷ τετραπλῷ τῶν στίχων, τὸ ἐκ παντὸς περιπεφράχθαι μέρους.

ΑΔΗΛΟΥ. Τὸ λόγιον τὸ ἐπὶ τοῦ στήθους, τύπος ἐστὶ τοῦ δεῖν ἐν τοῖς καλοῖς τὴν κρίσιν ἔχειν ἀμετάθετον. δι' ὧν δὲ ἔχει τοὺς τέσσαρας λίθους, σημαίνει, ὡς δεῖ παν-
B ταχόθεν τὸ ἀσφαλὲς ἔχειν, καὶ περιπεφράχθαι.

ις. Ποιήσεις αὐτὸ τετράγωνον· ἔσται διπλοῦν, σπιθαμῆς τὸ μῆκος αὐτοῦ, καὶ σπιθαμῆς τὸ εὖρος.

ΑΔΗΛΟΥ. Πανίον (2) ἦν πέπλου μαρισμένον (3) ὅλον, ἔχον σπιθαμῆς τὸ μῆκος καὶ πλάτος, τὸ αὐτὸ ἰσοτετράγωνον.

Γ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Τὸ δὲ τετράγωνον ἐκεῖνο [κόσμιον,] τὸ τῶν ἀσπίδων ἑκατέρωθεν ἐξηρτημένον, ἐν ᾧ εἰσὶν οἱ ἐπώνυμοι τῶν φυλῶν πατριάρχαι τοῖς λίθοις καταγραπτοὶ, τοῦτο τῆς καρδίας προκάλυμμα γίνεται· παιδεύοντος ἡμᾶς τοῦ λόγου διὰ τοῦ σχήματος, ὅτι ὁ ταῖς δύω ταύταις ἀσπίσι τὸν πονηρὸν τοξότην ἀποκρουσάμενος, ταῖς τῶν πατριαρχῶν ἀρεταῖς κατακοσμήσει τὴν ἰδίαν ψυχήν, ἄλλου ἄλ-
Δ λως ἐν τῷ λόγῳ (4) τῆς ἀρετῆς διαλάμποντος. τὸ δὲ σχῆμα τοῦ τετραγώνου, ἐνδείξις σοι ἔστω τῆς ἐν τῷ καλῷ παγιότητος. δυσμετάθετον γὰρ τὸ τοιοῦτον σχῆμα, δι' ἴσου ταῖς γωνίαις ἐπὶ ταῖς εὐθείαις τῶν πλευρῶν ἐρειδόμενον. οἱ δὲ τελαμῶνες, δι' ὧν τὰ προκοσμήματα ταῦτα συνδεσμεῖται πρὸς τοὺς βραχίονας, δόγμα μοι δοκοῦσι πρὸς τὸν ὑψηλὸν βίον παρέχεσθαι, τὸ δεῖν συνάπτειν τὴν πρακτικὴν φιλοσοφίαν
E τῇ κατὰ τὴν θεωρίαν ἐνεργουμένῃ. ὥστε τὴν καρδίαν μέν, τῆς θεωρίας· τοὺς δὲ βραχίονας, τῶν ἔργων σύμβολα γίνεσθαι.

ΑΔΗΛΟΥ. Διπλοῦν δὲ ἦν, εἰς ἑαυτὸ τοῦ ῥάκους ὑπελιττομένου, καὶ ὑποφαίνοντος χρῆναι τὸν ἱερέα τὰς κινήσεις τῆς διανοίας τὰς λογικὰς ἀναλύειν ὥσπερ εἰς ἑαυτάς, καὶ ταῖς μερίμναις διπλασιάζειν, ὡς πάντοθεν ἔχειν τὸ ἀσφαλές.

Z ΑΔΗΛΟΥ. Διπλοῦν δὲ ἦν, σημαῖνον, ὡς δεῖ τὸν ἱερέα τὰς λογικὰς κινήσεις ἀναλύειν ὥσπερ εἰς ἑαυτάς, καὶ ταῖς μερίμναις διπλασιάζειν. ἡ δὲ δήλωσις καὶ ἀλήθεια, ὅτι ὁ τοιοῦτος ἱερεὺς κατὰ τὰς ἄνωθεν ἀποκαλύψεις τῶν θείων καὶ ἀληθῶν δογμάτων καταστράπτεται.

**ιζ. Καὶ καθυφανεῖς ἐν αὐτῷ ὕ-
» φασμα κατάλιθον τετράστιχον. στίχος λίθων**

(1) Ἐνδιαίτημα γάρ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 383.
(2) Παρὰ τοῦ Πάνα, ὃν τῆς ὑφαντικῆς κατάρξαι λέγουσιν. Εὐστάθ. παρὰ Στεφάν. τῷ Ἐρρίκ. ἐν τῷ λεξ.
(3) Ἴσ. μαρυσμένον ἰωνικῶς, ἀπὸ τοῦ μηρύω, τὸ ἐκλείνω, τὸ κλώθω, τὸ ἕλκω, τὸ συνάγω.
(4) Ἐν τῷ πέπλῳ. ἐν τῇ εἰς τὸν βίον Μωϋσ. θεωρ.

λίθων ἔσται, σάρδιον, τοπάζιον, καὶ σμάραγδος ὁ στίχος ὁ εἷς.

Οἱ λοιποὶ, καὶ πληρώσεις ἐν αὐτῷ πληρώματα λίθων, ἀντὶ τοῦ, διάλιθον, καμματορικὸν (1) ἔργον.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Τέτταρες δὲ οἱ στίχοι, τριάδα λίθων ἕκαστος περιέχοντες, [ἐν] αἷς οὐκ ἦν εὑρεῖν τινὰ ὁμοειδῆ πρὸς τὴν ἑτέραν, ἀλλ' ἐν ἰδιαζούσαις αὐγαῖς ἑκάστη ἐκαλλωπίζετο.

* ΚΥΡΙΛΛΟΥ. Τέτακτο δὲ ἀνὰ τρεῖς, καὶ ὡς (2) τέσσαρσι στίχοις, τὸ ἑδραῖον, καὶ πίστιν (3) τὴν τῆς τριάδος σκιαγραφούσης ἡμῖν τῆς τοιᾶσδε θέσεως. πίστεως μὲν γὰρ, τὸ ἀνὰ τρεῖς, [καὶ ὡς] ἐν τριάδι σύμβολον· ἑδραιότητος δὲ, τὸ ὡς ἐν τετραγώνῳ τε καὶ ἰσοπλεύρῳ σχήματι γενέσθαι. πεποίητο γὰρ οὕτω τὸ λόγιον, ἐφ' ᾧ καὶ οἱ λίθοι. (4)

ιη. Καὶ ὁ στίχος ὁ δεύτερος, ἄν-
ιθ. θραξ, καὶ ἴασπις. Καὶ ὁ στίχος ὁ τρί-
τος, λήγυρις, (5) καὶ ἀχάτης, καὶ
κ. ἀμέθυσος. Καὶ ὁ στίχος ὁ τέταρτος,
χρυσόλιθος, καὶ βυρίλλιον, (6) καὶ
ὀνύχιον, περικεκαλυμμένα χρυσίῳ,
[συνδεδεμένα ἐν χρυσίῳ·] ἔστωσαν ὀνό-
ματα κατὰ στίχον αὐτῶν.

κα. Καὶ οἱ λίθοι ἔστωσαν ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραὴλ δυωκαίδεκα κατὰ τὰ ὀνόματα αὐτῶν· γλυφαὶ σφραγίδων, ἕκαστος κατὰ τὸ ὄνομα ἔστωσαν εἰς δυωκαίδεκα φυλάς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οἱ κατὰ στέρνα δώδεκα λίθοι ταῖς χροιαῖς οὐχ ὅμοιοι, διανεμηθέντες εἰς τέσσαρας στίχους ἐκ τριῶν, τίνος ἑτέρου δείγματ' εἰσὶν, ἢ τοῦ ζωδιακοῦ κύκλου; καὶ γὰρ οὗτος τετραχῆ διανεμηθεὶς ἐκ τριῶν ζωδίων, τὰς ἐτησίους ὥρας ἀποτελεῖ.

κβ. Καὶ ποιήσεις ἐπὶ τὸ λόγιον κροσσοὺς συμπεπλεγμένους, ἔργον ἁλυσιδωτὸν χρυσίου καθαροῦ.

Ἁλυσιδωτόν. Σύμμαχος, βροχωτόν.

κγ. (7) Καὶ ποιήσεις ἐπὶ τοῦ λο-
γίου δύω δακτυλίους χρυσοῦς· καὶ δώ-
σεις τοὺς δύω δακτυλίους ἐπὶ τῶν δύω
κδ. ἄκρων τοῦ λογίου. Καὶ δώσεις τὰ δύω
ἁλυσιδωτὰ τὰ χρυσᾶ ἐπὶ τοῖς δυσὶ
δακτυλίοις ἐπὶ τὸ ἄκρον τοῦ λογίου.
κε. Καὶ τὰ δύω ἄκρα τῶν δύω ἁλύσεων
δώσεις ἐπὶ τῶν δύω συσφιγκτῶν, καὶ
δώσεις ἐπὶ τοὺς ὤμους τῆς ἐπωμίδος
Α ἐπὶ τὸ μέτωπον τοῦ προσώπου αὐτοῦ.
κς. Καὶ ποιήσεις δύω δακτυλίους χρυσοῦς,
καὶ θήσεις αὐτοὺς ἐπὶ τὰ δύω ἄκρα τοῦ
λογίου ἐπὶ τοῦ χείλους αὐτοῦ, ὅ ἐστιν εἰς
κζ. τὸ μέρος τῆς ἐπωμίδος ἔσωθεν. Καὶ
ποιήσεις [δύω] δακτυλίους χρυσοῦς, καὶ
δώσεις αὐτοὺς ἐπὶ τοὺς δύω ὤμους τῆς
ἐπωμίδος κάτωθεν αὐτοῦ κατὰ πρόσω-
πον, κατὰ τὴν συμβολὴν αὐτῶν ἐπά-
Β νω τοῦ μηχανώματος τῆς ἐπωμίδος.

κη. Καὶ συσφίγξουσι τὸ λόγιον ἐκ τοῦ δακτυλίου αὐτοῦ εἰς τὸ δακτύλιον τῆς ἐπωμίδος ἐν κλώσματι ὑακινθίνῳ, ἵνα ᾖ ἐπὶ τοῦ μηχανώματος τῆς ἐπωμίδος, καὶ οὐ μὴ ἀποσπάσῃς τὸ λόγιον ἀπὸ τῆς ἐπωμίδος.

» ΑΔΗΛΟΥ. Μὴ ἀποσπάσῃς τὸ λόγιον
Γ » ἀπὸ τῆς ἐπωμίδος, ἀντὶ τοῦ, δεῖ καὶ λόγον ἔχειν τὸν ἱερέα, καὶ ἔργα ἐπίπονα καὶ ἐνάρετα.

κθ. Καὶ λήψεται Ἀαρὼν τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τοῦ λογίου τῆς κρίσεως ἐπὶ τοῦ στήθους, εἰσιόντι εἰς τὸ ἅγιον μνημόσυνον ἐναντίον τοῦ Θεοῦ διαπαντός.

Δ * ΚΥΡΙΛΛΟΥ. [Λόγιον οὖν ἄρα κρίσεως τὸ καρδίᾳ καὶ στέρνοις ἐπερριμμένον, διὰ τὸ ὥσπερ ἐν τόπῳ κεῖσθαι τοῦ λογικοῦ, ἐν ᾧ καὶ ἡ ὀρθότης ἐν δικαιοσύνῃ. ἐν αὐτῷ δὲ τούτῳ λίθοι δυωκαίδεκα χρυσίῳ περισχετοὶ, γραφὴν ἔχοντες τὰς φυλάς.] εἶεν δ' ἂν τύπος ἀνδρῶν ἁγίων, οἳ λαμπρότατοι καὶ τίμιοι, καὶ οἷά τινες ἀπόλεκτοι λίθοι, μονονουχὶ καὶ εἰς νοῦν καὶ καρδίαν κείμενοι τοῦ Χριστοῦ. καὶ γάρ εἰσιν
Ε ἀληθῶς μνήμης ἄξιοι, διά γε τὸ ἐν ἀρετῇ διαφανὲς, καὶ τὸ ὡς ἐν ἁγιασμῷ τίμιον.

λ. Καὶ θήσεις ἐπὶ τὸ λόγιον τῆς κρίσεως τοὺς κροσσούς· τὰ ἁλυσιδωτὰ ἐπ' ἀμφοτέρων τῶν κλιτῶν τοῦ λογίου ἐπιθήσεις.

* ΚΥΡΙΛΛΟΥ. Ἀπεκρέμαντο δὲ τοῦ λογίου τῶν κρίσεων καὶ κροσσοὶ χρυσοῖ, παραδηλοῦντος, οἶμαί που, τοῦ πράγματος,
Ζ ὅτι τῆς τῶν ἁγίων πληθύος πολύς τε καὶ ἀναρίθμητος [τῶν] ἀνδραγαθημάτων ἑσμὸς μονονουχὶ καὶ ἀπηρτημένος ὁρᾶται. καὶ γοῦν ὁ μακάριος Δαβὶδ τῆς ἐκκλησίας
» τὸν κόσμον ἐν κροσσωτοῖς εἶναί φησι. Ψαλ. 44. 13.

λα. Καὶ τὰς δύω ἀσπιδίσκας ἐπιθήσεις ἐπ' ἀμφοτέρους τοὺς ὤμους τῆς ἐπωμίδος κατὰ πρόσωπον.

(1) Ἴσ. καματηρόν. (2) Καὶ ἐν ὅλοις τέσσαρσιν. ἐν Τόμ. 1. μέρ. 2. σελ. 385.
(3) Ἐν πίστει τῶν ἐν καρδίᾳ καὶ μνήμῃ Χριστοῦ σκιαγραφ. κτ. αὐτ.
(4) Αἱ λίθοι δυωκαίδεκα. αὐτ. (5) Λιγύριον. ἡ ἐν Φρανεκ. ἔκδοσ. (6). Βηρύλλιον. ἡ αὐτ.
(7) Τὸ 23, 24, 25, 26, 27, καὶ 28. ἐδάφ. ἡ ἐν Φρανεκ. ἔκδοσ. καθ' ἣν τὴν τῶν ἐδαφ. διαίρεσιν πεποιήκαμεν, οὐ περιέχει. διῄρηται δὲ ταῦτα κατὰ τὴν ἐν Ὀξον. ἔκδοσ.

ΚΥΡΙΛΛΟΥ. Χρυσᾶ δὲ τοῦ βασιλέως τὰ ὅπλα, χρυσαῖ δὲ ὁμοίως αἱ ἀσπιδίσκαι, τὴν τοῦ Θεοῦ πανοπλίαν αἰνιγματωδῶς ὑποφαίνουσαι. ἐσόμεθα δὴ οὖν οὐχ ἑτέρως ἐν μνήμῃ τε καὶ ἐν ἀπογραφῇ Θεοῦ, μὴ οὐχὶ δὴ τῶν ὅπλων τῆς δικαιοσύνης ἁψάμενοι, καὶ δι᾽ αὐτῶν ἰόντες πρακτικῶς. A

ΤΟΥ ΑΥΤΟΥ. Τό γε δὲ τῆς ἐπωμίδος ἀνῆφθαι τὸ λόγιον, κατασημαίνειν οἶμαι πως τὸ τοῖς ἄνω συνῆφθαι τὰ κάτω, με-
Ἐφεσ. 2. 14. σιτεύοντος τοῦ Χριστοῦ. αὐτὸς γάρ ἐστιν ἡ
» εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ πάντα, καὶ τῆς τῶν οὐρανίων πληθύος τῷ συνδέσμῳ τῆς ἀγάπης ἀπαρτήσας τὰ ἀνθρώπινα.

ΑΔΗΛΟΥ. Ἐπειδὴ προσήκει τὸν ἀρχιερέα καὶ ἔμπροσθεν καὶ ὄπισθεν, καθάπερ ἀσπίδα περιφέρειν τὴν φυλακτικὴν ἐπιμέλειαν, μή πως τὶς ἐναντία βολὴ τῶν τῆς πονηρίας πνευμάτων τὸ λογικὸν τρώσειε, καὶ τὸ δόκιμον τῶν κρίσεων συνταράξειε, καὶ τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν τῇ ἐπιμιξίᾳ τῆς κακίας ἀποσβῆναι ποιήσειε.

λβ. Καὶ ἐπιθήσεις ἐπὶ τὸ λόγιον τῆς κρίσεως τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν· καὶ ἔσαι ἐπὶ τοῦ στήθους Ἀαρὼν, ὅταν εἰσπορεύηται εἰς τὸ ἅγιον ἔναντι Κυρίου· καὶ οἴσει Ἀαρὼν τὰς κρίσεις τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τοῦ στήθους ἔναντι Κυρίου διαπαντός.

» ΑΔΗΛΟΥ. Τὴν δήλωσιν καὶ τὴν ἀλή-
» θειαν. οἱ λοιποὶ, τοὺς φωτισμοὺς καὶ τὰς τελειότητας. λέγουσι δέ τινες, ὅτι σεληνίτης ἦν λίθος, δι᾽ οὗ διεγίνωσκεν ὁ ἱερεὺς τὰ ἐσόμενα τῷ λαῷ, τοῦ λίθου εἰς χροιάς τινας μεταβαλλομένου, καὶ ἐκ τούτου μανθάνων. (1) ὁ δὲ μακάριος Κύριλλος, τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν δύω λίθους τιμίους λέγει ἐν τῇ πρὸς Ἀνατολικοὺς ἐπιστολῇ. (2) τὸ δὲ ἐξ αὐτῶν γνωρίζεσθαι τὰ κατὰ τοῦ λαοῦ, ἢ ὑπὲρ τοῦ λαοῦ, ἔστι στοχάσασθαι καὶ ἐκ τῶν ῥητῶν τούτων, οὕτω λε-
» γόντων· καὶ ἐπιθήσεις ἐπὶ τὸ λόγιον τὴν δήλωσιν, καὶ τὰ ἑξῆς. δοκεῖ δὲ ὁ λόγος αἰνίττεσθαι, ὅτι τὰ ὁριζόμενα παρὰ τοῦ Θεοῦ εἰς τὸν λαὸν διὰ τῶν λίθων τούτων ἐφανεροῦτο. κεῖται δὲ τὰ ῥητὰ ἐν τῷ λβ´ ἀριθμῷ.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐν δὲ τῷ στήθει τὸ καλούμενον λόγιον, τὴν λογικὴν συγκαλύπτον καρδίαν. εἶχε δὲ καὶ τοῦτο δυοκαίδεκα λίθους προσηρμοσμένους, διάφορον ἔχοντας χροιάν. διὰ δὲ τούτων ἐδηλοῦντο, πολέμου συγκροτηθέντος, ἡ νίκη, ἢ ἧττα. καὶ τοῦτο τῶν Βασιλειῶν ἡ ἱστορία διδάσκει. ἐπιστρατευσάντων γὰρ τῶν ἀλλοφύλων τοῦ Ἰσραὴλ, οὐ πρότερον ἐτόλμησεν ὁ Σαοὺλ παρατάξασθαι, ἕως εἶδε τὰ τῆς νίκης μη-
B » νύματα. προσάγαγε γάρ φησι τὸ Ἐφούδ· 1. Βασ. 14. 18, 19.
[εἶτα τὴν νίκην μαθὼν, ἐπήγαγε, συνά-
» γαγε τὸ Ἐφούδ·] καὶ οὕτως ἐξώπλισε τὸν λαόν. διὰ τοῦτο εἰρηκὼς ὁ τῶν ὅλων Θεὸς,
» καὶ ἐπιθήσεις τὸ λόγιον τῆς κρίσεως ἐπὶ
» τὸ στῆθος Ἀαρὼν, καὶ συνάψεις αὐτὸ πρὸς
» τὴν ἐπωμίδα, ἐπήγαγε· καὶ ἐπιθήσεις
» αὐτῷ τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν. καὶ δήλωσιν μὲν ἐκάλεσε τὰ ἐκεῖθεν μηνύματα· ἀλήθειαν δὲ, τῶν μηνυμάτων τὸ
Γ ἀψευδές. ἰστέον μέντοι, ὡς παχυτέροις οὖσι τοῖς τηνικαῦτα, καὶ νοητῶν ἐφικέσθαι μὴ δυναμένοις, διὰ τῶν σωματικῶν συμβόλων τὴν ὠφέλειαν ὁ πάνσοφος δεσπότης ἐπραγματεύετο. ἡμεῖς δὲ νοοῦμεν, διὰ μὲν τοῦ λογίου, τὴν θεωρίαν τῶν νοητῶν· διὰ δὲ τῆς ἐπωμίδος, τὴν ἐργασίαν τῆς ἀρετῆς· καὶ τὴν τοῦ λογίου καὶ τῆς ἐπωμίδος ἁρμονίαν τε καὶ συνάφειαν, εἰς τὴν τῆς πίστεως καὶ τῆς ἀγαθῆς πράξεως λαμβάνομεν συμ-
Δ φωνίαν. τὸ δὲ πρώτην ἐπιτίθεσθαι τὴν ἐπωμίδα, εἶθ᾽ οὕτω ταύτῃ τὸ λόγιον συνάπτεσθαι, τὸ τὴν ἀγαθὴν πρᾶξιν ὑποβάθραν εἶναι τῆς θεωρίας.

ΚΥΡΙΛΛΟΥ. Δήλωσιν μὲν οὖν ὀνομάζει καὶ ἀλήθειαν, οὐ μὴν ἔτι καὶ διαμεμήνυκεν ἐναργῶς πότερα δὴ, λίθοις, ἢ ὡς ἐν σμικρῷ πινακίῳ γραφὴν γενέσθαι προσέταχε. μεμνήσομαι δὲ Προφήτου λέγοντος,
E » διότι ἡμέρας πολλὰς καθήσονται οἱ υἱοὶ Ὠσ. 3. 4.
» Ἰσραὴλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ἄρχον-
» τος, οὐκ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστη-
» ρίου, οὔτε ἱερατείας, οὔτε δήλων. ἀλλ᾽ εἴτε εἶεν καὶ αὐτὰ λίθοι, εἴτε ὡς ἐν πίνακι χρυσῷ ἦν τῶν ὀνομάτων ἡ γραφὴ, πολυπραγμονήσει μὲν οὐ λίαν ὁ λόγος· οἰησόμεθα δὲ εἰς τύπον αὐτὰ θέσθαι Χριστοῦ, συνόντος
» ἁγίοις. ἰδοὺ γάρ [φησι] μεθ᾽ ὑμῶν εἰμὶ πά- Ματθ. 28. 20.
» σας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος.

(1) Παραπλήσια τούτοις τὰ τοῦ Σουίδ. φησὶ γὰρ, (εἰς τὸ Ἐφούδ. τὸ γὰρ Ἐφοὺδ καὶ τὸ λόγιον τὸ αὐτὸ καὶ κατὰ τὸν Θεοδώριτ. ἐν τῷ προκειμ. ὑπομνημ.) Ἐφούδ. τὸ μὲν ὄνομα ἑβραϊκὸν, ἑρμηνευόμενον δήλωσιν ἢ λύτρωσιν σημαῖνον. τὸ δὲ εἶδος αὐτοῦ σπιθαμιαῖον ἦν ὕφασμα, δίκην περιστηθίου ἐκ χρυσονήμου τέχνης ποικίλης πεποιημένον. καὶ ἐν μὲν τῷ μέσῳ εἶχεν ὥσπερ ἀστέρα ὁλόχρυσον· ἑκατέρωθεν δὲ αὐτοῦ δύω σμαράγδους, ἔχοντας ἀνὰ ἓξ τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ· ἐν δὲ τῷ μεταξὺ τῶν σμαράγδων, λίθον ἀδάμαντα. ἡνίκα γοῦν ἔμελλεν ὁ ἱερεὺς ἐρωτᾶν τὸν Θεὸν περί τινος κεφαλαίου, ἐδέσμει αὐτὸ ἐν τῇ ἐπωμίδι κατὰ τὸ μέσον τοῦ στέρνου, καὶ ἐπετίθει τὰς χεῖρας αὐτοῦ ὑποκάτωθεν, καὶ εὑρίσκετο ἐν ταῖς παλάμαις αὐτοῦ ἐξηπλωμένον ὥσπερ πυξίον· καὶ ἀποβλέπων εἰς τὸ Ἐφοὺδ, ἠρώτα τὸν Θεὸν τὸ ἐρώτημα. καὶ εἰ μὲν ἀρεστὸν ἦν τῷ Θεῷ τὸ ἐρώτημα, εὐθέως ἤστραπτεν ὁ ἀδάμας λίθος καὶ ἐφεγγοβόλει, ἀκτῖνας ἐκπέμπων· εἰ δὲ οὐκ ἦν ἀρεστὸν, ἔμενεν ἐν τῇ ἰδίᾳ τάξει ὁ λίθος· εἰ δὲ ἔμελλεν ὁ Θεὸς εἰς μάχαιραν παραδιδόναι τὸν λαὸν, ἐγίνετο αἱματώδης· εἰ δὲ εἰς θάνατον, ἐγίνετο μέλας.

(2) Τῆς μὲν ἐπιστολῆς, ἐν τοῖς ἐκδεδομ. ἡ ἐπιγραφὴ, αὕτη· εἰς τὸ ἅγιον σύμβολον· τὰ δὲ ἐν αὐτῇ περὶ τοῦ λογίου, τάδε· πρός γε τῷ στήθει τοῦ ἀρχιερέως λίθοι τινὲς ἦσαν ἀπηρτημένοι, τὸν ἀριθμὸν δώδεκα· ὧν ἐν μέσῳ τετάχατο, δήλωσίς τε καὶ ἀλήθεια, δύω πάλιν ἕτεροι λίθοι. αἰνιγματωδῶς δὲ διὰ τούτων ὁ τῶν ἁγίων Ἀποστόλων διεδείκνυτο χορὸς, οἷον ἐν κύκλῳ περιέχων τὸν Ἐμμανουὴλ, ὅς ἐστι δήλωσις καὶ ἀλήθεια. δεδήλωκε γὰρ ἡμῖν τὴν ἀλήθειαν, τὴν ἐν σκιαῖς καὶ τύποις ἀποστήσας λατρείαν.

αἰῶνος. ἀλήθεια δὲ καὶ δήλωσις ὁ Χριστός· A
ἐγνώκαμεν γὰρ ἐν αὐτῷ τὸν πατέρα· καὶ
Ῥωμ. 12. 2. δεδήλωκεν ἡμῖν τὸ ἀγαθὸν αὐτοῦ θέλημα
» τὸ τέλειον καὶ εὐάρεστον, κατὰ τὰς Γρα-
Ἰωάν. 15. 15, φάς. ἔφη γάρ που Χριστὸς, οὐκ ἔτι λέγω
14. » ὑμᾶς δούλους· ὑμεῖς φίλοι μου ἐστέ· ὅτι πάν-
» τα ἃ ἤκουσα παρὰ τοῦ πατρὸς ἀπήγγειλα
ὑμῖν. ἀλήθεια δὲ καὶ ἑτέρως ὁ Ἐμμανουὴλ,
ὅτι μόνος αὐτὸς κατὰ φύσιν υἱὸς, καὶ ὡς
ἐκ Θεοῦ Θεὸς μόνος ἅγιος, μόνος Κύριος.
μεθεκτικῶς δὲ ἡ κλῆσις καὶ κατὰ μίμησιν, B
ὅσα καὶ αὐτὸς εἶναι νοεῖται. σύνεστι δὴ οὖν
τοῖς ἁγίοις ὡς ἐν δήλωτε καὶ ἀληθείᾳ νοού-
μενος ὁ Χριστός. ὃς καὶ ἐν προσώπῳ τοῦ
πατρὸς εἰσφέρει τὰ καθ' ἡμᾶς πάντοτε
ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν. τοῦτο
» γὰρ οἶμαί ἐστι τὸ, καὶ εἰσοίσει Ἀαρὼν τὰς
» κρίσεις τῶν υἱῶν Ἰσραὴλ ἔναντι Κυρίου ἐπὶ
» τὸ στῆθος αὐτοῦ διαπαντός.

ΣΕΥΗΡΟΥ. Καταμανθάνω τοίνυν, ὡς
ἐπὶ μὲν τοῦ λογίου τῶν κρίσεων· καὶ εὐθέως Γ
ἐπήγαγε, καὶ ἐκ τίνων ἔσται τὸ κατα-
σκεύασμα διαταξάμενος, ἐκ πορφύρας καὶ
βύσσου, καὶ τὰ ἑξῆς. (1) Καὶ μετ' ὀλίγα. Ἐπὶ
δέ γε τῆς δηλώσεως καὶ τῆς ἀληθείας, οὐκ
εἶπε, καὶ ποιήσεις δήλωσιν καὶ ἀλήθειαν,
» ἀλλ' οὕτω· καὶ ἐπιθήσεις ἐπὶ τὸ λόγιον τὴν
» δήλωσιν καὶ τὴν ἀλήθειαν· καὶ ἔσται ἐπὶ
» τοῦ στήθους Ἀαρὼν, ὅταν εἰσπορεύηται εἰς
» τὸ ἅγιον ἔναντι Κυρίου. καὶ τούτων τουτονὶ
τὸν τρόπον χρηματισθέντων ὑπὸ Θεοῦ, πά-
λιν ἀφηγούμενος ὁ Μωϋσῆς, ὅπως καὶ ἔργῳ
παρεδόθη ταῦτα, καὶ ὡς (2) ἀρχιτέκτων
Βεσελεὴλ ἅπαντα τὰ κατὰ τὴν σκηνὴν, καὶ
τὴν ἱερατικὴν ἐσθῆτα διετεχνήσατο, καὶ
εἰπὼν ὅπως ἐποίησεν ἕκαστον, προσέθηκεν,
Ἐξόδ. 36. 8. ὅτι δὴ καὶ ἐποίησε τὸ λόγιον, ἔργον ὑφαν-
τὸν ποικίλας. περὶ δὲ τῆς δηλώσεως καὶ
ἀληθείας τὸ παράπαν οὐκ ἐμνημόνευσεν,
οὔτε μὴν ἱστόρησεν, ὡς ἀρχιτέκτων καὶ ταύ-
την ἐτεχνήσατο. καὶ τούτων οὕτως ἐχόν-
Λευϊτ. 8. 6, 8. των, ἐν τῷ Λευϊτικῷ φησί· καὶ προσήγα-
» γε Μωϋσῆς τὸν Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ,
» καὶ ἔλουσεν αὐτούς. καὶ μετ' ὀλίγα· καὶ
» ἐπέθηκεν ἐπὶ τὸ λόγιον τὴν δήλωσιν καὶ
τὴν ἀλήθειαν. διαπορήσειεν ἄν τις εἰκό-
τως, πῶς τὴν μὴ τεχθεῖσαν δήλωσιν καὶ
ἀλήθειαν ἐπὶ τὸ λόγιον τέθεικεν ὁ τῇ ἐσθῆ-
τι τῇ τοιαύτῃ τὸν ἀρχιερέα περιβαλών;
δοκεῖ γοῦν ἐμοὶ σμικρὰ βλέποντι, τοιαύ-
την ἔννοιαν τὴν τοῦ γράμματος ὑποφαίνειν
ἀφήγησιν, καὶ δι' ὧν εἶπε, καὶ δι' ὧν ἐσί-
γησεν· ὡς ἡ δήλωσις καὶ ἡ ἀλήθεια τέχ-
νηματί τὸ παράπαν οὐκ ἦν, οὔτε ἐκ λίθων,
οὔτε ἐξ ἄλλης τινὸς ὕλης κατεσκευασμένον.
εἰ γὰρ τοῦτο ὑπῆρχεν, ἔφησεν ἂν ὁ συγ-
γραφεὺς, ὅπως ὁ ἀρχιτέκτων αὐτὸ κατε-
σκεύασεν. ἀλλ' ἐκ τούτου φανεροῦται σαφῶς,
ὡς ἡ δήλωσις καὶ ἡ ἀλήθεια μόνην ἔννοιαν
ὑποφαίνει πνευματικήν. καὶ παρίστησιν,
ὅτι τοῦ Μωσέως ἐπιτεθέντος τὸ λόγιον τῶν
κρίσεων τῷ στήθει τοῦ ἀρχιερέως, συνει-
σήρχετο νοητῶς, καὶ ἐπέλαμπεν ἡ δήλω- A
σις καὶ ἡ ἀλήθεια, θεία τις ἀποκάλυψις
οὖσα, καὶ τὴν καρδίαν τοῦ ἀρχιερέως κατα-
φωτίζουσα. διὰ τοῦτο γὰρ καὶ οἱ λοιποὶ τῶν
ἐκ τῆς ἑβραΐας εἰς τὴν ἑλλάδα φωνὴν καὶ
γλῶτταν τὴν θεόπνευστον ἑρμηνευσάντων
Γραφὴν, τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν,
τοὺς φωτισμοὺς καὶ τοὺς δήλους ὠνόμασαν·
παιδεύουσης ἡμᾶς, καὶ πρὸς πνευματικὴν
θεωρίαν αναγούσης τῆς τοιᾶσδε θείας δια-
τυπώσεως, καὶ διανοεῖσθαι διδούσης, ὡς B
εἴ τις τὸ λόγιον, τουτέστι τὸ ἡγεμονικὸν τῆς
ψυχῆς ἐκκαθάροι, καὶ ταῖς ἀρεταῖς ὥσπερ
λίθοις τιμίοις κατακοσμήσειε, καὶ ἀποτε-
λέσειεν αὐτὸ πεπυκνωμένον ἐν ταῖς τῶν
πρακτέων κρίσεσιν· ὡς καὶ τὸν ἐνδιάθετον
λόγον καὶ τὸν προφορικὸν περιεσκεμμένως
καὶ ἐπιτεταγμένως κινεῖσθαί τε καὶ προφέ-
ρεσθαι, τῶν ἐνθυμημάτων ἀνακυκλουμέ-
νων εἰς ἑαυτὰ, καὶ ὥσπερ διπλασιαζομένων,
ἵνα μηδὲν ἀβασανίστως διὰ τῆς γλώττης Γ
προέρχοιτο· τοῦτο γὰρ δηλοῖ τὸ προσε-
τάχθαι διπλοῦν εἶναι τὸ λόγιον· τότε δὴ
τότε παρὰ πόδας ὥσπερ καὶ αὐτομάτως
παρέσται τῷ τοιούτῳ καὶ ἡ δήλωσις καὶ ἡ
ἀλήθεια, τὰς φωτεινὰς ἀποκαλύψεις κο-
μίζουσα. διὰ τοῦτο γὰρ καὶ ἐν Ἱερεμίᾳ τῷ
προφήτῃ φησὶν ὁ τῶν ἀποκαλύψεων Κύ-
» ριος, Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐχὶ Θεὸς Ἱερ. ...
» πόῤῥωθεν· ὁ καὶ ἐν εὐαγγελίοις εἰπὼν, ἐγώ Ἰωάν. 14. 6
Δ » εἰμι ἡ ἀλήθεια. ταύτῃ τοι καὶ διὰ Ὠσηὲ
» τοῦ προφήτου λέγει, Φωτίσατε ἑαυτοῖς Ὠσ. 10. 12
» φῶς γνώσεως. εἰ γάρ τις τὸ λόγιον τὸ
ἑαυτοῦ, τὸ ἡγεμονικὸν δηλαδὴ τῆς διανοίας,
κατὰ τὸν εἰρημένον τρόπον παρασκευά-
σειεν ἑαυτῷ, φωτίζει φῶς γνώσεως, ἐπι-
σπώμενος αὐτομάτως τὴν δήλωσιν καὶ τὴν
ἀλήθειαν. ἥτις ἐπὶ θύραις ἐστὶ τοῦ ἡμετέ-
ρου νοῦ, καὶ κατ' οὐδένα τρόπον διέστηκεν,
εἰ μή τις ἔτι αὐτὴν τῇ ἁμαρτίᾳ διαχίσειεν.
E » ὃ δὴ καὶ Ἡσαΐας δηλῶν, ἔλεγεν· ἀλλὰ τὰ Ἡσ. 59. 2.
» ἁμαρτήματα ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ὑμῶν
» καὶ ἀνὰ μέσον τοῦ Θεοῦ. καὶ ὁ Σωτὴρ γὰρ
κατὰ τὴν διάνοιαν ταύτην ἐν εὐαγγελίοις
» ἔφη πρὸς τοὺς ἑαυτοῦ μαθητάς· ἰδοὺ γὰρ Λουκ. 17. 21.
» ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστί. τὸ γοῦν
συναγόμενον ἐκ τῆς θεωρίας, καὶ τῶν νο-
μικῶν τοῦτό ἐστιν· ὡς ἐν ἡμῖν μὲν ὑπάρχει
τὸ τεκταίνειν καὶ κατασκευάζειν τὸ λόγιον,
καὶ ταῖς ἀρεταῖς ὥσπερ ταῖς τιμαλφεστά-
Z ταις βαφαῖς ἐξωραΐζειν αὐτό· Θεοῦ δὲ τὸ
τοῖς οὕτως ἔχουσι τὴν δήλωσιν ἐπιλάμπειν
καὶ τὴν ἀλήθειαν. ἥτις τὰ ἀναρίθμητα
τῷ πλήθει τοῦ πνεύματος περιέχει χαρίσ-
ματα· λόγον σοφίας, λόγον γνώσεως,
ἐνεργήματα δυνάμεων, καὶ τὰ ἄλλα, ἅπερ
μηδὲ διανοίᾳ, μηδὲ λόγῳ λῆπτα, καὶ πρὸς
τὸ δυνατὸν, καὶ τὸ ἐν ἀνθρώποις μέτρον
τοῖς ἀξίοις δωρούμενα. διόπερ οὐδὲ (3) ἐν
τοῖς τύποις τῆς νομικῆς λατρείας ἐτέχ-
H νασέ τε καὶ κατεσκεύαστο τὸ μηδὲ ἐνεῖναι
ἀνθρώπου διανοίᾳ τὰ ἐξ αὐτῆς πάντα πε-
ριλαβεῖν,

(1) Ἐσεσημείωτο ἐν τῷ κώδ. τόδε· ἀνακεκομμένος ὁ λόγος οὗτος. ὃ δὴ καὶ ἀληθέστατον.
(2) Ὁ ἀρχιτέκτων ἀνάγν.
(3) Διόπερ καὶ ἐν τοῖς τύποις. ἴσ. ὀρθότερ.

ριλαβεῖν, καθὰ δηλοῦσι καὶ οἱ παρ' Ἑ-
βραίοις, Φίλων τε καὶ Ἰώσηπος. Καὶ μεθ' ἕτερα.
Διὰ πάντων οὖν παρίσταται, μηδαμῶς εἶναι
τεχνικόν τι κατασκεύασμα, κατὰ τὰ ἄλ-
λα τὰ τῆς ἱερατικῆς στολῆς μέρη, τὴν δή-
λωσιν καὶ τὴν ἀλήθειαν· ἀλλὰ προστετάχ-
θαι τὸν Μωσέα ποιῆσαι μὲν τὸ λόγιον τῶν
κρίσεων, διὰ δὲ τῆς ἐπιθέσεως αὐτοῦ συνε-
πιθεῖναι τῷ ἀρχιερεῖ νοητῶς τὸν ἐκ τοῦ
ἁγίου πνεύματος φωτισμὸν, τὸν τῶν θείων
ἀποκαλύψεων πρόξενον, δήλωσιν ὑπάρ-
χοντα καὶ ἀλήθειαν. ὅστις ἐστὶν ὁ Χριστὸς ὁ
Ἰωάν. 14. 6. φήσας, ἐγώ εἰμι ἡ ἀλήθεια, τὸ πνεῦμα
ἔχων οὐσιωδῶς, καὶ τὴν αὐτοῦ μέθεξιν καὶ
χορηγίαν τοῖς αὐτὸν ἀγαπῶσι δωρούμενος·
» καὶ τῷ Μωσεῖ μὲν λέγων, ἐπιθήσεις ἐπὶ
» τὸ λόγιον τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν,
αὐτὸς δὲ ὢν ὁ ἐπιτιθεὶς ἑαυτὸν τῇ καρδίᾳ
τοῦ ἀρχιερέως διὰ τῶν Μωσέως χειρῶν,
καὶ τὸ λογικὸν αὐτοῦ καταφωτίζων καὶ
ἡγεμονικόν· νοητῶς δὲ τὰς ἄνωθεν ἀπο-
καλύψεις τῶν θείων ὑπαινιττόμενος, καὶ
τὴν τῆς ἀληθείας φανέρωσιν· ὁ γὰρ τὸ
λογικὸν ἔχων κεκαθαρμένον καὶ οὕτω κα-
τησφαλισμένον, τῷ τῆς ἀληθείας φωτὶ
καταστράπτεται.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Δυσὶ λό-
γοις τοῖς καθ' ἕκαστον ἡμῶν, τῷ τε προφο-
ρικῷ καὶ ἐνδιαθέτῳ, δύο ἀρετὰς ἀπένει-
μεν οἰκείας· τῷ μὲν προφορικῷ, δήλωσιν·
τῷ δὲ κατὰ διάνοιαν, ἀλήθειαν. ἁρμόζει
γὰρ διανοίᾳ μὲν, μηδὲν παραδέχεσθαι ψεῦ-
δος· ἑρμηνείᾳ δὲ, μηδὲν ἐμποδίζειν τῶν
εἰς τὴν ἀκριβεστάτην δήλωσιν.

ΑΔΗΛΟΥ. Μᾶλλον τοῦτο λέγει, ὅτι
ἡνίκα ἀμφίβολόν τι συνέβαινεν, ἀνέφερε
τῷ Θεῷ ὁ ἱερεὺς· καὶ ὡς δ' ἂν ἐκελεύετο,
διετύπου τὸ πρᾶγμα. καὶ μᾶλλον διὰ τοῦτο
ἐπὶ τοῦ στήθους ἦσαν τοῦ ἱερέως τὰ ὀνόμα-
τα τῶν φυλῶν, ἵνα γνῶμεν ὅτι ὀφείλει
ἀεὶ ὁ ἱερεὺς ἐν νῷ ἔχειν τοὺς ὑφ' ἑαυ-
τὸν, καὶ δέεσθαι ὑπὲρ αὐτῶν, ὑπὲρ νοσούν-
των, (1) πειραζομένων. ἅπερ τὸ τοῦ Θεοῦ
γίνεται κρίμα.

**λγ. Καὶ ποιήσεις ὑποδύτην πο-
δήρη· ὅλον ὑακίνθινον.**

ΘΕΟΔΩΡΙΤΟΥ. Ὑποδύτην δὲ καλεῖ
τὸν ἐνδότερον χιτωνίσκον· ἐπενδύτην δὲ,
τὸν χιτῶνα τὸν ἔξωθεν. ὑακίνθινον δὲ
τοῦτον γενέσθαι προσέταξε, καὶ ποδήρη
προσηγόρευσεν, ὡς μέχρις ἄκρων διήκον-
τα τῶν ποδῶν.

ΕΥΣΕΒΙΟΥ. Ἔσθημα μὲν ὢν καὶ αὐτὸς
ἱερατικὸν, σημαίνων δὲ διὰ τῆς προσηγο-
ρίας, ὡς κάτωθεν οὕτω φαίνεται διὰ τῆς
τῶν ἀρετῶν ἀναβάσεως, καὶ γνῶσιν κατὰ
τὸ δυνατὸν τῶν ἀπορρήτων καὶ λανθανόν-
των μυστηρίων χαρίζεται. μόνος γὰρ ὁ
Χριστοῦ χιτὼν ἦν ἄνωθεν ὑφαντός. ἐπείπερ
ὁ αὐτὸς ὑπῆρχεν ὁ ἀνώτατος λόγος τοῦ
θησαυροῦ τῆς σοφίας καὶ τῆς γνώσεως,

A ἄνωθεν τοῦτον κατάγων, καὶ ἐφ' ἡμᾶς ἐκ-
χέων, καὶ τῆς τῶν ἀρετῶν ἀσκήσεως οὐ
δεόμενος. πῶς γὰρ ὁ μὴ εἰδὼς ἁμαρτίαν;
ἀλλ' ἡμῖν δι' ὧν κατ' οἰκονομίαν ἔπραττε
διδοὺς τύπον ζωῆς.

ΚΥΡΙΛΛΟΥ. Ὑποδύτην μὲν οὖν καὶ πο-
δήρη, χιτῶνά που μακρὸν εὐφυᾶ τε πρὸς
περιστολὴν, καὶ τὸν ἐκ δειρῆς αὐτῆς εἰς
ἄκρους ἰόντα πόδας, ὀνομάζει σαφῶς. ἐξ
ὑακίνθου δὲ, ὅτι τῆς ἄνωθεν ἀφθαρσίας
B σύμβολον ἦν, τουτέστι Χριστοῦ. τοιουτονὶ γὰρ
καὶ ὁ θεσπέσιος Δαβὶδ προαναπεφώνηκε,
λέγων ὡς ἐκ προσώπου [τοῦ] Θεοῦ περὶ τῶν
» ἐν ταῖς ἐκκλησίαις ἱερουργούντων· τοὺς ἱερεῖς Ψαλ. 131. 16.
» αὐτῆς ἐνδύσω σωτηρίαν. ἐνδύσασθε τὸν Ῥωμ. 13. 14.
» Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ ὁ σοφὸς
ἡμῖν ἐπιστέλλει Παῦλος. καὶ τοῦτο οἶμαι ἐστὶ
» τὸ οἰκητήριον τὸ ἐξ οὐρανοῦ, ὃ ἐπιθυμοῦμεν 2. Κορ. 5. 4.
» ἐνδύσασθαι· ὁ τῆς εὐφροσύνης χιτὼν, τὸ Ἡσ. 61. 10.
» ἱμάτιον τοῦ σωτηρίου, κατὰ τὴν τοῦ Προ-
Γ φήτου φωνήν. οὐρανοῦ δὲ ὅτι τύπος τὸ χρῶ-
μα τὸ ὑακίνθινον, εἴρηται σαφῶς. καὶ
ἀλήθεια μὲν ὁ λόγος ἐφ' ἡμῶν αὐτῶν·
περιβεβλήμεθα γὰρ ἀφθαρσίαν τὴν ἄνω-
θεν· εἰ δὲ καὶ αὐτὸς νοοῖτο Χριστὸς, ὡς ἐν
Ἀαρὼν τὸν ποδήρη τὸν ὑποδύτην ἔχων,
οὐδὲν ἧττον ἡμῖν [ἀληθὴς] ὁ λόγος. Θεὸς
γὰρ ὢν κατὰ φύσιν ὁ μονογενὴς, ἄφθαρ-
τον ἀποτελεῖ τὸ ἴδιον σῶμα, καὶ ζωῇ τῇ
ἄνωθεν περιβάλλων αὐτὸ, τῆς τοῦ θανάτου
Δ πλεονεξίας ἐπέθει που πάντως ἐν ἀμείνοσι.

ΤΟΥ ΝΥΣΣΗΣ. Ὑάκινθός ἐστιν ἡ τοῦ
ποδήρους βαφή. Φασὶ δέ τινες τῶν πρὸ
ἡμῶν τεθεωρηκότων τὸν λόγον, τὸν ἀέρα
σημαίνεσθαι τῇ βαφῇ. Καὶ μεθ' ἕτερα. Βούλε-
ται δὲ τὸν μέλλοντα ἱερᾶσθαι, καὶ τὸ ἑαυ-
τοῦ σῶμα προσάγειν τῇ ἱερουργίᾳ, καὶ σφά-
γιον γίνεσθαι μὴ νεκρούμενον ἐν τῇ ζώσῃ
θυσίᾳ, καὶ λογικῇ λατρείᾳ, ἤτοι μὴ πα-
E χείᾳ τινὶ καὶ πολυσάρκῳ τῇ τοῦ βίου περι-
βολῇ καταβλάπτειν τὴν ψυχήν· ἀλλ' ἀπο-
λεπτύνειν οἷόν τι ἀράχνιον νῆμα τῇ καθα-
ρότητι τῆς ζωῆς παντὸς τοῦ βίου τὰ ἐπιτη-
δεύματα, καὶ ἐγγὺς εἶναι πρὸς τὸ ἀνωφε-
ρές τε καὶ κοῦφον τὴν σωματώδη ταύτην
φύσιν παρασκευάσας. ἵν' ὅταν τῆς ἐσχά-
της ἀκούσωμεν σάλπιγγος, ἀβαρεῖς τε καὶ
κοῦφοι πρὸς τὴν φωνὴν τοῦ κελεύοντος εὑρε-
θέντες, μετάρσιοι δι' ἀέρος ἅμα τῷ Κυ-
Z ρίῳ φερώμεθα, ὑπὸ μηδενὸς βάρους ἐπὶ
τὴν γῆν καθελκόμενοι. οὐκοῦν ὁ κατὰ τὴν
» τοῦ ψαλμῳδοῦ ὑποθήκην ἐκτήξας ὡς ἀρά- Ψαλ. 38. 11.
» χνην τὴν ἑαυτοῦ ψυχὴν, τὸν ἀερώδη ἐκεῖ-
νον χιτῶνα περιεβάλετο, ἐκ κεφαλῆς εἰς
ἄκρους πόδας διήκοντα. οὐ γὰρ βούλεται
κολοβοῦσθαι τὴν ἀρετὴν ὁ νόμος.

**λδ. Καὶ ἔσται τὸ περιστόμιον τῆς
ἀρχῆς ἐξ αὐτοῦ μέσον, ὤαν ἔχον κύ-
H κλῳ τοῦ περιστομίου, ἔργον ὑφάντου,
καὶ συμβολὴν συνυφασμένην ἐξ αὐ-
τοῦ, ἵνα μὴ ῥαγῇ.**

λε. [Καὶ]

(1) Ἴσ. καὶ πειραζομένων.

A *λε. [Καὶ] ποιήσεις ἐπὶ τὸ λῶμα τοῦ ὑποδύτου κάτωθεν, ὡσεὶ ἐξανθούσης ῥόας ῥοΐσκους ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου διανενησμένου, καὶ βύσσου κεκλωσμένης, ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ· τὸ αὐτὸ εἶδος ῥοΐσκους χρυσοῦς, καὶ κώδωνας ἀναμέσον τούτων περικύκλῳ.*

B ΑΔΗΛΟΥ. Κώδωνες καλοῦνται οἱ πλεκτοὶ κροσσοί, οἱ ἐξημμένα ἔχοντες τὰ τέλη, οἷόν εἰσιν οἱ τῶν καρακαλλίων. ὁ δὲ
Σειρ. 45. 9. Ἰησοῦς ὁ τοῦ Σειρὰχ ἐν ταῖς σοφίαις ἑαυτοῦ χρυσοῦς αὐτοὺς καλεῖ, ἐκ χρυσίου ἐλατοῦ κατασκευασθέντας, ὡς καὶ ἠχόν τινα ἀποτελεῖν ἐν τῷ σαλεύεσθαι.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀπήρτησε τούτου καὶ κώδωνας χρυσοῦς, καὶ ῥοΐσκους, ἵνα εἰς τὸ ἄδυτον καὶ ἀνάκτορον τῆς σκηνῆς εἰσιών,
Γ καὶ τὴν ἐκ τούτων ἀποτελουμένην ἠχὴν εἰσδεχόμενος, μετὰ δέους τὴν λειτουργίαν ἐπιτελῇ, εἰς μνήμην λαμβάνων τὸν ταῦτα προσεταχότα, καὶ τὴν προσφερομένην ἱερουργίαν δεχόμενον. διά τοι τοῦτο καὶ τοῦ ἀέρος εἶχεν ὁ ποδήρης τὸ χρῶμα· ὑακίνθινος γὰρ ἦν· ὡς ἂν καὶ εἰς τοῦτον ἀφορῶν, μετάρσιος γίνηται.

* ΤΟΥ ΝΥΣΣΗΣ. Ἡ οὖν λαμπηδὼν
Δ τῶν καλῶν ἔργων οἱ χρυσοῖ κώδωνές εἰσι, τοῖς ῥοΐσκοις περιδονούμενοι. δύω γάρ εἰσι ταῦτα ἐπιτηδεύματα, δι' ὧν ἡ ἀρετὴ συναγείρεται· ἥτε περὶ τὸ θεῖον πίστις, καὶ ἡ περὶ τὸν βίον συνείδησις. τούτους προστίθησι τῷ ἐνδύματι τοῦ Τιμοθέου τοὺς ῥοΐσκους τε καὶ κώδωνας ὁ μέγας Παῦλος εἰπών,
1. Τιμ. 1. 19. αὐτὸν ἔχειν [δεῖν] πίστιν, καὶ ἀγαθὴν συνείδησιν. οὐκοῦν ἡ μὲν πίστις, καθαρὸν ἠχείτω καὶ μεγαλόφωνον ἐν τῷ τῆς ἁγίας
E Τριάδος κηρύγματι· ὁ δὲ βίος μιμείσθω τοῦ καρποῦ τῆς ῥοιᾶς τὴν φύσιν. ἐκείνης γὰρ ἄβρωτός ἐστιν ἡ ἐπιφάνεια, στερρῷ τε καὶ κατεσυμμένῳ τῷ ἐλύτρῳ διειλημμένη. τὸ δὲ ἐγκείμενον, ἡδὺ μὲν ὀφθῆναι τῷ ποικίλῳ τε καὶ εὐκόσμῳ τῆς τοῦ καρποῦ διαθέσεως· ἡδὺ δὲ τῇ γεύσει γίνεται, καταγλυκαῖνον τὴν αἴσθησιν. ἥτε φιλόσοφος καὶ κατεσκληκυῖα διαγωγὴ δύσληπτός τε οὖσα καὶ ἀηδὴς τῇ αἰσθήσει, πλήρης ἀγα-
Z θῶν ἐλπίδων ἐστί, κατὰ τὸν ἴδιον πεπανθεῖσα καιρόν. ἐπειδὰν δὲ ὁ γεωργὸς ἡμῶν ἀναπτύξῃ τοῦ βίου τὴν ῥοιὰν τῷ ἰδίῳ καιρῷ, καὶ ἀποδείξῃ τῶν ἀποθέτων τὸ κάλλος, τότε γλυκεῖα γίνεται τοῖς ἀπολαύουσιν ἡ μετουσία τῶν ἰδίων καρπῶν. Φησὶ γάρ που
Ἑβρ. 12. 11. καὶ ὁ θεῖος Ἀπόστολος, ὅτι πᾶσα παιδεία
„ πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· τοῦτ' ἔστι τῆς ῥοιᾶς τὸ προσεντυγχάνον τοῖς ἁπτομένοις. ὕστερον δὲ καρ-
H πὸν εἰρηνικὸν ἀποδίδωσι· τοῦτο ἡ τῶν ἔνδοθεν ἐδωδίμων γλυκύτης.

λϛ. Παρὰ ῥοΐσκον χρυσοῦν κώδωνα, καὶ ἄνθινον ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ.

* ΚΥΡΙΛΛΟΥ. [Αἴνιγμα δὲ ὥσπερ οὐκ ἀσυμφανές, τοῦ μὲν σωτηρίου κηρύγματος, οἱ ἐκ χρυσοῦ γεγονότες κώδωνες, πόλεων δὲ οἱ ῥοΐσκοι. ὡς γὰρ πόλις ἑνὶ μὲν ἔξωθεν περιδέδεται πύργῳ, μυρίας δὲ ὅσας ἐν ἑαυτῇ συνέχει τὰς συνοικίας· τὸν αὐτὸν οἶμαι τρόπον καὶ τὸ χρῆμα τῆς ῥόας, ἑνὶ μὲν ἔξωθεν ἐλύτρῳ διέζωσται. ἔσωθεν δὲ οἱ κόκκοι, χιτῶσιν ἰσχνοῖς ἀλλήλων ἀποτειχίζονται, μόνον δὲ οὐχὶ συλλέγονται κατὰ συνοικίας.] Κώδων δὴ [οὖν] παρ' ἑκάστῃ ῥόᾳ. διδάσκαλος γὰρ ἐν ἑκάστῃ πόλει, τῇ τῶν θείων δογμάτων ἀποκλυπήσει καὶ εὐηχίᾳ φανερὰν ἅπασι καθιστὰς τοῦ Σωτῆρος ἡμῶν τὴν εἰς τὰ ἅγια τῶν ἁγίων εἰσδρομήν.

λζ. Καὶ ἔσται Ἀαρὼν ἐν τῷ λειτουργεῖν ἀκουστὴ ἡ φωνὴ αὐτοῦ, εἰσιόντι εἰς τὸ ἅγιον ἔναντι Κυρίου, καὶ ἐξιόντι ἵνα μὴ ἀποθάνῃ.

ΑΔΗΛΟΥ. Διὰ τοῦτο μᾶλλον θέλει ἐξάκουστον τὴν φωνὴν εἶναι τῶν ἱερέων, ἵνα οἱ περιεστῶτες ἀκούσωσι τῶν τῆς εὐχῆς ῥημάτων, καὶ κατανυγῶσιν· ἔπειτα δὲ καὶ ἵνα εἰδῇ ἕκαστος δι' ὧν ἀκούει τὰς ἐπικλήσεις αὐτῶν. οἱ γὰρ μάγοι ἐν τῷ εὔχεσθαι ὑπ' ὀδόντα φθεγγόμενοι, ἐπεκαλοῦντο, ἴσως καὶ βλάσφημά τινα καὶ ἄτοπα λαλοῦντες, ἵνα μὴ ἀκούσαντες οἱ παρεστηκότες καταγνῶσιν αὐτῶν. ὅτι δὲ λεληθότως ηὔχοντο, ἐκ τῶν παρελθόντων ἐπισημειώσασθαι δεῖ·
„ ὅπου εἶπον οἱ Ἑβδομήκοντα, καὶ ἐποίησαν οἱ Ἐξόδ. 7. 11.
„ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις·
„ ὁ δὲ Ἀκύλας, καὶ ἐποίησαν οἱ κρυφιασταί·
„ ὁ δὲ Σύμμαχος, ἐν ἀποκρύφῳ.

* ΚΥΡΙΛΛΟΥ. Σύμβολον καὶ τοῦτό ἐστι τῆς σωτηρίου οἰκονομίας τῆς ὄντως καὶ σοφῆς, φημὶ δὴ τοῦ θείου καὶ εὐαγγελικοῦ κηρύγματος, οἱονεί πως ἅπασαν περιβομβοῦντος πόλιν.

* ΤΟΥ ΑΥΤΟΥ. Ἐπήρτηται δὲ καὶ δεῖμα θανάτου τοῖς ἱερουργεῖν ἐπιτεταγμένοις, ἤτοι τῷ Ἀαρὼν εἰς τὴν ἁγίαν σκηνὴν εἰσιόντι, εἰ μὴ περιβομβεῖεν εὖ μάλα τῶν κωδώνων οἱ κτύποι. χρῆμα γὰρ διδασκάλοις ἐπισφαλές, ἡ σιωπή. καὶ τοῦτ'
„ ἐστὶν ἐναργῶς ὅπερ ἔφη Παῦλος· οὐαὶ γάρ 1. Κορ. 9. 16
„ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι.

λη. Καὶ ποιήσεις πέταλον χρυσοῦν καθαρόν· καὶ ἐκτυπώσεις ἐν αὐτῷ ἐκτύπωμα σφραγῖδος, ἁγίασμα Κυρίου.

ΑΔΗΛΟΥ. (1) Τούτοις τοῖς τέσσαρσι στοιχείοις τὸ παρ' Ἑβραίοις ἀνεκφώνητον ὄνομα τοῦ Κυ-

(1) Τὰ τέσσαρα ἑβραϊκὰ στοιχεῖα, οἷς τὸ τοῦ Θεοῦ γράφεται ὄνομα ταῦτά εἰσι· יְהֹוָה· μήτιγε δὲ αἱ ἐν τῷ πετάλῳ γλυφαὶ (ὅρα τὴν ἑξῆς σημείωσιν) τοιαῦται ἦσαν, οἵας ὁ σχολιαστὴς κατέγραψε;

ρίου ἐπὶ τὸ πέταλον τὸ χρυσοῦν ἐγράφετο, » ἐκλετυπωμένον σφραγῖδι, ἁγίασμα Κυρίου.

ΚΛΗΜΕΝΤΟΣ. Καὶ τὸ τετράγραμμον (1) ὄνομα τὸ μυστικὸν, ὃ περιέκειτο οἷς μόνοις τὸ ἄδυτον βάσιμον ἦν, λέγεται Ἰὰ οὐαὶ, (2) ὃ μεθερμηνεύεται ὁ ὢν καὶ ὁ ἐσόμενος.

ΘΕΟΔΩΡΗΤΟΥ. Ἐπέκειτο δὲ τῇ κεφαλῇ κίδαρις, τὸν οὐρανὸν μιμουμένη. ἐκάλυπτε δὲ καὶ ταινία τὸ μέτωπον, ἣν μίτραν εἶπον οἱ Ἑβδομήκοντα. εἶχε δὲ ἐν μέσῳ πέταλον αὕτη χρυσοῦν, ἐγγεγραμμένον ἔχον τοῦ Θεοῦ τὸ ἄφρασον ὄνομα. ὃ καλοῦσιν Ἑβραῖοι τετράγραμμον. εὐλάβειαν δὲ τὸν λαὸν ἐκπαιδεύων ὁ δεσπότης Θεὸς, δι' αἰνίγματος τοῦτο δεδήλωκεν. ἐπι- » γράψεις αὐτὸ, φησὶν, ἁγίασμα Κυρίου.

ΚΥΡΙΛΛΟΥ. Ἐξ ὑακίνθου μὲν ἡ μίτρα, χρυσοῦν δὲ τὸ πέταλον. ἐκτύπωμα δὲ ἐν αὐτῷ καὶ γραφὴ, τὸ Χριστοῦ μυστήριον, καὶ τῆς εἰς τόνδε τὸν κόσμον ἀποστολῆς προα- » ναφώνησις ἐναργής. ἁγίασμα γάρ φησι
Ἰωάν. 10. 36. Κυρίου. ἡγιάσθαι γὰρ παρὰ τοῦ Θεοῦ καὶ πατρὸς ἑαυτὸν ἔφη σαφῶς ὁ Ἐμμανουήλ. ἡγιάσθαι δὲ ὅταν λέγῃ παρὰ τοῦ Θεοῦ καὶ πατρὸς ἑαυτὸν ὁ υἱὸς, τὸ οἱονεὶ προκεχει- » ρίσθαι τε καὶ ἀπεστάλθαι δηλοῖ. ἁγίασμα » δὴ οὖν Κυρίου, φησὶ, τουτέστιν, ἡ εἰς τόνδε τὸν κόσμον ἀνάδειξις καὶ ἀποστολὴ, πλὴν εἰς βασιλείαν καὶ δόξαν. τελειοῖ γὰρ οὕτω τὸν Ἀαρὼν, [χρυσοῦν ἐπὶ τῷ μετώπῳ τὸ ψαλίον τιθείς.]

ΑΔΗΛΟΥ. Τὸ χρυσοῦν πέταλον ἐστὶ τὸ ἀνακεκαλυμμένως τὴν δόξαν τοῦ Θεοῦ λαλεῖν· ἡ μίτρα, τὸ εὐπροσώπως στέφεσθαι διὰ πάντων τὴν κεφαλὴν, ὅ ἐστι τὸ ἡγεμονικόν.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Κεφαλὴ δὲ κοσμουμένη τῷ διαδήματι, τὸν ἀποκείμενον τοῖς εὖ βεβιωκόσι στέφανον ὑποσημαίνει, οἷα (3) κόσμῳ ἐσφραγισμένοις τῷ χρυσῷ πετάλῳ, ἤτοι τοῖς ἀῤῥήτοις χαρίσμασι.

λθ. Καὶ ὑποθήσεις (4) αὐτῷ ὑπὸ ὑακίνθου κεκλωσμένης· καὶ ἔσται ἐπὶ τῆς μίτρας, κατὰ πρόσωπον τῆς μίτρας ἔσται.

ΚΥΡΙΛΛΟΥ. Σκόπει δὲ ὅπως ἐξ ὑακίνθου γέγονεν ἡ μίτρα αὐτῷ, τὸ λαμπρὸν τῆς βασιλείας ἔχουσα σύνθημα, φημὶ δὴ τὸ πέταλον τὸ χρυσοῦν. ὑάκινθος δὲ, οὐρανοῦ σημεῖον· καὶ διαμέμνημαι λέγοντος τοῦ
Ἰωάν. 18. 36. Χριστοῦ, ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ » κόσμου τούτου. οὐ γὰρ ἐπίγειος βασιλεὺς ὁ
A οὐράνιος (5) Κύριος, ὅλην ὑπὸ πόδας ἔχων τὴν κτίσιν.

μ. Καὶ ἔσται ἐπὶ τοῦ μετώπου Ἀαρών. καὶ ἐξαρεῖ Ἀαρὼν τὰ ἁμαρτήματα τῶν ἁγίων, ὅσα ἂν ἁγιάσωσιν οἱ υἱοὶ Ἰσραὴλ παντὸς δόματος τῶν ἁγίων αὐτῶν. καὶ ἔσται ἐπὶ τοῦ μετώπου Ἀαρὼν διαπαντὸς δεκτὸν αὐτοῖς ἔναντι Κυρίου.

B ΑΔΗΛΟΥ. Ἅγια καλεῖται τὰ προσαγόμενα. διὸ καὶ οἱ προσάγοντες ἁγιάζουσιν, ἀντὶ τοῦ προσφέρουσι. τὸ δὲ ῥητὸν δυσχερὲς καὶ δυσνόητον· ὁ δὲ νοῦς, ὡς οἶμαι, τοῦτο σημαίνει· τὰ περὶ ἁμαρτίας προσαγόμενα παρὰ τῶν υἱῶν Ἰσραὴλ πάντα, εἴ τι δ' ἂν ὦσι, κἂν ζῶα, κἂν καρποὶ, λήψεται αὐτὰ ὁ ἱερεύς.

* ΚΥΡΙΛΛΟΥ. [Προσενεγκὼν δὲ, ὅτι
Γ » καὶ ἐξαρεῖ Ἀαρὼν τὰ ἁμαρτήματα τῶν » ἁγίων, ὅσα ἂν ἁγιάσωσι παντὸς δόματος » τῶν ἁγίων αὐτῶν· [ὅτι πᾶσα προσαγωγὴ καὶ τελείωσις ἐν Χριστῷ, διαμεμήνυκεν ἐναργῶς, καὶ μὴν ὅτι πᾶσα δικαίωσις ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ, καὶ ἡ τῶν πάλαι πλημμελημάτων ἀπόθεσις. αὐτὸς γὰρ ἡμῶν αἴρει τὰς ἁμαρτίας, [καὶ] δι' αὐτοῦ γεγόναμεν δεκτοὶ, τὰς ἐν πνεύματι δωροφορίας προσκομίζοντες τῷ Θεῷ καὶ πατρί.

Δ * ΤΟΥ ΑΥΤΟΥ. Ἐναπόθετον [δὲ καὶ] διηνεκῆ, καὶ εἰς ἀπεράντους αἰῶνας ἐκτεινομένην τὴν τοῦ Σωτῆρος ἡμῶν βασιλείαν εὖ μάλα καταδεικνὺς, [περί τε τῆς μί- » τρας τοῦ πετάλου φησί· καὶ ἔσται ἐπὶ τοῦ » μετώπου Ἀαρὼν διαπαντός.]

μα. Καὶ οἱ κόσυμβοι τῶν χιτώνων ἐκ βύσσου.

E ** Κόσυμβοι. οἱ λοιποὶ, αἱ συσφίγξεις.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Τὸν δὲ χιτῶνα τοῦτον καὶ κοσυμβωτὸν εἶναι ὁ λόγος διακελεύεται. κόσυμβοι δέ εἰσι τὰ ἔξω τῆς χρείας κόσμου χάριν ἀπηρτημένα σφαιροειδῆ ἀπαρτήματα. μανθάνομεν δὲ διὰ τούτων, τὸ δεῖν μὴ τῇ ἐντολῇ μόνῃ τὴν ἀρετὴν μετρεῖσθαι, ἀλλά τι καὶ παρ' ἡμῶν ἐξευρίσκεσθαι διὰ τῶν ἔξωθεν παρεπινοου-
Z μένων, ὡς ἂν προσθήκη τις τοῦ κόσμου γένοιτο τῷ ἐνδύματι. [οἷος ὁ Παῦλος ἦν, τοὺς καλοὺς παρ' ἑαυτοῦ κοσύμβους ταῖς ἐντολαῖς συμπλέκων. τοῦ γὰρ νόμου κελεύοντος τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, τῷ θυσιαστηρίῳ συμμερίζεσθαι, καὶ μὴ κωλύοντος ἀδελφὴν γυναῖκα περιάγειν, καὶ τοὺς

(1) Χρυσοῦν δὲ πέταλον, ὡσανεὶ Στέφανος, ἐδημιουργεῖτο, τέτταρας ἔχον γλυφὰς ὀνόματος· ὃ μόνοις τοῖς ὦτα καὶ γλῶτταν σοφίᾳ κεκαθαρμένοις θέμις ἀκούειν καὶ λέγειν ἐν ἁγίοις, ἄλλῳ δὲ οὐδενὶ τὸ παράπαν οὐδαμοῦ. τετραγράμματον δὲ τοὔνομά φησιν ὁ θεολόγος εἶναι. Φίλ. ὁ Ἑβρ. ἐν τῷ περὶ Μωϋσ. βιβλ. 3. σελ. 152. (2) Ιαου. ἐν βιβλ. 5. τῶν στρωματ. σελ. 240.

(3) Ὃν κοσμεῖ ὁ ἐσφραγισμένος τῷ χρυσῷ πετάλῳ τοῖς ἀῤῥήτοις χαράγμασιν. ἐν τῇ εἰς τὸν τοῦ Μωϋσ. βίον θεωρ. (4) Ἐπιθήσεις αὐτὸ ἐπὶ ὑακίν. ἡ ἐν Φρανεκ. ἔκδοσ.

(5) Ἀλλ' οὐράνιος ὁ Χριστὸς, ὅλην, κτ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 388.

τοὺς τὸ εὐαγγέλιον καταγγέλλοντας ἐκεῖθεν ζῆν· οὕτος ἀδάπανον ποιεῖται τὸ εὐαγγέλιον, πεινῶν καὶ διψῶν καὶ γυμνητεύων. οὗτοί εἰσιν οἱ καλοὶ κόσυμβοι, οἱ τὸν χιτῶνα τῶν ἐντολῶν τῇ παρ' ἑαυτῶν προσθήκῃ κατακοσμοῦντες.] A

Καὶ ποιήσεις κίδαριν βυσσίνην. καὶ ζώνην ποιήσεις, ἔργον ποικιλτοῦ.

ΑΔΗΛΟΥ. Ἡ κίδαρις τιάρα τίς ἐστιν εἰς ὀξὺ ἄνω τρέχουσα, περιφερής. ἥτις τύπος ἐστὶ τοῦ κάτωθεν ἕως ἄνω ἔχεσθαι τῶν ἀρετῶν, καὶ οὐρανοπολίτας εἶναι. B

» ΚΥΡΙΛΛΟΥ. Κίδαρίν τε καὶ ζώνην ἐκ
» βύσσου ποιήσεις, φησί. στρατιωτικὸν δὲ τῷ Ἀαρὼν τὸ σχῆμα, ζωστήρ τε καὶ κράνος. ἐν εἴδει γάρ πως ἡ κίδαρις τῷ κράνει ἴση ἐστί. πεπολέμηκε γὰρ ὑπὲρ ἡμῶν ὁ Χριστὸς
Ἐξόδ. 17. 16. ἐν χειρὶ κραταιᾷ, κατὰ τὸ γεγραμμένον·
Ψαλ. 7. 12, καὶ τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν
13. » αὐτό· καὶ τὰ βέλη αὐτοῦ τοῖς καιομένοις Γ ἐξειργάσατο· καὶ καθεῖλεν ἀρχὰς, τεθριάμβευκε δυνάμεις, κατέσεισε κυριότητας, καὶ αἰχμαλώτους ὄντας ἐῤῥύσατο τοὺς ἐπὶ τῆς γῆς. ὅτι δὲ οὐχ ὁρατὸς ἢ παχὺς ὁ πόλεμος, οὐδὲ οἷον πρὸς αἷμα καὶ σάρκα γέγονεν αὐτῷ, ὑποφαίνειν ἔοικεν αἰνιγματωδῶς τὸ ἐκ βύσσου μόνης τῆς ἄγαν ἰσχνῆς τὴν πολεμικὴν γίνεσθαι σκευήν, κίδαρίν τε φημὶ καὶ ζώνην. κόσμῳ μὲν οὖν ἱεροπρεπεῖ λαμπρόν τε καὶ ἀξιάγαστον ἀποφαίνει τὸν Ἀαρών. Δ

μβ. Καὶ τοῖς υἱοῖς Ἀαρὼν ποιήσεις χιτῶνας καὶ ζώνας, καὶ κιδάρεις ποιήσεις αὐτοῖς εἰς τιμὴν καὶ δόξαν.

∗ ΚΥΡΙΛΛΟΥ. Ὁρᾷς ὅτι καὶ αὐτοῖς τοῖς ἐξ Ἀαρὼν ἐμπρέπει τὸ ὡς ἔν γε τῷ πολεμικῷ καθορᾶσθαι σχήματι. μάχιμον γὰρ ἅπαν τὸ ἱερόν ἐστι γένος, καὶ οὐ πρὸς E αἷμα καὶ σάρκα στρατεύεσθαί τε καὶ ἀντεξάγειν εἰδὸς, ἀλλὰ τὴν βέβηλον κατακωλύειν ἁμαρτίαν, ἐμφρονέστατά τε καὶ λογικῶς τῶν τῆς ἀληθείας δογμάτων ὑπερ-
2. Κορ. 10. 5. μαχόμενον, καὶ αἰχμαλωτίζον πᾶν νόημα
» εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, καθὰ γέγραπται.

μγ. Καὶ ἐνδύσεις αὐτὰ Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ τοὺς υἱοὺς αὐτοῦ μετ' αὐτοῦ. καὶ χρίσεις αὐτοὺς, καὶ ἐμπλήσεις αὐτῶν τὰς χεῖρας· καὶ ἁγιάσεις αὐτοὺς, ἵνα ἱερατεύσωσί μοι. Z

ΑΔΗΛΟΥ. Μᾶλλον, οὐκ ἄλλως τὶς ἐτάττετο εἰς ἱερέα, εἰ μὴ ὁ πρῶτος ἔπλησεν αὐτοῦ τὰς χεῖρας. διὰ γὰρ τούτου ἡγιάζοντο αὐτοῦ αἱ χεῖρες, καὶ ἐν τούτῳ ἐδόκουν A χειροτονεῖσθαι. οὐ λέγει δὲ τίνος ἐπλήρου τὰς χεῖρας, εἰκὸς δὲ ὅτι ἁγίων σκευῶν, ἤτοι τῶν ἄρτων τῆς προθέσεως. καὶ γὰρ καὶ νῦν ἔθος τὸν ἀρχιερέα, ἡνίκα χειροτονεῖται, μετὰ τὴν μετάληψιν τῶν θείων μυστηρίων, ἐν τῷ ποτίζεσθαι ἅπτεται ὁ χειροτονούμενος τοῦ ἁγίου σκεύους, ἵνα μᾶλλον ἁγιασθῶσιν αἱ χεῖρες αὐτοῦ. πλὴν παρακατιὼν φησὶ τοὺς τρόπους, τὸ πῶς ἁγιάζονται.

B **μδ. Καὶ ποιήσεις αὐτοῖς περισκελῆ λινᾶ καλύψαι ἀσχημοσύνην χρωτὸς αὐτῶν, ἀπὸ ὀσφύος ἕως μηρῶν ἔσται.**

ΚΥΡΙΛΛΟΥ. Περισκελὲς δὲ λινοῦν αὐτοῖς, τὸ ἀκαλλές τε καὶ ἄσχημον τῶν περὶ μηροὺς κατασκιάζον εὖ μάλα. σεμνὰ γὰρ ἅπαντα τὰ τῶν ἁγίων, καὶ ἄσχημον ἐν αὐτοῖς παντελῶς οὐδέν. ὑποσημαίνει δέ πως Γ τὸ λινοῦν τοῖς περὶ μηροῖς τοῦ σώματος μέρεσιν ἐπενηνεγμένον, ὅτι τοῖς ἁγίοις πρεπωδεστάτη τῶν τῆς σαρκὸς ἡδονῶν ἡ ἀπόψυξις. ψυχρὸν γὰρ τὸ λῖνον. τὸ δὲ θερμὸν εἰς ὀρέξεις μυσαρωτάτας, ὁσίου παντὸς ἀλλότριον. ἐκ λίνου δὲ καὶ ἑτέρως τοῖς ἱερᾶσθαι λαχοῦσιν ἀμφιά τε καὶ περισκελῆ. νεκρῶν γὰρ ἔργων ἀποφοιτᾶν ἀναγκαῖον αὐτούς. σύμβολον δὲ νεκρότητος (1) τὸ ἱερεῖον, ὡς ἐκ θνησιμαίου ληφθέν, φημὶ δὴ Δ προβάτου. [νεκρῶν οὖν ἔργων ἀπόθεσις, ὡς ἐν τύπῳ πάλιν, τὸ τοῖς ἐκ λίνου ἐστάλθαι, καὶ οὐχὶ δὴ μᾶλλον τοῖς ἐξ ἐρίων ἐσθήμασι.]

με. Καὶ ἕξει Ἀαρὼν αὐτὰ καὶ οἱ υἱοὶ αὐτοῦ, ὅταν εἰσπορεύωνται [εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ ὅταν προσπορεύωνται] λειτουργεῖν πρὸς τὸ θυσιαστήριον τοῦ ἁγίου· καὶ οὐκ ἐπάξονται E πρὸς ἑαυτοὺς ἁμαρτίαν, ἵνα μὴ ἀποθάνωσι. νόμιμον αἰώνιον αὐτῷ, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν.

∗∗ ΚΥΡΙΛΛΟΥ. Ἕψεται δὲ ὅτι πάντη τε καὶ πάντως τὸ ἐκλεληθέναι δεῖν ἠμεληκόσι τοῦ πρέποντος, καὶ τῆς ὅτι μάλιστα πρεπούσης αὐτοῖς εὐκοσμίας, διαμεμήνυκεν εἰπὼν, ὅτι χρὴ φοροῦντας ἱερουργεῖν.

ΤΟΥ ΝΥΣΣΗΣ. Ὑπόδημα δὲ οὐ περι- Z τίθησι τῷ τὸν τοιοῦτον κόσμον ἐνδεδυκότι, ὡς ἂν μὴ βαρὺς (2) μηδὲ δυσκίνητος εἴη τῇ τῶν νεκρῶν δερμάτων περιβολῇ, κατὰ τὴν γενομένην ἐπὶ τὴν (3) τοῦ ὄρους τῆς θεωρίας διάνοιαν. πῶς οὖν ἔμελλεν ἀντὶ κόσμου τῷ ποδὶ τὸ ὑπόδημα γίνεσθαι, τὸ κατὰ τὴν πρώτην μυσταγωγίαν ὡς ἐμπόδιον τῆς ἀνόδου ἀπαλλαττόμενον; (4)

ΚΕΦ.

(1) Νεκρότητος ὡς ἐκ θνησιδίου ληφθὲν, φημὶ δὴ προβάτου. ἐν Τόμ. 1. μέρ. 2. σελ. 390.

(2) Μὴ βαρύνοιτο πρὸς τὸν δρόμον, μηδὲ, κτ. ἐν τῷ περὶ τοῦ βίου Μωϋσ. λόγ.

(3) Ἐπὶ τῆς τοῦ ὄρους θεωρίας διάν. αὐτ.

(4) Ὡς ἐμπόδιον τῆς ἀνόδου ἀποβαλλόμενον; αὐτ.

ΚΕΦ. ΚΘ.

α. Καὶ ταῦτά ἐςιν ἃ ποιήσεις αὐτοῖς. ἁγιάσεις αὐτὲς, ὥςε ἱερατεύειν μοι αὐτές. λήψῃ μοσχάριον ἐκ βοῶν ἓν, καὶ κριὲς
β. ἀμώμες δύω, Καὶ ἄρτες ἀζύμες πεφυρμένες (1) ἐλαίῳ, καὶ λάγανα ἄζυμα κεχρισμένα ἐν ἐλαίῳ· σεμί-
γ. δαλιν ἐκ πυρῶν ποιήσεις αὐτά. Καὶ ἐπιθήσεις αὐτὰ ἐπὶ κανῦν ἕν· καὶ προσοίσεις αὐτὰ ἐπὶ τῷ κανῷ. καὶ τὸ
δ. μοσχάριον καὶ τὲς δύω κριές. Καὶ Ἀαρὼν καὶ τὲς ὑὲς αὐτῦ προσάξεις ἐπὶ τὰς θύρας τῆς σκηνῆς τῦ μαρτυ-
ε. ρίε, καὶ λέσεις αὐτὲς ἐν ὕδατι. Καὶ λαβὼν τὰς ςολὰς τὰς ἁγίας, ἐνδύσεις τὸν Ἀαρὼν τὸν ἀδελφόν σε καὶ τὸν χιτῶνα τὸν ποδήρη τῦ ἐπενδύματος, καὶ τὴν ἐπωμίδα, καὶ τὸ λόγιον· καὶ συνάψεις αὐτὸ τὸ λόγιον πρὸς τὴν ἐπωμίδα.

✱ ΚΥΡΙΛΛΟΥ. Προσκομίζεσθαι μὲν ἐν εἰς θυσίαν προσέταχε μοσχάριον, καὶ δύω κριὲς, λάγανά τε καὶ ἄρτες ἐπὶ κανῷ. προαφαγνίζει δὲ καὶ ἑτέρως, τύπον οἶμαι πε τὸ χρῆμα τιθεὶς τῦ κατ' ἀλήθειαν ἁγιασμῦ. ὕδατι γὰρ ἀπολέσας τὸν Ἀαρὼν, τὴν ἁγίαν αὐτὸν ἀμφιέννυσι ςολήν. ἀπολεσάμενοι δὲ καὶ ἡμεῖς διὰ τῦ ἁγίε βαπτίσματος, καὶ πᾶν εἶδος ἀκαθαρσίας ἀποτριψάμενοι, τότε τὴν ἄνωθεν καὶ ἐξ ἐρανῦ καταπλετῦμεν χάριν, τὸν τῆς εὐφροσύνης χιτῶνα δεχόμενοι, κατά γε τὸ,
Ῥωμ. 13. 14. ἐνδύσασθε τὸν Κύριον Ἰησῦν Χριςόν. προαπέδειξε γὰρ ὁ λόγος, ὅτι πολυτρόπως ἦν ὁ Χριςὸς ὡς ἐν κόσμῳ τῷ περὶ τὸν Ἀαρὼν πλαττόμενος.

ς. Καὶ ἐπιθήσεις τὴν μίτραν ἐπὶ τὴν κεφαλὴν αὐτῦ, καὶ ἐπιθήσεις τὸ πέταλον τὸ ἁγίασμα ἐπὶ τὴν μίτραν.

ζ. Καὶ λήψῃ τῦ ἐλαίε τῦ χρίσματος· καὶ ἐπιχεεῖς αὐτὸ ἐπὶ τὴν κεφαλὴν αὐτῦ, καὶ χρίσεις αὐτόν.

✱ ΚΥΡΙΛΛΟΥ. Ἐλαίῳ δὲ καταχρίει τὴν κεφαλὴν ἁγίῳ, τὸ ἱλαρὸν ἐν ἐλπίδι [τῆς], τῶν ἁγίων ζωῆς, ἤτοι τὴν ἄνωθεν ἱλαροποιὸν ἐπίσκεψιν, τῦ ἐλαίε κατασημαίνοντος. ἠλεήμεθα γὰρ οἱ πιςεύσαντες, καὶ ἐσμὲν εὐλογημένοι τῷ Κυρίῳ, τῇ τῦ πνεύματος χορηγίᾳ τὸν νῦν καταπιαινόμενοι. νῦ δὲ εἰς τύπον ἡ κεφαλή.

η. Καὶ τὲς ὑὲς αὐτῦ προσάξεις,
θ. καὶ ἐνδύσεις αὐτὲς χιτῶνας. Καὶ ζώσεις αὐτὲς ταῖς ζώναις, καὶ περιθήσεις αὐτοῖς τὰς κιδάρεις· καὶ ἔςαι αὐτοῖς ἱερατεία ἐμοὶ εἰς τὸν αἰῶνα. καὶ τελειώσεις Ἀαρὼν τὰς χεῖρας αὐτῦ, καὶ τὰς χεῖρας τῶν ὑῶν αὐτῦ.

✱ ΚΥΡΙΛΛΟΥ. Κατὰ τὸν ἴσον δὲ τετονὶ τρόπον οἱ ἱερεῖς ἡγιάζοντο, ὕδατί τε
B ἀπονιζόμενοι, καὶ ἐλαίῳ χριόμενοι· [ἔτωτε χριόμενοι τὴν ἱερὰν ἀμφίασιν περικείμενοι, τελειέμενοί τε τὰς χεῖρας, ὡς ἤδηπως δοκεῖν καὶ ἐπιτηδείως ἔχειν εἴς γε τὸ χρῆσθαι λοιπὸν καθαρῶς τε καὶ ἀμωμήτως τὰς θυσίας ἐπιτελεῖν.]

ι. Καὶ προσάξεις τὸν μόσχον ἐπὶ τὰς θύρας τῆς σκηνῆς τῦ μαρτυρίε. καὶ ἐπιθήσεσιν Ἀαρὼν καὶ οἱ ὑοὶ αὐ-
Γ τῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τῦ μόσχε, ἐναντίον Κυρίε, παρὰ τὰς θύρας τῆς σκηνῆς τῦ μαρτυρίε.
ια. Καὶ σφάξεις τὸν μόσχον ἔναντι Κυρίε, παρὰ τὰς θύρας τῆς σκηνῆς τῦ μαρτυρίε.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ οἱ ἱερεῖς [τοῖς ἱερείοις] τὰς χεῖρας ἐπιτιθέντες, ἔτως ἱέρευον. Οὐ πᾶσι τοῖς ἱερείοις, ἀλλὰ τοῖς
Δ ὑπὲρ αὐτῶν προσφερομένοις, καὶ μάλιςα τοῖς ὑπὲρ ἁμαρτίας· τοῖς δὲ ἄλλοις αὐτοὶ τὰς χεῖρας ἐπετίθεσαν οἱ προσφέροντες. ἦν δὲ τῦτο σύμβολον τῦ τὸ ἱερεῖον τὸν τόπον πληρῦν τῦ προσφέροντος, τὴν ὑπὲρ αὐτῦ δεχόμενον ὀργήν. ἐπισημήνασθαι δὲ προσήκει, ὡς ὑπὲρ τῦ ἀρχιερέως προσεφέρετο μόσχος· ὑπὲρ δὲ παντὸς τῦ λαῦ, πάλιν μόσχος· ὑπὲρ δὲ τῦ ἄρχοντος, χί-
E μαρος· ὑπὲρ δὲ ἑκάςε ἀνδρὸς, χίμαιρα· πρόσφορον γὰρ τῷ μὲν ἄρχοντι, τὸ ἄρρεν· τῷ δὲ ἀρχομένῳ, [τὸ] θῆλυ. ἐπειδὴ καὶ τὴν γυναῖκα τῷ Ἀδὰμ ἐξ ἀρχῆς ὑπέταξεν ὁ Θεός. ὁ δὲ μόσχος ὁ ὑπὲρ ἁμαρτίας θυόμενος, ἔξω τῆς παρεμβολῆς κατεκαίετο. τέτε χάριν καὶ ὁ δεσπότης Χρι-
» ςὸς, ἥ φησιν ὁ Ἀπόςολος, ἔξω τῆς πύλης Ἑβρ. 13. 12.
ἔπαθε, καὶ τῷ τύπῳ τὴν ἀλήθειαν ἐπιτέθειται.

Z ΚΥΡΙΛΛΟΥ. [Ὡς βαθὺ τὸ χρῆμα τῶν νομικῶν ἐνταλμάτων.] βαθὺ μὲν ἐν λίαν, πλὴν ἐκ εἰς ἅπαν ἀσυμφανὲς, τὸ θεῖον ἡμῖν ἐναςράπτοντος φῶς τῦ ἁγίε πνεύματος. Φέρε δὴ λοιπὸν ὡς ἔνι τὰ ἐφ' ἑκάςῳ λέγωμεν. κατὰ μυρίες ὅσες ἁγιάζει τρόπες ὁ Κύριος ἡμῶν Ἰησῦς Χριςὸς, ἱερέςτε καὶ εὐπροσδέκτες ἀποτελεῖ. δι' αὐτῦ
» γὰρ καὶ ἐν αὐτῷ τὴν προσαγωγὴν ἐσχήκαμεν, Ῥωμ. 5. 2.
καὶ ἐσμὲν ἐκ ἀνεθέλητοι τῷ Θεῷ
H καὶ πατρί.

ΤΟΥ ΑΥΤΟΥ. Καὶ μοσχάριον μὲν ὁ Χριςὸς, ὡς ἔξω ζυγῦ καὶ ὑπὸ ζυγόν. Θεὸς

(1) Πεφυραμένες ἐν ἐλαίῳ. ἢ ἐν Φρανκ. ἔκδοσ.

Θεὸς γὰρ ὢν φύσει, γέγονεν ὑπὸ νόμον διὰ τὸ ἀνθρώπινον. σφάζεται δὲ ὡς ὑπέργε τῆς ἁγίας σκηνῆς, καὶ τῶν ἐπιτιθέντων αὐτῷ τὰς χεῖρας. λοῦται δὲ οὗτοι καὶ ἱερεῖς. ἀπέθανε γὰρ ὑπὲρ τῆς ἐκκλησίας, καὶ τῶν ἐν αὐτῷ καθιερωμένων διὰ τῆς πίστεως.

ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Συγχωρεῖ φησὶ τὰς θυσίας τέως, ἵν' ἐγκαταστήσῃ Θεόν.

ΤΟΥ ΑΥΤΟΥ. Διὰ τοῦτο δέδοται νόμος ἡμῖν εἰς βοήθειαν, οἷόν τι διατείχισμα μέσον Θεοῦ καὶ εἰδώλων.

ιβ. Καὶ λήψῃ ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ ἐπιθήσεις ἐπὶ τῶν κεράτων τοῦ θυσιαστηρίου τῷ δακτύλῳ σου· τὸ δὲ λοιπὸν πᾶν αἷμα ἐκχεεῖς παρὰ
ιγ. τὴν βάσιν τοῦ θυσιαστηρίου. Καὶ λήψῃ
πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, καὶ τὸν λοβὸν τοῦ ἥπατος, καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν θυμιάσεις, καὶ ἐπιθήσεις ἐπὶ τὸ θυσιαστήριον.

ΚΥΡΙΛΛΟΥ. [Ἱερὸς δὲ ὅτι, καὶ ὡς ἐν τρόπῳ θυσίας εὐπρόσδεκτος τῷ Θεῷ καὶ πατρὶ τοῦ Ἐμμανουὴλ ὁ θάνατος, παρὰ σοὶ νοεῖν,] προχεομένου τοῦ αἵματος τῷ ἁγίῳ θυσιαστηρίῳ· θυομένων δὲ καὶ τῶν ἐντοσθίων, ἃ καὶ εἰς τύπον εἶεν ἂν τῶν εἰς τὸ ἔσω καὶ εἰς νοῦν ἀρετῶν. αἷς ἔνεστι μὲν τὸ εὐῶδες πνευματικῶς, οὐ καθ' ἕνα δὲ τρόπον· ἐπεί τοι πολλὰ τὰ ἐντόσθια, πιμελὴ, καὶ νεφροὶ, καὶ [ὁ] λοβὸς τοῦ ἥπατος.

ΘΕΟΔΩΡΙΤΟΥ. Τῷ δὲ θυσιαστηρίῳ προσεφέρετο τὸ ἐπίπλουν. τοῦτο γὰρ λέ-
» γει, τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, καὶ οἱ
» δύο νεφροὶ, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ
» ὁ τοῦ ἥπατος λοβός· ὅπερ οἱ ἄλλοι ἑρμηνευταὶ περιττὸν προσηγόρευσαν. αἰνίγματα δὲ ταῦτα τῶν ἐν ἡμῖν παθημάτων. τὸ μὲν γὰρ στέαρ [τὸ] τὴν κοιλίαν καλύπτον, σημαίνει τῆς γαστριμαργίας τὴν νόσον· οἱ δὲ νεφροὶ, τὰς ὑπογαστρίους ἡδονάς· ὁ δὲ λοβὸς τοῦ ἥπατος, τὸ θυμοειδές. ἐκείνῳ γὰρ συνῆπται τὸ χοληδόχον ἀγγεῖον. ταῦτα δὲ καθιεροῦν κελεύει, καὶ οἱονεὶ νεκρὰς αὐτῶν ἀποφαίνειν τὰς πονηρὰς ἐνεργείας.

ιδ. Τὰ δὲ κρέατα τοῦ μόσχου, καὶ τὸ δέρμα αὐτοῦ, καὶ τὴν κόπρον αὐτοῦ κατακαύσεις ἔξω τῆς παρεμβολῆς· ἁμαρτίας γάρ ἐστι.

ΑΔΗΛΟΥ. Μᾶλλον τὴν παρεμβολὴν λέγει τὴν σκηνὴν, ἢ τόπον ἐν ᾧ ἐγίνετο ἡ θυσία.

ΚΥΡΙΛΛΟΥ. Ἐμπίπραται δὲ τοῦ σώματος τὸ λειπόμενον ἔξω τῆς παρεμβο-
Ἑβρ. 13. 12. λῆς. ἔξω γὰρ τῆς πύλης ἔπαθεν ὁ Χριστός. γράφει δὲ οὕτω καὶ ὁ Παῦλος. τὸ δέγε πυρὶ δαπανᾶσθαι τὸ σῶμα, κατασημαίνειεν ἂν, ὅτι τὸ πάθος αὐτὸ καὶ ὁ θάνατος, οὐκ εἰς ἀδοξίαν ἔσται ποθὲν, ἀλλ'

A εἰς λαμπρὰν καὶ ἐκφανεστάτην ἐκτελευτήσει δόξαν. ἐν εἴδει γὰρ τῷ πυρὸς νοεῖται τὸ θεῖον. καταβέβηκε γὰρ οὕτω καὶ ἐπὶ τὸ ὄρος τὸ Σινά. καταλύσων δὲ τοῦ θανάτου τὸ κράτος, ὑπέδυ τὸν θάνατον οἰκονομικῶς ὁ Χριστὸς, ἵν' ὡς Θεὸς δοξάζηται πρὸς ἡμῶν. ἔρρει δὴ οὖν εἰς θεοπρεπῆ δόξαν ὁ θάνατος, τέλος ἔχων τὸ ἀναβιῶναι λαμπρὸν, καὶ τὸ ἐν γε τῷ παθεῖν σμικροπρεπὲς εὐκλείαις ταῖς ἀνωτά-
B τω νικώμενον, οἴχεται πρὸς τὸ μηδέν. καὶ τοῦτο οἶμαί ἐστιν αἰνιγματωδῶς τὸ δαπανᾶσθαι πυρὶ τὸ νεκρὸν μοσχάριον.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐπειπὼν δὲ, ὅτι
» ἁμαρτίας γάρ ἐστιν, εἰς ἀποκάθαρσιν ἁμαρτίας τὸ Χριστοῦ γενέσθαι διαμεμήνυκε πάθος. καὶ τὸ χρῆμά ἐστιν οὐκ ἀσυμφανές.

ιε. Καὶ τὸν κριὸν λήψῃ τὸν ἕνα,
Γ καὶ ἐπιθήσουσιν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ.

ις. Καὶ σφάξεις τὸν κριὸν, καὶ λαβὼν τὸ αἷμα αὐτοῦ προσχεεῖς πρὸς
ιζ. τὸ θυσιαστήριον κύκλῳ. Καὶ τὸν κριὸν διχοτομήσεις κατὰ μέλη· καὶ πλυνεῖς τὰ ἐντόσθια αὐτοῦ καὶ τοὺς πόδας ὕδατι, καὶ ἐπιθήσεις ἐπὶ τὰ διχοτο-
ιη. μήματα σὺν τῇ κεφαλῇ αὐτοῦ. Καὶ
ἀνοίσεις τὸν κριὸν ὅλον ἐπὶ τὸ θυσιαστήριον, ὁλοκαύτωμα τῷ Κυρίῳ ἐστί.

ΚΥΡΙΛΛΟΥ. Καὶ διὰ τούτων ἡμῖν ὁ Χριστὸς δηλοῦται, ὁ ὡς ἐν κριῷ τῷ τελείῳ τέλειος, ἁγίαν ἔχων ζωήν· δηλοῖ γὰρ, οἶμαι, τοῦτο τὸ προχεῖσθαι τὸ αἷμα τῷ θυσιαστηρίῳ· ζωῆς γὰρ τύπος τὸ αἷμα· καὶ εἰς ὀσμὴν εὐωδίας ἀνακείμενος τῷ Θεῷ καὶ
E πατρὶ, ὡς ὑπὲρ πάντων τε ἅμα, καὶ ὑπὲρ ἑκάστου. τύπος δὲ τοῦτο πάλιν, τὸ ἀναφέρεσθαι τὸν κριὸν ἐπὶ τὸ θυσιαστήριον, ὡς ἐν παντί τε καὶ κατὰ μέλος. μέλη δὲ ἡμεῖς ἀνὰ μέρος Χριστοῦ, καὶ ἓν οἱ πάντες νοούμενοι σῶμα. ἅγιος δὲ ὅτι καὶ ἱερὸς ὅλος, καὶ σπῖλον ἀκαθαρσίας οὐκ ἔχων, ἡ τῶν ἐντοσθίων ἔκπλυσις εὖ μάλα παραδηλοῖ. συναναφέρονται δὲ κεφαλὴ καὶ πόδες, τὸ ἀπ' ἀρχῆς καὶ μέχρι παντὸς εὐῶδες ἐν
Z ἁγιασμῷ τῆς τοῦ Σωτῆρος ζωῆς ὑποφαίνοντες. παντὸς γὰρ ζώου κεφαλὴ μὲν, ἀρχή· κατάληξις δὲ ὥσπερ, καὶ τοῦ παντὸς σώματος οἱ πόδες, τὸ τέλος. ἢ τάχα που νοεῖν ἄμεινον κεφαλὴν μὲν, τῆς θεωρίας τὸ ὑπερέχον καὶ ὑψηλόν· πορείας γε μὴν τῆς κατ' ἐνέργειαν πρακτικῆς, τοὺς πόδας. εὐώδη δὲ πάντα τὰ ἐν Χριστῷ, καὶ εἰς ἄκρον ἥκοντα καθαρότητος, καὶ νοήματα καὶ πράξεις. οὐ γὰρ ἐποίησεν ἁμαρ-
H τίαν. ταύτῃ τοι καὶ ὁλοκαύτωμα καὶ θυσίασμά φησι τὴν καθιέρωσιν τοῦ κριοῦ. οὐ γὰρ ἐκ μέρους ἅγιος, ἢ ἱερός. πρέπει γὰρ οὐκ ἐκείνῳ ποθὲν, ἡμῖν δὲ μᾶλλον τὸ καὶ ἀσθενεῖν ἔσθ' ὅτε, καὶ ἐναλῶναι πταίσμασι.

Ἰώβ. 14. 4. καθαρὸς γὰρ ἐδεὶς ἐξ ἁμαρτιῶν· καὶ
Ἰακ. 3. 2. „ πολλὰ πλαίομεν ἅπαντες, κατὰ τὸ γεγραμμένον.

ΤΟΥ ΑΥΤΟΥ. Καθῆκε τοίνυν εἰς ἀνθρωπότητα, καὶ ἐσκήνωσεν ἐν ἡμῖν ὁ μονογενὴς, καὶ ὑπέθηκεν ἑαυτὸν τῷ Θεῷ
Φιλιπ. 2. 8. καὶ πατρί. γέγονε γὰρ ὑπήκοος μέχρι θανάτε, τῆς ἐν Ἀδὰμ ἀνυποταξίας ἀφανίζων τὰ ἐγκλήματα, καὶ τῆς εὐπειθείας τὴν εὐωδίαν, ὡς ὑπὲρ πάντων τε ἅμα καὶ ὑπὲρ ἑκάστε προσαγήοχε τῷ Θεῷ καὶ πατρί· διά τε τέτε σεσώσμεθα.

ιθ. Καὶ λήψῃ τὸν κριὸν τὸν δεύτερον, καὶ ἐπιθήσει Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτῦ τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τῦ κριῦ.

κ. Καὶ σφάξεις αὐτὸν, καὶ λήψῃ τῦ αἵματος αὐτῦ, καὶ ἐπιθήσεις ἐπὶ τὸν λοβὸν τῦ ὠτὸς Ἀαρὼν τῦ δεξιῦ, καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς τῆς δεξιᾶς, καὶ ἐπὶ τὸ ἄκρον τῦ ποδὸς τῦ δεξιῦ, καὶ ἐπὶ τὰς λοβὰς τῶν ὤτων τῶν υἱῶν αὐτῦ τῶν δεξιῶν, καὶ ἐπὶ τὰ ἄκρα τῶν χειρῶν αὐτῶν τῶν δεξιῶν, καὶ ἐπὶ τὰ ἄκρα τῶν ποδῶν αὐτῶν τῶν δεξιῶν.

ΚΥΡΙΛΛΟΥ. Βαθὺς μὲν ὁ λόγος, ὠδίνει γε μὴν τὸ Χριστῦ μυστήριον. γέγονε γὰρ ἡμῶν κριὸς τελειώσεως, εἰς πᾶν ὁτιῦν τῶν ἀρίστων ἀρτίως ἔχοντας ἀποφαίνων, [καὶ] εὐπρεπεστάτες ἐν ἀρεταῖς δι' ἁγιασμῦ ἐν πνεύματι. καὶ πρό γε τῶν ἄλλων ἀκοὴν μὲν ἐνθεὶς τὴν εὐλογίας πλήρη, τετέστι τὴν εὐπειθῆ καὶ εὐήκοον, καὶ ἐπιτηδείως μὲν ἔχεσαν εἰς παραδοχὴν τῶν περὶ αὐτῦ δογμάτων, ἐκ ἀνεχομένην δὲ ψιθύρων τερετισμῶν, καὶ μυσαρᾶς ἀθυρογλωττίας, ἣν ἂν ποιοῖντό τινες τῇ ἀληθείᾳ μαχόμενοι, καὶ τοῖς τῆς ὀρθότητος ἀντεξάγοντες δόγμασιν. ἀκοῆς γὰρ δὴ τῦτο τῆς ἁγίας καρπός.

∗ ΤΟΥ ΑΥΤΟΥ. Βάσανος δὲ ῥημάτων πράττοιτο ἂν [εἰκότως,] ἐχ ἑτέρωσέ ποι μᾶλλον, ἢ εἰς ἔς. ἅγιον δὴ ἐν ἔσαι τὸ ἔς τοῖς τῆς ἀκριβείας καὶ δογματικῆς ὀρθότητος ἐπιμεληταῖς. ἀλλὰ τῦτό ἐστι Χριστῦ δῶρον, καὶ ξένιον ἐρανῦ, καὶ κατόρθωσις αἵματος τῦ ἁγίε. τοιγάρτοι καὶ χεὶρ ἡγιάζετο, πρακτικῆς ἐνεργείας παραδεκτικὴ, καὶ ὀρθότητος σύμβολον ἐναργές. ἁγίοις γὰρ ἔργοις ἡμᾶς ἐπισεμνύνεσθαι χρὴ, καὶ διασείειν εὖ μάλα τὴν εἰς πᾶν ὁτιῦν τῶν ἀρεσκόντων Θεῷ διάττεσαν τρίβον. Καὶ μεθ' ἕτερα. Κεκλήσθω δὴ ἐν τὸ ἱερὸν καὶ ἀπόλεκτον γένος, ἅγιαν μὲν ἀκοὴν, χεῖρά τε ὁμοίως καὶ πόδα, κατά γε τὲς ἀρτίως ἡμῖν εἰρημένες τρόπες· δεξιά τε πάντα χριόμενα, καὶ ὡς ἐν μοίρᾳ τῇ λοιπῷ, τετέστιν ἐν ἄκροις. τὸ γὰρ ἄκρον, φησὶ, τῦ ὠτὸς, καὶ μὴν καὶ ποδὸς, καὶ χειρός· ἅπασα γὰρ, οἶμαι, πρᾶ-

A ξις ἀγαθὴ γενναία τε ἐστὶ καὶ δεξιὰ, τὸ ὡς ἐν φαυλότητι σκαιὸν ἐκ ἔχεσα· καὶ μέχρι τῶν ἄκρων, ὅ ἐστι καὶ μέχρι παντὸς, ἤτοι τῦ τέλες. προσήκει γὰρ εἶναι δεξιὲς ἐν ἁγιασμῷ τὲς Θεῷ καθιερωμένες μέχρι
» παντὸς ἐν ὑπομονῇ. ὁ γὰρ ἀρξάμενος, φη- Φιλιπ. 1. 6.
» σὶν, ἔργων ἀγαθῶν ἐν ὑμῖν, ἐπιτελεσάτω.

κα. Καὶ λήψῃ ἀπὸ τῦ αἵματος τῦ θυσιαστηρίε, καὶ ἀπὸ τῦ ἐλαίε τῆς
B χρίσεως, καὶ ῥανεῖς ἐπὶ Ἀαρὼν καὶ ἐπὶ τὴν στολὴν αὐτῦ, καὶ ἐπὶ τὰς στολὰς τῶν υἱῶν αὐτῦ μετ' αὐτῦ· καὶ ἁγιασθήσεται αὐτὸς καὶ ἡ στολὴ αὐτῦ, καὶ οἱ υἱοὶ αὐτῦ καὶ αἱ στολαὶ τῶν υἱῶν αὐτῦ μετ' αὐτῦ. τὸ δὲ αἷμα τῦ κριῦ προσχεεῖς πρὸς τὸ θυσιαστήριον κύκλῳ.

κβ. Καὶ λήψῃ ἀπὸ τῦ κριῦ τὸ στέαρ
Γ αὐτῦ, καὶ τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν, καὶ τὸν λοβὸν τῦ ἥπατος, καὶ τὲς δύω νεφρὲς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ τὸν βραχίονα τὸν δεξιόν· ἔστι γὰρ τελείωσις αὕτη.

ΘΕΟΔΩΡΙΤΟΥ. Τῦ δὲ τῆς τελειώσεως κριῦ τὸν βραχίονα προσενεγκεῖν προηγόρευσε, τὴν πρακτικὴν ἀρετὴν δεξιὰν ἐσαν, καὶ ἀρεστὴν τῷ Θεῷ προσφέρειν [κελεύων.]

Δ

κγ. Καὶ ἄρτον ἕνα ἐξ ἐλαίε, καὶ λάγανον ἓν ἀπὸ τῦ κανῦ τῶν ἀζύμων τῶν προστεθειμένων ἔναντι Κυρίε.

ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ ἄρτος, καὶ τὸ λάγανον, καὶ ἡ τῦ οἴνε σπονδὴ, τὲς ἀπὸ γῆς φυομένες δηλῦσι καρπὲς, ὧν τὰς ἀπαρχὰς προσφέρειν ὅσιον τῷ Θεῷ.

κδ. Καὶ ἐπιθήσεις τὰ πάντα ἐπὶ
E τὰς χεῖρας Ἀαρὼν, καὶ ἐπὶ τὰς χεῖρας τῶν υἱῶν αὐτῦ· καὶ ἀφοριεῖς αὐτὲς ἀφόρισμα ἔναντι Κυρίε.

κε. Καὶ δέξῃ αὐτὰ ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἀνοίσεις ἐπὶ τὸ θυσιαστήριον τῆς ὁλοκαυτώσεως εἰς ὀσμὴν εὐωδίας ἔναντι Κυρίε. κάρπωμά ἐστι Κυρίῳ.

Z ΚΥΡΙΛΛΟΥ. Προσκομίζεσι μὲν τὴν θυσίαν οἱ ἀμφὶ τὸν Ἀαρὼν, ὑποδέχεται δὲ ὁ Μωσῆς, σημαίνοντος τῦ Θεῦ, ὅτι τῶν ἐτως ἡγιασμένων ἐν Χριστῷ τὰς θυσίας, μονονεχὶ καὶ ἀπὸ χειρῶν εἰς χεῖρας δέξεται, καὶ ἐκ ἀπαξιώσει τὸ χρῆμα. Χριστῦ γὰρ ἔχει τὴν εὐωδίαν. καὶ τῦτο οἶμαί ἐστιν ἡ τῶν ἐντοσθίων ἀναφορὰ, θυμιωμένων αὐτῷ.

H ΤΟΥ ΑΥΤΟΥ. Σιωπῶ, ὅτι σεσώσμεθα μὲν ὡς ἔν γε τῷ μόσχῳ, τεθνεῶτος ὑπὲρ ἡμῶν τῦ Χριστῦ, εὐωδιαζόμεν δὲ τῷ Θεῷ καὶ πατρὶ διὰ τῆς ὑποταγῆς αὐτῦ, καὶ τῆς ἐν ἁγιασμῷ ζωῆς.

ΘΕΟΔΩ-

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, εἰς ὀσμὴν
» εὐωδίας κάρπωμά ἐστι τῷ Κυρίῳ; Διὰ τῶν ἀνθρωπίνων τὰ θεῖα διδάσκει. ἐπειδὴ γὰρ ἡμεῖς ταῖς εὐωδίαις τερπόμεθα, τὴν κατὰ νόμον γενομένην ἱερουργίαν ὀσμὴν εὐωδίας ὠνόμασεν. ὅτι γὰρ οὐ δεῖ γυμνῷ προσέχειν τῷ γράμματι, καὶ ἡ τοῦ Θεοῦ φύσις διδάσκει· ἀσώματος γάρ· καὶ ἡ δυσωσμία τῶν καιομένων ὀστῶν. τί γὰρ ἐκείνων δυσωδέστερον; οἱ μέντοι ἄλλοι ἑρμηνευταὶ, εὐαρεστήσεως ἀντὶ εὐωδίας τεθείκασι.

κϛ. Καὶ λήψῃ τὸ στηθύνιον ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως, ὅ ἐστιν Ἀαρών· καὶ ἀφοριεῖς αὐτὸ ἀφόρισμα ἔναντι Κυρίου· καὶ ἔσται σοι ἐν μερίδι.

κζ. Καὶ ἁγιάσεις τὸ στηθύνιον, ἀφόρισμα, καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος, ὃς ἀφώρισται, καὶ ὃς ἀφῄρηται ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως
Γ ἀπὸ τοῦ Ἀαρὼν, καὶ ἀπὸ τῶν υἱῶν αὐ-
κη. τοῦ. Καὶ ἔσται Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ νόμιμον αἰώνιον παρὰ τῶν υἱῶν Ἰσραήλ· ἔστι γὰρ ἀφαίρεμα τοῦτο, καὶ ἀφόρισμα ἔσται παρὰ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ τῶν θυμιαμάτων τῶν σωτηρίων, ἀφαίρεμα Κυρίῳ.

* ΚΥΡΙΛΛΟΥ. Βραχίων μὲν, ἰσχύος ἂν εἴη σύμβολον· στηθύνιον δὲ, καρδίας καὶ νεφρῶν. δέδοται δὲ τῷ ἱερῷ γένει Χριστὸς, Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν ἐξ ἑκάστης θυσίας ὑπὲρ σωτηρίας προσφερομένης, τὸν ἱερέα λαμβάνειν τὸν βραχίονα τὸν δεξιὸν καὶ τὸ στηθύνιον προσέταξε; Διὰ τοῦ στηθυνίου τὸ λογικὸν [καὶ τὸ θεωρητικὸν] ἀπαιτεῖ τὸν ἱερέα· κάλυμμα γὰρ τὸ στηθύνιον τῆς καρδίας· διὰ δὲ τοῦ δεξιοῦ βραχίονος, τὴν πρᾶξιν τὴν δεξιάν. οὐκ ἀρκεῖ γὰρ ἡ πίστις εἰς σωτηρίαν, ἀλλὰ δεῖται τῶν ἔργων εἰς τελειότητα.

κθ. Καὶ ἡ στολὴ τοῦ ἁγίου, ἥ ἐστιν Ἀαρὼν, ἔσται τοῖς υἱοῖς αὐτοῦ μετ' αὐτὸν, χρισθῆναι αὐτοὺς ἐν αὐτοῖς, καὶ
λ. τελειῶσαι τὰς χεῖρας αὐτῶν. Ἑπτὰ ἡμέρας ἐνδύσεται αὐτὰ ὁ ἱερεὺς ὁ ἀντ' αὐτοῦ ἐκ τῶν υἱῶν αὐτοῦ, ὃς εἰσελεύσεται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου λειτουρ-
λα. γεῖν ἐν τοῖς ἁγίοις. Καὶ τὸν κριὸν τῆς τελειώσεως λήψῃ· καὶ ἑψήσεις τὰ κρέα ἐν τόπῳ ἁγίῳ.

λβ. Καὶ ἔδονται Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰ κρέα τοῦ κριοῦ, καὶ τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ, παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου.

* ΚΥΡΙΛΛΟΥ. Ψυχαῖς γὰρ ἂν πρέποι ταῖς ἱεραῖς τὸ ἐν μεθέξει γενέσθαι τροφῆς ἁγίας, τουτέστι τοῦ σώματος τοῦ Χριστοῦ.

A λγ. Ἔδονται αὐτὰ ἐν οἷς ἡγιάσθησαν ἐν αὐτοῖς τελειῶσαι τὰς χεῖρας αὐτῶν, καὶ ἁγιάσαι αὐτούς. καὶ ἀλλογενὴς οὐκ ἔδεται ἀπ' αὐτῶν· ἔστι γὰρ ἅγιον.

Ἄλλος δέ φησιν, ἀλλογενὴς ὁ μὴ ὢν ἱερεύς.

* ΚΥΡΙΛΛΟΥ. Καὶ γὰρ ἀπρόσιτος τοῖς ἀλλογενέσιν ἡ εὐλογία. νοείτω δ' ἂν
B [ἑτερογενὲς καὶ τὸ ἄπιστον ἔτι καὶ ἀβάπτιστον γένος, καὶ πρὸς τούτοις ἔτι, τὸ ἐξεστραμμένον εἰς ἑτερόφρονα νοῦν, καὶ ταῖς τῶν ἁγίων ἀσύμβατον γνώμαις, καὶ ὡς ἐν φαυλότητι δογμάτων διεχοινισμένον.]

λδ. Ἐὰν δὲ καταλειφθῇ ἀπὸ τῶν κρεῶν τῆς τελειώσεως καὶ τῶν ἄρτων ἕως πρωῒ, κατακαύσεις πυρὶ, τὰ λοιπὰ οὐ βρωθήσεται. ἁγίασμα γάρ ἐστι.

* ΚΥΡΙΛΛΟΥ. [Δαπανᾶται δὲ καὶ πυρὶ πᾶν ὅσον ἐστὶ τῆς θυσίας λείψανον, οὐκ ἐφιέντος ἐσθίειν τοῦ νόμου καὶ εἰς τὴν αὔριον.] ἁγιασμοῦ γὰρ, οἶμαί τις ἕτερος ἡμῖν ἔσται τρόπος κατὰ τὸν μέλλοντα αἰῶνα πνευματικῶς ἐνεργούμενος.

λε. Καὶ ποιήσεις Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ κατὰ πάντα ὅσα ἐνετειλά-
Δ μην σοι. ἑπτὰ ἡμέρας τελειώσεις τὰς χεῖρας αὐτῶν.

λϛ. Καὶ τὸ μοσχάριον τὸ τῆς ἁμαρτίας ποιήσεις τῇ ἡμέρᾳ τοῦ καθαρισμοῦ. καὶ καθαριεῖς τὸ θυσιαστήριον ἐν τῷ ἁγιάζειν σε ἐπ' αὐτῷ· καὶ χρίσεις αὐτὸ ὥστε ἁγιάσαι αὐτό.

Καθαρισμοῦ. Ἀκύλας, ἐξιλασμοῦ.

E λζ. Ἑπτὰ ἡμέρας καθαριεῖς τὸ θυσιαστήριον, καὶ ἁγιάσεις αὐτό. καὶ ἔσται τὸ θυσιαστήριον ἅγιον τοῦ ἁγίου. πᾶς ὁ ἁπτόμενος τοῦ θυσιαστηρίου, ἁγιασθήσεται.

» ΑΔΗΛΟΥ. Τὸ μὲν θυσιαστήριον, ἅγιον
» τοῦ ἁγίου, ὡς ἁγιάζον τὰ προσφερόμενα· ἅγια δὲ καὶ αὐτά.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι τὸ θυσια-
Z στήριον ἅγιόν ἐστιν. ἅγια δὲ τὰ ἐπιβαλλόμενα, ἢ προσαγόμενα αὐτῷ, τὰ κρέα τοῦ κριοῦ, καὶ οἱ ἄρτοι.

λη. Καὶ ταῦτά ἐστιν, ὅσα ποιήσεις ἐπὶ τοῦ θυσιαστηρίου. ἀμνοὺς ἐνιαυσίους ἀμώμους δύο τὴν ἡμέραν ἐπὶ τὸ θυσιαστήριον ἐνδελεχῶς, κάρπωμα ἐνδε-
λθ. λεχισμοῦ. Τὸν ἀμνὸν τὸν ἕνα ποιή-
H σεις τὸ πρωῒ, καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινόν.

** ΩΡΙΓΕΝΟΥΣ. Ποία δὲ ἑτέρα θυσία δύναται ἐνδελεχισμοῦ εἶναι τῷ λογικῷ νοητὴ, ἢ λόγος ἀκμάζων, λόγος ἀμνὸς συμβο-

συμβολικῶς καλούμενος, ἅμα τῷ φωτίζεσθαι τὴν ψυχὴν ἀναπεμπόμενος· αὕτη γὰρ ἂν εἴη τοῦ ἐνδελεχισμοῦ θυσία· καὶ πάλιν ἐπὶ τέλει τῆς τοῦ νοῦ ἐν τοῖς θειοτέροις διατριβῆς ἀναφερόμενος; οὐ γὰρ ἀεὶ δύναται διαρκεῖν τὸ εἶναι ἐν τοῖς κρείττοσιν, ὅσον κεκλήρωται ἡ ψυχὴ συνεζεῦχθαι τῷ γηΐνῳ καὶ βαροῦντι σώματι.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐὰν δέ τις ζητῇ, τί ἐν τοῖς μεταξὺ τῆς ἕω καὶ ἑσπέρας ποιήσει ὁ ἅγιος, μεταφερέτω ἀπὸ τῶν κατὰ τὴν λατρείαν τὸν λόγον, ἔπειτα καὶ ἐν τούτοις ἀκολουθεῖ.(1) καὶ γὰρ ἐκεῖ οἱ ἱερεῖς ἀρχὴν μὲν τῶν θυσιῶν προσφέρουσι τὴν τοῦ ἐνδελεχισμοῦ, ἑξῆς δὲ πρὸ τῆς ἑσπερινῆς τοῦ ἐνδελεχισμοῦ, τὰς κατὰ νόμον λοιπάς. οἷον, περὶ πλημμελείας, ἢ ἀκουσίων, ἢ σωτηρίου εὐχῆς, ἢ ζηλοτυπίας, ἢ σαββάτου, ἢ νουμηνίας, καὶ τῶν λοιπῶν, ἃ μακρὸν ἂν εἴη ἐπὶ τοῦ παρόντος λέγειν. οὕτω τοίνυν καὶ ἡμεῖς ἀπὸ τοῦ περὶ τῆς εἰκόνος λόγου πεποιημένοι τὴν ἀρχὴν τῆς ἀναφορᾶς, ὅς ἐστιν ὁ Χριστὸς, διαλαμβάνειν περὶ πολλῶν καὶ ὠφελιμωτάτων δυνησόμεθα, καὶ πάλιν ἐν τοῖς περὶ Χριστοῦ καταλήξαντες, ἐπὶ τὴν οἱονεὶ ἑσπέραν φθάσομεν καὶ νύκτα, ἐρχόμενοι καὶ ἐπὶ τὰ σωματικά.

μ. Καὶ δέκατον σεμιδάλεως πεφυραμένης ἐν ἐλαίῳ κεκομμένῳ τῷ ἑνὶ (2) τῷ τετάρτῳ τοῦ εἶν οἴνου τῷ ἀμνῷ· καὶ σπονδὴν τέταρτον τοῦ εἶν οἴνου τῷ ἀμνῷ τῷ ἑνί.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι τὸ εἶν; Μέτρον ἑβραϊκὸν οἴνου, καὶ ἐλαίου. δέχεται δὲ ὥς φησιν Ἰώσηπος (3) δύω χοὰς ἀττικάς. πιστευτέον δὲ ἐν τούτοις αὐτῷ ἀκριβῶς, τοῦ ἔθνους τὰ μέτρα ἐπισταμένῳ.

μα. Καὶ τὸν ἀμνὸν τὸν δεύτερον
ποιήσεις τὸ δειλινὸν, κατὰ τὴν θυσίαν
τὴν πρωϊνὴν, καὶ κατὰ τὴν σπονδὴν αὐ-
τοῦ. ποιήσεις εἰς ὀσμὴν εὐωδίας κάρ-
μβ. πωμα Κυρίῳ. Θυσίαν ἐνδελεχισμοῦ
εἰς τὰς γενεὰς ὑμῶν, ἐπὶ τὰς θύρας
τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι Κυρίου,
ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ, ὥστε λα-
μγ. λῆσαί σοι. Καὶ τάξομαι ἐκεῖ τοῖς
υἱοῖς Ἰσραὴλ, καὶ ἁγιασθήσομαι ἐν
τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἁγιασθήσομαι
μδ. ἐν δόξῃ μου. Καὶ ἁγιάσω τὴν σκηνὴν
τοῦ μαρτυρίου, καὶ τὸ θυσιαστήριον· καὶ
Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ ἁγιάσω, ἱε-
με. ρατεύειν μοι. Καὶ ἐπικληθήσομαι ἐν
τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἔσομαι αὐτῶν
μς. Θεός. Καὶ γνώσονται, ὅτι ἐγὼ Κύ-
ριος ὁ Θεὸς αὐτῶν, ὁ ἐξαγαγὼν αὐ-
τοὺς ἐκ γῆς Αἰγύπτου, ἐπικληθῆναι
αὐτοῖς, καὶ εἶναι αὐτῶν Θεός.

ΚΕΦ. Λ.

α. Καὶ ποιήσεις θυσιαστήριον θυμιάματος ἐκ ξύλων ἀσήπτων.

ΚΥΡΙΛΛΟΥ. Εἰς τύπον ἄρα Χριστοῦ καὶ τοῦτο παραδεξόμεθα. πεποίητο γὰρ ἐκ ξύλων ἀσήπτων. [χρυσῷ δὲ ὅλον ἀλήλειπτο. ἀδιάφθορον γὰρ τὸ σῶμα Χριστοῦ, καὶ φύσιν ἐν ἑαυτῷ τὴν θείαν καταπλουτοῦν. γέ-
Ἰωάν. 1, 14. γονε [γὰρ] σὰρξ ὁ λόγος, καὶ ἐσκήνωσεν
» ἐν ἡμῖν. ἀπαρχὴ δὲ ἡμῶν ὁ Χριστὸς, καὶ ῥίζα τοῦ γένους ἀνακτιζομένου πρὸς ἀφθαρσίαν διὰ τῆς πρὸς Θεὸν ἑνώσεως, εἰ καὶ ἐξαιρέτως ἐπ' αὐτοῦ τὸ χρῆμα νοοῖτο.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Θυσιαστήριον θυμιάματος νοῶ τὴν διηνεκῶς ἐπιτελουμένην ἐν τῇ σκηνῇ ταύτῃ τῶν οὐρανίων προσκύνησιν. πείθομαι γὰρ καὶ ταύτας σὺν ἡμῖν ἀναπέμπειν τὴν κεχαρισμένην τῷ Θεῷ θυσίαν, τὸ κάρπωμα τῶν χειλέων.(4)

β. Καὶ ποιήσεις αὐτὸ πήχεως τὸ μῆκος, καὶ πήχεως τὸ εὖρος, τετράγωνον ἔσται, καὶ δύω πήχεων τὸ ὕψος· ἐξ αὐτοῦ ἔσται τὰ κέρατα αὐτοῦ.

* ΚΥΡΙΛΛΟΥ. Κέρατα δὲ θυσιαστηρίου, οἱονεὶ χεῖρες ἐκτεταμέναι, τοῦ τιμίου σταυροῦ τὸ σχῆμα προαναπλάττουσαι. εἰ δὲ μὴ (5) τετταράτις εἶναι λέγοι τὰ κέρατα, τὸ ἀδικοῦν οὐδὲν εἰς τὸ νοεῖν ὀρθῶς τὸν φιλομαθῆ, τετραγώνου τε (6). καὶ ἰσοπλεύρου πανταχῆ τοῦ θυσιαστηρίου τυγχάνοντος,(7) καὶ κατὰ τοῦτο ἐσταυρωμένου. [ἐν παντὶ γὰρ τόπῳ Χριστὸς γινώσκεται, καὶ οὗτος ἐσταυρωμένος.]

γ. Καὶ καταχρυσώσεις αὐτὸ χρυσίῳ καθαρῷ τὴν ἐσχάραν αὐτοῦ, καὶ τοὺς τοίχους αὐτοῦ κύκλῳ· καὶ ποιήσεις αὐτῷ στρεπτὴν στεφάνην χρυσῆν κύκλῳ.

* ΚΥΡΙΛΛΟΥ. Πρόσκειται δὲ καὶ στε-
» φάνη στρεπτή. καὶ ἔστιν ἀληθῶς ὡραῖος Ψαλ. 44. 2.
» κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων ὁ Ἐμμανουήλ.

ΑΔΗΛΟΥ.

(1) Ἴσ. ἀκολουθείτω.

(2) Ἡ μὲν ἐν Φρανεκ. ἔκδοσις, κεκομμένῳ τῷ τετάρτῳ τοῦ εἶν· καὶ σπονδὴν τὸ τέταρτον, κτ. ἡ δὲ ἐν Ὀξον. κεκομμένον τέταρτον τοῦ εἶν· κτ. ἡ δὲ τοῦ Ἄλδου, κεκομμένῳ τοῦ τετάρτου τοῦ εἶν· κτ.

(3) Ἐν κεφ. 10. τοῦ 3. περὶ Ἰουδαϊκ. ἀρχαιολογ. βιβλ.

(4) Ταῦτα ἄλλως πως ἐν τῇ εἰς τὸν βίον Μωϋσ. θεωρ. συντέτακται.

(5) Εἰ δὲ δὴ τετταράτις. ἐν Τόμ. 1. μέρ. 1. σελ. 305.

(6) Τετραγώνου γάρ. αὐτ.

(7) Τυγχάνοντος, ἴση πανταχόθεν τῶν κεράτων ἡ θέα. αὐτ.

ΑΔΗΛΟΥ. Δηλοῦται διὰ μὲν τῆς στεφάνης, ὁ Χριστός· διὰ δὲ τῶν λοιπῶν, τότε θυσιαστήριον καὶ οἱ θεῖοι μαθηταί.

δ. Καὶ δύω δακτυλίους χρυσοῦς καθαροὺς ποιήσεις αὐτῷ ὑπὸ τὴν στρεπτὴν στεφάνην αὐτοῦ, εἰς τὰ δύω κλίτη ποιήσεις ἐν τοῖς δυσὶ πλευροῖς. καὶ ἔσονται ψαλίδες ταῖς σκυτάλαις, ὥστε αἴ-
ε. ρειν αὐτὰς αὐταῖς. Καὶ ποιήσεις σκυ-
τάλας ἐκ ξύλων ἀσήπτων, καὶ καταχρυσώσεις αὐτὰς χρυσίῳ.

» ΚΥΡΙΛΛΟΥ. Καὶ ἔσονται ψαλίδες ταῖς » σκυτάλαις, εἴσοδος τοῖς ἀναφορεῦσι. (1)

* ΤΟΥ ΑΥΤΟΥ. Ἐπενήνεκται δὲ καὶ τὰ εἰς χρείαν, ἀναφορεῖς, καὶ τὰ λοιπά. Φέρεσθαι γὰρ ἐν κόσμῳ κατὰ τοὺς τῶν ἀναζεύξεων καιροὺς τὸ θεῖον δεῖ θυσιαστήριον. [ἕδραν δὲ τοῦτο καὶ οἱ θεσπέσιοι μαθηταί, Χριστὸν περιφέροντες διὰ τοῦ κηρύγματος εὐσχημόνως τε καὶ κατὰ τάξιν, ὡς Θεοῦ διάκονοι, καὶ οἰκονόμοι μυστηρίων Χριστοῦ.]

ΑΔΗΛΟΥ. Σκυτάλας μᾶλλον ἐνταῦθα τοὺς ἀναφορεῖς, ἤτοι διωστῆρας, καλεῖ· ψαλίδας δὲ, τοὺς κρίκους, οὓς καὶ εἰσόδους ἐκάλεσεν ὁ Σύμμαχος.

ς. Καὶ θήσεις αὐτὸ ἀπέναντι τοῦ καταπετάσματος, τοῦ ὄντος ἐπὶ τῆς κιβωτοῦ τῶν μαρτυρίων, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ.

» ΑΔΗΛΟΥ. Ἀπέναντι, ἀντὶ τοῦ ἔμπροσθεν. οὐκοῦν τὸ ἔμπροσθεν ἡ ἀνατολή, εἴ γε τὰ ὀπίσω τὸ δυτικὸν, ὃ καλεῖται θάλασσα.

ζ. Καὶ θυμιάσει ἐπ' αὐτοῦ Ἀαρὼν θυμίαμα σύνθετον λεπτὸν τὸ πρωῒ πρωΐ. ὅταν ἐπισκευάζῃ τοὺς λύχνους, θυμιάσει ἐπ' αὐτοῦ διαπαντός.

* ΚΥΡΙΛΛΟΥ. Σύνθετον μὲν θυμίαμα ὁ Χριστός. Θεὸς γὰρ ὢν, ἄνθρωπος γέγονε συντεθείς· λεπτὸν δὲ, ὅτι τὸ παχὺ τῆς κατὰ νόμον λατρείας οὐκ ἔχει. τὸ πρωῒ δὲ, καὶ τὸ ὀψὲ, καὶ τὸ ἐνδελεχισμοῦ, τὸ ἀδιάλειπτον καὶ διηνεκὲς ἐμφαίνει. (2)

η. Καὶ ὅταν ἅπτῃ Ἀαρὼν τοὺς λύχνους ὀψὲ, θυμιάσει ἐπ' αὐτοῦ· θυμίαμα ἐνδελεχισμοῦ διαπαντὸς ἔναντι Κυρίου εἰς τὰς γενεὰς αὐτῶν.

** ΚΥΡΙΛΛΟΥ. Τοῦ ὑπὸ λύχνοις χρῆναι θυμιᾶν ἐκεῖνό που τάχα παραδηλοῦντος εὖ μάλα, ὅτι φωτὶ τῷ θείῳ καταλαμπόμενοι, τότε δὴ τότε τῆς εὐωδίας Χριστοῦ πλουσίως ἀναπιμπλάμεθα, ἴμεν τε οὕτω πρὸς αἴσθησιν τῶν ἔσω σκηνῆς ἀγαθῶν, ἤτοι τῆς τῶν θείων χαρισμάτων διανομῆς, ἣν τοῖς ἀξίοις ὀρέγει Χριστός.

A * ΤΟΥ ΑΥΤΟΥ. Ἐνδελεχισμοῦ ὀνομάζει τὸ θυμίαμα. καιρὸς γὰρ οὐδεὶς, καθ' ὃν οὐκ εὐωδιάζει Χριστὸς ἐν τῇ ἁγίᾳ σκηνῇ, τουτέστιν ἐν τῇ ἐκκλησίᾳ.

θ. Καὶ οὐκ ἀνοίσετε ἐπ' αὐτοῦ θυμίαμα ἕτερον· κάρπωμα, θυσίαν, καὶ σπονδὴν οὐ σπείσετε ἐπ' αὐτοῦ.

» * ΚΥΡΙΛΛΟΥ. [Οὐκ ἀνοίσεις ἐπ' αὐ-
B » τῷ θυμίαμα ἕτερον.] μόνον γὰρ Χριστοῦ
τὸ εὐῶδες ἐν ἐκκλησίαις τοῖς γε ἀληθῶς ἐχέφροσιν ἐξαρκέσειεν ἂν, ἑτέρας ὀσμῆς οὐκ ἐφιεμένοις.

** ΤΟΥ ΑΥΤΟΥ. Ἀποφάσκει δὲ παντελῶς τὸ δεῖν ἐπ' αὐτοῦ, δῆλον δὲ ὅτι τοῦ θυσιαστηρίου τοῦ Χριστοῦ, σπονδὴν κατακεῖσθαι, καὶ ἀναφέρεσθαι κάρπωμα. κατήργηται γὰρ ἐν Χριστῷ τὰ ἐν νόμῳ, καὶ εἰς τέλος ἔρρουσιν αἱ σκιαί· τοῦτο οἶμαι ἐστι
Γ σπονδὴ καὶ κάρπωμα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὐκ ἐφεῖται τὴν ὁλόκαυτον θυσίαν ἔξω προσαγαγεῖν, πρὶν ἔνδον περὶ βαθὺν ὄρθρον ἐπιθυμιάσαι. τόδε ἐστὶ σύμβολον οὐχ ἑτέρου τινὸς, ἢ τοῦ παρὰ Θεῷ μὴ τὸ πλῆθος τῶν καταθυομένων εἶναι τίμιον, ἀλλὰ τὸ καθαρώτατον τοῦ θύοντος πνεῦμα λογικόν.

ι. Καὶ ἐξιλάσεται Ἀαρὼν ἐπὶ τῶν
Δ κεράτων αὐτοῦ ἅπαξ τοῦ ἐνιαυτοῦ· ἀπὸ
τοῦ αἵματος τοῦ καθαρισμοῦ τῶν ἁμαρτιῶν τοῦ ἐξιλασμοῦ ἅπαξ τοῦ ἐνιαυτοῦ καθαριεῖ αὐτὸ εἰς τὰς γενεὰς αὐτῶν· ἅγιον τῶν ἁγίων ἐστὶ Κυρίῳ.

* ΚΥΡΙΛΛΟΥ. [Εἰσῄει τοίνυν ὁ θεσπέσιος Ἀαρὼν εἰς τὰ ἅγια τῶν ἁγίων ἅπαξ τοῦ ἐνιαυτοῦ, δι' αἵματος τοῦ καθαρισμοῦ τῶν ἁμαρτιῶν. καὶ ὅρα Χριστὸν ἐν τουτοισὶ πάλιν, αἵματι τῷ ἰδίῳ τῆς ἁπάντων σωτη-
E ρίας καὶ ζωῆς, μονονουχὶ τὸν ἴδιον καταρ-
ραίνοντα σταυρόν.] σταυροῦ γὰρ τύπος τὰ κέρατα, [τῇδε κἀκεῖσε ὡς ἐν τάσει χειρῶν ἐκνενευκότα. οὐκοῦν ἀποθανόντα μὲν ἅπαξ ἐννόει Χριστὸν, ἅγιον δὲ τῶν ἁγίων ὄντα κατὰ φύσιν ὡς Θεόν.]

ια. Καὶ ἐλάλησε Κύριος πρὸς
ιβ. Μωϋσῆν, λέγων, Ἐὰν λάβῃς τὸν
συλλογισμὸν τῶν υἱῶν Ἰσραὴλ ἐν τῇ
Z ἐπισκοπῇ αὐτῶν, καὶ δώσουσιν ἕκαστος
λύτρα τῆς ψυχῆς αὐτοῦ τῷ Κυρίῳ, καὶ οὐκ ἔσται ἐν αὐτοῖς πτῶσις ἐν τῇ ἐπισκοπῇ αὐτῶν.

Λύτρα. Ἄλλος, ἐξίλασμα.

ΑΔΗΛΟΥ. Ἐν τῇ ἐπισκοπῇ αὐτῶν, ἐν τῷ ἐπισκέπτεσθαι αὐτοὺς τὸν Θεὸν, ἐν τῷ
» φροντίζειν αὐτῶν Κύριον. καὶ ἄλλως. Ἢ
H ὅταν ἐπισκέπτωμαι τὰς ἁμαρτίας αὐτῶν,
ἢ ὅταν ἐπισκέπτωνται τὸ ἅγιόν μου.

Mmm 3 ιγ. Καὶ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

(2) Περίληψίς ἐστι τῶν ἐν τῷ 308. σελ. τοῦ 2. μέρ. τοῦ 1. Τόμ.

ιγ. Καὶ τοῦτό ἐστιν ὃ δώσουσιν ὅσοι ἂν παραπορεύωνται τὴν ἐπίσκεψιν· τὸ ἥμισυ τοῦ διδράχμου ὅ ἐστι κατὰ τὸ δίδραχμον τὸ ἅγιον, εἴκοσι ὀβολοὶ τὸ δίδραχμον, τὸ δὲ ἥμισυ τοῦ διδράχμου εἰσφορὰ Κυρίῳ.

ΑΔΗΛΟΥ. Ὅσοι διὰ τῆς εἰσφορᾶς ἀντιποιοῦνται ἐπισκεφθῆναι καὶ βοηθηθῆναι παρὰ Θεοῦ, διδότωσαν τὸ δίδραχμον, ὅ ἐστιν εἴκοσι ὀβολοί.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ δίδραχμον τέταρτόν ἐστι τῆς οὐγκίας. ὡς εἶναι τὴν δραχμὴν ὄγδοον. ὁ δὲ ὀβολὸς καὶ αὐτὸς ἐν ἀργυρίοις ἐτετύπωτο. ὄγδοον δὲ ἦν καὶ οὗτος τῆς οὐγκίας, οὐκ ἐξ ἀργύρου πεποιημένος, ἀλλ' ἀπὸ σιδήρου. ὀβολὸς δὲ τοῦτο ἦν. ἦν δὲ καὶ ἕτερος ὀβολὸς ἐξ ἀργύρου, νόμισμα ὤν, ὃ ἦν λεπτότατον, ὀγδοηκοστὸν δὲ ἦν τῆς οὐγκίας.

ιδ. Πᾶς ὁ παραπορευόμενος τὴν ἐπίσκεψιν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, δώσουσι τὴν εἰσφορὰν Κυρίῳ.

Πᾶς ὁ παραπορευόμενος τὴν ἐπίσκεψιν. Ἄλλος, πᾶς ὁ παραπορευόμενος ἐν τοῖς ἀριθμοῖς.

ΑΔΗΛΟΥ. Ἤτοι ἐπισκοπὴν λέγει τὸν κίνδυνον ἢ νόσου, ἢ πολέμου τυχόν. ὅσοι οὖν ἐκ τοῦ τοιούτου κινδύνου φεύγουσι παρερχόμενοι τὴν ἐπισκοπὴν ταύτην, οὗτοι ὡς διὰ Θεοῦ σωθέντες διδότωσαν τῷ Θεῷ ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, ὅ ἐστι δῶρα, καθά-
Ἐξόδ. 32. 34. φησιν ὁ Κύριος· ᾗ δ' ἂν ἡμέρᾳ ἐπισκέψωμαι, ἐπάξω ἐπ' αὐτοὺς τὴν ἁμαρτίαν.

ΚΥΡΙΛΛΟΥ. Διορίζει τίνες οἱ προσκομίζειν ὀφείλοντες, ἀποδοκιμάζει δὲ τὸ ἄναλκι, καὶ μαλθακὸν, καὶ τὸ ἀτελὲς εἰς σύνεσιν.

ιε. Ὁ πλουτῶν οὐ προσθήσει, καὶ ὁ πενόμενος οὐκ ἐλαττονήσει ἀπὸ τοῦ ἡμίσους τοῦ διδράχμου ἐν τῷ διδόναι τὴν εἰσφορὰν Κυρίῳ, ἐξιλάσασθαι περὶ τῶν ψυχῶν ὑμῶν.

ις. Καὶ λήψῃ τὸ ἀργύριον τῆς εἰσφορᾶς παρὰ τῶν υἱῶν Ἰσραὴλ, καὶ δώσεις αὐτὸ εἰς τὸ κάτεργον τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ἔσται τοῖς υἱοῖς Ἰσραὴλ, εἰς μνημόσυνον ἔναντι Κυρίου, ἐξιλάσασθαι περὶ τῶν ψυχῶν αὐτῶν. (1)

ΑΔΗΛΟΥ. Συνίστησι γὰρ τὴν ἐκκλησίαν, καὶ εἰς κόσμον χρήσιμα τὰ τῶν ἁγίων ἀνδραγαθήματα.

ιζ. Καὶ ἐλάλησε Κύριος πρὸς
ιη. Μωϋσῆν, λέγων, Ποίησον λουτῆρα χαλκοῦν, καὶ βάσιν αὐτῷ χαλκῆν, ὥστε νίπτεσθαι· καὶ θήσεις αὐτὸν ἀνὰ μέσον τῆς σκηνῆς τοῦ μαρτυρίου, [καὶ ἀνὰ μέσον τοῦ θυσιαστηρίου·] καὶ ἐκχεεῖς εἰς αὐτὸν ὕδωρ.

ΤΟΥ ΝΥΣΣΗΣ. Λουτῆρας νοήσεις τοὺς διὰ τοῦ μυστικοῦ ὕδατος τὸν μολυσμὸν τῶν ἁμαρτιῶν ἀποκλύζοντας. οἷος ἦν (2) ὁ τῶν Ἀποστόλων κορυφαῖος Πέτρος, τρισχιλίους κατὰ ταὐτὸν εἰς τὸ ὕδωρ καταγαγὼν, καὶ οἱ κατ' αὐτόν. οὐ μὴν ἀλλὰ καὶ Ἰωάννης ὁ πρόδρομος ἐν τῷ Ἰορδάνῃ λούων.

ιθ. Καὶ νίψεται Ἀαρὼν, καὶ οἱ υἱοὶ αὐτοῦ ἐξ αὐτοῦ τὰς χεῖρας αὐτῶν,
κ. καὶ τοὺς πόδας αὐτῶν. Ὅταν εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, νίψονται ὕδατι, καὶ οὐ μὴ ἀποθάνωσιν, ἢ ὅταν προσπορεύωνται εἰς τὸ θυσιαστήριον λειτουργεῖν καὶ ἀναφέρειν τὰ ὁλοκαυτώματα τῷ Κυρίῳ.

* ΚΥΡΙΛΛΟΥ. Σαφῶς τὸ ἅγιον βάπτισμα διὰ τούτου δηλοῦται. θέα δὲ ὅπως, καίτοι κατὰ νόμον ἅγιος ὢν Ἀαρὼν καὶ οἱ σὺν αὐτῷ, προαπονίζονται χεῖράς τε καὶ πόδας ὕδατι, πόνων δὲ οὕτως ἅπτονται τῶν ἱερῶν· καταδηλοῦντος οἶμαί που καὶ τόδε τοῦ νόμου, μόνον δὲ οὐχὶ καὶ αὐτοῦ διακεκραγότος τοῦ πράγματος, ὡς ἀνίερος παρὰ Θεῷ, καὶ ὁ δοκῶν εἶναι κατὰ νόμον ἱερὸς, εἰ μὴ ἀπολούσαιτο τῷ ἁγίῳ ὕδατι, [καὶ ὅτι τῆς ἐν νόμῳ λατρείας ἡ δύναμις οὐκ ἀπόχρη πρὸς κάθαρσιν.]

κα. Νίψονται τὰς χεῖρας αὐτῶν καὶ τοὺς πόδας αὐτῶν ὕδατι, ὅταν εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἵνα μὴ ἀποθάνωσι. καὶ ἔσται αὐτοῖς νόμιμον αἰώνιον, αὐτῷ καὶ ταῖς γενεαῖς αὐτοῦ μετ' αὐτόν.

ΚΥΡΙΛΛΟΥ. Χεῖρες δὲ καὶ πόδες ἀπονιπτόμενοι, ἔργου καὶ πορείας πρὸς ἕκαστα τῶν πρακτέων, τὸ καθαρὸν ὑπεμφαίνουσι.

* ΤΟΥ ΑΥΤΟΥ. Ἐπισφαλὲς γὰρ καὶ [ἐπιζήμιον] τὸ ἐγγίζειν Θεῷ μὴ κεκαθαρμένους.

κβ. Καὶ ἐλάλησε Κύριος πρὸς
κγ. Μωϋσῆν, λέγων, Καὶ σὺ λάβε ἡδύσματα, ἄνθος σμύρνης ἐκλεκτῆς πεντακοσίους σίκλους, καὶ κινναμώμου εὐώδους τὸ ἥμισυ τούτου διακοσίους καὶ πεντήκοντα, καὶ καλάμου εὐώδους διακοσίους καὶ πεντήκοντα.

Ἡδύσματα. Ἀκύλας, ἀρώματα.

ΑΔΗΛΟΥ. Οὐχ ἁπλῶς σμύρναν εἶπεν, ἀλλ' ἄνθος σμύρνης, ἐμφαίνων ὡς διὰ τοῦ θανάτου τοῦ μεγάλου ἀρχιερέως ἀναγεννηθήσεται

(1) Περὶ τῶν ψυχῶν ὑμῶν. ἡ ἐν Φρανεκ. καὶ ἡ ἐν Κανταβριγ. ἔκδοσ.
(2) Λουτὴρ ἦν. ἐν τῇ εἰς τὸν βίον τοῦ Μωϋσ. θεωρ. ἐν ᾗ ἄλλως πως ταῦτα συντέτακται.

θήσεται ἀπὸ τοῦ θανάτου τὸ ἄνθος τῆς λογικῆς φύσεως.

** ΠΡΟΚΟΠΙΟΥ. Διὰ τὸν θάνατον, ὃν ἀπέθανεν ὁ ἀρχιερεὺς ὑπὲρ τοῦ λαοῦ, καὶ ὁ νυμφίος ὑπὲρ τῆς ἐκκλησίας. παραλαμβάνεται δὲ εἰς τὸ μύρον τοῦτο οὐχ ἁπλῶς σμύρνα, ἀλλ' ἄνθος σμύρνης· καὶ ταύτης ἐκλεκτῆς. λόγοι γάρ εἰσιν ἐκλεκτοί, νεκροῦντες τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, ἑτοιμόν τε ποιοῦντες διὰ τοῦ βαπτίσματος συνταφῆναι Χριστῷ· ἵνα γεννηθῇ ἀπὸ τοῦ θανάτου τοῦ Σωτῆρος τὸ ἄνθος καὶ ἡ ἐκλογὴ τῆς λογικῆς φύσεως τῶν εὐσεβῶν, ἀποθνησκόντων τῷ κόσμῳ, καὶ ἀναβαινόντων ἀπὸ τῶν αἰσθητῶν. ἵνα δὲ καθαρθέντες ἄμωμοι γένωνται, παραλαμβάνεται τὸ εὐῶδες κιννάμωμον ἐν τῷ ἡμίσει τοῦ συγγενοῦς ταῖς αἰσθήσεσιν ἀριθμοῦ· τάχα παραλαμβανομένων μὲν ὁράσεως καὶ ἀκοῆς, καὶ τοῦ, ἵν' οὕτως ὀνομάσω, ἡμίσεος τῆς ὅλης ἀφῆς· τῶν δὲ λοιπῶν, ὡς ἀνδραποδεσέρων αἰσθήσεων καὶ τῆς ἐν αὐταῖς ἀφῆς, καταλειπομένων. ἴσως δὲ καὶ διὰ τὰ ἱερὰ γράμματα τοῦ ἔχοντος γλῶσσαν ὡς κάλαμον γραμματέως ὀξυγράφου, (Ψαλ. 44. 2.) » ὃς ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, κάλαμος εὐώδης παραλαμβάνεται· ἵνα γράφηται οὐ μέλανι, ἀλλὰ πνεύματι Θεοῦ ζῶντος, καὶ ταῖς μνήμαις τῶν ἀκουόντων ἐντυπωθῇ τὰ μυστήρια. καὶ ἡ αἰτία ἡ αὐτὴ τοῦ ἀριθμοῦ, ἥπερ καὶ ἐπὶ τοῦ εὐώδους κινναμώμου.

κδ. Καὶ ἴρεως πεντακοσίους σίκλους τοῦ ἁγίου, καὶ ἔλαιον ἐξ ἐλαιῶν εἶν.

» ΑΔΗΛΟΥ. Ἔλαιον ἐξ ἐλαιῶν, ἡ ἀπὸ πάντων γεννητῶν διὰ τὴν εὐσέβειαν ἐκλογή.

** ΠΡΟΚΟΠΙΟΥ. Ἴρεως δὲ μετὰ ταῦτα παραλαμβάνονται φ' σίκλοι, τάχα διὰ τὰς θείας αἰσθήσεις ἐν τοῖς ζέουσι τῷ πνεύματι εὑρισκομένας. θερμαντικὴν γὰρ εἶναί φασι τὴν τῆς ἴρεως φύσιν.

** ΕΠΙΦΑΝΙΟΥ. Σίκλος, ὃ λέγεται καὶ κοδράντης, τέταρτον μέν ἐστι τῆς οὐγκίας, ἥμισυ δὲ τοῦ στατῆρος, δύο δραχμὰς ἔχον. τῆς γὰρ οὐγκίας ἡ (1) ἡ δραχμή.

κε. Καὶ ποιήσεις αὐτὸ ἔλαιον χρίσμα ἅγιον, μύρον μυρεψικὸν τέχνῃ μυρεψοῦ· ἔλαιον χρίσμα ἅγιον ἔσται.

ΚΥΡΙΛΛΟΥ. Ἔλαιον μύρῳ ἀνακραθὲν σημαίνει τὸν ἐν Χριστῷ διὰ πνεύματος ἁγιασμόν, τοῖς ἠλεημένοις χορηγούμενον.

κϛ. Καὶ χρίσεις ἐξ αὐτοῦ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τὴν κιβωτὸν
κζ. τοῦ μαρτυρίου, Καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὴν λυχνίαν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸ θυσιαστήριον τοῦ
κη. θυμιάματος, Καὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων καὶ πάντα αὐτοῦ τὰ σκεύη, καὶ τὴν τράπεζαν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸν λουτῆρα,
κθ. καὶ τὴν βάσιν αὐτοῦ. Καὶ ἁγιάσεις αὐτά· καὶ ἔσται ἅγια τῶν ἁγίων. πᾶς ὁ ἁπτόμενος αὐτῶν, ἁγιασθήσεται.

B ** ΚΥΡΙΛΛΟΥ. Καταχρίεται δὲ ἡ σκηνή, καὶ πάντα τὰ ἐν αὐτῇ. μετάσχοι γὰρ ἂν ἁγιασμοῦ καὶ τόπος, διὰ τοῦ ἐνοικοῦντος ἐν αὐτῷ. ἁγιάζεται δὲ καὶ τὰ σκεύη, κατά γε τὸν αὐτοῖς πρέποντα τρόπον, ὅτι ταῖς Θεοῦ λειτουργίαις χρήσιμα· » καὶ ὁ ἁπτόμενος αὐτῶν, ἁγιασθήσεται. ἀνέπαφα δὴ οὖν τοῖς ἔτι βεβήλοις τὰ ἅγιά τε καὶ ἱερά.

** ΠΡΟΚΟΠΙΟΥ. Κατὰ τὸ ἐν ᾄσμασι τῶν ᾀσμάτων λεγόμενον· » αἱ φύουσαι (Ἆσμ. 5. 13.) Γ » τὰ μυρεψικὰ σιαγόνες τοῦ νυμφίου φύουσιν ἀμφότερα τὰ μυρεψικά, τό, τε ἔλαιον τοῦ χρίσματος καὶ τὸ θυμίαμα. ἵνα τῷ μὲν ἑτέρῳ χρίσωσι τὴν τοῦ Θεοῦ σκηνήν, τὴν ἐκκλησίαν· καὶ ἔτι (2) ταύτης δύναται εἶναι κιβωτός, τῶν μυστηρίων τοῦ Θεοῦ δεκτικὸς καὶ τηρητικός· καὶ τρίτον τὴν λυχνίαν, τὴν διακονουμένην τὸ τῆς γνώσεως φῶς ψυχήν· καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος, τοὺς εὐχαῖς ἀνακειμένους, καὶ Δ εὐώδη νοοῦντας καὶ ἀναπνέοντας καὶ λέγοντας· καὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων, τοὺς ἐξιλασκομένους τὰ περὶ τῶν ἁμαρτημάτων· καὶ τὸν λουτῆρα, τὸν δυνάμενον εἶναι περιρραντήριον, καὶ καθαίροντα τοὺς εἰσιόντας εἰς τὴν σκηνήν· καὶ τὴν βάσιν τοῦ λουτῆρος, οἷς ὁ τοιοῦτος βέβηκε καὶ προσαναπαύεται.

λ. Καὶ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ χρίσεις, καὶ ἁγιάσεις αὐτοὺς ἱερατεύειν μοι. E

* ΚΥΡΙΛΛΟΥ. Οὐκοῦν ὑπὲρ ἄνθρωπον τὸ γένος ἤδη τὸ ἱερόν, ἅτε δὴ Χριστοῦ μετέχον τοῦ ὑπὲρ τὴν κτίσιν.

λα. Καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις, λέγων, ἔλαιον χρίσμα χρίσεως ἅγιον ἔσται τοῦτο ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν.

Z λβ. Ἐπὶ σάρκα ἀνθρώπου οὐ χρισθήσεται· καὶ κατὰ τὴν σύνθεσιν ταύτην οὐ ποιηθήσεται ὑμῖν ἑαυτοῖς ὡσαύτως. ἅγιόν ἐστι, καὶ ἁγίασμα ἔσται ὑμῖν. ϛ

* ΚΥΡΙΛΛΟΥ. [Ἀποφάσκει δὲ παντελῶς τὸ δεῖν ἑαυτοῖς τὴν ὁμοίαν ἐλαίου ποιεῖσθαι κατασκευήν.] Θεοῦ γὰρ μόνου τὸ ἁγιάζειν ἐστί, καὶ ὡς ἐξαίρετον ἀληθῶς H ἀνακείσεται τὸ χρῆμα αὐτῷ...

λγ. Ὃς

(1) Ὄγδοον γὰρ τῆς οὐγκίας ἡ δραχμή. Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

(2) Ἴσ. καὶ ἔτι τις· ἢ καὶ ἔτι ταύτης δύναται εἶναι κιβωτὸς τῶν μυστηρίων τοῦ Θεοῦ δεκτικὸν καὶ τηρητικόν· ἢ καὶ οὕτω, καὶ ἔτι ταύτης δύναται εἶναι κιβωτός, ὁ τῶν μυστηρίων τοῦ Θεοῦ δεκτικὸς καὶ τηρητικός.

λγ. Ὃς ἂν ποιήσῃ ὡσαύτως, καὶ ὃς ἂν δῷ ἀπ' αὐτῦ ἀλλογενεῖ, ἐξολοθρευθήσεται ἐκ τῦ λαῦ αὐτῦ.

✱ ΚΥΡΙΛΛΟΥ. [Ὄλεθρος δὲ ἡ δίκη τοῖς ἀπ' αὐτῦ παρέχουσιν ἀλλογενεῖ.] μὴ
Ματθ. 7. 6. δῶτε γάρ φησι τὰ ἅγια τοῖς κυσί. [τὸ γάρ τοι προσάγειν ἀτημελῶς τοῖς ἀπίσοις ἔτι τὰ κεκρυμμένα, καὶ τὰ μόνοις ἁγίοις πρέποντα, κινδύνυ μεσόν. ἁγιάζεται γὰρ ὐ τὸ βέβηλον ἔτι, καὶ νοσῦν ἐκτόπως τὴν ἀκαθαρσίαν, ἀλλὰ τὸ ἤδη κεκαθαρμένον διὰ τῦ ἁγίυ βαπτίσματος.]

λδ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, λάβε σεαυτῷ ἡδύσματα, σακτὴν, καὶ ὄνυχα, καὶ χαλβάνην ἡδυσμῦ, καὶ λίβανον διαφανῆ· ἴσον ἴσῳ ἔσαι.

✱ ΒΑΣΙΛΕΙΟΥ. Τέσσαρα ταῦτα πρὸς τὰ τέσσαρα σοιχεῖα, ἐξ ὧν τὰ σώματα σύγκειται, τὴν ὁμοιότητα ἔχοντα. ἡ μὲν σακτὴ, πρὸς τὸ ὕδωρ· ὁ δὲ ὄνυξ διὰ τὸ ξηρὸν, πρὸς τὴν γῆν· ἡ δὲ χαλβάνη διὰ τὴν θερμότητα, πρὸς τὸ πῦρ· ὁ δὲ λίβανος διὰ τὸ διαφανὲς, πρὸς τὸν ἀέρα.

» ΤΟΥ ΑΥΤΟΥ. Ἴσον ἴσῳ ἔσαι, τυτέσι τὰς ἐκ δυσκρασίας γινομένας ὁρμὰς εἰς ἐπιθυμίας ἀτόπυς κολάζων ἐπανισώσεις.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἡ σύνθεσις ἀπὸ
Παροιμ. 10. 31. σακτῆς· ὅτι σόμα δικαίυ ἀποσάζει σοφίαν·
Ψαλ. 31. 5. » ἀπὸ δὲ ὄνυχος εὐώδυς· ὅτε λέγει τὶς, εἶπα
» ἐξαγορεύσω τὴν ἀνομίαν μυ τῷ Κυρίῳ· ἐσχάτη γὰρ πάντων ἡ ἁμαρτία, ὡς ὁ ὄνυξ τῦ σώματος· ἡ δὲ χαλβάνη τῦ ἡδυσμῦ, αἴτησις ἂν τυγχάνοι τῶν μεγάλων καὶ ἐπυρανίων· ὁ δὲ διαφανὴς λίβανος, ἡ τῦ εὐχομένυ ἀπὸ φωτὸς γνώσεως περὶ Θεῦ δοξολογία. τὰ δὲ δ' ταῦτα ἔσαι δικαιοσύνης πνέοντα, ἥτις δηλῦται ἐκ τῦ, ἴσον
» ἴσῳ ἔσαι.

λε. Καὶ ποιήσυσιν αὐτὸ θυμίαμα μυρεψικὸν ἔργον συνθέσεως μυρεψῦ μεμιγμένον· καθαρὸν ἔργον ἅγιον.

ΑΔΗΛΟΥ. Σύνθετον τὸ θυμίαμα. σύνθετος γὰρ ὁ Χρισὸς, ἐν ταυτῷ Θεὸς καὶ ἄνθρωπος.

Α ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ποιεῖ τὸ ὅλον μεμιγμένον καὶ καθαρὸν. ὁ δι' ἐξομολογήσεως καθαρεύσας τῶν πρόσθεν ἁμαρτημάτων.

λϛ. Καὶ συγκόψεις ἐκ τύτων λεπτὸν, καὶ θήσεις ἀπέναντι τῶν μαρτυρίων ἐν τῇ σκηνῇ τῦ μαρτυρίυ, ὅθεν γνωσθήσομαί σοι ἐκεῖθεν. ἅγιον τῶν ἁγίων ἔσαι ὑμῖν θυμίαμα.

Β ΒΑΣΙΛΕΙΟΥ. Καὶ συγκόψει ἐκ τύτων
» λεπτὸν· τυτέσι πνευματικὸν ποιῆσαι φιλοπονήσεις, ἐξαφανίζων τῆς σαρκὸς τὸ
» παχὺ καὶ ὑλῶδες· [καὶ ὕτω θήσεις ἀπέ-
» ναντι τῦ μαρτυρίυ ἐν τῇ σκηνῇ, ὅθεν γνω-
» σθήσομαί σοι ἐκεῖθεν.] ὅταν γάρ τις ἐγγένηται τῇ ἀκριβεῖ κοινωνίᾳ, καὶ ἀπολεπτυνθῇ, τότε ἄξιός ἐσιν εἰσφέρεσθαι εἰς τὰ ἅγια, καὶ τῇ γνώσει τῇ περὶ Θεῦ προσεγγίζειν.

Γ ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Συγκέκοπται τὸ θυμίαμα τῷ μηδὲν ἐν εὐχῇ τῶν παχυτέρων προσάγοντι. δεῖ γὰρ λεπτύνειν τὸ ἥμαρτον, κατ' εἶδος τὰ πλημμελήματα τῷ ἐξομολογεῖσθαι διηγύμενον. ὃ δηλῦται διὰ τῦ ὄνυχος. λεπτύνει δὲ καὶ τὸν λίβανον ὁ περὶ ἑκάσυ τῶν θαυμασίων δοξολογῶν τὸν Θεόν. διατρανῶν δέ τις τὴν σοφίαν, λεπτύνει τὴν σακτήν.

Δ λζ. Κατὰ τὴν σύνθεσιν ταύτην ὐ ποιηθήσεται ὑμῖν ἑαυτοῖς· ἁγίασμα ἔσαι ὑμῖν Κυρίῳ.

ΒΑΣΙΛΕΙΟΥ. [Τὸ δὲ τοιῦτον ἀπηγόρευται ἑαυτῷ τινὰ ποιεῖν εἰς ἀπόλαυσιν·] τυτέσι μὴ ἑαυτῷ ἐπιγράφειν τὰ κατορθώματα, ἀλλ' ἐπὶ τὸν Θεὸν τῶν καλῶν τὴν αἰτίαν ἀνάγειν. τοιῦτον ἦν θυμίαμα Παῦ-
» λος [ὁ λέγων,] Χρισῦ εὐωδία ἐσμέν. [καὶ 2. Κορ. 2. 15,
Ε » πάλιν, χάρις δὲ τῷ Θεῷ τῷ πάντοτε 14.
» θριαμβεύοντι ἡμᾶς, καὶ τὴν ὀσμὴν τῆς
» γνώσεως αὐτῦ φανερῦντι ἐν ἡμῖν.]

λη. Ὃς ἂν ποιήσῃ ὡσαύτως ἀνὴρ, ὥσε ὀσφραίνεσθαι ἐν αὐτῷ, ἀπολεῖται ἐκ τῦ λαῦ αὐτῦ.

Κ Ε Φ. Λ Α.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Ἰδὺ ἀνακέκλημαι ἐξ ὀνόματος τὸν Βεσελεὴλ τὸν τῦ Οὐρίυ υἱῦ Ὢρ, τὸν τῆς φυλῆς Ἰύδα.

ΑΔΗΛΟΥ. Ὀνομασὶ αὐτὸν καλέσαι ὁ Θεὸς ἐνετείλατο, ποιῆσαι τὰ ἔργα· ἢ ἀντὶ τῦ ἐξελεξάμην, καὶ ἐν καρδίᾳ αὐτῦ ἐλάλησα.

✱✱ ΚΥΡΙΛΛΟΥ. Τύπος ὖν ἄρα καὶ ἐναργὴς ὁ Βεσελεὴλ τῦ πεφηνότος ἡμῖν ἐκ φυλῆς Ἰύδα. τὸ κατὰ σάρκα, Χρισῦ, καὶ ἐκ φύσεως ἀληθῶς τῆς ἐλευθέρας, δῆλον δὲ ὅτι τῆς θείας καὶ ὑπερτάτης.

γ. Καὶ ἐνέπλησα αὐτὸν πνεῦμα θεῖον σοφίας καὶ συνέσεως καὶ ἐπισή-
δ. μης, ἐν παντὶ ἔργῳ διανοεῖσθαι, Καὶ ἀρχιτεκτονεῖν, ἐργάζεσθαι τὸ χρυσίον, καὶ τὸ ἀργύριον, καὶ τὸν χαλκὸν,
Η καὶ τὸν ὑάκινθον, καὶ τὴν πορφύραν, καὶ τὸ κόκκινον τὸ νησὸν, καὶ τὴν βύσ-
ε. σον τὴν κεκλωσμένην, Καὶ τὰ λιθυργικὰ εἰς τὰ ἔργα, καὶ τὰ τεκτονικὰ

νικὰ τῶν ξύλων, ἐργάζεσθαι κατὰ πάντα τὰ ἔργα.

ϛ. Καὶ ἰδοὺ δέδωκα αὐτὸν καὶ τὸν Ἐλιὰβ τὸν τοῦ Ἀχισαμὰχ ἐκ Φυλῆς Δάν. *καὶ παντὶ συνετῷ καρδίᾳ ἔδωκα σύνεσιν· καὶ ποιήσουσι πάντα ὅσα συνέταξά σοι.*

** ΚΥΡΙΛΛΟΥ. Ἐμφιώειε δ' ἂν εὖ μάλα καὶ Ἐλιὰβ τοὺς ὡς ἐκ δούλης τῆς Ἰε-
B ρουσαλὴμ Χριστῷ συνεργασαμένους Ἀποστόλους καὶ Εὐαγγελιστάς. Θεῷ γὰρ γεγόνασι συνεργοὶ τὰ εἰς σύστασιν τῶν ἁγίων ἐκκλησιῶν μονονουχὶ ποιοῦντι καὶ τεχνωμένῳ. συνεκόμιζον δὲ τὰ ἐξ οἰκείας σπουδῆς καὶ ἐπιεικείας εἰς τὰ τῆς σκηνῆς ἔργα πάντες οἱ συνετοὶ τῇ καρδίᾳ, τῶν κατὰ καιροὺς διδασκάλων ἀποπληροῦντες εἰκόνας, οἷς ἐν σπουδῇ καὶ φροντίδι τὸ ἐργάζεσθαι τὰ τοῦ
Γ Θεοῦ, καὶ ὅσαπερ ἂν τελοίη πρὸς ὄνησιν τῆς ἐκκλησίας Χριστοῦ.

ζ. Τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τὴν κιβωτὸν τῆς διαθήκης, καὶ τὸ ἱλαστήριον τὸ ἐπ' αὐτῆς, καὶ τὴν διασκευὴν τῆς σκηνῆς.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι διαθήκη καὶ μαρτύριον τὸ αὐτό ἐστιν. ἰδοὺ γὰρ τὴν
Ἐξόδ. 30. 26. κιβωτὸν ἄνωθεν μὲν ἐκάλεσε, τοῦ μαρτυρίου· ὧδε δὲ, τῆς διαθήκης. μία δὲ ἡ
Δ κιβωτός.

η. Καὶ τὸ θυσιαστήριον, καὶ τὴν
τράπεζαν καὶ πάντα τὰ σκεύη αὐτῆς,
καὶ τὴν λυχνίαν τὴν καθαρὰν καὶ πάν-
θ. τα τὰ σκεύη αὐτῆς, Καὶ τὸν λουτῆρα
ι. καὶ τὴν βάσιν αὐτοῦ, Καὶ τὰς στολὰς
τὰς λειτουργικὰς Ἀαρὼν, καὶ τὰς στο-
λὰς τῶν υἱῶν αὐτοῦ εἰς τὸ ἱερατεύειν-
ια. μοι, Καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ
τὸ θυμίαμα τῆς συνθέσεως τοῦ ἁγίου.
κατὰ πάντα ὅσα ἐγὼ ἐντέλλομαί σοι,
ποιήσουσι.

ιβ. Καὶ ἐλάλησε Κύριος πρὸς
ιγ. Μωϋσῆν, λέγων, Καὶ σὺ λάλησον
τοῖς υἱοῖς Ἰσραὴλ, λέγων, ὁρᾶτε, καὶ
τὰ σάββατά μου φυλάξεσθε· ἔστι γὰρ
σημεῖον παρ' ἐμοὶ καὶ ἐν ὑμῖν εἰς τὰς
γενεὰς ὑμῶν, ἵνα γνῶτε ὅτι ἐγὼ Κύ-
ριος ὁ ἁγιάζων ὑμᾶς.

ΘΕΟΔΩΡΗΤΟΥ. Περὶ τῶν σαββάτων νομοθετῶν, ἔφη· ἔστι γὰρ σημεῖον ἐν ἐμοὶ καὶ τοῖς υἱοῖς Ἰσραὴλ εἰς τὰς γενεὰς ὑμῶν. πῶς οὖν τοῦτο νοήσομεν; Ὥσπερ τῷ Ἀβραὰμ
A τὴν περιτομὴν διδοὺς, ἔφη· καὶ ἔσται εἰς σημεῖον ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν· οὕτω καὶ περὶ τοῦ σαββάτου νομοθετῶν, ἔφη· ἔστι γὰρ σημεῖον ἐν ἐμοὶ καὶ τοῖς υἱοῖς Ἰσραὴλ εἰς τὰς γενεὰς ὑμῶν. Γεν. 17. 11. τὸ γὰρ καινὸν τῆς πολιτείας ἀεὶ τοῦ νομοθέτου τὴν μνήμην ἀνθεῖν παρεσκεύαζε, καὶ τῶν ἐθνῶν τῶν ἄλλων ἐχώριζε. καθάπερ γὰρ τὰς ποίμνας καὶ τὰς ἀγέλας αἱ σφραγῖδες δηλοῦσιν, οὕτω τὰ τῆς τῶν Ἑβραίων πολιτείας
B ἐξαίρετα, καὶ τῶν ἄλλων αὐτοὺς διεῖργε, καὶ τῷ νομοθέτῃ προσεδρεύειν ἐδίδασκεν.

ΑΔΗΛΟΥ. Ὥσπερ ἡ περιτομὴ σημεῖον, οὕτω καὶ τὸ σάββατόν ἐστιν· οὐ μόνον τοῦ γινώσκειν ὅτι Κύριός ἐστιν ὁ ἁγιάζων, ἀλλὰ καὶ ποιητὴς τῶν ἁπάντων, καὶ ὅτι ἐν ἓξ ἡμέραις ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν. πνευματικῶς δὲ χριστιανοὶ ταῦτα τελοῦσι. τί γὰρ ὠφελεῖ τὴν ψυχὴν ἡ τοῦ σαββάτου ἀργία; ἢ κατὰ τί δὲ ἥδεται Θεὸς ἐν ταύτῃ
Γ τῇ ἀργίᾳ; ἀλλὰ τύπος ἦν ἐκεῖνο τῆς ἀπὸ κακῆς πράξεως γινομένης ὁλοτελῶς ἀποσχέσεως. ἀργείτω οὖν ὁ τύπος, τῆς ἀληθείας γνωσθείσης.

ιδ. Καὶ φυλάξασθε τὸ σάββα-
τον, ὅτι ἅγιον τοῦτό ἐστι Κυρίῳ. καὶ
ἐν ὑμῖν ὁ βεβηλῶν αὐτὸ θανάτῳ θα-
νατωθήσεται. πᾶς ὅστις ποιήσει ἔργον
[ἐν] αὐτῷ, ἐξολοθρευθήσεται ἡ ψυ-
Δ χὴ ἐκείνη ἐκ μέσου τοῦ λαοῦ αὐτῆς.
ιε. Ἓξ ἡμέρας ποιήσεις τὰ ἔργα, τῇ δὲ
ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα, ἀνά-
παυσις ἁγία τῷ Κυρίῳ. πᾶς ὃς ποιή-
σει ἔργον τῇ ἡμέρᾳ τῶν σαββάτων,
θανάτῳ θανατωθήσεται.

ιϛ. Καὶ φυλάξουσιν οἱ υἱοὶ Ἰσραὴλ
τὰ σάββατα, ποιεῖν αὐτὰ εἰς τὰς γε-
ιζ. νεὰς αὐτῶν. Διαθήκη αἰώνιος ἐμοὶ καὶ
τοῖς υἱοῖς Ἰσραὴλ, σημεῖόν ἐστιν αἰώνιον.
ὅτι ἐν ἓξ ἡμέραις ἐποίησε Κύριος τὸν
οὐρανὸν καὶ τὴν γῆν, καὶ τῇ ἡμέρᾳ τῇ
ἑβδόμῃ ἐπαύσατο, καὶ κατέπαυσε.

» ΔΙΟΔΩΡΟΥ. Καὶ φυλάξουσιν οἱ υἱοὶ Ἰσραὴλ τὰ σάββατα εἰς τὰς γενεὰς αὐτῶν. διαθήκη αἰώνιος ἐμοὶ καὶ τοῖς υἱοῖς Ἰσραὴλ, σημεῖόν ἐστιν αἰώνιον. ὅτι ἐν ἓξ ἡμέραις
Z ἐποίησε Κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐπαύσατο ταῦτα. καὶ ἀνωτέρω ἐκ μέσου τοῦ πυρὸς ἔφη πρὸς τὸν λαὸν ὁ Θεός. (1) ἐν δὲ τῷ Δευτερονομίῳ, διὰ τοῦτο, φησὶ, φυλάξῃ τὸ σάββατον, ἵνα ἀναπαύσηται ὁ παῖς σου, καὶ ἡ Δευτ. 5. 14. παιδίσκη σου, ὁ βοῦς σου, καὶ τὸ ὑποζύγιόν σου. Πῶς οὖν οἱ ἐθνικοὶ (2) Κρονικοὺς ὀνομάζουσι τοὺς

(1) Προσθετέον ἴσ. ὧδε τὸ, μνήσθητι τὴν ἡμέραν τῶν σαββάτων, καὶ τὰ ἑξῆς τὰ περὶ τοῦ σαββάτου, τὰ ἐν τῷ 20. τῆς Ἐξόδ. κεφ. ἐν αὐτῷ γὰρ παρὰ τῷ κώδ. τόδε τὸ ὑπόμνημα οὐ πάνυ προσφυῶς κεῖται, καθάπερ καὶ ἀλλαχοῦ ἄλλα, ἅπερ εἰς τοὺς ἰδίους μετετέθησαν τόπους.

(2) Οἶμαι δὲ καὶ τὴν τῶν σαββάτων ἑορτὴν μὴ παντάπασιν ἀπροσδιόνυσον εἶναι. Σάββους γὰρ καὶ νῦν ἔτι πολλοὶ τοὺς Βάκχους καλοῦσι. Πλούταρχ. ἐν τῷ 5. προβλ. τοῦ 4. τῶν συμποσιακ. βιβλ. ἐλλειπὲς δὲ τὸ τοιοῦτον πρόβλημα. καὶ μήποτε ἐν αὐταῖς ταῖς ἐλλείψεσι, καὶ τὸν Κρόνον τοὺς Ἰουδαίους τιμᾶν ὁ αὐτός φησι.

τοὺς Ἰουδαίους, τὰ τοῦ Κρόνου μυστήρια τὸν Μωσέα φάσκοντες αὐτοῖς παραδεδωκέναι, τήν τε περιτομὴν καὶ τὸ σάββατον; οὐ γὰρ διὰ τὸ ἐν ἓξ ἡμέραις πεποιῆσθαι τόδε τὸ πᾶν, καὶ τῇ ἑβδόμῃ τὸν Θεὸν παύσασθαι τοῦ δημιουργεῖν, χαίρει τὸ σάββατον ὁ Κρόνος κατ' αὐτούς, οὐδ' ἵνα τῶν μόχθων ἀνάπαυλαν λαμβάνωσιν οἱ οἰκέται, καὶ τὰ ὑποζύγια. τί δήποτε οὖν, φησὶ, τὸ σάββατον δέδωκε, καὶ οὐ τὴν κυριακήν; ἀλλ' εἰ καὶ ταύτην ἀπονενεμήκει ὁ Θεὸς, πάντως ἂν εἶπον, ἡλίῳ χαίροντα τὸν Μωσέα, δεδωκέναι τὴν κυριακήν. ἡλίου γὰρ αὐτήν φασιν εἶναι Ἕλληνες. καὶ ὅλως τῆς ἑβδομάδος ἑκάστην ἡμέραν ἀφορίζουσί τινι τῶν παρ' αὐτοῖς λεγομένων Θεῶν. καὶ πάντως ἂν ἐκείνῳ τῷ λεγομένῳ Θεῷ τὸν Μωσέα προσκεῖσθαι ἐνόμισαν, οὗ τὴν ἡμέραν οἰκείαν εἶναι νομίζουσι. τί οὖν; οὐκ ἔδει τοὺς τῷ Θεῷ δουλεύοντας ἑορτῆς ἡμέραν ἔχειν, διὰ τὴν τῶν ἀσεβῶν ἀγνωμοσύνην; καὶ πῶς οὐκ ἄτοπον τοῦτο; φασὶ δὲ, ἀλλὰ καὶ περιτομὴν ἔχουσιν οἱ Ἰουδαῖοι. καὶ αὕτη δὲ τῷ Κρόνῳ προσήκει. πρῶτον μὲν οὐ συνορῶσιν, ὅτι ἐκτέμνει ὁ Κρόνος· οὐ γὰρ περιτέμνει, ἀλλ' ἀνακόπτει, ἀτεκνίαν μὲν προξενῶν ὑπεναντίως τῷ Θεῷ, λέγοντι,
Γεν. 1. 28. » αὐξάνεσθε καὶ πληθύνεσθε, ὃ πληροῦται διὰ τῶν παιδογόνων ὀργάνων· εἰς δὲ ἀρρενομιξίας ἄγων αὐτοὺς, ἀποστερεῖ τοῦ κατὰ φύσιν· ἔπειτα δὲ ἀγνοοῦσιν, ὅτι οὐ Μωϋσῆς νομοθετεῖ τὴν περιτομὴν, ἀλλὰ τῷ Ἀβραὰμ ὁ Θεὸς δίδωσι πρὸ τεττάρων ἢ πέντε γενεῶν τῆς Μωσέως νομοθεσίας· Ἀβραὰμ τῷ ἀπὸ Περσίδος ἥκοντι, ἔνθα Κρόνου οὐδεμία μνήμη τυγχάνει. ἔδει δὲ αὐτοὺς συνιέναι, ὅτι εἰ περιτομὴν καὶ σάββα-

A τον τιμᾷ Μωϋσῆς διὰ τὸν Κρόνον, πολλῷ μᾶλλον ἔδει κηρύσσειν αὐτὸν ἐκεῖνον, καὶ τοὺς ἐξ αὐτοῦ μυθευομένους γεγεννῆσθαι Θεούς. εἰ δὲ τὸ ἐναντίον, καὶ ἀναιρεῖ βοῶν· Κύριος Δευτ. 6. 4.
» ὁ Θεός σου εἷς ἐστί· καὶ, οὐκ ἔσονταί σοι Θεοὶ Ἐξόδ. 20. 3, 4.
» ἕτεροι· καὶ, οὐ ποιήσεις σεαυτῷ εἴδωλον·
» καὶ πάλιν, οὐ ποιήσεις παντὸς ὁμοίωμα,
» ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω· καὶ μαχόμενος τῷ θυμῷ τοῦ πολυτέκνου καὶ πολυβόρου Κρόνου, πῶς τὸ σάββατον καὶ τὴν περιτομὴν τιμᾷ δι' ἐκεῖνον, B ὃν οὔτε εἶναί φησι, πάσαις ταῖς τῶν ἐθνικῶν δόξαις ἐναντιούμενος;

ιη. Καὶ ἔδωκε Μωϋσῇ, ἡνίκα κατέπαυσε λαλῶν αὐτῷ ἐν τῷ ὄρει τῷ Σινᾷ, τὰς δύω πλάκας τοῦ μαρτυρίου, πλάκας λιθίνας γεγραμμένας τῷ δακτύλῳ τοῦ Θεοῦ.

Γ » ΑΔΗΛΟΥ. Τοῦ μαρτυρίου, ἀντὶ τοῦ τῆς διαθήκης τῆς ἐχούσης τὰς διαμαρτυρίας τοῦ Θεοῦ.

ΑΔΗΛΟΥ. Πλαξὶ λιθίναις ἐνέγραφεν, ὡς ἀναισθήτοις λίθοις οὖσιν· ἢ ἵνα διὰ τούτων ἀποστήσῃ Θεῶν.

* ΠΡΟΚΟΠΙΟΥ. Δάκτυλον Θεοῦ καλεῖ ἀλλαχοῦ ἡ Γραφὴ τὴν ἐνέργειαν αὐτοῦ. (1) ὡς ὁ Φαραὼ (2) φησι· Δάκτυλος Ἐξόδ. 8. 19.
Δ » Θεοῦ ἐστί. καὶ ὁ Κύριος· εἰ δὲ ἐγὼ ἐν δακτύ- Λουκ. 11. 20.
» λῳ Θεοῦ [ἐκβάλλω τὰ δαιμόνια, παρὰ τῷ
» Λουκᾷ.] ὅπερ ὁ Ματθαῖος, ἐν πνεύματι Ματθ. 12. 28.
Θεοῦ, λέγει. τοῦτο δέ φησιν ἡ Γραφὴ (3) πρὸς ἀντιδιαστολὴν τῶν μελλουσῶν πλακῶν. ἐκείνας γὰρ αὐτὸς ὁ Μωϋσῆς καὶ λαξεύει καὶ γράφει κατὰ κέλευσιν τοῦ Θεοῦ.

ΚΕΦ. ΛΒ.

α. Καὶ ἰδὼν ὁ λαὸς, ὅτι κεχρόνικε Μωϋσῆς καταβῆναι ἐκ τοῦ ὄρους, συνέστη ὁ λαὸς ἐπὶ Ἀαρὼν, καὶ λέγουσιν αὐτῷ, ἀνάστα, καὶ ποίησον ἡμῖν Θεοὺς, οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς οὗτος ὁ ἄνθρωπος ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ.

» ΑΔΗΛΟΥ. Συνέστη. Ἄλλος φησὶ, συνηθροίσθη, ἢ ἐπανέστη. τὸ, συνέστη, δείκνυσιν ὅτι βιαίως αὐτῷ ἐπανέστησαν, ὥστε τυχὸν καὶ λιθοβολῆσαι αὐτόν.

ΚΥΡΙΛΛΟΥ. Ὁ μὲν θεῖος Μωϋσῆς τοὺς θείους μυσταγωγούμενος νόμους, ἐποίει τὰς διατριβὰς ἐν τῷ ὄρει. ἐμβραδύναντος δὲ αὐτοῦ, ἐπεφύοντο Ἀαρών. (4)

ΣΕΥΗΡΟΥ. Εἰ γίνονται παρὰ τοῦ Ἀαρὼν, πῶς Θεοί; οὕτως ἡ κακία τυφλώττουσα, ἑαυτὴν ἀφανίζει.

β. Καὶ λέγει αὐτοῖς Ἀαρὼν, περιέλεσθε τὰ ἐνώτια τὰ χρυσᾶ τὰ ἐν τοῖς ὠσὶ τῶν γυναικῶν ὑμῶν καὶ τῶν θυγατέρων. καὶ ἐνέγκατε πρός με.

Z ΑΛΛΟΣ φησὶν, ὅτι σοφῶς ἀπεκρίθη. ἐνόμιζε γὰρ διὰ τοῦ αἰτεῖν τὰ χρυσία τῶν γυναικῶν ὀκνηροτέρους ποιήσειν πρὸς τὴν εἰδωλολατρείαν.

ΚΥΡΙΛΛΟΥ. Οἰκονομικῶς δὲ αὐτὸς ἐξήτησε τὰ ἐνώτια, μονονουχὶ διὰ τούτων σημαίνων, ὅτι τοῦ καθήκοντος κόσμου τὴν ἑαυτῶν σεσυλήκασιν ἀκοήν· ἔχοντες μὲν οὐκ ἔτι τὸ εὐπειθὲς, πιρενωεγμένοι δὲ μᾶλλον εἰς ἀπείθειαν. Θεοῦ γὰρ λέγοντος, οὐκ
H » ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ· εἶτα τοὺς Ἐξόδ. 20. 3.
λόγους

(1) Τὴν ἐνεργητικὴν αὐτοῦ δύναμιν οὕτω καλεῖ. ὁ τῆς Αὐγ. κώδ.
(2) Ὡς ἄνω φησίν. αὐτ.
(3) Εἴρηται δὲ πρὸς ἀντιδιαστολήν. αὐτ.
(4) Σύνοψις ταῦτα τῶν ἐν Τόμ. 1. μέρ. 1. σελ. 335.

λόγους τῇ παγκάλῳ ψήφῳ τιμήσαντες, Ἐξόδ. 24. 7. εἰρηκότες, τὸ, πάντα ὅσα εἶπεν ὁ Θεὸς » ποιήσομεν, καὶ ἀκουσόμεθα, Θεοὺς ἐζήτουν γλυπτούς. ὁρᾷς ὅπως ἀποβεβλήκασι τὸ εὐήκοον; καὶ τοῦτο οἶμαι ἐστι τῶν ὤτων ὁ κόσμος.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Τουτέστι περιέλεσθε τῆς ἀκοῆς τὸ τῆς ἐντολῆς τοῦ Θεοῦ ἐνώτιον.

γ. Καὶ περιείλαντο πᾶς ὁ λαὸς τὰ ἐνώτια τὰ χρυσᾶ τὰ ἐν τοῖς ὠσὶ τῶν γυναικῶν αὐτῶν, καὶ ἤνεγκαν πρὸς Ἀαρών.

δ. Καὶ ἐδέξατο ἐκ τῶν χειρῶν αὐτῶν, καὶ ἔπλασεν αὐτὸ ἐν γραφίδι· καὶ ἐποίησεν αὐτὸ μόσχον χωνευτόν.

ΑΛΛΟΣ ἐν τέχνῃ φησὶν αὐτὸ τὸ χρυσίον ἐχώνευσε, διαπλάσας τὸν μόσχον, καὶ τορεύσας αὐτόν· ἐπείπερ οἱ Αἰγύπτιοι τοῦτον ἔσεβον, ὃν καὶ Ἄπιν ἐκάλουν. καὶ γὰρ Ἱεροβοὰμ μετὰ τὸ ἐξελθεῖν ἐξ Αἰγύπτου τῷ αὐτῷ σκοπῷ ἐποίησε τὰς χρυσᾶς δαμάλεις.

ΚΥΡΙΛΛΟΥ. Ὅτι πεπλώκασιν εἰς τὴν ἐν Αἰγύπτῳ πλάνησιν, καὶ ταῖς ἀρχαίαις ἐνώλισθον ἀβουλίαις, δι᾽ αὐτοῦ τοῦ πράγματος κατέδειξεν Ἀαρών, ἐν εἴδει τοῦ μόσχου διαπλάσας αὐτοῖς τὸ προσκυνούμενον ἄγαλμα. μόσχος γὰρ ἦν ἐν Αἰγύπτῳ τὸ σέβας αὐτοῖς τε τοῖς Αἰγυπτίοις, καὶ τοῖς τὴν ἐκείνων ἀπάτην ἐῤῥωστηκόσι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε Ἀαρὼν τῷ λαῷ τὸν μόσχον διέγλυψε; Τὸν σκοπὸν τοῦ γινομένου προσήκει ζητεῖν. οὕτω γὰρ ἐξετάζοντες, εὑρήσομεν αὐτὸν οὐ παντάπασι συγγνώμης ἐστερημένον. τοῦ γὰρ ἀδελφοῦ τεσσαράκοντα διατρίψαντος ἡμέρας ἐν τῇ τοῦ ὄρους ἀκρονυχίᾳ, καὶ τοῦ λαοῦ λυττήσαντος, καὶ εἰς τὴν Αἴγυπτον ἀναστρέψαι ὁρμήσαντος, πρῶτον μὲν ἐπειράθη λόγοις αὐτῶν τὴν ὁρμὴν χαλινῶσαι. ἐπειδὴ δὲ ἀπειθοῦντας εἶδεν, ᾔτησε τῶν γυναικῶν τὰ χρυσία, πάθει πάθος ἀντιστρατεύσας, τὸ φιλόκοσμον καὶ φιλοχρήματον τῇ τῆς δεισιδαιμονίας μανίᾳ. ἀλλ᾽ οὐδὲ τοῦτο τὸ μηχάνημα τὴν λύτταν ἐκείνων ἔσβεσεν. ὅθεν ἠναγκάσθη διαγλύψαι τὸν μόσχον. καὶ τοιούτῳ δὲ σκοπῷ χρησάμενος, τῆς θείας ἐδεήθη φιλανθρωπίας, ὥστε τὴν τιμωρίαν διαφυγεῖν. καὶ τοῦτο Μωϋσῆς ὁ θειότατος ἐν τῷ Δευτερονομίῳ δεδήλωκεν.
Δεύτ. 9. 20. ἐδεήθην γάρ φησι τοῦ Κυρίου περὶ Ἀαρὼν τοῦ ἀδελφοῦ μου, καὶ οὐκ ἀπέθανε.

ΔΙΟΔΩΡΟΥ. Τί δήποτε τῷ λαῷ κοινωνήσας Ἀαρὼν τῆς μοσχοποιΐας, οὐ μείζονα κόλασιν ὑπέσχε μᾶλλον, ὡς καὶ ἀδελφὸς ὢν Μωϋσέως, καὶ τῶν θαυμάτων τῶν διὰ Μωϋσέως ὑπηρέτης; Ἢ δῆλον ὅτι τῆς μὲν ἀσεβείας τὸν λαὸν οὐκ ἀπεδέξατο, πολλὴν

A δὲ καὶ ἄλογον ἰδὼν τὴν ὁρμὴν, ἐπιμενόντων (1) αὐτῶν καὶ παρακελευομένων χωνεῦσαι καὶ ποιῆσαι Θεοὺς, δείσας μή ποτε αὐτὸς παραιτήσεται, ἐφ᾽ (2) ἕτερον ἔλθοιεν ἄρχοντα, καὶ ὁδηγὸν αὐτοῖς τῆς ἀσεβείας, οὕτω τε τὰ πάντα συγχύσεως πληρωθείη· δοκεῖ μὲν αὐτοῖς συντεθεῖσθαι, μελλήσεις δὲ καὶ ὑπερθέσεις ἐπινοεῖν, καὶ τὸ τελευταῖον τῶν γυναικῶν τὰ ἐνώτια σοφῶς ἀπαιτεῖ. φιλόκοσμον γὰρ τὸ γυναικῶν γένος,
B οὐκ εὐκόλως τῶν εἰς τοῦτο συντελούντων ἀποστερούμενον. ὡς δὲ καὶ τούτων προετιμᾶτο ἡ ἀσέβεια, καὶ τὰ ἐνώτια ἐν χερσὶν εἶχεν ὁ Ἀαρὼν, χωνεύει μὲν τὸν μόσχον, καὶ γλύφει γραφίδι, καὶ τέως ἃ βούλονται ποιεῖ, τρίβων τὸν χρόνον, ἕως παραγένηται Μωσῆς, καὶ πάντα διορθωθείη. τῇ δὲ ἑξῆς θυσιαστήριον οἰκοδομεῖ τῷ Θεῷ, καὶ θυσίαν προσάγει, ὅτι τὸν μόσχον βιασθεὶς ἐποίησε. σαφέστερον γοῦν
Γ Μωσῆς μετὰ ταῦτα λέγει τοῖς Ἰσραηλίταις, ὅτι ἐν ἐκείνῳ τῷ καιρῷ, καθ᾽ ὃν
» ἐμοσχοποιήσατο, ηὐξάμην ὑπὲρ Ἀαρὼν τοῦ Δεύτ. 9. 20.
» ἀδελφοῦ μου, ἵνα μὴ ἀποθάνῃ. πρὸ δὲ τούτου τὸ μέγιστον, προορῶν ὁ Θεὸς τοὺς ἐξ αὐτοῦ ἁγίους, τὸν Σαμουὴλ, τὸν Ἠλίαν, τὸν Ἰησοῦν, τὸν Ἰωσεδὲκ, Ἰωάννην τὸν βαπτιστὴν, καὶ ἄλλους μυρίους, ἐτήρησε τὸν Ἀαρὼν τῇ ἱερωσύνῃ διὰ τοὺς ἐξ αὐτοῦ.

Δ Καὶ εἶπαν, (3) οὗτοι οἱ Θεοί σου Ἰσραὴλ, οἵτινες ἀνεβίβασάν σε ἐξ Αἰγύπτου.

ΑΔΗΛΟΥ. Ἕνα βλέπουσι μόσχον, καὶ λέγουσιν, οἱ Θεοί. ἵνα δείξῃ, ὅτι οὐχ ὃ βλέπει μόνον προσκυνεῖ, ἀλλὰ πολυθεΐαν φαντάζεται. τὴν γνώμην γὰρ ἑρμηνεύει, οὐ τὸ φαινόμενον κρίνει.

ΚΥΡΙΛΛΟΥ. Θέα δὲ ὅπως καταμειδιᾷ τῶν ἐγχειρημάτων Ἀαρών.
E ὑποδείξας γὰρ αὐτοῖς τὸ ἐν εἴδει μόσχου πεποιημένον
» ἄγαλμα, προσεφώνει, οὗτοι οἱ Θεοί σου Ἰσ-
» ραὴλ, οἱ ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου. ἀλλ᾽ οὐκ ἐν μόσχῳ λελύτρωνται, ἀλλ᾽ ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ. οὐκοῦν
» κατειρωνευόμενος αὐτῶν, λέγει, οὗτοι οἱ
» Θεοί σου Ἰσραήλ.

ε. Καὶ ἰδὼν Ἀαρὼν ᾠκοδόμησε θυσιαστήριον κατέναντι αὐτοῦ, καὶ ἐκήρυξεν
Z Ἀαρὼν, λέγων, ἑορτὴ τοῦ Κυρίου αὔριον.

ς. Καὶ ὀρθρίσας τῇ ἐπαύριον ἀνεβίβασεν ὁλοκαυτώματα, καὶ προσήνεγκε θυσίαν σωτηρίου· καὶ ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν.

H ΑΔΗΛΟΥ. Οὐ τῷ μόσχῳ ταύτην ἔθυσεν, ἀλλ᾽ ἱλαστήριον τῆς παραβάσεως.

(1) Ἴσ. ἐπιμόνων, ἢ ἐπιμενόντων. (2) Καὶ ἐφ᾽ ἕτερον. ὀρθότερ.
(3) Εἶπεν. ἡ ἐν Φρανεκ. ἔκδοσ. καὶ ὁ Κύριλ. δὲ ὡσαύτως, ὡς ἐκ τοῦ ὑπομνήμ. δῆλον.

A ✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Θυσίας
ἀθύτους ἀνῆγον, καὶ χοροὺς ἀχορεύτους
ἵσασαν, ὕμνους τε ᾖδον θρήνων οὐδὲν δια-
φέροντας.

ΚΥΡΙΛΛΟΥ. Προσήγαγον (1) δὲ καὶ
θυσίαν, ἔφαγόν τε καὶ πεπώκασιν ὡς ἐν
» ἑορτῇ, καὶ ἀνέστησαν παίζειν. ἕψεται γὰρ
πάντως ἀποστάσει τῇ παρὰ Θεοῦ τὸ καὶ
ἐνδεσμεῖσθαι τοῖς σαρκικοῖς, τὸ καὶ τρυ-
φὴν ἡγεῖσθαι τὴν ἀκαθαρσίαν, καὶ τέρψιν
B οἴεσθαι καλὴν καὶ ἡδεῖαν, τὰ ἐφ' οἷς ἦν
αὐτοῖς κατοιμώζειν ἄξιον.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Ἄνω μὲν ἡ νηστεία
νομοθεσίας πρόξενος ἦν, κάτω δὲ ἡ γα-
στριμαργία εἰς εἰδωλολατρείαν ἐξέπεσεν.
» ἐκάθισε γὰρ ὁ λαὸς φαγεῖν καὶ πιεῖν,
» καὶ ἀνέστησαν παίζειν. Καὶ μετ' ὀλίγα. Ἐν μιᾷ
καιροῦ ῥοπῇ διὰ γαστριμαργίας ὁ λαὸς ἐκεῖ-
νος, ὁ τὸν Θεὸν διὰ τῶν μεγίστων τεραστίων
Γ δεδιδαγμένος, εἰς τὴν Αἰγυπτίων εἰδωλο-
μανίαν ἐξεκυλίσθη.

ζ. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
σῆν, λέγων, βάδιζε, καὶ κατάβηθι τὸ
τάχος ἐντεῦθεν· ἠνόμησε γὰρ ὁ λαός
σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου.
η. Παρέβησαν γὰρ ταχὺ ἐκ τῆς ὁδοῦ, ἧς
ἐνετείλω αὐτοῖς. ἐποίησαν ἑαυτοῖς
μόσχον, καὶ προσεκύνησαν αὐτῷ, καὶ
θ. τεθύκασιν αὐτῷ, καὶ εἶπαν. Οὗτοι Δ
οἱ Θεοί σου Ἰσραὴλ, οἵτινες ἀνεβίβα-
σάν σε ἐκ γῆς Αἰγύπτου.

ΩΡΙΓΕΝΟΥΣ. Ἐν ὅλαις τεσσαράκον-
τα ἡμέραις δοῦναι τὸν νόμον ἐπεῖχε τῷ
Μωσεῖ ὁ πάνσοφος Θεὸς, καίτοι δυνατῶς
ἔχων ἐν τρισὶν ἡμέραις δοῦναι τὸν νόμον·
ἀλλ' ἵνα τὸ κεκρυμμένον τῆς ἀσεβείας ἐν
τῷ βάθει τῆς καρδίας τῶν Ἰουδαίων ὁ χρό-
E νος τῆς ἀπουσίας Μωσέως ἐλέγξῃ. (2)

ΚΥΡΙΛΛΟΥ. Οὐδὲ λαὸν ἴδιον ὀνομά-
ζειν ἀξιοῖ ὁ Θεός· ἀλλὰ καίπερ αὐτὸς διο-
ρισάμενος τὸν νόμον, Μωσεῖ τὸ χρῆμα
» προσνέμει. παρέβησαν γάρ φησι [ταχὺ]
» ἐκ τῆς ὁδοῦ, ἧς ἐνετείλω αὐτοῖς. (3) δείκ-
νυσι δὲ καὶ τῷ Μωσεῖ ἴσως ἀγνοοῦντι, ὅτι
διὰ τὴν ἀσθένειαν τῆς διανοίας αὐτῶν ἠνέ-
σχετο καὶ θυσίας ποιεῖν, καὶ ἑορτὰς νομι-
Z κὰς, καὶ ὅσα τοιαῦτα, συγκαταβαίνων,
ἵνα μὴ τοῖς εἰδώλοις θύσωσι.

ι. Καὶ νῦν ἔασόν με, καὶ θυμω-
θεὶς ὀργῇ εἰς αὐτοὺς, ἐκτρίψω αὐτούς·
καὶ ποιήσω σε εἰς ἔθνος μέγα.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Τῷ Ἰσραὴλ ἡμαρ-
τηκότι, οὐ σιωπῇ ἐπήγαγε τὸν ἀφανισμὸν,
ἀλλὰ κινῶν εἰς τὴν ὑπὲρ τοῦ λαοῦ ἱκεσίαν
τὸν ἑαυτοῦ θεράποντα, προεκήρυξε, λέ-
H γων· καὶ νῦν ἄφες με, καὶ ἐξαλείψω τὸν
λαὸν τοῦτον.

A ΑΝΕΠΙΓΡΑΦΟΥ. Εἰδὼς ὁ Θεὸς, ὅτι
ὁρῶν Μωϋσῆς, ὅτι συγγνώμης μείζονα τοῖς
Ἰσραηλίταις ἡμάρτηται, μὴ οὐκ ἂν τολ-
μήσειε παρακαλέσαι τὸν Θεὸν ὑπὲρ αὐ-
τῶν, αὐτὸς αὐτὸν εἰς τοῦτο παρακαλεῖται,
» δι' ὧν αἰτεῖ, λέγων· ἔασόν με, μονονουχὶ
λέγων, μὴ ἐντραπῇς παρακαλέσαι με. ὡς
» τούτοις γὰρ θαῤῥήσας, φησὶν, εἰ μὲν ἀφεῖς
» αὐτοῖς, ἄφες.

ΑΔΗΛΟΥ. Ὢ φιλανθρωπίας ὑπερβο-
B λή. αὐτὸς τὸν Μωσῆν ἐπὶ τὸ παρακαλέ-
σαι προκαλεῖται, μονονουχὶ λέγων· μὴ
ἐντραπῇς παρακαλέσαι με. τοῦτο γὰρ τὸ,
» ἔασόν με. τοιοῦτόν ἐστι καὶ τὸ, ἀπόστειλόν Γεν. 32. 26.
με πρὸς τὸν Ἰακὼβ τοῦ παλαίοντος. διὸ
καὶ συνεὶς ὁ Μωσῆς παρακαλεῖ.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, καὶ
» νῦν ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ εἰς αὐ-
» τοὺς, ἐκτρίψω αὐτοὺς, [καὶ ποιήσω σε εἰς
Γ » ἔθνος μέγα;] Καὶ τὸ ἀπαθὲς τοῦ Θεοῦ,
καὶ τὸ φιλάνθρωπον ὁ λόγος δηλοῖ. ὁ γὰρ
θυμῷ τι πράττων, καὶ τοὺς παρακαλοῦν-
» τας δυσχεραίνει. ὁ δὲ Θεὸς ἔφη· ἔασόν με,
» καὶ θυμωθεὶς ὀργῇ εἰς αὐτοὺς, ἐκτρίψω
αὐτούς. οὐδεὶς δὲ ἀναμένει τοὺς παρακα-
λοῦντας, ἵνα ὀργισθῇ, ἀλλ' ἵνα παρακλη-
» θῇ. τὸ οὖν, ἔασόν με, ἀντὶ τοῦ κώλυσόν με
εἴρηκεν. ἐπειδὴ γὰρ ἠγνόει ὁ Μωϋσῆς ὁ
μέγας τὴν τοῦ λαοῦ παρανομίαν, καὶ αὐ-
Δ τὴν αὐτῷ δεδήλωκεν ὁ Θεὸς, καὶ εἰς πρεσ-
» βείαν διήγειρε. τὸ δὲ, ποιήσω σε εἰς ἔθνος
μέγα, τὰ ἡμέτερα προσημαίνει. ὅπερ γὰρ
τότε οὐ γέγονε, μετὰ τὴν τοῦ Σωτῆρος
ἡμῶν ἐπιφάνειαν γέγονεν. ὁ μέντοι νομο-
θέτης, καὶ ταῦτα τοῦ Θεοῦ ἀρκεῖν αὐτὸν
εἰς τὴν ὑπὲρ τοῦ λαοῦ πρεσβείαν εἰρηκότος,
οὐχ ὑπέλαβεν ἱκανὸς εἶναι παῦσαι τοῦ Θεοῦ
τὴν ὀργήν. ὅθεν τῶν Πατριαρχῶν τὰς
προσηγορίας ἀνθ' ἱκετηρίας προσήνεγκε,
E καὶ τῶν πρὸς ἐκείνους ὅρκων ὑπέμνησε,
καὶ τὰς γεγενημένας συνθήκας ἐμπεδω-
θῆναι ἱκέτευσε.

ια. Καὶ ἐδεήθη Μωϋσῆς κατέναν-
τι Κυρίου τοῦ Θεοῦ αὐτοῦ, καὶ εἶπεν, ἵνα
τί Κύριε θυμοῖ ὀργῇ εἰς τὸν λαόν σου,
οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἐν ἰσχύϊ
μεγάλῃ, καὶ ἐν βραχίονί σου ὑψηλῷ;

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἐλιπάρει Μωσῆς, καὶ
Z ἀνακόπτεσθαι τὴν ὀργὴν τὴν κατὰ πάντων
ἠξίου. ἔδει γὰρ ἔδει τὸν μεσιτεύοντα μι-
μεῖσθαι Χριστόν· ὃς τὴν ἄνωθεν ἐφ' ἡμᾶς
οὖσαν ὀργὴν, διὰ πολλὴν ἁμαρτίαν, ἀπε-
σόβησεν, ὡς υἱὸς τὴν ἐν πίστει δικαίωσιν
τοῖς ἡμαρτηκόσι δωρούμενος. τύπος οὖν
ἄρα τῆς διὰ Χριστοῦ μεσιτείας καὶ τοῦτο δὴ
πάλιν.

ιβ. Μήποτε εἴπωσιν οἱ Αἰγύπτιοι,
H λέγοντες, μετὰ πονηρίας ἐξήγαγεν
αὐτοὺς ἀποκτεῖναι ἐν τοῖς ὄρεσι, καὶ
ἐξανα-

(1) Προσῆγον. ἐν Τόμ. 1. μέρ. 1. σελ. 336.
(3) Τὰ ἑπόμενα ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται.

(2) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

ἐξαναλῶσαι αὐτοὺς ἀπὸ τῆς γῆς, παῦ-
σαι ἀπὸ τῆς ὀργῆς τοῦ θυμοῦ σου, καὶ
ἵλεως γενοῦ ἐπὶ τῇ κακίᾳ τοῦ λαοῦ σου,
ιγ. Μνησθεὶς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰα-
κὼβ τῶν σῶν οἰκετῶν, οἷς ὤμοσας
αὐτοῖς κατὰ σεαυτοῦ, καὶ ἐλάλησας
πρὸς αὐτοὺς, λέγων, πολὺ πληθυνῶ
τὸ σπέρμα ὑμῶν ὡσεὶ τὰ ἄστρα τοῦ
οὐρανοῦ τῷ πλήθει· καὶ πᾶσαν τὴν
γῆν ταύτην ἣν εἶπας δοῦναι τῷ σπέρ-
ματι αὐτῶν, καὶ καθέξουσιν αὐτὴν εἰς
τὸν αἰῶνα.

ιδ. Καὶ ἱλάσθη Κύριος περὶ τῆς κακίας, ἧς εἶπε ποιῆσαι τῷ λαῷ αὐτοῦ.

ΑΔΗΛΟΥ. Τὴν μὲν ἐπ' ὀλέθρῳ ἐπαγγελίαν, δι' ἱκεσίας ἀναστέλλει ὁ φιλάνθρωπος· τῶν δὲ ἀγαθῶν, οὐκ ἀποστερεῖ. διὸ καὶ πολλάκις ἁμαρτησάντων, τὴν γῆν τῆς ἐπαγγελίας οὐκ ἀπεστέρησε.

ιε. Καὶ ἀποστρέψας Μωϋσῆς, κα-
τέβη ἐκ τοῦ ὄρους. καὶ [αἱ] δύο πλά-
κες τοῦ μαρτυρίου ἐν ταῖς χερσὶν αὐτοῦ,
πλάκες λίθιναι γεγραμμέναι ἐξ ἀμ-
φοτέρων τῶν μερῶν αὐτῶν, ἔνθεν καὶ
ις. ἔνθεν ἦσαν γεγραμμέναι. Καὶ αἱ
πλάκες ἔργα Θεοῦ ἦσαν, καὶ ἡ γραφὴ
γραφὴ Θεοῦ ἐστὶ κεκολαμμένη ἐν ταῖς
ιζ. πλαξί. Καὶ ἀκούσας Ἰησοῦς τὴν φω-
νὴν τοῦ λαοῦ κραζόντων, λέγει πρὸς
Μωϋσῆν, φωνὴ πολέμου ἐν τῇ πα-
ρεμβολῇ.

ιη. Καὶ λέγει, οὐκ ἔστι φωνὴ ἐξ ἀρχόντων κατ' ἰσχὺν, οὐδὲ φωνὴ ἐξ ἀρχόντων τροπῆς, ἀλλὰ φωνὴ, ἣν (1) ἐξ ἀρχόντων οἴνου ἐγὼ ἀκούω.

ΑΔΗΛΟΥ. Ἐξ ἀρχόντων, ἀντὶ τοῦ, οὔτε νικώντων, οὔτε φευγόντων. τὸ δὲ Σαμαρειτικόν φησιν, » οὐκ ἔστι φωνὴ ἀπὸ κρίσεως ἀνδρείας, καὶ οὐκ ἔστι φωνὴ ἀπὸ κρίσεως ἥττης, ἀλλὰ φωνὴν ἁμαρτιῶν ἐγὼ ἀκούω.

ιθ. Ἡνίκα δὲ ἤγγιζεν ἐν τῇ παρεμβολῇ, ὁρᾷ τὸν μόσχον καὶ τοὺς χορούς· καὶ ὀργισθεὶς θυμῷ Μωϋσῆς ἔῤῥιψεν ἀπὸ τῶν χειρῶν αὐτοῦ τὰς δύο πλάκας, καὶ συνέτριψεν αὐτὰς ὑπὸ τὸ ὄρος.

✱ ΠΡΟΚΟΠΙΟΥ. Μυστικῶς διὰ τούτων προμηνύων τὴν παῦσιν τοῦ νόμου. οὐ γὰρ ἂν συνεχωρήθησαν αἱ πλάκες, ἔργον οὖσαι Θεοῦ, συντριβῆναι.

ΑΔΗΛΟΥ. Νήφουσι γὰρ ὁ Θεὸς νομοθετεῖ, οὐ μεθύουσιν.

A ΙΩΑΝΝΟΥ. (2) Ἄτοπον εἶναι λογισάμενος, μεθύοντα λαὸν καὶ παρανομοῦντα νομοθεσίαν δεσπότου δέξασθαι.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τὰς πλάκας συνέτριψεν; Ἀνάξιον κρίνας τὸν λαὸν τῆς θείας νομοθεσίας. ἐπειδὴ γὰρ προικῴων γραμματείων τύπον εἶχον αἱ πλάκες, ἡ δὲ νύμφη πρὸ τῆς παστάδος εἰς μοιχείαν ἐπέκλινε, μάλα εἰκότως τὸ προικῷον διέῤῥηξε γραμματεῖον. ἐπισημήνασθαι δὲ προσήκει, ὡς τότε μὲν δεξάμενος τὴν ἱκετείαν ὁ τῶν ὅλων Θεὸς, ἀνεβάλετο τὴν τιμωρίαν. προσέθηκε δὲ, » ᾗ δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι, ἐπάξω ἐπ' αὐτοὺς πᾶσαν τὴν ἁμαρτίαν αὐτῶν. ἔοικε δὲ τοῦτο τοῖς τοῦ Ἀποστόλου εἰρημένοις· ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει. κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετάθετον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως, καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ῥωμ. 2. 4, 6. ὁ μέντοι νομοθέτης ἀκούσας, ὡς οὐκ ἀνέξεται συνεῖναι αὐτοῖς ὁ τῶν ὅλων Θεὸς διὰ τὸ σκληρὸν αὐτῶν καὶ ἀντίτυπον, ἀλλ' Ἄγγελον αὐτοῖς ἐπιστήσει· ᾔτησε μὲν γνῶναι, τίς ὁ τὴν κηδεμονίαν αὐτῶν πιστευθείς· ἀντιβόλησε δὲ μὴ δοῦναι αὐτοῖς ὁμόδουλον ἡγεμόνα, ἀλλ' αὐτὸν αὐτῶν ἡγήσασθαι τὸν δεσπότην. ἐπειδὴ δὲ καὶ ταύτην ὑπέσχετο δώσειν τὴν χάριν ὁ ἀγαθὸς Κύριος, ἔρωτι μεθύων ἐπαινουμένῳ, τῶν ὑπὲρ ἄνθρωπον ἠράσθη, καὶ τὴν ἀθέατον φύσιν ἰδεῖν ἐπεθύμησεν· ἀλλὰ μεμάθηκεν, ὡς ἐκείνην ἰδεῖν τὴν οὐσίαν » ἀδύνατον. Θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε, Ἰωάν. 1. 18 κατὰ τὴν τοῦ Κυρίου φωνήν. τὰς δὲ θείας οἰκονομίας τε καὶ ἐνεργείας· οὕτω γὰρ προσήκει νοεῖν τοῦ Θεοῦ τὰ ὀπίσθια· θεωρῆσαι δυνατὸν τοῖς κατὰ Μωϋσέα τελείοις τὴν ἀρετήν· καὶ οὐδὲ τούτοις ὡς ἔτυχεν, ἀλλ' εἰς τὴν πέτραν ὑπ' αὐτοῦ τοῦ Θεοῦ τιθεμένοις. σημαίνει δὲ αὕτη τῆς πίστεως τὸ στεῤῥὸν καὶ ἀκράδαντον· καὶ διὰ τῆς ὀπῆς τῆς πέτρας· δηλοῖ δὲ αὕτη τὸν τῆς πίστεως ὀφθαλμὸν θεωροῦντα τὰ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς ἀνέφικτα [καὶ ἀθέατα.]

κ. Καὶ λαβὼν τὸν μόσχον ὃν ἐποίησαν, κατέκαυσεν αὐτὸν ἐν πυρὶ, καὶ κατήλεσεν αὐτὸν λεπτὸν, καὶ ἔσπειρεν αὐτὸν ἐπὶ τὸ ὕδωρ, καὶ ἐπότισεν αὐτὸ τοὺς υἱοὺς Ἰσραήλ.

✱✱ ΚΥΡΙΛΛΟΥ. Συντρίβει τὸν μόσχον. εἶτα καθιεὶς εἰς ὕδωρ, πεπότικεν αὐτὸ, φησὶ, τοὺς υἱοὺς Ἰσραήλ· μονονουχὶ διὰ τούτου σημαίνων, ὅτι καὶ αὐτῶν ἡπάτων καὶ σπλάγχνων τῶν ἐν αὐτοῖς ἅψεται τὸ δυσσέβημα. οἶμαι δὲ, ὅτι κἀκεῖνο τάχα που καταμηνύων αὐτοῖς, ὅτι τῆς βεβήλου καὶ βδελυρᾶς εἰδωλολατρείας ἐκμεμεσωμένην ἔχουσι τὴν καρδίαν.

(1) Φωνήν. ἡ ἐν Φρανεκ. ἔκδοσ. ὡσαύτως καὶ ἡ ἐν Κανταβριγ.
(2) Ἐν τοῖς τοῦ Χρυσοσ. οὐχ εὕρηται.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Τȣ λόγȣ τȣ̃το δηλȣ̃ντος, ὅτι πᾶν εἴδωλον καταποθήσεται τοῖς σώμασι τῶν πρὸς ἀσέβειαν ἀπὸ τῆς ἀπάτης μετατεθέντων.

** ΠΡΟΚΟΠΙΟΥ. Τȣ̃το μίωύει αὐ-
Δεύτ. 32. 26. τῶν τλὼ διασπορὰν, κατὰ τὸ, εἶπον δια-
» σπερῶ αὐτȣ̀ς· καὶ κατὰ τὸ ἐν ψαλμοῖς, καὶ
Ψαλ. 108. 18. ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλ-
» θεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτȣ̃.

κα. Καὶ εἶπε Μωϋσῆς πρὸς Ἀαρὼν, τί ἐποίησέ σοι ὁ λαὸς ȣ̃τος, ὅτι ἐπήγαγες ἐπ' αὐτȣ̀ς ἁμαρτίαν μεγάλην;

**ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀφεὶς τȣ̀ς σφόδρα ὑπευθύνȣς, ἐπὶ τὸν ȣ̓χ ȣ̈τως ὑπεύθυνον. τρέπει τλὼ κατηγορίαν, τοῖς ἐγκλήμασι τοῖς κατ' ἐκείνȣ διδȣ̀ς τῷ συνειδότι τȣ́των μείζονα ἑαυτῶν καταψηφίσασθαι τιμωρίαν· ὃ δὴ καὶ ἐγένετο. ȣ̓ γὰρ ἐδεήθη λοιπὸν λόγων πρὸς τὸν δῆμον ἑτέρων, ἀλλ' ἤρκεσε τὰ ψιλὰ ἐκεῖνα ῥήματα τὰ πρὸς τὸν Ἀαρὼν εἰρημένα, χιλιάδας τοσαύτας, ὡς ἕνα ἄνθρωπον, καταστεῖλαι, καὶ ἀπὸ τοσαύτης θρασύτητος εἰς δειλίαν καὶ ἀγωνίαν κατενεγκεῖν τλὼ ἐσχάτλω.

* ΠΡΟΚΟΠΙΟΥ. Τὸν Ἀαρὼν ȣ̓́τε νῦν τιμωρεῖται ὁ Θεὸς, ȣ̓́τε ἡνίκα Μωσέως κατελάλησε, (1) καὶ δι' ἄλλας μὲν αἰτίας, μάλιστα δὲ διὰ τὸ πρῶτον ἀρχιερέα γενέσθαι, καὶ διὰ τȣ̀ς ἐξ αὐτȣ̃ γεννησομένȣς ἁγίȣς.

κβ. Καὶ εἶπεν Ἀαρὼν πρὸς Μωϋσῆν, μὴ ὀργίζȣ κύριε· σὺ γὰρ οἶδας
κγ. τὸ ὅρμημα τȣ̃ λαȣ̃ τȣ́τȣ. Λέγȣσι γάρ μοι, ποίησον ἡμῖν Θεȣ̀ς, οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς ȣ̃τος ὁ ἄνθρωπος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτȣ, ȣ̓κ οἴδαμεν τί γέ-
κδ. γονεν αὐτῷ. Καὶ εἶπα αὐτοῖς, τίνι ὑπάρχει χρυσία; περιέλεσθε. καὶ ἔδωκάν μοι· καὶ ἔῤῥιψα εἰς τὸ πῦρ·
κε. καὶ ἐξῆλθεν ὁ μόσχος ȣ̃τος. Καὶ ἰδὼν Μωϋσῆς τὸν λαὸν ὅτι διεσκέδασαι· διεσκέδασε γὰρ αὐτȣ̀ς Ἀαρὼν ἐπίχαρμα τοῖς ὑπεναντίοις αὐτῶν.

κϛ. Καὶ ἔστη Μωϋσῆς ἐπὶ τῆς πύλης τῆς παρεμβολῆς, καὶ λέγει, τίς πρὸς Κύριον; ἴτω πρός με. συνήλθοσαν ȣ̃ν πρὸς αὐτὸν πάντες οἱ υἱοὶ Λευΐ.

» Ἐπὶ τῆς πύλης τῆς παρεμβολῆς. Ἄλλος, ἐν τῇ ἀρχῇ τῆς ἐνορίας τȣ̃ πλήθȣς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Κατιδὼν ȣ̓κ εἰς πάντας τλὼ νόσον ἀφιγμένλω, ἀλλὰ καί τινας ὑγιαίνοντας ἔτι, καὶ μισοπονήρῳ πάθει χρωμένȣς, βȣλόμενος διαγνῶναι

Α τȣ́ςτε ἀνιάτως ἔχοντας, καὶ τȣ̀ς ἐπὶ τοῖς πεπραγμένοις δυσχεραίνοντας, καὶ εἰ ἤδη τινὲς ἁμαρτόντες, μετανοȣ̃σι, κηρύττει· τὸ δ' ἦν ἄρα βάσανος ἀκριβὴς τῆς ἑκάστȣ διανοίας, ὡς ἔχοι πρός τε ὁσιότητα καὶ » τἀναντίον. τίς γὰρ, φησὶ, πρὸς Κύριον, » ἴτω πρός με. βραχὺ μὲν τὸ λεχθὲν, μεγάλη δὲ ἡ ἔμφασις. ἔστι γὰρ τοιόνδε τὸ δηλȣ́μενον· εἴ τις μηδὲν τῶν χειροποιήτων, μηδ' ὅσα γενητὰ νομίζει Θεȣ̀ς· ἀλλ' ἕνα
Β τὸν ἡγεμόνα τῶν ὅλων, ἐμοὶ προσίτω.

** ΤΟΥ ΝΥΣΣΗΣ. Φησὶν ἐν κοινῷ κηρύγματι πρὸς πάντας ὁ νομοθέτης, ὅτι » εἴ τις πρὸς τὸν Κύριον, ἴτω πρός με. ὅπερ ἐστὶν ἡ τȣ̃ νόμȣ φωνὴ πᾶσιν ἐγκελευομένη τὸ, εἴ τις βȣ́λεται τȣ̃ Θεȣ̃ φίλος εἶναι, ἐμοὶ τῷ νόμῳ φίλος γενέσθω. ὁ γὰρ τῷ νόμῳ φίλος, καὶ τῷ Θεῷ φίλος ἐστὶ πάντως.

Γ κζ. Καὶ εἶπεν αὐτοῖς, τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· θέσθε ἕκαστος τὴν ῥομφαίαν αὐτȣ̃ ἐπὶ τὸν μηρὸν, καὶ διέλθετε καὶ ἀνακάμψατε ἀπὸ πύλης ἐπὶ πύλην διὰ τῆς παρεμβολῆς, καὶ ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτȣ̃, καὶ ἕκαστος τὸν πλησίον αὐτȣ̃, καὶ ἕκαστος τὸν ἔγγιστα αὐτȣ̃.

Δ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ὅτι πᾶς ὁ πρὸς τὸν Θεὸν καὶ τὸν νόμον βλέπων, τῷ φόνῳ τῶν κακῶς ᾠκειωμένων αὐτῷ καθοπλίζεται. ȣ̓ γὰρ πᾶς ἀδελφὸς, ȣ̓δὲ φίλος, ȣ̓δὲ πλησίον, ἐπὶ τὸ κρεῖττον παρὰ τῆς Γραφῆς νοεῖται· ἀλλ' ἔστι τὶς καὶ ἀδελφὸς [καὶ ἀλλότριος,] καὶ φίλος [καὶ ἐχθρὸς,] καὶ πλησίον [καὶ] ἐξ ἐναντίας ἱστάμενος. τȣ́τȣς νοȣ̃μεν τȣ̀ς συμφυομένȣς ἡμῖν λογισμȣ̀ς. ὧν ἡ ζωὴ μὲν, ἡμέτερον
Ε θάνατον· ὁ δὲ θάνατος αὐτῶν, ἡμετέραν ζωλὼ κατεργάζεται.

κη. Καὶ ἐποίησαν [οἱ] υἱοὶ Λευΐ καθὰ ἐλάλησεν αὐτοῖς Μωϋσῆς. καὶ ἔπεσαν ἐκ τȣ̃ λαȣ̃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τρισχιλίȣς ἄνδρας.

** ΤΟΥ ΝΥΣΣΗΣ. Πάντες πρὸς τὸ κακὸν συνεφρόνησαν, καὶ ὥσπερ εἰς ἐγένετο τῷ λόγῳ τῆς κακίας στρατόπεδον
Ζ ἅπαν· ἀδιάκριτος ἡ κατ' αὐτῶν γίνεται μάστιξ. ὡς γάρ τινα τῶν ἐπὶ κακίᾳ πεφωραμένων ὁ πληγαῖς αἰκιζόμενος, ὅ,τιπερ ἂν τύχῃ τȣ̃ σώματος καταξαίνει διὰ τῆς μάστιγος, εἰδὼς ὅτι ἡ ἐπὶ μέρȣς ὀδύνη πρὸς τὸ πᾶν διέρχεται· ȣ̈τως ὡς παντὸς ὁμοίως κολαζομένȣ τȣ̃ εἰς τλὼ κακίαν συμφυέντος σώματος, ἡ ἐπὶ μέρȣς ἐνεργȣμένη μάστιξ τὸ πᾶν ἐσωφρόνιζεν. ȣ̓κȣ̃ν εἴ ποτε τῆς ἴσης κακίας ἐν πολλοῖς θεωρȣμένης,
Η μὴ κατὰ πάντων, ἀλλὰ κατά τινων ἐνεργήσει ἡ τȣ̃ Θεȣ̃ ἀγανάκλησις, νοεῖν προσήκει τλὼ διὰ φιλανθρωπίαν τῶν ἐνεργȣμένων

(1) Οὔτε Μωσέως καταλαλήσαντα. ὁ τῆς Αὐγ. κώδ.

A μένων διόρθωσιν· οὐ πάντων μὲν τυπτομένων, πάντων δὲ ταῖς μερικαῖς πληγαῖς πρὸς τὴν τῆς κακίας ἀποστροφὴν σωφρονιζομένων.

κθ. Καὶ εἶπεν αὐτοῖς Μωϋσῆς, ἐπληρώσατε τὰς χεῖρας ὑμῶν σήμερον Κυρίῳ, ἕκαστος ἐν τῷ υἱῷ καὶ ἐν τῷ ἀδελφῷ, δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν.

» ΑΔΗΛΟΥ. Ἐπληρώσατε, τελέσιν ἡγιάσατε. τοῦτο γὰρ δηλοῖ τὸ, ἐπληρώσατε.

λ. Καὶ ἐγένετο μετὰ τὴν αὔριον καὶ εἶπε Μωϋσῆς πρὸς τὸν λαὸν, ὑμεῖς ἡμαρτήκατε ἁμαρτίαν μεγάλην· καὶ νῦν ἀναβήσομαι πρὸς τὸν Θεὸν, ἵνα ἐξιλάσωμαι περὶ τῆς ἁμαρτίας ὑμῶν.

λα. Καὶ ἀπεστράφη Μωϋσῆς πρὸς Κύριον, καὶ εἶπε, δέομαι Κύριε· ἡμάρτηκεν ὁ λαὸς οὗτος ἁμαρτίαν μεγάλην, καὶ ἐποίησαν ἑαυτοῖς Θεοὺς χρυσοῦς.

ΑΔΗΛΟΥ. Καίτοι μόσχος ἦν τὸ διαπεπλασμένον, ἀλλ' οὐκ ἠγνόησεν, ὅτι καὶ ἕτερα προειργάσαντο εἴδωλα.

** ΠΡΟΚΟΠΙΟΥ. Τινὲς δέ φασιν, ὡς ἅμα τῇ μοσχοποιΐᾳ καὶ ἕτερα παρ' ἑκάστου διεπλάττετο εἴδωλα. προσέκειντο δὲ καὶ ταῖς τῶν ἄστρων λατρείαις. διὸ καὶ Μωϋ- » σῆς ἔφη πρὸς τὸν Θεὸν, ἡμάρτηκεν ὁ » λαὸς οὗτος ἁμαρτίαν μεγάλην, ἐποίησαν » ἑαυτοῖς Θεοὺς χρυσοῦς. καὶ ὁ πρωτομάρτυς δὲ Στέφανος περὶ τῆς μοσχοποιΐας (Πραξ. 7. 42, 43.) εἰπὼν, φησίν· ἔστρεψε δὲ αὐτοὺς ὁ Θεὸς, » καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρα- (Ἱερ. 19. 13.) τιᾷ τοῦ οὐρανοῦ. διὸ καὶ ἐν Προφήταις εἴρη- » ται φησι· καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ (Ἀμ. 5. 26.) » Μολὸχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν Ῥαι- » φῶν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς. ὁ πνευματοφόρος οὖν ἐδήλωσεν, ὡς καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ προσεκύνησαν. ὅθεν ἐστὶν ἐννοεῖν, ὅτι καὶ τὴν σκηνὴν τοῦ Μολὸχ ἀνέλαβον. σκηνοποιησάμενοι γὰρ, ἔστησαν εἴδωλον, ὃ κεκλήκασι Μολόχ. εἴδωλον δὲ τοῦτο Μωαβιτῶν.

λβ. Καὶ νῦν εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ μὴ, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου, ἧς ἔγραψας.

** ΚΛΗΜΕΝΤΟΣ. Ὅση τελειότης τοῦ συναποθανεῖν ἐθελήσαντος τῷ λαῷ, ἢ σώζεσθαι μόνος;

A * ΠΡΟΚΟΠΙΟΥ. Οὕτως ᾔδει καὶ βίβλον τῶν ζώντων, καὶ ἑαυτὸν ἐναρίθμιον. (1) οὐκοῦν οἱ κατ' ἐκεῖνο καιροῦ γραφέντες εἰσὶ, περὶ ὧν φησίν· ἐκκλησίαν (Ἑβρ. 12. 23.) » πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανῷ, » κατὰ τὸ, υἱὸς πρωτότοκός μου Ἰσραήλ. (Ἐξόδ. 4. 22.)

λγ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, εἴ τις ἡμάρτηκεν ἐναντίον μου, ἐξαλείψω αὐτὸν ἐκ τῆς βίβλου μου.

B ΑΔΗΛΟΥ. Ὅρα, ὅτι ὁ Θεὸς οὐ τιμωρεῖται ἄλλον ὑπὲρ ἄλλου.

λδ. Νυνὶ δὲ βάδιζε, καὶ ὁδήγησον τὸν λαὸν τοῦτον εἰς τὸν τόπον ὃν εἶπά σοι· ἰδοὺ ὁ Ἄγγελός μου προπορεύσεται πρὸ προσώπου σου.

Γ ΑΔΗΛΟΥ. Ἵνα μή τις βλασφημήσῃ τὸν ἅγιον, ὡς ἐκπεσόντα τῆς τοῦ Θεοῦ δουλείας, διὰ τὸ μὴ ἐπιβῆναι τῆς γῆς, ἔφη, ὁδήγει τὸν Ἰσραήλ.

** ΚΛΗΜΕΝΤΟΣ. Ἐνταῦθα διδάσκαλός ἐστι παιδαγωγίας. καὶ γὰρ ἦν ὡς ἀληθῶς, διὰ μὲν Μωσέως, παιδαγωγὸς ὁ Κύριος τοῦ λαοῦ τοῦ παλαιοῦ· δι' αὐτοῦ δὲ, τοῦ νέου καθηγεμὼν λαοῦ πρόσωπον πρὸς πρόσωπον. ἰδοὺ γὰρ, φησὶ τῷ Μωσεῖ, ὁ Ἄγ- » γελός μου προπορεύσεταί σου· τὴν εὐαγγέ- Δ λιον καὶ ἡγεμόνιον ἐπιστήσας τοῦ λόγου δύναμιν, τὸ δὲ ἀξίωμα τὸ κυριακὸν φυλάττων.

Ἧ δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι, ἐπάξω ἐπ' αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν.

» * ΠΡΟΚΟΠΙΟΥ. Ἐν τῇ ᾠδῇ φησὶν, ἐν (Δευτ. 32. 35.) » ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ » ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν.

ΑΔΗΛΟΥ. Ἐπισκοπὴν καλεῖ τὴν τι- E μωρίαν, λύουσαν τὰ ἐγκλήματα. ἐπὶ δὲ τῶν Σοδομιτῶν καὶ τοῦ Φαραὼ τοῦτο αὐτὸ λεκτέον. οἱ γὰρ κολαζόμενοι, ὥς φησιν ὁ Χρυσόστομος, (2) διαφόροις τρόποις κολάζονται.

» ** ΚΛΗΜΕΝΤΟΣ. Ἧ δ' ἂν ἡμέρᾳ » ἐπισκέπτωμαι, φησὶν, ἐπάξω ἐπ' αὐτοὺς » τὴν ἁμαρτίαν αὐτῶν· τουτέστιν, ᾗ δ' ἂν ἡμέρᾳ κριτὴς καθεσθῶ, ἀποδώσω τῶν ἁ- Z μαρτιῶν αὐτῶν τὰ ἀντάξια.

λε. Καὶ ἐπάταξε Κύριος τὸν λαὸν περὶ τῆς ποιήσεως τοῦ μόσχου, ὃν ἐποίησεν Ἀαρών.



ΚΕΦ.

(1) Τὰ ἑπόμενα οὐ περιέχει ὁ τῆς Αὐγ. κώδ.

(2) Ἴσ. ἐν τῷ τέλει τῆς 21. Ὁμιλ. τῆς εἰς τὴν πρὸς Ἑβρ. ἐπισ. ἔνθα φησίν· οὐ γὰρ πάντες ὁμοίως κολασθήσονται, κτ.

ΚΕΦ. ΛΓ.

α. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, πορεύου, ἀνάβηθι ἐντεῦθεν σὺ καὶ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου, εἰς τὴν γῆν, ἣν ὤμοσα τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, λέγων, τῷ σπέρματι ὑμῶν δώσω αὐτήν.

β. Καὶ συναποστελῶ τὸν Ἄγγελόν μου πρότερόν σου· καὶ ἐκβαλεῖ τὸν Ἀμοῤῥαῖον, καὶ τὸν Χετταῖον, καὶ τὸν Φερεζαῖον, καὶ τὸν Εὐαῖον, καὶ τὸν Ἰεβουσαῖον, καὶ τὸν Χαναναῖον, καὶ τὸν Γεργεσαῖον.

∗ ΚΥΡΙΛΛΟΥ. [Τότε δὴ μόλις αὐτῷ κατανεύει Θεὸς,] αὐτὸς μὲν συνέσεσθαι ἥκιστα λέγων, ἀποστέλλειν δὲ Ἄγγελον ἐπιστάτην, [καὶ καθηγησόμενον τῆς ὁδοῦ.]

γ. Καὶ εἰσάξω [σε] εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι. οὐ γὰρ μὴ συναναβῶ μετὰ σοῦ, διὰ τὸ τὸν λαὸν σκληροτράχηλον εἶναι, ἵνα μὴ ἐξαναλώσω σε ἐν τῇ ὁδῷ.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Μᾶλλον πενθῆσαι αὐτοὺς θέλων ποιῆσαι, εἶπε τοῦτο Κύριος.

δ. Καὶ ἀκούσας ὁ λαὸς τὸ ῥῆμα
τοῦτο τὸ πονηρὸν, κατεπένθησαν ἐν
ε. πενθικοῖς. Καὶ εἶπε Κύριος τοῖς υἱοῖς
Ἰσραὴλ, ὑμεῖς λαὸς σκληροτράχηλος. ὁρᾶτε, μὴ πληγὴν ἄλλην ἐγὼ
ἐπαγάγω ἐφ' ὑμᾶς, καὶ ἐξαναλώσω
ὑμᾶς. νῦν οὖν ἀφέλετε ἀφ' ὑμῶν τὰς
στολὰς τῶν δοξῶν ὑμῶν, καὶ τὸν κόσ-
ς. μον, καὶ δείξω σοι ἃ ποιήσω σοι. Καὶ
περιείλοντο [οἱ] υἱοὶ Ἰσραὴλ τὸν κόσμον αὐτῶν, καὶ τὴν περιστολὴν ἀπὸ τοῦ ὄρους Χωρήβ.

ζ. Καὶ λαβὼν Μωϋσῆς ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἔξω τῆς παρεμβολῆς, μακρὰν ἀπὸ τῆς παρεμβολῆς· καὶ ἐκλήθη, σκηνὴ μαρτυρίου. καὶ ἐγένετο, πᾶς ὁ ζητῶν Κύριον ἐξεπορεύετο εἰς τὴν σκηνὴν ἔξω τῆς παρεμβολῆς.

∗∗ ΚΥΡΙΛΛΟΥ. Ἀποβεβληκότες ὥσπερ τῆς ἀρχαίας ἐκείνης στολῆς τὴν περιβολὴν, καὶ πάντα κόσμον πνευματικὸν, πολὺ νοσοῦσι τὸ ἄχαρι, καὶ γυμνοὶ μὲν ἁπάσης διατελοῦσι δόξης· ὅτι δὲ καὶ αὐτὸς αὐτῶν ἀποπεφοίτηκεν ὁ Χριστὸς, ὑπέφηνεν ὁ Μωσῆς, μακρὰν τῆς παρεμβολῆς μεθιστὰς τὴν ἑαυτοῦ σκηνὴν καταλελειμμένην.

ΑΔΗΛΟΥ. Ὁ ἐπὶ πλέον διαβεβηκὼς ἀπὸ τῶν ἀνθρωπίνων, ἔξω τὴν ἑαυτοῦ καταστήσει σκηνήν· ἵνα παγεῖσα καὶ ἑδραιωθεῖσα, ἀσάλευτος αὐτῷ ἡ ζωὴ διαμένῃ. ὁ δὲ Δίδυμος σκηνὴν, τὴν προκοπήν φησιν. ὁδευόντων γάρ ἐστι σκεπαστήριον. διὸ καὶ
» Δαβὶδ, ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς. Ψαλ. 41. 4.

η. Ἡνίκα δ' ἂν εἰσεπορεύετο Μωϋ-
B σῆς εἰς τὴν σκηνὴν, εἰστήκει πᾶς ὁ λαὸς σκοπεύοντες ἕκαστος παρὰ τὰς θύρας τῆς σκηνῆς αὐτοῦ· καὶ κατενόουν ἀπιόντος Μωϋσῆ ἕως τοῦ εἰσελθεῖν αὐτὸν εἰς τὴν σκηνήν.

θ. Ὡς δ' ἂν εἰσῆλθε Μωϋσῆς εἰς τὴν σκηνὴν, κατέβαινεν ὁ στύλος τῆς νεφέλης, καὶ ἵστατο ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς, καὶ ἐλάλει Μωϋσῇ.

Γ ∗ ΠΡΟΚΟΠΙΟΥ. Τὴν αἰτίαν τῆς πρὸς Θεὸν οἰκειώσεως τοῦ Μωϋσέως αὐτὸς ὁ Θεὸς
» ἄνω φησίν· ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου Ἐξόδ. 19. 9.
» πρὸς σὲ, καί σοι πιστεύσωσιν εἰς τὸν αἰῶνα.

ι. Καὶ ἑώρα πᾶς ὁ λαὸς τὸν στύλον τῆς νεφέλης ἑστῶτα ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς· καὶ στάντες πᾶς ὁ λαὸς, προσεκύνησαν ἕκαστος ἀπὸ τῆς
Δ θύρας τῆς σκηνῆς αὐτοῦ.

ια. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον· καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν.

ΔΙΔΥΜΟΥ. Ὅσον γὰρ ἧκε τῶν παρὰ Θεοῦ ἐπαγγελλομένων, (1) χωρὶς καὶ ἔξω τῶν ἀνθρώπων ἦν· τέλος δὲ λαβούσης τῆς ὁμιλίας, ὑπέστρεφεν εἰς τὴν πα-
E ρεμβολὴν, ἐπὶ τὸ τῶν ἀκουσθέντων μεταδοῦναι.

ΑΔΗΛΟΥ. Πρὸς τὴν ἡμετέραν συνήθειαν τὰ τοιαῦτα γέγραπται, παραστῆσαι δυνάμενα τὸ πνεῦμα καὶ τὸ βούλημα τοῦ Θεοῦ. καὶ γὰρ ὅπερ ἐμφαίνει παρ' ἡμῖν ὁ λόγος ὁ προστακτικὸς ἐκφωνούμενος, τοῦτο ἡγητέον ἐπὶ Θεοῦ λόγον ἐκφωνήσεως εἶναι, τὴν, ὡς ἄν τις εἴποι, πρώτην ὁρμὴν τοῦ βουλήματος.

Z ΑΔΗΛΟΥ. Τουτέστι παρὼν παρόντι κατὰ πρόσωπον, ὡς σωματικῶς, (2) ἀλλὰ θεοπτίας γενομένης τοῦ λαλοῦντος πρὸς τὸν ἀκούοντα. ἔχει δὲ ἡ διάνοια, ὡς ὁ Θεὸς ἐπίπροσθεν ὢν Μωσέως, εἶχεν αὐτὸν παριστάμενον, οὐκ ἀνθρωπίνῃ παραστάσει, ἀλλὰ κρυπτοῦ ἀνθρώπου πρὸς Θεὸν, ἥνπερ
» καὶ Ἠλίας φησί· ζῇ Κύριος ᾧ παρέστην 3. Βασ. 18. 15.
» ἐνώπιον αὐτοῦ, ὡς οἰκεῖος φίλος πρὸς ἀγα-
H θὸν δεσπότην διαλεγόμενος.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Λαλεῖν λέγεται Θεὸς οἷς ἀποκαλύπτει τὸ βούλημα. καὶ Παῦλος

(1) Ἴσ. ἀπαγγελλομένων.

(2) Ἴσ. οὐ σωματικῶς.

Παῦλος γὰρ οὐ δι᾽ αἰσθήσεως ἤκουε παρὰ τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ· καὶ Δαβὶδ,
Ψαλ. 84. 8. ἀκούσομαι, λέγων, τί λαλήσει ἐν ἐμοὶ Κύ-
„ ριος ὁ Θεός. ἡ γὰρ ἐν πρόθεσις, τὴν ἐν διανοίᾳ παρίστησιν ἀκολουθίαν. καὶ Ἀμβακοὺμ
Ἀμβ. 2. 1. „ φησιν, ἀποσκοπεύσω τί λαλήσει Κύριος ἐν
„ ἐμοί. τοῦτο δηλοῖ καὶ τὸ, ἐνώπιος ἐνωπίῳ. παρόντι γὰρ παρὼν, αἰσθητὸν οὐκ ἔχων πρόσωπον ὁ Θεὸς, ἀλλὰ θεοπτίας ἡ ἀκοὴ, καὶ ὁ λόγος. ὥστε μάτην ζητοῦσι ποίᾳ διαλέκτῳ ἐλάλησε τοῖς ἁγίοις ὁ Θεός. πῶς οὖν
„ ἐπάγει, ὡς εἴ τις λαλήσει πρὸς ἑαυτοῦ φίλον; ἢ ὅτι καὶ Ἄγγελος ὑπουργὸς ἦν καὶ ταῦτα κλητὸς ὢν, οὕτω λαλεῖ, πόσῳ μᾶλλον Θεός; ἢ γοῦν ἀναλόγως νοητέον. τῆς αὐτῆς δια-
3. Βασ. 18. 15. νοίας καὶ τὸ Ἠλιοῦ, ζῇ Κύριος τῶν δυνά-
„ μεων, ᾧ παρέστην ἐνώπιον αὐτοῦ. καὶ οἱ
Ψαλ. 122. 2. λοιποὶ δέ φασι δίκαιοι, ὡς ὀφθαλμοὶ δού-
„ λων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, οὕτως
„ οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν. ταύτης τῆς ὁμιλίας, ὡς ἐχώρει Μωϋσῆς, γενομένης αὐτῷ, εἰς τὴν παρεμβολὴν ἀπελύετο.

Ὁ δὲ θεράπων Ἰησοῦς υἱὸς Ναυῆ νέος οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς.

* ΠΡΟΚΟΠΙΟΥ. Βλάβη γάρ φησι τῷ προκόπτοντι ἔξω τῆς προκοπῆς χωρεῖν. θεράπων δὲ κέκληται, διὰ τὸ ἤδη τῇ πρὸς Θεὸν ἧχθαι θεραπείᾳ. (1)

ιβ. Καὶ εἶπε Μωϋσῆς πρὸς Κύριον, ἰδοὺ σύ μοι λέγεις, ἀνάγαγε τὸν λαὸν τοῦτον, σὺ δὲ οὐκ ἐδήλωσάς μοι, ὃν συναποστελεῖς μετ᾽ ἐμοῦ. σὺ δέ μοι εἶπας, οἶδά σε παρὰ πάντας, καὶ χάριν ἔχεις παρ᾽ ἐμοί.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ τίς μοι συνανοίσει, φησὶ, τὸν λαόν; οὐ γὰρ αὐτάρκης ἀνθρώπου φύσις. οὐδὲ τὸ ψιλῶς γὰρ ἡγήσασθαι λαοῦ ῥᾴδιον· πόσῳ μᾶλλον καὶ μεθισαμένου πρὸς τόπους, πολεμικοὺς ἔχοντας οἰκήτορας. ἤδη γὰρ εἰπόντος Θεοῦ,
„ ἀποστελῶ τὸν Ἄγγελόν μου ἡγέμονόν σου,
„ ἀποκριναμένου τε, εἰ μὴ αὐτὸς συμπορεύῃ
„ μετ᾽ ἐμοῦ, μή με ἀναγάγῃς ἐντεῦθεν, οὐδὲν ἐῤῥέθη πρὸς Μωϋσῆν, ὡς ἐπινεύσαντος,
„ ἢ μὴ, τοῦ Θεοῦ. διό φησι, σὺ δὲ οὐκ ἐδήλω-
„ σάς μοι, ὃς πορεύεται μετ᾽ ἐμοῦ.

ιγ. Εἰ οὖν εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτόν· γνωστῶς ἵνα ἴδω σε, ὅπως ἂν ὦ εὑρηκὼς χάριν ἐνώπιόν σου, καὶ ἵνα γνῶ, ὅτι λαός σου (2) οὗτος, τὸ ἔθνος τοῦτο.

Α ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μωσῆς ἱκε-
„ τεύει τὸν Θεὸν, λέγων, ἐμφάνισόν μοι
„ σεαυτὸν, μονονουχὶ καταοχεθεὶς καὶ βοῶν ἄντικρυς· ὅτι τοῦ μὲν εἶναί σε καὶ ὑπάρχειν, διδάσκαλος καὶ ὑφηγητής μοι γέγονεν ὁ κόσμος, καὶ ὡς υἱὸς ἀναδιδάξας με περὶ τοῦ πατρὸς, καὶ ὡς ἔργον περὶ τοῦ τεχνίτου· τίς δὲ κατὰ τὴν οὐσίαν τυγχάνεις ὢν, διαγνῶναι ποθῶν, οὐδένα τούτου τοῦ μαθήματος ὑφηγητὴν ἐν οὐδενὶ τῶν τοῦ
Β παντὸς μερῶν ἀνευρίσκω.

ΤΟΥ ΝΥΣΣΗΣ. Ἀντὶ τοῦ ὀφθαλμοφανῶς ἴδω σε. εἶδε μὲν γὰρ αὐτὸν διαφόρως, ἀλλ᾽ αὐτὸν ἰδεῖν ἐπόθει τῆς φύσεως τὸν χαρακτῆρα. (3)

ΑΛΛΟΣ. Ἐφαντάζετο τοῦ χρηματίζοντος αὐτοῦ Θεοῦ λόγου τὸ μέγεθος· ἑώρα δὲ ὡς ὅτι δι᾽ ὑπηρετῶν Ἀγγέλων τὰς πρὸς αὐτὸν ἐποιεῖτο θεωρίας. διὸ παρακαλεῖ, τρανώτερον ἐμφανίσαι αὐτῷ γυμνῶς, ἄνευ
Γ τοῦ διὰ πυρὸς καὶ νεφέλης εἴδους.

ΤΟΥ ΔΙΔΥΜΟΥ. Τὸ γνωστῶς ὁρώμενον, εὔδηλον ὡς θεωρίᾳ μόνον, καὶ οὐκ αἰσθήσει καταλαμβάνεται. ὥσπερ γὰρ καὶ ὀφθαλμὸς, τῶν αἰσθητῶν ἀντιλαμβάνεται δι᾽ ὁράσεως, οὕτως ὁ νοῦς διὰ γνώσεως Θεοῦ θεωρίαν δέχεται.

** ΚΛΗΜΕΝΤΟΣ. Ὁ Μωϋσῆς φησὶν,
„ ἐμφάνισόν μοι σεαυτὸν, ἐναργέστατα αἰνισ-
Δ σόμενος, μὴ εἶναι διδακτὸν πρὸς ἀνθρώπων, μηδὲ ῥητὸν τὸν Θεὸν, ἀλλ᾽ ἢ μόνῃ τῇ παρ᾽ αὐτοῦ δυνάμει γνωστόν.

ιδ. Καὶ λέγει Κύριος, αὐτὸς προπορεύσομαί σου, καὶ καταπαύσω σε.

** ΠΡΟΚΟΠΙΟΥ. Θέλων τὸν Θεὸν
„ ἡγεῖσθαι, φησὶ, γνωστῶς ἴδωσε. πρὸς ὅ φη-
„ σιν ὁ Θεός· ἐγὼ αὐτὸς προπορεύσομαί σου, τουτέστιν ἐγὼ καὶ ὁ υἱός μου ἓν ἐσμεν. αὐτὸς
Ε γάρ ἐστιν ὁ τῆς μεγάλης βουλῆς Ἄγγελος, περὶ οὗ σοι φθάσας εἶπον, δι᾽ οὗ προπορεύσομαι, καὶ θεάσασθαί με δυνήσῃ.

ιε. Καὶ εἶπε πρὸς αὐτὸν, εἰ μὴ σὺ αὐτὸς προπορεύῃ μεθ᾽ ἡμῶν, μή με ἀναγάγῃς ἐντεῦθεν.

ΒΑΣΙΛΕΙΟΥ. Τίς ἡ διάνοια τοῦ ἀνδρός; Ὅτι ἁμαρτωλὸς ὁ λαὸς, καὶ χρῄζει τοῦ ἀφιέντος ἁμαρτίας. ὅπερ Ἀγγέλοις ἀδύ-
Ζ νατον. τιμωροὶ μὲν γὰρ τῶν ἁμαρτανομένων Ἄγγελοι, συγχωρητικοὶ δὲ τῶν πλημμελουμένων οὐκ ἔτι. διὰ τοῦτο αὐτὸν ἐπιζητεῖ ἐλθεῖν.

ις. Καὶ πῶς γνωστὸν ἔσται ἀληθῶς, ὅτι εὕρηκα χάριν παρὰ σοὶ ἐγώ τε καὶ

(1) Μή τι γε τοῦτό ἐστι τὸ τοῦ Διδύμου, περὶ οὗ ὁ ἐν τῷ 7. ἐδ. Ἄδηλός φησι, τὸν Δίδυμον σκιὰν λέγειν τὴν προκοπήν;

(2) Ἡ μὲν ἐν Φρανεκ. ἔκδ. λαός σου τὸ ἔθνος τὸ μέγα τοῦτο, ὡσαύτως καὶ ἡ ἐν Κανταβρ. ἡ δὲ τοῦ Ἀλδ. λαός σου τὸ ἔθνος τοῦτο.

(3) Ἐν τοῖς ἐκδεδομέν. οὐχ εὕρηται. ἀντὶ δὲ τούτων, ταῦτα ἐν τῇ εἰς τὸν βίον Μωϋσ. θεωρ. κεῖται. καὶ τοῦτο βούλεται ἡ τολμηρά τε καὶ παριοῦσα τοὺς ὅρους τῆς ἐπιθυμίας ἡ αἴτησις, τὸ μὴ διὰ κατόπτρων τινῶν καὶ ἐμφάσεων, ἀλλὰ κατὰ πρόσωπον ἀπολαῦσαι τοῦ κάλλους.

καὶ ὁ λαός σου, ἀλλ' ἢ συμπορευομένου σου μεθ' ἡμῶν; καὶ ἐνδοξασθησόμεθα ἐγώ τε καὶ ὁ λαός σου παρὰ πάντα τὰ ἔθνη, ὅσα ἐπὶ τῆς γῆς ἐστίν. A

ιζ. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, καὶ τοῦτόν σοι τὸν λόγον, ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιον ἐμοῦ, καὶ οἶδά σε παρὰ πάντας.

✱✱ ΤΟΥ ΝΥΣΣΗΣ. Ἡ ἄνωθεν φωνὴ, νῦν μὲν τῇ ἐπιθυμίᾳ τοῦ αἰτοῦντος συντίθεται, B καὶ τὴν προσθήκην αὐτῷ τῆς χάριτος ταύτης οὐκ ἀπαναίνεται. πάλιν δὲ εἰς ἀπελπισμὸν ἄγει, δι' ὧν ἀποφαίνεται, ἀχώρητον εἶναι τῇ τῶν ἀνθρώπων ζωῇ τὸ παρ' ἐκείνου ζητούμενον.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἐκ τοῦ ἐφ' ἡμῖν ἡ τοιαύτη χάρις· ἀνθ' ἧς ἡ παρὰ Θεοῦ δίδοται τοῖς κατορθώσασι. διό φησιν Ἰωάννης,
Ἰωάν. 1. 16. καὶ χάριν ἀντὶ χάριτος. Καὶ μετ' ὀλίγα. Ἔχων Γ οὖν ὁ Μωϋσῆς τὴν ἐκ τῆς προαιρέσεως χά-
Παροιμ. 25. 10. ριν· περὶ ἧς γέγραπται, χάρις καὶ φιλία ἐλευθεροῖ, ἃς ἐτήρησεν ἑαυτῷ, ἵνα μὴ ἐπονείδιστος γένηται· ἔτυχεν ἀκωλύτως τῆς ἄνωθεν χάριτος.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Διχῶς τὸ εἰδέναι Θεόν. ἢ καθὸ πάντα οἶδε τὰ ὄντα, καθὸ τὸ μᾶλλον καὶ ἧττον οὐκ ἔστιν· οὐσιώδης γάρ ἐστι γνῶσις, καὶ πάντας ὁμοίως ἐπίσταται· Καὶ μετ' ὀλίγα. ἢ καθὸ ἑνοῦται πρὸς Δ τὸ γινῶσκον καὶ τὸ γινωσκόμενον, κα-
2. Τιμ. 2. 19. θὸ λέγεται, ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ. Καὶ μετ' ὀλίγα. Μήποτε οὖν ὑπὲρ πάντας, τοὺς κατὰ τὸν αὐτὸν χρόνον φησίν; ἄμεινον δὲ καθόλου τὸν λόγον νοεῖν ἐπὶ παντὸς τοῦ κατὰ τὴν αὐτὴν ἔχοντος ἁγιότητα Μωϋσεῖ, ὡς καὶ αὐτὸν εἶναι θεράποντα Θεοῦ.

ιη. Καὶ λέγει, δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν. E

ΑΔΗΛΟΥ. Εἰ ὡς ἀνωτέρω ἔφη, ἐλάλει πρὸς αὐτὸν ὁ Θεὸς, ἐνώπιος ἐνωπίῳ, πῶς ἐπιθυμεῖ πάλιν τὴν τοῦ Θεοῦ δόξαν ἰδεῖν; Ἢ δῆλον ὅτι τὸ ἀπαύγασμα τῆς δόξης ἐπιζητεῖ παραδειχθῆναι αὐτῷ, τὸν μονογενῆ λόγον τοῦ Θεοῦ. διὸ καὶ ἤκουσεν· ἰδοὺ τόπος παρ' ἐμοὶ, καὶ στήσῃ ἐπὶ τῆς πέτρας.
1. Κορ. 10. 4. ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

ιθ. Καὶ εἶπεν, ἐγὼ παρελεύσομαι πρότερόν σου (1) τῇ δόξῃ μου, πορεύσομαι πρὸ προσώπου σου τῇ δόξῃ μου, καὶ καλέσω τῷ ὀνόματι Κυρίου ἐναντίον σου. Z

ΔΙΔΥΜΟΥ. Μετ' αὐτὴν γὰρ ὑπάρχεις. ὑπάρχων γὰρ πρὸ τῶν αἰώνων, εὑρίσκεται ἡ ἐμὴ δόξα, ὁ μονογενής μου υἱὸς ὤν. ὅταν ἐγὼ προδιαβῶ ἔχων τὴν ἡμετέραν δόξαν, τότε σὺ ἐπακολουθήσεις, οἷα θεράπων δεσπότῃ. H

A ✱✱ ΚΥΡΙΛΛΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ. Ποῖον Κύριον καλεῖ; Βλέπεις ὅπως ἐπικεκαλυμμένως ἐδίδασκε τὸ εὐσεβὲς περὶ πατρὸς καὶ υἱοῦ δόγμα.

Καὶ ἐλεήσω, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Κἂν ἐλεεῖσθαι μέλλωμεν, ἀξίους τοῦ ἐλέους πρότερον παρέχειν ἡμᾶς ἑαυτοὺς χρή. κἂν γὰρ ἔλεος ᾖ, B τοὺς ἀξίους ἐπιζητεῖ. οὐ γὰρ ἁπλῶς ἔπεισιν ἅπασι, καὶ τοῖς ἀναισθήτως διακειμένοις. ἐλεήσω γάρ φησιν, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Καίτοι πανταχοῦ
τὸ ἔλεός σου. πλήρης γὰρ ἡ γῆ τοῦ ἐλέους- Ψαλ. 32. 5.
σου· καὶ ἀεὶ δὲ τοῦτο. εἰς τὸν αἰῶνα γὰρ τὸ Ψαλ. 135. 1.
ἔλεος αὐτοῦ. πολλαχῶς τοίνυν τοῦ Θεοῦ ὁ ἔλεος. ὁ μὲν, ἐπὶ μετανοίας τῶν ἡμαρτημένων, ὥστε μετ' ἐξομολογήσεως εἰπεῖν,
Γ ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, Ψαλ. 50. 1.
καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· καθὸ καὶ Παῦλός
φησι, διὰ τοῦτο ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίη- 1. Τιμ. 1. 13.
σα· ὁ δὲ, τοῖς ἐλεοῦσιν ἐπιγιγνόμενος· μα- Ματθ. 5. 7.
κάριοι γάρ φησιν οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται· ὁ δὲ τοῖς αἰσθανομένοις τῆς ἰδίας ἀσθενείας πρὸς τὴν τῶν δεόντων κατόρθωσιν, καὶ πρὸς Θεὸν τὴν πεποίθησιν τείνουσι, τὸν δυνάμενον τῶν σπουδαζομένων
Δ τὸ τέλος ἐπαγαγεῖν· οὐ γὰρ τοῦ θέλοντος, Ῥωμ. 9. 16.
οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ·
ὁ γὰρ τοιοῦτός φησιν, ἐλέησόν με ὁ Θεὸς, Ψαλ. 56. 1.
ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου· καὶ παρὰ
τῷ Προφήτῃ φησὶν ἕτερος, ἐλέησον ἡμᾶς Ἡσ. 33. 2.
Κύριε, ὅτι ἐπὶ σοὶ πεποίθαμεν· ὁ δὲ, ἐπὶ τοῖς ποθοῦσι Θεὸν, καὶ τὰς ἐντολὰς εἰς
ἔργον ἐκφέρουσι· ποιεῖ γὰρ ἔλεος εἰς χι- Ἱερ. 32. 18.
λιάδας τοῖς ἐξ ὅλης καρδίας ἀγαπῶσιν
E αὐτὸν, καὶ τὰ προστάγματα αὐτοῦ ποιοῦσιν· ὁ δὲ, τοῖς γνῶσιν ἔχουσιν ὀρθὴν πρὸς αὐ-
τὸν, κατὰ τὸ, παράτεινον τὸ ἔλεός σου Ψαλ. 35. 10.
τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ. ἑκάστῳ δὲ τῶν
ποιούντων ταῦτα, φησὶν, ἐλαίῳ αἰωνίῳ Ἡσ. 54. 8.
ἐλεήσω σε· οἱ καὶ εὐχόμενοί φασι, ταχὺ Ψαλ. 78. 8.
προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα· καὶ,
σὺ δὲ Κύριε μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου Ψαλ. 39. 11.
ἀπ' ἐμοῦ. ἐκτὸς δὲ τούτων ἁπάντων, καὶ
Z ἐπὶ τοῖς ἀναξίοις ἐπιστάζει τὸν ἔλεον διὰ
πολλὴν φιλανθρωπίαν, ἀνατέλλων τὸν Ματθ. 5. 45.
ἥλιον ἐπὶ δικαίους καὶ ἁμαρτωλούς. τούτου δὲ
τοῦ ἐλέους πλήρης ἡ γῆ. τοῦ δὲ ἐκ τοῦ ἐφ'. Ψαλ. 32. 5.
ἡμῖν τὸ, ἐλεήσω, ὃν ἂν ἐλεῶ.

κ. Καὶ εἶπεν, οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται.

H ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Πρόσωπον δὲ Θεοῦ τοῦ ἀσωμάτου, ἢ ὁ χαρακτὴρ τῆς ὑποστάσεως

(1) Πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω τῷ ὀνόματί μου, Κύριον ἐναντίον σου. ἡ ἐν Φραν. ἔκδ. ὡσαύτως καὶ ἡ ἐν Κανταβρ.

Ἰωάν. 14. 9. σεως αὐτοῦ, ὅς καί φησιν, ὁ ἑωρακὼς ἐμὲ,
» ἑώρακε τὸν πατέρα· ἢ γοῦν ἡ προηγουμένη
περὶ αὐτὸν θεολογία, τῆς περὶ δημιουρ-
γίας αὐτοῦ καὶ προνοίας ἀντιδιαστελλομένη.
διττὴ γὰρ ἡ θεολογία. ὧν ἡ πρώτη, περὶ
τῆς ὑπάρξεως αὐτοῦ διαλέγεται· ὅπερ λέ-
γεται πρόσωπον ἀθεώρητον. κατὰ γὰρ
τὴν δευτέραν, δυνατὸν αὐτοῦ θεωρεῖσθαι
τὸ πρόσωπον. διὸ καὶ Μωϋσῆς ἐπεύχε-
Ἀριθ. 6. 26, ται τῷ λαῷ, ἐπᾶραι τὸ πρόσωπον αὐτοῦ
25. » ἐπὶ σὲ, καὶ εὐλογῆσαί σε· ἐπιφᾶναι τὸ
» πρόσωπον αὐτοῦ, καὶ δῴη σοι εἰρήνην. τού-
του τοῦ προσώπου γέγονεν ἔξω Κάϊν, μη-
κέτι δημιουργὸν, μηδὲ προνοητὴν λογι-
σάμενος.

* ΤΟΥ ΝΥΣΣΗΣ. Οὐχ ὡς αἴτιον θα-
νάτου τοῖς ὁρῶσι γινόμενον τὸ τῆς ζωῆς
πρόσωπον, ἀλλ' ἐπειδήπερ ζωοποιὸν [μὲν]
τῇ φύσει τὸ θεῖον, ἴδιον δὲ γνώρισμα τῆς
θείας φύσεως ἐστὶ τὸ παντὸς ὑπερκεῖσθαι
γνωρίσματος· εἰ οὖν ὑπερβαίνει τὴν γνῶ-
σιν ἡ ζωοποιὸς φύσις, τὸ καταλαμβανό-
μενον πάντως ζωὴ οὐκ ἔστιν. ὁ τοίνυν τῶν
γινωσκομένων τι τὸν Θεὸν εἶναι οἰόμενος,
ὡς παρατραπεὶς ἀπὸ τοῦ ὄντως ὄντος πρὸς
τὸ τῇ καταληπτικῇ φαντασίᾳ νομισθὲν εἶ-
ναι, ζωὴν οὐκ ἔχει.

» ** ΚΛΗΜΕΝΤΟΣ. Οὐδεὶς ὄψεταί μου
» τὸ πρόσωπον, καὶ ζήσεται. δῆλον γὰρ μη-
δένα ποτὲ δύνασθαι παρὰ τὸν τῆς ζωῆς
χρόνον τὸν Θεὸν ἐναργῶς καταλαβέσθαι.
Ματθ. 5. 8. οἱ καθαροὶ δὲ τῇ καρδίᾳ τὸν Θεὸν ὄψον-
ται, ἐπὰν εἰς τὴν ἐσχάτην ἀφίκωνται τε-
λείωσιν.

** ΚΥΡΙΛΛΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ.
Διὰ τοῦτο τοίνυν, ἐπειδὴ τὸ τῆς Θεότητος
πρόσωπον οὐδεὶς ἠδύνατο ἰδεῖν ζῶν, ἀνέλα-
βε τὸ τῆς ἀνθρωπότητος πρόσωπον, ἵνα
τοῦτο ἰδόντες ζήσωμεν.

κα. Καὶ εἶπε Κύριος, ἰδοὺ τόπος παρ' ἐμοὶ, καὶ στήσῃ ἐπὶ τῆς πέτρας.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ἐπειδή σοι,
φησὶ, τοῦ δρόμου κόρος οὐδεὶς, οὐδέ τινα τοῦ
ἀγαθοῦ κόρον ἐπίστασαι, [ἀλλ' ἀεὶ πρὸς τὸ
πλεῖον ὁ πόθος βλέπει·] τοσοῦτός ἐστιν [ὁ]
παρ' ἐμοὶ τόπος, ὡς τὸν ἐν αὐτῷ διαθέον-
τα, μηδέποτε δυνηθῆναι λῆξαι τοῦ δρόμου.
ὁ δὲ δρόμος ἑτέρῳ λόγῳ στάσις ἐστί. στήσω
» γάρ σε, φησὶν, ἐπὶ τῆς πέτρας. τοῦτο δὲ
τὸ πάντων παραδοξότατον, πῶς τὸ αὐτὸ
καὶ στάσις ἐστὶ καὶ κίνησις. ὁ γὰρ ἀνιὼν,
πάντως οὐχ ἵσταται, καὶ ὁ ἑστὼς οὐκ ἀνέρ-
χεται. ἐνταῦθα γὰρ διὰ τοῦ στῆναι, τὸ
ἀναβῆναι δηλοῦται. τοῦτο δέ ἐστιν, ὅτι ὅσῳ
τις πάγιός τε καὶ ἀμετάθετος ἐν τῷ ἀγα-
θῷ διαμένει, τοσούτῳ πλέον τὸν τῆς ἀρε-
τῆς διανύει δρόμον.

** ΒΑΣΙΛΕΙΟΥ. Τί ἄλλο λέγων τὸν
τόπον, ἢ τὴν ἐν πνεύματι θεωρίαν, ἐν ᾗ
γενόμενος, ἐδύνατο ἰδεῖν γνωστῶς ἐμφανι-
ζόμενον αὐτῷ τὸν Θεὸν ὁ Μωϋσῆς;

A ** ΩΡΙΓΕΝΟΥΣ. Ἐπὶ τὸ στῆναι
ἐν τῇ ἀληθείᾳ προτρέπων ὁ Κύριος Μω-
» σέα, εἶπε πρὸς αὐτόν· ἰδοὺ τόπος παρ'
» ἐμοὶ, καὶ στήσῃ ἐπὶ τῆς πέτρας. εἰ γὰρ ἡ
» πέτρα Χριστὸς ἦν, Χριστὸς δέ φησιν· ἐγώ- 1. Κορ. 10. 4.
» εἰμι ἡ ἀλήθεια, μήποτε τὸ, στήσῃ ἐπὶ τῆς Ἰωάν. 14. 6.
πέτρας, ἴσον δύναται τῷ, στήσῃ ἐπὶ τῆς
ἀληθείας. μόγις δέ ποτε τοῦτο καὶ μετὰ
πολλὰ ἐγγίγνεταί τινι. μέχρι γοῦν τοῦ· ἰδοὺ
» τόπος παρ' ἐμοὶ, καὶ στήσῃ ἐπὶ τῆς πέτρας,
B Μωσῆς οὐδέπω ἑστήκει ἐπὶ τῆς πέτρας.

ΘΕΟΔΩΡΙΤΟΥ. Τόπον, τὴν ἀγαθό-
τητα καλεῖ, δι' ἣν ἀχώρητος ὢν τῇ φύσει,
ὡς δυνατὸν τοῖς ἀξίοις χωρητός. (1)

** ΠΡΟΚΟΠΙΟΥ. Ἔστιν οὖν ὁ παρ' αὐ-
τῷ τόπος, πέτρα καλούμενος, ἡ περὶ θεο-
λογίας ὀρθὴ διάληψις. οὕτω γὰρ καὶ τὴν
ὁμολογίαν Πέτρου κέκληκεν ὁ Σωτήρ. τού-
» τῳ σύμφωνον καὶ τὸ, ἐν πέτρᾳ ὕψωσάς- Ψαλ. 26. 5.
Γ » με· καὶ τὸ, ἔστησας ἐπὶ πέτραν τοὺς πό- Ψαλ. 39. 2.
δας μου, δηλαδὴ ἐπὶ τὸν ἄρραγῆ τοῦ Θεοῦ
λόγον, ὄντα πέτραν πνευματικήν. ὁ δὲ
τόπος οὐ κατὰ τὸ ποσὸν νοηθήσεται. οὐ
γὰρ σῶμα Θεός. πολλὰ γὰρ τοῦ τόπου τὰ
σημαινόμενα. Καὶ μεθ' ἕτερα. Ἢ τὸ ποσὸν, ὡς
» τὸ, ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἔν τινι τόπῳ Λουκ. 11. 1.
» προσευχόμενον· καὶ τὸ, οὐ κινηθήσεται Ἐξόδ. 16. 29.
» ἄνθρωπος ἐκ τοῦ τόπου αὐτοῦ ἐν ἡμέρᾳ σαβ-
βάτου· ἢ ψυχὴ καθαρὰ, ναὸς Θεοῦ γενο-
Δ » μένη, ὡς τὸ, ἐγένετο ἐν εἰρήνῃ ὁ τόπος Ψαλ. 75. 2.
» αὐτοῦ. ὁ τόπος γὰρ ἐν εἰρήνῃ, οὐκ εἰρήνη
ἐν τῷ τόπῳ. Θεὸς γὰρ ἐν ἀταράχῳ ψυχῇ
κατοικεῖ καὶ περιπατεῖ, τῇ ἐχούσῃ τὴν
ὑπερέχουσαν πάντα νοῦν εἰρήνην· ὡς ἐν τῇ
τεταραγμένῃ ὁ ἐνεργῶν ἐν τοῖς υἱοῖς τῆς
» ἀπειθείας. μὴ ἐπιδυέτω γὰρ ὁ ἥλιος ἐπὶ Ἐφεσ. 4. 26,
» τῷ παροργισμῷ ὑμῶν, μηδὲ δῶτε τόπον 27.
τῷ διαβόλῳ. ἐν γὰρ τοῖς ἀπαθέσιν ὁ υἱὸς
μετὰ τοῦ πατρὸς ποιεῖται μονὴν, τηροῦσι
E τὸν λόγον αὐτοῦ τὸν ἐξελαύνοντα πάθη
ψυχῆς. δηλοῖ δὲ ὁ τόπος καὶ τάξιν τινὰ
καὶ βαθμὸν, ὡς ἐπὶ τῇ χειροτονίᾳ Ματ-
θίου καὶ Ἰωσὴφ οἱ θεῖοί φασι μαθηταί·
» ἀνάδειξον ὃν ἐξελέξω ἐκ τῶν δύο τούτων Πράξ. 1. 24,
» ἕνα, λαβεῖν τὸν τόπον τῆς διακονίας ταύ- 25.
» της καὶ ἀποστολῆς, ἀφ' ἧς παρέβη Ἰούδας.
τόπον γάρ φασιν ὃν, βαθμὸν ἐκάλεσεν ὁ
» Παῦλος, εἰπὼν, οἱ καλῶς διακονήσαντες, 1. Τιμ. 3. 13.
» βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται. ση-
Z μαίνει ὁ τόπος καὶ Θεοῦ παρουσίαν, ὡς ἐδή-
λωσεν Ἰακὼβ λέγων, ἐπὶ τῇ θέᾳ τῆς κλί-
» μακος, ὡς φοβερὸς ὁ τόπος οὗτος, ἐγὼ Γεν. 28. 17.
» δὲ οὐκ ᾔδειν. τοῦτο δηλοῖ καὶ τὸ περὶ Μωϋ-
σέως, καὶ τῶν συναναβάντων αὐτῷ, ὅτε
» εἶδον τὸν τόπον, οὗ εἱστήκει ὁ Θεὸς τοῦ Ἰσ- Ἐξόδ. 24. 10.
» ραήλ· καὶ τὸ ὑπὸ τοὺς πόδας αὐτοῦ ὡσεὶ
» ἔργον πλίνθου λίθου σαπφείρου, καὶ ὡς εἶδος
» στερεώματος τοῦ οὐρανοῦ τῇ καθαριότητι. τό-
πον γάρ φησιν ἔνθα Θεοῦ παρουσίας νόησιν
H ἔλαβον, τῶν ποδῶν αὐτοῦ βεβαίως ἱδρυ-
μένων ἐν πλίνθῳ σαπφειρίνῃ, τῇ πρακτι-
κῇ ἀρετῇ, καὶ εἴδει στερεώματος οὐρανοῦ,
τῇ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

A τῇ σοφίᾳ· νοητῶν γὰρ οὖσα θεωρία, τῇ
καθαριότητι τοῦ οὐρανοῦ παραβάλλεται. ἐφ'
ὃν τόπον ὁ φθάσας τρέφεται, μεταλαμ-
» βάνων τοῦ ἄρτου τῆς ἀληθείας, καὶ τοῦ
καρποῦ τοῦ ξύλου τῆς ζωῆς, καὶ πίνει ἐκ
τῆς πηγῆς τῆς ζωῆς, καὶ τοῦ οἴνου, ὃν ἡ
Παροιμ. 9. 2. σοφία εἰς τὸν ἑαυτῆς ἐκέρασε κρατῆρα. »
οὕτως οἱ περὶ Μωϋσέα κατετρύφησαν τοῦ
Ἐξόδ. 24. 11. Κυρίου, ὀφθέντες ἐν τῷ τόπῳ τοῦ Θεοῦ,
» καὶ φαγόντες καὶ πιόντες. ὁ δὲ τόπος
B δηλοῖ καὶ τὴν εἱρμοῦ τινὸς ἀκολουθίαν, κα-
Ῥωμ. 12. 19. θὸ λέγεται, μὴ ἐκδικοῦντες ἑαυτοὺς ἀγα-
» πητοί· ἀλλὰ δότε τόπον τῇ ὀργῇ. οἴδαμεν
» γὰρ τὸν εἰπόντα, ἐμοὶ ἐκδίκησις. ἐμπο-
δίζει γὰρ ἐκδικήσει Θεοῦ παρεπομένῃ τοῖς
ἀδίκοις ὁ ἑαυτὸν ἐκδικῶν, τὸν τῆς προ-
νοίας διακόπτων εἱρμόν. τοιοῦτόν πως καὶ
Ἑβρ. 12. 17. τὸ περὶ τοῦ Ἠσαῦ εἰρημένον. μετανοίας γὰρ
» τόπον οὐχ εὗρεν. οὐ γὰρ ὃν δεῖ τρόπον τὴν
εὐλογίαν ἐζήτησε, καίτοι μετὰ δακρύων
Γ. δόξας τοῦτο ποιεῖν. οὐ γὰρ ὡς ἀνάξιος γε-
γονὼς ἐλυπήθη· ἀλλ' ὡς μὴ τυχὼν αὐ-
τῆς, μὴ πρὸς ἀξίαν ἑτοιμασάμενος. τό-
πος παρὰ τοῖς ἔξω, καὶ ἡ γενικὴ λέγεται
πρότασις; ἐφ' ἣν αἱ κατὰ μέρος ἀνάγον-
ται τῶν διαλεκτικῶν προβλημάτων ἐπι-
χειρήσεις. τοσούτων ἐκ τοῦ τόπου σημαι-
νομένων, νῦν ἔοικε δηλοῦσθαι ὁ προσήκων
βαθμός. ἔστι γάρ τις τάξις μετὰ πᾶσαν
» προκοπήν, στάσις οὖσα διὰ τὸ βέβαιον, καὶ
Δ. » πέτρα στερρά, χορηγοῦσα γνῶσιν τοῖς ἀν-
1. Κορ. 10. 4. θρώποις τὴν ἐφικτήν. ἀλλὰ καὶ πέτρα
» Χριστὸς, ἡ τόπος οὖσα παρὰ Θεῷ. καὶ ὁ
Ἰωάν. 1. 1. » λόγος γὰρ ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς
Ψαλ. 35. 9. ἦν ὁ λόγος. ὁποῖον καὶ τὸ, παρὰ σοὶ πη-
» γὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
Ἰωάν. 14. 9. ὁ στὰς ἐν τούτῳ, θεωρεῖ τὸν πατέρα. ὁ ἐμὲ
» γάρ φησιν ἑωρακὼς, ἑώρακε τὸν πατέρα.
εἰ δὲ ὡς παρὰ τοῦ υἱοῦ λέγεται τὸ, ἰδοὺ τό-
» πος παρ' ἐμοὶ, τὸν πατέρα νοήσομεν. ὡς
E γὰρ ὁ υἱὸς ἀποκαλύπτει τὸν πατέρα, οὕτω
Πέτρῳ καὶ Παύλῳ τὸν υἱὸν ὁ πατὴρ ἀπε-
κάλυψεν. ὁ μὲν γὰρ, ὡς ἐκ πατρὸς μα-
θὼν τὸν υἱὸν, μακαρίζεται· ὁ δέ φησιν,
Γαλ. 1. 15, 16. ὅτε ηὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ
» κοιλίας μητρός μου, ἀποκαλύψαι τὸν υἱὸν
» αὐτοῦ ἐν ἐμοί.

κβ. Ἡνίκα δ' ἂν παρέλθῃ ἡ δόξα μου, καὶ θήσω σε εἰς ὀπὴν τῆς πέτρας, καὶ σκεπάσω τῇ χειρί μου ἐπὶ σὲ, ἕως ἂν παρέλθω.

Z ΑΔΗΛΟΥ. Ὅτε σαρκοῦται ὁ υἱὸς, ὅς ἐστι πέτρα, τότε ἔσται θεωρητὸς, ἀθέατος ὢν κατὰ τὴν θείαν φύσιν.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Τὸ δὲ ἐν τῇ
πέτρᾳ χώρημα, [ἣν] ὀπὴν ὀνομάζει [ὁ
λόγος], καλῶς ὁ θεῖος Ἀπόστολος ἐν τοῖς
» ἰδίοις λόγοις διηρμήνευσεν, οἰκίαν ἀχει- 2. Κορ. 5. 1.
ροποίητον οὐρανίαν ἀποκεῖσθαι δι' ἐλπίδος
τοῖς τὴν γηΐνην σκηνὴν διαλύσασι, λέγων·
» ἀληθῶς γὰρ ὁ τὸν δρόμον τελέσας, κα- 2. Τιμ. 4. 7, 8.
θώς φησιν ὁ Ἀπόστολος, ἐν ἐκείνῳ τῷ πλα-
τεῖ καὶ εὐρυχώρῳ σταδίῳ, ὃν τόπον ὀνομά-
ζει ἡ θεία φωνὴ, καὶ τὴν πίστιν τηρήσας,
ἤτοι καθώς φησι τὸ αἴνιγμα, ἐπὶ πέτρας
τοὺς ἰδίους πόδας ἐρείσας· οὗτος τῷ τῆς δι-
καιοσύνης στεφάνῳ παρὰ τῆς χειρὸς τοῦ
ἀγωνοθέτου καλλωπισθήσεται. τὸ δὲ τοιοῦ-
τον γέρας διαφόρως παρὰ τῆς Γραφῆς
ὀνομάζεται.] τὸ δὲ ἐν αὐτῷ ἐνταῦθα μὲν,
[χώρημα] πέτρας λέγεται· ἐν ἑτέροις
δὲ, παραδείσου [τρυφὴ, καὶ αἰώνια] σκη-
νὴ, καὶ μονὴ παρὰ τῷ πατρὶ, καὶ κόλπος
Ἀβραὰμ, [καὶ χώρα ζώντων, καὶ ὕδωρ
ἀναπαύσεως, καὶ ἡ ἄνω Ἱερουσαλὴμ, καὶ
βασιλεία οὐρανῶν, καὶ βραβεῖον κλήσεως,]
καὶ στέφανος χαρίτων, [καὶ στέφανος κάλ-
λους, καὶ πύργος ἰσχύος, καὶ ἐπιτραπέζιος
εὐφροσύνη, καὶ Θεοῦ συνεδρία, καὶ θρόνος
κρίσεως, καὶ τόπος ὀνομαστὸς, καὶ σκηνὴ
ἀπόκρυφος. ἐν οὖν καὶ τοῦτό φαμεν εἶναι
τῶν εἰς τοῦτο φερόντων τὸ νόημα, τὴν εἰς
τὴν πέτραν τοῦ Μωϋσέως εἴσοδον.] ἐπειδὴ
» οὖν ὁ Χριστὸς ἡ πέτρα παρὰ τῷ Παύλῳ· 1. Κορ. 10. 4.
» πάντες δὲ οἱ θησαυροὶ τῶν ἀγαθῶν ἐν αὐ- Κολασ. 2. 3.
τῷ, ὁ ἐν ἀγαθῷ τινι γενόμενος, ἐν τῷ
Χριστῷ πάντως ἐστὶ τῷ περιεκτικῷ παντὸς
ἀγαθοῦ. ὁ δὲ μέχρι τούτου φθάσας, καὶ
ὑπὸ χειρὸς τοῦ Θεοῦ σκεπασθεὶς· χεὶρ δ'
ἂν εἴη τοῦ Θεοῦ ἡ δημιουργικὴ τῶν ὄντων
δύναμις, ὁ μονογενὴς Θεὸς, ὃς καὶ τοῖς
τρέχουσι τόπος ἐστὶν, ὁδὸς τοῦ δρόμου γενό-
μενος, καὶ πέτρα γίνεται τοῖς βεβαίοις·
τότε ἀκούσεται τοῦ προσκαλουμένου, καὶ κα-
τόπιν τοῦ καλοῦντος γενήσεται, τουτέστιν ὀπί-
σω Κυρίου τοῦ Θεοῦ πορεύσεται.

κγ. Καὶ ἀφελῶ τὴν χεῖρα, καὶ τότε ὄψει τὰ ὀπίσω μου· τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι.

ΑΛΛΟΣ. Ὅτι αὐτὴν μὲν τὴν, ὡς ἂν εἴποι τις, ἐκπρόσωπον θέαν τοῦ Θεοῦ οὐκ ἄν τις καταλάβοι· ἐκ δὲ τῶν ὀπίσω αὐτοῦ, γνώσεται τὰ περὶ αὐτόν. ὀπίσω δὲ, τὰ κτίσματα αὐτοῦ. ὅπερ καὶ ὁ Θεολόγος φησὶν, (1) οὐκ ἐκ τῶν κατ' αὐτὸν, ἀλλ' ἐκ τῶν περὶ αὐτόν.

ΔΙΔΥΜΟΥ. Ἡ μὲν προκόσμιος ὕπαρξίς τε καὶ θειότης, δηλοῦται διὰ τοῦ προσώπου·

(1) Ἐπεὶ δὲ προσέβλεψα, μόλις εἶδον Θεοῦ τὰ ὀπίσθια· καὶ τοῦτο τῇ πέτρᾳ σκεπασθεὶς, τῷ σαρκωθέντι δι' ἡμᾶς λόγῳ, καὶ μικρὸν διακύψας, οὐ τὴν πρώτην τε καὶ ἀκήρατον φύσιν, καὶ ἑαυτῇ λέγω δὴ τῇ Τριάδι γινωσκομένην, καὶ ὅση τοῦ πρώτου καταπετάσματος εἴσω μένει, καὶ ὑπὸ τῶν Χερουβὶμ συγκαλύπτεται, ἀλλ' ὅση τελευταία, καὶ εἰς ἡμᾶς φθάνουσα. ἡ δὲ ἐστιν, ὡς ἐμὲ γινώσκειν, ἡ ἐν τοῖς κτίσμασι, καὶ τοῖς ὑπ' αὐτοῦ προβεβλημένοις καὶ διοικουμένοις μεγαλειότης, ἢ ὡς ὁ θεῖος Δαβὶδ ὀνομάζει, μεγαλοπρέπεια. ταῦτα γὰρ Θεοῦ τὰ ὀπίσθια, ὅσα μετ' ἐκεῖνον ἐκείνου γνωρίσματα. ὥσπερ αἱ καθ' ὑδάτων ἡλίου σκιαὶ καὶ εἰκόνες ταῖς σαθραῖς ὄψεσι παραδεικνῦσαι τὸν ἥλιον, ἐπεὶ μὴ αὐτὸν προσβλέπειν οἷόν τε, τῷ ἀκραιφνεῖ τοῦ φωτὸς νικῶντα τὴν αἴσθησιν. ἐν λόγ. 34.

σώπου· ἡ δὲ δημιουργία καὶ πρόνοια, διὰ τῶν ὀπίσω. (1)

Ψαλ. 62. 8. ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. [Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. ὁρᾷς πῶς συμβαίνει τῇ ἱστορίᾳ ἡ ψαλμῳδία. ὡς γὰρ οὗτός φησι, τῷ ὀπίσω τοῦ Θεοῦ κεκολλημένῳ τὴν τῆς δεξιᾶς εἶναι ἀντίληψιν· οὕτω κἀκεῖ ἡ χεὶρ ἅπτεται τοῦ ἐν τῇ πέτρᾳ τὴν θείαν φωνὴν ἀναμένοντος, καὶ κατόπιν ἀκολουθεῖν εὐχομένου.] ὁ δὲ ἀκολουθῶν, τὸ ὄπισθεν βλέπει. οὐκοῦν διδάσκεται Μωσῆς, ὅτι τοῦτό ἐστι τὸ ἰδεῖν τὸν Θεὸν, τὸ ἀκολουθεῖν τῷ Θεῷ.

A καὶ ὁ ὁδηγῶν, τῷ προηγεῖσθαι τοῦ ἑπομένου, τὴν ὁδὸν ὑποδείκνυσι. διό φησι πρὸς τὸν ὁδηγούμενον, ὅτι τὸ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι, τουτέστι μὴ ἀντιπρόσωπος γίνου τῷ ὁδηγοῦντι. πρὸς γὰρ τὸ ἔναντι πάντως ὁ δρόμος ἔσται.

ΑΛΛΟΣ φησὶν, ὅτι καὶ ἡ ὀπὴ, καὶ ἡ χεὶρ ἡ σκέπουσα, οὐδὲν ἕτερον, ἢ τὴν μερικὴν καὶ μετὰ φειδοῦς παρίστησιν ἀποκάλυψιν. τοιοῦτον γὰρ τὸ δι' ὀπῆς ὑποπίπτον

B τοῖς ὀφθαλμοῖς, δι' ἧς ὁρᾶται τὰ ὀπίσω Θεοῦ. ταῦτα δέ ἐστιν ἡ ἐν τοῖς μετόπισθεν χρόνοις τοῦ μονογενοῦς ἔνσαρκος ἐπιφάνεια.

ΚΕΦ. ΛΔ.

α. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, λάξευσον σεαυτῷ δύω πλάκας λιθίνας, καθάπερ καὶ αἱ πρῶται, καὶ ἀνάβηθι πρός με εἰς τὸ ὄρος· καὶ γράψω ἐπὶ τῶν πλακῶν τὰ ῥήματα, ἃ ἦν ἐπὶ ταῖς πλαξὶ ταῖς πρώταις, ἃς συνέτριψας.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπὶ λιθίνων εἰκότως ὁ νόμος, ὡς ἂν μένῃ διηνεκῶς ἡ γραφή. καθόλου γὰρ ἀρχαῖον τὸ ἐν στήλαις ἀναγράφειν τὰ μυστικά· ὡς κατὰ τοῦτο, καὶ τὴν καλουμένην ἱερογλυφικὴν σοφίαν συνίστασθαι.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ἔστιν ἐκ τούτου μαθεῖν, ὅτι ἀσύντριπτος ἦν τὸ πρὶν, καὶ ἀθάνατος τὸ κατ' ἀρχὰς ἡ ἀνθρωπίνη φύσις, χερσὶ Θεοῦ κατεσκευασμένη, καὶ τοῖς ἀγράφοις τοῦ νόμου καὶ φυσικοῖς κεκαλλωπισμένη χαρίσμασιν. ἐπεὶ δὲ προσέπεσε τῆς ἁμαρτίας ὁ ἦχος διὰ τῆς τοῦ

Ἐξόδ. 32. 18. ὄφεως φωνῆς, ἣν ἡ ἱστορία, φωνὴν ἐξ οἴνου ἀρχόντων φησὶ, τότε εἰς γῆν πεσοῦσα συντρίβεται. ἀλλὰ πάλιν ὁ ἀληθινὸς νομοθέτης, οὗ τύπος ἦν ὁ Μωσῆς, ἐκ τῆς γῆς ἡμῶν ἑαυτῷ [τὰς] τῆς φύσεως [ἡμῶν] πλάκας ἐλάξευσεν. [οὐ γὰρ γάμος αὐτῷ τὴν θείαν ἐδημιούργησε σάρκα, ἀλλ'] αὐτὸς τῆς ἰδίας σαρκὸς γίνεται λατόμος τῆς τῷ θείῳ δακτύλῳ καταγραφείσης. [πνεῦ-

Λουκ. 1. 35. μα γὰρ ἅγιον ἦλθεν ἐπὶ τὴν Παρθένον, καὶ ἡ τοῦ ὑψίστου ἐπεσκίασε δύναμις. ἐπεὶ δὲ τοῦτο ἐγένετο,] πάλιν ἡ φύσις τὸ ἀσύντριπτον ἔχει, ἀθάνατος [γενομένη τοῖς τοῦ δακτύλου χαράγμασι.] δάκτυλος δὲ Θεοῦ τὸ ἅγιον πνεῦμα.

β. Καὶ γίνου ἕτοιμος εἰς τὸ πρωῒ, καὶ ἀναβήσῃ τὸ πρωῒ εἰς τὸ ὄρος τὸ Σινᾶ, καὶ στήσῃ μοι ἐκεῖ ἐπ' ἄκρου τοῦ ὄρους.

ΔΙΔΥΜΟΥ. Οὐ γὰρ ἑτέρῳ τινὶ ἵστασαι, ἀλλ' ἢ Θεῷ, ᾧ τὴν δηλωθεῖσαν προκοπὴν διανύσει. τί δέ ἐστι τὸ ἑστάναι Θεῷ, ἢ τὸ ἕτοιμον γενέσθαι πρὸς τὸ ἀκροᾶσθαι Θεοῦ διδασκαλίαν;

Γ γ. Καὶ μηδεὶς ἀναβήτω μετὰ σοῦ, καὶ μηδεὶς ὀφθήτω ἐν παντὶ τῷ ὄρει· καὶ τὰ πρόβατα καὶ οἱ βόες μὴ νεμέσθωσαν πλησίον τοῦ ὄρους.

ΔΙΔΥΜΟΥ. Τοῖς ἀπολειπομένοις τῆς τοῦ Μωϋσέως τελειότητος μένειν κάτω τοῦ ὄρους προσέταξε.

** ΠΡΟΚΟΠΙΟΥ. Μηδένα τῷ Μωϋσεῖ συνανιέναι προσέταξεν, ἵνα μὴ βλάβην ὑποστῇ, τολμῶν τοῖς ὑπὲρ δύναμιν ἐγχειρεῖν. εἰ γὰρ Ὀζὰ, γένους ὢν οὐκ ἱερατικοῦ, ἐκινδύνευσε ψαύσας ἐπὶ βοηθείᾳ τῆς κιβωτοῦ, πόσῳ μᾶλλον ὁ τηλικούτων ψαύσας πρὸ τῆς προκοπῆς; ἡ αὐτὴ θεωρία καὶ ἐν εὐαγγελίοις, ὅτε παραλαβὼν Ἰησοῦς Ματθ. 17. 1, 2. Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, εἰς ὄρος αὐτοὺς ἀναγαγὼν ὑψηλὸν, ἐπὶ αὐτῶν μετεμορφώθη.

E δ. Καὶ ἐλάξευσε δύω πλάκας λιθίνας, καθάπερ καὶ αἱ πρῶται. καὶ ὀρθρίσας Μωσῆς τὸ πρωῒ, ἀνέβη εἰς τὸ ὄρος τὸ Σινᾶ, καθὰ συνέταξεν αὐτῷ Κύριος· καὶ ἔλαβε Μωϋσῆς μεθ' ἑαυτοῦ τὰς δύω πλάκας τὰς λιθίνας.

ε. Καὶ κατέβη Κύριος ἐν νεφέλῃ,

Z καὶ παρέστη αὐτῷ ἐκεῖ, καὶ ἐκάλεσεν ἐν τῷ ὀνόματι Κυρίου.

ΑΔΗΛΟΥ. Ὁρᾷς ὡς Κύριος ἕτερον ἐκάλεσε Κύριον κοινωνὸν τοῦ ὀνόματος, ἐπειδὴ καὶ οὐσίας καὶ δόξης.

ς. Καὶ παρῆλθε Κύριος πρὸ προσώπου αὐτοῦ, καὶ ἐκάλεσε, Κύριος Κύριος ὁ Θεὸς οἰκτίρμων, καὶ ἐλεήμων, μακρόθυμος, καὶ πολυέλεος,

H καὶ ἀληθινός.

(1) Μετὰ τὸ ὑπόμνημα τοῦτο, καὶ τάδε ἐν τῷ κώδ. κεῖται· τὸ αὐτὸ καὶ Γρηγόριος Νύσσης. ὅπερ ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

ΑΔΗΛΟΥ. Ταῦτα αὐτός φησι, καταβὰς ἐν νεφέλῃ, καὶ παραστὰς τῷ Μωϋσῇ, ὁ διὰ τοῦ τετραγράμματος δηλούμενος Κύριος· ὃς καὶ καθ' ἣν πεποίηται ὑπόσχεσιν παρελθὼν πρὸ προσώπου Μωσέως, τὸν Κύριον καὶ πατέρα, Κύριον διὰ τοῦ τετραγράμμου ἐμφερόμενον, ἀνακαλεῖ λέγων· Κύριος
» Κύριος ὁ Θεὸς οἰκτίρμων, καὶ τὰ ἑξῆς.

ζ. Καὶ δικαιοσύνην διατηρῶν, καὶ
ποιῶν ἔλεος εἰς χιλιάδας, ἀφαιρῶν
ἀνομίας, καὶ ἀδικίας, καὶ ἁμαρτίας,
καὶ τὸν ἔνοχον οὐ καθαριεῖ, ἐπάγων
ἀνομίας πατέρων ἐπὶ τέκνα, καὶ ἐπὶ
τέκνα τέκνων, ἐπὶ τρίτην καὶ τετάρ-
την γενεάν.

ΑΔΗΛΟΥ. Ἤτοι, ἀνέχεται ὁ Θεὸς τῶν ἁμαρτωλῶν, καὶ ἕως τρίτου βαθμοῦ παίδων. λοιπὸν ἐὰν ἴδῃ, ἐκγόνους καὶ προεκγόνους καὶ ἐπεκγόνους ἐμμένοντας τῇ πατροπαραδότῳ κακίᾳ, ἐπάγει τὴν πληγήν.

ΑΔΗΛΟΥ. Τοῦτο οὐ γενικῆς ἐστὶ νομοθεσίας, ἀλλὰ μερικῆς τοῖς ἐξελθοῦσιν ἐξ Αἰγύπτου. ἐπειδὴ τὸ τῆς εἰδωλολατρείας ἄκρατον ἐν Αἰγύπτῳ ἀπὸ τρίτης καὶ τετάρτης γενεᾶς ἤρξατο, προαπειλεῖ τοῖς μέλλουσιν εἰδωλολατρεῖν· ὅτι ἐὰν εἰδωλολατρήσητε, οὐχ ὥσπερ τοῖς ἐν Αἰγύπτῳ συγγνώσομαι ὑμῖν μετὰ τοσούτων θαυμάτων ἀπόδειξιν, ἀλλὰ τὰς τῶν πατέρων ὑμῶν ἐπαγάγω ἁμαρτίας, οὐ τὰς τιμωρίας. οὐδὲ γὰρ ὧν ἥμαρτον ἐκεῖνοι, δίκας
Ἰεζ. 3. 20. » ἐτίσαντο· ἀλλ' ἕκαστος τῇ ἰδίᾳ ἁμαρτίᾳ
» ἀποθανεῖται.

η. Καὶ σπεύσας Μωϋσῆς, κύψας
ἐπὶ τὴν γῆν προσεκύνησε.

θ. Καὶ εἶπεν, εἰ εὕρηκα χάριν ἐνώ-
πιόν σου, συμπορευθήτω Κύριος μεθ'
ἡμῶν· ὁ λαὸς γὰρ σκληροτράχηλός
ἐστι· καὶ ἀφελεῖς σὺ τὰς ἁμαρτίας,
καὶ τὰς ἀνομίας ἡμῶν, καὶ ἐσόμε-
θά σοι.

» ΑΔΗΛΟΥ. Τὸ, συμπορευθήτω Κύριος μεθ' ἡμῶν, τρανῶς ἐμφαίνει τὸν πατέρα καὶ τὸν υἱόν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἀφελεῖς σὺ
» τὰς ἀνομίας ἡμῶν, καὶ τὰς ἁμαρτίας
» ἡμῶν, καὶ ἐσόμεθά σοι. οὐκοῦν ὅταν ἴδῃς
ἄνθρωπόν τινα λέγοντα τῷ παραλύτῳ καὶ
Μάρκ. 2. 5, 7. τῇ πόρνῃ, ἀφέωνταί σοι αἱ ἁμαρτίαι,
γνῶθι τοιοῦτον ὑπάρχειν αὐτὸν, περὶ οὗ σοι
» προλέγω. οὐδεὶς γὰρ δύναται ἀφεῖναι ἁ-
» μαρτίας, εἰ μὴ μόνος ὁ Θεός.

ι. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν,
ἰδοὺ ἐγὼ τίθημί σοι διαθήκην ἐνώπιον
παντὸς τοῦ λαοῦ σου, ποιήσω ἔνδοξα,
ἃ οὐ γέγονε πάσῃ τῇ γῇ, καὶ ἐν παντὶ
ἔθνει. καὶ ὄψεται πᾶς ὁ λαὸς, ἐν οἷς
εἶ σὺ, τὰ ἔργα Κυρίου, ὅτι θαυμαστά-
ια. ἐστιν, ἃ ἐγὼ ποιήσω σοι. Πρόσεχε

A σὺ πάντα, ὅσα ἐγὼ ἐντέλλομαί σοι.
ἰδοὺ ἐγὼ ἐκβάλλω ἀπὸ προσώπου ὑμῶν
τὸν Ἀμορραῖον, καὶ τὸν Χαναναῖον,
καὶ τὸν Χετταῖον, καὶ τὸν Φερεζαῖον,
καὶ τὸν Εὐαῖον, καὶ τὸν Ἰεβουσαῖον,
ιβ. καὶ τὸν Γεργεσαῖον. Πρόσεχε σεαυ-
τῷ, μήποτε διαθῇς διαθήκην τοῖς ἐγ-
καθημένοις ἐπὶ τῆς γῆς, εἰς ἣν εἰσπο-
ρεύῃ εἰς αὐτὴν, μήποτε γένηται πρόσ-
ιγ. κομμα ἐν ὑμῖν. Τοὺς βωμοὺς αὐτῶν
καθελεῖτε, καὶ τὰς στήλας αὐτῶν
συντρίψετε, καὶ τὰ ἄλση αὐτῶν ἐκ-
κόψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν
αὐτῶν κατακαύσετε πυρί.

ιδ. Οὐ γὰρ μὴ προσκυνήσητε θεῷ
ἑτέρῳ· ὁ γὰρ Κύριος ὁ Θεὸς, ζηλω-
τὸν ὄνομα, Θεὸς ζηλωτής ἐστι.

Γ ΑΔΗΛΟΥ. Τὸ ζηλωτὸν ὄνομα, τοῦτο δοκεῖ πως σημαίνειν· ὅτι ζηλοῖ Θεὸς ὑπὸ πολλῆς φιλανθρωπίας ἐπὶ τῇ τῶν ἑαυτοῦ δούλων ἀποστασίᾳ. καὶ ἐπείπερ ἀεὶ τοῦτο ποιεῖ, γέγονεν αὐτῷ τοῦτο ὄνομα.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἀντὶ τοῦ, ἐὰν ἴδῃ τὸν ἑαυτοῦ λαὸν τοῖς μὴ οὖσι θεοῖς προσκυνοῦντα, ὀργίζεται· μᾶλλον δὲ καὶ ζηλοῖ, ὃν τρόπον ζηλοῖ ἄνθρωπος, ὁρῶν τὴν ἑαυτοῦ σύμβιον τὴν ἀγαπωμένην, προσχωρή-
Δ σασαν ἑτέρῳ· ὀργίζεται μὲν ἀφορήτως, καὶ ζηλοῖ δὲ ἐπὶ τῇ τῶν ἑαυτοῦ δούλων ἀποστασίᾳ. καὶ ἐπείπερ αὐτὸ τοῦτο ποιεῖ διὰ πολλὴν φιλανθρωπίαν, τοῦτο ὄνομα αὐτῷ.

ιε. Μήποτε θῇς διαθήκην τοῖς ἐγ-
καθημένοις ἐπὶ τῆς γῆς, καὶ ἐκπορ-
νεύσωσί σε ὀπίσω τῶν θεῶν αὐτῶν,
καὶ θύσωσι τοῖς θεοῖς αὐτῶν, καὶ
καλέσωσί σε, καὶ φάγῃς τῶν θυσιῶν
ιϛ. αὐτῶν, Καὶ λάβῃς τῶν θυγατέρων
αὐτῶν τοῖς υἱοῖς σου, καὶ τῶν θυγατέ-
ρων σου δῷς τοῖς υἱοῖς αὐτῶν, καὶ ἐκ-
πορνεύσωσιν αἱ θυγατέρες σου ὀπίσω
τῶν θεῶν αὐτῶν, καὶ ἐκπορνεύσωσιν
ιζ. οἱ υἱοί σου ὀπίσω τῶν θεῶν αὐτῶν. Καὶ
θεοὺς χωνευτοὺς οὐ ποιήσεις σεαυτῷ.
ιη. Καὶ τὴν ἑορτὴν τῶν ἀζύμων φυλάξῃ.
Z ἑπτὰ ἡμέρας φαγῇ ἄζυμα, καθάπερ
ἐντέταλμαί σοι, εἰς τὸν καιρὸν ἐν μηνὶ
τῶν νέων· ἐν γὰρ τῷ μηνὶ τῶν νέων
ιθ. ἐξῆλθες ἐξ Αἰγύπτου. Πᾶν διανοῖγον
μήτραν, ἐμοὶ τὰ ἀρσενικὰ, πρωτό-
τοκον μόσχου, καὶ πρωτότοκον προβά-
κ. του. Καὶ πρωτότοκον ὑποζυγίου λυ-
τρώσῃ προβάτῳ· ἐὰν δὲ μὴ λυτρώσῃ,
τιμὴν δώσεις αὐτοῦ. πᾶν πρωτότοκον
H τῶν υἱῶν σου λυτρώσῃ. οὐκ ὀφθήσῃ
κα. ἐνώπιόν μου κενός. Ἓξ ἡμέρας ἐργᾷ,
τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀναπαύσῃ·
τῷ σπόρῳ καὶ τῷ ἀμητῷ κατάπαυσις.

κβ. Καὶ

κβ. Καὶ ἑορτὴν ἑβδομάδων ποιή-
σεις μοι, ἀρχὴν θερισμȣ̃ πυρῶν· ϗ ἑορ-
τὴν συναγωγῆς μεσȣ̃ντος τȣ̃ ἐνιαυτȣ̃.

Ἀρχὴν θερισμȣ̃ πυρῶν. οἱ λοιποὶ, ἀρχὴ τῶν πρωτογεννημάτων.

κγ. Τρεῖς καιρȣ̀ς τȣ̃ ἐνιαυτȣ̃ ὀφ-
θήσεται πᾶν ἀρσενικόν σȣ ἐναντίον
κδ. Κυρίȣ τȣ̃ Θεȣ̃ σȣ Ἰσραήλ. Ὅταν
γὰρ ἐκβάλλω τὰ ἔθνη ἀπὸ προσώπȣ
σȣ, καὶ ἐκπλατυνῶ τὰ ὅριά σȣ, ȣ̓κ
ἐπιθυμήσει ȣ̓θεὶς τῆς γῆς σȣ, ἡνίκα
ἐὰν ἀναβῇς ὀφθῆναι ἔναντι Κυρίȣ τȣ̃
κε. Θεȣ̃ σȣ, τρεῖς καιρȣ̀ς τȣ̃ ἐνιαυτȣ̃. Οὐ
σφάξεις ἐπὶ ζύμῃ αἷμα θυσιάσμα-
τός σȣ, καὶ ȣ̓ κοιμηθήσεται εἰς τὸ
κς. πρωῒ θῦμα ἑορτῆς τȣ̃ πάσχα. Τὰ
πρωτογεννήματα τῆς γῆς σȣ εἰσοίσεις
εἰς τὸν οἶκον τȣ̃ Θεȣ̃ σȣ. ȣ̓χ ἑψήσεις
κζ. ἄρνα ἐν γάλακτι μητρὸς αὐτȣ̃. Καὶ
εἶπε Κύριος πρὸς Μωϋσῆν, γράψον
σεαυτῷ πάντα τὰ ῥήματα ταῦτα·
ἐπὶ γὰρ τῶν λόγων τȣ́των τέθειμαί
κη. σοι διαθήκην, καὶ τῷ Ἰσραήλ. Καὶ
ἦν ἐκεῖ Μωϋσῆς ἐναντίον Κυρίȣ τεσσα-
ράκοντα ἡμέρας, καὶ τεσσαράκοντα
νύκτας· ἄρτον ȣ̓κ ἔφαγε, καὶ ὕδωρ
ȣ̓κ ἔπιε. καὶ ἔγραψεν ἐπὶ τῶν πλα-
κῶν τὰ ῥήματα ταῦτα τῆς διαθήκης,
τȣ̀ς δέκα λόγȣς.

κθ. Ὡς δὲ κατέβαινε Μωϋσῆς ἐκ
τȣ̃ ὄρȣς Σινᾶ, καὶ ἰδȣ̀ αἱ πλάκες ἐπὶ
τῶν χειρῶν Μωϋσῆ· καταβαίνοντος δὲ
ἀπὸ τȣ̃ ὄρȣς, καὶ Μωϋσῆς ȣ̓κ ᾔδει ὅτι
δεδόξασαι ἡ ὄψις τȣ̃ χρωτὸς τȣ̃ προσώ-
πȣ αὐτȣ̃ ἐν τῷ λαλεῖν αὐτὸν αὐτῷ.

⁂ ΚΛΗΜΕΝΤΟΣ. Καθάπερ τῷ Μωσεῖ ἐκ τῆς δικαιοπραγίας καὶ τῆς κατὰ τὸ συνεχὲς πρὸς τὸν Θεὸν τὸν λαλȣ̃ντα αὐτῷ ὁμιλίας, ἐπίχροιά τις ἐπεκάθιζε τῷ προσώπῳ δεδοξασμένη· ȣ̈τω καὶ τῇ δικαίᾳ ψυχῇ θεία τις ἀγαθωσύνης δύναμις, κατά τε ἐπισκοπὴν, κατά τε τὴν προφητείαν, κατά τε τὴν διοικητικὴν ἐνέργειαν ἐγχριμπτομένη, οἷον ἀπαυγάσματος νοερȣ̃, καθάπερ ἡλιακῆς ἀλέας, εναποσημαίνεταί τι, δικαιοσύνης σφραγῖδα ἐπιφανῆ, φῶς ἡνωμένον ψυχῇ δι' ἀγάπης ἀδιαστάτȣ, θεοφορȣ́σης ϗ θεοφορȣμένης.

λ. Καὶ εἶδεν Ἀαρὼν καὶ πάντες
οἱ υἱοὶ Ἰσραὴλ τὸν Μωϋσῆν, καὶ ἦν δε-
δοξασμένη ἡ ὄψις τȣ̃ χρωτὸς τȣ̃ προ-
σώπȣ αὐτȣ̃· καὶ ἐφοβήθησαν ἐγγί-
σαι αὐτῷ.

A ΚΥΡΙΛΛΟΥ. Καταγράφει μὲν τοῖς ἐκ λίθων πυξίοις τὸν νόμον ὁ τῶν ὅλων Θεός. ἐπειδὴ δὲ τῇ τȣ̃ φωτὸς προσβολῇ κατηγλάϊστο τὸ Μωσέως πρόσωπον, ἐν ἡμέραις τεσσαράκοντα προσεδρεύοντος τῷ θείῳ, ἀτονȣ̃σι πρὸς τὴν θέαν οἱ ἀπόλεκτοι τῶν ἐξ Ἰσραὴλ, καὶ πρό γε τῶν ἄλλων ὁ Ἀαρών. (1) διὰ τȣ̃το περιτίθησι κάλυμμα ἑαυτῷ, καὶ ȣ̈τως αὐτοῖς διαλέγεται.

ΤΟΥ ΑΥΤΟΥ. Ἀπαράδεκτον Ἰȣδαίοις
B καὶ αὐτὸ τȣ̃ νόμȣ τὸ φῶς, καὶ ȣ̓χὶ μόνοις τοῖς ἀδρανέσι [καὶ ἀγελαίοις,] ἀλλὰ καὶ αὐτοῖς τοῖς ἀπολέκτοις ϗ ἱεροῖς. [ἀκήκοας γὰρ ὅτι τὴν Μωσέως πεφόβηνται δόξαν σὺν τοῖς πρεσβυτέροις Ἀαρών.]

λα. Καὶ ἐκάλεσε Μωϋσῆς αὐτȣ̀ς,
καὶ ἐπεστράφησαν πρὸς αὐτὸν Ἀαρὼν
καὶ πάντες οἱ ἄρχοντες τῆς συναγω-
γῆς· καὶ ἐλάλησε Μωϋσῆς πρὸς αὐ-
λβ. τȣ́ς. Καὶ μετὰ ταῦτα προσῆλθον
πρὸς αὐτὸν πάντες οἱ υἱοὶ Ἰσραήλ·
ϗ ἐνετείλατο αὐτοῖς πάντα ὅσα ἐλά-
λησε Κύριος πρὸς αὐτὸν ἐν τῷ ὄρει
Σινᾶ.

λγ. Καὶ ἐπεὶ κατέπαυσε λαλῶν
πρὸς αὐτȣ̀ς, ἔθηκεν ἐπὶ τὸ πρόσωπον
αὐτȣ̃ κάλυμμα.

Δ ΘΕΟΔΩΡΙΤΟΥ. Τί σημαίνει τὸ κάλυμμα τὸ ἐπιτεθὲν τῷ προσώπῳ τȣ̃ νομοθέτȣ; Ἔχομεν τȣ̃ Ἀποστόλȣ τὴν ἑρμη-
» νείαν. μέχρι γάρ φησι τῆς σήμερον, ἡνί- 2. Κορ. 3. 15, 14, 16.
» κα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ
» τὴν καρδίαν αὐτῶν κεῖται μὴ ἀνακαλυπτό-
» μενον, ὅ,τι ἐν Χριστῷ καταργεῖται. ἡνίκα
» δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται
τὸ κάλυμμα. ὥσπερ γὰρ τότε θείας ἐνεπλήσθη δόξης τȣ̃ νομοθέτȣ τὸ πρόσωπον,
E καὶ τὸ σέλας τὸ ἐκεῖθεν ὑπὲρ ἀστραπὴν ἐκπεμπόμενον ἀντιβλέπειν ȣ̓κ εἴα τȣ̀ς ἐντυγχάνοντας, ἀλλ' ἢ ἑτέρωσε τὰ πρόσωπα τρέπειν, ἢ τȣ̀ς ὀφθαλμȣ̀ς μύειν ἠνάγκαζε· καὶ τȣ́τȣ χάριν ἐχρῆτο τῷ προκαλύμματι, τῷ λαῷ διαλεγόμενος· πρὸς δὲ τὸν Θεὸν ἐπιστρέφων, γυμνὸν εἶχε τὸ πρόσωπον· ȣ̈τως Ἰȣδαῖοι τῷ τȣ̃ νόμȣ προσέχοντες γράμματι, τὴν μὲν δόξαν ȣ̓χ ὁρῶσι, μόνον δὲ τὸ κάλυμμα βλέπȣσι· τῇ δὲ
Z τȣ̃ παναγίȣ πνεύματος χάριτι προσιόντες, ἀπαλλάττονται μὲν τȣ̃ προκαλύμματος, θεωρȣ̃σι δὲ τὴν δόξαν, ἧς Μωϋσῆς ἐνεπλήσθη. τȣ̃το γὰρ καὶ ὁ μακάριος λέγει
» Παῦλος· ἡμεῖς δὲ πάντες ἀνακεκαλυμ- 2. Κορ. 3. 18.
» μένῳ προσώπῳ τὴν δόξαν Χριστȣ̃ κατοπτρι-
» ζόμενοι, τὴν αὐτὴν δόξαν μεταμορφȣ́με-
» θα, ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ
» Κυρίȣ πατρός. ὥσπερ γὰρ τὰ διειδῆ κάτοπτρα τῶν εἰσορώντων τȣ̀ς τύπȣς ἐκματ-
H τεται, ȣ̈τως αἱ καθαραὶ καρδίαι τȣ̃ Θεȣ̃ τὴν

(1) Ἀντὶ τῶν ἑπομένων ταῦτα ἐν τῇ 341. σελ. τȣ̃ 1. μέρ. τȣ̃ 1. Τόμ. κεῖται. Ἀποφοιτῶντας δὲ ἤδη καὶ εἰς φυγὴν τραπομένȣς ἐπιστρέφει Μωσῆς, προσελάλει τε ȣ̈τω τοῖς υἱοῖς Ἰσραὴλ, προκαθιστὰς τȣ̃ προσώπȣ τὸ κάλυμμα, καὶ τȣ̃ θείȣ φωτὸς τὴν προσερχομένην ἀκτῖνα τοῖς κατασκιάσμασι μόλις φορητὴν τοῖς ὄχλοις ἀποτελῶν.

τὴν δόξαν εἰσδέχονται. διὸ δὴ καὶ [ὁ] Κύ- A
Ματθ. 5. 8. ριος ἔφη, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· » ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. καὶ ὥσπερ ὁ Ἰούδας τὸν διάβολον εἰσδεξάμενος, τὴν ἐκείνου πονηρίαν ἐνετύπωσεν ἑαυτῷ· οὕτως ὁ τῇ θείᾳ χάριτι προσιὼν, ταῖς ἐκεῖθεν φερομέναις μαρμαρυγαῖς καταυγάζεται. καὶ ὡς ὁ ἐν σκότει καθεζόμενος, σκοτοειδὴς γίνεται· ὁ δὲ ἐν ἡλίῳ, ἡλιοειδὴς καὶ φωτοειδής· οὕτως ὁ τῷ Θεῷ προσεδρεύων θεοειδεῖς δέχεται χαρακτῆρας.

⁎ ΚΥΡΙΛΛΟΥ. Ὁ μακάριος Παῦλός
2. Κορ. 3. 15. φησιν, ὅτι ἄχρι τῆς σήμερον ἡνίκα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν κεῖται.

⁎⁎ ΤΟΥ ΑΥΤΟΥ. Ἐτίθει ὁ Μωσῆς χρησίμως σφόδρα τὸ κάλυμμα. κατάσκιασμα γὰρ ὁ νόμος ἔχει τὸ παχὺ τοῦ γράμματος, καὶ τῆς ἱστορίας τὸ οὐ σφόδρα λαμπρόν.

ΤΟΥ ΑΥΤΟΥ. Μονονουχὶ βοῶν, ὅτι τῶν (1) δι' αὐτῶν θεσπισμάτων τὸ κάλλος κατίδοι τὶς ἂν, οὐκ ἔν γε τοῖς ἔξω τύποις, ἐν τοῖς (2) ἔσω κεκρυμμένοις θεωρήμασιν.

ΑΔΗΛΟΥ. Τὸ τοῦ Μωσέως κάλυμμα τὴν τοῦ νόμου παρίστησιν ἀσάφειαν. αἴτιον δὲ ἡ τῶν ἀκουόντων ἀσθένεια.

ΑΔΗΛΟΥ. Καθάπερ γάρ φησι Μωϋσῆς εἶχε κάλυμμα ὁ νομοθέτης, οὕτω καὶ ὁ νόμος εἶχε κάλυμμα τὴν ἀσάφειαν. ἀλλ' οὔτε τοῦ νομοθετοῦντος ἔγκλημα, οὔτε τοῦ νόμου κατηγορία τὸ κάλυμμα, ἀλλὰ τῆς ἀσθενείας τῶν ἀκουόντων. μετὰ γὰρ τὴν ἀνατολὴν τοῦ τῆς δικαιοσύνης ἡλίου, τῇ ἀπιστίᾳ, καὶ τῷ νέφει τοῦ τύπου καὶ τῆς ὑπερηφανείας ἐναπομείναντες, ποῖον φῶς, ἢ ποίαν ἐπιστροφὴν, ἢ ποίαν ἴασιν προσδοκήσουσι; φησὶ γὰρ περὶ αὐτῶν ὁ Ἀπόστολος, ἕως σήμερον κάλυμμα ἐπὶ τὴν καρ- 2. Κορ. 3. 15.
» δίαν αὐτῶν κεῖται· ὅπερ τυφλοὺς αὐτοὺς ἀπεργάζεται, τῇ μοχθηρᾷ προαιρέσει τυφλώττοντας.

λδ. Ἡνίκα δ' ἂν εἰσεπορεύετο Μωϋσῆς ἔναντι Κυρίου λαλεῖν αὐτῷ,
B περιῃρεῖτο τὸ κάλυμμα ἕως τοῦ ἐκπορεύεσθαι. καὶ ἐξελθὼν ἐλάλει πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ ὅσα ἐνετείλατο αὐτῷ Κύριος.

ΚΥΡΙΛΛΟΥ. Συνίες ὅπως ταῖς Ἰουδαίων διανοίαις ἀχώρητόν πως ἐστὶ καὶ αὐτὸ τὸ τοῦ νόμου φῶς. εἰ δὲ νοοῖτο πνευματικῶς, οὐδὲ ἰσχύσειαν, οὔτε ἀκοῇ δέξασθαι τοῦ μυστηρίου τὸ βάθος.

Γ ΤΟΥ ΑΥΤΟΥ. Περιῃρημένων τοιγαροῦν τῶν τοῦ νόμου κατασκιασμάτων, δόξαν
» Κυρίου κατοπτριζόμεθα, κατὰ τὸ γεγραμ- 2. Κορ. 3. 18.
μένον. κἂν ἀκούσωμεν ἐν τύπῳ σφαζόμενον τὸν ἀμνὸν, συνίεμεν εὐθὺς τὸ Χριστοῦ μυστήριον, καὶ ἐπιγινώσκομεν τὸν ἀμνόν. ὃς δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ἑαυτὸν ἀνέθηκεν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ πατρί.

λε. Καὶ εἶδον οἱ υἱοὶ Ἰσραὴλ τὸ
Δ πρόσωπον Μωϋσῆ, ὅτι δεδόξασται ἡ ὄψις τοῦ προσώπου. καὶ περιέθηκε Μωϋσῆς τὸ κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, ἕως ἂν εἰσέλθῃ συλλαλεῖν αὐτῷ.

ΚΕΦ. ΛΕ.

α. Καὶ συνήθροισε Μωϋσῆς πᾶ-
σαν συναγωγὴν υἱῶν Ἰσ-
ραὴλ, καὶ εἶπε πρὸς αὐ-
τοὺς, οὗτοι οἱ λόγοι, οὓς εἶπε Κύριος
β. ποιῆσαι αὐτούς. Ἓξ ἡμέρας ποιήσεις
ἔργα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ κατα-
παύσεις· ἅγιον σάββατον· ἀνάπαυ-
σις Κυρίῳ. πᾶς ὁ ποιῶν ἐν αὐτῇ ἔρ-
γ. γον, τελευτάτω. Οὐ καύσετε πῦρ
ἐν πάσῃ κατοικίᾳ ὑμῶν ἐν τῇ ἡμέρᾳ
τῶν σαββάτων. ἐγὼ Κύριος.
δ. Καὶ εἶπε Μωϋσῆς πρὸς πᾶσαν
τὴν συναγωγὴν υἱῶν Ἰσραὴλ, λέγων,
τοῦτο τὸ ῥῆμα, ὃ συνέταξε Κύριος,
ε. λέγων, Λάβετε παρ' ὑμῶν αὐτῶν
ἀφαίρεμα τῷ Κυρίῳ. πᾶς ὁ κατα-
δεχόμενος τῇ καρδίᾳ, οἴσουσι τὰς ἀ-
παρχὰς Κυρίῳ, χρυσίον, ἀργύριον,
ς. χαλκὸν, ὑάκινθον, πορφύραν, κόκ-
κινον διπλοῦν διανενησμένον, καὶ βύσσον
κεκλωσμένην, καὶ τρίχας αἰγείας.

ΚΥΡΙΛΛΟΥ. Τὰ κατὰ δύναμιν ἕκαστον συνεισφέρειν ἐγκελεύεται διὰ φιλανθρωπίας μέγεθος, δι' ἧς πάντας βούλεται σωθῆναι, καὶ μηδένα παντάπασιν ἄμοιρον εἶναι. ἀλλὰ τοὺς μὲν πλουσίους, τὰ ἐκ τοῦ πλούτου συγκομίζειν· τοὺς δὲ πένητας, καὶ
Z τρίχας αἰγείας ἐπιδιδόναι· τοὺς δὲ μηδὲν ἔχοντας, τὸν πόνον τοῦ σώματος μόνον καρποφορεῖν. εἰ δὲ σκηνὴν, τὴν ἐκκλησίαν τὶς ὑπολάβοι, νοητὰς ἀκολούθως καὶ τὰς ὕλας ὑποληψόμεθα, πίστιν ὀρθὴν, καὶ πολιτείαν. (3)

ζ. Καὶ δέρματα κριῶν ἠρυθροδανωμένα, καὶ δέρματα ὑακίνθινα, καὶ ξύλα ἄσηπτα, καὶ ἔλαιον τῆς χρίσεως,
H καὶ τὸ θυμίαμα τῆς συνθέσεως.

ΘΕΟΔΩ-

(1) Ἴσ. τὸ διὰ τῶν θεσπισμάτων κάλλος, ἢ τὸ δι' αὐτῶν τῶν θεσπισμάτων κάλλος. ἐν τοῖς ἐκδεδομ. δὲ τοῦτο οὐχ εὕρηται. (2) Ἀναγν. ἀλλ' ἐν τοῖς ἔσω. πρόδηλον γὰρ ὅτι παρωράθη ὁ ἀλλά.
(3) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πόθεν εἶχον τὰ ξύλα τὰ ἄσηπτα; Σανίδες ἦσαν δεκαπήχεις. εἰκὸς τοίνυν ταύτας ἐσχηκέναι τοὺς εὐπορωτέρους, ἐξ Αἰγύπτου μετενεγκόντας, ἡνίκα ἐκεῖθεν ἐξῆλθον. τοὺς δὲ πολυτιμήτους λίθους, καὶ τὸν χρυσὸν, καὶ τὸν ἄργυρον, καὶ τὸν χαλκὸν, παρ' Αἰγυπτίων λαβόντες ἀπῆραν. κατὰ γὰρ τὴν θείαν
Ἐξόδ. 3. 22. ἐντολὴν ᾔτησε γυνὴ παρὰ γείτονος καὶ
Ἐξόδ. 12. 36. συσκήνου αὐτῆς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ,
„ καὶ ἱματισμόν· καὶ ἐσκύλευσαν τοὺς Αἰγυπτίους. διὸ δὴ καὶ τὰ προσφερόμενα, ἀπαρχὰς προσηγόρευσεν ὁ τῶν ὅλων Θεὸς, ὡς ἀκροθίνια σκύλων.

θ. (1) Καὶ λίθους σαρδίους, καὶ
λίθους εἰς τὴν γλυφὴν, καὶ εἰς τὴν
ι. ἐπωμίδα, καὶ εἰς τὸν ποδήρη. Καὶ
πᾶς σοφὸς τῇ διανοίᾳ ἐν ὑμῖν, ἐλθὼν
ἐργαζέσθω καθὰ συνέταξε Κύριος.

ια. Τὴν σκηνὴν, καὶ τὰ παραρύματα, καὶ τὰ καλύμματα, καὶ τὰ διατόνια, καὶ τοὺς μοχλοὺς, καὶ τοὺς στύλους.

„ ΑΔΗΛΟΥ. Τὰ καλύμματα. οἱ λοιποὶ, τὴν σκέπην αὐτῶν. λέγει δὲ τὰς τριχίνας δέῤῥεις, καὶ τὰ δέρματα τὰ πυῤῥὰ, καὶ τὰ ὑακίνθινα.

ΑΔΗΛΟΥ. Τὰ ἐπάνω λέγει, τὰ ἐξ ὑακίνθου καὶ πορφύρας, σκέποντα τὴν σκηνήν.

ιβ. (2) Καὶ τὴν κιβωτὸν τοῦ μαρ-
τυρίου, καὶ τοὺς ἀναφορεῖς αὐτῆς, καὶ
τὸ ἱλαστήριον αὐτῆς, καὶ τὸ καταπέ-
τασμα, καὶ τὰ ἱστία τῆς αὐλῆς, καὶ
τοὺς στύλους αὐτῆς, καὶ τοὺς λίθους τοῦ
σμαράγδου, καὶ τὴν τράπεζαν, καὶ
πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸ ἔλαιον
τοῦ χρίσματος, καὶ τὸ θυμίαμα τῆς
συνθέσεως, καὶ τὸ ἐπίσπαστρον τῆς
θύρας τῆς σκηνῆς, καὶ τὸ θυσιαστή-
ριον, καὶ πάντα τὰ σκεύη αὐτοῦ, καὶ
τὰς στολὰς τὰς ἁγίας Ἀαρὼν τοῦ ἱε-
ιθ. ρέως, Καὶ τὰς στολὰς ἐν αἷς λειτουρ-
γοῦσιν ἐν αὐταῖς ἐν τῷ ἁγίῳ, καὶ τοὺς
χιτῶνας τοῖς υἱοῖς Ἀαρὼν τῆς ἱερα-
κ. τείας. Καὶ ἐξῆλθε πᾶσα ἡ συνα-
κα. γωγὴ υἱῶν Ἰσραὴλ ἀπὸ Μωϋσῆ. Καὶ
ἤνεγκαν ἕκαστος, ὧν ἔφερεν ἡ καρδία
αὐτῶν, καὶ οἷς ἔδοξε τῇ καρδίᾳ αὐ-
τῶν, ἤνεγκαν ἀφαίρεμα Κυρίῳ εἰς
πάντα τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρ-
τυρίου, καὶ εἰς πάντα τὰ κάτεργα
αὐτῆς, καὶ εἰς πάσας τὰς στολὰς
τοῦ ἁγίου.

κβ. Καὶ ἤνεγκαν οἱ ἄνδρες παρὰ τῶν γυναικῶν, πᾶς ᾧ ἔδοξε τῇ διανοίᾳ, ἤνεγκαν σφραγῖδας, καὶ δακτυλίους, καὶ ἐνώτια, καὶ ἐμπλόκια, καὶ περιδέξια, καὶ πᾶν σκεῦος χρυσοῦν.

ΑΔΗΛΟΥ. Σφραγῖδας λέγει τὰ ἐγγεγλυμμένα δακτυλίδια, δακτυλίους δὲ τὰ ἐλατά.

κγ. Καὶ πάντες ὅσοι ἤνεγκαν ἀ-
φαίρεμα χρυσίου Κυρίῳ, καὶ πᾶς ᾧ
εὑρέθη βύσσος παρ' αὐτῷ· καὶ δέρ-
ματα κριῶν ἠρυθροδανωμένα ἤνεγκαν,
κδ. καὶ δέρματα ὑακίνθινα. Καὶ πᾶς ὁ
ἀφαιρῶν ἀφαίρεμα, ἀργύριον καὶ
χαλκὸν ἤνεγκαν, τὰ ἀφαιρέματα
τῷ Κυρίῳ· καὶ παρ' οἷς εὑρέθη παρ'
αὐτοῖς ξύλα ἄσηπτα, εἰς πάντα τὰ
κε. ἔργα τῆς κατασκευῆς ἤνεγκαν. Καὶ
πᾶσα γυνὴ σοφὴ τῇ διανοίᾳ ταῖς χερ-
σὶ νήθειν, ἤνεγκαν νενησμένα, τὴν
ὑάκινθον, καὶ τὴν πορφύραν, καὶ τὸ
κϛ. κόκκινον, καὶ τὴν βύσσον. Καὶ πᾶσαι
αἱ γυναῖκες, αἷς ἔδοξε τῇ διανοίᾳ αὐ-
τῶν ἐν σοφίᾳ, ἔνησαν τὰς τρίχας τὰς
αἰγείας.

κζ. Καὶ οἱ ἄρχοντες ἤνεγκαν τοὺς
λίθους τῆς σμαράγδου, καὶ τοὺς λίθους
τῆς πληρώσεως εἰς τὴν ἐπωμίδα, καὶ
κη. εἰς τὸ λόγιον, Καὶ τὰς συνθέσεις,
καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ τὸ
θυμίαμα τῆς συνθέσεως. (3)

* ΚΥΡΙΛΛΟΥ. Προσάγουσι γὰρ ἑαυτοὺς εἰς κόσμον Χριστῷ, καθάπερ τινὰς λίθους τιμίους, οἱ λαῶν ἡγούμενοι. τοιγάρτοι καὶ ὁ Προφήτης τοὺς ἁγίους ἡμῖν Ἀποστόλους καταδηλῶν, ὅτι λίθοι, φησὶν, ἅγιοι
„ κυλίονται ἐπὶ τῆς γῆς. Ζαχ. 9. 16.
„ εἶεν δ' ἂν οὗτοι καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ ἡ σύνθεσις τοῦ

(1) Τὸ 8: ἐδ. οὐδεμία τῶν ὅσαις ἐτύχομεν τῆς γραφ. ἐκδόσ. ἔχει. ἡ ἐν Φραγκοφούρτ δὲ τὸ 9, ἐπιγράφει 8. τὰ δὲ δύω ἑξῆς, 9 καὶ 10. τὸ δὲ 11., ἄρχεται ἐκ τοῦ, καὶ τὴν κιβωτόν.

(2) Ἀντὶ τοῦ ἐδαφ. τούτου τὰ ἑξῆς ἑπτὰ ἔχει ἡ ἐν Κομπλουτ. ἔκδοσ. ιβ. Τὴν κιβωτὸν καὶ τοὺς ἀναφορεῖς αὐτῆς καὶ τὸ ἱλαστήριον καὶ τὸ καταπέτασμα. ιγ. Καὶ τὴν τράπεζαν, καὶ τοὺς ἀναφορεῖς αὐτῆς, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τοὺς ἄρτους τῆς προθέσεως. ιδ. Καὶ τὴν λυχνίαν τοῦ φωτὸς, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τοὺς λύχνους αὐτῆς, καὶ τὸ ἔλαιον τοῦ φωτός. ιε. Καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος, καὶ τοὺς ἀναφορεῖς αὐτοῦ, καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ θυμίαμα τῆς συνθέσεως, καὶ τὸ ἐπίσπαστρον τῆς θύρας τῆς σκηνῆς. ιϛ. Καὶ τὸ θυσιαστήριον τοῦ ὁλοκαυτώματος, καὶ τὴν ἐσχάραν αὐτοῦ τὴν χαλκῆν, καὶ τοὺς ἀναφορεῖς αὐτοῦ, καὶ πάντα τὰ σκεύη αὐτοῦ, καὶ τὸν λουτῆρα, καὶ τὴν βάσιν αὐτοῦ. ιζ. Καὶ τὰ ἱστία τῆς αὐλῆς, καὶ τοὺς στύλους αὐτῆς, καὶ τὰς βάσεις αὐτῆς, καὶ τὸ ἐπίσπαστρον τῆς θύρας τῆς αὐλῆς. ιη. Καὶ τοὺς πασσάλους τῆς σκηνῆς, καὶ τοὺς πασσάλους τῆς αὐλῆς, καὶ τὰ σχοινία αὐτῶν, καὶ τὰς στολὰς τὰς ἁγίας Ἀαρὼν τοῦ ἱερέως.

(3) Καὶ τὴν σύνθεσιν τοῦ θυμιάματος. ἥτε ἐν Φρανεκ. ἔδοσ. καὶ ἡ ἐν Κανταβρ. οὕτω δ' ἀναγινώσκει καὶ ὁ ἐν Ἁγίοις Κύριλ.

τοῦ θυμιάματος. τὴν Χριστοῦ γνῶσιν εὐωδιάζοντες, καὶ ὥσπερ ἐλαίῳ καταπιαίνοντες ταῖς πανσόφοις αὐτῶν διδασκαλίαις τὰς τῶν μυσταγωγουμένων ψυχάς.

κθ. Καὶ πᾶς ἀνὴρ καὶ γυνή, ὧν ἔφερεν ἡ διάνοια αὐτῶν εἰσελθόντας ποιεῖν τὰ ἔργα, ὅσα συνέταξε Κύριος ποιῆσαι αὐτὰ διὰ Μωϋσῆ, ἤνεγκαν οἱ υἱοὶ Ἰσραὴλ ἀφαίρεμα Κυρίῳ.

λ. Καὶ εἶπε Μωϋσῆς τοῖς υἱοῖς Ἰσραήλ, ἰδοὺ ἀνακέκληκε Κύριος (1) τὸν Βεσελεὴλ τὸν τοῦ Οὐρίου υἱοῦ Ὢρ,
λα. ἐκ τῆς φυλῆς Ἰούδα, Καὶ ἐνέπλησεν αὐτὸν πνεῦμα θεῖον σοφίας καὶ συνέ-
λβ. σεως καὶ ἐπιστήμης πάντων, Ἀρχιτεκτονεῖν κατὰ πάντα τὰ ἔργα τῆς ἀρχιτεκτονίας, ποιεῖν τὸ χρυσίον καὶ
λγ. τὸ ἀργύριον καὶ τὸν χαλκόν, Καὶ λιθουργῆσαι τὸν λίθον, καὶ κατεργά-
A σασθαι τὰ ξυλικά, καὶ ποιεῖν ἐν παντὶ ἔργῳ σοφίας.

ΘΕΟΔΩΡΙΤΟΥ. Ποίου χαρίσματος οἱ περὶ τὸν Βεσελεὴλ ἔτυχον; Σοφίας ἀρχιτεκτονικῆς. ἔστι γὰρ καὶ σοφία ὑφαντική, καὶ σοφία ἰατρική, καὶ σοφία γεωργική. ἕκαστον δὲ τούτων δῶρον Θεοῦ τοῖς ἀνθρώποις δεδωρημένον.

B ΑΔΗΛΟΥ. Διὰ τοῦτο καὶ τῷ μὴ ἀνατιθέντι τὴν αἰτίαν τῆς συνέσεως καὶ τῆς ἐπιστήμης τῷ Θεῷ.

λδ. Καὶ προβιβάσαι γε ἔδωκεν ἐν τῇ διανοίᾳ αὐτῷ τε καὶ Ἐλιὰβ τῷ τοῦ
λε. Ἀχισαμάχ, ἐκ τῆς φυλῆς Δάν. Καὶ ἐνέπλησεν αὐτοὺς σοφίας, καὶ συνέσεως, [καὶ] διανοίας, συνιέναι ποιῆσαι πάντα τὰ ἔργα τοῦ ἁγίου, τὰ ὑφαντὰ καὶ τὰ ποικιλτὰ ὑφᾶναι τῷ κοκκίνῳ,
Γ καὶ τῇ βύσσῳ, ποιεῖν πᾶν ἔργον ἀρχιτεκτονίας, ποικιλίας. (2)

ΚΕΦ. Λϛ.

α. Καὶ ἐποίησε Βεσελεὴλ, καὶ Ἐλιὰβ, καὶ πᾶς σοφὸς τῇ διανοίᾳ, ᾧ ἐδόθη ἐπιστήμη σοφίας καὶ συνέσεως ἐν αὐτοῖς, συνιέναι ποιεῖν πάντα τὰ ἔργα, κατὰ τὰ ἅγια καθήκοντα, κατὰ πάντα,
β. ὅσα συνέταξε Κύριος. Καὶ ἐκάλεσε Μωϋσῆς τὸν Βεσελεὴλ καὶ Ἐλιὰβ, καὶ πάντας τοὺς ἔχοντας τὴν σύνεσιν, ᾧ ἔδωκεν ὁ Θεὸς ἐπιστήμην ἐν τῇ καρδίᾳ, καὶ πάντας τοὺς ἑκουσίως βουλομένους προσπορεύεσθαι πρὸς τὰ ἔργα, ὥστε
γ. συντελεῖν αὐτά. Καὶ ἔλαβον παρὰ Μωϋσῆ πάντα τὰ ἀφαιρέματα, ἃ ἤνεγκαν οἱ υἱοὶ Ἰσραὴλ εἰς πάντα τὰ ἔργα τοῦ ἁγίου ποιεῖν αὐτά. καὶ αὐτοὶ προσεδέχοντο ἔτι τὰ προσφερόμενα παρὰ τῶν φερόντων τὸ πρωῒ πρωΐ.
δ. Καὶ παραγενόμενοι πάντες οἱ σοφοὶ οἱ ποιοῦντες τὰ ἔργα τοῦ ἁγίου, ἕκαστος κατὰ τὸ αὐτοῦ ἔργον, ὃ αὐτοὶ εἰργά-
ε. ζοντο. Καὶ εἶπαν πρὸς Μωϋσῆν, ὅτι πλῆθος φέρει ὁ λαὸς παρὰ τὰ ἔργα
ϛ. ὅσα συνέταξε Κύριος ποιῆσαι. Καὶ προσέταξε Μωϋσῆς, καὶ ἐκήρυξεν ἐν τῇ παρεμβολῇ, λέγων, ἀνὴρ καὶ γυνὴ μηκέτι ἐργαζέσθωσαν εἰς τὰς ἀπαρχὰς τοῦ ἁγίου. καὶ ἐκωλύθη ὁ λαὸς
ζ. ἔτι προσφέρειν. Καὶ τὰ ἔργα ἱκανὰ ἦν αὐτοῖς εἰς τὴν κατασκευὴν ποιῆ-
η. σαι, καὶ προσκατέλιπον. Καὶ ἐποίησε πᾶς σοφὸς ἐν τοῖς ἐργαζομένοις

τὰς στολὰς τῶν ἁγίων, αἵ εἰσιν Ἀαρὼν τῷ ἱερεῖ, καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ. καὶ ἐποίησαν τὴν ἐπωμί-
Δ δα ἐκ χρυσίου, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου νενησμένου· καὶ βύσσου κεκλωσμένης. καὶ ἐτμήθη τὰ πέταλα τοῦ χρυσίου τρίχες, ὥστε συνυφᾶναι σὺν τῇ ὑακίνθῳ, καὶ τῇ πορφύρᾳ, καὶ σὺν τῷ κοκκίνῳ τῷ διανενησμένῳ, καὶ σὺν τῇ βύσσῳ τῇ κεκλωσμένῃ· ἔργον ὑφαντὸν ἐποίησαν αὐτό· ἐπωμίδας συνεχούσας ἐξ ἀμ-
E φοτέρων τῶν μερῶν αὐτοῦ, ἔργον ὑφαντόν, εἰς ἄλληλα συμπεπλεγμένα καθ᾽ ἑαυτά· ἐξ αὐτοῦ ἐποίησαν κατὰ τὴν ἑαυτοῦ ποίησιν ἐκ χρυσίου, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου διανενησμένου, καὶ βύσσου κεκλωσμένης, καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ. καὶ ἐποίησεν ἀμφοτέρους τοὺς λίθους τῆς σμαράγδου συνεσφιγμένους,
Z καὶ περισεσιαλωμένους χρυσίῳ, γεγλυμμένους ἐκκόλαμμα σφραγῖδος ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραήλ. καὶ ἐπέθηκεν αὐτοὺς ἐπὶ τοὺς ὤμους τῆς ἐπωμίδος, λίθους μνημοσύνου τοῖς υἱοῖς Ἰσραήλ, καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ. καὶ ἐποίησαν λόγιον ἔργον ὑφαντὸν ποικιλίᾳ, κατὰ τὸ ἔργον τῆς
H ἐπωμίδος, ἐκ χρυσίου, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου διανενησμένου, καὶ βύσσου κεκλωσμένης. τετράγωνον

(1) Ἀνακέκληκεν ὁ Θεὸς ἐξ ὀνόματος τὸν Βεσ. ἐν ταῖς εἰρημ. ἐκδόσ.
(2) Τὸ δὲ μὲν τὸ κεφ. καὶ τὰ τρία ἑπόμενα ἐν τῷ κώδ. οὐκ εἰσι· τὸ δὲ 40. ἐν αὐτῷ, 37.

τράγωνον διπλοῦν ἐποίησαν τὸ λόγιον· σπιθαμῆς τὸ μῆκος αὐτοῦ, καὶ σπιθαμῆς τὸ εὖρος αὐτοῦ διπλοῦν. καὶ συνυφάνθη ἐν αὐτῷ ὕφασμα κατάλιθον τετράστιχον. στίχος λίθων, σάρδιον τοπάζιον καὶ σμάραγδος, ὁ στίχος ὁ εἷς· καὶ ὁ στίχος ὁ δεύτερος, ἄνθραξ καὶ σάπφειρος καὶ ἴασπις· καὶ ὁ στίχος ὁ τρίτος, λιγύριον καὶ ἀχάτης καὶ ἀμέθυστος· καὶ ὁ στίχος ὁ τέταρτος, χρυσόλιθος καὶ βηρύλλιον καὶ ὀνύχιον περικεκλωσμένα χρυσίῳ, καὶ συνδεδεμένα χρυσίῳ. καὶ οἱ λίθοι ἦσαν ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραὴλ δώδεκα, κατὰ τὰ ὀνόματα αὐτῶν ἐγγεγλυμμέναι σφραγῖδες, ἕκαστος ἐκ τοῦ ἑαυτοῦ ὀνόματος εἰς τὰς δώδεκα φυλάς. καὶ ἐποίησαν ἐπὶ τὸ λόγιον κρωσσοὺς συμπεπλεγμένους, ἔργον ἐμπλοκίου, ἐκ χρυσίου καθαροῦ. καὶ ἐποίησαν δύο ἀσπιδίσκας χρυσᾶς, καὶ δύο δακτυλίους χρυσοῦς· καὶ ἐπέθηκαν τοὺς δύο δακτυλίους τοὺς χρυσοῦς ἐπ' ἀμφοτέρας τὰς ἀρχὰς τοῦ λογίου. καὶ ἐπέθηκαν τὸ ἐμπλόκιον ἐκ χρυσίου ἐπὶ τοὺς δύο δακτυλίους ἐξ ἀμφοτέρων τῶν μερῶν τοῦ λογίου· καὶ εἰς τὰς δύο συμβολὰς τὰ δύο ἐμπλόκια· καὶ ἐπέθηκαν ἐπὶ τὰς δύο ἀσπιδίσκας· καὶ ἐπέθηκαν ἐπὶ τοὺς ὤμους τῆς ἐπωμίδος ἐξ ἐναντίας κατὰ πρόσωπον αὐτοῦ. καὶ ἐποίησαν δύο δακτυλίους χρυσοῦς, καὶ ἐπέθηκαν ἐπὶ τὰ δύο πτερύγια ἀπ' ἄκρου τοῦ λογίου, καὶ ἐπὶ τὸ ἄκρον τοῦ ὀπισθίου τῆς ἐπωμίδος ἔσωθεν. καὶ ἐποίησαν δύο δακτυλίους χρυσοῦς, καὶ ἐπέθηκαν ἐπ' ἀμφοτέρους τοὺς ὤμους τῆς ἐπωμίδος κάτωθεν αὐτοῦ, κατὰ τὸ πρόσωπον κατὰ τὴν συμβολὴν ἄνωθεν τῆς συνυφῆς τῆς ἐπωμίδος. καὶ συνέσφιγξε τὸ λόγιον ἀπὸ τῶν δακτυλίων τῶν ἐπ' αὐτοῦ εἰς τοὺς δακτυλίους τῆς ἐπωμίδος, συνεχομένους ἐκ τῆς ὑακίνθου, συμπλεκο-


A μένους εἰς τὸ ὕφασμα τῆς ἐπωμίδος, ἵνα μὴ χαλᾶται τὸ λόγιον ἀπὸ τῆς ἐπωμίδος, καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ. καὶ ἐποίησαν τὸν ὑποδύτην ὑπὸ τὴν ἐπωμίδα, ἔργον ὑφαντὸν, ὅλον ὑακίνθινον.

Τὸ δὲ περιστόμιον τοῦ ὑποδύτου ἐν τῷ μέσῳ διϋφασμένον συμπλεκτὸν, B ὤαν ἔχον κύκλῳ τὸ περιστόμιον ἀδιάλυτον. (1)

ΑΔΗΛΟΥ. Μᾶλλον διάλυτον λέγει τὸ χαῦνον, καὶ μὴ συνεσφιγμένον· ὁ γὰρ χιτὼν ὁ κοσυμβωτὸς ὅλος δετὸς ἦν· ἢ διάλυτον λέγει τὸ κεχωρισμένον· ἵνα μὴ ἀμφότερα τὰ μέρη τοῦ τραχήλου συνυφασμένα ᾖ, ἀλλ' ἀπολελυμένα ἀλλήλων, εἰς τὸ δύνασθαι ἐνδυθῆναί τινα, καὶ δίχα τοῦ κόψαι τὸν τράχηλον.

Γ Καὶ ἐποίησαν ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κάτωθεν ὡς ἐξανθούσης ῥόας ῥοΐσκους, ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου νενησμένου, καὶ βύσσου κεκλωσμένης. καὶ ἐποίησαν κώδωνας χρυσοῦς, καὶ ὑπέθηκαν τοὺς κώδωνας ἐπὶ τὸ λῶμα τοῦ ὑποδύτου κύκλῳ ἀνὰ μέσον τῶν ῥοΐσκων· κώδων χρυσοῦς καὶ ῥοΐσκος ἐπὶ τοῦ λώματος τοῦ ὑπο- Δ δύτου κύκλῳ, εἰς τὸ λειτουργεῖν, καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ. καὶ ἐποίησαν χιτῶνας βυσσίνους, ἔργον ὑφαντὸν, Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ τὰς κιδάρεις ἐκ βύσσου, καὶ τὴν μίτραν ἐκ βύσσου, καὶ τὰ περισκελῆ ἐκ βύσσου κεκλωσμένης, καὶ τὰς ζώνας αὐτῶν ἐκ βύσσου, καὶ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου νενησμένου, E ἔργον ποικιλτοῦ, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσῇ. καὶ ἐποίησαν τὸ πέταλον τὸ χρυσοῦν, ἀφόρισμα τοῦ ἁγίου, χρυσίου καθαροῦ. καὶ ἔγραψεν ἐπ' αὐτοῦ γράμματα ἐκτετυπωμένα σφραγῖδος, Ἁγίασμα Κυρίῳ. καὶ ἐπέθηκαν ἐπ' αὐτῷ λῶμα τὸ ὑακίνθινον, ὥστε ἐπικεῖσθαι ἐπὶ τὴν μίτραν ἄνωθεν, Z ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσῇ.

ΚΕΦ. ΛΖ.



Καὶ ἐποίησαν τῇ σκηνῇ δέκα αὐλαίας· ὀκτὼ καὶ εἴκοσι πήχεων [μῆκος] τῆς αὐλαίας τῆς μιᾶς· τὸ αὐτὸ ἦσαν πᾶσαι· καὶ τεσσάρων πήχεων τὸ εὖρος τῆς αὐλαίας τῆς μιᾶς· καὶ ἐποίησαν τὸ καταπέτασμα ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου νενησμένου, καὶ βύσσου κεκλωσμένης, ἔργον ὑφαντὸν Χερουβίμ· καὶ ἐπέθηκαν αὐτὸ ἐπὶ τέσσαρας στύλους ἀσήπτους κατακεχρυσωμένους χρυσίῳ· καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ αἱ βάσεις αὐτῶν τέσσα- H ρες, ἀργυραῖ. καὶ ἐποίησαν τὸ καταπέτασμα τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου ἐξ ὑακίνθου, καὶ πορφύρας,

(1) Διάλυτον. ὁ Ἀλεξανδρινὸς κώδ. παρὰ ταῖς σημειώσ. ταῖς ἐν τῇ Γραφῇ τῇ ἐν Φρανεκ. ἐκδοθ.

καὶ κοκκίνου διανενησμένου, καὶ βύσσου κεκλωσμένης, ἔργον ὑφαντὸν Χερουβίμ. καὶ τοὺς στύλους αὐτῶν πέντε, καὶ τοὺς κρίκους αὐτῶν· καὶ τὰς κεφαλὰς αὐτῶν, καὶ τὰς ψαλίδας αὐτῶν κατεχρύσωσαν χρυσίῳ, καὶ τὰς βάσεις αὐτῶν πέντε χαλκᾶς. καὶ ἐποίησαν τὴν αὐλὴν τὰ πρὸς νότον, ἱστία τῆς αὐλῆς ἐκ βύσσου κεκλωσμένης ἑκατὸν ἐφ' ἑκατόν. καὶ οἱ στύλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ. καὶ τὸ κλίτος τὸ πρὸς βοῤῥᾶν, ἑκατὸν ἐφ' ἑκατόν· καὶ οἱ στύλοι αὐτῶν εἴκοσι, [καὶ αἱ βάσεις αὐτῶν εἴκοσι.] καὶ τὸ κλίτος τὸ κατὰ θάλασσαν αὐλαῖαι πεντήκοντα πήχεων· στύλοι αὐτῶν δέκα, καὶ βάσεις αὐτῶν δέκα. καὶ τὸ κλίτος τὸ πρὸς ἀνατολὰς πεντήκοντα πήχεων ἱστία, πέντε καὶ δέκα πήχεων τὸ κατὰ νότου· καὶ οἱ στύλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς. καὶ ἐπὶ τοῦ νότου τοῦ δευτέρου ἔνθεν καὶ ἔνθεν κατὰ τὴν πύλην τῆς αὐλῆς, αὐλαῖαι πεντεκαίδεκα πήχεων· καὶ οἱ στύλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς. πᾶσαι αἱ αὐλαῖαι τῆς αὐλῆς ἐκ βύσσου κεκλωσμένης· καὶ αἱ βάσεις τῶν στύλων αὐτῶν

A χαλκαῖ, καὶ αἱ ἀγκύλαι αὐτῶν ἀργυραῖ, καὶ αἱ κεφαλίδες αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ, καὶ οἱ στύλοι περιηργυρωμένοι ἀργυρίῳ πάντες οἱ στύλοι τῆς αὐλῆς. [καὶ τὸ καταπέτασμα τῆς πύλης τῆς αὐλῆς.] ἔργον ποικιλτοῦ ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου νενησμένου, καὶ βύσσου κεκλωσμένης εἴκοσι πήχεων τὸ μῆκος, καὶ τὸ ὕψος

B καὶ τὸ εὖρος πέντε πήχεων, ἐξισούμενον τοῖς ἱστίοις τῆς αὐλῆς· καὶ οἱ στύλοι αὐτῶν τέσσαρες, καὶ αἱ βάσεις αὐτῶν τέσσαρες χαλκαῖ, καὶ αἱ ἀγκύλαι αὐτῶν ἀργυραῖ, καὶ αἱ κεφαλίδες αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ, καὶ αὐτοὶ περιηργυρωμένοι ἀργυρίῳ. καὶ πάντες οἱ πάσσαλοι τῆς αὐλῆς κύκλῳ

Γ χαλκοῖ. καὶ αὕτη ἡ σύνταξις τῆς σκηνῆς τοῦ μαρτυρίου, καθὰ συνετάγη τῷ Μωϋσῇ, τὴν λειτουργίαν εἶναι τῶν λευϊτῶν διὰ Ἰθάμαρ τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως. καὶ Βεσελεὴλ ὁ τοῦ Οὐρὶ υἱοῦ Ὢρ, ἐκ τῆς φυλῆς Ἰούδα, ἐποίησαν καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ. καὶ Ἐλιὰβ ὁ τοῦ Ἀχισαμὰχ, ἐκ φυλῆς Δὰν, ὃς ἠρχιτεκτόνησε τὰ ὑφαντὰ,

Δ καὶ ῥαφιδευτὰ, καὶ ποικιλτὰ, ὑφᾶναι τῷ κοκκίνῳ, καὶ τῇ βύσσῳ.

ΚΕΦ. ΛΗ.



Καὶ ἐποίησε Βεσελεὴλ τὴν κιβωτὸν, καὶ κατεχρύσωσεν αὐτὴν χρυσίῳ καθαρῷ ἔσωθεν καὶ ἔξωθεν.

Κιβωτόν. Ἀκύλας, γλωσσόκομον.

Καὶ ἐποίησεν αὐτῇ κυμάτιον χρυσοῦν κύκλῳ.

Κυμάτιον. Ἄλλος, χεῖλωμα. Σαμαρειτικὸν, στέφανον.

Καὶ ἐχώνευσεν αὐτῇ τέσσαρας δακτυλίους χρυσοῦς ἐπὶ τὰ τέσσαρα μέρη αὐτῆς· δύο ἐπὶ τὸ κλίτος τὸ ἓν, καὶ δύο ἐπὶ τὸ κλίτος τὸ δεύτερον, εὐρεῖς τοῖς διωστῆρσιν, ὥστε αἴρειν αὐτὴν ἐν αὐτοῖς.

ΑΔΗΛΟΥ. Δακτυλίους καλεῖ τετράγωνα εἴδη, τὰ βαλλόμενα εἰς τὰς ὀπὰς τῶν ἀναφορέων. οὓς καὶ νῦν ἐν τοῖς ξύλοις τοῖς βαστάζουσι τὰ λεκτίκια βάλλουσι. ταῦτα καὶ διωστῆρες καλοῦνται. οἱ δὲ ἰδιῶται, κλάδους καλοῦσιν αὐτά.

Τὸ κλίτος. Ἀκύλας, μέρος.

Καὶ ἐποίησε τὸ ἱλαστήριον ἄνωθεν τῆς κιβωτοῦ ἐκ χρυσίου καθαροῦ· καὶ ἐποίησε δύο Χερουβὶμ χρυσοῦς· Χερουβὶμ ἕνα ἐπὶ τὸ ἄκρον τοῦ ἱλαστηρίου τὸ

ἓν, καὶ Χερουβὶμ ἕνα ἐπὶ τὸ ἄκρον τὸ δεύτερον τοῦ ἱλαστηρίου, σκιάζοντας ταῖς πτέρυξιν αὐτῶν ἐπὶ τὸ ἱλαστήριον.

Ε Ἱλαστήριον. Ἄλλος, θυσιαστήριον.

Καὶ ἐποίησε τὴν τράπεζαν τὴν προκειμένην ἐκ χρυσίου καθαροῦ, καὶ ἐχώνευσεν αὐτῇ τέσσαρας δακτυλίους χρυσοῦς, δύο ἐπὶ τοῦ κλίτους τοῦ ἑνὸς, καὶ δύο ἐπὶ τοῦ κλίτους τοῦ δευτέρου, εὐρεῖς, ὥστε αἴρειν τοῖς διωστῆρσιν ἐν αὐτοῖς. καὶ τοὺς διωστῆρας τῆς κιβωτοῦ καὶ τῆς τραπέζης ἐποίησε, καὶ κατεχρύσωσεν αὐτοὺς

Ζ χρυσίῳ.

Καὶ ἐποίησε τὰ σκεύη τῆς τραπέζης, τά τε τρυβλία, καὶ τὰς θυΐσκας, καὶ τοὺς κυάθους, καὶ τὰ σπονδεῖα, ἐν οἷς σπείσει ἐν αὐτοῖς, χρυσᾶ.

ΑΔΗΛΟΥ. Τρυβλία; μυακοειδῆ σκεύη, δι' ὧν ἀνέφερον τὰ ἐν τῇ τραπέζῃ· δι' ὧν ἴσωτλουν τὸν οἶνον· σπονδεῖα, μικρὰ ἔχοντα πυθμένια.

Η Καὶ ἐποίησε τὴν λυχνίαν, ἣ φωτίζει, χρυσῆν, στερεὰν τὸν καυλὸν, καὶ τοὺς καλαμίσκους ἐξ ἀμφοτέρων τῶν μερῶν αὐτῆς.

ΑΔΗΛΟΥ.

A ΑΔΗΛΟΥ. Ὅτι πολυτρόποις χαρίσμασι τὸ θεῖον καταφωτίζει τοὺς πιστούς.

Ἐκ τῶν καλαμίσκων αὐτῆς οἱ βλαστοὶ ἐξέχοντες· τρεῖς ἐκ τούτου, καὶ τρεῖς ἐκ τούτου, ἐξισούμενοι ἀλλήλοις· καὶ τὰ λαμπάδια αὐτῶν, ἅ ἐστιν ἐπὶ τῶν ἄκρων αὐτῶν, καρυωτὰ ἐξ αὐτῶν. καὶ τὰ ἀνθέμια ἐξ αὐτῶν, ἵνα ὦσιν οἱ λύχνοι ἐπ' αὐτῶν. καὶ τὸ ἀνθέμιον τὸ ἕβδομον, τὸ ἐπ' ἄκρων τοῦ λαμπαδίου, ἐπὶ τῆς κορυφῆς ἄνωθεν, στερεὸν ὅλον χρυσοῦν. καὶ ἑπτὰ λύχνους αὐτῆς ἐπ' αὐτῆς χρυσοῦς, καὶ τὰς λαβίδας αὐτῆς χρυσᾶς, καὶ τὰς ἐπαρυστρίδας αὐτῆς χρυσᾶς. οὗτος περιηργύρωσε τοὺς στύλους, καὶ ἐχώνευσε τοῖς στύλοις δακτυλίους χρυσοῦς, καὶ ἐχρύσωσε τοὺς μοχλοὺς χρυσίῳ· καὶ κατεχρύσωσε τοὺς στύλους τοῦ καταπετάσματος χρυσίῳ· καὶ ἐποίησε τὰς ἀγκύλας χρυσᾶς. οὗτος ἐποίησε τοὺς κρίκους τῆς σκηνῆς χρυσοῦς, καὶ τοὺς κρίκους τῆς αὐλῆς, καὶ κρίκους εἰς τὸ ἐκτείνειν ἄνωθεν τὸ κατακάλυμμα χαλκοῦς. οὗτος ἐχώνευσε τὰς κεφαλίδας τὰς ἀργυρᾶς, καὶ τὰς κεφαλίδας τὰς χαλκᾶς τῇ θύρᾳ τῆς σκηνῆς, καὶ τῇ πύλῃ τῆς αὐλῆς. καὶ ἀγκύλας ἐποίησεν ἀργυρᾶς ἐπὶ τῶν στύλων. οὗτος περιηργύρωσεν αὐτούς. οὗτος ἐποίησε τοὺς πασσάλους τῆς σκηνῆς, καὶ τοὺς πασσάλους τῆς αὐλῆς χαλκοῦς.

Οὗτος ἐποίησε τὸ θυσιαστήριον τὸ χαλκοῦν ἐκ τῶν πυρείων τῶν χαλκῶν, ἃ ἦν τοῖς ἀνδράσι τοῖς καταστασιάσασι μετὰ τῆς Κορὲ συναγωγῆς.

ΑΔΗΛΟΥ. Σημείωσαι, ὅτι πρὸ τῆς κατασκευῆς τοῦ θυσιαστηρίου προεγεγόνει ἡ κατὰ Μωσέως ἐπανάστασις τοῦ Κορέ. ὅμως φησὶν ἐν τοῖς Ἀριθμοῖς, ὅτι ἡ σκηνὴ τῷ δευτέρῳ ἔτει τῆς ἐξόδου, ἐν τῷ πρώτῳ μηνὶ ἐστίν. Ἀριθ. 1. 1.

Οὗτος ἐποίησε πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου, τὴν βάσιν αὐτοῦ, καὶ τὸ πυρεῖον, καὶ τὰς φιάλας, καὶ τὰς κρεάγρας τὰς χαλκᾶς. οὗτος ἐποίησε τῷ θυσιαστηρίῳ περίθεμα, ἔργον δικτυωτὸν κάτωθεν τοῦ πυρείου ὑπ' αὐτὸ ἕως τοῦ ἡμίσους αὐτοῦ· καὶ ἐπέθηκεν αὐτῷ τέσσαρας δακτυλίους ἐκ τῶν τεσσάρων μερῶν τοῦ παραθέματος τοῦ θυσιαστηρίου χαλκοῦς, εὐρεῖς τοῖς μοχλοῖς, ὥστε αἴρειν τὸ θυσιαστήριον ἐν αὐτοῖς. οὗτος ἐποίησε τὸ ἔλαιον τοῦ χρίσματος τὸ ἅγιον, καὶ τὴν σύνθεσιν τοῦ θυμιάματος καθαρὸν ἔργον μυρεψοῦ.

Οὗτος ἐποίησε τὸν λουτῆρα τὸν χρυσοῦν, (1) καὶ τὴν βάσιν αὐτοῦ χαλκῆν ἐκ τῶν κατόπτρων τῶν νηστευσασῶν, αἳ ἐνήστευσαν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐν ᾗ ἡμέρᾳ ἔπηξεν αὐτήν.

** ΚΥΡΙΛΛΟΥ. Πολλὰ τῶν γεγενημένων σαφῆ μὲν οὐκ ἔχει παρὰ τῇ θείᾳ Γραφῇ τὴν ἀφήγησιν· σημαίνεται δέ πως ἐκ παραδρομῆς, καθάπερ ἀμέλει καὶ τόδε
B τὸ ἐν χερσί. ποῦ γάρ, ἤ τινες νενηστεύκασι, τῆς ἁγίας ἐγηγερμένης σκηνῆς, οὐ λελάληκεν ὁ Μωσῆς. ὅτι δὲ γέγονεν, οὐκ ἐνδοιάσαι τὶς ἄν. εἴρηται γάρ, εἰ καὶ μὴ σαφῶς.

ΤΟΥ ΑΥΤΟΥ. [Λελατρεύκασιν εἰδώλοις οἱ ἐξ Ἰσραήλ, τὴν ὑπὸ τοῖς Αἰγυπτίοις ἀνατλάντες θητείαν, καὶ τοῖς ἐκείνων διαβιοῦντες νόμοις, μακροὺς διατετελέκασι χρόνους.] Ἔθος [τοίνυν] Αἰγυπτίοις μάλιστα γυναιξὶν εἰσφοιτᾶν ἱεροῖς, λινῇ μὲν
Γ ἐσθῆτι περιεσταλμένας, κατόπτρῳ δὲ τὴν ἀριστερὰν, καὶ σείστρῳ τὴν δεξιὰν ἱεροπρεπῶς ἐσκευασμένας. [αἳ ὅτι μάλιστα τῶν ἄλλων ἐξειλεγμέναι καὶ ἱερομύστιδες, τῆς τοιαύτης μόλις ἠξιοῦντο τιμῆς. ὕβρεως μὲν οὖν, ὧδε γὰρ ἄμεινόν τε καὶ ἀληθὲς εἰπεῖν.] γύναια δὴ οὖν τῶν ἐξ αἱμάτων Ἰσραὴλ λείψανα τῆς ἐν Αἰγύπτῳ λατρείας ἐν ἰδίοις σκεύεσιν εὑρηκότα ταυτὶ τὰ κάτοπτρα, προσεκόμισαν εἰς καρποφορίαν· ἃ καὶ εἰς
Δ τὸ τοῦ λουτῆρος μετεσκεύασε σχῆμα. τῆς δὲ σκηνῆς ἀνεγηγερμένης, νενηστεύκασι προσιζήσαντα ταῖς θύραις ταύτης, καὶ πάντα ἁγνῶς διαιτώμενα.

** ΤΟΥ ΑΥΤΟΥ. Τῆς ἀληθεστέρας ἀναδεδειγμένης σκηνῆς, τουτέστι τῆς ἐκκλη-
» σίας, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος, Ἑβρ. 8. 2.
ὡς ὁ θεσπέσιος γράφει Παῦλος, καιρὸς ἤδη πως τοὺς ἀνακειμένους εἰς δόξαν ποτὲ τῆς τῶν δαιμονίων ἀγέλης, εἰς ἱερὰ μετα-
E πλάττεσθαι σκεύη, καὶ ἐπιτηδείως ἔχοντα πρὸς παραδοχὴν τοῦ ἁγίου βαπτίσματος, ὡς καὶ διαπρέπειν δύνασθαι τοῖς ὑπὲρ νόμον αὐχήμασι. τοῦτο γὰρ οἶμαί ἐστι τὸ ἐκ κατόπτρων ἑλληνικῶν, ἤτοι κειμηλίων διαβολικῶν, τὸν λουτῆρα πλάττεσθαι τὸν χαλκοῦν. ἐν ᾧ δὴ καὶ τὸ ὕδωρ, τὸ καὶ αὐτὸν ἀποκαθαῖρον Μωσέα, καὶ τῇ κατὰ νόμον ἱερωσύνῃ χρήσιμον εἰς ἀπόνιψιν, δῆλον δὲ ὅτι τὴν νοητήν. Καὶ μετ' ὀλίγα. Νενηστεύκασι δὲ τὰ
Z γύναια παρὰ τὰς θύρας τῆς σκηνῆς τῆς ἁγίας. εἴη δ' ἂν καὶ τόδε καλὸν αἴνιγμα καὶ σοφὸν τοῦ μὴ δι' αἱμάτων εἰστρέχειν ἐν ἐκκλησίαις τοὺς ἐν Χριστῷ δεδικαιωμένους, θυσίαις δὲ μᾶλλον πνευματικαῖς ἐκπρέποντας, καὶ δωροφορίαν ὥσπερ τινὰ προσκομίζοντας τῷ Θεῷ τὴν ἐγκράτειαν, τὴν οἱονεὶ νέκρωσιν τῆς σαρκός. Καὶ μετ' ὀλίγα. Οὐκοῦν αἱ νηστεύσασαι, τῆς ἁγίας ἐγηγερμένης σκηνῆς, εἰς εἰκόνα τελοῦσι ψυχῶν, οὐ μωσαϊ-
H κοῖς ἐνδάλμασι παιδαγωγουμένων ἔτι, πνευματικὴν δὲ μᾶλλον καὶ εὐαγγελικὴν ἀναδεδειγμένων τὴν πολιτείαν ἤδη, καὶ πιστευ-

(1) Χαλκοῦν. ἦτε ἐν Φρανεκ. ἔκδοσ. καὶ ἡ ἐν Κανταβρ. καὶ ὁ ἐν ἁγίοις Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 313. ὡσαύτως καὶ ἐν κεφ. 30. ἐδ. 18. τῆς Ἐξόδ.

σῶν ἐκ ἀνίδρωτὶ τὰς ἐπιγείες ἡδονὰς, καὶ ἀναμορφεμένων εὖ μάλα πρὸς τὸ ἀκήρατον κάλλος, διὰ τὸ μὴ ἀνέχεσθαι παθεῖν τὰ μυσαρά τε καὶ βέβηλα τῆς φιλοσαρκίας ἐγκλήματα.

Καὶ ἐποίησε τὸν λετῆρα, ἵνα νίπτωνται ἐξ αὐτῦ Μωϋσῆς καὶ Ἀαρὼν

A ἢ οἱ υἱοὶ αὐτῦ τὰς χεῖρας ἢ τὲς πόδας αὐτῶν, εἰσπορευομένων αὐτῶν εἰς τὴν σκηνὴν τῦ μαρτυρίε, ἢ ὅταν προσπορεύωνται πρὸς τὸ θυσιαςήριον λειτεργεῖν, ἐνίπτοντο ἐξ αὐτῦ, καθάπερ συνέταξε Κύριος τῷ Μωϋσῇ.

ΚΕΦ. ΛΘ.

Πᾶν τὸ χρυσίον, ὃ κατειργάσθη εἰς τὰ ἔργα κατὰ πᾶσαν τὴν ἐργασίαν τῶν ἁγίων, ἐγένετο χρυσίε τῆς ἀπαρχῆς, ἐννέα ἢ εἴκοσι τάλαντα, ἢ ἑπτακόσιοι ἢ τριάκοντα σίκλοι κατὰ τὸν σίκλον τὸν ἅγιον.

ΑΔΗΛΟΥ. Ὅτι ὁ σίκλος δύω δραχμὰς ἔχει.

Καὶ ἀργυρίε ἀφαίρεμα παρὰ τῶν ἐπεσκεμμένων ἀνδρῶν τῆς συναγωγῆς ἑκατὸν τάλαντα, ἢ χίλιοι καὶ ἑπτακόσιοι καὶ ἑβδομηκονταπέντε σίκλοι· δραχμὴ μία τῇ κεφαλῇ τὸ ἥμισυ τῦ σίκλε, κατὰ τὸν σίκλον τὸν ἅγιον.

ΑΔΗΛΟΥ. Τῶν ἐπεσκεμμένων, τῶν δεδοκιμασμένων ἀνθρώπων εἰς τὴν ὑποδοχὴν τῦ προσενεχθέντος ἀργυρίε.

Πᾶς ὁ παραπορευόμενος τὴν ἐπίσκεψιν ἀπὸ εἰκοσαετὲς καὶ ἐπάνω εἰς τὰς ἑξήκοντα μυριάδας, καὶ τρισχιλίες καὶ πεντακοσίες ἢ πεντήκοντα.

» ΑΔΗΛΟΥ. Πᾶς ὁ παραπορευόμενος τὴν ἐπίσκεψιν, ἀντὶ τῦ πάντες οἱ ἀριθμηθέντες ἐπιςατεῖν τοῖς ἔργοις, οἱ καὶ δυνάμενοι ἐξελθεῖν εἰς πόλεμον, οἳ καὶ παρέλαβον τὴν ὁλκὴν τῦ ἀργυρίε. ἀπὸ εἰκοσαετὲς δὲ, ὡς τῶν ἡττόνων ἀνεπιτηδείων ὄντων πρὸς ἔργα, διὰ τὸ νέον τῆς ἡλικίας.

Καὶ ἐγενήθη τὰ ἑκατὸν τάλαντα τῦ ἀργυρίε εἰς τὴν χώνευσιν τῶν κεφαλίδων τῆς σκηνῆς, ἢ εἰς τὰς κεφαλίδας τῦ καταπετάσματος, ἑκατὸν κεφαλίδες εἰς τὰ ἑκατὸν τάλαντα, τάλαντον τῇ κεφαλίδι. ἢ τὲς χιλίες ἑπτακοσίες ἑβδομηκονταπέντε σίκλες ἐποίησεν εἰς τὰς ἀγκύλας τοῖς ςύλοις· καὶ κατεχρύσωσε τὰς κεφαλίδας αὐτῶν, καὶ κατεκόσμησεν αὐτές. καὶ ὁ χαλκὸς τῦ ἀφαιρέματος τετρακόσια καὶ ἑβδομήκοντα τάλαντα, καὶ δισχίλιοι τετρακόσιοι σίκλοι. καὶ ἐποίησεν ἐξ αὐτῦ τὰς βάσεις τῆς [θύρας] τῆς σκηνῆς τῦ μαρτυρίε, καὶ τὰς βάσεις τῆς αὐλῆς κύκλῳ, ἢ τὰς βάσεις τῆς πύλης τῆς αὐλῆς, ἢ τὲς πασσάλες τῆς σκηνῆς, ἢ τὲς πασσάλες τῆς αὐλῆς κύκλῳ, ἢ τὸ παράθεμα τὸ χαλκῦν τῦ θυσιαςηρίε, καὶ πάντα τὰ σκεύη τῦ θυσιαςηρίε, καὶ πάντα τὰ ἐργαλεῖα τῆς σκηνῆς τῦ μαρτυρίε. ἢ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ, καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ, ὅτως ἐποίησαν. τὸ δὲ λοιπὸν χρυσίον τῦ ἀφαιρέματος ἐποίησαν σκεύη εἰς τὸ λειτεργεῖν αὐτοῖς ἔναντι Κυρίε. καὶ τὴν καταλειφθεῖσαν ὑάκινθον, καὶ πορφύ-

Γ ραν, καὶ τὸ κόκκινον ἐποίησαν ςολὰς λειτεργικὰς Ἀαρὼν, ὥςε λειτεργεῖν ἐν αὐτοῖς ἐν τῷ ἁγίῳ. ἢ ἤνεγκαν τὰς ςολὰς πρὸς Μωϋσῆν, καὶ τὴν σκηνὴν, καὶ τὰ σκεύη αὐτῆς, τὰς βάσεις, καὶ τὲς μοχλὲς, καὶ τὲς ςύλες, καὶ τὰς βάσεις αὐτῆς· καὶ τὴν κιβωτὸν τῆς διαθήκης, καὶ τὲς διωςῆρας αὐτῆς· ἢ τὸ θυσιαςήριον, ἢ πάντα τὰ σκεύη

Δ αὐτῦ· καὶ τὸ ἔλαιον τῆς χρίσεως, καὶ τὸ θυμίαμα τῆς συνθέσεως, καὶ τὴν λυχνίαν τὴν καθαρὰν, καὶ τὲς λύχνες αὐτῆς, λύχνες τῆς καύσεως, καὶ τὸ ἔλαιον τῦ φωτός· καὶ τὴν τράπεζαν τῆς προθέσεως, καὶ πάντα αὐτῆς τὰ σκεύη· ἢ τὲς ἄρτες τὲς προκειμένες.

Καὶ τὰς ςολὰς τῦ ἁγίε, αἵ εἰσιν

E Ἀαρὼν, καὶ τὰς ςολὰς τῶν υἱῶν αὐτῦ εἰς τὴν ἱερατείαν.

ΑΔΗΛΟΥ. Τὸν Ἀαρὼν λέγει, ὡς πρῶτον ἱερέα, ἅγιον.

Καὶ τὰ ἱςία τῆς αὐλῆς, καὶ τὲς ςύλες, ἢ τὰς βάσεις αὐτῆς· καὶ τὸ καταπέτασμα τῆς θύρας τῆς σκηνῆς, ἢ τῆς πύλης τῆς αὐλῆς· ἢ πάντα τὰ σκεύη τῆς σκηνῆς, ἢ πάντα τὰ ἐργα-

Z λεῖα αὐτῆς· ἢ τὰς διφθέρας δέρματα κριῶν ἠρυθροδανωμένα, ἢ τὰ καλύμματα δέρματα ὑακίνθινα, ἢ τῶν λοιπῶν τὰ ἐπικαλύμματα· ἢ τὲς πασσάλες, ἢ πάντα τὰ ἐργαλεῖα τὰ εἰς τὰ ἔργα τῆς σκηνῆς τῦ μαρτυρίε. ὅσα συνέταξε Κύριος τῷ Μωϋσῇ, ὅτως ἐποίησαν [οἱ] υἱοὶ Ἰσραὴλ πᾶσαν τὴν

H κατασκευήν. καὶ εἶδε Μωϋσῆς πάντα τὰ ἔργα, καὶ ἦσαν πεποιηκότες αὐτὰ ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσῇ, ὅτως ἐποίησαν αὐτὰ, καὶ ηὐλόγησεν αὐτὰ (1) Μωσῆς.

ΚΕΦ.

(1) Αὐτές. ἤ.τε. ἐν Φρανεκ. καὶ ἡ ἐν Κανταβρ. ἔκδοσ.

ΚΕΦ. Μ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Ἐν ἡ-
μέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ
πρώτου νουμηνίᾳ, στήσεις τὴν σκηνὴν τοῦ
μαρτυρίου.

ΑΔΗΛΟΥ. Ἡ ἀνισαμένη σκηνὴ τὸ ἅγιον σῶμα σημαίνει τοῦ Χριστοῦ. ἐν ἡμέρᾳ δὲ μιᾷ, δι' ἧς τὸν αἰῶνα νοεῖς τὸν ἀνεστηκότα, καθ' ὃν καὶ μόνον γέγονεν ἄνθρωπος· νουμηνίαν δὲ, τὴν ἀνακαινίζουσαν ἡμᾶς αὐτοῦ ἐπιδημίαν. τὰ ἀρχαῖα γὰρ παρῆλθε μηνὶ τῷ πρώτῳ, ὅτε τῆς ἐαρινῆς τροπῆς ἀναλάμπει τὸ κάλλος, ἀπονιψάμενοι (1) τοῦ νοητοῦ χειμῶνος τὴν κατήφειαν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τῇ νουμηνίᾳ τοῦ πρώτου μηνὸς στῆσαι τὴν κιβωτὸν προσέταξεν ὁ Θεὸς τῷ Μωϋσῇ; Ἐπειδὴ κατὰ τουτονὶ τὸν καιρὸν τὴν κτίσιν ἐδημιούργησε. καὶ μαρτυρεῖ τῷδε τῷ λόγῳ τῶν λόγων ἡ
Γεν. 1. 11. δήλωσις. (2) βλαστησάτω γάρ φησιν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. ἀρχομένου δὲ τοῦ ἔαρος, καὶ οἱ λειμῶνες ἀνθοῦσι, καὶ κυμαίνει τὰ λήϊα, καὶ τὰ δένδρα φύει καρπόν. διά τοι τοῦτο καὶ τὸν Ἰσραὴλ κατὰ τοῦτον τὸν καιρὸν ἠλευθέρωσε τῆς Αἰγυπτίων δουλείας· καὶ ἁγίᾳ παρθένῳ Γαβριὴλ ὁ Ἄγγελος ἐκόμισε τῶν παραδόξων ὠδίνων τὰ εὐαγγέλια. κατὰ τουτονὶ τὸν καιρὸν καὶ ὁ δεσπότης Χριστὸς τὸ σωτήριον ὑπέμεινε πάθος. μάλα τοίνυν εἰκότως τῇ μιᾷ τοῦ πρώτου μηνὸς τὴν σκηνὴν στῆναι ὁ τῶν ὅλων Θεὸς προσέταξε. καὶ ὅτι τοῦ κόσμου παντὸς ἐκτύπωμα ἦν, καὶ ἵνα εὐτρεπίσῃ πρὸς τὴν τοῦ πάσχα ἑορτὴν, ἣν πρώτην ἐπιτελεῖν νόμος ἦν Ἰουδαίοις. τότε δὲ καὶ πρῶτον ταύτην ἤμελλον ἑορτάζειν ἐν τῇ ἐρήμῳ. δεύτερον γὰρ ἦν ἔτος μετὰ τὴν τῆς δουλείας ἀπαλλαγήν.

γ. Καὶ θήσεις τὴν κιβωτὸν τοῦ
μαρτυρίου, καὶ σκεπάσεις τὴν κιβωτὸν
δ. τῷ καταπετάσματι. Καὶ εἰσοίσεις
τὴν τράπεζαν, καὶ προθήσεις τὴν πρό-
θεσιν αὐτῆς. καὶ εἰσοίσεις τὴν λυχνίαν,
ε. καὶ ἐπιθήσεις τοὺς λύχνους αὐτῆς. Καὶ
θήσεις τὸ θυσιαστήριον τὸ χρυσοῦν, εἰς
τὸ θυμιᾶν ἐνώπιον τῆς κιβωτοῦ τοῦ μαρ-
τυρίου. καὶ θήσεις τὸ κατακάλυμμα
τοῦ καταπετάσματος, εἰς τὴν θύραν
ς. τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ τὸ θυ-
σιαστήριον τῶν καρπωμάτων θήσεις
παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρ-
τυρίου. καὶ περιθήσεις τὴν αὐλὴν κύ-
θ. κλῳ. Καὶ λήψῃ τὸ ἔλαιον τοῦ χρί-
σματος, καὶ χρίσεις τὴν σκηνὴν, καὶ
Β πάντα τὰ ἐν αὐτῇ, καὶ ἁγιάσεις αὐ-
τὴν, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ
ἔσται ἅγια.

ι. Καὶ χρίσεις τὸ θυσιαστήριον τῶν
καρπωμάτων, καὶ πάντα τὰ αὐτοῦ
σκεύη· καὶ ἁγιάσεις τὸ θυσιαστήριον, καὶ
ἔσται τὸ θυσιαστήριον ἅγιον τῶν ἁγίων.

* ΚΥΡΙΛΛΟΥ. Ὅ, τε γὰρ ἁγιάζων καὶ Ἑβρ. 2. 11.
οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες. (3) δέδεκται
Γ δὲ ὁ κατὰ φύσιν ὡς Θεὸς ἅγιος τοῦ ἁγιάζοντος Θεοῦ τὸ πρόσλημμα. καὶ τοῦτό φησιν
ὁ μακάριος Πέτρος, Ἰησοῦν τὸν ἀπὸ Να- Πραξ. 10. 38.
ζαρὲτ ὡς ἔχρισεν αὐτὸν ἐν πνεύματι ἁγίῳ. οὐκοῦν περὶ τὸ ἀνθρώπινον (4) καὶ τὴν φύσιν τῆς σαρκὸς ὁ ἁγιασμός.

ΤΟΥ ΑΥΤΟΥ. Χρῄζει δὲ [τοῖς ἄλλοις ὁμοῦ] καὶ τῆς κατὰ νόμον λατρείας τὸ θυσιαστήριον. ἅγιος γὰρ καὶ ὁ νόμος, [καλῶν εἰς ἐπίγνωσιν τοῦ κατὰ φύσιν Θεοῦ, καὶ
Δ δικαιοσύνης εἴδησιν τοῖς ἀκροωμένοις ἐντιθεὶς, καὶ εἰς ἀρχὰς ἀγαθότητος ἀποφέρων τοὺς παιδευομένους.]

** ΤΟΥ ΑΥΤΟΥ. Ἅγιος δὲ ἁγίων ὁ νόμος, οὐ κατά γε τὴν σκιὰν, ἀλλ' ὅτι πρὸς θεωρίαν εἰ μεταστρέποιτο τὴν πνευματικὴν, αὐτὸν ἡμῖν οἱ τύποι διακεχαράγασι τὸν Χριστὸν, τὸν ἅγιον ἁγίων ἀληθῶς. ἁγιάζει γὰρ ὡς Θεὸς τῷ ἰδίῳ καταχρίων πνεύματι τοὺς ἐν μεθέξει γεγονότας αὐτοῦ διὰ τῆς πίστεως.

Ε ΑΔΗΛΟΥ. Ὅτι καὶ τοῦτο ἅγιόν ἐστιν ἁγίων, καὶ πάντα δὲ τὰ ἱερατικὰ σκεύη, ὡς ἁγιάζοντα τοὺς ἱερεῖς, οἳ εἰσιν ἅγιοι.

ιβ. Καὶ προσάξεις Ἀαρὼν καὶ τοὺς
υἱοὺς αὐτοῦ ἐπὶ τὰς θύρας τῆς σκηνῆς
τοῦ μαρτυρίου, καὶ λούσεις αὐτοὺς ὕδατι.
ιγ. Καὶ ἐνδύσεις Ἀαρὼν τὰς στολὰς τὰς
ἁγίας, καὶ χρίσεις αὐτὸν, καὶ ἁγιά-
ιδ. σεις αὐτὸν, καὶ ἱερατεύσει μοι. Καὶ
τοὺς υἱοὺς αὐτοῦ προσάξεις, καὶ ἐνδύσεις
αὐτοὺς χιτῶνας.

ιε. Καὶ ἀλείψεις αὐτοὺς ὃν τρόπον
ἤλειψας τὸν πατέρα αὐτῶν, καὶ ἱερα-
τεύσωσί μοι. (5) καὶ ἔσται, ὥστε εἶναι
αὐτοὺς

(1) Ἐλλειπὲς ἔοικεν. Ἴσως δὲ ἀναγνωστέον ἀπονιψαμένων.

(2) Τῶν δένδρων ἡ βλάστησις. ἡ ἐν χαλ. ἔκδοσ.

(3) Πάντες. ἰστέον δὲ ὅτι κατὰ τὸν ἀμωμήτως ἔχοντα λόγον, αὐτὸς ὑπάρχων ὁ τοῖς ἄλλοις ἅπασιν ἁγιασμοῦ χορηγὸς καὶ ζωοδοτὴρ ὡς Θεὸς, τῷ Θεῷ καὶ πατρὶ μεθ' ἡμῶν ἁγιάζεται κατὰ τὸ ἀνθρώπινον. καὶ τοῦτό ἐστιν ἡ λεγομένη κένωσις. ὁ γὰρ ἅγιος κατὰ φύσιν ὡς Θεὸς, δεδέχθαι λέγεται τοῦ ἁγιάζοντος Θεοῦ. καὶ τοῦτό φησιν ὁ μακάριος, κτ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 352.

(4) Περὶ τὸ ἀνθρώπινον ἡ χρίσις, καὶ τῆς σαρκὸς ὁ ἁγιασμός, τῆς οὐ κατὰ φύσιν ἁγίας, ἀλλ' ὡς ἐν μεθέξει παρὰ Θεοῦ. αὐτ.

(5) Ἱερατεύσουσί μοι. καὶ ἔσται, ὥστε εἶναι αὐτοῖς χρίσμα ἱερατείας. αἱ εἰρημ. ἔκδοσ.

αὐτοὺς χρίσμα ἱερὸν εἰς τὸν αἰῶνα εἰς A
τὰς γενεὰς αὐτῶν.

ΑΔΗΛΟΥ. Τὸ ἀλεῖψαι καὶ χρῖσαι ταὐτόν ἐστι.

ις. Καὶ ἐποίησε Μωϋσῆς πάντα
ὅσα συνέταξεν αὐτῷ Κύριος, οὕτως
ιζ. ἐποίησε. Καὶ ἐγένετο ἐν τῷ μηνὶ τῷ
πρώτῳ, τῷ δευτέρῳ ἔτει, πορευομέ-
νων αὐτῶν ἐξ Αἰγύπτου, νουμηνίᾳ ἐστάθη B
ιη. ἡ σκηνή. Καὶ ἔστησε Μωϋσῆς τὴν σκη-
νὴν, καὶ ἐπέθηκε τὰς κεφαλίδας αὐ-
τῆς, καὶ διενέβαλε τοὺς μοχλοὺς, καὶ
ιθ. ἔστησε τοὺς στύλους αὐτῆς. Καὶ ἐξέτεινε
τὰς αὐλαίας ἐπὶ τὴν σκηνὴν, καὶ ἐπέ-
θηκε τὸ κατακάλυμμα τῆς σκηνῆς
ἐπ' αὐτὴν ἄνωθεν, καθὰ συνέταξε
κ. Κύριος τῷ Μωϋσῇ. Καὶ λαβὼν τὰ
μαρτύρια ἐνέβαλεν εἰς τὴν κιβωτόν. Γ
[καὶ ὑπέθηκε τοὺς διωστῆρας ὑπὸ τὴν
κα. κιβωτόν.] Καὶ ἐπέθηκε τὴν κιβωτὸν
εἰς τὴν σκηνὴν, καὶ ἔθηκε τὸ κάλυμμα
τοῦ καταπετάσματος, καὶ ἐσκέπασε
τὴν κιβωτὸν τοῦ μαρτυρίου, ὃν τρόπον
κβ. συνέταξε Κύριος τῷ Μωϋσῇ. Καὶ
ἔθηκε τὴν τράπεζαν εἰς τὴν σκηνὴν τοῦ
μαρτυρίου, ἐπὶ τὸ κλίτος τῆς σκηνῆς
τοῦ μαρτυρίου ἀπὸ βορρᾶ ἔξωθεν τοῦ Δ
κγ. καταπετάσματος τῆς σκηνῆς. Καὶ
προέθηκεν ἐπ' αὐτῆς ἄρτους τῆς προ-
θέσεως ἔναντι Κυρίου, ὃν τρόπον συ-
κδ. νέταξε Κύριος τῷ Μωϋσῇ. Καὶ ἔθη-
κε τὴν λυχνίαν εἰς τὴν σκηνὴν τοῦ μαρ-
τυρίου, εἰς τὸ κλίτος τῆς σκηνῆς τῆς
κε. πρὸς νότον. Καὶ ἔθηκε τοὺς λύχνους
αὐτῆς ἔναντι Κυρίου, ὃν τρόπον συ- E
κς. νέταξε Κύριος τῷ Μωϋσῇ. Καὶ ἔθη-
κε τὸ θυσιαστήριον τὸ χρυσοῦν εἰς τὴν
σκηνὴν τοῦ μαρτυρίου ἀπέναντι τοῦ κα-
κζ. ταπετάσματος. Καὶ ἐθυμίασεν ἐπ'
αὐτοῦ θυμίαμα τῆς συνθέσεως, ὃν
τρόπον συνέταξε Κύριος τῷ Μωϋσῇ.
κθ. Καὶ τὸ θυσιαστήριον τῶν καρπωμά-
των ἔθηκε παρὰ τὰς θύρας τῆς σκη-
λγ. νῆς τοῦ μαρτυρίου. Καὶ ἔστησε τὴν αὐ- Z
λὴν κύκλῳ τῆς σκηνῆς, καὶ τοῦ θυ-
σιαστηρίου. καὶ συνετέλεσε Μωϋσῆς
πάντα τὰ ἔργα.

λδ. Καὶ ἐκάλυψεν ἡ νεφέλη τὴν
» σκηνὴν τοῦ μαρτυρίου· καὶ ἡ δόξα Κυ-
ρίου ἔπλησε τὴν σκηνήν.

** ΚΥΡΙΛΛΟΥ. Ἀναδεδειγμένης γὰρ ἐν κόσμῳ τῆς ἁγίας καὶ ἀληθεστέρας σκηνῆς, τουτέστι τῆς ἐξ ἐθνῶν ἐκκλησίας, φῶς περιελάμπετο Χριστοῦ, καὶ ἡ νεφέλη ὥσπερ τις πνευματικὴ δρόσος ἡμᾶς τοῖς ἄνωθεν πλουσίως καταπιαίνουσα, τὸν θεῖον ναὸν ἀναπίμπλησι.

λε. Καὶ οὐκ ἠδυνήθη Μωϋσῆς εἰ-
σελθεῖν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου,
ὅτι ἐπεσκίαζεν ἐπ' αὐτὴν ἡ νεφέλη,
καὶ δόξης Κυρίου ἐπλήσθη ἡ σκηνή.
λς. Ἡνίκα δ' ἂν ἀνέβη ἡ νεφέλη ἀπὸ τῆς
σκηνῆς, ἀνεζεύγνυσαν [οἱ] υἱοὶ Ἰσραὴλ
λζ. σὺν τῇ ἀπαρτίᾳ αὐτῶν. Εἰ δὲ μὴ ἀνέ-
βη ἡ νεφέλη, οὐκ ἀνεζεύγνυσαν ἕως
τῆς ἡμέρας, ἧς ἀνέβη ἡ νεφέλη.

* ΚΥΡΙΛΛΟΥ. [Πλὴν οὐκ ἠδυνάτο, φησὶν, εἰσελθεῖν ὁ Μωϋσῆς.] οὐ γὰρ εἰσβέβηκεν ὁ Ἰσραὴλ, τὴν τοῦ θείου φωτὸς προσβολὴν ἐνεγκεῖν οὐ δυνάμενος· ἐπεί τοι μήτε συνῆκε τὸ Χριστοῦ μυστήριον, οὔτε προσήκατο τὸν ἐν πνεύματι φωτισμὸν, οὔτε τεθέαται τοῖς τῆς διανοίας ὄμμασι τὴν δόξαν Κυρίου. ᾧ καὶ ὡς ἐν τύπῳ νεφέλης ἀπαίροντι μὲν τοῦ κόσμου καὶ πρὸς τὰ ἄνω βαδίζοντι, συναπαίρομεν κατ' ἴχνος ἰόντες τὸ δεσποτικόν· [ἐνεκαίνισε γὰρ ἡμῖν τὴν πρόσφατόν τε καὶ ζῶσαν ὁδὸν, τὴν εἰς τὰ ἄνω φημὶ καὶ ἐν οὐρανῷ·] ἀναπαυομένῳ δὲ ὥσπερ καὶ καταλύοντι, συναναπαυσόμεθα καὶ συγκαταλύσομεν.


λη. Νεφέλη γὰρ ἦν ἐπὶ τῆς σκη-
νῆς ἡμέρας, καὶ πῦρ ἦν ἐπ' αὐτὴν νυ-
κτὸς ἐνώπιον παντὸς οἴκου Ἰσραὴλ, ἐν
πάσαις ταῖς ἀναζυγαῖς αὐτῶν.

* ΚΥΡΙΛΛΟΥ. Φαίνει μὲν γὰρ ὁ Χριστὸς χαρίσμασι πνευματικοῖς τοὺς ὥσπερ ἐν ἡμέρᾳ καὶ ἐν φωτὶ γεγονότας, διά γε τοῦ τὴν ἐπ' αὐτῷ γνῶσιν λεπτῶς καὶ ἐξητασμένως ἔχειν, καὶ ἐκλελαμπρύνθαι τὸν νοῦν. καταφωτίζει δὲ τοὺς ἀμαθεστέρους ἔτι. σκότος δὲ ὅλως κοσμικῆς ἀπάτης οὐκ ἔσται ἐν ἐκκλησίαις, περιαστράπτοντος ταύταις τοῦ Χριστοῦ, καὶ νοητῷ φωτὶ τὰ σύμπαντα
» καταυγάζοντος. οὐ γάρ ἐσμεν νυκτὸς, 1. Θεσ. 5. 5.
» οὐδὲ σκότους, ἀλλ' υἱοὶ φωτὸς καὶ
ἡμέρας, κατὰ τὸ γεγραμμένον.

ΤΕΛΟΣ ΤΗΣ ΕΞΟΔΟΥ.



ΛΕΥΙ-



ΛΕΥΙΤΙΚΟΝ

ΜΩΣΕΩΣ ΤΟΥ ΝΟΜΟΘΕΤΟΥ ΚΑΙ ΠΡΟΦΗΤΟΥ ΣΥΓΓΡΑΦΗ.

ΩΡΙΓΕΝΟΥΣ. Λευϊτικὸν ὠνόμασαι, ἐπειδὴ τὸ τῆς ἱερωσύνης, καὶ τὰ τῶν θυσιῶν, καὶ ὅσα τοιαῦτα προσέταξεν ὁ Θεὸς, ἐν τούτῳ φέρεται. ἔχει μὲν οὖν καὶ ἡ Ἔξοδος τοῦ Θεοῦ νομοθεσίας· ὅπως δὲ (1) ἐτελέσθησαν οἱ ἱερεῖς χρισθέντες, καὶ ὅπως κατεσκευάσθη ἡ σκηνὴ, καὶ σύμπηξιν ἔλαβεν ἐναρμόνιον, καὶ ἄλλα πλείονα ἱστορεῖ τὸ Λευϊτικόν. εἰ δὲ καὶ ἕτερά τινα περιέχει οὐ θαυμαστόν. ἐπιγραφὴ γάρ ἐστιν, (2) ἑκάστου βιβλίου τοῦ ἐν αὐτῷ καιριωτέρου δηλωτική.

ΤΟΥ ΑΥΤΟΥ. Τὸν περὶ θυσιῶν λόγον οἱ μὴ ὀρθῶς ἐνορῶντες καταφρονοῦσιν, ἢ ὡς εὐτελοῦς νομοθεσίας καὶ μηδὲν ἄξιον τοῦ δημιουργοῦ ἐχούσης, ἢ αὐτοῦ τοῦ δημιουργοῦ ὡς εὐτελῆ νομοθετοῦντος ἀσεβῶς καταψηφίζονται. ὁ δὲ νοήσας τὸ τοῦ Δαβὶδ καὶ τὸ τοῦ Ἀπο-
» στόλου, τοῦ μὲν λέγοντος, ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια Ψαλ. 118. 18.
» ἐκ τοῦ νόμου σου· τοῦ δὲ βοῶντος, ὁ νόμος πνευματικός ἐστι, δύναται διαβλέψαι, ὡς ἄξια Ῥωμ. 7. 14.
Θεοῦ εἰσὶν ἀποκεκρυμμένα ἐν τούτοις μαθήματα.

** ΠΡΟΚΟΠΙΟΥ. Αἱ ἐν τῷ Λευϊτικῷ θυσίαι καθαρισμὸν ψυχῶν περιέχουσι· τοῖς μὲν τελειοτέροις, ἀναλισκομένων τῶν ἀλόγων εἰς τὸ πῦρ τοῦ Θεοῦ· ἀλόγων δὲ καθαρῶν, ὧν τύπος ἐστὶ τὰ ὁλοκαυτώματα· πῦρ δὲ τοῦ λόγου, τὸ ἀναλωτικὸν τῆς ὕλης· ψυχὴ γὰρ οὖσα τούτου κατήκοος, τὰ κατὰ φύσιν ἄλογα ἐκ τῆς αἰσθήσεως γινόμενα, πολλῷ τῷ πρὸς τὸ θεῖον ἔρωτι χρησαμένη δαπανᾷ· τοῖς δὲ ἀτελεστέροις, μερῶν τινῶν ἀναλισκομένων τῷ πυρὶ τοῦ Θεοῦ. ὧν τὰ σύμβολα δοκεῖ προστετάχθαι ἀναφέρεσθαι. ἀπολεῖται δὲ πᾶς ὁ τῷ τοῦ Θεοῦ θυσιαστηρίῳ πῦρ προσάγων ἀλλότριον. ὧν τύπος Ναδὰβ καὶ Ἀβιούδ. τὸ δὲ τὰ κατὰ μέρος ἐξοδεῦσαι περὶ τούτων δύνασθαι, οὐκ ἀνθρώπου, ἀλλ' ἀναβεβηκότος εἰς τὸν οὐρανὸν, καὶ ταῦτα τρανῶς θεωρήσαντος.

ΚΕΦ. Α.



α. Καὶ ἀνεκάλεσε Μωϋ-
σῆν, καὶ ἐλάλησε
Κύριος αὐτῷ ἐκ τῆς
σκηνῆς τοῦ μαρτυρίου,
β. λέγων, Λάλησον
τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐ-
τοὺς, ἄνθρωπος ἐξ ὑμῶν ἐὰν προσα-
γάγῃ δῶρα τῷ Κυρίῳ, ἀπὸ τῶν κτηνῶν
καὶ ἀπὸ τῶν βοῶν καὶ ἀπὸ τῶν προ-
βάτων προσοίσετε τὰ δῶρα ὑμῶν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκα τὰς θυ-
σίας προσφέρεσθαι προσέταξεν ὁ Θεός;
Πολλαχοῦ μὲν ἡμῖν εἴρηται περὶ τούτων,
κἀν τοῖς πρὸς Ἕλληνας συγγεγραμμένοις,
κἀν τοῖς πρὸς τὰς αἱρέσεις, καὶ μέντοι
κἀν τοῖς πρὸς τοὺς μάγους· πρὸς δὲ τούτοις
κἀν ταῖς τῶν Προφητῶν ἑρμηνείαις, καὶ
τοῖς τῶν ἀποστολικῶν ἐπιστολῶν ὑπομνήμα-
σιν. ἐρῶ δὲ ὅμως κἀνταῦθα ἐν κεφαλαίῳ.
ὅτι μὲν ἀνενδεὴς ὁ Θεὸς, οὐκ οἶμαι ἀντε-
ρεῖν οὐδὲ τοὺς ἄγαν ἀνοήτους. ὅτι δὲ καὶ τὰς
Ζ τοιαύτας οὐ προσίεται θυσίας, διὰ τῶν πλεί-
στων ἐδίδαξε Προφητῶν. ἐπειδὴ δὲ χρόνον
συχνὸν ἐν Αἰγύπτῳ διατετελεκὼς ὁ λαὸς,
θύειν δαίμοσιν ἐδιδάχθη, συνεχώρησε τὰς
θυσίας, ἵνα τῆς δεισιδαιμονίας ἐλευθερώ-
σῃ. ὅτι γὰρ ταύταις ἔχαιρον, μαρτυρεῖ
τὰ περὶ τὸν μόσχον γεγενημένα. τοῦτο καὶ
διὰ Ἰεζεκιὴλ τοῦ προφήτου δεδήλωκεν· εἶ- Ἰεζ. 16. 6.
» δον γάρ σε, φησὶ, πεφυρμένην ἐν τῷ αἵ-
» ματί σου, καὶ εἶπόν σοι· ἐν τῷ αἵματί σου
Η » ζωὴ, πληθύνου. λέγει δὲ ὅτι θεασάμενός σε
τῷ

(1) Ὅπως τε. ὁ Ἀλεξάνδρου κώδ.

(2) Ἐπιγραφὴ γάρ ἐστι Λευϊτικὸν, τοῦ ἐν αὐτῷ καιριωτέρου δηλωτικόν. ἐν σελ. 180. τοῦ 2. Τόμ. τῆς τοῦ Ῥου. ἐκδόσ.

τῷ τῶν θυσιῶν αἵματι χαίρουσαν, συνεχώ-
ρησάσοι τῆς τοιαύτης ἀπολαύειν ἐπιθυ-
μίας. πρὸς δὲ τούτοις, καὶ ἕτερον αὐτοῖς
ἀλεξίκακον διὰ τούτου κατεσκεύασε φάρ-
μακον. θύεσθαι γὰρ αὐτῷ προσέταξε τὰ
παρ' Αἰγυπτίων θεοποιούμενα· ἀπὸ μὲν τῶν
τετραπόδων, μόσχον καὶ τράγον καὶ πρό-
βατον· ἀπὸ δὲ τῶν πτηνῶν, τρυγόνα καὶ
περιστερῶν νεοττούς. οὐκ ἀγνοοῦμεν οὖν, ὅτι
καὶ ἄλλα πάμπολλα ἐθεοποιοῦντο Αἰγύπτιοι·
ἀλλὰ τῶν θεοποιουμένων τὰ ἡμερώτερα
ταῖς θυσίαις ἀπένειμε· τὰ ἄλλα δὲ ἀκά-
θαρτα προσηγόρευσεν· ἵνα τὰ μὲν ὡς ἀ-
κάθαρτα βδελυττόμενοι, μὴ θεοποιῶσι· τὰ
δὲ ὡς θύοντες, μὴ Θεοὺς ὑπολάβωσιν· ἀλ-
λὰ μόνον προσκυνῶσι τὸν ᾧ ταῦτα προσ-
φέρεται. ἐπειδὴ δὲ οἱ μὲν αὐτῶν ἦσαν ἐν
εὐπορίᾳ χρημάτων, οἱ δὲ πενίᾳ συζῶντες,
τοῖς μὲν μόσχον προσφέρειν, ἢ ἀρνίον, ἢ
αἶγα προσέταξε, τοῖς δὲ δύω τρυγόνας,
ἢ δύω νεοσσοὺς περιστερῶν· τοῖς δέ γε πενε-
στάτοις, σεμίδαλιν ὀλίγην ἀναμεμιγμένην
ἐλαίῳ, σύμμετρα τῇ δυνάμει νομοθετῶν.
τούτων τὰ μὲν, δῶρα προσηγόρευσεν, ὡς
οὐκ ἐκ νομικῆς ἀνάγκης, ἀλλ' ἐκ φιλοθέου
Λευϊτ. 3. 1. προσφερόμενα γνώμης· τὰς δὲ, θυσίας
„ σωτηρίου. δηλοῖ δὲ τοὔνομα ἀῤῥωστίας, ἢ
χαλεπῶν τινῶν ἑτέρων ἀπαλλαγήν. προ-
σεφέροντο δὲ καὶ ὑπὲρ ἁμαρτίας, καὶ
πλημμελείας, καὶ ἀγνοίας ἱερουργίαι. δη-
λοῖ δὲ ἡ μὲν ἁμαρτία, νόμου τινὸς παρά-
βασιν ἐθελούσιον· ἡ δὲ πλημμέλεια, τὴν
ἐκ περιστάσεώς τινος γεγενημένην παρανο-
μίαν. συνέβαινε γάρ τινα παρὰ γνώμην,
ἢ λεπρῷ πελάσαι, ἢ νεκρῷ, ἢ γονοῤῥυεῖ.
ἡ δὲ ἄγνοια σαφῆ τὴν ἑρμηνείαν ἔχει. οὐ
γὰρ πάντες ἅπαντας τοὺς νόμους ἠπίσταν-
το. τὰ μὲν γὰρ τῆς ψυχῆς ἁμαρτήματα
καὶ ἡ φύσις ἐδίδασκε. ταῦτα δὲ ἃ μόνοις
ἥρμοττεν Ἰουδαίοις, διδασκάλων ἐδεῖτο. καὶ
τούτων [δὲ τῶν θυμάτων,] τὰ μὲν ὁλοτε-
λῆ κατεκαίετο· τῶν δὲ, σμικρά τινα μό-
ρια, [ὁ] τῆς κοιλίας ἐπίπλους, καὶ οἱ
νεφροὶ, καὶ τὸ ἐπικείμενον αὐτοῖς στέαρ,
καὶ τοῦ ἥπατος ὁ λοβός. εἴρηται δὲ ἡμῖν
τίνων ταῦτα δηλωτικά. ἡ δὲ ὑπὲρ ἁμαρ-
τίας προσφερομένη θυσία δίχα ἐλαίου καὶ
λιβανωτοῦ προσεφέρετο. οὐ γὰρ ἔχουσι τοῦ
φωτὸς τὴν τροφὴν οἱ ἐν τῷ σκότει τῆς
ἁμαρτίας καθήμενοι, οὐδὲ τὸ ἱλαρὸν οἱ στέ-
νειν ὀφείλοντες· κατὰ γὰρ τὸν Προφή-
Ψαλ. 103. 15. την, τὸ πρόσωπον ἱλαρύνει τὸ ἔλαιον· οὐδὲ
τὸ εὐῶδες οἱ τῆς πονηρίας μὴ ἀφιέντες
Κολασ. 2. 17. τὴν δυσοσμίαν. ἐπειδὴ δὲ σκιὰν εἶχε τῶν
„ μελλόντων ὁ τύπος, καὶ οὐκ αὐτὴν τὴν εἰκό-
να τῶν πραγμάτων, κατὰ τὸν θεῖον Ἀπό-
Ἑβρ. 8. 5. „ στολον, καὶ ὑποδείγματι καὶ σκιᾷ τῶν ἐπου-
„ ρανίων λατρεύειν ἔφη τοὺς ἐν τῷ νόμῳ· οὐκ
ἀπὸ τρόπου νομίζω τι δρᾷν, ταῖς τῶν ἀλό-
γων ἱερείων διαφοραῖς ἐοικέναι λέγων τοὺς
ἑαυτοὺς τῷ Θεῷ προσφέροντας. οἱ μὲν γὰρ
τὸν ἀκτήμονα καὶ φροντίδων ἐλεύθερον
ἀσπαζόμενοι βίον, ὅλους ἑαυτοὺς ἀφιεροῦσι

A τῷ τῶν ὅλων Θεῷ, καὶ σφᾶς αὐτοὺς ἀπο-
φαίνουσιν ὁλοκαυτώματά τε καὶ ὁλοκαρ-
πώματα· οὐδὲν τῷ παρόντι καταλιπόντες
βίῳ, ἀλλ' εἰς τὴν ἀγήρω πάντα κατατε-
θέντες ζωήν· οἱ δὲ τούτων ἐλάττους, τὰ
μὲν τῷ θυσιαστηρίῳ, τὰ δὲ τοῖς ἱερεῦσι,
τὰ δὲ λοιπὰ τῇ τοῦ σώματος ἀπονέμουσι
χρείᾳ. καὶ οἱ μὲν προσφέρουσι τῶν προ-
βάτων τὴν ἐπιείκειαν· οἱ δὲ τοῖς εὐπει-
θέσι μόσχοις παραπλησίως, διαφέρουσιν
B ἀσπαζόμενοι (1) τὸν χρηστὸν τοῦ Κυρίου ζυ-
γόν· ἄλλοι δέ τινες τὰς αἶγας μιμούμενοι,
οἷόν τι γάλα, τοῖς δεομένοις παρέχουσι τῆς
χρείας τὰ περιττὰ, κατὰ τὴν ἀποστολικὴν
„ νομοθεσίαν τὴν λέγουσαν· τὸ ὑμῶν περίσ- 2. Κορ. 8. 13.
„ σευμα εἰς τὸ ἐκείνων ὑστέρημα. οἱ δὲ προσ-
κομίζουσι τῶν τρυγόνων τὸ σῶφρον, καὶ
φεύγουσιν ὡσαύτως τοῦ δευτέρου γάμου τὴν
ζεύγλην· οἱ δὲ ἁπλότητι καὶ ἀκακίᾳ κοσ-
μοῦσι τὴν γνώμην, μιμούμενοι τοὺς τῶν πε-
Γ ριστερῶν νεοττούς. οὐδὲ γὰρ τελείας θύε-
σθαι ταύτας ἐνομοθέτησεν· ἐπειδὴ τό δε
τὸ ζῶον περὶ τὰς μίξεις θερμότατον· ἀλ-
λὰ τούτων τοὺς νεοττοὺς, ἀκακίᾳ μὲν χρω-
μένους, συμπλοκῆς δὲ οὐ γευομένους. τὰ
μέντοι πτηνὰ οὔτε ὁ πατριάρχης διεῖλεν,
οὔτε ὁ νομοθέτης διαιρεθῆναι κελεύει. οἱ
γὰρ πτηνοὶ τὴν διάνοιαν, ἐξ ὅλης καρδίας
ἀγαπῶντες τὸν Θεὸν, οὐ διαιροῦσιν αὐτὴν
εἰς τὰ γήϊνα καὶ οὐράνια, ἀλλ' ὅλην ἀνα-
Δ πέμπουσιν ἄνω. οὕτω τὰ περὶ τῶν θυσιῶν
νοοῦντες, εὑρήσομεν καὶ τῇ τῶν Ἰουδαίων
ἀσθενείᾳ τὸν περὶ τούτων νόμον ἁρμόδιον,
καὶ τῇ εὐαγγελικῇ τελειότητι τὴν τοιαύ-
την νομοθεσίαν οὐ περιττήν. οὕτω δὲ ταῦτα
νοεῖν καὶ ὁ θεῖος ἡμᾶς ἐξεπαίδευσε Παῦ-
λος. τεθεικὼς γὰρ τὸν περὶ τῶν βοῶν νό-
μον, ὃς ἀπαγορεύει τοὺς βοῦς ἀλοῶντας κη-
„ μοῦν, ἐπήγαγε· μὴ τῶν βοῶν μέλει τῷ 1. Κορ. 9. 9, 10.
„ Θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς
E „ γὰρ ἐγράφη, ὅτι ἐπ' ἐλπίδι ὁ ἀροτριῶν
„ ἀροτριᾷ, καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ
μετέχει. οὐκοῦν τοῦ νόμου τὸ μὲν αἰσθητὸν
καὶ ἐπιπόλαιον, Ἰουδαίοις κατάλληλον· τὸ
δὲ πνευματικὸν, τοῖς τὴν εὐαγγελικὴν πο-
λιτείαν ἀσπαζομένοις. ἰστέον δὲ καὶ τοῦτο,
ὡς τὰ μὲν ὁλοκαυτούμενα, ἄρσενα ἦν· ἀν-
δρῶν γὰρ ἡ τελειότης· τὰ δὲ περὶ ἁμαρ-
τίας θυόμενα, θήλεα. ἀσθενοῦντος γὰρ τοῦ
ἐν ἡμῖν ἡγεμονικοῦ, τὰ πάθη κρατεῖ. ἐπι-
Z σημειώσασθαι δὲ καὶ τοῦτο δεῖ, ὡς ὑπὲρ ἁμαρ-
τίας οὐκ ἀμνοὶ, ἀλλὰ χίμαροι προσεφέ-
ροντο. δηλοῖ δὲ τοῦτο καὶ ὁ δεσπότης Χρι-
στὸς ἐν τοῖς ἱεροῖς εὐαγγελίοις, τοὺς μὲν
δικαίους ἀμνοῖς, τοὺς δὲ ἁμαρτωλοὺς ἐρί-
φοις ἀπεικάσας.

ΩΡΙΓΕΝΟΥΣ. Τετηρήκαμεν πολλαχοῦ
τῶν Γραφῶν, τὰ μὲν δῶρα, ἐπὶ τῶν ζώων
λέγεσθαι· τὰς δὲ θυσίας, ἐπὶ τῶν ἀψύ-
χων, κατὰ τὸ ἐν τῇ Γενέσει λεγόμενον·
H „ καὶ ἐπεῖδεν ὁ Θεὸς ἐπὶ Ἄβελ, καὶ ἐπὶ τοῖς Γεν. 4. 4, 5.
„ δώροις αὐτοῦ. ἐπὶ δὲ Καῒν καὶ ἐπὶ ταῖς θυ-
„ σίαις αὐτοῦ οὐ προσέσχεν. ἔτι δὲ καὶ τοῦτο
τηρη-

(1) Φέρουσιν ἀσπαστῶς. ἡ ἐν Χάλ. ἔκδοσ.

τηρητέον, ἐπὶ μὲν τῶν ἐμψύχων, ἄνθρω-
„ πος, φησὶν, ἐξ ὑμῶν, ἐὰν προσαγάγῃ
Λευΐτ. 2. 1. δῶρα· ἐπὶ δὲ τῶν ἀψύχων, ἐὰν ψυχή. τὸ
ἄψυχον ἡ ψυχή· ἵνα τοῦ μὲν ἀλόγου, τὸ
λογικὸν μόνον καταλείπηται, καὶ τοῦ ἀψύ-
χου ὑπὸ τοῦ πυρὸς νενικημένου, ἀπομένῃ τὸ
ἔμψυχον μόνον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὁ Θεὸς κατὰ τὸ
ἥμερον ἐπελέξατο τὰ προσαγόμενα, καὶ
κατὰ τὸ διχηλεῖν καὶ μηρυκᾶσθαι. ἅπερ
ἐπ' ἀνθρώπων νοούμενα, δηλοῖ τὴν ἡμερό-
τητος ἀρετὴν, καὶ τὸ περὶ τὴν τοῦ βίου πο-
ρείαν διττὸν, σωματικόν τε καὶ νοερόν. καὶ
τὸ περὶ λόγου τροφὴν ἐπιμελὲς καὶ γυμ-
ναστικόν. καὶ ἐπειδὴ πάσης ἀρετῆς τὸ ἀλη-
θὲς ἐν Χριστῷ, αὐτὸς τὸ ἀληθὲς δῶρον·
ἄνθρωπος δὲ καθ' ὁμοιότητα. ἡ δὲ σφα-
γὴ τῶν θυμάτων τὴν εἰς Θεὸν ἀπὸ ζωῆς
ἀνθρωπίνης μετάθεσιν δηλοῖ. ἥντινα οὐκ
ἐν θανάτῳ ποιεῖσθαι χρὴ, ἀλλ' ἐν τρόπῳ
μιμουμένῳ θάνατον, κατὰ τὴν τῶν ἐν βίῳ
πραγμάτων ἀπόθεσιν.

ΕΙΣ ΤΟ ΑΥΤΟ. Σημείωσον, ὅτι κατὰ
χρόνων ἀκολουθίαν ἐγράφη τὰ Μωσέως
συγγράμματα, εἰ καί τινα προαναφωνεῖ
ἔσθ' ὅτε, ὡς τὸ τῶν πυρείων τῆς Κορὲ συ-
ναγωγῆς τὸ χαλκοῦν γεγενῆσθαι θυσιαστή-
ριον. τοῦτο δὲ κεῖται ἐν τοῖς Ἀριθμοῖς.

γ. Ἐὰν ὁλοκαύτωμα τὸ δῶρον αὐ-
τοῦ, ἐκ τῶν βοῶν ἄρσεν ἄμωμον προ-
σάξει αὐτὸ πρὸς τὴν θύραν τῆς σκη-
νῆς τοῦ μαρτυρίου, προσοίσει αὐτὸ δε-
κτὸν ἔναντι Κυρίου.

* ΠΡΟΚΟΠΙΟΥ. Ἡ ὁλοκαύτωσις (1)
τὴν ὁλόκληρον ἀνάθεσιν εἰς Θεὸν δηλοῖ.
διὸ τὰ τῶν ἱερέων ἐκ σεμιδάλεως δῶρα
ὁλόκαυτα. ἄρσεν, τὸ πάντων ἡγεμόνι πρέ-
πον, ὅτι ἡγεμονικὸν τὸ ἄρσεν. ἄμωμον,
ὅτι τὸ ἀσινὲς ἁρμόττει τῇ θείᾳ οὐσίᾳ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἄρχε-
ται διαιρεῖν τὰ τῶν θυσιῶν γένη, καὶ τέμ-
νων εἰς τρία εἴδη τὰ ἀνωτάτω, τὸ μὲν
ὁλόκαυτον καλεῖ, τὸ δὲ σωτήριον, τὸ δὲ
περὶ ἁμαρτίας. Καὶ μετ' ὀλίγα. Τῇ μὲν οὖν
κατὰ Θεὸν, καὶ δι' αὐτὸν μόνον γινομένῃ,
προσήκουσαν ὁ νόμος ἀπένειμε θυσίαν τὴν
ὁλόκαυτον, ὁλοκλήρῳ καὶ παντελεῖ, μηδὲν
ἐπιφερομένην τῆς θνητῆς φιλαυτίας ὁλό-
κληρον καὶ παντελῆ. Καὶ μεθ' ἕτερα. Σύμ-
βολα δέ ἐστι τὰ λεχθέντα φανερὰ ἀδήλων
καὶ ἀφανῶν. ἄρρεν εὐθέως τὸ ὁλόκαυτον
ἱερεῖον· ἐπειδὴ τοῦ θήλεος καὶ ἡγεμονικώ-
τερον καὶ τελειότερον καὶ συγγενέστερον αἰ-
τίῳ δραστικῷ. τὸ γὰρ θῆλυ ἀτελὲς, ὑπή-
κοον, ἐν τῷ πάσχειν μᾶλλον ἢ ποιεῖν ἐξετα-
ζόμενον. δυοῖν δ' ὄντων ἐξ ὧν ἡ ἡμετέρα
ψυχὴ συνέστη, λογικοῦ τε καὶ ἀλόγου, τὸ
μὲν λογικὸν τῆς ἄρρενος γενεᾶς ἐστὶν, ὅπερ
νοῦς καὶ λογισμὸς κεκλήρωται· τὸ δ' ἄλο-
γον τῆς πρὸς γυναικῶν, ὅπερ ἔλαχεν αἴ-

A σθησις. νοῦς δὲ αἰσθήσεως, ὡς ἀνὴρ γυναι-
κὸς, καθ' ὅλον γένος ἀμείνων, ὡς ἄμωμος
ὢν καὶ καθαρθεὶς καθάρσεσι, ταῖς ἀρεταῖς
τελείαις· αὐτός ἐστιν ἡ εὐαγεστάτη θυσία,
καὶ ὅλη δι' ὅλων εὐάρεστος Θεῷ.

** ΚΥΡΙΛΛΟΥ. Δῶρον μὲν ὥσπερ τὶ
τῷ πάντων κρατοῦντι Θεῷ τὴν ἰδίαν ἕκα-
στος ἀνατίθησι ζωὴν, πλὴν ὡς ἑκάστῳ δίδο-
ται, καὶ ὡς ἂν ἔχοι μέτρου. Καὶ μετ' ὀλίγα.
Ἐν γὰρ τοῖς μεγέθεσι τῶν ζώων, ἤτοι ταῖς
B κατ' εἶδος διαφοραῖς, τὸ ἀνίσως τε καὶ ἀνο-
μοίως ἔχον, κατ' ἰσχὺν τάχα που τὴν πνευ-
ματικὴν, καὶ κατά γε τὴν τῆς διανοίας,
πλαγίως ὑποσημαίνεται. Καὶ μετ' ὀλίγα. Εἰς
ὁλοκαύτωμα, τουτέστιν εἰς ὁλόκληρον ἀφιέ-
ρωσιν, οὐ μεμερισμένην ἔχων πρὸς τὰ ἐν
κόσμῳ τὴν ζωὴν, ἀλλ' ὅλην ἐξ ὅλου δεκτήν
τε καὶ ἱερὰν τῷ Θεῷ. τοιός δέ τις ἔσω τῆς
θυσίας ὁ τρόπος· ἄρσεν τε καὶ ἄμωμον
ἔσω τὸ θῦμα, φησί. σύμμορφοι γὰρ ἀεί-
Γ πως εἰσὶν οἱ ἅγιοι τοῦ Χριστοῦ, ὅς ἐστιν ἄρσην
τε καὶ ἄμωμος ἀληθῶς. τοῦ μὲν ἄρσενος,
τὸ ἡγεμονικόν· τοῦ δὲ ἀμώμου, τὴν ὑπερ-
φυᾶ καὶ ἀνυπέρβλητον ἁγιότητα κατα-
γράφοντος. Καὶ μετ' ὀλίγα. Ἄρσενάς τε καὶ
ἀμώμους πρέποι ἂν εἶναι τοὺς Θεῷ καθιε-
ρωμένους, οὐδὲν ἔχοντας τὸ θηλυπρεπὲς,
οὐ παρειμένους εἰς ῥαθυμίαν, ἀλλὰ πολὺ
λίαν διανενευκότας εἰς τὸ ἀνδρίζεσθαι δεῖν,
ἄρσενά τε καὶ οἱονεὶ διεγηγερμένον τὸν ἐν-
Δ γε δὴ σφίσιν αὐτοῖς διασώζοντας νοῦν. καὶ
μέντοι πρός τό δε φαίην ἂν καθαρούς τε
καὶ ἀμώμους εἶναι χρὴ, κατά γε τὸ ἐγχω-
ροῦν τῇ ἀνθρωπίνῃ φύσει.

* ΤΟΥ ΑΥΤΟΥ. [Ἀποφέρεται δέ πως
πρὸς αὐταῖς ταῖς θύραις τῆς ἁγίας σκη-
νῆς.] τελειούμεθα γὰρ οὐχ ἑτέρως. [ἢ ὅτι
πάντη τε καὶ πάντως ἐν ἐκκλησίαις ἐσό-
μεθα εὐπαράδεκτοι τῷ Θεῷ καὶ πατρὶ,
E προσκομίζοντος ἡμᾶς ὡς ἱερέως Χριστοῦ.]

δ. Καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν
κεφαλὴν τοῦ καρπώματος δεκτὸν αὐ-
τῷ, ἐξιλάσασθαι περὶ αὐτοῦ.

ΑΔΗΛΟΥ. Ἀνθ' ἑαυτοῦ προσάξει, ὡς
ἔχοντος τὰς ἑαυτοῦ πράξεις. τοῦτο γὰρ
καὶ ἡ ἐπίθεσις τῆς χειρός.

** ΚΥΡΙΛΛΟΥ. Ἐπιθεῖναί γε μὴν τῷ
μόσχῳ τὰς χεῖρας προσέταχε, διά γε δὴ
Z τούτου πλαγίως ὑποσημαίνων, ὡς ἀνθ' ἑαυ-
τῶν ἐν τύπῳ προσάγουσιν εἰκόνα τινὰ τοῦ
χρῆναι βιοῦν ἁγίως, διὰ τοῦ τεθνάναι τῷ
κόσμῳ, τὴν τοῦ κλήρου σφαγὴν εὖ μάλα
ποιούμενοι.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὰς δὲ
ἐπιτιθεμένας τῇ τοῦ ζώου κεφαλῇ χεῖρας
δεῖγμα σαφέστατον εἶναι συμβέβηκε πρά-
ξεων ἀνυπαιτίων, καὶ βίου μηδὲν ἐπιφε-
ρομένου τῶν εἰς κατηγορίαν, ἀλλὰ τοῖς τῆς
H φύσεως νόμοις καὶ θεσμοῖς συνᾴδοντος.
βούλεται γὰρ τοῦ θύοντος πρῶτον μὲν τὸν

(1) Εἰ ὁλοκαυτοῦται, ὁλόκληρον ἔχει τὴν ἀφιέρωσιν, καὶ μὴ πρὸς τὰ ἐν κόσμῳ μεμερισμένην. διὸ, κτ. ὁ τῆς Αὐγ. κώδ.

νοῦν ὡσιῶσθαι, γνώμαις ἀγαθαῖς καὶ συμφερούσαις ἐνασκούμενον· ἔπειτα δὲ τὸν βίον ἐξ ἀρίστων συνεστάναι πράξεων. A

ε. Καὶ σφάξουσι τὸν μόσχον ἔναντι Κυρίου· καὶ προσοίσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα, καὶ προχεοῦσι τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ τὸ ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς τοῦ μαρτυρίου.

ΑΔΗΛΟΥ. Μέγα σύμβολον πρὸς ἁγιασμὸν τὸ ὡς ἐπὶ Θεοῦ γίνεσθαι. B

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸ δ' αἷμα κύκλῳ προχεῖται τῷ βωμῷ· διότι κύκλος σχημάτων τελειότατον, καὶ ὑπὲρ τοῦ μέρος οὐδὲν ἔρημον καὶ κενὸν ἀπολειφθῆναι ψυχικῆς σπονδῆς. ψυχῆς γὰρ, κυρίως εἰπεῖν, ἐστὶ σπονδὴ τὸ αἷμα.

** ΚΥΡΙΛΛΟΥ. Ἡ τοῦ μόσχου σφαγὴ καταδηλοῦν ἔοικε τὸ ἀπογενέσθαι ταῖς ἁμαρτίαις, καὶ τὸ ὑπομεῖναι θάνατον, Γ τὸν παρὰ Θεῷ τίμιον, ὃν καὶ ἐφορᾷν ἀξιοῖ. » σφάξουσι γάρ φησι τὸν μόσχον ἔναντι » Κυρίου.

ΤΟΥ ΑΥΤΟΥ. [Ἡ δέ γε τοῦ αἵματος χύσις ἐπὶ τὸ θυσιαστήριον,] τὴν τῆς ζωῆς ἀφιέρωσιν καὶ ψυχῆς ἀνάθεσιν εἰς δόξαν Θεοῦ κατασημαίνειεν ἄν.

ΩΡΙΓΕΝΟΥΣ. Θυσιαστήριον καρπώσεως ὁ βωμὸς λέγεται, ἐφ' οὗ θυσίαι καὶ τὸ τῆς ὁλοκαυτώσεως· (1) θυσιαστήριον δὲ Δ θυμιάματος, τὸ ἔσω θυσιαστήριον.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐπειδὴ ἔχαιρον ταῖς θυσίαις οἱ Ἰουδαῖοι ἐν Αἰγύπτῳ ταύταις προσεθίσαντες, ὡς καὶ ἡ ἐν τῇ ἐρήμῳ μοσχοποιΐα μαρτυρεῖ, ἐπέτρεψεν ὁ Θεὸς ταύτας αὐτῷ προσαγαγεῖν, ταύτῃ χαλινώσας τῆς πολυθείας τὰς ἀτάκτους ὁρμὰς, καὶ τοῦ μὴ θύειν δαίμοσι.

ϛ. Καὶ ἐκδείραντες τὸ ὁλοκαύτωμα, μελιοῦσιν αὐτὸ κατὰ μέλη. E

** ΚΛΗΜΕΝΤΟΣ. Προστάσσει, τὰ ὁλοκαυτώματα δείραντας, εἰς μέλη διανεῖμαι, ἐπειδὴ γυμνὴν τῆς ὑλικῆς δορᾶς γενομένην τὴν γνωστικὴν ψυχὴν, ἄνευ τῆς σωματικῆς φλυαρίας, καὶ τῶν παθῶν πάντων, ὅσα περιποιοῦσιν αἱ κεναὶ καὶ ψευδεῖς ὑπολήψεις, ἀποδυσαμένην τὰς σαρκικὰς ἐπιθυμίας, τῷ φωτὶ καθιερωθῆναι Z ἀνάγκη.

ΚΥΡΙΛΛΟΥ. Καὶ τοῦ μὲν ἐκδέρεσθαι, τὴν οἱονεὶ γύμνωσίν τε καὶ ἀποκάλυψιν τῶν ἐν ἡμῖν ὑποφαίνοντος· τοῦ δέ γε μελίζεσθαι, τὸ μέχρις ἁρμῶν τε καὶ μυελῶν διϊκνεῖσθαι τὸν τοῦ Θεοῦ λόγον.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἡ δὲ εἰς μέλη τοῦ ζώου διανομὴ δηλοῖ, ἤτοι ὡς ἓν τὰ πάντα, ἢ ὅτι ἐξ ἑνός τε καὶ εἰς ἕν. Καὶ μετ' ὀλίγα. Ἡ τιμῶσα ψυχὴ τὸ ὂν, δι' H αὐτὸ τὸ ὂν ὀφείλει μὴ ἀλόγως, μηδ' ἀνεπιστημόνως, ἀλλὰ καὶ σὺν ἐπιστήμῃ καὶ λόγῳ τιμᾷν. A ὁ δὲ περὶ αὐτοῦ λόγος τομὴν ἐπιδέχεται καὶ διαίρεσιν, καθ' ἑκάστην τῶν θείων δυνάμεων καὶ ἀρετῶν. ὁ γὰρ Θεὸς ἀγαθός τε ἐστὶ καὶ ποιητὴς καὶ γενέτης τῶν ὅλων, καὶ προνοητικὸς ὧν ἐγέννησε, σωτήρ τε καὶ εὐεργέτης, μακαριώτατος καὶ πάσης εὐδαιμονίας ἀνάπλεως, ὧν ἕκαστον καὶ καθ' αὐτὸ ἰδίᾳ σεμνὸν καὶ ἐπαινετὸν, καὶ μετὰ τῶν ὁμογενῶν ἐξεταζόμενον. ἔχει δὲ καὶ τὰ ἄλλα ταύτῃ. ὅταν βουB ληθῇς σῇ διανοίᾳ εὐχαριστῆσαι τῷ Θεῷ περὶ γενέσεως κόσμου, καὶ περὶ τοῦ ὅλου ποιοῦ τὴν εὐχαριστίαν, καὶ περὶ τῶν ὁλοσχερῶν αὐτοῦ μερῶν, ὡς ἂν ζώου τελειοτάτου μελῶν. οἷον, οὐρανοῦ λέγω καὶ ἡλίου καὶ σελήνης, πλανήτων καὶ ἀπλανῶν ἀστέρων· εἶτα γῆς καὶ τῶν ἀπ' αὐτῆς ζώων καὶ φυτῶν· εἶτα πελαγῶν καὶ ποταμῶν αὐθιγενῶν τε καὶ χειμάῤῥων, καὶ τῶν ἐν αὐτοῖς· ἔπειτα ἀέρος, καὶ τῶν κατ' αὐτὸν μεταβοΓ λῶν. χειμὼν γὰρ καὶ θέρος, ἔαρ τε καὶ μετόπωρον, αἱ ἐτήσιοι καὶ βιωφελέσταται ὧραι, παθήματα ἀέρος γεγόνασιν, ἐπὶ σωτηρίᾳ τῶν μετὰ σελήνην τρεπομένων. κἂν ἄρα ποτὲ περὶ ἀνθρώπων εὐχαριστῇς, μὴ μόνον περὶ τοῦ γένους, ἀλλὰ καὶ τῶν εἰδῶν καὶ ἀναγκαιοτάτων μερῶν εὐχαρίστει, ἀνδρῶν, γυναικῶν, Ἑλλήνων, Βαρβάρων, τῶν ἐν ἠπείροις, τῶν τὰς νήσους εἰληχότων· κἂν περὶ ἑνὸς ἀνδρὸς, τέμνε τῷ λόΔ γῳ τὴν εὐχαριστίαν, μὴ εἰς τὰ λεπτότατα μέχρι τῶν ἐσχάτων, ἀλλ' εἰς τὰ συνεκτικώτατα, σῶμα καὶ ψυχὴν τὸ πρῶτον, ἐξ ὧν συνέστηκεν, εἶτα εἰς λόγον καὶ νοῦν καὶ αἴσθησιν. οὐ γὰρ ἂν γένοιτο ἀναξία Θεοῦ ἀκοῆς καὶ ὑπὲρ ἑκάστου τούτων εὐχαριστία καθ' αὐτήν.

ζ. Καὶ ἐπιθήσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς πῦρ ἐπὶ τὸ θυσιαστήριον· καὶ E στοιβάσουσι ξύλα ἐπὶ τὸ πῦρ.

η. Καὶ ἐπιθήσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὰ διχοτομήματα, καὶ τὴν κεφαλὴν, καὶ τὸ στέαρ ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρὸς τὰ ἐπὶ τοῦ θυσιαστηρίου, ϑ. Τὰ δὲ ἐγκοίλια καὶ τοὺς πόδας πλυνοῦσιν ὕδατι. καὶ ἐπιθήσει ὁ ἱερεὺς πάντα ἐπὶ τὸ θυσιαστήριον· ὁλοZ καύτωμά ἐστι θυσίας ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.

** ΠΡΟΚΟΠΙΟΥ. Εὐωδίας δὲ ὀσμὴ, » φησὶ, τῷ Κυρίῳ, κατὰ τὴν εὐσέβειαν. » ἄλλως γὰρ δυσώδη τὰ καιόμενα σώματα. ὅθεν ἀντὶ εὐωδίας, εὐδοκίας ἡρμήνευσαν οἱ λοιποί.

ΑΛΛΟΣ. Ὀσμὴν εὐωδίας, τὴν δεκτὴν θυσίαν, ἤτοι τὴν πνευματικήν.

H ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὀσμὴ εὐωδίας κατὰ τὴν εὐσέβειαν, οὐ κατὰ τὴν ὀσμὴν τῶν καιομένων σωμάτων.

ΚΥΡΙΛ-

(1) Θυσίαι ὁλοκαυτώσεως. ἐν Τόμ. 2. σελ. 181. τῆς τοῦ Ῥου. ἐκδόσ.

ΚΥΡΙΛΛΟΥ. Εὐώδη γὰρ ἅπαντα τὰ τῶν ἁγίων, καὶ ἐδὲν ἀπόβλητον παρὰ Θεῷ. εἶεν δ' ἂν εἰς τύπον τὰ μὲν κρέατα, τῆς ἐνσωμάτε (1) ζωῆς αὐτῶν. σεμνὴ δὲ αὕτη καὶ πάναγνος. κεφαλὴ δὲ, νῦ σημεῖον· λογισμῶν δὲ καὶ ἐπιθυμιῶν, τὰ ἐντόσθια· πόδες δ' αὖ, πρακλικῆς καὶ τῆς ὡς ἐν ἔργοις πορείας αἴνιγμα λεπίόν.

ΑΔΗΛΟΥ. Κάθαρσις τῶν ἑπομένων ἀνθρώπῳ φυσικῶς, ὡς ἡ κόπρος ἕπεται τῇ τροφῇ. ἅπερ Χριςῷ μὲν ἐ πρόσεσιν· ἐδὲ γὰρ καθάρσεως ἐδεήθη· ἡμῶν δὲ διὰ τῆς χάριτος ἀφαιρεῖται. ποδῶν δὲ πλύσις τὸ ἐκ τῆς χάριτος καθαρὸν ἐν τῇ πορείᾳ δείκνυσιν, ὡς ὁ Κύριος νίψας τὲς πόδας τῶν μαθητῶν.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Διὰ μὲν τῆς κοιλίας αἰνίτ]εται, ὡς τὴν ἐπιθυμίαν ἀπονίπ]εσθαι συμφέρον, κηλίδων καὶ μιασμάτων καὶ μέθης καὶ παροινίας μεςὴν, κακὸν βλαβερώτατον, ἐπὶ λύμῃ τῦ βίε τῶν ἀνθρώπων συγκροτέμενόν τε καὶ συνασκέμενον· διὰ δὲ τῦ τὲς πόδας ἀπολέεσθαι, τὸ μηκέτι βαίνειν ἐπὶ γῆς, ἀλλ' αἰθεροβατεῖν.

ι. Ἐὰν δὲ ἀπὸ τῶν προβάτων τὸ δῶρον αὐτῦ τῷ Κυρίῳ, ἀπό τε τῶν ἀρνῶν, καὶ τῶν ἐρίφων εἰς ὁλοκαυτώματα, ἄρσεν ἄμωμον προσάξει αὐτό.

ΑΔΗΛΟΥ. Κοινῷ ὀνόματι αἱ αἶγες καὶ τὰ πρόβατα, πρόβατα καλῦνται. ἕτω κεῖται καὶ ἐν τῷ λόγῳ τῷ περὶ τῦ Πάσχα. διὸ καίτινες ἐνόησαν, ὅτι ἐ μόνον πρόβατα δύναται θύεσθαι ἐν τῇ ἑορτῇ τῦ πάσχα, ἀλλὰ καὶ αἶξ.

ια. Καὶ σφάξεσιν αὐτὸ (2) ἐκ πλαγίων τῦ θυσιαςηρίε πρὸς βοῤῥᾶν ἔναντι Κυρίε· καὶ προχεῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα αὐτῦ ἐπὶ τὸ θυσιαςήριον κύκλῳ.

✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸ πρὸς βοῤῥᾶν ὁρῶν τὸ πρόβατον θύεσθαι, (3) δύναται σημαίνειν τὸν ἐν Ἰερεσαλὴμ (4) σφαγησόμενον Χριςόν· ὅτι ἀντίκειται τῇ Ἰερεσαλὴμ ὁ βοῤῥᾶς, νοτιωτέρᾳ ἔσῃ, κατὰ τὸ,
Ψαλ. 74. 2. ὄρη Σιὼν τὰ πλευρὰ τῦ βοῤῥᾶ. (5) ὁ δ' αὐτὸς τῆς θεωρίας λόγος ἐπὶ τῦ μελισμῦ τῦ μόσχε εἴη ἂν καὶ ἐπὶ τῦ προβάτε.

✱✱ ΚΥΡΙΛΛΟΥ. Νοτιωτέρα πως ἐςὶ τῶν Ἰεδαίων ἡ γῆ· τὰ δέ γε πρὸς θάλασσαν τὴν βορειοτέραν αἱ ἀναρίθμητοι τῶν ἐθνῶν ἀγέλαι διεμερίσαντο, κατὰ χώρας καὶ πόλεις συνῳκισμέναι. αἴνιγμα δὴ ἐν τῦ καὶ αὐτὰς τὰς εἰς βοῤῥᾶν ἀγέλας, ἱερὰς ἔσεσθαι τῷ Θεῷ, τὸ ὡς ἐν μέρει τῷ βορειοτέρῳ καταθύεσθαι τὸν ἀμνόν.

ιβ. Καὶ διελῦσιν αὐτὸ κατὰ μέλη, καὶ τὴν κεφαλὴν, καὶ τὸ ςέαρ αὐτῦ· καὶ ἐπισοιβάσεσιν οἱ ἱερεῖς αὐτὰ ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τῦ πυρὸς ἐπὶ τὸ θυ-
ιγ. σιαςήριον. Καὶ τὰ ἐγκοίλια, καὶ τὲς πόδας πλυνῦσιν ἐν ὕδατι. καὶ προσοίσει ὁ ἱερεὺς τὰ πάντα, καὶ ἐπιθήσει ἐπὶ τὸ θυσιαςήριον· ὁλοκαύτωμά ἐςι θυσία ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.

ιδ. Ἐὰν δὲ τῶν πετεινῶν ὁλοκαύτωμα προσφέρῃ δῶρον τῷ Κυρίῳ, καὶ προσοίσει ἀπὸ τῶν τρυγόνων, ἢ ἀπὸ τῶν περιςερῶν (6) τὸ δῶρον αὐτῦ.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ῥαθυμίας ἀμείνες καὶ ὄκνε ἐπέκεινα τιθεὶς ὁ τῶν ὅλων Θεὸς τὲς οἵπερ ἂν ἕλοιντο πληρῦν τὰ νενομισμένα, καταλεαίνει τρόπον τινὰ τῆς καρποφορίας τὴν ὁδὸν, καὶ ἐν τοῖς ἔτι προβάτε μείοσι τὰ τῆς θυσίας ἀποπεραίνεσθαι δεῖν ἐπιτάτ]ει.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ὡς ἄριςά τε καὶ ἐντέχνως τὸ ἐν συμμορφίᾳ φαίνεσθαι τῦ Χριςῦ τοῖς ἁγίοις τετήρηται. ἔςι μὲν γὰρ ἀληθῶς ἡ ἄνωθέν τε καὶ λαλιςάτη τρυγὼν αὐτὸς, ὁμοίως δὲ καὶ ἡ πρᾳοτάτη περιςερά. καὶ γῦν ἐν μὲν τῷ ᾄσματι τῶν ᾀσ-
„ μάτων γέγραπ]αι περὶ αὐτῦ, Φωνὴ τρυ- Ασμ. 2. 12.
„ γόνος ἠκέσθη ἐν τῇ ἐρήμῳ. πρᾳότητος δὲ τῆς ἄγαν καὶ ἀνωτάτω τύπον ὥσπερ τινὰ καὶ ὑπογραμμὸν ἑαυτὸν ἡμῖν παρετίθει,
„ λέγων· μάθετε ἀπ' ἐμῦ ὅτι πρᾶός εἰμι, Ματθ. 11. 29.
„ καὶ ταπεινὸς τῇ καρδίᾳ. ἀλλ' ἰδὲ καὶ αὐτοῖς τοῖς ἁγίοις, διάτοι τὸ ἐν μορφῇ γενέσθαι Χριςῦ, τὸ ἐν ἴσοις ὥσπερ ἀγαθοῖς εὐπρεπές τε καὶ ἀξιάγαςον, εὖ μάλα τετήρηται. τρυγόνες γὰρ καὶ αὐτοὶ νοοῖντ' ἂν εἰκότως, τὸν θεῖόν τε καὶ ἱερὸν τοῖς ἀκροωμένοις ἱεῖσαι λόγον, ᾠδάς τε καὶ μέλη τὰ εἰς δόξαν Θεῦ ποιεῖσθαι σπεδάζε-
„ σαι. τοιγάρτοι καὶ λέγεσιν, ἡ γλῶσσά με Ψαλ. 70. 24.
„ μελετήσει τὴν δικαιοσύνην σε, ὅλην τὴν
„ ἡμέραν τὸν ἔπαινόν σε. καὶ μέντοι καὶ τὸν ἐν Χριςῷ διαζῶσι βίον, καὶ τὴν πρᾳοτάτην τῆς εὐαγγελικῆς πολιτείας ἴενται τρίβον, τοῖς παίεσιν ἐθέλεσιν εἰς τὴν δεξιὰν σιαγόνα παραφέροντες καὶ τὴν ἀριςερὰν, καὶ τοῖς ἀγγαρεύεσι μίλιον ἓν ἐθέλοντὶ δωρέμενοι, τὸ ἅπερ ἕλοιντο διασείχειν καὶ δύο.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐκλέγεται καὶ ἀπὸ τῶν ὀρνέων τὸ σῶφρον, ὡς τὴν τρυγόνα· καὶ

(1) Τῆς οἱονεὶ παχυτέρας αὐτῶν καὶ ἐνσωμάτε ζωῆς. ἐν Τόμ. 1. μέρ. 2. σελ. 562. ὁ δὲ Ἀλεξάνδρε κώδ. τῆς ἐν Θεῷ ζωῆς αὐτῶν.

(2) Οὕτω μὲν ὅ, τε Αὐθεντ. καὶ ὁ Ἀλεξ. κώδ. ἡ δὲ ἐν Φρανεκ. ἔκδοσ. καὶ ἡ ἐν Κανταβρ. Καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτῦ· καὶ σφάξεσιν αὐτό.

(3) Σφάζεσθαι. ὁ τῆς Αὐγ. κώδ.

(4) Τὸν ἐκ τῆς Ἱερεσαλὴμ ἐξιέναι, καὶ οἷον ἔξω τετράφθαι· τὸν ἐν Ἱερεσαλὴμ, κτ. ὁ αὐτ.

(5) Τὰ ἑπόμεν. ἐν τῷ τῆς Αὐγ. κώδ. ἐ κεῖται. ἐκ τῶν τῦ Κυρίλ. δὲ ἐοίκασι, τῶν ἐν τῷ 1. Τόμ. μέρ. 2. σελ. 562.

(6) Περιςεριδίων, ἡ τῦ Ἀλλ. ἔκδ. ὅθεν προσφυὲς τὸ τῦ Ἀπολιναρ. ὑπόμν.

καὶ νεοσσοὺς περιστερῶν, διὰ τὸ ἄκακον. A νεοσσοὺς δὲ πρὸ τῆς ἐν κοινωνίᾳ συμπλοκῆς, σωφροσύνης καὶ τοῦτο σύμβολον.

ιε. Καὶ προσοίσει ὁ ἱερεὺς πρὸς τὸ θυσιαστήριον, καὶ ἀποκνίσει τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον, καὶ στραγγιεῖ τὸ αἷμα πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου.

ΑΔΗΛΟΥ. Ἀποκνίσει, καὶ ἀνακλάσει, (1) μαδίσει, λεπίσει. B

** ΚΥΡΙΛΛΟΥ. Εἶτα τὴν κεφαλὴν ἀποκνίσας ὁ ἱερεὺς, ἐπιτίθησι τῷ θυσιαστηρίῳ, προχέας τὸ αἷμα. ἅγιος γὰρ ἀληθῶς, καὶ ὅτι μάλιστα τῶν ἱερωτάτων, ἁγίων ὁ νοῦς, ἀνακεῖσθαι πρέποι τῷ πανάγνῳ Θεῷ· ἐννοιῶν γάρ ἐστιν ἔμμεστος ἀγαθῶν, καὶ τῆς ἀληθοῦς θεογνωσίας εὐωδιάζει τὸ μύρον. Παροιμ. 12. 5. λογισμοὶ γὰρ δικαίων, κρίματα, κατὰ τὸ γεγραμμένον. ἁγία δὲ Γ ὅτι καὶ ἡ ζωὴ τῶν ἐν φόβῳ Θεοῦ. σαφὲς ἂν γένοιτο, διὰ τὸ δεῖν τῷ ἁγίῳ θυσιαστηρίῳ προχεῖσθαι τὸ αἷμα. ζωῆς γὰρ τύπος τὸ αἷμα.

ις. Καὶ ἀφαιρεῖ τὸν πρόβολον (2) σὺν τοῖς πτεροῖς, καὶ ἐκβαλεῖ αὐτὰ παρὰ τὸ θυσιαστήριον κατὰ ἀνατολὰς εἰς τὸν τόπον τῆς σποδοῦ.

* ΘΕΟΔΟΤΙΩΝ. Τὴν φῦσαν αὐτοῦ Δ σὺν τοῖς πτίλοις.

ΘΕΟΔΩΡΙΤΟΥ. Προσεφέρετο δὲ καὶ ἀπὸ τῶν πετεινῶν ὁλοκαύτωμα. πρόκειται γὰρ καὶ τοῖς πετομένοις ὁ τέλειος καὶ φιλόσοφος βίος. ὥσπερ δὲ τῶν τετραπόδων οὔτε τὸ δέρμα, οὔτε ἡ κόπρος τῷ Θεῷ προσεφέρετο· οὕτω καὶ τῶν πτηνῶν ὁ πρόβολος (3), καὶ τὰ πτίλα πόῤῥω τῆς παρεμβολῆς ἐξεβάλλετο· καὶ οὐδὲ ταῦτα ὡς ἔτυχεν ἐῤῥίπτετο. ἀλλ' ἐν καθαρῷ τινὶ χωρίῳ, E ᾧ καὶ τοῦ βωμοῦ τὴν κόνιν ἐνέβαλλον. πρόλοβον δὲ ὁ Θεοδοτίων τὴν φῦσαν ἐκάλεσεν· Ἀκύλας δὲ, τὴν σιτίζουσαν. ἐκείνη δὲ (4) τὴν τροφὴν δεχομένη, τῷ λοιπῷ σώματι χορηγεῖ. ὅθεν καὶ οἱ Ἑβδομήκοντα πρόλοβον αὐτὴν προσηγόρευσαν, ἅτε δὴ τὴν τροφὴν προϋποδεχομένην.

ΚΥΡΙΛΛΟΥ. Ἐλεύθερος καὶ ἀπηλλαγμένος ὁ τῶν ἁγίων βίος παντὸς ὑλικοῦ πράγματος. τοῦτο γὰρ οἶμαι εἶναι τὴν τῶν πτίλων ἀποβολήν.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐδὲ τὰ ῥιπτόμενα ἁπλῶς ἐᾷ ῥίπτεσθαι, ἀλλ' εἰς τόπον ἔνδηλον καὶ ἀφωρισμένον. σύμβολα δὲ ταῦτα τῶν οὐ δι' ἑαυτὰ, ἀλλὰ δι' ἕτερα γεγονότων· ἥτε γὰρ φῦσα πρὸς τὴν τοῦ λοιποῦ σώματος τροφήν· ἣν σιτίζουσαν Ἀκύλας ἡρμήνευσεν, καὶ οἱ Ἑβδομήκοντα πρόλοβον, τὸ προλαμβάνον τὴν τροφήν· καὶ τὰ πτίλα πρὸς τὴν τοῦ σώματος ἐπικάλυψιν. τοιαῦτα τὰ ἄλογα ζῶα, οὐ δι' ἑαυτὰ γεγονότα, ἀλλὰ δι' ἄνθρωπον. ἃ μηδὲ παραμένει μετὰ ἀνθρώπων ἀνατιθεμένων Θεῷ ἐν τῇ μελλούσῃ ζωῇ. δηλοῖ δὲ καὶ τὴν τῶν κατὰ Θεὸν ἀσκουμένων ἐγκράτειαν, καὶ τῶν περιττῶν τὴν ἀπόθεσιν· ἀπαλλαγὴν δὲ τελείαν ἐν τῇ μελλούσῃ ζωῇ. νῦν γὰρ δοκεῖ πως εἶναι χρειώδη, ὡς καὶ τοῖς ὀρνέοις πτίλα καὶ πρόλοβος.

ιζ. Καὶ ἐκκλάσει αὐτὸ ἐκ τῶν πτερύγων, καὶ οὐ διελεῖ, καὶ ἐπιθήσει αὐτὸ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρός. ὁλοκαύτωμά ἐστι θυσία ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.

Ὁλοκαύτωμα. Ἄλλος, ὁλοκαυτώματα.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐ διαιρεῖται τὰ πετεινὰ τῇ τῶν πτίλων ἀποβολῇ, σημεῖον ὄντα τῶν εἰς Θεὸν ἀνιπταμένων. οὕτω καὶ Ἀβραὰμ τὰ ὄρνεα οὐ διεῖλε.

** ΚΥΡΙΛΛΟΥ. Ἡ τῶν πτερυγίων ἔκκλασις, ἀλαζονείας ἀπόθεσιν αἰνιγματωδῶς ὑποφαίνει. ὅτι δὲ καὶ εἰς ἅπαν, καὶ ἵν' οὕτως εἴπωμεν ὁλοτρόπως, ἀνέθεσαν τῷ Θεῷ τὴν οἰκείαν ζωὴν, οὐ μεμερισμένοι πρὸς τὰ ἐν κόσμῳ, τὸ μὴ διαιρεῖσθαι δηλοῖ. μεμερίσθαι δὲ τοὺς ἐν γάμῳ, καὶ ὁ 1. Κορ. 7. 33. σοφὸς ἔφη Παῦλος. ἱερὸς οὖν ἄρα τῶν ἁγίων ὁ νοῦς, ζωή τε ἁγία, καὶ τρυφῆς ἀμείνων σωματικῆς, καὶ μερίμνης κοσμικῆς ἐλευθέρα, καὶ φρονήματι τῷ μετρίῳ περικαλλής· ἀμέριστος δὲ πρὸς τὰ ἐν κόσμῳ. τοιγάρτοι καὶ εἰς ὀσμὴν εὐωδίας ἀνατίθεται τῷ Θεῷ.

ΚΕΦ. Β.

α. Ἐὰν δὲ ψυχὴ προσφέρῃ δῶρον θυσίαν τῷ Κυρίῳ, σεμίδαλις ἔσται τὸ δῶρον αὐτοῦ, καὶ ἐπιχεεῖ ἐπ' αὐτοῦ ἔλαιον, καὶ ἐπιθήσει ἐπ' αὐτὸ λίβανον· θυσία ἐστί.

ΚΥΡΙΛΛΟΥ. Τὸ τοῦ προσκομίζοντος ὑπέδειξε ταπεινόν. ψυχὴ γὰρ ἁπλῶς, κἂν εἰ πολὺ τὸ ἄσημον ἔχοι κατὰ τὸν τῇδε » βίον, τιμία παρὰ τῷ Θεῷ. ὅτι πᾶσαι αἱ Ἰεζ. 18. 4. » ψυχαὶ ἐμαί εἰσιν. ἀπροσωπόληπτον γὰρ τὸ θεῖον. (5)

ΤΟΥ ΑΥΤΟΥ. Ζωῆς σημεῖον ἡ σεμίδαλις, διὰ τὸ τρέφειν δύνασθαι· τὸ δὲ ἔλαιον, ἱλαρότητος. ἡμεῖς δὲ τρόπῳ τελειοτέρῳ, ἀντὶ σεμιδάλεως τὴν οἰκείαν ἀναθή-

(1) Ἀνακλάσει. τὸ Σαμαρειτικόν. (ἐν ταῖς σημειώσ. ταῖς εἰς τὴν Γραφ. τὴν ἐν Φρανεκ. ἐκδοθ.) ὁμοίως καὶ τὸ, μαδίσει, λεπίσει, ἀντὶ τοῦ, διελεῖ, τοῦ ἐν τῷ 17. ἐδ.

(2) Πρόλοβον. ἡ ἐν Φρανέκ. καὶ ἡ ἐν Κανταβριγ. ἔκδοσ.

(3) Ὁ πρόλοβος. ἡ ἐν Χάλ. ἐκδ.

(4) Ἐκείνη γάρ. αὐτ.

(5) Περίληψίς ἐστι τῶν ἐν Τόμ. 1. μέρ. 2. σελ. 565. ὡσαύτως καὶ τὰ ἑπόμ.

ἀναθήσομεν ζωὴν ἐν ἱλαρότητι ἐλπίδος, καὶ τῇ εὐωδίᾳ τῶν πράξεων, ὧν σύμβολον ὁ λίβανος.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπισημήνασθαι δὲ προσήκει, ὡς καὶ τὴν προσφερομένην σεμίδαλιν, καὶ τοὺς κλιβανίτας ἄρτους, καὶ τοὺς ἐσχαρίτας, καὶ τὰ ἀπὸ τηγάνου λάγανα, θυσίαν καλεῖ, ψυχαγωγῶν τῷ ὀνόματι τοὺς πενίᾳ συζῶντας, ἵνα μὴ δυσχεραίνωσιν, ὡς ζώων σπανίζοντες. ἐπισημαντέον δὲ καὶ τοῦτο, ὡς τὸν προσφέροντα ζῶον, ἄνθρωπον ὀνομάζει· ἄνθρωπος γάρ» φησιν ἐξ ὑμῶν, ὃς ἐὰν προσφέρῃ δῶρον » τῷ Κυρίῳ, ἀπὸ τῶν κτηνῶν, ἀπὸ τῶν βοῶν, » ἢ ἀπὸ τῶν προβάτων, προσοίσεται αὐτό· τὸν δὲ σεμίδαλιν προσκομίζοντα, ψυχὴν » καλεῖ. ἐὰν γὰρ ψυχὴ, [φησὶ,] προσφέρῃ » δῶρον θυσίαν τῷ Κυρίῳ, σεμίδαλις ἔσται » τὸ δῶρον αὐτοῦ. ὁ λογικὸς γὰρ τὸ ἄλογον προσφέρει, ἡ δὲ ψυχὴ τὸ ἄψυχον.

Λευϊτ. 1. 2.

β. Καὶ οἴσει πρὸς τοὺς υἱοὺς Ἀαρὼν τοὺς ἱερεῖς· καὶ δραξάμενος ἀπ' αὐτῆς πλήσει τὴν δράκα ἀπὸ τῆς σεμιδάλεως σὺν τῷ ἐλαίῳ, καὶ πάντα τὸν λίβανον αὐτῆς, καὶ ἐπιθήσει ὁ ἱερεὺς τὸ μνημόσυνον αὐτῆς ἐπὶ τὸ θυσιαστήριον· θυσία ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἀνοίσει τότε τὸ μνημόσυνον αὐτῆς ὁ ἱερεὺς τῷ Θεῷ. προσελευσόμεθα γὰρ ἐν Χριστῷ τῷ Θεῷ καὶ πατρὶ διὰ τῆς πνευματικῆς θυσίας, καὶ τὸ καὶ ἐν μνήμῃ κεῖσθαι τῇ παρ' αὐτῷ κερδαίνοντες. δι' ὧν γὰρ εὐδοκιμεῖν ἐθίσμεθα, διὰ τούτων αὐτῶν ἀποφανούμεθα, ὅτι καὶ μνήμης ἄξιοι, καὶ ἐν γνώσει Θεοῦ γεγόναμεν ἐν Χριστῷ.

γ. Καὶ τὸ λοιπὸν τὸ ἀπὸ τῆς θυσίας Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, ἅγιον τῶν ἁγίων ἀπὸ τῶν θυσιῶν Κυρίῳ.

δ. Ἐὰν δὲ προσφέρῃ δῶρον θυσίαν πεπεμμένην ἐν κλιβάνῳ ἐκ σεμιδάλεως, ἄρτους ἀζύμους πεφυραμένους ἐν ἐλαίῳ, καὶ λάγανα ἄζυμα διακε-
ε. χρισμένα ἐν ἐλαίῳ. Ἐὰν δὲ θυσία ἀπὸ τηγάνου τὸ δῶρόν σου, σεμίδαλις πεφυραμένη ἐν ἐλαίῳ, ἄζυμα ἔσται.
ϛ. Καὶ διαθρύψεις αὐτὰ κλάσματα, καὶ ἐπιχεεῖς ἐπ' αὐτὰ ἔλαιον· θυσία ἐστὶ
ζ. Κυρίῳ. Ἐὰν δὲ θυσία ἀπὸ ἐσχάρας τὸ δῶρόν σου, σεμίδαλις ἐν ἐλαίῳ ποιηθήσεται.

ΑΔΗΛΟΥ. Ὅτι τὴν σεμίδαλιν, καὶ τοὺς ἀπὸ κλιβάνου ἄρτους, θυσίαν ἐκάλεσε, καὶ τὰ παραπλήσια, ψυχαγωγῶν τῷ ὀνόματι τοὺς πένητας· καὶ ἵνα μὴ δυσχεραίνωσιν, ὡς ζώων σπανίζοντες. καὶ ὅτι τὸν προσφέροντα ἔμψυχόν τι, ἄνθρωπον ὀνομάζει· τὸν δὲ σεμίδαλιν προσκομίζοντα, ψυχήν· ὁ λογικὸς γὰρ τὸ ἄλογον προσφέρει, ψυχὴ δὲ τὸ ἄψυχον. (1)

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἔοικε δέ πως ἐν γε δὴ τούτοις ὁ λόγος τὰς διὰ πυρώσεώς τε καὶ πόνων, καὶ μέντοι καὶ συντριβῆς εὐδοκιμήσεις ἡμῖν τῶν ἁγίων ὑποδηλοῦν. κλίβανος γὰρ καὶ ἐσχάρα, καὶ μὴν καὶ τῷ μύλῳ καταλεπτύνεσθαι, σημεῖά που πάντως εἶεν ἂν συντριβῆς τε καὶ πόνου δοκιμαζομένων, ὡς διὰ πυρός.

η. Καὶ προσοίσει τὴν θυσίαν ἣν ἂν ποιήσῃ ἐκ τούτων τῷ Κυρίῳ, καὶ
θ. προσοίσει πρὸς τὸν ἱερέα. Καὶ προσεγγίσας πρὸς τὸ θυσιαστήριον, ἀφελεῖ ὁ ἱερεὺς ἀπὸ τῆς θυσίας τὸ μνημόσυνον αὐτῆς, καὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον κάρπωμα· ὀσμὴ
ι. εὐωδίας τῷ Κυρίῳ. Τὸ δὲ καταλειφθὲν ἀπὸ τῆς θυσίας, Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, ἅγια τῶν ἁγίων ἀπὸ τῶν καρπωμάτων Κυρίῳ.

ια. Πᾶσαν θυσίαν, ἣν ἂν προσφέρηται τῷ Κυρίῳ, οὐ ποιήσετε ζυμωτόν· πᾶσαν γὰρ ζύμην καὶ πᾶν μέλι οὐ προσοίσετε ἀπ' αὐτοῦ, καρ-
ιβ. πῶσαι τῷ Κυρίῳ δῶρον. Ἀπαρχῆς προσοίσετε αὐτὰ Κυρίῳ, ἐπὶ δὲ τὸ θυσιαστήριον οὐκ ἀναβιβασθήσεται εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀπαγορεύει δὲ ζυμίτας ἄρτους προσφέρειν, δι' ἣν ἔφην αἰτίαν. ὅτι οὐδὲν ἔχειν δεῖ τῆς αἰγυπτιακῆς πολιτείας. ἀπαγορεύει δὲ καὶ μέλι προσφέρεσθαι τῷ Θεῷ. (2) τινὲς μέν φασιν, ὡς τῆς μελίττης καὶ ἀκαθάρτοις τόποις ἐφιζανούσης, καὶ πάντοθεν ἀθροιζούσης τῆς μελιττουργίας τὰς ἀφορμάς· τινὲς δὲ, διδάσκεσθαι ἡμᾶς εἰρήκασιν, ἐξ οἰκείων πόνων τὰς θυσίας ἐπιτελεῖν, κατὰ τὴν τοῦ Σολομῶντος παραίνεσιν, τὴν λέγουσαν· » τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, » καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης. ὁ δὲ τῆς μελίττης καρπὸς, οὐχ ἡμέτερός φασι πόνος. ἀλλ' οὗτος ὁ λόγος οὐκ ἔχει τὸ ἀκριβές. καὶ γὰρ ἡ μελιττουργία τῶν ἀνθρώπων ἐστὶ φιλοπονία. οἱ μὲν γὰρ γηπονίας, οἱ δὲ προβατείας φροντίζουσι· καὶ οἱ μὲν ἐμπορίας, οἱ δὲ μελιττουργίας. οἶμαι τοίνυν, διὰ μὲν τῆς ζύμης, τὴν παλαιότητα τῆς πονηρίας αἰνίττεσθαι· διὰ δὲ τοῦ μέλιτος, τὴν ἡδονὴν ἀπαγορεύεσθαι. τοῖς μέντοι ἱερεῦσι καὶ τὰς τούτων προσφέρεσθαι ἐκέλευσεν ἀπαρχάς. οὗτοι γὰρ τὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων πρεσβείας προσφέρουσιν. ὅθεν διὰ τοῦ Προφήτου περὶ αὐτῶν εἶπεν· ἁμαρ» τίας λαοῦ μου φάγονται.

Παροιμ. 3. 9.

Ὠσ. 4. 8.

» ΑΔΗΛΟΥ. Ὁ Σολομὼν φησι, τίμα τὸν » Κύριον ἀπὸ σῶν δικαίων πόνων· τὸ δὲ μέλι ἀπὸ

Παροιμ. 3. 9.

(1) Ἐκ τῶν τοῦ Θεοδωρίτ. ἐστί.

(2) Τῷ βωμῷ. ἡ ἐν Χάλ. ἔκδ.

ἀπὸ ἀλλοτρίων πόνων ἐστί. ἡ δὲ ζύμη πα-
νουργίας ἐστὶ τύπος, τὸ δὲ μέλι ἡδονῆς.
ἐναντίον δὲ τῷ μέλιτι τὸ ἅλας. στυπτικὸν
γὰρ ἀντεισάγει φρονήσεως σύμβολον, κα-
Κολασ. 4. 6. θά φησιν ὁ Ἀπόστολος· ὁ λόγος ὑμῶν ἅλα-
τι ἠρτυμένος. σημειωτέον δὲ, ὅτι θυσιαστη-
ρίῳ μὲν ζυμωτὸν ἄρτον καὶ μέλι ἀπηγόρευ-
σεν ὁ Θεὸς προσάγεσθαι· ἀπαρχὴν δὲ ζυ-
μωτὸν ἄρτου, (1) καὶ μέλιτος οὐκ ἀπηγόρευ-
σεν, ὡς σίτου, καὶ ἐλαίου, καὶ τῶν λοιπῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Τὴν παλαιότητα
τῆς κακίας, καὶ τὴν ἡδονὴν ἀπαγορεύει.
ἤγουν ζύμην καλεῖ τὴν ἐπὶ κακῷ πανουρ-
γίαν. ἔστι γὰρ καὶ ἀγαθὴ, ἣν τῆς σοφίας
ὁ λόγος διδόναι τοῖς ἀκάκοις ἐπαγγέλλε-
ται. διττὸν δὲ καὶ τὸ μέλι, πονηρὸν μὲν,
Παροιμ. 5. 2, ὡς ἐν γε τῷ φάναι, μὴ πρόσεχε φαύλῃ
3. » γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων
» γυναικὸς πόρνης· ἀγαθὸν δὲ σημαίνει
Παροιμ. 24. γλύκασμα, ὡς ἐν τῷ, φάγε μέλι υἱέ. ἀγα-
13. » θὸν γὰρ κηρίον, ἵνα γλυκανθῇ ὁ φάρυγξ.
ἀλλ᾽ ὅμως ἀπαρχὴν μὲν δέχεται ταῦτα
ὁ νόμος, ὡς σῖτον καὶ ἔλαιον, οὐ μὴν εἰς ὀσμὴν
εὐωδίας προσεφέρετο τῷ Θεῷ. Καὶ μετ᾽ ὀλίγα.
Τὸ μέλι σημαῖνον τὴν σαρκικὴν ἡδονὴν, εἰ
μὲν τὴν παράνομον, παντελῶς ἀπόβλη-
τον· εἰ δὲ τὴν κατὰ νόμιμον γάμον, δεκτὸν
ἐστὶν, ἀλλ᾽ οὐκ εἰς ὀσμὴν εὐωδίας, ὡς παρ-
1. Κορ. 7. 5, 6, θενία τε καὶ ἐγκράτεια. μὴ ἀποστερεῖτε
40. » γὰρ ἀλλήλους εἰπὼν ὁ Παῦλος, ἐπήνεγκε,
» ταῦτα δὲ λέγω διὰ τὴν ἀκρασίαν ὑμῶν,
» καὶ κατὰ συγγνώμην, οὐ κατ᾽ ἐπιταγήν.
» περὶ δὲ τῆς παρθένου, μακαριωτέρα ἐστὶν
» ἐὰν οὕτω μείνῃ.

ιγ. Καὶ πᾶν δῶρον θυσίας ὑμῶν
ἁλὶ ἁλισθήσεται· οὐ διαπαύσετε ἅλας
διαθήκης Θεοῦ ἀπὸ θυμιασμάτων (2)
ὑμῶν. ἐπὶ παντὸς δώρου ὑμῶν προ-
σοίσετε ἅλας.

ΘΕΟΔΩΡΙΤΟΥ. Τοὺς δὲ ἅλας ἐπι-
βάλλεσθαι τοῖς ἱερείοις κελεύει, τὸ διακρι-
τικὸν τῆς ψυχῆς διὰ τούτων σημαίνων. τού-
του ἐστέρητο ἡ τοῦ Κάϊν θυσία. διὸ ἤκουσε
Γεν. 4. 7. » παρὰ τοῦ τῶν ὅλων Θεοῦ, οὐκ ἂν ὀρθῶς
» προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς. καὶ ὁ
Κολασ. 4. 6. θεῖος Ἀπόστολος νομοθετεῖ, λέγων· ὁ λό-
» γος ὑμῶν ἔστω πάντοτε ἅλατι ἠρτυμένος.
Ματθ. 5. 13. καὶ ὁ Κύριος τοῖς Ἀποστόλοις ἔφη· ὑμεῖς
» ἐστὲ τὸ ἅλας τῆς γῆς. ἐὰν δὲ τὸ ἅλας μω-
» ρανθῇ, ἐν τίνι ἁλισθήσεται;

** ΚΥΡΙΛΛΟΥ. Κατεπάττετο δὲ ἁλ-
σὶν ἡ θυσία, τοῦ τύπου σημαίνοντος, τὸ ἐμ-
φρόνως χρῆναι καθιεροῦσθαι Θεῷ, καὶ οἱονεὶ
ποιεῖσθαι νοσιμωτάτην αὐτῷ τὴν πρόσοδον.

ιδ. Ἐὰν δὲ προσφέρῃς θυσίαν πρω-
τογεννημάτων τῷ Κυρίῳ, νέα πεφυ-
ραμένα (3) χίδρα ἐρικτὰ τῷ Κυρίῳ·
καὶ προσοίσεις τὴν θυσίαν τῶν πρω-
τογεννημάτων.

A Ἀκύλας καὶ Σύμμαχος, ἁπαλὰ λά-
χανα ὀσπριώδη. Ἀκύλας, ἐν πυρί. Θεο-
δοτίων, πίονα ἄλφιτα.

ΕΥΣΕΒΙΟΥ. Χίδρα ἐστὶν, ὅταν ἀπὸ
τῶν ἀκμασάντων ἀσταχύων λαβὼν διαθρύ-
ψῃ τις χερσὶν, οἱονεὶ ἀλέσας. τοῦτο γὰρ
ἐστιν ἐρικτὰ, καὶ τὰ ἐν μύλῳ πλασθέντα,
καὶ τὸν φλοιὸν ἀποβαλόντα ὀσπριώδη λά-
χανα.

** ΚΥΡΙΛΛΟΥ. Χίδρα λέγεται τὰ ἐξ
B ὀσπρίων ἄλευρα. ἐν δέ γε τοῖς τύποις τὸ
Χριστοῦ λαμβάνει μυστήριον. καί ἐστιν αὐτὸς
ἡ ὑπὲρ ἡμῶν θυσία, τὸ πρωτογέννημα τὸ
πνευματικὸν, τουτέστιν ἡ τῆς ἀνθρωπότη-
τος ἀπαρχή. Καὶ μετ᾽ ὀλίγα. Οὐκ ἐκ μόνου
προσφέρεται σίτου τὰ εἰς θυσίαν, ἀλλὰ
καὶ ἐξ ὀσπρίων κατερεικτῶν. ὅνπερ γὰρ
τρόπον ἐκ σίτου σεμίδαλιν, καὶ οὐκ αὐτὸν
ὑγιᾶ τὸν κόκκον ὁλοκαυτεῖν διετύπου· οὕτω
κἀνταῦθα χρῆναι ποιεῖσθαι κατερεικτὰ,
Γ τουτέστιν ἀληλεσμένα τὰ ἐξ ὀσπρίων προσέ-
ταχεν, ἵνα δὴ φαίνοιτο τῇ θυσίᾳ προσὸν
τὸ οἱονεὶ ἐδώδιμον. κατειθίσμεθα γὰρ, οὐχ
ὑγιᾶ τὸν κόκκον, συντεθραυσμένον δὲ
μᾶλλον ποιεῖσθαι τροφήν. οὐκοῦν πρωτο-
γέννημα μὲν ὁ Χριστὸς, καὶ θυσία τῷ Θεῷ
καλὴ καὶ εὐοσμωτάτη, τροφιμωτάτη δὲ
λίαν καὶ ἡμῖν αὐτοῖς. αὐτὸς γάρ ἐστιν ὁ ἄρ-
» τος, ὁ ἐξ οὐρανοῦ καταβὰς, καὶ ζωὴν τῷ Ἰωάν. 6. 50.
» κόσμῳ διδούς· καὶ οἱονεί πως ἡμῖν ἔδεσμα
Δ τὸν αὐτὸν παραθεὶς, καθάπερ σεμίδαλιν,
ἢ χίδραν.

ιε. Καὶ ἐπιχεεῖς ἐπ᾽ αὐτὴν ἔλαιον,
καὶ ἐπιθήσεις ἐπ᾽ αὐτὴν λίβανον, θυ-
σία ἐστί.

** ΚΥΡΙΛΛΟΥ. Ἐπιχέεσθαι δὲ τῇ
θυσίᾳ δεῖν ἔφη τὸ ἔλαιον, καταπάττεσθαι
δὲ αὐτὴν καὶ λιβανωτῷ προσέταξε· τοῦ
μὲν ἐλαίου, τὸ ὡς ἐν πιότητι καὶ ἱλαρότητι
E συμβολικῶς ὑποφαίνοντος· τοῦ δέ γε λι-
βάνου, τὸ ἱερὸν καὶ εὐῶδες ἀστείως ἡμῖν ὑπο-
σημαίνοντος. Καὶ μετ᾽ ὀλίγα. Νοοῖτο δ᾽ ἂν καὶ
ἑτέρως, εἴπερ ἕλοιτό τις. ἠλεήμεθα γὰρ
» ἐν Χριστῷ. καὶ τοῦτο οἶμαί ἐστι τὸ, ἐλίπανας Ψαλ. 22. 5.
» ἐν ἐλαίῳ τὴν κεφαλήν μου. ὅτι δὲ οὐκ ἐπί-
τισιν εὐλόγοις αἰτίαις, ἤτοι πλημμελήμα-
σιν ὁ Χριστοῦ θάνατος, ἀλλ᾽ εὐοσμωτάτη
λίαν καὶ ἀμώμητος παντελῶς ὑπὲρ ἡμῶν
θυσία· προσκεκόμισται γὰρ ἵνα καταργήσῃ
Z τὴν ἁμαρτίαν, καὶ τὸν ἐξ αὐτῆς τε καὶ δι᾽
αὐτῆς θάνατον· διὰ τοῦ λιβάνου σημήσεις.

ις. Καὶ ἀνοίσει ὁ ἱερεὺς τὸ μνημό-
συνον αὐτῆς ἀπὸ τῶν χίδρων σὺν τῷ
ἐλαίῳ, καὶ πάντα τὸν λίβανον αὐτῆς.
κάρπωμά ἐστι Κυρίῳ.

** ΚΥΡΙΛΛΟΥ. Προσκεκρουκότες μὲν
διὰ πολλῶν ἁμαρτιῶν, μονονουχὶ καὶ ἐξ
ὀμμάτων γεγενήμεθα τοῦ πατρός. ἐπει-
H δὴ δὲ γέγονεν ὑπὲρ ἡμῶν θυσία Χριστὸς,
ἐμνήσθη ἡμῶν καὶ ηὐλόγησεν ἡμᾶς.

ΚΕΦ.

(1) Ζυμωτοῦ ἄρτου ὀρθότερ. ἐκ τῶν τοῦ Θεοδωρίτ. δὲ καὶ ταῦτα ἔοικε.
(2) Θυσιασμάτων. ἥ τε ἐν Φραν. καὶ ἡ ἐν Καντ. ἔκδ. (3) Πεφρυγμένα. αὐτ.

Κ Ε Φ. Γ.

α. Ἐὰν δὲ θυσία σωτηρίου [τὸ] δῶρον αὐτοῦ τῷ Κυρίῳ, ἐὰν μὲν ἐκ τῶν βοῶν αὐτῷ (1) προσαγάγῃ, ἐάν τε ἄρσεν, ἐάν τε θῆλυ, ἄμωμον προσάξει αὐτῷ ἔναντι Κυρίου.

ΑΔΗΛΟΥ. Ἡ θυσία τοῦ σωτηρίου, ἤτοι εἰρηνικῶν, διχῇ ἐστί· (2) σωτηρίου ἑκουσιασμοῦ, ὡς μετὰ ταῦτά φησι· καὶ ὅτι ἐπὶ μὲν τῶν ὁλοκαρπωμάτων ἄρσεν πάντως ἐστίν· ὥσπερ οὖν καὶ ἐπὶ τῆς ἁμαρτίας τοῦ ἱερέως, ἤτοι τοῦ λαοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Αἱ δὲ τοῦ σωτηρίου θυσίαι, ἃς ἕτεροι εἰρηνικῶν ἑρμηνεύουσι, διτταί τινες ἦσαν, σωτηρίου αἰνέσεως, καὶ σωτηρίου ἑκουσιασμοῦ, ὡς ἐρεῖ προϊών. οὖσαι δὲ χαριστήριοι ἐπὶ τοῖς ἀγαθοῖς καὶ τῇ εἰρήνῃ τῇ παρὰ Θεοῦ, ἐλάττω τῶν ὁλοκαυτωμάτων ἔχουσιν ἀξίαν. μερικὴν γάρ, ἀλλ' οὐχ ὅλου δηλοῦσιν ἀνάθεσιν. ὅθεν, οὐκ ἀῤῥένων μόνον εἰσίν, ἀλλ' ἤδη καὶ θηλέων. καὶ ἐπάνω τῶν ὁλοκαυτωμάτων αἱ ἐξ αὐτῶν ἀπαρχαὶ καίονται. οὕτως οἱ ἐκ μέρους ἀνακείμενοι τῷ Θεῷ διὰ τῶν παντελῶς ἀνακειμένων προσάγονται, καὶ ἐξαιρέτως ἐν τῇ Χριστοῦ προσαγωγῇ.

** ΚΥΡΙΛΛΟΥ. Ἀκριβολογεῖται οὖν σφόδρα τὸ γράμμα τὸ νομικὸν περί τε ἄρσεν καὶ θῆλυ. νοοῖτο δ' ἂν πάλιν ὡς ἐν ἀμφοῖν ὁ Χριστός. ἐν ἄρσεσι μέν, ὡς ἡγούμενος, ἤτοι καθηγητής· ἡγεμονικώτερον γὰρ θατέρου τὸ ἄρσεν· ἐν θήλεσι δέ, ὡς γεγονὼς ὑπὸ νόμον καὶ ἡγούμενος. ὑπεξούσιον γὰρ καὶ ἐν δευτέροις ἀεὶ τὸ θῆλυ τοῦ ἄῤῥενος, εἴπερ ἐστὶν ἀληθῶς ἐν μείοσι, καὶ ἐν ὑφιζάνοντι μέτρῳ. πλὴν ἄμωμον τὸ ἱερουργούμενον. τοιοῦτος δὲ ὁ Χριστός.

β. Καὶ ἐπιθήσει τὰς χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ δώρου, καὶ σφάξει αὐτὸ παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ προσχεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων κύκλῳ.

** ΚΥΡΙΛΛΟΥ. Παρ' αὐταῖς δὲ ταῖς ἱεραῖς ἐσφάζετο θύραις. ἀπέθανε γὰρ ὁ Ἐμμανουήλ, ἀνοδοποιῶν ὥσπερ ἡμῖν τὴν εἰς τὰ ἅγια τῶν ἁγίων εἰσδρομήν, καὶ τῆς ἄνω καὶ ἐν οὐρανοῖς ἐκκλησίας ἀνοιγνὺς τὰς θύρας τοῖς εἰς αὐτὸν πιστεύουσι. Καὶ μετ' ὀλίγα. Ὅτι δὲ ἅγιος ἔσται καὶ ἱερὸς ὁ Χριστοῦ θάνατος, ὑπεμφήνειεν ἂν τὸ ἑαυτῷ χρῆναι προσχεῖσθαι λέγειν τῷ θυσιαστηρίῳ τὸ αἷμα. κατασημήνειε δ' ἂν καὶ ἑτέρως, ὅτι τέθεικε τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῆς ἐκκλησίας. τύπος μὲν γὰρ τῆς ἐκκλησίας τὸ θυσιαστήριον, ψυχῆς δὲ τὸ αἷμα.

γ. Καὶ προσάξουσιν ἀπὸ τῆς θυσίας τοῦ θυσιαστηρίου (3) κάρπωμα, τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν,
Β καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας.

δ. Καὶ τοὺς δύο νεφρούς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, τὸ ἐπὶ τῶν μηρῶν, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τί δή ποτε λοβὸν μὲν ἥπατος, καὶ νεφρούς, καὶ στέαρ ἀπαρχὰς τῶν καταθυομένων ζώων ὑπεξείλετο ὁ νόμος, οὔτε δὲ καρδίαν, οὔτε ἐγκέ-
Γ φαλον, τοῦ ἡγεμονικοῦ τῷ ἑτέρῳ τούτων ἐνδιαιτωμένου; Καὶ μετ' ὀλίγα. Τὸ ἡγεμονικὸν μόνον τῶν ἐν ἡμῖν, ἀφροσύνην, καὶ ἀδικίαν, καὶ δειλίαν, καὶ τὰς ἄλλας κακίας δυνατόν τε καὶ χωρεῖ. τούτου δὲ οἶκος τὸ ἕτερον τῶν λεχθέντων ἐστίν, ἐγκέφαλος ἢ καρδία. ἐδικαίωσεν οὖν ὁ ἱερὸς λόγος, τῷ τοῦ Θεοῦ βωμῷ, δι' οὗ πάντων ἁμαρτημάτων καὶ παρανομημάτων ἀπολύσεις γίνονται καὶ παντελεῖς ἀφέσεις, μὴ προσφέρειν
Δ ἀγγεῖον, ἐν ᾧ ποτὲ φωλεύσας ὁ νοῦς, ἐπὶ τὴν ἀδικίας καὶ ἀσεβείας ἀνοδίαν ἐχώρησεν, ἐκτραπόμενος ἐπ' ἀρετὴν καὶ καλοκἀγαθίαν τὴν ἄγουσαν ὁδόν. εὔηθες γὰρ τὰς θυσίας μὴ λήθην ἁμαρτημάτων, ἀλλ' ὑπόμνησιν αὐτῶν κατασκευάζειν. τοῦτ' αἴτιον εἶναί μοι δοκεῖ τοῦ μηδέτερον τῶν ἡγεμονίαν ἐχόντων, ἐγκέφαλον ἢ καρδίαν, προσφέρεσθαι. ἃ δὲ διῄρηται λόγον ἔχει προσήκοντα· τὸ μὲν στέαρ, ὅτι καὶ πιότα-
Ε τον καὶ τῶν σπλάγχνων φυλακτήριον· ἐπαμπίσχει γὰρ αὐτὰ καὶ πιαίνει, καὶ τῇ μαλακότητι τῆς ἐπαφῆς ὠφελεῖ· οἱ δὲ νεφροί, διὰ τοὺς παραστάτας καὶ τὰ γεννητικά, οἷς παροικοῦντες ἀγαθῶν τρόπον γειτόνων βοηθοῦσι καὶ συμπράττουσιν, ὅπως ὁ τῆς φύσεως σπόρος εὐοδοῖ, μηδενὸς τῶν πλησίον ἐμποδίζοντος. Καὶ μετ' ὀλίγα. Λοβὸς δ' ἥπατος, τοῦ κυριωτάτου τῶν σπλάγχνων ἐστὶν ἀπαρχή, δι' οὗ τὴν τροφὴν ἐξαιμα-
Ζ τοῦσθαι συμβέβηκε, καὶ ἐποχετευομένην τῇ καρδίᾳ φέρεσθαι διὰ φλεβῶν εἰς τὴν τοῦ ὅλου σώματος διαμονήν.

* ΚΥΡΙΛΛΟΥ. Τὸ στέαρ, τὴν οἱονεὶ φρενῶν, φησίν, εὐεξίαν, καὶ τὴν πιότητα τῶν σπλάγχνων τεθραμμένων ἄριστα ταῖς διὰ τοῦ πνεύματος νοηταῖς χορηγίαις. νεφροὶ δέ, εἰς τύπον τῆς εἰς νοῦν διακριτικῆς ἐνεργείας· καθ' ἣν ἀπόβλητον μὲν τὸ πεφυκὸς ἀδικεῖν, αἱρετὸν δὲ τὸ ὠφελοῦν. ὁ δέ γε

(1) Αὐτό. ὁμοίως καὶ τὸ ἑπόμ. προσάξει αὐτό. ἥ τε ἐν Φραν. καὶ ἡ ἐν Καντ. ἔκδ. καὶ ὁ ἐν ἁγίοις Κύριλ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 346.

(2) Διττή ἐστιν. ὀρθότερ. πρόσθες δὲ καὶ τό, σωτηρίου αἰνέσεως, καί.

(3) Τοῦ σωτηρίου. αἱ εἰρημ. ἐκδόσ.

δέ γε λοβὸς τοῦ ἥπατος, ψυχῆς ἐνέργειαν, ἤτοι νεφρῶν (1) κίνησιν πρὸς ἐπιθυμίαν. καὶ γὰρ οἱ τὰ τοιαῦτα ἠκριβωκότες, ὡς ἐν ἥπατι τὰς ἐπιθυμίας ἔχειν τὸ ζῶον ἔφησαν. ἀναθετέον δὴ οὖν τῷ Θεῷ καὶ τὸν λοβὸν τοῦ ἥπατος, τουτέστι πάσης ἐπιθυμίας τὴν πηγήν.

ΑΔΗΛΟΥ. Τὸ μὲν, ὡς λιπαῖνον τὸ σῶμα πρὸς ἀκολασίαν· τὸ δὲ, ὡς θηριῶδες καὶ ἄγριον.

ε. Καὶ ἀνοίσουσιν αὐτὰ οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὰ ὁλοκαυτώματα ἐπὶ τὰ ξύλα, τὰ ἐπὶ τοῦ πυρός· κάρπωμα ὀσμὴ εὐωδίας Κυρίῳ.

ς. Ἐὰν δὲ ἀπὸ τῶν προβάτων τὸ δῶρον αὐτοῦ θυσία σωτηρίου τῷ Κυρίῳ, ἄρσεν ἢ θῆλυ, ἄμωμον προσοί-
ζ. σει αὐτό. Ἐὰν δὲ ἄρνα προσαγάγῃ τὸ δῶρον αὐτοῦ, προσάξει αὐτὸ ἔναντι Κυρίου.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀσινῆ δὲ καὶ ἄμωμα προσφέρειν ἅπαντα κελεύει τὰ θύματα, καίτοι διάφορα ὄντα, καὶ κατὰ διαφόρους προσφερόμενα τρόπους. διδάσκει δὲ διὰ τούτων τοὺς ἐν ἑκάστῃ πολιτείᾳ τὸ ἄμωμον ἔχειν. καὶ τοὺς παρθενίαν ἀσπαζομένους κατὰ τοὺς ταύτης πολιτεύεσθαι νόμους· τοὺς τοῦ γάμου τὸν ζυγὸν αἱρουμένους, τῇ πρὸς ἀλλήλους κοινωνίᾳ μὴ διαφθεῖραι τούτου τὴν ζεύγλην· τοὺς τὴν ἀσκητικὴν βιοτὴν προτιμῶντας, τὸν τῆς τελειότητος διαφυλάττειν κανόνα· καὶ συλλήβδην εἰπεῖν, τοὺς ἐν πλούτῳ, τοὺς ἐν πενίᾳ, τοὺς ἐν δουλείᾳ, τοὺς ἐν δυναστείᾳ, ἐν τοῖς οἰκείοις τάγμασι τὸ ἀλώβητον ἔχειν καὶ ἄμωμον. τῶν δὲ θυομένων, πλὴν τῶν ὁλοκαυτωμάτων, τὰ μὲν τῷ βωμῷ προσεφέρετο, τὰ δὲ τοῖς ἱερεῦσιν ἐδίδοτο. (1. Κορ. 9. 13.) διὸ συμμερίζεσθαι αὐτοὺς τῷ θυσιαστηρίῳ ὁ θεῖος εἶπεν Ἀπόστολος. τὰ δὲ λοιπὰ τῶν κρεῶν τῇ τῶν προσφερόντων ἀπενέμετο χρείᾳ.

η. Καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ δώρου αὐτοῦ, καὶ σφάξει αὐτὸ παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ προσχεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ.

ΑΔΗΛΟΥ. Ἐπίθεσις τῶν χειρῶν τὴν περὶ τῶν ἐν ἁμαρτίαις πράξεων δηλοῖ προσφοράν. πρακτικῆς γὰρ ἐνεργείας σύμβολον αἱ χεῖρες.

θ. Καὶ προσοίσει ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου κάρπωμα τῷ Κυρίῳ· τὸ στέαρ καὶ τὴν ὀσφὺν ἄμωμον σὺν ταῖς
A ψόαις περιελεῖ αὐτό· καὶ πᾶν τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν, καὶ
ι. πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, Καὶ ἀμφοτέρους τοὺς νεφρούς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, ὅ ἐστι τῶν μηρῶν, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς
ια. νεφροῖς περιελών, Ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον· ὀσμὴν εὐωδίας κάρπωμα Κυρίῳ.

B ΘΕΟΔΩΡΙΤΟΥ. Τοῖς μέντοι ὁλοκαυτώμασιν ἐπετίθετο τὰ μερικῶς προσφερόμενα, οἷον οἱ νεφροὶ, καὶ ἡ πιμελὴ, καὶ ὁ τοῦ ἥπατος λοβός· ἐξ ἐνίων δὲ ἱερείων καὶ ἡ ὀσφὺς, ἢ κατὰ τοὺς ἄλλους ἑρμηνευτὰς ἡ κέρκος. ἐπειδὴ τοῖς ἐν ἀρετῇ τελείοις οἱ ἀτελεῖς χρώμεθα πρεσβευταῖς, καὶ δι' ἐκείνων τὰς ἡμετέρας προσφέρομεν προσευχάς.

Γ ιβ. Ἐὰν δὲ ἀπὸ τῶν αἰγῶν τὸ δῶρον αὐτοῦ τῷ Κυρίῳ, καὶ προσάξει ἔναντι Κυρίου.

ιγ. Καὶ ἐπιθήσει τὰς χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ σφάξουσιν αὐτὸ ἔναντι Κυρίου παρὰ τὰς θύρας [τῆς σκηνῆς] τοῦ μαρτυρίου· καὶ προσχεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς
Δ τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπετίθει δὲ ὁ προσφέρων τῷ ἱερείῳ τὰς χεῖρας, οἱονεὶ τὰς ἑαυτοῦ πράξεις. τῶν γὰρ πράξεων αἱ χεῖρες δηλωτικαί. ὑπὲρ δὲ τούτων τὸ θῦμα προσέφερε.

ιδ. Καὶ ἀνοίσει ἀπ' αὐτοῦ κάρπωμα τῷ Κυρίῳ τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν, καὶ πᾶν τὸ στέαρ
ιε. τὸ ἐπὶ τῆς κοιλίας. Καὶ τοὺς δύο νεφροὺς, καὶ πᾶν τὸ στέαρ τὸ ἐπ' αὐτῶν, τὸ ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς
ις. περιελεῖ, Καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον· κάρπωμα ὀσμὴν εὐωδίας τῷ Κυρίῳ· πᾶν [τὸ] στέαρ τῷ Κυρίῳ.

Z ιζ. Νόμιμον αἰώνιον εἰς τὸν αἰῶνα εἰς τὰς γενεὰς ὑμῶν, καὶ ἐν πάσῃ κατοικίᾳ ὑμῶν. πᾶν στέαρ καὶ πᾶν αἷμα οὐκ ἔδεσθε.

ΘΕΟΔΩΡΙΤΟΥ. Αἵματος δὲ καὶ στέατος ἀπέχεσθαι κελεύει, καὶ ἀμφότερα τῷ θυσιαστηρίῳ διαγορεύει προσφέρεσθαι. τὸ μὲν γὰρ, ζωῆς αἴτιον· τὸ δὲ, ἀρετῆς δηλωτικόν· ἀμφότερα δὲ ἀνατιθέναι τῷ
H Θεῷ δικαιότατον.

ΚΕΦ.

(1) Ἤτοι φρενὸς κίνησιν, καθ' ἣν ἵεται πρὸς ἐπιθυμίας. ἐν Τόμ. 1. μέρ. 2. σελ. 568.

ΚΕΦ. Δ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Λάλη-
σον πρὸς τοὺς υἱοὺς Ἰσραὴλ,
λέγων, ψυχὴ ἐὰν ἁμάρτῃ ἀκουσίως
ἀπὸ πάντων τῶν προσαγμάτων Κυρίου,
ὧν οὐ δεῖ ποιεῖν, καὶ ποιήσῃ ἕν τι ἀπ'
αὐτῶν.

Ἀκουσίως. Ἀκύλας καὶ Σύμμαχος, ἐν
ἀγνοίᾳ.

ΩΡΙΓΕΝΟΥΣ. Ἀκούσιόν ἐστιν ὅπερ ἄν-
τις ποιῇ κακόν. (1)

* ΤΟΥ ΑΥΤΟΥ. Σημειωτέον ὅτι τὸ
ἀγνόημα τὸ ἀκούσιον, ἁμαρτίαν καλεῖ ἡ
Γραφή. καὶ ἄλλων τινῶν μέμνηται ὁ μα-
Ἑβρ. 10. 1. κάριος Παῦλος. φάσκων· σκιὰν γὰρ εἶχεν
» ὁ νόμος τῶν μελλόντων.

» ΤΟΥ ΑΥΤΟΥ. Ψυχὴ ἐὰν ἁμάρτῃ ἀκου-
» σίως, φησὶ, καὶ μὴ ποιήσῃ ἀπὸ πασῶν
» τῶν ἐντολῶν Κυρίου, (2) ὧν δεῖ ποιεῖν, εἰ
κατὰ φύσιν ἔχει. εἰσὶ γὰρ τάχα τινὰ καὶ
προστάγματα Κυρίου, ἃ οὐ δεῖ ποιεῖν, κατὰ
Ἰεζ. 20. 25. τὸ, ἔδωκα αὐτοῖς προστάγματα οὐ καλά.
ψυχὴ οὖν ἁμαρτάνει ἀκουσίως, ὅτε προ-
φάσει εὐσεβείας τὸ μὴ δέον τηρεῖ. καὶ δεῖ-
ται θυσίας πρὸς ἄφεσιν· οὐ δεομένου θυ-
σίας τοῦ δρῶντος ἐξεπίτηδες· ὡς ὁ γεγο-
νὼς Ἰουδαῖος ἵνα Ἰουδαίους κερδήσῃ, καὶ πε-
ριτεμὼν τὸν Τιμόθεον.

** ΠΡΟΚΟΠΙΟΥ. Ζητητέον περὶ τῆς
» φράσεως τί ἐστι, καὶ ποιήσουσι μίαν ἀπὸ
» πασῶν τῶν ἐντολῶν Κυρίου, ἥτις οὐ ποιη-
θήσεται. Εἰ μὲν οὖν ἡμάρτηται, κατα-
» στατέον οὕτω· ψυχὴ ἐὰν ἁμάρτῃ ἀκουσίως
» καὶ μὴ ποιήσῃ ἀπὸ πασῶν τῶν ἐντολῶν
» Κυρίου ἣν δεῖ ποιεῖν· εἰ δὲ κατὰ φύσιν
ἔχει, ἔστι τάχα τινὰ προστάγματα Κυρίου,
Ἰεζ. 20. 25. ἃ οὐ δεῖ ποιεῖν. διὸ καὶ Ἰεζεκιὴλ φησιν, ἔδω-
» κα αὐτοῖς δικαιώματα οὐ καλὰ, καὶ προ-
» στάγματα ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς. εἴη
δ' ἂν τὸ ἀποκτεῖνον γράμμα, καὶ ἡ διαθή-
κη τοῦ θανάτου ἐν γράμμασι, καὶ ἡ δια-
κονία τῆς κατακρίσεως. ἄμφω δὲ διὰ τῆς
αὐτῆς προστάττεται φωνῆς τό, τε γράμμα
καὶ τὸ πνεῦμα. ὧν τὸ μὲν, ποιητέον· τὸ
δὲ, οὔ. τοῦτο καὶ ἀπὸ τῆς παλαιᾶς δῆλον,
βεβηλούντων ἱερέων τὸ σάββατον, καὶ πε-
ριτεμνομένων τυχὸν ἐν αὐτῷ· τοῦ μὲν λυο-
μένου νόμου, τοῦ δὲ τηρουμένου· καὶ Δαβὶδ
φαγόντος τοὺς ἄρτους τῆς προθέσεως· καὶ
ἐκ τοῦ ὁμοιώματα γεγονέναι ἐν τῇ σκηνῇ
τοῦ μαρτυρίου, καὶ ἐν τῷ ναῷ τῶν Χερουβὶμ,
καὶ τὸν χαλκοῦν ὄφιν ὑπὸ Μωϋσέως.

γ. Ἐὰν μὲν ὁ ἀρχιερεὺς ὁ κεχρισ-
μένος ἁμάρτῃ τοῦ τὸν λαὸν ἁμαρτεῖν,
καὶ προσάξει περὶ τῆς ἁμαρτίας αὐ-
τοῦ, ἧς ἥμαρτε, μόσχον ἐκ βοῶν ἄμω-
μον τῷ Κυρίῳ περὶ τῆς ἁμαρτίας.

» ΑΔΗΛΟΥ. Τοῦ τὸν λαὸν ἁμαρτεῖν, ἀντὶ
τοῦ, πλημμέλησιν τοῦ λαοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν δὲ ἀρχιερέα νό-
B μον τινὰ παραβεβηκότα, μόσχον ἄμωμον
ἱερουργεῖν κελεύει· καὶ τῷ μὲν θυσιαστηρίῳ
προσφέρειν ἃ προειρήκαμεν· τὰ δὲ κρέα
σὺν τῷ δέρματι καὶ τῇ κόπρῳ ἔξω τῆς
παρεμβολῆς κατακαίειν. τοῦτο δὲ δηλοῖ τὸ
τὴν ἁμαρτίαν ἀλλοτρίαν εἶναι τῶν ἱερῶν
περιβόλων. καὶ παντὸς δὲ τοῦ λαοῦ τοιαύ-
την τινὰ παρανομίαν τετολμηκότος, τὴν
ἴσην προσενεχθῆναι θυσίαν νενομοθέτη-
κε· διδάσκων ἡλίκον τῆς ἱερωσύνης τὸ γέ-
Γ ρας. ἀντίῤῥοπον γὰρ αὐτὸ τέθεικε παν-
τὸς τοῦ λαοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπισκέψῃ δὲ, εἰ
δυνατὸν, ἑκουσίως ἀναλαβόντα τὴν τοῦ λαοῦ
ἁμαρτίαν τὸν ἀρχιερέα λέγεσθαι ἁμαρ-
τάνειν. ἐπεὶ τὸν μὴ γνόντα ἁμαρτίαν,
ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἀντὶ πλη-
ρώματος ἑαυτὸν κενώσαντα, ἵνα τὰς ἁ-
μαρτίας ἡμῶν ἄρῃ, καὶ τὰς νόσους βαστά-
σῃ· ὡς ὑποληφθῆναι παρ' ἡμῶν εἶναι ἐν
Δ πληγῇ καὶ ἐν κακώσει. προσάγει δὲ μό-
σχον, τὸ γήϊνον αὐτοῦ σῶμα τὸ ἀμίαντον·
ἐκ πνεύματος γὰρ ἁγίου· ὃ διὰ τοῦ ἀμώμου
δηλοῦται. οὗ τῇ κεφαλῇ τὴν χεῖρα ἐπέθη-
κεν, ἵνα περικαθάρῃ τὴν ὑπὲρ τοῦ λαοῦ
φθάσασαν εἰς αὐτὸν ἁμαρτίαν.

** ΙΣΙΔΩΡΟΥ. Οὐ ταυτόν ἐστι, λαϊ-
κὸν ἁμαρτάνειν καὶ ἱερέα. καὶ δῆλον ἐκ
τοῦ νόμου. τοσαύτην γὰρ προστάττει θυσίαν
ἀνάγεσθαι ὑπὲρ τοῦ ἁμαρτόντος ἱερέως,
E ὅσην ὑπὲρ παντὸς τοῦ λαοῦ. εἰ δὲ μὴ ἦν ἀν-
τίῤῥοπος ἡ ἁμαρτία, οὐκ ἂν τὴν αὐτὴν θυ-
σίαν ἀνάγεσθαι ἐθέσπισε. μείζων δὲ γίνε-
ται, οὐ τῇ φύσει, ἀλλὰ τῇ ἀξίᾳ τοῦ δρῶντος.
ὁ γὰρ τοὺς ἄλλους ῥυθμίζων εἰ πταίσειε, μεῖ-
ζον ἀπὸ τῆς ἀξίας ἀποφαίνει τὸ πταῖσμα.

δ. Καὶ προσάξει τὸν μόσχον παρὰ
τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου
ἔναντι Κυρίου, καὶ ἐπιθήσει τὴν χεῖρα
Z αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου, καὶ
σφάξει τὸν μόσχον ἔναντι Κυρίου.

ΚΥΡΙΛΛΟΥ. Ἀριδήλως καὶ λαοῦ καὶ
» ἱερέων καθάρσιον ὁ Χριστός. αὐτὸς γὰρ Ἡσ. 53. 4.
» ἡμῶν αἴρει τὰς ἁμαρτίας, καὶ ὑπὲρ ἡμῶν
ὀδυνᾶται σφαζόμενος. ἔργου γὰρ καὶ πρά-
ξεων τύπος ἡ χείρ. πλὴν ἐνώπιον Κυρίου
σφάζεται, μονονουχὶ συγκαταβαίνοντος τοῦ
πατρὸς εἰς τὴν ἡμῶν σωτηρίαν. (3)

 ε. Καὶ

(1) Ἀτελές ἐστι. τέλειον δὲ τὸ τοῦ Προκοπίου, (τὸ ἐν τῷ τῆς Αὐγ. κώδ.) οὕτως ἔχον· παρατηρητέον, ὅτι ἁμαρτίαν ἡ Γραφὴ λέγει καὶ τὸ ἀκούσιον καὶ τὸ ἀγνόημα. ἀκούσιον δ' ἂν εἴη ὅπερ ἄν τις ποιῇ κακὸν, ὡς οὐ τοιοῦτον. οἷον καὶ τὸ Σαοὺλ, ὅτε νηστεῦσαι προσέταξε.

(2) Κυρίου, κατὰ φύσιν ἔχει. ἔστι γὰρ τάχα, κτ. ἐν Τόμ. 2., σελ. 181. τῆς τοῦ Ῥου. ἐκδόσ.

(3) Ταῦτα πλατύτερον καὶ ἄλλως πως ἔχοντα κεῖται ἐν Τόμ. 1. μέρ. 2. σελ. 527.

ε. Καὶ λαβὼν ὁ ἱερεὺς ὁ χριστὸς ὁ τετελειωμένος τὰς χεῖρας ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ εἰσοίσει αὐτὸ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου.

ς. Καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον εἰς τὸ αἷμα, καὶ προσρανεῖ ἀπὸ τοῦ αἵματος ἑπτάκις τῷ δακτύλῳ ἔναντι Κυρίου, κατὰ τὸ καταπέτασμα τὸ ἅγιον.

ΚΥΡΙΛΛΟΥ. Γέγονε γὰρ ὑπὲρ ἡμῶν ἱλασμός τε καὶ ἱλαστήριον ὁ Χριστός· πλὴν ἐν αἵματι διαθήκης αἰωνίου τελειοτάτην ἡμῖν δωρεῖται τὴν ἀποκάθαρσιν. σύμβολον γὰρ τελειότητος ὁ ἑπτὰ ἀριθμός. ἄλλος δέ φησιν, ὅτι τύπος ὁ ἀριθμὸς τῶν ἐν τῷ ἑπταημεροκόσμῳ σωζομένων ἀνθρώπων. τὸ δὲ ἔξω τῆς πόλεως, καὶ πρὸ ἡμῶν ὁ Ἀπόστολος ἡρμήνευσε. (1)

» ✱ΤΟΥ ΑΥΤΟΥ. Ῥανεῖ ἑπτάκις. τοῦτο τὸ τίμιον αἷμα λαλεῖ περὶ ἡμῶν τὰ ἀμείνω πρὸς Θεόν. [ἐκκέχυται γὰρ τῆς ἁπάντων ζωῆς ἀντάλλαγμα.]

ζ. Καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τοῦ θυμιάματος τῆς συνθέσεως τοῦ ἔναντι Κυρίου, ὅ ἐστιν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. καὶ πᾶν τὸ αἷμα τοῦ μόσχου ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώσεως, ὅ ἐστι παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου.

✱✱ΚΥΡΙΛΛΟΥ. Προσεχεῖτο τοῦ μόσχου τὸ αἷμα τῇ βάσει τοῦ θυσιαστηρίου. καὶ γάρ ἐστιν ἅγιός τε καὶ ἱερὸς ἀληθῶς ὁ Χριστοῦ θάνατος.

η. Καὶ πᾶν τὸ στέαρ τοῦ μόσχου τῆς
ἁμαρτίας, περιελεῖ ἀπ' αὐτοῦ τὸ στέαρ
τὸ κατακαλύπτον τὰ ἐντόσθια, καὶ
πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐντοσθίων,
θ. Καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ
ἐπ' αὐτῶν, τὸ ὂν ἐπὶ τῶν μηρίων, καὶ
τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς
ι. νεφροῖς περιελεῖ αὐτὸ, Ὃν τρόπον
ἀφαιρεῖται ἀπὸ τοῦ μόσχου τῆς θυσίας
τοῦ σωτηρίου, καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ
τὸ θυσιαστήριον τῆς καρπώσεως.

✱✱ΚΥΡΙΛΛΟΥ. Ἀναφέρεται τὰ ἐντόσθια, πιμελὴ, καὶ νεφροὶ, καὶ λοβὸς ὁ τοῦ ἥπατος. εὐώδη γὰρ πάντα τὰ ἐν Χριστῷ, τά τε ἐξωφανῆ καὶ τὰ κεκρυμμένα. ὁ λόγος γὰρ ἦν ἅγιος, καὶ οὐδὲν ἐν αὐτῷ τὸ μὴ καθαρόν.

ια. Καὶ τὸ δέρμα τοῦ μόσχου, καὶ πᾶσαν αὐτοῦ τὴν σάρκα σὺν τῇ κεφαλῇ καὶ τοῖς ἀκρωτηρίοις καὶ τῇ κοιλίᾳ

ιβ. καὶ τῇ κόπρῳ. Καὶ ἐξοίσουσιν ὅλον τὸν μόσχον ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρὸν, οὗ ἐκχεοῦσι τὴν σποδιάν· καὶ κατακαύσουσιν αὐτὸν ἐπὶ τῶν ξύλων ἐν πυρί· ἐπὶ τῆς ἐκχύσεως τῆς σποδιᾶς καυθήσεται.

✱✱ΚΥΡΙΛΛΟΥ. Κατεκαίετό γε μὴν ἔξω τῆς πύλης τὸ δέρμα καὶ τὰ λοιπά. οὐδὲ αὐτὸν ἡμῖν ἀπαράδεκτον τοῦ πάθους τὸν τό-
B πον ἐῶντος τοῦ νόμου. τοιγάρτοι καὶ πρὸς
» ἡμᾶς ὁ θεσπέσιος ἔφη Παῦλος· ἐξερχόμε- Ἑβρ. 13. 13.
» θα οὖν ἔξω τῆς πύλης, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες, τουτέστι τὸν ὑπὲρ ἡμῶν τε καὶ δι' ἡμᾶς σταυρόν.

ιγ. Ἐὰν δὲ πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ἀγνοήσῃ, καὶ λάθῃ ῥῆμα ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς, καὶ ποιήσωσι μίαν ἀπὸ πασῶν τῶν ἐντο-
Γ λῶν Κυρίου, ἣ οὐ ποιηθήσεται, καὶ πλημμελήσωσι.

» ΑΔΗΛΟΥ. Καὶ λάθῃ ῥῆμα, παροραθῇ λόγος.

ιδ. Καὶ γνωσθῇ αὐτοῖς ἡ ἁμαρτία,
ἣν ἥμαρτον ἐν αὐτῇ, καὶ προσάξει ἡ
συναγωγὴ μόσχον ἐκ βοῶν ἄμωμον
περὶ τῆς ἁμαρτίας, καὶ προσάξει αὐ-
Δ τὸν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ
ιε. μαρτυρίου. Καὶ ἐπιθήσουσιν οἱ πρεσ-
βύτεροι τῆς συναγωγῆς τὰς χεῖρας
αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἔναν-
τι Κυρίου, καὶ σφάξουσι τὸν μόσχον
ις. ἔναντι Κυρίου. Καὶ εἰσοίσει ὁ ἱερεὺς
ὁ χριστὸς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου εἰς
ιζ. τὴν σκηνὴν τοῦ μαρτυρίου. Καὶ βάψει
ὁ ἱερεὺς τὸν δάκτυλον ἀπὸ τοῦ αἵμα-
E τος, καὶ ῥανεῖ ἑπτάκις ἔναντι Κυρίου,
κατὰ πρόσωπον τοῦ καταπετάσματος
τοῦ ἁγίου.

ιη. Καὶ ἀπὸ τοῦ αἵματος ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων τῆς συνθέσεως, ὅ ἐστιν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ἐνώπιον Κυρίου. καὶ πᾶν τὸ αἷμα ἐκχεεῖ πρὸς
Z τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν καρπώσεων, τοῦ ὄντος πρὸς τῇ θύρᾳ τῆς σκηνῆς τοῦ μαρτυρίου.

Τῶν θυμιαμάτων. Ἄλλος, τῶν ἀρωμάτων.

Πρὸς τὴν βάσιν. Ἄλλος, εἰς τὸν θεμέλιον.

ιθ. Καὶ πᾶν τὸ στέαρ περιελεῖ ἀπ'
αὐτοῦ, καὶ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον.
κ. Καὶ ποιήσει τῷ μόσχῳ, ὃν τρόπον ἐποίη-
σε τὸν μόσχον τὸν τῆς ἁμαρτίας, οὕτω
ποιηθή-

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

ποιηθήσεται. καὶ ἐξιλάσεται περὶ αὐτῶν ὁ ἱερεὺς, καὶ ἀφεθήσεται αὐτοῖς ἡ ἁμαρτία.

κα. Καὶ ἐξοίσουσι τὸν μόσχον ὅλον ἔξω τῆς παρεμβολῆς, καὶ κατακαύσουσι τὸν μόσχον, ὃν τρόπον κατέκαυσαν τὸν πρότερον· ἁμαρτίας συναγωγῆς ἐστί.

Ἁμαρτίας συναγωγῆς. ἐξιλασμὸς ἐκκλησίας.

κβ. Ἐὰν δὲ ὁ ἄρχων ἁμάρτῃ, καὶ
ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν
Κυρίου τοῦ Θεοῦ αὐτοῦ, ἣ οὐ ποιηθήσε-
κγ. ται, ἀκουσίως, καὶ πλημμελήσῃ, Καὶ
γνωσθῇ αὐτῷ ἡ ἁμαρτία, ἣν ἥμαρτεν
ἐν αὐτῇ, καὶ προσοίσει τὸ δῶρον αὐ-
τοῦ χίμαρον ἐξ αἰγῶν ἄρσεν ἄμωμον.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν δὲ ἄρχοντα παραβάντα τινὰ νόμον, οὐ μόσχον, ἀλλὰ χίμαρον, τουτέστιν ἔριφον ἐνιαυσιαῖον προσενεγκεῖν διηγόρευσε. τοσοῦτον ἀποδεῖται τῆς ἀρχιερατικῆς ἀξίας ὁ τὴν σωματικὴν πεπιστευμένος ἀρχήν.

✻✻ ΚΥΡΙΛΛΟΥ. Εἰ μὲν εἴη τυχὸν ἡγούμενος ὁ ταῖς πλημμελείαις ἔνοχος, ἄρσην ὁ χίμαρος ἦν· εἰ δὲ δή τις ἐν λαοῖς, καὶ καθ' ἕνα, θῆλυ τὸ σφάγιον. κἂν εἴτε πρόβατον εἴη τυχὸν, εἴτ' οὖν ἐξ αἰγῶν, καὶ ἐν τῇ τῶν θυμάτων διαφορᾷ τῆς τοῦ Σωτῆρος ἡμῶν οἰκονομίας τὸ σοφὸν τοῦ νόμου κατασημαίνοντος. ἡγεμονεῦον μὲν γὰρ ἀείπως ἐστὶ καὶ ἐν τιμῇ τῇ πρώτῃ τὸ ἄρσεν, ἑπόμενον δὲ καὶ ἐν δευτέροις τὸ θῆλυ. ἀναλόγως δὴ οὖν τοῖς ἑκάστου πταίσμασι, καὶ ἡ διὰ Χριστοῦ κάθαρσις ἔν γε τοῖς προεστηκόσι καὶ ἡγουμένοις, καὶ τοῖς ὑπὸ χεῖρα, καὶ καθ' ἕνα τε καὶ ὑπεζευγμένοις. εἰσὶ γὰρ οὐκ ἐν ἴσοις αἰτιάμασι πεσόντες εἰς ἁμαρτίαν ἡγούμενος καὶ λαὸς, ἀλλ' ἐν μείζοσί που πάντως ἡγούμενοι. τοιγάρτοι πλουσιωτέρᾳ διασμήχονται χάριτι.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὑπὲρ ἄρχοντος χίμαρος σφάζεται. ἔλαττον τὸ θῦμα, ὡς ὑπὲρ ἐλάττονος. καὶ ἡ ἐπίχρισις οὐκ ἐπὶ τοῦ θυσιαστηρίου. πρὸς γὰρ τὴν ἀξίαν ἑκάστου καὶ ὁ Χριστὸς ὑπὲρ αὐτοῦ προσάγεται.

✻ ΠΡΟΚΟΠΙΟΥ. Σημειωτέον, ὅτι οἵα θυσία γίνεται ὑπὲρ ἱερέως ἁμαρτόντος, τοιαύτη καὶ ὑπὲρ ἁμαρτόντος λαοῦ, οὐ μὴν δὲ καὶ τοῦ ἄρχοντος· ὡς εἶναι δῆλον, ὅτι μείζων ὁ ἱερεὺς τοῦ ἄρχοντος, καὶ ὁ λαὸς ὁμοίως. ὅθεν παρὰ τοῖς ἀρχαίοις ἔνιοι τῶν βασιλέων, καὶ ἱερέων ἀξιώματα περιετίθεσαν ἑαυτοῖς· (1) τὸ δὲ περὶ ἑκάστου τῶν ἐκ τοῦ λαοῦ, θῆλυ. ἔστι γοῦν ὁ λαὸς ἐν σχήματι θηλείας πρὸς τοὺς ἄρχοντας· ὅτι τὸ ἄρσεν ἡγεμονικὸν, τὸ δὲ θῆλυ ὑπήκοον. πλὴν ὅμως γε σύμπας ὁ λαὸς τῷ ἀρχιερεῖ ἐξομοιοῦται.

κδ. Καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ
ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου· καὶ
σφάξουσιν αὐτὸν ἐν τόπῳ, οὗ σφάζου-
σι τὰ ὁλοκαυτώματα ἐνώπιον Κυρίου·
κε. ἁμαρτίας ἐστί. Καὶ ἐπιθήσει ὁ ἱερεὺς
ἀπὸ τοῦ αἵματος τοῦ τῆς ἁμαρτίας τῷ
δακτύλῳ ἐπὶ τὰ κέρατα τοῦ θυσιαστη-
ρίου τῶν ὁλοκαυτωμάτων· καὶ τὸ πᾶν
αἷμα αὐτοῦ ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ
θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων.

✻✻ ΠΡΟΚΟΠΙΟΥ. Βοηθεῖται πάλιν τὰ μερικὰ διὰ τῶν αὐτοτελῶν. καὶ σφάζεται μὲν τὰ περὶ ἁμαρτίας ὅπου τὰ ὁλοκαυτώματα· τίθεται δὲ ἡ ἀπ' αὐτῶν ἀπαρχὴ ἐπάνω τῶν ὁλοκαυτωμάτων. ὁ γὰρ Χριστοῦ μετέχων μερικῶς, διὰ τὸ τελείως ὑπὲρ ὅλου τοῦ κόσμου δεδόσθαι αὐτὸν μετέχει καὶ αὐτός. ἄμεινον δὲ λέγειν, ὡς ἄνω μὲν περὶ ἱερέως ὁ μόσχος, ὧδε μέντοι περὶ ἄρχοντος.

κς. Καὶ τὸ πᾶν στέαρ αὐτοῦ ἀνοίσει
ἐπὶ τὸ θυσιαστήριον, ὥσπερ τὸ στέαρ
θυσίας σωτηρίου. καὶ ἐξιλάσεται πε-
ρὶ αὐτοῦ ὁ ἱερεὺς ἀπὸ τῆς ἁμαρτίας
αὐτοῦ, καὶ ἀφεθήσεται αὐτῷ.

κζ. Ἐὰν δὲ ψυχὴ μία ἁμάρτῃ
ἀκουσίως ἐκ τοῦ λαοῦ τῆς γῆς, ἐν τῷ
ποιῆσαι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν
Κυρίου, ἣ οὐ ποιηθήσεται, καὶ πλημ-
κη. μελήσῃ, Καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρ-
τία ἣν ἥμαρτεν ἐν αὐτῇ, καὶ οἴσει τὸ
δῶρον αὐτοῦ, χίμαιραν ἐξ αἰγῶν, θή-
λειαν ἄμωμον οἴσει περὶ τῆς ἁμαρ-
τίας, ἧς ἥμαρτε.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν δὲ μήτε ἱερέα ὄντα, μήτε ἄρχοντα, ἡμαρτηκότα δὲ, χίμαιραν θῦσαι προσέταξε. πρόσφορον γὰρ τῷ μὲν ἄρχοντι τὸ ἄῤῥεν, τῷ δὲ ἀρχομένῳ τὸ θῆλυ, ὡς ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν.

» ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Ἐκ τοῦ λαοῦ δὲ τῆς γῆς, φησὶν, ὡς ὄντος καὶ λαοῦ οὐρανοῦ, αὐτοῦ τοῦ λαοῦ τῆς γῆς· ἐν ἐλαχίστῳ γενομένου πιστοῦ τῇ γῇ, ἀναλαμβανομένου εἰς οὐρανὸν, ἵνα γένηται λαὸς οὐρανοῦ. ἡ μία δὲ ψυχὴ μετὰ τὴν πλημμέλειαν γνοῦσα τὴν ἁμαρτίαν προσφέρει τὴν θυσίαν, καὶ οὐ πρότερον τῆς γνώσεως γίνεται ὁ ἱλασμὸς καὶ ἡ ἄφεσις. ὅπερ ἐπὶ μόνου τοῦ ἀρχιερέως οὐκ εἴρηται. οὐ γὰρ ἀγνοῶν ἔρχεται εἰς ἐπίγνωσιν.

κθ. Καὶ ἐπιθήσει τὴν χεῖρα αὐ-
τοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ ἁμαρτήματος
αὐτοῦ· καὶ σφάξουσι τὴν χίμαιραν
τὴν τῆς ἁμαρτίας ἐν τόπῳ, οὗ σφά-
λ. ζουσι τὰ ὁλοκαυτώματα. Καὶ λήψε-
ται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος αὐτῆς
τῷ δακτύλῳ αὐτοῦ, καὶ θήσει ἐπὶ τὰ
κέρα-

(1) Τὰ ἑπόμενα ἐν τῷ τῆς Αὐγ. κώδ. οὐ κεῖται.

κέρατα τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων· καὶ πᾶν αὐτῆς τὸ αἷμα ἐκχεεῖ πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων.

λα. Καὶ πᾶν τὸ στέαρ περιελεῖ, ὃν τρόπον περιαιρεῖται στέαρ ἀπὸ θυσίας σωτηρίου. καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας τῷ Κυρίῳ· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς, καὶ ἀφεθήσεται αὐτῷ.

**ΠΡΟΚΟΠΙΟΥ. Τὸ, εἰς ὀσμὴν εὐωδίας; ἐπὶ μόνου τοῦ ἡμαρτηκότος λέγεται λαϊκοῦ, παρὰ τὸν ἱερέα, καὶ τὴν συναγωγὴν, καὶ τὸν ἄρχοντα.

λβ. Ἐὰν δὲ πρόβατον προσενέγκῃ τὸ δῶρον αὐτοῦ περὶ τῆς ἁμαρτίας, θῆλυ ἄμωμον προσοίσει αὐτῷ.

λγ. Καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ τῆς ἁμαρτίας· καὶ σφάξουσιν αὐτὸ περὶ ἁμαρτίας ἐν τόπῳ, οὗ σφάζουσι τὰ ὁλοκαυτώματα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὰς γοῦν πράξεις τὰς ἐν ἁμαρτίαις ὁ προσφέρων τὴν θυσίαν ἐπετίθη τῷ θύματι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν, καὶ ἐδόκει πρὸς τούτῳ τῷ τρόπῳ τὴν ἁμαρτίαν καταθύειν Θεῷ, καὶ ἀναιρεῖν αὐτὴν, σφαζομένου τοῦ θύματος.

A ΑΔΗΛΟΥ. Διὰ τοῦτο ὁ Χριστὸς τὰς ἀκάνθας, ὅ ἐστι τὰς ἁμαρτίας τοῦ κόσμου, ἐπιθεὶς τῇ ἑαυτοῦ κεφαλῇ, ὡς ἱερεῖον ἐτέθη ὑπὲρ τοῦ κόσμου. σύμβολον δὲ πράξεων αἱ χεῖρες.

ΑΔΗΛΟΥ. Σημαίνει οὖν, ὅτι ἁμαρτία καλεῖται καὶ αὐτὸ τὸ προσαγόμενον. οὕτω „ νοητέον τὸ, ἁμαρτίας λαοῦ μου φάγονται. Ὠσ. 4. 8. εἰ οὖν ὁ ἁμαρτάνων αὐτὴν δοκεῖ θύειν τὴν ἁμαρτίαν ἐν τῷ μετανοεῖν, οὐκ ὀφείλει τοῖς B αὐτοῖς περιπίπτειν, ἐπεὶ ἀναζῇ ἡ ἁμαρτία. οὕτω δυνατὸν, τὸν Χριστὸν καλεῖν ἁμαρτίαν, ὡς ὑπὲρ τῆς πάντων ἁμαρτίας τιθέντα.

λδ. Καὶ λαβὼν ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ τῆς ἁμαρτίας τῷ δακτύλῳ αὐτοῦ, ἐπιθήσει ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώσεως· καὶ πᾶν αὐτοῦ τὸ αἷμα ἐκχεεῖ παρὰ Γ τὴν βάσιν τοῦ θυσιαστηρίου τῆς ὁλοκαρπώσεως.

λε. Καὶ πᾶν αὐτοῦ τὸ στέαρ περιελεῖ, ὃν τρόπον περιαιρεῖται στέαρ προβάτου ἀπὸ θυσίας σωτηρίου. καὶ ἐπιθήσει αὐτὸ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὰ ὁλοκαυτώματα Κυρίου. καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε, καὶ Δ ἀφεθήσεται αὐτῷ.

ΚΕΦ. Ε.

α. Ἐὰν δὲ ψυχὴ ἁμάρτῃ, καὶ ἀκούσῃ φωνὴν ὁρκισμοῦ, καὶ οὗτος μάρτυς ἢ ἑώρακεν ἢ σύνοιδεν, ἐὰν μὴ ἀπαγγείλῃ, καὶ λήψεται τὴν ἁμαρτίαν.

ΕΥΣΕΒΙΟΥ. Διττῶς νοεῖται· ἢ ὅτι, ἐὰν γνῷ τινὰ ἐπιορκοῦντα, καὶ κληθεὶς ἐλέγξαι μὴ ἐξαγγείλῃ, ἥμαρτεν· ἢ ὅτι περὶ ὧν οἶδεν, ἐὰν ὁρκούμενος μὴ εἴπῃ, ἥμαρτεν· ὡς καὶ φυγὼν τὸ μαρτυρῆσαι τῇ ἀληθείᾳ, καὶ συγχωρήσας ἐκείνῳ ἐπιορκῆσαι. τὸ αὐτὸ ἀμφότερα σημαίνει.

**ΚΥΡΙΛΛΟΥ. Τὸν ὁρκισμοῦ φωνῆς ἐπαΐοντα, καὶ παρ' οὐδὲν ὅλως τὸ πρᾶγμα πεποιημένον, καὶ τὸν ἑτέροις ἔνοχον μολυσμοῖς, καὶ μὴν ἐπὶ τούτῳ τὸν ἐπὶ τῇ ψευδορκίᾳ κατεγνωσμένον, ἐν ἴσῳ τε καὶ ἀπαραλλάκτῳ τίθησι πλημμελείας τρόπῳ. μολυσμὸς γὰρ ἀληθῶς ἐξαίσιος, καὶ εἰς αὐτό που τὸ λοῖσθον ἀναθρώσκει τῶν κακῶν ἡ εἰς Θεὸν καταφρόνησις, καὶ ταῖς σαρκικαῖς ἀκαθαρσίαις ἐγγύς τε καὶ ἀδελφὸν τὸ πλημμέλημα. ἢ οὐκ ἐν ἴσῳ θετέον λόγῳ τὴν ἐπάρατον ψευδορκίαν, καὶ ὁρκισμοῦ καταφρόνησιν;

β. Ἡ ψυχὴ ἥτις ἂν ἅψηται παντὸς πράγματος ἀκαθάρτου, ἢ θνησιμαίου, ἢ θηριαλώτου, ἢ ἀκαθάρτου, (1) ἢ τῶν θνησιμαίων βδελυγμάτων τῶν ἀκαθάρτων, ἢ τῶν θνησιμαίων κτηνῶν τῶν μὴ καθαρῶν, ἢ θνησιμαίου E ἑρπετοῦ ἀκαθάρτου, καὶ λάθῃ ἀπ' αὐτοῦ, καὶ αὐτὸς μεμίανται καὶ πλημμελήσει.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν δέ γε ἢ ἀκαθάρτου τινὸς τῶν ἀπειρημένων ἁψάμενον, ἤτινος ὀμωμοκότος ἀκούσαντα, καὶ τὸν παραβεβηκότα τὸν ὅρκον μὴ διελέγξαντα· ἢ αὐτὸν ὑποσχόμενόν τι πρᾶξαι, ἢ τῷ Θεῷ τι προσοίσειν, καὶ ὅρκῳ τὴν ὑπόσχεσιν βεβαιώσαντα, τὸ δὲ ἔργον μὴ ἐπιθέντα τῷ Z λόγῳ· πρῶτον ἐξαγορεῦσαι τὴν ἁμαρτίαν κελεύει, ἔπειτα προσενεγκεῖν ἢ ἀμνάδα, ἢ χίμαιραν, καὶ τούτῳ τῷ τρόπῳ τὸν Θεὸν ἱλεώσασθαι. εἰ δὲ πένης εἴη, ἢ δύο τρυγόνας [κελεύει] προσενεγκεῖν, ἢ δύο νεοττοὺς περιστερῶν. εἰ δὲ μηδὲ τούτου εὐποροίη, μικρὰν σεμίδαλιν ἐλαίου δίχα καὶ λιβανωτοῦ προσκομίσαι. τὸ γὰρ ἔλαιον, ἱλαρότητος δηλωτικόν· ὁ δὲ λιβανωτὸς, εὐωδίας· ἀμφοτέρων δὲ ἡ ἁμαρτία γεγύμνωται. H μάλα δὲ ἁρμοδίως τὸ ἅψασθαι ἀκαθάρτου, καὶ τὸ κρύψαι τοῦ ὀμωμοκότος καὶ ψευσαμένου τὴν ἁμαρτίαν συνέζευξε. καὶ γὰρ

(1) Ἡ θηριαλώτου ἀκαθάρτου. οὔτε ἐν Φραν. καὶ ἡ ἐν Καντάβρ. ἐκδ.

γὰρ ὁ καθαρὸς ἁπτόμενος τῶν ἀκαθάρτων μολύνεται· καὶ ὁ μὴ ὀμωμοκὼς τῷ ψευσαμένῳ κοινωνεῖ τῆς ἁμαρτίας, μὴ διελέγχων τὸ ψεῦδος. ἄξιον δὲ θαυμάσαι τοῦ δεσπότου την ἀγαθότητα, ὅτι τὸν ἐπαγγειλάμενόν τι προσενεγκεῖν, καὶ ὅρκῳ την ἐπαγγελίαν βεβαιώσαντα· τὸ δὲ ἔργον μὴ πληρώσαντα, οὔτε ὡς ἀχάριστον, οὔτε ὡς ἐπίορκον τιμωρεῖται, ἀλλὰ μικρᾷ θεραπεύει ζημίᾳ.

Β ΩΡΙΓΕΝΟΥΣ. Θνησιμαῖον δέ φησι τὸν ἀποθανόντα τῷ Θεῷ ἄνθρωπον, ᾧ χρὴ μηδὲ συνεσθίειν. ὁ γὰρ ἁπτόμενος αὐτοῦ ἀκάθαρτός ἐστι.

∗ ΤΟΥ ΑΥΤΟΥ. [Θηριάλωτον δέ; (1)] καὶ τοῦτο ἀκάθαρτόν ἐστι τὸ θηρευθὲν ὑπὸ τοῦ ἀντιδίκου ἡμῶν διαβόλου.

∗ ΤΟΥ ΑΥΤΟΥ. Κτήνη ἀκάθαρτα εἴη ἂν οἱ προσελθόντες μὲν τῷ λόγῳ κτηνώδεις, πρὸς θάνατον δὲ ἁμαρτήσαντες, καὶ Γ μὴ γενόμενοι ἄξιοι σωθῆναι κἂν μετὰ κτη-
Ψαλ. 55. 6. νῶν κατὰ τὸ λέγον ῥητόν· ἀνθρώπους καὶ
» κτήνη σώσεις, Κύριε.

ΑΔΗΛΟΥ. Ἢ καὶ ἄλλως. ἀνθρώπους μὲν, τοὺς δικαίους· κτηνώδεις δὲ, τοὺς ἁμαρτωλούς.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Θνησιμαῖον δὲ ἑρπετὸν λέγοιτο ἂν ἀκάθαρτον πᾶσα ἀσπὶς, ἢ ἔκγονα ἀσπίδος μετὰ τὸ ἡμερωθῆναι τῇ
Ἡσ. 11. 8. παρουσίᾳ Χριστοῦ οὕτως, ὥστε παιδίον νήπιον Δ ἐπὶ τρώγλην αὐτῶν, ἢ ἐπὶ κοίτην ἐκγόνων αὐτῶν την χεῖρα ἐπιβαλεῖν, κἀκεῖνα ἡμερωθέντα μὴ λυμαίνεσθαι τὸ παιδίον, παλινδρομήσαντα ἐπὶ την κακίαν, καὶ ἀποθανόντα τῇ ἡμερότητι.

∗∗ ΤΟΥ ΑΥΤΟΥ. Ἐπὶ τῶν θηριαλώτων ἐστίποτε τὸ, ἤδη ἁλόντα δύω σκελῶν, ἢ λοβοῦ ὠτίου, ὑπὸ τοῦ καλοῦ ποιμένος ἀνιμηθῆναι. διὰ τοῦτο ἴσως εἴρηται τὸ, ἢ
» θηριαλώτου ἀκαθάρτου. οὐκ ἔτι γὰρ θηριάλωτον τὸ ὑπὸ τοῦ ποιμένος ἐκσπασθὲν ἐκ Ε στόματος λέοντος.

γ. Ἢ ἅψηται ἀπὸ ἀκαθαρσίας ἀνθρώπου, ἢ ἀπὸ πάσης ἀκαθαρσίας αὐτοῦ, ἧς ἂν ἁψάμενος μιανθῇ, καὶ ἔλαθεν αὐτὸν, μετὰ δὲ τοῦτο γνῷ, καὶ πλημμελήσῃ.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Ὡς ἐστὶν ἅψασθαι κτηνῶν καὶ ἑρπετῶν ἀκαθάρτων θνησιμαίων, οὕτως ἐστὶν ἅψασθαί ποτε καὶ ἀκαθαρσίας ἀνθρώπου, ὅταν λάβῃ τὶς ἀπὸ τοῦ ἐν ἑτέρῳ μολυσμοῦ.

δ. Ἡ ψυχὴ ἢ ἐὰν ὀμόσῃ, διαστέλλουσα τοῖς χείλεσι κακοποιῆσαι (2) κατὰ πάντα ὅσα ἂν διαστέλλῃ ὁ ἄνθρωπος μεθ' ὅρκου, καὶ λάθῃ αὐτὸν ἀπὸ ὀφθαλμῶν, καὶ οὗτος γνῷ, καὶ Η ἁμάρτῃ ἕν τι τούτων.

Α » ΕΥΣΕΒΙΟΥ. Ἐάν τις, φησὶν, ὀμόσῃ
» κακοποιῆσαί τινα ἢ καλοποιῆσαι, εἶτα ἐπιλάθηται καὶ μὴ ποιήσῃ· ὑπομνησθεὶς δὲ, ἐξετάσῃ τὰ παρ' ἑαυτῷ, καὶ γνῷ ὅτι ἥμαρτεν, ὁμολογήσει τῷ ἱερεῖ, καὶ προσαγάγοι τὸ δῶρον. τί δὲ, ἐὰν ὁμολογήσας κακοποιῆσαι, καὶ λαθὼν τὸ πρᾶγμα παρῆλθεν; ἥμαρτεν, οὐχ ὅτι μὴ ἐκακοποίησεν, ἀλλ' ὅτι ὤμοσε. καὶ ἔστιν ἄρα καὶ λήθης τοιαύτης θυσία.

Β ΑΛΛΟΣ. Οἷον, ἢ ὤμοσέ τις τόδε τι ἀγαθὸν ποιῆσαι, καὶ ἔλαθεν αὐτῷ τοῦ ποιῆσαι· ἢ ὤμοσε κακοποιῆσαι ὀργῇ φερόμενος, ἢ πάθει τινὶ λαθὼν ὅτι κακόν ἐστι. καὶ νῦν βούλεται μὴ ποιῆσαι, ἔξεστι προσφέρειν τὸ δῶρον.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Πῶς δὲ ὑπεύθυνος καὶ ὁ κακοποιεῖν ὀμόσας, καὶ λήθην λαβών; Οὐχ ὅτι μὴ ἐκακοποίησεν, ἀλλ' ὅτι ὤμοσε. τοῦ δὲ συνθέτου ἀνθρώπου. οὔτε τὸ Γ πνεῦμα εἶπεν, οὔτε την σάρκα. οὐδέτερον γὰρ πέφυκεν ἁμαρτάνειν. τὸ μὲν γὰρ, ἐπιθυμεῖ κατὰ τῆς σαρκὸς, καρποὺς ἔχον ἀγάπην, χαρὰν, εἰρήνην, καὶ τὰ ἑξῆς, Γαλ. 5. 22.
φύσει δένδρον ἀγαθὸν τυγχάνον· ἡ δὲ, ἐπιθυμοῦσα κατὰ τοῦ πνεύματος, τῷ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. οὐδὲ γὰρ δύναται. δύναμιν οὖν οὐκ ἔχουσα ὑποταγῆς πρὸς τὸν Θεὸν, πῶς ἂν ἁμάρτοι; ἰδίᾳ δὲ περὶ ψυ-
Δ » χῆς εἴρηται, ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ Ἰεζ. 18. 4.
» ἀποθανεῖται, οὐ τὸ πνεῦμα. εἰ δὲ δύναται Ματθ. 10. 28.
καὶ ψυχὴν καὶ σῶμα Θεὸς ἀπολέσαι ἐν γεέννῃ, οὐχ ὡς πεφυκὸς κατορθοῦν, ἀλλ' ἴσως ὡς αἴτιον τῇ ψυχῇ ἁμαρτίας. σκόπει δὲ καὶ τὸν σπείροντα εἴς τε τὸ πνεῦμα καὶ την σάρκα· ὡς ὁ μὲν ζωὴν μόνον αἰώνιον· ὁ δὲ, θερίζει φθοράν. εἰ δὲ ἕτερον τὸ σπεῖρον, καὶ τὸ σπαρὲν. καὶ τὸ ἐν ᾧ σπείρεται. ἀνάγκη ψυχὴν εἶναι την ἐν ἑκατέρῳ σπείρουσαν, περὶ ἧς ὁ πᾶς ἀγὼν, ἵνα
Ε » σωθῇ. ὅθεν πανταχοῦ, ψυχὴ ἐὰν ἁμάρτῃ, λέγεται.

ε. Καὶ ἐξαγορεύσει την ἁμαρτίαν, περὶ ἧς ἡμάρτηκε κατ' αὐτῆς.

∗∗ ΚΥΡΙΛΛΟΥ. Ἕψεται δὴ οὖν καὶ τούτοις ἡ λύσις δι' ἐξαγορεύσεώς τε, καὶ μιὴν καὶ ἀμνάδος, ἤτοι προβάτου σφαγῆς.
» λέγε γὰρ σὺ τὰς ἀνομίας σου πρῶτος. φη- Ἡσ. 43. 26.
Ζ » σὶν, ἵνα δικαιωθῇς. καὶ μιὴν καὶ ὁ θεῖος
» ἀναφωνεῖ Δαβίδ· εἶπα, ἐξαγορεύσω κατ' Ψαλ. 31.
» ἐμοῦ την ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ
» ἀφῆκας την ἀσέβειαν τῆς καρδίας μου.

ϛ. Καὶ οἴσει περὶ ὧν ἐπλημμέλησε τῷ Κυρίῳ, περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε, θῆλυ ἀπὸ τῶν προβάτων, ἀμνάδα ἢ χίμαιραν ἐξ αἰγῶν περὶ ἁμαρτίας. καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ Η τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἡμάρτηκε, καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρτία.

ΩΡΙΓΕ-

(1) Τὸ, θηριάλωτον δὲ, ἐλήφθη ἐκ τῶν τοῦ Προκοπ. τῶν ἐν τῷ τῆς Αὐγ. κώδ.

(2) Κακοποιῆσαι ἢ καλῶς ποιῆσαι. αἱ σημ. ἐκδόσ. καὶ ὁ Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 531.

ΩΡΙΓΕΝΟΥΣ. Ζητῶ διατὶ οὐκ εἴρηκε ταῦτα σφαγιάσαι ἡ Γραφή. (1)

ζ. Ἐὰν δὲ μὴ ἰσχύσῃ ἡ χεὶρ αὐτοῦ τὸ ἱκανὸν εἰς πρόβατον, οἴσει περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτε, δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν Κυρίῳ, ἕνα περὶ ἁμαρτίας, καὶ ἕνα εἰς ὁλοκαύτωμα.

ΚΥΡΙΛΛΟΥ. Ἀπροφάσιστον δὲ ὥσπερ καθιστὰς ὁ νόμος τὸ ῥᾴθυμον εἰς θυσίαν τοῖς ἐν μολυσμοῖς καὶ ἀκαθαρσίαις, εἰ μὴ μόσχον τὶς ἔχοι καὶ πρόβατον, τοῖς κατὰ χεῖρα καὶ ἐν ἰσχύϊ τιμᾷν ἀναπείθει, λέγων· » ἐὰν δὲ μὴ ἰσχύῃ ἡ χεὶρ αὐτοῦ, καὶ τὰ ἑξῆς.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Δύο περιστερῶν προσαγομένων, τὴν μὲν μίαν περὶ ἁμαρτίας προσάγεσθαι κελεύει, καὶ τὴν ἑτέραν εἰς ὁλοκαύτωμα, ἓν πρᾶγμα δι' ἑκατέρου ὑποτυπῶν, διὰ τοῦ ἱλασμοῦ τὴν ὁλόκληρον εἰς Θεὸν ἀφιέρωσιν.

η. Καὶ οἴσει αὐτὰ πρὸς τὸν ἱερέα· καὶ προσάξει ὁ ἱερεὺς τὸ περὶ τῆς ἁμαρτίας πρότερον. καὶ ἀποκνίσει ὁ ἱερεὺς τὴν κεφαλὴν αὐτοῦ ἀπὸ τοῦ σπονδύλου, καὶ οὐ διελεῖ.

* ΚΥΡΙΛΛΟΥ. Ἀποκνίσει τῷ ὄνυχι· σφάζεται γὰρ οὕτω τὰ ἐλαφρὰ τῶν στρουθίων· πλὴν οὐκ εἰς ἅπαν ἀποτεμεῖ, δῆλον δὲ ὅτι τὴν κεφαλήν. πέπρακται γὰρ οὕτως ὁ Χριστοῦ θάνατος, [οὐκ εἰς μερισμὸν, ἀλλ' εἰς ἕνωσιν.]

θ. Καὶ ῥανεῖ ἀπὸ τοῦ αἵματος τοῦ περὶ τῆς ἁμαρτίας ἐπὶ τὸν τοῖχον τοῦ θυσιαστηρίου· τὸ δὲ κατάλοιπον τοῦ αἵματος καταστραγγιεῖ ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου· ἁμαρτίας γάρ ἐστι.

* ΚΥΡΙΛΛΟΥ. Ὅτι τοίνυν οὐ μερισμοῦ πρόξενος, ἀλλ' ἑνώσεως πρὸς ἡμᾶς ὁ Χριστοῦ θάνατος, ἐδήλου τὸ θύεσθαι μὲν τὸ στρουθίον, οὐ μὴν καὶ εἰς ἅπαν ἀποκείρεσθαι τοῦ σπονδύλου τὴν κεφαλήν· ὅτι δὲ ἁγιάζει τὴν ἐκκλησίαν τῷ ἰδίῳ αἵματι, σημαίνει ὁ τοῦ αἵματος ῥαντισμὸς ἐν τῇ σκηνῇ.

ι. Καὶ τὸ δεύτερον ποιήσει ὁλοκαύτωμα, ὡς καθήκει· καὶ ἐξιλάσεται περὶ ἁμαρτίας αὐτοῦ ὁ ἱερεὺς, περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ.

** ΚΥΡΙΛΛΟΥ. Μία δὲ τρυγὼν ὑπὲρ ἁμαρτίας, καὶ μία πάλιν εἰς ὁλοκαύτωμα. νοεῖται δὲ δι' ἀμφοῖν ὁ Χριστὸς, καὶ ἀποθνήσκων ὑπὲρ ἡμῶν, καὶ εἰς ὀσμὴν εὐωδίας ὁλοκαυτούμενος τῷ πατρὶ, καὶ μὴν

A καὶ ἀντάλλαγμα τῆς ἁπάντων ζωῆς ἑαυτὸν ἀνατιθείς.

ια. Ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐτοῦ ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν, καὶ οἴσει τὸ δῶρόν σου (2) περὶ οὗ ἥμαρτες τὸ δέκατον τοῦ οἰφὶ σεμίδαλιν περὶ ἁμαρτίας. οὐκ ἐπιχεεῖς ἐπ' αὐτὸν ἔλαιον, οὐκ ἐπιθήσεις ἐπ' αὐτὸν λίβανον, ὅτι περὶ ἁμαρτίας ἐστί. B

** ΚΥΡΙΛΛΟΥ. Ὑποβιβάζει γε μὴν ὁ νόμος καὶ εἰς τὸ λίαν εὐπόριστον τῆς θυσίας τὸν τρόπον· καὶ ἀναλόγως τοῖς ἑκάστου μέτροις ποιεῖσθαι προστάττει, τὸν ἐπὶ τοῖς ἀρίστοις ὄκνον ὑποτεμνόμενος πανταχῇ, καὶ ἀπροφάσιστον καθιστὰς τοῖς ἐλοῦσι τὸ ῥᾴθυμον. Καὶ μετ' ὀλίγα. Προσφέρεται σεμίδαλις, ἄρτου γένεσις· ζωῆς δὲ τύπος ὁ ἄρτος· ἀλλ' οὔτε λιβάνῳ καταπάττεσθαι Γ δεῖν αὐτὴν, οὔτε μὴν ἐλαίῳ δεδεῦσθαι λέγει, σοφήν τε καὶ ἀναγκαίαν τοῦ τοιοῦδε τὴν ἀφορμὴν εὖ μάλα προαναφωνῶν, ὅτι περὶ » ἁμαρτίας ἐστὶν, ἧς ἂν εἴη πάντη τε καὶ πάντως ἀπωτάτω τὸ ἱλαρὸν, ὡς ἐν ἐλαίῳ νοούμενον, καὶ μέντοι τὸ εὐῶδες, ὡς ἐν λιβάνῳ τυχόν. εἴη δ' ἂν οὐκ ἀμφίλογον; ὅτι χρῆμά συγνὸν καὶ ἄοσμον ἀληθῶς ἡ ἐν ἡμῖν ἁμαρτία.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Εἰ δὲ ἱερεῖον οὐκ εὐπορήσας Δ ὁ ἡμαρτηκὼς, προσάξει σεμίδαλιν, οὐκ ἐᾷ ἔλαιον ἐπιχέειν αὐτῇ, οὐδὲ λίβανον ἐπιτιθέναι, ἐπιλέγων· ὅτι περὶ » ἁμαρτίας ἐστίν. ἁμαρτία γὰρ οὔτε φαιδρὸν, οὔτε εὐῶδες.

ιβ. Καὶ οἴσει αὐτὴν πρὸς τὸν ἱερέα. καὶ δραξάμενος ὁ ἱερεὺς ἀπ' αὐτῆς πλήρη τὴν δράκα αὐτοῦ, τὸ μνημόσυνον αὐτῆς ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τῶν ὁλοκαυτωμάτων E

ιγ. Κυρίῳ· ἁμαρτίας ἐστί. Καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτεν ἀφ' ἑνὸς τούτων, καὶ ἀφεθήσεται αὐτῷ. τὸ δὲ καταλειφθὲν ἔσται τῷ ἱερεῖ, ὥσπερ ἡ θυσία τῆς σεμιδάλεως.

** ΚΥΡΙΛΛΟΥ. Τύπος οὖν ἄρα ζωῆς, Z τῆς μὴ ἐχούσης τὸ ἱλαρὸν καὶ εὐωδίας ἐρήμης, ἡ λιβάνου δίχα καὶ ἐλαίου σεμίδαλις, ἀλλ' ἐν Χριστῷ καὶ αὐτὴ μεταστήσεται πρὸς τὸ ἱλαρόν. δέχεται δὲ καὶ τὸ εὐῶδες ἐν πίστει, καὶ προσφέρεται τῷ Θεῷ δι' αὐτοῦ, τοῦ διασμήχοντος τοὺς μεμολυσμένους, καὶ ἀπονίζοντος νοητῶς τοὺς ἐναλόντας ἀκαθαρσίᾳ.

ΤΟΥ ΑΥΤΟΥ. Διὰ τοῦ ὁλοκλήρου τὸ μερικὸν δυναμῶν, τῷ ἱερεῖ τὸ ὑπόλοιπον εἰς

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. νοητέον δὲ τὴν σφαγὴν, (ἣν προστίθησιν ὁ ἐν ἁγίοις Κύριλλος, ὡς ἐκ τοῦ ἀνωτέρ. ὑπομνήμ. δῆλον.) κἂν παρασιωπῆται ὑπὸ τῆς Γραφῆς.

(2) Τὸ δῶρον αὐτοῦ περὶ οὗ ἥμαρτε τὸ δέκατον τοῦ οἰφὶ σεμιδάλεως περὶ ἁμαρτίας. οὐκ ἐπιχεεῖ ἐπ' αὐτὸ ἔλαιον, οὐδὲ ἐπιθήσει ἐπ' αὐτῷ λίβ. κτ. αἱ εἰρημ. ἐκδόσ.

εἰς τροφὴν ἀφορίζει, καθὰ καὶ ἀπὸ τοῦ δώρου τῆς σεμιδάλεως. ἐκεῖ μὲν, κοινωνὸν τοῦ θυσιαστηρίου τὸν ἱερέα ποιῶν· ἐνταῦθα δὲ, βοηθὸν τοῦ ἡμαρτηκότος. (1) A

ιδ. Καὶ ἐλάλησε Κύριος πρὸς
ιε. Μωϋσῆν, λέγων, Ψυχὴ ἣ ἂν λάθῃ αὐτὸν λήθῃ, καὶ ἁμαρτήσῃ ἀκουσίως ἀπὸ τῶν ἁγίων Κυρίου, καὶ οἴσει ἀπὸ τῆς πλημμελείας αὐτοῦ τῷ Κυρίῳ κριὸν ἄμωμον ἐκ τῶν προβάτων, τιμῆς B ἀργυρίου σίκλον τῷ σίκλῳ τῷ ἁγίῳ, περὶ οὗ ἐπλημμέλησε.

Ἢ ἂν λάθῃ. Ἄλλος, ἀδικήσει ἀδικίαν· ἢ ἐὰν παραβῇ παράβασιν.

ΑΔΗΛΟΥ. Σίκλον ἐν σίκλῳ ἁγίῳ, σταθμὸν ἐν σταθμῷ ἁγίῳ.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, ψυχὴ ἐὰν λά-
» θῃ αὐτὴν λήθῃ, καὶ ἁμάρτῃ ἀκουσίως; Γ Συνέβαινε πολλάκις ἀσχολίᾳ τινὰ περιπεσόντα μὴ προσενεγκεῖν εἰς καιρὸν τὰ τῷ Θεῷ ἀφιερωμένα, οἷον τὰ πρωτότοκα, ἢ τὰς ἀπαρχὰς, ἢ τὰς ἐπαγγελίας. τὸν ταύτῃ τοίνυν περιπεπτωκότα τῇ πλημμελείᾳ μείζονι ὑποβάλλει ζημίᾳ. κελεύει γὰρ αὐτὸν πρότερον ἐκτῖσαι τὸ θεῖον ὄφλημα, τῆς ἀξίας τιμῆς τὸ πέμπτον προστεθεικότα· εἶθ᾽ οὕτως ὑπὲρ τῆς πλημμελείας κριὸν πεντήκοντα σίκλων ἄξιον προσενεγκεῖν εἰς ἱερουργίαν, καὶ οὕτω λαβεῖν τῆς ἁμαρτίας τὴν ἄφεσιν. ταῦτα καὶ τὰ τούτοις ὅμοια περὶ τῶν ἀκουσίως ἡμαρτηκότων νομοθετήσας, κελεύει καὶ τοὺς ἑκόντας ἡμαρτηκότας, καὶ ἢ παρακαταθήκην δεξαμένους καὶ ψευσαμένους, ἢ ἀδικίᾳ τινὶ χρησαμένους, καὶ ὅρκῳ τινὶ (2) τὴν ἁμαρτίαν αὐξήσαντας, πρῶτον ἀποδοῦναι τοῖς ἠδικημένοις ἃ παρανόμως ἀφείλοντο, καὶ προσθεῖναι τῷ κεφαλαίῳ τὸ πέμπτον· εἶθ᾽ οὕτω κριὸν προσενεγκεῖν, καὶ τὸν Θεὸν ἱλεώσασθαι. τοῦτο καὶ ὁ μακάριος Ζακχαῖος πεποίηκεν. ἀπέδωκε γὰρ πρότερον ἅπερ ἠδίκησε τετραπλάσια· εἶθ᾽ οὕτω τὰ ἡμίση τῶν οἰκείων τοῖς πενομένοις διένειμε.

✱ ΚΥΡΙΛΛΟΥ. Πάνδεινον γὰρ ἀληθῶς τὸ ὑφελέσθαι τὶ τῶν ἡγιασμένων [καὶ ἀνατιθεμένων] εἰς δόξαν Θεοῦ. ἐν ἴσῳ δὲ τρόπῳ διαβεβλήσεται καὶ τὸ μὴ ἀποτῖσαι τὰ ἐπηγγελμένα.

ις. Καὶ ὃ ἥμαρτεν ἀπὸ τῶν ἁγίων ἀποτίσει, καὶ τὸ ἐπίπεμπτον προσθήσει ἐπ᾽ αὐτῷ, καὶ δώσει αὐτὸ τῷ ἱερεῖ. καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἐν τῷ κριῷ τῆς πλημμελείας, καὶ ἀφεθήσεται αὐτῷ.

✱✱ ΚΥΡΙΛΛΟΥ. Τίς οὖν ἂν γένοιτο καὶ τοῦδε τυχὸν ἡ ἄφεσις; Πρῶτον μὲν εἰ πλεισιωτέραν τῶν ὑφαιρεθέντων ποιοῖτο
» τὴν ἀνθέκτισιν· προσθήσει γὰρ τὸ ἐπίπεμπτον φησίν· εἶτα κριὸν εἰς θυσίαν εἰ προσοίσειεν ὠνητόν. τύπος δ᾽ ἂν εἴη τὸ χρῆμα Χριστοῦ, ὃν οἱ τῶν Ἰουδαίων προεστηκότες ἐξεπρίαντό τρόπον τινὰ τριάκοντα δηναρίων, ἃ τῷ προδότῃ κατέθεντο μαθητῇ. οὐκοῦν ἐν Χριστῷ καὶ τῶν εἰς Θεὸν αἰτιαμάτων ἡ ἄφεσις.

ιζ. Καὶ ψυχὴ ἣ ἂν ἁμάρτῃ, καὶ ποιήσει μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν Κυρίου, ὧν οὐ δεῖ ποιεῖν, καὶ οὐκ ἔγνω, καὶ πλημμελήσῃ, καὶ λάθῃ (3) τὴν
ιη. ἁμαρτίαν αὐτοῦ. Καὶ οἴσει κριὸν ἄ-
Δ μωμον ἐκ τῶν προβάτων, τιμῆς ἀργυρίου εἰς πλημμέλειαν πρὸς τὸν ἱερέα. καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἀγνοίας αὐτοῦ, ἧς ἠγνόησε, καὶ αὐτὸς οὐκ ᾔδει, καὶ ἀφεθήσεται
ιθ. αὐτῷ. Ἐπλημμέλησε γὰρ πλημμέλειᾳ πλημμέλησιν ἔναντι Κυρίου.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Εἰ ἐπὶ τῶν κατὰ ἄγνοιαν οὕτως ἀπαραίτητον τὸ κρίμα, καὶ E ὑπὲρ τῆς καθάρσεως ἡ θυσία ἀναγκαία, ἣν καὶ ὁ δίκαιος Ἰὼβ μαρτυρεῖται προσφέρειν ὑπὲρ τῶν υἱῶν, τί ἄν τις εἴποι περὶ τῶν ἐν γνώσει ἁμαρτανόντων, ἢ τῶν τούτοις ἐφησυχαζόντων;

ΚΕΦ. Ϛ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Ψυχὴ ἣ ἂν ἁμάρτῃ, καὶ παριδὼν παρίδῃ τὰς ἐντολὰς Κυρίου, καὶ ψεύσηται τὰ πρὸς τὸν πλησίον ἐν παραθήκῃ, ἢ περὶ κοινωνίας, ἢ περὶ ἁρπα-
γ. γῆς, ἢ ἠδίκησέ τι τὸν πλησίον, Ἢ εὗρεν ἀπώλειαν, καὶ ψεύσηται περὶ αὐτῆς, καὶ ὀμόσῃ ἀδίκως περὶ ἑνὸς ἀπὸ πάντων, ὧν ἂν ποιήσῃ ἄνθρωπος, ὥστε ἁμαρτεῖν ἐν τούτοις.

Z Ἐν παραθήκῃ. Ἄλλος, ἐν πιστώσει χειρός. Περὶ ἁρπαγῆς. Ἄλλος, ἐν ἀναγκασμῷ.

Ἠδίκησέ τι. Ἄλλος, ἐσυκοφάντησε.

δ. Καὶ ἔσται ἡνίκα ἂν ἁμάρτῃ, καὶ πλημμελήσῃ, καὶ ἀποδῷ τὸ ἅρπαγμα, ὃ ἥρπασεν, ἢ τὸ ἀδίκημα, ὃ ἠδίκησεν, ἢ τὴν παραθήκην, ἥτις παρετέθη αὐτῷ, ἢ τὴν ἀπώλειαν, ἣν ἂν H εὗρεν ἀπὸ παντὸς πράγματος, οὗ ὤμοσε περὶ αὐτοῦ ἀδίκως, καὶ ἀποτίσει αὐτὸ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

(2) Ὅρκῳ ψευδεῖ. ἡ ἐν Χαλ. ἔκδ.

(3) Λάβῃ. ἥ τε ἐν Φραν. καὶ ἡ ἐν Καντ. ἔκδ. καὶ ὁ μέγας Βασίλ. ἐν τῷ περὶ κρίματ. Θεοῦ προοιμ.

αὐτὸ τὸ κεφάλαιον, καὶ τὸ ἐπίπεμπτον αὐτοῦ προσθήσει ἐπ' αὐτὸ, τίνος ἐστὶν, αὐτῷ ἀποδώσει ᾗ ἡμέρᾳ ἐλεγχθῇ.

Τὸ ἀδίκημα. Ἀκύλας καὶ οἱ λοιποὶ, [τὴν] συκοφαντίαν.

ε. Καὶ τῆς πλημμελείας αὐτοῦ οἴσει τῷ Κυρίῳ κριὸν ἀπὸ τῶν προβάτων ἄμωμον, τιμῆς, ἧς (1) ἐπλημμέλησε.
ς. Καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι Κυρίου, καὶ ἀφεθήσεται αὐτῷ περὶ ἑνὸς ἀπὸ πάντων ὧν ἐποίησε καὶ ἐπλημμέλησεν ἐν αὐτῷ.

ζ. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
η. σῆν, λέγων, Ἔντειλε τῷ Ἀαρὼν καὶ
θ. τοῖς υἱοῖς αὐτοῦ, λέγων, Οὗτος ὁ νόμος τῆς ὁλοκαυτώσεως. αὕτη ἡ ὁλοκαύτωσις ἐπὶ τῆς καύσεως αὐτῆς ἐπὶ τοῦ θυσιαστηρίου ὅλην τὴν νύκτα ἕως τὸ πρωῒ, καὶ τὸ πῦρ τοῦ θυσιαστηρίου καυθήσεται ἐπ' αὐτοῦ.

** ΚΥΡΙΛΛΟΥ. Ἐνδελεχὲς καὶ ἀκατάπαυσον κομιδῇ τοῦ θυσιαστηρίου τὸ πῦρ, καὶ οὐκ ὀθνεῖον ἢ ἔξωθεν, ἀλλὰ τὸ αὐτοῦ, τουτέστι τὸ ἄνωθεν καὶ ἐξ οὐρανοῦ. καὶ τί τοῦτό ἐστιν; ἐπίμεσον γὰρ τῆς τοῦ Θεοῦ δόξης τὸ ἅγιον ἡμῶν θυσιαστήριον. ἐν εἴδει δὲ τοῦ πυρὸς ἡ θεία τε καὶ ἀπόῤῥητος εἰκάζεται φύσις.

* ΤΟΥ ΑΥΤΟΥ. Ἄσβεστον οὖν τοῦ θυσιαστηρίου τὸ πῦρ. μεμένηκε γὰρ ἐν Χριστῷ τὸ πνεῦμα τὸ ἅγιον, καίτοι κατὰ φύσιν ἐνυπάρχον αὐτῷ, καθὸ νοεῖται καὶ ἔστι Θεός.

** ΤΟΥ ΑΥΤΟΥ. Πρέπει γὰρ ἄνδρας τοὺς ἱερεῖς, καὶ Χριστῷ τὴν οἰκείαν ἀναθέντας ζωὴν, θερμοὺς καὶ ζέοντας ὁρᾶσθαι τῷ πνεύματι, καὶ τοῦτο διαπαντός.

ι. Καὶ ἐνδύσεται ὁ ἱερεὺς χιτῶνα λινοῦν, καὶ περισκελὲς λινοῦν ἐνδύσεται περὶ τὸ σῶμα αὐτοῦ, καὶ ἀφελεῖ τὴν κατακάρπωσιν, ἣν ἂν καταναλώσῃ τὸ πῦρ, τὴν ὁλοκαύτωσιν ἀπὸ τοῦ θυσιαστηρίου· καὶ παραθήσει αὐτὴν ἐχό-
ια. μενα τοῦ θυσιαστηρίου. Καὶ ἐκδύσεται τὴν στολὴν αὐτοῦ, καὶ ἐνδύσεται στολὴν ἄλλην· καὶ ἐξοίσει τὴν κατακάρπωσιν ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρόν.

** ΚΥΡΙΛΛΟΥ. Τὴν σποδιὰν ἐκκομίζεσθαι δεῖν οὐ παρ' ἑτέρου, φησὶ, τῶν ἀλλογενῶν, ἤγουν ἐξ ἑτέρας ὄντος φυλῆς, δι' ὑπουργίας δὲ μᾶλλον τῶν ἡγιασμένων. ἐπιτήρει δὲ ὅπως οὐδὲν ἡγεῖσθαι βραχὺ τῶν εἰς θείαν ἡκόντων λειτουργίαν ἀφίησιν ὁ νόμος, οὐδὲ οἷον ἱερατικῆς αὐτουργίας ἀνά- A ξιον, ὡς παραχωρεῖν ἑτέρῳ μὴ ἱερῷ. οὐ γάρτοι βάσιμα τοῖς ἀνάγνοις τὰ ἅγια. ἀνέπαφον δὲ καὶ αὐτὸ τὸ θεῖόν ἐστι θυσιαστήριον. καὶ ἵν' εἰδεῖεν οἱ ἀπόλεκτοι πρὸς ἱερουργίαν τοῦ θείου θυσιαστηρίου τὸ ὑπερφυὲς ὡς ἐν ἁγιασμῷ, καὶ αὐτοῖς ἀνάπτει τὸ σέβας τοῖς ἱεροῖς ἐθήμασιν. ἐσταλμένους γὰρ ἱερῶς ἔξω φαίνεσθαι τῆς σκηνῆς, οὐκ ἐφίησιν οἰκονομικῶς. τὰ γάρτοι, φησὶν, ἡγιασμένα, μὴ τοῖς ἀνάγνοις ὡμιλη- B κότα, καὶ τὸν ἐξ ὀθνείων ἔχοντα μολυσμὸν, τὸ τῆς ἁγίας σκηνῆς ἀδικεῖ τὸ (2) σέβας. διὰ τοῦτο τὴν σποδιὰν συγκομίζειν μὲν ἐφίησιν ἐσταλμένους ἱεροπρεπῶς, μεταμφιέννυσθαι δὲ πρὸς τὸ ἔξω φέροντας, καὶ τῶν ἁγίων ἀποφοιτῶντας τόπων.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐν ἑτέρᾳ δὲ στολῇ τὰ εἴσω τῆς σκηνῆς λειτουργεῖν κελεύει τὸν ἱερέα, καὶ ἐν ἑτέρᾳ τὰ ἔξω· συνάγειν μὲν τὸ ἀπόκαυμα τῆς ὁλοκαρπώσεως ἔν- Γ δον ἐν χιτῶνι λινῷ καὶ περισκελεῖ, ἐκκομίζειν δὲ ἐν ἄλλῃ στολῇ. ἱερώτερα γὰρ τὰ πλησιαίτερον Θεοῦ. ἡμῖν δὲ ἐν σχέσει τῇ οἰκειοτέρᾳ πρὸς Θεὸν ὁ μείζων ἁγιασμός.

ιβ. Καὶ πῦρ ἐπὶ τὸ θυσιαστήριον καυθήσεται ἐπ' αὐτοῦ, καὶ οὐ σβεσθήσεται, καὶ καύσει ἐπ' αὐτοῦ ὁ ἱερεὺς ξύλα τὸ πρωῒ πρωῒ, καὶ στοιβάσει ἐπ' αὐτοῦ [τὴν ὁλοκαύτωσιν, καὶ ἐπιθήσει
ιγ. ἐπ' αὐτὸ] τὸ στέαρ τοῦ σωτηρίου. Καὶ πῦρ διαπαντὸς καυθήσεται ἐπὶ τὸ θυσιαστήριον, οὐ σβεσθήσεται.

** ΚΥΡΙΛΛΟΥ. Ἐν νυκτὶ δὲ καὶ ἡμέρᾳ τὸ ὁλοκαυτούμενον. ἀκατάληκτος γὰρ ἡ εὐωδία Χριστοῦ. καὶ αὐτὸς δὲ τῶν ἁγίων ὁ βίος, εἰ ὡς ἐν τρόπῳ νοοῖτο τῷ καθ' ὁλοκαύτωσιν, ἄπαυστον ἔχει τὴν εὐωσμίαν. Χριστὸν γὰρ εὐωδιάζουσι, τῆς εὐαγγελικῆς E πολιτείας ἱερουργοῦντες Θεῷ τὰ ὡς ἐξ ἔργων αὐχήματα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ζωπυρεῖσθαι τοὺς Θεῷ ἀνακειμένους ἀεὶ βουλόμενος, καὶ μὴ ἀποψύχεσθαι.

ιδ. Οὗτος ὁ νόμος τῆς θυσίας, ἣν προσάξουσιν αὐτὴν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς ἔναντι Κυρίου, ἀπέναντι τοῦ θυσιαστηρίου.

Z ιε. Καὶ ἀφελεῖ ἀπ' αὐτοῦ τῇ δρακὶ ἀπὸ τῆς σεμιδάλεως τῆς θυσίας σὺν τῷ ἐλαίῳ αὐτῆς, καὶ σὺν παντὶ τῷ λιβάνῳ αὐτῆς τὰ ὄντα ἐπὶ τῆς θυσίας, καὶ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον κάρπωμα ὀσμὴν εὐωδίας, τὸ μνημόσυνον αὐτῆς τῷ Κυρίῳ.

ΚΥΡΙΛΛΟΥ. [Τὰ μὲν οὖν ὁλοκαυτούμε- H να, τὴν οἱονείπως ὁλοτελῆ καὶ εἰς ἅπαν ἀφιέρωσιν τῶν ἐξαιρέτως ἁγίων ὑποδηλοῖ·

(1) Εἰς ὅ. ἧτε ἡ ἐν Φραν. ἔκδ. καὶ ἡ ἐν Καντ. καὶ ὁ ἐν ἁγίοις Κυρίλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 535.
(2) Ἀδικεῖται. ἴσ. ὀρθότερ. ἄλλως γὰρ οὐδὲ ἡ σύνταξις, οὐδὲ ἡ ἔννοια εὐοδοῦται.

λοι· θυσία δὲ, αὐτὴν ὡς ἐκ μέρους ἁγίαν καὶ ὑπὸ Θεῷ ζωήν. ἧς ὑποτύπωσις ἀκριβὴς, ἡ σεμίδαλις διὰ δρακὸς ἱερέως ἀναφερομένη σὺν τῷ ἐλαίῳ καὶ τῷ λιβάνῳ:] τὴν γὰρ τοι Θεῷ καθιερωμένην ζωὴν, καὶ εἰ γένοιτο τυχὸν ἐκ μέρους, εὐώδη εἶναι πάντως χρὴ, καὶ λιπαρωτάταις ἐλπίσι πιαινομένην.

ιϛ. Τὸ δὲ καταλειφθὲν ἀπ᾽ αὐτῆς ἔδεται Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ. ἄζυμα βρωθήσεται ἐν τόπῳ ἁγίῳ· ἐν τῇ αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου ἔδονται αὐτήν.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἄζυμος δὲ ἡ θυσία. πρέποι γὰρ ἂν πράττεσθαι καθαρῶς πᾶν ὅπερ ἂν γένοιτο πρὸς ἡμῶν εἰς δόξαν Θεοῦ. Καὶ μετ᾽ ὀλίγα. Μερὶς δὲ καὶ βρῶσις τοῖς ἱερεῦσι τὸ κατάλοιπον τῆς θυσίας.

ιζ. Οὐ πεφθήσεται ἐζυμωμένη. μερίδα αὐτὴν δέδωκα αὐτοῖς ἀπὸ τῶν καρπωμάτων Κυρίου. ἅγια ἁγίων ἐστὶν, ὥσπερ τὸ τῆς ἁμαρτίας, καὶ ὥσπερ τὸ τῆς πλημμελείας.

ΕΥΣΕΒΙΟΥ. Ἄλλο ἁμαρτίας δῶρον, καὶ ἄλλο πλημμελείας. ἁμαρτίαν μὲν γὰρ, τὴν ἐν γνώσει· πλημμέλειαν δὲ, τὴν ἐν ἀγνοίᾳ. κελεύει δὲ ἀπὸ τοῦ τῆς ἁμαρτίας δώρου καὶ τοῦ τῆς πλημμελείας τοὺς ἱερεῖς ἐσθίειν, τοὺς ἄρσενας μόνους, ἃ καὶ ἅγια ἁγίων ἐκάλεσε.

ιη. Πᾶν ἀρσενικὸν τῶν ἱερέων ἔδονται αὐτὴν, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἀπὸ τῶν καρπωμάτων Κυρίου. πᾶς ὃς ἂν ἅψηται αὐτῶν, ἁγιασθήσεται.

ΩΡΙΓΕΝΟΥΣ. Λέγομεν ὡς διατροφῆς ἀφορμὴ μᾶλλον τοῖς ἱερεῦσιν ἦσαν αἱ θυσίαι, καὶ σκιὰ τῆς εὐσεβείας. διπλοῦν δὲ ἄρα τὸ κέρδος τὸ ἀπὸ τοῦ θύειν· καὶ ὅτι Θεῷ προσάγεται τιμὴ, καὶ ὅτι ἃ θύει τὶς οὐκ ἂν προσκυνήσειεν, οὐδ᾽ ἂν οἰηθείη Θεὸν εἶναι.

ΤΟΥ ΑΥΤΟΥ. Τινὲς τὸ, ἁγιασθήσεται, μολυνθήσεται φασίν· οὐ διὰ τὴν θυσίαν, οἶμαι, ἀλλὰ διὰ τὸ τολμηρὸν τοῦ ἁπτομένου.
Ἀγ. 2. 14. Ἀγγαῖος γάρ φησιν· ὃς ἂν ἅψηται, μιανθήσεται.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἐσθίεται πᾶν ἀρσενικὸν ἐν τόπῳ ἁγίῳ, τοῦ μὲν ἐν ἁγίῳ τόπῳ πρὸς τῶν ἱερέων δαπανᾶσθαι τὰ ἱερὰ, τοῖς μυστικωτέροις ἡμῶν λόγοις τηροῦντος τὸ σέβας, τοῦ δὲ πᾶν ἄρσεν ἐσθίειν, ὑποδηλοῦντος ἀστείως, ὡς ἀκαλλές τι χρῆμα καὶ ἀνόσιον ἀληθῶς ὁ μαλακισμὸς τοῖς ἐξειλεγμένοις παρὰ Θεοῦ. ἀνίερον γὰρ ἀποτελεῖ, καὶ εὐλογίας ἐξίστησι τῆς πνευματικῆς, καὶ ἀμέτοχον ἀποφαίνει τῶν παρὰ Θεοῦ τοῖς ἁγίοις ἐκνενεμημένων ἀγαθῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὸ ἄρσεν ἐν δυνάμει ἀρετῆς κρίνοιτο, τὸ δὲ θῆλυ ἐν ἀσθενείᾳ. καὶ ἐκεῖ μὲν πᾶς ὁ ἁπτόμενος ἀπὸ τῶν προσαγομένων Θεῷ, ἁγιάζεται· ἐφ᾽ ἡμῖν δὲ, ὁ κατὰ διάθεσιν ἁπτόμενος.

ιθ. Καὶ ἐλάλησε Κύριος πρὸς
κ. Μωϋσῆν λέγων, Τοῦτο τὸ δῶρον Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ, ὃ προσοίσουσι Κυρίῳ ἐν τῇ ἡμέρᾳ, ᾗ ἂν χρίσῃς αὐτόν· τὸ δέκατον τοῦ οἰφὶ σεμιδάλεως εἰς θυσίαν διαπαντὸς, τὸ ἥμισυ αὐτῆς τὸ πρωῒ, καὶ τὸ ἥμισυ αὐτῆς τὸ δειλινόν.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἔδει καὶ τοὺς ἱερεῖς ἀπάρξασθαί τι τῷ βωμῷ. μὴ νομίσαντας ἀσυλίαν εὑρῆσθαι τὰς ὑπηρεσίας καὶ λειτουργίας, ἐφ᾽ ὧν ἐτάχθησαν. ἡ δ᾽ ἀπαρχὴ πρέπουσα ἱερεῦσιν ἀπ᾽ οὐδενὸς τῶν ἐναίμων, ἀλλὰ ἀπὸ τοῦ καθαρωτάτου τῆς ἀνθρωπίνης τροφῆς. σεμίδαλις γὰρ ἡ ἐνδελεχὴς θυσία ἐστὶν αὐτῶν, μέτρου ἱεροῦ τὸ δέκατον καθ᾽ ἑκάστην ἡμέραν. οὗ τὸ μὲν ἥμισυ πρωΐας, τὸ δὲ ἥμισυ δείλης προσάγεται, τηγανισθὲν ἐν ἐλαίῳ, μηδενὸς εἰς βρῶσιν ὑπολειφθέντος. χρησμὸς γάρ ἐστι πάσας ἱερέως θυσίας ὁλοκαύτους εἶναι, καὶ μηδὲν αὐτῶν εἰς ἐδωδὴν ἀπονέμεσθαι.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Οἰφὶ δὲ καὶ χοῖνιξ ἕν ἐστι μέτρον, διττῷ ὀνόματι προσαγορευόμενον. ἔστι δὲ δύω ξεστῶν καὶ πεντημορίου.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ τὰς τῶν ἀγελαίων θυσίας οὐχ ὁλοκαυτοῦσθαι δεῖν προστέταχεν, ἅτε δὴ μὴ εἰσάπαν ἁγίαν ἐχόντων ζωὴν, μεμερισμένην δὲ ὥσπερ Θεῷ καὶ κόσμῳ, δοὺς ἀς εἰκότως καὶ ἐν μοίρᾳ τιθεὶς τῇ ὑπερκειμένῃ τοὺς ἐξειλεγμένους εἰς ἱερουργίαν, ὁλόκαυτον τὴν ὑπὲρ αὐτῶν ποιεῖσθαι δεῖν ἔφη θυσίαν, τὴν προσαγομένην σεμίδαλιν καταθυμιῶντας Θεῷ πρωῒ καὶ τὸ δειλινὸν, τουτέστι διὰ πάσης ἡμέρας, καὶ ἐν παντὶ καιρῷ.

ΤΟΥ ΑΥΤΟΥ. Τὸ δέκατον τοῦ οἰφὶ σεμιδάλεως, ζωῆς ἂν εἴη σημεῖον, εὐωδιαζούσης Θεῷ κατὰ πάντα καιρόν.

κα. Ἐπὶ τηγάνου ἐν ἐλαίῳ ποιηθήσεται, πεφυραμένην οἴσει αὐτὴν ἑλικτά, θυσίαν ἐκ κλασμάτων, θυσίαν εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.

✱ ΚΥΡΙΛΛΟΥ. Τοῦ μὲν τηγάνου, τὸ ἐπώδυνον· τοῦ δὲ πεφυρᾶσθαι τῷ ἐλαίῳ, τὸ δαψιλὲς ἐν ἱλαρότητι· τοῦ δὲ ἐκ κλάσματος, τὸ οἱονεὶ τρυφερόν τε καὶ διάθρυπτον τῆς τῶν ἁγίων καρδίας ὑποσημαινόντων ἡμῖν αἰνιγματωδῶς.

κβ. Ὁ ἱερεὺς ὁ χριστὸς ὁ ἀντ᾽ αὐτοῦ ἐκ τῶν υἱῶν αὐτοῦ ποιήσει αὐτήν. νόμιμον αἰώνιον τῷ Κυρίῳ· ἅπαν ἐπιτελεσθήσεται.

κγ. Καὶ πᾶσα θυσία ἱερέως ὁλόκαυτος ἔσται, καὶ οὐ βρωθήσεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τοῦ ἱερέως τὴν θυσίαν ὁλοκαυτοῦσθαι προσέταξε; Τέλειον

εἶναι διδάσκων τὸν ἱερέα, καὶ μὴ μερικῶς, ἀλλ' ὅλον ἑαυτὸν ἀνατιθέναι τῷ τῶν ὅλων Θεῷ.

κδ. Καὶ ἐλάλησε Κύριος πρὸς
κε. Μωϋσῆν, λέγων, Λάλησον τῷ Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, λέγων, οὗτος ὁ νόμος τῆς ἁμαρτίας. ἐν τόπῳ οὗ σφάζουσι τὰ ὁλοκαυτώματα, σφάξουσι καὶ τὸ τῆς ἁμαρτίας ἔναντι Κυρίου· ἅγια ἁγίων ἐστίν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ἐν τόπῳ τῶν ὁλοκαυτωμάτων, καὶ τὰς περὶ ἁμαρτίας θυσίας ἱέρευον; Πρὸς ψυχαγωγίαν τῶν προσφερόντων· ἵνα γνῶσιν, ὡς οὐκ εἰσὶ τῶν ἁγίων ἀλλότριοι, διὰ μετανοίας ἰατρευόμενοι. διὰ τοῦτο καὶ ἅγια ἁγίων αὐτὰ προσηγόρευσε.

** ΚΥΡΙΛΛΟΥ. Ἱερεῖον μὲν οὖν τὸ περὶ τῆς ἁμαρτίας εἴη ἂν ἕτερον οὐδὲν παρὰ τὸν Ἐμμανουὴλ, ὅς ἐστιν ἀμνὸς ὁ ἀληθινὸς ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου. σφάζεται δὲ ἐν τόπῳ τοῦ ὁλοκαυτώματος. οὐ γάρτοι μερικῶς τε καὶ καθ' ἡμᾶς ἅγιος ὁ Χριστός· οὐ γὰρ ἐποίησεν ἁμαρτίαν· εὐώδης δὲ ὅλος καὶ ἱερὸς, καὶ ἁγιασμοῦ τοῖς ἄλλοις ἅπασι χορηγός. εἰ γὰρ καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ τοῖς κατακεκριμένοις ἐνάριθμιος γέγονεν οἰκονομικῶς, ἀλλ' οἶδεν ἅγιον ὄντα καὶ ἱερὸν τὸν τοῦ υἱοῦ θάνατον ὁ πατήρ. ταύτῃ τοι, φησὶν, ἐν τόπῳ οὗ σφάζουσι τὸ ὁλοκαύτωμα, σφάξουσι καὶ τὸ περὶ ἁμαρτίας· ἅγια ἁγίων ἐστίν. ὥσπερ γὰρ Θεὸς Θεῶν ἐστιν ὁ υἱὸς, οὕτω καὶ ἁγίων ἅγιος, ὅλην αὐτὸς ἁγιάζων τὴν κτίσιν τῷ ἰδίῳ πνεύματι, καθὸ πέφυκεν ἐκ πατρὸς, καὶ ἐστὶ Θεὸς ἀληθῶς.

κϛ. Ὁ ἱερεὺς ὁ ἀναφέρων αὐτὴν, ἔδεται αὐτήν. ἐν τόπῳ ἁγίῳ βρωθήσεται, ἐν αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου.

** ΚΥΡΙΛΛΟΥ. Ἕκαστος, οἶμαι, τῶν εἰς λειτουργίαν τὴν ἱερὰν ἠγμένων, τοὺς καρποὺς τῶν ἰδίων ἀποτρυγήσει πόνων, καὶ τῆς ἑαυτοῦ λειτουργίας ἐκθεριεῖ τὴν ἀντίδοσιν. ἐσθίεται δὲ τῆς θυσίας τὸ λείψανον ἐν ἁγίοις τόποις, καὶ ἐν αὐλῇ τῆς ἁγίας σκηνῆς. προσάγεται γὰρ ἐν ἐκκλησίαις τὰ μυστικὰ, καὶ τῆς ἁγίας τραπέζης Χριστοῦ τὸ ἀπόλεκτον ἐν αὐταῖς ἀξιοῦται γένος. ἔνθα δ' ἂν ἱερατεύῃ νόμιμος ἱερεὺς, ἅγιος ἔσται τόπος.

κζ. Πᾶς ὁ ἁπτόμενος τῶν κρεῶν αὐτῆς, ἁγιασθήσεται. καὶ ᾧ ἂν ἐπιῤῥαντισθῇ ἀπὸ τοῦ αἵματος αὐτῆς ἐπὶ τὸ ἱμάτιον, ὃ ἐὰν ῥαντισθῇ ἐπ' αὐτῷ, πλυθήσεται ἐν τόπῳ ἁγίῳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, πᾶς ὁ ἁπτόμενος τῶν κρεῶν αὐτῆς, ἁγιασθήσεται;

A Εὐλάβειαν αὐτοὺς διδάσκει, καὶ μετὰ δέους προσιέναι τοῖς θείοις κελεύει, καὶ πόῤῥω τῶν ἱερῶν ἑστάναι διαγορεύει. τὸν δὲ πελάζειν τολμῶντα, εἶτα τοῦ αἵματος ῥανίδα δεχόμενον, τῷ ναῷ προσεδρεύειν κελεύει, ὡς οὐκ ἔτι ἑαυτοῦ κύριον ὄντα· προσεδρεύειν δὲ, οὐχ ἱερουργοῦντα, ἀλλὰ τὴν ἄλλην λειτουργίαν ἐπιτελοῦντα. διὰ τοῦτο καὶ τὰ ἱμάτια τὰ τοῦ αἵματος ἐκείνου τὰς ῥανίδας δεχόμενα πλύνεσθαι κελεύει· τὰ δὲ σκεύη,
B εἰ μὲν χαλκᾶ εἴη, ἐπιμελῶς ἀποσμήχεσθαι· εἰ δὲ κεράμια, συντρίβεσθαι.

** ΚΥΡΙΛΛΟΥ. Ἁγιάζει τὸν ἁπτόμενον ἡ θυσία, καὶ ὁ τοῦ αἵματος ῥαντισμός. προσίεμεν γὰρ τοῖς ἁγίοις, οὐχ ἑτέρου τοῦ χάριν, ἢ ὥστε μεταλαχεῖν τοῦ ἁγίου Χριστοῦ, διὰ τῆς ἀποῤῥήτου καὶ πνευματικῆς τραπέζης.

κη. Καὶ σκεῦος ὀστράκινον οὗ ἐὰν
Γ **ἑψηθῇ ἐπ' αὐτῷ, συντριβήσεται· ἐὰν δὲ ἐν σκεύει χαλκῷ ἑψηθῇ, ἐκτρίψει αὐτὸ, καὶ κλύσει ὕδατι.**

ΚΥΡΙΛΛΟΥ. Διαγνίζεται δὲ καὶ τὰ ταῖς θυσίαις ὑπηρετοῦντα σκεύη, ὡς ἂν μὴ ἑτέρῳ γένοιτό τινι, μηδὲ ταῖς τῶν ἀνθρώπων ὑποφέροιτο χρείαις τὰ τοῖς ἱεροῖς λελειτουργηκότα. τετήρηται δὲ ὁ νόμος, καὶ ἐν ταῖς ἐκκλησίαις σώζεται.

Δ **κθ. Πᾶν ἄρσεν ἐν τοῖς ἱερεῦσι φάγεται αὐτά· ἅγια ἁγίων ἐστὶ τῷ Κυρίῳ.**

** ΚΥΡΙΛΛΟΥ. Ἀνδριζομένοις δὲ ὅτι τὸ εὐλογεῖσθαι πρέπει, σαφηνιεῖ πάλιν ὁ νόμος, εἰπών· πᾶν ἄρσεν ἐν τοῖς ἱερεῦσι, φάγεται αὐτά.

λ. Καὶ πάντα τὰ περὶ τῆς ἁμαρτίας ὧν ἂν εἰσενεχθῇ ἀπὸ τοῦ αἵματος
Ε **αὐτῶν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου ἐξιλάσασθαι ἐν τῷ ἁγίῳ, οὐ βρωθήσεται· ἐν πυρὶ κατακαυθήσεται.**

** ΚΥΡΙΛΛΟΥ. Ἀποφάσκει δεῖν ποιεῖσθαι τροφὰς τὰ τῶν ἱερείων ἔνδοσθια. χρὴ γὰρ μόνῳ, φησὶν, ἀνακεῖσθαι Θεῷ, καὶ αὐτῷ προσάγεσθαι. τουτὶ γὰρ οἶμαι καταδηλοῦν τὸ, ἐν πυρὶ κατακαυθήσεται· τουτέστιν ἀνακεῖσθαι (1) τὸ ἐν μόνῃ ἐκνενεμήσθω
Ζ σαφῶς τῇ θείᾳ τε καὶ ὑπὲρ πάντα φύσει, ἧς εἰς τύπον τὸ πῦρ.

λα. Οὗτος ὁ νόμος τοῦ κριοῦ τοῦ περὶ τῆς πλημμελείας. ἅγια ἁγίων ἐστίν.

λβ. Ἐν τόπῳ οὗ σφάζουσι τὰ ὁλοκαυτώματα, σφάξουσι τὸν κριὸν τῆς πλημμελείας ἔναντι Κυρίου. καὶ τὸ αἷμα προσχεεῖ ἐπὶ τὴν βάσιν τοῦ θυ-
Η **σιαστηρίου κύκλῳ.**

** ΚΥΡΙΛΛΟΥ. Καταθυομένου δὲ τοῦ κριοῦ τῆς πλημμελείας, προσχεῖται τὸ αἷμα

τῇ

(1) Ἴσ. ἀνακείσθω, καὶ ἐν μόνῃ ἐκνενεμήσθω.

τῇ βάσει τȣ̃ θυσιαϛηρίȣ. ἅγιος γὰρ καὶ
ἱερὸς ὁ Χριϛȣ̃ θάνατος.

λγ. Καὶ πᾶν τὸ ϛέαρ αὐτȣ̃ προ-
σοίσει ἀπ' αὐτȣ̃, καὶ τὴν ὀσφὺν, καὶ
πᾶν τὸ ϛέαρ τὸ κατακαλύπτον τὰ
ἐντόσθια, καὶ πᾶν τὸ ϛέαρ τὸ ἐπὶ
λδ. τῶν ἐντοσθίων, Καὶ τȣ̀ς δύω νεφρȣ̀ς,
καὶ τὸ ϛέαρ τὸ ἐπ' αὐτῶν, τὸ ἐπὶ
τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ
τȣ̃ ἥπατος σὺν τοῖς νεφροῖς, περιε-
λεῖ αὐτά.

Καὶ πᾶν τὸ ϛέαρ. Ἄλλος φησὶ κέρ-
κιον, (1) τὸ κατακαλύπτον τὴν κοιλίαν.

** ΚΥΡΙΛΛΟΥ. Εἶεν δ' ἂν οἶμαι ταυ-
τὶ, καθὰ καὶ ἐν ἑτέροις ἔφην, εἰς ἀρε-
τῆς τύπον τῆς ȣ̓ μιᾶς, ἀλλ' ὡς ἐν εἴδει
πολλῶν. πλεῖσοι γὰρ ὅσοι τῆς ἀρετῆς οἱ
τρόποι.

λε. Καὶ ἀνοίσει αὐτὰ ὁ ἱερεὺς ἐπὶ
τὸ θυσιαϛήριον κάρπωμα ὀσμὴν εὐω-
δίας τῷ Κυρίῳ· περὶ πλημμελείας ἐϛί.

** ΚΥΡΙΛΛΟΥ. Δεδικαιώμεθα δὴ ȣ̓̃ν
ἐν Χριϛῷ, τὸν ὑπὲρ ἡμῶν ἀνατλάντι θά-
νατον, καὶ ἀναθέντι ἑαυτὸν εἰς ὀσμὴν εὐω-
δίας τῷ Θεῷ καὶ πατρί.

λϛ. Πᾶς ἄρσην ἐκ τῶν ἱερέων ἔδε-
ται αὐτά. ἐν τόπῳ ἁγίῳ ἔδονται
λζ. αὐτά· ἅγια ἁγίων ἐϛίν. Ὥσπερ τὸ
A περὶ τῆς ἁμαρτίας, ȣ̃τω καὶ περὶ τῆς
πλημμελείας· νόμος εἷς αὐτῶν. ὁ ἱε-
ρεὺς ὅϛις ἐξιλάσεται ἐν αὐτῷ, αὐ-
τῷ ἔϛαι.

λη. Καὶ ὁ ἱερεὺς ὁ προσάγων ὁλο-
καύτωμα ἀνθρώπȣ, τὸ δέρμα τῆς
ὁλοκαυτώσεως, ἧς αὐτὸς προσάγει,
λθ. αὐτῷ ἔϛαι. Καὶ πᾶσα θυσία ἥτις
ποιηθήσεται ἐν κλιβάνῳ, καὶ πᾶσα
B ἥτις ποιηθήσεται ἐπ' ἐσχάρας, ἢ ἐπὶ
τηγάνȣ, τȣ̃ ἱερέως τȣ̃ προσφέροντος
αὐτὴν, αὐτȣ̃ ἔϛαι.

* ΚΥΡΙΛΛΟΥ. Ὅτι δὲ ȣ̓κ ἀμισθὶ λει-
τȣργήσομεν τῷ Θεῷ, σαφηνίζει, λέγων,
„ εὐθύς τε καὶ ἐφεξῆς· καὶ ὁ ἱερεὺς ὁ προ-
„ σάγων ὁλοκαυτώματα, καὶ τὰ ἑξῆς.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ταῦτα τοῖς ἱερεῦσιν
ἀπενεμήθη, ἵνα συμβαϛάζωσι τῷ λαῷ τὰ
Γ πλάσματα, καὶ κοινωνῶσι τῷ Θεῷ τῶν
χαριϛηρίων· ὅτι καὶ δι' αὐτῶν αἱ χάριτες.

μ. Καὶ πᾶσα θυσία ἀναπεποιη-
μένη ἐν ἐλαίῳ, καὶ μὴ ἀναπεποιημένη,
πᾶσι τοῖς υἱοῖς Ἀαρὼν ἔϛαι ἑκάϛῳ
τὸ ἴσον.

** ΚΥΡΙΛΛΟΥ. Σώζεται καὶ ȣ̃τος ἐν
ἐκκλησίαις ὁ νόμος, καὶ βραβεύει τοῖς
Δ ἱερȣργοῖς τὴν ἰσότητα, διανέμων ἑκάϛῳ
τῆς ἀναιμάκτȣ θυσίας ἀπαραλλάκτως τὰ
γέρα.

ΚΕΦ. Ζ.

α. Οὗτος ὁ νόμος θυσίας σω-
τηρίȣ, ἣν προσοίσȣσι Κυ-
ρίῳ.

β. Ἐὰν μὲν περὶ αἰνέσεως προσ-
φέρῃ αὐτὴν, καὶ προσοίσει ἐπὶ τῆς
θυσίας τῆς αἰνέσεως ἄρτȣς ἀζύμȣς ἐκ
σεμιδάλεως ἀναπεποιημένȣς ἐν ἐλαίῳ,
καὶ λάγανα ἄζυμα διακεχρισμένα ἐν
ἐλαίῳ, καὶ σεμίδαλιν πεφυραμένην
γ. ἐν ἐλαίῳ. Ἐπὶ κολλύρων ἄρτων ἀζυ-
μίτων (2) προσοίσει τὰ δῶρα αὐτȣ̃
ἐπὶ θυσίᾳ αἰνέσεως σωτηρίȣ αὐτȣ̃.

Πεφυραμένην. Ἄλλος, ζεϛήν. Ἐπὶ
κολλύρων. Ἄλλος φησὶ, κολλυρίδας.

ΚΥΡΙΛΛΟΥ. Τῆς αἰνέσεως τὴν θυ-
Ψαλ. 115. 13. σίαν, ποτήριον σωτηρίȣ ὁ Δαβὶδ ἀποκα-
λεῖ. προσκομίζομεν δὲ καὶ ἡμεῖς τὴν αἴνε-
σιν, κατὰ πληθὺν μὲν ἐν ἐκκλησίαις, ὡς
ἐν ἑνότητι πνεύματος, καὶ ὡς εἰς ἓν σῶμα
καὶ μίαν ψυχὴν συνηγμένοι διὰ πίϛεως.
ποιȣ́μεθα δὲ τὴν δοξολογίαν καὶ καθ' ἕνα
πολλάκις ἠρεμȣ̃ντες ἐν οἴκοις, καὶ ἐν ἡμέ-
ρᾳ καὶ ἐν νυκτί.

** ΤΟΥ ΑΥΤΟΥ. Ἄρτος μὲν ὁ ἐζυ-
E μωμένος, βίȣ καὶ ζωῆς ἔϛαι τύπος, τῆς ȣ̓́πω
κεκαθαρμένης διὰ τȣ̃ ἁγίȣ βαπτίσματος,
ȣ̓́τε μὴν εἰς ἅπαν ἀπηλλαγμένης κοσμικῆς
ἀκαθαρσίας· λάγανον δὲ ἄζυμον, τῆς ἤδη
διεσμηγμένης ἐν Χριϛῷ διὰ πίϛεως, τῆς
τῶν τελείων φημί. Καὶ μετ' ὀλίγα. Σεμίδαλις
δὲ πρὸς τȣ́τοις ȣ̓́πω πρὸς ἑνότητα συνενη-
νεγμένη, καθὰ καὶ ἐν ἄρτῳ καὶ ἐν λαγάνῳ
τυχὸν, μένȣσα δὲ ὥσπερ ἐν κόκκοις ἔτι, τὸ,
ὡς ἐν, καθ' ἕκαϛον καὶ καθ' ἕνα τῶν προσ-
Z κομιζόντων τὴν αἴνεσιν ὑπαινίττεται. δεκτοὶ
γάρ ἐσμεν τῷ Θεῷ, ποιȣ́μενοι τὰς δοξολο-
γίας καὶ ἀνὰ μέρος ἕκαϛος, καὶ ὡς ἐν οἱ
πάντες κατὰ πληθύν. ἐπιχεῖται δὲ τὸ
ἔλαιον τῇ τῆς αἰνέσεως θυσίᾳ, τὸ ἱλαρὸν
τȣ̃ πράγματος ὑποσημαῖνον, καὶ ὅτι πάντη-
τε καὶ πάντως ἕψεται παρὰ Θεῷ τὸ ἐλεεῖ-
σθαι δεῖν τοῖς προσάγειν εἰωθόσιν αὐτήν.

δ. Καὶ προσάξει ἀπ' αὐτȣ̃ ἓν ἀπὸ
H πάντων τῶν δώρων αὐτȣ̃, ἀφαίρεμα
Κυρίῳ.

(1) Κερκίον. ὁ Ἀλεξ. κώδ.

(2) Ἐπ' ἄρτοις ζυμίταις. ἦτε ἐν Φραν. καὶ ἡ ἐν Καντ. ἔκδοσ. καὶ ὁ ἐν ἁγίοις Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 444.

Κυρίῳ. τῷ ἱερεῖ τῷ προσχέοντι τὸ αἷμα τοῦ θυσιαστηρίου, αὐτῷ ἔσται.

ΑΔΗΛΟΥ. Ταυτόν ἐστιν ἀφαίρεμα, καὶ ἀφώρισμα, καὶ ἐπίθεμα, καὶ καρπώματα ἀπὸ τῶν θυσιῶν ἀφοριζόμενα Θεῷ, ἅπερ γίνεται μέρη τοῦ ἱερέως.

ε. Καὶ τὰ κρέα θυσίας αἰνέσεως σωτηρίου, αὐτῷ ἔσται. καὶ ἐν ᾗ ἡμέρᾳ δωρεῖται, βρωθήσεται· οὐ καταλείψουσιν ἀπ' αὐτοῦ εἰς τὸ πρωΐ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τῆς τοῦ σωτηρίου θυσίας ἐν εἴδει περιλαμβάνεται ἡ λεγομένη τῆς αἰνέσεως, ἥτις λόγον ἔχει τοιόνδε· ὁ μηδενὶ τὸ παράπαν ἀβουλήτῳ περιπεσὼν, μήτε κατὰ σῶμα, μήτε κατὰ τὰ ἐκτὸς, ἀλλ' ἀπολέμῳ καὶ εἰρηναίῳ βίῳ χρώμενος, ἐν εὐπαθείαις τε καὶ εὐτυχίαις ἐξεταζόμενος, ἀπήμων καὶ ἄπταιστος ὢν, καὶ τὸ μακρὸν τοῦ βίου πέλαγος εὐθύνων ἐν εὐδίᾳ καὶ γαλήνῃ πραγμάτων, ἐπιπνεούσης ἀεὶ κατ' οἰάκων εὐπραγίας, ἀναγκαίως ὀφείλει τὸν κυβερνήτην Θεὸν, καὶ ἄνοσον μὲν σωτηρίαν, ἀζημίους δὲ ὠφελείας, καὶ συνόλως ἀμιγῆ κακῶν τὰ ἀγαθὰ δωρούμενον, ὕμνοις τε καὶ εὐδαιμονισμοῖς καὶ εὐχαῖς, θυσίαις τε καὶ ταῖς ἄλλαις εὐχαριστίαις εὐαγῶς ἀμείβεσθαι· ἃ δὴ πάντ' ἀθρόα συλληβδὴν ἓν ὄνομα, τὸ αἰνέσεως ἔλαχε. ταύτην τὴν θυσίαν οὐχ ὥσπερ τὴν προτέραν τοῦ σωτηρίου δυσὶν ἡμέραις ἀναλίσκεσθαι προστάττει, μιᾷ δ' αὐτὸ μόνῃ, ἵν' οἱ ἐπιτυγχάνοντες ἑτοίμων καὶ προχείρων εὐεργεσιῶν, ἑτοίμην καὶ ἀνυπέρθετον ποιῶνται τὴν μετάδοσιν.

ς. Καὶ ἐὰν εὐχὴν ἑκούσιον θυσιάζῃ
τὸ δῶρον αὐτοῦ, ᾗ ἂν ἡμέρᾳ προσαγάγῃ τὴν θυσίαν αὐτοῦ, βρωθήσεται, καὶ
ζ. τῇ αὔριον. Καὶ τὸ καταλειφθὲν ἀπὸ
τῆς θυσίας ἕως ἡμέρας τρίτης, ἐν πυρὶ κατακαυθήσεται.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Δυσὶ μόναις ἡμέραις ἐπιτρέπει τὴν χρῆσιν τῆς τοῦ σωτηρίου θυσίας ποιεῖσθαι, μηδὲν εἰς τὴν τρίτην ἀπολείποντας, πολλῶν χάριν. ἑνὸς μὲν, ὅτι τὰ τῆς ἱερᾶς τραπέζης πάντα καιρίως δεῖ προσφέρεσθαι, σπουδὴν ποιουμένους, ὡς μὴ μεταβάλῃ μήκει χρόνου, κρεῶν δὲ ἑώλων εὔσηπτος ἡ φύσις, κἂν ἡδύσμασι παραρτυθῇ· ἑτέρου δὲ, ὅτι τὰς θυσίας ἀταμιεύτους εἶναι προσήκει, καὶ πᾶσιν εἰς μέσον προκεῖσθαι τοῖς δεομένοις. εἰσὶ γὰρ οὐκ ἔτι τοῦ τεθυκότος, ἀλλ' ᾧ τέθειται τὸ ἱερεῖον. ὃς εὐεργέτης καὶ φιλόδωρος ὢν, κοινωνὸν ἀπέφηνε τοῦ βωμοῦ, καὶ ὁμοτράπεζον τὸ συμπόσιον τῶν τὴν θυσίαν ἐπιτελούντων. οἷς παραγγέλλει μὴ νομίζειν ἑστιᾶν· ἐπίτροποι γὰρ εὐωχίας εἰσὶν οὐχ ἑστιάτορες· ὁ δὲ ἑστιάτωρ ἐστὶν, οὗ συμβέβηκεν εἶναι καὶ τὴν παρασκευήν. ἣν οὐ θέμις ἀποκρύπτειν, φειδωλίαν καὶ ἀνελεύθερον

A κακίαν, φιλανθρωπίας ἀρετῆς συγγενοῦς προκρίνοντας· τελευταῖον δὲ, ὅτι τὴν τοῦ σωτηρίου θυσίαν ὑπὲρ δυοῖν συμβέβηκε προσάγεσθαι, ψυχῆς τε καὶ σώματος, ὧν ἑκατέρῳ μίαν ἡμέραν ἀπένειμεν εἰς εὐωχίαν τῶν κρεῶν. ἥρμοττε γὰρ ἰσάριθμον χρόνον ὁρισθῆναι τοῖς πεφυκόσι σώζεσθαι τῶν ἐν ἡμῖν. ὡς τῇ μὲν προτεραίᾳ λαμβάνειν ἅμα τῇ βρώσει τῆς ψυχικῆς σωτηρίας ὑπόμνημα, τῇ δὲ ὑστεραίᾳ τῆς κατὰ
B τὸ σῶμα ὑγείας. ἐπεὶ δὲ τρίτον οὐδὲν ἦν, ὃ κυρίως πέφυκε σωτηρίαν ἐνδέχεσθαι, τὴν εἰς τρίτην ἡμέραν χρῆσιν ἀνὰ κράτος ἀπηγόρευσε, προστάξας εἰ καὶ τύχοι τι κατ' ἄγνοιαν ἢ λήθην ἀπολειφθὲν, εὐθὺς ἀναλίσκεσθαι ποιεῖν.

* ΠΡΟΚΟΠΙΟΥ. Ἀπὸ τῶν ἑκουσίων, καὶ τῶν κατ' εὐχὴν τὰ λείψανα, καὶ ἐν τῇ ἐπιούσῃ βρώματα· (1) ἐν τῇ τρίτῃ δὲ οὔ. τοῦ μὲν αὐθημερὸν δηλοῦντος τὸ ἐν τῇ κοσ-
Γ μικῇ ἡμέρᾳ, μεθ' ἣν οὐκ ἔστι διὰ θανάτου σωτηρία· τοῦ δὲ ἐν δύω μόναις ἡμέραις, τὴν διὰ τρίτης δηλοῦντος, τὴν ἀνάστασιν τοῦ ἑκόντος παθόντος.

η. Ἐὰν δὲ φαγὼν φάγῃ ἀπὸ τῶν κρεῶν τῇ ἡμέρᾳ τῇ τρίτῃ, οὐ δεχθήσεται τῷ προσφέροντι αὐτό· οὐ λογισθήσεται αὐτῷ, μίασμά ἐστιν· ἡ δὲ ψυχὴ ἥτις ἐὰν φάγῃ ἀπ' αὐτοῦ, τὴν
Δ ἁμαρτίαν λήψεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί μετὰ τὴν τρίτην ἡμέραν οὐ κελεύει τῶν ἱερείων ἐσθίειν, τῷ δὲ παραβαίνοντι τὸν νόμον ἐπιφέρει ζημίαν, ἄθυτον εἶναι λέγων τὴν θυσίαν ἐκείνην; Βούλεται μὴ μόνους αὐτοὺς εὐωχεῖσθαι, ἀλλὰ καὶ τοῖς ἐνδεέσι τῶν κρεῶν μεταδιδόναι. τούτου χάριν τῇ πρώτῃ καὶ τῇ δευτέρᾳ ἡμέρᾳ τῶν κρεῶν ἐκείνων με-
Ε ταλαμβάνειν κελεύει· τὰ δὲ περιττεύοντα καίεσθαι· ἵνα ὑπὸ τῆς ἀνάγκης ταύτης ὠθούμενοι, κοινωνοὺς ἔχωσι τῆς εὐωχίας τοὺς πένητας.

θ. Καὶ κρέα ὅσα ἂν ἅψηται παντὸς ἀκαθάρτου, οὐ βρωθήσεται, ἐν πυρὶ κατακαυθήσεται. πᾶς καθαρὸς φάγεται κρέα.

ι. Ἡ δὲ ψυχὴ ἥτις ἐὰν φάγῃ ἀπὸ
Ζ τῶν κρεῶν τῆς θυσίας τοῦ σωτηρίου, ὅ ἐστι Κυρίῳ, καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ' αὐτῷ, καὶ ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς.

** ΠΡΟΚΟΠΙΟΥ. Ἄβρωτα τοῖς ἀκαθάρτοις τὰ κρέα τοῦ σωτηρίου. καθαροὶ γὰρ οἱ Χριστοῦ μετέχοντες.

ια. Καὶ ψυχὴ ἣ ἂν ἅψηται παντὸς πράγματος ἀκαθάρτου, ἢ ἀπὸ ἀκα-
Η θαρσίας ἀνθρώπου, ἢ τῶν τετραπόδων τῶν ἀκαθάρτων, ἢ παντὸς βδελύγματος

(1) Βρωτά. ὁ τῆς Αὐγ. κώδ.

A ματος ἀκαθάρτου, καὶ φάγῃ ἀπὸ
τῶν κρεῶν τῆς θυσίας τοῦ σωτηρίου,
ὅ ἐστι τοῦ Κυρίου, ἀπολεῖται ἡ ψυχὴ
ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὸν γονοῤῥυοῦς, ἢ λεπροῦ, ἢ θνησιμαίου, ἢ ἄλλου τινὸς τῶν καλουμένων ἀκαθάρτων ἁψάμενον ἀπαγορεύει τῶν τῆς θυσίας μεταλαμβάνειν κρεῶν; Διὰ τῶν σμικρῶν τούτων τὰ μεγάλα θεραπεύει παθήματα. εἰ γὰρ τὰ
B φυσικὰ μιαίνει κατὰ τὸν νόμον, πολλῷ μᾶλλον τὰ γνωμικὰ, ἃ κυρίως καλεῖται παράνομα. ὅτι δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, τὰ ἑξῆς μαρτυρεῖ. κελεύσας γὰρ πᾶν στέαρ τῷ θυσιαστηρίῳ προσφέρεσθαι, τῇ τῶν ἀνθρώπων χρείᾳ τὸ τῶν θνησιμαίων καὶ θηριαλώτων ἀφώρισε στέαρ. ἀκάθαρτος οὖν ἄρα ἦν καὶ ὁ τοιούτου γε ἁπτόμενος. δῆλον τοίνυν κἀντεῦθεν, ὡς ἄλλα δι' ἄλλων νομοθετεῖ.

ιβ. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
ιγ. σῆν, λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσ-
ραὴλ, λέγων, πᾶν στέαρ βοῶν, καὶ
προβάτων, καὶ αἰγῶν, οὐκ ἔδεσθε.

** ΠΡΟΚΟΠΙΟΥ. Στέατος καὶ αἵματος ἀπαγορεύεται βρῶσις. ἔστι δὲ τὸ μὲν, ζωῆς σύμβολον· τὸ δὲ, ἀρετῆς. ἅπερ ἑκάτερα τίμια Θεῷ, καὶ αὐτῷ ἀνατίθεται.
Δ ἀπείργει δὲ καὶ τρυφῆς, καὶ φονικῆς προαιρέσεως.

ιδ. Καὶ στέαρ θνησιμαίων καὶ θηριαλώτων καὶ (1) ποιηθήσεται εἰς πᾶν ἔργον, καὶ εἰς βρῶσιν [οὐ] βρωθήσεται.

** ΠΡΟΚΟΠΙΟΥ. Ἄβρωτον τοῦτό φησιν, εἰς δὲ ἔργα ληπτόν. σημαίνοιτο δ' ἂν ὁ ἀνθρώπου θάνατος ἐκ τῆς τοῦ ἀοράτου θη-
E ρίου πικρίας εἰσαχθείς· καθ' ἑαυτὸν μὲν,
Ψαλ. 29. 9. οὐκ ὠφέλιμος· τίς γὰρ ὠφέλεια ἐν τῷ αἵ-
» ματί μου ἐν τῷ καταβῆναί με εἰς διαφθοράν; ὅθεν ἄβρωτον· ἔχων δὲ τὴν δι' ἔργων ὠφέλειαν, εἴ τις τὰ εἰς ζωὴν ἀναφέροντα ἐργάζοιτο, τῷ φόβῳ τοῦ θανάτου πρὸς τοῦτο ὠφεληθείς.

ιε. Πᾶς ὁ ἐσθίων στέαρ ἀπὸ τῶν κτη-
νῶν, ὧν προσάξετε ἀπ' αὐτῶν κάρ-
Z πωμα Κυρίῳ, ἀπολεῖται ἡ ψυχὴ
ιϛ. ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς. Πᾶν αἷμα
οὐκ ἔδεσθε ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν,
ἀπό τε τῶν κτηνῶν καὶ ἀπὸ τῶν πετει-
ιζ. νῶν. Πᾶσα ψυχὴ ἣ ἂν φάγῃ αἷμα,
ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ
αὐτῆς.

ΑΔΗΛΟΥ. Τὸ μὲν αἷμα, ψυχὴ ζώου θνητοῦ· τὸ δὲ στέαρ, εὐεξία. ἅτινα μόνῳ
H βούλεται προσάγεσθαι τῷ Θεῷ, οἷα ποιητῇ τούτων. ὧν τὸ μὲν, πρὸς ζωήν· τὸ δὲ, πρὸς εὐεξίαν ἐπιτηδειότερον. ὁ γὰρ τούτων ἀπε-
A χόμενος, πολλῷ μᾶλλον φόνου καὶ τῆς κατ' ἀνθρώπων ἐπιβουλῆς.

ιη. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
ιθ. σῆν, λέγων, Καὶ τοῖς υἱοῖς Ἰσραὴλ
λαλήσεις, λέγων, ὁ προσφέρων θυ-
σίαν σωτηρίου αὐτοῦ τῷ Κυρίῳ, οἴσει
τὸ δῶρον αὐτοῦ τῷ Κυρίῳ ἀπὸ τῆς θυ-
κ. σίας τοῦ σωτηρίου αὐτοῦ. Αἱ χεῖρες
αὐτοῦ προσοίσουσι τὰ καρπώματα Κυ-
B ρίῳ· τὸ στέαρ τὸ ἀπὸ τοῦ στηθυνίου, καὶ
τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος προσοίσει
αὐτὰ, ὥστε ἐπιθῆναι δόμα ἐναντίον
κα. Κυρίου. Καὶ ἀνοίσει ὁ ἱερεὺς τὸ στέαρ
τὸ ἐπὶ τοῦ στηθυνίου ἐπὶ τὸ θυσιαστή-
ριον. καὶ ἔσται τὸ στηθύνιον Ἀαρὼν
κβ. καὶ τοῖς υἱοῖς αὐτοῦ. Καὶ τὸν βραχίο-
να τὸν δεξιὸν δώσετε ἀφαίρεμα τῷ ἱε-
ρεῖ ἀπὸ τῶν θυσιῶν τοῦ σωτηρίου ὑμῶν.
κγ. Καὶ ὁ προσφέρων τὸ αἷμα τοῦ σω-
τηρίου, καὶ τὸ στέαρ ἀπὸ τῶν υἱῶν Ἀα-
ρὼν, αὐτῷ ἔσται ὁ βραχίων ὁ δεξιὸς ἐν
μερίδι.

κδ. Τὸ γὰρ στηθύνιον τοῦ ἐπιθέματος καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος εἴληφα παρὰ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ τῶν θυσιῶν τοῦ σωτηρίου ὑμῶν,
Δ καὶ δέδωκα αὐτὰ Ἀαρὼν τῷ ἱερεῖ καὶ τοῖς υἱοῖς αὐτοῦ, νόμιμον αἰώνιον παρὰ τῶν υἱῶν Ἰσραήλ.

** ΜΑΞΙΜΟΥ. Τί σημαίνει τὸ στηθύνιον τοῦ ἐπιθέματος, καὶ ὁ βραχίων τοῦ ἀφαιρέματος, εἰς τιμὴν Θεοῦ τοῖς ἱερεῦσιν ἀφιερούμενος; Οἶμαι τὴν ἀμείνω καὶ ὑψηλὴν θεωρίαν δηλοῦσθαι διὰ τοῦ στηθυνίου, καὶ τὴν πρᾶξιν διὰ τοῦ βραχίονος· ἤγουν τοῦ
E διανοητικοῦ τὴν ἕξιν καὶ τὴν ἐνέργειαν· ἢ τὴν γνῶσιν καὶ τὴν ἀρετήν· ὡς τῆς μὲν γνώσεως αὐτῷ προσαγούσης ἀμέσως τὸν νοῦν τῷ Θεῷ· τῆς ἀρετῆς δὲ κατὰ τὴν πρᾶξιν, πάσης αὐτὸν ἀφαιρουμένης τῆς τῶν ὄντων σχέσεως. ἅπερ ἱερεῦσιν ἀφώρισεν ὁ λόγος, τοῖς μόνον τὸν Θεὸν διὰ πάντων κεκτημένοις κληρονομίαν, καὶ μηδὲν τὸ σύνολον κεκτημένοις ἐπίγειον. Ἢ πάλιν, ἐπειδὴ τὰς ἄλλων καρδίας διὰ τοῦ
Z λόγου τῆς διδασκαλίας, οἱ γνώσει καὶ ἀρετῇ δι' ὅλου ποιωθέντες τῷ πνεύματι, εὐσεβείας καὶ πίστεως ποιοῦνται δεκτικάς· καὶ τὴν πρακτικὴν αὐτῶν ἕξιν καὶ δύναμιν ἀφαιρούμενοι τῶν ἐπὶ τῇ φθαρτῇ φύσει σπουδασμάτων, πρὸς τὴν τῶν ὑπὲρ φύσιν ἀφθάρτων ἐνέργειαν ἀγαθῶν μεταφέρουσιν· εἰκότως τῶν προσαγομένων εἰς θυσίαν Θεοῦ τὸ στηθύνιον τοῦ ἐπιθέματος, τουτέστι τῶν προσαγομένων τὴν καρδίαν· καὶ
H τὸν βραχίονα, τῶν αὐτῶν δηλονότι τὴν πρᾶξιν, προσέταξεν ἀφιεροῦσθαι τοῖς ἱερεῦσιν ὁ λόγος.

ΦΙΛΩ-

(1) Τὸ, καὶ, οὐδὲ ἐν τῇ ἐν Φραν. οὐδὲ ἐν τῇ ἐν Καντ. ἐκδόσ. κεῖται.

A

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸ στηθύνιον δὲ, ἐπιθέματος καλεῖ διὰ τοῦτο, ὅτι ἐπικεῖσθαι δεῖ τῷ θυμῷ καὶ ἐφιδρύσθαι τὸν λόγον, ὡσανεί τινα ἡνίοχον, εὐθύνοντα σκληραύχενα καὶ ἀφηνιαστὴν ἵππον· τὸν δὲ βραχίονα, οὐκ ἔτι ἐπιθέματος, ἀλλ' ἀφαιρέματος, διὰ τόδε· ὅτι δεῖ τὸν ὑπὲρ ἀρετῆς πόνον μὴ ἑαυτῇ προσάγειν τὴν ψυχὴν, ἀλλ' ἀφελεῖν ἀφ' ἑαυτῆς, καὶ Θεῷ ἀνενεγκεῖν, ὁμολογοῦσαν ὅτι οὐκ ἰσχὺς αὐτῆς, οὐδὲ ἡ δύναμις περιεποίησε τὸ καλὸν, ἀλλὰ καὶ ὁ τὸν ἔρωτα χαρισάμενος. οὔτε δὲ στηθύνιον, οὔτε ὁ βραχίων λαμβάνεται, πλὴν ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου, κατὰ τὸ εἰκός. τότε γὰρ ἡ ψυχὴ σώζεται, ὅταν καὶ ὁ θυμὸς ἡνιοχηθῇ ὑπὸ λόγου, καὶ ὁ πόνος μὴ οἴησιν ἐγκατασκευάσῃ, ἀλλὰ παραχωρήσῃ τῷ εὐεργέτῃ Θεῷ.

κε. Αὕτη ἡ χάρις (1) Ἀαρὼν, καὶ
ἡ χάρις τῶν υἱῶν αὐτοῦ ἀπὸ τῶν καρπωμάτων Κυρίου, ἐν ᾗ ἡμέρᾳ προση-
κϛ. γάγετο αὐτοὺς ἱερατεύειν Κυρίῳ, Καθότι ἐνετείλατο Κύριος δοῦναι αὐτοῖς ᾗ
ἡμέρᾳ ἔχρισεν αὐτοὺς παρὰ τῶν υἱῶν
Ἰσραὴλ, νόμιμον αἰώνιον εἰς τὰς γε-
κζ. νεὰς αὐτῶν. Οὗτος ὁ νόμος τῶν ὁλοκαυτωμάτων, καὶ θυσίας, καὶ περὶ
B ἁμαρτίας, καὶ τῆς πλημμελείας, καὶ
τῆς τελειώσεως, καὶ τῆς θυσίας τοῦ
κη. σωτηρίου. Ὃν τρόπον ἐνετείλατο Κύριος τῷ Μωϋσῇ ἐν τῷ ὄρει Σινᾶ, ᾗ
ἡμέρᾳ ἐνετείλατο τοῖς υἱοῖς Ἰσραὴλ
προσφέρειν τὰ δῶρα αὐτῶν ἔναντι
Κυρίου ἐν τῷ ὄρει (2) Σινᾶ.

ΚΕΦ. Η.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Λάβε
τὸν Ἀαρὼν καὶ τοὺς υἱοὺς
αὐτοῦ, καὶ τὰς στολὰς, καὶ τὸ ἔλαιον
τῆς χρίσεως, καὶ τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας, καὶ τοὺς δύω κριοὺς,
γ. καὶ τὸν κανοῦν τῶν ἀζύμων, Καὶ πᾶσαν τὴν συναγωγὴν ἐκκλησίασον ἐπὶ
τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου.
δ. Καὶ ἐποίησε Μωϋσῆς ὃν τρόπον συνέταξεν αὐτῷ Κύριος. καὶ ἐξεκκλησίασε τὴν συναγωγὴν ἐπὶ τὴν θύραν
ε. τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ εἶπε
Μωϋσῆς τῇ συναγωγῇ, τοῦτό ἐστι τὸ
ῥῆμα, ὃ ἐνετείλατο Κύριος ποιῆσαι.
ϛ. Καὶ προσήγαγε Μωϋσῆς τὸν Ἀαρὼν,
καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἔλουσεν αὐτοὺς
ὕδατι.

ζ. Καὶ ἐνέδυσεν αὐτὸν χιτῶνα, καὶ ἔζωσεν αὐτὸν τὴν ζώνην, καὶ ἐνέδυσεν αὐτὸν τὸν ὑποδύτην, καὶ ἐπέθηκεν ἐπ' αὐτὸν τὴν ἐπωμίδα.

ΚΥΡΙΛΛΟΥ. Ἔργον γυναικῶν, καθὰ καὶ ὁ μέγας ἀρχιερεὺς ὁ Κύριος ἡμῶν, ὥσπερ τινὰ ποδήρη, τὸν ἐκ Μαρίας ναὸν ἀνελάβετο. (3)

η. Καὶ συνέζωσεν αὐτὸν κατὰ τὴν ποίησιν τῆς ἐπωμίδος, καὶ συνέσφιγξεν αὐτὴν ἐν αὐτῷ· καὶ ἔθηκεν ἐπ' αὐτὸν τὸ λόγιον, καὶ ἐπέθηκεν ἐπὶ τὸ λόγιον τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν.

Τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν. Ἀκύλας καὶ Θεοδοτίων, τοὺς φωτισμοὺς καὶ τελειώσεις.

θ. Καὶ ἐπέθηκε τὴν μίτραν ἐπὶ
τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐπέθηκεν ἐπὶ
τῆς μίτρας κατὰ τὸ πρόσωπον αὐτοῦ
τὸ πέταλον τὸ χρυσοῦν τὸ καθηγιασμένον ἅγιον, ὃν τρόπον συνέταξε Κύ-
ι. ριος τῷ Μωϋσῇ. Καὶ ἔλαβε Μωϋ-
ια. σῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως, Καὶ
ἔρρανεν ἀπ' αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον
ἑπτάκις. καὶ ἔχρισε τὸ θυσιαστήριον, καὶ
ἡγίασεν αὐτὸ, καὶ πάντα τὰ σκεύη
αὐτοῦ, καὶ τὸν λουτῆρα, καὶ τὴν βάσιν
αὐτοῦ, καὶ ἡγίασεν αὐτά· καὶ ἔχρισε
τὴν σκηνὴν, καὶ πάντα τὰ σκεύη αὐ-
ιβ. τῆς, καὶ ἡγίασεν αὐτήν. Καὶ ἐπέχεε
Μωϋσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως
E ἐπὶ τὴν κεφαλὴν Ἀαρών. καὶ ἔχρισε,
καὶ ἡγίασεν αὐτόν.

ιγ. Καὶ προσήγαγε Μωϋσῆς τοὺς υἱοὺς Ἀαρών, καὶ ἐνέδυσεν αὐτοὺς χιτῶνας, καὶ ἔζωσεν αὐτοὺς ζώνας, καὶ περιέθηκεν αὐτοῖς κιδάρεις, καθάπερ συνέταξε Κύριος τῷ Μωϋσῇ.

Χιτῶνας. Ἀκύλας, Σύμμαχος, καὶ Θεοδοτίων, ὑποδύτας φασίν.

Z

ΑΔΗΛΟΥ. Τὸ Σαμαρειτικὸν, ἐπὶ τῆς κιδάρεως, πηλίκια. ἐν δὲ τῷ λε' ἀριθμῷ, λινᾶς λέγει τὰς κιδάρεις. Λευϊτ. 16. 4.

ιδ. Καὶ προσήγαγε Μωϋσῆς τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας. καὶ ἐπέθηκεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου τοῦ τῆς ἁμαρτίας.

H

ιε. Καὶ ἔλαβε Μωϋσῆς ἀπὸ τοῦ αἵματος, καὶ ἐπέθηκεν ἐπὶ τὰ κέρατα τοῦ

(1) Ἡ χρίσις Ἀαρὼν, καὶ ἡ χρίσις τῶν, κτ. αἱ προειρημ. ἐκδόσ.

(2) Ἐν τῇ ἐρήμῳ. αὐτ.

(3) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

τοῦ θυσιαστηρίου κύκλῳ τῷ δακτύλῳ αὐτοῦ, καὶ ἐκαθάρισε τὸ θυσιαστήριον. καὶ τὸ αἷμα ἐξέχεεν ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου, καὶ ἡγίασεν αὐτὸ, τοῦ ἐξιλάσασθαι ἐπ' αὐτοῦ.

ΑΔΗΛΟΥ. Ἐκαθάρισε. τὸ Σαμαρειτικὸν ἔχει, καὶ ἱλάτευσεν. ἄλλη δὲ ἔκδοσις, περιημάρτησεν, ἤτοι ἡγίασεν αὐτὸ διὰ τῆς χρίσεως τοῦ αἵματος· διὰ τοῦ ἱλασθῆναι αὐτοῖς, καὶ μὴ λογίσασθαι τὰ παραπτώματα τῶν αἰτούντων.

ιϛ. Καὶ ἔλαβε Μωϋσῆς πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐντοσθίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος, καὶ ἀμφοτέρους τοὺς νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ ἀνήνεγκε Μωϋσῆς ἐπὶ
ιζ. τὸ θυσιαστήριον. Καὶ τὸν μόσχον, καὶ τὴν βύρσαν αὐτοῦ, καὶ τὰ κρέα αὐτοῦ, καὶ τὴν κόπρον αὐτοῦ κατέκαυσεν αὐτὰ πυρὶ ἔξω τῆς παρεμβολῆς, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσῇ.
ιη. Καὶ προσήγαγε Μωϋσῆς τὸν κριὸν τὸν εἰς ὁλοκαύτωμα. καὶ ἐπέθηκεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ. καὶ ἔσφαξε Μωϋσῆς τὸν κριὸν, καὶ προσέχεεν ὁ Μωϋσῆς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ.

ιθ. Καὶ τὸν κριὸν ἐκρεανόμησε, καὶ τὰ μέλη αὐτοῦ· καὶ ἀνήνεγκε Μωϋσῆς τὴν κεφαλὴν, καὶ τὰ μέλη, καὶ τὸ στέαρ· καὶ τὴν κοιλίαν, καὶ τοὺς πόδας ἔπλυνεν ὕδατι.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μωσῆς μὲν τὸ στηθύνιον ἀφαιρεῖται· τὴν δὲ κοιλίαν οὐκ ἀφαιρεῖ μὲν, πλύνει δέ. διατί; Ὅτι ὁ τέλειος σοφὸς, ὅλον μὲν τὸν θυμὸν ἰσχύει παραιτήσασθαι καὶ ἀποκόψαι, ὀργῆς κατεξανασάς· τὴν δὲ κοιλίαν ἐκλεμεῖν ἀδυνατεῖ. τοῖς γὰρ ἀναγκαίοις σιτίοις καὶ ποτοῖς ἡ φύσις βιάζεται χρῆσθαι καὶ τὸν ὀλιγοδεέστατον καὶ καταφρονητικὸν αὐτῶν τῶν ἀναγκαίων, καὶ ἀσιτίαν αὐτῶν μελετῶντα. πλυνέτω οὖν αὐτὴν καὶ καθαιρέτω ἀπὸ τῶν περιττῶν καὶ ἀκαθάρτων παρασκευῶν. ἱκανὴ γὰρ καὶ αὕτη παρὰ Θεοῦ τῷ φιλαρέτῳ δωρεά.

κ. Καὶ ἀνήνεγκε Μωϋσῆς ὅλον τὸν κριὸν ἐπὶ τὸ θυσιαστήριον. ὁλοκαύτωμά ἐστιν εἰς ὀσμὴν εὐωδίας· κάρπωμά ἐστι Κυρίῳ, καθάπερ ἐνετείλατο Κύ-
κα. ριος τῷ Μωϋσῇ. Καὶ προσήγαγε Μωϋσῆς τὸν κριὸν, τὸν δεύτερον κριὸν τελειώσεως· καὶ ἐπέθηκεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Εὐαγῶς ἀχθῆναι κελεύει μόσχον καὶ κριοὺς δύο·
A τὸν μὲν, ἵνα θύσῃ περὶ ἀφέσεως ἁμαρτημάτων, αἰνιττόμενος ὅτι παντὶ γεννητῷ κἂν σπουδαῖον ᾖ, παρ' ὅσον ἦλθεν εἰς γένεσιν, συμφυὲς τὸ ἁμαρτάνον ἐστίν· ὑπὲρ οὗ τὸν Θεὸν εὐχαῖς καὶ θυσίαις ἀναγκαῖον ἐξευμενίζεσθαι, μὴ διακινηθεὶς ἐπίθοιτο· τῶν δὲ κριῶν, τὸν μὲν ἕτερον εἰς ὁλοκαύτωμα εὐχαριστήριον τῆς τῶν ὅλων διοικήσεως, ἧ κατὰ τὸ ἐπιβάλλον ἑκάστῳ μέρος μέτεστι, καρπουμένῳ τὴν ἀπὸ τῶν στοιχείων
B ὠφέλειαν. Καὶ μετ' ὀλίγα. Τὸν δὲ ἕτερον, εἰς τὴν τῶν ἱερωμένων διὰ καθάρσεως ἁγνευτικῆς παντέλειαν. ὃν ἐτύμως τελειώσεως ἐκάλεσεν, ἐπειδὴ τὰς ἁρμοττούσας θεραπευταῖς καὶ λειτουργοῖς Θεοῦ τελετὰς ἔμελλον ἱεροφαντεῖσθαι.

ΑΔΗΛΟΥ. Κριὸς τελειώσεως ὁ Χριστός.

κβ. Καὶ ἔσφαξεν αὐτόν. καὶ ἔλαβε Μωϋσῆς ἀπὸ τοῦ αἵματος αὐ-
Γ τοῦ, καὶ ἐπέθηκεν ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς Ἀαρὼν τὸν δεξιὸν, καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς, καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ.
κγ. Καὶ προσήγαγε Μωϋσῆς τοὺς υἱοὺς Ἀαρών· καὶ ἐπέθηκε Μωϋσῆς ἀπὸ τοῦ αἵματος ἐπὶ τοὺς λοβοὺς τῶν ὤτων αὐτῶν τῶν δεξιῶν, καὶ ἐπὶ τὰ ἄκρα τῶν χειρῶν αὐτῶν [τῶν δεξιῶν,] καὶ ἐπὶ
Δ τὰ ἄκρα τῶν ποδῶν αὐτῶν τῶν δεξιῶν. καὶ προσέχεε Μωϋσῆς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί αἵματι καὶ ἐλαίῳ τὴν ἀκοὴν τὴν δεξιὰν τοῦ ἱερέως ἔχρισε, καὶ τὴν χεῖρα τὴν δεξιὰν, καὶ τὸν πόδα ὡσαύτως; Τύπος ταῦτα τῶν ἡμετέρων ἀγαθῶν. τὸ μὲν αἷμα, τοῦ σωτηρίου αἵμα-
E τος· τὸ δὲ ἔλαιον, τοῦ παναγίου χρίσματος· ἡ δὲ δεξιὰ ἀκοὴ, σύμβολον τῆς ἐπαινουμένης ὑπακοῆς· ἡ δέ γε χεὶρ καὶ ὁ πους, τῶν ἀγαθῶν πράξεων. διὰ γάρτοι τοῦτο, χεὶρ [ἡ δεξιὰ, καὶ πους] ὁ δεξιὸς ἐχρίσθη. εἰσὶ γὰρ καὶ εὐώνυμοι πράξεις, καὶ ὑπακοὴ βλαβερά.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τρία μέρη τοῦ σώματος χρίει τῶν τελουμένων ἱερέων, οὖς ἄκρον, ἄκραν χεῖρα, ποδὸς ἄκρον, δεξιὰ τὰ σύμπαντα, αἰνιττόμενος ὅτι δεῖ
Z τὸν τέλειον καὶ λόγῳ, καὶ ἔργῳ, καὶ βίῳ παντὶ καθαρεύειν. λόγῳ μὲν γὰρ, ἀκοὴ δικάζει· χεὶρ δὲ, ἔργου σύμβολον· διεξόδου δὲ τῆς περὶ τὸν βίον, πους. ἐπεὶ δὲ ἕκαστον αὐτῶν ἄκρον τε καὶ δεξιὸν, ὑπονοητέον δηλοῦσθαι τὴν ἐν ἑκάστοις ἐπίδοσιν μετὰ δεξιότητος ἐφιεμένην τῆς ἄκρας εὐδαιμονίας, καὶ τοῦ τέλους, ἐφ' ὃ σπεύδειν ἀναγκαῖον, καὶ τὰς πράξεις ἁπάσας ἀναφέρειν, στοχαζομένους ὥσπερ ἐν ταῖς το-
H ξείαις σκοποῦ τοῦ περὶ βίον.

κδ. Καὶ ἔλαβε Μωϋσῆς τὸ στέαρ, καὶ τὴν ὀσφὺν, καὶ τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας, καὶ τὸν λοβὸν τοῦ ἥπα-

τος, καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ τὸν βραχίονα τὸν δεξιόν.

κε. Καὶ ἀπὸ τοῦ κανοῦ τῆς τελειώσεως, τοῦ ὄντος ἐναντίον Κυρίου, καὶ ἔλαβεν ἄρτον ἕνα ἄζυμον, καὶ ἄρτον ἐξ ἐλαίου ἕνα, καὶ λάγανον ἕν· [καὶ ἐπέθηκεν ἐπὶ τὸ στέαρ, καὶ τὸν βραχίονα τὸν δεξιόν.]

Ἄρτον ἐξ ἐλαίου ἕνα, καὶ λάγανον. Ἄλλος, κολλύραν λάγανον.

κς. Καὶ ἐπέθηκε τὰ πάντα ἐπὶ τῆς χειρὸς Ἀαρὼν, καὶ ἐπὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ, καὶ ἀνήνεγκεν αὐτὰ
κζ. ἀφαίρεμα ἔναντι Κυρίου. Καὶ ἔλαβεν αὐτὰ Μωϋσῆς ἀπὸ τῶν χειρῶν αὐτοῦ, καὶ ἀνήνεγκεν αὐτὰ ἐπὶ τὸ θυσιαστήριον, ἐπὶ τὸ ὁλοκαύτωμα τῆς τελειώσεως, ὀσμὴ εὐωδίας· κάρπωμά ἐστι
κη. τῷ Κυρίῳ. Καὶ λαβὼν Μωϋσῆς τὸ στηθύνιον, ἀφεῖλεν αὐτὸ ἀφαίρεμα ἔναντι Κυρίου ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως· καὶ ἐγένετο Μωσῇ ἐν μερίδι, καθὰ ἐνετείλατο Κύριος τῷ Μωϋσῇ.

κθ. Καὶ ἔλαβε Μωϋσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως, καὶ ἀπὸ τοῦ αἵματος τοῦ ἐπὶ τοῦ θυσιαστηρίου, καὶ προσέρανεν ἐπὶ Ἀαρὼν, καὶ ἐπὶ τὰς στολὰς αὐτοῦ, καὶ ἐπὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐπὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ.

* ΠΡΟΚΟΠΙΟΥ. Αἵματι καὶ ἐλαίῳ ἐῤῥάντισεν αὐτούς. τὸ μὲν ἔλαιον, ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως· τὸ δὲ αἷμα, ἀπὸ τοῦ θυσιαστηρίου. καὶ ταῦτα τύπος ἂν εἴη, τὸ μὲν αἷμα, τοῦ σωτηρίου πάθους· τὸ δὲ ἔλαιον, τῆς ἐπὶ τοῦ λουτροῦ χρίσεως. ἀλλ' ἐν τῷ νόμῳ οἱ ἱερεῖς μόνοι, (1) ἐν δὲ τῇ χάριτι τὸ πλῆθος ὅλον. οἱ βασιλεῖς δὲ ἐλαίῳ μόνῳ. οὐκ ἐξῆν δὲ οὔτε ἱερεῦσι τῆς λευϊτικῆς φυλῆς οὖσι, βασιλεύειν· οὔτε τοῖς ἐξ Ἰούδα καταγομένοις, ἱερατεύειν. μόνος δὲ ὁ Κύριος ἡμῶν ὑπὲρ νόμον, καὶ βασιλεὺς καὶ ἱερεὺς γέγονε, κατὰ τὴν τάξιν Μελχισεδέκ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀναμίξας τὸ ἔλαιον τῷ αἵματι, τοῦ κράματος τοῖς ἱερεῦσι καὶ ταῖς αἰσθήσεσιν αὐτῶν ἐπέῤῥαινε, βουλόμενος αὐτοὺς, μὴ μόνον τῆς ἔξωθεν καὶ ἐν ὑπαίθρῳ μεταλαχεῖν ἁγνείας, ἀλλὰ καὶ τῆς ἐν ἀδύτοις, ἐπειδὴ καὶ ἔνδον λειτουργεῖν ἔμελλον.

A λ. Καὶ ἡγίασε τὸν Ἀαρὼν, καὶ τὰς στολὰς αὐτοῦ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ μετ' αὐ-
λα. τοῦ. Καὶ εἶπε Μωϋσῆς πρὸς Ἀαρὼν, καὶ τοὺς υἱοὺς αὐτοῦ, ἑψήσατε τὰ κρέα ἐν τῇ αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τόπῳ ἁγίῳ· καὶ ἐκεῖ φάγεσθε αὐτὰ, καὶ τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ τῆς τελειώσεως, ὃν τρόπον συντέτα-
B κταί μοι Κύριος, λέγων, Ἀαρὼν καὶ
λβ. υἱοὶ αὐτοῦ φάγονται αὐτά. Καὶ τὸ καταλειφθὲν τῶν κρεῶν καὶ τῶν ἄρτων ἐν πυρὶ κατακαύσετε.

λγ. Καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε ἑπτὰ ἡμέρας, ἕως ἡμέρας πληρώσεως ἡμερῶν τελειώσεως ὑμῶν. ἑπτὰ γὰρ ἡμέ-
Γ ρας τελειώσει τὰς χεῖρας ὑμῶν.

* ΚΥΡΙΛΛΟΥ. Ἑπτὰ ἡμέρας φησὶ, τὸ ἐν παντὶ δὴ χρῆναι καιρῷ Θεῷ προσεδρεύειν ἐπείγεσθαι, τοῦ ἑπτὰ σημαίνοντος.

ΑΔΗΛΟΥ. Εἰς νεοφωτίστους ὁρᾷ. οὐδὲ γὰρ ὀφείλει ἐξελθεῖν ἔξω τοῦ πάσχα αὐτοὺς ἑπτὰ ἡμέρας· καὶ ὅτι ἑκάστης ἡμέρας ὀφείλει κοινωνεῖν. κατὰ οὖν τὴν ἀκρίβειαν ἔσω αὐτοὺς δεῖ εἶναι ἐν τῇ σκηνῇ. διὰ δὲ τὸ
Δ πολυπληθεῖν τὸν λαὸν, ἕκαστος ἐν οἴκῳ σκηνὴν ἑαυτῷ ποιήσας, οἰκεῖ ἐν αὐτῇ.

λδ. Καθάπερ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ, ᾗ ἐνετείλατο Κύριος τοῦ ποιῆσαι, ὥστε ἐξιλάσασθαι περὶ ὑμῶν.

λε. Καὶ ἐπὶ τῇ θύρᾳ τῆς σκηνῆς τοῦ μαρτυρίου καθήσεσθε ἑπτὰ ἡμέρας ἡμέραν καὶ νύκτα. καὶ φυλάξεσθε τὰ
E φυλάγματα Κυρίου, ἵνα μὴ ἀποθάνητε· οὕτω γὰρ ἐνετείλατό μοι Κύριος ὁ Θεός.

** ΚΥΡΙΛΛΟΥ. Εἴσω ὄντας τῆς σκηνῆς, ἐντέλλεται τηρεῖν τὰ φυλάγματα Κυρίου, τῆς παρὰ Θεῷ προσεδρείας καρπὸν, τὸ εὐπειθὲς ὑποφαίνων, καὶ τὸ δρᾷν ἐθέλειν ἅπερ ἂν ἕλοιτο νομοθετεῖν. προσεδρευτέον ὧδε τῷ πάντων δεσπότῃ, πρὸς
Z αὐτό που τὸ λοιπὸν τῶν κακῶν τῆς ἐπ' ἀγαθοῖς ῥαθυμίας ἐκλελευτώσης ἀεί. προσεπήνεγκε γὰρ ὁ Μωσῆς ταύτῃ τοι, καθά-
„ περ ἐγῷμαι, τὸ, Ἵνα μὴ ἀποθάνητε.

λς. Καὶ ἐποίησεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ πάντας τοὺς λόγους, οὓς συνέταξε Κύριος τῷ Μωϋσῇ.

ΚΕΦ.

(1) Οἱ ἱερεῖς μόνοι αἵματι καὶ ἐλαίῳ ἐτελειοῦντο. ἐν δὲ τῇ χάριτι τὸ πλῆθος ὅλον, τὸ βασίλειον ἱεράτευμα, τὸ ἔθνος τὸ ἅγιον. ἔτι οἱ μὲν εἰς βασιλείαν παριόντες ἐν τῇ παλαιᾷ, ἐλαίῳ μόνον ἐχρίοντο· οἱ δὲ εἰς ἱερωσύνην, καὶ αἵματι καὶ ἐλαίῳ. καὶ οὔτε τοῖς βασιλεῦσιν ἱερατεύειν ἐξῆν, οὔτε τοῖς ἱερεῦσι βασιλεύειν. μόνος δὲ, κτ. ὁ τῆς Αὐγ. κώδ.

Κ Ε Φ. Θ.

α. Καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ
ὀγδόῃ, ἐκάλεσε Μωϋσῆς
Ἀαρὼν, καὶ τὰς υἱὰς αὐ-
τȣ̃, καὶ τὴν γερȣσίαν Ἰσραήλ.

✻✻ ΚΥΡΙΛΛΟΥ. Ἐν ἡμέρᾳ ὀγδόῃ καταλήγει μὲν ὥσπερ τȣ̃ ἱερᾶσθαι Μωσῆς· ἄρχεταί γε μὴν ὁ Ἀαρὼν, πλὴν ȣ̓ σεσίγηκεν ὁ Μωσῆς, καίτοι διάπλοντος ἤδη πρὸς τὰ τῆς ἱερωσύνης ἔργα τȣ̃ Ἀαρών. χρόνος γὰρ δὴ τῆς ἱερωσύνης Χριστȣ̃ νοοῖτ' ἂν εἰκότως ὁ μετὰ τὸν νόμον, τȣτέστιν ἡ ὀγδόη, καθ' ἣν ἡ ἀνάστασις, καὶ ἀρχή τις
2. Κορ. 5. 17. ὥσπερ αἰῶνος νέȣ. καινὴ γὰρ κτίσις ἐν Χριστῷ, κατὰ τὸ γεγραμμένον. ἀναδεδειγμένȣ δὲ ἤδη Χριστȣ̃ κατὰ τὴν ὀγδόην, καταλήγει μὲν τὰ Μωσέως· ȣ̓ γὰρ ἐν τύποις ἔτι καὶ σκιαῖς λατρεύομεν· ἥ γε μὴν ἐν νόμῳ παίδευσις ȣ̓ σεσίγηκε. πνευματικὸς γὰρ ὁ νόμος τοῖς πνευματικοῖς, καὶ ἀεὶ τὸ Χριστȣ̃ λαλεῖ μυστήριον.

ϐ. Καὶ εἶπε Μωϋσῆς πρὸς Ἀα-
ρὼν, λάβε σεαυτῷ μοσχάριον ἐκ βοῶν
περὶ ἁμαρτίας, καὶ κριὸν εἰς ὁλοκαύ-
τωμα, ἄμωμα· καὶ προσένεγκε αὐ-
γ. τὰ ἔναντι Κυρίȣ. Καὶ τῇ γερȣσίᾳ
Ἰσραὴλ λαλήσεις, λέγων, λάβετε
χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας,
καὶ κριὸν, καὶ μοσχάριον, καὶ ἀμνὸν
ἐνιαύσιον εἰς ὁλοκάρπωσιν, ἄμωμα,
δ. Καὶ μόσχον ἐκ βοῶν, καὶ κριὸν εἰς θυ-
σίαν σωτηρίȣ ἔναντι Κυρίȣ, καὶ σεμί-
δαλιν ἀναπεφυραμένην ἐν ἐλαίῳ· ὅτι
Κύριος σήμερον ὀφθήσεται ἐν ὑμῖν.

ΚΥΡΙΛΛΟΥ. Ὑπὲρ λαȣ̃ χίμαρος, καίτοι μοσχαρίȣ εἰς ἀποκάθαρσιν ἱερέων προσενηνεγμένȣ. ἐν ὑπεροχῇ γὰρ τὰ τῶν ἱερέων. μοσχάριον δὲ καὶ ἀμνὸς εἰς ὁλοκάρπωσιν, τὴν ἐν Χριστῷ νηπιότητα τῶν ἐν πίστει καθιερȣμένων ὑπαινίττεται· μόσχος δὲ καὶ κριὸς, τὸ τληπαθὲς καὶ ἀνδρεῖον, καὶ τὴν ἐν πρᾳότητι καρποφορίαν. καὶ τȣ̃ μὲν πρώτȣ τύπος, ὁ μόσχος· ὁ δὲ κριὸς, τȣ̃ δευτέρȣ. διάβροχος δὲ τῷ ἐλαίῳ σεμίδαλις, τῆς ἐν Χριστῷ ζωῆς τὸ ἐν ἐλπίδι λαμπρὸν παραδηλοῖ.

ε. Καὶ ἔλαβον καθότι ἐνετείλατο
Μωϋσῆς ἀπέναντι τῆς σκηνῆς τȣ̃ μαρ-
τυρίȣ. καὶ προσῆλθε πᾶσα συναγω-
γὴ, καὶ ἔστησαν ἐναντίον Κυρίȣ.

ς. Καὶ εἶπε Μωϋσῆς, τȣ̃το τὸ ῥῆ-
μα, ὃ εἶπε Κύριος· ποιήσατε, καὶ
ὀφθήσεται ἐν ὑμῖν ἡ δόξα Κυρίȣ.

✻✻ ΚΥΡΙΛΛΟΥ. Ἐπηγγέλλετο μὲν ȣ̓ν ὁ Μωσῆς κατὰ τὴν ὀγδόην ἡμέραν ὀφθήσεσθαι τὴν δόξαν Κυρίȣ. προαναπεφώνηκε γὰρ ὁ νόμος τῆς τȣ̃ Σωτῆρος ἡμῶν ἐπιδημίας τὸν χρόνον.

ζ. Καὶ εἶπε Μωϋσῆς πρὸς Ἀαρὼν,
πρόσελθε πρὸς τὸ θυσιαστήριον, καὶ
ποίησον τὸ περὶ τῆς ἁμαρτίας σȣ, καὶ
Β τὸ ὁλοκαύτωμά σȣ, καὶ ἐξίλασαι πε-
ρὶ σεαυτȣ̃, καὶ τȣ̃ οἴκȣ σȣ· καὶ ποίησον
τὰ δῶρα τȣ̃ λαȣ̃, καὶ ἐξίλασαι περὶ
αὐτῶν, καθάπερ ἐνετείλατο Κύριος.

ΑΔΗΛΟΥ. Τȣ̃τό ἐστιν ὅ φησιν ὁ μακάριος Παῦλος, ὅτι πᾶς ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται, καὶ τὰ ἑξῆς. Ἑβρ. 5. 1.

η. Καὶ προσῆλθεν Ἀαρὼν πρὸς
Γ τὸ θυσιαστήριον, καὶ ἔσφαξε τὸ μο-
σχάριον τὸ περὶ τῆς ἁμαρτίας αὐτȣ̃.
θ. Καὶ προσήνεγκαν υἱοὶ Ἀαρὼν τὸ αἷμα
πρὸς αὐτόν. καὶ ἔβαψε τὸν δάκτυλον
αὐτȣ̃ εἰς τὸ αἷμα, καὶ ἐπέθηκεν ἐπὶ τὰ
κέρατα τȣ̃ θυσιαστηρίȣ· καὶ τὸ αἷμα
ἐξέχεεν ἐπὶ τὴν βάσιν τȣ̃ θυσιαστηρίȣ.

ι. Καὶ τὸ στέαρ καὶ τȣ̀ς δύω νεφρȣ̀ς
Δ καὶ τὸν λοβὸν τὸν ἐπὶ τȣ̃ ἥπατος τȣ̃
περὶ τῆς ἁμαρτίας ἀνήνεγκεν ἐπὶ τὸ
θυσιαστήριον, ὃν τρόπον ἐνετείλατο
Κύριος τῷ Μωϋσῇ.

Τὸν λοβόν. Ἄλλος, τὸ περιττὸν φησι τȣ̃ ἥπατος.

ια. Καὶ τὰ κρέα καὶ τὴν βύρσαν
κατέκαυσαν πυρὶ ἔξω τῆς παρεμβο-
ιβ. λῆς. Καὶ ἔσφαξαν τὰ ὁλοκαυτώ-
ματα· (1) καὶ προσήνεγκαν υἱοὶ Αα-
ρὼν τὸ αἷμα πρὸς αὐτόν· καὶ προσέ-
ιγ. χεεν ἐπὶ τὸ θυσιαστήριον κύκλῳ. Καὶ
τὸ ὁλοκαύτωμα προσήνεγκαν αὐτῷ
κατὰ μέλη· αὐτὰ καὶ τὴν κεφαλὴν,
ιδ. καὶ ἐπέθηκεν ἐπὶ τὸ θυσιαστήριον. Καὶ
ἔπλυνε τὴν κοιλίαν καὶ τȣ̀ς πόδας
ὕδατι· καὶ ἐπέθηκεν ἐπὶ τὸ ὁλοκαύ-
ιε. τωμα ἐπὶ τὸ θυσιαστήριον. Καὶ προ-
σήνεγκε τὸ δῶρον τȣ̃ λαȣ̃· καὶ ἔλαβε
τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας
τȣ̃ λαȣ̃· καὶ ἔσφαξεν αὐτὸν, καὶ
ἐκαθάρισε, καθὰ καὶ τὸν πρῶτον.
ις. Καὶ προσήνεγκε τὸ ὁλοκαύτωμα, καὶ
ιζ. ἐποίησεν αὐτὸ ὡς καθήκει. Καὶ προ-
σήνεγκε τὴν θυσίαν, καὶ ἔπλησε τὰς
Η χεῖρας ἀπ' αὐτῆς, καὶ ἐπέθηκεν ἐπὶ
τὸ θυσιαστήριον χωρὶς τȣ̃ ὁλοκαυτώ-
ιη. ματος τȣ̃ πρωϊνȣ̃. Καὶ ἔσφαξε τὸν
μόσχον

(1) Καὶ ἔσφαξε τὸ ὁλοκαύτωμα. αἱ προειρημ. ἐκδόσ.

A μόσχον, καὶ τὸν κριὸν τῆς θυσίας τοῦ σωτηρίου τῆς τοῦ λαοῦ. καὶ προσήνεγκαν οἱ υἱοὶ Ἀαρὼν τὸ αἷμα πρὸς αὐτὸν, καὶ προσέχεεν ἐπὶ τὸ θυσιαστήριον κύκλῳ.
ιθ. Καὶ τὸ στέαρ τὸ ἀπὸ τοῦ μόσχου, καὶ ἀπὸ τοῦ κριοῦ τὴν ὀσφὺν, καὶ τὸ στέαρ τὸ καλύπτον ἐπὶ τῆς κοιλίας, καὶ τοὺς δύο νεφροὺς, καὶ τὸ στέαρ τὸ ἐπ' αὐτῶν, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ
κ. B ἥπατος. Καὶ ἐπέθηκε τὰ στέατα ἐπὶ τὰ στηθύνια· καὶ ἀνήνεγκε τὰ στέατα
κα. ἐπὶ τὸ θυσιαστήριον. Καὶ τὸ στηθύνιον, καὶ τὸν βραχίονα τὸν δεξιὸν ἀφεῖλεν Ἀαρὼν ἀφαίρεμα ἔναντι Κυρίου, ὃν τρόπον συνέταξε Μωϋσῆς.

κβ. Καὶ ἐξάρας Ἀαρὼν τὰς χεῖρας ἐπὶ τὸν λαὸν, ηὐλόγησεν αὐτοὺς· Γ καὶ κατέβη ποιήσας τὸ περὶ τῆς ἁμαρτίας, καὶ τὰ ὁλοκαυτώματα, καὶ τὰ τοῦ σωτηρίου.

** ΚΥΡΙΛΛΟΥ. Σημεῖον ἂν γένοιτο σαφὲς ἡ χειρὸς ἐπίθεσις τῆς τοῦ παναγίου πνεύματος εἰς ἡμᾶς καταβολῆς.

** ΠΡΟΚΟΠΙΟΥ. Ὑπολαμβάνω ἐνθάδε ἀνίστασθαι τὸν λόγον, ὅτι δεῖ τὸν εὐλογοῦντά τινας κεκοσμῆσθαι ἔργοις δια- Δ φανέσι καὶ ἐπηρμένοις παρὰ τοὺς πολλούς. αἱ γὰρ χεῖρες Ἀαρὼν ἄνω ἐξαίρονται, ὅτε μέλλει εὐλογεῖν τὸν λαόν. καὶ εἴπερ τις κάτω ἔχοι τὰς χεῖρας εἰς τὰ γήϊνα, οὐκ ἂν ἀνύσοι βουλόμενος εὐλογεῖν τινά· καίπερ οὐδὲ κάτω κείμεναι αἱ Μωσέως χεῖρες ὠφέλουν τὸν λαὸν, ἀλλ' ὅτε περ ἐπῄροντο. τοῦτο σύμβολον ἦν καὶ ἡ ἔπαρσις τῶν χειρῶν τοῦ Σωτῆρος. ταῖς γὰρ ὑπὲρ ἀνθρώπων πράξεσιν ὕψωσεν αὐτῶν τὰς χεῖρας, E καὶ ἔσωσε τοὺς πιστεύοντας. τάχα τοίνυν πᾶς ὁ ταῖς πράξεσιν ἐπηρμένος, ἐσταυρώθη. (Γαλ. 6. 14.) καὶ κατὰ τοῦτο ἔλεγε Παῦλος, ἐγὼ » κόσμῳ ἐσταύρωμαι, κἀμοὶ ὁ κόσμος· τουτέστι νενόηταί μοι ὁ λόγος ὁ περὶ κόσμου, καὶ ἐπῆρται δὲ, οὐκ ἔτι κεῖται κάτω. τῷ γὰρ μὴ συνιέντι τὸν λόγον τῆς κοσμοποιΐας, ὁ λόγος (1) οὐκ ἐσταύρωται. καλὸν γὰρ ἡγοῦμαι τὸ μυστικῶς σταυροῦσθαι, ὃ καὶ Παῦλος πέπονθε· Χριστῷ συνεσταύρωται, Z καὶ ὁ κόσμος ἔχων ὡς πρὸς τὸν Παῦλον νῦν, ἐπηρμένον καὶ νενοημένον αὐτῷ.

κγ. Καὶ εἰσῆλθε Μωϋσῆς καὶ Ἀαρὼν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου· καὶ ἐξελθόντες ηὐλόγησαν πάντα τὸν λαόν. καὶ ὤφθη ἡ δόξα Κυρίου παντὶ τῷ λαῷ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐξελθόντες ἀμφότεροι, καὶ τὰς χεῖρας ἀνατείναντες πρὸ τῆς κεφαλῆς, εὐχὰς τίθενται τῷ ἔθνει τὰς προσηκούσας ἀπὸ καθαρᾶς καὶ ὁσιωτάτης γνώμης.

κδ. Καὶ ἐξῆλθε πῦρ παρὰ Κυρίου, καὶ κατέφαγε τὰ ἐπὶ τοῦ θυσιαστηρίου, [τά τε ὁλοκαυτώματα, καὶ τὰ στέατα.] καὶ εἶδε πᾶς ὁ λαὸς, καὶ ἐξέστη, καὶ ἔπεσαν ἐπὶ πρόσωπον.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἔτι δ' εὐχομένων, τερατωδέστατόν τι συμβαίνει. ἐκ γὰρ τῶν ἀδύτων, εἴτε αἰθέρος ἀπόσπασμα τοῦ καθαρωτάτου, εἴτε ἀέρος κατὰ τὴν τῶν στοιχείων φύσει μεταβολὴν ἀναλυθέντος εἰς πῦρ, αἰφνίδιον ἀθρόα φλὸξ διεκχαίει, καὶ συντόμῳ ῥύμῃ φέρεται μὲν ἐπὶ τὸν βωμὸν, τὰ δ' ἐξ αὐτοῦ πάντα ἐξαναλίσκει· πρὸς, οἶμαι, σαφεστάτην δήλωσιν, ὅτι οὐδὲν ἄνευ θείας ἐπιφροσύνης ἐπετελεῖτο. δωρεὰν γὰρ ἐξαίρετον εἰκὸς ἦν τοῖς ἁγίοις προσνεμηθῆναι· μὴ μόνον ἐν οἷς ἄνθρωποι δημιουργοὶ, ἀλλὰ καὶ τῷ καθαρωτάτῳ τῆς οὐσίας πυρὶ, τὸ χρειῶδες. καὶ παρ' ἡμῖν ὅπως μὴ προσάψαιτο τοῦ βωμοῦ, διὰ τὸ μυρίας ἴσως ἀναμεμάχθαι κῆρας. Καὶ μετ' ὀλίγα. Ταύτης ἕνεκά μοι δοκῶ τῆς αἰτίας, ὡς μεμιασμένον ἤλασε τοῦ ἱερωτάτου βωμοῦ πῦρ τὸ χρειῶδες, ἀνθ' οὗ φλόγα αἰθέριον ὤμβρησεν ἀπὸ τοῦ οὐρανοῦ πρὸς διαστολὴν ἁγίων καὶ βεβήλων, ἀνθρωπείων τε καὶ θείων. ἥρμοττε γὰρ ταῖς θυσίαις ἀφθαρτοτέραν οὐσίαν ἀπονενεμῆσθαι πυρὸς, τῆς πρὸς τὰς βιωτικὰς χρείας ὑπηρετούσης.

** ΚΥΡΙΛΛΟΥ. Ἐπὶ τὰ διχοτομήματα τὴν πυρὸς ἀκμὴν καθίει Θεὸς, οἱονείπως τῶν προκειμένων ἁπτόμενος· ὑποπλάττεται γὰρ τὴν πυρὸς φύσιν ἀεὶ τὸ θεῖον· νυνὶ δὲ τῆς νοητῆς προτιθεμένης αὐτῷ θυσίας, οὐκ ἐν εἴδει πυρὸς, ἀλλ' ἐν ἁγίῳ πνεύματι τῶν προκειμένων νοητῶς ἐφαπτόμενος, ζωοποιὸν ἀποφαίνει τοῖς ἐφιεμένοις μεταλαχεῖν· καὶ ἀληθὲς ἐν πίστει τὸ χρῆμα δεδέγμεθα.

ΚΕΦ. Ι.

α. Καὶ λαβόντες οἱ δύο υἱοὶ Ἀαρὼν Ναδὰβ καὶ Ἀβιοὺδ, ἕκαστος τὸ πυρεῖον αὐτοῦ, ἐπέθηκαν ἐπ' αὐτὰ πῦρ, καὶ ἐπέβα- H λον ἐπ' αὐτὰ θυμίαμα, καὶ προσήνεγκαν ἐναντίον Κυρίου πῦρ ἀλλότριον, ὃ οὐ προσέταξε Κύριος αὐτοῖς.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ πῦρ τὸ ἀλλότριον; Ἐδίδαξεν ἡμᾶς ἡ ἱστορία, ὡς τῆς πρώτης ἐπιτελουμένης θυσίας, τὸ πῦρ ὃ κατηναλώθη τὰ ἱερεῖα, τοῦτο ἄσβεστον διατηρηθῆναι προσέταξεν ὁ Θεὸς, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν ξύλα τῷ πυρὶ χορηγεῖσθαι· ἵνα μὴ χειροποίητον πῦρ ἀναμιγῇ τῷ θείῳ πυρί. ἐπειδὴ τοίνυν τοῦτον παρέ-

(1) Ὁ κόσμος ἀναγ. τοῦτο δὲ τὸ ὑπόμν. ὡς προσθήκη τις ἐν τῷ τῆς Αὐγ. κώδ. κεῖται.

παρέβησαν τὸν νόμον Ναδὰβ καὶ Ἀβιὰδ, τῷ Ἀαρὼν οἱ παῖδες, καὶ πῦρ εἰσενέγκαν χειροποίητον, τὸ θεῖον αὐτὰς κατηνάλωσε πῦρ. ἡμεῖς δὲ παιδευόμεθα διὰ τούτων, μὴ σβεννύναι τὸ πνεῦμα, ἀλλ' ἀναζωπυρεῖν ἣν ἐλάβομεν χάριν· καὶ μηδὲν ἀλλότριον ἐπεισάγειν τῇ θείᾳ Γραφῇ, ἀλλ' ἀρκεῖσθαι τῇ διδασκαλίᾳ τοῦ πνεύματος, καὶ μυσάττεσθαι τὰς αἱρέσεις· ὧν οἱ μὲν μύθους τοῖς θείοις λογίοις προσέθεσαν· οἱ δὲ τοὺς δυσσεβεῖς αὐτῶν λογισμοὺς τῆς γραφικῆς προετίμησαν διανοίας.

β. Καὶ ἐξῆλθε πῦρ παρὰ Κυρίου, καὶ κατέφαγεν αὐτοὺς, καὶ ἀπέθανον ἔναντι Κυρίου.

ΑΔΗΛΟΥ. Ἔστι στοχάσασθαι τὴν αἰτίαν τοῦ ἐμπρησμοῦ τῶν υἱῶν Ἀαρὼν, ὡς οὐ μετὰ αἰδοῦς καὶ εὐλαβείας Θεῷ λατρευόντων.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἔνδειγμα τοῦτο τοῦ μὴ δεῖν τοῖς θείοις ἐπεισάγειν τὰ ἀνθρώπινα. τοῦ γὰρ θείου πυρὸς ἐπιφαινομένου, οὐκ ἔδει ὑλικὸν προσάγεσθαι πῦρ· ὥσπερ τῆς χάριτος ἐπιφανείσης, πέπαυται τὰ τοῦ νόμου ὑλικά.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οἱ ἱερεῖς Ναδὰβ καὶ Ἀβιοὺδ ἵνα ζήσωσιν, ἀποθνήσκουσι, θνητῆς ζωῆς ἄφθαρτον ἀντικαταλλαττόμενοι βίον, καὶ ἀπὸ τοῦ γενομένου πρὸς τἀγένητον μετανιστάμενοι. ἐφ' ᾧ τὰ σύμβολα τῆς ἀφθαρσίας ᾄδεται, τό, τε
» ἐτελεύτησαν ἐνώπιον Κυρίου, τουτέστιν ἔζησαν· νεκρὸν γὰρ οὐ θέμις εἰς ὄψιν ἐλθεῖν τοῦ Θεοῦ· καὶ πάλιν, τοῦτό ἐστιν, ὃ εἶπε Κύ-
» ριος, ἐν τοῖς ἐγγίζουσί μοι ἁγιασθήσομαι.
Ψαλ. 113. 17. νεκροὶ δὲ, ὡς καὶ ἐν ὕμνοις λέγεται, οὐκ
» αἰνέσουσι Κύριον. ζώντων γὰρ τὸ ἔργον.

γ. Καὶ εἶπε Μωϋσῆς πρὸς Ἀαρὼν, τοῦτό ἐστιν, ὃ εἶπε Κύριος, λέγων, ἐν τοῖς ἐγγίζουσί μοι ἁγιασθήσομαι, καὶ ἐν πάσῃ τῇ συναγωγῇ δοξασθήσομαι. καὶ κατενύχθη Ἀαρών.

ΑΔΗΛΟΥ. Εἰκὸς ἀκούσαντα τὸν πατέρα, ὅτι διελύσατο αὐτοῖς ὁ Θεὸς τὰ ἁμαρτήματα ἐν τῇ πληγῇ, καὶ ἐν τοῖς ἁγίοις τελοῦσιν ὑπὲρ ὧν ἐνταῦθα δεδώκασι δίκην, παρεμυθεῖτο. (1) καὶ οὕτω δυνατὸν τάχα νοεῖν τὸ ῥῆμα· ὅτι καὶ οἱ ἄλλοι ἄνθρωποι πλημμελοῦντες, ἐσθ' ὅτε ἀναβολὴν δέχονται τῆς πληγῆς, οὐ μὴν οἱ πλησιάζοντες τῷ Θεῷ. ὥστε ἐὰν οἱ δίκαιοι, ἐφ' οἷς πταίουσιν, ὧδε τιμωρῶνται, ἐλεῶν αὐτοὺς ὁ Θεὸς, πρὸς ὀλίγον βασανίζει· εἰ δὲ μὴ πταίσας τιμωρηθείη δοκιμῆς ἕνεκεν, ὡς ὁ Ἰὼβ, στεφανοῦται.

δ. Καὶ ἐκάλεσε Μωϋσῆς τὸν Μισαδαΐ, καὶ τὸν Ἐλισαφὰν, υἱοὺς Ὀζιὴλ, υἱοὺς τοῦ ἀδελφοῦ τοῦ πατρὸς Ἀαρὼν, καὶ εἶπεν αὐτοῖς, προσέλθετε καὶ ἄρατε τοὺς ἀδελφοὺς ὑμῶν ἐκ προσώπου τῶν ἁγίων ἔξω τῆς παρεμβολῆς.

ε. Καὶ προσῆλθον, καὶ ἦραν αὐτοὺς σὺν τοῖς χιτῶσιν αὐτῶν ἔξω τῆς παρεμβολῆς, ὃν τρόπον εἶπε Μωϋσῆς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ναδὰβ καὶ Ἀβιοὺδ οἱ ἐγγίσαντες Θεῷ, καὶ τὸν μὲν θνητὸν βίον καταλιπόντες, τοῦ δ' ἀθανάτου μεταλαχόντες, γυμνοὶ θεωροῦνται τῆς καινῆς καὶ θνητῆς δόξης. οὐ γὰρ ἂν τοῖς χιτῶσιν αὐτοῖς οἱ κομίζοντες ἔφερον, εἰ μὴ ἐγεγύμνωντο, πάντα δεσμὸν πάθους καὶ σωματικῆς ἀνάγκης διαρρήξαντες· ἵνα μὴ ἡ γύμνωσις αὐτῶν καὶ ἀσωματότης ἀθέῳ ἐπεισόδῳ λογισμῶν κιβδηλευθῇ. οὐ γὰρ πᾶσιν ἐπιτρεπτέον τὰ Θεοῦ καθορᾷν ἀπόρρητα, ἀλλὰ μόνοις τοῖς δυναμένοις αὐτὰ περιστέλλειν καὶ φυλάττειν. διὸ καὶ οἱ περὶ τὸν Μισαδαὶ κατέλιπον. χιτῶνες δέ εἰσι τὰ μέρη τοῦ ἀλόγου, ἃ λογικὸν ἐπεσκίαζε.

ς. Καὶ εἶπε Μωϋσῆς πρὸς Ἀαρὼν καὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ τοὺς υἱοὺς αὐτοῦ, τὴν κεφαλὴν ὑμῶν οὐκ ἀποκιδαρώσετε, καὶ τὰ ἱμάτια ὑμῶν οὐ διαρρήξετε, ἵνα μὴ ἀποθάνητε, καὶ ἐπὶ πᾶσαν τὴν συναγωγὴν ἔσται θυμός· οἱ δὲ ἀδελφοὶ ὑμῶν πᾶς ὁ οἶκος Ἰσραὴλ κλαύσονται τὸν ἐμπυρισμὸν, ὃν ἐνεπυρίσθησαν ὑπὸ Κυρίου.

* ΠΡΟΚΟΠΙΟΥ. Τὴν ἐπὶ τοῖς φιλτάτοις λύπην οὐκ ἐᾷ πρόφασιν γενέσθαι τῆς τοῦ ἱεροῦ σχήματος μεταβολῆς· διδάσκων τὰ τοῦ Θεοῦ (2) τῶν φυσικῶν ἰσχυρότερα (3) τίθεσθαι.

** ΤΟΥ ΑΥΤΟΥ. Πληροῖ τοῖς ἀποθανοῦσι τὴν τιμὴν δι' ἑτέρων. καθῆκον γὰρ ἔλαττον τοῦτο. οὐ δεῖ ἄρα πενθεῖν ἱερέας, καὶ μάλιστα τοὺς ἄρτι χρισθέντας.

ζ. Καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε, ἵνα μὴ ἀποθάνητε· τὸ ἔλαιον γὰρ τῆς χρίσεως παρὰ Κυρίου ἐφ' ὑμῖν ἐστί. καὶ ἐποίησαν κατὰ τὸ ῥῆμα Μωϋσῆ.

η. Καὶ ἐλάλησε Κύριος τῷ Ἀαρὼν, λέγων,
θ. Οἶνον καὶ σίκερα οὐ πίεσθε σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ, ἡνίκα ἐὰν εἰσπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ προσπορευομένων ὑμῶν πρὸς τὸ θυσιαστήριον, καὶ οὐ μὴ ἀποθάνητε. νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐ μόνον εὐθὺς τοῦτο ληπτέον, ἀλλὰ μηδὲ κρεπαλᾷν ἀπὸ μέθης

(1) Παρεμυθήθη. ὁ Ἀλεξ. κώδ. παραμυθηθῆναι δὲ ὀρθότερ.
(2) Τὰ γὰρ τοῦ Θεοῦ. ὁ τῆς Αὐγ. κώδ.
(3) Ὡς ὁ Σωτὴρ ἀφιστὰς πατρὸς, ἵνα τὸ εὐαγγέλιον κηρύσσῃ ὁ μαθητής. αὐτ.

μέθης ἑσπερινῆς ἕωθεν λειτουργοῦντα. πῶς
γὰρ ἄξιος ἐπιθυμίας ἡττᾶσθαι τὸν ὑπὲρ
τῶν ἡττημένων δεόμενον; διὰ συμβόλων
γὰρ πᾶσαν πρόφασιν ἀπαγορεύει τὴν ἐξι-
στᾶσαν τὸν λογισμὸν, καὶ γηΐνοις μεθυσκου-
σαν πράγμασι. διὸ καὶ ὁ Σωτὴρ ἔφη·
Λουκ. 21. 34. » προσέχετε μήποτε βαρυνθῶσιν ὑμῶν αἱ
» καρδίαι φροντίδι καὶ μερίμναις βιωτικαῖς.
ἐπεὶ καὶ σίκερα, πᾶν ἑρμηνεύεται μέθυσ-
μα, κἂν ἐξ ἀμπέλου μὴ ᾖ. Καὶ μεθ' ἕτερα.
» Ὠβέλισται δὲ τὸ, ἢ προσπορευομένων ὑμῶν
» πρὸς τὸ θυσιαστήριον, ὡς συνεχομένου τῷ
προσπορευομένῳ πρὸς τὴν σκηνὴν τοῦ μαρ-
τυρίου· ἤγουν ὡς τοῦ θυσιαστηρίου βατοῦ ὄν-
τος καὶ μὴ ἱερεῦσι. τοιοῦτοι γὰρ καὶ οἱ
ἀφιέντες ἔμπροσθεν τοῦ θυσιαστηρίου τὸ δῶ-
ρον μέχρι διαλλαγῶσι τοῖς ἀδελφοῖς, ἵνα
τότε προσέλθωσι τῷ θυσιαστηρίῳ. μήπο-
τε δὲ καὶ οἱ ἐκτὸς τῆς ἐφημερίας ἱερεῖς
προσπορεύονται τῷ θυσιαστηρίῳ, καὶ εἰ μὴ
τῇ σκηνῇ τοῦ μαρτυρίου;

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τοὺς ἱερέας οἴ-
νου κωλύει μεταλαμβάνειν; Οὐ παντάπα-
σιν ἀπηγόρευσε τοῦτο, ἀλλὰ κατὰ τὸν τῆς
λειτουργίας καιρόν. κατὰ γὰρ διαδοχὰς
ἐλειτούργουν. οἱ μὲν, ἐν ταύταις ταῖς ἡμέ-
ραις· οἱ δὲ, ἐν ἄλλαις. νηφάλαιον δὲ καὶ ὁ
1. Τιμ. 3. 2, 8. Ἀπόστολος τὸν ἱερέα κελεύει εἶναι, καὶ τοὺς
» διακόνους, μὴ οἴνῳ πολλῷ προσέχοντας. καὶ
1. Τιμ. 5. 23. τῷ Τιμοθέῳ γράφων· οἴνῳ ὀλίγῳ κεχρῆ-
σθαι προσέταξε διὰ τὰς συχνὰς ἀσθενείας.
τέλειον γὰρ προσήκει εἶναι τὸν ἱερέα, ὡς
τὴν ὑπὲρ τοῦ λαοῦ πρεσβείαν πεπιστευμένον.

ΩΡΙΓΕΝΟΥΣ. Θάνατον ὁ λόγος ἔοικεν
ἀπειλεῖν ἱερεῦσιν, οἶνον καὶ σίκερα πίνου-
σιν, ἡνίκα ἂν εἰς τὴν σκηνὴν εἰσπορεύων-
ται. δεῖ γὰρ τοὺς ὑπὲρ τοῦ λαοῦ εὐχομένους
ἐπισκόπους ἀποστρέφεσθαι ἀπὸ μέθης, οὐ
μόνον τῆς ἀπὸ οἴνου, ἀλλὰ [καὶ] τῆς τῶν
πραγμάτων, καὶ διαλογισμῶν ἀνθρωπί-
νων. οὐχ ὡς ἄτοπον δὲ ἀπαγορεύει τοῦτο,
ἀλλ' ὅτι ᾔδει τὸ ἀκρατὲς τῶν Ἰσραηλιτῶν,
ὅτι ὁπότε ἅψοιντο, εἰς ἀμετρίαν ἐχώρουν.
ἵνα ὅτε εἰς τὰ ἅγια εἰσπορεύονται, νηφά-
λιον ᾖ (1) τὸ τῆς ψυχῆς ἀκριβὲς, καὶ
λεπτὸν τοῦ Θεοῦ μνημόσυνον.

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸ πρὸς
ἀλήθειαν νόμιμον, εὐθύς ἐστιν αἰώνιον· ἐπεὶ
καὶ ὁ ὀρθὸς λόγος, ὃς δὴ νόμος ἐστὶν, οὐ
φθαρτός. καὶ γὰρ αὖ τοὐναντίον παράνο-
μον, ἐφήμερόν τε καὶ εὐδιάλυτον ἐξ ἑαυτοῦ
παρὰ τοῖς εὖ φρονοῦσιν ἀνωμολόγηται.

ι. Διαστεῖλαι ἀναμέσον τῶν ἁγίων
καὶ τῶν βεβήλων, καὶ ἀναμέσον τῶν
ἀκαθάρτων καὶ τῶν καθαρῶν.

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Νόμου καὶ
παιδείας ἴδιον, βέβηλα ἁγίων, καὶ ἀκά-
θαρτα καθαρῶν διαστέλλειν· ὡς ἔμπαλιν
ἀνομίας καὶ ἀπαιδευσίας εἰς ταυτὸν ἄγειν

A τὰ μαχόμενα βιάζεσθαι, φυρούσας τὰ πάν-
τα καὶ συγχεούσας.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Δεῖ τοὺς ἱερέας ἀβε-
βήλους ὄντας, ἀνδρῶν βεβήλων ἀποφοι-
» τᾶν. πᾶν γὰρ ζῶον, φησὶν, ἀγαπᾷ τὸ Σειρ. 13. 15, 16.
» ὅμοιον αὐτῷ· καὶ τῷ ὁμοίῳ αὐτοῦ προσκολ-
» ληθήσεται ἀνήρ.

ια. Καὶ συμβιβάζειν τοὺς υἱοὺς Ἰσ-
ραὴλ πάντα τὰ νόμιμα, ὅσα ἐλάλησε
B Κύριος πρὸς αὐτοὺς διὰ χειρὸς Μωϋσῆ.

ΑΛΛΟΣ φησὶν ἀντὶ τοῦ συμβιβάζειν,
φωτίζειν.

ΚΥΡΙΛΛΟΥ. Συμβιβάζειν, τουτέστι σα-
φηνίζειν, ὡς ἰσχύσαι συνιδεῖν τοὺς ἀκροω-
μένους, ὅτι παιδαγωγὸς ὁ νόμος ἐστί. (2)

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Μόνου τοῦτο Χριστοῦ,
» κἀκείνων οὓς, τεκνία καλεῖ· ὃς καὶ συμ- Ἰωάν. 13. 33.
βιβάζει τὸν κατὰ σάρκα Ἰσραὴλ ἃ λελά-
Γ ληκε Κύριος διὰ τῆς Μωϋσέως χειρὸς τῆς
χωρούσης λόγον Θεοῦ. διὸ καὶ πιστὸς ἦν ἐν
ὅλῳ τῷ οἴκῳ, ὡς θεράπων, εἰς μαρτύριον
τῶν λαληθησομένων. Καὶ μετ' ὀλίγα. Τί δὲ
συμβιβάσουσιν, ἢ ὡς πνευματικὸς ὁ νό-
μος, καὶ παιδαγωγὸς εἰς Χριστόν; ὡς τό γε
γράμμα διδασκαλίας οὐ δέεται.

ιβ. Καὶ εἶπε Μωϋσῆς πρὸς Ἀα-
ρὼν καὶ πρὸς Ἐλεάζαρ καὶ πρὸς Ἰθά-
Δ μαρ τοὺς υἱοὺς αὐτοῦ τοὺς καταλειφθέν-
τας, λάβετε τὴν θυσίαν τὴν κατα-
λειφθεῖσαν ἀπὸ τῶν καρπωμάτων
Κυρίου, καὶ φάγετε ἄζυμα παρὰ τὸ
ιγ. θυσιαστήριον· ἅγια ἁγίων ἐστί. Καὶ
φάγεσθε αὐτὴν ἐν τόπῳ ἁγίῳ· νόμι-
μον γάρ σοι ἐστὶ, καὶ νόμιμον τοῖς υἱοῖς
σου τοῦτο ἀπὸ τῶν καρπωμάτων Κυρίου·
ιδ. οὕτω γάρ ἐντέταλταί μοι Κύριος. Καὶ
E τὸ στηθύνιον τοῦ ἀφαιρέματος φάγεσθε
ἐν τόπῳ ἁγίῳ, σὺ καὶ οἱ υἱοί σου καὶ ὁ
οἶκός σου μετὰ σοῦ· νόμιμον γάρ σοι, καὶ
νόμιμον τοῖς υἱοῖς σου ἐδόθη ἀπὸ τῶν θυ-
σιῶν τῶν σωτηρίων τῶν υἱῶν Ἰσραήλ.

ιε. Τὸν βραχίονα τοῦ ἀφαιρέματος,
καὶ τὸ στηθύνιον τοῦ ἀφορίσματος ἐπὶ
τῶν καρπωμάτων τῶν στεάτων προσοί-
Z σουσιν, ἀφόρισμα ἀφορίσαι ἔναντι
Κυρίου. καὶ ἔσται σοι καὶ τοῖς υἱοῖς σου
καὶ ταῖς θυγατράσι σου μετὰ σοῦ νόμι-
μον αἰώνιον, ὃν τρόπον συνέταξε Κύ-
ριος τῷ Μωϋσῇ.

∗ ΠΡΟΚΟΠΙΟΥ. Ὁ θεωρῶν τὴν τερ-
πνότητα Κυρίου, καὶ διὰ τὸ καθαρὸν τῆς
καρδίας Θεὸν ὁρῶν, ἐσθίει τὸ στηθύνιον· (3)
τὸν δὲ βραχίονα, (4) ὁ ἐξαίρετα ἔργα
H ἐπιτηδεύων.

ιϛ. Καὶ

(1) Νηφάλιον ἔχωσιν. ἐν Τόμ. 2. σελ. 182. τῆς τοῦ Ῥου. ἐκδόσ.
(2) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.
(3) Τὸ στηθώιον τοῦ ἀφορίσματος. ὁ τῆς Αὐγ. κώδ.
(4) Τὸν δὲ βραχίονα τοῦ ἀφαιρέματος. αὐτ.

ις. Καὶ τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας ζητῶν ἐξεζήτησε Μωϋσῆς· καὶ ὁ δὲ ἐνεπεπύριστο. καὶ ἐθυμώθη Μωϋσῆς ἐπὶ Ἐλεάζαρ ἢ Ἰθάμαρ τοὺς υἱοὺς Ἀαρὼν τοὺς καταλελειμμένους,
ιζ. λέγων, Διατὶ οὐκ ἐφάγετε τὸ περὶ τῆς ἁμαρτίας ἐν τόπῳ ἁγίῳ; ὅτι γὰρ ἅγια ἁγίων ἐστὶ, τοῦτο δέδωκεν ὑμῖν φαγεῖν, ἵνα ἀφέλητε τὴν ἁμαρτίαν τῆς συναγωγῆς, καὶ ἐξιλάσησθε περὶ
ιη. αὐτῶν ἔναντι Κυρίου. Οὐ γὰρ εἰσηνέχθη τοῦ αἵματος αὐτοῦ εἰς τὰ ἅγια. κατὰ πρόσωπον ἔσω φάγεσθε αὐτὸ ἐν τόπῳ ἁγίῳ, ὃν τρόπον συνετάγη μοι.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ τὸν χίμαρον » τὸν περὶ τῆς ἁμαρτίας ζητῶν ἐξεζήτησε » Μωϋσῆς· ὁ δὲ ἐμπεπύριστο. Ἐπεὶ οὐκ ἐχρῆν τὸν πατέρα τῶν ἀποθανόντων ὑπὸ τοῦ πυρὸς ἑαυτοῖς καταχαρίσασθαι τὸν χίμαρον, ἢ ἄλλῳ τινὶ αὐτὸν παραδοῦναι, ἀλλ' εἰ τῷ παρὰ Κυρίου πυρὶ τῷ καταφαγόντι Ναδὰβ καὶ Ἀβιούδ. πρὶν δὲ τοῦτο μαθεῖν ἐξ Ἀαρὼν ὁ Μωϋσῆς ὑπομιμνήσκει τὸν ἀδελφὸν καὶ τοὺς καταλειφθέντας υἱοὺς αὐτοῦ ἐσθίειν τὸ στηθύνιον τοῦ ἀφαιρέματος, καὶ τὸν βραχίονα τοῦ ἀφαιρήματος ἐν τόπῳ ἁγίῳ.

* ΤΟΥ ΑΥΤΟΥ. Ἐπειδὴ ἐν τῇ Ἐξόδῳ κατὰ τῶν μοσχοποιησάντων ἀπεφήνατο· ὅτι ἐξαλείψω αὐτοὺς· οἰκονομεῖται νῦν, ὥστε τὴν ἐν πρώτοις προσαγομένην θυσίαν ὑπὲρ ἁμαρτίας τοῦ λαοῦ, μὴ τελειωθῆναι, [διὰ τὸ μήτε ἀπὸ τοῦ αἵματος αὐτῆς εἰσαχθῆναι εἰς τὰ ἅγια. μήτε τοὺς ἱερεῖς φαγεῖν ἐξ αὐτῆς. καὶ τὸ μεῖζον,] ὅτιπερ ἄνω προστάξας ὁ Θεὸς μόσχους ὑπὲρ ἁμαρτίας τοῦ λαοῦ προσφέρεσθαι, νῦν τράγον, ἄλλον ἀντ' ἄλλου, ἐποίησε προσαχθῆναι, ἵνα μόνον ὁ τύπος πληρωθῇ. Ἐξόδ. 32. 33.

ΩΡΙΓΕΝΟΥΣ. Δείκνυσι δὲ ὅτι μὴ τῶν ἱερέων ἐσθιόντων, ἀτέλεστος ἡ θυσία, καὶ ἡ ἁμαρτία μένει· ἐχρῆν γὰρ καὶ τοῦ αἵματος εἰσενεχθῆναι, καὶ αὐτοὺς φαγεῖν.

ΘΕΟΔΩΡΙΤΟΥ. Αὐτίκα γοῦν Μωϋσῆς ὁ νομοθέτης θεασάμενος τὸν περὶ τῆς ἁμαρτίας προσενεχθέντα χίμαρον ὁλοκαυτωθέντα παρὰ τὸν νόμον, ὠργίσθη τῷ τε Ἐλεάζαρ καὶ τῷ Ἰθάμαρ, λέγων· διατὶ » οὐκ ἐφάγετε τὰ περὶ τῆς ἁμαρτίας ἐν τό- » πῳ ἁγίῳ; ὅτι γὰρ ἅγια ἁγίων ἐστὶ, τοῦτο » δέδωκεν ὑμῖν Κύριος φαγεῖν, ἵνα ἀφέλητε » τὴν ἁμαρτίαν τῆς συναγωγῆς, καὶ ἐξι- » λάσησθε περὶ αὐτῶν ἐναντίον Κυρίου. διδασκόμεθα δὲ πάλιν ἐντεῦθεν, ὡς τὰ παρὰ τοῦ λαοῦ προσφερόμενα ἐσθίοντες, καὶ μὴ ἐννόμως ζῶντες, μηδὲ σπουδαίως τὰς ὑπὲρ τούτων προσφέροντες προσευχὰς. δίκας ὑπέχομεν τῷ Θεῷ. τοῦτο αἰνιττόμενος ὁ δεσπότης Θεὸς διὰ τοῦ Προφήτου ἔφη· » ἁμαρτίας λαοῦ μου φάγονται. Ὠσ. 4. 8.

ιθ. Καὶ ἐλάλησεν Ἀαρὼν πρὸς Μωϋσῆν, λέγων, εἰ σήμερον προσαγηόχασι τὰ περὶ τῆς ἁμαρτίας αὐτῶν, ἢ τὰ ὁλοκαυτώματα αὐτῶν ἔναντι Κυρίου, καὶ συμβέβηκέ μοι τοιαῦτα, καὶ φάγομαι τὸ περὶ τῆς ἁμαρτίας σήμερον, μὴ ἀρεσὸν ἔσται τῷ Κυρίῳ;

ΩΡΙΓΕΝΟΥΣ. Ἐπειδὴ συνέβη. φησὶ, τοῖς περὶ Ναδὰβ καὶ Ἀβιοὺδ προσκρούσασι τῷ Θεῷ ἀποθανεῖν, ὅτε καιρὸς ἦν φαγεῖν αὐτοὺς τὸ περὶ τῆς ἁμαρτίας τοῦ λαοῦ. τοῦ ἀφεθῆναι ἃ ἥμαρτε. πῶς οἱ ἐν ἁμαρτίαις ἡμεῖς σήμερον ἐλεγχθέντες. διὰ τοῦ φαγεῖν τὴν ἄφεσιν προξενήσομεν; χρὴ γὰρ τὸν ἱερέα πρότερον περὶ αὐτοῦ ἐξιλάσασθαι.

κ. Καὶ ἤκουσε Μωϋσῆς, καὶ ἤρεσεν αὐτῷ.

ΚΕΦ. ΙΑ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν, λέ-
β. γων, Λαλήσατε τοῖς υἱοῖς Ἰσραὴλ, λέγοντες, ταῦτα τὰ κτήνη, ἃ φάγεσθε ἀπὸ πάντων τῶν κτηνῶν τῶν ἐπὶ τῆς γῆς.

ΕΥΣΕΒΙΟΥ. Ἀπαγορεύει τὰ μὲν ἐσθίειν, τὰ δὲ μὴ ἐσθίειν· οὐχ ὅτι κοινόν τι, ἀλλὰ διὰ δύω αἰτίας· μίαν μὲν, ὅσα ἐν Αἰγύπτῳ προσεκύνουν ἐσθίεσθαι προστάττει, ἵνα διὰ τοῦτο καταφρονῶσιν αὐτῶν· καὶ ὅσα ἐν Αἰγύπτῳ ἤσθιον λαιμάργως ἀπαγορεύει, ὡς τὸν ὗν· δι' ἑτέραν δὲ πρόφασιν τοιαύτην· ἡ κοινὴ φύσις πολλάκις προλαβοῦσα ἐβδελύξατο, τὰ μὲν, διὰ τὸ μέγεθος· τὰ δὲ, διὰ τὸ δυσειδές· τὰ δὲ, διὰ τὸ νεκρῶν ἀπογεύσασθαι· τὰ δὲ, κατὰ πρόληψιν μίσους. ὅσα οὖν προέλαβεν ἡ συνήθεια, οὐκ ἀνέτρεψεν ὁ νόμος· ἃ μέντοι προσεκύνουν ἐν Αἰγύπτῳ, καὶ ἃ λίχνως ἤσθιον, καὶ πᾶν θνησιμαῖον· (1) ὅτι καὶ πρὸ νόμου ἡ συνήθεια.

ΩΡΙΓΕΝΟΥΣ. Θηρία μὲν οὖν οὐδαμῶς ἐστι καθαρά. πάντα γὰρ ἀκάθαρτα, κα- » τὰ τὸν εἰπόντα νόμον· πᾶν ὃ ἐὰν πορεύη- » ται ἐπὶ χειρῶν αὐτοῦ ἐν πᾶσι τοῖς θηρίοις, » ἀκάθαρτα ἔσται ὑμῖν. εἴη δ' ἂν γενικῶς θηρία πάντες οἱ ὠμότατοι τῶν ἀνθρώπων, περὶ ὧν φησὶν ὁ Προφήτης· ἐν τῷ » ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς » σάρκας μου, καὶ τὰ ἑξῆς. Ψαλ. 26. 2.

γ. Πᾶν κτῆνος διχηλοῦν ὁπλὴν καὶ ὀνυχιστῆρας ὀνυχίζον δύω χηλῶν, καὶ ἀνάγον μηρυκισμὸν ἐν τοῖς κτήνεσι, ταῦτα φάγεσθε.

ΘΕΟΔΩ-

(1) Ἐλλειπὲς ἔοικε. προσθετέον δὲ ἴσ. ἢ συνητέον τὸ, ἀπαγορεύει.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί σημαίνει τὸ διχηλοῦν καὶ μηρυκώμενον; Τὸ μὲν διχηλοῦν οἶμαι δηλοῦν τὴν τῶν ἀγαθῶν πράξεων, καὶ τὴν τῶν ἐναντίων διάκρισιν. πρὸς δὲ τούτῳ, τὸ μὴ μόνον τῷ παρόντι βίῳ ζῆν, ἀλλὰ καὶ τῷ μέλλοντι· καὶ τούτῳ μὲν ἀπονέμειν τὰ ἀναγκαῖα, ἐκείνῳ δὲ πάντα, τουτέστι καὶ τὴν ψυχὴν, καὶ τὸ σῶμα, καὶ τὰ περὶ τὸ σῶμα. τὸ δὲ μηρυκώμενον τὴν τῶν θείων λογίων σημαίνει μελέτην. ὥσπερ γὰρ τὸ πρόβατον, καὶ τὰ τούτῳ προσόμοια, διηνεκῶς ἀναπεμπάζεται τὴν τροφήν· οὕτως ὁ ἐμμελὴς καὶ φιλόθεος πρὸς τὸν τῶν
Ψαλ. 118. 97. ὅλων βοᾷ Θεόν· ὡς ἠγάπησα τὸν νόμον-
» σου Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μου ἐστί.
καθάπερ δὲ τῶν ζώων τὰ μὲν διχηλεῖ, καὶ τὴν τροφὴν ἀναπεμπάζεται, τὰ δὲ οὐδέτερον αὐτῶν ποιεῖ, ὡς ὄνος, καὶ ἡμίονος, καὶ ἵππος, καὶ τὰ θηρία· ἄλλα δὲ διχηλεῖ μὲν, οὐκ ἀναπεμπάζεται δὲ τὴν τροφὴν, ὥσπερ ὗς· ἕτερα δὲ μηρυκᾶται Γ μὲν, οὐ διχηλεῖ δὲ, ὡς κάμηλος καὶ λαγωός· οὕτως ἐστὶ καὶ παρὰ τοῖς ἀνθρώποις εὑρεῖν, τοὺς μὲν τελείους, καὶ τῶν θείων λογίων τὴν μελέτην ἀσπαζομένους, καὶ τὴν ἀρετὴν ἐπιμελῶς μετιόντας· τοὺς δὲ ἀτελεῖς, καὶ τὰ μὲν θεῖα λόγια διὰ τῆς γλώττης προσφέροντας, διχηλεῖν δὲ οὐκ ἀνεχομένους, καὶ τῇ καμήλῳ προσεοικότας· τινὰς δὲ τῆς εὐσεβείας οὐδέπω γεγευμένους, καὶ τὰ μὲν θεῖα λόγια μὴ προσιεμένους, Δ ἔργων δὲ ἀξιεπαίνων φροντίζοντας· ἄλλους δὲ καὶ πράξεων ἀμελοῦντας, καὶ πίστεως ἐρήμους. τῶν δὲ ἐνύδρων καθαρὰ εἶναι λέγει τὰ λεπίδας ἔχοντα, καὶ πτερύγια. ταῦτα γὰρ ἄνω τοῖς ὕδασιν ἐπινήχεται. τὰ γὰρ οὐ τοιαῦτα κάτω περὶ τὴν ὕλην ἐγκαλινδεῖται. καθαροὶ τοίνυν κἂν τοῖς λογικοῖς οἱ μὴ τοῖς γηΐνοις προσετηκότες, ἀλλὰ τὰ πτερὰ τῆς πίστεως Ε ἔχοντες, καὶ τῇ τῆς ἀρετῆς πεφραγμένοι σκέπῃ. ὅπερ γάρ ἐστιν ἡ λεπὶς τοῖς ἰχθύσι, τοῦτο τοῖς ἀνθρώποις ἐστὶν ἡ πίστις. ταῦτα δὲ ἡμῖν ὁ μακάριος περιτίθησι Παῦλος, τὰ πτερὰ λέγων τῆς χάριτος, καὶ τὰ ὅπλα τῆς πίστεως. τῶν δὲ πτηνῶν ἀκάθαρτα εἶναί φησι τὰ ἁρπακτικὰ, καὶ νεκροβόρα, καὶ τὰ τῷ σκότει χαίροντα· διδάσκων ἡμᾶς, καὶ πλεονεξίας ἀπέχεσθαι, καὶ τὴν δυσώδη τῆς ἁμαρτίας τροφὴν ἀποστρέφεσθαι, Ζ καὶ τὸ σκότος μισεῖν. ὅτι δὲ οὐκ ἀπὸ τρόπου ταῦθ' οὕτως ἔχειν νενοήκαμεν, μαρτυρεῖ τῶν Πράξεων ἡ ἱστορία. εἶδε γάρ φησιν ὁ μακάριος Πέτρος σινδόνα
Πραξ. 10. 11, 12, 13, 14, 15. τέτρασιν ἀρχαῖς καθιεμένην, ἐν ᾗ ἦν πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ πε-
» τεινὰ τοῦ οὐρανοῦ· καὶ ἤκουσε φωνῆς λεγού-
» σης· ἀναστὰς, Πέτρε, θῦσον καὶ φάγε.
» εἶτα εἰρηκότος ἐκείνου, μηδαμῶς Κύριε·
» ὅτι οὐδέποτε ἔφαγον κοινὸν ἢ ἀκάθαρτον,
» ἔφη ὁ δεσπότης Θεὸς, ἃ ὁ Θεὸς ἐκαθάρισε Η
» σὺ μὴ κοίνου.
ὅτι δὲ τοῦ Κορνηλίου χάριν ταῦτα ἐῤῥέθη ἐθνικοῦ γε ὄντος, καὶ σωτηρίας ἐφιεμένου, δηλοῖ τὰ ἑξῆς. καὶ ὁ Κύ-
Ματθ. 7. 15. ριος δὲ τοῖς Ἀποστόλοις ἔφη· πολλοὶ ἐλεύ-

Α » σονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων,
» ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· καὶ τοῖς
» Ἰουδαίοις, γεννήματα ἐχιδνῶν· καὶ ὁ Ἀπό- Ματθ. 23. 33.
» στολος, βλέπετε τοὺς κύνας· καὶ τοῖς Ἐφε- Φιλιπ. 3. 2.
» σίων πρεσβυτέροις, οἶδα ὅτι μετὰ τὴν Πραξ. 20. 29.
» ἄφιξίν μου ἐλεύσονται λύκοι βαρεῖς εἰς
» ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. καὶ οἱ
» Προφῆται, τοὺς μὲν ἵππους θηλυμανεῖς Ἱερ. 5. 8.
» ὀνομάζουσι, τοὺς δὲ ὄφεις καὶ ἔκγονα ἀσπί-
» δων πετομένων. καὶ πάλιν ὁ Κύριος· ὁμοιώ- Ματθ. 13. 47.
Β » θη ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βλη-
» θείσῃ εἰς τὴν θάλασσαν, καὶ ἐκ παντὸς
» γένους συναγαγούσῃ· καὶ, ὅπου τὸ πτῶμα, ἐκεῖ Ματθ. 24. 28.
» συναχθήσονται καὶ οἱ ἀετοί.
συνᾴδει τοίνυν ἡ ἑρμηνεία τῇ τῆς θείας Γραφῆς διανοίᾳ. ἡμεῖς μὲν οὖν ταύτην λαμβάνομεν ἐκ τούτων τὴν ὄνησιν. Ἰουδαίοις γὰρ διὰ τούτων αὐτῶν ἕτερον ὠφελείας προσενήνοχεν εἶδος. διχῇ γὰρ διελὼν καὶ τὰ χερσαῖα ζῶα, καὶ τὰ πτηνὰ, καὶ τὰ ἔνυδρα· καὶ τὰ μὲν ἀκάθαρτα, τὰ δὲ καθαρὰ προσειπὼν, μηδὲν τούτων πείθει ἡγεῖσθαι Θεόν. πῶς γὰρ ἄν τις σωφρονῶν, ἢ τὸ ἀκάθαρτον ὀνομάσοι Θεὸν, ὃ μυσαττόμενος ἀποστρέφεται, ἢ τὸ τῷ ἀληθινῷ προσφερόμενον Θεῷ, καὶ παρ' αὐτοῦ ἐσθιόμενον;

** ΚΥΡΙΛΛΟΥ. Τῆς μὲν ἐν ἔργοις πορείας σύμβολον ὁ ποὺς· διχηλία δέ γε τύπος ἂν εἴη σαφὴς τοῦ ἐπ' ἄμφω βαίνειν ἡμᾶς ὀρθῶς καὶ ἀνεπιπλήκτως δύνασθαι, εἰς τὸ καθ' ἡμᾶς αὐτοὺς, καὶ μέντοι καὶ εἰς ἑτέρους. εἰ τὶς οὖν εἴη τυχὸν, ὀρθῶς καὶ ἐπιστημόνως ἐπ' ἄμφω βαίνειν εἰδὼς, ἑαυτόν τε καὶ ἑτέρους ὠφελεῖν οἷός τε, τῇ τῶν ἠθῶν ποιότητι λέγω, καὶ πρός γε δὴ τούτῳ συνεχὴς καὶ ἐμφρονέστατος, καὶ τοῖς περὶ Θεοῦ λόγοις ἐναύλιον ὥσπερ τὶ καὶ ἐνδιαίτημα διδοὺς τὴν καρδίαν, ἄνωτε καὶ κάτω στρέφων ἀεί πως ἐν ἑαυτῷ τὰς τῶν θείων δογμάτων ἐννοίας, καὶ διὰ τοῦτο πυκνῶς καὶ ἐμφρόνως ἐξερευνᾶν, καταλεπτύνων τρόπον τινὰ τὰ οὕτω τῶν νοημάτων ἀκριβῶς ἐγνωσμένα, ζῴῳ που πάντως ἔσται προσεοικὼς ἀναφέροντι τὸν μηρυκισμὸν, καὶ τὴν ἐν κοιλίᾳ τροφὴν ἀνερευγομένην ἀεὶ, καὶ τοῖς ὀδοῦσιν ὑπάγοντι, ὡς ἂν καὶ ἔτι καταλεαίνοιτο, καὶ τῷ τῆς πέψεως ἰχνῷ χωροίη πρὸς ὄνησιν.

ΩΡΙΓΕΝΟΥΣ. Διχηλῆ, τὸν εὐσεβῶς ἐν τῷ αἰῶνι τούτῳ πολιτευόμενον, [καὶ] διὰ τὸν μέλλοντα αἰῶνα ἐπ' ἐκεῖνον ἀποδύοντα· πρὸς δὲ τῷ διχηλεῖν καὶ ὀνυχιστῆρας ὀνυχίζειν, περιαιρούμενον τὰ περιττὰ καὶ νεκρὰ ἀπὸ τῶν χειρῶν, τουτέστι πράξεων καὶ ποδῶν, τουτέστι πορείας. πρὸς τούτοις καὶ ἀναμηρυκισμὸν, οὐκ ἀποτιθέμενον μόνον τὴν πνευματικὴν τροφὴν, ἀλλὰ καὶ ἀναμιμνησκόμενον, καὶ συνεχῶς αὐτὴν μελετῶντα.

δ. Πλὴν ἀπὸ τούτων οὐ φάγεσθε, ἀπὸ τῶν ἀναγόντων μηρυκισμὸν, καὶ ἀπὸ τῶν διχηλούντων τὰς ὁπλὰς, καὶ ὀνυχιζόντων ὀνυχιστῆρας· τὸν κάμηλον,

λον, ὅτι ἀνάγει μηρυκισμὸν τοῦτο,
ὁπλὴν δὲ οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο
ε. ὑμῖν. Καὶ τὸν δασύποδα, ὅτι ἀνάγει
μηρυκισμὸν τοῦτο, καὶ ὁπλὴν οὐ διχη-
ϛ. λεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν. Καὶ τὸν
χοιρογρύλλιον, ὅτι ἀνάγει μηρυκισ-
μὸν τοῦτο, καὶ ὁπλὴν οὐ διχηλεῖ, ἀκά-
ζ. θαρτον τοῦτο ὑμῖν. Καὶ τὸν ὗν, ὅτι
διχηλεῖ ὁπλὴν τοῦτο, καὶ ὀνυχίζει ὄνυ-
χας ὁπλῆς, καὶ τοῦτο οὐκ ἀνάγει μη-
η. ρυκισμὸν, ἀκάθαρτον τοῦτο ὑμῖν. Ἀπὸ
τῶν κρεῶν αὐτῶν οὐ φάγεσθε, καὶ τῶν
θνησιμαίων αὐτῶν οὐχ ἅψεσθε· ἀκά-
θαρτα ταῦτα ὑμῖν.

ΚΥΡΙΛΛΟΥ. Βέβηλον μέντοι τῶν ὄντων ἥκιστα. ὁ μὲν γὰρ νόμος πάντα οἶδε καθαρὰ τοῖς καθαροῖς· ἀλλ' εἰς ἠθῶν ποιότητας ἀνθρωπίνων τὸ ἑκάστου ζώου φυσικὸν παραλαβὼν, ὀνίνησιν οὐ μετρίως.

** ΤΟΥ ΑΥΤΟΥ. Πρακτικῆς μὲν οὖν ἐνεργείας καὶ ποιότητος τρόπων, τὴν τοῦ ποδὸς διχηλίαν τύπον εἶναι διαβεβαιούμεθα· τὸν δέ γε μηρυκισμὸν, λόγου τε κατ' εὐσέβειαν καὶ δογματικῆς ἐπιστήμης ὀρθῆς τε καὶ ἐντριβοῦς σημεῖον εἶναι διοριζόμεθα. ἀτελὴς οὖν ἄρα πρὸς ἀρετὴν νοοῖτ' ἂν εἰκότως, καὶ τοῦ χρῆναι θαυμάζεσθαι καθεστήκει μακρὰν ὁ ἔργοις μὲν ἐπαυχῶν ἀγαθοῖς, ὀρθότητος δὲ τῆς δογματικῆς ἡττώμενος, καὶ λόγους οὐκ ἔχων τῆς ἀληθείας εἰς νοῦν. ἀληθὲς δὲ ὅτι καὶ τὸ ἔμπαλιν οὐκ ἀσυμφανές. Καὶ μετ' ὀλίγα. Ἀκάθαρτος οὖν κατὰ νόμον, ὁ ἑνὸς ἡττώμενος. τούτων δὲ ὅτι προσήκει ἀποφοιτᾶν, καὶ κατ' οὐδένα τρόπον ὁρᾶσθαι μετεσχηκότας, » διεσάφει, λέγων· ἀπὸ τῶν κρεῶν οὐ φά- » γεσθε, καὶ τῶν θνησιμαίων αὐτῶν οὐχ ἅψεσθε. οὔτε γὰρ ζῶσι, φησὶ, μὴ συναναστραφήσεσθε· κἂν εἰ τεθναίη τις τῶν τοιῶνδε τυχὸν, ἀβέβηλον τὸν οἰκεῖον τηρήσετε νοῦν, οὐδ' ὅσον εἰπεῖν ἀποθιγγάνοντες τῶν ἐκείνοις πεποιημένων, λογίων δὲ δηλονότι, καὶ μιαρῶν συγγραμμάτων.

** ΤΟΥ ΑΥΤΟΥ. Δέχεται τοίνυν εἰς παράδειγμα τοῦ μὴ διχηλοῦντος μὲν τὴν ὁπλὴν, ἀνακομίζοντος δὲ τὸν μηρυκισμὸν, τὴν κάμηλον, ζῶον εὐσθενές τε καὶ ὑπερμέγεθες, δασύποδά τε καὶ χοιρογρύλλιον, τὰ πάντων, ὡς ἔπος εἰπεῖν, τῶν ἄλλων μικροφανέστατα, διὰ τῶν ἄκρων καθάπερ ἐγῷμαι συλλήβδην ἅπαντα περιλαβὼν, καὶ οὐδὲν ἔξω τῶν διὰ μέσου μεθείς. ὅμοιον γὰρ ὡς εἰ καὶ λέγοιτο τυχὸν, ἀπὸ τοῦ λίαν ὑψηλοῦ τε καὶ ἀνωτάτω, καὶ μέχρι μικρῶν καὶ τῶν ὅτι μάλιστα κατωτάτω, πᾶς ὅς γε τοιοῦτος, βδελυρὸς καὶ ἀκάθαρτος.

** ΤΟΥ ΑΥΤΟΥ. Παραφέρει δὲ καὶ τὸν σῦν, ὡς ἀκάθαρτον, διά τοι τὸ διχηλεῖν μὲν ὁπλὴν, οὐ μὴν ἔτι πεφυκότα, καὶ ἀναμασᾶσθαι, τουτέστιν ἀνάγειν μηρυκισ-

A μόν· ἀδρανές τε καὶ ἄχρηστον τὸ ἐν ἔργοις καύχημα, δίχα τοῦ λόγου τοῦ κατ' εὐσέβειαν ἀποφαίνων.

** ΙΟΥΣΤΙΝΟΥ. Εἰ τῶν ἀλόγων ἁπάντων δημιουργός ἐστιν ὁ Θεὸς, διατὶ τὸ διχηλοῦν ὁπλὴν καὶ μηρυκισμὸν μὲν ἔχον, καθαρὸν εἶναι ἀπεφήνατο; καὶ πάλιν, διατὶ τὸ μηρυκισμὸν μὲν ἔχον, οἷον κάμηλος, ὁπλὴν δὲ μὴ διχηλοῦν, ἐν τοῖς κακοῖς τέτακται; καὶ τὸ διχηλοῦν μὲν τὴν ὁπλὴν,
B μηρυκισμὸν δὲ μὴ ἔχον, οἷον χοῖρος, ἐν τοῖς μὴ καθαροῖς λελόγισται; καὶ ἐν τοῖς ἰχθύσι δὲ τὰ ἀλεπίδωτα, καὶ τὰ πετεινὰ διατὶ διῄρηται, καίτοι τινῶν καθαρῶν, εἴ γε συγχωροῦνται, ταῦτα τοῖς ἀκαθάρτοις ἐσθιόντων καὶ πραττόντων; Φύσει μὲν καθαρὰ ὑπάρχει πάντα τὰ ζῶα, καὶ καλὰ ὑπὸ τοῦ Θεοῦ ἐξ ἀρχῆς γεγονότα, κα-
» τὰ τὸ εἰρημένον· καὶ εἶδεν ὁ Θεὸς πάν- Γεν. 1, 31, 22.
» τα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν· καὶ
Γ τῆς θείας τετυχηκότα εὐλογίας, λεγού-
» σης· αὐξάνεσθε καὶ πληθύνεσθε. ἀλλ' ἐπειδὴ ἐβούλετο ὁ Θεὸς ὥσπερ ἐν πᾶσι (1) τοῖς ἐθιομένοις, ὑπὸ τὸν ζυγὸν τῆς τοῦ νόμου δουλείας ποιήσασθαι τοὺς Ἰουδαίους, διὰ τοῦτο τῶν ζώων, καὶ πετεινῶν, καὶ ἰχθύων. τινὰ μὲν ὠνόμασε καθαρὰ, ὧν καὶ τὴν σφαγὴν καὶ τὴν βρῶσιν τοῖς Ἰουδαίοις ἐπέτρεψε· τινὰ δὲ ἀκάθαρτα ὠνόμασεν, ὧν τὴν βρῶσιν αὐτοὺς ἀπεῖργε. καθαρὰ οὖν ταῦτα καὶ
Δ ἀκάθαρτα λέγονται. καθαρὰ μὲν, διὰ τὴν φύσιν· ἀκάθαρτα δὲ, διὰ τὸν νόμον. ἄλλως δὲ πάλιν καθαρὰ καὶ ἀκάθαρτα λέγονται, διὰ ταύτην τὴν αἰτίαν· ἐπειδὴ ἐν τῇ Αἰγύπτῳ τότε πάντα τὰ ζῶα, πλὴν τοῦ χοίρου, ἐθεοποιοῦντο· διὰ τοῦτο τῶν ζώων, τὰ μὲν καθαρὰ, τὰ δὲ ἀκάθαρτα ὠνόμασε. καὶ τὰ μὲν καθαρὰ ἐπέτρεψεν αὐτοῖς θύειν, τὰ δὲ μὴ ἐσθίειν ὡς ἀκάθαρτα, δι' ἑκατέρου δεικνύων αὐτὰ ἀνάξια
E ὄντα τῆς τοῦ Θεοῦ προσηγορίας τε καὶ τιμῆς, καὶ διὰ τοῦ θύεσθαι καὶ ἐσθίεσθαι, καὶ πάλιν διὰ τοῦ καλεῖσθαι αὐτὰ ἀκάθαρτα.

θ. Καὶ ταῦτα φάγεσθε ἀπὸ πάν-
των τῶν ἐν τοῖς ὕδασι. πάντα ὅσα
ἐστὶν αὐτοῖς πτερύγια καὶ λεπίδες ἐν
τοῖς ὕδασι, καὶ ἐν ταῖς θαλάσσαις,
καὶ ἐν τοῖς χειμάῤῥοις, ταῦτα φάγε-
ι. σθε. Καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς
πτερύγια, οὐδὲ λεπίδες ἐν τοῖς ὕδασι,
καὶ ἐν ταῖς θαλάσσαις, καὶ ἐν τοῖς
χειμάῤῥοις, ἀπὸ πάντων ὧν ἐρεύγεται
τὰ ὕδατα, καὶ ἀπὸ πάσης ψυχῆς τῆς
ζώσης ἐν τῷ ὕδατι, βδέλυγμά ἐστι,
ια. καὶ βδελύγματα ἔσονται ὑμῖν. Ἀπὸ
τῶν κρεῶν αὐτῶν οὐκ ἔδεσθε, καὶ τὰ
ιβ. θνησιμαῖα αὐτῶν βδελύξεσθε. Καὶ
H πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύγια,
οὐδὲ λεπίδες τῶν ἐν τοῖς ὕδασι, βδέ-
λυγμα τοῦτό ἐστιν ὑμῖν.

ΦΙΛΩ-

(1) Οὕτω καὶ ἐν τοῖς ἐθιομένοις. ὀρθότερ. ὃ καὶ ἡ λατινικὴ περιέχει μετάφρασις.

A **ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Παρέρχεται καὶ τῶν ἐνύδρων τὰ πρὸς ἐδωδὴν καθαρὰ διαγράφων· σημειωσάμενος καὶ ταῦτα δυσὶ χαρακτῆρσι, (1) καὶ λεπίσι. τὰ γὰρ ἢ μηδέτερον, ἢ θάτερον ἔχοντα παραπέμπει καὶ παραιτεῖται. τὸ δ' αἴτιον οὐκ ἀπὸ σκοποῦ λεκτέον· ὅσα μὲν ἢ ἀμφοῖν ἀμέτοχα ἢ τοῦ ἑτέρου, κατασύρεται πρὸς τοῦ ῥοώδους, ἀντέχειν ἀδυνατοῦντα τῇ βίᾳ τῆς φορᾶς· οἷς δ' ἑκάτερον πρόσεστιν, ἀποστρέφει, (2) μετωπηδὸν ἀνθίσταται, καὶ
B φιλονεικοῦντα πρὸς τὴν ἀντίπαλον προθυμίαις καὶ τόλμαις ἀηττήτοις γυμνάζεται, ὡς ὠθούμενά τε καὶ ἀντωθεῖν, καὶ διωκόμενα ἀντιτρέχειν, ὁδοὺς ἐν δυσοδίαις ἀναστέλλοντα εὐρείας, πρὸς διεξόδους εὐμαρεῖς. σύμβολα δὲ καὶ ταῦτ' ἐστὶ, τὰ μὲν πρότερα φιληδόνου ψυχῆς, τὰ δ' ὕστερα καρτερίαν καὶ ἐγκράτειαν ποθούσης. ἡ μὲν γὰρ ἐφ' ἡδονὴν ἄγουσα, κατάντης ἐστὶ καὶ ῥάστη,
Γ συρμὸν ἀπεργαζομένη μᾶλλον ἢ περίπατον· ἀνάντης δὲ ἡ πρὸς ἐγκράτειαν, ἐπίπονος μὲν, ἐν δὲ τοῖς μάλιστα ὠφέλιμος. καὶ ἡ μὲν ὑποφέρει, καὶ ὑπονοστεῖν ἀναγκάζει τῷ πρανεῖ καταγουσα, μέχρις ἂν εἰς τὰ τῆς ἐσχατιᾶς ἀποβράσῃ· ἡ δ' εἰς οὐρανὸν ἄγει, τοὺς μὴ προκαμόντας ἀθανατίζουσα, τὸ τραχὺ καὶ δυσανάπορευτον αὐτῆς ἰσχύσαντας ὑπομεῖναι.

Δ ΚΥΡΙΛΛΟΥ. Ἰχθύων δίκην διανηχόμεθα τὴν πλατεῖαν ταύτην καὶ εὐρύχωρον θάλασσαν, ἤτοι τὸν κόσμον. καὶ διά-
Ἰακ. 3. 2. » φορος (3) ὁ ἑκάστου βίος. καὶ πολλὰ μὲν
» πταίουσιν ἅπαντες, κατὰ τὸ γεγραμμένον·
ἀποσείονται δ' ὅμως, ὡς ἀκαλλὲς, τὸ γυμνῶς ἐθέλειν ἀσχημονεῖν. ἀναπείσειε δ' ἂν οὐδεὶς ἐμφανῆ τε καὶ ἀκατάσκιον ἐπιτηδεύειν τὴν πλημμέλειαν· ἐπιμελοῦνται δὲ
Παροιμ. 10. σφόδρα τοῦ χρῆναι λαθεῖν. σοφοὶ γὰρ
14. » κρύψουσι τὰς ἑαυτῶν αἰσχύνας, κατὰ τὸ
E γεγραμμένον. τοῦτο οἶμαί ἐστι τὸ ὡς ἐν τάξει καλύμματος τὰς λεπίδας ἔχειν. [ἀνανήχονται δὲ πλειστάκις καὶ εἰς τὸ ὕψος. βλέπουσι γὰρ οὐκ εἰς τὸ κάτω διαπαντὸς,] φρονοῦσι δὲ τὰ ἄνω, καὶ διαδιδράσκουσιν εὐπετῶς τοὺς εἴπερ ἂν ἕλοιντο σαγηνεύειν εἰς ὄλεθρον, ὅσοις ἐστὶ ταῖς ἀρεταῖς οἱονεὶ πτερυγίοις κεχρῆσθαι νοητῶς.

**ΤΟΥ ΑΥΤΟΥ. Πλημμελοῦσι δέ τινες οὐχ ὑπεσταλμένως, γυμνὴν δὲ ὥσπερ καὶ
Ζ ἀκατακάλυπτον παντελῶς ἐπιτηδεύοντες τὴν φαυλότητα. Καὶ μετ' ὀλίγα. Οὐκοῦν καθαρίζει μὲν ὁ νόμος τοὺς ἠῤῥωστηκότας μὲν τὰ ἀνθρώπινα, μὴ μὴν ἔτι καὶ εἰσάπαν ἐκτετραμμένους, ἀνανηχομένους δὲ ὥσπερ εἰς τὸ ὕψος, καὶ οὐχὶ τοῖς ἐπιγείοις ἐνιζήσαντας μόνοις, πεφρονηκότας δὲ καὶ τὰ ἄνω, καὶ μεμερισμένους ὥσπερ Θεῷ τε καὶ κόσμῳ. καταμιαίνει δὲ αὐτοὺς ὅλῳ χωροῦν-

A τας τρόπῳ πρὸς τὸ ἀκαταλήκτως ἐλέσθαι καὶ δρᾷν καὶ φρονεῖν τὰ σαρκός τε καὶ κόσμου, καὶ ἐπὶ τούτοις μὲν ἅπασαν ἀποδυσαμένους αἰδῶ, γυμνῶς δὲ καὶ ἀπημφιεσμένως ἀσχημονεῖν εἰωθότας. ἐξίστησι δὲ χρησίμως τῆς πρὸς αὐτοὺς κοινωνίας, τὴν πρὸς ἐκείνους οὐκ ἀτιμάζων. οὐ γάρτοι τοῖς φαύλοις ἰέναι κατὰ ταυτὸν, ἀλλὰ τοῖς ἐπιεικεστέροις ἀσφαλές.

ιγ. Ταῦτα βδελύξεσθε ἀπὸ τῶν
B πετεινῶν, καὶ οὐ βρωθήσεται, βδέλυγμά ἐστι· τὸν ἀετὸν, καὶ τὸν γρύπα, καὶ τὸν ἁλιαίετον.

ΑΔΗΛΟΥ. Πτηνῶν, οἶμαι, ὅσα μὲν σκόλοπας ἔχει κατωτέρω τῶν γονάτων ὑπὲρ τὰς βάσεις, καθαρὰ εἶναι βούλεται· ὅσα δὲ μὴ, ἀκάθαρτα. διώκεται δέ τις καὶ ταῦτα πρὸς τὰ τῶν ἀνθρώπων ἐπανάξαι ἤθη καὶ τοὺς βίους.

Γ **ΚΥΡΙΛΛΟΥ. Ἀποφάσκει ὁ νόμος τὸν ἀετὸν, καὶ τὸν γρύπα, καὶ τὸν ἁλιαίετον, καὶ μέντοι τὸν γύπα. διίπταται γὰρ τὰ τοιάδε ὕψους, καὶ τοῖς ἀνωτάτω λίαν ἐναβρύνεσθαι φιλεῖ, καὶ μισεῖ τὰ κάτω.
» νεοσσοὶ γάρ φησι γυπὸς τὰ ὑψηλὰ πέ- Ἰώβ. 5. 7.
τονται. τοιουτοσί πως δὲ ὁ ἀλαζὼν καὶ ἐξωφρυωμένος ἄγαν, καὶ ἐπηρμένον ἐν ἑαυτῷ τὸν νοῦν ἔχων· καὶ τοῦ μὲν ἐπιεικοῦς καὶ μετρίου φρονήματος ὑπερορᾷν εἰθισ-
Δ μένος, ἥκιστά γε ἀγαπῶν τοῖς ταπεινοῖς συναπάγεσθαι.

ιδ. Καὶ τὸν γύπα, καὶ τὸν ἰκτῖνα,
ιε. καὶ τὰ ὅμοια αὐτῷ. Καὶ τὸν στρουθὸν,
ιϛ. καὶ τὸν γλαῦκα. (4) Καὶ πάντα κόρακα, καὶ τὰ ὅμοια αὐτῷ. (5)

**ΚΥΡΙΛΛΟΥ. Συγκαλαψένει δὲ τούτοις τὸν ἰκτῖνα καὶ τὰ ὅμοια αὐτῷ, καὶ κόρακα καὶ τὰ ὅμοια αὐτῷ· δι' ὧν εὖ μάλα
E σημαίνεται τό γε ἁρπάζειν εἰδὸς, καὶ δεινὸν εἰς κακουργίαν ἀνθρώπων γένος. καὶ τοῦ μὲν πρώτου τύπος ὁ ἰκτῖνος, θατέρου γε μὴν ὁ μελάντατος καὶ βαθύς. σκοτεινοὶ δέ πως, καὶ οὐχ ἅπασιν ἐναργεῖς οἱ δριμεῖς εἰς πονηρίαν, καὶ ἀσυμφανῆ τοῖς πολλοῖς ἔν γε δὴ σφίσιν αὐτοῖς τὴν τῶν ἠθῶν ἔχοντες μοχθηρίαν. παραπέφυκε δὲ ἀεὶ τοῖς τὴν ἐπάρατον ἀλαζονείαν ἠῤῥωστηκόσι τὸ πλεονεκτεῖν ἐθέλειν οὓς ἂν δύναιντο τυχὸν,
Ζ καὶ πολυτρόποις κακουργίας ἐκπολιορκεῖν εὑρήμασι, καθαρπάζειν δὲ οὕτω, καὶ τοῦτο ἀπληστώς. ταύτῃ τοι συνάπτει λέγων εὐ-
» θύς· καὶ στρουθὸν καὶ λάρον. ἀπληστότατα γὰρ, οἶμαι, ταυτὶ, καὶ τὸ παρεμπῖπτον ἀεὶ συλλέγοντα.

ιζ. Καὶ νυκτικόρακα, καὶ κατα-
ιη. ῥάκτην, καὶ ἶβιν, Καὶ πορφυρίωνα, καὶ πελεκᾶνα, καὶ κύκνον.

ΚΥΡΙΛ.

(1) Πρόσθες, πτερυγίοις.

(2) Πρόσθες, καί.

(3) Διάφορος γάρ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 504.

(4) Καὶ λάρον, καὶ τὰ ὅμοια αὐτῷ. αἱ εἰρημ. ἐκδόσ.

(5) Καὶ ἱέρακα, καὶ τὰ ὅμοια αὐτῷ. αὐτ.

** ΚΥΡΙΛΛΟΥ. Ὁ μὲν ἱέραξ καταθρώσκει δεινῶς παντὸς ἀσθενεστέρου πτηνοῦ, καὶ κατὰ στρουθίων ἵεται, καὶ διόλλυσι λαβών. καταράκτης γε μὴν, καὶ ἶβις, καὶ πορφυρίων, προσθείην δ' ἂν ὅτι καὶ πελεκᾶνος, ἐπιμαίνονται τοῖς ἰχθύσι, καὶ τροφὴν ποιοῦνται τὸν ἐκείνων ὄλεθρον. τοιοῦτοι δὲ πάντες, ὅσον ἧκεν εἰς τρόπους καὶ ἠθῶν ἀγριότητα, οἱ παρ' οὐδὲν ἡγούμενοι τὸ διολλύναι τινὰς, διά γε τὸ σφίσιν αὐτοῖς ἡδύ.

ιθ. Καὶ ἐρωδιὸν, καὶ χαραδριὸν, καὶ τὰ ὅμοια αὐτῷ· καὶ ἔποπα, καὶ νυκτερίδα.

** ΚΥΡΙΛΛΟΥ. Νυκτὸς δὲ, οἶμαι, φίλα ταυτὶ, καὶ χαίροντα μὲν τῷ σκότει, καὶ πτῆσιν ὡς ἡδυτάτην ἐν αὐτῷ ποιεῖσθαι μεμελετηκότα, κατεχθραίνοντα δὲ τὸ ἡλίου φῶς, καὶ τὸ ἐν αὐτῷ τι δρᾷν μὴ ἀνεχόμενα. εἶεν δ' ἂν οἱ τοιοίδε σαφῶς, οἱ τῶν φαύλων ἐργάται. καὶ γάρ ἐστιν ἀληθὲς
Ἰωάν. 3. 20. ὅπερ ἔφη Χριστὸς, ὅτι πᾶς ὁ φαῦλα πράσ-
„ σων, μισεῖ τὸ φῶς.

κ. Καὶ πάντα [τὰ] ἑρπετὰ τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τεσσάρων, βδέλυγμά ἐστιν ὑμῖν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὅσα ἢ ἄποδα, ἢ συρμῷ τῆς γαστρὸς ἰλυσπώμενα, ἢ τετρασκελῆ καὶ πολύποδα, φησὶν εἶναι πρὸς ἐδωδὴν οὐ καθαρά. πάλιν αἰνιττόμενος διὰ μὲν ἑρπετῶν, τοὺς ἐπὶ κοιλίαις τὸν αἰθύης τρόπον ἐμφορουμένους, καὶ γαστρὶ τῇ ταλαίνῃ δασμοὺς ἀπαύστως εἰσφέροντας. Καὶ μετ' ὀλίγα. Διὰ δὲ τῶν τετρασκελῶν καὶ πολυπόδων, τοὺς μηδενὸς (1) πάθους ἐπιθυμίας, ἀλλὰ συμπάντων κακοὺς δούλους.

κα. Ἀλλ' ἢ ταῦτα φάγεσθε ἀπὸ τῶν ἑρπετῶν καὶ τῶν πετεινῶν, (2) ἃ πορεύεται ἐπὶ τεσσάρων, ἃ ἔχει σκέλη ἀνώτερον τῶν ποδῶν αὐτοῦ, πηδᾷν ἐν αὐτοῖς ἐπὶ τῆς γῆς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οἷς δὲ τῶν ἑρπετῶν ὑπεράνω σκέλη τῶν ποδῶν ἐστὶν, ὥστε πηδᾷν ἀπὸ τῆς γῆς δύνασθαι, ταῦτ' ἐν καθαροῖς ἀναγράφει. καθάπερ τὰ τῶν ἀκρίδων γένη, καὶ τὸν ὀφιομάχον καλούμενον· πάλιν διὰ συμβόλων ἤθη καὶ τρόπους λογικῆς ψυχῆς διερευνώμενος. ἡ μὲν γὰρ τοῦ σώματος ὁλκὴ φύσει βρίθουσα, τοὺς ὀλιγόφρονας συνεφέλκεται, τῷ πλήθει τῶν σαρκῶν αὐχενίζουσα καὶ πιέζουσα. μακάριοι δ' οἷς ἐξεγένετο κραταιοτέρᾳ δυνάμει πρὸς τὴν ῥοπὴν τῆς ὁλκῆς ἀντιβιάσασθαι, παιδείας κανόσιν ὀρθῆς ἄνω πηδᾷν δεδιδαγμένοις ἀπὸ γῆς καὶ τῶν χαμαιζήλων, εἰς αἰθέρα καὶ τὰς οὐρανοῦ περιόδους. ὧν ἡ θέα ζηλωτὴ καὶ περιμάχητος τοῖς ἑκουσίως, ἀλλὰ μὴ παρέργως ἥκουσι.

κβ. Καὶ ταῦτα ἀπ' αὐτῶν φάγεσθε· τὸν βροῦχον, καὶ τὰ ὅμοια αὐ-
A τῷ· καὶ τὸν ἀτλακὸν, καὶ τὰ ὅμοια αὐτῷ· καὶ τὴν ἀκρίδα, καὶ τὰ ὅμοια αὐτῇ· καὶ τὸν ὀφιομάχην, καὶ τὰ ὅμοια αὐτῷ.

** ΚΥΡΙΛΛΟΥ. Ὑπεξάγει γε μὴν τοῦ τοιούτου γένους ἀκρίδα καὶ βροῦχον, καὶ τὰ τούτοις ἐμφερῆ· διάτοι τὸ εὐσθενὲς, ὡς ἀναθρώσκειν δύνασθαι, καὶ ἥκιστα μὲν ἐμφιλοχωρεῖν τοῖς κάτω, αἴρεσθαι δὲ πολλά-
B κις εἰς τὸ ὕψος, καὶ διαπηδᾷν εὐκόλως. τοιουτοσὶ δέ πως ὁ βίον μὲν ἔχων τὸν κοσμικὸν, ἐπιεικείας γε μὴν τῆς ἄλλης καὶ ἀγάπης τῆς εἰς Θεὸν οὐκ εἰς ἅπαν ἠμοιρηκώς. ὁ γὰρ τοιοῦτος οὐ τοῖς ἐπιγείοις παντελῶς ἐνδέδεται, καὶ ἐνιζάνει τοῖς κάτω, μεμελέτηκε δέ πως καὶ τὰ ἄνω φρονεῖν, καὶ εὐδοκιμεῖν ἔσθ' ὅτε, πρὸς τὰ ἄνω διαπηδῶν, καὶ τῶν ἐπιγείων ὑπεριπτάμενος.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Διό μοι δο-
Γ κεῖ ἐπαινέσαι μάλιστα τὸν ὀφιομάχην ἐπικαλούμενον· ἑρπετὸν δέ ἐστιν ἔχον ἀνωτέρω σκέλη τῶν ποδῶν, οἷς ἀπὸ γῆς πέφυκε πηδᾷν, καὶ μετέωρον αἴρεσθαι. καθάπερ τὸ τῶν ἀκρίδων γένος· ὁ γὰρ ὀφιομάχης οὐδὲν, ἀλλ' ἢ συμβολικῶς ἐγκράτεια εἶναί μοι δοκεῖ, μάχην ἀκαθαίρετον. καὶ πόλεμον ἄσπονδον ἐκφέρουσα πρὸς ἀκρασίαν καὶ ἡδονήν.

** ΤΟΥ ΑΥΤΟΥ. Εἰ ἄτροφον καὶ
Δ βλαβερὸν πρᾶγμα ὀφιώδης ἡδονὴ, τροφιμώτατον ἂν καὶ σωτήριον γένοιτο ἡ πρὸς ἡδονὴν διαμαχομένη φύσις. αὕτη δὲ ἡ σωφροσύνη ἐστί.

κγ. Καὶ πᾶν ἑρπετὸν ἀπὸ τῶν πετεινῶν, οἷς εἰσὶ τέσσαρες πόδες, βδέ-
κδ. λυγμα ὑμῖν ἐστί. Καὶ ἐν τούτοις μιανθήσεσθε· πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσται ἕως
E ἑσπέρας.

κε. Καὶ πᾶς ὁ αἴρων τῶν θνησιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

** ΚΥΡΙΛΛΟΥ. Τὸν τῶν ἀκαθάρτων ἀποθιγγάνοντα καὶ μεμολυσμένον, ἀποπλύνεσθαι μὲν δεῖ τὸ ἱμάτιον· πρὸς ἑσπέραν δὲ καθαρὸν ἔσεσθαι, φησί· τὸ Χριστοῦ μυστήριον εὖ μάλα παραδηλῶν, δι' οὗ κεκα-
Z θάρμεθα, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος πλουτοῦντες ἄφεσιν, κατὰ τὸν καιρὸν δηλονότι τῆς ἐπιδημίας αὐτοῦ, πρὸς ἑσπέραν οἱονεὶ γεγονότα, τουτέστιν εἰς τέλος ἤδη διέρποντος τοῦ παρόντος αἰῶνος.

κς. Ἐν πᾶσι τοῖς κτήνεσιν ὅ ἐστι διχηλεῦον ὁπλὴν, καὶ ὀνυχιστῆρας ὀνυχίζει, καὶ μηρυκισμὸν οὐ μηρυκᾶται, ἀκάθαρτα ἔσονται ὑμῖν. πᾶς ὁ ἁπτό-
H μενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσται. (3)

(1) Μὴ δὴ ἑνὸς, ἢ μὴ ἑνός. ἀνάγν.
(2) Τῶν ἑρπετῶν τῶν πετεινῶν. αἱ προειρημ. ἐκδόσ.
(3) Ἕως ἑσπέρας. αἱ προειρημ. ἐκδόσ.

κζ. Καὶ πᾶν ὃ πορεύεται ἐπὶ χει-
ρῶν ἐν πᾶσι τοῖς θηρίοις, ἃ πορεύεται
ἐπὶ τεσσάρων, ἀκάθαρτα ἔσται ὑμῖν.
πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐ-
τῶν, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.
κη. Καὶ πᾶς ὁ αἴρων τῶν θνησιμαίων αὐ-
τῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκά-
κθ. θαρτος ἔσται ἕως ἑσπέρας. Καὶ ταῦτα
ὑμῖν ἀκάθαρτα ἀπὸ τῶν ἑρπετῶν τῶν
ἑρπόντων ἐπὶ τῆς γῆς· ἡ γαλὴ, καὶ
ὁ μῦς, καὶ ὁ κροκόδειλος ὁ χερσαῖος,
λ. Μυγάλη, καὶ χαμαιλέων, καὶ ἀσ-
καλαβώτης, καὶ σαῦρα, καὶ ἀσφά-
λα. λαξ. Ταῦτα ἀκάθαρτα ἔσται ὑμῖν
ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόν-
των ἐπὶ τῆς γῆς. πᾶς ὁ ἁπτόμενος
τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος
ἔσται ἕως ἑσπέρας.

** ΚΥΡΙΛΛΟΥ. Ἔοικεν ὁ νόμος διὰ μὲν τῶν ἀγρίων θηρίων, τοὺς τῶν λῃστῶν ὠμοτάτους παραδηλοῦν, οἷς λελόγισται παρ' οὐδὲν καὶ αὐτὸ τὸ πάντων ἐπέκεινα τῶν κακῶν, ἡ ἀνδροκτονία. μόνον δὲ οὐχὶ προσυγχάνοντα καταδαρδάπτουσι διολλύντες ἀνηλεῶς, καὶ φειδοῦς ἁπάσης ἐξῃρημένης. διὰ δέ γε μυὸς καὶ γαλῆς, καὶ τῶν ἀγχοῦ τε καὶ ἐοικότων, κροκοδείλου τε φημὶ τοῦ χερσαίου, σαύρας τε καὶ ἀσκαλαβώτου, τὰ ψοφοδεῆ καὶ ἄνανδρα καὶ ἐν νυκτὶ περιθέοντα τῶν κλεπτῶν γένη· ἃ λεληθότως μὲν τοὺς νυστάζοντας κατασίνεσθαι φιλεῖ, ἐκδέδιε δὲ τὸ ἁλῶναι δεινῶς, καὶ τὴν τῶν ἀδικουμένων παραιτεῖται γρηγόρσιν. ἢ γὰρ οὐχὶ κλεπτίστατόν τι χρῆμα, γαλῆ τε καὶ μῦς, καὶ πρὸς δειλίαν εὔκολα; καταδύεται δὲ τοὺς ἐν γῇ μυχοὺς, εἰ διακλυπήσειέ τις. ἥδιστα δ' ἂν ἐν νυκτὶ καὶ οὐκ ἐν ἡμέρᾳ νέμοιντο κροκόδειλός τε χερσαῖος, καὶ τὰ συγγενῆ. ἀκάθαρτον μὲν οὖν πᾶν ὅπερ ἐστὶ λῃστρικὸν, κἂν εἰ διὰ τρόπου τὶς εἴη θηριοπρεποῦς, καὶ φιλαιμάτους ἔχοι τὰς χεῖρας· κἂν εἰ μικρὰ παρακλέπτοι, καθὰ μῦς καὶ γαλῆ, καὶ ἀσπάλακός τε καὶ ἀσκαλαβώτου δίκην, τοίχους ἀναθρώσκοι καὶ στέγας· κἂν εἴ τις ἐπιθιγγάνοι τῶν ὧδε μεμολυσμένων, μεθέξει τῶν ἐγκλημάτων. κοινωνία γὰρ ἡ πρὸς τοιούσδε τινας, πάντῃ τε καὶ πάντως ἀκαθάρτους ἀποφαίνει.

λβ. Καὶ πᾶν ἐφ' ᾧ ἂν ἐπιπέσοι
ἀπ' αὐτῶν ἐπιτεθνηκότων αὐτῶν, ἀ-
κάθαρτον ἔσται ἀπὸ παντὸς σκεύους
ξυλίνου ἢ ἱματισμοῦ ἢ δέρματος ἢ σάκ-
κου. πᾶν σκεῦος ἐν ᾧ ἂν ποιηθήσεται
ἔργον ἐν αὐτῷ, εἰς ὕδωρ βαφήσεται,
καὶ ἀκάθαρτον ἔσται ἕως ἑσπέρας· καὶ
λγ. καθαρὸν ἔσται. Καὶ πᾶν σκεῦος ὀστρά-
κινον εἰς ὃ ἐὰν ἐμπέσῃ ἀπὸ τούτων ἔν-
δον, ὅσα ἂν ἔνδον ᾖ, ἀκάθαρτα ἔσται,
καὶ αὐτὸ συντριβήσεται.

A ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ἐὰν μὲν εἰς ὀστράκινον σκεῦος ἐμπέσῃ τι τῶν ἀκαθάρτων, συντρίβεσθαι τοῦτο κελεύει· ἐὰν δὲ εἰς χαλκοῦν ἢ ξύλινον, ἢ σακκίον, ἢ ἱμάτιον, ὕδατι πλύνεσθαι; Καὶ ἐντεῦθεν δῆλον, ὡς οὐδὲν φύσει ἀκάθαρτον. ἀλλὰ διά τινα αἰτίαν, τὰ μὲν εἶπεν ἀκάθαρτα, τὰ δὲ καθαρά. εἰ δὲ φύσει ἀκάθαρτα ἦν, ἔδει καὶ τὰ χαλκᾶ συντρίβεσθαι καὶ τὰ ξύλινα. ἀλλ' ἐπειδὴ δι' ἑτέραν αἰτίαν B ἀκάθαρτα αὐτὰ προσηγόρευσε, τὰ μὲν πλείονος ἄξια ὄντα τιμῆς πλύνεσθαι κελεύει, τὰ εὔωνα δὲ συντρίβεσθαι. ταύτῃ μὲν, τὸν περὶ τοῦ ἀκαθάρτου νόμον κρατύνων· ἐκείνῃ δὲ, παραδηλῶν τὸν τοῦ νόμου σκοπόν. διά τοι τοῦτο καὶ κλιβάνους, καὶ χυτρόποδας καθαιρεῖσθαι κελεύει, εἴ τι τούτων αὐτοῖς ἐμπέσῃ τῶν ζώων. καὶ τὸ ἐν τοῖς ἀγγείοις ὕδωρ ὀνομάζει ἀκάθαρτον, εἰ ἐμπέσῃ τι τούτοις θνησιμαῖον· τὸ δὲ πηγαῖον Γ ὕδωρ οὐκ ἔτι, οὐδὲ τὸ λάκκιον. σμικραῖς γὰρ ζημίαις τὰ τοιαῦτα περιορίζει. μανθάνομεν δὲ πάλιν ἡμεῖς ἡλίκον ἡ ἁμαρτία κακόν. τὸν γὰρ ἀληθῆ μολυσμὸν ἐκείνη προστρίβεται.

** ΚΥΡΙΛΛΟΥ. Ἀνθρώπων δ' ἂν εἶεν εἰς τύπον τὰ μεμολυσμένα τῶν σκευῶν. ἐν εἴδει γὰρ σκεύους ὁ ἄνθρωπος.

λδ. Καὶ πᾶν βρῶμα, ὃ ἔσθεται, Δ εἰς ὃ ἂν ἐπέλθῃ ἐπ' αὐτῷ ὕδωρ, καὶ ἐπιπέσῃ τῶν θνησιμαίων αὐτῶν ἐπ' αὐτῷ, ἀκάθαρτόν ἐστιν ὑμῖν· καὶ πᾶν ποτὸν, ὃ πίνεται ἐν παντὶ ἀγγείῳ, ἀκάθαρτον ἔσται.

ΑΔΗΛΟΥ. Ἤτοι ἐὰν ἀπὸ τοῦ μεμιασμένου ὕδατος ῥανὶς ἐπιπέσῃ ἐπί τι βρῶμα ἢ πόμα, μολύνει αὐτό.

λε. Καὶ πᾶν ὃ ἐὰν ἐμπέσῃ ἀπὸ E τῶν θνησιμαίων αὐτῶν ἐπ' αὐτὸ, ἀκάθαρτον ἔσται· κλίβανοι καὶ χυτρόποδες καθαιρεθήσονται. ἀκάθαρτά ἐστι, καὶ ἀκάθαρτα ἔσονται ὑμῖν.

ΑΔΗΛΟΥ. Τὸ ἐμπεσεῖν θνησιμαῖον εἰς σκεῦός τι, καὶ ἀκάθαρτον ποιεῖν, οὐ κατὰ φύσιν ἐστίν· ἀλλὰ πρὸς παιδαγωγίαν τῆς αὐτῶν ἀνοίας. ὅθεν τὰ μὲν μικρὰ καὶ Z εὐχερῶς λυόμενα, καθαιρεῖται· τὰ δὲ ἰσχυρὰ καὶ πολυτίμητα, ὡσαύτως διαμένει.

λς. Πλὴν πηγῶν ὑδάτων καὶ λάκκου καὶ συναγωγῆς ὕδατος, ἔσται καθαρόν. ὁ δὲ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσται.

** ΚΥΡΙΛΛΟΥ. Ἀπαλλάττει γε μὴν τοῦ καταμολύνεσθαι δεῖν πηγὴν ὕδατος, λάκκον τε καὶ συναγωγὴν ὕδατος, κἂν H ἐμπέσοι τυχὸν ἐν αὐτοῖς τι τῶν κατὰ νόμον μεμολυσμένων, οὐκ ἐφιεὶς οἶμαί που τοὺς ὑπὸ νόμον, δυσαχθὲς καὶ δυσδιακόμιστον παντελῶς ἡγεῖσθαι τὸ χρῆμα, καὶ τὴν τοῦ νόμου τήρησιν ἀνεπιτήδευτον ἔχειν τὸ

ἔν γε

ἔν γε τούτοισὶ βλάβος, εἰς αὐτὰ παθόντας τὰ καιριώτατα· ὡς καὶ πόλεων ἐσθ' ὅτε καὶ οἴκων ἀποφοιτᾶν, μεμολυσμένων αὐτοῖς τῶν ὑδάτων, καὶ τῆς ἀναγκαίας τε καὶ ἀπαραιτήτου παραιρουμένης χρείας.

⁂ ΤΟΥ ΑΥΤΟΥ. Παρῆκε δὴ οὖν ὁ νόμος τῆς ἱστορίας τὸ ἀκριβὲς, διά γε τὸ τοῖς ὑπὸ νόμον ἀναγκαῖον καὶ χρήσιμον.

λζ. Ἐὰν δὲ ἐμπέσῃ τῶν θνησι-
μαίων αὐτῶν ἐπὶ πᾶν σπέρμα σπόριμον,
λη. ὃ σπαρήσεται, καθαρὸν ἐστιν. Ἐὰν
δὲ ἐπιχυθῇ ὕδωρ ἐπὶ πᾶν σπέρμα, καὶ ἐπιπέσῃ τῶν θνησιμαίων αὐτῶν ἐπ' αὐτῷ, ἀκάθαρτόν ἐστιν ὑμῖν.

ΑΔΗΛΟΥ. Ἐὰν ξηρὸν ᾖ τὸ σπέρμα, οὐ μιαίνεται ἀπὸ τοῦ θνησιμαίου· ἐὰν δὲ, ὑγροῦ αὐτοῦ ὄντος, ἐμπέσῃ, μιαίνεται. ἀνιμᾶται γὰρ ὡς ὑγρὸν τὴν ἀπὸ τοῦ ὑγροῦ ποιότητα.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ ἂν μὲν δίχα ὕδατος σπέρματι ἐμπέσῃ τὸ θνησιμαῖον, οὐ μιαίνει, ἂν δὲ μετὰ ὕδατος, ἀκάθαρτον ἀποφαίνει; Ἐπειδὴ ἡ ὑγρότης τοῦ ἰχῶρος μεταλαμβάνειν παρασκευάζει τὸ σπέρμα. διαφερόντως δὲ τὰ ἐπὶ τῆς κοιλίας ἰλυσπώμενα ἀκάθαρτα εἶναί φησιν. ἀρχέκακος γὰρ ὁ ὄφις, καὶ τῆς διαβολικῆς ἐπιβουλῆς ὑπουργός.

λθ. Ἐὰν δὲ ἀποθάνῃ ἀπὸ τῶν κτηνῶν, ὅ ἐστιν ὑμῖν φαγεῖν τοῦτο, ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

ΚΥΡΙΛΛΟΥ. Παχεῖς ὄντας πρὸς τὴν κατὰ διάνοιαν κάθαρσιν, διὰ σωματικῶν καθαρμῶν ἐπὶ τὸ ἔμπροσθεν ἄγει. ἵνα ὁ τὴν σάρκα μιαίνεσθαι φεύγων, ὀψέ ποτε μάθῃ καὶ τὴν τῆς ψυχῆς κηλίδα βδελύττεσθαι. τὸ δὲ πρὸς ἑσπέραν δι' ὕδατος πλύνεσθαι, τὸ τοῦ ἁγίου βαπτίσματος λουτρὸν δείκνυσι. (1)

⁂ ΤΟΥ ΑΥΤΟΥ. Εἰ γάρ δή τις ὅλως τῶν ἐν ὑπολήψει σεμνότητος, καὶ τῶν ἤδη κεκαθαρμένων, καὶ εἰς κοινωνίαν τὴν πνευματικὴν διὰ πίστεως εἰσδεδεγμένων, τὴν ἐκ τῆς ἁμαρτίας ὑπομένει νέκρωσιν, βδελυρὸς ἔσω, φησὶ, καὶ ἀπηχθημένος. νεκροῖς γὰρ ἔργοις μεμολυσμένος, καταμιαίνει που πάντως τὸν αὐτῷ κολλώμενον.

μ. Καὶ ὁ ἐσθίων ἀπὸ τῶν θνησιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· καὶ ὁ αἴρων ἀπὸ τῶν θνησιμαίων αὐτῶν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, (2) καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

⁂ ΚΥΡΙΛΛΟΥ. Ἄθρει δὲ ὅτι καὶ τὸν ἐσθίοντα τῶν θνησιμαίων αὐτῶν, καὶ εἰ

A ἐπαφῶτό τις μόνον, ἀκάθαρτον ἔσεσθαί φησιν· οὔτε τὸν μεταχόντα τῆς ἐκείνων νεκρότητος μώμου καὶ γραφῆς ἀπαλλάττων, οὔτε μὴν ἀναίτιον εἶναι λέγων, καὶ εἰ ἀγχοῦ τις ἴοι καὶ πλησιαζόμενος. χρῆναι γὰρ, οἶμαι, νηφαλίως ἀποφοιτᾶν, οὐχὶ δή που μόνης τῆς πρὸς φαύλους ταυτοεργίας, ἀλλὰ καὶ αὐτοῦ τοῦ συνιέναι μόνον.

μα. Καὶ πᾶν ἑρπετὸν, ὃ ἕρπει ἐπὶ
B τῆς γῆς, βδέλυγμά ἐστι τοῦτο ὑμῖν· οὐ βρωθήσεται.

μβ. Καὶ πᾶς ὁ πορευόμενος ἐπὶ κοιλίας, καὶ πᾶς ὁ πορευόμενος διὰ τεσσάρων διαπαντὸς, ὃ πολυπληθεῖ ποσὶν ἐν πᾶσι τοῖς ἑρπετοῖς τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς, οὐ φάγεσθε αὐτὰ, ὅτι βδέλυγμα ὑμῖν ἐστί.

⁂ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοιοῦτος δ'
Γ ὁ φιλήδονος, ἀεὶ χωρῶν ἐπὶ γαστέρα καὶ τὰς μετὰ ταῦτα ἡδονάς. τῷ δὲ ἕρποντι ἐπὶ κοιλίαν, τὸν ἐπὶ τεσσάρων βαδίζοντα ἰσῶκεν εἰκότως. τέτταρα γάρ ἐστι τὰ πάθη τῶν ἐν ἡδονῇ, ὥς τις κατ' ἐξαίρετον λόγος (3) μέμνηται.

μγ. Καὶ οὐ μὴ βδελύξητε τὰς ψυχὰς ὑμῶν ἐν πᾶσι τοῖς ἑρπετοῖς τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς, καὶ οὐ μιανθή-
Δ σεσθε ἐν τούτοις, καὶ ἀκάθαρτοι οὐκ ἔσεσθε ἐν αὐτοῖς.

ΚΥΡΙΛΛΟΥ. Οὔτε τὸ τεθνηκὸς τὴν τοῦ ἀνθρώπου μολύνει ψυχὴν, οὔτε τὸ θιγεῖν, οὔτε ἡ βρῶσις ἡ εἰς κοιλίαν χωροῦσα· ἀλλὰ χρὴ κατὰ τοὺς τῶν πλωτήρων εὐτεχνεστάτους πάντα κάλων κινοῦντας, ἔξω φέρεσθαι μολυσμοῦ, ἠρεμαίως δὲ καὶ ἀκυμάντως πρὸς τὴν Θεῷ φιλτάτην εἰσελαύνειν ζωήν. (4)

E ΑΔΗΛΟΥ. Ἐκ τούτων γὰρ τῶν ἀπηγορευμένων, φησὶν, ὁ γήϊνος τρόπος ὑπογράφεται, μακρὰν ὢν τοῦ ἀσωμάτου, καὶ κατὰ τοῦτο ἀκάθαρτος, καὶ ἁρπακτικὸς, καὶ βίαιος.

μδ. Ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν. καὶ ἁγιασθήσεσθε, καὶ ἅγιοι ἔσεσθε, ὅτι ἅγιός εἰμι ἐγὼ Κύριος ὁ
Z Θεὸς ὑμῶν· καὶ οὐ μιανεῖτε τὰς ψυχὰς
ὑμῶν ἐν πᾶσι τοῖς ἑρπετοῖς τοῖς κινου-
με. μένοις ἐπὶ τῆς γῆς, Ὅτι ἐγώ εἰμι Κύ-
ριος ὁ ἀναγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου εἶναι ὑμῶν Θεός. καὶ ἔσεσθε ἅγιοι, ὅτι ἅγιός εἰμι ἐγώ.

μς. Οὗτος ὁ νόμος περὶ τῶν κτηνῶν καὶ τῶν πετεινῶν καὶ πάσης ψυχῆς τῆς κινουμένης ἐν τῷ ὕδατι, καὶ πάσης

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

(2) Καὶ λούσεται ὕδατι. αἱ προδιαληφθ. ἐκδόσ.

(3) Τῶν Στοϊκῶν, ὥς φασιν, ἐστὶν ἡ διδασκαλία. ταῦτα ἐν ταῖς σημειώσ. ταῖς ἐν Τόμ. 1. σελ. 114. τῆς τοῦ Μαΐγ. ἐκδόσ.

(4) Ἄλλως ταῦτα ἐν τοῖς ἐκδεδομέν. (εἴτουν ἐν Τόμ. 1. μέρ. 2. σελ. 510.) συντέτακται.

πάσης ψυχῆς ἑρπούσης ἐπὶ τῆς γῆς,
μζ. Διαστεῖλαι ἀναμέσον τῶν ἀκαθάρτων
καὶ καθαρῶν, καὶ συμβιβάζειν τοὺς
υἱοὺς Ἰσραὴλ ἀναμέσον τῶν ζωογονούν-
των τὰ ἐσθιόμενα, καὶ ἀναμέσον τῶν
ζωογονούντων τὰ μὴ ἐσθιόμενα.

ΩΡΙΓΕΝΟΥΣ. Πολλὴν ποιεῖται λόγον περὶ καθαροῦ καὶ ἀκαθάρτου· πρῶτον, ἁγίαν εἶναι τὴν ψυχὴν ἐκπαιδεύων. εἰ γὰρ τὸ
A φυσικὸν τοιοῦτον οἷον ἐκ προστάγματος Θεοῦ γέγονεν, ἀκάθαρτον, πόσῳ μᾶλλον τὸ ἀπὸ μοχθηρᾶς προαιρέσεως, καὶ οὐκ ἐκ προστάγματος Θεοῦ γεγονός; εἰ τὸ οὗ Θεὸς ποιητὴς ἀκάθαρτον εἶναι νομίζοι τὶς, πόσῳ μᾶλλον τὸ ἐναντίως ἔχον πρὸς τὸ τοῦ Θεοῦ βούλημα, καὶ ποιοῦν ὅπερ ἀπηγόρευσεν;

ΑΔΗΛΟΥ. Ἀναμέσον τῶν ζωογονούντων. μεταξὺ τῶν ἀνθρώπων τῶν τρεφόντων ζῶα ἢ πλὴν ἐσθιόμενα, καὶ μή.

ΚΕΦ. ΙΒ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Λάλη-
σον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ
ἐρεῖς πρὸς αὐτοὺς, λέγων, γυνὴ ἥτις
ἐὰν σπερματισθῇ, καὶ τέκῃ ἄρσεν, καὶ
ἀκάθαρτος ἔσται ἑπτὰ ἡμέρας, κατὰ
τὰς ἡμέρας τοῦ χωρισμοῦ τῆς ἀφέδρου
αὐτῆς, ἀκάθαρτος ἔσται.

ΩΡΙΓΕΝΟΥΣ. Παρέλκειν δόξει τὸ. ἐὰν σπερματισθῇ, προτασσόμενον τοῦ, καὶ τέκῃ ἄρσεν. ἀλλ' ἐφίστημι μή ποτε ἵνα προφητικῶς ἡ Μαρία οὐκ ἐκ τοῦ ἐσπερματίσθαι τεκοῦσα ἄρσεν μὴ νομισθῇ ἀκάθαρτος εἶναι γεγεννηκυῖα τὸν Σωτῆρα, εἴρηται ὅλον τοῦτο. ἐδύνατο δὲ καὶ μὴ προσκειμένου τοῦ, ἐὰν σπερματισθῇ, νοεῖσθαι μὴ οὖσα ἀκάθαρτος ἡ Μαρία. οὐ γὰρ ἁπλῶς ἦν γυνὴ, ἀλλὰ παρθένος. (1)

** ΚΥΡΙΛΛΟΥ. Γυνὴ, φησὶ, καὶ οὐ πᾶσαι τυχὸν, ἀδιακρίτως, ἀλλ' εἴτις ἐὰν σπερματισθῇ, καὶ τέκῃ ἄρσεν, ἀκάθαρτος ἔστω. Καὶ μετ' ὀλίγα. Διέδρα δὴ οὖν τὴν ἐκ νόμου καταβολὴν ἡ ἁγία Παρθένος, σπερματισθεῖσα μὲν οὐδαμῶς, ἐνεργείᾳ δὲ τῇ διὰ τοῦ ἁγίου πνεύματος τὸ θεῖον ἀποκυήσασα βρέφος. ἡ δὲ τίκτουσα, καὶ ἀκάθαρτος διὰ τοῦτο γυνὴ εἴη ἂν κατά γε τὸ εἰκὸς, καὶ τὸν ἀμωμήτως ἔχοντα νοῦν, ἡ ἀνθρώπου φύσις· τὸ γάρ τοι τῆς γυναικὸς πρόσωπον αὐτῇ περιθήσομεν εἴς γε τὸ παρὸν τῇ φύσει. κατηγορεῖται δὲ νόμῳ, καὶ μολυσμοῖς ἔνοχος ὀνομάζεται, διά τοι τὸ τίκτειν εἰς φθορὰν, καὶ οὐκ εἶναι μὲν ἐν οἷς ἦν εὐθὺς τὸ εἶναι λαχοῦσα παρὰ Θεῷ· γέγονε γὰρ ἐπὶ ἀφθαρσίᾳ· παρενηνέχθαι δὲ μᾶλλον εἰς τὸ καταφθείρεσθαι δεῖν, κατεγνωσμένη διὰ τὴν παράβασιν, καὶ τὴν ἐκ θείας ἀρᾶς ἀνατλᾶσα δίκην παρὰ φύσιν ἡ φύσις. Καὶ μετ' ὀλίγα. Καταμολύνει δὴ οὖν τὴν φύσιν ἡ ἐπείσακτος φθορὰ, καὶ ὁ φθόνῳ διαβολικῷ κατακρατήσας θάνατος, ῥίζαν ἔχων τὴν ἁμαρτίαν. καταμιαίνει δὲ καὶ ἑτέρως τὸ ὡς ἐν φιληδονίᾳ σαρκικῇ σπείρεσθαι τὰ γεννώμενα. καὶ δή τι τοιοῦτον ὑποδηλοῦν ἔοικεν ὁ θεσπέσιος Δαβὶδ, ψάλ-
Ψαλ. 50. 5. λοντε καὶ λέγων· ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. ἀκάθαρτος οὖν ἡ φύσις, ὡς ἐκ παραβάσεώς τε καὶ ἐξ ἀρᾶς ὑπομένουσα τὴν φθορὰν, παρά γε τὸ Θεῷ δοκοῦν.

** ΠΡΟΚΟΠΙΟΥ. Πῶς δὲ ἀκάθαρτος ἡ τεκοῦσα γυνή; Οἱ μὲν φασι διὰ τὴν εἰς γένεσιν ἐρχομένην ψυχὴν, ἥτις μολύνεται· καὶ οἱ ταύτῃ πρὸς γένεσιν ὑπουργήσαντες, ὡς δεῖσθαι καὶ τοῦ διὰ θυσιῶν ἱλασμοῦ· τινὲς δὲ, ὅτι γίνεται γένεσις προϊόντος τοῦ γεννῶντος ἐκ τῆς ἑαυτοῦ τελειότητος εἰς τὸ ἀτελὲς τοῦ γεννωμένου. αὕτη γὰρ ἡ φύσις ἐστὶν ἡ καταβιβαζομένη παρὰ τὴν ἐξ ἀρχῆς ἐν τελειότητι ποίησιν. διὸ καὶ μέχρις ἂν εἰς μόρφωσιν ἔλθῃ τὰ κυόμενα, ἀκάθαρτος ἡ τεκοῦσα, τουτέστιν ἕως τοσῶνδε ἡμερῶν, μεθ' ἃς οὐκ ἀτελές ἐστι τὸ συνειλημμένον εἰς ψύχωσίν τε καὶ μόρφωσιν. καὶ θύματα ὡς ὑπὲρ ἁμαρτίας προσάγεται περὶ αὐτῆς καὶ ὁλοκαυτώματα, ἅπερ ἐστὶν εἰς Θεὸν ἐπανακλητικὰ ἀπὸ τῆς ἀτελοῦς ζωῆς εἰς τὴν τελείαν. Καὶ μεθ' ἕτερα. Τινὲς δὲ φασιν, ὡς ὁ νόμος βούλεται τὴν τεκοῦσαν ἔχειν ἀνάπαυσιν, ὡς σφόδρα πεπονηκυῖαν ἐν ταῖς ὠδῖσι. πρὸς τὸ οὖν σβεσθῆναι τὴν ἐπιθυμίαν, ἀκάθαρτον ἔδοξε τὴν γυναῖκα καλεῖν. ἐπεὶ εἰ ἡ τεκοῦσα ἀκάθαρτος, καὶ ἡ ἐγκύμων.

γ. Καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτεμεῖ τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ.

δ. Καὶ τριάκοντα ἡμέρας καὶ τρεῖς
καθήσεται ἐν αἵματι καθαρῷ αὐτῆς.
παντὸς ἁγίου οὐχ ἅψεται, καὶ εἰς τὸ
ἁγιαστήριον οὐκ εἰσελεύσεται, ἕως ἂν
πληρωθῶσιν αἱ ἡμέραι καθάρσεως
ε. αὐτῆς. Ἐὰν δὲ θῆλυ τέκῃ, καὶ ἀκά-
θαρτος ἔσται δὶς ἑπτὰ ἡμέρας, κατὰ
τὴν ἄφεδρον αὐτῆς· καὶ ἑξήκοντα καὶ
ἓξ ἡμέρας καθεσθήσεται ἐν αἵματι
καθαρῷ αὐτῆς.

Κατὰ τὴν ἄφεδρον. Ἄλλος, ὀδύνην. ἐν αἵματι καθαρῷ. Ἀκύλας, καὶ Σύμμαχος, καὶ Θεοδοτίων, καθιεῖς ἕως καθαρισμοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τὴν τεκοῦσαν ἄρσεν τεσσαράκοντα ἡμέρας ἀκάθαρτον εἶναί φησι, τὴν δὲ θῆλυ δὶς τοσαύτας; Δεῖ τοῦ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

τοῦ νόμου τὸν σκοπὸν ἐξετάζειν. πολλάκις
γὰρ ἕτερα δι' ἑτέρων (1) διδάσκει. καὶ τοῦ-
το ῥᾴδιον ἐντεῦθεν καταμαθεῖν. εἰ γὰρ ἡ
τεκοῦσα ἀκάθαρτος, καὶ ἡ ἐγκύμων ἀκά-
θαρτος. οἶμαι τοίνυν τὸν νόμον, διανα-
παύεσθαι κελεύειν αὐτὴν, ὡς σφόδρα πε-
πονηκυῖαν, καὶ τῶν πικρῶν ὀδυνῶν ἀναχο-
μένην. ἀλλ' εἰ τοῦτο ἁπλῶς οὕτω διηγόρευ-
σεν, οὐκ ἂν ἐκράτησαν τῆς ἐπιθυμίας οἱ
ἄνδρες. ἀκάθαρτον δὲ αὐτὴν διδασκόμενοι,
φεύγουσι τὴν κοινωνίαν, ἵνα μὴ τῆς ἀκα-
θαρσίας μετάσχωσιν. οὐκοῦν ὁ νόμος τῷ τῆς
ἀκαθαρσίας λόγῳ τὴν ὄρεξιν σβέννυσι.
τὴν δὲ διαφορὰν τῶν ἡμερῶν τινὲς οὕτως
ἡρμήνευσαν· ὅτι πλείονα πόνον ὑπομένου-
σιν αἱ γυναῖκες γεννῶσαι τὰ θήλεα. διὸ
διπλάσιον αὐταῖς εἰς ἀνάπαυλαν ἀπένειμε
χρόνον.

ΔΙΟΔΩΡΟΥ. (2) Οἶμαι, ὅτι τικτούσῃ
μίγνυσθαι κωλύει καὶ προσεγγίζειν, τὴν
ἐπιθυμίαν ἄγχων. ὁ γάμος γὰρ παιδο-
ποιΐας ἕνεκεν, καὶ οὐκ ἀλογίας. ἵνα οὖν μὴ
διενοχλῆται ἀπὸ πόνων, διὰ τοῦτο προσχή-
ματι ἀκαθαρσίας μένει καθ' ἑαυτὴν ἀνά-
παυλαν ἔχουσα· ἁπλῆν μὲν ἐπὶ ἀῤῥενοτο-
κίας, διπλῆν δὲ ἐπὶ θηλυτοκίας. ὡς μέν-
τινές φασιν, ὅτι τὸ ἄῤῥεν εἴσω τεσσαρά-
κοντα ἡμερῶν, τὸ δὲ θῆλυ εἴσω ὀγδοήκον-
τα μορφοῦται. ἐγὼ δὲ ὑπείληφα, ὅτι τὸ
κύειν θῆλυ βαρύτερον, ὅσῳ καὶ ὑγροτέρα
τοῦ ἄῤῥενος κατὰ φύσιν ἐστὶν ἡ θήλεια.

ϛ. Καὶ ὅταν ἀναπληρωθῶσιν αἱ
ἡμέραι καθάρσεως αὐτῆς ἐπὶ υἱῷ ἢ
ἐπὶ θυγατρὶ, προσοίσει ἀμνὸν ἐνιαύ-
σιον εἰς ὁλοκαύτωσιν, καὶ νεοσσὸν πε-
ριστερᾶς ἢ τρυγόνα περὶ ἁμαρτίας ἐπὶ
τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου,
ζ. πρὸς τὸν ἱερέα. Καὶ προσοίσει αὐτὸν
ἔναντι Κυρίου· καὶ ἐξιλάσεται περὶ αὐ-
τῆς ὁ ἱερεὺς, καὶ καθαριεῖ αὐτὴν ἀπὸ
τῆς πηγῆς τοῦ αἵματος αὐτῆς. οὗτος ὁ
νόμος τῆς τικτούσης ἄρσεν ἢ θῆλυ.

** ΚΥΡΙΛΛΟΥ. Τικτόμεθα οὐκ εἰς
φθορὰν ἔτι, διὰ τὴν ἐν Ἀδὰμ παράβασιν,
A ἀλλ' εἰς ζωήν τε καὶ ἀφθαρσίαν, διὰ τὴν
ἐν Χριστῷ δικαίωσιν, τὴν ὑπὲρ ἡμῶν ὑπο-
μείναντος σφαγὴν, ὡς ἀμνοῦ ἀμώμου καὶ
ἀληθινοῦ, ὡς τρυγόνος θείας καὶ νοητῆς.

η. Ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐ-
τῆς τὸ ἱκανὸν εἰς ἀμνὸν, καὶ λήψεται
δύω τρυγόνας ἢ δύω νεοσσοὺς περιστε-
ρῶν, μίαν εἰς ὁλοκαύτωμα, καὶ μίαν
περὶ ἁμαρτίας· καὶ ἐξιλάσεται περὶ
B αὐτῆς ὁ ἱερεὺς, καὶ καθαρισθήσεται.

** ΠΡΟΚΟΠΙΟΥ. Τοῦτο ἐποίησαν οἱ
γονεῖς τοῦ Κυρίου, ὡς πτωχοὶ, καὶ μὴ εὐπο-
ροῦντες ἀμνοῦ εἰς ὁλοκαύτωμα· ἢ ὅτι αὐ-
τὸς ἤμελλεν ὁ τεχθεὶς ἀμνὸς τοῦ Θεοῦ ὁλο-
καύτωμα προσφέρειν ἑαυτὸν ὑπὲρ τῆς τοῦ
κόσμου ζωῆς.

** ΚΛΗΜΕΝΤΟΣ. Νεοττούς τε ἔτι δύω
περιστερῶν, ἢ τρυγόνων ζεῦγος ὑπὲρ ἁμαρ-
Γ τίας κελεύει διὰ Μωσέως προσφέρεσθαι·
τὸ ἀναμάρτητον τῶν ἁπαλῶν, καὶ ἄκα-
κον, καὶ ἀμνησίκακον τῶν νεοττῶν εὐπρόσ-
δεκτον εἶναι λέγων τῷ Θεῷ. καὶ τὸ ὅμοιον
τοῦ ὁμοίου καθάρσιον ὑφηγούμενος. ἀλλὰ καὶ
τὸ δειλὸν τῶν τρυγόνων, τὴν πρὸς τὰς
ἁμαρτίας εὐλάβειαν ὑποτυποῦται. ὅτι δὲ
ἡμᾶς τοὺς νεοττοὺς λέγει, μάρτυς ἡ Γραφή·
» ὃν τρόπον ὄρνις συνάγει τὰ νοσσία ὑπὸ Ματθ. 23. 37.
» τὰς πτέρυγας αὐτῆς· οὕτως ἐσμὲν νεοττοὶ
Δ Κυρίου· θαυμαστῶς πάνυ καὶ μυστικῶς τοῦ
λόγου τὴν ἁπλότητα τῆς ψυχῆς εἰς ἡλι-
κίαν ὑπογραφομένου παιδικήν.

** ΙΣΙΔΩΡΟΥ. Διατί ὁ νόμος ἐθέ-
σπισε προσαγαγέσθαι δύω τρυγόνας, καὶ
δύω νεοσσοὺς περιστερῶν ὑπὸ τῶν νεογνῶν
βρεφῶν; Δύω τρυγόνας, καὶ δύω νεοττοὺς
περιστερῶν, τοὺς νεογνοὺς ἄῤῥενας Ἑβραίων
φέρειν δῶρα τῆς πρὸς Θεὸν ἐμφανείας ὁ
νόμος προσέταττε, τῶν φιλαρέτων καὶ ἀνε-
E ξικάκων ὀρνέων τοῖς τύποις, τὴν ἁπλό-
τητα καὶ ἁπαλότητα τῶν νέων αἰνιττόμε-
νος, καὶ τοῖς ὁμοίοις τὰ ὅμοια διδάσκων
καθαίρεσθαι. οὓς καὶ ἀρνία προσαγορεύει
ἑτέρωθι. τοὺς γὰρ ἐξοιστροῦντας καὶ ἀθε-
τοῦντας, καὶ ἀταξίᾳ τὴν φύσιν ὑβρίζον-
τας, ἐρίφοις παρείκασε.

ΚΕΦ. ΙΓ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
Μωϋσῆν καὶ Ἀαρὼν, [λέ-
β. γων,] Ἀνθρώπῳ ἐάν τινι
γένηται ἐν δέρματι χρωτὸς αὐτοῦ οὐλὴ
σημασίας ἢ τηλαυγὴς, ἢ αὔγασμα,
καὶ γένηται ἐν δέμρατι χρωτὸς αὐτοῦ
ἁφὴ λέπρας, καὶ ἐλεύσεται πρὸς Ἀα-
ρὼν τὸν ἱερέα, ἢ ἕνα τῶν υἱῶν αὐτοῦ
τῶν ἱερέων.

** ΚΥΡΙΛΛΟΥ. Λέπρα τοῖς ἀνθρω-
πίνοις σώμασι παγχάλεπόν ἐστι πάθος, καὶ
δυσδιάφυκτον καὶ βορόν. συμβαίνει δὲ κα-
τὰ νέκρωσιν. κοιλαίνεται μὲν γὰρ τὸ τραῦ-
μα εὐθὺς, δαπανωμένου τοῦ δέρματος, καὶ
εἰς βάθος ἀεὶ συνιζάνοντος· ἅτε δὴ καὶ
δρεπούσης ἀεὶ πρὸς τὸ κάτω τῆς φθορᾶς.
ὅθεν τοι, καθάπερ ἐγῷμαι, καὶ ἡ θρὶξ
ἐπανθοῦσα τοῖς τόποις μαραινομένη κατα-
λευκαίνεται, καὶ οἱονεί τι φυτὸν τῇ ὑποκει-
μένῃ συγκαταφθείρεται γῇ. λέπρα μὲν
οὖν τὸ τοιόνδε πάθος. λεύκη δὲ πάλιν,
H ἀῤῥώστημα σαρκικὸν τῇ λέπρᾳ προσεοι-
κὸς, πλὴν οὐκ ἐνίησι τὸ λυποῦν εἰς βάθος,
οὔτε μὴν εἰσπέμπει τοῖς ἔσω τῆς νόσου τὴν
αἴσθησιν·

(1) Ἀνθ' ἑτέρων. ἡ ἐν Χάλ. ἔκδ.

(2) Θεοδώρου. ὁ Ἀλεξάν. κώδ.

αἴσθησιν· ἐπινήχεται δὲ ὥσπερ ἄκρω τε καὶ μόλις ἐπανθοῦσα τῷ σώματι, καὶ οὐδὲ τρίχα μεθίστησιν εἰς τὸ λευκὸν, οὔτε μὴν ἀκαθέκτως εὐρύνεται, ἀλλ' ὀλίγοις κομιδῇ τοῖς ἐπικουρήμασιν εὐκόλως ἀνασειράζεται, καὶ ὑπονοστεῖ πρὸς ὑγιὲς ἡ ἐπανθοῦσα σάρξ. οὐκοῦν ἡ μὲν λέπρα, νέκρωσις ὁμολογουμένη· ἐν ὑποψίαις δέ πως τῆς λέπρας, ἡ λεύκη.

ΤΟΥ ΑΥΤΟΥ. Λεύκῃ μὲν οὖν καὶ οὐλῇ σημασίας παρεικαστέον τοὺς ἐν ψιλαῖς ἔτι ταῖς ἐπιθυμίαις κειμένους, καὶ οὔπω πρὸς ἔργον ἥκοντας λογισμούς.

** ΠΡΟΚΟΠΙΟΥ. Ἓξ εἴδη λεπρῶν: ἡ μὲν, ἐξ οὐλῆς σημασίας τηλαυγοῦς· ἡ δὲ, πᾶν τὸ σῶμα καλύπτουσα· ἡ δὲ, ἐξ ἕλκους ὑγιασθέντος· ἡ δὲ, ἀπὸ κατακαύματος· ἡ δὲ, ἀνδρὸς ἢ γυναικὸς ἐν κεφαλῇ ἢ ἐν πώγωνι· ἡ δὲ, ἐν τῷ φαλακρώματι ἢ τῷ ἀναφαλαντώματι.

ΩΡΙΓΕΝΟΥΣ. Ἀνάγεται ταῦτα ἐπί τινας μώμους τῆς ψυχῆς. καὶ ὥσπερ ἐπὶ τῶν τοῦ σώματος τραυμάτων μετὰ τὴν θεραπείαν ἔσθ' ὅτε ἴχνος τοῦ πεπονθέναι τοὺς τόπους καταλείπεται ἐν τῇ καλουμένῃ οὐλῇ· τὸν αὐτὸν τρόπον ἡ λαβοῦσα τραῦμα ἁμαρτίας ψυχὴ, κἂν τύχῃ θεραπείας, οἱονεὶ οὐλὴν ἐνίοτε ἔχει καταλειπομένην. δεῖ δὲ καὶ τὸν τρόπον τοῦ ἀπ' αὐτῆς καθαρισμοῦ ἢ οὐ καθαρισμοῦ ἐξεπίστασθαι.

γ. Καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν ἐν δέρματι χρωτὸς αὐτοῦ, καὶ εἰ ἡ θρὶξ ἐν τῇ ἁφῇ μεταβάλῃ λευκὴ, καὶ ἡ ὄψις τῆς ἁφῆς ταπεινὴ ἀπὸ τοῦ δέρματος τοῦ χρωτὸς αὐτοῦ, ἁφὴ λέπρας ἐστί. καὶ ὄψεται ὁ ἱερεὺς, καὶ μιανεῖ αὐτόν.

ΑΔΗΛΟΥ. Περὶ τὸ δέρμα φησὶ τὸ ἁφῇ ὑποπίπτον, ἤτοι χροιᾷ λέπρας. ὅπερ ἀλλαχοῦ ὄψιν καλεῖ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί βούλεται ὁ περὶ τῆς λέπρας νόμος; Διὰ τῶν σωματικῶν παθημάτων τῆς ψυχῆς ἐπιδείκνυσι τὰ νοσήματα· καὶ διὰ τῶν ἀκουσίων τῶν ἑκουσίων κατηγορεῖ. εἰ γὰρ τὰ φυσικὰ δοκεῖ πως εἶναι ἀκάθαρτα, πολλῷ μᾶλλον τὰ γνωμικά. λέγει δὲ καὶ λέπρας διαφορὰν, ἐπειδὴ καὶ ἁμαρτημάτων ἐστὶ διαφορά· καὶ ἀρχὴ λέπρας, ἐπειδὴ καὶ ἀρχὴ ἁμαρτίας. ἀλλ' ὥσπερ τὴν λέπραν ὁ ἱερεὺς διακρίνει, οὕτω χρὴ καὶ τῶν τῆς ψυχῆς ἁμαρτημάτων αὐτὸν εἶναι κριτήν. λεπρὸν δὲ καλεῖται τὸ ποικίλον τοῦ χρώματος· οὕτω κακία προσγενομένη ψυχῇ, λεπρὰν αὐτὴν ἀπεργάζεται.

ΘΕΟΔΩΡΟΥ. (1) Πολλοὶ διαποροῦσι, διατί ἀκάθαρτος ὁ λεπρός· ἢ διατί μέχρι τοσαύτης ἀκριβείας προῆλθεν ὁ περὶ τῆς λέπρας νόμος· διατί ὁ γονορρυὴς ἀκάθαρ-

(1) Διοδώρου. ὁ Ἀλεξάν. κώδ.
(3) Αὐτῆς. αἱ εἰρημ. ἐκδόσ.

A τος, ὁ ἐνυπνιαζόμενος, ἢ ἡ τίκτουσα, ἢ ὁ νεκροῦ ἁπτόμενος. Ἐρῶ οὖν, ὅτι σκιὰ ἦν ὁ νόμος, ἐν τοῖς σωματικοῖς προγυμνάζων οἷα παῖδας τοὺς Ἰουδαίους· ἵνα καὶ τὸ παραβαινόμενον μὴ ᾖ μέγα, καὶ τὸ τηρούμενον ἐπιτηδειοτέρους ἐργάσηται πρὸς ὑποδοχὴν τῶν πνευματικῶν καὶ τελειοτέρων ἐντολῶν. ἔστιν οὖν αὕτη καθολικωτέρα τῶν ζητουμένων ἡ αἰτία. εἰ δὲ ἐννοήσαιμεν, ὡς οὐδὲν τούτων πρὸς εὐσέβειαν συνεβάλλετο τοῖς ἐπὶ Μω-
B σέως, ἀλλ' οὐδὲ ἀγνοούμενον τῷ τῆς εὐσεβείας λόγῳ ἢ ἔργῳ ἐνεπόδιζε, τὴν προειρημένην ἡμῖν αἰτίαν βεβαιοῦμεν. ἀλλὰ καὶ
» εἰ τὸ τοῦ Κυρίου λογίσῃ, οὐ τὰ εἰσπορευόμενα Ματθ. 15. 11.
» κοινεῖ τὸν ἄνθρωπον· καὶ τὸ τοῦ Παύλου,
» ἡ περιτομὴ οὐδὲν ἰσχύει· καὶ ἐν τῇ παλαιᾷ Γαλ. 5. 6.
οὕτως ἔλυσε τὸν νόμον τὰ πρὸς τὸν Νῶε·
» ὡς λάχανα γὰρ χόρτου, φησὶν ὁ Θεὸς, πάν- Γεν. 9. 3.
τα ἔδεσθε· τῷ δὲ Μωσῇ τόδε φάγε, καὶ τοῦδε ἀπόσχου· καὶ τοῖς μὲν Ἰσραηλίταις,
Γ διὰ μὲν Μωϋσέως ἀφεῖναι συγχωρεῖ τὰς ἑαυτῶν γυναῖκας τοῖς βουλομένοις κατὰ πᾶσαν αἰτίαν· διὰ δὲ ἑτέρου Προφήτου τοῦτο
» ἀπαγορεύει, λέγων· καὶ γυναῖκα νεότη- Μαλ. 2. 15, 16.
» τός σου μὴ ἐγκαταλείπῃς. ἐὰν δὲ μισήσας
» ἐξαποστείλῃς, ἀσέβεια καλύψει τὰ ἐνθυμήματά σου· καὶ πολλὰ τοιαῦτα ἔχει τὶς λέγειν. ἐξ ὧν δῆλον, ὅτι οὐδὲν ἀκάθαρτον, εἰ μὴ πονηρὰ διάθεσις. τί δήποτε οὖν δοκεῖ τῷ νόμῳ ἀκάθαρτον εἶναι τὸν ἐνυπνιαστὴν,
Δ καὶ τὴν ἐν ἀφέδρῳ; Ὅτι μὲν οὖν τῆς φύσεως ταῦτα, δῆλον. σκοπεῖν δὲ χρὴ, ὡς ἐὰν τὰ τῆς φύσεως ἀκάθαρτα ᾖ, πῶς γε τὸ μαχόμενον τῇ φύσει; εἰ δὲ καὶ ἀκάθαρτον ἀληθῶς οἱ Ἰουδαῖοι λέγοιεν, ἰστέον ὅτι τοῦ ἀκαθάρτου καρπὸς ἡ λέπρα. Φασὶ γάρ τινες, ὡς εἴτις τῇ ἐν ῥύσει οὔσῃ, τουτέστιν ἐν ἀφέδρῳ, προσέλθοι, ἐπειδὴ πρὸς ἔκκρισιν τὸ τοιοῦτον αἷμα ἐπειγόμενον, ἀλλότριόν πως ἐστὶ τῆς φύσεως, μεριζόμενον
E εἴς τε τὴν τοῦ βρέφους διάπλασιν καὶ εἰς τὴν τήρησιν, ἀσθενεστέραν τὴν φύσιν ἐργάζεται. καὶ τὸ μὲν τεχθὲν νικᾷ τὸ πάθος τῇ φυσικῇ ζέσει· προϊούσης δὲ αὐτῷ τῆς ἡλικίας, δέχεται τὴν λέπραν, ἢ ποιεῖ τὴν σάρκα νωθροτέραν καὶ ταπεινοτέραν ἀπὸ τοῦ αἵματος τοῦ ἐν ἔθει τῶν γυναικῶν. εἰ δὲ καὶ φύματι ἢ καῦμα γένοιτο, ἑτοιμοτέραν δέχεται τῆς λέπρας τὴν ἐπήρειαν, καὶ τῶν κατὰ τοὺς τόπους ἀέρων ἔσθ'
Z ὅτε τῷ πάθει συνεργούντων. διὸ Μωϋσῆς πολὺν ποιεῖται τὸν περὶ τῆς λέπρας λόγον· ἵνα δέει τοῦ πάθους, φεύγωσι τὰς ἀκαίρους μίξεις, ἄγχοντες τὴν ἐπιθυμίαν. τὸ αὐτὸ δ' ἂν καὶ περὶ τοῦ γονορρυοῦς· ἵνα τὸ περὶ τῆς (2) ἐργῶδες, ὀκνηροτέρους ποιεῖ περὶ τὰς μίξεις.

δ. Ἐὰν δὲ τηλαυγὴς λευκὴ ᾖ ἐν τῷ δέρματι τοῦ χρωτὸς αὐτοῦ, καὶ ταπεινὴ μὴ ᾖ ἡ ὄψις αὐτοῦ (3) ἀπὸ τοῦ
H δέρματος, καὶ ἡ θρὶξ αὐτοῦ οὐ μετέβαλε λευκή·

(2) Ἴσ. περὶ αὐτῆς, ἢ περὶ τὴν γονόρρυαν.

λευκὴ, αὕτη δέ ἐςιν ἀμαυρὰ, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἀφὴν ἑπτὰ ἡμέρας.
ε. Καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· καὶ ἰδὲ ἡ ἀφὴ μένει ἐναντίον αὐτῦ, ὲ μετέπεσεν ἡ ἀφὴ ἐν τῷ δέρματι, καὶ ἀφοριεῖ αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας τὸ δεύτερον.

** ΚΥΡΙΛΛΟΥ. Τὸ ἐκλεθνάναι τυχὸν, ὡς ἐν λέπρᾳ, φημὶ τῇ νοητῇ, καὶ ὡς ἐν πάθει τῷ κατὰ νέκρωσιν τὴν ἐξ ἁμαρτίας, ὲκ ἐν μόναις ἂν γένοιτο ταῖς ἐπιθυμίαις, ἀλλ᾽ ἐν ταῖς ἐκβάσεσι τῶν ἀποτελεσμάτων. καὶ ἕως μὲν ἐςὶν ἐν ὠδῖσιν ἔτι τῦ νῦ τὸ κακὸν, ὔπω νέκρωσις, ὔπω
1. Ἰωάν. 5. 17. θάνατος. ὲ γὰρ πᾶσα ἁμαρτία πρὸς θάνατον, ὡς ὁ τῦ Σωτῆρος εἴρηκε μαθητὴς, ἀλλ᾽ ἐν ὑποψίαις ἔτι τῦ παθεῖν τὰ νεκρῦν εἰδότα. ἐν δοκήσει δέ πως ἢ ἀγχῦ τῆς λέπρας, τὴν λευκὴν ἐλέγομεν. ὄψεται, φησὶν, ὁ ἱερεὺς τὴν τῷ πάθει κάτοχον, φημὶ δὴ τῇ λευκῇ· καὶ εἰ μὲν ὁρῷτο μὴ μεταβάλλυσα πρὸς λέπραν, ὲ καταμιανεῖ αὐτὸν, ἀφοριεῖ δὲ μᾶλλον. ὲ γὰρ ἀνεπίπληκτον παρὰ Θεῷ, κἂν γῦν ἐν ἐπιθυμίαις καὶ ἀγχῦ γενέσθαι τῦ κακῦ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τῦτο δὲ ὑπογράφει τὸν εἰς φιληδονίαν μεταβεβληκότα παντελῶς τῇ περὶ τὰ ἠθέα ταπεινώσει. εἰ δὲ ἡ μεταβολὴ ἀμαυρὰ εἴη, καὶ μὴ βαθύτερον τὸ μέρος, ὑπέρθεσις ἐπὶ ἑπτὰ ἡμέρας γίνεται· καὶ μετὰ ταῦτα, εἰ ὲ μετέπεσεν, ἐν ἑτέραις ἑπτὰ δοκιμάζεται. καὶ εἰ μὴ ἐπινεμηθείη, καθαρὸς κρίνεται· εἰ δὲ νεμηθείη, λεπρός. νέμεται ὖν ἡ κακία ὅτε καταλαμβάνει, καὶ τὸν λογισμὸν καλαδυλυμένη πρὸς τὸ δυλεύειν τῷ πάθει.
Ἐφεσ. 2. 3. ὅπερ ὁ Παῦλος φησι, ποιεῖν τὸ θέλημα.

ς. Καὶ ὄψεται ὁ ἱερεὺς αὐτὸν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τὸ δεύτερον· καὶ ἰδὲ ἀμαυρὰ ἡ ἀφὴ, ὲ μετέπεσεν ἡ ἀφὴ ἐν τῷ δέρματι· καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεὺς, σημασία γάρ ἐςι. καὶ πλυνάμενος τὰ ἱμάτια αὐτῦ, καθαρὸς ἔςαι.

» ΑΔΗΛΟΥ. Τὸ δὲ, ὲ μετέπεσεν ἐν τῷ
» δέρματι, Θεοδοτίων, ὲ διακέχυται, φησί.

** ΚΥΡΙΛΛΟΥ. Εἰ δὲ παραιτοῖτο, φησὶ, τὸ πάθος τὴν μεταβολὴν, ὲκ εἰς
» τὸ χεῖρον ἐκνενευκὸς, καθαρὸς ἔςω, φησίν. ἄριςον δὴ ὖν καὶ σωτήριον ἀληθῶς τὸ παραιτεῖσθαι τὴν νέκρωσιν, τὴν ὡς ἐν ἔργοις φημὶ, καὶ αὐτοῖς ἤδη πως τοῖς ἀποτελέσμασι τὸν νῦν ἀποψύχυσαν. σοφὸν δὲ πρὸς τύτῳ τὸ ἀπονεύειν εὖ μάλα πειρᾶσθαι τὰ πάθη, καὶ εἰ ἐν ψιλαῖς ἔτι ταῖς ἐπιθυμίαις ὁρῷτο συμβαίνοντα. τυτὶ γὰρ οἶμαί ἐςι τὸ λέπρας αὐτῆς καὶ λευκῆς ἀποφοιτᾶν. διεπύθυ γὰρ ὅτι πλείςης ὅσης τὰ καθ᾽ ἡμᾶς ἐποπτείας ἀξιοῖ Θεὸς κατὰ

φύσιν ὑπάρχων ὁ Ἐμμανυὴλ, ὁ μέγας ἡμῶν ἀρχιερεύς· καὶ προσίεται μὲν, τὸ φαῦλον ἐκνενιμμένυς· ἐκπέμπει δὲ δὴ τῆς τῶν ἁγίων παρεμβολῆς, εἰ καταθεῷτο μεμολυσμένυς.

* ΤΟΥ ΑΥΤΟΥ. [Καθαρὸν ἔσεσθαί φησι,] τὴν διὰ τῦ ὕδατος κάθαρσιν προαναφωνῶν ὁ νόμος, [καὶ ὡς ἐν τύποις ἡμῖν τοῖς ἐν αἰσθήσει σωματικῇ, τὸ τῦ ἁγίυ βαπτίσματος καταγράφων μυςήριον.]

ζ. Ἐὰν δὲ μεταβαλῦσα μεταπέσῃ ἡ σημασία ἐν τῷ δέρματι, μετὰ τὸ ἰδεῖν αὐτὸν τὸν ἱερέα τῦ καθαρίσαι αὐτὸν, καὶ ὀφθήσεται τὸ δεύτερον τῷ
η. ἱερεῖ. Καὶ ὄψεται αὐτὸν ὁ ἱερεὺς, καὶ ἰδὲ μετέπεσεν ἡ σημασία ἐν τῷ δέρματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς· λέπρα
θ. ἐςί. Καὶ ἀφὴ λέπρας ἐὰν γένηται ἐν ἀνθρώπῳ, καὶ ἐλεύσεται πρὸς τὸν ἱε-
ι. ρέα· Καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδὲ ὐλὴ λευκὴ ἐν τῷ δέρματι, καὶ αὐτὴ μετέβαλε τρίχα λευκὴν, καὶ ἀπὸ τῦ ὑγιῦς
ια. τῆς σαρκὸς τῆς ζώσης ἐν τῇ ὐλῇ· Λέπρα παλαιυμένη ἐςὶν ἐν τῷ δέρματι τῦ χρωτὸς αὐτῦ, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεὺς, ὲ (1) ἀφοριεῖ αὐτὸν, ὅτι ἀκάθαρτός ἐςιν.

ιβ. Ἐὰν δὲ ἀνθῦσα ἐξανθήσῃ λέπρα ἐν τῷ δέρματι, καὶ καλύψῃ ἡ λέπρα πᾶν τὸ δέρμα τῆς ἀφῆς ἀπὸ κεφαλῆς ἕως ποδῶν αὐτῦ, καθ᾽ ὅλην
ιγ. τὴν ὅρασιν τῦ ἱερέως. Καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδὲ ἐκάλυψεν ἡ λέπρα πᾶν τὸ δέρμα τῦ χρωτὸς αὐτῦ· καὶ καθαριεῖ τὴν ἀφὴν, ὅτι πᾶν μετέβαλε λευκὸν, καθαρόν ἐςι.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τὸν ὅλον λεπρὸν γενόμενον καθαρὸν ὀνομάζει; Φιλανθρωπίας καὶ ὗτος ὁ νόμος μεςός. ὥσπερ γὰρ ἐπὶ τῦ θυσιμαίυ διηγόρευσεν, εἰ μὲν εἰς ἄγγεῖον ἐμπέσοι, ἀκάθαρτον εἶναι· εἰ δὲ εἰς πηγὴν, ἢ λάκκον, ὲκ ἔτι· ὕτω τὸν ποικίλον δεξάμενον χρῶμα τῶν ἄλλων ἀποκρίνει, ὡς ἐλπίδα καθάρσεως ἔχοντα· τὸν δὲ ὅλον λευκὸν γενόμενον ἀναμίγνυσθαι κελεύει τοῖς ἄλλοις, ἵνα μὴ παρὰ πάντα τὸν βίον τῶν ἄλλων ἀνθρώπων κεχωρισμένος διάγῃ. καὶ τῦτο δὲ τῶν πνευματικῶν ἐςὶ τύπος. τοῖς μὲν γὰρ πιςοῖς ἁμαρτάνυσιν ὐδὲ συνεσθίειν ὁ θεῖος νόμος κελεύει· τοῖς δέγε ἀπίςοις εἰς ἑςίασιν καλῦσιν, ὲ κωλύει συνεσθιᾶσθαι. λέγει δὲ ὕτως
» ὁ θεῖος Ἀπόςολος· ἐάν τις καλῇ ὑμᾶς τῶν 1. Κορ. 10. 27.
» ἀπίςων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ
» παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν δια-
κρίνοντες, καὶ τὰ ἑξῆς. περὶ δὲ τῶν ἁμαρ-
» τανόντων πιςῶν ὕτως ἔφη· ἐάν τις ἀδελ- 1. Κορ. 5. 11.
φός

(1) Τὸ, ὲ, γραφικὸν ἁμάρτημα δοκεῖ. καὶ ἀφοριεῖ δὲ γράφυσιν αἵ τε προειρημ. τῆς Γραφ. ἐκδόσ. καὶ ὁ ἐν ἁγίοις Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 540.

» φὸς ὀνομαζόμενος ἢ πόρνος, ἢ πλεονέκτης, Α
» ἢ εἰδωλολάτρης, ἢ μέθυσος, ἢ λοίδορος,
» ἢ ἅρπαξ, τῷ τοιούτῳ μὴ συνεσθίειν· καὶ
2. Θεσ. 3. 6. πάλιν· στέλλεσθε ὑμᾶς ἀπὸ παντὸς ἀδελ-
» φοῦ ἀτάκτως περιπατοῦντος. Οὗτος τοίνυν ἔοικε τῷ ἐκ μέρους λεπρῷ· ὁ δὲ ἄπιστος, τῷ πᾶσαν τὴν φυσικὴν ἀπολέσαντι χροιάν. ἀλλὰ τούτοις καὶ προσδιαλεγόμεθα, καὶ συναναστρεφόμεθα· ἐκείνοις δὲ, οὐκ ἔτι. καὶ
1. Κορ. 5. 9, τούτου μάρτυς ὁ θεῖος Ἀπόστολος. ἔγραψα
10, 11. » γάρ ὑμῖν φησὶ μὴ συναναμίγνυσθαι πόρ- Β
» νοις· καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσ-
» μου τούτου, ἢ τοῖς πλεονέκταις, ἢ ἅρπαξιν,
» ἢ εἰδωλολάτραις· ἀλλ' ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, καὶ τὰ ἑξῆς. καθαρὸν μέντοι κέκληκε τὸν ὅλον γεγενημένον λευκὸν, οὐχ ὡς ὑγιὲς ἔχοντα τὸ σῶμα, ἀλλ' ὡς μηκέτι τοὺς πελάζοντας κατὰ τὸν νόμον μολύνοντα.

** ΚΛΗΜΕΝΤΟΣ. Τὸν μηκέτι διηνθισμένον ποικιλίᾳ χρωμάτων, ὅλον δὲ λευκωθέντα δι' ὅλων, ἀπὸ κεφαλῆς ἄκρας ἄχρι ποδῶν ἐσχάτων, καθαρὸν εἶναι ἐθέλει· ἵνα κατὰ τὴν ἀπὸ τοῦ σώματος μετάβασιν, τὸ ποικίλον καὶ πανοῦργον τῆς διανοίας μεταθέμενοι πάθος, τὸ ἀποίκιλτον καὶ ἀνενδοίαστον τῆς ἀληθείας ἁπλοῦν ἀγαπήσωμεν χρῶμα.

** ΚΥΡΙΛΛΟΥ. Ὥσπερ ἐν γε τῷ ζῆν ἑλέσθαι Χριστῷ, τὸ νεκροῦσθαι μερικῶς ὑπετίθει ταῖς δίκαις ὁ νόμος· οὕτω καὶ ἐν τῷ τεθνάναι τῇ ἁμαρτίᾳ, τὸ ζῆν ἐν αὐτῇ, μολυσμὸς ἂν εἴη πάλιν, καὶ τῆς ἐκ νόμου γραφῆς οὐκ ἀπηλλαγμένος. ταύτῃ τοι φησὶν, ὡς εἰ γένοιτο λέπρα καθ' ὅλου τοῦ σώματος, καὶ οἱονεὶ νέκρωσις κατὰ παντὸς ἰοῦσα μέλους, κατασημιώσειεν ἂν τὸν ἀποθανόντα τῇ ἁμαρτίᾳ· καὶ μολυσμὸς οὐκ ἔτι τῷ σώματι. καθαρὸς γάρ ἐστι φησιν, ὅλως δι' ὅλου τεθνεὼς τῇ ἁμαρτίᾳ, καὶ τόπον οὐδένα παραχωρήσας αὐτῇ, καὶ οἱονείπως ἐν ἑαυτῷ τὸ ἐναυλίζεσθαι δούς.

ΑΔΗΛΟΥ. Τὸν ὁλόλεπρον ὁ νόμος καθαρίζει, ἵνα δείξῃ ὅτι τὸ ποικίλον μισεῖ ὁ
Δευτ. 22. 9. Θεὸς, οὐ τὸ ἁπλοῦν. τὸν ἀμπελῶνά σου, φη-
» σὶν, οὐ καταπερεῖς διάφορον. (1)

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὸ γοῦν ὅλον λεπρωθὲν, οὐκ ἔτι φησὶν ἀκάθαρτον· καίτοι τὸν λεπρὸν, ὡς νεκρὸν ἀντιδιαστέλλων τῷ ζῶντι. καὶ νεκρότης μὲν οὐ καθαρὰ, ἡ κατὰ κακίαν, οἷον ἡ κατ' ἀκολασίαν καὶ ἀδικίαν διάθεσις ἐπίμονος καὶ νεμομένη· καθαρὰ δὲ νεκρότης, ἡ νοερὰ διάθεσις, οὐδὲν διακρίνουσα σωματικὸν, εἰ μὴ κατὰ κακίαν λαμβάνεται· οὐ γάμον ἀλλόφυλον, εἰ μὴ ἐξ ἀκολασίας· οὐ βρῶμα ὁποῖον δὴ, εἰ μὴ ἐξ ἀκρασίας. εἰ μὲν οὖν ὅλος ὁ βίος ἔχει τὸ περιεκτὸς διάφορον, καθαρός· εἰ δὲ, τῷ μὲν διαφέροι, τῷ δὲ μὴ, ἀκρασίας ἔλεγχος καὶ ἀκαθαρσίας. ἅπερ ὁ νόμος λέγει ἐν τῷ, τὸ μὲν εἶναι ὑγιὲς, τὸ δὲ ἀλλοῖον. καὶ ὁ μὲν νοερὸς βίος, ὡς πρὸς

Α τὰ σωματικὰ νεκρός· ὁ δὲ ἐν κακίᾳ, ὡς πρὸς τὰ πνευματικὰ καὶ πρὸς τὸ ἀγαθὸν τεθνάναι δοκεῖ τῷ νόμῳ, καὶ μὴ ὑποστρέφειν ἐπὶ τὴν ἐν αὐτῷ ζωὴν, ὡς δικαιούμενος ἐν αὐτῇ.

ιδ. Καὶ ᾗ ἂν ἡμέρᾳ ὀφθῇ ἐν αὐτῷ χρὼς ζῶν, μιανθήσεται.

** ΠΡΟΚΟΠΙΟΥ. Τῶν παλαιῶν τὶς χρῶτα ζῶντα, τὸν λόγον ἐλάμβανεν. οὗ
Β μὴ παρόντος τῇ ψυχῇ, ὅ,τι ποτ' οὖν ἂν γένηται, ἀνέγκλητος ὁ ἁμαρτὼν, ἀλόγου φέρων κατάστασιν· εἰ δὲ παρείη λόγος, ὑπεύθυνος. Τί οὖν τὸ καθ' ὅλου τοῦ σώματος γίνεσθαι τὴν ἀφήν; μήποτε τροπικῶς φρενίτιδας, ἢ μελαγχολίας δηλοῖ; μὴ βοηθοῦντος γὰρ τότε λόγου, μηδὲ παρούσης αἰσθήσεως, πᾶν τὸ πραχθὲν, ἢ λεχθὲν, οὐχ ἁμάρτημα· ἀλλ' ὅτε πάρεστιν αἴσθησις.

ιε. Καὶ ὄψεται ὁ ἱερεὺς τὸν χρῶ-
Γ τα τὸν ὑγιῆ, καὶ μιανεῖ αὐτὸν ὁ χρὼς ὁ ὑγιὴς, ἀκάθαρτός ἐστι· λέπρα ἐστίν.

** ΚΥΡΙΛΛΟΥ. Εἰ δὲ δή φησι, χρὼς
» ἐν αὐτῷ ζῶν ὁρῷτο πάλιν, μιανεῖ αὐτὸν
» ὁ χρὼς ὁ ζῶν. τὸ γάρ τοι ζῆν ὅλως τῇ ἁμαρτίᾳ, κἂν γοῦν ἐκ μέρους, βδελυρὸν ἀποφαίνει τὸν ἠῤῥωστηκότα.

ις. Ἐὰν δὲ ἀποκατασταθῇ ὁ χρὼς ὁ
ὑγιὴς, καὶ μεταβάλῃ εἰς λευκὸν, καὶ
ιζ. ἐλεύσεται πρὸς τὸν ἱερέα. Καὶ ὄψε-
ται ὁ ἱερεὺς αὐτὸν, καὶ μετέβαλεν ἡ
ἁφὴ εἰς τὸ λευκὸν, καὶ καθαριεῖ ὁ ἱε-
ρεὺς τὴν ἁφὴν, καθαρός ἐστι.

** ΚΥΡΙΛΛΟΥ. Εἰ δὲ ἀποκατασταίη, φησὶν, ὁ χρὼς ὁ ζῶν, καὶ μεταχωροίη πρὸς λέπραν, λελύσθω τὰ ἐγκλήματα, καθαρός ἐστιν. ἀπήλλακται γὰρ καὶ τοῦ μερικῶς
Ε ἔτι ζῆν τῇ ἁμαρτίᾳ, πρὸς νέκρωσιν τὴν ἐπαινουμένην μετοιχομένου τοῦ νοῦ, καὶ παγκάλην ἀληθῶς ἔχοντος τὴν μετάστασιν.

ιη. Καὶ σὰρξ ἐὰν γένηται ἐν τῷ
δέρματι αὐτοῦ ἕλκος, καὶ ὑγιασθῇ,
ιθ. Καὶ γένηται ἐν τῷ τόπῳ τοῦ ἕλκους
οὐλὴ λευκὴ, ἢ τηλαυγὴς λευκαίνουσα,
ἢ πυῤῥίζουσα, καὶ ὀφθήσεται τῷ ἱερεῖ.
κ. Καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδοὺ ἡ ὄψις
Ζ ταπεινοτέρα τοῦ δέρματος, καὶ ἡ θρὶξ
αὐτῆς μετέβαλεν εἰς λευκὴν, καὶ
μιανεῖ αὐτὸν ὁ ἱερεὺς, ἁφὴ λέπρας
κα. ἐστίν· ἐν τῷ ἕλκει ἐξήνθησεν. Ἐὰν δὲ
ἴδῃ ὁ ἱερεὺς, καὶ ἰδοὺ οὐκ ἔστιν ἐν αὐτῷ
θρὶξ λευκὴ, καὶ ταπεινὸν μὴ ᾖ ἀπὸ
τοῦ δέρματος τοῦ χρωτὸς, καὶ αὐτὴ ᾖ
ἀμαυρὰ, καὶ ἀφοριεῖ αὐτὸν ὁ ἱερεὺς
ἑπτὰ ἡμέρας.

Η κβ. Ἐὰν δὲ διαχύσει διαχέηται ἐν τῷ δέρματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεὺς

(1) Τὰ αὐτὰ καὶ ὁ Προκόπιος, (ἐν τῷ τῆς Αὐγ. κώδ.) ὡς ὑπό τινων λεγόμενα, ἐκτίθησι.

ρεὺς, ἀφὴ λέπρας ἐςίν· ἐν τῷ ἕλκει ἐξήνθησεν.

ΑΔΗΛΟΥ. Ὁ Κλήμης (1) φησὶν εἰς τὸν ἐν τῷ πάσχα λόγον, ὅτι διάχυσις λέπρας ἐςὶν, ὡσανεὶ βάδισις καὶ πορεία ῥδυσική.

κγ. Ἐὰν δὲ κατὰ χώραν αὐτοῦ μείνη τὸ τηλαύγημα καὶ οὐ διαχέηται, οὐλὴ τοῦ ἕλκους ἐςὶ, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς.

κδ. Καὶ σὰρξ ἐὰν γένηται ἐν τῷ
δέρματι αὐτοῦ κατάκαυμα πυρὸς, καὶ
γένηται ἐν τῷ δέρματι αὐτοῦ τὸ ὑγια-
σθὲν τοῦ κατακαύματος αὐγάζον τη-
λαυγὲς λευκὸν, πυῤῥίζον, ἢ ἔκλευκον·
κε. Καὶ ὄψεται αὐτὸν ὁ ἱερεὺς, καὶ ἰδοὺ
μετέβαλε τρίχα λευκὴν εἰς τὸ αὐγά-
ζον, καὶ ἡ ὄψις αὐτοῦ ταπεινὴ ἀπὸ τοῦ
δέρματος, λέπρα ἐςίν· ἐν τῷ κατα-
καύματι ἐξήνθησε. καὶ μιανεῖ αὐτὸν
ὁ ἱερεὺς, ἀφὴ λέπρας ἐςίν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Μήποτε κατάκαυμά ἐςιν ἐν παντὶ τῷ δεξαμένῳ βέλος τοῦ πονηροῦ πεπυρωμένον; ἐρᾷ γὰρ οὗτος σαρκός τε καὶ αἵματος, γυναικὸς, ἢ παιδός. τοιοῦτοι καὶ οἱ πρὸς δόξαν μαινόμενοι καὶ ἀργύριον. ψυχὴ γὰρ ἐμπαθὴς ἐπὶ τοιούτοις ἐκκάεται· κἂν ἀπαλλαγεῖσα τούτων ὑγιασθῇ, καὶ μὴ οὕτως ὁμαλίσῃ τὸν τόπον τοῦ πάθους, ὡς πρὸ τοῦ πάθους ἐτύγχανεν, ἀλλ' ᾖ κατὰ τοῦτο ταπεινοτέρα, μιαρὰ τῷ νόμῳ δοκεῖ.

κς. Ἐὰν δὲ ἴδῃ αὐτὴν ὁ ἱερεὺς, καὶ
ἰδοὺ οὐκ ἔςιν ἐν τῷ αὐγάζοντι θρὶξ λευ-
κὴ, καὶ ταπεινὸν μὴ ᾖ ἀπὸ τοῦ δέρμα-
τος, αὐτὸ δὲ ἀμαυρὸν, καὶ ἀφοριεῖ
κζ. αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας. Καὶ ὄψε-
ται ὁ ἱερεὺς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ.
ἐὰν δὲ διαχύσει διαχέηται ἐν τῷ δέρ-
ματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεὺς, ἀφὴ
λέπρας ἐςίν· ἐν τῷ ἕλκει ἐξήνθησεν.

ΚΥΡΙΛΛΟΥ. Ἐποπτεύων δὴ τούτους ὁ μέγας ἀρχιερεὺς Χριςὸς, ὀρθὸν ἐξοίσει τὸ κρίμα. εἰ γὰρ μέχρι μόνον λογισμῶν, φησὶν, ἡ νόσος, ἀνεπιτίμητος μὲν ὁ παθὼν οὐδαμῶς· ἀφοριασθήσεται γάρ· πλὴν οὐκ ἀπόβλητος παντελῶς. εἰ δὲ ἐκ λογισμῶν καὶ ἐπὶ τῆς ἐπιθυμίας αὐτῆς διενεργεῖται τὸ πάθος, ὡς πεπονθότα τὴν εἰς ἅπαν εἴς γε τὰ χείρω μεταβολὴν, ταῖς ἐκ μολυσμῶν ὑποθήσει δίκαις τὸν αὖθις ἠῤῥωςηκότα. παραφυλακτέον δὴ οὖν, τὰ ἤδη κατημωασμένα μὴ ἀφυπνίζειν τῶν παθῶν, μήτε μὴν ἀνανεοῦν τὰ εἰς νοῦν τραύματα, καὶ παλινδρομεῖν εἰς τὸ ἐν ἀρχαῖς.

A κη. Ἐὰν δὲ κατὰ χώραν μείνῃ τὸ αὐγάζον, καὶ μὴ διαχυθῇ ἐν τῷ δέρματι, αὐτὴ δὲ ἀμαυρὰ ᾖ, οὐλὴ τοῦ κατακαύματός ἐςι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς· ὁ γὰρ χαρακτὴρ τοῦ κατακαύματός ἐςι.

✱✱ ΚΥΡΙΛΛΟΥ. Εἰ γένοιτο, φησὶν, ὑποψία καὶ δόκησις, τοῦ λελεπρῶσθαι τυχὸν, ἢ ἐναπουλωθέντι τραύματι, ἢ γοῦν
B ἐν μορίῳ σώματος κατακεκαυμένῳ ποτὲ, ταῖς αὐταῖς ἀκριβείαις τε καὶ ἐπισκέψεσι κεχρήσθω πάλιν ὁ ἱερεύς. κἂν εἰ τὸ δοκοῦν ἐξανθῆσαι λευκὸν, μὴ μετατεθείη πρὸς λέπραν, καθαρὸς ἔςω, φησίν. εἰ δὲ δὴ γένοιτο σαφὴς μετάςασις τῆς λευκῆς εἰς λέπραν, ἀκάθαρτος ἔςαι καὶ βδελυρός.

κθ. Καὶ ἀνδρὶ ἢ γυναικὶ, ᾧ ἂν γένηται ἐν αὐτῷ ἀφὴ λέπρας ἐν τῇ
Γ κεφαλῇ ἢ ἐν τῷ πώγωνι.

ΩΡΙΓΕΝΟΥΣ. Παρατηρητέον ἐφ' ὧν
„ μὲν λέγεται ἀνθρώπων· ἐάν τινι γένηται
„ ἐν δέρματι χρωτὸς αὐτοῦ· ἢ ἀνδρὶ ἢ γυναι-
„ κὶ, ᾧ ἐὰν γένηται ἐν αὐτοῖς ἀφὴ λέπρας·
„ ἐφ' ὧν δὲ, σὰρξ ἐὰν γένηται ἐν τῷ δέρ-
„ ματι αὐτοῦ ἕλκος, ἢ σὰρξ κατάκαυμα πυ-
ρός· ταῦτα δὲ θραῦσμά ἐςι.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὅρα εἰ δύναται
Δ λέπρα μὲν λαμβάνεσθαι κεφαλῆς, ὅτε ἀντὶ τοῦ ἔχειν κεφαλὴν Χριςὸν, ἄλλον τινά τις λόγον ἐπιγράφηται κεφαλὴν λεπρὸν καὶ ἀκάθαρτον. ἀλλὰ καὶ ἐὰν ἤδη τὶς γενόμενος ἀνὴρ, καὶ δοκῶν κατηργηκέναι τὰ τοῦ νηπίου, ἁμαρτάνῃ, μὴ ὡς νήπιος, ἀλλ' ἁμαρτίαν ἀνδρὸς, τάχα ἔχει λέπραν ἐπὶ τοῦ πώγωνος. καὶ γυνὴ δὲ, ψυχὴ ἡ μὴ προετικὴ μὲν λογικῶν σπερμάτων, δεκτικὴ δὲ, ἔχοι ἄν ποτε ἐπὶ τοῦ
E προσώπου, καὶ τοῦ ἐν αὐτῇ πώγωνος ὅπερ ἰδίως παρὰ τὰ πρότερα καὶ θραῦσμα ὠνόμασεν ὁ νόμος.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἔοικεν ὁ νόμος ἡμῖν ἐν τούτοις ψυχικῶν τάχα που διαμεμνῆσθαι παθῶν, καὶ ὅσα συμβαίνειν ἔθος κατὰ νοῦν ἀῤῥωςήματα, ταῦτα βούλεσθαι δηλοῦν. ἡ κεφαλή τε γὰρ, νοῦ τύπος· καὶ μὴν καὶ πώγων, διανοίας ἔμφρονος. τελειότητος καὶ γὰρ αὐτὸ σημεῖον.

Z λ. Καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν,
καὶ ἰδοὺ ἡ ὄψις αὐτῆς κοιλοτέρα τοῦ
δέρματος, ἐν αὐτῇ δὲ θρὶξ ξανθίζουσα
λευκὴ, (2) καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς·
θραῦσμά ἐςι λέπρας, λέπρα τῆς κε-
φαλῆς ἡ λέπρα τοῦ πώγωνός ἐςι.
λα. Καὶ ἐὰν ἴδῃ ὁ ἱερεὺς τὴν ἀφὴν τοῦ
θραύσματος, καὶ ἰδοὺ οὐχ ἡ ὄψις ἐγ-
H κοιλοτέρα τοῦ δέρματος, καὶ θρὶξ ξαν-
θίζουσα

(1) Ὁ Ἀλεξανδρεύς. τούτου δὲ τοῦ ἐν τῷ πάσχα λόγου ὅ, τε Εὐσέβιος, (ἐν κεφ. 26. τοῦ 4. περὶ ἐκκλησιας. ἱςορ. βιβλ.) καὶ ὁ Φώτιος (ἐν τῷ 111. κώδ. τῆς βιβλιοθ.) μνείαν ποιοῦνται. ὁ δὲ Φαβρίκιος (ἐν βιβλ. 5. κεφ. 1. σελ. 112.) τοῖς ἀπολεσθεῖσιν αὐτὸν συγκαταλέγει.

(2) Λείπει. αἱ προειρημ. ἐκδόσ.

θίζουσα οὐκ ἔστιν ἐν αὐτῇ, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἁφὴν τοῦ θραύσματος ἑπτὰ ἡμέρας.

** ΚΥΡΙΛΛΟΥ. Ἐποπτεύει τὰ καθ' ἡμᾶς καὶ περιεργάζεται λεπτῶς ὁ πάντων ἀρχιερεύς, τουτέστι Χριστός, καὶ εἰς αὐτὸν ἐμβλέπεται τὸν νοῦν, καὶ τὰς ἔσω τε καὶ κεκρυμμένας δοκιμάσει φρένας· κἂν εἰ μέν τις γένοιτο καταφθορά τε καὶ μεταποίησις, ἢ ἀπό γε τοῦ πιστεύειν ὀρθῶς ἐπὶ τὸ μὴ οὕτως ἔχον, ἢ γοῦν εἰς ἠθῶν φαυλότητα καὶ κακοβουλίαν αὐτῷ μάλιστα κατεσυγημένην, ἀποσοβήσει δὴ πάλιν ὡς μεμολυσμένους, καὶ τὴν εἰς ἅπαν καταμιαίνουσαν ἐποίσει ψῆφον. τοῦτο εἶναί φημι τὸ παθεῖν τὴν λέπραν εἰς κεφαλήν, ἢ πώγωνα. εἰ δὲ δὴ γένοιτο μὲν ὡς ἐν ἀρχαῖς τοῦ παθεῖν ὁ νοῦς, οὐ μὴν ἀπονενευκὼς ὁρῷτο παντελῶς εἰς τὸ νοσεῖν ἅπερ ἔφην, ἀφορίζεται μὲν συμμέτροις ἐπιτιμήσεσιν ὑπενηνεγμένος, ἔσται δὲ οὐχὶ παντελῶς ἀκάθαρτος, οὔτε μὴν ἀλλότριος Θεοῦ.

λβ. Καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ οὐ διελύθη τὸ θραῦσμα, καὶ θρὶξ ξανθίζουσα οὐκ ἔστιν ἐν αὐτῇ, καὶ ἡ ὄψις τοῦ θραύσματος οὐκ ἔστι κοίλη ἀπὸ τοῦ δέρ-
λγ. ματος· Καὶ ξυρηθήσεται τὸ δέρμα,
τὸ δὲ θραῦσμα οὐ ξυρηθήσεται, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὸ θραῦσμα ἑπτὰ ἡμέρας τὸ δεύτερον.

ΚΥΡΙΛΛΟΥ. Ἡ τῶν τριχῶν ξύρησις [παρατιθεῖσα τῷ ἱερεῖ] γυμνὸν τὸ τραῦμα, ὑποσημαίνειεν ἂν [τὸ οἱονεὶ πάντα ἐν μέσῳ χωρεῖν, καὶ γυμνὴν καὶ ἀπαραπόδιστον τοῖς τῆς Θεότητος ὀφθαλμοῖς, τὴν ὧν βούλοιτο καθορᾷν παρακεῖσθαι θέαν.] οὐδὲν γὰρ ἀπὸ Θεοῦ κεκρυμμένον.

λδ. Καὶ ὄψεται ὁ ἱερεὺς τὸ θραῦσμα τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ οὐ διεχύθη τὸ θραῦσμα ἐν τῷ δέρματι μετὰ τὸ ξυρηθῆναι αὐτόν, καὶ ἡ ὄψις τοῦ θραύσματος οὐκ ἔστι κοίλη ἀπὸ τοῦ δέρματος, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς, καὶ πλυνάμενος τὰ ἱμάτια, καθαρὸς ἔσται.

» ** ΚΥΡΙΛΛΟΥ. Πλυνάμενος τὰ ἱμάτια,
» καθαρὸς ἔσται, τουτέστι δέξεται πρὸς ἐπικουρίαν τὴν ἐν Χριστῷ δικαίωσιν.

λε. Ἐὰν δὲ διαχύσει διαχέηται τὸ θραῦσμα ἐν τῷ δέρματι μετὰ τὸ κα-
λς. θαρισθῆναι αὐτόν· Καὶ ὄψεται αὐτὸν
ὁ ἱερεύς, καὶ ἰδοὺ διακέχυται τὸ θραῦσμα ἐν τῷ δέρματι, οὐκ ἐπισκέψεται ὁ ἱερεὺς περὶ τῆς τριχὸς τῆς ξανθιζούσης,
λζ. ὅτι ἀκάθαρτός ἐστιν. Ἐὰν δὲ ἐνώπιον
αὐτοῦ ἐπὶ χώρας μένῃ τὸ θραῦσμα,

A καὶ θρὶξ μέλαινα ἀνατείλῃ ἐν αὐτῷ, ὑγίακε τὸ θραῦσμα, καθαρός ἐστι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς.

λη. Καὶ ἀνδρὶ ἢ γυναικί, ᾧ ἐὰν γένηται ἐν δέρματι σαρκὸς αὐτοῦ αὐγάσματα αὐγάζοντα λευκανθίζοντα·
λθ. Καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ ἐν δέρ-
ματι τῆς σαρκὸς αὐτοῦ αὐγάσματα
B αὐγάζοντα λευκανθίζοντα, ἀλφός ἐστι, καθαρός ἐστιν, ἐξανθεῖ ἐν τῷ δέρματι τῆς σαρκὸς αὐτοῦ, καθαρός ἐστιν.

» ΑΔΗΛΟΥ. Ἀλφός ἐστι, καθαρός ἐστιν. Ἀλφὸς καλεῖται ἡ ἐπίλυσις ἡ καλουμένη μελανία, ἡ περὶ τὰς παρειὰς γινομένη ἐκ τοῦ ἡλιακοῦ καύσωνος.

* ΚΥΡΙΛΛΟΥ. [Καίτοι τῆς ἀκριβείας ἑρμηνευομένης, πάθος ἂν εἴη σαρκός, καὶ Γ λέπρας ἀγχοῦ, τὸ παθεῖν ἀλφόν· ἀλλ' οὐ νοσεῖ τὴν νέκρωσιν, οὔτε μὴν τὸ ἄγαν ἀπεγνωσμένον.] τοιαῦτά πως ἐστὶ καὶ τὰ ἐν ἡμῖν παραπτώματα· πάθη μὲν οὖν ὁμολογουμένως, πλὴν οὐκ εἰς θάνατον [καὶ ψυχῆς καταφθοράν.] ἀκριβολογεῖται δὲ οὐ
» λίαν ὁ κριτής, ὅτι αὐτὸς ἔγνω τὸ πλάσ-
» μα ἡμῶν.

μ. Ἐὰν δέ τινι μαδήσῃ ἡ κεφαλὴ αὐτοῦ, φαλακρός ἐστι, καθαρός ἐστιν.
μα. Ἐὰν φαλακρός ἐστι, (1) κατὰ πρόσωπον μαδήσῃ ἡ κεφαλὴ αὐτοῦ, ἀναφάλαντός ἐστι, καθαρός ἐστιν.

** ΚΥΡΙΛΛΟΥ. Ἡ τριχῶν ἀνεθέλητος ἀποβολή, κεφαλῆς ἂν εἴη πάθος. νοῦ δὲ εἰς τύπον ὠνομάσθαι τὴν κεφαλὴν ἀρτίως ἐλέγομεν. νοῦ γὰρ ἐνδιαίτημα, κεφαλή, κατά γε τὸ τισὶ δοκοῦν. οὐκοῦν τὰ κεφαλῆς πάθη σωματικῆς, ἐμφανείειεν ἂν E εἰκότως τὰ εἰς νοῦν ἀρρωστήματα, σμικρὰ δὲ δὴ πάλιν, καὶ τὰ οἷς ἂν ἕποιτο ἀνεῖσθαι πρέπειν. ἀπαλλάττει δὴ οὖν ὁ νόμος παντὸς ἡμᾶς ἀνθρωπίνου πάθους, καὶ μολυσμῶν ἀνεθελήτων, οἵπερ ἂν ἡμῖν ἐπισυμβαίνοιεν, ἐπείτοι τὸ ἄναλκι νοσεῖν ἀνάγκη τῇ φύσει, καὶ ἀπηλλάχθαι παθῶν εἰσάπαν, οὐ τοῦ παρόντος καιροῦ πρέποι δ' ἂν αἰῶνι τῷ μέλλοντι, καθ' ὃν ἐκ βάθρων ἡ ἁμαρτία κατασεισθήσεται, καὶ εἰς ἀλώ- Z βητον παντελῶς μεταχωρήσομεν βίον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὑπόλυποι τοὺς ἐξάρχους ἐν ἀφελείᾳ, μετὰ δὲ ταῦτα ἐν κακίᾳ διαμαρτάνοντας.

μβ. Ἐὰν δὲ γένηται ἐν τῷ φαλακρώματι αὐτοῦ ἢ ἐν τῷ ἀναφαλαντώματι αὐτοῦ ἁφὴ λευκὴ ἢ πυῤῥίζουσα, λέπρα ἐξανθοῦσά ἐστιν ἐν τῷ φαλακρώματι αὐτοῦ, ἢ ἐν τῷ ἀναφα-
H μγ. λαντώματι αὐτοῦ. Καὶ ὄψεται αὐ-
τὸν ὁ ἱερεύς, καὶ ἰδοὺ ἡ ὄψις τῆς ἁφῆς
λευκὴ

(1) Ἐὰν δὲ κατὰ πρόσωπον μαδήσῃ. αἱ προειρημ. ἐκδόσ. καὶ ὁ Κύριλλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 546.

λευκὴ ἢ πυῤῥίζεσα ἐν τῷ φαλακρώ-
ματι ἢ ἐν τῷ ἀναφαλαντώματι αὐτῦ,
ὡς εἶδος λέπρας ἐν δέρματι σαρκὸς
μδ. αὐτῦ. Ἄνθρωπος λεπρός ἐςι· μιάν-
σει μιανεῖ αὐτὸν ὁ ἱερεὺς, ἐν τῇ κε-
φαλῇ αὐτῦ ἡ ἀφὴ αὐτῦ.

* ΚΥΡΙΛΛΟΥ. Μετατρέχει γὰρ ἐσθ᾽ ὅτε καὶ τὰ μικρὰ τῶν παθῶν εἰς ἐγκλημάτων δύναμιν, καὶ καταμιαίνει δεινῶς, μὴ ἀνακοπτόμενα πρὸς ἡμῶν.

με. Καὶ ὁ λεπρὸς ἐν ᾧ ἐςὶν ἡ ἀφὴ, τὰ ἱμάτια αὐτῦ ἔςαι παραλελυμένα, καὶ ἡ κεφαλὴ αὐτῦ ἀκάλυπτος, καὶ περὶ τὸ ςόμα αὐτῦ περιβαλέσθω, καὶ ἀκάθαρτος κεκλήσεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τῦ λεπρῦ ἀκατακάλυπτον εἶναι κελεύει τὴν κεφαλὴν,
καὶ τὰ ἱμάτια παραλελυμένα; Ἵνα γνώ-
ριμος ᾖ, καὶ μὴ μεταλαγχάνωσι τῆς ἀκα-
θαρσίας οἱ προσπελάζοντες. ὅτως ὁ Ἀπό-
2. Θεσ. 3. 6. ςολος περὶ τῶν ἁμαρτανόντων ἔφη· ςέλ-
» λεσθε ὑμᾶς ἀπὸ παντὸς ἀδελφῦ ἀτάκτως
» περιπατῦντος, καὶ μὴ κατὰ τὴν παρά-
» δοσιν, ἣν παρελάβετε παρ᾽ ἡμῶν· καὶ,
1. Κορ. 5. 11. ἐάν τις ἀδελφὸς ὀνομαζόμενος, ἢ πόρνος,
» ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ μέθυ-
» σος, ἢ λοίδορος, ἢ ἅρπαξ, τῷ τοιύτῳ
» μὴ συνεσθίειν.

ΩΡΙΓΕΝΟΥΣ. Διὰ τύτων αἰνίττεται μὴ δεῖν συγκρύπτειν τὰ ἁμαρτήματα, καὶ σκεπάζειν αὐτὰ τὸν τὴν ψυχὴν λελεπρωμένον. ὥσπερ τῦ παραλελυμένυ τὰ ἱμάτια, ὃ ὐκ ἐσκέπασαι ἡ ἀσχημοσύνη· ὅτω βύλεται πᾶσιν ἐκδικεῖσθαι, (1) μὴ γινόμενον τάφον κεκονιαμένον. τὸ δέ γε περιβεβλῆσθαι τὸ ςόμα, ἐςὶ τὸ μὴ ἔχειν παῤῥησίαν ἀνοῖξαι τὸ ςόμα.

** ΚΥΡΙΛΛΟΥ. Τὸ μὲν παραλελύσθαι τὰ ἱμάτια, καὶ ἀκατακάλυπτον εἶναι τὴν κεφαλὴν, ὑπεμφαίνειεν ἂν καὶ μάλα σαφῶς τὸ ἀκρύπτως ἀσχημονεῖν· τὸ δέ γε περιβεβλῆσθαι περὶ τὸ ςόμα, τὸ οἱονείπως ἀπολογίαν ὐκ ἔχειν, καὶ εἰπεῖν δύνασθαι μηδὲν, ἐγκαλῦντος Θεῦ τὴν ἀκαθαρσίαν.

μϛ. Πάσας τὰς ἡμέρας, ὅσας ἐὰν ᾖ ἐπ᾽ αὐτῷ ἡ ἀφὴ, ἀκάθαρτος ὢν ἀκάθαρτος ἔςαι· κεχωρισμένος καθήσεται, ἔξω τῆς παρεμβολῆς ἔςαι ἡ διατριβὴ αὐτῦ.

* ΩΡΙΓΕΝΟΥΣ. Τὸ δὲ τῆς παρεμβολῆς ἐξοίχεσθαι, τὸ μηκέτι τῆς τῶν ἁγίων αὐτὸν συναυλίζεσθαι χοροῖς. (2)

μζ. Καὶ ἱματίῳ ἐὰν γένηται ἐν αὐ-
τῷ ἀφὴ λέπρας ἐν ἱματίῳ ἐρέῳ, ἢ
μη. ἐν ἱματίῳ ςυππυΐνῳ, Ἢ ἐν ςήμονι, ἢ
A ἐν κρόκῃ, ἢ ἐν τοῖς λινοῖς, ἢ ἐν τοῖς
μθ. ἐρεοῖς, ἢ ἐν δέρματι, Καὶ γένηται ἡ
ἀφὴ χλωρίζυσα ἢ πυῤῥίζυσα ἐν τῷ
δέρματι, ἢ ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ
ςήμονι, ἢ ἐν τῇ κρόκῃ, ἢ ἐν παντὶ
σκεύει ἐργασίμῳ δέρματος, ἀφὴ λέ-
πρας ἐςί· καὶ δείξει τῷ ἱερεῖ.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον ἱματίοις
λέπραν ἐγγίνεσθαι; Πολλὰς ὁ Θεὸς αὐτοῖς
B τοιαύτας παιδείας ἐπήγαγεν. αὐτίκα γῦν
» καὶ περὶ λεπρῶν οἴκων ὅτως ἔφη· ὡς ἂν Λευϊτ. 14. 34.
» εἰσέλθητε εἰς τὴν γῆν τῶν Χαναναίων, ἣν
» ἐγὼ δίδωμι ὑμῖν, καὶ δώσω ἀφὴν λέπρας
» ἐν ταῖς οἰκίαις τῆς γῆς τῆς ἐγκλήτυ ὑμῶν,
καὶ τὰ ἑξῆς. διδάσκει δὲ διὰ τύτων, ὅτι
θεήλατοι ἦσαν αἱ πληγαὶ, ποτὲ μὲν κα-
τὰ ἱματίων, ποτὲ δὲ κατὰ οἰκιῶν φερό-
μεναι. ταῦτα δὲ τὴν ἄφατον τῦ Θεῦ
μακροθυμίαν δηλοῖ. τῶν γὰρ ἀνθρώπων
Γ ἁμαρτανόντων, ἱματίοις καὶ οἰκίαις προ-
σέφερε τὰς πληγὰς, διὰ τύτων τοῖς ταῦ-
τα κεκτημένοις τὴν θεραπείαν προσφέ-
ρων. ἔοικε δὲ τῷ λεπρῶντι οἴκῳ ὁ οἶκος
τῦ Ἰσραὴλ, ὃ πολλάκις μὲν ἐξῃρέθησαν,
καθάπερ λίθοι τινὲς λεπρῶντες. οἱ πλημ-
μελήσαντες, ποτὲ μὲν δι᾽ Ἀσσυρίων, ποτὲ
δὲ διὰ Βαβυλωνίων, ἄλλοτε δὲ διὰ Μακε-
δόνων. ἐπειδὴ δὲ παγίαν ἔσχον τὴν λέ-
πραν, ἄρδην καταλυθῆναι τὴν οἰκίαν ὁ
Δ νομοθέτης ἐκέλευσεν. ἀκάθαρτοι ὖν εἰσὶν
οἱ εἰς τὰς τύτων συναγωγὰς, ὡς εἰς λε-
πρώσας οἰκίας, εἰσιόντες.

ν. Καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἀφὴν ἑπτὰ ἡμέρας.

να. Καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἀφὴν
τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· ἐὰν δὲ διαχέη-
E ται ἡ ἀφὴ ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ ςή-
μονι, ἢ ἐν τῇ κρόκῃ, ἢ ἐν τῷ δέρματι,
κατὰ πάντα ὅσα ἐὰν ποιηθῇ δέρματα
ἐν τῇ ἐργασίᾳ, λέπρα ἔμμονός ἐςιν ἡ
ἀφὴ, ἀκάθαρτός ἐςι.

» ΑΔΗΛΟΥ. Ἔμμονος. τὸ Σαμαρειτι-
» κὸν, Φιλόνεικος. ὀπίσω δὲ, παλαιυμένην
αὐτὴν εἶπεν, ἀντὶ τὸ συγγηρῶσαν τῷ σώ-
ματι, καὶ ἀνίατον.

Z νβ. Κατακαύσει τὸ ἱμάτιον, ἢ τὸν
ςήμονα, ἢ τὴν κρόκην, ἢ ἐν τοῖς ἐρεοῖς,
ἢ ἐν τοῖς λινοῖς, ἢ ἐν παντὶ σκεύει δερ-
ματίνῳ, ἐν ᾧ ἂν ᾖ ἐν αὐτῷ ἡ ἀφὴ,
ὅτι λέπρα ἔμμονός ἐςιν, ἐν πυρὶ κα-
τακαυθήσεται.

νγ. Ἐὰν δὲ ἴδῃ ὁ ἱερεὺς, καὶ μὴ
διαχέηται ἡ ἀφὴ ἐν τῷ ἱματίῳ, ἢ ἐν
τῷ ςήμονι, ἢ ἐν τῇ κρόκῃ, ἢ ἐν παντὶ
νδ. σκεύει δερματίνῳ· Καὶ συντάξει ὁ

(1) Ἐκκεῖσθαι. ἐν Τόμ. 2. σελ. 183. τῆς τῦ Ῥυ. ἐκδόσ.
(2) Τὰ αὐτὰ καὶ ὁ ἐν ἁγίοις Κύριλλος. ἐν Τόμ. 1. μέρ. 2. σελ. 547.

ἱερεὺς, καὶ πλυνεῖ ἐφ᾽ οὗ ἐὰν ᾖ ἐπ᾽ A αὐτῷ ἡ ἁφὴ, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἁφὴν ἑπτὰ ἡμέρας τὸ δεύτερον.

ΣΕΥΗΡΟΥ. Ἐπειδὴ οἱ εἰς Χριστὸν βαπτιζόμενοι, Χριστὸν ὡς ἱμάτιον ἐνδυόμεθα, δίδωσιν ἡμῖν τὴν ὡραίαν στολὴν ταύτην χράνασι τοὺς τῆς μετανοίας πόνους εἰς κάθαρσιν· εἴτε κοῦφα ἁμαρτάνοντες εἴημεν, ὡς τὸ ἱμάτιον λινοῦν εἶναι λογίζεσθαι, εἴτε βαρέα, καὶ πολὺ τὸ παχὺ καὶ σαρκῶδες B καὶ νεκρὸν ἔχοντα, ὡς τοῖς ἐσθήμασιν ἐοικέναι τοῖς ἐξ ἐρίφων. ἅπερ ὡς ἐπὶ τὸ πλεῖστον νεκρῶν κωδίων ἐστὶ καρπός.

νε. Καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν μετὰ τὸ πλυθῆναι, καὶ εἰ μὴ μεταβάλλῃ ἡ ἁφὴ τὴν ὄψιν αὐτῆς, καὶ ἡ ἁφὴ οὐ διαχεῖται, ἀκάθαρτόν ἐστιν, ἐν πυρὶ κατακαυθήσεται· ἐστήρικται ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ στήμονι, ἢ ἐν Γ τῇ κρόκῃ.

ΚΥΡΙΛΛΟΥ. Τὸ μετὰ τὴν κάθαρσιν καὶ ἀπόνιψιν, ἣν ἂν ὁ Χριστὸς ἐν ἡμῖν ἐργάσαιτο, μὴ ἀποφέρεσθαι μολυσμῶν, ἀλλ᾽ ἔμμονον εἰς ἑαυτοὺς ποιεῖσθαι τὴν στάσιν, ἡ τῶν ἱματίων ἔμφασις δηλοῖ. εἰ γὰρ μηδὲν ὀνίνησιν ἀπονίζων ἡμᾶς ὁ Χριστὸς, πυρὶ παραδώσει κολασθησομένους, καθάπερ καὶ ὁ κατὰ νόμον ἱερεὺς οὐδὲν ὠφελήσας τὴν κρόκην, ἤτοι τὸν στήμονα, διὰ τῆς ἐκπλύσεως, κατεπίμπρα λοιπόν. λέπραν δὴ οὖν ὁ νόμος, τὴν ὡς ἐν ἔργοις νέκρωσιν ὑποφαίνει καλῶς.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Πεποίηκε δὲ καὶ ἐπὶ κρόκης καὶ στήμονος καὶ ἱματίου καὶ σκεύους τὰ ὅμοια σύμβολα, διὰ πλειόνων τὰ κατὰ τοὺς ἀνθρώπους ὑπογράφων· ὅτι οὐ κρόκης A καὶ στήμονος καὶ ἱματίου μέλλει τῷ Θεῷ, πλὴν ὅσον εἰς ὑποτύπωσιν ἀνθρώπων· ἐνταῦθα δὲ, καὶ τῶν οὐκ ἀποβαλλόντων τὴν κακίαν, ἀλλ᾽ ἐνεστηριγμένην ἐχόντων, ἐστὶ σύμβολον. εἰ γὰρ πλυθέντων αὐτῶν, τὸ ἀλλόχρουν μὴ παύσαιτο, κατακαίουσιν αὐτά.

ΤΟΥ ΑΥΤΟΥ. Οὐ πρότερον ἡ καῦσις, πρὶν ἢ μετὰ τὴν πλύσιν ἀποῤῥαγῇ τὸ ἀλλόχρουν· ὅ ἐστιν ἡ τῶν ἐξάρχων κακίας εἶναι δοκούντων ἀφαίρεσις. εἰ δὲ καὶ μετὰ B ταῦτα ἴσον εἴη, ὁ τοῦ πυρὸς ζῆλος κατακαύσει αὐτό.

νς. Καὶ ἐὰν ἴδῃ ὁ ἱερεὺς, καὶ ᾖ ἀμαυρὰ ἡ ἁφὴ μετὰ τὸ πλυθῆναι αὐτὸ, ἀποῤῥήξει αὐτὸ ἀπὸ τοῦ ἱματίου,
ἢ ἀπὸ τοῦ στήμονος, ἢ ἀπὸ τῆς κρόκης,
νζ. ἢ ἀπὸ τοῦ δέρματος. Ἐὰν δὲ ὀφθῇ
ἔτι ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ στήμονι, ἢ
Γ ἐν τῇ κρόκῃ, ἢ ἐν παντὶ σκεύει δερματίνῳ, λέπρα ἐξανθοῦσά ἐστιν, ἐν πυρὶ κατακαυθήσεται ἐν ᾧ ἐστὶν ἡ ἁφή.

νη. Καὶ τὸ ἱμάτιον, ἢ ὁ στήμων, ἢ ἡ κρόκη, ἢ πᾶν σκεῦος δερμάτινον, ὃ πλυθήσεται, καὶ ἀποστήσεται ἀπ᾽ αὐτοῦ ἡ ἁφὴ, καὶ πλυθήσεται τὸ δεύτερον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὰ μετὰ τὴν πλύσιν Δ καθαρὰ φαινόμενα, δεύτερον πλύνεται, εἰς τὸ ἀποδειχθῆναι καθαρά. τοιοῦτον τὸ, τεκνία μου οὓς πάλιν ὠδίνω. Γαλ. 4. 19.

νθ. Οὗτος ὁ νόμος ἁφῆς λέπρας ἱματίου ἐρεοῦ, ἢ στυππυΐνου, ἢ στήμονος, ἢ κρόκης, ἢ παντὸς σκεύους δερματίνου, εἰς τὸ καθαρίσαι αὐτὸ, ἢ μιᾶναι αὐτό.

ΚΕΦ. ΙΔ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Οὗτος
ὁ νόμος τοῦ λεπροῦ. ᾗ ἂν ἡμέρᾳ καθαρισθῇ, καὶ προσαχθήσεται πρὸς τὸν ἱερέα.

ΚΥΡΙΛΛΟΥ. Πάντα τὰ εἰς τὴν τῆς ψυχῆς ὁρῶντα κάθαρσιν καὶ δικαίωσιν, Z διὰ σωματικῶν τύπων καὶ αἰνιγμάτων ὁ διὰ Μωσέως δεδομένος τύπος ὑπέφαινεν. ὁποῖόν ἐστι τὸ τῶν λεπρώντων, καὶ γονοῤῥυῶν. παθῶν γὰρ ἀκουσίων τιμωρίας ὁ Θεὸς οὐκ εἰσπράττεται, ἀλλὰ διὰ τούτων τὸ ποικίλον τῆς ἁμαρτίας καὶ κατεστιγμένον καὶ δυσαπόνιπτον ἀποβάλλεται, δι᾽ οὗ χραίνεται ψυχὴ καὶ ποικίλλεται. ὁμοίως βδελυρὸν κρίνει τὸ διαχεῖσθαι πρὸς ἡδονὴν τὸ καρπογόνον εἰς ἀρετὴν τῆς λογικῆς καὶ H νοερᾶς ψυχῆς. (1)

γ. Καὶ ἐξελεύσεται ὁ ἱερεὺς ἔξω τῆς παρεμβολῆς, καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδοὺ ἴαται (2) ἡ ἁφὴ τῆς λέπρας ἀπὸ τοῦ λεπροῦ.

** ΚΥΡΙΛΛΟΥ. Ποία ἐστὶ τῆς σωτηρίας ἡ ὁδός; τίς ὁ ἀπαλλάσσων τοὺς ἡμαρτηκότας τοῦ κολάζεσθαι δεῖν; τίς ὁ λυτρούμενος καὶ ἀνασώζων εὐκόλως; Ὁ Κύριος Z ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, καὶ ἁγιάζων ἡμᾶς τῷ ἰδίῳ αἵματι. ἄθρει δέ μοι πάλιν ὡς ἐν σκιαῖς ἔτι τοῖς ἐν νόμῳ γεγραμμένοις τὸ μυστήριον. προσεκομίζετο γὰρ ὁ λεπρὸς ἔξω γεγονότι τῆς πύλης τῷ κατὰ νόμον ἱερατεύοντι· διανενευκότος δὲ ὥσπερ ἐπὶ τοῦ πάθους τὸ ἄμεινον, καὶ ὅτι παύσεται λοιπὸν καὶ καταλήξει ὑπεμφαίνοντος, H ἐπληροῦντο τὰ εἰς καθαρισμὸν, κατά γε τὸ νομοθέτῃ δοκοῦν.

δ. Καὶ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.
(2) Ἴαται. αἵ τε προειρημ. ἐκδόσ. καὶ ὁ Κύριλ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 353.

A δ. Καὶ προσάξει ὁ ἱερεὺς, καὶ λήψονται τῷ κεκαθαρισμένῳ δύω ὀρνίθια ζῶντα καθαρὰ, καὶ ξύλον κέδρινον, καὶ κεκλωσμένον κόκκινον· καὶ ὕσσωπον.

** ΠΡΟΚΟΠΙΟΥ. Τὰ δύω ζῶντα ὀρνίθια δοκεῖ τινὰ φέρειν ἀναλογίαν πρὸς τοὺς δύω τράγους, ὧν ὁ εἷς τοῦ ἀποπομπαίου· κἀκεῖ γὰρ ὁ εἷς θύεται, καὶ ὁ εἷς πέμπεται εἰς τὴν ἀποπομπὴν αὐτοῦ· καθαροὶ δὲ B ἄμφω, καθὰ καὶ τὰ νῦν ὀρνίθια. οὐκ ἀκάθαρτος γὰρ τῇ φύσει, φασὶ, δεδημιούργηται, οὐδὲ ὁ διὰ τὴν αὐτοῦ κακίαν γενόμενος ἀποπομπαῖος. διὰ μὲν οὖν τὴν ἀπὸ τῆς ἁμαρτίας λέπραν ὀφείλει τι τῷ ἀποπομπαίῳ καθαριζόμενος, εἰ καὶ ἔφυγε τὴν ἀπὸ τῆς λέπρας ἀκαθαρσίαν. διὰ δὲ τὴν καθαρότητα προσφέρεται περὶ αὐτοῦ τῶν ὀρνιθίων τὸ ἕτερον. πλὴν τὰ δύω ἔοικεν Γ ἕτερα εἶναι τῷ γένει παρὰ τὰ προσφερόμενα εἰς τὸ θυσιαστήριον, τρυγόνας ἢ περιστεράς. ὁ νεωστὶ γὰρ καθαρισθεὶς, οὔπω τοῦ θυσιαστηρίου γέγονεν ἄξιος, ἀλλ' ὅπως ἄξιος γένηται, λαμβάνεται ταῦτα παρ' αὐτοῦ ᾗ ἂν ἡμέρᾳ καθαρισθῇ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί σημαίνει τὰ δύω ὀρνίθια τὰ ὑπὲρ τοῦ καθαριζομένου λεπροῦ προσφερόμενα; Τοῦ σωτηρίου πάθους περιέχει τὸν τύπον. Δ ὥσπερ γὰρ τούτων τὸ μὲν ἐθύετο, τὸ δὲ εἰς τὸ τοῦ τυθέντος αἷμα βαπτιζόμενον ἀπελύετο· οὕτως ὑπὲρ τῆς λεπρώσης ἀνθρωπότητος ὁ δεσπότης ἐσταυρώθη Χριστὸς, τῆς μὲν σαρκὸς δεξαμένης τὸν θάνατον, τῆς δὲ Θεότητος οἰκειωσαμένης τὸ τῆς ἀνθρωπότητος πάθος. καὶ καθάπερ ὕδατι καθαρῷ τοῦ σφαγέντος ὀρνιθίου τὸ αἷμα μιγνύμενον, διὰ κεδρίνου ξύλου, καὶ ὑσσώπου, καὶ κοκκίνου κεκλωσμένου περιρραινόμενος ὁ λεπρὸς, λαμπρός τε καὶ E καθαρὸς ἀπεδείκνυτο· οὕτως ὁ τῷ σωτῆρι πιστεύων Χριστῷ, καὶ τῷ τοῦ παναγίου βαπτίσματος ὕδατι καθαιρόμενος, τὰς τῶν ἁμαρτημάτων ἀποβάλλει κηλῖδας. σύμβολον δὲ τὸ μὲν κέδρινον ξύλον, τῆς ἀπαθοῦς Θεότητος· ἄσηπτον γὰρ τόδε τὸ ξύλον, ὡς ξύλον· τὸ δὲ κόκκινον τὸ κλωστὸν, τῆς ἐκ ψυχῆς καὶ σώματος ἀνθρωπότητος· τὸ δὲ ὕσσωπον, τῆς τοῦ παναγίου πνεύματος θερμότητός τε καὶ εὐωσμίας. Z διὰ τούτων γὰρ οἱ βαπτιζόμενοι τῆς ψυχικῆς ἀπαλλάττονται λέπρας.

ΚΥΡΙΛΛΟΥ. Δι' ἀμφοῖν τοῖν ὀρνέοιν σημαίνεται ὁ Χριστὸς, καὶ τεθνεὼς ὡς ἄνθρωπος, καὶ ζῶν ὡς Θεός. ὀρνιθίῳ δὲ παρεικάζεται, διὰ τὸ ἄνωθεν καὶ ἐξ οὐρανοῦ νοεῖσθαι καὶ λέγεσθαι. (1)

** ΤΟΥ ΑΥΤΟΥ. Οὔτι που φαμὲν, ὡς δύω νοοῦμεν Χριστοὺς, κἂν εἰ δύω λέγοιντο H ὀρνίθια. σοφὴν δὲ καὶ ἀναγκαίαν ὁ λόγος ἡμῖν εἰσκομίζει τὴν θεωρίαν. Θεὸς γὰρ ὢν κατὰ φύσιν ὁ μονογενὴς, τὴν τῆς ἁγίας Παρθένου πεφόρηκε σάρκα· καὶ συντίθεται μὲν ὥσπερ ἐκ δυοῖν, φύσεως λέγω τῆς ἀνωτάτω, καὶ ἀνθρωπότητος, ἀποῤῥήτως καὶ ὑπὲρ νοῦν, πλὴν εἷς Κύριος Ἰησοῦς Χριστός. θεωρεῖ δ' οὖν ὁ λόγος τὴν ἐκ δυοῖν εἰς ἕν τι συνδρομήν. Καὶ μετ' ὀλίγα. Δεῖν ἔφη παραλαμβάνεσθαι καὶ κέδρινον ξύλον. τύπος δ' ἂν εἴη καὶ τόδε τῆς ἁγίας αὐτοῦ σαρκὸς, οὐκ ἀνεχομένης παθεῖν τὴν καταφθοράν· ἄσηπτον γὰρ τὸ ξύλον· ὑσσωπός γε μὴν εἴη ἂν εἰς τύπον τοῦ ἁγίου πνεύματος ζέων τὴν ἐνέργειαν, δι' ἧς τῷ πνεύματι ζέοντες ἀποτελούμεθα, τὴν ἐν σπλάγχνοις ἀκαθαρσίαν οἱονεί πως ἐκλεπτηγμένοι. πόα γὰρ ἡ ὕσσωπος θερμή τε τῇ φύσει, καὶ διασμήχειν οἵα τε τὴν ἐν σπλάγχνοις συνηνεγμένην φλεγματώδη καὶ ψυχρὰν ἀκαθαρσίαν. ἀπαλλάττει δὲ ἡμᾶς, ὡς ἔφην, τῇ τοῦ πνεύματος ἐνεργείᾳ Χριστὸς τῶν εἰς νοῦν ἔσω κεκρυμμένων παθῶν. Καὶ μετ' ὀλίγα. Τὸ δὲ κεκλωσμένον κόκκινον, αὐτὸ δὴ πάλιν ἐφ' ἑαυτῷ τὸν τῆς ἀνθρωπότητος τοῦ μονογενοῦς ὑπεμφαίνει τρόπον. πέπλεκται γὰρ ὥσπερ σαρκὶ καὶ αἵματι Θεὸς ὢν ὁ λόγος. ἐξεικονιεῖ δὲ ὁ κόκκος αἷμά τε καὶ σάρκα. τοιουτόχροως γὰρ ὁρᾶται καὶ ἔσται.

ε. Καὶ προσάξει ὁ ἱερεὺς, καὶ σφάξουσι τὸ ὀρνίθιον τὸ ἓν εἰς ἀγγεῖον ὀστράκινον ἐφ' ὕδατι ζῶντι.

ΩΡΙΓΕΝΟΥΣ. Θύεται τὸ ὀρνίθιον εἰς ἀγγεῖον ὀστράκινον, παρεμβληθέντος εἰς αὐτὸ ὕδατος ζῶντος, ἵνα γένηται ὁ καθαρισμὸς ὕδατι καὶ αἵματι· ἅπερ ἐξῆλθεν ἀπὸ τῆς πλευρᾶς τοῦ Σωτῆρος· ξύλον δὲ κέδρινόν φησι τὸ τῆς σωτηρίας ἡμῶν ξύλον. τὸ δὲ κεκλωσμένον κόκκινον τύπος ἦν τοῦ τιμίου αἵματος, δι' οὗ καθαίρεται ὁ κόσμος ὅλος. οἶμαι δὲ τὸν ὕσσωπον, τὴν διὰ τοῦ πνεύματος θερμότητα· σμηκτικὴ γὰρ ἡ πόα διὰ θερμότητα· τὸ δὲ σπαρτίον τὸ κόκκινον, τὴν πρὸς σάρκα σύμβασιν τοῦ λόγου δηλοῦν.

ΚΥΡΙΛΛΟΥ. Εἰς τὸν τοῦ τεθνεῶτος θάνατον τὸ ὀρνίθιον τὸ ζῶν ἐβαπτίζετο, τοῦ νόμου σημαίνοντος, ὅτι καίτοι κατὰ φύσιν ζωὴ καὶ ἐκ ζωῆς ὑπάρχων ὁ λόγος, τῆς ἰδίας σαρκὸς οἰκειοῦται τὸν θάνατον. αὐτοῦ γὰρ ἦν ἡ προσληφθεῖσα σὰρξ, καὶ οὐκ ἀλλοτρία.

ς. Καὶ τὸ ὀρνίθιον τὸ ζῶν λήψεται αὐτὸ, καὶ τὸ ξύλον τὸ κέδρινον, καὶ τὸ κλωστὸν κόκκινον, καὶ τὸν ὕσσωπον, καὶ βάψει αὐτὰ καὶ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ αἷμα τοῦ ὀρνιθίου τοῦ σφαγέντος ἐφ' ὕδατι ζῶντι.

ΙΟΥΣΤΙΝΟΥ ΜΑΡΤΥΡΟΣ. Διὰ τοῦ ἐφ' ὕδατι ζῶντι, ἐν ᾧ τὸ ξύλον, καὶ τὸ ὕσσωπον, καὶ τὸ κόκκινον ἐβάπτετο, τὸ διὰ τοῦ ξύλου ἔναιμον πάθος τοῦ Χριστοῦ ἐν

τῇ

(1) Ἄλλως πως ταῦτα κεῖται ἐν σελ. 356. τοῦ 1. μέρ. τοῦ 1. Τόμ.

τῇ τῶν διὰ πνεύματος, καὶ ὕδατος, καὶ αἵματος ῥαντιζομένων σωτηρίᾳ δηλοῦται. ὥστε οὐ προκειμένως περὶ λέπρας ἡ ὑπόθεσις ἦν τοῦ καθαρισμοῦ, ἀλλὰ περὶ ἀφέσεως ἁμαρτιῶν· ἵνα νοηθῇ καὶ ἡ λέπρα παραβολὴ τῆς ἁμαρτίας, καὶ τὰ θυόμενα παραβολὴ τοῦ μέλλοντος θύεσθαι ὑπὲρ ἁμαρτιῶν. (1)

ΚΥΡΙΛΛΟΥ. Βαπτισθὲν δὲ τὸ ζῶν ὀρνίθιον ἐν τῷ αἵματι τοῦ τεθνεῶτος, ἀνεῖτο λοιπόν. ἐν γὰρ τῷ σταυρωθέντι καὶ ἀποθανόντι ναῷ ὁ ζῶν καὶ θεῖος λόγος ἦν, καὶ κοινωνὸς ὥσπερ τοῦ πάθους, καὶ ἀπαθὴς ὡς Θεός. (2)

ΑΠΟΛΙΝΑΡΙΟΥ. Διὰ τοῦτο ἀκολούθως βάπτεσθαι ἐκέλευσεν ἅμα τὸ κόκκινον εἰς τὸ ὕδωρ, τὴν οὐκ ἔτι τὰ φυσικὰ ἔχουσαν σάρκα προφητεύων. διά τοι τοῦτο καὶ δύω ὀρνίθια, ἓν μὲν θυόμενον ἐφ' ὕδατι, καὶ ἓν βαπτιζόμενον εἰς τὸ αἷμα καὶ τὸ ὕδωρ, καὶ ἐξαποστελλόμενον, καθάπερ εἴρηται καὶ ἐπὶ τῶν τράγων.

ζ. Καὶ περιῤῥανεῖ ἐπὶ τὸν καθαρισθέντα ἀπὸ τῆς λέπρας ἑπτάκις, καὶ καθαρὸς ἔσται· καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ πεδίον.

** ΠΡΟΚΟΠΙΟΥ. Ἄνω εἶπεν, ᾗ ἂν ἡμέρᾳ καθαρισθῇ· νυνὶ δὲ, καὶ καθαρὸς ἔσται. καὶ καθαρθεὶς γὰρ τῆς λέπρας, ὅμως ὑπὲρ τοῦ μολυσμοῦ τοῦ φθάσαντος χρόνου δεῖται τοῦ παρόντος καθαρισμοῦ, μᾶλλον δὲ καὶ ἄλλων τριῶν. εἷς γὰρ καθαρισμὸς τὸ, ᾗ ἂν ἡμέρᾳ καθαρισθῇ· καὶ τρεῖς μεταξὺ τῷ, καὶ καθαρὸς ἔσται, τρίτον λεγομένῳ, δηλούμενοι· καὶ πέμπτος καὶ τελευταῖος διὰ τοῦ, καὶ καθαρισθήσεται. εἰσὶ γὰρ οἷον καὶ καθαρισμῶν προκοπαὶ, πρὶν εἰς τὴν τελείαν ἐλθεῖν καθαρότητα.

** ΚΥΡΙΛΛΟΥ. Καθαροὺς καὶ ἡμᾶς ἀποφαίνει Χριστὸς, διὰ τοῦ ἁγίου βαπτίσματος ἡμᾶς ἁγιάζων. τοῦτο γὰρ οἶμαι δηλοῦν τὸ, ἑπτάκις. οὕτω τε συνεὶς ὁ μακάριος
Ῥωμ. 5. 20. ἔφη Παῦλος· οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. οὐκοῦν τὸ ἀμφιλαφὲς τῆς χάριτος, καὶ τὸ οἱονεί πως τελείως ἔχον εἰς ἀποκάθαρσιν, διὰ τοῦ ἑπτάκις σημαίνεται.

η. Καὶ πλυνεῖ ὁ καθαρθεὶς τὰ ἱμάτια αὐτοῦ, καὶ ξυρήσεται αὐτοῦ πᾶσαν τὴν τρίχα, καὶ λούσεται ἐν ὕδατι, καὶ καθαρὸς ἔσται. καὶ μετὰ ταῦτα εἰσελεύσεται εἰς τὴν παρεμβολὴν, καὶ διατρίψει ἔξω τοῦ οἴκου αὐτοῦ ἑπτὰ ἡμέρας.

** ΚΥΡΙΛΛΟΥ. Κεκαθαρμένοι διὰ τοῦ ἁγίου βαπτίσματος, οἱονεὶ καὶ τὰ τῆς σαρκὸς βλαστήματα, τουτέστι τὰς ἐν ἡμῖν καὶ
A ἐμφύτους ἡδονὰς, ὡς ἐν εἴδει τριχῶν νοουμένας, ὁμοῦ τοῖς ἑτέροις πλαίσμασιν ἀποτιθέμεθα, καὶ τοῦτο ἡμῖν ἐνεργοῦντος Χριστοῦ. λόγος γάρ ἐστιν αὐτὸς ζῶν τε καὶ ἐνεργὴς καὶ τομώτατος, ἀποκείρων ἁμαρτίας, καὶ τῆς ἐκ παθῶν ἀκαθαρσίας ἀπαλλάττων τὸν νοῦν. ἐξυρημένος δὴ οὖν ὁ λεπρὸς, εἰσέλθῃ λοιπὸν εἰς τὴν παρεμβολὴν, οὔπω γε μὴν καὶ εἰς τὸν ἴδιον οἶκον. κεκαθαρμένοι γὰρ, ὡς ἔφην, συναπτόμεθα τοῖς
B ἁγίοις, συνδιαιτώμεθα λοιπὸν τῷ ὁσίῳ καὶ ἱερῷ γένει· ἐσμέν τε οὕτω καὶ ἐν οἴκῳ Θεοῦ, πλὴν οὔπω εἰς τὰς ἄνω μονάς. τετήρηται γὰρ εἰς αἰῶνα τὸν μέλλοντα τὸ δῶρον. ταύτῃ τοι καὶ εἰσελάσει εἰς τὴν παρεμβολὴν ὁ κεκαθαρμένος, ἑπτὰ διατρίψας ἡμέρας, καὶ εἰς τὸν ἴδιον οἶκον εἰσέλθῃ λοιπόν. μετὰ γάρ τοι τὸν αἰῶνα τὸν ἐνεστηκότα, τὴν διὰ Χριστοῦ κάθαρσιν ἔχοντες, καὶ ἐν ταῖς ἄνω μοναῖς καταλύσομεν·
Γ ἕκαστός τε τῶν ἡγιασμένων, καθάπερ εἰς ἴδιον οἶκον, τὸν ἐκνεμηθησόμενον αὐτῷ καταλύσει κλῆρον. οὐ καταλύσει γὰρ παραυτίκα τοῖς πεπιστευκόσι τὰ γέρα· ἀλλ' ἐπ' ἐλπίσι μὲν ἀγαθαῖς ἡ κλῆσις, καὶ ὁ τοῦ πνεύματος ἀῤῥαβὼν, ἀναλάμψει δὲ ἡ χάρις κατὰ καιρὸν, καὶ τῆς ἐλπίδος τὸ πέρας ἐν Χριστῷ.

θ. Καὶ ἔσται τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ,
Δ ξυρήσεται πᾶσαν τὴν τρίχα αὐτοῦ, τὴν κεφαλὴν αὐτοῦ, καὶ τὸν πώγωνα αὐτοῦ, [καὶ τὰς ὀφρῦς, καὶ πᾶσαν τὴν τρίχα αὐτοῦ] ξυρήσεται· καὶ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ καθαρὸς ἔσται.

ΩΡΙΓΕΝΟΥΣ. Ξυρᾶται τὴν κεφαλὴν, κατὰ τὰ κεφαλαιωδέστερα καὶ ἀρχικώτερα τῶν δογμάτων· κατὰ δὲ τὸν πώγωνα,
E ὅπερ σύμβολόν ἐστι τοῦ ἀνδρὸς, ἀποτιθέμενος τὰ τοῦ ἀνδρὸς ἁμαρτήματα· κατὰ δὲ τὰς ὀφρῦς, πᾶσαν οἴησιν, καὶ ἵν' οὕτως ὀνομάσω, ὀφρύωσιν ἀποτιθέμενος. σύμβολον δέ φημι (3) ταῦτα προσφυῶτα καὶ ἐξανθήσαντα τῇ ψυχῇ, νεκρότητος τρίχες ὀνομαζόμενα.

ι. Καὶ τῇ ὀγδόῃ τῇ ἡμέρᾳ λήψεται δύω ἀμνοὺς ἀμώμους ἐνιαυσίους, καὶ
Z πρόβατον ἓν ἄμωμον ἐνιαύσιον, καὶ τρία δέκατα σεμιδάλεως εἰς θυσίαν πεφυραμένης ἐν ἐλαίῳ, καὶ κοτύλην
ια. ἐλαίου μίαν. Καὶ στήσει ὁ ἱερεὺς ὁ καθαρίζων τὸν ἄνθρωπον τὸν καθαριζόμενον, καὶ ταῦτα ἔναντι Κυρίου, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου.

ΩΡΙΓΕΝΟΥΣ. Εἰς τρία ὁ λόγος διαιρεῖ τὰ ἀναφερόμενα· ἓν μὲν, τὴν λύσιν
H τῶν προημαρτημένων· ἓν δὲ, τὸ ὅλον ἀναφέρεσθαι τῷ Θεῷ· ἕτερον δὲ, τὸ ἀναφερόμενον

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. (2) Ἄλλως ταῦτα κεῖται ἐν Τόμ. 1. μέρ. 1. σελ. 357.
(3) Φησίν. ἐν σελ. 183. τοῦ προεισ. τοῦ Ῥου. Τόμ.

μένον ἐπ' αὐτὸν τὸν καθαριζόμενον τῶν ὑπ' αὐτοῦ γενομένων. τάχα δὲ καὶ τὰ τρία τῆς σεμιδάλεως δέκατα παραλαμβάνεται, ἵν' ἓν μὲν τῶν δεκάτων τῷ σφαζομένῳ ἀμνῷ συνανενεχθῇ, καὶ τὸ δεύτερον τῷ λοιπῷ, καὶ τὸ τρίτον τῷ προβάτῳ. ἤδη τοίνυν ἐπὶ τῷ πέμπτῳ καθαρισμῷ ἔχει οὐχὶ ἄλευρον, ἀλλὰ σεμίδαλιν, ὅπερ σύμβολόν ἐστιν ὕλης ἄρτου καθαροῦ, καὶ ταύτην ἐλαίῳ πεφυραμένην· ὅπερ ὡς τρέφον φῶς, φωτὸς χρείαν καὶ οὐ πυρὸς ἐπιτελοῦν παραλαμβάνεται. ἔχει δὲ αὐτὸ χωρὶς τοῦ εἰς φύρασιν τῆς σεμιδάλεως παραλαμβανομένου ἐλαίου, ἔλαιον, ὃ διὰ τοῦ ἱερέως ἀναφέρεται, μέτρου κοτύλης τυγχάνον. καὶ πάνυ δοκεῖ μοι ἱερέως δέεσθαι
» τὸ, στήσει ὁ ἱερεὺς ὁ καθαρίζων τὸν ἄν-
» θρωπον τὸν καθαριζόμενον, καὶ ταῦτα
» ἔναντι Κυρίου.

ιβ. Καὶ λήψεται ὁ ἱερεὺς τὸν ἀμ-
νὸν τὸν ἕνα, καὶ προσάξει αὐτὸν τῆς
πλημμελείας, καὶ τὴν κοτύλην τοῦ
ἐλαίου, καὶ ἀφοριεῖ αὐτὰ ὁ ἱερεὺς
ιγ. ἀφόρισμα ἔναντι Κυρίου. Καὶ σφά-
ξουσι τὸν ἀμνὸν, οὗ σφάζουσι τὰ ὁλο-
καυτώματα, καὶ τὰ περὶ ἁμαρτίας,
ἐν τόπῳ ἁγίῳ. ἔστι γὰρ τὸ περὶ ἁμαρ-
τίας, ὥσπερ τὸ τῆς πλημμελείας ἐστὶ
τῷ ἱερεῖ· ἅγια ἁγίων ἐστί.

ιδ. Καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τῆς πλημμελείας, καὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ, καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ, καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς.

ΑΔΗΛΟΥ. Καθαίρων αὐτοῦ τὴν πνευματικὴν ἀκοὴν, καὶ δεξιὰν ὁμοίως, τὸ πρακτικὸν αὐτοῦ, καὶ ἀναλόγως τούτοις τὸ πορευτικὸν αὐτοῦ.

ιε. Καὶ λαβὼν ὁ ἱερεὺς ἀπὸ τῆς
κοτύλης τοῦ ἐλαίου, ἐπιχεεῖ ἐπὶ τὴν
ις. χεῖρα τοῦ ἱερέως τὴν ἀριστεράν. Καὶ
βάψει ὁ ἱερεὺς τὸν δάκτυλον αὐτοῦ τὸν
δεξιὸν ἀπὸ τοῦ ἐλαίου τοῦ ὄντος ἐπὶ τῆς
χειρὸς αὐτοῦ τῆς ἀριστερᾶς· καὶ ῥανεῖ
ιζ. τῷ δακτύλῳ ἔναντι Κυρίου. Τὸ δὲ κα-
ταλειφθὲν ἔλαιον τὸ ὂν ἐν τῇ χειρὶ
αὐτοῦ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸν λοβὸν
τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ,
καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς
δεξιᾶς, καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς
αὐτοῦ τοῦ δεξιοῦ, ἐπὶ τὸν τόπον τοῦ αἵ-
ιη. ματος τῆς πλημμελείας. Τὸ δὲ κα-
ταλειφθὲν ἔλαιον τὸ ἐπὶ τῆς χειρὸς
τοῦ ἱερέως, ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὴν
κεφαλὴν τοῦ καθαρισθέντος· καὶ ἐξι-
λάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι
Κυρίου.

A ΑΔΗΛΟΥ. Οὐ γὰρ ἤρκει εἰς τὸν καθαρισμὸν τὸ αἷμα, εἰ μὴ καὶ τὸ ἔλαιον προσπαρελείφθη. τοῦτο δὲ προδήλως βοᾷ τὴν τοῦ ἁγίου βαπτίσματος δύναμιν.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ἡ κοτύλη δὲ τοῦ ἐλαίου, τοῦ πνευματικοῦ μύρου σημαντική. δηλοῖ δὲ τὸ ἐπιχριόμενον ἔλαιον τῷ ὠτίῳ τῷ δεξιῷ, καὶ τῇ δεξιᾷ χειρὶ, καὶ τῷ δεξιῷ ποδὶ, τὸ τὴν μὲν ἀκοὴν τοῖς δεξιοῖς ἀφορίζεσθαι λόγοις, τὴν δὲ χεῖρα καὶ τὸν
B πόδα ταῖς δεξιαῖς πράξεσιν· ἐπιβαλλόμενον δὲ καὶ τῇ κεφαλῇ, δηλοῖ τὴν ἀφιέρωσιν τοῦ λογικοῦ. ὁ μέντοι διαμείνας λεπρὸς, ἔξω διῆγε τῆς παρεμβολῆς. ὡς ὁ ἀμεταμέλητα πταίων ἔξω τῆς ἐκκλησίας ἐκβάλλεται.

ιθ. Καὶ ποιήσει ὁ ἱερεὺς τὸ περὶ
τῆς ἁμαρτίας, καὶ ἐξιλάσεται ὁ ἱε-
ρεὺς περὶ τοῦ καθαριζομένου ἀπὸ τῆς
Γ ἁμαρτίας αὐτοῦ· καὶ μετὰ τοῦτο σφά-
κ. ξει ὁ ἱερεὺς τὸ ὁλοκαύτωμα. Καὶ
ἀνοίσει ὁ ἱερεὺς τὸ ὁλοκαύτωμα, καὶ
τὴν θυσίαν ἐπὶ τὸ θυσιαστήριον ἔναντι
Κυρίου· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ
κα. ἱερεὺς, καὶ καθαρισθήσεται. Ἐὰν δὲ
πένηται, καὶ ἡ χεὶρ αὐτοῦ μὴ εὑρίσκῃ,
λήψεται ἀμνὸν ἕνα εἰς ὃ ἐπλημμέλη-
σεν εἰς ἀφαίρεμα, ὥστε ἐξιλάσασθαι
Δ περὶ αὐτοῦ· καὶ δέκατον σεμιδάλεως
ἐμπεφυραμένης ἐν ἐλαίῳ εἰς θυσίαν,
κβ. καὶ κοτύλην ἐλαίου μίαν, Καὶ δύο
τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν,
ὅσα εὗρεν ἡ χεὶρ αὐτοῦ, καὶ ἔσται ἡ μία
περὶ ἁμαρτίας, καὶ [ἡ] μία εἰς ὁλο-
κγ. καύτωμα. Καὶ προσοίσει αὐτὰ τῇ
ἡμέρᾳ τῇ ὀγδόῃ, εἰς τὸ καθαρίσαι
E αὐτὸν, πρὸς τὸν ἱερέα, ἐπὶ τὴν θύραν
τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι Κυρίου.
κδ. Καὶ λαβὼν ὁ ἱερεὺς τὸν ἀμνὸν τὸν τῆς
πλημμελείας, καὶ τὴν κοτύλην τοῦ
ἐλαίου, ἐπιθήσει αὐτὰ ἐπίθεμα ἔναν-
κε. τι Κυρίου. Καὶ σφάξει τὸν ἀμνὸν τὸν
τῆς πλημμελείας, καὶ λήψεται ὁ ἱε-
ρεὺς ἀπὸ τοῦ αἵματος τοῦ τῆς πλημμε-
λείας, καὶ ἐπιθήσει ἐπὶ τὸν λοβὸν τοῦ
Z ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ, καὶ
ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς δε-
ξιᾶς, καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ
κς. τοῦ δεξιοῦ. Καὶ ἀπὸ τοῦ ἐλαίου ἐπιχεεῖ
ὁ ἱερεὺς ἐπὶ τὴν χεῖρα τοῦ ἱερέως τὴν
κζ. ἀριστεράν. Καὶ ῥανεῖ ὁ ἱερεὺς τῷ δα-
κτύλῳ αὐτοῦ τῷ δεξιῷ ἀπὸ τοῦ ἐλαίου
τοῦ ἐν τῇ χειρὶ αὐτοῦ τῇ ἀριστερᾷ. ἑπτά-
κη. κις ἔναντι Κυρίου. Καὶ ἀπὸ τοῦ ἐλαίου
τοῦ ὄντος ἐπὶ τῆς χειρὸς αὐτοῦ [ἐπὶ τὸν
λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ
δεξιοῦ, καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς
αὐτοῦ] τῆς δεξιᾶς, καὶ ἐπὶ τὸ ἄκρον.

τȣ̃ ποδὸς αὐτȣ̃ τȣ̃ δεξιȣ̃, ἐπὶ τὸν τό- A
πον τȣ̃ αἵματος τȣ̃ τῆς πλημμελείας.
κθ. Τὸ δὲ καταλειφθὲν ἔλαιον τὸ ὂν ἐπὶ
τῆς χειρὸς τȣ̃ ἱερέως, ἐπιθήσει ἐπὶ
τὴν κεφαλὴν τȣ̃ καθαριϛθέντος, καὶ
ἐξιλάσεται περὶ αὐτȣ̃ ὁ ἱερεὺς ἔναντι
λ. Κυρίȣ. Καὶ ποιήσει μίαν ἀπὸ τῶν
τρυγόνων ἢ ἀπὸ τῶν νεοσσῶν, καθότι
λα. εὗρεν αὐτȣ̃ ἡ χείρ, Τὴν μίαν περὶ B
ἁμαρτίας, καὶ τὴν μίαν εἰς ὁλοκαύ-
τωμα σὺν τῇ θυσίᾳ· καὶ ἐξιλάσεται
ὁ ἱερεὺς περὶ τȣ̃ καθαριζομένȣ ἔναντι
λβ. Κυρίȣ. Οὗτος ὁ νόμος ἐν ᾧ ἐϛὶν ἡ ἁφὴ
τῆς λέπρας, καὶ τȣ̃ μὴ εὑρίσκοντος τῇ
χειρὶ αὐτȣ̃ εἰς τὸν καθαρισμὸν αὐτȣ̃.

λγ. Καὶ ἐλάλησε Κύριος πρὸς
λδ. Μωϋσῆν, (1) λέγων, Ὡς ἂν εἰσέλ-
θητε εἰς τὴν γῆν τῶν Χαναναίων, ἣν Γ
ἐγὼ δίδωμι ὑμῖν ἐν κλήρῳ, καὶ δώσω
ἁφὴν λέπρας ταῖς οἰκίαις τῆς γῆς τῆς
ἐγκλήτȣ ὑμῖν.

** ΚΥΡΙΛΛΟΥ. Τὴν λελεπρωμένȣ εἰκόνα ποιεῖ πολλάκις ἡ θεία Γραφή. καὶ ὅτε μὲν τὸν ἑκάϛȣ τρόπον, καθάπερ ἐν πίνακι καταδείκνυσι, πρόσωπον ἑνὸς αὐτȣ̃ λαμβάνȣσα παρατίθησιν εἰς μέσον· ὅτε δὲ καταϛασίν τινα τοιαύτην ἢ ἔθνȣς, ἢ πόλεως, ἢ χώρας ὑπεμφαίνειν βȣ́λεται, τότε τῆς οἰκίας παρεισάγȣσα σχῆμα, διὰ τὸ εἶναι περιεκτικὸν τῶν οἰκȣ́ντων ἐν αὐτῇ, πληθυντικὴν ποιεῖται τὴν δήλωσιν. νοήσεις τοίνυν οἰκίαν λελεπρωμένην ἀκȣ́ων, ὅλην εἰσάπαξ τὴν τῶν Ἰȣδαίων συναγωγὴν, τοῖς ἰδίοις δηλονότι κατεφθαρμένην πάθεσι. Δ

λε. Καὶ ἥξει τινὸς αὐτȣ̃ ἡ οἰκία, E
καὶ ἀναγγελεῖ τῷ ἱερεῖ, λέγων, ὥσπερ
ἁφὴ ἑώραταί μοι ἐν τῇ οἰκίᾳ.

ΚΥΡΙΛΛΟΥ. (2) Καὶ ȣ̓δέπω φαμὲν κατηγορήσαντά τινα τῆς οἰκίας τῆς ἑαυτȣ̃ δεῖν ἰέναι πρὸς τὸν ἱερέα, τὸν νομοθέτην εἰπεῖν, ἀλλ' ὥσπερ δὴ μᾶλλον ἐξ ἰατρȣ̃ τῷ συμβεβηκότι φάρμακον ἐξαιτήσοντα. λελεπρῶσθαι δὴ ȣ̃ν φαμὲν τὴν τῶν Ἰȣδαίων συναγωγήν· τὸ δὲ τȣ̃ ἀναγγέλλοντός ἐϛι πρόσωπον, ὁ τῶν ἁγίων Προφητῶν χορός. οἳ καὶ ἐξαγγέλλοντες τῷ μεγάλῳ ἀρχιερεῖ, τȣτέϛι Χριϛῷ, καὶ πρὸ τῆς ἐνανθρωπήσεως, τῆς ἀπονοίας τῶν Ἰȣδαίων τὰ πάθη, ȣ̓ μίσει, ȣ̓δὲ ἀπεχθείᾳ, ἀλλ' αἰδοῖ τῇ περὶ τὸν εὐεργέτην· καὶ συνομολογȣ̃ντες μὲν τὰ ἐκείνων πλημμελήματα, ἐλεεῖσθαι δ' ȣ̃ν ὅμως παρακαλȣ̃ντες. Z

λϛ. Καὶ προσάξει ὁ ἱερεὺς ἀπο-
σκευάσαι τὴν οἰκίαν, πρὸ τȣ̃ εἰσελ- H
A θόντα τὸν ἱερέα ἰδεῖν τὴν ἁφὴν, καὶ ȣ̓
μὴ ἀκάθαρτα γένηται ὅσα ἂν ᾖ ἐν τῇ
οἰκίᾳ. καὶ μετὰ ταῦτα εἰσελεύσεται
ὁ ἱερεὺς καταμαθεῖν τὴν οἰκίαν.

ΚΥΡΙΛΛΟΥ. Καὶ φοβερωτάτη μὲν ἡ ἐπὶ τοῖς πλημμελήμασι τοῖς ἡμετέροις ἐπισκοπὴ παρὰ Θεȣ̃· κολάζεσθαι δὲ ἀνάγκη τȣ̀ς ἐνόχȣς ὄντας οἷσπερ ἂν ἴδη κακοῖς. διὰ τȣ̃το φιλάνθρωπος ὢν, προαπαγ- B γέλλει τὴν ἐπισκήψασαν νόσον ἀποσκευάζεσθαι πρὸ τῆς ἐπισκοπῆς τῆς δίκης.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὐκȣ̃ν πρὶν εἰσελθεῖν τὸν ἱερέα, καθαρὰ τὰ ἐν τῇ οἰκίᾳ· ἀφ' ȣ̃ δ' ἂν εἰσέλθοι, πάντα ἀκάθαρτα. καίτοι τȣ̓ναντίον εἰκὸς ἦν, ἀνδρὸς ἐκκεκαθαρμένȣ καὶ τελείȣ, ὃς τὰς ὑπὲρ ἁπάντων εὐχὰς, ἁγιϛείας, ἱερȣργίας εἴωθε ποιεῖσθαι, παρελθόντος εἴσω, Γ βελτιȣ̃σθαι τὰ ὄντα, καὶ ἐξ ἀκαθάρτων καθαρὰ γίνεσθαι. νυνὶ δὲ ȣ̓́τε ἐπὶ τῆς αὐτῆς μένει χώρας, τρέπεται δὲ πρὸς μερίδα τὴν χείρω κατὰ τὴν εἴσοδον τὴν τȣ̃ ἱερέως. ἀλλὰ ταῦτα μὲν οἱ συνᾴδει τῇ ῥητῇ καὶ προχείρῳ διατάξει, σκέψονται οἷς ἔθος καὶ φίλον· ἡμῖν δὲ ἄντικρυς λεκτέον, ὅτι συνῳδὸν ȣ̃τως ȣ̓δὲν ἄλλο, ὡς τὸ εἰσελθόντος τȣ̃ ἱερέως τὰ κατὰ τὴν οἰκίαν μιαίνεσθαι. ἕως μὲν γὰρ ὁ θεῖος λόγος εἰς τὴν Δ ψυχὴν ἡμῶν, καθάπερ τινὰ ἑϛίαν, ȣ̓κ ἀφῖκται, πάντα αὐτῆς τὰ ἔργα ἀνυπαίτια. ὁ γὰρ ἐπίτροπος ἢ πατὴρ ἢ διδάσκαλος, ἢ ὅ, τί ποτε χρὴ καλεῖν τὸν ἱερέα, ὑφ' ȣ̃ νȣθετηθῆναι καὶ σωφρονισθῆναι μόνȣ δυνατὸν, μακρὰν ἀφέϛηκε. συγγνώμη δὲ τοῖς δι' ἀμαθίαν ἀπειρίᾳ τῶν πρακτέων ἁμαρτάνȣσιν. ȣ̓δὲ γὰρ ὡς ἁμαρτημάτων αὐτῶν ποιȣ̃νται κατάληψιν· ἔϛι δ' ὅτε κατορθȣ̃ν ἐν οἷς πταίȣσι μεγάλα, νομίζȣσιν. E ὅταν δὲ εἰσέλθῃ ὁ ἱερεὺς, ὄντως ἔλεγχος εἰς ἡμᾶς, ὥσπερ φωτός τις αὐγὴ καθαρωτάτη, τηνικαῦτα γνωρίζεται τὰ ἐναποκείμενα ἡμῖν ȣ̓κ εὐαγῆ τῇ ψυχῇ βȣλεύματα, κατὰ τὰς ἐπιλήπτȣς καὶ ὑπαιτίȣς πράξεις, ἃς ἀγνοίᾳ τῶν συμφερόντων ἐνεχειρȣ̃μεν. ταῦτα ἅπαντα ὁ ἱερωμένος ἔλεγχος μιάνας, ἀποσκευασθῆναι καὶ ἀποσυληθῆναι κελεύει, ὅπως αὐτὴν ἴδῃ καθαρὰν τὴν τῆς ψυχῆς οἰκίαν, κἂν τινες ἐν Z αὐτῇ νόσοι γεγόνασιν, ἰάσηται.

λζ. Καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν,
καὶ ἰδȣ̀ ἡ ἁφὴ ἐν τοῖς τοίχοις τῆς οἰ-
κίας, κοιλάδας χλωριζȣ́σας, ἢ πυρ-
ῥιζȣ́σας, καὶ ἡ ὄψις αὐτῶν ταπεινοτέ-
λη. ρα τῶν τοίχων. Καὶ ἐξελθὼν ὁ ἱε-
ρεὺς τῆς οἰκίας ἐπὶ τὴν θύραν τῆς οἰ-
κίας, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν οἰκίαν
ἑπτὰ ἡμέρας.

ΚΥΡΙΛ:

(1) Πρὸς Μωϋσῆν καὶ Ἀαρών. αἱ προειρημ. ἐκδόσ.

(2) Τȣ̃το καὶ ἐν Τόμ. 2. σελ. 184. (τῆς τȣ̃ Ῥȣ. ἐκδόσ.) τῶν τȣ̃ Ὠριγένȣς συγγραμ. συνεισήχθη, καίπερ τῶν τȣ̃ Κυρίλλȣ ὄν. κεῖται γὰρ καὶ ἐν σελ. 361. τȣ̃ 1. μέρ. τȣ̃ 1. τῶν αὐτȣ̃ συγγραμ. Τόμ.

A

* ΚΥΡΙΛΛΟΥ. Μετὰ τὴν ἐξ ἀγαθότητος προδιαστολὴν, φαινομένης τῆς φαυλότητος ἐν σχήματι λέπρας, ἀφορίζει ὁ ἱερεὺς εἰς ὅλας ἡμέρας ἑπτά. ἐκδέδωκε γὰρ εἰς αἰχμαλωσίαν αὐτοὺς τοῖς Βαβυλωνίοις ἐπὶ ἔτεσι τὸν ἀριθμὸν ο', ἡμέραν μίαν εἰς δέκα τεθεικὼς ἐνιαυτούς. ἑπτὰ δέ φησιν εἶναι τὰς ἡμέρας τοῦ ἀφορισμοῦ, τὴν ἡμέραν εἰς ἐνιαυτοὺς διαλογιζόμενος, κα-
Ἰεζ. 4. 6. „ τὰ τὸ εἰρημένον τῷ Ἰεζεκιὴλ· ἡμέραν εἰς „ ἐνιαυτὸν τέθεικά σοι. (1)

λθ. Καὶ ἐπανήξει ὁ ἱερεὺς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ὄψεται τὴν οἰκίαν, καὶ ἰδοὺ διεχύθη ἡ ἀφὴ ἐν τοῖς τοίχοις τῆς οἰκίας.

* ΚΥΡΙΛΛΟΥ. Τὴν τοῦ ἱερέως ἐπάνοδον, τοῦ Θεοῦ (2) τὴν φιλανθρωπίαν νοήσεις.

μ. Καὶ προστάξει ὁ ἱερεὺς, καὶ ἐξελοῦσι τοὺς λίθους ἐν οἷς ἐστὶν ἡ ἀφὴ, καὶ ἐκβαλοῦσιν αὐτοὺς ἔξω τῆς πόλεως εἰς τόπον ἀκάθαρτον.

* ΚΥΡΙΛΛΟΥ. [Περισκεψάμενος πάλιν τὴν τῶν Ἰουδαίων συναγωγὴν ὁ τὰ πάντα ἐν ἡμῖν ἐτάζων Θεὸς, καὶ πᾶσαν μὲν κατὰ τὸ εἰκὸς οὐκ ἔτι λεπρῶσαν, πλὴν οὐκ εἰς ἅπαν τῆς ἀρχαίας φαυλότητος ἀπηλλαγμένην εὑρὼν,] οὐ κατὰ πάντων ἐποιήσατο τὴν ὀργὴν, μόνον δὲ κατὰ τῶν αἰτίων τῆς νόσου. οὓς καὶ λίθους καλεῖ, μέρη τινὰ τῆς οἰκίας, ἤτοι ψευδοπροφήτας, καὶ τοὺς παρανόμους ἡγουμένους, καὶ ψευδοδιδασκάλους. [οὓς καὶ ὑπεξαιρεῖσθαι τῆς οἰκίας κελεύει, σημαίνων τὸν ἐκείνων ἀφορισμὸν, ἤτοι τὴν εἰς ἀφανισμὸν ἐκβολήν.]

μα. Καὶ τὴν οἰκίαν ἀποξύσουσιν ἔσωθεν κύκλῳ, καὶ ἐκχεοῦσι τὸν χοῦν τὸν ἀπεξεσμένον ἔξω τῆς πόλεως εἰς τόπον ἀκάθαρτον.

ΣΕΥΗΡΟΥ. Καὶ οἰκίαν μὲν λεπρῶσαν ὁ νόμος καθαίρει, δεικνὺς τῆς μετανοίας τὸ μέγεθος ὅσον. καὶ γὰρ εἴ τις εἰς τοσαύτην ἐπίδοσιν ἀρετῶν ἔλθῃ, ὥστε καὶ οἰκειώσεως ἀξιωθῆναι Θεοῦ, καὶ μετὰ ταῦτα διά τινος ἀφυλαξίας ζωῆς πρὸς κακίαν παλινδρομήσει, δύναται διὰ μετανοίας αὐτὴν τὴν τοιαύτην ἀποξύσασθαι λέπραν, ἔχων εἰς ἐπικουρίαν καὶ τὸ αἷμα τοῦ ἀμνοῦ καὶ υἱοῦ τοῦ Θεοῦ. διὰ τοῦτο γὰρ καθαιρομένης τῆς λεπρώσης οἰκίας, καὶ ἡ νομικὴ ὡς ἐν τύπῳ τελουμένη θυσία προσεκομίζετο.

μβ. Καὶ λήψονται λίθους ἀπεξυσμένους ἑτέρους, καὶ ἀντιθήσουσιν ἀντὶ τῶν λίθων· καὶ χοῦν ἕτερον λήψονται, καὶ ἐξαλείψουσι τὴν οἰκίαν.

* ΚΥΡΙΛΛΟΥ. Τὸ δὲ ἀντὶ τῶν ὑφαιρεθέντων λίθους ἑτέρους ἀντεισάγεσθαι πάλιν καθαροὺς καὶ ἀπεξυσμένους, δηλοῖ τὸ κατὰ καιρὸν ἀναδείκνυσθαί τινας διὰ τῆς τοῦ Θεοῦ βουλῆς τοὺς ἀντιστηρίζοντας τὸν οἶκον Ἰσραὴλ, καὶ συνέχοντας εἰς ἀδιάφθο- „ ρον τόπον. τὸ δὲ, ἐξαλείψουσιν, ἀντὶ τοῦ περιαλείψουσι τέθεικε. σημαίνει δὲ καὶ τοῦτο τὴν διὰ τῶν ἁγίων Προφητῶν γεγενημένην παράκλησιν τῷ Ἰσραήλ.

B

μγ. Ἐὰν δὲ ἐπέλθῃ πάλιν ἡ ἀφὴ, καὶ ἀνατείλῃ ἐν τῇ οἰκίᾳ μετὰ τὸ ἐξελθεῖν τοὺς λίθους, καὶ μετὰ τὸ ἀποξυσθῆναι τὴν οἰκίαν, καὶ μετὰ τὸ ἐξα-
μδ. λειφθῆναι, Καὶ εἰσελεύσεται ὁ ἱερεὺς, καὶ ὄψεται εἰ διακέχυται ἡ ἀφὴ ἐν τῇ οἰκίᾳ, λέπρα ἔμμονός ἐστιν ἐν τῇ
με. οἰκίᾳ, ἀκάθαρτός ἐστι. Καὶ καθελοῦσι
Γ. τὴν οἰκίαν, καὶ τὰ ξύλα αὐτῆς, καὶ τοὺς λίθους αὐτῆς, καὶ πάντα τὸν χοῦν τῆς οἰκίας ἐξοίσουσιν ἔξω τῆς πόλεως εἰς τόπον ἀκάθαρτον.

* ΚΥΡΙΛΛΟΥ. Ὅτε γὰρ ἅπας ἐπενοήθη θεραπείας τρόπος [τοῖς ἐξ Ἰσραὴλ,] καὶ ὠφέλησαν [μὲν] οὐδὲν [ὑπεξαιρεθέντες οἱ ψωριῶντες λίθοι, ἀνόνητος δὲ ἀπεδείχθη λοιπὸν καὶ ἡ διὰ τῶν Προφητῶν ἀλοι-
Δ φὴ, τουτέστι παράκλησις, εἰσέρχεται πάλιν ἐπισκεψόμενος τὴν λεπρῶσαν ὁ ἱερεύς. εἰσβέβηκε γὰρ ἐν τῷδε τῷ κόσμῳ μετὰ σώματος ὁ μονογενὴς, ὅτε γέγονεν ἄνθρωπος, πόσην ἤ τίνα μεταβολὴν ἐκ τῆς ἀρχαίας φαυλότητος εἰς πολλὴν ἀγαθὴν πολιτείαν ἐλέγχει συναγωγὴ, περισκεψάμενος ἀκριβῶς. ἐπειδὴ δὲ πάθεσι τοῖς ἐξ ἀρχῆς ἐνεχομένην ἔτι κατέλαβε, καὶ νοσοῦσαν ἔμμονον τὴν ἀκαθαρσίαν,] καθαι-
E ρεῖσθαι προστάττει λοιπὸν, ἐκπέμπεσθαι δὲ εἰς τόπον ἀκάθαρτον. λέλυται γὰρ ὅλη τῶν Ἰουδαίων ἡ διὰ νόμου σύστασις, καὶ τὸ ἔθνος εἰς πάντα διεσκορπίσθη τόπον [ἀκάθαρτον.]

μς. Καὶ ὁ εἰσπορευόμενος εἰς τὴν οἰκίαν πάσας τὰς ἡμέρας, ἃς ἀφωρισμένη ἐστὶν, ἀκάθαρτος ἔσται ἕως ἑσπέ-
μζ. ρας. Καὶ ὁ κοιμώμενος ἐν τῇ οἰκίᾳ,
Z πλυνεῖ τὰ ἱμάτια αὐτοῦ. (3) καὶ ὁ ἐσθίων ἐν τῇ οἰκίᾳ, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Πᾶς γὰρ ὁ τοῖς Ἰουδαίοις διὰ τοῦ ἴσα φρονεῖν καθ' οἱονδήποτε τρόπον κολλώμενος, τῆς ἐκείνων ἀκαθαρσίας μέτοχός ἐστιν.

μη. Ἐὰν δὲ παραγενόμενος εἰσέλθῃ ὁ ἱερεὺς καὶ ἴδῃ, καὶ ἰδοὺ διαχύσει οὐ διαχεῖ-

(1) Περίληψις τῶν ἐν τῇ 362, καὶ 363. σελ. τοῦ 1. μέρ. τοῦ 1. Τόμ.

(2) Τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὴν εἰς τὸ ἔθνος ἐπιστροφήν. αὐτ. ἐν σελ. 363.

(3) Καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. καὶ ὁ ἐσθίων ἐν τῇ οἰκίᾳ, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. αἱ προειρημ. ἐκδόσ. καὶ ὁ ἐν ἁγίοις Κύριλ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 365.

διαχεῖται ἡ ἁφὴ ἐν τῇ οἰκίᾳ μετὰ τὸ ἐξαλειφθῆναι τὴν οἰκίαν, καὶ καθαριεῖ ὁ ἱερεὺς τὴν οἰκίαν, ὅτι ἰάθη ἡ ἁφή.

** ΚΥΡΙΛΛΟΥ. Καθῃρέθη μὲν διὰ τὴν εἰς Χριστὸν παροινίαν ὡς ἀκάθαρτος ἡ τῶν Ἰουδαίων συναγωγή, καὶ τῆς Θεοῦ φιλίας ἐξώλισθε, πλὴν ἐν τούτῳ μακρὸν πα-
Ῥωμ. 11. 25. ρατείνασα χρόνον, ἄχρις ἂν εἰσέλθῃ τὸ » πλήρωμα τῶν ἐθνῶν, κατὰ τὴν τοῦ Παύλου φωνὴν, ἐλεηθήσεται παρὰ Χριστοῦ ἐπισκεπτομένου δὴ πάλιν αὐτὴν κατὰ τὸ λεχθὲν ὡς Θεοῦ, καὶ πάλιν εἰς δικαιοσύνην ἐπ' ἐσχάτοις ἐπανάγοντος χρόνοις, δικαιοσύνην δὲ πάντως τὴν διὰ πίστεως καὶ ἀγάπης τῆς εἰς αὐτόν. παραγενήσεται τοίνυν ἐπισκοπήσων καὶ εἰσαῦθις αὐτὴν ὁ πάντων ἀρχιερεὺς, καὶ βελτιουμένην εὑρὼν, παραχρῆμα καθαριεῖ, καὶ προσδέξεται.

μθ. Καὶ λήψεται ἀφαγνίσαι τὴν οἰκίαν δύο ὀρνίθια, (1) καὶ ξύλον κέδρινον, καὶ κεκλωσμένον κόκκινον, καὶ ὕσσωπον.

ΚΥΡΙΛΛΟΥ. Ὅλον δὴ πάλιν ἐν τούτοις περιάθρει τοῦ Σωτῆρος ἡμῶν τὸ μυστήριον, καὶ τὸν διὰ τοῦ ἁγίου βαπτίσματος καθαρισμόν. δύο μὲν γὰρ ὀρνίθια ληφθῆναι κελεύει ζῶντα καὶ καθαρά· ἵνα νοήσῃς διὰ τῶν πετεινῶν τὸν οὐράνιον ἄνθρωπον ὁμοῦ καὶ Θεὸν, εἰς δύο μὲν φύσεις, ὅσον ἧκεν εἰς τὸν ἑκάστῃ πρέποντα λόγον διαιρούμενον. λόγος γὰρ ὢν ὁ ἐκ Θεοῦ πατρὸς ἀναλάμψας, ἐν σαρκὶ τῇ ἐκ γυναικὸς, πλὴν οὐ μεριζόμενος. εἷς γὰρ ἐξ ἀμφοῖν ὢν ὁ Χριστός. καὶ διὰ τοῦτο ὡς δύο λαμβάνεται τὰ ὀρνίθια, καὶ νοεῖται πάλιν ὡς ἓν ἀμφότερα· ζῶντα δὲ καὶ καθαρά. ζωῆς γὰρ καὶ καθαρότητος ἁπάσης παρεκτικὸς καὶ αὐτὸς καθ' ἑαυτὸν ὁ λόγος, καὶ ὁ ἐκ Παρθένου ναὸς, τὸν ζῶντα λόγον ἔχων ἐν ἑαυτῷ. ἦν γὰρ ἴδιον αὐτοῦ τὸ σῶμα, καὶ οὐχ ὡς ἀλλότριον φόρεμα. διά τοι τοῦτο εἷς Κύριος Ἰησοῦς Χριστός. πρὸς δέ γε τοῖς ὀρνιθίοις, καὶ ξύλον κέδρινον λαμβάνειν κελεύει, ἵνα διὰ τούτου ἄφθαρτον εἶναι τὸ σῶμα νοήσῃς Χριστοῦ. οὐ γὰρ οἶδε διαφθοράν. παραιτεῖται γὰρ ἡ κέδρος τὸ φθείρεσθαι. διὰ δὲ τοῦ μὴ κατεφθάρθαι νόει (2) τὸ σῶμα Χριστοῦ, καὶ ἃ ὁ περὶ τῆς ἀναστάσεως λόγος αὐτοῦ εἰσφέρεται. τὸ δὲ κεκλωσμένον κόκκινον, τὴν ἐπὶ τῷ αἵματι τοῦ Σωτῆρος ὁμολογίαν σημαίνει. διὰ δὲ τῆς ὑσσώπου τὴν τοῦ ἁγίου πνεύματος ζέσιν. θερμὴ γὰρ ἡ πόα, καὶ τῶν ἐκ ψυχρότητος παθῶν σμηκτική. τοιαύτη γὰρ καὶ ἡ τοῦ ἁγίου πνεύματος ἐνέργειά τε καὶ δύναμις.

ν. Καὶ σφάξει τὸ ὀρνίθιον τὸ ἓν εἰς σκεῦος ὀστράκινον ἐφ' ὕδατι ζῶντι.

να. Καὶ λήψεται τὸ ξύλον τὸ κέδρινον, καὶ τὸ κεκλωσμένον κόκκινον, καὶ τὴν ὕσσωπον, καὶ τὸ ὀρνίθιον τὸ ζῶν· καὶ βάψει αὐτὰ εἰς τὸ αἷμα τοῦ ὀρνιθίου τοῦ ἐσφαγμένου ἐφ' ὕδατι ζῶντι· καὶ περιῤῥανεῖ ἐν αὐτοῖς ἐπὶ τὴν οἰκίαν
νβ. ἑπτάκις. Καὶ ἀφαγνιεῖ τὴν οἰκίαν ἐν τῷ αἵματι τοῦ ὀρνιθίου, καὶ ἐν τῷ ὕδατι τῷ ζῶντι, καὶ ἐν τῷ ὀρνιθίῳ τῷ
Β ζῶντι, καὶ ἐν τῷ ξύλῳ τῷ κεδρίνῳ, καὶ ἐν τῇ ὑσσώπῳ, καὶ ἐν τῷ κεκλωσμένῳ κοκκίνῳ.

ΚΥΡΙΛΛΟΥ. Λήψεται τοίνυν, φησὶν, ὁ ἁγνίζων τὴν λελεπρωμένην οἰκίαν· τὸ » ὀρνίθιον τὸ ζῶν, καὶ τὸ κέδρινον ξύλον, » καὶ τὸ κόκκινον· καὶ βάψει αὐτὰ εἰς τὸ » αἷμα τοῦ ὀρνιθίου τοῦ ἐσφαγμένου ἐφ' ὕδατι » ζῶντι· καὶ περιῤῥανεῖ ἐν αὐτοῖς τὴν οἰ-
Γ » κίαν ἑπτάκις. καὶ ἀφαγνιεῖ τὴν οἰκίαν ἐν » τῷ αἵματι τοῦ ὀρνιθίου, καὶ τὰ ἑξῆς. οὐ γὰρ ἑτέρως δύνασθαι τὴν τῶν Ἰουδαίων συναγωγὴν τὸν ἐξ ἀπειθείας ἀποπλύνασθαι μολυσμὸν ὁ νόμος ὑπεδήλου, εἰ μὴ διὰ μόνης τῆς διὰ Χριστοῦ εὐλογίας, καὶ τῆς εἰς αὐτὸν πίστεως, τελειουμένης διὰ τοῦ βαπτίσματος. ἐπιτήρει δὲ ὅπως διὰ τῶν προειρημένων ὁλοκλήρως ἡμῖν ζωγραφεῖται ὁ Χριστός. διὰ μὲν γὰρ τοῦ ὀρνιθίου τοῦ ζῶν-
Δ τος, τὸν ζῶντά τε καὶ οὐράνιον νοήσεις λόγον· διὰ δὲ τοῦ αἵματος τοῦ ἐσφαγμένου, τὸ τίμιον αἷμα τοῦ παθόντος ναοῦ· σαρκὶ γὰρ αὐτὸν πεπονθέναι φαμὲν, πλὴν ὡς ἰδίῳ σώματι· διὰ δὲ τοῦ ἀσήπτου ξύλου, τὴν σάρκα τὴν ἀδιάφθορον· διὰ δὲ τῆς ὑσσώπου, τὸ πνεῦμα· διὰ δὲ τοῦ κοκκίνου, τὴν ἐφ' αἵματι διαθήκης τὴν ὁμολογίαν· διὰ δὲ τοῦ ζῶντος ὕδατος, τὴν ζωοποιὸν τοῦ βαπτίσματος χάριν. ᾧ καὶ χρῆναι τὴν οἰ-
Ε » κίαν περιῤῥαίνεσθαί φησιν ἑπτάκις. οὗ γὰρ Ῥωμ. 5. 20.
» ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν » ἡ χάρις.

νγ. Καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον τὸ ζῶν ἔξω τῆς πόλεως εἰς τὸ πεδίον, καὶ ἐξιλάσεται περὶ τῆς οἰκίας, καὶ καθαρὰ ἔσται.

ΚΥΡΙΛΛΟΥ. Εἶτα τούτοις ἐπάγει πά-
Ζ » λιν ὁ νομοθέτης, ὅτι καὶ ἐξαποστελεῖ τὸ » ὀρνίθιον τὸ ζῶν ἔξω τῆς πόλεως εἰς τὸ πεδίον, » καὶ ἐξιλάσεται περὶ τῆς οἰκίας, καὶ » καθαρὰ ἔσται. εἰς τύπον τῆς Ἰουδαίων συναγωγῆς τὴν ἀρτίως ὠνομασμένην ἡμῖν οἰκίαν ἐλάβομεν. πόλιν δὲ εἶναι δώσομεν, τὴν πολλῶν οἰκιῶν περιεκτικήν. τοιαύτην τινὰ νοήσεις τὴν καθ' ἡμᾶς οἰκουμένην, πολλὰ μὲν ἀνθρώπων συνέχουσαν γένη, τείχει δὲ ὥσπερ τινὶ κύκλῳ περιεζωσμένην
Η τῷ στερεώματι· μεθ' ὃ λοιπὸν ἤδη τὸ πλατύ τε καὶ καθαρὸν τῶν ἄνω κόσμων νοεῖται

(1) Ζῶντα καθαρά. αἱ προειρημ. ἐκδόσ.

(2) Νόει τὸ ἅγιον σῶμα Χριστοῦ, πιθανὸς δὴ λίαν ὁ περὶ τῆς ἀναστάσ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 367.

ται πεδίον. διδάσκει τοίνυν διὰ τοῦ πρὸς
τὸ ἔξω τῆς πόλεως πεδίον ἀνίεσθαι τὸ ὀρ-
νίθιον, τὴν τε ἀπὸ τοῦ κόσμου μετάστασιν,
καὶ τὴν εἰς οὐρανοὺς ἀνάβασιν τοῦ Χριστοῦ.
γεγονὼς γὰρ οὗτος πρὸς τὸν πατέρα καὶ
Θεὸν, καὶ ὑπὲρ ἁπάντων ἡμῶν, καὶ τῆς
Ἰουδαίων συναγωγῆς ἐξιλάσεται· καὶ κα-
θαρισθησόμεθα.

A νδ. Οὗτος ὁ νόμος κατὰ πᾶσαν
νε. ἁφὴν λέπρας, καὶ θραύσματος, Καὶ
νς. τῆς λέπρας ἱματίου καὶ οἰκίας, Καὶ
οὐλῆς, καὶ σημασίας, καὶ τοῦ αὐγά-
νζ. ζοντος, Καὶ τοῦ ἐξηγήσασθαι ᾗ ἡμέ-
ρᾳ ἀκάθαρτον, καὶ ᾗ ἡμέρᾳ καθα-
ρισθήσεται· οὗτος ὁ νόμος τῆς λέπρας.

ΚΕΦ. ΙΕ.

α. Καὶ εἶπε Κύριος πρὸς Μωϋ-
σῆν καὶ Ἀαρὼν, λέγων·
β. Λάλησον τοῖς υἱοῖς Ἰσ-
ραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, ἀνδρὶ
ἀνδρὶ ᾧ ἐὰν γένηται ῥύσις ἐκ τοῦ σώ-
ματος αὐτοῦ, ἡ ῥύσις αὐτοῦ ἀκάθαρ-
τός ἐστι.

ΚΥΡΙΛΛΟΥ. Ἡ τοῦ σώματος ῥύσις
τὴν τῆς φύσεως ἐπιτηδειότητα πρὸς καρ-
πογονίαν ἀδικεῖ, πρὸς τὸ μηδὲν καθιεῖσα
τῶν σπερμάτων τὰς χορηγίας, καὶ τοὺς ἐν
τοῖς μορίοις χαλῶσα τόνους, ἀνεθέλητον
ἤδη πως ἐργάζεται τὴν καταφθορὰν, ὡς
ἐν μολυσμοῖς εἶναι μακροῖς καὶ διηνεκέσι
τοὺς τῷ πάθει κατειλημμένους. ἴθι δὴ οὖν
ὡς ἐξ ἀῤῥωστίας σωματικῆς, καὶ ἐναργοῦς
εἰκόνος, ἐπὶ τὰ εἰς νοῦν συμβαίνοντα. κα-
ταφθείρεται γὰρ καὶ αὐτὸς, ἃ μὴ προ-
σῆκεν ἀνόσια διανοούμενος, καὶ ἐπ' οὐδενὶ
τῶν ἀναγκαίων τῆς ἰδίας ἐνεργείας ἐνιεὶς
τὸ σπούδασμα· [ὡς καρπὸν μὲν οὐδένα γνή-
σιον ἔχειν, ὑποφέρεσθαι δὲ ἀείπως πρὸς
τὸ ἀδικοῦν, καὶ ἀκαθέκτως νοσεῖν τὴν εἰς
τὰ αἴσχιω κάθοδον.]

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τὸν γονοῤῥυῆ
ἀκάθαρτον ὀνομάζει; Καὶ ἤδη ἔφην, ὅτι
διὰ τῶν φυσικῶν παιδεύει τὰ γνωμικὰ, καὶ
E διδάσκει διὰ τούτων, ὅπως ἐκεῖνα παγχά-
λεπα. εἰ γὰρ ἡ κατὰ φύσιν γινομένη ῥύ-
σις ἀκάθαρτος, πολλῷ μᾶλλον ἡ λαγνεία
ἀκάθαρτος καὶ παράνομος. διδάσκει δὲ
πάλιν ἡμᾶς φεύγειν τῶν τοιούτων τὰς συ-
νουσίας. ἔφη γὰρ ἀκάθαρτον εἶναι τὸν
τῷ γονοῤῥυεῖ προσπελάζοντα. ὅτι δὲ τῶν
κατὰ φύσιν γιγνομένων οὐδὲν ἀληθῶς ἀκά-
θαρτον, αὐτὸς ὁ νόμος δηλοῖ. εἰ γὰρ ὀστρα-
κίνου σκεύους ἅψαιτο ὁ γονοῤῥυὴς, συντρί-
Z βεσθαι τοῦτο κελεύει· εἰ δὲ χαλκοῦ ἢ ξυλί-
νου, ὕδατι ἀποσμήχεσθαι. ἔδει δὲ καὶ ταῦ-
τα παραπλησίως τοῖς ὀστρακίνοις συντρί-
βεσθαι, εἴπερ ἄρα τῷ ὄντι ἀκάθαρτος ἦν,
ᾧ τόδε τὸ πάθος συνέβαινεν. οὕτω καὶ τὸν
ὀνειρώττοντα ἀκάθαρτον εἶναί φησι, καὶ
τοὺς ἐν νόμῳ γάμου συναπτομένους, καίτοι
αὐτοῦ τὸν περὶ τοῦ γάμου ἐκτεθεικότος νό-
Γεν. 2. 24. » μον, καὶ πρῶτον νόμον. ἀντὶ τούτου γὰρ
» ἔφη καταλείψει ἄνθρωπος τὸν πατέρα
» αὐτοῦ, καὶ τὴν μητέρα αὐτοῦ· καὶ προσ-
» κολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ
» ἔσονται οἱ δύω εἰς σάρκα μίαν. πῶς οὖν
ἀκάθαρτον καλεῖ τὸν κατὰ νόμον μιγνύ-
μενον; ἀλλὰ δῆλόν ἐστιν, ὡς καὶ τῆς κατὰ
νόμον μίξεως τὴν συμμετρίαν διδάσκει, καὶ
κελεύει παιδογονίας χάριν, ἀλλ' οὐ φιληδο-
νίας γίνεσθαι τὴν συνάφειαν. διὰ τοῦτο τοὺς
μιγνυμένους ἀκαθάρτους καλεῖ, καὶ κελεύει
καθαίρεσθαι· ἵνα κωλύῃ τῆς συνουσίας τὸ
συνεχὲς ἡ περὶ τὴν κάθαρσιν ἀσχολία. ὁ
δὲ θεῖος Ἀπόστολος τοῖς τελείοις γράφει·
» τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος· Ἑβρ. 13. 4.
Γ » πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός.

γ. Καὶ οὗτος ὁ νόμος τῆς ἀκαθαρ-
σίας αὐτοῦ· ῥέων γόνον ἐκ τοῦ σώμα-
τος αὐτοῦ, ἐκ τῆς ῥύσεως, ἧς συνέστη-
κε τὸ σῶμα αὐτοῦ διὰ τῆς ῥύσεως, αὕ-
τη ἡ ἀκαθαρσία αὐτοῦ ἐν αὐτῷ· πᾶ-
σαι αἱ ἡμέραι ῥύσεως σώματος αὐτοῦ,
ἧς συνέστηκε τὸ σῶμα αὐτοῦ διὰ τῆς
Δ ῥύσεως, ἀκαθαρσία αὐτοῦ ἐστί.

ΙΣΙΔΩΡΟΥ. Ἐπειδὴ ἔφης δι' ἣν αἰτίαν
ὁ λεπρὸς καὶ ὁ γονοῤῥυὴς, καὶ οἱ τὰ ἄλλα
νοσοῦντες ἀκούσια νοσήματα ἀπείρχθησαν
τῶν ἱερῶν περιβόλων, ὡς ἂν οἷός τε ὦ
φράσω· Ἐπειδὴ γὰρ τεθέασισο, καὶ διὰ
τὴν τῶν ἀνδρῶν σεμνότητα, καὶ διὰ τὴν
τῶν γυναικῶν τιμὴν, ὅτι πρὸς γυναῖκα ἐν Λευϊτ. 20. 18.
καθαρισμῷ ἀκαθαρσίας αὐτῆς οὐ προσε-
λεύσῃ· πολλοὶ δὲ ἐν ἀφέδρῳ οὔσαις καὶ κα-
E θαιρομέναις ταῖς γυναιξὶν, ἢ καὶ ἐγκύοις,
δι' ἀκολασίαν, μᾶλλον δὲ μανίαν ὁμιλοῦσι,
κἀκεῖναι οὐκ οἶδ' ὅπως καταδέχονται. συ-
νέβαινε δὲ πολλάκις τὸ τοῦ ἀνδρὸς σπέρμα
τῷ ἀκαθάρτῳ τῆς θηλείας αἵματι μιγνύ-
μενον, σῶμα πλάττειν οὐ καθαρὸν, οὐδὲ εὔ-
κρατον, ἀλλὰ ποικίλοις πάθεσιν εὐάλω-
τον· ταῦτα βουλόμενος ὁ νομοθέτης προα-
ναστεῖλαι τὰ κακὰ, τοὺς ἐκ τοιούτων συνου-
σιῶν τεχθέντας ἀπεκήρυξε καὶ τῶν ἱερῶν
Z συνόδων ἀφώρισεν, ἵνα μηκέτι τοιαῦτα
δρῶσιν. ὅτι δὲ αὕτη ἐστὶν ἡ αἰτία, δῆλον »
ἐκ τῶν ἐν τῷ Ἰεζεκιὴλ γεγραμμένων. ἐκεῖ »
μὲν γὰρ τὸν δίκαιον ἀνακηρύττων ὁ Θεὸς, »
τὸν δὲ ἁμαρτωλὸν ἀποκηρύττων, τὸν μὲν
ἔφησε γυναικὶ ἐν ἀφέδρῳ οὔσῃ μὴ προσε- Ἰεζ. 18. 6.
ληλυθέναι, τὸν δὲ προσεληλυθέναι. εἰ δὲ
φαίης, ὅτι τοῖς δρῶσι τὴν τιμωρίαν ὑπέ-
χειν ἐχρῆν, φαίην, καὶ ποία ταύτης τιμω-
ρία χαλεπωτέρα; ὅταν γὰρ ἴδοιεν τοὺς ἐξ
H αὐτῶν τεχθέντας, οὓς εὔχονται πολλῷ ἑαυ-
τῶν εὐδοκιμωτέρους ἰδεῖν, μήτε εὐχῶν, μή-
τε πανηγύρεων, μήτε πόλεων, μήτε ἱερῶν
συνόδων μετέχοντας, σκόπει πόσην ὑπο-
στήσονται βάσανον. διά τοι τοῦτο, κἀκεῖνο,

 ὡς

Γεν. 17. 14. ὡς οἶμαι, νενομοθέτηται, καὶ ἔσται πᾶσα » ψυχή, ἥτις ἂν μὴ περιτμηθῇ τῇ ὀγδόῃ » ἡμέρᾳ, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς. κἀνταῦθα γὰρ ἡ αὐτὴ ἔννοια σωθήσεται. τοῖς γὰρ πατράσιν ἀργαλεωτέρα ἐστὶν ἡ τιμωρία, ὅταν τὰ παιδία ἐξολοθρευθεῖεν. ἐκεῖνα μὲν γὰρ τυχὸν πρὸ τῆς διαγνωστικῆς ἡλικίας τελευτήσαντα, οὐδὲ εἰ ἐν τιμωρίᾳ γεγόνασιν εἴσονται, οἱ δὲ γονεῖς ἀνυπόστατον ὑπομενοῦσι τὴν τιμωρίαν.

δ. Πᾶσα κοίτη ἐφ' ἣν ἂν κοιμηθῇ
ἐπ' αὐτῆς ὁ γονοῤῥυὴς, ἀκάθαρτός ἐστι,
καὶ πᾶν σκεῦος ἐφ' ᾧ ἂν καθήσῃ ἐπ'
αὐτῷ ὁ γονοῤῥυὴς, ἀκάθαρτόν ἐστι.
ε. Καὶ ἄνθρωπος ἐὰν ἅψηται τῆς κοίτης
αὐτοῦ, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ
λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ
ς. ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. Καὶ ὁ
καθήμενος ἐπὶ τοῦ σκεύους ἐφ' ᾧ ἂν
καθίσῃ ἐπ' αὐτῷ ὁ γονοῤῥυὴς, πλυνεῖ
τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται ὕδατι,
καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

ΚΥΡΙΛΛΟΥ. Καταμιαίνει γε μὴν πᾶν σκεῦος, ὅπερ ἂν ἅπτοιτο, καὶ κοίτην, καὶ χρῶτα, [καὶ ἀγγεῖα, καὶ ὕδωρ, καὶ σκεύη ξύλινα·] δι' αἰνιγμάτων ὑποδηλῶν, ὅτι τῆς εἰρημένης ἀκαθαρσίας μετάσχοι τὶς ἂν, κἂν εἰ μόνον ἐγγὺς κατὰ διάθεσιν γένοιτο
Ἰούδ. 23. » τὴν πνευματικήν. μισεῖν δὲ καὶ ἡμεῖς κε» λευόμεθα τὸν ἐκ τῆς ἁμαρτίας μεμολυσ» μένον χιτῶνα.

ζ. Καὶ ὁ ἁπτόμενος τοῦ χρωτὸς τοῦ
γονοῤῥυοῦς, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ,
καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ
ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Βάπτισμα ἦν τὸ ἰουδαϊκὸν, τὸ ῥύπων τῶν σωματικῶν ἀπαλλάττον, οὐ τῶν κατὰ συνειδὸς ἁμαρτημάτων. οὐ γὰρ εἴ τις μοιχείαν εἰργάσατο, οὐδὲ εἴ τις κλοπὴν ἐτόλμησεν, οὐδὲ εἴ τις ἄλλο τι τοιοῦτον παρῃνώμησεν, ἀπήλλαττεν αὐτὸν τῶν ἐγκλημάτων· ἀλλ' εἴ τις ὀστῶν ἥψατο νεκρῶν· εἴ τις μὴ νενομισμένης ἐγεύσατο τροφῆς· εἴ τις ἐκ φθορᾶς παρεγένετο· εἴ τις λεπροῖς συνεγίνετο, ἐλούετο, καὶ μέχρι τῆς ἑσπέρας ἀκάθαρ» τος ἦν, εἶτα ἐκαθαίρετο. λούσεται γὰρ » τὸ σῶμα αὐτοῦ ὕδατι καθαρῷ, φησὶ, καὶ » ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. οὐ γὰρ ἀληθῶς ἁμαρτία ταῦτα ἦν, οὐδὲ ἀκαθαρσία· ἀλλ' ἀτελεστέρους ὄντας, διὰ τούτων ποιῶν εὐλαβεστέρους ὁ Θεὸς, πρὸς τὴν τῶν μειζόνων παρατήρησιν ἀκριβεστέρους ἄνωθεν παρεσκεύαζεν.

η. Ἐὰν δὲ προσιαλίσῃ ὁ γονοῤῥυὴς
ἐπὶ τὸν καθαρὸν, πλυνεῖ τὰ ἱμάτια
A αὐτοῦ, καὶ λούσεται ὕδατι, καὶ ἀκά-
θαρτος ἔσται ἕως ἑσπέρας.

ΑΔΗΛΟΥ. Ὁ δὲ Κλήμης (1) λέγει τὸ σιαλίσαι, ὡσανεὶ κάπρος ἐκ φιληδονίας ἔκκρισιν ποιήσασθαι. τὸ γὰρ, ἐσιάλισε, δηλοῖ, ἐκάπρισε.

θ. Καὶ πᾶν ἐπίσαγμα ὄνου, ἐφ'
ᾧ ἂν ἐπιβῇ ἐπ' αὐτῷ ὁ γονοῤῥυὴς, ἀκά-
ι. θαρτον ἔσται. (2) Καὶ πᾶς ὁ ἁπτόμε-
νος ἀπὸ πάντων ὅσα ἂν ᾖ ὑποκάτω
αὐτοῦ, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας·
καὶ ὁ αἴρων αὐτὰ, πλυνεῖ τὰ ἱμάτια
αὐτοῦ, καὶ λούσεται ὕδατι, καὶ ἀκά-
ια. θαρτος ἔσται ἕως ἑσπέρας. Καὶ ὅσων
ἂν ἅψηται ὁ γονοῤῥυὴς, καὶ τὰς χεῖ-
ρας αὐτοῦ οὐ νένιπται ὕδατι, πλυνεῖ τὰ
ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα
ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέ-
ιβ. ρας. Καὶ σκεῦος ὀστράκινον, οὗ ἂν ἅψη-
ται ὁ γονοῤῥυὴς, συντριβήσεται· καὶ
σκεῦος ξύλινον νιφθήσεται ὕδατι, καὶ
καθαρὸν ἔσται.

ιγ. Ἐὰν δὲ καθαρισθῇ ὁ γονοῤῥυὴς
ἐκ τῆς ῥύσεως αὐτοῦ, καὶ ἐξαριθμή-
σεται ἑαυτῷ ἑπτὰ ἡμέρας εἰς τὸν κα-
θαρισμὸν αὐτοῦ, καὶ πλυνεῖ τὰ ἱμά-
Δ τια αὐτοῦ, καὶ λούσεται τῷ σώματι
αὐτοῦ ὕδατι ζῶντι, καὶ καθαρὸς ἔσται.

* ΚΥΡΙΛΛΟΥ. Καθαίρεται γὰρ ὁ γονοῤῥυὴς, πλὴν ἐν Χριστῷ, ὕδατι καὶ αἵματι. ἐν ἑπτὰ δὲ ἡμέρας σημαίνει τὸ διὰ παντὸς τοῦ βίου παρατείνεσθαι τὸν καθαρισμόν. (3) μᾶλλον δὲ ἐὰν, φησὶ, τὸ σπέρμα αὐτοῦ ἐπιπέσῃ ἐπί τινι.

ιδ. Καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ λήψε-
E ται ἑαυτῷ δύω τρυγόνας, ἢ δύω νεοσ-
σοὺς περιστερῶν, καὶ οἴσει αὐτὰ ἔναντι
Κυρίου ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ
μαρτυρίου, καὶ δώσει αὐτὰ τῷ ἱερεῖ.
ιε. Καὶ ποιήσει αὐτὰ ὁ ἱερεὺς μίαν περὶ
ἁμαρτίας, καὶ μίαν εἰς ὁλοκαύτωμα·
καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς
ἔναντι Κυρίου ἀπὸ τῆς ῥύσεως αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Καταση μήνειε δ' ἂν ἡ ὀγδόη τὸν τῆς μετὰ σαρκὸς οἰκονομίας ἡμῖν καιρὸν, ὅτε τὴν ὑπὲρ ἡμῶν ὑπέμεινε σφαγὴν ὁ Ἐμμανουήλ. οὗ τύπος ἂν εἴη τρυγὼν καὶ περιστερά. καταθύεται δὲ μία μὲν ὑπὲρ ἁμαρτίας, ἡ ἑτέρα δὲ εἰς ὁλοκαύτωσιν. ὅτι καὶ ὁ τοῦ Χριστοῦ θάνατος ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, καὶ εἰς ἀναίρεσιν ἁμαρτίας γέγονε.

ις. Καὶ ἄνθρωπος, ᾧ ἂν ἐξέλθῃ
H ἐξ αὐτοῦ κοίτη σπέρματος, καὶ λού-
σεται

(1) Ἐν τοῖς τοῦ Ἀλεξανδρέως ἐκδεδομ. οὐχ εὕρηται. (2) Ἕως ἑσπέρας. αἱ προειρημ. ἐκδόσ.
(3) Τὰ μὲν ἄχρι τοῦ, καθαρισμὸν, περίληψίς εἰσι τῶν ἐν σελ. 551. τοῦ 2. μέρ. τοῦ 1. Τόμ. τὰ δ' ἑπόμενα οὐδ' ὅλως ἐν αὐτοῖς κεῖται.

σεται ὕδατι πᾶν τὸ σῶμα αὐτοῦ, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

** ΚΥΡΙΛΛΟΥ. Καταμιαίνει δὲ αὐτὸν, ὥσπερ ἂν γένοιτο, καὶ ἀνεθέλητος ῥύσις, ἢ γοῦν θελητὴ, καὶ πηγὴν ἔχουσα τὴν ἔμφυτον κίνησιν. καὶ θελητὴ μὲν, ὡς ἐν ὁμιλίαις ταῖς πρὸς γυναῖκα φημὶ, καὶ κατὰ νόμον τοῦ γάμου· ἀνεθέλητος δὲ αὖ, ὡς ἐν φαντασίαις τάχα που νυκτεριναῖς.

ιζ. Καὶ πᾶν ἱμάτιον, καὶ πᾶν δέρ-
B μα ἐφ' ᾧ ἂν ᾖ ἐπ' αὐτῷ κοίτη σπέρματος, καὶ πλυθήσεται ὕδατι, καὶ ἀκάθαρτον ἔσται ἕως ἑσπέρας.

ιη. Καὶ γυνὴ ἐὰν κοιμηθῇ ἀνὴρ μετ' αὐτῆς κοίτην σπέρματος, καὶ λούσονται ὕδατι, καὶ ἀκάθαρτοι ἔσονται ἕως ἑσπέρας.

ΚΥΡΙΛΛΟΥ. Ἴσα γὰρ ἐπ' ἀμφοῖν τὰ ἐγκλήματα, καὶ τὸ παραλλάττον οὐδέν. [ἐν μὲν οὖν τῇ γονοῤῥοίᾳ, τὸ οἱονεὶ μακρόν πως ἡμῖν καὶ διηνεκὲς ἐγράφετο πάθος· ἐν δὲ τῷ προκειμένῳ, καταδηλοῦν ἔοικεν ὁ τοῦ νόμου σκοπὸς, ὡς ἔσται μεμολυσμένος καὶ εἰ μή τις τυχὸν τὴν εἰς ἅπαν καὶ ὁλόκληρον ἀῤῥωστοίη καταφθορὰν, ὁρῷτο δὲ πεπονθὼς κἂν γοῦν ἐκ μέρους, καὶ σπανιάκις.]

ιθ. Καὶ γυνὴ ἥτις ἐὰν ᾖ ῥέουσα αἵματι, καὶ ἔσται ἡ ῥύσις αὐτῆς ἐν τῷ σώματι αὐτῆς, ἑπτὰ ἡμέρας ἔσται ἐν ἀφέδρῳ αὐτῆς· πᾶς ὁ ἁπτόμενος αὐτῆς, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἡ ἀπὸ λεχοῦς φησὶν, ἀκάθαρτός ἐστι. διατί; οὐχὶ σπόρον καὶ γέννησιν αὐτὸς ἐποίησε; τίνος οὖν ἕνεκεν ἀκάθαρτος ἡ γυνὴ, εἰ μὴ ἕτερόν τι ἠνίττετο; τί δὲ τοῦτό ἐστιν; Εὐλάβειαν ἐνέτικτε τῇ ψυχῇ, τῆς πορνείας ἀπήγαγε πόῤῥω. εἰ γὰρ ἡ τεκοῦσα ἀκάθαρτος, πολλῷ μᾶλλον ἡ πορνεύουσα. εἰ τὸ τῇ γυναικὶ τῇ ἑαυτοῦ πλησιάζειν οὐ σφόδρα καθαρὸν, τὸ ἀλλοτρίᾳ μίγνυσθαι πολλῷ μᾶλλον.

κ. Καὶ πᾶν ἐφ' ὃ ἂν κοιτάζηται
ἐπ' αὐτῷ ἐν τῇ ἀφέδρῳ αὐτῆς, ἀκά-
θαρτον ἔσται· καὶ πᾶν ἐφ' ὃ ἂν ἐπικα-
κα. θίσῃ ἐπ' αὐτῷ, ἀκάθαρτον ἔσται. Καὶ
πᾶς ὃς ἐὰν ἅψηται τῆς κοίτης αὐτῆς,
πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται
τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ ἀκάθαρ-
κβ. τος ἔσται ἕως ἑσπέρας. Καὶ πᾶς ὁ ἁπτό-
μενος παντὸς σκεύους ἐφ' ᾧ ἐὰν καθί-
σῃ ἐπ' αὐτῷ, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ,
καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι,
κγ. καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. Ἐὰν
δὲ ἐν τῇ κοίτῃ αὐτῆς οὔσης, ἢ ἐπὶ τοῦ
σκεύους οὗ ἐὰν αὐτὴ κάθηται ἐπ' αὐτῷ
ἐν τῷ ἅπτεσθαι αὐτὸν αὐτῆς, ἀκάθαρ-
κδ. τος ἔσται ἕως ἑσπέρας. Ἐὰν δὲ κοίτῃ
κοιμηθῇ τὶς μετ' αὐτῆς, καὶ γένηται ἡ ἀκαθαρσία αὐτῆς ἐπ' αὐτῷ, ἀκάθαρτος ἔσται ἑπτὰ ἡμέρας· καὶ πᾶσα κοίτη ἐφ' ἣν ἂν κοιμηθῇ ἐπ' αὐτὴν, ἀκάθαρτος ἔσται.

κε. Καὶ γυνὴ ἐὰν ῥέῃ ῥύσιν αἵματος ἡμέρας πλείους, καὶ οὐκ ἐν καιρῷ τῆς
B ἀφέδρου αὐτῆς, ἐὰν καὶ ῥέῃ μετὰ τὴν ἄφεδρον αὐτῆς, πᾶσαι αἱ ἡμέραι ῥύσεως ἀκαθαρσίας αὐτῆς, καθάπερ αἱ ἡμέραι τῆς ἀφέδρου αὐτῆς, ἔσται ἀκάθαρτος.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὴν τὸ περιττὸν τοῦ αἵματος κατὰ φύσιν ἐκκρίνουσαν ἀκάθαρτον ὀνομάζει; Ἃ περὶ τοῦ γονοῤῥυοῦς εἰρήκαμεν, ταῦτα καὶ περὶ ταύτης
Γ φαμέν. πρὸς δὲ τούτοις, ἵνα μηδεὶς ταῖς τοιαύταις συνάπτηται. Φασὶ γάρ τινες ἐκ τῆς τοιαύτης συναφείας καὶ λώβην καὶ λέπραν ἀπογεννᾶσθαι, τοῦ περιττώματος ἐκείνου τὰ διαπλαττόμενα πημαίνοντος σώματα. τούτου χάριν ἀκάθαρτον εἶναί φησι τὸν τῇ τοιαύτῃ συναπτόμενον. συντόμως δὲ τῶν τοιούτων νόμων τὰς αἰτίας ἐδίδαξεν,
» εἰρηκώς· καὶ εὐλαβεῖς ποιήσετε τοὺς υἱοὺς
» Ἰσραὴλ ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν· καὶ
Δ» οὐκ ἀποθανοῦνται διὰ τὴν ἀκαθαρσίαν αὐ-
» τῶν, ἐν τῷ μιαίνειν αὐτοὺς τὴν σκηνήν μου
» τὴν ἐν αὐτοῖς. εἰ δὲ τὰ ἀκούσια μιαίνει, πολλῷ μᾶλλον ἐναγῆ τὰ ἑκούσια. καὶ ταῦτα δὲ μάλα ἥρμοττεν ἐκείνοις, λαγνιστάτοις οὖσι καὶ κακομάχλοις. τότε γὰρ παραβαινόμενον οὐ μέγα, καὶ τηρούμενον ἐπιτηδειοτέρους ἐποίει πρὸς τὰ τέλεια.

κς. Καὶ πᾶσα κοίτη ἐφ' ἧς ἂν
E κοιμηθῇ ἐπ' αὐτῆς πάσας τὰς ἡμέρας τῆς ῥύσεως αὐτῆς, κατὰ τὴν κοίτην τῆς ἀφέδρου αὐτῆς ἔσται αὐτῇ. καὶ πᾶν σκεῦος ἐφ' ᾧ ἂν καθίσῃ ἐπ' αὐ-
τῷ, ἀκάθαρτον ἔσται κατὰ τὴν ἀκα-
κζ. θαρσίαν τῆς ἀφέδρου αὐτῆς. Πᾶς ὁ
ἁπτόμενος αὐτῆς, ἀκάθαρτος ἔσται,
καὶ πλυνεῖ τὰ ἱμάτια, καὶ λούσεται
τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ ἀκάθαρτος
Z ἔσται ἕως ἑσπέρας.

κη. Ἐὰν δὲ καθαρισθῇ ἀπὸ τῆς
ῥύσεως αὐτῆς, ἐξαριθμηθήσεται αὐ-
τῇ ἑπτὰ ἡμέρας, καὶ μετὰ ταῦτα
κθ. καθαρισθήσεται. Καὶ τῇ ἡμέρᾳ τῇ
ἑβδόμῃ (1) λήψεται αὐτὴ δύω τρυ-
γόνας, ἢ δύω νεοσσοὺς περιστερῶν, καὶ
οἴσει αὐτὰ πρὸς τὸν ἱερέα ἐπὶ τὴν θύ-
λ. ραν τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ
ποιήσει ὁ ἱερεὺς τὴν μίαν περὶ ἁμαρ-
τίας, καὶ τὴν μίαν εἰς ὁλοκαύτωμα·
καὶ

(1) Τῇ ὀγδόῃ. αἱ προειρημ. ἐκδόσ. καὶ ὁ Ἀπολινάριος, ὡς ἐκ τοῦ προκειμ. ὑπομνήμ. δῆλον.

καὶ ἐξιλάσεται περὶ αὐτῆς ὁ ἱερεὺς ἔναντι Κυρίου ἀπὸ ῥύσεως ἀκαθαρσίας αὐτῆς.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὰ τῆς ῥύσεως σύμβολα, τῆς ἀνδρῶν τε καὶ γυναικῶν, ἔχεται τῆς τοῦ τελείου εἰς ἀτελὲς ἀποῤῥοῆς· δι' ἣν καὶ ἡ τίκτουσα ἀκάθαρτος ἕως τῶν τῆς τελειώσεως ἡμερῶν. διαλλάττει δὲ καὶ ἐνταῦθα τὸ διηνεκὲς τοῦ προσκαίρου. ὁ μὲν γὰρ γονοῤῥυὴς καὶ ἡ αἱμοῤῥοοῦσα, διηνεκὲς καὶ τῶν ἀεὶ πρὸς τὰ ἀτελῆ καμπτομένων, καὶ ἀποῤῥεόντων τοῦ τελείου, σημεῖα· οἱ δὲ ἐν ῥύσει τῇ προσκαίρῳ, τὴν μερικὴν ἀπὸ τοῦ τελείου καταφορὰν ὑποφαίνουσιν. εἰς δὲ τὴν ὀγδόην καθαίρεται, δεικνὺς τὸ ἀποκαθισάμενον ἐν τῇ μελλούσῃ ζωῇ τῇ φύσει τῶν ἀνθρώπων. ὁ δὲ τὰς τοῦ μέλλοντος αἰῶνος δυνάμεις προσάγων Χριστὸς ὑπέδειξε τὴν κάθαρσιν διὰ τοῦ λεπροῦ καὶ τῆς αἱμοῤῥούσης. ὅθεν ἤδη καὶ πέπαυται ἡ τῶν τοιούτων ἀκαθαρσία τῇ πρὸς τοὺς καθαρθέντας συγγενείᾳ.

A λα. Καὶ εὐλαβεῖς ποιήσετε τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν· καὶ οὐκ ἀποθανοῦνται διὰ τὴν ἀκαθαρσίαν αὐτῶν, ἐν τῷ μιαίνειν αὐτοὺς τὴν σκηνήν μου τὴν ἐν αὐτοῖς.

** ΚΥΡΙΛΛΟΥ. Κεκαθαρμένοι γὰρ δὴ καὶ ἡγιασμένοι διὰ Χριστὸν, ὅτε δὴ τότε λαμπροὶ προσίεμεν ἀληθῶς, καὶ οὐ
B μιανοῦμεν ἔτι τὴν ἁγίαν σκηνήν· προσκυνήσομεν δὲ καθαροὶ καθαρῶς τῷ πανάγνῳ Θεῷ, φοιτῶντες ἐν ἐκκλησίαις.

λβ. Οὗτος ὁ νόμος τοῦ γονοῤῥυοῦς· καὶ ἐάν τινι ἐξέλθῃ ἐξ αὐτοῦ κοίτη σπέρματος, ὥστε μιανθῆναι ἐν αὐτῇ.

λγ. Καὶ τῇ αἱμοῤῥοούσῃ ἐν τῇ ἀφέδρῳ αὐτῆς, καὶ γονοῤῥυεῖ ἐν τῇ ῥύσει αὐτοῦ τῷ ἄρσενι ἢ τῇ θηλείᾳ, καὶ τῷ ἀν-
Γ δρὶ, ὃς ἂν κοιμηθῇ μετὰ ἀποκαθημένης.

ΚΕΦ. ΙϚ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, μετὰ τὸ τελευτῆσαι τοὺς δύο υἱοὺς Ἀαρὼν ἐν τῷ προσφέρειν αὐτοὺς πῦρ ἀλλότριον ἔναντι Κυρίου, καὶ ἐτελεύτησαν.

β. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, λάλησον πρὸς Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ μὴ εἰσπορευέσθω πᾶσαν ὥραν εἰς τὰ ἅγια ἐσώτερον τοῦ καταπετάσματος εἰς πρόσωπον τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, καὶ οὐκ ἀποθανεῖται· ἐν γὰρ νεφέλῃ ὀφθήσομαι ἐπὶ τοῦ ἱλαστηρίου.

ΘΕΟΔΩΡΙΤΟΥ. Πότε ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων εἰσῄει; Ἐν τῇ τοῦ ἱλασμοῦ ἡμέρᾳ, ἣν ἐπιτελεῖσθαι προσέταξεν ὁ Θεὸς τῇ δεκάτῃ τοῦ ἑβδόμου μηνός. εἶπε
» γάρ φησι Κύριος πρὸς Μωϋσῆν, λάλησον
» πρὸς Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ μὴ εἰσπο-
» ρευέσθω κατὰ πᾶσαν ὥραν [εἰς τὸ ἅγιον]
» ἐσώτερον τοῦ καταπετάσματος εἰς πρόσω-
» πον τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ
» μαρτυρίου, καὶ οὐκ ἀποθανεῖται· ἐν γὰρ
» νεφέλῃ ὀφθήσομαι ἐπὶ τοῦ ἱλαστηρίου. ἐντεῦθεν δῆλον, ὡς ἐν τῷ ἱλαστηρίῳ τὴν οἰκείαν ἐπιφάνειαν ὁ δεσπότης ἐποιεῖτο Θεός· καὶ τὴν οἰκείαν ἐμφαίνων ἀγαθότητα οὐκ ἐν γνόφῳ καὶ καπνῷ καὶ πυρὶ, καθάπερ τῷ Ἰσραὴλ, ἀλλ' ἐν νεφέλῃ φωτοειδεῖ ἑωρᾶτο.

** ΚΥΡΙΛΛΟΥ. Ἔδει γὰρ ἔδει τὸν Ἀαρὼν εἰκόνα καὶ τύπον ἀποπληροῦν τεταγμένην τῆς ἱερωσύνης Χριστοῦ, μὴ κατὰ πᾶσαν ὥραν, ἤγουν ἐν παντὶ καιρῷ, τὴν εἰς τὰ ἅγια τῶν ἁγίων ποιούμενον εἰσδρομὴν, οἱονεὶ παρασημαίνειν τοῦ μυστηρίου τὸ κάλλος. ἅπαξ γὰρ εἰσβέβηκεν ὁ Χριστὸς, αἰω- Ἑβρ. 9. 12.
» νίαν λύτρωσιν εὑράμενος. πλημμέλημα τοίνυν εἰς αὐτὴν τὴν ἀλήθειαν διὰ τῶν ἐν τύποις, τὸ μὴ κατ' ἔτος καὶ ἅπαξ εἰς τὰ
Δ ἅγια τῶν ἁγίων εἰσελαύνειν τὸν Ἀαρὼν, ἀλλὰ κατὰ πᾶσαν ὥραν, καὶ ὡς ἐν παντὶ καιρῷ. διὰ τοῦτο χρῆναι τηρεῖν προσέταξεν, ἵνα μὴ ἀποθάνῃ.

γ. Οὕτως εἰσελεύσεται ὁ Ἀαρὼν εἰς τὰ ἅγια· ἐν μόσχῳ ἐκ βοῶν περὶ ἁμαρτίας, καὶ κριῷ εἰς ὁλοκαύτωμα.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδίδαξε δὲ καὶ τῶν
Ε θυσιῶν τὸν τρόπον, αἷς ἔδει τὸν ἀρχιερέα χρησάμενον τῶν ἀδύτων κατατολμῆσαι. ἐκέλευσε γὰρ μόσχον μὲν ἱερεῦσαι περὶ ἁμαρτίας, κριὸν δὲ ὁλοκαυτῶσαι· καὶ ταῦτα μὲν ὑπὲρ ἑαυτοῦ προσενεγκεῖν. ὑπὲρ δὲ παντὸς τοῦ λαοῦ δύο τράγους περὶ ἁμαρτίας λαβεῖν, καὶ ἕνα κριὸν εἰς ὁλοκαύτωμα.

** ΚΥΡΙΛΛΟΥ. Ἦν μὲν καὶ σφόδρα εἰκὸς, μᾶλλον δὲ καὶ ἀναγκαῖον, τὸν θεσπέσιον Ἀαρὼν ὑπὲρ τῶν ἰδίων ἀγνοημάτων
Ζ θυσίαν προσφέρειν. οὐ γὰρ ἂν νοοῖτο γεγονὼς τοῦ πλημμελεῖν ἐν ἀμείνοσιν, ἄνθρωπος ὤν. Καὶ μετ' ὀλίγα. Νοεῖται δὲ πάλιν ὡς ἔν γε τῷ μόσχῳ Χριστός. ἀμφιλαφῆ γὰρ λίαν τὰ ὑπὲρ ἁγίων προσκομιζόμενα τῷ Θεῷ, καὶ πλούσιοι σφόδρα τῶν τοιούτων οἱ τρόποι. ἱερὸν δὲ ζῶον, καὶ τῶν ἄλλων ἁπάντων τῶν εἰς θυσίαν ἐπιτηδείων ὑπερκείμενον τὸ τοῦ μόσχου χρῆμα. οὐκοῦν τῆς θυσίας τὸ τέλειον ὑπεμφαίνοιεν ἂν ἡμῖν ὁ μό-
Η σχος. κριὸς δὲ πάλιν εἰς ὁλοκαύτωσιν. γέγονε γὰρ εἰς ὀσμὴν εὐωδίας ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῷ Θεῷ καὶ πατρὶ, τὸ οἱονεὶ βδελυρόν τε καὶ κάκοσμον τῆς ἁμαρτίας τοῦ κόσμου παραλύων ἐν ἑαυτῷ.

δ. Καὶ

δ. Καὶ χιτῶνα λινοῦν ἡγιασμένον
ἐνδύσεται, καὶ περισκελὲς λινοῦν ἔσαι
ἐπὶ τοῦ χρωτὸς αὐτοῦ, καὶ ζώνη λινῇ
ζώσεται, καὶ κίδαριν λινῆν περιθήσε-
ται, ἱμάτια ἅγιά ἐσι· καὶ λούσεται
ὕδατι πᾶν τὸ σῶμα αὐτοῦ, καὶ ἐνδύ-
σεται αὐτά.

Τὸ λινοῦν, καὶ λινῆν ζώνην, Ἄλλος φησί, διπλοῦν, καὶ διπλῆν.

** ΚΥΡΙΛΛΟΥ. Οὐκ ἐν τῷ τῆς ἀρχιερωσύνης σχήματι ὁρᾶται κατ᾽ ἐκεῖνο καιροῦ. Καὶ μετ᾽ ὀλίγα. Οὐ γὰρ ἦν ἀκόλουθον ὑπὲρ ἰδίων θύοντα πλημμελημάτων τὸν Ἀαρὼν, ἐν εἴδει φαίνεσθαι τοῦ Χρισοῦ, τοῦ μὴ εἰδότος τὴν ἁμαρτίαν.

* ΤΟΥ ΑΥΤΟΥ. Ὁ σολισμὸς τοῦ Ἀαρὼν τῆς τοῦ Σωτῆρος ἡμῶν βασιλείας καὶ ἱερωσύνης ἐνετύπου τὸ κάλλος. ὕδατι δὲ προκαθαγνίζεσθαι τὸν Ἀαρὼν ἐγκελεύεται, δηλῶν ὡς ἀμήχανον εἰς τὴν ἀληθινὴν εἰσελθεῖν σκηνὴν, μὴ οὐχὶ τῷ τῆς παλιγγενεσίας ὕδατι προκαθηγνισμένους. (1)

ε. Καὶ παρὰ τῆς συναγωγῆς τῶν
υἱῶν Ἰσραὴλ λήψεται δύω τράγους ἐξ
αἰγῶν περὶ ἁμαρτίας, καὶ κριὸν ἕνα
ς. εἰς ὁλοκαύτωμα. Καὶ προσάξει Ἀα-
ρὼν τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας
τὸν ἑαυτοῦ, καὶ ἐξιλάσεται περὶ αὐτοῦ,
ζ. καὶ τοῦ οἴκου αὐτοῦ. Καὶ λήψεται τοὺς
δύω τράγους, καὶ παραςήσει αὐτοὺς
ἔναντι Κυρίου παρὰ τὴν θύραν τῆς σκη-
νῆς τοῦ μαρτυρίου.

η. Καὶ ἐπιθήσει Ἀαρὼν ἐπὶ τοὺς
δύω τράγους κλήρους· κλῆρον ἕνα τῷ
Κυρίῳ, καὶ κλῆρον ἕνα τῷ ἀποπομ-
θ. παίῳ. Καὶ προσάξει Ἀαρὼν τὸν τρά-
γον, ἐφ᾽ ὃν ἐπῆλθεν ἐπ᾽ αὐτὸν ὁ κλῆ-
ρος τῷ Κυρίῳ, καὶ προσοίσει περὶ
ι. ἁμαρτίας. Καὶ τὸν τράγον, ἐφ᾽ ὃν
ἐπῆλθεν ἐπ᾽ αὐτὸν ὁ κλῆρος τοῦ ἀπο-
πομπαίου, σήσει αὐτὸν ζῶντα ἔναντι
Κυρίου, ὥσε ἐξιλάσασθαι ἐπ᾽ αὐτοῦ,
ὥσε ἐξαποσεῖλαι αὐτὸν εἰς τὴν ἀπο-
πομπὴν, καὶ ἀφήσει αὐτὸν εἰς τὴν
ἔρημον, καὶ λήψεται ὁ τράγος ἐφ᾽
ἑαυτῷ τὰς ἀνομίας τοῦ λαοῦ εἰς γῆν
ἄβατον.

Κλῆρον ἕνα τῷ Κυρίῳ, καὶ κλῆρον ἕνα τῷ ἀποπομπαίῳ. Ἀκύλας καὶ Θεοδοτίων, κλῆρος εἷς κεκρατημένος, καὶ εἷς ἀπερχόμενος.

ΘΕΟΔΩΡΙΤΟΥ. Προσέταξε δὲ καὶ κλήρῳ διελεῖν τοὺς τράγους, καὶ τὸν μὲν ἱερεῦσαι, τὸν δὲ εἰς τὴν ἔρημον ἀποσεῖλαι.
Η τοῦτο δέ τινες ἀνοήτως νενοηκότες, δαιμονά τινα τὸν ἀποπομπαῖον ἐνόμισαν. τοῦτο

Α δέ γε ἐκ πολλῆς ὑπέλαβον εὐηθείας. πῶς
» γὰρ οἷόν τε ἦν τὸν εἰρηκότα, οὐκ ἔσονταί- Ἐξόδ. κ. 3, 5.
» σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ, καὶ οὐ προσκυ-
» νήσεις οὐδὲ λατρεύσεις Θεῷ ἑτέρῳ πλὴν
ἐμοῦ, δαίμονί τινι τὴν ἴσην ἀπονεῖμαι κε-
λεῦσαι θυσίαν; ἔδει δὲ αὐτοὺς ἐπισῆσαι τὸν
νοῦν, ὅτι καὶ τὸν ἀπολυόμενον τράγον
» ἑαυτῷ προσενεχθῆναι προσέταξε. λήψη
» γάρ φησι τὸν τράγον τὸν ζῶντα ἔναντι
» Κυρίου, τοῦ ἐξιλάσασθαι ἐπ᾽ αὐτοῦ, τοῦ ἐξα-
Β » ποσεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπὴν εἰς τὴν
ἔρημον. τοῦτο δὲ δηλοῖ, ὡς αὐτὸς ὁ τράγος
ἀποπομπαῖος ἐκλήθη, ὡς ἀποπεμπόμε-
νος εἰς τὴν ἔρημον. τοῦτο γὰρ καὶ τὸ ἑξῆς
» δηλοῖ· καὶ λήψεται ὁ τράγος ἐφ᾽ ἑαυτῷ
» τὰς ἀνομίας αὐτῶν εἰς τὴν ἄβατον. καὶ
ὁ Σύμμαχος δὲ τὸν ἀποπομπαῖον οὕτως
ἡρμήνευσεν, εἰς τράγον ἀπερχόμενον, ὥσε
ἀποσεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπήν· ὁ δὲ
Ἀκύλας, εἰς τράγον ἀπολελυμένον εἰς τὴν
Γ ἔρημον. οὐ τοίνυν Θεῷ τινὶ, ἢ δαίμονι ἀπε-
σέλλετο, ἀλλ᾽ ἀμφότεροι μὲν τῷ Θεῷ προ-
σεφέροντο· τοῦ δὲ ἑνὸς θυομένου, ὁ ἕτερος
τὰς ἁμαρτίας τοῦ λαοῦ λαμβάνων, εἰς τὴν
ἔρημον ἀπεπέμπετο. ὥσπερ [γὰρ] ἐπὶ τοῦ
καθαιρομένου λεπροῦ, τοῦ ἑνὸς ὀρνιθίου θυο-
μένου, τὸ ἕτερον εἰς τὸ τούτου αἷμα βαπτό-
μενον ἀπελύετο· οὕτως ὑπὲρ τῶν τοῦ λαοῦ
ἁμαρτημάτων δύω τράγων προσφερομέ-
νων, ὁ μὲν ἐθύετο, ὁ δὲ ἀπεπέμπετο. τύ-
Δ ποι δὲ ταῦτα πάλιν τοῦ δεσπότου Χρισοῦ,
τῶν δύω τούτων ζώων, οὐκ εἰς δύω πρόσωπα,
ἀλλ᾽ εἰς δύω φύσεις λαμβανομένων. ἐπει-
δὴ γὰρ οὐχ οἷόν τε ἦν ἐν ἑνὶ τράγῳ σκιο-
γραφηθῆναι καὶ τὸ θνητὸν καὶ τὸ ἀθάνα-
τον τοῦ δεσπότου Χρισοῦ· θνητὸς γὰρ μόνον
ὁ τράγος· ἀναγκαίως δύω προσαχθῆναι
προσέταξεν· ἵνα ὁ μὲν θυόμενος τῆς σαρ-
κὸς τὸ παθητὸν προτυπώσῃ· ὁ δὲ ἀπολυό-
μενος δηλώσῃ τὸ ἀπαθὲς τῆς Θεότητος.
Ε οὕτω καὶ ὁ μακάριος Δαβὶδ τοῦ δεσπότου Χρι-
σοῦ τὸ πάθος, καὶ τὴν ἀνάσασιν, καὶ τὴν
εἰς οὐρανοὺς ἀνάβασιν προθεσπίζων, ἔφη·
» ὁ Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ Ψαλ. 76. 7, 8.
» λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ
» γῆ ἐσείσθη. καὶ γὰρ οἱ οὐρανοὶ ἔσαξαν. ἐδι-
δάχθημεν δὲ, ὡς τοῦ δεσπότου σαυρουμένου
Χρισοῦ, καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι
ἐῤῥάγησαν· ὁ δὲ οὐρανὸς διὰ τοῦ σκοτισθέν-
τος ἡλίου ἐμήνυσε τὴν τῆς ἀσεβείας ὑπερ-
Ζ βολήν. ἡ δέ γε ἔρημος, τοῦ θανάτου τύπος
» ἐσί. τούτου χάριν ἔφησεν, ἐν τῷ διαβαίνειν
» σε ἐν τῇ ἐρήμῳ. ἀλλὰ μηδεὶς ἀνάρμοσον
ὑπολάβοι, τοὺς τράγους προτυποῦν τοῦ Σω-
τῆρος τὸ πάθος, ἐπειδήπερ ἀμνὸν αὐτὸν Ἰωάν. 1. 29.
ὁ μέγας προσηγόρευσεν Ἰωάννης. σκοπη-
σάτω δὲ, ὡς οὐ μόνον ὑπὲρ δικαίων, ἀλλὰ
καὶ ὑπὲρ ἁμαρτωλῶν ἑαυτὸν προσενήνο-
χεν. ἐρίφους δὲ, τὴν τῶν ἁμαρτωλῶν συμ-
μορίαν αὐτὸς ἀπεκάλεσεν ὁ δεσπότης. σή-
Η » σει γὰρ ἔφη τοὺς ἀμνοὺς ἐκ δεξιῶν, τοὺς δὲ Ματθ. 25. 33.
» ἐρίφους ἐξ εὐωνύμων. καὶ ἐν τῷ νόμῳ δὲ
περὶ ἁμαρτίας ἔριφος προσεφέρετο. αὐ-
τὸς

(1) Ἄλλως πως ταῦτα συντεταγμένα κεῖται ἐν τῇ 373. σελ. τοῦ 1. μέρ. τοῦ 1. Τόμ.

τὸς δέ γε ὁ Κύριος τὸν χαλκοῦν ὄφιν τύπον
Ἰωάν. 3. 14. ἑαυτοῦ κέκληκε. καθὼς γάρ φησι Μωϋσῆς
15. „ ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψω-
„ θῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου· ἵνα πᾶς ὁ
„ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ'
„ ἔχῃ ζωὴν αἰώνιον. εἰ τοίνυν ἀνάρμοσος τῶν τράγων ὁ τύπος, πολλῷ μᾶλλον ὁ τοῦ ὄφεως. ταῦτα μὲν οὖν προεδίδασκε τῆς οἰκουμένης τὴν σωτηρίαν. Ἰουδαίους δὲ δὴ οἷα νηπίους ἐψυχαγώγει, τὸ τὸν τράγον εἰς τὴν ἔρημον ἀπάγειν τὴν ἁμαρτίαν· ἀνεμίμνησκε γὰρ αὐτοὺς τῆς πολλάκις τολμηθείσης ἐν τῇ ἐρήμῳ παρανομίας· καὶ τῆς ἀῤῥήτου τοῦ δεσπότου φιλανθρωπίας, δι' ἣν τὰς ἐνδίκους τιμωρίας διαφυγόντες, εἰς τὴν ἐπηγγελμένην εἰσεληλύθασι γῆν.

ΚΥΡΙΛΛΟΥ. Δύο μὲν παρεκομίζοντο χίμαροι καλοί τε καὶ ἰσομεγέθεις ἀλλήλοις, ὁμόχροοί τε καὶ ἰσήλικες· κλῆροι δὲ ἐγράφοντο δύω, τὰ τῶν χιμάρων ὀνόματα κατασημαίνοντες. εἷς μὲν γὰρ ὠνομάζετο, Κύριος· ἕτερος δὲ, Ἀποπομπαῖος, διὰ τὸ ἀποπέμπεσθαι. τοὔνομα γὰρ ἐντεῦθεν αὐτῷ. οὐχὶ δαίμονα δὲ τὸν ἀποπομπαῖον, ἀλλ' αὐτὸ τὸ ζῶον νοήσομεν εἰρῆσθαι. καὶ ὁ μὲν Κύριος, τοῦτο γὰρ ὡς ἔφην ὄνομα τῷ τῶν χιμάρων ἑνὶ, ἐσφάζετο. ἡγίαζε δὲ τὸ αἷμα τὴν ἐσωτάτω σκηνὴν, καὶ τὸ ἔξω τῶν ὁλοκαρπωμάτων θυσιαστήριον, ἐφ' ᾧ τὰς κατὰ νόμον ἐτέλουν θυσίας. ὅ γε μὴν ἕτερος, τουτέστιν ὁ Ἀποπομπαῖος, εἰς τὴν ἄβατον ἐξεπέμπετο, κατηγορηκότος ἐπ' αὐτῷ τοῦ Ἀαρὼν τὰς ἁμαρτίας τῶν υἱῶν Ἰσραήλ. σημαίνεται δὲ δι' ἀμφοῖν ὁ Χριστὸς, ἀποθανὼν μὲν ὡς ἄνθρωπος, καὶ τεθυμένος ὑπὲρ ἡμῶν, ὡς ἐν εἴδει τράγου. ἐσφάζετο γὰρ εἰς ἄφεσιν ἁμαρτίας ὁ χίμαρος, ἁγιάζων δὲ τὴν ἐκκλησίαν, ὡς ἐν τύπῳ νοουμένην τῆς ἐσωτάτω σκηνῆς, καὶ μὴν καὶ αὐτοὺς τοὺς ἐν κόσμῳ. (1) ἡγιάζε-
το γὰρ ὡς ἔφην τῷ αἵματι τοῦ χιμάρου καὶ
Ἑβρ. 7. 7. αὐτὸ τὸ κατὰ νόμον θυσιαστήριον. χωρὶς
„ δὲ πάσης ἀντιλογίας τὸ ἔλαττον ὑπὸ τοῦ
„ κρείττονος εὐλογεῖται. οὐκοῦν ἐν νόμῳ τὸ τέλειον, [οὐδ' ἂν ἔχῃ τὸ ἁγιάζειν δύνασθαί τινας ἡ κατὰ νόμον λατρεία.] δεῖται δὲ τοῦ τελειοῦντος Χριστοῦ, καὶ ἁγιάζοντος τοὺς τὴν νομικὴν λατρείαν ἐπιτηδεύοντας. τοιγάρτοι καὶ ὁ θεσπέσιος Παῦλος περὶ ἑαυτοῦ, καὶ τῶν ἐκ περιτομῆς κεκλημένων,
Γαλ. 2. 16. φησίν· εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος
„ ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ
„ Χριστοῦ· καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπι-
στεύσαμεν, ἵνα ἔχωμεν δηλονότι τὴν παρ' αὐτοῦ δικαιοσύνην. οὐκοῦν τέθυται μὲν ὑπὲρ τῶν ἡμετέρων ἁμαρτιῶν, ἀνεβίω δὲ αὖ, καὶ εἰς τὴν ἀνθρώποις ἄβατον ἀπεδήμησε
A χώραν, τουτέστι τὸν οὐρανὸν, ἀποβαστάζων
„ ὥσπερ τὰς ἡμῶν ἁμαρτίας. αὐτὸς γάρ φησι Ἡσ. 53. 4.
„ τὰς ἁμαρτίας ἡμῶν αἴρει, καὶ περὶ ἡμῶν
ὀδυνᾶται· τοῦτο οἶμαι ἐστὶν ὁ ἀποπομπαῖος· ἀπεπέμπετο γὰρ ὥσπερ ἐκ τῶν καθ' ἡμᾶς εἰς τὴν ἄνω πόλιν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν, καὶ εἰς τὴν ἀνθρώποις ἄβατον ἀποπεφοίτηκε χώραν, ἧς ἂν εἴη τύπος ἡ ἔρημος. ἡ δὲ τῶν χιμάρων εἰς πᾶν ὁτιοῦν ἰσότης, τὸν αὐτὸν ὄντα
B παρέδειξεν αἰνιγματωδῶς. ἐπειδὴ γὰρ οὐκ ἦν τὸν ἀποσφαγέντα χίμαρον ἀναβιῶναι πάλιν· ἔδοξε γὰρ ἂν τερατοποιΐα τὶς εἶναι τὸ χρῆμα· ταύτῃ τοι οἰκονομικῶς δύω παρελαμβάνοντο, τὴν πρὸς ἀλλήλους ἐμφέρειαν ἔχοντες. καθάπερ ἀμέλει καὶ ἐπὶ τοῦ καθαρισμοῦ τοῦ λεπροῦ, δύω πάλιν ὀρνίθια παρεκομίζοντο· ὧν τὸ μὲν ἓν ἐσφάζετο, θάτερον δὲ ἀνίετο κατὰ τὴν ἔρημον. διὰ μυρίων γὰρ παραδειγμάτων ἐξεπαίδευσεν
Γ ἡμᾶς ὁ νόμος τὸ τοῦ Χριστοῦ μυστήριον.

ΤΟΥ ΑΥΤΟΥ. Δι' ἀμφοῖν τῶν χιμάρων ὁ Χριστὸς σημαίνεται· ἀποθανὼν μὲν ὡς ἄνθρωπος, καὶ θυόμενος ὑπὲρ ἡμῶν ὡς ἐν εἴδει τράγου. ἀνεβίω δὲ αὖ, καὶ εἰς τὴν ἐν ἀνθρώποις ἄβατον ἀπεδήμησε χώραν, τουτέστι τὸν οὐρανὸν, βαστάζων τὰς ἡμῶν ἁμαρτίας. τοῦτό ἐστιν ὁ ἀποπομπαῖος. ἀπεπέμπετο γὰρ εἰς τὴν ἄνω πόλιν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ. (2)

Δ ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὸν χίμαρον τὸν ἀποπομπαῖον. ὁ Σύμμαχος, τράγον ἀπερχόμενον· Ἀκύλας, τράγον ἀπολελυμένον. οὐ γὰρ ἑτέρῳ τινὶ Θεῷ, ἢ δαίμονι ἐκπέμπεται ὁ τράγος ὁ τὰς ἁμαρτίας ἀναδεξάμενος. Θεὸς γὰρ μόνος ἀφίησιν ἁμαρτίας· καὶ τὸ προσαχθὲν Θεῷ, ἀδύνατον μὴ εἶναι ἅγιον· τὸ δὲ ἅγιον, Θεοῦ, καὶ οὐδενὸς ἑτέρου· μὴ γένοιτο. ἰσορρεῖται δὲ ὅτι
E καὶ ὅμοιος καὶ ἴσος τῷ ἑτέρῳ, ἵνα τὸν ἕνα δηλῶσιν ἀμφότεροι.

ΑΛΛΟΣ φησὶν, ἀμφότεροι τῷ Θεῷ προσεφέροντο· τοῦ δὲ ἑνὸς θυομένου, ὁ ἕτερος τοῦ λαοῦ τὰς ἁμαρτίας λαμβάνων, εἰς τὴν ἔρημον ἀπεπέμπετο· ὡς ἐπὶ τὸν λεπρὸν, τοῦ ἑνὸς ὀρνιθίου θυομένου, τὸ ἕτερον εἰς τὸ τούτου αἷμα βαπτιζόμενον ἀπελύετο.

ΙΟΥΣΤΙΝΟΥ ΜΑΡΤΥΡΟΣ. Ὁ τῆς
Z ἀποπομπῆς τράγος, τὸν τύπον τοῦ τὰς ἁμαρτίας τῶν ἀνθρώπων ἀναλαμβάνοντος ἐξετέλει. οἱ δὲ δύω, τὴν μίαν παρεῖχον τοῦ ἐνανθρωπήσαντος Θεοῦ οἰκονομίαν.
„ ἐτραυματίσθη γὰρ διὰ τὰς ἀνομίας ἡμῶν· Ἡσ. 53. 5, 12.
„ καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ
„ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη. (3)

ια. Καὶ

(1) Ἐν νόμῳ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 375.

(2) Ἀπόσπασμά ἐστι τοῦ προλαβόντος.

(3) Τοῦτο μὲν ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. ἐν δὲ τῷ πρὸς Τρύφ. διαλόγ. τάδε κεῖται. Οἱ ἐν τῇ νηστείᾳ τράγοι δύω ὅμοιοι κελευσθέντες γίνεσθαι, ὧν ὁ εἷς ἀποπομπαῖος ἐγίνετο, ὁ δὲ ἕτερος εἰς προσφορὰν, τῶν δύω παρουσιῶν τοῦ Χριστοῦ καταγγελία ἦσαν· μιᾶς μὲν, ἐν ᾗ ὡς ἀποπομπαῖον αὐτὸν παρεπέμψαντο οἱ πρεσβύτεροι τοῦ λαοῦ ὑμῶν καὶ οἱ ἱερεῖς, ἐπιβαλόντες αὐτῷ τὰς χεῖρας, καὶ θανατώσαντες αὐτόν· καὶ τῆς δευτέρας δὲ αὐτοῦ παρουσίας, ὅτι ἐν τῷ αὐτῷ τόπῳ τῶν Ἱεροσολύμων ἐπιγνωσθήσεσθε αὐτὸν τὸν ἀτιμωθέντα ὑφ' ὑμῶν.

ια. Καὶ προσάξει ὁ ἱερεὺς (1) τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας τὸν ἑαυτοῦ, καὶ ἐξιλάσεται περὶ αὐτοῦ, καὶ τοῦ οἴκου αὐτοῦ· καὶ σφάξει τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας τὸν ἑαυτοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Οὕτω ταῦτα γενέσθαι κελεύσας, διδάσκει καὶ ὅπως εἰσελθεῖν εἰς τὰ ἅγια τῶν ἁγίων τὸν ἀρχιερέα προσήκει. » προσάξει γάρ φησιν Ἀαρὼν τὸν » μόσχον τὸν περὶ ἁμαρτίας, τὸν περὶ ἑαυ» τοῦ, καὶ ἐξιλάσεται περὶ ἑαυτοῦ, καὶ τοῦ » οἴκου αὐτοῦ· καὶ σφάξει τὸν μόσχον τὸν » περὶ ἁμαρτίας ἑαυτοῦ.

ιβ. Καὶ λήψεται πλῆρες τὸ πυρεῖον ἀνθράκων πυρὸς καὶ (2) ἀπὸ τοῦ θυσιαστηρίου, τοῦ ἀπέναντι Κυρίου· καὶ πληρώσει τὰς χεῖρας θυμιάματος συνθέσεως λεπτῆς, καὶ εἰσοίσει ἐσώ-
ιγ. τερον τοῦ καταπετάσματος. Καὶ ἐπιθήσει τὸ θυμίαμα ἐπὶ τὸ πῦρ ἔναντι Κυρίου· καὶ καλύψει ἡ ἀτμὶς τοῦ θυμιάματος τὸ ἱλαστήριον τὸ ἐπὶ τῶν μαρτυρίων, καὶ οὐκ ἀποθανεῖται.

» ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ λήψεται πλῆρες » τὸ πυρεῖον ἀνθράκων πυρὸς ἀπὸ τοῦ θυ» σιαστηρίου, τοῦ ἀπέναντι Κυρίου· καὶ πλήσει » τὰς χεῖρας αὐτοῦ θυμιάματος συνθέσεως » λεπτῆς, καὶ εἰσοίσει ἐσώτερον τοῦ κατα» πετάσματος. καὶ ἐπιθήσει τὸ πῦρ ἐπὶ τὸ » θυμίαμα ἔναντι Κυρίου· καὶ καλύψει ἡ » ἀτμὶς τοῦ θυμιάματος τὸ ἱλαστήριον τὸ ἐπὶ » τῶν μαρτυρίων, καὶ οὐκ ἀποθανεῖται. δῆλον ἐντεῦθεν, ὡς ἐκτὸς τοῦ καταπετάσματος τὸ θυσιαστήριον τοῦ θυμιάματος ἔκειτο. οὐ γὰρ ἄν, εἴπερ ἔνδον ἦν, εἰς τὸ πυρεῖον τοὺς ἄνθρακας λαβεῖν ἐκελεύσθη, καὶ τοῦτο ἔσω τοῦ καταπετάσματος ἐμβαλεῖν τὸ θυμίαμα. ἐδίδαξε δὲ τοῦτο ἡμᾶς καὶ ὁ μακάριος Λουκᾶς, τὰ κατὰ τὸν Ζαχαρίαν διηγούμενος, τὸν Ἰωάννου τοῦ Βαπτιστοῦ πατέρα. κατὰ τοῦτον γὰρ τὸν καιρὸν κἀκεῖνος εἰς τὰ ἅγια τῶν ἁγίων εἰσελήλυθε, καὶ τῆς ἀγγελικῆς ὀπτασίας ἀπήλαυσε.

ΚΥΡΙΛΛΟΥ. Τύπος δὲ ἦν ἄρα καὶ τοῦτο τοῦ Χριστοῦ, ὃς τέθυται μὲν ὡς μόσχος, ὁλοκαυτοῦταί γε μὴν ὡς κριός, εὐωδιάζει δὲ ὡς θυμίαμα λεπτόν, καὶ ὅλην ἐμπίπλησι τὴν ἐκκλησίαν τῆς νοητῆς εὐωδίας.

ΑΔΗΛΟΥ. Δεῖ γὰρ πεπυρῶσθαι τὴν ψυχὴν τὸν ἐπὶ τὸ ἔνδον χωροῦντα, πυρὸς ἄνθραξι παραπλησίως, τοῦ θυσιαστηρίου· καὶ πράξεων καθαρότητα· τοῦτο γὰρ αἱ χεῖρες· γέννημα διανοίας λεπτῆς, οὐχὶ ἀποτίκτουσαν, ἐπιφέρεσθαι. ὅπως συμμιγὴς τῷ πυρὶ γενομένη, ποδηγήσῃ μὲν πρὸς τὰς χωρητὰς καὶ συμμέτρους ἀποκαλύψεις· τὰ δὲ ὑπὲρ τὴν ἐν ἡμῖν δύναμιν,

Α οἷα δή τις ἀτμὶς ἀποκρύψῃ φειδοῖ τῶν ἡμετέρων ψυχῶν.

ιδ. Καὶ λήψεται ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ ῥανεῖ τῷ δακτύλῳ ἐπὶ τὸ ἱλαστήριον κατὰ ἀνατολάς· κατὰ πρόσωπον τοῦ ἱλαστηρίου, καὶ (3) ῥανεῖ ἑπτάκις ἀπὸ τοῦ αἵματος τῷ δακτύλῳ
ιε. αὐτοῦ. Καὶ σφάξει τὸν τράγον τὸν
Β περὶ τῆς ἁμαρτίας, τὸν παρὰ τοῦ λαοῦ ἔναντι Κυρίου· καὶ εἰσοίσει τοῦ αἵματος αὐτοῦ ἐσώτερον τοῦ καταπετάσματος, καὶ ποιήσει τὸ αἷμα αὐτοῦ, ὃν τρόπον ἐποίησε τὸ αἷμα τοῦ μόσχου· καὶ ῥανεῖ τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ ἱλαστήριον, κατὰ πρόσωπον τοῦ ἱλαστηρίου.
ις. Καὶ ἐξιλάσεται τὸ ἅγιον ἀπὸ τῶν ἀκαθαρσιῶν τῶν υἱῶν Ἰσραήλ, καὶ
Γ ἀπὸ τῶν ἀδικημάτων αὐτῶν περὶ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν. καὶ οὕτω ποιήσει τῇ σκηνῇ τοῦ μαρτυρίου τῇ ἐκτισμένῃ ἐν αὐτοῖς ἐν μέσῳ τῆς ἀκαθαρ-
ιζ. σίας αὐτῶν. Καὶ πᾶς ἄνθρωπος οὐκ ἔσται ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, εἰσπορευομένου αὐτοῦ ἐξιλάσασθαι ἐν τῷ ἁγίῳ, ἕως ἂν ἐξέλθῃ· καὶ ἐξιλάσεται περὶ αὐτοῦ, καὶ τοῦ οἴκου αὐτοῦ, καὶ
Δ περὶ πάσης συναγωγῆς Ἰσραήλ.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκελεύσθη δὲ διαῤῥᾶναι τῷ δακτύλῳ ἑπτάκις πρὸ τοῦ ἱλαστηρίου τοῦ αἵματος τότε μόσχου καὶ τοῦ τράγου. ἐπειδὴ γὰρ ἐν ἑπτὰ ἡμέραις ὁ βίος ἀνακυκλεῖται, καθ' ἑκάστην δέ, ὡς ἔπος εἰπεῖν, ἡμέραν, ἢ σμικρά, ἢ μεγάλα πλημμελοῦμεν, ἰσάριθμος προσεφέρετο ταῖς ἡμέραις ὁ τοῦ αἵματος ῥαντισμὸς ὑπὲρ τῶν ἐν Ε ταύταις γενομένων πλημμελημάτων. λέγει δὲ τοῦτο, μὴ μόνον αὐτούς, ἀλλὰ καὶ » τὴν σκηνὴν καθαίρειν. ἐξιλάσεται γάρ » φησι περὶ τῶν ἁγίων ἀπὸ τῶν ἀκαθαρσιῶν » τῶν υἱῶν Ἰσραήλ, καὶ ἀπὸ τῶν ἀδικημά» των [αὐτῶν] περὶ πασῶν τῶν ἁμαρτιῶν » αὐτῶν· καὶ οὕτω ποιήσει τῇ σκηνῇ τοῦ μαρ» τυρίου τῇ ἐκτισμένῃ ἐν αὐτοῖς ἐν μέσῳ τῆς » ἀκαθαρσίας αὐτῶν. ἐκέλευσε δὲ μηδένα παρεῖναι, ταύτης ὑπὸ τοῦ ἀρχιερέως γινο- Ζ μένης τῆς λειτουργίας.

ΑΔΗΛΟΥ. Αἴνιγμα ἔχει ὁ λόγος· ὅτι ἐφ' ὅσον οἱ Ἰουδαῖοι τὴν σκηνὴν ἔχουσιν, ἐπὶ τοσοῦτον χρὴ παραφυλάττειν τὰ τοῦ νόμου σαρκικά. σκηνῆς δὲ καὶ ναοῦ μὴ ὄντων, συναπώλοντο καὶ αἱ σαρκικαὶ παρατηρήσεις.

ιη. Καὶ ἐξιλάσεται ἐπὶ τὸ θυσιαστήριον τὸ ὂν ἀπέναντι Κυρίου, καὶ ἐξι- Η λάσεται ἐπ' αὐτοῦ· καὶ λήψεται ἀπὸ τοῦ αἵματος τοῦ μόσχου, καὶ ἀπὸ τοῦ αἵματος

(1) Ὁ Ἀαρών. αἱ προειρημ. ἐκδόσ.
(2) Τό, καί, οὐ κεῖται ἐν ταῖς προειρημ. ἐκδόσ.
(3) Τό, καί, οὐ κεῖται ἐν ταῖς προειρημ. ἐκδόσ.

αἵματος τοῦ τράγου, καὶ ἐπιθήσει ἐπὶ
τὰ κέρατα τοῦ θυσιαστηρίου κύκλῳ.
ιθ. Καὶ ῥανεῖ ἐπ᾽ αὐτῷ ἀπὸ τοῦ αἵματος
τῷ δακτύλῳ αὐτοῦ ἑπτάκις, καὶ κα-
θαριεῖ αὐτὸ, καὶ ἁγιάσει αὐτὸ ἀπὸ τῶν
κ. ἀκαθαρσιῶν τῶν υἱῶν Ἰσραήλ. Καὶ
συντελέσει ἐξιλασκόμενος τὸ ἅγιον,
καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τὸ
θυσιαστήριον, καὶ περὶ τῶν ἱερέων κα-
θαριεῖ. καὶ προσάξει τὸν τράγον τὸν
κα. ζῶντα. Καὶ ἐπιθήσει Ἀαρὼν τὰς δύω
χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ
τράγου τοῦ ζῶντος, καὶ ἐξαγορεύσει
ἐπ᾽ αὐτοῦ πάσας τὰς ἀνομίας τῶν υἱῶν
Ἰσραὴλ, καὶ πάσας τὰς ἀδικίας αὐ-
τῶν· καὶ ἐπιθήσει αὐτὰς ἐπὶ τὴν κε-
φαλὴν τοῦ τράγου τοῦ ζῶντος· καὶ ἐξα-
ποστελεῖ ἐν χειρὶ ἀνθρώπου ἑτοίμου εἰς
κβ. τὴν ἔρημον. Καὶ λήψεται ὁ τράγος
ἐφ᾽ ἑαυτῷ τὰς ἀνομίας αὐτῶν εἰς γῆν
ἄβατον· καὶ ἐξαποστελεῖ τὸν τράγον
εἰς τὴν ἔρημον.

κγ. Καὶ εἰσελεύσεται Ἀαρὼν εἰς
τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἐκδύσε-
ται τὴν στολὴν τὴν λινῆν, ἣν ἐνδεδύκει,
εἰσπορευομένου αὐτοῦ εἰς τὸ ἅγιον, καὶ
κδ. ἀποθήσει αὐτὴν ἐκεῖ. Καὶ λούσεται
τὸ σῶμα αὐτοῦ ὕδατι ἐν τόπῳ ἁγίῳ,
καὶ ἐνδύσεται τὴν στολὴν αὐτοῦ, καὶ
ἐξελθὼν ποιήσει τὰ ὁλοκαυτώματα
αὐτοῦ, καὶ τὰ ὁλοκαρπώματα τοῦ λαοῦ,
καὶ ἐξιλάσεται περὶ αὐτοῦ, καὶ τοῦ οἴ-
κου αὐτοῦ, καὶ περὶ τοῦ λαοῦ, ὡς περὶ
τῶν ἱερέων.

** ΚΛΗΜΕΝΤΟΣ. Ἀποδὺς τὸν ἡγιασμένον χιτῶνα ὁ ἀρχιερεὺς· κόσμος δὲ καὶ ἡ ἐν κόσμῳ κτίσις ἡγίασται πρὸς τοῦ καλὰ συγκαταθεμένου τὰ γινόμενα· λούεται, καὶ τὸν ἄλλον ἐνδύεται ἅγιον ἁγίου, ὡς εἰπεῖν, χιτῶνα, τὸν συνεισιόντα εἰς τὰ ἄδυτα αὐτῷ· ἐμοὶ δοκεῖ ἐμφαίνων τὸν λευΐτην καὶ γνωστικὸν, ὡς ἂν τῶν ἄλλων ἱερέων ἄρχοντα· ὕδατι ἀπολελουμένων ἐκείνων, καὶ πίστιν ἐνδεδυμένων μόνην, καὶ τὴν ἰδίαν ἐκδεχομένων μονήν· αὐτὸν διακρίναντα τὰ νοητὰ τῶν αἰσθητῶν, κατ᾽ ἐπανάβασιν τῶν ἄλλων ἱερέων σπεύδοντα ἐπὶ τὴν τοῦ νοητοῦ δίοδον, τῶν τῇδε ἀπολούεσθαι· οὐκ ἔτι ὕδατι ὡς πρότερον ἐκαθαίρετο, εἰς λευΐτικὴν ἐνταττόμενος φυλήν. ἀλλ᾽ ἤδη τῷ γνωστικῷ λόγῳ καθαρὸς μὲν τὴν καρδίαν πᾶσαν, κατορθώσας δ᾽ εὖ μάλα καὶ τὴν πολιτείαν ἐπ᾽ ἄκρων παρὰ τοῦ ἱερέως ἐπὶ μείζονι αὐξήσας, ἀτεχνῶς ἡγνισμένος καὶ λόγῳ καὶ βίῳ, ἐπενδυσάμενος τὸ γάνωμα τῆς δόξης, τοῦ πνευματικοῦ ἐκείνου καὶ τελείου ἀνδρὸς τὴν ἀπόῤῥητον οἰκονομίαν ἀπολαβὼν,

A „ ἣν ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, 1. Κορ. 2. 9.
„ καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· υἱὸς
καὶ φίλος γενόμενος, πρόσωπον ἤδη πρὸς
πρόσωπον ἐμπίπλαται τῆς ἀκορέστου θεω-
„ ρίας. Καὶ μετ᾽ ὀλίγα. Καὶ ἐκδύσεται τὴν στολὴν
„ τὴν λινῆν, ἣν ἐνδεδύκει εἰσπορευόμενος εἰς
„ τὰ ἅγια· καὶ ἀποθήσει αὐτὴν ἐκεῖ. καὶ
„ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι ἐν τόπῳ ἁ-
„ γίῳ, καὶ ἐνδύσεται τὴν στολὴν αὐτοῦ. ἄλλως
δ᾽ οἶμαι ὁ Κύριος ἀποδύεταί τε καὶ ἐνδύε-
B ται, κατιὼν εἰς αἴσθησιν· ἄλλως ὁ δι᾽ αὐτοῦ
πιστεύσας ἀποδύεταί τε καὶ ἐπενδύεται, ὡς
καὶ ὁ Ἀπόστολος ἐμήνυσε,(1) τὴν ἡγιασ-
μένην στολήν. ἐντεῦθεν κατ᾽ εἰκόνα τοῦ Κυ-
ρίου, ἀρχιερεῖς ἀπὸ τῆς ἁγιασθείσης ᾑροῦν-
το φυλῆς οἱ δοκιμώτατοι, καὶ οἱ εἰς βασι-
λείαν, καὶ οἱ εἰς προφητείαν ἐκλεκτοὶ,
ἐχρίοντο.

κε. Καὶ τὸ στέαρ τὸ περὶ τῶν ἁμαρ-
κς. τιῶν ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον. Καὶ
ὁ ἐξαποστέλλων τὸν τράγον τὸν δια-
στελλόμενον εἰς ἄφεσιν, πλυνεῖ τὰ
ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα
αὐτοῦ ὕδατι, καὶ μετὰ ταῦτα εἰσε-
κζ. λεύσεται εἰς τὴν παρεμβολήν. Καὶ
τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας, καὶ
τὸν τράγον τὸν περὶ τῆς ἁμαρτίας, ὧν
τὸ αἷμα εἰσηνέχθη ἐξιλάσασθαι ἐν τῷ
Δ ἁγίῳ, ἐξοίσουσιν αὐτὰ ἔξω τῆς παρεμ-
βολῆς, καὶ κατακαύσουσιν αὐτὰ ἐν
πυρὶ, καὶ τὰ δέρματα αὐτῶν καὶ τὰ
κρέα αὐτῶν καὶ τὴν κόπρον αὐτῶν.
κη. Ὁ δὲ κατακαίων αὐτὰ, πλυνεῖ τὰ
ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα
αὐτοῦ ὕδατι, καὶ μετὰ ταῦτα εἰσελεύ-
σεται εἰς τὴν παρεμβολήν.

E κθ. Καὶ ἔσται τοῦτο ὑμῖν νόμιμον
αἰώνιον ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ δεκάτῃ
τοῦ μηνός· ταπεινώσετε τὰς ψυχὰς
ὑμῶν, καὶ πᾶν ἔργον οὐ ποιήσετε, ὁ
αὐτόχθων, καὶ ὁ προσήλυτος ὁ πα-
λ. ρακείμενος ἐν ὑμῖν. Ἐν γὰρ τῇ ἡμέ-
ρᾳ ταύτῃ ἐξιλάσεται περὶ ὑμῶν, κα-
θαρίσαι ὑμᾶς ἀπὸ πασῶν τῶν ἁμαρ-
τιῶν ὑμῶν ἔναντι Κυρίου, καὶ καθαρισ-
λα. θήσεσθε. Σάββατα σαββάτων ἐστὶν
ὑμῖν· καὶ ταπεινώσετε τὰς ψυχὰς
ὑμῶν, νόμιμον αἰώνιον.

ΘΕΟΔΩΡΙΤΟΥ. Λέγει δὲ καὶ τὸν καιρὸν, καθ᾽ ὃν προσήκει ταῦτα γενέσθαι. δε-
„ κάτῃ γάρ φησι τοῦ μηνὸς κακώσετε τὰς
„ ψυχὰς ὑμῶν, καὶ πᾶν ἔργον οὐ ποιήσετε,
„ ὁ αὐτόχθων, καὶ ὁ προσήλυτος ὁ προσκεί-
„ μενος ἐν ὑμῖν. ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ
H „ ἐξιλάσεται περὶ ὑμῶν, καθαρίσαι ὑμᾶς
„ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν ὑμῶν ἔναντι Κυ-
„ ρίου, καὶ καθαρισθήσεσθε. σάββατα σαβ-
βάτων

(1) Ἴσ. ἐν τῷ 3, καὶ 4. ἐδ. τοῦ 5. κεφ. τῆς 2. πρὸς Κορινθ.

» βάτων ἀνάπαυσις αὕτη ἔςαι ὑμῖν· καὶ κα-
» κώσετε τὰς ψυχὰς ὑμῶν, νόμιμον αἰώνιον. σάββατα δὲ σαββάτων, ὡς ἅγια ἁγίων, ἐκάλεσε. πολλῷ γὰρ τῶν σαββάτων αὕτη σεβασμιωτέρα ἡ ἑορτή. κάκωσιν δὲ τὴν νηςείαν ὠνόμασεν.

λϛ. Καὶ ἐξιλάσεται ὁ ἱερεὺς ὃν ἂν χρίσωσιν αὐτὸν, καὶ ὃν ἂν τελειώσωσι τὰς χεῖρας αὐτȣ̃, ἱερατεύειν μετὰ τὸν πατέρα αὐτȣ̃, καὶ ἐνδύσεται τὴν ςολὴν
λγ. τὴν λινῆν, ςολὴν τὴν ἁγίαν. Καὶ ἐξιλάσεται τὸ ἅγιον τȣ̃ ἁγίȣ, καὶ τὴν σκηνὴν τȣ̃ μαρτυρίȣ, καὶ τὸ θυσιαςήριον ἐξιλάσεται, καὶ περὶ τῶν ἱερέων, καὶ περὶ πάσης συναγωγῆς ἐξιλάσεται.

λθ. Καὶ ἔςαι τȣ̃το ὑμῖν νόμιμον αἰώνιον, ἐξιλάσασθαι περὶ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν. ἅπαξ τȣ̃ ἐνιαυτȣ̃ ποιηθήσεται, καθάπερ συνέταξε Κύριος τῷ Μωϋσῇ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Περὶ τῆς σκηνοπηγίας ἐνταῦθα διαλέγεται. τότε γὰρ ἅπαξ τȣ̃ ἐνιαυτȣ̃ ὁ ἀρχιερεὺς εἰσῄει. ὅπερ
» ȣ̃ν καὶ αὐτὸς ἐδήλωσεν, εἰπών· ὅτι ἅπαξ
» τȣ̃ ἐνιαυτȣ̃ τȣ̃το ποιηθήσεται.

» ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα ἐπάγει· ἅπαξ
» τȣ̃ ἐνιαυτȣ̃ ποιηθήσεται, καθάπερ συνέ-
» ταξε Κύριος τῷ Μωϋσῇ. καὶ τȣ̃το δὲ προτυποῖ τὴν κατὰ σάρκα τȣ̃ Σωτῆρος ἡμῶν οἰκονομίαν. ὥσπερ γὰρ ἅπαξ τȣ̃ ἐνιαυτȣ̃ ὁ ἀρχιερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων εἰσιὼν, ταύτην ἐπετέλει τὴν λειτȣργίαν· ȣ̃τως ὁ δεσπότης Χριςὸς ἅπαξ τὸ σωτήριον πάθος ὑπομείνας, εἰς τὸν ȣ̓ρανὸν ἀνελήλυθεν,
» αἰωνίαν λύτρωσιν εὑράμενος, ᾗ φησὶν ὁ θεῖος Ἀπόςολος. Ἑβρ. 9. 12.

ΚΕΦ. ΙΖ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Λάλησον πρὸς Ἀαρὼν καὶ πρὸς τȣ̀ς υἱȣ̀ς αὐτȣ̃, καὶ πρὸς πάντας τȣ̀ς υἱȣ̀ς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτȣ̀ς, τȣ̃το τὸ ῥῆμα ὃ ἐνετείλατο Κύριος,
γ. λέγων, Ἄνθρωπος ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ, ὃς ἂν σφάξῃ πρόβατον ἢ μόσχον ἢ αἶγα ἐν τῇ παρεμβολῇ, καὶ ὃς ἐὰν σφάξῃ ἔξω τῆς παρεμβολῆς,
δ. Καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τȣ̃ μαρτυρίȣ μὴ ἐνέγκῃ αὐτὸ, ὥςε ποιῆσαι αὐτοῖς (1) ὁλοκαύτωμα εἰς σωτήριον Κυρίῳ δεκτὸν εἰς ὀσμὴν εὐωδίας· καὶ ὃς ἂν σφάξῃ ἔξω, καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τȣ̃ μαρτυρίȣ μὴ ἐνέγκῃ, (2) ὥσπερ προσενέγκαι δῶρον τῷ Κυρίῳ ἀπέναντι τῆς σκηνῆς τȣ̃ Κυρίȣ· αἷμα λογισθήσεται τῷ ἀνθρώπῳ ἐκείνῳ· αἷμα ἐξέχεεν· ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τȣ̃ λαȣ̃ αὐτῆς.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ὃς ἂν σφάξῃ μό-
» σχον ἢ πρόβατον ἢ αἶγα. Τὸ μὲν ἑβραϊκὸν τὴν παρȣ̃σαν ἔχει ῥῆσιν μετὰ τὴν περὶ τȣ̃ ἀποπομπαίȣ, τὰ δὲ κοινὰ ἀντίγραφα τὴν περὶ τȣ̃ ἱλασμȣ̃. ἀπαγορεύει δὲ θυσίαν ἀλλαχȣ̃ μὴ γίνεσθαι τῆς σκηνῆς, τῆς Αἰγυπτίων αὐτȣ̀ς ἀποφέρων πολυθείας. τὸ γὰρ ἐπ' ἀδείας θύειν σφαλερὸν εἰς εὐσέβειαν, καὶ παρέχον ἐξȣσίαν τȣ̃ θύειν οἷςπερ ἂν ἕλοιντο, κατὰ τὸ ποιητικὸν τὸ λέγον· ἄλλος ἄλλῳ ἔρεξε Θεῶν. (3) ὅθεν ὡς ψυχὴν ἀναιρȣ̃ν ἐν ἴσῳ φόνȣ ἔχει τὸ ἔγκλημα.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ ἀπαγορεύει πόῤῥω τῆς σκηνῆς θύεσθαι τὰ ἐσθιόμενα θρέμματα; Ἤδει τὴν ἐνίων ἀσέβειαν, καὶ ὅτι τοῖς δαίμοσι θυσίας προσοίσȣσι. προσέταξε τοίνυν πάντα τὸν θῦσαι βȣλόμενον ἢ μόσχον, ἢ πρόβατον, ἢ αἶγα, παρὰ τὴν θύραν τῆς σκηνῆς ἀγαγεῖν, καὶ τὸ αἷμα ἐκχέαι, καὶ μεταλαβεῖν οἴκαδε τῶν κρεῶν. τὸν δὲ τȣ̃το μὴ δρῶντα, ὡς φόνȣ μέτοχον
» κατηγορεῖσθαι ἐκέλευσεν. αἷμα γάρ φησι
» λογισθήσεται τῷ ἀνθρώπῳ ἐκείνῳ· αἷμα
» ἐξέχεεν· ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκεί-
» νη ἐκ τȣ̃ λαȣ̃ αὐτῆς. καὶ ὅτι τȣ̃τον ἔχει τὸν σκοπὸν ὁ νόμος, διδάξει τὰ ἑξῆς. ἀνοί-
» σει γάρ φησιν ὁ ἱερεὺς τὸ ςέαρ εἰς ὀσμὴν
» εὐωδίας τῷ Κυρίῳ. καὶ ȣ̓ θύσȣσιν ἔτι τὰς
» θυσίας αὐτῶν τοῖς ματαίοις, ὧν αὐτοὶ ἐκ-
» πορνεύȣσιν ὀπίσω αὐτῶν. νόμιμον αἰώνιον
» ἔςαι ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν. ȣ̃τος ὁ νόμος μέχρι τȣ̃ παρόντος παρὰ Ἰȣδαίοις κρατεῖ. ὁ γὰρ ἱερεὺς θύει τὰ ἐσθιόμενα ζῶα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Φόνῳ κρίνει
» τὸν ἔξω πȣ θύοντα τȣ̃ ναȣ̃, λέγων· ὃς ἂν
» μὴ ἐνέγκῃ εἰς τὴν σκηνὴν καὶ θύσῃ, αἷμα
» αὐτῷ λογισθήσεται. τȣ̃τȣ χάριν πανταχόθεν αὐτȣ̀ς εἰς τὸν τόπον ἐκεῖ συνάγει, ἵνα καὶ ἄκοντες σωφρονῶσι, καὶ τῆς πεπλανημένης ἀπέχωνται διανοίας.

ΑΔΗΛΟΥ. Οὐκȣ̃ν ἀνόμημα καὶ βεβήλωσις καὶ τὸ τοῖς ἀνοσίοις αἱρετικοῖς συναυλίζεσθαι φιλεῖν, καὶ τῆς πρὸς ἐκείνȣς ἀντέχεσθαι κοινωνίας. ἔξω γὰρ θύȣσι τῆς ἁγίας σκηνῆς.

ε. Ὅπως ἂν φέρωσιν οἱ υἱοὶ Ἰσραὴλ τὰς θυσίας αὐτῶν, ὅσας ἂν αὐτοὶ

(1) Αὐτὸ εἰς ὁλοκαύτωμα ἢ σωτήριον. αἱ εἰρημ. ἐκδόσ. (2) Μὴ ἐνέγκῃ αὐτὸ, ὥςε προσεν. αὐτ.
(3) Ὁ Ὅμηρ. ἐν Στίχ. 400. τῆς β. Ῥαψ. τῆς Ἰλιάδ.

τοὶ σφάζωσιν ἐν τοῖς πεδίοις, καὶ οἴ-
σουσιν αὐτὰς τῷ Κυρίῳ ἐπὶ τὰς θύρας
τῆς σκηνῆς τοῦ μαρτυρίου πρὸς τὸν ἱε-
ρέα· καὶ θύσουσι θυσίαν σωτηρίου τῷ
ϛ. Κυρίῳ αὐτά. Καὶ προχεεῖ ὁ ἱερεὺς
τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον ἀπέναντι
Κυρίου παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ
μαρτυρίου· καὶ ἀνοίσει τὸ στέαρ εἰς ὀσ-
ζ. μὴν εὐωδίας τῷ Κυρίῳ. Καὶ οὐ θύσου-
σιν ἔτι τὰς θυσίας αὐτῶν τοῖς μα-
ταίοις, οἷς αὐτοὶ ἐκπορνεύουσιν ὀπίσω
αὐτῶν. νόμιμον αἰώνιον ἔσται ὑμῖν εἰς
η. τὰς γενεὰς ὑμῶν. Καὶ ἐρεῖς πρὸς αὐ-
τούς, ἄνθρωπος ἄνθρωπος ἀπὸ τῶν
υἱῶν Ἰσραὴλ, καὶ τῶν υἱῶν τῶν προση-
λύτων τῶν προσκειμένων ἐν ὑμῖν, ὃς
ἂν ποιήσῃ ὁλοκαυτώματα ἢ θυσίαν,
θ. Καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρ-
τυρίου μὴ ἐνέγκῃ ποιῆσαι αὐτὸ τῷ Κυ-
ρίῳ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκεί-
νη ἐκ τοῦ λαοῦ αὐτῆς.

ι. Καὶ ἄνθρωπος ἄνθρωπος τῶν
υἱῶν Ἰσραὴλ, ἢ τῶν προσηλύτων τῶν
προσκειμένων ἐν ὑμῖν, ὃς ἂν φάγῃ
πᾶν αἷμα· καὶ ἐπιστήσω τὸ πρόσωπόν
μου ἐπὶ τὴν ψυχὴν τὴν ἔσθουσαν τὸ αἷ-
μα, καὶ ἀπολῶ αὐτὴν ἐκ τοῦ λαοῦ
ια. αὐτῆς. Ἡ γὰρ ψυχὴ πάσης σαρκὸς
αἷμα αὐτοῦ ἐστί· καὶ ἐγὼ ἔδωκα αὐτὸ
ὑμῖν ἐπὶ τοῦ θυσιαστηρίου μου ἐξιλάσκε-
σθαι περὶ τῶν ψυχῶν ὑμῶν· τὸ γὰρ
αἷμα αὐτοῦ ἀντὶ ψυχῆς ἐξιλάσεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀπηγόρευσε δὲ καὶ τὸ ἐσθίειν αἷμα, καὶ τὴν αἰτίαν ἐδίδαξεν. » ἡ γὰρ ψυχὴ, φησὶ, πάσης σαρκὸς τὸ » αἷμα αὐτοῦ ἐστί· καὶ ἐγὼ δέδωκα ὑμῖν αὐτὸ » ἐπὶ τοῦ θυσιαστηρίου ἐξιλάσκεσθαι περὶ τῶν » ψυχῶν ὑμῶν. τὸ γὰρ αἷμα αὐτοῦ ἀντὶ τῆς » ψυχῆς αὐτοῦ ἐξιλάσεται. διὰ τοῦτο εἴρη- » κα τοῖς υἱοῖς Ἰσραὴλ, πᾶσα ψυχὴ ἐξ ὑμῶν » οὐ φάγεται αἷμα· καὶ ὁ προσήλυτος ὁ προ- » σκείμενος ὑμῖν οὐ φάγεται αἷμα. ὥσπερ φησὶ σὺ ψυχὴν ἀθάνατον ἔχεις, οὕτω τὸ ἄλογον ζῶον ἀντὶ ψυχῆς ἔχει τὸ αἷμα. οὗ δὴ χάριν κελεύω τὴν τοῦ ἀλόγου ψυχὴν, τουτέστι τὸ αἷμα, ἀντὶ τῆς σῆς προσενεχθῆναι ψυχῆς τῆς ἀθανάτου καὶ λογικῆς. ἐὰν δὲ τοῦτο φάγῃς, ψυχὴν ἐσθίεις. λογικῆς γὰρ ψυχῆς τοῦτο τάξιν πληροῖ. διὸ καὶ φόνον τὴν βρῶσιν ἐκάλεσε. τούτου ἕνεκεν καὶ τὰ τεθνεῶτα τῶν ζώων, ὡς τοῦ αἵματος μὴ χωρισθέντος τοῦ σώματος, ἐσθίειν ἀπαγορεύει.

** ΙΟΥΣΤΙΝΟΥ. Ὅτι ὡς τὴν ἑαυτοῦ ψυχὴν, οὕτω προσέφερε τῷ Θεῷ ὁ τὸ αἷμα τῶν ἀλόγων προσενέγκας, μαρτυρεῖ ἡ θεία Γραφὴ λέγουσα· ἀντὶ τῆς ψυχῆς, φησὶ, τῶν προσφερόντων τὸ αἷμα τῶν θυσιῶν αὐτῶν προσφέρεται εἰς τὰ ἅγια τῶν ἁ-

A γίων. μὴ οὖν ἀπὸ τῆς φύσεως τοῦ προσαγομένου, ἀλλ' ἀπὸ τῆς διαθέσεως τοῦ προσδεχομένου κριτέον τῆς θυσίας τὴν τάξιν, καὶ τοῦ Θεοῦ τὴν τιμὴν, τοῦ διὰ τὸ φείδεσθαι τοῦ γένους τῶν ἀνθρώπων, μὴ βουληθέντος ἀναλῶσαι τοὺς ἀνθρώπους εἰς θυσίαν καθ' ἡμέραν προσαγομένους, καὶ ἀφανίσαι τὸ γένος· ἀλλὰ δεδωκότος τοῖς μὲν ἀνθρώποις τὸ αὐξάνεσθαί τε καὶ τὸ διαμένειν, ταῖς δὲ θυσίαις αὐτῶν τὴν μεγίστην τάξιν.

B ** ΠΡΟΚΟΠΙΟΥ. Εἰ περὶ τῶν ἐσθιομένων ὁ λόγος, δῆλον ὡς τὴν ψυχὴν τῶν ἀλόγων αἷμα καλεῖ, ὡς προηγούμενον σχῆμα τῆς κατὰ τὴν τοιάνδε κρᾶσιν ἀναλογίας, δι' ἧς ἡ τούτων ψυχή. τοιγαροῦν ἀντιδιαστέλλων τῇ τῶν ἀνθρώπων, φησί· καὶ » ἐγὼ ἔδωκα ὑμῖν αὐτὸ ἐπὶ τοῦ θυσιαστηρίου » ἐξιλάσκεσθαι περὶ τῶν ψυχῶν ὑμῶν, ὡς ἀθανάτοις ψυχαῖς ἀντιδιαστείλας θνητάς.
Γ Καὶ μετ' ὀλίγα. Τινὲς δέ φασιν, ὡς τύπον τῆς ἀνθρώπου ψυχῆς τὸ τῶν ζώων παρείληφεν αἷμα. τὸ μὲν τῶν ἱερουργουμένων ζώων, προσχεόμενον τῷ θυσιαστηρίῳ· τὸ δὲ τῶν ἄλλως θυομένων, κρυπτόμενον ὑπὸ γῆς. σύμβολα τοῦ, εἰ καὶ ἐν ᾅδου τυγχάνουσιν αἱ ψυχαὶ, μὴ ὁμοίως τῷ σώματι διαλύεσθαι. οὐ γὰρ οἷόν τε ἦν τὸ ἴδιον τῆς ἀνθρώπου ψυχῆς παραστῆσαι δι' αἵματος ἀνθρωπίνου· ὅπερ μὴ ἐκχεῖσθαι διέταξεν. ὡς οὖν σύμβολον χωρίζει τοῦ σώματος. Καὶ μετ' ὀλίγα.
Δ Ὁ δὲ ἐξίσου τοῖς κρέασι καὶ τῷ αἵματι χρώμενος, ἐξολοθρεύεται, τουτέστιν ὁ γινόμενος σάρξ, καὶ φθείρων εἰς σάρκα τὸ νοερὸν, καὶ τὸ ἐμφυσηθὲν εἰς ἴσον τῷ πλασθέντι καθέλκων, καὶ δοξάζων οὕτω περὶ ψυχῆς. ὁ γὰρ κατὰ σάρκα ζῶν ἀποθανεῖται, ὡς τῇ ἑαυτοῦ ψυχῇ τιμὴν μὴ διδούς. ἥτις οὐδ' ἂν ἐχωρίσθη τοῦ σώματος, εἰ μὴ διὰ τῆς ἀπάτης τεθήρευτο. διὸ καὶ περὶ θηρευμάτων ἐπιφέρει τὴν ἀνθρώπου ψυ-
E χὴν, τὴν θηρευθεῖσαν αἰνιττόμενος.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τίμιον τὸ αἷμα πεποίηκεν ὡς ψυχὴν, καὶ ὑπεξεῖλε τῆς τῶν κρεῶν χρήσεως, εἰς τύπον τῆς λογικῆς καὶ ἀθανάτου ψυχῆς.

ιβ. Διὰ τοῦτο εἴρηκα τοῖς υἱοῖς Ἰσ-
ραὴλ, πᾶσα ψυχὴ ἐξ ὑμῶν οὐ φάγε-
ται αἷμα· καὶ ὁ προσήλυτος ὁ προ-
Z σκείμενος ἐν ὑμῖν οὐ φάγεται αἷμα.

ΑΔΗΛΟΥ. Ἔκειτο μὲν οὖν προσθήκη καὶ τὰ ἔθνη. ὅτι δὲ ἔμελλε προτερεῖν, καὶ » τοῦτο ἐδηλοῦτο, κατὰ τὸ, ἔσται ὁ προσήλυ- Δευτ. κη. 44. » τος ὁ ἐν ὑμῖν εἰς κεφαλὴν, καὶ ὑμεῖς ἔσε- » σθε εἰς οὐράν.

ιγ. Καὶ ἄνθρωπος ἄνθρωπος τῶν
υἱῶν Ἰσραὴλ, ἢ τῶν προσηλύτων τῶν
προσκειμένων ἐν ὑμῖν, ὃς ἂν θηρεύσῃ
H θήρευμα θηρίον, ἢ πετεινὸν, ὃ ἔσθε-
ται, καὶ ἐκχεεῖ τὸ αἷμα αὐτοῦ, καὶ
ιδ. καλύψει αὐτὸ τῇ γῇ. Ἡ γὰρ ψυχὴ
πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστί. καὶ
εἶπα

εἶπα τοῖς υἱοῖς Ἰσραὴλ, αἷμα πάσης σαρκὸς ȣ̓ φάγεσθε, ὅτι ψυχὴ πάσης σαρκὸς αἷμα αὐτȣ̃ ἐςί. πᾶς ὁ ἐσθίων αὐτὸ, ἐξολοθρευθήσεται.

** ΠΡΟΚΟΠΙΟΥ. Δι' ὧν φησὶν ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ καὶ τῶν προσηλύτων, τὴν τῶν ἐθνῶν πρὸς τὸν Ἰσραὴλ κοινωνίαν δηλοῖ, ὧν ἦσαν αὐτοὶ πρότεροι. „ διὸ λέγει, τῶν προσκειμένων ἐν ὑμῖν. καὶ ὅτι τȣ̃ Ἰσραὴλ ἴδιος ἡ γνῶσις, ȣ̃ καὶ αἱ „ διαθῆκαι, δηλοῖ λέγων· καὶ εἶπα τοῖς „ υἱοῖς Ἰσραὴλ, αἷμα πάσης σαρκὸς ȣ̓ φάγεσθε, ἐν προσθήκῃ τὰ ἔθνη ποιῶν. ὅτι δὲ ἤμελλε προτερεῖν, καὶ τȣ̃το δηλȣ̃ται, κατὰ τὸ, ἔσαι ὁ προσήλυτος ἐν ὑμῖν εἰς κεφαλὴν, καὶ ὑμεῖς ἔσεσθε εἰς ȣ̓ράν. (Δευτ. 28. 44.) ἰδȣ̀ γὰρ νυ̃ν ὁ μὲν Ἰσραὴλ κατὰ σάρκα ζῇ, τὰ δὲ ἔθνη κατὰ πνεῦμα. σάρκα δὲ φασι καλεῖ τὸν ἄνθρωπον, καθόλȣ λέγων περὶ „ ζώων· ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμα αὐτȣ̃ ἐςιν· ἀλλὰ καὶ ψυχὴν τὸν ἄνθρωπον. πᾶσα γὰρ ψυχὴ ἥτις φάγεται θνησιμαῖον, καὶ τὰ ἑξῆς.

ιε. Καὶ πᾶσα ψυχὴ, ἥτις φάγεται θνησιμαῖον, ἢ θηριάλωτον ἐν τοῖς αὐτόχθοσιν, ἢ ἐν τοῖς προσηλύτοις, πλυνεῖ τὰ ἱμάτια αὐτȣ̃, καὶ λȣ́σεται τὸ σῶμα αὐτȣ̃ ὕδατι, καὶ ἀκάθαρτος ἔσαι ἕως ἑσπέρας, καὶ καθαρὸς ἔσαι.
ις. Ἐὰν δὲ μὴ πλύνῃ τὰ ἱμάτια αὐτȣ̃, καὶ τὸ σῶμα αὐτȣ̃ μὴ λȣ́σηται ὕδατι, καὶ λήψεται τὸ ἀνόμημα αὐτȣ̃.

* ΠΡΟΚΟΠΙΟΥ. Ἡ πλύσις τῶν ἱματίων καὶ ἡ λȣ̃σις, τὴν ἀπὸ νεκρῶν ἔργων κάθαρσιν δηλοῖ, τὴν διὰ λȣτρȣ̃ ἀποτελȣμένην εἰς τὸν μέλλοντα αἰῶνα. ἀκάθαρτος „ γάρ φησιν ἔσαι ἕως ἑσπέρας. ἑσπέρα δὲ τὸ τέλος. (1) καὶ ὁ μὴ λȣσάμενος, μηδὲ τὴν ἐν (2) πνεύματι λαβὼν ἐσθῆτα, λήψεται τὴν ἀνομίαν.

ΚΕΦ. ΙΗ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων,
β. Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτȣ̀ς, ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

ΑΔΗΛΟΥ. Ἰδιαίτατον αὐτȣ̃ τὸ, Κύριος, δηλοῖ. ὅπερ ἴδιον τȣ̃ υἱȣ̃ τίθησιν ὁ Ἀπόσολος. (3)

γ. Κατὰ τὰ ἐπιτηδεύματα γῆς Αἰγύπτȣ, ἐν ᾗ παρῳκήσατε ἐπ' αὐτῆς, ȣ̓ ποιήσετε· καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν, εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, ȣ̓ ποιήσετε, καὶ τοῖς νομίμοις αὐτῶν ȣ̓ πορεύσεσθε.
δ. Τὰ κρίματά μȣ ποιήσετε, καὶ τὰ προσάγματά μȣ φυλάξεσθε, καὶ πορεύεσθε ἐν αὐτοῖς. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

** ΚΛΗΜΕΝΤΟΣ. Εἴτ' ȣ̓̃ν κόσμȣ καὶ ἀπάτης, εἴτε παθῶν καὶ κακῶν σύμβολον Αἴγυπτος, καὶ ἡ Χαναναῖτις γῆ, ὧν μὲν ἀφεκτέον, ὁποῖα δὲ ἐπιτηδευτέον, ὡς θεῖα καὶ ȣ̓ κοσμικὰ, δείκνυσιν ἡμῖν τὸ λόγιον.

ΑΔΗΛΟΥ. Ξένȣς τῶν ἐν ἀνθρώποις ἐθῶν τȣ̀ς ἰδίȣς ποιεῖ, μήτε τοῖς ὅθεν ἐξῆλθον, μήτε τοῖς ὅπȣ εἰσέρχονται κελεύων ὁμοπραγεῖν.

** ΠΡΟΚΟΠΙΟΥ. Πορεία γάρ τις ἐκτετριμμένη τῆς εὐσεβείας ἡ πονηρία, ἣν ἑαυτοῖς ἐπενόησαν ἄνθρωποι, τὴν τȣ̃ Θεȣ̃ πορείαν καὶ κατὰ φύσιν ἀφέντες, καὶ τὴν ἰδίαν ἀντινομοθετήσαντες ἐξ ἀποσασίας ἀρξαμένην τῆς κατὰ τὸν Ἀδάμ. διὸ ξένȣς τῶν ἐν ἀνθρώποις ἐθῶν τȣ̀ς ἰδίȣς ποιεῖ, ἀποτρέπων ὁδȣ̃ τῶν ὅθεν ἐξῆλθον, καὶ εἰς ȣ̃ς εἰσπορεύονται.

ε. Καὶ φυλάξεσθε πάντα τὰ προσάγματά μȣ, καὶ πάντα τὰ κρίματά μȣ, καὶ ποιήσατε αὐτά· ἃ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

** ΚΛΗΜΕΝΤΟΣ. Ὅταν εἴπῃ, ὁ „ ποιήσας ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς, τήν τε Ἑβραίων αὐτῶν ἐπανόρθωσιν, τήν τε τῶν πέλας ἡμῶν αὐτῶν συνάσκησίν τε καὶ προκοπὴν, ζωὴν λέγει αὐτῶν τε καὶ „ ἡμῶν. οἱ γὰρ νεκροὶ τοῖς παραπτώμασι (Ἐφεσ. 2. 5.) „ συζωοποιȣ̃νται Χριςῷ, διὰ τῆς ἡμετέρας διαθήκης. πολλάκις δὲ ἐπαναλαμβάνȣσα „ ἡ Γραφὴ τὸ, ἐγὼ Κύριος ὁ Θεὸς ἡμῶν, δυσωπεῖ μὲν διατρεπτικώτατα, ἕπεσθαι διδάσκȣσα τῷ τὰς ἐντολὰς δεδωκότι Θεῷ· ὑπομιμνήσκει δὲ ἠρέμα ζητεῖν τὸν Θεὸν, καὶ ὡς οἷόν τε γινώσκειν ἐπιχειρεῖν· ἥτις ἂν εἴη θεωρία μεγίςη, ἡ ἐποπτικὴ, ἡ τῷ ὄντι ἐπιςήμη ἡ ἀμετάπτωτος, λόγῳ γινομένη. αὕτη ἂν εἴη μόνη ἡ τῆς σοφίας γνῶσις, ἧς ȣ̓δέποτε χωρίζεται ἡ δικαιοπραγία.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι καὶ ὁ τὰ τȣ̃ νόμȣ ποιῶν, ἔχει ἐλπίδα τῆς μελλȣ́σης ζωῆς, ὡς προσάγμασι Θεȣ̃ πειθαρχῶν.

ς. Ἄνθρωπος ἄνθρωπος πρὸς ἅπαντα οἰκεῖα σαρκὸς αὐτȣ̃ ȣ̓ προσελεύσεται

(1) Ἑσπέρα γὰρ τὸ τέλος. διὸ καὶ ὁ ἀμνὸς ἐθύετο πρὸς ἑσπέραν τȣ̃ κόσμȣ παθών. ὁ δὲ μὴ λȣσάμ. κτ. ὁ τῆς Αὐγ. κώδ.
(2) Τὴν φαιδρὰν ἐσθῆτα μεταλαβὼν τὴν ἐν πνεύματι, λήψεται τὴν ἀνομίαν αὐτȣ̃. ὁ αὐτ.
(3) Ἴσ. ἐν τῷ 6. ἐδ. τȣ̃ 8. κεφ. τῆς 1. πρὸς Κορινθ.

λεύσεται ἀποκαλύψαι ἀσχημοσύνην. ἐγὼ Κύριος.

ΑΔΗΛΟΥ. Συνόδους γαμικὰς καταρρυθμίζει πρὸς τὸ σεμνὸν, καὶ ὡς ἀμωμήτως πράττοιτο ταυτὶ παρὰ Θεῷ καὶ ἀνθρώποις.

ΘΕΟΔΩΡΙΤΟΥ. Τινὲς μέμφονται ταῖς περὶ τῶν γάμων νομοθεσίαις, λέγοντες ἀπαγορεῦσαι τὸν Θεὸν τὰ μηδαμῇ μηδαμῶς γεγενημένα. τίς γάρ φησιν ἠνέσχετο τῇ ἑαυτοῦ μιγῆναι μητρὶ, ἢ τίς πώποτε συνεγένετο κλίνει; Οὐκ ἂν ὁ Θεὸς τὸ παρ' οὐδενὸς τολμηθὲν ἀπηγόρευσε. καὶ ὅτι ταῦθ' οὕτως ἔχει, μαρτυρεῖ τὸ τοῦ δὲ τοῦ νόμου
» προοίμιον. ἔφη γὰρ οὕτω· κατὰ τὰ ἐπι-
» τηδεύματα τῆς Αἰγύπτου, ἐν ᾗ παρῳκήσα-
» τε ἐν αὐτῇ, οὐ ποιήσετε, καὶ κατὰ τὰ ἐπι-
» τηδεύματα γῆς Χαναὰν, εἰς ἣν ἐγὼ εἰσά-
» γω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ τοῖς νομί-
» μοις αὐτῶν οὐ πορεύσεσθε. οὕτω ταῦτα εἰπὼν, διδάσκει τὰ ὑπ' ἐκείνων τολμηθέντα, καὶ τὴν τοιαύτην ἀπαγορεύει πρᾶξιν. ὅτι δὲ πολλὰ τοιαῦτα τολμήματα, μαρτυροῦσι καὶ Πέρσαι μέχρι τοῦ παρόντος, οὐ μόνον ἀδελφαῖς, ἀλλὰ καὶ μητράσι καὶ θυγατράσι νόμῳ γάμου μιγνύμενοι· καὶ τὰς ἄλλας δὲ παρανομίας τολμῶσι πολλοί.

ζ. Ἀσχημοσύνην πατρός σου, καὶ ἀσχημοσύνην μητρός σου οὐκ ἀποκαλύψεις, μήτηρ γάρ σου ἐστὶν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Κελεύει οὐ μόνον ἀλλοτρίων ἀπέχεσθαι γυναικῶν, ἀλλὰ καὶ χηρευουσῶν, αἷς οὐ θέμις συνέρχεσθαι· τὸ περσικὸν ἔθος εὐθὺς ἀποστραφεὶς, καὶ μυσαξάμενος, ἀπεῖπεν ὡς μέγιστον ἀνοσιούργημα. μητέρας γὰρ οἱ ἐν τέλει Περσῶν τὰς αὐτῶν ἄγονται, καὶ τοὺς φύντας ἐκ τούτων εὐγενεστάτους νομίζουσι, καὶ βασιλείας τῆς μεγίστης, ὡς λόγος, ἀξιοῦσιν. οὗ τί ἂν γένοιτο δυσσεβέστερον ἀνοσιούργημα; πατρὸς εὐνὴν τετελευτηκότος, ἣν ἄψαυστον ὡς ἱερὰν ἐχρῆν φυλάττεσθαι, καταισχύνειν· γήρως δὲ καὶ μητρὸς αἰδῶ μὴ λαμβάνειν, τὸν αὐτὸν τῆς αὐτῆς υἱὸν καὶ ἄνδρα γενέσθαι· καὶ πάλιν τὴν αὐτὴν νυῦ μητέρα καὶ γυναῖκα· καὶ τοὺς ἀμφοῖν παῖδας, τοῦ μὲν πατρὸς ἀδελφοὺς, υἱωνοὺς δὲ τῆς μητρός· καὶ τὴν μὲν ὧν ἔτεκε μητέρα τε καὶ μάμμην, τὸν δὲ ὧν ἐγέννησεν ἐν ταὐτῷ πατέρα τε καὶ ὁμομήτριον ἀδελφόν. ταῦτ' ἐπράχθη τὸ παλαιὸν καὶ παρ' Ἕλλησιν ἐν Θήβαις ἐπὶ τοῦ Λαΐου παιδὸς Οἰδίποδος.

η. Ἀσχημοσύνην γυναικὸς πατρός σου οὐκ ἀποκαλύψεις, ἀσχημοσύνη πατρός σου ἐστίν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοσαύτην ὁ ἡμέτερος νόμος φυλακὴν πεποίηται τοῦ πράγματος, ὥς' οὐδὲ προγόνῳ, τελευτήσαντος πατρὸς, ἄγεσθαι μητρυιὰν ἐφῆκε, διά τε τὴν εἰς τὸν πατέρα τιμὴν, καὶ διότι

A μητρυιᾶς καὶ μητρὸς ὄνομα συγγενὲς, ἢ καὶ μὴ τὸ τῆς ψυχῆς συνῳδὸν πάθος. ὁ γὰρ ἀλλοτρίας ἀπέχεσθαι διδαχθεὶς, ὅτι μητρυιὰ προσερρήθη, πολὺ μᾶλλον ἀφέξεται τῆς φύσει μητρός. καὶ εἴ τις διὰ τὴν ἐπὶ τῷ πατρὶ μνήμην αἰδεῖται τὴν ἐκείνου ποτὲ γενομένην γυναῖκα, δῆλός ἐστιν ἕνεκα τῆς εἰς ἀμφοτέρους τοὺς γονεῖς τιμῆς, οὐδὲν βουλόμενος ἐπὶ τῇ μητρὶ νεώτερον, ἐπεὶ καὶ σφόδρα ἐστὶν εὔηθες, ἡμίσει μέρει τοῦ B γονέως χαριζόμενον, ὀλιγωρεῖν δοκεῖν ὁλοκλήρου καὶ παντελοῦς.

θ. Ἀσχημοσύνην τῆς ἀδελφῆς σου ἐκ πατρός σου ἢ ἐκ μητρός σου, ἐνδογενοῦς ἢ γεγεννημένης ἔξω, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῶν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐστὶ παράγγελμα μηδ' ἀδελφὴν ἐγγυᾶσθαι, πάνυ σεμνὸν καὶ συντεῖνον εἰς ἐγκράτειαν ὁμοῦ Γ καὶ εὐκοσμίαν. Καὶ μετ' ὀλίγα. Ἀνὰ κράτος ἀπεῖπεν ἀδελφῇ συνέρχεσθαι, εἴτε καὶ ἐξ ἀμφοῖν, εἴτε καὶ μόνου γένοιτο τοῦ ἑτέρου. τί γὰρ δεῖ τὸ τῆς αἰδοῦς κάλλος αἰσχύνειν; τί δὲ ἀχρωμάτους κατασκευάζειν παρθένους, ἃς ἐρυθριᾶν ἀναγκαῖον; τί δὲ τὰς πρὸς τοὺς ἄλλους ἀνθρώπους κοινωνίας καὶ ἐπιμιξίας ἐπέχειν, εἰς βραχὺ χωρίον τὸ ἑκάστης οἰκίας συνωθοῦντας μέγα καὶ λαμπρὸν ἔργον, ἐκτείνεσθαι καὶ χεῖσθαι δυνά- Δ μενον εἰς ἠπείρους, καὶ νήσους, καὶ τὴν οἰκουμένην πᾶσαν; αἱ γὰρ τῶν ὀθνείων ἐπιγαμίαι καινὰς ἀπεργάζονται συγγενείας τῶν ἀφ' αἵματος οὐκ ἀποδεούσας.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ δὲ τῆς ὁμοπατρίας ἀδελφῆς, ὡς διὰ συνήθειαν καταφρονεῖσθαι δυνάμενον· διὸ καὶ ἔλεγεν Ἀ-
» βραὰμ, ἀδελφή γάρ μου ἐστὶ πρὸς πατρὸς, Γεν. 20. 12.
» οὐ πρὸς μητρός· προύταξέ τε τῆς περὶ τῆς
E πρὸς μητρὸς ἀδελφῆς ἀπαγορεύσεως, καὶ προϊὼν ἐπανέλαβε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀπαγορεύσας γὰρ τοὺς τῶν συγγενῶν γάμους, ἐπ' ἀλλοτρίους ἡμᾶς ἐξήγαγε, κἀκείνους πάλιν πρὸς ἡμᾶς εἵλκυσεν. ἐπειδὴ γὰρ ἀπὸ τῆς φυσικῆς ταύτης συγγενείας οὐκ ἦν ἐκείνους ἡμῖν συναφθῆναι, ἀπὸ τοῦ γάμου πάλιν συνῆψεν, ὁλοκλήρους οἰκίας διὰ τῆς μιᾶς νύμφης συνάγων, καὶ γένη γένεσιν ὅλα Z ἀναμιγνύς. μὴ γάμει γάρ φησι τὴν ἀδελφὴν τὴν σὴν, μηδὲ τὴν ἀδελφὴν τοῦ πατρὸς, μηδὲ ἄλλην κόρην τὴν τοιαύτην συγγένειαν πρὸς σὲ κεκτημένην, ἣ διακωλύει τὸν γάμον. ὀνομαστὶ θεὶς τῶν τοιούτων συγγενῶν τὰ εἴδη. ἀρκεῖ σοι πρὸς τὴν ἐκείνων διάθεσιν τὸ λῦσαι τὰς αὐτὰς ὠδῖνας, τὸ ἑτέρως σοὶ προσήκειν τὰς ἄλλας. τί στενοχωρεῖς τῆς ἀγάπης τὸ πλάτος; τί περιττῶς ὑπόθεσιν ἀναλίσκεις τῆς εἰς αὐτὴν H φιλίας, δι' ἧς δύνασαι καὶ ἑτέραν πορίσασθαι φιλίας ἀφορμὴν, ἔξωθεν γυναῖκα ἀγαγὼν, καὶ δι' ἐκείνης συγγενῶν ὁρμαθὸν, καὶ μητέρα, καὶ πατέρα, καὶ ἀδελφοὺς, καὶ τοὺς τούτων ἐπιτηδείους;

ι. Ἀσχη-

ι. Ἀσχημοσύνην θυγατρὸς υἱοῦ σου,
ἢ θυγατρὸς θυγατρός σου, οὐκ ἀπο-
καλύψεις τὴν ἀσχημοσύνην αὐτῶν, ὅτι
ια. σὴ ἀσχημοσύνη ἐστίν. Ἀσχημοσύνην θυ-
γατρὸς γυναικὸς πατρός σου οὐκ ἀπο-
καλύψεις, ὁμοπατρία ἀδελφή σου
ἐστίν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύ-
ιβ. νην αὐτῆς. Ἀσχημοσύνην ἀδελφῆς
πατρός σου οὐκ ἀποκαλύψεις, οἰκεία
ιγ. γὰρ πατρός σου ἐστίν. Ἀσχημοσύνην
ἀδελφῆς μητρός σου οὐκ ἀποκαλύψεις,
ιδ. οἰκεία γὰρ μητρός σου ἐστίν. Ἀσχημο-
σύνην ἀδελφοῦ τοῦ πατρός σου οὐκ ἀπο-
καλύψεις, καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ
οὐκ εἰσελεύσῃ· συγγενὴς γάρ σου ἐστίν.
ιε. Ἀσχημοσύνην νύμφης σου οὐκ ἀποκα-
λύψεις, γυνὴ γὰρ υἱοῦ σου ἐστίν, οὐκ ἀπο-
καλύψεις τὴν ἀσχημοσύνην αὐτῆς.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Πολλὰς καὶ ἄλλας ὁμιλίας ἐκώλυσε, προστάξας μὴ θυγατριδῆν, μὴ υἱιδῆν, μὴ τηθίδα πρὸς πατρὸς ἢ μητρὸς, μὴ θείου, ἢ υἱοῦ, ἢ ἀδελφοῦ γυναῖκα γενομένην ἐγγυᾶσθαι· μηδ' αὖ πρόγονον χήραν, ἢ παρθένον, ζώσης μὲν τῆς γυναικὸς ἐπάγεσθαι, ἀλλὰ μηδ' ἀποθανούσης. δυνάμει γὰρ ὅ γε πατρῷος πατὴρ ὀφείλει τὴν ἐκ τῆς γυναικὸς ἐν τάξει θυγατρὸς τίθεσθαι.

ις. Ἀσχημοσύνην γυναικὸς ἀδελφοῦ σου οὐκ ἀποκαλύψεις, ἀσχημοσύνη ἀδελφοῦ σου ἐστίν.

ΑΔΗΛΟΥ. Ἐν ᾧ ζῇ, ἢ ἔχει παῖδας ἐκ τοῦ προτελευτήσαντος, οὐκ ἔξεστί σοι γαμεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου.

ιζ. Ἀσχημοσύνην γυναικὸς καὶ θυγατρὸς αὐτῆς οὐκ ἀποκαλύψεις· τὴν θυγατέρα τοῦ υἱοῦ αὐτῆς, καὶ τὴν θυγατέρα τῆς θυγατρὸς αὐτῆς οὐ λήψῃ ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῶν, οἰκεῖαί σου εἰσίν· ἀσέβημά ἐστι.

ιη. Γυναῖκα ἐπ' ἀδελφὴν αὐτῆς οὐ λήψῃ ἀντίζηλον ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῆς, ἔτι ζώσης αὐτῆς. (1)

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Δύο ἀδελφὰς ἄγεσθαι τὸν αὐτὸν οὐκ ἐπιτρέπει, οὔτ' ἐν τῷ αὐτῷ, οὔτ' ἐν διαφέρουσι χρόνοις, κἂν τύχῃ τις τὴν προέγημεν ἀπεωσμένος. ζώσης γὰρ ἔτι τῆς συνοικούσης, εἴτε καὶ ἀπηλλαγμένης, ἐάν τε χηρεύσῃ, ἐάν τε καὶ ἑτέρῳ γαμηθῇ, τὴν ἀδελφὴν οὐχ ὅσιον ὑπέλαβεν ἐπὶ τὰ τῆς ἠτυχηκυίας παρέρχεσθαι, προδιδάσκων ταύτας τὰ συγγενικὰ δίκαια μὴ λύειν, μηδ' ἐπιβαίνειν πταίσμασι τῆς οὕτως ἡνωμένης κατὰ γένος, μηδ'

A ἐναβρύνεσθαι, καὶ ἐντρυφᾷν θεραπευομένην ὑπὸ τῶν ἐχθρῶν ἐκείνης, καὶ ἀντιθεραπεύουσαν αὐτούς. ἐγείρονται γὰρ ἐκ τούτων χαλεπαὶ ζηλοτυπίαι, καὶ δυσαρρηγόρητοι φιλονεικίαι, φορὰς ἀμυθήτους ἄγουσαι κακῶν.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀπαγορεύει μηδὲ δύο συνοικεῖν ἅμα ἀδελφαῖς· ὡς μὴ τὸ οἰκειότατον πολεμιώτατον διὰ ζῆλου γένοιτο· (2) καὶ τὸ τῇ καθαιρομένῃ συνεῖναι,
B ἵνα τὴν φύσιν μὴ ἀπογυμνώσειε.

ιθ. Καὶ πρὸς γυναῖκα ἐν χωρισμῷ ἀκαθαρσίας αὐτῆς οὐ προσελεύσῃ ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Φορὰ τῶν μηνιαίων ὁπότε γένοιτο, μὴ ψαυέτω τῆς γυναικὸς ὁ ἀνὴρ, ἀλλὰ τὸν χρόνον ἐκεῖνον ὁμιλίας ἀνεχέσθω, νόμον φύσεως αἰδούμενος· καὶ ἅμα διδασκέσθω, μὴ ἀτελεῖς γονὰς
Γ ἀκαίρου καὶ ἀμούσου χάριν ἡδονῆς προΐεσθαι.

κ. Καὶ πρὸς γυναῖκα τοῦ πλησίον σου οὐ δώσεις κοίτην σπέρματός σου, τοῦ ἐκμιανθῆναι πρὸς αὐτήν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Περὶ γυναικὸς ἀλλοτρίας, ὡς ἀκριβοῦς μολυσμοῦ προσέθηκε,
» τοῦ ἐκμιανθῆναι πρὸς αὐτήν.

Δ κα. Καὶ ἀπὸ τοῦ σπέρματός σου οὐ δώσεις λατρεύειν ἄρχοντι. καὶ οὐ βεβηλώσεις τὸν νόμον (3) τὸν ἅγιον. ἐγὼ Κύριος.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἀπὸ τοῦ σπέρ-
» ματός σου οὐ δώσεις λατρεύειν ἄρχοντι, καὶ
» οὐ βεβηλώσεις τὸ ὄνομά μου τὸ ἅγιον· ἐγὼ
Κύριος; Τὸ Ἑβραϊκὸν, τὸ Μολὸχ ἔχει, καὶ
οἱ λοιποὶ δὲ ἑρμηνευταὶ τοῦτο τεθείκασιν.
E εἴδωλον δὲ τοῦτο ἦν. διὸ καὶ διὰ τοῦ Προφή-
» του φησὶν ὁ Θεός· μὴ σφάγια καὶ θυσίας Ἀμ. 5. 25.
» προσηνέγκατέ μοι ἐν τῇ ἐρήμῳ ἔτη τεσσα-
» ράκοντα υἱοὶ Ἰσραήλ; καὶ ἀνελάβετε τὴν
» σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ
» ὑμῶν Ῥαφὰν, τοὺς τύπους οὓς ἐποιήσατε
» προσκυνεῖν αὐτοῖς. ἀπαγορεύει τοίνυν τὸ
τοὺς παῖδας ἱεροδούλους τοῖς εἰδώλοις προσφέρειν· ὥς τινές φασι, τὸ τοῖς ἀλλοφύλοις ἄρχουσι μὴ διδόναι τοὺς παῖδας, ὥστε
Z εἶναι αὐτῶν οἰκέτας, ἢ δορυφόρους, ἵνα μὴ τῆς ἐκείνων μετάσχωσιν ἀσεβείας.

κβ. Καὶ μετὰ ἄρσενος οὐ κοιμηθήσῃ κοίτην γυναικείαν, βδέλυγμα γάρ ἐστι.

κγ. Καὶ πρὸς πᾶν τετράπουν οὐ δώσεις τὴν κοίτην σου εἰς σπερματισμὸν, ἐκμιανθῆναι πρὸς αὐτό. καὶ γυνὴ οὐ
H στήσεται πρὸς πᾶν τετράπουν βιβασθῆναι· μυσαρόν ἐστι.

ΠΡΟΚΟ-

(1) Ἔτι ζώσης αὐτῆς. αἱ προειρημ. ἐκδόσ.

(2) Τὰ ἑπόμενα ἐν τῷ τῆς Αὐγ. κώδ. οὐ κεῖται.

(3) Τὸ ὄνομα τό. αἱ εἰρημ. ἐκδόσ.

Α a a a

** ΠΡΟΚΟΠΙΟΥ. Ἀπαγορεύει τὴν πρὸς ἄλογα μῖξιν, ὡς αὐτόθεν ἄτοπον, καὶ ἀτόπου τρόπων ἀλλοκότων κοινωνίας σημαντικήν.

κδ. Μὴ μιαίνεσθε ἐν πᾶσι τούτοις· ἐν πᾶσι γὰρ τούτοις ἐμιάνθησαν τὰ ἔθνη, ἃ ἐγὼ ἐξαποστέλλω πρὸ προ-
κε. σώπου ὑμῶν. Καὶ ἐξεμιάνθη ἡ γῆ,
καὶ ἀνταπέδωκα ἀδικίαν αὐτοῖς δι᾽ αὐ-
B τὴν, καὶ προσώχθησεν ἡ γῆ τοῖς ἐγκαθημένοις ἐπ᾽ αὐτῆς.

ΑΔΗΛΟΥ. Σημείωσαι, ὅτι ὡς ἀσεβεῖς οἱ ἐθνικοὶ ἐξεβλήθησαν ἐκ τῆς ἰδίας γῆς. οὐκοῦν αὐτὸς ὁ λόγος ἁρμόσει καὶ κατὰ Ἰουδαίων.

κς. Καὶ φυλάξασθε πάντα τὰ νόμιμά μου, καὶ τὰ προστάγματά μου, καὶ οὐ μὴ ποιήσητε ἀπὸ πάντων τῶν
Γ βδελυγμάτων ὑμῶν τούτων ὁ ἐγχώριος, καὶ ὁ προσγενόμενος προσήλυτος ἐν ὑμῖν.

κζ. Πάντα γὰρ τὰ βδελύγματα ταῦτα ἐποίησαν οἱ ἄνθρωποι τῆς γῆς, οἱ ὄντες πρότεροι ὑμῶν, καὶ ἐμιάνθη ἡ γῆ.

ΑΔΗΛΟΥ. Ἐξαιρέτως βδέλυγμα καλεῖ τὸ μὴ μόνον τὴν φύσιν παραχαράττον, ἀλλὰ καὶ τὸ αὐτὸν τὸν Θεὸν ἐν εἴδει ἀνθρώπου ἢ ἀλόγου ζώου, μὴ μόνον ὑπὲρ σωματικὸν εἶδος, ἀλλὰ καὶ ὑπὲρ νοῦν ὄντα. βδελυρὸν δὲ καὶ τὸ μὴ οἰκεῖον τῇ φύσει
A καὶ τῷ τῆς φύσεως ποιητῇ. διὰ τοῦτο οἱονεὶ βδέλυγμα· ὡς ἔχει τὸ, ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ. (Ψαλ. 105. 40.) γῆ μὲν οὖν μιαίνεται πεφυκυῖα δέχεσθαι πᾶν τὸ ἐν αὐτῇ γινόμενον. καὶ ὁ κόσμος ἐμιάνθη, διὸ καὶ ἀνακτίζεται καθαρῶς. ὁ δὲ Θεὸς οὐ μιαίνεται. οὐ γὰρ ἐν αὐτῷ τὰ πραττόμενα μὴ καλῶς.

κη. Καὶ ἵνα μὴ προσοχθήσῃ ὑμῖν
B ἡ γῆ ἐν τῷ μιαίνειν ὑμᾶς αὐτὴν, ὃν τρόπον προσώχθησε τοῖς ἔθνεσι τοῖς πρὸ ὑμῶν.

Προσώχθησε. Θεοδοτίων, ἀπέβαλεν ἡ γῆ τοὺς ἐνοικοῦντας. Σύμμαχος, ἐξήμεσεν. Ἀκύλας, ἐξῆρεν ἡ γῆ τοὺς ἐνοικοῦντας.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἵνα μὴ προσοχθήσῃ ὑμῖν ἡ γῆ ἐν τῷ μιαίνειν ὑμᾶς αὐτὴν, καὶ τὰ ἑξῆς; Μὴ βδελύξηται ὑμᾶς, φησὶν, ὡς ἐβδελύξατο τοὺς Χαναναίους·
Γ ἀντὶ τοῦ, ὥσπερ ἐκείνους διὰ τὰς πολλὰς αὐτῶν παρανομίας πανωλεθρίᾳ παραδοὺς, ὑμῖν τὴν γῆν παραδέδωκα, οὕτως ὑμᾶς τὰ ὅμοια δράσαντας τιμωρήσομαι.

κθ. Ὅτι πᾶς ὃς ἐὰν ποιήσῃ ἀπὸ πάντων τῶν βδελυγμάτων τούτων, ἐξολοθρευθήσονται αἱ ψυχαὶ αἱ ποιοῦσαι
λ. ἐκ μέσου τοῦ λαοῦ αὐτῶν. Καὶ φυ-
Δ λάξασθε τὰ προστάγματά μου, ὅπως μὴ ποιῆτε ἀπὸ πάντων τῶν νομίμων τῶν ἐβδελυγμένων, ἃ γέγονε πρὸ τοῦ ὑμᾶς· καὶ οὐ μὴ μιανθήσεσθε ἐν αὐτοῖς, ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

ΚΕΦ. ΙΘ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Λά-
λησον τῇ συναγωγῇ τῶν υἱῶν Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, ἅγιοι ἔσεσθε, ὅτι ἅγιος ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἅγιοι ἔσεσθε, ὅτι ἅγιος ἐγώ. τὴν οἰκείωσιν ἀπαιτεῖ τὴν πρὸς αὐτόν.

γ. Ἕκαστος τὸν πατέρα αὐτοῦ καὶ μητέρα αὐτοῦ φοβείσθω, καὶ τὰ σάβ-
Z βατά μου φυλάξασθε. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἕκαστος τὸν ἑαυτοῦ πατέρα καὶ μητέρα φοβείσθω, ὡς ἐν τύπῳ Θεοῦ. καὶ τὰ σάββατά μου φυλάξεσθε εἰς σημεῖον ἁγιασμοῦ τοῦ ἐν πλησιασμῷ Θεοῦ, ὡς ἐπάγει, ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἁγιάζων δηλαδή.

δ. Οὐκ ἐπακολουθήσετε εἰδώλοις;
H καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσετε ὑμῖν. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

ΑΔΗΛΟΥ. Θεοὺς εἶναι λέγει τοῖς οὕτως
E ὑπειληφόσι. καὶ ἀπαγορεύει τοῖς τὸν ἀληθῆ Θεὸν εἰδόσι τοιούτους ὑπειληφέναι χωνευτοὺς Θεούς.

** ΠΡΟΚΟΠΙΟΥ. Τὰ ὁμοιώματα τῶν ἐπιφανέντων αὐτοῖς κατὰ τὴν ὄψιν ἐκτυπωθέντων, εἰκάσματα καλοῦσι καὶ εἴδωλα· Θεοὺς δὲ φησιν, ὡς πρὸς τὴν ἐκείνων ὑπόληψιν. οὐ ἀναιρετικὸν τὸ, μήτε ὁμοίωμα θεῖον εἶναι, ὡς ὁ Παῦλός φησι (1), μήτε ὕλην θείαν χεομένην πυρὶ, μήτε κατα-
Z σκευὴν δι᾽ ἀνθρωπίνων δακτύλων.

ε. Καὶ ἐὰν θύσητε θυσίαν σωτηρίου
ς. τῷ Κυρίῳ, δεκτὸν ὑμῶν θύσατε. Ἧ
ἂν ἡμέρᾳ θύσετε, βρωθήσεται, καὶ τῇ αὔριον· καὶ ἐὰν καταλειφθῇ ἕως ἡμέρας τρίτης, ἐν πυρὶ κατακαυθήσεται.

* ΠΡΟΚΟΠΙΟΥ. Εἰρηνικὸν ἑρμηνεύεται ἡ τοῦ σωτηρίου θυσία. αἰνίττεται οὖν τὸ μὴ ἀπιστεῖσθαι τὴν ἐν τριημέρῳ ἀναστάσει
H ζωὴν ἐν τῷ μὴ ἐσθίεσθαι ἐν τῇ τρίτῃ τὰ κρέα τοῦ θύματος ὡς ἐπὶ νεκροῦ, ἀλλὰ πυρὶ ἀναλαμβάνεσθαι εἰς τὸν ἀέρα.

ΤΟΥ

(1) Ἴσ. ἐκ τοῦ 23. ἐδ. τοῦ 1. κεφ. τῆς πρὸς Ῥωμ. ἐλήφθη.

A
** ΤΟΥ ΑΥΤΟΥ. Τοιοῦτον καὶ τὸ, ἐὰν
Λευϊτ. 22. 29, θύσῃς θυσίαν εὐχὴν χαρμοσύνης τῷ Κυ-
30. „ ρίῳ. εἶτα ἐπάγει· οὐ καταλείψετε ἀπὸ
„ τῶν κρεῶν εἰς τὸ πρωΐ. καθὰ γὰρ ἔγνωμεν
πολλάκις, εἰς τρεῖς ἢ δύω κατατέμνει τὸν
χρόνον ἡ θεία Γραφή. ἢ γὰρ εἰς τὸν τοῦ
νόμου καὶ τῆς χάριτος, ἢ καὶ μεταξὺ τὸν
τῶν Προφητῶν παρεμβάλλει καιρόν· ἀλλ'
ὅμως ἡ πρὸ τῆς χάριτος λατρεία μία μό-
νον ὑπῆρχεν ἡ νομικὴ καὶ σκιώδης. πρωΐας
B
δὲ γενομένης, ἤτοι τοῦ τρίτου καιροῦ διαλάμ-
ψαντος, οὐκ ἔτι δεκτὸς τῆς πρὶν λατρείας
ὁ τρόπος. βδελυρὸν δὲ εἴτε χθιζὸν, εἴτε
τριταῖον εἴη τὸ θῦμα παρὰ καιρὸν προσ-
Φιλιπ. 3. 8. φερόμενον, ὅτε σκύβαλα καὶ ζημίαν ὁ
Παῦλος καλεῖ τὰ κατὰ νόμον αὐχήματα,
„ διὰ τὸ ὑπερέχον τῆς γνώσεως τοῦ Χριστοῦ,
Ψαλ. 39. 6. τοῦ εἰπόντος, θυσίαν καὶ προσφορὰν οὐκ
„ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι.

ζ. Ἐὰν δὲ βρώσει βρωθῇ τῇ ἡμέρᾳ τῇ τρίτῃ, ἄθυτόν ἐστιν, οὐ δεχθήσεται.

Γ

Ἄθυτον. Ἀκύλας, ἀπόβλητόν φησιν.

η. Ὁ δὲ ἔσθων αὐτὸ, ἁμαρτίαν λήψεται, ὅτι τὰ ἅγια Κυρίου ἐβεβήλωσε· καὶ ἐξολοθρευθήσονται αἱ ψυχαὶ αἱ ἐσθίουσαι ἐκ τοῦ λαοῦ αὐτῶν.

* ΠΡΟΚΟΠΙΟΥ. Ὁ γὰρ ἐν νεκροῖς τιθεὶς τὸ θῦμα μετὰ τρίτην, ὡς μὴ καταργηθέντος τοῦ θανάτου, ἀπολεῖται ἐν θανάτῳ. τοῦτο δὲ ποιοῦσιν οἱ τὸν Χριστὸν ἡγούμενοι ψιλὸν ἄνθρωπον. ἐν δὲ τῷ πάσχα ἡ νὺξ ἐν ᾗ θύεται, τὸν νῦν κόσμον ἐντυποῖ, μεθ' ὃν οὐκ ἔτι θανάτου μνήμη. διὸ οὐχ ὑπολέλειπται τῶν κρεῶν εἰς τὸ πρωΐ.

Δ

θ. Καὶ ἐκθεριζόντων ὑμῶν τὸν θερισμὸν τῆς γῆς ὑμῶν, οὐ συντελέσετε τὸν θερισμὸν ὑμῶν τοῦ ἀγροῦ (1) ἐκθερίσαι· καὶ τὰ ἀποπίπτοντα τοῦ θερισ-
E
ι. *μοῦ σου οὐ συλλέξεις, Καὶ τὸν ἀμπελῶνά σου οὐκ ἐπανατρυγήσεις, οὐδὲ τοὺς ῥῶγας τοῦ ἀμπελῶνός σου συλλέξεις· τῷ πτωχῷ καὶ τῷ προσηλύτῳ καταλείψεις αὐτά. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.*

Z

ΚΥΡΙΛΛΟΥ. Μετὰ τὰ πρὸς Θεὸν ὅσια νομοθετεῖ τὰ πρὸς ἀνθρώπους φιλανθρώπως.

** ΠΡΟΚΟΠΙΟΥ. Ἵνα τὸ κοινωνὸν τῆς φύσεως ἐπιγινώσκωσι, κατὰ τὸ δυνατὸν κοινωνοῦντες τοῖς δίκαιον κοινωνίας οὐκ ἔχουσι, πλὴν τοῦ κατὰ φύσιν, ὅτι ἄνθρωποι.

ια. Οὐ κλέψετε, καὶ οὐ ψεύσεσθε, οὐδὲ συκοφαντήσει ἕκαστος τὸν πλησίον.

H

** ΠΡΟΚΟΠΙΟΥ. Δούλων, οὐκ ἐλευθέρων τὰ ἐπιτάγματα. ἡ δὲ χάρις μετὰ
„ μέμψεως παραινεῖ. διατὶ δὲ οὐχὶ μᾶλλον 1. Κορ. 6. 7.
ἀδικεῖσθε; ὅπερ τοῦ μὴ ἀδικεῖν πολλῷ τελειότερον.

ιβ. Καὶ οὐκ ὀμεῖσθε τῷ ὀνόματί μου ἐπ' ἀδίκῳ, καὶ οὐ βεβηλώσετε τὸ ὄνομα τὸ ἅγιον τοῦ Θεοῦ ὑμῶν. (2)

** ΠΡΟΚΟΠΙΟΥ. Ὁ μὲν νόμος, τὴν ἐπιορκίαν· ἡ δὲ χάρις ἀπαγορεύει τὸν ὅρκον, τιμῆς ἕνεκα μείζονος τῆς πρὸς τὸν Θεόν.

ιγ. Οὐκ ἀδικήσεις τὸν πλησίον, καὶ οὐχ ἁρπάσεις· καὶ οὐ κοιμηθήσεται ὁ μισθὸς τοῦ μισθωτοῦ παρὰ σοὶ ἕως πρωΐ.

ΑΔΗΛΟΥ. Προνοία τοῦ ἐνδεοῦς παρὰ Θεῷ, εἰς τὸ μὴ παρέλκεσθαι τὴν ἀναγκαίαν τροφὴν τοῖς πεινῶσιν. (3)

ιδ. Οὐ κακῶς ἐρεῖς κωφὸν, καὶ ἀπέναντι τυφλοῦ οὐ προσθήσεις σκάνδαλον· καὶ φοβηθήσῃ τὸν Θεόν σου. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

* ΠΡΟΚΟΠΙΟΥ. [Κήδεται τῶν μὴ δυναμένων βοηθεῖν ἑαυτοῖς.] οὕτω τοῖς καθ' ἡμέραν ἔργοις ἄνθρωπος ἐθίζεται γινώσκειν Θεόν.

** ΚΥΡΙΛΛΟΥ. Ἁγιοπρεπὲς τὸ τοῖς κάμνουσι συναλγεῖν, καὶ οὐχὶ δὴ μᾶλλον τὰ ἐφ' οἷς ἦν ἄμεινον ἐποικτείρεσθαι δεῖν, πλεονεξίας τῆς κατ' αὐτῶν ποιεῖσθαι πρόφασιν, ἐπιθρώσκοντάς τε καὶ ἐπιμωμῶντας ἔτι τοῖς ἠδικημένοις. κἂν εἰ δύναιτό τις λαθραίους ἀποτελεῖν τῆς ἐπιβουλῆς τοὺς τρόπους, ἀπέχεσθαι δεῖν ὁ νόμος εὖ μάλα φησὶ, καὶ τῶν ἐπὶ τόδε κακουργημάτων. Καὶ μετ' ὀλίγα. Οὐκ ἂν ἀκούσειεν ὁ κωφὸς τοῦ καταλαλεῖν ἐθέλοντος, ἀλλ' οὐδ' ἂν καταθεῷτο τυφλὸς τὸν προτιθέντα σκάνδαλον. λαθεῖν οὖν ἄρα χαλεπὸν οὐδὲν, κἂν εἰ βούλοιτό τις ἐπιβουλεύειν αὐτοῖς. ἀλλ' οὓς ἔδει μᾶλλον ἐλεεῖν, ὡς ἠῤῥωστηκότας ἤδη, τῆς οἴκοθεν συμφορᾶς, καὶ προσαδικοῦντες ἁλώσονται, σκανδάλῳ μὲν τὸν τυφλὸν οὐκ εἰδότα συντρίβοντες, λοιδορίαις δὲ τὸν κωφὸν, ὡς ἐπ' εὐφημίαις, ἔσθ' ὅτε καὶ μειδιᾷν ἀναπείθοντες, πλήττοντές γε μὴν, καὶ εἰς αὐτά που πολλάκις τὰ καιριώτατα. οὐκοῦν κεκρυμμένη μὲν, εἴπερ ἕλοιτό τις, ἡ ἐπ' ἀμφοῖν ἂν γένοιτο κακουργία, σκληρότητος δὲ καὶ τῆς ἄγαν μισαλληλίας οὐκ ἂν διεξοίχοιτο γραφήν.

ιε. Οὐ ποιήσετε ἄδικον ἐν κρίσει· οὐ λήψῃ πρόσωπον πτωχοῦ, οὐδὲ μὴ θαυμάσῃς πρόσωπον δυνάστου. ἐν δικαιοσύνῃ κρινεῖς τὸν πλησίον σου.

(1) Τοῦ ἀγροῦ σου. αἱ προειρημ. ἐκδόσ.
(2) Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν. αἱ εἰρημ. ἐκδόσ.
(3) Τὰ αὐτὰ ἄλλως πως καὶ ὁ Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ.

Οὐδὲ μὴ θαυμάσῃς πρόσωπον δυνάςυ. Ἄλλος φησὶν, ὐ δοξάσεις πρόσωπον μεγάλυ.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ μὲν γινώσκειν τὸ δίκαιον, ἐκ φύσεώς τε καὶ νόμυ· τὸ δὲ φυλάττειν, ἐκ τῦ μὴ εἴκειν αἰδοῖ καὶ ἐλαίῳ.

* ΤΟΥ ΑΥΤΟΥ. Καὶ παρὰ Θεῷ δὲ, ὅτε κρίσις, ὐκ ἔτι ἔλεος, ἀλλ' ἔργων (1) ἀντίδοσις· ὥσπερ νῦν, ὅτε χάρις, ὔπω κρίσις, [ἀλλ' ἡ πρὸς τὸ παιδεύειν.]

ις. Οὐ πορεύσῃ δόλῳ ἐν τῷ ἔθνει συ. ὐκ ἐπισυςήσῃ ἐφ' αἵματος τῦ πλησίον συ. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀποτεμὼν αὐτὺς τῶν ἄλλων ἐθνῶν, τὰ πρὸς ἀλλήλυς αὐτοῖς ὁρίζει δίκαια· ἡμᾶς δὲ ἀναμίξας ἔθνεσι, πρὸς πάντας κελεύει φυλάττειν τὸ δίκαιον, κἂν ὦσιν ἑτερόδοξοι.

ΑΔΗΛΟΥ. Ἡμᾶς δὲ πρὸς πάντας κελεύει φυλάττειν τὸ δίκαιον, μὴ ὡς πολεμίοις χρωμένυς, διὰ τὸ ἑτερόφυλον, ἢ ἑτερόδοξον.

ιζ. Οὐ μισήσεις τὸν ἀδελφόν συ τῇ διανοίᾳ συ. ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον συ, καὶ ὐ λήψῃ δι' αὐτὸν ἁμαρτίαν.

** ΠΡΟΚΟΠΙΟΥ. Μήτε μισεῖν ἐξ ὑποψίας διδάσκει, μήτε μνῆμην ἁμαρτόντας ἀμύνασθαι. ἡμῖν δὲ καὶ πρὸς πάντας ταῦτα, ὅτι καὶ πάντων ἥκει σωτὴρ ὁ Χριςός.

** ΜΑΞΙΜΟΥ. Μὴ εἴπῃς, ὐ μισῶ τὸν ἀδελφὸν, τὴν μνήμην αὐτῦ ἀποςρεφόμενος· ἀλλ' ἄκυσον Μωϋσέως λέγοντος, μὴ
» μισήσῃς τὸν ἀδελφόν συ τῇ διανοίᾳ συ.
» ἐλεγμῷ ἐλέγξεις τὸν ἀδελφόν συ, καὶ ὐ
» λήψῃ δι' αὐτὸν ἁμαρτίαν.

ιη. Καὶ ὐκ ἐκδικᾶταί συ ἡ χείρ· καὶ ὐ μηνιεῖς τοῖς υἱοῖς τῦ λαῦ συ· καὶ ἀγαπήσεις τὸν πλησίον συ ὡς σεαυτόν. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

* ΠΡΟΚΟΠΙΟΥ. Φυσικὸς ὁ λογισμὸς, εἰς ὃν καὶ πάντα ὁ Σωτὴρ ἀνεκεφαλαιώ-
Ματθ. 7. 12. σατο, εἰπών· καθὼς θέλετε, ἵνα ποιῶ-
» σιν ὑμῖν οἱ ἄνθρωποι, καὶ τὰ ἑξῆς.

** ΙΣΙΔΩΡΟΥ. Ἐν τῇ παρυσίᾳ αὐτῦ τῇ κατὰ σάρκα προσέθηκέ τι πλέον, εἰ-
Ἰωάν. 13. 34. πών· ὅτι ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα
» ἀγαπᾶτε ἀλλήλυς· καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. τὸ μὲν γὰρ ἀγαπῆσαι, καὶ ἐν τῇ παλαιᾷ κεῖται· τὸ δὲ, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς, προσέθηκε. διὸ καὶ καινὴν ἐντολὴν αὐτὴν ἐκάλεσεν. ἄλλο γὰρ τὸ ἀγαπῆσαι τὸν πέλας ὡς ἑαυτὸν, καὶ ἄλλο τὰ οἰκεῖα παριδεῖν, ἵνα τὰ τῶν πέλας ἐπανορθώσῃ. ὥσπερ γὰρ αὐτὸς ὐ πρὸς τὸ οἰκεῖον ὕψος, ἀλλὰ πρὸς τὸ τῶν ἀνθρώπων ὄφελος εἶδε, καὶ ταπεινώσας ἑαυτὸν, μορφὴν δύλυ κατηξίωσε λαβεῖν, ἵνα τὺς

A δύλυς εἰς υἱοθεσίαν ἀγάγῃ· ὕτω καὶ ἕκαςον ἡμῶν ἐκέλευσε, μὴ πρὸς τὸ οἰκεῖον κέρδος ὁρᾶν, ἀλλὰ πρὸς τὸ τῶν πέλας ὄφελος βλέπειν.

ιθ. Τὸν νόμον μυ φυλάξασθε. τὰ κτήνη συ ὐ κατοχεύσεις ἑτέρῳ ζυγῷ. καὶ τὸν ἀμπελῶνά συ ὐ καταςπερεῖς διάφορον· καὶ ἱμάτιον ἐκ δύω ὑφασμένον κίβδηλον ὐκ ἐπιβαλεῖς σεαυτῷ.

B Κίβδηλον. Ἄλλος φησὶ, κώλυμα Σαλᾶν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοσῦτον τὸ προμηθὲς ἐν τοῖς ἱεροῖς νόμοις ἐςὶν, ὥσθ' ὑπὲρ τῦ μηδεμίαν ἔκθεσμον ὁμιλίαν ἀνθρώπυς προσίεσθαι, διείρηται μηδὲν ἐὰν ὑπό τινος ἑτερογενῦς ὀχεύεσθαι. Καὶ μετ' ὀλίγα· Ἀνὰ κράτος ἀπεῖπε Μωϋσῆς καθολικωτέρᾳ προςάξει τοῖς ἀνομοίοις γένεσι μὴ ἐφεὶς ὀχεύειν ἢ ὀχεύεσθαι. πρυνόησε μὲν
Γ ὗν ἀναλόγως τῦ πρέποντος καὶ ἀκολύθυ τῇ φύσει· μακρόθεν δ' ὡς ἀπὸ σκοπιῆς ἐσωφρόνισεν ἀνθρώπυς· ἵν' ἐκ τῶνδε προμαθόντες ἄνδρες ὁμῦ καὶ γυναῖκες, ἀπέχωσιν ὁμιλιῶν ἐκνόμων.

» ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, τὰ κτή-
» νη συ ὐ κατοχεύσεις ἑτέρῳ ζυγῷ, καὶ τὰ ἑξῆς; Πολλάκις ἔφην, ὅτι διὰ τῶν αἰσθητῶν διδάσκει τὰ νοητά. ἀπαγορεύει τοίνυν τῶν ἑτερογενῶν τὴν ὀχείαν· οἷον, ἵππυ
Δ καὶ ὄνυ· ἵνα μὴ διαβῇ ἀπὸ τῶν ἀλόγων εἰς τὺς λογικὺς ἡ παράνομος μίξις. τύτυ χάριν καὶ τὸ ἐξ ἐρίυ καὶ λίνυ ὑφασμένον ἱμάτιον κίβδηλον ὀνομάζει· διδάσκων πράξεις ἐναντίας μηδαμῶς ἐπιτηδεύειν. ὅτι γὰρ ὐ τὸ ἱμάτιον κίβδηλον ἦν, ἀλλὰ τὴν πρᾶξιν διὰ τύτυ δηλοῖ, μαρτυρεῖ τῆς σκηνῆς τὰ καλύμματα ἐκ διαφόρων κατασκευασθέντα νημάτων. ὕτω νοητέον καὶ τὰ περὶ τῦ ἀμπελῶνος. καὶ ὁ Ἀπόςολος
E δὲ τὴν πρὸς τὺς ἀπίςυς κοινωνίαν απα-
» γορεύει. λέγων· μὴ γίνεσθε ἑτεροζυγῦν- 2. Κορ. 6. 14.
» τες ἀπίςοις.

** ΚΥΡΙΛΛΟΥ. Πώεσιν αἰγῶν καὶ προβάτων, ἢ γῦν ἀμπελῶνι παρεικαςέον εὖ μάλα τὴν ὑπὸ χεῖρα πληθύν. ἤκυε
» μὲν γὰρ ὁ θεσπέσιος Πέτρος, Σίμων Ἰωνᾶ, Ἰωάν. 21. 17.
» φιλεῖς με; βόσκε τὰ ἀρνία μυ, ποίμαινε
» τὰ πρόβατά μυ. περὶ δέ γε τῶν ἐξ Ἰσραὴλ
» ὁ προφήτης ἔφασκεν Ἡσαΐας· ὁ γὰρ ἀμ- Ἡσ. 5. 7.
Z » πελὼν Κυρίυ Σαβαὼθ, οἶκος τῦ Ἰσραὴλ
» ἐςὶ, καὶ ἄνθρωπος τῦ Ἰύδα νεόφυτον ἠγαπημένον. ποιμένος δὴ ὗν ἀρετὴ, τὸ μὴ ἐπαφιέναι προβάτοις ἑτεροειδές τι ζῶον, ὡς ταῖς ὀθνείαις τυχὸν ὀχείαις ὑποπεσεῖν, ἵνα μὴ ἑτεροφυὲς τέκῃ, καὶ τῆς ἐνέσης αὐτῷ φυσικῆς εὐγενείας ἐκνενευκός. ἀμπελωνων δὲ ὁ μελεδωνὸς, εἴπερ εἴη νυνεχὴς, καὶ γηπονεῖν ἄριςα μεμελετηκὼς, ὐκ ἂν ἀνάσχοιτό ποτε τὰ ξηρὰ τῶν ςπερμάτων ὑπ'
H αὐταῖς φύεσθαι ταῖς ἀμπέλοις, ἵνα μὴ δαπανωμένης αὐταῖς τῆς ἰκμάδος εἰς τὸ ἀλλότριον, ὑςερίζοιεν αὐταὶ πρὸς τὸ οἰκεῖον.

ΤΟΥ

(1) Ἀλλὰ κατὰ τὰ ἔργα. ἐν τῷ τῆς Αὐγ. κώδ.

A ΤΟΥ ΑΥΤΟΥ. Τὰ λογικὰ θρέμματα, Φησὶ, μὴ τοῖς τῶν ἑτεροδιδασκάλων ὑπάγεσθαι συγχωρῶμεν ἀνοσίοις ὥσπερ σπερματισμοῖς, νοητοῖς δηλονότι, [καὶ ταῖς ὡς ἐν λόγῳ εἰσηγήσεσιν.] ἀκαλλὴς γὰρ λίαν ὁ ἐξ ἀνομοίε γνώμης καρπός. [καὶ οἱ τῶν ἐχ ὁμοπίςων λόγοι, Φαύλων ἂν γένοιντο κυημάτων πρόξενοι τοῖς εἰσδεδεγμένοις αὐτές.]

B ✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἀμπελῶνας δὲ ὄντας ἡμᾶς, καὶ ἐν ὀρχάτων τάξει κειμένες, μονοειδῆ τρόπον τινὰ προσήκει ςεΦανῦσθαι καρπῷ, καὶ τὸν διΦυᾶ παραιτεῖσθαι τρόπον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐκ ἄδικον τὸ συζεῦξαι ὄνον βοΐ· ἀλλὰ τὸ σημαινόμενον, τὸ ἑτεροζυγεῖν ἀνθρώποις, (1) ταῖς ἐκείνων ἐκδεδομένες βελήσεσι, καὶ συντρέχοντας. (2) εἰ ὁ ἄπιςος χωρίζεταί Φησι, χωριζέσθω. (3)

ΤΟΥ ΑΥΤΟΥ. Τύπος ἀνθρώπων τάτε ὑποζύγια, καὶ τὰ Φυτὰ, καὶ τὰ ἐνδύματα. καὶ γὰρ ὑποζυγίων τρόπον τὸ λογικὸν ὑπόκειται τῷ Θεῷ, ὡς καὶ τὰ Χερεβὶμ, καὶ Φυτοῖς ἔοικεν ὑπὸ Θεῦ γεωργεμένοις· καὶ ὥσπερ ἐνδύματα ἐποιήσατο ἡμᾶς ὁ Χριςός.

κ. Ἐάν τις κοιμηθῇ μετὰ γυναικὸς κοίτην σπέρματος, καὶ αὕτη ἱκέτις
Δ διαπεΦυλαγμένη ἀνθρώπῳ, καὶ αὕτη
λύτροις ἐ λελύτρωται, ἢ ἐλευθερία
ἐκ ἐδόθη αὐτῇ, ἐπισκοπὴ ἔςαι αὐτοῖς,
ἐκ ἀποθανῦνται, ὅτι ἐκ ἀπηλευθερώθη.

ΑΔΗΛΟΥ. Ὁ δέλη μιγεὶς, τοιετοτρόπως σωΦρονίζεται διὰ πληγῶν, ἢ ζημίας. ἐὰν δὲ ἐλευθερωθῇ, τότε τιμωρεῖται. ὅ-
» περ δὲ λέγει, λύτροις ἐ λελύτρωται, τῦτο
E δηλοῖ· ἢ ὅτι Ἑβραία ἦν δυναμένη διὰ τῆς ἴσης καλαβολῆς τῶν χρημάτων ἐλευθερωθῆναι, ἢ ὅτι ἐπὶ τέτοις ἐδόθη τῷ συμΦώνῳ, ἵνα ὅταν τὶς δῷ τὰ ὑπὲρ αὐτῆς χρήματα, ἐλευθερωθῇ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Μιᾶς ἔσης τῆς Φύσεως, πῶς τὸ διάΦορον ἐν ἀδικήμασιν ἐλευθερία καὶ δελεία ποιεῖ, ἐπί τε μοιχείας νῦν, καὶ ἄνω πάλιν ἐπὶ Φόνε; Ἀλλ' ἐ τῶν συμβόλων τῷ Θεῷ, τῶν δὲ δι' αὐτῶν ση-
Z μαινομένων ἐμέλησε. διαΦορὰ τοίνυν τῶν
εἰς ἁγίες (4) πλημμελημάτων σημαίνεται.
Ζαχ. 2. 8. » οἱ μὲν γὰρ δῦλοι, οἱ δὲ ἐλεύθεροι. καὶ ὁ
» ἁπτόμενος ὑμῶν Φησὶν, ὡς ὁ ἁπτόμενος τῆς
Γεν. 20. 6. » κόρης τῦ ὀΦθαλμῦ αὐτῦ· καὶ, ἐΦεισάμην
» ἐγώ σε τῦ μὴ ἁμαρτεῖν εἰς ἐμὲ, διὰ τῆς
εἰς τὸν ΠροΦήτην ἀδικίας.

κα. Καὶ προσάξει τῆς πλημμε-
λείας αὐτῦ τῷ Κυρίῳ παρὰ τὴν θύ-
H ραν τῆς σκηνῆς τῦ μαρτυρίε κριὸν
κβ. πλημμελείας. Καὶ ἐξιλάσεται περὶ
αὐτῦ ὁ ἱερεὺς ἐν τῷ κριῷ τῆς πλημ-
μελείας ἔναντι Κυρίε περὶ τῆς ἁμαρ-
τίας αὐτῦ, ἧς ἥμαρτε, καὶ ἀΦεθή-
σεται αὐτῷ ἡ ἁμαρτία αὐτῦ, ἣν ἥ-
μαρτεν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἡ μὴ πρὸς θάνατον ἐν ἁμαρτία διὰ θυσίας θεραπεύεται. ἔτω τὸ εἰς Χριςὸν ἀσυγχώρητον μὲν Ἰέδα, ὅτι ἤδει κατά τινος ἐτόλμα, ἐκ ἐλευθέρε μόνον, ἀλλὰ καὶ δεσπότε· τοῖς δέ γε ἠγνοηκόσι συγχωρητὸν, ὡς εἰς ἄνθρωπον, καὶ εἰς δῦλον πραχθέν.

κγ. Ὅταν δὲ εἰσέλθητε εἰς τὴν
γῆν, ἣν Κύριος ὁ Θεὸς ὑμῶν δίδωσιν
ὑμῖν, καὶ καταΦυτεύσητε πᾶν ξύλον
βρώσιμον, καὶ περικαθαριεῖτε τὴν
ἀκαθαρσίαν αὐτῦ: ὁ καρπὸς αὐτῦ
τρία ἔτη ἔςαι ὑμῖν ἀπερικάθαρτος, ἐ
κδ. βρωθήσεται. Καὶ τῷ ἔτει τῷ τετάρ-
τῳ ἔςαι πᾶς ὁ καρπὸς αὐτῦ ἅγιος αἰ-
κε. νετὸς τῷ Κυρίῳ. Ἐν δὲ τῷ ἔτει τῷ
πέμπτῳ Φάγεσθε τὸν καρπὸν αὐτῦ,
πρόσθεμα ὑμῖν τὰ γεννήματα αὐτῦ.
ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Καὶ περικαθαριεῖτε τὴν ἀκαθαρσίαν. οἱ Λοιποί Φασιν, ἀκροβυςεῖτε τὴν ἀκροβυςίαν αὐτῶν.

✱✱ ΩΡΙΓΕΝΟΥΣ. Ἀμήχανον τὸ ἄρτι τῦ γεωργεῖσθαι ἀρχόμενον, κἂν καρποΦορῇ, τὲς πρώτες ἐνεγκεῖν καρπὲς καλές. ἀγαπᾷ δὲ ὁ γεωργὸς πρῶτον τὸ ἐνεγκεῖν αὐτῷ τὲς ἐπιβάλλοντας καρπὲς τὸ ἀρχόμενον γεωργίας· ὕςερον ὁδῷ διὰ τῶν πρεπόντων γεωργικῇ καθαρσίων μετὰ τὲς ὁποίες δήποτε καρπὲς ληψόμενος καὶ καρπὲς καλές. καὶ ὁ νόμος δὲ ταύτῃ τῇ ἐκδοχῇ ἡμῶν μαρτυρεῖ, λέγων· δεῖν τὸν Φυτεύσαντα τρία ἔτη ποιεῖν, ἀπερικάθαρτον ἐῶντα τὸ πεΦυτευμένον, ἐκ ἐσθιομένων
» αὐτῦ τῶν καρπῶν. τρία γάρ Φησιν ἔτη
» ὑμῶν ὁ καρπὸς ἀπερικάθαρτος, ἐ βρωθή-
» σεται· τῷ δὲ τετάρτῳ ἔτει ἔςαι πᾶς ὁ
» καρπὸς ἅγιος αἰνετὸς τῷ Κυρίῳ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τρία ἔτη ἐ περικαθαριεῖς τὸν καρπὸν αὐτῦ, ἀλλὰ ἀΦήσεις αὐτὸν, διότι ἐξίτηλον τὸ δένδρον ἐςὶ, διότι ἀσθενὴς, διότι ἄωρος ἡ γονή. ὁ δὲ
» τέταρτος, Φησὶν, ἅγιος ἔςαι τῷ Κυρίῳ.
καὶ σκόπει σοΦίαν νομοθέτε. ἔτε Φαγεῖν αὐτὸν εἴασεν, ἵνα μὴ πρὸ τῦ Θεῦ αὐτὸς λάβῃ τὸν καρπόν· ἔτε προσενεχθῆναι αὐτὸν ἐπέτρεψεν, ἵνα μὴ ἄωρον προσενεχθῇ τῷ Κυρίῳ. ἀλλὰ ἄΦες μὲν Φησιν, ἐπειδὴ πρῶτον ἐςι· μὴ προσενέγκῃς δὲ, ἐπειδὴ ἀνάξιον τῆς τιμῆς τῦ λαμβάνοντος.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Αἴνιγμα τῦτο εἰς τὸν λαὸν, ἐπὶ τρεῖς μὲν καιρὲς ἀποςολῆς

 Προ-

(1) Ἴσ. ἀπίςοις.
(2) Καὶ τρέχοντας. ὁ Ἀλεξάν. κώδ.
(3) Ἀτελὴς ἡ ἔννοια.
(4) Πρόσθες, καὶ εἰς ἁμαρτωλές.

Προφητῶν οὐ μέλλοντα διδόναι καρπόν· ἐπὶ τῶν περὶ Ἱερεμίαν, καὶ τῶν περὶ Ζαχαρίαν, ὡς καὶ ἡ τοῦ Χριστοῦ σημαίνει παραβολή· ὅτι τρία ἔτη ζητῶν καρπὸν ἐν τῇ συκῇ, οὐχ εὑρίσκει· τετάρτῳ δὲ καιρῷ μέλλοντα τῷ Κυρίῳ καρποφορεῖν τοὺς Ἀποστόλους. συνεχωρήθη δὲ τὸ τέταρτον, ἵνα τῷ πέμπτῳ ἐκκοπείη, εἰ μὴ καρποφορήσειεν. ἐν οὖν τῷ πέμπτῳ καρπὸς εἰς ἀπόλαυσιν, ὅτε ἑαυτὸν εὑρίσκει ὁ λαὸς ἐπανελθόντα εἰς Θεόν.

» ΚΥΡΙΛΛΟΥ. [Καθαριεῖτε, φησὶ, τὴν » ἀκαθαρσίαν αὐτοῦ, τουτέστι τὸ τῆς ἱστορίας εἰκαῖον ἀποτεμεῖς, καὶ] τὸ οἱονεὶ ξυλῶδες περιελεῖς τοῦ γράμματος, ἐπ' αὐτὴν δὲ ἥξεις τοῦ φυτοῦ τὴν καρδίαν, τουτέστι [τοῦ τεθεωρισμένου] τὸν ἔσω περιεργάσῃ σκο- » πὸν, καὶ αὐτὸ ποιήσῃ τροφήν. [ἀλλ' ἔσται, » φησὶν, ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἀπερικά- » θαρτος, οὐ βρωθήσεται. τὸ ἔτος τίθησιν εἰς καιρόν. καιροὶ γὰρ πρῶτοι γεγόνασι τρεῖς, καθ' οὓς ἦν ὁ νόμος ἀπερικάθαρτος ἔτι, τῷ τῆς ἱστορίας πάχει κατηχθισμένος, καὶ ὥσπερ εἰκαῖον συρφετὸν περικείμενος τὴν σκιάν.] χρόνους δὲ τρεῖς εἶναί φημι, τὸν Μωσέως, τὸν Ἰησοῦ, καὶ τῶν Κριτῶν· καὶ τέταρτος ἦν, καθ' ὃν ὁ τῶν ἁγίων Προφητῶν ἀνέφυ χορός. τότε γὰρ γέγονεν ὁ τοῦ νόμου καρπὸς ἅγιός τε καὶ αἰνετός. ἤρξατο γὰρ ἐκ Προφητῶν ἁγίων ἀθετεῖσθαι τὰ ἐν νόμῳ, κηρύττεσθαι δὲ φανερῶς ἡ ἀλήθεια, καὶ τῆς Χριστοῦ παρουσίας τὸ μυστήριον. ὧν τελευταῖος ἦν
Ματθ. 3. 2. ὁ πρόδρομος Ἰωάννης, κεκραγὼς, μετανοεῖτε. [οὐκοῦν ἐν τετάρτῳ χρόνῳ πρὸς ἀρχὰς τοῦ διακαθαίρεσθαι τὰ ἐν νόμῳ γέγονε, καὶ ἦν ἤδη πως ὁ καρπὸς ἅγιος.] πλὴν ἐν πέμπτῳ βρώσιμος ἡνίκα Χριστὸς » παρεγένετο. διὰ τοῦτό φησιν, ἔσται ὁ καρ- » πὸς αὐτοῦ πρόσθεμα ὑμῖν. πρὸς γὰρ τοῖς εὐαγγελικοῖς κηρύγμασι καὶ ἡ νομικὴ παίδευσις πρὸς θεωρίαν ἡγμένη πνευματικὴν τοῖς φιλομαθέσι χρειωδεστάτη.

κϛ. Μὴ ἔσθετε ἐπὶ τῶν ὀρέων, καὶ οὐκ οἰωνιεῖσθε, οὐδὲ ὀρνιθοσκοπήσεσθε.

Μὴ ἔσθετε ἐπὶ τῶν ὀρέων. Ἄλλος, οὐ φάγεσθε ἐπὶ τοῦ δώματος.

ΑΔΗΛΟΥ. Ἵνα μὴ ἀπαλλοτριωθῶσι τοῦ ἰδίου Θεοῦ.

1. Κορ. 10. 21. ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Οὐ δύνασθε τραπέ- » ζης Κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων. ἐν γὰρ τοῖς ὄρεσιν ἐθρησκεύοντο δαίμονες.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Τοῦ γὰρ Λάβαν τὸ
Γεν. 30. 27. λέγειν, οἰωνισάμην ἂν ἐπὶ τῷ παιδί σου. (1) μάταιον γὰρ τῷ κατὰ συντυχίαν, ὡς αἰτίῳ προσέχειν· ἀλλὰ καὶ δαιμόνων αἱ εἰς ὄρνιθας ἐνέργειαι.

ΑΔΗΛΟΥ. Μήτε συμβόλοις προσέχειν κελεύει, μήτε ὄρνισι προσέχειν ἐπὶ μαν-

(1) Ἴσ. ποδί σου.

A τεία· ὅτι ἐκεῖνα μὲν μάταια, τοῦτο δὲ καὶ δαιμονικόν.

κζ. Οὐ ποιήσετε σισόην ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν, οὐδὲ φθερεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν.

ΣΥΜΜΑΧΟΣ. Οὐ περιξυρήσετε κύκλῳ τὴν πρόσοψιν τῆς κεφαλῆς ὑμῶν.

ΑΔΗΛΟΥ. Θεοδοτίων φησὶν, οὐ κυκλώ-
B σετε τὸ φαὰθ τῆς κεφαλῆς. Ἀκύλας δέ φησιν, οὐ περικυκλώσῃ τὸ κλίμα τῆς κεφαλῆς σου. τριχῶν δὲ ἀφαίρεσις, δόξης ἀφαίρεσις.

ΑΔΗΛΟΥ. Σισόη ἐστὶν ὁ κρόβυλος· πλέγμα δέ ἐστι τοῦτο, ὅπερ Ἕλληνες ἐπλέ- » κοντο, ὡς χρονικὸν ἀνάθεμα, καὶ μᾶλλον » Σαρακηνοὶ μέχρι τούτου ποιοῦσι.

✱✱ ΑΘΑΝΑΣΙΟΥ. Τί ἐστι τὸ, οὐ ποιήσετε σισόην ἐκ τῆς κόμης τῆς κεφαλῆς
Γ ὑμῶν; Τινὲς τὸν σισόην ἄλλως ἡρμήνευσαν· ἐγὼ δὲ οἶμαι τὴν ἀπόκαρσιν τὸν νόμον ἀπαγορεύειν. εἰώθασι γὰρ οἱ Ἕλληνες » καὶ ἀποκείρειν τῶν παίδων τὰς κορυφὰς, » καὶ τοὺς μαλλοὺς ἐᾷν, καὶ τούτους μετὰ χρόνον ἀνατιθέναι τοῖς δαίμοσι.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, οὐ ποιήσετε σισόην ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν, καὶ τὰ ἑξῆς; Τινὲς τὸν σισόην τὰς ἐξ ἐπι-
Δ τηδεύσεως οὔλας γενομένας τρίχας ἡρμήνευσαν· ἐγὼ δὲ ἄλλο οἶμαι τὸν νόμον ἀπαγορεύειν. εἰώθασιν Ἕλληνες μὴ ἀποκείρειν τῶν παιδίων τὰς κορυφὰς, ἀλλὰ μαλλοὺς ἐᾷν, καὶ τούτους μετὰ χρόνον ἀνατιθέναι τοῖς δαίμοσιν. εἰώθεσαν δὲ καὶ τὰ γένεια ξυρᾶσθαι ἡνίκα ἐπένθουν, καὶ τέμνεσθαι τὰς παρειὰς εἰς τὴν τῶν τετελευτηκότων τιμήν. καίτινα δὲ τοῦ σώματος μόρια βελόναις ἐκέντουν, καὶ μέλαν ἐπέβαλλον εἰς
E θεραπείαν τῶν δαιμόνων. ταῦτα ὁ θεῖος νόμος ἀπαγορεύει.

κη. Καὶ ἐντομίδας οὐ ποιήσετε ἐπὶ ψυχῇ ἐν τοῖς σώμασιν ὑμῶν· καὶ γράμματα στικτὰ οὐ ποιήσετε ἐν ὑμῖν. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

ΑΔΗΛΟΥ. Ὥσπερ κωλύει καλλωπίζεσθαι, οὕτω καὶ ἐπὶ νεκρῷ κόπτεσθαι. οὕτω
Z καὶ μέχρι νῦν πολλοὶ Βάρβαροι ποιοῦσιν, ἐπὶ τοῖς τελευτῶσι κατατέμνοντες ἑαυτοὺς, καὶ τὰς ὄψεις καταχαράττοντες.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Λυμαίνονται γὰρ καὶ τοῖς σώμασιν οἱ ταῖς ψυχαῖς λυμαινόμενοι δαίμονες. ὁ δὲ Θεὸς ἄτμητον ψυχὴν καὶ σῶμα φυλάττει. ἑνώσεως γὰρ ὁ Θεὸς, ὡς δαίμονες τοῦ σκεδασμοῦ.

**κθ. Οὐ βεβηλώσεις τὴν θυγατέρα σου ἐκπορνεῦσαι αὐτήν· καὶ οὐκ ἐκ-
H πορνεύσει ἡ γῆ, καὶ πλησθήσεται ἡ γῆ ἀνομίας.**

ΠΡΟΚΟ-

A * ΠΡΟΚΟΠΙΟΥ. Ὁ νόμος τὸ κατὰ φύσιν ζητεῖ. οὐ κατὰ φύσιν δὲ ἡ πορνεία. οὐδὲ γὰρ ἐπὶ παιδογονίᾳ.

„ * ΤΟΥ ΑΥΤΟΥ. Ἵνα μὴ ἐκπορνεύσῃ
„ ἡ γῆ, καὶ πληθῇ ἀνομίας. τρέχει γὰρ εἰς πλῆθος ἀρξάμενον τὸ κακόν. διὸ καὶ ἡ ἀρχὴ κολάζεται.

λ. Τὰ σάββατά μου φυλάξεσθε, καὶ ἀπὸ τῶν ἁγίων μου φοβηθήσεσθε.
B ἐγὼ Κύριος.

* ΠΡΟΚΟΠΙΟΥ. (1) Οὔτε τὸ σάββατον ὡς ὠφέλιμον αὐτῷ, οὔτε τὸ ἁγίασμα, εἰ μὴ κατὰ σύμβολον. τοῖς μέντοι Θεὸν αὐτὸν ἔχουσιν, οὐ χρεία διὰ τούτων οἰκειοῦσθαι.

λα. Οὐκ ἐπακολουθήσετε ἐγγαστριμύθοις, καὶ τοῖς ἐπαοιδοῖς οὐ προσκολληθήσεσθε, ἐκμιανθῆναι ἐν αὐτοῖς.
Γ ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

ΑΛΛΟΣ φησὶ, μὴ ἐκκλίνητε πρὸς τοὺς θελητὰς, καὶ πρὸς τοὺς γνώστας.

ΑΔΗΛΟΥ. Θεοῦ γὰρ χωρισμὸς ὁ διὰ δαιμόνων μολυσμὸς τῶν πειθομένων.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν ἐγγαστρίμυθος; Τινὲς ὑπὸ δαιμόνων ἐνεργούμενοι, ἐξηπάτουν πολλοὺς τῶν ἀνοήτων, ὡς δῆθεν προαγορεύοντες· οὓς στερνομάντεις (2) οἱ Ἕλληνες προσηγόρευον, ὡς ἔνδοθεν δοκοῦν-
Δ τος τοῦ δαίμονος φθέγγεσθαι.

λβ. Ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ, καὶ τιμήσεις πρόσωπον πρεσβυτέρου, καὶ φοβηθήσῃ τὸν Θεόν σου. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

* ΠΡΟΚΟΠΙΟΥ. (3) Τί ἐστιν ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ, καὶ τὰ ἑξῆς; Ἐπεὶ Θεὸς τὸ πρεσβύτατον, καὶ πολιὸς ἐν ὀπτα-
E σίᾳ (4) ἐθεωρήθη.

Παροιμ. 20. ** ΒΑΣΙΛΕΙΟΥ. Δόξα πρεσβυτέρων
29. „ πολιαί. εἰ δέ που καὶ ἐν ἡλικίᾳ νέᾳ πρεσβυτικὸν εὑρεθῇ φρόνημα, οὐκ ἀτιμαστέον τὸ δῶρον, ἀλλὰ πιστευτέον τῷ λέγοντι· πο-
Σοφ. 4. 9. λιὰ δέ ἐστι φρόνησις ἐν ἀνθρώποις. πλεῖον γὰρ τῷ ὄντι εἰς πρεσβυτέρου σύστασιν τῆς ἐν θριξὶ λευκότητος τὸ ἐν φρονήσει πρεσβυτικόν. μήποτε γὰρ τοῦτο βούλεται καὶ
Z „ ὁ λόγος· ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ,
„ καὶ τιμήσεις πρόσωπον πρεσβυτέρου.

λγ. Ἐὰν δέ τις προσέλθῃ ὑμῖν προσήλυτος ἐν γῇ ὑμῶν, οὐ θλίψετε
λδ. αὐτόν. Ὡς αὐτόχθων ἐν ὑμῖν ἔσται ὁ προσήλυτος ὁ προσπορευόμενος πρὸς ὑμᾶς, καὶ ἀγαπήσεις αὐτὸν ὡς σεαυτόν· ὅτι προσήλυτοι ἐγενήθητε ἐν γῇ Αἰγύπτῳ. ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἑτέρως παρὰ τὰ ἔθνη. ἐλάττων γὰρ παρὰ τοῖς ἄλλοις ὁ ξένος, Ἀθηναίοις τυχὸν καὶ Πέρσαις· ὑπὸ δὲ Λακεδαιμονίων ἠλαύνετο. ἐνταῦθα οὐ τὸ κατὰ φύσιν, ἔνθα ἄνθρωπος οὐκ ἐλαττοῦται ἀνθρώπου διὰ τόπον, ἀλλὰ τιμᾶται διὰ φύσιν, ἔτι δὲ καὶ κατὰ τὴν τοῦ πράγματος κοινωνίαν ἐξισοῦται· καὶ αὐτοὶ γὰρ ἦσαν ἐν Αἰγύπτῳ προσήλυτοι· ἀλλὰ καὶ κατὰ τὴν προαίρεσιν τὸν αὐτὸν Θεὸν ὑπιὼν, ὡς ἡ Ῥοὺθ διὰ τοῦτο ἐτιμᾶτο παρὰ τοῦ Βοός. εἴη δ' ἂν καὶ εἰς τὰ ἔθνη ἡ προφητεία, μέλλοντα ἐξισοῦσθαι τῷ Ἰσραὴλ διὰ τὸν πάντων ἐξισωτὴν Χριστὸν, εἰ καὶ ἐξ εἰδωλολατρείας ἔρχονται. ἦσαν γὰρ εἰδωλολάτραι, καὶ Ἑβραῖοι ἐν Αἰγύπτῳ.

ΑΔΗΛΟΥ. Οὐκ ἐξακολουθήσετε, φησὶ, τὰ ἐθνῶν ἔθη. ἀτιμάζεται γὰρ παρ' αὐτοῖς ὁ ξένος. οὐ γὰρ ἐλαττοῦται ἄνθρωπος ἀνθρώπου διὰ τόπον, ἀλλὰ τιμᾶται διὰ φύσιν.

λε. Οὐ ποιήσετε ἄδικον ἐν κρίσει, ἐν μέτροις καὶ ἐν σταθμοῖς καὶ ἐν ζυγοῖς.

* ΠΡΟΚΟΠΙΟΥ. Ἡ ἐν κρίσει καὶ συμβολαίοις δικαιοσύνη, Θεοῦ τιμὴ τοῦ δικαίου.

λϛ. Ζυγὰ δίκαια καὶ σταθμία δίκαια καὶ χοῦς δίκαιος ἔσται ὑμῖν. ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου.

ΑΔΗΛΟΥ. Χοῦς μέτρον ἐστὶν, οὕτω παρ' Ἑβραίοις λεγόμενον.

** ΚΥΡΙΛΛΟΥ. Εἶεν δ' ἂν οἶμαι ταυτὶ τύποι τινὲς ὥσπερ καὶ ἐμφανῆ παραδείγματα, τρόπους ἡμῖν ἀποφαίνοντα, δι' ὧνπερ ἂν ἡμῖν ὁ τῆς ἀκριβοῦς ἰσότητος διερμηνεύοιτο λόγος, καὶ ἡ τῆς δικαιοσύνης ἀναφανεῖται γνῶσις. σαφὲς δὲ, ὅτι συμμετρεῖται μὲν τὰ ἐν νόμῳ, καὶ ὅρον ἔχει τὴν δικαιοσύνην, πλεονεκτεῖ δὲ τὸ μεῖζον καὶ πολὺ δὴ λίαν ἐπέκεινα τρέχει τὰ διὰ Χριστόν. πέρα γὰρ δικαίου τὸ ἀγαθὸν, τουτέστι τῆς ἐν Χριστῷ πολιτείας ἡ δόξα.

λζ. Καὶ φυλάξατε πάντα τὸν νόμον μου, καὶ πάντα τὰ προστάγματά μου, καὶ ποιήσετε αὐτά. ἐγὼ Κύριος.

ΚΕΦ.

(1) Διὰ τὸ σύμβολον. διὰ Θεὸν δὲ καὶ ταῦτα. τοῖς μέντοι, κτ. ὁ τῆς Αὐγ. κώδ.
(2) Ἐντερομάντεις. ἡ ἐν Χάλ. ἔκδ.
(3) Διὰ Θεοῦ φόβον καὶ τὸ πρεσβύτερον τιμητέον. ἐπεὶ Θεὸς, κτ. ὁ τῆς Αὐγ. κώδ.
(4) Ἐν ὀπτασίᾳ τοῦ Δανιήλ. ὁ αὐτ.

ΚΕΦ. Κ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Καὶ
τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις, ἐάν τις ἀπὸ τῶν υἱῶν Ἰσραὴλ, ἢ τῶν προσγεγενημένων προσηλύτων ἐν Ἰσραὴλ, ὃς ἂν δῷ τοῦ σπέρματος αὐτοῦ ἄρχοντι, θανάτῳ θανατούσθω· τὸ ἔθνος τὸ ἐπὶ τῆς γῆς λιθοβολήσουσιν αὐτὸν ἐν λίθοις.

ΚΥΡΙΛΛΟΥ. Τὸ μὴ διδόναι τοὺς ἰδίους παῖδας ἄρχουσιν ἀλλοφύλοις εἰς ὑπηρεσίαν ὑπὲρ τοῦ μὴ βεβηλοῦν τὸ ὄνομα τὸ ἅγιον. ἀντὶ δὲ τοῦ εἰπεῖν, ἄρχοντι, ἐν ἑτέραις γραφαῖς εὑρίσκεται, τῷ Μολόχ. ὅπερ εἰδώλου ἐστὶν ὄνομα. διὸ ὡς ἐπὶ μεγάλῳ ἁμαρτήματι θάνατός ἐστι τὸ ἐπιτίμιον. τοῦτο δὲ λέγει, ὅτι ὁ ἀναθεὶς εἰδώλῳ τινὶ (1) τῶν ἑαυτοῦ, ἀσεβεῖ. οἱ γὰρ Ἕλληνες ἔσθ' ὅτε τῇ Ἀφροδίτῃ ἀφώριζον τὰς ἑαυτῶν θυγατέρας, ἵνα πορνεύωνται.

** ΠΡΟΚΟΠΙΟΥ. Ὠφέλιμον τὸ αὐτοχειρίᾳ κολάζειν. διατίθησι γὰρ πρὸς τὸ δίκαιον ὑπὲρ οὗ ἡ δίκη. μεταδίδωσιν οὖν τῷ λαῷ τῆς τοῦ δικαίου πράξεως, οὐ δεόμενος αὐτῶν. τοιγαροῦν φησὶ, καὶ μὴ ποιούντων ἐπάξω τὴν δίκην. οὕτω καὶ τοὺς πολεμίους φθείρειν ἐπέταττε, πρὸς τὸ ὑπὲρ εὐσεβείας ἀγωνίζεσθαι τῇ φθορᾷ τῶν ἀσεβῶν, πολλάκις καὶ χωρὶς αὐτῶν τοῦτο ποιῶν.

γ. Καὶ ἐγὼ ἐπιστήσω ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον τὸ πρόσωπόν μου, καὶ ἀπολῶ αὐτὸν ἐκ τοῦ λαοῦ αὐτοῦ, ὅτι τοῦ σπέρματος αὐτοῦ ἔδωκεν ἄρχοντι, ἵνα μιάνῃ τὰ ἅγιά μου, καὶ βεβηλώσῃ τὸ ὄνομα τῶν ἡγιασμένων μοι.

ΑΔΗΛΟΥ. Τοῦτο δὲ οὐ διὰ τῆς αὐτοχειρίας τοῦ λαοῦ μόνης ἐπιτελεῖ, ἀλλὰ καὶ ἄνευ ταύτης.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ πρόσωπον, φησὶν, ἐπιστήσειν· ᾧ πάντα καταφανῆ τὰ πραττόμενα· ἐπεὶ καὶ ἐπ' ἀνθρώπων φη-
» σίν· ἐὰν ὑπερίδωσι τοῖς ὀφθαλμοῖς αὐτῶν. ὅπερ οὐκ ὄψεως, ἀλλὰ διανοίας ἐστίν. ἐπίστασις οὖν προσώπου ἡ ἐποπτικὴ δύναμις. δεινὸν γὰρ καταλιπεῖν ἁγίων συγγένειαν ἢ δουλείαν, καὶ προσκολλᾶσθαι ἀπίστοις, κατὰ
2. Τιμ. 4. 10. τὸ, Δημᾶς με ἐγκατέλιπεν, ἀγαπήσας
Ῥωμ. 8. 13. τὸν νῦν αἰῶνα· καὶ, εἰ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν. κἂν ἀναγκασθῇ δέ τις ἐν Βαβυλῶνι δουλεύειν, ἐλευθεριάσαι δεῖ τῷ φρονήματι παρὰ προαίρεσιν ὑπομένοντα.

δ. Ἐὰν δὲ ὑπερόψει ὑπερίδωσιν οἱ αὐτόχθονες τῆς γῆς τοῖς ὀφθαλμοῖς αὐτῶν ἀπὸ τοῦ ἀνθρώπου ἐκείνου, ἐν τῷ δοῦναι αὐτὸν τοῦ σπέρματος αὐτοῦ ἄρχοντι, τοῦ μὴ ἀποκτεῖναι αὐτόν.

Ἐὰν δὲ ὑπερόψει ὑπερίδωσιν. Ἄλλος, καὶ ἐὰν κρύψει κρύψωσιν ὁ λαὸς τῆς γῆς.

ε. Καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον, καὶ τὴν συγ-
B γένειαν αὐτοῦ, καὶ ἀπολῶ αὐτὸν, καὶ πάντας τοὺς ὁμονοοῦντας αὐτῷ, ὥστε ἐκπορνεύειν αὐτοὺς εἰς τὸν ἄρχοντα, ἐκ
ς. τοῦ λαοῦ αὐτῶν. Καὶ ψυχὴ ἣ ἐὰν ἐπακολουθήσῃ ἐγγαστριμύθοις ἢ ἐπαοιδοῖς, ὥστε ἐκπορνεῦσαι ὀπίσω αὐτῶν, ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ τὴν ψυχὴν ἐκείνην, καὶ ἀπολῶ αὐτὴν ἐκ τοῦ λαοῦ
ζ. αὐτῆς. Καὶ ἔσεσθε ἅγιοι, ὅτι ἅγιος ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

η. Καὶ φυλάξεσθε τὰ προστάγματά μου, καὶ ποιήσετε αὐτά. ἐγὼ Κύριος ὁ Θεὸς ὁ ἁγιάζων ὑμᾶς.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐν τῷ ποιεῖν τὰ τοῦ Θεοῦ, ἡ χάρις ἡ παρὰ Θεοῦ βεβαιοῦται ἡ ἁγιάζουσα.

Δ θ. Ἐὰν ἄνθρωπος ἄνθρωπος κακῶς εἴπῃ τὸν πατέρα ἢ τὴν μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω. πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ κακῶς εἶπεν; ἔνοχος ἔσται.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, κακῶς, Ἄλλος φησὶ, καταράσηται.

ΑΔΗΛΟΥ. Θάνατος ἡ δίκη κατὰ τῶν οὐ τιμώντων τοὺς δι' ὧν ἦλθον εἰς τὸ ζῆν. καὶ ὡς ὁμολογούμενον τὸ ἀδίκημα πρὸς τὴν
E τιμωρίαν ἤρκεσε.

ι. Ἄνθρωπος ἄνθρωπος ὃς ἂν μοιχεύσηται γυναῖκα ἀνδρὸς, ἢ ὃς ἂν μοιχεύσηται τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ, θανάτῳ θανατούσθωσαν, ὁ μοιχεύων καὶ ἡ μοιχευομένη.

ΑΔΗΛΟΥ. Ἄνδρα μᾶλλον ὧδε τὸν ἀλλογενῆ λέγει. διὸ καὶ μετὰ τῶν Μωαβι-
Z τῶν συγγενόμενοι ἐτιμωρήθησαν. εἰ δὲ καὶ τὸν προσήλυτον καὶ τὸν γειώραν λέγει, ἐν ᾧ μὴ ἐστι πλησίον, καὶ οὕτω πάλιν δύναται νοεῖσθαι.

ια. Καὶ ἐάν τις κοιμηθῇ μετὰ γυναικὸς τοῦ πατρὸς αὐτοῦ, ἀσχημοσύνην τοῦ πατρὸς αὐτοῦ ἀπεκάλυψε, θανάτῳ θανατούσθωσαν, οἱ ἀμφότεροι ἔνο-
ιβ. χοί εἰσι. Καὶ ἐάν τις κοιμηθῇ μετὰ νύμφης αὐτοῦ, θανάτῳ θανατούσθωσαν ἀμφότεροι, ἠσεβήκασιν, ἔνοχοί εἰσι.

ιγ. Καὶ

(1) Τινὰ τῶν ἑαυτοῦ, ὀρθότερ. ἐν τοῖς ἐκδεδομ. δὲ οὐχ εὕρηται.

ιγ. Καὶ ὃς ἂν κοιμηθῇ μετὰ ἄρσενος κοίτην γυναικὸς, βδέλυγμα ἐποίησαν οἱ ἀμφότεροι, θανάτῳ θανατέσθωσαν, ἔνοχοί εἰσιν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Περὶ γὰρ τὴν ζωογόνον κοινωνίαν τὸ ἀδίκημα.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ τὸ μητρυιᾷ καὶ νύμφῃ μίγνυσθαι κολάζει, καὶ τὴν ἀρρενομιξίαν. περὶ γὰρ τὴν φύσιν ἡ παρατροπή.

ιδ. Ὃς ἂν λάβῃ γυναῖκα καὶ τὴν μητέρα αὐτῆς, ἀνόμημά ἐστιν, ἐν πυρὶ κατακαύσουσιν αὐτὸν καὶ αὐτὰς, καὶ οὐκ ἔσται ἀνομία ἐν ὑμῖν.

ΑΛΛΟΣ φησὶν, αἷμα αὐτῶν ἐν αὐτοῖς.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀφανῆ ποιοῦνται τὰ σώματα, εἰς ἐξάλειψιν μνήμης.

» ** ΠΡΟΚΟΠΙΟΥ. Οὐκ ἔσται, φησὶν,
» ἀνομία ἐν ὑμῖν, ὥσπερ ἐκκαθαιρομένοις τῷ πυρί.

ιε. Καὶ ὃς ἂν δῷ κοιτασίαν αὐτοῦ ἐν τετράποδι, θανάτῳ θανατέσθω,
ιϛ. καὶ τὸ τετράπουν ἀποκτενεῖτε. Καὶ γυνὴ, ἥτις προσελεύσεται πρὸς πᾶν κτῆνος βιβασθῆναι αὐτὴν ὑπ' αὐτοῦ, ἀποκτενεῖτε τὴν γυναῖκα καὶ τὸ κτῆνος, θανάτῳ θανατέσθωσαν, ἔνοχοί εἰσιν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐάν τε οὖν ἀνὴρ ὀχεύῃ τετράπουν, ἐάν τε γυνὴ ὑπὸ τετραπόδων ὀχεύηται, θνησκέτωσαν καὶ οἱ ἄνθρωποι καὶ τὰ τετράποδα. οἱ μὲν, ὅτι ὑπὲρ τοὺς ὅρους ἀκρασίας αὐτῆς ἤλασαν, εὑρεταὶ γενόμενοι παρηλλαγμένων ἐπιθυμιῶν, καὶ ὅτι ἡδονὰς ἀηδεστάτας ἐκαινούργησαν, ὧν καὶ ἡ διήγησις αἰσχίστη· τὰ δὲ, ὅτι τοιούτοις ὀνείδεσιν ὑπηρέτησε. καὶ ἵνα μηδὲν ἢ τέκῃ, ἢ γεννήσῃ δύσφημον, οἷα εἰκὸς ἐκ τοιούτων μιασμάτων. ἄλλως τε οἷς κἂν βραχὺ μέλῃ τοῦ πρέποντος, οὐκ ἔτι ἂν χρήσαιντο τοῖς θρέμμασιν εἰς οὐδεμίαν τῶν περὶ βίον ὑπηρεσίαν, μυσαττόμενοι, καὶ ἀποστρεφόμενοι. καὶ τὴν ὄψιν αὐτὴν δυσχεραίνοντες, καὶ νομίζοντες ὧν ἂν προσάψαιντο, καὶ ἐκεῖν' εὐθὺς ἀκάθαρτ' εἶναι. τὰ δὲ μηδαμῇ χρήσιμα τῷ βίῳ ζῇν, εἰ καὶ λυσιτελὲς. ἀλλ' οὖν περιττὸν ἄχθος ὄντα γῆς, ὥς εἶπέ τις.

* ΠΡΟΚΟΠΙΟΥ. Ἔνοχοι τῷ βδελυγμῷ. οὐ γὰρ ἐγκλήματι τὸ ἄλογον ἐξολοθρεύεσθαι κελεύει.

ιζ. Ὃς ἂν λάβῃ τὴν ἀδελφὴν αὐτοῦ ἐκ πατρὸς αὐτοῦ ἢ ἐκ μητρὸς αὐτοῦ, [καὶ ἴδῃ τὴν ἀσχημοσύνην αὐτῆς,] καὶ αὕτη ἴδῃ τὴν ἀσχημοσύνην αὐτοῦ, ὄνειδός ἐστιν, ἐξολοθρευθήσονται ἐνώπιον υἱῶν γένους αὐτῶν. ἀσχημοσύνην ἀδελφῆς αὐτοῦ ἀπεκάλυψεν, ἁμαρτίαν αὐτοῦ λήψεται.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ὄνειδός ἐστιν. ἀντὶ γὰρ τοῦ τιμᾶσθαι τὸ πρὸς γένος τίμιον, δι' ἡδονῆς ἀτιμάζεται. καὶ ταῦτα δυναμένην ἑτέρως πληροῦσθαι διὰ τῶν οὐ προσγενοῦς σωμάτων· ὥσπερ καὶ δούλοις οὐ τοῖς ὁμογενέσι κεχρῆσθαι πρέπον, ἀλλὰ τοῖς ἑτερογενέσιν. ἐδόθη δ' οὖν ποτὲ καὶ ὁμογενὴς εἰς δουλείαν ἐξ ἀνάγκης, ἀλλ' ἐλευθεροῦται ἐν τῷ ἑβδόμῳ ἔτει. οὕτω καὶ γάμος ἀδελφῆς ἐν τοῖς πρώτοις ἀνθρώποις, οὐκ οὔσης ἄλλης, καὶ ἡ τοῦ πατρὸς συνουσία συνεχωρήθη ταῖς οὕτω μιγείσαις. ὡς οὐκ ὄντος ἑτέρου ἀνδρός. τῆς γὰρ εὐπρεπείας πρεσβυτέρα ἡ δημιουργία διὰ τῆς ὑπουργίας τελουμένη τοῦ γάμου.

ιη. Καὶ ἀνὴρ ὃς ἂν κοιμηθῇ μετὰ γυναικὸς ἀποκαθημένης, καὶ ἀποκαλύψῃ τὴν ἀσχημοσύνην αὐτῆς, τὴν πηγὴν αὐτῆς ἀπεκάλυψε, καὶ αὕτη ἀπεκάλυψε τὴν ῥύσιν τοῦ αἵματος αὐτῆς, ἐξολοθρευθήσονται ἀμφότεροι ἐκ τῆς γενεᾶς αὐτῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὅτι τὸ τῆς φύσεως ὀφεῖλον σκεπασθῆναι πρὸς τὸ εὐπρεπὲς, ἐγύμνωσαν δι' ἀκρασίαν.

ιθ. Καὶ ἀσχημοσύνην ἀδελφῆς πατρός σου, καὶ ἀδελφῆς μητρός σου οὐκ ἀποκαλύψεις· τὴν γὰρ οἰκειότητα ἀπεκάλυψαν, ἁμαρτίαν ἀποίσονται.

κ. Ὃς ἂν κοιμηθῇ μετὰ τῆς συγγενοῦς αὐτοῦ, ἀσχημοσύνην τῆς συγγενείας αὐτοῦ ἀπεκάλυψεν, ἄτεκνοι ἀποθανοῦνται.

Τὸ Σαμαρειτικὸν, μετὰ γυναικὸς ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Τὸ αἷμα, φησὶν, ὅτι τὴν σάρκα αὐτοῦ ἠσχημόνησε· σάρκα λέγων τὴν ἐγγὺς κατὰ γένος. ὁ δὲ λόγος περὶ ἀδελφῆς ἐστί. (1)

κα. Καὶ ἀνὴρ ὃς ἂν λάβῃ γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ἀκαθαρσία ἐστίν· ἀσχημοσύνην τοῦ ἀδελφοῦ αὐτοῦ ἀπεκάλυψεν, ἄτεκνοι ἀποθανοῦνται.

ΑΔΗΛΟΥ. Τὸ ἀδιορίστως ἐνταῦθα εἰρημένον, ἐν τῷ Δευτερονομίῳ προσεδιώρισεν.
» εἰπών· ἐὰν δὲ κατοικῶσιν ἀδελφοὶ ἐπὶ τὸ Δευτ. 25. 5.
» αὐτὸ, καὶ ἀποθάνῃ εἷς ἐξ αὐτῶν σπέρμα δὲ
» μὴ ᾖ αὐτῷ, οὐκ ἔσται ἡ γυνὴ τοῦ τεθνηκότος
» ἔξω ἀνδρὶ μὴ ἐγγίζοντι· ὁ ἀδελφὸς τοῦ ἀν-
» δρὸς αὐτῆς λήψεται αὐτὴν εἰς γυναῖκα.

ΑΔΗΛΟΥ. Ἢ τοῦτο λέγει· ἅμα οὐ (2) συγγένονται ἀλλήλοις, θανατούσθωσαν· ἵνα μηδὲ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. ἀλλ' οὐδὲ τὸ τῆς Γραφῆς κείμενον, κατὰ τοὺς ἑβδομήκοντα, περιέχει. ἔοικε δὲ τῷ κειμένῳ τοῦ Ἄλλου τοῦ μετὰ τὸ 14. ἐδ. χρήσασθαι.

(2) Τὸ οὐ ἁμάρτημα γραφικὸν, καί τοι ἐν ἑκατέρῳ τῶν κωδίκ. κεῖται. ἀναγνωστέον δὲ τυχὸν, οὐ· ἢ, ἅμα τῷ συγγενέσθαι.

A μηδὲ παιδοποιήσωσιν· ἢ ἐὰν λάθωσι τὴν ἀρχὴν, καὶ μετὰ τὸ παιδοποιῆσαι γνωσθῶσι, τοῖς τεχθεῖσι συναπόλλυνται. ἵνα καὶ ἁρμόσῃ ὧδε τὸ, „ἁμαρτίαι γονέων ἐπὶ τέκνα· ἢ οὕτως, εὐθὺς ἅμα τῇ μίξει, μηδὲ φθάνειν αὐτοὺς διὰ τὴν ὑπέρθεσιν τῆς τιμωρίας τεκνογονεῖν ἐξ ἀλλήλων. Δευτ. 5. 9.

„ ∗ ΠΡΟΚΟΠΙΟΥ. Ἄτεκνοι ἀποθανοῦνται, (1) ἀντὶ τοῦ οὐ λογισθήσεταί τὸ σπέρμα αὐτοῦ εἰς τέκνα. ὅπερ καὶ ὁ τῶν Ῥωμαίων ἀπαγορεύει νόμος ἐπὶ πάσης ἀθεμιτογαμίας.

B κβ. Καὶ φυλάξασθε πάντα τὰ προστάγματά μου, καὶ πάντα τὰ κρίματά μου, καὶ ποιήσετε αὐτὰ, καὶ οὐ μὴ προσοχθήσῃ ὑμῖν ἡ γῆ, εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ κατοικεῖν ἐπ' αὐτῆς.

Γ κγ. Καὶ οὐχὶ πορεύσεσθε τοῖς νομίμοις τῶν ἐθνῶν, οὓς ἐξαποστέλλω ἀφ' ὑμῶν· ὅτι ταῦτα πάντα ἐποίησαν, καὶ ἐβδελυξάμην αὐτούς.

ΑΔΗΛΟΥ. Τὸ κεφάλαιον τῆς αἰτίας τοῦτο. διὸ προσήκει τῶν ἐθνῶν χωρίζεσθαι τοῖς ἔθεσι καὶ τῷ τόπῳ. δεῖ δὲ καὶ τῶν σαρκικῶν διωρίσθαι, φθόνου, ἔριδος, θυμοῦ, πικρίας, καὶ τῶν ὁμοίων.

Δ κδ. Καὶ εἶπα ὑμῖν, ὑμεῖς κληρονομήσατε (2) τὴν γῆν αὐτῶν, καὶ ἐγὼ δώσω ὑμῖν αὐτὴν ἐν κτήσει, γῆν ἥτις ἐστὶ ῥέουσα γάλα καὶ μέλι. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὃς διώρισα ὑμᾶς ἀπὸ πάντων τῶν ἐθνῶν.

κε. Καὶ ἀφοριεῖτε αὐτοὺς ἀναμέσον τῶν κτηνῶν τῶν ἀκαθάρτων καὶ ἀναμέσον τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀναμέσον τῶν πετεινῶν τῶν καθαρῶν καὶ τῶν ἀκαθάρτων. καὶ οὐ μὴ βδελύξητε τὰς ψυχὰς ὑμῶν ἐν τοῖς κτήνεσι, καὶ ἐν τοῖς πετεινοῖς, καὶ ἐν πᾶσι τοῖς ἑρπετοῖς τῆς γῆς, ἃ ἀφώρισα ὑμῖν ἐν ἀκαθαρσίᾳ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐκ εἶπεν ἃ ἐποίησα· οὐδὲ γὰρ ἀκάθαρτον καθ' ὃ ἔργον Θεοῦ· ἀλλὰ κατὰ τὸν ἀφορισμόν. ἕως γοῦν οὐκ ἀφωρίζετο ὑπὸ Θεοῦ ἐν ἀκαθαρσίᾳ, μετεῖχεν ὁ Νῶε τούτων, καὶ οἱ ἐφεξῆς. ἀφ' οὗ δὲ ἀφωρίσθη, διὰ τοὺς ἐν αὐτοῖς τύπους τῶν ἐκ προαιρέσεως ἀκαθαρσιῶν, καὶ οὐκ ἐκ Θεοῦ ποιήσεως. βδελυρὸν ἦν τὸ μετέχειν αὐτῶν, ἕως ὑπὲρ τοὺς τύπους ἀνεβιβάσθημεν.

κς. Καὶ ἔσεσθέ μοι ἅγιοι, ὅτι ἅγιος ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἀφορίσας ὑμᾶς ἀπὸ πάντων τῶν ἐθνῶν, εἶναι ἐμοί.

κζ. Καὶ ἀνὴρ ἢ γυνὴ ὃς ἂν γένηται αὐτῶν ἐγγαστρίμυθος ἢ ἐπαοιδὸς, θανάτῳ θανατούσθωσαν, λίθοις λιθοβολήσετε αὐτοὺς, ἔνοχοί εἰσι.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀναισθησίας λιθώδους τὸ ἀδίκημα, καὶ διὰ λί[illegible]ων ἡ τιμωρία.

ΚΕΦ. ΚΑ.

α. Καὶ εἶπε Κύριος πρὸς Μωϋ-
σῆν, εἶπον τοῖς ἱερεῦσιν
E υἱοῖς Ἀαρὼν, καὶ ἐρεῖς πρὸς
αὐτοὺς, ἐν ταῖς ψυχαῖς οὐ μιανθήσον-
β. ται ἐν τῷ ἔθνει αὐτῶν, Ἀλλ' ἢ ἐν τῷ
οἰκείῳ τῷ ἔγγιστα αὐτῶν, ἐπὶ πατρὶ
καὶ ἐπὶ μητρὶ, καὶ ἐπὶ υἱοῖς καὶ ἐπὶ
γ. θυγατράσιν, ἐπ' ἀδελφῷ Καὶ ἐπ'
ἀδελφῇ αὐτοῦ παρθένῳ τῇ ἐγγιζούσῃ
αὐτῷ, τῇ μὴ ἐκδεδομένῃ ἀνδρὶ, ἐπὶ
δ. τούτοις μιανθήσεται. Οὐ μιανθήσε-
Z ται ἐξάπινα ἐν τῷ λαῷ αὐτοῦ εἰς βε-
βήλωσιν αὐτοῦ.

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Καὶ τοὺς ἐπὶ τελευταῖς ἀνέγραψε τοῖς ἱερεῦσι νόμους, κελεύσας μὴ ἐφ' ἅπασιν αὐτοὺς μιαίνεσθαι, τοῖς ὁπωσοῦν ἢ κατὰ φιλίαν ἢ κατὰ συγγένειαν ᾠκειωμένοις, ἀλλ' ἐπὶ μόνοις ἓξ, πατράσι καὶ μητράσι, υἱοῖς καὶ θυγατράσιν, ἀδελφοῖς καὶ ἀδελφαῖς παρθένοις.

H ∗∗ ΚΥΡΙΛΛΟΥ. Μίασμα μὲν ἀνδρὶ γένοιτ' ἂν παντελῶς οὐδὲν ὁ ἑτέρου θάνατος, εἰ τόν γε τῆς ἀληθείας πολυπραγμονοίη τις λόγον. νεκρότης γε μὴν ἡ σωματικὴ, τύπος ἂν εἴη τῆς ἔσω καὶ ἐν ψυχαῖς, ὑφ' ἧς ἀνάγκη καταμιαίνεσθαι τὸν ἀγχοῦ γεγονότα ἢ κατὰ θέλησιν, ἢ κατὰ ταυτοεργίαν. Καὶ μετ' ὀλίγα. Ἐφίησι δὲ ὁ νόμος τοῖς ἡγιασμένοις, ἐπὶ πατρὶ καὶ μητρὶ, παισί τε καὶ ἀδελφοῖς, καὶ μέντοι καὶ ἀγχιστεῦσι ἀνεγκλήτως καταμιαίνεσθαι, διὰ τοῦ καὶ ἀψύχοις σώμασιν ἐπιφοιτᾶν, τῇ πρὸς τὴν φύσιν αἰδοῖ καὶ τῶν εἰς τύπον ἀλογήσας ἀδικημάτων, ὡς ἂν μὴ δοκοῖεν ἀτεγκτοί τινες εἶναι καὶ ἀγέρωχοί τε καὶ ἀσυμπαθεῖς οἱ Θεῷ γνώριμοι· καίτοι λέγοντος ἐναργῶς τοῦ νόμου, „τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται. Ἐξόδ. 20. 12. καὶ καθ' ἕτερον δὴ τρόπον τε καὶ λόγον ἀπεῖρχθαί φαμεν τοῦ χρῆναι πενθεῖν τοὺς ἡγιασμένους. ζωῆς γὰρ ὄντας ἱερουργοὺς, καὶ εἰς τὴν τοῦ θανάτου λύσιν προσκομίζοντας τὰ ἱερὰ τῷ Θεῷ· θανάτου γὰρ λύσις ὁ Χριστοῦ θάνατος, διά τε προβάτων καὶ μόσχων ἀνατυπούμενος· πῶς ἦν ἀκόλουθον ταῖς ἐπὶ θανάτῳ καταβαρύνεσθαι λύπαις;

ΤΟΥ

(1) Τινὲς τὸ, ἄτεκνοι ἀπολοῦνται, ἀντὶ τοῦ, κτ. ὁ τῆς Αὐγ. κώδ.

(2) Κληρονομήσετε. αἱ εἰρημ. ἐκδόσ.

ΤΟΥ ΑΥΤΟΥ. Ὅτι οὐκ ἦν ὁ θάνατος κατὰ Θεοῦ δημιουργίαν. καὶ εἰ νεκρὸν καλεῖ τὸν λεπρὸν, καὶ εἰ ὡς ἀκαθάρτου χωρίζει τοῦ λεπροῦ, πολλῷ μᾶλλον ὁ νεκρὸς ἀκάθαρτος κατὰ τὴν τῆς ψυχῆς ἀπόληψιν· ἕως ὁ τοὺς νεκροὺς καθάρας, ἐζωοποίησε τοὺς νεκροὺς, οὐδὲ τὴν ὄψιν τούτων καὶ τὴν ἐπαφὴν βδελυξάμενος. ὅθεν οὐδὲ ἡμῖν ἔτι βδελυρὸς ὁ λεπρὸς, ἢ ὁ νεκρὸς, δυνάμει πάντων συγκαθαρθέντων τοῖς καθαρθεῖσι, καὶ συζωοποιηθέντων τοῖς ἀναβεβιωκόσι. (1)

ΤΟΥ ΑΥΤΟΥ. Ἀπονίζεσθαι γὰρ χρὴ τοὺς ἱερατεύοντας καὶ μάλα νεανικῶς τὸ οἱονεί πως νεκρὸν καὶ ἀπεψυγμένον φρόνημα, καὶ τὸ μὴ ἔμπνουν εἰς ἀρετήν.

ε. Καὶ φαλάκρωμα οὐ ξυρηθήσεται τὴν κεφαλὴν ἐπὶ νεκρῷ· καὶ τὴν ὄψιν τοῦ πώγωνος οὐ ξυρηθήσονται· καὶ ἐπὶ τῆς σαρκὸς αὐτῶν οὐ κατατεμοῦσιν ἐντομίδας.

** ΚΥΡΙΛΛΟΥ. Ἐφῆκε μὲν ὁ νόμος τοῖς ἄγαν ἀγχοῦ τεθνεῶσιν ἐπιφοιτᾷν τοὺς ἡγιασμένους, ἐπιμετρεῖ δὲ τὸ χρῆμα, καὶ τὸ αὐτοῖς ὅτι μάλιστα πρέπον παραλύειν οὐκ ἐᾷ τῷ περιττὴν καὶ ὑπὲρ τὴν χρείαν, ὡς ἂν μὴ τὸ σεπτὸν τῆς ἱερωσύνης ἀδικοῖτο γέρας. ἐξίσησι γὰρ τοῦ καθ' ὁμοιότητα τὴν ἑτέρων ψιλοῦσθαι τὰς κεφαλὰς, καὶ ἐφ' ὕβρει προσώπου καταξύρεσθαι γενειάδα, καὶ τὰ μανίας Ἑλληνικῆς ἀνοσιουργήματα, τὰς εἰς σάρκα φημὶ κατατομὰς, οὐδ' ὅσον εἰς νοῦν ἐλθεῖν ἐπιτάττει. συνδιατίθεσθαι μὲν γὰρ τοῖς οἰκείοις εἰς λύπας, τὸ ἀπεικὸς οὐδέν· τό γε μὴν εἰς ἅπαν ἀσχημονεῖν, ἀκαλλὲς ἂν εἴη καὶ ἀπόπληκτον κομιδῇ.

ϛ. Ἅγιοι ἔσονται τῷ Θεῷ αὐτῶν, καὶ οὐ βεβηλώσουσι τὸ ὄνομα τοῦ Θεοῦ αὐτῶν· τὰς γὰρ θυσίας Κυρίου δῶρα τοῦ Θεοῦ αὐτῶν αὐτοὶ προσφέρονται, καὶ ἔσονται ἅγιοι.

ζ. Γυναῖκα πόρνην καὶ βεβηλωμένην οὐ λήψονται, καὶ γυναῖκα ἐκβεβλημένην ὑπὸ ἀνδρὸς αὐτῆς οὐ λήψονται, ὅτι ἅγιός ἐστι Κυρίῳ τῷ Θεῷ αὐτοῦ.
η. Καὶ ἁγιάσεις αὐτόν. τὰ δῶρα Κυρίου τοῦ Θεοῦ ὑμῶν οὗτος προσφέρει, ἅγιος ἔσται· ὅτι ἅγιος ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.

Πόρνην καὶ βεβηλωμένην. Ἄλλος, ἀκάθαρτον, λεπρῶσαν, ἢ ἐν αἱμοῤῥοΐᾳ, (2) ἢ ἐθνικήν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Πόρνῃ καὶ βεβήλῳ σώματι καὶ ψυχῇ οὐδὲ προσιδεῖν ἐᾷ, κἂν τὴν ἐργασίαν ἀποθεμένη, σχῆμα κόσμιον καὶ σῶφρον ὑποδύηται, διὰ τὸ τὴν ἀρχαίαν προαίρεσιν ἀνίερον αὐτῇ γενέσθαι. Καὶ μετ' ὀλίγα. Εὔηθες γὰρ διὰ μὲν τὰς ἐκ τῶν τραυμάτων ἐπιγινομένας οὐλὰς ἐν

A τοῖς σώμασιν εἴργεσθαί τινας ἱερωσύνης, αἳ σύμβολον ἀτυχίας οὐ μοχθηρίας εἰσί· τὰς δὲ μὴ κατ' ἀνάγκην μόνον, ἀλλ' ἔστιν ὅτε ἑκουσίοις γνώμαις πεπρακυίας τὴν ἰδίαν ὥραν, ἐπειδήπερ ὀψὲ καὶ μόλις μετέγνωσαν, εὐθὺς ἀπὸ ἐραστῶν ἱερεῦσιν ἁρμόζεσθαι, καὶ ἀπὸ χαμαιτυπείων εἰς ἱερὰ χωρία μετοικίζεσθαι. μένουσι γὰρ οὐδὲν ἧττον ἐν ταῖς ψυχαῖς τῶν μετανοούντων οὐλαὶ καὶ τύποι τῶν ἀρχαίων ἀδικημάτων.

B ** ΚΥΡΙΛΛΟΥ. Ἡ μὲν πεπορνευμένη κατὰ τὸ ἀληθὲς καὶ μεμολυσμένη γυνὴ, τὸ ἐπ' αἰσχροῖς ἀπημφιεσμένη ἔγκλημα νοσεῖ, καὶ ἀναμφίλογον ἔχει τὴν κατηγόρησιν· ἀκαταιτίατος δὲ οὐδαμῶς ἡ ἐκβεβλημένη. πάθοι γὰρ ἂν οὐκ εἰκῇ τὸ ἀποσείεσθαι δεῖν τῆς τοῦ συνόντος ἑστίας. χρὴ τοιγαροῦν τοὺς εἰς τὴν οὕτω σεπτὴν λειτουργίαν ἡγμένους, οὐχὶ δήπου μόνων τῶν ἐμφανεστάτων καὶ ἀκατακάλυπτον ἐφ' ἑαυ-
Γ τοῖς ἐχόντων τὴν κατάγνωσιν ἀποσχέσθαι κακῶν, ἀλλὰ καὶ παντὸς, οἶμαι, πράγματος, ᾧπερ ἂν ἕποιτο φαυλότητος δόξα, καὶ ὑπόληψις οὐκ ἀγαθὴ, καὶ ἐν πολλαῖς ἄγαν ὑποψίαις τὸ ἄσεμνον. ἔοικε δὲ ὁ λόγος καὶ τῆς Ἰουδαίων συναγωγῆς τὴν συμ-
» φορὰν ὑπαινίττεσθαι, ἣν ὅτι ἐκπεπόρνευ- 'Ιερ. 3. 1.
» κεν εἰς ποιμένας πολλοὺς κατὰ τὸ γεγραμμένον, οὐ προσήκατο Χριστὸς εἰς πνευματικὴν κοινωνίαν ὁ πάναγνος ἱερεὺς, ὁ δῶρον
Δ ὥσπερ τι ἐξαίρετον ἑαυτὸν ἀνατιθεὶς ὑπὲρ ἡμῶν τῷ πατρὶ, ὁ μεθ' ἡμῶν ἅγιος κατὰ τὸ ἀνθρώπινον, καίτοι πᾶσαν αὐτὸς ἁγιάζων τὴν κτίσιν, ὡς ἐκ Θεοῦ καὶ Θεός.

θ. Καὶ θυγάτηρ ἀνθρώπου ἱερέως ἐὰν βεβηλωθῇ τοῦ ἐκπορνεῦσαι, τὸ ὄνομα τοῦ πατρὸς αὐτῆς αὐτὴ βεβηλοῖ· ἐπὶ πυρὸς κατακαυθήσεται.

E ** ΚΥΡΙΛΛΟΥ. Δέδοται γὰρ εἰς φλόγα, ὡς ἀνοσία καὶ βέβηλος, ἡ τῶν Ἰουδαίων συναγωγὴ ταῖς τῶν Γραμματέων καὶ Φαρισαίων ἀκολουθοῦσα γνώμαις, καὶ τοῖς ἀνθρώπων ἐντάλμασιν ὅλον ἑαυτῆς ἀναθεῖσα τὸν νοῦν. τοιγάρτοι καὶ σφόδρα δικαίως
» ἤκουσε τοῦ Προφήτου λέγοντος· πῶς ἐγένετο 'Ησ. 1. 21.
» πόρνη πόλις πιστὴ Σιὼν πλήρης κρίσεως;

ι. Καὶ ὁ ἱερεὺς ὁ μέγας ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, τοῦ ἐπικεχυμένου ἐπὶ
Z τὴν κεφαλὴν τοῦ ἐλαίου τοῦ χριστοῦ, καὶ τετελειωμένου ἐνδύσασθαι τὰ ἱμάτια, τὴν κεφαλὴν οὐκ ἀποκιδαρώσει, καὶ τὰ ἱμάτια αὐτοῦ οὐ διαῤῥήξει.

Οὐκ ἀποκιδαρώσει. Ἄλλος φησὶν, οὐκ ἀπομιτρώσει.

* ΚΥΡΙΛΛΟΥ. Ὁ παντέλειος καὶ μέγιστος ἀρχιερεὺς ἀναπόβλητον ἔχων τὴν
» τῆς ἱερωσύνης δόξαν, [οὐκ ἀποκιδαρώσει
H » τὴν κεφαλὴν, τουτέστιν] οὐκ ἀποβαλεῖ τὸ ἱεροπρεπὲς, φησὶ, σχῆμα. εἰ δὲ δὴ λέ-
» γοιτο, τὴν κεφαλὴν οὐκ ἀπομιτρώσει, συνήσεις

(1) Οὐδὲ τοῦτο, οὐδὲ τὸ ἑπόμενον ἐν τοῖς ἐκδεδομ. εὕρηται.

(2) Αἱμόῤῥοια, ὀρθότ.

-νήσεις εὖ μάλα τὸ τῆς βασιλείας αὐτοῦ
διηνεκὲς καὶ ἄσειστον. μίτρα γὰρ ἡ ἐπὶ με-
τώποις ἄκροις τὸ χρυσοῦν ἔχουσα ψέλλιον,
ἀρχῆς ἂν εἴη καὶ βασιλείας σύμβολον.

» ** ΤΟΥ ΑΥΤΟΥ. Ἀλλ᾽ οὐδὲ τὰ ἱμά-
» τια διαῤῥήξει, φησί. τουτό τοι τισὶ δρᾷν
ἔθος ἐπὶ νεκροῖς· Χριστοῦ δὲ τὸ χρῆμα παν-
τελῶς ἀλλότριον. πάθοι γὰρ ἂν ἥκιστά γε
τὸν ἐπὶ θανάτῳ πόνον ἡ ζωή. οὐδὲν γὰρ
ὅλως αὐτῇ τὸ νεκρὸν, ἀλλ᾽ ἔστιν αὕτη καὶ
θανάτου λύσις, καὶ φθορᾶς ἀνατροπή.

ια. Καὶ ἐπὶ πάσῃ ψυχῇ τετελευ-
τηκυίᾳ οὐκ εἰσελεύσεται, ἐπὶ πατρὶ
αὐτοῦ οὐδὲ ἐπὶ μητρὶ αὐτοῦ οὐ μιανθή-
ιβ. σεται. Καὶ ἐκ τῶν ἁγίων οὐκ ἐξελεύ-
σεται, καὶ οὐ βεβηλώσει τὸ ὄνομα τὸ
ἡγιασμένον τοῦ Θεοῦ αὐτοῦ, ὅτι τὸ ἅ-
γιον ἔλαιον τὸ χριστὸν τοῦ Θεοῦ αὐτοῦ
ἐπ᾽ αὐτῷ. ἐγὼ Κύριος.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸν ἀρχιε-
ρέα παντὸς πένθους ὑπεξείλετο. καὶ μή-
ποτ᾽ εἰκότως; τὰς μὲν γὰρ τῶν ἄλλων ἱε-
ρέων ὑπηρεσίας, ἀνθ᾽ ἑτέρων ἕτεροι λει-
τουργεῖν δύνανται, ὡς κἂν πενθῶσί τινες,
μηδὲν τῶν ἐξ ἔθνους (1) ὑστερίζειν· τὰ δὲ
τοῦ ἀρχιερέως οὐδενὶ δρᾷν ἐφεῖται. παρ᾽ ἣν
αἰτίαν ἀμίαντος ἀεὶ διατελείτω, μὴ προ-
σαπτόμενος νεκροῦ σώματος, ὅπως τὰς ὑπὲρ
τοῦ κόσμου εὐχὰς καὶ θυσίας ἕτοιμος ὢν, ἐν
καιροῖς τοῖς προσήκουσιν ἀκωλύτως ἐπιτε-
λῇ. καὶ γὰρ ἄλλως προσκεκληρωμένος
Θεῷ, καὶ τῆς ἱερᾶς τάξεως γεγονὼς τα-
ξίαρχος, ὀφείλει πάντων ἀλλοτριοῦσθαι τῶν
ἐν γενέσει, μὴ γονέων, μὴ τέκνων, μηδὲ
ἀδελφῶν εὐνοίας οὕτως ἡττώμενος, ὡς ἢ
παρελθεῖν ἢ ὑπερθέσθαι τὶ τῶν ὄντων, ὃ
πραχθῆναι πάντως αὐτίκα ἄμεινον. κε-
λεύει δὲ μήτε τὰ εἵματα περιῤῥήττειν ἐπὶ
τοῖς οἰκειοτάτοις ἀποθανοῦσι, μήτ᾽ ἀφαι-
ρεῖν ἀπὸ τῆς κεφαλῆς τὰ παράσημα τῆς
ἱερωσύνης, μήτε συνόλως ἐκ τῶν ἁγίων
ἐξιέναι κατὰ πρόφασιν πένθους· ἵνα καὶ
τὸν τόπον αἰδούμενος, καὶ τὰ περὶ αὐτὸν
προκοσμήματα, οἷς ἀνέστεπται, κρείττων
οἴκτου γενόμενος, ἄλυπος εἰσαεὶ διατελῇ.
βούλεται γὰρ αὐτὸν ὁ νόμος μείζονος με-
μοιρᾶσθαι φύσεως, ἢ κατὰ ἄνθρωπον, ἐγ-
γυτέρω προσιόντα τῆς θείας· μεθόριον,
εἰ δεῖ τἀληθὲς λέγειν, ἀμφοῖν. ἵνα διά μέ-
σου τινὸς ἄνθρωποι μὲν ἱλάσκωνται Θεόν·
Θεὸς δὲ τὰς χάριτας ἀνθρώποις ὑποδια-
κόνῳ τινὶ χρώμενος, ὀρέγῃ καὶ χορηγῇ.

** ΚΥΡΙΛΛΟΥ. Ἐπὶ μὲν τῶν ἄλλων
ἱερέων ἐδυσωπεῖτο τὴν φύσιν, καὶ τοῖς
ἄγαν ἀγχοῦ καὶ ἐξ αἵματος νεκροῖς τοῖς
ἡγιασμένοις, ἐδίδου τὸ ἀνεγκλήτως ἐξεῖναι
δρᾷν τὰ νενομισμένα. πεφρόντικε δὲ οὐ
σφόδρα τῆς εἰς τὴν σκιὰν ἁμαρτίας. γε-
γράφατο γὰρ ἐφ᾽ ἡμῶν τὰ ἐγκλήματα,
καὶ εἰς ἀνθρώπους ὁ τύπος, οἷς εἰ καί-

Α τι παρέποιτο μολυσμοῦ, τὸ ἀπεικὸς οὐδέν.
» πολλὰ γὰρ πταίομεν ἅπαντες· καὶ ἐῤῥώ- Ἰακ. 3. 2.
στηκεν ἐν ἡμῖν τὸ πλημμελεῖν ἡ φύσις. ἐπὶ
δέ γε τοῦ ἀρχιερέως τοῦ μεγάλου, τουτέστι
Χριστοῦ, τετήρηται καθαρῶς καὶ ἐν αὐτῷ
τῷ τύπῳ τὸ σέβας, καὶ τὸ ἀκίβδηλον ἐν
σκιαῖς· ἵνα μὴ τὸ τῆς ἀληθείας παρασῆ-
μαίνηται (2) κάλλος, ὡς ἐν ἐκείνοις ἠδικη-
μένον. ἀβέβηλος γὰρ ὁ Χριστὸς, καὶ οὐκ
εἰδὼς ἁμαρτίαν, καὶ παντὸς ἐπέκεινα μο-
Β λυσμοῦ. μᾶλλον δὲ λαμπρότητός τε καὶ
καθαρότητος νοητῆς, εἴσω τε παντὸς ἁ-
γιασμοῦ, κἂν εἰ (3) ἐξίτηλον ἔχων τὸ ἔν-
γε τούτῳ διαφανὲς, διά τε τὸ φυσικοῖς
ἐρηρεῖσθαι νόμοις, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ
καὶ ὡσαύτως ἔχειν. δηλοῖ δὲ οἶμαι τουτὶ
» τὸ, ἀπὸ τῶν ἁγίων οὐκ ἐξελεύσεται, καὶ οὐ
» βεβηλώσει τὸ ἡγιασμένον τοῦ Θεοῦ αὐτοῦ.

** ΙΣΙΔΩΡΟΥ. Τί ἐστι τὸ εἰρημένον,
» ἐπὶ πάσῃ ψυχῇ τετελευτηκυίᾳ οὐκ εἰσε-
Γ» λεύσῃ; Ψυχὴ ἁμαρτησάσῃ μὴ κοινωνή-
σῃς. ὅτι γὰρ τὸ οὐκ εἰσελεύσῃ, μὴ κοινω-
νήσῃς ἐστὶν, ἄκουσον τί φησιν ἡ Σάῤῥα τῷ
» Ἀβραάμ· εἴσελθε εἰς τὴν παιδίσκην μου, Γεν. 16. 2.
» καὶ τεκνοποίησον ἐξ αὐτῆς. ὅτι δὲ νεκρὸν
σῶμα οὐ μιαίνει· τὰ γὰρ φυσικὰ ἀναίτια·
μάθε παρ᾽ αὐτοῦ νομοθετήσαντος, Μωσέως
φημὶ, τοῦ διὰ σκιῶν καὶ συμβόλων τὴν ἀλή-
θειαν ὑπογράψαντος. ἐκεῖνος γὰρ ὁ ταῦ-
τα διαταξάμενος, τὰ ὀστᾶ τοῦ Ἰωσὴφ πε-
Δ ριέφερε. πρὸς ὃν δικαίως ἄν τις εἴποι· τὶ
ποιεῖς, ὦ Μωσῆ; τὶ πράττεις, ἃ κωλύεις;
τὶ ἐγχειρεῖς, οἷς ἀπαγορεύεις; μᾶλλον δὲ
τὶ πράττεις, ἃ νόμῳ ἀπεκήρυξας; γρα-
φήν σε τὶς, ὡς ἔοικε, γράψαιτο, ὡς πρῶ-
τον λύοντα τὸν νόμον. οὐ λύω, φησὶν, ἀλλὰ
διὰ τούτου ἐμφαίνω, τὸ δηλούμενον διὰ τοῦ
γράμματος πρᾶγμα περιεργάζεσθαι. ἐγὼ
γὰρ νεκρὸν σώφρονα οὐκ οἶδα· ἐγὼ νεκρὸν
τὸν τοὺς ἐπιβουλεύσαντας εὐεργετήσαντα
Ε οὐκ ἐπίσταμαι. ζῇ τῷ Θεῷ, κἂν ἡμῖν τέως
νεκρὸς φαίνηται. καὶ ὑμῖν δὲ παραινῶ, μὴ
μόνον τὴν νεκρὰν φεύγειν ἁμαρτίαν, ἀλλὰ
μηδὲ τοῖς ἁμαρτάνουσι κοινωνεῖν. τὰ μὲν
γὰρ φυσικὰ ἐλαττώματα, αἰτίας ἔξω ἐσκή-
νωται· τὰ δὲ ἐκ προαιρέσεως, κατηγορίας
καὶ τιμωρίας ἄξια. καὶ εἰ βασανίσετε τὴν
λέξιν, τοῦθ᾽ εὑρήσετε. οὐ γὰρ εἶπον, ἐπ᾽
ἀνθρώπῳ ἢ σώματι τετελευτηκότι, ἀλλ᾽
» ἐπὶ ψυχῇ. ψυχὴ γὰρ ἁμαρτάνουσα ἀπο- Ἰεζ. 18. 4.
Ζ» θανεῖται. εἰ γὰρ τὸ νεκρὸν σῶμα μολυσ-
μὸς, πῶς καὶ Σολομῶν· χρὴ γὰρ καὶ ἡμᾶς
προσθεῖναι τῇ Μωσέως ἀπολογίᾳ· ἔλεγεν,
» ἀγαθὸν τὸ πορευθῆναι εἰς οἶκον πένθους, Ἐκκλ. 7. 3.
» ἢ εἰς οἶκον γέλωτος; πῶς δὲ περιστολῆς καὶ
ἐκκομιδῆς ἐτύγχανε τὰ σώματα; πῶς δὲ
τῇ οἰκίᾳ παρεδίδοτο, εἰ οὐδὲ τὸ ὁσιοῦν τὰ
σώματα ὅσιον εἶναι ἐνόμιζε; πῶς δὲ τὸ σῶ-
μα Ἐλισσαίου νεκρὸν ὂν, νεκρὸν ἀνέστησεν;

ιγ. Οὗτος γυναῖκα παρθένον ἐκ
ιδ. τοῦ γένους αὐτοῦ λήψεται. Χήραν δὲ
καὶ

(1) Ἴσ. ἔθους.

(2) Παραλυμαίνηται. ὀρθότερ.

(3) Καὶ μὴ, ἀνάγν. οὕτω γὰρ ἔχει καὶ ἡ λατινικὴ μετάφρασις.

καὶ ἐκβεβλημένην καὶ βεβηλωμένην καὶ πόρνην, ταύτας οὐ λήψεται, ἀλλ' ἢ παρθένον ἐκ τοῦ γένους αὐτοῦ λήψεται γυναῖκα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὐδὲ χήραν ἐφεῖται γαμεῖν αὐτῷ, οὐδὲ τετελευτηκότος ἀνδρὸς μονωθεῖσαν, οὔτ' ἀπηλλαγμένην ἔτι ζῶντος, ἵνα πρῶτον μὲν εἰς ἄβατον καὶ καθαρὰν ἄρουραν ὁ ἱερὸς σπόρος χωρήσῃ, καὶ μηδεμίαν κρᾶσιν αἱ γοναὶ πρὸς ἑτέραν οἰκίαν λαμβάνωσιν· εἶτα δ' ὅπως ἀκακώτοις καὶ ἀδιαστρόφοις ταῖς ψυχαῖς συνερχόμενοι, ῥᾳδίως διαπλάττωσι τὰ ἤθη καὶ τοὺς τρόπους αὐτῶν. ὁλκοὶ καὶ εὐάγωγοι διάνοιαι παρθένων πρὸς ἀρετὴν, εἰς διδασκαλίαν ἑτοιμόταται. ἡ δ' ἑτέρου πεῖραν ἀνδρὸς λαβοῦσα, κατὰ τὸ εἰκὸς ἀπειθεστέρα πρὸς μάθησιν, ἅτε τὴν ψυχὴν ἀκραιφνεστάτην οὐκ ἔχουσα, καθάπερ τινὰ λελειασμένον κηρὸν εἰς τρανότητα τῶν ἐγγραφησομένων δογμάτων, ἀλλὰ τραχεῖαν ὑπὸ τῶν παρεγχαραχθέντων τύπων. οἳ δυσεξάλειπτοι περιμένοντες, ἢ οὐ παραδέχονται σφραγῖδας ἑτέρας, ἢ παραδεξάμενοι συγχέουσι ταῖς ἑαυτῶν ἀνωμαλίαις. παρθένον οὖν ὁ ἀρχιερεὺς ἀγέσθω γάμου ἁγνὴν, λέγω δὴ παρθένον, οὐ μόνον ᾗ μὴ ἕτερος οὐχ ὡμίλησεν, ἀλλὰ καὶ ἐφ' ᾗ μηδεὶς ἄλλος ἀνὴρ ὠνομάσθη διά τινων ὁμολογιῶν, κἂν ἁγνεύῃ τὸ σῶμα. Καὶ μετ' ὀλίγα. Πρὸς δὲ τούτῳ καὶ τὸ γένος ἠκρίβωσε τῶν μελλουσῶν γαμεῖσθαι, προστάξας τῷ μὲν ἀρχιερεῖ μνᾶσθαι μὴ μόνον γυναῖκα παρθένον, ἀλλὰ καὶ ἱέρειαν ἐξ ἱερέων, ἵνα ἐκ μιᾶς οἰκίας, καὶ τρόπον τινὰ τοῦ αὐτοῦ αἵματος ὦσι νυμφίος τε καὶ νύμφη, πρὸς ἁρμονίαν ἐπιδειξόμενοι παρ' ὅλον τὸν βίον κρᾶσιν ἠθῶν βεβαιοτάτην.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν τοῖς ἱερεῦσι διαφερόντως περὶ τῶν γάμων νομοθετεῖ; Ἔδει τύπον εἶναι τὸν ἱερέα σωφροσύνης, καὶ ἵνα τὸ γένος ἀκραιφνὲς διαμένῃ, μηδεμιᾶς ὕβρεως ἀφορμὴν τοῖς λοιδορεῖσθαι βουλομένοις παρέχον. διὸ καὶ ὁ θεῖος Ἀπόστολος, ἀγαθὴν ἔχειν μαρτυρίαν καὶ παρὰ τῶν ἔξωθεν τὸν τῷ Θεῷ
1. Τιμ. 3. 7. λειτουργοῦντα διαγορεύει· ἵνα μὴ εἰς ὀνει-
» δισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου. τούτου χάριν τὴν μὲν Ἰσραηλῖτιν πορνεύουσαν ἀναιρεῖσθαι κελεύει· τὴν δὲ τοῦ ἱερέως θυγατέρα τὰ παραπλήσια τολμῶσαν ἐμπίπρασθαι.

** ΚΥΡΙΛΛΟΥ. Γυναῖκα δεῖν παρθένον πρὸς γάμου φέρεσθαι κοινωνίαν, εὖ μάλα φησὶ, καὶ ἀνάρμοσον ποιεῖται τὴν ἐξωσμένην. ἣ καὶ εἰς τύπον ἂν εἴη τῆς Ἰουδαίων συναγωγῆς. ἐκβέβληται γὰρ τῆς πρὸς αὐτὸν ἑνότητος. καὶ περὶ αὐτῆς φη-
Ὡσ. 2. 2. » σὶ διὰ τῆς τοῦ Προφήτου φωνῆς· ὅτι αὐτὴ
» οὐ ἡ γυνή μου, καὶ ἐγὼ οὐκ ἀνὴρ αὐτῆς. ἡρμόσατο δὲ ὁ Παῦλος τὴν ἐξ ἐθνῶν
2. Κορ. 11. 2. ἐκκλησίαν, παρθένον ἁγνὴν τῷ Χριστῷ. Καὶ μετ' ὀλίγα. Εἰ δὲ δὴ βούλοιτό τις πρὸς τὸν ἐφ' ἑκάστῳ λόγον περιτρέπειν ἀξίως τῶν

A ἐννοιῶν τὴν δύναμιν, φαμὲν, ὅτι ψυχαῖς βεβήλοις καὶ ἀνοσίαις ἀσυναφὴς ὁ Χριστὸς, ταῖς δὲ παναγνοῖς καὶ καθαραῖς, οἷάπερ παρθένοις, σύνεισι πνευματικῶς, καὶ ἐγκάρπους ἀποτελεῖ, καὶ γένος αὐτὰς οἰ-
» κεῖον ἀποκαλεῖ. ὅστις γὰρ ἂν ποιήσῃ τὸ Ματθ. 12. 50.
» θέλημα τοῦ πατρός μου. φησὶ, τοῦ ἐν τοῖς
» οὐρανοῖς, οὗτος καὶ ἀδελφή μου, καὶ μή-
» τηρ μου ἐστί.

B *ιε. Καὶ οὐ βεβηλώσει τὸ σπέρμα αὐτοῦ ἐν τῷ λαῷ αὐτοῦ. ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτόν.*

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἵνα τὸ ἅγιον σπέρμα ἀμιγὲς μένῃ· καὶ ὡς χρὴ τὸν ἱερωμένον ἐπ' ἀληθείᾳ καὶ τύπῳ τὴν συνοικοῦσαν ἔχειν ὁμότροπον.

ις. Καὶ ἐλάλησε Κύριος πρὸς
ιζ. Μωϋσῆν, λέγων, Εἶπον Ἀαρὼν, ἄν-
Γ *θρωπος ἐκ τοῦ γένους σου εἰς τὰς γενεὰς ὑμῶν, ᾧ τινι ἐὰν ᾖ ἐν αὐτῷ μῶμος, οὐ προσελεύσεται προσφέρειν τὰ δῶρα τοῦ Θεοῦ αὐτοῦ.*

** ΚΥΡΙΛΛΟΥ. Οὐκ ἂν ὁ τῶν ὅλων δημιουργὸς ἐπ' ἀνεθελήτοις αἰτίαις τὴν ἀνθρώπου φύσιν ἐγράψατο, οὐδ' ἂν ὡς ἀνίερον τὸν ἠῤῥωστηκότα σωματικῶς τῆς αὐτῷ συντεταγμένης ἐξέπεμψε λειτουργίας· Δ ἀλλ' ὡς ἐκ τύπου πάλιν τῶν σωματικῶν εἰς ἀξιοτέρας ἡμᾶς καταλεπτύνει βουλάς. καὶ τὸν ἐν ψυχῇ παθῶν τὸ πολυειδὲς ὑποφαίνει. Καὶ μετ' ὀλίγα. Πικρὸν τὸ χρησμῴδημα. τέθειται γὰρ ὁ νόμος, οὐχὶ κατὰ μόνων τῶν τηνικάδε γεγονότων ἐξ Ἀαρὼν, ἀλλ' εἰς ἅπαν διήκει τὸ γένος, καὶ κατὰ παντὸς αἵματος ἱερατικοῦ, καὶ εἰς πάντα διέρπει χρόνον. δηλοῖ γὰρ οἶμαι τουτὶ, τὸ,
» ἐκ τοῦ γένους σου εἰς τὰς γενεὰς ὑμῶν. ἀπα-
E ράδεκτον γὰρ ἀεί πως Θεῷ τὸ μὴ ἀμωμήτως ἔχον. Καὶ μετ' ὀλίγα. Τοιγαροῦν καὶ κατὰ παντὸς ἰόντα τοῦ γένους τὸν ἐπὶ τόδε ποιεῖται νόμον, ἀκίβδηλον ἑαυτῷ τὸ ἱερὸν καὶ ἀπόλεκτον ἀποφαίνων γένος. τότε μὲν ὡς ἐν φυλῇ τῇ Λευΐ, καὶ ὡς ἐξ αἵματος Ἀαρὼν, νυνί γε μὴν ὡς ἔν γε τοῖς ἡγιασμένοις ἐν Χριστῷ τῷ μεγάλῳ καὶ κατ' ἀλήθειαν ἀρχιερεῖ, ᾧ προσπεφύκαμεν διὰ πνεύματος, κοινωνοὶ καὶ μέτοχοι τῆς οἰκείας αὐτοῦ
Z φύσεως ἀναδεδειγμένοι.

** ΒΑΣΙΛΕΙΟΥ. Ἐν τοῖς ἑξῆς ἑρμηνεύει τὸν μῶμον· οὐκ ἐν ἐπιμιξίᾳ ἀλλοτρίων μελῶν, οὐδὲ ἐν συντρίμματι ἑνός τινος, κἂν ἐπὶ μέρους ᾖ, τῶν ἰδίων μελῶν· οὐ τοσοῦτον παραποδίζοντος τὴν ἐνέργειαν τῆς εὐοδίας, ἀλλὰ παραβλάπτοντος τὴν εὐτρέπειαν ἢ τὴν ὁλοκληρίαν.

ιη. Πᾶς ἄνθρωπος ᾧ ἂν ᾖ ἐν αὐ-
τῷ μῶμος, οὐ προσελεύσεται· ἄνθρω-
H *πος τυφλὸς, ἢ χωλὸς, ἢ κολοβόριν,*
ιθ. ἢ ὠτότμητος, Ἢ ἄνθρωπος ᾧ ἐὰν ᾖ ἐν αὐτῷ σύντριμμα χειρὸς, ἢ σύντριμμα ποδός.

ΘΕΟΔΩΡΙΤΟΥ. Διὰ δὲ τὸ Ἰουδαίων μεμψίμοιρον, οὐδὲ τοὺς ἔχοντας τινὰ μῶμον σωματικὸν λειτουργεῖν συγχωρεῖ, διὰ τῶν ἀκουσίων παθημάτων ἀπαγορεύων τὰ γνωμικά. τυφλότης μὲν γὰρ ὀφθαλμῶν, τὴν τῆς γνώμης αἰνίττεται στέρησιν· ἐκτομὴ δὲ ὠτὸς, τὴν παρακοήν· ῥινὸς δὲ ἀφαίρεσις, τοῦ διακριτικοῦ τὴν ἀφαίρεσιν· ἀποκοπὴ δὲ χειρὸς, τὴν ἀργίαν τοῦ πρακτικοῦ· οὕτω καὶ τὰ ἄλλα νοητέον. τούτου χάριν ἀρτιμελῆ κελεύει καὶ ἱερεῖα προσφέρειν, τοὺς προσφέροντας διὰ τῶν προσφερομένων κελεύων ὑγιεῖς ἔχειν τὰς τῆς ψυχῆς ἐνεργείας.

ΚΥΡΙΛΛΟΥ. Ἀνεπιτήδειος εἰς ἱερουργίαν ὁ νοητῶς τυφλωθεὶς, καὶ νοῦν καὶ φρένα λελωβημένος· ὁμοίως καὶ χωλὸς ἀνὴρ, ὀρθοποδεῖν οὐκ εἰδώς. ἡ δὲ σιμότης, τὸ μὴ ἄγαν ὑγιὲς καὶ ἀρτίως ἔχον ὡς ἐν αἰσθήσει δηλοῖ, καθ' ἣν ἕκαστα τῶν πραγμάτων ἄριστα διακρίνοντες, τὸ κρεῖττον ἐκλεγόμεθα. τὸ δὲ παρακεκόφθαι τὸ οὖς, τὸ δυσήκοον ὑπεμφαίνειν, ὡσανεὶ τὸ ἐκ μέρους εὐπειθὲς, καὶ οὐχ ὁλοκλήρως εὐήνιον εἰς ὑπακοὴν, ἢ τὴν ἐξ ὀρθότητος ἐπὶ τὸ χεῖρον παραφοράν. σύντριμμα δὲ χειρὸς καὶ σύντριμμα ποδὸς ἔχειν φημὶ τὸν οὐχ ὁλοκλήρως εἰς ἔργα θεῖα χωρεῖν δυνάμενον, οὔτε μὴν ἀδιάβλητον ἔχοντα τὰ κατὰ Θεὸν διαβήματα. εἶεν δ' ἂν οὗτοι οἱ ποιοῦντες τὸ ἔργον Κυρίου ἀμελῶς. ἐπιτήρει δὲ, ὅτι τῇ νοητῇ καὶ ὁλοτελεῖ χωλότητι, καὶ ἡ μετρία τοῦ σκέλους πήρωσις ἐν ἴσῳ λελόγισται. τῷ γὰρ μηδόλως τὶ δρᾶν ἰσχύσαι τῶν ἀγαθῶν, τὸ μὴ δρᾶν ὀρθῶς ἐν ἴσῳ κείσεται λόγῳ. φαίνοιτο δ' ἂν εἰκότως ἐν μὲν τῇ χωλότητι, τὸ μηδόλως· ἐν δὲ τῷ συντρίμματι, τὸ μὴ ὑγιῶς.

κ. Ἢ κυρτὸς, ἢ ἔφηλος, ἢ πιλλὸς (1) τοὺς ὀφθαλμοὺς, ἢ ἄνθρωπος ᾧ ἐὰν ᾖ ἐν αὐτῷ ψώρα ἀγρία, ἢ λειχὴν, ἢ μονόρχις.

ΚΥΡΙΛΛΟΥ. Κυρτὸν δέ φησι τὸν οἱονεὶ κεκυφότα, καὶ κάτω βλέποντα νῷ, καὶ τὸν ὀφθαλμὸν τοῖς σαρκικοῖς ἐνερείδοντα, καὶ τὰ ἄνω φρονεῖν μὴ δυνάμενον. ἔφηλος δὲ (2) ἀῤῥώστημα καταμελαίνειν εἰδὸς τὴν ἐπ' ἄκρου δέρματος ὄψιν, ἐπ' αὐτοῖς δεικνύμενον μετώποις. ἐμφαίνει γε μὴν νοητῶς τὸν ἀσχήμονα, καὶ οἱονεὶ πρόσωπον οὐκ ἔχοντα καθαρὸν, ἀλλ' ἐμφανὲς ἅπασι τὸ ἀκαλλὲς εἰς ζωὴν, τὸν οὐδὲ κρύπτειν εἰδότα τὸ συμβὰν ἀῤῥώστημα. πιλλὸν δὲ τοὺς ὀφθαλμοὺς, τὸν ἥκιστα μὲν τοῦ βλέπειν ἐστερημένον, ὑγιῶς δὲ τοῦτο ποιεῖν οὐκ ἔχοντα. ὁποῖοί τινές εἰσιν αἱρετικῶν παῖ-

A δες, οἱ Θεὸν μὲν εἶναι πιστεύοντες τὸν πατέρα, τόν γε μὴν ἐξ αὐτοῦ φύντα υἱὸν ἀνοητότατα διωθούμενοι. ἀποκωλύεται δὲ ἱερουργεῖν καὶ ὁ ψώραν ἀγρίαν ἔχων. ἣ παρεικαστέον τὰ ἐκτοπώτατα τῶν παθῶν, δριμυτέροις ῥεύμασι καταχεόμενα τοῦ νοὸς, καὶ ἐξ ἡδονῆς μὲν ἔχοντα τὴν ἀρχὴν, εἰς πικρόν γε μὴν ἐξοίχοντα τέλος. λιχὴν δὲ πᾶν ὁτιοῦν πάθος ἀεὶ διέρπον εἰς τὸ εὐρὺ, καὶ ἀκατάληκτον ἔχον τὴν εἰς τὸ
B χεῖρον ἐπίδοσιν.

ΤΟΥ ΑΥΤΟΥ. Μόνορχιν δέ φησι τὸν ἡμίανδρον, καὶ οἱονεὶ παρακεκομμένον τὸ τελείως ἀνδροπρεπές.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀπαγορεύει δὲ μετὰ τῶν ἄλλων καὶ τὸν ἐκτομίαν, καὶ τὸν θλαδίαν. γόνιμον μὲν γὰρ εἶναι δεῖ τῶν ἀγαθῶν τὸν τῆς θείας θεραπείας φροντίζοντα.

κα. Πᾶς ᾧ ἐστὶν ἐν αὐτῷ μῶμος ἐκ
Γ τοῦ σπέρματος Ἀαρὼν τοῦ ἱερέως, οὐκ
ἐγγιεῖ τοῦ προσενεγκεῖν τὰς θυσίας
τῷ Κυρίῳ, ὅτι μῶμος ἐν αὐτῷ· τὰ
δῶρα τοῦ Θεοῦ αὐτοῦ οὐ προσελεύσεται
κβ. προσενεγκεῖν. Τὰ δῶρα τοῦ Θεοῦ αὐ-
τοῦ τὰ ἅγια τῶν ἁγίων, καὶ ἀπὸ τῶν
κγ. ἁγίων φάγεται. Πλὴν πρὸς τὸ κα-
ταπέτασμα οὐ προσελεύσεται, καὶ
πρὸς τὸ θυσιαστήριον οὐκ ἐγγιεῖ, ὅτι
Δ μῶμον ἔχει. καὶ οὐ βεβηλώσει τὸ ὄνο-
μα τοῦ Θεοῦ αὐτοῦ, ὅτι ἐγὼ Κύριος ὁ
ἁγιάζων αὐτούς.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἀνίερος μὲν ὁμολογουμένως ὁ ὑπὸ μώμου γραφείς· εἴργεται δὲ οὐχὶ τοῦ χρῆναι μεταλαχεῖν τῆς ἁγίας » τροφῆς. Φάγεται γὰρ ἀπὸ τῶν ἁγίων » φησί. πλὴν πρὸς τὸ καταπέτασμα οὐ προ- » σελεύσεται, καὶ πρὸς τὸ θυσιαστήριον οὐκ
E ἐγγιεῖ. οἱ γὰρ ἔτι ταῖς εἰς νοῦν ἔσω κεχρυμμέναις ἀσθενείαις ἔνοχοι, μεταλάχοιεν ἂν τῆς εὐλογίας Χριστοῦ, καὶ οὐχ ὡς ἐν τάξει τῇ τῶν ἁγίων εἰς ἐπίδοσιν ἁγιασμοῦ, καὶ εἰς ἑδραιότητα νοῦ, καὶ τὴν ἐφ' ἅπασι τοῖς ἀρίστοις ἐρηρεισμένην διαμονὴν, ἀλλ' ὡς ἐν τρόπῳ τῷ πρέποντι τοῖς ἠῤῥωστηκόσιν, εἰς ἀπόθεσιν τοῦ κακοῦ, καὶ εἰς κατάληξιν ἁμαρτίας, καὶ εἰς νέκρωσιν ἡδονῶν, καὶ εἰς ἀνάληψιν εὐεξίας τῆς πνευματικῆς.

Z κδ. Καὶ ἐλάλησε Μωϋσῆς πρὸς
Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ πρὸς
κε. πάντας τοὺς υἱοὺς Ἰσραήλ. (3) Καὶ
ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέ-
κϛ. γων, Εἶπον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ·
καὶ προσεχέτωσαν ἀπὸ τῶν ἁγίων τῶν
υἱῶν

(1) Ἡ μὲν ἐν Φραν. καὶ ἡ ἐν Καντ. ἔκδοσ. πίλλος, ἡ δὲ τοῦ Ἀλδ. πιλλὸς, ὁ δὲ ἐν ἁγίοις Κυριλ. (ἐν τῷ προκειμ. ὑπομνημ.) πιλός.

(2) Ἔφηλον δὲ τὸν τὴν ἐφηλίδα τὴν καλουμένην, ἐπ' αὐτοῖς ἔχοντα μετώποις. ἀῤῥώστημα δὲ τοῦτο καταμελαίνειν εἰδὸς τὴν ἐπ' ἄκρου δέρματος ὄψιν. ἐν Τόμ. 1. μέρ. 2. σελ. 416.

(3) Ἐντεῦθεν ἄρχεται τὸ 22. κεφ. ἔν τε τῇ ἐν Φραν. ἐκδόσ. καὶ ἐν τῇ ἐν Καντ. καὶ ἐν ἄλλαις πολλαῖς. ἐν ἑκατέρῳ δὲ τῶν κωδίκ. τὸ 21. κεφ. λήγει ἔνθα τὸ 22. ἐν ταῖς εἰρημέν. ἐκδόσ. ἔνθεντοι τὸ μὲν 1. ἐδ. κατὰ τὰς εἰρημ. ἐκδόσ. 25. πεποίηται, τὸ δὲ 2, 26. καὶ καθεξῆς ὁμοίως τὰ λοιπά.

υἱῶν Ἰσραὴλ, καὶ οὐ βεβηλώσουσι τὸ ὄνομα τὸ ἅγιόν μου, καὶ ὅσα αὐτοὶ ἁγιάζουσί μοι. ἐγὼ Κύριος.

κζ. Εἶπον αὐτοῖς, ὅτι εἰς τὰς γενεὰς ὑμῶν πᾶς ἄνθρωπος, ὃς ἂν προσέλθῃ ἀπὸ παντὸς τοῦ σπέρματος ὑμῶν πρὸς τὰ ἅγια, ὅσα ἂν ἁγιάζωσιν οἱ υἱοὶ Ἰσραὴλ τῷ Κυρίῳ, καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ' αὐτῷ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἀπ' ἐμοῦ. ἐγὼ Κύριος.

** ΚΥΡΙΛΛΟΥ. Οἱ προσάγοντες τὰ ἱερὰ, φησὶν, ἤτοι τὰ ἁγιαζόμενα παρὰ τῶν υἱῶν Ἰσραὴλ, ὅσα ἂν ἀναθεῖεν εἰς θυσίαν τῷ Θεῷ, μὴ βεβηλέντων (1) αὐτοῦ τὸ ὄνομα, προσάγοντες οὐ προηγνισμένοι, καὶ ἀναπόνιπτον ἔχοντες ἔτι τὴν ἀκαθαρσίαν ἣν ἂν συμβαίνῃ παθεῖν, ἢ ἴσωσαν ὅτι, φησὶ, τὴν ἐσχάτην εὐθὺς ἀποτίσουσι δίκην. » ἐγὼ γάρ εἰμι Κύριος, τουτέστιν οὐ Θεὸς ψευδώνυμος, εἰς ὃν εἰ καί τις ἁμάρτοι τυχὸν, οὐδὲν ἔσται τὸ πλημμελές.

** ΒΑΣΙΛΕΙΟΥ. Εἰ τοιαύτη ἀπειλὴ κεῖται κατὰ τῶν προσιόντων ἁπλῶς εἰς τὰ παρὰ τῶν ἀνθρώπων ἁγιαζόμενα, τί ἄν τις εἴποι κατὰ τοῦ εἰς τοσοῦτον καὶ τοιοῦτον μυστήριον τολμήσαντος; ὅσῳ γὰρ πλεῖον
Ματθ. 12. 6. τοῦ ἱεροῦ ὧδε, κατὰ τὴν τοῦ Κυρίου φωνὴν, τοσούτῳ δεινότερον καὶ φοβερώτερον τὸ ἐν μολυσμῷ ψυχῆς τολμῆσαι ἅψασθαι τοῦ σώματος τοῦ Χριστοῦ, παρὰ τὸ ἅψασθαι κριῶν ἢ ταύρων. Καὶ μετ' ὀλίγα. Εἰ δὲ ὁ ἐν ἀκαθαρσίᾳ μόνῃ γενόμενος· τῆς δὲ ἀκαθαρσίας τὸ ἰδίωμα τυπικῶς ἐκ τοῦ νόμου μανθάνομεν· οὕτω φοβερὸν ἔχει τὸ κρῖμα, πόσῳ μᾶλλον ὁ ἐν ἁμαρτίᾳ ὢν, καὶ κατατολμῶν τοῦ σώματος τοῦ Κυρίου, δεινότερον ἐπισπάσεται τὸ κρῖμα;

κη. Καὶ ἄνθρωπος ἐκ τοῦ σπέρματος Ἀαρὼν τοῦ ἱερέως, καὶ οὗτος λεπρᾷ ἢ γονοῤῥυεῖ, τῶν ἁγίων οὐκ ἔδεται, ἕως ἂν καθαρισθῇ. καὶ ὁ ἁπτόμενος πάσης ἀκαθαρσίας ψυχῆς, ἢ ἄνθρωπος ᾧ ἐὰν ἐξέλθῃ ἐξ αὐτοῦ κοίτη σπέρματος,

κθ. Ἢ ὅστις ἂν ἅψηται παντὸς ἑρπετοῦ ἀκαθάρτου, ὃ μιανεῖ αὐτὸν, ἢ ἐπ' ἄνθρωπον, ἐν ᾧ μιανεῖ αὐτὸν κατὰ πᾶσαν ἀκαθαρσίαν αὐτοῦ·

** ΚΥΡΙΛΛΟΥ. Σύμβολον δὴ οὖν νεκρώσεως μὲν, ἡ λέπρα· δαπανᾷ γὰρ καὶ καταβόσκεται τὴν σάρκα, μεθίστησι δὲ εἰς τὸ παρὰ φύσιν, καὶ ἀλλοιοῖ τοῦ σώματος τὴν ὄψιν· γονόῤῥοια δὲ, καρπογονίας
Α ἐστὶν ἀπόθεσις, ῥεούσης εἰς τὸ μηδὲν τῆς φύσεως· ὁποῖος ἄν τις ὁρῷτο καὶ ἀνθρώπου νοῦς παρενεχθεὶς εἰς παραφθορὰν, καὶ μονονουχὶ δαπανώμενος εἰς ἀκαρπίαν. Καὶ μετ' ὀλίγα. Συγκαταδικάζει δὲ ὥσπερ αὐτοῖς, καὶ εἴ τις ἅψαιτο τυχὸν τῶν ἠῤῥωστηκότων, λεπροῦ λέγω καὶ γονοῤῥυοῦς.

ΤΟΥ ΑΥΤΟΥ. Διδάσκει πάλιν ἡμᾶς αἰνιγματωδῶς, ὡς ἀκάθαρτοι μὲν ἐν ἐγκλήμασι μολυσμῶν οἱ ψυχικοῖς ἔνοχοι πά-
Β θεσι. συγκαταμιαίνονται δὲ αὐτοῖς καὶ οἱ θιγγάνοντες, ἤτοι κολλώμενοι κατὰ σχέσιν ταυτοβουλίας ἢ ταυτοεργίας.

** ΤΟΥ ΑΥΤΟΥ. Ἑρπετὰ δὲ πικρὰ καὶ ἰοβόλα λέγεσθαί τε καὶ εἶναί φαμεν τοὺς οἷς περ ἂν εἴη πρέπον ὁ λόγος· ἰὸς Ψαλ. 13. 3.
» ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν· ὧν τὸ στόμα
» ἀρᾶς καὶ πικρίας γέμει. εἶεν δ' ἂν οὗτοι καὶ πρό γε τῶν ἄλλων, οἱ τὰ ὀρθὰ διαστρέ-
Γ φοντες, καὶ τοῖς ἁπλουστέροις τὸν ὀλέθρου πρόξενον ἐνηχοῦντες λόγον.

λ. Ἡ ψυχὴ ἥτις ἐὰν ἅψηται αὐτοῦ, ἀκάθαρτος ἔστιν ἕως ἑσπέρας. οὐ φάγεται ἀπὸ τῶν ἁγίων, ἐὰν μὴ λούσηται τὸ σῶμα αὐτοῦ ὕδατι, Καὶ δύῃ ὁ ἥλιος, καὶ καθαρὸς ἔσται· καὶ τότε φάγεται ἀπὸ τῶν ἁγίων, ὅτι ἄρτος αὐτοῦ ἐστί.

Δ * ΚΥΡΙΛΛΟΥ. Ὥρα γὰρ ἐνθάδε καταλέγεται, καθ' ἣν ἐπέφανεν ἡμῖν ὁ Ἐμμανουὴλ πρὸς αὐτῇ λοιπὸν τῇ ἑσπέρᾳ. τουτέστιν ἐν τῷ τέλει τοῦ ἐνεστῶτος καιροῦ.

* ΤΟΥ ΑΥΤΟΥ. [Μέχρις ἑσπέρας ἀκάθαρτος ὁ μεμολυσμένος, ἀμέτοχος δὲ καὶ τροφῆς ἁγίας καὶ ζωοποιοῦ, τὸν τῆς καθάρσεως περιμένων καιρόν.] ὕδατι δὲ λουσάμενος τῷ ἐκ βαπτίσματος, καὶ δύναντος ἡλίου, καθαρὸς, καὶ ἴδιον ἔχων
Ε ἄρτον τὸν ἐξ οὐρανοῦ καταβάντα.

λα. Θνησιμαῖον καὶ θηριάλωτον οὐ φάγεται, μιανθῆναι αὐτὸν ἐν αὐτοῖς. ἐγὼ Κύριος.

** ΚΥΡΙΛΛΟΥ. Θνησιμαῖον καὶ θηριάλωτον οὐ μεῖον ἢ λέπρα τοῖς ἐφαπτομένοις τὸν μολυσμὸν ἐνίησι νοητῶς· τοῦ μὲν θνησιμαίου, τὸ τελείως νεκρὸν καὶ ἀπεψυγμένον, ὡς ἐν ἔργοις τοῖς κατὰ τὴν
Ζ σάρκα· τοῦ δὲ θηριαλώτου, τὴν ὑπὸ τῷ διαβόλῳ πεσοῦσαν ψυχὴν ἀναφανδὸν σημαίνοντος. χρῆμα δὲ ὅτι σωτήριον ἀποφοιτᾶν ἀνδρὸς, νεκρὰ φρονεῖν ἐγνωκότος, καὶ ἀπεψυγμένου τὸν νοῦν, καὶ τρέφοντος ὥσπερ ἐφ' ἑαυτῷ τὸν Σατανᾶν· κατεσθίει γὰρ ἃς ἂν ἕλοιτο ψυχάς· πῶς οὐκ ἂν εἴη σαφὲς τοῖς γε ἀληθῶς ἀρτίφροσι, καὶ ἀπω-

(1) Τὸ, μὴ βεβηλέντων, ἀντὶ τοῦ προσακτικοῦ, μὴ βεβηλέτωσαν, ἐκληπτέον, ἵν' εὐοδῶται ἡ ἔννοια. καὶ γὰρ καὶ ὁ Εὐστάθιος ἐν τῷ 46 καὶ 47. τῆς ι' τοῦ Ὁμήρου Ἰλιάδ. τὸ, εἰ δὲ καὶ αὐτοὶ φευγόντων, ἀναπτύσσει λέγων· Τὸ δὲ, εἰ δὲ καὶ αὐτοὶ φευγόντων, ἀντὶ τοῦ, εἰ δὲ βούλονται φευγέτωσαν καὶ αὐτοί. καὶ ἔστι σχῆμα συνήθες ἐλλείψεως, οὐ μόνον γοργὸν, ἀλλὰ καὶ σεμνὸν διὰ τὴν ἀποσιώπησιν τοῦ προαιρετικοῦ ῥήματος. οὐ γὰρ καθαρῶς ἀνέχεται εἰπεῖν, εἰ βούλονται φευγέτωσαν. ὅτι δὲ τὸ, φευγόντων, προστακτικῶς ῥηθὲν κατὰ Ἀττικοὺς, σχῆμα καὶ αὐτό ἐστιν ἐλλειπτικὸν, οὐκ ἄδηλόν ἐστι.

A ἀπωτάτω χωρεῖν παντὸς τοῦ καταμολύνειν εἰωθότος ἄριστα διεσπουδακόσι;

λγ. Καὶ φυλάξονται τὰ φυλάγματα, ἵνα μὴ λάβωσι δι' αὐτὰ ἁμαρτίαν, καὶ ἀποθάνωσι δι' αὐτά, [ἐὰν βεβηλώσωσιν αὐτά.] ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.

λδ. Καὶ πᾶς ἀλλογενὴς οὐκ ἔδεται ἅγια. πάροικος ἱερέως, ἢ μισθωτὸς, B οὐκ ἔδεται ἅγια.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Πάροικος δὲ ἱερέως καὶ μισθωτὸς εἰργέσθω τῶν ἀπαρχῶν. ὁ μὲν πάροικος, ἐπειδὴ μὴ πάντες γείτονες συνέστιοι καὶ ὁμοτράπεζοι. δέος γὰρ μὴ προῆταί τις τὰ καθιερωθέντα, προφάσει χρησάμενος εἰς ἀσέβειαν ἀκαίρῳ φιλανθρωπίᾳ. Καὶ μετ' ὀλίγα. Γέρα τῶν ἱερέων οὐ δοτέον, ὥσπερ ἄλλοις, οὐδὲ τοῖς παροίκοις, ἕνεκα τοῦ γειτνιᾶν Γ ἐφαψομένοις ὧν οὐ θέμις. οὐ γὰρ οἰκίας, ἀλλὰ γένους ἐστὶν ἡ τιμή. ὁμοίως μέντοι μηδὲ μισθωτῷ παρεχέτω, μήτε μισθὸν, μήτε ὑπηρεσίας ἀμοιβὴν ἱερὸν γέρας. χρήσεται γὰρ ἔστιν ὅτε ὁ λαβὼν ἀνίερος πρὸς ἃ μὴ δεῖ. βέβηλα τὰ τῆς εὐγενείας ἆθλα καὶ τῆς περὶ τὸν νεὼν λειτουργίας ἀπεργασάμενος. δι' ἣν αἰτίαν οὐδ' ἀλλογενεῖ συνόλως ὁ νόμος ἐπιτρέπει μεταλαμβάνειν τῶν ἁγίων, κἂν εὐπατρίδης ὢν τυγχάνῃ τῶν αὐτοχθόνων, Δ καὶ πρὸς ἀνδρῶν καὶ πρὸς γυναικῶν ἀνεπίληπτος ὢν, ἵνα αἱ τιμαὶ μὴ νοθεύωνται, μένωσι δὲ ἐν τῇ ἱερατικῇ τάξει βεβαίως φυλαττόμεναι.

* ΚΥΡΙΛΛΟΥ. Καὶ πᾶς ἀλλογενὴς, τουτέστιν ὁ οὔπω πεπιστευκὼς, καὶ Θεὸν οὐκ εἰδὼς τὸν ἀληθινόν. [οἷς γὰρ οὐκ ἔνεστι τὸ διὰ τῆς ἐν πνεύματι καὶ νοητῆς οἰκειότητος συνδεῖσθαι Χριστῷ τῷ μεγάλῳ καὶ ἀληθῶς ἱερεῖ, πῶς ἂν οἱ τοιοίδε γένοιντο E μέτοχοι τῶν ἄρτων αὐτοῦ;]

** ΤΟΥ ΑΥΤΟΥ. Συνάπτει δὲ τούτῳ τὸν πάροικόν τε καὶ μισθωτόν. εἶεν δ' ἂν οὗτοι πάλιν, κατά γε τὸ αὐτῷ μοι δοκοῦν, οἱ κόσμῳ μὲν ζῶντες, καὶ αὐτῷ πολιτευόμενοι, καὶ οἱονεὶ πατρίδα πεποιημένοι τὴν γῆν, διά γε τοῦ μόνα φρονεῖν τὰ σαρκὸς, ἐν ψιλῇ δὲ ὥσπερ καὶ μόνῃ παροικοῦντες τῇ πίστει τὴν εἰς Χριστὸν ἀγάπησιν. Καὶ μετ' ὀλίγα. Z Μισθωτὸς δὲ αὖ, καὶ αὐτό που τάχα τὸ πιστεῦσαι μόνον οὐκ αἰδοῖ τῇ πρὸς ἀλήθειαν ᾑρημένοι, μισθὸν δὲ ὥσπερ τινὰ τοῦ δοκεῖν εἶναι Χριστιανοὶ τὸ ἀρέσκειν τισὶ θηρώμενοι, καὶ τὰς ἐκ τῶν ὠφελεῖν δυναμένων αὐτοὺς φροντίδας θωπευτικῶς ὑποτρέχοντες. καὶ πορισμὸν ποιούμενοι τὴν εὐσέβειαν, καὶ φιλοκερδίας προκάλυμμα τὸ χρηστοεπὲς, καθάπερ προσωπεῖον ἑαυτοῖς περιπλάττοντες.

H λε. Ἐὰν δὲ ἱερεὺς κλήσηται ψυχὴν ἔγκλητον ἀργυρίου, οὗτος φάγεται τῶν ἄρτων αὐτοῦ· καὶ οἱ οἰκογενεῖς αὐτοῦ, καὶ οὗτοι φάγονται τῶν ἄρτων αὐτοῦ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οἰκογενεῖ δέ φησι καὶ ἀργυρωνήτῳ μεταδιδότω δεσπότης ἱερεὺς σιτίων καὶ ποτῶν ἐκ τῶν ἀπαρχῶν. πρῶτον μὲν, ὅτι θεράποντι πόρος εἷς ὁ δεσπότης, ὁ δὲ τοῦ δεσπότου κλῆρος, αἱ ἱεραὶ φιλανθρωπίαι, ἐξ ὧν ἀνάγκη τὸν δοῦλον τρέφεσθαι· δεύτερον δ' ὅτι τὰ γενησόμενα πάντως ἀνάγκη μὴ δρᾶν ἄκοντας· οἱ δ' οἰκέται, κἂν μὴ θέλωμεν, ἅτε ἀεὶ συνόντες καὶ συνδιαιτώμενοι, σιτία τε καὶ ποτὰ καὶ ὄψα τοῖς δεσπόταις προευτρεπιζόμενοι, καὶ τραπέζαις ἐφεστῶτες, καὶ τὰ λείψανα ἐκκομίζοντες, κἂν μὴ φανερῶς λαμβάνωσι, λάθρα γοῦν ὑφαιρήσονται, κλέπτειν ὑπὸ τῆς ἀνάγκης βιασθέντες· ὡς ἀνθ' ἑνὸς ἐγκλήματος, εἴπερ ἐστὶν ἀδίκημα τὸ ἐκ τῶν δεσποτικῶν τρέφεσθαι, καὶ ἑτέραν προπαρασκευάζεσθαι κλοπήν· ἵνα φωρὸς τρόπον πρὸς τῶν ἀνυπαιτίως ζώντων ἀπολαύσωσι τῶν καθιερωθέντων. ὅπερ ἐστὶν ἀτοπώτατον. τρίτον κἀκεῖνο χρὴ λογίζεσθαι, ὅτι τὰ τῶν ἀπαρχῶν οὐ παρ' ὅσον ἐπινέμεται τοῖς οἰκέταις ὀλιγωρηθήσεσθαι διὰ τὸν δεσποτικὸν φόβον. ἱκανὸς γὰρ οὗτος ἐπιστομίζειν τὴν τινῶν εὐχέρειαν, ῥᾳθυμεῖν οὐκ ἐφιείς.

ΚΥΡΙΛΛΟΥ. [Ἔκκλητόν τε καὶ ἀργυρώνητον, καὶ οἰκογενῆ που λέγων,] τὸν ἐν πίστει γνήσιον καὶ οἰκεῖον ἐν πνεύματι, καὶ τιμῆς ἠγορασμένον, κατὰ τὸν μακάριον Παῦλον. „Χριστὸς γὰρ ἡμᾶς ἐξηγόρασεν ἐκ „τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ „ἡμῶν κατάρα. Γαλ. 3. 13.

λϛ. Καὶ θυγάτηρ ἀνθρώπου ἱερέως ἐὰν γένηται ἀνδρὶ ἀλλογενεῖ, αὕτη τῶν ἀπαρχῶν τῶν ἁγίων οὐ φάγεται.

** ΚΥΡΙΛΛΟΥ. Τὴν ἱερέως θυγατέρα φησὶ, κἂν εἰ ἔχοι τυχὸν τὸ συγγενὲς ἅγιον, οὐδὲν ἐντεῦθεν ὠφεληθήσεσθαι συνημμένην ἑτέρῳ, τουτέστιν ἀλλογενεῖ, τῷ μηδαμόθεν οἰκείῳ, μηδὲ μὴν ἐξ αἵματος Ἰσραήλ.

* ΤΟΥ ΑΥΤΟΥ. Θυγατέρα φησὶν ἱερέως τὴν ἐξ ὕδατός τε καὶ πνεύματος ἀναγεννηθεῖσαν ψυχήν. ἀλλὰ καὶ αὐτή, φησὶν, εἰ γένοιτο ἀλλογενεῖ, τουτέστι σχέσιν οὐκ ἔχοντι πρὸς Θεὸν πνευματικὴν, ἀμέτοχός ἐστι τῶν ἁγίων.

λζ. Καὶ θυγάτηρ ἱερέως ἐὰν γένηται χήρα ἢ ἐκβεβλημένη, σπέρμα δὲ μὴ ᾖ αὐτῇ, ἐπαναστρέψει ἐπὶ τὸν οἶκον τὸν πατρικὸν αὐτῆς κατὰ τὴν νεότητα αὐτῆς· ἀπὸ τῶν ἄρτων τοῦ πατρὸς αὐτῆς φάγεται. [καὶ πᾶς ἀλλογενὴς οὐ φάγεται] ἀπ' αὐτῶν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Φιλανθρωπίας μεστὸν νόμον ἑξῆς ἀναγράφει. ἐὰν θυγάτηρ φησὶν ἱερέως γημαμένη ἱερεῖ, χηρεύσῃ, τελευτήσαντος τοῦ ἀνδρὸς, ἢ καὶ ἔτι ζῶντος ἄπαις καταληφθεῖσα, πάλιν ἐπὶ τὸν πατρῷον οἶκον ἀνερχέσθω, μεταληψομένη τῶν ἀπαρχῶν. ὧν ἡνίκα παρθένος

θεῖος ἦν ἐκοινώνει. τρόπον γάρ τινα καὶ νῦν ἐστὶ δυνάμει παρθένος, καὶ ἀνδρὸς καὶ παίδων ἔρημος, οὐδεμίαν ἑτέραν ἔχουσα καταφυγὴν, ὅτι μὴ τὸν πατέρα.

∗ ΚΥΡΙΛΛΟΥ. Χήρα καὶ ἐκβεβλημένη διὰ τὴν εἰς Χριστὸν δυσσέβειαν ἡ τῶν Ἰουδαίων ἀνεδείχθη συναγωγὴ, καὶ μεμένηκεν ἄκαρπος ἐν τῷ μηδὲν κεκλῆσθαι τῶν πνευματικῶν ἀγαθῶν· [ἀλλ' ἐπαναστρέψει ἐπὶ τὸν οἶκον τὸν πατρικὸν αὐτῆς. κεκλήσεται γὰρ καὶ αὐτὴ διὰ πίστεως πρὸς Θεόν· ἐπιγράψεται δὲ σὺν ἡμῖν πατέρα τὸν τῶν ὅλων δημιουργὸν, καὶ τῆς Χριστοῦ γένοιτ' ἂν εὐλογίας μέτοχος.]

λη. Καὶ ἄνθρωπος ὃς ἂν φάγῃ
ἅγια κατὰ ἄγνοιαν, καὶ προσθήσει
τὸ ἐπίπεμπτον αὐτοῦ ἐπ' αὐτῷ, καὶ
δώσει τῷ ἱερεῖ τὸ ἅγιον.

∗∗ ΚΥΡΙΛΛΟΥ. Τὰ εἰς ὀσμὴν εὐωδίας ἀνατεθειμένα, μόσχοι τυχὸν ἢ ὄϊς, ἀνεκομίζοντο μὲν ἐκ μέρους ἐπὶ τὸ θυσιαστήριον, ἐξαιρουμένων τῶν ἐντοσθίων, ποδῶν τε καὶ κεφαλῆς καὶ πιμελῆς, ἔσθ' ὅτε καὶ νεφρῶν, ἔτρεφον δὲ τοῖς λειψάνοις τοὺς ἱερεῖς. οἱ
1. Κορ. 10. 18. γὰρ ἐσθίοντες τὰς θυσίας, κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσὶ, καθὰ καὶ ὁ θεσπέσιος ἔφη Παῦλος. ἦν οὖν ἄρα ἀνάγκη καθιεροῦσθαι Θεῷ τὸ ὑπὸ τοῦ προσκομιοῦντος, κατὰ τὸν ἑκάστῳ πρέποντα νόμον· παραμυθεῖσθαι δὲ τῷ λοιπῷ σώματι τῆς θυσίας τοὺς ὑπουργούς. εἰ δὲ δή τις ὅλον ὥσπερ δι' ὅλου τὸ δῶρον ἀπονοσφίσαιτο, καὶ ταῖς ἰδίαις ἀπονενέμηκε χρείαις, τεθυμιακὼς οὐδὲν, ὡς ἅγια κατεδηδοκὼς ἐγράφετο νόμῳ.

ΤΟΥ ΑΥΤΟΥ. Καὶ τοῦτο δεδράκασιν οἱ υἱοὶ Ἠλὶ τοῦ ἱερέως, πρὸ θυσιῶν ἁρπάζοντες καὶ βεβηλοῦντες τὰ ἱερά. ἀλλ' ἐκεῖνα μὲν ὡς ἑκούσια, καὶ γυμνὴν ἔχοντα τὴν ὕβριν, ἀναλόγως ἐκολάζετο. εἰ δὲ δὴ γένοιτο, φησὶν, ἡ λήθη συνηρπασμένον, ἢ τὸ τοῖς νόμοις δοκοῦν οὐκ ἀκριβῶς ἐγνωκότα, δρᾶσαί τι τοιοῦτον, ζημίαν ὑπομενέτω. [καὶ ἀποτιννύτω μὲν τὸ ἴσον ἀμελητὶ, προσεπαγέτω δὲ τούτῳ καὶ τὸ ἐπίπεμπτον, τουτέστι τὴν τοῦ τιμήματος πέμπτην μοῖραν.]

λθ. Καὶ οὐ βεβηλώσουσι τὰ ἅγια
τῶν υἱῶν Ἰσραὴλ, ἃ αὐτοὶ ἀναφέρουσι
μ. τῷ Κυρίῳ. Καὶ ἐπάξουσιν ἐφ' ἑαυτοὺς
ἀνομίαν πλημμελείας ἐν τῷ ἐσθίειν
αὐτοὺς τὰ ἅγια αὐτῶν, ὅτι ἐγὼ Κύ-
ριος ὁ ἁγιάζων αὐτούς.

∗∗ ΚΥΡΙΛΛΟΥ. Ὅτε τὸ ἀγνοηθὲν γραφῆς οὐκ ἐλεύθερον, τί ἂν οἴοιτό τις τὸ ἐξ ἀπονοίας καὶ θράσους; παραιτητέον δὴ οὖν οἷς ἐν φροντίδι τὰ ἱερὰ, μηδὲν πρὸ θυσίας οἰκειοῦσθαι ζητεῖν, ἢ ἴσων; ὅτι δεινὰ πεπλημμεληκότες, ὀφλήσουσι δίκην, καὶ ὑπὸ θείαν ἔσονται κίνησιν.

μα. Καὶ ἐλάλησε Κύριος πρὸς
μβ. Μωϋσῆν, λέγων· Λάλησον Ἀαρὼν
καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ πάσῃ συνα-
A γωγῇ Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς,
ἄνθρωπος ἄνθρωπος ἀπὸ τῶν υἱῶν Ἰσ-
ραὴλ, ἢ τῶν προσηλύτων τῶν προσ-
κειμένων ἐν Ἰσραὴλ, ὃς ἂν προσενέγκῃ
τὰ δῶρα αὐτοῦ κατὰ πᾶσαν ὁμολο-
γίαν αὐτῶν, ἢ κατὰ πᾶσαν αἵρεσιν
αὐτῶν, ὅσα ἂν προσενέγκωσι τῷ Κυ-
μγ. ρίῳ εἰς ὁλοκαύτωμα· Δεκτὰ ὑμῖν ἄρ-
σενα ἄμωμα ἐκ τῶν βουκολίων, καὶ
B ἐκ τῶν προβάτων, καὶ ἐκ τῶν αἰγῶν.
μδ. Πάντα ὅσα ἂν ἔχῃ μῶμον ἐν αὐτῷ οὐ
προσάξουσι Κυρίῳ, διότι οὐ δεκτόν
ἐστιν ὑμῖν.

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοσαύτη γοῦν ἐστὶ πρόνοια οὐ μόνον τοῖς ἀνάγουσι τὰς θυσίας, ἀλλὰ καὶ τοῖς ἱερωμένοις· ὥστε οἱ δοκιμώτατοι τῶν ἱερέων ἀριστίνδην ἐπὶ ποδῶν ἄκρων ἐρευνῶσιν ὅσα τε ἐμφανῆ, καὶ Γ ὅσα ἐπὶ γαστρὶ καὶ μηροῖς ἀνακέκρυπται, μήπου τις βραχεῖα λώβη διαλέληθε. τὸ δὲ ἀκριβὲς καὶ περιττὸν τῆς ἐξετάσεως, οὐχ ἕνεκα τῶν καταθυομένων, ἀλλὰ τοῦ περὶ τοὺς καταθύοντας ὑπαιτίου γίνεται. βούλεται γὰρ αὐτοὺς ἀναδιδάξαι διὰ συμβόλων, ὁπότε προέρχοιντο εἰς βωμοὺς, ἢ εὐξόμενοι, ἢ εὐχαριστήσοντες, μηδὲν ἀῤῥώστημα ἢ πάθος ἐπιφέρεσθαι τῇ ψυχῇ· πειρᾶσθαι δ' ὅλην δι' ὅλων ἀκηλίδωτον αὐ- Δ γάζειν, ὡς ἰδόντα μὴ ἀποστραφῆναι Θεόν.

με. Καὶ ἄνθρωπος ὃς ἂν προσε-
νέγκῃ τὰ δῶρα αὐτοῦ κατὰ πᾶσαν
ὁμολογίαν αὐτοῦ, ἢ κατὰ πᾶσαν αἵ-
ρεσιν αὐτοῦ, θυσίαν σωτηρίου τῷ Κυ-
ρίῳ, διαστείλας εὐχὴν ἢ κατὰ αἵρεσιν
ἢ ἐν ταῖς ἑορταῖς ὑμῶν, ἔκ τε τῶν βου-
κολίων ἢ ἐκ τῶν προβάτων, ἄμωμον
E ἔσται εἰσδεκτὸν, πᾶς μῶμος οὐκ ἔσται
ἐν αὐτῷ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Σημεῖον τοῦ ἀμώμου θύματος. καὶ τὸ ὠτότμητον μὲν ἢ κολοβόκερκον εἰς τὴν ἰδίαν χρῆσιν ἀνιείς· θλαδίαν δὲ, ἢ ἐκτομίαν, ἢ ἀπεσπασμένον οὔτε εἰς τὴν ἱερὰν, οὔτε εἰς τὴν ἰδίαν· ὅτι τὸ ἄγονον μοχθηρότατον.

μς. Τυφλὸν ἢ συντετριμμένον ἢ
Z γλωσσότμητον ἢ μυρμηκιῶντα ἢ ψω-
ραγριῶντα ἢ λειχῆνας ἔχοντα, οὐ προ-
σάξουσι ταῦτα τῷ Θεῷ, καὶ εἰς καρ-
πωσιν οὐ δώσετε ἀπ' αὐτῶν ἐπὶ τὸ θυ-
σιαστήριον τῷ Κυρίῳ.

ΚΥΡΙΛΛΟΥ. Τυφλὸν ἔοικε λέγειν τὸν ἄσοφον καὶ ἀσύνετον, καὶ φῶς οὐκ ἔχοντα θεῖον ἐν ἑαυτῷ. συντετριμμένον δὲ, τὸν ὁλοτρόπως ἠῤῥωστηκότα, καὶ ὑγιὲς οὐδὲν ἔχον- H τα, οὔτε μὴν ὀρθοποδεῖν δυνάμενον· γλωσσότμητον δὲ, τὸν ὀρθοεπεῖν οὐκ εἰδότα, οὔτε μὴν ἀναφωνεῖν ἰσχύοντα τὸ ῥῆμα τῆς πίστεως. μυρμηκία δὲ καὶ ἀγρία ψώρα καὶ λειχὴν, ἀεὶ πρὸς ἐπίδοσιν ἰόντα φαίνεται,

καὶ πρὸς τὸ χεῖρον διανενεύκασί πως, καὶ ὅλην κατὰ βραχὺ διανέμεται τὴν σάρκα. τοιαῦτα δὲ καὶ τὰ ἐν ταῖς ἡμετέραις ψυχαῖς οὐκ ἀνακοπτόμενα τῶν παθῶν.

μζ. Καὶ μόσχον ἢ πρόβατον ὠτότμητον, ἢ κολοβόκερκον σφάγια ποιήσεις αὐτὰ σεαυτῷ, εἰς δὲ εὐχήν σου οὐ δεχθήσονται.

** ΚΥΡΙΛΛΟΥ. Ὠτότμητον δὲ καὶ πρός γε δὴ τούτῳ τὸν κολοβόκερκον, τὸν δυσπειθῆ καὶ ἀνήκοον, καὶ τὸν μὴ μέχρι παντὸς εὐσχήμονα κατασημαίνειεν ἄν.

μη. Θλαδίαν καὶ ἐκτεθλιμμένον καὶ ἐκτομίαν καὶ ἀπεσπασμένον, οὐ προσάξετε αὐτὰ τῷ Κυρίῳ, καὶ ἐπὶ τῆς γῆς ὑμῶν οὐ ποιήσετε.

** ΚΥΡΙΛΛΟΥ. Ἀπόβλητον δὲ ποιεῖται τὸ ἄρσεν μὲν ὅσον ἧκεν εἰς φύσιν, ἐνεργεῖν δὲ τὰ ἀρσένων οὐ δυνάμενον, θλαδίαν δὴ λέγω καὶ ἐκτομίαν. εἶεν δ' ἂν οἱ τοιοίδε πάλιν οἱ ἐν ὑπολήψει μὲν ἀνδρίας τῆς εἰς ἀρετὴν, οὐ μὴν ἔτι καὶ ἐνεργοὶ πρὸς ἀρετῆς αὐχήματα. ξηροὶ δὲ ὥσπερ καὶ ἄκαρποι, καὶ τὸ δύνασθαι καρποφορεῖν πολυτρόπως παρῃρημένοι. πλεῖστος γὰρ ὅσος ἡμᾶς ἀνοσίων παθῶν καταβιάζεται δῆμος εἰς τὸ ἄναλκί τε καὶ ἀδρανές· καὶ προσέτι τούτῳ, τὸ μὴ ἰσχῦσαι καρποφορεῖν. ταύτητοι, καθάπερ ἔγωγε οἶμαι, καὶ πολλοῖς ὀνόμασι τὸ ἐνοχλοῦν ὁ νόμος ἀποκαλεῖ. » θλαδίαν γάρ φησι καὶ ἐκτεθλιμμένον καὶ » ἐκτομίαν καὶ ἀπεσπασμένον. παμποίκιλα γὰρ τὰ ἐν ἡμῖν πάθη, διὰ πολλῆς ὥσπερ ἄγοντα τρίβου πρὸς τὸ ἄναλκί τε καὶ ἀδρανές.

μθ. Καὶ ἐκ χειρὸς ἀλλογενοῦς οὐ προσοίσετε τὰ δῶρα τοῦ Θεοῦ ὑμῶν ἀπὸ πάντων τούτων· ὅτι φθάρματά ἐστιν ἐν αὐτοῖς, [μῶμος ἐν αὐτοῖς,] οὐ δεχθήσεται ταῦτα ὑμῖν.

** ΚΥΡΙΛΛΟΥ. Μυσαρὸν δὲ ὅτι πρὸς τούτοις ἐστὶ, καὶ διὰ χειρὸς ἀλλοτρίας τὰς ἱερουργίας καταθύειν Θεῷ, προσαπέφηνε, » λέγων· καὶ ἐκ χειρὸς ἀλλογενοῦς οὐ προσοί» σετε τὰ δῶρα Κυρίῳ τῷ Θεῷ ὑμῶν. δι' οὗ σημαίνεται τυπικῶς, ὡς διὰ μόνου Χριστοῦ προσιτὸς ὁ πατήρ.

ν. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
να. σῆν, λέγων, Μόσχον ἢ πρόβατον ἢ αἶγα, ὡς ἂν τεχθῇ, καὶ ἔσται ἑπτὰ ἡμέρας ὑπὸ τὴν μητέρα αὐτοῦ, τῇ δὲ ἡμέρᾳ τῇ ὀγδόῃ καὶ ἐπέκεινα δεχθήσεται εἰς δῶρα, κάρπωμα τῷ Κυρίῳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τὰ πρωτότοκα τῶν θρεμμάτων εἰς τὴν ὀγδόην ἡμέραν προσφέρεσθαι διηγόρευσεν; Ἤδει τὴν ἐνίων γαστριμαργίαν· καὶ ὅτι τυχὸν εὐτραφὲς αὐτὸ καὶ εὐειδὲς θεασάμενοι, τοῦτο μὲν καθέξουσιν, ἕτερον δὲ προσοίσουσι. τούτου χάριν εὐθυγενῆ προσενεχθῆναι προσέταξε.

* ΚΥΡΙΛΛΟΥ. [Τὸ ἀρτιγενὲς καὶ ὑπότιτθον ἔτι σφάττειν οὐκ ἐᾷ,] δεικνὺς ὅτι τὸ ἀτελὲς οὔπω μὲν ἱερὸν, ἔτι δὲ ἀπαράδεκτον διὰ τοῦτο Θεῷ.

ΤΟΥ ΑΥΤΟΥ. Τὰ τοίνυν προσκομιζόμενα ζῶα καὶ ἀνατιθέμενα τῷ Θεῷ, δεῖν μὲν εἶναί φησιν ἑπτὰ ἡμέρας ὑπὸ τὴν μη» τέρα, τῇ δὲ ἡμέρᾳ τῇ ὀγδόῃ καὶ ἐπέκεινα » δῶρον ἔσεσθαι εἰς κάρπωμα τῷ Θεῷ. ὀγδόην δὲ εἶναί φαμεν τὴν ἀναστάσιμον τοῦ Σωτῆρος ἡμέραν, καὶ ἀρχὴν ὥσπερ αἰῶνος νέου, παριππεύσαντος τοῦ κατὰ τὸν νόμον ὡς ἐν ἡμέραις ἑπτὰ ταῖς πρώταις. οὐκοῦν ἀνίερον καὶ ἀπρόσκομιστον τὸ ὡς ἐν χρόνῳ τῷ κατὰ νόμον, δῆλον δὲ ὅτι [τὸ] ἐν λατρείᾳ σαρκικῇ. δῶρον δὲ ἤδη εὐπρόσδεκτον τῷ Θεῷ πᾶν ἔτι λοιπὸν ἐν Χριστῷ κατὰ τὴν ὀγδόην καὶ ἐπέκεινα. ἀκατάληκτος γὰρ ἡ ἐν Χριστῷ κλῆσις, ἀρχὴν ἔχουσα τὴν ἀνάστασιν. (1)

νβ. Καὶ μόσχον καὶ ἐκ ποιμνίου πρόβατον, αὐτὴν καὶ τὸ παιδίον αὐτῆς, οὐ σφάξεται ἐν ἡμέρᾳ μιᾷ.

** ΚΥΡΙΛΛΟΥ. Τὸ δέ γε μὴ συνδιόλλυσθαι δεῖν μητέρα τοῖς τέκνοις ἐν ἡμέρᾳ μιᾷ, τί ἂν εἴη; Νομοθετήσας εὖ μάλα τὰ ἐπὶ Χριστῷ, καὶ τὴν δι' αὐτοῦ τελείωσιν προαναφωνήσας ἀστείως, οὐκ ἠγνόησεν, ὡς Θεὸς, τῶν Ἰουδαίων τὸ ἀπειθὲς, καὶ τῆς Ἱερουσαλὴμ τὸ δυσήνιον, καὶ ὅτι ταύτης ἕνεκα τῆς αἰτίας ὀλοθρευθήσονται μὲν ὡς Κυριοκτόνοι καὶ ἀγρίως πεπαρῳνηκότες εἰς τὸν υἱὸν οἱ ἐξ Ἰσραὴλ, πλὴν οὐκ εἰς ἅπαν ὁλόρριζος Ἱερουσαλὴμ οἰχήσεται, μενεῖ δὲ ὥσπερ ἔρημος τέκνων, τὸν τελευταῖον καὶ ἐν ἐσχάτοις περιμένουσα καιρὸν, καθ' ὃν καὶ αὐτὴ σωθήσεται, κατόπιν τρέχουσα τῶν ἐθνῶν. Καὶ μετ' ὀλίγα. Ἐν ταὐτῷ δὲ οἶμαι τύπον ὥσπερ τινὰ τὸ χρῆμα τιθεὶς εἰδήσεως ἀναγκαίας. ἥκιστα μὲν γὰρ οἰχήσεται τὰ ὄντα πρὸς τὸ μηδὲν, ἀκράτῳ φθορᾷ τυραννούμενα· διαμενεῖ δὲ ὥσπερ ταῖς διαδοχαῖς τοῦτο ἐν ἐκείνῳ, κἀκεῖνο τυχὸν ἐν τούτῳ σῳζόμενα, κατά γε τὸ συγγενὲς ἢ ὁμοειδὲς, τὸν εἰς ἅπαν ὄλεθρον τῶν ἰδίων κτισμάτων ἀποσοβοῦντος τοῦ Θεοῦ. Καὶ μεθ' ἕτερα. Τετελεύτηκε μὲν γὰρ ἡ ῥίζα τοῦ ἀνθρωπείου γένους οἷά τις μήτηρ, ὡς ἐν Ἀδὰμ, πλὴν οἱ ἐξ αὐτῆς, τουτέστιν ἡμεῖς ἀνεθάλλομεν ἐν Χριστῷ, καὶ ἐσμὲν καὶ σωζόμεθα, ζωὴν ἔχοντες αὐτὸν καὶ ῥίζαν ὥσπερ τοῦ γένους δευτέραν.

νγ. Ἐὰν δὲ θύσῃς θυσίαν εὐχὴν χαρμοσύνης Κυρίῳ, εἰσδεκτὸν ὑμῖν θύσατε

(1) Τόδε τὸ ὑπόμνημα ὅλον παρὰ τῷ κώδ. κεῖται ἐν τῷ 23. κεφ. τῆς Ἐξόδ. μέρος δὲ τούτου πάλιν, εἴτουν τὸ ἀπὸ τοῦ, ὀγδόην δὲ εἶναί φαμεν, ἄχρι τοῦ, ἑπτὰ ταῖς πρώταις, ἐν τῷ 22. κεφ. τῆς Ἐξόδ. τὰ δὲ ἑπόμενα ἐν τῷ δε τῷ κεφ. τοῦ Λευΐτ.

νδ'. Θύσατε αὐτό. Τῇ τε ἡμέρᾳ ἐκείνῃ A
βρωθήσεται· καὶ οὐκ ἀπολείψετε ἀπὸ
τῶν κρεῶν εἰς τὸ πρωΐ. ἐγὼ Κύριος.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὰ κρέα τῶν ὑπὲρ αἰνέσεως θυσιῶν, ὡς τὰ τοῦ πάσχα, αὐθήμερον ἐσθίεσθαι κελεύει, καὶ μὴ ὑπολείπεσθαι. αἴνεσις γὰρ τοῦ Θεοῦ ἡ ἐν τῷ μέλλοντι αἰῶνι ζωή, μηδὲν ἔχουσα νεκρότητος λείψανον.

νε'. Καὶ φυλάξασθε τὰς ἐντολάς
μου, καὶ ποιήσατε αὐτάς. ἐγὼ Κύ-
νς'. ριος. Καὶ οὐ μὴ βεβηλώσητε τὸ ὄνομα
τοῦ ἁγίου, καὶ ἁγιασθήσομαι ἐν μέσῳ
τῶν υἱῶν Ἰσραήλ. ἐγὼ Κύριος ὁ ἁγιά-
νζ'. ζων ὑμᾶς, Ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ
γῆς Αἰγύπτου, ὥστε εἶναι ὑμῶν Θεός.
ἐγὼ Κύριος.

ΚΕΦ. ΚΒ. (1)

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς, ἑορταὶ Κυρίου ἃς καλέσετε αὐτὰς κλητὰς ἁγίας, αὗταί εἰσιν αἱ ἑορταί μου.

ΣΕΥΗΡΙΑΝΟΥ. Ἑορτή ἐστι κάθαρσις διανοίας, καὶ συνειδὸς ἀνεπίληπτον.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Εἰσὶ τοίνυν ἀριθμῷ δέκα ἑορταί, ἃς ἀναγράφει ὁ νόμος. πρώτη μέν, ἣν ἀκούσας θαυμάσαι τὶς ἂν ἴσως. αὕτη δέ ἐστιν ἡμέρα πᾶσα. δευτέρα δ', ἡ ἐξ ἡμερῶν ἑβδόμη, σάββατον αὐτὴν Ἑβραῖοι πατρίῳ γλώττῃ καλοῦσι. τρίτη δέ, ἡ μετὰ σύνοδον τὴν κατά τινα σελήνην νέαν νεομηνία. τετάρτη δέ, τῶν διαβατηρίων, ἣ καλεῖται πάσχα. πέμπτη δέ, ἡ τῶν ἀσταχύων ἀπαρχή, τὸ ἱερὸν δράγμα. ἕκτη δέ, ἄζυμα, μεθ' ἣ (2) τῆς τῶν ἑβδομάδων ὄντως ἑβδόμη. ὀγδόη δέ, ἱερομηνία. ἐννάτη δέ, νηστεία. δεκάτη δέ, ἡ τῶν σκηνῶν, ἥτις ἐστὶν ἡ τῶν ἐτησίων ἑορτῶν συμπέρασμα, εἰς τέλειον ἀριθμὸν δεκάδα τελευτῶσα.

γ. Ἓξ ἡμέρας ποιήσεις ἔργα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα ἀνάπαυσις κλητὴ ἁγία τῷ Κυρίῳ. πᾶν ἔργον οὐ ποιήσετε· σάββατά ἐστι τῷ Κυρίῳ ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν.

ΑΔΗΛΟΥ. Πρώτην τὴν σαββατικὴν ἀνάπαυσιν ἁγίαν καλεῖ· ἥτις ἐστὶ σκιὰ τοῦ ἀποκειμένου σαββατισμοῦ τῷ λαῷ τοῦ Θεοῦ· εἶτα τὴν τοῦ πάσχα, ἧς καὶ αὐτῆς τὴν πλήρωσιν ὁ Σωτὴρ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ γενησομένην προαγορεύει, ὅτε τὴν κοσμικὴν ἀπολιπόντες Αἴγυπτον, διὰ τὸν ἀμνὸν τοῦ Θεοῦ παραστησόμεθα Χριστῷ ἐλεύθεροι.

δ. Αὗται αἱ ἑορταὶ τῷ Κυρίῳ κληταὶ ἅγιαι, ἃς καλέσετε αὐτὰς ἑορτὰς ἐν τοῖς καιροῖς αὐτῶν.

ε. Ἐν τῷ πρώτῳ μηνὶ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνός, ἀναμέσον τῶν ἑσπερινῶν πάσχα τῷ Κυρίῳ.
ς. Καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς αὐτοῦ ἑορτὴ τῶν ἀζύμων τῷ Κυρίῳ. ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε.

ΑΔΗΛΟΥ. Σὺν τῷ προβάτῳ ἤσθιον καὶ ἄζυμα, οὐ μὴν καὶ τὸν ἀμνόν. ἀλλὰ τοῦ πάσχα ἐστὶν ἡ ἑορτή, καὶ ἐκ τοῦ κρατοῦντος ὀνομάζεται ἡμέρα. ἐπειδὴ δὲ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ ἤσθιον ἄζυμα, οὐ μὴν καὶ τὸν ἀμνόν, ἑορτὴ καλεῖται τῶν ἀζύμων. διὰ τοῦτο οὖν ἡ τεσσαρεσκαιδεκάτη, τοῦ πάσχα· ἡ δὲ πεντεκαιδεκάτη, τῶν ἀζύμων λέγεται.

ζ. Καὶ ἡμέρα ἡ πρώτη κλητὴ ἁγία ἔσται ὑμῖν· πᾶν ἔργον λατρευτὸν
η. οὐ ποιήσετε. Καὶ προσάξετε ὁλοκαυτώματα τῷ Κυρίῳ ἑπτὰ ἡμέρας. καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.

** ΙΣΙΔΩΡΟΥ. Λατρείαν ἐνταῦθα τὴν δουλείαν καλεῖ. οὐδὲν οὖν, φησί, τῶν δουλοπρεπῶν, καὶ οἱονεὶ ἀνδραποδιζόντων ὑμᾶς ἀπὸ τῆς πρὸς Θεὸν σχολῆς, ἐργάζεσθε ἐν σαββάτῳ, ὃ καταφορτίζει ὑμᾶς βάρει ἁμαρτημάτων. ἀνέσεως γὰρ καὶ ἀφέσεώς ἐστιν ἡ ἡμέρα· καὶ οὐ χρὴ συνδέσμοις κακῶν τὸ ἀξίωμα αὐτῆς ἐνυβρίζεσθαι.

θ. Καὶ ἐλάλησε Κύριος πρὸς
ι. Μωϋσῆν, λέγων, Εἶπον τοῖς υἱοῖς Ἰσ-
ραὴλ, καὶ ἐρεῖς πρὸς αὐτούς, ὅταν εἰσέλθητε εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ θερίζητε τὸν θερισμὸν αὐτῆς, καὶ οἴσετε δράγματα ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν πρὸς τὸν ἱερέα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἑορτὴ δ' ἐστὶν ἡ μετὰ τὴν πρώτην εὐθὺς ἡμέρα, ἥτις ἀπὸ τοῦ συμβεβηκότος ὀνομάζεται δράγμα. τοῦτο γὰρ ἀπαρχὴ προσαγορεύεται τῷ βωμῷ, καὶ τῆς χώρας ἣν ἔλαχε τὸ ἔθνος οἰκεῖον, καὶ τῆς συμπάσης γῆς. ὡς εἶναι τὴν ἀπαρχὴν καὶ τοῦ ἔθνους ἰδίαν, καὶ ὑπὲρ παντὸς ἀνθρώπων γένους κοινήν· καὶ τὸν ὄντα Θεὸν θεραπεύειν ὑπέρ τε ἑαυτοῦ καὶ τῶν ἄλλων, ὅτι πάμφορον γῆν ἔλαχον. Καὶ μετ' ὀλίγα. Πολλὰ μέντοι διὰ τῆς ἀπαρχῆς παρίσταται. πρῶτον μέν, Θεοῦ μνῆμα· ἔπειτα, τῷ πρὸς ἀλήθειαν αἰτίῳ τῆς εὐκαρπίας, ἀμοιβὴ δικαιοτάτη. κριθὴ δὲ τὸ τῆς ἀπαρχῆς δράγμα, πρὸς τὴν τῶν ὑποβεβηκότων ἀνυπαίτιον χρῆσιν. ἐπειδὴ γὰρ οὐκ εὐαγὲς ἦν ἐκ πάντων ἀπάρχεσθαι, τῶν

(1) Ἐν ταῖς εἰρημ. ἐκδόσ. 23. ἐστί.

(2) Μεθ' ἣν ἤ. ἀνάγν.

τῶν πλείσων πρὸς ἡδονὴν μᾶλλον ἢ τὴν ἀναγκαίαν χρῆσιν γεγονότων· ὅθ' ὅσιον ἀπολαῦσαι καὶ μεταχεῖν τινὸς τῶν πρὸς ἐδωδὴν, εἰ μὴ οἷς εὐπρεπὲς καὶ θέμις εὐχαριςήσαιτο, τὸ δευτερείοις τροφῆς τετιμημένον εἶδος, κριθὴν ἀπάρξασθαι προσέταξεν ὁ νόμος. οὐ γὰρ τοῦ σίτου τὰ πρεσβεῖα ἔλαχεν. οὐ πάλιν τὴν ἀπαρχὴν ἐπιφανεςέραν οὖσαν, εἰς ἐπιτηδειότερον ἀνατέθεικε καιρόν.

ΚΥΡΙΛΛΟΥ. Ἀςαχύων γὰρ δίκην ἀνεθάλλομεν ἐν κόσμῳ, κατὰ τὸ εἰρημένον· ὅτι
Ἰωάν. 4. 35. » ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε
» τὰς χώρας, ὅτι λευκαί εἰσιν ἤδη πρὸς θερισμόν. οὐκοῦν οἷά τις ςαχύων ἀπαρχὴ, καὶ νέος ὥσπερ καρπὸς ἐν εἴδει δράγματος νοεῖται Χριςὸς, ὁ πρωτότοκος ἐκ νεκρῶν, ὁ πάντα πρὸς καινότητα μετασοιχειῶν, καὶ παλαιότητος ἀπαλλάττων.

ια. Καὶ ἀνοίσει τὸ δράγμα ἔναντι Κυρίου δεκτὸν ὑμῖν· τῇ ἐπαύριον τῆς πρώτης ἀνοίσει αὐτῷ ὁ ἱερεύς.

⁎ ΚΥΡΙΛΛΟΥ. [Ὅρα ὅπως ἡμῖν ὁ νόμος καὶ τὸν τῇ ἀναςάσει πρέποντα προανετύπου καιρὸν, τουτέστι τὴν τρίτην ἡμέραν.
» τῇ γὰρ ἐπαύριον τῆς πρώτης, φησὶν, ἀνοί-
» σει τὸ δράγμα ὁ ἱερεὺς ἔναντι Κυρίου.] τρίτη δὲ ἡ ἀπὸ τῆς πρώτης, οὐκ αὔριον, ἀλλὰ μεθαύριον. (1)

ΤΟΥ ΑΥΤΟΥ. Δράγμα τοίνυν ὁ Χριςὸς, ὡς πάντας ἔχων ἐν ἑαυτῷ, καὶ ὑπὲρ πάντων ἀνακείμενος, καὶ ἀνθρωπότητος ἀπαρχὴ τετελειωμένης ἐν πίςει, καὶ ὀφειλούσης εἰς τοὺς ἄνω καὶ ἐν οὐρανῷ συγκομίζεσθαι θησαυρούς. προσκομίζεσθαι δὲ δεῖ τὸ δράγμα τῇ ἐπαύριον τῆς πρώτης, ὅ ἐςι τῇ τρίτῃ. ἀνεβίω μὲν γὰρ ἐκ νεκρῶν κατὰ τὴν τρίτην ἡμέραν, οὕτω τε ἀναπεφοίτηκεν εἰς τὸν οὐρανὸν, εἰς τὴν σκηνὴν τὴν ἀληθινήν. (2)

ιβ. Καὶ ποιήσετε ἐν τῇ ἡμέρᾳ ἐν ᾗ ἂν φέρητε τὸ δράγμα, πρόβατον ἄμωμον ἐνιαύσιον εἰς ὁλοκαύτωμα τῷ
ιγ. Κυρίῳ. Καὶ τὴν θυσίαν αὐτοῦ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ· θυσία τῷ Κυρίῳ, εἰς ὀσμὴν εὐωδίας τῷ Κυρίῳ· καὶ σπονδὴν αὐτοῦ τὸ τέταρτον τοῦ εἶν οἴνου.

⁎⁎ ΚΥΡΙΛΛΟΥ. Ὁ γὰρ ὡς ἐν δράγματί τε καὶ ἀπαρχῇ καρπῶν οἱονεὶ ζωγραφούμενος, καὶ ὡς ἐξ ἀγέλης ἀπαρχὴ λαμ-
A βάνεται· ἀγέλης δὲ ζώσης ὡς ἐν πιότητι χάριτος, καὶ ἐν εὐφροσύνῃ πνεύματος.

⁎ ΤΟΥ ΑΥΤΟΥ. Σεμίδαλις μὲν, σημεῖον ἂν γένοιτο ζωῆς· πιότητος δὲ, τὸ ἔλαιον· εὐφρασίας δὲ, ὁ οἶνος.

ιδ. Καὶ ἄρτον, καὶ πεφρυγμένα χίδρα νέα οὐ φάγεσθε ἕως εἰς αὐτὴν τὴν ἡμέραν ταύτην, ἕως ἂν προσενέγκητε ὑμεῖς τὰ δῶρα τοῦ Θεοῦ ὑμῶν.
B νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ κατοικίᾳ ὑμῶν.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τίεσι, πεφρυγμένα
» νέα χίδρα οὐ φάγεσθε, ἕως ἂν προσενέγ-
» κητε ὑμεῖς τὰ δῶρα τῷ Θεῷ ὑμῶν; Τῆς Παλαιςίνης ἡ γῆ θερμοτέρα οὖσα, πρωΐμους φέρει καρπούς. κελεύει τοίνυν μὴ πρότερόν τινα νέους ἀςάχυας ἀφεῦσαι, καὶ φρύξαι, καὶ φαγεῖν, ὡς ἂν ἐκ τούτων προσε-
Γ νέγκωσι τῷ Θεῷ δράγμα.

⁎ ΚΥΡΙΛΛΟΥ. Προσάγεται δὲ καὶ ὡς ἐν ἄρτῳ, καὶ ἐν χίδροις πεφρυγμένοις. χίδρα δὲ τὰ ὄσπρια φησι, διὰ τὸ, οἶμαι, τριβόμενα τοῖς ἀλοῦσιν αὐτὰ περιχεῖσθαι μύλοις. νοοῖτο δ' ἂν ἡμῖν καὶ διὰ τούτου Χριςὸς, ὡς νέον φύραμα, πρὸς ὃν ἡμεῖς μεμορφώμεθα.

ιε. Καὶ ἀριθμήσετε ὑμῖν ἀπὸ τῆς
Δ αὔριον τῶν σαββάτων, ἀπὸ τῆς ἡμέρας ἧς ἂν προσενέγκητε τὸ δράγμα τοῦ ἐπιθέματος, ἑπτὰ ἑβδομάδας ὁλο-
ις. κλήρους ἀριθμήσεις, Ἕως τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομάδος ἀριθμήσετε πεντήκοντα ἡμέρας, καὶ προσοίσετε θυσίαν νέαν τῷ Κυρίῳ.

⁎⁎ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοσαύτας ἔχουσα προνομίας ἡ ἐπὶ τῷ δράγματι πα-
E νήγυρις, προέορτός ἐςιν ἑτέρας ἑορτῆς μείζονος. ἀπὸ γὰρ ἐκείνης τῆς ἡμέρας πεντηκοςὴ ἀριθμεῖται, ἑπτὰ ἑβδομάδων ἱερὸν ἀριθμὸν ἐπισφραγιζομένης μονάδος. πρόσρησιν δ' ἔλαχεν ἡ κατὰ τὸν πεντηκοςὸν ἀριθμὸν ἐνισαμένη ἑορτὴ, πρωτογεννημάτων.

ΘΕΟΔΩΡΙΤΟΥ. Κελεύει δὲ τὸ δράγμα τοῦτο προσενεχθῆναι τῇ τοῦ πάσχα ἡμέρᾳ. (3) εἶτα ἐκ ταύτης ἑπτὰ ἑβδομάδας
Z ἀριθμῆσαι, καὶ τῆς πεντηκοςῆς ἐπιτελέ-
» σαι τὴν ἑορτήν. οὕτω γὰρ ἔφη· καὶ ἀριθ-
» μήσετε ὑμῖν ἀπὸ τῆς ἐπαύριον τῶν σαβ-
» βάτων, ἀπὸ τῆς ἡμέρας ἧς ἂν προσενέγ-
» κητε τὸ δράγμα τοῦ ἀφορίσματος ἑπτὰ ἑβδο-

(1) Μετ' αὔριον, ὀρθότ. ἐπαύριον δὲ ἐν Τόμ. 1. μέρ. 1. σελ. 612. (2) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

(3) Τὸ κατ' αὐτὴν τὴν τοῦ πάσχα ἡμέραν τὸ δράγμα προσάγεσθαι, πάνυ ἀπίθανον ἔοικεν. οὐδὲ γὰρ τῷ ῥητῷ συνᾴδει λέγοντι, ἀπὸ τῆς ἐπαύριον τῶν σαββάτων, οὐδὲ τοῖς τῶν ἄλλων ὑπομνήμασιν. ὁ μὲν γὰρ Φίλων ὁ Ἑβραῖος (ἐν τῷ προλαβόντι ὑπομνήμ.) φησίν· ἑορτὴ δὲ ἐςιν ἡ μετὰ τὴν πρώτην εὐθὺς ἡμέρα, ἥ τις ἀπὸ τοῦ συμβεβηκότος ὀνομάζεται δράγμα. ὁ δὲ Ἰώσηπος, (ἐν κεφ. 10. τοῦ 3. περὶ Ἰουδαϊκ. ἀρχαιολογ. βιβλ.) τῇ δὲ δευτέρᾳ τῶν ἀζύμων ἡμέρᾳ, ἕκτη δὲ ἐςιν αὕτη καὶ δεκάτη τῶν καρπῶν οὓς ἐθέρισαν· οὐ γὰρ ἥψαντο πρότερον αὐτῶν· μεταλαμβάνουσι. καὶ τὸν Θεὸν ἡγούμενοι τιμᾶν δίκαιον εἶναι πρῶτον, παρ' οὗ τῆς εὐπορίας τούτων ἔτυχον, τὰς ἀπαρχὰς τῆς κριθῆς αὐτῷ ἐπιφέρουσι, κτ. ὁ δὲ Ἐπιφάνιος, (ἐν τῷ προκειμ. ὑπομνήμ.) μετὰ τὸ θῦσαι τὸ πάσχα, κτ. ἴσως δὲ τοῦτο ὁ Θεοδώριτος εἴρηκε, συμβιβάσαι θέλων τὸ, ἀπὸ τῆς ἡμέρας ἧς ἂν προσενέγκητε τὸ δράγμα, ἀριθμήσεις ἑπτὰ ὁλοκλήρους ἑβδομάδας.

» ἑβδομάδας ὁλοκλήρους. ἡ δὲ τῆς πεντηκοστῆς ἑορτὴ, μνήμη τὴν τῆς εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσόδου. τότε γὰρ καὶ ἔσπειρον, καὶ ἐθέριζον. ἐν γὰρ τῇ ἐρήμῳ τὸ μάννα ἤσθιον οὐρανόθεν φερόμενον.

** ΕΠΙΦΑΝΙΟΥ. Μετὰ τὸ θύσαι τὸ πάσχα εἴσω τριῶν ἡμερῶν, τουτέστι μετὰ τρεῖς ἡμέρας τοῦ προβάτου προσέταττε τὸ δράγμα εἰσφέρεσθαι. ἵνα σημάνῃ τὸ εὐλογημένον δράγμα ἐγειρόμενον ἐκ τῶν νεκρῶν μετὰ τρίτην ἡμέραν, τῆς γῆς αὐτῷ προσφερούσης, καὶ αὐτοῦ αὐτὸ πάλιν κομιζομένου ἀπ' αὐτῆς ἐν τῇ ἀναστάσει τοῦ μνήματος, καὶ μένοντος σὺν τοῖς μαθηταῖς τεσσαράκοντα ἡμέρας, καὶ ἐπὶ τῷ τέλει τῆς πεντηκοστῆς εἰσφέροντος αὐτὸ εἰς τὰ ἐπουράνια τῷ πατρὶ, τὸ πρωτότοκον τῶν πρωτοτόκων, ἡ ἀπαρχὴ ἡ ἁγία, τὸ δράγμα ὃ ἐδράξατο ἀπὸ Μαρίας, ἡ ἀγκάλη ἡ ἀγκαλισθεῖσα ἐν Θεῷ, ὁ καρπὸς τῆς κοιλίας, ἡ ἀπαρχὴ τῆς ἅλω.

ΚΥΡΙΛΛΟΥ. [Εἰσκεκόμικε παραχρῆμα τῆς ἁγίας ἡμῖν πεντηκοστῆς προανατύπωσιν ἐναργῆ, ἑπτὰ χρῆναι λέγων ἐπαριθμεῖν ἑβδομάδας τῇ τοῦ δράγματος εἰσκομιδῇ.] Μετὰ γὰρ τὴν ἀναστάσιμον ἡμέραν ἑπτὰ συνάγοντες ἑβδομάδας, ἑορτάζομεν τὴν πεντηκοστήν.

ΣΕΥΗΡΟΥ. Τῷ τύπῳ γοῦν ἀκολουθοῦντες τῷ παλαιῷ, τὰς πεντήκοντα ἡμέρας ἀριθμοῦμεν· οὐκ ἀπὸ τῆς ἡμέρας καθ' ἣν ἐτμήθη τὸ δράγμα, ἀλλ' ἀπὸ τῆς ἐπαύριον, ἥτις ἐστὶ τῆς ἀναστάσεως.

ιζ. Ἀπὸ τῆς κατοικίας ὑμῶν προσοίσετε ἄρτους ἐπίθεμα, δύω ἄρτους· ἐκ δύω δεκάτων σεμιδάλεως ἔσται ὁ ἄρτος ὁ εἷς, ἐζυμωμένοι πεφθήσονται πρωτογεννημάτων τῷ Κυρίῳ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Δύω ἐζυμωμένους ἄρτους ἐκ πυροῦ γεγονότας ἔθος προσφέρειν, ἀπαρχὴν σίτου τῆς ἀρίστης τροφῆς· ἢ διότι πρὶν εἰς τὴν ἀνθρώπων χρῆσιν ἐλθεῖν τὸν ἐπέτειον καρπὸν τοῦ νέου σίτου, πρῶτον γέννημα, καὶ ὁ πρῶτος περιφανὴς καρπὸς ἀπαρχὴ προσάγεται, ἵνα διὰ βραχέως συμβόλου παραφήνωσιν εὐχάριστον ἦθος· ἢ διότι κατ' ἐξοχὴν πρῶτον καὶ ἄριστον γέννημα ὁ τοῦ σίτου καρπός ἐστιν.

ΣΕΥΗΡΟΥ. Δύω δὲ ἄρτοι κατὰ τὴν ἡμέραν τῆς πεντηκοστῆς προσεφέροντο, καὶ οὐ τρεῖς, εἰς ἔνδειξιν τῆς τῶν δύω ὑποστάσεων φανερώσεως, τοῦ υἱοῦ φημὶ καὶ τοῦ πνεύματος. ὁ γὰρ πατὴρ ἤδη προέγνωστο, πλὴν καὶ τῶν δύω τούτων γνωσθέντων, ἔγνωμεν τὴν ἐν Τριάδι Θεότητα.

** ΚΥΡΙΛΛΟΥ. Πρωτόλειον τῆς εἰς καινότητα μεταπλαττομένης κτίσεως ὁ Ἐμμανουήλ. νοεῖται δὲ πρῶτος ἐν ἡμῖν, ὡς ἄρτος καὶ νέον φύραμα. Καὶ μετ' ὀλίγα. Νέον ὥσπερ τι καὶ ἡμεῖς κεκλήμεθα φύραμα, τύπος δ' ἂν εἴη καὶ τοῦδε σαφὴς ὁ ἐκ νέων

A καρπῶν προσκομιζόμενος ἄρτος. ἀλλ' οὐχ εἷς ὁ ἄρτος, δύω δὲ χρῆναι προσάγεσθαι λέγει. δύω γὰρ οἱ λαοὶ, κἂν εἰ πρὸς ἑνότητα φαίνοιντο συνενηνεγμένοι διὰ μεσίτου Χριστοῦ. πλὴν ἐζυμωμένοι πεφθήσονται, φησί. καὶ τί τὸ αἴνιγμα; φέρε λέγωμεν. Καὶ μετ' ὀλίγα. Ζύμη δὴ οὖν ὁ Σωτὴρ τῆς θείας τε καὶ εὐαγγελικῆς παιδεύσεως τὴν εὔκλειαν τε καὶ ὀνησιφόρον δύναμιν παρεικάζει, λέγων· ὁμοία ἐστὶν ἡ βασιλεία τῶν Ματθ. 13. 33.

B » οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν » εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη τὸ ὅλον. εἰσδῦσα γὰρ εἰς νοῦν καὶ καρδίαν τῆς εὐαγγελικῆς παιδεύσεως ἡ ζωοποιὸς ἐνέργεια, ψυχήν τε καὶ σῶμα καὶ πνεῦμα πρὸς ἰδίαν ὥσπερ ποιότητα μεταστοιχειοῖ. οὐκοῦν τῇ τοιᾷδε ζύμῃ πρέποι ἂν ὑπονοεῖν ἐζυμῶσθαι τοὺς λαοὺς, ὡς ἐν εἴδει τῶν ἄρτων προσκεκομισμένους· καὶ ἐκ δύω δεκάτων ἕκαστος, τὸ οἱονεὶ διττὸν τῆς παιδεύ-

Γ σεως καταγράφοντος ἡμῖν αἰνιγματωδῶς τοῦ τύπου.

ΑΔΗΛΟΥ. Τὸ μὲν γὰρ πάσχα, καὶ τὴν διαβατήριον ἑορτὴν ἑορτάζοντες, τοὺς ἄρτους ἀζύμους προσφέρειν κελευόμεθα· μετὰ δὲ τὸ ἐξωνηθῆναι ἡμᾶς τῆς ἁμαρτίας τῷ αἵματι τοῦ Χριστοῦ, καὶ δέξασθαι τῶν εὐαγγελικῶν μαθημάτων τὸν σπόρον, καὶ καρπὸν ἐνεγκεῖν, ἄρτους λοιπὸν ἐζυμωμένους ἐν τῇ πεντηκοστῇ προτρεπόμεθα.

Δ ΑΔΗΛΟΥ. Πρωτογεννημάτων φησὶν ἔσται ζύμη, καὶ διὰ τοῦτο ταύτην οὐκ ἀποστρέφομαι.

ιη. Καὶ προσάξετε μετὰ τῶν ἄρτων ἑπτὰ ἀμνοὺς ἐνιαυσίους ἀμώμους, καὶ μόσχον ἕνα ἐκ βουκολίου, καὶ κριοὺς δύω ἀμώμους, καὶ ἔσονται εἰς ὁλοκαύτωμα τῷ Κυρίῳ· καὶ αἱ θυσίαι αὐτῶν

E καὶ αἱ σπονδαὶ αὐτῶν θυσία ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.

ΚΥΡΙΛΛΟΥ. Τύπος δ' ἂν εἶεν οἱ μὲν ἀμνοὶ, τῆς ἀγέλης τῶν πιστευσάντων· ἰσχύος δὲ καὶ ἀνδρείας, ὁ μόσχος· ἡλικίας δὲ τῆς ἐντελοῦς, ὁ κριός. οὐκοῦν οἱ πιστεύοντες διὰ τοῦ καλλωπίζεσθαι φιλεῖν τῶν γεωδεστέρων, ἀναθρώσκουσιν εἰς τελειότητα τὴν ἐν Χριστῷ νοουμένην.

Z ιθ. Καὶ ποιήσετε χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, καὶ δύω ἀμνοὺς ἐνιαυσίους εἰς θυσίαν σωτηρίου μετὰ τῶν ἄρτων τοῦ πρωτογεννήματος.

* ΚΥΡΙΛΛΟΥ. Ὅρα τοίνυν σφαζομένῳ τῷ νοητῷ χιμάρῳ συναποθνήσκοντας τοὺς ἀμνοὺς, καὶ συνθυομένους τοὺς ἄρτους. δεκτὴ γὰρ ἡμῶν ἡ καθιέρωσις, καὶ εἰς ὀσμὴν εὐωδίας ἡ νέα τε καὶ εὐαγγελικὴ ζωὴ,

H συμπλαττομένη τρόπον τινὰ τοῖς παθήμασι τοῦ Χριστοῦ, καὶ τὴν αὐτοῦ μίμησιν ὑποτρέχουσα.

** ΤΟΥ ΑΥΤΟΥ. Σωτηρίου θυσία διακεκλήσθω, φησὶν, ἡ τοιάδε καλῶς.

σώζει γὰρ τοὺς ὑπὲρ ὧν τὴν σφαγὴν ὑπέμεινεν ὁ Χριστὸς, εἴπερ ἐξίστησιν ἁμαρτίας καὶ θανάτου, καὶ φθορᾶς ἀμείνους ἀποτελεῖ τοὺς συντεθαμμένους αὐτῷ καὶ συναποθνήσκοντας.

κ. Καὶ ἐπιθήσει αὐτὰ ὁ ἱερεὺς με-
τὰ τῶν ἄρτων τοῦ πρωτογεννήματος
ἐπίθεμα ἐναντίον Κυρίου μετὰ δύω ἀρ-
νῶν, (1) ἅγια ἔσται τῷ Κυρίῳ. τῷ
ἱερεῖ τῷ προσφέροντι αὐτὰ αὐτῷ ἔσται.
κα. Καὶ καλέσετε ταύτην τὴν ἡμέραν κλη-
A τήν· ἁγία ἔσται ὑμῖν. πᾶν ἔργον λα-
τρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ. νόμιμον
αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ
κβ. κατοικίᾳ ὑμῶν. Καὶ ὅταν θερίζητε
τὸν θερισμὸν τῆς γῆς ὑμῶν, οὐ συντε-
λέσετε τὸ λοιπὸν τοῦ θερισμοῦ τοῦ
ἀγροῦ σου ἐν τῷ θερίζειν σε; καὶ τὰ
ἀποπίπτοντα τοῦ θερισμοῦ σου οὐ συλ-
λέξεις· τῷ πτωχῷ καὶ τῷ προσηλύτῳ
B καταλείψεις αὐτά. ἐγὼ Κύριος ὁ
Θεὸς ὑμῶν.

Κ Ε Φ. Κ Γ. (2)

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων; Λάλη-
σον τοῖς υἱοῖς Ἰσραὴλ, λέ-
γων, τοῦ μηνὸς τοῦ ἑβδόμου μιᾷ τοῦ μηνὸς
ἔσται ὑμῖν ἀνάπαυσις, μνημόσυνον σαλ-
πίγγων· κλητὴ ἁγία ἔσται ὑμῖν.

ΑΔΗΛΟΥ. Μνημόσυνον σαλπίγγων, ἢ τὴν τῆς σκηνοποιΐας. (3)

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἑξῆς δὲ ἐστιν ἱερομηνία, καθ' ἣν ἅμα ταῖς ἀναγομέναις θυσίαις ἐν τῷ ἱερῷ σαλπίζειν ἔθος· ἀφ' οὗ καὶ σαλπίγγων ἔτυμος ἑορτὴ προσαγορεύεται, διττὸν λόγον ἔχουσα· τὸν μὲν, ἴδιον τοῦ ἔθνους· τὸν δὲ, κοινὸν ἀνθρώπων ἁπάντων. ἴδιον μὲν, ὑπόμνησιν τεραστίου καὶ μεγαλουργηθέντος ἔργου, καθ' ὃν χρόνον τὰ λόγια τῶν νόμων ἐθεσπίζετο. τότε γὰρ ἀπ' οὐρανοῦ φωνὴ σάλπιγγος ἐξήχησεν, ἣν εἰκὸς ἄχρι τῶν τοῦ παντὸς φθάσαι περάτων. Καὶ μετ' ὀλίγα. Κοινὸν δὲ πρὸς πάντας ἀνθρώπους ἐκεῖνο· ἡ σάλπιγξ ὄργανόν ἐστι πολέμου, καὶ πρὸς ἀφόρμησιν, καὶ πρὸς ἀνάκλησιν. ἔστι δὲ καὶ ἕτερος θεήλατος πόλεμος, ὅτε ἡ φύσις ἐν ἑαυτῇ στασιάσει, τῶν μερῶν ἀντεπιτιθεμένων ἀλλήλοις. Καὶ μετ' ὀλίγα. Διὰ τοῦτο ἐπώνυμον ἑορτὴν ὀργάνου πολεμικοῦ, σάλπιγγος. ἀπέφηνεν ὁ νόμος, ἐπ' εὐχαριστίᾳ τοῦ εἰρηνοποιοῦ Θεοῦ: ὃς καὶ τὰς ἐν ταῖς πόλεσι, καὶ τὰς ἐν τοῖς μέρεσι τοῦ παντὸς στάσεις ἀνελὼν, εὐθηνίας καὶ εὐετηρίας ἀπεργάσατο, μηδὲν ἐμπύρευμα καρπῶν φθορᾶς ἐάσας ζωπυρηθῆναι.

ΘΕΟΔΩΡΙΤΟΥ. Οὕτω διδάξας ὅπως χρὴ καὶ τοῦ πάσχα καὶ τῆς πεντηκοστῆς ἐπιτελέσαι τὴν ἑορτὴν, διδάσκει καὶ τίνα χρὴ πρᾶξαι τῷ ἑβδόμῳ μηνί. καὶ τῇ μὲν νεομηνίᾳ, τῶν σαλπίγγων τὴν ἑορτὴν ἐπιτελέσαι κελεύει· ἀνεμίμνησκον δὲ αὗται τῶν ἐν τῷ Σινᾶ ὄρει γεγενημένων σαλπίγγων, ἡνίκα τὸν νόμον ὁ τῶν ὅλων ἐδεδώκει Θεός. Φωνὴ γὰρ [φησι] τῆς σάλπιγγος ἤχει μέγα. (Ἐξόδ. 19. 16.) τῇ δεκάτῃ δὲ τοῦ μηνὸς [τοῦ ἑβδόμου]
νηστεῦσαι κελεύει. ταύτην γὰρ τὴν ἡμέ-
» ραν, ἱλασμοῦ ἡμέραν καλεῖ. ταπεινώσατε
» γάρ φησι τὰς ψυχὰς ὑμῶν ἀπὸ ἐννάτης
Γ » τοῦ μηνὸς ἑσπέρας. καὶ πᾶσα ψυχὴ ἥτις
» μὴ ταπεινωθήσεται ἐν αὐτῇ, ἐξολοθρευ-
» θήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς.
ἀλλ' [οἱ] Ἰουδαῖοι κατὰ ταύτην τὴν ἡμέραν οὐ σκυθρωπάζουσιν, ἀλλὰ γελῶσι καὶ παίζουσι καὶ χορεύουσι, καὶ ἀκολάστοις ῥήμασι καὶ πράγμασι κέχρηνται, ἄντικρυς τῷ νόμῳ μαχόμενοι.

* ΚΥΡΙΛΛΟΥ. Φέρε ἤδη καὶ ἐπὶ [τῷ] τρίτῳ τῆς ἑορτῆς καιρῷ [τὰ] εἰκότα λέ-
Δ ξωμεν. ἔοικε τοίνυν ὁ ἕβδομος μὴν τὸν ἐπὶ συντελείᾳ τε καὶ ἐπ' ἐσχάτοις ὑπαινίττεσθαι καιρόν. μηνὶ γὰρ ἑβδόμῳ πάντα τὰ ἐξ ἀγρῶν οὐκ εἰς τὴν ἄλλω ποθὲν συγκομιστέον, ὦ τὰν, ἀλλ' ἐν αὐτοῖς ἤδη τοῖς ἑκάστου θησαυροῖς εἰσκλείεσθαι πρέπει. ὅτι παροίχεται μὲν ὁ τῆς εὐκαρπίας καιρὸς, ἀνίσχει δὲ ἤδη χειμῶνος ἀρχὴ, φθίνει δὲ ἤδη φυτὰ, καὶ ἄνθη μαραίνεται. Φέρε δὴ οὖν ὡς ἔπι γε σφίσιν αὐτοῖς τὰ ἐκ τοῦ καιροῦ με-
E θιστάντες, λέγωμεν· ὅτι πρὸς τέλος ἤδη διέρποντος τοῦ αἰῶνος τούτου, καὶ ὥσπερ τινὸς ἐπηρτημένου καὶ εἰσελαύνειν μέλλοντος τοῦ καθ' ὃν ἀνάγκη κολάζεσθαι τοὺς φιλαμαρτήμονας, σωρεύσει μὲν ἕκαστος τὸ ἐξ ἰδίων πόνων, εἴ γε σωφρονοίη, καὶ ἐν τοῖς ἄνω θησαυροῖς εἰσκομιεῖ. μεμνήσεται δὲ
» λέγοντος τοῦ Χριστοῦ, μὴ θησαυρίζετε ὑμῖν Ματθ. 6. 19,
» θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶ- 20.
» σις ἀφανίζει, καὶ ὅπου κλέπται διορύττουσι
Z » καὶ κλέπτουσι· θησαυρίζετε δὲ μᾶλλον ἐν
» τοῖς οὐρανοῖς. οὐκοῦν ἐπείπερ ἐγηγερμένου Χριστοῦ, τῆς συντελείας ἡμᾶς εἰς ἀνάμνησιν οἱ τῶν ἁγίων μυσταγωγῶν ἀποφέρουσι λόγοι· ἄνω γὰρ καὶ κάτω διακεκράγασιν,
» ἐσχάτη ὥρα ἐστί· συγκομιζέσθω, φησὶν ἐν 1. Ἰωάν. 2. 18.
τοῖς οὐρανοῖς τὰ παρ' ἑκάστου λοιπόν.

ΤΟΥ ΑΥΤΟΥ. Ἔοικεν ὁ ἕβδομος μὴν τὸν ἐπὶ συντελείας αἰνίττεσθαι καιρόν. θησαυρίζει γὰρ ἕκαστος τὰ ἐξ ἰδίων ἱδρώτων
H ἀγαθὰ, καὶ τῆς εἰς αἰῶνα τρυφῆς τε καὶ ἀνα-

(1) Μετὰ τῶν δύω ἀμνῶν. αἱ προειρημ. ἐκδόσ.

(2) Τόδε τὸ κεφ. ἐν ταῖς εἰρημ. ἐκδόσ. συνήνωται τῷ προτέρῳ.

(3) Ἢ τῆς σκηνοπηγίας. ἐν ταῖς σημειώσ. ταῖς εἰς τὴν Γραφὴν, τὴν ἐν Φραν. ἐκδοθεῖσ.

ἀναπαύλης ἐπιμελήσεὶαι. [μεμνημένος ὅτι,
1. Θεσ. 4. 16. καθά φησιν ὁ θεσπέσιος Παῦλος, αὐτὸς ὁ
» Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγ-
» γέλε, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται
» ἀπὸ οὐρανοῦ.]

** ΠΡΟΚΟΠΙΟΥ. Τινὲς (1) τὴν τῶν
σαλπίγγων ἑορτὴν τὸ μέλλον δηλοῦν. ἐν αὐ-
τῷ γὰρ ἤμελλε τῷ μηνὶ ἡ φωνὴ βοῶντος
ἐν τῇ ἐρήμῳ συλλαμβάνεσθαι. διὸ καὶ ἐν
σκηναῖς βούλεται διάγειν τὸν Ἰσραὴλ τὰς
ἑπτὰ ἡμέρας, εἰς τύπον τοῦ μονήρους βίου,
οὗ πρῶτος καὶ Ἰωάννης. καὶ ἔξοδον αὐτὴν
καλεῖ· διὰ τὴν ἀπὸ τοῦ νόμου ἔξοδον ἐπὶ
τὴν χάριν· καὶ σάββατα σαββάτων, διὰ
» τὴν παῦσιν τῶν σαββάτων. καὶ ταπεινώ-
» σετε, φησὶ, τὰς ψυχὰς ὑμῶν· μονονουχὶ
Ματθ. 3. 2. τὰ Ἰωάννου βοᾷ· μετανοεῖτε· ἤγγικε γὰρ
» ἡ βασιλεία τῶν οὐρανῶν. διὸ καὶ ἐξιλασμοῦ
καλεῖ τὴν ἡμέραν· τέλος γὰρ ὁ Ἰωάννης
τῆς παλαιᾶς, καὶ ἀρχὴ τῆς καινῆς, ὡς
ὁ ἑωσφόρος. τὰ δὲ κάλλυτρα τῶν φοινί-
κων, καὶ τἄλλα τὰ ἐρημικὰ φέρει τοῦ Ἰορ-
δάνου ἡ ἔρημος. ἐν ᾗ ἐκήρυττε καὶ διῆγεν
Λουκ. 1. 80. ὁ βαπτιστὴς, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ,
δῆλον ὡς ἐν σκηναῖς.

γ. Πᾶν ἔργον λατρευτὸν οὐ ποιή-
σετε· καὶ προσάξατε ὁλοκαύτωμα
τῷ Κυρίῳ.

Λατρευτόν. Ἄλλος φησὶ, δουλευτόν.

δ. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
ε. σῆν, λέγων, Καὶ τῇ δεκάτῃ τοῦ μηνὸς
τοῦ ἑβδόμου τούτου, ἡμέρα ἐξιλασμοῦ,
κλητὴ ἁγία ἔσται ὑμῖν· καὶ ταπεινώ-
σατε τὰς ψυχὰς ὑμῶν, καὶ προσά-
ϛ. ξατε ὁλοκαύτωμα τῷ Κυρίῳ. Πᾶν
ἔργον οὐ ποιήσετε ἐν αὐτῇ τῇ ἡμέρᾳ
ταύτῃ· ἔστι γὰρ ἡμέρα ἐξιλασμοῦ αὕ-
τη ὑμῖν, ἐξιλάσασθαι περὶ ὑμῶν ἔναν-
τι Κυρίου τοῦ Θεοῦ ὑμῶν.

ΑΔΗΛΟΥ. Ἐν τῷ ἑβδόμῳ μηνὶ, ἡμέρα
δεκάτῃ, νηστεία· καὶ ἐν αὐτῇ ἔθυον τὰ περὶ
ἁμαρτίας, καὶ τὰ περὶ καθαρισμοῦ. καὶ αὕτη
ἡ ἡμέρα καλεῖται σάββατα σαββάτων.

ΚΥΡΙΛΛΟΥ. Διὰ μὲν τῆς νηστείας, τῶν
σαρκικῶν ἐπιθυμιῶν τὴν νέκρωσιν ὑποτυ-
πῶν· διὰ δὲ τῶν ὁλοκαυτωμάτων, τὴν εἰς
ὀσμὴν εὐωδίας ὁλοτελῆ ἀνάθεσιν· διὰ δὲ
τῆς ἀργίας, τὸ, ὅτι προσήκει τῶν ἐπι-
γείων οὐδὲν ἀποπεραίνειν. ἔτι κατασημαί-
νων ἀστείως.

* ΤΟΥ ΑΥΤΟΥ. Ἡμέραν ἐξιλασμοῦ
τὴν τῆς ἀσιτίας ὀνομάζει [ὁ νομοθέτης, καὶ
σφόδρα ὀρθῶς καὶ ἐννόμως, κατανεκρῶν
μὲν τὴν σάρκα καὶ τὰ αὐτῆς, εὐωδιάζων
δὲ δὴ τῆς ἀρετῆς τοὺς τρόπους.]

ζ. Πᾶσα γὰρ ψυχὴ, ἥτις μὴ τα-
πεινωθήσεται ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύ-
τῃ, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ

η. αὐτῆς. Καὶ πᾶσα ψυχὴ, ἥτις ποιή-
σει ἔργον ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ,
ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ
αὐτῆς.

** ΚΥΡΙΛΛΟΥ. Ἔργου δὲ παντὸς μὴ
καταλήγων κοσμικοῦ, πάντη τε καὶ πάν-
τως ἐν ἐσχάτοις ἔσται κακοῖς. ὃ παρέδειξεν
ἐναργῶς, ἐξολοθρευθήσεσθαι λέγων ἐκ τοῦ
λαοῦ αὐτοῦ τὸν μήτε νηστεύοντα, μήτε μὴν
B προσάγοντα τὴν ὁλοκαύτωσιν, καὶ τὸν ἐπὶ
ταῖς ἀργίαις περιϋβρίζοντα νόμον.

θ. Πᾶν ἔργον οὐ ποιήσετε, νόμιμον
αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσαις
ταῖς κατοικίαις ὑμῶν.

» ι. Σάββατα σαββάτων ἔσται ὑμῖν·
» καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν,
ἀπὸ ἐννάτης τοῦ μηνὸς, ἀπὸ ἑσπέρας
Γ ἕως δεκάτης τοῦ μηνὸς ἑσπέρας σαβ-
βατιεῖτε τὰ σάββατα ὑμῶν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μετὰ δὲ
τὴν τῶν σαλπίγγων ἄγεται νηστείας ἑορτή.
ἣν ἑορτὴν, τὴν μεγίστην Μωσῆς ἀνεῖπε,
πατρίῳ γλώττῃ σάββατον σαββάτων ὀνο-
μάσας. ὡς δ' ἂν Ἕλληνες εἴποιεν, ἑβδο-
μάδες ἑβδομάδων, καὶ τῶν ἁγίων ἁγιώ-
τεραι, διὰ πολλά· πρῶτον μὲν ἐγκρά-
τειαν, ἣν ἀεὶ παραγγέλλει διά τε γλώττης
Δ καὶ γαστρὸς καὶ τῶν μετὰ γαστέρα, ἐπι-
δείκνυσθαι νυνὶ διαφερόντως κελεύει. ἐξαί-
ρετον ἡμέραν ἀναθεὶς αὐτῇ. σιτίων γάρ-
τοι καὶ ποτῶν μαθὼν ἀλογεῖν, τῶν οὕτως
ἀναγκαίων, τίνα οὐκ ἂν ὑπερίδοι τῶν πε-
ριττῶν; δεύτερον δὲ, ἐπειδὴ πᾶς ἀνάκει-
ται λιταῖς καὶ ἱκεσίαις, περὶ μηδὲν ἕτε-
ρον ἄχρις ἑσπέρας ἐξ ἑωθινοῦ ἀνθρώπων
σχολὴν ἀγόντων, ἢ δεκτικωτάταις εὐχαῖς·
αἷς σπουδάζουσι τὸν Θεὸν ἐξευμενίζεσθαι,
E παραίτησιν ἁμαρτημάτων αἰτούμενοι, καὶ
χρηστὰ ἐλπιζόντων, οὐ δι' ἑαυτοὺς, ἀλλὰ διὰ
τὴν ἵλεων φύσιν, τοῦ συγγνώμην πρὸ κο-
λάσεως ὁρίζοντος. τρίτον δὲ διὰ τὸν και-
ρὸν, ἐν ᾧ συμβέβηκε τὴν νηστείαν ἄγεσθαι.
κατὰ γὰρ τοῦτον ἤδη συγκεκόμισται πάν-
τα, ὅσα δι' ἔτους ἤνεγκεν ἡ γῆ. Καὶ μετ' ὀλίγα.
Ἡ δ' ἡμέρα τῆς νηστείας ἄγεται δεκάτῃ
μηνὸς, ὅτι ἡ δεκὰς παντελεία.

Z ** ΚΥΡΙΛΛΟΥ. Σάββατα δὲ σαβ-
βάτων τὸν ἐπὶ τοῖσδε καιρὸν εἶναι λέγων,
ἐφῆκε νοεῖν, ὡς ἐστὶ λοιπὸν ἀργιῶν, τουτέστιν
ὁλοτελῶς καὶ ὡς ἐν ὁλοκλήρῳ μέτρῳ τῶν
ἔργων ἀπόθεσις, δῆλον δὲ ὅτι τῶν εἰς
φαυλότητά τε καὶ ἁμαρτίαν. καταλήγον-
τος δὲ τοῦ αἰῶνος τούτου, καὶ μονονουχὶ κα-
ταγηράσκοντος τοῦ καιροῦ, μοῖραν ὅλως ἐν
ἡμῖν ποίαν ἂν ἔχοι λοιπὸν ἡ εἰς ματαιό-
τητας σπουδὴ, καὶ οὐχὶ δὴ μᾶλλον τὰ ἀμεί-
H νω φρονήσομεν, τὴν τῷ Θεῷ θυμηρεστάτην
ἐπιτελοῦντες ἀργίαν, καὶ τῶν εἰκαίων πε-
ρισπασμῶν ἀποφοιτῶντες εἰς ἅπαν;

ΤΟΥ

(1) Ἐννοητέον τὸ, φασί.

ΤΟΥ ΑΥΤΟΥ. Μονονουχὶ τὰ τοῦ Ἰωάννου βοᾷ, μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. (1)

Ματθ. 3. 2.

ια. Καὶ ἐλάλησε Κύριος πρὸς

ιβ. Μωϋσῆν, λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, λέγων, τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου, ἑορτὴ σκηνῶν ἑπτὰ ἡμέρας τῷ Κυρίῳ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τελευταία δὲ ἐστιν ἑορτὴ τῶν ἐνιαυσιαίων, προσαγορευομένη Σκηναὶ, καιρὸν ἔχουσαι τὸν μετοπωρινῆς ἰσημερίας. ἐξ οὗ δύω παρίσαται τό, τε τὴν ἰσότητα τιμᾶν, τὴν δικαιοσύνης ἀρχὴν, καὶ ἀσκίου φωτὸς συγγενῆ, καὶ τὸ προσήκειν μετὰ τὴν ἁπάντων καρπῶν τελείωσιν εὐχαριστεῖν τῷ τελεσφόρῳ. Καὶ μετ᾽ ὀλίγα. Καὶ μὴν ἐν σκηναῖς προσέταχται διαιτᾶσθαι τὸν χρόνον τῆς ἑορτῆς, ἤτοι διὰ τὸ μηκέτι εἶναι χρείαν ἐν ὑπαίθρῳ διάγειν τὰ περὶ γεωργίαν ἐκπονοῦντας. Καὶ μετ᾽ ὀλίγα. Διὰ (2) τὰς εἰωθυίας βλάβας παρακολουθεῖν ἔκ τε φλογώσεως ἡλιακῆς, καὶ φορᾶς ὑετῶν. τὴν δὲ ὑπόμνησιν τῆς τῶν προγόνων μακρᾶς ὁδοιπορίας, ἣν δι᾽ ἐρήμης ποιούμενοι, βαθείαις σκηναῖς πολυετοῦς χρόνου καθ᾽ ἕκαστον σταθμὸν ἐνδιαιτῶντο. προσήκει δὲ καὶ ἐν πλούτῳ πενίας μεμνῆσθαι, καὶ ἀδοξίας ἐν δόξῃ, καὶ ἐν εἰρήνῃ κινδύνων. πάλιν δὲ ταύτης τῆς ἑορτῆς ἀρχὴ πεντεκαιδεκάτη μηνὸς ἐνίσταται, διὰ τὴν λεχθεῖσαν καὶ ἐπὶ τῆς ἐαρινῆς ὥρας αἰτίαν. ἵνα μὴ μεθ᾽ ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ πλήρης ὁ κόσμος ᾖ τοῦ παγκάλου φωτὸς, ἡλίου καὶ σελήνης κατ᾽ ἐκείνην τὴν ἡμέραν ἀλλήλοις ἐπανατελλόντων αὐγαῖς ἀδιαστάτοις, αἷς μεθόριον οὐ διακρίνει σκότος. ἑπτὰ δ᾽ ἡμέραις ὀγδόην ἐπισφραγίζεται, καλέσας ἐξόδιον αὐτὴν οὐκ ἐκείνην, ὡς ἔοικε, μόνον τῆς ἑορτῆς, ἀλλὰ πασῶν τῶν ἐτησίων, ὅσας κατηριθμήσαμεν.

ΚΥΡΙΛΛΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ. (3) Σκηνοπηγίας δὲ ἄρα τριπόθητον ἑορτὴν καταλογιούμεθά που τὴν τῶν σωμάτων ἀνάστασιν, ἀπαρχὴν ἐχόντων εἰς τοῦτο Χριστόν.

ιγ. Καὶ ἡμέρα ἡ πρώτη κλητὴ ἁγία· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.

ιδ. Ἑπτὰ ἡμέρας προσάξετε ὁλοκαυτώματα τῷ Κυρίῳ, καὶ ἡ ἡμέρα ἡ ὀγδόη κλητὴ ἁγία ἔσται ὑμῖν. καὶ προσάξετε ὁλοκαύτωμα τῷ Κυρίῳ· ἐξόδιόν ἐστι. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.

ΘΕΟΔΩΡΙΤΟΥ. Τῇ δὲ πεντεκαιδεκάτῃ τὴν ἑορτὴν τῶν σκηνῶν ἑορτάσαι νομοθετεῖ, οὐ μέχρι τῆς ἑβδόμης, καθάπερ ἐπὶ τῶν ἄλλων ἑορτῶν, ἀλλὰ καὶ τὴν ὀγδόην ταῖς ἑπτὰ προσθεῖναι κελεύει. καὶ ἡ ἡμέρα γάρ φησιν ἡ ὀγδόη κλητὴ ἁγία ἔσται ὑμῖν. καὶ προσάξετε ὁλοκαυτώματα τῷ Κυρίῳ· ἐξόδιόν ἐστι. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. τὸ δὲ ἐξόδιον, τὸ τέλος σημαίνει τῶν ἑορτῶν. ἡ δὲ τῶν σκηνῶν ἑορτὴ τῆς ἐν ἐρήμῳ διαγωγῆς ἀνεμίμνησκε. τοῦτο γὰρ καὶ ὁ νομοθετῶν ἔφη· ὅτι ἐν σκηναῖς κατῴκισα τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ἐξαγαγεῖν με αὐτοὺς ἐκ γῆς Αἰγύπτου. τούτου χάριν κλάδοις δένδρων τὰς οἰκίας κοσμεῖν διηγόρευσε. σιωπηρίθμησε δὲ τοῖς ἄλλοις κλάδοις καὶ τὸν ἄγνον, ὡς σωφροσύνης δηλωτικὸν, καὶ ἡδονῆς σβεστικόν. φασὶ γὰρ αὐτὸν καὶ ἐσθιόμενον, καὶ ὑποστρωννύμενον σβεννύειν τὴν φλόγα τῶν ἡδονῶν. ἀλλὰ τούτοις οὐκ ἰατρικῶς προσέταξε χρήσασθαι τοῖς τοῦ ἄγνου κλάδοις, ἀλλὰ διὰ τοῦ ὀνόματος ἐνιεὶς τῆς σωφροσύνης τὴν μνήμην.

ΑΔΗΛΟΥ. Ἐξόδιον αὐτὴν καλεῖ, διὰ τὴν ἀπὸ τοῦ νόμου ἔξοδον ἐπὶ τὴν χάριν, καὶ σάββατα σαββάτων, διὰ τὴν παῦσιν τῶν σαββάτων. (4)

ιε. Αὗται αἱ ἑορταὶ Κυρίου, ἃς καλέσετε κλητὰς ἁγίας, ὥστε προσενέγκαι καρπώματα τῷ Κυρίῳ, ὁλοκαυτώματα καὶ θυσίας αὐτῶν, καὶ σπονδὰς (5) τοῖς καθ᾽ ἡμέραν εἰς ἡμέραν.

ΩΡΙΓΕΝΟΥΣ. Πᾶσα ἱλαρὰ ἡμέρα, ἐν ᾗ προστέτακται ὡς ἐν ἁγίᾳ τὰ δέ τινα ποιεῖν παρὰ τὰς λοιπὰς ἐξαίρετα, ἑορτὴ καλεῖται· οὐ πᾶσα δέ ἐστι πανήγυρις, ἀλλὰ κατὰ τοὔνομα, ὅτε ἐπὶ τὸ αὐτὸ συναθροίζονται πανταχόθεν. ὥστε ἡ μὲν πανήγυρίς ἐστι καὶ ἑορτὴ, οὐκ ἔτι δὲ ἡ ἑορτὴ καὶ πανήγυρις. οἷον σάββατα καὶ νεομηνίαι, ἑορταί εἰσιν· ἄζυμα δὲ, καὶ ἡμέραι τῶν ἑβδομάδων, καὶ σκηνοπηγίαι, οὐ μόνον ἑορταὶ, ἀλλὰ καὶ πανηγύρεις. (6)

ις. Πλὴν τῶν σαββάτων Κυρίου, καὶ πλὴν τῶν δομάτων ὑμῶν, καὶ πλὴν πασῶν τῶν εὐχῶν ὑμῶν, καὶ πλὴν τῶν ἑκουσίων ὑμῶν, ἃ ἂν δῶτε τῷ Κυρίῳ.

ιζ. Καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου, ὅταν συντελέσητε τὰ γεννήματα τῆς γῆς, ἑορτάσετε τῷ Κυρίῳ ἑπτὰ ἡμέρας. τῇ ἡμέρᾳ τῇ πρώτῃ ἀνάπαυσις, καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἀνάπαυσις.

ΚΥΡΙΛΛΟΥ. Ἀνάπαυσις μὲν ἡ πρώτη τῆς ἑβδομάδος ἡμέρα, τὸν ἐν ἀρχαῖς τοῦ ἀνθρώπου καιρὸν ὑποφαίνουσα. ἀνάπαυσις δὲ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. τὰ αὐτὰ δὲ ἀνωτέρω φησὶ, καὶ ὁ Προκόπιος.

(2) Ἡ διὰ, ὀρθότ. διὰ τὸ ἀνωτέρω, ἤτοι.

(3) Τοῦ Ἀλεξανδρείας ἐστὶ, (κείμενον. ἐν Τόμ. 1. μέρ. 2. σελ. 621.) κἂν οὕτως ἑκάτερος τῶν κωδίκ. ἐπιγράφῃ.

(4) Οὐ τὴν αὐτὴν καὶ ἐξόδιον καὶ σάββατα σαββάτων καλεῖ. ἀλλὰ τὴν μὲν τῆς νηστείας ἑορτὴν, σάββατα σαββάτων· τὴν δὲ τῶν σκηνῶν, ἐξόδιον.

(5) Σπονδὰς αὐτῶν τὸ καθ᾽ ἡμέραν. αἱ εἰρημ. ἐκδόσ.

(6) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

δὲ καὶ ἡ ὀγδόη, καθ' ἣν ἀνεβίω Χριστὸς, προσηλώσας τῷ σταυρῷ τὸ καθ' ἡμῶν χειρόγραφον.

ιη. Καὶ λήψεσθε ἑαυτοῖς τῇ ἡμέρᾳ τῇ πρώτῃ καρπὸν ξύλου ὡραῖον, καὶ κάλλυνθρα φοινίκων, καὶ κλάδους ξύλου δασεῖς, καὶ ἰτέας, καὶ ἄγνου κλάδους ἐκ χειμάῤῥου, καὶ εὐφρανθήσεσθε ἐναντίον Κυρίου τοῦ Θεοῦ ὑμῶν ἑπτὰ ἡμέρας τοῦ ἐνιαυτοῦ.

Ὡραῖον. Ἄλλοι, ἔνδοξον. Κάλλυνθρα φοινίκων. Οἱ Ἄλλοι, βαΐα λευκά.

ΚΥΡΙΛΛΟΥ. Πάρεστι διὰ τούτων νοεῖν, ὅτι πάλιν ἡμῖν ἐν Χριστῷ τὰς ἐν παραδείσῳ τρυφὰς ἀπονέμει Θεός. Φυτῶν δὲ τῶν
A ἀειθαλῶν οἱ κλάδοι, τὸ διηνεκὲς τῆς χάριτος, καὶ τὸ ἀμάραντον τῆς ἐλπίδος ἐφ' ἑαυτοῖς σημαίνουσι.

ιθ. Νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν· ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ
κ. ἑορτάσατε αὐτήν. Ἐν σκηναῖς κατοικήσετε ἑπτὰ ἡμέρας. πᾶς ὁ αὐτόχθων ἐν Ἰσραὴλ κατοικήσει ἐν σκη-
κα. ναῖς· Ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν, ὅτι ἐν σκηναῖς κατῴκισα τοὺς υἱοὺς Ἰσραὴλ, ἐν τῷ ἐξαγαγεῖν με αὐτοὺς ἐκ γῆς Αἰγύπτου. ἐγὼ Κύριος ὁ Θεὸς ὑ-
κβ. μῶν. Καὶ ἐλάλησε Μωϋσῆς τὰς ἑορτὰς Κυρίου τοῦ Θεοῦ τοῖς υἱοῖς Ἰσραήλ.

ΚΕΦ. ΚΔ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Ἔντειλε τοῖς υἱοῖς Ἰσραὴλ, καὶ λαβέτωσάν σοι ἔλαιον ἐλάϊνον καθαρὸν κεκομμένον εἰς φῶς, καῦσαι λύ-
γ. χνον διαπαντὸς, Ἔξωθεν τοῦ καταπετάσματος ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· καὶ καύσουσιν αὐτὸν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἀφ' ἑσπέρας ἕως πρωῒ ἔναντι Κυρίου ἐνδελεχῶς, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν.

ΚΥΡΙΛΛΟΥ. Τουτέστιν οὐκ ἐξ ἑτεροειδῶν σπερμάτων, ἀλλ' ἐξ αὐτῶν ἐλαιῶν. γνήσιον γὰρ ἀληθῶς, καὶ οὐ κεκαπηλευμένον ἐν ἐκκλησίαις τὸ φῶς τοῦ Χριστοῦ, κἂν εἰ τῆς τῶν ἁγίων διακονοῖτο φωνῆς. καὶ πλέσιον μὲν εἰς τὰ ἅγια τῶν ἁγίων τοῖς ἐν χάριτι, μεῖον δὲ τοῖς ἐν νόμῳ καὶ ἐλάχιστον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὑπολύπεται διὰ τῆς ἀναγνώσεως καὶ καθαροῦ βίου πεφωτισμένον (1) ἐν μέσῳ τοῦ κοσμικοῦ σκότους εἰς ἑτοιμασίαν τῆς ἐπιφανείας τοῦ Κυρίου.

ΣΕΥΗΡΟΥ. Ὡς προσῆκε τοὺς ἀρχιερεῖς, φησὶ, λαμπρὸν ἐν διανοίᾳ περιφέρειν τὸν τῆς θείας ἀγάπης πυρσὸν, καὶ ἐνδελεχῶς ἁπτόμενον, καὶ ἔναντι Κυρίου.

δ. Ἐπὶ τῆς λυχνίας τῆς καθαρᾶς καύσετε τοὺς λύχνους ἔναντι Κυρίου ἕως εἰς τὸ πρωΐ.

ΚΥΡΙΛΛΟΥ. Ἐν μὲν γὰρ τῇ ἐσωτέρᾳ σκηνῇ λύχνοι καίουσιν ἑπτὰ ἐξαπτόμενοι τὸ πρωΐ, καὶ ἡ λυχνία Χριστὸς, ὡς ἐν τύπῳ πάλιν τοὺς εἰς τὰ ἅγια τῶν ἁγίων εἰσιόντας καταυγάζων φωτί.

** ΤΟΥ ΑΥΤΟΥ. Καὶ μὴν καὶ τὸ ἀνακαίεσθαι τὸ πρωῒ τοὺς λύχνους, κατασημαίνειεν ἂν τῆς ἐνανθρωπήσεως τὸν καιρόν. διηύγασε γὰρ οἷά τις ἡμέρα, καὶ φῶς ἀνέλαμψε νοητὸν, τῆς ἀρχαίας ἡμῶν ἀμαθίας ἐλαύνων τὸν σκότον, καὶ ὡς ἐν τάξει νυκτὸς τὴν ἐπισκήψασαν ταῖς ἁπάντων καρδίαις κατασκεδαννύων ἀχλύν.

ε. Καὶ λήψεσθε σεμίδαλιν, καὶ ποιήσετε αὐτὴν δώδεκα ἄρτους· δύο
ς. δεκάτων ἔσται ὁ ἄρτος ὁ εἷς. Καὶ ἐπι-
Δ θήσετε ἐπ' αὐτοὺς δύο θέματα, ἓξ ἄρτους τὸ ἓν θέμα ἐπὶ τὴν τράπεζαν τὴν καθαρὰν ἔναντι Κυρίου.

* ΚΥΡΙΛΛΟΥ. Τὸν τῶν Ἀποστόλων προανατυποῦσι χορὸν, ἐξ ἔνθεν καὶ ἐξ ἔνθεν, καὶ ἐν μέσῳ ἔχοντες τὸν ἄνω τε καὶ ἐξ οὐρανοῦ. τὸ δὲ, δύο δέκατα ἔσται ὁ ἄρτος, τὸ ἐπίσης τέλειον τῶν μαθητῶν δηλοῖ, κατὰ θεωρίαν καὶ πρᾶξιν. (2)

E ΑΔΗΛΟΥ. Χριστὸς μὲν ὁ ἀληθὴς ἄρτος, οἱ δύο δὲ λαοὶ ἐκτυποῦνται τοῖς δύο θέμασι, καὶ ταῖς δύο δεκάταις, ἐξ ὧν ἕκαστος ἄρτος.

ζ. Καὶ ἐπιθήσετε ἐπὶ τὸ θέμα λίβανον καθαρὸν καὶ ἅλα, καὶ ἔσονται οἱ ἄρτοι εἰς ἀνάμνησιν προκείμενοι τῷ Κυρίῳ.

** ΚΥΡΙΛΛΟΥ. Λίβανος δὲ καὶ ἅλας
Z αὐτοῖς τὰ ἐπιπαττόμενα· τοῦ μὲν λιβάνου τὸ εὐῶδες ἐν ἁγιασμῷ καὶ εὐωδίᾳ Χριστοῦ· τοῦ γε μὴν ἁλὸς, τὴν φρόνησιν ὑπεμφαίνοντος. οὐ γὰρ ἀσύνετος ἢ μωρὸς τῶν ἁγίων ὁ λόγος, ἀλλ' ἐν χάριτί τε καὶ ἅλατι Κολασ. 4. 6.
ἠρτυμένος, κατὰ τὸ γεγραμμένον, καὶ χάριν διδοὺς τοῖς ἀκούουσιν.

ΑΔΗΛΟΥ. Τὸ δὲ τοῦ λιβάνου καὶ τοῦ ἁλὸς, σύμβολον τῆς ἀναχωρήσεως, καὶ τῆς ἐπὶ πλεῖστον διηκούσης εὐωδίας, καὶ τῆς
H σωματικῆς τῶν φθειρομένων φρονήσεως. εὐωδία γὰρ λιβάνου ἐπὶ πλέον διαμένει· καὶ οἱ

(1) Ἴσ. πεφωτισμένους· ἀσαφὴς δὲ ἡ ἔννοια, καὶ μήτι κολοβόν ἐστι τὸ ὑπόμνημα.
(2) Ἄλλως πως ταῦτα ἐκπέφρασται ἐν Τόμ. 1. μέρ. 2. σελ. 346.

οἱ ἅλες κρεῶν φυλακτικοὶ καὶ τῶν ἐδεσμάτων ἀρτυτικοί.

η. Τῇ ἡμέρᾳ τῶν σαββάτων προθήσεται ἔναντι Κυρίου διαπαντὸς παρὰ τῶν υἱῶν Ἰσραὴλ, διαθήκη αἰώνιος.

ΑΔΗΛΟΥ. Καὶ ἐν σαββάτῳ ἡ προσφορὰ, ἐπὶ πληρώσει κόσμου, δηλοῦσα τὴν πρὸς Θεὸν προσαγωγήν.

** ΚΥΡΙΛΛΟΥ. Σαββατισμὸς νοητὸς καὶ ἀληθὴς ὁ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας καιρός. ἐν ὀφθαλμοῖς δὲ Θεοῦ τῶν ἄρτων ἡ πρόθεσις, καὶ μὴν καὶ ἐν ὀφθαλ-
» μοῖς Ἰσραήλ· προθήσεται γάρ φησι τῇ
» ἡμέρᾳ τῶν σαββάτων ἔναντι Κυρίου διὰ-
» παντὸς παρὰ τῶν υἱῶν Ἰσραὴλ, θεωμένου
καὶ διηνεκῶς ἀξιοῦντος τοὺς ἁγίους ἐπισκο-
Ψαλ. 33. 15. πῆς· ὀφθαλμοὶ γὰρ Κυρίου ἐπὶ δικαίους, φησί· τοῦ δὲ Ἰσραὴλ, ὡς προσέχειν αὐτοῖς ὀφείλοντος, καὶ οἱονείπως ἐφιστῶντος τῆς διανοίας τὸν ὀφθαλμὸν, ὃ καὶ εἰς τύπον ἂν εἴη ὁ σωματικός.

θ. Καὶ ἔσαι Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ. καὶ φάγονται αὐτὰ ἐν τόπῳ ἁγίῳ· ἔστι γὰρ ἅγια ἁγίων. καὶ τοῦτο αὐτῷ ἀπὸ τῶν θυσιαζομένων τῷ Κυρίῳ, νόμιμον αἰώνιον.

ΑΔΗΛΟΥ. Ἀντὶ Θεοῦ οἱ ἱερεῖς. βρῶ-
Ἰωάν. 4. 34. μα δὲ αὐτοῦ Χριστὸς καλεῖ τὴν πίστιν τῶν σωζομένων.

** ΚΥΡΙΛΛΟΥ. Πρόκειται γὰρ ἡμῖν εἰς τροφὴν τὰ τῶν ἁγίων Ἀποστόλων συγγράμματα, τοῖς ἐν πίστει δεδικαιωμένοις, ἁγίῳ τε καὶ ἱερῷ γένει, λαοῖς τοῖς εἰς περιποίησιν καὶ ἐξειλεγμένοις, καὶ τῇ τοῦ ἁγίου πνεύματος χάριτι κατακεχρισμένοις.

ι. Καὶ ἐξῆλθεν υἱὸς γυναικὸς Ἰσραηλίτιδος, καὶ οὗτος ἦν υἱὸς Αἰγυπτίου ἐν τοῖς υἱοῖς Ἰσραήλ· καὶ ἐμαχέσαντο ἐν τῇ παρεμβολῇ ὁ ἐκ τῆς Ἰσραηλίτιδος, καὶ ὁ ἄνθρωπος ὁ Ἰσραηλίτης.

ια. Καὶ ἐπονομάσας ὁ υἱὸς τῆς γυναικὸς τῆς Ἰσραηλίτιδος τὸ ὄνομα κατηράσατο. καὶ ἤγαγον αὐτὸν πρὸς Μωϋσῆν. καὶ τὸ ὄνομα τῆς μητρὸς αὐτοῦ Σαλωμεὶθ θυγάτηρ Δαβρὶ ἐκ τῆς φυλῆς Δάν.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ ὀνομάζειν ἀντὶ τοῦ καταρᾶσθαι· ἢ γοῦν κολάζει καὶ τὸ ἀκαίρως αὐτοῦ φθέγξασθαι τοὔνομα. τινὲς δὲ ὀνομάσαι, τὸ σαφηνίσαι φασὶ τὸ τετραγράμματον παρ' Ἑβραίοις ὄνομα.

** ΤΟΥ ΑΥΤΟΥ. Ὁ Θεὸν καταρώμενος, τίνα κελεύει Θεὸν ἕτερον εἰς τὴν τῆς ἀρᾶς βεβαίωσιν; Ἢ δῆλον ὅτι αὐτὸν καθ' ἑαυτοῦ. ἐχρῆν μὲν οὖν παρεῖσθαι τοῦ φθεγξαμένου τὴν γλῶσσαν. προνοίᾳ δὲ τῆς δίκης, οὔτε ἀγαθὸν ὑπερβάλλον, οὔτε κακὸν ἐπισκιάζεται πρὸς ἔλεγχον ἀρετῆς A ἢ κακίας· ἵνα τὴν μὲν, ἀποδοχῆς· τὴν δὲ, τιμωρίας ἀξιώσῃ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐξ αἰγυπτίου σπέρματος ὁ βλάσφημος. διὸ ἐχώριζε τῶν ἀλλοφύλων τοὺς Ἰσραηλίτας ὁ Θεὸς, εἰς εὐσέβειαν ἄγων αὐτοὺς ἐξ αὐτῆς γενέσεως. οὐκ ἔκειτο δὲ νόμος κατὰ τῶν βλασφημούντων Θεὸν, ἀναβαλλομένου τοῦ Θεοῦ, ἵνα ἐν ἔργῳ τὸν νόμον ἐξενέγκῃ.

B ιβ. Καὶ ἀπέθεντο αὐτὸν εἰς φυ-
λακὴν διακρῖναι αὐτὸν διὰ προστάγμα-
ιγ. τος Κυρίου. Καὶ ἐλάλησε Κύριος πρὸς
ιδ. Μωϋσῆν, λέγων, Ἐξάγαγε τὸν κα-
ταρασάμενον ἔξω τῆς παρεμβολῆς, καὶ ἐπιθήσουσιν ἅπαντες οἱ ἀκούσαντες τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ λιθοβολήσουσιν αὐτὸν πᾶσα ἡ συναγωγή.

Γ ιε. Καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις, λέγων πρὸς αὐτοὺς, ἄνθρωπος ἐὰν καταράσηται Θεὸν, ἁμαρτίαν
ις. λήψεται. Ὀνομάζων δὲ τὸ ὄνομα Κυρίου, θανάτῳ θανατούσθω· λίθοις λιθοβολείτω αὐτὸν πᾶσα συναγωγὴ Ἰσραήλ. ἐάν τε προσήλυτος ἐάν τε αὐτόχθων, ἐν τῷ ὀνομάσαι αὐτὸν τὸ Δ ὄνομα Κυρίου, τελευτάτω.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὃς ἂν καταράσηται Θεὸν, ἁμαρτίᾳ ἔνοχος ἔσω· ὃς δ' ἂν ὀνομάσῃ τὸ ὄνομα τοῦ Κυρίου, θνησκέτω. εὖγε, ὦ πάνσοφε, μόνος ἀμιγοῦς ἢ (1) κρατεῖς σοφίας, τοῦ καταρᾶσθαι χεῖρον τὸ ὀνομάζειν ὑπείληφας. οὐ γὰρ ἂν τὸν μὲν βαρύτατον ἀσέβημα εἰργασμένον ἐπεκούφιζες, διημαρτηκόσιν ἐπιεικέστερον πράττων· κατὰ δὲ τοῦ πραΰτερον ἠδικηκέ- E ναι δόξαντος, τὴν ἀνωτάτω τιμωρίαν, θάνατον ὥριζες· ἀλλ' ὡς ἔοικε, Θεοῦ τὰ νῦν, οὐχὶ τοῦ πρώτου καὶ ἀγεννήτου τῶν ὅλων, ἀλλὰ τῶν ἐν ταῖς πόλεσι μέμνηται· ψευδώνυμοι δ' εἰσὶ, γραφέων καὶ πλαστῶν τέχναις δημιουργούμενοι. ξοάνων γὰρ καὶ ἀγαλμάτων, καὶ τοιουτοτρόπων ἀφιδρυμάτων ἡ οἰκουμένη μεστὴ γέγονεν, ὧν τῆς βλασφημίας ἀνέχειν ἀναγκαῖον, ἵνα μηδεὶς ἐθίζηται τῶν Μωϋσέως γνωρίμων συνόλως Θεοῦ προσρή- Z σεως ἀλογεῖν. ἀξιονικωτάτη γὰρ ἀεὶ καὶ ἐπαξιέραστος ἡ κλῆσις. εἰ δέ τις οὐ λόγῳ βλασφημήσειεν εἰς τῶν ἀνθρώπων καὶ Θεῶν Κύριον, ἀλλὰ καὶ τολμήσειεν ἀκαίρως αὐτοῦ φθέγξασθαι τοὔνομα, θάνατον ὑπομενάτω τὴν δίκην.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, ὃς
» ἂν καταράσηται Θεὸν, ἁμαρτίαν λήψε-
» ται, ὀνομάζων δὲ τὸ ὄνομα Κυρίου, θανάτῳ θανατούσθω; Ἐάλω τις βλασφημήσας τὸν H τῶν ὅλων Θεόν· οὐδέπω δὲ περὶ βλασφημίας ἐγέγραπτο νόμος. τούτου χάριν ὁ νομοθέτης, τοῦτον μὲν φυλαχθῆναι προσέταξεν. ἤρετο δὲ τῇ ὑστεραίᾳ Μωσῆς τὸν δεσπό-

(1) Ἴσ. ᾗ.

A δεσπότην Θεὸν, τί χρὴ παθεῖν τὸν ἀλάστορα. ὁ δὲ, τὸν μὲν καταλευσθῆναι προσέταξε, τῶν ἀκηκοότων τῆς βλασφημίας πρώτων ἀφιέντων τοὺς λίθους. ἔθηκε δὲ τὸν περὶ τῆς βλασφημίας νόμον. καὶ Θεὸν μὲν ὁμωνύμως ἐκάλεσε τὸν ψευδώνυμον· τὸν δὲ τούτῳ λοιδορούμενον ἁμαρτάνειν μὲν ἔφη, κολάσεως δὲ οὐκ ἔκρινεν ἄξιον. ἁμαρτάνει δὲ οὐχ ὁ εὐσεβὴς τὸν ψευδώνυμον βλασφημῶν Θεὸν, ἀλλ' ὁ ἐκείνῳ πιστεύων μὲν, λοιδορούμενος δέ. βλασφημεῖ γὰρ ὃ

B σέβει. ἁμαρτίαν τοίνυν τὴν τοιαύτην ἐκάλεσε βλασφημίαν, οὐ διὰ τὴν τοῦ βλασφημουμένου ἀξίαν, ἀλλὰ διὰ τὴν τοῦ βλασφημοῦντος ὑπόληψιν. οὐ γὰρ ὡς ψευδώνυμον, ἀλλ' ὡς ἀληθῆ Θεὸν βλασφημεῖ. τὸν μέντοι τὸν ἀληθινὸν βλασφημοῦντα Θεὸν, λίθοις ἀναιρεῖσθαι προσέταξεν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὁ νόμος τοὺς βλασφημοῦντας κατὰ τῶν ψευδωνύμων Θεῶν,

Γ καὶ οὓς αὐτοὶ σέβοντες οἴονται, ἀφῆκεν ἐν τῷ πονηρῷ συνειδότι τὸ ἁμάρτημα· ἡ γὰρ ὑπόληψις ἀσεβεῖ, καὶ εἰ μὴ Θεὸς ὁ λοιδορούμενος· οὐ μὴν κολάζει τούτους, εἰ τοὺς μὴ Θεοὺς ἐδυσφήμησαν· τοὺς δὲ τὸν ἀληθῆ δυσφημοῦντας κολάζει, διὰ τῶν λίθων τὴν ἀναισθησίαν ἐλέγχων.

ιζ. Καὶ ἄνθρωπος ὃς ἂν πατάξῃ ψυχὴν ἀνθρώπου, καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω.

Δ ΘΕΟΔΩΡΙΤΟΥ. Μάλα δὲ εἰκότως τοῖς περὶ τῆς βλασφημίας νόμοις, καὶ τὸν περὶ τοῦ φόνου συνῆψεν. ἐπειδὴ ὁ βλασφημῶν ἀνελεῖν μὴ δυνάμενος, τῇ γλώττῃ βάλλει τὸν ποιητήν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τῇ ἰσότητι τὸ δίκαιον ὁρίζεται, καὶ συνάπτει τοῖς περὶ Θεοῦ τὰ περὶ ἀνθρώπων· ὡς καὶ ἐπὶ τοῦ ἐναντίου, τὰ περὶ ἀγάπης Θεοῦ καὶ τοῦ πλησίον. οὐδὲ γὰρ δυνατὸν εὐσεβεῖς εἶναι τοὺς κατὰ ἀνθρώπων ἀθεμίτους.

ιη. Καὶ ὃς ἂν πατάξῃ κτῆνος, καὶ ἀποθάνῃ, ἀποτισάτω ψυχὴν ἀντὶ ψυχῆς.

* ΠΡΟΚΟΠΙΟΥ. Δῆλον, ὅτι κτηνώδους ψυχὴν, ὥστε ἀντιδοῦναι κτῆνος. (1) ἴση οὖν ἡ

B δικαιοσύνη πρὸς τὴν φονικὴν προαίρεσιν.

ιθ. Καὶ ἐάν τις δῷ μῶμον τῷ πλησίον, ὡς ἐποίησεν αὐτῷ, ὡσαύτως ἀντιποιηθήσεται αὐτῷ.

κ. Σύντριμμα ἀντὶ συντρίμματος, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, καθότι ἂν δῷ μῶμον
κα. ἀνθρώπῳ, οὕτω δόσετε αὐτῷ. Ὃς
Γ ἂν πατάξῃ ἄνθρωπον, καὶ ἀποθάνῃ,
κβ. θανάτῳ θανατούσθω. Δικαίωσις μία ἔσται τῷ προσηλύτῳ καὶ τῷ ἐγχωρίῳ, ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

» ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ὀφθαλμὸν ἀντὶ
» ὀφθαλμοῦ ἐκκόπτεσθαι, καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ ὅσα τοιαῦτα προσέταξεν; Οὐχ ἵνα πάσχωσι ταῦτα νενομοθέτηκεν, ἀλλ' ἵνα μὴ πράττωσι. τοῦ γὰρ πάθους τὸ

Δ δέος τὴν πρᾶξιν ἐκώλυσε.

κγ. Καὶ ἐλάλησε Μωϋσῆς τοῖς υἱοῖς Ἰσραήλ· καὶ ἐξήγαγε τὸν καταρασάμενον ἔξω τῆς παρεμβολῆς, καὶ ἐλιθοβόλησαν αὐτὸν λίθοις πᾶσα ἡ συναγωγή. καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐποίησαν καθάπερ συνέταξε Κύριος τῷ Μωϋσῇ.

ΚΕΦ. ΚΕ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν ἐν τῷ ὄρει Σινᾶ,
β. λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, ὅταν εἰσέλθητε εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ ἀναπαύσεται ἡ γῆ, ἣν ἐγὼ δίδωμι ὑμῖν, σάββατα τῷ Κυρίῳ.

Z * ΠΡΟΚΟΠΙΟΥ. Σάββατα σαββάτων καλεῖται ἡ ἑορτὴ, καθ' ἣν ἔμελλεν ὁ τῆς ἀφέσεως καὶ τῆς μετανοίας καιρὸς ἄρχεσθαι διὰ (2) τῆς συλλήψεως τοῦ Προδρόμου. ὅθεν καὶ κατ' ἐτυμολογίαν τοῦ σαββάτου ἔστιν ἰδεῖν (3) ὅτι σάβαχθα (4) καλεῖται ἡ ἄφεσις. ἀφιᾶσι δὲ αὐτὴν ἱερὰν τῷ Κυρίῳ, ὅτι ἑβδόμη ἐστὶν, ὅ ἐστι σαβαά. (5)

γ. Ἓξ ἔτη σπερεῖς τὸν ἀγρόν σου,

H καὶ ἓξ ἔτη τεμεῖς τὴν ἄμπελόν σου, καὶ συνάξεις τὸν καρπὸν αὐτῆς.

δ. Ἐν δὲ τῷ ἔτει τῷ ἑβδόμῳ σάββατα. ἀνάπαυσις ἔσται τῇ γῇ, σάββατα τῷ Κυρίῳ. τὸν ἀγρόν σου οὐ σπερεῖς, καὶ τὴν ἄμπελόν σου οὐ τεμεῖς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Κελεύει ἀργὴν καὶ ἀνάροτον τὴν χώραν ἐᾶν ἔτει ἑβδόμῳ, διὰ πολλά· πρῶτον μὲν, ἵνα τὴν

Z ἑβδομάδα τιμήσῃ κατὰ πάντας χρόνους ἡμερῶν καὶ μηνῶν καὶ ἐνιαυτῶν. ἑβδόμη τε γὰρ πᾶσα ἡμέρα ἱερὰ, τὸ καλούμενον παρ' Ἑβραίοις σάββατον· μηνῶν τε ὁ ἕβδομος κατὰ πᾶν ἔτος, ἑορτῶν ἔλαχε τὴν μεγίστην. ὥστ' εἰκότως καὶ ὁ ἕβδομος ἐνιαυτὸς τοῦ περὶ τὸν ἀριθμὸν σεβασμοῦ τυχὼν, ἐκτετίμηται. δεύτερον δ' ἐκεῖνο· μὴ πάντα, φησὶν, ἴσθι τοῦ κέρδους, ἀλλὰ καὶ ἑκὼν ζημίαν ὑπόμεινον· ἵνα καὶ τὴν ἀκούσιον

H βλάβην, εἴποτε γένοιτο, ῥᾳδίως ἐνέγκῃς, ἀλλὰ μὴ ὡς ἐπὶ καινῷ καὶ ξένῳ δυσχεραίνων ἀθυ-

(1) Τὰ ἑπόμενα οὐ κεῖται ἐν τῷ τῆς Αὐγ. κώδ. (2) Ὑπό. αὐτ.
(3) Ἔστιν ὑπολαβεῖν. αὐτ. (4) Σαβαχθά. αὐτ. (5) Σαββά. ὁ Ἀλεξάν. κώδ.

ἀθυμίης. Καὶ μετ' ὀλίγα. Τρίτον κἀκεῖνο αἰνίττεσθαί μοι δοκεῖ, τὸ μηδενὶ προσήκειν τὸ παράπαν ἀνθρώπους ἄχθει βαρύνειν καὶ πιέζειν. εἰ γὰρ τοῖς μέρεσι τῆς γῆς, ἃ μήθ' ἡδονῆς μήτ' ἀλγηδόνος πέφυκε κοινωνεῖν μεταδοτέον ἀναπαύλης· πῶς οὐχὶ μᾶλλον ἀνθρώποις, οἷς οὐ μόνον αἴσθησις πρόσεστιν ἡ κοινὴ καὶ τῶν ἀλόγων ζώων, ἀλλὰ καὶ λογισμὸς ἐξαίρετος, ᾧ τὰ ἐκ πόνων καὶ καμάτων ὀδυνηρὰ τρανοτέραις φαντασίαις ἐντυποῦται;

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ ἑπτὰ ἔτη (1) σπεῖραι τὴν γῆν ἀπαγορεύει; Τὸ ἄπληστον αὐτῶν κολάζει τῷ νόμῳ. ἐπειδὴ γὰρ τοῦ πλείονος ἐφιέμενοι, διηνεκῶς ἔσπειρον, μὴ διαναπαυομένη δὲ ἡ γῆ, ἐξιτήλους ἔφερε τοὺς καρπούς· τῷ ἑβδόμῳ ἔτει ἄσπαρτον ἐᾶσαι τὴν γῆν διηγόρευσε· τὰ δὲ αὐτομάτως φυόμενα τρυγᾷν ἢ θερίζειν ἐκώλυσε, φιλανθρωπίαν ἐκπαιδεύων αὐτούς. ἐκέλευσε δὲ (2) σὺν αὐτοῖς καὶ χήρας, καὶ ὀρφανούς, καὶ προσηλύτους ἔξωθεν (3) μεταλαβεῖν τῶν καρπῶν. πρὸς δὲ τούτοις καὶ ἕτερον πραγματεύεται. καὶ γὰρ ἄφεσις ὀφλημάτων κατὰ τόδε τὸ ἔτος ἐγίνετο, καὶ τῶν δουλευόντων Ἑβραίων ἐλευθερία. διά τοι τοῦτο καὶ τὸν Ἰωβηλαῖον ἀργεῖν ἐνομοθέτησεν. ἐλευθερίαν δὲ καὶ ἄφεσιν σημαίνει τὸ ὄνομα. Ἰωβηλαῖον δὲ τὸ πεντηκοστὸν προσαγορεύουσιν ἔτος. ἑπτὰ » γάρ φησιν ἑβδομάδας ἐτῶν ἀριθμήσεις, » καὶ διαγγελεῖτε σάλπιγγος φωνῇ ἐν πάσῃ » τῇ γῇ ὑμῶν τῇ δεκάτῃ τοῦ μηνὸς τῇ ἡμέρᾳ » τοῦ ἐξιλασμοῦ· ἐν ᾗ, φησὶν, ἡμέρᾳ ἱλεοῦμαι ὑμῖν, καὶ τὰ πεπλημμελημένα ὑμῖν ἀφίημι. ἐν ταύτῃ μηνύσατε τὸ τῆς ἀφέσεως ἔτος. εἶτα κελεύει ἐν τούτῳ τῷ ἔτει, καὶ τὸν ἀγρὸν ἀναλαμβάνειν τὸν πεπρακότα, καὶ τὰς ἐν τοῖς ἀγροῖς οἰκίας, καὶ χρεῶν ἀποκοπὰς γενέσθαι, καὶ παίδων Ἑβραίων ἐλευθερίας. ἐπειδὴ δὲ εἰκὸς ἦν τινὰς ἐνοχλεῖν τοῖς ὀφείλουσιν, ὡς τοῦ τῆς ἀφέσεως ἔτους πελάζοντος, ἀπηγόρευσε καὶ τοῦτο γίνεσθαι παρ' αὐτῶν. ὥστε δὲ περὶ τῆς ἀναγκαίας μὴ ἐνδοιάζειν τροφῆς, ἅτε δὴ μὴ γεωργοῦντας τὴν γῆν ἐν τοῖς τῆς ἀφέσεως ἔτεσι, ταῖς φιλοτίμοις ἐψυχαγώγησεν ὑποσχέσεσιν. ἐπηγγείλατο γὰρ ἐν τῷ ἕκτῳ ἔτει οὐ διπλασίαν μόνην, ἀλλὰ καὶ τριπλασίαν αὐτοῖς πρόσοδον [χορηγήσειν, ἀποχρῶσαν] καὶ ἐν τῷ ἕκτῳ καὶ ἑβδόμῳ ἔτει διαθρέψαι, καὶ μέχρι τοῦ ὀγδόου » διαρκοῦσαν. σπερεῖτε γάρ φησι τὸ ἔτος τὸ » ὄγδοον, καὶ φάγεσθε ἀπὸ τῶν γεννημάτων » παλαιὰ ἕως τοῦ ἔτους τοῦ ἐννάτου, ἕως ἂν » ἔλθῃ τὰ γεννήματα αὐτῆς. φάγεσθε πα» λαιὰ παλαιῶν. εἶτα τῇ μνήμῃ τῆς δεσπο-

A » τείας κρατύνει τὸν νόμον. ἐμὴ γάρ ἐστί » φησιν ἡ γῆ, διότι προσήλυτοι καὶ πάροι» κοι ὑμεῖς ἐστὲ ἐναντίον μου. ἐγώ φησι ταύτην ὑμῖν ἐδωρησάμην. τοιγάρτοι ὡς δεσπότης νομοθετῶ.

ε. Καὶ τὰ αὐτόματα τὰ ἀναβαίνοντα τοῦ ἀγροῦ σου οὐκ ἐκθεριεῖς, καὶ τὴν σταφυλὴν τοῦ ἁγιάσματός σου οὐκ ἐκτρυγήσεις. ἐνιαυτὸς ἀναπαύσεως
B ἔσται τῇ γῇ.

Τοῦ ἁγιάσματός σου. τὸ Σαμαρειτικὸν, τῶν χερσῶν σου. (4) Ἄλλος, τῆς ναζηραίας.

ς. Καὶ ἔσται τὰ σάββατα τῆς γῆς βρώματά σοι, καὶ τῷ παιδί σου, καὶ τῇ παιδίσκῃ σου, καὶ τῷ μισθωτῷ σου, καὶ τῷ παροίκῳ τῷ προσκειμένῳ πρὸς
ζ. σέ. Καὶ τοῖς κτήνεσί σου, καὶ τοῖς θη-
Γ ρίοις τῆς γῆς ἔσται πᾶν τὸ γέννημα αὐτοῦ εἰς βρῶσιν.

η. Καὶ ἐξαριθμήσεις σεαυτῷ ἑπτὰ ἀναπαύσεις ἐτῶν, ἑπτὰ ἔτη ἑπτάκις· καὶ ἔσονταί σοι ἑπτὰ ἑβδομάδες ἐτῶν ἐννέα καὶ τεσσαράκοντα ἔτη.

ΑΔΗΛΟΥ. Τὸ ἕβδομον ἔτος ἡγιάζετο παρ' Ἑβραίοις. εἶτα, ὡς παρήρχοντο ἑπτὰ ἑβδομάδες ἐτῶν, ὅ ἐστι τεσσαράκοντα
Δ ἐννέα, ἁγιασθῆναι τοῦτον ἐῶντες, τὸν ἑξῆς ἐνιαυτὸν, ἤτοι τὸν πεντηκοστὸν ἑόρταζον· ὃς εἶχεν ἀρχὴν τῆς ὀγδόης, εἰς τύπον τοῦ μέλλοντος αἰῶνος τοῦ μετὰ τὸν νῦν, τὸν εἰς ἑβδομάδα εἰλουμενον· καθ' ὃν λύεται πᾶν χρέος, καὶ ἐλευθεροῦται ἕκαστος, καὶ εἰς τὴν παλαιὰν αὐτοῦ πατρίδα ἐπανέρχεται.

θ. Καὶ διαγγελεῖτε σάλπιγγος φωνῇ ἐν πάσῃ τῇ γῇ ὑμῶν τῷ μηνὶ
E τῷ ἑβδόμῳ τῇ δεκάτῃ τοῦ μηνός. τῇ ἡμέρᾳ τοῦ ἐξιλασμοῦ διαγγελεῖτε σάλπιγγι ἐν πάσῃ τῇ γῇ ὑμῶν.

* ΠΡΟΚΟΠΙΟΥ. (5) Ὅθεν ἡ ἀρχὴ τοῦ ἐνιαυτοῦ παρὰ τοῖς Ἰουδαίοις νενόμισται ἀπὸ τῆς ἀρχῆς τοῦ ἐνιαυτοῦ τῆς ἀφέσεως, ἤτοι ἀπὸ τῆς ἀρχῆς τοῦ ἑβδόμου μηνὸς, ἐν ᾧ ἡ ἑορτὴ τοῦ ἐξιλασμοῦ ἐπετελεῖτο. καθ' ἣν (6) μόνην εἰσῄει ὁ ἱερεὺς εἰς τὰ ἅγια τῶν ἁγίων. διὰ τοῦτο κυρίως αὐτὸ καλοῦ-
Z σιν οἱ Ἰουδαῖοι ῥεσσαθὰ, (7) τουτέστιν ἀρχὴ τῶν ἓξ ὑπολοίπων μηνῶν τοῦ ἐνιαυτοῦ. κυρίως γὰρ ἡ ἀρχὴ (8) τοῦ ἐνιαυτοῦ, καὶ ὁ πρῶτος μὴν ὁ Νισσάν ἐστιν, ἤτοι ὁ Ξανθικὸς, ὁ καὶ Ἀπρίλλιος. ἀλλ' ἐπείπερ ἐνιαυτὸν ὅλον κελεύονται σαββατίζειν τὴν γῆν; ἄρχεται δὲ ἀναγκαίως ὁ σαββατισμὸς ἀπὸ τοῦ

(1) Ψευδὲς τὸ, ἑπτὰ ἔτη. καὶ μήποτε ἐν τοῖς χειρογράφοις, ἐξ ὧν ταῦτα οἱ τῶν ἡμετέρων δύω κωδίκ. γραφεῖς εἰλήφασιν, ἐγέγραπτο οὕτω· ζ' ἔτει. τουτέστι τῷ ἑβδόμῳ ἔτει. ὅπερ ἔχει ἡ ἐν Χάλ. ἔκδ.

(2) Γάρ. ἡ αὐτ. (3) Ἐξ αὐτων. ἡ αὐτ. ἐν ταῖς σημειώσ.

(4) Χέρσων, καὶ ναζιραίας. ἐν ταῖς σημειώσ. ταῖς εἰς τὴν Γραφ. τὴν ἐν Φραν. ἐκδοθεῖσ.

(5) Φησὶ δέ τις ὡς ἡ ἀρχὴ τοῦ ἐνιαυτοῦ παρὰ τοῖς Ἰουδαίοις νενόμισται ὅθεν ἡ ἀρχὴ τοῦ ἐνιαυτοῦ τῆς ἀφέσεως ἀπὸ τῆς ἀρχῆς τοῦ ἑβδ. κτ. ὁ τῆς Αὐγ. κώδ.

(6) Ὅτε μόνον βατὰ τῷ ἱερεῖ τὰ ἅγια, κτ. ὁ αὐτ. (7) Ῥησσεθθά. ὁ αὐτ.

(8) Ἀρχὴ γὰρ ἔτους ὁ ξανθικὸς, Νισὰν λεγόμενος παρ' αὐτοῖς· παρὰ δὲ Ῥωμαίοις, Ἀπρίλ. κτ. ὁ αὐτ.

τοῦ καιροῦ τοῦ σπόρου, οὐ δεῖ δὲ σπείρειν εἰκότως ἀπὸ τοῦ ἑβδόμου μηνὸς, ἐν ᾧ σπόριμος ὁ καιρὸς, τὴν ἀρχὴν ποιοῦνται τοῦ ἐνιαυτοῦ τῆς ἀφέσεως. διὸ καὶ σάββατα σαββάτων καλεῖται ἡ τοιαύτη ἑορτὴ, καθ' ἣν, ὡς εἴρηται, ἔμελλεν ὁ τῆς ἀφέσεως καὶ τῆς μετανοίας ἄρχεσθαι καιρός.

ι. Καὶ ἁγιάσετε τὸ ἔτος τὸν πεντηκοστὸν ἐνιαυτὸν, καὶ διαβοήσετε ἄφεσιν ἐπὶ τῆς γῆς πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. ἐνιαυτὸς ἀφέσεως σημασίας αὕτη ἔσται ἐν ὑμῖν· καὶ ἀπελεύσεται ἕκαστος εἰς τὴν κτῆσιν αὐτοῦ, καὶ ἕκαστος εἰς τὴν πατριὰν αὐτοῦ ἀπελεύσεσθε.

ια. Ἀφέσεως σημασίας αὕτη ἔσται ὑμῖν, τὸ ἔτος τὸ πεντηκοστὸν ἐνιαυτός ἐστιν ὑμῖν. οὐ σπερεῖτε, οὐδὲ μὴ ἀμήσητε τὰ αὐτόματα ἀναβαίνοντα αὐτοῖς, (1) καὶ οὐ τρυγήσητε τὰ ἡγιασμένα αὐτοῖς.

ΑΛΛΟΣ. *Ἰωβὴλ, ἢ Ἰωβηλαῖος. Ἰωβὴλ ἐστιν ὡσανεὶ διπλασιαζόμενος ὁ Θεὸς ὁ Θεός. Ἰαὼ γὰρ καὶ Ἐλαὰ παρ' Ἑβραίοις ὁ Θεὸς ὀνομάζεται· ἵν' ἐκ τούτου μάθῃς ἅγιον ἁγίων εἶναι τοῦτο τὸ ἔτος.*

ιβ. Ὅτι ἀφέσεως σημασία ἐστίν. ἅγιον ἔσται ὑμῖν· ἀπὸ τῶν πεδίων φάγεσθε τὰ γεννήματα αὐτῆς.

ιγ. Ἐν τῷ ἔτει τῆς ἀφέσεως σημασίας αὐτῆς ἐπανελεύσεται ἕκαστος εἰς τὴν κτῆσιν αὐτοῦ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. *Τὰς ἀλλοτριωθείσας κτήσεις οἴεται δεῖν ἀποδίδοσθαι τοῖς ἐξ ἀρχῆς κυρίοις, ἵν' αἱ κληρουχίαι τοῖς γένεσι διαφυλάττωνται, καὶ μηδεὶς τῶν λῆξιν εἰληχότων εἰς ἅπαν στερῆται τῆς δωρεᾶς.*

ιδ. Ἐὰν δὲ ἀποδῷ πρᾶσιν τῷ πλησίον σου, ἐὰν καὶ κτήσῃ παρὰ τῶν πλησίον σου, μὴ θλιβέτω ἄνθρωπος τὸν
ιε. πλησίον. Κατὰ ἀριθμὸν ἐτῶν μετὰ
τὴν σημασίαν κτήσῃ παρὰ τοῦ πλησίον,
κατὰ ἀριθμὸν ἐνιαυτῶν γεννημάτων
ιϛ. ἀποδώσεταί σοι. Καθ' ὅ,τι ἂν πλεῖον
τῶν ἐτῶν πληθυνεῖ τὴν κτῆσιν αὐτοῦ,
καὶ καθ' ὅ,τι ἂν ἔλαττον τῶν ἐτῶν
ἐλαττονήσει τὴν κτῆσιν αὐτοῦ· ὅτι ἀριθμὸν γεννημάτων αὐτὸς ἀποδώσεταί σοι.

ΑΔΗΛΟΥ. *Εἴτε, φησὶ, πωλεῖς, εἴτε ἀγοράζεις, μὴ κακούτω ἀνήρ.*

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. *Ἐπειδὴ καιροὶ συμπίπτουσι πολλάκις ἀβούλητοι, δι' οὓς ἀναγκάζονταί τινες πιπράσκειν τὰ ἴδια· καὶ τῆς ἐν δέοντι τούτων χρείας προὐνόησε, καὶ τοὺς ὠνουμένους ἐκώλυσεν ἀπατᾶσθαι· τοῖς μὲν πιπράσκειν ἐφιεὶς, τοὺς δ' ἐφ' οἷς*

A *ὠνήσονται μάλα σαφῶς ἀναδιδάξας. μὴ γὰρ δίδοτέ φησι τὰς ἐπ' ἀκτησίᾳ τιμάς· ἀλλὰ πρὸς ἐνιαυτῶν ὡρισμένον ἀριθμὸν, οἳ ἐντός εἰσι πεντηκονταετίας. οὐ γὰρ κτημάτων αἱ πράσεις, ἀλλὰ καρπῶν ὀφείλουσιν εἶναι, διὰ δύω τ' ἀναγκαιότατα· ἓν μὲν, ὅτι σύμπασα ἡ χώρα κτῆμα κέκληται, (2) τῶν δὲ Θεοῦ κτημάτων οὐχ ὅσιον ἄλλους ἐπιγράφεσθαι δεσπότας· ἕτερον δὲ, λῆξις ἀπονενέμηται ἑκάστῳ τῶν κληρούχων, ἧς στερεῖ-*
B *σθαι τὸν λαχόντα οὐκ ἐδικαίωσεν ὁ νόμος.*

ιζ. Μὴ θλιβέτω ἄνθρωπος τὸν
πλησίον. καὶ φοβηθήσῃ Κύριον τὸν
Θεόν σου. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.
ιη. Καὶ ποιήσετε πάντα τὰ δικαιώματά
μου, καὶ πάσας τὰς κρίσεις μου, καὶ
φυλάξετε, καὶ ποιήσετε αὐτὰ, καὶ
κατοικήσετε ἐπὶ τῆς γῆς πεποιθότες.
ιθ. Καὶ δώσει ἡ γῆ τὰ ἐκφόρια αὐτῆς,
καὶ φάγεσθε εἰς πλησμονὴν, καὶ κα-
κ. τοικήσετε πεποιθότες ἐπ' αὐτῆς. Ἐὰν
δὲ λέγητε, τί φαγόμεθα ἐν τῷ ἔτει
τῷ ἑβδόμῳ τούτῳ, ἐὰν μὴ σπείρωμεν
μηδὲ συναγάγωμεν τὰ γεννήματα
κα. ἡμῶν; Καὶ ἀποστελῶ τὴν εὐλογίαν μου
ὑμῖν ἐν τῷ ἔτει τῷ ἕκτῳ, καὶ ποιήσει
τὰ γεννήματα αὐτῆς εἰς τὰ τρία ἔτη.
κβ. Καὶ σπερεῖτε τὸ ἔτος τὸ ὄγδοον, καὶ
φάγεσθε ἀπὸ τῶν γεννημάτων πα-
λαιὰ ἕως τοῦ ἔτους τοῦ ἐννάτου· ἕως ἂν
ἔλθῃ τὰ γεννήματα αὐτῆς, καὶ φά-
κγ. γεσθε παλαιὰ παλαιῶν. Καὶ ἡ γῆ οὐ
πραθήσεται εἰς βεβαίωσιν· ἐμὴ γάρ
ἐστιν ἡ γῆ, διότι προσήλυτοι καὶ πά-
κδ. ροικοι ὑμεῖς ἐστὲ ἐναντίον μου. Καὶ κα-
τὰ πᾶσαν γῆν κατασχέσεως ὑμῶν,
E λύτρα δώσετε τῆς γῆς.

κε. Ἐὰν δὲ πένηται ὁ ἀδελφός σου ὁ μετὰ σοῦ, καὶ ἀποδῶται ἀπὸ τῆς κατασχέσεως αὐτοῦ, καὶ ἔλθῃ ὁ ἀγχιστεύων ὁ ἐγγίζων αὐτῷ, καὶ λυτρώσεται τὴν πρᾶσιν τοῦ ἀδελφοῦ αὐτοῦ.

ΑΔΗΛΟΥ. *Ὧδε μὲν οὕτως, ἐν δὲ τῷ νϛ' ἀριθμῷ τὸν ἀγχιστέα λέγει, τὸν ἀγρὸν*
Z *τὸν ὑποτελεσθέντα ἐκ τοῦ πένητος συγγενοῦς αὐτοῦ, ὀφείλειν λυτρώσασθαι. παρακατιὼν δὲ, ἐν τῷ αὐτὸν ἑαυτὸν πωλεῖν ἀλλογενεῖ ἢ φυλέτῃ ἑαυτοῦ, φησὶν ὁ λόγος, ὅτι εἷς τῶν ἀδελφῶν αὐτοῦ ὀφείλει αὐτὸν λυτρώσασθαι. καὶ καταλέγει φανερὰ πρόσωπα, τὸν θεῖον τὸν πρὸς πατρὸς, τὸν ἀνεψιὸν ὁμοίως, καὶ τοὺς κατιόντας συγγενεῖς, οἷον υἱοὺς, ἢ τοὺς ἐξ αὐτῶν. καὶ μᾶλλον οὗτοί εἰσιν οἱ ἀγχιστεῖς, ὡς κληρο-*
H *νόμοι τοῦ τελευτήσαντος. καὶ εἰκότως αὐτοὺς βαρεῖ τῇ λυτρώσει, ὡς μέλλοντας διαδέχεσθαι τὸν κλῆρον ἐκείνου, ἐν ᾧ ἄτεκνος ἀπο-*

(1) Αὐτῆς, καὶ οὐ τρυγήσετε τὰ ἡγιασμένα αὐτῆς. αἱ εἰρημ. ἐκδόσ.

(2) Πρόσθες, Θεοῦ.

ἀποθνήσκει· καὶ ὅτι μᾶλλον οὗτός ἐστιν ἀγχιστεύς. διὸ καὶ τὸ Σαμαρειτικὸν ἀντὶ τοῦ εἰπεῖν ἀγχιστέα, λυτρωτὴν εἶπεν. ἀγχιστεὺς γὰρ κυρίως ὁ ἐξ ἀῤῥενογονίας καταγόμενος, πλησιέστερος ἐν τῷ κληρονομεῖν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐ γὰρ ἰδιοκτησία καλὸν, ἀδικίας ἀρχὴ καὶ κακουργίας· ἀλλ' ἡ ἐν κοινῷ χρῆσις, ἥτις ἦν καὶ ἐν παραδείσῳ. λύεται οὖν τὸ ἐπιγεγονὸς κακὸν, ἡ λύσεως ἀρχὴ, κατὰ τὴν ἀποστολικὴν κοι-
Πράξ. 4. 32. νωνίαν, ὅτε ἦν αὐτοῖς πάντα κοινά.

κϛ. Ἐὰν δέ τινι μὴ ἦ ἀγχιστεύων,
καὶ εὐπορηθῇ τῇ χειρὶ, καὶ εὑρεθῇ αὐ-
κζ. τῷ τὸ ἱκανὸν, λύτρα αὐτοῦ. Καὶ
συλλογιεῖται τὰ ἔτη τῆς πράσεως αὐ-
τοῦ, καὶ ἀποδώσει ὃ ὑπερέχει τῷ ἀν-
θρώπῳ, ᾧ ἀπέδοτο αὐτὸ αὐτῷ, καὶ
ἐπανελεύσεται εἰς τὴν κατάσχεσιν αὐ-
κη. τοῦ. Ἐὰν δὲ μὴ εὐπορηθῇ ἡ χεὶρ αὐτοῦ
τὸ ἱκανὸν, ὥστε μὴ ἀποδοῦναι αὐτῷ, καὶ
ἔσται ἡ πρᾶσις τῷ κτησαμένῳ αὐτὰ ἕως
τοῦ ἕκτου ἔτους τῆς ἀφέσεως, καὶ ἐξε-
λεύσεται ἐν τῇ ἀφέσει, καὶ ἐπανε-
λεύσεται εἰς τὴν κατάσχεσιν αὐτοῦ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸν μὲν οὖν ἐντὸς τῆς πεντηκονταετίας δυνάμενον ἀναλαβεῖν τὰ οἰκεῖα, ἥτινα τῶν ἐγγυτάτω γένους ἀγχιστέων, προσκαλεῖται πάσῃ μηχανῇ κατατιθέναι ἣν ἔλαβε τιμὴν, καὶ μὴ τῷ πριαμένῳ, καθ' ὃν ἐδεῖτο καιρὸν ὠφελήσαντι, ζημίας αἴτιον γενέσθαι. τῷ δὲ ἀπόρως ἔχοντι συνεπάθησε, καὶ μετέδωκεν ἐλέους, τὴν ἀρχαίαν δωρησάμενος αὖθις περιουσίαν.

κθ. Καὶ ἐάν τις ἀποδῶται οἰκίαν
οἰκητὴν ἐν πόλει τετειχισμένῃ, καὶ ἔσται
ἡ λύτρωσις αὐτῆς, ἐὰν (1) πληρωθῇ·
ἐνιαυτὸς ἡμερῶν ἔσται ἡ λύτρωσις αὐ-
λ. τῆς. Ἐὰν δὲ μὴ λυτρωθῇ ἕως ἂν
πληρωθῇ ἐνιαυτὸς ὅλος, κυρωθήσε-
ται ἡ οἰκία ἡ οὖσα ἐν τῇ πόλει τῇ ἐχού-
σῃ τεῖχος, βεβαίως τῷ κτησαμένῳ
αὐτὴν εἰς τὰς γενεὰς αὐτοῦ, καὶ οὐκ
λα. ἐξελεύσεται ἐν τῇ ἀφέσει. Αἱ δὲ οἰ-
κίαι αἱ ἐν ἐπαύλεσιν, αἷς οὐκ ἔστιν αὐ-
ταῖς τεῖχος κύκλῳ, πρὸς τὸν ἀγρὸν
τῆς γῆς λογισθήσονται· λυτρωταὶ
διαπαντὸς ἔσονται αὐταὶ, καὶ ἐν τῇ
ἀφέσει ἐξελεύσονται.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ταῦτα μὲν ἐπὶ ταῖς τῆς χώρας διανομαῖς καὶ κληρουχίαις διατέτακται· ἕτερα δὲ ἐπὶ ταῖς οἰκίαις. ἐπειδὴ δὲ καὶ τούτων αἱ μὲν κατὰ πόλεις τυχὸν ἐντός εἰσιν, αἱ δ' ἐν ἀγρῷ ἔξω τείχους ἐπαύλεις· τὰς μὲν ἐν τοῖς χωρίοις ἐπέτρεψεν ὁ νόμος ἀεὶ λυτροῦσθαι· τὰς δὲ μὴ λυτρωθείσας ἄχρι τοῦ πεντηκοστοῦ ἔτους, ἀποδίδοσθαι προῖκα τοῖς πάλαι κυρίοις, καθάπερ καὶ τὰ κλήματα. μοῖρα γὰρ ἐπαύλεις κτημάτων. ὅσαι δὲ τειχῶν ἐντός εἰσι, μέχρι μὲν ἐνιαυτοῦ τὴν ἀποπομπὴν ἐπὶ τοὺς πεπρακότας ἔχουσι, μετὰ δὲ τὸν ἐνιαυτὸν, εἰς ἅπαν τοῖς ὠνησαμένοις βεβαιοῦνται, μηδὲν τοῦ (2) πεντηκοστοῦ ἔτους ἐκεχειρίας βλαπτούσης τοὺς πριαμένους. αἴτιον δὲ τοῦ βούλεσθαι καὶ ἐπηλύταις ἱδρύσεως τῆς ἐνταυθοῖ βεβαίου παρασχεῖν ἀφορμήν. ἐπειδὴ γὰρ μετουσίαν γῆς οὐκ ἔχουσιν, ἅτε δὴ μὴ καταριθμηθέντες ἐν ταῖς κληρουχίαις, οἰκιῶν αὐτοῖς κτῆσιν ὁ νόμος ἀπένειμε, φροντίσας τοῦ μὴ μετανάστας γενέσθαι τοὺς τῶν νόμων ἱκέτας καὶ πρόσφυγας. αἱ γὰρ πόλεις ὅτ' ἐκληροδοτεῖτο ἡ χώρα, κατὰ φυλὰς οὐ διενεμήθησαν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἦσαν συνῳκοδομημέναι, κατὰ τὰς ἐν ἀγροῖς ἐπαύλεις τῶν οἰκητόρων ποιουμένων τὰς διατριβάς. ἐξ ὧν ὕστερον ἀναστάντες καὶ συνελθόντες, ἐπίδοσιν κοινωνίας καὶ φιλανθρωπίας, ὥσπερ εἰκὸς, ἐν χρόνῳ μακρῷ λαμβανούσης, οἰκίας ἐν ταὐτῷ καὶ πόλεις ἐδείμαντο, ὧν καὶ ἐπηλύταις, καθάπερ εἶπον, μετέδοσαν, ἵνα μὴ πάντων ἀποροῖεν καὶ τῶν ἐν ἀγροῖς καὶ τῶν κατὰ πόλεις.

** ΠΡΟΚΟΠΙΟΥ. Πῶς δὲ τὰ μὲν ἐν ἄστει μέχρις ἔτους ἑνὸς, τὰ δὲ κατ' ἀγρὸν διαπαντὸς λυτρωτά; Ἀλλ' οὐδεὶς τῷ νομοθέτῃ τῆς ἱστορίας ἔσται λόγος, ἕως ἂν ἴοι κατὰ ῥοῦν αὐτῷ τὰ πνευματικά. εὐάλωτοι τοίνυν οἱ ἐν ἀγροῖς διαζῶντες ἀτείχιστοι· ζῶσι δὲ μᾶλλον ἐπιεικῶς ἐν εἰδήσει νόμων, οἱ ἀστεικοί. καὶ οἱ μὲν ἀνδρίσαιντο ἂν ὑπὲρ ἑαυτῶν μαχούμενοι, οἱ δὲ κρεῖττον περὶ σωτηρίας βουλεύσαιντο. καὶ τοῖς μὲν ἁλοῦσι δι' ἄμφω συγγνώμη, οἱ δὲ καὶ τειχῶν καὶ βουλῆς μετέχοντες ἀγαθῆς, ἡττηθέντες, ἀσύγγνωστοι. οἱ μὲν οὖν Ἰουδαῖοι τὴν ἁγίαν πόλιν οἰκοῦντες· περὶ ἧς φησὶν ὁ Θεὸς,
» καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖ- Ζαχ. 2. 5.
» χος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι
» ἐν μέσῳ αὐτῆς· καὶ νόμοις τραφέντες·
» τοιγαροῦν καὶ ἔφασκον, μακάριοί ἐσμεν Ἰσ- Βαρ. 4. 4.
» ραὴλ, ὅτι τὰ ἀρεστὰ Κυρίῳ γνωστὰ ἡμῖν
ἐστί· πῶς οὖν οὐκ ἂν εἰκότως ἦσαν ὑπὸ Δαιμόνων ἀνάλωτοι; εὐπαράφοροι δὲ μᾶλλον τῶν ἐθνῶν οἱ λαοὶ, μηδετέρου μετέχοντες. ἀλλ' ὅμως εἰ μὴ νήψαντες ἐκεῖνοι, καὶ τῆς ἑαυτῶν ζημίας λαβόντες αἴσθησιν ἀνακομίσαιντο τὰ οἰκεῖα, τοῦ τῆς λυτρώσεως ἐνεστηκότος ἐνιαυτοῦ, καθ' ὃν ὁ Σωτὴρ ἐπεδήμησε, διηνεκῶς ὑποκείσονται τῷ πριαμέ-
» νῳ, τουτέστι τῷ Σατανᾷ. ἰδοὺ γάρ φησι ταῖς Ἡσ. 50. 1.
» ἀνομίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἁμαρ-
» τίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν·
ἡ δὲ τῶν ἐθνῶν ἀγέλη ἀνεπικλήρωτος οὖσα, διαπαντός ἐστι λυτρωτή. καὶ οἰκτείραντος Θεοῦ, τὸν ἴδιον ἀπολήψεται κλῆρον, κεκλημένη πρὸς ἐλευθερίαν ἐν τῷ ἔτει τῆς ἀφέσεως, ὅτε πᾶσαν τὴν ὑφ' ἡλίῳ τῆς τῶν Δαιμόνων πλεονεξίας ἀνῆκε Χριστὸς· τῷ

(1) Ἕως. αἱ εἰρημ. ἐκδόσ.

(2) Τῆς τοῦ. ὀρθότερ.

τῷ ἰδίῳ σαυρῷ τὸ καθ' ἡμῶν καταργήσας
χειρόγραφον.

λβ. Καὶ αἱ πόλεις τῶν Λευϊτῶν,
οἰκίαι τῶν πόλεων καταχέσεως αὐ-
τῶν, λυτρωταὶ διαπαντὸς ἔσονται τοῖς
λγ. Λευΐταις. Καὶ ὃς ἂν λυτρώσηται πα-
ρὰ τῶν Λευϊτῶν, καὶ ἐξελεύσεται ἡ
διάπρασις οἰκιῶν πόλεως καταχέσεως
αὐτῶν ἐν τῇ ἀφέσει, ὅτι οἰκίαι τῶν
πόλεων τῶν Λευϊτῶν καταχέσεως
λδ. αὐτῶν ἐν μέσῳ υἱῶν Ἰσραήλ. Καὶ οἱ
ἀγροὶ ἀφωρισμένοι ταῖς πόλεσιν αὐ-
τῶν οὐ πραθήσονται, ὅτι κατάχεσις
αἰώνιος τοῦτο αὐτοῖς ἐστίν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Γῆς ἀπο-
τομὴν οὐκ ἀπένειμε τοῖς νεωκόροις ὁ νό-
μος, ὑπολαβὼν αὐτάρκη πρόσοδον εἶναι
τούτοις τὰς ἀπαρχάς. ὅλας δὲ καὶ τεσσα-
ράκοντα πόλεις ἀπεκλήρωσεν εἰς οἴκησιν,
καὶ δισχιλίους ἑκάστῃ πήχεις προάστειον ἐν
κύκλῳ. τὰς οὖν ἐν ταύταις οἰκίας, οὐ τὸν
αὐτὸν τρόπον ταῖς ἄλλαις, ὅσαι τειχῶν
εἴσω τυγχάνουσιν, ἐβεβαίωσε τοῖς πριαμέ-
νοις ἐντὸς ἐνιαυτοῦ, τῶν ἀποδιδομένων κο-
μίσασθαι μὴ δυναμένων· ἀλλ' εἰς ἅπαν
ἐφῆκεν αὐτὰς λυτροῦσθαι, καθάπερ καὶ τὰς
ἀπὸ τοῦ ἔθνους, τὰς ἐπαύλεις, αἷς ἰσοδυνα-
μοῦσιν· ἐπειδὴ μόνας ἐκ τοσαύτης χώρας
Δ διεκληρώσαντο τὰς οἰκίας. ὧν οὐκ ᾤετο
δεῖν στερεῖσθαι τοὺς λαμβάνοντας, καθάπερ
οὐδὲ τοὺς κληρούχους τῶν ἐπαύλεων.

ΚΥΡΙΛΛΟΥ. Βεβαία τοῖς ἱερουργοῖς-
τε καὶ ἐλευθέροις τῶν δεδωρημένων ἡ κλῆ-
σις· τοῖς δὲ δοῦλον ἔχουσι πνεῦμα, τουτέστι
τοῖς ἐξ Ἰσραὴλ, τὴν ἐλευθεροῦσαν πίστιν οὐ
προσιεμένοις, ἀπόβλητος καὶ ἀφαιρετὴ
καὶ ἡ δοθεῖσα χάρις διὰ Μωσέως, τουτέστιν
Ε ἡ ἐν νόμῳ γνῶσις παιδαγωγοῦσα πρὸς ἀλή-
θειαν. (1)

** ΠΡΟΚΟΠΙΟΥ. Ἀνεκποίητα δὲ τὰ
λευϊτικὰ τοῖς ἐρηρεισμένην ἔχουσι τὴν ἐλ-
πίδα. καὶ γοῦν ἐπὶ τῇ φιλομαθεστάτῃ Μα-
Λουκ. 10. 42. ριὰμ ἔφη που ὁ Χριστὸς, ὅτι τὴν καλὴν με-
» ρίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται
αὐτῆς. πλὴν ἡ πάντων ἐλευθερία διὰ Χρι-
στοῦ, εἰ καὶ μείζω καθ' Ἑβραίων ἐπήρτησε
φόβον, μὴ θᾶττον ἐπανιοῦσιν. οὐ γὰρ δὴ
Ζ φήσομεν, ὡς κεκώλυται μετὰ ταῦτα πά-
λιν ἐπανελθεῖν· ἀλλ' εἰς ἔμφασιν εἴρηται
τοῦ ὀφείλοντός τε καὶ πρέποντος.

λε. Ἐὰν δὲ πένηται ὁ ἀδελφός σου
ὁ μετὰ σοῦ, καὶ ἀδυναμήσῃ ταῖς χερσὶ
παρὰ σοὶ, ἀντιλήψῃ αὐτοῦ ὡς προση-
λύτου καὶ παροίκου, καὶ ζήσεται ὁ
ἀδελφός σου μετὰ σοῦ.

λϛ. Οὐ λήψῃ παρ' αὐτοῦ τόκον,
οὐδὲ ἐπὶ πλήθει· καὶ φοβηθήσῃ τὸν
Α Θεόν σου. ἐγὼ Κύριος. καὶ ζήσεται ὁ
λζ. ἀδελφός σου μετὰ σοῦ. Τὸ ἀργύριόν
σου οὐ δώσεις αὐτῷ ἐπὶ τόκῳ, καὶ ἐπὶ
πλεονασμῷ οὐ δώσεις αὐτῷ τὰ βρώ-
ματά σου.

Οὐδὲ ἐπὶ πλήθει. οἱ Λοιποὶ, οὐδὲ ἐπὶ
πλεονασμῷ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀφοβία ἄρα Θεοῦ
τόκος καὶ πλεονασμὸς, καὶ φιλανθρωπίας
Β ἐμπόδιον· καὶ τοῦτο παράνομον μὲν ἦν τότε,
ἀλλότριον δὲ τοῦ πνεύματος νῦν καὶ ἀτοπώ-
τερον ἢ ἐν νόμῳ· ὅτε καὶ πάντες οἰκεῖοι δυ-
νάμει διὰ τὴν κλῆσιν. ὅθεν δικαίως εἴρη-
ται εἰδωλολατρεία ἡ φιλαργυρία.

λη. Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὁ
ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, τοῦ
δοῦναι ὑμῖν τὴν γῆν Χαναὰν, ὥστε εἶναι
λθ. ὑμῶν Θεός. Ἐὰν δὲ ταπεινωθῇ ὁ
Γ ἀδελφός σου παρὰ σοὶ, καὶ πραθῇ σοι,
οὐ δουλεύσει σοι δουλείαν οἰκέτου.

μ. Ὡς μισθωτὸς ἢ πάροικος ἔσται
σοι· ἕως ἐνιαυτοῦ τῆς ἀφέσεως ἐργᾶ-
μα. ται παρὰ σοὶ, Καὶ ἐξελεύσεται ἐν τῇ
ἀφέσει, καὶ τὰ τέκνα αὐτοῦ μετ' αὐ-
τοῦ· καὶ ἀπελεύσεται εἰς τὴν γενεὰν
αὐτοῦ, καὶ εἰς τὴν κατάχεσιν τὴν πα-
Δ τρικὴν ἀποδραμεῖται.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὰ πρὸς
χρεώστας δανειστῶν, καὶ πρὸς θεράποντας
δεσποτῶν ὅμοια τοῖς πρόσθεν νενομοθέτη-
ται. ὅπως οἱ μὲν δανεισταὶ μὴ ἐκλέγωσι
τόκους παρὰ τῶν ὁμοεθνῶν, ἀλλ' ὅσον προή-
καντο μόνον ἄσμενοι κομίζονται· οἱ δὲ δε-
σπόται τοῖς ἀργυρωνήτοις μὴ ὡς φύσει δού-
λοις, ἀλλ' ὡς μισθωτοῖς προσφέρωνται, πα-
ρέχοντες ἄδειαν ἐλευθερίας· εὐθὺς μὲν,
Ε τοῖς ὑπὲρ αὐτῶν λύτρα καταθεῖναι δυνα-
μένοις· αὖθις δὲ τοῖς ἀπόροις, ἢ ὅταν ἐπι-
γίνηται ὁ τῆς ἀπ' ἀρχῆς δουλείας ἕβδομος
ἐνιαυτὸς, ἢ ὅταν ὁ πεντηκοστὸς, κἂν πρὸ
μιᾶς ἡμέρας τύχῃ τὶς εἰς δουλείαν ὑπαχ-
θείς. ἄφεσις γὰρ ἐκεῖνος ἐστί τε καὶ νενό-
μισται, πάντων ἐπὶ ταῖς ἀρχαίαις διαυλο-
δρομούντων καὶ ἀνακαμπτόντων συμπραγίαις.

** ΠΡΟΚΟΠΙΟΥ. Τῷ ἑβδόμῳ ἐνιαυ-
τῷ ἀνεῖναι προστάττει, τὸν τῆς ἁπάντων
Ζ ἀφέσεως τιμῶντας καιρὸν, τὴν Χριστοῦ πα-
ρουσίαν· ὃς ὑπὲρ ἡμῶν ἀποδοὺς, τὸ καθ'
ἡμῶν ἀνῆκε χειρόγραφον.

μβ. Διότι οἰκέται μου εἰσὶν, (2) οὓς
ἐξήγαγον ἐκ γῆς Αἰγύπτου.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οἰκέται δὲ Χριστοῦ
πάντες ἄνθρωποι οἱ ἐξαχθέντες τῆς τῶν
παθῶν δουλείας, καὶ τῷ δικαίῳ τῆς ὑπὸ Χρι-
στοῦ κλήσεως ἐξέρχονται τῆς διὰ τὰ ὀφει-
Η » λήματα δουλείας· ὅτι ᾧ παριστάνετε ἑαυ- Ῥωμ. 6. 16.
» τοὺς, δοῦλοί ἐστε εἰς ὑπακοὴν ᾧ ὑπακούετε.

μγ. Οὐ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.
(2) Εἰσὶν οὗτοι, οὓς ἐξήγαγον ἐκ γῆς Αἰγύπτου. οὐ πραθήσεται ἐν πράσει οἰκέτου. αἱ προειρημ. ἐκδόσ.

μγ. Οὐ κατατενεῖς αὐτὸν ἐν τῷ
μόχθῳ, καὶ φοβηθήσῃ τὸν Θεόν σȣ.

μδ. Καὶ παῖς καὶ παιδίσκη ὅσοι
ἐὰν γένωνταί σοι, ἀπὸ τῶν ἐθνῶν ὅσοι
κυκλώσȣσιν, ἀπ' αὐτῶν κλήσεσθε δȣ̃-
με. λον καὶ δȣ́λην. Καὶ ἀπὸ τῶν ὑῶν τῶν
παροίκων τῶν ὄντων ἐν ὑμῖν, ἀπὸ τȣ́-
των κλήσεσθε καὶ ἀπὸ τῶν συγγενῶν
αὐτῶν τῶν ἐν ὑμῖν, ὅσοι ἂν γένωνται
ἐν τῇ γῇ ὑμῶν, ἔςωσαν ὑμῖν εἰς κα-
τάσχεσιν.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐπιτρέπει ἐκ τῶν μὴ ὁμοφύλων, οἵτινες ἑτέρων ἐθνῶν εἰσὶν, οἰκέτας κλᾶσθαι, βȣλόμενος πρῶτον μὲν διαφορὰν οἰκείων τε καὶ ἀλλοτρίων εἶναι· ἔπειτα δὲ μὴ κατὰ τὸ παντελὲς ἀναγκαιότατον κτῆμα, θεράποντας, ἀνεῖρξαι τῆς αὐτȣ̃ πολιτείας. μυρία γὰρ τῶν ἐν τῷ βίῳ πραγμάτων ποθεῖ τὰς ἐκ δȣ́λων ὑπηρεσίας.

μς. Καὶ καταμεριεῖτε αὐτȣ̀ς τοῖς
τέκνοις ὑμῶν μεθ' ὑμᾶς· καὶ ἔσονται
ὑμῖν κατόχιμοι εἰς τὸν αἰῶνα. τῶν δὲ
ἀδελφῶν ὑμῶν τῶν ὑῶν Ἰσραὴλ, ἕκα-
ςος τὸν ἀδελφὸν αὐτȣ̃ ȣ̓ κατατενεῖ ἐν
τοῖς μόχθοις.

Οὐ κατατενεῖ ἐν τοῖς μόχθοις. Ἄλλος φησὶν, ȣ̓ παιδεύσει ἐν αὐτῷ ἐμπαιγμῷ.

μζ. Ἐὰν δὲ εὕρῃ ἡ χεὶρ τȣ̃ προ-
σηλύτȣ ἢ τȣ̃ παροίκȣ τȣ̃ παρὰ σοὶ,
καὶ ἀπορηθεὶς ὁ ἀδελφός σȣ πραθῇ
τῷ προσηλύτῳ ἢ τῷ παροίκῳ τῷ πα-
ρὰ σοὶ, ἢ ἐκ γενετῆς προσηλύτῳ,
μη. Μετὰ τὸ πραθῆναι αὐτῷ, λύτρωσις
ἔςαι αὐτῷ· εἷς τῶν ἀδελφῶν αὐτȣ̃
λυτρώσεται αὐτόν.

μθ. Ἀδελφὸς πατρὸς αὐτȣ̃, ἢ
ὑὸς ἀδελφȣ̃ πατρὸς αὐτȣ̃ λυτρώσε-
ται αὐτὸν, ἢ ἀπὸ τῶν οἰκείων τῶν
σαρκῶν αὐτȣ̃ ἐκ τῆς φυλῆς αὐτȣ̃ λυ-
τρώσεται αὐτόν. ἐὰν δὲ εὐπορηθεὶς
ν. ταῖς χερσὶ λυτρώσεται αὐτὸν, (1) Καὶ
συλλογιεῖται πρὸς τὸν κτησάμενον αὐ-
τὸν ἀπὸ τȣ̃ ἔτȣς ȣ̃ ἀπέδοτο ἑαυτὸν
αὐτῷ ἕως τȣ̃ ἐνιαυτȣ̃ τῆς ἀφέσεως.
καὶ ἔςαι τὸ ἀργύριον τῆς πράσεως αὐ-
τȣ̃ ὡς ἡμέρα μισθίȣ· ἔτος ἐξ ἔτȣς
ἔςαι μετ' αὐτȣ̃.

A ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐκ τῶν συγγενῶν αὐτȣ̃ τῶν κατὰ σάρκα, ἢ τῶν ἐξ ἐπιγαμίας, ἤτοι πᾶς ὀφειλέτης (2) αὐτȣ̃, ὡς συγγενὴς αὐτȣ̃ εἰς τὸ λυτρώσασθαι, ὁ (3) κατὰ τὸ πρόχειρον, ἢ κατὰ τὸ ἀνέκαθεν.

Ὡς ἡμέρα μισθίȣ. Ἄλλος φησὶ, καθάπερ ὁ μισθὸς τȣ̃ μισθωτȣ̃.

ΑΔΗΛΟΥ. Μᾶλλον τȣ̃το λέγει· ȣ̃τως ἐςὶν ἡ πρᾶσις αὕτη, ὡς μίσθωσις. διὸ καὶ
B » ἐπάγει· ἔτος ἐξ ἔτȣς ἔςαι μετ' αὐτȣ̃. οἱ ἐνιαυτοὶ τῆς πράσεως ὁλόκληροι ψηφίζονται ὡς ἐπὶ μισθώσει.

να. Ἐὰν δέ τι πλεῖον τῶν ἐτῶν ᾖ,
πρὸς ταῦτα ἀποδώσει τὰ λύτρα αὐ-
τȣ̃ ἀπὸ τȣ̃ ἀργυρίȣ τῆς πράσεως αὐ-
νβ. τȣ̃. Ἐὰν δὲ ὀλίγον καταλειφθῇ ἀπὸ
τῶν ἐτῶν εἰς τὸν ἐνιαυτὸν τῆς ἀφέ-
σεως, καὶ συλλογιεῖται αὐτῷ κατὰ
Γ τὰ ἔτη αὐτȣ̃, καὶ ἀποδώσει τὰ λύ-
νγ. τρα αὐτȣ̃. Ὡς μισθωτὸς ἐνιαυτὸν
ἐξ ἐνιαυτȣ̃ ἔςαι μετ' αὐτȣ̃. ȣ̓ κατα-
τενεῖς αὐτὸν μόχθῳ ἐνώπιόν σȣ.

νδ. Ἐὰν δὲ μὴ λυτρῶται κατὰ
ταῦτα, καὶ ἐξελεύσεται ἐν τῷ ἔτει
τῆς ἀφέσεως αὐτὸς καὶ τὰ παιδία αὐ-
τȣ̃ μετ' αὐτȣ̃.

Δ ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Εἰ δὲ καὶ μὴ διὰ λυτρώσεως δυνηθῇ, ἐν τῷ ἐνιαυτῷ τῆς
» ἀφέσεως ἐξεισιν. ἀδελφὸς γὰρ ȣ̓ λυτρȣ̃- Ψαλ. 48. 7.
» ται, λυτρώσεται Κύριος. καὶ ὃ κρίσει μὴ λύεται, ἡ χάρις ἀφίησιν· ἐν μὲν τῷ νόμῳ, μὴ διδομένων λύτρων· ἐν δὲ τῷ Χριςῷ, μὴ ἐξαρκȣ̃ντων ἅτις ὑπὲρ ἑαυτȣ̃, ἢ ἄλλος ὑπὲρ αὐτȣ̃ καταθείη. ὡς ȣ̓κ ἤρκεσεν ἡ Ἰωσίȣ δικαιοσύνη ὑπὲρ τȣ̃ Ἰσραὴλ· ἡ δὲ Μωϋσέως ἴσχυσεν; ἄρτι τȣ̃ λαȣ̃ κε-
E κλημένȣ, καὶ καιρὸν ȣ̓κ ἔχοντος τελείας κολάσεως. διὸ τὴν Μωσέως δικαιοσύνην ὑπὲρ τȣ̃ λαȣ̃ διὰ συγγένειαν ἡ χάρις ἐδέχετο. Λευΐτȣ δὲ ȣ̓ λέγει δȣ́λωσιν, ȣ̓δὲ λύτρωσιν ὑπὲρ (4) συγγενȣ̃ς. ȣ̓ γὰρ ἔςι τȣ̀ς ἑτέρων ἐλευθερωτὰς, αὐτȣ̀ς εἰς δȣλείαν πεσεῖν, καὶ δι' ἑτέρων λυτρωθῆναι.
» ἐὰν γὰρ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλι- Ματθ. 5. 13.
θήσεται; δεῖ ȣ̃ν ἔχειν τὸ ἀνέκπλυτον, εἰ δὲ μὴ ὡς ἀνιάτως ἔχων, ὡς ἔμπηρος ἀπο-
Z βάλλεται, καθάπερ ἐγνώκαμεν.

νε. Ὅτι ἐμοὶ οἱ ὑοὶ Ἰσραὴλ οἰκέ-
ται, παῖδές μȣ αὐτοί εἰσιν, ȣ̃ς ἐξή-
γαγον ἐκ γῆς Αἰγύπτȣ.

ΚΕΦ.

(1) Λυτρῶται ἑαυτόν. αἱ εἰρημ. ἐκδόσ.
(2) Ὁ φυλέτης, ὀρθότερ.
(3) Ἡ ὁ Ἀλεξάν. κώδ.
(4) Ὑπὸ, ὀρθότερ.

ΚΕΦ. ΚϚ.

α. Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν. οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς χειροποίητα, οὐδὲ γλυπτά· οὐδὲ στήλην ἀναστήσετε ὑμῖν, οὐδὲ λίθον σκοπὸν στήσετε ἐν τῇ γῇ ὑμῶν προσκυνῆσαι αὐτῷ. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀγαλμάτων ἀπαγορεύει τὴν ἐπὶ σεβασμῷ ποίησιν· ἐπεί τοι γε λέοντας ὁ Σολομὼν ποιεῖ καὶ Χερουβὶμ καὶ Φοίνικας ἐν τῷ ναῷ, καὶ μέμψιν οὐκ εἶχεν.

ΑΔΗΛΟΥ. Σκοπὸν λέγει ὑψηλὸν, ὡς διὰ τοῦ ὕψους δοκεῖ σκοπεύειν καὶ βλέπειν τοὺς χθαμαλωτέρους τόπους· ἤτοι ὁρᾶσθαι δοκεῖ, ὡς διὰ τὸ μέγεθος φόβον ἐμποιοῦν τοῖς ὁρῶσι.

β. Τὰ σάββατά μου φυλάξεσθε, καὶ ἀπὸ τῶν ἁγίων μου φοβηθήσεσθε. ἐγὼ Κύριος.

γ. Ἐὰν τοῖς προστάγμασί μου πορεύησθε, καὶ τὰς ἐντολάς μου φυ-
δ. λάσσησθε, καὶ ποιήσητε αὐτὰς, Καὶ
δώσω τὸν ὑετὸν ὑμῖν ἐν καιρῷ αὐτοῦ,
καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς,
καὶ τὰ ξύλα τῶν πεδίων ἀποδώσει
τὸν καρπὸν αὐτῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Μεταληπτέον ταῦτα πνευματικῶς, τοῦ Θεοῦ δίκην γῆς λιπαρᾶς τὰς τῶν αὐτῷ πειθομένων καταρδοντος ἄνωθεν ψυχὰς, ὡς ἀνελλειπῆ τὸν τῆς εὐσεβείας φέρειν καρπὸν, καὶ διδόντος θείαν εἰρήνην. περὶ ἧς ὁ Παῦλος φησιν· ἡ
Φιλιπ. 4. 7. εἰρήνη τοῦ Χριστοῦ ἡ ὑπερέχουσα πάντα νοῦν
» φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοή-
» ματα ὑμῶν. παντὸς ἐχθροῦ, καὶ πάσης διαβολικῆς ἐφόδου ἐκ ποδῶν γινομένης.

ε. Καὶ καταλήψεται ὑμῖν ὁ ἀλοητὸς τὸν τρυγητὸν, καὶ ὁ τρυγητὸς καταλήψεται τὸν σπόρον. καὶ φάγεσθε τὸν ἄρτον ὑμῶν εἰς πλησμονήν· καὶ κατοικήσετε μετὰ ἀσφαλείας ἐπὶ τῆς γῆς ὑμῶν, καὶ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν.

ϛ. Καὶ δώσω εἰρήνην ἐν τῇ γῇ ὑμῶν· καὶ κοιμηθήσεσθε, καὶ οὐκ ἔσται ὑμᾶς ὁ ἐκφοβῶν, καὶ ἀπολῶ θηρία πονηρὰ ἐκ τῆς γῆς ὑμῶν, καὶ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐπὶ τῷ νομίμῳ βίῳ Θεὸς ἐπαγγέλλεται οὐ μόνον καιροὺς ἀγαθοὺς, ἀλλὰ καὶ εἰρήνην ἐκ πολεμίων καὶ θηρίων.

ζ. Καὶ διώξεσθε τοὺς ἐχθροὺς ὑμῶν,
η. καὶ πεσοῦνται ἐνώπιον ὑμῶν φόνῳ. Καὶ
διώξονται ἐξ ὑμῶν πέντε ἑκατὸν, καὶ
ἑκατὸν ὑμῶν διώξονται μυριάδας· καὶ
πεσοῦνται οἱ ἐχθροὶ ὑμῶν ἐνώπιον ὑμῶν
θ. μαχαίρᾳ. Καὶ ἐπιβλέψω ἐφ' ὑμᾶς,
καὶ αὐξανῶ ὑμᾶς, καὶ πληθυνῶ ὑμᾶς,
καὶ στήσω τὴν διαθήκην μου μεθ' ὑμῶν.

ι. Καὶ φάγεσθε παλαιὰ καὶ παλαιὰ παλαιῶν, καὶ παλαιὰ ἐκ προσ-
B σώπου νέων ἐξοίσετε.

** ΩΡΙΓΕΝΟΥΣ. Ἐσθίομεν ἐν εὐλογίᾳ τὰ παλαιὰ, τοὺς προφητικοὺς λόγους, καὶ τούτων παλαιῶν τὰ παλαιὰ, τοὺς νομικούς· καὶ ἐλθόντων τῶν νέων καὶ εὐαγγελικῶν, ποιοῦντες κατὰ τὸ εὐαγγέλιον, τὰ παλαιὰ τοῦ γράμματος ἐκ προσώπου νέων ἐκφέρομεν. καὶ τίθησι τὴν ἑαυτοῦ σκηνὴν ἐν ἡμῖν, πληρῶν τὴν εἶπεν ἐπαγγελίαν,
» ἐνοικήσω καὶ ἐμπεριπατήσω ἐν αὐτοῖς.

Γ ια. Καὶ θήσω τὴν σκηνήν μου ἐν
ὑμῖν, καὶ οὐ βδελύξεται ἡ ψυχή μου
ιβ. ὑμᾶς, Καὶ ἐμπεριπατήσω ἐν ὑμῖν.
καὶ ἔσομαι ὑμῶν Θεὸς, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐνοικήσω ἐν
» αὐτοῖς, φησὶ, καὶ ἐμπεριπατήσω· ἐνοικήσω ἐν ναοῖς καὶ ἐμπεριπατήσω, τὴν πλείονα πρὸς αὐτοὺς σχέσιν δηλῶν.

Δ ** ΤΟΥ ΝΥΣΣΗΣ. Οὐδὲν οὕτω τῶν ὄντων μέγα, ὡς τῷ σῷ μεγέθει παραμετρεῖσθαι. ὁ οὐρανὸς ὅλος τῇ τοῦ Θεοῦ σπιθαμῇ περιλαμβάνεται· γῆ δὲ καὶ θάλασσα τῇ δρακὶ τῆς χειρὸς αὐτοῦ περιείργεται. ἀλλ' ὅμως ὁ τοιοῦτος καὶ τοσοῦτος, ὁ πᾶσαν τῇ παλάμῃ περισφίγγων τὴν κτίσιν, ὅλος σοι χωρητὸς γίνεται, καὶ ἐν σοὶ κατοικεῖ, καὶ οὐκ ἐνστενοχωρεῖ πάσῃ τῇ φύσει ἐνδιοδεύων, ὁ εἰπών·
E » ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω.

» ** ΑΘΑΝΑΣΙΟΥ. Ἔσομαι αὐτοῖς Θεός. οὐ μᾶλλον τότε γίνεται Θεὸς, οὐδὲ τότε ἀρχὴν ἔχει τοῦ γίνεσθαι· ἀλλ' ὅπερ ἐστὶν ἀεὶ, τοῦτο καὶ τοῖς δεομένοις γίνεται, ὅταν αὐτῷ δοκῇ.

ιγ. Ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, ὄντων ὑμῶν δούλων· καὶ συνέτριψα
Z τὸν δεσμὸν τοῦ ζυγοῦ ὑμῶν, καὶ ἤγαγον ὑμᾶς μετὰ παῤῥησίας.

ιδ. Ἐὰν δὲ μὴ ὑπακούσητέ μου, μηδὲ ποιήσητε τὰ προστάγματά μου ταῦ-
ιε. τα, Ἀλλὰ ἀπειθήσητε αὐτοῖς, καὶ
τοῖς κρίμασί μου προσοχθίσῃ ἡ ψυχὴ
ὑμῶν, ὥστε ὑμᾶς μὴ ποιεῖν πάσας τὰς
ἐντολάς μου, ὥστε διασκεδάσαι ὑμᾶς
ις. τὴν διαθήκην μου, Καὶ ἐγὼ ποιήσω
οὕτως ὑμῖν· καὶ ἐπιστήσω ἐφ' ὑμᾶς τὴν
ἀπορίαν, τήν τε ψώραν, καὶ τὸν ἴκτερον
σφακελίζοντας τοὺς ὀφθαλμοὺς ὑμῶν,
καὶ τὴν ψυχὴν ὑμῶν ἐκτήκουσαν· καὶ

σπερεῖτε διακενῆς τὰ σπέρματα ὑμῶν, A
καὶ ἔδονται οἱ ὑπεναντίοι ὑμῶν.

Σφακελίζοντας· Ἄλλος φησὶ, συντελοῦντα, ἐντυφλοῦντα.

ΑΔΗΛΟΥ. Παρανομοῦσι μὲν ἀπειλεῖ τὰ ἐναντία, οὐκ ἐξ ἰσχύος τῶν ἐχθρῶν καὶ θηρίων, ἀλλ' ἐξ ἐπιτιμήσεως Θεοῦ.

ιζ. Καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐφ' ὑμᾶς, καὶ πεσεῖσθε ἐναντίον τῶν ἐχθρῶν ὑμῶν, καὶ διώξονται ὑμᾶς οἱ
ιη. μισοῦντες ὑμᾶς, καὶ φεύξεσθε οὐδενὸς διώκοντος ὑμᾶς. Καὶ ἐὰν ἕως τούτου μὴ ὑπακούσητέ μου, καὶ προσθήσω τοῦ παιδεῦσαι ὑμᾶς πληγαῖς ἑπτάκις ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν.

ιθ. Καὶ συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας ὑμῶν· καὶ θήσω τὸν οὐρα-
κ. νὸν ὑμῖν ὡς σιδηροῦν, καὶ τὴν γῆν ὑμῶν ὡσεὶ χαλκῆν. Καὶ ἔσται εἰς κενὸν ἡ ἰσχὺς ὑμῶν· καὶ οὐ δώσει ἡ γῆ ὑμῶν τὸν σπόρον αὐτῆς, καὶ τὸ ξύλον τοῦ ἀγροῦ ὑμῶν οὐ δώσει τὸν καρπὸν αὐτοῦ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἔτι δὲ ἐνδιάστροφα πραττόντων, ἀπειλεῖ πρὸς καθαίρεσιν τῆς ὑπερηφάνου ἀπειθείας αὐτῶν ἀνομβρίαν, καὶ ἀκαρπίαν.

κα. Καὶ ἐὰν μετὰ ταῦτα πορεύησθε πλάγιοι, καὶ μὴ βούλησθε ὑπακούειν μου, προσθήσω ὑμῖν πληγὰς ἑπτὰ κατὰ τὰς ἁμαρτίας ὑμῶν.

✻✻ ΩΡΙΓΕΝΟΥΣ. Ὁ κρίνων κατὰ βραχὺ Θεὸς τοὺς κολαζομένους, δίδωσι τόπον μετανοίας, καὶ οὐχ ἅμα τῷ ἁμαρτῆσαι κολάζων, φέρει τὴν συντέλειαν τῆς κολάσεως ἐπὶ τὸν ἡμαρτηκότα. διὰ τοῦτο κατὰ βραχὺ κολάζων κολάζει. Καὶ μετ' ὀλίγα. Ἐν γὰρ ταῖς τῶν παραβαινόντων τὸν νόμον ἀραῖς ἀναγέγραπται μετὰ τὰς κολά-
» σεις τὰς προτέρας· καὶ ἔσται, ἐὰν μετὰ
» ταῦτα μὴ ἐπιστραφῆτε, λέγει Κύριος, προ-
» θήσω ὑμῖν κἀγὼ πληγὰς ἑπτά. καὶ πάλιν διηγεῖται ἄλλην κόλασιν, καὶ ἔσται,
» ἐὰν μετὰ ταῦτα μὴ ἐπιστραφῆτε, ἀλλὰ πο-
» ρεύσησθε πρός με πλάγιοι, κἀγὼ πορεύ-
» σομαι μεθ' ὑμῶν θυμῷ πλαγίῳ. καὶ εὑρήσεις τὸν Θεὸν ἐπιμετροῦντα κολάσεις μετὰ φειδοῦς, ὡς βουλόμενον εἰς ἐπιστροφὴν ἀγαγεῖν τὸν ἡμαρτηκότα, καὶ οὐκ ἀθρόως πάσας ἀποδιδόντα. Καὶ μεθ' ἕτερα. Σκοπῶ δὲ μήποτε καὶ περὶ ἡμᾶς τοιαῦτά ἐστι, καὶ κολάσεις τινὲς γίνονται, ὥστε τοὺς μὲν μὴ πεῖραν ἔχειν δευτέρων κολάσεων, ἀλλ' ἀρκεσθῆναι ταῖς προτέραις· ἄλλους δὲ ἥκειν καὶ ἐπὶ τὰς δευτέρας, οὐ μὴν καὶ ἐπὶ τὰς τρίτας· ἄλλους δὲ ἐλεύσεσθαι καὶ ἐπὶ τὰς τε-
» τάρτας. τὸ γὰρ, προσθήσω πληγὰς ἑπτὰ, ὅτι ποτὲ μυστήριον δηλοῖ μιᾶς πληγῆς γινομένης, καὶ δευτέρας καὶ τρίτης, μέχρι τῶν

(1) Καὶ ἐπάξω. αἱ εἰρημ: ἐκδόσ.

A εἰρημένων ἑπτὰ ἐπί τινας. οὐ πάντες δὲ ἑπτὰ πληγὰς πλήσονται, ἀλλ' οἶμαί τινας πληγήσεσθαι πληγὰς ἕξ, ἄλλους πέντε, ἄλλους τέσσαρας, ἄλλους τρεῖς, ἢ δύο· τοὺς δὲ πάντων ὑποδεεστέρους ἐν κολάσεσι πληγὴν νομίζω πληγήσεσθαι μίαν. οἶδεν οὖν ὁ Θεὸς καὶ τὰ περὶ τῶν πληγῶν.

κβ. Καὶ ἀποστελῶ ἐφ' ὑμᾶς τὰ θηρία τὰ ἄγρια τῆς γῆς, καὶ κατέδεται ὑμᾶς, καὶ ἐξαναλώσει τὰ κτήνη
B ὑμῶν, καὶ ὀλιγοστοὺς ποιήσει ὑμᾶς, καὶ ἔρημοι ἔσονται αἱ ὁδοὶ ὑμῶν.

κγ. Καὶ ἐὰν ἐπὶ τούτοις μὴ παιδευθῆτε, ἀλλὰ πορεύσησθε πλάγιοι,
κδ. Πορεύσομαι κἀγὼ μεθ' ὑμῶν θυμῷ πλαγίῳ, καὶ πατάξω ὑμᾶς κἀγὼ ἑπτάκις ἀντὶ τῶν ἁμαρτιῶν ὑμῶν.

Θυμῷ πλαγίῳ. Ἄλλος, ἐναντιώσει. τὸ
Γ Σαμαρειτικὸν, ἐμφιλονείκως.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Πλαγίῳ θυμῷ τῷ κατ' ἀξίαν τῇ τῆς ἰσότητος ἀπαντήσει. ὅπερ λέγει ἑπτάκις πατάξει αὐτοὺς ὑπὲρ τῆς τιμωρίας διὰ νόμον.

κε. Καὶ πατάξω (1) ἐφ' ὑμᾶς μάχαιραν ἐκδικοῦσαν δίκην διαθήκης, καὶ καταφεύξεσθε εἰς τὰς πόλεις ὑμῶν· καὶ ἀποστελῶ θάνατον εἰς ὑμᾶς, καὶ παραδο-
Δ θήσεσθε εἰς χεῖρας τῶν ἐχθρῶν ὑμῶν.

κϛ. Ἐν τῷ θλίψαι ὑμᾶς σιτοδείᾳ ἄρτων, καὶ πέψουσι δέκα γυναῖκες τοὺς ἄρτους ὑμῶν ἐν κλιβάνῳ ἑνὶ, καὶ ἀποδώσουσι τοὺς ἄρτους ὑμῶν ἐν σταθμῷ, καὶ φάγεσθε, καὶ οὐ μὴ ἐμπλησθῆτε.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀντὶ τοῦ, ὅπερ μόνος ἤσθιε πρὸ τούτου ἕκαστος, μόλις τὸ δέκατον
E αὐτοῦ σχῇ εἰς τροφήν· ἤτοι ἀρκέσει δέκα μόναι γυναῖκες ἀρτοποιοῦσαι ὑμῖν, διὰ τὴν ὀλιγανδρίαν.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, πέψουσι δέκα
» γυναῖκες τοὺς ἄρτους αὐτῶν ἐν κλιβάνῳ ἑνί; Ὡς περὶ τὴν γῆν κεχηνόσι, καὶ νομοθετεῖ, καὶ ἀπειλεῖ. καὶ γὰρ ἐννόμως πολιτευομένοις, τῆς γῆς αὐτοῖς ἐπαγγέλλεται τὴν εὐκαρπίαν· καὶ αὖ πάλιν παραβαίνουσι, καὶ γῆς ἀκαρπίαν, καὶ πολεμίων ἔφοδον ἀπειλεῖ, καὶ πενίαν ἐσχάτην.
Z τοῦτο καὶ ἐνταῦθα δηλοῖ, ὅτι τοσαύτη ὑμᾶς καταλείψεται πενία, ὡς δέκα γυναῖκας ἐν ἑνὶ κλιβάνῳ τοὺς ἄρτους ποιεῖν διὰ τὴν σπάνιν τῶν ἀναγκαίων. τοῦτο γὰρ [καὶ] ἐπή-
» γαγε· καὶ φάγεσθε, καὶ οὐ μὴ ἐμπλησθῆτε.

κζ. Ἐὰν δὲ ἐπὶ τούτοις μὴ ὑπακούσητέ μου, ἀλλὰ πορεύησθε πρός με
κη. πλάγιοι, Καὶ αὐτὸς πορεύσομαι μεθ'
H ὑμῶν ἐν θυμῷ πλαγίῳ, καὶ παιδεύσω ὑμᾶς ἐγὼ ἑπτάκις κατὰ τὰς ἁμαρτίας ὑμῶν.

κθ. Καὶ

κθ. Καὶ φάγεσθε τὰς σάρκας τῶν υἱῶν ὑμῶν, καὶ τὰς σάρκας τῶν θυγατέρων ὑμῶν φάγεσθε.

* ΠΡΟΚΟΠΙΟΥ. Τοῦτο γέγονε καὶ ἐπὶ τοῦ Ναβουχοδονόσορ, [ὡς Ἱερεμίας φησί, (1)] καὶ ἐπὶ τῆς ἐσχάτης τῶν Ῥωμαίων πολιορκίας, [ὡς φησὶν Ἰώσηπος.] (2)

λ. Καὶ ἐρημώσω τὰς στήλας ὑμῶν, καὶ ἐξολοθρεύσω τὰ ξύλινα χειροποίητα ὑμῶν, καὶ θήσω τὰ κῶλα ὑμῶν ἐπὶ τὰ κῶλα τῶν εἰδώλων ὑμῶν, καὶ προσοχθήσει ἡ ψυχή μου ὑμῖν.

* ΠΡΟΚΟΠΙΟΥ. Τοῦτο ἐποίησεν Ἐζεκίας, (3) ὡς ἡ τετάρτη (4) τῶν Βασιλειῶν δηλοῖ. ὁ δὲ Ἱερεμίας, (5) καὶ ἐπὶ τοῦ Ναβουχοδονόσορ ἔφη τοῦτο γεγενῆσθαι ἐν τῷ καλουμένῳ Ταφὲθ, ἐν Φάραγγι υἱοῦ Ἐνώμ.

λα. Καὶ θήσω τὰς πόλεις ὑμῶν ἐρήμους, καὶ ἐξερημώσω τὰ ἅγια ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ τῆς ὀσμῆς τῶν θυσιῶν ὑμῶν.

„ ΑΔΗΛΟΥ. Τὰ ἅγια, ἀντὶ τοῦ τὰ τεμένη ὑμῶν, καὶ τὰ ἱερά, καὶ τοὺς λοιποὺς σεβασμίους τόπους.

λβ. Καὶ ἐξερημώσω ἐγὼ τὴν γῆν ὑμῶν, καὶ θαυμάσονται ἐπ' αὐτῇ οἱ ἐχθροὶ ὑμῶν, οἱ ἐνοικοῦντες ἐν αὐτῇ.
λγ. Καὶ διασπερῶ ὑμᾶς εἰς τὰ ἔθνη, καὶ ἐξαναλώσει ὑμᾶς ἐπιπορευομένη ἡ μάχαιρα, καὶ ἔσται ἡ γῆ ὑμῶν ἔρημος, καὶ αἱ πόλεις ὑμῶν ἔσονται ἔρημοι.

λδ. Καὶ εὐδοκήσει ἡ γῆ τὰ σάββατα αὐτῆς πάσας τὰς ἡμέρας τῆς
λε. ἐρημώσεως αὐτῆς, Καὶ ὑμεῖς ἔσεσθε ἐν τῇ γῇ τῶν ἐχθρῶν ὑμῶν· τότε σαββατιεῖ ἡ γῆ, καὶ εὐδοκήσει τὰ σάββατα αὐτῆς πάσας τὰς ἡμέρας τῆς ἐρημώσεως αὐτῆς· σαββατιεῖ ἃ οὐκ ἐσαββάτισεν ἐν τοῖς σαββάτοις ὑμῶν,
λς. ἡνίκα κατῳκεῖτε αὐτήν. Καὶ τοῖς καταλειφθεῖσιν ἐξ ὑμῶν ἐπάξω δειλίαν εἰς τὴν καρδίαν αὐτῶν ἐν τῇ γῇ τῶν ἐχθρῶν ὑμῶν· (6) καὶ διώξεται αὐτοὺς φωνὴ φύλλου φερομένου, καὶ φεύξονται ὡς φεύγοντες ἀπὸ πολέμου, καὶ πεσοῦνται οὐδενὸς διώκοντος.

A „ ΑΔΗΛΟΥ. Εὐδοκήσει ἡ γῆ τὰ σάββατα, ἀντὶ τοῦ, πλέον ἀναπαύσεται ἡ γῆ ὑμῶν, διὰ τὰς ἀνομίας ὑμῶν ἐκβαλλομένων. ἤτοι μέλλουσι θεοσεβέστεροι ἄνθρωποι οἰκῆσαι τὴν γῆν, ὅπερ εὐφραίνει αὐτήν· εὐφραίνεται γὰρ ἡ κτίσις ἐπὶ τοῖς θεοσεβέσιν· ἤτοι ἔρημος γίνεται καὶ ἀργὴ ἡ γῆ ὑμῶν.

„ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι τό, εὐδοκήσει ἡ γῆ τὰ σάββατα πάσας τὰς ἡμέρας τῆς
B ἐρημώσεως αὐτῆς; Τὸ ἐπαγόμενον ἑρμηνεία τούτου ἐστί. ἔφη γάρ, καὶ ὑμεῖς ἔσεσθε ἐν τῇ γῇ τῶν ἐχθρῶν ὑμῶν. ἐν Βαβυλῶνι γὰρ ἑβδομήκοντα ἔτη δουλεύοντες διετέλεσαν. ἀπὸ δὲ τῆς τοῦ Σαοὺλ βασιλείας, μέχρι τῆς αἰχμαλωσίας, τετρακόσια καὶ ἐννενήκοντα συνάγεται ἔτη· τούτων δὲ τὸ ἕβδομον ἑβδομήκοντα. τοῦτο τοίνυν φησίν, ὅτι ἄσπαρτος ἡ γῆ μενεῖ καὶ ἀνήροτος ἑβδομήκοντα ἔτη, ὑμῶν τὴν ἀλλοτρίαν οἰκούν-
Γ των· ἐπειδὴ μετὰ τῶν αὐτῶν (7) νόμων παρέβητε καὶ τοῦ σαββάτου τὴν ἐντολήν. τοῦτο γὰρ ἐπήγαγε· καὶ σαββατιεῖ ἡ γῆ ἃ οὐκ ἐσαββάτισεν, ἡνίκα κατοικεῖτε ταύτην. (8) προσέθηκε δὲ καὶ ἑτέραν ἀπειλήν· καὶ τοῖς καταλειφθεῖσιν ἐξ ὑμῶν ἐπάξω δειλίαν εἰς τὴν καρδίαν ὑμῶν (9) ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν. καὶ διώξεται αὐτοὺς φωνὴ φύλλου φερομένου, καὶ φεύξονται ὡς φεύγοντες ἀπὸ πολέμου, καὶ τὰ
Δ ἑξῆς. καὶ αὕτη δὲ ἡ πρόρρησις πέρας ἔλαβεν. ἐν γὰρ τῇ τῶν Χαλδαίων πολιορκίᾳ, πολλῶν μὲν ἐν ταῖς συμπλοκαῖς ἀναιρεθέντων, πολλῶν δὲ λιμῷ διαφθαρέντων, τῶν ἀνδραποδισθέντων δὲ εἰς Βαβυλῶνα μετοικισθέντων· οἱ τὰς τῶν πολεμίων χεῖρας διαφυγόντες, εἰς τὴν Αἴγυπτον ἔφυγον, δείσαντες τῶν Χαλδαίων τὴν ἔφοδον. καὶ τοῦτο σαφῶς ἡμᾶς ἡ τοῦ θειοτάτου Ἱερεμίου προφητεία διδάσκει.

E λζ. Καὶ ὑπερόψεται ὁ ἀδελφὸς τὸν ἀδελφὸν ὡσεὶ ἐν πολέμῳ, οὐδενὸς κατατρέχοντος· καὶ οὐ δυνήσεσθε ἀν-
λη. τιστῆναι τοῖς ἐχθροῖς ὑμῶν. Καὶ ἀπολεῖσθε ἐν τοῖς ἔθνεσι, καὶ κατέδεται
λθ. ὑμᾶς ἡ γῆ τῶν ἐχθρῶν ὑμῶν. Καὶ οἱ καταλειφθέντες ἀφ' ὑμῶν, καταφθαρήσονται διὰ τὰς ἁμαρτίας
Z αὐτῶν, καὶ διὰ τὰς ἁμαρτίας τῶν πατέρων αὐτῶν· ἐν τῇ γῇ τῶν ἐχθρῶν
μ. αὐτῶν κατοικήσονται. Καὶ ἐξαγορεύσουσι τὰς ἁμαρτίας αὐτῶν, καὶ

(1) Ἐν κεφ. 19. ἐδ. 9.
(2) Ἐν κεφ. 21. τοῦ 7. λόγου. τοῦ περὶ ἰουδαϊκῆς. ἁλώσ.
(3) Ὁ μὲν Ἐζεκίας, τὰς στήλας καὶ τὰ χειροποίητα κατέλυσεν· (ὅρα τὸ 4. ἐδ. τοῦ 18. κεφ. τῆς 4. τῶν Βασ. καὶ τὸ 14. ἐδ. τοῦ 30. κεφ. τῆς 2. τῶν Παραλειπ.) ὁ δὲ Ἰωσίας καὶ τὰ κῶλα τῶν ἀνθρώπων ἐπὶ τὰ κῶλα τῶν εἰδώλων ἔθηκε.- (ὅρα τὸ 2. ἐδ. τοῦ 13. κεφ. τῆς τρίτης τῶν Βασ. καὶ τὸ 14. τοῦ 23. τῆς τετάρτης.) περὶ οὗ Κλήμης ὁ Ἀλεξανδρεὺς (ἐν τῷ 21. στρώμ. τοῦ 1. βιβλ.) τάδε φησί· μετὰ δὲ Ἐζεκίαν ὁ υἱὸς αὐτοῦ Μανασσῆς βασιλεύει ἔτη πεντήκοντα πέντε. ἔπειτα ὁ τούτου υἱὸς Ἀμὼς ἔτη δύω· μεθ' ὃν Ἰωσίας ὁ υἱὸς αὐτοῦ ὁ νομικώτατος ἔτη τριάκοντα καὶ ἕν. οὗτος ἐπέθηκε τὰ κῶλα τῶν ἀνθρώπων ἐπὶ τὰ κῶλα τῶν εἰδώλων, καθὼς ἐν τῷ Λευϊτικῷ γέγραπται.
(4) Ὡς ἐν τῇ δ' τῶν Βασ. κἂν τῇ δευτέρᾳ τῶν Παραλειπομένων. ὁ τῆς Αὐγ. κώδ.
(5) Ἐν τῷ 32. ἐδ. τοῦ 7. κεφ.
(6) Τῶν ἐχθρῶν αὐτῶν. αἱ εἰρημ. ἐκδόσ.
(7) Μετὰ τῶν ἄλλων. ἡ ἐν Χαλ. ἐκδ.
(8) Κατῳκεῖτε αὐτήν. ἡ αὐτ.
(9) Αὐτῶν. ἡ αὐτ.

τὰς ἁμαρτίας τῶν πατέρων αὐτῶν, ὅτι παρέβησαν καὶ ὑπερεῖδόν με, καὶ ὅτι ἐπορεύθησαν ἐναντίον ἐμοῦ πλάγιοι.

μα. Καὶ ἐγὼ ἐπορεύθην μετ' αὐτῶν ἐν θυμῷ πλαγίῳ· καὶ ἀπολῶ αὐτοὺς ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν. τότε ἐντραπήσονται αἱ καρδίαι (1) αὐτῶν αἱ ἀπερίτμητοι, καὶ τότε εὐδοκήσουσι τὰς ἁμαρτίας αὐτῶν.

Αἱ ἀπερίτμητοι. τὸ Σαμαρειτικὸν, ἡ ἀκρόβυστος. (2)

ΑΔΗΛΟΥ. Σημείωσαι πάλιν, ἡ περιτομὴ ἐν κρυπτῷ ἐστὶν ὧδε, καὶ οὐ προβαίνει τὸ γράμμα.

μβ. Καὶ μνησθήσομαι τῆς διαθήκης Ἰακὼβ, καὶ τῆς διαθήκης Ἰσαὰκ, καὶ τῆς διαθήκης Ἀβραὰμ μνησθήσομαι.

ΘΕΟΔΩΡΙΤΟΥ. Μετὰ μέντοι τὰς ἀπειλὰς ὑπέσχετο καὶ χρηστὰ, καὶ τὴν ἀπὸ τῆς αἰχμαλωσίας ἐπάνοδον ἐπηγγείλατο, οὐ διὰ τὴν αὐτῶν ἀξίαν, ἀλλὰ διὰ τὴν τῶν προγόνων εὐσέβειαν. τοῦτο γὰρ ἔφη· » καὶ μνησθήσομαι τῆς διαθήκης Ἰακὼβ, καὶ τῆς » διαθήκης Ἰσαὰκ, καὶ τῆς διαθήκης Ἀ- » βραάμ. καὶ μνησθήσομαι αὐτῶν διαθήκης » προτέρας, ὅτε ἐξήγαγον αὐτοὺς ἐκ γῆς » Αἰγύπτου, ἐξ οἴκου δουλείας ἐναντίον πάν- » των τῶν ἐθνῶν, τοῦ εἶναι αὐτῶν Θεός. ἐγώ εἰμι Κύριος. ἔδειξε δὲ διὰ τούτων τὰς τῆς φιλανθρωπίας αἰτίας. διὰ γὰρ τὰς πρὸς τοὺς πατέρας αὐτῶν ἐπαγγελίας, φησὶ, τῆς τούτων ἀνέχομαι παρανομίας· καὶ ἐπειδὴ ἔγνω πάντα τὰ ἔθνη διὰ τῶν παραδόξων θαυμάτων, ὅτι διαφερόντως τούτων ἐπιμελοῦμαι, καὶ λαὸς ἐμὸς χρηματίζουσι. τοῦ μέντοι Ἰακὼβ ἐμνημόνευσε πρώτου, ἐπειδὴ τούτων ἁπάντων μόνος ἦν πρόγονος. ὁ γὰρ Ἰσαὰκ, καὶ τῶν Ἰδουμαίων· ὁ δὲ Ἀβραὰμ, καὶ τῶν Ἰσμαηλιτῶν, καὶ τῶν ἀπὸ Χεττούρας. κάτωθεν τοίνυν ἀρξάμενος κατὰ τάξιν, ἐπὶ τὸν Ἀβραὰμ ἀνελήλυθε, πρὸς ὃν ἐξ ἀρχῆς ἐπεποίητο τὰς συνθήκας.

μγ. Καὶ τῆς γῆς μνησθήσομαι, καὶ ἐγκαταλειφθήσεται ἡ γῆ ἀπ' αὐτῶν. τότε προσδέξεται ἡ γῆ τὰ σάββατα αὐτῆς, ἐν τῷ ἐρημωθῆναι αὐτὴν δι' αὐτούς. καὶ αὐτοὶ προσδέξονται τὰς ἑαυτῶν ἀνομίας, ἀνθ' ὧν τὰ κρίματά μου ὑπερεῖδον, καὶ τοῖς προστάγμασί μου προσώχθισαν τῇ ψυχῇ αὐτῶν.

Προσδέξονται τὰς ἑαυτῶν ἀνομίας. τὸ Σαμαρειτικὸν, ἱλάσονται, ἀντὶ τοῦ, καταδεξάμενοι ὁμολογοῦσι τὰ ἑαυτῶν πταίσματα.

μδ. Καὶ οὐδ' ὡς ὄντων αὐτῶν ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν, οὐχ ὑπερεῖδον αὐτοὺς, οὐδὲ προσώχθισα αὐτοῖς ὥστε ἐξαναλῶσαι αὐτοὺς τοῦ διασκεδάσαι τὴν διαθήκην μου τὴν πρὸς αὐτούς· ἐγὼ
με. γάρ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν. Καὶ μνησθήσομαι διαθήκης αὐτῶν προτέρας, ὅτε ἐξήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας ἐναντίον πάντων τῶν ἐθνῶν τοῦ εἶναι αὐτῶν Θεός. ἐγὼ Κύριος.

μϛ. Ταῦτα τὰ κρίματα, καὶ τὰ προστάγματα, καὶ ὁ νόμος ὃν ἔδωκε Κύριος ἀναμέσον αὐτοῦ καὶ ἀναμέσον τῶν υἱῶν Ἰσραὴλ, ἐν τῷ ὄρει Σινᾶ ἐν χειρὶ Μωϋσῆ.

ΑΔΗΛΟΥ. Κρίματά ἐστι τὰ δικαιοπραγήματα· τὸ, » οὐ κατατενεῖς τὸν ἀδελφόν σου ἐν μόχθῳ· ἅπερ ἐκ φιλαγαθίας νικᾷ τὴν τοῦ νόμου ἀκρίβειαν. οἷον, τὸ ἀποδοῦναι τὰ ὑποσχεθέντα Θεῷ, τὸ ποιεῖν νομίμως τὰς ἑορτὰς, τὸ ἀποδεκατοῦν τὴν οὐσίαν, τὸ διὰ τῶν ἱερῶν (3) τὰς πρὸς Θεὸν λειτουργίας γίνεσθαι. νόμιμα δέ ἐστι τὰ ἐξ ἀπειθείας ἐπάγοντα τιμωρίαν· οἷον, οἱ ἀπηγορευμένοι γάμοι, οἱ φόνοι, αἱ ἁρπαγαὶ, καὶ τὰ παραπλήσια. Λευϊτ. 25. 43.

ΚΕΦ. ΚΖ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ
ἐρεῖς πρὸς αὐτοὺς, ἄνθρωπος ὃς ἂν εὔξηται εὐχὴν ὥστε δοῦναι τιμὴν τῆς ψυ-
γ. χῆς αὐτοῦ τῷ Κυρίῳ, Ἔσται ἡ τιμὴ τοῦ ἄρσενος ἀπὸ εἰκοσαετοῦς ἕως ἑξήκοντα ἐτοῦς, ἔσται αὐτοῦ ἡ τιμὴ πεντήκοντα δίδραχμα ἀργυρίου τῷ σταθμῷ τῷ
δ. ἁγίῳ. τῆς δὲ θηλείας ἔσται ἡ συντίμησις τριάκοντα δίδραχμα.

ΑΔΗΛΟΥ. Ἀντὶ, ἐάν τις ἀποδῶται ἑαυτὸν τῷ Θεῷ, καὶ ἀνάθηται ἑαυτὸν, καὶ θέλῃ λυτρώσασθαι ἑαυτὸν, γίνεται μὲν ἡ διατίμησις τοῦ ἄρρενος καὶ τῆς θηλείας καθ' ἡλικίαν, ὡς ἐτάγη, ἐὰν εὐπορῇ· ἐὰν δὲ ἀπορῇ, ὡς ἂν διατιμήσηται ὁ ἱερεὺς, δίδωσιν ὁ ὑποσχόμενος ἑαυτοῦ, καὶ ἐλευθεροῦται. ὅτι δὲ περὶ τῶν ἐν ὑποσχέσει λέγει γεγονότων ὁ λόγος, καὶ ἐκ τῶν ἑπομένων ἐστὶ καταμαθεῖν. ἐξ ὧν, καὶ ἄλλα ζῶά τις ὑπισχνούμενος ἀφορίσαι Θεῷ, λυτροῦται αὐτά· ἀντὶ τοῦ, ἐξαγοράσας ἐλευθεροῖ αὐτὰ τῆς ὑποσχεθείσης ἀνάγκης

(1) Ἐντραπήσεται ἡ καρδία αὐτῶν ἡ ἀπερίτμητος. αἱ εἰρημ. ἐκδόσ.
(2) Ἡ ἀκροβυστία. ὁ Ἀλεξάν. κώδ.
(3) Ἴσ. ἱερέων.

ἀνάγκης πάντως καὶ τὸ ἐπίπεμπτον τιθείς· σημαίνει δὲ, ὡς δεσπόζει τῶν ἰδίων ὁ ἱερεὺς, οὕτω καὶ τῶν ἀνατιθεμένων Θεῷ.

„ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ὃς ἂν εὔξη-
„ ται εὐχὴν ὥστε δοῦναι τιμὴν τῆς ψυχῆς αὐτοῦ τῷ Κυρίῳ; Εὐχὴν καλεῖ τὴν ὑπόσχεσιν, ὃ πολλοὶ τάγμα προσαγορεύουσι. τοῦτον δὲ τὸν νόμον ἐστὶ καὶ νῦν παρ' ἐνίοις βαρβάροις εὑρεῖν φυλαττόμενον· οἱ γὰρ πλεῖστοι τῶν νομάδων, λέγω δὲ τοὺς ἀπογόνους τοῦ Ἰσμαὴλ, ἀντιταλαντεύουσι τοῖς εὐθυγενέσι βρέφεσιν ἀργύριον, καὶ τοῦτο προσκομίζουσι τῷ Θεῷ. περὶ τούτου νενομοθέτηκεν ὁ Θεός· καὶ γινώσκων ὡς Θεὸς, ὅτι τῶν ὑπισχνουμένων τινὲς δώσειν ὑπὲρ ἑαυτῶν τιμὴν τῷ Θεῷ, παραβήσονται τὴν ὑπόσχεσιν, σμικρύνοντες τὴν τιμήν· ἐκέλευσε πεντήκοντα εἶναι δίδραχμα τοῦ ἄρρενος τὴν τιμὴν, τῆς δὲ θηλείας τριάκοντα, καὶ τῶν ἀκμαζόντων καὶ τῶν γεγηρακότων ὑπεξῃρημένων. τὴν γὰρ μέσην περιώρισεν ἡλικίαν ἀπὸ εἰκοσαετοῦς εἰρηκὼς ἕως ἑξήκοντα ἐτοῦς. τοῖς γὰρ τούτων νεωτέροις, [καὶ πρεσβυτέροις,] ἄλλην ὥρισε τιμήν. τοὺς δὲ πένητας ὑπὸ τὴν τῶν ἱερέων καταλέλοιπε κρίσιν· ἵνα ἐκεῖνοι πρὸς τὰς δυνάμεις ὁρίζωσι τὰς τιμάς. τὰ δὲ ἀφιερούμενα ἄλογα ἐναλλάττεσθαι παρὰ τῶν προσφερόντων ἀπαγορεύει· καὶ ὥστε μὴ τοῦτο δρᾷν, τὴν τῆς ζημίας αὐτοῖς ἐπιτίθησιν
„ ἀνάγκην. ἐὰν γάρ φησιν ἀλλάσσων ἀλλά-
„ ξῃ αὐτὸ, ἔσται αὐτὸ καὶ τὸ ἄλλαγμα αὐτοῦ ἅγιον. τῶν μέντοι ἀκαθάρτων κτηνῶν ὁρίσαι τὴν τιμὴν τὸν ἱερέα ἐκέλευσε. τοῦτο καὶ ἐπὶ οἰκίας, καὶ ἀγροῦ γενέσθαι προσέταξεν. ὥρισε δὲ καὶ τὴν τοῦ διδράχμου ποσότητα· εἴκοσι γὰρ ἐκέλευσεν ἕλκειν ὀβολούς. τὸ δὲ δίδραχμον τινὲς τῶν ἑρμηνευόντων (1) στατῆρα ἐκάλεσαν. τὰ μέντοι ἀνατεθειμένα τῷ Θεῷ προσέταξε μὴ λυτροῦσθαι.

** ΚΥΡΙΛΛΟΥ. Προσίεσαν τινες ἑαυτοὺς εἰς ἁγιασμὸν καὶ ἀνάθημα καταγράφοντες τῷ Θεῷ, καὶ ἀνατιθέντες ἀσμένως τὴν τῷ νόμῳ διωρισμένην τῶν διδράχμων ποσότητα.

** ΤΟΥ ΑΥΤΟΥ. Προσίεμεν τῷ πάντων σωτῆρι Χριστῷ διὰ πίστεως καὶ ἁγιασμοῦ, τῶν εἰς ἡμᾶς παρ' αὐτοῦ γεγονότων προσάγοντες τὴν ἀντέκτισιν, τῆς ἐν εὐσεβείᾳ ζωῆς τὴν ἀνάθεσιν. ἀλλὰ διάφορος καὶ οὐχ εἷς νοοῖτ' ἂν ὑπάρχειν, καὶ μάλα εἰκότως, τῆς προσαγωγῆς ὁ τρόπος. οἱ μὲν γὰρ, οὐκ ἄγαν εὐσθενῶς· οἱ δὲ, θερμοτέραις ὥσπερ προθυμίαις εἰς τοῦτο διάττουσι. Καὶ μετ' ὀλίγα. Εἶεν δ' ἂν οὗτοι, κατάγε τὸ ἐκ τῆς ἱστορίας ὑποδηλούμενον, οἱ ἀπὸ εἰκοσαετοῦς καὶ ἕως ἑξήκοντα ἐτοῦς. ἀνέρχεται μὲν γὰρ ἕως ἑξηκοστοῦ λοιπὸν ἔτους, εὐσθενὲς εἶναι τὸ σῶμα, καὶ ἐν τοῖς ἀκμαιοτάτοις κινήμασι. βέβηκε δὲ ἤδη καὶ ἔρρωταί πως ὁ νοῦς, καὶ μάλα ἐπιτηδείως ἔχει πρὸς παραδοχὴν ὧν ἂν ἕλοιτο μα-

A„ θεῖν. ὁ δὲ εἰδὼς τὸ πλάσμα ἡμῶν, κατὰ τὸ γεγραμμένον, ἔγνω που πάντως τοιάνδε τινὰ καὶ ἐν ταῖς ψυχαῖς ἡλικίαν. ἐξ ὁμοιώσεων γὰρ ὁ λόγος τῶν σωματικῶν διέρπει που πάντως ἐπὶ τὰ νοητά. εἴτ' οὖν ἄρσεν εἴη τυχὸν, εἴτ' οὖν θήλεια, τῆς νοητῆς ἡλικίας ἐν ἀκμαῖς ἔτι κείμενοι, προσκομιζόντων τὰ ὡρισμένα, τουτέστιν ἄρσην ὡς ἐν διδράχμοις πεντήκοντα, τὸν ἀρτίως ἔχοντα καὶ ὅτι μάλιστα τελειότατον τῆς Ψαλ. 102. 14.
B πνευματικῆς λατρείας καρπόν. ὃς διὰ τῶν ἑπτάκις ἑπτὰ, πρὸς λῆξιν ἤδη τὴν ἀνωτάτω, καὶ εἰς τελειότητα μεμαρτυρημένος ὁρᾶται σαφῶς· ἡ δέ γε θήλεια πάλιν, ὡς ἐν διδράχμοις τριάκοντα. μεῖον μὲν γὰρ ἢ τὸ ἄρσεν εὐδοκιμεῖ. προσκομίζει δὴ οὖν ὅμως, ὡς κατ' ἰδίαν φύσιν, τὸν ἐν τελειότητι καὶ πόνῳ καρπὸν, ὡς διὰ τριῶν δεκάδων ὑποδηλούμενον.

Γ ε. Ἐὰν δὲ ἀπὸ πενταετοῦς ἕως εἴκοσι ἐτῶν, ἔσται ἡ τιμὴ τοῦ ἄρσενος εἴκοσι δίδραχμα· τῆς δὲ θηλείας, δέκα δίδραχμα.

** ΚΥΡΙΛΛΟΥ. Ἐν πέντε γὰρ, οἶμαι, καὶ μόλις ἐτῶν, ἄρχεταί πως ὁ νοῦς ἀναμύειν ὥσπερ εἰς σύνεσιν, νηπιοπρεπῆ μὲν ἔτι καὶ ἀσθενῆ, πλὴν ἰοῦσαν ὡς ἐπὶ τὸ ἄμεινον· ἐπίδοσιν δὲ τὴν εἰς τὸ ἀεί πως εὐσθενὲς τὸ σῶμα ποιεῖται. συμμεμέτρηται μὲν
Δ οὖν ταῖς πνευματικαῖς εὐρωστίαις καὶ ὁ παρ' ἑκάστου καρπός. κατόπιν δὲ πανταχοῦ τὸ θῆλυ τοῦ ἄρσενος, καὶ ἐν ἡμίσει πολλάκις.

ϛ. Ἀπὸ δὲ μηνιαίου ἕως πενταετοῦς, ἔσται ἡ τιμὴ τοῦ ἄρσενος πέντε δίδραχμα ἀργυρίου· τῆς δὲ θηλείας, τρία δίδραχμα ἀργυρίου.

** ΚΥΡΙΛΛΟΥ. Τὸ ἀρτιγενὲς ἐν Χριστῷ παιδίον ὁ λόγος ἡμῖν ὑπαινίττεται, οἷς
E„ καὶ τὸ γάλα πρέπειν εἰς τροφὴν ὁ ἱερὸς ἔφη Παῦλος. τῶν γὰρ ἄρτι κεκλημένων διὰ τῆς πίστεως, καὶ νηπιαζόντων ἔτι, βραχὺς ὁ καρπός. 1. Κορ. 3. 2.

ζ. Ἐὰν δὲ ἀπὸ ἑξήκοντα ἐτῶν καὶ ἐπάνω, ἐὰν μὲν ἄρσεν ᾖ, ἔσται ἡ τιμὴ αὐτοῦ πεντεκαίδεκα δίδραχμα ἀργυρίου· τῆς δὲ θηλείας, δέκα δίδραχμα.

** ΚΥΡΙΛΛΟΥ. Τὸ γὰρ ἤδη νενευκὸς
Z εἰς τὸ ἄναλκί τε καὶ ἀδρανὲς, οὐκ ἂν γένοιτό πως ἐν εὐκαρπίᾳ πολλῇ, καθάπερ ἀμέλει καὶ τὰ γηράσκοντα τῶν φυτῶν, παλαιουμένης αὐτῶν τῆς ῥίζης, κατοκνοῦντα φαίνεται πρὸς τὴν ὡρίμων ἐκβολήν. οὐκοῦν ὁ δίκαιος ἀληθῶς καὶ φιλοικτίρμων Θεὸς, ἀναλόγως ταῖς ἑκάστου προθυμίαις, καὶ τῇ κατὰ νοῦν ἐπιτηδειότητι δέχεται τοὺς καρποὺς, οὔτε τὸ ἄναλκι καὶ ἀφηβηκὸς ἔξω τε λόγου τιθεὶς καὶ ἀποπέμπων ὡς ἀδρα-
H νὲς, οὔτε μὴν ἀγέραστον τὸ εὐσθενὲς ἀνιείς· ἀνθρώπων δὲ ὥσπερ τοῖς ἐθέλουσι τὸ εὐδοκιμεῖν, καθ' ὃν ἂν ἕκαστος ἔχοι τρόπον.

Ee ee 3 η. Ἐὰν

(1) Ὁ Ἐπιφάν. ἐν τῷ περὶ μέτρ. καὶ σταθ.

A η. Ἐὰν δὲ ταπεινὸς ᾖ τῇ τιμῇ, στήσεται ἐναντίον τοῦ ἱερέως· καὶ τιμήσεται αὐτὸν ὁ ἱερεύς. καθάπερ ἰσχύει ἡ χεὶρ τοῦ εὐξαμένου, οὕτω τιμήσεται αὐτὸν ὁ ἱερεύς.

✱✱ ΚΥΡΙΛΛΟΥ. Εἰ δὲ δὴ τὶς εἴη τῶν οὐ λίαν εὐσθενῶν, ἤγουν τῶν ἀσημοτέρων, οὐκ ἔτι μὲν κατὰ νόμους ἡ ἔκλησις ἦν· δοκιμάζοντος δὲ τοῦ κατὰ καιροὺς ἱερατεύοντος, B ὀφλήματι τοῖς αὐτοῦ μέτροις τὸ ἰσοπαλὲς ὡρίζετο.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Τοὺς δὲ τὴν ἕξιν ἀσθενεστέρους, τάχα δέ που καὶ ὀλιγογνώμονας, αὐτὸς ἕξει, τὴν καρποφορίαν ἐπιμετρῶν ἑκάστῳ τὸ κατ' ἰσχύν. τοῦτο γὰρ » οἶμαί ἐστι τὸ, στήσεται ἐναντίον τοῦ ἱερέως, » καὶ τιμήσει αὐτὸν ὁ ἱερεὺς, καθ' ὅσον ἰσχύει » ἡ χεὶρ τοῦ εὐξαμένου.

ΑΔΗΛΟΥ. Κατὰ δύναμιν δὲ τὴν ἑκάστου τιμᾶται αὐτοῦ ὁ ἀληθῶς ἱερεὺς, λέγων· Γ
Ματθ. 19. 11. οὐ πάντες χωροῦσι τὸν λόγον. δέχεται γὰρ καὶ τοὺς ἐν ἐλαττώμασι καθὼς χωροῦσι· καὶ τοὺς λειτουργοὺς ἐν τῷ κατὰ δύναμιν δοθέντι ἀργυρίῳ τὴν ἐπικαρπίαν ἀπαιτεῖ. (1)

θ. Ἐὰν δὲ ἀπὸ τῶν κτηνῶν τῶν
προσφερομένων ἀπ' αὐτῶν δῶρον τῷ
Κυρίῳ, ὃς ἂν δῷ ἀπὸ τούτων τῷ Κυ-
ι. ρίῳ, ἔσαι ἅγιον. Οὐκ ἀλλάξεις αὐ- Δ
τὸ καλὸν πονηρῷ, οὐδὲ πονηρὸν καλῷ.
ἐὰν δὲ ἀλλάσσων ἀλλάξῃς αὐτὸ κτῆνος
κτήνει, ἔσαι αὐτὸ καὶ τὸ ἄλλαγμα
ια. ἅγια. Ἐὰν δὲ πᾶν κτῆνος ἀκάθαρ-
τον, ἀφ' ὧν οὐ προσφέρεται ἀπ' αὐ-
τῶν δῶρον τῷ Κυρίῳ, στήσει τὸ κτῆνος
ιβ. ἐναντίον τοῦ ἱερέως, Καὶ τιμήσεται
αὐτὸ ὁ ἱερεὺς ἀναμέσον καλοῦ καὶ ἀνα-
μέσον πονηροῦ· καὶ καθ' ὅτι ἂν τιμή- E
σηται αὐτὸ ὁ ἱερεὺς, οὕτω στήσεται.
ιγ. Ἐὰν δὲ λυτρούμενος λυτρώσηται αὐ-
τὸ, προσθήσει τὸ ἐπίπεμπτον πρὸς τὴν
τιμὴν αὐτοῦ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ζώων δὲ τῶν ἀνιερωμένων Θεῷ, καθαρῶν μὲν ἐναλλαγὴ οὐ γίνεται, οὔτε εἰς ἧττον, οὔτε εἰς κάλλιον· τὸ γὰρ οἰκεῖον οὐκ ἀποβάλλεται· τῶν δὲ μὴ καθαρῶν, ἔδωκεν ἀντεισάγεσθαι τὰς Z ὁριζομένας ὑπὸ τοῦ ἱερέως τιμάς. οὗτοι δ' ἂν εἶεν· οἱ μὴ δι' ἑαυτῶν, ἀλλὰ δι' ἑτέρων οἰκειούμενοι Θεῷ· οὓς ἀνθ' ἑαυτῶν προσάγουσιν, ἰδίους αὐτοὺς ποιησάμενοι δι' ἀγάπης. καὶ ὁ ἱερεὺς προσίεται κατ' ἀξίαν τῶν ἀνταλλαγμάτων. οὗτοί εἰσι φίλοι, οὓς
Λουκ. 16. 9. ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας κτώμεθα, ἵνα
» δέξωνται ἡμᾶς εἰς τὰς σκηνὰς αὐτῶν.

A ιδ. Καὶ ἄνθρωπος ὃς ἂν ἁγιάσῃ τὴν οἰκίαν αὐτοῦ ἁγίαν τῷ Κυρίῳ, καὶ τιμήσεται αὐτὴν ὁ ἱερεὺς ἀναμέσον καλῆς καὶ ἀναμέσον πονηρᾶς· ὡς ἂν τιμήσηται αὐτὴν ὁ ἱερεὺς, οὕτω σταθήσεται.

ΑΔΗΛΟΥ. Τὸ δ' αὐτὸ καὶ ἐπὶ οἰκίας καὶ ἀγροῦ, ὧν τιμὴν τις εὔξαιτο καταθήσειν Θεῷ. ἐπὶ μὲν τῆς οἰκίας, κατὰ γνώ- B μην τοῦ ἱερέως ἡ τίμησις· ἐπὶ δὲ ἀγροῦ, πρὸς τὸν τῶν καρπῶν λόγον. τὸ δὲ Σα- » μαρειτικὸν, καὶ διατιμήσεται αὐτὴν ὁ ἱε- » ρεὺς, εἴτε καλὴ, εἴτε σαπρά. ἐὰν δὲ ξένος ἀγοράζῃ, οὐ δίδωσι τὸ ἐπίπεμπτον· ἐὰν δὲ ὁ δεσπότης ἀγοράζῃ ἢ τὴν οἰκίαν, ἢ οἱονδηποτοῦν, ὃ ὑπέσχετο Θεῷ, πρὸς τῇ ἀληθεῖ διατιμήσει καὶ τὸ ἐπίπεμπτον αὐτοῦ δίδωσι. σημαίνει δὲ, ὅτι ἀπὸ παλαιοῦ τὰ προσαγόμενα Θεῷ, ἐν ᾧ μὴ δύνανται ἱε- Γ ρουργεῖσθαι, ἐπώλουν αὐτὰ οἱ ἱερεῖς.

ιε. Ἐὰν δὲ ὁ ἁγιάσας αὐτὴν λυτρῶται τὴν οἰκίαν αὐτοῦ, προσθήσει ἐπ' αὐτῷ τὸ ἐπίπεμπτον τοῦ ἀργυρίου τῆς τιμῆς, καὶ ἔσαι αὐτῷ.

✱ ΠΡΟΚΟΠΙΟΥ. Εἰ δὲ μὴ (2) τιμὴν οἰκίας ἢ ἀγροῦ τὶς, ἀλλ' αὐτὰ ἁγιάσῃ Θεῷ, τὴν τιμὴν καταθήσει μετὰ τοῦ πέμπτου, Δ λυτρούμενος αὐτὰ, καὶ μεθέξει τὰς κτήσεις. ἑτέρῳ δὲ οὐκ ἀποδώσεται, ἀλλὰ κἂν ἀποδῶται, (3) μέχρι τοῦ Ἰωβηλαίου καθέξει ὁ πριάμενος, καὶ μετὰ τοῦτον ἔσαι Θεοῦ.

ις. Ἐὰν δὲ ἀπὸ τοῦ ἀγροῦ τῆς κατασχέσεως αὐτοῦ ἁγιάσῃ ἄνθρωπος τῷ Κυρίῳ, καὶ ἔσαι ἡ τιμὴ κατὰ τὸν σπόρον αὐτοῦ, κόρου κριθῶν πεντήκοντα δίδραχμα ἀργυρίου.

E ✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸν δὲ ἐξ ἀγορασίας (4) ἀγρὸν οὐκ ἀνακλήσεται αὐτὸν ἑαυτῷ, ἀλλὰ πρὸς λόγον τῶν καρπῶν ἀποδοὺς τῷ Θεῷ, ἐν τῷ Ἰωβὴλ ἀποκαταστήσεται τὸν ἀγρὸν τῷ πεπρακότι.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὁ ἀνατεθεὶς ἀγρὸς πρὸς τὴν πρόσοδον πωλεῖται. ἐὰν φέρῃ, φησὶ, κόρον κριθῶν, πεντήκοντα διδράχμων· ἐὰν δὲ δύω κόρους, ἑκατὸν διδράχμων, καὶ οὕτω τὸ κατὰ ἀναλογίαν.

Z ιζ. Ἐὰν δὲ ἀπὸ τοῦ ἐνιαυτοῦ τῆς
ἀφέσεως ἁγιάσῃ τὸν ἀγρὸν αὐτοῦ,
ιη. κατὰ τὴν τιμὴν αὐτοῦ στήσεται. Ἐὰν
δὲ ἔσχατον μετὰ τὴν ἄφεσιν ἁγιάσῃ
τὸν ἀγρὸν αὐτοῦ, προσλογιεῖται αὐτῷ
ὁ ἱερεὺς τὸ ἀργύριον ἐπὶ τὰ ἔτη τὰ
ἐπίλοιπα, ἕως εἰς τὸν ἐνιαυτὸν τῆς
ἀφέ-

(1) Τὰ αὐτὰ ἄλλως ὁ Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ.

(2) Ἐὰν δέ τις μὴ τὴν τιμὴν, ἀλλ' αὐτὴν ἁγιάσῃ τὴν οἰκίαν ἢ τὸν ἀγρὸν, δώσει τὴν τιμὴν καὶ τὸ πέμπτον, καὶ καθέξει ταῦτα, ἑτέρῳ δὲ, κτ. ὁ τῆς Αὐγ. κώδ.

(3) Ἐὰν δὲ ἑτέρῳ ἀποδῶται. : ὁ αὐτ.

(4) Ὁ δὲ ἁγιάσας ἀγρὸν ἐκ ἀπὸ κλήρου ἰδίου, ἀλλ' ἐξ ἀγορασίας οὐκ ἀνακ. κτ. ὁ αὐτ.

ἀφέσεως, καὶ ἀνθυφαιρεθήσεται ἀπὸ
ιθ. τῆς συντιμήσεως αὐτοῦ. Καὶ ἐὰν λυ-
τρῶται τὸν ἀγρὸν ὁ ἁγιάσας αὐτὸν,
προσθήσει τὸ ἐπίπεμπτον τοῦ ἀργυρίου
πρὸς τὴν τιμὴν αὐτοῦ, καὶ ἔσται αὐτῷ.
κ. Ἐὰν δὲ μὴ λυτρῶται τὸν ἀγρὸν, καὶ
ἀποδῶται τὸν ἀγρὸν ἀνθρώπῳ ἑτέρῳ,
κα. οὐκ ἔτι μὴ λυτρώσηται αὐτόν. Ἀλλ'
ἔσται ὁ ἀγρὸς ἐξεληλυθυίας τῆς ἀφέ-
σεως ἅγιος αἰνετὸς τῷ Κυρίῳ, ὥσπερ
ἡ γῆ ἡ ἀφωρισμένη τῷ ἱερεῖ ἔσται κα-
τάσχεσις αὐτοῦ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐὰν δὲ ἐν αὐτῷ τῷ ἐνιαυτῷ τῆς ἀφέσεως ἁγιάσῃ τὶς τὸν ἀγρὸν, καὶ θέλῃ, τὸ πᾶν δίδωσι τῆς τιμῆς θέλων αὐτὸν λαβεῖν εὐθύς· ἐὰν δὲ μετὰ τοῦ Ἰωβὴλ ἐνιαυτὸν ἁγιάσῃ τὶς τὸν ἀγρὸν, καὶ θελήσῃ αὐτὸν ὁ δεσπότης λυτρώσασθαι ἐν τῷ μεταξὺ, διατιμήσεως γενομένης, ὑπολογίζεται ἑαυτῷ ὁ ἱερεὺς τὴν πρόσοδον, καὶ λαμβάνει τὸ λοιπὸν τῆς ἀξίας, καὶ τὸ ἐπίπεμπτον, καὶ ἀναδίδωσιν αὐτὸν τῷ δεσπότῃ. ἐὰν δὲ παρελθόντος τοῦ Ἰωβὴλ, μὴ λυτρώσηται αὐτὸν ὁ δεσπότης, ἔξεστι τῷ ἱερεῖ πωλῆσαι αὐτὸν ἄλλῳ. καὶ οὐκ ἔτι δύναται ὁ δεσπότης ἀναλαβεῖν αὐτόν. μετὰ γὰρ τὴν ἄφεσιν, ἀμελήσαντος τοῦ δεσπότου, οὕτω γίνεται ὑπὸ τὸν ἱερέα ὁ ἀνατεθεὶς ἀγρός. διὰ δὲ τοῦτο τὸ ἐπίπεμπτον δίδωσιν ὁ ἀναλαμβάνων ὃν ἀνέθηκεν ἀγρὸν, ὅτι ὡς μεταμεληθεὶς ὁρᾶται.

κβ. Ἐὰν δὲ ἀπὸ τοῦ ἀγροῦ οὗ κέκλη-
ται, ὃς οὐκ ἔστιν ἀπὸ τοῦ ἀγροῦ τῆς κα-
τασχέσεως αὐτοῦ, ἁγιάσῃ τῷ Κυρίῳ,
κγ. Λογιεῖται πρὸς αὐτὸν ὁ ἱερεὺς τὸ τέ-
λος τῆς τιμῆς αὐτοῦ ἐκ τοῦ ἐνιαυτοῦ
τῆς ἀφέσεως, καὶ ἀποδώσει τὴν τιμὴν
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἁγίαν τῷ Κυρίῳ.
κδ. Καὶ ἐν τῷ ἐνιαυτῷ τῆς ἀφέσεως ἀπο-
δοθήσεται ὁ ἀγρὸς τῷ ἀνθρώπῳ παρ'
οὗ κέκτηται αὐτὸν, οὗ ἦν ἡ κατάσχεσις
τῆς γῆς.

ΑΔΗΛΟΥ. Ἄλλος πάλιν λέγει, ὅτι ἐάν τις τὸν μὴ ἴδιον ἀνάθηται, ὃν παρ' ἄλλου ἠγόρασε, δίδωσι τὴν διατίμησιν αὐτοῦ, λογιζομένου τοῦ ἱερέως τὴν πρόσοδον τοῦ ἀγροῦ εἰς τὸ τίμημα, τὴν φθάνουσαν ἕως τοῦ ἐνιαυτοῦ τῆς ἐλευθερίας, καὶ ἀποδίδοται ὁ ἀγρὸς, οὐ τῷ ἀναθεμένῳ, ἀλλὰ τῷ δεσπότῃ. ὥσπερ γὰρ εἰ μὴ ἀνέθετο αὐτὸν, ἀνεδίδου τῷ πωλήσαντι ἐν τῷ ἔτει τῆς ἀφέσεως, λογιζόμενος ἑαυτῷ τὰς προσόδους· οὕτω καὶ νῦν ἀναδίδοται μὲν τῷ δεσπότῃ, πλὴν ἐὰν ὑστερήσῃ ἡ πρόσοδος πρὸς τὴν ἀξίαν τοῦ χωρίου, ὁ ἁγιάσας αὐτὸν δίδωσι τὸ λοιπόν. ἑκουσίως γὰρ ὑπέσχετο, καὶ οὐ κατὰ ἀνάγκην αὐτὸν ὑπέθετο, ὡς ὁ δεσπότης.

A κε. Καὶ πᾶσα τιμὴ ἔσται σταθμίοις
ἁγίοις· εἴκοσι ὀβολοὶ ἔσται τὸ δί-
δραχμον.

κς. Καὶ πᾶν πρωτότοκον ὃ ἐὰν
γένηται ἐν τοῖς κτήνεσί σου, ἔσται τῷ
Κυρίῳ, καὶ οὐκ ἀλλάξει οὐδεὶς αὐτό.
ἐάν τε μόσχος, ἐάν τε πρόβατον, τῷ
κζ. Κυρίῳ ἐστίν. Ἐὰν δὲ τῶν τετραπόδων
B τῶν ἀκαθάρτων ἀλλάξῃ κατὰ τὴν τι-
μὴν αὐτοῦ, καὶ προσθήσει τὸ ἐπίπεμ-
πτον αὐτοῦ πρὸς αὐτὸ, καὶ ἔσται αὐτῷ·
ἐὰν δὲ μὴ λυτρῶται, πραθήσεται κα-
τὰ τὸ τίμημα αὐτοῦ.

* ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐπὶ τῶν ζώων τῶν πρωτοτόκων καθαρῶν μὲν, οὐδὲ λύτρωσις· μὴ καθαρῶν δὲ, ἡ μετὰ τοῦ πέμπτου λύτρωσις. (1)

Γ κη. Πᾶν δὲ ἀνάθημα, ὃ ἐὰν ἀνα-
θῇ ἄνθρωπος τῷ Κυρίῳ ἀπὸ πάντων,
ὅσα αὐτῷ ἐστὶν, ἀπὸ ἀνθρώπου ἕως
κτήνους, καὶ ἀπὸ ἀγροῦ κατασχέσεως
αὐτοῦ, οὐκ ἀποδώσεται, οὐδὲ λυτρώ-
σεται. πᾶν ἀνάθημα ἅγιον ἁγίων ἔσται
τῷ Κυρίῳ.

ΑΔΗΛΟΥ. Ἄλλο ἐστὶν ἀνάθημα, καὶ
Δ ἄλλο ἐστὶν ἅγιον. τὸ γὰρ ἀνάθημα τελείως ἀφορίζεται, καὶ ἀνατίθεται τῷ Θεῷ, καὶ μετὰ τῆς ἱερατικῆς ἀναγράφεται κτήσεως. ὡς εἶναι τὸ μὲν, καθ' ὑπόσχεσιν ἅγιον, ὃ καὶ δύναται λυτρωθῆναι, ὡς καὶ ἡ δεκάτη· τὸ δὲ, τελείως ἀνατεθὲν ἅγιον ἁγίων, ὅπερ οὐκ ἔτι δύναται ἐπανακάμψαι ἐπὶ τὴν δεσποτείαν τοῦ ἁγιάσαντος αὐτό. ὅθεν καὶ ὀπίσω, ὅτε παρῆλθεν ὁ ἐνιαυτὸς τῆς ἀφέσεως, καὶ οὐκ ἐλυτρώσατο τὸν ἴδιον ἀγρὸν ὁ δεσπότης, ἐγένετο ὁ ἀγρὸς ἅγιος
E » αἰνετὸς τῷ Κυρίῳ· ὡς μηκέτι ὢν μόνον ἅγιος, ὃς δύναται λυτροῦσθαι, ἀλλὰ καὶ ἑτέραν δεξάμενος προσθήκην ἐν ὀνόματι,
» τὸ, αἰνετός· καὶ ὑπὸ τὴν τοῦ ἱερέως γενόμενος δεσποτείαν, ἤτοι κατάσχεσιν. τὸ δὲ ἀνάθεμα ὑπερβαίνει καὶ τὸν ἅγιον αἰνετὸν καιρόν. διὸ καὶ ἅγιον τῶν ἁγίων καλεῖται, καὶ οὐ λυτρώσει ὑπόκειται, ὡς αὐτῷ τῷ Θεῷ ἀφιερωθέν. οὗτοι δὲ εἰσι κατὰ πνεῦμα
Z οἱ Θεοῦ ἐξαίρετοι καὶ ἀχώριστοι.

ΑΛΛΟΣ. Τῶν προσφερομένων, τὰ μὲν καλεῖται ἅγια, τὰ δὲ ἀναθήματα. καὶ τὰ μὲν ἁγιαζόμενά ἐστιν ὅσα τὶς προσφέρει καὶ καρποφορεῖ τῷ Κυρίῳ, ἔχοντος ἐν αὐτοῖς ἐξουσίαν τοῦ ἱερέως, εἴτε παρακατασχεῖν, εἴτε πωλῆσαι, καὶ τὸ τίμημα εἰς χρείαν τοῦ ἱεροῦ ἀναλῶσαι. ὅσα δὲ ἀνατίθησι τὶς ἐπὶ τούτῳ, ἵνα διαπαντὸς ἔσται ἀνακείμενα τῷ Κυρίῳ ὑπὲρ τῆς ψυχῆς
H αὐτοῦ, ταῦτα καλεῖται ἀναθήματα τῷ Κυρίῳ, μηκέτι δυνάμενα εἰς κοινὴν καὶ ἀνθρωπίνην κατάγεσθαι χρῆσιν.

ΠΡΟΚΟ-

(1) Λύτρωσις, ἢ πρᾶσις. ὁ τῆς Αὐγ. κώδ.

δὲ ἐδὲν
δεῶ ἕως
θεταἰ.
ὺν ἀνα-
ρωθή-
σεται.
ῶν πο-
ὡς ἐπὶ
ν ἐν ςο-
τῦ μέλ-
τῶν οἰ-
ν μετα-
οτίζετε
ιῶν Φη-
ύξαϑαι
, ἀπὸ
πὸ τῦ
, ἅγιον
'Ορᾷς,
ωματι-
ὶν, οἴε-
ὴ καὶ ἡ
ῷ θεία
τρῶται
ὸ ἐπί-
ὐτῷ.
ὼν, καὶ
ι ἐν τῷ
έκατον

A ΑΔΗΛΟΥ. Πάντα φησὶ τὰ ἀριθμῷ πολιτευόμενα, καὶ ὑπονόμεα ὄντα, δέκατα τύτω, εἰ καὶ λυτρώσει ὑπόκειται, ὥσπερ καὶ ἡ δεκάτη τῶν γεννημάτων.


** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Παντὸς τῦ ἐλθόντος ὑπὸ τὴν ῥάβδον, λέγω δὲ τὴν παιδείαν, ἡμέρυ καὶ τιθασσῦ θρέμματος, τὸ δέκατον ἀποκρίνεται, νόμυ προςάξει γινόμενον ἅγιον. Ἵνα ἐκ πολλῶν διδασκώμεθα τὴν δεκάδος πρὸς Θεὸν οἰκειότητα, B καὶ τὴν τῦ ἐννάτυ ἀριθμῦ πρὸς τὸ θνητὸν ἡμῶν γένος. Καὶ μετ' ὀλίγα. Ὁρᾷς, ὅτι καὶ ἀπὸ τῶν ἐν ἡμῖν αὐτοῖς ζώων ἀλόγων, ταῦτα δ' εἰσὶν αἰσθήσεις, πάλιν ἀπάρχεσθαι διείρηται; τὸ γὰρ ὁρᾷν καὶ ἀκύειν καὶ ὀσφραίνεσθαι καὶ γεύεσθαι, ἔτι τε ἅπτεσθαι, δωρεαὶ θεῖαι, ὑπὲρ ὧν εὐχαριστητέον.

λγ. Οὐκ ἀλλάξεις αὐτὸ καλὸν πονηρῷ, ὐδὲ πονηρὸν καλῷ· ἐὰν δὲ Γ ἀλλάσσων ἀλλάξῃς αὐτὸ, καὶ τὸ ἄλλαγμα αὐτῦ ἔςαι ἅγιον, ὐ λυτρω-
λδ. θήσεται. Αὗται αἱ ἐντολαὶ, ἃς ἐνετείλατο Κύριος τῷ Μωϋσῇ πρὸς τὺς υἱὺς Ἰσραὴλ ἐν τῷ ὄρει Σινᾷ.

ΑΔΗΛΟΥ. Ἐὰν μέντοι ἀντὶ κακῶν προσαγάγῃ τὶς, καὶ τὰ δύω ἀναγκάζεσθαι (5) δῦναι, καὶ ὔτε ἔξεσιν αὐτῷ λυ- Δ τρώσασθαι αὐτά. ἡ γὰρ ἐπιτιμία τῦ ἀλλάσσοντος ἐν τύτω, καὶ τὸ καλὸν δίδωσι, καὶ τὸ σαπρὸν ἀπόλλει, καὶ τῆς λυτρώσεως ςερεῖται, μὴ ἔχων ἐξυσίαν, ὡς ἄδικος, δῦναι τὸ τίμημα καὶ τὸ ἐπίπεμπτον, καὶ λαβεῖν τὸ ἴδιον, ὡς πάντες ἔχυσιν ἐπὶ τοῖς δεκάτοις.

ΤΟΥ ΛΕΥΙΤΙΚΟΥ.

ςίχοι β,ψ.



ΑΡΙΘ-

τυ. ὁ τῆς Αὐγ. κώδ.
λεξάν. κώδ. Ἐπὶ μὲν πολεμίων ἐπὶ θανάτῳ. ὁ τῆς Αὐγ. κώδ.
καὶ ἴσ. ἀναγνως. ὅπερ. ὁ δὲ τῆς Αὐγ. κώδ. τάδ' ἔχει· τυτέσιν
μέλλοντος. ἐπὶ δὲ, κτ.
τὸ μετὰ τὴν ἐφ' ἑαυτῷ εὐχὴν ἀνασκέψασθαι. ὁ τῆς Αὐγ. κώδ.



ἈΡΙΘΜΟΙ
ΤΩΝ
ΥΙΩΝ ΙΣΡΑΗΛ ΣΥΓΓΡΑΦΗ ΜΩΣΕΩΣ ΠΡΟΦΗΤΟΥ.

** ΑΘΑΝΑΣΙΟΥ. Λέγεται οὕτω τὸ βιβλίον, ἐπειδὴ καὶ τοῦ λαοῦ παντὸς ὁ ἀριθμὸς ἐν τούτῳ περιέχεται, ἑκάστης Φυλῆς τῶν Ἰουδαίων ἐκ προστάγματος Κυρίου μετρηθείσης. ἠριθμήθη δὲ ὁ λαὸς ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ἀνὴρ ἐκπορευόμενος εἰς πόλεμον, χωρὶς τῆς Φυλῆς τοῦ Λευΐ· αὕτη γὰρ καθ' ἑαυτὴν ἐμετρήθη· καὶ εὑρέθη ὁ ἀριθμὸς τῶν μετρηθέντων, χιλιάδες ἑξακόσιαι καὶ τρισχίλιοι πεντακόσιοι πεντήκοντα. οἱ δὲ ἀριθμοῦντες ἦσαν, τὸν μὲν λαὸν, Μωϋσῆς καὶ Ἀαρὼν, καὶ σὺν αὐτοῖς ἑκάστης Φυλῆς ἄρχων. Καὶ μετ' ὀλίγα. Ἠρίθμησε δὲ καὶ τὰ ἀρσενικὰ πρωτότοκα πασῶν τῶν ἄλλων Φυλῶν Μωϋσῆς μόνος· καὶ εὑρέθη ὁ ἀριθμὸς αὐτῶν, χιλιάδες κβ', καὶ διακόσιοι ἑβδομήκοντα τρεῖς. καὶ ἀντὶ τῶν πρωτοτόκων τούτων ἐλογίσθησαν οἱ Λευῖται τῷ Θεῷ. τοσοῦτοι γὰρ ἦσαν καὶ οἱ Λευῖται.

ΚΕΦ. Α.

α. αὶ ἐλάλησε Κύριος
πρὸς Μωϋσῆν ἐν τῇ
ἐρήμῳ τῇ Σινᾶ, ἐν
τῇ σκηνῇ τοῦ μαρτυ-
ρίου, ἐν μιᾷ τοῦ μη-
νὸς τοῦ δευτέρου, ἔτους δευτέρου ἐξελ-
β. θόντων ἐκ γῆς Αἰγύπτου, λέγων, Λά-
βε ἀρχὴν πάσης συναγωγῆς υἱῶν Ἰσ-
ραὴλ κατὰ συγγενείας αὐτῶν, κατ'
οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθ-
μὸν ἐξ ὀνόματος αὐτῶν, κατὰ κεφα-
γ. λὴν αὐτῶν· πᾶς ἄρσην Ἀπὸ εἰκο-
σαέτους καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευό-
μενος ἐν δυνάμει Ἰσραὴλ, ἐπισκέψα-
σθαι (1) αὐτοὺς σὺν δυνάμει αὐτῶν· σὺ
καὶ Ἀαρὼν ἐπισκέψασθαι αὐτούς.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ προσέταξεν ἀριθμηθῆναι τὸν λαὸν ὁ Θεός; Ἵνα τῆς οἰκείας ἐπαγγελίας δείξῃ τὸ ἀληθές. ὑπισχνούμενος γὰρ τῷ Ἀβραὰμ, ἔφη· (Γα. 22. 17.) „πληθύνων πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης·" ἔδειξε δὲ τὴν τῆς ἐπαγγελίας ἀλήθειαν. ἐκ πέντε γὰρ καὶ ἑβδομήκοντα τῶν εἰς Αἴγυπτον κατεληλυθότων, ἑξακόσιαι χιλιάδες καὶ τρισχί- H λιοι καὶ ἑξακόσιοι (2) πεντήκοντα ἠριθμήθησαν ἐν ὀλίγοις ἔτεσιν ἄνδρες δυνάμενοι πολεμεῖν, καὶ τῆς ἐξώρου ἡλικίας καὶ τῆς ἀώρου κεχωρισμένης, καὶ μέντοι καὶ τοῦ θήλεως γένους, καὶ τῆς λευϊτικῆς Φυλῆς. οὐδὲ γὰρ αὕτη ταῖς λοιπαῖς συνηριθμήθη. ταύτην αὐτοῦ διδάσκων τὴν δύναμιν ὁ δεσπότης Θεὸς, καὶ διὰ τοῦ προφήτου Ἡσαΐου,
E „ἔφη· βλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα (Ἡσ. 51. 2.)
„ὑμῶν, καὶ εἰς Σάῤῥαν τὴν ὠδίνουσαν ὑμᾶς,
„ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτὸν, καὶ εὐλό-
„γησα αὐτὸν, καὶ ἐπλήθυνα αὐτόν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὸ δὲ, κατὰ συγγενείας, καὶ κατ' οἴκους πατριῶν, ἐκκαλύπτει τὴν ἀπὸ τοῦ καθόλου διαβαίνουσαν εἰς τὸ καθ' ἕκαστον γνῶσιν· ὅτι ἐμπεριέχεται τῷ ὅλῳ τὸ μέρος.

Z ** ΠΡΟΚΟΠΙΟΥ. Παρατηρητέον ἐν τοῖς Ἀριθμοῖς, ὅτι οὐ γυνὴ ἀριθμεῖται, ὡς ἀσθενής· οὐ παιδίον, ὡς εὐκαταφρόνητον, πλὴν πρωτοτόκων καὶ Λευϊτῶν· οὐ δοῦλος, διὰ τὸ ἄτιμον· οὐκ ἐπίμικτος, διὰ τὸ ἀλλότριον· ἀλλ' οἱ ἄρσενες καὶ οἰκεῖοι, ἐλεύθεροί τε καὶ εὐγενεῖς, καὶ εἰς μέτρον ἡλικίας ἥκοντες τοῦ πληρώματος τοῦ Χριστοῦ.

ΚΥΡΙΛΛΟΥ. Ὅτι τὸ ἄρσεν καὶ μαχιμώτατον, καὶ εἰς εὐεξίαν πνευματικὴν ἀναβεβηκὸς, ἐν ἀπογραφῇ τῇ θείᾳ τέτακται.

ἐπράτ-

(1) Ἐπισκέψασθε. αἱ ἐρημ. ἔκδοσ. ὡσαύτως καὶ κατωτέρω. σὺ καὶ Ἀαρὼν ἐπισκέψασθε.

(2) Καὶ πεντακόσιοι καὶ πεντήκοντα. ἡ ἐν Χάλ. ἔκδοσ. ὀρθῶς καὶ συμφώνως τῷ τε 46. ἐδ. τοῦ δε τοῦ κεφ. καὶ τῷ τοῦ Ἀθανασ. ὑπομνήμ.

ἐπράττετο δὲ τὰ τῆς ἀπογραφῆς διά τε A
Μωϋσέως καὶ Ἀαρὼν, ἵνα δι᾽ ἀμφοῖν νοῶμεν τὸν ἕνα Χριστὸν, ὡς ἐν Μωσῇ νομοθέτην, ὡς ἐν Ἀαρὼν ἀρχιερέα. γέγονε γὰρ ἐφ᾽ ἡμᾶς νομοθέτης ἅμα καὶ ἀρχιερεύς· καὶ διὰ τῆς αὐτοῦ μεσιτείας τῶν ἀνδριζομένων καὶ ἐκπρεπεστέρων εἰς ἀρετὴν ἡ ἐν θείαις βίβλοις ἀπογραφή.

ΒΑΣΙΛΕΙΟΥ. Τήρει, φησὶν, ὅτι ἐν ἀριθμοῖς πρωτοτόκων καὶ Λευϊτῶν οὐδεὶς ἀριθμεῖται. πάντες μέντοι οἱ ἄξιοι γραφῆς γραφήσονται εἰς ζωήν. μακάριος δὲ ὁ τῆς ἐν Ἱερουσαλὴμ καταγραφῆς ἀξιούμενος. (1)

δ. Καὶ μεθ᾽ ὑμῶν ἔσονται ἕκαστος κατὰ φυλὴν, ἕκαστος ἀρχόντων, κατ᾽ οἴκους πατριῶν ἔσονται.

** ΚΥΡΙΛΛΟΥ. Φυλὴ ἑκάστη τὸν εὐκλεέστερον καὶ μαχιμώτατον ἐφίστησιν ἡγεμόνα, καὶ προασπιστὴν, καὶ βουλῆς ἐξάρχοντα, καὶ τῶν πρακτέων εἰσηγητήν. ὧν ἂν εἶεν εἰς τύπον οἱ τοῖς ἀπολέκτοις καὶ ἐν βίβλῳ ζωῆς κειμένοις ἐφεστηκότες Ἄγγελοι. γέγραπται γὰρ περὶ παντὸς δικαίου·
Ψαλ. 33. 7. παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν
„ φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀριθμοῦσι δὲ τοῖς περὶ Μωσέα συνεργοὺς ἔδωκε φύλαρχον ἕνα κατὰ φυλήν. οἱ τοὺς ἐφεστῶτας Ἀγγέλους ἀνθρώποις κατασημαίνουσιν. ἐπεὶ
Δευτ. 32. 8. καὶ τὰ ὅρια τῶν ἐθνῶν εἰλήχασιν Ἄγγε-
„ λοι, κατὰ ἀριθμὸν υἱῶν Ἰσραήλ. τάττονται δὲ κατὰ τὴν ἀξίαν τοῦ γένους, οὐ κατὰ τὴν ὧδε τάξιν τῆς γενέσεως. ἐν οἷς δείκνυται οὐ τὸ πρεσβύτερον τιμιώτερον παρὰ Θεῷ, οὐδ᾽ ὁ Ἰσραὴλ παρὰ τὴν ὑστέραν ἐκκλησίαν.

ε. Καὶ ταῦτα τὰ ὀνόματα τῶν
ἀνδρῶν, οἵτινες στήσονται μεθ᾽ ὑμῶν.
τῶν Ῥουβὶμ, Ἐλισοὺρ (2) υἱὸς Ἐδιούρ. E
ς. Τῶν Συμεὼν, Σαλαμιὴλ υἱὸς Σουρι-
ζ. σαδαΐ. (3) Τῶν Ἰούδα, Ναασσὼν υἱὸς
η. Ἀμιναδάβ. Τῶν Ἰσσάχαρ, Ναθα-
θ. ναὴλ υἱὸς Σωγάρ. Τῶν Ζαβουλὼν,
ι. Ἐλιὰβ υἱὸς Ἀχαιλών. (4) Τῶν υἱῶν
Ἰωσὴφ τῶν Ἐφραὶμ, Ἐλκαμὰ (5)
υἱὸς Ἐμιούδ. τῶν Μανασσῆ, Γαμαλιὴλ
ια. υἱὸς Φαδασσούρ. Τῶν Βενιαμὶν, Ἀβει-
ιβ. δὰν υἱὸς Γαδεωνί. Τῶν Δὰν, Ἀχιέζερ
ιγ. υἱὸς Ἀμισαδαΐ. Τῶν Ἀσὴρ, Φαγαὴλ
ιδ. υἱὸς Ἐχράν. Τῶν Γὰδ, Ἐλισὰφ υἱὸς
ιε. Ῥαγουήλ. Τῶν Νεφθαλὶ, Ἀχιρὲ
υἱὸς Ἐνάν.

ις. Οὗτοι ἐπίκλητοι τῆς συναγωγῆς, ἄρχοντες τῶν φυλῶν κατὰ πατριὰς αὐτῶν, χιλίαρχοι Ἰσραήλ εἰσι.

* ΚΥΡΙΛΛΟΥ. Θηλειῶν παντελῶς καὶ μειρακειώδους ἡλικίας ἀλογήσας ὁ Προφήτης ὁρᾶται. καταγράφει δὲ ὄχλον τὸν ἡβήσαντα. τίμιον γὰρ ἐν βίβλῳ Θεοῦ πᾶν ὅσον ἀνδρῶδες καὶ νεανικὸν, καὶ οὐ νηπιάζον εἰς φρόνησιν τὴν ἐπ᾽ ἀγαθοῖς.

ιζ. Καὶ ἔλαβε Μωϋσῆς καὶ Ἀαρὼν
τοὺς ἄνδρας τούτους τοὺς ἀνακληθέν-
ιη. τας ἐξ ὀνόματος. Καὶ πᾶσαν τὴν συ-
B ναγωγὴν ἐξεκκλησίασαν ἐν μιᾷ τοῦ
μηνὸς τοῦ δευτέρου ἔτους· καὶ ἐπεσκέ-
πησαν κατὰ γενέσεις αὐτῶν, κατὰ
πατριὰς αὐτῶν, κατὰ ἀριθμὸν ὀνο-
μάτων αὐτῶν, ἀπὸ εἰκοσαέτους καὶ
ἐπάνω, πᾶν ἀρσενικὸν κατὰ κεφα-
ιθ. λὴν αὐτῶν, Ὃν τρόπον συνέταξε
Κύριος τῷ Μωσῇ· καὶ ἐπεσκέπησαν
κ. ἐν τῇ ἐρήμῳ τοῦ Σινᾶ. Καὶ ἐγένοντο
υἱοὶ Ῥουβὶμ πρωτοτόκου Ἰσραὴλ κα-
τὰ συγγενείας αὐτῶν, κατὰ δήμους
αὐτῶν, κατ᾽ οἴκους πατριῶν αὐτῶν,
κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κα-
τὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ
ἀπὸ εἰκοσαέτους καὶ ἐπάνω, πᾶς ὁ
κα. ἐκπορευόμενος ἐν τῇ δυνάμει, Ἡ ἐπί-
σκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ῥουβὶμ,
ἓξ καὶ τεσσαράκοντα χιλιάδες καὶ πεν-
κβ. τακόσιοι. Τοῖς υἱοῖς Συμεὼν κατὰ
συγγενείας αὐτῶν, κατὰ δήμους αὐ-
τῶν, κατ᾽ οἴκους πατριῶν αὐτῶν, κα-
τὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ
κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ
ἀπὸ εἰκοσαέτους καὶ ἐπάνω, πᾶς ὁ
κγ. ἐκπορευόμενος ἐν τῇ δυνάμει, Ἡ ἐπί-
σκεψις αὐτῶν ἐκ τῆς φυλῆς Συμεὼν,
E ἐννέα καὶ πεντήκοντα χιλιάδες καὶ
τριακόσιοι.

κς. (6) Τοῖς υἱοῖς Ἰούδα κατὰ συγ-
γενείας αὐτῶν, κατὰ δήμους αὐτῶν,
κατ᾽ οἴκους πατριῶν αὐτῶν, κατὰ
ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κε-
φαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ
εἰκοσαέτους καὶ ἐπάνω, πᾶς ὁ ἐκπο-
κζ. ρευόμενος ἐν τῇ δυνάμει, Ἡ ἐπίσκε-
Z ψις αὐτῶν ἐκ τῆς φυλῆς Ἰούδα, τέσ-
σαρες καὶ ἑβδομήκοντα χιλιάδες καὶ
ἑξακόσιοι.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς οὖν ἡ τοῦ Ἰούδα φυλὴ ὑπερέβαλε πάσας τῷ ἀριθμῷ, καίτοι οὖσα βασιλική; Ἐκ τῆς βασιλικῆς εἷς ἀνὴρ ἐβασίλευσεν· οἱ δὲ τῆς λευϊτικῆς ἅπαντες ἐλειτούργουν· οἱ μὲν ἱερατεύοντες, οἱ δὲ τούτοις διακονοῦντες. ἔδει δὲ καὶ τὴν βασι-

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

(2) Ἐλισούρ. αἱ εἰρημ. ἐκδόσ.

(3) Σουρισαδαΐ. αἱ αὐτ.

(4) Χαιλών. αἱ αὐτ.

(5) Ἐλισαμά. αἱ αὐτ.

(6) Ἰστέον, ὅτι αἱ εἰρημ. ἐκδόσ. αἷς ἑπόμενοι τὴν τῶν ἐδαφ. διαίρεσιν πεποιήκαμεν, τὸ μὲν 24. καὶ 25. ἐδ. 26. καὶ 27. γράφουσι· τὸ δὲ 38. καὶ 39. 24. καὶ 25. διὸ οὕτω καὶ παρ᾽ ἡμῖν γέγραπται.

βασιλικὴν ὑπερέχειν τῷ ἀριθμῷ, καὶ διὰ
τὴν εὐλογίαν τοῦ δεσπότου Χριστοῦ· ἐξ αὐτῶν
γὰρ ἔμελλε τὸ κατὰ σάρκα λαμβάνειν·
[καὶ] ὥστε τοὺς ἐξ αὐτῶν χειροτονουμένους
βασιλεῖς ἀρκοῦσαν ἔχειν τῶν φυλετῶν τὴν
ἐπικουρίαν. συνέταξε δὲ κἀνταῦθα τῇ βα-
σιλικῇ φυλῇ τοὺς ἱερέας. πρὸς ἥλιον γὰρ
ἀνίσχοντα τὴν Ἰούδα τάξας φυλὴν, συνῆψεν
αὐτοῖς τοὺς ἱερέας μετὰ τῆς κιβωτοῦ. τῷ
μέντοι Δὰν τὸ βόρειον ἀπεκλήρωσε κλί-
Ἱερ. 1. 14. „ *μα. ἀπὸ προσώπου γάρ φησι βοῤῥᾶ ἐκκαυ-*
„ *θήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοι-*
„ *κοῦντας τὴν γῆν. εἴρηται δὲ ἡμῖν ἐν ταῖς*
τοῦ Ἰακὼβ εὐλογίαις, ὡς ἐκ τῆς Δὰν φυ-
λῆς ὁ ἀλάστωρ τεχθήσεται, ὁ Χριστὸν μὲν
ἑαυτὸν ὀνομάζων, τἀναντία δὲ τῇ προση-
γορίᾳ διαπραττόμενος, καὶ σφετεριζόμε-
νος τὰ μηδαμόθεν αὐτῷ προσήκοντα. τῷ
δὲ Ἰούδα μάλα εἰκότως τὸ ἑῷον ἀπένειμεν.
ἐπειδὴ καὶ περὶ τοῦ δεσπότου Χριστοῦ οἱ θεῖοι
Ζαχ. 6. 12. *βοῶσι προφῆται· ἰδοὺ ἀνὴρ, ἀνατολὴ ὄνο-*
Μαλαχ. 4. 2. *μα αὐτῷ· καὶ τοῖς φοβουμένοις με ἀνατελεῖ*
„ *ἥλιος δικαιοσύνης· καὶ ἴασις ἐν ταῖς πτέ-*
Ἡσ. 42. 7. *ρυξιν αὐτοῦ. καὶ, τοῖς ἐν σκότει καὶ σκιᾷ θα-*
„ *νάτου καθημένοις φῶς ἀνέτειλεν αὐτοῖς.*

κη. Τοῖς υἱοῖς Ἰσσάχαρ κατὰ συγ-
γενείας αὐτῶν, κατὰ δήμους αὐτῶν,
κατὰ οἴκους πατριῶν αὐτῶν, κατὰ
ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κε-
φαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ
εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπο-
κθ. ρευόμενος ἐν τῇ δυνάμει, Ἡ ἐπίσκε-
ψις αὐτῶν ἐκ τῆς φυλῆς Ἰσσάχαρ,
τέσσαρες καὶ πεντήκοντα χιλιάδες καὶ
λ. τετρακόσιοι. Τοῖς υἱοῖς Ζαβουλὼν
κατὰ συγγενείας αὐτῶν, κατὰ δή-
μους αὐτῶν, κατ᾽ οἴκους πατριῶν αὐ-
τῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν
κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσε-
νικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς
λα. ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει, Ἡ
ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ζα-
βουλὼν, ἑπτὰ καὶ πεντήκοντα χιλιά-
λβ. δες καὶ τετρακόσιοι. Τοῖς υἱοῖς Ἰω-
σὴφ υἱοῖς Ἐφραὶμ κατὰ συγγενείας
αὐτῶν, κατὰ δήμους αὐτῶν, κατὰ
οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθ-
μὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν
αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκο-
σαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευό-
λγ. μενος ἐν τῇ δυνάμει, Ἡ ἐπίσκεψις
αὐτῶν ἐκ τῆς φυλῆς Ἐφραὶμ, τεσ-
σαράκοντα χιλιάδες καὶ πεντακόσιοι.
λδ. Τοῖς υἱοῖς Μανασσῆ κατὰ συγγενείας
αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾽
οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθ-
μὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν
αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκο-
A σαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευό-
λε. μενος ἐν δυνάμει, Ἡ ἐπίσκεψις αὐ-
τῶν ἐκ τῆς φυλῆς Μανασσῆ, δύω
καὶ τριάκοντα χιλιάδες καὶ διακόσιοι.
λς. Τοῖς υἱοῖς Βενιαμὶν κατὰ συγγενείας
αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾽ οἴ-
κους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν
ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐ-
τῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαέ-
B τους καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμε-
λζ. νος ἐν τῇ δυνάμει, Ἡ ἐπίσκεψις αὐ-
τῶν ἐκ τῆς φυλῆς Βενιαμὶν, πέντε
καὶ τριάκοντα χιλιάδες καὶ τετρα-
κδ. κόσιοι. Τοῖς υἱοῖς Γὰδ κατὰ συγ-
γενείας αὐτῶν, κατὰ δήμους αὐτῶν,
κατ᾽ οἴκους πατριῶν αὐτῶν, κατὰ
ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κέ-
Γ φαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ
εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπο-
κε. ρευόμενος ἐν τῇ δυνάμει, Ἡ ἐπίσκε-
ψις αὐτῶν ἐκ τῆς φυλῆς Γὰδ, πέντε
καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑξα-
λη. κόσιοι καὶ πεντήκοντα. Τοῖς υἱοῖς Δὰν
κατὰ συγγενείας αὐτῶν, [κατὰ δή-
μους αὐτῶν,] κατ᾽ οἴκους πατριῶν αὐ-
τῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν,
Δ κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρ-
σενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω,
πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,
λθ. Ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς
Δὰν, δύω καὶ ἑξήκοντα χιλιάδες καὶ
μ. ἑπτακόσιοι. Τοῖς υἱοῖς Ἀσὴρ κατὰ
συγγενείας αὐτῶν, κατὰ δήμους αὐ-
τῶν, κατ᾽ οἴκους πατριῶν αὐτῶν, κα-
E τὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ
κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ
ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ
μα. ἐκπορευόμενος ἐν τῇ δυνάμει, Ἡ ἐπί-
σκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἀσὴρ,
μία καὶ τεσσαράκοντα χιλιάδες καὶ
μβ. πεντακόσιοι. Τοῖς υἱοῖς Νεφθαλεὶμ
κατὰ συγγενείας αὐτῶν, κατὰ δή-
μους αὐτῶν, κατ᾽ οἴκους πατριῶν αὐ-
Z τῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν,
κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρ-
σενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω,
πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,
μγ. Ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς
Νεφθαλὲμ, τρεῖς καὶ πεντήκοντα
μδ. χιλιάδες καὶ τετρακόσιοι. Αὕτη ἡ
ἐπίσκεψις, ἣν ἐπεσκέψατο Μωϋσῆς
H καὶ Ἀαρὼν καὶ οἱ ἄρχοντες Ἰσραὴλ,
δώδεκα ἄνδρες· ἀνὴρ εἷς κατὰ φυλὴν
μίαν, κατὰ φυλὴν οἴκων πατριᾶς
με. αὐτῶν ἦσαν. Καὶ ἐγένετο πᾶσα ἡ

ἐπίσκεψις τῶν υἱῶν Ἰσραὴλ σὺν δυνά- A
μει αὐτῶν ἀπὸ εἰκοσαέτους καὶ ἐπάνω,
πᾶς ὁ ἐκπορευόμενος παρατάξασθαι
μς. ἐν Ἰσραὴλ, Ἑξακόσιαι χιλιάδες καὶ
τρισχίλιοι καὶ πεντακόσιοι καὶ πεν-
τήκοντα.

μζ. Οἱ δὲ Λευῖται ἐκ τῆς πατριᾶς
αὐτῶν οὐ συνεπεσκέπησαν ἐν τοῖς υἱοῖς
μη. Ἰσραήλ. Καὶ ἐλάλησε Κύριος πρὸς
μθ. Μωϋσῆν, λέγων, Ὅρα, τὴν φυλὴν
τοῦ Λευῒ οὐ συνεπισκέψῃ, καὶ τὸν ἀριθ-
μὸν αὐτῶν οὐ λήψῃ ἐν μέσῳ τῶν υἱῶν
Ἰσραήλ.

** ΙΩΣΗΠΟΥ. Ἐπειδὴ καλῶς αὐτῷ τὰ περὶ τὴν νομοθεσίαν ἔχειν ἐδόκει, πρὸς ἐξέτασιν τοῦ στρατοῦ τὸ λοιπὸν ἐτράπη, τῶν πολεμικῶν ἤδη κατὰ νοῦν ἔχων ἅπτεσθαι. προστάσσει δὲ τοῖς φυλάρχοις, πλὴν τῆς Λευΐτιδος φυλῆς, ἀκριβῶς τὸν ἀριθμὸν ἐκμαθεῖν τῶν στρατεύεσθαι δυναμένων. ἱεροὶ γὰρ ἦσαν οἱ Λευῖται, καὶ πάντων ἀτελεῖς. γενομένης δὲ τῆς ἐξετάσεως, εὑρέθησαν μυριάδες ἑξήκοντα τῶν ὁπλιτεύειν δυναμένων, ὄντων ἀπὸ εἴκοσι ἐτῶν ἕως πεντήκοντα, καὶ τρισχίλιοι πρὸς ἑξακοσίοις καὶ πεντήκοντα. ἀντὶ δὲ Λευὶ κατέλεξεν εἰς τοὺς φυλάρχους Μανασσῆν τὸν Ἰωσήπου παῖδα, καὶ Ἐφραίμην, ἀντὶ τοῦ Ἰωσήπου. δέησις δὲ ἦν αὕτη Ἰακώβου πρὸς Ἰώσηπον, ποιητοὺς αὐτῷ παρασχεῖν τοὺς παῖδας.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀνεπικοινώνητος ἡ λειτουργία. ὁ γὰρ Λευὶ ὑπεξῄρει εἰς μείζονα τάξιν, τὴν τοῦ ἱεροῦ δηλονότι.

ΤΟΥ ΑΥΤΟΥ. Ἱερατικὸς οὗτος ὁ ἀφορισμός. καὶ τὸ ἀφανὲς ἐν τῇ καταριθμήσει τοῦ λαοῦ, ἐπιφανὲς παρὰ Θεῷ.

ν. Καὶ σὺ ἐπίστησον τοὺς Λευΐτας
ἐπὶ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἐπὶ
πάντα τὰ σκεύη αὐτῆς, καὶ ἐπὶ πάν-
τα ὅσα ἐστὶν ἐν αὐτῇ· αὐτοὶ ἀροῦσι
τὴν σκηνὴν, καὶ πάντα τὰ σκεύη
αὐτῆς· καὶ αὐτοὶ λειτουργήσουσιν ἐν
αὐτῇ, καὶ κύκλῳ τῆς σκηνῆς πα-
ρεμβαλοῦσι.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἴδια γὰρ καὶ ἐξαίρετα τοῦ Θεοῦ καὶ ἀσύγχυτα πρὸς τὰ ἀνθρωπικώτερα. διὸ οὐδὲ βασιλεὺς ἱερᾶται, ἀλλ' ὁ ἐπιχειρήσας λεπροῦται... οὕτω τῶν B Λευϊτῶν τὸ αἴρειν τὰ σκεύη, τὸ πλησιάζειν τῇ σκηνῇ, τὸ λύειν καὶ τὸ συντιθέναι.

να. Καὶ ἐν τῷ ἐξαίρειν τὴν σκηνὴν,
καθελοῦσιν αὐτὴν οἱ Λευῖται, καὶ ἐν
τῷ παρεμβάλλειν τὴν σκηνὴν, ἀνα-
στήσουσι. καὶ ἀλλογενὴς ὁ προσπορευό-
μενος, ἀποθανέτω.

ΑΔΗΛΟΥ. Σημείωσαι, ὅτι ἀλλογενῆ Γ καλεῖ τὸν ἀπὸ ἄλλης τῶν ἕνδεκα φυλῶν.

νβ. Καὶ παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσ-
ραὴλ, ἀνὴρ ἐν τῇ αὐτοῦ τάξει, καὶ
ἀνὴρ κατὰ τὴν αὐτοῦ ἡγεμονίαν, σὺν
δυνάμει αὐτῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἄριστον γὰρ ἡ τάξις. καὶ τὰ ἀγγελικὰ ἐν τάξει διάκειται, καὶ τὸ τῆς ὑπεροχῆς ἀμετακίνητον ἐκ δημιουργίας. διὸ καὶ ὑπόκεινται τοῖς μείζοσιν Δ οἱ κατώτεροι.

νγ. Οἱ δὲ Λευῖται παρεμβαλλέ-
τωσαν ὑπεναντίοι κύκλῳ τῆς σκηνῆς
τοῦ μαρτυρίου, καὶ οὐκ ἔσται ἁμάρτημα ἐν
υἱοῖς Ἰσραήλ. καὶ φυλάξουσιν οἱ Λευῖ-
ται αὐτοὶ τὴν φυλακὴν τῆς σκηνῆς
νδ. τοῦ μαρτυρίου. Καὶ ἐποίησαν οἱ υἱοὶ
Ἰσραὴλ, κατὰ πάντα ἃ ἐνετείλατο
E Κύριος τῷ Μωϋσῇ καὶ Ἀαρὼν, οὕτως
ἐποίησαν.

Κ Ε Φ. Β.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
Μωϋσῆν καὶ Ἀαρὼν, λέ-
β. γων, Ἄνθρωπος ἐχόμε-
νος κατὰ τάγμα αὐτοῦ, κατὰ ση-
μαίας, κατ' οἴκους πατριῶν αὐτῶν,
παρεμβαλλέτωσαν οἱ υἱοὶ Ἰσραὴλ·
κύκλῳ τῆς σκηνῆς τοῦ μαρτυρίου πα-
ρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ.

ΑΔΗΛΟΥ. Ἐχόμενος κατὰ τάγμα αὐτοῦ· ἀντὶ τοῦ, ἕκαστος ὡς διατάττεται ὑπὸ τοῦ ἄρχοντος αὐτοῦ, οὕτω ποιείτω· καὶ ὅπου τάττεται, ἐκεῖ μενέτω.

ΑΔΗΛΟΥ. Καθὼς ἂν δοθῇ αὐτοῖς μάνδατα τοῦ πορεύεσθαι, ἢ πολεμεῖν διὰ σαλπίγγων, ἢ σίγνων, ἢ μελῶν. κυρίως δὲ σημαίας τὰ σίγνα καλεῖ.

** ΙΩΣΗΠΟΥ. Πηγνύντες τὴν σκηνὴν, μέσην ἀπελάμβανον, τριῶν πλευρῶν κατὰ πλευρὰν ἑκάστην παρασκηνουμένων, Z ὁδοὶ διὰ μέσων ἐτέτμηντο.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἡ κατὰ τόπους διάστασις, ἢ ὁ πλησιασμὸς ὑπογράφει τὸ κατ' ἀρετὴν οἰκεῖον μᾶλλον ἢ ἧττον.

γ. Καὶ οἱ παρεμβάλλοντες πρῶ-
τοι κατὰ ἀνατολὰς, τάγμα παρεμ-
βολῆς Ἰούδα σὺν δυνάμει αὐτῶν, καὶ
ὁ ἄρχων τῶν υἱῶν Ἰούδα, Ναασσὼν υἱὸς
δ. Ἀμιναδάβ. Δύναμις αὐτοῦ ἡ ἐπε-
H σκεμμένη, τέσσαρες καὶ ἑβδομήκοντα
ε. χιλιάδες καὶ ἑξακόσιοι. Καὶ οἱ πα-
ρεμβάλλοντες ἐχόμενοι φυλῆς Ἰσσά-
χαρ, καὶ ὁ ἄρχων τῶν υἱῶν Ἰσσάχαρ,
Ναθα-

ς. Ναθαναὴλ υἱὸς Σωγάρ. Δύναμις
αὐτοῦ ἡ ἐπεσκεμμένη, τέσσαρες καὶ
πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.
ζ. Καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυ-
λῆς Ζαβουλὼν, καὶ ὁ ἄρχων τῶν υἱῶν
η. Ζαβουλὼν, Ἐλιὰβ υἱὸς Χελών. Δύ-
ναμις αὐτοῦ ἡ ἐπεσκεμμένη, ἑπτὰ καὶ
πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.
θ. Πάντες ἠριθμημένοι ἐκ τῆς παρεμ-
βολῆς Ἰούδα, ἑκατὸν ὀγδοήκοντα χι-
λιάδες καὶ ἑξακισχίλιοι καὶ τετρακόσιοι,
σὺν δυνάμει αὐτῶν πρῶτοι ἐξαροῦσι.

ΑΔΗΛΟΥ. Προτέτακται μὲν Ἰούδας καὶ οἱ σὺν αὐτῷ, καὶ τὸν ἀπόλεκτον ἔχει τόπον, τὸν πρὸς ἕω καὶ νῶτον. ἐν φωτὶ γὰρ οἱ ἐν Χριστῷ, καὶ ἐν τῷ πνεύματι ζέοντες. εἰσὶ δὲ Ἰούδας, Ἰσσάχαρ, Ζαβουλὼν, τῆς βασιλικῆς φυλῆς ἡ ἐξοχὴ, ἀφ' ἧς ὁ Χριστὸς τὸ κατὰ σάρκα.

ι. Τάγμα παρεμβολῆς Ῥουβὶμ
πρὸς νότον σὺν δυνάμει αὐτῶν, καὶ ὁ
ἄρχων τῶν υἱῶν Ῥουβὶμ, Ἐλισοὺρ υἱὸς
ια. Σεδιούρ. Δύναμις αὐτοῦ ἡ ἐπεσκεμ-
μένη, ἓξ καὶ τεσσαράκοντα χιλιάδες
ιβ. καὶ πεντακόσιοι. Καὶ οἱ παρεμβάλ-
λοντες ἐχόμενοι αὐτοῦ φυλῆς Συμεὼν,
καὶ ὁ ἄρχων τῶν υἱῶν Συμεὼν, Σαλα-
ιγ. μιὴλ υἱὸς Σουρισαδαΐ. Δύναμις αὐτοῦ
ἡ ἐπεσκεμμένη, ἐννέα καὶ πεντήκοντα
ιδ. χιλιάδες καὶ τριακόσιοι. Καὶ οἱ πα-
ρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλὴ
Γὰδ, καὶ ὁ ἄρχων τῶν υἱῶν Γὰδ, Ἐλι-
ιε. σὰφ υἱὸς Ῥαγουήλ. Δύναμις αὐτοῦ
ἡ ἐπεσκεμμένη, πέντε καὶ τεσσαρά-
κοντα χιλιάδες καὶ ἑξακόσιοι καὶ πεν-
ις. τήκοντα. Πάντες οἱ ἠριθμημένοι τῆς
παρεμβολῆς Ῥουβὶμ, ἑκατὸν καὶ πεν-
τήκοντα μία χιλιάδες καὶ τετρακό-
σιοι καὶ πεντήκοντα, σὺν δυνάμει αὐ-
τῶν δεύτεροι ἐξαροῦσι.

* ΠΡΟΚΟΠΙΟΥ. Τάγμα δεύτερον, (1) ἤτοι Ῥουβὶμ, Συμεὼν, Γάδ. ὁ πρωτότοκος ἐξάρχει μετὰ τὸν βασιλέα. πρωτότοκος γὰρ ὁ Χριστὸς ἐν σαρκί. δεύτερον δὲ τὸ ἐν ὑπάρξει σεμνὸν, ἢ τὸ βασιλικόν. συνέζευκται δὲ τοῖς ἐλευθέροις τὸ δοῦλον, βοηθούμενον τῇ συζεύξει· καὶ τοῦτο μά-
Γαλ. 3. 28. λιστα παρὰ Χριστῷ, ὅπου οὐκ ἔνι δοῦλος, οὐδὲ
» ἐλεύθερος.

ιζ. Καὶ ἀρθήσεται ἡ σκηνὴ τοῦ
μαρτυρίου, καὶ ἡ παρεμβολὴ τῶν
Λευϊτῶν μέσον τῶν παρεμβολῶν. ὡς
παρεμβαλοῦσιν, οὕτω καὶ ἐξαροῦσιν ἕκα-
στος ἐχόμενος κατὰ τάγμα αὐτῶν.

Α ** ΙΩΣΗΠΟΥ. Τὰ περὶ τὴν σκηνὴν πρῶτοι μὲν οἱ ἱερεῖς κατεῖχον, ἔπειτα δὲ οἱ Λευῖται πάντες, ὄντες τὸ πλῆθος· ἐξητάσθησαν γὰρ καὶ αὐτοί· τοῦ μὲν ἄρσενος ὅσον τριακοστὴν εἶχεν ἡμέραν γενόμενον, δυσμύριοι καὶ τριχίλιοι πρὸς τοῖς ὀκτακοσίοις ὀγδοήκοντα.

ιη. Τάγμα παρεμβολῆς Ἐφραὶμ
κατὰ θάλασσαν σὺν δυνάμει αὐτῶν,
καὶ ὁ ἄρχων τῶν υἱῶν Ἐφραὶμ, Ἐλι-
ιθ. σαμὰ υἱὸς Ἐμιούδ. Δύναμις αὐτοῦ ἡ
ἐπεσκεμμένη, τεσσαράκοντα χιλιά-
κ. δες καὶ πεντακόσιοι. Καὶ οἱ παρεμ-
βάλλοντες ἐχόμενοι φυλῆς Μανασσῆ,
καὶ ὁ ἄρχων τῶν υἱῶν Μανασσῆ, Γα-
κα. μαλιὴλ υἱὸς Φαδασσούρ. Δύναμις αὐ-
τοῦ ἡ ἐπεσκεμμένη, δύο καὶ τριάκοντα
κβ. χιλιάδες καὶ διακόσιοι. Καὶ οἱ πα-
Γ ρεμβάλλοντες ἐχόμενοι φυλὴ Βενια-
μὶν, καὶ ὁ ἄρχων τῶν υἱῶν Βενιαμὶν,
κγ. Ἀβιδὰν υἱὸς Γεδεωνί. Δύναμις αὐτοῦ
ἡ ἐπεσκεμμένη, πέντε καὶ τριάκοντα
κδ. χιλιάδες καὶ τετρακόσιοι. Πάντες
οἱ ἠριθμημένοι τῆς φυλῆς Ἐφραὶμ,
ἑκατὸν χιλιάδες καὶ ὀκτακισχίλιοι καὶ
ἑκατὸν, σὺν δυνάμει αὐτῶν τρίτοι
ἐξαροῦσι.

Δ * ΠΡΟΚΟΠΙΟΥ. Τρίτον τάγμα ἤτοι Ἐφραὶμ, Μανασσῆς, Βενιαμίν. ἐκ πρωτοτόκου τῆς Ῥαχὴλ ὁ Ἐφραίμ. ἀπὸ γὰρ τοῦ Ἰωσὴφ υἱοῦ πρώτου (2) τῆς Ῥαχήλ. συνάπτεται δὲ καὶ ὁ ἕτερος, δεύτερος ὢν, πρότερος ἐν τύπῳ τῶν ἐπιστρεφόντων ἀπὸ τοῦ Ἰσραὴλ, ὄντων ἐχθρῶν, καὶ διὰ τοὺς πατέρας ἀγαπητῶν.

κε. Τάγμα παρεμβολῆς Δὰν πρὸς
Ε βοῤῥᾶν σὺν δυνάμει αὐτῶν, καὶ ὁ ἄρ-
χων τῶν υἱῶν Δὰν, Ἐλιέζερ υἱὸς Ἀμι-
κς. σαδαΐ. (3) Δύναμις αὐτοῦ ἡ ἐπεσκεμ-
μένη, δύο καὶ ἑξήκοντα χιλιάδες καὶ
κζ. ἑπτακόσιοι. Καὶ οἱ παρεμβάλλοντες
ἐχόμενοι αὐτοῦ φυλὴ Ἀσὴρ, καὶ ὁ ἄρ-
χων τῶν υἱῶν Ἀσὴρ, Φαγαιὴλ υἱὸς
κη. Ἐχράν. Δύναμις αὐτοῦ ἡ ἐπεσκεμ-
μένη, μία καὶ τεσσαράκοντα χιλιά-
κθ. δες καὶ πεντακόσιοι. Καὶ οἱ παρεμ-
βάλλοντες ἐχόμενοι φυλὴ Νεφθα-
λεὶμ, καὶ ὁ ἄρχων τῶν υἱῶν Νεφθα-
λ. λεὶμ, Ἀχιρὲ υἱὸς Ἐνάν. Δύναμις
αὐτοῦ ἡ ἐπεσκεμμένη, τρεῖς καὶ πεν-
τήκοντα χιλιάδες καὶ τετρακόσιοι.
λα. Πάντες οἱ ἀριθμηθέντες παρεμβο-
λῆς Δὰν, ἑπτὰ καὶ πεντήκοντα καὶ
Η ἑκατὸν χιλιάδες καὶ ἑξακόσιοι, σὺν
δυνάμει

(1) Δεύτερον ὁ Ῥουβὶμ παρεμβολὴν ἔχει καὶ τάγμα. μετὰ γὰρ τὸν βασιλέα δεύτερον τὸ ἐν προϋπάρξει σεμνόν· πρωτότοκος γὰρ ὁ Κύριος ἐν σαρκί· συνέζευκται δὲ, κτ. ὁ τῆς Αὐγ. κώδ.
(2) Υἱοῦ ὄντος τοῦ πρώτου. ὁ αὐτ.
(3) Ἀχιέζερ υἱὸς Ἀμισαδάν. αἱ εἰρημ. ἐκδόσ.

δυνάμει αὐτῶν ἔσχατοι ἐξαροῦσι κατὰ
τὰ τάγματα αὐτῶν.

* ΠΡΟΚΟΠΙΟΥ. Τέταρτον τάγμα (1) εἰσὶν οἵδε· Δὰν, Ἀσὴρ, Νεφθαλείμ. δοῦλον τὸ γένος, ἀλλ᾽ οὐκ ἀτιμάζεται (2) οὐδὲ ἐν νόμῳ.

λβ. Αὕτη ἡ ἐπίσκεψις τῶν υἱῶν
Ἰσραὴλ κατ᾽ οἴκους πατριῶν αὐτῶν.
πᾶσα ἡ ἐπίσκεψις τῶν παρεμβολῶν
σὺν ταῖς δυνάμεσιν αὐτῶν, ἑξακό-
A σιαι χιλιάδες καὶ τρισχίλιοι καὶ πεντα-
λγ. κόσιοι καὶ πεντήκοντα. Οἱ δὲ Λευῖ-
ται οὐ συνεπεσκέπησαν αὐτοῖς, καθὰ
λδ. ἐνετείλατο Κύριος τῷ Μωϋσῇ. Καὶ
ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ πάντα ὅσα
συνέταξε Κύριος τῷ Μωϋσῇ· οὕτω
παρενέβαλον κατὰ τάγμα αὐτῶν,
καὶ οὕτως ἐξῆρον ἕκαστος ἐχόμενοι κα-
τὰ δήμους αὐτῶν, κατ᾽ οἴκους πατριῶν
B αὐτῶν.

ΚΕΦ. Γ.

α. Αὗται αἱ γενέσεις δ. (3) Ἀα-
ρὼν καὶ Μωϋσῆ, ἐν ᾗ ἡμέρᾳ
ἐλάλησε Κύριος τῷ Μωϋ-
β. σῇ ἐν ὄρει Σινᾶ. Καὶ ταῦτα τὰ ὀνό-
ματα τῶν υἱῶν Ἀαρών· πρωτότοκος
Ναδὰβ, καὶ Ἀβιοὺδ, καὶ Ἐλεάζαρ,
γ. καὶ Ἰθάμαρ. Ταῦτα τὰ ὀνόματα
τῶν υἱῶν Ἀαρὼν, οἱ ἱερεῖς οἱ ἠλειμμέ-
νοι, οὓς ἐτελείωσε τὰς χεῖρας αὐτῶν
δ. ἱερατεύειν. Καὶ ἐτελεύτησε Ναδὰβ
καὶ Ἀβιοὺδ ἔναντι Κυρίου, προσφερόν-
των αὐτῶν πῦρ ἀλλότριον ἔναντι Κυ-
ρίου, ἐν τῇ ἐρήμῳ Σινᾶ, καὶ παιδία οὐκ
ἦν αὐτοῖς. καὶ ἰδοὺ ἱεράτευσαν Ἐλεά-
ζαρ καὶ Ἰθάμαρ μετὰ Ἀαρὼν τοῦ πα-
τρὸς αὐτῶν.
ε. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
ς. σῆν, λέγων, Λάβε τὴν φυλὴν Λευῒ,
καὶ στήσεις αὐτοὺς ἐναντίον Ἀαρὼν τοῦ
ζ. ἱερέως, καὶ λειτουργήσουσιν αὐτῷ, Καὶ
φυλάξουσι τὰς φυλακὰς αὐτοῦ, καὶ
τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ ἔναντι
τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐργάζεσ-
η. θαι τὰ ἔργα τῆς σκηνῆς. Καὶ φυ-
λάξουσι πάντα τὰ σκεύη τῆς σκηνῆς
τοῦ μαρτυρίου, καὶ τὰς φυλακὰς τῶν
υἱῶν Ἰσραὴλ κατὰ πάντα τὰ ἔργα
θ. τῆς σκηνῆς. Καὶ δώσεις τοὺς Λευΐτας
Ἀαρὼν τῷ ἀδελφῷ σου, καὶ τοῖς υἱοῖς
αὐτοῦ τοῖς ἱερεῦσι, δόμα δεδομένον
οὗτοί μοι εἰσὶν ἀπὸ τῶν υἱῶν Ἰσραήλ.

* ΚΥΡΙΛΛΟΥ. Οἱ Λευῖται [συνεργά-
ται] τρόπον τινὰ [καὶ οἱονεὶ] συλλήπτορες
» τοῖς ἱερουργοῖς ἐκνενέμηνται. [Φυλάξουσι
» γὰρ τὰς φυλακὰς αὐτοῦ,] δηλονότι τοῦ Ἀα-
» ρὼν, [καὶ πάντα τὰ σκεύη τῆς σκηνῆς τοῦ
» μαρτυρίου, καὶ τὰ φυλάγματα τῶν υἱῶν
Ἰσραήλ.] καὶ μέχρι τούτων αὐτοῖς τῆς συ-
νεργείας ὁ τρόπος.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνα ἦν τὰ ἔργα τῶν
ἱερέων; καὶ τίνα τῶν Λευϊτῶν; Αὐτὸς ὁ
τῶν ὅλων διδάσκει Θεός. εἶπε γάρ φησι
» Κύριος πρὸς Μωϋσῆν, λάβε τὴν φυλὴν
» Λευῒ, καὶ στήσεις αὐτοὺς ἐναντίον Ἀαρὼν τοῦ
» ἱερέως· καὶ λειτουργήσουσιν αὐτῷ, καὶ φυ-
Γ » λάξουσι τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ
» ἐναντίον τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐργά-
» ζεσθαι τὰ ἔργα τῆς σκηνῆς. καὶ φυλά-
» ξουσι πάντα τὰ σκεύη τῆς σκηνῆς τοῦ μαρ-
» τυρίου, καὶ τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ,
» καὶ πάντα τὰ ἔργα τῆς σκηνῆς. καὶ δώ-
» σεις τοὺς Λευΐτας Ἀαρὼν τῷ ἀδελφῷ σου,
» καὶ τοῖς υἱοῖς αὐτοῦ τοῖς ἱερεῦσι, δόμα δε-
» δομένοι οὗτοι ἀπὸ τῶν υἱῶν Ἰσραήλ. καὶ
» Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ καταστήσεις ἐπὶ
Δ » τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ φυλάξουσι
» τὴν ἱερατείαν αὐτῶν, καὶ πάντα τὰ κατὰ
» τὸν βωμὸν, καὶ τὰ ἔσω τοῦ καταπετάσμα-
» τος. καὶ ὁ ἀλλογενὴς ὁ ἁπτόμενος ἀποθα-
νεῖται. μεμαθήκαμεν οὖν ἐντεῦθεν, ὡς οἱ
μὲν ἱερεῖς τὰς θυσίας προσέφερον, οἱ δὲ
Λευῖται τῶν μὲν ἱερέων ὑπουργοὶ, τῆς δὲ
σκηνῆς κατέστησαν φύλακες. διδάσκει δὲ
ἐν τοῖς ἑξῆς, τίνα μὲν ἔδει φέρειν τοῦ Καὰθ
τὸν δῆμον, τίνα δὲ τὸν Γεδσὼν, καὶ τίνα
E τὸν Μεραρί.

ι. Καὶ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ
καταστήσεις ἐπὶ τῆς σκηνῆς τοῦ μαρ-
τυρίου· καὶ φυλάξουσι τὴν ἱερατείαν
αὐτῶν, καὶ πάντα τὰ κατὰ τὸν βω-
μὸν, καὶ τὰ ἔσω τοῦ καταπετάσμα-
τος. καὶ ὁ ἀλλογενὴς ὁ ἁπτόμενος ἀπο-
θανεῖται.

** ΚΥΡΙΛΛΟΥ. Ἐφίστησι δὲ τῇ σκηνῇ
Z τόν τε Ἀαρὼν καὶ τοὺς υἱοὺς σὺν αὐτῷ. καὶ
» φυλάξουσι γάρ φησι τὴν ἱερατείαν ἑαυτῶν
» καὶ πάντα κατὰ τὸν βωμὸν, καὶ τὰ ἐσώτε-
» ρα τοῦ καταπετάσματος, τουτέστι τὰ ἀπόρ-
ρητά τε καὶ μυστικώτερα, καὶ ὅσα δρᾶν
ἔθος τοὺς τῷ θείῳ προσεδρεύοντας θυσια-
στηρίῳ. καὶ ἔστι μὲν ἀκραιφνῶς ὡς εἰς Χρι-
στὸν ὁ τύπος, ὃν κατέστησεν ὁ πατὴρ ἐπὶ
τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς. κα-
τασημαίνοιεν δ᾽ ἂν οὐκ ἀσυμφανῶς οἱ τῷ
H Ἀαρὼν συνιερατεύοντες, τῶν ἁγίων Ἀπο-
στόλων τὸν εὐαγῆ τε καὶ ἀξιάγαστον χορὸν,
συνερ-

(1) Τῶν ἀμφὶ Δάν. ὁ τῆς Αὐγ. κώδ.

(2) Ἀλλ᾽ οὐδὲ ἐν νόμῳ ἀπόβλητον. ὁ αὐτ.

(3) Τὸ, δ. ἤτοι κακῶς γραφὲν, ἀντὶ τοῦ δ᾽, ἢ δηλωτικὸν τοῦ, τέσσαρες, ἐν ταῖς εἰρημ. ἐκδόσ. οὐ κεῖται.

συνεργαζομένων ὥσπερ καὶ συλλειτουργούντων τῷ Χριστῷ. Θεοῦ γὰρ γεγόνασι συνεργοὶ, ταμίαι τε καὶ οἰκονόμοι μυστηρίων Θεοῦ, καὶ μὴν καὶ διάκονοι, δι' ὧν πεπιστεύκαμεν.

* ΤΟΥ ΑΥΤΟΥ. *Εἰ δέ τις ἕλοιτο καὶ τὴν ἐκκλησιαστικὴν ἐπιδεῖν τάξιν, ἱερατεύουσι μὲν οἱ προύχοντες, συλλαμβάνονται δὲ οἱ Λευῖται, [τῆς ἐκκλησιαστικῆς ἱερατείας] τὴν τάξιν τοῦ νομικοῦ προαναφωνοῦντος γράμματος. ἐξείργεται δὲ τὸ δημωτικὸν παντὸς ἱεροῦ πράγματος. καὶ ὁ περὶ τῶν ἐσχάτων ἐπήρτηται λόγος τοῖς ἁρπάζουσι τὴν τιμήν. [τεθνήξεται γάρ φησιν, ἣν αὐτόμολός τις ἐπ' αὐτὴν ἔλθῃ, τὴν θείαν ἐφ' ἑαυτῷ ψῆφον οὐκ ἔχων.]*

ια. Καὶ ἐλάλησε Κύριος πρὸς
ιβ. Μωϋσῆν, λέγων, Καὶ ἐγὼ ἰδοὺ εἴλη-
φα τοὺς Λευΐτας ἐκ μέσου τῶν υἱῶν
Ἰσραὴλ ἀντὶ παντὸς πρωτοτόκου δια-
νοίγοντος μήτραν παρὰ τῶν υἱῶν Ἰσ-
ραήλ. λύτρα αὐτῶν ἔσονται ἐμοὶ οἱ
ιγ. Λευῗται. Ἐμοὶ γὰρ πᾶν πρωτότο-
κον. ἐν ᾗ ἡμέρᾳ ἐπάταξα πᾶν πρω-
τότοκον ἐν γῇ Αἰγύπτου, ἡγίασα ἐμοὶ
πᾶν πρωτότοκον ἐν Ἰσραήλ· ἀπὸ ἀν-
θρώπου ἕως κτήνους ἐμοὶ ἔσονται. ἐγὼ
Κύριος.

ΑΔΗΛΟΥ. *Οἱ Λευῖται ἐπὶ (1) τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ ἐδόθησαν εἰς ἱερατείαν, καὶ ἡγιάσθησαν. οἱ γὰρ πρωτότοκοι πάντες τοῦ Ἰσραὴλ ἡγιάσθησαν. διὸ οὐδὲ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. ἐπεὶ οὖν κατ' ἀκρίβειαν πάντας τοὺς πρωτοτόκους ἔδει λειτουργεῖν Θεῷ. πλὴν οἱ Λευῖται ἀξιοπιστότεροι ἔδοξαν εἶναι, καὶ γέγονεν ὥσπερ ἀντικαταλλαγή.*

ιδ. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
ιε. σῆν ἐν τῇ ἐρήμῳ Σινᾶ, λέγων, Ἐπί-
σκεψαι τοὺς υἱοὺς Λευὶ κατ' οἴκους πα-
τριῶν αὐτῶν, κατὰ δήμους αὐτῶν,
κατὰ συγγενείας αὐτῶν· πᾶν ἀρσε-
νικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, ἀρίθ-
μησον αὐτούς.

ΚΥΡΙΛΛΟΥ. *Ἐπὶ τῶν Λευϊτῶν ἀπὸ μηνιαίου γέγονεν ἡ ἀπογραφή. προσίεται γὰρ ὁ πάντων δεσπότης τὴν ἐν Χριστῷ νηπιότητα, καθάπερ ἀμέλει τὸ ἔμφρον. [τὸ γὰρ ἐν ἀμφοῖν διαπρέπειν ἐξαίρετον, ἐν συνέσει τε φημὶ καὶ ἁπλότητι τῇ κατὰ Χριστόν. Καὶ μετ' ὀλίγα. Δεκτὴ τοιγαροῦν ἡ τῶν ἁγίων ἁπλότης. κατ' ὄνομα δὲ, καὶ μέντοι καὶ κατὰ δήμους καὶ πατριὰς ἡ ἐπίσκεψις.] ἐπισκοπῆς γὰρ ἰδίας ἀξιοῖ οὓς ἂν ἕλοιτο τιμᾶν, καὶ καθ' ἕνα, καὶ κατὰ πληθὺν, καὶ κατὰ γένος.*

ις. Καὶ ἠρίθμησεν αὐτοὺς Μωϋσῆς
καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου, ὃν τρό-
ιζ. πον συνέταξεν αὐτοῖς Κύριος. Καὶ
ἦσαν οὗτοι υἱοὶ Λευὶ ἐξ ὀνόματος αὐ-
τῶν· Γεδσὼν, Καὰθ, καὶ Μεραρί.
ιη. Καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Γεδ-
σὼν κατὰ δήμους αὐτῶν· Λοβενὶ. καὶ
ιθ. Σεμεΐ. Καὶ υἱοὶ Καὰθ κατὰ δήμους
αὐτῶν· Ἄμβραν, καὶ Ἰσσὰρ, (2) Χε-
κ. βρὼν καὶ Ὀζιήλ. Καὶ υἱοὶ Μεραρὶ κα-
B τὰ δήμους αὐτῶν· Μοολὶ καὶ Ὁμουσί.
οὗτοί εἰσι δῆμοι τῶν Λευϊτῶν κατ' οἴ-
κα. κους πατριῶν αὐτῶν. Τῷ Γεδσὼν δῆ-
μος τοῦ Λοβενὶ, καὶ δῆμος τοῦ Σεμεΐ.
κβ. οὗτοι δῆμοι τοῦ Γεδσών. Ἡ ἐπίσκεψις
αὐτῶν κατὰ ἀριθμὸν παντὸς ἀρσε-
νικοῦ ἀπὸ μηνιαίου καὶ ἐπάνω, ὁ ἀριθμὸς
αὐτῶν, ἑπτακισχίλιοι καὶ πεντακόσιοι.
κγ. Καὶ υἱοὶ Γεδσὼν ὀπίσω τῆς σκη-
Γ νῆς παρεμβαλοῦσι κατὰ θάλασσαν.

** ΠΡΟΚΟΠΙΟΥ. *Τόπος τοῖς Γηδσωνίταις ὁ ὀπισθόδομος, δυτικὸς ὤν· τοῖς δὲ Κααθίταις, τὸ νότιον τῆς σκηνῆς· τοῖς δὲ Μεραρίταις, τὸ βόρειον· τοῖς δὲ ἱερεῦσι, τὸ ἀνατολικόν. ἵνα ἐν ταῖς κινήσεσι καὶ ὁδοιπορίαις κατάρχῃ μὲν τὸ ἀνατολικὸν πρὸς τῷ Ἰούδα τάγματι, οἱ ἱερεῖς. τούτων δὲ καὶ τῶν ἄλλων ὦσιν ἐν μέσῳ οἱ Κααθῖ-* Δ *ται, φέροντες τὰ ἱερὰ σκεύη κεκαλυμμένα ὑπὸ τῶν ἱερέων. καὶ τοῖς ἄλλοις καὶ αὐτοῖς δὲ τοῖς φέρουσιν ἀθεώρητα.*

κδ. Καὶ ὁ ἄρχων οἴκου πατριῶν τοῦ
δήμου τοῦ Γεδσὼν, Ἐλισὰφ υἱὸς Δαήλ.

ΑΔΗΛΟΥ. *Σημειωτέον, ὅτι ἡ πατριὰ μᾶλλον περιεκτικωτέρα ἐστὶ τῆς προσηγορίας τοῦ δήμου. ὡς εἶναι τὴν μὲν πατριὰν, τοῦ Γεδσών· καταγέσθαι δὲ ἐξ αὐτῆς δή-* E *μους τῶν υἱῶν αὐτοῦ. ὃ δὲ ἀπονέμει ἐνταῦθα τοῖς δήμοις εἰς φυλακὴν, ταῦτα ἐν τῷ ἑξῆς κεφαλαίῳ εἰς ἄρσιν. ἀλλὰ τὰ μὲν τῆς φυλακῆς, ἐν τῷ παρεμβάλλειν τὴν σκηνήν· τὰ δὲ τῆς ἄρσεως, ἐν τῷ ἐπαίρειν.*

κε. Καὶ ἡ φυλακὴ υἱῶν Γεδσὼν ἐν
τῇ σκηνῇ τοῦ μαρτυρίου, ἡ σκηνὴ καὶ τὸ
κατακάλυμμα τῆς θύρας τῆς σκη-
Z νῆς τοῦ μαρτυρίου.

ΑΔΗΛΟΥ. *Τὸ κατακάλυμμα, ὅπερ ἐν τῇ Ἐξόδῳ καλεῖ ἐπίσπαστρον.* Ἐξόδ. 26. 36.

κς. Καὶ τὰ ἱστία τῆς αὐλῆς, καὶ
τὸ καταπέτασμα τῆς πύλης τῆς αὐ-
λῆς τῆς οὔσης ἐπὶ τῆς σκηνῆς, καὶ [τὰ]
κατάλοιπα πάντων τῶν ἔργων αὐτῶν.
κζ. Τῷ Καὰθ δῆμος ὁ Ἀμβρὰμ εἷς, [καὶ
H δῆμος ὁ Ἰσσαὰρ εἷς, καὶ δῆμος ὁ Χεβρὼν
εἷς,] καὶ δῆμος ὁ Ὀζιὴλ εἷς. οὗτοί εἰσιν
οἱ δῆμοι τοῦ Καὰθ, κατὰ ἀριθμόν.
Πᾶν

(1) Ἴσ. ἀντί.

(2) Ἀμβρὰμ καὶ Ἰσαάρ. αἱ εἰρημ. ἐκδόσ.

κη. Πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, ὀκτακισχίλιοι καὶ ἑξακόσιοι, φυλάσσοντες τὰς φυλακὰς τῶν ἁγίων.
κθ. Οἱ δῆμοι τῶν υἱῶν Καὰθ παρεμβαλοῦσιν ἐκ πλαγίων τῆς σκηνῆς κατὰ
λ. νότον. Καὶ ὁ ἄρχων οἴκου πατριῶν τοῦ δήμου τοῦ Καὰθ, Ἐλισαφὰν υἱὸς
λα. Ὀζιήλ. Καὶ ἡ φυλακὴ αὐτῶν ἡ κιβωτὸς, καὶ ἡ τράπεζα, καὶ ἡ λυχνία, καὶ τὰ θυσιαστήρια, καὶ τὰ σκεύη τοῦ ἁγίου ὅσα λειτουργοῦσιν ἐν αὐτῇ, καὶ τὸ κατακάλυμμα, καὶ πάντα τὰ
λβ. ἔργα αὐτῶν. Καὶ ὁ ἄρχων ὁ ἐπὶ τῶν ἀρχόντων τῶν Λευϊτῶν, Ἐλεάζαρ υἱὸς Ἀαρὼν τοῦ ἱερέως, καθεσταμένος φυλάσσειν τὰς φυλακὰς τῶν ἁγίων.
λγ. Τῷ Μεραρὶ δῆμος ὁ Ὀμολὶ, (1) καὶ δῆμος ὁ Ὀμουσί. καὶ οὗτοί εἰσι δῆμοι
λδ. τοῦ Μεραρί. Ἡ ἐπίσκεψις αὐτῶν κατὰ ἀριθμὸν, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, ἑξακισχίλιοι καὶ πεν-
λε. τήκοντα. Καὶ ὁ ἄρχων οἴκου πατριῶν τοῦ δήμου τοῦ Μεραρὶ, Σουριὴλ υἱὸς Ἀβιχαίου. ἐκ πλαγίων τῆς σκηνῆς πα-
λϛ. ρεμβαλοῦσι πρὸς βοῤῥᾶν. Ἡ ἐπίσκεψις τῆς φυλακῆς υἱῶν Μεραρὶ, τὰς κεφαλίδας τῆς σκηνῆς, καὶ τοὺς μοχλοὺς αὐτῆς, καὶ τοὺς στύλους αὐτῆς, καὶ τὰς βάσεις αὐτῆς, καὶ πάντα τὰ σκεύη αὐτῶν, καὶ τὰ ἔργα αὐτῶν,
λζ. Καὶ τοὺς στύλους τῆς αὐλῆς κύκλῳ, καὶ τὰς βάσεις αὐτῶν, καὶ τοὺς πασσάλους αὐτῶν, καὶ τοὺς κάλους αὐτῶν.
λη. Καὶ οἱ παρεμβάλλοντες κατὰ πρόσωπον τῆς σκηνῆς τοῦ μαρτυρίου ἀπὸ ἀνατολῶν, Μωϋσῆς καὶ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ, φυλάσσοντες τὰς φυλακὰς τοῦ ἁγίου εἰς τὰς φυλακὰς τῶν υἱῶν Ἰσραήλ. καὶ ὁ ἀλλογενὴς ὁ ἁπτόμενος, ἀποθανεῖται.

λθ. Πᾶσα ἡ ἐπίσκεψις τῶν Λευϊτῶν, οὓς ἐπεσκέψατο Μωϋσῆς καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου κατὰ δήμους αὐτῶν, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, δύο καὶ εἴκοσι χιλιάδες.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ἐλάττων ἐστὶν ὁ τῶν Λευϊτῶν ἀριθμός; Ὡς ἀρχόντων. δεῖ γὰρ τοὺς ἄρχοντας ἐλάττους εἶναι τῶν ἀρχομένων. ἄλλως [τε] καὶ τοῦ πολεμεῖν ἦσαν ἀπηλλαγμένοι, καὶ μόνῃ τῇ θείᾳ λατρείᾳ προσήδρευον.

μ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, ἐπίσκεψαι πᾶν πρωτότοκον ἄρσεν τῶν υἱῶν Ἰσραὴλ ἀπὸ μηνιαίου καὶ ἐπάνω·

A καὶ λάβε τὸν ἀριθμὸν αὐτῶν ἐξ ὀνό-
μα. ματος. Καὶ λήψῃ τοὺς Λευΐτας ἐμοὶ, ἐγὼ Κύριος, ἀντὶ πάντων τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ, καὶ τὰ κτήνη τῶν Λευϊτῶν ἀντὶ πάντων τῶν πρωτοτόκων ἐν τοῖς κτήνεσι τῶν υἱῶν Ἰσραήλ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκεν προσέταξεν ὁ Θεὸς ἀριθμηθῆναι τοῦ λαοῦ τὰ
B πρωτότοκα; Ἐπειδὴ πᾶσαν τὴν φυλὴν τοῦ Λευῒ ταῖς θείαις ἀφιέρωσε λειτουργίαις, καὶ τοῦ πολεμεῖν ἠλευθέρωσεν, εἰκὸς δὲ ἦν δυσχεραίνειν τῶν ἄλλων τινὰς, ὡς τούτων προτιμηθέντων· πείθει τοὺς δυσχεραίνοντας ὁ δεσπότης Θεὸς, ὡς οὐδὲν προσέταξεν ἄδικον. ἡνίκα γάρ φησιν ὑμῶν χάριν ἀνῃρέθη τὰ τῶν Αἰγυπτίων πρωτότοκα, τὰ ὑμέτερα διεσώθη πρωτότοκα. ἀντὶ τούτων τοίνυν τὴν λευϊτικὴν φυλὴν ταῖς ἐμαῖς ἀπε-
Γ κλήρωσα λειτουργίαις· καὶ ἀντὶ [τῶν] πρωτοτόκων τῶν ὑμετέρων κτηνῶν, τῶν Λευϊτῶν τὰ πρωτότοκα. ἐπειδὴ δὲ πλείους ὤφθησαν τῶν Λευϊτῶν τῶν ἄλλων φυλῶν οἱ πρωτότοκοι. προσέταξεν ἕκαστον τῶν μετὰ τὸν ἴσον ἀριθμὸν πέντε δοῦναι σίκλους τοῖς ἱερεῦσιν· εἴκοσι ὀβολοὺς ὁρίσας ἔχειν τὸν σίκλον, καὶ τὸν τοιοῦτον ἀριθμὸν ἅγιον ὀνομάσας, ὡς τοῖς θείοις ἀφωρισμένον, καὶ οὐ παρὰ πᾶσι πολιτευόμενον. ἀλλ᾽ οὐ
Δ μέντοι δίδραχμον ὀνομάζει τοὺς εἴκοσι ὀβολούς.
» τοῦτο τὸ δίδραχμον καὶ ὁ Κύριος, ὡς Ματθ. 17. 24.
πρωτότοκος ἀπῃτήθη.

μβ. Καὶ ἐπεσκέψατο Μωϋσῆς ὃν τρόπον ἐνετείλατο Κύριος αὐτῷ πᾶν
μγ. πρωτότοκον ἐν τοῖς υἱοῖς Ἰσραήλ. Καὶ ἐγένετο πάντα τὰ πρωτότοκα τὰ ἀρσενικὰ κατὰ ἀριθμὸν ἐξ ὀνόματος ἀπὸ μηνιαίου καὶ ἐπάνω καὶ (2) ἐκ
E τῆς ἐπισκέψεως αὐτῶν, δύο καὶ εἴκοσι χιλιάδες τρεῖς καὶ ἑβδομήκοντα καὶ διακόσιοι.

μδ. Καὶ ἐλάλησε Κύριος πρὸς
με. Μωϋσῆν, λέγων, Λάβε τοὺς Λευΐτας ἀντὶ πάντων τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ, καὶ τὰ κτήνη τῶν Λευϊτῶν ἀντὶ τῶν κτηνῶν αὐτῶν, καὶ ἔσον-
Z ται ἐμοὶ [οἱ] Λευῖται. ἐγὼ Κύριος.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἔσονται ἐμοὶ οἱ
» Λευῖται. ἐγὼ Κύριος. μακαρίζων τοὺς ἑτοίμους καὶ εὐκόλους εἰς τὰ Θεοῦ τοῦ μόνου Κυρίου. νῦν δὲ οὐ γένει σωματικῷ τὸ οἰκεῖον, ἀλλὰ προαιρέσει ὁρίζεται, καὶ πᾶς ἴδιος ὁ τὰ Θεοῦ ἐργαζόμενος.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Προαιρέσει ὁρίζεται τὸ οἰκεῖον, οὐ συγγενείᾳ σωματικῇ. καὶ πᾶς ἴδιος ὁ τὰ Θεοῦ ἐργαζόμενος.

H μϛ. Καὶ τὰ λύτρα τριῶν καὶ ἑβδομήκοντα καὶ διακοσίων τῶν πλεοναζόντων

(1) Μοολί. ἀνωτέρω τε, καὶ ἐν ταῖς εἰρημ. ἐκδόσ.

(2) Τὸ, καὶ, οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ.

ζόντων παρὰ τοὺς Λευΐτας ἀπὸ τῶν
μζ. πρωτοτόκων τῶν υἱῶν Ἰσραήλ· Καὶ
λήψῃ πέντε σίκλους κατὰ κεφαλὴν,
κατὰ τὸ δίδραχμον τὸ ἅγιον λήψῃ,
εἴκοσι ὀβολοὶ ὁ σίκλος.

ΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ. τὸ αὐτὸ καὶ ὁ ΣΕΥΗΡΟΣ. (1) Ἰστέον, ὅτι τὸ δίδραχμον καὶ ὁ σίκλος ταυτόν ἐστιν. ὥσπερ γὰρ εἶπεν ἐνταῦθα, εἴκοσι ὀβολοὺς εἶναι τὸν σίκλον· οὕτως ἐν τῇ Ἐξόδῳ, (2) εἴκοσι ὀβολῶν εἶναι τὸ δίδραχμον διωρίσατο. ταύτην οὖν τὴν εἰσφορὰν τῶν διδράχμων, τὴν ἀντὶ τῶν διακοσίων ἑβδομήκοντα καὶ τριῶν, εἰσφέρεσθαι νομοθετεῖ. ἔχει δέ τι μυστικώτερον. πᾶς πρωτότοκος τύπον ἐπέχει τοῦ πρωτοπλάστου Ἀδὰμ, πλάσαντος περὶ τὰς αἰσθήσεις, δι' ἃς καὶ περὶ ἃς ὁ πόλεμος. παιδεύει τοίνυν ὁ λόγος, ἐκ τῶν πρωτοτόκων τῶν ἀνθ' ἑαυτῶν δεδωκότων τοὺς τῇ ἱερᾷ λειτουργίᾳ προσεδρεύειν ὀφείλοντας, ἢ πέντε σίκλους εἰσφερόντων τῷ Κυρίῳ, χρῆναι τοὺς ἐξ Ἀδὰμ καταγομένους, καὶ τὰς πέντε αἰσθήσεις τῇ ἁμαρτίᾳ δουλεύοντας, ἢ ἀφιεροῦν ἑαυτοὺς τῷ Θεῷ, ἢ πέντε σίκλους ἀργυρίου διδόναι. τοῦτο δ' ἂν εἴη ἡ πύρωσις, καὶ οἱ πόνοι τῶν ἀρετῶν τὰς αἰσθήσεις καθαιροῦντες· ὡς ὅ γε μὴ οὕτως ἔχων, ὡς αἰγυπτιάζον πρωτότοκον ὑπὸ τοῦ ὀλοθρεύτου φονευθήσεται. διὸ καὶ ὁ Σευῆρος λέγει, ὅτι ὡς πρωτότοκος ὁ Χριστὸς ἀπητεῖτο τὸ δίδραχμον· ὡς καὶ ὁ Πέτρος διὰ τὸν λόγον τοῦτον· ὅτι πᾶς πρωτότοκος ἀπητεῖτο, δίχα τῶν τότε εἰς ἀριθμὸν εὑρεθέντων τοῖς Λευΐταις.

μη. Καὶ δώσεις τὸ ἀργύριον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, λύτρα τῶν
πλεοναζόντων ἐν αὐτοῖς.

** ΠΡΟΚΟΠΙΟΥ. Τὰ τῶν λοιπῶν λύτρα τοῖς ἱερεῦσι δίδοται, ὥστε δικαίως τοὺς Λευΐτας ὑπὲρ αὐτῶν λειτουργεῖν, κομισαμένους διὰ τῶν ἱερέων τὰ λύτρα. τοῦ δὲ πλήθους τῶν Λευΐτων τοῦ ἀντιδιδομένου τῶν πρωτοτόκων δύναμιν ἔχει Χριστὸς πάντων ἀνθρώπων ἀντιδοθεὶς τῶν ἀπὸ τοῦ πρωτοπλάστου. ὁ δὲ αὐτὸς καὶ ἀντὶ τῆς λυτρώσεως τῶν περιττῶν, ὑπὲρ ὧν οὐκ ἦσαν Λευΐται ἰσάριθμοι· οὐ μερικῶς, οὐδὲ διαφόρως, ἀλλ' εἷς ὑπὲρ πάντων λύτρον γινόμενος, κατατιθέντων αὐτῷ λύτρα τὸν λόγον τῆς πίστεως, ἐμπεριέχοντα τὴν τοῦ ἐπταμεροῦς νόμου πλήρωσιν, ἐν τοῖς πέντε σίκλοις σημαινομένην.

μθ. Καὶ ἔλαβε Μωϋσῆς τὸ ἀργύριον τὰ λύτρα τῶν πλεοναζόντων
ν. εἰς τὴν ἐκπλήρωσιν τῶν Λευΐτων, Παρὰ τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ
ἔλαβε τὸ ἀργύριον, πέντε καὶ ἑξήκοντα καὶ τριακοσίους καὶ χιλίους σίκλους,
να. κατὰ τὸν σίκλον τὸν ἅγιον. Καὶ
ἔδωκε Μωϋσῆς τὸ ἀργύριον λύτρα
τῶν πλεοναζόντων Ἀαρὼν καὶ τοῖς
υἱοῖς αὐτοῦ, διὰ φωνῆς Κυρίου, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσῇ.

ΚΕΦ. Δ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
Μωϋσῆν καὶ Ἀαρὼν, λέ-
β. γων, Λάβε τὸ κεφάλαιον τῶν υἱῶν Καὰθ ἐκ μέσου υἱῶν
Λευΐ, κατὰ δήμους αὐτῶν, κατ' οἴ-
γ. κους πατριῶν αὐτῶν, Ἀπὸ εἴκοσι καὶ
πέντε ἐτῶν καὶ ἐπάνω ἕως πεντήκοντα
ἐτῶν, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν, ποιῆσαι πάντα τὰ ἔργα ἐν τῇ
σκηνῇ τοῦ μαρτυρίου.

* ΚΥΡΙΛΛΟΥ. Ἡ μὲν οὖν ἐκ μηνιαίων ἀπογραφὴ, καὶ αὐτὴν τῶν ἁγίων τὴν ἀκακίαν εὐπαράδεκτον εἶναι διδάσκει. τό γε μὴν τοῖς θείοις ἔργοις ἐκνεμεῖσθαι μόνην τὴν τῷ νόμῳ διωρισμένην ἡλικίαν ἀπὸ πέντε καὶ εἴκοσι καὶ μέχρι τῶν πεντήκοντα ἐτῶν, ἐκεῖνο οἶμαι δηλοῦν, ὅτι Θεῷ λειτουργίαν ἀποπεραίνει τὴν ἐξαίρετον καὶ ἀδιαβλήτως ἔχουσαν, πᾶν ὅσον ἐστὶν ἔμφρον τε καὶ εὐσθενὲς ἤδη τε καὶ ἔτι. [ἤδη μὲν γὰρ ἐν τούτοις, ὁ ἐν εἴκοσι καὶ πέντε γεγονὼς ἐνιαυτοῖς· ἔτι δὲ, καὶ ὁ μέχρι πεντήκοντα προελθών.]

δ. Καὶ ταῦτα τὰ ἔργα τῶν υἱῶν
Καὰθ, ἐκ μέσου υἱῶν Λευΐ, κατὰ
δήμους αὐτῶν, κατ' οἴκους πατριῶν
αὐτῶν, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου·
ἅγιον τῶν ἁγίων.

** ΚΥΡΙΛΛΟΥ. Λειτουργία τοῖς ἐκ δήμου Καὰθ, τὰ ἅγια τῶν ἁγίων, προεισρεχόντων τῶν ἱερέων καὶ πυκαζόντων αὐτά. πανταχοῦ γὰρ τιμιώτερον τὸ πρεῦχον ἐν τάξει, καὶ πάντα ὅσα ἐστὶν ἐν κόσμῳ παρὰ Θεῷ, ἄτακτον δὲ παντελῶς οὐδέν. ἐν ὑπουργίαις δὲ τὸ Λευϊτικὸν, καὶ ταῖς τῶν ὑπερκειμένων ἱερουργίαις ὑπεσταλμένον.

ε. Καὶ εἰσελεύσονται Ἀαρὼν καὶ
οἱ υἱοὶ αὐτοῦ, ὅταν ἐξάρῃ ἡ παρεμβολὴ, καὶ καθελοῦσι τὸ καταπέτασμα τὸ συσκιάζον, καὶ καταλέψουσιν

(1) Οὐδὲ ἐν τοῖς τοῦ Ἱεροσολύμ. οὐδὲ ἐν τοῖς τοῦ Ἀλεξανδρ. ἐκδεδομ. ταῦτα εὕρηται. περὶ τοῦ διδράχμου δὲ ὁ Ἀλεξανδρ: τοῦτο καὶ μόνον (ἐν Τόμ. 6. μέρ. 1. σελ. 181.) φησίν· ἔστι μὲν γὰρ ὁ στατὴρ, ἤτοι τὸ δίδραχμον, ἀκίβδηλον νόμισμα. οὐκοῦν ἐκ τῶν τοῦ Σευήρου τυχὸν ὁ τὴν συλλογὴν τῶνδε τῶν ὑπομνημάτων ποιήσας, ταῦτα κατ' ἔννοιαν συνερανίσατο· εἰ γὰρ κατὰ λέξιν, οὐκ ἂν πάλιν τοῦ Σευήρου ἐμέμνητο.

(2) Ἐν τῷ 13. ἐδ. τοῦ 30. κεφ.

ψουσιν ἐν αὐτῷ τὴν σκηνὴν (1) τοῦ μαρτυρίου.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ μὴ ὁρᾶσθαι τὰ ἱερὰ, τὸ ἀθεώρητον δηλοῖ τῆς Θεότητος τοῖς μὴ εἰς ἄκρον ἥκουσιν. Ἀγγέλοις γοῦν τὸ θεάσασθαι τὸν Θεὸν ἀνάκειται πρὸς δόξαν· τοὺς δὲ ἀνθρώπους, ὕστερόν ποτε θεάσασθαι Θεὸν φησὶν ὁ Χριστὸς, ὅταν ἔλθωσι καθαροὶ πρὸς τὸ τέλειον. (Ματθ. ε. 8.) τὸ δὲ ἱερὸν σκεῦος, ὡς Θεοῦ οὐσία τιμᾶται, καθὸ καὶ ἡνώθη σκεύει ἡ θεία οὐσία κατὰ τὴν σάρκωσιν. μὴ θεωρουμένη δὲ ἡμῖν ἡ θεία οὐσία, ὑπὲρ ἡμᾶς ἐστὶν, ἀλλ' ἐπισκιάζει ἡμῖν ὑπερέχουσα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἡ κιβωτὸς καλύπτεται τῷ καταπετάσματι ὄντι ποικίλῳ, αἰνιττομένῳ τὸ ἐπικεκαλυμμένον τοῦ νόμου, καὶ τῶν ἐν αὐτῷ πραγμάτων τὴν ποικιλίαν. ὅθεν καὶ τὸ ὑακίνθινον δέρμα καὶ τὸ ὅμοιον ἱμάτιον, ἔνδειγμα τοῦ μὴ ἐκλάμπειν τὸν ἐν τῇ κιβωτῷ νόμον, ἀλλὰ συνεσκιάσθαι.

ϛ. Καὶ ἐπιθήσουσιν ἐπ' αὐτῷ τὰ καλύμματα (2) δέρμα ὑακίνθινον, καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον ὅλον ὑακίνθινον ἄνωθεν, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς.

** ΚΥΡΙΛΛΟΥ. Καταπυκάζεται δέρμασί τε καὶ ἱματίοις ὑακινθίοις ἥ τε ἁγία κιβωτὸς καὶ τὸ χρυσοῦν θυμιατήριον, λυχνία τε αὖ καὶ τὰ σκεύη τὰ λειτουργικὰ, τὸν ἄνωθεν ἡμῖν καὶ ἐξ οὐρανοῦ σημαίνοντος τοῦ ὑακινθίνου. τοιουτόχρους γὰρ ὁ ἄνωθεν καὶ εἰς βάθος αἰθήρ. ὅτι δὲ τύποι Χριστοῦ τοῦ ἄνωθεν καὶ ἐξ οὐρανοῦ τὰ σκεύη τὰ ἱερὰ, διὰ μακρῶν ἡμῖν ἤδη προαποδέδεικται λόγων.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τισὶ μὲν τῶν ἱερῶν σκευῶν ὑακίνθινα προσέταξεν ἐπιβληθῆναι καλύμματα, τισὶ δὲ πορφύραν; (3) Τῶν τιμιωτέρων ὑακίνθινα μόνα τὰ καλύμματα ἦν. αἰνίττεται δὲ ἡ χρόα τὸν οὐρανόν. τούτου χάριν τὰ μὲν ἐντὸς τοῦ καταπετάσματος, ἐπιβλήμασιν ὑακινθίνοις καλυφθῆναι προσέταξε· τὰ δὲ ἐκτὸς, καὶ πορφυροῖς, καὶ τοιούτοις. ὁ μὲν γὰρ οὐρανὸς τιμωρίας οὐκ ἔχει· ἡ δὲ γῆ διὰ τὰς τῶν νόμων παραβάσεις δέχεται καὶ κολάσεις. τῆς δὲ βασιλείας ἡ πορφύρα δηλωτική. θεία δὲ καὶ ἄναρχος καὶ ἀνώλεθρος ἡ τοῦ Θεοῦ βασιλεία. τούτου χάριν τὰ ἔξω τῆς σκηνῆς καὶ πορφυροῖς καὶ ὑακινθίνοις ἐπιβλήμασιν ἐκαλύπτετο. προμηθούμενος δὲ τοῦ δήμου τοῦ Καὰθ, προσέταξε πρότερον τοὺς ἱερέας εἴσω τῶν ἀδύτων γενομένους, καλύπτειν τὴν κιβωτὸν καὶ τὰ ἄλλα

A σκεύη τοῖς προειρημένοις καλύμμασιν· εἶθ' οὕτω τοῦ Καὰθ τὸν δῆμον ταῦτα μετακομίζειν, ἵνα μὴ τὰ ἄψαυστα καὶ ἀθέατα θεασάμενοι, ἐκ τῆς παραδόξου θέας ὑπομείνωσιν ὄλεθρον.

ζ. Καὶ ἐπὶ τὴν τράπεζαν τὴν προκειμένην ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον ὅλον πορφυροῦν, καὶ τὰ τρυβλία, καὶ τὰς θυΐσκας, καὶ τοὺς κυάθους, B καὶ τὰ σπονδεῖα ἐν οἷς σπένδει, καὶ οἱ ἄρτοι οἱ διαπαντὸς ἐπ' αὐτῆς ἔσονται.

η. Καὶ ἐπιβαλοῦσιν ἐπ' αὐτὴν ἱμάτιον κόκκινον, καὶ καλύψουσιν αὐτὴν καλύμματι ὑακινθίνῳ δερματίνῳ, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς αὐτῆς.

ΑΔΗΛΟΥ. Ἡ δὲ τράπεζα ὁλοπορφύρῳ ἱματίῳ καλύπτεται, εἶτα κοκκίνῳ, εἶτα δέρματι ὑακινθίνῳ. ἅπερ δηλοῖ λαμπρότητα· Γ τὴν πορφύρας τύπῳ δεικνυμένην, καὶ αὐτὸ διὰ κοκκίνου δεικνύμενον· (4) ὑπὸ τῆς ἔξωθεν ἐπισκιαστικῆς χρόας καλυπτόμενα, διὰ τὸ μὴ ῥᾴδιον εἶναι τὴν γνῶσιν τῆς ἐν τῇ θείᾳ τροφῇ λαμπρότητος, καὶ τῆς ἐν αἵματι Χριστοῦ σωτηρίας. (5)

** ΚΥΡΙΛΛΟΥ. Σημαίνει ἡ τράπεζα, τὴν πρόθεσιν ἔχουσα τῶν ἄρτων, τὴν ἀναίμακτον θυσίαν, δι' ἧς εὐλογούμεθα τὸν ἄρτον ἐσθίοντες τὸν ἐξ οὐρανοῦ, τουτέστι Χριστὸν, Δ ὃς καὶ γέγονε καθ' ἡμᾶς· ἀλλ' ἦν τε καὶ ἔστι καὶ οὕτω Θεὸς ἄνωθέν τε καὶ ἐκ πατρὸς ἐρχόμενος, καὶ ἐπάνω πάντων, ὡς τῶν ὅλων βασιλεὺς καὶ Κύριος. αἴνιγμα δὲ τῆς τοῦ Χριστοῦ βασιλείας εἴη ἂν, ὥς ἔμοιγε φαίνεται, τὸ ἐπιτετανύσθαι τῇ τραπέζῃ τὸ ἁλουργὲς ἱμάτιον, ἤτοι τὸ περίβλημα τὸ πορφυροῦν.

θ. Καὶ λήψονται ἱμάτιον ὑακίνθινον, E καὶ καλύψουσι τὴν λυχνίαν τὴν φωτίζουσαν, καὶ τοὺς λύχνους αὐτῆς, καὶ τὰς λαβίδας αὐτῆς, καὶ τὰς ἐπαρυστρίδας αὐτῆς, καὶ πάντα τὰ ἀγγεῖα τοῦ ἐλαίου αὐτῆς, ὅσοις
ι. λειτουργοῦσιν ἐν αὐτοῖς. Καὶ ἐμβαλοῦσιν αὐτὴν, καὶ πάντα τὰ σκεύη αὐτῆς, εἰς κάλυμμα δερμάτινον ὑακίνθινον, καὶ ἐπιθήσουσιν αὐτὸ (6)
Z ἐπ' ἀναφορέων.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐκκλησίας γὰρ τύπος. μέλανα δὲ καὶ σκιώδη τὰ ἀνθρώπινα. (7)

ια. Καὶ ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν ἐπικαλύψουσιν ἱμάτιον ὑακίνθινον,

(1) Τὴν κιβωτὸν τοῦ μαρτυρίου. αἱ προειρημ. ἐκδόσ. καὶ ὁ ἐν ἁγ. Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 458. καὶ ὁ Ἀπολιν. ὡς ἐκ τοῦ προκειμ. ὑπομνήμ. δῆλον.

(2) Ἐπ' αὐτὸ κατακάλυμμα. αἱ αὐτ. ἐκδόσ. (3) Πορφυρᾶ. ἡ ἐν Χάλ. ἔκδ.

(4) Δηλούμενον. ὁ Ἀλεξάν. κώδ. (5) Τὰ αὐτὰ ἄλλως πως ὁ Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ.

(6) Αὐτήν. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ Κύριλ. ἐν τῷ εἰρημ. τόπῳ.

(7) Τὰ αὐτὰ ὁ Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ. πλατύτερον· ἡ λυχνία δέρματι καὶ ἱματίῳ ὑακινθίνῳ καλύπτεται. ἐκκλησίας γὰρ τύπος. μέλανα δὲ, κτ.

θινον, καὶ καλύψουσιν αὐτὸ καλύμματι δερματίνῳ ὑακινθίνῳ, καὶ διεμ-
ιβ. βαλοῦσι τοὺς ἀναφορεῖς αὐτοῦ. Καὶ λήψονται πάντα τὰ σκεύη τὰ λειτουργικὰ ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς ἐν τοῖς ἁγίοις· καὶ ἐμβαλοῦσιν εἰς ἱμάτιον ὑακίνθινον, καὶ καλύψουσιν αὐτὰ καλύμματι δερματίνῳ ὑακινθίνῳ, καὶ ἐπιθήσουσιν ἐπὶ ἀναφορεῖς.
ιγ. Καὶ τὸν καλυπτῆρα ἐπιθήσουσιν ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐπικαλύψουσιν ἐπ᾽ αὐτὸ ἱμάτιον ὁλοπόρφυρον.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸ θυσιαστήριον καλύπτεται πορφυρῷ καὶ ὑακινθίνῳ. ἐνὶ μὲν γὰρ ἐν τῷ θείῳ θύματι τὸ λαμπρὸν καὶ βασιλικὸν, ἐνὶ δὲ ἐπικάλυψις.

✱✱ ΚΥΡΙΛΛΟΥ. Κατημφίεστο τὸ τῶν καρπωμάτων θυσιαστήριον ἱματίῳ κοκκίνῳ. ἱμάτιον δὲ κοκκινοβαφὲς, αἵματος τύπον παραδεξόμεθα. τέθυται γὰρ δι᾽ ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ὁ Χριστὸς, καὶ ἀμνὸς οἷά τις ἐπὶ τὸ θεῖον ἀνέβη θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ πατρί.

ιδ. Καὶ ἐπιθήσουσιν ἐπ᾽ αὐτῷ πάντα τὰ σκεύη αὐτοῦ ὅσοις λειτουργοῦσιν ἐν αὐτοῖς, καὶ τὰ πυρεῖα, καὶ τὰς κρεάγρας, καὶ τὰς φιάλας, καὶ τὸν καλυπτῆρα, καὶ πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου. καὶ ἐπιβαλοῦσιν ἐπ᾽ αὐτὸ κάλυμμα δερμάτινον ὑακίνθινον, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς αὐτοῦ. καὶ λήψονται ἱμάτιον πορφυροῦν, καὶ συγκαλύψουσι τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ, καὶ ἐμβαλοῦσιν αὐτὰ εἰς κάλυμμα δερμάτινον ὑακίνθινον, καὶ ἐπιθήσουσιν ἐπ᾽ ἀναφορεῖς.

✱✱ ΚΥΡΙΛΛΟΥ. Πρὸς τοῖς ὑακινθίοις ἱμάτιον ὁλοπόρφυρον τῷ λουτῆρι τὸ πέτασμα. γράφει δὲ ὁ λουτὴρ ἐφ᾽ ἑαυτῷ τὸν τύπον τοῦ ἁγίου βαπτίσματος, ὕδασιν ἡμᾶς ἁγίοις ἀπολούοντος εἰς ἀπόθεσιν ἁμαρτίας, καὶ εἰς τὴν τῶν οὐρανῶν βασιλείαν ἀποκομίζοντος. ἄνωθεν δὲ καὶ ἐξ οὐρανοῦ τὸ ἅγιον βάπτισμα. αἴνιγμα δὲ τούτου τὸ χρῶμα τὸ ὑακίνθινον.

ιε. Καὶ συντελέσουσιν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ καλύπτοντες τὰ ἅγια, καὶ πάντα τὰ σκεύη τὰ ἅγια, ἐν τῷ ἐξαίρειν τὴν παρεμβολήν· καὶ μετὰ ταῦτα εἰσελεύσονται οἱ υἱοὶ Καὰθ αἴρειν, καὶ οὐχ ἅψονται τῶν ἁγίων,
A ἵνα μὴ ἀποθάνωσι. ταῦτα ἀροῦσιν οἱ υἱοὶ Καὰθ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

ΕΥΣΕΒΙΟΥ. Ἵνα μὴ ἐπὶ ξύλου βασταζόμενα τὰ ἅγια, εὑρεθῇ ὄπισθεν τοῦ βαστάζοντος, ἤτοι τῶν ἐναγόντων βοῶν, διὰ τοῦτο, φησὶν, ὤμοις ἔφερον αὐτὰ οἱ Καὰθῖται.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοῖς μὲν Γεδσωνίταις ἐδόθησαν κατὰ πρόσταγμα Θεοῦ ἅμαξαι δύο, καὶ τέσσαρες βόες· τοῖς δὲ Μεραρί-
B ταις, διπλᾶ καὶ βαρύτερα τούτων βαστάγματα· τοῖς δὲ Καὰθίταις, οὐδὲν, ὡς τιμιωτέροις τὰ τιμιώτερα. εἰ δὲ μὴ ἦν οὕτω τίμια τὰ βαστάγματα αὐτῶν, οἱ μὴ βαστάζοντες ἂν ἦσαν σεμνότεροι, ὡς οἱ μὴ αἴροντες ἐν σαββάτῳ βαστάγματα, ἱερώτεροι καὶ νόμιμοι· οἱ δὲ βαστάζοντες, βέβηλοι καὶ ἀνίεροι. οὕτως ὁ κάμνων δι᾽ ἐκκλησίαν τιμιώτερος τοῦ τὸ ἄπονον, ὡς τιμιώτερον, αἱρουμένου. ὁ δὲ κοσμώδη κάμνων (1)
Γ ἱερώτερος τοῦ κάμνοντος, ὡς ὁ σαββατίζων τοῦ μὴ σαββατίζοντος.

ις. Ἐπίσκοπος Ἐλεάζαρ υἱὸς Ἀαρὼν τοῦ ἱερέως, τὸ ἔλαιον τοῦ φωτὸς, καὶ τὸ θυμίαμα τῆς συνθέσεως, καὶ ἡ θυσία ἡ καθ᾽ ἡμέραν, καὶ τὸ ἔλαιον τῆς χρίσεως, ἡ ἐπισκοπὴ ὅλης τῆς σκηνῆς, καὶ ὅσα ἐστὶν ἐν αὐτῇ ἐν τῷ ἁγίῳ, καὶ ἐν πᾶσι τοῖς ἔργοις.

Δ ΑΔΗΛΟΥ. Σημείωσαι τὸ τοῦ ἐπισκόπου ὄνομα, ὅς ἐστιν ἄρχων ἀρχόντων, ὡς τὸ πρὸ τούτου κεφάλαιον.

ιζ. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
ιη. σῆν καὶ Ἀαρὼν, λέγων, Μὴ ὀλοθρεύσητε τῆς σκηνῆς (2) τὸν δῆμον τὸν
ιθ. Καὰθ ἐκ μέσου τῶν Λευϊτῶν. Τοῦτο ποιήσατε αὐτοῖς, καὶ ζήσονται καὶ οὐ μὴ
E ἀποθάνωσι, προσπορευομένων αὐτῶν εἰς τὰ ἅγια τῶν ἁγίων· Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ εἰσπορευέσθωσαν, καὶ καταστήσουσιν αὐτοὺς ἕκαστον κατὰ τὴν ἀναφο-
κ. ρὰν αὐτοῦ, Καὶ οὐ μὴ εἰσέλθωσιν ἰδεῖν ἐξάπινα τὸ ἅγιον, καὶ ἀποθανοῦνται.

κα. Καὶ ἐλάλησε Κύριος πρὸς
κβ. Μωϋσῆν, λέγων, Λάβε τὴν ἀρχὴν τῶν υἱῶν Γεδσὼν, καὶ τούτους κατ᾽ οἴκων
Z πατριῶν αὐτῶν, κατὰ δήμους αὐτῶν,
κγ. Ἀπὸ πέντε καὶ εἰκοσαέτους καὶ ἐπάνω ἕως πεντηκονταέτους ἐπισκέψασθαι αὐτοὺς, πᾶς ὁ ἐκπορευόμενος (3) λειτουργεῖν, καὶ ποιεῖν τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

(1) Οὕτω μὲν ἑκάτερος τῶν κωδίκ. ὀρθότ. δὲ, μὴ κάμνων. εἰ δέ γε τὸ κάμνω καὶ ἀντὶ τοῦ, καματῶ κλῶμαι ληφθῇ, κατὰ τὸ, τὰς, (στίχ. 341. τῆς σ. Ἰλ.) αὐτοὶ καμόμεσθα βίῃ φί τε δουρί τε μακρῷ· (ὁ καὶ ὁ Εὐστάθ. λαβὼν καινῶν φησὶν, εἴπερ αὐτὸς ἔκαμεν αὐτὰς, ἤγουν καμάτῳ ἔσχεν.) ἀναγνωστέον πάλιν, ὁ δὲ κοσμώδη μὴ κάμνων ἱερώτερος τοῦ κάμνοντος. οὕτω μὲν γὰρ ἐκ παραλλήλου ἔσεται τὸ, κάμνοντος, καὶ μὴ σαββατίζοντος· καθάπερ καὶ ὁ μὴ κάμνων, καὶ κατὰ τὴν κοινὴν τοῦ κάμνω σημασίαν, καὶ ὁ σαββατίζων. Ἰστέον δὲ, ὅτι ὁ Προκόπιος (ἐν τῷ τῆς Αὐγ. κώδ.) τὰ αὐτὰ σχεδὸν αὐτολεξεὶ ἐκτιθέμενος, φησίν· ὁ δὲ κόσμῳ μὴ κάμνων.

(2) Τῆς φυλῆς. αἱ εἰρημ. ἐκδόσ.

(3) Ὁ εἰσπορευόμενος. αἱ αὐτ.

** ΚΥΡΙΛΛΟΥ. Γεδσωνῖται δὲ αὖ καὶ μέντοι καὶ Μεραρῖται κατὰ τὸν ἴσον τρόπον ἀπεγράφοντο μὲν ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν καὶ μέχρι πεντήκοντα, ὀνομαστὶ δὲ κατ' οἴκους καὶ πατριάς.

κδ. Αὕτη ἡ λειτουργία τοῦ δήμου
τῶν Γεδσὼν, λειτουργεῖν καὶ αἴρειν.
κε. Καὶ ἀρεῖ τὰς δέῤῥεις τῆς σκηνῆς, καὶ
τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τὸ κα-
τακάλυμμα αὐτῆς, καὶ τὸ κατακά-
λυμμα τὸ ὑακίνθινον τὸ ὂν ἐπ' αὐτῆς
ἄνωθεν, καὶ τὸ κατακάλυμμα τῆς
κς. σκηνῆς (1) τοῦ μαρτυρίου. Καὶ τὰ ἱστία
τῆς αὐλῆς, ὅσα ἐπὶ τῆς σκηνῆς τοῦ
μαρτυρίου, καὶ τὰ περισσὰ αὐτῶν,
καὶ πάντα τὰ σκεύη τὰ λειτουργικὰ
αὐτῶν, καὶ ὅσα λειτουργοῦσιν ἐν αὐ-
τοῖς ποιήσουσι.

Κατακάλυμμα. τὸ Σαμαρειτικὸν, ἐπίσπαστρον, καὶ δέρματα ὑακίνθινα. ἅτινα καλεῖ τὸ ἑξηκοστὸν (2) κεφάλαιον τῆς Ἐξόδου διφθέρας.

** ΚΥΡΙΛΛΟΥ. Λειτουργία τοῦ δήμου Γεδσὼν, αἱ δέῤῥεις τῆς σκηνῆς, τὰ καλύμματα, τὰ περιτανύσματα τῶν θυρῶν, καὶ τὰ ἱστία τῆς αὐλῆς, καὶ τὰ περισσά.

κζ. Κατὰ στόμα Ἀαρὼν καὶ τῶν
υἱῶν αὐτοῦ ἔσται ἡ λειτουργία τῶν υἱῶν
Γεδσὼν κατὰ πάσας τὰς λειτουργίας
αὐτῶν, καὶ κατὰ πάντα τὰ ἀρτά-
διστὰ (3) αὐτῶν. καὶ ἐπισκέψῃ αὐτοὺς
ἐξ ὀνομάτων, καὶ πάντα τὰ ἀρτὰ
κη. αὐτῶν. Αὕτη ἡ λειτουργία τῶν υἱῶν
Γεδσὼν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ
ἡ φυλακὴ αὐτῶν ἐν χειρὶ Ἰθάμαρ τοῦ
κθ. υἱοῦ Ἀαρὼν τοῦ ἱερέως. Οἱ υἱοὶ Μεραρὶ
κατὰ δήμους αὐτῶν, κατ' οἴκους πα-
λ. τριῶν, ἐπισκέψασθε αὐτοὺς, Ἀπὸ
πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω ἕως
πεντηκονταετοῦς ἐπισκέψασθε αὐτοὺς,
πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν τὰ
ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου.

λα. Καὶ ταῦτα τὰ φυλάγματα
τῶν αἰρομένων ὑπ' αὐτῶν κατὰ πάν-
τα τὰ ἔργα αὐτῶν ἐν τῇ σκηνῇ τοῦ
μαρτυρίου· τὰς κεφαλίδας τῆς σκη-
νῆς, καὶ τοὺς μοχλοὺς αὐτῆς, καὶ τοὺς
στύλους αὐτῆς, καὶ τὰς βάσεις αὐτῆς,
καὶ τὸ κατακάλυμμα, καὶ αἱ βάσεις
αὐτῶν, καὶ οἱ στύλοι αὐτῶν, καὶ τὸ
κατακάλυμμα τῆς θύρας τῆς σκη-
λβ. νῆς, Καὶ τοὺς στύλους αὐτῆς κύκλῳ,
καὶ αἱ βάσεις αὐτῶν, καὶ τοὺς στύλους
A τοῦ καταπετάσματος τῆς πύλης τῆς
αὐλῆς, καὶ τὰς βάσεις αὐτῶν, καὶ
τοὺς πασσάλους αὐτῶν, καὶ τοὺς κάλους
αὐτῶν, καὶ πάντα τὰ σκεύη αὐτῶν,
καὶ πάντα τὰ λειτουργήματα αὐτῶν·
ἐξ ὀνομάτων ἐπισκέψασθε αὐτοὺς, καὶ
πάντα τὰ σκεύη τῆς φυλακῆς τῶν
αἰρομένων ὑπ' αὐτῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ τὰς βάσεις
B » αὐτῆς, καὶ τὸ κάλυμμα. Ἔοικε κάλυμμα
» νῦν τὰ ἱστία τῆς αὐλῆς λέγειν, οὐχ ὅτι αὐτὸ
ἐβάσταζον· τοῖς γὰρ υἱοῖς Γεδσὼν ἀπενενέ-
μητο· ἀλλὰ τοὺς στύλους τούτων. οὐ γάρ ἐστιν
ἐπινοῆσαι ἕτερον κάλυμμα ἔχον στύλους.

» ΣΕΥΗΡΟΥ. Καὶ τὸ κατακάλυμμα τῆς
» θύρας τῆς σκηνῆς. Καὶ μὴν τοῖς υἱοῖς
Γεδσὼν πρὸ ὀλίγου τοῦτο ἀπενέμεν. ἀλλὰ
δῆλον, ὡς ἀντὶ τῶν στύλων αὐτοῦ, αὐτὸ τὸ
Γ κάλυμμα τέθεικε. νοῦς γάρ ἐστιν ἡ θεία
Γραφὴ, καὶ τὰς ἐνδείξεις τῶν νοημάτων
ἐναργεῖς παραδηλοῖ τοῖς προσέχουσι. καὶ
τὰ μὲν ὑποστηρίζοντα τοῖς υἱοῖς Μεραρὶ ἀπο-
δέδωκε, τὰ δὲ σκέποντα καὶ καλύπτοντα
τοῖς υἱοῖς Γεδσών· τοῦτο μὲν ἐν τῇ ἄρσει,
τοῦτο δὲ ἐν τῇ φυλακῇ· καὶ τοῖς υἱοῖς Καὰθ
τὰ ἅγια τῶν ἁγίων.

ΑΔΗΛΟΥ. Ἰστέον, ὅτι ἐν τῇ Ἐξόδῳ κάλων οὐκ ἐμνημόνευσεν ἐν τῇ κατασκευῇ τῆς σκηνῆς. οὐκοῦν μᾶλλον ἐν αὐτοῖς ἐδέσμευ τοὺς στύλους, καὶ τὰ ἄλλα βαρέα σκεύη ἐπὶ τῶν ἁμαξῶν. Δ

λγ. Αὕτη ἡ λειτουργία δήμου υἱῶν
Μεραρὶ ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν ἐν
τῇ σκηνῇ τοῦ μαρτυρίου, ἐν χειρὶ Ἰθά-
λδ. μαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως. Καὶ ἐπε-
σκέψατο Μωϋσῆς καὶ Ἀαρὼν καὶ οἱ
ἄρχοντες Ἰσραὴλ τοὺς υἱοὺς Καὰθ κα-
E τὰ δήμους αὐτῶν, κατ' οἴκους πατριῶν
λε. αὐτῶν, Ἀπὸ πέντε καὶ εἰκοσαετοῦς
πᾶς ὁ εἰσπορευόμενος, καὶ ἐπάνω ἕως
πεντηκονταετοῦς, λειτουργεῖν, καὶ ποιεῖν
τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.
λς. Καὶ ἐγένετο ἡ ἐπίσκεψις αὐτῶν κα-
τὰ δήμους αὐτῶν, δισχίλιοι ἑπτακόσιοι
λζ. πεντήκοντα. Αὕτη ἡ ἐπίσκεψις δή-
Z μου Καὰθ, πᾶς ὁ λειτουργῶν ἐν τῇ
σκηνῇ τοῦ μαρτυρίου, καθὰ ἐπεσκέ-
ψατο Μωϋσῆς καὶ Ἀαρὼν διὰ φωνῆς
λη. Κυρίου, ἐν χειρὶ Μωϋσῆ. Καὶ ἐπε-
σκέπησαν οἱ υἱοὶ Γεδσὼν κατὰ δήμους
αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν;
λθ. Ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω
ἕως πεντηκονταετοῦς, πᾶς ὁ εἰσπορευό-
μενος λειτουργεῖν, καὶ ποιεῖν τὰ ἔργα
μ. ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου. Καὶ ἐγέ-
νετο

(1) Τῆς θύρας τῆς σκηνῆς. αἱ εἰρημ. ἐκδόσ.

(2) Οὐχὶ τὸ 60, ἀλλὰ τὸ 39.

(3) Ἄρτα διστά. ὁ Ἀλεξάν. κώδ. Τὰ ἔργα αὐτῶν. αἱ εἰρημ. ἐκδόσ. Κατὰ πάντα τὰ ἐργαλεῖα δι' αὐτῶν. ἡ ἐν Ὀξον. ἐκδ.

νετο ἡ ἐπίσκεψις αὐτῶν κατὰ δήμους
αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν,
μα. δισχίλιοι ἑξακόσιοι τριάκοντα. Αὕτη
ἡ ἐπίσκεψις δήμου υἱῶν Γεδσὼν, πᾶς ὁ
λειτουργῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου,
οὓς ἐπεσκέψατο Μωϋσῆς καὶ Ἀαρὼν
διὰ φωνῆς Κυρίου, ἐν χειρὶ Μωϋσῆ.
μβ. Ἐπεσκέπησαν δὲ καὶ δῆμος υἱῶν Με-
ραρὶ κατὰ δήμους αὐτῶν, κατ' οἴκους
μγ. πατριῶν αὐτῶν, Ἀπὸ πέντε καὶ εἰκο-
σαέτους καὶ ἐπάνω ἕως πεντηκονταέ-
τους, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν
πρὸς τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρ-
μδ. τυρίου. Καὶ ἐγένετο ἡ ἐπίσκεψις αὐ-
τῶν, τῆς συγγενείας αὐτῶν κατὰ δή-
μους, κατ' οἴκους πατριῶν αὐτῶν, τρι-
με. σχίλιοι καὶ διακόσιοι. Αὕτη ἡ ἐπίσκε-
ψις δήμου υἱῶν Μεραρὶ, οὓς ἐπεσκέψα-

A το Μωϋσῆς καὶ Ἀαρὼν διὰ φωνῆς Κυ-
μϛ. ρίου, ἐν χειρὶ Μωϋσῆ. Πάντες οἱ ἐπε-
σκεμμένοι, οὓς ἐπεσκέψατο Μωϋσῆς
καὶ Ἀαρὼν καὶ οἱ ἄρχοντες υἱῶν Ἰσ-
ραὴλ τοὺς Λευΐτας, κατὰ δήμους αὐ-
μζ. τῶν, κατ' οἴκους πατριῶν αὐτῶν, Ἀπὸ
πέντε καὶ εἰκοσαέτους καὶ ἐπάνω ἕως
πεντηκονταέτους, πᾶς ὁ εἰσπορευόμε-
νος πρὸς τὸ ἔργον τῶν ἔργων, καὶ τὰ
B ἔργα αἰρόμενα ἐν τῇ σκηνῇ τοῦ μαρ-
μη. τυρίου. Ἐγενήθησαν οἱ ἐπεσκεμμέ-
νοι, ὀκτακισχίλιοι πεντακόσιοι ὀγδοή-
μθ. κοντα. Διὰ φωνῆς Κυρίου ἐπεσκέ-
ψατο αὐτοὺς ἐν χειρὶ Μωϋσῆ, ἄνδρα
κατ' ἄνδρα ἐπὶ τῶν ἔργων αὐτῶν, καὶ
ἐπὶ ὧν αἴρουσιν αὐτοί. καὶ ἐπεσκέ-
πησαν, ὃν τρόπον συνέταξε Κύριος
Γ τῷ Μωϋσῇ.

ΚΕΦ. Ε.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Πρόστα-
ξον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ
ἐξαποστειλάτωσαν ἐκ τῆς παρεμβο-
λῆς πάντα λεπρὸν, καὶ πάντα γονοῤ-
ῥυῆ, καὶ πάντα ἀκάθαρτον ἐπὶ ψυχῇ,
γ. Ἀπὸ ἀρσενικοῦ ἕως θηλυκοῦ, ἐξαπο-
στείλατε ἔξω τῆς παρεμβολῆς. καὶ οὐ
μιανοῦσι τὰς παρεμβολὰς αὐτῶν, ἐν
οἷς ἐγὼ καταγίνομαι ἐν αὐτοῖς. (1)

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τί δήποτε καὶ τοὺς λεπροὺς καὶ τοὺς γονοῤῥυεῖς ἔξω τῆς παρεμβολῆς διάγειν ἐκέλευσεν; Ἀπὸ τῶν σμικρῶν τὰ μεγάλα παιδεύων. εἰ γὰρ ὁ ἁπτόμενος νεκροῦ ἀκάθαρτος, πολλῷ μᾶλλον ὁ νεκρὸν ἐργασάμενος ἑαυτὸν διὰ μιαιφονίας. καὶ εἰ ὁ λεπρὸς ἀκάθαρτος, πολλῷ μᾶλλον ὁ τὰ ποικίλα τῆς κακίας ἐργαζόμενος εἴδη. οὕτω διὰ τοῦ γονοῤῥυοῦς ἡ μοιχεία κατηγορεῖται. εἰ γὰρ τὸ ἀκούσιον μυσαρὸν, πολλῷ δήπουθεν τὸ κατὰ γνώμην τολμώμενον.

ΤΟΥ ΑΥΤΟΥ. Τίνα καλεῖ ἀκάθαρτον ἐπὶ ψυχῇ; Τὸν τοῦ τεθνηκότος ἁψάμενον, ἢ ὀστέοις νεκροῦ πελάσαντα.

ΚΥΡΙΛΛΟΥ. Οἶμαι δὴ οὖν, ὅτι τῶν ἐν πάθει (2) καὶ σωματικῶν πραγμάτων οὐ σφόδρα πολὺς παρὰ Θεῷ λόγος ἦν, τὴν δὲ θείαν ἡμῖν καὶ πνευματικὴν διὰ τούτων διατυποῖ λατρείαν. σημαίνει μὲν γὰρ ὁ λεπρὸς τὸν τοῖς εἰς νεκρότητα πάθεσι ποικίλως κατεστιγμένον. ταῦτα δέ ἐστι τὰ ἔργα τῆς σαρκός· ὁ δὲ γονοῤῥυὴς, τὸν ἀεί τε καὶ ἀσχέτως ἐν μολυσμοῖς, καὶ τὴν τῆς φύσεως ἐπιτηδειότητα πρὸς καρποφορίαν τὴν ἐνάρετόν τε καὶ ἀξιάγαστον δαπανῶντα πρὸς τὸ μηδέν· ὁ δὲ ἀκάθαρτος ἐπὶ ψυχῇ, τὸν πάντως τῆς ἑτέρων νεκρότητος μετεσχηκότα, καὶ πλημμελημάτων ἀλλοτρίων ῥαθύμως ἀναπιμπλάμενον, πρὸς ὃν καὶ ὁ Παῦλός φησι· « σεαυτὸν ἁγνὸν τήρει, καὶ μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. » [τοῦτο οἶμαι ἐστι τὸ ἐπὶ νεκρῷ μολύνεσθαι νοητῶς.] 1. Τιμ. 5. 22.

** ΤΟΥ ΑΥΤΟΥ. Τὸ ἀκαθάρτους εἶναί τινας ἐπὶ ψυχῇ τοιόνδε τι δηλοῖ· τὸ κατοιχομένου θίγειν καὶ ἀγχοῦ γενέσθαι νεκροῦ σώματος εἰς μολυσμοῦ τρόπον τοῖς ἀρχαιοτέροις ὁ νόμος κατελογίζετο, ἀπηχθημένην Θεῷ τῷ πάντα ζωογονεῖν ἰσχύοντι τὴν νεκρότητα δεικνύς· καὶ μὴν καὶ ἑτέρως εἰς νοῦ καὶ ψυχῆς νέκρωσιν, καθάπερ ἐν τύπῳ παχεῖ τὸ χρῆμα δεχόμενος. νεκρὸς δὲ νοῦς καὶ ἀπεψυγμένος ὁ φιλαμαρτήμων, καὶ τῶν εἰς ζωὴν ἀνδραγαθημάτων ἀμοιρεῖν εἰθισμένος. ἀλλ' εἰ τεθνάναι συνέβη τινὰς, πᾶσά πως ἀνάγκη τοὺς ἐξ αἵματός τε καὶ κατὰ γένος οἰκείους συνιέναι τε καὶ δρᾶν ἐπ' αὐτῷ τὰ νενομισμένα· πλὴν ἀκάθαρτοι καὶ οὗτοι κατὰ τὸν νόμον, οὐκ εἰς ἅπαν δὲ καὶ μέχρι παντὸς, ἀλλ' ἦν τίς αὐτοῖς ἀποκαθάρσεως τρόπος.

δ. Καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Ἰσ-
ραήλ· καὶ ἐξαπέστειλαν αὐτοὺς ἔξω
τῆς παρεμβολῆς. καθὰ ἐλάλησε
Κύριος τῷ Μωϋσῇ, οὕτως ἐποίησαν
οἱ υἱοὶ Ἰσραήλ.

ε. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
ϛ. σῆν, λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσ-
ραὴλ, λέγων, ἀνὴρ ἢ γυνὴ, ὅστις ἂν

 ποιήσῃ

(1) Τῷ δὲ τῷ τόπῳ ἁρμόσει μᾶλλον τὸ τοῦ Ἰσιδώρου ὑπόμνημα τὸ ἐν τῷ 3. ἐδ. τοῦ 15. κεφ. τοῦ Λευϊτ.
(2) Ἐν πάχει. ἐν Τόμ. 1. μέρ. 2. σελ. 481.

A ποιήσῃ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν τῶν
ἀνθρωπίνων, καὶ παριδὼν παρίδῃ καὶ
ζ. πλημμελήσῃ ἡ ψυχὴ ἐκείνη, Ἐξα-
γορεύσει τὴν ἁμαρτίαν, ἣν ἥμαρτε,
καὶ ἀποδώσει τὴν πλημμέλειαν· τὸ
κεφάλαιον, καὶ τὸ ἐπίπεμπτον αὐ-
τοῦ προσθήσει ἐπ᾽ αὐτῷ, καὶ ἀποδώσει
τίνι ἐπλημμέλησεν αὐτῷ.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τίς ἐστιν, ἀνὴρ ἢ γυ-
» νὴ, εἴ τις ποιήσει ἀπὸ πασῶν τῶν ἁμαρ-
B » τιῶν τῶν ἀνθρωπίνων; Τὰ σμικρότατα
τῶν ἁμαρτημάτων ἀνθρώπινα κέκληκεν·
ἐπειδὴ τρεπτὴν οὖσαν τῶν ἀνθρώπων τὴν
φύσιν, πάντων ἀπηλλάχθαι τῶν ἁμαρ-
Ἰώβ. 14. 4, 5. τημάτων οὐχ οἷόν τε. οὐδεὶς γάρ φησι κα-
» θαρὸς ἀπὸ ῥύπου, οὐδ᾽ ἂν μία ἡμέρα ἡ ζωὴ
αὐτοῦ. τούτου χάριν καὶ ὁ θεῖος Δαβὶδ βοᾷ·
Ψαλ. 142. 2. μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου,
» ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ὁ ζῶν.
Γ μόνος γὰρ ὁ δεσπότης Χριστὸς, καὶ ὡς ἄν-
θρωπος, καὶ ὡς Θεὸς, τὸ ἄμωμον ἔχει·
Ἡσ. 53. 9, 4. καὶ τοῦτο προορῶν ὁ Προφήτης ἐβόα· ὃς
» ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη ἐν τῷ
» στόματι αὐτοῦ δόλος. τούτου χάριν καὶ τὰς
ἄλλων ἁμαρτίας ἀνέλαβεν, ὡς οἰκείας μὴ
» ἔχων. οὗτος γάρ φησι τὰς ἁμαρτίας ἡμῶν
» φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται. καὶ ὁ μέ-
Ἰωάν. 1. 29. γας Ἰωάννης· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων
Ψαλ. 87. 5. τὰς ἁμαρτίας τοῦ κόσμου. διὰ τοῦτο καὶ ἐν
Δ » νεκροῖς ἐλεύθερος. διδάσκει τοίνυν ὁ θεῖος
νόμος πῶς θεραπευτέον τοὺς τὰ μέτρια
πλημμελοῦντας. κελεύει γὰρ τὸν ἔν τισι
συμβολαίοις ἠδικηκότα, πρῶτον ἐξαγο-
ρεῦσαι τὴν ἁμαρτίαν, εἶτα τῷ ἠδικημένῳ
τὸ ληφθὲν ἀποδοῦναι, προστεθεικότα τῷ κε-
φαλαίῳ τὸ πέμπτον. εἰ δὲ συμβαίη τὸν
ἠδικημένον πρὸ τῆς τοῦ ἠδικηκότος μετα-
μελείας καταλῦσαι τὸν βίον, ἐκτίσαι ταῦ-
τα τῷ ἀγχιστεύοντι. ἀγχιστεύοντα δὲ κα-
E λεῖ τὸν τῷ γένει προσήκοντα. ἡ δὲ τάξις
τοῦ γένους αὕτη· πρῶτος υἱὸς, εἶτα θυγά-
τηρ, εἶτα ὁ τοῦ πατρὸς ἀδελφὸς, ἔπειτα ὁ
τοῦ πάππου. εἰ δὲ τούτων μηδεὶς εἴη, ὁ πλη-
σιέστερος συγγενής· εἰ δὲ μὴ εὑρίσκοιτο
συγγενὴς, τῷ Θεῷ τὰ προῤῥηθέντα προσε-
» νεγκεῖν διηγόρευσε. τοῦτο γὰρ εἶπεν· ἐὰν δὲ
» μὴ ᾖ τῷ ἀνθρώπῳ ὁ ἀγχιστεύων, ὥστε ἀπο-
» δοῦναι αὐτῷ τὸ πλημμέλημα τὸ πρὸς αὐ-
» τὸν, τὸ πλημμέλημα τὸ ἀποδιδόμενον τῷ
Z » Κυρίῳ, τῷ ἱερεῖ ἔσται, πλὴν τοῦ κριοῦ τοῦ ἱλασ-
» μοῦ, δι᾽ οὗ ἐξιλάσεται περὶ αὐτοῦ ἐν αὐτῷ.

» ΣΕΥΗΡΟΥ. Καλῶς, τῶν ἀνθρωπίνων.
τὰ γὰρ εἰς χρήματα φέροντα τὴν ζημίαν
ἁμαρτήματα ἐν τῷ Λευϊτικῷ (1) ἀριθμεῖ-
ται· ἤτοι τὸ εἰς παραθήκην ἁμαρτῆσαι,
ἢ περὶ κοινωνίας ἢ ἁρπαγῆς χρημάτων
ἐγκληθῆναι. τὰ δὲ μὴ ἀνθρώπινα, ἀλλ᾽
ἅτινα εἰς ὕβριν ἀναφέρεται τοῦ Θεοῦ, οὐκ
ἔχει ἐξιλασμόν. τῶν ἀνθρωπίνων οὖν μό-
νον ἑκουσίως ἐστὶν ἄφεσις κατὰ τὸν νόμον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Κοῦφον τὸ ζημίωμα
τῶν ἀποστερούντων παρανόμως. θυσία κριοῦ
μετὰ προσθήκης τοῦ πέμπτου, ἀντὶ τοῦ πεν-
ταπλασίου, ὅπερ ἦν ἐπὶ κλοπῆς. ἐκεῖ μὲν
γὰρ κολαστικῶς, ἐνταῦθα δὲ ἰατρικῶς ἐπὶ
τῶν αἰδουμένων τοῦ ἀδικήματος, καὶ ζη-
τούντων διόρθωσιν.

η. Ἐὰν δὲ μὴ ᾖ τῷ ἀνθρώπῳ ὁ
ἀγχιστεύων, ὥστε ἀποδοῦναι αὐτῷ τὸ
πλημμέλημα πρὸς αὐτὸν, τὸ πλημ-
μέλημα τὸ ἀποδιδόμενον τῷ Κυρίῳ,
τῷ ἱερεῖ ἔσται, πλὴν τοῦ κριοῦ τοῦ ἱλασ-
μοῦ, δι᾽ οὗ ἐξιλάσεται ἐν αὐτῷ περὶ
αὐτοῦ.

ΑΔΗΛΟΥ. Δύο διδάσκει κάλλιστα ὁ νό-
μος· ὅτι πάντα τὰ τῷ Κυρίῳ προσαγό-
μενα ὁ ἱερεὺς ἐλάμβανε· καὶ ὅτι, εἰ ἐχρεώ-
στει τὶς ὑπὲρ πλημμελείας, καὶ ἀπέθανεν
ὁ χρεωστούμενος μὴ ἔχων κληρονόμον, τῷ
Κυρίῳ προσεκυροῦτο ὃ ἐχρεώστει δοῦναι τῷ
ἀδικηθέντι ὁ πλημμελήσας. τοῦτο δὲ ἐλάμ-
βανεν ὁ ἱερεὺς, ὡς ἱερωμένον, χωρὶς τοῦ
κριοῦ. πρεσβεύει γὰρ ὁ ἱερεὺς, καὶ δεῖ χο-
ρηγεῖσθαι αὐτῷ παρ᾽ ἐκείνων.

θ. Καὶ πᾶσα ἀπαρχὴ καὶ πάντα
τὰ ἁγιαζόμενα ἐν υἱοῖς Ἰσραὴλ, ὅσα
ἐὰν προσφέρωσι τῷ Κυρίῳ, τῷ ἱερεῖ
ι. αὐτῷ ἔσται. Καὶ ἑκάστῳ τὰ ἡγιασ-
μένα αὐτῷ ἔσται· καὶ ἀνὴρ, ὅσα ἐὰν
δῷ τῷ ἱερεῖ, αὐτῷ ἔσται.

ΘΕΟΔΩΡΙΤΟΥ. Προσέταξε δὲ καὶ
τὰς προσφερομένας ἀπαρχὰς τοὺς ἱερέας
ἐσθίειν. ἀπαρχὴ γὰρ ἦσαν τοῦ μὲν λαοῦ οἱ
Λευῖται, τῶν δὲ Λευϊτῶν οἱ ἀρχιερεῖς. (2) ὡς
ἀπαρχαὶ τοίνυν τὰς ἀπαρχὰς ἐκομίζοντο.

ΑΔΗΛΟΥ. Πᾶσα προσφορὰ τοῦ ἱερέως
ἐστίν. ἐὰν δέ τις ὑπόσχηται, λόγου χάριν, ἐν
ἁγίῳ τόπῳ τόσα ἀναλίσκειν ἢ σφάζειν·
ἐὰν ἐλθὼν εἰς ἐκεῖνον τὸν τόπον, σφάξῃ
τὸ ὑποσχεθὲν, οὐκ ἀνάγκην ἔχει δοῦναι αὐ-
τὸ τῷ ἱερεῖ, ἀλλ᾽ αὐτὸς ἐσθίει. πλὴν ἐὰν
μέρος ἐξ αὐτοῦ ἑκουσίᾳ γνώμῃ δῷ τῷ ἱερεῖ,
τοῦ ἱερέως ἔσται. διὸ καὶ οἱ υἱοὶ τοῦ Ἠλὶ τοῦ
ἱερέως ἐπειδὴ κατὰ βίαν ἀπὸ τῶν ἁγια-
ζομένων ἐλάμβανον, εἰς λόγον φησὶ τοῦ
ἱερέως, παρηνόμουν. οὐ γὰρ ἄκων τὶς δί-
δωσι τῷ ἱερεῖ ἐκ τούτων, ὥσπερ τὰς ἀπαρ-
χὰς καὶ τὰς δεκάτας.

ια. Καὶ ἐλάλησε Κύριος πρὸς
ιβ. Μωϋσῆν, λέγων, Λάλησον τοῖς υἱοῖς
Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, ἀνδρὸς
ἀνδρὸς ἐὰν παραβῇ ἡ γυνὴ αὐτοῦ, καὶ
ιγ. παρίδῃ αὐτὸν ὑπεριδοῦσα, Καὶ κοιμη-
θῇ τὶς μετ᾽ αὐτῆς κοίτην σπέρματος,
καὶ λάθῃ ἐξ ὀφθαλμῶν τοῦ ἀνδρὸς
αὐτῆς, καὶ κρύψῃ, αὐτὴ δὲ ᾖ μεμιασ-
μένη, καὶ μάρτυς μὴ ᾖ κατ᾽ αὐτῆς,
ιδ. καὶ αὐτὴ μὴ ᾖ συνειλημμένη, Καὶ
ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλώσεως, καὶ
ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ
μεμίαν-

(1) Ἐν κεφ. 6.

(2) Οἱ ἱερεῖς. ἐν ταῖς σημειώσ. τῆς ἐν Χάλ. ἐκδόσ.

μεμίανται, ἢ ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλοτυπίας, καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μὴ ᾖ μεμιαμένη,

ιε. Καὶ ἄξει ὁ ἄνθρωπος τὴν γυναῖκα αὐτοῦ πρὸς τὸν ἱερέα, καὶ προσοίσει τὸ δῶρον περὶ αὐτῆς, τὸ δέκατον τοῦ οἲφι ἄλευρον κρίθινον· οὐκ ἐπιχεεῖ ἐπ᾿ αὐτῷ ἔλαιον, οὐδὲ ἐπιθήσει ἐπ᾿ αὐτῷ λίβανον· ἔστι γὰρ θυσία ζηλοτυπίας, θυσία μνημοσύνου, ἀναμιμνήσκουσα ἁμαρτίαν.

ις. Καὶ προσάξει αὐτὴν [ὁ ἱερεὺς, καὶ στήσει αὐτὴν] ἔναντι Κυρίου.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μοιχείας τὰς μὲν αὐτοφώρους, ἐναργέσιν ἐλέγχοις πιστουμένας, ἐνθένδε ὑπαιτίους ἀπέφηνεν ὁ νόμος· τὰς δὲ καθ᾿ ὑπόνοιαν, οὐκ ἐδικαίωσεν ἐξετάζεσθαι πρὸς ἀνθρώπων, ἀλλὰ τὸ τῆς φύσεως ἤγαγε δικαστήριον· ἐπειδήπερ ἄνθρωποι μὲν τῶν ἐμφανῶν ἐπιγνώμονες, Θεὸς δὲ καὶ τῶν ἀδήλων, ᾧ μόνῳ δυνατὸν ψυχὴν ἐναργῶς θεάσασθαι. Καὶ μετ᾿ ὀλίγα. Ἐὰν δ᾿ ἀμφήριστ᾿ ᾖ τὰ λεχθέντα, καὶ μηδ᾿ ἕτερον καθέλκῃ μέρος, ἴτωσαν εἰς τὸ ἱερὸν, καὶ ὁ μὲν ἀνὴρ στὰς ἀντικρὺ τοῦ βωμοῦ, παρόντος τοῦ κατ᾿ ἐκείνην τὴν ἡμέραν ἱερωμένου, δηλούτω τὴν ὑπόνοιαν ἅμα καὶ κομίζων ἄλευρον κρίθινον, εἶδός τι θυσίας ὑπὲρ τῆς γυναικὸς, εἰς ἔνδειξιν τοῦ μὴ κατ᾿ ἐπήρειαν, ἀλλ᾿ ἀπὸ γνώμης ὑγιοῦς κατ᾿ ἐνδοιασμὸν εὔλογον αἰτιᾶσθαι. Καὶ μετ᾿ ὀλίγα. Μήτε δ᾿ ἔλαιον, μήτε λιβανωτὸν, ὡς ἐπὶ τῶν ἄλλων θυσιῶν, προσέστω, διὰ τὸ μὴ ἐπὶ χαρτοῖς, ἀλλ᾿ ἄγαν ὀδυνηροῖς μέλλειν τὴν θυσίαν ἐπιτελεῖσθαι. κρίθινον δ᾿ ἐστὶ τὸ ἄλευρον, ἴσως ἐπειδὴ ὑπαμφίβολός ἐστιν ἡ ἀπὸ κριθῆς τροφὴ, καὶ ἀλόγοις ζώοις καὶ ἀτυχέσιν ἀνθρώποις ἐφαρμόζεσθαι· σύμβολον τοῦ τὴν μεμοιχευμένην οὐδὲν θηρίων διαφέρειν, ὧν ἀδιακρίτους εἶναι καὶ ἀνεπιστάτους τὰς ὀχείας συμβέβηκε· τὴν δὲ καθαρεύουσαν τῶν ἐγκλημάτων, οἰκεῖον ἀνθρώπων βίον ἐζηλωκέναι.

ΚΥΡΙΛΛΟΥ. Ἄγεσθαι προσέταχε τὴν γυναῖκα πρὸς τὸν ἱερέα, καὶ δὴ καὶ ἐν ὀφθαλμοῖς ἑστάναι Θεοῦ. καὶ τοῦτο οἶμαί ἐστι τὸ μέλλειν ἅπαντας παραστήσεσθαι τῷ Χριστῷ.

ΤΟΥ ΑΥΤΟΥ. Νόθου δὲ ζωῆς καὶ κτηνοπρεποῦς σημεῖον τὸ κρίθινον ἄλευρον. διὸ καὶ ἐπὶ νόθῳ ζωῇ κατηγορουμένη γυνὴ τοῦτο προσέφερε, λιβάνου τε καὶ ἐλαίου δίχα, τουτέστιν εὐωδίας καὶ ἱλαρότητος.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ ἄλευρον κρίθινον ὑπὲρ τῆς ὑποπτευομένης μοιχεύεσθαι προσεκομίζετο; Αὐτὸς ὁ δεσπότης ἡρμήνευσεν. ἔστι γὰρ ἔφη θυσία ζηλοτυπίας, θυσία μνημοσύνου, θυσία ἀναμιμνήσκουσα ἁμαρτίαν. ὅθεν οὐδὲ ἔλαιον αὐτὴν, οὐδὲ λίβανον ἔχειν προσέταξεν. ἐστέρηται γὰρ καὶ τῆς εὐωδίας, καὶ τοῦ τῆς δικαιοσύνης φωτός. τοῦτο μέντοι γίνεσθαι νενομοθέτηκεν ὁ δεσπότης Θεὸς, τὴν μιαιφόνον αὐτῶν ἐπιστάμενος γνώμην. ἵνα γὰρ μὴ ἐξ ὑποψίας ἀποκτείνωσι τὰς ὁμοζύγους, ἐκέλευσε τὴν ὑποπτευομένην αὐτῷ προσενεχθῆναι, ἅτε δὴ πάντα σαφῶς ἐπισταμένῳ, καὶ τὰ λάθρα γινόμενα. προσάξει γάρ φησιν ὁ ἱερεὺς, καὶ στήσει τὴν γυναῖκα ἔναντι Κυρίου.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοιαύτη γὰρ ἡ τῶν ἀναξίων δωροφορία, ἄνευ ἐλαίου. ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. οὐχ ἱλαρὸν δὲ τὸ μὴ ἔχον ἐν Θεῷ τὸ φαιδρὸν, καὶ ἄνευ εὐωδίας τῶν καθαρῶν ἔργων. 2. Κορ. 9. 7.

ιζ. Καὶ λήψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν ζῶν ἐν ἀγγείῳ ὀστρακίνῳ, καὶ ἀπὸ τῆς γῆς τῆς οὔσης ἐπὶ τοῦ ἐδάφους τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ λαβὼν ὁ ἱερεὺς ἐμβαλεῖ εἰς τὸ ὕδωρ.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ λήψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν ζῶν ἔναντι Κυρίου ἐν ἀγγείῳ ὀστρακίνῳ, καὶ τῆς γῆς τῆς οὔσης ἐπὶ τοῦ ἐδάφους τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ λαβὼν ὁ ἱερεὺς ἐμβαλεῖ εἰς τὸ ὕδωρ. καὶ στήσει ὁ ἱερεὺς τὴν γυναῖκα ἔναντι Κυρίου, καὶ ἀποκαλύψει τὴν κεφαλὴν τῆς γυναικὸς, καὶ δώσει ἐπὶ τῶν χειρῶν αὐτῆς τὴν θυσίαν τοῦ μνημοσύνου, τὴν θυσίαν τῆς ζηλοτυπίας, ἐν δὲ τῇ χειρὶ τοῦ ἱερέως ἔσται τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου. ταῦτα πάντα γενέσθαι προσέταξε, τὴν γυναῖκα τὴν ὑποπτευομένην ἐκδειματῶν, ἵν᾿ εἰ ἐξήμαρτεν ὁμολογήσῃ, καὶ διὰ μεταμελείας λάβῃ τὴν ἄφεσιν. τούτου χάριν ἀκάλυπτον αὐτὴν τῷ Θεῷ προσενεχθῆναι κελεύει, διδάσκων ὅτι γυμνὰ πάντα καὶ τετραχηλισμένα ἐνώπιον αὐτοῦ, καὶ οὐδὲν αὐτὸν λέληθε τῶν παρ᾿ ἡμῶν γινομένων. ὅτι δὲ ταῦτα δεδιττόμενος αὐτὴν γενέσθαι κεκέλευκε, τὰ ἑξῆς δηλοῖ. καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεὺς, καὶ ἐρεῖ τῇ γυναικὶ, εἰ μὴ κεκοίμηταί τις μετὰ σοῦ, εἰ μὴ παραβέβηκας μιανθῆναι ὑπὸ τὸν ἄνδρα τὸν σεαυτῆς, ἀθῶος ἴσθι ἀπὸ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου. εἰ δὲ σὺ παραβέβηκας ὕπανδρος οὖσα, ἢ σὺ μεμίανσαι, ἢ ἔδωκέ τις τὴν κοίτην ἐν σοὶ, πλὴν τοῦ ἀνδρός σου· δώῃ σε Κύριος ἐν ἀρᾷ καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ δοῦναι Κύριον τὸν μηρόν σου διαπεπτωκότα, καὶ τὴν κοιλίαν πεπρησμένην. ἐκέλευσε δὲ καὶ τὴν γυναῖκα συντίθεσθαι τῇ ἀρᾷ, καὶ λέγειν, γένοιτο, γένοιτο. καὶ γραφῆναι δὲ τὴν ἀρὰν προσέταξε, καὶ ἐξαλειφθῆναι ὕδατι, καὶ πιεῖν τὴν γυναῖκα τὸ ὕδωρ· πρότερον δὲ τὴν θυσίαν προσενεχθῆναι, τουτέστι τὸ κρίθινον ἄλευρον. εἶτα διδάσκει, ὡς ἀθῶος μὲν οὖσα, ὑγιὴς φυλαχθήσεται· ἔνοχος δὲ οὖσα καὶ κρύπτουσα, τῇ πείρᾳ μαθήσεται τῆς ἀρᾶς τὴν ἰσχὺν, καὶ τῆς κοιλίας διαρρηγνυμένης, καὶ τοῦ μηροῦ διαπίπτοντος. δι᾿ ὧν γὰρ ἡ ἁμαρτία, διὰ τούτων ἡ τιμωρία.

ΚΥΡΙΛΛΟΥ. Διὰ μὲν τοῦ ὕδατος τοῦ ζῶντος καὶ καθαροῦ, τὸν ζωοποιὸν σημήνας τοῦ Θεοῦ λόγον, ὃς ἐν σαρκὶ γέγονε, καθά-

καθάπερ ἐν ὀϛρακίνῳ σκεύει· χȣ̃ς γὰρ
ὅτι καὶ ἀπὸ γῆς ἡ σάρξ· διὰ δὲ τῆς γῆς,
τὸν ἐν θανάτῳ νοήσεις δι' ἡμᾶς.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἑκάτερον
ȣ̓κ ἀπὸ σκοπȣ̃ καὶ τοῖς ὀνόμασιν ἐπεκόσ-
μησε· τὸ μὲν ὕδωρ, εἰπὼν δεῖν καθαρόν τε
λαμβάνειν καὶ ζῶν, ἐπεὶ ἡ ἀνυπαίτιος γυνὴ
καθαρεύειν τὸν βίον, καὶ ζῆν ὀφείλει· τὴν
δὲ γῆν ȣ̓κ ἀπὸ τȣ̃ τυχόντος, ἀλλ' ἀπὸ τȣ̃
ἱερȣ̃ ἐδάφȣς, ὅπερ ἀναγκαῖον, ἀρετῶσαν,
B ὡς καὶ γυναῖκα τὴν σώφρονα.

ιη. Καὶ ϛήσει ὁ ἱερεὺς τὴν γυναῖκα
ἔναντι Κυρίȣ, καὶ ἀποκαλύψει τὴν
κεφαλὴν τῆς γυναικὸς, καὶ δώσει ἐπὶ
τὰς χεῖρας αὐτῆς τὴν θυσίαν τȣ̃ μνη-
μοσύνȣ, τὴν θυσίαν τῆς ζηλοτυπίας,
ἐν δὲ τῇ χειρὶ τȣ̃ ἱερέως ἔϛαι τὸ ὕδωρ
τȣ̃ ἐλεγμȣ̃ τὸ ἐπικαταρώμενον τȣ̃το.

Γ ✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὅ, θ' ἱε-
ρεὺς λαβὼν προτεινέτω τῇ γυναικὶ, καὶ
τȣ̓πίκρανον ἀφελὼν, ἵν' ἐπικρίνηται γε-
γυμνωμένῃ τῇ κεφαλῇ, τὸ τῆς αἰδȣ̃ς πε-
ριῃρημένη σύμβολον, ᾧ ταῖς εἰς ἅπαν
αἰτίαις ἔθος χρῆσθαι.

ΚΥΡΙΛΛΟΥ. Καὶ πρός γε δὴ τȣ́τοις
ἀκατακάλυπτος ἡ γυνὴ προσάγεται τῷ
κριτῇ, τȣτέϛιν ȣ̓κ ἐν τῷ συνήθει καὶ πρέ-
Δ ποντι κόσμῳ. ἀκοσμίας γὰρ τὰ ἐγκλή-
ματα, καὶ βδελυρίας ἡ γραφή.

ΑΔΗΛΟΥ. Τȣ̃το λέγει, ἐπειδὴ ἄδηλόν
ἐϛι τὸ πλᾶσμα. διὰ δὲ τȣ̃ ὕδατος τȣ̃ ἐλεγ-
μȣ̃ γίνεται ϛεῖρα ἡ γυνὴ, καὶ ἀνάμνησις
γίνεται τῆς ἁμαρτίας διὰ τȣ́τȣ.

ιθ. Καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεὺς, καὶ
ἐρεῖ τῇ γυναικὶ, εἰ μὴ κεκοίμηταί τις
μετὰ σȣ̃, εἰ μὴ παραβέβηκας μιαν-
E θῆναι ὑπὸ τὸν ἄνδρα τὸν σεαυτῆς,
ἀθῶα ἴσθι ἀπὸ τȣ̃ ὕδατος τȣ̃ ἐλεγ-
κ. μȣ̃ τȣ̃ ἐπικαταρωμένȣ τȣ́τȣ. Εἰ δὲ
σὺ παραβέβηκας ὕπανδρος ȣ̓̃σα, ἢ
μεμίανσαι, καὶ ἔδωκέ τις τὴν κοίτην
αὐτȣ̃ ἐν σοὶ, πλὴν τȣ̃ ἀνδρός σȣ.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τȣ́των
προσυτρεπισθέντων, ἡ μὲν ἀκατακαλύπτῳ
τῇ κεφαλῇ τὸ κρίθινον ἄλευρον κομίζȣσα,
Z καθάπερ ἐλέχθη, παρίτω· ὁ δ' ἱερεὺς
ἀντικρὺ τὸ κεραμεȣ̃ν ἀγγεῖον, ἐν ᾧ ὕδωρ
ἐϛὶ καὶ γῆ, ϛὰς ἐπιλεγέτω τάδε· εἰ μὲν
τȣ̀ς ἐπὶ γάμοις θεσμȣ̀ς ȣ̓ παραβέβηκας,
ȣ̓δ' ἀνὴρ ἕτερος ὡμίλησέ σοι καθυφιεμένῃ
τὰ πρὸς τὸν νόμον συνεληλυθότα δίκαια,
ἀνυπαίτιος καὶ ἀθῶα ἴσθι· εἰ δὲ ὠλιγώ-
ρηκας μὲν ἀνδρὸς, καινὰς ζηλώσασα ἐπι-
θυμίας, ἢ ἐρασθεῖσα, μὴ ἀγνόει πάσαις
H ἀραῖς ἔνοχος γεγενημένη.

κα. Καὶ ὁρκιεῖ ὁ ἱερεὺς τὴν γυναῖ-
κα ἐν τοῖς ὅρκοις τῆς ἀρᾶς ταύτης,
καὶ ἐρεῖ ὁ ἱερεὺς τῇ γυναικὶ, δῴη σε
Κύριος ἐν ἀρᾷ καὶ ἐνόρκιον ἐν μέσῳ

A τȣ̃ λαȣ̃ σȣ, ἐν τῷ δȣ̃ναι Κύριον τὸν
μηρόν σȣ διαπεπτωκότα, καὶ τὴν κοι-
λίαν σȣ πεπρησμένην.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ ἐνόρκιον ȣ̓́τω
νοητέον· ὅτ' ἄν τις δεινὰ καὶ ἀνήκεϛα πά-
θῃ, εἰώθασί τινες, ὀμνύντες λέγειν· μὴ
πάθοιμι ἃ ὁ δεῖνα πέπονθεν.

ΑΔΗΛΟΥ. Ἀντὶ τȣ̃, ἕκαϛος ὁρῶν τὰ
συμβαίνοντά σοι, ἀντὶ ὅρκȣ ἐρεῖ· μὴ γέ-
B νωμαι κατὰ τήνδε, ἢ πάθω καθάπερ
ἐκείνη.

κβ. Καὶ εἰσελεύσεται τὸ ὕδωρ
τȣ̃το τὸ ἐπικαταρώμενον εἰς τὴν κοι-
λίαν σȣ πρῆσαι γαϛέρα, καὶ διαπε-
σεῖν μηρόν σȣ. καὶ ἐρεῖ ἡ γυνὴ, γένοι-
το, γένοιτο.

Γένοιτο, γένοιτο. Ἀκύλας, ἀμὴν, ἀμήν.
Σύμμαχος, πεπιϛωμένως, πεπιϛωμένως.

Γ κγ. Καὶ γράψει ὁ ἱερεὺς τὰς ἀρὰς
ταύτας εἰς βιβλίον, καὶ ἐξαλείψει
εἰς τὸ ὕδωρ τȣ̃ ἐλεγμȣ̃ τȣ̃ ἐπικατα-
κδ. ρωμένȣ. Καὶ ποτιεῖ τὴν γυναῖκα τὸ
ὕδωρ τȣ̃ ἐλεγμȣ̃ τȣ̃ ἐπικαταρωμένȣ·
καὶ εἰσελεύσεται εἰς αὐτὴν τὸ ὕδωρ
τὸ ἐπικαταρώμενον τȣ̃ ἐλεγμȣ̃.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ταῦτα
Δ γράψας ἐν χαρτιδίῳ, καὶ ἀπαλείψας τῷ
κατὰ ἀγγεῖον ὕδατι, προτεινέτω τῇ γυ-
ναικί· ἡ δὲ πιȣ̃σ' ἀπαλλατέσθω, προσδο-
κῶσα σωφροσύνης ἆθλον, ἢ ἀκολασίας
τὴν ἀνωτάτω τιμωρίαν. εἰ μὲν γὰρ σεσυ-
κοφάντηται, σποράν καὶ γέννησιν ἐλπιζέτω,
τῶν ἐπὶ ϛειρώσει καὶ ἀγνοίᾳ φόβων καὶ
φροντίδων ἀλογȣ̃σα· εἰ δ' ἐϛὶν ἔνοχος, ἐφε-
δρεύȣσαν εἰς τὸν γαϛρὸς ὄγκον οἰδȣ́σης καὶ
πιμπλαμένης, καὶ τῶν περὶ μήτραν δεινὴν
E κάκωσιν, ἣν καθαρὰν ȣ̓κ ἠξίωσεν ἀνδρὶ
διατηρεῖν, τῷ κατὰ πάτρια γήμαντι.

ΚΥΡΙΛΛΟΥ. Διὰ δὲ τῶν λόγων τῆς
ἀρᾶς, τὸν ὑπὲρ ἡμῶν γεγονότα κατά-
ραν διὰ τὸ ἐπὶ ξύλȣ κρεμᾶσθαι, συνήσεις
εὖ μάλα.

κε. Καὶ λήψεται ὁ ἱερεὺς ἐκ χει-
ρὸς τῆς γυναικὸς τὴν θυσίαν τῆς ζη-
λοτυπίας, καὶ ἐπιθήσει τὴν θυσίαν
Z ἔναντι Κυρίȣ, καὶ προσοίσει αὐτὴν
κϛ. ἐπὶ τὸ θυσιαϛήριον. Καὶ δράξεται ὁ
ἱερεὺς ἀπὸ τῆς θυσίας τὸ μνημόσυνον
αὐτῆς, καὶ ἀνοίσει αὐτὸ ἐπὶ τὸ θυ-
σιαϛήριον, καὶ μετὰ ταῦτα ποτιεῖ
κζ. τὴν γυναῖκα τὸ ὕδωρ. Καὶ ἔϛαι ἐὰν
μὲν ᾖ μεμιαμμένη καὶ λήθῃ λάθῃ
τὸν ἄνδρα αὐτῆς, καὶ εἰσελεύσεται
εἰς αὐτὴν τὸ ὕδωρ τȣ̃ ἐλεγμȣ̃ τȣ̃ ἐπι-
H καταρωμένȣ, καὶ πρησθήσεται τὴν
κοιλίαν, καὶ διαπεσεῖται ὁ μηρὸς αὐ-
τῆς, καὶ ἔϛαι ἡ γυνὴ εἰς ἀρὰν τῷ
λαῷ αὐτῆς.

κη. Ἐὰν

κη. Ἐὰν δὲ μὴ μιανθῇ ἡ γυνὴ, καὶ καθαρὰ ᾖ, καὶ ἀθῶα ἔσαι, καὶ ἐκσπερματιεῖ σπέρμα.

ΚΥΡΙΛΛΟΥ. Ὅταν τοίνυν εἰς τὸ τῆς ἀνθρωπίνης διανοίας καθίκοιτο βάθος, Θεὸς κατὰ φύσιν ὑπάρχων ὁ Χριστὸς, ἐνόχους μὲν ὄντας πλάσμασιν, ἐλέγξει κολάζων· κατειλημμένους δὲ οὐκ ἐν τούτοις, καρποφόρους ἀποφανεῖ. τοῦτο γάρ οἶμαί ἐστι „ τὸ, ἐκσπερματιεῖς (1) σπέρμα, (2) τῆς ψυχῆς τὸ καρπογόνον τοῦ σωματικοῦ σημαίνοντος πάθους.

A κθ. Οὗτος ὁ νόμος τῆς ζηλοτυπίας· ᾧ ἂν παραβῇ ἡ γυνὴ ὕπανδρος λ. οὖσα, καὶ μιανθῇ. Ἢ ὁ ἄνθρωπος ᾧ ἂν ἐπέλθῃ ἐπ' αὐτῷ πνεῦμα ζηλώσεως, καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, (3) καὶ ποιήσει αὐτῇ ὁ ἱερεὺς λα. κατὰ τὸν νόμον τοῦτον, Καὶ ἀθῶος ἔσαι ὁ ἄνθρωπος ἀπὸ ἁμαρτίας· καὶ B ἡ γυνὴ ἐκείνη λήψεται τὴν ἁμαρτίαν αὐτῆς.

ΚΕΦ. Ϛ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων, β. Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, ἀνὴρ ἢ γυνὴ, ὃς ἂν μεγάλως εὔξηται εὐχὴν ἀφαγνισθῆναι ἁγνείαν Κυρίῳ,

** ΦΙΛΩΝΟΣ ἙΒΡΑΙΟΥ. Μηκέτι ἔχοντες ὕλας, ἐν αἷς διαθήσονται τὴν εὐσέβειαν, αὐτοὺς ἀνατιθέασι καὶ καθιεροῦσιν, ἄλεκτον ἐπιδεικνύμενοι ὁσιότητα, καὶ ὑπερβολήν τινα γνώμης φιλοθέου. διὸ καὶ μεγάλη προσηκόντως εὐχὴ καλεῖται. κτημάτων γὰρ τὸ μέγιστον αὐτός τίς ἐστιν αὐτῷ, οὗ παραχωρεῖ καὶ ἐξίσταται.

„ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ὃς ἂν μεγά„ λως εὔξηται εὐχὴν ἀφαγνισθῆναι ἁγνείαν τῷ Κυρίῳ; Πολλὰ τῆς ἐπαγγελίας εἴδη. οἱ μὲν γὰρ θυσίας ἐπηγγέλλοντο, οἱ δὲ χρήματα, οἱ δὲ ἑαυτοὺς, οἱ δὲ ῥητῶν ἡμερῶν ἀριθμὸν μὴ πίνειν οἶνον, μὴ κείρασθαι τὴν κεφαλήν. τοιοῦτοι ἦσαν, περὶ ὧν ὁ θεῖος εἶπεν Ἰάκωβος τῷ θεσπεσίῳ Παύλῳ, Πράξ. 21. 24. εἰσί τινες εὐχὴν ἔχοντες ἐφ' ἑαυτοῖς· τού„ τους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς, καὶ „ δαπάνησον πρὸς αὐτοὺς· τουτέστι τὰς ὑπὲρ αὐτῶν προσφερομένας κατὰ νόμον θυσίας σὺ παράσχε, ἵνα λύσῃς τὴν ὑποψίαν. περὶ τούτων ὁ νόμος ἐνταῦθα διαγορεύει, καὶ κελεύει τοὺς ταύτην ὑπισχνουμένους τὴν ἐπαγγελίαν, καὶ ὄξους ἀπέχεσθαι, καὶ σαφυλῆς, καὶ σεμφύλων πάσας τῆς εὐχῆς τὰς ἡμέρας· εὐχὴν δὲ καλεῖ τὴν ὑπόσχεσιν· καὶ τὴν κεφαλὴν μὴ κείρασθαι ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι, ὅσας ηὔξατο τῷ Κυρίῳ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἰσέον, ὡς τὸ ἐν μέρει χρόνου εὔχεσθαι τῶν εἰρημένων τὴν ἀποχὴν, μερικὴν δηλοῖ τὴν ἀφιέρωσιν· τὸ δὲ διαπαντὸς, καθολικήν. ὅπερ ὄντως καὶ μεγάλην νοητέον εὐχὴν, ἐντελοῦς πολιτείας δικαιοσύνην σημαίνουσαν.

γ. Ἀπὸ οἴνου καὶ σίκερα ἁγνισθήσεται· καὶ ὄξος ἐξ οἴνου, καὶ ὄξος ἐκ σίκερα οὐ πίεται· καὶ ὅσα κατεργάζεται ἐκ σαφυλῆς οὐ πίεται· καὶ σαφυλὴν πρόσφατον καὶ σαφίδα οὐ φάδ. γεται. Πάσας τὰς ἡμέρας τῆς εὐχῆς Γ αὐτοῦ· ἀπὸ πάντων ὅσα γίνεται ἐξ ἀμπέλου, οἶνον ἀπὸ σεμφύλων ἕως γιγάρτου οὐ φάγεται.

** ΦΙΛΩΝΟΣ ἙΒΡΑΙΟΥ. Ποιησαμένῳ τὴν εὐχὴν τάδε διαγορεύει· πρῶτον μὲν ἄκρατον μὴ προσφέρεσθαι, μηδ' ὅσα ἐκ σαφυλῆς κατεργάζεται, μηδ' ἄλλο τὶ μέθυσμα πίνειν ἐπὶ καθαιρέσει λογισμῶν, νομίζοντα τὸν χρόνον ἐκεῖνον ἱερᾶΔ σθαι. καὶ γὰρ τοῖς λειτουργοῖς τῶν ἱερέων, δίψαν ἀρκουμένοις ὕδατι, τὰ περὶ μέθην ἀπείρηται.

** ΚΥΡΙΛΛΟΥ. Εἴτω περ εἴη σκοπὸς ἀφαγνίσασθαι τῷ Θεῷ κατὰ τὴν μεγάλην εὐχὴν, τουτέστι κατά γε τὸν τῆς ἀνωτάτω πολιτείας τρόπον, καὶ δικαιοσύνης ἐντελοῦς ὀρθὴν καὶ ἀμώμητον τρίβον, οἴνου καὶ σικέρατος οἰχέσθω μακρὰν, τουτέστι παντὸς τοῦ καταμεθύσκειν ἰσχύοντος, καὶ καταΕ θολοῦν εἰωθότος, ἀπαλλαττέτω τὸν νοῦν.

ΤΟΥ ΑΥΤΟΥ. Ἐξείργει δὴ οὖν παντὸς τοῦ καταμεθύσκειν εἰδότος τῶν ἡγιασμένων τὸν νοῦν. εἶεν δ' ἂν οἶμαι [ταυτὶ;] φρόνημα κοσμικὸν, γεώδεις ἐπιθυμίαι, μέριμναι σαρκὸς, καὶ οἱ περισπασμοί. καὶ μέντοι καὶ ὄξους ἀμέτοχον εἶναι δεῖν εὖ μάλα φησίν. ὄξος οἶμαί που τὰς παρὰ φύσιν καὶ ἐκτετραμμένας ὀνομάζων ἡδονάς. σαφίδος δὲ καὶ γιγάρτων ἀπαγορεύει χρῆΖ σιν, οὐδ' ὅσον εἰπεῖν εἰς ἀρχαῖα λείψανα τῶν ἐν ἡμῖν ἡδονῶν, καθικνεῖσθαί που τὸν νοῦν ἐφιείς. οἶνος μὲν οὖν καὶ πάντα τὰ ἐξ αὐτοῦ διαβέβληνται νόμῳ, ταύτης καὶ οὐχ ἑτέρας αἰτίας ἕνεκα.

ΒΑΣΙΛΕΙΟΥ. Πρέπει γὰρ τοῖς θεραπευταῖς τοῦ θείου νόμου (4) πάντων ἀπέχεσθαι τῶν τοιούτων, τῷ ἡγεμονικῷ θόλωσιν „ ἐμποιούντων. διὰ τοῦτό φησιν, οἱ δυνάσαι „ οἶνον, μὴ πινέτωσαν. Παροιμ. 24. 37.

ε. Πάσας

(1) Ἐκσπερματιεῖ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 496. (2) Σπέρματα. ὁ Ἀλεξάν. κώδ.

(3) Καὶ σήσῃ τὴν γυναῖκα αὐτοῦ ἔναντι Κυρίου, καὶ ποιήσει, κτ. αἱ προειρημ. ἐκδόσ.

(4) Τοῦ θείου λόγου. ἐν τῇ ἑρμην. τῇ εἰς τὸ 5. τοῦ Ἡσ. κεφ. ὅπου ἄλλως ταῦτα συντέτακται.

ε. Πάσας τὰς ἡμέρας τοῦ ἁγνισμοῦ τῆς εὐχῆς αὐτοῦ· ξυρὸν οὐκ ἐπελεύσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι, ὅσας ηὔξατο Κυρίῳ· ἅγιος ἔσται τρέφων κόμην τρίχα κεφαλῆς.

ΚΥΡΙΛΛΟΥ. Ἑλλήνων μὲν ἀνόσιοι παῖδες ταῖς παρὰ σφίσιν ἑπόμενοι συνηθείαις, καὶ κλινῶν ἀλόγων διαβιοῦντες δίκην, ἀνίεσαν κόμην, δαιμονίοις αὐτὴν σκηπτόμενοι τρέφειν. καὶ ὁ μέν τις αὐτὴν νύμφαις ὀρειάσιν· οἱ δὲ, ποταμῷ κατὰ καιροὺς ἀπεκείροντο. καὶ λατρείας ἦν τρόπος τὸ χρῆμα αὐτοῖς. Μωσῆς γε μὴν ὁ σοφώτατος, μᾶλλον δὲ διὰ Μωϋσέως ὁ Θεὸς, δυσαπόνιπτον ἔχουσι τοῖς ἐξ Ἰσραὴλ τὴν ἐν Αἰγύπτῳ πλάνησιν, τὰ ἴσα νομοθετεῖ· τῶν ἀρχαίων ἐθῶν κατὰ βραχὺ μεθιστὰς, εἴσγε τὸ δαίμοσι μὲν οὐκ ἔτι, Θεῷ δὲ τῷ πάντων, ὡς διὰ τύπου καὶ σκιᾶς, ἀνάπτειν τὸ σέβας. τοιγάρτοι καὶ τοὺς περὶ θυσιῶν ἐτίθει νόμους, καὶ τὰς δι' αἱμάτων θυσίας ἀνεθελήτως ἐδέχετο. καὶ μὴν ἔφασκε διὰ (Ἡσ. 1. 12.) » φωνῆς Ἡσαΐου, τίς γὰρ ἐξεζήτησε ταῦτα » ἐκ τῶν χειρῶν ὑμῶν; οὐκοῦν εἰς νοῦ τύπον ἡμῖν ὁ λόγος ἐτίθει τὴν κεφαλὴν, ὡς ἐνδιαίτημα νοῦ. καὶ ὅτι τρίχες μὲν καρποὶ κεφαλῆς, καὶ ἐμφύτων βλαστημάτων ἀνίσχουσι δίκην. ἔννοιαί γε μὴν καὶ τὰ ἐκ νοῦ πάντα, καρπὸς ἂν εἶεν αὐτοῦ, (1) νόμον ἡμῖν ἀναβρύουσαι τῶν τριχῶν, καὶ οἱονείπως αὐτῷ καλή τε καὶ εὐανθὴς ἐμπρέπουσα κόμη. χρὴ τοιγαροῦν ἡμᾶς οὐ γυμνὸν καὶ ἐψιλωμένον ἐννοιῶν ἀγαθῶν ἐν ἑαυτοῖς ἔχειν τὸν νοῦν, ἀλλ' οἱονεὶ βρύοντα καὶ κομῶντα Θεῷ τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων εἴδησιν ἀκριβῆ.

ΑΛΛΟΣ εἰς τὸ αὐτό. Ἕλλησι μὲν γὰρ τοῖς ἀνοσίοις λατρείας ἦν τρόπος τὸ χρῆμα. ὁ δὲ πάνσοφος Θεὸς διὰ Μωσέως τὰ ἴσα νομοθετεῖ, διὰ τῶν ἀρχαίων ἐθῶν τε καὶ τρόπων κατὰ βραχὺ μεθιστὰς, εἴσγε τὸ δαίμοσι μὲν οὐκ ἔτι, Θεῷ δὲ τῷ πάντων ἀναφέρειν τὸ σέβας, ὥσπερ καὶ ἐπὶ τῶν θυσιῶν πεποίηκεν. εἰ δέ τι καὶ ὑψηλότερον ἐννοεῖν δεῖ, οὐ χρὴ ἡμᾶς γυμνὸν καὶ ἐψιλωμένον ἐννοιῶν ἀγαθῶν ἐν ἑαυτοῖς ἔχειν τὸν νοῦν, ἀλλ' οἱονεὶ βρύοντα καὶ κομῶντα Θεῷ τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων εἴδησιν ἀκριβῆ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Κόμη δὲ ἄνετος ἡ τῶν ἡγιασμένων, κόσμον τῇ κεφαλῇ προσγινόμενον δηλοῖ, ὅ ἐστι δόξα ἀνθρώπου.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἅγιον δὲ καλεῖ τὸν τρέφοντα κόμην, ὡς τῷ Θεῷ τὴν κόμην » ἀφιερώσαντα. τοῦτο γὰρ εἶπεν, ἅγιος ἔσται » ὁ τρέφων κόμην τρίχα κεφαλῆς πάσας » τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ τῷ Κυρίῳ, ἀντὶ τοῦ, ἃς ἀφιέρωσας τῷ Θεῷ, μὴ κείρῃς ἕως ἂν δῷς τῇ ὑποσχέσει τὸ πέρας.

ς. Πάσας τὰς ἡμέρας τῆς εὐχῆς Κυρίῳ· ἐπὶ πάσῃ ψυχῇ τετελευτηκυίᾳ οὐκ εἰσελεύσεται.

** ΚΥΡΙΛΛΟΥ. Παντὸς τοῦ καλαμιαίνειν πεφυκότος οἴχεσθαι μακρὰν τὸ θεῖον ἡμῖν ἐπιτάττει χρησμῴδημα, καὶ σαρκικῶν μὲν ἔργων ἀποχωρεῖν, τὰ δὲ ὅσα βλέπει πρὸς νέκρωσιν καὶ φθορὰν, ὡς ἀπωτάτω ῥίπτειν. τοιγάρτοι μὴ χρῆναι τοῖς τεθνεῶσιν ἐπιφοιτᾶν, μήτε μὴν ἐπὶ νεκρῷ καλαμιαίνεσθαι φιλεῖν, τοῦτό που πάντως ἡμῖν ὑπαινίττεται.

ζ. Ἐπὶ πατρὶ καὶ μητρὶ, καὶ ἀδελφῷ καὶ ἐπ' ἀδελφῇ, οὐ μιανθήσεται ἐν αὐτοῖς ἀποθανόντων αὐτῶν, ὅτι εὐχὴ Θεοῦ αὐτοῦ ἐπὶ κεφαλῇ αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Κατορθουμένης γὰρ ἀρετῆς, ἐῤῥέτω φιλοσαρκία, καὶ τῆς ἐξ αἵματος οἰκειότητος ἀμείνων ἔστω Θεός.

η. Πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ ἅγιος ἔσται τῷ Κυρίῳ.

θ. Ἐὰν δέ τις θανάτῳ ἀποθάνῃ ἐπ' αὐτῷ ἐξάπινα, παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ· καὶ ξυρήσεται τὴν κεφαλὴν αὐτοῦ ᾗ ἡμέρᾳ καθαρισθῇ· τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ξυρηθήσεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Κελεύει δὲ αὐτὸν, μὴ πατρὶ τετελευτηκότι πελάζειν, μὴ ἀδελφῷ, μὴ ἑτέρῳ τινί. κἂν γὰρ ἐξαπίνης, φησὶ, τελευτήσαντός τινος, παρεῖναι τοῦτον συμβῇ, ἀνάγκη πᾶσαν ἀφελεῖν τὴν τρίχα· καὶ οὐ τῇ πρώτῃ μόνον ἡμέρᾳ, ἀλλὰ καὶ τῇ ἑβδόμῃ· ἵνα καὶ αἱ διαφυγοῦσαι τὸν ξυρὸν τρίχες, ἐν ταῖς ἑπτὰ αὐξηθεῖσαι ἡμέραις περιαιρεθῶσιν. ἔπειτα τῇ ὀγδόῃ δύω τρυγόνας προσενεγκεῖν· τὴν μὲν περὶ ἁμαρτίας, τὴν δὲ εἰς ὁλοκαύτωσιν· καὶ ἀμνὸν ἕνα περὶ πλημμελείας. ἐντεῦθεν δὲ μανθάνομεν ἀκριβέστερον, ὡς περὶ πλημμελείας, τὴν τῶν ἀκουσίων ἁμαρτημάτων καλεῖ. ἀκούσιον γὰρ καὶ τὸ τούτῳ συμβάν· ἐξαπίνης γάρ τινος τελευτήσαντος, ὑπέμεινε μολυσμόν.

ΚΥΡΙΛΛΟΥ. Δύσφραστόν ἐστι τὸ ῥητόν. δηλοῖ δὲ τοῦτο, ὅτι ἐπὶ νεκρῷ μιαίνεται ὁ εὐξάμενος εὐχήν. ὀφείλει οὖν καθαρισθῆναι τὸν καθαρισμὸν, ὃν καθαρίζονται οἱ ἐπὶ νεκρῷ μιαινόμενοι. καὶ ὅταν καθαρισθῇ, ὅ ἐστιν ἀφαγνισθῇ, τότε τῇ ἑβδόμῃ ἡμέρᾳ κείρεται τὴν κόμην, καὶ τῇ ὀγδόῃ προσάγει τὸ δῶρον, τὸ εἶδος τοῦ καθαρισμοῦ. (2)

* ΤΟΥ ΑΥΤΟΥ. Εἰ γὰρ γένοιτο τὸν ἡγιασμένον καταῤῥαθυμῆσαι τοῦ πρέποντος, καὶ τοῖς εἰς νεκρότητα καταμιανθῆναι τρόποις, ἀπονενευκότα πρὸς τὰ σαρκὸς, ἕψεταί που πάντως αὐτῷ, τὸ ἀπεμπωλῆσαι

(1) Αὐ νοῦ, νόμον ἡμῖν ἀναβρύουσαι, καὶ οἱονείπως, κτ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 579.
(2) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

λῆσαι δὲ ἐν τῆς πανάγνου πολιτείας τὰ αὐχήματα, καὶ ἀτιμωτάτην ὥσπερ ἐργάσεται τὴν ἑαυτοῦ κεφαλήν. ὑπαινίττεται γάρ τι τοιοῦτον ἡ ξύρησις.

ΤΟΥ ΑΥΤΟΥ. Ἐμιάνθησαν οἱ Ἰουδαῖοι ἐπὶ νεκρῷ. ἀπέκτονασι γὰρ τὸν Ἐμμανουήλ. ἀλλ᾽ ὁ μὲν θάνατος τοῦ Χριστοῦ ἅγιος· μολυσμὸς δὲ τοῖς ἀπεκτονόσιν ἦν τὸ τῆς κυριοκτονίας ἔγκλημα. ξυρᾶσθαι δὴ οὖν ὁ νόμος αὐτοῖς ἐπιτάττει, οἱόντινα κόμην, τὴν ἐν νόμῳ παίδευσιν καὶ τὰ ἐν τύποις κατὰ τὴν ἑβδόμην, τουτέστι τὰ πρὸ τῆς ὀγδόης, καθ᾽ ἣν ἀνεβίω Χριστός. ἀποκειράμενος τοίνυν τὰ πρὸ τῆς ὀγδόης, ἁγιάζει τὴν κεφαλὴν, καὶ ἀνακομᾷ πάλιν, οὐκ ἔτι τύποις καὶ σκιαῖς, ἀλλ᾽ αὐτοῖς τοῖς ἐν πίστει καὶ ἀληθείᾳ δόγμασι τοῦ εὐαγγελικοῦ κηρύγματος.

» ** ΚΛΗΜΕΝΤΟΣ. Ἐάν τις ἀποθάνῃ
» ἐπ᾽ αὐτῷ αἰφνίδιον, παραχρῆμα μιανθή-
» σεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ, καὶ ξυρήσεται· τὴν ἀκούσιον ἁμαρτίαν, αἰφνίδιον θάνατον προσειπών. μιαίνειν δὲ αὐτὸν λέγει κηλιδοῦντα τὴν ψυχήν. διὸ καὶ τὴν θεραπείαν ἢ τάχος ὑποτίθεται, ξυρᾶσθαι παραχρῆμα τὴν κεφαλὴν συμβουλεύων, τὰς ἐπισκιαζούσας τῷ λογισμῷ τῆς ἀγνοίας κόμας ἀποψήξασθαι παραινῶν· ὡς γυμνὸν δασείας καταλειφθέντα ὕλης, τῆς κακίας, τὸν λογισμόν· ἐνθρονίζεται δὲ οὗτος ἐν ἐγκεφάλῳ· ἐπὶ τὴν μετάνοιαν παλινδρομῆσαι.

ι. Τῇ δὲ ἡμέρᾳ τῇ ὀγδόῃ οἴσει δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν πρὸς τὸν ἱερέα, ἐπὶ τὰς θύρας τῆς
ια. σκηνῆς τοῦ μαρτυρίου. Καὶ ποιήσει ὁ ἱερεὺς μίαν περὶ ἁμαρτίας, καὶ μίαν εἰς ὁλοκαύτωμα. καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ ὧν ἥμαρτε περὶ τῆς ψυχῆς· καὶ ἁγιάσει τὴν κεφαλὴν αὐτοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ,

* ΚΥΡΙΛΛΟΥ. Τῷγε μὴν τρέφοντι τὴν κόμην, μετὰ τὴν ὀγδόην ἡμέραν, τρυγόνας προσάγειν καὶ περιστερὰς ὁ νόμος προσέταξε. καθαίρει γὰρ διὰ τοῦ τύπου τοὺς μεμολυσμένους Χριστός. σημαίνεται γὰρ δι᾽ ἀμφοῖν, ὡς εὐφωνότατος μὲν, ἐν τρυγόνι· πρᾳότατος δὲ, διὰ τῆς περιστερᾶς.

ΑΔΗΛΟΥ. Ἀπὸ γὰρ τῆς ὀγδόης ἡμέρας, ἀφ᾽ ἧς ἐκάρη, ἄρχονται ψηφίζεσθαι αἱ ἡμέραι τῆς εὐχῆς τῆς ἁγνείας.

ιβ. Ἣ ἡγίασε Κυρίῳ πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ. καὶ προσάξει ἀμνὸν ἐνιαύσιον εἰς πλημμέλειαν. καὶ αἱ ἡμέραι αἱ πρότερον ἄλογοι ἔσονται, ὅτι ἐμιάνθη ἡ κεφαλὴ εὐχῆς αὐτοῦ.

* ΚΥΡΙΛΛΟΥ. Ἀναφέρεται δὲ καὶ ἀμνὸς τοῖς στρουθίοις ὁμοῦ, ἵνα διὰ πάντων νοῆται Χριστός. διὰ μὲν τῶν στρουθίων, ἄνω-

A θεν καὶ ἐξ οὐρανοῦ· διὰ δὲ τοῦ ἀμνοῦ, κάτωθεν καὶ ἀπὸ γῆς, Θεὸς κατὰ φύσιν ὑπάρχων, καὶ σάρκα δι᾽ ἡμᾶς εἰληφώς.

* ΤΟΥ ΑΥΤΟΥ. Εἰκῇ δὲ πεπονηκὼς τὸν παρῳχηκότα χρόνον, τὴν τῶν ἱδρώτων θρηνήσει ζημίαν. τοῦτο γὰρ οἶμαί ἐστι
» τὸ, αἱ ἡμέραι αἱ πρῶται ἄλογοι ἔσονται.
[τοιοῦτόν τί φησι καὶ διὰ φωνῆς Ἰεζεκιήλ.
» δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται αὐτὸν, Ἰεζ. 33. 12.
» ἐν ᾗ ἡμέρᾳ ἁμάρτῃ, καὶ ἀνομία ἀνόμου οὐ
B » μὴ κακώσῃ αὐτὸν, ᾗ ἂν ἡμέρᾳ ἀποστρέψῃ
» ἀπὸ τῆς ἀνομίας αὐτοῦ.]

ΘΕΟΔΩΡΗΤΟΥ. Ἄνωθεν δὲ αὐτὸν ἀριθμῆσαι κελεύει τὸν τῶν ἐπηγγελμένων
» ἡμερῶν ἀριθμόν. ἀλόγιστοι γάρ φησιν ἔσον-
» ται αὐτῶν αἱ πρότεραι ἡμέραι, ὅτι ἐμιάν-
» θη ἡ κεφαλὴ τῆς εὐχῆς αὐτοῦ.

» ** ΚΛΗΜΕΝΤΟΣ. Αἱ δὲ ἡμέραι αἱ
» πρότεραι ἄλογοι· δι᾽ ὧν δῆλον, ὅτι αἱ ἁ-
Γ μαρτίαι μιαίνονται, αἱ μὴ γεγονυῖαι κατὰ λόγον. καὶ τὸ μὲν ἀκούσιον, αἰφνίδιον προσεῖπε· τὸ δὲ ἁμαρτάνειν, ἄλογον.

ιγ. Καὶ οὗτος ὁ νόμος τοῦ εὐξαμένου. ᾗ ἂν ἡμέρᾳ πληρώσῃ ἡμέρας εὐχῆς αὐτοῦ, προσοίσει αὐτὸς παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου.

ιδ. Καὶ προσάξει τὸ δῶρον αὐτοῦ
Δ Κυρίῳ ἀμνὸν ἐνιαύσιον (1) ἕνα εἰς ὁλοκαύτωμα, καὶ ἀμνάδα ἐνιαυσίαν ἄμωμον μίαν εἰς ἁμαρτίαν, καὶ κριὸν ἄμω-
ιε. μον ἕνα εἰς σωτήριον, Καὶ κανοῦν ἀζύμων σεμιδάλεως ἄρτους ἀναπεποιημένους ἐλαίῳ, καὶ λάγανα ἄζυμα κεχρισμένα ἐν ἐλαίῳ, καὶ θυσίαν αὐτῶν, καὶ σπονδὴν αὐτῶν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἠκούσης
E τῆς προθεσμίας, τρία ζῷα κελεύει προσάγειν ἐπὶ λύσει τῆς εὐχῆς, ἄρνα καὶ ἀμνάδα καὶ κριόν· τὸν μὲν εἰς ὁλοκαύτωσιν, τὴν δὲ περὶ ἁμαρτίας, τὸν δὲ κριὸν εἰς θυσίαν τοῦ σωτηρίου· πᾶσι γὰρ τούτοις συμφέρεταί πως ὁ εὐξάμενος· τῇ μὲν ὁλοκαύτῳ θυσίᾳ, διὰ τὸ μὴ τῶν ἄλλων μόνον ἀπαρχῶν, ἀλλὰ καὶ αὐτοῦ παραχωρεῖν τῷ Σωτῆρι· τῇ δὲ περὶ ἁμαρτίας, διὰ τὸ ἄνθρωπος εἶναι· κἂν γὰρ ὁ τέλειος ᾖ γεν-
Z νητὸς, οὐκ ἐκφεύγει τὸ ἁμαρτάνειν· τῇ δὲ τοῦ σωτηρίου, διότι τὸν σωτῆρα ὄντως Θεὸν ἐπιγέγραπται τῆς σωτηρίας αἴτιον. Καὶ μετ᾽ ὀλίγα. Ἐκπλήττει δέ με τὸ τῶν τριῶν ζώων προσαγομένων εἰς διαφόρους θυσίας, μηδὲν εἶναι ἑτερογενὲς, ἀλλὰ ταὐτοῦ γένους τὰ πάντα, κριὸν καὶ ἄρνα καὶ ἀμνάδα. βούλεται γὰρ, ὅπερ ἔφην μικρῷ πρότερον, διὰ τούτου παραστῆσαι, ὅτι ἀδελφαί εἰσιν αἱ τρεῖς ἰδέαι τῶν θυσιῶν, τῷ καὶ
H τὸν μετανοοῦντα σώζεσθαι, καὶ τὸν σωζόμενον ἐκ τῶν ψυχικῶν ἀρρωστημάτων μετανοεῖν, καὶ ἑκάτερον σπεύδειν πρὸς ὁλό-

 κληρον

(1) Ἐνιαύσιον ἄμωμον. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ ἐν ἁγίοις Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 583.

κλῆρον καὶ παντελῆ διάθεσιν· ἧς ἡ ὁλόκαυτος θυσία σύμβολον.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδίδαξε δὲ καὶ τίνας προσήκει θυσίας προσενεγκεῖν τὸν τοῦ ἁγνισμοῦ τὴν ἐπαγγελίαν πεπληρωκότα· ἀμνὸν μὲν, εἰς ὁλοκαύτωσιν· ἀμνάδα δὲ, ὑπὲρ ἁμαρτίας. θήλεα γὰρ τὰ ὑπὲρ ἁμαρτίας ἱερεῖα, ἐπειδὴ χαυνωμένου τοῦ λογικοῦ, ἡ ἁμαρτία τολμᾶται. καὶ μέντοι καὶ κριὸν ἄμωμον εἰς σωτηρίαν, καὶ κανοῦν ἀζύμων προσενεγκεῖν διηγόρευσεν· ἔπειτα τῆς θυσίας ἐπιτελουμένης, τὰς τρίχας ἐπιθεῖναι τῇ θυσίᾳ τοῦ σωτηρίου.

ΚΥΡΙΛΛΟΥ. Διὰ μὲν τοῦ ἀμνοῦ τοῦ τὴν θυσίαν προσάγοντος νοοῖτ' ἂν εἰκότως ἡ ἐν Χριστῷ νηπιότης· διὰ δὲ τοῦ κριοῦ, τὸ ἐν
1. Κορ. 14. 20. φρεσὶν ὡς ἐν καρποφορίᾳ τέλειον· μὴ παι-
» δία γάρ φησι γίνεσθε ταῖς φρεσί· διὰ δὲ
τῆς ἀμνάδος, ὅτι καὶ τῶν ἄγαν ἁγνιζομένων ὁ βίος οὐκ ἀμώμητος παντελῶς. δεῖται γὰρ πάντως καθαρισμοῦ. μόνῳ γὰρ τῷ Ἐμμανουὴλ τετήρηται τὸ πάντῃ ἀμώ-
1. Κορ. 5. 7. μητον. ἐκκαθάρατε, φησὶ, τὴν παλαιὰν
» ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε
ἄζυμοι. ἐν δὲ τῷ λαγάνῳ, τὸ ἥδυσμα καὶ οἱονεὶ γλυκὺ τῆς τῶν ἁγίων ζωῆς. ἑαυτοὺς οὖν ἄρα προσοίσομεν ὡς ἐν ἀμνῷ μὲν, διὰ τὸ νήπιον ἐν Χριστῷ· ὡς ἐν ἀμνάδι δὲ, διὰ τὸ τῆς φύσεως ἀσθενές· ἀσθενείας γὰρ τύπος τὸ θῆλυ· ὡς ἐν κριῷ [δὲ] δὴ, τέλειοι, καὶ εἰς μέτρον ἡλικίας ἐλάσαντες τῆς ἐν Χριστῷ. καὶ ὡς ἐν ἄρτοις μὲν τοῖς ἀζύμοις, καθαροί. ἡδεῖς δὲ, ὡς ἐν λαγάνοις, πλὴν ἠλειμμένοι διὰ Χριστοῦ. τὸ δὲ ἔλαιον παραλαμβάνεται, ὡς ἀνῃρημένης τῆς ἁμαρτίας. οὐ γὰρ δέδοται ἔλαιον ἐπὶ θυσίαις ταῖς ὑπὲρ ἁμαρτιῶν.

ιϛ. Καὶ προσοίσει ὁ ἱερεὺς ἔναντι Κυρίου, καὶ ποιήσει τὸ περὶ ἁμαρτίας
ιζ. αὐτοῦ, καὶ τὸ ὁλοκαύτωμα αὐτοῦ. Καὶ τὸν κριὸν ποιήσει θυσίαν σωτηρίου τῷ Κυρίῳ ἐπὶ τῷ κανῷ τῶν ἀζύμων, καὶ ποιήσει ὁ ἱερεὺς τὴν θυσίαν αὐτοῦ, καὶ τὴν σπονδὴν αὐτοῦ.

** ΚΥΡΙΛΛΟΥ. Μεσιτεύει πάλιν ὁ ἱερεὺς, καὶ προσκομίζει μὲν πρῶτον τὸ περὶ τῆς ἁμαρτίας, εἶτα τὸ ὁλοκαύτωμα, καὶ τρίτον ἐπὶ τῷδε, τοῦ σωτηρίου τὸν κριόν. μεσιτεύοντος γὰρ τοῦ Χριστοῦ, καὶ προσάγοντος ἡμᾶς τῷ Θεῷ καὶ πατρὶ, δεκτοὶ μὲν ἐσόμεθα, ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων προσκομίζοντες λιτὰς, καὶ τῶν ἀρχαίων αἰτιαμάτων ἐξαιτοῦντες τὴν ἄφεσιν· ὁλοκαυτούμεθα δὲ νοητῶς, τουτέστιν εἰς ἅπαν καὶ ὁλοκλήρως ἅγιοί τε καὶ ἱεροὶ, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνακεισόμεθα τῷ Θεῷ, πρὸς τὰ ἐν κόσμῳ μὴ μεμερισμένοι· ὅλον γὰρ ἐδαπανᾶτο ἐν πυρὶ τὸ ὁλοκαυτούμενον· ἀναθήσομεν δὲ καὶ τὰ χαριστήρια, τὰ ὑπέρ γε τῆς αὐτῶν σωτηρίας καὶ ζωῆς, οὐ φθαρτοῖς καὶ γηΐνοις τιμῶντες Θεὸν, ξένιον δὲ ὥσπερ αὐτῷ προσάγοντες ἀξιόληπτον τὴν καθαράν τε καὶ ἄζυμον καὶ ἡδεῖαν ζωὴν καὶ ἁγίαν. τοιουτοσὶ γάρ πως ὁ τῶν ἁγίων βίος.

ιη. Καὶ ξυρήσεται ὁ ηὐγμένος παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου τὴν κεφαλὴν τῆς εὐχῆς αὐτοῦ, καὶ ἐπιθήσει τὰς τρίχας ἐπὶ τὸ πῦρ, ὅ ἐστιν ἐπὶ τὴν θυσίαν τοῦ σωτηρίου.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐπεὶ αὐτὸν ηὔξατο προσαγαγεῖν, τὸν δὲ ἱερὸν βωμὸν οὐ θέμις αἵματι ἀνθρωπίνῳ μιαίνεσθαι, ἔδει δέ τι πάντως μέρος ἱερουργηθῆναι, ἐσπούδασε λαβεῖν ὅπερ ἀφαιρεθὲν, οὔτ' ἀλγηδόνας, οὔτε λώβην ἀπεργάσεται. τοῦ γὰρ κατὰ σῶμα φυσικοῦ καθάπερ δένδρου περιττοὺς κλάδους τὰς τῆς κεφαλῆς τρίχας ἀπέκειρε, καὶ παρέδωκε πυρὶ, ᾧ τὰ κρέα τῆς τοῦ σωτηρίου θυσίας ἕψεται, προσηκόντως· ἵνα τι τῶν εὐξαμένου μέρος, ὃ μὴ ἐπιφέρειν ἔξεστι τῷ βωμῷ, θυσίᾳ γοῦν ἀνακραθὲν, γένηται ὕλη φλογὸς πυρός.

* ΚΥΡΙΛΛΟΥ. Σημεῖον δὲ τοῦ δεδέχθαι παρὰ Θεοῦ τὴν δωροφορίαν τὸ δαπανᾶσθαι πυρὶ τὴν τρίχα. τὸ γὰρ εἶδος τοῦ πυρὸς ἀεὶ τῇ θείᾳ περιτίθησι φύσει [τὸ
» γράμμα τὸ ἱερόν.] ὁ Θεὸς γάρ φησι πῦρ Δευτ. 4. 24.
» καταναλίσκον.

ιθ. Καὶ λήψεται ὁ ἱερεὺς τὸν βραχίονα ἑφθὸν ἀπὸ τοῦ κριοῦ, καὶ ἄρτον ἄζυμον ἕνα ἀπὸ τοῦ κανοῦ, καὶ λάγανον ἄζυμον ἓν, καὶ ἐπιθήσει ἐπὶ τὰς χεῖρας τοῦ ηὐγμένου μετὰ τὸ ξυρήσασθαι αὐτὸν τὴν κεφαλὴν αὐτοῦ,

ΚΥΡΙΛΛΟΥ. Ὁ τοίνυν ἁγνείαν τὴν ἀνωτάτω κατωρθωκὼς, καὶ τὰ ἐξ ἰσχύος ἔργα, δηλονότι τῆς πνευματικῆς, προσκεκομικὼς ὡς ἐν βραχίονι τοῦ κριοῦ, καὶ ζωὴν ἄμωμον ὡς ἐν ἄρτῳ ἀζύμῳ νοουμένην· καὶ μέντοι καὶ τὸ ἡδὺ καὶ τὸ ἐπίχαρι τῆς ἐν ἁγιασμῷ ζωῆς ὡς ἐν λαγάνῳ, μονονουχὶ χερσὶν ἰδίαις ἐπιθεὶς, ἀναφέρει Θεῷ διὰ μεσίτου Χριστοῦ.

** ΤΟΥ ΑΥΤΟΥ. Ἑφθὸν δὲ προσέταξε λαμβάνεσθαι τὸν βραχίονα, τὸ οἱονείπως ὠμὸν, καὶ τὸ τοῦ καθήκοντος παράλογον τῆς τῶν ἁγίων ἰσχύος ἀποσοβῶν. οὐ γὰρ ἀποτόμους εἶναι χρὴ τοὺς ἀνακειμένους Θεῷ, οὔτε μὴν ἀκράτῳ κεχρῆσθαι τῷ νῷ, ἀλλ' εὐαφῶς τε καὶ ἁπαλῶς καὶ λίαν εὐτέχνως κατορθοῦν ἐπείγεσθαι τὰ εἰς ἀρετήν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ βραχίων ὁ ἑφθὸς ὁ ἐπιτιθέμενος ταῖς τοῦ εὐξαμένου χερσὶ, καὶ παρὰ τοῦ ἱερέως λαμβανόμενος, δηλοῖ τελεσθεῖσαν τὴν ἐπηγγελμένην πρᾶξιν. πράξεως γὰρ γεγενημένης ὁ ἑφθὸς βραχίων δηλωτικός. ταῦτα δὲ οὐ μάτην νενομοθέτηκεν, ἀλλ' ἀκριβείας ἐπιμελεῖσθαι διδάσκων, καὶ μήτε ὡς ἔτυχεν ἐπαγγέλλεσθαι, καὶ ὑπισχνουμένους τὰ ἐπηγγελμένα πληροῦν. παιδεύει δὲ καὶ ἡμᾶς διὰ τούτων καὶ τὸν ἁγιασμὸν φυλάττειν ἀμόλυντον. ὁ γὰρ κηλῖδα δεχόμενος τῆς ἄνωθεν

A ἄνωθεν δεῖται καθάρσεως, καὶ τῆς διὰ μετανοίας τῶν μολυσμῶν ἀφαιρέσεως. τοῦτο γὰρ καὶ Γαλάταις ἐπιστέλλων ἔλεγεν ὁ
Γαλ. 4. 19. μακάριος Παῦλος· » τεκνία μου, οὓς πάλιν » ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.

κ. Καὶ προσοίσει αὐτὰ ὁ ἱερεὺς ἐπίθεμα ἔναντι Κυρίου· ἅγιον ἔσται τῷ ἱερεῖ ἐπὶ τοῦ στηθυνίου τοῦ ἐπιθέματος, καὶ ἐπὶ τοῦ βραχίονος τοῦ ἀφαιρέματος. B καὶ μετὰ ταῦτα πίεται ὁ ηὐγμένος οἶνον.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπίθεμα λέγεται, ἡνίκα τὸ προσενεχθὲν ἐπιτεθῇ τῷ θυσιαστηρίῳ· ἀφαίρεμα δὲ, ὅταν ἀπὸ τοῦ τυθέντος, ἢ ζυμωθέντος, ἢ τοιούτου τινὸς ἀφαιρεθῇ.

** ΚΥΡΙΛΛΟΥ. Ὥσπερ τὸν βραχίονα μηνύουσιν εἶναί φαμεν τῶν ἐξ ἰσχύος κατορθωμάτων, οὕτω καὶ τὸ στηθύνιον τοῦ κριοῦ, Γ φρενός τε καὶ νοῦ. κεκλήμεθα γὰρ ἐν σπλάγχνοις καὶ ἐν τῷ στήθει τὰς φρένας. ἀδιαφορεῖ δὲ πολλάκις ἡ θεία Γραφὴ, καὶ ποτὲ μὲν εἰς νοῦ τύπον τὴν κεφαλὴν, ποτὲ δὲ τὸ στῆθος, εἰς φρενὸς ποιεῖται δήλωσιν. ἱερὰ δὴ οὖν καὶ ἐξαίρετα, μόνον δὲ οὐχὶ ἀπὸ χειρὸς εἰς χεῖρα προσκομιζόμενα, καὶ εὐπαράδεκτα δι' αὐτοῦ τῷ Θεῷ καὶ πατρὶ, τῶν ἁγνιζομένων ἰσχύς τε ἡ πνευματικὴ, καὶ μέντοι καὶ φρένες· εἴπερ ἐστὶν ἀληθὲς εἰπεῖν, Δ ὡς οὐκ ἂν ἑτέρως γένοιτό ποτε κατορθοῦν δύνασθαι τοὺς ἁγίους τὰ ἀνδάνοντα Θεῷ, μὴ οὐχὶ δι' ἰσχύος τῆς πνευματικῆς, καὶ μέντοι καὶ φρενὸς ἀγαθῆς.

κα. Οὗτος ὁ νόμος τοῦ εὐξαμένου, ὃς ἂν εὔξηται Κυρίῳ δῶρον αὐτοῦ Κυρίῳ περὶ τῆς εὐχῆς αὐτοῦ, χωρὶς ὧν ἂν εὕρῃ ἡ χεὶρ αὐτοῦ, ἧς ἂν εὔξηται κατὰ νόμον ἁγνείας.

E κβ. Καὶ ἐλάλησε Κύριος πρὸς
κγ. Μωϋσῆν, λέγων, Λάλησον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, λέγων, οὕτως εὐλογήσετε τοὺς υἱοὺς Ἰσραὴλ, λέγοντες πρὸς αὐτούς· καὶ ἐπιθήσουσι τὸ ὄνομά μου ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐγὼ Κύριος εὐλογήσω αὐτούς.

ΘΕΟΔΩΡΙΤΟΥ. Μετὰ ταῦτα διδάσκει πῶς εὐλογεῖν προσήκει τοὺς ἱερέας, Z καὶ ὡς τὸ θεῖον ὄνομα χορηγεῖ τοῖς προσιοῦσι τὴν εὐλογίαν. » ἐπιθήσουσι γάρ φησι τὸ ὄνομά » μου ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐγὼ Κύριος » εὐλογήσω αὐτούς.

ΚΥΡΙΛΛΟΥ. Προστάττει μὲν οὖν εὐλογεῖν τὸν λαὸν τοὺς ἱερεῖς, [ἀφίστησι δὲ χρησίμως εἰκαιότητος λογισμῶν, οὐκ ἀνθρώπου χεῖρα τὴν εὐλογοῦσαν δεικνὺς, ἀλλ' ἑαυτὸν ὡς Κύριον.] Χριστὸς δὲ τῆς εὐλογίας ἡ ὁδὸς, καὶ αὐτός ἐστι τῶν οὐρανίων ἀγαθῶν ὁ διανομεὺς, H ἐν αὐτῷ τε καὶ δι' αὐτοῦ τὰ πάντα παρὰ τοῦ πατρός.

A κδ. Εὐλογήσαι σε Κύριος, καὶ φυλάξαι σε.

ΘΕΟΔΩΡΙΤΟΥ. Λέγει δὲ καὶ αὐτὰ » τῆς εὐλογίας τὰ ῥήματα· εὐλογήσαι σε » Κύριος, καὶ φυλάξαι σε. ἐπιφάναι Κύριος » τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ, καὶ ἐλεήσαι σε. » ἐπάραι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σοὶ, » καὶ δῴη σοι εἰρήνην. διδασκόμεθα δὲ διὰ τούτων, ὡς χρὴ πρότερον τοὺς εὐλογουμένους τὰς θείας αἰτεῖν δωρεάς· τοῦτο γὰρ B σημαίνει τὸ, εὐλογήσαι σε· εἶτα τὰ διδόμενα φυλαχθῆναι. ἐπήγαγε γὰρ, καὶ » φυλάξαι σε.

ΚΥΡΙΛΛΟΥ. Φυλάττει μὲν οὖν ἡ εὐλογία, παραλύουσα τὴν ἀρὰν, καὶ ἀναπλάττουσα τὸ ἡμαρτηκός.

κε. Ἐπιφάναι Κύριος τὸ πρόσω-
κς. πον αὐτοῦ ἐπὶ σὲ, καὶ ἐλεήσαι σε. Ἐπά-
Γ ραι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ, καὶ δῴη σοι εἰρήνην.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἡ δὲ δευτέρα εὐλογία τὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν ἐπιφάνειαν προθεσπίζει. » ἐπιφάναι γάρ φησι Κύ» ριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σοὶ, καὶ ἐλεήσαι σε. ἐλέους γὰρ μεστὴ ἡ κατὰ σάρκα τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν οἰκονομία. διὸ καὶ τὰς πρὸς τὸν Θεὸν ἡμῖν καταλλαγὰς ἐδωρήσατο. τοῦτο γὰρ ἡ ἑξῆς εὐλογία διδάσ-
Δ κει· » ἐπάραι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ » σοὶ, καὶ δῴη σοι εἰρήνην. περὶ ταύτης τῆς εἰρήνης καὶ ὁ μακάριος Παῦλος ἔφη· » αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ (Ἐφεσ. 2. 14.) » ἀμφότερα ἓν, καὶ τὸ μεσότειχον τοῦ φραγ» μοῦ λύσας τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ.

** ΚΥΡΙΛΛΟΥ. Ἐπιφάνεια δὲ προσώπου Θεοῦ προξενήσειεν ἂν αὐτίκα τὸ ἐλεεῖσθαι δεῖν, εἴπερ ἐστὶν ἀληθὲς, ὡς ἔν γε τῷ γνῶναι Θεὸν, τὸ χρῆναι μεταλαχεῖν τῆς E αἰωνίου ζωῆς εἰσβήσεται.

* ΤΟΥ ΑΥΤΟΥ. Πρόσωπον τοῦ Θεοῦ καὶ πατρός ἐστιν ὁ υἱὸς, ὃς καὶ ἐπέφανεν ἡμῖν, καὶ ἠλεήμεθα πάντες τῇ ἐπιφανείᾳ αὐτοῦ. καὶ μέντοι καὶ ἔπαρσις τοῦ προσώπου » τοῦ Θεοῦ, πρόξενος εἰρήνης. εἰρήνην γάρ (Ἰωάν. 14. 27.) » φησι τὴν ἐμὴν δίδωμι ὑμῖν, ἀναλαμβανό» μενος ἀπὸ γῆς· καὶ ὅταν ὑψωθῶ ἐκ τῆς (Ἰωάν. 12. 32.) » γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. (1)

Z κζ. Καὶ ἐπιθήσουσι τὸ ὄνομά μου ἐπὶ τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐγὼ Κύριος εὐλογήσω αὐτούς.

** ΠΡΟΚΟΠΙΟΥ. Ὁρᾷς, ὅτι τὸ ὄνομα Κυρίου τὰς εὐλογίας ἐνεργεῖ, οὐ τὸ στόμα τοῦ λέγοντος; ὅθεν κἂν ἁμαρτωλὸς εὐλογῇ, ὁμοίως ἐνεργεῖται παρὰ τῷ πιστῶς δεχομένῳ ἡ εὐλογία. καθάπερ ἀμέλει τοῦ Βαλαὰμ εὐλογοῦντος ἐν ὀνόματι Κυρίου, H ἐνηργεῖτο ἡ εὐλογία τοῖς ἀξίοις. σημειῶσαι δὲ, ὅτι τρίτον εὐλογεῖ διὰ τῆς ἁγίας Τριάδος· ὥσπερ οὖν καὶ ὁ Βαλαάμ.

Hh hh 3 ΚΕΦ.

(1) Περίληψίς εἰσι τῶν ἐν τῇ 405, καὶ 406. σελ. τοῦ 2. μέρ. τοῦ 1. Τόμ.

ΚΕΦ. Ζ.

α. Καὶ ἐγένετο τῇ ἡμέρᾳ ᾗ συνετέλεσε Μωϋσῆς, ὥστε ἀναστῆσαι τὴν σκηνὴν, καὶ ἔχρισεν αὐτὴν, καὶ ἡγίασεν αὐτὴν, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὸ θυσιαστήριον, καὶ πάντα τὰ σκεύη αὐτοῦ, καὶ ἔχρισεν αὐτὰ, καὶ ἡγίασεν αὐτά.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐν γὰρ τῷ Χριστοῦ σώματι, ὡς ἐν σκηνῇ ἁγίᾳ, περιεχόμεθα, καὶ ὡς ἐν θυσιαστηρίῳ θῦμά τι προσαγόμεθα· ὅτι ἅγιον τὸ σῶμα, ὡς ἡ σκηνή· καὶ ὡς τὸ θυσιαστήριον ὁμογονὲς ἡμῖν ὂν, καθ' ὃ σῶμα, ὑπὲρ ἡμᾶς δὲ, καθ' ὃ ἅγιον, ἐν τῇ ἁγιότητι τὸ ζῆν ἔχον, καὶ οὐδέποτε χωρὶς ἁγιότητος πρὸ τοῦ ἁγιασμοῦ.

β. Καὶ προσήνεγκαν οἱ ἄρχοντες Ἰσραὴλ, δώδεκα ἄρχοντες οἴκων πατριῶν αὐτῶν· οὗτοι οἱ ἄρχοντες φυλῶν, οὗτοι οἱ παρεστηκότες ἐπὶ τῆς ἐπισκοπῆς.

Ἐπὶ τῆς ἐπισκοπῆς. Ἄλλος, ἀριθμήσεως τοῦ λαοῦ.

ΚΥΡΙΛΛΟΥ. Ἀναδεδειγμένης γὰρ τῆς ἁγίας καὶ ἀληθοῦς σκηνῆς, τουτέστι τῆς ἐκκλησίας, πολυειδῶς ἐν αὐτῇ διαπρέπει Χριστός. ἐπειδὴ γὰρ γέγονεν ἄνθρωπος ὁ μονογενὴς, ἐξ ἡμῶν εἷς ὁ πάντων ἀντάξιος, λύτρον ἑαυτὸν προσκεκόμικε τῷ Θεῷ καὶ πατρί. εἷς δὲ ὑπάρχων ὁ αὐτὸς, κατὰ πολλοὺς ἐγράφετο τρόπους ἔν γε τῇ τῶν ἀρχόντων προσκομιδῇ. ἱερουργεῖται δὲ ὥσπερ καὶ νῦν διὰ τῶν κατὰ καιροὺς ἡγουμένων, πολυτρόπως νοούμενος, καὶ διαφόροις ὀνόμασι τιμώμενος. (1)

γ. Καὶ ἤνεγκαν τὰ δῶρα αὐτῶν ἔναντι Κυρίου, ἓξ ἁμάξας λαμπινικὰς, (2) καὶ δώδεκα βόας· ἅμαξαν παρὰ δύω ἀρχόντων, καὶ μόσχον παρ' ἑκάστου. καὶ προσήνεγκαν ἐναντίον τῆς σκηνῆς.

Λαμπινικάς. Ἄλλος κατασκευαστὰς, ἁμαξοειδεῖς, ἤτοι ὡς βερέδια, ὡς κεῖται ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν. (3) τὸ δὲ Σαμαρειτικὸν, δυνάμεως ἔχει.

ΕΥΣΕΒΙΟΥ ΕΜΕΣΗΣ. Ἁμάξας λαμπινικὰς, τὰς διατρόχους λέγει, ἅς τινες βηρώτια (4) καλοῦσιν, ὅτι ἡμίονοι ἕλκουσιν· Ἀκύλας δὲ, σκεπαστὰς ἑρμηνεύει.

δ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν,
ε. λέγων, Λάβε παρ' αὐτῶν, καὶ ἔσον-
ται πρὸς τὰ ἔργα τὰ λειτουργικὰ τῆς
σκηνῆς τοῦ μαρτυρίου· καὶ δώσεις αὐ-
τὰ τοῖς Λευΐταις, ἑκάστῳ κατὰ τὴν
ς. αὐτοῦ λειτουργίαν. Καὶ λαβὼν Μωϋ-
σῆς τὰς ἁμάξας καὶ τοὺς βόας, ἔδωκεν
ζ. αὐτὰ τοῖς Λευΐταις. Τὰς (5) δύω
ἁμάξας καὶ τοὺς τέσσαρας βόας ἔδω-
Β κε τοῖς υἱοῖς Γεδσὼν κατὰ τὰς λει-
η. τουργίας αὐτῶν. Καὶ τὰς τέσσαρας
ἁμάξας καὶ τοὺς ὀκτὼ βόας ἔδωκε τοῖς
υἱοῖς Μεραρὶ κατὰ τὰς λειτουργίας
αὐτῶν, διὰ Ἰθάμαρ τοῦ υἱοῦ Ἀαρὼν
θ. τοῦ ἱερέως. Καὶ τοῖς υἱοῖς Καὰθ οὐκ
ἔδωκεν, ὅτι τὰ λειτουργήματα τοῦ
ἁγίου ἔχουσιν· ἐπ' ὤμων ἀροῦσι.

* * ΚΥΡΙΛΛΟΥ. Ἀκούεις ὅπως τοῖς
Γ μὲν τὸ ἐφ' ἁμαξῶν ἄγειν τε καὶ φέρειν
ἔθος, Καaθίταις δὲ μόνοις εἰς ὤμους τὰ
ἱερά; ἀεὶ γάρ πως ἐστὶν ἐν ἱδρῶτι μείζονι
τὸ προὖχόν τε καὶ ἱερώτερον. παρέπεται
δὲ αὐτῷ πάντῃ τε καὶ πάντως τὸ χρῆναι
πονεῖν, καὶ πρός γε δὴ τούτῳ τὸ τληπα-
θεῖν, καὶ οὐκ ἐν ἴσῳ τοῖς ἄλλοις, οἵπερ ἂν
εἶεν καὶ ἁγιώτεροι, καὶ ἀγχοῦ δὴ μᾶλλον
οἱονεί πως Θεοῦ. Καὶ μετ' ὀλίγα. Ἐοίκασιν οἱ
μὲν δύω δῆμοι, Γεδσών τε καὶ Μεραρὶ, τοὺς
Δ ἐν νόμῳ λαοὺς ὑπαινίττεσθαι, φημὶ δὴ τὸν
Ἰσραήλ· Καaθῖται δέ γε, τοὺς ἡγιασμένους
ἐν Χριστῷ διὰ πίστεως. οἷς μὲν γὰρ ἦν ἐν
φροντίδι τὰ ἱστία τῆς αὐλῆς, αἱ δέρρεις
τῆς σκηνῆς, τὰ καλύμματα καὶ οἱ στῦλοι,
κεφαλαί τε καὶ βάσεις, πάσσαλοί τε καὶ
περιτανύσματα, καὶ ᾗ φησὶ τὸ γράμμα
τὸ ἱερὸν, πάντα τὰ περισσὰ, δι' οὗ σημαί-
νεται τὸ τῆς λειτουργίας οὐκ ἀναγκαῖον.
οἱ δὲ φέρειν ἐθαρσήθησαν τὰ ἅγια τῶν
Ε ἁγίων, καὶ τὰ δι' ὧν Χριστὸς, οὐ καθ' ἕνα
τρόπον, πολλαχῶς δὲ μᾶλλον καὶ πολυει-
δῶς σημαίνεται, ὡς κιβωτὸς, ὡς τράπεζα,
καὶ ὡς χρυσῆ λυχνία, καὶ χρυσοῦν θυμια-
τήριον. ἁπλοῦς γὰρ ὑπάρχων κατὰ φύσιν
ὡς Θεὸς, τῇ τῆς ἐργασίας διαφορᾷ πολυ-
τρόπως γνωρίζεται.

ΤΟΥ ΑΥΤΟΥ. Ὅσοι ταῖς διὰ Μωσέως
προσεδρεύουσιν ἐντολαῖς λειτουργίαν ἔχουσι
τὰ περισσὰ τῆς σκηνῆς· ἀνωφελὴς γὰρ ὁ
Ζ νόμος, εἰ μὴ νοοῖτο πνευματικῶς· ὅσοι δὲ
τεθάρσηνται τὰ ἅγια τῶν ἁγίων, ἅγιοί που
πάντως εἰσὶν [ἐν Χριστῷ,] περισσὸν οὐδὲν,
ἀλλ' οἱονεί πως αὐτὸν ἔποχον ἔχοντες τὸν
Ἐμμανουήλ.

ι. Καὶ προσήνεγκαν οἱ ἄρχοντες εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου, ἐν τῇ ἡμέρᾳ ᾗ ἔχρισεν αὐτὸ, καὶ προσήνεγκαν οἱ ἄρχοντες τὰ δῶρα αὐτῶν

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.
(2) Λαμπηνικάς. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 458.
(3) Ἐν κεφ. 1. ἐδ. 5, καὶ 7.
(4) Ζηρώτια. ἐν ταῖς σημ. τῆς Γραφ. τῆς ἐν Φρανεκ. ἐκδοθ.
(5) Καὶ τάς. αἱ εἰρημ. ἐκδόσ.

ια. αὐτῶν ἀπέναντι τοῦ θυσιαστηρίου. Καὶ A
εἶπε Κύριος πρὸς Μωϋσῆν, ἄρχων εἷς
καθ᾽ ἡμέραν, ἄρχων καθ᾽ ἡμέραν προ-
σοίσουσι τὰ δῶρα αὐτῶν εἰς τὸν ἐγκαι-
ιβ. νισμὸν τοῦ θυσιαστηρίου. Καὶ ἦν ὁ προ-
σφέρων τῇ ἡμέρᾳ τῇ πρώτῃ τὰ δῶρα
αὐτοῦ, Ναασσὼν υἱὸς Ἀμιναδὰβ, ἄρ-
χων τῆς φυλῆς Ἰούδα.

ιγ. Καὶ προσήνεγκε τὸ δῶρον αὐ- B
τοῦ, τρυβλίον ἀργυροῦν ἓν, τριάκον-
τα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ· φιάλην
μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων
κατὰ τὸν σίκλον τὸν ἅγιον· ἀμφό-
τερα πλήρη σεμιδάλεως ἀναπεποιη-
μένης ἐν ἐλαίῳ εἰς θυσίαν.

* ΚΥΡΙΛΛΟΥ. Οὐκοῦν ὡς ἐν τῷ τρυβλίῳ καὶ τῇ φιάλῃ, καὶ ὡς ἐν ἄρτῳ τὸ ἐν ἀμφοῖν· πλήρη γὰρ ἦν σεμιδάλεως· ὡς καὶ Γ
ἐν βρώσει καὶ πόσει, ζωὴ καὶ ζωοποιὸς ὁ Χριστὸς σημαίνεται. ἐλαίῳ δὲ τὴν σεμίδαλιν
Ψαλ. 44. 7. καταδεδεῦσθαι φησὶ, κατὰ τὸ, ἔχρισέ σε ὁ
» Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως.

** ΠΡΟΚΟΠΙΟΥ. Πλήρεις οὖν δεῖ προσιέναι, λαμπρὰν ἐν ἀργύρῳ καὶ ἱλαρὰν ὡς ἐν ἐλαίῳ ζωὴν ἔχοντες. ἧς σύμβολον ἡ σεμίδαλις, ἄρτου τυγχάνουσα γένεσις. τὸ ἱλαρὸν γὰρ ἡμῖν ἡ εἰς Χριστὸν ἐλπὶς ἀπερ-
Ῥωμ. 12. 12. γάζεται, κατὰ τὸ, τῇ ἐλπίδι χαίροντες. Δ
Κολασ. 3. 4. ὅταν γάρ φησι Χριστὸς φανερωθῇ ἡ ζωὴ
» ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερω-
» θήσεσθε ἐν δόξῃ.

ιδ. Θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιάματος.

* ΚΥΡΙΛΛΟΥ. Θυΐσκη δὲ αὖ σχῆμα καὶ εἶδος θυμιατηρίου, θυΐαις (1) ἐν ἴσῳ πεποιημένου. ἐπίμεσον δὲ καὶ αὐτὸ θυμιάματος. εὐωδία γὰρ καὶ θυμιατήριον ὁ Χριστὸς, οὐκ ἔξωθεν τὸ εὐῶδες ἔχων, ἀλλ᾽ οἴκοθεν ὡς Θεὸς; καὶ ἐν ἰδίᾳ φύσει. E

** ΠΡΟΚΟΠΙΟΥ. Θυΐσκη δὲ θυμιαμάτων πλήρης, ὅ ἐστι θυμιατήριον, θυΐσκη διὰ τὸ σχῆμα λεχθὲν, ὡς μὲν χρυσῆ, τὸ κάλλος καὶ τὸ ἀδιάφθορον δηλοῖ τῆς ζωῆς· ὡς δὲ θυμιαμάτων πλήρης, τὸ πρὸς Θεὸν εὐῶδες τῆς ἁγιότητος.

ιε. Μόσχον ἕνα ἐκ βοῶν, κριὸν
ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύ-
ιϛ. τωμα. Καὶ χίμαρον ἐξ αἰγῶν ἕνα
περὶ ἁμαρτίας.

* ΚΥΡΙΛΛΟΥ. Μόσχος δὲ καὶ κριὸς καὶ ἀμνὸς καὶ χίμαρος ἐξ αἰγῶν τὰ πρὸς τούτοις εἰσκεκομισμένα, καὶ διὰ πάντων αὐτὸς ὁ γραφόμενος· ἐν μὲν τῷ μόσχῳ, διὰ τὸ ἄγαν εὐσθενὲς, καὶ ὅτι τῶν ἡμέρων καὶ καθαρῶν ζώων [τὸ προὖχον ὁ μόσχος,] καὶ ὡς ἐν μεγέθει σώματος [τὸ ὑπερτεροῦν·] ἐν ὑπεροχῇ δὲ πάντα τὰ τοῦ Χριστοῦ· ἐν δὲ τῷ κριῷ, διὰ τὸ τέλειον, καὶ μέντοι διὰ τὸ ἄκακον ἐν τῷ ἀμνῷ· ἐν δὲ τῷ χιμάρῳ, διὰ τὴν ὑπὲρ τῶν ἡμαρτηκότων σφαγήν.

ιζ. Καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύω, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, τοῦτο τὸ δῶρον Ναασσὼν υἱοῦ Ἀμιναδάβ.

* ΚΥΡΙΛΛΟΥ. Δαμάλεις δύω εἰς τύπον τῶν δύω λαῶν, συνδεδραμηκότων εἰς ἕνα τὸν ἐξ ἀμφοῖν· κριοὶ δὲ πέντε. καὶ ἀμνοὶ ὁμοίως, καὶ χίμαροι οὐχ ἥττους, τὴν τῶν πιστευόντων πληθὺν ὑπεμφαίνουσιν, ὡς ἐν πέμπτῳ φημὶ συνενηνεγμένῳ καιρῷ, καθ᾽ ὃν ἡ ἐπιδημία τοῦ Κυρίου. σημαίνεται δὲ τῶν πεπιστευκότων ὡς καὶ ἐν τῷ Χριστῷ, (2) διὰ μὲν τῶν κριῶν, τὸ τέλειον ὡς ἐν φρονήσει τῆς ἐν Χριστῷ ἡλικίας· διὰ δὲ τῶν ἀμνῶν, τὸ ὡς ἐν ἁπλότητι καὶ ἀκακίᾳ· διὰ δὲ τῶν ὑπὲρ ἁμαρτίας χιμάρων, τὸ ἀεὶ δεῖσθαι καθαρισμοῦ, καὶ πλημμελημάτων ἀφέσεως.

ιη. Τῇ ἡμέρᾳ τῇ δευτέρᾳ προσήνεγκε Ναθαναὴλ υἱὸς Σωγὰρ, ἄρχων τῆς φυλῆς Ἰσσάχαρ.

ιθ. Καὶ προσήνεγκε τὸ δῶρον αὐτοῦ, τρυβλίον ἀργυροῦν ἓν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ· φιάλην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον· ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν.

* ΚΥΡΙΛΛΟΥ. Σύμβολον δὲ λαμπρότητος ὁ ἄργυρος· ζωῆς δὲ, ἡ σεμίδαλις· ἱλαρότητος δὲ, τὸ ἔλαιον.

* ΤΟΥ ΑΥΤΟΥ. Προσαγέσθω δὴ ὡραῖον οὖν καὶ πρὸς ἡμῶν αὐτῶν τῷ ἐπὶ πάντων Θεῷ, [τὸ] ὡς ἐν λαμπρότητι ζωῆς ἱλαρὸν ἐν ἐλπίδι τῇ ἐν Χριστῷ.

κ. Θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιάματος.

* ΚΥΡΙΛΛΟΥ. [Χρυσῆ δὲ θυΐσκη θυμιάματος πλήρης,] τὸ τῶν ἁγίων γράφουσα κάλλος, καὶ ὡς ἐν σκεύεσιν ἐκλεκτοῖς τὸ εὐῶδες ἐν ἁγιασμῷ. δῶρον Θεῷ εὐωσμότατον ἀληθῶς· καὶ καθεξῆς, καθὰ προηρμήνευται.

κα. Μόσχον ἕνα ἐκ βοῶν, κριὸν
ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύ-
κβ. τωμα. Καὶ χίμαρον ἐξ αἰγῶν ἕνα
κγ. περὶ ἁμαρτίας. Καὶ εἰς θυσίαν σω-
τηρίου δαμάλεις δύω, κριοὺς πέντε,
τράγους πέντε, ἀμνάδας ἐνιαυσίας
πέντε. τοῦτο τὸ δῶρον Ναθαναὴλ υἱοῦ
κδ. Σωγάρ. Τῇ ἡμέρᾳ τῇ τρίτῃ ἄρχων
τῶν υἱῶν Ζαβουλὼν, Ἐλιὰβ υἱὸς Χαι-
κε. λών. Τὸ δῶρον αὐτοῦ, τρυβλίον ἀρ-
γυροῦν ἓν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ
αὐτοῦ· φιάλην μίαν ἀργυρᾶν, ἑβδο-
μήκοντα

(1) Θυΐαις. ἐν Τόμ. 1. μέρ. 2. σελ. 364. Αὕτη δ᾽ εὕρηται καὶ τὸ ἐν τῇ ἀντικρὺς 1203 σελ. ὑπόμν. ὃ μὴ εὑρεθῆναι ἐκεῖ σεσημείωται. (2) Τὸ, ὡς καὶ ἐν τῷ Χριστῷ ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται. περιττὸν γάρ.

μήκοντα σίκλων κατὰ τὸν σίκλον
τὸν ἅγιον· ἀμφότερα πλήρη σεμι-
δάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
κς. θυσίαν σωτηρίου. Θυΐσκην μίαν δέ-
κζ. κα χρυσῶν, πλήρη θυμιάματος. Μό-
σχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν
κη. ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα. Καὶ
χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας.
κθ. Καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις
δύω, κριοὺς πέντε, τράγους πέντε,
ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ
λ. δῶρον Ἐλιὰβ υἱοῦ Χαιλών. Τῇ ἡμέρᾳ
τῇ τετάρτῃ ἄρχων τῶν υἱῶν Ῥουβίμ,
λα. Ἐλισοὺρ υἱὸς Σεδιούρ. Τὸ δῶρον αὐτοῦ,
τρυβλίον ἀργυροῦν ἓν, τριάκοντα καὶ
ἑκατὸν ὁλκὴ αὐτοῦ· φιάλην μίαν ἀρ-
γυρᾶν, ἑβδομήκοντα σίκλων κατὰ
τὸν σίκλον τὸν ἅγιον· ἀμφότερα
πλήρη σεμιδάλεως ἀναπεποιημένης
λβ. ἐν ἐλαίῳ εἰς θυσίαν σωτηρίου. Θυΐ-
σκην μίαν δέκα χρυσῶν, πλήρη θυ-
λγ. μιάματος. Μόσχον ἕνα ἐκ βοῶν, κριὸν
ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύ-
λδ. τωσιν. Καὶ χίμαρον ἐξ αἰγῶν ἕνα
λε. περὶ ἁμαρτίας. Καὶ εἰς θυσίαν σω-
τηρίου δαμάλεις δύω, κριοὺς πέντε,
τράγους πέντε, ἀμνάδας ἐνιαυσίας
πέντε. τοῦτο τὸ δῶρον Ἐλισοὺρ υἱοῦ
λς. Σεδιούρ. Τῇ ἡμέρᾳ τῇ πέμπτῃ ἄρχων
τῶν υἱῶν Συμεὼν, Σαλαμιὴλ υἱὸς Σου-
λζ. ρισαδαΐ. Τὸ δῶρον αὐτοῦ, τρυβλίον
ἀργυροῦν ἓν, τριάκοντα καὶ ἑκατὸν
ὁλκὴ αὐτοῦ· φιάλην μίαν ἀργυρᾶν,
ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον
τὸν ἅγιον· ἀμφότερα πλήρη σεμι-
δάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
λη. θυσίαν σωτηρίου. Θυΐσκην μίαν δέ-
λθ. κα χρυσῶν, πλήρη θυμιάματος. Μό-
σχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν
μ. ἐνιαύσιον εἰς ὁλοκαύτωμα. Καὶ χί-
μαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας.
μα. Καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις
δύω, κριοὺς πέντε, τράγους πέντε,
ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο δῶ-
μβ. ρον Σαλαμιὴλ υἱοῦ Σουρισαδαΐ. Τῇ
ἡμέρᾳ τῇ ἕκτῃ ἄρχων τῶν υἱῶν Γὰδ,
μγ. Ἐλισὰφ υἱὸς Ῥαγουήλ. Τὸ δῶρον
αὐτοῦ, τρυβλίον ἀργυροῦν ἓν, τριά-
κοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ· φιά-
λην μίαν ἀργυρᾶν, ἑβδομήκοντα σί-
κλων κατὰ τὸν σίκλον τὸν ἅγιον·
ἀμφότερα πλήρη σεμιδάλεως ἀνα-
πεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν.
μδ. Θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη
με. θυμιάματος. Μόσχον ἕνα ἐκ βοῶν,
κριὸν ἕνα, ἀμνὸν ἐνιαύσιον εἰς ὁλο-
μς. καύτωμα. Καὶ χίμαρον ἐξ αἰγῶν
μζ. ἕνα περὶ ἁμαρτίας. Καὶ εἰς θυσίαν
σωτηρίου δαμάλεις δύω, κριοὺς πέντε,
τράγους πέντε, ἀμνάδας ἐνιαυσίας
πέντε. τοῦτο τὸ δῶρον Ἐλισὰφ υἱοῦ
μη. Ῥαγουήλ. Τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἄρ-
χων τῶν υἱῶν Ἐφραὶμ, Ἐλισαμὰ υἱὸς
μθ. Σεμιούδ. Τὸ δῶρον αὐτοῦ, τρυβλίον
ἀργυροῦν ἓν, τριάκοντα καὶ ἑκατὸν
B ὁλκὴ αὐτοῦ· φιάλην μίαν ἀργυρᾶν,
ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον
τὸν ἅγιον· ἀμφότερα πλήρη σεμιδά-
λεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς
ν. θυσίαν. Θυΐσκην μίαν δέκα χρυ-
να. σῶν, πλήρη θυμιάματος. Μόσχον
ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα
νβ. ἐνιαύσιον εἰς ὁλοκαύτωμα. Καὶ χί-
Γ μαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας.
νγ. Καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύω,
κριοὺς πέντε, τράγους πέντε, ἀμνά-
δας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον
νδ. Ἐλισαμᾶ υἱοῦ Ἐμιούδ. Τῇ ἡμέρᾳ τῇ
ὀγδόῃ ἄρχων τῶν υἱῶν Μανασσῆ, Γα-
νε. μαλιὴλ υἱὸς Φαδασσούρ. Τὸ δῶρον αὐ-
τοῦ, τρυβλίον ἀργυροῦν ἓν, τριάκοντα
καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ· φιάλην μίαν
Δ ἀργυρᾶν, ἑβδομήκοντα σίκλων κα-
τὰ τὸν σίκλον τὸν ἅγιον· ἀμφότερα
πλήρη σεμιδάλεως ἀναπεποιημένης
νς. ἐν ἐλαίῳ εἰς θυσίαν. Θυΐσκην μίαν
δέκα χρυσῶν, πλήρη θυμιάματος.
νζ. Μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν
νη. ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα. Καὶ
χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρ-
νθ. τίας. Καὶ εἰς θυσίαν σωτηρίου δα-
μάλεις δύω, κριοὺς πέντε, τράγους
πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦ-
το τὸ δῶρον Γαμαλιὴλ υἱοῦ Φαδασ-
ξ. σούρ. Τῇ ἡμέρᾳ τῇ ἐννάτῃ ἄρχων τῶν
υἱῶν Βενιαμὶν, Ἀβιδὰμ υἱὸς Γαδεωνί.
ξα. Τὸ δῶρον αὐτοῦ, τρυβλίον ἀργυροῦν
ἓν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐ-
τοῦ· φιάλην μίαν ἀγυρᾶν, ἑβδομή-
Z κοντα σίκλων κατὰ τὸν σίκλον τὸν
ἅγιον· ἀμφότερα πλήρη σεμιδάλεως
ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν.
ξβ. Θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη
ξγ. θυμιάματος. Μόσχον ἕνα ἐκ βοῶν,
κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς
ξδ. ὁλοκαύτωμα. Καὶ χίμαρον ἐξ αἰ-
ξε. γῶν ἕνα περὶ ἁμαρτίας. Καὶ εἰς θυ-
σίαν σωτηρίου δαμάλεις δύω, κριοὺς
H πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυ-
σίας πέντε. τοῦτο τὸ δῶρον Ἀβιδὰμ
ξς. υἱοῦ Γαδεωνί. Τῇ ἡμέρᾳ τῇ δεκάτῃ
ἄρχων τῶν υἱῶν Δὰν, Ἀχιέζερ υἱὸς
Ἀμισα-

ξζ. Ἀμισαδαΐ. Τὸ δῶρον αὐτοῦ, τρυβ-
λίον ἀργυροῦν ἓν, τριάκοντα καὶ ἑκα-
τὸν ὁλκὴ αὐτοῦ· φιάλην μίαν ἀργυ-
ρᾶν, ἑβδομήκοντα σίκλων κατὰ τὸν
σίκλον τὸν ἅγιον· ἀμφότερα πλή-
ρη σεμιδάλεως ἀναπεποιημένης ἐν
ξη. ἐλαίῳ εἰς θυσίαν. Θυΐσκην μίαν
δέκα χρυσῶν, πλήρη θυμιάματος.
ξθ. Μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμ-
νὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα.
ο. Καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁ-
οα. μαρτίας. Καὶ εἰς θυσίαν σωτηρίου
δαμάλεις δύω, κριοὺς πέντε, τρά-
γους πέντε, ἀμνάδας ἐνιαυσίας πέν-
τε. τοῦτο τὸ δῶρον Ἀχιέζερ υἱοῦ Ἀμι-
οβ. σαδαΐ. Τῇ ἡμέρᾳ τῇ ἑνδεκάτῃ ἄρ-
χων τῶν υἱῶν Ἀσὴρ, Φαγεὴλ υἱὸς
ογ. Ἐχράν. Τὸ δῶρον αὐτοῦ, τρυβλίον
ἀργυροῦν ἓν, τριάκοντα καὶ ἑκατὸν
ὁλκὴ αὐτοῦ· φιάλην μίαν ἀργυρᾶν,
ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον
τὸν ἅγιον· ἀμφότερα πλήρη σεμιδά-
λεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυ-
οδ. σίαν. Θυΐσκην μίαν δέκα χρυσῶν,
οε. πλήρη θυμιάματος. Μόσχον ἕνα ἐκ
βοῶν, κριὸν ἕνα, ἀμνὸν ἐνιαύσιον ἕνα εἰς
ος. ὁλοκαύτωμα. Καὶ χίμαρον ἐξ αἰγῶν
οζ. ἕνα περὶ ἁμαρτίας. Καὶ εἰς θυσίαν
σωτηρίου δαμάλεις δύω, κριοὺς πέντε,
τράγους πέντε, ἀμνάδας ἐνιαυσίας
πέντε. τοῦτο τὸ δῶρον Φαγεὴλ υἱοῦ
οη. Ἐχράν. Τῇ ἡμέρᾳ τῇ δωδεκάτῃ ἄρ-
χων τῶν υἱῶν Νεφθαλεὶμ, Ἀχιρὲ
οθ. υἱὸς Ἐνάν. Τὸ δῶρον αὐτοῦ, τρυβλίον
ἀργυροῦν ἓν, τριάκοντα καὶ ἑκατὸν
ὁλκὴ αὐτοῦ· φιάλην μίαν ἀργυρᾶν,
ἑβδομήκοντα σίκλων κατὰ τὸν σί-
κλον τὸν ἅγιον· ἀμφότερα πλή-
ρη σεμιδάλεως ἀναπεποιημένης ἐν
π. ἐλαίῳ εἰς θυσίαν. Θυΐσκην μίαν
δέκα χρυσῶν, πλήρη θυμιάματος.
πα. Μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμ-
νὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα.
πβ. Καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁ-
πγ. μαρτίας. Καὶ εἰς θυσίαν σωτηρίου
δαμάλεις δύω, κριοὺς πέντε, τρά-
γους πέντε, ἀμνάδας ἐνιαυσίας πέν-
τε. τοῦτο τὸ δῶρον Ἀχιρὲ υἱοῦ Ἐνάν.

ΚΥΡΙΛΛΟΥ. Προσάγοντες δὲ τὰ δῶρα, οὐ καθ' ἡλικίαν προσφέρουσιν· ἀλλὰ πρῶτος μὲν Ἰούδας, καί τοι τέταρτος ὢν κατὰ χρόνον. ἔννατος δὲ μετ' αὐτὸν Ἰσάχαρ, καὶ Ζαβουλὼν δέκατος. δευτέρα μετὰ τούτους

H συμμορία, Ῥουβὶμ [ὁ πρωτότοκος], καὶ δεύτερος Συμεών· συνῆπται δὲ καὶ ὁ Γὰδ ἐκ δούλης. τάγμα τρίτον διὰ τριῶν ἐλευθέρων, Ἐφραὶμ, καὶ Βενιαμὶν, καὶ Μανασσῆς. τέταρτον καὶ ἔσχατον τὸ ἐκ θεραπαινῶν. τρεῖς δὲ δὴ οὗτοι, Δὰν, καὶ Ἀσὴρ, καὶ Νεφθαλεὶμ· καί τοι προὔχοντες τῷ τῆς γενέσεως χρόνῳ [τῶν ὡς ἐν τάξει προτεταγμένων,] Ἐφραίμ τε φημὶ καὶ Μανασσῆ, [καὶ Βενιαμίν.] αἴνιγμα τοίνυν τὸ χρῆ-
B μά ἐστιν· ὅτι πρώτην ἔχει τάξιν παρὰ τῷ Θεῷ τὰ διὰ Χριστοῦ τῶν ἐν νόμῳ· καὶ ὅτι τέθεινται μὲν οἱ πρῶτοι ἔσχατοι [οἱ δὲ ἔσχατοι πρῶτοι.] οἱ γὰρ ἐν χρόνῳ πρεσβύτεροι, διά [τε] τοῦτο πρωτότοκοι, τουτέστιν ὁ Ἰσραὴλ, κατόπιν ἔρχεται τῶν ἐθνῶν· καὶ οἱ τὸ δοῦλον ἔχοντες πνεῦμα, καὶ τῆς δουλευούσης Ἱερουσαλὴμ υἱοὶ, τὸ προὔχειν ἐν δόξῃ παραχωρήσουσι τοῖς τῆς ἐλευθέρας·
" ἥτις ἐστὶ μήτηρ ἡμῶν τῶν ἐν τῷ Χριστῷ δε- Γαλ. 4. 16.
Γ δικαιωμένων, καὶ εἰς ἐλεύθερον ἀξίωμα κεκλημένων δι' ἐλευθέρου πνεύματος.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐ χρήζει δέ τινος ὁ Θεὸς, ἀλλ' ἡμεῖς Θεοῦ· (1) χρήζοντες δὲ, ὥσπερ τὸ δίκαιον τοῦ ἀντιτιμηθῆναι κατασκευάζομεν διὰ τὸ τιμᾶν. τὴν δὲ ἐπιφάνειαν τῶν προσφερόντων ἐπεξεργαζόμενος ὁ Θεὸς εἰς τὴν ἐπίγνωσιν τοῦ λαμπρὸν εἶναι τὸ τιμᾶν Θεὸν, ἵνα καθ' ἑκάστην ἡμέραν ἐκέλευσε προσάγειν τὰ δῶρα· ὥσπερ οὖν
Δ ἑκάστῳ τῶν ἰδίων ποιημάτων μίαν ἀπένειμεν ἡμέραν, φωτὶ, οὐρανῷ, γῇ, ἄστροις, ζώοις. καὶ ἵνα ἠδείημεν, ὡς ἐλλόγιμα Θεῷ τὰ προσαγόμενα, ἀναγραφὴ τούτων ἀκριβὴς, (2) καὶ ἐπὶ σταθμοῦ. ὧν ἡ καταρίθμησις καὶ τῶν προσαγόντων ἔχει τὰς ὀνομασίας, δι' ὧν καὶ μνημονευόμεθα. σκεύη δὲ προσάγοντες, οὐ κενὰ ταῦτα προσάγουσιν ἀνθρώπων οἱ τύποι, οὓς δεῖ Θεῷ πλή-
" ρεις προσιέναι· οὐ γὰρ ὀφθήσῃ, φησὶ, κε- Δευτ. 16. 16.
E " νὸς ἔναντι Κυρίου. ζῶα δὲ σὺν τούτοις ἐπὶ θυσίᾳ τὰ ἐκλεκτά. πολύτροπος γὰρ ἡ πρὸς Θεὸν οἰκείωσις, ἐξ ὧν ἔδωκε Θεός. ἡμεῖς οὖν τὸ τίμιον ὄντως δῶρον Θεῷ προσάγομεν, ὃ ὁ Θεὸς καὶ ἡμεῖς ἐν τοῖς τῆς ἀρετῆς πόνοις εὑρήσομεν.

ΑΔΗΛΟΥ. Σημειωτέον, πῶς τὰ ἴσα πάντες ἀκενοδόξως προσφέρουσιν· ἵνα μὴ τὸ ὑπερέχον τοῦ ἑνὸς, ὑβρίσῃ τὰς τῶν λοι-
Z πῶν φιλοτιμίας. ὡς δὲ ἦσαν τεταγμένοι, οὕτω προσφέρουσιν.

πδ. Οὗτος ὁ ἐγκαινισμὸς τοῦ θυ-
σιαστηρίου ᾗ ἡμέρᾳ ἔχρισεν αὐτὸ, πα-
ρὰ τῶν ἀρχόντων τῶν υἱῶν Ἰσραήλ·
τρυβλία ἀργυρᾶ δώδεκα, φιάλαι
ἀργυραῖ δώδεκα, θυΐσκαι χρυσαῖ
δώδεκα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Δῶρα προσφέρουσιν
H οἱ φύλαρχοι εἰς τὸν ἐγκαινισμὸν τοῦ θυ-

σιαστηρίου

(1) Θεοῦ. οἱ καὶ διὰ τοῦ τιμᾶν τὸ τιμᾶσθαι πραγματευόμενοι. τὴν δὲ ἐπιφ. κτ. ἐν τῷ τῆς Αὐγ. κώδ.

(2) Ἀκριβὴς, καὶ τῶν προσαγόντων ὀνομασία. ὥστε δι' ὧν τιμῶμεν, καὶ μνημονευόμεθα. δηλοῦται τοίνυν, ὅτι Θεῷ τὰς ἡμετέρας καθιεροῦν προσήκει ψυχάς. ταῦτα ἀντὶ τῶν ἑπομένων ἐν τῷ εἰρημ. κώδ.

σιαστηρίου. ἐπιφανῶν γὰρ τὸ δωροφορεῖν Θεῷ, καὶ δυναμένων τὰς παρὰ Θεοῦ λαβεῖν ἀντιδόσεις.

A

πε. Τριάκοντα καὶ ἑκατὸν σίκλων τὸ τρυβλίον τὸ ἕν, καὶ ἑβδομήκοντα σίκλων ἡ φιάλη ἡ μία. πᾶν τὸ ἀργύριον τῶν σκευῶν, δισχίλιοι καὶ τετρακόσιοι σίκλοι, ἐν τῷ σίκλῳ τῷ

πς. ἁγίῳ. [Θυΐσκαι χρυσαῖ δώδεκα πλήρεις θυμιάματος.] πᾶν τὸ χρυσίον

B

τῶν θυΐσκων, εἴκοσι καὶ ἑκατὸν χρυ-

πζ. σοῖ. Πᾶσαι αἱ βόες εἰς ὁλοκαύτωσιν, μόσχοι δώδεκα, κριοὶ δώδεκα, ἀμνοὶ ἐνιαύσιοι δώδεκα, καὶ αἱ θυσίαι αὐτῶν, καὶ αἱ σπονδαὶ αὐτῶν· καὶ χίμαροι ἐξ αἰγῶν δώδεκα περὶ ἁμαρτίας.

πη. Πᾶσαι αἱ βόες εἰς θυσίαν σωτηρίου, δαμάλεις εἰκοσιτέσσαρες, κριοὶ ἑξήκοντα, τράγοι ἑξήκοντα, ἀμνάδες ἑξήκοντα ἐνιαύσιαι ἄμωμοι. αὕτη ἡ ἐγκαίνησις τοῦ θυσιαστηρίου, μετὰ τὸ πληρῶσαι τὰς χεῖρας αὐτοῦ, καὶ μετὰ τὸ χρίσαι αὐτόν.

Γ

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ μετὰ τὸ χρίσαι αὐτὸν, δῆλον ὅτι τὸν Ἀαρών. περὶ αὐτοῦ γὰρ μέλλει διαλέγεσθαι τῷ Μωϋσῇ ὁ Θεός. κατὰ δὲ τοὺς ἄλλους ἑρμηνεύοντας, αὐτὸ ἐκδόντας, τὸ θυσιαστήριόν φησι: προει-

Δ

A» πὼν γάρ· αὕτη ἡ ἐγκαίνησις τοῦ θυσιαστη-
» ρίου, ἐπήγαγε, μετὰ τὸ χρίσαι αὐτό. ὠβέλισται γὰρ τὰ ἐν μέσῳ.

πθ. Ἐν τῷ εἰσπορεύεσθαι Μωϋσῆν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου λαλῆσαι αὐτῷ, καὶ ἤκουσε τὴν φωνὴν Κυρίου λαλοῦντος πρὸς αὐτὸν ἄνωθεν τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, ἀναμέσον τῶν δύω Χερουβείμ· καὶ ἐλάλει πρὸς αὐτόν.

B

ΘΕΟΔΩΡΙΤΟΥ. Ταῦτα περὶ τῆς εὐλογίας διδαχθεὶς ὁ Προφήτης, καὶ διηγησάμενος ὅπως καὶ τὴν σκηνὴν ἔχρισε, καὶ τίνα οἱ φύλαρχοι προσεκόμισαν, ἐδίδαξεν ὅπως θείαν φωνὴν τοῖς ὠσὶν εἰσεδέξατο, ἐκ τοῦ ἱλαστηρίου φερομένην. ὃ ἐπέκειτο μὲν τῇ κιβωτῷ, ταῖς δὲ τῶν Χερουβὶμ συνεκαλύπτετο πτέρυξι. ταῦτα δὲ οὐ φιλοτιμού-

Γ

μενος γέγραφεν, ἀλλὰ διδάσκων ὡς ἐκεῖθεν τοῖς ἀρχιερεῦσιν ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσιοῦσι τὴν οἰκείαν ἐπιδείξῃ δόξαν ὁ δεσπότης Θεὸς, ὅπως ἦν ἰδεῖν οἷά τε τῶν ἀνθρώπων ἡ φύσις.

ΚΥΡΙΛΛΟΥ. Τετελειωμένης ὥσπερ τῆς σκηνῆς, ἤτοι τῆς ἐκκλησίας, τότε δὴ φωνὴ γέγονε πρὸς ἡμᾶς τοῦ Θεοῦ καὶ πατρός. » ἐλάλησε γὰρ ἡμῖν ἐν υἱῷ. ἄνωθεν δὲ τῶν Ἑβρ. 1. 1.

Δ

Χερουβὶμ ἡ φωνή. ἐπέκεινα γὰρ πάντων ὁ Θεὸς, οὐσιώδη καὶ ἐνυπάρχουσαν τὴν κατὰ πάντων ἔχων ὑπεροχήν.

ΚΕΦ. Η.

α. Καὶ ἐλάλησε Κύριος πρὸς

β. Μωϋσῆν, λέγων, Λάλησον τῷ Ἀαρὼν, καὶ ἐρεῖς πρὸς αὐτὸν, ὅταν ἐπιτιθῇς τοὺς λύχνους ἐκ μέρους, κατὰ πρόσωπον τῆς λυχνίας φωτιοῦσιν οἱ ἑπτὰ λύχνοι.

* ΚΥΡΙΛΛΟΥ. [Κατὰ πρόσωπον τῆς λυχνίας οἱ ἑπτὰ τετραμμένοι λύχνοι τὸ φῶς τοῖς ὁρῶσιν ἐνίεσαν.] οὐ γὰρ τοῖς κατόπιν καὶ οἱονείπως ἐν ἀποστροφῇ κειμένοις τῇ παρὰ Θεῷ τὸ θεῖόν τε καὶ νοητὸν ἐπιλάμπει φῶς, ἀλλὰ τοῖς εἰς ὄψιν ἠγμένοις δι' ἁγιασμοῦ, καὶ ἀντιπροσώποις ἤδη γεγονόσι διὰ τῆς ἐν πίστει παῤῥησίας, καὶ τῆς ἐν τῷ βίῳ σεμνότητος. τῆς δὲ λυχνίας ταύτης μέμνηται Ζαχαρίας ὁ προφήτης. (1)

γ. Καὶ ἐποίησεν οὕτως Ἀαρών. ἐκ τοῦ ἑνὸς μέρους κατὰ πρόσωπον τῆς λυχνίας ἐξῆψε τοὺς λύχνους αὐτῆς, καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ.

δ. Καὶ αὕτη ἡ κατασκευὴ τῆς λυχνίας· στερεὰ, χρυσῆ, ὁ καυλὸς

E

αὐτῆς, καὶ τὰ κρίνα αὐτῆς στερεὰ ὅλη· κατὰ τὸ εἶδος ὃ ἔδειξε Κύριος τῷ Μωϋσῇ, οὕτως ἐποίησε τὴν λυχνίαν.

ΑΔΗΛΟΥ. Τὸ στερεὰν αὐτὴν γεγενῆσθαι, τὸ μὴ διάκενον (2) εἶναι δηλοῖ, ὡς Ὠριγένης (3) φησίν. (4) ἀλλὰ καὶ χρυσῆ· ὅ ἐστι νοερὰ ὅλη. ὁ καυλὸς μὲν αὐτῆς, τοῦ νοῦ φύσις τετελειωμένη· τὰ κρίνα δὲ, οἱονεὶ τὰ ἄνθη τοῦ νοῦ.

ε. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-

ς. σῆν, λέγων, Λάβε τοὺς Λευΐτας ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ, καὶ ἀφαγνιεῖς αὐτούς.

Z

ζ. Καὶ οὕτω ποιήσεις αὐτοῖς τὸν ἁγνισμὸν αὐτῶν· περιῤῥανεῖς αὐτοὺς ὕδωρ ἁγνισμοῦ· καὶ ἐπελεύσεται ξυρὸν ἐπὶ πᾶν τὸ σῶμα αὐτῶν, καὶ πλυνοῦσι τὰ ἱμάτια αὐτῶν, καὶ καθαροὶ ἔσονται.

ΚΥΡΙΛΛΟΥ. Μυστικὸς μὲν ὁ τοῦ ἁγνισμοῦ τρόπος τοῖς Λευΐταις ἐπενηνεγμένος, ἐν

H

Χριστῷ

(1) Ἐν κεφ. 4.

(2) Τὸ διάκενον. ὁ Ἀλεξάνδρ. κώδ.

(3) Οὐδὲν τοιοῦτον ἐν τοῖς τοῦ Ὠριγένους ἐκδεδομ. εὑρεῖν ἐδυνήθημεν.

(4) Τὰ ἑπόμενα τὰ αὐτὰ τοῖς τοῦ Προκοπίου τοῖς ἐν τῷ τῆς Αὐγ. κώδ.

Χριςῷ δέ. αὐτὸς γὰρ ἡμῶν ἡ ἀποκάθαρσις, καὶ ὁ ἁγνισμὸς, καὶ ῥύπε παντὸς ἀπόνιψις. ὕδωρ δὲ ἁγνισμῦ τὸ ἀναμὶξ τῇ σποδῷ τῆς δαμάλεως, τῆς λεγομένης νεκρώσεως τῦ Χριςῦ σύμβολον ἐναργὲς ἦν, ὡς ἔνγε τῷ ἁγίῳ βαπτίσματι καὶ ἡμεῖς αὐτοὶ πληρῦν εὐχόμεθα διὰ πίσεως.

ΤΟΥ ΑΥΤΟΥ. Καὶ ἡ τῶν τριχῶν ἀφαίρεσις τὴν τῦ νῦ κάθαρσιν ὑπαινίτεται, ἣν ἐν ἡμῖν ὁ θεῖός τε καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίσομον τῦ Θεῦ λόγος ἐργάσαιτο, (1) ὁ πρόῤῥιζον ὥσπερ τὴν εἰς ἐμφύτυς ἐπιθυμίας ἀναβοθρεῦων κίνησιν· τετήρηται γὰρ τὸ τελείως ἅγιον εἰς τὸν μέλλοντα αἰῶνα· κατανεκροῖ δὲ μᾶλλον ἀναφυομένην, καὶ ἀνίσχυσαν ἐν ἡμῖν.

∗ ΤΟΥ ΑΥΤΟΥ. Ἀπόπλυσις δὲ ἱματίων, λαμπρὰν καὶ ἀκίβδηλον πολιτείαν ἡμῖν ὑπεμφαίνει.

∗ ΤΟΥ ΑΥΤΟΥ. Εἶναι δὴ ὖν ἀναγκαῖον τὺς ἀληθῶς ἁγίυς καὶ ἱερὺς ἔσωθέν τε καὶ ἔξωθεν καθαρῶς τὴν νέκρωσιν τῦ Χριςῦ περιφέροντας ἐν τῷ ἰδίῳ σώματι, καὶ συντεθαμμένυς αὐτῷ τρόπον τινὰ διὰ τῦ ἁγίυ βαπτίσματος.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὺς Λευΐτας ἁγιασθῆναι κελεύσας, ἅπαν τὸ σῶμα τῶν τριχῶν γυμνωθῆναι προσέταξεν; Αἱ τρίχες, τῆς νεκρώσεως σύμβολον. νεκραὶ γὰρ αὗται, καὶ ὀδύνης αἴσθησιν ὐ δεχόμεναι. τὴν ἀληθῆ τοίνυν ζωὴν ἔχειν κελεύει τὺς τῷ Θεῷ λειτυργῦντας, καὶ μηδὲν νεκρὸν ἔχειν, μηδὲ δυσῶδες. τῦτο γὰρ καὶ ὁ θεσπέσιος ἡμᾶς διδάσκει Παῦλος·
Γαλ. 2. 20. » Χριςῷ γάρ φησι συνεςαύρωμαι· ζῶ δὲ ὐκ
» ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριςός. ταῖς γὰρ θείαις φησὶν ἐνεργείαις ἐμαυτὸν ἀφιέρωσα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Περιξυρᾶσθαι κελεύων τὺς Λευΐτας, τὸ ὑλῶδες ἀφαιρύμενον δείκνυσιν. ὅπερ ὐκ ἦν ἐν Ἰακὼβ κατὰ τὴν λειότητα, ἀλλ' ἐν Ἡσαῦ κατὰ τὴν δασύτητα.

η. Καὶ λήψονται μόσχον ἕνα ἐκ βοῶν, καὶ τύτυ θυσίαν σεμίδαλιν ἀναπεποιημένην ἐν ἐλαίῳ· καὶ μόσχον ἐνιαύσιον ἐκ βοῶν λήψῃ περὶ ἁμαρτίας.

∗∗ ΚΥΡΙΛΛΟΥ. Προσκομίζεσθαι δεῖν τὴν ὑπὲρ αὐτῶν ἔφη θυσίαν ἐν μόσχοις δυσὶ, τελείῳ τε καὶ ἐνιαυσίῳ, τυτέςιν ἀπαλῷ τε καὶ νέῳ. καὶ τέλειος μὲν ὁ εἰς ὁλοκαύτωμα, συνθυμιωμένης αὐτῷ σεμιδάλεως ἐλαίῳ δεδευμένης· ὅγε μὴν ἕτερος ὑπὲρ ἁμαρτίας ἔξω τῆς παρεμβολῆς ἐμπιπρᾶται. τελεῖται γὰρ ὕτω τὰ ὑπὲρ ἁμαρτίας θύματα. καὶ ἔςι δὴ πάλιν ἐν ἀμφοῖν ὁ Χριςὸς, ἐν μόσχῳ μὲν τῷ εἰς ὁλοκαύτωσιν, ὅλος ἅγιος καὶ εἰς ὀσμὴν εὐωδίας ὑπὲρ ἡμῶν τῷ Θεῷ καὶ πατρὶ, τῆς ἐν ἐλπίδι ζωῆς τὸ εὔχαρί τε καὶ ἱλαρὸν τοῖς ἁγίοις φέρων. σεμίδαλις γὰρ ἐλαιόδευτος συνεκομίζετο τῷ μόσχῳ. ἕψεται δὲ ἐπὶ πάντως τοῖς τὴν ἐν Χριςῷ τετιμηκόσι ζωὴν· καὶ μὴν καὶ ὡς μοσχάριον πυρὶ
» δαπανώμενον. τῷ γὰρ μώλωπι αὐτῦ ἰά- Ἡσ. 53. 5.
θημεν, κατὰ τὰς Γραφάς.

ΑΔΗΛΟΥ. Πολλάκις ἡρμήνευται ἡ κατὰ τὸν μόσχον θεωρία. (2)

θ. Καὶ προσάξεις τὺς Λευΐτας ἔναντι τῆς σκηνῆς τῦ μαρτυρίυ· καὶ συνάξεις πᾶσαν συναγωγὴν υἱῶν Ἰσραήλ.

ι. Καὶ προσάξεις τὺς Λευΐτας ἔναντι Κυρίυ, καὶ ἐπιθήσυσιν οἱ υἱοὶ Ἰσραὴλ τὰς χεῖρας αὐτῶν ἐπὶ τὺς Λευΐτας.

∗ ΚΥΡΙΛΛΟΥ. Ὥσπερ οἱ Λευῖται ταῖς τῶν θυμάτων κεφαλαῖς τὰς χεῖρας ἐπῆγον καὶ τοῖς σφαζομένοις ὑπὲρ αὐτῶν εἰς τύπον Χριςῦ· ἔδρων δὲ τῦτο, ὐκ εὐλογῦντες ποθὲν, πολλῦγε καὶ δεῖ, ἀλλ' οἱονείπως τῇ τῶν χειρῶν ἐπιθέσει παραδεικνύντες τὸν τὰς ἁμαρτίας ἡμῶν αἴροντα Χριςὸν, καὶ ὑπὲρ ἡμῶν ἱερυργύμενον, [ἵνα προσηλώσῃ τῷ ἰδίῳ ςαυρῷ τὸ καθ' ἡμῶν χειρόγραφον· ὕτω πεπράχθαι νοήσεις τὴν τοῖς Λευΐταις χειροτονίαν τῶν λαῶν, οἱονεὶ καρπῶς ἀνθ' ἑαυτῶν τῷ Θεῷ πρὸς ἱερυργίαν προκαθίσαντες αὐτὺς, ὡς ἐξειλεγμένυς, τὰς χεῖρας ἐπῆγον.]

∗∗ ΤΟΥ ΑΥΤΟΥ. Ἐπράττετο μὲν ἡ τῶν χειρῶν ἐπίθεσις τότε· μετεῤῥυηκότων δὲ τῶν πραγμάτων νυνὶ εἰς τὸ ἄμεινον ἀσυγκρίτως, τοῖς ἐπὶ ἱερυργίαν διὰ Χριςῦ καλυμένοις ἐπιψηφίζονται λαοὶ, τὸ, ὡς εἰσιν ἄξιοι παραφωνῦντες εὖ μάλα· καὶ τῦτο ἐν ἐκκλησίαις, καθάπερ ἀμέλει καὶ οἱ πάλαι παρὰ τῇ ἱερᾷ τε καὶ θείᾳ σκηνῇ τὰς ἐπὶ τοῖς Λευΐταις χειροθεσίας ἔδρων.

ια. Καὶ ἀφοριεῖ Ἀαρὼν τὺς Λευΐτας ἀπόδομα ἔναντι Κυρίυ παρὰ τῶν υἱῶν Ἰσραήλ· καὶ ἔσονται ὥςε ἐργάζεσθαι τὰ ἔργα Κυρίυ.

∗∗ ΚΥΡΙΛΛΟΥ. Τετελειωμένοι οἱ Λευΐται τῶν εἰς ἱερυργίαν ἅπτονται πάντων. ὐκῦν ὡς μὴ ἅγιος ἐν Χριςῷ, καὶ εἰ μὴ προαγνίζοιτο, καθ' ὃν ἂν πρέποι τρόπον, ἀποχωρείτω μακράν.

ιβ. Οἱ δὲ Λευῖται ἐπιθήσυσι τὰς χεῖρας ἐπὶ τὰς κεφαλὰς τῶν μόσχων· καὶ ποιήσεις τὸν ἕνα περὶ ἁμαρτίας,

(1) Ὥσπερ δὲ τὸ ξυρὸν ὐκ ἐξ αὐτῆς τῆς εἰσάπαν ἀναβοθρεύει ῥίζης τὴν ἐν ἡμῖν τρίχα, τέμνει δὲ ἀναφυομένην εὐθέως· ὕτω καὶ ἐν ἡμῖν ὁ τῦ Θεῦ λόγος πρόῤῥιζον ὥσπερ τὴν ὡς ἔμφυτον ἐπιθυμίας ὐκ ἀναβοθρεύει κίνησιν. τετηρ. κτ. ἐν τόμ. 1. μέρ. 2. σελ. 408.

(2) Ἔντε τῷ 29. κεφ. τῆς Ἐξόδ. καὶ ἐν τῷ 4 καὶ 16. τῦ Λευΐτ.

A τίας, καὶ τὸν ἕνα εἰς ὁλοκαύτωμα Κυρίῳ ἐξιλάσασθαι περὶ αὐτῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὥσπερ δὲ οἱ Λευΐται προσαχθέντες ὑπὸ τοῦ λαοῦ ἀντὶ τῶν πρωτοτόκων, τῶν προσαγόντων ἐπιθέντων ἐπ' αὐτοὺς τὰς χεῖρας, ἵνα τὰς ἁμαρτίας αὐτῶν βαστάσωσιν, αὐτοὶ προσάγουσι τοὺς μόσχους, ἐπιθέντες τούτοις τὰς χεῖρας· καὶ οὕτω γίνονται λειτουργοὶ Θεοῦ ἀντὶ πρωτοτόκων, οὓς ἀπαρχὴν ὁ Θεὸς εἵλετο, προσιόντας ὑπὲρ τοῦ λαοῦ, οὗ εἰσὶν ἀπαρχαὶ οἱ πρωτότοκοι, ἀνθ' ὧν οὗτοι. ἡ δὲ ἀληθὴς ἀπαρχὴ Χριστὸς, ὁ πρωτότοκος τοῦ Θεοῦ, καὶ πρωτότοκος τῆς Παρθένου, ἀντὶ τοῦ πρωτοπλάστου βαστάσας τὰς ἁμαρτίας τοῦ κόσμου.

** ΚΥΡΙΛΛΟΥ. Ἐπιτήρει ὅτι τέλειος μὲν ὁλοκαυτοῦται μόσχος, ἐνιαύσιος δὲ ὑπὲρ ἁμαρτίας σφάζεται. ἵνα ἐν ταὐτῷ νοῇς διὰ δυοῖν τὸν ἕνα ὡς ἐν τελειότητι μὲν ἀρετῶν, τὸν εὐοσμότατον νοητῶς, ὡς ἐν ἁπλότητι δὲ καὶ ἀκακίᾳ σφαζόμενον.

ιγ. Καὶ στήσεις τοὺς Λευΐτας ἐναν-
τι Κυρίου, καὶ ἔναντι Ἀαρὼν, καὶ
ἔναντι τῶν υἱῶν αὐτοῦ, καὶ ἀποδώσεις
ιδ. αὐτοὺς ἀπόδομα Κυρίῳ. Καὶ διαστε-
λεῖς τοὺς Λευΐτας ἐκ μέσου τῶν υἱῶν
ιε. Ἰσραήλ· καὶ ἔσονται ἐμοί. Καὶ μετὰ
ταῦτα εἰσελεύσονται οἱ Λευΐται ἐρ-
γάσασθαι (1) τὰ ἔργα τῆς σκηνῆς τοῦ
μαρτυρίου· καὶ καθαριεῖς αὐτοὺς, καὶ
ις. ἀποδώσεις αὐτοὺς ἔναντι Κυρίου. Ὅτι
ἀπόδομα ἀποδεδομένοι οὗτοί μοι εἰσὶν
ἐκ μέσου υἱῶν Ἰσραήλ· ἀντὶ τῶν δια-
νοιγόντων πᾶσαν μήτραν πρωτοτό-
κων πάντων ἐκ τῶν υἱῶν Ἰσραὴλ εἴλη-
ιζ. φα αὐτοὺς ἐμοί. Ὅτι ἐμοὶ πᾶν πρω-
τότοκον ἐξ υἱῶν Ἰσραὴλ ἀπὸ ἀνθρώ-
που ἕως κτήνους. ᾗ ἡμέρᾳ ἐπάταξα
πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἡγία-
ιη. σα αὐτοὺς ἐμοὶ, Καὶ ἔλαβον τοὺς
Λευΐτας ἀντὶ παντὸς πρωτοτόκου ἐν
ιθ. υἱοῖς Ἰσραήλ. Καὶ ἀπέδωκα τοὺς
Λευΐτας ἀπόδομα δεδομένους Ἀαρὼν
καὶ τοῖς υἱοῖς αὐτοῦ ἐκ μέσου υἱῶν Ἰσ-
ραὴλ, ἐργάζεσθαι τὰ ἔργα τῶν υἱῶν
Ἰσραὴλ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου,
καὶ ἐξιλάσκεσθαι περὶ τῶν υἱῶν Ἰσ-
ραήλ. καὶ οὐκ ἔσται ἐν τοῖς υἱοῖς Ἰσ-
ραὴλ προσεγγίζων τῶν υἱῶν Ἰσραὴλ
κ. εἰς τὰ ἅγια. Καὶ ἐποίησε Μωϋσῆς
καὶ Ἀαρὼν καὶ πᾶσα ἡ συναγωγὴ
τῶν υἱῶν Ἰσραὴλ τοῖς Λευΐταις καθὰ
ἐνετείλατο Κύριος τῷ Μωϋσῇ περὶ
τῶν Λευϊτῶν, οὕτως ἐποίησαν αὐτοῖς
κα. οἱ υἱοὶ Ἰσραήλ. Καὶ ἡγνίσαντο οἱ
Λευΐται, καὶ ἔπλυναν τὰ ἱμάτια
αὐτῶν· καὶ ἀπέδωκαν αὐτοὺς ἀπόδο-
μα ἔναντι Κυρίου Ἀαρὼν, καὶ ἐξιλά-
σατο Ἀαρὼν περὶ αὐτῶν ἀφαγνίσα-
κβ. σθαι αὐτούς. Καὶ μετὰ ταῦτα εἰσήλ-
θοσαν οἱ Λευΐται λειτουργεῖν τὴν λει-
τουργίαν αὐτῶν ἐν τῇ σκηνῇ τοῦ μαρ-
τυρίου ἔναντι Ἀαρὼν, καὶ ἔναντι τῶν
υἱῶν αὐτοῦ· καθὰ συνέταξε Κύριος
τῷ Μωϋσῇ περὶ τῶν Λευϊτῶν, οὕτως
ἐποίησαν αὐτοῖς.

κγ. Καὶ ἐλάλησε Κύριος πρὸς
κδ. Μωϋσῆν, λέγων, Τοῦτό ἐστι τὸ περὶ
Γ τῶν Λευϊτῶν· ἀπὸ πέντε καὶ εἰκοσαέ-
τους καὶ ἐπάνω, εἰσελεύσονται λει-
τουργεῖν λειτουργίαν ἐν ἔργοις ἐν τῇ
κε. σκηνῇ τοῦ μαρτυρίου. Καὶ ἀπὸ πεν-
τηκονταέτους ἀποστήσεται ἀπὸ τῆς
λειτουργίας, καὶ οὐχὶ ἐργᾶται ἔτι.
κς. Καὶ λειτουργήσει ὁ ἀδελφὸς αὐτοῦ ἐν
τῇ σκηνῇ τοῦ μαρτυρίου φυλάσσειν φυ-
λακὰς, ἔργα δὲ οὐκ ἐργᾶται· οὕτω
Δ ποιήσεις τοῖς Λευΐταις ἐν ταῖς φυλα-
καῖς αὐτῶν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί μετὰ πέμπτον καὶ εἰκοστὸν ἔτος μέχρι τοῦ πεντηκοστοῦ λειτουργεῖν τοὺς Λευΐτας κελεύει; Ἐπειδὴ ἡ μὲν πρώτη ἡλικία τελείαν οὐκ ἔχει τῶν ἀγαθῶν καὶ κακῶν τὴν διάκρισιν· ἡ τελευταία δὲ ἀσθενέστερον ἔχει τὸ σῶμα. ἀποκρίνει τοίνυν καὶ τὴν νεότητα, καὶ τὸ γῆ-
E ρας· τὴν μὲν, διὰ τὸ ἀτελὲς τῆς ψυχῆς· τὸ δὲ, διὰ τὸ τοῦ σώματος ἀσθενές.

» ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀπὸ πέντε καὶ εἰκο-
» σαέτους καὶ ἐπάνω εἰσελεύσονται. Ἐργάζεται δὲ ὁ Λευΐτης ἀπὸ πέντε καὶ εἰκοσαέτους ἕως πεντηκονταέτους ἀπὸ τὸ ἰσχυρὸν (2) τῆς ἡλικίας· εἶτα φυλάσσει φυλακὰς ἁγίας μετὰ τῶν ἁγίων ἀδελφῶν, ὑπερβαῖνον (3) τὸν ὅρον τῆς ἐργασίας· ἐπεὶ καὶ ἔργα δυνάμεως ἐστὶ τὰ ἐντεταλ-
Z μένα τοῖς Λευΐταις.

ΣΕΥΗΡΟΥ. Σημειωτέον, ὅτι ὁ παυόμενος ἐργάζεσθαι τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου μετὰ πεντήκοντα ἔτη ἐνήρχετο τῆς φυλακῆς. σύναψον δὲ ὅλην τὴν φράσιν, καὶ δῆλος ἔσται ὁ νοῦς τοῦ ῥητοῦ. διὰ
» μέσου γάρ ἐστι τὸ, καὶ λειτουργήσει ὁ ἀδελ-
» φὸς αὐτοῦ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

ΚΕΦ.

(1) Ἐργάζεσθαι. αἱ εἰρημ. ἐκδόσ.
(2) Ἀπὸ τοῦ ἰσχυροῦ, ἀνάγν.
(3) Ὑπερβαίνων. ὀρθότερ. ἵνα ὁ Λευΐτης ἐννοῆται.

ΚΕΦ. Θ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν ἐν τῇ ἐρήμῳ Σιναῖ ἐν τῷ ἔτει τῷ δευτέρῳ, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου,
β. ἐν τῷ μηνὶ τῷ πρώτῳ, λέγων, Εἶπον, καὶ ποιείτωσαν οἱ υἱοὶ Ἰσραὴλ τὸ
γ. πάσχα καθ' ὥραν αὐτοῦ, Τῇ τετάρτῃ δεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου πρὸς ἑσπέραν, ποιήσετε αὐτὸ κατὰ καιροὺς αὐτοῦ· κατὰ νόμον αὐτοῦ, καὶ κατὰ τὴν σύγκρισιν αὐτοῦ ποιήσεις αὐτό.

ΑΔΗΛΟΥ. Ὁ Σύμμαχος τὸ πάσχα, Φασὲκ ἐκδέδωκεν· ὁ δὲ Φίλων, (1) διαβατήριον· τὸ δὲ, (2) ἐκ τοῦ αὐτοῖς ἐκ τῶν Αἰγυπτίων ὠθουμένοις μεγάλα εἶναι τὰ διαβήματα, κατὰ πάντα τὸν νόμον αὐτοῦ τοῦ Φασέκ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸ πάσχα, τὴν ὑπέρβασιν ἀναμιμνήσκει τελεῖν. διότι αὐτοὺς ὁ παίων Ἄγγελος ὑπερβέβηκεν. ὅθεν τοὔνομα, καὶ τὸ κατ' ἔτος ἐπιτελεῖν εἰς εὐεργεσίας ὑπόμνησιν, καὶ εἰς δήλωσιν τοῦ τὸν θάνατον μηκέτι θάνατον εἶναι ποιήσαντος διὰ τῆς ἀναστάσεως. ἀμνήμονες δὲ τῆς εὐεργεσίας οἱ τὰ σαρκὸς προτιμῶντες, ὧν ἀποτρέπων Τιμόθεον ὁ Παῦλός
2. Τιμ. 2. 8. φησι· μνημόνευε Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν ἐγηγερμένον· οὐκ ἀνάμνησιν, ὡς ἐπιλελησμένῳ κινῶν, ἀλλὰ μνήμην ὡς μεμνημένῳ. » ποιήσεις δὲ αὐτό φησι, κατὰ καιρὸν αὐτοῦ. » οὔτε γὰρ ἐκτὸς καιροῦ τὸ πρᾶγ-
Γαλ. 4. 4. » μα γέγονεν, ἀλλ' ὅτε ἦλθε τὸ πλήρωμα » τοῦ χρόνου.

δ. Καὶ ἐλάλησε Μωϋσῆς τοῖς υἱοῖς
ε. Ἰσραὴλ ποιῆσαι τὸ πάσχα Ἐναρχομένου τῇ δεκάτῃ τετάρτῃ τοῦ μηνὸς ἐν τῇ ἐρήμῳ τοῦ Σινᾶ· καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ, οὕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραήλ.
ϛ. Καὶ παρεγένοντο οἱ ἄνδρες οἳ ἦσαν ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, καὶ οὐκ ἠδύναντο ποιῆσαι τὸ πάσχα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ προσῆλθον ἐναντίον Μωϋσῆ καὶ Ἀαρὼν ἐν ἐκείνῃ τῇ
ζ. ἡμέρᾳ. Καὶ εἶπαν οἱ ἄνδρες ἐκεῖνοι πρὸς αὐτοὺς, ἡμεῖς ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου· μὴ οὖν ὑστερήσωμεν ὥστε προσενέγκαι τὸ δῶρον Κυρίῳ κατὰ τὸν καιρὸν αὐτοῦ ἐν μέσῳ υἱῶν Ἰσ-
η. ραήλ; Καὶ εἶπε πρὸς αὐτοὺς Μωϋσῆς, στῆτε αὐτοῦ, καὶ ἀκούσομαι ὅ,τι ἐντελεῖται Κύριος περὶ ὑμῶν.

» ΑΔΗΛΟΥ. Ἀκάθαρτοι ἐπὶ ψυχῇ, ἀντὶ τοῦ οἱ μεμιασμένοι ἐπὶ νεκρῷ. οὕτω γὰρ αὐτὸ ὀνομάζει ἐπὶ τοῦ τὴν μεγάλην εὐχὴν εὐξαμένου.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν οὐκ ἠδύναντο ἐπιτελέσαι τὸ πάσχα οἱ ἀκάθαρτοι ἐπὶ ψυχῇ; Σιωπῆσαι ἡ αἰτία τῆς παραιτήσεως. ὡς γὰρ ἀπὸ κήδους ὄντες, καί τινας τῶν οἰκείων ταφῇ παραδεδωκότες, ἀκά- B θαρτοι κατὰ τὴν τοῦ νόμου διαγόρευσιν ἦσαν. δεδιότες τοίνυν, μὴ τοῦ πάσχα πληροῦντες τὴν ἐντολὴν, παραβῶσι τὴν περὶ τῶν ἀκαθάρτων κειμένην, καὶ ἀντινομίᾳ περιπέσωσι, τὴν αἰτίαν τὸν νομοθέτην ἐδίδαξαν· ἀλλ' οὐδὲ οὗτος ἐτόλμησεν ἀποκρίνασθαι, ἕως τὸν δεσπότην ἠρώτησε. ταύτῃ γὰρ τῇ πλημμελείᾳ Ἰησοῦς ὁ τοῦ Ναυῆ περιπέπτωκε, πρὸ τῆς ἐρωτήσεως τοὺς Γαβαωνίτας δεξάμενος. προσέταξε τοίνυν Γ ὁ δεσπότης Θεὸς, τοὺς τῷ μιασμῷ τούτῳ περιπίπτοντας, ἢ πόρρωθεν οἰκοῦντας, καὶ τούτου χάριν τῇ δεκάτῃ τετάρτῃ τοῦ πρώτου μηνὸς ἐπιτελέσαι τὸ πάσχα μὴ δυναμένους, τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ δευτέρου μηνὸς ἐπιτελέσαι τὸ πάσχα.

ΚΥΡΙΛΛΟΥ. [Ἀκάθαρτον ἐπ' ἀνθρώπου ψυχῇ τὸ γράμμα λέγει τὸ ἱερὸν, τὸν ἐπὶ νεκρῷ μεμολυσμένον. ἀπείρηται γὰρ καὶ ἀψύχου σώματος ἀποθιγεῖν, καὶ τοῖς Δ πενθοῦσί τινα τῶν ἀγχοῦ καὶ ἐξ αἵματος τῆς ἀκαθαρσίας τὴν γραφὴν τὸ ἀρχαῖον ἐπετίθει θέσπισμα. τοιγάρτοι καὶ ἐξεπέμποντο τῆς παρεμβολῆς. ὑπετύπου δὲ αὖ διὰ τούτων ὁ νόμος, ὡς ἀνίερος ἔσται τὶς, καὶ νοητῆς ἀκαθαρσίας ἔμπλεως, τῆς ἑτέρου νεκρότητος μετεσχηκὼς, ὡς ἐν ἤθεσί τε καὶ τρόποις. νεκροὶ γὰρ τοὺς τρόπους οἱ περὶ ὧν ἂν λέγοιτο παρὰ Χριστοῦ, ἄφες Ματθ. 8. 22. » τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς.] E ἔξω δὴ οὖν τῆς θείας αὐλῆς, καὶ τῆς τῶν πρωτοτόκων ἐκκλησίας ἀπόπεμπτος ὁ τοῖς τὰ νεκρὰ φρονεῖν τε καὶ δρᾶν εἰωθόσι κεκοινωνηκὼς, κατάγε τὸ ἑλέσθαι φημὶ τὰ ἴσα φρονεῖν τε καὶ δρᾶν.

θ. Καὶ ἐλάλησε [Κύριος] πρὸς
ι. Μωϋσῆν, λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, λέγων, ἄνθρωπος ἄνθρωπος, ὃς ἐὰν γένηται ἀκάθαρτος ἐπὶ Ζ ψυχῇ ἀνθρώπου, ἢ ἐν ὁδῷ μακρὰν ἢ ἐν ὑμῖν, ἢ ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ
ια. ποιήσει τὸ πάσχα Κυρίῳ. Ἐν τῷ μηνὶ τῷ δευτέρῳ ἐν τῇ δεκάτῃ τετάρτῃ ἡμέρᾳ πρὸς ἑσπέραν ποιήσουσιν αὐτὸ, ἐπ' ἀζύμων καὶ πικρίδων φάγονται αὐτό.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὃς ἂν ᾖ, φησὶν, ἐν ἀποδημίᾳ τὸν πρῶτον μῆνα, μὴ ποιεί- H τω τῆς πόλεως ἔξω τὸ πάσχα, ἀλλ' ἐν τῷ δευτέρῳ μηνί· ἵνα φθάσῃ εἰς τὰ Ἱεροσόλυμα·

(1) Ὅρα τὴν σημείωσ. τὴν ἐν σελ. 682. καὶ τὸ ὑπόμν. τὸ εἰς τὸ 2. ἐδ. τοῦ 22. κεφ. τοῦ Δευτερ.
(2) Τὸ δὲ, διαβατήριον, ἴσ. ἐννοητέον.

A λυμα· καὶ παραβαινέτω τὸν καιρὸν, ἵνα μὴ τῆς πόλεως ἐκπέσῃ· [δεικνὺς, ὅτι ἡ τοῦ τόπου παρατήρησις, τῆς τοῦ καιροῦ παρατηρήσεώς ἐστιν ἀναγκαιοτέρα. τί τοίνυν ἔχοιεν ἂν εἰπεῖν, οἱ τῆς πόλεως ἔξω ποιοῦντες; ὅταν γὰρ τὸ ἀναγκαιότερον παραβῶσιν, οὐδὲ ἡ ἐν τῷ μικροτέρῳ παρατήρησις ὑπὲρ αὐτῶν ἀπολογήσασθαι δύναται.] ὥστε κἂν μυριάκις δοκῶσι φυλάττειν τὸν καιρὸν, ἐσχάτην ποιοῦσι παρανομίαν, ἔξω τοῦ τόπου ποιοῦντες.

B ** ΚΥΡΙΛΛΟΥ. Ἀκαθάρτους ἐπὶ ψυχῇ ἀνθρώπου, ταύτῃτοι καὶ ἐν μηνὶ τῷ δευτέρῳ τελοῦντας τὴν ἑορτὴν, σφάζοντάς τε τὸ ἱερεῖον εἰς τύπον Χριστοῦ κατὰ τὸν τοῦ πάσχα νόμον, οὐχ ἑτέρους εἶναι νομιοῦμεν, ἢ ὅτι τοὺς Ἰουδαίους ἐπὶ τῇ κατὰ Χριστοῦ μιαιφονίᾳ μεμολυσμένους, καὶ γραφὴν ἔχοντας εἰς ἀκαθαρσίαν τὸ ἐμπαροινῆσαι εἰς τὸν Ἐμμανουήλ. οἱ γὰρ τοιοίδε τῆς ἁγίας ἡμῶν ἑορτῆς ἀπώλισθον ἀναγκαίως· ὑστερίζουσι δὲ καὶ διημαρτήκασι τοῦ καιροῦ καθ' ὃν ὁ τῆς ἁπάντων ζωῆς ἀρχηγὸς τετελείωται διὰ παθημάτων. ἐλέου γε μὴν τοῦ πάντας σώζειν ἐθέλοντος, ἐν τοῖς μετὰ τοῦτο καιροῖς, ὡς ἐν μηνὶ δευτέρῳ, μεθέξουσι καὶ αὐτοὶ τοῦ Χριστοῦ, καὶ συνεορτάσουσι τοῖς ἁγίοις, τοῖς ἐν καιρῷ κεκλημένοις. δῆλον δὲ ὅτι τοῖς ἐξ ἐθνῶν. ἄθρει γὰρ ὅπως οἱ μὲν ἐν Αἰγύπτῳ τὸν τῆς εἰδωλολατρείας εὐθὺς ἀποτριψάμενοι ῥύπον, σφάζουσι τὸν ἀμνὸν ἐν πρώτῳ μηνὶ, καὶ εἰς τὰς τοῦ πιστεύειν ἀρχὰς ἀναθρώσκουσιν, οἱ δὲ κεχρισμένοι τῷ αἵματι τοῦ Κυρίου παρ' οὐδὲν ἡγήσονται τὸν ὀλοθρευτὴν, καὶ ἀμείνους ἔσονται τῆς φθορᾶς· οἱ δὲ, ὡς ἐν ἔτει τε καὶ ἐν μηνὶ δευτέρῳ, προσίασι μόλις καὶ ὁμολογοῦσι τὸν μολυσμὸν, καὶ ὅτι γεγόνασιν ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου διεβεβαιοῦντο σαφῶς, καὶ τῆς εὐλογίας ἀξιοῦσι τυχεῖν, ὕστερον δὲ καὶ μετὰ τοὺς
Ῥωμ. ια. 25, πρώτους πληροῦσι τὴν ἑορτήν. ὅταν γὰρ
26. » τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς
» Ἰσραὴλ σωθήσεται.

ΤΟΥ ΑΥΤΟΥ. Ἀκάθαρτος ἐπὶ ψυχῇ ὁ Κυριοκτόνος Ἰουδαῖος. ἐν ὁδῷ δὲ μακρᾷ καὶ ἔξω τῆς Ἱερουσαλὴμ, ἤτοι τῆς ἁγίας τοῦ Χριστοῦ καὶ Θεοῦ ἐκκλησίας ὁ τῇ κτίσει λατρεύων παρὰ τὸν κτίσαντα.

ΤΟΥ ΑΥΤΟΥ. Κἀκεῖνο οἶμαι προσενεγκεῖν [ἀναγκαῖον,] ὅτι κεκράτηκεν ἔθος ἐν ἐκκλησίαις ἀπό γε οἶμαι τούτου τοῦ νόμου, ὡς εἰ ἐκπίπτοι τοῦ πρώτου μηνὸς ἡ κατὰ σελήνην τεσσαρεσκαιδεκάτη, τὸν δεύτερον ἀγχοῦ περιεργάζεσθαι μῆνα, καὶ ἐν αὐτῷ ζητεῖν τὴν ὡρισμένην ἡμέραν, ἵνα μὴ ἐξοίχοιτο τῆς ἀληθοῦς ἑορτῆς ὁ καιρός.

ιβ. Οὐ καταλείψουσιν ἀπ' αὐτοῦ εἰς τὸ πρωῒ, καὶ ὀστοῦν οὐ συντρίψουσιν ἀπ' αὐτοῦ· κατὰ τὸν νόμον τοῦ πάσχα ποιήσουσιν αὐτό.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοῦ μὴ καθικέσθαι τῆς Χριστοῦ ὑποστάσεως τὸν θάνατον. στάσις γὰρ καὶ ὑπόστασις τὸ ὀστοῦν κατὰ τὸ ὄνομα.

ιγ. Καὶ ἄνθρωπος ἄνθρωπος ὃς ἂν καθαρὸς ᾖ, καὶ ἐν ὁδῷ μακρὰν οὐκ ἔστι, καὶ ὑστερήσῃ ποιῆσαι τὸ πάσχα, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς, ὅτι τὸ δῶρον Κυρίῳ οὐ προσήνεγκε κατὰ τὸν καιρὸν αὐτοῦ· ἁμαρτίαν αὐτοῦ λήψεται ὁ ἄνθρωπος ἐκεῖνος.

ΚΥΡΙΛΛΟΥ. Οἱ μήτε ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου κατὰ τοὺς Ἰουδαίους, μήτε ἐν ὁδῷ μακρὰν ὄντες καθ' Ἕλληνας, ἢ αἱρετικοὺς, ἀδεῶς προσοίσωμεν τὴν θυσίαν, καὶ τὰς ἑορτὰς Κυρίου τιμήσωμεν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὗτός ἐστιν ὁ καλούμενος καὶ μὴ ὑπακούων. ὁ γὰρ ἀπειθῶν, » φησὶ, τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωήν.

Γ ιδ. Ἐὰν δὲ προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος ἐν τῇ γῇ ὑμῶν, καὶ ποιήσει τὸ πάσχα Κυρίῳ, κατὰ τὸν νόμον τοῦ πάσχα, καὶ κατὰ τὴν σύνταξιν αὐτοῦ οὕτω ποιήσει αὐτό· νόμος εἷς ἔσται ὑμῖν, καὶ τῷ προσηλύτῳ, καὶ τῷ αὐτόχθονι τῆς γῆς.

ΚΥΡΙΛΛΟΥ. Τοὺς γάρτοι κατὰ καιροὺς τῆς ἐν Χριστῷ πίστεως προσιεμένους τὰ αὐχήματα ποιούμεθα κοινωνοὺς τῆς ἀναιμάκτου
Δ » θυσίας. οὐκ ἔνι γάρ φησιν ἐν Χριστῷ Ἰου-
» δαῖος καὶ Ἕλλην, ἀλλ' ἡ κλῆσις μία.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκέλευσε δὲ καὶ τοὺς προσηλύτους τῶν ἴσων μεταλαχεῖν. νόμος » γάρ φησιν εἷς ἔσται ὑμῖν, καὶ τῷ προση- » λύτῳ, καὶ τῷ αὐτόχθονι τῆς γῆς. διὰ δὲ τούτων, τῶν ἐθνῶν προμηνύει τὴν κλῆσιν.

ιε. Καὶ τῇ ἡμέρᾳ ᾗ ἐστάθη ἡ σκηνὴ, ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνὴν,
E τὸν οἶκον τοῦ μαρτυρίου· καὶ τὸ ἑσπέρας ἦν ἐπὶ τῆς σκηνῆς ὡς εἶδος πυρὸς
ιϛ. ἕως πρωΐ. Οὕτως ἐγένετο διαπαντός· ἡ νεφέλη ἐκάλυπτεν αὐτὴν ἡμέρας, καὶ εἶδος πυρὸς τὴν νύκτα.

* ΚΥΡΙΛΛΟΥ. Τῆς γὰρ ἐκκλησίας, ἤτοι τῆς ἀληθοῦς σκηνῆς ἀνεγερθείσης, ἡ δόξα τοῦ Χριστοῦ πεπλήρωκεν αὐτήν. καὶ τοῖς μὲν ἐν πλάνῃ ἀγνοίας ὡς ἐν νυκτὶ δια-
Z τρίβουσι, πυρὸς ἀναλάμπει δίκην τὸν φωτισμὸν ἐνιεὶς ὁ Χριστός, τοῖς γε μὴν πεφωτισμένοις τὴν παρ' αὐτοῦ σκιὰν καὶ σκέπην δωρούμενος, [καὶ δρόσοις αὐτοὺς καταπιαίνων πνευματικοῖς, τουτέστι ταῖς ἄνωθεν τε καὶ διὰ τοῦ πνεύματος παρακλήσεσι. τοῦτο γάρ ἐστι τὸ, ὡς ἐν εἴδει μὲν πυρὸς ὁρᾶσθαι τὴν νύκτα, ἐν δὲ εἴδει νεφέλης τὴν ἡμέραν. ἔδει γὰρ ἔδει τοῖς μὲν ἔτι νηπίοις φωτισμοῦ καὶ ἐλλάμψεως, τῆς ἀποφερούσης εἰς θεο-
H γνωσίαν· τοῖς δὲ τούτων ἀνωτέρω, καὶ λελαμπρυσμένοις διὰ τῆς πίστεως, σκέπης καὶ ἐπικουρίας· ὡς ἂν δύναιντο διενεγκεῖν τοῦ παρόντος βίου τὸν καύσωνα, καὶ τῆς ἡμέρας τὸ βάρος.]

ιζ. Καὶ

ιζ. Καὶ ἡνίκα ἀνέβη ἡ νεφέλη ἀπὸ τῆς σκηνῆς, καὶ μετὰ ταῦτα ἀπῆρον [οἱ] υἱοὶ Ἰσραήλ· καὶ ἐν τῷ τόπῳ οὗ ἂν ἔστη ἡ νεφέλη, ἐκεῖ παρενέβαλον οἱ υἱοὶ Ἰσραήλ.

** ΚΥΡΙΛΛΟΥ. Ἀπαιρούσης τῆς νεφέλης, συναπαίρει καὶ ἡ σκηνή· καὶ καταλυούσης, συγκαθίσαται. καὶ σὺν αὐτῇ τοῦτο ἔδρων οἱ ἐξ Ἰσραήλ. ἕπεται γὰρ ἡ ἐκκλησία πανταχῆ τῷ Χριστῷ, καὶ ἡ τῶν πιστευόντων ἁγία πληθὺς τοῦ καλοῦντος εἰς σωτηρίαν οὐκ ἀπονοσφίζεται.

ΤΟΥ ΑΥΤΟΥ. Τὸ γὰρ συνεῖναι τῷ ὁδηγοῦντι, σωτήριον. καὶ τότε μὲν τοῖς ἐξ Ἰσραήλ· ἡμῖν δὲ νυνὶ τὸ μὴ χωρίζεσθαι Χριστοῦ.

** ΤΟΥ ΑΥΤΟΥ. Πρώτη μὲν ἄπαρσις ἡ ἐξ ἀπιστίας εἰς πίστιν, καὶ ἐξ ἀγνοίας εἰς γνῶσιν, καὶ ἐκ τοῦ μὴ εἰδέναι τίς ὁ φύσει τε καὶ ἀληθῶς Θεὸς ἐπὶ τὸ εἰδέναι σαφῶς τὸν τῶν ὅλων δεσπότην καὶ ποιητήν. ἄπαρσις δὲ ὥσπερ μετ' ἐκείνην δευτέρα καὶ ἐπωφελής, ἡ ἐκ φαυλότητός τε καὶ ἀσελγείας ἐπὶ τὸ θέλειν ἤδη πως τὰ ἀμείνω δρᾶν τε καὶ φρονεῖν· τρίτη δὲ, ταύτης προφερεστέρα καὶ ἐν ἐντελείᾳ μείζονι, ἡ ἐκ τοῦ ἐνδεοῦς ἐπὶ τὸ ἀρτίως ἔχον πρακτικῶς τε ἅμα καὶ δογματικῶς. Καὶ μετ' ὀλίγα. Τὸ συνεῖναί τε τῷ Θεῷ καὶ σὺν αὐτῷ πάντα δρᾶν ὑποφήνειεν ἂν αἰνιγματωδῶς τό, τε συναπαίρειν ἀπαιρούσῃ τῇ νεφέλῃ καὶ ἠρεμούσῃ συνηρεμεῖν.

ιη. Διὰ προστάγματος Κυρίου παρεμβαλοῦσιν [οἱ] υἱοὶ Ἰσραήλ, καὶ διὰ προστάγματος Κυρίου ἀπαροῦσι. πάσας τὰς ἡμέρας ἐν αἷς σκιάζει ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς, παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ.

** ΚΥΡΙΛΛΟΥ. Διὰ προστάγματος Κυρίου, φησὶν, ἀπαροῦσι. καὶ τοῦτο οἶμαι δηλοῖ τὸ καὶ λόγου δεῖσθαι τοῦ παροτρύνοντος εἰς ἀλκήν, καὶ εἰς τὴν τοῖς ἁγίοις πρέπουσαν εὐκοσμίαν τοὺς ἕπεσθαι δεῖν οἰομένους Χριστῷ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὕτω καὶ τὰς ὁδοιπορίας ἀκούομεν τὰς τῶν Ἀποστόλων ἐπιτελουμένας καὶ διὰ προστάγματος τοῦ ἁγίου πνεύματος χώρας καὶ τόπους διαμείβοντας. (1)

ιθ. Καὶ ὅταν ἐφέλκηται ἡ νεφέλη ἡμέρας πλείους, καὶ φυλάξονται οἱ υἱοὶ Ἰσραὴλ τὴν φυλακὴν τοῦ Θεοῦ,

κ. καὶ οὐ μὴ ἐξάρωσι. Καὶ ἔσται ὅταν σκεπάσῃ ἡ νεφέλη ἡμέρας ἀριθμῷ ἐπὶ τῆς σκηνῆς, διὰ φωνῆς Κυρίου παρεμβαλοῦσι, καὶ διὰ προστάγματος Κυρίου ἐξαροῦσι.

** ΙΩΣΗΠΟΥ. Ἐφ' ὅσῳ μὲν ὑπὲρ τὴν σκηνὴν συνέβαινεν ἑστάναι τὴν νεφέλην, μένειν αὐτοῖς ὡς ἐπιδημοῦντος ἐδόκει τοῦ Θεοῦ· τρεπομένης δὲ ταύτης, μετανίστασθαι.

κα. Καὶ ἔσται ὅταν γένηται ἡ νεφέλη ἀφ' ἑσπέρας ἕως πρωΐ, καὶ ἀναβῇ ἡ νεφέλη τὸ πρωΐ, καὶ ἀπαροῦσιν

κβ. ἡμέρας ἢ νυκτός. Καὶ ἐὰν ἀναβῇ ἡ νεφέλη, (2) ἀπαροῦσιν ἡμέρας, ἢ μηνὸς ἡμέρας πλεοναζούσης τῆς νεφέλης σκιαζούσης ἐπ' αὐτῆς, παρεμβαλοῦσιν.

κγ. (3) Ὅτι διὰ προστάγματος Κυρίου ἀπαροῦσι. τὴν φυλακὴν Κυρίου ἐφύλαξαν διὰ προστάγματος Κυρίου ἐν χειρὶ Μωϋσῆ.

ΣΕΥΗΡΟΥ. Ὃ λέγει τοιοῦτόν ἐστιν· εἴτε ἀπὸ ἑσπέρας ἀναβῇ ἡ νεφέλη, εἴτε πρωΐ, εἴτε ἐν νυκτὶ, ἡμέρας ἀπαροῦσι, καὶ (4) ἐν νυκτὶ ἐνάρξονται τῆς πορείας. καὶ μὴν δὲ ἡμερῶν σκιαζούσης τῆς νεφέλης, καὶ ἐν τόπῳ ἱσταμένης, καὶ μὴ παραπορευομένης, ὑπομένουσιν οἱ υἱοὶ Ἰσραὴλ τὴν παρολκήν, καὶ οὐκ ἐξαροῦσιν. ἀνάβασιν δὲ τῆς νεφέλης, τὴν πορείαν καλεῖ, καὶ τὴν ἐπὶ τὰ πρόσω πρόοδον. δοκεῖ μοι δὲ ἐμφαίνειν, ὅτι ἡνίκα ἐβούλετο ὁ Θεὸς αὐτοὺς ἀπαίρειν, ἀπὸ ἑσπέρας ἢ καὶ νύκτωρ διεδέχετο ἡ νεφέλη τὸν στύλον τοῦ πυρὸς, προοδοποιοῦσα ὥσπερ τῷ Ἰσραήλ· καὶ ἐκ τούτου δηλοῦντος, ὅτι ἐν ἡμέρᾳ δεῖ αὐτοὺς ἀπάρχεσθαι τῆς πορείας. ἐντεῦθεν ἤδη προαναχρουομένου τοῦ Θεοῦ, ὅτι χρονοτριβεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ βούλεται, διὰ τὴν μέλλουσαν ἔσεσθαι κατ' αὐτῶν ἀπειλὴν ἐν τοῖς ἐφεξῆς, ἐξουδενωσάντων αὐτῶν τὴν γῆν τῆς ἐπαγγελίας, καὶ στραφέντων εἰς Αἴγυπτον.



ΚΕΦ.

(1) Ἢ, διαμειβόντων ἀναγνωστέον. ἢ προσθετέον τὸ, αὐτούς.

(2) Τὸ, καὶ ἐὰν ἀναβῇ ἡ νεφέλη, παρὰ μὲν τῷ ἁγίῳ Κυρίλ. (ἐν Τόμ. 1. μερ. 2. σελ. 163.) κεῖται· παρὰ δὲ ταῖς εἰρημέν. ἐκδόσ. οὔ.

(3) Παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ οὐ μὴ ἀπάρωσιν. αἱ εἰρημ. ἐκδόσ. Παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραὴλ καὶ οὐ μὴ ἀπαροῦσιν. ὁ ἐν ἁγίοις Κύριλ. αὐτ.

(4) Οὕτω μὲν ἑκάτερος τῶν κωδίκ. παρὰ δὲ Προκοπίῳ (ἐν τῷ τῆς Αὐγ. κώδ.) οὐκ ἐν νυκτὶ, ὀρθῶς.

ΚΕΦ. Ι.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Ποίησον σεαυτῷ δύω σάλπιγγας ἀργυρᾶς· ἐλατὰς ποιήσεις αὐτάς· καὶ ἔσονταί σοι ἀνακαλεῖν τὴν συναγωγὴν, καὶ ἐξαίρειν τὰς παρεμβολάς:

** ΙΩΣΗΠΟΥ. Εὗρε καὶ βυκάνης τρόπον ἐξ ἀργυρίου ποιησάμενος. ἔστι δὲ τοιαύτη· μῆκος μὲν ἔχει πηχυαῖον ὀλίγῳ λεῖπον· στενὴ δ' ἐστὶ σύριγξ αὐλοῦ βραχὺ παχυτέρα· παρέχουσα δὲ εὖρος ἀρκοῦν ἐπὶ τῷ στόματι, πρὸς ὑποδοχὴν πνεύματος, εἰς κώδωνα ταῖς σάλπιγξι παραπλησίως τελοῦν· ἀσώσρα καλεῖται κατὰ τὴν Ἑβραίων γλῶσσαν. γίνονται δὲ δύω. καὶ τῇ μὲν ἑτέρᾳ, πρὸς παρακέλευσιν καὶ σύλλογον ἐχρῶντο τοῦ πλήθους πρὸς τὰς ἐκκλησίας. καὶ μίαν μὲν ἀποσημάναντος, ἔδει τοὺς ἀρχὰς συνελθεῖν, σκεψομένας περὶ τῶν οἰκείων· ἀμφοτέραις δὲ συνῆγε τὸ πλῆθος. τῆς δὲ σκηνῆς μετακινουμένης, ταῦτα ἐγίνετο.

** ΚΥΡΙΛΛΟΥ. Δύω αἱ σάλπιγγες. διπλοῦν γὰρ ἐν ἐκκλησίαις τὸ τῆς παρακλήσεως κήρυγμα. ἓν μὲν γὰρ εἰς ὀρθότητα τὴν δογματικὴν ἀποφέρει τοὺς πεπιστευκότας, καὶ τὸν τῶν διεστραμμένων καταχιβδηλεύει λόγον. Καὶ μετ' ὀλίγα. Ἕτερον δὲ, πρὸς ἠθικὴν ἐπανόρθωσιν ξεναγεῖ, καὶ τῆς ἐν Χριστῷ πολιτείας καταλευκαίνει τὴν ὁδόν.

ΤΟΥ ΑΥΤΟΥ. Σάλπιγξ δὴ οὖν ὁ νόμος, ὁμοίως δὲ καὶ τὸ εὐαγγελικὸν κήρυγμα. μεγάλη γὰρ ἡ διά γε τῶν ἁγίων Ἀποστόλων ἀναφωνοῦσα σάλπιγξ, οὐκ ἀθετοῦσα τὴν πρώτην, συνεισδεχομένη δὲ καὶ αὐτήν. διὰ γὰρ νόμου καὶ Προφητῶν ἀναφωνοῦσι τὸν περὶ Χριστοῦ λόγον. ἀργυραῖ δὲ καὶ ἐλαταί· τοῦ μὲν ἀργύρου, σημαίνοντος τὴν φαιδρότητα· λαμπρὸς γὰρ ὁ περὶ Θεοῦ λόγος, τῆς ἐν κόσμῳ σοφίας τὸ σκοτεινὸν οὐκ ἔχων· τοῦγε μὴν ἐλάσματος προϋφαίνοντος, ὅτι προσβήσονται καὶ προκόψουσιν αἱ ἱεραὶ καὶ θεῖαι σάλπιγγες, ἤγουν τὸ ἀρχαῖόν τε καὶ νοερὸν κήρυγμα. (1)

** ΤΟΥ ΑΥΤΟΥ. Ἐν ταῖς σάλπιγξιν ἀνακαλείσθω, φησὶν, ἐπὶ τὴν σκηνὴν ὁ λαός. κηρύγμασι γὰρ τοὺς ἐν σκηναῖς ὥσπερ ἰδίαις συναγείρομεν εἰς ἐκκλησίας· συνδεδραμηκότας δὲ, καὶ ἀπαίρειν ἀναπείθομεν ἐκ τῶν αἰσχιόνων ἐπὶ τὰ πρέποντα τοῖς ἡγιασμένοις, καὶ οἱονεὶ μεθορμίζεσθαι πρὸς τὸ ἀγαθὸν ἐκ φαυλότητος εὖ μάλα μεταπαιδεύομεν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐλαταὶ δὲ αἱ σάλπιγγες· ἐλαύνονται δὲ διὰ σφύρας. περὶ
» ἧς Ἱερεμίας φησὶ; καὶ συνετρίβη ἡ σφύρα Ἰερ. 50. 23.
» πάσης τῆς γῆς: εἰ μὴ γὰρ ἦν διάβολος ἡ σφύρα, σάλπιγξ οὐκ ἦν ἐλατή; ἡ διεγείρουσα ἐπὶ τὰς ἑορτὰς τοῦ Θεοῦ· καθ' ἃς τὰ σώματα θυσίαν προσάγομεν, λόγῳ τὴν
Β ἰδίαν ἀπολιπόντα ζωὴν, τὰς ψυχὰς φαιδρυνόμενοι· καὶ τοὺς ἀκούοντας κινοῦσα πρὸς πόλεμον. πολλὰ ἡ σφύρα Παύλου συνήρατο τῇ σάλπιγγι τῇ ἐλατῇ, διὰ τῶν ποικίλων αὐτὸν ἐλαύνουσα πειρασμῶν· δηλοῦσα, ὡς ἐλαύνεσθαι ἠδύνατο, μηδὲν βλαπτόμενος· καὶ σχῆμα λαβεῖν σάλπιγγος μεγαλοφώνου μὴ ἄδηλον δηλούσης φωνὴν εἰς τοὺς ἀκούοντας, εἰς τὸν κατὰ τῆς κακίας κατασκευάζεσθαι πόλεμον.

Γ γ. Καὶ σαλπιεῖς ἐν αὐταῖς, καὶ συναχθήσεται πᾶσα ἡ συναγωγὴ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρ-
δ. τυρίου. Ἐὰν δὲ ἐν μιᾷ σαλπίσωσι, προσελεύσονται πρὸς σὲ πάντες οἱ ἄρχοντες χιλίαρχοι Ἰσραήλ.

** ΚΥΡΙΛΛΟΥ. Δύω μὲν αἱ σάλπιγγες αἱ συλλέγουσαι τὸν λαὸν ἐπὶ τὴν σκη-
» νήν. ἐὰν δὲ μιᾷ σαλπίσωσι, φησὶ, προ-
Δ» σελεύσονται πρὸς σὲ πάντες οἱ ἄρχοντες
» ἀρχηγοὶ ὑμῶν Ἰσραήλ. δεῖν μὲν γὰρ ὑπολαμβάνω παρακλήσεως τε καὶ προτροπῆς καὶ τοῖς τὴν ἕξιν τελειοτέροις, πλὴν οὐ τοσαύτης ὅσης περ ἂν δέοιτο καὶ ἡ τῶν ἑτέρων πληθύς. διὰ τοῦτο τοὺς μὲν ἄλλους ἅπαντας δύω μόλις ἀνακαλοῦσι σάλπιγγες, μία δὲ τοὺς ἐξειλεγμένους. ἀρκεῖ γὰρ ὀλίγον τῷ σοφῷ. καὶ ἀφορμὴν εἰ λάβοι, προσ-
» θήσει τὸ λεῖπον; κατὰ τὸ; δίδου σοφῷ Παροιμ. 9. 9.
Ε» ἀφορμὴν, καὶ σοφώτερος ἔσται.

ε. Καὶ σαλπιεῖτε σημασίαν, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι ἀνατολάς.

** ΙΩΣΗΠΟΥ. Ἀποσημάναντος τὸ πρῶτον, οἱ παρὰ ταῖς ἀνατολαῖς ἐσκηνωκότες ἀνίσταντο· καὶ πρὸς τὴν δευτέραν, οἱ πρὸς τὸν νῶτον αὐτῆς καθεστῶτες· εἶθ' ἡ σκηνὴ λυομένη μέση τῶν προϊουσῶν ἓξ
Ζ φυλῶν ἐκομίζετο καὶ τῶν ἑπομένων ἕξ. Λευῖται δὲ περὶ τὴν σκηνὴν πάντες ἦσαν. τρίτον δὲ σημάναντος τὸ μετὰ λίβα τετραμμένον τῶν ἐσκηνωκότων μέρος ἐκινεῖτο, καὶ τέταρτον τὸ κατὰ βορρᾶν. ταῖς δὲ βυκάναις ἐχρῶντο καὶ ἐπὶ ταῖς ἱερουργίαις, πρὸς αἷς προσάγοντες ἦσαν τὰς θυσίας, καὶ τοῖς σαββάτοις καὶ ταῖς λοιπαῖς ἡμέραις.

ΚΥΡΙΛ-

(1) Λείπει ὡς ἔοικε τοῖς ἐκδεδομένοις τὸ ὑπόμνημα τοῦτο. πρόκειται γὰρ ἐν αὐτοῖς (ἐν Τόμ. 1. μέρ. 2. σελ. 166.) τόδε τὸ ζήτημα· Τί δὴ οὖν ἄρα φαμὲν τὴν τῶν σαλπίγγων εἶναι δυάδα, καὶ τὰς τῶν σημασιῶν διαφοράς; ἐλατὰς δὲ ἀνθ' ὅτου καὶ ἐξ ἀργύρου δεῖν ποιεῖσθαι προσέταχε; καὶ τοῦ μὲν πρώτου μέρους ἡ λύσις ἔνεστι· τοῦ δὲ δευτέρου, ἐν μέρει. περὶ γὰρ τοῦ, ἐλατὰς ἀνθ' ὅτου, οὐδὲν κεῖται· περὶ τοῦ ἐξ ἀργύρου δὲ, τάδε· ἀργυραῖ δὲ αἱ σάλπιγγες, τὴν ἐπ' ἀμφοῖν τοῖν λόγοιν λαμπρότητα, καὶ τὸ ἄγαν εἰλικρινὲς, ὡς ἐν ἰδίᾳ φύσει τῆς ὕλης ἡμῖν ὑποφαινούσης ἀξίως.

A ✱✱ ΚΥΡΙΛΛΟΥ. Προσέταξε τέσσαρας ποιεῖσθαι σημασιῶν διαφορὰς, ὥστε δι' αὐτῶν ἀναζευγνύναι τε καὶ ἀπαίρειν τοὺς τε πρὸς ἠῶ καὶ λίβα, βοῤῥᾶ καὶ νότον. οἶμαι οὖν τὰς τέσσαρας ἡμῖν τῶν Εὐαγγελίων συγγραφὰς διὰ τούτου σημαίνεσθαι, δι' ὧν ὁ σύμπας παιδαγωγεῖται κόσμος πρὸς δογματικήν τε ἅμα καὶ ἠθικὴν ἐπιστήμην. Καὶ μετ' ὀλίγα. Λόγου τοῦ παρ' ἡμῖν τέσσαρας εὑρήσομεν τὰς διαφορὰς, δι' ὧν ἡ σύμπασα γῆ τὸν ἄριστόν τε καὶ εὐδόκιμον ἀληθῶς B κατορθώσει βίον. μία μὲν οὖν ἐστὶ καὶ πρώτη, δι' ἧς πρὸς ἐπίγνωσιν ἀληθείας καὶ εἰς ἀνάληψιν θείου φωτὸς καλεῖν εἰθίσμεθα τοὺς τῇ κλίσει παρὰ τὸν κλῆσιν λελατρευκότας. Καὶ μετ' ὀλίγα. Τοῖς γε μὴν ἤδη πεπιστευκόσιν αἱ τρεῖς ἕτεραι τοῦ λόγου διαφοραὶ πρέποιεν ἂν εἰκότως· ἐπεί τοι καὶ τρεῖς εἶναι βίου καὶ πολιτείας διαφορὰς ἐδίδασκεν ὁ Σωτήρ. ἔφη γὰρ ὅτι τὰ καταβληθέντα τῶν σπερμάτων ἐπὶ τὴν καλὴν Γ
Ματθ. 13. 23. γῆν ἐποίησε καρπὸν, ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα. οὐκοῦν ἐστι τὶς ἑκάστῳ τῶν τοιούτων ὁ αὐτῷ μάλιστα πρέπων λόγος.

ϛ. Καὶ σαλπιεῖτε σημασίαν δευτέραν, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι πρὸς νότον· καὶ σαλπιεῖτε σημασίαν τρίτην, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι εἰς θάλασσαν· καὶ σαλπιεῖτε Δ σημασίαν τετάρτην, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι πρὸς βοῤῥᾶν. σημασίᾳ σαλπιοῦσιν ἐν τῇ ἐξάρσει αὐτῶν.

ΑΔΗΛΟΥ. Ὃ λέγει τοῦτό ἐστιν· ἢ δεύτερον ἐσάλπιζον, καὶ ἐσιώπων, καὶ πάλιν ἄλλο ἅπαξ, καὶ ἐσιώπων, ὅ ἐστι τρίτον· ἢ φανερά τινα εἶχον μέλη, δι' ὧν οἱ ἀκούοντες ᾔδεισαν ποίῳ τάγματι τῆς συναγωγῆς E ἐσάλπιζεν, ὡς ἄλλου ὄντος ἤχου τοῦ συνάγοντος τοὺς κατὰ ἀνατολὰς, καὶ ἄλλου τοὺς κατὰ βοῤῥᾶν, ἢ νότον, ἢ δυσμάς. διὸ ὅτε συνήγοντο πάντες ἅμα, μονοειδὲς ἦν τὸ μέλος τῆς σάλπιγγος, οὐ μὴν ἔχον τινὰ κατακλασμόν.

ζ. Καὶ ὅταν συναγάγητε τὴν συναγωγὴν, σαλπιεῖτε, καὶ οὐ σημασίᾳ. Z

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, σημασίᾳ σαλπιεῖτε ἐν τῇ ἐξάρσει ὑμῶν· καὶ ὅταν συναγάγητε τὴν συναγωγὴν, σαλπιεῖτε, καὶ οὐ σημασίᾳ; Ὁ πάνσοφος λέ-
1. Κορ. 14. 8. γει Παῦλος· ἐὰν μὴ εὔσημον σάλπιγξ φωνὴν δῷ, τίς παρασκευάσεται εἰς πόλεμον; διαφοραὶ τοίνυν ἦσαν ἠχῆς, καὶ ἡ μὲν τὴν ἀνάπαυλαν, ἡ δὲ τὴν ὁδοιπορίαν ἐδήλου. καὶ μία μὲν ἠχοῦσα σάλπιγξ ἐκάλει τοὺς H ἄρχοντας, αἱ δὲ δύω τὸν λαὸν καὶ τοὺς ἄρχοντας. τὸ μέντοι σαλπίζειν μόνοις A ἀπενεμήθη τοῖς ἱερεῦσιν, ἐπειδὴ τοῦ Θεοῦ τὴν κλῆσιν ἡ σάλπιγξ ἐμήνυε. τοῦτο γὰρ ἐπήγαγεν· ἐὰν ἐξέλθητε εἰς πόλεμον ἐν τῇ γῇ ὑμῶν πρὸς τοὺς ὑπεναντίους τοὺς ἀνθεστηκότας ὑμῖν, καὶ σημανεῖτε ταῖς σάλπιγξι, καὶ ἀναμνησθήσεσθε ἔναντι Κυρίου, καὶ διασωθήσεσθε ἀπὸ τῶν ἐχθρῶν ὑμῶν. καὶ ἐν ταῖς ἡμέραις τῆς εὐφροσύνης ὑμῶν, καὶ ἐν ταῖς ἑορταῖς ὑμῶν, καὶ ἐν ταῖς νεομηνίαις ὑμῶν σαλπιεῖτε ταῖς σάλπιγξιν B ἐπὶ τοῖς ὁλοκαυτώμασι, καὶ ἐπὶ ταῖς θυσίαις τῶν σωτηρίων ὑμῶν· καὶ ἔσται ὑμῖν ἀνάμνησις ἐναντίον τοῦ Θεοῦ ὑμῶν. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν. ἐπειδὴ γὰρ νομοθετῶν ὁ Θεὸς ἐν τῷ Σινᾷ ὄρει μεγίστῃ σαλπίγγων ἠχῇ τὰς ἀκοὰς αὐτῶν κατεκλύπησε, τῆς ἐπιφανείας αὐτοὺς ἐκείνης ἀναμιμνήσκει διὰ τῆς τῶν σαλπίγγων ἠχῆς. ὅθεν καὶ ὁ μακάριος Δαβὶδ μελῳδῶν, ἔφη· σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν Ψαλ. 80. 3.
Γ εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν. διὰ δὲ τούτων καὶ ἡμεῖς διδασκόμεθα πᾶσαν ἀθροίζοντες τοῦ λαοῦ τὴν συναγωγὴν σαλπίζειν, καὶ οὐ σημασίαις. ἀσήμως γὰρ διὰ τοὺς ἀμυήτους περὶ τῶν θείων διαλεγόμεθα μυστηρίων· τούτων δὲ χωριζομένων, τοὺς μεμυημένους διδάσκομεν.

η. Καὶ οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς σαλπιοῦσι ταῖς σάλπιγξι. καὶ ἔσται Δ ὑμῖν νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἐπιτήρει, ὅτι μόνοις ἀπονέμει τοῖς ἱερᾶσθαι λαχοῦσι τὸ κεχρῆσθαι ταῖς σάλπιγξιν, ἀνατιθεὶς, οἶμαί που, τοῖς κατὰ τὸν λαὸν παιδεύταις καὶ ἡγιασμένοις εἰς ἱερωσύνην τὸν μυσταγωγοῦντα καὶ μὴν καὶ εἰς ἔφεσιν ἀρετῆς ἐπαλείφοντα λόγον. διὰ τοῦτο γὰρ, οἶμαι, πρὸς μὲν Μωσέα φησί· ποίησον σεαυτῷ δύω σάλE πιγγας· νόμῳ δὲ ὥσπερ κατασφραγίζων τὸ χρῆμα, καὶ οἱ υἱοὶ Ἀαρὼν, φησὶν, οἱ ἱερεῖς σαλπιοῦσι ταῖς σάλπιγξι. καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν.

θ. Ἐὰν δὲ εἰσέλθητε (1) εἰς πόλεμον ἐν τῇ γῇ ὑμῶν πρὸς τοὺς ὑπεναντίους τοὺς ἀνθεστηκότας ὑμῖν, καὶ σαλπιεῖτε ταῖς σάλπιγξι, καὶ ἀναμνησθήσεσθε ἐναντίον Κυρίου, καὶ διασωθήσεσθε ἀπὸ τῶν ἐχθρῶν ὑμῶν. Z

ι. Καὶ ἐν ταῖς ἡμέραις τῆς εὐφροσύνης ὑμῶν, καὶ ἐν ταῖς ἑορταῖς ὑμῶν, καὶ ἐν ταῖς νουμηνίαις ὑμῶν, σαλπιεῖτε ταῖς σάλπιγξιν ἐπὶ τοῖς ὁλοκαυτώμασι, καὶ ἐπὶ ταῖς θυσίαις τῶν σωτηρίων ὑμῶν· καὶ ἔσται ὑμῖν ἀνάμνησις ἐναντίον τοῦ Θεοῦ ὑμῶν. H ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

ΑΔΗΛΟΥ. Ὥστε περιττὴ νῦν τοῖς Ἰουδαίοις τῶν σαλπίγγων ἡ χρῆσις, τῶν ὁλοκαυτω-

(1) Ἐξέλθητε. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ Θεοδώρητ. ἀνωτέρ.

καυτωμάτων καὶ τῶν θυσιῶν περιῃρημένων, διὰ τὸ μὴ συνίςασθαι αὐτῶν τὴν μητρόπολιν, ἔνθα τὰ τοιαῦτα ἐπιτελεῖν αὐτοῖς ἐδίδου ὁ νόμος.

ια. Καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ τῷ
δευτέρῳ ἐν τῷ μηνὶ τῷ δευτέρῳ εἰκά-
δι τοῦ μηνὸς, ἀνέβη ἡ νεφέλη ἀπὸ
ιβ. τῆς σκηνῆς τοῦ μαρτυρίου. Καὶ ἐξῆ-
ραν οἱ υἱοὶ Ἰσραὴλ σὺν ἀπαρτίαις
αὐτῶν ἐν τῇ ἐρήμῳ Σινᾶ. καὶ ἔςη ἡ
ιγ. νεφέλη ἐν τῇ ἐρήμῳ τοῦ Φαράν. Καὶ
ἐξῆραν πρῶτοι διὰ φωνῆς Κυρίου ἐν
ιδ. χειρὶ Μωϋσῆ. Καὶ ἐξῆραν τάγμα
παρεμβολῆς τῶν υἱῶν Ἰούδα πρῶτοι
σὺν δυνάμει αὐτῶν· καὶ ἐπὶ τῆς δυ-
νάμεως αὐτῶν, Ναασσὼν υἱὸς Ἀμι-
ιε.ναδάβ. Καὶ ἐπὶ τῆς δυνάμεως φυ-
λῆς υἱῶν Ἰσσάχαρ, Ναθαναὴλ υἱὸς
Γ ις. Σωγάρ. Καὶ ἐπὶ τῆς δυνάμεως
φυλῆς υἱῶν Ζαβουλὼν, Ἐλιὰβ υἱὸς
Χελών.

ιζ. Καὶ καθελοῦσι τὴν σκηνὴν,
καὶ ἐξαροῦσιν οἱ υἱοὶ Γεδσὼν, καὶ οἱ υἱοὶ
Μεραρὶ αἴροντες τὴν σκηνήν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. *Μεταξὺ δὲ τῶν Λευϊτῶν καὶ τῶν στρατοπέδων ἡ σκηνὴ καὶ τὰ σκεύη, προτρεχόντων, κυκλούντων, ἑπο-*
Ψαλ. 88. 7. *μένων. „μέγας γὰρ ὁ Κύριος καὶ φοβερὸς*
„ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.

ΑΛΛΟΣ. *Τὴν αἰτίαν εἶπε, δι' ἣν προσλαμβάνουσιν (1) οἱ υἱοὶ Γεδσὼν καὶ Μεραρὶ, ἵνα προετοιμάσωσι τοῖς ἁγίοις.*

ιη. Καὶ ἐξῆραν τάγμα παρεμβο-
λῆς Ῥουβὶμ σὺν δυνάμει αὐτῶν· καὶ
ἐπὶ τῆς δυνάμεως αὐτῶν, Ἐλισοὺρ
ιθ. υἱὸς Σεδιούρ. Καὶ ἐπὶ τῆς δυνάμεως
φυλῆς υἱῶν Συμεὼν, Σαλαμιὴλ υἱὸς
κ. Σουρισαδαΐ. Καὶ ἐπὶ τῆς δυνάμεως
φυλῆς υἱῶν Γὰδ, Ἐλισὰφ ὁ τοῦ
Ῥαγουήλ.

κα. Καὶ ἐξαροῦσιν υἱοὶ Καὰθ αἴ-
ροντες τὰ ἅγια· καὶ στήσουσι τὴν σκη-
νὴν ἕως παραγένωνται.

ΑΔΗΛΟΥ. *Ἐπειδὴ πρῶτοι ἔλυσαν τὴν σκηνὴν οἱ υἱοὶ Γεδσὼν καὶ οἱ υἱοὶ Μεραρὶ, βαςάσαντες προεπορεύθησαν· οἱ δὲ υἱοὶ Καὰθ ὑςέρησαν ἐν τῇ πορείᾳ, ἀναμείναντες ἕως οὗ τὰ ἱερὰ συςείλωσι σκεύη· ἔςησαν τοὺς προοδεύσαντας, ἵνα ἅμα πάντες ζεύξαντες, ἅμα καὶ τὴν πορείαν ποιήσωνται.*

κβ. Καὶ ἐξαροῦσι τάγμα παρεμ-
βολῆς Ἐφραὶμ, σὺν δυνάμει αὐ-
τῶν· καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν,
κγ. Ἐλισαμᾶ υἱὸς Ἐμιούδ. Καὶ ἐπὶ τῆς
δυνάμεως φυλῆς υἱῶν Μανασσῆ, Γα-
κδ. μαλιὴλ ὁ τοῦ Φαδασσούρ. Καὶ ἐπὶ
τῆς δυνάμεως φυλῆς υἱῶν Βενιαμὶν,
κε. Ἀβιδὰν υἱὸς Γεδεωνί. Καὶ ἐξαροῦσι
τάγμα παρεμβολῆς υἱῶν Δὰν, ἔσχα-
τοι πασῶν τῶν παρεμβολῶν, σὺν
δυνάμει αὐτῶν· καὶ ἐπὶ τῆς δυνά-
μεως αὐτῶν, Ἀχιέζερ ὁ τοῦ Μισαδαΐ.
κς. Καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν
κζ. Ἀσὴρ, Φαγαιὴλ υἱὸς Ἐχράν. Καὶ
ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Νεφ-
κη. θαλεὶμ, Ἀχιρὲ υἱὸς Αἰνάν. Αὗται
αἱ στρατιαὶ υἱῶν Ἰσραήλ· καὶ ἐξῆραν
σὺν δυνάμει αὐτῶν.

κθ. Καὶ εἶπε Μωϋσῆς τῷ Ὀβὰβ
υἱῷ Ῥαγουὴλ τῷ Μαδιανίτῃ γαμβρῷ
Μωϋσῆ, ἐξαίρομεν ἡμεῖς εἰς τὸν τό-
πον ὃν εἶπε Κύριος, τοῦτον δώσω ὑμῖν.
Γ δεῦρο μεθ' ἡμῶν, καὶ εὖ σε ποιήσομεν,
ὅτι Κύριος ἐλάλησε καλὰ περὶ Ἰσ-
λ. ραήλ. Καὶ εἶπε πρὸς αὐτὸν, οὐ πο-
ρεύσομαι, ἀλλ' εἰς τὴν γῆν μου, καὶ
εἰς τὴν γενεάν μου.

ΘΕΟΔΩΡΙΤΟΥ. *Διατί τὸν κηδεςὴν ὁ θεῖος Μωϋσῆς Ἰοθὼρ ὀνομάσας ἐν τῇ Ἐξόδῳ, (2) νῦν αὐτὸν ἐκάλεσε Ῥαγουήλ; Διώνυμος ἦν, ὡς Ἰακὼβ καὶ Ἰσραὴλ, ὡς Σί-*
Δ *μων Πέτρος. ὡς Θωμᾶς ὁ λεγόμενος Δίδυμος, ὡς Θαδδαῖος ὁ καὶ Λεββαῖος. τούτου υἱὸς ἦν ὁ Ὀβάβ.*

ΑΔΗΛΟΥ. *Δῆλον ἐντεῦθεν, ὅτι τοῦ Ἰοθὼρ ὑποςρέψαντος μετὰ τῶν τέκνων καὶ τῆς γυναικὸς τοῦ Μωϋσῆ, ὡς ἐν τῇ Ἐξόδῳ (3) ἔχει, οὗτος ὁ Ὀβὰβ γυναικάδελφος Μωϋσῆ ἔμεινε σὺν αὐτῷ μέχρι τοῦ νῦν, καὶ μᾶλλον συνῆλθεν αὐτοῖς εἰς τὴν γῆν τῆς ἐπαγγελίας. οὐδαμοῦ γὰρ λέγει ὅτι ἀπέςρεψε.*

E ✱✱ ΠΡΟΚΟΠΙΟΥ. *Δεῖ νοεῖν, ὡς Ἰοθὼρ τοῦ καὶ Ῥαγουὴλ ἀποςρέψαντος, οὗτος γυναικάδελφος ὢν αὐτοῦ, μέχρι νῦν αὐτῷ συνέμεινε. νῦν δὲ, ὡς εἰκὸς, τοῦ πατρὸς αὐτῷ τελευτήσαντος, ὥρμησεν ἀπελθεῖν, τὴν ἱερωσύνην κατέχειν τὴν πατρῴαν βουλόμενος. ὁ δὲ καταςχεῖν ἐπειρᾶτο ἐλπίδι τῶν αὐτοῖς ἐσομένων καλῶν.*

λα. Καὶ εἶπε, μὴ ἐγκαταλείπῃς
Z ἡμᾶς, οὗ ἕνεκεν ἦσθα μεθ' ἡμῶν ἐν τῇ
ἐρήμῳ, καὶ ἔσῃ ἐν ἡμῖν πρεσβύτης.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. *Φησὶ μὴ δεῖν ἀπολιπεῖν αὐτοὺς, ἐπεὶ κατέμαθε τὰς ςρατοπεδεύσεις αὐτῶν τὰς ἐν τῇ ἐρήμῳ· καὶ ἔσεσθαι ἐν αὐτοῖς πρὸ ὀφθαλμῶν, ὡς δυνάμενον προτετάχθαι καὶ καθηγεῖσθαι διὰ τὴν ἐμπειρίαν. καὶ ὡς ἔοικεν ἐπείσθη. οὐδαμοῦ γὰρ λέγει ὡς ἀπέςρεψε.*

H λβ. Καὶ ἔςαι ἐὰν πορευθῇς μεθ'
ἡμῶν, καὶ ἔςαι τὰ ἀγαθὰ ἐκεῖνα
ὅσα

(1) Προλαμβάνουσιν, ἀνάγν. (2) Ἐν κεφ. 3, 4, καὶ 18. (3) Ἐν κεφ. 18.

ὅσα ἐὰν ἀγαθοποιήσῃ Κύριος ἡμᾶς, καὶ εὖ σε ποιήσομεν.

λγ. Καὶ ἐξῆραν ἐκ τοῦ ὄρους Κυρίου ὁδὸν τριῶν ἡμερῶν. καὶ ἡ κιβωτὸς τῆς διαθήκης Κυρίου προεπορεύετο προτέρα αὐτῶν ὁδὸν τριῶν ἡμερῶν κατασκέψασθαι αὐτοῖς ἀνάπαυσιν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Χρησίμως μὲν καὶ τοῖς τότε, ἵν' εἰδεῖεν Θεὸν ἔχοντες ἡγεμόνα· μυστικῶς δὲ εἰς Χριστὸν, ὅτι προαπῆλθεν ἡμῶν τὰς τρεῖς ἡμέρας εἰς ἀνάπαυσιν, καθηγούμενος τοῖς ἐξ ᾅδου πρὸς οὐράνιον ἀνάπαυσιν ἑπομένοις.

λε. (1) Καὶ ἐγένετο ἐν τῷ ἐξαίρειν τὴν κιβωτὸν, καὶ εἶπε Μωϋσῆς,
ἐξεγέρθητι Κύριε, καὶ διασκορπι-
σθήτωσαν οἱ ἐχθροί σου, φυγέτωσαν
λϛ. πάντες οἱ μισοῦντές σε. Καὶ ἐν τῇ
καταπαύσει εἶπεν, ἐπίστρεφε Κύριε
εἰς χιλιάδας καὶ μυριάδας ἐν τῷ Ἰσ-
ραήλ.

** ΚΥΡΙΛΛΟΥ. Ὅτε ἐγήγερται πρὸς ἐπικουρίαν ἡμῶν ὁ μονογενὴς, καὶ ὁ πάλαι
Ψαλ. 11. 5. „ λέγων διὰ τῆς τοῦ ψάλλοντος φωνῆς· ἀπὸ
„ τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ
„ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι,
λέγει Κύριος· τότε πεπτώκασιν οἱ ἐχθροὶ, καὶ πεφεύγασιν οἱ ἀνθεστηκότες, καὶ τῇ θείᾳ δόξῃ μαχόμενοι. τεθριάμβευκε γὰρ
Κολ. 2. 15. „ ἐν τῷ σταυρῷ ἀρχάς τε καὶ ἐξουσίας, καὶ

A κατήργηκεν ἀποθανὼν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, κατὰ τὸ γεγραμμένον. καταπαύσας δὲ ὥσπερ καὶ εἰς τέλος ἐνεγκὼν τὴν ὅλην οἰκονομίαν διὰ τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν καὶ πορείας τῆς εἰς τὸ ἄνω πρὸς τὸν πατέρα, πᾶσαν ἐπέστρεψε τὴν γῆν, καὶ χιλίας μυριάδας τοὺς ἰδίους ἐποιεῖ-
„ το προσκυνητάς. ὅταν γὰρ, ἔφασκεν, Ἰωάν. 12. 32.
„ ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς
„ ἐμαυτόν.

B ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοὺς τοῦ λαοῦ λέγων ἐχθροὺς τοῦ Θεοῦ· ἐχθροὺς καὶ μισοῦντας Θεὸν λέγων τοὺς μισοῦντας αὐτὸν τὸν λαόν. διὸ καὶ ἡμᾶς ἐχθροὺς εἶναι δεῖ τῶν ἀσεβούντων, καὶ μισεῖν αὐτοὺς, καθ' ὃ εἰσιν ἀσεβεῖς. καὶ πάλιν ἐν τῷ καταπαύειν τὴν πορείαν, τὴν παρουσίαν αἰτεῖ τοῦ Κυρίου·
„ ἀνάστρεψον Κύριε εἰς χιλιάδας· ὡς ἐπανιούσης τῆς κιβωτοῦ πρὸς τὸ ἱδρυνθῆναι τὸν λαόν· ἐναργῆ ποιῶν τῷ λαῷ τὴν τοῦ Θεοῦ
Γ συνουσίαν, καὶ οἱονεὶ συνοδοιπόρον αὐτοῖς διδοὺς τὸν Θεόν.

λδ. Καὶ ἡ νεφέλη ἐγένετο σκιάζουσα ἐπ' αὐτοῖς ἡμέρας, ἐν τῷ ἐξαίρειν αὐτοὺς ἐκ τῆς παρεμβολῆς.

** ΚΥΡΙΛΛΟΥ. Ἡ Μωσέως εὐχὴ, τύπος ἂν εἴη τῆς μεσιτείας Χριστοῦ, κατά γε τὸ σχῆμα τὸ ἀνθρώπινον, εὐχομένου τε καὶ ἐξαιτοῦντος ἡμῖν τὰ κάλλιστα παρὰ τοῦ Θεοῦ
Δ καὶ πατρός. Καὶ μετ' ὀλίγα. Αὐτὸν ἔχομεν σκεπαστὴν, ὡς ἐν τῇ νεφέλῃ τῇ κατασκιαζούσῃ νοούμενον.

ΚΕΦ. ΙΑ.

α. Καὶ ἦν ὁ λαὸς γογγύζων πονηρὰ ἔναντι Κυρίου. καὶ ἤκουσε Κύριος, καὶ ἐθυμώθη ὀργῇ. καὶ ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ Κυρίου, καὶ κατέφαγε μέρος τι τῆς παρεμβολῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίς ἦν ὁ τοῦ λαοῦ γογγυσμός; Τὸν τῆς ὁδοιπορίας ἐδυσχέραινον πόνον.

ΤΟΥ ΑΥΤΟΥ. Τίνος ἕνεκεν ἁμαρτάνουσιν εὐθὺς ἐπάγει τὰς τιμωρίας; Ἀρχὴν εἶχεν ὁ νόμος. ἔδει τοίνυν τῇ τῶν παραβαινόντων τιμωρίᾳ σωφρονίζεσθαι τοὺς λοιπούς. ἁρμόδιος γὰρ τοῖς ἀρχομένοις ὁ φόβος. συνέζευκτο μέντοι τῇ τιμωρίᾳ φιλανθρωπία. μεταμελόμενοι γὰρ, εὐμενείας ἀπήλαυον. αὐτίκα γοῦν τοῦ θεηλάτου πυρὸς μέρος τι τῆς παρεμβολῆς ἀναλώσαντος, εἶτα πάντων συνδεδραμηκότων εἰς δέησιν, ᾔτησε μὲν μόνον ὁ νομοθέτης τὴν ἄφεσιν, παρέσχε δὲ ταύτην ὁ φιλάνθρωπος Κύριος. ὅτι δὲ αὐτοῖς ἀναγκαίως αἱ τιμωρίαι προσήγοντο, τὰ ἑξῆς μαρτυρεῖ. εὐθὺς γὰρ μετὰ τὴν παῦλαν τῆς τι-

μωρίας, τῆς Αἰγύπτου τὴν μνήμην ἀνενεώσαντο, καὶ τῶν κρομμύων, καὶ τῶν σκορόδων, [καὶ τῶν ἄλλων,] ὧν τὴν ἐπιθυ-
E μίαν τῆς γαστριμαργίας τὸ πάθος ἐπύρσευσε. μάλα τοίνυν εἰκότως τῇ ἐκείνων ἀχαριστίᾳ τὴν θείαν συνῆψε φιλοτιμίαν ὁ συγγραφεὺς, τὰ περὶ τοῦ μάννα διηγησάμενος, καὶ ὅτι οὐ μόνον ἄρτου χρείαν, ἀλλὰ
„ καὶ ὄψου ἐπλήρου. ἤλεθον γὰρ αὐτὸ, φησὶν,
„ ἐν τῷ μύλῳ, καὶ ἔτριβον ἐν τῇ θυΐᾳ, καὶ
„ ἧψουν ἐν τῇ χύτρᾳ, καὶ ἐποίουν ἐγκρυφίας.
ἐκείνων δὲ ὀλοφυρομένων, χαλεπαίνει μὲν ὁ δε[illegible]ότης Θεὸς. δυσχεραίνει δὲ ὁ Προφή-
Z „ της, καὶ βοᾷ λέγων· διατὶ ἐκάκωσας τὸν
„ θεράποντά σου, καὶ διατὶ οὐχ εὕρηκα χάριν
„ ἐναντίον σου, ἐπιθεῖναί μοι τὴν ὁρμὴν τοῦ λαοῦ
„ τούτου ἐπ' ἐμέ; μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον
„ πάντα τὸν λαὸν τοῦτον, ἢ ἐγὼ ἔτεκον αὐ-
„ τόν; ὅτι λέγεις μοι, ὅτι λάβε αὐτὸν εἰς
„ τὸν κόλπον σου, ὡσεὶ λάβοι τιθηνὸς τὸν
„ θηλάζοντα, εἰς τὴν γῆν ἣν ὤμοσας τοῖς
„ πατράσιν αὐτῶν;

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐδὲ γὰρ ἐπίλεκτοι
H πάσχουσιν, ἀλλὰ μέρος τι τῆς παρεμβολῆς· οὐ κρίσει διαιρούσῃ, ἀλλὰ τῇ τοῦ συμφέρον-

(1) Τὸ μετὰ τὸ 33 ἐδ. ἐπιγραφὴ 35. διὰ τὸ οὕτω τετάχθαι ἐν τῇ ἐν Φραν. ἐκδόσ. καὶ ἐν αὐτῇ δὲ οὕτω τέτακται, διὰ τὸ ἔν τισιν ἐκδόσ. τὸ ἔσχατον μετὰ τὸ 33. κεῖσθαι.

τος οἰκονομίᾳ, μικρᾶς ζημίας μεῖζον κέρδος ποιήσῃς. ὀλίγους γὰρ ἔδει παθεῖν ὑπὲρ τῶν πολλῶν.

β. Καὶ ἔκραξεν ὁ λαὸς πρὸς Μωϋσῆν. καὶ ηὔξατο Μωϋσῆς πρὸς Κύριον, καὶ ἐκόπασε τὸ πῦρ.

** ΠΡΟΚΟΠΙΟΥ. Εὐχῇ παύεται τὸ πῦρ· ἵνα γνῶσιν, ὅτι χάρις αὐτοῖς, οὐ κατ' ἀξίαν ἡ σωτηρία.

γ. Καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Ἐμπυρισμός· ὅτι ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ Κυρίου.

δ. Καὶ ὁ ἐπίμικτος ὁ ἐν αὐτοῖς ἐπεθύμησεν ἐπιθυμίαν· καὶ καθίσαντες ἔκλαιον καὶ οἱ υἱοὶ Ἰσραὴλ, καὶ
ε. εἶπαν, τίς ἡμᾶς ψωμιεῖ κρέας; Ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεὰν, καὶ τοὺς σικύους, καὶ τοὺς πέπονας, καὶ τὰ πράσα, καὶ τὰ κρόμμυα, καὶ τὰ σκόροδα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τῷ Μωϋσῇ διπλῆν ἐν ἅπασι τὴν ἀθυμίαν εἶναι συνέβαινε, τοῦτε ἐκείνους ἀπόλλυσθαι, καὶ τῷ τοὺς ὑπολειπομένους ἀδιορθώτους μένειν, καὶ μηδὲν ἐκ τῆς ἐκείνων κερδαίνειν συμφορᾶς. οὔπω γὰρ τέλος εἶχεν ἐκεῖνος ὁ θάνατος, καὶ οἱ περιλειφθέντες τῶν κρομμύων ἐμέμνηντο, καὶ τοῖς παροῦσιν ἐδυσχέραινον.

ς. Νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος. οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡμῶν.

ΩΡΙΓΕΝΟΥΣ. Μὰν ὠνομάσθη ἀπὸ τοῦ τοὺς Ἑβραίους πρώτους θέαμα ξένον ὁρῶντας εἰπεῖν πρὸς ἀλλήλους τῇ πατρίῳ γλώττῃ, μὰν, τουτέστι τί τοῦτο; ὅπερ οὐκ ἂν εἶπον, εἰ ἔθος ἦν, ὥς τινες τῶν ἐθνικῶν φασὶ, τὴν φύσιν τῶν τόπων ἀπ' αἰῶνος [τὰ τοιαῦτα φέρειν.] καὶ νῦν δὲ εἰ καταβαίνει μνήμης ἕνεκα μικρόν τι.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Αἰτιῶνται τὴν μονοειδῆ τροφὴν τοῦ μάννα, κατάξηρον ἔχειν λέγοντες τὴν ψυχὴν, καίτοι καὶ τὸ πολυειδὲς ἔχοντες ἐν τῷ ἑνί· ὁπότε καὶ ὡς σῖτος ἠλεῖτο, καὶ ὡς ὑπότριμμα ἐτρίβετο, καὶ ὡς ἕψημα ἥψετο, ἄρτος ἅμα καὶ ὄψον γενόμενον· ἐν εἰκόνι τοῦ νοεροῦ βρώματος ἑνὸς ὄντος, καὶ τῇ δυνάμει πολυειδοῦς· ὅτι καὶ πολλῶν διαιρέσεις χαρισμάτων ἐν τῷ πνεύματι· καὶ ἓν ὂν τὸ πνεῦμα, πολλὰ πνεύματα λέγεται.

ζ. Τὸ δὲ μάννα ὡσεὶ σπέρμα κορίου ἐστὶ, καὶ τὸ εἶδος αὐτοῦ ὡσεὶ εἶδος κρυστάλλου.

ΑΔΗΛΟΥ. Τὸ δὲ ὡσεὶ σπέρμα κορίου, οἱ λοιποὶ, βδελλίου γεγράφασι.

η. Καὶ διεπορεύετο ὁ λαὸς, καὶ συνέλεγον, καὶ ἤληθον αὐτὸ ἐν τῷ

A μύλῳ, καὶ ἔτριβον ἐν τῇ θυΐᾳ, καὶ ἥψουν αὐτὸ ἐν τῇ χύτρᾳ, καὶ ἐποίουν αὐτὸ ἐγκρυφίας. καὶ ἦν ἡ ἡδονὴ αὐτοῦ ὡσεὶ γεῦμα ἐγκρὶς ἐξ ἐλαίου.

Ἐξ ἐλαίου. Ἄλλος φησὶν, ἐκ μέλιτος. Ἀκύλας καὶ Σύμμαχος, μαστοῦ ἔλαιον, μαστοῦ εἰς λίπος.

θ. Καὶ ὅταν κατέβη δρόσος ἐπὶ
B τὴν παρεμβολὴν νυκτὸς, κατέβαινε τὸ μάννα ἐπ' αὐτῆς.

ι. Καὶ ἤκουσε Μωσῆς κλαιόντων αὐτῶν κατὰ δήμους αὐτῶν, ἕκαστος ἐπὶ τῆς θύρας αὐτοῦ. καὶ ἐθυμώθη ὀργῇ Κύριος σφόδρα· καὶ ἔναντι Μωϋσῇ ἦν πονηρόν.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐ πάθος τὸ, ἐθυ-
Γ» μώθη· οὐ γὰρ ἂν μετὰ τὴν δόσιν, ἅμα δὲ τῇ αἰτήσει τὸν θυμὸν ἐπεδείξατο. τὸ δὲ τῆς κολάσεως δίκαιον οὕτως ἐκάλεσε· μήτε τὴν βουλὴν ἀναμεινάντων Θεοῦ, τοσαύτην τε δειξάντων σπουδὴν, ὡς καὶ ταριχεῦσαι, καίτοι κελευσθέντας μηδὲ τὸ μάννα θησαυρίζειν. ἀλλὰ τοῦτο μὲν ᾤοντο διηνεκὲς, ἐκεῖνο δὲ πρόσκαιρον, μὴ ἀκολουθοῦντες Θεῷ, κἂν εἰ χρόνῳ τινὶ τὴν δόσιν ἐπιμετρήσειε.

Δ» ΚΥΡΙΛΛΟΥ. [Καὶ ἔναντι Μωϋσῇ ἦν πονηρόν.] ἕπεται γὰρ ταῖς τοῦ Θεοῦ ψήφοις τῶν ἁγίων ὁ νοῦς.

ια. Καὶ εἶπε Μωϋσῆς πρὸς Κύριον, ἵνα τί ἐκάκωσας τὸν θεράποντά σου, καὶ διατί οὐχ εὕρηκα χάριν ἐναντίον σου, ἐπιθεῖναι τὴν ὀργὴν τοῦ λαοῦ τούτου ἐπ' ἐμέ;

E ιβ. Μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον τὸν πάντα λαὸν τοῦτον, ἢ ἐγὼ ἔτεκον αὐτούς; ὅτι λέγεις μοι, λάβε αὐτοὺς εἰς τὸν κόλπον σου, ὡσεὶ ἄραι τιθηνὸς τὸν θηλάζοντα, εἰς τὴν γῆν ἣν ὤμοσας τοῖς πατράσιν αὐτῶν;

ΘΕΟΔΩΡΙΤΟΥ. Δεδήλωκε δὲ διὰ τούτων τὸ ἀτελὲς αὐτῶν καὶ νηπιῶδες. θηλάζοντι γὰρ αὐτοὺς ἀπείκασεν, ἄλλο μὲν
Z οὐδὲν ἐργάσασθαι δυναμένῳ, ἐκμυζᾶν δὲ μόνον βουλομένῳ τὸ γάλα. ἐπειδὴ δὲ σφόδρα ἦν τὰ ῥήματα δυσχεραίνοντος· καὶ τὰ ἑξῆς γὰρ τοῦτον ἔχει τὸν νοῦν· διδάσκεται παρὰ τοῦ δεσπότου Θεοῦ, ὡς οὐκ ἀνθρωπίνῃ δυνάμει, θείᾳ δὲ χάριτι τὸν λαὸν κυβερ-
» νᾷ. ἔφη γὰρ πρὸς αὐτόν· συνάγαγέ μοι
» ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέ-
» ρων Ἰσραὴλ, οὓς αὐτὸς οἶδας, ὅτι οὗτοί εἰσι
» πρεσβύτεροι τοῦ λαοῦ καὶ γραμματεῖς αὐ-
H» τῶν· καὶ ἄξεις αὐτοὺς εἰς τὴν σκηνὴν τοῦ
» μαρτυρίου, καὶ στήσονται ἐκεῖ μετὰ σοῦ.
» καὶ καταβήσομαι, καὶ λαλήσω ἐκεῖ μετὰ
» σοῦ. καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ
» σοὶ, καὶ ἐπιθήσω ἐπ' αὐτούς· καὶ συναντι-
λήψονται

» λήψονται μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ τού-
» του, καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος.

ιγ. Πόθεν μοι κρέας δοῦναι παντὶ τῷ λαῷ τούτῳ; ὅτι κλαίουσιν ἐπ' ἐμὲ, λέγοντες, δὸς ἡμῖν κρέας, ἵνα φά-
ιδ. γωμεν. Οὐ δυνήσομαι ἐγὼ μόνος φέρειν τὸν λαὸν τοῦτον, ὅτι βαρύ μοι ἐστὶ τὸ ῥῆμα τοῦτο.

ιε. Εἰ δ' οὕτω σὺ ποιεῖς μοι, ἀπόκτεινόν με ἀναιρέσει, εἰ εὕρηκα ἔλεος παρὰ σοὶ, ἵνα μὴ ἴδω τὴν κάκωσίν μου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ταῦτα ἐκεῖνος ἐφθέγξατο ὁ εἰπών· (Ἐξόδ. 32. 32.) καὶ νῦν εἰ μὲν ἀφεὶς » αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, » ἐξάλειψόν με ἐκ τῆς βίβλου, ἧς ἔγραψας. οὕτως αὐτὸν ἡ ἀθυμία περιέτρεψεν. ὅπερ πάσχουσι καὶ γονεῖς πολλάκις, δυσαναχετοῦντες τοῖς γινομένοις ὑπὸ τῶν παιδίων. ὅτι γὰρ καὶ μετὰ τὰ ῥήματα ταῦτα οὐκ ἐπαύσατο τῆς συμπαθείας τῆς πρὸς αὐτοὺς, ἐξ ὧν μετὰ ταῦτα ἐποίησε, δῆλον ἡμῖν.

ις. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραὴλ, οὓς σὺ αὐτὸς οἶδας, ὅτι αὐτοί εἰσι πρεσβύτεροι τοῦ λαοῦ καὶ γραμματεῖς αὐτῶν· καὶ ἄξεις αὐτοὺς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ στήσονται ἐκεῖ μετὰ σοῦ.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐντεῦθεν ἡ τῶν ἑβδομήκοντα πρεσβυτέρων ἐκλογὴ κατ' ἐμπειρίαν (1) τὴν Μωσέως. ἵνα μὴ ἴσην αὐτῷ τὴν κατάστασιν ἔχωσιν ὑπὸ Θεοῦ αἱρεθέντες, ἀλλ' ὑπ' ἐκείνου, τῇ περὶ αὐτοὺς ὑπολήψει ὡς τιμιωτέρους ἑλομένου τούτους, ὡς (2) καὶ τῷ Ἀδὰμ τὸ ἡγεμονικὸν σώζων ἐπὶ τοῖς ἀλόγοις ἔδωκε τὴν τῶν ὀνομάτων θέσιν.

ιζ. Καὶ καταβήσομαι, καὶ λαλήσω ἐκεῖ μετὰ σοῦ. καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐν σοὶ, καὶ ἐπιθήσω ἐπ' αὐτούς· καὶ συναντιλήψονται μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ, καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος.

ΑΔΗΛΟΥ. Πνεύματος ἀφαίρεσις, οὐδεμίαν ἐλάττωσιν ποιεῖ. ἔμενε γὰρ ἐν ταυτότητι Μωσῆς.

ΚΥΡΙΛΛΟΥ. Ἀφελεῖν δὲ λέγεται ἀπὸ τοῦ πνεύματος τοῦ ὄντος ἐπὶ Μωσέως, καὶ ἐνεῖναι τοῖς ἐξειλεγμένοις, οὐχ ἑτέρου χάριν, ἢ ἵνα πιστεύωμεν, ὅτι ἐν τῷ ἑνὶ καὶ ἁγίῳ πνεύματι τούς τε πρὸ ἡμῶν ἁγίους καὶ ἡμᾶς αὐτοὺς ἁγιάζει Θεός. ὡς γὰρ εἷς ἐστιν ὁ πατὴρ, εἷς ὁ υἱὸς, οὕτω καὶ ἓν τὸ πνεῦμα τὸ ἅγιον, τό, τε ἐν Προφήταις καὶ ἐν ἡμῖν.

ΘΕΟΔΩΡΙΤΟΥ. Μεμάθηκε δὲ διὰ τουτωνὶ τῶν λόγων ὁ νομοθέτης, ὡς ἀποχρῶσαν ἔλαβε τῇ οἰκονομίᾳ τὴν χάριν. διὰ

A » τοῦτο εἶπεν· ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ » ἐπὶ σοί. οὐ γὰρ ἀπανίζων ἑτέρας δυνάμεως ἢ χάριτος τοῦτο ἔφη, ἀλλ' ἐκεῖνον διδάσκων ὡς εἴληφεν δύναμιν ἀρκοῦσαν τῇ χρείᾳ. ὅτι δὲ καὶ τοῖς ἑβδομήκοντα δοὺς, οὐκ ἐμείωσε τούτου τὴν χάριν, τὰ πράγματα μαρτυρεῖ. τὰ αὐτὰ γὰρ καὶ οἰκονομῶν, καὶ θαυματουργῶν διετέλει, ἃ καὶ πρότερον ἀπετέλει. ὥσπερ γὰρ ἐκ μιᾶς θρυαλλίδος μυρίας ἐξάπτων τις, οὔτε ταύτην μειοῖ, κἀκείναις με- B ταδίδωσι τοῦ φωτός· οὕτως ὁ τῶν ὅλων Θεὸς τῆς τούτου χάριτος τοῖς ἑβδομήκοντα μεταδοὺς, τὴν τούτῳ δοθεῖσαν οὐκ ἠλάττωσε χάριν. τοῦτο καὶ νῦν ὁρῶμεν γινόμενον. πολλαὶ γὰρ ἀνθρώπων μυριάδες ὑπὸ τοῦ ἑνὸς ἱερέως βαπτιζόμεναι, καὶ τὴν θείαν δεχόμεναι δωρεὰν, οὐ σμικρύνουσι τοῦ ἱερέως τὴν χάριν· καὶ πάμπολλοι παρὰ τῶν ἀρχιερέων χειροτονούμενοι, καὶ τὴν ἱερατικὴν ἀξίαν δεχόμενοι, τοῦ χειροτονοῦντος οὐκ Γ ἐλαττοῦσι τὴν δωρεάν. μεμαρτύρηκε μέντοι ὁ δεσπότης τῇ τοῦ θεράποντος ψήφῳ. ἔφη » γὰρ αὐτῷ, ἔκλεξαι οὓς αὐτὸς οἶδας.

ιη. Καὶ τῷ λαῷ ἐρεῖς, ἁγνίσασθε εἰς αὔριον, καὶ φάγεσθε κρέας· ὅτι ἐκλαύσατε ἐναντίον Κυρίου, λέγοντες, τίς ἡμᾶς ψωμιεῖ κρέας; ὅτι καλὸν ἡμῖν ἐστιν ἐν Αἰγύπτῳ. καὶ δώσει Κύριος ὑμῖν κρέας φαγεῖν, καὶ φά- Δ γεσθε κρέας.

» ΑΔΗΛΟΥ. Καθά φησιν Ἱερεμίας, ἅγνι- (Ἱερ. 12. 3.) » σον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἡγνίζοντο δὲ πρὶν φάγωσιν. ἱερὰ γὰρ παρὰ Θεοῦ καὶ ἡ κρεοδοσία, καὶ καθαρῶν δεῖται τῶν ἐσθιόντων. ὅτι δὲ οὐκ ἀναγκαία ἡ βρῶσις, ἐπάγει· ὅτι » ἐκλαύσατε ἔναντι Κυρίου. διὰ γὰρ τὸ κλαῦσαι τὰ κρέα δίδωσιν, οὐ διὰ χρείαν.

E ιθ. Οὐχ ἡμέραν μίαν φάγεσθε,
οὐδὲ δύο, οὐδὲ πέντε ἡμέρας, οὐδὲ δέ-
κ. κα ἡμέρας, οὐδὲ εἴκοσι ἡμέρας, Ἕως μηνὸς ἡμερῶν φάγεσθε, ἕως ἂν ἐξέλθῃ ἐκ τῶν μυκτήρων ὑμῶν· καὶ ἔσται ὑμῖν εἰς χολέραν, ὅτι ἠπειθήσατε Κυρίῳ, ὅς ἐστιν ἐν ὑμῖν, καὶ ἐκλαύσατε ἐναντίον αὐτοῦ, λέγοντες, ἵνα τί ἡμῖν Z ἐξελθεῖν ἐξ Αἰγύπτου;

** ΩΡΙΓΕΝΟΥΣ. Ὁ φιλάνθρωπος καὶ ἀγαθὸς Θεὸς διδοὺς αὐτοῖς τὸ ἐπιθυμούμενον, οὐχ οὕτως ἐβούλετο διδόναι, ὥστε καταλιπέσθαι ἐν αὐτοῖς ἐπιθυμίαν. διόπερ » φησὶ, μὴ μίαν ἡμέραν φάγεσθαι αὐτοὺς κρέα· ἔμενε γὰρ ἂν τὸ πάθος αὐτῶν ἐν τῇ ψυχῇ πεπορωμένη καὶ φλεγομένη ὑπ' αὐτοῦ, εἰ ἐπ' ὀλίγον τῶν κρεῶν μετειλήφεσαν. ἀλλ' οὐδὲ ἐπὶ δύο. δίδωσιν αὐτοῖς τὸ H ἐπιθυμούμενον ἡμέρας. βουλόμενος δὲ αὐτὸ προσκορὲς αὐτοῖς ποιῆσαι, οἱονεὶ οὐκ ἐπαγγέλλεται, ἀλλὰ τῷ συνιέναι δυναμένῳ ἀπειλεῖ

(1) Διὰ Μωϋσέως. ὁ τῆς Αὐγ. κώδ.

(2) Οὕτω καὶ τῷ Ἀδάμ. ὁ αὐτ.

λεῖ δι' ὧν χαρίζεσθαι αὐτοῖς ἐδόκει, λέγων· οὐδὲ πέντε μόνας ποιήσετε ἡμέρας ἐσθίοντες τὰ κρέα, οὐδὲ τὰς τούτων διπλασίους, οὐδὲ ἔτι τὰς ἐκείνων διπλασίους· ἀλλ' ἐπὶ τοσοῦτον φάγεσθε, ἐφ' ὅλον κρεωφαγοῦντες μῆνα, ἕως ἐξέλθῃ ἐκ τῶν μυκτήρων μετὰ χολερικοῦ πάθους τὸ νενομισμένον ὑμῖν καλόν, καὶ ἡ περὶ αὐτὸ ψεκτὴ καὶ αἰσχρὰ ἐπιθυμία· ἵν' ὑμᾶς ἀπαλλάξω τοῦ βίου μηκέτι ἐπιθυμοῦντας.

** ΚΥΡΙΛΛΟΥ. Ἐδίδου καὶ τότε τὸ σαρκοφαγεῖν οὐκ εἰς μίαν, οὐδὲ εἰς δέκα τυχόν, ἀλλ' εἰς ἡμέρας τριάκοντα, δι' οὗ σημαίνεται τῆς ἐπ' αὐτοὺς ὀργῆς ἡ παράτασις. ἐφίησι δὲ καὶ νῦν τοῖς ἀσχέτως ἀπονενευκόσιν εἰς κοσμικὰς ἡδονὰς τὸ καὶ μετασχεῖν, εἰ ἕλοιντο, τῶν σαρκικῶν, καὶ εἰς χρόνους ἐσθ' ὅτε μακρούς. οὕτω γὰρ λέ-
'Ρωμ. 1. 28. γεται παραδοῦναί τινας εἰς ἀδόκιμον νοῦν,
» ποιεῖν τὰ μὴ καθήκοντα. ἀλλ' ἐκείνοις γέγονεν εἰς χολέραν ἡ βρῶσις, καὶ τοῖς ἀγαπῶσι τὰ σαρκικὰ καὶ προτιμῶσι τοῦ μάννα τοῦ νοητοῦ, ὅ ἐστι ῥῆμα Θεοῦ, τὰ φθαρτὰ καὶ ἐπίγεια, καταλήξει πρὸς θάνατον τὸ ἐγχείρημα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Προσκορὲς αὐτοῖς ποιεῖ τὸ ἔδεσμα τῷ πλήθει, καὶ τῷ διηνεκεῖ. » τὸ δὲ, εἰς χολέραν, ἀπεψίαν, ὡς ἕτερος ἑρμηνεύει, ἀποστρέφει τῆς ἡδονῆς τὸ πολὺ τῶν κρεῶν· οὕτω καὶ τὸ ἐπὶ πλεῖστον κακοῦ προελθεῖν, βδελυγμὸν τῆς κακίας ποιεῖ.

κα. Καὶ εἶπε Μωϋσῆς, ἑξακόσιαι χιλιάδες πεζῶν ὁ λαὸς, ἐν οἷς εἰμι ἐν αὐτοῖς· καὶ σὺ εἶπας, κρέας δώσω αὐτοῖς φαγεῖν, καὶ φάγονται μῆνα
κβ. ἡμερῶν. Μὴ πρόβατα καὶ βόες σφαγήσονται αὐτοῖς, καὶ ἀρκέσει αὐτοῖς; ἢ πᾶν τὸ ὄψος τῆς θαλάσσης συναχθήσεται αὐτοῖς, καὶ ἀρκέσει αὐτοῖς;

ΑΔΗΛΟΥ. Εἰ γὰρ καὶ ἑξακόσιαι χιλιάδες ὁ λαὸς, καὶ μὴ πρόβατα καὶ βόες, καὶ πᾶν τὸ τῆς θαλάσσης ὄψον, εὔκολος ἡ εὐπορία Θεῷ, τὰ μὴ ὁρώμενα παριστῶντι, καὶ τὰ μὴ ὄντα ποιοῦντι. εἴτε γὰρ συναγαγεῖν ἔδει, εἴτε ποιεῖν, ἑκάτερον εὔκολον.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοῦ Θεοῦ ὑποσχομένου δώσειν κρέας, ὁ Προφήτης ἀμφέβαλλεν; Ἐπειδὴ οὐ μόνον Προφήτης, ἀλλὰ καὶ ἄνθρωπος ἦν. ἐδιδάχθη δὲ παρὰ τοῦ δεσπότου Θεοῦ μὴ ἐνδοιάζειν ὑπισχνουμένου
» Θεοῦ. ἔφη γὰρ πρὸς αὐτόν· μὴ ἡ χεὶρ Κυ-
» ρίου οὐκ ἐξαρκέσῃ; ἤδη γνώσῃ εἰ ἐπικατα-
» λήψεταί σε ὁ λόγος μου, ἢ οὔ. ὑπισχνούμενος
μέντοι δώσειν, τῇ φιλοτιμίᾳ τιμωρίαν συ-
» νῆψεν. εἰπὼν γὰρ, ὅτι ἕως μηνὸς φάγεσθε
» κρέας, ἕως ἂν ἐξέλθῃ ἐκ τῶν μυκτήρων
» ὑμῶν, ἐπήγαγε· καὶ ἔσται ὑμῖν εἰς χολέραν,
ἢ ὡς ὁ Σύμμαχος, εἰς ἀπεψίαν. ἡ γὰρ ἀδηφαγία τὴν νόσον ἐπήγαγε, καὶ πολλοῖς τὸν θάνατον ἡ θεήλατος ὀργή. διὸ καὶ ὁ

Α » θεῖος ἔφη Δαβίδ· ἔτι τῆς βρώσεως οὔσης Ψαλ. 77. 30,
» ἐν τῷ στόματι αὐτῶν, καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέ- 31.
» βη ἐπ' αὐτοὺς, καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν. εἰκότως τοίνυν ὁ πάνσοφος πα-
» ραινεῖ Παῦλος· μὴ ποιεῖσθε τῆς σαρκὸς 'Ρωμ. 13. 14.
» πρόνοιαν εἰς ἐπιθυμίαν.

κγ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, μὴ ἡ χεὶρ τοῦ Κυρίου οὐχὶ ἐξαρκέσῃ; ἤδη γνώσῃ εἰ ἐπικαταλήψε-
Β ταί σε ὁ λόγος μου ἢ οὔ.

** ΠΡΟΚΟΠΙΟΥ. Ὁ Μωϋσῆς ἀπιστεῖ, τὸ πρᾶγμα μόνον ὁρῶν, οὐ τοῦ Θεοῦ τὴν
» δύναμιν. διό φησιν αὐτῷ, μὴ χεὶρ Κυρίου
» οὐκ ἐξαρκέσει; μείζω Μωϋσεῖ τὴν εὐεργεσίαν διδοὺς γνῶσιν, ὡς πάντα δυναμένου Θεοῦ. ὃ καὶ ὁ Χριστὸς ὁ τὴν αὐτὴν ἔχων τῷ πατρὶ δύναμιν ἐπὶ τῶν τραφέντων ἐν ἐρήμῳ πεποίηκε. καὶ μέμφεται τοὺς ἐπὶ τροφὴν, ἀλλ' οὐκ ἐπίγνωσιν ἐλθόντας Θεοῦ.
Γ τοῦτο καὶ νῦν, καὶ Μωϋσῆς καὶ οἱ φαγόντες παιδεύονται. πλὴν ἐνταῦθα μὲν διὰ τὴν ἐπιθυμίαν, ἐλεγκτικῶς· ἐκεῖ δὲ διὰ τὴν παραμονὴν, ἵνα μὴ ἐκλυθῶσι νηστεύοντες. τὰ αὐτὰ δὲ τῷ Μωϋσεῖ καὶ Φίλιππος ἔλεγεν εἰς ἔνδειξιν τῆς θείας δυνάμεώς τε καὶ εὐπορίας ἐν ἀνθρωπίνῃ ἐρωτήσει. πόθεν Ἰωάν. 6. 5.
» ἀγοράσομεν ἄρτους, ἵνα φάγωσιν οὗτοι πάντες; δι' ὧν δὲ ἐπεθύμουν ἐδεσμάτων οἱ πάλαι, δηλοῦται τῆς αὐτῶν ἐπιθυμίας τὸ
Δ γεῶδες, καὶ κάκοσμον, καὶ δριμὺ, καὶ ὑδαρῶς ἐκλελυμένον.

κδ. Καὶ ἐξῆλθε Μωϋσῆς, καὶ ἐλάλησε πρὸς τὸν λαὸν τὰ ῥήματα ταῦτα· καὶ συνήγαγεν ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ ἔστησεν αὐτοὺς κύκλῳ τῆς σκηνῆς.

κε. Καὶ κατέβη Κύριος ἐν νεφέ-
Ε λῃ, καὶ ἐλάλησε Κύριος πρὸς αὐτόν. καὶ παρείλατο ἀπὸ τοῦ πνεύματος τοῦ ἐπ' αὐτῷ, καὶ ἐπέθηκεν ἐπὶ τοὺς ἑβδομήκοντα ἄνδρας τοὺς πρεσβυτέρους.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὅπερ οὐκ ἦν Μωσέως. ἐνεργήματος γὰρ ἰδίου μεταδιδόαμεν· τοῦ δὲ εἰς ἡμᾶς ἐνεργοῦντος οὐ δυνάμεθα μεταδιδόναι.

ΚΥΡΙΛΛΟΥ. Μόνος γὰρ ἡμᾶς ὁ νόμος,
Ζ οὗ εἰς τύπον νοοῖτ' ἂν Μωσῆς, παιδαγωγεῖν οὐχ οἷός τε. ταύτῃ καὶ ἕτεροι χειροτονοῦνται, τὸ ἐλλεῖπον πληρώσοντες· καὶ ὡς ἐν τελείῳ πεφήνασιν ἀριθμῷ, τοῦδε εἴη σημαντικὸν ὁ ἑβδομηκοστὸς ἀριθμός. νοοῖντο δὲ καὶ οἱ μετὰ (1) Μωσέα διὰ Χριστοῦ πρὸς τὸ καθηγεῖσθαι λαῶν παρενηνεγμένοι· ὧν καὶ ἀπαρχαὶ καὶ πατέρες οἱ θεσπέσιοι μαθηταί.

Ὡς δὲ ἀνεπαύσατο ἐπ' αὐτοὺς τὸ
Η πνεῦμα, καὶ ἐπροφήτευσαν, καὶ οὐκ ἔτι προσέθεντο.

ΚΥΡΙΛ-

(1) Καὶ ἕτεροι, καὶ οἱ μετὰ Μωσέα. ὁ Ἀλεξάν. κώδ. Καὶ τίνες δὴ οὗτοι πάλιν; οἱ μετὰ Μωσέα. ἐν Τόμ. 1. μέρ. 1. σελ. 294.

ΚΥΡΙΛΛΟΥ. Σαφῆ τὴν μετουσίαν τοῦ πνεύματος ποιεῖ διὰ τῆς εὐθὺς προφητείας.

» ΩΡΙΓΕΝΟΥΣ. Καὶ οὐκ ἔτι προσέθεντο. Λείπει τοῦ προφητεύειν. οὐκ ἔτι, φησὶ, προεφήτευσαν. εἰσάπαξ γὰρ προφητεύουσιν, ἵνα μὴ ἐξίσου Μωϋσῇ· ἀλλ' ὅσον γνωσθῶσι, ὅτι μετειλήφασι, καὶ πάντες ἅμα προφητεύουσιν. ἐν γὰρ Χριστοῦ (1) τὸ πνεῦμα, καὶ μία διὰ πάντων ἡ ἐνέργεια.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν εὐθὺς μὲν προβληθέντες οἱ ἑβδομήκοντα προεφήτευσαν, μετὰ δὲ ταῦτα οὐκ ἔτι; Ὅτι οὐ προφητείας χάριν, ἀλλ' οἰκονομίας αὐτοὺς προὐβάλετο· τῶν δὲ τοῦ πνεύματος χαρισμάτων καὶ τοῦτο. ὅθεν ὁ μακάριος Παῦλος τοῖς Ἀποστόλοις, καὶ Προφήταις, καὶ τοῖς
1. Κορ. 12. 28. διδασκάλοις, καὶ τοῖς χαρίσμασι τῶν ἰαμάτων, τὰς ἀντιλήψεις καὶ κυβερνήσεις συνέταξε. τούτου οἱ ἑβδομήκοντα τοῦ χαρίσματος ἠξιώθησαν. ἵνα δὲ δῆλοι γένωνται τῷ λαῷ, ὅτι τῆς θείας ἀπήλαυσαν δωρεᾶς, εὐθύς τινα προηγόρευσαν.

κς. Καὶ κατελείφθησαν δύο ἄνδρες ἐν τῇ παρεμβολῇ, ὄνομα τῷ ἑνὶ Ἐλδὰδ, καὶ ὄνομα τῷ δευτέρῳ Μωδάδ· καὶ ἐπανεπαύσατο ἐπ' αὐτοὺς τὸ πνεῦμα· καὶ αὐτοὶ ἦσαν τῶν καταγεγραμμένων, [καὶ οὐκ ἦλθον πρὸς τὴν σκηνήν·] καὶ ἐπροφήτευσαν ἐν τῇ παρεμβολῇ.

ΚΥΡΙΛΛΟΥ. Ἐπιτηρητέον, ὅτι τὸν ἀριθμὸν ἑβδομήκοντα τοὺς ἐξειλεγμένους συναγείρειν ἐκέλευσεν ὁ Θεός. ἀθροίζεται δὲ οὐκ εἰς πλήρες ὁ ἀριθμός. λελοίπασι δὲ δύω, Ἐλδὰδ καὶ Μωδάδ. ὑστερίζοντας δὲ καὶ τούτους ἐνεπίμπλη Θεὸς τοῦ πνεύματος. προεφήτευσαν γὰρ ἐν τῇ παρεμβολῇ.

ΑΛΛΟΣ. Φασὶ τούτους κατὰ ταπεινοφροσύνην ἀπομεῖναι, κρίναντας ἑαυτοὺς ἀναξίους εἶναι τῆς τοιαύτης ἐπιλογῆς. διὸ καὶ ὁ Θεὸς ἐπανεπαύσατο ἐπ' αὐτούς. (2)

ΑΔΗΛΟΥ. Καὶ οἱ μὴ παρόντες προφητεύουσι, καταγραφέντες ὑπὸ Μωσέως, παντὸς τόπου τῷ πνεύματι ἐνόντος, ὡς παντὸς ἀνθρώπου. οὕτως ὑπὲρ τὴν φύσιν τὴν ὑποκειμένην ἡ θεία.

ΑΛΛΟΣ φησὶ, τινὲς λέγουσιν ὑπὲρ τοῦ Ἐλδὰδ καὶ Μωδὰδ, ὅτι ταπεινοφρονοῦντες ἔμειναν ἐν τῷ στρατοπέδῳ, ἀναξίους ἑαυτοὺς τῆς τοιαύτης ἐκλογῆς κρίναντες. διὸ καὶ ὁ Θεὸς αὐτοῖς ἐμαρτύρησε.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐλδὰδ καὶ Μωδὰδ τίποτε προεφήτευσαν, μὴ συναριθμηθέντες τοῖς ἑβδομήκοντα; Εἰκὸς αὐτοὺς ἴσους εἶναι τὴν ἀξίαν τοῖς ἑβδομήκοντα, καὶ τούτου χάριν ἀπολαῦσαι τῆς δωρεᾶς. αἰνίττεται δὲ ὁ λόγος, ὅτι πολλάκις τοὺς ἀδοκίμους παρ' ἀνθρώποις λογιζομένους, δοκίμους οἶδεν ὁ τὰ κεκρυμμένα γινώσκων. οὕτως ἐπὶ τοῦ

A Κορνηλίου προὔλαβε τὴν τῶν ἀνθρώπων διακονίαν ἡ θεία φιλοτιμία. πρὸ γὰρ τοῦ βαπτίσματος ἔδωκεν αὐτοῖς (3) τὴν χάριν τοῦ πνεύματος.

κζ. Καὶ προσδραμὼν ὁ νεανίσκος, ἀπήγγειλε τῷ Μωϋσῇ· καὶ εἶπε, λέγων, Ἐλδὰδ καὶ Μωδὰδ προφητεύουσιν ἐν τῇ παρεμβολῇ.
κη. Καὶ ἀποκριθεὶς Ἰησοῦς ὁ τοῦ Ναυῆ ὁ παρεστηκὼς
B Μωϋσῇ ὁ ἐκλεκτὸς αὐτοῦ, εἶπε, κύριέ μου Μωϋσῆ κώλυσον αὐτούς.

** ΚΥΡΙΛΛΟΥ. Ἰησοῦς ὁ καλούμενος τοῦ Ναυῆ, Μωσῇ προσεδρεύων ἀεὶ, καὶ τὴν τοῦ μυστηρίου δύναμιν ἀγνοήσας παραχρῆμα· οἰηθεὶς δὲ, ὅτι κατὰ μίμησιν Δαθάντε καὶ Ἀβειρὼν ἀντιπροφητεύουσι καὶ οὗτοι τοῖς συνενεχθεῖσι διὰ Μωσέως, ἔφη πρὸς » αὐτόν· Ἐλδὰδ καὶ Μωδὰδ προφητεύουσιν
Γ » ἐν τῇ παρεμβολῇ, κύριέ μου Μωσῆ κώλυσον αὐτούς.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐχ ὑπὲρ ἑαυτοῦ φθονερῶς, ἀλλ' ὑπὲρ τοῦ ἡγεμόνος τιμητικῶς, ἐξαίρετον εἶναι τὴν προφητείαν αὐτῷ βουλόμενος.

κθ. Καὶ εἶπεν αὐτῷ Μωϋσῆς, μὴ ζηλοῖς σύ μοι; καὶ τίς δῴη πάντα τὸν λαὸν Κυρίου Προφήτας, ὅταν δῷ Κύριος τὸ πνεῦμα αὐτοῦ ἐπ' αὐτούς;

Δ ΑΔΗΛΟΥ. Μὴ ἀντὶ ἐμοῦ σὺ ζηλοτυποῖς τούτους, καὶ δάκνῃ ὑπὲρ οὗ οὗτοι, ὡς κἀγὼ, προφητεύουσιν;

ΑΔΗΛΟΥ. Μόνον φησὶ, ἵνα διὰ τοῦ Κυρίου προφητεύωσι, καὶ μὴ ἐκ πλάνης δαιμονικῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδείχθη δὲ κἀνταῦθα τοῦ νομοθέτου τὸ ἄφθονον. τοῦ γὰρ Ἰη» σοῦ εἰρηκότος, κύριε Μωϋσῆ κώλυσον αὐ-
E » τοὺς, ὑπολαβὼν ἔφη, μὴ ζηλοῖς σύ μοι; » καὶ τίς ἂν δῴη πάντα τὸν λαὸν Κυρίου Προ» φήτας, ὅταν δῷ Κύριος τὸ πνεῦμα αὐτοῦ ἐπ' αὐτούς; καὶ ὁ πανεύφημος δὲ Ἰησοῦς οὐ τοῦ φθόνου τὸ πάθος ἐδέξατο, ἀλλ' αὐθάδειαν καὶ τυραννίδα τὸ πρᾶγμα νομίσας, τοῖς δὲ τοῖς λόγοις ἐχρήσατο. ὅτι γὰρ τούτου τοῦ πάθους ἐλεύθερος ἦν, ὁ ἔπαινος μαρ» τυρεῖ. οὕτω γὰρ ἔφη· καὶ ἀποκριθεὶς Ἰη» σοῦς ὁ τοῦ Ναυῆ ὁ παρεστηκὼς Μωϋσῇ ὁ ἐκ-
Z » λεκτὸς αὐτοῦ, εἶπε, κύριέ μου Μωϋσῆ κώ» λυσον αὐτούς.

** ΚΥΡΙΛΛΟΥ. Ὁρᾷς ὅπως ἐπιλαμβάνεται τῶν Ἰησοῦ ῥημάτων οὐκ εἰδότος τὸ τετελεσμένον; εἴθε γὰρ, εἴθε, φησὶν, ἐδόθη τὸ πνεῦμα παντὶ τῷ λαῷ· ἀλλ' ἔσται κατὰ καιροὺς, ὅταν αὐτοῖς ὁ πάντων δεσπότης, τουτέστι Χριστὸς, τὸ ἴδιον αὐτοῖς χαρίσηται πνεῦμα, καθάπερ ἐν ἀπαρχῇ τῶν ὀφειλόντων λαβεῖν τοῖς ἁγίοις Ἀπο-
H » στόλοις ἐμφυσήσας, καὶ λέγων, λάβετε Ἰωάν. 20. 22.
» πνεῦμα ἅγιον.

λ. Καὶ

(1) Ἐν γὰρ ἐν Χριστῷ. ἐν Τόμ. 2. σελ. 270. τῆς τοῦ Ῥεγ. ἐκδόσ.

(2) Ὅμοια τούτοις τὰ τοῦ Προκοπ. τὰ ἐν τῷ τῆς Αὐγ. κώδ.

(3) Αὐτῷ. ἡ ἐν Χάλ. ἔκδ.

λ. Καὶ ἀπῆλθε Μωϋσῆς εἰς τὴν παρεμβολὴν αὐτὸς καὶ οἱ πρεσβύτεροι Ἰσραήλ.

λα. Καὶ πνεῦμα ἐξῆλθε παρὰ Κυρίου, καὶ ἐξεπέρασεν ὀρτυγομήτραν ἀπὸ τῆς θαλάσσης· καὶ ἐπέβαλεν ἐπὶ τὴν παρεμβολὴν ὁδὸν ἡμέρας ἐντεῦθεν, καὶ ὁδὸν ἡμέρας ἐντεῦθεν, κύκλῳ τῆς παρεμβολῆς, ὡσεὶ δίπηχυ ἀπὸ τῆς γῆς.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὴν ἐπιθυμίαν τῷ λαῷ οὐχ ὡς ἀναγκαίαν πληροῖ, ἀλλ' εἰς ἔνδειξιν μὲν τῆς θείας δυνάμεως, ἔλεγχον δὲ τῆς ἐκείνων ἀκολασίας.

ΑΔΗΛΟΥ. Διὰ τοῦτο (1) μὲν τὴν αὐτοῦ δύναμιν ἐγνώρισεν ὁ Κύριος, τὴν δὲ ἀκρασίαν κολάζει. μετὰ ταῦτα, ἵνα μὴ ἀποδεδέχθαι τὴν ἐπιθυμίαν αὐτῶν νοήσωσι. (2)

λβ. Καὶ ἀναστὰς ὁ λαὸς ὅλην τὴν
ἡμέραν, καὶ ὅλην τὴν νύκτα, καὶ ὅλην
τὴν ἡμέραν τὴν ἐπαύριον, καὶ συνήγαγον τὴν ὀρτυγομήτραν· ὁ τὸ ὀλίγον, συνήγαγε δέκα κόρους· καὶ ἔψυ-
ξαν ἑαυτοῖς ψυγμοὺς κύκλῳ τῆς πα-
λγ. ρεμβολῆς. Τὰ κρέα ἦν ἔτι ἐν τοῖς
ὀδοῦσιν αὐτῶν πρὶν ἢ ἐκλιπεῖν· καὶ Κύριος ἐθυμώθη εἰς τὸν λαὸν, καὶ ἐπάταξε Κύριος τὸν λαὸν πληγὴν μεγάλην σφόδρα.

** ΤΟΥ ΝΥΣΣΗΣ. Ἡ εὐκολία τῆς ἄγρας, εἰς κόρον τὴν τῶν κρεῶν ἐπιθυ-
A μίαν προήγαγεν· ἡ δὲ ἀμετρία τῆς βρώσεως, ἀθρόως αὐτοῖς τὰς τῶν σωμάτων κράσεις εἰς φθοροποιοὺς χυμοὺς μετεσκεύασε· καὶ ἡ πλησμονὴ αὐτοῖς, εἰς νόσον καὶ θάνατον ἔληξεν. ὧν τὸ ὑπόδειγμα αὐτοῖς τε ἐκείνοις, καὶ τοῖς πρὸς ἐκείνους ὁρῶσιν, ἱκανὸν πρὸς σωφροσύνην ἐγένετο.

λδ. Καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, μνήματα τῆς ἐπιθυμίας·
B ὅτι ἐκεῖ ἔθαψαν τὸν λαὸν τὸν ἐπιθυμητήν.

ΚΥΡΙΛΛΟΥ. Εἴπερ ἐβδελύχθησαν οἱ ἐξ Ἰσραὴλ ἀποχρῶσαν ἡγεῖσθαι τροφὴν (3) τὴν τοῦ μάννα χορηγίαν, ὅ ἐστιν ἄρτος Ἀγγέλων νοητὸς, καὶ τύπος γλυκύτητος τῆς διὰ τοῦ πνεύματος, οὐκ ἂν ἐτέλεσαν ἐπιθυμίαν σαρκὸς, [οὐδ' ἂν ἐξ αὐτῆς ἐθέρισαν τὴν φθοράν.]

** ΤΟΥ ΑΥΤΟΥ. Ἐπισημότατα τοῦ
Γ „ λαοῦ τὰ μνήματα· ἐκεῖ γάρ φησιν ἔθαψαν
„ τὸν λαὸν τὸν ἐπιθυμητήν. κατὰ τὸ, ἔσον- Ἡσ. 66. 24.
„ ται εἰς ὅρασιν πάσῃ σαρκί. καὶ λαὸς ἐπιθυμητὴς ὁ ἐκεῖνα παθὼν ὠνόμασται, κατ' ἐκεῖνο οἶμαί που τὸ περί τινων εἰρημένον·
„ ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. ἀπὸ γὰρ Φιλιπ. 3. 19.
τῆς ἁμαρτίας ἡ κλῆσις, καὶ ἀτελεύτητος ἐπεγράφετο τοῖς τεθνεῶσιν οἰκτρῶς ὁ ἐπὶ ταῖς ἀνανδρίαις ὀνειδισμὸς, καὶ ἐξ ὧν κα-
Δ τεγινώσκετο τὸ ἐπίσημον.

λε. Ἀπὸ μνημάτων τῆς ἐπιθυμίας ἐξῆρεν ὁ λαὸς εἰς Ἀσηρώθ· καὶ ἐγένετο ὁ λαὸς ἐν Ἀσηρώθ.

ΚΕΦ. ΙΒ.

α. Καὶ ἐλάλησε Μαριὰμ καὶ Ἀαρὼν κατὰ Μωϋσῆ, ἕνεκεν τῆς γυναικὸς τῆς Αἰθιοπίσσης ἣν ἔλαβε Μωϋσῆς, ὅτι γυναῖκα Αἰθιόπισσαν ἔλαβε.

* ΠΡΟΚΟΠΙΟΥ. Ἰώσηπός φησιν, (4) ὅτι ἡνίκα ἐν τοῖς βασιλείοις ἐτρέφετο Μωσῆς, στρατηγὸς χειροτονηθεὶς κατὰ τῶν Αἰθιόπων, καὶ νικήσας, ἠγάγετο τὴν τοῦ βασιλέως ἐκείνου θυγατέρα. ἐπὶ γὰρ πόθῳ τῷ πρὸς αὐτὸν προδίδωσιν αὐτῷ τὴν πόλιν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Γελοῖοί εἰσιν οἱ τὴν Μαδιανῖτιν, τὴν τοῦ Ἰοθὼρ θυγατέρα φάσκοντες εἶναι τὴν Αἰθιοπιάδα· εἰ μετὰ ἔτη τοῦ γάμου τεσσαράκοντα νομίζουσι τὴν αἰτίαν ἐπάγεσθαι Μωϋσῆ, καὶ πρὶν δοθῆναι τὸν γάμον γήμαντι, καὶ πρὶν ἀφορισθῆναι τῶν ἐθνῶν τὸν Ἰσραήλ· ὁπότε καὶ τὰς Αἰγυπτίας ἐλάμβανον ἐν Αἰγύπτῳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνα χρὴ νοῆσαι τὴν Αἰθιόπισσαν γυναῖκα, ἣν ἔλαβε Μωϋσῆς; Ἰώσηπος μὲν εἶπεν, ὡς ἡνίκα ἐν τοῖς βα-
E σιλείοις ἐτρέφετο, στρατηγὸς εἰς τὸν κατὰ τῶν Αἰθιόπων χειροτονηθεὶς πόλεμον, εἶτα νικήσας, ἠγάγετο τοῦ βασιλέως ἐκείνου τὴν θυγατέρα. Ἀπολινάριος δὲ (5) μῦθον ἀνέπλασε πολλῷ μυθωδέστερον τούτου. ἔφη γὰρ μετὰ τὴν Σεπφώραν ἄλλην αὐτὸν Αἰθιόπισσαν γῆμαι· ἵνα, φησὶ, γένηται τύπος τοῦ δεσπότου Χριστοῦ, ὃς μετὰ τὴν Ἰσραηλῖτιν, τὴν ἐξ ἐθνῶν ἐκκλησίαν ἐμνηστεύσατο. ἀλλὰ καὶ ἡ Σεπφώρα ἀλλόφυλος
Z ἦν. τὸ τοίνυν πλάττειν μύθους, οὐ τοῦ θείου πνεύματος, ἀλλὰ τοῦ ἐναντίου. τοσαύτης γὰρ ἁγνείας μετὰ τὴν κλῆσιν ὁ νομοθέτης ἐφρόντισεν, ὅτι καὶ τὴν Σεπφώραν κατέλιπεν εἰς τὴν Αἴγυπτον εἰσιών. μετὰ δὲ τὴν ἐκεῖθεν ἔξοδον, ἀφίκετο πρὸς αὐτὸν ὁ κηδεστὴς ἄγων ἐκείνην μετὰ τῶν παιδίων, καὶ προσέθηκεν ὅτι μετὰ τὴν ἄφεσιν ἠγάγετο αὐτήν. τὴν Σεπφώραν τοίνυν ὠνόμασεν Αἰθιόπισσαν. τὸ γὰρ Σαβὰ ἔθνος
H αἰθιοπικόν ἐστιν. ὁ γὰρ Εὐαγγελιστής φησι· βασι-

(1) Ἴσ. διὰ τοῦτο.

(2) Νομίσωσιν. ὁ Ἀλεξάν. κώδ.

(3) Τρυφήν. ἐν Τόμ. 1. μέρ. 2. σελ. 162.

(4) Ἐν κεφ. 5. τοῦ περὶ Ἰουδαϊκ. ἀρχαιολογ. 2. βιβλ.

(5) Καὶ ὁ ἐν ἁγίοις Κύριλ. τοῦτό φησιν, ὡς ἐκ τοῦ ἑπομέν. ὑπομνήμ. δῆλον.

Λουκ. 11. 31. βασίλισσα Αἰθιόπων ἀναστήσεται, καὶ κα-
» τακρινεῖ τὴν γενεὰν ταύτην. ἀλλ' ἡ τῶν
β. Βασ. 10. 1. Βασιλειῶν ἱστορία, βασίλισσαν Σαβὰ προ-
σηγόρευσε ταύτην. Σαβὰ δὲ καλεῖται τῶν
Ὁμηριτῶν τὸ ἔθνος. τούτοις οἱ Μαδιηναῖοι
πελάζουσιν. ἐπειδὴ τοίνυν ὁ Ἀαρὼν Ἰσ-
ραηλῖτιν ἠγάγετο, ἀλλόφυλον δὲ ὁ Μωϋ-
σῆς, μικροψυχίας γενομένης, ταύτην αὐ-
τῷ τὴν λοιδορίαν προσήνεγκαν. μαρτυρεῖ
δὲ τῇ τελειοτάτῃ ἀρετῇ τοῦ νομοθέτου τῶν
ἀδελφῶν ἡ παροινία. ἀπορήσαντες γὰρ
δηλονότι κατηγορίας ἑτέρας, τῆς γυναι-
κὸς αὐτῷ τὸν ψόγον ἐπήνεγκαν. μαρτυ-
ρεῖ δέ μου τῷ λόγῳ καὶ ἡ ψῆφος τοῦ δικαιο-
» τάτου κριτοῦ. ἔφη γάρ, ἐὰν γένηται Προ-
» φήτης ὑμῖν, ἐν ὁράματι αὐτῷ γνωσθήσο-
» μαι, καὶ ἐν ὕπνῳ λαλήσω. οὐχ οὕτως ὡς ὁ
» θεράπων μου Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ μου
» πιστός ἐστι. στόμα κατὰ στόμα λαλήσω αὐτῷ
» ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων, καὶ τὴν δόξαν
» Κυρίου εἶδε· καὶ διατί οὐκ ἐφοβήθητε κατα-
» λαλῆσαι κατὰ τοῦ θεράποντός μου Μωϋσῆ;
ἀληθὴς ἄρα ὁ λόγος ἐκεῖνος ὁ φάσκων,
Ῥωμ. 12. 19. ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει
Κύριος. διδασκόμεθα γὰρ καὶ διὰ τούτων, καὶ
δι' ἐκείνων, μὴ ἀμύνεσθαι τοὺς ἀδικοῦντας,
ἀλλὰ τὴν θείαν ψῆφον προσμένειν, ὡς
μάλα τῶν ἀδικουμένων προμηθουμένην, ὥ-
σπερ ἀμέλει καὶ τότε Μωϋσῆ σιγῶντος, τῇ
Μαριὰμ τὴν λέπραν ἐπήνεγκε.

ΚΥΡΙΛΛΟΥ. Δύω ταῦτα τῆς κατὰ
Μωσέως φλυαρίας τὰ ἐγκλήματα. πρῶ-
τον μὲν, ὅτι γυναῖκα, φησὶ, τὴν Αἰθιό-
πισσαν ἔλαβε· δεύτερον δὲ, τὸ εἰπεῖν· μὴ
» Μωϋσῇ μόνῳ ἐλάλησεν ὁ Θεὸς, οὐχὶ καὶ
» ἡμῖν ἐλάλησεν; ἐν μὲν γὰρ τῷ πρώτῳ,
παρανομίας ὑπομένει γραφήν· ἐν δὲ τῷ
δευτέρῳ, τὸ μὴ ἐν μεγάλοις σφόδρα τε-
θεῖσθαι λέγεται, εἰ καὶ ἑτέροις λαλήσας
φαίνεται ὁ Θεός. ἐροῦμεν δὲ κατὰ τάξιν,
τῷ πρώτῳ κατηγορήματι τὸν πρῶτον ἀπο-
νέμοντες λόγον· οὕτω τε τὰ ἐκ τῶν τύπων
εἰς αὐτὸν μεταληψόμεθα τὸν Χριστόν. γυ-
ναῖκα τοίνυν ἠγάγετο καὶ πάλαι Μωσῆς
τὴν Μαδιανῖτιν, τὴν θυγατέρα Ἰοθώρ.
χρόνου δὲ ἤδη παριππεύσαντος οὐ μικροῦ,
τὴν Αἰθιόπισσαν ἐπεγάμει, καὶ ἀλλογενῆ
καὶ μέλαιναν· καίτοι τοῦ νόμου διαγγέλλον-
τος μὴ χρῆναι τοῖς ἀλλοφύλοις ἐπιμίγνυ-
σθαι. ἐπὶ τούτοις ἀνομήσας (1) ὁ μέγας
ἐκρίνετο Μωϋσῆς ὑπό τε Ἀαρὼν καὶ Μα-
ριὰμ, οὐ νενοηκότων κατὰ τὸ εἰκὸς τὸ δι'
αὐτοῦ, ὡς ἐν τύπῳ, καλῶς οἰκονομηθὲν
μυστήριον· ὅπερ ἤδη σαφὲς ὡς ἔνι καταστή-
σομεν, τῷ Χριστῷ καὶ νῦν τὸ Μωσέως πε-
ριτεθέντες πρόσωπον. νομοθέτης γὰρ ὁ
Χριστὸς, καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων,
ὥσπερ οὖν ἦν ἀμέλει κἀκεῖνος. εἰς δέ γε τὸ
σχῆμα τῆς Ἰουδαίων ἱερωσύνης Ἀαρὼν ληφ-
θήσεται, καὶ ἀναπληρώσει τῆς συναγω-
γῆς τὸ πρόσωπον [ἡ] Μαριάμ. κατηγό-
ρησαν τοίνυν τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ
καὶ οἱ τῶν Ἰουδαίων πρεσβύτεροι, καὶ μετ'
A ἐκείνων αὐτὴ ἡ συναγωγὴ, τὴν τῶν θείων
ἐνταλμάτων παράβασιν, λέγοντες· εἰ Ἰωάν. 9. 15.
» ἦν οὗτος παρὰ Θεοῦ ὁ ἄνθρωπος, οὐκ ἂν
» ἔλυε τὸ σάββατον. διεπρίοντο δὲ καὶ
καθ' ἕτερον τρόπον, ὅτι τὴν μὲν μέλαιναν
καὶ καλὴν, τουτέστι τὴν ἐξ ἐθνῶν ἐκκλη-
σίαν ἐμνηστεύετο καὶ ἐπεγάμει τρόπον τινὰ
τῇ πρώτῃ, τουτέστι τῇ Ἰσραηλίτιδι, ἥτις
ἦν πάλιν ἡ συναγωγή.

ΕΙΡΗΝΑΙΟΥ ΛΟΥΓΔΟΥΝΩΝ. Διὰ
B τοῦ γάμου Μωϋσέως ὁ τοῦ Χριστοῦ νοητὸς γά-
μος ἐδείκνυτο, καὶ διὰ τῆς αἰθιοπικῆς
νύμφης ἡ ἐξ ἐθνῶν ἐκκλησία ἐδηλοῦτο. ἦν
οἱ καταλαλοῦντες καὶ ἐνδιαβάλλοντες καὶ
διαμωκώμενοι, οὐκ ἔσονται καθαροί. λε-
πρήσουσι γὰρ, καὶ ἐξαφοριθήσονται τῆς
τῶν δικαίων παρεμβολῆς.

β. Καὶ εἶπαν, μὴ Μωϋσῇ μόνῳ
ἐλάλησε Κύριος; οὐχὶ καὶ ἡμῖν ἐλά-
Γ λησε; καὶ ἤκουσε Κύριος.

ΚΥΡΙΛΛΟΥ. Ἐξ ἀλαζονείας ὁ λόγος,
καὶ διακένου φυσήματος.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἐννόει πάλιν τὸν
μὲν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, φανερὸν
τοῖς Ἰουδαίοις καθιστῶντα τοῦ Θεοῦ καὶ πα-
τρὸς τὸν αὐτῷ καὶ μόνῳ φυσικῶς ἐγνωσ-
» μένον σκοπὸν, καὶ λέγοντα· ἀπ' ἐμαυτοῦ Ἰωάν. 12. 49.
» οὐ λαλῶ· ἀλλ' ὁ πέμψας με πατὴρ, αὐτός
» μοι ἐντολὴν δέδωκε, τί εἴπω καὶ τί λαλή-
Δ » σω. καὶ πάλιν· τὰ ῥήματα ἃ ἐγὼ λαλῶ, Ἰωάν. 14. 10.
» οὐκ ἔστιν ἐμὰ, ἀλλὰ τοῦ πέμψαντός με. εἶτα
πρὸς τοῦτο πάλιν ἀποθρασύνεσθαι μελε-
τῶντας τοὺς ἀνόμους Γραμματεῖς τε καὶ
Φαρισαίους, καὶ ἐπὶ τῷ λαλῆσαι πρὸς
τοὺς πατέρας αὐτῶν τὸν Θεὸν, οὐ μετρίως
ἀπαυθαδειαζομένους, ταύτης ἕνεκα τῆς
αἰτίας ἀπειθεῖν ᾑρημένους. λέγουσι γὰρ,
» ἡμεῖς οἴδαμεν ὅτι Μωσεῖ λελάληκεν ὁ Θεός· Ἰωάν. 9. 29.
» τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. ὁρᾷς οὖν,
E ὅπως διὰ τοῦ λέγειν ἐξεπίστασθαι λαλῆσαι
τὸν Θεὸν Μωσῇ· μονονουχὶ γὰρ τὸ ἀρχαῖον
ἐκεῖνό φασι, καὶ σκληροτέροις ῥήμασι·
μὴ Χριστῷ μόνῳ λελάληκεν ὁ Θεὸς καὶ πα-
τὴρ, καὶ οὐχὶ τοῖς ἡμετέροις πατράσιν;

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐκ ἐκ τῆς ἀκοῆς ἡ
γνῶσις, ἀλλὰ πρὸ ταύτης. ἔθει δὲ ἀνθρω-
πίνῳ ἡ λέξις, ὡσεὶ ἄνθρωπος ἀκούσας
χαλεπήνειε.

Z γ. Καὶ ὁ ἄνθρωπος Μωϋσῆς πραῢς
σφόδρα παρὰ πάντας τοὺς ἀνθρώπους
τοὺς ὄντας ἐπὶ τῆς γῆς.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Καὶ ὁ ἄνθρωπος
» Μωϋσῆς πρᾷος σφόδρα. σιωπῇ γὰρ ἔφερε
τὴν αἰτίαν ἀπὸ πρᾳότητος. καὶ ἀναγρά-
φει τὸ ἐγκώμιον ἑαυτοῦ, ὥσπερ καὶ τὸ
ἁμάρτημα, φιλαλήθης ὢν, καὶ μηδὲν ἀπο-
κρυπτόμενος, ὥσπερ Δαβὶδ, καὶ πάντες οἱ
ἄλλοι.

H ✱✱ ΚΥΡΙΛΛΟΥ. Ἀλαζονείας, ὡς ἔοι-
κεν, ἀφορμὴν τὴν Μωσέως ἐποιοῦντο πρᾳό-
τητα Μαριάμ τε καὶ Ἀαρών.

δ. Καὶ

(1) Ὡς παρανομήσας. ὁ Ἀλεξάν. κώδ. Ὡς παρανομίας. αʹ τόμ. 1. μέρ. 1. σελ. 38c.

δ. Καὶ εἶπε Κύριος παραχρῆμα πρὸς Μωϋσῆν καὶ Ἀαρὼν καὶ Μαριὰμ, ἐξέλθετε ὑμεῖς οἱ τρεῖς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου.

** ΚΥΡΙΛΛΟΥ. Χαλεπαίνει Θεὸς, καὶ αὐτόκλητος ἐπὶ τὸ δικαίως ἀγανακτεῖν κατὰ τῶν ἐξυβρίσαι τετολμηκότων ἔρχεται, τὴν ἐπὶ τῷ γνησίῳ λειτουργῷ καταφρόνησιν, εἰς αὐτὸν οἰκειούμενος.

ε. Καὶ ἐξῆλθον οἱ τρεῖς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου. καὶ κατέβη Κύριος ἐν στύλῳ νεφέλης, καὶ ἔστη ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ ἐκλήθησαν Ἀαρὼν καὶ Μαριὰμ, καὶ ἐξῆλθον ἀμφότεροι.

* ΠΡΟΚΟΠΙΟΥ. Χωρὶς Μωϋσέως καλοῦνται ἐπιτιμητικῇ κλήσει, ἐπειδὴ καὶ λεπροῦσθαι ἡ Μαριὰμ ἔμελλε. τῷ δὲ Ἀαρὼν καὶ ἡ διὰ λόγου μέμψις ἤρκεσε, καὶ ἡ περὶ τῆς ἀδελφῆς λύπη. ἡ δὲ συγγνώμη καὶ ὡς ἀνδρὶ, μᾶλλον ἐνάγειν παῤῥησίαν ὀφείλοντι παρὰ τὴν ἀδελφήν.

** ΚΥΡΙΛΛΟΥ. Ὑπεμφαίνει πάλιν ὁ λόγος, ὅτιπερ ἔσται κριτὴς ὁ Θεὸς τῶν καταλαλούντων τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ κατελεύσεται πάντως ἐκ δίκης εἰς ὀργὴν τοῖς διαλοιδορεῖσθαι τετολμηκόσι καὶ φιλονεικῆσαι πρὸς ἰσοτιμίαν αὐτῷ.

ϛ. Καὶ εἶπε πρὸς αὐτοὺς, ἀκούσατε τῶν λόγων μου. ἐὰν γένηται προφήτης Κυρίου, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι, καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ.

ζ. Οὐχ οὕτως ὡς ὁ θεράπων μου Μωϋσῆς, ἐν ὅλῳ τῷ οἴκῳ μου πιστός ἐστι. Στόμα κατὰ στόμα λαλήσω αὐτῷ ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων, καὶ τὴν δόξαν Κυρίου εἶδε· καὶ διατί οὐκ ἐφοβήθητε καταλαλῆσαι κατὰ τοῦ θεράποντός μου Μωϋσῆ;

ΚΥΡΙΛΛΟΥ. Μωϋσῆ τὸ ἐξαίρετον ἐν θεοπτίαις παρὰ τοὺς ἄλλους διὰ τοῦτο τετήρηται, καὶ τὸ ἐξηλλαγμένως δύνασθαι τῶν τοιούτων ἐπακροᾶσθαι λόγων ἐπεμαρτυρήθη καλῶς.

** ΤΟΥ ΑΥΤΟΥ. Εἰσφέρει γε μὴν καὶ πολλὴν ὁ λόγος τὴν ἐπὶ Χριστῷ διαφορὰν, ὡς πρὸς ἅπαντας τοὺς ἑτέρους. ἐν ὅλῳ γὰρ τῷ οἴκῳ μου πιστός ἐστιν. ἢ οὐχὶ διὰ τούτου μερικὴν μέν τινα καὶ συμμεμετρημένην τὴν οἰκονομίαν ἐπιδεικνύει τὴν διὰ νόμου καὶ προφητῶν, γενικὴν δὲ καὶ καθόλου τὴν διὰ Χριστοῦ;

θ. Καὶ ὀργὴ θυμοῦ Κυρίου ἐπ' αὐτοῖς, καὶ ἀπῆλθε.

ι. Καὶ ἡ νεφέλη ἀπέστη ἀπὸ τῆς σκηνῆς· καὶ ἰδοὺ Μαριὰμ λεπρῶσα
Α ὡσεὶ χιών. καὶ ἐπέβλεψεν Ἀαρὼν πρὸς Μαριὰμ, καὶ ἰδοὺ λεπρῶσα.

ΚΥΡΙΛΛΟΥ. Λοιδορήσασα Μαριὰμ τὸν Μωσέα, ἐλεπρώθη, ἔξω τῆς παρεμβολῆς γενομένη, ἑπτὰ ἡμέρας καθίσασα. τοῦτο δὲ γέγονε πρὸς τιμὴν Μωσέως, καὶ φόβον τοῦ λαοῦ. εἰ γὰρ τῆς ἀδελφῆς οὐκ ἐφείδετο, οὐδὲ ἑτέρου. (1)

ΤΟΥ ΑΥΤΟΥ. Συγκατηγορήσας τῇ
Β Μαρίᾳ οὐ λεπροῦται χρησίμως ὁ Ἀαρὼν, καίτοι τὴν ἴσην ἐποφλήσας δίκην. ἐπειδὴ γὰρ τιμὴ παρὰ Θεῷ, καὶ μέγα τῆς ἱερωσύνης τὸ χρῆμα, ταύτῃ τοι τὸ ἐν λέπρᾳ φαίνεσθαι διαφυγὼν, λύπῃ μᾶλλον τῇ ὑπὲρ τῆς τοῦτο παθούσης ἐκολάζετο.

** ΤΟΥ ΑΥΤΟΥ. Καταβεβηκὼς ὁ Κύριος ἐν στύλῳ νεφέλης, ὡς νεφέλη πάλιν ἀποφοιτᾷ, κατὰ τὸν ἐν γράμμασι τύπον. ἐπειδὴ δὲ τῆς Ἰουδαίων συναγωγῆς
Γ εἰκότως ἀπενοσφίζετο, ἀκάθαρτος ἀνεδείχθη παραχρῆμα· καὶ ἀκάθαρτος οὐχ ἁπλῶς, ἀλλ' εἰς ἀκρότητα δραμοῦσα τοῦ πάθους. τὸ γὰρ σφόδρα καταλευκαίνεσθαι τὸν λεπρωθέντα λέγειν, τῆς νόσου τὴν ἐπίτασιν ἔχει. τί δ' ἂν γένοιτο χιόνος τὸ λευκότερον;

ΔΙΟΔΩΡΟΥ. Διατί κοινῇ μὲν κατελάλησαν Μωϋσέως Μαριὰμ καὶ Ἀαρὼν, μόνη δὲ ἐκείνη τιμωρεῖται; Μήποτε οὖν ἡ Μα-
Δ ριὰμ καταρξαμένη τῆς καταλαλιᾶς, καὶ τὸν Ἀαρὼν συνεφελκύσατο; διόπερ δίδωσι δίκην, ἥτις ἤρκει τῷ Ἀαρὼν εἰς σωφρονισμόν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τῶν δύο λοιδορησάντων, ἐκείνη δίκας ἔτισε μόνη; Πρῶτον ἐπειδὴ μεῖζον ἦν τῆς γυναικὸς τὸ πλημμέλημα· τῷ ἄῤῥενι γὰρ καὶ ἡ φύσις καὶ ὁ νόμος ὑποτάττει τὸ θῆλυ· ἔπειτα εἶχέ τινα μετρίαν συγγνώμην ὁ Ἀαρὼν,
Ε ὡς τῷ χρόνῳ πρεσβύτερος, καὶ ὡς ἀρχιερωσύνης ἠξιωμένος. πρὸς δὲ τούτοις, ἐπειδὴ ἀκάθαρτος ὁ λεπρὸς ἐδόκει εἶναι κατὰ τὸν νόμον· ῥίζα δὲ καὶ κρηπὶς τῶν ἱερέων ἦν ὁ Ἀαρὼν, ἵνα μὴ εἰς ἅπαν διαβῇ τὸ γένος τὸ ὄνειδος, τὴν ἴσην οὐκ ἐπήγαγεν αὐτῷ τιμωρίαν· ἀλλὰ διὰ τῆς ἀδελφῆς ἐφόβησεν ὁμοῦ καὶ ἐπαίδευσεν. οὕτω γὰρ αὐτὸν τὸ πάθος ἠνίασεν, ὅτι πρὸ τῆς τοῦτο δεξαμένης αὐτὸς τὸν ἠδικημένον ἱκέτευσε
Ζ λῦσαι τῇ πρεσβείᾳ τὴν συμφοράν. ὁ δὲ οὐκ ἠμέλησεν, ἀλλ' αὐτίκα τὴν ἱκετηρίαν προσήνεγκεν.

** ΙΣΙΔΩΡΟΥ. Διατί Ἀαρὼν καὶ Μαρίας κατηγορησάντων Μωσέως, ἡ Μαρία μόνη ἐπετιμήθη; Γράφω μὲν καὶ ὃ ἤκουσα παρά τινος σοφοῦ, ὑποτάξω δὲ καὶ τὸ ἐμαυτῷ νενοημένον, ἵν' αὐτὸς δοκιμάσειας τὸ ἀληθέστερον. ἔφη μὲν οὖν ἐκεῖνος, ὅτι ἐπειδὴ ἀρχὴ ἱερωσύνης ἦν, οὐκ ἠθέλη-
Η σεν ὁ Θεὸς ὑβρίσαι τὸ προοίμιον, ἵνα μὴ καὶ τὸ τέλος γένηται ἐπονείδιστον. ἐγὼ δὲ οὔτ' ἀνατρέπειν τοῦτο, οὔτ' ἐγκρίνειν ἔχω. οὐκ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

οὐκ ἀνατρέπω μὲν, ἐπειδὴ οὐδὲν οὔτε τὴν ἀρετὴν, οὔτε τὴν εὐσέβειαν παραβλάπτει· οὐκ ἐγκρίνω δὲ, ἐπειδὴ πρὸ τοῦ Ἀαρὼν ἱερωσύνη ἣν θειοτέρα καὶ ἀναίμακτος, ἡ τοῦ Μελχισεδὲκ· καὶ ὅτι οὐ κατὰ ἀδέκαστον κρίσιν, διὰ τὸ ἀξίωμα τοῦ πλάσαντος, τὸ δίκαιον παριδεῖν, ἀλλ' ἐκεῖνο μᾶλλόν φημι· ὅτι ἐπειδὴ ἡ Γραφὴ ἐν τῇ κατηγορίᾳ, τὴν Μαριὰμ προέταξε τ' ἀνδρὸς καὶ ἀρχιερέως, οἶμαι, τὸ σπέρμα αὐτὴν δεδωκέναι, κἀκεῖνον ἐπηκολουθηκέναι. ὁ δὲ τὸ σπέρμα παρασχὼν, τῶν φώτων δηλονότι αἴτιος. διὸ καὶ πάντων σχεδὸν μοχοποιησάντων ἐν τῇ ἐρήμῳ, τινὲς μὲν ἔδοσαν δίκην, οἱ κατάρξαντες ἴσως τοῦ πλάσματος· τινὲς δὲ συνεγνώσθησαν, οἱ κατὰ παραλογισμὸν καὶ ἀπάτην ἀκολουθήσαντες ἐκείνοις. οὐ γὰρ τὸ γεγενημένον τοσοῦτον, ὅσον ἡ γνώμη μεθ' ἧς γένηται, βασανίζεται. χωρεῖ γὰρ ὁ κριτὴς καὶ μέχρις ἐννοιῶν. οἶμαι δὲ, ὅτι τὸ προτετάχθαι μὲν τὴν Μαρίαν, ὑποτετάχθαι δὲ τὸν ἀρχιερέα, ἐν τοῖς ἄλλοις προταγέντος μὲν τ' ἀνδρὸς, ὑποτεταγμένης δὲ τῆς γυναικὸς, οὐ κατὰ παραύξησιν γέγονεν, ἀλλὰ κατ' αἰτιολογίαν. λάλον γὰρ ὡς τὰ πολλὰ τὸ γυναικεῖον γένος καὶ περίεργον. διὸ καὶ δίκας ἀπῃτήθη. ἐπεὶ οὐκ ἂν ἐν τοῖς ἄλλοις ἅπασι προτάξας τὸν Ἀαρὼν, ἐνταῦθα αὐτὸν ὑπέταξεν, εἰ μὴ αἰτιολογῆσαι ἠθέλησεν.

** ΕΦΡΑΙΜ. Δι' ἕνα λόγον, ὃν εἶπε πρὸς αὐτὸν, ἐλεπρώθη σύμπασα. εἰ δι' ἄνθρωπον ἅγιον τοσαύτη ἐκδίκησις, πόση τις ἔσται γένηται διὰ Θεὸν αἰώνιον;

** ΤΟΥ ΑΥΤΟΥ. Εἰ ἡ Μαριὰμ προφῆτις οὖσα, δίκην δέδωκε τῆς γλωσσαλγίας, τί; ἡλίκον ἄρα τὸ εἶδος τῆς τιμωρίας τοῖς ἀδιαφόρως κεχρημένοις τῇ βλασφημίᾳ; καὶ τὸ ὂν λαλησάσης τῆς Μαρίας, ἀπεδοκιμάσθη ἡ ἀλήθεια, διότι μετὰ κακηγορίας ἔφρασεν. ὡσαύτως ἐὰν χρήσηταί τις δίκαιος τῇ κακηγορίᾳ, ἡ δικαιοσύνη αὐτοῦ ἀνομίας μεστή. ἢ γὰρ ἔλεγξον δικαίως, ἢ μὴ λάθρα κατηγορήσῃς. ἢ ἐπιτίμησον μετὰ παῤῥησίας, ἢ μὴ συσκεύαζε ἐν τῷ λανθάνοντι. ἐξουθενεῖται γὰρ ἡ δικαιοσύνη, ὅταν συγκεκέρασαι αὐτῇ ἡ τῆς δολιότητος φαυλότης.

ια. Καὶ εἶπεν Ἀαρὼν πρὸς Μωϋσῆν, δέομαι κύριε· μὴ συνεπιθῇ ἡμῖν ἁμαρτία, (1) διότι ἠγνοήσαμεν καθότι ἡμάρτομεν.

** ΚΥΡΙΛΛΟΥ. Οἱ γένει μὲν ὄντες ἐξ Ἰσραὴλ, καὶ τῇ κατὰ σάρκα σχέσει τῆς Ἰουδαίων συναγωγῆς οὐκ ὄντες ἀλλότριοι, μυστηρίων δὲ τῶν τοῦ Σωτῆρος ἡμῶν ἀποδεδειγμένοι ταμίαι, τὰς ὑπὲρ τῶν ἐξ ἀγνοίας ἡμαρτηκότων ἀναφέρειν ἔμελλον προσευχὰς, καίτοι συμπλάσαντες ἐν ἀρχῇ. μὴ συνεπιθέσθαι δὲ τῇ τοῦ πατρὸς ὀργῇ παρακαλοῦσι Χριστόν. ὅπερ ἐποίει λέγων ὁ Παῦ-

A „ λος· ἀδελφοὶ, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρ- Ῥωμ. 10. 1.
„ δίας, καὶ ἡ δέησις πρὸς τὸν Θεὸν, ὑπὲρ „ αὐτῶν εἰς σωτηρίαν. ἀλλ' ἦν τοῦτο λέγων, καὶ οἰκονόμος μυστηρίων Θεοῦ, καὶ ἱερουργὸς τοῦ θείου κηρύγματος. ὅπερ ἦν τότε καὶ Ἀαρών.

ιβ. Μὴ γένηται ὡσεὶ ἴσον θανάτῳ, ὡσεὶ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς, καὶ κατεσθίει τὸ ἥμι-

B συ τῆς σαρκὸς αὐτῆς.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὃς γὰρ ἂν ἐκ σπλάγχνου τῆς αὐτοῦ μητρὸς διαφθαρῇ, ἥμισυ τῆς σαρκὸς τοῦ ἑτέρου ἐστί.

ιγ. Καὶ ἐβόησε Μωϋσῆς πρὸς Κύριον, λέγων, ὁ Θεὸς δέομαί σου· ἴασαι αὐτήν.

** ΤΟΥ ΝΥΣΣΗΣ. Θαυμάζειν ἄξιον

Γ τῆς ἀνεξικακίας τὸν Μωϋσέα, ὅτι τοῦ Θεοῦ τὴν ἄλογον βασκανίαν τοῦ γυναίου κολάζοντος, ἰσχυροτέραν τὴν φύσιν τῆς ὀργῆς ποιησάμενος, τὸν Θεὸν ὑπὲρ τῆς ἀδελφῆς ἱλεώσατο.

ιδ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ ἐντραπήσεται ἑπτὰ ἡμέρας; ἀφοριθήτω ἑπτὰ ἡμέρας ἔξω τῆς παρεμβολῆς, καὶ

Δ μετὰ ταῦτα εἰσελεύσεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα ὁ φιλάνθρωπος Κύριος ἐδίδαξεν, ὡς οὐ δικαστικῶς αὐτὴν, ἀλλὰ πατρικῶς ἐπαίδευσεν. ἔφη γὰρ, εἰ „ ὁ πατὴρ αὐτῆς ἐμπτύων ἐνέπτυσεν εἰς τὸ „ πρόσωπον αὐτῆς, οὐκ ἐντραπήσεται; ἑπτὰ „ ἡμέρας ἀφορισθήσεται ἔξω τῆς παρεμβο- „ λῆς, καὶ μετὰ ταῦτα εἰσελεύσεται. συνέζευκται δὲ καὶ τιμὴ τῇ ἀτιμίᾳ. οὐκ ἀπῆρε

E γὰρ ὁ λαὸς, ἕως οὗ ἀπηλλάγη τοῦ πάθους.

ΚΥΡΙΛΛΟΥ. Ταχεῖα μὲν εἰς τὸ ἐλεεῖν, καὶ τρόπον τινὰ πρὸς τὸ παρακαλεῖν ἑαυτὴν ἡ θεία φύσις. τῷ δὲ πλήθει πολλάκις, ἢ τῷ μεγέθει τῶν ἡμετέρων πλημμελημάτων ἀποτραχύνεται, καὶ τὴν ἐπὶ τοῖς ἐνόχοις φιλανθρωπίαν ἀναδύεται.

** ΤΟΥ ΑΥΤΟΥ. Σημαίνει δὲ κἀκεῖνο, κατάγε τὸν ἡμέτερον νοῦν, ὅτι πολλὴ

Z μὲν ἁγίων πρεσβεία ἀναβέβηκε πρὸς τὸν Θεὸν ὑπὲρ τοῦ Ἰσραήλ· οὐκ ἐνδεχομένου δὲ τοῦ μὴ κολασθήσεσθαι πρέπειν αὐτὸν, οὐκ ἐπὶ τοῖς τυχοῦσι κατεγνωσμένον, δεύτερον ἐτίθει τῆς δίκης τὸν ἔλεον.

ιε. Καὶ ἀφωρίσθη Μαριὰμ ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας, καὶ ὁ λαὸς οὐκ ἐξῆρεν ἕως ἐκαθαρίσθη Μαριάμ.

H ΩΡΙΓΕΝΟΥΣ. Ἔμεινε δὲ ἡ σκηνὴ ἑπτὰ ἡμέρας ἐπὶ τὸν τόπον εἰς τιμὴν Μαρίας, ἵνα μὴ τοιαύτη οὖσα ἀκολουθῇ.

(1) Ἁμαρτίαν. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ Κύριλ. ἐν τόμ. 1. μέρ. 1. σελ. 385.

. Οὐκ ἐξῆρε, φησὶν,
ἰάθη Μαριάμ. περιμε-
οἱ πιςεύοντες εἰς Χρι-
ν καθαρισμὸν, δῆλον
ς. ἔτω τε λοιπὸν τὰς
αλιπόντες σκlωὰς. ἐπὶ
ξεύξομεν, καὶ εἰς τlὼ
δραμέμεθα γlῶ.

ετὰ ταῦτα ἐξῆρεν ὁ
, καὶ παρενέβαλον
αράν.

ε Κύριος πρὸς Μωϋ-
όςειλον σεαυτῷ ἄν-
ψάθωσαν τlὼ γlῶ
lὼ ἐγὼ δίδωμι τοῖς
κατάχεσιν· ἄνδρα
, κατὰ δήμες πα-
ελεῖς αὐτὲς, πάν-
ὐτῶν.

ΥΣΣΗΣ. Τὸ σαθρὸν
γων εἰς τὲμφανὲς, καὶ
ἵνα γνωθῶσιν οἱ ἐνάρ-
φησὶν, ἐμοὶ ἀπιςεῖτε,
ἀπατᾶν, ἀποςείλατε
ἑαυτοῖς. (2)

Ἀποςαλlῶαι κελεύει
λησιάζεσι μὲν τῇ Πα-
πlε τὸ τοῖς Ἑβραίοις
σας· καὶ τὸ ἄπιςον ἐξε-
τlὼ ἔρημον ἀπονέμει,
κληρός. θάνατος γὰρ
ῶ πλάνης αἱρετώτερος.

. Τίνος χάριν καlασκό-
οσέταξεν ὁ Θεός; Ἵνα
ῆς τlὼ εὐκαρπίαν, ἐπι-
χεῖν τῶν ἐπαινεμένων
δὲ καὶ ὀκλάζοντες, μη-
τησιν κολαζόμενοι.

τέςειλεν αὐτὲς Μωϋ-
Φαρὰν διὰ φωνῆς
ἄνδρες ἀρχηγοὶ ὑῶν
αὶ ταῦτα τὰ ὀνόμα-
υλῆς Ῥεβὶμ, Σα-
κχέρ. Τῆς φυλῆς
ὑὸς Οὐρί. Τῆς φυ-
β ὑὸς Ἰεφοννῆ. Τῆς
Ἠγὰλ ὑὸς Ἰωσήφ.
ὶμ, Αὐσὴ ὑὸς Ναυῆ.
μὶν, Φαλτὶ ὑὸς Ῥα-
Ζαβελὼν, Γελιὴλ
φυλῆς Ἰωσὴφ τῶν
δδὶ ὑὸς Σεσί. Τῆς

A φυλῆς Δὰν, Ἀμιὴλ ὑὸς Γαμαλί.
κθ. Τῆς φυλῆς Ἀσὴρ, Σαθὲρ ὑὸς Μι-
λ. χαήλ. Τῆς φυλῆς Νεφθαλεὶμ, Να-
λα. βὶ ὑὸς Ἀβί. Τῆς φυλῆς Γὰδ, Γε-
διὴλ ὑὸς Μαχί. (3)

λβ. Ταῦτα τὰ ὀνόματα τῶν ἀν-
δρῶν, ὓς ἀπέςειλε Μωϋσῆς κατασκέ-
ψαθαι τlὼ γlῶ. καὶ ἐπωνόμασε Μωϋ-
B σῆς τὸν Αὐσὴ ὑὸν Ναυῆ, Ἰησῦν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὸν Αὐσlὼ, ἡνίκα κατάσκοπον ἔπεμπεν, ἐκάλεσεν Ἰησῦν; Ὅτι τύπος lὼ τῦ ἀληθινῦ Ἰησῦ, ὃς τὸ τῶν κατασκόπων ἐμιμήσατο χῆμα. τlὼ ἡμετέραν οἰκονομῶν σωτηρίαν. καθάπερ γὰρ οἱ κατάσκοποι τῷ τῶν ἐθνῶν ἐκείνων, ἃ κατασκοπῦσι, καὶ χήματι κέχρlωται καὶ φωνῇ. ἔτω καὶ ὁ Θεὸς λόγος τlὼ ἀνθρωπείαν περιθέμενος φύσιν, καὶ τῇ ταύ-
Γ της γλώτlῃ χρησάμενος, τlὼ ἡμετέραν ᾠκονόμησε σωτηρίαν.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. (4) Ἰησῦς lὼ ὁ τῆς κρείτlονος σκοπῆς καθηγέμενος. πρὸς ὃν βλέπων Μωϋσῆς, βεβαίας εἶχε τὰς περὶ τῶν μελλόντων ἐλπίδας. (5) ὃ γὰρ lὼ ὄνομα ἑτέρε εἰς τlὼ γlῶ ἐκείνlω εἰσαγαγεῖν. ἥτις τύπον ἐπεῖχε τῆς βασιλείας τῶν ἐρανῶν.

ΩΡΙΓΕΝΟΥΣ. Ἐπισημαντέον, ὅτι ὁ
Δ τῦ Ναυῆ ὑὸς τύπος γέγονε τῦ Χριςῦ. ὃς τὸν οἴκlισον λαὸν πλανώμενον ἐλευθερώσας, εἰς ἐρανὸν εἰσήγαγεν, ἐκ εἰς γlῶ ἐαθίεσαν τὲς ἐνοικῦντας.

λγ. Καὶ ἀπέςειλεν αὐτὲς Μωϋσῆς
κατασκέψαθαι τlὼ γlῶ Χαναὰν, καὶ
εἶπε πρὸς αὐτὲς, ἀνάβητε ταύτῃ τῇ
ἐρήμῳ, καὶ ἀναβήσεθε εἰς τὸ ὄρος,
λδ. Καὶ ὄψεθε τlὼ γlῶ τίς ἐςι, καὶ τὸν
E λαὸν τὸν ἐγκαθήμενον ἐπ' αὐτῆς, εἰ
ἰχυρός ἐςιν ἢ ἀθενὴς, εἰ ὀλίγοι εἰσὶν
λε. ἢ πολλοί. Καὶ τίς ἡ γῆ εἰς lὼ ἔτοι
ἐγκάθlωιται ἐπ' αὐτῆς, εἰ καλή ἐςιν
ἢ πονηρά· καὶ τίνες αἱ πόλεις εἰς ἃς
ἔτοι κατοικῦσιν ἐν αὐταῖς, εἰ ἐν τει-
λς. χήρεσιν ἢ ἐν ἀτειχίςοις. Καὶ τίς ἡ γῆ,
ἢ πίων ἢ παρειμένη· εἰ ἔςιν ἐν αὐτῇ
δένδρα ἢ ἔ. καὶ προσκαρτερήσαντες
Z λήψεθε ἐκ τῶν καρπῶν τῆς γῆς. καὶ
αἱ ἡμέραι, ἡμέραι ἔαρος, πρόδρομοι
λζ. ςαφυλῆς. Καὶ ἀναβάντες κατεσκέ-
ψαντο τlὼ γlῶ ἀπὸ τῆς ἐρήμε Σινᾶ
ἕως Ῥοὼθ, εἰσπορευομένων Αἰμάθ.

** ΚΥΡΙΛΛΟΥ. Οἱ μὲν ἔν ἀπόλεκlοι τῶν φυλῶν ἄνδρες τὸν ἀριθμὸν δυωκαί-
δεκα

ὖ ἄρχεται τὸ 13. κεφ. ἐν τῇ ἐν Φραν. ἐκδόσ. ἐκ τῦ ἑπομεν. δὲ ἐδ. ἐν τῇ ἐν Κανταβρ.
εδόμ. ἐχ εὕρηται.
ε τῶν ὀνομάτων διαφέρεσι τῶν ἐν ταῖς εἰρημ. ἐκδόσ.
Ἀρειανῶν, πρόσκειται τοῖς κώδ. ἐκ ἔςι δὲ ἐκ τῦ κατὰ Ἀρειαν. (ἐδὲ γὰρ εὕρηται
ετὰ Ἀρειαν. λόγος) ἀλλ' ἐκ τῆς θεωρίας εἰς τὸν τῦ Μωϋσ. βίον.
ἐν τοῖς ἐκδεδομ. ἐ κεῖται.

δέκα τῆς ἄλλης πλήθυος ἀπενοσφίζοντο. καὶ δὴ ἀνήεσαν εὖ μάλα κατασκεψόμενοι, πότερόν ποτε πίων ἢ λεπτόγεως ἡ χώρα, εὔβοτός τε καὶ ἀγαθὴ καὶ γονιμωτάτη, ἢ γοῦν ξηρά τε καὶ ἄκαρπος· ἢ ξύλων τροφὸς ἡμέρων, ἢ καρπῶν ὡραίων λαχοῦσα γένεσιν, εἰ μὴ ἀμελέτητον ἔχει τὸ λήϊον δύνασθαι κομᾷν. καὶ πρὸς τούτοις ἔτι, τίνες ἂν εἶεν οἱ κάτοικοι, πότερόν ποτε δεινοὶ πρὸς ἀλκὴν, καὶ ἀκαταγώνιστοι τὰ πολεμικὰ, καὶ οὐ τοῖς τυχοῦσιν εὐάντητοι, ἢ γοῦν τοῖς ἀνδρίζεσθαι μεμελετηκόσιν εὐκόλως ἁλώσιμοι. ὅσαι δὲ δὴ αὖ καὶ τίνες αἱ πόλεις, ἆρα ψιλαὶ καὶ ἀτείχιστοι, ἢ γοῦν ἄριστα πεπυργωμέναι. προσετίθει δὲ ὁ Μωϋσῆς, ὅτι καὶ αὐτῶν δεήσει τῶν καρπῶν ἀποδρεψαμένοις οἱονεὶ πρὸς ἀπόδειξιν, ἐπανήκειν αὐτούς. ἀναβεβηκότες δὴ οὖν ἀποφαίνειν ἠπείγοντο τὸ κεκελευσμένον.

λη. Καὶ ἀνέβησαν κατὰ τὴν ἔρημον, καὶ ἦλθον ἕως Χεβρὼν, καὶ ἐκεῖ Ἀχιμὰν, καὶ ἐκεῖ Σεσεὶ, καὶ Θαλαμὶ, γενεαὶ Ἐνάκ. καὶ Χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τοῦ Τάνιν Αἰγύπτου.

λθ. Καὶ ἦλθοσαν ἕως Φάραγγος βότρυος, καὶ κατεσκέψαντο αὐτήν· καὶ ἔκοψαν ἐκεῖθεν κλῆμα, καὶ βότρυν σταφυλῆς ἕνα ἐπ' αὐτοῦ, καὶ ἦρον αὐτὸν ἐπ' ἀναφορεῦσι, καὶ ἀπὸ τῶν ῥοῶν, καὶ ἀπὸ τῶν σύκων.

** ΚΥΡΙΛΛΟΥ. Ἐπιτηδείου ὄντος καιροῦ, κατεσκέπτοντό τε τὴν γῆν, καὶ δὴ καὶ βότρυν ἐπαναθέμενοι, χρήματι παράδοξον καὶ ἀσυνήθες, ἀληθὲς θαῦμά τε, καὶ ἅμα παρῆσαν ἀζήμιοι, καὶ ἐπανῆκον ἐπὶ Μωσέα.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Δεῖγμα τῆς ἐκεῖθεν τρυφῆς ὁ Μωϋσῆς τὸν βότρυν ἐποιεῖτο, τὸν ἐπ' ἀναφορέων παρὰ τοῦ Ἰησοῦ κομιζόμενον. Ἰησοῦν δὲ πάντως ἀκούων [περὶ τῆς γῆς ἐκείνης μηνύοντα.] καὶ βότρυν ξύλων ἀπαιωρούμενον, νοεῖς πρός τι κἀκεῖνος βλέπων, ἀσφαλὴς ἦν ταῖς ἐλπίσι. βότρυς γὰρ ἐπὶ ξύλου κρεμάμενος, αὐτὸς ὁ ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐπὶ ξύλου δι' ἡμᾶς κρεμασθεὶς, οὗ τὸ αἷμα πότον τοῖς
Δευτ. 32. 14. πιστεύουσι γίνεται. αἷμα γάρ φησι σταφυ-
» λῆς ἔπινον οἶνον, δι' οὗ τὸ σωτήριον πάθος καταμηνύεται.

μ. Καὶ τὸν τόπον ἐκεῖνον ἐπωνόμασαν Φάραγγα βότρυος, διὰ τὸν βότρυν, ὃν ἔκοψαν ἐκεῖθεν οἱ υἱοὶ Ἰσ-
μα. ραήλ. Καὶ ἐπέστρεψαν ἐκεῖθεν κα-
τασκεψάμενοι τὴν γῆν μετὰ τεσσα-
μβ. ράκοντα ἡμέρας. Καὶ πορευθέντες

A ἦλθον πρὸς Μωϋσῆν καὶ Ἀαρὼν καὶ πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ, εἰς τὴν ἔρημον Φαρὰν Κάδης· καὶ ἀπεκρίθησαν αὐτοῖς ῥῆμα καὶ πάσῃ τῇ συναγωγῇ, καὶ ἔδειξαν τὸν
μγ. καρπὸν τῆς γῆς. Καὶ διηγήσαντο αὐ-
τῷ, καὶ εἶπαν, ἤλθομεν εἰς τὴν γῆν εἰς ἣν ἀπέστειλας ἡμᾶς, γῆν ῥέουσαν γάλα καὶ μέλι· καὶ οὗτος ὁ καρπὸς
B αὐτῆς.

μδ. Ἀλλ' ἢ ὅτι θρασὺ τὸ ἔθνος τὸ κατοικοῦν τὴν γῆν, καὶ αἱ πόλεις ὀχυραὶ τετειχισμέναι μεγάλαι σφόδρα. καὶ τὴν γενεὰν Ἐνὰκ ἑωράκαμεν ἐκεῖ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνα λέγει γενεὰν Ἐνάκ; Ὀνομαστότατος οὗτος ἦν καὶ πολυ-
Γ θρύλλητος, ὡς εἰκὸς, διὰ τὸ τοῦ σώματος μέγεθος. καὶ τὸ γένος δὲ πάντως ἐῴκει τῷ πρωτογόνῳ.

με. Καὶ Ἀμαλὴκ κατοικεῖ ἐν τῇ γῇ τῇ πρὸς νότον· καὶ ὁ Χετταῖος, καὶ ὁ Εὐαῖος, καὶ ὁ Ἰεβουσαῖος, καὶ ὁ Ἀμοῤῥαῖος κατοικεῖ ἐν τῇ ὀρεινῇ· καὶ ὁ Χαναναῖος κατοικεῖ παρὰ θάλασσαν, καὶ παρὰ τὸν Ἰορδάνην ποτα-
μς. μόν. Καὶ κατεσιώπησε Χάλεβ τὸν λαὸν πρὸς Μωϋσῆν, καὶ εἶπεν αὐτῷ, οὐχὶ, ἀλλὰ ἀναβάντες ἀναβησόμεθα, καὶ κατακληρονομήσομεν αὐτὴν, ὅτι δυνατοὶ δυνησόμεθα πρὸς αὐτούς.
μζ. Καὶ οἱ ἄνθρωποι οἱ συναναβάντες μετ' αὐτῶν, εἶπαν, ὅτι οὐ μὴ δυνησόμεθα ἀναβῆναι πρὸς τὸ ἔθνος, ὅτι ἰσχυρότερον ἡμῶν ἐστὶ μᾶλλον.

E μη. Καὶ ἐξήνεγκαν ἔκστασιν τῆς γῆς ἣν κατεσκέψαντο αὐτὴν πρὸς τοὺς υἱοὺς Ἰσραὴλ, λέγοντες, τὴν γῆν ἣν παρήλθομεν αὐτὴν κατασκέψασθαι, γῆ κατέσθουσα τοὺς κατοικοῦντας ἐπ' αὐτῆς ἐστί· καὶ ὁ λαὸς ὃν ἑωράκαμεν ἐπ' αὐτῇ, ἄνδρες ὑπερμήκεις.

Ἔκστασιν. τὸ Σαμαρειτικὸν, ὄνειδος κα-
Z τὰ τῆς γῆς, κατάκρισιν.

ΑΔΗΛΟΥ. Οἱ τὴν γῆν ψέγοντες, ψεύστην τὸν Θεὸν κατ' αὐτοὺς ἀσεβῶς ἔδειξαν, ἐπαινοῦντα τὴν Παλαιστίνην.

μθ. Καὶ ἐκεῖ ἑωράκαμεν τοὺς γίγαντας, καὶ ἦμεν ἐνώπιον αὐτῶν ὡσεὶ ἀκρίδες· ἀλλὰ καὶ οὕτως ἦμεν ἐνώπιον αὐτῶν.



ΚΕΦ. ΙΓ. (1)

α. Καὶ ἀναλαβοῦσα πᾶσα ἡ συ-
ναγωγὴ, ἔδωκε φωνήν· καὶ
ἔκλαιεν ὁ λαὸς ὅλην τὴν
β. νύκτα ἐκείνην. Καὶ διεγόγγυζον ἐπὶ
Μωϋσῆν καὶ Ἀαρὼν πάντες οἱ υἱοὶ Ἰσ-
ραήλ· καὶ εἶπαν πρὸς αὐτοὺς πᾶσα ἡ
γ. συναγωγὴ, Ὄφελον ἀπεθάνομεν
ἐν τῇ Αἰγύπτῳ, ἢ ἐν τῇ ἐρήμῳ ταύτῃ,
εἰ ἀπεθάνομεν. καὶ ἵνα τί Κύριος εἰσά-
γει ἡμᾶς εἰς τὴν γῆν ταύτην πεσεῖν
ἐν πολέμῳ; αἱ γυναῖκες ἡμῶν καὶ τὰ
παιδία ἡμῶν ἔσονται εἰς διαρπαγήν.
νῦν οὖν βέλτιον ἡμῖν ἐστὶν ἀποστραφῆ-
ναι εἰς Αἴγυπτον.

** ΚΥΡΙΛΛΟΥ. Ἡ πολλή τε καὶ ἀγελαία πληθὺς, εὐθὺς εἰς λήθην ὑπενεχθεῖσα Θεοῦ, καὶ τῶν ἐν Αἰγύπτῳ σημείων ἀμνημονήσασα, πολὺ τὸ δεῖμα νοσεῖ, ὀκνεῖ πρὸς τὴν μάχην, ἀπέφηνε τὴν ἀντίστασιν, ἐρᾷ δὲ οὐκ ἔτι τῶν ἐπηγγελμένων. οὐ τὴν τοῦ βοηθοῦντος διενοεῖτο χεῖρα τὴν παναλκῆ τε καὶ ἄμαχον, κατοιμώζει δὲ μειρακιωδῶς, καὶ αὐτίκα δὴ μάλα γυναίοις τε ὁμοῦ καὶ φιλτάτοις τῶν πολεμίων ξίφεσι δαπανηθήσεσθαι προσδοκᾷ. καὶ δὴ καὶ φάναι τετολμήκασιν, ὡς ἦν ἀμείνων θητεία αὐτοῖς ἡ ἐν Αἰγύπτῳ, καὶ τὸ τῆς δουλείας ἄχθος εὐφορητότερον. ὑπονοστῆσαί τε ὅτι δεήσει πρὸς Αἰγυπτίους δακρυῤῥοοῦντες ἔφασκον.

ΤΟΥ ΑΥΤΟΥ. [Οἱ ἐξ Ἰσραὴλ γυναίων τε πέρι καὶ τέκνων ἄνω τε καὶ κάτω λέγουσι (2) ταῖς τῶν ἀπολέκτων φωναῖς εἰς τοσοῦτον δειλίας τε καὶ ἀθλιότητος κατενηνεγμένοι.] ἐννόει δέ μοι καὶ τοὺς ἐν καιρῷ τῆς ἐπιδημίας τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ταῖς τῶν ἡγουμένων φωναῖς ζημιουμένους τὴν πίστιν.

δ. Καὶ εἶπαν ἕτερος τῷ ἑτέρῳ, δῶ-
μεν ἀρχηγὸν, καὶ ἀποστρέψωμεν εἰς
Αἴγυπτον.

ε. Καὶ ἔπεσον Μωϋσῆς καὶ Ἀαρὼν
ἐπὶ πρόσωπον ἐναντίον πάσης συνα-
γωγῆς υἱῶν Ἰσραήλ.

** ΙΩΣΗΠΟΥ. Μωϋσῆς καὶ Ἀαρὼν πεσόντες ἐπὶ τὴν γῆν, τὸν Θεὸν ἱκέτευον, οὐχ ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, ἀλλ' ὅπως τῆς ἀμαθίας παύσῃ τὸ πλῆθος, καὶ καταστήσῃ τὴν διάνοιαν αὐτῶν, ὑπὸ τῆς ἀμηχανίας τοῦ παραστάντος αὐτοῖς πάθους τεταραγμένην.

ς. Ἰησοῦς δὲ ὁ τοῦ Ναυῆ, καὶ Χά-
λεβ ὁ τοῦ Ἰεφοννὴ τῶν κατασκεψα-
μένων τὴν γῆν, διέῤῥηξαν τὰ ἱμάτια
ζ. αὐτῶν, Καὶ εἶπαν πρὸς πᾶσαν συ-
ναγωγὴν υἱῶν Ἰσραὴλ, λέγοντες, ἡ
γῆ ἣν κατεσκεψάμεθα αὐτὴν, ἀγα-
η. θή ἐστι σφόδρα σφόδρα. Εἰ αἱρετίζει
ἡμᾶς Κύριος, εἰσάξει ἡμᾶς εἰς τὴν
γῆν ταύτην, καὶ δώσει αὐτὴν ἡμῖν·
γῆ ἥτις ἐστὶ ῥέουσα γάλα καὶ μέλι.
θ. Ἀλλὰ ἀπὸ τοῦ Κυρίου μὴ ἀποστάται
B γίνεσθε. ὑμεῖς δὲ μὴ φοβηθῆτε τὸν
λαὸν τῆς γῆς, ὅτι κατάβρωμα ὑμῖν
ἐστίν· ἀφέστηκε γὰρ ὁ καιρὸς ἀπ' αὐ-
τῶν. ὁ δὲ Κύριος ἐν ἡμῖν· μὴ φοβη-
θῆτε αὐτούς.

ΚΥΡΙΛΛΟΥ. Χάλεβ καὶ Ἰησοῦς ἔφασκον ἐναργῶς, ὡς [ἀγαθή τε] καὶ πίων ἡ
» γῆ. καὶ εἰ αἱρετίζει ἡμᾶς Κύριος, εἰσάξει
» ἡμᾶς ἐπ' αὐτήν. περιέσονται δὲ ὅτι τῶν κατῳκηκότων, Θεοῦ προασπίζοντος, διε-
Γ βεβαιοῦντο πάλιν.

ΤΟΥ ΑΥΤΟΥ. Τοιγάρτοι καὶ ἡ πολλὴ τῶν Ἰουδαίων πληθὺς ἀπώλισθε μὲν τῆς ἐπαγγελίας, ἀμέτοχος δὲ τῆς διὰ Χριστοῦ χάριτος γέγονε, πλὴν σέσωσται τὸ κατάλειμμα, καὶ οὐ δίχα Χριστοῦ. τύπος δ' ἂν εἴη καὶ τοῦδε σαφὴς Χάλεβ [υἱὸς Ἰεφοννὴ,] καὶ Ἰησοῦς. διερμηνεύεται δὲ Χάλεβ, πᾶσα καρδία· Ἰεφοννὴ δὲ, ἐπιστροφή. οὐκοῦν οἱ τελείαν μὲν ἔχοντες μετὰ Θεοῦ τὴν καρ-
Δ δίαν, υἱοὶ τῆς ἐπιστροφῆς, συνόντος αὐτοῖς τοῦ Ἰησοῦ. εἶεν δ' ἂν οἱ πεπιστευκότες, καὶ ὡς ἐν ἀπαρχῇ νοούμενοι τοῖς ἁγίοις Ἀποστόλοις, [οἳ κεκλήκασι τὸν Ἰσραήλ· καὶ ἐν αὐτοῖς ἂν νοοῖτο τὸ κατάλειμμα.]

ι. Καὶ εἶπε πᾶσα ἡ συναγωγὴ
λιθοβολῆσαι αὐτοὺς ἐν λίθοις. καὶ ἡ
δόξα Κυρίου ὤφθη ἐν τῇ νεφέλῃ ἐπὶ
τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν πᾶσι τοῖς
E υἱοῖς Ἰσραήλ.

ΚΥΡΙΛΛΟΥ. Παραθήγοντας πρὸς ἀνδρείαν τοὺς ἀμφὶ τὸν Ἰησοῦν, καὶ χοῦν καταπασομένους καταλιθοῦν ἐπεχείρουν. [ἡκόντων δὲ ἤδη πρὸς τοῦτο λοιπὸν ἀθλιότητος
» τῶν πραγμάτων, ὤφθη, φησὶ, δόξα Κυ-
» ρίου· ἐν νεφέλῃ ἐπὶ τὴν σκηνὴν τοῦ μαρτυ-
» ρίου ἐν πᾶσι τοῖς υἱοῖς Ἰσραήλ.]

ια. Καὶ εἶπε Κύριος πρὸς Μωϋ-
Z σῆν, ἕως τίνος παροξύνει με ὁ λαὸς
οὗτος (3) ἐν πᾶσι τοῖς σημείοις, οἷς
ἐποίησα ἐν αὐτοῖς;

ιβ. Πατάξω αὐτοὺς θανάτῳ, καὶ
ἀπολῶ αὐτούς· καὶ ποιήσω σε καὶ τὸν
οἶκον τοῦ πατρός σου ἔθνος μέγα, καὶ
πολὺ μᾶλλον ἢ τοῦτο.

ΑΔΗΛΟΥ. Ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῆς
» μοσχοποιΐας.

H ιγ. Καὶ εἶπε Μωϋσῆς πρὸς Κύριον,
καὶ ἀκούσεται Αἴγυπτος, ὅτι ἀνήγα-
γες

(1) 14. ἐστὶν ἐν ταῖς εἰρημ. ἐκδόσ. (2) Ἀντιλέγουσιν ὁ Λατῖν. μεταφράζει. καὶ οὕτως ἀναγνωστ.
(3) Καὶ ἕως τίνος οὐ πιστεύουσί μοι. αὐτ.

γες τὸν λαὸν τοῦτον ἐν τῇ ἰσχύϊ σου ἐξ
ιδ. αὐτῶν. Ἀλλὰ καὶ πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς ταύτης ἀκηκόασιν, ὅτι σὺ Κύριος ἐν τῷ λαῷ τούτῳ, ὅστις ὀφθαλμοῖς κατ' ὀφθαλμοὺς σὺ ὀπτάζῃ Κύριε, καὶ ἡ νεφέλη σου ἐφέστηκεν ἐπ' αὐτῶν, καὶ ἐν στύλῳ νεφέλης σὺ πορεύῃ πρότερος αὐτῶν τὴν ἡμέραν, καὶ ἐν στύλῳ πυρὸς τὴν νύκτα.

ΤΟΥ ΝΥΣΣΗΣ. Σοφὸς ὁ λόγος. ἀφ' ὧν ἔδωκεν ἤδη ὁ Θεὸς, ἐπιζητεῖ τὴν πλήρωσιν τὴν ἑαυτῷ πρέπουσαν, εἰ καὶ μὴ τῷ λαῷ κατ' ἀξίαν. πρέπει γὰρ τῷ Θεῷ ἐπιτελεῖν ἃ ἐπήγγελται, καὶ ὧ ἀρχὰς δέδωκεν. ἐπηγγείλατο δὲ τὴν κάθεξιν τῆς γῆς, καὶ ἐπὶ ταύτης ἐξήγαγε. (1)

ιε. Καὶ ἐκτρίψεις τὸν λαὸν τοῦτον ὡσεὶ ἄνθρωπον ἕνα, καὶ ἐροῦσι τὰ ἔθνη ὅσοι ἀκηκόασι τὸ ὄνομά σου, λέ-
ις. γοντες, Παρὰ τὸ μὴ δύνασθαι Κύριον εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν γῆν ἣν ὤμοσεν αὐτοῖς, κατέστρωσεν αὐτοὺς ἐν τῇ ἐρήμῳ.

ΑΔΗΛΟΥ. Ὡσανεὶ ἔλεγε· τῆς σῆς, ὦ δέσποτα, δόξης μελησάτω σοι, καὶ μὴ δῷς τοῖς ἔθνεσι κατὰ σοῦ βλάσφημον ἀγεῖραι φωνὴν, ὡς ἀσθενήσαντος τελείαν εὐεργεσίαν ποιῆσαι τοῖς τῇ σῇ λελυτρωμένοις χειρί.

ιζ. Καὶ νῦν ὑψωθήτω ἡ ἰσχύς σου
ιη. Κύριε, ὃν τρόπον εἶπας, λέγων, Κύριος μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινὸς, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ καθαρισμῷ οὐ καθαριεῖ τὸν ἔνοχον, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς.

ΑΔΗΛΟΥ. Ἅπερ ἀκήκοεν ἐπιφανεία Θεοῦ, ἐξ αὐτῶν εἰσάγων οἰκείως τὴν δέησιν.

** ΠΡΟΚΟΠΙΟΥ. Ὑπομιμνήσκει καὶ ὧν Θεὸς παρέδωκε περὶ ἑαυτοῦ ἐν Σινᾶ, ὡς ἐλεήμων καὶ δίκαιος. εἰς μὲν τὸ ἔλεος, » οὗ καὶ δεῖται, λέγων· ὃν τρόπον εἶπας, » μακρόθυμος καὶ πολυέλεος, καὶ τὰ ἑξῆς· εἰς δὲ τὸ δίκαιος, οὐδὲ τοῦτο γὰρ ἀναίνεται, » καὶ καθαρισμῷ οὐ καθαριεῖ τὸν ἔνοχον, καὶ τὰ ἑξῆς· καὶ πάλιν εἰς τὸν ἔλεον τὸ, » ἱλάσθητι δὴ τῇ ἀνομίᾳ τοῦ λαοῦ τούτου, κα- » θάπερ ἵλεως αὐτοῖς ἐγένου ἀπὸ Αἰγύπτου ἕως τοῦ νῦν. καὶ λόγῳ μαθὼν ἄρα, καὶ ἔργῳ πειραθεὶς, ὡς ἐλεήμων, δι' ἀμφοτέρων αἰτεῖται τὸν ἔλεον. τὸ δὲ περὶ τῆς κρίσεως ἐν ὑποθέσει διττόν· ἢ ἄφεσιν αἰ- » τῶν, διὰ τὸ, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας· ἢ ὑπέρθεσιν, ὡς ἐπὶ ἑνὸς ἀνθρώπου τοῦ ὅλου
4. Βασ. 20. 19. γένους. καὶ Ἐζεκίας γὰρ ἔφη, γενέσθω δὴ » εἰρήνη ἐν ταῖς ἡμέραις μου. ἡ μὲν γὰρ ἐν τέλει κρίσις μετὰ τὰς πράξεις, ἀνυπέρ-
A θετος· νυνὶ δὲ καὶ μεταξὺ τῶν πράξεων ὑπέρθεσις εἰς ἐπιστροφὴν, ἥτις εἰ μὴ γένοιτο, καὶ ἐπ' αὐτῶν καὶ ἐπὶ τῶν μετ' αὐτοὺς ἡ τιμωρία, ὡς αὐτοὺς ὄντας, εἰ μὴ ἐπιστρέφοιεν· καὶ πρὸς φόβον ἑτέρων αἱ εἰς ἑτέρους ἀπότομοι τιμωρίαι, ὡς καὶ ἡ Κάϊν, καὶ ἐπὶ γίγαντας καὶ τοὺς σὺν αὐτοῖς· οὗτοι οὖν ἔνοχοι, οὓς (2) καθαριεῖ, οἱ κατάρχοντες κακοῦ, οἱ ἐπὶ πληρώσει τῶν ἁμαρτιῶν, οἷοι Χαναναῖοι καὶ Ἀμοῤῥαῖοι.

B ** ΚΥΡΙΛΛΟΥ. Δυσωπεῖν ἐδόκει καὶ διὰ τούτων αὐτὸν, καὶ μονονουχὶ πρὸς ὑπόμνησιν ἄγειν ὧν αὐτὸς ἐφθέγξατο. ὅτε τῆς ἀνέσεως αὐτῷ χρηστότητος ἐποιεῖτο τὴν παῤῥησίαν. ὅπως γὰρ αὐτὸς ἐστι μακρόθυμος, καὶ πολυέλεος. καὶ ὅτι πέφυκεν ἀνομίας καὶ ἁμαρτίας ἀναιρεῖν, ἐν τούτοις εὖ μάλα διαγνωσθήσεται, ἐν οἷς μάλιστα δοκεῖ τις εἶναι πικρός. τίνα τοίνυν προσῆκε νοῆσαι τρόπον τὰ εἰρημένα παρὰ Θεοῦ, λοιπὸν
Γ » οἶμαι πρέπειν εἰπεῖν. Κύριος, φησὶ, μα- » κρόθυμος, καὶ πολυέλεος, ἀφαιρῶν ἀνο- » μίας καὶ ἁμαρτίας· εἶτα τὸ τούτων κείμενον ἐφεξῆς ὡς ἐν ἐρωτήσει μεθ' ὑποστιγμῆς » ἀναγνωσόμεθα, καὶ καθαρισμῷ οὐ καθα- » ριεῖ τὸν ἔνοχον; ἵνα τί τοιοῦτον ἐννοήσῃς· ὁ μακρόθυμος, φησὶ, καὶ πολυέλεος Θεὸς, ὁ ἀφαιρῶν ἀνομίας καὶ ἁμαρτίας, οὐκ ἂν καθαρίσαι καθαρισμῷ τὸν ἔνοχον; ἀλλ' ἔστιν οὐκ ἀμφίβολον. καθαριεῖ γὰρ πάν-
Δ τως· ἐπεὶ πῶς ἐστὶ μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀφαιρῶν ἁμαρτίας; πῶς δὲ εἰ μὴ καθαρίζει τὸν ἔνοχον; πρὸς δέ γε τούτῳ, τῆς ἀνέσεως αὐτῷ πάλιν μακροθυμίας τε καὶ ἀνεξικακίας εἰς ἀπόδειξιν ἀποφέρει, καὶ ὅτι τὰς τῶν πατέρων ἁμαρτίας ἐπιθήσει τέκνοις ἕως τρίτης καὶ τετάρτης γενεᾶς· οὐχ ὑπὲρ πατρὸς κολάζων υἱὸν, μὴ τοῦτο νομίσῃς, ἀλλ' οὐδὲ ἐκγόνων τῶν μακρὰν, καθάπερ τι φορτίον
E ἐπιῤῥίπτων τῶν προγόνων τὰ πταίσματα, σημαίνων δέ τι τοιοῦτον· γέγονέ τις τυχὸν ἀνὴρ παράνομος, καὶ μοχθηρίας ἁπάσης ἀνάμεστον ἔχων τὴν διάνοιαν, καὶ κολάζεσθαι μὲν ὑπερθέσεως ἁπάσης δίχα τὸν οὕτω διαζῆν ᾑρημένον ἐχρῆν· ἐκαρτέρησε δ' οὖν ὅμως ὁ Θεὸς ἀνεξικάκως, οὐκ ἐπενεγκὼν αὐτῷ τὴν αὐτῷ χρεωστουμένην ὀργήν. εἶτα τούτῳ γέγονεν ὁ υἱὸς ταῖς τοῦ πατρὸς δυσσεβείαις ἁμιλλώμενος, καὶ παρατρέχων
Z ἐν κακίᾳ τὸν φύσαντα· καὶ ἐμακροθύμησε καὶ τούτῳ Θεός· ἀλλὰ καὶ ἐκ τούτου γέγονε τρίτος, ἢ καὶ ἐκ τοῦ τρίτου τέταρτος, κατ' οὐδένα τρόπον ὅσον εἰς κακίας εἶδος τῶν πατέρων ἡττώμενος, ἰσόῤῥοπον δὲ ταῖς ἐκείνων ἐπιτηδεύσας τὴν δυσσέβειαν. ἐπάγει λοιπὸν ὁ Θεὸς τὴν ἄνωθεν καὶ ἀπ' ἀρχῆς ὅλῳ τῷ γένει χρεωστουμένην ὀργὴν, ἀνεξικακήσας διαρκῶς, μᾶλλον δὲ καὶ ὑπὲρ ἐχρῆν. τὸ γὰρ ὑπερθέσθαι τὴν
H τιμωρίαν καὶ μέχρι τετάρτης γενεᾶς, πῶς οὐκ ἂν γένοιτο θεοπρεπὲς ὄντως ἡμερότητος ἐγκώμιον;

ΤΟΥ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

(2) Οὐ καθαριεῖ, ἀνάγν.

ΤΟΥ ΑΥΤΟΥ. Ὅτι ἀνεξικακίᾳ ὁ Θεὸς τὴν ὀφείλουσαν ἐπενεχθῆναι τιμωρίαν τοῖς πατράσιν ἐᾷ ὅτε εἰς τοὺς ἐγγόνους ἐκλείνει· ὅταν καὶ αὐτοὶ ὦσι τῆς τοιαύτης τοῖς πατράσι κακίας. (1).

ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅταν τὶς, φησὶν, ἑωρακὼς πολλοὺς τιμωρουμένους ἐπὶ ἁμαρτήμασιν οἷς ἐποίησαν, μὴ σωφρονισθῇ, ἀλλ' ἐπὶ τοῖς αὐτοῖς ἁλῷ· χαλεπωτέραν δίδωσι τιμωρίαν, ἧς ὑπέστησαν οἱ πρὸ αὐτοῦ. εἰς δὲ τὸ κατὰ Ἰωάννην φησίν· (2) ὅτι ἡ ἀπόφασις αὕτη πρὸς μόνους τοὺς ἐξελθόντας ἐξ Αἰγύπτου ἐστίν. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· μετὰ τὰ σημεῖα (3) καὶ τέρατα, τῶν γονέων γεγόνασι χείρους τῶν οὐδὲν τούτων θεασαμένων. διὸ ταῦτα πείσονται ἅπερ ἔπαθον ἐκεῖνοι.

ιθ. Ἄφες τὴν ἁμαρτίαν τῷ λαῷ τούτῳ κατὰ τὸ μέγα ἔλεός σου, καθάπερ ἵλεως ἐγένου αὐτοῖς ἀπ' Αἰγύπτου ἕως τοῦ νῦν.

κ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, ἵλεως αὐτοῖς εἰμὶ κατὰ τὸ ῥῆμά σου.

** ΠΡΟΚΟΠΙΟΥ. Τοῦτο εἰς τὸ τέλος τείνει μᾶλλον ἢ εἰς τὴν τότε γενεάν. οὐδὲν γὰρ μέγα τὸ μὴ εὐθὺς ἀπολέσθαι, ἀλλὰ τεσσαρακοστὸν ἔτος πεσεῖν ἐν τῇ ἐρήμῳ τὰ πτώματα αὐτῶν· μέγα δὲ τὸ μὴ ἐξαλειφθῆναι τὸ γένος, καίτοι τοῦ κατὰ Χριστὸν ἐξαναστάντος λαοῦ. οὗτος ὁ μέγας ἱλασμός,
Λουκ. 23. 34. κατὰ τό, πάτερ ἄφες αὐτοῖς, οὐκ οἴδασιν
ὃ ποιοῦσι. τοιοῦτον καὶ παρὰ τῷ Προφήτῃ·
Ψαλ. 58. 11. μὴ ἀποκτείνῃς αὐτούς.

κα. Ἀλλὰ ζῶ ἐγὼ καὶ ζῶν τὸ ὄνομά μου, καὶ ἐμπλήσει ἡ δόξα Κυρίου πᾶσαν τὴν γῆν.

ΑΔΗΛΟΥ. Προλέγοντός ἐστι τὴν τῶν Ἰουδαίων ἀποβολὴν, καὶ τὴν τῶν ἐθνῶν κλῆσιν καὶ σωτηρίαν. προστίθησι δὲ ὅρκον τῇ προρρήσει, πιστούμενος αὐτοῖς τὴν ἔκβασιν. ταύτῃ τῇ ἀποφάσει παρὰ Θεοῦ κρῖναι συμβαίνειν τὴν ἐν τοῖς Εὐαγγελίοις
Ματθ. 21. 43. παραβολὴν τοῦ Κυρίου. ἐν ᾗ φησιν, ἀρθή-
» σεται ἀφ' ὑμῶν ἡ βασιλεία, καὶ δοθήσεται
» ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. (4)
» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, καὶ ἐμπλήσει
» ἡ δόξα Κυρίου πᾶσαν τὴν γῆν; Προλέγει
τὴν Ἰουδαίων ἀποβολὴν, καὶ τῆς οἰκουμένης
τὴν σωτηρίαν, καὶ ὅρκον τῇ προρρήσει
» προστίθησι· ζῶ γάρ φησιν ἐγὼ καὶ ζῶν τὸ
» ὄνομά μου, καὶ ἐμπλήσει ἡ δόξα Κυρίου πᾶ-
» σαν τὴν γῆν. εἶτα ἐκφέρει τὴν ψῆφον
κατὰ τῶν ἀριθμηθέντων πάντων, πλὴν

A Χάλεβ υἱοῦ Ἰεφοννῆ, καὶ Ἰησοῦ τοῦ Ναυῆ, οἱ πρὸς τῇ ἀληθείᾳ τῶν μηνυμάτων, τὴν εὐσεβῆ παραίνεσιν προσήνεγκαν τῷ λαῷ. ταύτῃ μέντοι παραβαλεῖν προσήκει τῇ ἀποφάσει τὴν ἐν τοῖς Εὐαγγελίοις εἰρη-
» μένην· ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία, Ματθ. 21. 43.
» καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς
αὐτῆς. τύπος γὰρ τῶν μὲν ἠπιστηκότων Ἰουδαίων, οἱ ἐν τῇ ἐρήμῳ πεπτωκότες δι' ἀπιστίαν· τῶν δὲ πεπιστευκότων ἐθνῶν, οἱ
B ἀπερίτμητοι παῖδες, οἱ ἀντὶ ἐκείνων διὰ Ἰησοῦ τὴν γῆν ἀπειληφότες τὴν τοῖς προγόνοις ἐπηγγελμένην.

κβ. Ὅτι πάντες (5) οἱ ὁρῶντες τὴν δόξαν μου, καὶ τὰ σημεῖα ἃ ἐποίησα ἐν Αἰγύπτῳ, καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ, καὶ ἐπείρασάν με τοῦτο δέκατον, καὶ οὐκ εἰσήκουσαν τῆς φωνῆς μου.

Γ ΑΔΗΛΟΥ. Πρῶτος πειρασμὸς, ὅτε εἶδον τοὺς Αἰγυπτίους ἐρχομένους ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐγόγγυζον κατὰ Μωϋσέως. β', εἰς Μερρὰν ὅπου τὸ πικρὸν ὕδωρ. γ', ὅτε γογγύσασιν ἔβρεξεν αὐτοῖς τὸ μάννα. δ', ὅτε ἀκούσαντες μὴ φυλάξαι ἐκ τοῦ μάννα εἰς τὸ πρωῒ, διετήρησαν. ε', ὅτε ἀκούσαντες μὴ συλλέγειν ἐν σαββάτῳ μάννα, ἐξῆλθον. ς', ὅτε ἐν Ῥαφιδὶν ἐδίψησεν ὁ λαός. ζ', ὅτε ἐμοσχοποίησαν. η', ὅτε
Δ ἐγόγγυζον κατὰ Θεοῦ, καὶ ἐξελθὸν πῦρ κατέφαγε μέρος τῆς παρεμβολῆς. θ', ὅτε ἐγόγγυζον, κρέας ζητοῦντες, καὶ ἦλθεν ἡ ὀρτυγομήτρα. ι', ὅτε ἀπεστάλησαν οἱ κατασκοπήσαντες τὴν Παλαιστίνην. (6)

» ΑΚΑΚΙΟΥ. Ἐπείρασάν με, φησὶ, τοῦτο
» δέκατον· α' μὲν ἰδόντες τοὺς Αἰγυπτίους
στρατοπεδεύσαντας ὀπίσω αὐτῶν, εἰπόντες
» τε τῷ Μωϋσῇ· παρὰ τὸ μὴ ὑπάρχειν μνή- Ἐξόδ. 14. 11.
» ματα ἐν Αἰγύπτῳ, ἐξήγαγες ἡμᾶς θανα-
E τῶσαι, καὶ τὰ ἑξῆς. β' δὲ, ἐν τῇ Μερρᾷ,
διὰ τὸ μὴ δύνασθαι ἐκ τοῦ ὕδατος πιεῖν. πι- Ἐξόδ. 15. 23.
» κρὸν γὰρ ἦν. γ', γογγύζοντες ἐπὶ Μωϋσῆν
» καὶ Ἀαρὼν, μεμνημένοι τῶν λεβήτων τῶν Ἐξόδ. 16. 3.
» κρεῶν, καὶ τῶν ἄρτων, καθ' ὃν καιρὸν ἐδό-
θη αὐτοῖς τὸ μάννα, καὶ ἡ προτέρα ὀρτυ-
γομήτρα. δ', οὐκ εἰσακούσαντες Μωϋσέως τοῦ
μὴ καταλιπεῖν ἀπὸ τοῦ μάννα εἰς τὸ πρωῒ.
» διὸ καταλιπόντων τινῶν, ἐξέζεσε σκώλη- Ἐξόδ. 16. 20.
» κας, καὶ ἐπώζεσε. ε', παρακούσαντες τῆς
Z. τοῦ σαββάτου ἐντολῆς, ὡς ἐξελθόντας τι-
» νὰς ἐκ τοῦ λαοῦ συλλέξαι, μὴ εὑρεῖν. ς', πα- Ἐξόδ. 16. 27.
ρεμβεβληκότες εἰς Ῥαφιδὶν, καὶ μὴ ἔχον- «
τες ὕδωρ πιεῖν, ἐλοιδορεῖτο πρὸς Μωϋσέα. «
ἐν ᾧ χρόνῳ, πατάξαντος Μωϋσέως τὴν
» πέτραν τὴν ἐν Χωρὴβ, ἐξῆλθεν ἐξ αὐτῆς Ἐξόδ. 17. 6.
ὕδωρ,

(1) Λῆμμα ἔοικε τῶν ὄπισθεν.

(2) Ὁ θεῖος Χρυσόστομος δηλαδὴ ἐν τῇ 56. ὁμιλίᾳ τῇ εἰς τὸ 9. τοῦ Ἰωάν. κεφ. τὰ πρότερα γὰρ (ἅπερ ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρομεν) ἄλλοθί που συνερανισάμενος ὁ τὴν βίβλον τυχὸν συντάξας, τοῖς ἑξῆς συνῆψε ῥήμασιν, εἰπών· εἰς δὲ τὸ κατὰ Ἰωάννην φησί.

(3) Ἐπειδὴ οἱ ἐξ Αἰγύπτου ἐξελθόντες μετὰ τὰ σημεῖα καὶ τὰ θαύματα, τῶν προγόνων γεγόνασι χείρους τῶν οὐδὲν τούτων θεασαμένων, τὰ αὐτὰ πείσονται φησιν, ἅπερ ἔπαθον ἐκεῖνοι. αὐτ.

(4) Περίληψις εἰσὶ τῶν ἑπομένων τοῦ Θεοδωρίτ.

(5) Πάντες οἱ ἄνδρες. αἱ εἰρημ. ἐκδόσ.

(6) Σύνοψις τῶν ἑξῆς τοῦ Ἀκακίου.

A ὕδωρ, καὶ ἔπιεν ὁ λαός. ζʹ, ποιήσαντες
Ἐξόδ. 32. 4. μόσχον χρυσοῦν ἐν Χωρὴβ, καὶ προσκυνήσαντες αὐτῷ. ηʹ, γογγύζοντες πονηρὰ ἔναντι Κυρίου, ἅπερ ἀκούσαντος καὶ θυμω-
Ἀριθ. 11. 1, 3. θέντος ὀργῇ, ἐξεκαύθη ἐν αὐτοῖς πῦρ, καὶ » κατέφαγε μέρος τῆς παρεμβολῆς. ὅθεν » ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, ἐμπυ» ρισμός. θʹ, κλαύσαντες μετὰ τῶν ἐπιμίκ-
Ἀριθ. 11. 4, 5. των, καὶ εἰπόντες· τίς ψωμιεῖ ἡμᾶς κρέας; » ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰ» γύπτῳ δωρεὰν, καὶ τὰ ἑξῆς. καθ' ὃν καιρὸν ἐδόθη αὐτοῖς τὸ δεύτερον ἡ ὀρτυγομήτρα ἐπὶ μίαν ἡμερῶν. ιʹ, πιστεύσαντες τοῖς δέκα τῶν κατασκόπων, ὡς φοβηθέντες μὴ θέλειν πολεμεῖν τοὺς Χαναναίους, ὧν καὶ τὴν γῆν κληρονομεῖν ἔμελλον.

κγ. Ἡ μὴν οὐκ ὄψονται τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν· ἀλλ' ἢ τὰ τέκνα αὐτῶν ἅ ἐστι μετ' ἐμοῦ ὧδε, ὅσοι οὐκ οἴδασιν ἀγαθὸν ἢ κακὸν, πᾶς νεώτερος ἄπειρος, τούτοις δώσω τὴν γῆν. πάντες δὲ οἱ παροξύναντές με, οὐκ ὄψονται αὐτήν.

ΩΡΙΓΕΝΟΥΣ. Παρατηρητέον, ὅτι τῶν ἐκ γῆς Αἰγύπτου ἐξελθόντων εἰσῆλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας τινές. οὐδὲ γὰρ ὁ Θεὸς τοῦτο ἀπηγόρευσεν, ἀλλὰ μόνους τοὺς εἰκοσαετεῖς καὶ ἐπάνω τῶν ἐξελθόντων ἐκ γῆς Αἰγύπτου μοσχοποιήσαντας ἀνεῖλεν ἐν τῇ ἐρήμῳ, δηλονότι συγγνοὺς (1) τῆς νεότητος αὐτοῖς, οἷς ὁ τῆς ζωῆς χρόνος οὔπω εἰκοσαετὴς ἦν, καὶ πολλῷ μᾶλλον τοῖς βρέφεσι, καὶ παιδίοις, ἕως τῆς ἐφήβου ἡλικίας.

* ΤΟΥ ΑΥΤΟΥ. Τοῦτο τύπος τῆς ἀλη-
Ματθ. 18. 3. θείας. ἐὰν γὰρ μὴ στραφῆτε καὶ γένησθε » ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν » βασιλείαν.

* ΚΥΡΙΛΛΟΥ. Οὐκοῦν εἰς τύπον ἂν εἶεν τοῦ νέου λαοῦ τὰ καὶ αὐτῷ τῷ Χάλεβ συνεισκομιζόμενα βρέφη.

κδ. Ὁ δὲ παῖς μου Χάλεβ, ὅτι ἐγενήθη πνεῦμα ἕτερον ἐπ' αὐτῷ, καὶ ἐπηκολούθησέ μοι, καὶ εἰσάξω αὐτὸν εἰς τὴν γῆν εἰς ἣν εἰσῆλθεν ἐκεῖ, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει αὐτήν.

** ΑΘΑΝΑΣΙΟΥ. Ἄλλη γὰρ διάνοια παρὰ τὴν ἐκείνων αὐτὸς λαλήσας, εὐάρεστος Θεῷ γέγονε.

B ** ΠΡΟΚΟΠΙΟΥ. Χάλεβ μόνον ἀπὸ τούτων εἰσάξειν λέγει ἑτέρῳ πνεύματι κινηθέντα τῷ πιστῷ καὶ ὑπηκόῳ, καὶ ἀκολουθήσαντα αὐτῷ, εἰς τόπον (2) τοῦ λαοῦ τὸν Χάλεβ εἰπών· τὸν δὲ Ἰησοῦν, ὡς ἄρχοντα, χωρίσας ἐν σιωπῇ, τύπον ὄντα τοῦ ἀληθῶς Ἰησοῦ, δι' οὗ ὁ λαὸς σώζεται. τὸ δὲ κατὰ τὸν Χάλεβ δείκνυσι καὶ ἕνα ἄνθρωπον ἀπειθοῦς λαοῦ προτιμότερον. ὃς ἂν εἴποι
» δικαίως· μὴ συναπολέσῃς μετὰ ἀσεβῶν Ψαλ. 25. 9.
Γ » τὴν ψυχήν μου· καὶ, τὸ σπέρμα αὐτοῦ κλη- Ψαλ. 24. 13.
» ρονομήσει γῆν, οὐ τὴν Ἰουδαίαν μόνην, ἀλλὰ
» καὶ πᾶσαν. καὶ γὰρ οἱ πραεῖς κληρονο- Ψαλ. 36. 11.
» μήσουσι τὴν γῆν, κατὰ τὸν Δαβὶδ, καὶ Ματθ. 5. 5.
τὸν τοῦ Κυρίου μακαρισμόν. ἅπερ γὰρ ἐπὶ τοῦ Ἰσραὴλ μερικῶς, ταῦτα ἐπὶ πάντων καθολικῶς.

κε. Ὁ δὲ Ἀμαλὴκ καὶ ὁ Χαναναῖος κατοικοῦσιν ἐν τῇ κοιλάδι. αὔ-
Δ ριον ἐπιστράφητε καὶ ἀπάρατε ὑμεῖς εἰς τὴν ἔρημον, ὁδὸν θάλασσαν ἐρυθράν.

** ΠΡΟΚΟΠΙΟΥ. Ὑποστροφὴν εἰς τιμωρίαν ἐπιβάλλει· ὥσπερ ταῖς διανοίαις ὑπέστρεψαν εἰς τὰ ἐν Αἰγύπτῳ· ἀλλ' οὐκ εἰς ἀπόλαυσιν ὧν ἐπόθησαν, ἀλλ' εἰς τιμωρίαν καὶ φθοράν. οὕτω καὶ Ἀδὰμ ἀποστραφεὶς ἀπὸ τοῦ βλέπειν εἰς Θεὸν, εἰς γῆν ὑπέστρε-
E » ψεν, ἀφ' ἧς ἐλήφθη. τὰς γὰρ ὁδοὺς αὐτῶν, Ἰεζ. 22. 31.
» φησὶν, εἰς κεφαλὴν αὐτῶν δέδωκα.

ΚΕΦ. ΙΔ. (3)

α. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν, λέγων, β. Ἕως τίνος τὴν συναγωγὴν τὴν πονηρὰν ταύτην; ἃ αὐτοὶ γογγύζουσιν ἐναντίον μου, τὴν γόγγυσιν τῶν υἱῶν Ἰσραὴλ, ἣν ἐγόγγυσαν περὶ ὑμῶν, ἀκήκοα.

γ. Εἰπὸν αὐτοῖς, ζῶ ἐγὼ, λέγει Κύριος· ἦ μὴν ὃν τρόπον λελαλήκατέ εἰς τὰ ὦτά μου, οὕτω ποιήσω ὑμῖν.

» ** ΩΡΙΓΕΝΟΥΣ. Ζῶ ἐγὼ, λέγει Κύριος, τάχα τοῦ κυρίως ζῆν, μάλιστα ἐκ τῶν εἰρημένων περὶ τοῦ ζῆν, παρὰ μόνῳ τυγχάνοντος τῷ Θεῷ. καὶ ὅρα εἰ διὰ τοῦτο δύναται ὁ Ἀπόστολος τὴν εἰς ὑπερβολὴν ὑπεροχὴν νοήσας τῆς ζωῆς τοῦ Θεοῦ, καὶ
» ἀξίως Θεοῦ συνιεὶς τὸ, ζῶ ἐγὼ, λέγει Κύ-
» ριος, εἰρηκέναι περὶ Θεοῦ, ὁ μόνος ἔχων Α. Τιμ. 6. 16.
Z » ἀθανασίαν, οὐδενὸς τῶν παρὰ τὸν Θεὸν ζώντων ἔχοντος τὴν ἄτρεπτον πάντη καὶ ἀναλλοίωτον ζωήν. καὶ τί διστάζομεν περὶ τῶν λοιπῶν, ὅτε οὐδὲ ὁ Χριστὸς εἶχε τὴν τοῦ
» πατρὸς ἀθανασίαν; ἐγεύσατο γὰρ ὑπὲρ Ἑβρ. 2. 9.
» παντὸς θανάτου.

δ. Ἐν τῇ ἐρήμῳ ταύτῃ πεσεῖται τὰ κῶλα ὑμῶν· καὶ πᾶσα ἡ ἐπισκοπὴ ὑμῶν, καὶ οἱ κατηριθμημένοι ὑμῶν
H ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, ὅσοι ἐγόγγυσαν ἐπ' ἐμοί.

ΑΠΟ-

(1) Φειδόμενος συγγενοῦς τῆς νεότ. ἐν τόμ. 2. σελ. 370. τῆς τοῦ Ρ. ἐκδόσ.. (2) Ἰσ. εἰς τύπον.
(3) Συνημμένον ἐστὶ τόδε τὸ κεφ. τῷ ἀνωτέρῳ ἐν ταῖς εἰρημ. ἐκδόσ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐκ ἤλπισαν τὸ κρεῖττον, πάσχουσι τὸ χεῖρον ὃ προσεδόκησαν. καὶ πᾶς ὁ μὴ πιστεύων εἰς Θεὸν, ἀποτυγχάνει τῶν ἐκ πίστεως ἀγαθῶν. καὶ τῷ λογιζομένῳ τὶ κοινὸν, ἐκείνῳ κοινὸν, (1) οὐχ εὑρίσκοντος τὴν κάθαρσιν, ἣν οὐκ ἐπίστευσεν.

ε. Εἰ ὑμεῖς εἰσελεύσεσθε εἰς τὴν
γῆν ἐφ' ἣν ἐξέτεινα τὴν χεῖρά μου
κατασκηνῶσαι ὑμᾶς ἐπ' αὐτῆς. ἀλλ'
ἢ Χάλεβ υἱὸς Ἰεφοννὴ, καὶ Ἰησοῦς
ς. ὁ τοῦ Ναυῆ, Καὶ τὰ παιδία, ἃ εἴ-
πατε εἰς διαρπαγὴν ἔσεσθε, εἰσάξω
αὐτοὺς εἰς τὴν γῆν· καὶ κληρονομή-
σουσι τὴν γῆν, ἣν ὑμεῖς ἀπέστητε ἀπ'
αὐτῆς.

ΑΔΗΛΟΥ. Οἱ μὲν, διὰ τὴν ἑαυτῶν πίστιν εἰσάγονται· οἱ δὲ, διὰ τὴν ἀκακίαν.

ζ. Καὶ τὰ κῶλα ὑμῶν πεσεῖται ἐν τῇ ἐρήμῳ ταύτῃ.

ΑΔΗΛΟΥ. Τύπος τῶν ἠπιστηκότων Ἰουδαίων οἱ ἐν τῇ ἐρήμῳ πεσόντες· τῶν δὲ πεπιστευκότων ἐθνῶν, οἱ ἀπερίτμητοι παῖδες. οἱ ἀντ' ἐκείνων διὰ Ἰησοῦ τὴν γῆν ἀπειληφότες τὴν τοῖς προγόνοις αὐτῶν ἐπηγγελμένην. (2)

η. Οἱ δὲ υἱοὶ ὑμῶν ἔσονται νεμό-
μενοι ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη·
καὶ ἀνοίσουσι τὴν πορνείαν ὑμῶν, ἕως
ἂν ἀναλωθῇ τὰ κῶλα ὑμῶν ἐν τῇ
θ. ἐρήμῳ, Κατὰ τὸν ἀριθμὸν τῶν ἡμε-
ρῶν, ὅσας κατεσκέψασθε τὴν γῆν
τεσσαράκοντα ἡμέρας, ἡμέραν τοῦ
ἐνιαυτοῦ λήψεσθε τὰς ἁμαρτίας ὑμῶν
τεσσαράκοντα ἔτη· καὶ γνώσεσθε τὸν
θυμὸν τῆς ὀργῆς μου.

ΑΔΗΛΟΥ. Πορνείαν λέγει τὴν ἀπιστίαν, ἤτοι τὸ ἀποστῆναι ἀπὸ τοῦ Θεοῦ. (3)

* ΠΡΟΚΟΠΙΟΥ. Βαστάζειν τὴν πορνείαν εἰπὼν, ἀλλ' οὐκ ἀπολεῖσθαι, ἔδειξε καὶ τὸ ἐκ κοινωνίας τοῦ γένους, καὶ τὸ ἐκ διαφορᾶς τῶν προαιρέσεων. οὕτω καὶ ἐπὶ τοῦ ἐναντίου, κοινωνίᾳ μὲν γένους τῇ πρὸς Χριστὸν, ἡ πάντων ἀνάστασις· διαφορᾷ δὲ προαιρέσεως, ἡ ἀνταπόδοσις ἡ μετὰ τὴν ἀνάστασιν.

ΑΔΗΛΟΥ. Ἡμέραν δὲ ἀντὶ ἐνιαυτοῦ πρὸς κόλασιν ὁρίσας κατὰ λόγον τῶν συντελεσθέντων ἀγαθῶν τὰς κολάσεις ἐν πολυπλασιασμῷ, ὅτι ἦσαν ὑπὲρ ἀγαθῶν τοῦ Ἰσραὴλ αἱ τεσσαράκοντα ἡμέραι, ἃς κατεσκόπησαν.

ι. Ἐγὼ Κύριος ἐλάλησα, ἦ μὴν
οὕτω ποιήσω τῇ συναγωγῇ τῇ πονη-
A ρᾷ ταύτῃ, τῇ ἐπισυνισταμένῃ ἐπ' ἐμέ.
ἐν τῇ ἐρήμῳ ταύτῃ ἐξαναλωθήσον-
ια. ται, καὶ ἐκεῖ ἀποθανοῦνται. Καὶ οἱ
ἄνθρωποι, οὓς ἀπέστειλε Μωϋσῆς κα-
τασκέψασθαι τὴν γῆν, καὶ παρα-
γενηθέντες διεγόγγυζον κατ' αὐτῆς
πρὸς τὴν συναγωγὴν ἐξενέγκαι ῥή-
ιβ. ματα πονηρὰ περὶ τῆς γῆς· Καὶ
ἀπέθανον οἱ ἄνθρωποι οἱ κατειπόν-
B τες πονηρὰ κατὰ τῆς γῆς ἐν τῇ πλη-
ιγ. γῇ ἔναντι Κυρίου. Καὶ Ἰησοῦς υἱὸς
Ναυῆ καὶ Χάλεβ υἱὸς Ἰεφοννὴ ἔζησαν
ἀπὸ τῶν ἀνθρώπων ἐκείνων τῶν πεπο-
ρευμένων κατασκέψασθαι τὴν γῆν.

ιδ. Καὶ ἐλάλησε Μωϋσῆς τὰ ῥή-
ματα ταῦτα πρὸς πάντας τοὺς υἱοὺς
Ἰσραήλ· καὶ ἐπένθησεν ὁ λαὸς σφό-
ιε. δρα. Καὶ ὀρθρίσαντες τὸ πρωῒ ἀνέ-
βησαν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, λέ-
γοντες, ἰδοὺ ἴδε ἡμεῖς ἀναβησόμεθα
εἰς τὸν τόπον ὃν εἶπε Κύριος, ὅτι
ις. ἡμάρτομεν. Καὶ εἶπε Μωϋσῆς, ἵνα
τί ὑμεῖς παραβαίνετε τὸ ῥῆμα Κυ-
ρίου; οὐκ εὔοδα ἔσται ὑμῖν.

* ΠΡΟΚΟΠΙΟΥ. [Οὐκ εἰς ἀγαθὸν τὸ πένθος. ἐπὶ γὰρ παράλυσιν τῶν ὁρισθέντων ὁρμῶσιν· ὅπερ ἔδει ποιεῖν πρὸ τῆς ἀποφάσεως, μετὰ ταῦτα ποιοῦντες θράσει χρώμενοι, ὡς τότε δειλίᾳ· ἅπερ ἄμφω » κακά· λέγοντες, ἰδοὺ ἡμεῖς ἀναβησόμεθα » εἰς τὸν τόπον ὃν εἶπε Κύριος. καὶ ταῦτα » Μωϋσέως λέγοντος, ἵνα τί ὑμεῖς παραβαί- » νετε τὸ ῥῆμα Κυρίου; μὴ ἀναβαίνετε.] οὔτε οὖν δέος, οὔτε τὸ δοκοῦν θάρσος ἀρετὴ, χωρὶς ὑπακοῆς Θεοῦ, ἥτις πολὺ μᾶλλον τῆς κατὰ λογισμὸν κρίσεως.

ιζ. Μὴ ἀναβαίνετε, οὐ γάρ ἐστι Κύριος μεθ' ὑμῶν· καὶ πεσεῖσθε πρὸ προσώπου τῶν ἐχθρῶν ὑμῶν.

ΚΥΡΙΛΛΟΥ. Ὅπερ εἶχεν ἐμφανεστάτην ἔνδειξιν, ὡς φθαρτικὸν ἡ ἁμαρτία, ἡ δὲ πίστις σωτήριον. (4)

* ΠΡΟΚΟΠΙΟΥ. Οὐκοῦν τὸ ἰσχυρὸν ἡμῶν ἡ Θεοῦ παρουσία.

ιη. Ὅτι Ἀμαλὴκ καὶ ὁ Χαναναῖος ἐκεῖ ἔμπροσθεν ὑμῶν, καὶ πεσεῖσθε μαχαίρᾳ, οὗ ἕνεκεν ἀπεστράφητε ἀπειθήσαντες Κυρίῳ, καὶ οὐκ ἔσται Κύριος ἐν ὑμῖν.

ιθ. Καὶ διαβιασάμενοι, ἀνέβησαν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους. ἡ δὲ κιβωτὸς τῆς διαθήκης Κυρίου καὶ Μωϋ-

(1) Καὶ τῷ λογιζομένῳ τὶ κοινὸν οὐχ εὑρίσκοντος. ὁ Ἀλεξάν. κώδ. ὡσαύτως καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ. ὀρθότερον ὅμως, οὐχ εὑρίσκοντι.

(2) Ἀπόσπασμά ἐστι τοῦ προλαβόντος ὑπομνήματ. τοῦ Θεοδωρήτ.

(3) Τὰ αὐτὰ ἄλλως πως καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

(4) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

Μωϋσῆς οὐκ ἐκινήθησαν ἐκ μέσου τῆς A
παρεμβολῆς.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ὁρᾷς, ὅτι Θεοῦ λέγοντος, οὐκ εἰμὶ μεθ' ὑμῶν, οὐ συναναβαίνει τοῖς ἀπειθοῦσιν ἡ κιβωτός; αὐτὸ σαφῶς τοῖς εὐμαθεστέροις ἐπιδεικνύουσα, τὸ τάξιν ἐπέχειν τοῦ καθηγεμόνος Θεοῦ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀνιᾶσι χωρὶς κιβωτοῦ καὶ Μωϋσέως, ὅπερ ἦν καταφρονητικὸν, καὶ δυνάμει καὶ πλήθει θαρρούντων B ἄνευ Θεοῦ. οὕτω καὶ τὰ πολεμίων εἰς θεοσέβειαν συνέτεινεν, ἐπιδειχθέντα, ὅτι κατὰ Θεὸν ἀνύεται αὐτοῖς. καὶ ἡ τῶν τότε πεσόντων φθορὰ, τοῖς ἄλλοις παίδευσις ἦν ἀγαθή.

μ. Καὶ κατέβη δὲ Ἀμαλὴκ καὶ
ὁ Χαναναῖος ὁ ἐγκαθήμενος ἐν τῷ
ὄρει ἐκείνῳ, καὶ ἐτρέψαντο αὐτοὺς,
καὶ κατέκοψαν ἕως Ἑρμάν· καὶ ἀπε-
στράφησαν εἰς τὴν παρεμβολήν.

ΚΕΦ. ΙΕ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Λά-
λησον τοῖς υἱοῖς Ἰσραὴλ,
καὶ ἐρεῖς πρὸς αὐτοὺς, ὅταν εἰσέλ-
θητε εἰς τὴν γῆν τῆς κατοικήσεως
γ. ὑμῶν, ἣν ἐγὼ δίδωμι ὑμῖν, Καὶ Γ
ποιήσητε κάρπωμα τῷ Κυρίῳ, ὁλο-
καύτωμα ἢ θυσίαν, μεγαλῦναι εὐ-
χὴν, ἢ ἐν ταῖς ἑορταῖς ὑμῶν ποιῆ-
σαι ὀσμὴν εὐωδίας Κυρίῳ, εἰ μὲν ἀπὸ
τῶν βοῶν ἢ ἀπὸ τῶν προβάτων·

" ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὅταν εἰσέλθητε
" εἰς τὴν γῆν τῆς κατοικήσεως ὑμῶν, καίτοι οὐκ ἤμελλον εἰσελθεῖν, ἀλλ' ἐν τούτοις εἰσὶν οἱ παῖδες οἱ εἰσελευσόμενοι.

ΚΥΡΙΛΛΟΥ. Διάφοροι τρόποι τοῦ τιμᾷν τὸν Θεὸν, ἢ ἐξ ὅλων ἢ ἐκ μέρους ἀπονεμομένου, κατὰ τὸ ὁλόκληρον ἢ μερικὸν τῆς ἀφιερώσεως· καὶ ἤτοι καθαρισμὸν εὐχῆς, (1) ἢ ἑκουσίῳ προσφορᾷ. (2) τὸ γὰρ ὑπὸ εὐχὴν ἤδη, καὶ ὑπὸ ἀπαίτησιν. εὐώδης δὲ πᾶσα τιμή. καὶ εἰ βραχύς τις ὢν τὴν οἰκείωσιν τὴν πρὸς Θεὸν, προσάγεται ἀρνίον· ἢ μεῖζον, οἷον κριός· ἢ μέγιστον, E οἷον βοῦς· καὶ ἀνθ' ἑκάστου προηγουμένη προσφορὰ ὁ Χριστὸς, καθ' ὅσον ἐπιβάλλει ἑκάστῳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε περὶ τῶν αὐτῶν θυσιῶν πολλάκις νενομοθέτηκεν; Ἵνα τῇ συνεχείᾳ τῆς νομοθεσίας παγίαν τῶν νόμων τὴν μνήμην ἐργάσηται.

δ. Καὶ προσοίσει ὁ προσφέρων τὸ
δῶρον αὐτοῦ Κυρίῳ, θυσίαν σεμιδά- Z
λεως δέκατον τοῦ οἰφὶ πεφυραμένης
ε. ἐν τετάρτῳ τοῦ εἶν ἐλαίῳ. Καὶ οἶνον
εἰς σπονδὴν τὸ τέταρτον τοῦ εἶν ποιή-
σετε ἐπὶ τῆς ὁλοκαυτώσεως, ἢ ἐπὶ
τῆς θυσίας. τῷ ἀμνῷ τῷ ἑνὶ ποιή-
σεις τοσοῦτον, κάρπωμα ὀσμὴν εὐω-
ς. δίας τῷ Κυρίῳ. Καὶ τῷ κριῷ, ὅταν
ποιῆτε αὐτὸν εἰς ὁλοκαύτωμα ἢ εἰς
θυσίαν ποιήσεις θυσίαν σεμιδάλεως H
δύω δέκατα ἀναπεφυραμένης ἐν ἐ-
ζ. λαίῳ τὸ τρίτον τοῦ εἶν. Καὶ οἶνον εἰς
σπονδὴν τὸ τρίτον τοῦ εἶν προσοίσετε
η. εἰς ὀσμὴν εὐωδίας Κυρίῳ. Ἐὰν δὲ
ποιῆτε ἀπὸ τῶν βοῶν εἰς ὁλοκαύτω-
σιν ἢ εἰς θυσίαν μεγαλῦναι εὐχὴν,
θ. ἢ εἰς σωτήριον Κυρίῳ, Καὶ προσοίσει
ἐπὶ τοῦ μόσχου θυσίαν σεμιδάλεως τρία
δέκατα ἀναπεφυραμένης ἐν ἐλαίῳ
ι. ἥμισυ τοῦ εἶν. Καὶ οἶνον εἰς σπονδὴν
τὸ ἥμισυ τοῦ εἶν, κάρπωμα ὀσμὴν
εὐωδίας Κυρίῳ.

ΑΔΗΛΟΥ. Καὶ τὸ ἔλαιον ὡς ἡ σεμίδα-
Δ " λις δίδεται (3) ὡσαύτως ἐν τῇ τοῦ μέτρου
" διαφορᾷ. τέταρτον τοῦ εἶν ἐπὶ ἀρνίον· τέταρτον δέ ἐστι τοῦτο δύω χοῶν ἀττικῶν· τρίτον ἐπὶ κριῷ, ἥμισυ ἐπὶ βοΐ. τοσοῦτον γὰρ καὶ τὸ ἱλαρὸν, ὅσον καὶ τὸ τῆς τιμῆς. καὶ ὁ οἶνος ἐξ ἴσου. πρὸς γὰρ τὴν εὐφροσύνην ἡ ἱλαρότης.

ΚΥΡΙΛΛΟΥ. Σεμίδαλίς τε ἐπὶ ἑκάστῳ θύματι, ὅτι τὸ μὲν θῦμα, θανάτου σημεῖον· ἡ δὲ σεμίδαλις, τροφῆς καὶ ζωῆς. E ζῇ γὰρ τὰ κατὰ Θεὸν θύματα, καὶ προηγουμένως Χριστός. μέτρον δὲ σεμιδάλεως πρὸς τὴν τοῦ θύματος ἀξίαν. κατὰ γὰρ τὴν θυσίαν, ἡ ἐκ τῆς θυσίας ζωή· δέκατον τοῦ οἰφὶ ἐν ἐπὶ ἀρνίον, δύω ἐπὶ κριὸν, τρία ἐπὶ βοΐ. οὕτως οὐ πάντων ἰσότιμος ἡ ζωή. (4)

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Εἰκὼν κἀνθάδε τῆς ὡς ἐν εὐκλείᾳ ζωῆς τῶν ἁγίων ἡ τῶν θυ- Z μάτων διαφορὰ, τῇ τῶν ἑπομένων ποσότητι τὸ τῆς εὐκλείας ἡμῖν καταγράφουσα μέτρον.

ια. Οὕτω ποιήσεις τῷ μόσχῳ τῷ
ἑνὶ, ἢ τῷ κριῷ τῷ ἑνὶ, ἢ τῷ ἀμνῷ
τῷ ἑνὶ ἐκ τῶν προβάτων ἢ ἐκ τῶν αἰ-
ιβ. γῶν. Κατὰ τὸν ἀριθμὸν ὃν ἐὰν ποιή-
σητε, οὕτω ποιήσετε τῷ ἑνὶ, κατὰ
ιγ. τὸν ἀριθμὸν αὐτῶν. Πᾶς ὁ αὐτόχ-
θων ποιήσει οὕτω τοιαῦτα προσενέγ-

Mmmm 2 καὶ

(1) Ἡ εὐχῆς πληρώσει. ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ. τὰ αὐτὰ διαλαμβάνων. ἃ ἐν τοῖς τοῦ Κυρίλ. ἐκδεδομέν. οὐχ εὕρηται.
(2) Ἡ ἑκούσιος προσφορά. ὁ Ἀλεξάν. κώδ.
(3) Ἴσ. δίδοται.
(4) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

καὶ καρπώματα εἰς ὀσμὴν εὐωδίας
ιδ. Κυρίῳ. Ἐὰν δὲ προσήλυτος ἐν ὑμῖν
προσγένηται ἐν τῇ γῇ ὑμῶν, ἢ ὃς ἂν
γένηται ἐν ὑμῖν ἐν ταῖς γενεαῖς ὑμῶν,
καὶ ποιήσει κάρπωμα ὀσμὴν εὐωδίας
Κυρίῳ, ὃν τρόπον ποιεῖτε ὑμεῖς, οὕτω
ποιήσει ἡ συναγωγὴ Κυρίου.

ιε. Νόμος εἷς ἔσται ὑμῖν καὶ τοῖς
προσηλύτοις τοῖς προσκειμένοις ἐν
ὑμῖν, νόμος αἰώνιος εἰς τὰς γενεὰς
ὑμῶν. ὡς ὑμεῖς, καὶ ὁ προσήλυτος
ιϛ. ἔσται ἔναντι Κυρίου. Νόμος εἷς ἔσται καὶ
δικαίωμα ἓν ἔσται ὑμῖν καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν ὑμῖν.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐθνῶν ἰσότης ἐν τούτῳ καὶ τοῦ Ἰσραὴλ προηγορεύετο. (1) [καὶ
Ῥωμ. 3. 30. δικαίωμα ἕν.] εἷς γὰρ Θεὸς, ὃς δικαιώσει
„ περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ
„ τῆς πίστεως.

** ΚΥΡΙΛΛΟΥ. Ὅτι ἔμελλον οἱ ἐξ ἐθνῶν ὁμοῦ τοῖς ἐξ αἵματος Ἰσραὴλ τοῖς τοῦ Σωτῆρος ζυγοῖς ὑπενεγκεῖν τὸν αὐχένα, καὶ διὰ τῶν αὐτῶν ἰέναι θυσιῶν καὶ πνευματικῶν εὐδοκιμήσεων παρέδειξε προθείς. οὐχ ἑτέροις δεῖν τὸν προσήλυτον κεχρῆσθαι νόμοις. μία γὰρ ἡ πάντων ὁδὸς εἰς οἰκειότητα τὴν ὡς πρὸς Θεὸν καὶ πατέρα· καὶ ἔστιν αὕτη Χριστός.

ιζ. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
ιη. σῆν, λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσ-
ραὴλ, λέγων πρὸς αὐτοὺς, ἐν τῷ εἰσπορεύεσθαι ὑμᾶς εἰς τὴν γῆν, εἰς ἣν
ιθ. ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, Καὶ ἔσται ὅταν
ἔσθητε ὑμεῖς ἀπὸ τῶν ἄρτων τῆς γῆς,
ἀφελεῖτε ἀφαίρεμα ἀφόρισμα τῷ
Κυρίῳ, ἀπαρχὴν φυράματος ὑμῶν.

κ. Ἄρτον ἀφαίρεμα ἀφοριεῖτε
αὐτό. ὡς ἀφαίρεμα ἀπὸ ἅλωνος,
κα. οὕτως ἀφελεῖτε αὐτόν· Ἄρτον ἀπαρ-
χὴν φυράματος ὑμῶν, καὶ δώσετε Κυρίῳ ἀφαίρεμα εἰς τὰς γενεὰς ὑμῶν.

ΚΥΡΙΛΛΟΥ. Περὶ μὲν οὖν τοῦ ὡς ἐν μόσχῳ νοεῖσθαι Χριστὸν, ὁλοκαυτούμενον, καὶ εἰς ὀσμὴν εὐωδίας ἀνατιθέντα τῷ Θεῷ καὶ πατρὶ, καὶ ὡς ἐν εἴδει χιμάρου γεγονότα δι' ἡμᾶς ἁμαρτίαν, καὶ ὑπὲρ ἁμαρτιῶν (2) θυόμενον, πολλάκις εἴρηται. νοεῖται δὲ καὶ ὡς ἐν ἄρτῳ, ὡς ζωὴ καὶ ζωοποιός. (3) ληΐοις γε μὴν τοῖς ἐν ἀγρῷ παρεικαστέον εὖ μάλα τοὺς ἐπὶ τῆς γῆς. γέγονε δὲ καθ' ἡμᾶς ὁ Χριστὸς, ἀστάχυος δίκην ἀναφὺς ἐκ τῆς ἁγίας Παρθένου. ἄσταχύς γε μὴν νοούμενος εἷς, καθὰ καὶ ἡμεῖς αὐτοί. οὐκ ἄσταχυς δὲ εἷς, ἀλλ' ὡς δράγμα προσάγεται,

A. τουτέστιν ἐκ πολλῶν ἀσταχύων δέσμη μία. εἷς γάρ ἐστιν Ἰησοῦς ὁ Χριστὸς, πλὴν ὡς ἐν εἴδει δράγματος πολλοστὸς νοεῖται, καὶ ἔστι, διὰ τὸ πάντας ἔχειν ἐν ἑαυτῷ τοὺς πιστεύοντας, καθ' ἕνωσιν δὲ δηλονότι τὴν πνευματικήν.

κβ. Ὅταν δὲ διαμάρτητε, καὶ
μὴ ποιήσητε πάσας τὰς ἐντολὰς ταύ-
τας, ἃς ἐλάλησε Κύριος πρὸς Μωϋ-
κγ. σῆν, Καθὰ συνέταξε Κύριος ὑμῖν
B ἐν χειρὶ Μωϋσῆ, ἀπὸ τῆς ἡμέρας ἧς
συνέταξε Κύριος πρὸς ὑμᾶς καὶ ἐπέ-
κδ. κεινα εἰς τὰς γενεὰς ὑμῶν, Καὶ ἔσται
ἐὰν ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς
γενηθῇ ἀκουσίως, καὶ ποιήσει ἡ συναγωγὴ πᾶσα μόσχον ἕνα ἐκ βοῶν ἄμωμον εἰς ὁλοκαύτωμα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ, καὶ θυσίαν τούτου καὶ σπονδὴν αὐτοῦ κατὰ τὴν σύνταξιν αὐτοῦ,
Γ καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρ-
κε. τίας. Καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ
πάσης συναγωγῆς υἱῶν Ἰσραὴλ, καὶ ἀφεθήσεται αὐτοῖς, ὅτι ἀκούσιόν ἐστι· καὶ αὐτοὶ ἤνεγκαν τὸ δῶρον αὐτῶν κάρπωμα Κυρίῳ περὶ τῆς ἁμαρτίας αὐτῶν ἐναντίον Κυρίου, περὶ τῶν ἀκου-
κϛ. σίων αὐτῶν. Καὶ ἀφεθήσεται πάσῃ
Δ συναγωγῇ υἱῶν Ἰσραὴλ, καὶ τῷ προσηλύτῳ τῷ προσπορευομένῳ πρὸς ὑμᾶς, ὅτι παντὶ τῷ λαῷ ἀκούσιον.

** ΚΥΡΙΛΛΟΥ. Ἄθρει ὅπως ὁ νομοθέτης τῆς ἐν νόμῳ λατρείας ὑπερκειμένην ἀσυγκρίτως τὴν διὰ Χριστοῦ κάθαρσιν ἐκάλεσε σαφῶς. εἰ γὰρ παρέλθητε, φησὶ, τὰ Μωσέως· καὶ τῆς νομικῆς λατρείας ἂν ἀλογήσαντες ἐντολῆς καταφορῶντό τινες, τότε δὴ τότε τὴν δι' αἱμάτων ὑμῖν ἀμνη-
E στείαν ἐπικυροῦσαν εὑρήσετε, μόσχου καταθυομένου, καὶ χιμάρου προσενηνεγμένου. τοῦτο δὲ ἦν εἰς τύπον τοῦ Χριστοῦ. οὐκοῦν καθαρίζει μὲν ὁ νόμος τῶν παραβαινόντων τὴν κόλασιν· ἀπαλλάττει δὲ δίκης, καὶ τῶν ἐξ ἀγνοίας αἰτιαμάτων ἐλευθεροῖ τὸ τίμιον αἷμα Χριστοῦ. τέθεικε γὰρ τὴν ψυχὴν ὑπὲρ ἡμῶν, ἵνα τοῦ κόσμου καταλύσῃ τὴν ἁμαρτίαν.

Z κζ. Ἐὰν δὲ ψυχὴ μία ἁμάρτῃ ἀ-
κουσίως, προσάξει αἶγα μίαν ἐνιαυ-
κη. σίαν περὶ ἁμαρτίας. Καὶ ἐξιλάσε-
ται ὁ ἱερεὺς περὶ τῆς ψυχῆς τῆς ἀκουσιασθείσης, καὶ ἁμαρτούσης ἀκουσίως ἔναντι Κυρίου, ἐξιλάσασθαι περὶ αὐτοῦ, καὶ ἀφεθήσεται αὐτῷ.

** ΠΡΟΚΟΠΙΟΥ. Περὶ τῆς κατὰ ἄγνοιαν ἁμαρτίας τὸν πάντα κελεύει λαὸν βοῦν

(1) Προκηρύττεται. ὁ τῆς Αὐγ. κώδ.

(2) Ἁμαρτωλῶν. ὁ Ἀλεξάν. κώδ.

(3) Τῶν ἑπομένων ὁ κατάλληλος τόπος τὸ 10. ἰδ. τοῦ 22. (ἢ 23. κατά τινας ἐκδόσ.) κεφ. τοῦ Λευϊτικοῦ. ὅπου καὶ τὰ μετὰ ταῦτα κεῖται, ἤτοι τὸ, Δράγμα τοίνυν ὁ Χριστὸς, κτ. ὃ μὴ ἐν τοῖς ἐκδεδομ. εὑρεθῆναι σεσημείωται. εὕρηται δὲ ἐν Τόμ. 1. μέρ. 1. σελ. 397.

A βοῦν ὁλοκαυτοῦν καὶ χίμαρον· ἀνηνέχθη γὰρ εἰς ὀσμὴν εὐωδίας Χριστὸς, ὑπὲρ τῶν ἁμαρτιῶν τῶν ἡμετέρων παθών· ἵνα δὲ ἕκαστον, αἶγα μίαν· ἔλαττον γὰρ αἲξ βοὸς, καὶ θήλεια ἄῤῥενος· ἑνὸς γὰρ τὸ πλῆθος
Εβρ. 10. 26. μεῖζον καὶ ἰσχυρότερον. ἑκουσίως γὰρ ἁμαρ-
» τανόντων ἡμῶν, οὐκ ἔτι περὶ ἁμαρτίας ἀπο-
» λείπεται θυσία. τοὺς παρελθόντας δὲ τὰ Μωϋσέως τῇ δι᾽ αἵματος ἐπικουρίᾳ προσάγει, τὰ Χριστοῦ κρείττω τῶν ἐν νόμῳ δεικνύς.

κθ· Τῷ ἐγχωρίῳ ἐν υἱοῖς Ἰσραὴλ, καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν αὐτοῖς νόμος εἷς ἔσται αὐτοῖς, ὃς ἂν ποιήσῃ ἀκουσίως.

λ. Καὶ ψυχὴ ἥτις ποιήσει ἐν χειρὶ ὑπερηφανίας ἀπὸ τῶν αὐτοχθόνων ἢ ἀπὸ τῶν προσηλύτων, τὸν Θεὸν οὗτος παροξυνεῖ, καὶ ἐξολοθρευθήσεται ἡ
λα. ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς. Ὅτι
Γ τὸ ῥῆμα Κυρίου ἐφαύλισε, καὶ τὰς ἐντολὰς αὐτοῦ διεσκέδασεν. ἐκτρίψει ἐκτριβήσεται ἡ ψυχὴ ἐκείνη, ἡ ἁμαρτία αὐτῆς ἐν αὐτῇ.

** ΒΑΣΙΛΕΙΟΥ. Ἐπειδὴ τὰ ἀκούσια τῶν ἁμαρτημάτων ἀπαριθμησάμενος, καὶ τὰς ἐπ᾽ αὐτοῖς θυσίας διαταξάμενος ὁ Θεὸς, ἔμελλεν ἤδη καὶ περὶ τῶν ἑκουσίων νομοθετεῖν τῷ λαῷ τὰ προσήκοντα, οὕτως ἄρχε-
Δ » ται· καὶ ψυχὴ ἥτις ποιήσει ἐν χειρὶ ὑπερηφανίας· χεῖρα ὑπερηφανίας καλῶν τὴν τόλμαν τῶν ἑκουσίως ἁμαρτανόντων, ὅπερ
2. Κορ. 10. 5. ὁ Ἀπόστολος, ὕψωμα ἐπαιρόμενον κατὰ
» τῆς γνώσεως τοῦ Θεοῦ ὀνομάζει· ψυχὴ οὖν
» φησὶν ἥτις ποιήσει, καὶ τὰ ἑξῆς. παρατηρητέον ἐνταῦθα ἐκεῖνο, ὅτι ἐὰν μὴ ἐκ-
» τρίψει ἐκτριβῇ ἡ ψυχὴ ἐκείνη, ἡ ἁμαρτία αὐτῆς οὐκ ἐν αὐτῇ μόνον, ἀλλὰ καὶ
E ἐπὶ τοὺς μὴ ἐπιδειξαμένους τὸν ἀγαθὸν ζῆλον, καθὼς πολλαχοῦ γέγραπται, καὶ πολλάκις γέγονε.

ΣΕΥΗΡΟΥ. Τοῦτο νόησον περὶ τῶν εἰς αὐτὸ τὸ θεῖον σέβας τεινόντων ἁμαρτημάτων.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὅστις ἐὰν ποιήσῃ, φησὶν, ὑπέροπλον πρᾶγμα, τὸν Θεὸν παροργίζει. διὸ καὶ ὡς πρὸς θάνατον ἁμαρτῶντι δίκην ὄλεθρον ἠπείλησε.

Z ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοὺς μέγα πνέοντας ἐπὶ τοῖς τῆς ἀλαζονείας, καὶ ἀθεραπεύτως εἰς ἅπαν ἔχοντας, ὁ νόμος παγκάλως οὐκ ἤγαγεν εἰς κρίσιν ἀνθρωπίνην, ἀλλὰ μόνῳ τῷ θείῳ παρέδωκε δικαστηρίῳ. φησὶ γὰρ, ὃς ἂν ἐγχειρῇ τὶ

A πράττειν μεθ᾽ ὑπερηφανίας, τὸν Θεὸν παροξυνεῖ. διατί; ὅτι πρῶτον μὲν ἀλαζονεία, ψυχῆς ἐστὶ κακία· ψυχὴ δὲ ἀόρατος, ὅτι μὴ Θεῷ· κολαστὴς δὲ, ὁ μὲν τυφλὸς, ἐπίμεμπτος, ἄγνοιαν κατήγορον ἔχων· ὁ δὲ βλέπων, ἐπαινετὸς, ἐπιστήμῃ πάντα δρῶν. ἔπειτα δ᾽ ὅτι φρονήματος ὑπόπλεως ἀλόγου γενόμενος πᾶς ἀλαζὼν, οὔτε ἄνδρα, οὔτε ἡμίθεον, μᾶλλον ἢ δαίμονα κατὰ Πίνδαρον, (1) ὑπολαμβάνει ἑαυτὸν, ὑπὲρ τοὺς ὅρους τῆς
B ἀνθρωπίνης φύσεως βαίνειν ἀξιῶν.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, ψυχὴ ἥτις
» ποιήσει ἐν χειρὶ ὑπερηφανίας; Περὶ τῶν ἀκουσίως ἡμαρτηκότων νομοθετήσας, ὁποίαν χρὴ θυσίαν προσενεγκεῖν, καὶ περὶ τῶν ἑκόντων ἡμαρτηκότων νομοθετεῖ. διάφορα γὰρ τὰ ἁμαρτήματα. οἱ μὲν γὰρ οὐ φέρουσι διὰ τὴν τῆς ψυχῆς ἀσθένειαν τὴν τῶν παθῶν ἐπανάστασιν. καὶ ἐνδιδόντες ἡττῶνται· οἱ δὲ, καὶ ἐξ ἑτέρας περιστάσεως ἁμαρτή-
Γ μασι περιπίπτουσιν. εἰσὶ δὲ, οἳ καὶ καταφρονητικῶς περὶ τοὺς θείους διάκεινται νόμους. τούτους ἐξ ὑπερηφανίας ἁμαρτάνειν ἔφη, ὡς ἑκόντας τῶν νόμων καταφρονοῦντας. τὸν τοιοῦτον ἐξαλειφθήσεσθαι ἔφη,
» καὶ τὴν αἰτίαν ἐπήγαγεν· ὅτι τὸ ῥῆμα
» Κυρίου ἐφαύλισε, καὶ τὰς ἐντολὰς αὐτοῦ
» διεσκέδασεν. ἐκτρίψει ἐκτριβήσεται ἡ ψυ-
» χὴ ἐκείνη, ἁμαρτία γὰρ αὐτῆς ἐν αὐτῇ. ὁ μὲν γὰρ δι᾽ ἀσθένειαν ἡττώμενος τῶν πα-
Δ θῶν, εἶτα στένων καὶ ὀδυρόμενος, ἔχει τινὰ γοῦν σμικρὰν συγγνώμην· ὁ δὲ τὰ πονηρὰ ἀσπαζόμενος, καὶ τῶν θείων καταφρονῶν ἐντολῶν, πάσης ἀπολογίας ἀπεστέρηται.

λβ. Καὶ ἦσαν οἱ υἱοὶ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, καὶ εὗρον ἄνδρα συλλέγοντα ξύλα τῇ ἡμέρᾳ τοῦ σαββάτου.
λγ. Καὶ προσήγαγον αὐτὸν οἱ εὑρόντες αὐτὸν συλλέγοντα ξύλα τῇ ἡμέρᾳ
E τοῦ σαββάτου πρὸς Μωϋσῆν καὶ Ἀαρὼν καὶ πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραήλ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀλογήσας τὶς τοῦ διατάγματος, ἔτι τοὺς χρησμοὺς ἐναύλους ἔχων τοὺς περὶ τῆς ἱερᾶς ἑβδόμης· οὓς ἐθέσπισεν ἄνευ Προφήτου ὁ Θεὸς, καὶ διὰ φωνῆς, τὸ παραδοξότατον, ὁρατῆς τῶν παρατυγχανόντων ὀφθαλμοὺς ὤτων
Z ἐπήγειρε μᾶλλον· ἐπὶ φρυγανισμὸν ἐξῄει διὰ μέσου τοῦ στρατοπέδου, πάντας εἰδὼς ἐν ταῖς σκηναῖς ἠρεμοῦντας· καὶ δρῶν ἔτι τὰδίκημα, καταφανὴς ὑπὲρ τοῦ μὴ λαθεῖν γίνεται. πυλῶν γὰρ ἔξω προελθόντες τινὲς εἰς ἠρεμίαν, ἵν᾽ ἐν τῷ καθαρωτάτῳ καὶ

 ἡσυχα-

(1) Μοῖρα. τὸ δ᾽ ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται
τέκμαρ. ἀλλ᾽ ἔμπαν μεγαλανορίαις
ἐμβαίνομεν,
ἔργα τε πολλὰ μενοινῶντες. δέδεται γὰρ ἀναιδεῖ
ἐλπίδι γυῖα, προμαθείας δ᾽ ἀπόκεινται ῥοαί.
ἐν τῇ ἐπῳδ. τῆς 11. ᾠδ. τῶν Νεμ.

A ἡσυχάζοντι εὔξωνται, θέαν ἔκνομον ἰδόντες, ξύλων ὕλην συγκομίζοντα, καὶ δυσαναχετήσαντες, ἐμέλησαν μὲν αὐτὸν ἀνελεῖν, λογισμῷ δὲ τὸ παρακεκινημένον τῆς ὀργῆς σχόντες· ἵνα μὴ ἰδιῶται πρὸ ἀρχόντων κολάζειν τινὰ δοκῶσι, καὶ ταῦτ᾽ ἄκριτον, κἂν ἄλλως τὸ παρανόμημα ἦν ἐμφανὲς, μήτε τοῦ περὶ τὴν ἡμέραν εὐαγοῦς μίασμα φόνου, κἂν δικαιότατος ᾖ, προσάψηται· συλλαβόντες δ᾽ ἄγουσιν αὐτὸν ἐπὶ τὸν ἄρχοντα, ᾧ συνήδρευον μὲν ἱερεῖς,
B παρειστήκει δὲ σύμπασα ἡ πληθὺς πρὸς ἀκρόασιν. ἔθος γὰρ ἦν, ἀεὶ μὲν κατὰ τὸ παρεῖκον, προηγουμένως δὲ ταῖς ἑβδόμαις, ὡς ἐδήλωσα καὶ πρόσθεν, φιλοσοφεῖν· τοῦ μὲν ἡγεμόνος ὑφηγουμένου καὶ διδάσκοντος ἅ τε χρὴ πράττειν καὶ λέγειν, τῶν δ᾽ εἰς καλοκἀγαθίαν ἐπιδιδόντων καὶ βελτιουμένων τά τε ἤθη καὶ τὸν βίον.

λδ. Καὶ ἀπέθεντο αὐτὸν εἰς φυλακὴν, οὐ γὰρ συνέκριναν τί ποιήσουσιν αὐτόν.
Γ

❋❋ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τότε μὲν οὖν εἰς εἱρκτὴν ὁ τηλικοῦτον ἀσέβημα δράσας ἀπάγεται· Μωϋσῆς δὲ ἀπορῶν ὅ,τι χρὴ παθεῖν τὸν ἄνθρωπον· ᾔδει γὰρ ἄξια θανάτου διαπεπραγμένον, ἀλλὰ τίς ἂν γένοιτο τρόπος ἁρμόζων τῆς τιμωρίας· ἀφικνεῖται πρὸς τὸ ἀόρατον ἀοράτῳ ψυχῇ δικαστήριον, καὶ πρὶν ἀκοῦσαι πάντ᾽ ἐπισταμένου
Δ δικαστοῦ, τί κέκρικε.

λε. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων, Θανάτῳ θανατούσθω ὁ ἄνθρωπος· λιθοβολήσατε αὐτὸν λίθοις πᾶσα ἡ συναγωγή.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀποφαίνεται ὁ Θεὸς, ὅτι θνήσκειν ὀφείλει, καὶ οὐχ ἑτέρως ἢ καταλευσθεὶς, ἐπειδήπερ ὁ νοῦς αὐτῷ
E εἰς κωφὴν (1) λίθον μετέβαλεν, ἐργασμένῳ τελεώτατον παρανόμημα· [ᾧ σχεδὸν πάντα τἆλλα ἐμφέρεται, ὅσα περὶ τοῦ σεβασμοῦ τῆς ἑβδόμης νενομοθέτηται. διατί; ὅτι οὐχ αἱ βάναυσοι μόνον, ἀλλὰ καὶ αἱ ἄλλαι τέχναι καὶ πραγματεῖαι, καὶ μάλιστα αἱ περὶ πορισμὸν καὶ βίου ζήτησιν, ἢ διὰ πυρός εἰσιν, ἢ οὐκ ἄνευ τῶν διὰ πυρός. ὅθεν ἀπαγορεύει πολλάκις ἐν ταῖς ἑβδόμαις πῦρ ἐναύειν, ὡς ἀρχητικώτατον αἴτιον καὶ πρεσβύτατον ἔργον, οὗ ἡσυχάσαντος, ἐνενοήθη καὶ τὰ κατὰ μέρος, ὡς εἰκὸς, συνησυχάζειν. ὕλη δὲ ξύλα πυρός. ὥστε τὸν ξυλιζόμενον, ἀδελφὸν καὶ συγγενὲς ἁμάρτημα τῷ καίοντι δρᾶν, τὸ παρανόμημα διπλασιάζοντα· τῇ μὲν, ὅτι προσταχθὲν ἠρεμεῖν συνεκόμιζε· τῇ δ᾽ ὅτι καὶ τοιαῦτα συνεκόμιζεν, ἃ πυρός ἐστιν ὕλη τῆς τῶν τεχνῶν ἀρχῆς.]

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὸν ἐν σαββάτῳ συλλέξαντα ξύλα καταλευσθῆναι προσέταξεν; Ὡς πρῶτον τοῦτον παραβεβη-
A κότα τὸν νόμον, ἵνα μὴ γένηται παρανομίας ἀρχέτυπον. ἡ γὰρ τούτου τιμωρία δέος ἐνέθηκεν ἅπασιν.

❋❋ ΙΣΙΔΩΡΟΥ. Μωσῆς ὁ θεσπέσιος τὰ τοῦ νόμου ἐκ προοιμίων παραβαθέντα θεώμενος, εἰ καὶ ἐπὶ βραχεῖ ἁμαρτήματι, καταλευσθῆναι ἐν σαββάτῳ ξυλολογοῦντα ἐκέλευσε· τοῦτο Θεὸν γεγραφὼς ἀποφήνασθαι. ἐπὶ μικρῷ γὰρ καὶ μείζονι ἡ παράβασις κρίνεται. ὡς καὶ οἱ πρῶτοι τοῦ γένους
B προπάτορες ξύλου γεύσει τὸν πολυώδυνον κατεδικάσθησαν καὶ βίον καὶ θάνατον.

ΚΥΡΙΛΛΟΥ. Λιθόλευστον ἐκτεθνάναι δεῖν ἐκέλευσε Θεὸς τὸν ἐν σαββάτῳ συλλέγοντα ξύλα. ἡ δὲ ἐπ᾽ ἐκείνῳ δίκη, νοητοῦ καὶ ἀναγκαίου πράγματος ὑποτύπωσις ἦν. τὸ γὰρ ἐκ τῆς οἰκείας ῥίζης ἐκκεκαρμένον καὶ αὐανθὲν ἤδη ξύλον, νεκρότητος ἂν εἴη σύμβολον· εἴη δ᾽ ἂν καὶ ἑτέρως πυρὸς διατροφή. τοιαύτη ἐστὶ καὶ ἡ παμ-
Γ μόχθηρος ἁμαρτία, νεκρότης ὥσπερ τὶς, καὶ τῆς ἀνημέρου φλογὸς ἀνοσία τροφὴ τοῖς ἀγαπῶσιν αὐτήν.

λς. Καὶ ἐξήγαγον αὐτὸν πᾶσα ἡ συναγωγὴ ἔξω τῆς παρεμβολῆς· καὶ ἐλιθοβόλησαν αὐτὸν πᾶσα ἡ συναγωγὴ ἐν λίθοις ἔξω τῆς παρεμβολῆς, καθὰ ἐλάλησε Κύριος πρὸς
Δ Μωϋσῆν.

ΑΛΛΟΣ. Διὰ ξύλα ξηρὰ ἀθετήσας ἐλιθοβολεῖτο, τῆς τε ὑπερηφανίας κολασθεὶς, καὶ τὴν ὑποτύπωσιν ἔχων τῶν κατὰ σάρκα ζώντων καὶ ἀπολλυμένων. οὔπω δὲ ἦν τιμωρίας ὁρισμὸς κατὰ τοῦ παραβαίνοντος τὸ σάββατον. ἐπὶ γὰρ ταῖς κατὰ φύσιν (2) πράξεσιν ἐκόλαζεν ὁ Θεὸς, φόνοις, μοιχείαις, φαρμακείαις, καὶ τοιούτοις, ἐφ᾽ ὧν καὶ τὸ εὔλογον τῆς κολάσεως
E ἡ φύσις ἐγνώριζεν. ἡ δὲ τοῦ συμβόλου παράβασις, οὐ πρόδηλον φύσει ἔχει τὴν ἀτοπίαν· ἐπὶ μὲν τῆς πράξεως ἐξεφάνη τὸ ἄτοπον, ἵνα ἐκ παντὸς τοῦ πλήθους ἐναντία τολμᾶν τῷ νόμῳ. καὶ ἡ τῆς κακίας περιφάνεια, τὸ τῆς δίκης εὔλογον ὂν, ἐπεδείκνυεν, εἰ καὶ τὸ δηλούμενον ἐξ αὐτῆς ἐληλύθει. (3)

λζ. Καὶ ἐλάλησε Κύριος πρὸς
λη. Μωϋσῆν, λέγων, Λάλησον τοῖς υἱοῖς
Z Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, καὶ ποιησάτωσαν ἑαυτοῖς κράσπεδα ἐπὶ τὰ πτερύγια τῶν ἱματίων αὐτῶν· καὶ ἐπιθήσετε ἐπὶ τὰ κράσπεδα τῶν πτε-
λθ. ρυγίων κλῶσμα ὑακίνθινον. Καὶ ἔσται ὑμῖν ἐν τοῖς κρασπέδοις, καὶ ὄψεσθε αὐτά· καὶ μνησθήσεσθε πασῶν τῶν ἐντολῶν Κυρίου, καὶ ποιήσετε αὐτάς·
H καὶ οὐ διαστραφήσεσθε ὀπίσω τῶν διανοιῶν ὑμῶν, καὶ ὀπίσω τῶν ὀφθαλμῶν ὑμῶν

(1) Εἰς κωφόν. ὁ Ἀλεξάν. κώδ.

(2) Παρὰ φύσιν ἀνάγν.

(3) Ἐλελήθει. ὀρθότ. τὰ δὲ αὐτὰ ἄλλως πως καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

ὑμῶν ἐν οἷς ὑμεῖς ἐκπορνεύετε ὀπίσω A
μ. αὐτῶν, Ὅπως ἂν μνησθῆτε καὶ ποιήσητε πάσας τὰς ἐντολάς μου, καὶ ἔσεσθε ἅγιοι τῷ Θεῷ ὑμῶν.

ΑΔΗΛΟΥ. Κλῶσμα ὑακίνθινον, βίβλος ἦν ὑπομιμνήσκουσα τὸν νομοθέτην.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε προσέταξεν ὁ Θεὸς αὐτοῖς τοῖς κρασπέδοις τῶν ἱματίων κλῶσμα ὑακίνθινον ἐπιθεῖναι; Τὸ ὑακίνθινον κλῶσμα, τοῦ οὐρανοῦ μιμεῖται τὴν χρόαν. ἀνεμίμνησκε τοίνυν αὐτοὺς τοῦ νομοθέτου, ὃς πληροῖ μὲν τὰ πάντα· δοκεῖ B
Ψαλ. 113. 16. δὲ οἰκεῖν τὸν οὐρανόν. ὁ οὐρανὸς γάρ φησι
Ψαλ. 2. 4. „ τοῦ οὐρανοῦ τῷ Κυρίῳ· καὶ, ὁ κατοικῶν ἐν „ οὐρανοῖς ἐκγελάσεται αὐτούς. τοῦτο δὲ καὶ ὁ „ νόμος διδάσκει· ὄψεσθε γάρ φησι τὰ κράσπεδα, καὶ ἀναμνήσεσθε πάσας τὰς ἐντολὰς Κυρίου, ποιῆσαι αὐτάς· καὶ οὐ διαστραφήσεσθε ὀπίσω τῶν διανοιῶν ὑμῶν, καὶ „ τῶν ὀφθαλμῶν ἐν οἷς ὑμεῖς ἐκπορνεύετε Γ „ ὀπίσω αὐτῶν.

✱ ΚΥΡΙΛΛΟΥ. Χαλεπὸν ἀῤῥώστημα νοῦ τὴν λήθην εἰδὼς, οἷά περ ἐν πίνακι, ταῖς φλιαῖς ἀποσημαίνεσθαι δεῖν ἐπιτάττει τὰς ἐντολάς· καὶ τῆς δεξιᾶς ἀφάπτειν χειρὸς δέλτια (1) τάχα που τὸν νόμον ὠδίνοντα, καὶ ἐγγεγραμμένον ἔχοντα τὸ χρησμώδημα. καὶ αὐτῶν ἀπηρτῆσθαι τῶν ἐσθημάτων, οὐκ ἀσυντελὲς εἶναί φησιν εἰς ὄνησιν τά τε κράσπεδα καὶ τὸ κλῶσμα τὸ ὑακίνθινον. αἴνιγμα δὴ ἦν τοῦ δεῖν ἐλέσθαι, φρονεῖν τε καὶ δρᾷν τὰ ἐξ οὐρανῶν, καὶ τῶν ἄνωθεν διαμεμνῆσθαι νόμων, τὸ κρασπέδων τε καὶ αὐτῆς ἀφάψαι χειρὸς τὸ κλῶσμα τὸ ὑακίνθινον. λίθῳ γὰρ οἶμαι τῇ ἰνδικῇ, τῷ ὑακινθίνῳ φημὶ, τὸ αἰθέριόν πως εἰκάζεται σῶμα. αὐγῇ τε καὶ σκότῳ συμμιγὲς, καὶ ἐν βάθει πως ἔχων τὸ ὑδαροειδὲς. ὑποτρέμουσάν τε καὶ εὐδιάχυτον ὑποφαῖνον τὴν ὄψιν.

μα. Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, εἶναι ὑμῶν Θεός. ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

ΚΕΦ. Ι϶.

α. Καὶ ἐλάλησε Κορὲ υἱὸς Ἰσαὰρ υἱοῦ Καὰθ υἱοῦ Λευΐ, καὶ Δαθὰν καὶ Ἀβειρὼν καὶ (2) υἱοὶ Ἐλιὰβ, καὶ Αὐνὰν υἱὸς Φαλὲθ υἱοῦ Ῥουβίμ.

✱✱ ΙΩΣΗΠΟΥ. Κορῆς Ἑβραίων ἐν τοῖς μάλιστα καὶ γένει καὶ πλούτῳ διαφέρων, ἱκανὸς δ' εἰπεῖν καὶ δήμοις ὁμιλεῖν πιθανώτατος, ὁρῶν ἐν ὑπερβαλλούσῃ τιμῇ τὸν Μωϋσῆν καθεστῶτα, χαλεπῶς εἶχεν ὑπὸ φθόνου· καὶ γὰρ φυλέτης ὢν ἐτύγχανεν αὐτοῦ καὶ συγγενής· ἀχθόμενος ὅτι ταύτης τῆς δόξης δικαιότερον αὐτῷ πλουτεῖν ἐκείνου μᾶλλον, μὴ χείρων ὢν κατὰ γένος αὐτὸς ὑπέλαβε. παρά τε τοῖς Λευΐταις, φυλέται δ' ἦσαν, καὶ μάλιστα παρὰ τοῖς συγγενέσι κατεβόα· δεινὸν εἶναι λέγων Μωϋσῆν δόξαν αὐτῷ θηρώμενον κατασκευάσαι, καὶ κακουργοῦντα κτήσασθαι ταύτην ἐπὶ προφάσει τοῦ Θεοῦ περιορᾷν, παρὰ τοὺς νόμους μὲν τἀδελφῷ τὴν ἱερωσύνην Ἀαρῶνι δόντα, μὴ τῷ κοινῷ δόγματι τοῦ πλήθους, ἀλλ' αὐτοῦ ψηφισαμένου· τυράννου δὲ τρόπῳ καταχαριζόμενον τὰς τιμὰς οἷς ἂν θελήσῃ. Καὶ μετ' ὀλίγα. Καὶ ὁ μὲν ταῦτα κακοήθως μετ' εὐπρεπείας πρὸς τοὺς φυλέτας ἔλεγε· προϊόντος δ' εἰς τοὺς πλείονας κατ' ὀλίγον τοῦ λόγου, καὶ τῶν ἀκροωμένων προστιθεμένων ταῖς κατὰ Ἀαρῶνος διαβολαῖς, ἀναπίμπλαται τούτων ἅπας ὁ στρατός.

β. Καὶ ἀνέστησαν ἔναντι Μωϋσῆ, καὶ ἄνδρες τῶν υἱῶν Ἰσραὴλ πεντήκοντα καὶ διακόσιοι, ἀρχηγοὶ συναγωγῆς σύγκλητοι βουλῆς, καὶ ἄνδρες ὀνομαστοί.

Ὀνομαστοί. Ἄλλος, καλούμενοι εἰς καιρόν.

Δ ✱✱ ΙΩΣΗΠΟΥ. Ἦσαν οἱ συντεταγμένοι τῷ Κορῇ πεντήκοντα καὶ διακόσιοι τῶν πρώτων ἄνδρες, σπεύδοντες ἀφελέσθαι τὴν ἱερωσύνην τὸν Μωϋσέως ἀδελφὸν, καὶ τοῦτον αὐτὸν ἀτιμοῦν.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ μὲν στασιάσαι τὸν Κορὲ κατὰ τοῦ νομοθέτου ἔχει τινὰ λόγον· ἐκ γὰρ τῆς Λευϊτικῆς ὑπῆρχε φυλῆς· Δαθὰν δὲ, καὶ Ἀβειρὼν, καὶ Ἐλιὰβ, ἐκ τοῦ Ῥουβὶμ τὸ γένος καταγόμενοι, (3) ποίαν ἔχουσι τῆς στάσεως ἀφορμήν; Πρωτότοκος ἦν Ῥουβίμ. καὶ ᾠήθησαν πρωτοτόκοις τὴν ἱερωσύνην ἁρμόττειν· καὶ οὐκ ἐσκόπησαν, ὡς ὁ πρόγονος αὐτῶν, τῶν πρωτοτοκίων διὰ τὴν παρανομίαν ἐξέπεσε. E

γ. Συνέστησαν ἐπὶ Μωϋσῆν καὶ Ἀαρὼν, καὶ εἶπαν πρὸς αὐτοὺς, ἐχέτω ὑμῖν ὅτι πᾶσα ἡ συναγωγὴ πάντες ἅγιοι, καὶ ἐν αὐτοῖς Κύριος. καὶ διατί κατανίστασθε ἐπὶ τὴν συναγωγὴν Κυρίου; Z

✱✱ ΙΩΣΗΠΟΥ. Ἀνηρέθιστο καὶ τὸ πλῆθος, καὶ βάλλειν τὸν Μωϋσῆν ὡρμήκεσαν, ὥστε ἐκκλησίαν ἀκόσμως μετὰ θορύβου καὶ ταραχῆς συνελέγοντο, καὶ πρὸ τῆς σκηνῆς τοῦ Θεοῦ πάντες ἐβόων.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐντεῦθεν καὶ ἐπὶ τὸν Κύριον ἦλθον. οἱ μὲν ἐπιφανεῖς, φθόνῳ· τὰ δὲ πλήθη, τῶν ἀρχόντων τῇ ἀκολουθήσει. H

ΚΥΡΙΛ-

(1) Εἰς τὸ 18. ἐδ. τοῦ 11. κεφ. τοῦ Δευτέρου ἀφορᾷ. ἐκεῖνο γὰρ τοῖς προκειμένοις ἐπισυνάψας, ἡρμήνευσε.
(2) Ἀβειρὼν υἱοὶ Ἐλιάβ. αἱ εἰρημ. ἐκδόσ.
(3) Ἐκ τοῦ Ῥουβὶμ τὸ γένος κατάγοντες. ἡ ἐν Χάλ. ἐκδ.

** ΚΥΡΙΛΛΟΥ. Μόνον δὲ οὐχὶ κοινὴν
εἶναί φασι, καὶ οὐχὶ δήμοις τοῖς αὐτοῖς,
ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι τὴν τοῦ ἀρχιε-
ρέως τιμὴν, καὶ οὐδὲν ὅλως τὸ περιττὸν, ἢ
περιφανέστερον, κἂν εἰ ὑπερκεῖσθαι λέγοιν-
το, ψήφῳ τὸ χρῆμα λαχόντες τῇ παρὰ
Θεοῦ. ὅπερ ἐστὶν ἐναργῶς ταῖς ἄνωθεν ψή-
φοις ἐπιτιμᾶν, καὶ οὐδὲν εἶναι λογίζεσθαι
τὸ τῷ νομοθέτῃ δοκοῦν.

δ. Καὶ ἀκούσας Μωϋσῆς, ἔπεσεν
ε. ἐπὶ πρόσωπον. Καὶ ἐλάλησε πρὸς
Κορὲ καὶ πρὸς πᾶσαν αὐτοῦ τὴν συ-
ναγωγὴν, λέγων, ἐπέσκεπται ὁ Θεὸς
καὶ ἔγνω τοὺς ὄντας αὐτοῦ, καὶ τοὺς
ἁγίους προσηγάγετο πρὸς ἑαυτόν· καὶ
οὓς οὐκ ἐξελέξατο ἑαυτῷ, οὐ προση-
γάγετο πρὸς ἑαυτόν.

ϛ. Τοῦτο ποιήσατε· λάβετε ὑμῖν
ἑαυτοῖς πυρεῖα Κορὲ, καὶ πᾶσα ἡ
ζ. συναγωγὴ αὐτοῦ, Καὶ ἐπίθετε ἐπ'
αὐτὰ πῦρ, καὶ ἐπίθετε ἐπ' αὐτὰ
θυμίαμα ἔναντι Κυρίου αὔριον· καὶ
ἔσται ὁ ἀνὴρ ὃν ἂν ἐκλέξηται Κύριος,
οὗτος ἅγιος. ἱκανούσθω ὑμῖν υἱοὶ Λευΐ.

Ἱκανούσθω. Ἀκύλας καὶ Θεοδοτίων, πολὺ ὑμῖν ἀρκείτω.

** ΙΩΣΗΠΟΥ. Πρωῒ ὅσοι τῆς ἱερωσύνης ἀντιποιεῖσθε κομίζων ἕκαστος θυμιατήριον οἴκοθεν σὺν θυμιάμασι καὶ πῦρ, παρεῖτε. Καὶ μετ' ὀλίγα. Καὶ θυμιωμένων ὑμῶν, οὗπερ ἂν τὴν θυσίαν ἥδιον κρίνοιεν ὁ Θεὸς, οὗτος ὑμῖν ἱερεὺς κεχειροτονήσεται.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀξιοῖ παρὰ Θεοῦ γενέσθαι τὴν κρίσιν, μὴ δεχθείσης τῆς θυσίας αὐτῶν, ὡς ἐπὶ μιᾶς συστάσεως τὴν θυσίαν τῶν περὶ Κορὲ λέγων εἶναι τῶν περὶ Δαθάν. Φησὶ γοῦν καὶ μετὰ ταῦτα, ῥαγεῖσα ἡ γῆ, κατέπιε πάντας τοὺς μετὰ Κορὲ, λέγων τοὺς μετὰ Δαθὰν καὶ Ἀβειρών. οὕτω μακάριον ὑπὸ Θεῷ πολιτεύεσθαι ἐπιτρέποντας Θεῷ τὰ Θεοῦ.

η. Καὶ εἶπε Μωϋσῆς πρὸς Κορέ;
θ. εἰσακούσατέ μου υἱοὶ Λευΐ. Μὴ μικρόν
ἐστιν ὑμῖν τοῦτο, ὅτι διέστειλεν ὑμᾶς ὁ
Θεὸς Ἰσραὴλ ἐκ συναγωγῆς Ἰσραὴλ,
καὶ προσηγάγετο ὑμᾶς πρὸς ἑαυτὸν
λειτουργεῖν τὰς λειτουργίας τῆς σκη-
νῆς τοῦ Κυρίου, καὶ παρίστασθαι ἔναντι
ι. τῆς συναγωγῆς λατρεύειν αὐτῷ; Καὶ
προσηγάγετό σε καὶ πάντας τοὺς ἀ-
δελφούς σου υἱοὺς Λευΐ μετὰ σοῦ, καὶ
ζητεῖτε ἱερατεύειν;

** ΚΥΡΙΛΛΟΥ. Ὁ μὲν θεσπέσιος Μωϋσῆς ἠπιότητι τῇ συνήθει χρώμενος, ὡς ἠῤῥωστηκότας παρεκάλει, καὶ τὴν ὅσην οὔπω κατ' αὐτῶν ἐσομένην ὀργὴν ἐννενοη-
» κὼς, ἐπιπλήττει, λέγων· ἱκανούσθω ὑμῖν
A » υἱοὶ Λευΐ. οὐ γὰρ μικρὸν, φησὶν, ὑμῖν, ὅτι ὑμᾶς ἐκ πάντων ἀπολέκτους ἐποιήσατο πρὸς τὴν οὕτω σεπτὴν καὶ ἀξιάγαστον λειτουργίαν ὁ τῶν ὅλων Θεός. οἱ δὲ ἦσαν ἔτι πικροὶ καὶ ἀτεράμονες, καὶ ἀχάλινοι πρὸς ὑπεροψίαν.

ια. Οὕτω σὺ καὶ πᾶσα ἡ συνα-
γωγή σου ἡ συνηθροισμένη πρὸς τὸν
Θεόν. καὶ Ἀαρὼν τίς ἐστιν, ὅτι δια-
ιβ. γογγύζετε κατ' αὐτοῦ; Καὶ ἀπέστειλε
B Μωϋσῆς καλέσαι Δαθὰν καὶ Ἀβει-
ρὼν υἱοὺς Ἐλιάβ· καὶ εἶπαν, οὐκ ἀνα-
ιγ. βαίνομεν. Μὴ μικρὸν τοῦτο, ὅτι ἀνή-
γαγες ἡμᾶς ἐκ γῆς ῥεούσης γάλα
καὶ μέλι, ἀποκτεῖναι ἡμᾶς ἐν τῇ ἐρή-
μῳ, ὅτι κατάρχεις ἡμῶν;

» ΑΔΗΛΟΥ. Κατάρχεις ἡμῶν. κατατυ-
» ραννεῖς γὰρ ἡμῶν βιαίως.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Δυσφημία κατὰ τοῦ
Γ Θεοῦ, ὃς γῆν ἐπηγγείλατο ῥέουσαν γάλα καὶ μέλι. οἱ δὲ τοὐναντίον φασὶν, ὡς ἐκ τοιαύτης ἀνήχθησαν γῆς εἰς ἔρημον τόπον.

ιδ. Ἄρχων εἶ· καὶ σὺ εἰς γῆν ῥέου-
σαν γάλα καὶ μέλι εἰσήγαγες ἡμᾶς,
καὶ ἔδωκας ἡμῖν κλῆρον ἀγροῦ καὶ ἀμ-
πελῶνος. τοὺς ὀφθαλμοὺς τῶν ἀν-
θρώπων ἐκείνων ἀνέκοψας. οὐκ ἀνα-
Δ βαίνομεν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐπὶ τί φησι καλεῖς ἡμᾶς; οὐ δέδωκας ἡμῖν ἃ ἐπηγγείλω, μὴ καὶ προσεκτυφλῶσαι ἡμᾶς ἐπιθυμεῖς;

ιε. Καὶ ἐβαρυθύμησε Μωϋσῆς
σφόδρα, καὶ εἶπε πρὸς Κύριον, μὴ
πρόσχῃς εἰς τὴν θυσίαν αὐτῶν. οὐκ
ἐπιθύμημα οὐδενὸς αὐτῶν εἴληφα, οὐδὲ
ἐκάκωσα οὐδένα αὐτῶν.

E ** ΠΡΟΚΟΠΙΟΥ. Βαρυθυμήσας ὁ
Μωϋσῆς, μὴ πρόσχῃς, φησὶν, εἰς τὴν
» θυσίαν αὐτῶν. οὐκ ὄνον (1) ἑνὸς αὐτῶν
» ἔλαβον, οὐδὲ ἐκάκωσα οὐδένα αὐτῶν. θαῤ-
ῥεῖ οὖν ὁ μὴ ἀδικήσας, ὡς Δαβὶδ, ἄνευ ἀνο- Ψαλ. 58. 4.
» μίας ἔδραμον καὶ κατεύθυνα· καὶ, εἰ ἔστιν Ψαλ. 7. 3.
» ἀδικία ἐν χερσί μου.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, μὴ πρόσχῃς
» εἰς τὴν θυσίαν αὐτῶν; Ἀγὼν περὶ τῆς
ἱερωσύνης ἐγίνετο· καὶ μέλλοντες κἀκεῖνοι
Z καὶ οὗτοι προσφέρειν θυμίαμα. κριτῇ ἐχρῶν-
το τῷ δεσπότῃ Θεῷ. ἀθυμήσας τοίνυν ὁ
Προφήτης διὰ τοὺς τῆς στάσεως ἀρχηγοὺς,
ἱκετεύει τὸν κριτὴν, μὴ δέξασθαι τὸ πα-
ρανόμως ὑπὸ τῶν στασιαστῶν προσφερόμε-
νον. καὶ εἰς μαρτυρίαν αὐτὸν τῆς οἰκείας
» ἐπιεικείας καλεῖ· μὴ πρόσχῃς γάρ φησιν εἰς
» τὴν θυσίαν αὐτῶν. οὐκ ἐπιθύμημα οὐδενὸς
» αὐτῶν εἴληφα, οὐδὲ ἐκάκωσα οὐδένα αὐτῶν.
ἔργῳ δὲ τὴν μαρτυρίαν αὐτῶν ἐβεβαίωσεν
H » ὁ κριτής. ἀποσχίσθητε γάρ φησι ἐκ μέσου
» τῆς συναγωγῆς ταύτης, καὶ ἐξαναλώσω
» αὐτοὺς εἰσάπαξ.

ιϛ. Καὶ

(1) Σημείωσον τὸ, ὄνον, ἀντὶ τοῦ, ἐπιθύμημα, πάνυ κατάλληλον ὄν.

ις. Καὶ εἶπε Μωϋσῆς πρὸς Κορὲ,
ἁγίασον τὴν συναγωγήν σου, καὶ
γίνεσθε ἕτοιμοι ἔναντι Κυρίου σὺ καὶ
ιζ. αὐτοὶ καὶ Ἀαρὼν αὔριον. Καὶ λά-
βετε ἕκαστος τὸ πυρεῖον αὐτοῦ, καὶ
ἐπιθήσετε ἐπ' αὐτῷ πῦρ, καὶ ἐπι-
θήσετε ἐπ' αὐτῷ θυμίαμα, καὶ προ-
σάξετε ἔναντι Κυρίου αὔριον ἕκαστος
τὸ πυρεῖον αὐτοῦ, πεντήκοντα καὶ
διακόσια πυρεῖα, καὶ σὺ καὶ Ἀαρὼν
ιη. ἕκαστος τὸ πυρεῖον αὐτοῦ. Καὶ ἔλα-
βεν ἕκαστος τὸ πυρεῖον αὐτοῦ, καὶ ἐπέ-
θηκαν ἐπ' αὐτὰ πῦρ, καὶ ἐπέβαλον
ἐπ' αὐτὰ θυμίαμα· καὶ ἔστησαν πα-
A ρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρ-
τυρίου Μωϋσῆς καὶ Ἀαρών.
ιθ. Καὶ ἐπισυνέστησαν ἐπ' αὐτοὺς
Κορὲ τὴν πᾶσαν συναγωγὴν αὐτοῦ
παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρ-
τυρίου. καὶ ὤφθη ἡ δόξα Κυρίου πά-
σῃ τῇ συναγωγῇ.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἐπισυνέστησε, φη-
» σὶν, ἐπ' αὐτοὺς Κορὲ τὴν πᾶσαν αὐτοῦ συ-
B ναγωγήν. ἐπ' ἀνθρώπους ἔθεντο τὰς ἐλ-
πίδας. τί γὰρ ἔδει πλήθους, Θεοῦ διακρί-
νοντος τοὺς ἀρέσκοντας;

✱✱ ΩΡΙΓΕΝΟΥΣ. Ὅτε λαὸς ἐπῆλ-
» θεν ἀνελεῖν Μωϋσέα, καὶ ἐπεσκίασεν ἡ δό-
ξα Κυρίου. ἦν δὲ ὅσιον, τοὺς ἐπελθόντας
ἐχθρῶν δίκην, ἀναιρεῖσθαι.

ΚΕΦ. ΙΖ. (1)

α. Καὶ ἐλάλησε Κύριος πρὸς
Μωϋσῆν καὶ Ἀαρὼν, λέ-
β. γων, Ἀποσχίσθητε ἐκ
μέσου τῆς συναγωγῆς ταύτης, καὶ
ἐξαναλώσω αὐτοὺς εἰσάπαξ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Θανάτῳ δείκνυσιν ὑποκειμένους. πολὺ γὰρ ἦν αὐτοῖς συνδιεφθαρμένον, καὶ μηδὲ συναγανακτεῖν τοῖς ἡγεμόσι κατὰ τῶν ἐπαναστάντων. ὡς καὶ μετὰ τὴν τιμωρίαν αὐτῶν χαλεπαίνειν κατὰ τῶν περὶ Μωϋσέα, ὡς αὐτῶν κατεσκευακότων τὴν τῶν τοσούτων φθοράν. διὸ καὶ πᾶσιν αὐτοῖς ἀπειλεῖ, ἐπιτρέπων τοῖς ἱερεῦσι καὶ παραιτεῖσθαι ὑπὲρ αὐτῶν, δι'
» ὧν φησίν· ἀποσχίσθητε, καὶ ἐξαναλώσω αὐτούς· ὡς δι' αὐτοὺς μὴ ἀπολουμένων. τί γὰρ ἦν τὸ κωλῦον εἴπερ ἠβούλετο; δείκνυσιν οὖν μετὰ τοῦ δικαίου τὸ ἀγαθὸν, καθ' ἱκεσίαν τῶν ἰδίων τοῦ Θεοῦ διδόμενον. ὅθεν τὸ συναπολέσθαι τοῖς ἀσεβέσι τοὺς ἄλλους ἀνίησι, γινόμενον ἐνίοτε, ὡς ἐπὶ τοῦ Ἄχαρ, συμφερόντως τῷ λαῷ, εἰς τὸ χαλεπαίνειν τοῖς αἰτίοις. ὅθεν κελεύει τοῖς ἄλλοις ἀποστῆναι τῶν ἀσεβούντων, μήπως συναναιρεθῶσιν αὐτοῖς. οὕτως ἐπικίνδυνον ἡ τῶν κακῶν ἑταιρεία.

γ. Καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐ-
τῶν, καὶ εἶπαν, Θεὸς, Θεὸς τῶν
πνευμάτων καὶ πάσης σαρκός· εἰ
ἄνθρωπος εἷς ἥμαρτεν, ἐπὶ πᾶσαν
τὴν συναγωγὴν ἡ ὀργὴ Κυρίου;

ΘΕΟΔΩΡΙΤΟΥ. Δεδήλωκε δὲ ὁ πανεύφημος Μωσῆς τὴν οἰκείαν πρᾳότητα. προκυλινδούμενος γὰρ τοῦ κριτοῦ, ἐβόα· ὁ
» Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός·
» εἰ ἄνθρωπος εἷς ἥμαρτεν, ἐπὶ πᾶσαν τὴν
» συναγωγὴν ἡ ὀργὴ Κυρίου; δεξάμενος δὲ ὁ φιλάνθρωπος Κύριος τὴν τοῦ θεράποντος ἱκετείαν, τῶν μὲν στασιαστῶν ἀποκριθῆναι
Γ κελεύει τοὺς ἄλλους· χωρῆσαι δὲ κελεύσας τὴν γῆν, αὐτάνδρους τὰς σκηνὰς ὑποβρυχίους ἀπέφηνε. καὶ οἱ διὰ μέσης θαλάσσης ὁδεύσαντες, ἐν τῇ γῇ κατεπόθησαν. ῥᾴδιον γὰρ τῷ ποιητῇ καὶ ξηρὰν ὁδὸν ἐν τῇ θαλάττῃ δημιουργεῖν, καὶ τῇ γῇ πάλιν εἰς τιμωρίαν ἀντὶ θαλάσσης κεχρῆσθαι. τοῖς μὲν γὰρ Αἰγυπτίοις τὸν δι' ὕδατος ἐπήγαγεν ὄλεθρον· τὸν δὲ Δαθὰν καὶ Ἀβειρὼν,
Δ καὶ τοὺς ἄλλους, τοῖς τῆς γῆς συνεκάλυψεν ὕδασι. (2) τούτους μὲν οὖν ζῶντας τῷ ᾅδῃ παρέπεμψε, τοὺς δὲ Κορὲ τὴν συναγωγὴν πυρὶ κατηνάλωσεν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Χαρίζεται τῇ δεήσει ὁ Θεὸς τῇ διακρίνειν ἀξιούσῃ, ἐπειδὴ πᾶσαι αἱ ψυχαὶ καὶ αἱ σάρκες αὐτοῦ εἰσί. καὶ τὸ συναπολέσθαι τοῖς ἀσεβοῦσι τοὺς ἄλλους ὀνίνησι, γινόμενον ἐνίοτε, ὡς ἐπὶ τοῦ Ἄχαρ.

E δ. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
ε. σῆν, λέγων, Λάλησον τῇ συναγω-
γῇ, λέγων, ἀναχωρήσατε κύκλῳ
ἀπὸ τῆς συναγωγῆς Κορὲ, Δαθὰν,
καὶ Ἀβειρών.

ΑΔΗΛΟΥ. Σωθήτωσαν, φησὶ, δι' ἡμᾶς τούτοις συνημμένοι, καὶ μὴ κοινωνείτωσαν τοῦ πάθους οἱ κοινωνοῦντες τοῦ γένους, καὶ τῆς ἄλλης κακίας· χωρισθέντες μέντοι τῶν προηγουμένων, ὡς κατακρινομένων.

Z ς. Καὶ ἀνέστη Μωϋσῆς, καὶ ἐπο-
ρεύθη πρὸς Δαθὰν καὶ Ἀβειρὼν, καὶ
συνεπορεύθησαν μετ' αὐτοῦ πάντες
οἱ πρεσβύτεροι Ἰσραήλ.

✱✱ ΙΩΣΗΠΟΥ. Πέμψας Μωϋσῆς πρὸς Ἀβίραμον καὶ Δαθάμνην ὑπηρέτας, ἐκέλευσεν ἥκειν κατὰ τὰ συγκείμενα, καὶ περιμένειν τὴν ἱερουργίαν. ὡς δ' οὔτε ὑπακούεσθαι
H τοῖς ἀγγέλοις ἔφασαν, καὶ Μωϋσῆν οὐ περιόψεσθαι, κατὰ τοῦ λαοῦ παντὸς ἐκ κακουρ-

(1) Ἰστέον, ὅτι τὰ 31. ἐδ. τοῦ δὲ τοῦ κεφ. ἐπισυνημμένα εἰσὶ τῷ προλαβόντι ἐν ταῖς εἰρημ. ἐκδόσ.
(2) Κύμασιν. ἡ ἐν Χάλ. ἐκδ.

κακεργίας αὐξανόμενον· ἀκέσας τὰ παρ' αὐτῶν ὁ Μωϋσῆς, ἀκολεθεῖν αὐτῷ τὲς προβόλες ἀξιώσας, ἀπῄει πρὸς τὲς περὶ Δαθάμιω, ἐχ ἡγέμενος εἶναι δεινὸν βαδίζειν πρὸς τὲς ὑπερηφανήσαντας.

ζ. Καὶ ἐλάλησε πρὸς τὴν συναγωγὴν, λέγων, ἀποχίσθητε ἀπὸ τῶν σκηνῶν τῶν ἀνθρώπων τῶν σκληρῶν τέτων, καὶ μὴ ἅπτεσθε ἀπὸ πάντων ὅσα ἐςὶν αὐτοῖς, μὴ συναπόλησθε ἐν πάσῃ τῇ ἁμαρτίᾳ αὐτῶν.

ΑΔΗΛΟΥ. Ἱκανὸν ἡ τῶν κακῶν ἑταιρεία πρὸς τὸ συναπολέσθαι αὐτές.

η. Καὶ ἀπέςησαν ἀπὸ τῆς σκηνῆς Κορὲ καὶ Δαθὰν κ̀ Ἀβειρὼν κύκλῳ· καὶ Δαθὰν καὶ Ἀβειρὼν ἐξῆλθον, κ̀ εἱςήκεισαν παρὰ τὰς θύρας τῶν σκηνωμάτων αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, καὶ ἡ ἀποσκευὴ αὐτῶν.

ΑΔΗΛΟΥ. Ὑπολαμβάνονται μέσοι, ἵνα ὑπὸ τοῖς πάντων ὀφθαλμοῖς ἀπόλωνται, καὶ γένηται τὸ ἐκείνων πάθος ἁπάντων παίδευμα τῶν κύκλῳ. (1)

** ΙΩΣΗΠΟΥ. Οἱ περὶ Δαθάμιω πυθόμενοι τὸν Μωϋσῆν μετὰ τῶν ἀξιολόγων τῆς πληθύος πρὸς αὐτὲς παραγινόμενον, προελθόντες γυναιξὶν ἅμα καὶ τέκνοις πρὸ τῶν σκηνῶν, ἀπέβλεπον τί καὶ μέλλει ποιεῖν ὁ Μωϋσῆς· οἵτε θεράποντες ἦσαν περὶ αὐτὲς, ὡς εἰ βίαν τινὰ προσφέροι Μωϋσῆς, ἀμυνόμενοι.

θ. Καὶ εἶπε Μωϋσῆς, ἐν τέτῳ γνώσεσθε ὅτι Κύριος ἀπέςειλέ με ποιῆσαι τὰ ἔργα ταῦτα πάντα, ὅτι ἐκ ἀπ' ἐμαυτῦ.

ι. Εἰ κατὰ θάνατον πάντων τῶν ἀνθρώπων ἀποθανεῖνται ἔτοι, εἰ καὶ κατ' ἐπίσκεψιν πάντων ἀνθρώπων ἐπισκοπὴ ἔςαι αὐτῶν, ἐχὶ Κύριος

ια. ἀπέςειλέ με. Ἀλλ' ἢ ἐν χάσματι δείξει Κύριος, καὶ ἀνοίξασα ἡ γῆ τὸ ςόμα αὐτῆς καταπίεται αὐτὲς, καὶ τὲς οἴκες αὐτῶν, καὶ τὰς σκηνὰς αὐτῶν, καὶ πάντα ὅσα ἐςὶν αὐτοῖς, καὶ καταβήσονται ζῶντες εἰς ᾅδε, κ̀ γνώσεσθε, ὅτι παρώξυναν οἱ ἄνθρωποι ἔτοι τὸν Θεόν.

** ΙΩΣΗΠΟΥ. Ποιήσεις φανερὰν τὴν ἐπ' αὐτοῖς δίκην, ἔτω μεμηνότων κατὰ τῆς σῆς δόξης, μὴ κοινῶς ἐκ τῦ ζῆν αὐτὲς μεταςήσας, μηδ' ὡς ἀποθανόντας κατ' ἀνθρώπινον ἐξεληλυθότας τῦ βίε φανέντας νόμον. ἀλλὰ χάνοι περὶ αὐτὲς ἅμα τῇ γενεᾷ καὶ τοῖς ὑπάρχεσιν, ἣν πατέσι γῆν.

A τῦτο γὰρ σῆς ἐπίδειξις ἂν ἰσχύος ἅπασι γένοιτο καὶ διδασκαλία, σωφροσύνης δὲ εἰς τὲς ταῦτα πείσεσθαι περὶ σῦ δοξάζοντας ἐχ ὅσια.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐδεῖτο (2) καὶ λόγε προδηλῦντος τὸ ἔργον· ἵνα ἐμφανίζῃ Θεῦ γνώμην, καὶ μὴ συνάντημα νομίζηται.

ιβ. Ὡς δὲ ἐπαύσατο λαλῶν πάντας τὲς λόγες τέτες, ἐῤῥάγη ἡ γῆ

B ὑποκάτω τῶν ποδῶν αὐτῶν.

ιγ. Καὶ ἠνοίχθη ἡ γῆ, καὶ κατέπιεν αὐτὲς, καὶ τὲς οἴκες αὐτῶν, καὶ πάντας τὲς ἀνθρώπες τὲς ὄντας μετὰ Κορὲ, καὶ τὰ κτήνη αὐτῶν.

** ΚΥΡΙΛΛΟΥ. Εἰς τῦτο κακῦ τὰ τῆς ἀπονοίας εἰσβέβηκεν, ὡς διανοίξασαν τὴν γῆν τὸ ςόμα, αὐτοῖς γένεσι καὶ σκηναῖς ἑλεῖν, καὶ ὀλέθρῳ ξένῳ περιβαλεῖν. κα-

Γ» τέβησαν γὰρ εἰς ᾅδε ζῶντες, κατὰ τὸ γεγραμμένον. ἀνόσιον ἐν ἄρα καὶ θανάτε γραφὴν ἔχει παρὰ Θεῷ, τὸ κατανίςασθαι κεφαλῆς, καὶ τὸ μὴ ὑπείκειν τοῖς προτεταγμένοις, καὶ τὴν πρέπεσαν παρὰ Θεῷ λαχεῖσι τιμήν. συνέσεως δὲ τῆς ἀνωτάτω καρπὸς, τὸ, ἐφ' ᾧ ἄν τις ἔχοι, σεμνύνεσθαι καὶ εὐχαριςεῖν, καὶ μὴ τοῖς ἐπέκεινα μέτρε ῥιψοκινδύνως ἐπιπηδᾷν, μήτε μὴν ἐφίεσθαι τῶν ἔπω δεδωρημένων αὐτοῖς, οἰο- Ψαλ. 54.15.

Δ μένες εἶναι κοινὰ καὶ βάσιμα τοῖς πολλοῖς, ἃ μόνοις τοῖς ἄνωθεν διοικεῖται νεύμασι.

** ΤΟΥ ΝΥΣΣΗΣ. Ταπεινὸν εἶναι κρίνοντες τὸ φυλάσσειν ἐφ' ἑαυτῶν τὴν τάξιν ἐφ' ἧς ἐτάχθησαν, εἰσωθῦσιν ἑαυτὲς εἰς τὸ τῆς ἱερωσύνης ἀξίωμα, παρώσασθαι τὲς παρὰ τῦ Θεῦ τὴν λειτεργίαν ταύτην λαχόντας φιλονεικήσαντες. οἱ χάσματι ὑποληφθέντες, ἐξηφανίσθησαν. τὸ δ' ὅσον ὑπὲρ γῆς ἦν τῦ τοιέτε συντάγ-

E ματος, κεραυνοῖς κατεπρήσθη. διδάσκοντος, οἶμαι, τῦ λόγε διὰ τῆς ἱςορίας, ὅτι πέρας ἐςὶ τῆς καθ' ὑπερηφανίαν ἐπάρσεως ἡ εἰς τὸ ὑπόγειον κάθοδος. καὶ τάχα τὶς διὰ τέτων ὁρμώμενος, ἐκ ἀπεικότως ἄνοδον ἐπὶ τὸ κάτω τὴν ὑπερηφανίαν ὁρίσαιτο. εἰ δὲ πρὸς τὸ ἐναντίον τῇ τῶν πολλῶν ὑπολήψει φέρεται ἡ διάνοια, μηδὲν θαυμάσῃς. τοῖς γὰρ πολλοῖς δοκεῖ τὸ ὑπὲρ τὲς ἄλλες εἶναι, τῷ ὀνόματι τῆς ὑπερη-

Z φανίας σημαίνεσθαι. ἡ δὲ τῶν ἱςορηθέντων ἀλήθεια βεβαιοῖ τὸν ἡμέτερον ὅρον. εἰ γὰρ οἱ ὑπὲρ τὲς ἄλλες ἑαυτὲς ἄραντες, κάτω πε κατέδυσαν, χάσματι τῆς γῆς διαχεθείσης· ἐκ ἄντις καταγνοίη τῦ ὅρε, τῦ τὴν ὑπερηφανίαν, τὴν κατωτάτω πτῶσιν εἶναι ὁριζομένε. πρὸς ταῦτα βλέποντας, μετριάζειν παιδεύει ὁ Μωϋσῆς, καὶ μὴ ἐπαίρεσθαι τοῖς κατορθώμασιν, ἀλλ' ἀεὶ τὸ παρὸν εὖ διατίθεσθαι.

H ΑΔΗΛΟΥ. Ὅτε μὲν τὸν Θεὸν ἐπείρασαν ἐν ἀνύδρῳ, ἔδωκεν αὐτοῖς ὡς ἀμνησίκακος

(1) Ὅμοια τέτοις τὰ τῦ Προκοπ. τὰ ἐν τῷ τῆς Αὐγ. κώδ.

(2) Ἔδει γὰρ καὶ λόγε. ὁ τῆς Αὐγ. κώδ.

A κακος τὰ αἰτήματα αὐτῶν· ὅτε δὲ παρώργισαν τὸν Μωϋσῆν, τηνικαῦτα ἠνοίχθη ἡ γῆ, καὶ κατέπιεν αὐτούς. ἔδει γὰρ μὴ κα-
Ῥωμ. 11. 22. ταφρονηθῆναι τοὺς θεράποντας. ἴδε οὖν, » φησὶν ὁ Ἀπόστολος, χρηστότητα Θεοῦ καὶ » ἀποτομίαν.

❊❊ ΠΡΟΚΟΠΙΟΥ. Ἐπανίσταται ἡ κλῆσις τοῖς ἐπανισταμένοις Θεῷ· καὶ ὁ θάνατος πικρότατος, οἷος ὁ δαιμόνων· οἳ ζῶντες εἰς ᾅδου καταβήσονται. τοῖς δὲ προηγουμένοις συνέλκεται τὰ ἀκολουθήματα, οἷ-
Ματθ. 13. 49, 50. κοι καὶ κλήση. ἐξελεύσονται, φησὶν, οἱ Ἄγ- » γελοι, καὶ ἀφοριοῦσι τοὺς ἀσεβεῖς ἐκ μέσου » τῶν δικαίων, καὶ ἐκβαλοῦσιν αὐτοὺς εἰς τὸ » σκότος τὸ ἐξώτερον. ἔνδειγμα γὰρ ταῦτα τοῦ τέλους.

ιδ. Καὶ κατέβησαν αὐτοὶ, καὶ πάντα ὅσα ἐστὶν αὐτοῖς ζῶντες εἰς ᾅδου, καὶ ἐκάλυψεν αὐτοὺς ἡ γῆ, καὶ ἀπώλοντο ἐκ μέσου τῆς συναγωγῆς.

ΑΔΗΛΟΥ. Σημαίνει σαφῶς, ὅτι πόμα ἐστὶ τοῦ ᾅδου ἡ γῆ.

ιε. Καὶ πᾶς Ἰσραὴλ οἱ κύκλῳ αὐτῶν ἔφυγον ἀπὸ τῆς φωνῆς αὐτῶν, ὅτι εἶπαν, λέγοντες, μήποτε καταπίῃ ἡμᾶς ἡ γῆ.

ις. Καὶ πῦρ ἐξῆλθε παρὰ Κυρίου, καὶ κατέφαγε τοὺς πεντήκοντα καὶ διακοσίους ἄνδρας τοὺς προσφέροντας τὸ θυμίαμα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Καὶ ὁ Ὀζίας τοῦτο ποιήσας, ἐλεπρώθη.

ιζ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν,
ιη. Καὶ πρὸς Ἐλεάζαρ τὸν υἱὸν Ἀαρὼν τὸν ἱερέα, ἀνέλεσθε τὰ πυρεῖα τὰ χαλκᾶ ἐκ μέσου τῶν κατακεκαυμένων, καὶ τὸ πῦρ τὸ ἀλλότριον τοῦτο σπεῖρον ἐκεῖ, ὅτι ἡγίασαν τὰ πυρεῖα
ιθ. Τῶν ἁμαρτωλῶν τούτων ἐν ταῖς ψυχαῖς αὐτῶν, καὶ ποίησον αὐτὰ λεπίδας ἐλατὰς περίθεμα τῷ θυσιαστηρίῳ, ὅτι προσηνέχθησαν ἔναντι Κυρίου καὶ ἡγιάσθησαν· καὶ ἐγένοντο εἰς σημεῖον τοῖς υἱοῖς Ἰσραήλ.

❊❊ ΠΡΟΚΟΠΙΟΥ. Τὸ ἀλλότριον πῦρ διασπείρεται· οἱ γὰρ γήϊνοι λόγοι τῶν ἐπανισταμένων ἀπορριπτοῦνται· οἱ δὲ θεῖοι, κρα-
Λουκ. 12. 49. τοῦσι. πῦρ γάρ φησιν ἦλθον βαλεῖν ἐπὶ » τὴν γῆν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί προσέταξεν ὁ Θεὸς τὰ τῶν στασιαστῶν πυρεῖα τῷ θυσιαστηρίῳ γενέσθαι περίθεμα; Εἰς ἔλεγχον τῶν κατὰ τῆς ἱερωσύνης θρασυνομένων, καὶ βεβαίωσιν τῶν ἱερουργεῖν προστεταγμένων. τοῦτο γὰρ ἐπήγαγε· » μνημόσυνον τοῖς » υἱοῖς Ἰσραὴλ, ὅπως ἂν μὴ προσέλθῃ μηδεὶς » ἀλλογενὴς, ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρματος » Ἀαρὼν, ἐπιθεῖναι θυμίαμα ἔναντι Κυρίου. τούτου χάριν καὶ τὴν βλαστήσασαν ῥάβδον ἐντεθῆναι προσέταξεν εἰς τὴν κιβωτόν.

ΩΡΙΓΕΝΟΥΣ. Ὥσπερ ὁ χαλκοῦς ὄφις σημεῖον τῆς ἀπιστίας αὐτῶν, οὕτω καὶ τὰ πυρεῖα τῶν περὶ Κορὲ καὶ Δαθὰν [καὶ Ἀβειρὼν,] περίθεμα ὄντα τῷ θυσιαστηρίῳ.

κ. Καὶ ἔλαβεν Ἐλεάζαρ υἱὸς Ἀαρὼν τοῦ ἱερέως τὰ πυρεῖα τὰ χαλκᾶ, ὅσα προσήνεγκαν οἱ κατακεκαυμένοι, καὶ προσέθηκαν αὐτὰ περίθεμα τῷ θυσιαστηρίῳ.

B ❊❊ ΠΡΟΚΟΠΙΟΥ. Θεοῦ προστάξει τὰ τῶν ἀσεβῶν θυμιατήρια τῷ θυσιαστηρίῳ περιβάλλεται· γέγονε γὰρ ἅγια διὰ τὸ προσενεχθῆναι Θεῷ, καίτοι τῆς προσαγωγῆς αὐτῶν οὐ κατὰ Θεὸν γενομένης. μέγα οὖν τὸ προσφέρειν Θεῷ τῷ οὕτω τιμῶντι τὰ προσφερόμενα.

κα. Μνημόσυνον τοῖς υἱοῖς Ἰσραὴλ, ὅπως ἂν μὴ προσέλθῃ μηδεὶς ἀλλογενὴς, ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρματος Ἀαρὼν, ἐπιθεῖναι θυμίαμα ἔναντι Κυρίου· καὶ οὐκ ἔσται ὥσπερ Κορὲ, καὶ ἡ ἐπισύστασις αὐτοῦ, καθὰ ἐλάλησε Κύριος ἐν χειρὶ Μωϋσῇ.

Γ ΑΠΟΛΙΝΑΡΙΟΥ. Μνημόσυνον τῆς τιμωρίας τῶν ἀθέσμως προσενεγκόντων, ὡς ἅγια γινόμενα, διὰ τὸ προσενεχθῆναι Θεῷ, καίτοι τῆς προσαγωγῆς αὐτῶν οὐ κατὰ Θεὸν γινομένης.

Δ κβ. Καὶ ἐγόγγυσαν οἱ υἱοὶ Ἰσραὴλ τῇ ἐπαύριον ἐπὶ Μωϋσῆν καὶ Ἀαρὼν, λέγοντες, ὑμεῖς ἀπεκτάγκατε τὸν λαὸν Κυρίου.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐνταῦθα ἐξελέγχεται τοῦ λαοῦ ἡ πρὸς τοὺς ἐπανισταμένους ὁμόνοια. εἰπόντες γὰρ, οἱ περὶ τὸν Μωϋσῆν ἀπεκτάγκασι τὸν τοῦ Θεοῦ λαὸν, ἐπισυνάγονται κατ' αὐτῶν, οὐ Θεοῦ τὸ ἔργον εἶναι λέγοντες, ἀλλ' ἐξ ἐπιβουλῆς αὐτῶν. ὅπερ ἐστὶ μαγείας ὑποψία.

E κγ. Καὶ ἐγένετο ἐν τῷ ἐπισυστρέφεσθαι τὴν συναγωγὴν ἐπὶ Μωϋσῆν καὶ Ἀαρὼν, καὶ ὥρμησαν ἐπὶ τὴν σκηνὴν τοῦ μαρτυρίου· καὶ τήνδε ἐκάλυψεν ἡ νεφέλη, καὶ ὤφθη ἡ δόξα
κδ. Κυρίου. Καὶ εἰσῆλθε Μωϋσῆς καὶ Ἀαρὼν κατὰ πρόσωπον τῆς σκηνῆς τοῦ μαρτυρίου.
κε. Καὶ ἐλάλησε Κύριος πρὸς
κς. Μωϋσῆν καὶ Ἀαρὼν, λέγων, Ἐκχωρήσατε ἐκ μέσου τῆς συναγωγῆς ταύτης, καὶ ἐξαναλώσω αὐτοὺς εἰσάπαξ. καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν.

ΑΔΗΛΟΥ. Πάλιν ἡ κατὰ πάντων ἀπει-
H λὴ τῆς κατὰ κοινωνίαν ἀπωλείας.

κζ. Καὶ εἶπε Μωϋσῆς πρὸς Ἀαρὼν, λάβε τὸ πυρεῖον, καὶ ἐπίθες ἐπ' αὐτῷ πῦρ ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἐπι-

ἐπίβαλε ἐπ' αὐτῷ θυμίαμα, καὶ ἀπένεγκε τὸ τάχος εἰς τὴν παρεμβολὴν, καὶ ἐξίλασαι περὶ αὐτῶν. ἐξῆλθε γὰρ ὀργὴ ἀπὸ προσώπου Κυρίου, ἤρκται θραύειν τὸν λαόν.

* ΠΡΟΚΟΠΙΟΥ. Ἄρχοντος γὰρ τὸ μὴ ἀποσείεσθαι (1) τὸν λαὸν, μηδ' ἂν πάσχῃ (2) ὑπ' αὐτοῦ. καὶ ὁ ἀληθὴς ἄρχων, ὁ
Λευκ. 23. 34. Κύριος ἡμῶν, πάτερ ἄφες αὐτοῖς.

κη. Καὶ ἔλαβεν Ἀαρὼν καθάπερ ἐλάλησεν αὐτῷ Μωϋσῆς. (3) καὶ ἤδη ἐνῆρκτο ἡ θραῦσις ἐν τῷ λαῷ. καὶ ἔλαβε, καὶ ἐπέβαλε τὸ θυμίαμα, καὶ ἐξιλάσατο περὶ τοῦ λαοῦ.

ΑΔΗΛΟΥ. Οὕτως ἐναργῶς ἐδείχθη ὁ ἀρχιερεὺς ὁ ἐκλελεγμένος ὑπὸ Θεοῦ πρὸς ἱλασμὸν ὑπὲρ τοῦ λαοῦ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. (4) Ἐδείχθη καὶ δύναμις εὐώδους εὐχῆς, πρὸς ἣν ἀνάλογον ἔχει τὸ θυμίαμα ἀναχωροῦσαν πρὸς Θεόν. τὸ γὰρ θυμίαμα τύπος ἐστὶ τῆς εὐώδους καὶ
Ψαλ. 140. 2. καθαρᾶς προσευχῆς. ὡς τὸ, κατευθυν-
» θήτω ἡ προσευχή μου, καὶ τὰ ἑξῆς.

κθ. Καὶ ἔστη ἀναμέσον τῶν τεθνηκότων καὶ τῶν ζώντων, καὶ ἐκόπασεν ἡ θραῦσις.

** ΠΡΟΚΟΠΙΟΥ. Διατειχίζει τῷ θυμιάματι μέσον ζώντων καὶ τεθνηκότων ὁ Ἀαρὼν, καὶ δείκνυται τοῖς ἔργοις ἐξειλεγμένος ὑπὸ Θεοῦ πρὸς ἱλασμὸν τοῦ λαοῦ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Μέρος ἀπόλλυται, καὶ τὸ πλέον μέρος παιδεύεται, καὶ ἡμῖν παράδειγμα καταλέλειπται.

λ. Καὶ ἐγένοντο οἱ τεθνηκότες ἐν τῇ θραύσει τέσσαρες καὶ δέκα χιλιάδες καὶ ἑπτακόσιοι, χωρὶς τῶν τεθνη-
λα. κότων ἕνεκεν Κορέ. Καὶ ἐπέστρεψεν Ἀαρὼν πρὸς Μωϋσῆν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐκόπασεν ἡ θραῦσις.

λβ. (5) Καὶ ἐλάλησε Κύριος πρὸς
λγ. Μωϋσῆν, λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ λάβε παρ' αὐτῶν ῥάβδον κατ' οἴκους πατριῶν αὐτῶν παρὰ πάντων τῶν ἀρχόντων αὐτῶν, καὶ κατ' οἴκους πατριῶν αὐτῶν, δώδεκα ῥάβδους, καὶ ἑκάστου τὸ ὄνομα αὐτοῦ ἐπίγραψον ἐπὶ τῆς ῥάβδου αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Ὅτι ψήφῳ τῇ ἄνωθεν, καὶ οὐχὶ θελήματι Μωσέως τὴν τῆς ἱερωσύνης τάξιν Ἀαρὼν ἐκληρώσατο, [διατρανοῦν ἐθέλων ὁ νομοθέτης, εἰς τὸν πανάριστον
» ἔφη Μωσέα· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ,
» καὶ λάβε παρ' αὐτῶν ῥάβδον.]

A ** ΤΟΥ ΝΥΣΣΗΣ. Ὡς δ' ἂν μᾶλλον πεισθεῖεν οἱ ἄνθρωποι θεόθεν παραγίνεσθαι τῆς ἱερωσύνης τὴν χάριν τοῖς ἀξιουμένοις, ῥάβδους ἐξ ἑκάστης φυλῆς παρὰ τῶν ἐξεχόντων κομίζεται, γράμμασιν ἰδίου ἑκάστου κατασημηνάμενος τοῦ δεδωκότος, ἐν αἷς ἦν καὶ ἡ Ἀαρὼν τοῦ ἱερέως. ταύτας δὲ προθεὶς τῷ ναῷ, διὰ τούτων φανεροῖ τῷ λαῷ τὴν περὶ τῆς ἱερωσύνης τοῦ Θεοῦ ψῆφον.

B ** ΠΡΟΚΟΠΙΟΥ. Ἑκάστῃ ῥάβδῳ κελεύει ἐπιγραφῆναι τὸ τοῦ ἄρχοντος ὄνομα ἀντὶ τῆς φυλῆς ἁπάσης, ἧς ἄρχει, πρὸς τὸ μηδένα ἕτερον ἀντιποιεῖσθαι τῆς ἱερωσύνης, πλὴν τοῦ ἐπιγεγραμμένου. τὸ δὲ πᾶν τοῦτο διὰ τὴν τοῦ Λευῒ φυλήν· ὡς ἂν ὁ ταύτης ἄρχων Ἀαρὼν ἔχῃ τὸ γέρας.

λδ. Καὶ τὸ ὄνομα Ἀαρὼν ἐπίγραψον ἐπὶ τῆς ῥάβδου Λευΐ· ἔστι γὰρ ῥάβδος μία· κατὰ φυλὴν οἴκου πα-
λε. τριῶν δώσουσι. Καὶ θήσεις αὐτὰς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, κατέναντι τοῦ μαρτυρίου, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ.
λς. Καὶ ἔσται ὁ ἄνθρωπος ὃν ἂν ἐκλέξωμαι αὐτὸν, ἡ ῥάβδος αὐτοῦ ἐκβλαστήσει. καὶ περιελῶ ἀπὸ σοῦ τὸν γογγυσμὸν υἱῶν Ἰσραὴλ, ὅσα αὐτοὶ γογ-
λζ. γύζουσιν ἐφ' ὑμῶν. Καὶ ἐλάλησε Μωϋ-
Δ σῆς τοῖς υἱοῖς Ἰσραήλ. καὶ ἔδωκαν αὐτῷ πάντες οἱ ἄρχοντες αὐτῶν ῥάβδον· τῷ ἄρχοντι τῷ ἑνὶ ῥάβδον κατ' ἄρχοντα, κατ' οἴκους πατριῶν αὐτῶν, δώδεκα ῥάβδους. καὶ ἡ ῥάβδος Ἀαρὼν
λη. ἀναμέσον τῶν ῥάβδων αὐτῶν. Καὶ ἐπέθηκε Μωϋσῆς τὰς ῥάβδους ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

λθ. Καὶ ἐγένετο τῇ ἐπαύριον, καὶ
E εἰσῆλθε Μωϋσῆς καὶ Ἀαρὼν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου. καὶ ἰδοὺ ἐβλάστησεν ἡ ῥάβδος ἡ Ἀαρὼν εἰς οἶκον Λευΐ, καὶ ἐξήνεγκε βλαστὸν, καὶ ἐξήνθησεν ἄνθη, καὶ ἐβλάστησε κάρυα.

Οἱ Ἑβδομήκοντα, κάρυα· οἱ δὲ λοιποὶ, ἀμύγδαλα.

ΚΥΡΙΛΛΟΥ. Τὸ δὲ ἐξανθῆσαι τὴν
Z ῥάβδον κάρυα, πρῶτον μὲν οὐδὲν ἀπεικὸς ἐκ καρύας εἰληφέναι τὴν ῥάβδον· ἦν γὰρ ἐν ἔθει τοῖς πάλαι τὸ καὶ τοιοῖσδέ τισιν ἀποκεχρῆσθαι σκήπτροις· ἔπειτα δὲ καὶ ἀγρυπνίας σύμβολον νοοῖτ' ἂν εἰκότως ἡ καρυΐνη ῥάβδος· ὡς καὶ Ἱερεμίᾳ ὁρῶντι ῥάβδον
» καρυΐνην φησὶν ὁ Θεὸς, ὅτι καλῶς ὁρᾷς· Ἱερ. 1. 12.
» ἰδοὺ γὰρ ἐγὼ ἐγρήγορα ἐπὶ τοὺς λόγους μου. ἐγρήγορσις δὲ ὥσπερ ἐξ ὕπνου γέγονεν ἡ ἐκ νεκρῶν ἀναβίωσις τοῦ Χριστοῦ. (6)

ΣΕΥΗ:

(1) Τὸ μὴ προΐεσθαι. ὁ τῆς Αὐγ. κώδ.

(2) Πάσχῃ κακῶς. ὁ αὐτ.

(3) Μωϋσῆς, καὶ ἔδραμεν εἰς τὴν συναγωγήν. αἱ εἰρημ. ἐκδόσ.

(4) Κυρίλλῳ ψευδῶς ἐπιγράφει ὁ Ἀλεξάν. κώδ.

(5) Ἐντεῦθεν ἄρχεται τὸ .17. κεφ. ἐν ταῖς εἰρημ. ἐκδόσ.

(6) Ἄλλως συντεταγμένα εἰσὶν ἐν Τόμ. 1. μέρ. 2. σελ. 343.

ΣΕΥΗΡΟΥ. Τοῦ λόγου δηλοῦντος, ὡς ὁ Χριστὸς ἐν ἑαυτῷ, καθάπερ κιβωτὸς, περιέχων τὸν νόμον, καὶ τὴν λευϊτικὴν ἱερωσύνην ἐπέκρυψε· καὶ ἀτονήσαντα ταῦτα ἤδη καὶ ἀποξηρανθέντα, καρποὺς ἐνεγκεῖν διὰ τοῦ ἄνθους τῆς εὐαγγελικῆς πολιτείας ἐποίησε. τίνες δὲ οἱ καρποί; κάρυα. τῆς γὰρ νομικῆς καὶ παιδευτικῆς ῥάβδου κάρυον ὁ καρπός. τοῦ δὲ καρύου, τὸ μὲν ἐν τῇ ἐπιφανείᾳ λέπος, στυπτικόν πως ἐστὶ καὶ δριμύ· τὸ δὲ μετὰ τοῦτο, στερρόν· ἄμφω δὲ περιέχοντα τὸ ἁπαλὸν, καὶ πρὸς βρῶσιν ἐπιτήδειον καὶ ἀπόλαυσιν. καὶ αὐτὴ δὲ καθ' ἑαυτὴν ἡ ῥάβδος ἀνθήσασα, διὰ τὸ πλούσιον τῶν πνευματικῶν νοημάτων, ἑτέρως ἡμῖν προμηνύει Χριστὸν τὸν ἐξ Ἰεσσαὶ καὶ Δαβὶδ κατὰ σάρκα βλαστήσαντα, ἐν ᾧ τὸ μαρανθὲν ἡμῶν γένος ὑπὸ τῆς ἁμαρτίας, ἤνθησε καὶ ἀνήβησε.

** ΤΟΥ ΝΥΣΣΗΣ. Αἱ μὲν τῶν ἄλλων ῥάβδοι, ὅπερ ἦσαν, διέμειναν· ἡ δὲ τοῦ ἱερέως, αὐτὴ ἐν ἑαυτῇ ῥιζωθεῖσα, οὐ διά τινος ἀλλοτρίας ἰκμάδος, ἀλλὰ τῆς θεόθεν αὐτῇ ἐντεθείσης δυνάμεως, κλάδους καὶ καρποὺς ἀνεβλάστησε· καὶ προῆλθεν ὁ καρπὸς εἰς τελείωσιν. κάρυον δὲ ἦν ὁ καρπός. οὗ γενομένου, πρὸς εὐταξίαν ἐπαιδεύθη πᾶν τὸ ὑπήκοον. νοεῖν δὲ προσήκει διὰ τοῦ καρποῦ, ὃν ἡ ῥάβδος ἐβλάστησε τοῦ ἱερέως, οἷον χρὴ εἶναι τὸν ἐν ἱερωσύνῃ βίον· ἐγκρατῆ τινα καὶ κατεστυμμένον, καὶ περιεσκληκότα τῇ φαινομένῃ ζωῇ· ἔνδοθεν δὲ τὸ ἐδώδιμον ἐν τῷ κρυπτῷ καὶ ἀφανεῖ περιέχοντα. ὃ τότε ἀνακαλύπτεται, ὅταν πεπανθῇ τῷ χρόνῳ ἡ βρῶσις, καὶ περιρραγῇ τὸ στυφὸν περιβόλαιον, καὶ περιτριβῇ τὸ ξυλῶδες ἐκεῖνο τοῦ ἐδωδίμου προκάλυμμα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Δόξαν ἐδήλου τὸ σημεῖον ἐπὶ τῶν ἱερωσύνης ἀξιωθέντων κατὰ χάριν Θεοῦ. καὶ τοῦτο ἀναλογίαν ἔχει πρὸς νεκρῶν ἀναβίωσιν. τὸ δὲ τοῦ καρύου εἶδος, εἰς ἀγαθὸν ἄνδρα· ὅτι τὸ ἐδώδιμον αὐτοῦ κεκάλυπται, καθάπερ ἡ ἀρετὴ ἐν ψυχῆς ἕξει, καὶ οὐκ ἐν σώματος ὄψει. δυσθεώρητος δὲ ἡ καρδία, καὶ Θεοῦ τὸ γνῶναι καρδίαν· καὶ μάλιστα τοῦτο ἥρμοσεν ἱερεῦσι· λαῷ δὲ σῦκα καὶ συκῆ παραβάλλεται, καθὸ ἐπιπόλαιον αὐτῶν τὸ καλόν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τελείαν ἀρετὴν αἰνίττεται. ὥσπερ γὰρ ἐν καρύῳ ταὐτόν ἐστιν ἀρχὴ καὶ τέλος, ἀρχὴ μὲν ἡ σπέρμα, τέλος δὲ ἡ καρπός· οὕτως ἔχει καὶ ἐπὶ τῶν ἀρετῶν. ἑκάστῃ γὰρ συμβέβηκεν εἶναι καὶ ἀρχὴν καὶ τέλος· ἀρχὴν μὲν, ὅτι οὐκ ἐξ ἑτέρας δυνάμεως, ἀλλ' ἐξ αὐτῆς φύεται· τέλος δὲ, ὅτι πρὸς αὐτὴν ὁ κατὰ φύσιν βίος σπεύδει. μία μὲν αἰτία, ἥδε· λέγεται δὲ καὶ ἑτέρα τῆς προτέρας ἐμφαντικωτέρα· καρύου τὸ μὲν φλοιῶδές ἐστι πικρὸν, τὸ δ' εἴσω περικείμενον ὡσανεὶ ξύλινον ἕρκος, στρυφνὸν εὖ μάλα καὶ κραταιόν. οἷς ἀμφοτέροις ὁ καρπὸς ἐγκατακεκλεισμένος, οὐκ ἔστιν εὔληπτος. τοῦτο ποιεῖται σύμβολον ἀσκητικῆς ψυχῆς· ἀφ' οὗ προτρέπειν αὐτὴν οἴεται δεῖν ἐπ' ἀρετὴν, ἀναδιδάσκων ὅτι πόνῳ προεντυχεῖν ἀναγκαῖον· πικρὸν δὲ καὶ ἀντίτυπες καὶ σκληρὸν ὁ πόνος, ἐξ οὗ φύεται τἀγαθὸν, οὗ χάριν οὐ μαλακιστέον. ὁ μὲν γὰρ τὸν πόνον φεύγων, φεύγει τἀγαθά. ὁ δ' αὖ τλητικῶς καὶ ἀνδρείως ὑπομένων τὰ δυσκαρτέρητα, σπεύδει πρὸς μακαριότητα.

μ. Καὶ ἐξήνεγκε Μωϋσῆς πάσας
τὰς ῥάβδους ἀπὸ προσώπου Κυρίου
πρὸς πάντας υἱοὺς Ἰσραήλ. καὶ εἶδον,
καὶ ἔλαβεν ἕκαστος τὴν ῥάβδον αὐτοῦ.
μα. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, ἀπό-
θες τὴν ῥάβδον Ἀαρὼν ἐνώπιον τῶν
μαρτυρίων εἰς διατήρησιν, εἰς σημεῖον
τοῖς υἱοῖς τῶν ἀνηκόων· καὶ παυσά-
σθω ὁ γογγυσμὸς αὐτῶν ἀπ' ἐμοῦ, καὶ
μβ. οὐ μὴ ἀποθάνωσι. Καὶ ἐποίησε Μωϋ-
σῆς καὶ Ἀαρὼν ὅσα συνέταξε Κύριος
μγ. τῷ Μωϋσῇ, οὕτως ἐποίησε. Καὶ εἶπαν
οἱ υἱοὶ Ἰσραὴλ πρὸς Μωϋσῆν, λέγον-
τες, ἰδοὺ ἐξανηλώμεθα, ἀπολώλα-
μεν, παρανηλώμεθα.
μδ. Πᾶς ὁ ἁπτόμενος τῆς σκηνῆς
Κυρίου, ἀποθνήσκει. ἕως εἰς τέλος
ἀποθάνωμεν;

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐ ῥᾴδιον τὸ πλησιάζειν Θεῷ. διὰ τοῦτο μετὰ τὴν κρίσιν ἐξωθοῦνται οἱ πονηροί· πρὸ δὲ τῆς κρίσεως εἰσὶν ἐν κόσμῳ, οὐχ ὡς ἄξιοι, ἀλλ' ἐνδιδομένου χρόνου πρὸς μετάνοιαν.

ΚΕΦ. ΙΗ.

α. Καὶ εἶπε Κύριος πρὸς Ἀαρὼν, λέγων, σὺ καὶ οἱ υἱοί σου καὶ ὁ οἶκος τοῦ πατρός σου μετὰ σοῦ λήψεσθε τὰς ἁμαρτίας τῶν ἁγίων, καὶ σὺ καὶ οἱ υἱοί σου λήψεσθε τὰς ἁμαρτίας τῆς ἱερατείας ὑμῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Σὺ καὶ οἱ υἱοί σου καὶ ὁ οἶκος τοῦ πατρός σου συμβαστάσετε τὴν παρανομίαν τοῦ ἁγιάσματος. Ἀπρόσιτα, πλὴν τῶν ἱερέων, τὰ ἅγια τῶν ἁγίων τοῖς Λευΐταις δεῖν εἶναί φησι, προαναιρῶν πάλιν τὴν ἀταξίαν, καὶ τὰς λειτουργίας κατ' ἀξίαν διαιρούμενος. τὸ μὲν γὰρ λειτουργεῖν Θεῷ, κοινὸν Λευϊτῶν· τὸ δὲ προσιέναι τοῖς τῶν ἁγίων ἁγίοις, μόνων ἱερέων. Καὶ μετ' ὀλίγα. Τὸ δὲ, λήψεσθε τὰς ἁμαρτίας τῆς ἱερατείας ὑμῶν, τὰς ἐκ παραβάσεως δηλαδή.

ΑΔΗΛΟΥ. Τοῦτο λέγει, ὅτι ἡ ὑπηρεσία τῆς ἱερατείας ὑμῖν δέδοται, καὶ ἔτι παρὰ τὸ

τὸ προσῆκον γένηται ἐν τῇ λειτουργίᾳ, ὑμεῖς τὸν ὑπὲρ τῶν ἀμελῶν, ἢ ἀπαιδεύτων καὶ ἀμαθῶν ἱερέων παρέξετε λόγον.
1. Τιμ. 5. 22. ἔνθεν καὶ ὁ Ἀπόστολος φησι, χεῖρας ταχέως » μηδενὶ ἐπιτίθει· ὡς τοῦ χειροτονοῦντος ἢ καὶ » τοῦ προβαλλομένου, κοινωνοῦντος ταῖς ἁμαρτίαις τοῦ χειροτονουμένου.

β. Καὶ τοὺς ἀδελφούς σου φυλῆς Λευῒ δῆμον τοῦ πατρός σου προσαγάγου πρὸς σεαυτὸν, καὶ προστεθήτωσάν σοι, καὶ λειτουργείτωσάν σοι· καὶ σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ ἀπέναντι τῆς σκηνῆς τοῦ μαρτυρίου.

ΣΕΥΗΡΟΥ. Τουτέστι πάντα τὰ ἄρσενα ἐκ τῶν ἱερέων καταγόμενα, ὡς δηλοῖ τὸ ϛ´ κεφάλαιον τοῦ Λευϊτικοῦ.

γ. Καὶ φυλάξονται τὰς φυλακάς σου· (1) πλὴν πρὸς τὰ σκεύη τὰ ἅγια, καὶ πρὸς τὸ θυσιαστήριον οὐ προσελεύσονται, καὶ οὐκ ἀποθανοῦνται καὶ οὗτοι καὶ ὑμεῖς.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ πάλιν ἐνομοθέτησε, τοὺς μὲν ἱερέας ἱερουργεῖν, τοὺς δὲ Λευΐτας ὑπουργεῖν, μήτε τῷ θυσιαστηρίῳ, μήτε τοῖς ἱεροῖς πελάζοντας σκεύεσι.

δ. Καὶ προστεθήσονται πρὸς σὲ, καὶ φυλάξονται τὰς φυλακὰς τῆς σκηνῆς τοῦ μαρτυρίου, κατὰ πάσας τὰς λειτουργίας τῆς σκηνῆς. καὶ ὁ ἀλλογενὴς οὐ προσελεύσεται πρὸς σέ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Γένος δὲ νῦν τὸ θεῖον ἐπιζητεῖται, καθό εἰσιν ἀδελφοὶ Χριστοῦ οἱ ἅγιοι· ὧν ὁ διεστὼς οὐ πρόσεισι πρὸς Χριστὸν, οὐδὲ τοῖς ἁγίοις κοινωνεῖ τῆς λειτουργίας.

ε. Καὶ φυλάξασθαι τὰς φυλακὰς τῶν ἁγίων, καὶ τὰς φυλακὰς τοῦ θυσιαστηρίου, καὶ οὐκ ἔσται ἔτι θυ-
ϛ. μὸς ἐν τοῖς υἱοῖς Ἰσραήλ. Καὶ ἐγὼ
εἴληφα τοὺς ἀδελφοὺς ὑμῶν τοὺς Λευΐτας ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ δόμα δεδομένοι Κυρίῳ, λειτουργεῖν τὰς λειτουργίας τῆς σκηνῆς τοῦ μαρτυρίου.

ζ. Καὶ σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ διατηρήσετε τὴν ἱερατείαν ὑμῶν, κατὰ πάντα τρόπον τοῦ θυσιαστηρίου, καὶ τὸ ἔνδοθεν τοῦ καταπετάσματος· καὶ λειτουργήσετε τὰς λειτουργίας δόμα τῆς ἱερατείας ὑμῶν. καὶ ὁ ἀλλογενὴς ὁ προσπορευόμενος ἀποθανεῖται.

ΑΔΗΛΟΥ. Τὸ Σαμαρειτικὸν οὕτως ἔχει· » καὶ δόματι δώσω τὰς ἱερατείας ὑμῶν, ἀντὶ τοῦ, ὀφείλετε φυλάσσειν τὰς λειτουργίας ὑμῶν. ἐπειδὴ ὡς κατὰ δωρεὰν, καὶ κατ' ἐξαίρετον ἐδόθη ὑμῖν ἡ ἱερατεία.

A ΑΔΗΛΟΥ. Αὐτοὶ οἱ ἱερεῖς μόνοι οἱ εἰλημμένοι καὶ κεχρισμένοι. δοκεῖ δέ μοι ἐνταῦθα περὶ τῆς θυσίας τῆς τελειώσεως λέγειν, ὡς ἐν τῇ Ἐξόδῳ (2) φησί. τὰ γὰρ κρέα τῆς θυσίας ταύτης ἤσθιον οἱ ἱερεῖς αὐτοὶ οἱ τελειούμενοι. τὸ γὰρ περὶ ἁμαρτίας τῶν ἱερέων ὅλον κατακαίεται ὡς τὸ Λευϊτικὸν περιέχει. (3)

ΑΠΟΛΙΝΑΡΙΟΥ. Διῄρηται γὰρ τὰ τῶν ἱερέων καὶ τὰ τῶν Λευϊτῶν. καὶ οἱ μὲν
B ὑπουργίαν ἐν ταῖς λειτουργίαις, οἱ δὲ πρωταρχίαν ἰσχύουσι.

ΣΕΥΗΡΟΥ. Ὅτι ὁ ἱερεὺς δόμα καὶ δῶρον δοκεῖ προσφέρειν τῷ Θεῷ τὴν λειτουργίαν τῆς ἱερωσύνης, ἢ τετίμηται παρὰ Θεοῦ. ὥστε ὁ τὰς λειτουργίας δι' εὐλάβειαν παραπεμπόμενος, ἀγνοεῖ μείζονι περιπίπτων ἁμαρτήματι, μὴ ἀμειβόμενος τὸν τιμήσαντα.

Γ η. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν, καὶ ἐγὼ ἰδοὺ δέδωκα ὑμῖν τὴν διατήρησιν τῶν ἀπαρχῶν μου ἀπὸ πάντων τῶν ἡγιασμένων μοι παρὰ τῶν υἱῶν Ἰσραήλ· σοὶ δέδωκα αὐτὰ εἰς γέρας, καὶ τοῖς υἱοῖς σου μετὰ σὲ νόμιμον αἰώνιον.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἰδοὺ δέδωκα ὑμῖν » τὴν διατήρησιν τῶν ἐντολῶν μου. Τῷ ἱερῷ
Δ γένει πᾶν εἶδος ἀπονέμει θυσίας, τὰ ἀπὸ πλημμελείας, τὰ ἀπὸ ἁμαρτίας. ὄνομα γὰρ τῇ ὑπὲρ ἁμαρτίας θυσίᾳ, ἁμαρτία. καὶ Παῦλος γὰρ νομικῇ χρησάμενος λέ-
» ξει, φησί· τὸν μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ 2. Κορ. 5. 21.
» ἡμῶν ἁμαρτίαν ἐποίησε· τέθυται γὰρ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὡς ἀρνίον ἄκακον.
» τοιοῦτον καὶ τὸ, ἁμαρτίας λαοῦ μου φάγον- Ὠσ. 4. 8.
ται, τουτέστι τὰ ὑπὲρ ἁμαρτίας τοῦ λαοῦ μου, βρῶσις ἔσται τοῖς ἱερεῦσι.

E θ. Καὶ τοῦτο ἔσω ὑμῖν ἀπὸ πάντων ἡγιασμένων ἁγίων τῶν καρπωμάτων ἀπὸ πάντων τῶν δώρων αὐτῶν, καὶ ἀπὸ πάντων τῶν θυσιασμάτων αὐτῶν, καὶ ἀπὸ πάσης τῆς πλημμελείας αὐτῶν, καὶ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν, ὅσα ἀποδιδόασί-
μοι ἀπὸ πάντων τῶν ἁγίων, σοὶ ἔσται
ι. καὶ τοῖς υἱοῖς σου. Ἐν τῷ ἁγίῳ τῶν
ἁγίων φάγεσθε αὐτά· πᾶν ἀρσενικὸν φάγεται αὐτά· σὺ καὶ οἱ υἱοί σου.
ια. ἅγια ἔσται. Καὶ τοῦτο ἔσται ὑμῖν ἀπαρ-
χῶν δομάτων αὐτῶν, ἀπὸ πάντων τῶν ἐπιθεμάτων τῶν υἱῶν Ἰσραήλ· σοὶ δέδωκα αὐτὰ καὶ τοῖς υἱοῖς σου καὶ ταῖς θυγατράσι σου νόμιμον αἰώνιον. πᾶς καθαρὸς ἐν τῷ οἴκῳ σου ἔδεται αὐτά.

H ΚΥΡΙΛΛΟΥ. Τὰ μὲν τῶν θυσιῶν λείψανα, μόνοις ἂν πρέποι τοῖς ἡγιασμένοις εἰς

(1) Τὰς φυλακάς σου, καὶ τὰς φυλακὰς τῆς σκηνῆς. αἱ εἰρημ. ἐκδόσ.
(2) Ἐν κεφ. 29.
(3) Ἐν κεφ. 8.

εἰς χρῆσιν, καὶ ἐχ ὡς βρῶσις ἔςαι κοινή, καὶ τόπος ἅγιος ὁ πρέπων αὐτοῖς· τὰ δὲ ὅσαπερ ἐςὶν ἐν δωροφορίας τάξει προσενηνεγμένα παρὰ λαῶν, δεύτερόν πως ἐφ' ἑαυτοῖς ἔχει λόγον, καὶ παντὶ προσκείσεται τῷ οἰκείῳ τοῖς ἱερεργοῖς, εἰ μόνον εἴη καθαρὸς, τετέςιν ἀβέβηλος· κατὰ μὲν τὸν νόμον, εἰ μὴ ἀπερίτμητος, εἰ μὴ ἀλλογενὴς, εἰ μὴ λεπρὸς καὶ γονοῤῥυής· κατὰ δὲ τὸ εὐαγγέλιον καὶ τὴν καθ' ἡμᾶς ἐκκλησίαν, εἰ μὴ ἀνίερός τε καὶ ἄπιςος, εἰ εὐσεβὴς καὶ φιλόθεος.

ιβ. Πᾶσα ἀπαρχὴ ἐλαίε, καὶ πᾶσα ἀπαρχὴ οἴνε καὶ σίτε, ἀπαρχὴ αὐτῶν ὅσα ἂν δῶσι τῷ Κυρίῳ· σοὶ δέδωκα αὐτά.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα διδάσκει καὶ τίνα χρὴ τὲς ἱερέας λαμβάνειν. τὰς γὰρ αὐτῷ προσφερομένας ἀπαρχὰς οἴνε, καὶ σίτε, καὶ ἐλαίε, καὶ ἄρτων, αὐτὲς ἐσθίειν ἐκέλευσε. καὶ μέντοι καὶ τὰ ἀναθήματα καὶ τὰ πρωτότοκα αὐτὲς πάλιν λαμβάνειν διηγόρευσε. τῶν μὲν ἀκαθάρτων κτη- » νῶν ὁρίσας τὰ λύτρα· ἡ λύτρωσις γὰρ » αὐτῷ, φησὶν, ἀπὸ μηνιαίε· ἡ συντίμησις » πέντε σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον » εἴκοσι ὀβολοί εἰσι. τῶν δὲ καθαρῶν πρωτοτόκων, τὸ μὲν αἷμα ἐκχεθῆναι προσέταξε παρὰ τὴν τῦ θυσιαςηρίε βάσιν, [τὸ δὲ ςέαρ προσενεχθῆναι,] τὰ δὲ κρέα αὐτὲς λαμβάνειν. ὥσπερ δὴ τὸ ςηθύνιον, καὶ τὸν βραχίονα, ἀπὸ τῶν ἄλλων θυμάτων κομίζονται.

ιγ. Τὰ πρωτογεννήματα πάντα ὅσα ἐν τῇ γῇ αὐτῶν, ὅσα ἀνενέγκωσι Κυρίῳ, σοὶ ἔςαι· πᾶς καθαρὸς ἐν τῷ
ιδ. οἴκῳ σε ἔδεται αὐτά. Πᾶν ἀνατεθεματισμένον ἐν υἱοῖς Ἰσραὴλ, σοὶ ἔςαι.

ιε. Καὶ πᾶν διανοῖγον πᾶσαν μήτραν ἀπὸ πάσης σαρκὸς, ὅσα προσφέρεσι Κυρίῳ ἀπὸ ἀνθρώπε ἕως κτηνῶν, σοὶ ἔςαι. ἀλλ' ἢ λύτρωσις λυτρωθήσεται τὰ πρωτότοκα τῶν ἀνθρώπων, καὶ τὰ πρωτότοκα τῶν κτηνῶν τῶν ἀκαθάρτων λυτρώσῃ.

ΑΔΗΛΟΥ. Περὶ τῆς θυσίας τῦ σωτηρίε φησί.

* ΠΡΟΚΟΠΙΟΥ. Τὰ μὲν τῶν ἀνθρώπων, διὰ τιμήν· ἐ γὰρ σφαγῆον τὰ λογικὰ ἐν ἴσῳ τοῖς ἀλόγοις· τὰ δὲ τῶν κτηνῶν, δι' ἀτιμίαν, ὅτι ἀκάθαρτα, καὶ τῆς εἰς Θεὸν ἀνόδε τῶν καλῶς μεθιςαμένων ψυχῶν ἐκ ἔχει σύμβολον. τὸ δὲ λύτρον (1) μὴ ἐπὶ φθορᾷ παθῶν, ἀλλ' ἐπὶ ζωῇ κόσμε ὅτι πέπονθεν ἀντὶ δικαίων καὶ ἀδίκων, καθαρῶν καὶ μὴ καθαρῶν.

ις. Καὶ ἡ λύτρωσις αὐτῦ, ἀπὸ μηνιαίε· ἡ συντίμησις πέντε σίκλων,

A κατὰ τὸν σίκλον τὸν ἅγιον εἴκοσι ὀβολοί εἰσι.

ιζ. Πλὴν πρωτότοκα μόσχων καὶ πρωτότοκα προβάτων καὶ πρωτότοκα αἰγῶν ἐ λυτρώσῃ· ἅγιά ἐςι· καὶ τὸ αἷμα αὐτῶν προσχεεῖς πρὸς τὸ θυσιαςήριον, καὶ τὸ ςέαρ ἀνοίσεις κάρπωμα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.

B ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐπὶ τῶν καθαρῶν ζώων ἐ ζητεῖται λύτρωσις, ἀλλὰ θύματα. (2) γίνεται δὲ εἰς ἀπαρχὰς, καὶ εἰς εὐωχίαν τῶν τεθυκότων. ταῦτα δὲ αὐτῦ τύπον ἐπέχει τῦ ὄντος καθαρῦ πρωτοτόκε, καὶ τῶν κατ' αὐτὸν ἄκρως τετυπω- » μένων. ὃς ἐ δώσει, φησὶν, ἐξίλασμα ἑαυ- Ψαλ. 48. 7, 8. » τῦ, καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτῦ. ταῦτα γὰρ καὶ ἀντὶ τῶν πρωτοτόκων τῶν ἀνθρώπων ἐν τύπῳ Χριςῦ
Γ προσήγετο. τέτων τὸ αἷμα, τὴν ἄνω χώρησιν ἐδήλε τῶν ἁγίων ψυχῶν, προσχεόμενον τῷ θυσιαςηρίῳ, ἑπόμενον τῷ δυνάμει ἀναβάντι Χριςῷ, δεχομένῳ τὰ πνεύματα τῶν ἑπομένων.

» ΤΟΥ ΑΥΤΟΥ. Τὸ, ςέαρ ἀνοίσεις, τὴν ποιότητα τῆς ἀρετῆς οἰκειωμένην Θεῷ.

ιη. Καὶ τὰ κρέα ἔςαι σοι, καθὰ καὶ τὸ ςηθύνιον τῦ ἐπιθέματος· καὶ κα-
Δ τὰ τὸν βραχίονα τὸν δεξιὸν, ἔςαι σοι.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἡ δὲ τῶν κρεῶν βρῶσις, τὸν ἁγιασμὸν τὸν ἐκ τῦ ἁγίε θύματος.

ιθ. Πᾶν ἀφαίρεμα τῶν ἁγίων, ὅσα ἐὰν ἀφέλωσιν οἱ υἱοὶ Ἰσραὴλ Κυρίῳ, δέδωκά σοι καὶ τοῖς υἱοῖς σε καὶ ταῖς θυγατράσι σε μετὰ σε, νόμιμον αἰώνιον. διαθήκη ἁλὸς αἰωνίε ἐςὶν
E ἔναντι Κυρίε, σοὶ καὶ τῷ σπέρματί σε μετὰ σέ.

» ΑΠΟΛΙΝΑΡΙΟΥ. Διαθήκη ἁλὸς ἐπειδὴ ἐπὶ παντὸς βαλλομένε ἐν τῷ βωμῷ ἐπεῤῥίπτετο ἅλας ἐπὶ τὸν βωμόν.

ΤΟΥ ΑΥΤΟΥ. Τὸ δὲ ἅλας ἐπὶ ταῖς θυσίαις προσεῖναι κελεύει, ὅ ἐςι χάρις. ὁ » λόγος γὰρ ὑμῶν, φησὶ, πάντοτε ἐν χά- Κολασ. 4. 6. » ριτι, ἅλατι ἠρτυμένος.

Z ΘΕΟΔΩΡΙΤΟΥ. Διαθήκην δὲ ἁλὸς, τὴν κοινωνίαν ἐκάλεσεν, ἐπειδὴ κατὰ τὸν » θεῖον Ἀπόςολον, οἱ τῷ θυσιαςηρίῳ προ- 1. Κορ. 9. 13. » σεδρεύοντες, τῷ θυσιαςηρίῳ συμμερίζονται. τινὲς δὲ φασὶν, ἐπειδὴ ταῖς θυσίαις ἐπιβάλλεσθαι τὲς ἅλας προσέταξεν ὁ Θεὸς, διαθήκην ἁλὸς τὰ ἀφιερώμενα τοῖς ἱερεῦσιν ὠνόμασε.

ΚΥΡΙΛΛΟΥ. Κατεπάττετο γὰρ ἁλσὶν ἡ θυσία, τῦ τύπε σημαίνοντος τὸ ἐμφρό-
H νως χρῆναι καθιερῦσθαι Θεῷ, καὶ οἱονεὶ ποιεῖσθαι νοσιμωτάτην αὐτῷ τὴν πρόσοδον. ἐ γὰρ

(1) Χριςὸς δὲ τὸ λύτρον. ὁ τῆς Αὐγ. κώδ.
(2) Ἀλλὰ θύματα γίνεται εἰς ἀπαρχάς. ὅ, τε Ἀλεξάν. κώδ. καὶ ὁ τῆς Αὐγ.

Ἰώβ. ϛ. ϛ. οὐ γὰρ βρωθήσεται ἄρτος ἄνευ ἁλός· καὶ
Ματθ. ε. ιγ. ὑμεῖς ἐστὲ τὸ ἅλας τῆς γῆς, [τοῖς ἁγίοις Ἀποστόλοις προαπεφώνηκεν ὁ Χριστός.]

κ. Καὶ ἐλάλησε Κύριος πρὸς Ἀα-
ρών, Ἐν τῇ γῇ αὐτῶν οὐ κληρονομήσεις,
καὶ μερὶς οὐκ ἔσται σοι ἐν αὐτοῖς· ὅτι
ἐγὼ μερίς σου καὶ κληρονομία σου ἐν
κα. μέσῳ τῶν υἱῶν Ἰσραήλ. Καὶ τοῖς υἱοῖς
Λευῒ ἰδοὺ δέδωκα πᾶν ἐπιδέκατον ἐν
Ἰσραὴλ ἐν κλήρῳ ἀντὶ τῶν λειτουρ-
γιῶν αὐτῶν, ὅσα αὐτοὶ λειτουργοῦσι
λειτουργίαν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα διδάσκει καὶ τοὺς ἱερέας καὶ τοὺς Λευΐτας, ὡς οὐ βούλεται αὐτοὺς κλῆρον λαβεῖν, ὡς τὰς ἄλλας φυλάς, ἀλλὰ παρὰ παντὸς κομίζεσθαι τοῦ λαοῦ τὰς ἀπαρχάς, (1) καὶ τῶν ἀπὸ γῆς φυομένων τὰς δεκάτας, καὶ τῶν ἐκ τῶν ποιμνίων καὶ βουκολίων προσγινομένων κερδῶν, καὶ τῶν ἐξ ἐμπορίας, ἢ ἑτέρας τινὸς χρείας.

ΩΡΙΓΕΝΟΥΣ. Εἰκότως ἀπονενέμηνται τοῖς ἱερεῦσιν αἱ ἀπαρχαί, ἐπείπερ οὐ κληρονομεῖ ἡ Λευῒ φυλή, οὐδὲ κλῆρον λαμβάνει ὡς αἱ λοιπαί. τοῦτο πρόξενον τῆς ἀσχημοσύνης τοῖς ἱερεῦσιν ὁ κλῆρος τοῦ τῷ θυσιαστηρίῳ συμμερίζεσθαι. δεκάτας ἐδίδου ὁ λαὸς τοῖς Λευΐταις, καὶ οἱ Λευῖται τοῖς ἱερεῦσι.

** ΚΥΡΙΛΛΟΥ. Ἄθρει δὴ οὖν ὅπως ἀσύντακτον τῷ λαῷ τὸ ἱερόν ἐστι γένος, καὶ διεσχοίνισταί πως τῶν ἄλλων, καὶ οὐχὶ δὴ μόνοις τοῖς κατὰ τὴν λειτουργίαν ἐπιτηδεύμασιν, ἀλλὰ γὰρ ἤδη καὶ τῇ τῆς ἐλπίδος διαφορᾷ. τοῖς μὲν γὰρ τὸν χαμαιπετῆ διαζῶσι βίον, καὶ τοῖς ἐπιγείοις προσετηκόσι, καὶ δεδιψηκόσι τὰ πρόσκαιρα καὶ ἐν ἴσῳ σκιαῖς παρελαύνοντα, λέγοιτ' ἂν εἰκό-
Ἱερ. ιγ. κε. τως· αὕτη ἡ μερίς σου. οὗτος ὁ κλῆρός σου.
» μερὶς τοῦ ἀπειθεῖν ὑμᾶς ἐμοί, λέγει Κύριος. τοῖς δὲ τὴν ἁγίαν καὶ ἀμώμητον ἐκτετιμηκόσι ζωήν, καὶ ἀπολέκτοις ἤδη δι'
» ἀρετήν, εὖ μάλα ῥητέον· ἐν τῇ γῇ αὐτῶν
» οὐ κληρονομήσεις, καὶ μερὶς οὐκ ἔσται σοι ἐν
» αὐτοῖς, ὅτι ἐγὼ μερίς σου καὶ κληρονομία σου, φησὶ Κύριος.

ΤΟΥ ΑΥΤΟΥ. Ἀνάγκη δὴ οὖν τοὺς ἀπερισπάστως Θεῷ λειτουργεῖν ἐθέλοντας, ἕπεσθαί τε δεῖν οἰομένους αὐτῷ, ἀποφοιτᾶν μὲν τῶν ἐπιγείων, κλῆρον δὲ αὐτῷ ποιεῖσθαι μόνον, καὶ τῇ εἰς αὐτὸν ἐλπίδι καταπιαίνεσθαι, κατὰ τὸ ἐν ψαλμοῖς ᾀδόμενον,
Ψαλ. λϛ. δ, ε. κατατρύφησον τοῦ Κυρίου, καὶ ἔλπισον ἐπ'
» αὐτόν, καὶ αὐτὸς ποιήσει.

ΤΟΥ ΑΥΤΟΥ. Ἀφορίζει τοίνυν τὰ δέκατα τοῖς Λευΐταις εἰς ἀντίδοσιν τοῦ πόνου τῆς λειτουργίας αὐτῶν. οὐ γὰρ ἀμισθὶ τοῖς ἁγίοις ὁ πόνος.

A κβ. Καὶ οὐ προσελεύσονται ἔτι οἱ
υἱοὶ Ἰσραὴλ εἰς τὴν σκηνὴν τοῦ μαρτυ-
ρίου λαβεῖν ἁμαρτίαν θανατηφόρον.
κγ. Καὶ λειτουργήσει ὁ Λευΐτης αὐτὸς τὴν
λειτουργίαν τῆς σκηνῆς τοῦ μαρτυρίου·
καὶ αὐτοὶ λήψονται τὰ ἁμαρτήματα
αὐτῶν, νόμιμον αἰώνιον εἰς τὰς γε-
νεὰς αὐτῶν. καὶ ἐν μέσῳ υἱῶν Ἰσραὴλ
οὐ κληρονομήσουσι κληρονομίαν.

B ΑΠΟΛΙΝΑΡΙΟΥ. (2) Ἀνθ' ἑαυτοῦ τὸν Λευΐτην παρίστησιν ὁ δημοτικὸς λειτουργήσοντα Θεῷ. » οὐ γὰρ προσελεύσονται, φησὶν ἐκεῖνοι· ἀλλ' ὁ Λευΐτης λατρεύσει τὰ περὶ τὴν σκηνὴν λατρεύματα· καὶ ἀντὶ λαοῦ ἁμαρτίας στήσεται, τὰ ὑπὲρ ἁμαρτίας δεχόμενος. διὸ οὐ κληρονομήσει μεταξὺ τοῦ λαοῦ. οὐ δὴ ἀφώρισαι ταῖς δεκάταις τρεφόμενος ταῖς ἀποδεκατουμέναις Θεῷ.

Γ ΚΥΡΙΛΛΟΥ. Ἁμαρτήματα ὀνομάζει τὰ ὑπὲρ ἁμαρτιῶν σφαζόμενα. τύπος δ' ἂν εἶεν καὶ ταῦτα τοῦ Χριστοῦ, τοῦ δι' ἡμᾶς τεθυμένου. ἔδεσαι δὲ μόνοις τοῖς ἱερουργοῖς τὰ ὑπὲρ τῆς ἁμαρτίας. πρέποι γὰρ ἂν οὐ ταῖς ἀνιέροις ψυχαῖς τὸ χρῆναι μεταλαχεῖν τοῦ ἁγίου σώματος τοῦ Χριστοῦ.

κδ. Ὅτι τὰ ἐπιδέκατα τῶν υἱῶν
Ἰσραὴλ ὅσα ἂν ἀφορίσωσι τῷ Κυ-
ρίῳ, ἀφαίρεμα δέδωκα τοῖς Λευΐ-
Δ ταις ἐν κλήρῳ, διὰ τοῦτο εἴρηκα αὐ-
τοῖς, ἐν μέσῳ τῶν υἱῶν Ἰσραὴλ οὐ κλη-
κε. ρονομήσουσι κλῆρον. Καὶ ἐλάλησε
κϛ. Κύριος πρὸς Μωϋσῆν, λέγων, Καὶ
τοῖς Λευΐταις λαλήσεις, καὶ ἐρεῖς
πρὸς αὐτούς, ἐὰν λάβητε παρὰ τῶν
υἱῶν Ἰσραὴλ τὸ ἐπιδέκατον, ὃ δέδωκα
ὑμῖν παρ' αὐτῶν ἐν κλήρῳ, καὶ ἀφε-
E λεῖτε ὑμεῖς ἀπ' αὐτοῦ ἀφαίρεμα τῷ
Κυρίῳ ἐπιδέκατον ἀπὸ τοῦ ἐπιδεκάτου.
κζ. Καὶ λογισθήσεται ὑμῖν τὰ ἀφαιρέ-
ματα ὑμῶν ὡς σῖτος ἀφ' ἅλωνος, καὶ
ὡς ἀφαίρεμα ἀπὸ ληνοῦ.
κη. Οὕτως ἀφελεῖτε καὶ ὑμεῖς ἀπὸ
πάντων τῶν ἀφαιρεμάτων Κυρίου ἀπὸ
πάντων τῶν ἐπιδεκάτων ὑμῶν, ὅσα
ἂν λάβητε παρὰ τῶν υἱῶν Ἰσραήλ.
Z καὶ δώσετε ἀπ' αὐτῶν ἀφαίρεμα Κυ-
ρίῳ Ἀαρὼν τῷ ἱερεῖ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τοὺς δὲ Λευΐτας τῶν δεκατῶν τὰς δεκάτας προσφέρειν τοῖς ἱερεῦσι, καὶ τούτων μὲν ἐν παντὶ τόπῳ κελεύει μεταλαγχάνειν· τὰ δέ γε ἐκ τῶν θυσιῶν ἀφορισμένα αὐτοῖς, ἔνδον ἐσθίειν ἐν τῷ ναῷ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. (3) Οἱ μὲν κατὰ
H νόμον Μωϋσέως ἱερᾶσθαι κεκλημένοι δεκάτας

(1) Τοῦ λαοῦ τοὺς Λευΐτας. ὅ,τε Ἀλεξάν. κώδ. καὶ ἡ ἐν Χαλ. ἔκδοσ. ἀπροσφυῶς.
(2) Οὕτως ἐπιγράφει ὁ Ἀλεξάν. κώδ. Κυρίλ. δὲ ὁ Αὐθεντ. ψευδῶς.
(3) Ὁ μὲν Ἀλεξάν. κώδ. οὕτως· ὁ δὲ Αὐθεντ. Κυρίλ. ἐν δὲ τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

τας ἐδέχοντο παρὰ τῶν υἱῶν Ἰσραὴλ, ὡς μερίδα καὶ κλῆρον Θεȣ̃. προσεπεκομίζοντο δὲ καὶ αὐτοὶ τὸ ἐπιδέκατον τῷ κατάρχοντι καὶ ἡγȣμένῳ τῆς ἱερωσύνης, τȣτέστι τῷ Ἀαρὼν· ὃς καὶ εἰς τύπον τέθειται τȣ̃ Χριςȣ̃, ȣ̓κ ἐν τῇ πρώτῃ σκηνῇ τῇ τὴν σάσιν ἐχȣ́σῃ λειτȣργȣ̃ν, ἀλλ' ἐν τῇ ἐσωτέρᾳ καὶ κεκρυμμένῃ.

ΤΟΥ ΑΥΤΟΥ. Εἰ μὴ τῆς δεκάτης τῶν Λευϊτῶν ληφθείη ἀπαρχὴ, ȣ̓χ ἁγιάζεται. ὅπερ ȣ̓̃ν ἐςὶ τῷ λαῷ ὁ Λευΐτης, τȣ̃το τῷ Λευΐτῃ ὁ ἱερεύς. ȣ̔́τως οἱ ἅγιοι οἱ Χριςὸν εἰδότες ἀπαρχὴν ἁγίαν, ἀνθ' ἑαυτῶν ἐσῶτα, καὶ τὰς ἁμαρτίας βαςάζοντα, καὶ μιμηταὶ γενόμενοι Χριςȣ̃, παρεπίδημοι ἄνθρωποί εἰσι καὶ ȣ̓ συγκληρονόμοι· ὅτι εἵλετο αὐτȣ̀ς ἀπαρχὴν, τȣ̃το ἐσομένȣς ἐν τῷ κόσμῳ, ὅπερ αὐτοῖς ὁ Χριςός. τύπος ἄρα τȣ́των οἱ Λευῖται, δεκάτην ἀπὸ τῆς δεκάτης ἀναφέροντες τοῖς ἱερεῦσιν, ἵν' ἡ δεκάτη ἁγιάζηται. ἴσοι γὰρ τȣ́τοις οἱ ἁγιάζοντες τὸν ἑαυτῶν βίον, τὸν ἐξαίρετον ἀπὸ τȣ̃ λαȣ̃ διὰ τῆς ἐπὶ Χριςȣ̃ ἀναφορᾶς.

⁂ ΚΥΡΙΛΛΟΥ. Ὁρᾷς τὸ Χριςȣ̃ μυςήριον ὡς ἐν σκιαῖς ἔτι, καὶ προαναλάμ-
Ἑβρ. 7. 9. „ πον ἐν τύποις; ὁ γάρ τοι δεκάτας λαμβά-
„ νων δεδεκάτωται, κατὰ τὴν τȣ̃ μακαρίȣ Παύλȣ φωνήν. ἀλλὰ τότε μὲν ὁ τύπος ἐν Μελχισεδὲκ, ἐν δέ γε καιροῖς κατὰ Μωσέα τετήρηται πάλιν ὡς ἐν Ἀαρὼν, τὸν τῶν ἱερέων ἱερέα Χριςὸν ἐφ' ἑαυτῷ σημαίνοντι, τὸν ἡγȣ́μενον καὶ προεστηκότα τῆς ἁγίας σκηνῆς, τȣτέστι τῆς ἐκκλησίας, τὸν ἅγιον τῶν ἁγίων, καὶ Θεὸν τῶν Θεῶν, ᾧ πᾶσα καρποφορία πρὸς ἡμῶν ὀφείλεται. γέ-
Ψαλ. 75. 11. γραπται γὰρ, ὅτι πάντες οἱ κύκλῳ αὐτȣ̃
„ οἴσȣσι δῶρα. ἀλλ' ἐν τύποις μὲν ἔτι τὰ

A μωσαϊκὰ, πνευματικαῖς δὲ νυνὶ καρποφορίαις τὸν ἑαυτῶν κατευφραίνȣσι λυτρωτὴν οἱ τῶν εὐαγγελικῶν θεσπισμάτων γνήσιοι φύλακες.

κθ. Ἀπὸ πάντων τῶν δομάτων ὑμῶν ἀφελεῖτε ἀφαίρεμα Κυρίῳ, ἀπὸ πάντων (1) τῶν ἀπαρχῶν τὸ
λ. ἡγιασμένον ἀπ' αὐτȣ̃. Καὶ ἐρεῖτε πρὸς αὐτȣ̀ς, ὅταν ἀφαιρῆτε τὴν ἀ-
B παρχὴν ἀπ' αὐτȣ̃, καὶ λογισθήσεται τοῖς Λευΐταις ὡς γέννημα ἀπὸ ἅλωνος, καὶ ὡς γέννημα ἀπὸ ληνȣ̃.

λα. Καὶ ἔδεσθε αὐτὰ ἐν παντὶ τόπῳ ὑμεῖς καὶ οἱ υἱοὶ ὑμῶν καὶ οἱ οἶκοι ὑμῶν, ὅτι μισθὸς ȣ̔̃τος ὑμῖν ἐςὶν ἀντὶ τῶν λειτȣργιῶν ὑμῶν τῶν ἐν τῇ σκηνῇ τȣ̃ μαρτυρίȣ.

ΘΕΟΔΩΡΙΤΟΥ. Καλεῖ δὲ καὶ τὰς δε-
Γ κάτας μισθὸν εἰς τὴν τȣ̃ λαȣ̃ ὠφέλειαν. ὑμῶν γάρ φησιν ἢ γεωργȣ́ντων, ἢ ἐμπορευομένων, ἢ οἴκοι διαγόντων, ȣ̔̃τοι ἀντὶ πάντων ὑμῶν τῇ ἐμῇ προσεδρεύȣσι λειτȣρ-
„ γίᾳ. τȣ̃το γὰρ ἔφη ὅτι μισθὸς ὑμῶν ȣ̔̃τός
„ ἐςιν ἀντὶ τῶν λειτȣργιῶν ὑμῶν τῶν ἐν τῇ
„ σκηνῇ τȣ̃ μαρτυρίȣ.

λβ. Καὶ ȣ̓ λήψεσθε δι' αὐτὸ ἁμαρτίαν, ὅτι ἂν ἀφαιρῆτε τὴν ἀπαρχὴν
Δ ἀπ' αὐτȣ̃. καὶ τὰ ἅγια τῶν υἱῶν Ἰσραὴλ ȣ̓ βεβηλώσετε, ἵνα μὴ ἀποθά-
λγ. νητε. (2) Καὶ ἐλάλησε Κύριος πρὸς
λδ. Μωϋσῆν καὶ Ἀαρὼν, λέγων, Αὕτη ἡ διαςολὴ τȣ̃ νόμȣ, ὅσα συνέταξε Κύριος, λέγων, λάλησον τοῖς υἱοῖς Ἰσραήλ.

ΚΕΦ. ΙΘ.

α. Καὶ λαβέτωσαν πρὸς σὲ δάμαλιν πυῤῥὰν καὶ ἄμωμον, ἥτις ȣ̓κ ἔχει ἐν αὐτῇ μῶμον, καὶ ἣ ȣ̓κ ἐπεβλήθη ἐπ' αὐτὴν ζυγός.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὰ περὶ τῆς πυῤῥᾶς δαμάλεως διηγορευμένα; Προσενεχθῆναι μὲν ταύτην ὑπὲρ τῆς τȣ̃ λαȣ̃ ἁμαρτίας νενομοθέτηκε· προτυποῖ δὲ τὸ σωτήριον πάθος, ὃ τȣ̃ κόσμȣ παντὸς ἦρε τὴν ἁμαρτίαν. πυῤῥὰν δὲ προσκομισθῆναι δάμαλιν κελεύει, ἵνα προτυπώσῃ τὸ γήϊνον σῶμα. καὶ γὰρ τȣ̃ Ἀδὰμ ἡ προσηγορία τὴν ἐρυθρὰν αἰνίττεται γῆν, ἐξ ἧς αὐτȣ̃ διεπλάσθη τὸ σῶμα. καὶ τὸ ἄμωμον δὲ τῆς δαμάλεως, τὸ ἀναμάρτητον προδηλοῖ τȣ̃ δεσπότȣ Χριςȣ̃. καὶ τὸ ἄζυγα εἶναι τὴν δάμαλιν, τὴν τȣ̃ Σωτῆρος ἡμῶν ἐλευθερίαν αἰνίττεται· ὁ γὰρ ζυγὸς τὴν δȣλείαν δηλοῖ· ὁ δὲ Κύριος τὸ δίδραχμον
„ ἀπαιτȣ́μενος, ἔφη· ἄρα γε ἐλεύθεροί εἰσιν Ματθ. 17. 26.
οἱ υἱοί· ἡ δὲ ἔξωθεν τῆς παρεμβολῆς σφαγὴ τῆς δαμάλεως, τὸ ἔξω τῆς πύλης γενόμενον τȣ̃ Σωτῆρος πάθος. ταῦτα δὲ σαφέςερον διδάσκει ὁ θεῖος Ἀπόςολος ἐν τῇ πρὸς Ἑβραίȣς ἐπιςολῇ. (3)

ΚΥΡΙΛΛΟΥ. Ποτὲ μὲν μόσχος, ποτὲ δ' αὖ δάμαλις ὁ Χριςὸς παράγε τοῖς ἱεροῖς ὠνόμασαι λογίοις. ἵνα διὰ μὲν τȣ̃ ἄῤ-
Z ῥενος, ὡς καθηγητὴς, διὰ δὲ τȣ̃ θήλεος, ὡς ἐν μειονί τε καὶ ὑποταγῇ σημαίνηται. καθηγȣ́μενος γὰρ τῶν ὅλων ὡς Θεὸς, γέγονεν ἑκὼν ὑπὸ νόμον, τετήρηκε δὲ τὰ Μωσέως, ὡς πρȣ̈χοντος, εἰ καὶ ἦν οἰκέτης. πυῤῥὰ δὲ ἡ δάμαλις. τετέλεσται γὰρ ἐφ' αἵματι τῆς ἐνανθρωπήσεως τὸ μυςήριον, καὶ σέσωκε τὴν ὑπ' ȣ̓ρανὸν τῷ ἰδίῳ αἵματι. αἵματος δὲ σημεῖον ἡ πυῤῥότης. ἄμωμος δὲ, διὰ τὸ ἀναμάρτητον. [ἔργȣ
H δὲ καὶ ζεύγλης ἀπείρατος, διὰ τὸ ἐλεύθερον ἐν Θεότητι, καὶ τὸ ἄηθες τῆς δȣλείας,

(1) Ἀπὸ πασῶν. ἢ ἐν Ὀξον. ἐκδ.
(2) Ἐντεῦθεν ἄρχεται τὸ 19. κεφ. ἐν ταῖς εἰρημ. ἐκδόσ.
(3) Ἐν κεφ. 13.

λείας, εἰ καὶ γέγονε καθ' ἡμᾶς καὶ ἐν δούλου μορφῇ.]

ΑΔΗΛΟΥ. Ἐδήλου γὰρ τὸ σῶμα τοῦ Χριστοῦ. καὶ γὰρ ἡ τοῦ Ἀδὰμ προσηγορία, τὴν πυῤῥὰν αἰνίττεται γῆν, ἐξ ἧς διεπλάσθη τὸ σῶμα τοῦ Ἀδάμ. (1)

β. Καὶ δώσεις αὐτὴν πρὸς Ἐλεάζαρ τὸν ἱερέα· καὶ ἐξάξουσιν αὐτὴν ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρὸν· καὶ σφάξουσιν αὐτὴν ἐνώπιον αὐτῶν. (2)

** ΚΥΡΙΛΛΟΥ. Τύπος δ' ἂν εἴη τῶν ἱερῶν καὶ ἡγιασμένων καὶ τῷ ἁγίῳ πνεύματι κατακεχρισμένων ὁ ἱερεύς· ἐπείτοι καὶ πρὸς ἡμᾶς τοὺς πεπιστευκότας εἴρηταί-
1. Πέτρ. 2. 9. που διὰ φωνῆς ἁγίας· ὑμεῖς δὲ γένος ἐκλε-
» κτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον.
ἡμῖν ἄρα τοῖς ἱεροῖς, τῷ ἀπολέκτῳ γένει, καὶ τῷ ἁγίῳ ἔθνει δέδοται Χριστὸς παρὰ Θεοῦ καὶ πατρὸς, ἁγιασμὸς καὶ ἀπολύτρωσις.

Ἑβρ. 13. 12, 13. ΤΟΥ ΑΥΤΟΥ. Ὁ Παῦλός φησιν, » ἔξω τῆς πύλης ἔπαθεν. ἔνθα καὶ ἡμᾶς ἰέναι » δεῖν ἔφη, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντας, τουτέστι τὸν ἱερὸν σταυρόν.

** ΤΟΥ ΑΥΤΟΥ. Ὅτι καὶ τοῖς ἱεροῖς καὶ ἡγιασμένοις πρεπωδέστατόν τε καὶ οἰκεῖον εἰς ὄνησιν, μονονουχὶ καὶ ἐν ὀφθαλμοῖς ἔχειν τὸν ἀποθανόντα Χριστὸν, ὑπεμφαίνοι ἂν τὸ ὡς ἐν ὄψει ἱερέως κατασφάττεσθαι δεῖν νομοθετῆσαι δάμαλιν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Πάρεστιν ὁ ἱερεὺς τῇ σφαγῇ, ὃν οὐκ ἐξέστι νεκροῦ θέᾳ μολύνεσθαι· ἵνα τὸ καθαρὸν τούτου τοῦ νεκροῦ φαίνηται, ὃς ἦν ἐν νεκροῖς ἐλεύθερος, καὶ οὐ βδελυρὸς, ὡς οἱ δι' ἁμαρτίαν νεκροί· ἀλλὰ τοὐναντίον ἐπὶ καθάρσει ἀκαθάρτων νεκρούμενος· καὶ ἐλευθερούμενος ἐπ' ἐλευθερώσει δούλων.

γ. Καὶ λήψεται Ἐλεάζαρ ἀπὸ τοῦ αἵματος αὐτῆς, καὶ ῥανεῖ ἀπέναντι τοῦ προσώπου τῆς σκηνῆς τοῦ μαρτυρίου ἀπὸ τοῦ αἵματος αὐτῆς ἑπτάκις.

ΚΥΡΙΛΛΟΥ. (3) Ἁγιάζει γὰρ ὁ Χριστὸς τῷ ἰδίῳ αἵματι τὴν ἀληθεστέραν σκηνὴν, τουτέστι τὴν ἐκκλησίαν· ἁγιάζει δὲ τελείως. τοῦτο γὰρ δηλοῖ τὸ ἑπτάκις [τῷ αἵματι καταῤῥαίνεσθαι τὴν σκηνήν.] ὁ γὰρ ἑπτὰ τέλειος ἀριθμός ἐστι.

δ. Καὶ κατακαύσουσιν αὐτὴν ἐναντίον αὐτοῦ· καὶ τὸ δέρμα αὐτῆς καὶ τὰ κρέα καὶ τὸ αἷμα αὐτῆς σὺν τῇ κόπρῳ αὐτῆς κατακαυθήσεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Πᾶσαν δὲ τὴν δάμαλιν σὺν τῷ δέρματι καὶ τοῖς ἄλλοις κατα- A καυθῆναι προσέταξεν, ἐπειδὴ πάντα καθαρὰ τὰ τοῦ δεσπότου Χριστοῦ.

ΚΥΡΙΛΛΟΥ. (4) Τὸ δέγε πυρὶ τὴν δάμαλιν καταπίμπρασθαι μετὰ τὴν σφαγὴν, ὑπεμφαίνειν ἔοικε τὴν μέχρι θανάτου δοκιμασίαν, ἣν ὑπὲρ ἡμῶν ὑπέστη Χριστός. δοκιμάζεται γὰρ ἐν πυρὶ τὸ ἀργύριον· πλὴν ὅτι οὐδὲν τῆς δαμάλεως ἀπόβλητον· ὅλος γὰρ ἅγιος ὁ Χριστός· καὶ τὰ κρέα καὶ τὸ δέρμα, τουτέστι τά τε ἐν κατακαλύψει κε- B κρυμμένα, καὶ τὰ ἐμφανῆ καὶ πρόχειρα. Θεὸς γὰρ ἦν φύσει, γεγονὼς καθ' ἡμᾶς, πλὴν οὐκ εἰδὼς ἁμαρτίαν.

ε. Καὶ λήψεται ὁ ἱερεὺς ξύλον κέδρινον καὶ ὕσσωπον καὶ κόκκινον, καὶ ἐμβαλοῦσιν εἰς μέσον τοῦ κατακαύματος τῆς δαμάλεως.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ κέδρινον ξύλον, τοῦ σταυροῦ τὸ σύμβολον ἦν· ὥσπερ γὰρ Γ τοῦτο ἄσηπτον, οὕτως ἐκεῖνο ζωοποιόν· τὸ δὲ κόκκινον, τοῦ δεσποτικοῦ αἵματος· τὸ δέγε ὕσσωπον, ὅτι ἡ ζωτικὴ θερμότης διέλυσε τὴν τοῦ θανάτου ψυχρότητα.

ΚΥΡΙΛΛΟΥ. Κέδρον μὲν, ὡς ἄσηπτον καὶ ἄφθαρτον, ὅτι καὶ τοῦ σταυροῦ σύμβολον ἔφερεν· ὕσσωπον δὲ, διὰ τὴν κάθαρσιν· σμηκτικὴ γὰρ ἡ πόα, καὶ τὰς ἐν σπλάγχνοις ἀκαθαρσίας ἐκλήκουσα φυσι- Δ κῶς· τοῦ κοκκίνου κλώσματος, τὴν πρὸς σάρκα τοῦ λόγου συνδρομὴν εὖ μάλα κατασημαίνοντος. ἐνεπλάκη γὰρ ὥσπερ ὁ λόγος σαρκὶ καὶ αἵματι· δεδοκίμασαι δὲ δι' ἡμᾶς διὰ πυρὸς καὶ μέχρι θανάτου. ὅτι δὲ δι' ὑπακοῆς τῆς μέχρι θανάτου δεδοκίμασαι Χριστὸς, ἐκδείξειεν ἂν τὸ διὰ φωνῆς Ζαχαρίου ῥηθὲν τάχα που πρὸς τοὺς ἐν πίστει δεδικαιωμένους, ἤγουν ὑπὲρ ὧν ἀπέθανε.
» καὶ ἐρῶ πρὸς αὐτοὺς, εἰ καλὸν ἐνώπιον ὑμῶν Ζαχ. 11. 12. 13.
E » ἐστὶ, δότε στήσαντες τὸν μισθόν μου, ἢ ἀπεί-
» πασθε. καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα
» ἀργυρίους. καὶ εἶπε Κύριος πρός με, κάθες
» αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψαι εἰ
» δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ
» αὐτῶν. (5)

* ΠΡΟΚΟΠΙΟΥ. Ὕσσωπος δὲ, ὅτι εὐωδία τὴν δυσωδίαν τοῦ θανάτου κατέπαυσε.

ϛ. Καὶ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ ὁ ἱερεὺς, καὶ λούσεται τὸ σῶμα αὐτοῦ Z ὁ ἱερεὺς ὕδατι, καὶ μετὰ ταῦτα εἰσελεύσεται εἰς τὴν παρεμβολὴν, καὶ ἀκάθαρτος ἔσται ὁ ἱερεὺς ἕως ἑσπέρας.

ζ. Καὶ ὁ κατακαίων αὐτὴν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

ΘΕΟΔΩ-

(1) Ἀπόσπασμά ἐστι τοῦ ὄπισθεν ὑπομν. τοῦ Θεοδωρίτ. ὃ καὶ ὁ Προκόπ. ἄλλως πως ἐν τῷ τῆς Αὐγ. κώδ. ἐκτίθησιν. (2) Ἐνώπιον αὐτοῦ. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ ἐν ἁγίοις Κύριλ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 402.

(3) Ἀπολιναρίῳ ψευδῶς ἐπιγράφει ἑκάτερος τῶν κώδ. ὅρα τὴν 403. σελ. τοῦ 1, μέρ. τοῦ 1. Τόμ.

(4) Ὁμοίως καὶ τοῦτο Ἀπολιναρίῳ ἐπιγράφουσι.

(5) Ἄλλως ταῦτα ἐν τοῖς ἐκδεδομ. συντεταγμένα εἰσί.

A ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν μέντοι κατακαίοντα τὴν δάμαλιν, ἀκάθαρτον μέχρις ἑσπέρας φησὶν εἶναι, εἰς τύπον τῶν τὸν δεσπότην ἐσταυρωκότων Χριστόν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Εἰς τύπον τῶν τὸν δεσπότην ἐσταυρωκότων. ἡ δὲ ἑσπέρα, τὸν μέχρι τοῦ τέλους τοῦ νόμου καιρὸν δηλοῖ. ὄρ-
'Ησ. 9. 2. „ θρῳ γὰρ ἔοικεν ἡ τοῦ Χριστοῦ παρουσία. τοῖς
„ γὰρ ἐν σκότει καὶ σκιᾷ θανάτου καθημέ-
„ νοις φῶς ἔλαμψε, καθώς φησιν Ἡσαΐας.

B ΚΥΡΙΛΛΟΥ. Ὁ δὲ καταπιμπρὰς δάμαλιν, καὶ ἀναμίσγων τῇ σποδιᾷ τὸ κέδρινον ξύλον, [τήν τε ὕσσωπον καὶ τὸ κόκκινον,] καὶ μέντοι καὶ ὁ συλλέγων τὴν σπο-
„ διάν, ἀκάθαρτοί εἰσι, φησίν, ἕως ἑσπέρας· καίτοι φαιδρυνόμενοι τὰ ἄμφια, καὶ ὑπάρχοντες καθαροί· καταδεικνύντος τάχα που τοῦ νόμου τὸ τῆς ἀνθρωπίνης φύσεως ἀσθενές· καὶ ὅτιπερ, εἰ ἀκριβῶς διερευ-
Γ νῷτο τὰ καθ' ἡμᾶς, ἀνεπιτίμητος ἔσται παντελῶς οὐδεὶς τῶν τεταγμένων εἰς λειτουργίαν, δῆλον δὲ ὅτι τὴν θείαν καὶ ἱεράν. ἀλλὰ κἄν τις εἴη τυχὸν τῶν ὡς ἄριστα βιοῦν εἰρημένων, καὶ εἰς ὅσον οἷόν τε καθαρὸς, οὐκ ἀμώμητον ἕξει τὴν λειτουργίαν. ἄξιος γὰρ οὐδεὶς τῶν τοῦ Σωτῆρος ἡμῶν μυστηρίων ἀποθιγεῖν. καὶ θαυμαστὸν οὐδέν. ἀναπείσει
'Ιώβ.15.15. „ γὰρ ἡμᾶς ὁ λόγος ὁ ἱερὸς οὕτως ἔχων· ἄστρα
„ δὲ οὐ καθαρὰ ἐνώπιον αὐτοῦ. οὐκοῦν εἰ συγκρίνοιτο τὰ καθ' ἡμᾶς τῇ καθαρότητι τοῦ
Δ Χριστοῦ, ἀκάθαρτα καὶ μεμολυσμένα, καὶ ὑπὸ δίκην ἔσται τὴν θείαν.

η. Καὶ συνάξει ἄνθρωπος καθαρὸς τὴν σποδὸν τῆς δαμάλεως, καὶ ἀποθήσει ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρόν· καὶ ἔσται τῇ συναγωγῇ υἱῶν Ἰσραὴλ εἰς διατήρησιν· ὕδωρ ῥαντισμοῦ ἅγνισμά ἐστι.

E ΚΥΡΙΛΛΟΥ. Ἔξω δὲ τῆς παρεμβολῆς ἀποκεῖσθαι (1) δεῖν ἔφη τὸ ὕδωρ τοῦ ἁγνισμοῦ, καὶ οὐχὶ δὴ μᾶλλον ἐν αὐτῇ τῇ παρεμβολῇ. ἔξω γὰρ ὥσπερ τῆς Ἰουδαίων συναγωγῆς ἡ ἐν Χριστῷ κάθαρσις. μετερρύηκε δὲ ὥσπερ ἐπὶ τὰ ἔθνη λοιπὸν ἡ ἀφαγνίζουσα χάρις.

θ. Καὶ ὁ συνάγων τὴν σποδὸν τῆς δαμάλεως, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ,
Z καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. καὶ ἔσται τοῖς υἱοῖς Ἰσραὴλ καὶ τοῖς προσηλύτοις τοῖς προσκειμένοις ἐν μέσῳ ὑμῶν νόμιμον αἰώνιον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὸ δὲ μετέχειν ἀκαθαρσίας τοὺς περὶ τὴν κάθαρσιν τῶν ἀκαθάρτων λειτουργοῦντας ἕως τῆς ἐνεστώσης ἡμέρας, τὴν ἐν τῷ παρόντι βίῳ συμπλοκὴν δηλοῖ. καθ' ἣν καὶ ἄρχοντες ὑπηκόοις
H συγκακοῦνται, ὡς Ἰωσίας τῷ λαῷ, καὶ συνεξαμαρτάνουσι πολλάκις· καὶ ὁ Μωϋσῆς ὑπό τε ἀπιστίας τοῦ λαοῦ πικρανθεὶς, προαχθεὶς εἰς λόγον ἄπιστον.

A ΤΟΥ ΑΥΤΟΥ. Ἡ διὰ τῆς σποδοῦ κάθαρσις ἴση καὶ τῷ Ἑβραίῳ καὶ τῷ προσηλύτῳ. (2)

ι. Ὁ ἁπτόμενος τοῦ τεθνηκότος πάσης ψυχῆς ἀνθρώπου, ἀκάθαρτος
ια. ἔσται [ἑπτὰ ἡμέρας. Οὗτος ἁγνισθή-
B σεται] τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ καθαρὸς ἔσται· ἐὰν δὲ μὴ ἀφαγνισθῇ τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, οὐ καθαρὸς ἔσται.

ΚΥΡΙΛΛΟΥ. Ὅτι δὲ πᾶν εἶδος ἀκαθαρσίας διασμήξειεν ἂν καὶ λίαν εὐκόλως τὸ ὕδωρ τοῦ ἁγνισμοῦ, διεσάφει λέγων· ὡς εἴτις ἅψαιτο νεκροῦ καταμιανθήσεται μέν,
Γ ἀπαλλαχθείη δ' ἂν οὐχ ἑτέρως τοῦ συμβεβηκότος, εἰ μὴ καταρραίνοιτο τῷ ὕδατι τοῦ ἁγνισμοῦ κατά τε τὴν τρίτην καὶ ἑβδόμην ἡμέραν. καὶ νεκρότης μὲν σωμάτων φθορᾶς καὶ ἀκαθαρσίας σύμβολον· ὁ δὲ τοῦ ὕδατος ῥαντισμὸς, ἀναμεμιγμένης αὐτῷ τῆς σποδοῦ τῆς δαμάλεως καὶ τῶν ἑτέρων, τύπος ἂν εἴη τοῦ ἁγίου βαπτίσματος. οὐκοῦν ὁ νεκροῖς ἔργοις ἐνεχόμενος, ἔργα δὲ νεκρότητος τὰ σαρκὸς πάθη, οὐχ ἑτέρως ἂν
Δ ἔχοι τὸ καθαρὸν, εἰ μὴ ἀφαγνίζοιτο διὰ τοῦ βαπτίσματος κατά τε τὴν τρίτην καὶ ἑβδόμην ἡμέραν. καὶ σημαίνει μὲν ἡ τρίτη τὸν τῆς ἀναστάσεως καιρὸν, τὸν ἔσχατον δὲ ἡ ἑβδόμη, καθ' ὃν γέγονεν ἄνθρωπος ὁ μονογενής.

ιβ. Πᾶς ὁ ἁπτόμενος τοῦ τεθνηκότος ἀπὸ πάσης ψυχῆς ἀνθρώπου, ἐὰν ἀποθάνῃ, καὶ μὴ ἀφαγνισθῇ,
E τὴν σκηνὴν τοῦ Κυρίου ἐμίανεν. ἐκτριβήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραήλ, ὅτι ὕδωρ ῥαντισμοῦ οὐ περιερραντίσθη ἐπ' αὐτόν. ἀκάθαρτός ἐστιν· ὅτι (3) ἡ ἀκαθαρσία αὐτοῦ ἐπ' αὐτῷ ἐστί.

ΘΕΟΔΩΡΙΤΟΥ. Ταύτῃ δὲ τῇ σποδῷ μεθ' ὕδατος χρωμένους ἐκέλευσε περιρραίνεσθαι τοὺς τῷ τεθνηκότι πελάζοντας, ἢ ὀστῶν ἁπτομένους, ἢ ἄλλῳ τινὶ τοιούτῳ μολυ-
Z „ νομένους. καὶ ἄνθρωπος, φησίν, ὃς ἐὰν
„ μὴ ἀφαγνισθῇ, ἐξολοθρευθήσεται ἡ ψυχὴ
„ ἐκείνη ἐκ μέσου τῆς συναγωγῆς, ὅτι ὕδωρ
„ ῥαντισμοῦ οὐ περιερραντίσθη ἐπ' αὐτόν. οὕτω
καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔφη·
„ ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύμα- Ἰωάν. 3. 5.
„ τος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν
„ οὐρανῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοῦτο ἰσχυρὸν σφόδρα κατὰ Σαμαρειτῶν. εἰ γὰρ μὴ ἦν καὶ
H μετὰ θάνατον λόγος καθαρότητος καὶ ἀκαθαρ-

(1) Ἀποχέεσθαι, ὀρθότ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 405.
(2) Ὅτι δικαιοῦται περιτομὴ καὶ ἀκροβυστία ἐκ πίστεως. καὶ τάδε πρόσκειται ἐν τῷ τῆς Αὐγ. κώδ.
(3) Ἔτι. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ Ἀπολιν. ὡς ἐκ τοῦ προκειμ. ὑπομν. δῆλον.

A ἀκαθαρσίας, οὐκ ἂν ἔφησε περὶ τοῦ ἤδη
» τελευτήσαντος, ἀκάθαρτός ἐστιν· ἔτι ἡ
» ἀκαθαρσία αὐτοῦ ἐν αὐτῷ ἐστί.

ιγ. Καὶ οὗτος ὁ νόμος· ἄνθρωπος
ἐὰν ἀποθάνῃ ἐν οἰκίᾳ, πᾶς ὁ εἰσπο-
ρευόμενος εἰς τὴν οἰκίαν, καὶ ὅσα ἐστὶν
ἐν τῇ οἰκίᾳ, ἀκάθαρτα ἔσται ἑπτὰ
ιδ. ἡμέρας. Καὶ πᾶν σκεῦος ἀνεῳγμέ-
νον ὅσα οὐχὶ δεσμὸν καταδέδεται ἐπ'
B αὐτῷ, ἀκάθαρτά ἐστι.

ΚΥΡΙΛΛΟΥ. Εἰ δὲ δὴ καὶ οἶκος κατα-
μιαίνοιτο, φησὶ, τεθνεῶτός τινος ἐν αὐτῷ;
ἀκάθαρτοι μὲν οἱ εἰσβαίνοντες ἐν αὐτῷ·
βδελυρὸν δὲ καὶ σκεῦος ἅπαν καὶ ἀγγεῖον οὐ
πεπωμασμένον. πλὴν τῷ ὕδατι τοῦ ἁγνισ-
μοῦ καὶ ταῦτα διακαθαίρεται κατὰ τὸν ἴσον
τρόπον, κατὰ τὴν τρίτην καὶ ἑβδόμην
ἡμέραν. οἶκον δὲ τὸν μεμολυσμένον, σκεύη-
τε τὰ ἐν αὐτῷ, καὶ ἀγγεῖον οὐ πεπωμασμέ-
Γ νον, ὁ νομοθέτης ἡμῖν ἐν τούτοις ὑποδηλοῦν
ἔοικε τὴν κυριοκτόνον τῶν Ἰουδαίων συναγω-
γήν· συλλήβδην μὲν ἅπασαν ὡς ἐν οἴκῳ
νοουμένην, καθ' ἕκαστον δὲ διὰ τῶν σκευῶν.
σκεῦος γὰρ ἐπὶ γῆς ὁ ἄνθρωπος. ὅτι δὲ
αὐτοῖς οὐκ ἀσφαλὴς ὁ νοῦς, ἕτοιμος δὲ εἰς
μολυσμοὺς, καὶ πρὸς τὸ πᾶν ὁτιοῦν εἰσδέ-
ξασθαι τῶν ἀδικεῖν εἰωθότων, ὑπαινίττε-
ται διὰ τῶν ἀγγείων τῶν οὐ πεπωμασμένων,
Δ εἰς ἃ τοῖς θέλουσι καταλισθεῖν εὔκολον· κἂν
εἴτε ἀσκαλαβώτης, ἢ ἕτερόν τι τῶν ἐνοι-
κιδίων ὑπάρχῃ ζώων.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐδὲν ἕτερον δηλοῖ
ἢ ἄνθρωπον τὸ σκεῦος ἢ οἰκίαν· (1) ἐπεὶ
καὶ σκεύη καὶ οἶκοι Θεοῦ οἱ ἄνθρωποι.

ιε. Καὶ πᾶς ὃς ἂν ἅψηται ἐπὶ
προσώπου τοῦ πεδίου (2) τραυματίου
ἢ νεκροῦ ἢ ὀστέου ἀνθρώπου ἢ μνήματος,
E ἑπτὰ ἡμέρας ἀκάθαρτος ἔσται.

ΚΥΡΙΛΛΟΥ. Τραυματίαν εἶναί φαμεν
τὸν οὐχὶ ὑγιῆ τὴν καρδίαν· τετραυματισ-
μένον δὲ, (3) τὸν ταῖς ἐπιθυμίαις κεκρα-
τημένον σαρκικαῖς. νεκροῦ δὲ ὀστέον παρα-
δεξαίμεθα ἂν εἰς ἀκαθαρσίας λείψανον·
μνῆμα δ' αὖ, εἰς ἀνάμνησιν τεθαμμένης
τρόπον τινὰ καὶ ἀποθανούσης ἀκαθαρσίας.
πλήττει γὰρ ἔσθ' ὅτε [τὴν] καρδίαν ὁ Σα-
τανᾶς. [ἡττώμενοι δὲ ἀνὰ μέρος τοῖς τῆς
Z σαρκὸς πάθεσι καὶ ἡμεῖς αὐτοὶ, νοσοῦμεν
οὐκ εἰς ἅπαν τὴν ἐφ' ὁτιοῦν ἁμαρτίαν, ἐν
λειψάνοις δὲ αὐτοῖς ἔτι στάντες διατελοῦμεν
ἐν κόσμῳ. οἷον, τί φημι, κρατεῖν ἐπείγε-
ταί τις ὀργῆς; ἢ φιλαργυρίας, διαφεύγει
δὲ οὐκ εἰς ἅπαν τὴν ὑπερβολήν. τοῦτο οἶμαί
ἐστι τὸ ἐν λειψάνοις εἶναί τινας ἀκαθαρ-
σίας· οὗ σημεῖον ἂν γένοιτο τοῦ νεκροῦ τὸ
ὀστοῦν· ἀλλὰ καὶ πάθους ἤδη νενικημένου πρὸς
ἀνάμνησιν καθιέντες τὸν νοῦν, καὶ τεθαμ-
H μένης ἡδονῆς ἐγγὺς ἰόντες ἔσθ' ὅτε, πλημ-
μελοῦμεν οὐ μικρῶς.]

A ις. Καὶ λήψονται τῷ ἀκαθάρτῳ
ἀπὸ τῆς σποδιᾶς τῆς κατακεκαυμέ-
νης τοῦ ἁγνισμοῦ, καὶ ἐκχεοῦσιν ἐπ'
ιζ. αὐτὴν ὕδωρ ζῶν εἰς σκεῦος. Καὶ λή-
ψεται ὕσσωπον, καὶ βάψει εἰς τὸ ὕσ-
σωπον ἀνὴρ καθαρὸς, καὶ περιῤῥα-
νεῖ ἐπὶ τὸν οἶκον, καὶ ἐπὶ τὰ σκεύη,
καὶ ἐπὶ τὰς ψυχὰς, ὅσαι ἐὰν ὦσιν
ἐκεῖ, καὶ ἐπὶ τὸν ἡμμένον τοῦ ὀστέου τοῦ
B ἀνθρωπίνου, ἢ τοῦ τραυματίου, ἢ τοῦ
ιη. τεθνηκότος, ἢ τοῦ μνήματος. Καὶ
περιῤῥανεῖ ὁ καθαρὸς ἐπὶ τὸν ἀκά-
θαρτον ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ ἐν
τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἀφαγνι-
σθήσεται τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ
πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκά-
θαρτος ἔσται ἕως ἑσπέρας.

Γ ** ΚΥΡΙΛΛΟΥ. Ἀπαλλατόμεθα δὲ
τῶν τοιούτων αἰτιαμάτων, διασμήχοντος
ἡμᾶς τοῦ Χριστοῦ, καὶ τῷ ἰδίῳ πάθει διακα-
θαίροντος. ἀπέθανε γὰρ ὑπὲρ ἡμῶν, καὶ
τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν.

ιθ. Καὶ ἄνθρωπος ὃς ἂν μιανθῇ,
καὶ μὴ ἀφαγνισθῇ, ἐξολοθρευθήσε-
ται ἡ ψυχὴ ἐκείνη ἐκ μέσου τῆς συνα-
γωγῆς· ὅτι τὰ ἅγια Κυρίου ἐμίανεν,
Δ ὅτι ὕδωρ ῥαντισμοῦ οὐ περιεῤῥαντίσθη
ἐπ' αὐτόν· καὶ ἀκάθαρτός ἐστι.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἐν γὰρ τοῖς Εὐαγ-
» γελίοις ὁ Κύριός φησιν, ἐὰν μή τις γεννη- Ἰωάν. 3. 5.
» θῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλ-
» θῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. (4)

κ. Καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον·
καὶ ὁ περιῤῥαίνων ὕδωρ ῥαντισμοῦ,
πλυνεῖ τὰ ἱμάτια αὐτοῦ· καὶ ὁ ἁπτό-
E μενος τοῦ ὕδατος τοῦ ῥαντισμοῦ, ἀκά-
θαρτος ἔσται ἕως ἑσπέρας.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ἀκάθαρτον
εἶναι λέγει μέχρις ἑσπέρας καὶ τὸν περιῤ-
ῥαίνοντα, καὶ τὸν περιῤῥαινόμενον; Ἐπει-
δὴ κατὰ τὸν νόμον ἀκάθαρτος ἦν ὁ ἁπτό-
μενος ὀστέου νεκροῦ. οὐκοῦν ἡ κάθαρσις τῇ
ἀληθείᾳ συμβαίνει· διὰ Χριστοῦ γὰρ ἡ κά-
θαρσις· τὸ δὲ ἀκάθαρτον εἶναι, τῷ νόμῳ·
ὁ δὲ νόμος προετύπου τὴν χάριν. καὶ οὗτοι
Z δὲ ἀκάθαρτοι ἦσαν μέχρις ἑσπέρας, τουτέ-
στι μέχρι τοῦ τέλους τοῦ νόμου. ὄρθρῳ γὰρ
» ἔοικεν ἡ δεσποτικὴ παρουσία. τοῖς γὰρ ἐν Ἡσ. 9. 2.
» σκότει καὶ σκιᾷ θανάτου καθημένοις φῶς
» ἀνέτειλεν, ἢ φησὶν ὁ προφήτης Ἡσαΐας.
καὶ ἀλλαχοῦ δὲ αὐτὸς εἴρηκεν ὁ Θεός· τοῖς Μαλαχ. 4. 2.
» δὲ φοβουμένοις με ἀνατελεῖ ἥλιος δικαιο-
» σύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ.
» καὶ πάλιν, ἰδοὺ ἀνὴρ ἀνατολὴ ὄνομα αὐτῷ. Ζαχ. 6. 12.

H κα. Καὶ παντὸς οὗ ἐὰν ἅψηται
αὐτοῦ ὁ ἀκάθαρτος, ἀκάθαρτον ἔσται·
καὶ

(1) Ἤτοι ἡ οἰκία, ἢ καὶ ἡ οἰκία ἀναγν. (2) Πεδίου. αἱ εἰρημ. ἐκδόσ.
(3) Δὲ ὥσπερ, ἢ ἐπιθυμίαις κοσμικαῖς ἢ θελήμασι κοσμικοῖς εἴτουν σαρκικοῖς. νεκροῦ, κτλ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 406. (4) Ἴσ. ἐκ τῶν ὄπισθεν τοῦ Θεοδωρίτ. εἰσί.

καὶ ἡ ψυχὴ ἡ ἁπτομένη ἀκάθαρτος A
ἔσται ἕως ἑσπέρας.

** ΕΦΡΑΙΜ. Ὁ ἀκάθαρτος ἐὰν ἅψηται καθαροῦ, κοινοῖ αὐτό· καὶ χρήζει κατ' ἐκείνου καθαρισμοῦ. ἡ δὲ πορνεία καὶ ὁ φθόνος καὶ ἡ ἀδικία ἀκάθαρτα εἰκότως εἰσίν. ἐὰν οὖν ποιῇς τὸ κακὸν, καὶ ἄλλους κοινοῖς· ἐὰν δὲ συγκατάθῃ διὰ λογισμῶν τῇ πράξει, κοινώσῃ ἐν αὐτῇ τῇ ἀκαθαρσίᾳ. ἐπεσκέψω ὅτι ὁ κοινωθεὶς, ἄλλον κοινῶσαι οὐκ
B εἴρηται· ὁ δὲ κοινώσας, πάντα ὅσα ἂν ἅψηται ὑπ' αὐτοῦ κοινοῦνται. αὕτη ἡ διαφορὰ καὶ παρ' ἡμῖν ἐστίν. ἐὰν γάρ τις πράξῃ πορνείαν, ἢ σκανδαλίζων, ἢ τύπος γινόμενος, πολλοὺς ποιεῖται κοινωνούς· ἐὰν δὲ ἐν μόνοις ἐμπέσῃ τοῖς λογισμοῖς, ἄλλους μὲν οὐ κοινοῖ, διότι οὐκ εἶδον· αὐτὸς κοινοῦται καὶ κρίνεται. τίς οὖν ἡ τῆς κρίσεως ἐν τοῖς δυσὶ διαφορά; πολλή· ὅτι ὁ πράξας, κοινωνεῖ πᾶσι τοῖς σκανδαλισθεῖσι καὶ μιμησαμένοις· ὁ δὲ λογισάμενος, περὶ ἑαυτοῦ μόνον δίδωσι τὴν ἀπολογίαν.

ΚΕΦ. Κ.

α. Καὶ ἦλθον οἱ υἱοὶ Ἰσραὴλ
πᾶσα ἡ συναγωγὴ εἰς
τὴν ἔρημον Σὶν, ἐν τῷ
μηνὶ τῷ πρώτῳ, καὶ κατέμεινεν ὁ
λαὸς ἐν Κάδης. καὶ ἐτελεύτησεν ἐκεῖ Γ
Μαριὰμ, καὶ ἐτάφη ἐκεῖ.

** ΙΩΣΗΠΟΥ. Μαριάμνην τελευτὴ τοῦ βίου καταλαμβάνει, τεσσαρακοστὸν ἔτος πεπληρωκυῖαν, ἀφ' οὗ τὴν Αἴγυπτον κατέλιπε. μηνὸς δὲ ξανθικοῦ νουμηνίᾳ κατὰ σελήνην. θάπτουσι δ' αὐτὴν δημοσίᾳ πολυτελῶς, ὑπέρ τινος ὄρους, ὃ καλοῦσι, Σείν.

* ΠΡΟΚΟΠΙΟΥ. Καὶ ὡς ἀπροσδιορίστως [φησὶν ἐν τῷ μηνὶ τῷ πρώτῳ,] καὶ οὐ προσέθηκεν, ἐξεληλυθότων αὐτῶν ἐκ γῆς Αἰγύπτου. ἄνω γάρ φησιν ἐν τῷ πέντε καὶ δεκάτῳ, καὶ ἐν τῷ εἰκοστῷ κεφαλαίῳ, (1) ὅτι δεύτερον ἐνειστήκει ἔτος. ἀλλ' ἐνταῦθα μῆνα πρῶτόν φησι τὸν τῶν τεσσαράκοντα ἐτῶν, ἃ ἠπείλησεν αὐτοὺς ὁ Θεὸς ἔσεσθαι ἐν τῇ ἐρήμῳ, ἐν τῷ εἰκοστῷ πρώτῳ κεφαλαίῳ. (2) ἰδοὺ γὰρ πάλιν ὑπέστρεφον εἰς τὴν ἔρημον Σινὰ, ὅθεν φησὶν ἀπηρκέναι αὐτοὺς, ἐν τῷ εἰκοστῷ κεφαλαίῳ· (3) καὶ πολλὰ πλανηθέντες, παραγίνονται ἐν Κάδης· ὅπου ἦσαν οἱ κατάσκοποι, ὑποστρέψαντες πρὸς Μωϋσῆν καὶ τὴν συναγωγὴν, ἐν τῷ εἰκοστῷ πρώτῳ κεφαλαίῳ. (4)

** ΚΥΡΙΛΛΟΥ. Τεθνεώσης τῆς Μαριὰμ μηνὶ τῷ πρώτῳ, τουτέστιν ἐν ἀρχῇ τοῦ ἔτους, κατὰ τοὺς Ἑβραίων νόμους, ὅτε καὶ αὐτὸ τοῦ ἁγίου πάσχα τελεῖται μυστήριον, δεδίψηκεν ὁ λαός. ἐν γάρ τοι τῷ πρώτῳ μηνὶ τοῦ ἐνιαυτοῦ, ὃς καὶ τῶν νέων ὠνόμασται, μονονουχὶ καὶ τετελεύτηκεν ἡ ἐν σκιαῖς καὶ τύποις λατρεία, συνεστάλη τε τρόπον τινὰ καὶ ἐκ μέσου γέγονε. πῶς ἢ τίνα τρόπον; ἐπέλαμψε γὰρ ἡμῖν ὁ μονογενὴς τοῦ Θεοῦ λόγος ἐν εἴδει τῷ καθ' ἡμᾶς, ὡς ἐν μηνὶ τῶν νέων.

β. Καὶ οὐκ ἦν ὕδωρ τῇ συναγωγῇ.
καὶ συνηθροίσθησαν ἐπὶ Μωϋσῆν καὶ
Ἀαρών.

* ΚΥΡΙΛΛΟΥ. Τότε γὰρ τότε τῆς ἐν σκιᾷ λατρείας συνεσταλμένης, καὶ οἱονεὶ τεθνεώσης τῆς Μαριὰμ, δεδίψηκεν ὁ λαὸς, καὶ ὑδάτων ἐν σπάνει γέγονε νοητῶν· ἀλλ' ἐκπέπωκε πλουσίως τὸ νᾶμα Χριστοῦ, φημὶ δὲ δὴ πάλιν τὰ δι' αὐτοῦ θεσπίσματα, καὶ τὴν ἐν πνεύματί τε καὶ ἀληθείᾳ μυστικὴν παιδαγωγίαν.

γ. Καὶ ἐλοιδορεῖτο ὁ λαὸς πρὸς
Μωϋσῆν, λέγοντες, ὄφελον ἀπωλόμεθα ἐν τῇ ἀπωλείᾳ τῶν ἀδελφῶν
δ. ἡμῶν ἔναντι Κυρίου. Καὶ διατὶ ἀνηγάγετε τὴν συναγωγὴν Κυρίου εἰς
τὴν ἔρημον ταύτην ἀποκτεῖναι ἡμᾶς,
ε. καὶ τὰ κτήνη ἡμῶν; Καὶ ἵνα τί τοῦτο;
ἀνηγάγετε ἡμᾶς ἐξ Αἰγύπτου, παραγενέσθαι εἰς τὸν τόπον τὸν πονηρὸν τοῦτον· τόπος οὗ οὐ σπείρεται, οὐδὲ συκαῖ,
οὐδὲ ἄμπελοι, οὔτε ῥοαὶ, οὔτε ὕδωρ ἐστὶ
ς. πιεῖν. Καὶ εἰσῆλθε Μωϋσῆς καὶ Ἀαρὼν ἀπὸ προσώπου τῆς συναγωγῆς
ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἔπεσον ἐπὶ πρόσωπον. καὶ
E ὤφθη ἡ δόξα Κυρίου πρὸς αὐτούς.

ζ. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
η. σῆν, λέγων, Λάβε τὴν ῥάβδον, καὶ
ἐκκλησίασον τὴν συναγωγὴν σὺ καὶ
ὁ Ἀαρὼν ὁ ἀδελφός σου, καὶ λαλήσατε πρὸς τὴν πέτραν ἐναντίον αὐτῶν, καὶ δώσει τὰ ὕδατα αὐτῆς, καὶ
ἐξοίσετε αὐτοῖς ὕδωρ ἐκ τῆς πέτρας,
Z καὶ ποτιεῖτε τὴν συναγωγὴν, καὶ τὰ
κτήνη αὐτῶν.

ΚΥΡΙΛΛΟΥ. Ἐνταῦθα κατηγορεῖ αὐτῶν τὴν μικροψυχίαν, καὶ ἀπιστίαν, καὶ γαστριμαργίαν· καὶ ὡς διαπτύοντας αὐτοὺς τὴν ἐλπίδα τῆς σωτηρίας.

θ. Καὶ ἔλαβε Μωϋσῆς τὴν ῥάβδον τὴν ἀπέναντι Κυρίου, καθὰ συνέταξε Κύριος.

(1) Οὐδὲ ταῦτα τὰ κεφάλαια, οὐδὲ τὰ ἑξῆς μνημονευόμενα ἐν τῷ τῆς Αὐγ. κώδ. κεῖται. ὅπερ δέφησιν ἐν τῷ 1. τοῦ 1, καὶ ἐν τῷ 1. ἐδ. τοῦ 9. κεφ. τῶν Ἀριθ. ἐστίν.
(2) Ἐν τῷ 8. ἐδ. τοῦ 14. κεφ. τῶν Ἀριθ. τῆσδε τῆς ἐκδόσ.
(3) Ἐν τῷ 12. ἐδ. τοῦ 10. κεφ. τῶν Ἀριθ.
(4) Ἐν τῷ 42. ἐδ. τοῦ 12. κεφ. τῶν Ἀριθ. ταύτης τῆς ἐκδόσ.

ι. Καὶ ἐξεκκλησίασε Μωϋσῆς καὶ Ἀαρὼν τὴν συναγωγὴν ἔναντι Κυρίου ἀπέναντι τῆς πέτρας, καὶ εἶπε πρὸς αὐτοὺς, ἀκούσατέ μου οἱ ἀπειθεῖς· μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὑμῖν ὕδωρ;

ΚΥΡΙΛΛΟΥ. Καίτοι τῇ τοῦ Θεοῦ καταθαρσῆσαι δέον φωνῇ, ἠτόνησεν ὁ Μωϋσῆς. » ἔφη γὰρ, ἀκούσατέ μου οἱ ἀπειθεῖς· μὴ ἐκ » τῆς πέτρας ταύτης ἐξάξομεν ὑμῖν ὕδωρ;

B ✱✱ ΤΟΥ ΝΥΣΣΗΣ. Προϊόντων διὰ τῆς ἐρήμου, πάλιν αὐτοῖς ἐπιλιπόντος τοῦ ὕδατος, καὶ ἡ μνήμη τῆς τοῦ Θεοῦ δυνάμεως συναπέλειψεν. οὐ γὰρ τῷ προλαβόντι παρὰ τὴν πέτραν θαύματι, τὸ μηδὲ νῦν αὐτοῖς ἐνδεῆσαι τὴν χρείαν ἐπίστευσαν· ἀλλ' ἀποστάντες τῶν χρηστοτέρων ἐλπίδων, κατ' αὐτοῦ τοῦ Θεοῦ καὶ τοῦ Μωϋσέως ταῖς λοιδορίαις ἐχώρουν· ὡς καὶ τὸν Μωϋσέα δόξαι τῇ ἀπιστίᾳ τοῦ λαοῦ συνοκλάσαι, πλὴν πάλιν αὐτοῖς θαυματοποιῆσαι τὴν ἀκρότομον ἐκείνην πέτραν εἰς ὑδάτων φύσιν μεταβαλόντα.

ια. Καὶ ἐπάρας Μωϋσῆς τὴν χεῖρα αὐτοῦ, ἐπάταξε τὴν πέτραν τῇ ῥάβδῳ δίς· καὶ ἐξῆλθεν ὕδωρ πολύ· καὶ ἔπιεν ἡ συναγωγὴ, καὶ τὰ κτήνη αὐτῶν.

ΚΥΡΙΛΛΟΥ. Εἶτα πλήττει τῇ ῥάβδῳ τὴν ἀκρότομον δίς. ὡς γὰρ ἐσομένου μηδενὸς τῶν προσδοκωμένων, κἂν εἰ καταπαίοιτο τυχὸν ἡ πέτρα τῇ ῥάβδῳ, πέπληχε δίς· καίτοι τὸν ποταμὸν ἐν Αἰγύπτῳ μεταστοιχειώσας εἰς αἷμα, διὰ τοῦ τὴν ῥάβδον ἀνατεῖναι προσάπαξ. πλὴν ἐδίδου τὸ νᾶμα Θεὸς, καίτοι διὰ τούτων οὐ μετρίως παρωργισμένος· ἵνα μὴ δόκησις ἀσθενείας αὐτοῦ καταγράφοιτο παράγε ταῖς τῶν ἀσυνέτων ψυχαῖς.

✱✱ ΤΟΥ ΝΥΣΣΗΣ. Πάλιν διὰ τῆς ἐρήμου ὁδὸς, καὶ καταπονεῖται τῷ δίψει ὁ τῶν ἀγαθῶν τῆς ἐπαγγελίας ἀπελπίσας λαός. ὁ δὲ Μωϋσῆς πάλιν αὐτοῖς κατακλύζει διὰ τῆς πέτρας τὴν ἔρημον. ὁ δὲ τοιοῦτος λόγος, τοῦτο ἂν ἡμᾶς διὰ τῆς νοητῆς θεωρίας διδάξειεν, οἷόν ἐστι τὸ τῆς μετανοίας μυστήριον. οἱ γὰρ πρὸς γαστέρα

A καὶ σάρκα καὶ τὰς αἰγυπτίας ἡδονὰς μετὰ τὸ ἅπαξ γεύσασθαι τῆς πέτρας παρατραπέντες, τῷ λιμῷ καὶ τῶν λογισμῶν τῆς τῶν ἀγαθῶν μετουσίας καταδικάζονται. ἀλλ' ἔστιν αὐτοῖς πάλιν ἐκ μεταμελείας τὴν πέτραν εὑρεῖν, ἣν κατέλιπον, καὶ πάλιν ἑαυτοῖς ἀναστομῶσαι τὴν φλέβα, πάλιν ἐμφορηθῆναι τοῦ νάματος.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὴν τοῦ ὕδατος ἐκ τῆς πέτρας ῥύσιν, οἱ μὲν τὴν αὐτὴν εἶναί φασι (1) τῇ ἐν τῇ Ἐξόδῳ· οἱ δὲ, (2) ἑτέραν, εἴ γε καὶ οἱ χρόνοι διάφοροι. B πλὴν εἰ μὴ λέγοιεν οἱ πρῶτοι, ἐπανάληψιν εἶναι.

ιβ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν, ὅτι οὐκ ἐπιστεύσατε ἁγιάσαι με ἐναντίον τῶν υἱῶν Ἰσραὴλ, διὰ τοῦτο οὐκ εἰσάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν ἣν ἐξέδωκα αὐτοῖς.

Γ ΣΕΥΗΡΙΑΝΟΥ. Οὐκ ἐδόξασάς με. (3) » τί δὲ ἦν τὸ δοξάσαι; τὸ μὴ λογισμοῖς ἐξετάζειν τὰ παρ' αὐτῷ γενόμενα. ἀπολογεῖται δὲ Δαβὶδ ὑπὲρ Μωϋσέως. » καὶ παρώργησαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας, » καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς. (Ψαλ. 105. 32.) οὐ δι' ἑαυτὸν, τουτέστιν οὐ παρὰ τὴν οἰκείαν γνώμην τὴν ἀπιστίαν ἔδειξεν, ἀλλὰ θολωθεὶς ὑπὸ τῆς ἀντιλογίας τοῦ λαοῦ, οὐχ εὗρε λογισμὸν καθαρόν· Δ καὶ ὡς τῇ συγχύσει τῶν ἀντιλεγόντων καὶ βλασφημούντων ὠλίσθησε » τοῖς χείλεσι, καὶ λέγει, λαὸς ἀπειθὴς, » καὶ τὰ ἑξῆς. λέγει οὖν Δαβὶδ, ὅτι παρε- (Ψαλ. 105. 33.) » πίκραναν τὸ πνεῦμα αὐτοῦ, καὶ διέστειλεν » ἐν τοῖς χείλεσι, τουτέστι μεμερισμένην εἶχε τὴν γλῶσσαν.

ΩΡΙΓΕΝΟΥΣ. Μωσῆς μὴ δοξάσας τὸν Θεὸν ἐπὶ τοῦ λαοῦ, ἐκωλύθη παρελθεῖν μετ' αὐτῶν. ἵνα μὴ ὃν ἐτίμων ζῶντα, ἐν Ε Θεοῦ θεραπείαις τιμήσωσιν. ὅθεν καὶ ἐκ τοῦ βίου ἀπελθόντα, ἀφανῆ τὸν τόπον πεποίηκε. (4)

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ὠργίσθη τῷ Μωϋσῇ καὶ Ἀαρὼν ὁ δεσπότης Θεὸς, ἡνίκα τὸ ὕδωρ ἐκ τῆς πέτρας ἐξήγαγον; Ἀθυμοῦσιν αὐτοῖς διὰ τὴν τῆς ἀδελφῆς τελευτὴν ἐπέκειντο, διὰ τὴν τοῦ ὕδατος στασιάζοντες σπάνιν. δυσχεραίνοντες οὖν τὴν πολλὴν αὐτῶν ἀκρασίαν, ἀμφιβόλοις ἐχρήσαντο

(1) Τὸν Ἀλεξανδρ. Κύριλλον ἴσως λέγει. αὐτὸς μὲν γὰρ (ἐν Τόμ. ι. μέρ. 1. σελ. 310.) τὰ ἐν τῷ 17. κεφ. τῆς Ἐξόδ. ἐκθεὶς, ταῦτα προστίθησι· καὶ ταυτὶ μὲν ἐν τῇ Ἐξόδῳ τὸ θεῖον ἔφη χρησμῴδημα. κατακερματιεῖ δὲ ὥσπερ ἐν τοῖς Ἀριθμοῖς δευτέραν ἀφήγησιν, ἣν, κτ. ἐκ τούτων οὖν καὶ ἐκ τῶν ἑξῆς δῆλον, ὅτι μίαν καὶ τὴν αὐτὴν εἶναι βέλεται τὴν ἐκ τῆς πέτρας ῥύσιν. ἀλλὰ γὰρ καὶ Φίλωνα (ἐν τῷ 1. περὶ Μωϋσ. βιβλ. σελ. 635.) τῆς μετὰ τὴν ὀρτυγομήτραν μόνον μνημονεύοντα ῥύσεως εὕρομεν· ὡσαύτως καὶ Ἰώσηπον (ἐν τῷ 1. κεφ. τοῦ 3. περὶ Ἰουδαϊκ. ἀρχαιολογ. βιβλ.) τῆς ἐν Ῥαφιδεὶν μόνον.

(2) Ὁ Νύσσης, οὗ καὶ τὰ ῥήματα, δηλονότι τὰ προκείμενα, αὐταῖς λέξεσιν ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ. ἐκλέθησι. συνᾴδει δὲ τῷ Νύσσης καὶ ὁ Ἡσύχιος, λέγων· (ἐν τῇ τῶν Ψαλ. σειρᾷ) δεύτερον αὐτοῖς ὕδωρ ἐκ πέτρας ὁ Μωσῆς ἐξήγαγεν. ἅπαξ μὲν ἐν τῇ ἐρήμῳ Χωρήβ· τὸ δεύτερον δὲ, ἐν Κάδης. ἔνθα Μαριὰμ ἐτάφη τελευτήσασα.

(3) Ἀντὶ τίνος ἆρα τὸ, ἐδόξασάς με, καὶ τὸ, δοξάσαι, ἀναγινώσκει ὁ Σευηριανὸς, μὴ δοξάσας δὲ ὁ Ὠριγένης; μήτι γε ἀντὶ τοῦ ἁγιάσαι με;

(4) Ἐν τῷ 2. τόμ. τῆς τοῦ Ῥου. ἐκδόσ. σελ. 271. τῷ ὑπομνήματι τούτῳ τάδε προτέτακται· μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὑμῖν ὕδωρ; ἐξ ὧν δῆλον ὅτι ἀναγαγεῖν αὐτὸ βέλεται εἰς τὸ 10. ἐδ. ὅπου οὐδεμίαν ἔχειν ἔοικε σχέσιν.

σαντο ῥήμασι, τὸ ὕδωρ ἐξαγαγόντες. ἔφη
» γὰρ οὕτως ὁ νομοθέτης· ἀκούσατέ μου οἱ
» ἀπειθεῖς· μὴ ἐκ τῆς πέτρας ταύτης ἐξά-
» ξω ὑμῖν ὕδωρ; τούτου χάριν ὁ δεσπότης Θεὸς
τὴν κατ' αὐτῶν ἐξενήνοχε ψῆφον. ἔφη δὲ
» οὕτως· ὅτι οὐκ ἐπιστεύσατέ μοι ἁγιάσαι με
» ἐναντίον τῶν υἱῶν Ἰσραὴλ, διὰ τοῦτο οὐκ εἰ-
» σάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς
» τὴν γῆν ἣν ἔδωκα αὐτοῖς. τοῦτο καὶ μελῳ-
Ψαλ. 105. 32, δῶν ὁ θεῖος εἶπε Δαβίδ· καὶ ἐκακώθη Μωϋ-
33. » σῆς δι' αὐτοὺς, ὅτι παρεπίκραναν τὸ πνεῦ-
» μα αὐτοῦ, καὶ διέστειλεν ἐν τοῖς χείλεσιν
αὐτοῦ. ὀργιζόμενος γὰρ ἐκείνοις, ἀμφιβό-
λως τὸν λόγον προσήνεγκε. καὶ ἦν οὐ τῆς
ψυχῆς, ἀλλὰ τῆς γλώττης ἡ ἀμφιβολία.
» τοῦτο γὰρ ἔφη· διέστειλεν ἐν τοῖς χείλεσιν
αὐτοῦ. ἰστέον μέντοι, ὡς ἕτερον οἰκονομῶν
ὁ Θεὸς, ταύτην ἐξενήνοχε τὴν ἀπόφασιν·
ὅπερ εἰς καιρὸν δηλώσομεν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὸν μακάριον
Μωϋσέα οὐδὲν ἕτερον ἐκώλυσε μετὰ τὰς
πολλὰς ταλαιπωρίας ἐκείνας, καὶ τὰ μυ-
ρία κατορθώματα, τῆς ἐπαγγελίας τυ-
χεῖν, ἢ τὸ σκανδαλίσαι τοὺς συνόντας αὐ-
τῷ ἐπὶ τοῦ ὕδατος. καὶ τοῦτο αἰνιττόμενος
» ὁ Θεὸς ἔλεγεν· ὅτι οὐκ ἐπιστεύσατέ μοι ἁγι-
» άσαι με ἐναντίον τῶν υἱῶν Ἰσραὴλ, διὰ τοῦ-
» το οὐκ εἰσάξετε τὴν συναγωγὴν ταύτην εἰς
» τὴν γῆν ἣν ἔδωκα αὐτοῖς. καίτοι καὶ πρὸ
τούτου τινὰ παρήκουσε. καὶ γὰρ ἀντεῖπε
τῷ Θεῷ, καὶ ἅπαξ καὶ δὶς, πεμπόμενος
εἰς Αἴγυπτον. καὶ μετὰ ταῦτα ἐπὶ τῆς ἐρή-
Ἀριθ. 11. 21. μου διηπόρησε, λέγων· ἑξακόσιαι χιλιάδες
» εἰσὶ πεζῶν, καὶ σὺ εἶπας κρέα δώσω αὐτοῖς,
καὶ τὰ ἑξῆς. καὶ μετὰ ταῦτα δὲ πάλιν
ἀπεδυσπέτησε, καὶ τοῦ δήμου τὴν προστασίαν
παρῃτήσατο. ἀλλ' ὅμως οὐδὲν τούτων ἴσχυ-
σεν αὐτὸν ἀποστερῆσαι τῶν ἄθλων τῶν
προκειμένων, ἀλλ' ἢ τὸ ἐπὶ τοῦ ὕδατος συμ-
βὰν μόνον. τῇ μὲν γὰρ φύσει, ἐκεῖνο ἔλατ-
τον ἦν· τὸ δὲ μετὰ τῆς ἑτέρων γενέσθαι
βλάβης, πολλῷ μεῖζον ἐγένετο. ἐκεῖνα μὲν
γὰρ ἰδίᾳ, καὶ λανθανόντως συνέβη· τοῦτο
δὲ φανερῶς, καὶ ἐπὶ τοῦ δήμου παντὸς φα-
νερῶς ἡμαρτάνετο. διὰ τοῦτο καὶ ἐγκαλῶν
» ὁ Θεὸς τοῦτο ἠνίξατο εἰπών· ὅτι οὐχ ἡγιά-
» σατέ με ἐναντίον τῶν υἱῶν Ἰσραήλ· τῆς ἁ-
μαρτίας τὴν φύσιν ἐκκαλύπτων αὐτῷ, καὶ
ὅθεν γέγονεν ἀσύγγνωστον παραδηλῶν.

ΚΥΡΙΛΛΟΥ. Ταῖς γὰρ τῶν δήμων ἐ-
παναστάσεσιν ὀλιγοψυχήσας βραχὺ, καὶ
αὐτὸς ὤκλασε περὶ τὴν πίστιν. (1)

ΤΟΥ ΑΥΤΟΥ. Καὶ εἰ ὁ τοσοῦτος ὑπάρ-
χων ἐπετιμήθη Μωϋσῆς, τίνος ἔτι φείσε-
ται Θεός; τίνι δὲ οὐκ ἐποίσει τὸν ἐφ' οἷς ἂν
ἀπιστήσῃ θυμὸν, ὁ οὕτως ἀπροσωπόληπτος,
ὡς μηδὲ αὐτὸν ἐθελῆσαι δυσωπεῖσθαι Μωϋ-
Ἐξόδ. 33. 17. σῆν, πρὸς ὃν εἴρηται παρ' αὐτοῦ, οἶδά σε
» παρὰ πάντας, καὶ χάριν εὗρες παρ' ἐμοί;

** ΒΑΣΙΛΕΙΟΥ. Ὅταν ἴδω Μωϋσέα
τὸν τοῦ Θεοῦ θεράποντα, τὸν μέγαν ἐκεῖ-
νον, τὸν τοσαύτης μὲν καὶ τηλικαύτης
ἀξιωθέντα τιμῆς παρὰ Θεοῦ, οὕτω δὲ πολ-
λάκις ὑπ' αὐτοῦ μαρτυρηθέντα, ὡς ἀκοῦ-
» σαι· οἶδά σε παρὰ πάντας, καὶ εὕρηκας Ἐξόδ. 33. 17.
» χάριν ἐνώπιόν μου· τοῦτον ὅταν ἴδω ἐπὶ τοῦ
ὕδατος τῆς ἀντιλογίας οὐδενὸς ἕνεκεν ἑτέ-
ρου, ἢ ἵνα μόνον εἴπῃ τῷ λαῷ γογγύζοντι
» δι' ἀπορίαν ὕδατος, μὴ ἐκ ταύτης τῆς πέ-
» τρας ἐξάξομεν ὑμῖν ὕδωρ; τούτου μόνου ἕνε-
κεν εὐθὺς ἀπειλὴν δεχόμενον, εἰς τὴν γῆν
τῆς ἐπαγγελίας μὴ εἰσελεύσεσθαι, ἥτις
ἦν τότε τῶν πρὸς Ἰουδαίους ἐπαγγελιῶν τὸ
κεφάλαιον· ὅταν ἴδω τοῦτον παρακαλοῦντα
καὶ μὴ συγχωρούμενον· ὅταν ἴδω μηδεμιᾶς
συγγνώμης διὰ τὰ τοσαῦτα κατορθώματα
ἐπὶ τῷ βραχεῖ ἐκείνῳ ῥήματι καταξιούμε-
» νον, ὄντως μὲν ὁρῶ Θεοῦ ἀποτομίαν κατὰ Ῥωμ. 11. 22.
τὸν Ἀπόστολον, ὄντως δὲ ἐκεῖνο ἀληθὲς
» εἶναι πείθομαι, τὸ, εἰ ὁ δίκαιος μόλις Παροιμ. 11. 31.
» σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ
» φανεῖται;

ιγ. Τοῦτο τὸ ὕδωρ ἀντιλογίας, ὅτι ἐλοιδορήθησαν υἱοὶ Ἰσραὴλ ἔναντι Κυρίου, καὶ ἡγιάσθη ἐν αὐτοῖς.

ιδ. Καὶ ἀπέστειλε Μωϋσῆς ἀγγέλους ἐκ Κάδης πρὸς βασιλέα Ἐδὼμ, λέγων, τάδε λέγει ὁ ἀδελφός σου Ἰσραήλ· σὺ ἐπίστῃ πάντα τὸν μόχθον τὸν εὑρόντα ἡμᾶς.

» ΑΔΗΛΟΥ. Ὁ ἀδελφός σου Ἰσραήλ. καὶ γὰρ ἦσαν ἐξ Ἡσαῦ ἀδελφοῦ Ἰακώβ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ὁ ἀδελφός σου Ἰσραήλ. ὁ γὰρ Ἐδὼμ, τουτέστιν οἱ Ἰουδαῖοι ἐξ Ἡσαῦ, ὃς καὶ Ἐδὼμ ὠνομάζετο. ἀδελφὸς δὲ οὗτος Ἰακὼβ τοῦ καὶ Ἰσραήλ. οἰκεία δὲ καὶ συγγενικὴ πρὸς τὸ πείθειν ἡ προσφώνησις.

ιε. Καὶ κατέβησαν οἱ πατέρες ἡμῶν εἰς Αἴγυπτον, καὶ παρῳκήσαμεν ἐκεῖ ἐν Αἰγύπτῳ ἡμέρας πλείους, καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύπτιοι καὶ τοὺς πατέρας ἡμῶν.

» ΑΠΟΛΙΝΑΡΙΟΥ. Καὶ ἐκάκωσαν ἡμᾶς
» οἱ Αἰγύπτιοι καὶ τοὺς πατέρας ἡμῶν· ἐλεει-
νὴ φωνή. καὶ αὐτὸ τοῦτο πρὸς τὸ μὴ πο-
λεμεῖσθαι.

ις. Καὶ ἀνεβοήσαμεν πρὸς Κύριον, καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς ἡμῶν, καὶ ἀποστείλας Ἄγγελον ἐξήγαγεν ἡμᾶς ἐξ Αἰγύπτου. καὶ νῦν ἐσμὲν ἐν Κάδης πόλει, ἐκ μέρους τῶν ὁρίων σου.

» ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὕτω τὸ, κατέβην, Ἐξόδ. 3. 8.
δι' Ἀγγέλου γεγονὸς, οἶδε Μωϋσῆς εἰς πρό-
σωπον Θεοῦ ἐπιφαινόμενον, τὸν Ἄγγελον
» δηλοῖ τὸν λέγοντα, κατέβην ἐξελέσθαι.

ιζ. Παρελευσόμεθα διὰ τῆς γῆς σου· οὐ διελευσόμεθα δι' ἀγρῶν, οὐδὲ δι'

(1) Οὐ σφόδρα τοῖς τοῦ προστάττοντος ἀναπεπεισμένος λόγοις, ὀλιγοψυχήσας δέ πως διὰ τὸ ἀνθρώπινον, ἀκούσατέ μου, φησὶν οἱ ἀπειθεῖς, κτλ. ταῦτα ἐν Τόμ. 4. σελ. 280. κεῖται. ὅπου καὶ τὸ ἑξῆς τοῦ Κυρίλ. ὑπόμνημα.

δὶ ἀμπελώνων, οὐδὲ πιόμεθα ὕδωρ ἐκ λάκκου σου· ὁδῷ βασιλικῇ πορευσόμεθα. οὐκ ἐκκλινοῦμεν εἰς δεξιὰ οὐδὲ εὐώνυμα, ἕως ἂν παρέλθωμεν τὰ ὅριά σου.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπεὶ μὴ ὕδωρ εἶχον ἐκ φρεάτων ἀνελλιπὲς, οὐ πιόμεθα φησὶν ἐκ λάκκου σου, προῖκα δηλονότι. τοῦτο γὰρ ἐπήνεγκεν ὕστερον.

* ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοῦτο εἶπεν, ἵνα μὴ ἔφοδον, ἀλλὰ πάροδον ἡγήσονται. οὐ γὰρ τὸ φρέαρ ἀναλοῦται. (1).

» ** ΕΠΙΦΑΝΙΟΥ. Οὐκ ἐκκλινοῦμεν ἐντεῦθεν. ὁδῷ βασιλικῇ βαδιοῦμεν. ἔστι γὰρ ὁδὸς βασιλικὴ, ἥτις ἐστὶν ἡ τοῦ Θεοῦ ἐκκλησία, καὶ ὁδοιπορία τῆς ἀληθείας.

ιη. Καὶ εἶπε πρὸς αὐτὸν Ἐδὼμ, οὐ διελεύσῃ δι᾽ ἐμοῦ· εἰ δὲ μὴ, ἐν πολέμῳ ἐξελεύσομαι εἰς συνάντησίν σου.

ΑΔΗΛΟΥ. Οὔτε ὡς συγγενῆ τιμᾷ τὸν Ἰσραὴλ, οὔτε ὡς ἀβλαβῆ τὴν δίοδον ἐπιτρέπει. εἰ δὲ ἠπίστει, ὅρκου ἔδει· ἀλλ᾽ ἦν πονηρός.

ιθ. Καὶ λέγουσιν αὐτῷ οἱ υἱοὶ Ἰσραὴλ, παρὰ τὸ ὄρος παρελευσόμεθα· ἐὰν δὲ τοῦ ὕδατός σου πίωμεν ἐγώ τε καὶ τὰ κτήνη μου, δώσω τιμήν σοι. ἀλλὰ τὸ πρᾶγμα οὐδέν ἐστι· παρὰ τὸ ὄρος παρελευσόμεθα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Διότι τῶν πονησάντων ἐπὶ λάκκοις ἴδιον τὸ ὕδωρ. εἰ οὖν τοῦτο δέδοικας φησὶν, ὠνήσομαι καὶ τὸ ὕδωρ.

κ. Ὁ δὲ εἶπεν, οὐ διελεύσῃ δι᾽ ἐμοῦ. καὶ ἐξῆλθεν Ἐδὼμ εἰς συνάντησιν αὐτῷ ἐν ὄχλῳ βαρεῖ, καὶ ἐν χειρὶ ἰσχυρᾷ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Φθόνου τὸ ἔργον, ἴσως καὶ πρὸς τὴν δόξαν φθονοῦντων.

κα. Καὶ οὐκ ἠθέλησεν Ἐδὼμ δοῦναι τῷ Ἰσραὴλ παρελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ. καὶ ἐξέκλινεν Ἰσραὴλ ἀπ᾽ αὐτοῦ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τῆς κακονοίας ἀνακαλυφθείσης ἐκείνων, ἐκωλύθησαν εἰς χεῖρας ἐλθεῖν ὑπὸ τοῦ προεστῶτος, ἐπιδειξαμένου δύω τὰ κάλλιστα, φρόνησιν ἐν ταὐτῷ καὶ χρηστότητα. τὸ μὲν γὰρ, μηδὲν μηδένα παθεῖν φυλάξασθαι, συνέσεως· τὸ δὲ μηδ᾽ ἀμύνασθαι συγγενεῖς ὄντας θελῆσαι, φιλανθρωπίας ἔργον.

* ΠΡΟΚΟΠΙΟΥ. Τὸ γένος τιμᾷ, καὶ μὴ τιμώμενος. τοῦτο γὰρ ἐδόκει Θεῷ (2) μηδ᾽ ὅτε δοκοῦσιν οἱ πρὸς γένος ἀρνεῖσθαι τὴν φιλίαν τὴν ἀπὸ τοῦ γένους.

ΚΥΡΙΛΛΟΥ. Οὐκοῦν τὸ θυμοὺς ἀνακόπτειν, καὶ ἀνασυράζειν ὀργὰς, καὶ ἐπιμετρεῖν ἀναλόγως τὰς δίκας τοῖς ἑκάστου πταίσμασιν, ἀγάπης εἶναι λογιούμεθα τῆς εἰς ἀδελφοὺς καρπόν τε καὶ ἀποτέλεσμα.

κβ. Καὶ ἀπῆραν ἐκ Κάδης· καὶ παρεγένοντο οἱ υἱοὶ Ἰσραὴλ πᾶσα ἡ συναγωγὴ εἰς Ὢρ τὸ ὄρος.

κγ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν ἐν τῷ Ὢρ τῷ ὄρει ἐπὶ
B τῶν ὁρίων τῆς γῆς Ἐδὼμ, λέγων,
κδ. Προστεθήτω Ἀαρὼν πρὸς τὸν λαὸν αὐτοῦ, ὅτι οὐ μὴ εἰσέλθητε εἰς τὴν γῆν ἣν ἔδωκα τοῖς υἱοῖς Ἰσραὴλ ἐν κατασχέσει, διότι παροξύνατέ με ἐπὶ τοῦ ὕδατος τῆς λοιδορίας.

» ΑΝΕΠΙΓΡΑΦΟΥ. Λέγων, προστεθήτω, δείκνυσι τὴν τῶν ψυχῶν διαμονήν. ὥστε λοιπὸν εἶναι καὶ αὐτῶν καθάπερ τῶν ζώντων.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀπέρχονται, τὸ ἀτελὲς αὐτῶν ἐπιγνόντες οἱ Θεῷ φίλοι. τὸ γὰρ μεγαλαυχεῖν ὡς ἐπὶ κατορθώσει τελείας ἀρετῆς, Ἑλλήνων σοφίας· καί τοι μηδὲ τελείαν ἢ ἀπταιστον ἐσχηκότων, ἣν ἔδοξαν κατορθοῦν. οὐ γὰρ ἐκ φύσεως τὸ κατ᾽ ἀρετὴν ὀφείλεται τέλειον, οὐδὲ τὸ μὴ δυσχεραίνειν ἐπὶ θανάτῳ. ὅπερ αὐτῶν οἱ μαθηταὶ τοῖς διδασκάλοις χαρίζονται, μηδὲ τὸ κατὰ φύσιν πληροῦν δυναμένοις. Θεὸς δὲ βούλεται καὶ ζῶντας καὶ ἀπιόντας ἐπιγνῶναι τὸ ἑαυτῶν ἐνδεές. αἰτεῖσθαι δὲ παρ᾽ αὐτοῦ τὴν τελείωσιν. ἀτελὴς γὰρ ἡ φύσις ἐν τῷ πρώτῳ ἀνθρώπῳ γενομένη, καὶ ἀτελὴς ζῇ, καὶ ἀτελὴς καταλήγει, προσδεομένη τοῦ τελειωτοῦ. ὃν καὶ οἱ ἐν ᾅδου ἐπόθουν, οἱ καὶ τὴν τελευτὴν ἐν ἐπιγνώσει τῆς ἰδίας ἐνδείας ὑπομείναντες. ἐπ᾽ ὠφελείᾳ οὖν τὸ ἀκοῦσαι δι᾽ ἣν αἰτίαν οὐκ ἐφικνοῦνται τοῦ προκειμένου σκοποῦ. ὡς καὶ Παῦλος ἔγνω, καταπονούμενος ὑπὲρ τοῦ μὴ μεγαλαυχεῖν. δηλοῖ δὲ τῶν ψυχῶν τὸ ἀθάνατον τὸ,
» προστεθήτω πρὸς τὸν λαὸν αὐτοῦ. λαὸν γὰρ εἶναι καὶ αὐτῶν, ὡς τῶν ζώντων. κατ᾽ οἰκειότητα δὲ τρόπων ἡ σύνταξις. καὶ Λάζαρος γὰρ ἐν κόλποις Ἀβραάμ· ὁ δὲ πλούσιος χωρὶς, καίτοι πατέρα καλῶν τὸν Ἀβραάμ.

κε. Λάβε τὸν Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ,
Z καὶ ἀναβίβασον αὐτοὺς εἰς Ὢρ τὸ ὄρος
κς. ἐναντίον πάσης τῆς συναγωγῆς, Καὶ ἔκδυσον Ἀαρὼν τὴν στολὴν αὐτοῦ, καὶ ἔνδυσον Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ. καὶ Ἀαρὼν προστεθεὶς ἀποθανέτω ἐκεῖ.

ΚΥΡΙΛΛΟΥ. Καλασημαίνει δὲ τὸ ὄρος, τὸ περίοπτόν τε καὶ τὸ ὕψος, καὶ τὸ ἐν δόξῃ περιφανὲς τοῦ τε τεθνηξομένου τοῦτε ἀνθεξομένου. λελέχθω δὴ οὖν παντὶ τῷ τὸ λοιπὸν πρὸς ἱερουργίαν ἡγμένῳ· » οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. Ματθ. 5. 14.

ΠΡΟΚΟ-

(1) Τὰ αὐτὰ καὶ ἐν τῷ 6. ἐδ. τοῦ 2. κεφ. τοῦ Δευτερον. ὅθεν καὶ τοὔνομα τοῦ Ἀπολ. ἐλήφθη.

(2) Ἀντὶ τῶν ἑπομ. τάδε ἔχει ὁ τῆς Αὐγ. κώδ. μὴ τὸ γένος ἀρνεῖσθαι κἂν ἀδικῇ.

** ΠΡΟΚΟΠΙΟΥ. Τῷ πρεσβυτέρῳ τοῦ γένους παρέπεμψε τὴν διαδοχήν. τιμιώτερον γὰρ φύσει τὸ πρεσβύτερον, εἰ μή τι τὴν ἐκ φύσεως ἐμποδίζοι τιμήν, ὡς ἐπὶ τοῦ Ἡσαῦ καὶ τοῦ Μανασσῆ. ἐφ' ὧν καὶ οἱ τύποι τῶν λαῶν οἰκείως ὑποτυποῦνται. εἰ δὲ προαχθείη τὶ διὰ τὸ μέλλον ἔσεσθαι, ὡς ὁ κόσμος πρὸ ἀνθρώπου καὶ τὰ ἄλογα, οὐ προτιμότερα ταῦτα τῶν δι' ἃ γέγονε. φύσει γὰρ ταῦτα τιμιώτερα, εἰ καὶ δεύτερα. Καὶ μετ' ὀλίγα. Τῆς δὲ κατὰ γένος τιμῆς ἰσχυούσης ἐπὶ τοῦ σαρκικοῦ νόμου, ἡ κατὰ πνεῦμα ἐπὶ τῆς πνευματικῆς θεοσεβείας ἰσχύει, ὥσπερ γένους ὄντος τῆς ὁμοτροπίας, ὡς εἶναι τούτου τύπον ἐκεῖνο, καθὸ πατὴρ ἡμῶν Ἀβραὰμ πίστεως ὁμοιότητι. καὶ τοῦτο δικαιότερόν τε καὶ ἰσχυρότερον, ὡς καὶ ψυχῆς ὑγίεια, σωματικῆς τιμιώτερον.

ΣΕΥΗΡΟΥ. Ἵνα δείξῃ, ὅτι χρὴ τὸν ἀκολουθοῦντα, καὶ δεύτερον ἐπὶ τὴν ἀξίαν ἐρχόμενον, καὶ βίῳ καὶ λόγῳ τὸν προηγησάμενον αὐτὸν, ὥσπερ ὅλον ἐνδύσασθαι. καὶ τοῦτο δὲ ἔπαινος ἦν ἀληθὴς τοῦ προτετελευτηκότος τὸ ζῆν ἐν τοῖς ἔργοις τοῦ περιόντος, καὶ ὥσπερ διά τινος ἐμψύχου καὶ λογικῆς εἰκόνος ὁρᾶσθαι καὶ φαίνεσθαι. (1)

ΑΔΗΛΟΥ. Ἐν ὄρει τελευτᾶν καὶ τὸν Ἀαρὼν καὶ τὸν Μωϋσῆν προστάττει, καθὸ εἰς ὕψος ἦσαν ἀνηγμένοι τὰς ψυχάς.

κζ. Καὶ ἐποίησε Μωϋσῆς καθὰ συνέταξε Κύριος αὐτῷ, καὶ ἀνεβίβασεν αὐτοὺς εἰς Ὢρ τὸ ὄρος, ἐναντίον πάσης τῆς συναγωγῆς.

** ΙΩΣΗΠΟΥ. Ἐλθὼν εἰς χωρίον, ὃ μητρόπολιν αὐτῶν Ἄραβες νενομίκασι, πρότερον μὲν Ἄρκην λεγομένην, Πέτραν δὲ νῦν ὀνομαζομένην, ἐνταῦθα ὑψηλοῦ περιέχοντος ὄρους αὐτὸ, ἀναβὰς Ἀαρὼν ἐπ' αὐτὸ, Μωϋσέως αὐτῷ δεδηλωκότος ὅτι μέλλει τελευτᾶν, ἀποδύεται τὴν ἀρχιερατικὴν στολὴν, καὶ παραδοὺς αὐτὴν Ἐλεαζάρῳ τῷ παιδὶ, πρὸς ὃν διὰ τὴν ἡλικίαν ἡ ἀρ-

A χιερωσύνη παραγίνεται, θνήσκει, τοῦ πλήθους εἰς αὐτὸν ἀφορῶντος· τῷ μὲν αὐτῷ τελευτήσας ἔτει, ᾧ καὶ τὴν ἀδελφὴν ἀπέβαλε. βιοὺς δὲ ἔτη τὰ πάντα τρία πρὸς τοῖς εἴκοσι καὶ ἑκατόν. ἀποθνήσκει δὲ κατὰ σελήνην νουμηνίᾳ, μηνὸς ὄντος παρὰ μὲν Ἀθηναίοις Ἑκατομβαιῶνος καλουμένου, Λώου δὲ παρὰ Μακεδόσι, Σαββὰ δὲ παρ' Ἑβραίοις.

B κη. Καὶ ἐξέδυσε τὸν Ἀαρὼν τὰ ἱμάτια αὐτοῦ, καὶ ἐνέδυσεν αὐτὰ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ· καὶ ἀπέθανεν Ἀαρὼν ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους. καὶ κατέβη Μωϋσῆς καὶ Ἐλεάζαρ ἐκ τῆς κορυφῆς τοῦ ὄρους.

** ΠΡΟΚΟΠΙΟΥ. Στολὴ πνευματικὴ, τῆς σωματικῆς ἀφῃρημένης, ἁρμόζει ψυχῇ χωριζομένῃ τοῦ σώματος, καὶ τῶν ἐντεῦθεν ἐλαττωμάτων. διὸ καὶ ποθεῖ τὸ

Γ » οἰκητήριον ἐπενδύσασθαι τὸ ἐξ οὐρανοῦ, λυο- 2. Κορ. 5. 2.
» μένης τῆς ἐπιγείου σκηνῆς· οὐχ ὥσε γυμνὴ σώματος γενέσθαι, καθὰ τῷ Παύλῳ δοκεῖ, ἀλλὰ τοῦ βαροῦντος. διὸ καὶ στενάζομεν τῷ βάρει.

** ΤΟΥ ΑΥΤΟΥ. Κρίσεως καὶ ὁ χρόνος, κατὰ τὴν ἀξίαν ἐπαγομένου θανάτου πρώτῃ μὲν τῇ Μαριὰμ, δευτέρῳ δὲ τῷ Ἀαρὼν, τρίτῳ δὲ τῷ Μωϋσεῖ. ἐπειδὴ καὶ μακροημερία μισθὸς ἀρετῆς ἔκειτο κατὰ τὸν

Δ νόμον. πρώτη οὖν τελευτᾷ ἡ ἐπιτιμηθεῖσα μᾶλλον ἐφ' οἷς κατὰ Μωϋσέως ἐτόλμησε. γυναικὶ γὰρ μᾶλλον ἤπερ ἀνδρὶ τὸ σιωπᾶν τε καὶ μετριάζειν προσήκει. ἐλάττων δὲ προδήλως τοῦ Μωϋσέως ὁ Ἀαρών.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἐμφανὴς δὲ ἡ τελευτὴ τοῦ ἱερέως, ἵνα γνῷς ὅτι Κύριος ζωῆς καὶ θανάτου ὁ Θεός.

κθ. Καὶ εἶδε πᾶσα ἡ συναγωγὴ

E ὅτι ἀπελύθη Ἀαρὼν, καὶ ἔκλαυσαν τὸν Ἀαρὼν τριάκοντα ἡμέρας πᾶς οἶκος Ἰσραήλ.

Κ Ε Φ. Κ Α.

α. Καὶ ἤκουσεν ὁ Χανάνις βασιλεὺς Ἀρὰδ ὁ κατοικῶν κατὰ τὴν ἔρημον, ὅτι ἦλθεν Ἰσραὴλ ὁδὸν Ἀθαρεὶμ, καὶ ἐπολέμησαν πρὸς Ἰσραὴλ, καὶ κατεπρονόμευσαν ἐξ αὐτῶν αἰχμαλωσίαν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Βασιλεύς δέ τις τῆς ὁμοχώρου, Χανάνης ὄνομα, τῶν σκοπῶν ἀπαγγειλάντων τὸν ὁδοιποροῦντα στρατὸν οὐ μακρὰν πάνυ ἀφεστηκότα, νομίσας ἀσυντακτόν τε εἶναι, καὶ ῥᾳδίως, εἰ προεπιθοιντο, νικήσειν, ἄρας μετὰ τῆς οἰκείας νεότητος εὐοπλούσης, ἐπεξέθει· καὶ τοὺς πρώτους ὑπαντιάσαντας, ἅτε μὴ πα-

Z ρεσκευασμένους εἰς μάχην, τρέπεται· καὶ λαβὼν αἰχμαλώτους, ἐπὶ τῷ παρ' ἐλπίδα εὐημερήματι φυσηθεὶς, πρόεισι. καὶ τοὺς ἄλλους ἅπαντας χειρώσασθαι νομίζων.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἤκουσεν ὁ Χα-
» ναναῖος βασιλεὺς Ἀράδ. Πῶς ὁ τῇ κατὰ Θεὸν ἐναντιούμενος πορείᾳ καὶ πολεμεῖ καὶ νικᾷ; Ὅτι διὰ πόνων αἱ κατορθώσεις· καὶ πρὸς Θεὸν ἐπιστρέφει τὸ πάσχειν κακῶς.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Πολλάκις γὰρ καὶ ἐκ πόνων αἱ κατορθώσεις, καὶ οὐκ ἄνευ ἀγῶνος.

H β. Καὶ ηὔξατο Ἰσραὴλ εὐχὴν τῷ Κυρίῳ, καὶ εἶπεν, ἐάν μοι παραδῷς τὸν λαὸν τοῦτον ὑποχείριον, ἀναθεματιῶ

(1) Καὶ φθέγγεσθαι. ὁ Ἀλεξάν. κώδ.

ματιῶ αὐτὸν καὶ τὰς πόλεις αὐτοῦ.

γ. Καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς Ἰσραὴλ, καὶ παρέδωκε τὸν Χανάνιν ὑποχείριον αὐτῷ, καὶ ἀνεθεμάτισεν αὐτὸν καὶ τὰς πόλεις αὐτοῦ. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, ἀνάθεμα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἠύξαντο τῆς χώρας ἀπαρχὰς ἀναθήσειν τῷ Θεῷ τὰς πόλεις τοῦ βασιλέως, καὶ τοὺς ἐν ἑκάστῃ πολίτας· ὁ δὲ ἐπινεύει ταῖς εὐχαῖς, καὶ θάρσος ἐμπνεύσας Ἑβραίοις, τὴν τῶν ἀντιπάλων στρατιὰν ἁλῶναι παρεσκεύασεν· οἱ δ' ἀνακράτος ἑλόντες, τὰς χαριστηρίους ὁμολογίας ἐπετέλουν, οὐδὲν ἐκ τῆς λείας νοσφισάμενοι· τὰς δὲ πόλεις αὐτοῖς ἀνδράσι καὶ κειμηλίοις ἀνιερώσαντες, ἀπὸ τοῦ συμβεβηκότος ὅλην τὴν βασιλείαν ὠνόμασαν Ἀνάθημα. καθάπερ γὰρ εἷς ἕκαστος τῶν εὐσεβούντων ἀπὸ τῶν ἐτησίων ἀπάρχεται καρπῶν, οὓς ἂν ἐκ τῶν ἰδίων συγκομίζηται κλημάτων· τὸν αὐτὸν τρόπον καὶ ὅλον τὸ ἔθνος μεγάλης χώρας, εἰς ἣν μετανίστατο, μέγα τμῆμα τὴν εὐθὺς αἱρεθεῖσαν βασιλείαν ἀνέθηκεν, ἀπαρχήν τινα τῆς ἀποικίας. οὐ γὰρ ἐνόμισεν ὅσιον εἶναι διανείμασθαι γῆν, ἢ πόλεις κατοικῆσαι, πρὶν καὶ τῆς χώρας καὶ τῶν πόλεων ἀπάρξασθαι.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐξ ὧν ἔπαθεν, ἐγήγερται πρὸς τὴν τῶν βλαψάντων τιμωρίαν. ταύτην δὲ παρὰ Θεοῦ ἐξαιτεῖ· οὐδὲν δὲ κερδαίνειν ἀπὸ τῆς νίκης βούλεται, ἀλλ' ἀφιεροῦν Θεῷ τὰ ἐκ τοῦ πολέμου.

ΤΟΥ ΑΥΤΟΥ. Ἀνατίθενται τῇ τοῦ Θεοῦ κρίσει τὰ δι' ἐπικουρίας ληφθέντα· καὶ τὸ ὂν τὴν ἀφιέρωσιν ἀείμνηστον ποιεῖ.

δ. Καὶ ἐπάραντες ἐξ Ὢρ τοῦ ὄρους ὁδὸν ἐπὶ θάλασσαν ἐρυθρὰν, περιεκύκλωσαν τὴν γῆν Ἐδώμ. καὶ ὠλιγοψύχησεν ὁ λαὸς ἐν τῇ ὁδῷ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οἱ πρότερον ἐπ' ἀγαθοῖς βαδίζοντες, διὰ τὴν ἀπείθειαν ἐν πόνοις εἰσὶν, ἐφ' οἷς ὀλιγοψυχοῦσι.

ε. Καὶ κατελάλει ὁ λαὸς πρὸς τὸν Θεὸν καὶ κατὰ Μωϋσῆ, λέγοντες, ἵνα τί ἐξήγαγες ἡμᾶς ἐξ Αἰγύπτου ἀποκτεῖναι ἡμᾶς ἐν τῇ ἐρήμῳ; ὅτι οὐκ ἔστιν ἄρτος, οὐδὲ ὕδωρ· ἡ δὲ ψυχὴ ἡμῶν προσώχθισε τῷ ἄρτῳ τούτῳ τῷ διακένῳ.

Προσώχθησεν. Ἀκύλας, σιγχαίνει. (1) Σύμμαχος, ἐνεκάκισε.

* ΚΥΡΙΛΛΟΥ. Διάκενον καλοῦσιν ἄρτον τὸν ἐξ οὐρανοῦ.

A ΑΠΟΛΙΝΑΡΙΟΥ. Φιλόσαρκος ὁ τρόπος, καταπίπτων ἐπὶ τὴν τῶν σαρκῶν ἐπιθυμίαν, καὶ τὴν καλλίονα τροφὴν αἰτιώμενος.

ΤΟΥ ΑΥΤΟΥ. Τοῦτο ἐπιτείνει τὴν τιμωρίαν. ἀγαθὸν γὰρ τῷ παιδευομένῳ τὸ σιωπῆσαι παρ' ἑαυτὸν οὖσαν αἰτίαν, καὶ μὴ Θεῷ καταμέμφεσθαι, παρ' οὗ τὸ ἀγαθὸν καὶ κακὸν οὐδέν. (2)

B ϛ. Καὶ ἀπέστειλε Κύριος εἰς τὸν λαὸν τοὺς ὄφεις τοὺς θανατοῦντας, καὶ ἔδακνον τὸν λαὸν, καὶ ἀπέθανε λαὸς πολὺς τῶν υἱῶν Ἰσραήλ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τιμωρία δὲ δικαίως ἐπὶ τούτοις ὄφεις ἐπαποστέλλονται θανατοῦντες, καὶ ἡ φθορὰ πολλή. τοιοῦτον καὶ τοῦ Ἀδὰμ ἐξ ἀρχῆς τὸ πάθος, καταπεσόντος μὲν ἐπὶ τὴν τῶν μικρῶν ἐπιθυμίαν,
Γ καὶ τὴν περὶ ταῦτα μέριμναν ἀπὸ τῆς πρὸς Θεὸν ὁμιλίας ἀπερισπάστου, κατενεχθέντος δὲ εἰς θάνατον τῇ τοῦ ὄφεως συμβουλῇ. ὥστε καὶ δῆγμα τοῦ ὄφεως εἰκότως ἂν ὁ ἐπελθὼν θάνατος τῷ Ἀδὰμ λέγοιτο.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ποικίλον οὖσα ἡδονὴ, ποικίλῳ ζώῳ παρεβλήθη. διὰ τοῦτο καὶ τὸ λαῶδες καὶ ὀχλῶδες ἔχον ἐν ἡμῖν μέρος, ὅτε τῶν ἐν Αἰγύπτῳ. τουτέστι τῷ σωματικῷ οἴκῳ, οἰκιῶν ἐφίεται, περιπίπτει θάνατον ἐπαγούσαις, οὐ χωρισμὸν ψυχῆς
Δ ἀπὸ σώματος, ἀλλὰ ψυχῆς ὑπὸ κακίας
» φθοράν. Φησὶ γὰρ, καὶ ἀπέστειλε Κύριος
» εἰς τὸν λαὸν τοὺς ὄφεις τοὺς θανατοῦντας,
» καὶ ἔδακνον τὸν λαὸν, καὶ ἀπέθνησκε λαὸς
» πολὺς τῶν υἱῶν Ἰσραήλ. ὄντως γὰρ οὐδὲν οὕτω θάνατον ἐπάγει ψυχῇ, ὡς ἀμετρία τῶν ἡδονῶν. τὸ δὲ ἀποθνῆσκον, οὐ τὸ ἄρχον ἐστὶν ἐν ἡμῖν, ἀλλὰ τὸ ἀρχόμενον, τὸ λαῶδες.

E ζ. Καὶ παραγενόμενος ὁ λαὸς πρὸς Μωϋσῆν, ἔλεγεν, ὅτι ἡμαρτήσαμεν, ὅτι κατελαλήσαμεν κατὰ τοῦ Κυρίου, καὶ κατὰ σοῦ. εὖξαι οὖν πρὸς Κύριον, καὶ ἀφελέτω ἀφ' ἡμῶν τὸν ὄφιν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὐχ ὅτι κατελαλήσαμεν, ἡμάρτομεν· ἀλλ' ὅτι ἡμάρτομεν, κατελαλήσαμεν. ὅταν γὰρ ἁμάρτῃ καὶ ἀπαρτηθῇ ὁ νοῦς ἀρετῆς, αἰτιᾶται τὰ
Z θεῖα, τὴν ἰδίαν τροπὴν προσάπτων Θεῷ.

ΑΔΗΛΟΥ. Ὃν ᾐτιῶντο, τοῦτον προβάλλονται πρεσβευτὴν, καλλίους γενόμενοι μετὰ τὸ πάθος.

η. Καὶ ηὔξατο Μωϋσῆς πρὸς Κύριον περὶ τοῦ λαοῦ. καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, ποίησον σεαυτῷ ὄφιν, καὶ θὲς αὐτὸν ἐπὶ σημείου, καὶ ἔσται

ἐὰν

(1) Σικχαίνει. ὀρθῶς, καὶ ἐνεκάκησεν. ἐν ταῖς σημειώσ. ταῖς εἰς τὴν Γραφ. τὴν ἐν Φραν. ἐκδοθ.

(2) Ἀγαθὸν καὶ κακὸν, οὐ τὸ προαιρετὸν πάντως φησὶ, τουτέστι τὴν ἀρετὴν καὶ κακίαν· εἰ μὲν γὰρ ταῦτα οὐδὲν ἦν, οὐδὲ τοὺς ἀγαθοὺς ὁ Θεὸς ἐδόξαζεν ἂν, οὐδὲ τοὺς κακοὺς ἐκόλαζεν· ἀλλὰ τὸ κατὰ φύσιν καὶ συμβεβηκὸς, οἷον ζωὴν καὶ θάνατον, ὑγείαν καὶ νόσον, πλοῦτον καὶ πενίαν, καὶ τὰ παραπλήσια. ἅπερ οὐδὲν εἰκότως παρὰ τῷ Θεῷ, εἴ γε δὴ καὶ ὁ Ἀπόστολος σκύβαλα τὰ πάντα ἡγεῖτο.

ἐὰν δάκῃ ὄφις ἄνθρωπον, πᾶς ὁ δεδηγμένος ἰδὼν αὐτὸν ζήσεται.

** ΣΕΥΗΡΙΑΝΟΥ. Εἰ ἄπορόν σοι νομίζεται ἀπὸ τοῦ ἐπικαταράτου εὐλογίαν πηγάσαι· Δεύτ. 21. 23. » ἐπικατάρατος γὰρ πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· πῶς ἡ εἰκὼν τοῦ ὄφεως τοῦ ἐπικαταράτου, ὃς ἤκουσεν, Γεν. 3. 14. » ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων, ἤνεγκε τῷ λαῷ ἐν συμφορᾷ κειμένῳ τὴν σωτηρίαν; ἆρα οὐκ ἦν ἀξιοπιστότερον εἰπεῖν, ἐάν τις ὑμῶν δηχθῇ, ἀναβλέψῃ εἰς τὸν οὐρανὸν ἄνω ἐπὶ τὸν Θεὸν, καὶ σωθήσεται; ἵνα δὲ καὶ τὸ προσέχειν οὐρανῷ παραλείπῃ, οὐκ ἠδύνατο εἰπεῖν, ἐάν τις δηχθῇ, ἀποβλέψῃ εἰς τὴν λυχνίαν τοῦ φωτὸς, καὶ σωθήσεται; ἢ ἀποβλέψῃ εἰς τὴν τράπεζαν τῆς προθέσεως τῶν ἁγίων ἄρτων, καὶ σωθήσεται; ἢ εἰς τὸ θυσιαστήριον, ἢ εἰς τὸ καταπέτασμα, ἢ εἰς τὴν κιβωτὸν, ἢ εἰς τὴν εἰκόνα τῶν Χερουβὶμ, ἢ εἰς τὸ ἱλαστήριον; ἀλλ' οὐδὲν τούτων εἰσήγαγεν ὁ νομοθέτης ὁ μέγας, ἀλλὰ μόνην ἔπηξε τοῦ σταυροῦ τὴν εἰκόνα, καὶ ταύτην διὰ τοῦ ἐπικαταράτου ὄφεως.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Πῶς γίνεται ἴασις τοῦ πάθους; Ὅταν ἕτερος ὄφις κατασκευασθῇ, τῷ τῆς Εὔας ἐναντίος, ὁ σωφροσύνης λόγος· ἡδονὴ γὰρ ἐναντίον σωφροσύνης· ποικίλῳ πάθει, ποικίλη ἀρετὴ καὶ ἀμυνομένη πολεμίαν ἡδονήν. τὸν κατὰ σωφροσύνην οὖν ὄφιν κελεύει ὁ Θεὸς Μωσεῖ κατασκευάσασθαι, καί φησι· » ποίησον σεαυτῷ ὄφιν. καὶ θὲς αὐτὸν ἐπὶ σημείου. ὁρᾷς, ὅτι οὐκ ἄλλῳ τινὶ κατασκευάζεται τοῦτον ὁ Μωϋσῆς τὸν ὄφιν, ἢ ἑαυτῷ. » προσάττει γὰρ ὁ Θεὸς, ποίησον σεαυτῷ· ἵνα γνῷς, ὅτι οὐ παντός ἐστι κτῆμα σωφροσύνη, ἀλλὰ μόνου τοῦ θεοφιλοῦς.

θ. Καὶ ἐποίησε Μωϋσῆς ὄφιν χαλκοῦν, καὶ ἔστησεν αὐτὸν ἐπὶ σημείου. καὶ ἐγένετο ὅταν ἔδακεν ὄφις ἄνθρωπον, καὶ ἐπέβλεψεν ἐπὶ τὸν ὄφιν τὸν χαλκοῦν, καὶ ἔζη.

** ΣΕΥΗΡΙΑΝΟΥ. Ὦ πιστότατε τοῦ Θεοῦ θεράπων, ὃ ἀπαγορεύεις ποιεῖς; ὃ ἀνατρέπεις, παρασκευάζεις; ὁ λέγων, Λευϊτ. 26. 1. οὐ ποιήσεις γλυπτὸν, οὐδὲ χωνευτὸν, σὺ χωνεύεις καὶ γλύφεις ὄφιν; ἀλλ' ἐκεῖνα μὲν ἐνομοθέτησα, φησὶν, ἵνα τὰς ὕλας ἐκκόψω τῆς ἀσεβείας, καὶ τὸν λαὸν τοῦτον ἀπαγάγω πάσης εἰδωλολατρείας· νυνὶ δὲ χωνεύω τὸν ὄφιν, ἵνα προτυπώσω τὴν εἰκόνα τῆς τοῦ σταυροῦ οἰκονομίας. προομαλίζω τὸν δρόμον τοῖς Ἀποστόλοις, προγυμνάζω τὸ μέγα καὶ ξένον ἐκεῖνο, τὸ τοῦ σταυροῦ σύμβολον.

** ΤΟΥ ΑΥΤΟΥ. Εἰκὼν ἦν τῆς τοῦ σταυροῦ οἰκονομίας ὁ τύπος. κατὰ δὲ τὸν τρόπον, ὥσπερ ἐκεῖνος ὁ τύπος εἰκόνα μὲν καὶ ὄψιν εἶχεν ὄφεως, ἰὸν δὲ καὶ πονηρίαν οὐκ εἶχεν ὄφεως· οὕτω καὶ ὁ Σωτὴρ, κατὰ Ρωμ. 8. 3. » τὸν θεῖον Ἀπόστολον, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας ἐπιφανεὶς, ἔξω γέγονε πάσης ἁμαρτίας. Καὶ μετ' ὀλίγα. Ἄλλοι οἱ δάκνοντες

A ὄφεις, καὶ ἄλλος ὑπὲρ αὐτῶν σταυρούμενος. τί βούλεται τὸ αἴνιγμα; τί ἐπαγγέλλεται ἡ σκιὰ τοῦ μυστηρίου; Ὥσπερ ἐκεῖ, φησὶν, ὁ τύπος, ἄλλων δακνόντων ὄφεων, ὁ μὴ δάκνων μηδὲ πλήξας προσηλοῦται τῷ ξύλῳ· οὕτω καὶ τῶν ἄλλων ἀνθρώπων ἁμαρτανόντων, ὑπὲρ πάντων μέλλει πάσχειν ὁ Ἰησοῦς ὁ ἀναμάρτητος. ὑπὲρ τῶν δακνόντων ὄφεων, ὄφις ἀναμάρτητος σταυροῦται· ὑπὲρ ἡμῶν τῶν ὑποκειμένων θανάτῳ, ὁ ἁμαρτίᾳ μὴ ὑποκείμενος προσηλοῦται. B Καὶ μετ' ὀλίγα. Διὰ τί σταυροῦται χαλκοῦς ὄφις; Ἵνα καταργηθῇ τὰ δήγματα τῶν ὄφεων. ἄλλο οὖν τὸ σταυρούμενον, καὶ ἄλλα τὰ καταργούμενα. οὐχ ὁρᾷς τὴν ἔμφασιν τῆς ἀληθείας; οὐ βλέπεις ὡς ἐν κρυπτῷ γράμματι τὴν δύναμιν τῆς οἰκονομίας; ἐσταυρώθη φησὶν ὄφις, ἵνα καταργηθῇ τῶν δρακόντων τὰ δήγματα· ἐσταυρώθη Χριστὸς, ἵνα καταργηθῶσι τῶν δαιμόνων αἱ ἐνέργειαι. ἄλλος ὁ ὄφις ὁ πηΓ γνύμενος, καὶ ἄλλοι οἱ καταργούμενοι δράκοντες· ἄλλος ὁ ἐπὶ σταυροῦ Χριστὸς, καὶ ἄλλοι οἱ καταργούμενοι δαίμονες. καὶ ὥσπερ ἐκεῖ ἡ εἰκὼν τοῦ ὄφεως τοῦ φαινομένου κατήργησε τὰ δήγματα τῶν ὄφεων· οὕτω καὶ ἐνταῦθα ἡ τοῦ Χριστοῦ νέκρωσις, τοῦ θανάτου γέγονε νέκρωσις, καὶ τῶν δαιμόνων καθαίρεσις. εἰκότως οὖν ὁ Χριστὸς τὴν εἰκόνα » πρὸς ἑαυτὸν ἁρμόζων ἔλεγε· καὶ καθὼς Ἰωάν. 3. 14, 15. » Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτω Δ » δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου· ἵνα » πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, » ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ὁ χαλκοῦς ὄφις κρεμᾶται [μὲν] κατὰ τῶν δακνόντων ὄφεων, [οὐχ ὡς τύπος δὲ τοῦ ὑπὲρ ἡμῶν παθόντος, ἀλλ' ὡς ἀντίτυπος· καὶ σώζει τοὺς εἰς αὐτὸν ὁρῶντας, οὐχ ὅτι ζῇ πιστευόμενος, ἀλλ' ὅτι νενέκρωται, καὶ συννεκροῖ τὰς ὑπ' αὐτῷ δυνάμεις, καταE λυθεὶς ὥσπερ ἦν ἄξιος.]

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε διὰ τοῦ χαλκοῦ ὄφεως θεραπεύεσθαι προσέταξεν ὁ Θεὸς τὰ τῶν ὄφεων δήγματα; Προτυποῖ καὶ τοῦτο τὸ σωτήριον πάθος. διὰ γὰρ τοῦ ὄφεως ἡ ἁμαρτία ἐβλάστησεν. ὅθεν καὶ τὴν κατάραν παρὰ τοῦ Θεοῦ τῶν ὅλων ἐδέξατο. τύπος τοίνυν καὶ τῆς ἁμαρτίας καὶ τῆς κατάρας ὁ ὄφις. ἐπειδὴ τοίνυν ὁ δεσπότης » Χριστὸς, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, Ρωμ. 8. 3. Z » ἡ φησὶν ὁ θεῖος Ἀπόστολος, ἐπεφάνη· σῶμα μὲν γὰρ ἀληθῶς ἔλαβεν, ἁμαρτίαν δὲ Ησ. 53. 9. » οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· προτυποῦται τὸ σωτήριον πάθος ἐν τῷ ὄφει τῷ χαλκῷ. ὥσπερ γὰρ ὁ χαλκοῦς ὄφις ἴνδαλμα μὲν τῶν ὄφεων ἦν, οὐκ εἶχε δὲ τῶν ὄφεων τὸν ἰόν· οὕτως ὁ μονογενὴς υἱὸς, σῶμα μὲν εἶχεν ἀνθρώπειον, κηλίδα δὲ ἁμαρτημάτων οὐκ εἶχε. καὶ καθάπερ οἱ ὑπὸ τῶν ὄφεων δακνόμενοι, τὸν χαλκοῦν H ἀποβλέποντες ὄφιν σωτηρίας ἀπήλαυον· οὕτως οἱ ὑπὸ τῆς ἁμαρτίας πληττόμενοι, τῷ πάθει τοῦ Σωτῆρος ἡμῶν ἀνενδοιάστως πιστεύοντες, κρείττους ἀποφαίνονται τοῦ θανάτου, καὶ τῆς αἰωνίου ζωῆς ἀπολαύουσι.

ΚΥΡΙΛΛΟΥ. Ὄφιν εἰργάζετο χαλκοῦν ὁ Μωϋσῆς, ὑψοῦ τε ἐτίθει, καὶ τοῖς πληττομένοις ἐκέλευσεν ἀτενίζειν εἰς αὐτόν. ὃ δὴ καὶ δρῶντες ἐσώζοντο. οὐκοῦν φέρε λέγωμεν, ὡς ἐκ τύπου πάλιν ἐπὶ τὸ καθόλου μεταπλάττοντες τὸ διήγημα. προσκεκρούκαμεν γὰρ καὶ ἡμεῖς τῷ δημιουργῷ. ταύτῃ τοι πεπλώκαμεν ὑπὸ τὰ τῶν ὄφεων δήγματα τῶν νοητῶν. οἳ διὰ πάσης ἡμᾶς πλήττοντες ἁμαρτίας, τοῖς τοῦ θανάτου δεσμοῖς ὑποφέρουσιν. ἐξάρχει δὲ ὥσπερ τῆς τῶν ἰοβόλων θηρίων πληθύος ὁ δράκων ὁ ἀποστάτης, τουτέστιν ὁ Σατανᾶς· οὗ τοῖς δήγμασι διόλωλεν ὁ Ἀδάμ· ἕρπει δὲ λοιπὸν καὶ εἰς ἡμᾶς καθάπερ ἐκ ῥίζης τὸ κακόν. σεσώσμεθα δέ τινα τρόπον. τεθεάμεθα γὰρ καὶ ἡμεῖς τὸν ὄφιν, τουτέστι Χριστόν. πῶς οὖν ὄφις, ὁ ἀγαθὸς κατὰ φύσιν ὡς Θεός; ὅτι γέγονε καθ' ἡμᾶς ὁ ἀγαθὸς, τοὺς ἐκ προαιρέσεως πονηρούς, γέγονεν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας· καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη. ὅτι δὲ ἡμεῖς πονηροὶ γεγονότες μὲν οὐχ οὕτω παρὰ Θεοῦ, κατερρυηκότες δὲ εἰς τοῦτο διὰ τῆς ἁμαρτίας, διατρανεῖ λέγων αὐτὸς ὁ Χριστός· εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν. ὄφις δὴ οὖν πονηρὸς, (1) ὡς ἐν ὁμοιώματι πονηρίας, ὅτι γέγονεν ἄνθρωπος.

ΤΟΥ ΑΥΤΟΥ. Ὄφις δὴ οὖν ὁ Χριστὸς, ὅτι γέγονε καθ' ἡμᾶς ἄνθρωπος, ἐν ὁμοιώματι σαρκὸς, πλὴν ἁμαρτίας· ἀλλ' εἴ τις αὐτὸν θεάσαιτο νοητῶς, ἀμείνων ἔσται φθορᾶς, καὶ ὑπεραλεῖται θανάτου, καὶ ἀλογήσει δηγμάτων.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐπὶ σημείου γε μὴν ὁ ὄφις. ὑψώθη γὰρ ὁ Χριστὸς ἐπὶ τοῦ τιμίου σταυροῦ. καὶ τοῦτο αὐτὸς Ἰουδαίοις προσεφώνει λέγων· ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι. ὅτι δὲ ὁ τύπος εἰς τὸ αὐτοῦ βλέπει μυστήριον, ἀναμάθοις, αὐτοῦ λέγοντος ἐναργῶς· ὥσπερ γὰρ ὁ Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου. χαλκοῦς δὲ ὁ ὄφις ἦν, διὰ τὸ εὐηχές τε καὶ εὐφωνότατον τοῦ θείου τε καὶ εὐαγγελικοῦ κηρύγματος.

** ΤΟΥ ΝΥΣΣΗΣ. Θείᾳ συμβουλῇ παρορμηθεὶς ὁ νομοθέτης, χαλκὸν ἐν ὁμοιώματι ὄφεως χέας, ὑπερφαίνεσθαι τοῦ στρατοπέδου παντὸς, ἐπί τινος ὕψους, ἐποίησε. καὶ οὕτως ἔστησεν ἐν τῷ λαῷ τὴν ἐκ τῶν θηρίων φθοράν. ὁ γὰρ πρὸς τὴν εἰκόνα τοῦ ὄφεως τὴν ἐν τῷ χαλκῷ βλέπων, οὐδὲν δεδοίκει τοῦ ὄντως ὄφεως τοῦ ἀληθινοῦ τὸ δῆγμα, ἐξ ἀντιπαθείας τινὸς ἀποῤῥήτου, τῆς ὄψεως τὸν ἰὸν ἀμβλυνούσης.

ΤΟΥ ΑΥΤΟΥ. [Ὁ μέγας νομοθέτης ὄφεως εἴδει τὴν δύναμιν τῶν κατ' ἀλήθειαν A θηρίων ἠχρείωσε. καιρὸς δ' ἂν εἴη, σαφέστερον ἐκκαλύψαι τὸ αἴνιγμα. ἔν τι τῶν πονηρῶν τούτων παθημάτων ἐστὶν ἀλεξητήριον ἡ διὰ τοῦ μυστηρίου τῆς εὐσεβείας γινομένη τῶν ψυχῶν ἡμῶν κάθαρσις.] κεφάλαιον δὲ τῶν ἐν τῷ μυστηρίῳ πεπιστευμένων, ἡ εἰς τὸ πάθος πίστις (2) ἐστὶ τοῦ ὑπὲρ ἡμῶν ἀναδεξαμένου τὸ πάθος. σταυρὸς δὲ τὸ πάθος ἐστίν. ὡς τὸν πρὸς αὐτὸν βλέποντα, καθὼς ὑφηγεῖται ὁ λόγος, ὑπὸ τοῦ ἰοῦ τῆς ἐπιθυ- B μίας μὴ βλάπτεσθαι. τὸ δὲ πρὸς τὸν σταυρὸν βλέπειν, ἐστὶ τὸ πάντα τὸν ἑαυτοῦ βίον ὡς νεκρὸν τῷ κόσμῳ καὶ ἐσταυρωμένον ποιῆσαι, καὶ πρὸς πᾶσαν ἁμαρτίαν ἀκίνητον. (3)

ΤΟΥ ΑΥΤΟΥ. Τὸ ἐπὶ ξύλου φαινόμενον ὁμοίωμα μὲν ὄφεως, καὶ οὐκ ὄφις ἐστίν· ὁ δὲ ἀληθινὸς ὄφις, ἡ ἁμαρτία ἐστί· καὶ ὁ πρὸς τὴν ἁμαρτίαν αὐτομολήσας, τὴν τοῦ ὄφεως ὑποδύεται φύσιν. ἐλευθεροῦται οὖν τῆς ἁμαρτίας ὁ ἄνθρωπος, διὰ τοῦ ὑπελ- Γ θόντος τὸ τῆς ἁμαρτίας εἶδος, καὶ γενομένου καθ' ἡμᾶς τοὺς πρὸς τὸ εἶδος μεταστραφέντας τοῦ ὄφεως· δι' οὗ ὁ μὲν θάνατος ὁ ἐκ τῶν δηγμάτων κωλύεται· τὰ δὲ θηρία, ἤτοι αἱ ἐπιθυμίαι, οὐκ ἀφανίζονται. τῶν γὰρ εἰς τὸν σταυρὸν βλεπόντων, ὁ μὲν πονηρὸς τῶν ἁμαρτωλῶν θάνατος οὐκ ἐνεργεῖται· ἡ δὲ ἐγκειμένη τῆς σαρκὸς ἐπιθυμία κατὰ τοῦ πνεύματος, εἰς τὸ παντελὲς οὐκ ἀπόλωλε. καὶ γὰρ (4) ὁ καθ' ἡμᾶς πιστὸς τὸν ἐπὶ ξύ- Δ λου ὑψωθέντα βλέπων, ἀπωθεῖται τὸ τῆς ἐπιθυμίας πάθος, οἱονεί τινι φαρμάκῳ τῷ τῆς ἐντολῆς φόβῳ τὸν ἰὸν διαχέων.

ΕΚ ΤΗΣ ΠΑΝΑΡΕΤΟΥ. (5) Ὁ γὰρ ἐπιστραφεὶς, οὐ διὰ τὸ θεωρούμενον ἐσώζετο, ἀλλὰ διὰ σὲ τὸν πάντων Σωτῆρα.

ΑΔΗΛΟΥ. Ἐπειδὴ παιδευτικῶς ἔπασχον, ἀνυομένης τῆς παιδεύσεως, ἡ ἐπικουρία ταχεῖα.

E ι. Καὶ ἀπῆραν οἱ υἱοὶ Ἰσραὴλ, καὶ
ια. παρενέβαλον ἐν Ὠβώθ. Καὶ ἐξάραντες ἐξ Ὠβὼθ, παρενέβαλον ἐν Ἀχαλγαῒ τῷ πέραν ἐν τῇ ἐρήμῳ, ἥ ἐστι κατὰ πρόσωπον Μωὰβ, κατὰ
ιβ. ἀνατολὰς ἡλίου. Καὶ ἐκεῖθεν ἀπῆραν, καὶ παρενέβαλον εἰς φάραγγα Ζαρέδ.
ιγ. Καὶ ἐκεῖθεν παρενέβαλον εἰς τὸ πέραν Ἀρνῶν ἐν τῇ ἐρήμῳ, τὸ ἐξέχον
Z ἀπὸ τῶν ὁρίων τῶν Ἀμοῤῥαίων· ἔστι γὰρ Ἀρνῶν ὅρια Μωὰβ, ἀπὸ ἀναμέσον Μωὰβ καὶ ἀναμέσον Ἀμοῤῥαίων.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τούτοις ἐπάγει τὴν πορείαν ἄχρι τῆς Ἀμοῤῥαίας γῆς. οὐδὲν γὰρ τῶν κατὰ Θεὸν γινομένων ἀμελῶς ἱστορεῖσθαι (6) δεῖ. κατὰ Θεὸν δὲ ἦν ἡ πορεία, ὥσπερ καὶ ἡ τῶν Ἀποστόλων.

ιδ. Διὰ

(1) Ὄφις δὴ οὖν ὁ Χριστός. ἐν Τόμ. 1. μέρ. 1. σελ. 409.
(2) Ἡ εἰς τὸ πάθος ἀπόβλεψις. ἐν τῇ θεωρ. εἰς τὸν τοῦ Μωϋσ. βίον. (3) Ἀνίκητον. αὐτ.
(4) Καὶ γὰρ καὶ ἐν τοῖς πιστοῖς ἐνεργεῖται πολλάκις τῆς ἐπιθυμίας τὰ δήγματα· ἀλλ' ὁ πρὸς τὸν ἐπὶ ξύλου, κτ. αὐτ. (5) Ὅρα τὰ περὶ τῶν ὑπομνηματιστῶν τὰ ἐν τῇ ἀρχῇ τῆσδε τῆς βίβλου.
(6) Ἱστορεῖσθαι. ὁ Ἀλεξάν. κώδ.

ιδ. Διὰ τοῦτο λέγεται ἐν βιβλίῳ, πόλεμος τοῦ Κυρίου τὴν Ζωὸβ ἐφλόγισε, καὶ τοὺς χειμάῤῥους Ἀρνῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Σημειωτέον, ὅτι καὶ ἐν τοῖς χρόνοις Μωϋσέως ἦσαν καὶ ἄλλαι βίβλοι; αἱ νῦν εἰσὶν ἀπόκρυφοι. ὡς δηλοῖ καὶ ἡ τοῦ Ἰούδα ἐπιστολή· ὅπου διδάσκει καὶ περὶ τοῦ Μωϋσέως σώματος, καὶ ἔνθα μέ-
Ἰοὐδ. 14. » μνηται ὡς ἐκ παλαιᾶς Γραφῆς, ἰδοὺ Κύριος ἦξει, καὶ τὰ ἑξῆς.

ΤΟΥ ΑΥΤΟΥ. Σημαίνει καὶ ἀπογραφὴν τῶν πολέμων ἐν βιβλίοις τότε γινομένην ἀκριβῆ. Κυρίου δὲ οἱ πόλεμοι λέγονται, δι᾽ ὧν ἐξαιρεῖται τὰ ἀσεβῆ γένη, ὅτι Θεοῦ κρίσεως τοῦτο.

ιε. Καὶ τοὺς χειμάῤῥους κατέστησε κατοικῆσαι Ἢρ· καὶ πρόσκειται τοῖς ὁρίοις Μωάβ.

ις. Καὶ ἐκεῖθεν τὸ φρέαρ· τοῦτό ἐστι τὸ φρέαρ, ὃ εἶπε Κύριος πρὸς Μωϋσῆν, συνάγαγε τὸν λαὸν, καὶ δώσω αὐτοῖς ὕδωρ πιεῖν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐντεῦθεν ὡς ἀπῆραν ἐπὶ τὸ φρέαρ, οὗ τὸ ὕδωρ ἔβλυσε κατ᾽ ἐπαγγελίαν Θεοῦ.

ΑΔΗΛΟΥ. Τετράκις φαίνονται γογγύσαντες ἐν ὕδατι. ἅπαξ, ἐλθόντες εἰς Μεῤῥάν· δεύτερον ἐν Ῥαφιδίν· ἀμφότερα ἐν τῇ Ἐξόδῳ· (1) τρίτον ἐν τῇ ἐρήμῳ Σιναῒ ἐν Κάδης· (2) τέταρτον ἐπὶ τοῦ παρόντος φρέατος. κεῖται ἀμφότερα ἐν τοῖς Ἀριθμοῖς.

∗ ΠΡΟΚΟΠΙΟΥ. Ὅτε ἐγόγγυσαν ἀπάραντες ἐξ Ὢρ τοῦ ὄρους περικυκλώσαντες τὴν γῆν Ἐδὼμ ἐν τῷ πρὸ τούτου κεφαλαίῳ. (3) ὡς τετράκις (4) φαίνονται γογγύσαντες ἐφ᾽ ὕδατι ἐν πάσῃ τῇ ὁδῷ· ἅπαξ, εἰς Μεῤῥὰν, ὡς ἐν τῷ εἰκοστῷ ἑβδόμῳ κεφαλαίῳ τῆς Ἐξόδου· (5) δεύτερον, ἐν Ῥαφιδὶν, ὡς ἐν τῷ τριακοστῷ δευτέρῳ· (6) τρίτον, ἐν τῇ ἐρήμῳ ἐν Κάδης, ὡς ἐν τῷ τριακοστῷ δευτέρῳ τῶν Ἀριθμῶν· (7) ὅπερ ἐστὶν ὕδωρ ἀντιλογίας· τέταρτον ἐπὶ τοῦ παρόντος φρέατος.

» ∗∗ ΤΟΥ ΑΥΤΟΥ. Συνάγαγε, φησὶ,
» τὸν λαὸν, καὶ δώσω αὐτοῖς ὕδωρ πιεῖν. βούλεται γὰρ Θεὸς τὰς θαυμασίους ἐνεργείας αὐτοῦ μνημονεύεσθαι· ὡς ὠφελεῖσθαι μὴ μόνον τοὺς παρόντας τῇ θέᾳ, ἀλλὰ καὶ
Ἰωάν. 20. 31. τοὺς ὕστερον ἀκοῇ· ὡς καὶ Ἰωάννης, ταῦτα,
» φησὶ, γέγραπται, ἵνα πιστεύσητε, ὅτι Ἰη-
» σοῦς ἐστὶν ὁ Χριστός. οὐ γὰρ κενῆς ἱστορίας μνήμην ὁ Θεὸς, ἀλλὰ τὴν ἐξ αὐτῆς ὠφέλειαν χαρίζεται. διὸ καὶ μάταιον τὸ σημεῖα ζητεῖν ἀεὶ, καὶ παρὰ γνώμην τοῦτο

A Θεοῦ. ὃς βούλεται τῇ μνήμῃ τῶν εἰς ἅπαξ γεγονότων ὠφελεῖσθαι.

ιζ. Τότε ᾖσεν Ἰσραὴλ τὸ ᾆσμα τοῦτο ἐπὶ τοῦ φρέατος, ἐξάρχετε αὐτῷ φρέαρ,

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Πηγὴν ἔνυδρον ἀνευρόντες, ἣ παντὶ τῷ πλήθει ποτὸν ἐχορήγησεν· ἐν φρέατι δ᾽ ἦν ἡ πηγή, καὶ ἐπὶ τῶν τῆς χώρας ὅρων· ὥσπερ
B οὐχ ὕδατος, ἀλλ᾽ ἀκράτου πιόντες, τὰς ψυχὰς ἀνεχύθησαν, ὑπό τε εὐφροσύνης καὶ χαρᾶς ᾆσμα καινὸν οἱ θεοφιλεῖς, χοροὺς ἐπὶ τὸ φρέαρ ἐν κύκλῳ στήσαντες. ᾖδον εἰς τὸν κληροῦχον Θεὸν, καὶ τὸν ἀληθῶς ἡγεμόνα τῆς ἀποικίας· ὅτι πρῶτον ἐπιβάντες ἐξ ἐρημίας μακρᾶς τῆς οἰκουμένης, καὶ ἣν ἔμελλον καθέξειν, ποτὸν ἄφθονον ἀνεῦρον, ἁρμόττον ἡγησάμενοι, μὴ ἀσημείωτον τὴν πηγὴν παρελθεῖν.

Γ ΑΔΗΛΟΥ. Ἄσματος ἀπομνημονεύει, ὅπερ ἐπ᾽ εὐφροσύνῃ τῆς τότε δοθείσης εὐεργεσίας ᾔδετο.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Ἄσματος μεμνημένος τοῦ ἐπὶ τοῦ ὕδατος, δείκνυσιν, ὅτι δεῖ φαιδρὰς εὐχαριστίας ἐπὶ ταῖς εὐεργεσίαις ἀνάγεσθαι.

ιη. Ὤρυξαν αὐτὸ ἄρχοντες, ἐξελατόμησαν αὐτὸ βασιλεῖς ἐθνῶν ἐν
Δ τῇ βασιλείᾳ αὐτῶν, ἐν τῷ κυριεῦσαι αὐτῶν. καὶ ἀπὸ φρέατος εἰς Μαν-
ιθ. θανὲν, Καὶ ἀπὸ Μανθανὲν εἰς Νααλιὴλ, καὶ ἀπὸ Νααλιὴλ εἰς Βαμὼθ, καὶ ἐκ Βαμὼθ εἰς Νάπην, ἥ ἐστιν ἐν τῷ πεδίῳ Μωὰβ ἀπὸ κορυφῆς τοῦ λελαξευμένου, τὸ βλέπον κατὰ πρόσωπον τῆς ἐρήμου.

E» ∗∗ ΠΡΟΚΟΠΙΟΥ. Ἀντὶ τοῦ, ἐν τῇ βα-
» σιλείᾳ αὐτῶν, ὁ μὲν Ἀκύλας φησὶν, ἐν τῇ βακτηρίᾳ· ὁ δὲ Θεοδοτίων, ἐν ταῖς ῥάβδοις αὐτῶν.

∗ ΤΟΥ ΑΥΤΟΥ. Πολὺς μὲν ὁ πόνος ἐπὶ ταῖς φρεωρυχίαις, Θεοῦ δὲ βουλήσει καὶ λατομίας ἐπιπόνου (8) δυνατώτερον περιχάραξις ἐν βακτηρίαις ὑπὸ τῶν ἁγίων γινομένη, (9) λατομίας καὶ ὀρύξεως δύναμιν ἐκπληροῦσα.

Z ∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἔτυχεν οὐ χερσὶν ἰδιωτῶν, ἀλλὰ βασιλέων, ἀνατετμῆσθαι φιλοτιμηθέντων, ὡς λόγος. οὐ μόνον περὶ τὴν εὕρεσιν τοῦ ὕδατος. ἀλλὰ καὶ περὶ τὴν τοῦ φρέατος κατασκευήν· ἵν᾽ ἐκ τῆς πολυτελείας βασιλικὸν φαίνηται τὸ ἔργον, καὶ ἡ τῶν κατασκευασάντων ἀρχῆθεν μεγαλόνοια.

(1) Ἐν κεφ. 13. ἐδ. 14, καὶ 16. 3.
(2) Ἀριθ. 20. 3.
(3) Ἄλλη ὡς ἔοικε κατ᾽ αὐτὸν ἡ τῶν κεφαλαίων διαίρεσις.
(4) Τετράκις δὲ. ὁ τῆς Αὐγ. κώδ.
(5) Ἐν τῷ 15. ὁ δὲ τῆς Αὐγ. κώδ. ὡς ἐν τῇ Ἐξόδῳ.
(6) Ἐν τῷ 17. ὁ δὲ τῆς Αὐγ. κώδ. ὡς ἐκεῖ πάλιν.
(7) Ἐν τῷ 20. ὁ δὲ τῆς Αὐγ. κώδ. ὡς ἐν Ἀριθμοῖς.
(8) Τῶν ἐν λατομίαις πόνων. ὁ αὐτ.
(9) Τὸ πᾶν ἔργον ἀνύουσα. ταῦτα ἀντὶ τῶν ἑπομ. ὁ αὐτ.

. Καὶ ἀπέςειλε Μωϋσῆς πρέσ-
πρὸς Σιὼν, (1) βασιλέα Ἀμοῤ-
ν, λόγοις εἰρηνικοῖς, λέγων,
ελευσόμεθα διὰ τῆς γῆς σȣ, τῇ
πορευσόμεθα· ἐκ ἐκκλινȣ̃μεν ἔτε
μπελῶνα·

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Εἰς τὴν τῶν
ρραίων χώραν ἐμβαλὼν, πρέσβεις ἐξέ-
τε πρὸς τὸν βασιλέα· Σηὼν δὲ ὠνο-
ετο· προτρέπων ἐφ᾽ ἃ καὶ τὸν συγγε-
ρότερον.

κβ. Οὐ πιόμεθα ὕδωρ ἐκ φρέα-
σȣ· ὁδῷ βασιλικῇ πορευσόμεθα,
ἂν παρέλθωμεν τὰ ὅριά σȣ.

ΤΟΥ ΝΥΣΣΗΣ. Ἐπισφαλὴς ἡ
τὰ πλάγια παρατροπὴ τῷ ὁδεύοντι.
ετ᾽ ὀλίγα. Δόγμα δέ ἐςιν ȣ̃τος ὁ λόγος,
μεσότητι θεωρεῖσθαι τὰς ἀρετὰς ὁριζό-
ς. διότι πέφυκε πᾶσα κακία ἢ κατ᾽
ψιν, ἢ καθ᾽ ὑπέρπλωσιν ἀρετῆς ἐνεργ-
αι.

κγ. Καὶ ȣ̓κ ἔδωκε Σιὼν τῷ Ἰσ-
λ παρελθεῖν διὰ τῶν ὁρίων αὐτȣ̃·
συνήγαγε Σιὼν πάντα τὸν λαὸν
ȣ̃, καὶ ἐξῆλθε παρατάξαςθαι
Ἰσραὴλ εἰς τὴν ἔρημον· καὶ ἦλ-
εἰς Ἰασσὰ, καὶ παρετάξατο τῷ
αήλ.

κδ. Καὶ ἐπάταξεν αὐτὸν Ἰσραὴλ
φ μαχαίρας, καὶ κατεκυρίευσαν
γῆς αὐτȣ̃, ἀπὸ Ἀρνῶν ἕως Ἰα-
, ἕως υἱῶν Ἀμμὰν, ὅτι Ἰαζὴρ
υἱῶν Ἀμμάν ἐςι.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Πρὸς μὲν τȣ̀ς συγ-
ῖς ȣ̓κ ἠβȣλήθη ὁ Θεὸς πόλεμον ἀνε-
αι· τȣ̃ δὲ Σιὼν μὴ δεξαμένȣ τὴν εἰρη-
ὴ πρεσβείαν, ἀντικαθίσανται, καὶ
εμȣ̃σι, καὶ κρατȣ̃σι ῥᾳδίως. (2)

ΠΡΟΚΟΠΙΟΥ. Τὴν Ἰαβὼκ τȣ̃
μὰν ȣ̓σαν, ἐξαίρει. ἣν γὰρ τῶν ἐκ τȣ̃
γεγονότων. πανταχȣ̃ γὰρ τȣ̀ς πολέ-
τȣ̀ς συγγενικȣ̀ς περιΐςαται. αὕτη δὲ
ν ἣν τῶν Ἀμοῤῥαίων τῶν ἡλωκότων.

ΤΟΥ ΑΥΤΟΥ. Ἰαζὴρ ἐτύγχανε μὲν
ῆς Μωαβιτῶν ȣ̓σα γῆς ἐξ ἀρχῆς, ἡ τȣ̃
γενομένη ὕςερον. ἀφαιρȣ̃νται δὲ αὐ-
τῶν ἀδικησάντων οἱ Ἰσραηλῖται, τῶν
ελομένων τȣ̀ς πρότερον ἐνοικȣ̃ντας.

κε. Καὶ ἔλαβεν Ἰσραὴλ πάσας
πόλεις ταύτας, καὶ κατῴκησεν
αὴλ ἐν πάσαις ταῖς πόλεσι τῶν
οῤῥαίων, ἐν Ἐσεβὼν, καὶ ἐν πά-
ς ταῖς συγκυρȣ́σαις αὐταῖς. Ἔςι
Ἐσεβὼν, πόλις Σιὼν τȣ̃ βασι-
ς Ἀμοῤῥαίων. καὶ ȣ̃τος ἐπολέ-

A μησε βασιλέα Μωὰβ τὸ πρότερον·
καὶ ἔλαβε πᾶσαν τὴν γῆν αὐτȣ̃, (3) ἀπὸ
Ἀροὴρ ἕως Ἀρνῶν.

» ΠΡΟΚΟΠΙΟΥ. Ἐςὶν Ἐσεβὼν πό-
» λις Σιὼν, τȣτέςι μητρόπολις.

κζ. Διὰ τȣ̃το ἐρȣ̃σιν οἱ αἰνιγμα-
τιςαὶ, ἔλθετε εἰς Ἐσεβὼν, ἵνα οἰ-
κοδομηθῇ καὶ κατασκευασθῇ πόλις
κη. ἡ ἡμῶν, (4) Ὅτι πῦρ ἐξῆλθεν ἐξ
Ἐσεβὼν, φλὸξ ἐκ πόλεως Σιὼν, καὶ
κατέφαγεν ἕως Μωὰβ, καὶ κατέπιε
ςήλας Ἀρνῶν.

ΑΔΗΛΟΥ. Δυσχερὲς τὸ χωρίον· ὁ δὲ
νȣ̃ς, ὡς οἶμαι, ȣ̃τος· ὁ Σιὼν βασιλεὺς ἐπο-
λέμησε τὸν Μωὰβ. καὶ λαβὼν τὴν γῆν αὐ-
τȣ̃, κατέχεν αὐτήν. οἱ ȣ̓ν αἰνιγματωδῶς
λέγοντες, τȣ̃το λαλȣ̃σιν· ἐπειδὴ ἐπορθή-
θη ὑπὸ Σιὼν ἡ Ἐσεβὼν, ἔλθετε ὑμεῖς οἱ
Γ τȣ̃ Σιὼν, οἰκήσατε αὐτὴν, ἵνα οἰκοδομηθῇ·
ὅτι ȣ̓ μόνον αὐτὴ ἐπορθήθη ὑπὸ τȣ̃ Σιὼν,
ἀλλὰ καὶ ἄλλαι πόλεις αἱ τȣ̃ Μωὰβ, ἕως
τȣ̃ τόπȣ τῶν ςηλῶν Ἀρνῶν.

ΠΡΟΚΟΠΙΟΥ. Διὰ τȣ̃το ἔλεγον
οἱ παροιμιαζόμενοι· δικαιοσύνη σώζεται
Θεȣ̃ κατὰ διαδοχὴν γενεῶν ὕςερον ἀντα-
ποδοθεῖσα εἰς ἀφαίρεσιν τῆς γῆς, ἣν ȣ̓
δικαίως Ἀμοῤῥαῖοι κατέλαβον, οἰκτρὰν
ἐργασάμενοι τὴν Μωαβιτῶν πόρθησιν· ὡς
Δ καὶ ἐν παροιμίαις ἀνθρώπων ᾄδεσθαι τὴν
κατάκαυσιν τῶν προενοικησάντων. καὶ
» γὰρ καὶ ὀδυρμὸν ἐπάγει· ȣ̓αί σοι Μωὰβ,
ἀπώλȣ, καὶ τὰ ἑξῆς. ἀνας άτȣς γὰρ δη-
λοῖ γεγενῆσθαι τȣ̀ς Μωαβίτας καὶ διασκε-
δασθέντας νέȣς τε καὶ νέας. ȣ̀ς νῦν Θεὸς
ἐξεδίκησεν· ἐπειδὴ ὅλως ἀσεβείας καὶ ἀκα-
θαρσίας ἕνεκα τὰ ἔθνη τὰ ἐνοικήσαντα
δέδωκεν ἐξελεῖν τοῖς Ἰσραηλίταις.

E κθ. Οὐαί σοι Μωὰβ, ἀπώλȣ
λαὸς Χαμὼς, ἀπεδόθησαν οἱ υἱοὶ
αὐτῶν διασώζεσθαι, καὶ αἱ θυγατέ-
ρες αὐτῶν αἰχμάλωτοι τῷ βασιλεῖ
λ. τῶν Ἀμοῤῥαίων Σιὼν, Καὶ τὸ σπέρ-
μα αὐτῶν ἀπολεῖται, Ἐσεβὼν ἕως
Δαιβὼν· καὶ αἱ γυναῖκες αὐτῶν ἔτι
προσεξέκαυσαν πῦρ ἐπὶ Μωάβ.

ΑΔΗΛΟΥ. Ἀνας άτȣς δηλοῖ γενέσθαι
Z τȣ̀ς Μωαβίτας ὁ θρῆνος, καὶ διασκεδα-
σθέντας. διόπερ τὴν ἄδικον νίκην καὶ κτῆ-
σιν ἀφαιρεῖται τῶν ȣ̃τω κακῶς ἠτῆσα-
μένων.

λα. Κατῴκησε δὲ Ἰσραὴλ ἐν πά-
σαις ταῖς πόλεσι τῶν Ἀμοῤῥαίων.
λβ. Καὶ ἀπέςειλε Μωϋσῆς κατασκέψα-
σθαι τὴν Ἰαζὴρ, καὶ κατελάβοντο
αὐτὴν, καὶ τὰς κώμας αὐτῆς, καὶ ἐξέ-
H βαλον τὸν Ἀμοῤῥαῖον τὸν ὄντα ἐκεῖ.

ΠΡΟΚΟ-

(1) Σηὼν γράφȣσιν αἱ εἰρημέναι ἐκδόσ. ὧδέ τε καὶ ἐν τῷ 11. ἐδ. τȣ̃ 134. Ψαλ.
(2) Μέρος τȣ̃ ἐν τῷ 26. ἐδ. τȣ̃ 2. κεφ. τȣ̃ Δευτερονομ. ἐξ ȣ̃ καὶ τȣ̀νομα ἐλήφθη.
(3) Τὴν γῆν αὐτȣ̃ αἱ εἰρημ. ἐκδόσ.
(4) Πόλις Σηών. αἱ αὐτ.

» ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Καὶ κατῴκησεν
» Ἰσραὴλ ἐν πάσαις ταῖς πόλεσι τῶν Ἀμοῤ-
Ψαλ. 77. 55. ῥαίων. διόπερ ὁ Δαβὶδ ἐν ὕμνοις, κατε-
» σκήνωσε, φησὶν, ἐν ταῖς φυλαῖς αὐτῶν
» τὰς φυλὰς τοῦ Ἰσραὴλ, ἐπὶ δυνάμει καὶ
δικαιοσύνῃ τὸν Θεὸν ἀνυμνῶν. λέγων γὰρ
περὶ τῆς ἐσχάτης πόλεως τῆς Ἰαζὴρ, κα-
» τελάβοντο, φησὶν, αὐτὴν, καὶ τὰς κώ-
» μας αὐτῆς, καὶ ἐξέβαλον τὸν Ἀμοῤῥαῖον
» τὸν κατοικοῦντα ἐκεῖ. τοῦτο ἐφ' ἑνὸς ἔθνους
καὶ δευτέρου γενόμενον ὑπὸ Μωϋσέως, τὴν
καθ' ὅλης γῆς γενησομένην πόρθησιν ἀσε-
βῶν, καὶ κατοίκησιν ὑπὸ δικαίων, προφη-
τεύει. χρηστοὶ γάρ φησιν ἔσονται οἰκήτο-
ρες γῆς, καὶ ὅσιοι ὑπολειφθήσονται ἐν αὐ-
Ψαλ 36. 38. τῇ. οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται
ἐξ αὐτῆς.

λγ. Καὶ ἐπιστρέψαντες, ἀνέβη-
σαν ὁδὸν τὴν εἰς Βασάν. καὶ ἐξῆλ-
θεν Ὢγ βασιλεὺς τῆς Βασὰν εἰς
συνάντησιν αὐτοῖς, καὶ πᾶς ὁ λαὸς
αὐτοῦ εἰς πόλεμον εἰς Ἐδραείν.

ΑΔΗΛΟΥ. Οὗτος οὔτε πρεσβείαν ἀνέ-
μεινε παρὰ τῶν Ἰσραηλιτῶν, ἀλλ' ἐπήγα-
γε τὸν πόλεμον.

✻✻ ΠΡΟΚΟΠΙΟΥ. Δεύτερος Ὢγ ὁ
τῆς Βασάν. ὃς δεδιὼς ὅμοια παθεῖν, οὐδὲ
πρεσβείαν ἀνέμεινε. θαῤῥεῖ μὲν οὖν δυνά-
μει. Θεὸς δὲ καὶ τοὺς ἰσχυροὺς ὑποτάσσει

A τοῖς ἀσθενέσιν, ὡς ἐν Δευτερονομίῳ φησίν·
» ὅτι ἔθνη μεγάλα καὶ ἰσχυρότερα ἑαυτῶν Δευτ. 4. 38.
ἔλαβον παρὰ Θεοῦ. καὶ εἴγε τὸν νόμον,
ἐφ' ᾧ κατῳκίσθησαν, ἐφύλαξαν, ἐμφα-
νὲς τὸ τῆς ἀγαθῆς προνοίας ἐγίνετ' ἄν,
αἰσχύνον τοὺς ἐπὶ τοῖς πολέμοις τὸν δημιουρ-
γὸν διαβάλλοντας. Θεοῦ γὰρ ἄξιον τὸ πο-
λιτείαν ἀγαθὴν ἀντὶ πονηρᾶς εἰσάγειν
ζωῆς. ὃ καὶ δι' εὐχῆς τοῖς ἁγίοις, λέγουσιν,
» ἐκλίποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ Ψαλ. 103. 35.
B» ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. πῶς δὲ
καὶ οὐ σωτήριον τῷ κόσμῳ τὸ γινώσκεσθαι
Θεόν; ὃ πρόδηλον ἐκ τῆς τῶν πονηρῶν
ἐξαιρέσεως γίνεται.

λδ. Καὶ εἶπε Κύριος πρὸς Μωϋ-
σῆν, μὴ φοβηθεὶς αὐτὸν, ὅτι εἰς τὰς
χεῖράς σου παραδέδωκα αὐτὸν, καὶ
πάντα τὸν λαὸν αὐτοῦ, καὶ πᾶσαν
τὴν γῆν αὐτῶν, καὶ ποιήσεις αὐτῷ κα-
Γ θὼς ἐποίησας τῷ Σιὼν βασιλεῖ τῶν
Ἀμοῤῥαίων, ὃς κατῴκει ἐν Ἐσεβών.
λε. Καὶ ἐπάταξεν αὐτὸν καὶ τοὺς υἱοὺς αὐ-
τοῦ, καὶ πάντα τὸν λαὸν αὐτοῦ, ἕως
τοῦ μὴ καταλιπεῖν αὐτῶν ζωγρείαν,
καὶ ἐκληρονόμησαν τὴν γῆν αὐτῶν.

✻ ΑΠΟΛΙΝΑΡΙΟΥ. Παραδίδοται διὰ
τῆς ἰδίας θρασύτητος καὶ οὗτος, αὐτὸς ἑαυ-
Δ τῷ γενόμενος αἴτιος ἀπωλείας. (1)

ΚΕΦ. ΚΒ.

α. Καὶ ἀπάραντες οἱ υἱοὶ Ἰσ-
ραὴλ, παρενέβαλον ἐπὶ
δυσμῶν Μωὰβ παρὰ τὸν
Ἰορδάνην κατὰ Ἱεριχώ.

β. Καὶ ἰδὼν Βαλὰκ υἱὸς Σεπφὼρ
πάντα ὅσα ἐποίησεν ὁ Ἰσραὴλ τῷ
γ. Ἀμοῤῥαίῳ, Καὶ ἐφοβήθη Μωὰβ τὸν
λαὸν σφόδρα ὅτι πολλοὶ ἦσαν· καὶ
προσώχθισε Βαλὰκ (2) ἀπὸ προ-
σώπου τῶν υἱῶν Ἰσραήλ.

✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Εἷς τῶν
ἀστυγειτόνων βασιλέων ὀνόματι Βαλάκης,
μεγάλην καὶ πολυάνθρωπον τῆς ἑῴας μοῖ-
ραν ὑπηγμένος, πρὶν εἰς χεῖρας ἐλθεῖν
ἀπειπὼν, ἄντικρυς μὲν ὑπαντᾶν οὐκ ἐδοκί-
μασε, τὸν ἐκ πορθήσεως δι' ὅπλων ἐλεύ-
θερον πόλεμον διαδιδράσκων.

Ἐξόδ. 15. 14, 15. ΑΔΗΛΟΥ. Ἤκουσαν ἔθνη καὶ ὠργίσθη-
» σαν· ἐν οἷς καὶ τὸ, ἄρχοντες Μωαβιτῶν·
» ἔλαβεν αὐτοὺς τρόμος.

δ. Καὶ εἶπε Μωὰβ πρὸς τὴν γε-
ρουσίαν Μαδιὰμ, νῦν ἐκλείξει ἡ συνα-
γωγὴ αὕτη πάντας τοὺς κύκλῳ ἡμῶν,
ὡσεὶ ἐκλείξει ὁ μόσχος τὰ χλωρὰ ἐκ
τοῦ πεδίου. καὶ Βαλὰκ υἱὸς Σεπφὼρ
βασιλεὺς Μωὰβ ἦν κατὰ τὸν και-
ρὸν ἐκεῖνον.

✻✻ ΠΡΟΚΟΠΙΟΥ. Διττὸν ἔθνος πα-
ράττεται, τό, τε Μωαβιτικὸν καὶ τὸ Μα-
διανιτικόν. καὶ ἀπειπόντες τὸν πόλεμον,
E ἐπὶ τὴν μαγείαν ἐτράποντο.

ΩΡΙΓΕΝΟΥΣ. Τοῦτο παράδειγμα ἔλα-
βεν. ὥσπερ ὁ μόσχος ἐν τῷ στόματι ἔχει τὰ
ὅπλα εἰς τὸ ἐκλεῖξαι τὰ χλωρὰ, οὕτω καὶ
ὁ ἅγιος λαὸς τοῖς χείλεσι στρατευόμενος,
ἐν τοῖς στόμασιν ἔχει τὰ ὅπλα διὰ τῶν εὐ-
χῶν. καὶ τοῦτο εἰδὼς ὁ Βαλὰκ ἐν τοῖς προ-
τέροις πολέμοις ἐναργῶς γενόμενον, βού-
λεται καὶ αὐτὸς τοῖς διὰ χειλέων ὅπλοις
στρατεύεσθαι· καὶ καλεῖ τὸν Βαλαὰμ τὸν
ἔχοντα ὅπλα τῆς ἐναντίας δυνάμεως ἐν
Z τοῖς χείλεσι, τὰς ἀράς. οἱ γὰρ ἅγιοι
Ἄγγελοι συμπράττουσι τοῖς δικαίοις εἰς τὰ
σωτήρια καὶ ἀγαθὰ ἔργα, καὶ οἱ πονη-
ροὶ δαίμονες τοῖς ἀσεβέσι καὶ ἁμαρτω-
λοῖς ἀνθρώποις εἰς τὰ πονηρὰ καὶ βλα-
βερὰ τῆς σωτηρίας τῶν ἀνθρώπων ἔργα.
οἱ μὲν γὰρ ἅγιοι στρατεύονται λόγοις εὐ-
χῶν, οἱ δὲ ἁμαρτωλοὶ καὶ ἀσεβεῖς λόγοις
μαγειῶν.

H ε. Καὶ ἀπέστειλε πρέσβεις πρὸς
Βαλαὰμ υἱὸν Βεὼρ Φαθουρὰ, ὅ ἐστιν
ἐπὶ

(1) Μέρος τοῦ ὑπομνήματ. τοῦ εἰς τὸ 3. ἐδ. τοῦ 3. κεφ. τοῦ Δευτερον.

(2) Καὶ προσώχθισε Μωάβ. αἱ εἰρημ. ἐκδόσ.

A ἐπὶ τοῦ ποταμοῦ γῆς υἱῶν λαοῦ αὐτοῦ, καλέσαι αὐτὸν, λέγων, ἰδοὺ λαὸς ἐξελήλυθεν ἐξ Αἰγύπτου, καὶ ἰδοὺ κατεκάλυψε τὴν ὄψιν τῆς γῆς, καὶ οὗτος ἐγκάθηται ἐχόμενός με.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀνὴρ ἦν κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐπὶ μαντείᾳ περιβόητος, Μεσοποταμίαν οἰκῶν. ὃς ἅπαντα μὲν ἐμεμύητο τὰ μαντικῆς εἴδη· οἰωνοσκοπίαν δὲ ἐν τοῖς μάλιστα συγκεκροτηκὼς, B ἐθαυμάζετο, πολλοῖς καὶ πολλάκις ἐπιδειξάμενος ἄπιστα καὶ μεγάλα. Καὶ μετ᾽ ὀλίγ. Ἐπὶ τοῦτον ἐξέπεμπε τῶν ἑταίρων τινὰς, παρακαλῶν ἥκειν· καὶ δωρεὰς τὰς μὲν ἤδη παρεῖχε, τὰς δὲ δώσειν ὡμολόγει, τὴν χρείαν ἧς ἕνεκα μεταπέμποιτο δηλῶν.

ϛ. Καὶ νῦν δεῦρο ἄρασαί μοι τὸν λαὸν τοῦτον, ὅτι ἰσχυρότερός μου ἐστίν· ἐὰν δὲ δυνώμεθα πατάξαι ἐξ αὐτῶν, Γ καὶ ἐκβαλῶ αὐτοὺς ἐκ τῆς γῆς· ὅτι οἶδα οὓς ἐὰν εὐλογήσῃς, εὐλόγηνται, καὶ οὓς ἂν καταράσῃ σὺ, κεκατήρανται.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι οὔτε Μωϋσῆς εἶπεν ἐξ οἰκείου προσώπου τὴν μαρτυρίαν ταύτην, οὔτε μὴν τὸν Θεὸν ἔφησε μεμαρτυρηκέναι τι τοιοῦτον τῷ Βαλαάμ· ἀλλ᾽ ὡς ἐκ τοῦ Βαλὰκ τοῦτό φησιν. ὑπελάμβανε γὰρ τὸν Βαλαὰμ ἀδιαπλαίστως δύνασθαι, Δ καὶ ἀρᾶσθαι καὶ εὐλογεῖν.

ΩΡΙΓΕΝΟΥΣ. Καὶ ἡ κατ᾽ αἴσθησιν τῶν πραγμάτων ἱστορία μεγάλης ὠφελείας πεπλήρωται. ἐκ δὲ τῆς προκειμένης ἱστορίας μανθάνομεν πολλὰ, καὶ ὅτι ἐστὶ στρατεύεσθαι λόγοις, καὶ μεγάλα πράγματα οἰκονομεῖσθαι, καὶ κατορθοῦσθαι διὰ λόγων. καὶ οἱ μὲν ἅγιοι στρατεύονται λόγοις εὐχῶν, οἱ δὲ ἀσεβεῖς καὶ ἁμαρτωλοὶ λόγοις μαγειῶν.

E ΤΟΥ ΑΥΤΟΥ. Ἡ ἐναντία δύναμις οὐδέποτε ποιεῖ ἔργον καλὸν, ἀλλὰ πάντα χείριστα ἐνεργεῖ. καὶ ὅπερ ἐνεργήσει κακὸν, οὐ δύναται ἀποκαταστῆσαι εἰς τὸ βέλτιον. οὐ γὰρ ἔχει τάξιν τοῦ κρείττονος. τῇ δὲ κρείττονι δυνάμει πάντα δυνατά. ὁ γὰρ Θεὸς ἡμῶν ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν· ἐνεργῆσαι δὲ κακὸν οὐκ ἔχει. οὐ γὰρ καθ᾽ ἕξιν μόνον, ἀλλὰ καὶ κατ᾽ οὐσίαν ἀγαθός ἐστι.

Z ζ. Καὶ ἐπορεύθη ἡ γερουσία Μωὰβ, καὶ ἡ γερουσία Μαδιὰμ, καὶ τὰ μαντεῖα ἐν ταῖς χερσὶν αὐτῶν· καὶ ἦλθον πρὸς Βαλαὰμ, καὶ εἶπον αὐτῷ τὰ ῥήματα Βαλάκ.

ΩΡΙΓΕΝΟΥΣ. Ἐν τοῖς Ἀμμανίταις ἦν τινὰ μαντεῖα (1) τετελεσμένα, καὶ θυσίαι, καί τινα δῶρα προσφερόμενα τοῖς δαίμοσιν· ὥστε διὰ τούτων προσφερομένων μαντεύεσθαι τοὺς βουλομένους. μαντεῖα δέ ἐστιν ἕκαστον πρᾶγμα. οὐ γὰρ ἀληθὴς ἡ πρόῤῥησις. (2)

ΤΟΥ ΑΥΤΟΥ. Ὅτι ὥσπερ μάντιν (3) τὸν μισθὸν ταύτης ἔφερον, προσαγαγεῖν αὐτόν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀποθέμενοι τὰ ὅπλα, τῇ μαγείᾳ προσφεύγουσι. καὶ εἰς τοῦτο συμφωνοῦσι Μωαβῖται καὶ Ἀμμανῖται. (4)

ΤΟΥ ΑΥΤΟΥ. Ἡ τῶν Δαιμόνων ἰσχὺς κατὰ τῶν ὑποκειμένων αὐτῇ· κατὰ δὲ τῶν B τῷ Θεῷ οἰκειουμένων, οὐδεμία δύναμις αὐτῶν ἰσχυρά.

η. Καὶ εἶπε πρὸς αὐτοὺς, καταλύσατε αὐτοῦ τὴν νύκτα, καὶ ἀποκριθήσομαι ὑμῖν πράγματα ἃ ἂν λαλήσῃ Κύριος πρός με. καὶ κατέμειναν οἱ ἄρχοντες Μωὰβ παρὰ Βαλαάμ.

** ΚΥΡΙΛΛΟΥ. Ὀνειράτια ψυχρὰ Γ δαιμονιώδη ζητῶν, καὶ ἐξ ἐπῳδῆς τάχα που καὶ μαγγανείας αὐτῷ συμβαίνοντα προσδοκῶν, Κύριον ἔφη λαλήσειν αὐτῷ. θεοκλυτεῖν γὰρ ἐσκήπτετο. ἀλλ᾽ εἰ καὶ ταῖς συνήθεσι τῶν γοήτων φωναῖς τὸ γράμμα χρῆται τὸ ἱερὸν, οὐκ ἂν οἰηθείημεν ὀρθῶς φρονοῦντες, Θεὸν τὸν φύσει καὶ ἀληθῶς ταῖς βεβήλων ἐνιέναι ψυχαῖς, ὡς ἐξ ἀγάπης, τὸ ἀληθές· καὶ ἀνδρὶ μυσαρῷ καὶ γόητι καὶ εἰδωλολάτρῃ προσλαλεῖν.

Δ ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ μάντις ἦν ὁ Βαλαὰμ, τί δήποτε τὸν Κύριον ἠρώτα; Ἐκεῖνος μὲν οὐ τὸν ἀληθινὸν ἠρώτα Θεόν· ἀπεκρίνατο δὲ αὐτῷ, οὐχ ὁ παρ᾽ αὐτοῦ καλούμενος, ἀλλ᾽ ὁ παρ᾽ αὐτοῦ ἀγνοούμενος. ἦλθε
» γάρ φησιν ὁ Θεὸς πρὸς Βαλαὰμ, καὶ εἶπεν
» αὐτῷ, τί οἱ ἄνθρωποι οὗτοι παρὰ σοί; οὐκ ἐπειδὴ τὴν αἰτίαν τῆς ἐκείνων παρουσίας ἠγνόει, ἀλλ᾽ ἵνα παρὰ τοῦ μάντεως λαβὼν ἀφορμὴν, τὸ πρακτέον κελεύσῃ.

E ΕΥΣΕΒΙΟΥ. Ἐπερωτήσω γάρ φησι τὸν Θεὸν, οὐ τὸν ὄντα· μαντεία γὰρ ἦν· ἀλλὰ τὸν ἐξ ἔθους αὐτῷ φαινόμενον δαίμονα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐ παρὰ τοῦ ἀληθοῦς Θεοῦ ταύτην ζητῶν, εἰ καὶ Κύριον ὀνομάζει, ἀλλὰ παρὰ τῶν ψευδωνύμων Θεῶν. οἱ ποτὲ μὲν δι᾽ ὀνείρων, ποτὲ δὲ δι᾽ ὀρνίθων, ποτὲ δὲ ἑτέροις τρόποις ἐκφέρουσιν εἰς ἀνθρώπους τὰ παρ᾽ ἑαυτῶν. λέγει οὖν Z μετὰ ταῦτα, ὅτι οὐκ ἐπορεύθη Βαλαὰμ, κατὰ τὸ εἰωθὸς, εἰς συνάντησιν τοῖς οἰωνοῖς· ὅτι οἶδεν ἄπρακτον αὐτῷ τὴν ἐπιβουλευτικὴν γνώμην οὖσαν, καὶ τὴν γλῶσσαν ἐμποδιζομένην ὧν ἐβούλετο φθέγξασθαι.

θ. Καὶ ἦλθεν ὁ Θεὸς πρὸς Βαλαὰμ, καὶ εἶπεν αὐτῷ, τί οἱ ἄνθρωποι οὗτοι παρὰ σοί;

» ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὸ λέγειν, ὅτι ἦλ-
H » θεν ὁ Θεὸς πρὸς Βαλαὰμ, καὶ εἶπεν αὐτῷ, τί

(1) Ἐν τοῖς ἀνθρωπίνοις ἐστὶ τινὰ καὶ μαντεῖα τετελεσ. κτ. ἐν Τόμ. 2. σελ. 272. τῆς τοῦ Ῥου. ἐκδόσ.

(2) Πρόῤῥησις, ἀντὶ ἀρθρου. αὐτ.

(3) Ἴσ. μάντει, ἢ εἰς μάντιν. ἐν τοῖς ἐκδεδομ. δὲ οὐχ εὕρηται.

(4) Ἴσ. Μαδιανῖται.

» τί οἱ ἄνθρωποι οὗτοι παρὰ σοί; καὶ τὸ προστάττεσθαι τὸν λαὸν μὴ ἀράσασθαι· ἔστι γὰρ εὐλογημένος· Ἀγγέλου ἐπιφάνειαν δηλοῖ, καθάπερ εἴωθεν ὀνόματι Θεοῦ τοὺς Ἀγγέλους ἡ Γραφὴ δηλοῦν. ἐπεὶ καὶ τῷ Λάβαν ὁμοίως ὤφθη, εἰς κώλυσιν τῆς πρὸς τὸν Ἰακὼβ μάχης.

ΕΥΣΕΒΙΟΥ. Ἐπιφαίνεται δὲ ὁ Θεὸς αὐτῷ, οὐχ ὡς δικαίῳ, οὐδ' ὡς ἀξίῳ· ἀλλὰ διὰ τὸ οἰκεῖον εἶναι. καὶ γὰρ οὗτος δημιούργημα Θεοῦ, εἰ καὶ ἀλλότριος διὰ τὴν προαίρεσιν.

ΩΡΙΓΕΝΟΥΣ. Κατὰ ἀλήθειαν θεία δύναμις παρεγένετο πρὸς Βαλαὰμ, οὐ κληθεῖσα ὑπ' αὐτοῦ. παρεγένετο οὖν, ἵνα ἀποτροπιασμὸν ποιήσῃ τῶν καλουμένων ὑπὸ τοῦ Βαλαὰμ Δαιμόνων; καὶ τὰς θείας προῤῥήσεις οἰκονομήσῃ.

ι. Καὶ εἶπε Βαλαὰμ πρὸς τὸν
Θεὸν, Βαλὰκ υἱὸς Σεπφὼρ βασι-
λεὺς Μωὰβ, ἀπέστειλεν αὐτοὺς πρός-
ια. με, λέγων, Ἰδοὺ λαὸς ἐξελήλυθεν
ἐξ Αἰγύπτου, καὶ ἐκάλυψε τὴν ὄψιν
τῆς γῆς, καὶ οὗτος ἐγκάθηται ἐχόμε-
νός μου, καὶ νῦν δεῦρο ἄρασαί μοι αὐ-
τὸν, εἰ ἄρα δυνήσομαι πατάξαι αὐ-
τὸν, καὶ ἐκβαλῶ αὐτὸν ἀπὸ τῆς γῆς.
ιβ. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Βα-
λαὰμ, οὐ πορεύσῃ μετ' αὐτῶν, οὐδὲ
καταράσῃ τὸν λαόν· ἔστι γὰρ εὐλο-
γημένος.

ΕΥΣΕΒΙΟΥ. Οὐχ ὅτι φοβούμενος ὁ Θεὸς, μὴ ἡ κατάρα τούτου ἀνατρέψῃ αὐτοῦ τὴν εὐλογίαν· ἀλλ' ᾔδει ὁ Θεὸς, ὅτι βάναυσος ἦν ὁ λαὸς καὶ ἀσθενὴς, καὶ ὅτι ἐὰν ἀκούσῃ, ὅτι κατηράσατο αὐτὸς αὐτῷ, καταφρονήσει τῆς εὐλογίας τοῦ Θεοῦ. τούτου δὲ γενομένου, καὶ πιστευομένου τοῦ μάντεως μᾶλλον ἢ τοῦ Θεοῦ, ἀσέβεια ἐγίνετο. καὶ συνέβαινε κυρωθῆναι τὴν κατάραν, οὐ διὰ τὴν ἰσχὺν αὐτῆς, ἀλλὰ διὰ τὴν ἀπιστίαν τῶν ἀπιστησάντων μὲν Θεῷ, φοβηθέντων δὲ ἄνθρωπον. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ οἱ μεταστειλάμενοι πιστεύσαντες τῷ ἐλθόντι, θάρσος ἐλάμβανον. ὁ δὲ λαὸς ἀπιστῶν τῷ Θεῷ, ὑπονοῶν τὴν κατάραν, δειλότερος ἑαυτοῦ ἐγίνετο.

** ΚΥΡΙΛΛΟΥ. Ἰδοὺ δὴ σαφῶς ἐκ προσώπου τοῦ Θεοῦ ὁ μακάριος Ἄγγελος τὸν ἀπαταιῶνα καὶ εἰκαιόμυθον ἀποτρέπει γόητα, τὸν εὐλογημένον παρὰ Θεοῦ μὴ ἐπαρᾶσθαι ζητεῖν, μηδὲ ταῖς ἄνωθεν ἀντεξάγειν ψήφοις τὰ ἐξ ἀνθρώπων δυσβουλίας εὑρέματα· οὐχ ὡς τῆς ἀρᾶς ἰσχυούσης ἀδικεῖν, ἀλλ' ἵνα σαφῶς τε καὶ ἐναργῶς ὁ τὴν τοιαύτην ἐλπίδα παραλόγως εἰσδεδεγμένος, πληροφοροῖτο καὶ δι' αὐτοῦ, ὡς οὐκ ἂν γένοιτό ποτε Μωαβίταις ἢ Μαδιηναίοις ἁλώσιμος ὁ Ἰσραὴλ, προασπίζοντός τε καὶ ὑπεραθλοῦντος Θεοῦ, καὶ ταῖς εὐμενείαις ἀνατειχίζοντος τὸν αὐτῷ προσκείμενον καὶ εὐλογηθέντα λαόν.

ΕΙΡΗΝΑΙΟΥ. Οὐ περὶ τοῦ λαοῦ αἰνίττεται· πάντες γὰρ κατεστρώθησαν· ἀλλὰ διὰ τὸ προδηλούμενον τοῦ Χριστοῦ μυστήριον. ἐπειδὴ γὰρ ἔμελλεν ἐκ τῶν πατέρων κατὰ σάρκα γεννᾶσθαι, προδιδάσκει τὸ πνεῦμα τὸν ἄνδρα, μήποτε κατὰ ἄγνοιαν πορευθεὶς, καταράσηται τὸν λαόν.

ΑΔΗΛΟΥ. Οὐχ ὡς τῆς ἀρᾶς ἰσχυούσης παρὰ τὴν τοῦ Θεοῦ βουλὴν, ἀλλ' εἰς ἔνδειξιν τῆς τοῦ Θεοῦ προνοίας, ἣν εἶχε διὰ τοὺς προπάτορας εἰς αὐτούς.

** ΠΡΟΚΟΠΙΟΥ. Διαλύει τὰς αὐτῶν ἐλπίδας Θεὸς, μηδ' ὅσον φθέγξασθαι συγχωρήσας τῷ Βαλαάμ. οὐχ ὅτι κατάρα μὴ δικαία λυμαίνεται· κατὰ γὰρ τὸν Σολομῶντα, » ἀρὰ ματαία οὐκ ἐπελεύσεται οὐδενί· Παροιμ. 26. 2. τὴν δὲ ἰδίαν ἐπικουρίαν ἐμφανῆ τῷ λαῷ καταστῆσαι βουλόμενος, ὡς ἂν μὴ τῆς εὐσεβείας σαλεύωνται, καὶ ἵνα καὶ τὰ λοιπὰ ἔθνη ἐπιγνῶσι τὸν Θεὸν, καθά φησι· » καὶ Ἐξόδ. 9. 16. διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. καὶ τὰ σημεῖα γὰρ ἐποίει καὶ διὰ τὸν Ἰσραὴλ, καὶ διὰ τὰ ἔθνη, ὡς ἂν ἐπιστραφείη. πολλὰ γὰρ Θεοῦ κατορθοῦσιν οἰκονομίαι, δοκοῦσαι μόνον ἑνὸς ἔχεσθαι πράγματος.

ιγ. Καὶ ἀναστὰς Βαλαὰμ τὸ πρωῒ,
εἶπε τοῖς ἄρχουσι Βαλὰκ, ἀποτρέχε-
τε πρὸς τὸν κύριον ὑμῶν, οὐκ ἀφίησί-
ιδ. με ὁ Θεὸς πορεύεσθαι μεθ' ὑμῶν. Καὶ
ἀναστάντες οἱ ἄρχοντες Μωὰβ, ἦλ-
θον πρὸς Βαλὰκ, καὶ εἶπον αὐτῷ,
οὐ θέλει Βαλαὰμ πορευθῆναι μεθ'
ιε. ἡμῶν. Καὶ προσέθετο ἔτι Βαλὰκ
ἀποστεῖλαι ἄρχοντας πλείους, καὶ ἐν-
ις. τιμοτέρους τούτων. Καὶ ἦλθον πρὸς
Βαλαὰμ, καὶ λέγουσιν αὐτῷ, τάδε
λέγει Βαλὰκ υἱὸς Σεπφώρ· ἀξιῶ σε
ιζ. μὴ ὀκνήσῃς ἐλθεῖν πρός με. Ἐντίμως
γὰρ τιμήσω σε, καὶ πάντα ἃ ἐὰν εἴπῃς
μοι ποιήσω σοι· καὶ δεῦρο ἐπικατά-
ιη. ρασαί μοι τὸν λαὸν τοῦτον. Καὶ ἀπε-
κρίθη Βαλαὰμ, καὶ εἶπε τοῖς ἄρχουσι
Βαλὰκ, ἐὰν δῷ μοι Βαλὰκ πλήρη
τὸν οἶκον αὐτοῦ ἀργυρίου καὶ χρυσίου,
οὐ δυνήσομαι παραβῆναι τὸ ῥῆμα Κυ-
ρίου τοῦ Θεοῦ, ποιῆσαι αὐτὸ μικρὸν ἢ
μέγα ἐν τῇ διανοίᾳ μου.
ιθ. Καὶ νῦν ὑπομείνατε αὐτοῦ καὶ
ὑμεῖς τὴν νύκτα ταύτην, καὶ γνώ-
σομαι τί προσθήσει Κύριος λαλῆσαι
πρός με.

ΕΥΣΕΒΙΟΥ. Σχηματισάμενος τὴν πεῦσιν διὰ τὴν γενομένην ὀπτασίαν, ἐφοβήθη ἀπελθεῖν.

κ. Καὶ ἦλθεν ὁ Θεὸς πρὸς Βα-
λαὰμ νυκτὸς, καὶ εἶπεν αὐτῷ, εἰ καλέ-
σαι σε πάρεισιν οἱ ἄνθρωποι οὗτοι, ἀνα-
στὰς ἀκολούθησον αὐτοῖς· ἀλλὰ τὸ ῥῆ-
μα ὃ λαλήσω πρὸς σὲ, τοῦτο ποιήσεις.

A ΕΥΣΕΒΙΟΥ. Συγχωρεῖ δὲ αὐτῷ ἀπελθεῖν, ἵνα μὴ νομίσῃ ὁ Βαλάκ, ὅτι εἰ ἦλθε καὶ κατηράσατο, ἴσχυε· καὶ ὅτι ὃν μετεπέμψατο, ὡς δυνάμενον βλάψαι τὸν λαὸν τοῦ Θεοῦ, αὐτὸς εὐλογεῖ τὸν Ἰσραήλ· μᾶλλον δὲ ὅτι εὐλογημένος ἐστὶ παρὰ Θεοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν κελεύσας αὐτῷ μὴ ἀπελθεῖν, πάλιν ἐκέλευσεν ἀπελθεῖν; Ἐπειδὴ τῶν ἐπαγγελθέντων χρημάτων ὁ Βαλαὰμ ἐρασθεὶς, ἤρετο πά-
B λιν, εἰ χρὴ τοῖς ἀποσταλεῖσι συναπελθεῖν, νομίσας μεταμελείᾳ κεχρῆσθαι τὸν δεσπότην Θεὸν, ἐπέτρεψεν ἀπελθεῖν, μονονουχὶ λέγων· ἄπελθε μὲν ἐπειδὴ πρᾶξαι τοῦτο ποθεῖς, ἴσθι μέντοι, ὡς ἅπερ ἂν ἐθελήσω λαλήσεις.

ΑΔΗΛΟΥ. Δείκνυσι διὰ τούτου ὁ Θεὸς, ὡς καὶ προνοῶν εἴργει τῶν βλαπτόντων ἡμᾶς, καὶ τῶν ἀπαρεσκόντων αὐτῷ· φιλονείκως δὲ ἐγκειμένους οὐκ ἐκβιάζεται. βού-
Γ λεται γὰρ εἶναι τὸ αὐτεξούσιον ἡμῶν ἀτυράννητον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐπιθυμῶν ἦν ἀπελθεῖν διὰ τὸν ἔρωτα τῶν χρημάτων. διὸ καὶ προσέθετο πάλιν ἐρωτῆσαι τὸν Θεὸν, καίτοιγε ἅπαξ λαβὼν ἀπόκρισιν· οὐ πο-
» ρεύσῃ μετ' αὐτῶν. ἐπεὶ οὖν ἐπείρασε τὸν Θεὸν, ἐξαπέστειλεν ὁ Θεὸς κατὰ τὸ θέλημα αὐτοῦ. βούλεται γὰρ εἶναι τὸ αὐτεξούσιον ἡμῶν ἀτυράννητον, καὶ οὐ πρὸς ἀνάγ-
Δ κης ἀγόμενον· ἵνα καὶ τὰ αὐτῷ φίλα πράττοντες μισθῶν τύχωμεν, καὶ τὰ λυποῦντα αὐτὸν ἀνθαιρούμενοι κολασθείημεν. καὶ πορευομένων δὲ ἡμῶν τὴν ἐπὶ τὴν κακίαν ὁδὸν, ἔμποδον γίνεται πολλάκις· ἵνα καὶ οὕτως ἐπιγνοίημεν τὸ ἀσύμφορον, καὶ ἀνακόψωμεν ἡμᾶς αὐτοὺς, καὶ ἐπὶ τὸ τέλος ἐλθεῖν (1) τῶν παροξυνόντων αὐτόν.

ΣΕΥΗΡΙΑΝΟΥ. Δυνάμενος ὁ Θεὸς
E ἄκυρον ποιῆσαι καὶ ψευδῆ τὴν ἀρὰν τοῦ μάντεως, τοῦτο μὲν οὐ ποιεῖ· βουλόμενος, μὴ διὰ τῆς ἐν πολέμῳ νίκης μόνον, ἀλλὰ καὶ διὰ πολλῶν εἰδῶν τὴν περιουσίαν ἐνδείξασθαι τῆς οἰκείας δυνάμεως. παρασκευάζει μὲν αὐτὸν ὡς ἀρασόμενον ἐλθεῖν· διὰ δὲ θειοτέρας (2) εὐλογῆσαι μᾶλλον ἢ ἀράσασθαι. ἵνα τὸ στόμα τοῦ ψεύδους διάκονον ὑπὸ τῶν συνήθων καὶ συντεθραμμένων τῇ πλάνῃ πιστεύηται.

Z κα. Καὶ ἀναστὰς Βαλαὰμ τὸ πρωῒ, ἐπέσαξε τὴν ὄνον αὐτοῦ, καὶ ἐπορεύθη μετὰ τῶν ἀρχόντων Μωάβ.

κβ. Καὶ ὠργίσθη θυμῷ ὁ Θεὸς ὅτι ἐπορεύετο αὐτός· καὶ ἀνέστη ὁ Ἄγγελος τοῦ Θεοῦ ἐνδιαβάλλειν αὐτὸν ἐπὶ τῆς ὁδοῦ· καὶ οὗτος ἐπιβεβήκει ἐπὶ τῆς ὄνου αὐτοῦ, καὶ οἱ δύω παῖδες αὐ-
H τοῦ μετ' αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸν Ἄγγελον, φασὶ, Μιχαὴλ εἶναι τὸν ἐγκεχειρισμένον τὸν
» Ἰσραήλ. τὸ δὲ διαβαλεῖν, τὸ μὲν ἑβραϊκὸν καὶ Ἀκύλας, Σατὰν ἔχει· ὁ δὲ Θεοδοτίων, ἀντικεῖσθαι.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ κελεύσας ἀπελθεῖν, διὰ τοῦ Ἀγγέλου τὴν πορείαν κωλύει; Δεδίττεται αὐτὸν καὶ τῇ τῆς ὄνου φωνῇ τῇ παρὰ φύσιν γεγενημένῃ, καὶ τῇ τοῦ Ἀγγέλου θεωρίᾳ· ἵνα γνῷ πόσην ὁ Θεὸς τοῦ λαοῦ ποιεῖται κηδεμονίαν. Φασὶ δέ τινες τὸν Ἄγγελον τὸν Μιχαὴλ εἶναι, τὸν τοῦ λαοῦ προστατεύοντα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀναγκαῖον οὖν τὸ εἰς φόβον καταβαλεῖν τὸν μάγον· ἀπείργοντα μὲν ἁπάσης ἐννοίας μαγικῆς, εὐτρεπίζοντα δὲ πρὸς ὑπουργίαν προφητείας θεϊκῆς. Φοβεῖ οὖν ἡ τοῦ Ἀγγέλου ἐπιφάνεια. ἔνθα καὶ δῆλον, ὅτι Θεὸν ἀντὶ Ἀγγέλου λέγει, καὶ δι' Ἀγγέλου τοὺς χρηματισμοὺς γενομένους ἱστορεῖ.

ΩΡΙΓΕΝΟΥΣ. Ὁ ἐνδιαβάλλων ἐν τῇ ὁδῷ Ἄγγελος τὸν Βαλαὰμ, ἆρα μὴ οὗτός ἐστι, περὶ οὗ εἶπεν ὁ Θεὸς πρὸς τὸν Μωϋσῆν,
» ὅτι ὁ Ἄγγελός μου προπορεύσεται ἔμπροσθεν ὑμῶν διαφυλάσσων ὑμᾶς ἐν τῇ ὁδῷ; Ἐξόδ. 23. 23.

ΤΟΥ ΑΥΤΟΥ. Ἐνανθρωπήσας οὖν ὁ Σωτὴρ, ἀπέστειλε τοὺς μαθητὰς αὐτοῦ, ἵνα λύσωσι τὴν ὄνον, τουτέστιν ἐκ τῶν δεσμῶν ὧν ἔδησεν ἡ ἀντικειμένη δύναμις, ὁ νοητὸς
» Βαλαάμ· καὶ λύσαντες ἤγαγον πρὸς τὸν Ματθ. 21. 7.
» Ἰησοῦν· καὶ ἐπιθέντες τῇ ὄνῳ τὰ ἱμάτια, τουτέστι τὰς ἀρετὰς τοῦ Εὐαγγελίου. καὶ ἐπικαθήσας αὐτῇ ὁ Σωτὴρ, εἰσῆλθεν εἰς τὴν ἁγίαν πόλιν.

ΕΙΡΗΝΑΙΟΥ. Ἡ μὲν ὄνος, τύπον περιεῖχε τοῦ σώματος τοῦ Χριστοῦ, ἐφ' ὃν πάντες οἱ ἄνθρωποι ἐκ καμάτων ἀναπαυόμενοι, ὡς ὑπὸ ὀχήματος βαστάζονται· τὸ γὰρ φορτίον τῶν ἡμετέρων ἁμαρτημάτων ἐν τῷ ἰδίῳ σώματι ὁ Σωτὴρ ἀνεδέξατο· ὁ δὲ Ἄγγελος ὁ ὀφθεὶς τῷ Βαλαὰμ, αὐτὸς ὁ λόγος ἦν· ἣν δὲ εἶχεν ἐν τῇ χειρὶ μάχαιραν, ἣν εἶχεν ἄνωθεν ἐξουσίαν.

κγ. Καὶ ἰδοῦσα ἡ ὄνος τὸν Ἄγγελον τοῦ Θεοῦ ἀνθεστηκότα ἐν τῇ ὁδῷ, καὶ τὴν ῥομφαίαν ἐσπασμένην ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐξέκλινεν ἡ ὄνος ἐκ τῆς ὁδοῦ, καὶ ἐπορεύετο εἰς τὸ πεδίον. καὶ ἐπάταξε τὴν ὄνον ἐν τῇ ῥάβδῳ. (3)

** ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ ταῖς τῶν δώρων ὑποσχέσεσιν ἐπὶ τῷ χρῆναι βαδίζειν ὁ μάντις ἐδελεάζετο, τάχα που καὶ ἀληθῶς ἰσχύσειν ὑπειληφὼς, ἰέναι μὲν ἐφίησιν ὁ μακάριος Ἄγγελος, κατὰ μέσην δὲ ὤφθη τὴν ὁδὸν σὺν ἀστραπτούσῃ ῥομφαίᾳ, διδάσκων ἐναργῶς, ὡς ὁ πόλεμος αὐτῷ πρός τε Θεὸν καὶ Ἀγγέλους, εἰ ἐπαρᾶσθαι βούλοιτο τοὺς εὐλογημένους.

ΦΙΛΩ-

(1) Ἔλθοιμεν, ἢ ἔλθωμεν, ἢ ἐλθεῖν ποιήσωμεν.

(2) Λείπει τὸ οὐσιαστικόν. ὃ τυχὸν τὸ, φωνῆς, ἢ δυνάμεως, ἢ ἐπινεύσεως, ἢ ἄλλο τι ὅμοιόν ἐστι.

(3) Ἐν τῇ ῥάβδῳ αὐτοῦ τοῦ εὐθῦναι αὐτὴν ἐν τῇ ὁδῷ. αἱ εἰρημ. ἐκδόσ.

A ✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἦν, ὡς ἔοικε, θεία τὶς ὄψις, ἣν τὸ μὲν ζῶον ἐπιφοιτῶσαν ἐκ πολλοῦ θεασάμενον, ὑπέπληξεν· ὁ δ' ἄνθρωπος οὐκ εἶδεν, εἰς ἔλεγχον ἀναισθησίας. ὑπὸ γὰρ ἀλόγου ζώου παρευημερεῖτο τὰς ὄψεις, ὁ μὴ μόνον τὸν κόσμον, ἀλλὰ καὶ τὸν κοσμοποιὸν αὐχῶν ὁρᾶν.

ΕΥΣΕΒΙΟΥ. Ἐτύπτετο ἡ ὄνος. ἆρ' οὐκ ἠδύνατο ὁ Ἄγγελος καὶ ὄπισθεν ἐλθεῖν ὅτε ἔπεσεν ἡ ὄνος, ἢ ὅτε ἐξέκλινε φθάσαι αὐτῆς τὸν περίπατον, ἢ ἄνωθεν ἐρχόμενος ἀπὸ ὕψους χρήσασθαι; ἀλλ' οὐ θέλει φονεῦσαι, ἀλλὰ φοβῆσαι διὰ τὸ εὐμετάβολον τοῦ ἀνδρός· ἵνα ὁ φόβος τὸ εὐμετάστατον αὐτοῦ διακρατήσῃ. ὕστερον βλέπει τὸν Ἄγγελον καὶ τὸ ξίφος γυμνόν. ὡς δὲ λέγει, ὅτι σχῆμα ἦν τὸ θεωρούμενον, ὡς πρᾶγμα. οὐδὲ γὰρ μάχαιρα, φησὶ, παρ' Ἀγγέλοις, οὐδὲ σίδηρος ἐν οὐρανῷ· ἀλλ' εἰς φόβον ὁ τῆς ῥομφαίας σχηματισμὸς, καὶ ταύτης ἐσπασμένης. Γ

κδ. Καὶ ἔστη ὁ Ἄγγελος τοῦ Θεοῦ ἐν ταῖς αὔλαξι τῶν ἀμπελώνων, φραγμὸς ἐντεῦθεν καὶ φραγμὸς ἐντεῦθεν.
κε. Καὶ ἰδοῦσα ἡ ὄνος τὸν Ἄγγελον τοῦ
Θεοῦ, προσέθλιψεν ἑαυτὴν πρὸς τὸν
τοῖχον, καὶ ἀπέθλιψε τὸν πόδα Βα-
λαὰμ πρὸς τὸν τοῖχον. καὶ προσέ-
κϛ. θετο ἔτι μαστίξαι αὐτήν. Καὶ προ- Δ
σέθετο ὁ Ἄγγελος τοῦ Θεοῦ, καὶ ἀπελ-
θὼν ὑπέστη ἐν τόπῳ στενῷ, εἰς ὃν οὐκ ἦν
κζ. ἐκκλῖναι δεξιὰν ἢ ἀριστεράν. Καὶ ἰδοῦ-
σα ἡ ὄνος τὸν Ἄγγελον τοῦ Θεοῦ, συνε-
κάθησεν ὑποκάτω Βαλαάμ. καὶ ἐθυ-
μώθη Βαλαὰμ, καὶ ἔτυπτε τὴν ὄνον
τῇ ῥάβδῳ.

κη. Καὶ ἤνοιξεν ὁ Θεὸς τὸ στόμα τῆς ὄνου, καὶ εἶπε τῷ Βαλαὰμ, τί πεποίηκά σοι, ὅτι πέπαικάς με τρίτον τοῦτο; E

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἡ τῇ ὄνῳ δοθεῖσα φωνὴ, τὸ ξένον καὶ παράδοξον τοῦ γεγονότος ὑπέδειξεν, οὐ μόνον ἐν τῷ φθέγξασθαι τὴν οὐ πεφυκυῖαν, ἀλλὰ καὶ τῷ δεῖξαι διὰ τῶν ῥημάτων, ὅτι παρὰ Θεοῦ τὸ καινούργημα.

Z ΝΥΣΣΗΣ. Τὸ τὴν οἰωνοσκοπικὴν ἐπιτηδεύειν μαντείαν τὸν Βαλαὰμ μαρτυρεῖται παρὰ τῆς ἱστορίας, ἐν οἷς φησὶ, τά τε μαντεῖα διὰ χειρὸς ἔχειν αὐτὸν, καὶ παρὰ τῶν οἰωνῶν συμβουλεύεσθαι. καὶ πρό γε τούτων, ὅτι διὰ τοῦ ὀγκηθμοῦ τῆς ὄνου τὰ περὶ τῆς προκειμένης αὐτῷ σπουδῆς ἐδιδάσκετο· ἧς τὸν φθόγγον, διὰ τὸ συνήθως αὐτὸν ταῖς τῶν ἀλόγων φωναῖς κατά τινα δαιμονικὴν ἐνέργειαν συμβουλεύεσθαι, ὡς ἔναρθρον ἡ Γραφὴ διηγήσατο, ἐνδεικνυμένη τὸ H τοὺς προειλημμένους τῇ τοιαύτῃ τῶν Δαιμόνων ἀπάτῃ μέχρι τούτων φθάνειν, ὡς ἀντὶ λόγου δέχεσθαι τὴν ἐκ τῆς ποιᾶς παρατηρήσεως γινομένην αὐτοῖς ἐκ τῆς φωνῆς τῶν ἀλόγων διδασκαλίαν· ἢ προσχὼν, δι' αὐτῶν ὧν ἠπατᾶτο, τὸ ἄμαχον τῆς καθ' ὧν ἐμισθώθη δυνάμεως ἐξεπαιδεύθη. καὶ γὰρ ἐν τῇ εὐαγγελικῇ ἱστορίᾳ παρεσκεύαστο μὲν εἰς ἀντίστασιν τῆς τοῦ Κυρίου ἐξουσίας ἡ Λεγεὼν τῶν Δαιμόνων· πλησιάσαντος δὲ τοῦ ἔχοντος κατὰ πάντων τὸ κράτος, βοᾷ τὴν ὑπερέχουσαν δύναμιν· ὅτι οὗτός ἐστιν ὁ ἐν τοῖς καθήκουσι χρόνοις ἐπάξων
» τοῖς ἡμαρτηκόσι τὴν κόλασιν· οἴδαμέν σε Μάρ. 1. 24.
B » γάρ τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ· καὶ ὅτι ἦλθες Ματθ. 8. 29.
» πρὸ καιροῦ βασανίσαι ἡμᾶς. ὃ δὴ καὶ τότε ἐγένετο, τῆς παρεπομένης τῷ μάντει δαιμονίας δυνάμεως, τὸ ἀνταγώνιστον τοῦ λαοῦ τὸν Βαλαὰμ διδασκούσης.

ΑΔΗΛΟΥ. Ἡ ὄνος τοῦ Βαλαὰμ κατακρίνει αὐτόν· ὅτι ὑπήκουσε τῷ Ἀγγέλῳ, αὐτὸς δὲ οὐκ ἤκουσεν αὐτοῦ. ὅθεν καὶ διδάσκαλος αὐτοῦ γίνεται ἡ ὄνος. καὶ κριθεῖσα πρὸς αὐτὸν, ἐδικαιώθη ὑπὲρ αὐτόν. ἔχει Γ δὲ καὶ σύμβολον· ἡ μὲν ὄνος, τῶν ἐθνῶν· ὁ δὲ Βαλαὰμ, τῆς ἀντικειμένης δυνάμεως, ἥτις ἐπωχεῖτο τοῖς ἔθνεσι πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Σωτῆρος.

κθ. Καὶ εἶπε Βαλαὰμ τῇ ὄνῳ, ὅτι ἐμπέπαιχάς μοι, καὶ εἰ εἶχον μάχαιραν ἐν τῇ χειρί μου, ἤδη ἂν ἐξεκέντησά σε.

Δ λ. Καὶ λέγει ἡ ὄνος τῷ Βαλαὰμ, οὐκ ἐγὼ ἡ ὄνος σου ἐφ' ἧς ἐπέβαινες ἀπὸ νεότητός σου, ἕως τῆς σήμερον ἡμέρας; μὴ ὑπεροράσει ὑπεριδοῦσα ἐποίησά σοι τοῦτο; ὁ δὲ εἶπεν, οὐχί.

ΕΥΣΕΒΙΟΥ. Εἶτα σὺ μὲν ἀπαιτεῖς με φυλάξαι σοι ὑπακοὴν, αὐτὸς δὲ παρακοῦσαι τοῦ Θεοῦ οὐ φοβῇ; καὶ σὺ μὲν ἀγανακτεῖς, ὡς ὑπερορώμενος παρ' ἐμοῦ, αὐτὸς E δὲ ἰδὼν τὴν κέλευσιν τοῦ Θεοῦ οὐκ ηὐλαβήθης; διόπερ ὁ Ἀπόστολός φησιν ἐν τῇ Κα-
» θολικῇ· ὑποζύγιον ἄφωνον, ἀνθρώπου φω- 2. Πέτρ. 2. 16.
» νῇ φθεγξάμενον, ἤλεγχε τοῦ Προφήτου
» τὴν ἀφροσύνην.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀποφαίνει διὰ τῆς ἀποκρίσεως τὴν κρείττονα αἰτίαν, οὐκ ἐξ αὐτῆς λέγουσα εἶναι τοῦτο.

Z λα. Ἀπεκάλυψε δὲ ὁ Θεὸς τοὺς ὀφθαλμοὺς τοῦ Βαλαὰμ, καὶ ὁρᾷ τὸν Ἄγγελον τοῦ Θεοῦ ἀνθεστηκότα ἐν τῇ ὁδῷ, καὶ τὴν μάχαιραν ἐσπασμένην ἐν τῇ χειρὶ αὐτοῦ, καὶ κύψας προσεκύνησε τῷ προσώπῳ αὐτοῦ.

λβ. Καὶ εἶπεν αὐτῷ ὁ Ἄγγελος τοῦ Θεοῦ, διατὶ ἐπάταξας τὴν ὄνον σου τρίτον τοῦτο; καὶ ἰδοὺ ἐγὼ ἐξῆλθον εἰς διαβολήν σου, ὅτι οὐκ ἀστεία ἡ ὁδός H σου ἐναντίον ἐμοῦ, καὶ ἰδοῦσά με ἡ ὄνος, ἐξέκλινεν ἀπ' ἐμοῦ τρίτον τοῦτο.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἴδε οὖν, ὡς δι' Ἀγγέλων λαλεῖ ὁ Θεὸς τῷ Βαλαὰμ, καὶ λέγεται

Α αὐτὸς λαλεῖν· ἐπειδὴ αὐτοῖς λαλεῖ, καὶ κατὰ τὸ θέλημα αὐτοῦ οὕτως ὑπηρετοῦσι.

ΤΟΥ ΑΥΤΟΥ. Διδάσκει διὰ τῶν λόγων ὁ Ἄγγελος, ὅτι εἰς ἐναντίωσιν αὐτοῦ, καὶ τῆς πορείας ἧς ἐποιεῖτο, προῆλθεν. αὐτός που οὗτος ὤν, ὁ τὸν Ἰσραὴλ ἐγκεχειρισμένος Μιχαήλ.

λγ. Καὶ εἰ μὴ ἐξέκλινεν ἀπ' ἐμοῦ τρίτον τοῦτο, νῦν ἂν σὲ μὲν ἀπέκτεινα, ἐκείνην δ' ἂν περιεποιησάμην. Β

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ νῦν εἰ μὴ ἐξέκλινεν ἀπ' ἐμοῦ. Τὸ δυσπειθὲς ἐκείνης γεγονέ σοι σωτήριον. οὕτως ἀπόλλυσι τὸ πρὸς Θεὸν ἐναντίωμα, καθάπερ ἀπόλλυται σκότος ὑπὸ φωτός.

» ΑΔΗΛΟΥ. Ἐκείνην δ' ἂν περιεποιησάμην. Οὐχὶ τὴν ὄνον κερδᾶναι θέλων, ἀλλὰ φοβῶν τὸν Βαλαάμ.

λδ. Καὶ εἶπε Βαλαὰμ τῷ Ἀγγέλῳ τοῦ Κυρίου, ἡμάρτηκα. Γ οὐ γὰρ ἠπιστάμην, ὅτι σύ μοι ἀνθέστηκας εἰς συνάντησιν ἐν τῇ ὁδῷ. καὶ νῦν εἰ μή σοι ἀρέσκῃ, ἀποστραφήσομαι.

» ** ΠΡΟΚΟΠΙΟΥ. Οὐ γὰρ ἠπιστάμην,
» ὅτι σύ μοι ἀνθέστηκας. Εἰ μὴ ψεύδεται ὡς ἀληθείας ἐχθρὸς, δῆλός ἐστιν, ὡς οὐκ οὕτως ἀπὸ τῶν εἰρημένων λόγων ἐγνώκει Θεόν. Δ ὅθεν ἀναγκαῖον τοῦ Ἀγγέλου τὸ θέαμα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τί γὰρ ἔδει πυνθάνεσθαι περὶ πράγματος οὕτως ἐμφανοῦς, ὃ τὰς ἀποδείξεις εἶχεν ἐξ ἑαυτοῦ, καὶ μὴ δεομένου τῆς ἐκ λόγων ἀληθεστέρας πίστεως; εἰ μὴ ἄρα ὀφθαλμῶν ὦτα πιστότερα, καὶ πραγμάτων ῥήματα.

λε. Καὶ εἶπεν ὁ Ἄγγελος τοῦ Θεοῦ πρὸς Βαλαὰμ, συμπορεύθητι μετὰ Ε τῶν ἀνθρώπων· πλὴν τὸ ῥῆμα ὃ ἂν εἴπω πρὸς σὲ, τοῦτο φυλάξῃ λαλῆσαι. καὶ ἐπορεύθη Βαλαὰμ μετὰ τῶν ἀρχόντων Βαλάκ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Βάδιζε, εἶπεν, ἐφ' ἣν σπεύδεις ὁδόν. ὀνήσεις γὰρ οὐδὲν, ἐμοῦ τε λεκτέα ὑπηχοῦντος ἄνευ τῆς σῆς διανοίας, καὶ τὰ φωνῆς ὄργανα τρέποντος, ᾗ δίκαιον καὶ συμφέρον. Ζ ἡνιοχήσω γὰρ ἐγὼ τὸν λόγον, θεσπίζων ἕκαστα διὰ τῆς σῆς γλώττης, οὐ συνιέντος.

ΩΡΙΓΕΝΟΥΣ. Οὐκ ἐπέτρεψε τῷ Βαλαὰμ ὁ Θεὸς ἀπελθεῖν πρὸς τὸν Βαλάκ. ἐπειδὴ δὲ ἀπελθεῖν ἐβούλετο, συγχωρεῖ. παραγγέλλει δὲ αὐτῷ μόνα τὰ ἀποκαλυπτόμενα εἰπεῖν. καὶ ὁ Ἄγγελος δὲ φανεὶς καὶ φοβήσας, τοῦτο βεβαιοῖ.

ΣΕΥΗΡΟΥ. Ἐπετρέπετο μὲν πορεύεσθαι, Η λαλῆσαι δὲ ὅσα ἂν αὐτῷ δοθείη λαλεῖν, καὶ μὴ τῆς τοῦ μισθοῦ δόσεως ἡττηθῆναι, καίτοι τῶν τῆς φιλαργύρου φλυαρῆσαι μαντείας ἀπὸ καρδίας αὐτοῦ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐχ ὅτι δυνατὸν ἦν ἐκείνῳ τι φθέγξασθαι τῶν μὴ δοκούντων Θεῷ· ἀλλ' ὅτι τὴν ψυχὴν αὐτοῦ διαθεῖναι τῷ φόβῳ, πρὸς ὑποδοχὴν θείας προφητείας, ἐβούλετο.

ΠΟΛΥΧΡΟΝΙΟΥ. Ἐπειδὴ γὰρ πρὸς χάριν ἤμελλε λέγειν τῷ Βαλὰκ ἅπαντα. τοῦτο δὲ εἰς ἀπιστίαν καθίστησι τὸν λαὸν, οὐ βέβαιον περὶ τὴν εὐσέβειαν τυγχάνοντα. σχηματίζει δὲ διαφόρως τὸν φόβον, ὥστε μὴ ἐναντία τῇ τοῦ Θεοῦ γνώμῃ φθέγξασθαι τὸν μάντιν.

ΕΦΡΑΙΜ. Οὐ δεδιὼς ὁ Θεὸς τὸν Βαλαὰμ, μετέβαλε τὰς ἀράς· ἀλλ' ἵνα δείξῃ τοῖς Ἕλλησιν, ὅτι ἀσθενέσιν εἰδώλοις σέβονται.

λς. Καὶ ἀκούσας Βαλὰκ, ὅτι ἥκει Βαλαὰμ, ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ, εἰς πόλιν Μωὰβ, ἥ ἐστιν ἐπὶ τῶν ὁρίων Ἀρνῶν, ἥ ἐστιν ἐκ μέρους τῶν ὁρίων.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὑπαντᾷ τῷ μάγῳ ὁ βασιλεύς. ἱκανὸν τοῦτο ἐπᾶραι τὸν μάγον. ἀλλ' οὐκ ἐπιτρέπει τὰ προϋπάρξαντα.

λζ. Καὶ εἶπε Βαλὰκ πρὸς Βαλαὰμ, οὐχὶ ἀπέστειλα πρὸς σὲ καλέσαι σε; διατί οὐκ ἤρχου πρός με; ὄντως οὐ δυνήσομαι τιμῆσαί σε.

λη. Καὶ εἶπε Βαλαὰμ πρὸς Βαλὰκ, ἰδοὺ ἥκω πρὸς σὲ νῦν. δυνατὸς ἔσομαι λαλῆσαί τι; τὸ ῥῆμα ὃ ἐὰν ἐμβάλῃ ὁ Θεὸς εἰς τὸ στόμα μου, τοῦτο λαλήσω.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐμπεφραγμένην ἑαυτοῦ τὴν γλῶσσαν δηλοῖ, καὶ κωλυομένην τὴν ἐπιβουλήν. ἀλλ' ὁ Βαλὰκ ἐλπίδι τῆς ὠφελείας οὐκ ἀφίσταται τῆς ἐγχειρήσεως.

λθ. Καὶ ἐπορεύθη Βαλαὰμ μετὰ Βαλὰκ, καὶ ἦλθον εἰς πόλεις ἐπαύλεων.

μ. Καὶ ἔθυσε Βαλὰκ πρόβατα καὶ μόσχους, καὶ ἀπέστειλε τῷ Βαλαὰμ καὶ τοῖς ἄρχουσι τοῖς μετ' αὐτοῦ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Εὐωχίαι ἦσαν καὶ πολυτελεῖς ἑστιάσεις, καὶ ὅσα ἄλλα πρὸς ὑποδοχὴν ξένων ἔθος εὐτρεπίζεσθαι φιλοτιμίαις βασιλικαῖς, πάντα πρὸς τὸν μεγαλειότερον ἐπιδιδόντα, καὶ σεμνότερον ὄγκον.

μα. Καὶ ἐγενήθη πρωΐ. καὶ παραλαβὼν Βαλὰκ τὸν Βαλαὰμ, ἀνεβίβασεν αὐτὸν ἐπὶ τὴν στήλην τοῦ Βάαλ, καὶ ἔδειξεν αὐτῷ ἐκεῖθεν μέρος τι τοῦ λαοῦ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τῇ ὑστεραίᾳ ἅμα τῇ ἕω τὸν μάντιν ὁ Βαλάκης παραλαβὼν, ἐπὶ γεώλοφον ἀνήγαγεν, ἔνθα

ἔνθα καὶ στήλην συνέβαινεν ἱδρύσθαι Δαιμονίου τινὸς, ἣν οἱ ἐγχώριοι προσεκύνουν. μέρος δ' ἐνθένδε καθεωρᾶτο τῆς τῶν Ἑβραίων στρατοπαιδείας, ὃ καθάπερ ἀπὸ σκοπιᾶς ἐπεδείκνυτο τῷ μάγῳ.

» ΑΠΟΛΙΝΑΡΙΟΥ. Καὶ ἀνεβίβασεν αὐ-
» τὸν ἐπὶ τὴν στήλην τοῦ Βαάλ· ἔνθα αἱ δυσ-

A σεβεῖς θυσίαι ἔκειντο· μηχάνημα τὸ κατὰ τοῦ Ἰσραὴλ ἐν τοῖς ὑψώμασι τοῦ Βαάλ. ὥστε καὶ τὴν τῶν Δαιμόνων ἰσχὺν ἀσθενοῦσαν ἐξελεγχθῆναι. καὶ οὔτε ὁ Δαίμων ὁ Βαάλ, οὔτε τὸ πλῆθος τῶν θυσιῶν, οὔτε ἡ μαγεία τοῦ Βαλαὰμ ἰσχύουσιν, οὐδ' ὅσον ῥήματι κατὰ τοῦ λαοῦ ῥηθῆναι.

ΚΕΦ. ΚΓ.

α. Καὶ εἶπε Βαλαὰμ τῷ Βαλὰκ, οἰκοδόμησόν μοι ἐνταῦθα ἑπτὰ βωμοὺς, καὶ ἑτοίμασόν μοι ἐνταῦθα ἑπτὰ μόσχους, καὶ ἑπτὰ κριούς.

ΩΡΙΓΕΝΟΥΣ. Ἔστι καὶ διὰ σώματος ἑτέρου ἔργα γινόμενα καὶ ἐν τοῖς κρείττοσι καὶ ἐν τοῖς [χείροσιν:] οἷον ὡς τὰ γινόμενα ἐν Αἰγύπτῳ ὑπὸ Μωσῆ καὶ Ἀαρὼν καὶ τῶν ἐπαοιδῶν. ἀλλὰ συγκρινομένη ἡ θεία δύναμις πρὸς τὴν ἀντικειμένην κατὰ πρόσωπον τῶν ἀμφιβαλλόντων αὕτη ἡ θεία δύναμις νικᾷ· ὡς ἡ ῥάβδος Μωϋσῆ τὰς τῶν ἐπαοιδῶν ῥάβδους κατέπιε.

ΤΟΥ ΑΥΤΟΥ. Εἰώθει ὁ Βαλαὰμ ταῖς τοιαύταις θυσίαις θεραπεύων προσκαλεῖσθαι τοὺς Δαίμονας. τοιαῦται γὰρ αἱ θυσίαι ἐτελοῦντο ἐν κόσμῳ τοῖς Δαίμοσι. διὰ τοῦτο οὖν ὁ Θεὸς θυσίας ἀπαιτεῖ τὸν πρῶτον λαὸν, ἵνα διὰ τὸ προσφέρεσθαι τῷ Θεῷ, καταργηθῇ τὸ προσφέρεσθαι τοῖς Δαίμοσιν· εἰ καὶ τὰ μάλιστα σύμβολα ἦσαν.

β. Καὶ ἐποίησε Βαλὰκ ὃν τρόπον εἶπεν αὐτῷ Βαλαάμ· καὶ ἀνήνεγκε
γ. μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν. Καὶ εἶπε Βαλαὰμ πρὸς τὸν Βαλὰκ, παράστηθι ἐπὶ τῆς θυσίας σου, ἐγὼ δὲ πορεύσομαι εἴ μοι φανεῖται ὁ Θεὸς ἐν συναντήσει, καὶ ῥῆμα ὃ ἐάν μοι δείξῃ, ἀναγγελῶ σοι. καὶ παρέστη Βαλὰκ ἐπὶ τῆς θυσίας αὐτοῦ.

δ. Καὶ Βαλαὰμ ἐπορεύθη ἐπερωτῆσαι τὸν Θεόν. καὶ ἐπορεύθη εὐθεῖαν. καὶ ἐφάνη ὁ Θεὸς τῷ Βαλαάμ. καὶ εἶπε πρὸς αὐτὸν Βαλαὰμ, τοὺς ἑπτὰ βωμοὺς ἡτοίμασα, καὶ ἀνεβίβασα μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὁ μὲν οὓς εἰώθει πονηροὺς Δαίμονας, τούτους ἐζήτει. οὐδεὶς δὲ ἐκείνων ἐπιτρέπεται φανῆναι· ἀλλ' ὁ τοῦ Θεοῦ Ἄγγελος ἐπιφαίνεται, καὶ λέγει μὲν οὐδὲν, ἐνεργεῖ δὲ τὸν ῥηθησόμενον λόγον.

ε. Καὶ ἐνέβαλεν ὁ Θεὸς ῥῆμα εἰς τὸ στόμα Βαλαὰμ, καὶ εἶπεν, ἐπιστραφεὶς πρὸς Βαλὰκ, οὕτω λαλήσεις.

B » ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸ, εἶπεν, ἀντὶ τοῦ, ἐνήργησεν. οὐ γὰρ ἐρρέθη ῥήματα, ἀλλὰ παρεσκευάσθη ἡ ψυχή. μᾶλλον δὲ νοητέον, ὡς οὐκ ἐχρήσατο συνήθως τοῖς οἰωνοῖς, θαρρῶν αὐτῷ συναντήσεσθαι τὸν εἰπόντα, ὅτι
» ὃ ἂν εἴπω σοι, λαλήσεις.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ τὸν Βαλαὰμ ἠνάγκασέ ποτε τὰ μέλλοντα εἰπεῖν, τὴν οἰκείαν δύναμιν ἐπιδεικνύμενος, καὶ δη-
Γ λῶν ὅτι οὐχὶ ἐν τοῖς οἰκείοις μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἀλλοτρίοις κρατεῖν δύναται.

ϛ. Καὶ ἀπεστράφη πρὸς αὐτόν. καὶ ὁ δὲ ἐφεστήκει ἐπὶ τῶν ὁλοκαυτωμάτων αὐτοῦ, καὶ πάντες οἱ ἄρχοντες Μωὰβ μετ' αὐτοῦ. καὶ ἐγενήθη πνεῦμα Θεοῦ ἐπ' αὐτῷ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Διὰ τὴν ἐλπίδα τῆς
Δ νίκης παρῆσαν πολλοί. ἅπαντα δὲ αὐτῶν τὰ τῆς ἐλπίδος ἐναντία.

ΤΟΥ ΑΥΤΟΥ. Ἡ πεφοβημένη ψυχὴ τοῦ μάγου δεκτικὴ τοῦ θείου πνεύματος ἐγένετο· καὶ οὐ θαῦμα, ὁπότε καὶ ἡ ὄνος ἐνέργειαν ἐδέξατο, ἄλογος οὖσα, βουλήσει Θεοῦ, πρὸς ἅπερ εἶπε (1) ῥήματα.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἔνθους αὐτίκα γίνεται, προφητικοῦ πνεύματος ἐπιφοιτήσαντος· ὃ πᾶσαν αὐτῷ τὴν ἔντεχνον
E μαντικὴν σοφιστείαν ὑπερόριον τῆς ψυχῆς ἤλασε. θέμις γὰρ οὐκ ἦν ἱερωτάτην κατακωχὴν συνδιαιτᾶσθαι μαγικῇ.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ τί θαυμάζεις, εἰ ἀνδράσι πεπιστευκόσι μὲν εἰς αὐτὸν, βίον δὲ οὐκ ἔχουσι τῇ πίστει συμβαίνοντα, χαρίσματα ἔδωκεν· ὅπου γε καὶ εἰς τοὺς ἀμφοτέρων τούτων ἐκπεπτωκότας εὑρίσκεται ἐνεργῶν; καὶ γὰρ ὁ Βαλαὰμ πίστεως καὶ πολι-
Z τείας ὀρθῆς ἀλλότριος ἦν· ἀλλ' ὅμως ἐνήργησεν εἰς αὐτὸν ἡ χάρις, διὰ τὴν ἑτέρων οἰκονομίαν. καὶ Φαραὼ τοιοῦτος ἦν. ἀλλὰ κἀκείνῳ τὰ μέλλοντα ἔδειξε. καὶ ὁ Ναβουχοδονόσορ παρανομώτερος. (2) καὶ τούτῳ πάλιν τὰ μετὰ πολλὰς γενεὰς μέλλοντα ἀπεκάλυψε· καὶ τῷ παιδίῳ πάλιν ἐκείνου νικῶντι τῇ παρανομίᾳ τὸν πατέρα. [τὰ μέλλοντα ἔδειξε, θαυμαστὰ καὶ μεγάλα οἰκονομῶν πράγματα.]

H ΤΟΥ ΑΥΤΟΥ. Ἀνάξιος μὲν ἦν, ὡς ἀλλότριος πολιτείας καὶ πίστεως ὀρθῆς, ἀλλ'

(1) Πολλὰ προϊεῖσα ῥήματα. ὁ Ἀλεξάν. κώδ.

(2) Παρανομώτατος. ἐν Τόμ. 7. σελ. 301. τῆς τοῦ Μοντφαυκον. ἐκδόσ.

ἀλλ' ὅμως ἐνήργησεν εἰς αὐτὸν ἡ χάρις, A διὰ τὴν ἑτέρων οἰκονομίαν. (1)

ζ. Καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ, εἶπεν, ἐκ Μεσοποταμίας μετεπέμψατό με Βαλὰκ βασιλεὺς Μωὰβ ἐξ ὀρέων ἀπὸ ἀνατολῶν, λέγων, δεῦρο ἄρασαί μοι τὸν Ἰσραήλ.

η. Τί ἀράσωμαι ὃν μὴ ἀρᾶται Κύριος; ἢ τί καταράσωμαι ὃν μὴ καταρᾶται ὁ Θεός; B

» ∗ ΠΡΟΚΟΠΙΟΥ. Παραβολὴν, τὸν σοφὸν λόγον εἴωθεν ἡ Γραφὴ λέγειν, [κατὰ
Ψαλ. 77. 2. τὸ, ἀνοίξω ἐν παραβολῇ τὸ στόμα μου.]

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὑποστρέψας, καὶ τάς τε θυσίας ἰδὼν, καὶ τοὺς βωμοὺς φλέγοντας, ὥσπερ ἑρμηνεὺς, ὑπο» βάλλοντος ἑτέρου θεσπίζει τάδε· ἐκ Μεσο» ποταμίας μετεπέμψατό με Βαλάκης, μακρὰν τὴν ἀπ' ἀνατολῶν στειλάμενον ἀποδημίαν, ἵνα τίσηται τοὺς Ἑβραίους ἀραῖς. ἐγὼ δὲ τίνα τρόπον ἀράσομαι τοῖς μὴ καταράτοις ὑπὸ Θεοῦ; Γ

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ποίαν ἰσχὺν εἶχεν ἡ τοῦ μάντεως ἀρὰ, μὴ βουλομένου Θεοῦ; Ἰσχὺν εἶχεν οὐδεμίαν. ψευδὴς γὰρ ἦν ἡ περὶ αὐτοῦ κατέχουσα δόξα. ἐπειδὴ δὲ συνεχῶς παρανομῶν ὁ λαὸς ὑπέμεινε θεηλάτους ὀργὰς, πρὸς τὴν ἐκείνων ἀσθένειαν τὰ κατὰ τὸν Βαλαὰμ ᾠκονόμησεν ὁ δεσπότης Θεός· ἵνα γὰρ μὴ νομίσωσι παρὰ τοῦ Θεοῦ παιδευόμενοι, διὰ τὰς τοῦ μάντεως ἀρὰς συμφοραῖς περιπίπτειν, οὐκ εἴασε τὸν μάντιν χρήσασθαι ταῖς ἀραῖς, τὰς τῶν ἀνοήτων ἀφορμὰς περικόπτων. ὅτι γὰρ εἰ καὶ ἰσχύν τινα εἶχον αἱ τοῦ μάντεως ἀραὶ, ῥᾴδιον ἦν τῷ τὰ πάντα τεκτηναμένῳ ταύτας ἀποφῆναι ματαίας, δῆλον τοῖς τὰ θεῖα
Ψαλ. 32. 10. πεπαιδευμένοις. Κύριος γάρ φησι διασκε» δάζει βουλὰς ἐθνῶν, ἀθετεῖ δὲ λογισμοὺς » λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων· ἡ δὲ » βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει. ὁ μέντοι Βαλαὰμ καὶ τοῦ Θεοῦ τὴν κηδεμονίαν μεμαθηκὼς, ταῖς θυσίαις μεταπεῖσαι πειρᾶται, ἕνα τῶν ψευδωνύμων εἶναι τοπάζων, οὓς καὶ στρεπτοὺς ὀνομάζουσιν οἱ τούτων » θεραπευταί. τὸ δὲ, ἐπορεύθη ἐπ' εὐθεῖαν, δηλοῖ ὅτι τὸ πρακτέον ἀληθῶς ἠβουλήθη μαθεῖν. τούτου χάριν τὸ ἀκάθαρτον στόμα τοῦ παναγίου πνεύματος διεδέξατο τὴν ἐνέργειαν, καὶ φθέγγεται ἃ μὴ βούλεται, καὶ » βοᾷ· τί ἀράσωμαι ὃν μὴ ἀρᾶται Κύριος; » καὶ τί καταράσωμαι ὃν μὴ καταρᾶται Θεός; καὶ προαγορεύει τὰ ἐσόμενα· ἰδοὺ » λαὸς μόνος κατοικήσει, καὶ ἐν ἔθνεσιν οὐ » συλλογισθήσεται. τίς ἐξηκριβώσατο σπέρ» μα Ἰακὼβ, καὶ τίς ἐξαριθμήσεται δήμους Ἰσραήλ; εἶτα αἰτεῖ τῆς ἐκείνων μετασχεῖν » κοινωνίας· ἀποθάνοι ἡ ψυχή μου ἐν ψυ» χαῖς δικαίων, καὶ γένοιτο τὸ σπέρμα μου » ὡς τὸ σπέρμα τούτου.

θ. Ὅτι ἀπὸ κορυφῆς ὀρέων ὄψομαι αὐτὸν, καὶ ἀπὸ βουνῶν προσνοήσω αὐτόν. ἰδοὺ λαὸς μόνος κατοικήσει, καὶ ἐν ἔθνεσιν οὐ λογισθήσεται.

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Θεάσομαι μὲν αὐτοὺς ὀφθαλμοῖς ἀφ' ὑψηλοτάτων ὀρῶν, καὶ τῇ διανοίᾳ καταλήψομαι, βλάψαι δ' οὐκ ἂν δυναίμην λαὸν, ὃς μόνος κατοικήσει, μὴ συναριθμούμενος ἑτέροις ἔθνε- B σιν; οὐ κατὰ τόπων ἀποκλήρωσιν καὶ χώρας λατομὴν, ἀλλὰ κατὰ τὴν τῶν ἐξαιρέτων ἐθνῶν ἰδιότητα, μὴ συναναμιγνυμένων ἄλλοις εἰς τὴν τῶν πατρίων ἐκδιαίτησιν.

» ΑΠΟΛΙΝΑΡΙΟΥ. Καὶ ἀπὸ βουνῶν προσ» νοήσω αὐτῶν. ἐκ γὰρ τῶν ὑψηλῶν τοῦ Βάαλ ἐθεώρει τὰ ἄκρα τοῦ λαοῦ.

» ΤΟΥ ΑΥΤΟΥ. Ἰδοὺ λαὸς μόνος κατοικήσει. ἐξαίρετος γὰρ ἦν, ἐξῃρημένος ἀπὸ πάντων τῶν ἐθνῶν καὶ νόμων, καὶ τῷ ποδὶ Γ ὡραϊσμένος. ὅπερ ἐφ' ἡμῶν πνευματικῶς γίνεται, μικρὸν ἰσχύοντος τοῦ τόπου πρὸς διαίρεσιν γνώμης· τῆς δὲ γνώμης καὶ τὴν τοῦ τόπου συνοίκησιν ἀβλαβῆ κατασκευαζούσης, καθ' ὃν ἡμεῖς ἀγόμεθα, σὺν ἔθνεσιν ὄντες, τὰ ἐθνῶν οὐ ζηλοῦντες.

ΤΟΥ ΑΥΤΟΥ. Σημειωτέον, ὅτι τὰ νῦν πνεύματι Θεοῦ ἐλάλει καὶ ηὐλόγει. τὰ γὰρ ἀρεστὰ τῷ Θεῷ ἐλάλει. καὶ καθάπερ εἶπεν » ὁ Ἀπόστολος, οὐδεὶς δύναται εἰπεῖν Κύριον, 1. Κορ. 12. 3.
Δ » εἰ μὴ ἐν πνεύματι Θεοῦ. καὶ μὴ θαυμάσῃς. » τὸ γὰρ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ Ἰωάν. 1. 5.
» σκοτία αὐτὸ οὐ κατέλαβεν. εἰ γὰρ δι' ὄνου οὐκ ἀπηξίωσεν αὐτὸν λαλῆσαι, πόσῳ μᾶλλον δι' ἁμαρτωλοῦ ἀνθρώπου, ὡς καὶ τοῦ Καϊάφα καὶ ἄλλων πολλῶν; ταῦτα εἰς ἀκοὰς τοῦ Ἰσραὴλ ἀναγκαίως ἐλέγετο, μέλλοντα διαθρυλλεῖσθαι, πολλὴν ἐργαζομένῳ (2) πρὸς Θεὸν διάθεσιν. διὸ καὶ ἀναμιμνήσκει τούτων ὁ Θεὸς διὰ Μιχαίου τοῦ E προφήτου, πολλὴν τὴν ἀγάπην ἐμφαίνων·
» λαός μου τί ἐποίησά σοι, ἢ τί ἐλύπησά σε; Μιχ. 6. 3.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ὥσπερ τὴν ἄφωνον οὖσαν, πρὸ τούτου ἐποίησε λαλῆσαι· οὕτω καὶ τοῦτον ἐνεργούμενον ὑπὸ Δαιμόνων τὸ πρότερον, νῦν ἐποίησε πνεύματι Θεοῦ τὴν ἀλήθειαν προφητεῦσαι.

∗∗ ΚΥΡΙΛΛΟΥ. Προφήτης ἦν εὐθὺς, οὐχ ὁ συνήθης καὶ ψευδηγόρος, ἀλλὰ θείᾳ τε Z καὶ ἀπορρήτῳ δυνάμει παρετρέπετο παρ' ἐλπίδα πρὸς τὸ ἐναντίον. ἐπηρᾶτο μὲν γὰρ οὐδαμῶς, ηὐλόγει δὲ μᾶλλον τὸν Ἰσραὴλ, καὶ πικραῖς ἐνίησι λύπαις τὸν Βαλάκ.

ι. Τίς ἐξιχνιάσεται τὸ σπέρμα Ἰακὼβ, καὶ τίς ἐξαριθμήσεται δήμους Ἰσραήλ; ἀποθάνοι ἡ ψυχή μου ἐν ψυχαῖς δικαίων, καὶ γένοιτο τὸ σπέρμα μου ὡς τὸ σπέρμα τούτων.

H Τὸ σπέρμα μου, ὡς τὸ σπέρμα τούτων. Ἄλλος, τὰ ἔσχατά μου ὅμοια αὐτῶν.

ΑΠΟ-

(1) Λῆμμα τοῦ προλαβόντος μικρόν τι παρηλλαγμένον.

(2) Ἐργαζομένου, ἢ ἐργαζόμενα· ἢ καὶ οὕτως· εἰς ἀκοὰς τῷ Ἰσραὴλ, κτ.

» ΑΠΟΛΙΝΑΡΙΟΥ. Καὶ τίς ἐξαριθμήσεται δήμους Ἰσραήλ; Ἐξ ἑκατέρων ἡ τιμὴ, καὶ τῆς κατ' ἰδίαν οἰκήσεως ἀπονεμηθείσης, καὶ τῆς εἰς πλῆθος αὐξήσεως οἰκονομουμένης.

ΤΟΥ ΑΥΤΟΥ. Ὁ πρὸς ἐπιβουλὴν ἥκων, κοινωνίας εὔχεται τῆς πρὸς τούτους τυχεῖν, οἷς ἧκεν ἐπιβουλεύσων. καὶ τοιούτου τέλους ἐφίεται, οἵου τεύξονται ἐκεῖνοι.

✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀποθάνοι μου ἡ ψυχὴ τὸν σωματικὸν βίον, ἵνα ψυχαῖς δικαίων καταριθμηθῇ, οἵας εἶναι συμβέβηκε τὰς τούτων.

ια. Καὶ εἶπε Βαλὰκ πρὸς Βαλαὰμ, τί πεποίηκάς μοι; εἰς κατάρασιν ἐχθρῶν μου κέκληκά σε, καὶ ἰδοὺ εὐλόγησας εὐλογίαν.

✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐπὶ κατάραις ἐχθρῶν μετακληθεὶς, εὐχὰς τιθέμενος ἐκείνοις οὐκ ἐρυθριᾷς. ἐλελήθειν ἄρ' ἐμαυτὸν ἀπατῶν, ὡς ἐπὶ φίλῳ σοὶ τὴν ὑπὲρ τῶν πολεμίων ἀφανῶς τεταγμένῳ τάξιν, ἣ νῦν γέγονε δήλη.

ιβ. Καὶ εἶπε Βαλαὰμ πρὸς Βαλὰκ, οὐχὶ ὅσα ἂν ἐμβάλῃ ὁ Θεὸς εἰς τὸ στόμα μου, τοῦτο φυλάξω λαλῆσαι;

✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Λέγω οὐδὲν ἴδιον, ἀλλ' ἅττ' ἂν ὑπηχήσῃ τὸ θεῖον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐκ ἀδυνατός εἰμι, φησὶ, ποιεῖν ὅπερ τοι συνήθες καὶ κατὰ τέχνην, ἀλλ' ἐπικρατεῖ τὸ παρὰ Θεοῦ πρόσταγμα.

ΣΕΥΗΡΟΥ. Ἔθος γὰρ τῷ Θεῷ τοὺς πεπλανημένους, ἐξ αὐτῶν τῆς πλάνης ὁδῶν ἐπιστρέφειν πρὸς τὴν ἀλήθειαν. Καὶ πάλιν. Οὐκοῦν οὔτε Βαλαὰμ εὐσεβὴς, ἀλλὰ καὶ θεομάχος, καὶ τοῖς ἀσεβείας βρόχοις ἐναπομείνας, εἰ καὶ ὁ Θεὸς πρὸς ἔνδειξιν τῆς ἀληθείας καὶ τὴν τῶν πεπλανημένων ἐπιστροφὴν τῇ αὐτοῦ φωνῇ συνεχρήσατο.

ιγ. Καὶ εἶπε πρὸς αὐτὸν Βαλὰκ, δεῦρο ἔτι μετ' ἐμοῦ εἰς τόπον ἄλλον ἐξ οὗ οὐκ ὄψει αὐτὸν ἐκεῖθεν, ἀλλ' ἢ μέρος τι αὐτοῦ ὄψει, πάντας δὲ οὐ μὴ ἴδῃς, καὶ κατάρασαί μοι αὐτὸν ἐκεῖθεν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ δυσχεράνας ὁ Βαλὰκ, καὶ τοπάσας ὅτι τῶν Ἑβραίων τὸ πλῆθος ἰδὼν, τὴν εὐλογίαν προσενήνοχεν, εἰς ἕτερον αὐτὸν ἀπήγαγε τόπον, ἐξ οὗ μέρος οἷόν τε ἦν ἰδεῖν τοῦ λαοῦ.

ιδ. Καὶ παρέλαβεν αὐτὸν εἰς ἀγροῦ σκοπιὰν ἐπὶ κορυφὴν λελαξευμένου. καὶ ᾠκοδόμησεν ἐκεῖ ἑπτὰ βωμοὺς, καὶ ἀνεβίβασε μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν.

✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Νομίσας ὁ βασιλεὺς ἢ τὸν μάντιν ἀπατᾶν, ἢ τὸ θεῖον τρέπεσθαι, καὶ ταῖς τῶν τόπων μεταβολαῖς τὸ τῆς γνώμης ἐχυρὸν ἀλλάττειν, εἰς ἕτερον ἀπαγαγὼν χωρίον, ἐκ λόφου πάνυ περιμήκους ἐπεδείκνυτο μέρος τι τῆς ἀντιπάλου στρατιᾶς.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοιούτους γὰρ τόπους ἐξελέγοντο εἰς τὰς τῶν εἰδώλων ποιήσεις καὶ θυσίας, τὸ ταπεινὸν τῆς εἰδωλολατρείας ὕψει τῶν τόπων ἐπαίρειν νομίζοντες.

ιε. Καὶ εἶπε Βαλαὰμ πρὸς Βα-
λὰκ, παράστηθι ἐπὶ τῆς θυσίας σου,
ἐγὼ δὲ πορεύσομαι ἐπερωτῆσαι τὸν
ιϛ. Θεόν. Καὶ συνήντησεν ὁ Θεὸς τῷ
Βαλαὰμ, καὶ ἐνέβαλε ῥῆμα εἰς τὸ
στόμα αὐτοῦ, καὶ εἶπεν, ἀποστράφηθι
πρὸς Βαλὰκ, καὶ τάδε λαλήσεις.
ιζ. Καὶ ἀπεστράφη πρὸς αὐτόν· καὶ ὁ δὲ
ἐφεστήκει ἐπὶ τῆς ὁλοκαυτώσεως αὐ-
τοῦ, καὶ πάντες οἱ ἄρχοντες Μωὰβ
μετ' αὐτοῦ. καὶ εἶπεν αὐτῷ Βαλὰκ,
ιη. τί ἐλάλησε Κύριος; Καὶ ἀναλαβὼν
τὴν παραβολὴν αὐτοῦ, εἶπεν, ἀνά-
στηθι Βαλὰκ, καὶ ἄκουε, ἐνώτισε μάρ-
τυς υἱὸς Σεπφώρ.

ιθ. Οὐχ ὡς ἄνθρωπος ὁ Θεὸς
διαρτηθῆναι, οὐδὲ ὡς υἱὸς ἀνθρώπου
ἀπειληθῆναι. αὐτὸς εἴπας, οὐχὶ ποιή-
κ. σει; λαλήσει, καὶ οὐχὶ ἐμμενεῖ; Ἰδοὺ
εὐλογεῖν παρείλημμαι· εὐλογήσω,
καὶ οὐ μὴ ἀποστρέψω.

Διαρτηθῆναι. Ἀκύλας, διαψεύσεται. Θεοδοτίων, ψεύσεται ἵνα μετανοήσῃ.

ΑΔΗΛΟΥ. Διαρτηθῆναι, τουτέστιν ὑπερτεθῆναι καὶ παροφθῆναι. βλέπεις ὅσον ὠφέλησεν ἡ ἀπειλὴ τοῦ Ἀγγέλου;

✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὐχ ὡς ἄνθρωπος διαψευσθῆναι δύναται, οὐδ' ὡς υἱὸς ἀνθρώπου μετανοεῖ, καὶ ἅπαξ εἰπὼν, οὐκ ἐμμένει. φθέγξεται τὸ παράπαν οὐδὲν, ὃ μὴ τελειωθήσεται βεβαίως. ἐπεὶ ὁ λόγος ἔργον ἐστὶν αὐτοῦ. παρελήφθην δὲ ἐπ' εὐλογίαις, οὐ κατάραις ἐγώ.

» ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Οὐχ ὡς ἄνθρωπος ὁ Θεὸς διαρτηθῆναι. οἱ Λοιποὶ ἐξέδωκαν, ἵνα ψεύσηται. τινὲς δὲ ὑπερτεθῆναι καὶ παροφθῆναι ἐξηγήσαντο. οὕτως ὠφέλησεν αὐτὸν ἡ ἀπειλὴ τοῦ Ἀγγέλου. καὶ πονηροῖς δὲ καὶ ἀπίστοις δι' οἰκονομίαν τὸ μέλλον ἀποκαλύπτεται· ὡς καὶ τῷ Φαραὼ, καὶ Ναβουχοδονόσορ, καὶ τῷ τούτου παιδί.

» ΑΝΕΠΙΓΡΑΦΟΥ. Οὐχ ὡς ἄνθρωπος ὁ Θεὸς διαρτηθῆναι, οὐδὲ ψεῦδος παρὰ Θεῷ· ἵνα ὅπερ εἶπε, μὴ ἐπιτελέσῃ· οὐδὲ μετάνοια, ἵνα μὴ ἐξαλλάξῃ τὸν λόγον, ἐναντία τῇ πράξει. ἥκω μέν φησιν ἐπὶ τὸ καταρᾶσθαι, τέταγμαι δὲ εὐλογεῖν, καὶ οὐκ ἔσται μετάστασις.

» ΑΔΗΛΟΥ. Διαρτηθῆναι. Ἄλλος, σαλευθῆναι ὡς τὰ κρεμάμενα. ἀντὶ τοῦ, πάγια ὁ Θεὸς λαλεῖ καὶ ἡδρασμένα. οὐ μετέωρα καὶ ἄστατα καὶ ψευδῆ, ὡς τὰ μαντεῖα καὶ

A καὶ οἱ οἰωνισμοί, ὡς παρακατιὼν φησιν· » οὐ γάρ ἐστιν οἰωνισμὸς ἐν Ἰακὼβ, οὐδὲ μαντεία ἐν Ἰσραήλ. βλέπεις ὅσον ὠφέλησεν αὐτὸν ἡ ἀπειλὴ τοῦ Ἀγγέλου;

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰκότως πάλιν τὸ πανάγιον πνεῦμα δι' ἐκείνου φησίν· » οὐχ ὡς ἄνθρωπος ὁ Θεὸς διαρτηθῆναι, οὐδὲ ὡς υἱὸς ἀνθρώπου ἀπειληθῆναι· αὐτὸς εἰπὼν, οὐχὶ ποιήσει; λαλήσει, καὶ οὐκ ἐμμενεῖ; ἄτρεπτος, φησὶν, ὦ Βαλὰκ, καὶ ἀναλλοίωτος ἡ τοῦ Θεοῦ φύσις. οὐκ ἔχει γνώμην τρεπτὴν, B τοῖς ἀνθρώποις παραπλησίαν. » ἰδοὺ εὐλογεῖν παρείλημμαι· εὐλογήσω, καὶ οὐ μὴ ἀποστραφῶ.

ΕΙΡΗΝΑΙΟΥ. Δείκνυσιν, ὡς πάντες μὲν ἄνθρωποι ψεύδονται μεταφερόμενοι, ὁ δὲ Θεὸς οὐχ οὕτως. ἀεὶ γὰρ μένει ἀληθὴς, διατελῶν ὅσα βούλεται.

κα. Οὐκ ἔσται μόχθος ἐν Ἰακὼβ, οὐδὲ ὀφθήσεται πόνος ἐν Ἰσραήλ. Κύ- Γ ριος ὁ Θεὸς αὐτοῦ μετ' αὐτοῦ, τὰ ἔνδοξα ἀρχόντων ἐν αὐτῷ.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὰ ἔνδοξα ἀρχόντων ἐν αὐτῷ. Ἀκύλας, ἀλαλαγμὸς βασιλέως ἐν αὐτῷ. Σύμμαχος, σημασία. Θεοδοτίων, σαλπισμός. δείκνυσι δὲ, ὡς πρὸς τῷ μὴ βλάψαι νικηθήσεται ὁ Βαλὰκ, πάσχων ἃ ποιεῖν ἐνενόησε· καίτοι τοῦ Θεοῦ Δευτ. 2. 9. » εἰπόντος, μὴ ἐχθραίνετε τοῖς Μωαβίταις, Δ ἐπειδὴ τοῖς υἱοῖς Λὼτ δέδωκε ταύτην τὴν γῆν. ἐκ μὲν οὖν τοῦ γένους ἔχον τὸ μὴ ἀνάστατοι γενέσθαι· καὶ ἄρξαντες δὲ ἀδικίας, ἀντιπεπόνθασι κατακριθέντες ὑπὸ Θεοῦ τοῦ διδόντος τὰς ἀδικίας ἑκάστων εἰς τὰς κεφαλὰς αὐτῶν. σημασίας δὲ τὰς σάλπιγγας νοητέον τὰς ἐπὶ σημείῳ τοῦ οὐρανίου βασιλέως αἰρομένας. ὃς μετὰ σαλπίγγων ἐξ οὐρανοῦ παρέσται, ἀποκαθιστὰς τὴν ἐπαγγελίαν.

E ΑΝΕΠΙΓΡΑΦΟΥ. Τὰ ἔνδοξα, τὰς σημασίας λέγει, τουτέστι τὰς σάλπιγγας.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὧ γὰρ ὁ Θεὸς πάρεστιν, ἄνθρωπος τούτου οὐκ ἂν κατισχύσῃ.

ΤΟΥ ΑΥΤΟΥ. Τουτέστιν ἰσχύσεις, (1) ὦ Βαλὰκ, ἀλλὰ μάταια κακουργεῖς. διότι Κύριος αὐτοῦ μετ' αὐτοῦ.

ΕΦΡΑΙΜ. Ἀρχόντων ἐν αὐτῷ. (2) Ἀποστόλων, Προφητῶν, Μαρτύρων, καὶ τῶν λοιπῶν δικαίων, καὶ τῶν Ἀγγέλων.

Z κβ. Ὁ Θεὸς ὁ ἐξαγαγὼν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξα μονοκέρωτος αὐτῷ.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὐκ ἔσται πόνος ἢ μόχθος ἐν Ἑβραίοις. ὁ Θεὸς αὐτῶν προασπίζει φανερῶς, ὃς καὶ τὴν τῶν αἰγυπτιακῶν ῥύμην κακῶν ἀπεσκέδασεν, ὡς ἕνα ἄνδρα τὰς τοσαύτας μυριάδας ἀναγαγών.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀκράτητον ὑπ' ἀνθρώπων ὁ μονόκερως. τὸ οὖν ἀήττητον τοῦ λαοῦ, διὰ τοῦ παραδείγματος δείκνυται.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ὡς δόξα μονοκέρωτος αὐτῷ; Ὁ μονόκερως ζῶόν ἐστιν, ἓν ἔχων κέρας ἐν τῇ κεφαλῇ. περὶ τούτου καὶ πρὸς τὸν Ἰὼβ ὁ δεσπότης ἔφη Θεός· » βουλήσεταί σοι μονόκερως δουλεῦσαι; διὰ Ἰώβ. 39. 9. τούτου διδάσκων καὶ τὴν δύναμιν τοῦ ζώου, καὶ τὸ ἀδούλωτον. τινὲς μὲν οὖν τούτῳ ἀπεικάσαν τὸν δεσπότην Θεόν· ἐγὼ δὲ οἶμαι περὶ τοῦ λαοῦ τοῦτο εἰρῆσθαι. ὅτι καθάπερ ὁ μονόκερως ἓν ἔχει κέρας, οὕτως ὁ εὐσεβὴς λαὸς ἕνα προσκυνεῖ Θεόν. διὸ καὶ ὁ μακάριος Δαβὶδ λέγει· » ἐν σοὶ τοὺς ἐχθροὺς Ψαλ. 43. 5. ἡμῶν κερατιοῦμεν. πῶς δὲ νοητέον τὸν ἕνα Θεὸν, πολλάκις εἰρήκαμεν.

κγ. Οὐ γάρ ἐστιν οἰωνισμὸς ἐν Ἰακὼβ, οὐδὲ μαντεία ἐν Ἰσραήλ· κατὰ καιρὸν ῥηθήσεται Ἰακὼβ, καὶ τῷ Ἰσραὴλ, τί ἐπιτελέσει ὁ Θεός.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οἰωνῶν ἀλογοῦσι, καὶ πάντων τῶν κατὰ μαντικὴν, ἑνὶ τῷ τοῦ κόσμου ἡγεμόνι πιστεύοντες.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ, » οὐκ ἔσται οἰωνισμὸς ἐν Ἰακὼβ, οὐδὲ μαντεία ἐν Ἰσραήλ· κατὰ καιρὸν ῥηθήσεται τῷ Ἰακὼβ, καὶ τῷ Ἰσραὴλ, τί ἐπιτελέσει ὁ Θεὸς, οὕτω νοητέον· ὅτι κατὰ τοῦ Ἰσραὴλ, τί ἐπιτελέσει ὁ Θεὸς, οὔτε μαντεία ἰσχύει, οὔτε οἰωνῶν παρατηρήσεις προειπεῖν. ὁ γὰρ δεσπότης Θεὸς διὰ τῶν οἰκείων Προφητῶν καὶ τὰ ἐσόμενα αὐτῷ προλέγει, καὶ ὑποτίθεται τὸ πρακτέον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Μαντεῖαι μὲν γὰρ αἱ διὰ Δαιμόνων οὐκ εἰς τὸ χρήσιμον· τὸ δὲ παρὰ Θεοῦ πρὸς τὸ συμφέρον.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὡμολόγει Βαλαὰμ τὰς ἑαυτοῦ τέχνας ἡττῆσθαι ὑπὸ τῶν μὴ χρωμένων αὐταῖς. ἀλλ' οὐκ ἔρημος, φησὶ, διὰ τοῦτο μελλόντων προγνώσεως· ἀλλὰ πρὸς τὸ χρήσιμον ἀκούσονται τὰ μέλλοντα. » κατὰ καιρὸν, φησὶ, ῥηθήσεται τί ἐπιτελέσει ὁ Θεός. τὰ γὰρ Δαιμόνων οὐ πρὸς τὸ χρήσιμον. ὁ μὲν γὰρ Ἀχαὰβ μαντείαις ἀπατώμενος, τῆς ἀληθοῦς τοῦ Μιχαίου προφητείας ἐξεκρούετο· ὁ δὲ Δαβὶδ προακούων τῶν πολέμων τὰ τέλη καὶ τὴν πρόῤῥησιν, ἐκινεῖτο. οὕτω καὶ Ἰωσαφὰτ ἔλεγεν· » ἐμπιστεύσατε τῷ Θεῷ καὶ τῷ 2. Παρ. 20. 20. Προφήτῃ αὐτοῦ.

✱✱ ΩΡΙΓΕΝΟΥΣ. Βουληθεὶς ὁ Θεὸς δι' οἰωνοσκόπου ἀποτρέψαι ἀπὸ τῆς οἰωνιστικῆς, πεποίηκε πνεῦμα ἐν τῷ οἰωνοσκόπῳ εἰπεῖν· » οὐ γάρ ἐστιν οἰωνισμὸς ἐν Ἰακὼβ, οὐδὲ μαντεία ἐν Ἰσραήλ· κατὰ καιρὸν ῥηθήσεται τῷ Ἰακὼβ καὶ τῷ Ἰσραὴλ, τί ἐπιτελέσει ὁ Θεός. H

κδ. Ἰδοὺ

(1) Οὐκ ἰσχύσεις, προσφυὲς τῇ ἐννοίᾳ.

(2) Τῷ νέῳ τουτέστι καὶ κατὰ πνεῦμα Ἰσραήλ. τούτου γὰρ καὶ οὐ τοῦ κατὰ σάρκα ἄρχοντες οἱ Ἀπόστολοι καὶ οἱ λοιποὶ δίκαιοι.

κδ. Ἰδὲ λαὸς ὡς σκύμνος ἀναστήσεται, καὶ ὡς λέων γαυριωθήσεται· ὀ κοιμηθήσεται ἕως φάγῃ θήραν, καὶ αἷμα τραυματιῶν πίεται.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὁρῶ λαὸν ὡς σκύμνον ἀνιςάμενον, καὶ ὡς λέοντα γαυρώμενον· εὐωχηθήσεται θήρας, καὶ ποτῷ χρήσεται τραυματιῶν αἵματι, καὶ κορεσθεὶς ὀ τρέψεται πρὸς ὕπνον, ἀλλ᾽ ἐγρηγορὼς τὸν ἐπινίκιον ᾄσεται ὕμνον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὴν ἰσχὺν δηλοῖ τὴν παρὰ Θεοῦ δοθησομένην τῷ Ἰσραὴλ, ὥσπερ λέοντι κατὰ τῶν θηραθέντων· ὡς μὴ ἂν ἀποκωλυθῆναι δύνασθαι, πρὸ τοῦ κρεῶν καὶ αἵματος ἐμπλησθῆναι.

κε. Καὶ εἶπε Βαλὰκ πρὸς Βαλαὰμ, οὔτε κατάραις καταράσῃ μοι αὐτὸν, οὔτε εὐλογῶν μὴ εὐλογήσῃς αὐτόν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Χαλεπῶς ἐνεγκὼν ἐπὶ τῷ παρ᾽ ἐλπίδας αὐτῷ τὰ τῆς μαντικῆς ἀπαντᾶσθαι, ἄνθρωπε, εἶπε, μήτε ἀρὰς τίθεσο, μήτε εὐχὰς ποιοῦ. βελτίων γὰρ τῶν μὴ καθ᾽ ἡδονὴν λόγων ἡ ἀκίνδυνος ἡσυχία.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἡ δευτέρα τοῦ Βαλαὰμ εὐλογία καταπλήττει τὸν Βαλὰκ, αἰσθόμενον ὅτι τοσοῦτον ἀπέχε τοῦ προκειμένου τυχεῖν, ὅσον καὶ τἀναντία πάσχειν τῶν ἐλπισθέντων.

κς. Ἀποκριθεὶς δὲ Βαλαὰμ, εἶπεν ἐν Βαλὰκ, (1) οὐκ ἐλάλησά σοι, λέγων, τὸ ῥῆμα ὃ ἐὰν λαλήσῃ ὁ Θεὸς, τοῦτο ποιήσω;

ΑΔΗΛΟΥ. Τὸ ἀβούλητον αὐτοῦ ὁμολογεῖ, οὐκ εὐσεβεῖ προθέσει, ἀλλὰ τὴν κωλυτικὴν ἀνάγκην. (2)

κζ. Καὶ εἶπε Βαλὰκ πρὸς Βαλαὰμ, δεῦρο παραλάβω σε εἰς τόπον ἄλλον, εἰ ἀρέσει τῷ Θεῷ, καὶ κατάρασαί μοι αὐτὸν ἐκεῖθεν.

* ΠΡΟΚΟΠΙΟΥ. Εἰ ἀρέσει τῷ Θεῷ. Οὐ Θεὸν (3) οὐδὲ οὕτως εἰδώς· οὐ γὰρ ἂν ἐκάλει τὸν μάγον, οὐδὲ διὰ τούτου τὴν βοήθειαν προσεδόκα· (4) ἀλλ᾽ ἐκείνους μὲν εἶναι ἡγούμενος τοὺς παρ᾽ Ἕλλησι νενομισμένους· οἳ θυσίαις μετατίθεσθαι (5) λέγονται παρ᾽ αὐτοῖς.

κη. Καὶ παρέλαβε Βαλὰκ τὸν Βαλαὰμ ἐπὶ τὴν κορυφὴν τοῦ Φογὼρ, τὸ παρατεῖνον εἰς τὴν ἔρημον.

ΩΡΙΓΕΝΟΥΣ. Ὑπελάμβανεν ὁ Βαλὰκ μεμετρημένην τὴν τέχνην τοῦ Βαλαὰμ ἐν τόποις. διὸ παρελάμβανεν αὐτὸν εἰς τὴν κορυφὴν τοῦ Φογὼρ, οἰόμενος ἰσχύειν τὸν μάγον ἐκεῖθεν ἀράσασθαι τὸν λαὸν τοῦ Θεοῦ τὸν Βαλαάμ. Φογὼρ δὲ ἑρμηνεύεται ἡδυσμὸς, ἢ σόμαιος δέρμα, τουτέστιν ἀκρότης φιληδονίας, καὶ νεκρότης λόγου. ἐξ ὧν ἐπειρᾶτο ἀράσασθαι τὸν λαὸν τοῦ Θεοῦ ὁ Βαλαάμ.

* ΤΟΥ ΑΥΤΟΥ. Δύω εἰσὶ κορυφαὶ, τουτέστιν ἀκρότατης ἀρετῆς καὶ τῆς κακίας. καὶ ὁ μὲν Μωϋσῆς ἐπὶ τὸ ἄκρον τῆς ἀρετῆς ἀναβέβηκεν, ὁ δὲ Βαλαὰμ ἐπὶ τὸ ἄκρον τῆς κακίας.

κθ. Καὶ εἶπε Βαλαὰμ πρὸς Βαλὰκ, οἰκοδόμησόν μοι ὧδε ἑπτὰ βωμοὺς, καὶ ἑτοίμασόν μοι ὧδε ἑπτὰ μόσχους, καὶ ἑπτὰ κριούς.

λ. Καὶ ἐποίησε Βαλὰκ καθάπερ εἶπεν αὐτῷ Βαλαάμ. καὶ ἀνήνεγκε μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Παραγενόμενος εἰς ὄρος μεῖζον τῶν προτέρων, ἄχρι πολλοῦ κατατεῖνον, κελεύει μὲν τὴν αὐτὴν ἐπιτελεῖν θυσίαν, βωμοὺς πάλιν ἑπτὰ κατασκευάσαντας· καὶ ἱερεῖα τεσσαρεσκαίδεκα προσαγαγόντας, ἑκάστῳ βωμῷ δύω, μόσχον τε καὶ κριόν.

ΚΕΦ. ΚΔ.

α. Καὶ ἰδὼν Βαλαὰμ ὅτι καλόν ἐστιν ἔναντι Κυρίου εὐλογεῖν τὸν Ἰσραὴλ, οὐκ ἐπορεύθη κατὰ τὸ εἰωθὸς αὐτῷ εἰς συνάντησιν τοῖς οἰωνοῖς, καὶ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ εἰς τὴν ἔρημον.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Αὐτὸς οὐκ ἔτι κατὰ τὸ εἰκὸς ἐπὶ κληδόνας καὶ οἰωνοὺς ἵετο, πολλὰ τὴν αὐτοῦ τέχνην κακίσας, ὡς χρόνῳ καθάπερ γραφὴν ἐξίτηλον γενομένην, καὶ τοὺς εὐθυβόλους στοχασμοὺς ἐξαμαυρωθεῖσαν. ἄλλως δὲ καὶ μόλις συνενόησεν, ὅτι οὐ συνᾴδει τῷ τοῦ Θεοῦ βουλήματι ἡ τοῦ μισθωσαμένου προαίρεσις αὐτὸν βασιλέως. τραπόμενος οὖν κατὰ τὴν ἔρημον, ὁρᾷ κατὰ φυλὰς ἐστρατοπεδευκότας τοὺς Ἑβραίους.

ΑΠΟ-

(1) Τῷ Βαλάκ. αἱ εἰρημ. ἐκδόσ.
(2) Τῇ κωλυτικῇ ἀνάγκῃ, ἢ διὰ τὴν κωλυτικὴν ἀνάγκην. ὀρθότ.
(3) Οὐχ ὡς Θεὸν εἰδὼς ὁ Βαλάκ· οὐ γὰρ, κτ. ὁ τῆς Αὐγ. κώδ.
(4) Λέγων δὲ περὶ τῶν νενομισμένων παρ' Ἕλλησιν. οἳ, κτ. ὁ αὐτ.
(5) - - - Στρεπτοὶ δέ τε καὶ Θεοὶ αὐτοὶ,
Καὶ μὲν τοὺς θυέεσσι καὶ εὐχωλῇς ἀγανῇσι,
Λοιβῇ τε, κνίσῃ τε, παρατρωπῶσ' ἄνθρωποι
Λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ.
Ὁμηρ. ἐν στίχ. 493, 495, 496, καὶ 497. τῆς ι. Ἰλιάδ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐκ ἔτι ἐπὶ ἐρώτησιν ὁρμᾷ ὁ Βαλαάμ. ἐπέσχε γὰρ τὴν κακοτεχνίαν ἡ θεία κώλυσις.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, οὐκ ἐπορεύθη » Βαλαὰμ κατὰ τὸ εἰωθὸς εἰς συνάντησιν τοῖς οἰωνοῖς; Τῇ πείρᾳ μαθὼν, ὡς οὐδὲν ὀνίνησι τῇ ματαίᾳ χρώμενος τέχνῃ· ἀπείρῳ γὰρ τῷ μέτρῳ δυνατώτερος ὁ μεταφέρων αὐτοῦ τὴν γλῶτταν εἰς ἅπερ ἐθέλει· οὐκ ἔτι τοῖς συνήθεσι συμβόλοις ἐχρήσατο, ἀλλ' εἰς ὑπουργίαν τοῦ Θεοῦ τὴν γλῶτταν ἀφώρισεν.

ΩΡΙΓΕΝΟΥΣ. Σύμβολόν ἐστιν ὁ Βαλαὰμ οὗτος τοῦ ἐκ τῶν ἐθνῶν λαοῦ, ὅστις ἐπηκολούθει τοῖς οἰωνοῖς τὸ πρότερον· γνοὺς δὲ ὅτι οὐκ ἀρεστόν ἐστι Κυρίῳ, οὐ προσέθετο· ἀλλὰ μὴν καὶ ἑρμηνεύεται μάταιος λαός. υἱὸς δὲ Βεὼρ ἑρμηνεύεται δερμάτινος. τὸ μὲν μάταιον ἦν κατὰ τὸ πρότερον τῶν ἐθνῶν· Βεὼρ δὲ, τοῦ ἐν ματαιότητι, τοῦ ἐν νεκρότητι, κατὰ τὸ πρότερον δηλονότι.

β. Καὶ ἐξάρας Βαλαὰμ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καθορᾷ τὸν Ἰσραὴλ ἐστρατοπεδευκότα κατὰ φυλάς· καὶ
γ. ἐγένετο ἐπ' αὐτῷ πνεῦμα Θεοῦ. Καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ, εἶπε, Φησὶ Βαλαὰμ υἱὸς Βεὼρ, Φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν,

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τό, τε πλῆθος καὶ τὴν τάξιν, ὡς πόλεως, ἀλλ' οὐ στρατοπέδου καταπλαγεὶς, εὐθὺς γενόμενος ἀναφθέγγεται· τάδε φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν, ὅστις καθ' ὕπνον ἐναργῆ φαντασίαν εἶδε Θεοῦ τοῖς τῆς ψυχῆς ἀκοιμήτοις ὄμμασιν.

ΩΡΙΓΕΝΟΥΣ. Ἐγὼ ὁ ποτὲ Βαλαὰμ, ὁ λαὸς ὁ μάταιος, διανοίξας τοὺς ἔσω μου ὀφθαλμοὺς τοῦ νοὸς, καὶ ἰδὼν τῷ πνεύματι τὸν ποτὲ Ἰσραὴλ, καὶ τὴν κατ' αὐτὸν οἰκονομίαν, τῆς τοῦ ἁγίου πνεύματος χάριτος ἀξιοῦμαι. οὐχ ἁρμόζει τῷ ποτὲ Βαλαὰμ τὸ, Φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν, καὶ τὰ ἑξῆς, ἀλλ' ἁρμόζει τῷ νῦν Βαλαάμ.

ΤΟΥ ΑΥΤΟΥ. Ἡ θεία Γραφὴ ἐν τισι τόποις προκρίνει καὶ προτίθησι τὸν συμβολικὸν νοῦν τῆς ἱστορικῆς διηγήσεως ἐν τῇ αὐτοῦ (1) ὑποθέσει.

ΘΕΟΔΩΡΙΤΟΥ. (2) Ἰστέον μέντοι, ὡς τισὶν ἔδοξε μηδὲν αὐτὸν περὶ τοῦ Σωτῆρος ἡμῶν προειρηκέναι. οὓς ἐχρῆν συνιδεῖν, ὅτι καὶ τῷ Ναβουχοδονόσορ ἄγαν ὄντι δυσσεβεῖ, τὴν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν ἀπεκάλυψε παρουσίαν. [Δαν. 2. 34, 35.] εἶδε γὰρ λίθον τμηθέντα ἄνευ χειρῶν, καὶ πατάξαντα τὴν εἰκόνα, καὶ συντρίψαντα τὸν χρυσὸν, τὸν ἄργυρον, τὸν χαλκὸν, τὸν σίδηρον, τὸν ὄστρακον, καὶ γενόμενον ὄρος μέγα, καὶ καλύψαντα πᾶσαν τὴν γῆν. ὁ τοίνυν ἐκεῖνα δι' ἐκείνου προσαγορεύσας, καὶ διὰ τούτου

A προείρηκε τῆς οἰκουμένης τὴν σωτηρίαν· ἵνα καὶ παρὰ τοῖς ἔθνεσιν αἱ τοιαῦται προῤῥήσεις φυλάττωνται. μαρτυρεῖ δὲ τῇ τῶν πραγμάτων προῤῥήσει τὸ τέλος. ὁ γὰρ ἐξ Ἰούδα κατὰ σάρκα βλαστήσας, οὐ μόνον τοὺς ἀρχηγοὺς Μωὰβ, ἀλλὰ καὶ πάντας τοὺς υἱοὺς Σὴθ προενόμευσεν. υἱοὶ δὲ τοῦ Σὴθ ἅπαντες ἄνθρωποι. ἀπόγονος γὰρ ὁ Νῶε τοῦ Σήθ· ἐκ δὲ τοῦ Νῶε ἅπασα τῶν ἀνθρώπων ἡ φύσις. προεῖπε δὲ καὶ τὴν
B » Μακεδόνων κατὰ Περσῶν νίκην. ἐξελεύσεται γάρ φησιν ἐκ χειρὸς Χετιεὶμ, καὶ κακώσουσιν Ἀσσοὺρ, καὶ κακώσουσιν Ἑβραίους. Ἀλέξανδρος μὲν γὰρ τὴν Περσῶν κατέλυσε βασιλείαν· Ἀντίοχος δὲ Ἰουδαίοις ἐπιστρατεύσας, καὶ τὴν μητρόπολιν αὐτῶν εἷλε, καὶ τὸν θεῖον ναὸν ἀπέφηνεν ἔρημον. αἱ μέντοι προῤῥήσεις [αὗται] οὐ τῆς ψευδοῦς εἰσὶ μαντείας, ἀλλὰ τῆς τοῦ παναγίου πνεύματος ἐνεργείας. ὁ γὰρ τὴν ὄνον ἀνθρω-
Γ πείᾳ χρήσασθαι φωνῇ παρὰ φύσιν κελεύσας, οὗτος καὶ διὰ τῆς γλώττης τοῦ μάντεως τὰ ἐσόμενα προηγόρευσεν. ἐγένετο γάρ φησι πνεῦμα Θεοῦ ἐν αὐτῷ. τοῦτο γέγονε καὶ ἐν τῷ παρανόμῳ Σαούλ. ὅθεν διὰ τὸ παράδοξον καὶ ἡ παροιμία ἐγένετο, εἰ καὶ Σαοὺλ ἐν Προφήταις. [1. Βασ. 10. 12.] τοσαύτην μέντοι πεῖραν λαβὼν ὁ ψευδόμαντις παρὰ τοῦ Θεοῦ, ἑτέρας ἐτεκτήνατο κατὰ τοῦ λαοῦ (3) μηχανάς. συννοήσας γὰρ ὡς ἄμαχον ἔχου-
Δ σι δύναμιν ὑπὸ τοῦ Θεοῦ τειχιζόμενοι, τὴν διὰ τῆς ἀκολασίας αὐτοῖς ἀσέβειαν ἐπενόησεν· ἵνα διὰ τὴν ἀσέβειαν τῆς θείας γυμνούμενοι συμμαχίας εὐάλωτοι γένωνται. καὶ τοῖς Μαδιανίταις ὑπέθετο, μὴ τοὺς ἄνδρας κατ' αὐτῶν, ἀλλὰ τὰς γυναῖκας ὁπλίσαι, καὶ γενέσθαι αὐτοῖς ὅπλον τὴν τοῦ σώματος ὥραν, καὶ τῶν λόγων τὸ δέλεαρ· ἵνα δελεασθέντες ὑπὸ τοῦ κάλλους, καὶ τοῖς λόγοις καταθελχθέντες, τοῖς ἐκεί-
E νων εἰδώλοις λατρεύσωσι. καὶ τοῦτο ἡμᾶς ὁ μακάριος ἐδίδαξε Μωϋσῆς, μετὰ τὴν κατὰ τῶν Μαδιανιτῶν νίκην ἐπιμεμψάμενος τοῖς τὰς γυναῖκας ζωγρήσασιν. ἔφη γὰρ οὕτως· ἵνα τί ἐζωγρήσατε πᾶν θῆλυ; αὗται γὰρ ἦσαν τοῖς υἱοῖς Ἰσραὴλ, κατὰ τὸ ῥῆμα Βαλαὰμ, τοῦ ἀποστῆναι καὶ ὑπεριδεῖν τὸ ῥῆμα Κυρίου ἕνεκεν Φογώρ. καὶ ἐγένετο πληγὴ ἐν τῇ συναγωγῇ Κυρίου. [Ἀριθ. 31. 15, 16.] Φογὼρ δὲ τοῦ εἰδώλου τὸ ὄνομα. ταύτης τῆς ἀσεβείας
Z » καὶ ὁ θεῖος ἐμνήσθη Δαβίδ· καὶ ἐτελέσθησαν τῷ Βεελφεγὼρ, καὶ ἔφαγον θυσίας νεκρῶν. [Ψαλ. 105. 28.] τούτου χάριν καὶ ἐχθραίνειν τοῖς Μαδιηναίοις προσέταξεν ὁ Θεὸς, ὅτι ἐχθραίνουσι, φησὶν, αὐτοὶ ὑμῖν ἐν δολιότητι διὰ Φογώρ. [Ἀριθ. 25. 18.] τοῦ μέντοι λαοῦ ἡμαρτηκότος, οἱ ἄρχοντες ἐκρεμάσθησαν, ὡς ὁ Σύμμαχος ἔφη, ὡς μὴ ἐξάραντες τὸν πονηρὸν ἐξ αὐτῶν. τὸ δὲ, ὑψωθήσεται ἡ Γὼγ βασιλεία αὐτοῦ, ὁ Σύμμαχος οὕτως ἡρμήνευσε·
H καὶ ὑψωθήσεται ὑπὲρ Ὢγ βασιλεύουσα (4) αὐτοῦ. δηλοῖ δὲ ὁ λόγος, ὅτι καὶ τοῦ Ὢγ ἐπιστρατεύ-

(1) Ἴσ. αὐτῆς. ἐν δὲ τοῖς ἐκδεδομ. οὐχ εὕρηται.
(2) Διοδώρου. ὁ Ἀλεξάν. κώδ.
(3) Κατὰ τοῦ Θεοῦ. ἡ ἐν Χάλ. ἔκδ.
(4) Βασιλεύσ. ἡ αὐτ.

A στρατεύσαντος περιέσονται διὰ τὸν ἐξ αὐτῶν κατὰ σάρκα βλαστήσοντα βασιλέα.

δ. Φησὶν ἀκούων λόγια ἰσχυροῦ, ὅστις ὅρασιν Θεοῦ εἶδεν ἐν ὕπνῳ· ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ. οἱ Λοιποὶ ἐξέδωκαν, ἐμπεφραγμένοι ὡς ἐν ὕπνῳ, δηλονότι κεκλεισμένοι· ὅπερ οὐκ αἰσθητὴν, προφητικὴν δὲ σημαίνει τὴν ὅρασιν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὴν προφητικὴν ὅρασιν δηλοῖ, τὴν οὐ δι' ὀφθαλμῶν· (1) ἀλλ' ἐν ψυχῇ, τῶν ὀφθαλμῶν μυόντων, τῆς δὲ ψυχῆς ἀποκαλυπτομένης εἰς τὴν τῶν μελλόντων πρόῤῥησιν.

ε. Ὡς καλοὶ οἱ οἶκοί σου Ἰακὼβ, αἱ σκηναί σου Ἰσραήλ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὡς καλοί σου οἱ οἶκοι στρατιὰ Ἑβραίων, αἱ σκηναί σου ὡς νάπαι συσκιάζουσαι, ὡς παράδεισος ἐπὶ ποταμοῦ, ὡς κέδρος παρ' ὕδατα.

Γ ΑΔΗΛΟΥ. Οἶκος νοητὸς τοῦ αἰσθητοῦ Ἰακώβ ἐστιν ὁ νόμος· σκηνὴ δὲ νοητὴ τοῦ αἰσθητοῦ Ἰσραήλ ἐστιν ἡ προφητεία, ἤγουν λόγος πραγμάτων, οὐκ αὐτὰ τὰ πράγματα.

* ΩΡΙΓΕΝΟΥΣ. Τὸ ὄνομα τοῦ Ἰακὼβ, οὐ τοῦ ἐνοικοῦντός ἐστιν, ἀλλὰ τοῦ οἴκου· τὸ δὲ τοῦ Ἰσραὴλ ὄνομα, τοῦ ἐνοικοῦντός ἐστι. τοῦ γὰρ σωματικοῦ ὀνόματός (2) ἐστι τὸ, Ἰακώβ.

Δ ΑΔΗΛΟΥ. Ὅταν ἐν τῇ σκηνῇ καὶ καλύμματι οἰκῇ ὁ Θεὸς, ἔτι τὰ λογικὰ ἐν τοῖς αἰσθητοῖς ἐστίν.

ς. Ὡσεὶ νάπαι σκιάζουσαι, καὶ ὡσεὶ παράδεισοι ἐπὶ ποταμὸν, καὶ ὡσεὶ σκηναὶ, ἃς ἔπηξεν ὁ Κύριος, ὡσεὶ κέδροι παρ' ὕδατα.

E ΩΡΙΓΕΝΟΥΣ. Νάπαι νοηταί εἰσι σκιάζουσαι τὸ ἐν ᾧ λογικὰ ἔγκαρπα καὶ κατάκομα τῆς πρακτικῆς ἀρετῆς.

* ΤΟΥ ΑΥΤΟΥ. Παράδεισοι ἐπὶ ποταμῶν εἰσὶ νοητοὶ, τόπος ἐν ᾧ λογικὰ πεφύτευται ἀρδόμενα ἤτοι τῇ θεωρίᾳ τῶν γεγονότων, ἢ τῇ θεωρίᾳ τῆς ἁγίας Τριάδος.

Z * ΤΟΥ ΑΥΤΟΥ. Οἱ ἐν σκηναῖς παροικοῦντες, (3) τῶν ὁδευόντων εἰσί. καὶ ἔστιν ἔξω τοῦ κόσμου τούτου ὁδὸς μεγάλη καὶ πολλαὶ σκηναί. οἱ ἐνοικήσοντες (4) οὐκ εἰσὶ τῶν ὁδευόντων, ἀλλὰ τῶν ἱσταμένων.

ΤΟΥ ΑΥΤΟΥ. Κέδροι εἰσὶ νοηταὶ παρ' ὕδατα φυεῖσαι ψυχαὶ λογικαὶ, ἀρδόμεναι τῇ γνώσει τῆς ἀληθείας.

H *ζ. Ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν· καὶ ὑψωθήσεται ἡ Γὼγ βασιλεία αὐτοῦ, καὶ αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ.*

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐξελεύσεταί ποτε ἄνθρωπος ἐξ ὑμῶν, καὶ ἐπικρατήσει πολλῶν ἐθνῶν, καὶ ἐπιβαίνουσα ἡ τοῦδε βασιλεία καθ' ἑκάστην ἡμέραν πρὸς ὕψος ἀρθήσεται.

** ΠΡΟΚΟΠΙΟΥ. Παρέοικεν αὕτη τῇ τοῦ Ἰακὼβ προφητείᾳ. τῷ μὲν, ἐκ βλαστοῦ μου υἱέ μου ἀνέβης, τὸ, ἐξελεύσεται ἐκ Γεν. 49. 9, 10, 8.
B τοῦ σπέρματος αὐτοῦ, δῆλον δὲ ὅτι τοῦ Ἰακώβ· τῷ δὲ, αὐτὸς ἔσται προσδοκία ἐθνῶν, τὸ, καὶ κυριεύσει ἐθνῶν πολλῶν· καὶ τῷ, αἱ χεῖρές σου ἐπάνω τῶν ἐχθρῶν σου, τὸ, καὶ ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ, καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρῶν· καὶ τῷ, σκύμνος λέοντος Ἰούδα, καὶ τὰ ἑξῆς, τὰ παρόντα πάλιν, ὡς περὶ λέοντος.

Γ ΩΡΙΓΕΝΟΥΣ. Κύριός ἐστιν ὁ ἐξουσιαστικῶς προστάσσων, δοῦλος δὲ ὁ δουλικῶς ὑπακούων. κύριός ἐστιν ὁ τοῖς ἰδίοις πόνοις ὠνούμενος, καὶ τῇ κυριότητι πεποιημένος ἐλεύθερος πάθους. δοῦλός ἐστιν ὁ ἐμπαθὴς καὶ ἐπιδεὴς τοῦ κρείττονος, καὶ χρῄζων τῆς ἐπιστασίας τοῦ ἰδίου κυρίου. εἰσὶ δὲ κύριοι πολλοί. μακάριοι δὲ οἱ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἔχοντες κύριον. κυριεύουσι γὰρ κυρίας πολλάς.

Δ ΤΟΥ ΑΥΤΟΥ. Βασιλεία Γὼγ ἑρμηνεύεται δώματα. κατὰ μίαν μὲν ἐκδοχὴν δώματά ἐστιν αἱ δωρεαὶ τοῦ ἁγίου πνεύματος· κατὰ δὲ ἄλλην, ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβήτω εἰς τὴν οἰκίαν αὐτοῦ. ἔστιν οὖν βασιλεία τῆς τοιαύτης ἕξεως. Ματθ. 24. 17.

E ΕΥΣΕΒΙΟΥ. Αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ, τῆς Χριστοῦ δυνάμεως συναυξούσης. τοῦτον δέ φησιν ἐνταῦθα αἰνίττεσθαι καθ' Ἑβραίους τρόπον τὴν τῶν Ῥωμαίων βασιλείαν, ᾗ συνήκμασεν ἡ τοῦ Χριστοῦ διδασκαλία.

η. Ὁ Θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξα μονοκέρωτος αὐτῷ. ἔδεται ἔθνη ἐκ τῶν ἐχθρῶν αὐτοῦ, καὶ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ, καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν.

Z * * ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὁ λαὸς οὗτος ἡγεμόνι τῆς ἀπ' Αἰγύπτου πάσης ὁδοῦ κέχρηται Θεῷ, καθ' ἓν κέρας ἄγοντι τὴν πληθύν. τοιγαροῦν ἔδεται ἔθνη πολλὰ ἐχθρῶν, καὶ ὅσον ἐν αὐτοῖς πῖον, ἄχρι μυελοῦ λήψεται, καὶ ταῖς ἐκηβολίαις ἀπολεῖ τοὺς δυσμενεῖς.

ΩΡΙΓΕΝΟΥΣ. Καὶ τὸν Σωτῆρα κατὰ τὸ, ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου, καὶ τὸν Ἰσραήλ. τὸν μὲν ἐκβάλλει, τὸν δὲ καλεῖ. Ὠσ. 11. 1. Ματθ. 2. 15.

H * ΤΟΥ ΑΥΤΟΥ. Ὁ χρηματισμὸς τὸν Κύριον ἥξειν εἰς Αἴγυπτον ἐδήλου τὴν τοῦ Σωτῆ-

(1) Τὴν οὐ δι' ὀφθαλμῶν μυόντων, τῆς δὲ ψυχῆς ἀποκαλ. κλ. ὁ Ἀλεξάν. κώδ.
(2) Τοῦ σωματικοῦ πράγματος. ἐν τόμ. 2. σελ. 273. τῆς τοῦ Ῥου. ἐκδόσ.
(3) Οἱ οἰκοῦντες. αὐτ.
(4) Ἐνοικοῦντες. αὐτ.

Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διακομιδὴν, τὴν ἅμα τοῖς γονεῦσιν αὐτῷ γενησομένην. Αἰγύπτῳ δὲ καὶ ὁ κόσμος οὗτος παραβάλλεται.

ΤΟΥ ΑΥΤΟΥ. Μονόκερώς ἐστι νοητὸς ὁ Χριστὸς κατὰ τὸ συμβεβηκός. ἐξ οὗ μονόκεροι πολλοί. ἀπὸ γὰρ ἑνὸς Ἰησοῦ Χριστοῦ, πολλοὶ μετέχον εἶναι χριστοί. τινὲς δέ φασι καὶ τὴν ἔλαφον μονόκερον εἶναι.

ΤΟΥ ΑΥΤΟΥ. Περὶ τοῦ Χριστοῦ. ἔθνη ἐχθρῶν αὐτοῦ ἦμέν ποτε ἡμεῖς. ἔδεται οὖν ἡμᾶς ὁ Χριστὸς, ἡ ὁσιώδης ἀρετὴ νεμομένη ἡμᾶς, καθὰ λέγει· ἐμὸν βρῶμά ἐστι τὸ ποιῆσαι τὸ θέλημα τοῦ πέμψαντός με.

** ΤΟΥ ΑΥΤΟΥ. Καὶ τὰ πάχη αὐτοῦ ἐκμυελιεῖ. Τότε φησὶν, ὅτε τὴν σαρκικὴν κατάστασιν εἰς πνευματικὴν διὰ τῆς πραγματικῆς μεταποιῇ.

ΕΥΣΕΒΙΟΥ. Τὰ πάχη, δῆλον ἣν ἀνεδέξατο οἰκονομίαν, καθ' ἣν ὥσπερ τὴν βασιλικῶς καὶ θαρσαλέως ἐποιήσατο θήραν, μηδενὸς αὐτοῦ τὴν ἀρχὴν καὶ τὴν βασιλείαν μεταστήσεσθαι δυναμένου.

ΤΟΥ ΑΥΤΟΥ. Τὰ πάχη καὶ τὸ τῆς σαρκὸς φρόνημα λεπτύνων τῶν ἐθνῶν, ἐπὶ τὴν στενὴν ὁδὸν τῆς αἰωνίου ζωῆς ἐπιτηδείους κατασκευάζει.

θ. Κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἀναστήσει αὐτόν; οἱ εὐλογοῦντές σε, εὐλόγηνται· καὶ οἱ καταρώμενοί σε, κεκατήρανται.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀναπαύσεται κατακλιθεὶς, ὡς λέων, ἢ σκύμνος λέοντος, μάλα καταφρονητικῶς δεδιὼς οὐδένα, φόβον τοῖς ἄλλοις ἐνεργασμένος. ἄθλιος δ' ὃς ἂν αὐτὸν παρακινήσας ἐγείρῃ. οἱ μὲν εὐλογοῦντές σε, εὐφημίας ἄξιοι· κατάρας δ' οἱ καταρώμενοι.

** ΒΑΣΙΛΕΙΟΥ. Ἐπεὶ διὰ μὲν τοῦ λέοντος, τὸ βασιλικὸν ὁ λόγος ἐνδείκνυται· διὰ δὲ τῆς κατακλίσεως, τὸ πάθος· διὰ δὲ τῆς τοῦ εὐλογεῖν δυνάμεως, τὴν Θεότητα· ἀκολουθοῦντες τῇ προφητείᾳ οἱ μάγοι, ὡς μὲν βασιλεῖ τὸν χρυσὸν, ὡς δὲ τεθνηξομένῳ τὴν σμύρναν προσήνεγκαν, ὡς δὲ Θεῷ τὸν λίβανον.

ΩΡΙΓΕΝΟΥΣ. Οἱ εὐλογοῦντές σε ηὐλόγηνται. Δύο πρόσωπα σημαίνει ἐπὶ τούτοις. εἰσὶ δὲ τῶν πιστῶν καὶ τῶν ἀπίστων ἐπὶ τοῦ Χριστοῦ. Καὶ μετ' ὀλίγα. Ἐν τούτοις μὲν οὖν ἀνατέτραπται καὶ ἡ τῶν ἐναντιουμένων τοῦ Ἰσραὴλ ἐγχείρησις, καὶ ἡ τῆς μαγείας κακοτεχνία.

ΕΥΣΕΒΙΟΥ. Πάντες οἱ τὸν Χριστὸν εὐλογοῦντες, καὶ βίῳ σεμνύνοντες τὴν ἀρετὴν τοῦ διδασκάλου, τῆς ἐκ Θεοῦ μετειλήφασιν εὐλογίας.

ι. Καὶ ἐθυμώθη Βαλὰκ, καὶ συνεκρότησε ταῖς χερσὶν αὐτοῦ. καὶ εἶπε

A Βαλὰκ πρὸς Βαλαὰμ, καταράσασθαι τὸν ἐχθρόν μου κέκληκά σε, καὶ ἰδοὺ εὐλογῶν εὐλόγησας αὐτὸν τρίτον
ια. τοῦτο. Νῦν οὖν φεῦγε εἰς τὸν τόπον σου. εἶπα, τιμήσω σε, καὶ νῦν ἐστέρησέ σε Κύριος τῆς δόξης.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Σφόδρα ἐπὶ τούτοις ἀγανακτήσας ὁ βασιλεὺς, ἐπ' ἀραῖς, εἶπεν, ἐχθρῶν μετακληθεὶς, εὐχὰς
B ἤδη τρεῖς τὰς ὑπὲρ ἐκείνων πεποίησαι. φεῦγε δὴ θᾶττον, ὀξὺ πάθος ἐστὶ θυμὸς, μή τι καὶ νεώτερον ἐργάσασθαι βιασθῶ. πόσον πλῆθος χρημάτων, ἀνοητότατε, καὶ δωρεῶν, πόσην δ' εὐφημίαν καὶ δόξαν ἀφῄρησαι σεαυτὸν, φρενοβλαβὴς ὤν.

ιβ. Καὶ εἶπε Βαλαὰμ πρὸς Βαλὰκ, οὐχὶ καὶ τοῖς ἀγγέλοις σου οὓς
Γ ἀπέστειλας πρός με ἐλάλησα, λέγων,
ιγ. Ἐάν μοι δῷ Βαλὰκ πλήρη τὸν οἶκον αὐτοῦ ἀργυρίου καὶ χρυσίου, οὐ δυνήσομαι παραβῆναι τὸ ῥῆμα Κυρίου ποιῆσαι καλὸν αὐτῷ ἢ πονηρὸν παρ' ἐμαυτοῦ· ὅσα ἂν εἴποι μοι ὁ Θεὸς, ταῦτα ἐρῶ.

** ΚΥΡΙΛΛΟΥ. Συνήθες τοῖς ψευδομάντεσι, καὶ ταῖς οὕτως ἀπατηλαῖς κεχρῆσθαι φωναῖς, σκεπτομένοις ὅτι πάντη-
Δ τε καὶ πάντως τοῖς φιλοπευστεῖν ἐθέλουσιν, ἐροῦσι τὸ ἀληθές.

ιδ. Καὶ νῦν ἰδοὺ ἀποτρέχω εἰς τὸν τόπον μου. δεῦρο, συμβουλεύσω σοι, τί ποιήσει ὁ λαὸς οὗτος τὸν λαόν σου ἐπ' ἐσχάτων τῶν ἡμερῶν.

" ** ΠΡΟΚΟΠΙΟΥ. Ἃ ποιήσει ὁ λαὸς
" οὗτος τῷ λαῷ σου, ἐπ' ἐσχάτου τῶν ἡμερῶν.
E Ἀλλ' οὐ μόνα τὰ περὶ Μωαβιτῶν λέγει, ἀλλὰ τὰ περὶ πάντων ἀνθρώπων, πρόσωπον μὲν λαβὼν τὸ προκείμενον, ἐν αὐτῷ δὲ τὸ καθόλου προδηλῶν.

ΕΥΣΕΒΙΟΥ. Ἐνταῦθα ἐπικεκαλυμμένως λέγει περὶ τοῦ Βαλαάμ. ἐπειδὴ γὰρ εἶδε τὸν Θεὸν ὑπερασπίζοντα τοῦ Ἰσραὴλ, ἔλεγεν ὠργισμένῳ τῷ Βαλάκ· ἀήττητος ὁ Ἰσραὴλ, ἔχει Θεὸν ὑπερασπιστήν. πῶς οὖν ἡττηθήσεται, ἐὰν μὴ εἰς τὸν ὑπερασπίζον-
Z τα Θεὸν ἁμαρτήσῃ; κόσμησον Μωαβίτιδας γυναῖκας, καὶ πρόστησον ὡς πόρνας, καὶ ὅταν παραγίνωνται οἱ υἱοὶ Ἰσραὴλ μιγῆναι ταῖς γυναιξὶν, ἐροῦσιν αἱ Μωαβίτιδες· ἐὰν μὴ τῷ Θεῷ ἡμῶν προσκυνήσητε τῷ Βεελφεγώρ. (1) καὶ οὕτω, φησὶν, ἀποστάντες Θεοῦ, καὶ μὴ ἔχοντες τὴν ἐκεῖθεν βοήθειαν, ἡττηθήσονται. καὶ ἐποίησεν οὕτως ὁ Βαλάκ.

H ιε. Καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ, εἶπε, φησὶ Βαλαὰμ υἱὸς Βεὼρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς

νῶς

(1) Ἔλλειψις. νοητέον δὲ τὸ, οὐ μιγνύμεθα.

ις. νοῦς ὁρῶν, Ἀκούων λόγια Θεοῦ, ἐπιστάμενος ἐπιστήμην ὑψίστου, καὶ ὅρασιν Θεοῦ ἰδὼν ἐν ὕπνῳ· ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ.

ιζ. Δείξω αὐτῷ, καὶ οὐχὶ νῦν· μακαρίζω, καὶ οὐκ ἐγγίζει. ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ· καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωὰβ, καὶ προνομεύσει πάντας τοὺς υἱοὺς Σήθ.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸ, δείξω αὐτῷ, καὶ οὐχὶ νῦν, ὁ μὲν Ἀκύλας, ὄψομαι, φησίν· ὁ δὲ Σύμμαχος, ὁρῶ. ὡς ἂν μακροῖς ὕστερον χρόνοις μελλόντων τούτων ἐπιτελεῖσθαι. μετὰ γὰρ δισχίλια τῆς προῤῥήσεως ἀπηλύτηκεν ἔτη.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἀλλ' ἐπὶ τῇ τοῦ ἄστρου ἐπιτολῇ θραῦσιν ἔσεσθαι, φησὶ, τοῦ Μωὰβ οὓς κατ' ἰδίαν ὠνόμασεν, ὡς ἀντικαθεστῶτας τότε τῷ Ἰσραὴλ, καὶ ὅτι τοῖς εἰδώλοις αὐτῶν ἀκολουθήσας ὁ λαὸς, ἐτελέσθη τῷ Βεελφεγὼρ Θεῷ τοῦ Μωάβ. διὸ καὶ ἀρχηγοὺς αὐτοῦ τοὺς παρ' αὐτοῦ τιμωμένους ἐδήλωσε Δαίμονας, ὅτε καὶ ἐξεπόρνευσαν εἰς τὰς Μωαβίτιδας. διὸ προφητεύει τὴν εἰς τοὐναντίον τῶν πραγμάτων μεταβολὴν, δεικνὺς τοὺς μεγαλαυχήσαντάς ποτε κατὰ τοῦ Ἰσραὴλ Δαίμονας τῶν Μωαβιτῶν ἐπὶ τοῦ μέλλοντος ἄστρου θραῦσιν παθεῖν. ὧν πεσόντας τοὺς υἱοὺς Σὴθ καὶ Ἐδὼμ καὶ Ἡσαῦ, καὶ πάντα τὰ ἔθνη διὰ τούτων δηλούμενα, μᾶλλον δὲ πάντας μὲν ἀνθρώπους διὰ τῶν υἱῶν Σὴθ ἐδήλωσεν, ἰδίᾳ δὲ τοὺς Ἰδουμαίους, ἐπεὶ τὸν αὐτὸν τρόπον προσηνέχθησαν τῷ Ἰσραήλ. πάντας οὖν φησὶ τῆς ἰδίας παύσεσθαι δεισιδαιμονίας.

ΕΥΣΕΒΙΟΥ. Σαφὲς ἂν γένοιτο, ὅτι τὸ φῶς τοῦ Σωτῆρος ἡμῶν ἐκ τοῦ Ἰακὼβ ἀνατεῖλαν, τουτέστιν ἀπὸ τοῦ ἐκ περιτομῆς λαοῦ, πᾶσι τοῖς ἔθνεσιν ἐπεφάνη.

» ΤΟΥ ΑΥΤΟΥ. Καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωάβ. Ὡσεὶ σαφέστερον ἔλεγε, τοὺς μεγαλαυχήσαντας κατὰ τοῦ Ἰσραὴλ Δαίμονας τῶν Μωαβιτῶν. προσεκυνήθησαν γὰρ ὑπὸ τοῦ Ἰσραήλ.

ΑΔΗΛΟΥ. Σημείωσαι, ὅτι ὃν καλεῖ ἄστρον, τοῦτον καὶ ἄνθρωπον.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Οἱ οὖν μάγοι οἱ ἐπὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐλθόντες, καὶ τὰ δῶρα κομίσαντες, ἐκ τοῦ γένους τοῦ Βαλαὰμ ὁρμώμενοι, καὶ κατακολουθήσαντες αὐτοῦ ταῖς βίβλοις, καὶ ταῖς προφητείαις, καὶ νοήσαντες ὅτι, ὅτε ἀνατελεῖ τὸ ἄστρον, τότε ἀναστήσεται ἄνθρωπος, δῆλον ὅτι ὁ βασιλεὺς τῶν Ἰουδαίων, ὅστις οὐ μόνον τοὺς ἀρχηγοὺς Μωὰβ συντρίψει, ἀλλὰ καὶ πάσας τὰς βασιλείας τοῦ
Δαν. 2. 44. διαβόλου λεπτυνεῖ καὶ λικμήσει, κατὰ τὸν Δανιὴλ, παρετήρουν τὸν καιρὸν, καὶ θεωρήσαντες τὸν ἀστέρα ξένον παρὰ τοὺς ἄλλους ἀνατείλαντα, ἔγνωσαν αὐτὸν εἶναι τὸν πάλαι προφητευθέντα· καὶ κατακολουθήσαντες καὶ εὑρόντες τὸν τεχθέντα, ἐχάρησαν. (1)

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἄνθρωπον, διὰ τὸ συμβὰν περὶ αὐτὸν πάθος, ὡς ἂν πεπληρωκότα ἀναστήσεσθαι θεσπίζουσα.

ΤΟΥ ΑΥΤΟΥ. Τὸν αὐτὸν τρόπον καὶ Ἰδουμαῖοι προσηνέχθησαν τοῖς Ἰσραηλίταις, ὅνπερ καὶ Μωαβῖται, τὰ αὐτὰ προελόμενοι, καὶ εἰπόντες καὶ πράξαντες. διόπερ αὐτοὺς ἀκολούθως παραζευγνὺς τοῖς Μωαβίταις, καὶ περὶ αὐτῶν διαγορεύει. ἰσχυρότερον δὲ ἐπ' ἐσχάτων τὸν Ἰσραὴλ ἀποφαίνων, οὐδὲ λείψανον τὸν ἐχθρὸν ἀποφαίνοντα.

ΤΟΥ ΑΥΤΟΥ. Ὡς ὑπὸ τοῦ ἐρχομένου βασιλέως κρατηθησομένους. οἵτινες εἰσὶ πάντες ἄνθρωποι. πάντες γὰρ ἀπὸ τοῦ Σὴθ τὴν καθόλου δυναστείαν τοῦ Σωτῆρος προηγόρευσαν.

ΩΡΙΓΕΝΟΥΣ. Φασὶ τὸν Βαλαὰμ ἔχειν φοιτητὰς τῇ τέχνῃ μαθητεύσαντας αὐτῷ τῇ μαγικῇ, καὶ δόξαν περὶ αὐτοῦ ἔχοντας, ἀναγράψασθαι τὰς προφητείας αὐτοῦ, καὶ
» καταλιπεῖν. ἐν αἷς καὶ τὸ, ἀνατελεῖ ἄστρον· ἢ (2) καὶ ἐκ πατρικῆς παραδόσεως τοῦτο καὶ διαδοχῆς παραλαβόντες οἱ μάγοι, ἐπὶ τὴν Βηθλεὲμ παρεγένοντο.

» ΑΔΗΛΟΥ. Τοὺς ἀρχηγοὺς Μωάβ. Οὗτοι δὲ ἦσαν Ἐδὼμ καὶ Ἡσαῦ. τί δὲ ᾐνίξατο διὰ τούτων; ἢ διὰ μὲν τῶν ἀρχηγῶν Μωὰβ, τὴν τῶν ἀοράτων ἐχθρῶν καθαίρεσιν, αὐτῶν δὲ τῶν πάλαι περὶ τοῖς Μωαβίταις (3) θεολογουμένων Δαιμόνων.

ιη. Καὶ ἔσαι Ἐδὼμ κληρονομία, καὶ ἔσαι κληρονομία Ἡσαῦ ὁ ἐχθρὸς αὐτοῦ. καὶ Ἰσραὴλ ἐποίησεν ἰσχύϊ.

ΕΥΣΕΒΙΟΥ. Οἱ γὰρ πάλαι ἐχθροὶ τοῦ Θεοῦ καὶ Ἰσραὴλ, γενήσονται (φησὶ) κληρονομία τοῦ προφητευομένου. αὐτὸς ὡς εἴρη-
» το πρὸς τοῦ Θεοῦ καὶ πατρὸς, αἴτησαι παρ' Ψαλ. 2. 8.
» ἐμοῦ, καὶ δώσω σοι ἔθνη.

ιθ. Καὶ ἐξεγερθήσεται ἐξ Ἰακὼβ, καὶ ἀπολεῖ σωζόμενον ἐκ πόλεως.

» ✱ ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐξεγερθήσεται ἐξ Ἰακώβ. Τίς οὗτος; ὁ προφητευόμενος τοῦ Θεοῦ λόγος. [ὃς καὶ ἀπώλεσε σωζόμενον ἐκ πόλεως.]. οἶμαι δὲ τὴν Ἱερουσαλὴμ αἰνίττεσθαι· (4) ἐξ ἧς ὤλετο πᾶς σωζόμενος, ἢ καὶ τὸ πᾶν τοῦ ἔθνους αὐτῶν πολίτευμα.

κ. Καὶ ἰδὼν τὸν Ἀμαλὴκ, καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ, εἶπεν, ἀρχὴ ἐθνῶν Ἀμαλὴκ, καὶ τὸ σπέρμα αὐτῶν ἀπολεῖται.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Μέμνηται καὶ τοῦ Ἀμαλὴκ, ὡς ἐλθόντος τῷ Ἰσραὴλ πρότερον

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. (2) Ὁ. ἐν Τόμ. 2. σελ. 321. τῆς τοῦ Ῥο. ἐκδόσ.
(3) Ἴσ. παρὰ τοῖς Μωαβ. ἢ παρὰ τοὺς Μωαβ. (4) Αἰνιττόμενος. ὁ τῆς Αὐγ. κώδ.

ρον, καὶ νικηθέντος ἐκλάσει τῶν Μωϋσέως χειρῶν. A

κα. Καὶ ἰδὼν τὸν Κεναῖον, (1) καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ, εἶπεν, ἰσχυρὰ ἡ κατοικία σου. καὶ ἐὰν
κβ. θῇς ἐν πέτρᾳ τὴν νοσσιάν σου, Καὶ ἐὰν γένηται τῷ Βεὼρ νοσσιὰ πανουργίας, Ἀσσύριοι αἰχμαλωτεύσουσί σε.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τελευταῖον καὶ περὶ τοῦ Κεναίου προφητεύει πολέμου, τούτου (2) καὶ τοῦ Ἰσραὴλ γενομένου. οἱ καὶ τῷ γένει προσήκοντες ἐτύγχανον τῷ Μωϋσῇ· ὡς λέγεται περὶ τοῦ Χαβὲρ τοῦ Κεναίου ἐν τοῖς
Κριτ. 4.11. Κριταῖς, ὅτι ἦν ἐκ τῶν υἱῶν Ἰωβὰβ πενθεροῦ Μωϋσῇ. (3)

ΤΟΥ ΑΥΤΟΥ. Προφητεύεται καὶ οὗτος ἐκπεσούμενος τῆς ἀδίκως ὑπ' αὐτοῦ κατασχεθείσης γῆς, καὶ εἰς Ἀσσυρίαν ἐξοικισθησόμενος.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐξέτεινε τὴν σκηνὴν αὐτοῦ ἕως Βασανὶ τῆς παρὰ τὴν Κεδές. κατέσχε γὰρ μέρος τῆς ἁγίας γῆς, καὶ ἐπὶ πολὺ παρέτεινε. διὸ λέγει περὶ αὐτοῦ, » ἰσχυρὰ ἡ κατοικία σου.

κγ. Καὶ ἰδὼν τὸν Ὢγ, καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ, εἶπεν, ὦ ὦ, τίς ζήσεται, ὅταν θῇ ταῦτα ὁ Θεός;

ΕΙΡΗΝΑΙΟΥ. Ταῦτα πάλαι διὰ παραβολῶν λαλῶν ὁ Βαλαὰμ, οὐκ ἐγινώσκετο· καὶ νῦν ὁ Χριστὸς παρὼν, καὶ ταῦτα πληρῶν, οὐκ ἐπιστεύετο. ὅθεν καὶ προβλέ» πων καὶ θαυμάζων, λέγει· ὦ ὦ τίς ζήσε» ται, ὅταν θῇ ὁ Θεὸς ταῦτα;

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὅταν ἐκεῖνα δηλα» δὴ πληρωθῇ τοῦ Ζαχαρίου· διὰ τοῦτο οὐ φεί- Ζαχ. 11. 6.
» σομαι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν. καὶ » ἰδοὺ ἐγὼ παραδίδωμι ἕκαστον εἰς τὰς χεῖρας B
» τοῦ πλησίον αὐτοῦ, καὶ κατακόψουσι τὴν γῆν, » καὶ οὐ μὴ ἐξέλωμαι ἐκ τῆς χειρὸς αὐτοῦ.

κδ. Καὶ ἐξελεύσεται ἐκ χειρῶν Κιτιαίων, καὶ κακώσουσιν Ἀσσοὺρ, καὶ κακώσουσιν Ἑβραίους, καὶ αὐτοὶ ὁμοθυμαδὸν ἀπολοῦνται.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοὺς ἐχθροὺς τοῦ Ἰσραὴλ ἀπολουμένους δηλοῖ, ὅπερ ἐπ' ἐσχάτου ἔσαι τοῦ αἰῶνος.

Γ κε. Καὶ ἀναστὰς Βαλαὰμ ἀπῆλθεν ἀποστραφεὶς εἰς τὸν τόπον αὐτοῦ. καὶ Βαλὰκ ἀπῆλθε πρὸς ἑαυτόν.

ΣΕΥΗΡΟΥ. Οὐκ εἰς τὴν χώραν, οὔτε εἰς τὴν πατρίδα αὐτοῦ, φησὶν, ἀπῆλθεν, ἀλλ' εἰς τὸ κατάλυμα, ἐν ᾧ ἔμενεν ἐλθὼν » πρὸς Βαλὰκ, εἰς πόλεις Ἐπαύλεων, ὡς Ἀριθ. 22.39.
ἀνωτέρω φησίν. ἐπεὶ πῶς ἀναιρεῖται μετὰ Βαλὰκ ὑπὸ τῶν Ἰσραηλιτῶν, ὡς κατωτέρω ἐν τῷδε τῷ συντάγματι (4) ἱστόρηται;

ΚΕΦ. ΚΕ.

α. Καὶ κατέλυσεν Ἰσραὴλ εἰς Ἄττειν, (5) καὶ ἐβεβηλώθη ὁ λαὸς ἐκπορνεῦσαι εἰς τὰς θυγατέρας Μωάβ.

ΩΡΙΓΕΝΟΥΣ. Ἡ δὲ γνώμη τοῦ πορνεῦσαι τοὺς Ἑβραίους, καὶ προσκυνῆσαι τῷ Βεελφεγὼρ, τοῦ μάντεως ἦν. διό φησι Μωϋ-
Ἀριθ. 31.16. σῆς· αὗται δὲ ἦσαν τοῖς υἱοῖς Ἰσραὴλ, κα» τὰ τὸ ῥῆμα Βαλαὰμ τοῦ ἀποστῆσαι καὶ ὑπε» ριδεῖν τὸ ῥῆμα Κυρίου, ἕνεκεν Βεελφεγώρ.

** ΤΟΥ ΝΥΣΣΗΣ. Δοκεῖ δέ μοι συμβουλήν τινα ψυχωφελῆ κατατίθεσθαι τοῖς ἀνθρώποις ἡ ἱστορία, δι' ἧς διδασκόμεθα, ὅτι πολλῶν ὄντων παθῶν, ἃ τοὺς λογισμοὺς τῶν ἀνθρώπων καταγωνίζεται, οὐδεμίαν καθ' ἡμῶν ἰσχὺν ἕτερον πάθος ἔχειν τοσαύτην, ὡς πρὸς τὴν νόσον τῆς ἡδονῆς ἐξισάζεσθαι. τὸ γὰρ ἀθρόως τοὺς Ἰσραηλίτας ἐκείνους, τοὺς καὶ τῆς αἰγυπτίας ἵππου κρείττους ἐπιδειχθέντας, καὶ τῶν Ἀμαληκιτῶν ὑπερσχόντας, καὶ τῷ μετ' αὐτοὺς ἔθνει φοβεροὺς φανέντας, καὶ μετὰ ταῦτα τῆς τῶν Μαδιανιτῶν ὑπερισχύσαντας φάλαγγος, τούτους ὁμοῦ τῇ θέᾳ τῶν ἀλλοφύλων γυναικῶν καταδουλωθῆναι τῇ νόσῳ· οὐδὲν ἕτερον, καθὼς εἴρηται, δείκνυσιν, ἢ τὸ δύσμαχόν τε εἶναι καὶ δυσκαταγώνιστον πολέμιον ἡμῶν τὴν ἡδονήν. ἡ τῶν ἀητ- E
τήτων τοῖς ὅπλοις ὁμοῦ τῷ φανῆναι καταχρατήσασα, τὸ τῆς ἀτιμίας ἤγειρε κατ' αὐτῶν τρόπαιον, ὑπὸ μάρτυρι τῷ φωτὶ τὴν αἰσχύνην αὐτῶν στηλιτεύσασα. βοσκήματα γὰρ δι' ἑαυτῆς τοὺς ἀνθρώπους ἀπέδειξεν, οὓς ἡ κτηνώδης καὶ ἄλογος πρὸς τὴν ἀκολασίαν ὁρμὴ ἐκλαθέσθαι τῆς ἀνθρωπίνης ἀνέπεισε φύσεως· μηδ' ἐπικρυπτομένους τὸ ἄγος, ἀλλ' ἐμπομπεύοντας τῇ ἀτιμίᾳ τοῦ πάθους, καὶ ἐγκαλλωπιζομένους τῷ τῆς αἰ- Z
σχύνης μιάσματι, συῶν δίκην ἀναφανδὸν ἐν ταῖς ἀλλήλων ὄψεσι τῷ τῆς ἀκαθαρσίας βορβόρῳ ἐγκαλινδουμένους. τί οὖν τῷ διηγήματι παιδευόμεθα; τὸ μαθόντας ἡμᾶς ὅσην ἰσχὺν πρὸς τὸ κακὸν ἡ τῆς ἡδονῆς ἔχει νόσος, ὡς ὅτι μάλιστα πόρρω τοῦ τοιούτου γειτονήματος, τὸν ἑαυτῶν ἀποικίζειν

(1) Κιναῖον. αἱ εἰρημ. ἐκδόσ. Κεινᾶιον. ἡ τοῦ Ἀλδ. (2) Καὶ τούτου τοῦ Ἰσραήλ. ὁ Ἀλεξάν κώδ.

(3) Τὰ αὐτὰ ὀρθότερ. καὶ σαφέστερ. συντεταγμένα ἐν τῷ τῆς Αὐγ. κώδ. κεῖται. Μέμνηται καὶ τοῦ Κιναίου δυσμενοῦς τῷ λαῷ γεγονότος· ὃς καὶ κατὰ γένος προσῆκε τῷ Μωϋσεῖ, ὡς ἐν Κριταῖς περὶ Χάβερ τοῦ Κιναίου φησὶν, ὡς ἦν ἐκ τῶν υἱῶν Ἰωβὰβ τοῦ πενθεροῦ Μωϋσέως. (4) Ἐν κεφ. 31.

(5) Σαττίειν. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 492. Σατγείμ. ἡ τοῦ Ἀλδ. Σαβετείμ. ἡ ἐν Ὀξον.

ζειν βίον· ὡς ἂν μή τινα πάροδον καθ' ἡμῶν λάβῃ ἡ νόσος, οἷόν τι πῦρ διὰ τοῦ προσεγγισμοῦ τὴν πονηρὰν φλόγα κατεργαζόμενον.

β. Καὶ ἐκάλεσαν αὐτοὺς εἰς τὰς θυσίας τῶν εἰδώλων αὐτῶν, καὶ ἔφαγεν ὁ λαὸς τῶν θυσιῶν αὐτῶν, καὶ προσεκύνησαν τοῖς εἰδώλοις αὐτῶν,
γ. Καὶ ἐτελέσθη Ἰσραὴλ τῷ Βεελφεγώρ. καὶ ὠργίσθη θυμῷ Κύριος τῷ Ἰσραήλ.

** ΩΡΙΓΕΝΟΥΣ. Παρατήρει, ὅτι οὐκ εἴρηται· καὶ ἐλάτρευσαν τοῖς εἰδώλοις αὐτῶν. οὐδὲ γὰρ οἷόν τε ἦν μετὰ τοσαῦτα σημεῖα καὶ τέρατα ὑπὸ μίαν καιροῦ ῥοπὴν πεισθῆναι ὑπὸ τῶν γυναικῶν μεθ' ὧν ἐξεπόρνευον, πρὸς τὸ νομίσαι Θεοὺς τὰ εἴδωλα. τάχα δὲ οὕτω καὶ κατὰ τὴν ἐν τῇ Ἐξόδῳ μοσχοποιΐαν προσεκύνησαν, οὐ λατρεύσαντες τῷ μόσχῳ, ὃν γινόμενον ἐθεάσαντο.

** ΠΡΟΚΟΠΙΟΥ. Μαθόντες δὲ Μωαβῖται, ὡς ἀνάλωτος ὑπὸ πάσης ἐπιβουλῆς Ἰσραὴλ, πλὴν εἰ μὴ προσκρούσῃ Θεῷ, τὴν τῶν γυναικῶν παγίδα συνέστησαν, κατὰ γνώμην, ὥς φησι, (1) Βαλαάμ. αἱ γὰρ γυναῖκες τοῖς πρὸς αὐτὰς εἰσιοῦσιν, ἔλεγον· ἐὰν μὴ τῷ Θεῷ ἡμῶν προσκυνήσητε· ὃν καλεῖ Βεελφογὼρ καὶ Φογώρ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐδὲν ἔξωθεν ἰσχύει κατὰ τῶν ἀνθρώπων, εἰ μὴ παρ' αὐτῶν μορφωθείη τὸ βλάβος, ἑκουσίως ὑπαχθέντων εἰς τὸ κακὸν, καὶ διὰ ἡδονῆς ἑλκυσθέντων· ὥσπερ ἡ παρὰ τὰς γυναῖκας ἡδονὴ τότε λήθην ἐνέβαλε τῶν παρὰ τοῦ ζῶντος Θεοῦ εὐεργεσιῶν, καὶ μυηθῆναι πεποίηκεν ἐπ' ὀνόματι τοῦ νεκροῦ Φογὼρ, ὃν
Ψαλ 105. 28, καὶ Βεελφεγὼρ καλεῖ. ἔφαγον γάρ φησι
29. „ θυσίας νεκρῶν. καὶ παρώξυναν αὐτὸν ἐν
„ τοῖς ἐπιτηδεύμασιν αὐτῶν.

ΑΔΗΛΟΥ. Καὶ ὁ ἅγιος Κύριλλος λέγει, (2) ὅτι τῷ τοιούτῳ τρόπῳ ἐξεπόρνευσεν ὁ λαὸς ἕνεκεν τοῦ εἶναι γυναῖκα ἐξωραϊσμένα πρὸς ὁμιλίαν αὐτῶν. οὐκ ἐπιλέγει (3) δὲ ὅτι κατὰ συμβουλὴν τοῦ Βαλαὰμ γέγονεν, ὡς οἱ λοιποὶ ἑρμηνευταὶ ἐν τῷ προειρημένῳ πρὸ μικροῦ ὁμοίῳ ῥητῷ.

δ. Καὶ εἶπε Κύριος τῷ Μωϋσῇ, λάβε τοὺς ἀρχηγοὺς τοῦ λαοῦ, καὶ παραδειγμάτισον αὐτοὺς τῷ Κυρίῳ κατέναντι τοῦ ἡλίου, καὶ ἀποστραφήσεται ὀργὴ θυμοῦ Κυρίου ἀπὸ Ἰσραήλ.

Παραδειγμάτισον. Ἀκύλας, ἀνάπηξον. (4) Σύμμαχος, κρέμασον.

A „ ΑΝΕΠΙΓΡΑΦΟΥ. Παραδειγμάτισον, ἐπὶ ξύλου ὑψηλοῦ βαλὼν, φόνευσον, καὶ ποίησον αὐτῶν τὰ σώματα πᾶσιν ὁραθῆναι.

ΚΥΡΙΛΛΟΥ. [Παραδειγματίζονται τῷ Κυρίῳ ἀπέναντι τοῦ ἡλίου.] τουτέστιν ὀρθῶν ἀπήρτηνται ξύλων, τετραμμένοι πρὸς ἀνατολάς. καὶ ἦν οὗτος αὐτοῖς ὁ τῆς κολάσεως τρόπος, [μονονουχὶ διακεκραγότος ἐναργῶς τοῦ τύπου, καὶ φωνὴν ἀνιέντος, ὅτι τὸν πανδερκῆ καὶ ἀπαραλόγιστον ὀφθαλ-
B μὸν τοῦ κρίνοντος, οὐκ ἂν διαδράσειέ τις, τοιοῖς δὲ πλάσμασιν ἐναλοὺς, οὐδ' ἂν οἴχοιτο νηποινί· προσκείσεται δὲ κατὰ τὴν τοῦ
„ Προφήτου φωνὴν, εἰς ὅρασιν πάσῃ σαρκὶ, Ἡσ. 66. 24.
πικρὰς τῶν αὐτῷ πεπλημμελημένων ὑπέχων τὰς δίκας.]

** ΤΟΥ ΑΥΤΟΥ. Τὸ ἐμφανὲς οὖν ἄρα κολάζεσθαι, καὶ τὸ οἱονεί πως ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ, παραδειγματισθῆναί φησιν ἀπέναντι τοῦ ἡλίου.

Γ ** ΠΡΟΚΟΠΙΟΥ. Τοῖς ἄρχουσιν, οἷς καὶ ῥᾴδιον τοὺς ἡμαρτηκότας εὑρεῖν, τὴν τιμωρίαν ἐπέτρεψε, καὶ τὴν ἀνακρέμασιν αὐτῶν πρὸς τὰς τοῦ ἡλίου αὐγὰς, ὡς ἂν φοβοῖεν ὁρώμενοι. ὅπερ μυσαρὸν νομίζουσιν Ἕλληνες ἡλίῳ δεικνύναι σῶμα νεκρὸν, ἀγνοοῦντες ὡς ἀδικία μόνη μολύνειν ἐπίσταται, οὐ πρᾶγμα παιδευτικὸν καὶ ὠφέλιμον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Φειδομένου καὶ τοῦτο τοῦ Θεοῦ· ἐλάττων τιμωρία πρὸς τὴν τῆς
Δ „ μείζονος ἀποφυγὴν, κατὰ τὸ, παιδεύων Ψαλ. 117. 18.
„ ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με. μέρος τοῦ λαοῦ κολάζει ἐπὶ σωφρονισμῷ τοῦ παντός.

ε. Καὶ εἶπε Μωϋσῆς ταῖς φυλαῖς Ἰσραὴλ, ἀποκτείνατε ἕκαστος τὸν οἰκεῖον αὐτοῦ τὸν τετελεσμένον τῷ Βεελφεγώρ.

E **. ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ Μωσῆς τὴν τοσαύτην ὁρῶν αἰσχύνην καὶ τὸν γέλωτα, πάλιν αὐτοὺς ἀλλήλους κατακόπτειν ἐκέλευ-
„ σε, λέγων· ἀποκτείνατε ἕκαστος τὸν πλη-
„ σίον αὐτοῦ τὸν τετελεσμένον τῷ Βεελφεγώρ. καθάπερ ἐπί τινος τραύματος πολλὰς μὲν λαβόντος τομὰς καὶ καύσεις, οὐδὲν δὲ ἄμεινον ταύτῃ διατεθέντος, κελεύει τὶς πάλιν τέμνειν καὶ καίειν τὸ περιλειφθέν.

ς. Καὶ ἰδοὺ ἄνθρωπος τῶν υἱῶν Ἰσ-
Z ραὴλ ἐλθὼν προσήγαγε τὸν ἀδελφὸν αὐτοῦ πρὸς τὴν Μαδιανῖτιν ἐναντίον Μωϋσῆ καὶ πάσης συναγωγῆς υἱῶν Ἰσραὴλ, αὐτοὶ δὲ ἔκλαιον παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου.

ΠΡΟΚΟ-

(1) Φίλων ὁ Ἑβρ. ἐν σελ. 647. καὶ ὁ Ἰώσηπ. ἐν κεφ. 6. τοῦ 4. περὶ Ἰουδ. ἀρχ. βιβλ. καὶ ὁ Θεοδώριτ. ἐν τῷ 3. καὶ ὁ Εὐσέβ. ἐν τῷ 14. ἐδ. τοῦ προλαβόν. κεφ. καὶ ὁ Ὠριγ. ἐν τῷ προτέρ. ὑπομνήμ.

(2) Ἐν σελ. 493. τοῦ 2. μέρ. τοῦ 1. Τόμ.

(3) Οὐδὲ ὁ Νύσσης ἐπιλέγει ἢ προλέγει τοῦτο, οὐδὲ ἐν τῷ περὶ τοῦ βίου Μωϋσ. λόγ. οὐδὲ ἐν τῇ θεωρίᾳ εἰς τὸν τοῦ Μωϋσ. βίον. ἀλλὰ τί ἐκ τούτου; ἡ παρασιώπησις οὐκ ἔστιν ἄρνησις. οὐ γὰρ ἐπειδὴ οὐκ εἶπον, διὰ
„ τοῦτο ἠρνήσαντο. πῶς γάρ; ὅπου γε αὐτὸς ὁ προφήτης καὶ θεόπτης Μωϋσῆς προφανῶς λέγει· αὗται γὰρ
„ ἦσαν (ἐν κεφ. 31. ἐδ. 16. τῶν Ἀριθ.) τοῖς υἱοῖς Ἰσραὴλ κατὰ τὸ ῥῆμα Βαλαὰμ τοῦ ἀποστῆσαι καὶ ὑπεριδεῖν
„ τὸ ῥῆμα Κυρίου, ἕνεκεν Φογώρ· καὶ ἐγένετο ἡ πληγὴ ἐν τῇ συναγωγῇ Κυρίου.

(4) Ἀνάπηξον. ἐν ταῖς σημειώσ. εἰς τὴν Γραφ. τὴν ἐν Φραν. ἐκδοθεῖσ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Προσήγαγε τὸν ἀδελφὸν αὐτοῦ πρὸς τὴν Μαδιανῖτιν. ἄδηλον εἰ προσήγγειλε κατήγορων, ἢ εἰ προεξένησε τῷ ἀδελφῷ τὴν γυναῖκα.

ΑΔΗΛΟΥ. Τὸ πολὺ τῆς ἀναιδείας προσκαλεῖται τὴν δικαίαν ὀργήν. οὐδὲ γὰρ ἐπικρύπτεται πρὸς τὴν Μαδιανῖτιν βαδίζων, οὐδὲ Μωϋσῆν αἰδεῖται, οὐδὲ τὰ δάκρυα τῶν ἀρχόντων. ἐπιτρέπεται γὰρ τοῖς ἄρχουσι τοῦτο ποιεῖν, ὡς ῥᾴδιον ἐπ᾽ αὐτῶν γινώσκεσθαι τοὺς ὑφ᾽ ἑαυτῶν ἀσεβοῦντας. (1)

ζ. Καὶ ἰδὼν Φινεὲς υἱὸς Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως, ἐξανέστη ἐκ μέσου τῆς συναγωγῆς, καὶ λαβὼν σειρομάστην (2) ἐν τῇ χειρὶ αὐτοῦ,
η. Ἦλθεν ὀπίσω τοῦ ἀνθρώπου τοῦ Ἰσραηλίτου εἰς τὴν κάμινον, (3) καὶ ἀπεκέντησεν ἀμφοτέρους, τόν τε ἄνθρωπον τὸν Ἰσραηλίτην, καὶ τὴν γυναῖκα διὰ τῆς μήτρας αὐτῆς. καὶ ἐπαύσατο ἡ πληγὴ ἀπὸ τῶν υἱῶν Ἰσραήλ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Φινεὲς ἐπὶ τοῖς γινομένοις σφόδρα χαλεπήνας· δεινότατον γὰρ αὐτῷ κατεφαίνετο, εἰ ὑφ᾽ ἕνα καιρὸν ἄμφω τάτε σώματα καὶ τὰς ψυχὰς ἐπιδεδώκασι, τὰς μὲν ἡδοναῖς, τὰ δὲ τὸ παρανομεῖν καὶ ἀνοσιουργεῖν· ἐνεανιεύσατο νεανείαν ἀνδρὶ καλῷ καὶ ἀγαθῷ προσήκουσαν. ἰδὼν γάρ τινα τῶν ἀπὸ τοῦ γένους θύοντα καὶ εἰσιόντα πρὸς πόρνην, μήτε κεκυφότα εἰς τοὔδαφος, μήτε λανθάνειν τοὺς πολλοὺς πειρώμενον, μηθ᾽ οἷα φιλεῖ, κλέπτοντα τὴν εἴσοδον, ἀλλὰ μετ᾽ ἀναισχύντου θράσους τὴν ἀκοσμίαν ἐπιδεικνύμενον, καὶ φρυαττόμενον ὡς ἐπὶ σεμνῷ πράγματι τῷ καταγελάστῳ, πάνυ πικρανθεὶς, καὶ πληρωθεὶς ὀργῆς δικαίας, ἐπεισδραμὼν, ἔτι καὶ κατ᾽ εὐνὴν κειμένους ἀμφοτέρους τόν τε ἐραστὴν καὶ τὴν ἑταίραν ἀναιρεῖ, προσανατεμὼν καὶ τὰ γεννητικὰ, διότι σποραῖς ὑπηρέτησαν ἐκθέσμοις.

ΑΔΗΛΟΥ. Ὀξὺς ὁ θυμὸς ὁ ὑπὲρ εὐσεβείας γινόμενος· οὐκ ἠρώτησε τὸν ἄρχοντα, οὐκ ἀνέμεινε συμβουλὴν, οὐκ ἠδέσθη θέαν πράγματος αἰσχροῦ· ἔνθα τὸ δυσσέβημα, ἐκεῖ καὶ ἡ κόλασις.

ΤΟΥ ΑΥΤΟΥ. Ὑπουργὸς τῆς προνοίας ὁ Φινεὲς τὸ μερικὸν ἐργασάμενος, ἵνα μὴ τὸ καθόλου γένηται. οὕτω μὲν γὰρ τὸ μὲν δίκαιον ἐν τῷ φόβῳ γεγένηται, τὸ δὲ ἀγαθὸν ἐπὶ τὸ ἔργον πεπλήρωται· φοβήσαντος μὲν τοῦ Θεοῦ τῇ τῶν εἰκοσιτεσσάρων χιλιάδων φθορᾷ, μετενεγκόντος δὲ τοῦ Φινεὲς εἰς τὸ μέρος τὴν κόλασιν. καὶ γέγονε μετάθεσις τῆς δικαίας δυνάμεως ἐπὶ τὴν φιλάνθρωπον παίδευσιν.

ΤΟΥ ΑΥΤΟΥ. Οὐχ ὡς θυμοῦ τινὸς ἀποσβεσθέντος, οἷος ἐν ἀνθρώποις γίνεται, καθὰ δοκεῖ ταῦτα ἐμφαίνειν, ἀλλ᾽ ὡς ἐν καιρῷ τῆς μερικῆς τιμωρίας προχωρησάσης εἰς ἀποχὴν τῆς καθολικῆς.

θ. Καὶ ἐγένοντο οἱ τεθνηκότες ἐν τῇ πληγῇ, τέσσαρες καὶ εἴκοσι χιλιάδες.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοῦτο θεασάμενοί τινες τὸ παράδειγμα τῶν τὴν ἐγκράτειαν καὶ θεοσέβειαν ἐζηλωκότων, προστάξαντος Μωϋσέως, ἐμιμήσαντο· καὶ πάντας τοὺς τελεσθέντας τοῖς χειροποιήτοις συγγενεῖς καὶ φίλους ἡβηδὸν ἀνελόντες, τὸ μὲν μίασμα τοῦ ἔθνους ἐκκαθαίρουσι διὰ τῆς τῶν προηδικηκότων ἀπαραιτήτου τιμωρίας· τοὺς δὲ ἄλλους παραχόντας ἀπολογίαν ἐναργεστάτην ὑπὲρ τῆς αὐτῶν εὐσεβείας, περιεποιήσαντο, μηδένα τῶν ἀφ᾽ αἵματος κατακρίτων οἰκτισάμενοι, μήτ᾽ ἐλαίῳ τὰ ἀδικήματ᾽ αὐτῶν παρελθόντες, ἀλλὰ καὶ καθαροὺς νομίσαντες τοὺς αὐτοῦ χεῖρας. ὅθεν οὐδενὶ παρεχώρησαν τὴν ἐπ᾽ ἔξοδον φέρουσαν τοῖς δρῶσιν ἀψευδέστατον ἔπαινον.

ι. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν,
ια. λέγων, Φινεὲς υἱὸς Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως κατέπαυσε τὸν θυμόν μου ἀπὸ υἱῶν Ἰσραὴλ, ἐν τῷ ζηλῶσαί μου τὸν ζῆλον ἐν αὐτοῖς, καὶ οὐκ ἐξανήλωσα τοὺς υἱοὺς Ἰσραὴλ ἐν
ιβ. τῷ ζήλῳ μου. Οὕτως εἰπὸν, Ἰδοὺ ἐγὼ δίδωμι αὐτῷ τὴν διαθήκην μου, δια-
ιγ. θήκην εἰρήνης, Καὶ ἔσται οὗτω (4) καὶ τῷ σπέρματι αὐτοῦ μετ᾽ αὐτὸν διαθήκη ἱερατείας αἰωνία, ἀνθ᾽ ὧν ἐζήλωσε τῷ Θεῷ αὐτοῦ, καὶ ἐξιλάσατο περὶ τῶν υἱῶν Ἰσραήλ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Φθάνει χρησμοῖς δωρησάμενος ὁ Θεὸς Φινεεῖ τὸ μέγιστον ἀγαθὸν, εἰρήνην· ὃ μηδεὶς ἱκανὸς ἀνθρώπων παρασχεῖν· πρὸς δὲ τῇ εἰρήνῃ, καὶ παγκρατησίαν ἱερωσύνης αὐτῷ, καὶ γένει κληρονομίαν ἀναφαίρετον.

** ΩΡΙΓΕΝΟΥΣ. Οὐκ οἶδα πόθεν κινούμενοι οἱ Ἑβραῖοι παραδιδόασι, Φινεὲς τὸν Ἐλεαζάρου υἱὸν ὁμολογουμένως παρατείναντα τὴν ζωὴν ἕως πολλῶν Κριτῶν, ὡς ἐν τοῖς Κριταῖς ἀνέγνωμεν, αὐτὸν εἶναι Ἠλίαν, καὶ τὸ ἀθάνατον ἐν τοῖς Ἀριθμοῖς διὰ τῆς ὀνομαζομένης εἰρήνης ἐπηγγέλθαι, ἀνθ᾽ ὧν ζηλώσας θείῳ ζήλῳ κεκινημένος, ἐξεκέντησε τὴν Μαδιανῖτιν καὶ τὸν Ἰσραηλίτην, καὶ κατέπαυσε τὸν λεγόμενον θυμὸν
» τοῦ Θεοῦ, κατὰ τὸ γεγραμμένον· Φινεὲς υἱὸς
» Ἐλεάζαρ υἱοῦ Ἀαρὼν κατέπαυσε τὸν θυμόν
» μου, ἀνθ᾽ ὧν ἐζήλωσε τὸν ζῆλόν μου.

ΑΔΗΛΟΥ. Ἱερωσύνη σφαγῆς ἀμοιβή. οὐ γὰρ ἡ τοῦ αἵματος χύσις μυσαρόν. τὸ δὲ δίκαιον ἐπάξιον τιμῆς.

ιδ. Τὸ

(1) Τοῦτο τε καὶ τοῖς ἑπομ. τέσσαρσι τοῦ Ἀδήλ. ὑπομν. ὅμοια τὰ τοῦ Προκοπ. τὰ ἐν τῷ τῆς Αὐγ. κώδ.
(2) Ἀκύλας, κόντον. Σύμμαχος, δόρυ. ἐν ταῖς εἰρημ. σημειώσ.
(3) Ἀκύλας, τὸ τέγος. Σύμμαχος, τὸ πυρίνιον. αὐτ. (4) Ἔσται αὐτῷ. αἱ εἰρημ. ἐκδόσ.

ιδ. Τὸ δὲ ὄνομα τοῦ ἀνθρώπου τοῦ Ἰσραηλίτου τοῦ πεπληγότος, ὃς ἐπλήγη μετὰ τῆς Μαδιανίτιδος, Ζαμβρὶ, υἱὸς Ἀλῶν, (1) ἄρχων οἴκου πα- A
ιε. τριᾶς Συμεών. Καὶ ὄνομα τῇ γυναικὶ τῇ Μαδιανίτιδι τῇ πεπληγυίᾳ, Χασβὶ, θυγάτηρ Σοὺρ, ἄρχοντος ἔθνους Σομὼθ, οἴκου πατριᾶς ἐςὶ τῶν Μαδιάμ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐπιφανεῖς δὲ οἱ ἀνῃρημένοι. καὶ αἱ τῶν περιφανῶν τιμωρίαι περιφανέστεραι.

ις. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων, λάλησον τοῖς υἱοῖς Ἰσ-
ιζ. ραὴλ, λέγων, Ἐχθραίνετε τοῖς Μαδιναίοις, (2) καὶ πατάξατε αὐτοὺς,
ιη. Ὅτι ἐχθραίνουσιν αὐτοὶ ὑμῖν ἐν δολιότητι, ὅσα δολιοῦσιν ὑμᾶς διὰ Φογὼρ, καὶ διὰ Χασβὶ θυγατέρα ἄρχοντος Μαδιὰμ ἀδελφὴν αὐτῶν, τὴν πεπληγυῖαν ἐν τῇ ἡμέρᾳ τῆς πληγῆς διὰ Φογώρ.

ΑΔΗΛΟΥ. Οὐχ ἦν κατὰ Μαδιανιτῶν ὡρισμένως, (3) ὥσπερ κατὰ Χαναναίων καὶ Ἀμορραίων. αὐτοὶ δὲ ἑαυτοῖς ἐπήγαγον τὴν φθορὰν, ἐξ ὧν ἐγνώσθησαν δολιοῦντες τὸν Ἰσραήλ. οὐ γὰρ διελάνθανε Θεὸν ἡ βουλή· ἣν καὶ δηλώσας, ἤγειρεν ἐπὶ τὸν πόλεμον τοὺς Ἰσραηλίτας, δύω τὰς αἰτίας B λέγων, δι' ἃς χαλεπαίνουσι, τήν τε τοῦ εἰδώλου Φογὼρ καὶ τῆς ἀνῃρημένης γυναικός. ὀργὴ γὰρ ὑπὲρ τῶν σεβασμάτων μεγάλη παρίσταται, ἐπειδὰν ταῦτα καταλύηται, καὶ δίκας δίδωσιν οἱ προσήκοντες αὐτοῖς.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Πρὸς γὰρ πορνείαν καὶ εἰδωλολατρείαν διὰ τῆς δοκούσης φιλίας ἦσαν αὐτοὺς ὑποκλέψαντες.

" ** ΒΑΣΙΛΕΙΟΥ. Τὸ, ἐχθραίνετε τοῖς
Γ " Μαδιναίοις, διδάσκοντός ἐςι κεχρῆσθαι τῷ θυμῷ ὥσπερ ὅπλῳ.

ΚΕΦ. ΚϚ.

α. Καὶ ἐγένετο μετὰ τὴν πληγὴν, καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν καὶ Ἐλεά-
β. ζαρ τὸν ἱερέα, λέγων, Λάβε τὴν ἀρχὴν πάσης συναγωγῆς υἱῶν Ἰσραὴλ ἀπὸ εἰκοσαέτους καὶ ἐπάνω κατ' οἴκους πατριῶν αὐτῶν, πᾶς ὁ ἐκπορευόμενος παρατάξασθαι ἐν Ἰσραήλ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκεν πάλιν ἀριθμηθῆναι προσέταξεν ὁ Θεὸς τὸν λαόν; Ἐπειδὴ κατὰ τῶν ἀριθμηθέντων ἤδη τὴν ψῆφον ἐξήνεγκεν, ἤμελλε δὲ τοὺς ἐκείνων παῖδας εἰς τὴν ἐπηγγελμένην εἰσαγαγεῖν γῆν, περὶ ὧν εἶπον ἐκεῖνοι ὅτι αἰχμάλωτοι ἔσονται· ἐκέλευσεν ἀριθμηθῆναι καὶ τούτους, ἵνα δείξῃ τῆς οἰκείας εὐλογίας τὴν δύναμιν, ὅτι καὶ τῶν πατέρων ἀναιρεθέντων, ὁ αὐτὸς διέμεινεν ἀριθμός.

ΚΥΡΙΛΛΟΥ. Εἴρηται πολλάκις περὶ τούτων, ὅτι διὰ τὸ εὐσθενὲς καὶ ἀνδρεῖον κατὰ τῶν παθῶν τὴν ἀπὸ τοιοῦδε χρόνου ἡλικίαν ἀριθμεῖν εἴωθε, καὶ δι' ἄλλας δέ τινας αἰτίας καθὰ προεγράφη. (4)

** ΤΟΥ ΑΥΤΟΥ. Τὸ ἡβηκὸς δὴ πάλιν, καὶ τὴν ἐμπειροπόλεμον ἡλικίαν ἀπαριθμεῖσθαι δεῖν προστάττει Θεός. ὡς γὰρ ἤδη φθάσαντες εἴπομεν, ἐν γνώσει τε καὶ ἀπογραφῇ τῇ παρὰ Θεῷ, καὶ ἐν βίβλῳ ζώντων, οὐ τὸ ἄναλκι καὶ ἀδρανὲς, οὔτε μὴν τὸ ἔτι νηπιάζον κατὰ τὴν φρόνησιν, ἀλλὰ πᾶν ὅσον ἐςὶν εὐσθενές τε ἤδη καὶ ἕτοιμον εἰς παράταξιν. τὴν κατὰ παθῶν τε καὶ ἁμαρτίας, καὶ βεβηκὸς εἰς σύνεσιν, εὐπρεπές τε ἤδη πρὸς τὸ χρῆναι δρᾶν, καὶ δύνασθαι κατορθοῦν ἃ ἂν βούλοιτο Θεός.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὴν στρατεύσιμον ἡλικίαν ἐκλέγεσθαι κελεύει, ὥσπερ καὶ τὸ πρό-
Δ τερον, καὶ τὸν ταύτης ἀριθμὸν ἀναζητεῖν. ἐξαριθμοῦνται δὲ κατὰ φυλάς. ἡ δὲ ἐξαρίθμησις οὐ κατὰ τὴν προτέραν τάξιν. νῦν γὰρ ἀναμίγνυσι τάς τε τῶν εὐγενῶν φυλὰς καὶ τὰς ἐκ τῶν δούλων. καὶ εἴη ἂν σύμβολον τοῦτο τῆς ἀναμίξεως τοῦ Ἰσραὴλ τῆς πρὸς ἡμᾶς, κατὰ τὸν λόγον τοῦ Κυ-
» ρίου ἔσονται μία ποίμνη, εἷς ποιμήν. καὶ, Ἰωάν. ι. ις.
» εὐφράνθητε, Μωσῆς φησὶν, ἔθνη μετὰ Δευτ. 32. 43.
» τοῦ λαοῦ αὐτοῦ.

E γ. Καὶ ἐλάλησε Μωϋσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς αὐτοῖς ἐν Ἀραβὼθ Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχὼ,
δ. λέγων, Ἀπὸ εἰκοσαέτους καὶ ἐπάνω, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσῇ. καὶ οἱ υἱοὶ Ἰσραὴλ οἱ ἐξελθόντες
ε. ἐξ Αἰγύπτου, Ῥουβὶμ πρωτότοκος Ἰσραήλ. υἱοὶ δὲ Ῥουβὶμ, Ἐνὼχ, καὶ δῆ-
Z μος τοῦ Ἐνώχ· τῷ Φαλλοῦ, δῆμος τοῦ
ς. Φαλλοῦ. Τῷ Ἀσρὼμ, δῆμος τοῦ Ἀσρωνί· τῷ Χαρμὶ, δῆμος τοῦ Χαρμί.
ζ. Οὗτοι δῆμοι Ῥουβίμ. καὶ ἐγένετο ἡ ἐπίσκεψις αὐτῶν, τρεῖς καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑπτακόσιοι καὶ
η. πεντήκοντα. Καὶ οἱ υἱοὶ Φαλλοῦ, Ἐ-
θ. λιάβ. Καὶ οἱ υἱοὶ Ἐλιὰβ, Ναμουὴλ, καὶ Δαθὰν, καὶ Ἀβειρών· οὗτοι ἐπί-
H κλητοι τῆς συναγωγῆς· οὗτοί εἰσιν οἱ ἐπι-

(1) Σαλμών. αἱ εἰρημ. ἐκδόσ. Σαλώ. ἡ τοῦ Ἀλδ. Σαλώμ. ἡ ἐν Ὀξον. (2) Μαδιηναίοις. αὐτ.
(3) Ἐλλείπει τί. Ἴσ. δὲ ἐννοητέον τὸ φθαρῆναι. ἐπάγει γὰρ, αὐτοὶ ἑαυτοῖς ἐπήγαγον τὴν φθοράν.
(4) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

ἐπισυςάντες ἐπὶ Μωϋσῆν καὶ Ἀαρὼν
ἐν τῇ συναγωγῇ Κορὲ, ἐν τῇ ἐπισυ-
ι. ςάσει Κυρίου. Καὶ ἀνοίξασα ἡ γῆ τὸ
ςόμα αὐτῆς, κατέπιεν αὐτοὺς καὶ Κο-
ρὲ, ἐν τῷ θανάτῳ τῆς συναγωγῆς
αὐτοῦ, ὅτε κατέφαγε τὸ πῦρ τοὺς
πεντήκοντα καὶ διακοσίους, καὶ ἐγε-
ια. νήθησαν ἐν σημείῳ. Οἱ δὲ υἱοὶ Κορὲ
ιβ. οὐκ ἀπέθανον. Καὶ οἱ υἱοὶ Συμεὼν,
ὁ δῆμος τῶν υἱῶν Συμεών· τῷ Να-
μουὴλ, δῆμος Ἀναμουηλεί· (1) τῷ Ἰα-
μεὶν, δῆμος ὁ Ἰαμεινί· τῷ Ἰαχεὶμ,
ιγ. δῆμος ὁ Ἰαχινεί· Τῷ Ζωρὰ, (2) δῆ-
μος ὁ Ζωραΐ· τῷ Σαοὺλ, δῆμος ὁ
ιδ. Σαουλί. Οὗτοι δῆμοι Συμεὼν ἐκ τῆς
ἐπισκέψεως αὐτῶν, δύο καὶ εἴκοσι χι-
ιθ. λιάδες καὶ διακόσιοι. Υἱοὶ δὲ Ἰούδα,
Ἢρ, καὶ Αὐνὰν, καὶ Σηλὼν, καὶ Φα-
ρὲς, καὶ Ζαρά. καὶ ἀπέθανεν Ἢρ καὶ
κ. Αὐνὰν ἐν γῇ Χανάαν. Καὶ ἐγένοντο
οἱ υἱοὶ Ἰούδα κατὰ δήμους αὐτῶν· τῷ
Σηλὼμ, δῆμος ὁ Σηλωνί· Τῷ Φα-
ρὲς, δῆμος ὁ Φαρές· (3) τῷ Ζαρὰ,
κα. δῆμος ὁ Ζαραΐ. Καὶ ἐγένοντο υἱοὶ
Φαρὲς, τῷ Ἀσρὼν, δῆμος ὁ Ἀσρωνί·
κβ. τῷ Ἰαμουὴλ, δῆμος ὁ Ἰαμουηλεί. Οὗ-
τοι δῆμοι τοῦ Ἰούδα κατὰ τὴν ἐπίσκε-
ψιν αὐτῶν, ἓξ καὶ ἑβδομήκοντα χι-
κγ. λιάδες καὶ πεντακόσιοι. Καὶ οἱ υἱοὶ
Ἰσσάχαρ κατὰ δήμους αὐτῶν· τῷ Θω-
λὰ, δῆμος ὁ Θωλαΐ· Τῷ Φουὰ, δῆ-
κδ. μος ὁ Φουαΐ. Τῷ Ἰασοὺβ, δῆμος ὁ
Ἰασουβί· τῷ Ἄμβραμ, δῆμος ὁ Ἀμ-
κε. βραμί. Οὗτοι δῆμοι Ἰσσάχαρ ἐξ ἐπι-
σκέψεως αὐτῶν, τέσσαρες καὶ ἑξή-
κς. κοντα χιλιάδες καὶ τετρακόσιοι. Υἱοὶ
Ζαβουλὼν κατὰ δήμους αὐτῶν· τῷ
Σαραῒδ, (4) δῆμος ὁ Σαραϊδί· τῷ
Ζαμβρεὶ, δῆμος ὁ Ζαμβρεΐ· τῷ Ἀλ-
λὼν, δῆμος ὁ Ἀλλωνεί· τῷ Ἀλλὴδ, (5)
κζ. δῆμος ὁ Ἀλληδί. Οὗτοι δῆμοι Ζα-
βουλὼν ἐξ ἐπισκέψεως αὐτῶν, ἑξή-
ιε. κοντα χιλιάδες καὶ πεντακόσιοι. Υἱοὶ
Γὰδ κατὰ δήμους αὐτῶν· τῷ Σαφὼν,
δῆμος ὁ Σαφωνί· τῷ Ἀγγεῖ, δῆμος ὁ
ις. Ἀγγεί· τῷ Σουνεῖ, δῆμος ὁ Σουνεί· Τῷ
Ἀζανεῖ, δῆμος ὁ Ἀζανεί· τῷ Ἀδδεῖ,
ιζ. δῆμος ὁ Ἀδδεί· Τῷ Ἀροαδεῖ, δῆμος ὁ
Ἀροαδεί· τῷ Ἀριὴλ, δῆμος ὁ Ἀριηλί.
ιη. Οὗτοι δῆμοι τοῦ Γὰδ ἐξ ἐπισκέψεως
αὐτῶν, τεσσαράκοντα χιλιάδες καὶ
μδ. τετρακισχίλιοι καὶ πεντακόσιοι. Υἱοὶ
Ἀσὴρ κατὰ δήμους αὐτῶν· τῷ Ἰαμὶν,
δῆμος ὁ Ἰαμεινί· τῷ Ἰεσουὶ, δῆμος ὁ
Ἰεσουί· τῷ Βαριὰ, δῆμος ὁ Βαριαΐ.
με. Τῷ Χοβὲρ, δῆμος ὁ Χοβερί· τῷ Μελ-
μς. χιὴλ, δῆμος ὁ Μελχιηλί. Καὶ τὸ
ὄνομα τῆς θυγατρὸς Ἀσὴρ, Σάρα.
μζ. Οὗτοι δῆμοι Ἀσὴρ ἐξ ἐπισκέψεως αὐ-
τῶν, τρεῖς καὶ τεσσαράκοντα χιλιά-
κη. δες καὶ ἑξακόσιοι. Υἱοὶ Ἰωσὴφ κατὰ
δήμους αὐτῶν, Μανασσὴ καὶ Ἐφραίμ.
κθ. Υἱοὶ Μανασσῆ, τῷ Μαχεὶρ, δῆμος ὁ
Μαχειρί. καὶ Μαχεὶρ ἐγέννησε τὸν
Γαλαάδ· τῷ Γαλαὰδ, δῆμος ὁ Γα-
λ. λααδί. Καὶ οὗτοι υἱοὶ Γαλαὰδ, τῷ
Ἀχιέζερ, δῆμος ὁ Ἀχιεζερί. τῷ Χε-
λα. λὲκ, δῆμος ὁ Χελεκί· Τῷ Ἐσριὴλ,
Γ δῆμος ὁ Ἐσριηλί· τῷ Συχὲμ, δῆμος
λβ. ὁ Συχεμί. Τῷ Συμαὲρ, δῆμος ὁ Συ-
μαερί· καὶ τῷ Ὀφὲρ, δῆμος ὁ Ὀφερί.
λγ. Καὶ τῷ Σαλπαὰδ υἱῷ Ὀφὲρ οὐκ ἐγέ-
νοντο αὐτῷ υἱοὶ, ἀλλὰ θυγατέρες.
καὶ ταῦτα τὰ ὀνόματα τῶν θυγα-
τέρων Σαλπαάδ· Μααλὰ, καὶ Νουὰ,
καὶ Ἐγλὰ, καὶ Μελχὰ, καὶ Θερσά.
λδ. Οὗτοι δῆμοι Μανασσῆ ἐξ ἐπισκέψεως
Δ αὐτῶν, δύο καὶ ἑξήκοντα χιλιάδες
λε. καὶ ἑπτακόσιοι. Καὶ οὗτοι οἱ υἱοὶ Ἐφ-
ραίμ· τῷ Σουθαλὰ, δῆμος ὁ Σουθα-
λαΐ· τῷ Βαχὰρ, δῆμος ὁ Βαχαραΐ·
λς. τῷ Τανὰχ, δῆμος ὁ Ταναχί. Οὗτοι
υἱοὶ Σουθαλά. τῷ Ἐδὶν, δῆμος ὁ Ἐδινί.
λζ. Οὗτοι δῆμοι Ἐφραὶμ ἐξ ἐπισκέψεως
αὐτῶν, δύο καὶ τριάκοντα χιλιάδες
Ε καὶ πεντακόσιοι. οὗτοι δῆμοι υἱῶν Ἰω-
λη. σὴφ κατὰ δήμους αὐτῶν. Οἱ υἱοὶ Βε-
νιαμὶν κατὰ γένος (6) αὐτῶν· τῷ Βα-
λὲ, δῆμος ὁ Βαλεΐ· τῷ Ἀσυβὴρ,
δῆμος ὁ Ἀσυβηρί· τῷ Ἀχιρὰν, δῆ-
λθ. μος ὁ Ἀχιρανί. Τῷ Σωφὰν, δῆμος
μ. ὁ Σωφανί. Καὶ ἐγένοντο οἱ υἱοὶ Βα-
λὲ, Ἄδερ, καὶ Νοεμάν. τῷ Νοεμὰν,
Ζ δῆμος ὁ Νοεμανί· τῷ Ἄδερ, δῆμος
μα. ὁ Ἀδερί. Οὗτοι οἱ υἱοὶ Βενιαμὶν κα-
τὰ δήμους αὐτῶν ἐξ ἐπισκέψεως αὐ-
τῶν, πέντε καὶ τριάκοντα χιλιάδες
μβ. καὶ πεντακόσιοι. Καὶ οἱ υἱοὶ Δὰν κα-
τὰ δήμους αὐτῶν· τῷ Σαμεῖ, δῆμος
ὁ Σαμεί. οὗτοι δῆμοι Δὰν κατὰ δή-
μγ. μους αὐτῶν. Πάντες οἱ δῆμοι Σαμεὶ
κατὰ ἐπισκοπὴν αὐτῶν, τέσσαρες καὶ
ἑξή-

(1) Ὁ Ναμουηλί. αἱ εἰρημ. ἐκδόσ.
(2) Ζαρὰ, δῆμος ὁ Ζαραΐ. αἱ αὐτ. Σαὰρ, - - Σαάρ. ἡ ἐν Ὀξον.
(3) Ὁ Φαρεσί. αἱ αὐτ.
(4) Σαρὲδ, δῆμος ὁ Σαρεδί. αἱ αὐτ.
(5) Ἀλλὴλ, δῆμος ὁ Ἀλληλί. αἱ αὐτ. Ἐὴλ, δῆμος ὁ Ἐήλ. ἡ ἐν Ὀξον.
(6) Υἱοὶ Βενιαμὶν κατὰ δήμους. αἱ αὐτ.

μη. ἑξήκοντα χιλιάδες καὶ ἑξακόσιοι. Υἱοὶ
Νεφθαλεὶμ κατὰ δήμους αὐτῶν· τῷ
Ἀσιὴλ, δῆμος ὁ Ἀσιηλί· τῷ Γωϋνὶ,
μθ. δῆμος ὁ Γωϋνί. Τῷ Ἰεσὲρ, δῆμος ὁ
Ἰεσερί· τῷ Σελλεὶμ, δῆμος ὁ Σελλη-
ν. μεί. Οὗτοι δῆμοι Νεφθαλεὶμ ἐξ ἐπι-
σκέψεως αὐτῶν, πέντε καὶ τεσσαρά-
κοντα χιλιάδες καὶ τριακόσιοι.

να. Αὕτη ἡ ἐπίσκεψις υἱῶν Ἰσ-
ραὴλ, ἑξακόσιαι χιλιάδες καὶ χίλιοι
καὶ ἑπτακόσιοι καὶ τριάκοντα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὁ τῶν φυλῶν ἀριθμὸς ἠλάττωται παρὰ τὸν πρότερον. τότε μὲν γὰρ ἦσαν χιλιάδες ἑξακόσιαι καὶ ἑξακισχίλιαι καὶ πεντακόσιαι καὶ πεντήκοντα· νῦν δὲ χιλιάδες ἑξακόσιαι καὶ χίλιοι πεντακόσιοι (1) τριάκοντα. τὸ δὲ Λευϊτικὸν πεπλεόνακε μᾶλλον παρὰ τὸν πρῶτον. τότε μὲν γὰρ ἦν χιλιάδων εἴκοσι καὶ δύω· μετὰ ταῦτα δὲ, εἴκοσι καὶ τριῶν. τὸ μὲν γὰρ ἐκλεχθὲν γένος εἰκότως οὐκ ἐλαττοῦται, ἀλλὰ καὶ ἐπαύξεται· τὸ ἐπιτιμηθὲν δὲ, εἰς ἔλαττον ἔρχεται. γενεὰ δὲ ἑτέρα παρὰ τὴν τότε, (2) ὡς ἡ Γραφὴ σημαίνει. Ψαλ. 77. 6.

νβ. Καὶ ἐλάλησε Κύριος πρὸς
νγ. Μωϋσῆν, λέγων, Τούτοις μεριασθήσε-
ται ἡ γῆ, κληρονομεῖν ἐξ ἀριθμοῦ ὀνο-
νδ. μάτων. Τοῖς πλείοσι πλεονάσεις τὴν
κληρονομίαν, καὶ τοῖς ἐλάττοσιν ἐλατ-
τώσεις τὴν κληρονομίαν αὐτῶν· ἑκά-
στῳ καθὼς ἐπεσκέπησαν, δοθήσεται
ἡ κληρονομία αὐτῶν.

ΚΥΡΙΛΛΟΥ. Τὸ γὰρ ὡς ἐν ἀριθμῷ τῶν ὀνομάτων πλεῖον, καὶ τύπος ἂν γένοιτο σαφὴς τοῦ ὑπερκειμένου καὶ πλεονάζοντος ὡς ἐν ἀρετῇ.

νε. Διὰ κλήρων μερισθήσεται ἡ
γῆ τοῖς ὀνόμασι· κατὰ φυλὰς πα-
τριῶν αὐτῶν κληρονομήσουσιν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε κλήρῳ μερισθῆναι τὴν γῆν προσέταξεν ὁ Θεός; Ὥστε πᾶσαν ἔριν καὶ φιλονεικίαν σβέσαι, ὡς τοῦ Θεοῦ διὰ τοῦ κλήρου τὴν γῆν νέμοντος. οὔτε γὰρ τύχῃ τινὶ τὸ πρᾶγμα πιστεῦσαι προσέταξε. τοῦτο πεποιήκασι καὶ οἱ θεῖοι Ἀπόστολοι πρὶν ἐπιφοιτῆσαι τὸ πανάγιον πνεῦμα. κλήρους γὰρ βαλόντες, ἱκέτευσαν τὸν ἅπαντα σαφῶς ἐπιστάμενον, δεῖξαι τὸν ἀξιώτερον. οὕτω καὶ ὁ θεῖος Παῦλος περὶ ἡμῶν ἔφη· ἐν ᾧ ἐκληρώθημεν προορισθέντες κατὰ πρόθεσιν τοῦ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ. Ἐφεσ. 1. 11.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐ γὰρ τύχῃ τὰ πράγματα ἐπιτρέπεται παρὰ τοῖς θεοσεβέσιν· ἀλλ' ὁ μὲν κλῆρος, εἰς δήλωσιν· H τὸ δὲ αἴτιον, ἡ τοῦ Θεοῦ βούλησις. κλήρῳ δὲ A καὶ οἱ Ἀπόστολοι τὴν ἀντικατάστασιν τὴν ἀντὶ τοῦ Ἰούδα ἐποιήσαντο· οὐ τῇ συμβάσει τοῦ κλήρου τὴν αἵρεσιν τοῦ ζητουμένου πιστεύοντες, ἀλλὰ τῇ βουλήσει τοῦ Θεοῦ, ἣν καὶ ἠτήσαντο λέγοντες· σὺ Κύριε καρδιογνῶστα. οὐκ ἄρα κατὰ τὸ συμβὰν ὁ κλῆρος, ἀλλὰ κατὰ τῷ Θεῷ δοκοῦν. Πραξ. 1. 24.

ΚΥΡΙΛΛΟΥ. Κληρωτὴ δὲ ἡ γῆ, κατ' ἐκεῖνό που τάχα τὸ, ἐν ταῖς χερσί σου οἱ κλῆροί μου, πρὸς Θεὸν εἰρημένον. [θείᾳ B γὰρ ψήφῳ γενήσεται τῶν ἐσομένων ἀγαθῶν ἡ ἀπλανὴς διανέμησις, ἑκάστῳ τὸ πρέπον εἰς ἀποκλήρωσιν ὁρίζοντος τότε τοῦ πάντα εἰδότος τὰ καθ' ἡμᾶς.] Ψαλ. 30. 15.

νς. Ἐκ τοῦ κλήρου μεριεῖς τὴν κλη-
ρονομίαν αὐτῶν ἀναμέσον πολλῶν καὶ
νζ. ὀλίγων. Καὶ οἱ υἱοὶ Λευῒ κατὰ δή-
μους αὐτῶν· τῷ Γεδσὼν, δῆμος ὁ Γεδ-
Γ σωνί· τῷ Καὰθ, δῆμος ὁ Κααθί·
νη. τῷ Μεραρὶ, δῆμος ὁ Μεραρί. Οὗτοι
δῆμοι υἱῶν Λευΐ· δῆμος ὁ Λοβενὶ, δῆ-
μος ὁ Χεβρωνὶ, δῆμος ὁ Κορὲ, καὶ
δῆμος ὁ Ὁμουσεί. (3) καὶ Καὰθ ἐγέν-
νησε τὸν Ἄμβραν. (4)

νθ. Τὸ δὲ ὄνομα τῆς γυναικὸς
Ἄμβραν Ἰωχαβὲθ, θυγάτηρ Λευῒ,
Δ ἣ ἔτεκε τούτους τῷ Λευῒ ἐν Αἰγύπτῳ,
καὶ ἔτεκε τῷ Ἄμβραν τὸν Ἀαρὼν
καὶ Μωϋσῆν, καὶ Μαριὰμ τὴν ἀδελ-
φὴν αὐτῶν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἢ καὶ συγγενὴς ὡς ὁμόφυλος, ἢ καὶ ὁμώνυμος ἦν τοῦ φυλάρχου Λευῒ ὁ πατὴρ τῆς Ἰωχαβέθ.

ξ. Καὶ ἐτέχθησαν τῷ Ἀαρὼν,
ὅ, τε Ναδὰβ, καὶ Ἀβιοὺδ, καὶ Ἐλεά-
ξα. ζαρ, καὶ Ἰθάμαρ. Καὶ ἀπέθανε Να-
δὰβ καὶ Ἀβιοὺδ ἐν τῷ προσφέρειν αὐ-
τοὺς πῦρ ἀλλότριον ἔναντι Κυρίου ἐν
τῇ ἐρήμῳ Σινᾶ.

ξβ. Καὶ ἐγενήθησαν ἐξ ἐπισκέ-
ψεως αὐτῶν, τρεῖς καὶ εἴκοσι χιλιά-
δες, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ
ἐπάνω. οὐ γὰρ συνεπεσκέπησαν ἐν
Z τοῖς υἱοῖς Ἰσραὴλ, ὅτι οὐ δίδοται αὐ-
τοῖς κλῆρος ἐν μέσῳ υἱῶν Ἰσραήλ.

ΚΥΡΙΛΛΟΥ. Ἀπὸ μηνιαίου τε τῶν ἱερωτέρων ἡ ἀπογραφή. οὐ γὰρ δὴ μόνον τὸ ἐν ἰσχύϊ πνευματικῇ καὶ ἐν σοφίᾳ περιφανέστερον, ἀλλὰ καὶ ὅσον ἐστὶν ἐν ἁπλότητι τῇ κατὰ Χριστὸν, καὶ ὡς ἐν ἀκακίᾳ νήπιον. (5)

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἁγιώτερον ἀεί που H τὸ ἱερώτερον γένος. διὸ καὶ ἐξῃρημένη τῶν

ἄλλων

(1) Καὶ ἑπτακόσιοι τριάκοντα. ὁ Ἀλεξάν. κώδ.
(2) Παρὰ τὴν πρώτην. ὁ αὐτ.
(3) Ὁ Μουσί. αἱ εἰρημ. ἐκδόσ.
(4) Τὸν Ἀμράμ. αἱ αὐτ. τὸν Ἀμβράμ. ἡ ἐν Ὀξον.
(5) Καὶ ἐν κακίᾳ νηπιάζον. ἐν Τόμ. 1. μέρ. 2. σελ. 136.

ἄλλων ἡ ἀπογραφὴ περὶ αὐτοῦ. καὶ κλῆρος αὐτοῖς οὐ μετὰ τῶν ἄλλων, ἀλλὰ καὶ ἐπίσκεψις ἰδική. μερὶς δὲ αὐτοῖς καὶ κλῆρος, αὐτὸς ὁ τῶν ὅλων Θεός.

ξγ. Καὶ αὕτη ἡ ἐπίσκεψις Μωϋσῆ καὶ Ἐλεάζαρ τοῦ ἱερέως, οἳ ἐπεσκέψαντο τοὺς υἱοὺς Ἰσραὴλ ἐν Ἀραβὼθ Μωὰβ, ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ.

** ΚΥΡΙΛΛΟΥ. Ἐπιτήρει πανταχῇ τὴν τῶν ἁγίων ἀπογραφὴν καὶ κληροδοσίαν. πράττεται γὰρ διά τε Μωσέως, καὶ τοῦ προὔχοντος ἐν ἱερωσύνῃ, ἵνα τὸν ἕνα δι' ἀμφοῖν νοήσῃς Χριστὸν, ὡς ἀρχιερέα καὶ νομοθέτην, δι' οὗ πᾶσα χάρις καὶ τὸ ἐν ταῖς ἄνω φέρεσθαι βίβλοις.

ξδ. Καὶ ἐν τούτοις οὐκ ἦν ἄνθρωπος τῶν ἐπεσκεμμένων ὑπὸ Μωϋσῆ καὶ Ἀαρὼν, οὓς ἐπεσκέψατο τοὺς υἱοὺς Ἰσ-
ξε. ραὴλ ἐν τῇ ἐρήμῳ Σινᾶ. Ὅτι εἶπε Κύριος αὐτοῖς, θανάτῳ ἀποθανοῦνται ἐν τῇ ἐρήμῳ· καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς, πλὴν Χάλεβ υἱὸς Ἰεφοννὴ, καὶ Ἰησοῦς υἱὸς Ναυῆ.

A ΚΥΡΙΛΛΟΥ. Δείκνυσιν ἐναργῶς, ὅτι μὴ τοῖς ἀπειθήσασιν ἡ κληρονομία, καὶ τὸ ἐν βίβλῳ γεγράφθαι Θεοῦ. πρέποι δ' ἂν μᾶλλον τοῖς τὴν πίστιν εἰσδεδεγμένοις. (1) τοῖς δὲ ἀπειθήσασι δηλοῦται πεπληρωμένον τὸ ἐπιτίμιον, τὸ πεσεῖσθαι τὰ κῶλα αὐτῶν ἐν τῇ ἐρήμῳ, ὡς καὶ Δαβὶδ φησιν·
» εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου, Ψαλ.
» καὶ τὴν αἰτίαν δηλῶν, ὅτι ἐξουδένωσαν γῆν Ψαλ.
» ἐπιθυμητὴν, καὶ τὰ ἑξῆς.

B ΤΟΥ ΑΥΤΟΥ. Περὶ μὲν τῶν ἠπειθηκότων, τὸ, ἐξαλειφθήτωσαν ἐκ βίβλου Ψαλ.
» ζώντων, [καὶ μετὰ δικαίων μὴ γραφήτωσαν, ὁ θεσπέσιος ἔφη Δαβίδ. ὑπεμφαίνει δὲ ἡμῖν καὶ τὸ θεῖον ἐν τούτοις λόγιον,] ὅτι τοῖς πιστεύσασιν ἡ χάρις. διὰ γὰρ τοῦτο καὶ πρὸς τῷ Ἰορδάνῃ μυστικωτέρῳ λόγῳ ἡ ἀπογραφὴ γίνεται. ἀνάγραπτος γὰρ ὁ βεβαπτισμένος, πλὴν οὐχ ὁλοκλήρως ἀποπέπτωκε τῆς ἐλπίδος ὁ Ἰσραήλ. σέσωσται Ἡσ.
Γ » γὰρ τὸ κατάλειμμα, [κατὰ τὴν τοῦ Προφήτου φωνήν· οὗ τύπος] ἂν εἶεν [οἱ ἐκ πάντων καταλελειμμένοι μόνοι,] Χάλεβ καὶ Ἰησοῦς, συγκληρονομοῦντές τε καὶ ἀπογραφόμενοι, ὡς τοῖς τῆς ἀπιστίας ἐγκλήμασιν οὐκ ἐνεχόμενοι.

ΚΕΦ. ΚΖ.

α. Καὶ προσελθοῦσαι αἱ θυγατέρες Σαλπαὰδ υἱοῦ Ὀφὲρ, υἱοῦ Γαλαὰδ, υἱοῦ Μαχὴρ, τοῦ δήμου Μανασσῆ, τῶν υἱῶν Ἰωσὴφ, καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν, Μααλὰ, καὶ Νουὰ, καὶ Ἐγλὰ, καὶ
β. Μελχὰ, καὶ Θερσὰ, Καὶ στᾶσαι ἐναντίον Μωϋσῆ, καὶ ἐναντίον Ἐλεάζαρ τοῦ ἱερέως, καὶ ἐναντίον τῶν ἀρχόντων, καὶ ἔναντι πάσης τῆς συναγωγῆς ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, λέγουσιν,

γ. Ὁ πατὴρ ἡμῶν ἀπέθανεν ἐν τῇ ἐρήμῳ, καὶ αὐτὸς οὐκ ἦν ἐν μέσῳ τῆς συναγωγῆς τῆς ἐπισυστάσης ἔναντι Κυρίου ἐν τῇ συναγωγῇ Κορὲ, ὅτι δι' ἁμαρτίαν αὐτοῦ ἀπέθανε, καὶ υἱοὶ οὐκ ἐγένοντο αὐτῷ. μὴ ἐξαλειφθήτω τὸ ὄνομα τοῦ πατρὸς ἡμῶν ἐκ μέσου τοῦ δήμου αὐτοῦ, ὅτι οὐκ ἔστιν αὐτῷ υἱός· δότε ἡμῖν κατάσχεσιν ἐν μέσῳ ἀδελφῶν πατρὸς ἡμῶν.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὡς οὐ θηρώμεναι πλοῦτον προσῆλθον τῷ ἡγεμόνι μετὰ τῆς ἁρμοττούσης κόραις αἰδοῦς, ἀλλὰ τοὔνομα καὶ ἀξίωμα γλιχόμεναι διασῶσαι τοῦ πατρὸς, καί φασιν· ὅτι ὁ πατὴρ ἡμῶν ἐτελεύτησεν, [ἐτελεύτησε δὲ] ἐν οὐδεμιᾷ στάσει γενόμενος, ὑφ' ὧν συνέβη διαφθαρῆναι

Δ μυρίους, ἀλλ' ἐζήλωσε βίον ἀπράγμονα. εἰ μὴ ἄρα [ἐν ἁμαρτίᾳ θετέον] τὸ γενεᾶς ἄῤῥενος ἀμοιρῆσαι. πάρεσμεν δὲ ἡμεῖς τὸ μὲν δοκεῖν ὀρφαναὶ, τὸ δὲ ἀληθὲς σοὶ χρησόμεναι πατρί. [τοῦ γὰρ γεννήσαντος ὁ νόμιμος ἄρχων οἰκειότερος ὑπηκόοις.] ὁ δὲ θαυμάσας τὴν φρόνησιν τῶν παρθένων, καὶ τὴν πρὸς τὸν γεινάμενον εὔνοιαν, ἐπέσχεν, ὑφ' ἑκατέρας ἑλκόμενος φαντασίας· καθ' ἣν τὰς κληρουχίας ἄνδρες ὤφει-
E λον διανέμεσθαι, γέρας ληψόμενοι στρατείας καὶ πολέμων· γυναικὶ δὲ ἡ φύσις ἀσυλίαν τῶν τοιούτων ἀγωνισμάτων παρέχουσα, δῆλον ὅτι καὶ τῶν ἐπ' αὐτοῖς θεμένων ἄθλων οὐ μεταδίδωσιν. ὅθεν εἰκότως τῆς διανοίας ἀμφικλινῶς ἐχούσης καὶ ἀντισπωμένης, ἀναφέρει Θεῷ [τὴν διαπόρησιν.]

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐπειδὴ τῷ νόμῳ μακροημερία προσέκειτο κατ' ἐπαγγελίαν τοῦ
Z Θεοῦ· εἰ δὲ καὶ ἁμαρτίᾳ, φησὶ, περιπέπτωκεν, ὥστε θᾶττον ἀποθανεῖν· ἀλλ' οὐ τοιαύτῃ ἁμαρτίᾳ, οἷα καὶ ἀνώνυμον αὐτὸν ἐξαλειφθῆναι. δεινὸν δὲ ἐδόκει τὸ ἀμνημόνευτον. διὸ καὶ τῷ προδότῃ τοῦτο ἐπη-
» ράσατο ἡ προφητεία· ἐξαλειφθείη ἐκ γῆς Ψ.
» τὸ μνημόσυνον αὐτοῦ.

ΣΕΥΗΡΟΥ. Ἰστέον, ὅτι οὕτω διεσπούδαστο τοῖς τότε ἀνθρώποις ἡ τῶν ἀῤῥένων παιδοποιΐα, ὡς τὴν ἀπαιδίαν, ἁμαρτίαν προσ-
H λογίζεσθαι.

ΑΔΗΛΟΥ. Τινὲς νομίζοντες ἐναντίωσιν εἶναι τῷ σκοπῷ τοῦ ῥητοῦ, προστιθέασι τὴν ἀρνη-

(1) Τὰ ἑπόμενα ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται.

A ἄρνησιν· ὅτι ἐ δι' ἁμαρτίαν αὐτȣ ἀπέθανε· νοθεύοντες τὴν ἀληθῆ γραφήν· ὁ γὰρ λέγȣσιν αἱ θυγατέρες τȣ Σαλπαὰδ, τȣτό ἐςιν· ὅτι μετὰ τῆς Κορὲ μὲν θεομάχȣ συναγωγῆς ἐκ ἀπέθανε τὸν ἐκ τῆς θείας ὀργῆς θάνατον ὁ πατὴρ ἡμῶν, ἀλλὰ δι' ἁμαρτίαν ἰδίαν ὑȣ̀ς μὴ ἔχων, ἀπέθανεν. ἕτω γὰρ διεσπȣ́δαςο τοῖς τε (1) ἀνθρώποις ἡ τῶν ἀῤῥένων παιδοποιΐα· ὡς τὴν ἀπαιδίαν, ἁμαρτίαν προσλογίζεσθαι.

B
δ. Καὶ προσήνεγκε Μωϋσῆς τὴν κρίσιν αὐτῶν ἔναντι Κυρίȣ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐκ ἐπιτρέπει δὲ τὴν κρίσιν ἑαυτῷ Μωϋσῆς. τὸ γὰρ πρᾶγμα καθολικὸν, ἐπὶ πάντας διαβαῖνον τȣ̀ς ἄπαιδας. διὸ ἐπαναφέρει Θεῷ.

ε. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
ϛ. σῆν, λέγων, Ὀρθῶς θυγατέρες
Γ Σαλπαὰδ λελαλήκασι. δόμα δώσεις αὐταῖς κατάσχεσιν κληρονομίας ἐν μέσῳ ἀδελφῶν πατρὸς αὐτῶν, καὶ περιθήσεις τὸν κλῆρον τȣ πατρὸς αὐτῶν αὐταῖς.

ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὁ δὲ ποιητὴς τῶν ὅλων ὁ τȣ κόσμȣ Σωτὴρ, (2) καὶ τὰ πάντα συνέχων, ἐκ ἀπηξίωσε χρηματίσαι κόραις ὀρφαναῖς. ἔπαινον γὰρ διεξῆλθε τῶν παρθένων. [ὀρθῶς, φησὶν, Δ
„ ἐλάλησαν αἱ θυγατέρες Σαλπαάδ. ἐπαινέσας δὲ Μωσῆς τὴν ἔντευξιν τῶν παρθένων,] ἐκ ἀγεράςȣς ταύτας κατέλιπεν, [ἕτε εἰς τὴν ἴσην τιμὴν τοῖς ἀγωνιςαῖς ἀνδράσι περιήγαγεν.] ἀλλὰ τοῖς μὲν, ὡς ἆθλα οἰκεῖα ἀπένειμε τὰς κληρȣχίας, [ἀνθ' ὧν ἠνδραγαθήσαντο·] τὰς δὲ, χάριτος καὶ φιλανθρωπίας, [ἐ γέρως] ἠξίωσεν. ὃ καὶ ἐναργῶς παρίςησι, [διὰ τῶν ὀνομά-
„ των·] δόμα λέγων δώσεις, ἀλλ' ἐκ ἀπόδομα, ἐδὲ ἀποδώσεις. ταῦτα μὲν γὰρ ἴδια τῶν λαμβανόντων, ἐκεῖνα δὲ τῶν χαριζομένων. E

ζ. Καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλή-
η. σεις, λέγων, Ἄνθρωπος ἐὰν ἀποθάνῃ, καὶ υἱὸς μὴ ᾖ αὐτῷ, καὶ περιθήσεται τὴν κληρονομίαν αὐτȣ τῇ θυγατρὶ αὐτȣ.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Θεασάμενος περὶ ὧν ἐνετύγχανον αἱ ὀρφαναὶ παρθένοι, καὶ καθολικώτερον τίθησι νόμον περὶ κλήρων διαδοχῆς, πρῶτον μὲν υἱȣ̀ς ἐπὶ μετȣσίαν καλῶν τῶν πατρῴων· εἰ δὲ μὴ εἶεν υἱοὶ, δευτέρας θυγατέρας. αἷς φησὶ δεῖν περιτιθέναι τὸν κλῆρον, ὡσανεὶ κόσμον ἔξωθεν, ἀλλ' ἐχ ὡς ἴδιον καὶ συγγενὲς κτῆμα. τὸ γὰρ παρατιθέμενον ἐδεμίαν οἰκείωσιν ἔχει πρὸς τὸ διακοσμȣ́μενον, ἁρμονίας καὶ ἑνώσεως ἀλλοτριȣ́μενον. Z

A θ. Ἐὰν δὲ μὴ ᾖ θυγάτηρ αὐτῷ,
δώσετε τὴν κληρονομίαν αὐτȣ τῷ
ι. ἀδελφῷ αὐτȣ. Ἂν δὲ μὴ ὦσιν αὐτῷ ἀδελφοὶ, δώσετε τὴν κληρονομίαν τῷ ἀδελφῷ τȣ πατρὸς αὐτȣ.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μετὰ δὲ θυγατέρας, τρίτȣς, ἀδελφȣ̀ς καλεῖ· καὶ τετάρτην δὲ, θείοις πρὸς πατρὸς ἀπονέμει τάξιν, αἰνιττόμενος ὅτι καὶ πατέρες B γένοιντ' ἂν υἱῶν κληρονόμοι. πάνυ γὰρ εὔηθες ὑπολαβεῖν, ὅτι πατρὸς ἀδελφῷ νέμων κλῆρον ἀδελφιδȣ, διὰ τὴν πρὸς τὸν πατέρα συγγένειαν, αὐτὸν ἀφείλετο τὸν πατέρα τῆς διαδοχῆς. ἀλλ' ἐπειδὴ ὁ νόμος φύσεώς ἐςι, κληρονομεῖσθαι τȣ̀ς γονεῖς ὑπὸ παίδων, ἀλλὰ μὴ τȣ́τȣς κληρονομεῖν· τὸ μὲν ἀπευκταῖον καὶ παλίμφημον ἡσύχασεν· ἵνα μὴ πατὴρ καὶ μήτηρ προσδοκᾶσθαι δοκῶσι τὰ ἐπὶ ὠκυμόροις τέ- Γ κνοις ἀπαρηγόρητα πένθη· πλαγίως δ' αὐτȣ̀ς ἐκάλεσε, τοῖς θείοις ἐφιεὶς, ἵνα καὶ ἀμφοτέρων ςοχάσηται· καὶ τȣ πρέποντος, καὶ τȣ μὴ τὴν ȣ̓σίαν ἀλλοτριωθῆναι.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Διὰ πατέρων ποιεῖται τὰς διαδοχὰς, ἐ διὰ μητέρων, ἐδὲ λέγων ἀδελφὸν μητρὸς, ἀλλὰ πατρός. τὸ γὰρ ἡγεμονικὸν τιμᾶται.

ΤΟΥ ΑΥΤΟΥ. Διὸ καὶ τὸ ἅγιον δῶρον, Δ τὸ σωτήριον γέννημα, τὸν Κύριον ἡμῶν Ἰησȣν Χριςὸν τῇ τȣ Ἰωσὴφ γενεαλογίᾳ προσεκλήρωσεν, ἐπὶ τȣ̃τον προελθȣ̃σα, καὶ ἐ τὸ τῆς Μαρίας ἴδιον γένος διεξελθȣ̃σα. (3)

ια. Ἐὰν δὲ μὴ ὦσιν ἀδελφοὶ τȣ πατρὸς αὐτȣ, δώσετε τὴν κληρονομίαν τῷ οἰκείῳ τῷ ἔγγιςα αὐτȣ ἐκ τῆς φυλῆς αὐτȣ, κληρονομήσειν τὰ E αὐτȣ. καὶ ἔςαι τȣ̃το τοῖς υἱοῖς Ἰσραὴλ δικαίωμα κρίσεως, καθὰ συνέταξε Κύριος τῷ Μωϋσῇ.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μετὰ δὲ θείȣς πέμπτη τάξις ἐςὶν οἱ ἔγγιςα γένȣς. ὧν ἀεὶ τοῖς πρώτοις δίδωσι τȣ̀ς κλήρȣς.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Μετὰ δὲ γονεῖς καὶ θυγατέρας καὶ ἀδελφȣ̀ς καὶ θείȣς πέμπτη τάξις οἱ συγγενεῖς. Z

ιβ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, ἀνάβηθι εἰς τὸ ὄρος ἐν τῷ πέραν τȣ Ἰορδάνȣ, τȣ̃το τὸ ὄρος Ναδὰβ, καὶ ἴδε τὴν γῆν Χαναὰν, ἣν ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραὴλ ἐν κα-
ιγ. ταχέσει. Καὶ ὄψῃ αὐτὴν, καὶ προςεθήσῃ πρὸς τὸν λαόν σȣ, (4) καθὰ προσετέθη Ἀαρὼν ὁ ἀδελφός σȣ ἐν

(1) Τοῖς τότε ὀρθότερ. ὡς ἐν τῷ προλαβόντι ὁ Σευῆρος. μήτι γε δὲ καὶ τȣ̃το τȣ αὐτȣ ἐςί. μέρος γὰρ τȣ́τȣ τὸ προλαβόν.

(2) Πατήρ. ἐν τῷ 3. περὶ βίȣ Μωϋσ. λόγ. σελ. 688.

(3) Ἐννοητέον ἴσ. τὸ, ἡ Γραφή.

(4) Λαόν σȣ καὶ σὺ, καθάπερ. αἱ εἰρημ. ἐκδόσ.

ιδ. ἐν Ὢρ τῷ ὄρει. Διότι παρέβητε τὸ ῥῆμά μου ἐν τῇ ἐρήμῳ Σὶν, ἐν τῷ ἀντιπίπτειν τὴν συναγωγὴν τοῦ ἁγιάσαι με, οὐχ ἡγιάσατέ με ἐπὶ τῷ ὕδατι ἐν μέσῳ (1) αὐτῶν· τοῦτό ἐστι τὸ ὕδωρ ἀντιλογίας Κάδδης ἐν τῇ ἐρήμῳ Σίν.

* ΑΠΟΛΙΝΑΡΙΟΥ. Πλέον τι τῷ Μωϋσῇ παρὰ τῷ Ἀαρὼν ἀποδίδωσι, τὸ θεάσασθαι τὴν γῆν ἐξ ἀπόπτου. τὴν δὲ εἴσοδον οὐ δίδωσι, τῇ τῆς πίστεως ἐνδείᾳ ταύτην δικαίως ἐπιτεθείς. (2)

** ΠΡΟΚΟΠΙΟΥ. Κρείττων ὁ Μωϋσῆς Ἀαρών. διὸ καὶ βλέπει τὴν γῆν, καὶ τὴν αἰτίαν μανθάνει, δι' ἣν εἰσελθεῖν οὐκ ἠξίωται. καὶ τὴν ἰδίαν τελευτὴν προακήκοε, μᾶλλον δὲ καὶ τὴν Ἀαρὼν, ἐκείνου μηδενὸς τῶν εἰρημένων ἀξιωθέντος. οὕτω καὶ Παῦλος μανθάνει τὴν αἰτίαν, τῆς χάριτος εἰς ἴασιν μὴ τυχών. ἀλλ' ἐκείνῳ μὲν
2. Κορ. 12. 9. αἴτιον τὸ συμφέρον. ἡ γὰρ δύναμίς μου ἐν
„ ἀσθενείᾳ τελειοῦται. ἐπὶ δὲ Μωϋσέως τὸ
„ δίκαιον, ὅτι παρέβητε τὸ ῥῆμά μου. ὃ δὴ καὶ σύμβολον εἰς τὸν νόμον τελειοῦν μὴ δυνάμενον, οὐδὲ τὴν ἐπαγγελίαν ἀποκαταστῆ-
Ῥωμ. 1. 17. „ σαι· ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται. τιμὴ δὲ καὶ αὕτη τὸ προγνῶναι τὰ εἰρημένα.

ιε. Καὶ εἶπε Μωϋσῆς πρὸς Κύριον,
ις. Ἐπισκεψάσθω Κύριος ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς ἄνθρωπον ἐπὶ τῆς συναγωγῆς ταύτης,
ιζ. Ὅστις ἐξελεύσεται πρὸ προσώπου αὐτῶν, καὶ ὅστις εἰσελεύσεται πρὸ προσώπου αὐτῶν, καὶ ὅστις ἐξάξει αὐτοὺς, καὶ ὅστις εἰσάξει αὐτοὺς, καὶ οὐκ ἔσται ἡ συναγωγὴ Κυρίου ὡσεὶ πρόβατα οἷς οὐκ ἔστι ποιμήν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Μωσῆς αἰτεῖ παρὰ Θεοῦ τὸν μετ' αὐτὸν ἡγεμονεύσοντα, καὶ λαμβάνει τὸν Ἰησοῦν. Χριστὸς δὲ αὐτὸς τὸν
Ἰωάν. 21. 17. ἡγεμόνα καθίστησι, τῷ Πέτρῳ λέγων, βό-
„ σκε τὰ πρόβατά μου. (3)

** ΠΡΟΚΟΠΙΟΥ. Ἐν συμπαθείᾳ τελευτῶν φείδεται τοῦ λαοῦ, καὶ ἀξιοῖ κατα-
Ψαλ. 144. 19. στῆσαι διάδοχον. καὶ ὄντως, θέλημα τῶν
Ματθ. 7. 7. „ φοβουμένων αὐτὸν ποιήσει, κατὰ τὸ, αἰτεῖτε, καὶ λήψεσθε. ἐπινεύσας γὰρ Θεὸς αὐτῷ, προάγει τὸν Ἰησοῦν· ἤδη μὲν ἡγιασμένον ἐκ τῆς παραμονῆς Μωσέως, τὸ ἀρχικὸν δὲ παρ' αὐτοῦ μέλλοντος πνεῦμα λαβεῖν πρὸς τὸ οἰκείως ἀντ' αὐτοῦ κατασταθῆναι. ὡς Ἰωάννης ἐν πνεύματι παρὰ Ἡλιοῦ πράξων ἴσα, καὶ προδραμεῖν μέλλων Κυρίου, καὶ εὐτρεπίσαι τὸν λαόν. ἐν γὰρ

A τῷ αὐτῷ πνεύματι τὰ αὐτὰ κατεργάζεσθαι δεῖ. τὸ κηδεμονικὸν δὲ τοῦ ἄρχοντος ὡς ἐπὶ προβάτων δηλοῖ. διὸ καὶ ὁ Χριστὸς
„ τῷ Πέτρῳ φησὶ, βόσκε τὰ πρόβατά μου. Ἰωάν. 21. 17.

ιη. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων, λάβε πρὸς ἑαυτὸν τὸν Ἰησοῦν υἱὸν Ναυῆ, ἄνθρωπον ὃς ἔχει πνεῦμα ἐν ἑαυτῷ, καὶ ἐπιθήσεις τὰς χεῖράς σου ἐπ' αὐτόν.

B ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε μαρτυρήσας ὁ δεσπότης Θεὸς τῷ Ἰησοῦ, ὅτι ἔχει πνεῦμα Θεοῦ ἐν αὐτῷ, προσέταξε τῷ Μωϋσῇ ἐπιθεῖναι αὐτῷ τὰς χεῖρας; Τοῦτο καὶ ἐπὶ τοῦ Κορνηλίου ἐγένετο. μετὰ γὰρ τὸ λαβεῖν τὴν χάριν τοῦ πνεύματος, τότε τοῦ βαπτίσματος ἠξιώθησαν. καὶ μέντοι καὶ ὁ δεσπότης Χριστὸς πάντα τοῦ πνεύματος τὰ χαρίσματα κατὰ τὸ ἀνθρώπειον πρὸ
Γ ὠδίνων δεξάμενος, τῷ Ἰωάννου βαπτίσματι προσελήλυθε, καὶ ἐπιθεῖναι αὐτοῦ τῇ κεφαλῇ τὴν τοῦ θεράποντος προσέταξε χεῖρα· καὶ ἔδειξε τὸ πανάγιον πνεῦμα ἐν εἴδει περιστερᾶς ἐρχόμενον πρὸς αὐτόν. καὶ οἱ Ἀπόστολοι πνεῦμα ἅγιον διὰ τοῦ δεσποτικοῦ λαβόντες ἐμφυσήματος, ἐδέξαντο τὴν οὐρανόθεν ἐπιφοιτήσασαν χάριν. τοῦτο καὶ ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ γεγένηται, εἶχε μὲν γὰρ τὴν χάριν τοῦ πνεύματος, ἵνα δὲ καὶ
Δ ὁ λαὸς πιστεύσῃ θεόθεν αὐτὸν τῆς ἡγεμονίας τὴν χάριν (4) δεδέχθαι, ἐπετέθησαν αὐτῷ τοῦ νομοθέτου αἱ χεῖρες. καὶ τοῦτο δέδρακεν ὁ θεῖος Μωϋσῆς ὑπὸ τοῦ Θεοῦ προ-
„ σαχθείς. ἐπιθήσεις γάρ φησι τὰς χεῖ-
„ ράς σου ἐπ' αὐτόν. καὶ στήσεις ἐναντίον Ἐλεά-
„ ζαρ τοῦ ἱερέως, καὶ ἐντελῇ αὐτῷ ἐναντίον
„ πάσης τῆς συναγωγῆς. καὶ δώσεις τῆς
„ δόξης σου ἐπ' αὐτὸν, ὅπως εἰσακούσωσιν αὐ-
„ τοῦ οἱ υἱοὶ Ἰσραήλ.

E ΑΠΟΛΙΝΑΡΙΟΥ. Προάγει τὸν Ἰησοῦν ὁ Θεὸς καὶ ἤδη προηγιασμένον ἐκ τῆς ἀκολουθήσεως Μωϋσέως· τὸ δὲ ἀρχικὸν πνεῦμα διὰ Μωϋσέως μέλλοντα κομίζεσθαι πρὸς τὸ καὶ οἰκείως ἀντ' αὐτοῦ κατασταθῆναι. οὕτω καὶ οἱ Ἀπόστολοι πνεῦμα ζωοποιὸν ἔχοντες ἀπὸ τῆς ἐμφυσήσεως τοῦ Κυρίου, πνεῦμα κομίζονται τὸ ἀρχικὸν, τὸ ἐξ οὐρανοῦ καταπεμπόμενον· οὐ πνεῦμα ἐπὶ πνεύματι ἕτερον ἐφ' ἑτέρῳ, ἀλλ' ἐνέργειαν ἑτέραν
Z „ ἐν τῷ αὐτῷ πνεύματι, ὡς ὁ Ἀπόστολος διδάσκει. (5) 1. Κορ. 12. 9.

ΕΙΡΗΝΑΙΟΥ. Ἔδει γὰρ ἐξ Αἰγύπτου Μωϋσῆν τὸν λαὸν ἐξαγαγεῖν, τὸν δὲ Ἰησοῦν εἰς τὴν κληροδοσίαν εἰσαγαγεῖν. καὶ τὸν μὲν Μωϋσῆν, ὡς νόμον, ἀνάπαυλαν λαμβάνειν· Ἰησοῦν δὲ, ὡς λόγον, καὶ τοῦ ἐνυποστάτου λόγου τύπον ἀψευδῆ, τῷ λαῷ δημηγο-

(1) Ἔναντι αὐτῶν. αἱ αὐτ. (2) Μέρος ἐστὶ τοῦ ἐν τῷ 27. ἐδ. τοῦ 3. κεφ. τοῦ Δευτερονομ.

(3) Σημείωσον, ὅτι τὸ, τῷ Πέτρῳ, μὴ συντακτικὸν ὂν τοῦ, καθίστησιν, ἀλλὰ τοῦ, λέγων, οὐκ ἐμφαίνει τὸν Πέτρον μόνον ἡγεμόνα. οὐ γάρ φησι καθίστησιν ἡγεμόνα τὸν Πέτρον, ἀλλὰ καθίστησι τὸν ἡγεμόνα, λέγων τῷ Πέτρῳ. ἡγεμὼν ἄρα πᾶς ὁ βόσκων τὰ πρόβατα, καὶ οὐ μόνος ὁ Πέτρος.

(4) Τὴν χειροτονίαν τῆς ἡγεμονίας. ἡ ἐν Χαλ. ἐκδ.

(5) Ἀπόσπασμα τοῦ ἐν τῷ 18. ἐδ. τοῦ 3. κεφ. τοῦ Δευτέρου.

δημηγορεῖν· καὶ τὸν μὲν Μωϋσῆν τὸ μάννα τοῖς πατράσι τροφὴν διδόναι, τὸν δὲ Ἰησοῦν τὸν νέον (1) ἄρτι ἀπαρχὴν τῆς ζωῆς, τύπον τοῦ σώματος τοῦ Χριστοῦ, καθά φησι καὶ ἡ Γραφή, ὅτι τότε ἐπαύσατο τὸ μάννα Κυρίου μετὰ τὸ φαγεῖν σῖτον τὸν λαὸν ἀπὸ τῆς γῆς. (Ἰησ. 5. 12.)

ιθ. Καὶ στήσεις αὐτὸν ἔναντι Ἐλεάζαρ τοῦ ἱερέως, καὶ ἐντελῇ αὐτῷ ἔναντι πάσης συναγωγῆς, καὶ ἐντελαῖ περὶ αὐτοῦ ἐναντίον αὐτῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Στήσεις δὲ αὐτόν, φησίν, ἐναντίον Ἐλεάζαρ τοῦ ἱερέως. διὰ τοῦ ἱερέως Θεῷ προσάγεται ὁ ἄρχων· καὶ ὅσῳ μᾶλλον ἐγγίζει Θεῷ, μᾶλλον χρίεται παρὰ Θεοῦ. Καὶ ἔμπροσθεν πάσης συναγωγῆς. Μέσος ἱερέως καὶ λαοῦ ὁ ἄρχων ἵσταται, τοῦτε πλησιέστερος Θεοῦ καὶ τοῦ διεστῶτος· ἵνα δι᾿ αὐτοῦ τῷ λαῷ χορηγῆται ἅπερ ὁ ἱερεὺς κομίζει παρὰ Θεοῦ.

κ. Καὶ δώσεις τῆς δόξης σου ἐπ᾿ αὐτόν, ὅπως ἂν εἰσακούσωσιν αὐτοῦ οἱ υἱοὶ Ἰσραήλ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν Μωϋσέως ἐδοξάσθη τὸ πρόσωπον Ἰησοῦ· οὐχ οὕτως δέ. διὸ καὶ μερικῶς τυχόντι τῆς χάριτος, εἶπε· καὶ δώσεις τῆς δόξης σου ἐπ᾿ αὐτόν. οὐ γὰρ ἀφίσταται τοῦ διδόντος τὸ διδόμενον. (2)

ΑΔΗΛΟΥ. Δίδωσι δὲ οὐκ ἐμφυσήσει, καθάπερ ὁ Χριστός· ὅτι μὴ ἐστι πηγὴ τοῦ πνεύματος. (3)

ΘΕΟΔΩΡΙΤΟΥ. Μανθάνομεν δὲ ἐντεῦθεν, ὅπως οἱ παρὰ τῶν ἀρχιερέων τὴν χειροτονίαν δεχόμενοι, τῆς πνευματικῆς μεταλαγχάνουσι χάριτος. καὶ γὰρ ἐνταῦθα ὁ δεσπότης ἔφη Θεός· δώσεις τῆς δόξης σου ἐπ᾿ αὐτόν. θαυμάσαι δὲ ἄξιον τὸν Προφήτην, ὅτι καὶ παῖδας ἔχων καὶ ἀδελφιδοῦν, (4) καὶ ἀδελφούς, οὐδένα τούτων ἡγεμόνα προὐβάλλετο, ἀλλὰ τὸν Θεὸν ᾔρετο,

A καὶ τὸν ὑπ᾿ αὐτοῦ ψηφισθέντα κεχειρο[τόνηκε] τόνηκε.

** ΠΡΟΚΟΠΙΟΥ. Ὅπως εἰσακούσω[σιν] σιν αὐτοῦ οἱ υἱοὶ Ἰσραήλ. Ὁ γὰρ μὴ τ[ῆς] φύσει ἄρχοντος μετασχών, τουτέστι τοῦ ἁγί[ου] πνεύματος, οὐ δύναται ἄρχειν. χωρὶς ἐμο[ῦ], φησίν, οὐ δύνασθε ποιεῖν οὐδέν. καὶ ὁ Ἀπό[στο]λος, δι᾿ οὗ ἐλάβομεν χάριν καὶ ἀποσο[λὴν] εἰς ὑπακοὴν πίστεως. διὸ σοφοὶ μ[ὲν] καὶ δυνατοὶ βασιλεῖς ἄρχειν οὐκ ἠδυνήθη[σαν] B σαν ἀληθῶς· οἱ δὲ τῶν ἀνθρωπίνων ἐστε[ρη]μένοι ἦρξαν καὶ κεκρατήκασι κόσμ[ου] παντός, οἱ Ἀπόστολοι.

κα. Καὶ ἐναντίον Ἐλεάζαρ τ[οῦ] ἱερέως στήσεται, καὶ ἐπερωτήσουσι[ν] αὐτὸν τὴν κρίσιν τῶν δήλων ἔναντ[ι] Κυρίου. ἐπὶ τῷ στόματι αὐτοῦ ἐξελεύ[σονται], σονται, καὶ ἐπὶ τῷ στόματι αὐτοῦ εἰσε[λεύσονται] Γ λεύσονται καὶ αὐτὸς καὶ οἱ υἱοὶ Ἰσ[ρ]αὴλ ὁμοθυμαδόν, καὶ πᾶσα ἡ συ[ν]αγωγή.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ἐναντίον Ἐλεά[ζαρ] ζαρ τοῦ ἱερέως σταθήσεται. ἀντὶ τοῦ τὴ[ν] ἴσην ἐκείνῳ σχήσει τιμήν. καὶ διὰ τοῦ λογί[ου] τῆς κρίσεως, ὃ τοῖς ἐκείνου στέρνοις ἐπέκειτο, τὸ πρακτέον μαθήσεται.

ΑΔΗΛΟΥ. Δοκεῖ πως ἀσαφὲς εἶναι τ[ὸ] Δ ῥητόν, πλὴν οὕτω νοητέον· ὅτι ὁ μὲν Ἰη[σοῦ]ς ἵσταται ἔναντι τοῦ ἱερέως Ἐλεάζαρ· κ[αὶ] λοιπὸν ἐρωτήσει τὸν ἱερέα διὰ τῶν δήλων εἰ ἄρα εὐδοκεῖ ἐν αὐτῷ ὁ Θεός. καὶ ὅτα[ν] ὁ ἱερεὺς χρηματισθεὶς περὶ τούτου, διαμαρτύρηται τῷ λαῷ, ὅτι αὐτός ἐστιν ὁ ἡγούμενος, καὶ τοῦτον προχειρίζεται ὁ Θεὸς εἰ[ς] ἀρχηγόν, τότε ὁ προβληθεὶς ἄρχων, αὐτὸς προηγεῖται τοῦ λαοῦ ἐν πᾶσι. τὸ δὲ τῶ[ν] δήλων οἱ ἄλλοι ἑρμηνευταὶ, φωτισμὸν (5) E ἐκδεδώκασι. καὶ λέγουσί τινες, (6) ὅτι ἐ[ν] τῷ στήθει τοῦ ἱερέως ἦν λίθος, δι᾿ οὗ ἠδύνατο νοῆσαι περὶ οὗ ἐχρηματίζετο. εἰ δὲ καὶ διὰ τῆς νεφέλης ἐφωτίζετο, ἢ δι᾿ ἑτέρου τινὸς εἴδους.

(1) Τὸν σῖτον. ἡ ἐν Ἐνετ. ἐκδ. ἐν σελ. 345. ὃ καὶ ὀρθότερ.

(2) Τοῦτό τε καὶ τὸ ἑπόμενον ὑπόμν. τῷ Εἰρηναίῳ ἐπιγέγραπται παρά τισι χειρογράφοις, ὡς ἰδεῖν ἐστιν ἐν σελ. 346. τῶν τοῦ Εἰρηναίου ἐκδεδομ. Ἐνετίῃσι ποιημάτων. τὰ αὐτὰ δὲ τῷ ἑπομένῳ καὶ ὁ Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ. διαλαμβάνει. ἐπεὶ δ᾿ αὐτὸ συνάφειάν τινα τῷ προλαβόντι τοῦ Ἀπολιναρίου ἔχει, καὶ ἀνεπίγραφόν ἐστιν ἐν ἑκατέρῳ τῶν ἡμετέρ. κωδίκ. τῷ Ἀδήλῳ ἐπιγέγραπται.

(3) Πηγὴν τοῦ πνεύματος τὸν Χριστόν φησιν, ὡς παρ᾿ ἑαυτοῦ τὸ πνεῦμα διδόντα, καὶ οὐκ ἐξ ἄλλου, καθάπερ ὁ Μωϋσῆς καὶ οἱ ἄλλοι τῶν πνευματοφόρων ἅπαντες, πρὸς τὸ διδόναι λαμβάνοντα. ἐν αὐτῷ γὰρ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς. (Κολασ. 2. 9.) παραπαίων δ᾿ ἂν εἴη ὁ τὸν ὑπομνηματιστὴν οἰόμενος πηγὴν τοῦ πνεύματος τὸν Χριστὸν εἰρηκέναι, ὡς τῆς ἀχρόνου καὶ ἀϊδίου ἐκπορεύσεως αἴτιον. οὐ γὰρ αὐτῷ περὶ τῆς ἐκπορεύσεως, ἀλλὰ περὶ τῆς δόσεως ὁ λόγος. εἶτα, εἰ διὰ τοῦτο ὁ Χριστὸς πηγὴ τοῦ πνεύματος λέγεται, διὰ τὸ παρ᾿ αὐτοῦ τὸ πνεῦμα ἐκπορεύεσθαι· καὶ ἡ ζωὴ ἄρα πάντων τῶν ζώντων τῇ αὐτῇ παρὰ τῆς Θεότητος ἐκπορεύσει ἐκπορεύεται, καθότι πηγὴ ζωῆς ἡ Θεότης λέγεται. ὅτι παρὰ σοί, γάρ φησι, πηγὴ ζωῆς· (Ψαλ. 35. 9.) καί, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζωῆς. (Ἱερ. 2. 13.) ἄλλως τε, διαρρήδην τε καὶ ἐναργῶς τοῦ ἱεροῦ Εὐαγγελίου τὸ πνεῦμα τὸ ἅγιον παρὰ τοῦ πατρὸς ἐκπορεύεσθαι κηρύττοντος, καὶ τοῦ ἐν Νικαίᾳ συμβόλου, καὶ τῶν λογάδων τῶν θείων πατέρων τὰ αὐτὰ αὐταῖς λέξεσι θεσπιζόντων, ἐπισφαλέστατον ἐν τοιαύτῃ ὑψηλῇ καὶ ἀκατανοήτῳ ὑποθέσει, οἵα ἡ τοῦ πνεύματος ἐκπόρευσις, μὴ αὐταῖς λέξεσι καὶ ἐννοίαις ταῖς εὐαγγελικαῖς καὶ πατρικαῖς ἐμμένειν, ἀλλὰ τὰς ῥήσεις ἐκβιάζοντας καὶ τὰς ἐννοίας καταστρέφοντας, οὐ τὰ ἀσαφῆ διὰ τῶν σαφῶν ἀναπτύσσειν, ἀλλὰ τοὔμπαλιν διὰ τῶν ἀσαφῶν καὶ τὰ σαφῆ καταμαυροῦν, καὶ ἀλλόκοτα καὶ τερατώδη προτείνειν εἰς ἀναίρεσιν τῆς προφανοῦς ἀληθείας, καὶ δογμάτων καινῶν καὶ τύχῃ παρεισδυούτων σύστασιν, ὧν καὶ ὁ πατὴρ ἀφανὴς καὶ ἄδηλος.

(4) Καὶ ἀδελφὸν καὶ ἀδελφιδοῦν. ἡ ἐν χάλ. ἐκδ.

(5) Φωτισμοὺς. ἐν ταῖς σημειώσ. εἰς τὴν ἐν Φραν. ἐκδοθεῖσ. Γραφήν.

(6) Ὅρα τὰ ἐν τῇ 875, καὶ 876. σελ. καὶ τὰς ἐν αὐταῖς σημειώσ.

εἴδους, τὸ τί δεῖ εἰπεῖν, σαφὲς μὲν οὐκ ἦν, πλὴν ἐγίνωσκεν. ὁ δὲ λίθος ἔκειτο ἐπάνω τοῦ λογίου, ὃς ἐκαλεῖτο δήλωσις καὶ ἀλήθεια· ὅπερ οἱ ἄλλοι ἑρμηνεύουσι, Φωτισμοὺς καὶ τελειότητας λέγουσιν· ἐπειδὴ δι' αὐτοῦ δῆλα ἐγίνετο τῷ ἱερεῖ τὰ περὶ ὧν ἠρώτα, ἤτοι διὰ τῶν δήλων ἐγνώριζεν ὁ Θεὸς τῷ ἱερεῖ τὸ ζητούμενον. ἐπεὶ οὖν ἐν τῷ στήθει ἔσωθεν ἔχοντες οἱ μαθηταὶ τὸν Χριστὸν καὶ τὸ ἅγιον πνεῦμα, ἐγίνωσκον
2. Κορ. 5. 7. τί δεῖ ποιεῖν, καθά φησιν ὁ Παῦλος. „ἡμεῖς
„ οὐ διὰ εἴδους περιπατοῦμεν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐρωτᾷ μὲν Θεὸν διὰ τοῦ ἱερέως, καὶ δηλοῦται αὐτῷ τὰ συμφέ-
Ἀριθ. 23. 23. ροντα. κατὰ καιρὸν γάρ φησι „ῥηθήσεται
„ τῷ Ἰσραὴλ ὃ ποιήσει Κύριος. αὐτὸς δὲ ἐπιτάξει τῷ λαῷ, καὶ τῷ λόγῳ αὐτοῦ πᾶς ὁ λαὸς ἀκολουθήσει, καὶ διαβήσεται εἰς τὸν λαὸν ἡ ἐκ τοῦ ἱερέως ὠφέλεια διὰ τοῦ ἄρχοντος.

κβ. Καὶ ἐποίησε Μωϋσῆς, καθὰ ἐνετείλατο αὐτῷ Κύριος· καὶ λαβὼν τὸν Ἰησοῦν ἔστησεν αὐτὸν ἐναντίον Ἐλεάζαρ τοῦ ἱερέως, καὶ ἐναντίον πά-
κγ. σης συναγωγῆς, Καὶ ἐπέθηκε τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτὸν, καὶ συνέστησεν αὐτὸν καθάπερ συνέταξε Κύριος τῷ Μωϋσῇ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐδὲν γὰρ ἄνθρωπος παρ' ἑαυτοῦ, εἰ μὴ παρὰ Θεοῦ φωτίζοιτο καὶ διδάσκοιτο.

ΤΟΥ ΑΥΤΟΥ. Ὥστε μὴ ἐπιλείπειν ἄρχοντα τῷ λαῷ. ὥσπερ γὰρ ἀκέφαλον σῶμα, θέαμα ἐλεεινὸν καὶ αἰσχρὸν, οὕτω λαὸς, ἄνευ ἡγεμονεύοντος.

ΚΕΦ. ΚΗ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Ἔντειλαι τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, λέγων, τὰ δῶρά μου δόματά μου καρπώματά μου εἰς ὀσμὴν εὐωδίας διατηρήσετε προσφέρειν μοι ἐν ταῖς ἑορταῖς μου.

ΑΔΗΛΟΥ. Ἑξῆς ἀναλαμβάνει τὴν περὶ τῶν θυσιῶν διάταξιν, τῶν τε καθ' ἡμέραν καὶ τῶν κατὰ τὰς ἑορτάς· διδάσκει (1) γινώσκειν σπουδῆς ἄξια τὰ προστάγματα τῆς λατρείας· ἐγχειρίζων δὲ καὶ Ἰησοῦ τῷ νέῳ ἄρχοντι τῆς διαδοχῆς τὴν κατάστασιν.

** ΠΡΟΚΟΠΙΟΥ. Περὶ τῶν θυσιῶν τῶν καθ' ἡμέραν, καὶ σάββατον, καὶ νουμηνίαν ἐπανέλαβεν αὖθις, καὶ πολλάκις τοῦτο ποιεῖ, τὸ τῆς νομοθεσίας σπουδαῖον δεικνὺς καὶ νῦν ὥσπερ τὴν διαδοχὴν τῆς λατρείας ἐγχειρίζων τῷ νεοκαταστάτῳ ἄρχοντι.

ΚΥΡΙΛΛΟΥ. Τῶν θυσιῶν τὴν ἀναφορὰν ταῖς ἑορταῖς ὅτι μάλιστα πρέπειν, τούτοις ἡμῖν ὁ θεῖος διϊσχυρίζεται νόμος. χρὴ γὰρ οἶμαι πάντη τε καὶ πάντως εὐωδιάζειν ἡμᾶς ἐν αὐταῖς τῷ Θεῷ τῆς ἐν Χριστῷ πολιτείας τοὺς τρόπους, οἱονεί πως ἐν τάξει ποιουμένους θυμιαμάτων, καὶ εὐωσμότατον ὁλοκαύτωμα προσφέροντας. ἑαυτοὺς τῷ
Ῥωμ. 12. 1. „ Θεῷ. παραστήσατε γάρ φησι τὰ σώματα
„ ὑμῶν θυσίαν ζῶσαν εὐάρεστον τῷ Θεῷ, τὴν
„ λογικὴν λατρείαν ὑμῶν.

γ. Καὶ ἐρεῖς πρὸς αὐτοὺς, ταῦτα τὰ καρπώματα ὅσα προσάξετε Κυρίῳ, ἀμνοὺς ἐνιαυσίους ἀμώμους δύο τὴν ἡμέραν εἰς ὁλοκαύτωσιν ἐνδελεχῶς.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ τῆς λατρείας ἐνδελεχὲς οὐκ ἐᾷ τὴν θεοσέβειαν ἀποψυγῆναι. διὸ καὶ Παῦλός φησι· „τῷ πνεύματι ζέοντες, τῷ Κυρίῳ δουλεύοντες. Ῥωμ. 12. 11.

δ. Τὸν ἀμνὸν τὸν ἕνα ποιήσετε τὸ πρωῒ, καὶ τὸν ἀμνὸν τὸν δεύτερον
ε. ποιήσετε τὸ ἑσπέρας. Καὶ ποιήσεις τὸ δέκατον τοῦ οἶφι σεμίδαλιν εἰς θυσίαν ἀναπεποιημένην ἐν ἐλαίῳ ἐν τε-
ς. τάρτῳ τοῦ ἵν. Ὁλοκαύτωμα ἐνδελεχισμοῦ, ἡ γενομένη ἐν τῷ ὄρει Σι-
ζ. νᾶ εἰς ὀσμὴν εὐωδίας Κυρίῳ. Καὶ σπονδὴν αὐτοῦ τὸ τέταρτον τοῦ ἵν τῷ ἀμνῷ τῷ ἑνί. ἐν τῷ ἁγίῳ ποιήσεις
η. σπονδὴν σίκερα Κυρίῳ. Καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ πρὸς ἑσπέραν· κατὰ τὴν θυσίαν αὐτοῦ [καὶ κατὰ τὴν σπονδὴν αὐτοῦ] ποιήσετε εἰς ὀσμὴν εὐωδίας τῷ Κυρίῳ.

** ΚΥΡΙΛΛΟΥ. Τὴν τοῦ ἐνδελεχισμοῦ θυσίαν ἀποπεραίνεσθαι δεῖν εὖ μάλα φησὶν, ἑνὸς μὲν ἀμνοῦ σφαζομένου τὸ πρωῒ, ἑνὸς δὲ αὖ πρὸς ἑσπέραν, συνθυμιωμένης αὐτοῖς σεμιδάλεως, ἐλαίου τε καὶ οἴνου προσεπενηνεγμένων.

ΤΟΥ ΑΥΤΟΥ. Δῆλον ἐντεῦθεν, ὡς διὰ πάσης τῆς ἡμέρας ἀδιαλείπτως ἡμᾶς προσφέρειν τὰς αἰνέσεις χρὴ τῷ Θεῷ. (2) τὸ γὰρ πρωΐ τε καὶ πρὸς ἑσπέραν καπνίζεσθαι τοὺς ἀμνοὺς, ὑποτύπωσις ἂν εἴη τοῦ δι' ἡμᾶς ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας ἀναθρώσκοντος τῷ πατρὶ, [συνανακομίζοντος δ' ὥσπερ αὐτῷ καὶ τὴν τῶν εἰς αὐτὸν πιστευσάντων ζωὴν, τὸ ἱλαρὸν ἔχουσαν ὡς ἐν ἐλπίδι βεβαίας δόξης τε καὶ βασιλείας· καὶ πρός γε δὴ τούτῳ, τὸ κατευφραίνεσθαι δεῖν ταῖς εἰς αἰῶνα τρυφαῖς. σημεῖον δ' ἂν γένοιτο τῆς τοιᾶσδε ζωῆς, σεμίδαλις ἐλαιόδευτος καὶ οἰνοβραχής. θυσία δὴ οὖν σωτηρία.

(1) Ἴσ. ἀναγνωστ. διδάσκων.

(2) Τὰ ἄχρι τοῦδε ἄλλως ἔχουσιν ἢ τὰ ἐν τῇ 623. σελ. τοῦ 2. μέρ. τοῦ 1. Τόμ.

σωτηρίου τὸ χρῆμα, καθὰ καὶ ἡ τετελεσμένη διὰ Μωϋσέως ἐν τῷ ὄρει Σινᾶ.] νοοῖτο δ' ἂν καὶ ὁ τῆς ἀνθρωπότητος χρόνος εἶναι μὲν εὐώδης πρὸ τῆς παραβάσεως τῆς ἐν Ἀδάμ· τοιοῦτον δὲ γενέσθαι πάλιν τοῦ ἐπ' ἐσχάτοις καὶ ἐν Χριστῷ.

θ. Καὶ τῇ ἡμέρᾳ τῶν σαββάτων προσάξετε δύω ἀμνοὺς ἐνιαυσίους ἀμώμους, καὶ δύω δέκατα σεμιδάλεως ἀναπεποιημένης εἰς θυσίαν ἐν ἐλαίῳ. (1)
ι. Καὶ σπονδὴν ὁλοκαυτώματος σαββάτου ἐν τοῖς σαββάτοις, ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διαπαντὸς, καὶ τὴν σπονδὴν αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Ἡ μὲν τοῦ ἐνδελεχισμοῦ θυσία διηνεκῆ τὴν ἱερουργίαν ἔχει, καὶ ἐν ἡμέρᾳ πάσῃ τελεῖται κατὰ τὸν νόμον· ἡ δὲ τῶν σαββάτων, ἐν αὐτοῖς τοῖς σάββασιν. ἵνα μὴ τοίνυν ἀρκοῦσαν νομίσωσι τὴν τοῦ ἐνδελεχισμοῦ θυσίαν, καὶ ῥαθυμότεροί πως περὶ τὸ προσάγειν ἐν σαββάτῳ „ γένοιντο, προσέθηκεν ἔσω, φησὶν, ὁλο„ καυτώματα σαββάτου ἐν τοῖς σάββασι.

ια. Καὶ ἐν ταῖς νουμηνίαις προσάξετε ὁλοκαυτώματα Κυρίῳ, μόσχους ἐκ βοῶν δύω, καὶ κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους.

ΚΥΡΙΛΛΟΥ. Ἀληθὴς νουμηνία νοοῖτ' ἂν ὁ νέος αἰὼν ὁ ἐν Χριστῷ, παρῳχηκότος τοῦ πρώτου [τοῦ] κατὰ τὸν νόμον. εἴη δ' ἂν καὶ τοῦ μετὰ τόνδε μέλλοντος αἰῶνος, καὶ ὅσον οὐδέπω παρεσομένου, πλὴν ἀρχὴν ἔχοντος τὴν ἀνάστασιν τοῦ Χριστοῦ.

** ΤΟΥ ΑΥΤΟΥ. Τίς οὖν ἡ πρέπουσα ταῖς νουμηνίαις θυσία, τουτέστι τῇ ἐν Χριστῷ τε καὶ νοητῇ, καὶ μὴν καὶ ζωῇ τῇ κατ' αἰῶνα τὸν μέλλοντα; Τὸ ἀποθνήσκειν Θεῷ, καὶ ζῆν μὲν οὐκ ἔτι ταῖς ἁμαρτίαις ἐνεχομένους, πολιτείας δὲ τῆς γεωδεστέρας ἀποφοιτῶντας εἰς ἅπαν, ἵνα Χριστῷ συζήσωμεν.

ΤΟΥ ΑΥΤΟΥ. Διὰ τούτων ἁπάντων ἡμῖν ἡ τῶν ἁγίων πληθὺς καταγράφεται, ὡς ἐν ἀρετῇ μὲν τῇ ὑπερτάτῃ διαπρέπουσα, διάγε τῶν μόσχων, (2) καὶ τοῖς ἄλλοις ζώοις ἀναλόγως. δύω γε μὴν οἱ μόσχοι· δύω γὰρ οἱ λαοί· καὶ εἷς διὰ μέσου κριὸς, διὰ τὴν εἰς ἑνότητα τοῖν δυοῖν ἕνωσιν ἐν Χριστῷ. ἑπτὰ δὲ ἀμνοί. ἐν πληρώματι γὰρ τελειοτάτῳ τῶν ἁγίων ὁ δῆμος.

ιβ. Τρία δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ μόσχῳ τῷ ἑνὶ, καὶ δύω δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ κριῷ τῷ
ιγ. ἑνί. Δέκατον σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ ἀμνῷ τῷ ἑνὶ, θυσίαν ὀσμὴν εὐωδίας κάρπωμα Κυ-
ιδ. ρίῳ. Ἡ σπονδὴ αὐτῶν τὸ ἥμισυ τοῦ ἶν ἔσαι τῷ μόσχῳ τῷ ἑνί· καὶ τὸ τρίτον τοῦ ἶν ἔσαι τῷ κριῷ τῷ ἑνί· καὶ τὸ τέταρτον τοῦ ἶν ἔσαι τῷ ἀμνῷ τῷ ἑνὶ οἴνου. τοῦτο ὁλοκαύτωμα μῆνα ἐκ μηνὸς εἰς τοὺς μῆνας τοῦ ἐνιαυτοῦ.

B ΚΥΡΙΛΛΟΥ. [Ἑκάστῳ τῶν ἀμνῶν ἓν μὲν δέκατον σεμιδάλεως ἡ θυσία. καὶ ἐν τετάρτῳ τοῦ ἶν ἡ σπονδὴ, τουτέστιν ἔλαιόν τε καὶ οἶνος.] ἰσοστάθμως γὰρ τοῖς ἑκάστου πόνοις καὶ μὴν καὶ δυνάμεσι ταῖς κατ' ἀρετὴν τὸ τῆς ζωῆς μέτρον, τῆς ὡς ἐν εὐκλείᾳ καὶ μακαριότητι φημὶ, καὶ μὴν καὶ ἑνότητι παρὰ Θεοῦ, καὶ πνευματικῆς εὐφρασίας, ἀπονεμηθήσεται παρὰ τοῦ τὰ
Γ δίκαια κρίνοντος.

ΑΔΗΛΟΥ. Σημείωσον, ὅτι τὸ ἥμισυ τοῦ ἶν, ἓξ λέγει ξεστῶν εἶναι ὁ ἅγιος Κύριλλος. (3)

ιε. Καὶ χίμαρον ἕνα ἐξ αἰγῶν περὶ ἁμαρτίας Κυρίῳ, ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διαπαντὸς ποιηθήσεται, καὶ ἡ σπονδὴ αὐτοῦ.

** ΚΥΡΙΛΛΟΥ. Χίμαρος δὲ πάλιν
Δ προσεπάγεται ταῖς θυσίαις, ὑπὲρ ἁμαρτιῶν σφαζόμενος, εἰς τύπον Χριστοῦ. δεκτὴ γὰρ ἡμῶν ἡ θυσία καὶ ἀνδάνουσα τῷ Θεῷ, διὰ τὸ πάθος τοῦ Χριστοῦ τὸ σωτήριον.

ις. Καὶ ἐν τῷ μηνὶ τῷ πρώτῳ τεσσαρεσκαιδεκάτῃ (4) τοῦ μηνὸς τούτου
ιζ. πάσχα Κυρίῳ. Καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτή.
ιη. ἑπτὰ ἡμέρας ἔδεσθε ἄζυμα. Καὶ ἡ
E ἡμέρα ἡ πρώτη ἐπίκλητος ἁγία ἔσαι ὑμῖν· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσε-
ιθ. τε. Καὶ προσάξετε ὁλοκαυτώματα κάρπωμα Κυρίῳ, μόσχους ἐκ βοῶν δύω, κριὸν ἕνα, ἑπτὰ ἀμνοὺς ἐνιαυ-
κ. σίους· ἄμωμοι ἔσονται ὑμῖν. Καὶ ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐλαίῳ· τρία δέκατα τῷ μόσχῳ
Z τῷ ἑνὶ, καὶ δύω δέκατα τῷ κριῷ τῷ
κα. ἑνὶ ποιήσετε. Δέκατον δέκατον ποιήσεις τῷ ἀμνῷ τῷ ἑνὶ, τοῖς ἑπτὰ ἀμ-
κβ. νοῖς. Καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, ἐξιλάσασθαι περὶ ὑμῶν.
κγ. Πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντὸς τῆς πρωϊνῆς, ὅ ἐστιν ὁλοκαύτωμα

(1) Ἐν ἐλαίῳ εἰς θυσίαν καὶ σπονδήν. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ ἐν ἁγ. Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 623.

(2) Διάγε τῶν μόσχων· ἐνυφιζάνουσα δὲ ὥσπερ καὶ ἐν δευτέροις, ὡς ἐν τῷ κριῷ· ἐν δὲ γε τῇ μείονι καὶ χθαμαλωτέρᾳ πάλιν ἐν τοῖς ἀμνοῖς. δύω γε, κτλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 625.

(3) Ἐν τῷ ἄρτι εἰρημ. τόπ. μετὰ τοῦτο δὲ καὶ τάδε ἐν τοῖν κωδίκοιν κεῖται· Περὶ τοῦ χιμάρου πολλάκις εἴρηται, καὶ διὰ τοῦτο παρεάθη νῦν.

(4) Τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ ἐν ἁγ. Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 606.

τωμα ἐνδελεχισμοῦ. Ταῦτα κατὰ ταῦτα ποιήσετε τὴν ἡμέραν εἰς τὰς ἑπτὰ ἡμέρας, δῶρον κάρπωμα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ, ἐπὶ τοῦ ὁλοκαυτώματος τοῦ διαπαντὸς ποιήσεις τὴν σπονδὴν αὐτοῦ. Καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσαι ὑμῖν· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ.

κϛ. Καὶ τῇ ἡμέρᾳ τῶν νέων, ὅταν προσφέρητε θυσίαν νέαν Κυρίῳ τῶν ἑβδομάδων, ἐπίκλητος ἁγία ἔσαι ὑμῖν· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ.

ΣΕΥΗΡΟΥ. Ἡ τῶν ἑβδομάδων ἑορτὴ ἐστὶν ἡ πεντηκοστή. ἐπεὶ μετὰ τὸ πάσχα ἀριθμοῦντες ἑπτὰ ἑβδομάδας, οὕτως ἑορτάζουσι. καὶ ἄλλως, τῶν ἑπτὰ, αἵτινες ψη-

A φίζονται ἀπὸ τῆς ἡμέρας καθ' ἣν ἂν προσηνέχθη τὸ δράγμα, μᾶλλον δὲ ἀπὸ τῆς αὔριον, μετὰ τὸ προσενεχθῆναι.

κζ. Καὶ προσάξετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ, μόσχους ἐκ βοῶν δύω, κριὸν ἕνα, ἀμνοὺς
κη. ἐνιαυσίους ἑπτὰ ἀμώμους. Ἡ θυσία
αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν
ἐλαίῳ· τρία δέκατα τῷ μόσχῳ τῷ
B ἑνὶ, καὶ δύω δέκατα τῷ κριῷ τῷ ἑνί.
κθ. Δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνί,
τοῖς ἑπτὰ ἀμνοῖς. καὶ χίμαρον ἐξ
λ. αἰγῶν ἕνα. Περὶ ἁμαρτίας, ἐξιλάσασθαι περὶ ὑμῶν· πλὴν τοῦ ὁλοκαυτώματος τοῦ διαπαντός. καὶ τὴν
λα. θυσίαν αὐτῶν ποιήσετέ μοι, Ἄμωμοι
ἔσονται ἡμῖν, καὶ αἱ σπονδαὶ αὐτῶν.

ΚΕΦ. ΚΘ.

α. Καὶ τῷ μηνὶ τῷ ἑβδόμῳ, μιᾷ τοῦ μηνὸς, ἐπίκλητος ἁγία ἔσαι ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε· ἡμέρα σημασίας ἔσαι ὑμῖν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἡμέρα σημασίας. τὸ Σαμαρειτικὸν, ἡμέρα ἀκουστή. σημασίαν δὲ ἐν πολλοῖς τὸν σαλπισμὸν εὑρίσκομεν.

ΚΥΡΙΛΛΟΥ. Τίς δ' ἂν νοοῖτο τῆς ἑορτῆς ἡ δύναμις, ὑπέφηνεν, εἰπών· ἡμέρα σημασίας ἔσαι ὑμῖν. σημαίνει [γὰρ] ἡμῖν τὴν ἐσχάτην σάλπιγγα, τὴν διὰ τοῦ Ἀγγέλου ἐν τῇ κοινῇ ἀναστάσει γενησομένην.

β. Καὶ ποιήσετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους. Ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐλαίῳ· τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ, καὶ δύω δέκατα τῷ κριῷ τῷ ἑνί. Δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ, τοῖς ἑπτὰ ἀμνοῖς. Καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, ἐξιλάσασθαι περὶ ὑμῶν.

ϛ. Πλὴν τῶν ὁλοκαυτωμάτων τῆς νουμηνίας· καὶ αἱ θυσίαι αὐτῶν, καὶ αἱ σπονδαὶ αὐτῶν, καὶ τὸ ὁλοκαύτωμα τὸ διαπαντός. καὶ αἱ θυσίαι αὐτῶν, καὶ αἱ σπονδαὶ αὐτῶν κατὰ τὴν σύγκρισιν αὐτῶν εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.

ΑΔΗΛΟΥ. Καλῶς τοῦτο ἐν ταύτῃ τῇ ἑορτῇ μόνον ἐπεσημήνατο. ἐπειδὴ κατ' αὐτὴν τὴν νεομηνίαν ἡ ἑορτὴ τῶν σαλπίγγων τελεῖται· ἐπὶ δὲ τῶν ἄλλων, περιττὸν ἦν τοῦτο προτιθέναι, μὴ ἐν νεομηνίᾳ γενομένων.

ΑΔΗΛΟΥ. Περὶ γοῦν τῆς τοῦ ἐνδελεχισμοῦ ὁλοκαυτώσεως καθ' ἑκάστην ἑορτὴν εἰκότως ἐπισημαίνεται, ὁσημέραι γινομένης.

ζ. Καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τούτου ἐπίκλητος ἁγία ἔσαι ὑμῖν. καὶ κα-
Δ κώσετε τὰς ψυχὰς ὑμῶν, καὶ πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.

** ΚΥΡΙΛΛΟΥ. Προσέταξε δὲ καὶ ἐν τῇ δεκάτῃ τοῦ αὐτοῦ μηνὸς, καθ' ἣν ἡ νηστεία, τῶν σαρκικῶν ἐπιθυμιῶν τὴν νέκρωσιν, καὶ τὴν ἐκ τῶν ἐπιγείων παθῶν ἀποφοίτησιν ἐφ' ἑαυτῇ καταγράφουσα, τὴν αὐτὴν θυσίαν ἀποπεραίνεσθαι δεῖν, κατὰ τὸν ἴσον τῇ πρώτῃ τρόπον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὸ κακῶσαι τὰς ψυ-
E χὰς ἐστὶ τὸ νηστεῦσαι, καὶ ἀσκῆσαι, καὶ εἴ τι τούτοις ὅμοιον.

η. Καὶ προσοίσετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ, καρπώματα Κυρίῳ, μόσχον ἐκ βοῶν ἕνα, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτά·
θ. ἄμωμοι ἔσονται ὑμῖν. Ἡ θυσία αὐ-
τῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐ-
λαίῳ· τρία δέκατα τῷ μόσχῳ τῷ ἑνί,
ι. καὶ δύω δέκατα τῷ κριῷ τῷ ἑνί. Δέ-
κατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ, εἰς
τοὺς ἑπτὰ ἀμνούς.

ια. Καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, ἐξιλάσασθαι περὶ ὑμῶν, πλὴν τὸ περὶ τῆς ἁμαρτίας τῆς ἐξιλάσεως, καὶ ἡ ὁλοκαύτωσις ἡ διαπαντός. ἡ θυσία αὐτῆς, καὶ ἡ
H σπονδὴ αὐτῆς κατὰ τὴν σύγκρισιν εἰς ὀσμὴν εὐωδίας κάρπωμα Κυρίῳ.

ΣΕΥΗΡΟΥ. Περὶ ἧς ἐκλίθεται ἐν τῷ ιϛ. κεφαλαίῳ τοῦ Λευϊτικοῦ· ὅπου καὶ τοῖς δύω τράγοις

τράγοις ἐπιτιθέναι κλήρους κελεύει, κλῆ-
Λευϊτ. 16. 8. ρον ἕνα τῷ κυρίῳ, καὶ κλῆρον ἕνα τῷ ἀπο-
„ πομπαίῳ.

ιβ. Καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου ἐπίκλητος ἁγία ἐστὶν ὑμῖν· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν Κυρίῳ ἑπτὰ ἡμέρας.

„ * ΠΡΟΚΟΠΙΟΥ. Τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ, τουτέστιν ἐν τῇ σκηνοπηγίᾳ. τῇ μὲν γὰρ πρώτῃ ἡμέρᾳ, δεκατρεῖς τάττει μόσχους εἰς θυσίαν· τῇ δὲ δευτέρᾳ, δώδεκα. καὶ οὕτως ὑφειμένως μόσχον ἕνα περὶ (1) τῆς ὀγδόης, ἣν ἐπίσχεσιν ὀνομάζει, μὴ ἔχουσαν ἐξόδιον, ἀλλὰ [ἀνάπαυσιν] παντελῆ, σημεῖον τῆς τελείας καὶ μονίμου μελλούσης ἱδρύσεως παρὰ Θεῷ.

ιγ. Καὶ προσάξετε ὁλοκαυτώμα-
τα κάρπωμα εἰς ὀσμὴν εὐωδίας Κυ-
ρίῳ, τῇ ἡμέρᾳ τῇ πρώτῃ μόσχους ἐκ
βοῶν τρεῖς καὶ δέκα, κριοὺς δύω, ἀμ-
νοὺς ἐνιαυσίους δεκατέσσαρας· ἄμωμοι
ιδ. ἔσονται. Αἱ θυσίαι αὐτῶν σεμίδα-
λις ἀναπεποιημένη ἐν ἐλαίῳ· τρία
δέκατα τῷ μόσχῳ τῷ ἑνὶ, τοῖς τρισ-
καίδεκα μόσχοις· καὶ δύω δέκατα τῷ
ιε. κριῷ τῷ ἑνὶ, ἐπὶ τοὺς δύω κριούς. Δέ-
κατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ, ἐπὶ
ις. τοὺς τέσσαρας καὶ δέκα ἀμνούς. Καὶ
χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρ-
τίας· πλὴν τῆς ὁλοκαυτώσεως τῆς
διαπαντός· αἱ θυσίαι αὐτῶν, καὶ αἱ
σπονδαὶ αὐτῶν.

ιζ. Καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ μό-
σχους δώδεκα, κριοὺς δύω, ἀμνοὺς ἐνιαυ-
ιη. σίους τεσσαρεσκαίδεκα ἀμώμους. Ἡ
θυσία αὐτῶν καὶ ἡ σπονδὴ αὐτῶν τοῖς
μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς
κατὰ ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγ-
ιθ. κρισιν αὐτῶν. Καὶ χίμαρον ἐξ αἰγῶν
ἕνα περὶ ἁμαρτίας· πλὴν τῆς ὁλο-
καυτώσεως τῆς διαπαντός· αἱ θυσίαι
αὐτῶν, καὶ αἱ σπονδαὶ αὐτῶν.

** ΚΥΡΙΛΛΟΥ. Ἀνθ' ὅτου δὲ δὴ μόσχοι μὲν ἐν ἀρχαῖς τρισκαίδεκα, ἐν ὑφέσει δὲ καθ' ἡμέραν, ἑνὸς ὑποκλεπτομένου, κριοὶ δὲ δὴ πάλιν δύω, καὶ ἀμνοὶ δεκατέσσαρες, χιμάρου τοῖς θύμασιν ἐπεζευγμένου; Ἔοικε τὸ θεῖον ἡμῖν χρησμῴδημα τήν τε τῶν ἐξ Ἰσραὴλ ἐν νόμῳ παιδαγωγίαν, καὶ τῶν διὰ πίστεως εἰσκεκομισμένων εἰς ἁγιασμὸν ἀνατυποῦν τὴν κλῆσιν. δηλοῖ δὲ, οἶμαί που, τῆς θυσίας τὸ αἴνιγμα, ὅτι δύω μὲν ἦσαν καιροὶ, καθ' οὓς ἂν νοοῖντο πεπαιδαγωγεῖσθαι πρὸς θεογνωσίαν καὶ εἰς νομικὴν πολιτείαν αἱ τῶν Ἰουδαίων ἀγέλαι. τίνες δ'

A ἂν εἶεν οἱ τοιοίδε καιροὶ, ἢ ἐκεῖνοί που πάντως, καθ' ὃν ἦν ἔτι που Μωϋσῆς, Ἰησοῦς τε καὶ Κριταὶ, καὶ καθ' ὃν οἱ Προφῆται μέχρις Ἰωάννου τοῦ βαπτιστοῦ, τοῦ καὶ περισσότερον ἔχοντος κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, ἀποστολῆς δηλονότι καὶ λειτουργίας προφητικῆς. ἀλλ' ἐν καιροῖς τοῖς δυσὶν ὑπεμφαίνει τὸ γράμμα τὸ ἱερὸν γεγενῆσθαί τινας βίου μὲν τρίβον ἰόντας τὴν ἐπαινουμένην ἐν νόμῳ, πλὴν οὐκ ἐν ἴσῳ μέτρῳ,
B καὶ εἰς ἅπαν ἐμφανεστάτην δυνάμει τε καὶ εὐεξίᾳ πνευματικῇ. οἱ μὲν γὰρ ἦσαν τῆς ἀνωτάτω τυχὸν, ἧς ἂν τύπος ὁ μόσχος· ἕτεροι δὲ αὖ, τῆς ὡς ἐν μεσότητι νοουμένης· σημεῖον δ' ἂν γένοιτό που καὶ τοῦδε, κριός· καὶ τρίτοι πρὸς τούτοις, τῆς ἐπὶ βραχὺ μειονεκτουμένης καὶ ἐν ὑφιζάνοντι μέτρῳ, καθάπερ ἀμέλει πάρεσται νοεῖν, ὡς ἐν μεγέθει σωματικῷ τοῖς ἀμνοῖς. ἢ γὰρ οὐχὶ μείων μὲν μόσχου κριὸς, ὑποκάθη-
Γ ται δὲ τοῦ κριοῦ μέγεθος, ὁ ἀμνός; οὐκοῦν τῆς ἑκάστου ποσότητος, δῆλον δὲ ὅτι τῆς ἐν ἐπιεικείᾳ, τύπος ἂν εἴη καὶ μάλα σαφὴς τὰ ὠνομασμένα τῶν ζώων. ἐπειδὴ δὲ τὸ προὔχον ἀεὶ καὶ ἀπόλεκτον, μεῖόν πως ἐν ἀριθμῷ τοῦ δευτέρου τε καὶ τρίτου· πλείονες γάρ· ταύτῃ τοι τρισκαίδεκα μόσχοι. δέκα δὲ οἱ κριοὶ, καὶ δεκατέσσαρες οἱ ἀμνοί. ἐπειδὴ δύω τοὺς κριοὺς εἶναί φαμεν, ἐν διπλῷ τῶν θυμάτων ὁ ἀριθμός. ἀντὶ γὰρ ἀμνῶν
Δ ἑπτὰ, δεκατέσσαρες οἱ μόσχοι, δύω γε μὴν οἱ κριοί. ἢ οὐκ εἰκὸς σεπτούς τε καὶ ἱεροὺς γενέσθαι πολλοὺς, καὶ κατά γε τὴν ἐν νόμῳ δικαιοσύνην αὐχοῦντας τὸ ἄμεμπτον;

** ΤΟΥ ΑΥΤΟΥ. Ἦν ἄρα δικαιοσύνη κατὰ τὸν νόμον, καθ' ἣν καὶ εἰκὸς γενέσθαι δοκιμωτάτους ἐν ὑπακοῇ Θεοῦ, καὶ οὐχὶ δὴ πάντως τελειοῦντος εἰς ἁγιασμὸν τοῦ νόμου. οὐκοῦν τὴν τοῦ Ἰσραὴλ κλῆσιν ὑποσημαίνον-
E τες, ὡς ἐν ὑπερτάτοις τε καὶ μέσοις καὶ τοῖς ἔτι μείοσι μόσχοι τε καὶ κριοὶ καὶ μὴν καὶ αὐτοὶ οἱ ἀμνοὶ κατεθύοντο τῷ Θεῷ· καὶ ἐν ἐλάττοσιν ἀεὶ τῶν μόσχων ὁ ἀριθμὸς, ὡς ἐκλειπόντων ἀεὶ τῶν ἐξειλεγμένων, καὶ τῶν ἐν ὑπεροχαῖς δοκιμωτάτων, τὴν σπάνιν ἀεὶ νοσοῦντος τοῦ καιροῦ. καὶ μέχρι τῆς ἑβδόμης, τουτέστι τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, καθ' ὃν ὁ σαββατισμὸς ἡμῶν ἐν πνεύματι.

Z κ. Τῇ ἡμέρᾳ τῇ τρίτῃ μόσχους ἕν-
δεκα, κριοὺς δύω; ἀμνοὺς ἐνιαυσίους
κα. τεσσαρεσκαίδεκα ἀμώμους. Ἡ θυ-
σία αὐτῶν καὶ ἡ σπονδὴ αὐτῶν τοῖς
μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς
κατὰ ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγ-
κβ. κρισιν αὐτῶν. Καὶ χίμαρον ἐξ αἰγῶν
ἕνα περὶ ἁμαρτίας· πλὴν τῆς ὁλο-
καυτώσεως τῆς διαπαντός· αἱ θυ-
κγ. σίαι αὐτῶν, καὶ αἱ σπονδαὶ αὐτῶν. Τῇ
ἡμέρᾳ τῇ τετάρτῃ μόσχους δέκα, κριοὺς

(1) Μέχρι τῆς ὀγδόης. ὁ τῆς Αὐγ. κώδ.

δύω, ἀμνὲς ἐνιαυσίες τεσσαρεσκαίδε-
κδ. κα ἀμώμες. Αἱ θυσίαι αὐτῶν καὶ
αἱ σπονδαὶ αὐτῶν τοῖς μόσχοις καὶ τοῖς
κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν
αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν.
κε. Καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρ-
τίας· πλὴν τῆς ὁλοκαυτώσεως τῆς
διαπαντός· αἱ θυσίαι αὐτῶν, καὶ αἱ
κς. σπονδαὶ αὐτῶν. Τῇ ἡμέρᾳ τῇ πέμπτῃ
μόσχες ἐννέα, κριὲς δύω, ἀμνὲς ἐνιαυ-
κζ. σίες τεσσαρεσκαίδεκα ἀμώμες. Αἱ
θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν
τοῖς μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς
ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν, κατὰ
κη. τὴν σύγκρισιν αὐτῶν. Καὶ χίμαρον
ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας· πλὴν
τῆς ὁλοκαυτώσεως τῆς διαπαντός·
αἱ θυσίαι αὐτῶν, καὶ αἱ σπονδαὶ αὐ-
κθ. τῶν. Τῇ ἡμέρᾳ τῇ ἕκτῃ μόσχες ὀκτὼ,
κριὲς δύω, ἀμνὲς ἐνιαυσίες τεσσα-
λ. ρεσκαίδεκα ἀμώμες. Αἱ θυσίαι αὐ-
τῶν καὶ αἱ σπονδαὶ αὐτῶν τοῖς μόσχοις
καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ
ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρι-
λα. σιν αὐτῶν. Καὶ χίμαρον ἐξ αἰγῶν
ἕνα περὶ ἁμαρτίας· πλὴν τῆς ὁλο-
καυτώσεως τῆς διαπαντός· αἱ θυ-
σίαι αὐτῶν, καὶ αἱ σπονδαὶ αὐτῶν.
λβ. Τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ μόσχες ἑπτὰ,
κριὲς δύω, ἀμνὲς ἐνιαυσίες τεσσα-
λγ. ρεσκαίδεκα ἀμώμες. Αἱ θυσίαι αὐ-
τῶν καὶ αἱ σπονδαὶ αὐτῶν τοῖς μόσχοις
καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ
ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν
λδ. αὐτῶν. Καὶ χίμαρον ἐξ αἰγῶν ἕνα
περὶ ἁμαρτίας· πλὴν τῆς ὁλοκαυ-
τώσεως τῆς διαπαντός· αἱ θυσίαι αὐ-
τῶν καὶ αἱ σπονδαὶ αὐτῶν.

λε. Καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξό-
διον ἔσαι ὑμῖν· πᾶν ἔργον λατρευτὸν
ὁ ποιηθήσεται ἐν αὐτῇ.

ΚΥΡΙΛΛΟΥ. Τὸ Σαμαρειτικὸν ἀντὶ τοῦ
» εἰπεῖν ἐξόδιον, Φησὶ, τελείωσις ἐπιχέσεως.
ὁ δὲ νοῦς τοῦτο δοκεῖ πως· ὅτι τέλος καὶ
κατάπαυσις πασῶν τῶν ἐνιαυσιαίων ἑορ-
τῶν ἐςὶν αὕτη ἡ ἡμέρα. διὸ καὶ ἐξόδιος
γίνεται ἑορτὴ, ὡσανεὶ ἐξελθουσῶν τῶν ἐτη-
σίων πανηγύρεων; ὁ τῶν κατ' οἶκον. ἐν δὲ

Α ταῖς Βασιλείαις πάλιν κεῖται, ὅτι ἐποίη-
» σαν ἑορτὴν ἐξοδίου. (1) 2. Παρ. 7. 9.

ΤΟΥ ΑΥΤΟΥ. [Ἀκούεις τοῦ νόμου λέ-
» γοντος ἐναργῶς, ἐξόδιόν ἐςιν.] ἐκβέβηκε
γὰρ ἡ ὡς ἐν σκιαῖς λατρεία, καὶ ἡ ἐν τύ-
πῳ παίδευσις, κατὰ τὴν ὀγδόην, καθ' ἣν
ἀνεβίω Χριςὸς, καὶ τῆς ἐν πνεύματι περι-
τομῆς εἰσπέπαικεν (2) ὁ καιρός.

λς. Καὶ προσάξετε ὁλοκαυτώμα-
Β τα εἰς ὀσμὴν εὐωδίας κάρπωμα τῷ
Κυρίῳ μόσχον ἕνα, κριὸν ἕνα, ἀμνὲς
ἐνιαυσίες ἑπτὰ ἀμώμες.

** ΚΥΡΙΛΛΟΥ. Ἐξεκλείσθη μὲν ἡ ἀρ-
χαία τῶν κεκλημένων πληθὺς, ἔγκλημα
νοσοῦσα τὴν ἀπιςίαν, ἀντανέφυ δὲ ὥσπερ
λαὸς ὁ νέος, καὶ διαπρέπων μὲν ἰσχύϊ πνευ-
ματικῇ· τοῦτο γὰρ ὁ μόσχος· εὐδοκιμῶν δὲ
τελείως, ὡς ἐν ἡλικίας πληρώματι· τοῦτο
Γ γὰρ ὁ κριός· τῆς δὲ ἐν Χριςῷ νηπιότητος
καὶ ἀκακίας τὸ ἐξαίρετον κάλλος· τοῦτο
γὰρ ὁ ἀμνὸς, εἰ καὶ ἐν πληθύϊ νοοῖτο τῇ
τελειοτάτῃ. τὸ γὰρ εἶναι λέγειν ἑπτὰ τοὺς
ἀμνοὺς, τοῦτό που πάντως ὑποδηλοῖ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Εἷς μὲν οὖν ὁ μόσχος
ἀντὶ πολλῶν. καὶ κριὸς εἷς ἀντὶ τῶν δύω,
τὴν ἕνωσιν δύναται προσημαίνειν ἑκατέρου
λαοῦ, ἐπ' ἐσχάτων γενησομένην, ὡς ὁ Κύ-
ριος βούλεται.

Δ ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἑπτὰ ἀντὶ δεκατεσ-
σάρων ἀμνοὶ τὴν ἄφεσιν ἂν σημαίνοιεν τὴν
ἐν ἑβδόμῳ κατὰ νόμον γενομένην ἔτει, ὅτε
καὶ τελείως προσαχθήσεται Θεῷ τὰ δου-
λεύσαντα τοῖς ἁγίοις ἔθνη, διὰ τῆς τῶν
ἁμαρτιῶν ἀφέσεως οἰκειούμενα, καὶ ἐκ τῆς
δουλείας εἰς ἐλευθερίαν ἀγόμενα, ὅτε καὶ
ὁ δοῦλος ἑβδόμῳ ἔτει τὴν ἐλευθερίαν κο-
μίζεται. (3)

Ε λζ. Αἱ θυσίαι αὐτῶν καὶ αἱ σπον-
δαὶ αὐτῶν τῷ μόσχῳ καὶ τῷ κριῷ καὶ
τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν,
λη. κατὰ τὴν σύγκρισιν αὐτῶν. Καὶ χί-
μαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·
πλὴν τῆς ὁλοκαυτώσεως τῆς δια-
παντός· αἱ θυσίαι αὐτῶν, καὶ αἱ
λθ. σπονδαὶ αὐτῶν. Ταῦτα ποιήσετε τῷ
Ζ Κυρίῳ ἐν ταῖς ἑορταῖς ὑμῶν, πλὴν
τῶν εὐχῶν ὑμῶν, καὶ τὰ ἑκούσια ὑμῶν,
καὶ τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰς
θυσίας ὑμῶν, καὶ τὰς σπονδὰς ὑμῶν,
καὶ τὰ σωτήρια ὑμῶν.



ΚΕΦ.

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

(2) Οὕτω μὲν ἐν ἑκατέρῳ τῶν κωδίκ. καὶ ἐν σελ. 629. τοῦ 2. μέρ. τοῦ 1. Τόμ. προσφυέςερ. δὲ, εἰσπέπλωκεν.

(3) Τὰ αὐτὰ ἀπαραλλάκτως καὶ ὁ Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ.

ΚΕΦ. Λ.

α. Καὶ ἐλάλησε Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ κατὰ πάντα ὅσα ἐνετείλατο Κύ-
β. ριος τῷ Μωϋσῇ. Καὶ ἐλάλησε Μωϋσῆς πρὸς τοὺς ἄρχοντας τῶν φυλῶν υἱῶν Ἰσραὴλ, λέγων, τοῦτο τὸ ῥῆμα ὃ συνέταξε Κύριος.

γ. Ἄνθρωπος ἄνθρωπος ὃς ἂν εὔξηται εὐχὴν Κυρίῳ, ἢ ὀμόσῃ ὅρκον, ἢ ὁρίσηται ὁρισμῷ περὶ τῆς ψυχῆς αὐτοῦ, οὐ βεβηλώσει τὸ ῥῆμα αὐτοῦ· πάντα ὅσα ἂν ἐξέλθῃ ἐκ τοῦ στόματος αὐτοῦ, ποιήσει.

ΘΕΟΔΩΡΙΤΟΥ. Μετὰ ταῦτα τῶν ἑορτῶν καὶ τῶν θυσιῶν ἀναμνήσας, νομοθετεῖ περὶ τῶν ὑπισχνουμένων τὶ προσφέρειν τῷ δεσπότῃ Θεῷ. καὶ πρῶτον μὲν διηγόρευσε πάντα ὑπισχνούμενον ἔργῳ τὴν ὑπόσχεσιν ἐμπεδοῦν· τῆς δὲ ὑπὸ τὴν τοῦ πατρὸς τελούσης ἐξουσίαν ὑπισχνουμένης, τὸν πατέρα βεβαιοῦν τὴν ὑπόσχεσιν. κἂν ἐκεῖνος, ταύτης ὑπισχνουμένης, ἀνανεύσῃ, μὴ ὑποκεῖσθαι τὴν ὑποσχομένην ἐγκλήματι· ἐὰν δὲ ταύτης ἐπαγγελλομένης, ἢ συγκατάθηται ὁ πατὴρ, ἢ σιγήσῃ, τὰ ἐπηγγελμένα πληροῦσθαι. τοῦτο δὲ καὶ ἐπὶ τῆς ἀνδρὶ συνημμένης νενομοθέτηκε, καὶ τὴν τοῦ ἀνδρὸς συγκατάθεσιν βεβαιοῦν ἐκέλευσε τὴν ὑπόσχεσιν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ περὶ τῆς ἑαυτοῦ ψυχῆς, τουτέστιν ἢ τροφῶν ἀποχὴν εὔξαιτο, ἢ ἀπόκαρσιν, ἢ πρόβατον, ἢ μόσχον.

ΑΔΗΛΟΥ. Τοῦτο ἔχει Θεοῦ μίμησιν, τοῦ
Ψαλ. 88. 34. λέγοντος· οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου. ἀψευδεῖν οὖν κελεύει πρὸς Θεὸν, εἴτε λόγοις τὶς ἐπηγγείλατο, εἴτε ὅρκοις τὴν ἐπαγγελίαν δεσμεύσει περὶ τῆς ἑαυτοῦ ψυχῆς.

δ. Ἐὰν δὲ γυνὴ εὔξηται εὐχὴν Κυρίῳ, ἢ ὁρίσηται ὁρισμὸν ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς ἐν τῇ νεότητι αὐτῆς, καὶ ἀκούσῃ ὁ πατὴρ τὰς εὐχὰς αὐτῆς, καὶ τοὺς ὁρισμοὺς αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, καὶ παρασιωπήσῃ αὐτῆς ὁ πατὴρ, καὶ στήσον-
ε. ται πᾶσαι αἱ εὐχαὶ αὐτῆς, Καὶ πάντες οἱ ὁρισμοὶ οὓς ὡρίσατο κατὰ τῆς
ς. ψυχῆς αὐτῆς, μενοῦσιν αὐτῇ· Ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ ὁ πατὴρ αὐτῆς, ᾗ ἂν ἡμέρᾳ ἀκούσῃ πάσας τὰς εὐχὰς αὐτῆς καὶ τοὺς ὁρισμοὺς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, οὐ στήσονται· καὶ Κύριος καθαριεῖ αὐτὴν, ὅτι ἀνένευσεν ὁ πατὴρ αὐτῆς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Παρθένων καὶ γυναικῶν τὸ περὶ τὰς εὐχὰς αὐτοκρατὲς ἀφείλετο, τῶν μὲν τοὺς πατέρας κυρίους, τῶν δὲ γυναικῶν τοὺς ἄνδρας ἀποφήνας, εἰς βεβαίωσιν ὅρκων καὶ λύσιν, τῆς μὲν πατρὸς, τῆς δὲ ἀνδρὸς εἶναι· καὶ μάλα εἰκότως. αἱ μὲν γὰρ διὰ νεότητα, δύναμιν ὅρκων οὐκ ἴσασιν, ὡς χρῄζειν τῶν ἐπικρινούντων· αἱ δὲ πολλάκις ὑπὲρ εὐχερείας ὀμνύουσιν ἃ μὴ τοῖς ἀνδράσι συνοίσει. διό-
B περ αὐτοῖς ἀνέθηκε τὴν ἐξουσίαν τοῦ τὰ νομισθέντα διαφυλάττειν, ἢ τοὐναντίον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Γυναικὸς εὐχὴν ἐν οἴκῳ πατρὸς γενομένην ἐν νεότητι, συγχωρηθεῖσαν μὲν ὑπὸ τοῦ πατρὸς παρασιωπήσαντος, ἵστασθαι κελεύει· μὴ βεβαιωθεῖσαν δὲ ὑπὸ τοῦ πατρὸς, οὐκ ἐπιζητεῖ Θεὸς, ὡς διαμένειν καὶ πληροῦσθαι ὀφείλουσαν πάντως.

** ΠΡΟΚΟΠΙΟΥ. Εὐχὴν οὐ δεῖ λαβεῖν
Γ τὴν ἐπ' ἀτιμίᾳ γονέων ὑπὸ παίδων γινομένην, κατὰ τοὺς πονηροὺς διδασκάλους λέ-
» γειν παρασκευάζοντας, Κορβὰν ἂν ἐξ ἐμοῦ Μάρκ. 7. 11.
» ὠφεληθῇς, Θεοῦ καθόλου τιμᾶν πατέρα καὶ μητέρα προστάξαντος. ὃς καὶ ἀκυροῖ γυναικὸς νέας εὐχὴν, μὴ συναινέσαντος τοῦ πατρός· καὶ πάλιν ὑπάνδρου, μὴ τοῦ ἀνδρὸς ἐπινεύσαντος. τὸ γὰρ ψεύδεσθαι ὑπ' ἐξουσίαν ἀνέγκλητον. κἂν μετὰ ταῦτα χηρεύσῃ, φησὶν, ἢ καὶ χωρισθῇ τοῦ ἀνδρός.
Δ βεβαιοῦται δὲ διὰ τούτων τὸ ἐξ ἀρχῆς· ὅτι διὰ τὸν ἄνδρα γέγονεν ἡ γυνὴ, καὶ προσῆκόν ἐστιν ὑποτάττεσθαι, καὶ κατὰ Παῦλον
» λέγοντα, ἡ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα. Ἐφεσ. 5. 33.

ζ. Ἐὰν δὲ γενομένη γένηται ἀνδρὶ, καὶ εὐχαὶ αὐτῆς ἐπ' αὐτὴν κατὰ τὴν διαστολὴν τῶν χειλέων αὐτῆς, ὅσα ὡρί-
η. σατο κατὰ τῆς ψυχῆς αὐτῆς, Καὶ ἀκούσῃ ὁ ἀνὴρ αὐτῆς, καὶ παρασιω-
E πήσῃ αὐτῇ ᾗ ἂν ἡμέρᾳ ἀκούσῃ, καὶ οὕτω στήσονται πᾶσαι αἱ εὐχαὶ αὐτῆς, καὶ οἱ ὁρισμοὶ οὓς ὡρίσατο κατὰ τῆς
θ. ψυχῆς αὐτῆς, στήσονται. Ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ ὁ ἀνὴρ αὐτῆς ᾗ ἂν ἡμέρᾳ ἀκούσῃ, πᾶσαι αἱ εὐχαὶ αὐτῆς, καὶ οἱ ὁρισμοὶ αὐτῆς οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, οὐ μενοῦσιν, ὅτι
Z ὁ ἀνὴρ ἀνένευσεν ἀπ' αὐτῆς, καὶ Κύριος καθαριεῖ αὐτήν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς ὑπάνδρου. ἐν γὰρ τῇ θελήσει τοῦ ἀνδρὸς τίθεται τὴν πλήρωσιν τῆς εὐχῆς, εἰ παρασιωπήσειε καθ' ἣν ἡμέραν ἤκουσε τῶν τῆς γυναικὸς εὐχῶν· καὶ τὸ ἄκυρον τῆς
» ἐπαγγελίας, εἰ ἀνανεύσειε. καὶ Κύριος
» γάρ φησι καθαριεῖ αὐτήν. ὁ γὰρ ὑπὸ ἐξουσίας μείζονος κωλυόμενος, ἀνέγκλητον
H ἔχει τὴν ἔλλειψιν.

ι. Καὶ εὐχὴ χήρας καὶ ἐκβεβλημένης ὅσα ἂν εὔξηται κατὰ τῆς ψυχῆς αὐτῆς, μενοῦσιν αὐτῇ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Χῆραι μὴ ῥᾳδίως ὀμνύτωσαν· οὐ γὰρ ἔχουσι τοὺς παραιτητὰς, οὔτ' ἄνδρας ὧν διεζεύχθησαν, οὔτε πατέρας ἀφ' ὧν μετανέστησαν, ὅτε τὴν πρὸς γάμον ἀποικίαν ἐστέλλοντο· ἐπειδὴ μένειν τοὺς τούτων ὅρκους ἀναγκαῖον, ἐρημίᾳ τῶν κηδομένων βεβαιουμένους.

ια. Ἐὰν δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς
αὐτῆς ἡ εὐχὴ αὐτῆς, ἢ ὁ ὁρισμὸς κα-
ιβ. τὰ τῆς ψυχῆς αὐτῆς μεθ' ὅρκου, Καὶ
ἀκούσῃ ὁ ἀνὴρ αὐτῆς, καὶ παρασιω-
πήσῃ αὐτὴν, (1) καὶ μὴ ἀνανεύσῃ αὐ-
τῇ, καὶ στήσονται πᾶσαι αἱ εὐχαὶ αὐ-
τῆς, καὶ πάντες οἱ ὁρισμοὶ οὓς ὡρίσα-
το κατὰ τῆς ψυχῆς αὐτῆς, καὶ (2)
ιγ. στήσονται κατ' αὐτῆς. Ἐὰν δὲ περιε-
λὼν περιέλῃ ὁ ἀνὴρ αὐτῆς ᾗ ἂν ἡμέ-
ρᾳ ἀκούσῃ, πάντα ὅσα ἂν ἐξέλθῃ ἐκ
τῶν χειλέων αὐτῆς κατὰ τὰς εὐχὰς
αὐτῆς, καὶ κατὰ τοὺς ὁρισμοὺς τοὺς
κατὰ τῆς ψυχῆς αὐτῆς, οὐ μενεῖ αὐ-
τῇ· ὁ ἀνὴρ αὐτῆς περιεῖλε, καὶ Κύ-
ριος καθαριεῖ αὐτήν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Κατὰ τὴν γνώμην τοῦ ἀνδρὸς, ἢ συγχωρεῖται, ἢ ἀπαιτεῖται. εἰ μὲν παρασιωπήσειε καὶ μὴ ἀνανεύσειεν, ἱσταμένης τῆς εὐχῆς καὶ ἀπαιτουμένης· εἰ δὲ διαλύσειεν ὁ ἀνὴρ τὸ παρέγκλημα καθ' ἣν ἡμέραν ἤκουσεν, ἀνεύθυνου τῆς γυναικὸς γενομένης καὶ μετὰ τὸν χωρισμόν.

ΤΟΥ ΑΥΤΟΥ. Βεβαιοῖ τὸ τῆς φύσεως ὁ νόμος, ἐφ' οἷς ἐξ ἀρχῆς ἡ γυνὴ δεδημιούργηται. διὸ καὶ ὑποτάττεσθαι ἀπαιτεῖ.

ιδ. Πᾶσα εὐχὴ, καὶ πᾶς ὅρκος
δεσμοῦ κακῶσαι ψυχὴν, ὁ ἀνὴρ αὐ-
A τῆς στήσει αὐτὴν, καὶ ὁ ἀνὴρ αὐτῆς
περιελεῖ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ κακῶσαι ψυχὴν, τὸ νηστεῦσαι, ἢ ἄλλως ἀσκῆσαι. ὅθεν καὶ περὶ τοῦ μηνὸς τῆς νηστείας φησὶν, ἐν » αὐτῷ κακώσετε τὰς ψυχὰς ὑμῶν. Ἀριθ. 29. 7.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Σημειωτέον, ὅτι ἐὰν γυνὴ ἢ θυγάτηρ ὑπόσχηταί τι ποιεῖν ἐνόρκως, ἢ ἄνευ ὅρκου, ὃ δοκεῖ εἶναι λατρείας B ἔργον· οἷον τὸ ἀπελθεῖν ἐν τῷδε τῷ ἁγίῳ τόπῳ, ἢ δοῦναι εἰς εὐποιΐαν τόδε, ἢ νηστεῦσαι· δύναται ὁ ἀνὴρ λῦσαι τὰ ἁμαρτήματα αὐτῇ, ὁμοίως καὶ πατὴρ, ἐὰν μὴ συγχωρήσωσιν αὐτῇ ποιῆσαι ὃ ὑπέσχετο.

ιε. Ἐὰν δὲ παρασιωπῶν παρα-
σιωπήσῃ αὐτῇ ἡμέραν ἐξ ἡμέρας, καὶ
στήσει αὐτῇ πάσας τὰς εὐχὰς αὐτῆς,
καὶ τοὺς ὁρισμοὺς τοὺς ἐπ' αὐτῆς στήσει
Γ αὐτῇ, ὅτι ἐσιώπησεν αὐτῇ τῇ ἡμέρᾳ
ιϛ. ᾗ ἤκουσεν. Ἐὰν δὲ περιελὼν περιέλῃ
αὐτῆς μετὰ τὴν ἡμέραν ἣν ἤκουσε, καὶ
λήψεται τὴν ἁμαρτίαν αὐτοῦ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐπίκειται δὲ καὶ τῷ ἀνδρὶ νόμος, ὁμοίως ἀπαιτῶν καὶ τοῦτον τὴν πρὸς Θεὸν βεβαιότητα. εἰ γὰρ ἐξ ἀρχῆς ἐπιτρέψας, ὕστερον μεταθοῖτο, καὶ οὗτος τρόπον τινὰ παρέβη τὴν πρὸς Θεὸν ἐπαγγελίαν· βεβαιώσας μὲν τὴν εὐχὴν τῇ σιω- Δ πῇ, ἀνατρέπων δὲ τῇ παραβάσει τὴν μετάνοιαν, ἤτοι τῇ ἀνανεύσει.

ιζ. Ταῦτα τὰ δικαιώματα ὅσα
ἐνετείλατο Κύριος τῷ Μωϋσῇ, ἀνα-
μέσον ἀνδρὸς καὶ ἀναμέσον γυναικὸς
αὐτοῦ, καὶ ἀναμέσον πατρὸς καὶ θυ-
γατρὸς ἐν νεότητι ἐν οἴκῳ πατρός.

ΚΕΦ. ΛΑ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
β. Μωϋσῆν, λέγων, Ἐκδί-
κει τὴν ἐκδίκησιν τῶν υἱῶν
Ἰσραὴλ ἐκ τῶν Μαδιανιτῶν, καὶ ἔσχα-
τον προστεθήσῃ πρὸς τὸν λαόν σου.

** ΠΡΟΚΟΠΙΟΥ. Τελευταίαν ταύτην πρᾶξιν ἐπιτάττει Θεὸς τῷ Μωϋσεῖ. ὀργὴν γὰρ ἑαυτῆς ἐθησαύρισαν οἱ ἐκ Μαδιάμ. καλὸν δὲ παράγγελμα, μέγα τι πράττειν πρὸ τελευτῆς, ὥσπερ ἐφόδιον πρὸς τὴν ἔξοδον. ἀρέσκειν δὲ τῷ Θεῷ ταύτην παρίστησι τὸ παρατάξασθαι λέγειν ἔναντι Κυρίου ἐπὶ Μαδιάμ. κατὰ Θεὸν γὰρ οἱ πρὸς ἐκκοπὴν ἀσεβῶν γινόμενοι πόλεμοι, τῆς γῆς ὄντες καθαρτικοί· κἂν βλασφημῶσιν οἱ τὴν κακίαν ἐνυπόστατον λέγοντες.

γ. Καὶ ἐλάλησε Μωϋσῆς πρὸς
Η τὸν λαὸν, λέγων, ἐξοπλίσατε ἐξ
ὑμῶν ἄνδρας, καὶ παρατάξασθε ἔναν-
τι Κυρίου ἐπὶ Μαδιὰμ, ἀποδοῦναι ἐκ-
δίκησιν Κυρίου τῇ Μαδιάμ.

δ. Χιλίους ἐκ φυλῆς, καὶ χιλίους
ἐκ φυλῆς, ἐκ πασῶν φυλῶν υἱῶν Ἰσ-
ραὴλ, ἀποστείλατε παρατάξασθαι.
ε. Καὶ ἐξηρίθμησαν ἐκ τῶν χιλιάδων
Ἰσραὴλ χιλίους ἐκ φυλῆς, δώδεκα χι-
λιάδες ἐνωπλισμένοι εἰς παράταξιν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Παντὶ μὲν τῷ στρατῷ πολεμεῖν οὐκ ἐδοκίμαζεν, εἰδὼς τὰ ὑπερόρια πλήθη (3) πλεῖοντα περὶ αὐτοῖς, καὶ ἅμα λυσιτελὲς ἡγούμενος ἐφεδρείας εἶναι συμμάχων, (4) τοῖς προκαμοῦσι βοηθούς. ἀριστίνδην δὲ τοὺς ἡβῶντας ἐπιλέξας χιλίους ἐκ φυλῆς ἑκάστης, δώδεκα χιλιάδας. τοσαῦται γὰρ ἦσαν αἱ φυλαί.

ΚΥΡΙΛ-

(1) Αὐτῇ. αἱ εἰρημ. ἐκδόσ.
(2) Τὸ, καὶ, λείπει. αὐτ.
(3) Πλεῖω ὄντα παρ' αὐτοῖς. ἐν ταῖς σημειώσ. ταῖς ἐν σελ. 129. τοῦ 2. Τόμ. τῆς τοῦ Μαγγ. ἐκδόσ· μήτι γε δὲ τὸ περὶ αὐτοῖς ποιητικὸν, ἀντὶ τοῦ περὶ αὐτά.
(4) Συμμάχους. αὐτ.

ΚΥΡΙΛΛΟΥ. Ἐκ πάσης φυλῆς τὸ ὅτι μάλιστα ἐπίλεκτον καὶ μαχιμώτατον προστάττει, ἵνα τὸ ἀφ᾽ ἑκάστης εὐδοκιμοῦν, αὔχημα γένηται τοῦ παντός, [καὶ ἡ τοῦ μέρους λαμπρότης εἰς ὅλον ἴοι τὸ πλήρωμα.]

ϛ. Καὶ ἀπέστειλεν αὐτοὺς Μωϋσῆς χιλίους ἐκ φυλῆς (1) σὺν δυνάμει αὐτῶν, καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως· καὶ τὰ σκεύη τὰ ἅγια, καὶ αἱ σάλπιγγες τῶν σημασιῶν ἐν ταῖς χερσὶν αὐτῶν.

ΑΔΗΛΟΥ. Τὰ σκεύη τὰ ἅγια, τὸ Ἐφοὺδ λέγει μᾶλλον καὶ τὰ ἱερατικὰ ἐνδύματα.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Στρατηγὸν ἑλόμενος τοῦ πολέμου Φινεές, πεῖραν ἤδη δεδωκότα στρατηγικῆς εὐτολμίας, ἐπὶ καλοῖς ἱερείοις ἐξέπεμπε τοὺς ὁπλίτας.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὥστε μηδὲν ἀπεοικέναι πράξεως ἱερατικῆς τὴν πολεμίαν ταύτην. καθαρὸν γὰρ τὸ δίκαιον παρὰ Θεῷ. καὶ δὴ καὶ ἅγιον τὸ ὑπὲρ δικαιοσύνης καὶ ἀδικίας γενόμενον.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ὑποτύπωσις Χριστοῦ μέν, ὁ ἱερεύς, τουτέστιν ὁ Φινεές· Ἀγγέλων δέ, σκεύη τὰ ἅγια, τῶν δὲ τὸν θεῖον ἡμῖν διακεκραγότων λόγον, αἱ σάλπιγγες τῶν σημασιῶν. οὕτω γὰρ ἀμογητὶ περιεσόμεθα τῶν ἀνθεστηκότων ἐν Χριστῷ, λέ-
Ψαλ. 43. 5. γοντες τὸ ἐν ψαλμοῖς ᾀδόμενον· „ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν, καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν.“

ζ. Καὶ παρετάξαντο ἐπὶ Μαδιάμ, καθὰ ἐνετείλατο Κύριος Μωϋσῇ. καὶ ἀπέκτειναν πᾶν ἀρσενικόν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὸ δὲ τοσαύτην ἐργάσασθαι φθορὰν ἐκ θείου προστάγματος, εἰκότως εἰς ὀργὴν Θεοῦ ἀναφέρουσιν αἱ θεῖαι Γραφαί, πρὸς ἔμφασιν τῆς ὀλοθρευτικῆς τοῦ κακοῦ δικαιοσύνης, οἰκείως ἀπεικαζομένης ὀργῇ. ὀργῇ γὰρ τὸ ἀφειδὲς ἐμφανίζει· ὅπερ ἐστὶ παρὰ τῷ Θεῷ κατὰ τῆς κακίας οὐ παθητικόν, ὡς ἐπ᾽ ἀνθρώπων.

ΤΟΥ ΑΥΤΟΥ. Ἐκ τούτου συνιέναι προσήκει, μηδὲν πλῆθος ἀνθρώπων παρὰ Θεῷ λελογισμένον, εἰ κακία παρείη.

η. Καὶ τοὺς βασιλεῖς Μαδιὰμ ἀπέκτειναν ἅμα τοῖς τραυματίαις αὐτῶν· καὶ τὸν Εὐεὶν, καὶ τὸν Ῥοβὸμ, καὶ τὸν Σοὺρ, καὶ τὸν Οὒρ, καὶ Ῥοβὸκ, πέντε βασιλεῖς Μαδιάμ. καὶ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἀπέκτειναν ἐν ῥομφαίᾳ σὺν τοῖς τραυματίαις αὐτῶν.

ΕΙΡΗΝΑΙΟΥ. „Καὶ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἀπέκτειναν ἐν ῥομφαίᾳ.“ Ὁ γὰρ μηκέτι ἐν πνεύματι Θεοῦ λαλῶν, ἀλλὰ κατέναντι νόμου Θεοῦ ἕτερον πορνείας νόμον ἱστάνων, οὗτος οὐκ ἔτι ὡς Προφήτης, ἀλλ᾽ ὡς μάντις λογισθήσεται. μὴ ἐμμείνας γὰρ τῇ τοῦ Θεοῦ ἐντολῇ, ἄξιον τῆς αὐτοῦ κακομηχανίας ἀντελάβετο μισθόν.

θ. Καὶ προενόμευσαν τὰς γυναῖκας Μαδιάμ, καὶ τὴν ἀποσκευὴν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν, καὶ τὴν δύναμιν αὐτῶν ἐπρονόμευσαν,
ι. Καὶ πάσας τὰς πόλεις αὐτῶν τὰς ἐν ταῖς κατοικίαις αὐτῶν, καὶ τὰς ἐπαύ-
ια. λεις αὐτῶν ἐνέπρησαν ἐν πυρί. Καὶ ἔλαβον πᾶσαν τὴν προνομήν, καὶ πάντα τὰ σκῦλα αὐτῶν ἀπὸ ἀνθρώπου ἕως κτήνους.

ιβ. Καὶ ἤγαγον πρὸς Μωϋσῆν καὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα, καὶ πρὸς πάντας τοὺς υἱοὺς Ἰσραὴλ τὴν αἰχμαλωσίαν, καὶ τὰ σκῦλα, καὶ τὴν προνομὴν εἰς τὴν παρεμβολὴν εἰς Ἀραβὼθ Μωάβ, ἥ ἐστιν ἐπὶ Ἰορδάνου κατὰ Ἱεριχώ.

✱✱ ΚΥΡΙΛΛΟΥ. Παρεκομίζοντο πρὸς Ἐλεάζαρ τὸν ἱερέα, καὶ πρὸς πᾶσαν τὴν συναγωγὴν υἱῶν Ἰσραὴλ τὴν αἰχμαλωσίαν. ἱερὰ γὰρ ὥσπερ ἀναθήματα τῷ Χριστῷ τῷ πάντων ἀρχιερεῖ, καὶ οὐκ ἀσυμφανῆ τοῖς λαοῖς τὰ τῶν ἁγίων κατορθώματα.

ιγ. Καὶ ἐξῆλθε Μωϋσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς καὶ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς εἰς συνάντησιν αὐτοῖς ἔξω τῆς παρεμβολῆς.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Προαπήντα τοῖς ἀριστεῦσιν ὁ Μωϋσῆς· καὶ τοῦτο μὲν τιμῆς· ἐπετίμα δὲ περὶ τῶν ζωγρηθέντων. „οὐδεὶς
Ἰώβ. 14. 4. γὰρ καθαρὸς ἀπὸ ῥύπου.“

ιδ. Καὶ ὠργίσθη Μωϋσῆς ἐπὶ τοῖς ἐπισκόποις τῆς δυνάμεως, χιλιάρχοις καὶ ἑκατοντάρχοις τοῖς ἐρχομένοις ἐκ τῆς παρατάξεως τοῦ πολέμου.

ΚΥΡΙΛΛΟΥ. [Ἡ μέμψις ἡ παρὰ Μωσέως οὐ πρὸς ἅπαντας ἁπλῶς, ἀλλὰ πρὸς μόνους ἐπράττετο τοὺς τῆς δυνάμεως ἐπισκόπους, καὶ πρὸς χιλιάρχους καὶ ἑκατοντάρχους.] „δυνατοὶ γὰρ δυνατῶς ἐτασθήσονται.“ Σοφ. 6. 6.
διὸ καὶ κατ᾽ αὐτῶν μάλιστα τὸ ἀκριβὲς τοῦ νόμου. „ᾧ γὰρ πολὺ παρέθεντο, φησί, πολὺ Λουκ. 12. 48.
ζητήσουσιν ἀπ᾽ αὐτοῦ.“ Φέρεται τοίνυν ἐπὶ τοὺς ἐπισκόπους καὶ τῶν ταγμάτων προεστηκότας ἡ κατὰ πάντων αἰτίασις. ἀεὶ γὰρ ταῖς νήψεσι τῶν καθηγουμένων εὐδοκιμεῖ τὸ ὑπήκοον. τοιγάρτοι καὶ γέγραπται τοῖς ὑπὸ χεῖρα λαοῖς· „πείθεσθε τοῖς ἡγουμένοις.“ Ἑβρ. 13. 17.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Οὐκ ἀκαταιτίατοι μεμενήκασιν οἱ ἀπόλεκτοι τῶν φυλῶν, καίτοι

(1) Χιλίους ἐκ φυλῆς, χιλίους ἐκ φυλῆς. αἱ εἰρημ. ἐκδόσ. χιλίους ἐξ ἑκάστης φυλῆς. ἡ ἐν Ὀξον. χιλίους ἐκ φυλῆς, καὶ χιλίους ἐκ φυλῆς. ὁ ἐν ἁγ. Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 120.

τοι τὴν νίκην ἀράμενοι. δι' οὗ σημαίνεται (A) καὶ μάλα σαφῶς, ὡς τὸ εἰσάπαν ἀμώμητον, οὐδ' ἂν αὐτοῖς τοῖς ἀνδριζομένοις ὑπάρξῃ ποτέ.

ιε. Καὶ εἶπεν αὐτοῖς Μωϋσῆς, ἵνα τὶ ἐζωγρήσατε πᾶν θῆλυ;

** ΚΥΡΙΛΛΟΥ. Ἐπετίμα Μωϋσῆς τοῖς νενικηκόσιν, ὡς οὐ κατὰ λόγον τὸν ἀκριβῆ καὶ ἀδιάβλητον παντελῶς τὸ πρᾶγμα συντεθεικόσιν. οὐ γὰρ ἔδει, φησὶ, ζω- (B) γρῆσαι τὸ ἄρσεν, οὐδ' ἂν αὖ τὸ θῆλυ τὸ ἐμπειρόγαμον. ἔδει γὰρ τῆς ὅσον οὐδέπω μελλούσης ὑπ' αὐτοῖς ἔσεσθαι γῆς ἀποκείρεσθαι τὸ ἄρσεν, ὡς ἧξον μετὰ βραχὺ πρὸς ἥβην τε καὶ ἀλκὴν, καὶ πολέμιον ἐσόμενον τῷ λαῷ, συναναιρεῖσθαι δὲ καὶ τὸ θῆλυ, σκανδάλου παραίτιον γεγονός.

ις. Αὗται γὰρ ἦσαν τοῖς υἱοῖς Ἰσ- (Γ) ραὴλ κατὰ τὸ ῥῆμα Βαλαὰμ τοῦ ἀποστῆσαι καὶ ὑπεριδεῖν τὸ ῥῆμα Κυρίου ἕνεκεν Φογώρ· καὶ ἐγένετο ἡ πληγὴ ἐν τῇ συναγωγῇ Κυρίου.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Οὐ μόνον ὁ Βαλαὰμ γέγονεν αἴτιος ἐκπορνεῦσαι τὸν Ἰσραήλ· διὸ καὶ ἀπέκτειναν αὐτὸν οἱ υἱοὶ Ἰσραήλ· ἀλλὰ καὶ ὁ Φογώρ. ὁ μὲν γὰρ συνεβούλευσεν, ὁ δὲ καὶ συνήργησε τῇ πράξει τῇ (Δ) ἀτόπῳ, προτρεπόμενος τὰς γυναῖκας Μαδιὰμ ἀσελγῆσαι μετὰ τῶν υἱῶν Ἰσραήλ. διὸ καὶ τὸν Σοὺρ ἀπέκτειναν, ὃς ἦν ἄρχων Μαδιάμ· ἐπειδὴ καὶ αὐτὸς συνέπραξε τῷ ἔργῳ τῷ ἀθέσμῳ, προστησάμενος τὴν ἑαυτοῦ θυγατέρα. καὶ γὰρ καταγελῶν τῶν ἐν ἀξίαις θέλουσι μᾶλλον οἱ ἀσελγεῖς. καὶ ᾑρήσατο βασιλεὺς ὢν, προστῆσαι τὴν ἑαυτοῦ θυγατέρα, ἵνα παρολισθήσαντες οἱ υἱοὶ Ἰσραὴλ, προσκρούσωσι Θεῷ. τὸ δὲ Σαμα-
» (E) ρειτικὸν, σαφέστερόν φησι, λέγον· διὰ
» λόγου Φογώρ.

ιζ. Καὶ νῦν ἀποκτείνατε πᾶν ἀρσενικὸν ἐν πάσῃ τῇ ἀπαρτίᾳ, καὶ πᾶσαν γυναῖκα, ἥτις ἐπέγνω κοί-
ιη. την ἄρσενος ἀποκτείνατε. Καὶ πᾶσαν τὴν ἀπαρτίαν τῶν γυναικῶν, ἥτις οὐκ οἶδε κοίτην ἄρσενος, ζωγρήσατε αὐτάς.

(Z) ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐπετίμα δὲ περὶ τῶν ζωγρηθεισῶν γυναικῶν· τὰς πολλῶν αἰτίας κακῶν, καὶ τὰς ἐπὶ τιμωρίᾳ κωλύει σώζεσθαι· ἐξαλείφει δὲ καὶ ὅσον νήπιον ἄρσεν, ὡς πολέμιον ἐσόμενον ὑπὲρ τῆς τῶν γονέων ἀναιρέσεως. ἐξαλείφει δὲ καὶ τὰς γυναῖκας, διὰ τὴν ἀσεβῆ πορνείαν· τὰς δὲ ἀπείρους οὔσας, ἀπολείπεσθαι κελεύει, ὡς ἀναιτίους τοῦ κακοῦ ταύτας περιποιῶν, δουλείας ἔργον πληροῦν δυναμένας, ὡς εἶναι (H) τοῦτο κέρδος τοῖς πολεμισταῖς, καὶ τῇ λοιπῇ συναγωγῇ.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τῶν Μαδιανιτῶν τὰς ἀνδρὶ συνημμένας ὁ νομοθέτης
(A) » ἀναιρεθῆναι προσέταξεν; Ὡς πεπαιδευμένας τῆς ἀσεβείας τὰ δόγματα, καὶ διαφθείρειν τοὺς ἐξανδραποδίσαντας δυναμένας.

ιθ. Καὶ ὑμεῖς παρεμβαλεῖτε ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας. πᾶς ὁ ἀνελὼν καὶ ὁ ἁπτόμενος τοῦ τετρωμένου ἁγνισθήσεται τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ὑμεῖς (B) καὶ ἡ αἰχμαλωσία ὑμῶν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Προστάττει τοὺς μὲν ἔξω τοῦ στρατοπέδου καταμένειν τινὰς ἡμέρας· τῷ δὲ μεγάλῳ ἱερεῖ καθᾶραι τοῦ φόνου τοὺς ἀπὸ τῆς παρατάξεως ἥκοντας τῶν συμμάχων. καὶ γὰρ εἰ νόμιμοι αἱ κατ' ἐχθρῶν σφαγαὶ, ἀλλ' ὅ γε κτείνων ἄνθρωπον, εἰ καὶ δικαίως, καὶ ἀμυνόμενος, καὶ βιασθεὶς, ὑπαίτιος εἶναι δοκεῖ, διὰ τὴν ἀνωτάτω καὶ κοινὴν συγγένειαν. (Γ) οὗ χάριν καθαρσίων ἐδέησε τοῖς κτείνασι πρὸς ἀπαλλαγὴν τοῦ νομισθέντος ἄγους γεγενῆσθαι.

** ΚΥΡΙΛΛΟΥ. Τῆς μὲν ἡμέρας τῆς τρίτης, ἢ τὸν τρίτον ἡμῖν σημαινούσης καιρὸν, καθ' ὃν ἡ διὰ Χριστοῦ γέγονε κάθαρσις μετὰ χρόνον τὸν μετὰ Μωσέα, καὶ καθ' ὃν ὁ τῶν ἁγίων Προφητῶν ἀνεδείχθη χορός· ἤτοι τὸν τῆς ἀναστάσεως, καθ' ὃν ἀνεβίω Χριστὸς, προσηλώσας τῷ τιμίῳ (Δ) σταυρῷ τὸ καθ' ἡμῶν χειρόγραφον, καὶ λυτικὸν ἁμαρτίας τὸ δι' ἡμᾶς ὑπομείνας πάθος. τῆς γε μὴν ἑβδόμης τὸν ἐπὶ τῇ συντελείᾳ τοῦ παρόντος αἰῶνος καιρὸν ἀναπειθούσης νοεῖν, καθ' ὃν ὁλοτρόπως τὸ τῆς ἁμαρτίας ἄχθος ἀποσεισάμενοι, καὶ εἰς λῆξιν ἰόντες ἁγιασμοῦ, συνεσόμεθα τῷ Χριστῷ, καθαρὰν καὶ ἡγνισμένην, καὶ ἐν μακαριότητι τῇ κατὰ Χριστὸν τρίβοντες ζωήν.

(E) ΑΠΟΛΙΝΑΡΙΟΥ. Τῇ τρίτῃ ἡμέρᾳ, διὰ Χριστὸν τὸν τριήμερον ἀναστάντα· τῇ ἑβδόμῃ, διὰ τὸ τέλος τοῦ κόσμου, ἑβδομαίᾳ χιλιάδι συμπληρούμενον· ἐν ᾗ καθαρότης εἰσάγεται διὰ Χριστοῦ, ἀνατελλούσης δικαιοσύνης ἐν ἡμέραις αὐτοῦ.

κ. Καὶ πᾶν περίβλημα καὶ πᾶν σκεῦος δερμάτινον, καὶ πᾶσαν ἐργασίαν ἐξ αἰγίας, καὶ πᾶν σκεῦος (Z) ξύλινον ἀφαγνιεῖτε.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐκ περιουσίας τὸ καθαρὸν εἰσάγων, ὡς μηδαμόθεν εἴη μολυσμὸς ἐν ἀνθρώποις.

κα. Καὶ εἶπεν Ἐλεάζαρ ὁ ἱερεὺς πρὸς τοὺς ἄνδρας τῆς δυνάμεως τοὺς ἐρχομένους ἐκ τῆς παρατάξεως τοῦ πολέμου, τοῦτο τὸ δικαίωμα τοῦ νόμου (H) ὃ συνέταξε Κύριος τῷ Μωϋσῇ.

** ΠΡΟΚΟΠΙΟΥ. Σκευῶν ἐκ περιουσίας εἰσήγαγε κάθαρσιν διὰ πυρὸς καὶ ὕδατος. τοῦτο γὰρ τῷ λόγῳ Μωϋσέως Ἐλεάζαρ προσέθηκε κατὰ τὸ σιωπώμενον

μαθὼν

μαθὼν ἐκ Θεȣ̃. ὡς καὶ Μωϋσῆς τοῖς περὶ τȣ̃ πάσχα προσέθηκε τὸ τȣ̃ ὑσσώπȣ, καὶ τὸ μὴ ἐξιέναι τὴν θύραν ἕως πρωΐ.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ἐπιτήρησον, ὅτι Μωσῆς μὲν πρότερος τοῖς νενικηκόσι τὸν τȣ̃ διασμήχεσθαι κατεδήλȣ καιρὸν, ȣ̓κ ἔτι δὲ καὶ τὸν τρόπον· προανακηρύτlει γὰρ ὁ νόμος τῆς διὰ Χριςȣ̃ καθάρσεως τὸν καιρόν· δεύτερος δὲ καὶ μετὰ Μωσέα προαπεφώνηκεν ὁ ἱερεὺς, τȣτέςιν ὁ Ἐλεάζαρ. διατάτlει μὲν γὰρ μετὰ Μωσέα Χριςὸς, καὶ τὸν καιρὸν μὲν ȣ̓κ ἔτι τȣ̃ καθαρισμȣ̃ τοῖς ἀνδριζομένοις καταδηλοῖ· αὐτὸς γὰρ ἦν ὁ καιρός· τὸν δὲ τρόπον εἰσηγεῖται, καὶ αὐτόπως ἤδη λοιπὸν ἐν ὄψει τίθησι τὸ μυςήριον, τὸν ἀκριβῆ τȣ̃ νόμȣ διερμηνεύων σκοπόν.

κβ. Πλὴν τȣ̃ χρυσίȣ καὶ τȣ̃ ἀργυρίȣ καὶ χαλκȣ̃ καὶ σιδήρȣ καὶ μο-
κγ. λίβδȣ καὶ κασσιτέρȣ· Πᾶν πρᾶγμα ὃ διελεύσεται ἐν πυρὶ, καὶ καθαρισθήσεται, ἀλλ᾽ ἢ τῷ ὕδατι τȣ̃ ἁγνισμȣ̃ ἁγνισθήσεται· καὶ πάντα ὅσα μὴ διαπορεύηται διὰ πυρὸς, διελεύσεται δι᾽ ὕδατος.

✱✱ ΚΥΡΙΛΛΟΥ. Προςέταχεν ὅσα μὲν ἦν ἐν τοῖς σκεύεσι τὴν πυρὸς ἀκμὴν διήκειν οἷά τε, παρενεχθῆναι διὰ πυρὸς, τὰ δὲ ὅσα μὲν ἀσθένειαν ȣ̓κ ἔχοντα φυσικὴν, σαθρὰ δὲ καὶ ἑτοιμότερα πως εἰς τὸ παθεῖν δύνασθαι τὸν εἰς ἅπαν ἀφανισμὸν, ἐσθῆτα δὲ λέγων καὶ τὸ ἐκ δερμάτων καὶ ξύλων, δι᾽ ὕδατος φέρεσθαι· ὡς ἐν σκεύεσιν ἡμᾶς χρυσοῖς τε καὶ ἀργυροῖς καὶ ἐν τοῖς ἑτέροις αἰνιγματωδῶς ὑποφαίνων, οἷς ἡ διὰ Χριςȣ̃ γέγονε κάθαρσις ὡς ἐν πυρί-
Ματθ. 3. 11. τε καὶ ὕδατι. βεβαπτίσμεθα γὰρ ἐν πνεύ-
» ματι ἁγίῳ καὶ πυρί. ȣ̓κȣ̃ν τὸ δοκιμάζεσθαι διὰ πυρός τε καὶ ὕδατος τὰ ἐκ τῆς αἰχμαλωσίας συνειλεγμένα, τὴν ἡμῶν ἀρτίως ὑποδηλοῖ κάθαρσιν, ȣ̃ς ὄντας ποτὲ πλȣ̃τον ὥσπερ τινὰ διαβολικὸν, ἑαυτῷ περιεποιή-
Ματθ. 12. 29. σατο Χριςὸς, εἰσελθὼν εἰς τὴν οἰκίαν τȣ̃
» ἰσχυρȣ̃, καὶ τὰ σκεύη αὐτȣ̃ διαρπάσας, καὶ
» δήσας τὸν ἰσχυρόν.

ΤΟΥ ΑΥΤΟΥ. [Τὸ ἑκάςȣ τῶν νενικηκότων σκεῦος, εἴτε χρυσȣ̃ν εἴη τυχὸν, εἴτε ἀργυρȣ̃ν, εἴτε καὶ ἐκ χαλκȣ̃, καὶ ἐξ ἑτέρας ὕλης πεποιημένον, διὰ πυρὸς ἰέναι
1. Κορ. 3. 13. προσέταχεν.] ὡς γὰρ ὁ μακάριος [γράφει]
» Παῦλος, ἑκάςȣ τὸ ἔργον ὁποῖόν ἐςι, τὸ
» πῦρ δοκιμάσει.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Προςέταχε δὲ καὶ δι᾽ ὕδατος ἔρχεσθαί τινα. δοκιμάζεσθαι γὰρ ȣ̓χ ἑτέρως ὁ τῆς ψαλμῳδίας ἡμῖν ὑπαινίττεται λόγος τὰς τῶν ἁγίων ψυχὰς, πλὴν ὅτι κατὰ τοιȣ́ς δέ τινας τρόπȣς. καὶ γȣ̃ν
Ψαλ. 65. 10, ὁ Δαβὶδ ἔψαλλεν· ὅτι ἐδοκίμασας ἡμᾶς ὁ
12. » Θεὸς, ἐπύρωσας ἡμᾶς ὡς πυρȣ̃ται τὸ ἀρ-
A » γύριον. διήλθομεν διὰ πυρὸς καὶ ὕδατος,
» καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

ΣΕΥΗΡΟΥ. Τȣτέςι τὰ διαπορευόμενα διὰ πυρὸς καὶ ὕδατος ἁγνισθήσεται. ἃ δὲ τῷ πυρὶ προσομιλȣ̃ντα φθείρεται, ἀρκεσθήσεται τῷ τȣ̃ ὕδατος ἁγνισμῷ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Σύμβολον τῶν διὰ πυρὸς διερχομένων, ὡς ὁ Παῦλος ἔφη·
» σωθήσεται, ὡς διὰ πυρὸς δέ. 1. Κορ. 3. 15.

B κδ. Καὶ πλυνεῖσθε τὰ ἱμάτια τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ καθαρισθήσεσθε· καὶ μετὰ ταῦτα εἰσελεύσεσθε εἰς τὴν παρεμβολήν.

ΑΔΗΛΟΥ. Πρῶτον περὶ τȣ̃ καθαρισμȣ̃ διατάτlει, καὶ τότε περὶ τȣ̃ μερισμȣ̃. εἰ γὰρ καὶ δικαίας εἰργάσαντο σφαγὰς, αὕτη γε ἡ τῶν ὁμογενῶν ἀναίρεσις δεῖται καθαρισμȣ̃, ὅτι μὴ ἐκ Θεȣ̃ τὸ φθείρεσθαι τȣ̀ς
Γ » ἀνθρώπȣς ἤρξατο, ȣ̃ς ἐπὶ ζωῇ ἔπλασε. (1)

✱✱ ΚΥΡΙΛΛΟΥ. Εἰσελεύσεσθαι τότε μόλις εἰς τὴν παρεμβολὴν τȣ̀ς νενικηκότας ὁ Ἐλεάζαρ φησὶν, ὅταν ἀποπλύνειαν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τὰ ἱμάτια, καὶ ȣ̃τως ἔσεσθαι καθαρȣ́ς. ἡ γὰρ τελεία κάθαρσις, καὶ ῥύπȣ παντὸς ἀπόθεσις ἐν ἐσχάτοις ἔςαι τῆς συντελείας καιροῖς, ἀναιρȣμένης εἰς ἅπαν τῆς ἁμαρτίας, καὶ εἰς τὸ ἄνωθέν τε
Δ καὶ πρεσβύτατον κάλλος τῆς ἀνθρώπȣ φύσεως ἀναφερομένης.

κε. Καὶ ἐλάλησε Κύριος πρὸς
κς. Μωϋσῆν, λέγων, Λάβε τὸ κεφάλαιον τῶν σκύλων τῆς αἰχμαλωσίας ἀπὸ ἀνθρώπȣ ἕως κτήνȣς σὺ καὶ Ἐλεάζαρ ὁ ἱερεὺς καὶ οἱ ἄρχοντες τῶν πατριῶν τῆς συναγωγῆς.

ΑΔΗΛΟΥ. Λάβε τὸ κεφάλαιον. τὸ
Ε » Σαμαρειτικὸν, λάβε τὸ τέλος, ἔχει.

✱ ΚΥΡΙΛΛΟΥ. Τύπος ἂν εἶεν Μωσῆς τε καὶ Ἐλεάζαρ τȣ̃ μόνȣ ἀρχιερέως καὶ νομοθέτȣ Χριςȣ̃, διανέμοντος τῷ λαῷ τὰ σκῦλα, συμπαρεςηκότων ἁγίων Ἀγγέλων, ὧν καὶ τύπος οἱ ἄρχοντες τῶν πατριῶν τῆς συναγωγῆς.

κζ. Καὶ διελεῖτε τὰ σκῦλα ἀναμέσον τῶν πολεμιςῶν τῶν ἐκπεπορευ-
Ζ μένων εἰς παράταξιν, καὶ ἀναμέσον
κη. πάσης συναγωγῆς. Καὶ ἀφελεῖτε τὸ τέλος Κυρίῳ παρὰ τῶν ἀνθρώπων τῶν πολεμιςῶν τῶν ἐκπεπορευμένων εἰς τὴν παράταξιν, μίαν ψυχὴν ἀπὸ πεντακοσίων, ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀπὸ τῶν κτηνῶν, καὶ ἀπὸ τῶν βοῶν, καὶ ἀπὸ τῶν προβάτων, καὶ
Η ἀπὸ τῶν ὄνων. καὶ ἀπὸ τȣ̃ ἡμίσεȣς αὐ-
κθ. τῶν λήψεσθε. Καὶ δώσεις Ἐλεάζαρ τῷ

(1) Τὰ αὐτὰ ἄλλως πως καὶ ὁ Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ.

λ. τῷ ἱερεῖ τὰς ἀπαρχὰς Κυρίȣ. Καὶ ἀπὸ τῶν (1) ἡμίσȣς τῶν ὑῶν Ἰσραὴλ λήψῃ ἕνα. ἀπὸ τῶν πεντήκοντα ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀπὸ τῶν βοῶν, καὶ ἀπὸ τῶν προβάτων, καὶ ἀπὸ τῶν ὄνων, καὶ ἀπὸ πάντων τῶν κτηνῶν· καὶ δώσεις αὐτὰ τοῖς Λευΐταις τοῖς φυλάσσȣσι τὰς φυλακὰς ἐν τῇ σκηνῇ Κυρίȣ.

✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὴν λείαν διένειμε, τοῖς μὲν στρατευσαμένοις· ὀλίγος δ' ἀριθμὸς ἦσαν παρὰ τȣ̀ς ἡσυχάσαντας· διδȣ̀ς ἥμισυ μέρος· θάτερον δὲ τοῖς καταμείνασιν ἐν τῷ στρατοπέδῳ. δίκαιον γὰρ ὑπέλαβεν εἶναι καὶ τȣ́τοις μεταδȣ̃ναι τῆς ὠφελείας, εἰ καὶ μὴ τοῖς σώμασι, ταῖς γȣ̃ν ψυχαῖς διαγωνισαμένοις. οἱ γὰρ ἔφεδροι τῶν ἀγωνιστῶν ȣ̓κ ἐλαττȣ́μενοι ταῖς προθυμίαις, χρόνῳ καὶ τῷ φθάσθῆναι μόνον ὑστερίζȣσι. λαβόντων δὲ τῶν μὲν ὀλίγων πλείω, διὰ τὸ προκινδυνεῦσαι, τῶν δὲ πλειόνων ἐλάττω, διὰ τὴν ἔνδον καταμονήν, ἔδοξεν ἀναγκαῖον εἶναι πάσης τῆς λείας τὰς ἀπαρχὰς καθιερῶσαι. τὸ μὲν ȣ̓̃ν πεντηκοστὸν, οἱ ἐφεδρεύσαντες· πεντακοσιοστὴν δὲ μοῖραν οἱ προπολεμήσαντες εἰσήνεγκαν. τῶν δ' ἀπαρχῶν τὰς μὲν παρὰ τῶν στρατευσαμένων, τῷ μεγάλῳ ἀρχιερεῖ προσάττει δοθῆναι· τὰς δὲ παρὰ τῶν καταμεινάντων ἐν τῷ στρατοπέδῳ, τοῖς νεωκόροις, οἷς ὄνομα Λευῖται.

ΑΔΗΛΟΥ. Ἀσαφὲς τὸ ῥητόν· ὁ δὲ νȣ̃ς τοιȣ̃τός ἐστιν· ἐὰν μέρος τῆς συναγωγῆς ἐξέλθῃ εἰς πόλεμον, καὶ λάβῃ σκῦλα, μερίζονται εἰς δύο, καὶ λαμβάνȣσιν ἓν μέρος οἱ πολεμήσαντες, κἂν ὀλίγοι ὦσιν, ὡς αὐτοὶ τὸ πᾶν κατορθωκότες, καὶ τὸ ἄλλο ἥμισυ, τὸ λοιπὸν σύστημα τῆς συναγωγῆς. πλὴν διδȣ̃σι τέλος ἐκ τῶν σκύλων πρῶτον τῷ Κυρίῳ, ȣ̔́τως· ἐὰν λάβωσιν αἰχμαλώτȣς ἄνδρας κατὰ πεντακοσίȣς, ἕνα διδόασι τῷ Κυρίῳ, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων ζώων. τὰ δὲ λοιπὰ ἀπὸ τȣ́τȣ τȣ̃ ἡμίσεως μέρȣς δεῖ τὰς ἀπαρχὰς προσαγαγεῖν τῷ Θεῷ. ἢ ȣ̔́τω· πρὸς ἥμισυ μὲν μέρος λαμβάνȣσιν οἱ πολεμισαὶ καὶ οἱ λοιποί. οἱ δὲ πολεμισαὶ, ἐκ τȣ̃ ἡμίσεως αὐτῶν μέρȣς, ἀπὸ τῶν πεντακοσίων, διδόασι μίαν ψυχὴν τῷ Κυρίῳ ἀπὸ ἀνθρώπȣ ἕως κτήνȣς, διδόασι δὲ καὶ ἀπαρχάς· οἱ δὲ λοιποὶ οἱ μὴ πολεμισαὶ διδόασι τέλος τῷ Κυρίῳ πεντηκοστὴν, ἀπὸ τῶν πεντήκοντα μίαν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐξαριθμȣμένȣ τȣ̃ λαȣ̃, γίνεται καὶ τῶν σκύλων ἐξαρίθμησις ἀνθρώπων τε καὶ κτηνῶν, καὶ διαίρεσις τȣ́των εἴς τε τȣ̀ς πολεμήσαντας, καὶ τȣ̀ς οἴκοι μένοντας. ἑκατέροις γὰρ μερίζει, διότι ἀλλήλων προσδεῆ τὰ μέρη.

ΤΟΥ ΑΥΤΟΥ. Ἀπαρχὴ δὲ ἀπὸ τῶν σκύλων λαμβάνεται, ἡ μὲν τῷ ἱερεῖ, ἡ δὲ

(1) Τȣ̃ ἡμίσȣς τȣ̃ τῶν. αἱ εἰρημ. ἐκδόσ.

Α τοῖς Λευΐταις. ἀπὸ μὲν τȣ̃ ἡμίσεως τῶν λαφύρων, τὸ πεντακοσιοστὸν τῷ ἱερεῖ ἀπὸ ἀνθρώπȣ ἕως κτήνȣς· τὸ δὲ πεντηκοστὸν ἀπὸ τȣ̃ ἡμίσεως τȣ̃ ὑπολοίπȣ τοῖς Λευΐταις. ἔλαττον γὰρ ἡ μερὶς ἑνὶ ὄντι τῷ ἀρχιερεῖ, πλεῖον δὲ πολλοῖς ȣ̓̃σι τοῖς Λευΐταις.

✻✻ ΚΥΡΙΛΛΟΥ. Διενείμαντο τὰ ἐκ τȣ̃ πολέμȣ συνειλεγμένα πρὸς πᾶσαν εὐθὺς τὴν συναγωγήν, καὶ τοῖς τῶν ἀνδριζομένων κατορθώμασιν ἡ ἑτέρα πληθὺς

Β κατεσεμνύνετο. ὅτι γὰρ συνευδοκιμήσει τοῖς ἄγαν ἐξειλεγμένοις καὶ περιφανεστέροις τὸ βραχύτι καταδεὲς καὶ κατόπιν ἰὸν τῆς ἐκείνων μεγαλοφυΐας, ὑπεσημαίνετό πως καὶ ὁ θεσπέσιος Παῦλος. ἀπαριθμησάμενος γὰρ τῶν ἀρχαιοτέρων ἁγίων τȣ̀ς διὰ πίστεως εὐδοκιμήσαντας, καὶ οἷς ἡ δόξα περιφανὴς. ἀπό γε τῆς εἰς Θεὸν ἀκριβȣ̃ς „ εὐσεβείας, κατὰ πίστιν, φησὶν, ἀπέθανον Ἑβρ. 11. 39, 40.

Γ „ ȣ̔̃τοι πάντες, καὶ ȣ̓κ ἐκομίσαντο τὰς ἐπαγ„ γελίας· τȣ̃ Θεȣ̃ περὶ ἡμῶν κρεῖττόν τι προ„ βλεψαμένȣ, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶ„ σιν. ἐπιστέλλει δὲ καὶ ἑτέροις· ἤδη τετελειω- 1. Κορ. 4. 8.
„ μένοι ἐστέ. χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ
„ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς
„ ὑμῖν συμβασιλεύσωμεν. ὁρᾷς ὅπως συντελειωθήσονται τοῖς ἐν τέλει καὶ οἱ τάξιν ἔχοντες τὴν καταδεᾶ, καὶ συνευλογȣ̃νται τοῖς ἐξειλεγμένοις οἱ μὴ κατ' αὐτȣ̀ς εὐσθενεῖς.

Δ ✻✻ ΤΟΥ ΑΥΤΟΥ. Τὰς μὲν δυωκαίδεκα χιλιάδας τῶν πολεμιστῶν, ἀπὸ τῆς τȣ̃ παντὸς ἡμισείας τῆς ἐκνεμηθείσης αὐτοῖς, προσκομίζειν προσέταχε τῷ ἀρχιερεῖ μίαν κεφαλὴν ἀπὸ πεντακοσίων, ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς κτήνεσι. καὶ τȣ̃το ἦν αὐτοῖς τῷ Κυρίῳ τὸ τέλος. πληθύν γε μὴν τὴν ἑτέραν, μίαν ψυχὴν ἀπὸ πεντήκοντα τῇ ἱερᾷ φυλῇ καταθέσθαι δεῖν ἐδι-

Ε καίωσε Κύριος. ἀνατυπȣ̃ντος δὲ πάλιν ἡμῖν τȣ̃ Ἐλεάζαρ ἐφ' ἑαυτῷ τὸν ἕνα τε καὶ μόνον ἀληθῶς ἀρχιερέα, τȣτέστι Χριστὸν, ἐξαιρέτως καὶ ἀληθῶς καὶ οἱονείπως αὐτῷ κατὰ πρόσωπον ἰδικῶς ἀνακείσεται τῶν ἐξειλεγμένων ἡ δωροφορία. αὐτῷ γὰρ προσάγȣσι, μεσολαβȣ̃ντος ȣ̓δενός. ὃ δὴ καὶ ἔδρων οἱ μακάριοι μαθηταὶ, δρῶσι δὲ ἔτι καὶ νῦν οἱ λαῶν ἡγȣ́μενοι, τȣ̀ς ἐπὶ τῷ θείῳ κηρύγματι πόνȣς ἰδικὸν ἀνάθημα ποιȣ́με-

Ζ νοι τῷ Χριστῷ. ἡ δὲ ἑτέρα τῶν εὐδοκιμȣ́ντων πληθὺς, ποιεῖται μὲν τὰς δωροφορίας εἰς δόξαν Χριστȣ̃, πλὴν διὰ μέσȣ κειμένων ἁγίων, ὡς ἔν γε τῇ ἱερᾷ φυλῇ νοȣμένων.

ΤΟΥ ΑΥΤΟΥ. Οὐκȣ̃ν διὰ μέσȣ τῶν ἁγίων ἡ εἰς Θεὸν αἰδὼς καὶ τὸ σέβας τῶν καρποφορȣ́ντων.

✻✻ ΤΟΥ ΑΥΤΟΥ. Καὶ οἱ μὲν ἀπὸ πεντακοσίων μίαν προσάγȣσι ψυχὴν, οἱ δὲ ἀπὸ πεντήκοντα. ἐν ἐλάττοσι γὰρ ὀφλή-

Η μασι τὸ εὐδοκιμȣ̃ν, διὸ καὶ μείων ἡ προσφορά· ἐν πολλῷ δὲ πλείοσι τὸ ὑποδεὲς, διὸ καὶ

καὶ ἐν ἀριθμῷ πλείονι τὰ προσκομιζόμενα ὑπὲρ αὐτῶν, ἀναλόγως τοῖς ἑκάστου πλαισμασι τὰ ὑπὲρ αὐτῶν προσφέρεται.

λα. Καὶ ἐποίησε Μωϋσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς, καθὰ συνέταξε
λβ. Κύριος τῷ Μωϋσῇ. Καὶ ἐγενήθη τὸ πλεόνασμα τῆς προνομῆς ὃ ἐπρονόμευσαν οἱ ἄνδρες οἱ πολεμισταὶ ἀπὸ τῶν προβάτων, ἑξακόσιαι χιλιάδες καὶ ἑβδομήκοντα χιλιάδες καὶ πεν-
λγ. τακισχίλιοι· Καὶ βοῶν, δύω καὶ ἑβδο-
λδ. μήκοντα χιλιάδες· Καὶ ὄνων, μία καὶ ἑξήκοντα χιλιάδες:

λε. Καὶ ψυχαὶ ἀνθρώπων ἀπὸ τῶν γυναικῶν αἳ οὐκ ἔγνωσαν κοίτην ἀνδρὸς, πᾶσαι ψυχαὶ, δύω καὶ τριάκοντα χιλιάδες.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀνθρώπους νῦν, τὰς γυναῖκας λέγει. οὐδὲν γὰρ ἀρσενικὸν ὑπελείφθη.

λς. Καὶ ἐγενήθη τὸ ἡμίσευμα ἡ μερὶς τῶν ἐκπορευομένων εἰς τὸν πόλεμον ἐκ τοῦ ἀριθμοῦ τῶν προβάτων, τριακόσιαι χιλιάδες (1) καὶ ἑπτάκις
λζ. χίλια καὶ πεντακόσια. (2) Καὶ ἐγενήθη τὸ τέλος Κυρίου ἀπὸ τῶν προβάτων, ἑξακόσιαι ἑβδομήκοντα πέν-
λη. τε. Καὶ βόες, ἓξ καὶ τριάκοντα χιλιάδες, καὶ τὸ τέλος Κυρίῳ, δύω
λθ. καὶ ἑβδομήκοντα. Καὶ ὄνοι, τριάκοντα χιλιάδες καὶ πεντακόσιοι, καὶ τὸ τέλος Κυρίῳ, μία (3) καὶ ἑξήκοντα.
μ. Καὶ ψυχαὶ ἀνθρώπων, ἑκκαίδεκα χιλιάδες, καὶ τὸ τέλος αὐτῶν Κυρίῳ,
μα. δύω καὶ τριάκοντα ψυχαί. Καὶ ἔδωκε Μωϋσῆς τὸ τέλος Κυρίῳ τὸ ἀφαίρεμα τοῦ Θεοῦ Ἐλεάζαρ τῷ ἱερεῖ, καθάπερ συνέταξε Κύριος τῷ Μωϋσῇ.

μβ. Ἀπὸ τοῦ ἡμισεύματος τῶν υἱῶν Ἰσραὴλ, οὓς διεῖλε Μωϋσῆς ἀπὸ τῶν ἀνδρῶν τῶν πολεμιστῶν.

ΑΔΗΛΟΥ. Τελέσιν ἐξ αὐτοῦ τοῦ ἡμισεύματος τῶν ἀνδρῶν τῶν πολεμιστῶν, οὓς διεῖλε Μωϋσῆς ἀπὸ τοῦ λοιποῦ Ἰσραὴλ· ὡς ἂν εἴποι τὶς ἀπὸ τοῦ ἡμισεύματος, ὃ συνέστησε Μωϋσῆς ἐκ τῶν ἀνδρῶν τῶν πολεμιστῶν, διελὼν αὐτοὺς τῶν ἄλλων τῶν μὴ ἐκπορευομένων εἰς τὸν πόλεμον.

μγ. Καὶ ἐγένετο τὸ ἡμίσευμα τὸ τῆς συναγωγῆς ἀπὸ τῶν προβάτων,
A τριακόσιαι χιλιάδες (4) καὶ ἑπτακι-
μδ. χίλια καὶ πεντακόσια· Καὶ βόες,
με. ἓξ καὶ τριάκοντα χιλιάδες· Ὄνοι, τριάκοντα χιλιάδες καὶ πεντακόσιοι·
μς. Καὶ ψυχαὶ ἀνθρώπων, ἓξ καὶ δέκα χιλιάδες:

μζ. Καὶ ἔλαβε Μωϋσῆς ἀπὸ τοῦ ἡμισεύματος τῶν υἱῶν Ἰσραὴλ ἓν ἀπὸ
B τῶν πεντήκοντα, ἀπὸ τῶν ἀνθρώπων, καὶ ἀπὸ τῶν κτηνῶν, καὶ ἔδωκεν αὐτὰ τοῖς Λευΐταις τοῖς φυλάσσουσι τὰς φυλακὰς τῆς σκηνῆς Κυρίου, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσῇ.

ΑΔΗΛΟΥ. Καὶ ἐνταῦθα πάλιν τὸ ἓν ἀπὸ τῶν πεντήκοντα, κατὰ τὸν τύπον, ἐπὶ τῶν ἀνδρῶν τῶν πολεμιστῶν νοητέον. ὥσπερ » γὰρ ἐκεῖ εἶπε, μίαν ψυχὴν ἀπὸ πεντακο-
Γ » σίων, καὶ ἀπὸ ἑκάστης χιλιάδος ἔλαβε μίαν ψυχὴν ἐκ πάσης τῆς προνομῆς, ὡς δηλοῖ σαφῶς ὁ τῆς ψήφου συλλογισμός. οὕτω καὶ » ἐνταῦθα, εἰπὼν ἓνα ἀπὸ τῶν πεντήκοντα, ἐξ ἑκάστης ἑκατοντάδος ἐν βούλεται λαμβάνεσθαι, τῆς πάσης προνομῆς ἅμα σκοπουμένης.

μη. Καὶ προσῆλθον πρὸς Μωϋσῆν πάντες οἱ καθεσταμένοι εἰς τὰς χιλιαρχίας τῆς δυνάμεως, χιλίαρ-
Δ χοι καὶ ἑκατόνταρχοι, καὶ εἶπαν πρὸς
μθ. Μωϋσῆν, Οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν παρ' ἡμῖν, καὶ οὐ διαπεφώνηκεν ἀπ' αὐτῶν οὐδὲ εἷς.

ν. Καὶ προσενηνόχαμεν τὸ δῶρον Κυρίῳ, ἀνὴρ ὃ εὗρε σκεῦος χρυσοῦν καὶ χλιδῶνα καὶ ψέλλιον καὶ δακτύλιον
Ε καὶ περιδέξιον καὶ ἐμπλόκιον, ἐξιλάσασθαι περὶ ἡμῶν ἔναντι Κυρίου.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Χιλίαρχοι δὲ καὶ ἑκατόνταρχοι καὶ ὁ ἄλλος ὅμιλος λοχαγῶν καὶ ταξιαρχῶν, ὑπέρ τε τῆς αὐτῶν σωτηρίας καὶ τῶν στρατευσαμένων, καὶ τῆς παντὸς λόγου κρείττονος νίκης, ἐθελονταὶ κομίζουσιν ἐξαιρέτους ἀπαρχὰς. κόσμον τε χρυσοῦν ὅσον ἕκαστος ἐκ τῆς λείας ἀνεῦρε, καὶ σκεύη πολυτελέστατα, ὧν πά-
Ζ λιν ὕλη χρυσὸς ἦν.

ΚΥΡΙΛΛΟΥ. Ἐθελούσιον ποιοῦνται προσκομιδὴν τὰ ἐν κειμηλίοις ἐξαίρετα, καὶ νικῶσι ταῖς φιλοτιμίαις τοῦ νόμου τὸν ὅρον οἱ τῶν ἀπολέκτων ἡγούμενοι.

να. Καὶ ἔλαβε Μωϋσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς τὸ χρυσίον παρ' αὐτῶν πᾶν σκεῦος εἰργασμένον.

(1) Τριακόσιαι καὶ τριάκοντα χιλιάδες. αἱ εἰρημ. ἐκδόσ. τριακόσιαι χιλιάδες καὶ τριάκοντα χιλιάδες. ἡ τοῦ Ἀλδ. (2) Καὶ ἑπτακόσια. ὁ Ἀλεξάν. κώδ.

(3) Εἷς καὶ ἑξήκοντα. αἱ εἰρημ. ἐκδόσ.

(4) Τριακόσιαι καὶ τριάκοντα. αἱ εἰρημ. ἐκδόσ. τριακόσιαι χιλιάδες καὶ τριάκοντα χιλιάδες. ἡ τοῦ Ἀλδ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τȣ̃ χρυσȣ̃, ἡ μὲν ὕλη κοσμικὴ, ἡ δὲ χρῆσις πνδυματικὴ· καθάπερ καὶ τῶν δώρων, ὑλικὸς μὲν ὁ χρυσὸς, τὸ δὲ ἐν αὐτοῖς εἶδος ἀπὸ τῆς τέχνης ȣ̓χ ὑλικὸν, ἀλλὰ νȣ̃ καρπός.

νβ. Καὶ ἐγένετο πᾶν τὸ χρυσίον τὸ ἀφαίρεμα ὃ ἀφεῖλον Κυρίῳ, ἓξ καὶ δέκα χιλιάδες καὶ ἑπτακόσιοι καὶ πεντήκοντα σίκλοι παρὰ τῶν χιλιάρχων καὶ παρὰ ἑκατοντάρχων.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀπογράφεται τὰ δῶρα. δι᾽ ὧν γὰρ καρποφορȣ̃μεν εἰς ἀρετὴν, διὰ τȣ́των μνημονδυόμεθα παρὰ Θεῷ. ȣ̓δὲ γὰρ ἄλλως τίμιον τὸ φυτὸν, εἰ μὴ διὰ τȣ̃ καρπȣ̃. τοιȣ̃τος ὁ τῶν Ἀποστόλων καρ-
Ῥωμ. 15. 16. πὸς, ὥς πȣ φησίν· ἵνα γένηται ἡ προσφο-
» ρὰ τῶν ἐθνῶν δυπρόσδεκτος, ἡγιασμένη ἐν
» πνδυματι ἁγίῳ.

νγ. Καὶ οἱ ἄνδρες οἱ πολεμισαὶ ἐπρονόμδυσαν ἕκασος ἑαυτῷ.

» ΑΔΗΛΟΥ. Ἐπρονόμδυσαν, ἀντὶ τȣ̃, ἕκασος ὃ ἥρπασεν, ἐκλήσατο, ȣ̓κ ἐκοινοποίησε.

νδ. Καὶ ἔλαβε Μωϋσῆς καὶ Ἐλεάζαρ ὁ ἱερδὺς τὸ χρυσίον παρὰ τῶν χιλιάρχων καὶ παρὰ τῶν ἑκατοντάρ-

A χων, καὶ εἰσήνεγκεν αὐτὰ εἰς τὴν σκηνὴν τȣ̃ μαρτυρίȣ, μνημόσυνον τῶν ὑῶν Ἰσραὴλ ἔναντι Κυρίȣ.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μωσῆς λαβὼν, καὶ τὴν δυσέβειαν τῶν φερόντων ἀγάμενος, ἀνατίθησιν ἐν τῇ καθιερωμένῃ σκηνῇ, τῆς δυχαρισίας τῶν ἀνδρῶν ὑπόμνημα. παγκάλη δὲ ἡ διανομὴ τῶν ἀπαρχῶν. τὰς μὲν τῶν μὴ πεπολεμηκότων, ἡμίσειαν ἀρε-
B τῆς τὴν χωρὶς ἔργων προθυμίαν αὐτὸ μόνον ἐπιδεξαμένων, τοῖς νεωκόροις ἀπένειμε· τὰς δὲ τῶν ἀγωνισαμένων, οἳ σώμασι καὶ ψυχαῖς ἐκινδυνδυσαν, ὁλόκληρον ἀνδραγαθίαν παρασχόμενοι, τῷ προεσηκότι τῶν νεωκόρων ἱερεῖ τῷ μεγάλῳ· τὰς δὲ τῶν ταξιαρχῶν, ἅτε ἡγεμονικὰς, τῷ συμπάντων μεγάλῳ ἡγεμόνι Θεῷ.

✱✱ ΚΥΡΙΛΛΟΥ. Λαβόντες Μωσῆς τε καὶ Ἀαρὼν, εἰσκεκομίκασι μὲν εἰς τὴν ἁγίαν
Γ σκηνὴν, ἀπόθετα δὲ ποιȣ̃ντες, μνημόσυνον ἔναντι Κυρίȣ. οἱ γὰρ τοι λαῶν ἡγέμενοι, καὶ εἰς ἄρχοντας τετάγμενοι, λαμπροῖς καὶ δυπρεπεσέροις ἀναθήμασι τιμῶσι Θεόν· κόσμον ὥσπερ τινὰ προσάγοντες καὶ ἀνατιθέντες Θεῷ τὸ πολυειδὲς ἐν ἀρετῇ, καὶ οἱονεὶ καὶ αὐτὸ τȣ̃ νόμȣ τὸ μέτρον ὑπερθέοντες, δυδοκιμȣ̃σι λαμπρότερον.

ΚΕΦ. ΛΒ.

α. Καὶ κτήνη ἦν πλῆθος τοῖς ὑοῖς Ῥȣβὶμ καὶ τοῖς ὑοῖς Γὰδ, πλῆθος πολὺ σφόδρα. καὶ εἶδον τὴν χώραν Ἰαζὴρ, καὶ τὴν χώραν Γαλαὰδ· καὶ ἦν ὁ τόπος, τόπος κτήνεσι.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὴν αἰτίαν προλέγει, δι᾽ ἣν τῆς ἔξω τȣ̃ Ἰορδάνȣ γῆς ἐπε-
E θύμησαν· ȣ̓χ ὡς ἀπολιπεῖν προῃρημένοι τὰς ἄλλας φυλάς. ὁ δὲ Μωϋσῆς ἀνθρωπίνως αὐτῶν ἠγνόησε τὴν διάνοιαν. ȣ̓ γὰρ πάντα Προφήταις ἀποκαλύπτεται· ἀλλ᾽ ἀγνοȣ̃σιν ἔσθ᾽ ὅτε πρὸς τὸ συμφέρον. ὅθεν αὐτοῖς ἐπετίμησεν ἀρχικῶς, καὶ τῶν περὶ ἀπειθησάντων πρὸς τὸ μὴ εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὑπέμνησεν, οἷα πεπόνθασι. τὸ δὲ ἀκριβὲς μαθὼν, συνε-
Z χώρησεν ἐπὶ συνθήκαις τȣ̃ συμμαχῆσαι τοῖς ἄλλοις. ὃ καὶ δείκνυσιν, ὡς πρὸς τὸ συμφέρον ἠγνόησε.

β. Καὶ προσελθόντες οἱ ὑοὶ Ῥȣβὶμ καὶ οἱ ὑοὶ Γὰδ εἶπον πρὸς Μωϋσῆν καὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα καὶ πρὸς τȣ̀ς ἄρχοντας τῆς συναγωγῆς,
γ. λέγοντες, Ἀταρὼν, καὶ Δαιβὼν, καὶ Ἰαζὴρ, καὶ Ναμβρὰν, καὶ Ἐσεβὼν, καὶ Ἐλεαλὴ, καὶ Σεβαμὰ, καὶ
δ. Ναβαὺ, καὶ Βαιὰν, Τὴν γῆν ἣν παρέδωκε Κύριος ἐνώπιον τῶν ὑῶν Ἰσραὴλ, γῆ κτηνοτρόφος ἐσὶ, καὶ τοῖς παισί σȣ κτήνη ὑπάρχει.

ε. Καὶ ἐλέγοσαν· εἰ εὕρομεν χάριν ἐναντίον σȣ, δοθήτω ἡ γῆ αὕτη τοῖς παισί σȣ ἐν κατασχέσει, καὶ μὴ διαβιβάσῃς ἡμᾶς τὸν Ἰορδάνην.

✱✱ ΚΥΡΙΛΛΟΥ. Κτηνοτροφίας ἕνεκα καὶ ἐπαύλεων καὶ τῆς εἰς γυναῖκάς τε καὶ παῖδας ἀγάπης, ȣ̓δ᾽ ἂν ὅλως παρῆλθον οἱ τοιοίδε τὸν Ἰορδάνην, ἀλλ᾽ ȣ̓δ᾽ ἂν ὅσον ὅλως ἀποθήγειν ὑπέσχοντο πολέμȣ καὶ μάχης, ȣ̓δ᾽ ἂν δυκλείας τοῖς ἄλλοις συμμεταχεῖν ἠθέλησαν, καὶ τῶν ἐπ᾽ ἐλπίσιν ἀγαθῶν· ἄρισον δὲ καὶ πολύδυκτον ἐδόκει τὸ μένειν αὐτȣ̀ς, μηδ᾽ ὅσον εἰπεῖν τοῖς Ἰορδάνȣ νάμασιν ἐνθέντες τὸν πόδα. κατωνειδίζοντος δὲ τȣ̃ Μωσέως καὶ ὀῤῥωδεῖν ἀναπείθοντος ὑποβλέπεσθαι τε τὴν θείαν ὀργὴν, ὑπισχνȣ̃νται μόλις συμπαρελδύσεσθαι μὲν τοῖς ἄλλοις τὸν Ἰορδάνην, καὶ συμμεταχεῖν ἱδρώτων αὐτοῖς τῶν ἐν πολέμῳ καὶ μάχαις· ȣ̓ μὴν ὅτι καὶ συμμεριȣ̃νταί φασι διὰ τὸ ἀπέχειν ἢ ἀποχεῖν τὸν κλῆρον ἐν τῷ πέραν τȣ̃ Ἰορδάνȣ. τοιȣ̃τοί τινες τὸν τρόπον εἰσὶν οἱ ταῖς τȣ̃ παρόντος βίȣ με-
H ρίμναις κατεσφιγμένοι, καὶ ὅλην μὲν ὥσπερ ἀπονέμοντες τὴν καρδίαν τῷ φρονεῖν ἐλέσθαι τὰ ἐπὶ τῆς γῆς· ὀλίγα δὲ μόλις τῶν ἀναγκαίων φροντίζοντες, καὶ ȣ̓κ ἐν σπȣδῇ
» ποιȣ́μενοι τὰ Θεȣ̃. πολλοὶ γάρ φησι κλη- Ματθ. 20. 16.
τοί,

• τοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. οἱ τοίνυν τελοῦντες μὲν ἐν τοῖς κεκλημένοις διά γε τὴν πίστιν, οὐ μὴν ἔτι τοῖς ἐξειλεγμένοις ἐναρίθμιοι, διὰ τὸ ἀνεῖσθαι πρὸς τὸ ἡδὺ, βραδεῖς ἔσθ' ὅτε καὶ ὀκνηροὶ λίαν εἰσὶ καὶ περὶ αὐτὴν τάχα που τὴν τοῦ ἁγίου βαπτίσματος χάριν· καταπεφρίκασι δὲ τὸ ὑπὲρ εὐκλείας Θεοῦ καὶ ὠφελείας τῆς σφῶν αὐτῶν τοὺς ἁγίοις πρέποντας ἀνατλῆναι πόνους, καὶ συνδιώκεσθαι τοῖς γνησίοις, εἰ καὶ πρὸς τοῦτο ἄγοι καιρός. κατονειδίζοντος δὲ αὐτοὺς νόμου τοῦ θείου, καὶ καταπλούσης ἔσθ' ὅτε τῆς θείας ὀργῆς, ἴενται μὲν ὀκνηρῶς ἐπὶ τὸ θεῖον βάπτισμα, καὶ συμμετέχουσι πόνων τοῖς ἐξειλεγμένοις, ἢ μετριώτερον συνησθοῦντες, ἢ καὶ συζητοῦντες ἔσθ' ὅτε τῶν πολεμουμένων ἐκκλησιῶν, οὐ μὴν ἔτι καὶ καταφρονεῖν τῶν ἐν κόσμῳ πειθόμενοι, ἀλλ' ὥσπερ ἴδιον καὶ ἐκνεμηθέντα αὐτοῖς ὑπονοσοῦντες κλῆρον τὰς ἐπὶ τοῖς ἐπιγείοις ἡδονάς τε καὶ τέρψεις.

** ΤΟΥ ΑΥΤΟΥ. Οἱ κτηνοτροφίας ἕνεκα παίδων τε καὶ γυναικῶν ἐπαύλεών τε καὶ οἰκοδομημάτων τὸν ἐπὶ τοῖς ἀρίστοις ὄκνον εἰσδεδεγμένοι, Ῥουβείμ ἐστι καὶ Γάδ. καὶ τί δὴ τοῦτό ἐστιν; Ὁ μὲν γὰρ ἦν πρωτότοκος ἐξ Ἰακὼβ, ὁ δὲ θεραπαίνης ἐξέφυ τῆς Ζελφᾶς. ἐκεῖνοι πρωτότοκοι μὲν διὰ τὴν πίστιν οἱ κεκλημένοι, καὶ κλῆρον λαχόντες παρὰ Θεῷ τὸν ἐξαίρετον, ὅσον ἧκεν εἰς τὴν χάριν· οὐ φιλελεύθεροι δὲ, διά γε τὴν εἰς τὰ αἴσχιω ῥοπήν. ἐκκλησίαν δὲ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς, τοὺς ἐν πίστει δεδικαιωμένους διακεκλῆσθαί φαμεν· ἀλλ' οὐ φιλελεύθερος ὁ πρωτότοκος, κοινωνὸς δὲ μᾶλλον καὶ συνεραστὴς τοῖς τὸ τῆς δουλείας αἶσχος οὐ πεφευγόσι.

ϛ. Καὶ εἶπε Μωϋσῆς τοῖς υἱοῖς Γὰδ
καὶ τοῖς υἱοῖς Ῥουβὶμ, οἱ ἀδελφοὶ ὑμῶν
πορεύσονται εἰς τὸν πόλεμον, καὶ ὑμεῖς
ζ. καθίσεσθε αὐτοῦ; Καὶ ἵνα τί διαστρέ-
φετε τὰς καρδίας τῶν υἱῶν Ἰσραὴλ
μὴ διαβῆναι εἰς τὴν γῆν, ἣν ἔδωκε
η. Κύριος αὐτοῖς; Οὐχ οὕτως ἐποίησαν
οἱ πατέρες ὑμῶν, ὅτε ἀπέστειλαν (1)
αὐτοὺς ἐκ Κάδδης Βαρνῆ κατανοῆσαι
θ. τὴν γῆν· Καὶ ἀνέβησαν Φάραγγα
βότρυος, καὶ κατενόησαν τὴν γῆν,
καὶ ἀπέστησαν τὴν καρδίαν τῶν υἱῶν
Ἰσραὴλ ὅπως μὴ εἰσέλθωσιν εἰς τὴν
ι. γῆν, ἣν ἔδωκε Κύριος αὐτοῖς; Καὶ
ὠργίσθη θυμῷ Κύριος ἐν τῇ ἡμέρᾳ
ια. ἐκείνῃ, καὶ ὤμοσε, λέγων, Εἰ ὄψον-
ται οἱ ἄνθρωποι οὗτοι οἱ ἀναβάντες
ἐξ Αἰγύπτου ἀπὸ εἰκοσαετοῦς καὶ ἐπά-
νω, οἱ ἐπιστάμενοι τὸ ἀγαθὸν καὶ τὸ
κακὸν, τὴν γῆν ἣν ὤμοσα τῷ Ἀ-

(1) Ἀπέστειλα. αἱ εἰρημ. ἐκδόσ.

A βραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, οὐ γὰρ
συνεπηκολούθησαν ὀπίσω μου,
ιβ. Πλὴν Χάλεβ υἱὸς Ἰεφωνὴ ὁ
διακεχωρισμένος, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ,
ὅτι συνεπηκολούθησαν ὀπίσω Κυρίου.

» ΑΔΗΛΟΥ. Ὁ διακεχωρισμένος. τὸ Σαμαρειτικὸν ὁ Κενεζαῖος, ἤτοι ὁ ἀποχωρήσας ἑαυτὸν ἀπὸ τῆς βουλῆς τοῦ Ἰσραὴλ, B λέγοντος, (2) οὐ πορευσόμεθα εἰς τὴν γῆν τῆς ἐπαγγελίας.

ιγ. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ
τὸν Ἰσραήλ· καὶ κατερόμβευσεν αὐ-
τοὺς ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη,
ἕως ἂν ἐξαναλώθη πᾶσα ἡ γενεὰ, οἱ
ποιοῦντες τὰ πονηρὰ ἔναντι Κυρίου.
ιδ. Ἰδοὺ ἀνέστητε ἀντὶ τῶν πατέρων ὑμῶν,
σύστρεμμα ἀνθρώπων ἁμαρτωλῶν,
Γ προσθεῖναι ἔτι ἐπὶ τὸν θυμὸν τῆς ὀρ-
γῆς Κυρίου ἐπὶ Ἰσραήλ.

ιε. Ὅτι ἀποστραφήσεσθε ἀπ' αὐ-
τοῦ προσθεῖναι ἔτι καταλιπεῖν αὐτὸν
ἐν τῇ ἐρήμῳ. καὶ ἀνομήσετε εἰς ὅλην
τὴν συναγωγὴν ταύτην.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀπέλθετε, ἀναχωρήσατε ἀπὸ τοῦ λαοῦ· ἵνα μὴ πάλιν ὀργι- Δ σθῇ Κύριος, καὶ κατάσχῃ ἡμᾶς ἔτι ἐν τῇ ἐρήμῳ.

ΑΔΗΛΟΥ. Δίκαια μὲν οὖν τὰ ἐγκαλούμενα πρὸς τὴν ὑπόνοιαν· οὐκ ἀληθὴς δὲ ἡ ὑπόνοια, ὅτι μὴ πάντα τοῖς Προφήταις κατάδηλα. οὐδὲ γὰρ ἅπαντα γινώσκειν συμφέρει.

ιϛ. Καὶ προσῆλθον αὐτῷ, καὶ ἔλε-
γον, ἐπαύλεις προβάτων οἰκοδομή-
E σομεν ὧδε τοῖς κτήνεσιν ἡμῶν, καὶ πό-
λεις ταῖς ἀποσκευαῖς ἡμῶν.

ΑΔΗΛΟΥ. Ἀπολογοῦνται γὰρ πρὸς τὴν ὑπόνοιαν, καὶ σιγᾷ Μωϋσῆς διδαχθεὶς τὸ νόημα.

ιζ. Καὶ ἡμεῖς ἐνοπλισάμενοι προ-
φυλακὴν πρότεροι τῶν υἱῶν Ἰσραὴλ,
ἕως ἂν ἀγάγωμεν αὐτοὺς εἰς τὸν ἑαυ-
τῶν τόπον. καὶ κατοικήσει ἡ ἀποσκευὴ
Z ἡμῶν ἐν πόλεσι τετειχισμέναις διὰ
ιη. τοὺς κατοικοῦντας τὴν γῆν. Οὐ μὴ
ἀποστραφῶμεν εἰς τὰς οἰκίας ἡμῶν
ἕως ἂν καταμερισθῶσιν οἱ υἱοὶ Ἰσ-
ραὴλ, ἕκαστος εἰς τὴν κληρονομίαν
ιθ. αὐτοῦ. Καὶ οὐκ ἔτι κληρονομήσομεν
ἐν αὐτοῖς ἀπὸ τοῦ πέραν τοῦ Ἰορδάνου
καὶ ἐπέκεινα, ὅτι ἀπέχομεν τοὺς κλή-
H ρους ἡμῶν ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν
κ. ἀνατολαῖς. Καὶ εἶπε πρὸς αὐτοὺς
Vv vv 3 Μωϋ-

(2) Λέγοντες. ὁ Ἀλεξάν. κώδ.

Μωϋσῆς, ἐὰν ποιήσητε κατὰ τὸ ῥῆμα
τοῦτο, ἐὰν ἐξοπλίσησθε ἔναντι Κυρίου
κα. εἰς πόλεμον, Καὶ παρελεύσεται ὑμῶν
πᾶς ὁπλίτης τὸν Ἰορδάνην ἔναντι Κυ-
ρίου, ἕως ἂν ἐκτριβῇ ὁ ἐχθρὸς αὐτοῦ
ἀπὸ προσώπου αὐτοῦ,

κβ. Καὶ κατακυριευθῇ ἡ γῆ ἔναν-
τι Κυρίου, καὶ μετὰ ταῦτα ἀποστρα-
φήσεσθε, καὶ ἔσεσθε ἀθῶοι ἔναντι Κυ-
ρίου, καὶ ἀπὸ Ἰσραήλ· καὶ ἔσται ἡ γῆ
αὕτη ὑμῖν ἐν κατασχέσει ἔναντι Κυρίου.
κγ. Ἐὰν δὲ μὴ ποιήσητε οὕτως, ἁμαρτή-
σεσθε ἔναντι Κυρίου· καὶ γνώσεσθε τὴν
ἁμαρτίαν ὑμῶν, ὅταν ὑμᾶς κατα-
λάβῃ τὰ κακά.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Πάντα γὰρ εἰς Θεὸν
ἀναρτᾷ, τήν τε ἀπόστασιν, ἁμαρτίαν λέ-
» γων, ἐναντι Κυρίου, καὶ τὴν δοθησομένην
» κατάσχεσιν, ἐναντι Κυρίου.

κδ. Καὶ οἰκοδομήσετε ὑμῖν ἑαυ-
τοῖς πόλεις τῇ ἀποσκευῇ ὑμῶν, καὶ
ἐπαύλεις τοῖς κτήνεσιν ὑμῶν· καὶ τὸ
ἐκπορευόμενον ἐκ τοῦ στόματος ὑμῶν
ποιήσετε.

κε. Καὶ εἶπαν οἱ υἱοὶ Ῥουβὶμ καὶ
οἱ υἱοὶ Γὰδ πρὸς Μωϋσῆν, λέγοντες,
οἱ παῖδές σου ποιήσουσι καθὸ ὁ κύριος
ἡμῶν ἐντέταλται.

ΑΔΗΛΟΥ. Ἔμφρων καὶ ἡ τούτων ἀπό-
κρισις. διὰ τοῦτο καὶ Μωσῆς δίδωσι τὸ βού-
λημα χρηστὰ ἐπαγγελλομένοις.

κς. Ἡ ἀποσκευὴ ἡμῶν, καὶ αἱ γυ-
ναῖκες ἡμῶν, καὶ πάντα τὰ κτήνη ἡμῶν
κζ. ἔσονται ἐν ταῖς πόλεσι Γαλαάδ. Οἱ
δὲ παῖδές σου παρελεύσονται πάντες
ἐνωπλισμένοι καὶ ἐντεταγμένοι ἔναντι
Κυρίου εἰς τὸν πόλεμον, ὃν τρόπον ὁ
Κύριος λέγει.

κη. Καὶ συνέστησεν αὐτοῖς Μωϋ-
σῆς Ἐλεάζαρ τὸν ἱερέα, καὶ Ἰησοῦν
τὸν υἱὸν Ναυῆ, καὶ τοὺς ἄρχοντας πα-
τριῶν υἱῶν Ἰσραήλ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τῷ Ἰησοῦ καὶ τῷ ἀρ-
χιερεῖ περὶ αὐτῶν ἐνετείλατο, ὡς ἄρχων
ἀγαθὸς, καὶ μὴ τοῦ χρόνου μόνου τοῦ καθ'
ἑαυτὸν προνοούμενος.

A ΑΔΗΛΟΥ. Τοῦτο ἄρχοντος ἀγαθοῦ, μὴ
τὴν ἐν τῷ ἄρχειν δόξαν, ἀλλὰ τὴν ἐν τῷ
κατὰ σώματι μνήμην (1) ἐπιζητεῖν.

κθ. Καὶ εἶπε πρὸς αὐτοὺς Μωϋ-
σῆς, ἐὰν διαβῶσιν οἱ υἱοὶ Ῥουβὶμ καὶ
οἱ υἱοὶ Γὰδ μεθ' ὑμῶν τὸν Ἰορδάνην,
πᾶς ἐνωπλισμένος εἰς πόλεμον ἔναν-
τι Κυρίου, καὶ κατακυριεύσητε τῆς
B γῆς ἀπέναντι ὑμῶν, καὶ δώσετε αὐ-
τοῖς τὴν γῆν Γαλαὰδ ἐν κατασχέσει.
λ. Ἐὰν δὲ μὴ διαβῶσιν ἐνωπλισμένοι
μεθ' ὑμῶν εἰς πόλεμον ἔναντι Κυρίου,
καὶ διαβιβάσετε τὴν ἀποσκευὴν αὐ-
τῶν, καὶ τὰς γυναῖκας αὐτῶν, καὶ τὰ
κτήνη αὐτῶν πρότερα ὑμῶν εἰς γῆν
Χαναὰν, καὶ συγκατακληρονομηθή-
λα. σονται ἐν ὑμῖν ἐν γῇ Χαναάν. Καὶ
Γ ἀπεκρίθησαν οἱ υἱοὶ Ῥουβὶμ καὶ οἱ υἱοὶ
Γὰδ, λέγοντες, ὅσα ὁ κύριος λέγει
τοῖς θεράπουσιν αὐτοῦ, οὕτω ποιήσο-
λβ. μεν ἡμεῖς. Διαβησόμεθα ἐνωπλισ-
μένοι ἔναντι Κυρίου εἰς γῆν Χαναὰν,
καὶ δώσετε τὴν κατάσχεσιν ἡμῖν ἐν
τῷ πέραν τοῦ Ἰορδάνου.

λγ. Καὶ ἔδωκεν αὐτοῖς Μωϋσῆς
Δ τοῖς υἱοῖς Ῥουβὶμ, καὶ τοῖς υἱοῖς Γὰδ,
καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ υἱῶν Ἰω-
σὴφ, τὴν βασιλείαν Σιὼν βασιλέως
Ἀμοῤῥαίων, καὶ τὴν βασιλείαν Ὢγ
βασιλέως τῆς Βασὰν, τὴν γῆν καὶ
τὰς πόλεις σὺν τοῖς ὁρίοις αὐτῆς,
πόλεις τῆς γῆς κύκλῳ.

ΑΔΗΛΟΥ. Νῦν ἐμνήσθη τοῦ ἡμίσεως
τῆς φυλῆς Μανασσῆ, ἐν τοῖς προειρημέ-
E νοις οὐ μνημονεύσας· ἐν δὲ τῷ Σαμαρει-
τικῷ μνημονεύεται.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὡς εἰκὸς τούτους εἶ-
ναι τοὺς ἐξ ἀρχῆς διαλεχθέντας περὶ τῶν
πραγμάτων· ἐν δὲ τῇ κληροδοσίᾳ καὶ οὗτοι
προσεληλύθασι. καὶ διὰ τοῦτο ἐπὶ τῇ δόσει,
καὶ οὐ πρότερον συγκατηρίθμηνται. (2)

λδ. Καὶ ᾠκοδόμησαν οἱ υἱοὶ Γὰδ
τὴν Δαιβὼθ, καὶ τὴν Ταρὼθ, (3)
λε. καὶ τὴν Ἀροὴρ, Καὶ τὴν Σοφὰν, καὶ
λς. τὴν Ἰαζὴρ, καὶ ὕψωσαν αὐτὰς, Καὶ
τὴν Ἄμβραμ (4) καὶ τὴν Βαιθαρὰν,
πόλεις ὀχυρὰς, καὶ ἐπαύλεις προβά-
των.

(1) Τό, κατὰ σώματι μνήμην, ψυχρὸν, ἄηθες, καὶ ἀσύντακτον. μήτι γε δὲ ἀναγνωστ. κατὰ σῶμά τι, ἀντὶ τοῦ κατά τι πρᾶγμα. ὡσανεὶ λέγοι, τὸν ἄρχοντα τὴν ἐπὶ πράγματι τινὶ μνήμην ἐπιζητεῖν δεῖ.

(2) Τὰ αὐτὰ καὶ ὁ Προκόπιος (ἐν τῷ τῆς Αὐγ. κώδ.) οὕτω· Καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ. τούτων νῦν ἐμνήσθη, μὴ προδηλώσας. ἐν δὲ τῷ Σαμαρειτικῷ κεῖται κἂν τοῖς προειρημένοις. τινὲς δέ φασι, Ῥουβὶμ καὶ Γὰδ εἰκὸς εἶναι τοὺς διαλεχθέντας περὶ τοῦ πράγματος ἐξ ἀρχῆς· ἐν δὲ τῇ κληροδοσίᾳ καὶ τὸ ἥμισυ τῆς φυλῆς Μανασσῆ προσελήλυθε. διὸ ἐπὶ τῇ δόσει, καὶ οὐ πρότερον συγκατηριθμήθη τὸ ἥμισυ τῆς φυλῆς Μανασσῆ.

(3) Ἀταρώθ. αἱ εἰρημ. ἐκδόσ. Ἀσταρώθ, ἡ τοῦ Ἀλδ.

(4) Ναμράμ. αἱ εἰρημ. ἐκδόσ. Ἀμράν. ἡ τοῦ Ἀλδ. Βηθναμράμ. ἡ ἐν Κομπλουτ.

λζ. των. Καὶ οἱ υἱοὶ Ῥουβὶμ ᾠκοδόμησαν τὴν Ἐσεβὼν, καὶ Ἐλεαλὴ, καὶ Κα-
λη. ριαθαὶμ, Καὶ τὴν Ναβὼ, καὶ τὴν Βεελμεὼν, περικεκαλυμμένας, (1) καὶ τὴν Σεβαμά· καὶ ἐπωνόμασαν κατὰ τὰ ὀνόματα αὐτῶν τὰ ὀνόματα τῶν πόλεων, ἃς ᾠκοδόμησαν.

** ΠΡΟΚΟΠΙΟΥ. Τὰς οἰκοδομηθείσας πόλεις ἐπὶ τούτοις ἀπαριθμεῖ. ἀλλάττεται γὰρ γένος οἰκητόρων εὐσεβῶν, ἀντὶ
Ψαλ. 4. 8. „ τῶν ἀσεβῶν. ὥστε κατὰ μόνας ἐν εἰρήνῃ
Σοφ. 3. 3. „ τοὺς δικαίους οἰκεῖν κατὰ Δαβὶδ καὶ τὸν Σολομῶντα. ἐπὶ δὲ τέλους καὶ ὁ τῆς κακίας ἀρχηγὸς διάβολος ἐκβάλλεται, λύεταί τε ἡ τοῦ κακοῦ πρὸς τὸ ἀγαθὸν ἀντίστασις, ἣν ἄλυτον εἶναι φαντάζονται Ἕλληνες οἱ μάτην φιλοσοφοῦντες.

λθ. Καὶ ἐπορεύθη υἱὸς Μαχὲρ υἱοῦ Μανασσῆ εἰς Γαλαὰδ, καὶ ἔλαβεν
A αὐτὴν, καὶ ἀπώλεσε τὸν Ἀμοῤῥαῖον τὸν κατοικοῦντα ἐν αὐτῇ.

„ ΑΔΗΛΟΥ. Ἀπώλεσε τὸν Ἀμοῤῥαῖον. Ἐπὶ πάσης δεῖν (2) γενέσθαι τῆς γῆς. τῆς γὰρ κακίας ἐξαιρουμένης, οἱ ἀνίατοι συνεξαιροῦνται.

μ. Καὶ ἔδωκε Μωϋσῆς τὴν Γαλαὰδ τῷ Μαχεὶρ υἱῷ Μανασσῆ, καὶ κατῴκησεν ἐκεῖ.

B
„ ** ΠΡΟΚΟΠΙΟΥ. Τῷ Μαχεὶρ υἱῷ Μανασσῆ, τουτέστι τῷ ἐκ τοῦ Μαχείρ.

μα. Καὶ Ἰαῒρ ὁ τοῦ Μανασσῆ ἐπορεύθη, καὶ ἔλαβε τὰς ἐπαύλεις αὐτῶν, καὶ ἐπωνόμασεν αὐτὰς, ἐπαύ-
μβ. λεις Ἰαΐρ. Καὶ Ναβαῦ ἐπορεύθη, καὶ ἔλαβε τὴν Κανααθ (3) καὶ τὰς κώμας αὐτῆς, καὶ ἐπωνόμασεν αὐτὰς
Γ. Ναβὼθ ἐκ τοῦ ὀνόματος αὐτοῦ.

ΚΕΦ. ΛΓ.

α. Καὶ οὗτοι οἱ σταθμοὶ τῶν υἱῶν Ἰσραὴλ, ὡς ἐξῆλθον ἐκ γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών.

β. Καὶ ἔγραψε Μωϋσῆς τὰς ἀπάρσεις αὐτῶν, καὶ τοὺς σταθμοὺς αὐτῶν, διὰ ῥήματος Κυρίου. καὶ οὗτοι οἱ σταθμοὶ τῆς πορείας αὐτῶν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τοὺς σταθμοὺς ἀναγράπτους ὁ νομοθέτης πεποίηκεν; Ὥστε τοὺς εἰς ὕστερον ἐσομένους γνῶναι τὴν τοῦ Θεοῦ κηδεμονίαν. δι' ἀβάτων γὰρ αὐτοὺς καὶ ἀνύδρων ὁδηγήσας χωρίων, ἀφθόνως αὐτοῖς τὴν τῶν ἀναγκαίων χρείαν ἐχορήγησεν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Πάρεργον οὐδὲν, οὐδὲ ἀμνημόνευτον τῶν κατὰ Θεὸν οἰκονομουμένων, οὔτε Θεὸς βούλεται εἶναι, οὔτε οἱ ἅγιοι ποιοῦσιν.

γ. Ἀπῆραν ἐκ Ῥαμεσσῆ τῷ μηνὶ τῷ πρώτῳ δεκάτῃ πέμπτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου. τῇ ἐπαύριον τοῦ πάσχα ἐξῆλθον οἱ υἱοὶ Ἰσραὴλ ἐν χειρὶ ὑψηλῇ ἐναντίον πάντων τῶν Αἰγυπτίων.

„ ΑΔΗΛΟΥ. Ἀπῆραν, οὐκ ἐπικρυπτόμενοι τὴν ἔξοδον, οὐδὲ οἷον ἀποδιδράσκοντες. νικητῶν γὰρ ἐξουσία. ἡ δὲ τῶν ἁγίων νίκη περιφανής.

* ΠΡΟΚΟΠΙΟΥ. Μῆνας δὲ καὶ ἡμέρας ἀναγράφουσιν οἱ Προφῆται, ἡνίκα τῶν προφητειῶν (4) ἤκουον παρὰ τοῦ Θεοῦ. εἰ γὰρ μὴ τοὺς λόγους ἐπίστασθαι ῥᾴδιον τῶν οἰκονομουμένων (5) πραγμάτων· ἀλλ' ὅμως ὅπως γε οἰκονομεῖται καὶ γινώσκειν καὶ μεμνῆσθαι δεῖ.

Δ„ ** ΤΟΥ ΑΥΤΟΥ. Τὸ, ἔναντι πάντων
„ τῶν Αἰγυπτίων, ὅτι μὴ δραπετεύοντες. ἐξεπέμποντο γὰρ, οὐ κατείχοντο, διὰ τὴν χεῖρα τὴν ὑψηλήν. οὕτω καὶ ὁ Κύριος, εἰ καὶ ὑποχωρήσεις ἐποιεῖτο, τύπον ἐπιεικείας διδοὺς, ἀλλ' ἐμφανεῖς τὰς δυνάμεις ἐποίει, δεικνὺς τὸ κατὰ τὴν ἀναχώρησιν ἄφοβον· ὥσπερ τὸν Λάζαρον ἐπὶ πλήθους ἀνίστη μετὰ τὴν ὑποχώρησιν.

E δ. Καὶ οἱ Αἰγύπτιοι ἔθαπτον ἐξ αὐτῶν τοὺς τεθνηκότας πάντας, οὓς ἐπάταξε Κύριος, πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, καὶ ἐν τοῖς θεοῖς αὐτῶν ἐποίησε τὴν ἐκδίκησιν Κύριος.

„ ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ οἱ Αἰγύπτιοι
„ ἔθαπτον τοὺς τεθνηκότας αὐτῶν. Παροῦσα γὰρ ἡ πληγὴ, τὴν τόλμαν ἐκώλυσε, καὶ ἀσμενίζειν ἐποίει τὴν ἔξοδον, μὴ καὶ πάν-
Z τες ἀπόλοιντο. οὕτως ἡ νίκη τῶν ἁγίων ἐμφανὴς, ἐπειδὰν τὰ τῶν γυμνασίων ἱκα-
„ νῶς οἰκονομηθῇ. Θεὸς ἐκδικήσεων, φησὶ, Ψαλ. 93. 1.
„ Κύριος ἐπαῤῥησιάσατο. Θεὸς οὐν ἀποκρύπτεται πρὸς τὴν τῶν ἰδίων ὠφέλειαν. ὡς Ψαλ. 30. 19.
„ πολὺ γὰρ τὸ πλῆθος τῆς χρηστότητός σου
„ Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τὰ δὲ πρωτότοκα τῶν θρεμμάτων, ἅπερ ἔσεβον ὡς θεοὺς Αἰγύ-

(1) Περικεκυκλωμένας. αἱ εἰρημ. ἐκδόσ. περικυκλωμένας. ἡ ἐν Κομπλουτ.
(2) Δεῖ, ἴσ. ὀρθότερ.
(3) Τὴν Καάθ. αἱ εἰρημ. ἐκδόσ. τὴν Κανάθ. ἡ τοῦ Ἀλδ.
(4) Τῶν ἐκ Θεοῦ λεγομένων αὐτοῖς. εἰ γὰρ, κτ. ὁ τῆς Αὐγ. κώδ.
(5) Καθ' οὓς οἰκονομεῖ Θεὸς ἕκαστον τῶν πραγ. ὁ αὐτ.

Αἰγύπτιοι, ἐπὶ τῶν ἄλλων πρωτοτόκων ἐφθείρετο, πρὸς δήλωσιν τῆς τῶν εἰδώλων μελλούσης καθαιρέσεως.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ὅτι οὐ μόνον τοὺς Αἰγυπτίους, ἀλλὰ καὶ τὰ σεβάσματα αὐτῶν ἀπέκτεινεν, ἤτοι τὰ παρ' αὐτῶν σεβόμενα κλινῶ.

ΤΟΥ ΑΥΤΟΥ. Ἐν γὰρ τῇ κατὰ τῶν ἀσεβῶν νίκῃ ἐξολοθρευθήσονται πάντες οἱ Θεοὶ τῶν ἐθνῶν. (1).

ΑΔΗΛΟΥ. Ἐπειδὴ ἔσεβον οἱ Αἰγύπτιοι τὸν βοῦν, καὶ ἄλλα τινὰ ζῶα, καὶ τὸν τράγον τινὲς αὐτῶν· ὁμοίως δὲ καὶ τὰ ἔνυδρα, λάτον· καὶ ἀλαμήτην, τοῦτό φησιν ὁ λόγος· ὅτι οὐ μόνον τοὺς Αἰγυπτίους, ἀλλὰ καὶ τὰ σεβάσματα αὐτῶν. (2)

ε. Ἀπάραντες δὲ οἱ υἱοὶ Ἰσραὴλ
ἐκ Ραμεσσῆ, παρενέβαλον εἰς Ὀκ-
χώθ. (3)

ΑΔΗΛΟΥ. Καὶ μὴν ἄνω ἐν τῷ λέ καὶ λς' κεφαλαίῳ (4) μετὰ τὴν πληγὴν τῶν ὄφεων, μεθ' ὃ (5) ἦλθον ἐπὶ τὸ φρέαρ καὶ ἔπιον, καὶ ἑτέρων τόπων ὀνόματα καταλέγει. καὶ λέγομεν, ὅτι ἐνταῦθα μόνων τῶν τόπων μέμνηται, ἐν οἷς παρενέβαλον, καὶ ἐξ ὧν ἐποιοῦντο τὰς ἐπάρσεις· ἐκεῖ δὲ καὶ τούτων, καὶ οὓς διὰ τῆς πορείας παρήμειβον. (6)

ς. Καὶ ἀπῆραν ἐξ Ὀκχὼθ, καὶ
παρενέβαλον εἰς Βουθὰν, ὅ ἐστι μέρος
τι τῆς ἐρήμου.

ζ. Καὶ ἀπῆραν ἐκ Βουθὰν, καὶ πα-
ρενέβαλον ἐπὶ στόμα Εἰρὼθ, ὅ ἐστιν
ἀπέναντι Βεελσεπφὼν, καὶ παρενέ-
η. βαλον ἀπέναντι Μαγδόλ. Καὶ ἀπῆ-
ραν ἀπέναντι Εἰρὼθ, καὶ διέβησαν
μέσον τῆς θαλάσσης εἰς τὴν ἔρημον·
καὶ ἐπορεύθησαν ὁδὸν τριῶν ἡμερῶν
διὰ τῆς ἐρήμου αὐτοὶ, καὶ παρενέβα-
λον ἐν Πικρίαις.

ΑΔΗΛΟΥ. Τινὰ τῶν ἀντιγράφων οὕτως ἔχει· καὶ ἀπῆραν ἀπὸ στόματος ἐπὶ (7) Εἰρὼθ, καὶ παρενέβαλον ἀπέναντι Μαγδώλ. (8) καὶ ἀπῆραν ἐκ Μαγδὼλ, καὶ διέβησαν μέσον τῆς θαλάσσης.

θ. Καὶ ἀπῆραν ἐκ Πικριῶν, καὶ
ἦλθον εἰς Αἰλείμ. καὶ ἐν Αἰλεὶμ δώ-
δεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκον-
τα στελέχη φοινίκων, καὶ παρενέβα-
ι. λον ἐκεῖ παρὰ τὸ ὕδωρ. Καὶ ἀπῆ-
Α ραν ἐξ Αἰλεὶμ, καὶ παρενέβαλον εἰς
ια. θάλασσαν ἐρυθράν. Καὶ ἀπῆραν
ἀπὸ θαλάσσης ἐρυθρᾶς, καὶ παρε-
ιβ. νέβαλον ἐν τῇ ἐρήμῳ Σίν. Καὶ ἀπῆ-
ραν ἐκ τῆς ἐρήμου Σὶν, καὶ παρενέβα-
ιγ. λον εἰς Ραφακά. Καὶ ἀπῆραν ἐκ
Ραφακὰ, καὶ παρενέβαλον ἐν Αἰ-
ιδ. λοῦς. Καὶ ἀπῆραν ἐξ Αἰλοῦς, καὶ
Β παρενέβαλον ἐν Ραφιδίν· καὶ οὐκ ἦν
ιε. ἐκεῖ ὕδωρ τῷ λαῷ πιεῖν. Καὶ ἀπῆ-
ραν ἐκ Ραφιδὶν, καὶ παρενέβαλον ἐν
ις. τῇ ἐρήμῳ Σινᾶ. Καὶ ἀπῆραν ἐκ τῆς
ἐρήμου Σινᾶ, καὶ παρενέβαλον ἐν μνή-
ιζ. μασι τῆς ἐπιθυμίας. Καὶ ἀπῆραν
ἐκ μνημάτων τῆς ἐπιθυμίας, καὶ πα-
ιη. ρενέβαλον ἐν Ἀσηρώθ. Καὶ ἀπῆ-
Γ ραν ἐξ Ἀσηρὼθ, καὶ παρενέβαλον
ιθ. ἐν Ραθαμᾶ. Καὶ ἀπῆραν ἐκ Ρα-
θαμᾶ, καὶ παρενέβαλον ἐν Ρεμμὼν
κ. Φαρές. Καὶ ἀπῆραν ἐκ Ρεμμὼν Φα-
ρὲς, καὶ παρενέβαλον ἐν Λεβόνα. (9)
κα. Καὶ ἀπῆραν ἐκ Λεβόνα, καὶ παρενέ-
κβ. βαλον εἰς Ρεσσά. Καὶ ἀπῆραν ἐκ
Ρεσσὰ, καὶ παρενέβαλον εἰς Μακελ-
κγ. λάθ. Καὶ ἀπῆραν ἐκ Μακελλὰθ,
κδ. καὶ παρενέβαλον εἰς Ἀρσαφάρθ. Καὶ
ἀπῆραν ἐξ Ἀρσαφὰρθ, καὶ παρενέ-
κε. βαλον εἰς Χαραδάθ. Καὶ ἀπῆραν
ἐκ Χαραδὰθ, καὶ παρενέβαλον εἰς
κς. Μακηλώθ. Καὶ ἀπῆραν ἐκ Μακη-
λὼθ, καὶ παρενέβαλον εἰς Καταάθ.
κζ. Καὶ ἀπῆραν ἐκ Καταὰθ, καὶ παρε-
κη. νέβαλον εἰς Θαράθ. Καὶ ἀπῆραν
ἐκ Θαρὰθ, καὶ παρενέβαλον εἰς Μα-
κθ. θεκκάθ. Καὶ ἀπῆραν ἐκ Μαθεκ-
κὰθ, καὶ παρενέβαλον εἰς Ἀλσε-
λ. μῶνα. Καὶ ἀπῆραν ἐξ Ἀλσεμῶνα,
λα. καὶ παρενέβαλον εἰς Μασουρούθ. Καὶ
ἀπῆραν ἐκ Μασουροὺθ, καὶ παρενέ-
λβ. βαλον εἰς Βανιακάν. Καὶ ἀπῆραν
Ζ ἐκ Βανιακὰν, καὶ παρενέβαλον εἰς
λγ. τὸ ὄρος Γαδγάδ. Καὶ ἀπῆραν ἐκ
τοῦ ὄρους Γαδγὰδ, καὶ παρενέβαλον
λδ. εἰς Ἰεταβαθάν. Καὶ ἀπῆραν ἐξ Ἰε-
ταβαθὰν, καὶ παρενέβαλον εἰς Ἐ-
λε. βρωνᾶ. Καὶ ἀπῆραν ἐξ Ἐβρωνᾶ,
καὶ παρενέβαλον εἰς Γεσιὼν Γάβερ.
λς. Καὶ ἀπῆραν ἐκ Γεσιὼν Γάβερ, καὶ πα-
ρενέβα-

(1) Τὰ αὐτὰ καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.
(2) Πρόσθες τὸ, ἐπάταξεν, ἢ ἀπέκτεινεν, ἢ ἄλλο τι τοιοῦτον.
(3) Σοκχώθ. αἱ εἰρημ. ἐκδόσ. (4) Ἐν τῷ 21. (5) Μεθ' ἣν, ὀρθότερ.
(6) Ταῦτα ὁ Προκόπιος (ἐν τῷ τῆς Αὐγ. κώδ.) ἐκτίθησιν οὕτως· Ἄνω μέντοι ἑτέρων τόπων ὀνόματα καταλέγει ἀναγραφόμενος τοὺς σταθμούς. ἀλλ' ἐνταῦθα μόνων τῶν τόπων μέμνηται, ἐν οἷς παρενέβαλον, καὶ ἐξ ὧν ἐποιοῦντο τὰς ἀπάρσεις· ἐκεῖ δὲ, καὶ οὓς διὰ τῆς πορείας παρημείβοντο.
(7) Ἀπὸ στόματος Εἰρώθ. ἐν ταῖς σημειώσ. ταῖς εἰς τὴν Γραφ. τὴν ἐν Φρανεκ. ἐκδοθεῖσ.
(8) Μαγδώλου. καὶ ἀπῆραν ἐκ Μαγδώλου. αὐτ.
(9) Εἰς Λεβωνᾶ. αἱ εἰρημ. ἐκδόσ. Λεμβωνᾶ. ἡ τοῦ Ἀλδ.

ρενέβαλον ἐν τῇ ἐρήμῳ Σίν. καὶ ἀπῆ-
ραν ἐκ τῆς ἐρήμου Σὶν, καὶ παρενέβα-
λον εἰς τὴν ἔρημον Φαράν· αὕτη ἐστὶ
λζ. Κάδδης. Καὶ ἀπῆραν ἐκ Κάδδης, καὶ
παρενέβαλον εἰς Ὢρ τὸ ὄρος πλησίον
λη. γῆς Ἐδώμ. Καὶ ἀνέβη Ἀαρὼν ὁ ἱε-
ρεὺς διὰ προστάγματος Κυρίου, καὶ
ἀπέθανεν ἐκεῖ ἐν τῷ τεσσαρακοστῷ
ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐκ
γῆς Αἰγύπτου τῷ μηνὶ τῷ πέμπτῳ
λθ. μιᾷ τοῦ μηνός. Καὶ Ἀαρὼν ἦν τριῶν
καὶ εἴκοσι καὶ ἑκατὸν ἐτῶν, ὅτε ἀπέ-
μ. θνησκεν ἐν Ὢρ τῷ ὄρει. Καὶ ἀκού-
σας ὁ Χανανὶς βασιλεὺς Ἀρὰδ, καὶ
οὗτος κατῴκει ἐν γῇ Χαναὰν, ὅτε εἰσε-
μα. πορεύοντο οἱ υἱοὶ Ἰσραήλ. Καὶ ἀπῆ-
ραν ἐξ Ὢρ τοῦ ὄρους, καὶ παρενέβα-
μβ. λον εἰς Σελμωνάν. Καὶ ἀπῆραν ἐκ
A Σελμωνὰν, καὶ παρενέβαλον εἰς Φει-
μγ. νών. Καὶ ἀπῆραν ἐκ Φεινῶν, καὶ πα-
μδ. ρενέβαλον ἐν Ὠβώθ. Καὶ ἀπῆραν
ἐξ Ὠβὼθ, καὶ παρενέβαλον ἐν Γαΐ,
ἐν τῷ πέραν ἐπὶ τῶν ὁρίων Μωάβ.
με. Καὶ ἀπῆραν ἐκ Γαΐ, καὶ παρενέβα-
μϛ. λον εἰς Δαιβὼν Γάδ. Καὶ ἀπῆραν
ἐκ Δαιβὼν Γὰδ, καὶ παρενέβαλον
μζ. εἰς Γελμὼν Δαιβλαθαίμ. Καὶ ἀπῆ-
B ραν ἐκ Γελμὼν Δαιβλαθαὶμ, καὶ
παρενέβαλον ἐπὶ τὰ ὄρη τὰ Ἀβα-
μη. ρεὶμ, ἀπέναντι Ναβαῦ. Καὶ ἀπῆ-
ραν ἀπὸ ὀρέων Ἀβαρεὶμ, καὶ παρενέ-
βαλον ἐπὶ δυσμῶν Μωὰβ, ἐπὶ τοῦ
μθ. Ἰορδάνου κατὰ Ἱεριχώ. Καὶ παρενέ-
βαλον παρὰ τὸν Ἰορδάνην ἀναμέσον
Ἀσιμὼθ, ἕως Βελσατὴμ κατὰ δυσ-
Γ μῶν Μωάβ.

ΚΕΦ. ΛΔ.

α. (1) Καὶ ἐλάλησε Κύριος πρὸς
Μωϋσῆν ἐπὶ δυσμῶν
Μωὰβ ἐπὶ τὸν Ἰορδά-
β. νην κατὰ Ἱεριχὼ, λέγων, Λάλη-
σον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς
αὐτοὺς, ὑμεῖς διαβαίνετε τὸν Ἰορδά-
νην εἰς γῆν Χαναάν.
γ. Καὶ ἀπολεῖτε πάντας τοὺς κα-
τοικοῦντας ἐν τῇ γῇ πρὸ προσώπου
ὑμῶν, καὶ ἐξαρεῖτε τὰς σκοπιὰς αὐ-
τῶν, καὶ πάντα τὰ εἴδωλα τὰ χω-
νευτὰ αὐτῶν ἀπολεῖτε αὐτὰ, καὶ
πάσας τὰς στήλας αὐτῶν ἐξαρεῖτε.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἡνίκα τοὺς ἀναγεγραμμένους σταθμοὺς διῆλθον, καὶ παρενέβαλον εἰς τὸν Ἰορδάνην, ἐπίταγμα δίδοται Θεοῦ, πάντας ἀνελεῖν τοὺς ἐνοικοῦντας τὴν γῆν.

ΤΟΥ ΑΥΤΟΥ. Ἅμα μὲν γὰρ καὶ καθᾶραι τὴν γῆν, ἅμα δὲ καὶ φυλάττειν τὸν λαὸν, μὴ τοῖς εἰδώλοις αὐτὸν περιπεσεῖν, διὰ τὸ τῆς διανοίας ἀβέβαιον.

ΚΥΡΙΛΛΟΥ. Συνιεῖς ὅπως τοὺς παρελθόντας τὸν Ἰορδάνην ἐκ μέσου ποιεῖσθαι χρὴ βωμοὺς καὶ τεμένη, καὶ αὐτοῖς εἰδώλοις καὶ στήλαις ἀναμοχλεύειν ἀμελητί.

ΑΔΗΛΟΥ. Ἐπειδὴ ἐν τοῖς ὑψηλοῖς ἔθυον τόποις, παρακελεύεται ὁ Θεὸς τοὺς βωμοὺς, ἤτοι τὰ ἱερὰ, ἃ εἶχον ἐν τοῖς ὄρεσιν, ἐξολοθρευθῆναι.

* ΠΡΟΚΟΠΙΟΥ. Τοῦτο ἦν τὸ, οὐ παροικήσει σοι πονηρευόμενος. Ψαλ. 5. 4.

δ. Καὶ ἀπολεῖτε πάντας τοὺς κα-
» τοικοῦντας τὴν γῆν, καὶ κατοικήσετε
» ἐν αὐτῇ, ὑμῖν γὰρ ἔδωκα τὴν γῆν
αὐτῶν ἐν κλήρῳ.

Δ ΑΔΗΛΟΥ. Τὸ ἴσον φυλάσσων, καὶ τὴν ἀταξίαν ἀναιρῶν.

* ΠΡΟΚΟΠΙΟΥ. Φησὶ γὰρ τῷ Ἀ» βραὰμ, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρ» ματί σου. Γέν. 12. 7.

** ΤΟΥ ΑΥΤΟΥ. Οὕτως οὐκ ἀνάξιον Θεοῦ γίνεται διὰ τὸν προπάτορα, καὶ τοῖς οὐκ ἀγαθοῖς προεγνωσμένοις ἀπονεῖμαι τὴν γῆν, εἰς ἐναργῆ προτύπωσιν τῆς ὑπὸ τῶν ἁγίων μελλούσης κατοικεῖσθαι γῆς.

E

ε. Καὶ κατακληρονομήσετε τὴν
γῆν κληρωτὶ κατὰ φυλὰς ὑμῶν· (2)
τοῖς πλείοσι πληθυνεῖτε τὴν κατά-
σχεσιν αὐτῶν, καὶ τοῖς ἐλάττοσιν ἐ-
λαττώσετε τὴν κατάσχεσιν αὐτῶν. εἰς
ὃν (3) ἂν ἐξέλθῃ τὸ ὄνομα αὐτοῦ, ἐκεῖ
αὐτοῦ ἔσται, κατὰ φυλὰς πατριὰς
ὑμῶν κληρονομήσετε.

Z ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὥστε πολλὴν εἶναι τὴν εὐκοσμίαν, καὶ γινώσκεσθαι τὰς φυλὰς, οὗ ἑκάστη τέτακται καὶ οἰκεῖ.

ϛ. Ἐὰν δὲ μὴ ἀπολέσητε τοὺς κα-
τοικοῦντας ἐπὶ τῆς γῆς ἀπὸ προσώπου
ὑμῶν, καὶ ἔσται οὓς ἂν καταλίπητε
ἐξ αὐτῶν, σκόλοπες ἐν τοῖς ὀφθαλ-
μοῖς ὑμῶν, καὶ βολίδες ἐν ταῖς πλευ-
ραῖς

(1) Ἐν μὲν τῇ τοῦ Ἀλδ. ἐκδόσ. ἐντεῦθεν ἄρχεται τὸ 34. κεφ. καθάπερ καὶ ἐν ἑκατέρῳ τῶν ἡμετέρων κωδίκ. ἐν δὲ ταῖς εἰρημέν. ἐκδόσ. ἀπὸ τοῦ 8. ἐδ. ἐν αὐταῖς γὰρ τὰ 7. ἐδ. συνῆπται τῷ προλαβόντι κεφ.

(2) Ὑμῶν. αὐτ. (3) Εἰς ὃ ἄν. αὐτ.

ᾶς ὑμῶν, ϗ ἐχθρεύσȣσιν ὑμῖν ἐπὶ
ῆς γῆς, ἐφ' ἣν ὑμεῖς κατοικήσετε.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Προειδὼς ὁ Θεὸς τὴν
ȣ λαȣ ἀνηκοΐαν, ἀνεβάλετο, πρὸς τὸ
υμφέρον ὁρῶν, ἔργῳ τὴν ὑπόσχεσιν πλη-
ῶσαι. ἐντειλάμενος γὰρ αὐτῷ ἐξαλεῖψαι
ὰ ἔθνη τὰ ἐπὶ τῆς γῆς, ἧς ἐπηγγείλατο
οῖς πατράσιν αὐτῶν, καίπερ δυνάμενος
ἐποίησε. ϗ τȣ̃το δείκνυσι, τὸν μὲν
εὸν, παρέχοντα ἅπερ ὑπέσχετο· τὸν δὲ,
ιταλιμπάνοντα ἑαυτῷ σκόλοπα τὸν γειτ-
ῶντα ἐχθρόν. ὃ ϗ μάλιστα τὸν Θεὸν ȣ̓κ
ασε παραδȣ̃ναι αὐτοῖς, ὡς ἐπηγγείλατο,
ὴν γῆν ἕως τȣ̃ ποταμȣ̃ τȣ̃ Εὐφράτȣ.

ΤΟΥ ΑΥΤΟΥ. Ἀσυνάρμοστον δείκνυσι
ῷ ἁγίῳ τὸν ἐναγῆ, πολέμιον μᾶλλον ἢ
ύοικον, λυπηρὸν, ἐπιβȣλεύτικόν.

ζ. Καὶ ἔσαι καθότι διεγνώκειν ποιῆ-
αι αὐτοῖς, ποιήσω ὑμῖν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀπειλεῖ αὐτοῖς, εἰ
ὴ πρὸς τὸ δίκαιον τȣ̃ Θεȣ̃, ἀλλὰ πρὸς φι-
ανθρωπίαν τινὰς ἀπολείπωσιν. ἀσυνάρ-
οσον γὰρ τῷ ἁγίῳ τὸ μὴ ἅγιον. οἷς δέ τις
ρέσκεται παρὰ γνώμην Θεȣ̃, τȣ́τοις ἐκ-
δοται. καθάπερ Ἰȣδαῖοι τῷ Καίσαρι, τȣ̃-
ον ἑλόμενοι μᾶλλον βασιλέα, ἢ τὸν σω-
ῆρα Χριςόν. ὑπὸ γὰρ τῶν Ῥωμαίων ἁ-
όντες, ἀπώλοντο.

η. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋ-
ῆν, λέγων, Ἔντειλε τοῖς υἱοῖς Ἰσ-
αὴλ, ϗ ἐρεῖς πρὸς αὐτȣ̀ς, ὑμεῖς
ισπορεύεσθε εἰς τὴν γῆν Χαναὰν, αὕ-
η ἔσαι ὑμῖν εἰς κληρονομίαν, γῆ Χα-
αὰν σὺν τοῖς ὁρίοις αὐτῆς.

** ΠΡΟΚΟΠΙΟΥ. Προφητικῶς Μωϋ-
ῆς τὰ ὅρια προλέγει τῆς γῆς. ȣ̓δὲ γὰρ
ῦ ἐπιμιξία πρὸς ἀπαγγελίαν ἢ γνῶσιν.
ὴ μέμνηται τῶν δύω ἡμίσεος φυλῶν,
ς μὴ ὕςερον ἀντιποιοῖντο τῆς εἴσω γῆς,
ἡ φυτεῖαι δένδρων, ϗ ἡ κατὰ νόμον
ατρεία.

ι. Καὶ ἔσαι ὑμῖν τὸ κλίτος τὸ
ρὸς λίβα ἀπὸ ἐρήμȣ Σὶν ἕως ἐχό-
ενον Ἐδὼμ, ϗ ἔσαι ὑμῖν τὰ ὅρια
ρὸς λίβα ἀπὸ μέρȣς τῆς θαλάσσης
ῆς ἁλυκῆς ἀπὸ ἀνατολῶν.

ΩΡΙΓΕΝΟΥΣ. Ἀπὸ τȣ̃ ποταμȣ̃ Αἰγύ-
ȣ ϗ ἕως τȣ̃ ποταμȣ̃ Εὐφράτȣ ἐπηγγεί-
ατο τῷ Ἀβραάμ. διατί ȣ̓̃ν ȣ̓κ ἔδωκεν αὐ-
οῖς; οἱ γὰρ Ἀριθμοὶ ἐλαττοτέραν διδομέ-
ην σημαίνȣσιν. Οἶμαι δὲ ὅτι δέδωκεν ἂν,
καλὰ τὸν λαβόντα τὰς ἐπαγγελίας πισοὶ
αν. ϗ τȣ̃το εἰκότως. πολλάκις γὰρ
ακὰ ἀπειλήσας, ȣ̓κ ἐπήγαγε. [μετενόη-
αν γὰρ, ὡς ἐπὶ τῶν Νινευϊτῶν.]

A
ια. Καὶ κυκλώσει ὑμᾶς τὰ ὅρια
ἀπὸ Λιβὸς πρὸς ἀνάβασιν Ἀκραβὶν,
ϗ παρελεύσεται Σεννὰκ, (1) ϗ
ἔσαι ἡ διέξοδος αὐτȣ̃ πρὸς λίβα Κάδ-
δης τȣ̃ Βαρνὴ, ϗ ἐξελεύσεται εἰς
ἔπαυλιν Ἀρὰδ, ϗ παρελεύσεται
ιβ. Ἀσελμονά. [Καὶ κυκλώσει τὰ ὅρια
ἀπὸ Ἀσελμονὰ] χείμαῤῥον Αἰγύπτȣ,
ιγ. ϗ ἔσαι ἡ διέξοδος ἡ θάλασσα. Καὶ
B τὰ ὅρια τῆς θαλάσσης ἔσαι ὑμῖν, ἡ
θάλασσα ἡ μεγάλη ὁριεῖ, τȣ̃το ἔσαι
ιδ. ὑμῖν τὰ ὅρια τῆς θαλάσσης. Καὶ
τȣ̃το ἔσαι ὑμῖν τὰ ὅρια πρὸς βοῤῥᾶν,
ἀπὸ τῆς θαλάσσης τῆς μεγάλης κα-
ταμετρήσετε ὑμῖν αὐτοῖς παρὰ τὸ
ιε. ὄρος. Καὶ ἀπὸ τȣ̃ ὄρȣς τὸ ὄρος ὑμῖν
καταμετρήσετε ἑαυτοῖς, εἰσπορευό-
Γ μενον εἰς Ἐμὰθ, ϗ ἔσαι ἡ διέξοδος
ις. αὐτȣ̃ τὰ ὅρια Σαδάκ. (2) Καὶ ἐξε-
λεύσεται τὰ ὅρια Ζεφρωνὰ, ϗ ἔσαι
ἡ διέξοδος αὐτȣ̃ τὰ ὅρια Ἀρσεναΐν·
ιζ. τȣ̃το ἔσαι ὑμῖν ὅρια ἀπὸ βοῤῥᾶ. Καὶ
καταμετρήσετε ὑμῖν ἑαυτοῖς τὰ ὅρια
ἀνατολῶν ἀπὸ Ἀρσεναΐν Σεπφαμάρ.
ιη. Καὶ καταβήσεται τὰ ὅρια Σεπφα-
μὰρ Βηλὰ ἀπὸ ἀνατολῶν ἐπὶ πη-
Δ γὰς, ϗ καταβήσεται τὰ ὅρια Βη-
λὰ ἐπὶ νότȣ (3) θαλάσσης Χενερὲθ
ιθ. ἀπὸ ἀνατολῶν. Καὶ καταβήσεται
τὰ ὅρια ἐπὶ τὸν Ἰορδάνην, ϗ ἔσαι ἡ
διέξοδος θάλασσα ἡ ἁλυκή. αὕτη
ἔσαι ὑμῖν ἡ γῆ ϗ τὰ ὅρια αὐτῆς κύ-
κ. κλῳ. Καὶ ἐνετείλατο Μωϋσῆς τοῖς
υἱοῖς Ἰσραὴλ, λέγων, αὕτη ἡ γῆ ἣν
E κατακληρονομήσετε αὐτὴν μετὰ τȣ̃
κλήρȣ, ὃν τρόπον συνέταξε Κύριος
δȣ̃ναι αὐτὴν ταῖς ἐννέα φυλαῖς ϗ
κα. τῷ ἡμίσει τῆς φυλῆς Μανασσῆ. Ὅτι
ἔλαβε φυλὴ υἱῶν Ῥȣβὶμ, ϗ φυλὴ
υἱῶν Γὰδ κατ' οἴκȣς πατριῶν αὐτῶν·
ϗ τὸ ἥμισυ φυλῆς Μανασσῆ ἀπέλα-
κβ. βον τȣ̀ς κλήρȣς αὐτῶν. Δύω φυλαὶ
ϗ ἥμισυ φυλῆς ἀπέλαβον τȣ̀ς κλή-
Z ρȣς αὐτῶν πέραν τȣ̃ Ἰορδάνȣ κατὰ
Ἱεριχὼ ἀπὸ νότȣ πρὸς ἀνατολάς.

κγ. Καὶ ἐλάλησε Κύριος πρὸς
κδ. Μωϋσῆν, λέγων, Ταῦτα τὰ ὀνό-
ματα τῶν ἀνδρῶν, οἳ κληρονομήσȣ-
σιν ὑμῖν τὴν γῆν· Ἐλεάζαρ ὁ ἱερεὺς
ϗ Ἰησȣ̃ς ὁ τȣ̃ Ναυῆ.

ΑΔΗΛΟΥ. Πρότερον τὸν ἱερέα ὀνομά-
H σας, ϗ δεύτερον τὸν Ἰησȣ̃ν· ὅτι προη-
γεῖται

(1) Ἐννάκ. αἱ εἰρημ. ἐκδόσ. Σενάχ. ἡ ἐν Ὄξον.
(2) Σαραδάκ. αἱ εἰρημ. ἐκδόσ. Σαδαδά. ἡ τȣ̃ Ἀλδ.
(3) Ἐπὶ νώτȣ. αὐτ.

γεῖται τοῦ ἄρχοντος ὁ ἱερεὺς, διὰ τὸ μᾶλλον πλησιάζειν Θεῷ. (1)

κε. Καὶ ἄρχοντα ἕνα ἐκ τῆς φυ-
λῆς λήψεσθε καταϰληρονομῆσαι ὑμῖν
τὴν γῆν.

ΑΔΗΛΟΥ. Ἄρχοντα δὲ κατὰ φυλὴν ἕνα τάττει, τοὺς ὀνομαζομένους τῶν οὐδέπω κληρουχηθεισῶν φυλῶν τάξας, καὶ τὰ ὀνόματα.

κϛ. Καὶ ταῦτα τὰ ὀνόματα· (2)
τῆς φυλῆς Ἰούδα, Χάλεβ υἱὸς Ἰε-
κζ. φοννῆ. Τῆς φυλῆς Συμεὼν, Σαλα-
κη. μιὴλ υἱὸς Ἐμιοὺδ. Τῆς φυλῆς Βενια-
κθ. μὶν, Ἐλδὰδ υἱὸς Χασλών. Τῆς
A φυλῆς Δὰν, ἄρχων Βοκκὶ υἱὸς Ἰεκλί.
λ. Τῶν υἱῶν Ἰωσὴφ φυλῆς υἱῶν Μανασ-
λα. σῆ, ἄρχων Ἀνιὴλ υἱὸς Σουφίδ. Τῆς
φυλῆς υἱῶν Ἐφραὶμ, ἄρχων Κα-
λβ. μουὴλ υἱὸς Σαφιτάν. Τῆς φυλῆς
Ζαβουλὼν, ἄρχων Ἐλισαφὰν υἱὸς
λγ. Χαρνάχ. Τῆς φυλῆς υἱῶν Ἰσσάχαρ,
λδ. ἄρχων Φαλτιὴλ υἱὸς Ὀζᾶ. Τῆς
φυλῆς υἱῶν Ἀσὴρ, ἄρχων Ἀχιὼρ υἱὸς
λε. Σελεμεΐ. Τῆς φυλῆς υἱῶν Νεφθα-
λεὶμ, ἄρχων Φαδαὴλ υἱὸς Ἰαμιούδ.
λϛ. Οὗτοι οὓς ἐνετείλατο Κύριος κατα-
κληρονομῆσαι (3) τοῖς υἱοῖς Ἰσραὴλ ἐν
γῇ Χαναάν.

ΚΕΦ. ΛΕ.

α. Καὶ ἐλάλησε Κύριος πρὸς
Μωϋσῆν ἐπὶ δυσμῶν Μωὰβ
παρὰ τὸν Ἰορδάνην κατὰ
β. Ἰεριχὼ, λέγων, Σύνταξον τοῖς υἱοῖς
Ἰσραὴλ, καὶ δώσουσι τοῖς Λευΐταις
ἀπὸ τῶν κλήρων κατασχέσεως αὐτῶν
πόλεις κατοικεῖν· καὶ τὰ προάστεια
τῶν πόλεων κύκλῳ αὐτῶν δώσουσι
τοῖς Λευΐταις.

** ΚΥΡΙΛΛΟΥ. Ἐφεῖται τοῖς ἁγίοις καὶ ἐν τῷδε τῷ κόσμῳ κεκτῆσθαι τὰ ζωαρκῆ, καὶ ὅσαπερ ἂν αὐτοῖς, ὥς πρός γε τὴν ἀναγκαίαν τοῦ σώματος χρείαν, ἀρκέσειεν ἄν. ἔχοντες γάρ φησι διατροφὰς
1. Τιμ. 6. 8. καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. καὶ τὸ ἔτι περιττὸν οὐκ ἀζήμιον. Γ ἀφιστὰς δὲ χρησίμως, καὶ τὸ πολὺ λίαν ἐνδεὲς, καὶ τὸ λυποῦν ἀφανίζων. συνεμέτρει γὰρ τῇ χρείᾳ τὴν αὐτάρκειαν.

γ. Καὶ ἔσονται αἱ πόλεις αὐτοῖς
κατοικεῖν, καὶ τὰ ἀφορίσματα αὐ-
δ. τῶν ἔσαι τοῖς τετράποσιν αὐτῶν. Καὶ
τὰ συγκυροῦντα τῶν πόλεων, ἃς δώ-
σετε τοῖς Λευΐταις, ἀπὸ τείχους τῆς
πόλεως καὶ ἔξω δισχιλίους πήχεις κύ-
ε. κλῳ. Καὶ μετρήσεις ἔξω τῆς πόλεως
τὸ κλίτος τὸ πρὸς ἀνατολὰς δισχι-
λίους πήχεις, καὶ τὸ κλίτος τὸ πρὸς
λίβα δισχιλίους πήχεις, καὶ τὸ κλίτος
τὸ πρὸς θάλασσαν δισχιλίους πήχεις,
καὶ τὸ κλίτος τὸ πρὸς βοῤῥᾶν δισχι-
λίους πήχεις. καὶ πόλις μέσον τούτου
ἔσαι ὑμῖν, καὶ τὰ ὅμορα τῶν πόλεων.

** ΚΥΡΙΛΛΟΥ. Πολίχναι καὶ δωμάτια περιωσόριατε, καὶ τοῦτο μεμετρημένα τοῖς ἁγίοις ἐκνενέμηνται λειτουργοῖς. ἐδικαίου γὰρ ὧδε Θεὸς, οὔτε τοῖς ὑπὲρ τὴν χρείαν ἢ εἰς τρυφὴν ἀνιεὶς, οὔτε μὴν τῷ λίαν κατεσφιγμένῳ καταθλίβων ἀμέτρως·

ϛ. Καὶ τὰς πόλεις ἃς δώσετε τοῖς
Λευΐταις, τὰς ἓξ πόλεις τῶν φυγα-
δευτηρίων ἃς δώσετε φυγεῖν ἐκεῖ τῷ
φονεύοντι, (4) καὶ πρὸς ταύταις τεσ-
σαράκοντα καὶ δύο πόλεις.

Δ ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἄξιον μὴ παρέργως σκέψασθαι, τί δήποτε τὰς πόλεις τῶν Λευϊτῶν ἀνῆκε τοῖς φυγάσι. τοῖς ἱερωτάτοις τοὺς ἀνιέρους εἶναι δοκοῦντας συνοικεῖν ἀξιώσας· οὗτοι δ᾽ εἰσὶν οἱ τὸν ἀκούσιον φόνον δράσαντες. λεκτέον οὖν πρῶτον μὲν ὅτι σπουδαῖος τοῦ φαύλου λύτρον· ὥστε εἰκότως πρὸς τοὺς ἱερωμένους οἱ διαμαρτόντες ἀφίξονται, τοῦ καθαρθῆναι χάριν· ἔπειθ᾽ ὅτι φυγάδας οἱ Λευῖται προσίενται,
E καὶ αὐτοὶ δυνάμει φυγάδες ὄντες. ὡς γὰρ ἐκεῖνοι τῶν πατρίδων ἐλαύνονται. οὕτω καὶ οὗτοι καταλελοίπασι τέκνα, γονεῖς, ἀδελφοὺς, τὰ οἰκειότατα καὶ φίλτατα, ἵν᾽ ἀντὶ θνητοῦ τὸν ἀθάνατον κλῆρον εὕρωνται. διαφέρουσι δὲ, ὅτι ἐκείνοις μὲν ἀβούλητος ἡ φυγὴ δι᾽ ἔργον ἀκούσιον, τούτοις δ᾽ ὁ δρασμὸς ἑκούσιος δι᾽ ἔρωτα τῶν ἀρίστων· καὶ ὅτι τοῖς μὲν Λευῖται καταφυγὴ, τοῖς δὲ Λευΐταις ὁ πάντων ἡγεμών ἐστιν· ἵν᾽ οἱ μὲν ἀτελεῖς,
Z νόμον ἔχωσι τὸν ἱερὸν λόγον· οὗτοι δὲ, τὸν ᾧ ἱερουνται Θεόν. ἔτι γε μὴν οἱ τὸν ἀκούσιον φόνον δράσαντες, τὰς αὐτὰς τοῖς Λευΐταις πόλεις ἔλαχον οἰκεῖν, ὅτι καὶ οὗτοι διὰ φόνον ὅσιον προνομίας ἠξιώθησαν.

ΚΥΡΙΛΛΟΥ. [Ἐπιτρέπεσθαι τοῖς Λευΐταις τὰς τῶν φυγαδευτηρίων ἐντέλλεται πόλεις, γένος τὸ μάλιστα πεπονθὸς, πλείστης δὲ ὅσης ἐπικουρίας δεόμενον, τῇ τῶν ἱερουργῶν φροντίδι παρατιθέμενος.] τύπος
H οἶμαι ταῖς ἐκκλησίαις ἐντεῦθεν, τὸ ἐπιμελεῖσθαι

(1) Τὰ αὐτὰ συντομώτερ. καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.
(2) Τὰ ὀνόματα τῶν ἀνδρῶν. αἱ εἰρημ. ἐκδόσ.
(3) Καταμερίσαι. αἱ αὐτ.
(4) Τῷ φονεύσαντι αἱ αὐτ.

ῖσθαι δεσμίων. μνημονεύετε γὰρ φησι τῶν δεσμίων, ὡς συνδεδεμένοι· τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι.

ζ. Πάσας τὰς πόλεις ἃς δώσετε τοῖς Λευΐταις τεσσαράκοντα καὶ ὀκτὼ πόλεις· ταύτας, καὶ τὰ προάστεια αὐτῶν. Καὶ τὰς πόλεις ἃς δώσετε ἀπὸ τῆς κατασχέσεως υἱῶν Ἰσραὴλ, ἀπὸ τῶν τὰ πολλὰ, πολλά· καὶ ἀπὸ τῶν ἐλαττόνων, ἐλάττω· ἕκαστος κατὰ τὴν κληρονομίαν αὐτοῦ ἣν κατακληρονομήσουσι, δώσουσιν ἀπὸ τῶν πόλεων τοῖς Λευΐταις. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων, Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην εἰς γῆν Χαναάν. Καὶ διαστελεῖτε ὑμῖν αὐτοῖς πόλεις· φυγαδευτήρια ἔσται ὑμῖν φυγεῖν ἐκεῖ τὸν φονευτὴν, πᾶς ὁ πατάξας ψυχὴν ἀκουσίως. Καὶ ἔσονται αἱ πόλεις ὑμῖν φυγαδευτήρια ἀπ' ἀγχιστεύοντος τὸ αἷμα, καὶ οὐ μὴ ἀποθάνῃ ὁ φονεύων ἕως ἂν στῇ ἔναντι τῆς συναγωγῆς εἰς κρίσιν. Καὶ αἱ πόλεις ἃς δώσετε τὰς ἓξ πόλεις, φυγαδευτήρια ἔσονται ὑμῖν.

ιδ. Τὰς τρεῖς πόλεις δώσετε πέραν τοῦ Ἰορδάνου, καὶ τὰς τρεῖς πόλεις δώσετε ἐν γῇ Χαναάν.

[Ἀ]ΔΗΛΟΥ. Τρεῖς καὶ τρεῖς ἀφορίζει [πόλ]εις εἰς καταφυγὴν, οὐ πόῤῥω τῆς ἁγίας [...]δος τὸν ἀριθμὸν τῆς καταφυγῆς ποιη[σάμ]ενος. αὕτη γὰρ ἀποπίπτουσι καταφυ[γὴ] καὶ πρὸς ἐπάνοδον σωτηρίας ἐλπίς.

ιε. Φυγάδιον ἔσται τοῖς υἱοῖς Ἰσ[ραή]λ, καὶ τῷ προσηλύτῳ καὶ τῷ πα[ροί]κῳ τῷ ἐν ὑμῖν· ἔσονται αἱ πόλεις [αὗ]ται εἰς φυγαδευτήριον, φυγεῖν ἐκεῖ [πα]ντὶ πατάξαντι ψυχὴν ἀκουσίως.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἴσην τὴν φιλαν[θρω]πίαν νέμων συγγενεῖ τε καὶ ξένῳ, προοι[μια]ζόμενος ἤδη τὴν τῶν ἐθνῶν πρὸς τὸν [Ἰσρ]αὴλ ἰσοτιμίαν. πολλὰς δὲ τὰς κατα[φυ]γὰς δίδωσιν, ἵνα μὴ μηκυνομένης τῆς [ὁδοῦ], καθάπερ ἐν τῷ Δευτερονομίῳ (1) [λέγ]εται, ἐκκαλυφθῇ πρὸς τοῦ συγγενοῦς ὁ [διω]κόμενος, ἕως οὗ ἡ διάκρισις γένηται.

** ΙΣΙΔΩΡΟΥ. Τίνος ἕνεκα, φυγὴν [το]ῦ κατεψηφίσατο; Οὐ διὰ τὸ γεγενη[μέν]ον· ἢ γὰρ ἂν ἔξω τῆς γῆς τῆς ἐπαγ[γε]λίας πάντη αὐτὸν ἀφώρισεν, ἀλλὰ διὰ [τὸ] μὴ ὑπὸ τῶν συγγενῶν τοῦ ἀναιρεθέντος [ἀδί]κως ἀναιρεθῆναι, νικῶντος τοῦ θυμοῦ [τὸ]ν λογισμὸν, καὶ τῆς ὀργῆς τὸ ἀκριβὲς [πα]ραγραφομένης. ἀλλ' οὐδ' οὕτως αὐτὸν [ἄχρι] τέλος ἀφῆκεν. ὅρον γὰρ αὐτῷ τῆς

(1) Ἐν κεφ. 19.

A „ φυγῆς ὁρίζει τὸν τοῦ ἀρχιερέως βίον· καὶ μετὰ τὸν θάνατον ἐκείνου, κάθοδον αὐτῷ χαρίζεται, καὶ ἀποδίδωσιν αὐτὸν τῇ πατρίδι.

ις. Ἐὰν δὲ σκεύει σιδήρου πατάξῃ αὐτὸν, καὶ τελευτήσῃ, φονευτής ἐστι, θανάτῳ θανατούσθω ὁ φονευτής.

ιζ. Ἐάν τε ἐν λίθῳ ἐκ χειρὸς ἐν ᾧ ἀποθανεῖται ἐν αὐτῷ, πατάξῃ αὐτὸν,
B καὶ ἀποθάνῃ, φονευτής ἐστι, θανάτῳ
ιη. θανατούσθω ὁ φονευτής. Ἐὰν δὲ ἐν σκεύει ξυλίνῳ ἐκ χειρὸς ἐξ οὗ ἀποθανεῖται, πατάξῃ αὐτὸν, καὶ ἀποθάνῃ, φονευτής ἐστι, θανάτῳ ἀποθανεῖται
ιθ. ὁ φονευτής. Ὁ ἀγχιστεύων τὸ αἷμα, οὗτος ἀποκτενεῖ τὸν φονεύσαντα· ὅταν συναντήσῃ αὐτῷ οὗτος, ἀποκτενεῖ αὐτόν.

Γ ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Σαφῶς εἰδὼς, ὅτι περιττὸν ὄνομα οὐδὲν τίθησιν ὑπὸ τῆς τοῦ πραγματολογεῖν ἀμυθήτου φορᾶς, ἠπόρουν κατ' ἐμαυτὸν, διατί τὸν ἀκουσίως κτείναντα, οὐκ εἶπε θανατοῦσθαι μόνον, ἀλλὰ θανάτῳ θανατοῦσθαι. τίνι γὰρ ἄλλῳ ἀποθνήσκων ἢ θανάτῳ τελευτᾷ; φοιτήσας οὖν παρὰ γυναῖκα σοφὴν, ἣ σκέψις ὄνομα, τοῦ ζητεῖν ἀπηλλάγην. ἐδίδαξε γάρ με, ὅτι καὶ ζῶντες ἔνιοι τεθνήκασι,
Δ καὶ τεθνηκότες ζῶσι. τοὺς μέν γε φαύλους ἄχρι γήρως ὑστάτου παρατείνοντας, νεκροὺς ἔλεγεν εἶναι, τὸν μετ' ἀρετῆς βίον ἀφῃρημένους· τοὺς δὲ ἀστείους, κἂν τῆς πρὸς σῶμα κοινωνίας διαζευχθῶσι, ζῆν εἰς ἀεὶ ἀθανάτου μοίρας ἐπιλαχόντας.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐν τούτοις τὸ ἑκούσιον ἀνατέλλων καὶ θυμοὺς ἀνθρώπων καὶ ἐπιβολὰς ἐμφανεῖς, ἢ τοῖς τεκμηρίοις
E ἐλεγχόμενος, ὡς μὴ ἐξεῖναι λέγειν, ὅτι ἄκων ἐποίησε, τὸν ἥξοντα θυμῷ πρὸς φόνον, ἢ κατασκευάσαντα δι' ἐπιβουλῆς. εἰ γὰρ τὰ ἐπιῤῥιφέντα ἱκανὰ πρὸς τὸ ἀποκτεῖναι φαίνοιτο, εἴτε σίδηρος, εἴτε λίθος, εἴτε ξύλον, ὥρισαι τὸ ἑκούσιον, καὶ ἀντιλέγειν οὐκ ἔνεστιν· οὐδὲ ἐπὶ τῷ κριτῇ καταλέλειπται, ἀλλ' ὑπὸ τοῦ νόμου διῄρηται. καὶ δίδωσί γε τὴν κόλασιν τοῦ φονεύσαντος τῷ συγγενεῖ τοῦ πεφονευμένου.

Z κ. Ἐὰν δὲ δι' ἔχθραν ὤσῃ αὐτὸν, καὶ ἐπιῤῥίψῃ ἐπ' αὐτὸν πᾶν σκεῦος ἐξ
κα. ἐνέδρου, καὶ ἀποθάνῃ, Ἢ διὰ μῆνιν ἐπάταξεν αὐτὸν τῇ χειρὶ, καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω ὁ πατάξας, φονευτής ἐστι, θανάτῳ θανατούσθω ὁ φονεύων. ὁ ἀγχιστεύων τὸ αἷμα ἀποκτενεῖ τὸν φονεύσαντα ἐν τῷ συναντῆσαι αὐτῷ.

H ΑΠΟΛΙΝΑΡΙΟΥ. Τῷ συγγενεῖ τὴν τιμωρίαν ἐφίησι, φαινομένης τῆς ἔχθρας ὥστε καὶ ἐξεπίτηδες γεγονέναι τὸν φόνον.

κβ. Ἐὰ[ν]

κβ. Ἐὰν δὲ ἐξαπίνης, οὐ δι' ἔχθραν
ὤσῃ αὐτὸν, ἢ ἐπιῤῥίψῃ ἐπ' αὐτὸν πᾶν
κγ. σκεῦος, οὐκ ἐξ ἐνέδρου, Ἢ παντὶ λί-
θῳ, ἐν ᾧ ἀποθανεῖται ἐν αὐτῷ, οὐκ
εἰδὼς, καὶ ἐπιπέσῃ ἐπ' αὐτὸν, καὶ ἀπο-
θάνῃ, αὐτὸς δὲ οὐκ ἐχθρὸς αὐτοῦ ἦν,
οὐδὲ ζητῶν κακῶσαι αὐτόν·

κδ. Καὶ κρινεῖ ἡ συναγωγὴ ἀναμέσον τοῦ πατάξαντος καὶ ἀναμέσον τοῦ ἀγχιστεύοντος τὸ αἷμα, κατὰ τὰ κρίματα ταῦτα.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοῦτο δὴ μόνον καταλέλειπται τῷ κριτῇ, τὸ διὰ μαρτύρων ἀναζητῆσαι ἥτις ἔχθρα προϋπέκειτο, ἢ ἄκων καὶ οὐκ εἰδὼς ἐπάταξεν. ὅπερ φαίνοιτο, κωλυθήσεται, ὅτι ἀκούσιον, ἡ τιμωρία.

κε. Καὶ ἐξελεῖται ἡ συναγωγὴ τὸν φονεύσαντα ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ αἷμα, καὶ ἀποκαταστήσει αὐτὸν ἡ συναγωγὴ εἰς τὴν πόλιν τοῦ φυγαδευτηρίου αὐτοῦ, οὗ κατέφυγε, καὶ κατοικήσει ἐκεῖ ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, ὃν ἔχρισεν αὐτὸν τῷ ἐλαίῳ τῷ ἁγίῳ.

✻✻ ΙΣΙΔΩΡΟΥ. Διατί τῷ ἀκουσίως φονεύσαντι ὅρος φυγῆς ἡ τοῦ ἀρχιερέως ὑπάρχει ζωή; Διὰ τοῦτ' οἶμαι τοῦ ἀρχιερέως τὸν βίον ὅρον τῆς φυγῆς τοῦ ἀκουσίως φονεύσαντος ἐθέσπισεν εἶναι, μηνύων ἐναργεῖ τεκμηρίῳ, ὅτι εἰ ἀκούσιος τοῦ ἀρχιερέως θάνατος τοὺς ἀκουσίως φονεύσαντας τῇ πατρίδι ἀποδίδωσι, καὶ κάθοδον αὐτοῖς χαρίζεται· τοῦ μεγάλου ἀρχιερέως ὁ ἑκούσιος θάνατος, ὁ ὑπὸ τῆς ἀναστάσεως σβεσθεὶς, καὶ τὰ ἀκούσια πλημμελήματα ἀφανιεῖ, καὶ ἀποδώσει πάντας τοὺς πιστεύοντας αὐ-
Γαλ. 4. 26. τῷ τῇ ἄνω Ἱερουσαλήμ. ἡ γὰρ ἄνω Ἱερου-
» σαλὴμ, φησὶν ὁ θεσπέσιος Παῦλος, ἐλευ-
» θέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν.

ΚΥΡΙΛΛΟΥ. Σχῆμα μὲν τοῦτο τοῖς τύποις. ὠδίνουσι δὲ τὸ Χριστοῦ μυστήριον τρόπον τινὰ αἱ σκιαί. καὶ οὐκ ἀπίθανον τό γε οἴεσθαι τυχὸν τοὺς ταῖς ἁμαρτίαις ἐγκατειλημμένους, φονευτὰς ὥσπερ τινὰς τῆς ἰδίας ὑπάρχειν ψυχῆς, καὶ κατολισθαίνειν εἰς τοῦτο ταλαιπωρίας οὐκ ἐθελουσίως, ἐκβεβιασμένως δὲ ὥσπερ εἰς παράβασιν, καὶ εἰς τὸ προσκρεῦσαι Θεῷ, διὰ τὸ ἐγκεῖσθαι τὴν διάνοιαν τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος, καὶ διὰ τὸν ἐν τοῖς μέλεσι τῆς σαρκὸς τῆς ἀτιθάσου φιληδονίας τυραννήσαντα νόμον. Φυγῇ τοιγαροῦν τῇ ἀπὸ τοῦ κόσμου καὶ σώματος ἡ ἀθλία ψυχὴ τοῦ ἀνθρώπου ζημιοῦται, καὶ ὥσπερ εἰς πόλιν τινὰ τοῦ φυγαδευτηρίου τοῖς τοῦ θανάτου μυχοῖς ἐνιζήσασα, μακροὺς διετέλει χρόνους. ἀνείθη δὲ μόλις ἀποθανόντος Χριστοῦ τοῦ

A μεγάλου ἱερέως, (1) ὃς τὸν ὑπὲρ πάντων θάνατον ἀνατλὰς, καταπεφοίτηκε μὲν εἰς ᾅδου πύλας, (2) ἀνῆκε δὲ τοῖς κάτω, καὶ
» δεσμῶν ἠφίει, λέγων, ἐξέλθετε, καὶ τοῖς Ἡσ. 49. 9.
» ἐν τῷ σκότει ἀνακαλύπτεσθε.

κς. Ἐὰν δὲ ἐξόδῳ ἐξέλθῃ ὁ φο-
νεύσας τὰ ὅρια τῆς πόλεως εἰς ἣν
κζ. κατέφυγεν ἐκεῖ, Καὶ εὕρῃ αὐτὸν ὁ
ἀγχιστεύων τὸ αἷμα ἔξω τῶν ὁρίων
B τῆς πόλεως καταφυγῆς αὐτοῦ, καὶ
φονεύσῃ ὁ ἀγχιστεύων τὸ αἷμα τὸν
φονεύσαντα, οὐκ ἔνοχός ἐστιν.

κη. Ἐν γὰρ τῇ πόλει τῆς καταφυγῆς αὐτοῦ κατοικείτω ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, καὶ μετὰ τὸ ἀποθανεῖν τὸν ἱερέα τὸν μέγαν, ἐπαναστραφήσεται ὁ φονεύσας εἰς τὴν
Γ γῆν τῆς κατασχέσεως αὐτοῦ.

✻✻ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Χρόνον ὥρισε τῆς καθόδου τὴν μεγάλου ἱερέως τελευτὴν, αἰτίας ἕνεκα τοιᾶσδε· ὥσπερ ἑνὸς ἑκάστου τῶν δολοφονηθέντων συγγενεῖς εἰσὶν ἔφεδροι τῆς κατὰ τῶν δολοφονησάντων δίκης καὶ τιμωρίας· οὕτω τοῦ σύμπαντος ἔθνους συγγενὴς καὶ ἀγχιστεὺς κοινὸς ὁ ἀρχιερεύς ἐστι. τοῦτον οὖν εὐλαβείσθω πᾶς ὁ
Δ ἀκουσίως ἀνελὼν, ὡς ὑπέρμαχον καὶ προαγωνιστὴν τῶν ἀναιρεθέντων, καὶ εἴσω τῆς πόλεως εἰς ἣν κατέφυγε κατακεκλείσθω, μηκέτι θαρρῶν ἔξω προέρχεσθαι, εἰ δή τινα ποιεῖται λόγον ἀσφαλείας καὶ τοῦ ζῆν ἀκινδύνως. ὅταν οὖν λέγῃ, μὴ ἐπανίτω ὁ
» φυγὰς ἕως ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας,
» ἴσον τι τούτῳ φησὶν, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, ὁ πάντων κοινὸς ἀγχιστεὺς ὢν, ᾧ μόνῳ καὶ τὰ τῶν ζώντων καὶ τὰ
E τῶν τετελευτηκότων ἐφεῖται βραβεύειν. Καὶ μετ' ὀλίγα. Τῶν μὲν ἑκουσίων ἀδικημάτων αὐτὸ μόνον ἰδιώτας καθαρεύειν ἐφείσθω· λεγέτω δ' εἰ βέλοιτό τις καὶ τοὺς ἄλλους ἱερεῖς· ἀμφοτέρων δ' ἑκουσίων τε καὶ ἀκουσίων κατὰ τὸν ἐξαίρετον λόγον τὸν ἀρχιερέα. προσάπτεσθαι γὰρ αὐτῷ μιάσματος συνόλως οὐ θεμιτὸν, οὔτ' ἐκ προνοίας, οὔτε κατὰ τρόπον τῆς ψυχῆς ἀβούλητον· ἵν' ἱεροφάντης ὢν κοσμῆται καθ' ἑκάτερον,
Z διανοίᾳ τε χρώμενος ἀνεπιλήπτῳ, καὶ εὐπραγίᾳ βίου, ᾧ μηδὲν ὄνειδος πρόσεισι. τῷ δὴ τοιούτῳ γένοιτ' ἀκόλουθον ὑποβλέπεσθαι καὶ τοὺς ἀκουσίως ἀπεκτονότας, οὐχ ὡς ἐναγεῖς, ἀλλ' ὡς καθαροὺς καὶ πάντως ἀμετόχους ἁμαρτήματος.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τῷ ἀκουσίως πεφονευκότι μετὰ τὴν τοῦ ἀρχιερέως τελευτὴν ὁρίζει τὴν κάθοδον; Ὅτι τοῦ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερέως ὁ
H θάνατος, λύσις τῆς ἁμαρτίας τῶν ἀνθρώπων ἐγένετο. οὗτος εἰς τὸν παράδεισον ἐπα-

(1) Ἀρχιερέως. ὁ Ἀλεξάν. κώδ. (2) Πύλας δὲ ἤνοιξε τοῖς κάτω. ἐν Τόμ. 1. μέρ. 2. σελ. 282.

ἐπανήγαγε τὸν ἐκεῖθεν ἐξορισθέντα. καὶ κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐμάλαττεν ἡ φυγὴ τοῦ πεφονευκότος τὸν τῶν ἀγχιστευόντων θυμὸν, καὶ τὴν φονικὴν ὁρμὴν αὐτῶν ἐχαλίνου. τὸ δὲ μετὰ τὴν τελευτὴν τοῦ ἀρχιερέως λυθῆναι τοῖς φεύγουσι τὴν τιμωρίαν, ἱκανὸν ἦν πεῖσαι τοὺς ἀγχιστεύοντας σβέσαι λοιπὸν τὴν ὀργὴν, ὡς τοῦ ἀρχιερέως τετελευτηκότος, ἐφ' οὗ τὸ πλημμέλημα γέγονε· καὶ τοῦ νομοθέτου ταύτην ὁρίσαντος, καὶ τῇ πλημμελείᾳ, καὶ τῇ τιμωρίᾳ τὴν λύσιν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὅρος τῆς φυγῆς τῷ πεφονευκότι θάνατος ἀρχιερέως, δηλαδὴ τὸν τοῦ Σωτῆρος θάνατον αἰνιττόμενος, τοῦ ὄντος ἱερέως (1) μεγάλου. οὐδὲ γὰρ ἄλλως ἔχει τινὰ λόγον, ἀποθανόντος τοῦ πρεσβεύειν δυναμένου, τὸν ὑπεύθυνον ἀπολύεσθαι· ὃ μᾶλλον εἰκὸς ἦν, ζῶντος καὶ πρεσβεύοντος. οὐδὲ μὴν ἐξ ἴσου τὸ τῆς ἀνέσεως ἐπὶ τοῦ πάλαι, καὶ πρὸ ὀλίγου φυγόντος: ὑποδηλοῦται δὲ καὶ κατὰ τοῦτο παλαιός τε χρόνος καὶ νέος τῶν ἐν ᾅδῃ καταχεθέντων, ἐφ' ὃν ἅπαντα ἡ Χριστοῦ ἥκει δύναμις, τοὺς κατόχους ἀνιεῖσα. πρεσβεία γὰρ μεγίστη πρὸς σωτηρίαν τῶν ἐξορίστων ἐν παραδείσῳ, Χριστὸς, ὁ τὸν ἔκβλητον ἐπανάγων ἐκ θανάτου.

κθ. Καὶ ἔσται ταῦτα ὑμῖν εἰς δι-
καίωμα κρίσεως εἰς τὰς γενεὰς ὑμῶν
λ. ἐν πάσαις ταῖς κατοικίαις ὑμῶν. Πᾶς
πατάξας ψυχὴν, διὰ μαρτύρων φο-
νεύσει τὸν φονεύσαντα, καὶ μάρτυς εἷς
οὐ μαρτυρήσει ἐπὶ ψυχὴν ἀποθανεῖν.

λα. Καὶ οὐ λήψεσθε λύτρα περὶ ψυχῆς παρὰ τοῦ φονεύσαντος τοῦ ἐνόχου ὄντος ἀναιρεθῆναι, θανάτῳ γὰρ θανατωθήσεται.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Μήτε εἰς ἄφεσιν, φησὶ, παντελῆ τοῦ ἐνόχου δῶρα δέχεσθαι, μήτε εἰς ἀποφυγὴν, τὴν τῷ ἀκουσίως φονεύσαντι διδομένην. διάφορον γὰρ τοῦτο ἐκείνου. καὶ κατὰ τὴν προαίρεσιν τὰ πράγματα κρίνεσθαι δεῖ, ἑτέρας οὔσης τῆς πράξεως, ὅταν καθ' ἑτέραν προαίρεσιν γένηται.

λβ. Οὐ λήψεσθε λύτρα τοῦ μὴ φυγεῖν (2) εἰς πόλιν τῶν φυγαδευτηρίων, τοῦ πάλιν κατοικεῖν ἐπὶ τῆς γῆς, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας.

** ΠΡΟΚΟΠΙΟΥ. Γράφεται τῶν ἀντιγράφων ἐν ἐνίοις, μὴ φυγεῖν. ἵνα ᾖ μὴ δεῖν λαβεῖν δῶρα ἐπὶ τῷ συγχωρηθῆναι τὴν οἰκείαν οἰκῆσαι γῆν, καὶ μὴ φυγεῖν.

ΣΕΥΗΡΟΥ. Τινὰ τῶν ἀντιγράφων οὐκ ἔχει τὸ, μή. κατ' ἐκεῖνα οὖν νοητέον, ἵνα ᾖ οὕτως· οὐ λήψεσθε λύτρα τοῦ διασῶσαι αὐτὸν, διὰ τοῦ παρασχεῖν ἄδειαν φυγεῖν εἰς πόλιν τῶν φυγαδευτηρίων· ὡς καὶ μετὰ τὴν τελευτὴν τοῦ ἱερέως ἀποκατασταθέντα πάλιν κατοικεῖν ἐπὶ τῆς γῆς τῆς κατασχέσεως αὐτοῦ. προσκειμένου δὲ τοῦ, μὴ, ἐκληψόμεθα αὐτὸ ἐπὶ τοῦ ἀκουσίως φονεύσαντος, ἵνα ᾖ οὕτως· οὐ λήψεσθε δῶρα συγχωρῆσαι αὐτῷ τὸν περιορισμὸν, τὸν ἐν ταῖς πόλεσι τῶν φυγαδευτηρίων, τοῦ ἐφεῖναι αὐτὸν κατοικεῖν ἐπὶ τῆς γῆς αὐτοῦ, καὶ τὸν ἕως τῆς τελευτῆς τοῦ ἱερέως χρόνον.

λγ. Καὶ οὐ μὴ φονοκτονήσητε τὴν γῆν ἐφ' ἧς ὑμεῖς κατοικεῖτε ἐπ' αὐτῆς· τὸ γὰρ αἷμα τοῦτο φονοκτονεῖ τὴν γῆν, καὶ οὐκ ἐξιλασθήσεται ἡ γῆ ἀπὸ τοῦ αἵματος τοῦ ἐκχυθέντος ἐπ' αὐτῆς, ἀλλ' ἐπὶ τοῦ αἵματος τοῦ ἐκχέοντος.

λδ. Καὶ οὐ μιανεῖτε τὴν γῆν ἐφ' ἧς κατοικεῖτε ἐπ' αὐτῆς, ἐφ' ἧς ἐγὼ κατασκηνώσω ὑμῖν· ἐγὼ γάρ εἰμι Κύριος κατασκηνῶν ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ λέγειν ἔνοχον εἶναι τὴν γῆν ἐπὶ τοῖς ἀδίκοις αἵμασι, καὶ ἱλασμοῦ χρῄζειν διὰ τῆς δικαίας κολάσεως, ὡς μιαινομένην λέγει, καὶ οὐχ ὡς αἰτίαν. „ οὐ μιανεῖτε γάρ φησι τὴν γῆν ἐφ' ἧς κατοικεῖτε ἐπ' αὐτῆς. τίμιος δὲ ἡ γῆ, διατὶ, „ ἐφ' ἧς ἐγὼ κατασκηνώσω ἐν ὑμῖν. γῆ γὰρ γῆς ἀδιάφορος περὶ καθαρότητα. Θεοῦ δὲ παρουσίαν ὑποδεξαμένη, καθαρὰ καὶ ἁγία.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Τῆς γῆς μιασμὸς, ἀδικία· ὥσπερ κάθαρσις, δικαιοσύνη.

ΑΔΗΛΟΥ. Διὰ τοῦτο καὶ καθαρὰν δεῖ αὐτὴν φυλάττεσθαι, διὰ τὸν παρ' αὐτῇ ἐνόντα Θεόν.



ΚΕΦ.

(1) Ἀρχιερέως. ὁ Ἀλεξάν. κώδ.

(2) Τοῦ φυγεῖν. ὁ Ἀλεξάν. κώδ. ὡσαύτως καὶ αἱ εἰρημ. ἐκδόσ.

ΚΕΦ. ΛϚ.

α. Καὶ προσῆλθον οἱ ἄρχοντες πατριῶν φυλῆς υἱῶν Γαλαὰδ υἱοῦ Μαχὶρ υἱοῦ Μανασσῆ ἐκ τῆς φυλῆς υἱῶν Ἰωσὴφ, καὶ ἐλάλησαν ἔναντι Μωϋσῆ, καὶ ἔναντι Ἐλεάζαρ τοῦ ἱερέως, καὶ ἔναντι τῶν ἀρχόντων οἴκων πατριῶν υἱῶν Ἰσραὴλ,

β. Καὶ εἶπαν, τῷ κυρίῳ ἡμῶν ἐνετείλατο Κύριος ἀποδοῦναι τὴν γῆν τῆς κληρονομίας ἐν κλήρῳ τοῖς υἱοῖς Ἰσραήλ· καὶ τῷ κυρίῳ συνέταξε Κύριος δοῦναι τὴν κληρονομίαν Σαλπαὰδ τοῦ ἀδελφοῦ ἡμῶν ταῖς θυγατράσιν αὐτοῦ.

γ. Καὶ ἔσονται ἑνὶ τῶν φυλῶν υἱῶν Ἰσραὴλ γυναῖκες· καὶ ἀφαιρεθήσεται ὁ κλῆρος αὐτῶν ἐκ τῆς κατασχέσεως τῶν πατέρων ἡμῶν, καὶ προστεθήσεται εἰς τὴν κληρονομίαν τῆς φυλῆς, ἧς ἂν γένωνται γυναῖκες, καὶ ἐκ τοῦ κλήρου τῆς κληρονομίας ἡμῶν ἀφαιρεθήσονται. (1)

** ΠΡΟΚΟΠΙΟΥ. Ἕτερος ἐκ μερικοῦ πράγματος καθολικὸς ἐκφέρεται νόμος, οὐχ ὡς Θεοῦ τὴν χρείαν προαγνοήσαντος, τὴν ἐπὶ καιροῦ δὲ περιμείναντος θέσιν, ὡς ἐπὶ τοῦ βλασφήμου, καὶ τοῦ τὸ σάββατον μὴ τηρήσαντος, καὶ τῶν τοῦ Σαλπαὰδ θυγατέρων. ἀλλὰ τότε μὲν ἐσιώπησαν εὐλαβῶς οἱ τούτων ὁμόφυλοι, δείσαντες τὴν ἐρώτησιν, μὴ καὶ δόξῃ κώλυμα τοῦ ἐπιτάγματος· νῦν δὲ ταύτην προσάγουσι προνοίᾳ τοῦ μέλλοντος, μὴ καὶ πρόφασις γένηται συγχύσεως τῶν φυλῶν, εἰ θυγατέρες κληρονομοῦσαι μὴ γαμοῖντο τοῖς ὁμοφύλοις· ὅτε μηδὲ χώραν εἶχεν ἡ ἐκ τοῦ Ἰωβηλαίου τῶν κλήρων ἀναστροφή. διὸ νομοθετεῖ Θεὸς, καίτοι προγνοὺς πάλαι τοῦ νόμου τὴν χρείαν. οὕτω Χριστὸς πρὸς τὴν Ἰαείρου κληθεὶς θυγατέρα οὐ προλέγει ταύτης τὸν θάνατον, ὃν γεγονότα ἰάσατο· οὐ γὰρ εἰς ἐπίδειξιν ἀνθρώπου τὰ παρὰ Θεοῦ· φυλάττει δὲ τὸ οἰκεῖον τῇ ἀξιώσει, νῦν μὲν ἰὼν φιλανθρώπως ὡς ἐπισκεψόμενος, νῦν δὲ ἀνιστῶν τελευτήσασαν.

δ. Ἐὰν δὲ γένηται ἡ ἀφαίρεσις τῶν υἱῶν Ἰσραὴλ, καὶ προστεθήσεται ἡ κληρονομία αὐτῶν ἐπὶ τὴν κληρονομίαν τῆς φυλῆς, ἧς ἂν γένωνται γυναῖκες, καὶ ἀπὸ τῆς κληρονομίας φυλῆς πατριᾶς ἡμῶν ἀφαιρεθήσεται ἡ κληρονομία αὐτῶν.

ΣΕΥΗΡΟΥ. Ἐὰν δὲ, φησὶν, ἐπὶ πάντων τῶν υἱῶν Ἰσραὴλ τοῦτο κρατήσῃ, τὸ προφάσει τῆς ἐπιγαμίας μετατίθεσθαι κληρονομίαν ἀπὸ φυλῆς ἐπὶ ἑτέραν φυλὴν, καὶ ἡμεῖς στέρξομεν τὴν ἀφαίρεσιν.

ε. Καὶ ἐνετείλατο Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ διὰ προστάγματος Κυρίου, λέγων, οὕτω φυλὴ υἱῶν Ἰωσὴφ λέγουσι.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Προνοητικὸν μὲν οὖν τὸ τῶν προσελθόντων, εὐλαβὲς δὲ τὸ Μωσέως. οὐδὲ γὰρ ἀφ' ἑαυτοῦ τὴν ἀπόκρισιν ἔδωκεν, ἀλλ' ἐπερωτᾷ Θεὸν εἰκότως. Θεοῦ γὰρ τὸν νόμον δόντος, ἀκόλουθον μὴ ἄνευ Θεοῦ καὶ τὰ τοιαῦτα διαπράττεσθαι. (2) ἐσφάλησάν γε μὴν ποτὲ μὴ ἐπερωτήσαντες, ὡς ἐπὶ τῶν Γαβαωνιτῶν. δέον ἐν πᾶσιν ὁδηγουμένους κατὰ πρόσταγμα Θεοῦ, μηδὲ τοῦτο ἄνευ Θεοῦ ποιεῖν. Μωϋσῆς μὲν οὖν ἐπερωτᾷ, Θεοῦ δὲ πρόσταγμα δίδοται.

ϛ. Τοῦτο τὸ ῥῆμα ὃ συνέταξε Κύριος ταῖς θυγατράσι Σαλπαὰδ, λέγων, οὗ ἀρέσκει ἐναντίον αὐτῶν, ἔστωσαν γυναῖκες, πλὴν ἐκ τοῦ δήμου τοῦ πατρὸς αὐτῶν ἔστωσαν γυναῖκες.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐ διὰ τὰ συμβαίνοντα καὶ τὰς ἐρωτήσεις νομοθετεῖ Θεὸς, καθάπερ ἄνθρωπος ἀγνοῶν· ἀλλὰ προειδὼς ἀναμένει τοὺς καιροὺς, ἵνα πρὸς τὸ πρᾶγμα νομοθετήσῃ, καὶ οὐ πρὸς τὴν χρείαν ὁρίσῃ τὰ τοιαῦτα πράγματα.

ΤΟΥ ΑΥΤΟΥ. Βεβιασμένη γὰρ συνάφεια πρὸς διάλυσιν ὁδεύει. » ὃ δὲ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. (Μάρ. 10. 9.) Χριστοῦ ῥῆμα. πλὴν περιορίζει τὴν ἐξουσίαν τῇ φυλῇ, μὴ ὑπερβαίνειν κελεύων εἰκότως. ὁπότε παρεκτὸς τοῦ ἔθνους οὐκ ἔδωκεν ἐπιγαμίας, προνοούμενος μένειν αὐτοὺς ἐπὶ τῆς θεοσεβείας, καὶ μὴ διὰ τῶν γυναικῶν μεθίστασθαι πρὸς εἴδωλα· ἀκόλουθον καὶ τῆς διαιρέσεως εἵνεκα τῶν φυλῶν, ὥστε ἀσύγχυτον αὐτὴν εἶναι, κωλῦσαι τὰς ἔξω φυλῆς ἑκάστης ἐπιγαμίας.

ΩΡΙΓΕΝΟΥΣ. Προστάττει οὖν ὁ Θεὸς, πλὴν τῆς Ἰούδα καὶ τῆς Λευῒ, μὴ ἐξεῖναι ἀπὸ φυλῆς εἰς φυλὴν συνάπτεσθαι, ἵνα μὴ ξένον τοῦ Σωτῆρος δειχθῇ ἄνωθεν ἐρχόμενον, τὸ, βασιλεὺς καὶ ἱερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

ζ. Καὶ οὐχὶ περιστραφήσεται ἡ κληρονομία τοῖς υἱοῖς Ἰσραὴλ ἀπὸ φυλῆς ἐπὶ φυλὴν, ὅτι ἕκαστος ἐν τῇ κληρονομίᾳ τῆς φυλῆς τῆς πατριᾶς αὐτοῦ προσκολληθήσονται οἱ υἱοὶ Ἰσραήλ.

ΣΕΥΗ-

(1) Ἀφαιρεθήσεται. αἱ ἐσημ. ἐκδόσ.

(2) Διατάττεσθαι. ὁ Ἀλεξάν. κώδ.

ΣΕΥΗΡΟΥ. Διὰ τοῦτον τὸν νόμον καὶ
ὁ Ἰωσὴφ, φύλαξ τῶν τοῦ Θεοῦ προσαγμά-
των ὑπάρχων· τοῦτο γὰρ ἐπεσημῄνατο καὶ
Ματθ. 1. 19. ὁ Εὐαγγελιστὴς, εἰπὼν, ὡς ἀνὴρ δίκαιος
Λουκ. 2. 4. ὤν· καὶ ἐκ τῆς Ἰούδα φυλῆς, καὶ ἐξ οἴκου
» καὶ πατριᾶς Δαβὶδ, ὡς γέγραπται, κα-
ταγόμενος, ἐκ τῆς φυλῆς καὶ συγγενείας
ἐμνηστεύσατο τὴν Παρθένον. ὥστε τὴν γε-
νεαλογίαν αὐτοῦ, τῆς Μαρίας εἶναι γενεα-
λογίαν· ἐξ ἧς ἀσπόρως ἐτέχθη Χριστὸς ὁ
σωτὴρ ἡμῶν. καὶ οὕτω καὶ τὸ τῆς Γραφῆς
ἔθος ἐφυλάχθη, μὴ γενεαλογούσης γυναῖ-
κας· καὶ ἐκ τούτου παραβεβλάφθαι μηδὲν
τὴν ἀλήθειαν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἀπὸ ἀνδρῶν ἤρξατο· προηγούμενον γὰρ τοῦτο· ἐπάγει δὲ καὶ τὸ προκείμενον, τὸ τῶν γυναικῶν.

η. Καὶ πᾶσα θυγάτηρ ἀγχιστεύουσα κληρονομίαν φυλῶν υἱῶν Ἰσραὴλ, ἑνὶ τῶν ἐκ τοῦ δήμου τοῦ πατρὸς αὐτῆς ἔσονται γυναῖκες, ἵνα ἀγχιστεύσωσιν οἱ υἱοὶ Ἰσραὴλ ἕκαστος τὴν κληρονομίαν τὴν πατρικὴν αὐτοῦ.

θ. Καὶ οὐ περιστραφήσεται ὁ κλῆρος ἐκ τῆς φυλῆς ἐπὶ φυλὴν ἑτέραν, ἀλλ᾽ ἕκαστος ἐν τῇ κληρονομίᾳ αὐτοῦ προσκολληθήσονται αἱ φυλαὶ τῶν υἱῶν Ἰσραήλ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν τὰς φυλὰς διακεκρίσθαι προσέταξεν; Ἵνα ἀκέραιον διαφυλαχθῇ τοῦ Ἰούδα τὸ σπέρμα· δι᾽ οὗ τὴν εὐλογίαν τοῖς ἔθνεσιν ὁ Θεὸς ἐπηγγείλατο. ἐκοινώνησαν μέντοι ἀλλήλαις ἡ βασιλικὴ καὶ ἡ ἱερατικὴ φυλή· ἐπειδὴ καὶ ἀρχιερεὺς κατὰ τὸ ἀνθρώπειον, καὶ βασιλεὺς ὁ δεσπότης Χριστός.

ΑΔΗΛΟΥ. Δεῖ γὰρ τὰ τεχθέντα μένειν ἀκίνητα. μὴ συγχύσθαι δὴ κελεύει τὰς τῶν φυλῶν διαιρέσεις.

A ι. Ὃν τρόπον συνέταξε Κύριος
πρὸς Μωϋσῆν, οὕτως ἐποίησαν θυ-
ια. γατέρες Σαλπαάδ. Καὶ ἐγένοντο
Μααλὰ καὶ Θερσὰ καὶ Αἰγλὰ καὶ
Μελχὰ καὶ Νουὰ θυγατέρες Σαλ-
ιβ. παὰδ τοῖς ἀνεψιοῖς αὐτῶν. Ἐκ τοῦ
δήμου Μανασσῆ υἱῶν Ἰωσὴφ ἐγενήθη-
σαν γυναῖκες. καὶ ἐγενήθη ἡ κλη-
ρονομία αὐτῶν ἐπὶ τὴν φυλὴν δήμου
B τοῦ πατρὸς αὐτῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἱστορεῖται δὲ ἐνταῦθα, ὅτι πεφύλακται τὸ πρόσταγμα, καὶ τοῖς ἀνεψιοῖς αἱ γυναῖκες ἐγαμήθησαν. καὶ
» ἐγενήθη, φησὶν, ἡ κληρονομία αὐτῶν ἐπὶ
» τὴν φυλὴν τοῦ δήμου τοῦ πατρὸς αὐτῶν.

ιγ. Αὗται αἱ ἐντολαὶ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ἃ ἐνε-
Γ τείλατο Κύριος ἐν χειρὶ Μωϋσῇ ἐπὶ δυσμῶν Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ.

ΑΔΗΛΟΥ. Ἀλλ᾽ ὁ μὲν Ἰσραὴλ ταῦτα διὰ τοῦ θεσπεσίου Μωϋσέως δεξάμενος παρὰ τοῦ φιλανθρώπου Θεοῦ, οὐκ ἐφύλαξεν; ἀλλὰ παραβάτης γέγονε τῶν θείων ἐντολῶν· ἡμεῖς δὲ τὰς παρὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ τῆς πα-
Δ λαιᾶς καὶ καινῆς διαθήκης σὺν τῷ πατρὶ νομοθέτου, ἐντολὰς καὶ δικαιώματα φυλάξωμεν, καὶ ἀξίους αὐτοὺς ἀπεργασώμεθα πρὸς τὴν τῶν μελλόντων αἰωνίων καὶ ἀπεράντων ἀγαθῶν ὑποδοχήν. χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου καὶ Θεοῦ, βασιλέως πάντων ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ πρέπει δόξα, τιμὴ, κράτος, μεγαλοπρέπεια ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς
E τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

ΤΕΛΟΣ ΤΩΝ ΑΡΙΘΜΩΝ.



ΔΕΥ-



ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ

ΜΩΣΕΩΣ ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΘΕΟΠΤΟΥ ΚΑΙ ΝΟΜΟΘΕΤΟΥ ΣΥΓΓΡΑΦΗΣ

ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὸ πέμπτον βιβλίον τοῦ νομοθέτου Δευτερονόμιον ἐκλήθη;
Ἐξαγαγὼν ἐξ Αἰγύπτου τὸν λαὸν ὁ δεσπότης Θεὸς, ἔδωκεν ἐν τῷ Σινᾷ ὄρει τὸν νόμον,
καθ' ὃν ἐχρῆν αὐτοὺς πολιτεύεσθαι. εἶτα τῷ δευτέρῳ ἔτει προσέταξε παραλαβεῖν τὴν
γῆν, ἣν τοῖς προγόνοις αὐτῶν ἐπηγγείλατο δώσειν. ἐκείνων δὲ ἀντειρηκότων, καὶ τοῦτο
δρᾶσαι μὴ βουληθέντων, ὤμοσε μηδενὶ τῶν ἀριθμηθέντων δώσειν ἐκείνην τὴν γῆν, ἀλλὰ
τούτους ἅπαντας ἐν τῇ ἐρήμῳ καταναλώσειν. τεσσαράκοντα τοίνυν διεληλυθότων ἐτῶν,
ἐκέλευσε τοὺς ἐκείνων ἀριθμηθῆναι παῖδας, τὴν αὐτὴν ἄγοντας ἡλικίαν, ἥνπερ ἦγον
ἐκεῖνοι καθ' ὃν ἠριθμήθησαν χρόνον. τούτους μέλλων εἰσαγαγεῖν ὁ Θεὸς εἰς ἣν ἐπηγγεί-
λατο γῆν, διδάσκει αὐτοὺς διὰ τοῦ Προφήτου τὸν νόμον, ὃν τοῖς παρανόμοις αὐτῶν ἐδεδώκει
πατράσι. τὸ τοίνυν Δευτερονόμιον ἀνακεφαλαίωσιν ἔχει τῶν ἐν τῇ Ἐξόδῳ, καὶ τῷ Λευϊ-
τικῷ, καὶ τοῖς Ἀριθμοῖς νενομοθετημένων τε καὶ πεπραγμένων. λέγει δὲ καὶ τὸν χρόνον,
καὶ τὸν τόπον, καθ' ὃν καὶ ἐν ᾧ τῇ νεολαίᾳ ταύτῃ τὴν διδασκαλίαν προσήνεγκε. πέραν
» γάρ φησι τοῦ Ἰορδάνου ἐν τῇ ἐρήμῳ πρὸς δυσμαῖς, ἐν τῷ τεσσαρακοστῷ ἔτει ἐν τῷ ἑνδεκάτῳ Δευτ. 1. 1, 3, 4.
» μηνὶ μιᾷ τοῦ μηνὸς, μετὰ τὸ πατάξαι αὐτὸν τὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων, καὶ
τὸν Ὢγ βασιλέα τῆς Βασάν. καὶ ὅτι οὐ δεύτερον νόμον δέδωκεν, ἀλλὰ τῆς προτέρας
» ἀναμιμνήσκει νομοθεσίας, αὐτὸ διδάσκει τὸ τοῦ βιβλίου προοίμιον. ἤρξατο γάρ φησι Μωϋ- Δευτ. 1. 5, 6.
» σῆς διασαφῆσαι τὸν νόμον τοῦτον, λέγων, Κύριος ὁ Θεὸς ἡμῶν ἐλάλησεν ἡμῖν ἐν Χωρήβ.
εἶτα εἰρηκὼς, καὶ ὡς προσέταξεν αὐτοὺς κληρονομῆσαι τὴν γῆν, ἐπήγαγεν· ὡς κατ'
ἐκεῖνον εἴρηκε τὸν καιρὸν, ὅτι μόνος ἐγὼ τοσούτων προστατεύειν οὐ δύναμαι μυριάδων· καὶ
» διὰ τοῦτο κατέστησά φησι χιλιάρχους καὶ ἑκατοντάρχους, ὥστε ἔχειν αὐτοὺς τῆς ἀρχῆς Δευτ. 1. 15.
κοινωνούς. τούτων δὲ τῶν λόγων ἀνέμνησεν, ἐπειδήπερ Ἰησοῦν τὸν τοῦ Ναυῆ κατέστησε
τῆς ἡγεμονίας διάδοχον· διδάσκων, ὡς καὶ ἔτι περιὼν, ἑτέροις τὴν προστασίαν ἐπίστευσε,
καὶ ὅτι χρὴ καὶ τούτῳ προθύμως ὑπακούειν, καὶ τὰ κελευόμενα δρᾶν. ἀναμιμνήσκει δὲ
αὐτοὺς, ὅπως μὲν ὁ Θεὸς προσέταξε παραλαβεῖν αὐτοὺς ἣν ἐπηγγείλατο γῆν· ὅπως δὲ
κατασκόπους αὐτοὶ πεμφθῆναι προτέρους ἠξίωσαν· καὶ ὅτι ἐκείνων ἐπανελθόντων, καὶ
τὰ περὶ τῆς γῆς μεμηνυκότων, ἠπίστησαν μὲν τῷ σεσωκότι Θεῷ, ἀπολαβεῖν δὲ τὴν γῆν
οὐκ ἠθέλησαν· ὡς χαλεπῆναι μὲν τὸν δεσπότην Θεὸν, ἀποφήνασθαι δὲ κατὰ πασῶν
ἐκείνων τῶν μυριάδων, ὥστε μηδένα ἐκείνων εἰς ἐκείνην τὴν γῆν εἰσελθεῖν, πλὴν Χάλεβ Δευτ. 1. 36,
» υἱοῦ Ἰεφοννῆ. οὗτος, φησὶν, ὄψεται αὐτὴν, καὶ τούτῳ δώσω τὴν γῆν ἐφ' ἣν ἐπέβη, καὶ 37.
» τοῖς υἱοῖς αὐτοῦ, διὰ τὸ προσκεῖσθαι αὐτὸν τὰ πρὸς τὸν Κύριον. τούτου μέντοι ἐμνημόνευσε
μόνου, καὶ τὸν Ἰησοῦν οὐ συνέταξεν, (1) ὡς ἄρχοντα, καὶ στρατηγὸν, καὶ προφήτην. τοῦτο
» γὰρ δηλοῖ τὰ ἑξῆς. εἰπὼν γὰρ, ὅτι κἀμοὶ ὠργίσθη δι' ἡμᾶς ὁ δεσπότης Θεὸς ἡμῶν· ὑμῶν
γάρ με θορυβησάντων, οὐ κατὰ λόγον τῷ θείῳ προστάγματι διηκόνησα, καὶ τούτου χάριν
εἰσαγαγεῖν ὑμᾶς εἰς τὴν γῆν ἐκείνην κεκώλυμαι. ἀνέμνησε δὲ τῶν παρὰ Θεοῦ πρὸς αὐτὸν
» εἰρημένων· Ἰησοῦς υἱὸς Ναυῆ ὁ παρεστηκώς σοι, οὗτος εἰσελεύσεται ἐκεῖ. αὐτὸν κατίσχυσον, Δευτ. 1. 38.
» ὅτι αὐτὸς κατακληρονομήσει αὐτὴν τῷ Ἰσραήλ. ταῦτα δὲ λέγει διδάσκων αὐτοὺς, ὡς
θεόθεν ὁ στρατηγὸς τὴν χειροτονίαν ἐδέξατο, ἵνα μὴ πάλιν περὶ τῆς ἀρχῆς στασιάσωσι.
διηγεῖται δὲ αὐτοῖς, ὅπως μὲν ὕστερον μεταμεληθέντες, ἐβουλήθησαν πολεμῆσαι τοῖς
Χαναναίοις· ὅπως δὲ αὐτοὺς ὁ Θεὸς διεκώλυσε. καὶ ὅτι θρασυνόμενοι, καὶ παρὰ τὴν
θείαν ἐντολὴν ἀναβάντες καὶ ἡττηθέντες ἐπανῆλθον. καὶ ὅσον ἐν τῇ ἐρήμῳ κατηνά-
λωσαν χρόνον, τὴν ἄβατον ἐκείνην γῆν καὶ ἄνυδρον περιϊόντες. τίνα τε Ἰδουμαίοις καὶ
Μωαβίταις δεδηλωκότες, φιλικῶν οὐκ ἔτυχον ἀποκρίσεων. καὶ ὅπως τὸν Σηὼν καὶ τὸν
Ὢγ,

(1) Καὶ τὸν Ἰησοῦν ἔταξεν ὡς ἄρχοντα. ἡ ἐν Χάλ. ἔκδοσ.

Ὢγ, τοὺς βασιλέας τῶν Ἀμοῤῥαίων πανστρατιᾷ μετὰ τῶν τὰς πόλεις καὶ κώμας οἰκούν-
» των πανωλεθρίᾳ παρέδοσαν. εἶπε δὲ αὐτῶν καὶ τὸ τοῦ σώματος μέγεθος. ἡ γὰρ κλίνη,
» Φησὶν, Ὢγ σιδηρᾶ. ἐννέα πηχῶν τὸ μῆκος αὐτῆς, καὶ τεσσάρων πηχῶν τὸ εὖρος αὐτῆς.
ἔπειτα παρῄνεσε καὶ συνεβούλευσε Φυλάττειν ἐπιμελῶς τοῦ δεσπότου τὰς ἐντολάς. ἄκουε
» γὰρ Φησιν Ἰσραὴλ τῶν δικαιωμάτων καὶ τῶν κριμάτων, ὅσα ἐγὼ διδάσκω ὑμᾶς σήμερον
» ποιεῖν, ἵνα ζῆτε, καὶ εἰσελθόντες κληρονομήσητε τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς τῶν πατέ-
ρων ὑμῶν δίδωσιν ὑμῖν. εἶτα ἀναγκαίως τοῦ ΒεελΦεγὼρ εἰς μέσον Φέρει τὴν μνήμην,
καὶ τῶν δι᾽ ἐκείνην τὴν ἀσέβειαν ἐν τῇ ἐρήμῳ διολωλότων. ἔπειτα ἐκ παραλλήλου δείκνυσι
» τὰς θείας εὐεργεσίας. ποῖον γὰρ Φησιν ἔθνος μέγα, ᾧ ἐστὶν αὐτῷ Θεὸς ἐγγίζων αὐτοῖς,
» ὡς Κύριος ὁ Θεὸς ἡμῶν ἐν ἅπασιν οἷς ἐὰν αὐτὸν ἐπικαλεσώμεθα; κελεύει δὲ μὴ μόνον
αὐτοὺς Φυλάττειν τοῦ Θεοῦ τοὺς νόμους, ἀλλὰ καὶ τοὺς παῖδας καὶ τοὺς ἐκγόνους ἐν εὐσεβείᾳ
ἀνατρέΦειν, καὶ παιδόθεν τὰς θείας ἐντολὰς ἐκπαιδεύειν. εἶτα ἐπάγει, ὡς ὁ τῶν ὅλων
αὐτοῖς ἐπέΦανε Θεὸς, λόγους μὲν διὰ πυρὸς ἀΦιεὶς, οὐδὲν δὲ εἶδος ἐπιδεικνύς. τοῦτο γὰρ
» ἔΦη· ἐκ μέσου τοῦ πυρὸς Φωνὴν ῥημάτων ὑμεῖς ἠκούσατε· καὶ ὁμοίωμα οὐκ ἴδετε, ἀλλ᾽ ἢ
Φωνήν. ταῦτα δὲ λέγει παιδεύων αὐτοὺς μηδὲν ἴνδαλμα τεκταίνεσθαι, μηδὲ πειραθῆναί
ποτε θείαν εἰκόνα κατασκευάσαι, ἐπειδὴ τοῦ ἀρχετύπου τὸ εἶδος οὐχ ἑωράκασιν. ὅθεν
» πάλιν ἐπήγαγε· μὴ ἀνομήσητε, μηδὲ ποιήσητε ὑμῖν αὐτοῖς γλυπτὸν ὁμοίωμα, πᾶσαν
» εἰκόνα, ὁμοίωμα ἀρσενικοῦ ἢ θηλυκοῦ. ὁμοίωμα παντὸς κτήνους τῶν ὄντων ἐπὶ τῆς γῆς·
» ὁμοίωμα παντὸς ὀρνέου πετομένου, ὃ πέταται ὑπὸ τὸν οὐρανόν· ὁμοίωμα παντὸς ἑρπετοῦ,
» ὃ ἕρπει ἐπὶ τῆς γῆς· ὁμοίωμα παντὸς ἰχθύος, ὅσα ἐστὶν ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς.
ταῦτα πάντα Φησὶν εἰς χρείαν ἡμετέραν πεποίηκεν ὁ Θεός. ἀνοίας τοίνυν ἐσχάτης τὸ
» τὰς εἰκόνας τῶν ὑπηκόων θεοποιεῖν. προσέθηκε δὲ καὶ ταῦτα· μὴ ἀναβλέψας εἰς τὸν
» οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς
» προσκυνήσῃς αὐτοῖς, ἃ ἀπένειμε Κύριος ὁ Θεός σου ταῦτα (1) πᾶσι τοῖς ἔθνεσι τοῖς ὑπο-
κάτω τοῦ οὐρανοῦ. ταῦτα [γάρ] Φησιν εἰς τὴν τῶν ἀνθρώπων κατεσκεύασε χρείαν ὁ ποιη-
τής. μὴ τοίνυν ὑπολάβῃς Θεοὺς τοὺς ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων ἀΦορισθέντας, ὥστε ταῖς
» χρείαις τῶν ἀνθρώπων διακονεῖν. οὕτω γὰρ καὶ οἱ Λοιποὶ ἡρμήνευσαν· ἅτινα διεκόσμησεν
» ὁ Θεὸς εἰς τοὺς λαοὺς ὑΦ᾽ ὅλον τὸν οὐρανόν. εἶτα δεδίττεται αὐτοὺς ταῖς ἀπειλαῖς, ὡς εἰ
τολμήσαιεν τὸν θεῖον παραβῆναι νόμον, καί τινος τῶν ὄντων ὁμοίωμα κατασκευάσαι καὶ
θεοποιῆσαι, εἰς πᾶσαν αὐτοὺς διασπερεῖ τὴν γῆν, καὶ ὡς δουλεύοντες τοῖς ψευδωνύμοις
Θεοῖς προσκυνήσουσιν. ἔπειτα πάλιν ἀπὸ συγκρίσεως δείκνυσι τὸ παντοδύναμον τοῦ Θεοῦ.
» ἐπερωτήσατε γὰρ Φησιν ἡμέρας ἀρχαίας, τὰς γενομένας προτέρας σου ἀπὸ τῆς ἡμέρας
» ἧς ἔκτισεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, ἐπὶ τὸ ἄκρον τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ,
» εἰ γέγονε κατὰ τὸ ῥῆμα τοῦτο, εἰ ἠκούσατε τοιοῦτον. εἰ ἀκήκοεν ἔθνος Φωνὴν Θεοῦ ζῶντος
» λαλοῦντος ἐκ μέσου τοῦ πυρὸς, ὃν τρόπον ἀκήκοας σὺ καὶ ἔζησας. ἔΦη δὲ καὶ ὅπως αὐτοὺς
ἠλευθέρωσε τῆς πικρᾶς τῶν Αἰγυπτίων δουλείας. συνεχῶς μέντοι διδάσκει αὐτοὺς, καὶ
ὡς οὐρανόθεν αὐτοῖς ὁ τῶν ὅλων διηλέχθη Θεὸς, ἐκ μέσου τε τοῦ πυρὸς Φωνῇ κεχρημένος
νενομοθέτηκεν, ἵνα μηδεμίαν εἰκόνα κατασκευάσωσι τοῦ ἀοράτου Θεοῦ. διδάσκει δὲ καὶ ὡς
πάμπαν ἀμήχανον θείαν εἰκόνα κατασκευάσαι. οὐ γὰρ μόνον ἀόρατον ἔχει τὴν Φύσιν,
» ἀλλὰ καὶ πάμπαν ἀπερίγραπτον. Κύριος γὰρ Φησιν ὁ Θεός σου, οὗτος Θεὸς ἐν τῷ οὐρανῷ
» ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ οὐκ ἔστι πλὴν αὐτοῦ. ἰστέον μέντοι, ὡς οὐκ ἐν ἡμέρᾳ μιᾷ
ταῦτα πάντα ὁ ΠροΦήτης τῷ λαῷ διηλέχθη, ἀλλ᾽ ἐν πολλαῖς αὐτοῖς ἡμέραις τὴν δι-
δασκαλίαν προσήνεγκεν. ὅθεν πολλάκις τοὺς αὐτοὺς λόγους ἀνακυκλοῖ, ἵνα τῇ συνεχείᾳ
παγίαν τὴν μνήμην ἐργάσηται. αὐτίκα γοῦν μετὰ τὴν διάλεξιν ταύτην, τὰ περὶ τῶν
πόλεων ἱστόρηκεν, εἰς ἃς καταΦεύγειν τοὺς ἀκουσίοις περιπεπτωκότας Φόνοις ἐκέλευσεν.
εἶτα ἐδίδαξεν ὅτι πάλιν συνήθροισε τὸν λαὸν, καὶ τῶν θεοσδότων ἀνέμνησε νόμων. καὶ
ὅτι οὐχ ἕτερον δέδωκε νόμον, ἀλλὰ τὸν πρότερον ἐκπαιδεύει τοὺς τῆς νομοθεσίας ἐκείνης
διὰ τὸ τῆς ἡλικίας ἀτελὲς ἐπακοῦσαι μὴ δυνηθέντας, αὐτὰ διδάξει τοῦ ΠροΦήτου τὰ ῥή-
» ματα. Κύριος γὰρ Φησιν ὁ Θεὸς ἡμῶν διέθετο πρὸς ὑμᾶς διαθήκην ἐν Χωρήβ. οὐχὶ τοῖς
» πατράσιν ὑμῶν διέθετο Κύριος τὴν διαθήκην ταύτην, ἀλλὰ πρὸς ὑμᾶς. ἐπειδὴ γὰρ
ἐκεῖνοι παραβάντες διώλοντο, τούτοις δὲ τὴν τοῖς πατράσιν ἐπηγγελμένην ἐδίδου γῆν,
τούτοις ἔΦη τὸν νόμον δεδόσθαι. εἶτα λέγει τὰς ἐντολὰς, ὧν τὸν νοῦν ἀνεπτύξαμεν, τὴν
Ἔξοδον ἑρμηνεύοντες. ἔδειξε δὲ κἀνταῦθα τὸν τῆς ἀργίας τοῦ σαββάτου σκοπόν. ἔΦη
» γὰρ, ἵνα ἀναπαύσηται ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, καὶ τὸ ὑποζύγιόν σου. καθάπερ,
Φησὶ, σὺ τούτου ἀπολαύεις διαπαντὸς, οὕτως ἅπαξ γοῦν ἀπολαυσάτωσαν ἐν ταῖς ἑπτὰ
τῆς ἑβδομάδος ἡμέραις οἱ θεράποντες, καὶ αἱ θεράπαιναι, καὶ τὰ ὑποζύγια. ἔπειτα
» τῇ μνήμῃ τῆς ἐν Αἰγύπτῳ δουλείας τὴν συμπάθειαν πραγματεύεται. ὅτι οἰκέτης, Φησὶν,
» ἦσθα ἐν Αἰγύπτῳ, καὶ ἐξήγαγέ σε Κύριος ἐκεῖθεν ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι
» ὑψηλῷ. διὰ τοῦτο συνέταξε Κύριος ὁ Θεός σου ὥστε Φυλάττεσθαί σε τὴν ἡμέραν τῶν σαβ-
βάτων καὶ ἁγιάζειν αὐτήν. τῇ πείρᾳ μεμάθηκας τὸ τῆς δουλείας πικρόν· ἐκείνων ἀνα-
μιμνησκόμενος, ἥμερος γενοῦ τοῖς ὑπηκόοις καὶ πρᾶος, καὶ ἧς ἀπολαύεις ἀναπαύλης
διηνεκῶς, μετάδος τούτοις ἐν τῇ ἑβδόμῃ τῆς ἑβδομάδος ἡμέρᾳ. ἐν δὲ τοῖς μετὰ ταῦτα
» τὸ πνευματικὸν οὐκ ἀπηγόρευσεν ἔργον. ἔΦη γὰρ, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε,
πλὴν

(1) Αὐτά. ἡ ἐν Χάλ. καὶ αἱ εἰρημ. ἐκδόσ.

πλὴν ὅσα ποιηθήσεται ἐπὶ τῇ ψυχῇ. οἷον ἀναγνώσεις, θείων λόγων ἀκροάσεις, μωδίας, ἱερουργίας, καὶ τὰ τούτοις ὅμοια.

ΑΔΗΛΟΥ. Τὸ Δεύτερονόμιον πέμπτον μὲν ἐστι βιβλίον τῆς μωσαϊκῆς ἀναγ ὠνόμασται δὲ Δευτερονόμιον, οὐκ ἐπειδὴ Μωϋσῆς δεύτεροῖ τὰ τοῦ Θεοῦ, εἰ καὶ δεύτερο ἐπειδὴ τῇ δευτέρᾳ γενεᾷ τῇ μετὰ τοὺς ἀνῃρημένους Ἰσραηλίτας εἴρηται, τοῦτε Δευτερονόμιον λέγεται. τὰ πολλὰ δὲ τῶν προειρημένων ἀναλαμβάνει, καὶ ἕτερα τοις ἀναγκαίως προστίθησιν, ὡς καιρὸς ἦν πρὸς ἀσφάλειαν τῶν νομοθετουμένων
„ παριέναι μελλόντων τὸν Ἰορδάνην. ἐδόθη δὲ τὸ Δευτερονόμιον πέραν τοῦ Ἰορδάνο
„ ἐρήμῳ πρὸς δυσμαῖς πλησίον τῆς ἐρυθρᾶς θαλάσσης, μετὰ τὴν ἀναίρεσιν τῶν β σιλέων, τοῦτε Σηὼν καὶ τοῦ Ὤγ. χρόνος δὲ ἦν ὁ τεσσαρακοστὸς, ἀφ᾽ οὗ ἐξῆλθον Αἰγύπτου· καὶ τοῦτο δέκατος πρῶτος μὴν, ὅτε Μωϋσῆς ἐλάλησε πρὸς τοὺς υἱοὺς κατὰ πάντα ὅσα ἐνετείλατο αὐτῷ Κύριος πρὸς αὐτοὺς εἰπεῖν. ἃ μὲν ἐλάλησεν Χωρὴβ ἐκ μέσου τοῦ πυρὸς, ἐν ἀρχῇ τοῦ τεσσαρακοστοῦ ἔτους ἐφθέγξατο. πάνυ δ σέχειν δεῖ, ὅτι οὐκ ἐπειδὴ τὰ τοῦ Θεοῦ ἐλάλησε Μωϋσῆς, Δευτερονόμιον λέγεται. τοῦτο ἦν, οὐδὲν ἐκώλυε καὶ τὰ ἄλλα βιβλία ταύτην ἔχειν τὴν ἐπιγραφήν. Θεοῦ γὰ καλύψεις μικροῦ πάντα τὰ Μωσαϊκά.

** ΑΘΑΝΑΣΙΟΥ. Καὶ τοῦτο τὸ βιβλίον Μωϋσῆς ἐλάλησε καὶ ἔγραψε· καλ οὕτως, ἐπειδὴ μετὰ τὰ γεγραμμένα ἐν ταῖς πλαξὶ, δεύτερον ὥσπερ νόμον τοὺς λό βιβλίου τούτου ἐλάλησε Μωϋσῆς τῷ Ἰσραὴλ ἐκ προστάγματος Κυρίου. μετὰ γὰρ τὸ λ Μωϋσῆν τὰ ἐν τῷ βιβλίῳ τούτῳ, γέγραπται οὕτως ἐν αὐτῷ τούτῳ τῷ Δευτερονομίῳ·
„ λόγοι τῆς διαθήκης, ὅσα ἐνετείλατο Κύριος Μωϋσῇ στῆσαι τοῖς υἱοῖς Ἰσραὴλ ἐν γῇ
„ πλὴν τῆς διαθήκης ἧς διέθετο αὐτοῖς ἐν Χωρήβ. διὰ τοῦτο γὰρ αἱ μὲν πλάκες, ἐν εἴρηται, καὶ ἐν μέσῳ τῆς κιβωτοῦ ἐτέθησαν· τὸ δὲ βιβλίον τοῦτο ἐνετείλατο τοῖς ἱερεῦσι τοῖς αἴρουσι τὴν κιβωτὸν θεῖναι ἐκ πλαγίων τῆς κιβωτοῦ, εἰς μαρτύριον καὶ κατὰ ἑπτὰ ἔτη ἐνετείλατο ἀναγινώσκεσθαι ἐν τῇ ἡμέρᾳ τῆς ἀφέσεως. ὅτε καὶ ἡ σοῖα ἐγένετο. αὕτη μὲν πρώτη αἰτία τῆς ὀνομασίας τοῦ βιβλίου. δευτέρα δὲ πάλι ἐπειδὴ ἐν αὐτῷ δευτεροῖ, καὶ διεσάφησε πάντα τὰ προειρημένα ἔν τε Ἐξόδῳ καὶ τ τικῷ καὶ τοῖς Ἀριθμοῖς, νόμιμά τε καὶ δικαιώματα καὶ προστάγματα· καὶ ὑπομι πάλιν τὸν λαὸν, ἵνα φυλάξῃ αὐτά. καὶ ἐπαναλαμβάνει δὲ ἐν αὐτῷ τήν τε ἀπ᾽ ἔξοδον, καὶ πάσας τὰς γεγενημένας αὐτοῖς εὐεργεσίας, καὶ τὰ σημεῖα καὶ τὰ τ ἵνα μὴ ἐπιλάθωνται τοῦ ποιήσαντος αὐτοὺς Θεοῦ. ὁρίζει δὲ ἐν αὐτῷ περί τε τῆς εὐ τοῖς φυλάσσουσι τὸν νόμον, καὶ τῆς κατάρας τοῖς παραβαίνουσιν αὐτόν· ἵνα ἡ μὲν λέγηται ἐν τῷ ὄρει τῷ Γαριζεὶν διὰ τούτων, διὰ Συμεὼν, Λευΐ, Ἰούδα, Ἰσσάχαρ, καὶ Βενιαμίν· ἡ δὲ κατάρα, ἐν τῷ ὄρει Γαβὰλ, ἀπὸ Ῥουβὶμ, Γὰδ, Ἀσὴρ, Ζαβουλὼν καὶ Νεφθαλείμ. πρὸς ὑπόμνησιν δὲ καὶ τὴν διὰ παντὸς μελέτην ἔγραψεν ἐκ προσ τος Κυρίου τὴν μεγάλην ᾠδήν. ἵνα ταύτην ἐκμαθόντες ἀεί τε μελετῶντες αὐτ ἐπιλάθωνται τοῦ Θεοῦ. εὐλογήσας τε ἑκάστην φυλὴν, καὶ γράψας τὴν εὐλογίαν, κ θεὶς τὰς χεῖρας αὐτοῦ ἐπὶ τὸν Ἰησοῦν τοῦ Ναυῆ, εἰς τὸ δέξασθαι αὐτὸν κατὰ πρό Θεοῦ, ἀνέβη λοιπὸν εἰς τὸ ὄρος τὸ Ἀβαρείμ, τουτέστιν Ἀβαῦ, καὶ ἐτελεύτησεν ἐκ ῥήματος Κυρίου, ἐτῶν ρκ᾽, μὴ ἀμαυρωθέντων αὐτοῦ τῶν ὀφθαλμῶν, ἢ τοῦ προσώπ φθαρέντος. καὶ οὐκ οἶδεν οὐδεὶς τὴν ταφὴν αὐτοῦ ἕως ἡμέρας ταύτης.

ΚΕΦ. Α.

α. Οὗτοι οἱ λόγοι οὓς ἐλάλησε Μωϋσῆς παντὶ Ἰσραὴλ πέραν τοῦ Ἰορδάνου ἐν τῇ ἐρήμῳ πρὸς δυσμαῖς πλησίον τῆς ἐρυθρᾶς (1) ἀναμέσον Φαρὰν Τοφὸλ, καὶ Λοβὼν, καὶ Αὐλὼν, καὶ καταχρύσεα.

ΕΙΡΗΝΑΙΟΥ. Ἄνωθεν τὸν νόμον τῇ μετὰ τοὺς ἀνῃρημένους ἐν τῇ ἐρήμῳ γενεᾷ ἐπεξηγούμενος, ἐκδιδάσκει τὸ Δευτερονόμιον· οὐχ ὡς ἕτερον νόμον διδοὺς παρὰ τὸν πάλαι τοῖς πατράσιν αὐτῶν ὡρισμένον, ἀλλ᾽ αὐτὸν τοῦτον ἀνακεφαλαιούμενος· ἵνα ἀκούσαντες τὰ συμβάντα τοῖς πατράσιν αὐτῶν, ἐξ ὅλης τῆς καρδίας φοβηθῶσι τὸν Θεόν.

ΔΙΟΔΩΡΟΥ. Τὸ προοίμιον δ
» τὸν τόπον, ἐν ᾧ ἐλέχθη· πέραν γα
» τοῦ Ἰορδάνου ἐν τῇ ἐρήμῳ πρὸς δ
» πλησίον τῆς ἐρυθρᾶς θαλάσσης· Ἀ
δὲ καὶ Σύμμαχος, ἐν τῇ ὁμαλῇ τῆ
Ζ θρᾶς θαλάσσης· οὕτω γὰρ καλεῖται
ταξὺ πεδία τῶν τῆς Ἀραβίας καὶ Ι
ὀρέων· ἐπισημαίνεται δὲ καὶ τὸν χρ

β. Ἕνδεκα ἡμερῶν ἐν Χωρή ὁδὸς ἐπ᾽ ὄρους Σηεὶρ ἕως Κάδδης Β

γ. Καὶ ἐγενήθη ἐν τῷ τεσ κοστῷ ἔτει ἐν τῷ ἑνδεκάτῳ μηνὶ τοῦ μηνὸς, ἐλάλησε Μωϋσῆς
Η πάντας υἱοὺς Ἰσραὴλ, κατὰ π ὅσα ἐνετείλατο Κύριος αὐτῷ
δ. αὐτοὺς, Μετὰ τὸ πατάξαι αὐτ

(1) Ἐρυθρᾶς θαλάσσης. αἱ εἰρημ. ἐκδόσ.

(2) Ἐκ Χωρήβ. αἱ αὐτ.

Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων τὸν κατοικήσαντα ἐν Ἐσεβὼν, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν τὸν κατοικήσαντα ἐν Ἀσαρὼθ καὶ ἐν Ἐδραῒν,

ΩΡΙΓΕΝΟΥΣ. Ἐλάλησε Μωϋσῆς πρὸς πάντας υἱοὺς Ἰσραὴλ κατὰ πάντα ὅσα ἐνετείλατο Κύριος αὐτῷ. Ἐπειδὴ ὁ μὲν Θεὸς τὴν δύναμιν ἀπεκάλυπτεν, ὁ δὲ Προφήτης τῇ ἑαυτοῦ γλώττῃ ἐκέχρητο πρὸς παράστασιν τῶν δεδηλωμένων, κίνησιν λέγει (1) τὴν προφητικὴν φωνὴν οἷα παριστῶσαν τὰ ὑπὸ τοῦ Θεοῦ εἰρημένα.

ε. Ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν γῇ Μωὰβ, ἤρξατο Μωϋσῆς διασαφῆσαι τὸν νόμον τοῦτον, λέγων,

ΔΙΟΔΩΡΟΥ. Ἐπειδὴ ὁ μὲν Θεὸς τὴν δύναμιν ἀπεκάλυπτεν, ὁ δὲ Προφήτης τῇ ἑαυτοῦ γλώττῃ ἐκέχρητο πρὸς παράστασιν τῶν δεδηλωμένων, διασάφησιν λέγει τὴν προφητικὴν φωνὴν, οἷα παριστῶσαν τὰ ὑπὸ τοῦ Θεοῦ εἰρημένα. (2)

ς. Κύριος ὁ Θεὸς ἡμῶν ἐλάλησεν ἡμῖν ἐν Χωρὴβ, λέγων, ἱκανούσθω ὑμῖν κατοικεῖν ἐν τῷ ὄρει τούτῳ.

ΚΥΡΙΛΛΟΥ. Ὄρος τὸ Χωρὴβ εἴη ἂν ἡ νομικὴ λατρεία κατὰ τὸν τῆς πρωτολογίας λόγον· ἐκεῖ γὰρ αὐτοῖς διέθετο δικαιώματα καὶ κρίματα· ἐξ ἧς ἀπαίρειν αὐτοὺς βούλεται ὁ νομοθέτης, καὶ μηκέτι κατοικεῖν ἐν αὐτῇ· ἀλλ' ἐπιστρέφειν καὶ ἀπαίρειν ἀπὸ τῆς σκιᾶς ἐπὶ τὴν ἀλήθειαν, ἀπὸ τῶν τύπων ἐπὶ τὰ πράγματα.

** ΠΡΟΚΟΠΙΟΥ. Ἱκανούσθω ὑμῖν κατοικεῖν ἐν τῷ ὄρει τούτῳ. οὐδαμοῦ προείρηται τοῦτο σαφῶς, εἰ μὴ κατὰ τὸ σαμαρειτικὸν μόνον ἀντίγραφον ἐν τοῖς Ἀριθμοῖς μετὰ τὸν περὶ τῶν δύο σαλπίγγων νόμον· ἐν δὲ τοῖς Ἰουδαϊκοῖς, δυνάμει νοεῖται· ἐν τῷ γὰρ εἰπεῖν μετὰ τὰς σάλπιγγας, (Ἀριθ. 10. 12.) καὶ ἐξῆραν οἱ υἱοὶ Ἰσραὴλ, δηλοῖ ὡς τοῦ Θεοῦ κωλύσαντος ἐπὶ πλέον ἐνδιατρίψαι τῷ τόπῳ.

ζ. Ἐπιστράφητε καὶ ἀπάρατε ὑμεῖς καὶ εἰσπορεύεσθε εἰς τὸ ὄρος Ἀμοῤῥαίων, καὶ πρὸς πάντας τοὺς περιοίκους Ἄραβα, καὶ εἰς ὄρος καὶ πεδίον, καὶ πρὸς Λίβα, καὶ παραλίαν γῆν Χαναὰν, καὶ ἀντιλίβανον ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου.

η. Ἴδετε παραδέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν, εἰσελθόντες κληρονομήσατε τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν τῷ Ἀβραὰμ, καὶ τῷ Ἰσαὰκ, καὶ τῷ Ἰακὼβ, δοῦναι αὐτοῖς καὶ τῷ σπέρματι αὐτῶν μετ' αὐτούς.

A ΑΔΗΛΟΥ. Εἰ οὔπω ἐκληρονόμησαν, περιττὸν τὸ, ἴδετε παραδέδωκα· ἀλλ' ἀπὸ μέρους τοῦ παραδόξως γεγονότος, καὶ τῆς καλῆς ἀρχῆς πέραν τοῦ Ἰορδάνου γεγενημένης, καὶ τὸ ἑξῆς ὡς ἤδη γεγονὸς, τὸ πάντως γενησόμενον, παραδεδωκέναι λέγει αὐτὴν αὐτοῖς.

θ. Καὶ εἶπα πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων, οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς.

B ΩΡΙΓΕΝΟΥΣ. Καὶ εἶπα πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ. Οὐχ ἁπλῶς ὁ Μωϋσῆς φησὶν, εἶπον ὑμῖν· ἀλλ' ἐπειδὴ ἔμελλεν αὐτοῦ ἀναχωρήσαντος, διαδέχεσθαι αὐτὸν Ἰησοῦς ὁ τοῦ Ναυῆ, οὐκ ἄτοπόν φησι τὸ πρᾶγμα, ἀλλὰ καὶ ἑπόμενον. προλαβὼν γὰρ, φησὶ, παρεκάλεσα, καὶ ὡς ἐπενεύσατε, ἐπέστησα κριτάς· ὥστε καὶ τῷ κατὰ προφητικὴν χάριν καὶ ὁδηγητικὴν διαδεχομένῳ Γ με Ἰησοῦ τῷ τοῦ Ναυῆ πείθεσθε.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς. Ταῦτα ἐν τῇ Ἐξόδῳ πρόσκειται τοῖς σαμαρειτικοῖς ἀντιγράφοις, ὅτε καὶ ὁ πενθερὸς αὐτῷ συνεβούλευσε μερικωτέρους ἄρχοντας καταστῆσαι· καὶ καθόλου, τὰ λεγόμενα μὲν εἰρῆσθαι, μὴ εἰρημένα δὲ φανερῶς, ἐν τοῖς σαμαρειτικοῖς ἀντιγράφοις εὑρίσκεται· καὶ τὸ περὶ τῶν υἱῶν Ἰσραὴλ, ὡς αὐτῶν εἰρηκό- Δ των τῷ Μωϋσεῖ περὶ τῶν κατασκόπων. εἰκὸς γὰρ τοὺς ἀποστατοῦντας αὐτοὺς τῷ Θεῷ, τὴν γῆν ἐθελῆσαι μαθεῖν. διὸ καὶ ἐρωτήσαντος Μωϋσέως τὸν Θεὸν, μετ' ἐμβριμήσεώς φησιν, ἀπόστειλον σεαυτῷ ἄνδρας, καὶ (Ἀρ.) κατασκεψάσθωσαν τὴν γῆν, ὡς δὴ ἀπιστούμενος.

ι. Κύριος ὁ Θεὸς ὑμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδοὺ ἐστε σήμερον ὡσεὶ τὰ ἄστρα
ια. τοῦ οὐρανοῦ τῷ πλήθει. Κύριος ὁ Θεὸς τῶν πατέρων ἡμῶν (3) προσθείη ὑμῖν ὡς ἐστε χιλιοπλασίως, καὶ εὐλογήσαι ὑμᾶς καθότι ἐλάλησεν ὑμῖν.

** ΚΥΡΙΛΛΟΥ. Εἰς πλῆθος μέγα καὶ ἀναρίθμητον τὸ τῶν Ἰσραηλιτῶν ἐξετείνετο γένος. καὶ δὴ καὶ τοῦτο δικαίως ὑπερθαυμάσας ὁ ἱεροφάντης Μωϋσῆς ἐπεύχεται, λέγων αὐτοῖς· καὶ ἰδοὺ ἐστε σήμερον ὡς Z τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει. Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν προσθείη ὑμῖν, ὡς ἦτε χιλιοπλασίως.

ιβ. Πῶς δυνήσομαι μόνος φέρειν τὸν κόπον ὑμῶν καὶ τὴν ὑπόστασιν ὑμῶν καὶ τὰς ἀντιλογίας ὑμῶν;

ιγ. Δότε αὐτοῖς (4) ἄνδρας σοφοὺς καὶ ἐπιστήμονας καὶ συνετοὺς εἰς τὰς φυλὰς ὑμῶν, καὶ καταστήσω αὐ- H τοὺς ἐφ' ὑμῶν ἡγουμένους ὑμῶν.

ΑΔΗΛΟΥ.

(1) Κίνησις οὖν λέγεται ἡ προφητικὴ φωνὴ οἷα παριστῶσα. ἐν Τόμ. 2. σελ. 387. τῆς τοῦ Ῥου. ἐκδόσ.

(2) Οὐδὲν τῶν ἀνωτέρω τοῦ Ὠριγέν. διαφέρουσιν, εἰ μὴ κατὰ τὸ διασάφησιν. ὃ καὶ προσφυέστερον.

(3) Ὑμῶν. αἱ εἰρημ. ἐκδόσ.

(4) Ἑαυτοῖς. αἱ αὐτ.

ΑΔΗΛΟΥ. Διδασκάλους, ἤτοι ἀπογραφομένους τὰ συμβαίνοντα, ἢ τὰ δοκοῦντα ἐν ταῖς δίκαις. ὁ δὲ Κύριος ἐν τῷ Εὐαγγελίῳ, Γραμματεῖς καλεῖ τοὺς διδασκάλους. (1)

ιδ. Καὶ ἀπεκρίθητέ μοι, καὶ εἴπατε, καλὸν τὸ ῥῆμα ὃ ἐλάλησας ποιῆ-
ιε. σαι. Καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφοὺς καὶ ἐπιστήμονας καὶ συνετοὺς, καὶ κατέστησα αὐτοὺς ἡγεῖσθαι ἐφ' ὑμῶν χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκάρχους, καὶ γραμματοεισαγωγεῖς τοῖς κριταῖς ὑ-
ις. μῶν. Καὶ ἐνετειλάμην τοῖς κριταῖς ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων, διακούσατε ἀναμέσον τῶν ἀδελφῶν ὑμῶν, καὶ κρίνατε δικαίως ἀναμέσον ἀνδρὸς, καὶ ἀναμέσον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ
ιζ. ἀναμέσον τοῦ προσηλύτου αὐτοῦ. Οὐκ ἐπιγνώσῃ πρόσωπον ἐν κρίσει, κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κρινεῖς, οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστί. καὶ τὸ ῥῆμα ὃ ἐὰν σκληρὸν ᾖ ἀφ' ὑμῶν, ἀνοίσετε αὐτὸ ἐπ' ἐμὲ, καὶ ἀκούσομαι αὐτοῦ.

ιη. Καὶ ἐνετειλάμην ὑμῖν ἐν τῷ καιρῷ ἐκείνῳ πάντας τοὺς λόγους, οὓς ποιήσετε.

ΩΡΙΓΕΝΟΥΣ. Καὶ τῶν προτέρων μεμνημένος, οὐκ ἀπ' Αἰγύπτου ἄρχεται, ἀλλ' ἀφ' οὗ ἔδωκεν αὐτοῖς δικαστὰς σοφοὺς, καὶ παιδευτάς.

ιθ. Καὶ ἐπάραντες ἐκ Χωρὴβ ἐπορεύθημεν πᾶσαν τὴν ἔρημον τὴν μεγάλην καὶ τὴν φοβερὰν ἐκείνην, ἣν ἴδετε, ὁδὸν ὄρους τοῦ Ἀμορραίου, καθότι ἐνετείλατο Κύριος ὁ Θεὸς ἡμῶν ἡμῖν, καὶ ἤλθομεν ἕως Κάδδης Βαρνή.
κ. Καὶ εἶπα πρὸς ὑμᾶς, ἤλθατε ἕως ὄρους τοῦ Ἀμορραίου, ὃ ὁ Κύριος ὁ Θεὸς ἡμῶν
κα. δίδωσιν ὑμῖν. Ἴδετε, παραδέδωκε Κύριος ὁ Θεὸς ἡμῶν πρὸ προσώπου ὑμῶν τὴν γῆν, ἀναβάντες κληρονομήσατε ὃν τρόπον εἶπε Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν ὑμῖν. μὴ φοβῆσθε, μηδὲ δειλιάσητε.

κβ. Καὶ προσήλθατέ μοι πάντες, καὶ εἴπατε, ἀποστείλατε (2) ἄνδρας προτέρους ἡμῶν, καὶ ἐφοδευσάτωσαν ἡμῖν τὴν γῆν, καὶ ἀναγγειλάτωσαν ἡμῖν ἀπόκρισιν τὴν ὁδὸν δι' ἧς ἀναβησόμεθα ἐν αὐτῇ, καὶ τὰς πόλεις εἰς ἃς εἰσπορευσόμεθα εἰς αὐτάς.

ΑΔΗΛΟΥ. Ἴσως γὰρ αὐτοὶ μὲν προήρξαντο, ὡς ἀπιστοῦντες τὴν ὑπόσχεσιν τοῦ Θεοῦ

A τὴν περὶ τῆς γῆς, καὶ ὡς μὴ ἔχοντες ἐν ἡμέρᾳ μὲν ὁδηγοῦσαν τὴν νεφέλην, ἐν νυκτὶ δὲ τὸν στῦλον τοῦ πυρὸς αὐτοὺς καταυγάζοντα, καὶ ἐν ἅπασι τὸν Θεὸν πρὸς τὸ πρακτέον αὐτοὺς κυβερνῶντα· Μωϋσῆς δὲ τὸν Θεὸν ἐπηρώτησε, καὶ οὕτω μετ' ἐμβριμήσεως ἐδέξατο τὴν ἀπόκρισιν.

κγ. Καὶ ἤρεσεν ἐνώπιόν μου τὸ ῥῆμα. καὶ ἔλαβον ἐξ ὑμῶν δώδεκα ἄν-
κδ. δρας, ἄνδρα ἕνα κατὰ φυλήν. Καὶ ἐπιστραφέντες ἀνέβησαν εἰς τὸ ὄρος, καὶ ἤλθοσαν ἕως Φάραγγος βότρυος, καὶ κατεσκόπευσαν αὐτήν.

ΑΔΗΛΟΥ. Ἐπειδὴ ἐμοὶ, φησὶν, ἀπιστεῖτε, καὶ νομίζετε ὑμᾶς ἀπατᾷν, καὶ ὡς ἐνέχυρα καὶ ἀποδείξεις μὴ ἔχοντες τῆς ἐμῆς παρουσίας τε καὶ ἐπικουρίας. ἐμοὶ ἐπιτρέπειν οὐ βούλεσθε τὰ προκείμενα, ἀπο-
Γ στείλατε καὶ κατασκέψασθε ἑαυτοῖς.

κε. Καὶ ἐλάβοσαν ἐν ταῖς χερσὶν αὐτῶν ἀπὸ τοῦ καρποῦ τῆς γῆς, καὶ κατήνεγκαν πρὸς ἡμᾶς, καὶ ἔλεγον, ἀγαθὴ ἡ γῆ, ἣν Κύριος ὁ Θεὸς ἡμῶν
κς. δίδωσιν ἡμῖν. Καὶ οὐκ ἠθελήσατε ἀναβῆναι, ἀλλ' ἠπειθήσατε τῷ ῥή-
κζ. ματι Κυρίου τοῦ Θεοῦ ἡμῶν. Καὶ διε-
Δ γογγύσατε ἐν ταῖς σκηναῖς ὑμῶν, καὶ εἴπατε, διὰ τὸ μισεῖν Κύριον ἡμᾶς, ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου παραδοῦναι ἡμᾶς εἰς χεῖρας Ἀμορραίων,
κη. ἐξολοθρεῦσαι ἡμᾶς. Ποῦ ἡμεῖς ἀναβαίνομεν; οἱ ἀδελφοὶ ὑμῶν ἀπέστησαν ὑμῶν τὴν καρδίαν, λέγοντες, ἔθνος μέγα καὶ πολὺ καὶ δυνατώτερον ἡμῶν, καὶ πόλεις μεγάλαι καὶ
Ε τετειχισμέναι ἕως τοῦ οὐρανοῦ, ἀλλὰ καὶ υἱοὺς γιγάντων ἑωράκαμεν ἐκεῖ.

ΚΥΡΙΛΛΟΥ. Πλὴν ἐμερίζοντο ταῖς γνώμαις. ἐπαινεῖν μὲν γὰρ ἠξίουν, καὶ ἀπήγγελλον. ἅπαντες, ὡς ἀγαθὴ καὶ πίων ἡ γῆ. καὶ τούτου μάρτυρα παρεκόμιζον τὸν ἐξ αὐτῆς ληφθέντα καρπόν· ἀλλ' οἱ μὲν θρασὺ τὸ ἔθνος τὸ ἐπ' αὐτῆς ὠνόμαζον, εὐσθενές τε καὶ μαχιμώτατον, καὶ ταῖς τῶν
Ζ πάντων ὑπεροψίαις ὀλίγα παραχωροῦν. „ υἱοὺς γάρ φασι γιγάντων ἑωράκαμεν ἐκεῖ. ὑψηλοὺς δὲ οὕτω καὶ εὐμεγέθεις, ὡς ἀκρίδων οἶμαί που διενεγκεῖν οὐδὲν τοὺς ἐξ αἵματος Ἰσραὴλ, εἰ ταῖς ἐκείνων ὑπεροχαῖς συγκρίνοιντο.

κθ. Καὶ εἶπα πρὸς ὑμᾶς, μὴ πτήξητε, μηδὲ φοβηθῆτε ἀπ' αὐτῶν.
λ. Κύριος ὁ Θεὸς ὑμῶν ὁ προπορευόμενος
Η πρὸ προσώπου ὑμῶν, αὐτὸς συνεκπολεμήσει αὐτοὺς μεθ' ὑμῶν κατὰ πάντα ὅσα ἐποίησεν ὑμῖν ἐν γῇ Αἰγύπτῳ.

(1) Ματθ. 7. 29.

(2) Ἀποστείλωμεν. αἱ εἰρημ. ἐκδόσ.

λα. Καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ, ἣν ἴδετε· ὡς ἐτροφοφόρησε (1) Κύριος ὁ Θεός σου, ὡσεὶ τροφοφορήσαι (2) ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, κατὰ πᾶσαν τὴν ὁδὸν ἣν ἐπορεύθητε ἕως ἤλθατε εἰς τὸν τόπον τοῦτον.

„ ΑΔΗΛΟΥ. Ὡσεὶ τροφοφορήσαι. Ἀκύλας, ὡσεὶ ἄραι· Σύμμαχος, ἐβάστασεν, (3) ἡρμήνευσεν. Ὠριγένης δὲ ἐν ταῖς εἰς τὸν Ἱερεμίαν ὁμιλίαις (4) φησί· συμπεριενέχθη, καὶ συγκατέβη ἡμῖν, τὴν ἡμετέραν ἀσθένειαν οἰκειούμενος, ὡς διδάσκαλος συμψελλίζων παιδίοις, ὡς πατὴρ ἰδίους τιθηνούμενος παῖδας, καὶ τοὺς τρόπους αὐτῶν ὑποδυόμενος, καὶ κατὰ μικρὸν ἄγων αὐτοὺς ἐπὶ τὰ τελεώτερα καὶ ὑψηλότερα.

** ΩΡΙΓΕΝΟΥΣ. Ὅταν ἐπιπλέκηται ἀνθρωπίνοις πράγμασιν ἡ θεία οἰκονομία, φέρει τὸν ἀνθρώπινον νοῦν, καὶ τρόπον, καὶ λέξιν. καὶ ὥσπερ ἡμεῖς ἐὰν διετεῖ παιδίῳ διαλεγώμεθα, ψελλίζομεν διὰ τὸ παιδίον· οὐ γάρ οἷόν τε ἐστὶ τηροῦντας ἡμᾶς τὸ ἀξίωμα τῆς τελείου ἀνδρὸς ἡλικίας, καὶ λαλοῦντας τοῖς παιδίοις, μὴ συγκαταβαίνοντας αὐτῶν τῇ διαλέκτῳ, νοῆσαι τὰ παιδία· τοιοῦτόν τί μοι νόει καὶ περὶ τὸν Θεόν, ὅταν τὸ τῶν ἀνθρώπων γένος, καὶ μάλιστα τῶν ἔτι νηπίων οἰκονομῇ. ὅρα πῶς καὶ μεταποιοῦμεν τὰ ὀνόματα οἱ τέλειοι ἄνδρες πρὸς τὰ βρέφη, καὶ τὸν μὲν ἄρτον ἰδίως (5) ὀνομάζομεν αὐτοῖς, τὸ δὲ πιεῖν ἄλλῃ λέξει ὀνομάζομεν, τελείων οὐ χρώμενοι διαλέκτῳ, ᾗ χρώμεθα πρὸς τοὺς τελείους ὁμήλικας, ἀλλὰ λέξει τινὶ παιδικῇ καὶ βρεφώδει. καὶ τὰ ἐνδύματα ἐὰν ὀνομάζωμεν τοῖς παιδίοις, ἄλλα ὀνόματα ἐπιτιθέαμεν αὐτοῖς, οἱονεὶ ὄνομα παιδικὸν πλάσαντες. ἆρ' οὖν τότε ἀτελεῖς ἐσμέν· καὶ εἴ τις ἡμῶν ἀκούῃ παιδίοις διαλεγομένων, ἐρεῖ ὅτι ἀνόητος γέγονεν ὁ γέρων οὗτος, ὁ ἀνὴρ οὗτος ἐπιλέλησται τοῦ γενείου αὐτοῦ, τῆς ἡλικίας τοῦ ἀνδρός; ἢ δέδοται κατὰ συμπεριφορὰν παιδίῳ ὁμιλοῦντα μὴ λαλῆσαι διαλέκτῳ πρεσβυτικῇ, μηδὲ ἐντελεῖ; ἀλλὰ παιδικῇ καὶ ὁ Θεὸς δὴ
Ἡσ. 8. 18. λαλεῖ παιδίοις· ἰδού, φησὶ καὶ ὁ Σωτήρ, „ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός. λέγοιτο ἂν τῷ γέροντι τῷ λαλοῦντι πρὸς τὸ παιδίον παιδικῶς, ἢ ἵνα ἐμφαντικώτερον εἴπω βρεφωδῶς· ἔτι ἐτροποφόρεσας τὸν υἱόν σου, καὶ τρόπον ἐφόρεσας τοῦ βρέφους, καὶ τὴν κατάστασιν αὐτοῦ ἀνείληφας. οὕτως οὖν νόει μοι καὶ τὴν Γραφὴν λέγουσαν· „ ἐτροποφόρησέ σε Κύριος ὁ Θεός σου, ὡς εἴ τις „ τροποφορήσει ἄνθρωπος τὸν υἱὸν αὐτοῦ. καὶ ἐοίκασιν οἱ ἀπὸ ἑβραϊσμοῦ ἑρμηνεύσαντες, μὴ εὑρόντες τὴν λέξιν κειμένην παρ' Ἕλλησιν ἀναπεπλακέναι, ὡς ἐπ' ἄλλων πολλῶν, καὶ ταύτην, καὶ πεποιηκέναι τὴν,

A „ ἐτροποφόρησέ σε Κύριος ὁ Θεός σου, τουτέστι τοὺς τρόπους σου ἐφόρησεν· ὡς εἴ τις τροποφορήσει „ ἄνθρωπος, κατὰ τὸ παράδειγμα „ τοῦτο ὃ εἴρηκα, τὸν υἱὸν αὐτοῦ.

λβ. Καὶ ἐν τῷ λόγῳ τούτῳ οὐκ
λγ. ἐπιστεύσατε Κυρίῳ τῷ Θεῷ ὑμῶν, Ὃς πορεύεται πρότερος ἐν τῇ ὁδῷ ὑμῶν ἐκλέγεσθαι ὑμῖν τόπον, ὁδηγῶν ὑμᾶς ἐν πυρὶ νυκτός, δεικνύων ὑμῖν τὴν ὁδὸν
B καθ' ἣν πορεύεσθε ἐπ' αὐτῆς, καὶ ἐν νεφέλῃ ἡμέρας.

λδ. Καὶ ἤκουσε Κύριος τῆς φωνῆς τῶν λόγων ὑμῶν, καὶ παροξυνθεὶς
λε. ὤμοσε, λέγων, Εἰ ὄψεταί τις τῶν ἀνδρῶν τούτων τὴν γῆν τὴν ἀγαθήν,
λϛ. ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν, Πλὴν Χάλεβ υἱὸς Ἰεφοννῆ, οὗτος ὄψεται
Γ αὐτήν, καὶ τούτῳ δώσω τὴν γῆν ἐφ' ἣν ἐπέβη, καὶ τοῖς υἱοῖς αὐτοῦ, διὰ τὸ προσκεῖσθαι αὐτὸν τὰ πρὸς τὸν Κύριον.

ΑΔΗΛΟΥ. Δείκνυσι ταῦτα τὸν Χάλεβ καὶ Ἰησοῦν ἕνα ἄνθρωπον ἢ δύο, ἀπειθοῦς λαοῦ προτιμότερον, καὶ μὴ συναπολλύμενον, ὅτι ἡ δικαιοσύνη κρίνει. ὃ καὶ ζητῶν ὁ δίκαιος εὔχεται· „ μὴ συναπολέσῃς μετὰ ἀσεβῶν
Δ „ τὴν ψυχήν μου. (6)

λζ. Καὶ ἐμοὶ ἐθυμώθη Κύριος δι' ὑμᾶς, λέγων, οὐδὲ σὺ οὐ μὴ εἰσέλθῃς ἐκεῖ.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐγὼ γάρ φησιν οὐκ ἠπείθησα τῷ Θεῷ, ἀλλὰ τὴν ὑμετέραν ἀντιλογίαν μὴ φέρων καὶ ἀπείθειαν, ὀλιγώρως περὶ ὑμᾶς διετέθην, καὶ ῥήματα ἐφθεγξάμην τὴν ἀπόφασιν ταύτην κινήσαντα κατ' ἐμοῦ.

E

λη. Ἰησοῦς υἱὸς Ναυῆ ὁ παρεστηκώς σοι, οὗτος εἰσελεύσεται ἐκεῖ. αὐτὸν κατίσχυσον, ὅτι αὐτὸς κατακληροδοτήσει αὐτὴν τῷ Ἰσραήλ.

λθ. Καὶ τὰ παιδία ὑμῶν, ἃ εἴπατε εἰς διαρπαγὴν ἔσεσθαι, καὶ πᾶν παιδίον νέον ὅστις οὐκ οἶδε σήμερον ἀγαθὸν ἢ κακόν, οὗτοι εἰσελεύσονται ἐκεῖ,
Z καὶ τούτοις δώσω αὐτήν, καὶ αὐτοὶ κληρονομήσουσιν αὐτήν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Τύπος τῶν ἠπιστηκότων Ἰουδαίων οἱ ἐν τῇ ἐρήμῳ πεπτωκότες δι' ἀπιστίαν· τῶν δὲ πεπιστευκότων ἐθνῶν οἱ ἀπερίτμητοι παῖδες, οἱ ἀντ' ἐκείνων διὰ Ἰησοῦ τὴν γῆν ἀπειληφότες τὴν τοῖς προγόνοις αὐτῶν ἐπηγγελμένην. (7)

ΑΛΛΟΣ.

(1) Ἐτροποφόρησέ σε. ἡ ἐν Ὀξον. ἔκδοσ. (2) Τροποφορήσαι. ἡ αὐτ.

(3) Βαστάσαι. ἐν ταῖς σημειώσ. τῆς Γραφ. τῆς ἐν Φραν. ἐκδοθείσ. ὅπερ ἐστὶν ἀντὶ τοῦ, τροφοφορήσαι· τὸ δέ, ἐβάστασεν, ἀντὶ τοῦ, ἐτροφοφόρησε.

(4) Ἐν τῇ 18. ὁμιλ. Αὐτὰ δὲ τοῦ Ὠριγέν. τὰ ῥήματά εἰσι τὰ ἐν τῷ ἑξῆς ὑπομνήμ.

(5) Ἴσ. ἐκ. ἰδίως. αὐτ. ἐν ταῖς σημ. ὃ καὶ κατάλληλ.

(6) Ἐκ τῶν τοῦ Προκοπ. ἔοικε τῶν ἐν τῇ 1258. σελ. (7) Τὰ αὐτὰ ὁ Θεοδώριτος ἐν σελ. 1256.

ΑΛΛΟΣ Οἱ μὲν διὰ τὴν ἑαυτῶν πίστιν εἰσάγονται, οἱ δὲ διὰ τὴν ἀκακίαν.

μ. Καὶ ὑμεῖς ἀποστραφέντες ἐστρα-
τοπεδεύσατε εἰς τὴν ἔρημον, ὁδὸν τὴν
μα. ἐπὶ τῆς ἐρυθρᾶς θαλάσσης. Καὶ
ἀπεκρίθητε, καὶ εἴπατέ μοι, ἡμάρ-
τομεν ἐναντίον Κυρίου τοῦ Θεοῦ ἡμῶν.
ἡμεῖς ἀναβάντες πολεμήσομεν κατὰ
πάντα ὅσα ἐνετείλατο Κύριος ὁ Θεὸς
ἡμῶν ἡμῖν. καὶ ἀναλαβόντες ἕκαστος
τὰ σκεύη τὰ πολεμικὰ αὐτοῦ, καὶ
συναθροισθέντες ἀνεβαίνετε εἰς τὸ
μβ. ὄρος. Καὶ εἶπε Κύριος πρός με, εἶπον
αὐτοῖς, οὐκ ἀναβήσεσθε οὐδὲ πολεμή-
σετε, οὐ γάρ εἰμι μεθ' ὑμῶν, καὶ οὐ
μὴ συντριβῆτε ἐνώπιον τῶν ἐχθρῶν
μγ. ὑμῶν. Καὶ ἐλάλησα ὑμῖν, καὶ οὐκ
εἰσηκούσατέ μου· καὶ παρέβητε τὸ
A ῥῆμα Κυρίου· καὶ παραβιασάμενοι,
ἀνέβητε εἰς τὸ ὄρος.

μδ. Καὶ ἐξῆλθεν ὁ Ἀμορραῖος ὁ
κατοικῶν ἐν τῷ ὄρει ἐκείνῳ εἰς συνάν-
τησιν ὑμῖν, καὶ κατεδίωξεν ὑμᾶς ὡσεὶ
ποιήσαισαν ὁδὸν (1) μέλισσαι, καὶ ἐτί-
τρωσκον ὑμᾶς ἀπὸ Σηεὶρ ἕως Ἑρμᾶ.

B ΑΝΕΠΙΓΡΑΦΟΥ. Ταῦτα ἐν τοῖς Ἀριθμοῖς (2) κεῖται· ἡνίκα κατεδίωξεν αὐτοὺς ὁ Ἀμορραῖος, ἤγουν ὁ Ἀμαλὴκ καὶ ὁ Χαναναῖος.

με. Καὶ καθίσαντες ἐκλαίετε
ἐναντίον Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ οὐκ
εἰσήκουσε Κύριος τῆς φωνῆς ὑμῶν οὐδὲ
μϛ. προσέσχεν ὑμῖν. Καὶ ἐνεκάθησθε ἐν
Κάδδης ἡμέρας πολλὰς, ὅσας ποτὲ
Γ ἡμέρας ἐνεκάθησθε.

ΚΕΦ. Β.

α. Καὶ ἐπιστραφέντες ἀπήρα-
μεν εἰς τὴν ἔρημον, ὁδὸν
θάλασσαν ἐρυθρὰν, ὃν
τρόπον ἐλάλησε Κύριος πρός με, καὶ
ἐκυκλώσαμεν τὸ ὄρος τὸ Σηεὶρ ἡμέ-
β. ρας πολλάς. Καὶ εἶπε Κύριος πρός
γ. με, Ἱκανούσθω ὑμῖν κυκλοῦν τὸ ὄρος
τοῦτο· ἐπιστράφητε οὖν πρὸς βορρᾶν.
δ. Καὶ τῷ λαῷ ἔντειλε, λέγων, ὑμεῖς
παραπορεύεσθε διὰ τῶν ὁρίων τῶν ἀ-
δελφῶν ὑμῶν υἱῶν Ἡσαῦ, οἳ κατοι-
κοῦσιν ἐν Σηεὶρ, καὶ φοβηθήσονται
ὑμᾶς, καὶ εὐλαβηθήσονται ὑμᾶς
ε. σφόδρα. Μὴ συνάψητε πρὸς αὐτοὺς
πόλεμον, οὐ γὰρ μὴ δῶ ὑμῖν ἀπὸ τῆς
γῆς αὐτῶν οὐδὲ βῆμα ποδὸς, ὅτι ἐν
κλήρῳ δέδωκα τοῖς υἱοῖς Ἡσαῦ τὸ
ὄρος Σηείρ.

ϛ. Ἀργυρίου βρώματα ἀγοράσα-
τε παρ' αὐτῶν καὶ φάγεσθε, καὶ ὕδωρ
μέτρῳ λήψεσθε παρ' αὐτῶν ἀργυρίου
καὶ πίεσθε.

" ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὕδωρ μέτρῳ λήψεσθε. ἐπεὶ μὴ τὸ ἐν φρέασιν ἀναλοῦται. (3) ἀναγκαίως δὲ ταῦτα, ἵνα μὴ ἔφοδον, ἀλλὰ πάροδον ἡγήσωνται.

ζ. Ὁ γὰρ Κύριος ὁ Θεὸς ἡμῶν
εὐλόγησέ σε ἐν παντὶ ἔργῳ τῶν χει-
ρῶν σου. διάγνωθι πῶς διῆλθες τὴν
ἔρημον τὴν μεγάλην καὶ τὴν φοβε-
ρὰν ἐκείνην. ἰδοὺ τεσσαράκοντα ἔτη
Κύριος ὁ Θεός σου μετὰ σοῦ· οὐκ ἐδεή-
η. θης ῥήματος. Καὶ παρήλθομεν τοὺς
ἀδελφοὺς ἡμῶν υἱοὺς Ἡσαῦ τοὺς κατοι-
Δ κοῦντας ἐν Σηεὶρ, παρὰ τὴν ὁδὸν Ἄρα-
βα ἀπὸ Αἰλὼν καὶ ἀπὸ Γησὼν (4)
Γάβερ· καὶ ἐπιστρέψαντες παρήλθο-
θ. μεν ὁδὸν ἔρημον Μωάβ. Καὶ εἶπε
Κύριος πρός με, μὴ ἐχθραίνετε τοῖς
Μωαβίταις, καὶ μὴ συνάψητε πρὸς
αὐτοὺς πόλεμον, οὐ γὰρ μὴ δῶ ὑμῖν
ἀπὸ τῆς γῆς αὐτῶν ἐν κλήρῳ, τοῖς
γὰρ υἱοῖς Λὼτ δέδωκα τὴν Ἀροὴρ
ι. κληρονομεῖν. Οἱ Ὀμμεὶν πρότερον
ἐνεκάθηντο ἐπ' αὐτῆς ἔθνος μέγα καὶ
πολὺ καὶ ἰσχυρόν, ὥσπερ οἱ Ἐνακείμ.

ια. Ῥαφαεὶν λογισθήσονται καὶ
οὗτοι, ὥσπερ οἱ Ἐνακείμ· καὶ οἱ Μωα-
βῖται ἐπονομάζουσιν αὐτοὺς Ὀμμιείν.

Z ΑΔΗΛΟΥ. Ῥαφαεὶν ἑρμηνεύεται γίγαντες. καὶ οὗτοι οὖν, φησὶ, γίγαντες καλοῦνται, ὡς οἱ Ἐνακεὶμ οἱ ἀπόγονοι τῶν γιγάντων.

ιβ. Καὶ ἐν Σηεὶρ ἐνεκάθητο ὁ Χορ-
ραῖος τὸ πρότερον, καὶ οἱ υἱοὶ Ἡσαῦ
ἀπώλεσαν αὐτοὺς, καὶ ἐξέτριψαν αὐ-
τοὺς ἀπὸ προσώπου αὐτῶν· καὶ κατῳ-
κίσθησαν ἀντ' αὐτῶν, ὃν τρόπον ἐποίη-
σεν Ἰσραὴλ τὴν γῆν τῆς κληρονο-
μίας αὐτῶν, ἣν ἔδωκε Κύριος αὐτοῖς.

ιγ. Νῦν

(1) Αἱ μέλισσαι. αἱ εἰρημ. ἐκδόσ.

(2) Ἐν κεφ. 14.

(3) Μήτιγε ἀναγνωστέον οὕτως· Ὕδωρ μέτρῳ λήψεσθε, ἐστὶ, μὴ τὸ ἐν φρέασιν ἀναλοῦτε. ὥστε τὸ, ἀναλοῦτε, προστακτικὸν εἶναι, καὶ τὸ, ἐστὶ μὴ τὸ ἐν φρέασιν ἀναλοῦτε, ἐπεξηγηματικὸν τοῦ, ὕδωρ μέτρῳ λήψεσθε. ἄλλως γὰρ, ἀνανταπόδοτον τὸ, ἐπεί. σαφέστερον δὲ τὰ αὐτὰ ἐν σελ. 1303. κεῖται.

(4) Γεσιών. αἱ εἰρημ. ἐκδόσ.

ιγ. Νῦν οὖν ἀνάστητε· καὶ ἀπάρατε ὑμᾶς, καὶ παραπορεύεσθε τὴν φάραγγα
ιδ. Ζαδέρ. (1) Καὶ αἱ ἡμέραι ἃς παρεπορεύθημεν ἀπὸ Κάδδης Βαρνῆ ἕως οὗ παρήλθομεν τὴν φάραγγα Ζαδὲρ, τριάκοντα καὶ ὀκτὼ ἔτη, ἕως οὗ διέπεσε πᾶσα γενεὰ ἀνδρῶν πολεμιστῶν ἀποθνήσκοντες ἐκ τῆς παρεμβολῆς, καθότι ὤμοσε Κύριος ὁ Θεὸς αὐτοῖς.
ιε. Καὶ ἡ χεὶρ τοῦ Θεοῦ ἦν ἐπ' αὐτοῖς ἐξαναλῶσαι αὐτοὺς ἐκ μέσου τῆς παρεμ-
ις. βολῆς, ἕως οὗ διέπεσον. Καὶ ἐγενήθη ἐπειδὴ ἔπεσον πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ ἀποθνήσκοντες ἐκ μέσου
ιζ. τοῦ λαοῦ, Καὶ ἐλάλησε Κύριος πρός-
ιη. με, λέγων, Σὺ παραπορεύσῃ σήμερον τὰ ὅρια Μωὰβ τὴν Ἀροὴρ,

ιθ. Καὶ προσάξατε ἐγγὺς υἱῶν Ἀμμών. (2) μὴ ἐχθραίνετε αὐτοῖς, μηδὲ συνάψητε αὐτοῖς εἰς πόλεμον, οὐ γὰρ μὴ δῶ ἀπὸ τῆς γῆς υἱῶν Ἀμμὼν σοι ἐν κλήρῳ, ὅτι τοῖς υἱοῖς Λὼτ δέδωκα αὐτὴν ἐν κλήρῳ.

Τὸ, προσάξατε ἐγγὺς, Ἄλλος, ἐγγίσεις ἐναντίον.

κ. Γῆ Ῥαφαεὶν λογισθήσεται, καὶ γὰρ ἐπ' αὐτῆς οἱ Ῥαφαεὶν κατῴκουν τὸ πρότερον. καὶ οἱ Ἀμμανῖται ἐπονομάζουσιν αὐτοὺς, Ζομζομμείμ.

» ΑΔΗΛΟΥ. Καὶ γὰρ ἐπ' αὐτῆς οἱ Ῥαφαεὶν κατῴκουν, ἀντὶ τοῦ ἅπασαν (3) ἔλαβον τὴν γῆν τῶν υἱῶν Λώτ· ἐπειδὴ οὐκ ἔστι τῆς γῆς, ἧς ἐπηγγειλάμην δοῦναι τοῖς υἱοῖς Ἰσραήλ. τὴν γὰρ τῶν Ῥαφαεὶν οὐ καθυπεσχόμην αὐτοῖς.

κα. Ἔθνος μέγα καὶ πολὺ καὶ δυνατώτερον ὑμῶν, ὥσπερ καὶ οἱ Ἐνακείμ. καὶ ἀπώλεσεν αὐτοὺς Κύριος πρὸ προσώπου αὐτῶν, καὶ κατεκληρονόμησαν, καὶ κατῳκίσθησαν ἀντ'
κβ. αὐτῶν ἕως τῆς ἡμέρας ταύτης. Ὥσπερ ἐποίησαν οἱ υἱοὶ Ἡσαῦ τοῖς κατοικοῦσιν ἐν Σηεὶρ, ὃν τρόπον ἐξέτριψαν τὸν Χορραῖον ἀπὸ προσώπου αὐτῶν, καὶ κατεκληρονόμησαν, καὶ κατῳκίσθησαν ἀντ' αὐτῶν ἕως τῆς ἡμέρας ταύτης.

κγ. Καὶ οἱ Εὐαῖοι οἱ κατοικοῦντες ἐν Ἀσηρὼθ ἕως Γάζης, καὶ οἱ Καππάδοκες οἱ ἐξελθόντες ἐκ Καππαδοκίας, ἐξέτριψαν αὐτοὺς, καὶ κατῳκίσθησαν ἀντ' αὐτῶν.

A ΑΠΟΛΙΝΑΡΙΟΥ. Τοὺς Καππάδοκας λέγει οἰκηκέναι ἀπὸ Ἀροὴρ ἕως Γάζης, ἐκβαλόντας ποτὲ τοὺς Ἐβαίους.

κδ. Νῦν οὖν ἀνάστητε καὶ ἀπάρατε, καὶ παρέλθετε ὑμεῖς τὴν φάραγγα Ἀρνῶν. ἰδοὺ παρέδωκα εἰς τὰς χεῖράς σου τὸν Σηὼν βασιλέα Ἐσεβὼν τὸν Ἀμορραῖον, καὶ τὴν γῆν αὐτοῦ. ἐνάρχου κληρονομεῖν· σύναπτε πρὸς B αὐτὸν πόλεμον ἐν τῇ ἡμέρᾳ ταύτῃ.
κε. Ἐνάρχου δοῦναι τὸν φόβον σου καὶ τὸν τρόμον σου ἐπὶ πρόσωπον τῶν ἐθνῶν πάντων τῶν ὑποκάτω τοῦ οὐρανοῦ, οἵτινες ἀκούσονται τὸ ὄνομά σου, καὶ ταραχθήσονται, καὶ ὠδῖνας ἕξουσιν ἀπὸ προσώπου σου.

κς. Καὶ ἀπέστειλα πρέσβεις ἐκ τῆς Γ ἐρήμου Κεδμὼθ πρὸς Σηὼν βασιλέα Ἐσεβὼν λόγοις εἰρηνικοῖς, λέγων,
κζ. Παρελεύσομαι διὰ τῆς γῆς σου· ἐν τῇ ὁδῷ πορεύσομαι, οὐκ ἐκκλινῶ ἀριστερὰ οὐδὲ δεξιά.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ταῦτα δὲ ἦν ἃ καὶ πρὸς Ἰδουμαίους διεπρεσβεύσαντο. ἀλλ' ἐκείνων μὲν οὐ δόντων τὴν δίοδον, ἀλλὰ πρὸς τὰς εἰρηνικὰς παρακλήσεις ἀπειλὴν ἀντι- Δ θέντων πολέμου, καὶ παραταξαμένων, εὐθὺς παρῆλθον εἰς Ὢρ τὸ ὄρος, οὐκ ἐθελήσαντος τοῦ Θεοῦ συγγενικὸν γενέσθαι πόλεμον αὐτοῖς πρὸς τοὺς ἐξ Ἡσαῦ γεγονότας. τοῦ δὲ Σηὼν μὴ δεξαμένου τὴν εἰρηνικὴν πρεσβείαν, ἀλλὰ καὶ στρατείαν ἀθροίσαντος καὶ παραταξαμένου πρὸς αὐτοὺς, ἀντικαθίστανται, καὶ πολεμοῦσι, καὶ κρατοῦσι ῥᾳδίως, καὶ τὴν γῆν κατέχουσιν ἀπὸ τοῦ Ἀρνῶν μέχρι τοῦ Ἰαβὸκ ἕως υἱῶν Ἀμμάν· E ἥν τινα καὶ αὐτὴν πάλιν ὑπεξαίρει διὰ τὴν συγγένειαν, οὐκ ἐθελήσας ἀλῶναι πολέμῳ πρὸς τῶν Ἰσραηλιτῶν τὴν χώραν, ἐκ τοῦ Λὼτ γεγονότων.

κη. Βρώματα ἀργυρίου ἀποδώσῃ μοι, καὶ φάγομαι· καὶ ὕδωρ ἀργυρίου ἀποδώσῃ μοι, καὶ πίομαι· πλὴν
κθ. ὅτι παρελεύσομαι τοῖς ποσί· Καθὼς ἐποίησάν μοι οἱ υἱοὶ Ἡσαῦ οἱ κατοι- Z κοῦντες ἐν Σηεὶρ, καὶ οἱ Μωαβῖται οἱ κατοικοῦντες ἐν Ἀροὴρ· ἕως ἂν παρέλθω τὸν Ἰορδάνην εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς δίδωσιν ἡμῖν.

λ. Καὶ οὐκ ἠθέλησε Σηὼν βασιλεὺς Ἐσεβὼν παρελθεῖν ἡμᾶς δι' αὐτοῦ, ὅτι ἐσκλήρυνε Κύριος ὁ Θεὸς ἡμῶν τὸ πνεῦμα αὐτοῦ, καὶ κατίσχυσε H τὴν καρδίαν αὐτοῦ, ἵνα παραδοθῇ εἰς τὰς χεῖράς σου ἐν τῇ ἡμέρᾳ ταύτῃ.

ΑΠΟ-

(1) Ζαρέτ. αἱ εἰρημ. ἐκδόσ. Ζαρέδ. ἡ ἐν Κομ. καὶ Ὄξον. Ζαρέθ. ἡ τοῦ Ἀλδ.
(2) Καὶ προσάξετε ἐγγὺς υἱῶν Ἀμμάν. αἱ εἰρημ. ἐκδόσ. (3) Οὐ πᾶσαν. ὁ Ἀλεξάν. κώδ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ὅμοιον τὸ εἰρημένον
Ἐξόδ. 7. 3. παρὰ Κυρίου ἐν Ἐξόδῳ· ἐγὼ δὲ σκληρυνῶ
» τὴν καρδίαν Φαραώ. ἐπειδὴ δέ τινες ἐκ τούτου θέλουσιν αἴτιον τῶν κακῶν λέγειν τὸν Θεόν· ἰδοὺ γάρ φησιν αὐτὸς σκληρύνει τοὺς ἀνθρώπους ἐπὶ τὸ πλημμελεῖν· πρὸς οὓς συντομώτατα δεῖ εἰπεῖν, ὅτι ἐκείνους ὁ Θεὸς δοκεῖ σκληρύνειν τοὺς εἰς τὸ τέρμα τῆς κακίας φθάσαντας· ἵνα ἐπικαταλάβῃ αὐτοὺς ὁ θάνατος, καὶ παύσωνται λοιπὸν τοῦ ἁμαρτάνειν. ἰδοὺ γὰρ καὶ νῦν μετὰ τὸ δημοσιευθῆναι αὐτοῦ τὴν κακίαν, μετὰ καὶ τοῦ εἶναι εἰδωλολάτρην, ἐλέγχθη τοῦτο.

λα. Καὶ εἶπε Κύριος πρός με, ἰδοὺ
ἦργμαι παραδοῦναι πρὸ προσώπου σου
τὸν Σιὼν (1) βασιλέα Ἐσεβὼν τὸν
λβ. Ἀμοῤῥαῖον, καὶ τὴν γῆν αὐτοῦ. Καὶ
ἐξῆλθε Σηὼν βασιλεὺς Ἐσεβὼν εἰς
συνάντησιν ἡμῖν, αὐτὸς καὶ πᾶς ὁ
λαὸς αὐτοῦ εἰς πόλεμον εἰς Ἰασσᾶ.
λγ. Καὶ παρέδωκεν αὐτὸν Κύριος ὁ Θεὸς
ἡμῶν πρὸ προσώπου ἡμῶν. καὶ ἐπα-

A τάξ…
πάντ…
λδ. ἐκείν…
πόλε…
ἐξωλ…
ἧς κα…
τέκν…
λε. γεία…
σαμ…
λς. ἐλάβ…
τὸ χ…
πόλι…
ἕως …
ἥτις …
ῥέδω…
λζ. χεῖρα…
μῶν …
Γ κυρο…
πόλ…
το ἡ…

Κ Ε Φ.

α. Καὶ ἐπιστραφέντες, ἀνέβη-
μεν ὁδὸν τὴν εἰς Βασάν·
καὶ ἐξῆλθεν Ὢγ βασι-
λεὺς τῆς Βασὰν εἰς συνάντησιν ἡμῖν,
αὐτὸς καὶ πᾶς ὁ λαὸς αὐτοῦ εἰς πό-
β. λεμον εἰς Ἐδραείν. Καὶ εἶπε Κύριος
πρός με, μὴ φοβηθῇς αὐτὸν, ὅτι εἰς
τὰς χεῖράς σου παραδέδωκα αὐτὸν,
καὶ πάντα τὸν λαὸν αὐτοῦ, καὶ πᾶ-
σαν τὴν γῆν αὐτοῦ. καὶ ποιήσεις αὐ-
τῷ, ὥσπερ ἐποίησας Σηὼν τῷ βασι-
λεῖ τῶν Ἀμοῤῥαίων, ὃς κατῴκει ἐν
Ἐσεβών.

γ. Καὶ παρέδωκεν αὐτὸν Κύριος ὁ Θεὸς ἡμῶν εἰς τὰς χεῖρας ἡμῶν, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν, καὶ πάντα τὸν λαὸν αὐτοῦ· καὶ ἐπατάξαμεν αὐτὸν, ἕως τοῦ μὴ καταλιπεῖν αὐτοῦ σπέρμα.

Ἐπατάξαμεν. Ἀκύλας, ἀνεθεματίσαμεν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Παραδίδοται διὰ τῆς οἰκείας θρασύτητος καὶ οὗτος, αὐτὸς ἑαυτῷ γενόμενος αἴτιος, ὥσπερ καὶ ὁ Σηών. καὶ ὑπολείπεται τῆς τούτου βασιλείας οὐδείς, καθαιρομένης τῆς γῆς ἀπὸ ἀσεβῶν οἰκητόρων, εἰς ἐνοίκησιν τῷ νομοθετουμένῳ λαῷ.

δ. Καὶ ἐκρατήσαμεν πασῶν τῶν πόλεων αὐτοῦ ἐν τῷ καιρῷ ἐκείνῳ· οὐκ ἦν πόλις, ἣν οὐκ ἐλάβομεν παρ' αὐ-

τῶν …
περί…
ε. τῇ Β…
τέχ…
πλη…
ς. πολλ…
αὐτο…
βασι…
σαμε…
γυνα…
ζ. τῶν, …
E τα τ…
η. μοῦσ…
ἐν τῷ…
ρων …
οἳ ἦσ…
θ. χερμα…
Φοίνι…
Σανι…
ι. σεν …
Z Μισά…
σα Β…
πόλε…
ια. σάν. …
σὰν …
ἰδοὺ ἡ…
αὐτὴ …
ἐννέα …
H τεσσά…
πήχε…

(1) Ἄλλοτε μὲν Σιὼν, ἄλλοτε δὲ Σηὼν γράφει ἑκάτερο… τὸ αὐτὸ ἄλλως.
(2) Ἐπ…

είνην ἐκληρο-
ῷ ἐκείνῳ ἀπὸ
εῖλος χειμάῤ-
υ τοῦ ὄρους Γα-
αὐτοῦ ἔδωκα

ὰς πόλεις αὐτοῦ
Γάδ. Οἱ ὑπο-
αγγελίᾳ γίνον-
) βράδιον ἀπο-
πὸ Μωσέως, (2)
ρονομίαν· οἱ δὲ
ὶ περὶ πάντων
τυχόντων· ὡς
οι πάντες μαρ-
ς οὐκ ἐκομίσαν-
Θεοῦ κρεῖττόν τι
, ἵνα μὴ χωρὶς

οιπον τοῦ Γα-
Βασὰν βασι-
ἡμίσει φυλῆς
ὴν περίχωρον
ασὰν ἐκείνην·
αι. Καὶ Ἰαὴρ
σαν τὴν περί-
ορίων Γαργα-
ασεν αὐτὸ ἐπὶ
Βασὰν Αὐὼθ
αύτης. Καὶ
ὴν γῆν Γα-
καὶ τῷ Γαδ-
Γαλαὰδ ἕως
μέσον τοῦ χει-
αβώκ· ὁ χει-
Ἀμμάν. Καὶ
ορδάνης ὅριον
ως θαλάσσης
κῆς ὑπὸ Ἀση-
νατολῶν.

υ ὑμῖν ἐν τῷ
Κύριος ὁ Θεὸς
γῆν ταύτην
ι, προπορεύε-
δελφῶν ὑμῶν
ετός. Πλὴν
ὰ τέκνα ὑμῶν
δα ὅτι πολλὰ
ωσαν ἐν πά-
ῶν, αἷς δέδω-
ταπαύσῃ Κύ-
δελφοὺς ὑμῶν,
ληρονομήσουσι
Κύριος ὁ Θεὸς

A ἡμῶν δίδωσιν αὐτοῖς ἐν τῷ πέραν τοῦ Ἰορδάνου. καὶ ἐπαναστραφήσεσθε ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, ἣν δέδωκα ὑμῖν.

ΑΔΗΛΟΥ. Ταῦτα λέγει τῇ φυλῇ Ῥουβὶμ, καὶ τῇ φυλῇ Γὰδ, καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ.

κα. Καὶ τῷ Ἰησοῦ ἐνετειλάμην ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων, οἱ ὀφθαλ-
B μοὶ ὑμῶν ἑωράκασι πάντα ὅσα ἐποίησε Κύριος ὁ Θεὸς ἡμῶν τοῖς δυσὶ βασιλεῦσι τούτοις. οὕτω ποιήσει Κύριος ὁ Θεὸς ἡμῶν πάσας τὰς βασιλείας
κβ. ἐφ' ἃς σὺ διαβαίνεις ἐκεῖ. Οὐ φοβηθήσεσθε ἀπ' αὐτῶν, ὅτι Κύριος ὁ Θεὸς ὑμῶν οὗτος πολεμήσει ὑπὲρ ὑμῶν.
κγ. Καὶ ἐδεήθην Κυρίου τοῦ Θεοῦ ἐν τῷ καὶ-
κδ. ρῷ ἐκείνῳ, λέγων, Κύριε Κύριε, σὺ ἤρξω δεῖξαι τῷ [σῷ] θεράποντι τὴν ἰσχύν σου, καὶ τὴν δύναμίν σου, καὶ τὴν χεῖρα τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν ὑψηλόν. τίς γάρ ἐστι Θεὸς ἐν τῷ οὐρανῷ ἢ ἐπὶ τῆς γῆς, ὅστις ποιήσει καθὰ ἐποίησας σὺ, καὶ κατὰ τὴν
κε. ἰσχύν σου; Διαβὰς οὖν ὄψομαι τὴν γῆν τὴν ἀγαθὴν ταύτην τὴν οὖσαν
Δ πέραν τοῦ Ἰορδάνου, τὸ ὄρος τοῦτο τὸ ἀγαθὸν, καὶ τὸν Ἀντιλίβανον.

κς. Καὶ ὑπερεῖδε Κύριος ἐμὲ ἕνεκεν ὑμῶν, καὶ οὐκ εἰσήκουσέ μου. καὶ εἶπε Κύριος πρός με, ἱκανούσθω σοι, μὴ προσθῇς ἔτι λαλῆσαι τὸν λόγον τοῦτον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί Μωϋσέως δικαιότερον; ἀλλ' οὐδὲ ἐκεῖνος ἠκούετο, λέ-
E" γοντος τοῦ Θεοῦ· ἱκανούσθω σοι. ἐπειδὴ γὰρ ᾔτει εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν, ἀσύμφορον δὲ τοῦτο ἦν, οὐκ ἐπέτρεψεν ὁ Θεός.

κζ. Ἀνάβηθι ἐπὶ κορυφὴν λελαξευμένου, καὶ ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου κατὰ θάλασσαν καὶ βοῤῥᾶν καὶ νότον καὶ ἀνατολὰς, καὶ ἴδε τοῖς ὀφθαλμοῖς σου, ὅτι οὐ διαβήσῃ
Z τὸν Ἰορδάνην τοῦτον.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Πλέον τῷ Μωϋσῇ παρὰ τῷ Ἀαρὼν δίδωσι τὸ θεάσασθαι τὴν γῆν ἐξ ἀπόπτου· τὴν δὲ ἔξοδον οὐ δίδωσι, τῇ τῆς πίστεως ἐνδείᾳ ταύτην δίκην ἐπιτιθεὶς, καθ' ἣν ἀμφοτέρους ἐκτὸς τῆς γῆς τῆς ἐπηγγελμένης μεθίστησιν ἀπὸ τοῦ βίου, ὡς δυναμένους ἀφικέσθαι τοῦ τέλους, ἅτε διὰ πίστεως διδομένου. ὃ δὴ καὶ σύμβολον εἰς τὸν νόμον, οὐ δυνάμενον τελειῶσαι, οὐδὲ
H„ τὴν ἐπαγγελίαν ἀποκαταστῆσαι· ὅτι ὁ δί- Ῥωμ. ι. ιγ.
καιος

, 2. σελ. 387. τῆς τοῦ Ῥου. ἐκδόσ.
ούμενοι, πρῶτοι, κτ. ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ. τὰ αὐτὰ ἐκθέμενος.
(4) Ἡ Ἄραβα. αἱ αὐτ. (5) Φασγά. αἱ αὐτ.

καιος ἐκ πίστεως ζήσεται. τιμὴ δὲ καὶ αὕτη
τὸ γνῶναι κρίσιν Θεοῦ, καὶ προγνῶναι τὴν
ἰδίαν τελευτήν.

κη. Καὶ ἔντειλαι Ἰησοῦ καὶ παρα-
κάλεσον αὐτὸν καὶ κατίσχυσον αὐτὸν,
ὅτι οὗτος διαβήσεται πρὸ προσώπου τοῦ
λαοῦ τούτου, καὶ οὗτος καταλκληρονομήσει
αὐτοῖς πᾶσαν τὴν γῆν ἣν ἑώρακας.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Προάγει τὸν Ἰησοῦν
καὶ ἤδη μὲν ἡγιασμένον ἐκ τῆς ἀκολουθή-
σεως καὶ παραμονῆς τῆς Μωϋσέως· τὸ δ'
ἀρχικὸν πνεῦμα διὰ Μωϋσέως, μέλλοντα
κομίζεσθαι πρὸς τὸ καὶ οἰκείως ἀντ' αὐτοῦ
καταστῆναι, ὥσπερ καὶ Ἐλισσαῖος ἐν πνεύ-
A ματι Ἠλιοῦ παρῆν, τῷ Ἠλιοῦ πράξων ἔρ-
γον. ἐν γὰρ τῷ αὐτῷ πνεύματι τὰ αὐτὰ
κατεργάζεσθαι δεῖ. λάβε πρὸς ἑαυτὸν, ὡς Ἀριθ. 27. 18.
φησὶν ἐν τοῖς Ἀριθμοῖς, τὸν Ἰησοῦν υἱὸν
Ναυῆ, ἄνθρωπον ὃς ἔχει πνεῦμα Θεοῦ ἐν
ἑαυτῷ, καὶ ἐπιθήσεις τὰς χεῖράς σου ἐπ'
αὐτῷ. οὕτω καὶ οἱ Ἀπόστολοι πνεῦμα ζωο-
ποιὸν ἔχοντες ἀπὸ τῆς ἐμφυσήσεως τοῦ
Κυρίου, πνεῦμα κομίζονται τὸ ἀρχικὸν ἐξ
οὐρανοῦ καταπεμπόμενον· οὐ πνεῦμα ἐν πνεύ-
B ματι, ἕτερον ἐφ' ἑτέρῳ, ἀλλ' ἐνέργειαν ἑτέ-
ραν ἐν τῷ αὐτῷ πνεύματι, καθάπερ ὁ Παῦ- 1. Κορ. 12. 9.
λος διδάσκει.

κθ. Καὶ ἐνεκαθήμεθα ἐν νάπῃ
σύνεγγυς οἴκου Φογώρ.

ΚΕΦ. Δ.

α. Καὶ νῦν Ἰσραὴλ ἄκουε τῶν
δικαιωμάτων καὶ τῶν κρι-
μάτων, ὅσα ἐγὼ διδάσκω
ὑμᾶς σήμερον ποιεῖν, ἵνα ζῆτε καὶ πολ-
λαπλασιασθῆτε, καὶ εἰσελθόντες κλη-
ρονομήσητε τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς
τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν.

β. Οὐ προσθήσετε πρὸς τὸ ῥῆμα
ὃ ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, καὶ οὐκ
ἀφελεῖτε ἀπ' αὐτοῦ. Φυλάσσεσθε πά-
σας τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ ἡμῶν,
ὅσα ὑμῖν ἐγὼ ἐντέλλομαι σήμερον.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐ προσθήσετε
πρὸς τὸ ῥῆμα. καὶ μετ' ὀλίγον ἐρεῖ, οὐκ
Δευτ. 5. 32. ἐκκλινεῖς δεξιὰ οὐδὲ εὐώνυμα. καὶ ἐν Πα-
Παροιμ. 30. 6. ροιμίαις φησὶ, μὴ προσθῇς τοῖς λόγοις τοῦ
Θεοῦ, ἵνα μὴ ἐλέγξῃ σε, καὶ ψευδὴς γένῃ.
οὐ δέχονται γὰρ προσθήκην οἱ λόγοι Κυρίου,
πλήρεις ὑπάρχοντες. εἴρηται γοῦν περὶ τοῦ
Χριστοῦ, ἐπειδὴ ἐπλήρωσε τὰ ῥήματα αὐτοῦ
εἰς τὰς ἀκοὰς αὐτῶν.

** ΒΑΣΙΛΕΙΟΥ. Ἐπειδὴ τῶν ἐν ἡμῖν
στρεφομένων πραγμάτων ἢ ῥημάτων τὰ
μέν ἐστιν ὑπὸ τῆς ἐντολῆς τοῦ Θεοῦ ἐν τῇ
ἁγίᾳ Γραφῇ διεσταλμένα, τὰ δὲ σεσιωπη-
μένα· περὶ μὲν τῶν γεγραμμένων, οὐδεμία
ἐξουσία δέδοται καθόλου οὐδενὶ, οὔτε ποιῆ-
σαί τι τῶν κεκωλυμένων, οὔτε παραλεῖψαί
τι τῶν προστεταγμένων· τοῦ Κυρίου ἅπαξ
παραγγείλαντος, καὶ εἰπόντος· καὶ φυ-
λάξῃ τὸ ῥῆμα ὃ ἐντέλλομαί σοι σήμερον, οὐ
προσθήσεις ἐπ' αὐτῷ, καὶ οὐκ ἀφελεῖς ἀπ'
αὐτοῦ. Φοβερὰ γάρ τις ἐκδοχὴ κρίσεως,
καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς τοιοῦ-
τόν τι τολμῶντας· περὶ δὲ τῶν σεσιωπη-
μένων κανόνα ἡμῖν ἐξέθετο ὁ Ἀπόστολος
1. Κορ. 10. 23, Παῦλος εἰπών· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ
24. πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ'
οὐ πάντα οἰκοδομεῖ. μηδεὶς τὸ ἑαυτοῦ ζητεί-
τω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος.

γ. Οἱ ὀφθαλμοὶ ὑμῶν ἑωράκασι
πάντα ὅσα ἐποίησε Κύριος ὁ Θεὸς
Γ ἡμῶν τῷ Βεελφεγὼρ, ὅτι πᾶς ἄν-
θρωπος ὅστις ἐπορεύθη ὀπίσω Βεελ-
φεγὼρ, ἐξέτριψεν αὐτὸν Κύριος ὁ
δ. Θεὸς ἡμῶν ἐξ ὑμῶν. Ὑμεῖς δὲ οἱ
προσκείμενοι Κυρίῳ τῷ Θεῷ ὑμῶν,
ε. ζῆτε πάντες ἐν τῇ σήμερον. Ἴδετε,
δέδειχα ὑμῖν δικαιώματα καὶ κρίσεις
καθὰ ἐνετείλατό μοι Κύριος, ποιῆσαι
οὕτως ἐν τῇ γῇ εἰς ἣν εἰσπορεύεσθε ἐκεῖ
Δ κληρονομεῖν αὐτήν.

ϛ. Καὶ φυλάξεσθε καὶ ποιήσετε·
ὅτι αὕτη ἡ σοφία ὑμῶν καὶ ἡ σύνεσις
ἐναντίον πάντων τῶν ἐθνῶν, ὅσοι ἂν
ἀκούσωσι πάντα τὰ δικαιώματα ταῦ-
τα· καὶ ἐροῦσιν, ἰδοὺ λαὸς σοφὸς καὶ
ἐπιστήμων τὸ ἔθνος τὸ μέγα τοῦτο.

** ΠΡΟΚΟΠΙΟΥ. Σοφῶν γὰρ καὶ συ-
νετῶν ἡ φυλακὴ τῶν ἐντολῶν Κυρίου. τὸ
E δὲ εἰρημένον, ἐναντίον τῶν ἐθνῶν, συμφω-
νεῖ τῷ, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν Ματθ. 5. 16.
τῶν ἀνθρώπων, ὅπως ἂν ἴδωσι, καὶ τὰ
λοιπά.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἡ γὰρ σοφία καὶ ἡ
σύνεσις τῶν φοβουμένων τὸν Κύριον, τὸ φυ-
λάττειν καὶ ποιεῖν τὰς ἐντολὰς Κυρίου, οὐ τὸ
ἀκούειν καὶ λαλεῖν μόνον. ὅμοιον τῷ εὐαγ-
γελικῷ ῥητῷ, οὕτω λαμψάτω τὸ φῶς ὑμῶν Ματθ. 5. 16.
Z ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ τὰ ἑξῆς.

ζ. Ὅτι ποῖον ἔθνος μέγα, ὅ ἐστιν
αὐτῷ Θεὸς ἐγγίζων αὐτοῖς, ὡς ὁ Κύ-
ριος ὁ Θεὸς ἡμῶν ἐν πᾶσιν οἷς ἐὰν αὐ-
η. τὸν ἐπικαλεσώμεθα; Καὶ ποῖον ἔθ-
νος μέγα, ὅ ἐστιν αὐτῷ δικαιώματα
καὶ κρίματα δίκαια κατὰ πάντα τὸν
νόμον τοῦτον, ὃν ἐγὼ δίδωμι ἐνώπιον
ὑμῶν σήμερον;

H θ. Πρόσεχε σεαυτῷ, καὶ φύλα-
ξον τὴν ψυχήν σου σφόδρα. μὴ ἐπι-
λάθῃ πάντας τοὺς λόγους, οὓς ἑωρά-
κασιν οἱ ὀφθαλμοί σου, καὶ μὴ ἀποστή-

 τωσαν

τωσαν ἀπὸ τῆς καρδίας σου πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. καὶ συμβιβάσεις τοὺς υἱοὺς σου καὶ τοὺς υἱοὺς τῶν υἱῶν σου.

ΩΡΙΓΕΝΟΥΣ. Οὐχ ὅτι ὁρατὴ ἡ φωνὴ, οὐδ᾽ ὅτι φύσει φωνὴν ἔχει ὁ Θεός· τοῦτο γὰρ καὶ συνθέτου φύσεως ἂν εἴη· ἀλλ᾽ ἐπειδὴ καὶ αἱ σάλπιγγες, καὶ αἱ φωναὶ, ὡς αὐτὸς οἶδεν ὁ Θεὸς, ἐπετελοῦντο ἐκ τῆς τῶν ὁρωμένων συνεχείας δημιουργούμεναι στοιχείων, τοῦ πυρὸς λέγω καὶ τοῦ γνόφου. ὥστε καὶ ἀκούεται φωνὴ, καὶ οὐχ ὁρᾶται· ἀλλ᾽ οὖν ἐπὶ τῶν τοῦ Θεοῦ θαυμάτων, καὶ ἡ φωνὴ ὁρᾶται.

ΑΛΛΟΣ φησὶ, δῆλον γὰρ ὅτι τοῖς τῆς διανοίας ὀφθαλμοῖς θεωρεῖ τὶς καὶ ἀκούει τὰ νοήματα.

ι. Ἡμέραν ἣν ἔστητε ἐνώπιον Κυ-
ρίου τοῦ Θεοῦ ἡμῶν ἐν Χωρὴβ τῇ ἡμέρᾳ
τῆς ἐκκλησίας· ὅτε εἶπε Κύριος πρός
με, ἐκκλησίασον πρός με τὸν λαὸν,
καὶ ἀκουσάτωσαν τὰ ῥήματά μου, ὅπως
μάθωσι φοβεῖσθαί με πάσας τὰς
ἡμέρας ὅσας αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς,
ια. καὶ τοὺς υἱοὺς αὐτῶν διδάξωσι. Καὶ
προσήλθετε καὶ ἔστητε ὑπὸ τὸ ὄρος.
καὶ τὸ ὄρος ἐκαίετο πυρὶ ἕως τοῦ οὐρα-
νοῦ· σκότος, γνόφος, θύελλα, φωνὴ
μεγάλη.

ιβ. Καὶ ἐλάλησε Κύριος ὁ Θεὸς ἐν τῷ ὄρει πρὸς ὑμᾶς ἐκ μέσου τοῦ πυρὸς φωνὴν ῥημάτων, ἣν ὑμεῖς ἠκούσατε· καὶ ὁμοίωμα οὐκ ἴδετε, ἀλλ᾽ ἢ φωνήν.

ΩΡΙΓΕΝΟΥΣ. Ἐνταῦθα τὸ κατὰ φύσιν εἴρηκεν· ὅτι ἀκοὴ δέχεται τὴν φωνήν. ὅσον γὰρ ἀπὸ τῆς ἀκριβείας τοῦ γράμματος, μόνη ἡ δεκάλογος ἦν ἐν ταῖς πλαξὶ γεγραμμένη· τὰ δὲ λοιπὰ διὰ προστάγματος Θεοῦ ὁ Μωϋσῆς ἐδίδαξε. (1)

** ΚΛΗΜΕΝΤΟΣ. Θεῷ τῷ παντοκράτορι, καὶ μηδενὸς ὄντος ὑποκειμένου, φωνὴν καὶ φαντασίαν ἐγγεννῆσαι ἀκοῇ δυνατὸν, ἐνδεικνυμένῳ τὴν ἑαυτοῦ μεγαλειότητα παρὰ τὰ εἰωθότα φυσικὴν ἔχειν τὴν ἀκολουθίαν, εἰς ἐπιστροφὴν τῆς μηδέπω πιστευούσης ψυχῆς, καὶ παραδοχὴν τῆς διδομένης ἐντολῆς. νεφέλης δ᾽ οὔσης καὶ ὄρους ὑψηλοῦ, πῶς οὐ δυνατὸν διάφορον ἦχον ἐξακούεσθαι, πνεύματος κινουμένου διὰ τῆς ἐνεργούσης αἰτίας; διὸ καί φησιν ὁ Προ-
» φήτης· φωνὴν ῥημάτων ὑμεῖς ἠκούετε, καὶ
» ὁμοίωμα οὐκ εἴδετε. ὁρᾷς ὅπως ἡ κυριακὴ φωνὴ, λόγος ἀσχημάτιστος, ἡ τοῦ λόγου δύναμις, ῥῆμα Κυρίου φωτεινὸν, ἀλήθεια οὐρανόθεν, ἄνωθεν ἐπὶ τὴν συναγωγὴν τῆς ἐκκλησίας ἀφιγμένη, διὰ φωτεινῆς τῆς προσεχοῦς διακονίας ἐνήργει.

ιγ. Καὶ ἀνήγγειλεν ὑμῖν τὴν δια-
θήκην αὐτοῦ, ἣν ἐνετείλατο ὑμῖν ποιεῖν,
τὰ δέκα ῥήματα, καὶ ἔγραψεν αὐτὰ
ιδ. ἐπὶ δύο πλάκας λιθίνας. Καὶ ἐμοὶ
ἐνετείλατο Κύριος ἐν τῷ καιρῷ ἐκεί-
νῳ, διδάξαι ὑμᾶς δικαιώματα καὶ κρί-
σεις, ποιεῖν ὑμᾶς αὐτὰ ἐπὶ τῆς γῆς,
εἰς ἣν ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ κληρονο-
ιε. μῆσαι αὐτήν. Καὶ φυλάξασθε σφό-
δρα τὰς ψυχὰς ὑμῶν, ὅτι ὁμοίωμα
οὐκ ἴδετε ἐν τῇ ἡμέρᾳ ᾗ ἐλάλησε Κύ-
ριος πρὸς ὑμᾶς ἐν Χωρὴβ ἐν τῷ ὄρει
ἐκ μέσου τοῦ πυρός.

ις. Μὴ ἀνομήσητε καὶ ποιήσητε
ὑμῖν ἑαυτοῖς ὁμοίωμα γλυπτὸν, πᾶ-
σαν εἰκόνα ὁμοίωμα ἀρσενικοῦ ἢ θη-
ιζ. λυκοῦ. Ὁμοίωμα παντὸς κτήνους τῶν
ὄντων ἐπὶ τῆς γῆς· ὁμοίωμα παντὸς
ὀρνέου πτερωτοῦ, ὃ πέταται ὑπὸ τὸν
ιη. οὐρανόν· Ὁμοίωμα παντὸς ἑρπετοῦ,
ὃ ἕρπει ἐπὶ τῆς γῆς· ὁμοίωμα παν-
τὸς ἰχθύος, ὅσα ἐστὶν ἐν τοῖς ὕδασιν
ὑποκάτω τῆς γῆς.

** ΩΡΙΓΕΝΟΥΣ. Ἐβούλετό γε ὁ νόμος τῇ περὶ ἑκάστου ἀληθείᾳ ὁμιλοῦντας αὐτοὺς, μὴ ἀναπλάσσειν ἕτερα παρὰ τὴν ἀλήθειαν, ψευδόμενα τὸ ἀληθῶς ἀρσενικὸν, ἢ τὸ ὄντως θηλυκὸν, ἢ τὴν κτηνῶν φύσιν, ἢ τὸ ὀρνέων, ἢ τὸ ἑρπετῶν γένος, ἢ τὸ ἰχθύων.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἕλληνες δὲ πλανώμενοι, τὰ ὁμοιώματα Θεοὺς δοξάζουσιν, οἷς καὶ θύουσι. (2)

ιθ. Καὶ μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον, (3) σελήνην, καὶ τοὺς ἀστέρας, καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς, καὶ λατρεύσῃς αὐτοῖς, ἃ ἀπένειμε Κύριος ὁ Θεός σου πᾶσι τοῖς ἔθνεσι τοῖς ὑποκάτω τοῦ οὐρανοῦ.

Πᾶσι τοῖς ἔθνεσι τοῖς ὑποκάτω τοῦ οὐρανοῦ. Ἀκύλας, πᾶσι τοῖς λαοῖς ὑποκάτω παντὸς τοῦ οὐρανοῦ.

** ΚΛΗΜΕΝΤΟΣ. Ἔδωκε τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τὰ ἄστρα εἰς θρησκείαν, ἃ ἐποίησεν ὁ Θεὸς, τοῖς ἔθνεσι, φησὶν ὁ νόμος· ἵνα μὴ τέλεον ἄθεοι γενόμενοι, τελέως καὶ διαφθαρῶσιν. οἱ δὲ κἂν ταύτῃ γενόμενοι τῇ ἐντολῇ ἀγνώμονες, γλυπτοῖς προσεσχηκότες ἀγάλμασι, κἂν μὴ μετανοήσωσι, κρίνωνται· οἱ μὲν, ὅτι δυνηθέντες, οὐκ ἠθέλησαν πιστεῦσαι τῷ Θεῷ· οἱ δὲ, ὅτι

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

(2) Ὅρα τὰ εἰς τὸ 4. ἐδ. τοῦ 20. κεφ. τῆς Ἐξόδ. ὑπομνήματα, τὰ ἐν σελ. 768. ἤτοι τὸ τοῦ Ἀδήλου καὶ τὸ τοῦ Κυρίλλου. ἐν γὰρ τοῖς κώδ. καὶ ὧδε τὰ αὐτὰ πάλιν κεῖται· τὸ μὲν, τῷ Ἄλλῳ· τὸ δὲ, τῷ Ἀνεπιγράφῳ ἐπιγεγραμμένα· τὸ προκείμενον μόνον πλεῖον ἔχοντα προσκείμενον τῷ τέλει τοῦ ὑπομνήμ. τοῦ ἐπισφαλῶς ἐπιγραφέντος Κυρίλλῳ.

(3) Καὶ τὴν σελ. αἱ εἰρημ. ἐκδόσ.

ὅτι καὶ θελήσαντες, οὐκ ἐξεπόνησαν περιγενέσθαι (1) πιστοί. ναὶ μὴν κἀκεῖνοι οἱ ἀπὸ τῆς τῶν ἄστρων σεβήσεως μὴ ἐπαναδραμόντες ἐπὶ τὸν τούτων ποιητήν· ὁδὸς γὰρ ἦν αὕτη δοθεῖσα τοῖς ἔθνεσιν, ἀνακύψαι πρὸς Θεὸν διὰ τῆς τῶν ἄστρων θρησκείας· οἱ δὲ μὴ ἐπὶ τούτοις θελήσαντες ἐπιμεῖναι τοῖς δοθεῖσιν αὐτοῖς ἄστρασιν, ἀλλὰ καὶ τού-
Ἡσ. 40. 15. των ἀποπεσόντες εἰς λίθους καὶ ξύλα, ὡς χνοῦς, φησὶν, ἐλογίσθησαν, καὶ ὡς σταγὼν ἀπὸ κάδου.

** ΩΡΙΓΕΝΟΥΣ. Πῶς ἀπένειμε πᾶσι τοῖς ἔθνεσιν ἥλιον καὶ σελήνην καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ ὁ Θεὸς, οὐχ οὕτω δεδωκὼς αὐτὰ τῷ Ἰσραήλ; Τῷ τοὺς μὴ δυναμένους ἐπὶ τὴν νοητὴν ἀναδραμεῖν φύσιν, δι' αἰσθητῶν θεῶν κινουμένους περὶ Θεότητος, ἀγαπητῶς κἂν ἐν τούτοις ἵστασθαι, καὶ μὴ πίπτειν ἐπὶ εἴδωλα καὶ δαιμόνια.

* ΤΟΥ ΑΥΤΟΥ. Δύω τὰ ἐνταῦθα λεγόμενα· ἄλλο τὸ προσκυνήσεις αὐτοῖς, καὶ ἄλλο τὸ, λατρεύσεις. ὁ μὲν γὰρ ἐξ ὅλης ψυχῆς δουλεύων τούτοις, οὐ μόνον προσκυνεῖ, ἀλλὰ καὶ λατρεύει· ὁ δὲ καθυποκρινόμενος, καὶ διὰ τὰ ἔθνη ποιῶν, οὐ λατρεύει μὲν, προσκυνεῖ δέ. τοιούτους εὑρήσεις τοὺς ἐν τοῖς Ἀριθμοῖς εἰδωλολατρήσαντας, καταχαριζομένους ταῖς γυναιξὶν, ὑφ' ὧν ἐπείσθησαν. (2)

ΕΥΣΕΒΙΟΥ. Οὐκ ἔδωκε δὲ λέγει, ἀλλ' οὐκ ἐκώλυσεν, ἀλλὰ συνεχώρησεν. ἡ γὰρ μακροθυμία μὴ κωλύων, αἴτιος: καὶ ἐπειδὴ τὸν Ἰσραὴλ ἐξελέξατο, ἔσχε χώραν τοῦ εἰπεῖν, ἀπένειμεν. καὶ Ἄλλος φησὶ, τὴν συγχώρησιν τοῦ Θεοῦ σημαίνει διὰ τὴν αὐ-
Ῥωμ. 11. 8. τεξουσιότητα, κατὰ τὸ εἰρημένον· ἔδωκεν αὐτοῖς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἕως τῆς ἡμέρας ταύτης· καίτοιγε προειπὼν,
Ἐξόδ. 19. 4. ὑμεῖς ἑωράκατε ὅσα ἐποίησε Κύριος ἐν γῇ Αἰγύπτῳ Φαραὼ καὶ πᾶσι τοῖς θεράπουσιν αὐτοῦ καὶ πάσῃ τῇ γῇ αὐτοῦ. διὸ καὶ θαυμάζειν χρὴ τὸ ἐν τῷ Ἰὼβ σαφῶς εἰρημένον·
Ἰὼβ. 36. 12. ἀσεβεῖς δὲ οὐ σώζει, παρὰ τὸ μὴ βούλεσθαι αὐτοὺς, καὶ ὅτι νουθετούμενοι, ἀνήκοοι ἐγένοντο. ἐπεὶ πῶς προσέταξε τοὺς προσηλύτους ἀπὸ τῶν ἐθνῶν δέχεσθαι, εἰ τὸ, ἀπένειμε, κατὰ κληροδοσίαν Θεοῦ νοήσωμεν
1. Τιμ. 2. 4. ἀσεβῶς; ὃς θέλει πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

ΙΣΙΔΩΡΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ. Τί ἐστιν, ἔφης, τὸ περὶ τῶν οὐρανίων φωστήρων εἰρημένον, ἃ ἀπένειμε Κύριος ὁ Θεός σου πᾶσι τοῖς ἔθνεσιν; Ἄκουε τοίνυν, ἀπένειμε πρὸς διδασκαλίαν, πρὸς παίδευσιν, πρὸς γνῶσιν, ἵν' ἐκ τοῦ μεγέθους καὶ τῆς καλλονῆς τῶν κτισμάτων ὁ γενεσιουργὸς ἀόρατος ὢν, καθορᾶται. τοῦτο δὲ ἔφη, ἐπειδὴ τοῖς Ἑβραίοις μετὰ τῆς κτίσεως καὶ ἡ τοῦ νόμου διδασκαλία ἐδόθη, ἀνακηρύττουσα

A τὸν δημιουργὸν καὶ τεχνίτην. εἰ δέ τινες οἴονται ἀπονενεμῆσθαι πρὸς τὸ προσκυνῆσαι αὐτοῖς, τὴν οἰκείαν ἀπαιδευσίαν στηλιτεύουσι, πάσης τῆς Γραφῆς αἰτιωμένης, καὶ κατηγορούσης (3) τῶν τοῦτο ποιῆσαι τολμησάντων.

κ. Ὑμᾶς δὲ ἔλαβεν ὁ Θεὸς, καὶ ἐξήγαγεν ὑμᾶς ἐκ τῆς καμίνου τῆς σιδηρᾶς, ἐξ Αἰγύπτου, εἶναι αὐτῷ
B λαὸν ἔγκληρον, ὡς ἐν τῇ ἡμέρᾳ ταύ-
κα. τῃ. Καὶ Κύριος ὁ Θεὸς ἐθυμώθη μοι περὶ τῶν λεγομένων ὑφ' ὑμῶν: καὶ ὤμοσεν ἵνα μὴ διαβῶ τὸν Ἰορδάνην τοῦτον, καὶ ἵνα μὴ εἰσέλθω εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ.

κβ. Ἐγὼ γὰρ ἀποθνήσκω ἐν τῇ
Γ γῇ ταύτῃ, καὶ οὐ διαβαίνω τὸν Ἰορδάνην τοῦτον. ὑμεῖς δὲ διαβαίνετε, καὶ κληρονομήσετε τὴν γῆν τὴν ἀγαθὴν ταύτην.

ΩΡΙΓΕΝΟΥΣ. Μωϋσῆς μὴ δοξάσας τὸν Θεὸν ἐπὶ τοῦ λαοῦ, ἐκωλύθη παρελθεῖν μετ' αὐτῶν· ἵνα μὴ ὃν ἐτίμων ζῶντα ἐν Θεοῦ θεραπείαις, τιμήσωσιν ἀπελθόντα. διὸ δὴ καὶ ἀποθανόντος, ἀφανῆ τὸν τάφον ἐποίησε. (4)

Δ κγ. Προσέχετε ὑμεῖς, μὴ ἐπιλάθησθε τῆς διαθήκης Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἣν διέθετο πρὸς ὑμᾶς, καὶ ἀνομήσητε, καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα πάντων ὧν συνέταξέ σοι Κύριος ὁ Θεός σου.

κδ. Ὅτι Κύριος ὁ Θεός σου πῦρ καταναλίσκον ἐστὶ, Θεὸς ζηλωτής.

E ** ΚΛΗΜΕΝΤΟΣ. Ὅταν ὁ Θεὸς λέγηται πῦρ καταναλίσκον, οὐ κακίας, ἀλλὰ δυνάμεως ὄνομα καὶ σύμβολον ἐκλεκτέον. (5) ὡς γὰρ τὸ πῦρ ἰσχυρότατον πάντων τῶν στοιχείων, καὶ πάντων κρατοῦν· οὕτω καὶ ὁ Θεὸς παντοδύναμος καὶ παντοκράτωρ, ὁ δυνάμενος κρατῆσαι, κτίσαι, ποιῆσαι, τρέφειν, αὔξειν, σώζειν, σώματος καὶ ψυχῆς ἐξουσίαν ἔχων. ὡς οὖν τῶν στοιχείων ὑπερέχει τὸ πῦρ, οὕτω Θεῶν τε καὶ δυνάμεων
Z καὶ ἀρχῶν ὁ παντοκράτωρ. διπλῆ τε ἡ δύναμις τοῦ πυρὸς, ἡ μὲν πρὸς δημιουργίαν καὶ πέπανσιν καρπῶν, καὶ ζώων γένεσιν καὶ τροφὴν ἐπιτήδειος· ἧς εἰκὼν ὁ ἥλιος· ἡ δὲ πρὸς ἀνάλωσιν καὶ φθορὰν, ὡς τὸ πῦρ τὸ ἐπίγειον. πῦρ οὖν ὅταν λέγηται ὁ Θεὸς καταναλίσκον, δύναμις ἰσχυρὰ καὶ ἀπροσάντητος, ᾗ μηδὲν ἀδύνατον· ἀλλὰ καὶ τὸ ἀπολέσαι δυνατόν. περὶ τοιαύτης δυνάμεως καὶ ὁ Σωτὴρ λέγει, πῦρ ἦλθον Λουκ. 12. 49.
H βαλεῖν ἐπὶ τὴν γῆν, δηλονότι δύναμιν, τῶν

(1) Ἴσ. περὶ τὸ γενέσθαι.
(2) Μικρόν τι διαφέρει τοῦ ἐν σελ. 769.
(3) Καὶ καταφορικῶς κατηγορούσης. ἐν τῇ 391. ἐπισ. τοῦ 3. βιβλ.
(4) Μικρόν τι διαφέρει τοῦ ἐν σελ. 1300.
(5) Ἐκληπτέον. ἀνάγν.

μὲν ἁγίων καθαρτικὴν, τῶν δὲ ὑλικῶν, ὡς μὲν ἐκεῖνοι φασὶν, ἀφανιστικήν· ὡς δὲ ἡμεῖς ἂν φαίημεν, παιδευτικήν. ἔχει δὲ καὶ φόβον τὸ πῦρ, καὶ διάχυσιν τὸ φῶς.

» ✱✱ ΒΑΣΙΛΕΙΟΥ. Ἐπεὶ ὁ Θεὸς ἡμῶν
» πῦρ καταναλίσκον ἐστὶ, καταναλώσει δηλονότι τὴν ὕλην, καὶ τὰ ἀπὸ ὕλης ἐλθόντα πάθη, τῇ μὴ ἐν πνεύματι, ἀλλ᾽ ἐν σαρκὶ διατριβούσῃ ψυχῇ.

» ✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ὁ Θεὸς ἡμῶν πῦρ
» καταναλίσκον ἐστὶ, διδοὺς ἐκδίκησιν ἐν πυρὶ φλογὸς τοῖς μὴ εἰδόσιν αὐτὸν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ Εὐαγγελίῳ αὐτοῦ.

» ✱✱ ΩΡΙΓΕΝΟΥΣ. Ὁ Θεὸς ἡμῶν πῦρ ταναλίσκον· καταναλίσκον δὲ δηλονότι τὰ κακίαν ὑποστάντα.

» ✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον, ἐπείπερ ὅσον μέν ἐστι τὰ τοῦ καταναλίσκεσθαι [ἄξια,](1) ἐπὶ τοσοῦτον ὁ Θεὸς ἡμῶν πῦρ ἐστὶ καταναλίσκον ἐκεῖνα· ἐπὰν δὲ ἀναλωθῇ ὑπὸ τοῦ καταναλίσκοντος πυρὸς τὰ πεφυκότα ὑπ᾽ ἐκείνου ἀναλίσκεσθαι, τότε οὐκ ἔτι μὲν ἔσται ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον, μόνον δὲ ὡς εἶπεν
Ἰωάν. 1. 1. 5. Ἰωάννης φῶς, λέγων· ὁ Θεὸς φῶς ἐστί.

κε. Ἐὰν δὲ γεννήσῃς υἱοὺς καὶ υἱοὺς
τῶν υἱῶν σου, καὶ χρονίσητε ἐπὶ τῆς
γῆς, καὶ ἀνομήσητε, καὶ ποιήσητε
γλυπτὸν ὁμοίωμα παντὸς, καὶ ποιή-
σητε τὸ πονηρὸν ἐναντι Κυρίου τοῦ Θεοῦ
κς. ἡμῶν παροργίσαι αὐτὸν, Διαμαρ-
τύρομαι ὑμῖν σήμερον τόν τε οὐρανὸν
καὶ τὴν γῆν, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε
ἐκ τῆς γῆς, εἰς ἣν ὑμεῖς διαβαίνετε
τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐ-
τήν· οὐχὶ πολυχρονιεῖτε ἡμέρας ἐπ᾽
αὐτῆς, ἀλλ᾽ ἢ ἐκτριβῇ ἐκτριβήσεσθε.

✱ ΩΡΙΓΕΝΟΥΣ. Ὁ Θεὸς τοὺς αὐτὸν προσκυνοῦντας οὐ συγχωρῶν δαίμοσι συνάπτεσθαι, ἀλλὰ τοὺς ἅπαξ αὐτὸν ἐπεγνωκότας ἐκτὸς εἶναι κελεύων τῆς πρὸς ἐκείνους διαθέσεως, καὶ παραζηλῶν ἐν τῇ ἀποστασίᾳ τὸν λαὸν, (2) τὰς μελλούσας αὐτοῖς προλέγει τιμωρίας διὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Προλέγει τὰ ἐκ παραβάσεως αὐτοῖς ἐσόμενα δεινὰ, καὶ ὡς ἔσται διὰ μετανοίας σωθῆναι. καὶ τῶν σημείων ὑπομιμνήσκει, καὶ τῆς ἐπιφανείας
Ψαλ. 147. 9. τῆς ἐν Σινᾶ: καὶ ὅτι τοιαῦτα οὐκ ἐποίησε
» παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδή-
» λωσεν αὐτοῖς, κατὰ τὸν Δαβίδ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Κἂν μηδὲν ὠφελῶμεν, λέγειν δεῖ. τὸ γὰρ διαμαρτύρασθαι τοῦτό ἐστιν, ὅταν πρὸς τοὺς μὴ προσέχοντας λέγωμεν. τὸ γὰρ διαμαρτύρασθαι,
» ὡς ἐπὶ τὸ πολὺ τοῦτό ἐστι. διαμαρτύρομαι,
» φησὶν, ὁ Μωϋσῆς τὸν οὐρανὸν καὶ τὴν γῆν.

A κζ. Καὶ διασπερεῖ Κύριος ὑμᾶς ἐν
πᾶσι τοῖς ἔθνεσι, [καὶ καταλειφ-
θήσεσθε ὀλίγοι ἀριθμῷ ἐν πᾶσι τοῖς
ἔθνεσιν,] εἰς οὓς εἰσάξει Κύριος ὑμᾶς
κη. ἐκεῖ. Καὶ λατρεύσετε ἐκεῖ θεοῖς
ἑτέροις, ἔργοις χειρῶν ἀνθρώπων,
ξύλοις καὶ λίθοις, οἳ οὐκ ὄψονται, οὐδὲ
μὴ ἀκούσωσιν, οὐδὲ μὴ φάγωσιν, οὐδὲ
κθ. μὴ ὀσφρανθῶσι. Καὶ ἐκζητήσετε
ἐκεῖ Κύριον τὸν Θεὸν ὑμῶν, καὶ εὑρή-
σετε αὐτὸν ὅταν ἐκζητήσετε αὐτὸν ἐξ
ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς
λ. ψυχῆς σου ἐν τῇ θλίψει σου. Καὶ εὑρή-
σουσί σε πάντες οἱ λόγοι οὗτοι ἐπ᾽ ἐσχά-
του τῶν ἡμερῶν, καὶ ἐπιστραφήσῃ πρὸς
Κύριον τὸν Θεόν σου, καὶ εἰσακούσῃ
λα. τῆς φωνῆς αὐτοῦ. Ὅτι Κύριος ὁ Θεὸς
Γ οἰκτίρμων Κύριος ὁ Θεός σου· οὐκ ἐγ-
καταλείψει σε, οὐδὲ μὴ ἐκτρίψει σε.
οὐκ ἐπιλήσεται τῆς διαθήκης τῶν πα-
τέρων σου, ἣν ὤμοσεν αὐτοῖς Κύριος.
λβ. Ἐπερωτήσατε ἡμέρας τὰς γενομένας
προτέρας σου ἀπὸ τῆς ἡμέρας ἧς ἔκτι-
σεν ὁ Θεὸς ἄνθρωπον ἐπὶ τῆς γῆς,
καὶ ἐπὶ τὸ ἄκρον τοῦ οὐρανοῦ ἕως ἄκρου
τοῦ οὐρανοῦ, εἰ γέγονε κατὰ τὸ ῥῆμα
λγ. τὸ μέγα τοῦτο, εἰ ἤκουσται τοιοῦτον. Εἰ
ἀκήκοεν ἔθνος φωνὴν Θεοῦ ζῶντος
λαλοῦντος ἐκ μέσου τοῦ πυρὸς, ὃν τρό-
λδ. πον ἀκήκοας σὺ καὶ ἔζησας. Εἰ ἐπεί-
ρασεν ὁ Θεὸς εἰσελθεῖν λαβεῖν ἑαυτῷ
ἔθνος ἐκ μέσου ἔθνους ἐν πειρασμῷ,
καὶ ἐν σημείοις, καὶ ἐν τέρασι, καὶ
ἐν πολέμῳ, καὶ ἐν χειρὶ κραταιᾷ, καὶ
ἐν βραχίονι ὑψηλῷ, καὶ ἐν ὁράμασι
E μεγάλοις, κατὰ πάντα ὅσα ἐποίησεν
ὑμῖν Κύριος ὁ Θεὸς ἡμῶν ἐν Αἰγύπτῳ
λε. ἐνώπιόν σου βλέποντος. Ὥστε εἰδέναι
σε ὅτι Κύριος ὁ Θεός σου οὗτος Θεός
λς. ἐστι, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ. Ἐκ
τοῦ οὐρανοῦ ἀκουστὴ σοι ἐποίησε τὴν φω-
νὴν αὐτοῦ παιδεῦσαί σε, καὶ ἐπὶ τῆς
γῆς ἔδειξέ σοι τὸ πῦρ αὐτοῦ τὸ μέγα,
Z καὶ τὰ ῥήματα αὐτοῦ ἤκουσας ἐκ μέσου
λζ. τοῦ πυρός. Διὰ τὸ ἀγαπῆσαι αὐτὸν
τοὺς πατέρας σου, καὶ ἐξελέξατο τὸ
σπέρμα αὐτῶν μετ᾽ αὐτοὺς ὑμᾶς, καὶ
ἐξήγαγέ σε αὐτὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ
λη. τῇ μεγάλῃ ἐξ Αἰγύπτου, Ἐξολο-
θρεῦσαι ἔθνη μεγάλα, καὶ ἰσχυρότε-
ρά σου πρὸ προσώπου σου, εἰσαγαγεῖν
σε δοῦναί σοι τὴν γῆν αὐτῶν κληρονο-
λθ. μεῖν, καθὼς ἔχεις σήμερον. Καὶ
γνώσῃ

(1) Τὰ ξια προσεθέμην πρὸς τοῦ κεχηνότος ἀναπλήρωσιν.
(2) Τῶν λαῶν. ἐν Τόμ. 2. σελ. 385. τῆς τοῦ Ῥου. ἐκδόσ.

γνώσῃ σήμερον καὶ ἐπιςραφήσῃ τῇ διανοίᾳ, ὅτι Κύριος ὁ Θεός σου οὗτος Θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ οὐκ ἔςιν ἔτι πλὴν αὐ-
μ. τοῦ. Καὶ φυλάξῃ τὰ δικαιώματα αὐτοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον· ἵνα εὖ σοι γένηται καὶ τοῖς υἱοῖς σου μετὰ σὲ, ὅπως μακροήμεροι γένησθε ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι πάσας τὰς ἡμέρας.

μα. Τότε ἀφώρισε Μωϋσῆς τρεῖς πόλεις πέραν τοῦ Ἰορδάνου ἀπὸ ἀνα-
μβ. τολῶν ἡλίου, Φυγεῖν ἐκεῖ τὸν φονευτὴν, ὃς ἂν φύγῃ ἐκεῖ ζήσεται, ὃς ἂν φονεύσῃ τὸν πλησίον οὐκ εἰδὼς, καὶ οὗτος οὐ μισῶν αὐτὸν πρὸ τῆς χθὲς καὶ τῆς τρίτης, καὶ καταφεύξεται εἰς μίαν τῶν πόλεων τού-
μγ. των, καὶ ζήσεται. Τὴν Βοσὸρ ἐν τῇ ἐρήμῳ ἐν τῇ γῇ τῇ πεδινῇ τῷ Ῥουβὶμ, καὶ τὴν Ῥαμὼθ ἐν Γαλαὰδ τῷ Γαδδὶ, καὶ τὴν Γαυλὼν ἐν Βασὰν τῷ Μανασσῇ.

A ΑΠΟΛΙΝΑΡΙΟΥ. Τρεῖς ἀφορίζει πόλεις κατὰ τὸν ἀριθμὸν τῆς ἁγίας Τριάδος, οὐκ εἰς ἐρημίαν τε ἐξοικίζων τὸν μεθιςάμενον, ἵνα ἐκ τῆς τῶν Λευϊτῶν μετέχῃ ἐπικουρίας.

μδ. Οὗτος ὁ νόμος, ὃν παρέθετο
με. Μωϋσῆς ἐνώπιον υἱῶν Ἰσραήλ. Ταῦτα τὰ μαρτύρια, καὶ τὰ δικαιώματα, (1) ὅσα ἐνετείλατο Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ, ἐξελθόντων αὐτῶν ἐκ
μϛ. γῆς Αἰγύπτου, Ἐν τῷ πέραν τοῦ Ἰορ-
B δάνου, ἐν φάραγγι, ἐγγὺς οἴκου Φογὼρ, ἐν γῇ Σηὼν βασιλέως τῶν Ἀμοῤῥαίων, ὃς κατῴκει ἐν Ἐσεβὼν, ὃν ἐπάταξε Μωϋσῆς, καὶ οἱ υἱοὶ Ἰσραὴλ, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου.
μζ. Καὶ ἐκληρονόμησαν τὴν γῆν αὐτοῦ, καὶ τὴν γῆν Ὢγ βασιλέως τῆς Βασὰν, δύο βασιλέων τῶν Ἀμοῤῥαίων,
Γ οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου κατὰ ἀνα-
μη. τολὰς ἡλίου, Ἀπὸ Ἀροὴρ, ἥ ἐςιν ἐπὶ τοῦ χείλους χειμάῤῥου Ἀρνῶν, καὶ ἐπὶ
μθ. τοῦ ὄρους Σηὼν, ὅ ἐςιν Ἀερμών. Πᾶσαν τὴν Ἄραβα πέραν τοῦ Ἰορδάνου κατὰ ἀνατολὰς ἡλίου ὑπὸ Ἀσηδὼθ τὴν λαξευτήν.

ΚΕΦ. Ε.

α. Καὶ ἐκάλεσε Μωϋσῆς πάντα Ἰσραὴλ, καὶ εἶπε πρὸς αὐτοὺς, ἄκουε Ἰσραὴλ πάντα τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐγὼ λαλῶ ἐν τοῖς ὠσὶν ὑμῶν ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ μαθήσεσθε αὐτὰ,
β. καὶ φυλάξεσθε ποιεῖν αὐτά. Κύριος ὁ Θεὸς ὑμῶν διέθετο πρὸς ὑμᾶς διαθήκην ἐν Χωρήβ.

ΑΔΗΛΟΥ. Ὅλον τὸ κεφάλαιον ἀνάγει αὐτῶν τὴν διάνοιαν πρὸς τὸ μεμνῆσθαι τοῦ εὐεργέτου καὶ ἐλευθερωτοῦ Θεοῦ· καὶ πάσας τὰς εὐεργεσίας καὶ τὰ θαυμάσια τὰ δι᾽ αὐτοῦ ἐν Αἰγύπτῳ γενόμενα, καὶ διδάσκειν τοὺς ἐξ αὐτῶν.

γ. Οὐχὶ τοῖς πατράσιν ὑμῶν διέθετο Κύριος τὴν διαθήκην ταύτην, ἀλλ᾽ ἢ πρὸς ὑμᾶς· ὑμεῖς δὲ ζῶντες (2) πάντες σήμερον.

„ ΑΠΟΛΙΝΑΡΙΟΥ. Οὐχὶ τοῖς πατράσιν
„ ὑμῶν. Οὐ τοῖς περὶ τὸν Ἀβραὰμ διέθετο τὴν πρὸς Μωϋσέα διαθήκην ὁ Θεὸς, ἐπεὶ
1. Τιμ. 1. 9. μηδὲ ἐδέοντο αὐτῆς. δικαίῳ γὰρ νόμος
„ οὐ κεῖται.

※※ ΠΡΟΚΟΠΙΟΥ. Οὐκ ἄρα τὰ ἐν τῷ νόμῳ Μωϋσέως οἱ πρὸ Μωϋσέως ἐφύλαττον δίκαιοι.

δ. Πρόσωπον κατὰ πρόσωπον ἐλάλησε Κύριος πρὸς ὑμᾶς ἐν τῷ ὄρει
ε. ἐκ μέσου τοῦ πυρός. Κἀγὼ εἱςήκειν ἀναμέσον Κυρίου καὶ ἀναμέσον ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ ἀναγγεῖλαι ὑμῖν τὰ ῥήματα Κυρίου, ὅτι ἐφοβήθητε
E ἀπὸ προσώπου τοῦ πυρὸς, καὶ οὐκ ἀνέ-
ϛ. βητε εἰς τὸ ὄρος, λέγων, Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ὅςις ἐξήγαγέ σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας.
ζ. Οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν
η. ἐμοῦ. Οὐ ποιήσεις σεαυτῷ γλυπτὸν, οὔτε παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν γῇ κάτω, καὶ ὅσα ἐν τῷ ὕδατι ὑποκάτω τῆς γῆς.

Z θ. Οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς, ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν
ι. τοῖς μισοῦσί με, Καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσσουσι τὰ προςάγματά μου.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰ δὲ λέγοι τις,
H „ πῶς οὖν εἴρηται, ἀποδιδοὺς ἁμαρτίας πατέ-
„ ρων ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν, ἐκεῖνο [ἂν]

(1) Τὰ δικαιώματα, καὶ τὰ κρίματα. αἱ εἰρημ. ἐκδόσ.
(2) Ὑμεῖς ὧδε πάντες ζῶντες. αἱ αὐτ.

[ἂν] εἴποιμεν· ὅτι οὐκ ἔστι καθολικὴ [ἡ] ἀπόφασις, ἀλλὰ ἐπὶ τινῶν εἴρηται τῶν ἐξ Αἰγύπτου ἐξελθόντων. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. [ἐπειδὴ οἱ ἐξ Αἰγύπτου ἐξελθόντες,] μετὰ τὰ σημεῖα καὶ θαύματα τῶν προγόνων γεγόνασι χείρους τῶν οὐδὲν τούτων θεασαμένων, τὰ αὐτά φησι πείσονται ἅπερ ἔπαθον ἐκεῖνοι, ἐπειδὴ τὰ αὐτὰ τετολμήκασι. (1)

» ** ΜΑΞΙΜΟΥ. Τί ἐστι τό· ἀποδιδοὺς » ἁμαρτίας γονέων ἐπὶ τέκνα ἕως τρίτης καὶ » τετάρτης γενεᾶς τοῖς μισοῦσί με; Πρώτην γενεὰν ὑπειλήφαμεν εἶναι τὴν σπορὰν τοῦ κακοῦ, τουτέστι τὴν προσβολήν· δευτέραν δέ, τὴν ἐπιθυμίαν· τρίτην δέ, τὴν ἕξιν τοῦ κακοῦ γενεᾶς, τουτέστι τὴν συγκατάθεσιν· τετάρτην δέ, τὴν ἐνέργειαν, τουτέστι τὴν πρᾶξιν. ἀποδίδοται οὖν ἕως τρίτης καὶ τετάρτης γενεᾶς, τουτέστιν ὑπὲρ τῆς συγκαταθέσεως καὶ τῆς πράξεως. ἡ γὰρ προσβολὴ καὶ ἡ ἐπιθυμία, ἀνεύθυνός ἐστιν, ὡς μὴ εἰς πέρας τοῦ κακοῦ προελθόντος.

ΣΕΥΗΡΙΑΝΟΥ. Πρόσεχε ἀκριβῶς. τὴν τιμωρίαν ἥπλωσεν ἐπὶ τέσσαρας γενεάς, τὴν δὲ φιλανθρωπίαν ἕως τίνος; καὶ ποιῶν » ἔλεος εἰς χιλίας γενεάς. (2)

ια. Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ, οὐ γὰρ μὴ καθαρίσῃ Κύριος ὁ Θεός σου τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.
ιβ. Καὶ φύλαξαι τὴν ἡμέραν τῶν σαβ-
βάτων ἁγιάζειν αὐτήν, ὃν τρόπον
ιγ. ἐνετείλατό σοι Κύριος ὁ Θεός σου. Ἓξ
ἡμέρας ἐργᾷ καὶ ποιήσεις πάντα τὰ
ιδ. ἔργα σου· Τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ
σάββατα Κυρίῳ τῷ Θεῷ σου. οὐ ποιή-
σεις ἐν αὐτῇ πᾶν ἔργον σὺ καὶ ὁ υἱός
σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ
ἡ παιδίσκη σου, (3) καὶ τὸ ὑποζύγιόν
σου, καὶ πᾶν κτῆνός σου, καὶ ὁ προ-
σήλυτος ὁ παροικῶν ἐν σοί, ἵνα ἀνα-
παύσηται ὁ παῖς σου, καὶ ἡ παιδίσκη
σου, καὶ τὸ ὑποζύγιόν σου, ὥσπερ καὶ
ιε. σύ. Καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα
ἐν γῇ Αἰγύπτῳ, καὶ ἐξήγαγέ σε Κύ-
ριος ὁ Θεός σου ἐκεῖθεν ἐν χειρὶ κρα-
ταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ. διὰ
τοῦτο συνέταξε Κύριος ὁ Θεός σου ὥστε
φυλάσσεσθαί σε τὴν ἡμέραν τῶν σαβ-
βάτων, καὶ ἁγιάζειν αὐτήν.

A ις. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ὃν τρόπον ἐνετείλατό σοι Κύριος ὁ Θεός σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.

» ** ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἥτις ἐστὶν ἐντολὴ πρώτη, ἵνα εὖ σοι γένηται, ἐν ἐπαγ-
B » γελίαις κειμένη· καὶ, ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. ὁμοίως καὶ τὸ ἀγαθὸν ἐτίμησε, καὶ τὸ κακὸν ἐκόλασε. καὶ, εὐλογία πατρὸς στηρίζει οἴκους τέκνων. κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια. ὁρᾶτε τὸ ἴσον τῆς νομοθεσίας; εἷς ποιητὴς ἀνδρὸς καὶ γυναικός, εἷς χοῦς ἀμφότεροι, εἰκὼν μία, νόμος εἷς, θάνατος εἷς, ἀνάστασις μία. ὁμοίως ἐξ ἀνδρὸς καὶ γυναικὸς γεγόναμεν. ἓν χρέος παρὰ τῶν
Γ τέκνων τοῖς γονεῦσιν ὀφείλεται.

Ματθ. 15. 4. Σειρ. 3. 9.

ιζ. Οὐ φονεύσεις. ιη. Οὐ μοιχεύσεις.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνος ἕνεκεν εἰ- » πών, οὐ φονεύσεις, οὐ προσέθηκεν ὅτι κακὸν ὁ φόνος; Ἐπειδὴ προλαβὸν τὸ συνειδὸς ἡμᾶς ἐπαίδευσε τοῦτο, καὶ ὡς εἰδόσι καὶ ἐπισταμένοις τοῦτο διαλέγεται. ὅταν οὖν περὶ ἑτέρας ἐντολῆς λέγῃ τῆς οὐ γνωρίμης ἡμῖν ἀπὸ τοῦ συνειδότος γενομένης, οὐκ ἀπα-
Δ γορεύει μόνον, ἀλλὰ καὶ τὴν αἰτίαν προστίθησι. περὶ σαββάτου γοῦν νομοθετῶν καὶ » λέγων, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ οὐ ποιήσεις » ἔργον, καὶ τὴν αἰτίαν ἐπήγαγε τῆς ἀρ- » γίας. ποίαν δὴ ταύτην; ὅτι ἐν τῇ ἡμέρᾳ » τῇ ἑβδόμῃ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάν- » των τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ποιῆσαι. » καὶ πάλιν, ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτῳ. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, ἐπὶ μὲν τῶν σαββάτων τὴν αἰτίαν προσέθηκεν, ἐπὶ δὲ
E τοῦ φόνου οὐδὲν τοιοῦτον ἐποίησεν; ἐπειδὴ αὕτη μὲν ἡ ἐντολὴ οὐ τῶν προηγουμένων ἦν, οὐδὲ τῶν ἐκ τοῦ συνειδότος ἡμῖν ἠκριβωμένων, ἀλλὰ μερική τις καὶ πρόσκαιρος, διὰ τοῦτο καὶ κατελύθη μετὰ ταῦτα· αἱ δὲ ἀναγκαῖαι καὶ συνέχουσαι τὴν ζωὴν τὴν ἡμε- » τέραν, ἐκεῖναί εἰσιν, οὐ φονεύσεις, οὐ μοι- » χεύσεις, οὐ κλέψεις. διόπερ οὐδαμοῦ αἰτίαν ἐνταῦθα τίθησιν, οὐδὲ διδασκαλίαν εἰσάγει, ἀλλ' ἀρκεῖται ψιλῇ τῇ ἀπαγορεύσει.

Ἐξόδ. 20. 11.

Z ΣΕΥΗΡΙΑΝΟΥ. Τῆς Μωσέως γραφεί- » σης νομοθεσίας, οὐ φονεύσεις, λεγούσης, Χριστὸς ὁ τοῦ νόμου νοῦς, καὶ τοῦ ἐν αὐτῷ » πνεύματος χορηγὸς τό, οὐκ ὀργισθήσῃ τῷ » ἀδελφῷ σου εἰκῇ, διετάξατο. ταύτῃ γὰρ μᾶλλον

Ματθ. 5. 22.

(1) Ὅρα τὴν 1255. σελ. ἐν ᾗ τὰ αὐτὰ ἄλλως συντεταγμένα εὑρήσεις. ὅρα δὲ καὶ τὰ ὑπομνήμ. τοῦ τε Κυρίλ. καὶ τοῦ Σευήρ. τὰ ἐν σελ. 771, καὶ 772. τὰ αὐτὰ γὰρ αὐταῖς λέξεσι καὶ ἐν τῷδε τῷ τόπῳ πάλιν κεῖται παρὰ τοῖς κώδ. πλὴν ὅτι τὸ μὲν τοῦ Κυρίλ. οὐχ ὅλον, ἀλλ' ἄχρι τοῦ, ὀφειλομένην ὀργήν· τὸ δὲ τοῦ Σευήρου, Σευηριανῷ ὧδε ἐπιγέγραπται. ἐξ οὗ δῆλον, ὅτι ὁ αὐτὸς καὶ Σευῆρος καὶ Σευηριανὸς λέγεται.

(2) Μικρὸν τούτου διαφέρει τὸ ἐν τῇ 777. σελ. εἰς δὲ τὸ ἑξῆς ἐδ. ὅρα τὸ τοῦ Κυρίλ. ὑπόμν. τὸ ἐν τῇ αὐτῇ σελ. καὶ πάλιν εἰς τὸ 15. ἐδ. ὅρα τὸ ὑπομν. τοῦ αὐτοῦ τὸ ἐν σελ. 779. οὗ ἡ ἀρχή· τὸ σάββατον. εἰς δὲ τὸ 16. πάλιν τὸ τοῦ αὐτοῦ τὸ ἐν σελ. 781. οὗ ἡ ἀρχή· χρῆμα. τὰ αὐτὰ γὰρ καὶ εἰς τοὺς δύο τούτους τόπους παρὰ τοῖς κώδ. πάλιν κεῖται.

(3) Ἡ παιδίσκη σου, ὁ βοῦς σου καὶ τὸ ὑποζ. αἱ εἰρημ. ἐκδόσ.

. μᾶλλον πληρῶν τοῦ νόμου τὸ βούλημα· τὴν γὰρ ὀργὴν, ἐξ ἧς ὁ φόνος φύεται, προανελὼν, καὶ τὸ ἐκείνῳ συνδυαζόμενον ἔπραξε·
» καὶ περιττὸν τὸ, οὐ φονεύσεις, ἀπέδειξεν, ἀμαυρώσας αὐτὸ διὰ τῆς μείζονος ἐπιτάσεως. σχολῇ γὰρ ἂν ἔλθῃ πρὸς φόνον ὁ μηδὲ ὀργισθῆναι συγχωρηθείς. οὕτω καὶ τὸ πρὸς ἐπιθυμίαν ἀκόλαστον βλέμμα κατα-
» δικάσας, τὸ, οὐ μοιχεύσεις, καὶ πεπλήρωκε, καὶ ἠφάνισε. πνευματικὸν γὰρ ὄντα τὸν νόμον ὁ Κύριος πεπλήρωκεν ἐν καινότητι πνεύματος· λέλυκε δὲ τῇ τοῦ γράμ-
Ἑβρ. 8. 13. ματος παλαιότητι. τὸ δὲ παλαιούμενον καὶ
» γηράσκον ἐγγὺς ὑπάρχον ἀφανισμοῦ, καὶ Παύλῳ καὶ τῇ ἀληθείᾳ δοκεῖ. καλῶς δὲ
» σφόδρα εἶπεν, ἐγγὺς ἀφανισμοῦ γεγενῆσθαι, καὶ οὐ τελείως ἠφανίσθαι. τὸ γὰρ πληροῦσθαι τὸν νοῦν, δοκεῖ μένειν ὁ νόμος· ἠφανίσθαι δὲ, τὸ περιττὴν δειχθῆναι τὴν τοῦ γράμματος ἐντολήν. καθάπερ ἄν τις καὶ τὸν ἐκ σκιογραφίας ἐπὶ σανίδος ἐνσημανθέντα κύκλον ἠφανίσθαι εἴποι, διὰ τῆς τῶν χρωμάτων ἐπιβολῆς. ἠφάνισται μὲν γὰρ, τὸ μὴ διὰ τοῦ προτέρου σχήματος δείκνυσθαι· μένει δὲ ὅμως, τὸ λαμπρότερον διὰ τῆς ἐπικαλυψάσης εὐχροίας ἐκφαίνεσθαι.

ιθ. Οὐ κλέψεις. κ. Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυ-
κα. ρίαν ψευδῆ. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε παντὸς κτήνους αὐτοῦ, οὔτε πάν-
κβ. τα ὅσα τῷ πλησίον σου ἐστί. Ταῦτα τὰ ῥήματα ἐλάλησε Κύριος πρὸς πᾶσαν συναγωγὴν ὑμῶν ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός· σκότος, γνόφος, θύελλα, φωνὴ μεγάλη, καὶ οὐ προσέθηκε. καὶ ἔγραψεν αὐτὰ ἐπὶ δύο πλάκας λιθίνας, καὶ ἔδωκέ μοι Κύ-
κγ. ριος. Καὶ ἐγένετο ὡς ἠκούσατε τὴν φωνὴν Κυρίου ἐκ μέσου τοῦ πυρὸς, καὶ τὸ ὄρος ἐκαίετο πυρὶ, καὶ προσήλθον πάντες πρός με οἱ ἡγούμενοι τῶν φυλῶν ὑμῶν, καὶ ἡ γερουσία ὑμῶν, (1)
κδ. Καὶ ἐλέγετε, ἰδοὺ ἔδειξεν ἡμῖν Κύριος ὁ Θεὸς ἡμῶν τὴν δόξαν αὐτοῦ, καὶ τὴν φωνὴν αὐτοῦ ἠκούσαμεν ἐκ μέσου τοῦ πυρός· ἐν τῇ ἡμέρᾳ ταύτῃ ἴδομεν (2) ὅτι λαλήσει ὁ Θεὸς πρὸς ἄνθρωπον,
κε. καὶ ζήσεται. Καὶ νῦν μὴ ἀποθάνωμεν, ὅτι ἐξαναλώσει ἡμᾶς τὸ πῦρ τὸ
A μέγα τοῦτο, ἐὰν προσθῶμεν ἡμεῖς ἀκοῦσαι τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ ἡμῶν
κς. ἔτι, καὶ ἀποθανούμεθα. Τίς γὰρ σὰρξ ἥτις ἤκουσε φωνὴν Θεοῦ ζῶντος, λαλοῦντος ἐκ μέσου τοῦ πυρὸς, ὡς ἡμεῖς,
κζ. καὶ ζήσεται; Πρόσελθε σὺ καὶ ἄκουσον πάντα ὅσα ἂν εἴποι Κύριος ὁ Θεὸς ἡμῶν, καὶ σὺ λαλήσεις πρὸς ἡμᾶς πάντα ὅσα ἐὰν λαλήσῃ Κύριος ὁ Θεὸς
B ἡμῶν πρὸς σὲ, καὶ ἀκουσόμεθα καὶ ποιή-
κη. σομεν. Καὶ ἤκουσε Κύριος ὁ Θεὸς τὴν φωνὴν τῶν λόγων ὑμῶν λαλούντων πρός με, καὶ εἶπε Κύριος πρός με, ἤκουσα τὴν φωνὴν τῶν λόγων τοῦ λαοῦ τούτου ὅσα ἐλάλησαν πρὸς σέ. ὀρθῶς
κθ. πάντα ὅσα ἐλάλησαν. Τίς δώσει οὕτως εἶναι τὴν καρδίαν αὐτῶν ἐν αὐ-
Γ τοῖς, ὥστε φοβεῖσθαί με καὶ φυλάσσειν τὰς ἐντολάς μου πάσας τὰς ἡμέρας, ἵνα εὖ ᾖ αὐτοῖς, καὶ τοῖς υἱοῖς
λ. αὐτῶν δι' αἰῶνος; Βάδισον, καὶ εἶπον αὐτοῖς, ἀποστράφητε ὑμεῖς εἰς τοὺς οἴκους ὑμῶν·

λα. Σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ, καὶ λαλήσω πρὸς σὲ τὰς ἐντολὰς καὶ
Δ τὰ δικαιώματα καὶ τὰ κρίματα ὅσα διδάξεις αὐτοὺς, καὶ ποιείτωσαν οὕτως ἐν τῇ γῇ, ἣν ἐγὼ δίδωμι αὐτοῖς ἐν κλήρῳ.

** ΩΡΙΓΕΝΟΥΣ. Οὐ φησί τις ἡμῶν, ὅτι μετέχει σχήματος ὁ Θεὸς, ἢ χρώματος· ἀλλ' οὐδὲ κινήσεως μετέχει ὁ, διὰ τὸ ἑστηκέναι καὶ βεβαίαν εἶναι τὴν φύσιν αὐτοῦ, προσκαλούμενος καὶ τὸν δίκαιον ἐπὶ
» τὰ παραπλήσια, καὶ λέγων, σὺ δὲ αὐτοῦ
E » στῆθι μετ' ἐμοῦ. εἰ δέ τινες λέξεις οἱονεὶ κί-
- νησίν τινα παριστᾶσιν αὐτοῦ, ὡς καὶ ἡ λέ-
» γουσα, ἤκουσαν Κυρίου τοῦ Θεοῦ περιπατοῦν- Γεν. 3. 10.
» τος ἐν τῷ παραδείσῳ τὸ δειλινόν· οὕτως ἀκουστέον τῶν τοιούτων, ὡς κινουμένου νοουμένου τοῦ Θεοῦ τοῖς ἡμαρτηκόσιν· ἢ οὕτως ἀκουστέον τῶν τοιούτων, ὡς καὶ ὕπνου Θεοῦ τροπικῶς λεγομένου, ἢ ὀργῆς, ἤ τινος τῶν παραπλησίων.

λβ. Καὶ φυλάξασθε ποιεῖν ὃν
Z τρόπον ἐνετείλατό σοι Κύριος ὁ Θεός·
λγ. οὐκ ἐκκλινεῖτε δεξιὰ ἢ ἀριστερὰ, Κατὰ πᾶσαν τὴν ὁδὸν, ἣν ἐνετείλατό σοι Κύριος ὁ Θεός σου, πορεύεσθαι ἐν αὐτῇ, ὅπως καταπαύσῃ σε, καὶ εὖ σοι ᾖ· καὶ μακροημερεύσητε ἐπὶ τῆς γῆς, ἣν κληρονομήσητε. (3)

ΚΕΦ.

(1) Ὅρα τὸ ἐν τῇ 782. σελ. τοῦ Κυρίλ. ὑπόμνημα. ὅπερ καὶ ὧδε παρὰ τοῖς κώδ. κεῖται.

(2) Εἴδομεν. αἱ εἰρημ. ἐκδόσ.

(3) Κληρονομήσετε. αἱ αὐτ.

Aaa aa

Κ Ε Φ. Ϛ. (1)

α. Καὶ αὗται αἱ ἐντολαὶ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα ὅσα ἐνετείλατο Κύριος ὁ Θεὸς ἡμῶν διδάξαι ὑμᾶς ποιεῖν οὕτως ἐν τῇ γῇ, εἰς ἣν ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ κληρονομῆσαι.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἐν τῇ γῇ προστάττει ποιεῖν, ἀλλ' οὐκ ἔξω τῆς γῆς· ἐπεὶ μὴ δυνατὸν ἦν τοῖς ἔξω τῆς γῆς οἰκοῦσι φυλάττειν τὰ ἐν τῷ νόμῳ. μόνοις ἄρα Ἰουδαίοις τοῖς τὴν γῆν οἰκοῦσιν, ἀλλ' οὐχὶ πᾶσι τοῖς ἔθνεσιν ἥρμοσε τὰ ἀναγεγραμμένα. (2)

β. Ἵνα φοβῆσθε Κύριον τὸν Θεὸν ὑμῶν, φυλάσσεσθε πάντα τὰ δικαιώματα αὐτοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ, ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον, σὺ καὶ οἱ υἱοί σου, καὶ οἱ υἱοὶ τῶν υἱῶν σου πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἵνα
γ. μακροημερεύσητε. Καὶ ἄκουσον Ἰσραὴλ, καὶ φύλαξον ποιεῖν· ὅπως εὖ ᾖ σοι, καὶ ἵνα πληθυνθῆτε σφόδρα, καθάπερ ἐλάλησε Κύριος ὁ Θεὸς τῶν πατέρων σου δοῦναί σοι γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ ταῦτα τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐνετείλατο Κύριος ὁ Θεὸς τοῖς υἱοῖς Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου.

δ. Ἄκουε Ἰσραὴλ, Κύριος ὁ Θεὸς ἡμῶν, Κύριος εἷς ἐστί.

» ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, ἄκουε » Ἰσραὴλ, Κύριος ὁ Θεὸς, Κύριος εἷς ἐστί; Πολλάκις εἰρήκαμεν, ὅτι τὸ Θεὸς ὄνομα καὶ τὸ Κύριος, τῆς θείας ἐστὶ φύσεως, οὐ τῆς τῶν προσώπων διαιρέσεως δηλωτικά· τὸ δὲ, πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα, τῶν ἰδιοτήτων σημαντικά. ἀλλὰ τοῖς ἀτελέσιν Ἰουδαίοις τὴν ἀκριβῆ θεολογίαν προσενεχθῆναι οὐχ οἷόν τε ἦν. ταύτην γὰρ ἂν πολυθεΐας ἀφορμὴν ἐποιήσαντο. οὗ δὴ χάριν μοναδικῶς τὸ θεῖον ἐν τῇ παλαιᾷ προφέρεται ὄνομα. ἔχει δὲ ὅμως τὰ τῆς » Τριάδος αἰνίγματα. τὸ γὰρ, Κύριος ὁ Θεός » σου, Κύριος εἷς ἐστὶ, καὶ τὸ τῆς οὐσίας διδάσκει μοναδικὸν, καὶ παραδηλοῖ τῶν προσώπων τὸν ἀριθμόν. ἅπαξ γὰρ τὸ Θεὸς, δὶς δὲ τὸ Κύριος τέθεικε.

✱✱ ΚΛΗΜΕΝΤΟΣ. Ἀποτρέπων εἰδωλολατρείας ἁπάσης ὁ θεσπέσιος παγκάλως ἀνακέκραγε Μωϋσῆς· » ἄκουε Ἰσραὴλ, » Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστί· καὶ, Κύ- » ριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ » μόνῳ λατρεύσεις.

✱✱ ΜΑΞΙΜΟΥ. Καὶ ἡ παλαιὰ διαθήκη οἶδε τὰς τρεῖς ὑποστάσεις· καὶ οὐκ ἐπιλανθανομένη τῶν προειρημένων, λέγει, » Κύριος ὁ Θεός σου· Κύριος εἷς ἐστὶν, ἀλλ' » ἑνοῦσα τὴν Θεότητα.

B ✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Πρὸς ἀντιδιαστολὴν τῶν οὐκ ὄντων Θεῶν τὸ, εἷς, ἔθηκεν, οὐ πρὸς ἀθέτησιν τοῦ μονογενοῦς. ἐπεὶ τίνος ἕνεκεν ἐν προοιμίοις εἴρηται εὐθέως·
» ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' Γεν. 1. 26.
» ὁμοίωσιν ἡμετέραν; καὶ πάλιν, δεῦτε καὶ Γεν. 11. 7.
» καταβάντες συγχέωμεν τὰς γλώσσας αὐ-
» τῶν. καὶ πάλιν ὁ Δαβὶδ, διὰ τοῦτο ἔχρισέ- Ψαλ. 44. 7.
» σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως
» παρὰ τοὺς μετόχους σου.

Γ ε. Καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου.

✱✱ ΙΟΥΣΤΙΝΟΥ. Ὁ γὰρ ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ψυχῆς ἀγαπῶν τὸν Θεὸν, πλήρης θεοσεβοῦς γνώμης ὑπάρχων, οὐδένα ἄλλον τιμήσει Θεόν.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ, ἀγαπήσεις Κύ-
Δ » ριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, » καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ τὰ ἑξῆς, πῶς νοητέον; Σαφῶς ἡμᾶς ὁ Κύριος ἐδί-
» δαξεν, ὅτι οὐδεὶς δύναται δυσὶ κυρίοις δου- Ματθ. 6. 24.
λεύειν. καὶ ἐνταῦθα τοίνυν διδασκόμεθα, μὴ μερίζειν τὴν ἀγάπην εἰς Θεὸν καὶ χρυσὸν, εἰς Θεὸν καὶ γυναῖκα, εἰς Θεὸν καὶ παῖδας, εἰς Θεὸν καὶ φίλους, ἀλλὰ πᾶσαν τῆς ἀγάπης τὴν δύναμιν ἀφιεροῦν τῷ πεποιηκότι Θεῷ. μετὰ δέ γε τὸν ποιητὴν,
E ἀπονέμειν ἑκάστῳ τὰ πρόσφορα, καὶ γονεῦσι, καὶ γυναικὶ, καὶ παισὶ, καὶ ἀδελφοῖς, καὶ φίλοις. τῆς γὰρ τοῦ Θεοῦ ἀγάπης
» καὶ τὸ ταῦτα πληροῦν. ὁ ἀγαπῶν με γάρ- Ἰωάν. 14. 23.
» φησι, τὰς ἐντολάς μου τηρήσει· αἱ δὲ τοῦ Θεοῦ ἐντολαὶ καὶ περὶ τούτων διαγορεύουσι.

ς. Καὶ ἔσται τὰ ῥήματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐν τῇ καρδίᾳ σου καὶ ἐν τῇ ψυχῇ σου.

Z ΚΥΡΙΛΛΟΥ. Ἔσται γὰρ οἶμαι καὶ μάλα σαφῶς, ὡς ὅτεπερ (3) ἂν ὁ θεῖος εἰς νοῦν ὑπάρχει νόμος, προσέσται που πάντως [καὶ] τὸ ἐρηρεῖσθαι καλῶς, καὶ τὸ ἐν βεβαίῳ (4) κεῖσθαι τῆς ἀρετῆς. ἡ γὰρ μακρὰ καὶ διηνεκὴς τοῦ νόμου μελέτησις, ἀποκομίζει πρὸς τὸ εὐθὺ· τοῦτο δ' ἂν εἴη τὸ τῷ Θεῷ δοκοῦν· θολὸν ὥσπερ τινὰ καὶ ὁμίχλην τῆς ἀνθρώπου διανοίας, τὴν λήθην ἐκπέμπουσα.

ζ. Καὶ

(1) Ἰστέον, ὅτι αἱ τῶν ἑξῆς κεφαλαίων διαιρέσεις γεγόνασι κατὰ τὴν ὦ Φραν. τῆς Γραφῆς ἔκδοσιν, διὰ τὸ ἀδιαίρετον εἶναι τὸ ἑξῆς κείμενον τῆς Γραφ. παρ' ἑκατέρῳ τῶν κωδ.
(2) Τὰ αὐτὰ καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κωδ.
(3) Ἔστι γὰρ οἶμαι καὶ μάλα σαφὲς, ὡς ὅτῳπερ. ἐν Τόμ. 1: μέρ. 2. σελ. 220.
(4) Ἐν βεβαίῳ. αὐτ. ἀπρεσφυῶς.

ζ. Καὶ προβιβάσεις αὐτὰ τοῖς
ὑοῖς σου, καὶ λαλήσεις αὐτοῖς καθή-
μενος ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ,
κοιταζόμενος, καὶ διανιστάμενος.

** ΠΡΟΚΟΠΙΟΥ. Βούλεται αὐτοὺς μελετᾶν ἀεὶ τὸν νόμον, καὶ τοὺς ἐξ αὐτῶν διδάσκειν. περὶ παντὸς γὰρ δικαίου φησὶν (Ψαλ. 36. 31.) ὁ Δαβὶδ, ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ » αὐτοῦ, οὐχ ὑποσκελισθήσεται τὰ διαβήμα» τα αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Κοιταζόμενοι καὶ διανιστάμενοι μνημονεύετε Κυρίου τοῦ Θεοῦ ὑμῶν. Εἶδες πῶς οὐδέποτε ἡμᾶς προσήκει τὴν μνήμην ταύτην ἐκβαλεῖν τῆς ψυχῆς, ἀλλ' ἐγκεκολαμμένην ἔχειν τῷ συνειδότι, καὶ διηνεκῶς ἐναγωνίους εἶναι, καὶ μηδέποτε ἀνακωχὴν ἑαυτοῖς παρέχειν, ἀλλὰ τὴν μανίαν εἰδότας τοῦ τὴν πρὸς ἡμᾶς ἔχθραν ἀραμένου, νήφειν καὶ ἐγρηγορέναι, καὶ ἀποτειχίζειν αὐτῷ τὰς ἐφόδους, καὶ μηδέποτε ἀμελεῖν τροφῆς πνευματικῆς.

η. Καὶ ἀφάψεις αὐτὰ εἰς σημεῖον
ἐπὶ τῆς χειρός σου, καὶ ἔσται ἀσάλευτα
θ. πρὸ ὀφθαλμῶν σου. Καὶ γράψετε
αὐτὰ ἐπὶ τὰς φλιὰς τῶν οἰκιῶν ὑμῶν,
ι. καὶ τῶν πυλῶν ὑμῶν. Καὶ ἔσται ὅταν
εἰσαγάγῃ σε Κύριος ὁ Θεός σου εἰς τὴν
γῆν, ἣν ὤμοσε τοῖς πατράσι σου τῷ
Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ,
δοῦναί σοι πόλεις μεγάλας καὶ καλὰς
ια. ἃς οὐκ ᾠκοδόμησας, Οἰκίας πλήρεις
πάντων ἀγαθῶν ἃς οὐκ ἐνέπλησας,
λάκκους λελατομημένους οὓς οὐκ ἐξε-
λατόμησας, καὶ ἀμπελῶνας καὶ ἐλαιῶ-
νας οὓς οὐκ ἐφύτευσας, καὶ φαγὼν καὶ
ἐμπλησθεὶς,

ιβ. Πρόσεχε σεαυτῷ μὴ ἐπιλάθῃ
Κυρίου τοῦ Θεοῦ σου τοῦ ἐξαγαγόντος σε
ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας.

ΩΡΙΓΕΝΟΥΣ. Καὶ γὰρ ἀληθῶς τὰ σωματικὰ πράγματα καὶ ὑλικὰ, οἶκός ἐστι δουλείας, ὥσπερ ἐκ τῶν ἐναντίων οἶκός ἐστιν ἐλευθερίας.

ιγ. Κύριον τὸν Θεόν σου φοβηθή-
σῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ
πρὸς αὐτὸν κολληθήσῃ, καὶ ἐπὶ τῷ
ὀνόματι αὐτοῦ ὀμῇ.

ΣΕΥΗΡΙΑΝΟΥ. Ἀλλ' ἐρεῖ πρὸς ταῦτα ὁ ἀκροώμενος· δοκεῖς μοι μὴ ἔξω τοῦ εἰκότως τὸν περὶ τῆς Θεότητος λόγον διεξιέναι· ταράττομαι δὲ τὴν θείαν ἀναγινώσκων Γραφὴν, καὶ μηδαμῶς τῆς παλαιᾶς διαθήκης εὑρίσκων τὴν Τριάδα παραδηλουμένην, ἀλλ' ἓν πρόσωπον, καὶ ἕνα Θεὸν, καὶ ἀμφίβολός εἰμι λοιπὸν ὁμολογεῖν ἕνα, τὸν ἐν νόμῳ καὶ Προφήταις καὶ Εὐαγγελίοις λαλήσαντα. Ἀλλὰ μάλιστα μὲν σπουδὴν εἶχε διὰ Μωϋσέως λαλῶν ὁ τῶν ὅλων Θεὸς, τῇ αἰγυπτιακῇ δεισιδαιμονίᾳ συντρα- A φέντα τὸν Ἰσραὴλ, τῆς πολυθείας ἀπαγαγεῖν, καὶ παρασκευάσαι βλέπειν πρὸς ἕνα Θεόν· καὶ οὐκ εὔκαιρον ἔκρινε, νηπιάζουσι καὶ χωρῆσαι μὴ δυναμένοις θαῤῥῆσαι λαμπρῶς τὴν ὁμιλίαν τὴν ἐν μιᾷ Θεότητι καὶ ἐν τρισὶν ὑποστάσεσιν, ἵνα μὴ πάλιν πρὸς τὸ πολλοὺς νομίζειν Θεοὺς ἀποκλίνωσιν· ἀλλ' ἐξ ἡμισείας τὴν διδασκαλίαν αὐτοῖς προσέθηκε, τὸ μὲν ἕνα δεῖν προσκυνεῖν Θεὸν, ὡς ἀντίπαλον ὂν τῇ πολυθείᾳ, B εἰπὼν διαῤῥήδην· τὴν δὲ τῶν τριῶν ὑποστάσεων ἐν ἀρχῇ δήλωσιν σαφῶς ἐπικρύψαι ταμιευσάμενος. ἀμέλει τὴν τοῦδε τοῦ κόσμου παραδιδοὺς ποίησιν, ἣν Μωϋσῆς συνεγράψατο, τὴν τῶν Ἀγγέλων κτίσιν καὶ δημιουργίαν ἀπεσιώπησε, διὰ τὸ πρὸς τὴν πολυθείαν ὀλισθηρὸν, καὶ τὴν τῶν κτισμάτων προσκύνησιν. Καὶ μετ' ὀλίγα. Ἔπειτα δὲ καὶ ἀναντίῤῥητά τινα κἂν τοῖς Μωσέως ἐμφέρεται γράμμασι, τὸν Ἰουδαῖον ἐντρέπον- Γ τα· καὶ πῇ μὲν ὑποφαίνοντα τὸν ὑὸν καὶ λόγον, πῇ δὲ συμπαραδηλοῦντα καὶ τὸ πνεῦμα τὸ ἅγιον, καὶ πληθυντικὴν σημασίαν ἐμφαίνοντα τῶν τριῶν ὑποστάσεων ἐν ἰσότητι καὶ δόξῃ μοναδικῇ· καὶ τέως » ἐκεῖνο· καὶ εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄν» θρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' » ὁμοίωσιν. (Γεν. 1. 26.) Καὶ μετ' ὀλίγα. Τῷ λόγῳ Κυρίου οἱ » οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ » στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. (Ψαλ. 32. 6.)

Δ ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε κατὰ τοῦ Θεοῦ ὀμνύναι διαγορεύει ὁ νόμος; Ἵνα μὴ κατὰ τῶν ψευδωνύμων ὀμνύωσι Θεῶν. τοῦ» το γὰρ καὶ διὰ τοῦ Προφήτου ἔφη· ἐὰν ἐξά» ρῃς τὰ [ὀνόματα τῶν] Βααλεὶμ ἐκ τοῦ σό» ματός σου, καὶ ὀμόσῃς, ζῇ Κύριος, μετὰ » ἀληθείας. ('Ωσ. 2. 17.) καὶ ἐνταῦθα δὲ εἰρηκώς. Κύ» ριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ » λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, » καὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ, ἐπήγαγεν· οὐ πο- E » ρεύσεσθε ὀπίσω Θεῶν ἀλλοτρίων ἀπὸ τῶν » Θεῶν τῶν ἐθνῶν τῶν περικύκλῳ ὑμῶν.

ιδ. Οὐ πορεύσεσθε ὀπίσω Θεῶν
ἑτέρων ἀπὸ τῶν Θεῶν τῶν ἐθνῶν τῶν
ιε. περικύκλῳ ὑμῶν. Ὅτι Θεὸς ζηλω-
τὴς Κύριος ὁ Θεός σου ἐν σοί· μὴ ὀρ-
γισθεὶς θυμῷ Κύριος ὁ Θεός σου ἐν
σοὶ, ἐξολοθρεύσῃ σε ἀπὸ προσώπου
Z τῆς γῆς.

ις. Οὐκ ἐκπειράσεις Κύριον τὸν
Θεόν σου, ὃν τρόπον ἐξεπειράσατε αὐ-
τὸν πειρασμῷ.

ΑΔΗΛΟΥ. Οὐ γὰρ τοῖς πειράζουσι χαρίζεται ὁ Θεὸς τὰς ἐπικουρίας, ἀλλὰ τοῖς πιστεύουσιν εἰς αὐτόν.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, οὐκ » ἐκπειράσεις Κύριον τὸν Θεόν σου; Ὁ Κύ- H ριος αὐτὸ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἡρμήνευσε. τοῦ γὰρ Διαβόλου εἰρηκότος, βάλε (Ματθ. 4. 6.) » σεαυτὸν ἄνωθεν κάτω, εἶπεν· οὐκ ἐκπειρά» σεις Κύριον τὸν Θεόν σου. πειράζει δὲ Θεὸν ὁ δίχα λογισμοῦ ῥιψοκινδύνως τι πράττων.

ιζ. Φυλάσσων φυλάξῃ τὰς ἐντο-
λὰς Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ μαρ-
τύρια αὐτοῦ, καὶ τὰ δικαιώματα, καὶ
τὰ κρίματα, ὅσα ἐνετείλατό σοι.

Τὰ δικαιώματα, Ἀκύλας, ἀκριβάσματα.

ΑΔΗΛΟΥ. Σημειωτέον τί ἐστι μαρτύρια, καὶ δικαιώματα, καὶ κρίματα. (1)

ιη. Καὶ ποιήσεις τὸ καλὸν καὶ τὸ
ἀρεστὸν ἐνώπιον Κυρίου τοῦ Θεοῦ σου· ἵνα
εὖ σοι γένηται, καὶ εἰσέλθῃς καὶ κλη-
ρονομήσῃς τὴν γῆν τὴν ἀγαθὴν, ἣν
ιθ. ὤμοσε Κύριος τοῖς πατράσι σου, Ἐκ-
διῶξαι πάντας τοὺς ἐχθρούς σου πρὸ
προσώπου σου, καθὰ ἐλάλησε Κύριος.
κ. Καὶ ἔσται ὅταν ἐρωτήσῃ σε ὁ υἱός σου
αὔριον, λέγων, τίνος τὰ μαρτύρια
καὶ τὰ δικαιώματα, (2) ὅσα ἐνετεί-
κα. λατο Κύριος ὁ Θεὸς ἡμῶν ἡμῖν; Καὶ
A. ἐρεῖς τῷ υἱῷ σου, οἰκέται ἦμεν τῷ Φα-
ραὼ ἐν γῇ Αἰγύπτῳ, καὶ ἐξήγαγεν
ἡμᾶς Κύριος ἐκεῖθεν ἐν χειρὶ κραταιᾷ,
κβ. καὶ ἐν βραχίονι ὑψηλῷ. Καὶ ἔδωκε
Κύριος σημεῖα καὶ τέρατα μεγάλα
καὶ πονηρὰ ἐν Αἰγύπτῳ ἐν Φαραὼ, καὶ
κγ. ἐν τῷ οἴκῳ αὐτοῦ ἐνώπιον ἡμῶν, Καὶ
ἡμᾶς ἐξήγαγεν ἐκεῖθεν, ἵνα εἰσαγάγῃ
B ἡμᾶς δοῦναι ἡμῖν τὴν γῆν ταύτην, ἣν
κδ. ὤμοσε τοῖς πατράσιν ἡμῶν. Καὶ ἐνε-
τείλατο ἡμῖν Κύριος ποιεῖν πάσας τὰς
ἐντολὰς καὶ τὰ κρίματα· Φοβεῖσθαι
Κύριον τὸν Θεὸν ἡμῶν, ἵνα εὖ ἡμῖν ᾖ
πάσας τὰς ἡμέρας, ἵνα ζῶμεν ὥσπερ
κε. καὶ σήμερον. Καὶ ἐλεημοσύνη ἔσται
ἡμῖν ἐὰν φυλασσώμεθα ποιεῖν πάσας
τὰς ἐντολὰς ταύτας ἐναντίον Κυρίου
Γ τοῦ Θεοῦ ἡμῶν, καθὰ ἐνετείλατο ἡμῖν
Κύριος.

ΚΕΦ. Ζ.

α. Καὶ ἔσται ἐν τῷ εἰσαγαγεῖν
σε Κύριον τὸν Θεόν σου εἰς
τὴν γῆν, εἰς ἣν εἰσπορεύῃ
ἐκεῖ κληρονομῆσαι, καὶ ἐξαρεῖ ἔθνη
μεγάλα καὶ πολλὰ ἀπὸ προσώπου σου,
τὸν Χετταῖον καὶ τὸν Γεργεσαῖον καὶ
τὸν Ἀμορραῖον καὶ τὸν Χαναναῖον καὶ
τὸν Φερεζαῖον καὶ τὸν Εὐαῖον καὶ
τὸν Ἰεβουσαῖον, ἑπτὰ ἔθνη μεγάλα
β. καὶ ἰσχυρότερα ὑμῶν· Καὶ παραδώσει
αὐτοὺς Κύριος ὁ Θεός σου εἰς τὰς χεῖ-
ράς σου, καὶ πατάξεις αὐτούς· καὶ ἀφα-
νισμῷ ἀφανιεῖς αὐτούς. οὐ διαθήσεις
πρὸς αὐτοὺς διαθήκην, οὐδὲ μὴ ἐλεή-
σῃς αὐτοὺς,

ΚΥΡΙΛΛΟΥ. Ἀσύμβατον γὰρ καὶ ἀσυναφὲς τῷ ἡγιασμένῳ τὸ βέβηλον ἔτι, τῷ πεφωτισμένῳ τὸ ἐν ὁμίχλῃ καὶ σκότῳ, τῷ εἰσδεδεγμένῳ τὸ ἀπαράδεκτον, τῷ πρὸς ἱεράν τε καὶ θείαν ἐπιφοιτῶντι σκηνὴν τὸ ταύτης ἐξωθούμενον. πολὺ γὰρ δὴ λίαν τὸ δέος, μή ἄρα πως καὶ τό γε ὀρθῶς ἑστάναι δοκοῦν, τὸν ἐφ᾽ ἃ μὴ προσήκει εἰσδέξεται κλόνον, καὶ παρενεχθείη τοῦ πρέποντος ὑπὸ τοῦ τυχὸν ἐκβεβιασμένου, ἢ ἐρεθιζούσης τῆς ἡδονῆς, ἢ κατωθούσης εἰς τὸ πλημμελὲς τῆς ἐνούσης τῇ φύσει πρὸς τοῦτο ῥοπῆς. ἀπονένευκε γὰρ ἀεί πως ἐπὶ τὸ φαῦλον· καὶ θεῖος ἡμῖν ἐπιμαρτυρεῖ λό-
Γεν. 8. 21. » γος. ἐπιμελῶς γὰρ ἔγκειται, φησὶν, ἡ
» διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ
» νεότητος.

γ. Οὐδὲ μὴ γαμβρεύσητε πρὸς
αὐτούς· τὴν θυγατέρα σου οὐ δώσεις
τῷ υἱῷ αὐτοῦ, καὶ τὴν θυγατέρα αὐ-
δ. τοῦ οὐ λήψῃ τῷ υἱῷ σου. Ἀποστήσει γὰρ
τὸν υἱόν σου ἀπ᾽ ἐμοῦ, καὶ λατρεύσει
θεοῖς ἑτέροις· καὶ ὀργισθήσεται θυ-
μῷ Κύριος ἐφ᾽ ὑμᾶς, καὶ ἐξολοθρεύ-
σει σε τὸ τάχος.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ἀπαγορεύει ὁ νόμος τὰς πρὸς τὰς ὁμόρους ἀλλοφύλους ἐπιγαμβρίας; Οὐ δεῖται σαφηνείας ὁ νόμος. ἑαυτὸν γὰρ ἑρμηνεύει. ἔφη
E » γάρ· ὅτι ἀποστήσουσι τὸν υἱόν σου ἀπ᾽ ἐμοῦ,
» καὶ λατρεύσει θεοῖς ἑτέροις.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Προειδὼς ὁ Θεὸς τὸ πρόχειρον εἰς ἀπάτην τοῦ ἰουδαίου λαοῦ, τῶν ἀλλοφύλων αὐτοὺς ἐχώρισε γυναικῶν.

ε. Ἀλλ᾽ οὕτω ποιήσετε αὐτοῖς· τοὺς
βωμοὺς αὐτῶν καθελεῖτε, καὶ τὰς
στήλας αὐτῶν συντρίψετε, καὶ τὰ ἄλ-
ση αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ
Ζ αὐτῶν κατακαύσετε πυρί.

» ✱✱ ΝΕΙΛΟΥ. Τὰ ἄλση αὐτῶν ἐκκόψεις, τουτέστι τὰ τῶν παθῶν καὶ τῶν ἡδονῶν στίφη δι᾽ ἐγκρατείας καὶ προσευχῆς ὀλέθρῳ παραδώσεις.

ς. Ὅτι λαὸς ἅγιος εἶ Κυρίῳ τῷ
Θεῷ σου· καὶ σὲ προείλατο Κύριος ὁ
Θεός σου εἶναι αὐτῷ λαὸν περιούσιον
παρὰ πάντα τὰ ἔθνη, ὅσα ἐπὶ προ-
Η σώπου πάσης τῆς γῆς.

ζ. Οὐχ

(1) Τμῆμα ἴσ. ἐστὶ τοῦ ἐν σελ. 787. τοῦ Ὠριγέν. ὑπομνήμ. ὅπερ ὅρα.

(2) Καὶ τὰ κρίματα. αἱ εἰρημ. ἐκδόσ.

ζ. Οὐχ ὅτι πολυπληθεῖτε παρὰ πάντα τὰ ἔθνη προείλατο Κύριος ὑμᾶς, καὶ ἐξελέξατο ὑμᾶς· ὑμεῖς γάρ ἐστε ὀλιγοστοὶ παρὰ πάντα τὰ
η. ἔθνη. Ἀλλὰ παρὰ τὸ ἀγαπᾷν Κύριον ὑμᾶς, καὶ διατηρῶν τὸν ὅρκον ὃν ὤμοσε τοῖς πατράσιν ὑμῶν, ἐξήγαγεν ὑμᾶς Κύριος ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, καὶ ἐλυτρώσατό σε Κύριος ἐξ οἴκου δουλείας, ἐκ χειρὸς Φαραὼ βασιλέως Αἰγύπτου.

ΩΡΙΓΕΝΟΥΣ. Καλῶς τοῖς ἀπὸ τῆς » μερίδος εἴρηται· ὀλιγοστοί ἐστε παρὰ πάντα
Λουκ. 13. 23, 24. » τὰ ἔθνη· συγκρινῶς τε τὸ, ὀλίγοι οἱ σωζόμενοι, καὶ τὸ, ἀγωνίζεσθε εἰσελθεῖν διὰ » τῆς στενῆς πύλης.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀναγκαίως μέντοι καὶ τὴν αἰτίαν αὐτοὺς τῆς θείας διδάσκει κηδεμονίας. οὐ γὰρ διὰ τὸ πλείους εἶναι, φησὶ, τῶν ἐθνῶν προέκρινεν ὑμᾶς ὁ Θεὸς, ἀλλὰ διὰ τὴν τῶν προγόνων εὐσέβειαν, καὶ τὴν γεγενημένην πρὸς ἐκείνους ὑπόσχεσιν.

θ. Καὶ γνώσῃ, ὅτι Κύριος ὁ Θεός σου, οὗτος Θεός· Θεὸς πιστὸς, ὁ φυλάσσων τὴν διαθήκην αὐτοῦ καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τοῖς φυλάσσουσι τὰς ἐντολὰς αὐτοῦ εἰς χιλίας γενεάς.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα τὸ ἀληθὲς αὐ» τοῦ δεικνὺς, ἐπήγαγεν· ὅτι Θεὸς πιστὸς, » φυλάσσων διαθήκην καὶ ἔλεον τοῖς ἀγα» πῶσιν αὐτὸν καὶ τοῖς φυλάσσουσι τὰς ἐντο» λὰς αὐτοῦ εἰς χιλίας γενεάς.

ι. Καὶ ἀποδιδοὺς τοῖς μισοῦσι κατὰ πρόσωπον ἐξολοθρεῦσαι αὐτούς. καὶ οὐχὶ βραδυνεῖ τοῖς μισοῦσι· κατὰ πρό-
ια. σωπον ἀποδώσει αὐτοῖς. Καὶ φυλάξῃ τὰς ἐντολὰς, καὶ τὰ δικαιώματα, καὶ τὰ κρίματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον ποιεῖν.
ιβ. Καὶ ἔσται ἡνίκα ἂν ἀκούσητε τὰ δικαιώματα ταῦτα καὶ φυλάξητε καὶ ποιήσητε αὐτὰ, καὶ διαφυλάξει Κύριος ὁ Θεός σου τὴν διαθήκην καὶ τὸ ἔλεος, καθ' ὃ ὤμοσε τοῖς πατράσιν ὑμῶν.

ιγ. Καὶ ἀγαπήσει σε, καὶ εὐλογήσει σε, καὶ πληθυνεῖ σε, καὶ εὐλογήσει τὰ ἔκγονα τῆς κοιλίας σου, καὶ τὸν καρπὸν τῆς γῆς σου, τὸν σῖτόν σου, καὶ τὸν οἶνόν σου, καὶ τὸ ἔλαιόν σου, καὶ τὰ βουκόλια τῶν βοῶν σου, καὶ τὰ ποίμνια τῶν προβάτων σου ἐπὶ τῆς γῆς, ἧς ὤμοσε Κύριος τοῖς πατράσι σου δοῦναί σοι.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ἐπειδὴ ἀτελεῖς ἦσαν, καὶ τροφῆς γαλακτώδους ἐδέοντο, καὶ
A ἀκούειν περὶ τῶν αἰωνίων ἀγαθῶν οὐκ ἠδύναντο, ὑπισχνεῖται αὐτοῖς πολυγονίαν, καὶ γῆς εὐκαρπίαν, καὶ ποιμνίων καὶ βουκολίων εὐεξίαν, καὶ σώματος ὑγιείαν, καὶ τὴν ἐν πολέμοις νίκην, καὶ ὅσα τοιαῦτα.

ιδ. Εὐλογητὸς ἔσῃ παρὰ πάντα τὰ ἔθνη. καὶ οὐκ ἔσται ἐν ὑμῖν ἄγονος, οὐδὲ στεῖρα, καὶ ἐν τοῖς κτήνεσί σου.
ιε. Καὶ περιελεῖ Κύριος ὁ Θεός σου ἀπὸ
B σοῦ πᾶσαν μαλακίαν, καὶ πάσας νόσους Αἰγύπτου, τὰς πονηρὰς ἃς ἑώρακας, καὶ ὅσα ἔγνως, οὐκ ἐπιθήσει ἐπὶ σὲ, καὶ ἐπιθήσει αὐτὰ ἐπὶ πάντας τοὺς μισοῦντάς σε.

ΚΥΡΙΛΛΟΥ. Μυστικὸς ὁ λόγος καὶ βαθύς. τοῖς γοῦν Θεῷ γνησίοις πρὸς εὐλογίας ἔσται πνευματικὰς τῶν τοῦ Χριστοῦ μυστηρίων ἡ μέθεξις, καὶ ἡ διὰ τοῦ ἁγίου πνεύ-
Γ ματος χάρις· τοῖς γε μὴν διψυχοῦσιν, ἔτι κεκινημένοις εἰς ἀπόστασιν, ὀργὴ καὶ κατάκριμα. καὶ τί γὰρ οὐχὶ τῶν δεινῶν; ἀπαλλαχθήσονται δὲ καὶ μαλακισμοῦ, τουτέστι τοῦ νοσεῖν ἑτοίμως τὸ ἀδικεῖν πεφυκὸς, κα» ταχομίζον εἰς ἀνανδρίαν. ἀλλ' οὐδὲ ἄγονος » ἔσται, φησὶν, ἐν αὐτοῖς, οὐδὲ στεῖρα. γονιμωτάτη γὰρ πᾶσα θεοφιλὴς καὶ ὁσία ψυχὴ, καὶ καρποῖς ἁγίοις κατάκομος, φημὶ πάλιν τοῖς ἐξ ἀρχῆς αὐχήμασιν. ἐγκατά-
Δ σεισον δὲ τὴν καρδίαν ἔχειν οὐκ ἐῶν, εὐμηχάνως περιτρέπει πρὸς τὸ δεῖν ἑλέσθαι τὸ βεβηκὸς εἰς πίστιν, καὶ εὐσέβειαν ἀσφαλές· ποτὲ μὲν τὸν λογισμὸν τοῖς καθήκουσι μεταπαιδεύων, ἐπὶ τὸ ἄμεινον ἀποσκευάζειν κελεύει, μᾶλλον δὲ δυσσεβείας τῆς ἀνωτάτω δεικνὺς ἀνάπλεων τὴν τοιάνδε νόσον· ποτὲ δὲ καὶ φόβον τοῦ κολάζεσθαι, λέγω παιδαγωγὸν ὥσπερ τινὰ καὶ γενναῖον ἡμῖν στήσας φύλακα, περιτρέπειν παντα-
E χόθεν ἐπὶ τὸ ἀρέσκον αὐτῷ.

ις. Καὶ φαγῇ πάντα τὰ σκῦλα τῶν ἐθνῶν, ἃ Κύριος ὁ Θεός σου δίδωσί σοι· οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτοῖς, καὶ οὐ μὴ λατρεύσῃς τοῖς θεοῖς αὐτῶν· ὅτι σκῶλον τοῦτό ἐστί
ιζ. σοι. Ἐὰν δὲ λέγῃς ἐν τῇ διανοίᾳ σου, ὅτι πολὺ τὸ ἔθνος τοῦτο ἢ ἐγὼ, πῶς
ιη. δυνήσομαι ἐξολοθρεῦσαι αὐτούς; Οὐ
Z φοβηθήσῃ αὐτούς· μνείᾳ μνησθήσῃ ὅσα ἐποίησε Κύριος ὁ Θεός σου τῷ Φαραὼ καὶ πᾶσι τοῖς Αἰγυπτίοις·

** ΠΡΟΚΟΠΙΟΥ. Ἐν τῇ Ἐξόδῳ παραθαῤῥύνων αὐτοὺς, δεδοικότας τῶν Αἰγυ» πτίων τὴν δύναμιν, ἔφασκε· Κύριος πολε- Ἐξόδ. 14. 14.
» μήσει ὑπὲρ ὑμῶν, καὶ ὑμεῖς σιγήσεσθε. ἐνταῦθα δὲ τῶν ἤδη δυνάμει Θεοῦ κατηγωνισμένων ὑπέμνησε.

H ιθ. Τοὺς πειρασμοὺς τοὺς μεγάλους, οὓς εἶδον οἱ ὀφθαλμοί σου, τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα ἐκεῖνα, τὴν χεῖρα τὴν κραταιὰν, καὶ τὸν

βραχίονα τὸν ὑψηλόν. ὡς ἐξήγαγέ σε Κύριος ὁ Θεός σου, οὕτω ποιήσει Κύριος ὁ Θεὸς ὑμῶν πᾶσι τοῖς ἔθνεσιν, οὓς σὺ φοβῇ ἀπὸ προσώπου αὐτῶν.

ΑΔΗΛΟΥ. Πειρασμοὺς λέγει τὰ συμβάντα τοῖς Αἰγυπτίοις, δι' ὧν ἐπείραζεν οὐ μόνον τοὺς πάσχοντας ὁ Θεὸς, ἀλλὰ καὶ τοὺς ὁρῶντας Ἰουδαίους· ἵνα κἂν οὕτως ἐπιγνῶσι τὸν δημιουργὸν καὶ Κύριον.

B
κ. (1) Καὶ τὰς σφηκίας ἀποστελεῖ
Κύριος ὁ Θεός σου εἰς αὐτοὺς, ἕως ἂν
ἐκτριβῶσιν οἱ καταλελειμμένοι, καὶ
κα. οἱ κεκρυμμένοι ἀπὸ σοῦ. Οὐ τρωθήσῃ ἀπὸ προσώπου αὐτῶν, ὅτι Κύριος
ὁ Θεός σου ἐν σοὶ, Θεὸς μέγας καὶ
κβ. κραταιός. Καὶ καταναλώσει Κύριος
ὁ Θεός σου τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου σου κατὰ μικρόν. οὐ δυνήσῃ ἐξαναλῶσαι αὐτοὺς τὸ τάχος, ἵνα μὴ
A γένηται ἡ γῆ ἔρημος, καὶ πληθυνθῇ
κγ. ἐπὶ σὲ τὰ θηρία τὰ ἄγρια. Καὶ
παραδώσει αὐτοὺς Κύριος ὁ Θεός σου
εἰς τὰς χεῖράς σου, καὶ ἀπολεῖς αὐτοὺς
ἀπωλείᾳ μεγάλῃ, ἕως ἂν ἐξολοθρεύ-
κδ. σητε αὐτούς. Καὶ παραδώσει τοὺς
βασιλεῖς αὐτῶν εἰς τὰς χεῖρας ὑμῶν,
καὶ ἀπολεῖ τὸ ὄνομα αὐτῶν ἐκ τοῦ τόπου ἐκείνου, οὐκ ἀντιστήσεται οὐδεὶς κατὰ
B πρόσωπόν σου, ἕως ἂν ἐξολοθρεύσῃς
κε. αὐτούς. Τὰ γλυπτὰ τῶν Θεῶν αὐ-
τῶν κατακαύσετε πυρί. οὐκ ἐπιθυ-
μήσεις ἀργύριον, ἢ χρυσίον ἀπ' αὐ-
τῶν λαβεῖν σεαυτῷ, μὴ πταίσῃς δι'
αὐτὸ, ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ
κς. σου ἐστί. Καὶ οὐκ εἰσοίσεις βδέλυγμα
εἰς τὸν οἶκόν σου, καὶ ἔσῃ ἀνάθεμα
Γ ὥσπερ τοῦτο· προσοχθίσματι προσοχθιεῖς, καὶ βδελύγματι βδελύξῃ, ὅτι ἀνάθεμά ἐστι.

ΚΕΦ. Η.

α. Πάσας τὰς ἐντολὰς ταύτας, ἃς ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, φυλάξασθε ποιεῖν, ἵνα ζῆτε καὶ πολλαπλασιασθῆτε, καὶ εἰσελθόντες κληρονομήσητε τὴν γῆν τὴν ἀγαθὴν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Οὐκ ἄλλαι αὗται παρὰ τὰς προτέρας αἱ ἐντολαὶ, ἀλλ' αὗται μετὰ πλείονος σαφηνείας λεγόμεναι. ὡς ἀσθενεῖς δὲ καὶ πρὸς θεοσέβειαν εἰσαγομένους, καὶ βασιλείας οὐρανῶν καὶ μελλόντων ἀγαθῶν ὡς ἀϊδίων ὑποσχέσεις μήπω ἀκούειν δυναμένους, ἀπὸ τῶν αἰσθητῶν καὶ προσκαίρων προτρέπεται. (2)

β. Καὶ μνησθήσῃ πᾶσαν τὴν ὁδὸν, ἣν ἤγαγέ σε Κύριος ὁ Θεός σου ἐν τῇ ἐρήμῳ, ὅπως ἂν κακώσῃ σε καὶ ἐκπειράσῃ σε, καὶ διαγνωσθῇ τὰ ἐν τῇ καρδίᾳ σου, εἰ φυλάξῃ τὰς ἐντολὰς αὐτοῦ ἢ οὔ.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Μέμνησο τούτου διαπαντὸς, καὶ ἐν τοῖς ἐπισυμβαίνουσι πειρασμοῖς οὐ ῥᾳδίως ὀκλάσεις. ἐπεὶ καὶ ὁ θεῖος Δαβὶδ τῇ πρὸς Θεὸν ἀγάπῃ ἐρηρεισμένος
Ψαλ. 138. 23. ἔψαλλε, λέγων· δοκίμασόν με Κύριε, καὶ
» γνῶθι τὴν καρδίαν μου.

ΚΥΡΙΛΛΟΥ. Οἱ γὰρ πειρασμοὶ γίνονται πρὸς δοκιμασίαν τῶν ἐν ἡμῖν λογισμῶν.

ΣΕΥΗΡΟΥ. Διὰ γὰρ τὴν ἡμῶν ὠφέλειαν συμβαίνει τὰ παιδευτικὰ πρὸς νουθεσίαν ἡμῶν καὶ δοκιμασίαν.

Δ

γ. Καὶ ἐκάκωσέ σε, καὶ ἐλιμαγχόνησέ σε, καὶ ἐψώμισέ σε τὸ μάννα ἐν τῇ ἐρήμῳ, ὃ οὐκ ᾔδεισαν οἱ πατέρες σου· ἵνα ἀναγγείλῃ σοι, ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ ζήσεται ὁ ἄνθρωπος.

** ΒΑΣΙΛΕΙΟΥ. Τὴν προσαγομένην
E κάκωσιν τοῖς ἁμαρτάνουσιν ἐπὶ διορθώσει
τῶν πλημμελημάτων ὁ λόγος αἰνίσσεται.
» ἐκάκωσα γάρ σε, φησὶ, καὶ ἐλιμαγχόνησα, ἵνα εὖ σε ποιήσω· πρὶν εἰς ἄμετρον ἐκχυθῆναι τὴν ἀδικίαν ἰσῶν, ὥσπερ ῥεῦμα ἕρκει τινὶ κρατερῷ καὶ διαφράγματι κατεχόμενον.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἔπειτα πάλιν αὐτοὺς ἀνέμνησε τῆς ἐν τῇ ἐρήμῳ διαγωγῆς, καὶ
» τὰς ταύτης αἰτίας ἐδίδαξεν. ἐκάκωσέ σε
Z » γάρ φησι, καὶ ἐλιμαγχόνησέ σε, καὶ ἐψώ-
» μισέ σε τὸ μάννα· ἵνα ἀναγγείλῃ σοι, ὅτι
» οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ'
» ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. διὰ μέντοι τούτων καὶ ἡμεῖς παιδευόμεθα, μὴ δυσχεραίνειν δυσκολίαις τισὶ περιπεσόντες, ἀλλὰ στέργειν τὰς θείας οἰκονομίας, καὶ προσμένειν τὴν λύσιν τῶν πειρασμῶν.

ΩΡΙΓΕΝΟΥΣ. (3) Πάλιν τε αὖ ὅτι τὸ
H μάννα λόγος ἦν, εἰ καὶ ἄρτος δηλοῦται ἐν τῇ

(1) Ὅρα τὸ τοῦ Φίλων. καὶ τὸ τοῦ Εὐσεβ. καὶ τὸ τοῦ Ἄλλου. ὑπόμν. τὰ ἐν σελ. 423. τὰ αὐτὰ γὰρ καὶ ὧδε παρὰ τοῖς κώδ. κεῖται. πλὴν ὅτι ἐνταῦθα τὸ τοῦ Εὐσεβίου σιωπώμενόν ἐστι τῷ τοῦ Ἄλλου.

(2) Τὰ αὐτὰ συντομώτερ. ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

(3) Κυρίλλου. ὁ Ἀλεξάν. κώδ.

Ἐξόδ. 16. 15, 16. τῇ Ἐξόδῳ. (1) Οὗτος γάρ φησιν ὁ ἄρτος ὃν ἔδωκε Κύριος ὑμῖν φαγεῖν. τοῦτο τὸ ῥῆμα ὃ συνέταξε Κύριος. διὰ τοῦτο δὲ τὸ μάννα λεπτὸν ἦν ὡσεὶ κόριον, λευκὸν ὡσεὶ πάγος ἐπὶ τῆς γῆς· ἐπειδήπερ ὁ λόγος, οὗ σύμβολον ἦν τὸ μάννα ἐκεῖνο, λεπτόν ἐστι τῇ αὐτοῦ φύσει, καὶ διῆκον διὰ πάντων, πνευμάτων νοερῶν, καθαρῶν, λεπτοτάτων. Σοφ. 7. 22. ἔστι καὶ ἡ σοφία πνεῦμα νοερὸν, ἅγιον, μονογενὲς, πολυμερὲς, λεπτὸν, καὶ τὰ ἑξῆς. ἦν δὲ καὶ ὡσεὶ κόριον πρὸς τὸ εἶναι λεπτόν· φασὶ δὲ τὴν τοῦ κορίου φύσιν ὅλην δι' ὅλων λόγον ἔχειν σπέρματος, καὶ (2) μηδὲ ἐν τῷ κατακόπτεσθαι τὸ τοῦ κορίου σπέρμα, ἐξαφανίζεσθαι αὐτοῦ τὴν δύναμιν, ὡς οὐκ ἔτι δυναμένου σπείρεσθαι. τοιοῦτος δὲ δι' ὅλου ὁ λόγος· καὶ πᾶν μέρος αὐτοῦ γεωργεῖσθαι πέφυκεν ἐν καλῇ καὶ ἀγαθῇ γῇ, τουτέστι ψυχῇ. ἔστι δὲ τὸ μάννα λευκόν· φῶς γὰρ ὁ λόγος· καὶ λαμπρὸν, καὶ κατὰ τοῦτο λευκὸν τῷ αὐτὸν συνιέντι καὶ τρεφομένῳ ἀπ' αὐτοῦ. (3) ἔστι δὲ καὶ ὡσεὶ πάγος. συνεστραμμένος γὰρ, καὶ οὐδαμοῦ πλάδων, οὐδὲ διερρυηκὼς, ἀλλὰ πάγιος, ὁ δὴ οὐρανοῦ λόγος, καὶ ἀπαγγέλλων ἡμῖν τὰ οὐράνια.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐκ εἶπε δὲ, ἀλλὰ καὶ ἐπὶ παντὶ ῥήματι, ἀλλ' ἄνευ τοῦ, καὶ ὡς ἔλεγεν, οὐκ ἐπὶ τῷδε, ᾧ οἴεσθε μόνῳ, ἀλλ' ἐπὶ τῷδε. καὶ δῆλον, ὅτι τὸ μάννα τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος ῥῆμα ἦν. ἐπεὶ τί κοινὸν ἔχει τὸ μάννα ἐξ οὗ διδασκόμεθα, οὐκ ἐπ' ἄρτῳ μόνῳ ζῆν τὸν ἄνθρωπον, πρὸς τὸ τοῦ Θεοῦ ῥῆμα, ἐφ' ᾧ ζῶμεν;

** ΚΛΗΜΕΝΤΟΣ. Οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ δίκαιος, ἀλλ' ἐν τῷ ῥήματι Κυρίου· ὅς ἐστιν ἄρτος ἀληθινὸς, ἄρτος οὐρανῶν. οὐκ ἄρα ποτὲ ὁ ἀγαθὸς ἀνὴρ ἄπορος, ἕως ἂν ἔχῃ σώαν τὴν πρὸς Θεὸν ὁμολογίαν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅπερ ἐστὶν ἐπὶ τοῦ σώματος ἡ τροφὴ, τοῦτο ἐπὶ τῆς ψυχῆς ἡ τῶν θείων λογίων διδασκαλία. οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, φησὶν, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ ἐκ στόματος Θεοῦ.

δ. Τὰ ἱμάτιά σου οὐ κατετρίβησαν
ἀπὸ σοῦ· οἱ πόδες σου οὐκ ἐτυλώθησαν,
ε. ἰδοὺ τεσσαράκοντα ἔτη. Καὶ γνώσῃ
τῇ καρδίᾳ σου, ὅτι ὡς εἴ τις ἄνθρωπος
παιδεύσῃ τὸν υἱὸν αὐτοῦ, οὕτω Κύριος
ς. ὁ Θεός σου παιδεύσει σε. Καὶ φυλά-
ξῃ τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ σου
πορεύεσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ, καὶ
φοβεῖσθαι αὐτόν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπιδείκνυσι δὲ καὶ τὰς ἄλλας εὐεργεσίας. τὰ ἱμάτιά σου οὐκ ἀπετρίβη ἀπὸ σοῦ· οἱ πόδες σου οὐκ ἐτυλώθησαν, ἰδοὺ τεσσαράκοντα ἔτη. καὶ γνώσῃ τῇ καρδίᾳ σου, ὅτι ὡς εἴ τις παιδεύσῃ ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, οὕτω Κύριος ὁ Θεός σου παιδεύσει σε. καὶ φυλάξῃ τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ σου πορεύεσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ, καὶ φοβεῖσθαι αὐτόν. μετὰ τὸν πειρασμὸν ἡ παράκλησις· μετὰ τῆς παιδείας ἡ ψυχαγωγία· λιμὸς καὶ τροφὴ, ὁδοιπορίας πόνος καὶ σώματος εὐπάθεια, σπάνις ἀναγκαίων καὶ τῶν ἀφθάρτων ἱματίων καὶ ὑποδημάτων τὸ διαρκές. εἶτα παραινεῖ νικῶντας μὴ τῇ οἰκείᾳ ῥώμῃ τὴν νίκην ἐπιγράφειν, ἀλλὰ τῷ ἐπικούρῳ καὶ προμάχῳ Θεῷ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἱκανὴ μαρτυρία τοῖς βουλομένοις ζῆν ἀπερισπάστως. ἥπερ ὁ Σωτὴρ ἐν Εὐαγγελίοις οὐ κέχρηται πρὸς ἄνδρας τὸν νόμον μελετῶντας διακενῆς. εἰ γὰρ ἐπιστεύετε, φησὶ, Μωϋσεῖ, ἐπιστεύετε ἂν καὶ ἐμοί. (Ἰωάν. 5. 46.) ὅθεν ἐκ τῶν πᾶσι προδήλων αὐτοὺς ἐκτρέπει, τὰ πετεινὰ καὶ τοῦ ἀγροῦ τὰ κρίνα προθείς. (Ματθ. 6. 26, 28.) οὐκ ἐδεήθησαν δὲ ὑποδημάτων οἱ πάλαι, μηδεμιᾶς λύμης ἐκ τῆς ὁδοῦ προστριβομένης αὐτῶν τοῖς ποσίν· εἶχον δὲ καὶ ἀτριβεῖς ἐσθῆτας, καὶ τὸ μάννα, καὶ τῆς ἀκροτόμου τὸ ὕδωρ, πάντα πρὸς ζωὴν αὐτάρκη. περιττὴ δὲ καὶ ἀνόνητος ἐπιθυμία τὸν ὄλεθρον αὐτοῖς προεξένησεν, ὡς καὶ ἡμῖν τὰ σαρκικὰ περιέπουσιν. οὐ δύνασθε γάρ φησι δυσὶ κυρίοις δουλεύειν: (Ματθ. 6. 24.) εἰ δὲ καὶ πρὸς βραχὺ παιδευτικῶς τῶν ἐπιτηδείων ὑστερηθῶμεν, δῆλον ὡς ἵνα περιεχώμεθα ἐν ἅπασι τοῦ Θεοῦ. κόρος γὰρ πατὴρ ὕβρεως· ὕβρις δὲ, ὑπερηφανίας· ἡ δὲ, πτώσεως.

ζ. Ὁ γὰρ Κύριος ὁ Θεός σου εἰσα-
γάγει σε εἰς γῆν ἀγαθὴν καὶ πολ-
λὴν, οὗ χείμαῤῥοι ὑδάτων, καὶ πηγαὶ
ἀβύσσων ἐκπορευόμεναι διὰ τῶν πε-
η. δίων καὶ διὰ τῶν ὀρέων. Γῆ πυροῦ καὶ
κριθῆς, ἄμπελος, καὶ συκαῖ, καὶ
ῥοαί· γῆ ἐλαίας ἐλαίου καὶ μέλιτος.

** ΠΡΟΚΟΠΙΟΥ. Εἰς γῆν ἀγαθὴν καὶ πολλήν. τὸ μὲν, τὸ γόνιμον δηλοῖ· τὸ δὲ, μῆκος καὶ πλάτος τῆς χώρας. οὐ τοσαύτη γὰρ ἡ Αἴγυπτος πρὸς . . . (4) πάλιν διαστέλλων, φησὶν, ὕδωρ ἔχειν ἐξ οὐρανοῦ καὶ πηγῶν. τὸ γὰρ ἐκείνης ἐπείσακτον. εἶτα πεδίων μνησθεὶς, ἐπειδὴ τοῦτο κοινὸν πρὸς τὴν Αἴγυπτον, τὸ τῶν ὀρέων προσέθηκε. πάλιν εἰπὼν κοινὰ, πυροὺς καὶ κριθὰς, τοὺς ἰδιάζοντας ἐπιφέρει καρποὺς, δεῖξαι βουλόμενος, τὰ μὲν ἐκείνης παρὰ ταύτῃ, ἀλλ' οὐκ ἀνάπαλιν. ὀλίγη δὲ τῆς Αἰγύπτου καὶ ἐλαία, ἥτις οὐδὲ πρὸς ἔλαιον ἐπιτήδειος, καὶ ἄμπελος.

ΩΡΙΓΕΝΟΥΣ. (5) Ἡμῖν ὁ Χριστὸς οὐ ταῦτα δώσειν ὑπέσχετο, ἀλλ' οὐρανῶν βασιλείαν, καὶ γῆν ἀγαθὴν καὶ ἀΐδιον, ἧς χείμαῤῥος ὁ Χριστὸς, ποτίζων τοῖς τῆς σοφίας νάμασιν

(1) Τὰ ἑπόμενα κεῖται καὶ ἐν σελ. 733. τῶν ὑπομνήμ. τοῦ Κυρίλ. συνημμένα. ἃ ἐν τοῖς τοῦ Κυρίλ. ἐκδεδομ. μὴ εὑρεθῆναι σεσημείωται. (2) Ὡς μηδὲ. ἐν Τόμ. 2. σελ. 388. τῆς τοῦ Ῥου. ἐκδόσ. (3) Ὑπ' αὐτοῦ. αὐτ. (4) Ἴσ. πρὸς αὐτήν. (5) Κυρίλλου. ὁ Ἀλεξάν. κώδ.

νάμασιν. ἐκπορεύονται δὲ οἱ χείμαῤῥοι διὰ τῶν πεδίων καὶ ταπεινῶν καὶ γονίμων ἀνθρώπων, καὶ διὰ τῶν ὑψηλῶν ὀρέων, τῶν ἀνατεινομένων διὰ τὸ ὕψος τῆς θεωρίας εἰς οὐρανούς. ἐκεῖ ὁ σῖτος ὁ στηρίζων καρδίαν ἀνθρώπου, καὶ κριθὴ τοὺς ὑποδεεστέρους τρέφουσα. ἐκεῖ ἡ ἀληθινὴ ἄμπελος ὁ Χριστός. ἐκεῖ τὸ ἔλαιον τὸ λιπαῖνον τῶν ὁσίων τὰς κεφαλάς. ὁμοίως καὶ ῥοαὶ, τὸ γλυκὺ μὲν ἔνδοθεν φέρουσαι, τῆς πολιτείας δὲ τὸ αὐστηρὸν ἔξωθεν ἐνδυσάμεναι. ἐκεῖ ἡ συκῆ, οὐχ ἡ ἄκαρπος καὶ φύλλοις κομῶσα, ἀλλ᾽ ἡ πλουτοῦσα τοῦ πνεύματος τὴν γλυκύτητα. ἐκεῖ ὁ γλυκασμὸς τοῦ φάρυγγος τοῦ Σωτῆρος ὁ ἐπιθυμητὸς, καὶ τὰ χείλη τῆς ἐν τῷ ᾄσματι νύμφης κηρίον ἀποστάζοντα, καὶ οἱ λίθοι οἱ ἅγιοι, οἱ ἐπὶ γῆς κυλιωθέντες πρὸς πειρασμοὺς ἀνένδοτοι, καὶ φύσιν σιδήρου ἀπομιμούμενοι. ἐκεῖ τὰ μέταλλα τοῦ χαλκοῦ, ἐξ οὗ τὴν νοητὴν πανοπλίαν κατεσκεύασαν. καὶ τὸ τούτων κεφάλαιον ἀπαύστως εὐλογεῖν τὸν Θεόν.

θ. Γῆ ἐφ᾽ ἧς οὐ μετὰ πτωχείας φαγῇ τὸν ἄρτον σου, καὶ οὐκ ἐνδεηθήσῃ οὐδὲν ἐπ᾽ αὐτῆς· γῆ ἧς οἱ λίθοι σίδηρος, καὶ ἐκ τῶν ὀρέων αὐτῆς μεταλλεύσεις χαλκόν.

ΩΡΙΓΕΝΟΥΣ. (1) Οὐκ ἔστι, φησὶ, πηλῷ καὶ πλινθείᾳ μοχθεῖν καὶ ταλαιπωρεῖν· ἀλλὰ λίθους ἔχει, (2) καὶ τούτους ἰταμωτάτους καὶ μὴ ῥᾳδίως διαλυομένους, ὡς καὶ οἰκοδομίαις ἐξαρκεῖν, καὶ ἐπὶ πολὺ διαμένειν. ταῦτα δὲ λέγει, τὴν διάνοιαν αὐτῶν ἀποστῆσαι τῆς Αἰγύπτου βουλόμενος. διὰ γὰρ τοῦ εἰπεῖν, ἀγαθὴν, τὸ γόνιμον ἔδειξε· διὰ δὲ τοῦ πολλὴν, τὸ μέγεθος καὶ τὸ πλάτος. » οὗ χείμαῤῥοι ὑδάτων· τοῦτο οὐκ ἐν Αἰγύπτῳ· » καὶ πηγαὶ ἀβύσσων· ὅπερ ἐξαίρετον τῇ γῇ τῆς ἐπαγγελίας. προσέθηκε δὲ, » καὶ διὰ τῶν ὀρέων· ὅπερ τῇ Αἰγύπτῳ οὐ πρόσεστιν· ἀλλ᾽ οὐδὲ ἀμπέλοις κομᾷ, οὐδὲ ἀφθονίαν ἔχει ἐλαίου. ἡ δὲ τῆς ἐπαγγελίας γῆ πάντα πλουσίως.

** ΠΡΟΚΟΠΙΟΥ. Ἔχει φησὶ καὶ μέταλλα χαλκοῦ. πάλαι γὰρ εἶπε. δηλοῖ δὲ ἡ μέχρι καὶ νῦν ἐν Παλαιστίνῃ τῶν χαλκικῶν Ἰούβων ἀτέλεια· ἔστι δὲ μέτρον γῆς ἴσως τοῖς πάλαι μεταλλευταῖς χορηγούμενον.

ι. Καὶ φαγῇ καὶ ἐμπλησθήσῃ, καὶ εὐλογήσεις Κύριον τὸν Θεόν σου ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς, ἧς ἔδωκέ σοι Κύριος ὁ Θεός.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁρᾷς πῶς καὶ τότε μάλιστα προσήκει μετὰ τὴν τῆς τροφῆς ἀπόλαυσιν, τὴν πνευματικὴν ἑστίασιν ἑαυτοῖς παρατιθέναι· ἵνα μηδὲ μετὰ τὴν πλησμονὴν τῆς σωματικῆς τροφῆς ῥαθυμήσασα ἡ ψυχὴ, εἰς ὄλεθρόν τινα ἐκπέσῃ,

A καὶ χώραν δῷ ταῖς τοῦ Διαβόλου μηχαναῖς, πάντα καιρὸν ἐπιτηροῦντος, καὶ βουλομένου καιρίαν ἡμῖν δοῦναι τὴν πληγήν;

ια. Πρόσεχε σεαυτῷ μὴ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου, τοῦ μὴ φυλάξαι τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ κρίματα καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον.

B ΩΡΙΓΕΝΟΥΣ. (3) Μετὰ τὴν τῶν ἀγαθῶν ἐπαγγελίαν εἰς νῆψιν αὐτοὺς διανίστησι, τοῦ εὐεργέτου μεμνῆσθαι, καὶ μὴ ἐξυβρίζειν τῷ κόρῳ, μηδὲ περιφρονεῖν τοῦ ταῦτα δωρησαμένου, καὶ ὅτι ἐκ τῆς ἐν Αἰγύπτῳ δουλείας εἰς ἐλευθερίαν αὐτοὺς μετεκόμισε.

ιβ. Μὴ φαγὼν καὶ ἐμπλησθεὶς καὶ
οἰκίας καλὰς οἰκοδομήσας καὶ κατοι-
ιγ. κήσας ἐν αὐταῖς, Καὶ τῶν βοῶν σου
Γ καὶ τῶν προβάτων σου πληθυνθέν-
των σοι, ἀργυρίου καὶ χρυσίου πλη-
ιδ. θυνθέντων σοι, Ὑψωθήσῃ τῇ καρ-
δίᾳ, καὶ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ
σου, τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰ-
γύπτου, ἐξ οἴκου δουλείας·

ιε. Τοῦ ἀγαγόντος σε διὰ τῆς ἐρήμου τῆς μεγάλης καὶ τῆς φοβερᾶς Δ ἐκείνης, οὗ ὄφις δάκνων, καὶ σκορπίος, καὶ δίψα, οὗ οὐκ ἦν ὕδωρ· τοῦ ἐξαγαγόντος σοι ἐκ πέτρας ἀκροτόμου πηγὴν ὕδατος·

** ΠΡΟΚΟΠΙΟΥ. Ὥσπερ οὗτοι μετὰ τὸ διελθεῖν τὴν ἐρυθρὰν θάλασσαν, καὶ » ᾗ φησὶν ὁ Ἀπόστολος εἰς τὸν Μωϋσῆν βαπτισθῆναι, (1. Κορ. 10. 2.) διῆλθον τὴν ἔρημον τὴν φοβε- » ράν, οὗ ὄφις δάκνων καὶ σκορπίος, τύπος E ὄντες τοῦ νοητοῦ ὄφεως, ἐφ᾽ ὃν καὶ πατεῖν ὁ Κύριος ἡμῶν ἐδωρήσατο· οὕτω καὶ μετὰ τὸ ἀληθινὸν βάπτισμα διὰ πειρασμῶν ἐξάγονται εἰς τὴν ἔρημον οἱ πιστοὶ, πειρασθῆναι ὑπὸ τοῦ Διαβόλου, ὧν τύπος Χριστός· μεθ᾽ » οὗ λέγουσι τῷ πειράζοντι, οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ (Ματθ. 4. 4.) » ζήσεται ἄνθρωπος.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Κατὰ τὸν τύπον τοῦ νοητοῦ ὄφεως. ἀλλὰ διὰ τὴν ἀνομίαν τῶν ἐθνῶν Κύριος ἐξολοθρεύσει αὐτούς. (4)

Z

ις. Τοῦ ψωμίσαντός σε τὸ μάννα
ἐν τῇ ἐρήμῳ, ὃ οὐκ ᾔδεις σὺ, καὶ οὐκ
ᾔδεισαν οἱ πατέρες σου, ἵνα κακώση-
σε, καὶ ἐκπειράσῃ σε, καὶ εὖ σε ποιή-
ιζ. σῃ ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν σου. Μὴ
εἴπῃς ἐν τῇ καρδίᾳ σου, ἡ ἰσχύς μου,
καὶ τὸ κράτος τῆς χειρός μου ἐποίη-
σέ μοι τὴν δύναμιν τὴν μεγάλην
H ταύτην.

ιη. Καὶ

(1) Κυρίλλου. ὁ Ἀλεξάν. κώδ. (2) Ἔχειν. ἐν Τόμ. 2. σελ. 388. τῆς τοῦ Ῥου. ἐκδόσ.
(3) Κυρίλλου. ὁ Ἀλεξάν. κώδ.
(4) Ὅρα καὶ τὸ ἐν σελ. 774. τοῦ Κυρίλ. ὑπόμν. καὶ ὧδε γὰρ πάλιν τὸ αὐτὸ παρὰ τοῖς κώδ. κεῖται.

ιη. Καὶ μνησθήσῃ Κυρίȣ τȣ̃ Θεȣ̃ σȣ, ὅτι αὐτός σοι δίδωσιν ἰσχὺν τȣ̃ ποιῆσαι δύναμιν, καὶ ἵνα στήσῃ τὴν διαθήκην αὐτȣ̃, ἣν ὤμοσε Κύριος τοῖς πατράσι σȣ ὡς σήμερον. A

» ✱✱ ΚΛΗΜΕΝΤΟΣ. Οὗτος δίδωσιν
» ἰσχὺν ποιῆσαι δύναμιν. Ἐὰν δὲ φωτισθῇ σοι τὰ πράγματα, λαβὼν καὶ κτησάμενος ἰσχὺν, ἐν γνώσει ποίει δύναμιν. ἐμφαίνει γὰρ διὰ τȣ́των τάτε ἀγαθὰ, τάς τε δωρεὰς παρὰ τȣ̃ Θεȣ̃ χορηγεῖσθαι. καὶ δεῖν ἡμᾶς διακόνȣς γενομένȣς τῆς θείας χάριτος, σπείρειν τὰς τȣ̃ Θεȣ̃ εὐποιΐας, καὶ τȣ̀ς πλησιάζοντας κατασκευάζειν καλȣ́ς τε καὶ ἀγαθȣ́ς· ἵνα ὡς ὅτι μάλιστα ὁ μὲν σώφρων τȣ̀ς ἐγκρατεῖς, ὁ δὲ ἀνδρεῖος τȣ̀ς γενναίȣς, συνετȣ́ς τε ὁ φρόνιμος, καὶ δίκαιος τȣ̀ς δικαίȣς ἐκλέξῃ.

ιθ. Καὶ ἔσται ἐὰν λήθῃ ἐπιλάθῃ Κυρίȣ τȣ̃ Θεȣ̃ σȣ, καὶ πορευθῇς ὀπίσω Θεῶν ἑτέρων, καὶ λατρεύσῃς αὐτοῖς, διαμαρτύρομαι ὑμῖν σήμερον τὸν ȣ̓ρανὸν καὶ τὴν γῆν, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Εἰ γὰρ ταῦτα, φησὶν, ἐπιλάθησθε, καὶ τοῖς ȣ̓κ ȣ̓̃σι Θεοῖς λατρεύσητε, μάρτυρας τὰς ἐν ȣ̓ρανῷ ποιȣ̃μαι δυνάμεις, καὶ τȣ̀ς ἐπὶ τῆς γῆς ἅπαντας, ἢ καὶ αὐτὰ τὰ στοιχεῖα τὰ συνεκπολεμήσαντα ὑμῖν τὴν Αἴγυπτον, ὡς ἀπώλεια ὑμᾶς καταλήψεται. (1) B

κ. Καθὰ καὶ τὰ λοιπὰ ἔθνη ὅσα Κύριος ὁ Θεὸς ἀπολλύει πρὸ προσώπȣ ὑμῶν, ȣ̔́τως ἀπολεῖσθε, ἀνθ' ὧν ȣ̓κ ἠκȣ́σατε τῆς φωνῆς Κυρίȣ τȣ̃ Θεȣ̃ ὑμῶν.

ΚΕΦ. Θ.

α. Ἄκȣε Ἰσραήλ· σὺ διαβαίνεις σήμερον τὸν Ἰορδάνην εἰσελθεῖν κληρονομῆσαι ἔθνη μεγάλα καὶ ἰσχυρότερά σȣ, πόλεις μεγάλας καὶ τειχήρεις ἕως τȣ̃
β. ȣ̓ρανȣ̃, Λαὸν μέγαν καὶ πολὺν καὶ εὐμήκη, υἱȣ̀ς Ἐνὰκ, ȣ̔̀ς σὺ οἶδα, καὶ σὺ ἀκήκοας, τίς ἀντιστήσεται κατὰ
γ. πρόσωπον υἱῶν Ἐνάκ; Καὶ γνώσῃ σήμερον, ὅτι Κύριος ὁ Θεός σȣ ȣ̔̃τος προπορεύσεται πρὸ προσώπȣ σȣ· πῦρ καταναλίσκον ἐστίν· ȣ̔̃τος ἐξολοθρεύσει αὐτȣ̀ς πρὸ προσώπȣ σȣ, καὶ ἀπολεῖ αὐτȣ̀ς ἐν τάχει, καθάπερ εἶπε
δ. Κύριος. Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σȣ ἐν τῷ ἐξαναλῶσαι αὐτȣ̀ς (2) Κύριον τὸν Θεόν σȣ πρὸ προσώπȣ σȣ, λέγων, διὰ τὰς δικαιοσύνας μȣ εἰσήγαγέ με Κύριος κληρονομῆσαι τὴν γῆν τὴν ἀγαθὴν ταύτην. ἀλλὰ διὰ τὴν ἀσέβειαν τῶν ἐθνῶν τȣ́των Κύριος ἐξολοθρεύσει αὐτȣ̀ς πρὸ προσώπȣ σȣ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνας λέγει υἱȣ̀ς Ἐνάκ; Ἀπόγονοι Γιγάντων ἦσαν, ὡς ἡ ἱστο-
» ρία διδάσκει. τȣ̃το γὰρ ἔφη· λαὸν πολὺν
» καὶ εὐμήκη, υἱȣ̀ς Ἐνὰκ, ȣ̔̀ς σὺ οἶδα, καὶ
» σὺ ἀκήκοας, τίς ἀντιστήσεται κατὰ πρό-
» σωπον υἱῶν Ἐνάκ; τὸ δὲ, σὺ οἶδα καὶ ἀκήκοας τέθεικε, τῶν λόγων ἀναμιμνήσκων τῶν ἐκείνων κατασκοπησάντων τὴν γῆν.
Ἀριθ. 12. 49. ἐκεῖνοι γὰρ ἔλεγον, ὅτι ἦμεν ἐνώπιον αὐ-
» τῶν ὡσεὶ ἀκρίδες. ȣ̔̃τω τὸν ἐπὶ τῇ ῥώμῃ κατασείλας τῦφον, διδάσκει αὐτȣ̀ς, μηδὲ ἐπὶ τοῖς τῆς ψυχῆς κατορθώμασι μέγα
» φρονεῖν. μὴ εἴπῃς γάρ φησιν ἐν τῇ καρ-
» δίᾳ σȣ, ὅτι διὰ τὰς δικαιοσύνας μȣ εἰσή-
» γαγέ με Κύριος κληρονομῆσαι τὴν γῆν τὴν
» ἀγαθὴν ταύτην. διὰ γὰρ τὴν ἀσέβειαν
» τῶν ἐθνῶν τȣ́των Κύριος ἐξολοθρεύσει αὐ-
» τȣ̀ς ἀπὸ προσώπȣ σȣ. ȣ̓χὶ διὰ τὴν δικαιοσύνην σȣ, ȣ̓δὲ διὰ τὴν ὁσιότητα τῆς καρ- Δ
» δίας σȣ σὺ εἰσπορεύῃ κληρονομῆσαι τὴν γῆν. ταῦτα δὲ ἔφη, δύω κατὰ ταὐτὸν πραγματευόμενος, καὶ μετριάζειν διδάσκων αὐτȣ̀ς, καὶ τῇ τȣ̃ Θεȣ̃ βοηθείᾳ τὸ πᾶν ἐπιγράφειν· καὶ προλέγων, ὡς τὰ παραπλήσια πείσονται τοῖς ἔθνεσιν ἐκείνοις, εἰ τὰ ὅμοια δράσαιεν.

ε. Οὐχὶ διὰ τὴν δικαιοσύνην σȣ, ȣ̓δὲ διὰ τὴν ὁσιότητα τῆς καρδίας σȣ σὺ εἰσπορεύῃ κληρονομῆσαι τὴν γῆν αὐτῶν, ἀλλὰ διὰ τὴν ἀνομίαν αὐτῶν Κύριος ἐξολοθρεύσει αὐτȣ̀ς ἀπὸ προσώπȣ σȣ, καὶ ἵνα στήσῃ τὴν διαθήκην αὐτȣ̃, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. E

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Οὐ γὰρ διὰ τὴν δικαιοσύνην σȣ. Χαυνȣ̃σθαι διὰ τȣ́των ἀποτρέπει· καὶ δείκνυσιν ἐκβὰν τὸ προειρη- Z
» μένον πρὸς Ἀβραάμ. ἀναπεπλήρωνται Γεν. 15. 16.
» γὰρ λοιπὸν τῶν Ἀμορραίων αἱ ἁμαρτίαι. ὅτι δὲ ȣ̓ διὰ τὴν δικαιοσύνην αὐτȣ̃ ταῦτα, ἀναμιμνήσκει πάντων ὧν ἡμαρτήκασιν, ἀφ' ȣ̓̃ ἐξῆλθον ἐξ Αἰγύπτȣ, ȣ̓ κατὰ τάξιν, ἀλλ' ὡς ἐν κεφαλαίῳ πρὸς τὸ χρήσιμον, χειραγωγῶν αὐτȣ̀ς πρὸς εὐσέβειαν ἀπειλαῖς καὶ ἀγαθῶν ὑποσχέσεσιν.

» ΑΝΕΠΙΓΡΑΦΟΥ. Πεπλήρωνται γὰρ Γεν. 15. 16.
H » λοιπὸν αἱ ἁμαρτίαι τῶν Ἀμορραίων· καὶ τὸ

(1) Τὰ αὐτὰ καὶ ὁ Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ. πλατύτερον, προσθεὶς καὶ τάδε. ὃ γέγονε διὰ τῆς ὑπὸ Ῥωμαίων πολιορκίας, ἀφῃρημένων τῆς γῆς διὰ τὴν ἀσέβειαν.

(2) Ἐν τῷ ἐξαναλῶσαι Κύριον τὸν Θεόν σȣ τὰ ἔθνη ταῦτα πρὸ, κτ. αἱ εἰρημ. ἐκδόσ.

τὸ εἰρημένον ἐν τῇ Γενέσει τὴν ἔκβασιν εἴληφε.

ς. Καὶ γνώσῃ σήμερον, ὅτι οὐχὶ διὰ τὴν δικαιοσύνην σου Κύριος ὁ Θεός σου δίδωσί σοι τὴν γῆν τὴν ἀγαθὴν ταύτην κληρονομῆσαι, ὅτι λαὸς σκλη-
ζ. ροτράχηλος εἶ. Μνήσθητι, μὴ ἐπιλάθῃ ὅσα παρώξυνας Κύριον τὸν Θεόν σου ἐν τῇ ἐρήμῳ· ἀφ' ἧς ἡμέρας ἐξήλθετε ἐκ γῆς Αἰγύπτου, ἕως ἤλθετε εἰς τὸν τόπον τοῦτον, ἀπειθοῦντες διατελεῖτε τὰ πρὸς Κύριον.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰς καιρὸν δὲ καὶ τῶν ἐν τῇ ἐρήμῳ παρανομηθέντων ἀνέμνησε, τὸν λόγον ἐκεῖνον κρατύνων, ὡς οὐ διὰ τὰς δικαιοσύνας αὐτῶν κληρονομήσουσι τὴν γῆν. „ μνήσθητι γάρ ἔφη, καὶ μὴ ἐπιλάθῃ ὅσα πα- „ ρώξυνας Κύριον τὸν Θεόν σου ἐν τῇ ἐρήμῳ.

η. Καὶ ἐν Χωρὴβ παρωξύνατε τὸν Κύριον, καὶ ἐθυμώθη Κύριος ἐφ'
θ. ὑμῖν ἐξολοθρεῦσαι ὑμᾶς, Ἀναβαίνοντός μου εἰς τὸ ὄρος λαβεῖν τὰς πλάκας τὰς λιθίνας, πλάκας διαθήκης, ἃς διέθετο Κύριος πρὸς ὑμᾶς, καὶ κατεγινόμην ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, ἄρτον οὐκ ἔφαγον καὶ ὕδωρ οὐκ ἔπιον.

ι. Καὶ ἔδωκε Κύριος ἐμοὶ τὰς δύο πλάκας τὰς λιθίνας γεγραμμένας ἐν τῷ δακτύλῳ τοῦ Θεοῦ, καὶ ἐπ' αὐταῖς ἐγέγραπτο πάντες οἱ λόγοι οὓς ἐλάλησε Κύριος πρὸς ὑμᾶς ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρὸς ἡμέρᾳ ἐκκλησίας.

ΣΕΥΗΡΟΥ. Καὶ πλαξὶ λιθίναις ἐνέγραφεν, ἐπειδὴ γενομένοις ἀναισθήτοις, καὶ λίθοις οὖσιν ὥσπερ, αὐτοῖς διελέγετο· μᾶλλον δὲ ἵνα καὶ λίθοις θεοχαράκτοις, καὶ „ δακτύλῳ Θεοῦ γεγραμμένοις, ὥς φησιν ἡ θεία Γραφή, τῶν λιθίνων καὶ ἀναισθήτων ἀποστήσῃ Θεῶν.

ια. Καὶ ἐγένετο διὰ τεσσαράκοντα ἡμερῶν καὶ διὰ τεσσαράκοντα νυκτῶν ἔδωκε Κύριος ἐμοὶ τὰς δύο πλάκας τὰς λιθίνας, πλάκας διαθήκης.

ΑΔΗΛΟΥ. Ἐπὶ μὲν τῆς γλώττης τὸν Θεὸν εἶχον οἱ Ἰσραηλῖται, ἐπὶ δὲ τῆς γνώμης τοὺς Αἰγυπτίων Θεούς, ὡς ἔδειξε τὸ τέλος. ταῦτα Μωϋσῆς μὲν ἠγνόει, ὁ Θεὸς δὲ προεώρα· ὅτι γε εἰ μὴ θύειν αὐτοῖς συγχωρήσειε, προσοίσουσιν εὐθὺς τῇ τῶν Αἰγυπτίων πολυθεΐᾳ. τί οὖν ὁ πάνσοφος ποιεῖ Θεός; (1) κατέχει τὸν Μωϋσῆν ἐν τῷ ὄρει ἡμέρας τεσσαράκοντα, καίτοιγε

A δυνατῶς ἔχων ἐν τρισὶν ἡμέραις δοῦναι τὸν νόμον· ἵνα τὸ κεκρυμμένον ἐν τῷ βάθει τῆς καρδίας τῶν Ἰουδαίων, λέγω δὴ τὸ τῆς ἀσεβείας, ὁ χρόνος τῆς ἀπουσίας ἐλέγξῃ, ὃ δὴ καὶ γέγονε.

ιβ. Καὶ εἶπε Κύριος πρός με, ἀνάστηθι, καὶ κατάβηθι τὸ τάχος ἐντεῦθεν, ὅτι ἠνόμησεν ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου· καὶ παρέ-
B βησαν ταχὺ ἐκ τῆς ὁδοῦ, ἧς ἐνετείλω αὐτοῖς, ἐποίησαν ἑαυτοῖς χώνευμα.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ὁδὸν λέγει τὴν διδασκαλίαν, ἣν ἐμάθομεν παρ' αὐτοῦ.

ιγ. Καὶ εἶπε Κύριος πρός με, λέγων, λελάληκα πρὸς σὲ ἅπαξ καὶ δὶς, λέγων, ἑώρακα τὸν λαὸν τοῦτον, καὶ ἰδοὺ λαὸς σκληροτράχηλός ἐστιν.

Γ ιδ. Ἔασόν με ἐξολοθρεῦσαι αὐτοὺς, καὶ ἐξαλείψω τὸ ὄνομα αὐτῶν ὑποκάτωθεν τοῦ οὐρανοῦ, καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ ὑψηλὸν, καὶ πολὺ μᾶλλον ἢ τοῦτο.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ὢ εὐσπλαγχνίας ὑπερβολή. εἰδὼς ὁ Θεὸς, ὅτι ὁρῶν Μωϋσῆς, ὡς συγγνώμης μείζονα τοῖς Ἰσραηλίταις ἡμάρτηται, καὶ οὐκ ἂν τολμήσειε πα-
Δ ρακαλέσαι τὸν Θεὸν ὑπὲρ αὐτῶν, αὐτὸς αὐτὸν εἰς τοῦτο προσκαλεῖται, δι' ὧν ἀπει-
„ λεῖ λέγων· ἔασόν με καὶ θυμωθεὶς ὀργῇ, Ἐξόδ. 32. 10.
„ ἐξαλείψω αὐτούς· μονονουχὶ λέγων, μὴ ἐντραπῇς παρακαλέσαι με. (2)

ιε. Καὶ ἐπιστρέψας, κατέβην ἐκ τοῦ ὄρους· καὶ τὸ ὄρος ἐκαίετο πυρί. καὶ αἱ δύο πλάκες τῶν μαρτυρίων ἐπὶ
ις. ταῖς δυσὶ χερσί μου. Καὶ ἰδὼν ὅτι
E ἡμάρτετε ἔναντι Κυρίου τοῦ Θεοῦ ὑμῶν, καὶ ἐποιήσατε ὑμῖν ἑαυτοῖς χωνευτὸν, καὶ παρέβητε ταχὺ ἐκ τῆς ὁδοῦ, ἧς
ιζ. ἐνετείλατο Κύριος ὑμῖν· (3) Ἐπιλαβόμενος τῶν δύο πλακῶν, ἔρριψα αὐτὰς ἀπὸ τῶν δύο χειρῶν μου. (4)

ιη. Καὶ ἐδεήθην ἔναντι Κυρίου δεύτερον, καθάπερ καὶ πρότερον τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα
Z νύκτας, ἄρτον οὐκ ἔφαγον καὶ ὕδωρ οὐκ ἔπιον, περὶ πασῶν τῶν ἁμαρτιῶν ὑμῶν ὧν ἡμάρτετε ποιῆσαι τὸ πονηρὸν ἔναντι Κυρίου τοῦ Θεοῦ ὑμῶν παροξῦναι αὐτόν.

** ΩΡΙΓΕΝΟΥΣ. Τεσσαράκοντα ἡμέρας ἄρτον οὐκ ἔφαγε, καὶ ὕδωρ οὐκ ἔπιεν, ἀντὶ τοῦ, οὔτε ξηρᾶς, οὔτε ὑγρᾶς μετείληφε τροφῆς.

ιθ. Καὶ

(1) Τὰ ἑπόμενα κεῖται καὶ ἐν σελ. 911. τῷ Ὠριγένει ἐπιγεγραμ.
(2) Μικρόν τι τούτων διαφέρουσι τὰ ἐν σελ. 912.
(3) Ὅρα τὸ τοῦ Προκοπ. ὑπόμν. τὸ ἐν σελ. 913. ὃ καὶ ὧδε παρὰ τοῖς κώδ. κεῖται.
(4) Τῶν χειρῶν μου, καὶ συνέτριψα ἐναντίον ὑμῶν. αἱ εἰρημ. ἐκδόσ.

ιθ. Καὶ ἔκφοβός εἰμι διὰ τὸν θυ- A
μὸν καὶ τὴν ὀργὴν, ὅτι παρωξύνθη
Κύριος ἐφ' ὑμῖν ἐξολοθρεῦσαι ὑμᾶς.
καὶ εἰσήκουσε Κύριος ἐμοῦ ἐν (1) καιρῷ
κ. τούτῳ. Καὶ ἐπὶ Ἀαρὼν ἐθυμώθη
Κύριος σφόδρα ἐξολοθρεῦσαι αὐτὸν,
καὶ ηὐξάμην καὶ περὶ Ἀαρὼν ἐν τῷ
καιρῷ ἐκείνῳ.

ΑΔΗΛΟΥ. Ἐν πολλοῖς τόποις τῆς Γραφῆς εὑρήσεις τὰ τοιουτότροπα σχήματα. οὐ γὰρ ὡς παραβαίνων τὸν λόγον, οὐ ποιεῖ ὃ λέγει, ἀλλ' ὡς πολυέλεος συγχωρεῖ.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἤγαγε δὲ εἰς μέσον καὶ νῦν τὴν τοῦ μόσχου λατρείαν· καὶ ὅτι διὰ τὴν ἐκείνων ἀσέβειαν τὰς θεοδότους συνέτριψε πλάκας· καὶ ὡς σπουδαίως ἱκετείαν προσαγαγὼν, ἱλεώσατο τὸν Θεὸν μάλα καὶ αὐτοῖς καὶ τῷ Ἀαρὼν ὀργιζόμενον. » καὶ ἐπὶ Ἀαρὼν γάρ φησιν ἐθυμώθη Κύριος σφόδρα ἐξολοθρεῦσαι αὐτὸν, καὶ ηὐξάμην περὶ Ἀαρὼν ἐν τῷ καιρῷ ἐκείνῳ.

κα. Καὶ τὴν ἁμαρτίαν ὑμῶν, ἣν
ἐποιήσατε, τὸν μόσχον ἔλαβον αὐτὸν,
καὶ κατέκαυσα αὐτὸν ἐν πυρὶ, καὶ
συνέκοψα αὐτὸν καταλέσας σφό-
δρα ἕως οὗ ἐγένετο λεπτὸν, καὶ ἐγε-
νήθη ὡσεὶ κονιορτὸς, καὶ ἔρριψα τὸν
κονιορτὸν εἰς τὸν χειμάῤῥουν τὸν κατα-
βαίνοντα ἐκ τοῦ ὄρους.

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Ταῦτα μάλιστα καὶ περὶ τῶν νῦν ἐν τῷ καθ' ἡμᾶς χρόνῳ γεγενημένων τότε ἡ ἱστορία προφητικῶς ἀνεφώνησε. πᾶσα γὰρ ἡ περὶ τὰ εἴδωλα πλάνη τέλεον ἐξηφανίσθη τοῦ βίου, καταποθεῖσα διὰ τῶν εὐσεβῶν στομάτων, τῶν διὰ τῆς ἀγαθῆς ὁμολογίας τὸν ἀφανισμὸν τῆς ἀσεβοῦς ὕλης ἐν ἑαυτοῖς ποιησαμένων. (2)

κβ. Καὶ ἐν τῷ ἐμπυρισμῷ, καὶ
ἐν τῷ πειρασμῷ, καὶ ἐν τοῖς μνήμασι
τῆς ἐπιθυμίας καὶ (3) παροξύνοντες
κγ. ἦτε Κύριον τὸν Θεὸν ἡμῶν. Καὶ ἀπέ-
στειλεν ἐκ Κάδδης Βαρνὴ, λέγων, ἀνά-
βητε καὶ κληρονομήσατε τὴν γῆν, ἣν
δίδωμι ὑμῖν, καὶ ἠπειθήσατε τῷ ῥή-
ματι Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ οὐκ
B ἐπιστεύσατε αὐτῷ, καὶ οὐκ εἰσηκούσα-
κδ. τε τῆς φωνῆς αὐτοῦ. Ἀλλ' ἀπειθοῦν-
τες ἦτε τὰ πρὸς Κύριον ἀφ' ἧς ἡμέ-
κε. ρας ἐγνώσθη ὑμῖν. Καὶ ἐδεήθην ἐγὼ
ἐναντίον Κυρίου τεσσαράκοντα ἡμέρας
καὶ τεσσαράκοντα νύκτας, ὅσας ἐδεή-
θην. εἶπε γὰρ Κύριος ἐξολοθρεῦσαι
κς. ὑμᾶς. Καὶ ηὐξάμην πρὸς τὸν Θεὸν,
καὶ εἶπα, Κύριε Κύριε βασιλεῦ τῶν
Γ Θεῶν, μὴ ἐξολοθρεύσῃς τὸν λαόν σου
καὶ τὴν κληρονομίαν σου, ἣν ἐλυτρώ-
σω ἐν τῇ ἰσχύϊ σου τῇ μεγάλῃ, καὶ ἐν
τῇ χειρί σου τῇ κραταιᾷ, καὶ ἐν τῷ
κζ. βραχίονί σου τῷ ὑψηλῷ. Μνήσθητι
τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ
τῶν θεραπόντων σου, οἷς ὤμοσας κα-
τὰ σεαυτοῦ. μὴ ἐπιβλέψῃς ἐπὶ τὴν
σκληρότητα τοῦ λαοῦ τούτου, καὶ ἐπὶ
Δ τὰ ἀσεβήματα, καὶ ἐπὶ τὰ ἁμαρτή-
κη. ματα αὐτῶν. Μὴ εἴπωσιν οἱ κατοι-
κοῦντες τὴν γῆν ὅθεν ἐξήγαγες ἡμᾶς
ἐκεῖθεν, λέγοντες, παρὰ τὸ μὴ δύνα-
σθαι Κύριον εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν
γῆν ἣν εἶπεν αὐτοῖς, καὶ παρὰ τὸ μι-
σῆσαι αὐτοὺς, ἐξήγαγεν αὐτοὺς ἀπο-
κθ. κτεῖναι ἐν τῇ ἐρήμῳ. Καὶ οὗτος λαός
σου καὶ κλῆρός σου, οὓς ἐξήγαγες ἐκ γῆς
E Αἰγύπτου ἐν τῇ ἰσχύϊ σου τῇ μεγάλῃ,
καὶ ἐν τῷ βραχίονί σου τῷ ὑψηλῷ.

ΚΕΦ. Ι.

α. Ἐν ἐκείνῳ τῷ καιρῷ εἶπε Κύ-
ριος πρός με, λάξευσον
σεαυτῷ δύο πλάκας λι-
θίνας ὥσπερ τὰς πρώτας, καὶ ἀνά-
βηθι πρός με εἰς τὸ ὄρος, καὶ ποιήσεις
β. σεαυτῷ κιβωτὸν ξυλίνην. Καὶ γρά-
ψω ἐπὶ τὰς πλάκας τὰ ῥήματα,
ὅσα ἦν ἐν ταῖς πλαξὶ ταῖς πρώταις
ἃς συνέτριψας, καὶ ἐμβαλεῖς αὐ-
γ. τὰς εἰς τὴν κιβωτόν. Καὶ ἐποίησα
κιβωτὸν ἐκ ξύλων ἀσήπτων, καὶ ἐλά-
ξευσα τὰς δύο πλάκας τὰς λιθίνας
ὥσπερ αἱ πρῶται, καὶ ἀνέβην εἰς τὸ
ὄρος, καὶ αἱ δύο πλάκες ἐπὶ ταῖς χερ-
δ. σί μου. Καὶ ἔγραψεν ἐπὶ τὰς πλά-
κας κατὰ τὴν γραφὴν τὴν πρώτην
τοὺς δέκα λόγους, οὓς ἐλάλησε Κύριος
Z πρὸς ὑμᾶς ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυ-
ρὸς, καὶ ἔδωκεν αὐτὰς Κύριος ἐμοί.
ε. Καὶ ἐπιστρέψας κατέβην ἐκ τοῦ ὄρους,
καὶ ἐνέβαλον τὰς πλάκας εἰς τὴν κι-
βωτὸν ἣν ἐποίησα· καὶ ἦσαν ἐκεῖ, κα-
θὰ ἐνετείλατό μοι Κύριος.
ς. Καὶ οἱ υἱοὶ Ἰσραὴλ ἀπῆραν ἐκ
Βηρὼθ υἱῶν Ἰακεὶμ Μισαδαΐ. ἐκεῖ ἀ-
πέθανεν Ἀαρὼν, καὶ ἐτάφη ἐκεῖ, καὶ
H ἱεράτευσεν Ἐλεάζαρ υἱὸς αὐτοῦ ἀντ'
ζ. αὐτοῦ. Ἐκεῖθεν ἀπῆραν εἰς Γαδγάδ·
καὶ

(1) Καὶ ἐν τῷ καιρ. αἱ εἰρημ. ἐκδόσ.
(3) Τὸ, καὶ, ἐν ταῖς εἰρημ. ἐκδόσ. οὐκ ἔστι.
(2) Ὅμοια τούτοις τὰ ἐν σελ. 915.

καὶ ἀπὸ Γαδγὰδ εἰς Ἰετεβαθὰ, γῆ
η. χειμάῤῥου ὑδάτων. Ἐν ἐκείνῳ τῷ και-
ρῷ διέστειλε Κύριος τὴν φυλὴν τὴν
Λευῒ, αἴρειν τὴν κιβωτὸν τῆς διαθή-
κης Κυρίου, παραστῆναι (1) ἔναντι Κυ-
ρίου, λειτουργεῖν καὶ ἐπεύχεσθαι ἐπὶ τῷ
ὀνόματι αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἀπῆραν ἐκ Βηρώθ. Ἄνω ἐν τοῖς Ἀριθμοῖς καταλέγων τοὺς σταθμοὺς καὶ τὰς ἐπάρσεις τῶν υἱῶν Ἰσραὴλ, οὐκ ἐμνήσθη τοῦ τόπου τούτου· ἀλλ' εἶπε Ἀριθ. 20. 27. τὸν Ἀαρὼν ἐν Ὢρ τῷ ὄρει τετελευτηκέναι. ἐνταῦθα γὰρ ἐν ἐπιτομῇ ἀνακεφαλαιούμενος, οὐ μέμνηται κατὰ τάξιν τῶν τόπων, ἢ τῶν καιρῶν· καὶ γὰρ πρὶν ἐλθεῖν ἐν Ὢρ τῷ ὄρει καὶ τελευτῆσαι τὸν Ἀαρὼν, ἦλθον εἰς Γαδγὰδ καὶ εἰς Ἐτεβαθά. ἐνταῦθα δὲ ἐναλλὰξ φησὶ, καὶ πάλιν ἐπανατρέχει ἐπὶ τὰ » πρότερα, λέγων· ἐν ἐκείνῳ τῷ καιρῷ διέστει» λε Κύριος τὴν φυλὴν Λευΐ. τοῦτο δὲ ἐποίησεν ἐν τῷ ὄρει Σινᾶ. ὅπου καὶ ἐν μ' ἡμέραις καὶ νυξὶν ὑπερηύξατο τοῦ λαοῦ πταίσαντος.

θ. Διὰ τοῦτο οὐκ ἔσται τοῖς Λευΐταις μερὶς οὐδὲ κλῆρος ἐν τοῖς ἀδελφοῖς αὐτῶν· Κύριος ὁ Θεὸς κλῆρος αὐτῷ, καθὰ εἶπεν αὐτῷ.

ι. Κἀγὼ ἔστην ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ εἰσήκουσε Κύριος ἐν (2) τῷ καιρῷ τούτῳ, καὶ οὐκ ἠθέλησε Κύριος ἐξολοθρεῦσαι ὑμᾶς.

** ΩΡΙΓΕΝΟΥΣ. Ἦσάν τινες ἑστῶτες ὅπου ὁ Ἰησοῦς, καὶ ἐρηρεισμένας ἔχοντες τὰς τῆς ψυχῆς βάσεις παρὰ τῷ Ἰησοῦ. καὶ ἦν αὐτῶν ἡ τῶν ποδῶν στάσις συγγενὴς τῇ περὶ ἧς εἶπε Μωσῆς στάσει ἐν τῷ· κἀγὼ » ἔστην ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, ἀξιωθέντι δὲ καὶ τοῦ, Δευτ. 5. 31. σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ, λεγομένου.

ια. Καὶ εἶπε Κύριος πρός με, βάδισον, ἄπαρον ἐναντίον τοῦ λαοῦ τούτου, καὶ εἰσπορευέσθωσαν καὶ κληρονομείτωσαν τὴν γῆν, ἣν ὤμοσε τοῖς πατράσιν αὐτῶν δοῦναι αὐτοῖς.

ιβ. Καὶ νῦν Ἰσραὴλ, τί Κύριος ὁ
Θεός σου ζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ φο-
βεῖσθαι Κύριον τὸν Θεόν σου, πορεύε-
σθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ
ἀγαπᾷν αὐτὸν, καὶ λατρεύειν Κυρίῳ
τῷ Θεῷ σου ἐξ ὅλης τῆς καρδίας σου,
ιγ. καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, φυλάσ-
σεσθαι τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ
σου, καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα
ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἵνα εὖ-
ιδ. σοι ᾖ; Ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ οὐρανὸς
καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, καὶ (3) ἡ γῆ
ιε. καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτοῖς. Πλὴν
τοὺς πατέρας ὑμῶν προείλετο Κύριος
ἀγαπᾷν αὐτοὺς, καὶ ἐξελέξατο τὸ
σπέρμα αὐτῶν ὑμᾶς παρὰ πάντα τὰ
ἔθνη, κατὰ τὴν ἡμέραν ταύτην.

ΑΔΗΛΟΥ. Τοῦτο καὶ ὁ Σωτήρ φησιν· » ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου Ματθ. 11. 30. » ἐλαφρόν ἐστι.

ΘΕΟΔΩΡΙΤΟΥ. Οὕτω καὶ τὰ ἄλλα γεγενημένα διεξελθὼν, φησί· καὶ νῦν Ἰσραὴλ, τί Κύριος ὁ Θεὸς αἰτεῖ παρὰ σοῦ, » ἀλλ' ἢ φοβεῖσθαι Κύριον τὸν Θεόν σου, καὶ » πορεύεσθαι ἐν πάσαις ταῖς ἐντολαῖς αὐτοῦ, » τοῦ λατρεύειν Κυρίῳ τῷ Θεῷ σου ἐξ ὅλης » τῆς καρδίας σου; καὶ ἵνα μὴ τοπάσωσι τὸν Θεὸν ταῦτα νομοθετεῖν, ὡς θυμάτων δεόμενον, ἐπήγαγεν· ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ » οὐρανὸς τοῦ οὐρανοῦ, ἡ γῆ καὶ πάντα ὅσα » ἐστὶν ἐν αὐτοῖς. πλὴν τοὺς πατέρας ὑμῶν » προείλετο Κύριος ἀγαπᾷν αὐτοὺς, καὶ ἐξε» λέξατο τὸ σπέρμα αὐτῶν μετ' αὐτοὺς, ὑμᾶς » παρὰ πάντα τὰ ἔθνη. διδασκόμεθα δὲ διὰ τούτων, ὡς ἀπολαύουσι παῖδες ἀγαθῶν διὰ τὴν τῶν προγόνων εὐσέβειαν.

ις. Καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδίδαξε δὲ καὶ ποία » περιτομὴ τῷ Θεῷ προσφιλής. περιτεμεῖ» σθε γὰρ ἔφη τὴν σκληροκαρδίαν ὑμῶν, καὶ » τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι. καὶ ταῦτα ἐλέγετο τοῖς μηδέπω τὴν ἀκροβυστίαν περιτμηθεῖσιν. Ἰησοῦς γὰρ ὁ τοῦ Ναυῆ μετὰ τὸ διαβῆναι τὸν Ἰορδάνην ἐν Γαλγάλοις αὐτοὺς περιέτεμεν. ἀλλ' ὅμως καὶ ἀπεριτμήτοις οὖσιν οὐκ ἐκέλευσε τὴν ἀκροβυστίαν περιτμηθῆναι, ἀλλὰ τὴν σκληροκαρδίαν καὶ τὸν τράχηλον τὸν σκληρόν. τοιγάρτοι τιμιωτέρα ἡ τῆς καρδίας περιτομή. ταύτην δὲ αὐτῶν τὴν κατηγορίαν καὶ διὰ τοῦ προφήτου Ἱερεμίου ὁ δεσπότης Θεὸς ἐποιή» σατο. πάντα γὰρ ἔφη τὰ ἔθνη ἀπερίτ- Ἱερ. 9. 26. » μητα σαρκὶ, ὁ δὲ οἶκος Ἰσραὴλ ἀπερίτμη» τος καρδία αὐτῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Σιωπᾷ νῦν τὴν αἰσθητὴν περιτομὴν, ἐπεὶ ἀκρόβυστοι ἦσαν· Ἰησοῦς γὰρ αὐτοὺς ἐν Γαλγάλοις περιέτεμε· τὴν δὲ τῆς καρδίας, ὡς τιμιωτέραν ὑπέβαλεν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Σημειωτέον, ὅτι καὶ ὁ Μωϋσῆς ἐν κρυπτῷ θέλει γενέσθαι περιτομὴν ἐν καρδίᾳ.

ιζ. Ὁ γὰρ Κύριος καὶ Θεὸς ὑμῶν, οὗτος Θεὸς τῶν θεῶν, καὶ Κύριος τῶν κυρίων, ὁ Θεὸς ὁ μέγας, ὁ φοβερὸς, καὶ ἰσχυρὸς, ὅστις οὐ θαυμάζει πρόσωπον ἀνθρώπου, οὐδ' οὐ μὴ λάβῃ δῶρον.

** ΙΟΥΣΤΙΝΟΥ. Οὐ γὰρ ὡς ὄντων Θεῶν ταῦτα λέγεται, ἀλλ' ὡς τοῦ λόγου διδάσκοντος ἡμᾶς, ὅτι τῶν νομιζομένων Θεῶν καὶ

(1) Παρεστάναι. αἱ εἰρημ. ἐκδόσ. (2) Καὶ ἐν. αἱ αὐτ. (3) Τὸ, καὶ, λείπει. αὐτ.

καὶ κυρίων ὁ τῷ ὄντι Θεὸς ὁ τὰ πάντα ποιήσας, Κύριος μόνος ἐστίν. ἵνα γὰρ καὶ τοῦτο ἐλέγξῃ τὸ ἅγιόν πνεῦμα, διὰ τοῦ ἁγίου Δα-
Ψαλ. 134. 15. βὶδ εἶπεν· οἱ Θεοὶ τῶν ἐθνῶν, νομιζόμενοι.
„ Θεοὶ, εἴδωλα Δαιμονίων εἰσὶν, ἀλλ' οὐ Θεοί. καὶ ἐπάγει κατάραν τοῖς ποιοῦσιν αὐτὰ καὶ προσκυνοῦσι.

„ ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, ὁ γὰρ
„ Κύριος ὁ Θεὸς ἡμῶν, οὗτος Θεὸς τῶν Θεῶν,
„ καὶ Κύριος τῶν κυρίων; Θεοὺς τοὺς κριτὰς
Ἐξόδ. 22. 28. ὀνομάζει. Θεοὺς γάρ φησιν οὐ κακολογή-
„ σεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. καὶ ἔνθα δὲ εἶπον οἱ Ἑβδομήκοντα,
Ἐξόδ. 21. 6. ἄξεις αὐτὸν εἰς κριτήριον, οἱ περὶ τὸν Ἀκύλαν καὶ τὸν Σύμμαχον, ἄξεις αὐτοὺς (1) πρὸς τοὺς Θεοὺς, ἡρμήνευσαν, Θεοὺς τοὺς κριτὰς ὀνομάσαντες. τούτων αὐτὸν εἶπε Θεὸν τῶν Θεῶν. οὐ γάρτοι τῶν ψευδωνύμων. καὶ ἤδη δὲ διὰ πλειόνων ἡρμηνεύσαμεν ταῦτα.

ΑΔΗΛΟΥ. Περὶ τῶν κριτῶν λέγει, ὅτι Θεὸς Θεῶν ἐστίν. εἰσὶ δὲ (2) οἱ τὸ τοῦ Ἀπο-
α. Κορ. 8. 5. στόλου προκομίζονται· καὶ αὐτοὺς λεγομένους παρὰ τῶν προσκυνούντων αὐτοὺς, οὐκ ὄντας δὲ Θεούς.

ιη. Ποιῶν κρίσιν προσηλύτῳ καὶ ὀρφανῷ καὶ χήρᾳ, καὶ ἀγαπᾷ τὸν προσήλυτον δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον.

** ΙΣΙΔΩΡΟΥ. Πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν καλούμενος χαίρει. ἐπὶ μὲν γὰρ τῶν ὑψηλῶν, τὸ τῆς δεσποτείας ὄνομα τάττει· ἐπὶ δὲ τῶν ταπεινῶν, τὸ τῆς κηδεμονίας. ἐκείνων μὲν δεσπότης εἶναι διαβεβαιοῦται, τούτων δὲ πατήρ. μηδεὶς τοιγαροῦν ὀρφανὸν ἀδικείτω, τὸν πα- A τέρα ἐννοῶν· μηδὲ χήραν καταπονείτω, τὸν κριτὴν φανταζόμενος· μηδὲ ἄλλον τινὰ πλεονεκτείτω, τὸν ἀδέκαστον κριτὴν ὀνειροπολῶν.

ιθ. Καὶ ἀγαπήσετε τὸν προσήλυτον, προσήλυτοι γὰρ ἦτε ἐν γῇ
κ. Αἰγύπτῳ. Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ ἐπὶ
κα. τῷ ὀνόματι αὐτοῦ ὀμῇ. Οὗτος καύχημά σου, καὶ αὐτὸς Θεός σου, ὅστις ἐποίησέ σοι τὰ μεγάλα καὶ ἔνδοξα ταῦτα, ἃ εἶδον οἱ ὀφθαλμοί σου.

κβ. Ἐν ἑβδομήκοντα ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς Αἴγυπτον, νυνὶ δὲ ἐποίησέ σε Κύριος ὁ Θεός σου ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει.

Γ ΚΥΡΙΛΛΟΥ. (3) Καὶ Ἀκύλας καὶ τὸ Σαμαρειτικὸν ἑβδομήκοντα μόνους λέγει. οὐδὲ γὰρ ἀριθμεῖ τοὺς υἱοὺς Ἰωσὴφ, Μανασσῆ καὶ Ἐφραὶμ, ὡς μὴ κατελθόντας εἰς Αἴγυπτον· ὡς ἔστιν εὑρεῖν ἀπὸ τῆς ἐν Γενέσει γενεαλογίας. οἱ δὲ Ἑβδομήκοντα ἑρμηνευταὶ κἀκείνους ἠρίθμησαν. τὸ γὰρ ἐξ Ἰακὼβ γένος κατέλεξαν, οὐ τοὺς συνελθόντας ἐν Αἰγύπτῳ. ἀμέλει γοῦν καὶ οἱ δύω υἱοὶ Ἰούδα ἠριθμήθησαν εἰσελθόντες ἐν Αἰγύπτῳ· ὅπου καὶ πρὸ τῆς εἰς Αἴγυπτον κα-
Δ θόδου ἀπέθανον ἐν γῇ Χαναάν.

ΣΕΥΗΡΟΥ. Ἀπὸ μόνης τῆς ψυχῆς ὧδε ὠνόμασε τὸν ἄνθρωπον. ἔστι δὲ ὅπου ἡ Γραφὴ (4) καὶ ἀπὸ μόνου τοῦ σώματος σημαίνει τὸν ὅλον ἄνθρωπον.

ΚΕΦ. ΙΑ.

α. Καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου, καὶ φυλάξῃ τὰ φυλάγματα αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰς κρίσεις αὐτοῦ
β. πάσας τὰς ἡμέρας. Καὶ γνώσεσθε σήμερον, ὅτι οὐχὶ τὰ παιδία ὑμῶν, ὅσοι οὐκ οἴδασιν, οὐδὲ εἶδον τὴν παιδείαν Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ μεγαλεῖα αὐτοῦ, καὶ τὴν χεῖρα τὴν κραταιὰν, καὶ τὸν βραχίονα τὸν ὑψηλὸν,

γ. Καὶ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ, ἃ ἐποίησεν ἐν μέσῳ Αἰγύπτου Φαραὼ βασιλεῖ Αἰγύπτου,
δ. καὶ πάσῃ τῇ γῇ αὐτοῦ, Καὶ ὅσα ἐποίησε τὴν δύναμιν τῶν Αἰγυπτίων, τὰ E ἅρματα αὐτῶν, καὶ τὴν ἵππον αὐτῶν, ὡς ἐπέκλυσε τὸ ὕδωρ τῆς θαλάσσης (5) ἐπὶ πρόσωπον αὐτῶν, καταδιωκόντων αὐτῶν ἐκ τῶν ὀπίσω ὑμῶν, καὶ ἀπώλεσεν αὐτοὺς Κύριος ἕως
ε. τῆς σήμερον ἡμέρας, Καὶ ὅσα ἐποίησεν ὑμῖν ἐν τῇ ἐρήμῳ ἕως ἤλθετε εἰς τὸν τόπον τοῦτον,

** ΠΡΟΚΟΠΙΟΥ. Πάλιν ὑπέμνησε
Z τῶν ἐν Αἰγύπτῳ καὶ τῇ ἐρήμῳ, μνήμην ἄλησον αὐτοῖς ἐμποιῆσαι σπουδάζων κατὰ τὸν
„ λέγοντα Παῦλον· ἀδελφοὶ τὸ τὰ αὐτὰ Φιλιπ. 3. 1.
„ λέγειν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσ-
„ φαλές.

ϛ. Καὶ ὅσα ἐποίησε τῷ Δαθὰν καὶ Ἀβειρὼν υἱοῖς Ἐλιὰβ υἱοῦ Ῥουβείμ· οὓς ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς κατέπιεν

(1) Αὐτόν. ἡ ἐν Χάλ. ἔκδ.

(2) Ἐπεὶ καὶ ὁ Ἀπόστολος λεγομένους αὐτοὺς, οὐκ ὄντας φησὶν εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς. ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ. τὰ αὐτὰ πλατύτερ. διαλαμβάνων.

(3) Ἄνευ ὀνόματος κεῖται παρὰ τῷ Ἀλεξάν. κώδ. καὶ ἴσ. εἰκότως, ὡς ἀδήλου ὄντως τοῦ συγγραφέως, οὐ γάρ ἐστι τοῦ Κυρίλ.

(4) Γεν. 34, 29. καὶ 36, 6. καὶ 47, 12.

(5) Τῆς θαλάσσης τῆς ἐρυθρᾶς. αἱ εἰρημ. ἐκδόσ.

τέπιεν αὐτοὺς, καὶ τοὺς οἴκους αὐτῶν, καὶ τὰς σκηνὰς αὐτῶν, καὶ πᾶσαν αὐτῶν τὴν ὑπόστασιν τὴν μετ' αὐτῶν ἐν μέσῳ παντὸς Ἰσραήλ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Ἐπανίσταται γὰρ ἡ κλῆσις τοῖς ἐπανισταμένοις Θεῷ, καὶ μαρτυρία γίνεται Μωϋσῇ, ὅτι οὐκ ἐξ ἐπιδρομῆς τὴν ἱερωσύνην περιέσπασεν εἰς τὸν ἀδελφὸν, ἀλλὰ Θεοῦ ἡ δωρεά. Καὶ μετ' ὀλίγα. Ἅμα λόγῳ καὶ ἔργῳ ἑρμηνεύει ὁ λόγος, καὶ ἡ μαρτυρία τὸ ἔργον· καὶ ὁ θάνατος πικρότατος, οἷος ὁ δαιμονώντων, οἳ ζῶντες εἰς ᾅδου καταβήσονται. (1) καὶ προεῖπεν αὐτοῖς εἶναι κατὰ Θεοῦ Μωσῆς, ὥστε τὸ δαιμονώντων κατὰ Χριστοῦ πάθος ἐν αὐτοῖς ὑποτυποῦται. τοῖς δὲ προηγουμένοις συνεφέλκεται τὰ ἀκολουθήματα, οἶκοι καὶ κτήνη· καὶ τὸ πέρας, ἐκάλυψεν αὐτοὺς ἡ γῆ.
Ματθ. 13. 49, 50. ἐξελεύσονται γάρ φησιν οἱ Ἄγγελοι, καὶ „ ἀφορίσουσι τοὺς ἀσεβεῖς ἐκ μέσου τῶν δικαίων, „ καὶ ἐκβαλοῦσιν αὐτοὺς εἰς τὸ σκότος τὸ ἐξώτερον. ἔνδειγμα οὖν ταῦτα τοῦ τέλους. (2)

ζ. Οἱ ὀφθαλμοὶ (3) ὑμῶν ἑώρων
πάντα τὰ ἔργα Κυρίου τὰ μεγάλα,
η. ἃ ἐποίησεν ἡμῖν σήμερον. Καὶ φυ-
λάξασθε πάσας τὰς ἐντολὰς αὐτοῦ,
ὅσας ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον,
ἵνα ζῆτε, καὶ πολυπλασιασθῆτε, καὶ
κληρονομήσητε τὴν γῆν, εἰς ἣν ὑμεῖς
διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ κληρο-
θ. νομῆσαι αὐτήν. Ἵνα μακροημερεύ-
σητε ἐπὶ τῆς γῆς, ἧς ὤμοσε Κύριος
τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς καὶ
τῷ σπέρματι αὐτῶν μετ' αὐτοὺς, γῆν
ι. ῥέουσαν γάλα καὶ μέλι. Ἔστι γὰρ
γῆ εἰς ἣν σὺ εἰσπορεύῃ ἐκεῖ κληρονομῆ-
σαι αὐτὴν, οὐχ ὥσπερ ἡ γῆ Αἰγύπτου
ἐστὶν, ὅθεν ἐκπορεύεσθε ἐκεῖθεν, ὅταν
σπείρωσι τὸν σπόρον, καὶ ποτίζωσι
τοῖς ποσὶν αὐτῶν, ὡσεὶ κῆπον λαχα-
ια. νίας. Ἡ δὲ γῆ εἰς ἣν σὺ εἰσπορεύῃ
ἐκεῖ κληρονομῆσαι αὐτὴν, γῆ ὀρεινὴ
καὶ πεδινὴ, ἐκ τοῦ ὑετοῦ τοῦ οὐρανοῦ πίεται ὕδωρ.

ιβ. Γῆ, ἣν Κύριος ὁ Θεὸς ἐπισκοπεῖται αὐτὴν διαπαντὸς, οἱ ὀφθαλμοὶ Κυρίου τοῦ Θεοῦ ἐπ' αὐτῆς ἀπ' ἀρχῆς τοῦ ἐνιαυτοῦ ἕως συντελείας τοῦ ἐνιαυτοῦ.

*ΠΡΟΚΟΠΙΟΥ. [Ἐπισκοπεῖται τῆς ἐπαγγελίας τὴν γῆν διαπαντὸς, ἤγουν ἐκζητεῖ αὐτὴν, κατὰ τοὺς ἄλλους ἑρμηνευτάς.] ταῦτα δὲ λεγόμενα, τὸν μὲν μειρακιώδη προτρέπεται Ἰσραὴλ, ἡμῖν δὲ νοητῶς ἐπιβάλλειν δίδωσι (4) τοῖς λεγομένοις. αὐτὸς γάρ ἐστιν ὁ πάσης τῆς κτίσεως ποιητὴς, καὶ τοῦ ἐλέους αὐτοῦ πλήρης ἡ γῆ· καὶ οὐ μᾶλλον (5) ταύτην ἐφορᾷ ἢ ἐκείνην, εἰ μή τι διὰ τὴν τῶν οἰκητόρων εὐσέβειαν. ὅπερ δὲ εἶπον, δίδωσιν ἔννοιαν, ὡς οὐ περὶ γῆς αἰσθητῆς αὐτοῖς διελέγετο, ἀλλὰ περὶ νοητῆς καὶ τοῖς ἐξ οὐρανοῦ ὄμβροις πιαινομένης, καὶ μηδὲν ἐκ τῆς τοῦ κόσμου σοφίας καὶ γηΐνης μεταλαμβανούσης, τῆς ὑπὸ πόδας κειμένης, διὰ τὸ ταπεινὸν καὶ χαμαίζηλον. ταύτην τὴν γῆν, εἴτουν τὴν Ἐκκλησίαν „ διαπαντὸς ἐφορᾷ ὁ Θεὸς, ἀπ' ἀρχῆς τε τοῦ „ ἐνιαυτοῦ (6) καὶ ἕως τῆς συντελείας τοῦ ἐνιαυ- „ τοῦ. τοῦτον γὰρ καὶ ἐκάλεσεν Ἡσαΐας ἐνιαυ- „ τὸν Κυρίου δεκτὸν, καθ' ὃν ἐπέλαμψεν ὁ Ησ. 61. 2. μονογενὴς τοῦ Θεοῦ λόγος, καὶ ὡς ὑετὸς κατέβη ἐπὶ τὴν γῆν· καὶ ἐπιβλέπει ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν οἰκουμένην, „ τουτέστι τὴν αὐτοῦ Ἐκκλησίαν. οἱ ὀφθαλμοὶ Ψαλ. 33. 15. „ γὰρ αὐτοῦ, φησὶν, ἐπὶ δικαίους, καὶ ὦτα „ αὐτοῦ εἰς δέησιν αὐτῶν.

ιγ. Ἐὰν δὲ ἀκοῇ ἀκούσητε πάσας τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, ἀγαπᾷν Κύριον τὸν Θεόν σου, καὶ λατρεύειν αὐτῷ ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου·

ιδ. Καὶ δώσει τὸν ὑετὸν τῇ γῇ σου καθ' ὥραν ἐν τῷ καιρῷ αὐτοῦ πρώϊμον καὶ ὄψιμον, καὶ εἰσοίσεις τὸν σῖτόν σου, καὶ τὸν οἶνόν σου, καὶ τὸ ἔλαιόν σου.

ΠΡΟΚΟ-

(1) Περὶ τῶν δαιμονώντων τάδε λέγει ὁ θεῖος Χρυσόστομ. (ἐν τῇ 477. σελ. τοῦ 1. Τόμ. τῆς τοῦ Μοντφ. ἐκδόσ. ἐν τῷ 4. περὶ Ἀκαταλήπτ. λόγ.) Καὶ τί δήποτε τοὺς δαιμονῶντας, καὶ τῇ μανίᾳ πονηρᾷ κατεχομένους εἰσάγεσθαι κελεύει τότε ὁ διάκονος, καὶ κλίνειν τὰς κεφαλάς; τίνος ἕνεκεν τοῦτο ποιεῖ; ἄλυσις πονηρὰ καὶ χαλεπὴ τῶν Δαιμόνων ἐστὶν ἡ ἐνέργεια, ἄλυσις παντὸς σιδήρου δυνατωτέρα. καθάπερ οὖν δικαστοῦ πρόοδον ἔχοντος, καὶ ἐφ' ὑψηλοῦ τοῦ βήματος καθέζεσθαι μέλλοντος, οἱ δεσμοφύλακες τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἅπαντας ἐξαγαγόντες τοῦ οἰκήματος, πρὸ τῶν κιγκλίδων καὶ τῶν τοῦ δικαστηρίου παραπετασμάτων καθίζουσιν αὐχμῶντας, ῥυπῶντας, κομῶντας, ῥάκια περιβεβλημένους· οὕτω δὴ καὶ οἱ πατέρες ἐνομοθέτησαν, τοῦ Χριστοῦ μέλλοντος ὥσπερ ἐφ' ὑψηλοῦ προκαθέζεσθαι βήματος, καὶ ἐπ' αὐτῶν φαίνεσθαι τῶν μυστηρίων, τοὺς δαιμονῶντας καθάπερ δεσμώτας τινὰς εἰσάγεσθαι, οὐχ ἵνα εὐθύνας ὑπέχωσι τῶν πεπλημμελημένων, καθάπερ ἐκεῖνοι οἱ δεδεμένοι, οὐδ' ἵνα κόλασιν ὑπομένωσι καὶ τιμωρίαν, ἀλλ' ἵνα τοῦ δήμου καὶ τῆς πόλεως ἁπάσης ἔνδον παρούσης, κοιναὶ περὶ αὐτῶν ἱκετηρίαι γένωνται, πάντων ὁμοθυμαδὸν τὸν κοινὸν δεσπότην ὑπὲρ αὐτῶν ἐξαιτουμένων, καὶ ἐλεῆσαι παρακαλούντων μετὰ σφοδρᾶς τῆς βοῆς. ἐκ τούτων οὖν δῆλον, ὅτι οὐ ζῶντες εἰς ᾅδου καταβαίνουσιν οἱ δαιμονῶντες, ὡς φησὶν ὁ Ἀπολινάρ.

(2) Τὰ αὐτὰ ἐν ἐπιτομῇ. καὶ ὁ Προκόπ. ἐν σελ. 1277.

(3) Ὅτι οἱ ὀφθαλμοί. αἱ εἰρημ. ἐκδόσ.

(4) Ἡμᾶς δὲ νοητῶς ἐπιβάλλειν ποιεῖ. αὐτὸς γὰρ, κτλ. ὁ τῆς Αὐγ. κώδ.

(5) Πλέον δὲ γῆν ἐφορᾷ διὰ τὴν τῶν οἰκητόρων εὐσέβειαν. ἡ νοητὴ δὲ γῆ οὐρανίοις ὄμβροις πιαίνεται. μηδὲν ἐκ τῆς, κτλ. ὁ αὐτ.

(6) Τοῦ ἐκλεκτοῦ, κατὰ τὸν Ἡσαΐαν, ἐνιαυτοῦ, ἕως τῆς συντελείας, καθ' ὃν, κτλ. ὁ αὐτ.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Πρώϊμον καὶ ὄψιμον· ἡμῖν δὲ τοῖς τελειοτέροις τὸν διὰ τῶν Προφητῶν πρώϊμον ὄντα, καὶ τὸν ἐπὶ τῆς αὐτοῦ ἐνσάρκου παρουσίας ὄψιμον ἐκπεμφθέντα ἐπ' ἐσχάτου τῶν ἡμερῶν. οὕτω γὰρ καὶ τῶν πνευματικῶν ἀπολαύσομεν χαρισμάτων.

ιε. Καὶ δώσει χορτάσματα ἐν τοῖς
ἀγροῖς σου τοῖς κτήνεσί σου. καὶ φα-
ις. γὼν, καὶ ἐμπλησθεὶς, Πρόσεχε σεαυ-
τῷ μὴ πλατυνθῇ ἡ καρδία σου, καὶ
παραβῆτε, καὶ λατρεύσητε θεοῖς
ἑτέροις, καὶ προσκυνήσητε αὐτοῖς,

ιζ. Καὶ θυμωθεὶς ὀργισθῇ Κύριος ἐφ' ὑμῖν, καὶ συσχῇ τὸν οὐρανὸν, καὶ οὐκ ἔσται ὑετὸς, καὶ ἡ γῆ οὐ δώσει τὸν καρπὸν αὐτῆς, καὶ ἀπολεῖσθε ἐν τάχει ἀπὸ τῆς γῆς τῆς ἀγαθῆς, ἧς ἔδωκεν ὁ Κύριος ὑμῖν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἐὰν δὲ παραβῆτε, φησὶ, σχήσει τὸν ὑετὸν, κατὰ τὸν Ἡσαΐαν,
Ἡσ. 5. 6. ἐντελεῖται ταῖς νεφέλαις τοῦ μὴ δοῦναι ὑετόν. ἰδοὺ γὰρ νῦν παρ' αὐτοῖς, οὐ προφητεῖαι, οὐ πνευματικὰ χαρίσματα, λιμὸς δὲ ἀγαθῶν· καὶ ἐκ τῆς γῆς ἀπώλοντο, πάλαι μὲν ἐξ εἰδωλολατρείας παραδοθέντες Βαβυλωνίοις, νῦν δὲ διὰ τὸ σταυρῷ παραδοῦναι Χριστόν.

ιη. Καὶ ἐμβαλεῖτε τὰ ῥήματα ταῦτα εἰς τὴν καρδίαν ὑμῶν καὶ εἰς τὴν ψυχὴν ὑμῶν, καὶ ἀφάψετε αὐτὰ εἰς σημεῖον ἐπὶ τῆς χειρὸς ὑμῶν, καὶ ἔσται ἀσάλευτα πρὸ ὀφθαλμῶν ὑμῶν.

ΚΥΡΙΛΛΟΥ. [Ἔργου σύμβολον ἡ χείρ. τὰ δὲ συνωνύμως δρώμενα πρὸς ἡμῶν, πάντως που καὶ ἀνεπίπληκτα, καὶ τὸ ἐν φαυλότητι σκαιὸν οὐκ ἔχει.]
Ματθ. 23. 5. Ἐμεγάλυνον [οὖν] » οἱ Φαρισαῖοι τὰ κράσπεδα αὐτῶν, καὶ ἐπλά- » τυναν τὰ φυλακτήρια, τουτέστι τὰ τῆς δεξιᾶς ἀπηρτημένα δέλτια· πλὴν ἐγελῶντο παρὰ Χριστοῦ, [εἰς] φιλοδοξίας ἀφορμὴν, καὶ οὐκ εἰς ἀνάμνησιν τοῦ νόμου τὸ χρῆμα πεποιημένοι. ἔστιν οὖν ἄρα καὶ ἐννόμως ἀνομεῖν, εἰ μήτις ὀρθῶς χρῷτο τῷ νόμῳ. καὶ
Ἐκκλ. 7. 16. τοῦτό ἐστιν οἶμαι ὅπερ ἔφη Σολομών· ἔστι δί- » καιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ.

ΑΔΗΛΟΥ. Καὶ ἔσται ἀσάλευτον πρὸ » ὀφθαλμῶν ὑμῶν. Μακάριος γοῦν ὁ μελε-
Ψαλ. 1. 2. τῶν τὸν νόμον Κυρίου ἡμέρας καὶ νυκτὸς·
Ψαλ. 36. 31. καὶ πάλιν περὶ παντὸς δικαίου, ὁ νόμος τοῦ » Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ τὰ ἑξῆς·
Ψαλ. 50. 13. καὶ, διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. τὸ γὰρ οὕτω τὸν Θεὸν ἀγαπᾶν, οὐκ ἐν τῷ μόνον τὸν νόμον αὐτοῦ μελετᾶν, ἀλλὰ καὶ ἐν τῷ πορεύεσθαι » ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. ἐκβαλεῖ πάντα » τὰ ἔθνη ἀπὸ προσώπου ὑμῶν, τούς τε αἰσθη-

A τοὺς καὶ τῷ λαῷ τοῦ Θεοῦ ἀντικειμένους, καὶ » τοὺς νοητοὺς, πρὸς οὓς ἡ πάλη· οὐ πρὸς αἷμα Ἐφεσ. 6. 12.
» καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς » τὰς ἐξουσίας, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, καὶ τὸν ὄχλον ἡμῖν τῶν παθῶν ἐμποιοῦντα διὰ τὴν ἡμετέραν ἀπροσεξίαν.
» ἄνευ γὰρ αὐτοῦ ἡμεῖς οὐδὲν δυνάμεθα ποιεῖν, Ἰωάν. 15. 5.
κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. καὶ γάρ » εἰσιν ἔθνη μεγάλα καὶ ἰσχυρότερα ἢ μᾶλ- » λον ἡμεῖς. (1)

B ιθ. Καὶ διδάξετε αὐτὰ τὰ τέκνα ὑμῶν λαλεῖν αὐτὰ καθημένους ἐν οἴκῳ, καὶ πορευομένους ἐν ὁδῷ, καὶ κοιταζομένους, καὶ διανισταμένους.

» ΑΔΗΛΟΥ. Λαλεῖν αὐτὰ, ὅμοιον τῷ, 1. Θεσ. 5. 17, 18.
» ἀδιαλείπτως προσεύχεσθε, καὶ ἐν παντὶ » εὐχαριστεῖτε.

κ. Καὶ γράψετε αὐτὰ ἐπὶ τὰς
Γ φλιὰς τῶν οἰκιῶν ὑμῶν, καὶ τῶν πυ-
κα. λῶν ὑμῶν, Ἵνα πολυημερεύσητε, καὶ
αἱ ἡμέραι τῶν υἱῶν ὑμῶν ἐπὶ τῆς γῆς,
ἧς ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν
δοῦναι αὐτοῖς, καθὼς αἱ ἡμέραι τοῦ
κβ. οὐρανοῦ ἐπὶ τῆς γῆς. Καὶ ἔσται ἐὰν ἀ-
κοῇ εἰσακούσητε πάσας τὰς ἐντολὰς
ταύτας, ἃς ἐγὼ ἐντέλλομαι ὑμῖν σή-
μερον ποιεῖν, ἀγαπᾷν Κύριον τὸν
Δ Θεὸν ἡμῶν, καὶ πορεύεσθαι ἐν πάσαις
ταῖς ὁδοῖς αὐτοῦ, καὶ προσκολλᾶσθαι
κγ. αὐτῷ, Καὶ ἐκβαλεῖ Κύριος πάντα
τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου ὑμῶν,
καὶ κληρονομήσετε ἔθνη μεγάλα καὶ
ἰσχυρότερα μᾶλλον ἢ ὑμεῖς.

κδ. Πάντα τὸν τόπον οὗ ἂν πατήσῃ τὸ ἴχνος τοῦ ποδὸς ὑμῶν, ὑμῖν
E ἔσται· ἀπὸ τῆς ἐρήμου καὶ Ἀντιλιβάνου, καὶ ἀπὸ τοῦ ποταμοῦ τοῦ μεγάλου ποταμοῦ Εὐφράτου, καὶ ἕως τῆς θαλάσσης τῆς ἐπὶ δυσμῶν ἔσται τὰ ὅρια ὑμῶν.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Καὶ κατοικεῖ ἀπὸ » τῆς ἐρήμου ἕως τοῦ Ἀντιλιβάνου καὶ τοῦ Εὐφράτου. ἐν ψυχαῖς νοσούντων ἀγνωσίαν Θεοῦ, καὶ προσκειμένων εἰδώλοις.

Z κε. Οὐκ ἀντιστήσεται οὐδεὶς κατὰ πρόσωπον ὑμῶν· καὶ τὸν φόβον ὑμῶν καὶ τὸν τρόμον ὑμῶν ἐπιθήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐπὶ πρόσωπον πάσης τῆς γῆς, ἐφ' ἧς ἂν ἐπιβῆτε ἐπ' αὐτῆς, ὃν τρόπον ἐλάλησε Κύριος πρὸς ὑμᾶς.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τί γὰρ δικαίου φοβερώτερον ἀνθρώποις ἢ δαίμοσιν; ᾧ καὶ
H » θῆρες ἄγριοι, φησὶν, εἰρηνεύουσι, τὸν Ἰώβ. 5. 23.
κατ' εἰκόνα τοῦ Θεοῦ ἐπιγιγνώσκοντες χαρακτῆρα.

κς. Ἰδοὺ

(1) Τὰ αὐτὰ συντόμως καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

κϛ. Ἰδοὺ ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν.
κζ. σήμερον εὐλογίας καὶ κατάρας. Τὰς
εὐλογίας, ἐὰν ἀκούσητε τὰς ἐντολὰς
Κυρίου τοῦ Θεοῦ ὑμῶν, ἃς ἐγὼ ἐντέλ-
κη. λομαι ὑμῖν σήμερον· Καὶ τὰς κατά-
ρας, ἐὰν μὴ εἰσακούσητε τὰς ἐντο-
λὰς Κυρίου τοῦ Θεοῦ ὑμῶν, ὅσας ἐγὼ
ἐντέλλομαι ὑμῖν σήμερον, καὶ πλα-
νηθῆτε ἀπὸ τῆς ὁδοῦ ἧς ἐνετειλάμην
ὑμῖν, πορευθέντες λατρεύειν Θεοῖς
ἑτέροις, οὓς οὐκ οἴδατε.

Δευτ. 30. 15. ΑΔΗΛΟΥ. Καὶ ἑτέρωθί φησι, τὴν ζωὴν „ καὶ τὸν θάνατον. ἕκαστος γάρ φησι διὰ τῶν αὐτοῦ ἔργων ἐπιλαμβάνεται, καὶ περιδράττεται ὅπερ καὶ βούλεται.

** ΠΡΟΚΟΠΙΟΥ. Τὴν εὐλογίαν καὶ Δευτ. 30. 15. „ τὴν κατάραν, καὶ ἀλλαχοῦ, τὴν ζωὴν καὶ τὸν θάνατον· ἐπεὶ καὶ διὰ πυρὸς αὐτοῖς ἐχρημάτισε, δηλῶν, ἐὰν μὲν ὑπακούσῃ, τὸ φῶς· ἐὰν δὲ παρακούσῃ, τὸ πῦρ.

κθ. Καὶ ἔσται ὅταν εἰσαγάγῃ σε
Κύριος ὁ Θεός σου εἰς τὴν γῆν ἣν δια-
βαίνεις ἐκεῖ κληρονομῆσαι αὐτὴν, καὶ
δώσεις τὴν εὐλογίαν ἐπ' ὄρους Γαρι-
ζὶν, καὶ τὴν κατάραν ἐπ' ὄρους Γαιβάλ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἑρμηνεύεται τὸ μὲν Γαριζὲιν, ὄρος λελυτρωμένων, ἢ διατομὴ παροικίας αὐτῶν· τὸ δὲ Γαιβὰλ, ὄρος μεματαιωμένων, ἢ ὠδίνων αὐτῶν. εἰκότως ἄρα ἐφ' οὗ μὲν αἱ εὐλογίαι, ἐφ' οὗ δὲ αἱ κατάραι. κεῖται δὲ ταῦτα κατὰ τὸ ἀνατολικὸν μέρος Ἱεριχοῦς ἐπέκεινα τοῦ Γαλγὰλ τόπου. οἱ δὲ Σαμαρεῖται νομίζουσιν αὐτὰ παρακεῖσθαι Σικίμοις πόλει τῇ καὶ Συχὲμ, ἔνθα παρὰ τῷ φρέατι διελέχθη Κύριος τῇ Σαμαρείτιδι. ἢ νῦν καλεῖται Νεάπολις, καλεῖται δὲ καὶ Σαμάρεια· (1) ἐπεὶ τὸ ὄρος, ὅ φασι Γαριζὲιν ἦν τοῦ Σωμὴρ, ὃς υἱὸν ἔσχε τὸν Σομορών. ἐβεβαιώθη δὲ τοὔνομα μετὰ τοὺς ἀποσταλέντας ἐκ τοῦ βασιλέως τῶν Ἀσσυρίων ἐγκαθίσαι τῇ γῇ. τὰ δὲ τῶν παροικούντων (2) ἔθνη, οἳ ἀπέστρεψαν τὴν καρδίαν τῶν Σαμαρειτῶν, ὡς ἀποστρεφομένους

A ἐν ταῖς εὐχαῖς ὁρᾷν πρὸς τὸ ὄρος, ὡς ἂν ἔχοι τῶν εὐχομένων ἡ γῆ κλίμακός τε καὶ θέσεως. οἱ γὰρ ἱερεῖς τῶν ἐθνῶν τῶν ὁ γνόντες, ὡς ἐνεδήμησεν Ἔσδρας βδελυττόμενος τὰ εἴδωλα, νόμον ἔχων Θεοῦ τὸν κελεύοντα τὸν εἰδωλολατροῦντα λιθοβολεῖσθαι, συλήσαντες ἐπῆραν ἀπὸ τῶν ὑψηλῶν οἴκων τὰ εἴδωλα, καὶ ἐν μυχῷ τινὶ τοῦ Γαριζεὶν κατέκρυψαν ὄρους, ὡς ἡ παράδοσις ἔχει. καὶ κειμένων κάτω τῶν εἰδώλων, οἱ
B Σαμαρεῖται προσεύχονται, κἂν ἠγνοήκασι τοῦτο. ἀδύνατον γὰρ ψεύσασθαι τὴν Γραφὴν λέγουσαν, ἔμειναν ποιοῦντες τὸν νόμον 4. Βασ. 17. 32, 33.
„ τοῦ Θεοῦ, καὶ προσκυνοῦντες τὰ αὐτῶν εἴδωλα. ἐπὶ δὲ τοῦ ὄρους, ὅπερ ἐνόμισαν Γαριζὲιν, ναὸν κατασκευάσαντες ηὔχοντο· καίτοι εἰ ἦν Γαριζὲιν καὶ Γαιβὰλ ὄρη τὰ παρακείμενα Νεαπόλει, ἅπερ εἰσὶν ὑψηλότατα, πῶς ἂν κάτωθεν ἢ τῆς εὐλογίας ἢ τῆς κατάρας ἤκουον, ἑκατέρας ἄνω λεγο-
Γ μένης, καὶ πλεῖστου τοῦ ὕψους, ὡς νῦν ὁρᾶται, τυγχάνοντος; εἰς γὰρ τὸ παρ' αὐτῶν λεγόμενον Γαριζὲιν, ἃ καὶ φ', ὥς φασι, βαθμῖσιν ἀνέρχονται. ἔχει δὲ καὶ ἡ ἀκολουθία τῆς βίβλου τοῦ Ἰησοῦ, ὡς κατὰ ἀνατολὴν Ἱεριχοῦς τὰ δύω καθέστηκεν ὄρη, ἔνθα καὶ τόπος τὰ Γάλγαλα δύω σημείοις ἀπέχοντα τῆς πόλεως. ἡ δὲ Σίκιμα τῆς Ἱεριχοῦς βορειοτέρα τε καὶ δυτικωτέρα σημείοις αὐτῆς ἀπέχουσα νβ'.

Δ λ. Οὐκ ἰδοὺ ταῦτα πέραν τοῦ Ἰορ-
δάνου, ὀπίσω ὁδὸν δυσμῶν ἡλίου ἐν γῇ
Χαναὰν, τὸ κατοικοῦν ἐπὶ δυσμῶν
ἐχόμενον Γολγὸλ πλησίον τῆς δρυὸς
λα. τῆς ὑψηλῆς; Ὑμεῖς γὰρ διαβαίνε-
τε τὸν Ἰορδάνην, εἰσελθόντες κλη-
ρονομῆσαι τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς
ὑμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ πάσας
Ε τὰς ἡμέρας, κληρονομήσετε αὐτὴν,
λβ. καὶ κατοικήσετε ἐν αὐτῇ. Καὶ φυ-
λάξασθε τοῦ ποιεῖν πάντα τὰ προ-
στάγματα αὐτοῦ, καὶ τὰς κρίσεις αὐ-
τοῦ, ἃς ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σή-
μερον.

ΚΕΦ. ΙΒ.

α. Καὶ ταῦτα τὰ προστάγματα
καὶ τὰ κρίματα, ἃ φυ-
λάξεσθε ποιῆσαι ἐπὶ τῆς
γῆς, ἣν Κύριος ὁ Θεὸς τῶν πατέ-
ρων ἡμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ, πά-
σας τὰς ἡμέρας, ἃς ὑμεῖς ζήσετε ἐπὶ
β. τῆς γῆς. Ἀπωλείᾳ ἀπολεῖτε πάν-
τας τοὺς τόπους ἐν οἷς ἐλάτρευσαν
ἐκεῖ τὰ ἔθνη τοῖς Θεοῖς αὐτῶν, οὓς
ὑμεῖς κληρονομεῖτε αὐτοὺς, ἐπὶ τῶν
ὀρέων τῶν ὑψηλῶν, καὶ ἐπὶ τῶν θι-
νῶν, καὶ ὑποκάτω δένδρου δασέως.
γ. Καὶ κατασκάψετε τοὺς βωμοὺς αὐ-
τῶν, καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε,
καὶ τὰ γλυπτὰ τῶν Θεῶν αὐτῶν κα-
τακαύσετε πυρὶ, καὶ ἀπολεῖτε τὸ
δ. ὄνομα αὐτῶν ἐκ τοῦ τόπου ἐκείνου. Οὐ
ποιήσετε οὕτω Κυρίῳ τῷ Θεῷ ὑμῶν.
Η ε. Ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἂν
ἐκλέξηται Κύριος ὁ Θεὸς ὑμῶν ἐν μιᾷ
τῶν

(1) Ἐπὶ τοῦ Γαριζὶν ὄρους τοῦ κατὰ τὴν Σαμάρειαν, ὃ τῶν ἄλλων ὀρῶν ἐστὶν ὑψηλότατον. Ἰώσηπ. ἐν 8. κεφ. τοῦ 11. βιβλ. περὶ Ἰουδαϊκ. ἀρχαιολογ.

(2) Ἴσ. ἀναγνωσ. οὕτω· τῇ γῇ τὰ τῶν παροικούντων ἔθνη, ἃ ἀπέστρ.

τῶν Φυλῶν ὑμῶν ἐπονομάσαι τὸ ὄνο- A
μα αὐτοῦ ἐκεῖ ἐπικληθῆναι, καὶ ἐκ-
ς. ζητήσετε καὶ ἐλεύσεσθε ἐκεῖ. Καὶ
οἴσετε ἐκεῖ τὰ ὁλοκαυτώματα ὑμῶν,
καὶ τὰ θυσιάσματα ὑμῶν, καὶ τὰς
ἀπαρχὰς ὑμῶν, καὶ τὰς εὐχὰς ὑμῶν,
καὶ τὰ ἑκούσια ὑμῶν, καὶ τὰς ὁμολο-
γίας ὑμῶν, τὰ πρωτότοκα τῶν βοῶν
ὑμῶν, καὶ τὰ πρόβατα ὑμῶν. (1)

ΕΥΣΕΒΙΟΥ. Κατὰ βραχὺ χειραγωγεῖ αὐτοὺς πρὸς εὐσέβειαν. θύειν γὰρ ὄντας συνειθισμένους ἐξ Αἰγύπτου, ἐπιτρέπει μὲν θύειν, ἀλλ᾽ ἐν τόπῳ ἑνί· ἵνα ὕστερον ἀφαιρουμένου τοῦ τόπου, παύσωνται καὶ τοῦ προσάγειν θυσίας. οὐδὲ γὰρ βούλεται ὁ Θεὸς τοὺς σωζομένους βιάζεσθαι, ἀλλὰ πειθοῖ προσέρχεσθαι αὐτοὺς βούλεται.

ζ. Καὶ φάγεσθε ἐκεῖ ἔναντι Κυρίου
τοῦ Θεοῦ ὑμῶν, καὶ εὐφρανθήσεσθε ἐπὶ
πᾶσιν, οὗ ἐὰν ἐπιβάλητε τὰς χεῖρας
ὑμῶν ὑμεῖς, καὶ οἱ υἱοὶ ὑμῶν, καθότι
εὐλόγησέ σε Κύριος ὁ Θεός σου.

η. Οὐ ποιήσετε πάντα ἃ ὑμεῖς
ποιεῖτε ὧδε, ἕκαστος τὸ ἀρεστὸν ἐναν-
θ. τίον αὐτοῦ. Οὐ γὰρ ἥκατε ἕως τοῦ
νῦν εἰς τὴν κατάπαυσιν, καὶ εἰς τὴν
κληρονομίαν, ἣν Κύριος ὁ Θεὸς δίδω-
σιν ὑμῖν.

* * ΠΡΟΚΟΠΙΟΥ. Καὶ ζῶντος ἄρα Μωϋσέως παρέβαινον, καὶ ὅμως συνεγινώσκοντο. „ οὐ γὰρ ἥκατε, φησὶν, ἕως τοῦ „ νῦν εἰς τὴν κατάπαυσιν. ὅθεν ἐπ᾽ ἀκριβείας οὐκ ἀπῃτοῦντο φυλάττειν τὸν νόμον, οὐδὲ θυσίας προσφέρειν ἔξω. νῦν δὲ, κα-
Μαλαχ. 1. 11. τὰ τὸν Προφήτην, ἐν παντὶ τόπῳ θυμία- „ μα προσφέρεται τῷ ὀνόματι αὐτοῦ, καὶ „ θυσία καθαρά.

ΕΥΣΕΒΙΟΥ. Ἔδειξεν ὡς οὐδὲ αὐτοῦ περιόντος, φυλακὴ ἀκριβὴς ὑπῆρχε τοῦ νόμου, ἀλλ᾽ ἐν πολλοῖς αὐτὸν παρέβαινον, καὶ ὅμως συνεγινώσκοντο. οὐ γὰρ ἀπῃτοῦντο ἐν τῇ ἐρήμῳ κατὰ ἀκρίβειαν φυλάττειν τὸν νόμον.

„ ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, οὐ ποιή- „ σετε πάντα ἃ ἡμεῖς ποιοῦμεν ὧδε σήμερον, „ ἕκαστος τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ; Ἐν ἅπασιν οἷς κατεσκήνωσαν τόποις θυσίας προσήνεγκαν τῷ δεσπότῃ Θεῷ, πρὶν μὲν τὴν σκηνὴν κατασκευάσαι, ἐκ λίθων αὐτοφυῶν οἰκοδομοῦντες θυσιαστήρια, μετὰ δὲ τὴν ταύτης κατασκευὴν, ἐν ταύτῃ τὰς θείας λειτουργίας ἐπιτελοῦντες, οὐκ ἐν ἑνὶ μέντοι τόπῳ ταύτας ἐπετέλουν, ἀλλ᾽ ἐν ἑκάστῳ σταθμῷ. συνεχῶς γὰρ μετέβαινον, ἅτε δὴ τεσσαράκοντα χρόνους (2) ἐν τῇ ἐρήμῳ καταναλώσαντες. ἀπαγορεύει τοίνυν ἐν τῇ γῇ τῆς ἐπαγγελίας τὰ παραπλήσια δρᾷν, ἵνα

A μὴ πρόφασιν λάβωσι τοῖς ψευδωνύμοις θύειν Θεοῖς. παρεγγυᾷ δὲ ἐν ἐκείνῳ μόνῳ τῷ τόπῳ τὰς θείας ἐπιτελεῖν λειτουργίας, ὃν τόπον ἂν ἐκλέξηται Κύριος ὁ Θεὸς, ἐν ἐκείνῳ τῷ τόπῳ καὶ θύειν καὶ εὔχεσθαι „ παρακελεύεται. ἔσται γάρ φησιν [ὁ τόπος,] „ ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεὸς ἡμῶν ἐπι- „ κληθῆναι ἐκεῖ τὸ ὄνομα αὐτοῦ, ἐκεῖ οἴσετε „ πάντα ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον· „ τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ θυσιάσ-
B „ ματα ὑμῶν, καὶ τὰ ἐπιδέκατα ὑμῶν, καὶ τὰ ἑξῆς.

ι. Καὶ διαβήσεσθε τὸν Ἰορδάνην,
καὶ κατοικήσετε ἐπὶ τῆς γῆς, ἧς Κύ-
ριος ὁ Θεὸς ἡμῶν κατακληρονομήσει
ὑμῖν, καὶ καταπαύσει ὑμᾶς ἀπὸ πάν-
των τῶν ἐχθρῶν ὑμῶν τῶν κύκλῳ, καὶ
κατοικήσετε μετὰ ἀσφαλείας.

Γ ια. Καὶ ἔσται ὁ τόπος, ὃν ἂν ἐκ-
λέξηται Κύριος ὁ Θεὸς ἡμῶν ἐπικλη-
θῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ἐκεῖ οἴσε-
τε πάντα ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν
σήμερον· τὰ ὁλοκαυτώματα ὑμῶν,
καὶ τὰ θυσιάσματα ὑμῶν, καὶ τὰ
ἐπιδέκατα ὑμῶν, καὶ τὰς ἀπαρχὰς
τῶν χειρῶν ὑμῶν, καὶ τὰ δόματα ὑμῶν,
καὶ πᾶν ἐκλεκτὸν τῶν δώρων ὑμῶν, ὅσα
Δ ἂν εὔξησθε τῷ Θεῷ ὑμῶν.

„ ΘΕΟΔΩΡΙΤΟΥ. Τὰ δὲ δόματα, οἱ λοιποὶ, τὰ ἑκούσια ἡρμήνευσαν, τουτέστιν ὅσα ἂν ἑκόντες προσενεγκεῖν ἐθελήσητε.

ιβ. Καὶ εὐφρανθήσεσθε ἔναντι
Κυρίου τοῦ Θεοῦ ὑμῶν ὑμεῖς, καὶ οἱ υἱοὶ
ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, οἱ παῖ-
δες ὑμῶν, καὶ αἱ παιδίσκαι ὑμῶν, καὶ ὁ
E Λευΐτης ὁ ἐπὶ τῶν πυλῶν ὑμῶν, ὅτι οὐκ
ἔστιν αὐτῷ μερὶς ἢ κλῆρος μεθ᾽ ὑμῶν.

ιγ. Πρόσεχε σεαυτῷ, μὴ ἀνενέγ-
κῃς τὰ ὁλοκαυτώματά σου ἐν παντὶ
τόπῳ οὗ ἐὰν ἴδῃς.

* ΠΡΟΚΟΠΙΟΥ. Ἐπιλέγει συνεχῶς „ τὸ, πρόσεχε σεαυτῷ. ὅπερ οἱ τῆς ἔξω φιλοσοφίας μεταβαλόντες εἰς τὸ, γνῶθι σεαυτὸν, πολυθρύλλητον, ὡς ἴδιον ἀπό-
Z φθεγμα πεποιήκασι. [καὶ ἐπ᾽ αὐτῆς δέ-
φησιν αὐτὸ τῆς λέξεως ἡ Γραφή. οἱ δὲ Παροιμ. 13. 10.
„ ἑαυτῶν ἐπιγνώμονες σοφοί. καὶ πάλιν, ἐὰν Ἆσμ. 1. 8.
„ μὴ ἐπιγνῷς σεαυτὴν ἡ καλὴ ἐν γυναιξί. τοῦτο δὲ Θεὸς παρακελεύεται συνεχῶς, εἰδὼς τῆς ἁμαρτίας τὸ πλῆθος ἐν τῇ ὁρμῇ πληροῦσθαι τῇ κατὰ πρόθεσιν. ἐπὶ νοῦ γὰρ ὁ λόγος πρὸς ἑαυτὸν ἐπιστρέφοντος. ὅπερ ὀφθαλμοῦ τοῦ ἔξωθεν ὁρῶντος ἀλλότριον.]

H ΕΥΣΕΒΙΟΥ. Ὡς εὔδηλον, ὅτι μή εἰσιν ἀφορίσματα ἢ θυσιάσματα.

ιδ. Ἀλλ᾽

(1) Καὶ τῶν προβάτων ὑμῶν. αἱ εἰρημ. ἐκδόσ.
(2) Τεσσαρακονταετῆ χρόνον. ἡ ἐν Χάλ. ἔκδ. ὀρθότερ.

ιδ. Ἀλλ᾽ ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτὸν, ἐν μιᾷ τῶν πόλεών σου, ἐκεῖ ἀνοίσεις τὰ ὁλοκαυτώματά σου, καὶ ἐκεῖ ποιήσεις πάντα ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον.

» ✱✱ ΒΑΣΙΛΕΙΟΥ. Πρόσεχε φησὶ, μὴ
» ἀνενέγκῃς τὸ ὁλοκαύτωμά σου ἐν παντὶ τό-
» πῳ· ἀλλ᾽ ἐν τῷ τόπῳ, ὃν ἂν ἐκλέξηται
» Κύριος ὁ Θεός σου. Ποῖον οὖν ἐστὶν ὁλοκαύ-
Ψαλ. 49. 14. τωμα πνευματικόν; Ἡ θυσία τῆς αἰνέσεως.
ἐν ποίῳ δὲ τόπῳ ταύτην προσφέρομεν, ἢ
ἐν τῷ πνεύματι τῷ ἁγίῳ; ποῦ τοῦτο μεμα-
θήκαμεν; παρ᾽ αὐτοῦ τοῦ Κυρίου λέγοντος·
Ἰωάν. 4. 23. ὅτι οἱ ἀληθινοὶ προσκυνηταὶ ἐν πνεύματι
» καὶ ἀληθείᾳ προσκυνήσουσι τῷ πατρί. τοῦ-
Γεν. 28 16. τον τὸν τόπον ἰδὼν ὁ Ἰακὼβ, ἔφη· ὅτι Κύ-
» ριος ἐν τῷ τόπῳ τούτῳ. ὥστε τὸ πνεῦμα,
τόπος ἀληθῶς τῶν ἁγίων. καὶ ὁ ἅγιος τό-
πος οἰκεῖος τῷ πνεύματι, ἐμπαρέχων ἑαυ-
τὸν πρὸς ἐνοίκησιν τὴν μετὰ Θεοῦ, καὶ ναὸς
αὐτοῦ χρηματίζων.

ιε. Ἀλλ᾽ ἢ ἐν πάσῃ ἐπιθυμίᾳ σου θύσεις, καὶ φαγῇ κρέα κατὰ τὴν ἐπιθυμίαν τῆς ψυχῆς σου, κατὰ τὴν εὐλογίαν Κυρίου τοῦ Θεοῦ σου, ἣν ἔδωκέ σοι ἐν πάσῃ πόλει. ὁ ἀκάθαρτος ἐν σοὶ καὶ ὁ καθαρὸς ἐπὶ τὸ αὐτὸ φάγονται αὐτὸ, ὡς δορκάδα ἢ ἔλαφον.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀλλ᾽ ἐν πάσῃ ἐπι-
» θυμίᾳ ψυχῆς σου θύσεις, καὶ φαγῇ κρέα,
ὅσα δηλονότι μή εἰσιν ἀφωρίσματα, ἢ θυ-
σιάσματα Κυρίῳ τῷ Θεῷ. ὡς ἐπιθυμεῖς
δέ φησιν ἑψήσεις καὶ φαγῇ.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα ἀπαγορεύσας
τὸ ἐν παντὶ τόπῳ τὰς θυσίας προσφέρειν,
κρεῶν μεταλαβεῖν, εἰ ἐπιθυμήσαιεν, συνε-
χώρησεν ἐν αἷς κατοικοῦσι πόλεσι· τοῦ μὲν
ἱερέως θύοντος, τοῦ δὲ αἵματος εἰς τὴν γῆν
ἐκχεομένου. ἐκέλευσε δὲ καὶ τὸν ἀκάθαρ-
τον σὺν τῷ καθαρῷ τῶν τοιούτων ἀδιαφό-
ρως ἀπολαῦσαι κρεῶν. διδάσκων ὡς τὰ
τοιαῦτα θύματα κοινά ἐστι, καὶ οὐ θεῖα. τῶν
γὰρ δὴ θυσιῶν οὐκ ἐξὸν ἦν τοῖς ἀκαθάρ-
τοις μεταλαμβάνειν. ὅθεν εἰκότως ἐπή-
» γαγε· Φάγετε αὐτὸ ὡς δορκάδα ἢ ἔλα-
φον. ταῦτα μὲν καθαρὰ ἦν, εἰς δὲ θυσίαν
οὐ προσεφέρετο.

ΑΔΗΛΟΥ. Μᾶλλον προφητεύει περὶ
τῶν ἀληθῶς Ἰσραηλιτῶν, λέγω δὴ περὶ
τῶν Χριστοῦ δούλων, τῶν καὶ κρέα ἕτερα
ἐσθιόντων παρὰ τὰ εἰρημένα καθαρά. διό
» φησιν ὁ λόγος, ὡς δορκάδα ἢ ἔλαφον φά-
γεται αὐτό· πρῶτον ἀκούσαντος τοῦ Πέτρου,
A » ἀναστὰς, Πέτρε, θῦσον καὶ φάγε· καὶ, ἃ ὁ Πραξ. 11. 7, 9.
» Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Εὐσέβιος ὁ Ἐμέσης
φησί· τινὲς τὴν δορκάδα καὶ τὴν ἔλαφον,
τῶν λοιπῶν εἶναι καθαρώτερα ὑπειλήφασι.
τὸ δὲ αἴτιον λέγει· καὶ γὰρ καθαρώτερον
ζῶντες, τότε ταῦτα οὐκ ἤσθιον. πρόβατον
ἢ βοῦν προσέφερον ἔμπροσθεν τοῦ θυσιαστη-
ρίου, ἵνα ἁγιασθῇ, καὶ οὕτως ἤσθιον. δορ-
κάδα δὲ, λέγει, ἢ ἔλαφον οὐκ ἠξίουν προ-
B » σενεγκεῖν. διό φησιν, ὡς δορκάδα ἢ ἔλα-
» φον αὐτὸ φάγεσθε. ταῦτα γὰρ οὐ προ-
» σφέρετε. (1)

ις. Πλὴν τὸ αἷμα οὐ φάγεσθε, ἐπὶ τὴν γῆν ἐκχεεῖτε αὐτὸ, ὡς ὕδωρ.

✱✱ ΙΟΥΣΤΙΝΟΥ. Εἰ δι᾽ ὧν ἡ σὰρξ,
διὰ τούτων καὶ τὸ αἷμα συνίσταται, διατί
τὴν μὲν βρῶσιν τῆς τῶν ζώων σαρκὸς ὁ
Θεὸς ἐπιτρέπει, τὴν δὲ ἐν τῷ αἵματι ἀπα-
Γ » γορεύει μετάληψιν, πλὴν κρέας, λέγων,
» ἐν αἵματι οὐ φάγεσθε; Ἵνα καὶ ἐν τούτῳ χω-
ρίσῃ ἡμᾶς ὁ Θεὸς τῆς τῶν θηρίων ὠμότη-
τος, τῶν σὺν τῇ βρώσει τῆς σαρκὸς λαπτόν-
των καὶ τὸ αἷμα, ὧν τὰς σάρκας ἐσθίουσι.

ιζ. Οὐ δυνήσῃ φαγεῖν ἐν ταῖς πόλεσί σου τὸ ἐπιδέκατον τοῦ σίτου, καὶ τοῦ οἴνου, καὶ τοῦ ἐλαίου σου, τὰ πρωτότοκα τῶν βοῶν σου, καὶ τῶν προ-
Δ βάτων σου, καὶ πάσας τὰς εὐχάς σου, ὅσας ἂν εὔξησθε, καὶ τὰς ὁμολογίας ὑμῶν, καὶ τὰς ἀπαρχὰς τῶν χειρῶν ὑμῶν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὰς δεκάτας τοῖς ἱε-
ρεῦσι προσφέρειν νομοθετήσας, πῶς ἔφη,
» οὐ δυνήσῃ φαγεῖν ἐν ταῖς πόλεσί σου τὰ ἐπι-
» δέκατα τοῦ σίτου, καὶ τοῦ οἴνου, καὶ τοῦ ἐλαίου,
καὶ τὰ ἑξῆς; Δύο δεκάτας ἀφιεροῦσθαι
E τῶν ὄντων προσέταξε· καὶ τὴν μὲν τοῖς
Λευΐταις προσφέρεσθαι, τὴν δὲ ἄλλην δια-
πιπράσκεσθαι, καὶ τὴν ταύτης τιμὴν εἰς
τὴν αὐτῶν εὐωχίαν, καὶ τὴν τῶν χηρῶν,
καὶ τῶν ὀρφανῶν, καὶ τῶν προσηλύτων
ἀναλίσκεσθαι θεραπείαν.

ιη. Ἀλλ᾽ ἢ ἔναντι Κυρίου τοῦ Θεοῦ σου φαγῇ αὐτὰ ἐν τόπῳ, ᾧ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτῷ, σὺ
Z καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, καὶ ὁ προσήλυτος ὁ ἐν ταῖς πόλεσί σου. καὶ εὐφρανθήσῃ ἔναντι Κυρίου τοῦ Θεοῦ σου ἐπὶ πάντα, οὗ ἐὰν ἐπιβάλῃς τὴν χεῖρά σου.

ΘΕΟΔΩ-

(1) Ταῦτα ὁ Προκόπιος (ἐν τῷ τῆς Αὐγ. κώδ.) οὕτω· Τινὲς τὴν δορκάδα καὶ τὴν ἔλαφον τῶν λοιπῶν εἶναι καθαρώτερα ὑπειλήφασι. τοὐναντίον δέ φησι. καὶ γὰρ καθαρώτερον ζῶντες, τότε ταῦτα οὐκ ἤσθιον. τί οὖν λέγειν ἐθέλει; οἱ πρόβατον ἢ βοῦν ἐσθίοντες ἤ τι τοιοῦτον, προσέφερον ἔμπροσθεν τοῦ θυσιαστηρίου, ἵνα ἁγιασθῇ, καὶ οὕτως ἤσθιον. δορκάδα δὲ, λέγει, ἢ ἔλαφον οὐκ ἐξῆν οὔτε θῦσαι οὔτε προσενεγκεῖν. προσέφερον γὰρ οἱ ἐν τῇ πόλει ὅπου ἦν ὁ ναὸς, ἤγουν ἡ κιβωτός. ἐπ᾽ ἐλάφου δὲ καὶ δορκάδος καὶ ψιλῶς ἁγιασθῆναι μόνον ἀπείρητο, πόσῳ μᾶλλον τὸ θύειν; ὅσα οὖν, φησὶ, μὴ παρὰ τὴν σκηνὴν ἢ τὸν ναὸν θύοιτο, βρώσιμα μὲν, ἀλλ᾽ οὐδὲν τῶν ἀνιέρων ζώων διέφερεν, εἰ καὶ τύχοι ὄντα τῶν ἱερῶν. ταῦτα μὲν οὖν ἐν παντὶ τόπῳ τρώγειν ἐξῆν· τὰ δὲ ἅγια ἐν μόνῳ τῷ ἐπιλεγέντι τόπῳ ὑπὸ Θεοῦ.

A ΘΕΟΔΩΡΙΤΟΥ. Εὐωχεῖσθαι δὲ αὐτοὺς ἐκέλευσε παρὰ τὸν θεῖον νεών. ταῦτα δὲ ὁ πάνσοφος νενομοθέτηκε Κύριος τῆς τῶν ψευδωνύμων αὐτοὺς Θεῶν πλάνης ἐλευθερῶν. ἐπειδὴ γὰρ ὁ τῆς ἀσεβείας διδάσκαλος διὰ γαστριμαργίας καὶ φιληδονίας ἐξανδραποδίζων τῶν ἀνθρώπων τὸ γένος, ταῖς τῶν Δαιμόνων ἑορταῖς πολλὰς ἀνέμιξε παιγνίας, ἐκείνης τὸν Ἰσραὴλ ἀπαλλάττων τῆς πλάνης ὁ εὐμήχανος Κύριος, καὶ τὰ περὶ τῶν ἑορτῶν ἐνομοθέτησε, καὶ τὰς θυσίας συνεχώρησε, καὶ τῶν μουσικῶν ὀργάνων ἠνέχετο, καὶ εὐωχεῖσθαι προσέταξε, ταῖς τοιαύταις ψυχαγωγίαις τὴν τῶν εἰδώλων ἐκκόπτων ἀσέβειαν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἐκεῖνα, φησὶ, τὰ μὴ ἀφορισθέντα εἰς θυσίαν Κυρίῳ τῷ Θεῷ συγκεχώρηταί σοι ἐσθίειν· τὰ δὲ ἅγια ἐν μόνῳ τόπῳ ἐν τῷ ἐκλεγομένῳ ὑπὸ τοῦ Θεοῦ.

ΑΔΗΛΟΥ. Τὰ γὰρ ἅγια καὶ ἀνωτέρω φησὶν, ὁ καθαρὸς μόνος ἐσθίει. τὴν δὲ αἰτίαν τοῦ κωλύειν αὐτοὺς αἵματος ἐσθίειν παρεθήκαμεν ἐν τοῖς εἰς τὸ Λευϊτικόν. (1)

ιθ. Πρόσεχε σεαυτῷ μὴ ἐγκαταλίπῃς τὸν Λευΐτην πάντα τὸν χρόνον
κ. ὅσον ζῇς ἐπὶ τῆς γῆς σου. Ἐὰν δὲ ἐμπλατύνῃ Κύριος ὁ Θεός σου τὰ ὅριά σου, καθάπερ ἐλάλησεν ἐν σοὶ, καὶ ἐρεῖς, Φάγομαι κρέα, ἐὰν ἐπιθυμήσῃ ἡ ψυχή σου ὥστε φαγεῖν κρέα, ἐν πάσῃ ἐπιθυμίᾳ τῆς ψυχῆς σου φαγῇ
κα. κρέα. Ἐὰν δὲ μακρότερον ἀπέχῃ σου ὁ τόπος, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, καὶ θύσεις ἀπὸ τῶν βοῶν σου, καὶ ἀπὸ τῶν προβάτων σου, ὧν ἂν δῷη σοι Κύριος ὁ Θεός σου, ὃν τρόπον ἐνετειλάμην σοι, καὶ φαγῇ ἐν ταῖς πόλεσί σου κατὰ τὴν ἐπιθυμίαν τῆς
κβ. ψυχῆς σου. Ὡς ἔσθεται ἡ δορκὰς καὶ ἡ ἔλαφος, οὕτω φαγῇ αὐτό· ὁ ἀκάθαρτος ἐν σοὶ καὶ ὁ καθαρὸς ὡσαύτως ἔδεται αὐτό.

κγ. Πρόσεχε σεαυτῷ ἰσχυρῶς τοῦ φαγεῖν (2) αἷμα, τὸ γὰρ αἷμα αὐτοῦ ψυχή· οὐ βρωθήσεται ἡ ψυχὴ μετὰ
κδ. τῶν κρεῶν. Οὐ φάγεσθε, ἐπὶ τὴν
κε. γῆν ἐκχεεῖτε αὐτὸ ὡς ὕδωρ. Οὐ φαγῇ αὐτὸ, ἵνα εὖ σοι γένηται καὶ τοῖς υἱοῖς σου μετὰ σὲ εἰς τὸν αἰῶνα, ἐὰν ποιήσῃς τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἔναντι Κυρίου τοῦ Θεοῦ σου.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε συνεχῶς ἀπαγορεύει τὴν τοῦ αἵματος βρῶσιν; Ἔφη » μὲν καὶ αὐτὸς ὁ νομοθέτης, ὅτι τὸ αἷμα » αὐτοῦ ψυχὴ αὐτοῦ ἐστί. πλὴν οἶμαι τὸν νόμον καὶ ἕτερον πραγματεύεσθαι. τὴν μιαιφόνον γὰρ αὐτῶν ἰατρεύει γνώμην. εἰ γὰρ τὸ τῶν ἀλόγων αἷμα φαγεῖν, ψυχὴν ἐστὶ φαγεῖν, πολλῷ μᾶλλον ἀνόσιον τὸ τὴν λογικὴν ψυχὴν χωρίσαι τοῦ σώματος.

κς. Πλὴν τὰ ἅγιά σου, ἃ ἂν σοι γένηται, καὶ τὰς εὐχάς σου λαβὼν ἥξεις εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτῷ ἐπικληθῆναι
B τὸ ὄνομα αὐτοῦ ἐκεῖ.

κζ. Καὶ ποιήσεις τὰ ὁλοκαυτώματά σου, τὰ δὲ κρέα ἀνοίσεις ἐπὶ τὸ θυσιαστήριον Κυρίου τοῦ Θεοῦ σου, τὸ δὲ αἷμα τῶν θυσιῶν σου προσχεεῖς πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου Κυρίου τοῦ Θεοῦ σου, τὰ δὲ κρέα φαγῇ.

ΑΔΗΛΟΥ. Διαστέλλει δὲ καὶ τὴν θυσίαν
Γ τῆς ὁλοκαυτώσεως καὶ τοῦ σωτηρίου. ἐπὶ μὲν ἐκείνης, ἀνάγεσθαι τὰ κρέα βουλόμενος ἐπὶ τὸ θυσιαστήριον· ἐπὶ δὲ ταύτης, τὸ μὲν αἷμα προσχέειν ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου, τὰ δὲ κρέα ἐσθίεσθαι.

** ΜΑΞΙΜΟΥ. Τί ἐστι τῶν ἀλόγων ζώων σώματα καὶ αἵματα, δι' ὧν λατρεύοντες οἱ Ἰσραηλῖται, τὰ μὲν σώματα ἤσθιον, τὰ δὲ αἵματα οὐκ ἔτι, πρὸς δὲ τὴν βάσιν κύκλῳ τοῦ θυσιαστηρίου προσέχεον; Τῶν
Δ εἰσαγομένων πρὸς εὐσέβειαν τύπον ἔφερον οἱ πάλαι τῷ Θεῷ κατὰ νόμον ἐν σκιᾷ λατρεύοντες, μόλις κἂν αὐτὰ τὰ φαινόμενα τῶν τυπικῶν συμβόλων διατάγματα νοῆσαι δυνάμενοι. ἐπειδὴ οὖν οὐκ ἐκείνοις προηγουμένως, ἀλλ' ἡμῖν ὁ νόμος ἐδόθη, κατὰ Χριστὸν πνευματικῶς δι' ἡμῶν τελούμενος, σκοπήσωμεν τῶν τότε θυμάτων μετ' εὐσεβείας τὸν λόγον. Ὁ πρὸς εὐσέβειαν εἰσαγόμενος, περὶ τῶν ἔργων διδασ-
E κόμενος τῆς δικαιοσύνης, τὴν πρᾶξιν μόνην ἐπιτελεῖ μετὰ πάσης ὑπακοῆς καὶ πίστεως, καθάπερ σάρκας ἐσθίων τῶν ἀρετῶν τὰ φαινόμενα· τοὺς δὲ τῶν ἐντολῶν λόγους, ἐν οἷς ἡ τῶν τελείων ὑπάρχει γνῶσις, τῷ Θεῷ παραχωρεῖ διὰ τῆς πίστεως, μὴ δυνάμενος τέως συνεπεκταθῆναι τῷ μήκει τῆς γνώσεως. Θεοῦ γὰρ σύμβολόν ἐστι τὸ θυσιαστήριον, ᾧ πάντες πνευματικῶς θυόμεθα, καὶ τῶν ὑπὲρ δύναμιν πα-
Z ραχωροῦμεν τὴν εἴδησιν, ἵνα ζήσωμεν. τῆς δὲ κατ' αὐτὸν πίστεως τόπος ἐστὶν ἡ τοῦ θυσιαστηρίου βάσις. θεμέλιον γὰρ ἡ πίστις ὑπάρχει, πᾶσαν τὴν οἰκοδομὴν τῶν θείων ἔργων καὶ νοημάτων βαστάζουσα· πρὸς ἣν πᾶς μὴ δυνάμενος τῆς ἐκ τοῦ θείου τῆς σοφίας κρατῆρος κατὰ τὴν γνῶσιν σωφρόνως ἀπολαῦσαι μέθης τῶν οὐκ ἐφικτῶν αὐτῷ γνώσεων, καλῶς ποιῶν προχέει τοὺς λόγους, τουτέστι τῶν ὑπὲρ δύναμιν λόγων τὴν
H γνῶσιν τῇ πίστει παραχωρεῖ. ὡς οὖν τύπον τῶν κατ' εὐσέβειαν εἰσαγομένων ὁ παλαιὸς

(1) Ἐν κεφ. 7. σελ. 997. καὶ 17. σελ. 1075, καὶ 1076. ὅρα δὲ καὶ τὰ ἐν σελ. 156.
(2) Τοῦ μὴ φαγεῖν. αἱ εἰρημ. ἐκδόσ.

λαὸς φέρων, ἐσθίοντες τῶν θυομένων τὰς σάρκας, τὸ αἷμα πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου προσέχεον, οὐ δυνάμενοι διὰ τὸν νηπιάζοντα λογισμὸν, τῆς τοῦ γινομένου μυστικῆς ἐφικέσθαι γνώσεως. Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, τὴν ἀπόῤῥητον θύων θυσίαν, ἑαυτὸν, μετὰ τῆς σαρκὸς καὶ τὸ αἷμα δίδωσι τοῖς τὰ αἰσθητήρια τῆς ψυχῆς διὰ τὴν τελειότητα γεγυμνασμένα ἔχουσι πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ. ὁ γὰρ τέλειος οὐ μόνον τὴν τῶν εἰσαγομένων τάξιν, ἀλλὰ καὶ τὴν τῶν προκοπτόντων διαδραμὼν, οὐκ ἀγνοεῖ τῶν ὑπ' αὐτοῦ κατ' ἐντολὴν γενομένων τοὺς λόγους· ἀλλ' ἐκείνους πνεύματι πρῶτον διαπτιών, πᾶσαν ἐσθίει διὰ τῶν ἔργων τὴν σάρκα τῶν ἀρετῶν, πρὸς τὴν κατὰ νοῦν γνῶσιν ἀναβιβάζων τὴν τῶν γινομένων κατ' αἴσθησιν νόησιν.

κη. Φυλάσσου καὶ ἄκουε καὶ ποιήσεις πάντας τοὺς λόγους, οὓς ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἵνα εὖ σοι γένηται καὶ τοῖς υἱοῖς σου δι' αἰῶνος, ἐὰν ποιήσῃς τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἐνώ-
κθ. πιον Κυρίου τοῦ Θεοῦ σου. Ἐὰν δὲ ἐξολοθρεύσῃ Κύριος ὁ Θεός σου τὰ ἔθνη, εἰς οὓς σὺ εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι τὴν γῆν αὐτῶν, ἀπὸ προσώπου σου, καὶ κατακληρονομήσῃς αὐτοὺς, καὶ
λ. κατοικήσῃς ἐν τῇ γῇ αὐτῶν, Πρόσεχε σεαυτῷ μὴ ἐκζητήσῃς ἐπακολουθῆσαι αὐτοῖς μετὰ τὸ ἐξολοθρευθῆναι αὐτοὺς ἀπὸ προσώπου σου, λέγων, πῶς ποιοῦσι τὰ ἔθνη ταῦτα τοῖς Θεοῖς αὐτῶν, ποιήσω κἀγώ.

λα. Οὐ ποιήσεις οὕτω Κυρίῳ τῷ Θεῷ σου. τὰ γὰρ βδελύγματα ἃ Κύριος ἐμίσησεν, ἐποίησαν τοῖς Θεοῖς αὐτῶν, ὅτι τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν κατακαίουσιν ἐν πυρὶ τοῖς Θεοῖς αὐτῶν.

ΩΡΙΓΕΝΟΥΣ. Αἰτιᾶται τὸ θύειν τὰ ἑαυτῶν τέκνα τοὺς ἀνθρώπους τοῖς Θεοῖς τῶν ἐθνῶν, ὡς ὠμὸν καὶ ἀπάνθρωπον, ὡς βδελυκτόν. καὶ τοὺς λέγοντας θῦσαι Θεοῖς τῶν ἐθνῶν οὐ μόνον ἀποστρέφεσθαι δεῖ. ἀλλὰ καὶ τὴν ἀκοὴν τοῖς λόγοις αὐτῶν μὴ ὑπέχειν.

ΚΥΡΙΛΛΟΥ. Εὖγε ὁ νομοθέτης ἀποφάσκει παντελῶς τῶν πλανωμένων τὴν μίμησιν, καὶ ἀποφοιτᾶν εὖ μάλα κελεύει τῆς ἀνηλεοῦς τῶν τέκνων σφαγῆς. φθο- A ροὺς δὲ καὶ λυμαιῶνας τῆς ἀνθρωπότητος τοὺς φιλαιμάτους τε καὶ ψευδωνύμους ἐλέγχει Θεοὺς, καὶ αὐτοὺς ἀγρίως τοὺς τῆς ἀναγκαίας φιλοστοργίας ἀτιμάζοντας νόμους διὰ τό γε σφίσι δοκοῦν. (1) ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔστιν ᾅδου βασίλειον ἐπὶ γῆς. φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. καὶ ἡ μὲν θεία θέλησις ἀνατρέπει θάνατον, καὶ καταλύει B φθορὰν, καὶ τὸ οὐκ εἶναι τὰ ὄντα μισεῖ· οἱ δὲ ταῖς τῶν Δαιμόνων πλεονεξίαις σεσαγηνευμένοι πρὸς πλάνησιν, καθάπερ ἡδύσματα καὶ τῶν ὅτι μάλιστα χρηστῶν καὶ εὐωσμοτάτων προσκομίζουσι τῷ Σατανᾷ τῶν ἐπὶ ζωῇ γεγονότων τὸν ὄλεθρον, καὶ τῶν ἐκτισμένων εἰς τὸ εἶναι τὸν θάνατον. εὐφυέστατα τοίνυν τῆς ἐσχάτης ἔδειξε διαβολῆς τὰ παρ' ἐκείνης ἔμπλεω, καὶ φύσιν ἀδικουμένην, καὶ τοὺς τῆς πολυεύκτου Γ πολυπαιδίας πεπατημένους θεσμούς· μετασοβῶν εὖ μάλα τὸν εὐγενῆ καὶ μισόκακον νοῦν τῶν ἀκροωμένων ἐπὶ τὸ χρῆναι τιμᾶν καὶ ἀνθελέσθαι γοργῶς ἅπερ αὐτὸς βούλοιτό τε καὶ λέγοι. οὕτω δὲ πάλαι ἦν τὸ ἔθος καὶ ἀσεβὲς, ὅτι ἐξ ἐκείνου μέχρι τῆς τοῦ Χριστοῦ ἐπιδημίας οὐ διέλιπε.

λβ. Πᾶν ῥῆμα ὃ ἐγὼ ἐντέλλομαί σοι σήμερον, τοῦτο φυλάξῃ ποιεῖν. οὐ Δ προσθήσεις ἐπ' αὐτοῦ, οὐδὲ ἀφελεῖς ἀπ' αὐτοῦ.

ΩΡΙΓΕΝΟΥΣ. Οἱ ἄνθρωποι ἁμαρτάνοντες γενικῷ λόγῳ διχῶς ἁμαρτάνουσιν, ἢ ὑπερβαίνοντες τὰς ἐντολὰς, ἢ ὑποβαίνοντες. ὅταν γὰρ μὴ ἀπὸ ἐπιστήμης πολιτευώμεθα, μηδὲ γινώσκοντες τὰ μέτρα τῆς δικαιοσύνης, σφαλλόμεθα· καὶ ἔσθ' ὅτε ὑπερβαίνοντες τὸν κανόνα, φαντασίᾳ τοῦ ποιεῖν τι κρεῖττον, ἐκπίπτομεν τοῦ προκειμένου.

E ΤΟΥ ΑΥΤΟΥ. Οἱ οὖν μὴ ποιοῦντες πάντα, ἢ οἱ πλεῖόν τι ποιοῦντες, παράνομοι.

** ΠΡΟΚΟΠΙΟΥ. Διττὸν τὸ ἁμαρτάνειν· ἢ τὸ ὑποβαίνειν, ἢ τὸ ὑπερβαίνειν τὰς ἐντολάς. οἱ μὲν γὰρ ἐγκρατεῖς, τῷ ποιῆσαι στάθμιον μέγα, ἀφωρίκασιν ἑαυτοὺς τῆς Ἐκκλησίας· οἱ δὲ ὑδαρέστερον τὰ περὶ τοὺς γάμους καὶ τὰς τροφὰς οἰκονομήσαντες, τῷ στάθμιον ἑαυτοῖς πεποιηκέναι Z μικρὸν, οὐ τεύξονται τῆς βασιλείας τοῦ Θεοῦ. δέδεσαι μετὰ γυναικός; ἐὰν στάθμιον σεαυτῷ μέγα ποιήσῃς, οὐ φροντίζεις τῆς γυναικός· ἀλλ' ὅρα μὴ τῇ σῇ ἀπόληται σωφροσύνῃ, δι' ἣν Χριστὸς ἀπέθανε. τῶν δὲ τῆς δικαιοσύνης μέτρων ἔκπτωσις τούτων ἑκάτερον.



ΚΕΦ.

(1) Τὰ ἀπὸ τοῦ, ἔκτισεν, ἄχρι τοῦ, εἰσῆλθεν εἰς τὸν κόσμον, κεῖται ἐν τῷ 554. σελ. τοῦ 2. μέρ. τοῦ 1. Τόμ. τὰ δ' ἄλλα ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

ΚΕΦ. ΙΓ.

α. Ἐὰν δὲ ἀναστῇ ἐν σοὶ προφήτης ἢ ἐνυπνιαζόμενος ἐνύπνιον, καὶ δώσει σοι σημεῖον ἢ τέρας,

β. Καὶ ἔλθῃ τὸ σημεῖον ἢ τὸ τέρας ὃ ἐλάλησε πρὸς σὲ, λέγων, πορευθῶμεν καὶ λατρεύσωμεν

γ. Θεοῖς ἑτέροις οὓς οὐκ οἴδατε, Οὐκ ἀκούσεσθε τῶν λόγων τοῦ προφήτου ἐκείνου ἢ τοῦ ἐνυπνιαζομένου τὸ ἐνύπνιον ἐκεῖνο, ὅτι πειράζει Κύριος ὁ Θεὸς ὑμᾶς εἰδέναι, εἰ ἀγαπᾶτε Κύριον τὸν Θεὸν ὑμῶν ἐξ ὅλης τῆς καρδίας ὑμῶν, καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκ ποίας δυνάμεως ὁ τἀναντία διδάσκων προφήτης θαυματουργεῖ; Τοῦ Θεοῦ συγχωροῦντος, ἐνεργοῦσιν οἱ Δαίμονες. οὕτω καὶ τοῦ Φαραὼ οἱ φαρμακοὶ, καὶ τὸ τῆς ῥάβδου, καὶ τὸ τοῦ ποταμοῦ, καὶ τὸ τῶν βατράχων εἰργάσαντο, ἐνδεδωκότος τοῦ πανσόφου Θεοῦ, διὰ τὴν τοῦ προστάττοντος ἄνοιαν. ἐπιτείνειν γὰρ αὐτοῖς ἐκέλευσε τὰς θεηλάτους πληγὰς, λύειν μέντοι τὰς τιμωρίας οὐκ ἴσχυον, οὔτε μίαν τὸν σκνῖπα ἐξαγαγεῖν ἐδυνήθησαν. ἃ γὰρ συνεχώρησεν ὁ Θεὸς εἰργάσαντο μόνα. τοῦτο καὶ ἐνταῦθα δεδήλωκεν. εἰρηκὼς γὰρ, »ἐὰν ἀναστῇ ἐν σοὶ προφήτης ἐνυπνιαζόμενος ἐνύπνιον, καὶ δῷ σοι σημεῖον ἢ τέρας, καὶ ἔλθῃ τὸ σημεῖον ἢ τὸ τέρας ὃ ἐλάλησε πρὸς σὲ, καὶ εἴπῃ, πορευθῶμεν καὶ λατρεύσωμεν Θεοῖς ἑτέροις οὓς οὐκ οἴδατε, οὐκ εἰσακούσεσθε τοῦ προφήτου ἐκείνου ἢ τοῦ ἐνυπνιαζομένου τὸ ἐνύπνιον ἐκεῖνο, ὅτι πειράζει Κύριος ὁ Θεὸς ὑμῶν ὑμᾶς, εἰ ἀγαπᾶτε Κύριον τὸν Θεὸν ὑμῶν ἐξ ὅλης τῆς καρδίας ὑμῶν, καὶ ἐξ ὅλης τῆς διανοίας ὑμῶν. τοιγάρτοι τοῦ Θεοῦ συγχωροῦντος, ὁ ψευδοπροφήτης τερατουργεῖ. διδασκόμεθα δὲ μὴ προσέχειν σημείοις, ὅταν ὁ ταῦτα δρῶν ἐναντία τῇ εὐσεβείᾳ διδάσκει.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὃ λέγει, τοιοῦτόν ἐστιν· ἐάν τις Προφήτης φησὶν, ὅτι δύναμαι νεκρὸν ἐγεῖραι, ἀλλὰ πείθητέ μοι, καὶ προσκυνήσωμεν Δαίμοσιν· εἶτα ὁ ταῦτα λέγων δυνηθῇ ἀναστῆσαι νεκρὸν, μηδὲ οὕτω πειθῇς αὐτῷ, φησί. διατί; ὅτι πειράζων σε ὁ Θεὸς συνεχώρησεν ἐκείνῳ δυνηθῆναι τοῦτο. οὐκ ἐπειδὴ αὐτὸς ἠγνόει σου τὴν γνώμην, ἀλλ' ἵνα σοι δοκιμὴν παράσχῃ, εἰ φιλεῖς τὸν Θεὸν ὄντως· φιλοῦντος δέ ἐστι, κἂν νεκροὺς ἀνιστῶσιν οἱ σπουδάζοντες ἡμᾶς ἀφελκύσαι τοῦ φιλουμένου, μηδὲ οὕτως ἀφίστασθαι. (1)

ΤΟΥ ΑΥΤΟΥ. [Διὰ γὰρ τοῦτο οὐ πιστεύω, ἐπειδὴ Δαίμονες λέγουσιν. ἀπατῶσι γὰρ τοὺς ἀκούοντας.] διὰ τοῦτο καὶ ὁ Παῦλος, καίτοιγε ἀληθεύοντας αὐτοὺς ἐπεστόμισεν, ἵνα μὴ πρόφασιν λαβόντες, τοῖς ἀληθέσι ψευδῆ πάλιν ἀναμίξωσι, καὶ ἀξιόπιστοι γένωνται. »[ἐπειδὴ γὰρ ἔλεγον, οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶ, καταγγέλλοντες ὑμῖν ὁδὸν σωτηρίας, διαπονηθεὶς τῷ πνεύματι, ἐπετίμησε τῷ Πύθωνι, καὶ ἐξελθεῖν ἐκέλευσε. Καὶ μετ' ὀλίγα.] Πράξ. 16. 17.

B Οὕτω καὶ ὁ Χριστὸς ἐπετίμησε τοῖς Δαίμοσι μετὰ πολλῆς τῆς σφοδρότητος, νομοθετῶν ἡμῖν, μηδαμοῦ Δαίμονι πείθεσθαι, μηδ' ἂν ὑγιὲς λέγῃ. ἅπερ οὖν μαθόντες, μὴ πειθώμεθα Δαίμονι καθόλου· ἀλλὰ κἂν ἀληθές τι φθέγγηται, φεύγωμεν αὐτὸν καὶ ἀποστρεφώμεθα. τὰ γὰρ ὑγιῆ δόγματα καὶ σωτήρια οὐ παρὰ Δαιμόνων, ἀλλὰ παρὰ τῆς θείας Γραφῆς ἐστὶ μετὰ ἀκριβείας μαθεῖν.

Γ δ. Ὀπίσω Κυρίου τοῦ Θεοῦ ὑμῶν πορεύεσθε, καὶ αὐτὸν φοβηθήσεσθε, καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξεσθε, καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσεσθε, καὶ αὐτῷ δουλεύσετε, καὶ αὐτῷ προστεθήσεσθε.

** ΩΡΙΓΕΝΟΥΣ. Τὸ ἰέναι πρὸς τὸν Θεὸν οὐ σωματικῶς προστέτακται ἡμῖν· τὸ, »ὀπίσω Κυρίου τοῦ Θεοῦ σου πορεύσῃ· οὐδὲ σωματικῶς ὁ Προφήτης κολληθεὶς τῷ Θεῷ Δ φησὶν ἐν τῇ εὐχῇ, ἐκολλήθη ὀπίσω σου ἡ ψυχή μου. Ψαλ. 62. 8.

** ΚΛΗΜΕΝΤΟΣ. »Ὀπίσω Κυρίου τοῦ Θεοῦ ὑμῶν πορεύεσθε, καὶ τὰς ἐντολάς μου φυλάξετε. τὴν μὲν γὰρ ἐξομοίωσιν ὁ νόμος ἀκολουθίαν ὀνομάζει· ἡ δὲ τοιαύτη ἀκολουθία, κατὰ δύναμιν ἐξομοιοῖ. γίνεσθε, φησὶν ὁ Κύριος, »ἐλεήμονες καὶ οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί. Λουκ. 6. 36. E

ε. Καὶ ὁ προφήτης ἐκεῖνος ἢ ὁ τὸ ἐνύπνιον ἐνυπνιαζόμενος, ἀποθανεῖται· ἐλάλησε γὰρ πλανῆσαί σε ἀπὸ Κυρίου τοῦ Θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, τοῦ λυτρωσαμένου σε ἐκ τῆς δουλείας, ἐξῶσαί σε ἐκ τῆς ὁδοῦ, ἧς ἐνετείλατό σοι Κύριος ὁ Θεός σου πορεύεσθαι ἐν αὐτῇ· καὶ ἀφανιεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν. Z

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκέλευσε δὲ καὶ τὸν ψευδοπροφήτην ἀποκτανθῆναι, καὶ τὸν λαὸν τῆς πονηρᾶς διδασκαλίας ἀπαλλαγῆναι. »ἀφανιεῖτε γάρ φησι τὸν πονηρὸν »ἐξ ὑμῶν αὐτῶν.

ς. Ἐὰν δὲ παρακαλέσῃ σε ὁ ἀδελφός σου ἐκ πατρός σου ἢ ἐκ μητρός σου, ἢ ὁ υἱός σου, ἢ ἡ θυγάτηρ σου, ἢ ἡ γυνή σου ἡ ἐν τῷ κόλπῳ σου, ἢ ὁ φίλος σου ὁ ἴσος τῇ ψυχῇ σου λάθρα, λέγων, πορευ- H

(1) Ἄλλως ταῦτα ἔχουσιν ἐν τῷ κατὰ Ἰουδ. 1. λόγ. ἐν σελ. 598. τοῦ 1. Τόμ. τῆς τοῦ Μοντφαυκ. ἐκδόσ.

ορεύθῶμεν καὶ λατρεύσωμεν Θεοῖς
έροις, οὓς οὐκ ἤδεις σὺ καὶ οἱ πατέ-
ες σου, Ἀπὸ τῶν ἐθνῶν τῶν περικύ-
λῳ ὑμῶν, τῶν ἐγγιζόντων σοι ἢ τῶν
ακρὰν ἀπὸ σοῦ, ἀπ᾽ ἄκρου τῆς γῆς
ως ἄκρου τῆς γῆς, Οὐ συνθελήσεις
ὐτῷ, καὶ οὐκ εἰσακούσῃ αὐτοῦ, καὶ οὐ
είσεται ὁ ὀφθαλμός σου ἐπ᾽ αὐτῷ,
ι ἐπιποθήσεις ἐπ᾽ αὐτῷ, οὐδὲ μὴ
κεπάσῃς αὐτόν. Ἀναγγέλλων ἀναγ-
ελεῖς περὶ αὐτοῦ, καὶ ἡ χείρ σου ἔσαι
᾽ αὐτῷ ἐν πρώτοις ἀποκτεῖναι αὐ-
ὸν, καὶ ἡ χεὶρ παντὸς τοῦ λαοῦ ἐπ᾽
χάτων. Καὶ λιθοβολήσουσιν αὐτὸν
λίθοις, καὶ ἀποθανεῖται, ὅτι ἐζή-
ησεν ἀποσῆσαί σε ἀπὸ Κυρίου τοῦ
Θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς
Αἰγύπτου, ἐξ οἴκου δουλείας. Καὶ πᾶς
ραὴλ ἀκούσας φοβηθήσεται, καὶ
προσθήσουσιν ἔτι ποιῆσαι κατὰ τὸ
ῆμα τὸ πονηρὸν τοῦτο ἐν ὑμῖν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ συνέβαινεν,
ἀδελφὸν, ἢ φίλον, ἢ συγγενῆ πλάνῃ δε-
λωκότα, πειραθῆναι φενακίσαι καὶ
λους, ἀναγκαίως καὶ περὶ τούτου νενομο-
τηκε, καὶ προσέταξε δῆλον ἀποφαν-
ῆναι τὸν τῆς ἀσεβείας διδάσκαλον, καὶ
ρῶτον ἀφεῖναι λίθον τῶν τοιούτων ὑπα-
ύσαντα λόγων· εἶθ᾽ οὕτω πάντα τὸν λαὸν
ταλεῦσαι τὸν ἀλιτήριον, καὶ τῇ τούτου
ιμωρίᾳ σωφρονισθῆναι τοὺς ἄλλους.

ΕΥΣΕΒΙΟΥ. (1) Ταῦτά ἐσι τὰ μέλη,
ερ ἐκτεμεῖν προσέταξεν ὁ Σωτὴρ, λέγων,
δὲ ὁ ὀφθαλμός σου, ἢ ἡ χείρ σου, ἢ ὁ ποὺς-
σκανδαλίζει σε, ἔκκοψον αὐτά. καὶ τοῦτο
περὶ τῶν φιλούντων ἐν τάξει χειρὸς καὶ
θαλμῶν τεταγμένων. οὐ γὰρ ἡμᾶς κατὰ
ν οἰκείων ὁπλίζει μελῶν.

∗ ΠΡΟΚΟΠΙΟΥ. [Πίσεως ἀδικουμένης,
ρέτω φύσις καὶ γένος. οἷον τὸ τοῦ Σωτῆ-
ς, ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ
ἐσι μου ἄξιος.] καλὸν δὲ ἁρμόσαι τούτοις
(2) τὰ εἰρημένα τῷ μακαρίῳ Ἱερεμίᾳ,
οντα οὕτως· ἕκασος ἀπὸ τοῦ πλησίον αὐ-
φυλάξασθε, καὶ ἐπ᾽ ἀδελφοῖς αὐτῶν
πεποίθατε, ὅτι πᾶς ἀδελφὸς πτέρνῃ
ερνιεῖ, καὶ πᾶς φίλος δολίως πορεύεται.
ασος κατὰ τοῦ φίλου αὐτοῦ πορεύεται κα-
παιρόμενος, ἀλήθειαν οὐ μὴ λαλήσωσι.

A ιβ. Ἐὰν δὲ ἀκούσῃ ἐν μιᾷ τῶν
πόλεών σου, ὧν Κύριος ὁ Θεὸς δίδωσί
ιγ. σοι κατοικεῖν σε ἐκεῖ, λεγόντων, Ἐξῆλ-
θον ἄνδρες παράνομοι ἐξ ὑμῶν, καὶ
ἀπέσησαν πάντας τοὺς κατοικοῦντας
τὴν πόλιν αὐτῶν, λέγοντες, πορευ-
θῶμεν καὶ λατρεύσωμεν Θεοῖς ἑτέ-
ιδ. ροις, οὓς οὐκ ἤδειτε, Καὶ ἐτάσεις καὶ
B ἐρωτήσεις, καὶ ἐρευνήσεις καὶ ἐξερευ-
νήσεις σφόδρα, καὶ ἰδοὺ ἀληθὴς σα-
φῶς ὁ λόγος, γεγένηται τὸ βδέλυγ-
μα τοῦτο ἐν ὑμῖν·

ιε. Ἀνελὼν ἀνελεῖς πάντας τοὺς
κατοικοῦντας ἐν τῇ πόλει ἐκείνῃ ἐν
φόνῳ μαχαίρας, ἀναθέματι ἀναθε-
ματιεῖτε αὐτὴν, καὶ πάντα ὅσα ἐσὶν
ἐν αὐτῇ.

Γ ΑΝΕΠΙΓΡΑΦΟΥ. Εἰ γὰρ ἀδελφοῦ, καὶ τῶν λοιπῶν μηδεμίαν ποιεῖσθαι παρακελεύεται φειδῶ, μήτιγε ἀλλοτρίων; τούτων γε τῶν ἀπειλῶν καὶ τιμωριῶν ἔχρῃζον οἱ πάλαι, ἀσθενεῖς ὄντες καὶ εὐόλισθοι, καὶ ἐκ τῆς μακρᾶς συνηθείας ῥᾳδίως ἐκτρεπόμενοι πρὸς εἴδωλα.

ις. Καὶ πάντα τὰ σκῦλα αὐτῆς
συνάξεις ἐπὶ τὰς διόδους αὐτῆς, καὶ
Δ ἐμπρήσεις τὴν πόλιν ἐν πυρὶ, καὶ πάν-
τα τὰ σκῦλα αὐτῆς πανδημεὶ ἔναντι
Κυρίου τοῦ Θεοῦ σου· καὶ ἔσαι ἀοίκητος
εἰς τὸν αἰῶνα, οὐκ ἀνοικοδομηθήσε-
ται ἔτι.

ιζ. Οὐ προσκολληθήσεται ἐν τῇ
χειρί σου οὐδὲν ἀπὸ τοῦ ἀναθέματος,
ἵνα ἀποσραφῇ Κύριος ἀπὸ τοῦ θυμοῦ
E καὶ τῆς ὀργῆς αὐτοῦ, καὶ δώσει σοι ἔλεος,
καὶ ἐλεήσει σε, καὶ πληθυνεῖ σε, κα-
θὼς ἐλάλησε Κύριος τοῖς πατρά-
ιη. σι σου, Ἐὰν δὲ εἰσακούσητε τῆς φω-
νῆς Κυρίου τοῦ Θεοῦ σου, φυλάσσειν
πάσας τὰς ἐντολὰς αὐτοῦ, ἃς ἐγὼ
ἐντέλλομαί σοι σήμερον, ποιεῖν τὸ κα-
λὸν καὶ τὸ ἀρεσὸν ἔναντι Κυρίου τοῦ
Θεοῦ σου.

Z ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι ἀπείρηται πλησιάσαι ἢ ἅψασθαι τοῦ ἀναθεματισμένου.

Κ Ε Φ. Ι Δ.

Υἱοί ἐσε Κυρίου τοῦ Θεοῦ ὑμῶν. οὐ φοιβήσετε, οὐκ ἐπιθήσετε φαλάκρωμα ἀναμέσον τῶν ὀφθαλμῶν ὑμῶν ἐπὶ νεκρῷ.

ΚΥΡΙΛΛΟΥ. Ἑλλήνων οἱ λογάδες, Ἀπόλλωνά τινα μυθολογοῦσι Θεὸν, ὃν καὶ Φοῖβον ὀνομάζουσι, τουτέσι καθαρὸν καὶ
H ἀμίαντον. τὸν αὐτὸν δὲ τὸν ἥλιον εἶναί φασι. (3) Φοῖβον οὖν ἔφασκον, καὶ φοιβᾶσθαι

(1) Σωτήρ. ὁ Ἀλεξάν. κώδ.
(2) Ἴσ. καί. ὁ δὲ τῆς Αὐγ. κώδ. τοιοῦτον καὶ τὸ Ἱερεμίου. ἕκασος, κτλ.
(3) Τὸν αὐτὸν δὲ εἶναι τῷ ἡλίῳ φασί. φοιβάζειν οὖν ἔφασκον, κτλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 196.

βᾶσθαι πάλιν κατὰ συνήθειαν τὴν ἑλληνι- A
κὴν, τὸ καθαίρειν τε καὶ καθαίρεσθαι κα-
τά γε τὸ αὐτοῖς δοκοῦν, καὶ τοὺς παρ' αὐτοῖς
σφίσι νόμους. ἀπείργει δὴ οὖν ἡμᾶς τὸ θεῖον
χρησμῴδημα τῶν οὕτως αἰσχρῶν καὶ ἀκαλ-
λεστάτων ἐπιτηδευμάτων. οὐ γάρτοι προ-
σήκει μολυσμὸν ἡγεῖσθαι ψυχῆς τὸν σω-
ματικὸν θάνατον, οὔτε μὴν οἴεσθαι ταῖς
τῶν ὁρώντων καρδίαις ἐναπομάττεσθαι ῥύ-
πον, τὴν ἐπὶ νεκρῷ θέαν· οὐδ' αὖ ἐπὶ τού-
τῳ προσήκει τὴν τρίχα ψιλοῦν. κομιδῇ B
γὰρ ἕωλον, καὶ τῆς χαμαιζήλου δόξης τὸ
χρῆμα μεστόν. εὖγε δὴ οὖν ὁ νόμος τὸ, οὐ
» Φοιβήσετε, φησίν. οὐ γὰρ ἡ τοιάδε κά-
θαρσις ὀνήσει ψυχήν.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, οὐ Φοιβήσετε,
» καὶ οὐκ ἐπιθήσετε φαλάκρωμα ἀναμέσον
» τῶν ὀφθαλμῶν ὑμῶν ἐπὶ νεκρῷ; Τῶν δυσ-
σεβῶν ἐθνῶν ἀπαγορεύει τὰ ἔθη· καὶ διὰ
» μὲν τοῦ, οὐ Φοιβήσετε, τὰς μαντείας ἐξέ-
βαλε· Φοῖβον γὰρ τὸν ψευδόμαντιν ἐκά- Γ
λουν τὸν Πύθιον· διὰ δὲ τοῦ, οὐ ποιήσετε
» φαλάκρωμα ἐνώπιον τῶν ὀφθαλμῶν ὑμῶν
ἐπὶ νεκρῷ, τὴν τοῦ πένθους ἀπηγόρευσεν
ἀμετρίαν. τινὲς μὲν γὰρ τῶν ἀλλοφύλων
ἐθνῶν τὰς τῆς κεφαλῆς ἀπέκειρον τρίχας,
καὶ ταύτας προσέφερον τοῖς νεκροῖς· τινὲς
δὲ τὰς τῶν γενείων, ἄλλοι τὰς τῶν ὀφρύων.
ταῦτα γίνεσθαι ὁ θεῖος ἀπηγόρευσε νόμος.

» ** ΠΡΟΚΟΠΙΟΥ. Οὐ Φοιβήσετε. Ἐξ Δ
ἑλληνικῆς συνηθείας ἡ λέξις παρέσπασαι.
Ἀπόλλωνα γάρ τινα μυθολογοῦσι Θεὸν, τὸν
αὐτὸν εἶναι λέγοντες τῷ ἡλίῳ, ὅν περ ὀνο-
μάζουσι Φοῖβον, τὸν καθαρὸν δῆθεν ση-
μαίνοντες. δηλοῖ οὖν ἡ λέξις τὸ μὴ περι-
καθαίρεσθαι. οὐ γὰρ οἶδε σώματος καθαρ-
μὸς μολυσμοὺς ἀπονίψαι ψυχῆς. τὴν ἀρ-
χὴν δὲ μολύνειν οὐκ οἶδε νεκρὸς, ἢ λεχὼ,
καὶ τὰ τοιαῦτα. Θεοῦ δὲ μόνου περικαθά-
ραι ψυχὴν, ἄφεσίν τε δοῦναι πλημμελημά- E
των. ὃ πεποίηκεν ὁ Χριστὸς, τὸ θεῖον ἡμῖν
δωρησάμενος βάπτισμα. ὥσπερ γὰρ νόμον
τὶς παραβὰς κοσμικὸν, οὐκ ἂν φύγοι τὴν
δίκην, μὴ βασιλέως ἡμέρου χαρισαμένου
τὴν ἄφεσιν· οὕτω τὶς προσιὼν τῷ φύσει
Ἠσ. 43. 25. Θεῷ, ἀκούσεται λέγοντος, ἐγώ εἰμι ὁ ἐξα-
» λείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθή-
σομαι. τί οὖν ἐροῦμεν περὶ τῶν κατὰ νόμον
καθάρσεων; πρῶτον μὲν, τύπον εἶναι κα-
θάρσεως κρείττονος· ἔτι δὲ διαφέρειν τῶν Z
ἑλληνικῶν, αἵτινες μετ' ἐπῳδῶν ἐγίνοντο
ἁλῶν τε καὶ δάφνης, κριθῆς τε καὶ θα-
λάσσης, καὶ παρόδου διὰ πυρός. ἐφ' ὧν κυ-
» ρίως τὸ, Φοιβήσετε. τῆς γὰρ εἰδωλολα-
τρείας τὸ χρῆμα.

** ΩΡΙΓΕΝΟΥΣ. Τάχα τοῦ ἐπὶ τοῖς
ἁμαρτήμασι πένθους σύμβολον ἡ τοιαύτη
λέξις. ὥσπερ γάρ εἰσιν οἳ ποιοῦσι φαλά-
κρωμα ἐπὶ νεκρῷ, οὕτως οἱ αἰσχυνόμενοι ἐπὶ
τοῖς ἰδίοις πλάσμασιν, ἀποθέμενοι τὸν
κόσμον τῆς νοητῆς αὐτῶν κεφαλῆς καὶ
ξυράμενοι, φοροῦσιν ἐπ' αὐτῆς τὸ σημεῖον
τοῦ πένθους. τοῖς δὲ ἁγίοις οὐδὲν οἰκεῖον πρὸς
ἐχθροὺς ἔχουσιν ἐνομοθέτησεν ὁ νόμος μὴ
» ποιεῖν φαλάκρωμα ἐπὶ νεκρῷ, ὅτι, φησὶν,
» ἅγιος εἶ Κυρίῳ τῷ Θεῷ σου.

β. Ὅτι λαὸς ἅγιος εἶ Κυρίῳ τῷ
Θεῷ σου, καί σε ἐξελέξατο Κύριος ὁ
B Θεός σου γενέσθαι αὐτῷ λαὸν περιού-
σιον ἀπὸ πάντων τῶν ἐθνῶν τῶν ἐπὶ
προσώπου τῆς γῆς.

γ. Οὐ φάγεσθε πᾶν βδέλυγμα.

δ. Ταῦτα τὰ κτήνη ἃ φάγεσθε· μόσχον
ἐκ βοῶν, καὶ ἀμνὸν ἐκ προβάτων,
καὶ χίμαρον ἐξ αἰγῶν.

ΕΥΣΕΒΙΟΥ. Ὑπαγορεύει (1) τὰ μὲν
ἐσθίειν, τὰ δὲ μὴ ἐσθίειν· οὐχ ὅτι κοινόν τι,
Γ ἀλλὰ διὰ δύω προφάσεις. μίαν μὲν, ὅσα
ἐν Αἰγύπτῳ προσεκύνουν ἐσθίεσθαι προστάττει,
ἵνα διὰ τούτου καταφρονῶσιν αὐτῶν, καὶ μὴ
Θεοὺς νομίζωσιν, ἐν οἷς ἐστὶν ὁ βοῦς, καὶ τὸ
πρόβατον, καὶ ὅσα τοιαῦτα. ὅσα δὲ ἐν
Αἰγύπτῳ ἤσθιον ἀτάκτως καὶ λαιμάργως,
ἀπαγορεύει· οἷον, τὸ ὕιον, (2) ὃ καὶ ᾔτη-
σαν ἐν τῇ ἐρήμῳ. δι' ἑτέραν δὲ πρόφασιν
τοιαύτην· ἡ κοινὴ φύσις πολλάκις προλα-
βοῦσα ἐβδελύξατο, τὰ μὲν, διὰ τὸ μέγε-
Δ θος· τὰ δὲ, διὰ τὸ δυσειδές· τὰ δὲ, διὰ
τὸ νεκρῶν ἀπογεύεσθαι· τὰ δὲ, κατὰ πρό-
ληψιν μίσους. ὅσα οὖν προέλαβεν ἡ συνή-
θεια, οὐκ ἀνέτρεψεν ὁ νόμος. ἐκεῖνα δὲ
μόνα ἠνάγκασεν, ὧν τὰ μὲν ἐν Αἰγύπτῳ
προσεκύνουν, τὰ δὲ λαιμάργως ἤσθιον. πᾶν
δὲ νεκριμαῖον ἀπαγορεύει ἐσθίειν, ὅτι καὶ
πρὸ νόμου ἡ συνήθεια.

ΚΥΡΙΛΛΟΥ. Ἔστι δὴ οὖν οὐκ ἀσυμφα-
νὲς, ὅτι βεβηλοῖ μέν τι τῶν ὄντων ἥκιστα
E ὁ νόμος· πάντα δὲ καθαρὰ τοῖς καθαροῖς·
ἀλλ' εἰς ἠθῶν ποιότητας ἀνθρωπίνων τὸ
ἑκάστου τῶν ζώων φυσικὸν εὖ μάλα παρα-
λαβὼν ὀνίνησιν οὐ μετρίως. (3)

ε. Ἔλαφον, καὶ δορκάδα, καὶ
βούβαλον, καὶ τραγέλαφον, καὶ πύ-
γαργον, καὶ ὄρυγα, καὶ καμηλο-
πάρδαλιν.

ς. Πᾶν κτῆνος διχηλοῦν ὁπλὴν,
Z καὶ ὀνυχιστῆρας ὀνυχίζον δύω χηλῶν,
καὶ ἀνάγον μηρυκισμὸν ἐν τοῖς κτήνε-
σι, ταῦτα φάγεσθε.

ΚΥΡΙΛΛΟΥ. (4) Τὸ μὲν διχηλεῖν ἐπὶ
τῆς ὁπλῆς, τὴν πορείαν, καθ' ἣν πρὸς
πᾶν ὁτιοῦν ἐρχόμεθα τῶν ἀγαθῶν σπουδασ-
μάτων ἐμφανῆ ἄν· ὁ δὲ μηρυκισμὸς, τὸ
ἄνω τε καὶ κάτω ποιεῖν τῆς θεοπνεύστου
Γραφῆς τοὺς λόγους, καὶ οἷον ἀναμασᾶσθαι
καὶ

(1) Ἀπαγορεύει. ἐν σελ. 1013. ὅπου τὸ αὐτὸ περιληπτικότερ. κεῖται, καὶ ἐλλειπέστερ.
(2) Ὡς τὸν ὗν αὐτ. ὀρθότερ. εἰ γὰρ ὕιον ἀναναγνωστέον, προσθετέον τὸ, κρέας.
(3) Μικρὸν διαφέρουσι τούτου τὰ ἐν σελ. 1017.
(4) Τοῦ Ὠριγένους ἐστὶ, κείμενον ἐν Τόμ. 2. σελ. 589. τῆς τοῦ Ῥου. ἐκδόσ.

καὶ καταλεπτύνειν ἐρεύναις τὰ κεκρυμμένα τῶν θεωρημάτων.

ζ. Καὶ ταῦτα οὐ φάγεσθε ἀπὸ τῶν ἀναγόντων μηρυκισμὸν, καὶ ἀπὸ τῶν διχηλούντων τὰς ὁπλὰς, καὶ ὀνυχιζόντων ὀνυχιστῆρας· τὸν κάμηλον, καὶ δασύποδα, καὶ χοιρογρύλλιον· ὅτι ἀνάγουσι μυρηκισμὸν ταῦτα, καὶ ὁπλὴν οὐ διχηλοῦσιν, ἀκάθαρτα ταῦτα ὑμῖν ἐστί.

✱✱ ΝΕΙΛΟΥ. Χοιρογρύλλιοί εἰσιν ἔθνη ἀκάθαρτα, τὰς ἐντολὰς δεξάμενα τοῦ σωτῆρος ἡμῶν Χριστοῦ.

η. Καὶ τὸν ὗν, ὅτι διχηλεῖ ὁπλὴν τοῦτο, καὶ ὀνυχίζει ὄνυχας ὁπλῆς, καὶ τοῦτο μηρυκισμὸν οὐ μηρυκᾶται, ἀκάθαρτον τοῦτο ὑμῖν ἐστίν. ἀπὸ τῶν κρεῶν αὐτῶν οὐ φάγεσθε, καὶ τῶν θνησιμαίων αὐτῶν οὐχ ἅψεσθε.

θ. Καὶ ταῦτα φάγεσθε ἀπὸ πάντων τῶν ἐν τοῖς ὕδασι, πάντα ὅσα ἐστὶν ἐν αὐτοῖς πτερύγια καὶ λεπίδες φάγεσθε.

ΩΡΙΓΕΝΟΥΣ. (1) Τῶν πτηνῶν, οἶμαι, ὅσα μὲν σκόλοπας ἔχει κατωτέρω τῶν γονάτων ὑπὲρ τὰς βάσεις, καθαρὰ εἶναι βούλεται· ὅσα δὲ μὴ, ἀκάθαρτα.

ι. Καὶ πάντα ὅσα οὐκ ἔστιν ἐν αὐτοῖς πτερύγια οὐδὲ λεπίδες, οὐ φάγεσθε·
ια. ἀκάθαρτα ταῦτα ἔσται ὑμῖν. Πᾶν
ιβ. ὄρνεον καθαρὸν φάγεσθε. Καὶ ταῦτα οὐ φάγεσθε ἀπ' αὐτῶν· τὸν ἀετὸν, καὶ τὸν γρύπα, καὶ τὸν ἁλιαίετον,
ιγ. Καὶ τὸν γύπα, καὶ τὸν ἰκτίνα, καὶ
ιε. τὰ ὅμοια αὐτῷ, (2) Καὶ στρουθὸν, καὶ γλαῦκα, καὶ λάρον.

ις (3) Καὶ ἱέρακα, καὶ τὰ ὅμοια αὐτῷ, καὶ ἐρωδιὸν, καὶ κύκνον, καὶ
ιζ. ἶβιν, Καὶ καταράκτην, καὶ ἔποπα, καὶ πορφυρίωνα, καὶ νυκτικόρακα,
ιη. Καὶ πελεκάνα, καὶ χαράδριον, καὶ τὰ ὅμοια αὐτῷ, (4) καὶ νυκτερίδα.

Λευϊτ. 11. 17, 18. ΚΥΡΙΛΛΟΥ. (5) Εἶτα φησὶν, ὅτι καὶ
» ἱέρακα, καὶ τὰ ὅμοια αὐτῷ, καὶ νυκτικό-
» ρακα, καὶ καταράκτην, καὶ ἶβιν, καὶ πορ-
» φυρίωνα, καὶ πελεκάνα, καὶ κύκνον. καταγράψει δ' ἂν ἐφ' ἑαυτοῖς καὶ τόδε τοὺς ὠμῶς καὶ ἀγρίως ἑτέροις ἐπιβουλεύοντας,

A καὶ ἀσχέτως ἐπιφυομένους οἷς ἂν δύναιντο τυχὸν, ὡς καὶ αὐτὸν ἐπιφέρειν οὐ παραιτεῖσθαί τισι τὸν ἐπὶ ζωῇ κίνδυνόν τε καὶ φόβον. (6) ὁ μὲν γὰρ ἱέραξ καταθρώσκει τε δεινῶς παντὸς ἀσθενεστέρου πτηνοῦ, καὶ κατὰ στρουθίων ἵεται, καὶ διόλλυσι λαβών. καταράκτης γε μὴν, καὶ ἶβις, καὶ πορφυρίων, προσθείην δ' ἂν ὅτι καὶ πελεκὰν ἐπιμαίνονται τοῖς ἰχθύσι, καὶ τροφὴν ποιοῦνται τὸν ἐκείνων ὄλεθρον. τοιοῦτοι δὲ πάντες, ὅσον
B ἧκεν εἰς τρόπους καὶ ἠθῶν ἀγριότητα. οἱ παρ' οὐδὲν ἡγούμενοι τὸ διολλύναί τινας, διά γε τὸ σφίσιν αὐτοῖς ἡδὺ, οἱ τὸν τῆς φιλαλληλίας παρωσάμενοι νόμον, καὶ τοῖς τῆς ἀγάπης προσκεκρουκότες θεσμοῖς.

ιθ. Πάντα τὰ ἑρπετὰ τῶν πετεινῶν, ἀκάθαρτα ἔσται ὑμῖν· οὐ φά-
κ. γεσθε ἀπ' αὐτῶν. Πᾶν πετεινὸν κα-
κα. θαρὸν φάγεσθε. (7) Καὶ πᾶν θνησι-
Γ μαῖον οὐ φάγεσθε· τῷ παροίκῳ τῷ ἐν ταῖς πόλεσί σου δοθήσεται καὶ φάγεται, ἢ ἀποδώσει τῷ ἀλλοτρίῳ, ὅτι λαὸς ἅγιος εἶ Κυρίῳ τῷ Θεῷ σου. οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ. ὃς γὰρ ποιεῖ τοῦτο, ὡσεὶ ἀσπάλακα θύσει, ὅτι μίασμά ἐστι τῷ Θεῷ Ἰακώβ.

κβ. Δεκάτην ἀποδεκατώσεις παν-
Δ τὸς γεννήματος τοῦ σπέρματός σου, καὶ τὸ γέννημα τοῦ ἀγροῦ σου ἐνιαυτὸν κατ'
κγ. ἐνιαυτόν. Καὶ φαγῇ αὐτὸ ἔναντι Κυρίου τοῦ Θεοῦ σου ἐν τῷ τόπῳ, ᾧ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. οἴσετε τὰ ἐπιδέκατα τοῦ σίτου σου, καὶ τοῦ οἴνου σου, καὶ τοῦ ἐλαίου σου, καὶ τὰ πρωτότοκα
E τῶν βοῶν σου, καὶ τῶν προβάτων σου, ἵνα μάθῃς φοβεῖσθαι Κύριον τὸν Θεόν
κδ. σου πάσας τὰς ἡμέρας. Ἐὰν δὲ μακρὰν γένηται ἡ ὁδὸς ἀπὸ σοῦ, καὶ μὴ δύνῃ ἀναφέρειν αὐτὰ, ὅτι μακρὰν ἀπὸ σοῦ ὁ τόπος, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ὅτι εὐλόγησέ σε
κε. Κύριος ὁ Θεός σου, Καὶ ἀποδώσῃ αὐ-
Z τὰ ἀργυρίου, καὶ λήψῃ τὸ ἀργύριον ἐν ταῖς χερσί σου, καὶ πορεύσῃ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτὸν, ἐπικληθῆναι τὸ ὄνο-
κς. μα αὐτοῦ ἐκεῖ. Καὶ δώσῃ τὸ ἀργύριον ἐπὶ

(1) Κυρίλλου. ὁ Ἀλεξάν. κώδ. ἐπισφαλῶς.

(2) Καὶ πάντα κόρακα, καὶ τὰ ὅμοια αὐτῷ. ταῦτα ἀντὶ τοῦ 14. ἐδ. κεῖται ἐν ταῖς σημειώσ. τῆς πολλάκις ῥηθείσ. ἐκδόσ.

(3) 16. Καὶ ἐρωδιὸν, καὶ κύκνον, καὶ ἶβιν, 17. Καὶ καταράκτην, καὶ ἱέρακα, καὶ τὰ ὅμοια αὐτῷ, καὶ ἔποπα, καὶ νυκτικόρακα· αἱ εἰρημ. ἐκδόσ.

(4) Καὶ πορφυρίωνα, καὶ νυκτερίδα· αἱ αὐτ.

(5) Τὰ πρὸ τούτων ὅρα ἐν σελ. 1020. ὅπου παρ' ἡμῶν ἐτέθησαν, διὰ τὸ ἐκεῖ ἀνήκειν, ὡς ἐκ τῶν ἐκδεδομ. τοῦ ἐν ἁγίοις Κυρίλ. δῆλον.

(6) Τὰ ἑπόμενα κεῖται καὶ ἐν σελ. 1021. πλὴν τοῦ ἐσχάτου κόμματος.

(7) Ὅρα τὸ τοῦ Εὐσεβίου ὑπόμν. τὸ ἐν σελ. 817. ὅπερ καὶ ὧδε πάλιν παρὰ τοῖς κώδ. κεῖται.

ἐπὶ παντὸς οὗ ἐὰν ἡ ψυχή σου ἐπιθυ-
μῇ, ἐπὶ βουσὶν, ἢ ἐπὶ προβάτοις, ἢ
ἐπὶ οἴνου, ἢ ἐπὶ σίκερα, ἢ ἐπὶ παντὸς
οὗ ἐὰν ἐπιθυμῇ ἡ ψυχή σου, καὶ φαγῇ
ἐκεῖ ἔναντι Κυρίου τοῦ Θεοῦ σου, καὶ εὐ-
κζ. φρανθήσῃ σὺ καὶ ὁ οἶκός σου, Καὶ ὁ
Λευΐτης ὁ ἐν ταῖς πόλεσί σου, ὅτι οὐκ
ἔστιν αὐτῷ μερὶς οὐδὲ κλῆρος μετὰ σοῦ.
κη. Μετὰ τρία ἔτη ἐξοίσεις πᾶν τὸ ἐπι-
δέκατον τῶν γεννημάτων σου, ἐν τῷ
ἐνιαυτῷ ἐκείνῳ θήσεις αὐτὸ ἐν ταῖς
κθ. πόλεσί σου. Καὶ ἐλεύσεται ὁ Λευΐ-
της, ὅτι οὐκ ἔστιν αὐτῷ μερὶς οὐδὲ κλῆ-
ρος μετὰ σοῦ, καὶ ὁ προσήλυτος καὶ
ὁ ὀρφανὸς καὶ ἡ χήρα ἡ ἐν ταῖς πό-
λεσί σου, καὶ φάγονται καὶ ἐμπλη-
σθήσονται, ἵνα εὐλογήσῃ σε Κύριος
ὁ Θεός σου ἐν πᾶσι τοῖς ἔργοις οἷς
ἐὰν ποιῇς.

ΘΕΟΔΩΡΙΤΟΥ. Ὅτι δὲ δύω δεκάτας
προσάγειν νενομοθέτηκε τῷ λαῷ, σαφῶς
» ἐνταῦθα δεδήλωκε. δεκάτην γάρ φησιν ἀ-
» ποδεκατώσεις παντὸς γεννήματος τοῦ σπέρ-
» ματός σου, τὸ γέννημα τοῦ ἀγροῦ σου ἐνιαυτὸν
» κατ' ἐνιαυτόν. καὶ φαγῇ αὐτὸ ἐναντίον Κυ-
» ρίου τοῦ Θεοῦ σου ἐν τῷ τόπῳ, ᾧ ἐὰν ἐκλέ-
» ξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ
» ὄνομα αὐτοῦ ἐκεῖ. εἰ δὲ μία δεκάτη ἦν, πῶς
οἷόν τε ἦν καὶ τοὺς Λευΐτας λαμβάνειν, καὶ
A τοὺς προσκομίζοντας εὐωχεῖσθαι; ἀλλὰ δῆ-
λον, ὡς τοῖς μὲν Λευΐταις μίαν δεκάτην
ἀπένειμε, ταῖς δὲ τῶν προσφερόντων εὐω-
χίαις ἑτέραν. τοῦτο δὲ δηλοῖ καὶ τὰ ἐπα-
γόμενα. ἐὰν γάρ φησιν ᾖ ἡ ὁδὸς μακρὰν
ἀπὸ σοῦ, διαπώλησον, καὶ λαβὼν τὴν τι-
μὴν, εἰς ἐκεῖνον ἴθι τὸν τόπον, ὃν ἂν ἐκ-
» λέξηται Κύριος ὁ Θεός σου. καὶ δὸς τὸ ἀρ-
» γύριον εἰς πᾶν ὃ ἐπιθυμεῖ ἡ ψυχή σου, ἐπὶ
» βουσὶν, ἢ ἐπὶ προβάτοις, ἢ ἐπὶ οἴνῳ, ἢ
B » ἐπὶ σίκερα, ἢ ἐπὶ παντὶ ὃ ἐπιθυμεῖ ἡ ψυ-
» χή σου, καὶ φαγῇ ἐκεῖ ἔναντι Κυρίου τοῦ
» Θεοῦ σου, σὺ καὶ ὁ οἶκός σου, καὶ ὁ Λευΐτης
» ὁ ἐν ταῖς πόλεσί σου, ὅτι οὐκ ἔστιν αὐτῷ με-
» ρὶς οὐδὲ κλῆρος μετὰ σοῦ. εἶτα περὶ τῶν
ὀφειλόντων δοθῆναι τοῖς Λευΐταις νομοθε-
» τεῖ. μετὰ τρία ἔτη ἐξοίσεις πᾶν τὸ ἐπι-
» δέκατον τῶν γεννημάτων σου ἐν τῷ ἐνιαυ-
» τῷ ἐκείνῳ, καὶ θήσεις αὐτὸ ἐν ταῖς πό-
» λεσί σου. καὶ ἐλεύσεται ὁ Λευΐτης, ὅτι οὐκ
Γ » ἔστιν αὐτῷ μερὶς οὐδὲ κλῆρος μετὰ σοῦ. καὶ
» ὁ προσήλυτος καὶ ὁ ὀρφανὸς καὶ ἡ χήρα ἡ
» ἐν ταῖς πόλεσί σου, καὶ φάγονται καὶ ἐμ-
» πλησθήσονται, ἵνα εὐλογήσῃ σε Κύριος ὁ
» Θεός σου ἐν ἅπασι τοῖς ἔργοις σου οἷς ἂν
ποιῇς. ἰστέον δὲ, ὡς Ἰώσηπος ἐντεῦθεν λα-
βὼν ἀφορμὴν, μᾶλλον δὲ καὶ τὸ Ἰουδαίων
ἐπιστάμενος ἔθος ὡς Ἰουδαῖος, τρεῖς ἔφη (1)
δεκάτας προστεταχέναι τὸν νόμον προσφέ-
ρεσθαι, τὴν μὲν τοῖς Λευΐταις, τὴν δὲ τοῖς
Δ ὀρφανοῖς καὶ ταῖς χήραις, τὴν δὲ ἄλλην
ταῖς τῶν προσφερόντων εὐωχίαις.

ΚΕΦ. ΙΕ.

α. Δι' ἑπτὰ ἐτῶν ποιήσεις ἄφε-
β. σιν. Καὶ οὕτω τὸ πρόσταγ-
μα τῆς ἀφέσεως. ἀφή-
σεις πᾶν χρέος ἴδιον, ὃ ὀφείλει σοι ὁ
πλησίον, καὶ τὸν ἀδελφόν σου οὐκ ἀπαι-
τήσεις· ὅτι ἐπικέκληται ἄφεσις Κυ-
γ. ρίῳ τῷ Θεῷ σου. Τὸν ἀλλότριον ἀπαι-
τήσεις ὅσα ἐὰν ᾖ σοι παρ' αὐτῷ, τῷ
δὲ ἀδελφῷ σου ἄφεσιν ποιήσεις τοῦ
χρέους σου.

ΚΥΡΙΛΛΟΥ. Ὁρᾷς ἐναπαστράπτουσαν
ταῖς σκιαῖς τὴν ἀλήθειαν; ἐναργέστατα
γὰρ τοῦ Σωτῆρος ἡμῶν τὴν οἰκονομίαν πα-
ραδείξειεν ἂν καὶ τόδε. τοὺς μὲν γὰρ ἀγχοῦ
γεγονότας αὐτῷ διὰ τῆς πίστεως, οἰκείους-
τε ἤδη καὶ ἀδελφοὺς ἀναδεδειγμένους διὰ τοῦ
μεταχεῖν ἁγίου πνεύματος, θείας τε φύ-
σεως γενέσθαι [κοινωνοὺς,] ὀφλημάτων
ἀνῆκεν, ἐκτετικότας οὐδέν. οὐ γὰρ ἐζήτησε
παρ' αὐτῶν τὰς τῶν παραβάσεων δίκας,
καίτοι τοὺς λόγους τῶν σφίσι βεβιωμένων
ἐποφληκότας αὐτῷ. τοὺς δὲ ἀλλοτρίους ἔτι,
μονονουχὶ δὲ καὶ ἀλλογενεῖς διὰ τὴν ὀλέ-
θριον αὐτῶν ἀπιστίαν, καὶ ὡς ἀπωτάτω
γεγονότας τῆς εἰς αὐτὸν οἰκειότητος, ἐνό-
χους κατέστησε τοῖς ὀφλήμασι, καὶ ὡς ἀνα-
πόνιπτον ἔχοντας τὴν ἁμαρτίαν, ἔτι ὑπο-
E χρέους τῇ τε δίκῃ καὶ τῷ κολάζεσθαι δεῖν
εἰκότως εἰργάσατο.

δ. Ὅτι οὐκ ἔστιν ἐν σοὶ ἐνδεὴς, ὅτι
διὰ τὸ ῥῆμα τοῦτο εὐλογῶν εὐλογή-
σει σε Κύριος ὁ Θεός σου ἐν τῇ γῇ, ᾗ
Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ
κατακληρονομῆσαι αὐτήν.

ΚΥΡΙΛΛΟΥ. Τοῦτο καὶ ἐν ταῖς Πρά-
ξεσι φησὶν ὁ Λουκᾶς περὶ τοῦ πλήθους τῶν
Z » πεπιστευκότων Χριστῷ· χάρις τε ἦν ἐπὶ Πράξ. 4. 33,
» πάντας αὐτούς. οὐδὲ γὰρ ἐνδεής τις ἦν ἐν 34.
» αὐτοῖς. (2)

ε. Ἐὰν δὲ ἀκοῇ εἰσακούσητε Κυ-
ρίου τοῦ Θεοῦ ὑμῶν φυλάσσειν καὶ ποιεῖν
πάσας τὰς ἐντολὰς ταύτας, ἃς ἐγὼ
ς. ἐντέλλομαί σοι σήμερον, Ὅτι Κύριος
ὁ Θεὸς εὐλόγησέ σε ὃν τρόπον ἐλά-
λησέ σοι, καὶ δανιεῖς ἔθνεσι πολλοῖς,
H σὺ δὲ οὐ δανειῇ, καὶ ἄρξεις σὺ ἐθνῶν
ζ. πολλῶν, σοῦ δὲ οὐκ ἄρξουσιν. Ἐὰν δὲ
γένηται

(1) Ἐν κεφ. 8. τοῦ 4. βιβλ. περὶ Ἰουδαϊκ. ἀρχαιολογ.
(2) Τὰ αὐτὰ μὲν καὶ ὁ Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ. ἐν δὲ τοῖς τοῦ Κυρίλ. ἐκδεδομ. οὐχ εὕρηται.

γένηται ἐν σοὶ ἐνδεὴς ἐκ τῶν ἀδελ-
φῶν σου ἐν μιᾷ τῶν πόλεών σου ἐν τῇ
γῇ, ᾗ Κύριος ὁ Θεός σου δίδωσί σοι,
οὐκ ἀποστρέψεις τὴν καρδίαν σου, οὐδὲ
μὴ συσφίγξῃς τὴν χεῖρά σου ἀπὸ τοῦ
η. ἀδελφοῦ τοῦ ἐπιδεομένου. Ἀνοίγων ἀ-
νοίξεις τὰς χεῖράς σου αὐτῷ, καὶ δάνειον
δανιεῖς αὐτῷ ὅσον ἂν ἐπιδέηται, καὶ
καθ᾽ ὅσον ὑστερεῖται.

θ. Πρόσεχε σεαυτῷ μὴ γένηται
ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνό-
μημα, λέγων, ἐγγίζει τὸ ἔτος τὸ
ἕβδομον, ἔτος τῆς ἀφέσεως, καὶ πο-
νηρεύσεται ὁ ὀφθαλμός σου τῷ ἀδελ-
φῷ σου τῷ ἐπιδεομένῳ, καὶ οὐ δῷς αὐτῷ,
καὶ βοήσεται κατὰ σοῦ πρὸς Κύριον,
καὶ ἔσται ἐν σοὶ ἁμαρτία μεγάλη.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Εὔκολοί
ἐσμεν πρὸς τὰς κατὰ διάνοιαν ἁμαρτίας
οἱ ἄνθρωποι. διόπερ ὁ πλάσας κατὰ μό-
νας τὰς καρδίας εἰδὼς, ὅτι τὸ πλεῖστον
τῆς ἁμαρτίας ἐν τῇ ὁρμῇ πληροῦται τῇ κα-
τὰ πρόθεσιν, τὴν ἐν τῷ ἡγεμονικῷ καθα-
ρότητα πρώτην ἡμῖν διετάξατο. ᾧ γὰρ
μάλιστα προθύμως (1) ἐξαμαρτάνομεν, τοῦ-
το πλείονος ἐπιμελείας ἠξίωσε.

ι. Μεταδιδοὺς δώσεις αὐτῷ, καὶ δά-
νειον δανιεῖς αὐτῷ ὅσον ἂν ἐπιδέηται,
καὶ οὐ λυπηθήσῃ τῇ καρδίᾳ σου διδόν-
τος σου αὐτῷ, ὅτι διὰ τὸ ῥῆμα τοῦτο
εὐλογήσει σε Κύριος ὁ Θεός σου ἐν πᾶ-
σι τοῖς ἔργοις σου, καὶ ἐν πᾶσιν οἷς
ἐὰν ἐπιβάλῃς τὴν χεῖρά σου.

Ματθ. 5. 42. ΑΔΗΛΟΥ. Ὅτι φησὶν ὁ Κύριος· παντὶ
„ τῷ αἰτοῦντί σοι δίδου, καὶ τῷ θέλοντι ἀπὸ
2. Κορ. 9. 7. σοῦ δανείσασθαι, μὴ ἀποστραφῇς. ἱλαρὸν
„ γὰρ δότην ἀγαπᾷ ὁ Θεός.

ια. Οὐ γὰρ μὴ ἐκλίπῃ ἐνδεὴς ἀπὸ
τῆς γῆς σου. διὰ τοῦτο ἐγώ σοι ἐντέλ-
λομαι ποιεῖν τὸ ῥῆμα τοῦτο, λέγων,
ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου τῷ
ἀδελφῷ σου τῷ πένητι τῷ ἐνδεομένῳ
τῷ ἐπὶ τῆς γῆς σου.

ιβ. Ἐὰν δὲ πραθῇ σοι ὁ ἀδελφός
σου ὁ Ἑβραῖος ἢ Ἑβραία, δουλεύσει
σοι ἓξ ἔτη, καὶ τῷ ἑβδόμῳ ἐξαποστε-
λεῖς αὐτὸν ἐλεύθερον ἀπὸ σοῦ.

** ΚΥΡΙΛΛΟΥ. Οἱ πάλαι τῇ ἁμαρ-
τίᾳ δουλεύσαντες, καὶ ἡδονῇ τῇ πρὸς τὸ
φαῦλον ἑαυτοὺς τρόπον τινὰ τῷ Διαβόλῳ
καταπωλήσαντες, δικαιωθέντες ἐν Χριστῷ
διὰ τῆς πίστεως, εἰς τὸν ἀληθῆ καὶ ἅγιον
ἀναβησόμεθα σαββατισμὸν, τὴν διὰ τῆς
χάριτος ἐλευθερίαν ἠμφιεσμένοι, καὶ ἀγα-
θοῖς τοῖς θεόθεν λελαμπρυσμένοι.

A ** ΠΡΟΚΟΠΙΟΥ. Εἰ δὲ κατὰ νόμον
τὸν σωματικὸν, ἀδελφὸν προσῆκεν ἐλευ-
θεροῦν, πόσῳ γε τὸν κατὰ πνεῦμα μᾶλλον
ἡμῖν; καὶ δεῖ τοῖς τοιούτοις ὡς ἐλευθέροις
συνεῖναι, κἀκείνους ὡς ἀγαπητοῖς εὐνοεῖν
τοῖς δεσπόταις, μὴ τὸ δοῦλον αἰσχυνομένους,
ἀρετὴν δὲ διώκοντας ἐν ᾧπερ ἔτυχον σχή-
ματι. οὓς οἱ τελείως ἐλευθεροῦντες, ἀμεί-
» νους, κατὰ τὸ, ἐξαποστελεῖς αὐτὸν ἐλεύ-
θερον ἀπὸ σοῦ, οὐκ ἐν ὡρισμένῳ τινὶ χρόνῳ.
B χρόνου γὰρ κρεῖττον τὸ πνευματικὸν, καὶ
ἀεὶ τούτοις ἑβδόμη πάρεστιν ἡ τοῦ κόσμου
συντέλεια.

ιγ. Ὅταν δὲ ἐξαποστέλλῃς αὐτὸν
ἐλεύθερον ἀπὸ σοῦ, οὐκ ἐξαποστελεῖς
ιδ. αὐτὸν κενόν. Ἐφόδιον ἐφοδιάσεις αὐ-
τὸν ἀπὸ τῶν προβάτων σου, καὶ ἀπὸ
τοῦ σίτου σου, καὶ ἀπὸ τῆς ληνοῦ σου,
καθὰ εὐλόγησέ σε Κύριος ὁ Θεός σου,
Γ δώσεις αὐτῷ.

ΚΥΡΙΛΛΟΥ. Ὁρᾷς ἐναργῶς τοῦ κατὰ
Χριστὸν μυστηρίου τὴν δύναμιν ἐν γε τούτοις
διαλάμπουσαν; λελυτρώμεθα γὰρ, καὶ ἀνῆ-
κεν ἡμᾶς ἐλευθέρους ὁ πάντων ἡμῶν Σω-
» τὴρ, δωρεάν. οὐκ ἐξ ἔργων δικαιοσύνης ὧν
» ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐ-
τοῦ ἔλεος, κατὰ τὸ γεγραμμένον. τῆς γοῦν
οὕτως ὑπερφυοῦς ἡμερότητος μετεσχήκαμεν.
Δ ἀνιεὶς δὲ ἡμᾶς ἐλευθέρους, τουτέστιν ἀπαλ-
λάξας ἁμαρτιῶν, καὶ τῇ τῆς υἱοθεσίας κα-
τακαλλύνας χάριτι, καλὸν ἡμῖν ἐφόδιον
ἑαυτὸν προσέθεικεν ὡς ἄμωμον ἱερεῖον, καὶ
ὡς πρόβατον ἐπὶ σφαγὴν δι᾽ ἡμᾶς ἠγμένος,
καὶ χαρισάμενος τὸ μεταχεῖν εὐλογίας τῆς
ζωοποιοῦ, τουτέστι τῆς ἁγίας αὐτοῦ σαρκός
[τε καὶ αἵματος. τοῦτο οἶμαί ἐστι τὸ ἐφοδιάζε-
σθαι δεῖν ἀπὸ τῶν προβάτων, ἀπό τε σίτου
καὶ οἴνου τοὺς ἐν ἑβδόμῳ καιρῷ, τουτέστιν ἐν
E τῷ νοητῷ σαββάτῳ κεκλημένους εἰς ἐλευ-
θερίαν ἐξ ἡμερότητος τῆς δεσποτικῆς.]

ιε. Καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα
ἐν γῇ Αἰγύπτου, καὶ ἐλυτρώσατό σε Κύ-
ριος ὁ Θεός σου ἐκεῖθεν. διὰ τοῦτο ἐγώ
σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο.

ις. Ἐὰν δὲ λέγῃ πρὸς σὲ, οὐκ ἐξε-
λεύσομαι ἀπὸ σοῦ, ὅτι ἠγάπησέ σε
Z καὶ τὴν οἰκίαν σου, ὅτι εὖ ἐστὶν αὐτῷ
ιζ. παρὰ σοί. Λήψῃ τὸ ὀπήτιον, καὶ
τρυπήσεις τὸ οὖς αὐτοῦ ἐπὶ τὴν θύραν
ἐπὶ τῶν σταθμῶν, καὶ ἔσται σοι οἰκέτης
εἰς τὸν αἰῶνα. καὶ τὴν παιδίσκην σου
ὡσαύτως ποιήσεις.

ΚΥΡΙΛΛΟΥ. (2) Ὁ Κύριος ἡμῶν Ἰη-
σοῦς Χριστὸς ἄφεσιν παρεγγυήσας γενέσθαι
τοῖς ὑπευθύνοις. αὐτὸς πρῶτος ἡμῖν τοῖς
H ὑπευθύνοις καὶ ἐπεγνωκόσιν αὐτοῦ τὴν ἀλή-
θειαν ἐδωρήσατο υἱοθεσίας ἀξίωμα. ὅσοι
τοίνυν

(1) Προχείρως. ἐν τῇ ἀρχῇ τῆς εἰς τὸ, πρόσεχε σεαυτῷ, ὁμιλ.

(2) Οὐκ ἔστι τοῦ Κυρίλ. ἀλλ᾽ ἄλλου τινὸς, ἴσ. τοῦ τὴν σειρὰν συντάξαντος.

τοίνυν μετὰ τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, καὶ ἐν καιρῷ τῆς ἀφέσεως εἰς ἐλευθερίαν φθάσαι μὴ δυνηθῶσιν· ἀγάπῃ δὲ τῇ πρὸς αὐτὸν τὸν καλέσαντα δουλεύειν ἐθέλουσι, καὶ ἐν μείζοσιν ἐξετάζεσθαι, οὐ τελείᾳ κρα-
» τηθέντες ἀγάπῃ, πρὸς τὴν θύραν ἐπὶ τῶν σταθμῶν, ἐπειδήπερ εἰς τέλος ἐκβιῶσαι μὴ ἠδυνήθησαν τῆς δουλείας τὸ πνεῦμα· ὀπητίῳ τρυπῶνται τὸ οὖς. δι' ἧς ὀπῆς κατηχούμενοι καὶ ὑπακούοντες, δουλεύειν δυνήσονται ἕως ἂν τὸν τῆς δουλείας αἰῶνα διαδραμόντες, καὶ εἰς μισθωτοὺς καταγραφέντες, ἐπιδώσουσιν εἰς τὸ τῆς υἱοθεσίας ἀξίωμα. τοῖς γὰρ δουλεύσασιν ἓξ ἔτη, μισθὸς μισθωτοῦ ἡ δουλεία κατελογίσθη. οὕτοι καὶ εἰς ἐλευθερίαν ἀχθῆναι δυνήσονται. τρεῖς γὰρ οἶδα, φησὶ, τάξεις τῶν σωζομένων, ὁ μακάριος Γρηγόριος, (1) δουλείαν, μισθαρνίαν, υἱότητα. εἰ δοῦλος εἶ, τὰς πληγὰς φοβήθητι· εἰ δὲ μισθωτὸς, πρὸς τὸ λαβεῖν βλέπε μόνον· εἰ δὲ ὑπὲρ τούτους εἶ, καὶ υἱὸς, τὸν πατέρα αἰδέσθητι, τὸ καλὸν ἔργασαι· ὅτι καλὸν τῷ πατρὶ πείθεσθαι, κἂν εἴ σοι μηδὲν ἔσεσθαι μέλλοι, τοῦτο αὐτὸ μισθὸς τὸ τῷ πατρὶ χαρίζεσθαι.

ΝΕΙΛΟΥ. [Καλῶς ὁ παρ' Ἑβραίοις νόμος συμβολικῶς τοῦ δούλου τοῦ τὴν ἐλευθερίαν μισήσαντος] μετατρυπᾶσθαι τῷ ὀπητίῳ κελεύει τὸ οὖς· ἵνα μὴ τῇ φυσικῇ τῆς ἀκοῆς ὀπῇ δέξηταί ποτε λόγον ἐλευθερίας, (2) ἀλλὰ δοῦλος μένῃ διηνεκῶς, τὰ παρόντα ἠγαπηκώς.

ΤΟΥ ΑΥΤΟΥ. Σημείωσαι δὲ, ὡς αἰῶνα οἶδε πολλάκις καλεῖν ἡ Γραφὴ ὅλον τοῦ ἑνὸς
» ἀνθρώπου τὸν βίον. καὶ ἔσαι σοι, φησὶν, οἰ-
» κέτης εἰς τὸν αἰῶνα. καὶ πάλιν ὁ Ἀπόσολος, εἰ διὰ κρέας σκανδαλίζεται ὁ ἀδελ-

A » φός μου, οὐ μὴ φάγ
τουτέσιν ὅλον τὸν τ

ιη. Οὐ σκλη
ἐξαποσελλομένω
ἀπὸ σοῦ, ὅτι ἐπε
ἐδούλευσέ σοι ἓξ
σε Κύριος ὁ Θεὸ
ιθ. ποιῇς. Πᾶν πρω
ἐν τοῖς βουσί σου
B τοις σου, τὰ ἀρ
ρίῳ τῷ Θεῷ σου.
τοτόκῳ μόσχῳ σ
κ. πρωτότοκον τῶν
τι Κυρίου τοῦ Θ
ἐνιαυτὸν ἐξ ἐνια
ἐὰν ἐκλέξηται Κ
ὁ οἶκός σου.

Γ κα. Ἐὰν δὲ
χωλὸν ἢ τυφλὸ
πονηρὸς, οὐ θύ
Θεῷ σου.

ΘΕΟΔΩΡΙΤΟ
νον πρωτότοκον ἀ
Διὰ τῶν ἀλόγων
ἄρτιον ἔχειν τὸ φ
γον ἀγαθὸν ἐξηρ

Δ κβ. Ἐν ταῖ
αὐτὸ ὁ ἀκάθαρ
θαρὸς ὡσαύτως
κγ. δα ἢ ἔλαφον.
οὐ φαγῇ, ἐπὶ τὴ
ὡς ὕδωρ.

ΚΕΦ. ΙϚ.

α. Φύλαξαι τὸν μῆνα τὸν νέον, καὶ ποιήσεις τὸ πάσχα Κυρίῳ τῷ Θεῷ σου, ὅτι ἐν μηνὶ τῶν νέων ἐξῆλθες ἐξ Αἰγύπτου νυκτός.

β. Καὶ θύσεις τὸ πάσχα Κυρίῳ τῷ Θεῷ σου πρόβατα καὶ βόας ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτὸν, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐν μὲν οὖν Αἰγύπτῳ θύειν αὐτοῖς μόνον προσέτακται τὸν ἀμνόν· ἐν Ἀριθμοῖς δὲ καὶ ἐνταῦθα προσέθηκε βόας καὶ πρόβατα.

γ. Οὐ φαγῇ ἐπ' αὐτοῦ ζύμην. ἑπτὰ ἡμέρας φαγῇ ἐπ' αὐτοῦ ἄζυμα, ἄρτον κακώσεως, ὅτι ἐν σπουδῇ ἐξήλθε-

τε ἐκ γῆς Αἰγύ
σθῆτε τὴν ἡμέρ
ἐκ γῆς Αἰγύπτου
δ. τῆς ζωῆς ὑμῶν.
σοι ζύμη ἐν πᾶσ
ἡμέρας, καὶ οὐ κο
κρεῶν ὧν ἂν θύσ
ρᾳ τῇ πρώτῃ ἕω
Z ΘΕΟΔΩΡΙΤΟ
γος; Ὁ νόμος ἡμ
» ἑπτὰ ἡμέρας φαγ
» ἐν σπουδῇ ἐξήλθετε
τως δὲ περὶ τούτου ε
δον ἑρμηνεύοντες.

ε. Οὐ δυνήσ
οὐδεμιᾷ τῶν πόλ

Ddd dd 2

(1) Ὁ Ναζιανζ. ἐν τῷ εἰς τὸ ἅγιον Βάπτισμα λόγῳ.

(2) Ὅπερ βλέπομεν γινόμενον ὑπὸ σοῦ. δοῦλος γὰρ τοῦ Σατανᾶ αἰώνιος πέφ
καὶ τὸν παρόντα βίον, μηδέποτε δὲ βουλόμενος, κἂν ἅπαξ θείας Γραφῆς α
τοῦ μέλλοντος αἰῶνος. ταῦτα ἀντὶ τῶν ἑπομ. ἐν τῇ 236. ἐπιστ. τοῦ 2. βιβλ. τῆς

(3) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

ς. Θεός σου δίδωσί σοι. Ἀλλ᾽ ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. ἐκεῖ θύσεις τὸ πάσχα ἑσπέρας πρὸς δυσμὰς ἡλίου, ἐν τῷ καιρῷ ᾧ ἐξῆλθες ἐκ γῆς Αἰγύπτου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁρᾷς πῶς εἰς μίαν πόλιν συγκλείσας τὴν ἑορτὴν, ὕστερον καὶ τὴν πόλιν καθεῖλεν αὐτὴν, ἵνα καὶ ἄκοντας αὐτοὺς ἀπαγάγῃ τῆς πολιτείας B ἐκείνης; ὅτι γὰρ προεῖδε τὸ ἐσόμενον ὁ Θεὸς, παντί που δῆλόν ἐστι. τίνος οὖν ἕνεκεν ἐκεῖ συνήλασεν αὐτοὺς ἀπὸ τῆς οἰκουμένης ἁπάσης, προειδὼς ὅτι ἀπολεῖται ἡ πόλις; οὐκ εὔδηλον, ὅτι καταλυθῆναι βουλόμενος τὴν ἑορτήν;

** ΠΡΟΚΟΠΙΟΥ. Εἷς γὰρ τόπος, καὶ μία πόλις, ἡ καθολικὴ Ἐκκλησία, ἡ καὶ νομίμους ἔχουσα τοὺς ἱερουργοὺς, ἀλλ᾽ οὐκ ἑαυτοῖς ἁρπάζοντας τὴν τιμὴν κατὰ τοὺς ἀπο- Γ στατοῦντας τῆς Ἐκκλησίας. οἵπερ ὡς ταῦροί τινες ὑβρισταὶ πρὸς τὸ σφίσι δοκοῦν ἵενται. αὕτη τοίνυν ἡ πόλις ἐπιτηδεία μόνη πρὸς τὴν τοῦ πάσχα θυσίαν. αἱ γὰρ τῶν αἱρέσεων μάνδραι κατὰ νόμον ἀπόβλητοι.

ζ. Ἑψήσεις καὶ ὀπτήσεις καὶ φαγῇ ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτόν. καὶ ἀποστραφήσῃ τὸ πρωῒ, καὶ ἀπελεύσῃ εἰς τοὺς οἴκους σου. Δ

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ, ἑψήσεις καὶ ὀπτήσεις οὐ πρὸς τὸν ἀμνὸν ἀποδέδοται· ὀπτὰ γὰρ μόνον ἔφη δεῖν ἐσθίειν ἐκείνους τὰ κρέα· πρὸς δὲ τὰ λοιπὰ τὰ μετὰ τὸν ἀμνὸν, καὶ τὰς ὑπολοίπους θυσίας τὰς τηνικαῦτα προσαγομένας, εἰς ἰδικὴν βρῶσιν θυόμενα.

η. Ἓξ ἡμέρας φαγῇ ἄζυμα, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐξόδιον, ἑορτὴ Κυρίῳ τῷ Θεῷ σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Τουτέστιν ὡς ἐν ἐσχάτῃ ἡμέρᾳ ὄντας, ἀπεγνωκέναι τὸν βίον. (1)

ΚΥΡΙΛΛΟΥ. Διὰ τοῦτο καὶ τὸ ἐμπεπτωκὸς βόθρῳ πρόβατον ἢ ὑποζύγιον ἔξω ἐν σαββάτῳ διανιστᾶν. τούτῳ τῷ τρόπῳ καὶ ἡ περιτομὴ πρὸς ψυχῆς ὠφέλειαν ὁρῶσα, καὶ πνευματική τις οὖσα πρᾶξις ἐνηργεῖτο, καὶ μάλα δικαίως. ὁ γὰρ περιτεμνόμενος τὸν ἐξ ἡδονῆς καὶ ὕπνου, τὸν φθειρόμενον ἄνθρωπον, ἀποτίθεται τῇ τῆς ἀκροβυστίας ἀποβολῇ, τύπον ἐπεχούσῃ τοῦ ἁγίου βαπτίσματος, ἐν ᾧ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθέμενοι καὶ ἀποδυόμενοι, τὸν πνευ- A ματικὸν καὶ νέον ἀμφιεννύμεθα, Χριστὸν ἐνδυσάμενοι. (2)

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἀντὶ τοῦ, εἰ μὴ ὅσα εἰς ψυχὴν συμβάλλεται. ὅσα οὖν ἐστὶ ψυχωφελῆ γίνεται ἐν σαββάτῳ, καὶ ὅσα εἰς τὸ ζῆν συντελεῖ. διὰ τοῦτο καὶ τὸν παράλυτον ἐν σαββάτῳ ἐθεράπευσε, καὶ τὸ ἐμπεπτωκὸς πρόβατον ἢ ὑποζύγιον ἔξω ἐν σαββάτῳ ἀνιστᾶν.

B θ. Ἑπτὰ ἑβδομάδας ὁλοκλήρους ἐξαριθμήσεις σεαυτῷ· ἀρξαμένου σου δρέπανον ἐπ᾽ ἀμητὸν, ἄρξῃ ἐξαριθμῆσαι ἑπτὰ ἑβδομάδας.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Ἐν τῷ Δευτερονομίῳ ὡς ἀνακεφαλαιούμενος τὰ ἐν πλάτει ἤδη ἐκτεθέντα, παραγγέλλει (3) ἔντισι τῆς ἀκριβεστέρας ἀφηγήσεως. οὐδὲ γὰρ ἀφ᾽ οὗ ἐπιβάλῃ τὸ δρέπανον τῇ τομῇ τοῦ δράγματος ὁ τὸν θερισμὸν θερίζων, Γ ἀριθμοῦνται αἱ ἑπτὰ ἑβδομάδες, ἀλλ᾽ ἀπὸ τῆς ἐπαύριον μετὰ τὸ λαβεῖν τῇ χθὲς ἡμέρᾳ τὸν ἱερέα τὸ δράγμα, καὶ τῇ ἑξῆς ἀναγαγεῖν αὐτὸ τῷ Κυρίῳ. οὕτω γὰρ ἐν τῷ Λευϊτικῷ (4) διηγόρευται. ὁμοίως δὲ καὶ ἐν τῇ ἑορτῇ τῆς σκηνοπηγίας, οὐκ ἑπτὰ μόνον εἰσὶν αἱ ἡμέραι, ὡς ἐνταῦθά φησιν ἐν ἐπιδρομῇ· ἀλλ᾽ ὀκτὼ, καθὰ ἐν τῷ Λευϊτικῷ, (5) καὶ ἐν τοῖς Ἀριθμοῖς (6) γέγραπται, διὰ τὸ ἐξόδιον αὐτὴν εἶναι, καὶ Δ ῥητῶς λελέχθαι, πασῶν τελευταίαν οὖσαν τῶν ἑορτῶν. τύπος γὰρ ἡ ὀγδόη τοῦ μέλλοντος αἰῶνος, ὅ ἐστιν ὀγδόη ἡμέρα, καθ᾽ ἣν ἡ σκηνοπηγία, καὶ ἡ ἀνάστασις τῶν ἡμετέρων σωμάτων, καὶ ἀληθὴς καὶ τελευταία ἑορτὴ, καὶ φαιδρότης ἀδιάδοχος. (7)

ι. Καὶ ποιήσεις ἑορτὴν ἑβδομάδων
Κυρίῳ τῷ Θεῷ σου, καθ᾽ ὅτι ἰσχύει ἡ
χείρ σου, ὅσα ἂν δῶ σοι, καθ᾽ ὅτι ηὐλό-
ια. γησέ σε Κύριος ὁ Θεός σου. Καὶ εὐ-
E φρανθήσῃ ἔναντι Κυρίου τοῦ Θεοῦ σου
σὺ, καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου,
ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, καὶ ὁ
Λευΐτης ὁ ἐν ταῖς πόλεσί σου, καὶ ὁ
προσήλυτος, καὶ ὁ ὀρφανὸς, καὶ ἡ
χήρα ἡ ἐν ὑμῖν ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκ-
λέξηται Κύριος ὁ Θεός σου αὐτὸν, ἐπι-
ιβ. κληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ. Καὶ
μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰ-
Z γύπτῳ, καὶ φυλάξεις καὶ ποιήσεις
τὰς ἐντολὰς ταύτας.

ιγ. Ἑορτὴν σκηνῶν ποιήσεις σεαυτῷ ἑπτὰ ἡμέρας ἐν τῷ συναγαγεῖν σε ἐκ τῆς ἅλωνός σου καὶ ἀπὸ τῆς ληνοῦ σου.

ΣΕΥΗ-

(1) Οὐδὲ τοῦτο, οὐδὲ τὰ ἑπόμ. τά τε τοῦ Βασιλ. τρία, καὶ τὸ τοῦ Χρυσοσ. ἐν τοῖς ἐκδεδομ. εὕρηται.
(2) Τὰ αὐτὰ περιληπτικώτερ. κεῖται καὶ ἐν σελ. 685. τῷ Σευήρῳ ἐπιγεγραμμένα. οὗ τινος τυχόν εἰσι.
(3) Ἴσ. παρεκβαίνει.
(4) Ἐν κεφ. 23. ἐδ. 17.
(5) Ἐν κεφ. 22. ἐδ. 36.
(6) Ἐν κεφ. 29. ἐδ. 12, 35.
(7) Ἀνεπιγράφου. Τὰ περὶ τῆς ἑορτῆς ἐν τῇ πρὸ ταύτης βίβλῳ ἐξήτασται. καὶ ταῦτα πρὸ τοῦδε τοῦ ὑπομνήμ. παρὰ τοῖν κωδίκ. κεῖται.

ΣΕΥΗΡΟΥ. Τοῦτο τοίνυν ἐστὶν ἑορτὴ, κάθαρσις διανοίας, καὶ συνειδὸς ἀνεπίληπτον. (1)

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἡ ἀληθὴς ἑορτὴ, ἡ τῶν ψυχῶν σωτηρία, ἔνθα βιωτικὴ πᾶσα φαντασία ἀπελήλαται. αἱ ἑπτὰ ἡμέραι τόπον ἐπέχουσι τῆς συντελείας τοῦ αἰῶνος.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Οὐχὶ ταχτῶν ἡμερῶν ἀριθμὸν, ἀλλὰ πάντα τὸν χρόνον τῆς παροικίας ἡμῶν, ἀναμένοντες τὴν ἀληθινὴν πατρίδα, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.

ιδ. Καὶ εὐφρανθήσῃ ἔναντι Κυρίου τοῦ Θεοῦ σου σὺ, καὶ ὁ υἱός σου, καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου, καὶ ἡ παιδίσκη σου, καὶ ὁ Λευΐτης, καὶ ὁ προσήλυτος, καὶ ὁ ὀρφανὸς, καὶ ἡ χήρα ἡ οὖσα ἐν ταῖς πόλεσί σου.

ιε. Ἑπτὰ ἡμέρας ἑορτάσεις Κυρίῳ τῷ Θεῷ σου ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτὸν, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ἐὰν δὲ εὐλογήσῃ σε Κύριος ὁ Θεός σου ἐν πᾶσι τοῖς γεννήμασί σου, καὶ ἐν παντὶ ἔργῳ τῶν χειρῶν σου, καὶ ἔσῃ εὐφραινόμενος.

ις. Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἔναντι Κυρίου τοῦ Θεοῦ σου ἐν τῷ τόπῳ, ᾧ ἐὰν ἐκλέξηται αὐτὸν Κύριος ὁ Θεός σου· ἐν τῇ ἑορτῇ τῶν ἀζύμων, καὶ ἐν τῇ ἑορτῇ τῶν ἑβδομάδων, καὶ ἐν τῇ ἑορτῇ τῆς σκηνοπηγίας. οὐκ ὀφθήσῃ ἐνώπιον Κυρίου τοῦ Θεοῦ σου κενός.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΙΟΥ. Τὸ δὲ τρεῖς τὴν περὶ Θεοῦ θεωρίαν ἐκλείνεσθαι, δηλοῖ τὴν ἐν Τριάδι τῆς θεολογίας ἐπίγνωσιν.

ΩΡΙΓΕΝΟΥΣ. Εὑρίσκομεν ἐν ταῖς Γραφαῖς τὸ ὄνομα τῆς ἑορτῆς καὶ τῆς πανηγύρεως, ὥσπερ παρὰ τῷ Προφήτῃ λέγοντι,
Ὠσ. 9. 5. „ τί ποιήσετε ἐν ἡμέρᾳ πανηγύρεως, καὶ
„ ἐν ἡμέρᾳ ἑορτῆς Κυρίου; ζητητέον τὴν διαφορὰν ἑορτῆς καὶ πανηγύρεως. πᾶσα μὲν οὖν, ἵν' οὕτως εἴπω, ἱλαρὰ ἡμέρα, ἐν ᾗ προτέτακται ὡς ἐν ἁγίᾳ τάδε τινα παρὰ τὰς λοιπὰς ποιεῖν ἐξαίρετα, ἑορτὴ καλεῖται· οὐ πᾶσα δὲ ἔστι πανήγυρις, ἀλλὰ κατὰ τὸ ὄνομα, ὅτε ἐπὶ τὸ αὐτὸ συναθροίζονται οἱ πανταχόθεν Ἑβραῖοι. ὥστε κατὰ τοῦτο, τὴν μὲν πανήγυριν εἶναι καὶ ἑορτὴν, οὐκ ἔτι δὲ πάντως τὴν ἑορτὴν, πανήγυριν· οἷον, σάββατα καὶ νεομηνίαι, ἑορταὶ εἰσιν· ἄζυμα δὲ καὶ αἱ ἡμέραι τῶν ἀζύμων (2) καὶ σκηνοπηγίαι, οὐ μόνον ἑορταὶ, ἀλλὰ καὶ πανηγύρεις, ὅτε προσέτακται πᾶν ἀρ-

A „ σενικὸν φαίνεσθαι ἐνώπιον Κυρίου τοῦ Θεοῦ „ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τρεῖς οὖν καιροὺς, ὦ ψυχὴ, τουτέστι τὸν τριμερῆ χρόνον, σύμπασα ἐμφανὴς ἀεὶ γίνου Θεῷ, μὴ τὸ θῆλυ αἰσθητὸν πάθος ἐφελκομένη, ἀλλὰ τὸν ἄνδρεῖον καὶ καρτερίας ἀσκητὴν λογισμὸν ἐκθυμιῶσα. τρισὶ γὰρ καιροῖς τοῦ ἐνιαυτοῦ ὀφθῆναι πᾶν ἀρσενικὸν ἐναντίον Κυρίου τοῦ Θεοῦ Ἰσραὴλ ὁ ἱερὸς λόγος προστάττει.

B ιζ. Ἕκαστος κατὰ τὴν δύναμιν τῶν χειρῶν ὑμῶν, καὶ κατὰ τὴν εὐλογίαν Κυρίου τοῦ Θεοῦ σου ἣν ἔδωκέ σοι.

ιη. Κριτὰς καὶ γραμματοεισαγωγεῖς καταστήσεις σεαυτῷ ἐν πάσαις ταῖς πόλεσί σου, αἷς Κύριος ὁ Θεός σου δίδωσί σοι κατὰ φυλὰς, καὶ κρι-
Γ νοῦσι τὸν λαὸν κρίσιν δικαίαν.

ΩΡΙΓΕΝΟΥΣ. Ὥστε μὴ χαρίζεσθαί τισι, φησὶν, ἀλλ' ἀδεκάστως τὸ δίκαιον διακρίνειν ἑκάστῳ.

ιθ. Οὐκ ἐκκλινοῦσι κρίσιν, οὐδὲ ἐπιγνώσονται πρόσωπον, οὐδὲ λήψονται δῶρα· τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ ἐξαίρει λόγους
Δ δικαίων.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὰ δῶρα, φησὶν ὁ νόμος, πηροῖ μὲν ὀφθαλμοὺς βλέποντας, τὰ δὲ δίκαια λυμαίνεται, τὴν δὲ διάνοιαν οὐκ ἐᾷ διὰ λεωφόρου βαίνειν ἐπ' εὐθείας. καὶ τὸ μὲν δωροδοκεῖν ἐπ' ἀδίκοις, παμπονήρων ἐστὶν ἀνθρώπων ἔργον· τὸ δ' ἐπὶ δικαίοις, ἐφ' ἡμίσεια πονηρευομένων. εἰσὶ γὰρ οὖν ἐπάρυφοί τινες, ἡμιμόχθηροι, δικαιάδικοι, τὴν περὶ τῶν πεπλημμελημέ-
E νων τεταγμένοι τάξιν κατὰ τῶν πλημμελησάντων, προῖκα δ' οὐκ ἀξιοῦντες νικῶντας γράφειν, οὓς νικᾶν ἀναγκαῖον, ἀλλὰ τὴν γνῶσιν ὤνιον καὶ ἔμμισθον ἀποφαίνοντες· εἶτ' ἐπειδάν τις αἰτιᾶται, φασὶ μὴ παρατετράφθαι τὸ δίκαιον· ἡττῆσθαι μὲν γὰρ οὓς ἁρμόττον ἦν ἡττῆσθαι, νενικηκέναι δὲ οὓς ἐχρῆν περιγενέσθαι· κακῶς ἀπολογούμενοι. δύω γὰρ δεῖ προσφέρεσθαι τὸν ἀγαθὸν δικαστὴν, νομικωτάτην γνῶσιν, καὶ
Z τὸ ἀδέκαστον. ὁ δ' ἐπὶ δώροις βραβεύτης τοῦ δικαίου, καλὸν φύσει πρᾶγμα λέληθεν αἰσχύνων. ἐπεξαμαρτάνει δὲ καὶ δύ' ἕτερα· τὸ μὲν, ἐθίζων ἑαυτὸν εἶναι φιλοχρήματον, ὅπερ ὁρμητήριον τῶν μεγίστων παρανομημάτων ἐστί· τὸ δὲ, βλάπτων ὃν ἄξιον ἦν ὠφελεῖν, τιμὴν τοῦ δικαίου κατατιθέντα.

** ΚΥΡΙΛΛΟΥ. Ὤετο δεῖν ὁ νόμος, καὶ μάλα εἰκότως, τοὺς οἵπερ ἂν εἶεν εἰς τὸ δικάζειν ἡγμένοι, καὶ τοῦ χρηματίζεσθαι φιλεῖν

(1) Μικρὸν διαφέρει τοῦ ἐν σελ. 812.

(2) Τῶν ἑβδομάδων ἐν σελ. 390. τοῦ 2. Τόμ. τῆς τοῦ Ρου ἐκδόσ. καὶ ἐν σελ. 1128. τῆς δὲ τῆς Βίβλ. ὅπου μέρος τούτου κεῖται. ὃ ἐν αὐτῇ τῇ 390. σελ. τοῦ εἰρημ. Τόμ. τέως εὕρηται, καίτοι μὴ ἐν τοῖς ἐκδεδομ. εὑρεθῆναι ἐκεῖ, ἤτοι ἐν τῇ εἰρημ. 1128. σελ. σεσημείωται.

φιλεῖν ὁρᾶσθαι βελτίους, καὶ τῇ πρός τινας αἰδοῖ μὴ χαριζομένους τοῦ καλῶς καὶ ἀδιαβλήτως ἔχοντος τὴν παράβασιν, καὶ μὴν καὶ τὸ ἑτεροκλινὲς, ὡς ἀνόσιον ἀποσειομένους, ταλαντεύοντάς τε συννόμως ἕκαστα τῶν πραγμάτων, καὶ τὸν τῶν ὅλων ἀπομιμεῖσθαι κριτὴν, τουτέστι Χριστόν· ὃν καὶ αὐτὸς ὁ νόμος προαναπεφώνηκεν ἐναργῶς καὶ κριτὴν ὄντα εἰδὼς, ὡς Θεόν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Οὐδὲ ἐπιγνώσονται πρόσωπον. τὸν γὰρ κριτὴν προσήκει τύπον σώζειν Χριστοῦ.

κ. Δικαίως τὸ δίκαιον διώξει, (1) ἵνα ζῆτε, καὶ εἰσελθόντες κληρονομήσητε τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Σφόδρα παιδευτικῶς Μωϋσῆς, δικαίως τὸ δίκαιον προστάττει μεταδιώκειν· αἰνιττόμενος ὅτι καὶ ἀδίκως ἔνεστι, διὰ τοὺς ἐπὶ δώροις τοῦ δικαίου βραβευτὰς, οὐ μόνον ἐν δικαστηρίοις, ἀλλὰ καὶ πανταχοῦ κατά τε γῆν καὶ θάλατταν, καὶ ἐν ἅπασιν, ὀλίγου δέω φάναι, τοῖς τοῦ βίου πράγμασιν. ἤδη γοῦν ὀλιγοχρήματόν τις παρακαταθήκην λαβὼν, ἀπέδωκεν, ἐπ' ἐνέδρᾳ μᾶλλον τοῦ λαμβάνοντος, ἢ ὠφελείᾳ, ἵνα τὴν ἐν ὀλίγοις πίστιν δέλεαρ καθεὶς, ἀγκιστρεύσηται τὴν ἐν μείζοσιν ἀπιστίαν, ὅπερ οὐδὲν ἦν ἕτερον, ἢ τὸ δίκαιον μὴ δικαίως ἐπιτελεῖν. δίκαιον μὲν γὰρ, ἡ τῶν ἀλλοτρίων ἀπόδοσις, οὐ δικαίως δὲ γίνεται, παρ' ὅσον ἐπὶ θήρᾳ πλειόνων.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, δικαίως τὸ δί- » καιον διώξει; (2) Κατὰ τὸν τοῦ δικαίου, φησὶ, σκοπὸν, μὴ διὰ δόξαν κενὴν, μὴ διὰ θεραπείαν ἀνθρωπίνην, ἀλλὰ δι' αὐτὸ τὸ ἀγαθὸν, μετέρχου τὸ ἀγαθόν. εἰσὶ γάρ τινες, γνώμῃ μὲν οὐ τιμῶντες τὸ δίκαιον, διὰ δὲ τοὺς ἀληθῶς τιμῶντας τὸ δίκαιον, ὑποκρινόμενοι τιμᾶν τὸ δίκαιον.

ΣΕΥΗΡΟΥ. Ἀντὶ τοῦ, γενοῦ δίκαιος δι' αὐτὸ τὸ καλόν· μὴ μὴν διὰ τὸ ἀφοσιοῦσθαι τὸν νόμον, τὸ δίκαιον φυλάσσων τοῖς ἀδικουμένοις.

» ** ΒΑΣΙΛΕΙΟΥ. Δικαίως τὸ δίκαιον διώξεις, τουτέστι μετὰ τοῦ λόγου τῆς δικαιοσύνης ἐπιτελεῖν τὴν πρᾶξιν. οἷον, ποιεῖ μὲν γάρ τι ἰατρικὸν πρὸς ὠφέλειαν φέρον τῶν ἀσθενούντων ὁ ἰδιώτης, ἀλλ' οὐχὶ καὶ ἰατρικῶς ἐποίησεν ὁ τοιοῦτος, τῷ μὴ ἔχειν τὶ τῆς τέχνης τῇ ἐνεργείᾳ συνεπόμενον.

» ** ΤΟΥ ΑΥΤΟΥ. Δικαίως, φησὶ, » τὸ δίκαιον διώξεις, τουτέστι μετὰ τῶν περὶ δικαιοσύνης λόγων τὴν δικαίαν πρᾶξιν ἐπιτελέσεις. ὡς γάρ ἐστί τι ποιῆσαι ἰατρικὸν, ἀλλ' οὐκ ἰατρικῶς· οὕτως ἐστί τι ποιῆσαι δίκαιον, καὶ μὴ δικαίως. οἷον, ἰατρικὸν μὲν

A αὐτὴ ἡ τῆς βοτάνης χρῆσις· ἰατρικῶς δὲ ὁ λόγος, καὶ τὴν δύναμιν τῆς βοτάνης, καὶ τοῦ πάθους τὴν ἰδιότητα, καὶ τὸν καιρὸν, καὶ τὸ μέτρον, καὶ τὸν τρόπον τῆς χρήσεως ἐπεσκεμμένος. διαφέρει δὲ τὸ κατ' ἐπιστήμην τοῦ αὐτομάτου. ὁ μὲν γὰρ κατὰ τὴν τέχνην ποιῶν, ἀεὶ τὰ αὐτὰ ποιήσει, ἕως ἂν ἔχῃ τὸν λόγον· ὁ δὲ αὐτομάτως, οὐκ ἀεὶ συντρέχοντα ἕξει τὰ ὠφελοῦντα, ἀλλ' εἰ σήμερον ἔσωσε, τοῖς αὐτοῖς-

B ποτε καὶ διέφθειρεν· οὕτω καὶ ἡ τοῦ καλοῦ πραγματεία κατ' ἐπιστήμην ἐνεργουμένη ὁμαλῶς ἀποδίδοται, ἕως ἂν ἐνοικῶν ὁ λόγος οὗτος ἑκάστῳ τῶν γιγνομένων ἐπιστατῇ.

ΩΡΙΓΕΝΟΥΣ. Τίς γὰρ τὸ δίκαιον οὐ δικαίως διώκει; Διαλαβόντες δὲ ἐκεῖνο, εὐχερῶς καὶ ἐπὶ τοῦτο μετελευσόμεθα, ὅτι ἔστι δικαίως τὸ ἄδικον διώκειν. ἐξήγησις μὲν τοῦ, δικαίως τὸ δίκαιον διώκειν αὕτη· ἐπὰν καὶ τὸ πραττόμενον καθῆκον ᾖ, καὶ

Γ ὑγιεῖ διαθέσει ἐνεργῆται· ὡς εἴ τις σωφροσύνην δι' οὐδὲν ἄλλο ἢ δι' ἑαυτὴν κατορθώσει, καθάπερ Ἰωσὴφ ἀναγέγραπται πεποιηκέναι. τοῦ δὲ ἀδίκως τὸ δίκαιον διώκειν, ἡ σαφήνειά ἐστι τοιαύτη· ἐπὰν τὸ καθῆκον μέν τις ἐπιτελῇ, προθέσει δὲ μοχθηρᾷ· ὡς εἴ τις δόξαν τὴν παρ' ἀνθρώποις θηρώμενος κοινωνήσει τῶν ὑπαρχόντων πένησι· ὅπερ ἀπαγορεύων ὁ Σωτὴρ φησιν· Ἐὰν Ματθ. ϛ. 2.
» ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπρο-
Δ » σθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς
» συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δο-
» ξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων. τὸ δὲ δικαίως τὸ ἄδικον ποιεῖν, νοηθείη ἂν, ὅταν προθέσει τὰ κρείττονα ποιεῖν τὶς προελόμενος, παρ' ἄγνοιαν τοῦ καλοῦ πράττῃ τὰ χείρονα. ὁποῖός ποτε γέγονε Παῦλος, προδιδοὺς τὰς ἐκκλησίας κατὰ ζῆλον εὐσεβείας. ἀδίκως δὲ τὸ ἄδικον, ὅταν καὶ τὸ πραττόμενον ἄδικον ᾖ, καὶ ἡ προαίρεσις κακοποιητική.

Ε ΤΟΥ ΑΥΤΟΥ. (3) Τουτέστι μετὰ τὸ γινώσκειν καὶ πεπαιδεῦσθαι τοὺς τῆς δικαιοσύνης λόγους, διώξεις καὶ ἐπιζητήσεις τὸ δίκαιον καθαρεύων πάσης προσπαθείας. καὶ ταύτῃ τοῦ δικαίου δίκαιος ὢν ζητητὴς, καὶ πανταχόθεν περιπεφραγμένος, καὶ ἔσω τῶν ὅρων τῆς δικαιοσύνης ἱστάμενος. πολλοὶ γὰρ αὐτὸ τὸ ἐθέλειν δίκαιοι εἶναι μεθυσθέντες τὸν νοῦν διὰ τῆς δοκούσης ἀκριβοῦς αὐτῶν δικαιοσύνης, τὴν δικαιοσύνην

Ζ ἠδίκησαν. ὅθεν καὶ ὁ συνετὸς Ἐκκλησιαστὴς, μᾶλλον δὲ ὁ τῆς συνέσεως παιδευτής· Χριστὸς γάρ ἐστιν ὁ ἀληθὴς Ἐκκλησιαστὴς, τῆς Ἐκκλησίας ἡ κεφαλὴ, καὶ τοῦ Θεοῦ πατρὸς ἡ ἀνωτάτω καὶ ἐνυπόστατος σοφία καὶ λόγος· ἄγχων τὸ πέραν μέτρου, κἂν
» ἐπὶ τὰ δεξιὰ φέρηται, παραινεῖ· μὴ γίνου Ἐκκλ. 7. 17.
» δίκαιος πολὺ, καὶ μὴ σοφίζου περισσά.

** ΤΟΥ ΑΥΤΟΥ. Εἰ μέν τίς ἐστι δίκαιος, τὸ δίκαιον διώκει· οὐ μὴν εἴ τις τὸ δίκαιον

(1) Διώξῃ. αἱ εἰρημ. ἐκδόσ.

(2) Διώξετε; ἡ ἐν Χάλ. ἐκδ.

(3) Ἐκ τῆς πρὸς Φάτιον καὶ Ἀνδρέαν πρεσβυτέρους ἐπιστολῆς. καὶ ταῦτα πρόσκειται παρὰ τοῖν κωδίκ. ἰστέον δὲ, ὅτι ὁ Μοντφαυκόνιος (παρὰ Ῥου. ἐν σελ. 2. τοῦ 1. Τόμ. τῶν Ὠριγ. συγγραμ.) τοῦ Σευήρου εἶναί φησι τὴν ἐπιστολήν.

δίκαιον διώκει, δίκαιός ἐστιν. ἐκεῖνο (1) ὅπερ σιωπήσεις ἐπιστήσας τῷ· δικαίως τὸ δίκαιον διώξῃ, εἴπερ μὴ μάτην, τὸ, δικαίως, προτέτακται τοῦ, τὸ δίκαιον διώξῃ. δυνατὸν γὰρ οἶμαι τὸ δίκαιον διώκειν, ἀλλ' οὐ δικαίως. καὶ γὰρ οἱ ποιοῦντες πρὸς τὸ δοξασθῆναι ὑπὸ τῶν ἀνθρώπων ἔργον καθ' αὑτὸ καθῆκον, φέρε εἰπεῖν, εἰς πένητας, δίκαιον μέντοι πεποιήκασιν, οὐ μὴν ἀπὸ ἕξεως δικαιοσύνης, ἀλλ' ἀπὸ κενοδοξίας. οἶμαι δ' ὅτι ἀνάλογον τῷ, δικαίως τὸ δίκαιον διώξῃ, λέγοιτ' ἂν, σωφρόνως τὸ σῶφρον διώξῃ, καὶ ἀνδρείως τὸ ἀνδρεῖον διώξῃ, καὶ σοφῶς τὸ σοφὸν διώξῃ, καὶ τὰ ἀνάλογον ἐπὶ τῶν λοιπῶν ἀρετῶν.

κα. Οὐ φυτεύσεις σεαυτῷ ἄλσος. πᾶν ξύλον παρὰ τὸ θυσιαστήριον Κυρίου τοῦ Θεοῦ σου οὐ ποιήσεις σεαυτῷ.

** ΩΡΙΓΕΝΟΥΣ. Ἐξ ἀκάρπων τὰ ἄλση δένδρων, τέρψεως χάριν φυτευομένων, οἷς ἐοίκασι τῶν ἑτεροδόξων οἱ λόγοι, κάλλος ἔχοντες πιθανότητος, οὐ τῶν ἀκουόν-
A των ἐπιστροφήν· οἷς ὁ ἐπιδοὺς ἑαυτὸν ὑποκάτω πορεύεται παντὸς ξύλου ἀλσώδους, δι' οὗ δῆλον ὅ φησιν ὁ νομοθέτης· οὐ φυτεύσεις πᾶν ξύλον ὑπὸ τὸ θυσιαστήριον Κυρίου τοῦ Θεοῦ σου, καὶ οὐ ποιήσεις ἄλσος.

κβ. Οὐ στήσεις σεαυτῷ στήλην, ἃ ἐμίσησε Κύριος ὁ Θεός σου.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μάταιος ὅστις μὴ Θεῷ στήλην ἀνατίθησιν, ἀλλ' ἑαυ-
B τῷ τὰ γενέσεως ἱστὰς τῆς πάντη σαλευομένης, καὶ ἐπιγραμμάτων καὶ ἐπαίνων ἀξιῶν, ἃ ψόγου καὶ κατηγορίας μεστὰ ὄντα, καλὸν ἦν ἢ μὴ γραφῆναι τὸ παράπαν, ἢ γραφέντα εὐθὺς ἀπαλειφθῆναι. διὸ καί φησιν ἄντικρυς ὁ ἱερὸς λόγος, οὐ στήσεις σεαυτῷ στήλην. ἔστηκε γὰρ τῶν ἀνθρώπων (2) πρὸς ἀλήθειαν οὐδεὶς, κἂν διαρραγῶσί τινες ψευδόμενοι. ἀλλὰ γὰρ οὐκ οἴονται μόνον παγίως ἐρηρεῖσθαι, ἀλλὰ καὶ
Γ τιμῶν ἄξιοι καὶ ἐπιγραμμάτων εἶναι, τοῦ μόνου τιμῆς ἀξίου καὶ ἑστῶτος ὄντος ἐπιλελησμένοι.

ΚΕΦ. ΙΖ.

α. Οὐ προσοίσεις Κυρίῳ τῷ Θεῷ σου μόσχον ἢ πρόβατον, ἐν ᾧ ἐστιν ἐν αὐτῷ μῶμος, πᾶν βρῶμα (3) πονηρὸν, ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου ἐστίν.
β. Ἐὰν δὲ εὑρεθῇ ἐν σοὶ ἐν μιᾷ τῶν πόλεών σου, ὧν Κύριος ὁ Θεὸς δίδωσί σοι, ἀνὴρ ἢ γυνὴ, ὅστις ποιήσει τὸ πονηρὸν ἔναντι Κυρίου τοῦ Θεοῦ σου, πα-
γ. ρελθεῖν τὴν διαθήκην αὐτοῦ, Καὶ ἐλθόντες λατρεύσωσι Θεοῖς ἑτέροις, καὶ προσκυνήσωσιν αὐτοῖς, τῷ ἡλίῳ, ἢ τῇ σελήνῃ, ἢ παντὶ τῷ ἐκ τοῦ κόσ-
δ. μου τοῦ οὐρανοῦ, ἃ οὐ προσέταξε, Καὶ ἀναγγελεῖ σοι, καὶ ἐκζητήσεις σφόδρα, καὶ ἰδοὺ ἀληθῶς γέγονε τὸ ῥῆμα, γεγένηται τὸ βδέλυγμα αὐτοῦ (4) ἐν Ἰσραήλ.

ε. Καὶ ἐξάξεις τὸν ἄνθρωπον ἐκεῖνον, ἢ τὴν γυναῖκα ἐκείνην, οἵτινες ἐποίησαν τὸ πρᾶγμα τὸ πονηρὸν τοῦτο ἐπὶ τὴν πύλην, καὶ λιθοβολήσετε αὐτοὺς ἐν λίθοις, καὶ τελευτήσουσιν.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ λιθοβολήσουσιν αὐτούς. ἀσεβείας γὰρ προκειμένης, καὶ δι' εὐσεβοῦς σκληρότητος θεραπευέσθω Θεός.

ΔΙΟΝΥΣΙΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ. Ἐπ' ἐκείνοις μὲν, εἴπερ τις ἀσεβὲς περὶ Θεοῦ ἐφθέγξατο, λιθοβολεῖσθαι τὸν τοιοῦτον ὁ νόμος ἐκέλευσεν· ἡμεῖς δὲ τοῖς στερροῖς τῆς πίστεως ἡμῶν λόγοις αὐτὸν καταλεύσομεν.

ΤΟΥ ΑΥΤΟΥ. (5) Τοῦτό ἐστιν ὅπερ εἶ-
Δ. πεν ὁ Χριστός· ὁ φιλῶν πατέρα ἢ μητέρα Ματθ. 10. 37.
ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος.

ς. Ἐπὶ δυσὶ μάρτυσιν ἢ ἐπὶ τρισὶ μάρτυσιν ἀποθανεῖται. ὁ ἀποθνήσκων οὐκ ἀποθανεῖται ἐφ' ἑνὶ μάρ-
ζ. τυρι. Καὶ ἡ χεὶρ τῶν μαρτύρων ἔσται ἐπ' αὐτῷ ἐν πρώτοις θανατῶσαι αὐτὸν, καὶ ἡ χεὶρ παντὸς τοῦ λαοῦ ἐπ'
E ἐσχάτων. καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

η. Ἐὰν δὲ ἀδυνατήσῃ ἀπὸ σοῦ ῥῆμα ἐν κρίσει ἀναμέσον αἵματος αἷμα, καὶ ἀναμέσον κρίσις κρίσεως, καὶ ἀναμέσον ἁφὴ ἁφῆς, καὶ ἀναμέσον ἀντιλογία ἀντιλογίας, ῥήματα κρίσεως ἐν ταῖς πόλεσί σου, καὶ ἀναστὰς ἀναβήσῃ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέ-
Z ξηται Κύριος ὁ Θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ,

** ΠΡΟΚΟΠΙΟΥ. Ἐὰν δὲ ἀδυνατήσῃ ἀπὸ σοῦ ῥῆμα ἐν κρίσει. Ταῦτα τοῖς κατὰ πόλιν κριταῖς. τὸ δὲ, ἀναμέσον αἵματος αἷμα, περὶ μάχης ἀκουστέον προελθούσης εἰς αἷμα, ἢ τραύματος καὶ φόνου, παρὰ τοῖς κριταῖς διαφόρως κρινομένου. ὅπερ σαφηνίζει τὸ, ἀναμέσον κρίσεως κρίσις·
H ἤγουν ἰδικόν τι λέξας, εἶτα πρὸς τὸ γένος ἀναδραμὼν, αὖθις ἰδικώτερον διατάττεται, εἰπὼν,

(1) Τὸ, ἐκεῖνο, περιττόν. (2) Τῶν ἀνθρωπίνων, ἀνάγν. (3) Πᾶν ῥῆμα. αἱ εἰρημ. ἐκδόσ.
(4) Τὸ βδέλυγμα τοῦτο. αἱ αὐτ. (5) Διονυσίου, ἢ Κυρίλλου. ὁ Αὐθεντ. κώδ.

„ εἰπὼν, ἀναμέσον ἀφῆς ἀφή· οἷόν τις ἐν μάχῃ πληγὴν πρῶτος ἐπήνεγκε, τοῦ πλη-
„ σίον ἀψάμενος. καὶ ἀναμέσον ἀντιλογίας ἀντιλογία. οἷον, εἰ μάχη γένοιτο λογικὴ εἰς ζήτησιν τυχὸν νομικὴν ἢ καὶ ὕβριν τείνουσα.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Τουτέστι τῆς μέχρις αἵματος προελθούσης μάχης.

ΑΔΗΛΟΥ. Ἢ ὅταν ἐξετάζηται, τίς ἥψατο πρῶτος, τίς ἐπέβαλε χεῖρα.

„ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἐὰν ἀδυνα-
„ τήσῃ ἀπὸ σοῦ ῥῆμα ἐν κρίσει ἀναμέσον αἷμα
„ αἵματος, καὶ τὰ ἑξῆς; Ἐὰν, φησὶ, μὴ δυνηθῇς εὑρεῖν τὸ ἀληθὲς δικάζων, ἢ τὸ σῶμα τὸ λεπρὸν δοκιμάζων· τοῦτο γὰρ ἁφὴν καλεῖ· μηδὲ διαγνῷς εἴτε ἀλφός ἐστιν, εἴτε λέπρα· μήτε κρίνῃς, μήτε δικάσῃς ἐξ ὑποψίας, ἀλλ' εἰς τὸν θεῖον νεὼν ἄπιθι, καὶ δίδαξον ταῦτα τὸν ἱερέα, ἢ τὸν κατ' ἐκεῖνον τὸν καιρὸν τὴν δημαγωγίαν πεπιστευμένον, καὶ τὸ κελευόμενον πλήρωσον.

θ. Καὶ ἐλεύσῃ πρὸς τοὺς ἱερεῖς τοὺς Λευΐτας, καὶ πρὸς τὸν κριτὴν, ὃς ἂν γένηται ἐν ἐκείναις ταῖς ἡμέραις, καὶ ἐκζητήσαντες ἀναγγελοῦσί σοι τὴν κρίσιν.

✱✱ ΚΥΡΙΛΛΟΥ. Ὁρᾷς ἐπισκήπτοντα σαφῶς τὸν νόμον τοῖς κατὰ πᾶσαν αἰτίαν ἐγκαλεῖν ᾑρημένοις, κριτήν τε καὶ διαγνώμονα ποιεῖσθαι τὸν ἱερουργόν.

„ ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἐλεύσῃ, φησὶ, πρὸς
„ τοὺς ἱερεῖς τοὺς Λευΐτας, καὶ τὸν κριτήν. τύπον γὰρ εἶχον, ὁ μὲν κριτὴς Μωϋσέως, οἱ δὲ ἱερεῖς οἱ Λευῖται τῶν ο' πρεσβυτέρων, ἐφ' οὓς τὰ βαρύτερα τῶν κριμάτων ἀνέφε-
Δευτ. 32. 7. ρον. σύμφωνον δὲ τῷ παρόντι τὸ, ἐπε-
„ ρώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι,
„ τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι.

ι. Καὶ ποιήσεις κατὰ τὸ ῥῆμα ὃ ἂν ἀναγγέλλωσί σοι οἱ ἐκ τοῦ τόπου, οὗ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, καὶ φυλάξῃ σφόδρα ποιῆσαι κατὰ πάντα ὅσα ἂν νομοθετηθῇ σοι.

✱✱ ΚΥΡΙΛΛΟΥ. Νομοθετεῖ μὲν γὰρ ἥκιστα μὲν αὐτὸς, ἀποκομίζει δὲ μᾶλλον εἰς τὸ εὐθὺ τὸ τῷ νομοθέτῃ δοκοῦν ἀδεκάστως ἀφηγούμενος· καὶ δικαιοσύνης ὑπάρχων ἄριστος βραβευτὴς, τὴν ἐφ' ἑκάστῳ κρίσιν ταλαντεύει λεπτῶς.

ια. Κατὰ τὸν νόμον καὶ κατὰ τὴν κρίσιν ἣν ἐὰν εἴπωσί σοι ποιήσεις. οὐκ ἐκκλινεῖς ἀπὸ τοῦ ῥήματος οὗ ἐὰν ἀναγγέλλωσί σοι δεξιὰ οὐδὲ ἀριστερά.

A ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Πᾶς γὰρ κρίνειν τὸν λαὸν ἐγκεχειρισμένος, τάξιν ἔχει τοῦ πάντων νομοθέτου τε καὶ κριτοῦ. διόπερ ἡ τῆς ἀπειθείας ὕβρις εἰς Θεὸν ἀναφέρεται.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὴν βασιλικὴν ὁδὸν, ἣν ἀληθῆ καὶ γνήσιον ἔφαμεν εἶναι φιλοσοφίαν, ὁ νόμος καλεῖ ῥῆμα Θεοῦ καὶ λόγον. γέγραπται γὰρ, οὐκ ἐκκλι-
„ νῇς (1) ἀπὸ τοῦ ῥήματος, οὗ ἐγὼ ἐντέλλο-
B „ μαί σοι σήμερον, δεξιὰ οὐδὲ ἀριστερά. ὥστε ἐμφανῶς ἐπιδεδεῖχθαι, ὅτι ταὐτόν ἐστι τῇ βασιλικῇ ὁδῷ τὸ Θεοῦ ῥῆμα, εἴ γε προτρέπει, μήτ' ἀπὸ τῆς βασιλικῆς ὁδοῦ, μήτ' ἀπὸ τοῦ ῥήματος, ὡς σωωμένων (2) ὄντων ἀποκλίνοντας, ὀρθῇ διανοίᾳ τὴν ἐπ' εὐθεῖαν ἄγουσαν ἀτραπὸν μέσην τε καὶ λεωφόρον βαδίζειν.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Δεῖ τὸν διὰ τῆς σεμνῆς καὶ τεθλιμμένης εἰσελθεῖν εἰς τὴν ζωὴν
Γ προθέμενον, φυλάσσειν ἑαυτὸν ἀπὸ πάσης παρεκβάσεως καὶ παρεκτροπῆς τῶν ἐντολῶν τοῦ Κυρίου, πληροῦντα τὸ γεγραμμένον,
„ μὴ ἐκκλίνῃς εἰς δεξιὰ μηδὲ ἀριστερά.

ιβ. Καὶ ἄνθρωπος ὃς ἐὰν ποιήσῃ ἐν ὑμῖν ἐν ὑπερηφανίᾳ, τοῦ μὴ ὑπακοῦσαι τοῦ ἱερέως τοῦ παρεστηκότος λειτουργεῖν ἐπὶ τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ σου, ἢ τοῦ κριτοῦ ὃς ἐὰν γένηται
Δ ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀποθανεῖται ὁ ἄνθρωπος ἐκεῖνος, καὶ ἐξα-
ιγ. ρεῖς τὸν πονηρὸν ἐξ Ἰσραήλ. Καὶ πᾶς ὁ λαὸς ἀκούσας φοβηθήσεται, καὶ οὐκ ἀσεβήσει ἔτι.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ δέ τις τύφῳ χρώμενος, τοῖς ὑπὸ τοῦ ἀρχιερέως ἢ τοῦ κριτοῦ λεγομένοις ἀντείποι, θανάτῳ ζημιούσθω, καὶ γινέσθω τοῖς ἄλλοις ὠφελείας ἀρ-
E χέτυπον.

ΚΥΡΙΛΛΟΥ. Ὁ γὰρ τὸν τοῦ Θεοῦ λειτουργὸν ἀτιμάσας, ὑπὸ δίκην ἔσται καὶ κόλασιν. καὶ ὁ τὸ θεῖον ἀξίωμα περιπλύων, πικροὺς τῆς ὑπεροψίας ἀποτίσει λόγους.
„ οὕτω (3) καὶ ὁ Κύριός φησιν, ὅτι ἐπὶ τῆς Ματθ. 23. 2,
„ Μωσέως καθέδρας ἐκάθισαν οἱ Γραμμα- 3.
„ τεῖς καὶ οἱ Φαρισαῖοι. διό φησι, πάντα
„ ὅσα λέγουσιν ὑμῖν ποιεῖν ποιεῖτε, κατὰ δὲ
Z „ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε.

ΤΟΥ ΑΥΤΟΥ. Μηδεὶς οὖν κρινέτω τὸν ἱερουργὸν, κἂν εἰ παρειμένος ὁρῷτό πως, κἂν εἰ τὸ ῥάθυμον ἔχοι πρός γε τὸ βίον ἑλέσθαι σὺν νόμῳ. διερμηνεύοντι δὲ τὸν νόμον, προσκομιζέτω τὴν εὐπείθειαν. πράττει (4) μὲν γὰρ τὰ ἀπὸ γνώμης οἰκείας, ἐξηγεῖται δὲ τὰ τοῦ Θεοῦ. οὐκ ἀτιμαστέον δὲ τὰ τοῦ Θεοῦ διὰ τὰ ἀνθρώπινα.

ιδ. Ἐὰν

(1) Οὐκ ἐκκλινεῖς, ἀνάγν.

(2) Συνωνύμων. ὀρθῶς. ἐν ταῖς σημειώσ. ταῖς ἐν σελ. 244. τοῦ 1. Τόμ. τῆς τοῦ Μαγγ. ἐκδόσ.

(3) Πεφροντικότα δὲ καὶ αὐτὸν εὑρήσομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τῆς εἰς τόνδε τὸν νόμον αἰδοῦς. προσεφώνει γὰρ ὧδ' τοῖς Ἰουδαίων λαοῖς· ἐπὶ τῆς Μωσέως, κτλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 476.

(4) Πάχει. αὐτ. ἐν σελ. 477.

ιδ. Ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ, καὶ κατακληρονομήσῃς αὐτὴν, καὶ κατοικήσῃς ἐπ᾽ αὐτὴν, καὶ εἴπῃς, καταστήσω ἐπ᾽ ἐμαυτὸν ἄρχοντα, καθὰ καὶ τὰ λοιπὰ ἔθνη τὰ κύκλῳ μου.

ιε. Καθιστῶν καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα, ὃν ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτόν. ἐκ τῶν ἀδελφῶν σου καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα· οὐ δυνήσῃ καταστῆσαι ἐπὶ σεαυτὸν ἄνθρωπον ἀλλότριον, ὅτι οὐκ ἀδελφός σου ἐστί.

» ✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Φησὶ, καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα, οὐκ ἀλλότριον, ἀλλ᾽ ἐκ τῶν σῶν ἀδελφῶν· δηλῶν ἐθελούσιον αἵρεσιν, καὶ δοκιμασίαν ἀνεπίληπτον ἄρχοντος, ὃν σύμπασα ἡ πληθὺς ὁμογνωμονοῦσα ποιήσεται. προσεπιψηφίζεται δὲ τὴν αἵρεσιν ἐπισφραγιζόμενος καὶ ὁ τῶν κοινωφελῶν ἁπάντων βεβαιωτὴς Θεὸς, ἐκλογήν τινα τοῦ γένους ὑπολαβὼν εἶναι τὸν ἄνθρωπον, ὡς ὄψιν ἐν σώματι. τὰς δὲ αἰτίας τοῦ μὴ δεῖν ἀλλότριον αἱρεῖσθαι πρὸς ἀρχὴν, διττὰς ἐπιγράφει· τὴν μὲν, ἵνα μὴ πλῆθος ἀργυρίου καὶ χρυσίου καὶ θρεμμάτων συναγάγῃ, πολὺν πλοῦτον καὶ παντάδικον ἐκ τῆς πενίας τῶν ὑπηκόων θησαυρισάμενος· τὴν δ᾽, ἵνα μὴ τὸ ἔθνος ἐκ τῆς οἰκείας χώρας ἀναστήσας, ἕνεκα τῶν ἰδίων πλεονεξιῶν, ἀναγκάζῃ μετανίστασθαι, πλάνον ἀνήνυτον ὧδε κἀκεῖσε φερόμενον, ὑποβαλὼν ἀτελεῖς ἐλπίδας μειζόνων ἀγαθῶν κτήσεως, εἰς ἀφαίρεσιν ὧν ἤδη βεβαίως ἐκαρποῦτο. προὔπέλαβε γὰρ, ὡς εἰκὸς, τὸν ὁμόφυλον καὶ συγγενῆ, μετέχοντα τῆς πρὸς τὴν ἀνωτάτω συγγένειαν οἰκειότητος· ἡ δ᾽ ἀνωτάτω συγγένειά ἐστι πολιτεία μία, καὶ νόμος ὁ αὐτὸς, καὶ εἷς Θεὸς, ᾧ πάντες οἱ ἀπὸ τοῦ ἔθνους προσκεκλήρωνται· μηδέποτε τὰ παραπλήσια τοῖς λεχθεῖσι διαμαρτεῖν, ἀλλ᾽ ἔμπαλιν, ἀντὶ μὲν τοῦ μεθορμίζειν τοὺς οἰκήτορας, καὶ τοῖς ἐν τῇ ξένῃ σποράσιν ἀσφαλῆ κάθοδον παρέξειν· ἀντὶ δὲ τοῦ τὰ τῶν ἄλλων ἀφαιρεῖσθαι χρήματα, προσεπιδώσειν τοῖς δεομένοις, τὴν ἰδίαν οὐσίαν ἀποφλῶντα κοινήν.

✱✱ ΚΥΡΙΛΛΟΥ. Οὐ δεῖ γὰρ ἡμᾶς τῇ κτίσει λατρεύειν παρὰ τὸν κτίσαντα Θεὸν, ἱέντας ὡς ἐσωτάτω τοῖς τῆς ἀληθείας προσκλίνεσθαι λόγοις, καὶ εἰσκαλέσαι μὲν ὥσπερ εἰς γῆν τὴν ἁγίαν, τουτέστι τὴν ἐπαγγελίαν τοῦ Θεοῦ τὴν διὰ πίστεως τῆς ἐν Χριστῷ· καταστῆσαι δὲ οὕτως ἐφ᾽ ἑαυτοῖς ἄρχοντα καὶ κριτὴν τὸν ἐκ Θεοῦ πεφυκότα υἱὸν, κἂν εἰ νοοῖτο μετὰ σαρκός· λέγει τε περὶ ἡμῶν·
Ψαλ. 2. 6, 7. ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ᾽ αὐτοῦ ἐπὶ
» Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ

A » πρόσταγμα Κυρίου. ἕτερόν γε μὴν ἐπ᾽ αὐτῷ τὸ σύμπαν οὐδένα παραδεξόμεθα, καὶ τοῖς ἐθνείοις ζυγοῖς οὐχ ὑποίσομεν τὸν αὐχένα.
» εἷς γὰρ ἡμῖν ἐστὶ καθηγητὴς ὁ Χριστός. Ματθ. 23. 8.

ις. Πλὴν οὐ πληθυνεῖς (1) ἑαυτῷ ἵππον, οὐδὲ μὴ ἀποστρέψῃς (2) τὸν λαὸν εἰς Αἴγυπτον, ὅπως μὴ πληθύνῃ ἑαυτῷ ἵππον· ὁ δὲ Κύριος εἶπεν, οὐ προσθήσεσθε ἀποστρέψαι ταύτῃ τῇ
B ὁδῷ ἔτι.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Βούλεται γὰρ αὐτοὺς ὁ Θεὸς τῆς παρ᾽ αὐτοῦ βοηθείας ἐξηρτῆσθαι, καὶ μὴ ταῖς οἰκείαις παρασκευαῖς ἐλπίζειν ἐν τοῖς πολέμοις. (3)

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε κελεύει τὸν ἄρχοντα ἵππους μὴ πληθύνειν; Βούλεται αὐτοὺς τῷ Θεῷ θαῤῥεῖν μόνῳ. διά τοι τοῦτο
» καὶ ὁ Δαβὶδ ὁ μακάριος βοᾷ· οὐ σώζεται Ψαλ. 32. 16, 17.
Γ » βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ
» σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. ψευ-
» δὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυ-
» νάμεως αὐτοῦ οὐ σωθήσεται.

» ΚΥΡΙΛΛΟΥ. Ἴσως ἐπειδὴ, ἵππον καὶ Ἐξόδ. 15. 1.
» ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν. ἅτινα ἐστὶ τῆς ἀτιμίας τὰ πάθη. διὰ τοῦτο, οὐκ ἀλλογενῆ καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα, πληθύνοντα ἑαυτῷ ἵππον, καὶ πρὸς τὴν νοητὴν Αἴγυπτον καὶ τὸν ταύτης βα-
Δ σιλεύοντα Φαραὼ, τουτέστι τὸν Σατανᾶν, ἡμᾶς ἀποστρέφοντα.

ΤΟΥ ΑΥΤΟΥ. Ὁ γὰρ ἀπολυτρωθεὶς ἐκ τῆς τῶν Αἰγυπτίων δουλείας, καὶ τοῦ καταδυναστεύοντος Φαραὼ διὰ τοῦ ἁγίου βαπτίσματος, οὐ δύναται διὰ τῆς αὐτῆς ὁδοῦ
» αὐτομολῆσαι πάλιν εἰς Αἴγυπτον. ἀδύνα- Ἑβρ. 6. 4, 5, 6.
» τον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσα-
» μένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ
» μετόχους γενηθέντας πνεύματος ἁγίου, καὶ
E » καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε
» μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πά-
» λιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασαυ-
» ροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ παρα-
» δειγματίζοντας.

» ✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Διότι οὐ
» πληθυνεῖ ἑαυτῷ ἵππον, οὐδ᾽ οὐ μὴ ἀποστρέ-
» ψει τὸν λαὸν εἰς Αἴγυπτον. Οὐκοῦν τῶν ἱπποτρόφων πρὸς ἀρχὴν πέφυκεν οὐδεὶς κατὰ τὸν ἱερώτατον Μωϋσῆν· καίτοι φαίη
Z τις ἂν ἴσως, ὅτι μεγάλη χείρ ἐστι βασιλέως ἱππικὴ δύναμις. Καὶ μετ᾽ ὀλίγα. Ἀλλὰ γὰρ οὐκ ἔστι νῦν ὁ λόγος αὐτῷ περὶ δυνάμεως ἱππικῆς, ἣν συγκροτεῖσθαι πρὸς ἄρχοντος ἐπ᾽ ἀναιρέσει δυσμενῶν καὶ σωτηρίᾳ φίλων ἀναγκαῖον, ἀλλὰ περὶ τῆς κατὰ ψυχὴν ἀλόγου καὶ ἀμέτρου καὶ ἀπειθοῦς φορᾶς, ἣν ἐπισομίζειν λυσιτελές· μήποτε τὸν λαὸν αὐτῆς ἅπαντα εἰς Αἴγυπτον, τὴν τοῦ σώματος χώραν, ἀποστρέψῃ, καὶ φιλήδονον
H καὶ φιλοπαθῆ μᾶλλον ἢ φιλάρετον καὶ φιλόθεον ἀνακράτος ἐργάσηται.

ιζ. Καὶ

(1) Διότι οὐ πληθυνεῖ. αἱ εἰρημ. ἐκδόσ. (2) Ἀποστρέψῃ. αἱ αὐτ.
(3) Οὐδὲ τοῦτο, οὐδὲ τὰ ἑξῆς 3. τοῦ Κυρίλ. ἐν τοῖς ἐκδεδομ. εὕρηται.

ιζ. Καὶ οὐ πληθυνεῖ ἑαυτῷ γυναῖκας, ἵνα μὴ μεταστῇ αὐτοῦ καρδία. καὶ ἀργύριον καὶ χρυσίον οὐ πληθυνεῖ ἑαυτῷ σφόδρα.

ΚΥΡΙΛΛΟΥ. Αἱ γὰρ περὶ πολλὰς γυναῖκας ὁμιλίαι παντὸς ἐπέκεινα μολυσμοῦ, ὡς (1) τοῦ Σολομῶντος τέλους ἐστὶν ἰδεῖν.

ΑΔΗΛΟΥ. Ἀλλὰ τὸν οὕτω εὐκλεᾶ καὶ ἀοίδιμον καὶ σοφίας εἰς τοῦτο διεληλακότα λοιπὸν, ὡς ἀμετρήτῳ γενέσθαι θαύματι καὶ παρὰ τοῖς ἄγαν διῳκισμένοις, ἡδονὴ γυναικῶν ἐξεμόχλευσε πονηρῶν, καὶ οἱονείπως ἐξελοῦσα τῆς θείας σκηνῆς, τοῖς τῆς εἰδωλολατρείας ἐνῆκε βόθροις, ὡς γέγραπται ἐν τῇ γ´ τῶν Βασιλειῶν. (2)

ΑΔΗΛΟΥ. Δῆλον, ὅτι ἀπὸ πλεονεξίας καὶ ἀδίκων πόνων.

ΑΔΗΛΟΥ. Οὗτος γάρ φησίν ἐστι κατὰ
Ψαλ. 51. 7. τὸν Δαβὶδ, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν, καὶ τὰ ἑξῆς.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἀλλ' οὐδὲ ἀργύριον, » ἢ χρυσίον πληθυνεῖ ἑαυτῷ σφόδρα, μετρίως δὲ δηλονότι διὰ τὰς ἀπαραιτήτους δαπάνας. τὸ δὲ παρὰ τοῦτο, πλεονεξία, ἐξ ἀδίκων πόρων, ἢ ἀπανθρώπου γνώμης, μὴ διορθουμένης τοῖς ἐν χρείᾳ τὴν ἔνδειαν, μηδὲ τιθεμένης ἐπὶ Θεὸν τὴν ἐλπίδα, κα-
Ψαλ. 51. 7. τὰ τὸ, ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν » Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ » πλήθει τοῦ πλούτου αὐτοῦ.

ιη. Καὶ ἔσται ὅταν καθίσῃ ἐπὶ τοῦ δίφρου τῆς ἀρχῆς αὐτοῦ, καὶ γράψει ἑαυτῷ τὸ Δευτερονόμιον τοῦτο εἰς βιβλίον παρὰ τῶν ἱερέων τῶν Λευϊτῶν,

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀφ' ἧς δ' ἂν ἡμέρας παρέλθοι τὶς ἐπὶ τὴν ἀρχὴν, κελεύει τὴν ἐπινομίδα γράψαι αὐτοχειρίᾳ, κεφαλαιώδη τύπον περιέχουσαν ἁπάντων τῶν νόμων· βουλόμενος ἔγκολλα τῇ ψυχῇ τὰ διατεταγμένα γενέσθαι. τοῦ μὲν γὰρ ἀναγινώσκοντος ὑποῤῥεῖ τὰ νοήματα τῇ φορᾷ παρασυρόμενα, τῷ δὲ γράφοντι κατὰ σχολὴν ἐνσφραγίζεται καὶ ἐνιδρύεται, τῆς διανοίας ἐνευκαιρούσης ἑκάστῳ, καὶ ἐπερειδούσης ἑαυτὴν, καὶ μὴ μεθιέσης ἐφ' ἕτερον, πρὶν ἢ περιδράξασθαι τοῦ προτέρου βεβαίως.

A, » * ΠΡΟΚΟΠΙΟΥ. Γράψει (3) ἑαυτῷ » τὸ Δευτερονόμιον. Τοῦτο (4) οὐδενὶ ἄλλῳ μεμαρτύρηκεν ἡ Γραφὴ, πλὴν Ἰωσίᾳ τῷ βασιλεῖ, [μόλις εὑρεθέντος ἐν οἴκῳ Θεοῦ τοῦ βιβλίου· καὶ ἀναγνοὺς διέῤῥηξε τὴν ἐσθῆτα δι' ἃ παρηνόμησαν, καὶ ἀνέγνω τὸ βιβλίον ἐν τοῖς ὠσὶ παντὸς τοῦ λαοῦ.]

ιθ. Καὶ ἔσται μετ' αὐτοῦ, καὶ ἀναγνώσεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας
B τῆς ζωῆς αὐτοῦ, ἵνα μάθῃ φοβεῖσθαι Κύριον τὸν Θεὸν αὐτοῦ, καὶ φυλάσσεσθαι πάσας τὰς ἐντολὰς ταύτας, καὶ τὰ δικαιώματα αὐτοῦ (4) ποιεῖν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὅταν μέντοι γράψῃ, πειράσθω καθ' ἑκάστην ἡμέραν ἐντυγχάνειν καὶ ἀναγινώσκειν, ὑπέρ τε συνεχοῦς καὶ ἀδιαστάτου μνήμης καλῶν καὶ συμφερόντων ἅπασι διαταγμάτων, καὶ ὑπὲρ
Γ τοῦ βέβαιον ἔρωτα καὶ πόθον αὐτῶν αὐτῷ ἐγγενέσθαι, τῆς ψυχῆς ἀεὶ διδασκομένης καὶ ἐξεθιζομένης ἐνομιλεῖν νόμοις ἱεροῖς.

κ. Ἵνα μὴ ὑψωθῇ ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, ἵνα μὴ παραβῇ ἀπὸ τῶν ἐντολῶν δεξιὰ ἢ ἀριστερὰ, ὅπως ἂν μακροχρόνιος ᾖ ἐπὶ τῆς ἀρχῆς αὐτοῦ αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ μετ' αὐτοῦ ἐν τοῖς υἱοῖς Ἰσραήλ.

Δ

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Βασιλικὴν ἔωθεν ὀνομάζειν Μωσῆς ὁδὸν, τὴν μέσην, ὑπερβολῆς καὶ ἐλλείψεως οὖσαν μεθόριον· καὶ ἄλλως, ἐπειδὴ τὸ μέσον ἐν τριάδι τὴν ἡγεμονίδα τάξιν εἴληφεν, ἁρμοζόμενον τὰ παρ' ἑκάτερα εἰς ἕνωσιν ἀδιαλύτῳ δεσμῷ, ὑφ' ὧν καὶ δορυφορεῖται τρόπον βασιλέως. νομίμου δ' ἄρχοντος ἰσότητα τιμῶντος ἀδέκαστον, τὰ δίκαια κρίνοντος δικαίως, ἐμ-
E μελετῶντος ἀεὶ τοῖς νόμοις, ἆθλον εἶναί φησι τὴν μακροχρόνιον ἡγεμονίδα· οὐχ ἵνα πολυετῆ ζωὴν αὐτῷ χαρίσηται μετὰ τοῦ τὰ κοινὰ πρυτανεύειν, ἀλλ' ἵνα ἀναδιδάξῃ τοὺς ἀγνοοῦντας, ὅτι νόμιμος ἄρχων κἂν τελευτήσῃ, βίον ζῇ μακραίωνα διὰ τῶν πράξεων, ἃς ἀθανάτους καταλέλοιπε, μνημεῖα καλοκἀγαθίας ἀκαθαίρετα.

Κ Ε Φ. Ι Η.

α. Οὐκ ἔσται τοῖς ἱερεῦσι τοῖς Λευΐταις ὅλῃ φυλῇ Λευῒ μερὶς οὐδὲ κλῆρος μετὰ Ἰσραήλ· καρπώματα Κυρίου ὁ κλῆ-
β. ρος αὐτῶν, φάγονται αὐτά. Κλῆρος δὲ οὐκ ἔσται αὐτοῖς ἐν τοῖς ἀδελφοῖς αὐτῶν· Κύριος αὐτὸς κλῆρος αὐτοῦ, καθότι εἶπεν αὐτῷ.

γ. Καὶ αὕτη ἡ κρίσις τῶν ἱερέων παρὰ τοῦ λαοῦ παρὰ τῶν θυόντων τὰς θυσίας, ἐάν τε μόσχον, ἐάν τε πρόβατον· καὶ δώσεις τῷ ἱερεῖ τὸν βραχίονα, καὶ τὰ σιαγόνια, καὶ τὸ ἔνυστρον,

** ΚΥΡΙΛΛΟΥ. Ἐξῄρηνται τοῖς εἰς τὸ λειτουργεῖν ἐπιτεταγμένοις ὅ, τε βρα-
H χίων καὶ τὰ σιαγόνια καὶ μὴν τὸ ἔνυστρον. ἐνεῖναι

(1) Ἐκ τοῦ, ἀνάγν.
(2) Σινημμένον εἶναι οὐκ ἔοικε τῷ προτέρῳ, ἀλλὰ κεχωρισμένον κεῖται παρὰ τοῖς κώδ.
(3) Μελετήσει. ὁ τῆς Αὐγ. κώδ. (4) Ὅπερ. ὁ αὐτ.
(5) Τὰ δικαιώματα ταῦτα. αἱ εἰρημ. ἐκδόσ.

ἐνεῖναι γὰρ δεῖ τῷ ἀπολέκτῳ γένει τὸ πρακτικὸν καὶ δραστήριον· καὶ τοῦτό ἐστιν ὁ βραχίων· καὶ μέντοι καὶ λόγον, δῆλον δὲ ὅτι τὸν διδακτικὸν, οὗ τύπος τὰ σιαγόνια· προσέτι δὲ καὶ τὸ ἔνυστρον, δι' οὗ τὸ καρπογόνον εὖ μάλα σημαίνεται.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀπὸ τῶν ἔξω τοῦ βωμοῦ θυομένων ἕνεκα κρεωφαγίας, τρία προστέτακται τῷ ἱερεῖ δίδοσθαι, βραχίονα, καὶ σιαγόνας, καὶ τὸ καλούμενον ἤνυστρον· (1) τὸν μὲν βραχίονα, διὰ τὴν ὀλίγῳ πρότερον εἰρημένην αἰτίαν· (2) τὰς δὲ σιαγόνας, τοῦ τε κυριωτάτου τῶν μελῶν, κεφαλῆς καὶ λόγου τοῦ κατὰ προφορὰν, ἀπαρχήν. καὶ γὰρ τούτου τὸ νᾶμα ῥεῖ ἔξω, καὶ δίχα τῆς κινήσεως τούτων οὐκ ἂν δύναιτο. σειομένων γὰρ, ἀφ' οὗ καὶ προσωνομάσθησαν ἐτύμως, ὅταν πληχθῶσιν ὑπὸ γλώττης, ἅπασα ἡ τῆς φωνῆς ὀργανοποιΐα συνηχεῖ. τὸ δὲ ἤνυστρον, ἔκφυσις κοιλίας ἐστί· κοιλίαν δὲ φάτνην ἀλόγου θρέμματος, ἐπιθυμίας, εἶναι συμβέβηκεν· ἥτις ὑπὸ οἰνοφλυγίας καὶ ὀψοφαγίας ἀρδομένη, τροφαῖς ἐπαλλήλοις σιτίων ὁμοῦ καὶ ποτῶν, αἰεὶ κατακλύζεται, καὶ συὸς τρόπον ἐν βορβόρῳ διαιτωμένη χαίρει. παρ' ὃ καὶ τόπος ἐπενεμήθη σφόδρα οἰκειότατος, ὁ τῶν περιττωμάτων, ἀκολάστῳ καὶ ἀπρεπεστάτῳ θρέμματι. ἀντίπαλον δὲ ἐπιθυμίας ἐγκράτεια, ἣν ἀσκητέον καὶ διαπονητέον καὶ σπουδαστέον πάσῃ μηχανῇ περιποιεῖσθαι, ὡς μέγιστον ἀγαθὸν καὶ τελειότατον, ἰδίᾳ τε καὶ κοινῇ συμφέρον. ἐπιθυμία μὲν οὖν βέβηλος καὶ ἀκάθαρτος καὶ ἀνίερος οὖσα, πέραν τῶν ἀρετῆς ὅρων ἐλήλαται καὶ πεφυγάδευται δεόντως· ἐγκράτεια δὲ, καθαρὰ καὶ ἀκηλίδωτος ἀρετὴ, πάντων ὅσα πρὸς βρῶσιν καὶ πόσιν ἀλογοῦσα, καὶ ἐπάνω τῶν γαστρὸς ἡδονῶν αὐχοῦσα ἵστασθαι, βωμῶν ἱερῶν ψαυέτω, καὶ τὴν πρόσφυσιν (3) ἐπιφερομένη τῆς κοιλίας, ὑπόμνημα τοῦ καταφρονητικῶς ἔχειν ἀπληστίας καὶ λαιμαργίας, καὶ πάντων ὅσα τὰς εἰς τοῦτ' ἐπιθυμίας ἀναφλέγει.

δ. Καὶ τὰς ἀπαρχὰς τοῦ σίτου σου,
καὶ τοῦ οἴνου σου, καὶ τοῦ ἐλαίου σου· καὶ
τὴν ἀπαρχὴν τῶν κουρῶν τῶν προβά-
ε. των σου δώσεις αὐτῷ. Ὅτι αὐτὸν ἐξε-
λέξατο Κύριος ὁ Θεός σου ἐκ πασῶν
τῶν φυλῶν σου, παρεστάναι ἔναντι Κυ-
ρίου τοῦ Θεοῦ σου, λειτουργεῖν καὶ εὐλο-
γεῖν ἐπὶ τῷ ὀνόματι Κυρίου, αὐτοὶ (4)
καὶ οἱ υἱοὶ αὐτῶν πάσας τὰς ἡμέρας.

ϛ. Ἐὰν δὲ παραγένηται ὁ Λευΐ-
της ἐκ μιᾶς τῶν πόλεων ὑμῶν ἐκ πάν-
των τῶν υἱῶν Ἰσραὴλ, οὗ αὐτὸς παροι-
κεῖ, καθότι ἐπιθυμεῖ ἡ ψυχὴ αὐτοῦ,
εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται Κύριος
ζ. ὁ Θεὸς, Λειτουργήσει τῷ ὀνόματι Κυ-
ρίου τοῦ Θεοῦ αὐτοῦ, ὥσπερ πάντες οἱ
ἀδελφοὶ αὐτοῦ οἱ Λευῖται οἱ παρεστη-
κότες ἐκεῖ ἔναντι Κυρίου τοῦ Θεοῦ σου.
η. Μερίδα μεμερισμένην φάγεται, πλὴν
τῆς πράξεως τῆς κατὰ πατριάν.

** ΚΥΡΙΛΛΟΥ. Ἑνὸς γὰρ ὄντος Θεοῦ πανταχῇ τῶν ἱερέων ἅπτεσθαι χρὴ τοὺς εἴς γε τουτὶ παρῳνωεγμένους, καὶ ψήφῳ τῇ ἄνωθεν ἀπολελεγμένους. τοῦτό τοι καὶ νῦν ἐν Ἐκκλησίαις τετήρηται, καὶ τετίμηται καὶ πρὸς ἡμῶν ὁ νόμος. πόλις μὲν γὰρ ἑκάστῳ καὶ κλῆρος ἴδιος τῶν ἐξειλεγμένων εἰς ἱερωσύνην, συμπαραλαμβάνεται δὲ πρὸς ἱερουργίαν, κἂν εἰ ἐξ ἑτέρας εἰς ἑτέραν ἴοι τυχὸν ἢ πόλιν ἢ χώραν, καὶ συνεσθίει μετὰ τῶν ἱερέων, καὶ τοῖς τῆς ἀγάπης τιμᾶται νόμοις. ἔοικε δέ τι καὶ μυστικὸν, καθάπερ ἐγῷμαι πάλιν ὁ νόμος ὑποδηλοῦν. μυρίαι μὲν γὰρ ἀνὰ πᾶσαν τὴν οἰκουμένην χῶραί τε καὶ πόλεις, ἐν αἷς ἅγιαί τε καὶ θεοφιλεῖς ἀνθρώπων ψυχαὶ λειτουργοῦσι Θεῷ, διά γε τοῦ ζῆν ἐννόμως· καὶ πολιτεύεσθαι μὲν εὐαγγελικῶς, καταθύειν δὲ ὥσπερ αὐτῷ τὰ εἰς ὀσμὴν εὐωδίας, δῆλον δὲ ὅτι τῆς πνευματικῆς, πίστιν, ἐλπίδα, ἀγάπην, ὑπομονὴν, πρᾳότητα, φι-
» λοπτωχείαν. τοιαύταις γὰρ θυσίαις εὐα- Ἑβρ. 13. 16.
» ρεστεῖται Θεὸς, κατὰ τὰς Γραφάς. ἀλλ'
οἵδε δὴ πάντες καθάπερ εἰς μίαν καὶ κοι-
νὴν μητέρα συνθέουσι τὴν ἐπουράνιον Ἱερου-
σαλὴμ, τὴν τῶν πρωτοτόκων ἐκκλησίαν,
» τὴν ἄνω καλλίπολιν, τὴν σκηνὴν τὴν ἀλη- Ἑβρ. 8. 2.
» θινὴν, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρω-
πος. ἐκεῖ καθαρώτερον λειτουργήσομεν,
ἐξαιρεθείσης μὲν ἡμῶν τῆς ἁμαρτίας εἰς
ἅπαν, πεπαυμένου δὲ λέοντος καὶ δράκον-
» τος, βασιλίσκου καὶ ἀσπίδος. ἔσται γάρ- Ἠσ. 35. 8, 9.
» φησιν ἐκεῖ ὁδὸς καθαρὰ, καὶ ὁδὸς ἁγία
» κληθήσεται. καὶ οὐ μὴ εὑρεθῇ ἐκεῖ λέων,
» οὐδὲ τῶν θηρίων τῶν πονηρῶν οὐδὲν οὐ μὴ
ἀναβῇ ἐκεῖ. μεμερισμένην ἐκεῖ μερίδα φα-
» γόμεθα. γέγραπται γὰρ, τοὺς καρποὺς τῶν Ψαλ. 127. 2.
» πόνων σου φάγεσαι. ἢ οὐκ ἀνάλογος τοῖς
ἑκάστου πόνοις ἡ τῶν ἀγαθῶν ἀντέκτησις,
εἰ καὶ ἐν μέτρῳ πλείονι διὰ τὴν τοῦ δεσπό-
του φιλοτιμίαν;

θ. Ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν,
ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, οὐ
μαθήσῃ ποιεῖν κατὰ τὰ βδελύγμα-
τα τῶν ἐθνῶν ἐκείνων.

ι. Οὐχ εὑρεθήσεται ἐν σοὶ περι-
καθαίρων τὸν υἱὸν αὐτοῦ καὶ τὴν θυ-
γατέρα αὐτοῦ ἐν πυρὶ, μαντευόμενος

(1) Σιαγόνας καὶ ἔνυστρον καλούμενον· ἤνυστρον, τὸ ἔντερον λέγει. ἐν ταῖς σημ. ταῖς ἐν σελ. 235. τοῦ 2. Τόμ. τῆς τοῦ Μαγγ. ἐκδόσ.

(2) Βραχίονα μὲν ἀπὸ χειρὸς δεξιᾶς· ἀπὸ δὲ τοῦ στήθους ὅσον πῖον· τὸ μὲν, ἰσχύος καὶ ἀνδρείας, καὶ πάσης νομίμου πράξεως, οὔτε τῷ διδόναι καὶ λαμβάνειν καὶ ἐνεργεῖν σύμβολον· τὸ δὲ, τῆς περὶ τὸν θυμὸν ἵλεω πρᾳότητος. ταῦτά εἰσιν ἡ πρότερον εἰρημένη αἰτία.

(3) Ἴσ. ἔκφυσιν, ὡς καὶ ἀνωτέρω.

(4) Αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ. αἱ εἰρημ. ἐκδόσ.

μαντείαν, κληδονιζόμενος, καὶ οἰωνι-
ια. ζόμενος μαντείαν, Φαρμακὸς ἐπάδων ἐπαοιδὴν, ἐγγαστρίμυθος καὶ τερατοσκόπος, ἐπερωτῶν τοὺς νεκρούς.

ΚΥΡΙΛΛΟΥ. Εὖγε, ὦ Φιλότης, ἐψόμεθα οὐχὶ τερατοσκόποις τε καὶ νεκρομάντεσιν, ἀλλ' οὐδὲ πτήσεις τὰς οἰωνῶν ὡς ἀληθές τι χρῆμα παραδεξόμεθα, κἂν εἰ φέροιντο πρὸς δεξιὸν, εἴτε οὖν πρὸς εὐώνυμον, κἂν εἰ πρὸς ἑσπέραν τε καὶ πρὸς ἠῶ· B μωρίας γὰρ οἶμαι ταῦτα ἐσχάτης· ἡγεμόνα δὲ τοῦ παντὸς ποιούμενοι Χριστὸν τὸν δι' ἡμᾶς καθ' ἡμᾶς Προφήτην, παρ' αὐτοῦ ληψόμεθα τῶν ἀναγκαίων τὴν γνῶσιν, [καὶ] αὐτῷ προσεδρεύσομεν, οἰμώζειν μακρὰ ταῖς τῶν Δαιμόνων ψευδοεπείαις, καὶ τὸ ἐῤῥῶσθαι, λέγοντες. μόνῳ γὰρ ὥσπερ τὸ χρῆναι ζωοποιεῖν, καὶ κατάρχειν τῶν ὅλων Φυσικῶς τε καὶ ἰδικῶς ἀνακείσεται τῷ Θεῷ, τὸν αὐτὸν οἶμαι τρόπον καὶ τὸ πάντων ἔχειν τὴν γνῶσιν. ἴδιον δὲ τῆς Φύσεως τῆς αὐτοῦ εἰδέναι σαφῶς τὰ ἐσόμενα, καὶ συνειλεγμένην ὥσπερ ἐν ἑαυτῷ τὴν τῶν ὅλων εἴδησιν ἔχειν. εἰς αὐτὸν ἄρα πλημμελήσομεν, καὶ εἰς τὴν ἀνωτάτω δόξαν ἡ γραφὴ, εἰ βεβήλοις τε καὶ ἀκαθάρτοις πνεύμασιν ἐνεῖναι πιστεύσομεν τὰ δι' ὧν αὐτὸς κατακαλλιώοιτό τε καὶ ὑπάρχοι λίαν εὐπρεπής. (1) ὥρα γὰρ ἤδη διακειμένους ὡδὶ Φλαύρως ὑπονοεῖν, καὶ ζωοποιεῖν δύνασθαι, καὶ μὴν καὶ δημιουργὸν τὸν Σατανᾶν ὑπάρχειν, εἰ τὰ πάντων ἐξαίρετα καὶ ἰδικῶς ἀνακείμενα τῇ τοῦ Θεοῦ Φύσει χαριούμεθά τε αὐτῷ καὶ προσπεφυκέναι Φαμέν.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Ἄτοπον γὰρ τὸν ἔχοντα τὴν ἐκ τῶν δικαιωμάτων τοῦ Θεοῦ συμβουλίαν πρὸς τὰ ὑπὲρ τῶν πρακτέων σκέψιν, συμβούλους ἑαυτῷ παραλαμβάνειν τὰ ἄλογα· μᾶλλον δὲ οὐδὲ συμβούλοις, ἀλλὰ διδασκάλοις χρῆσθαι καὶ νομοθέταις. καὶ τὸν μὲν ἑαυτοῦ κίνδυνον παρακείμενον, καὶ ἐν ὀφθαλμοῖς ὄντα οὐκ οἶδεν ὁ ὄρνις, σοὶ δὲ τὸ μέλλον προσαγορεύει. καὶ τῆς μὲν καλιᾶς ἀποπτὰς, τροφὴν πορίσαι τοῖς νεοσσοῖς, ἄπρακτος ἐπανῆλθε πολλάκις, σοὶ δὲ μαντεῖον γέγονεν ἀψευδὲς, καὶ τοῦ μέλλοντος ἀποκάλυψις ἡ ματαία τοῦ ὄρνιθος κίνησις. εἰ δὲ ἀπὸ Δαιμόνων ἐνεργείας ἀπατηλὰ περιπέτονται, μή μοι καθέζου Δαιμόνων ἀπάταις προσκεχηνὼς, μηδὲ γίνου διαβολικῆς ἔκδοτος ἐνεργείας. ὃς ἐπειδὰν λάβῃ ψυχὴν εὐάγωγον εἰς ἀπώλειαν, πάντα τρόπον αὐτῇ παραχρώμενος οὐκ ἀνίησιν. ἀλλὰ καὶ κράζοντες κόρακες, καὶ ἀλύοντες ἀετοὶ δι' ἀπορίαν θήρας τὴν δεισιδαίμονα καρδίαν πλήσσουσι. (2)

ιβ. Ἔστι γὰρ βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου πᾶς ποιῶν ταῦτα· ἕνεκεν γὰρ τῶν βδελυγμάτων τούτων Κύ-

A ριος ὁ Θεός σου ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου σου.

ιγ. Τέλειος ἔσῃ ἔναντι Κυρίου τοῦ Θεοῦ σου.

⁂ ΚΥΡΙΛΛΟΥ. Τελειότης πνευματικὴ, τὸ ἱδρυμένον ἐν πίστει, καὶ ἀμώμητον εἰς λατρείαν, καὶ τῆς εἰς Θεὸν ἀγάπης τὸ ἀδιάβλητον κάλλος.

B ιδ. Τὰ γὰρ ἔθνη ταῦτα, οὓς σὺ κατακληρονομήσεις αὐτοὺς, αὐτοὶ κληδονισμῶν καὶ μαντειῶν ἀκούσονται· σοὶ δὲ οὐχ οὕτως ἔδωκε Κύριος ὁ Θεός σου.

ιε. Προφήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμὲ, ἀναστήσει Κύριος ὁ Θεός σου. αὐτοῦ ἀκούσεσθε.

⁂ ΚΛΗΜΕΝΤΟΣ. „Προφήτην ὑμῖν Γ„ ἀναστήσει, Φησὶν, ὁ Θεὸς ὡς ἐμὲ ἐκ τῶν „ ἀδελφῶν ὑμῶν, τὸν Ἰησοῦν τὸν τοῦ Ναυῆ αἰνιττόμενος, διὰ τὸν Ἰησοῦν τὸν τοῦ Θεοῦ υἱόν. σκιαγραφία γὰρ ἦν τοῦ Κυρίου τὸ ὄνομα τοῦ Ἰησοῦ προκηρυσσόμενον ἐν νόμῳ. ἐπιφέρει γοῦν, τὸ λυσιτελὲς τῷ λαῷ συμβουλεύων· „ αὐτοῦ ἀκούσεσθε, λέγων.

⁂ ΚΥΡΙΛΛΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ. „ Μωσῆς λέγει ὁ προφήτης, Προφήτην ὑμῖν „ ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν Δ„ ὑμῶν, ὡς ἐμέ. τετηρήσθω δὲ τέως τὸ, ὡς ἐμὲ, ἐν οἰκείοις δὲ τόποις ἐξεταζόμενον. ἀλλὰ πότε ὁ Προφήτης οὗτος ἔρχεται ὁ προσδοκώμενος; ἀνάδραμε, Φησὶν, ἐπὶ τὰ ὑπ' ἐμοῦ γεγραμμένα· πολυπραγμόνησον τὴν τοῦ Ἰακὼβ τῷ Ἰούδᾳ ῥηθεῖσαν προφη„ τείαν. Ἰούδα σὲ αἰνέσειαν οἱ ἀδελφοί σου, καὶ τὰ ἑξῆς, ἵνα μὴ ἅπαντα λέγωμεν· οὐκ „ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ „ τῶν μηρῶν αὐτοῦ, ἕως ἐὰν ἔλθῃ ᾧ ἀπόκει- E„ ται· καὶ αὐτὸς προσδοκία, οὐκ Ἰουδαίων, ἀλλὰ ἐθνῶν. σημεῖον οὖν ἔδωκε τῆς Χριστοῦ παρουσίας, τὸ παύσασθαι τὴν ἀρχὴν τῶν Ἰουδαίων. εἰ μὴ νῦν ὑπὸ Ῥωμαίους εἰσὶν, οὔπω ἦλθεν ὁ Χριστός· εἰ ἔχουσι τὸν ἐκ γένους Ἰούδα καὶ τοῦ Δαβὶδ, οὔπω ἦλθεν ὁ προσδοκώμενος.

⁂ ΝΕΙΛΟΥ. Λέγεις τὸν Μωσέα εἰρη„ κέναι ἐν Δευτερονομίῳ, ὅτι Προφήτην ὑμῖν „ ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελ- Z„ φῶν ὑμῶν, ὡς ἐμέ. Προφήτην εἶπεν, οὐχὶ Θεόν. πῶς οὖν Θεὸν εἶναι τὸν Ἰησοῦν λέγετε; Ὡς νηπίῳ σοι, ὦ Ἰουδαῖε, συμψελλίζει ὁ πάνσοφος Μωϋσῆς, οὔπω τρανώτατα τολμῶν σοι δεῖξαι τοῦ Χριστοῦ τὴν Θεότητα. ὅταν τοίνυν δέξῃ αὐτὸν ὡς Προφήτην, κατὰ τὸν Μωϋσέα, καὶ βασιλέα, καὶ ποιμένα πρᾶον, καὶ ἀκτήμονα, τότε αὐτὸς ὁ μέγιστος Προφήτης καὶ ἔγκριτος ἀποκαλύψει σοι αὐτὸν Θεὸν ὑπάρχειν ἀλη- H θινὸν, ἀσωμάτως καὶ ἀχρόνως πρὸ πάντων τῶν αἰώνων γεννηθέντα ἐκ Θεοῦ ἀληθινοῦ. ἔχεις δὲ μαρτυροῦντας τῇ Θεότητι τοῦ

(1) Ἐκπρεπής. ἐν Τόμ. 1. μέρ. 2. σελ. 184.

(2) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

τοῦ Χριστοῦ καὶ τῇ οἰκονομίᾳ πάντας τοὺς ἀοιδίμους Προφήτας, οἵτινες ἐξηγηταὶ τοῦ νόμου τυγχάνουσι.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὥσπερ ὁ Χριστὸς πρὸς τὸν Μωϋσέα παραπέμπει, ἵνα δι' ἐκείνου πρὸς ἑαυτὸν ἐπισπάσηται, οὕτως ὁ Μωϋσῆς τῷ διδασκάλῳ παραδίδωσι τοὺς μαθητὰς, κελεύων αὐτῷ κατὰ πάντα πείθεσθαι.

** ΙΣΙΔΩΡΟΥ. Εἶπε τῷ πρὸς σὲ διενεχθέντι Ἰουδαίῳ, καὶ μηδὲν μὲν γενναῖον μηδὲ νεανικὸν φράσαντι, ἀγυρτικὰς δὲ λογοποιΐας ἐμέσαντι· καὶ φήσαντι περὶ τοῦ » παιδὸς Ναυῆ εἰρῆσθαι τὸ, Προφήτην ὑμῖν » ἀναστήσει ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· ὅτι κατὰ πολλὰ πλημμελεῖς, καὶ νοῶν οὐχ ὑγιῶς, καὶ φθέγγων τὸ μαθεῖν, καὶ κρύπτων τὰ μείζονα ἢ κατὰ Μωσέα. εἴρη- » ται γὰρ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα, ὅσα » ἂν ἐντείληται. ἔσται δὲ ψυχὴ, ἥτις ἂν μὴ » ἀκούσῃ τοῦ Προφήτου ἐκείνου, ἐξολοθρευ- » θήσεται ἀπὸ τοῦ λαοῦ αὐτῆς. πρῶτον μὲν γὰρ, μετὰ τὴν χειροτονίαν ἐκείνου, ταῦθ' ὁ Μωϋσῆς εὐθὺς γενόμενος ἐθέσπισε. δεύτερον, ὅτι εἰ μὲν ὁ τοῦ Ναυῆ παῖς ὑπερέβη τὸν Μωσέα, πιθανὸν ἦν τὸ λεγόμενον. οὐκ ἀληθὲς δέ· εἰ δὲ πολλῷ αὐτοῦ καταδεέστερος ἦν, ἀδρανὴς αὕτη ἡ ἔννοια φαίνεται. τρίτον, ὅτι οὐδὲ προσέθηκέ τι τῷ νόμῳ, ἀλλὰ τοῖς ἐκείνου ἐπολιτεύετο θεσμοῖς. τέταρτον, ἐχρῆν εἴγε περὶ αὐτοῦ ἦν ὁ λόγος, εἰπεῖν, οὐκ ἀναστήσει. ἀλλ' ἀνέστησε. πέμπτον, ὅτι ἔδει φράσαι· ἔσται δὲ πᾶσα ψυχὴ ἥτις ἂν μὴ ἀκούσῃ τοῦ Προφήτου τούτου· τῷ δ' εἰπεῖν ἐκείνου, τοῦτον παρεγράψατο. ἕκτον, πῶς πρὸς τὸν Ἰωάννην μετὰ πολλὰς γενεὰς τεχθέντα ἀπέστειλαν. πευσόμενοι, εἰ αὐτὸς εἴη ὁ Προφήτης· κἀκεῖνος ἔφη, οὐκ
Ἰωάν. 1. 21. εἰμί. Προφήτης μὲν γὰρ ἦν· ὁ Προφήτης δὲ οὐκ ἦν. ἕβδομον, πῶς τοῦ Σωτῆρος δεῦρο φοιτήσαντος, οἱ τὰ θαύματα θεώμενοι
Ἰωάν. 6. 14. ἔλεγον· οὗτός ἐστιν ἀληθῶς ὁ Προφήτης. συνοράτω οὖν πόσα αὐτῷ ἐναντιοῦται, καὶ τὸν ἀληθῆ προγνώστην τε καὶ βασιλέα προσκυνείτω.

ΣΕΥΗΡΟΥ. Ὅπερ οὐ δυνατὸν ἐπὶ τὸν Ἰησοῦν τοῦ Ναυῆ λαβεῖν διὰ πολλὰς αἰτίας, καὶ μάλιστα ὅτι ἤδη ἦν ἀναστήσας αὐτὸν, καὶ συστήσας ἐναντίον πάσης τῆς συναγωγῆς, ὡς ἐν τοῖς Ἀριθμοῖς περὶ τὰ τελευταῖα. (1) ἔπειτα, ὅτι οὔτε νομοθέτης ἐγένετο κατὰ Μωϋσέα, οὔτε τῆς τοιουτοτρόπου χάριτος τυχών· ἀλλὰ μόνον τὴν ἡγεμονίαν παραλαβὼν, καὶ εἰσαγαγὼν τὸν λαὸν εἰς τὴν γῆν τῆς ἐπαγγελίας. καὶ γὰρ καὶ κατὰ τὸ ἐν αὐτῷ τῷ τέλει τοῦ Δευτερονομίου
Δευτ. 34. 10. διαῤῥήδην τοῦτο κεῖται· καὶ οὐκ ἀνέστη Προφήτης ἐν Ἰσραὴλ, ὡς Μωσῆς. διὰ τοῦτο
Ἰωάν. 14. 10. καὶ ὁ Σωτὴρ ἐν τῷ Εὐαγγελίῳ φησὶν, ὅτι » ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ οὐδέν.

ις. Κατὰ πάντα ὅσα ᾐτήσω παρὰ Κυρίου τοῦ Θεοῦ σου ἐν Χωρὴβ τῇ
A ἡμέρᾳ τῆς ἐκκλησίας, λέγοντες, οὐ
προσθήσομεν ἀκοῦσαι τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ τὸ πῦρ τὸ μέ-
γα τοῦτο οὐκ ὀψόμεθα ἔτι, οὐδὲ μὴ
ιζ. ἀποθάνωμεν. Καὶ εἶπε Κύριος πρός
με, ὀρθῶς πάντα ὅσα ἐλάλησαν
ιη. πρὸς σέ. Προφήτην ἀναστήσω αὐτοῖς ἐκ μέσου τῶν ἀδελφῶν αὐτῶν, ὥσπερ σέ· καὶ δώσω τὸ ῥῆμά μου ἐν τῷ στό- B ματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθότι ἂν ἐντείλωμαι αὐτῷ.

ΑΔΗΛΟΥ. Ἡ μὲν προφητεία κεῖται ἐνταῦθα· ἐλέχθη δὲ οὐ καθ' ὃν ἀνεγράφη χρόνον, ἀλλὰ καθ' ὃν αὐτὸς ὁ Μωϋσῆς διασαφεῖ. ἡνίκα γάρ φησιν ἁγνεύσαντες ἐκκλησίαν ἐποιησάμεθα, ἐπὶ τὸ ἀκοῦσαι τῆς φωνῆς τοῦ Θεοῦ, τὴν δεκάλογον τοῦ Θεοῦ εἰς ἐπήκοον πᾶσιν ἡμῖν νομοθετοῦντος, ὡς καὶ Γ ἐν Ἐξόδῳ ἀναγέγραπται, μὴ φέροντες τὴν δύναμιν τῶν ὁρωμένων ὑμεῖς, προσελθόντες ἠξιοῦτέ με λέγοντες, » οὐ προσθήσομεν ἀκοῦσαι τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν. κατ' ἐκεῖνο τοίνυν καιροῦ τῆς τοιαύτης ὑμῶν ἕνεκεν παραιτήσεως, ἄνθρωπον ὑμῖν ἀναστήσειν, Προφήτην ἕτερον, ἐμοὶ τὴν φύσιν παραπλήσιον, ὁ χρηματίζων ἐπηγγείλατο. τίνα δὲ ἄλλον ἔχοι τις ἐκ τοῦ Ἰσραὴλ Μωϋσῇ παραπλήσιον Προφήτην, τουτέστι Δ τοῦ τῶν ἀνθρώπων γένους ἀναδεδειγμένον, ἐπιδεῖξαι, ἢ μόνον Ἰησοῦν τὸν σωτῆρα καὶ Κύριον ἡμῶν, ὅστις καινῆς διαθήκης, τοῦ κατὰ τὸ Εὐαγγέλιον βίου, νομοθέτης πᾶσιν ἀναπέφηνε τοῖς ἔθνεσι τοῖς εἰς αὐτὸν πεπιστευκόσι;

ΚΥΡΙΛΛΟΥ. Προανεφώνει γὰρ τοῦ ἰδίου γεννήματος τὴν ἐνανθρώπησιν ὁ Θεὸς καὶ πατὴρ, ὅτι δεύτερον (2) ἐφ' ἡμᾶς νομοθέτης ἀναδειχθήσεται.

E » ΤΟΥ ΑΥΤΟΥ. [Καὶ θήσω τὰ ῥήματά » μου ἐπ' αὐτῷ, καὶ λαλήσει αὐτῷ κατὰ πάν- » τα, ὅσα ἂν ἐντείλωμαι αὐτῷ. Φέρει γὰρ] Ἑβρ. 1. 3.
» ἅπαντα τῷ ῥήματι τῆς δυνάμεως ὁ υἱὸς, ὡς ὁ Παῦλός φησι, καὶ τὰς τοῦ πατρὸς [ἡμῖν] ἀναγγέλλει φωνὰς, ἅτε δὴ μεσίτης παρ' αὐτοῦ κεχειροτονημένος.

** ΠΡΟΚΟΠΙΟΥ. Ὅτι δὲ οὐδὲ ἄλλον τινὰ δηλοῖ τῶν Προφητῶν, δῆλον ἐκ τοῦ Z πολλοὺς γεγονέναι Προφήτας, ὡς περὶ ἑνὸς δὲ κατ' ἐξαίρετον λέγεσθαι. ὃν δὴ καὶ κατ' αὐτὸν γενήσεσθαί φησι Μωϋσῆς. ὅνπερ καὶ προσδοκῶντες Ἰουδαῖοι μετὰ τοσούτους γεγονότας Προφήτας ἠρώτων τὸν Ἰωάννην, σὺ Ἰωάν. 1. 21.
» εἶ ὁ Προφήτης; ὁ δέ φησιν οὐκ εἰμί. καίτοι Προφήτης ὤν. πῶς οὖν κατὰ τὸν Μωϋσέα Χριστὸς, καὶ μείζων ἐκείνου; Ὁ μὲν γὰρ ἠλευθέρωσεν ἐξ Αἰγυπτίων λαὸν ἕνα· Χριστὸς δὲ τῆς τοῦ Διαβόλου δυναστείας πᾶσαν H τὴν γῆν. ὃς ὑποχειρίους πάντας ἔχων ἀνθρώπους, νεανιευόμενος ἔλεγε· τὴν οἰκου- Ἡσ. 10. 14.
» μένην ὅλην καταλήψομαι τῇ χειρί μου ὡς νοσ-

Eee ee 3

(1) Ἐν κεφ. 27.

(2) Ἴσ. δεύτερος.

„ νοσσιὰν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ·
„ καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπει-
„ μοι. αὖθις ὁ μὲν τὸν λαὸν διὰ θαλάσσης
διεβίβασεν ἐρυθρᾶς καταποντίσας τοὺς Αἰ-
γυπτίους· ὁ δὲ τὰ ἔθνη πάντα διὰ βαπτίσ-
ματος, καταποντίσας μετὰ τοῦ Διαβόλου τοὺς
Δαίμονας· ὅπερ ἔτι δηλοῖ καὶ ἡ διὰ τοῦ Ἰορ-
δάνου διάβασις, σώσασα μὲν εὐσεβεῖς, ἀσε-
βεῖς δὲ διώκοντας φθείρασα. ὁ μὲν μάννα
δέδωκεν αἰσθητόν· ὁ δὲ Χριστὸς ἑαυτὸν, ἄρ-
τον ἐξ οὐρανοῦ καταβάντα. μεσίτης ἦν ὁ
Μωϋσῆς Ἰσραὴλ καὶ Θεοῦ· ἐθνῶν δὲ πάν-
των καὶ τοῦ πατρὸς ὁ Χριστός. νομοθέτης
ἐκεῖνος ὑπηρετούμενος τῷ Θεῷ· ὁ δὲ κατ᾽
αὐθεντίαν ὡς Θεὸς εἰκότως νομοθετεῖ, λέ-
Ματθ. 5. 21, γων· ἠκούσατε ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις,
22. „ οὐ φονεύσεις· ἐγὼ δὲ λέγω ὑμῖν, μηδὲ ὀρ-
„ γίζεσθαι εἰκῆ, καὶ τὰ ἑξῆς. ἐφ᾽ οἷς ἐπιλέ-
Μάρ. 1. 22. γεται, ὅτι ἐξεπλήττοντο πάντες ἐπὶ τῇ
„ διδαχῇ αὐτοῦ. ἦν γὰρ διδάσκων αὐτοὺς, ὡς
„ ἐξουσίαν ἔχων· οὐ τὴν νομοθεσίαν οἱ ἐθνικοὶ
Ψαλ. 9. 20. παρεδέξαντο. διὸ προλέγει Δαβὶδ, κα-
„ τάστησον Κύριε νομοθέτην ἐπ᾽ αὐτούς. γνώ-
„ τωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. ὅπερ ὁ
Μωϋσῆς οὐκ ἠγνόηκεν, ὡς Θεὸς καὶ νομο-
θέτης ἐστὶν ὁ Χριστός. καίτοι γὰρ περὶ τῶν
Δευτ. 12. 32. ἰδίων νόμων εἰπὼν, οὐκ ἔστι προσθεῖναι, καὶ
„ ἀπ᾽ αὐτῶν οὐκ ἔστιν ἀφελεῖν, ἐννοήσας τὴν
τῶν δεσποτικῶν ἀξιωμάτων ὑπεροχὴν πα-
„ ρεγγυᾷ, λέγων, αὐτοῦ ἀκούσεσθε κατὰ πάν-
„ τα ὅσα ἐὰν λαλήσῃ πρὸς ὑμᾶς, τουτέστι
κἂν τὸν δι᾽ ἐμοῦ νόμον ἐθέλῃ μεταποιεῖν.
ἵνα δὲ μὴ μόνον Μωϋσέως ὁ λόγος ὑπάρχῃ,
„ βεβαιοῖ τοῦτον ὁ πατὴρ, λέγων, ὀρθῶς
„ πάντα ὅσα ἐλάλησας, Προφήτην ἀναστή-
„ σω αὐτοῖς ὥσπερ σὲ, καὶ δώσω τὸ ῥῆμά μου
„ ἐν τῷ στόματι αὐτοῦ. ἀλλ᾽ ἐρεῖ τις, ὡς καὶ
τοῖς ἄλλοις Προφήταις ῥῆμα παρέσχεν αὐ-
τός. ἀλλ᾽ ἐκεῖνοι μὲν δουλοπρεπῆ τὴν δια-
„ κονίαν ποιούμενοι, τάδε λέγει Κύριος ἔλε-
γον· ὁ δὲ, ὡς ὢν φύσει Θεὸς, τῷ μὲν λε-
Ματθ. 8. 3. πρῷ φησὶ, θέλω καθαρίσθητι· τῷ δὲ
Λουκ. 7. 14. νεανίσκῳ νεκρῷ, σοὶ λέγω ἐγέρθητι· καὶ
Ἰωάν. 11. 43. Λαζάρῳ, δεῦρο ἔξω. ὡς δὲ δημιουργὸς ἐπε-
Μάρκ. 4. 39. τίμα θαλάσσῃ, καὶ πνεύμασι, σιώπα λέ-
γων πεφίμωσο. ὁρᾷς πῇ μὲν δουλῶδες ῥῆ-
μα, πῇ δὲ κατ᾽ ἔλλαμψιν μερικήν. διό-
Ἑβρ. 1. 3. φησιν ὁ Παῦλος, φέρων τε τὰ πάντα τῷ
„ ῥήματι τῆς δυνάμεως τοῦ πατρός. ἐπισφρά-
γισε? δὲ καὶ τῆς ἐνσάρκου παρουσίας τὴν αἰτίαν
ὁ Μωϋσῆς, αὐτοὺς δείξας τοὺς ἐξ Ἰσραὴλ
παραιτησαμένους τὴν ἐν Σινᾷ τοῦ Θεοῦ διὰ
Ἐξόδ. 20. 19. πυρὸς ἐπιφάνειαν, λέγοντας Μωϋσεῖ, λά-
„ λει πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς
„ ὁ Θεὸς, μή ποτε ἀποθάνωμεν. διὸ τῆς
εὐλαβείας Θεὸς αὐτοὺς ἀποδεξάμενος, Προ-
„ φήτην φησὶν αὐτοῖς ἀναστήσω. ὡς γὰρ
ἀσθενεστέροις τῆς κρείττονος θεωρίας τὴν
ἀνθρωπίνην αὐτοῖς ἐπιφάνειαν ἐπηγγείλα-
το. ἀλλ᾽ ἐπεὶ τοῖς ἐκ περιτομῆς ὁ Προφή-
της ἀναστήσεσθαι προθεσπίζεται, εἰκότως
Ματθ. 15. 24. φησὶν ὁ Σωτὴρ, οὐκ ἦλθον εἰ μὴ εἰς τὰ
„ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. διὸ
Ματθ. 10. 5, 6. καὶ τοῖς Ἀποστόλοις παρήγγελλεν· εἰς ὁδὸν
„ ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σα-

A „ μαρειτῶν μὴ εἰσέλθητε. πορεύεσθε δὲ μᾶλ-
„ λον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα
„ οἴκου Ἰσραήλ· δηλῶν, ὡς αὐτοῖς προηγου-
μένως κατὰ τὴν προφητείαν ἀπέσταλτο.
τοιγαροῦν μὴ δεξαμένων ἀπελέγχει μὲν
„ αὐτοὺς ἐν ἑτέροις, λέγων, διότι ἦλθον Ἡσ. 50. 2.
„ καὶ οὐκ ἄνθρωπος, ἐκάλεσα καὶ οὐκ ἦν
„ ὁ ὑπακούων, καί φησι πρὸς αὐτοὺς, ἀρθή- Ματθ. 21. 43.
„ σεται ἀφ᾽ ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ
„ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐ-
B „ τῆς, πορευθέντες μαθητεύσατε πάντα Ματθ. 28. 19.
„ τὰ ἔθνη.

ιθ. Καὶ ἄνθρωπος ὃς ἂν μὴ ἀκού-
σῃ τῶν λόγων αὐτοῦ, ὅσα ἂν λαλή-
σῃ ὁ Προφήτης ἐπὶ τῷ ὀνόματί μου,
ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ.

„ ✱✱ ΕΠΙΦΑΝΙΟΥ. Ἥτις ψυχὴ οὐκ ἀ-
„ κούσεται τοῦ Προφήτου ἐκείνου, ἐξολοθρευ-
Γ „ θήσεται ἀπὸ τῆς φυλῆς αὐτῆς, καὶ ἐξ
„ Ἰσραὴλ, καὶ ὑποκάτωθεν τοῦ οὐρανοῦ· ὡς
τοῦ Κυρίου μέλλοντος τὰ διὰ τοῦ νόμου μυστι-
κῶς παραδοθέντα, τελείως καὶ σωτηριω-
δῶς ἐπασφαλίζεσθαι. τὸν δὲ μὴ ἀκούοντα
αὐτοῦ, μηδὲ ἀνεχόμενον, μὴ ἔχειν σωτη-
ρίαν, κἄν τε τὸν νόμον ποιήσῃ, τοῦ νόμου
μὴ δυναμένου τελειοῦν τὸν ἄνθρωπον, διὰ
τὸ σωματικῶς τὰ ἐν αὐτῷ δικαιώματα γε-
γράφθαι, καὶ ἐν Κυρίῳ Χριστῷ ἀληθινῶς
Δ πληροῦσθαι.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἐκδεδίκηται οὖν τοῦ
„ λαοῦ ἐκείνου πᾶν αἷμα ἐκχυθὲν ἀπὸ τοῦ αἵ- Λουκ. 11. 51.
„ ματος Ἄβελ, ἕως τοῦ αἵματος Ζαχαρίου,
καὶ αὐτοῦ γε ἐπὶ πᾶσι τοῦ Χριστοῦ. οὗ τὸ αἷμα
καθ᾽ ἑαυτῶν ἐξαιτησάμενοι, καὶ ἀπὸ τῶν
ἰδίων παιδίων, εἰσέτι καὶ νῦν τῆς τολμη-
θείσης αὐτοῖς ἀσεβείας τὴν τιμωρίαν ἐπέ-
χουσιν. αὐτὸς γὰρ ἦν ὁ Θεὸς λόγος. διὰ
τοῦτο ὁ Κύριος πανταχοῦ τῷ πατρὶ τοὺς οἰ-
E „ κείους λόγους ἀνατίθησι, λέγων, ἀπ᾽ ἐμαυ- Ἰωάν. 14. 10,
„ τοῦ λαλῶ οὐδέν· ἐντολὴν ἔλαβον παρὰ τοῦ 18.
„ πατρός μου. ἐκδεδίκηται τὸ αἷμα ἀπὸ τῆς
γενεᾶς τῆς κατὰ τοῦ Σωτῆρος ἐπισυστάσης,
καὶ μάλιστα τῶν τολμησάντων ἀφεῖναι τὴν
„ κατ᾽ αὐτοῦ φωνὴν, τὴν, σταύρου σταύρου αὐ- Λουκ. 23. 18.
„ τόν· αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον· τὸ Ματθ. 27. 23,
„ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν· 25.
ἅμα τε μετελθούσης αὐτοὺς τῆς δίκης, ὡς
ἐκείνους εἰς δεῦρο μηδόλως ἆραι κεφαλὴν
Z τὸ πᾶν ἔθνος δυνηθῆναι, πληρωθείσης
καὶ τῆς τοῦ Ὠσηὲ προφητείας τῆς φασκού-
„ σης, ὁ οἶκος τοῦ Ἰσραὴλ πέπτωκεν, οὐκ ἔτι- Ὠσ. 1. 4.
„ μοι προσθήσει τοῦ ἀναστῆναι.

κ. Πλὴν ὁ προφήτης ὃς ἂν ἀσε-
βήσῃ λαλῆσαι ῥῆμα ἐπὶ τῷ ὀνόματί
μου, ὃ οὐ προσέταξα λαλῆσαι, καὶ ὃς
ἂν λαλήσῃ ἐπ᾽ ὀνόματι Θεῶν ἑτέρων,
H ἀποθανεῖται ὁ προφήτης ἐκεῖνος.

„ ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Καὶ ὃς ἐὰν λαλήσῃ
„ ἐπ᾽ ὀνόματι Θεῶν ἑτέρων, ἀποθανεῖται ὁ
„ προφήτης ἐκεῖνος. διόπερ ὁ Κύριος παν-
ταχοῦ τῷ πατρὶ τοὺς οἰκείους ἀνατίθησι λό-
γους,

Ἰωάν. 14. 10, 48. γους, ἀπ' ἐμαυτοῦ, λέγων, λαλῶ οὐδέν· ἐν-
„ τολὴν ἔλαβον παρὰ τοῦ πατρός μου. (1)

κα. Ἐὰν δὲ λέγῃς ἐν τῇ καρδίᾳ σου, πῶς γνωσόμεθα τὸ ῥῆμα, ὃ οὐκ ἐλάλησε Κύριος;

κβ. Ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ μὴ γένηται τὸ ῥῆμα, καὶ μὴ συμβῇ, τοῦτο τὸ ῥῆμα ὃ οὐκ ἐλάλησε Κύριος ὁ Θεός. ἐν ἀσεβείᾳ ἐλάλησεν ὁ προφήτης ἐκεῖνος· οὐκ ἀφέξεσθε ἀπ' αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Ἀκούεις, ὅτι τὰς ἐν τοῖς προηγορευμένοις ἀποδείξεις, ἀπόδειξιν ἔσεσθαί φησιν ἐναργῆ τοῦ μὴ ἐκ Θεοῦ κεχρησμῳδεῖσθαί τι. Φιλεῖ γὰρ ἀλήθειαν ἡ ἀλήθεια. τοιοῦτόν τί φησι καὶ διὰ τῆς Ἱερε-
Ἱερ. 23. 23, μίου φωνῆς· Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει
25, 28. „ Κύριος. ἤκουσα ἃ λαλοῦσιν οἱ Προφῆται, ἃ
„ προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου ψευδῆ. εἶτα διὰ μέσου τοὺς τῶν θείων νόμων καταφρονητὰς ἐπαιτιασάμενος οὐ μικρῶς; ἐναρ-

A γῆ τὴν ἀπόδειξιν τῶν τε ἐκ Θεοῦ καὶ μὴ δίδωσι τὴν ἀλήθειαν. ἔφη γὰρ πάλιν, ὁ
„ Προφήτης ἐν ᾧ τὸ ἐνύπνιον αὐτοῦ, καὶ ἐν ᾧ
„ ὁ λόγος μου πρὸς αὐτὸν, διηγησάσθω τὸν
„ λόγον μου ἐπ' ἀληθείας. ὥστε εἴπερ τι φαίνοιτο τῆς ἀληθείας ἡμαρτηκὸς, ἐκδείξειεν ἂν εὐθὺς ψευδοεπῆ τὸν γεννήτορα, καὶ ἀπὸ τῆς ἑαυτοῦ λαλοῦντα καρδίας, οὐκ ἀπὸ Ἱερ. 23. 16.
„ στόματος Κυρίου, καθὰ γέγραπται. (2) τί οὖν ἐροῦμεν ἐπὶ τοῦ Ἰωνᾶ προειπόντος ὃ μὴ
B γέγονε, καὶ ἐπὶ τοῦ Ἡσαΐου προειπόντος Ἐζεκίᾳ τελευτὴν παροῦσαν, εἰ (3) μὴ γέγονε; καὶ τοιαῦτα δ' ἂν εὕροις ἕτερα. ἀλλ' οὐχ ὁ λόγος ψευδής· τὰ δὲ πράγματα, περὶ ὧν ὁ λόγος, μεταβολὴν ὑπεδέξατο. οἱ Νινευΐται γὰρ καὶ Ἐζεκίας μετανοοῦντες, ἐδάκρυσαν. καὶ ἰατρὸς γάρ φησιν, ὡς ὁ νοσῶν φθαρείη, μὴ τμηθείσης αὐτῷ τῆς φλεβός· ἐσώθη δὲ πολλάκις, αὐτομάτου γενομένης κενώσεως. οὐ τῆς οὖν τέχνης τὸ
Γ ψεῦδος, ἡ δὲ τροπὴ παρὰ τὸ ὑποκείμενον. κἀκείνους ἔδει παθεῖν διὰ τὴν πρόῤῥησιν, εἴπερ δὴ μὴ μετέγνωσαν. μᾶλλον δὲ διὰ τὴν μετάνοιαν ἡ πρόῤῥησις γέγονεν.

ΚΕΦ. ΙΘ.

α. Ἐὰν δὲ ἀφανίσῃ Κύριος ὁ
Θεός σου τὰ ἔθνη, ἃ ὁ
Θεός σου δίδωσί σοι τὴν
γῆν αὐτῶν, καὶ κατακληρονομήσετε
αὐτοὺς, καὶ κατοικήσετε ἐν ταῖς πό-
λεσιν αὐτῶν, καὶ ἐν τοῖς οἴκοις αὐ-
β. τῶν, Τρεῖς πόλεις διαστελεῖς σεαυτῷ
ἐν μέσῳ τῆς γῆς, ἧς Κύριος ὁ Θεός
γ. σου δίδωσί σοι. Στόχασαί σοι τὴν
ὁδὸν, καὶ τριμεριεῖς τὰ ὅρια τῆς γῆς
σου, ἣν καταμερίζει σοι Κύριος ὁ Θεός
σου, καὶ ἔσται καταφυγὴ ἐκεῖ παντὶ
δ. φονευτῇ. Τοῦτο δὲ ἔσται τὸ πρόσταγ-
μα τοῦ φονευτοῦ, ὃς ἂν φύγῃ ἐκεῖ, καὶ
ζήσεται, ὃς ἂν πατάξῃ τὸν πλησίον
ἀκουσίως, καὶ οὗτος οὐ μισῶν αὐτὸν
πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης.
ε. Καὶ ὃς ἂν εἰσέλθῃ μετὰ τοῦ πλησίον
εἰς τὸν δρυμὸν συναγαγεῖν ξύλα, καὶ
ἐκκρουσθῇ ἡ χεὶρ αὐτοῦ τῇ ἀξίνῃ κό-
πτοντος τὸ ξύλον, καὶ ἐκπεσὸν τὸ
σιδήριον ἀπὸ τοῦ ξύλου τύχῃ τοῦ πλη-
σίον, καὶ ἀποθάνῃ, οὗτος καταφεύ-
ξεται εἰς μίαν τῶν πόλεων τούτων, καὶ
ϛ. ζήσεται. Ἵνα μὴ διώξας ὁ ἀγχι-
στεύων τοῦ αἵματος ὀπίσω τοῦ φονεύ-
σαντος, ὅτι παρατεθέρμανται τῇ
καρδίᾳ, καὶ καταλάβῃ αὐτὸν, ἐὰν
μακροτέρα ᾖ ἡ ὁδὸς, καὶ πατάξῃ αὐ-
Δ τοῦ ψυχὴν. καὶ τούτῳ οὐκ ἔστι κρίσις
θανάτου, ὅτι οὐ μισῶν ἦν αὐτὸν πρὸ
ζ. τῆς χθὲς, καὶ πρὸ τῆς τρίτης. Διὰ
τοῦτο ἐγώ σοι ἐντέλλομαι τὸ ῥῆμα τοῦ-
το, λέγων, τρεῖς πόλεις διαστελεῖς
η. σεαυτῷ. Ἐὰν δὲ ἐμπλατύνῃ Κύριος
ὁ Θεός σου τὰ ὅριά σου, ὃν τρόπον ὤμο-
σε Κύριος ὁ Θεὸς τοῖς πατράσι σου,
καὶ δῷ σοι Κύριος πᾶσαν τὴν γῆν,
θ. ἣν εἶπε δοῦναι τοῖς πατράσι σου, Ἐὰν
ἀκούσῃς ποιεῖν πάσας τὰς ἐντολὰς
ταύτας, ὅσας ἐγὼ ἐντέλλομαί σοι
σήμερον, ἀγαπᾷν Κύριον τὸν Θεόν
σου, πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς
αὐτοῦ πάσας τὰς ἡμέρας· καὶ προ-
σθήσεις σεαυτῷ ἔτι τρεῖς πόλεις πρὸς
ι. τὰς τρεῖς ταύτας. Καὶ οὐκ ἐκχυθή-
Z σεται αἷμα ἀναίτιον ἐν τῇ γῇ σου, ἣν
Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ,
ια. καὶ οὐκ ἔσται ἐν σοὶ αἵματι ἔνοχος. Ἐὰν
δὲ γένηται ἄνθρωπος μισῶν τὸν πλη-
σίον, καὶ ἐνεδρεύσῃ αὐτὸν, (4) καὶ
πατάξῃ αὐτοῦ ψυχὴν, καὶ ἀποθάνῃ,
καὶ φύγῃ εἰς μίαν τῶν πόλεων τούτων;
ιβ. Καὶ ἀποστελοῦσιν ἡ γερουσία τῆς πό-
λεως

(1) Μέρος τοῦ προλαβόντος, ἐν ᾧ ὡς ἔτυχε παρέῤῥιπται, οὐδεμίαν σχεδὸν τοῖς προλαβοῦσιν ἔχων συνάφειαν.

(2) Τὰ ἑπόμενα ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται. εἰ μὴ ἐξ ἄλλου τινὸς τόπου ἐλήφθη, ἢ ὅπου τὰ πρότερα τὰ ἐν σελ. 186. τοῦ 2. μερ. τοῦ 1. Τόμ. ἀλλ' οὐκ ἔοικε τῶν τοῦ Κυρίλ. εἶναι

(3) Ἴσ. ἦ.

(4) Καὶ ἐπαναστῇ ἐπ' αὐτὸν, καὶ πατ. αἱ εἰρημ. ἐκδόσ.

A λεως αὐτοῦ, καὶ λήψονται αὐτὸν ἐκεῖ-
θεν, καὶ παραδώσουσιν αὐτὸν εἰς χεῖ-
ρας τῷ ἀγχιστεύοντι τοῦ αἵματος, καὶ
ιγ. ἀποθανεῖται. Οὐ φείσεται ὁ ὀφθαλ-
μός σου ἐπ' αὐτῷ, καὶ καθαριεῖς τὸ
αἷμα τὸ ἀναίτιον ἐξ Ἰσραὴλ, καὶ
εὖ σοι ἔσται.

ιδ. Οὐ μετακινήσεις ὅρια τοῦ πλη-
σίον σου, ἃ ἔστησαν οἱ πατέρες σου ἐν τῇ
B κληρονομίᾳ σου, ᾗ κατεκληρονομήθης
ἐν τῇ γῇ, ἣν Κύριος ὁ Θεός σου δίδωσί
σοι ἐν κλήρῳ κληρονομῆσαι αὐτήν.

ΩΡΙΓΕΝΟΥΣ. Πλησίον ὁ πᾶς ἄνθρωπος εἴρηται.

ΑΝΕΠΙΓΡΑΦΟΥ. (1) Οὔτε γὰρ δεῖ τοὺς πέλας πλεονεκτεῖν, οὐδὲ τοὺς τῶν πατέρων ὅρους ὡς καλῶς παγέντας παρασαλεύειν. τοῦτο γὰρ αἴτιον πάσης συγχύσεως ἔσται, τῶν μὲν ὁμορούντων ὡς ἀδικουμένων, περιφρονουμένων δὲ τῶν ὁρισάντων. πλησίον δέ τινες πάντα ἄνθρωπον λέγουσι. Γ

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἔτι δὲ τοῦτο προσδιατέτακται κοινωφελὲς παράγγελμα, μὴ μετακινεῖν ὅρια τοῦ πλησίον, ἃ ἔστησαν οἱ πρότεροί σου. τοῦτο δὲ ὡς ἔοικεν οὐ περὶ κλήρων αὐτὸ μόνον καὶ γῆς ὅρου νομοθετεῖται, πρὸς πλεονεξίας ἀποκοπὴν, ἀλλὰ καὶ πρὸς φυλακὴν ἀρχαίων ἠθῶν. ἔθη γὰρ ἄγραφα νόμοι, δόγματα παλαιῶν ἀνδρῶν οὐ στήλαις ἐγκεχαραγμένα καὶ χαρτιδίοις ὑπὸ σητῶν ἀναλισκομένοις; ἀλλὰ ψυχαῖς μετειληφότων τῆς αὐτῆς πολιτείας. ὀφείλουσι γὰρ παῖδες παρὰ γονέων τῶν οὐσιῶν (2) κληρονομεῖν ἔθη πάτρια, οἷς ἐνετράφησαν, καὶ ἐξ αὐτῶν σπαργάνων συνεβίωσαν, καὶ μὴ καταφρονεῖν παρ' ὅσον ἄγραφος αὐτῶν ἡ παράδοσις. ὁ μὲν γὰρ τοῖς ἀναγραφεῖσι νόμοις πειθαρχῶν οὐκ ἂν δεόντως ἐπαινοῖτο, νουθετούμενος ἀνάγκῃ καὶ φόβῳ κολάσεως· ὁ δὲ τοῖς ἀγράφοις ἐμμένων, ἑκουσίαν ἐπιδεικνύμενος τὴν ἀρετὴν, ἐγκωμίων ἄξιος.

ιε. Οὐκ ἐμμενεῖ μάρτυς εἷς μαρτυρῆσαι κατὰ ἀνθρώπου κατὰ πᾶσαν ἀδικίαν, καὶ κατὰ πᾶν ἁμάρτημα, καὶ κατὰ πᾶσαν ἁμαρτίαν, ἣν ἂν ἁμάρτῃ. ἐπὶ στόματος δύω μαρτύρων, καὶ ἐπὶ στόματος τριῶν μαρτύρων, σταθήσεται πᾶν ῥῆμα.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀλλὰ ταῦτα μὲν ἐπὶ τῶν ὁρωμένων, ἐπὶ δὲ τῶν λανθανόντων μάρτυς Θεὸς καὶ τὸ συνειδὸς, δύω ταῦτα· καὶ τρεῖς δὲ μάρτυρες ἡ ἁγία Τριάς. ἧς ὁρώσης καὶ ἀκουούσης, ὁ Ἄβελ καὶ ἀποθανὼν, ἔτι λαλεῖ. μάρτυς γὰρ πιστὸς ὁ Ἱερ. 32. 27.
» Θεὸς, λέγων, μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι;

A πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα
» ἐνώπιον τοῦ Θεοῦ, τῶν λογισμῶν κατηγο- Ῥωμ. 2. 15.
» ρούντων, ἢ καὶ ἀπολογουμένων, καὶ οὐκ ἔστι 11.
» προσωποληψία παρὰ τῷ Θεῷ, οὐδὲ τέρπε- Σοφ. 1. 13.
» ται ἐπ' ἀπωλείᾳ ζώντων.

ΩΡΙΓΕΝΟΥΣ. Ταῦτα μὲν ἐπὶ αἰσθητοῦ καὶ τῶν κατὰ κόσμον, ἐπὶ δὲ τῶν ἡμαρτημένων ἡμῖν, οὐδενὸς δεῖται Θεός. αὐτὸς γὰρ ἐπόπτης ἁπάντων καὶ κριτής.

B ις. Ἐὰν δὲ καταστῇ μάρτυς ἄδι-
κος κατὰ ἀνθρώπου, καταλέγων αὐ-
ιζ. τοῦ ἀσέβειαν, Καὶ στήσονται οἱ δύω
ἄνθρωποι, οἷς ἐστὶν αὐτοῖς ἡ ἀντιλο-
γία, ἔναντι Κυρίου, καὶ ἔναντι τῶν
κριτῶν, οἳ ἂν ὦσιν ἐν ταῖς ἡμέραις
ιη. ἐκείναις. Καὶ ἐξετάσουσιν οἱ κριταὶ
ἀκριβῶς, καὶ ἰδοὺ μάρτυς ἄδικος ἐμαρ-
τύρησεν ἄδικα, ἀντέστη κατὰ τοῦ ἀ-
Γ δελφοῦ αὐτοῦ.

ιθ. Καὶ ποιήσετε αὐτῷ ὃν τρόπον ἐπονηρεύσατο ποιῆσαι τῷ ἀδελφῷ αὐτοῦ, καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Μάρτυς δὲ πιστὸς οὐ Παροιμ. 14. 5.
» ψεύδεται, ὡς ἡ σοφία φησὶν, οἱ δὲ ψευ- Παροιμ. 21.
» δεῖς ἀπολοῦνται, κατὰ τοὺς ἀδίκους ἐπὶ Σου- 28.
Δ» σάνῃ δικαστάς τε καὶ μάρτυρας. μάρτυς Παροιμ. 19. 9.
» γὰρ ψευδὴς οὐκ ἀτιμώρητος ἔσται, κατὰ
» τὴν παροιμίαν. λάκκον γὰρ ὤρυξε καὶ Ψαλ. 7. 15
» ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βό-
» θρον ὃν εἰργάσατο.

κ. Καὶ οἱ ἐπίλοιποι ἀκούσαντες φοβηθήσονται, καὶ οὐ προσθήσουσιν ἔτι ποιεῖν κατὰ τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο ἐν ὑμῖν.

E κα. Οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῷ, ψυχὴν ἀντὶ ψυχῆς, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, χεῖρα ἀντὶ χειρὸς, πόδα ἀντὶ ποδός· καθότι ἂν δῷ μῶμον τῷ πλησίον, οὕτω δώσετε αὐτῷ.

ΩΡΙΓΕΝΟΥΣ. Ταῦτα μὲν ὁ νόμος πρὸς ἀσθενεῖς τοὺς Ἰσραηλίτας· ὁ δὲ Κύριος ὁ
Z ταῦτα νομοθετήσας τοῖς ἑαυτοῦ μαθηταῖς,
» φησίν· ἠκούσατε ὅτι ἐῤῥέθη, ὀφθαλμὸν Ματθ. 5. 38.
» ἀντὶ ὀφθαλμοῦ, [καὶ τὰ ἑξῆς·] ἐγὼ [δὲ]
» λέγω ὑμῖν, μὴ ἀντιστῆναι τῷ πονηρῷ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸν τῆς νομοθεσίας σκοπὸν καὶ Ἱερεμίας ἐδήλωσε, λέγων,
» ἀγαθὸν ἀνδρὶ ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι, Θρῆν. 3. 27.
» ὅτι ἦρεν ἐφ' ἑαυτῷ· δώσει ἐν χώματι στόμα 30.
» αὐτοῦ. εἰ ἄρα ἐστὶν ἐλπὶς δώσει τῷ παίοντι
» αὐτὸν σιαγόνα, χορτασθήσεται ὀνειδισμοῦ·
H» ὅτι οὐκ εἰς τὸν αἰῶνα ἀπώσεται Κύριος.
τοιοῦτον

(1) Ὠριγένους. ἐν Τομ. 2. σελ. 390. τῆς τοῦ Ῥου. ἐκδόσ.

(2) Ἴσ. πρὸ τῶν οὐσιῶν. (ἐν ταῖς σημειώσ. ταῖς ἐν σελ. 361. τοῦ 2: Τόμ. τῆς τοῦ Μαγγ. ἐκδόσ.) ὃ καὶ ἡμῖν ἀρέσκει.

Ματθ. 5. 43. τοιοῦτον καὶ τὸ, ἀγαπήσεις τὸν πλησίον σου
„ καὶ μισήσεις τὸν ἐχθρόν σου. ὁ γὰρ καταρ-
γήσας τὰ τοῦ νηπίου Δαβὶδ, καὶ εἴ τις τούτῳ
παραπλήσιος ἦν, ἐχθρὸν ἔχων τὸν Σαοὺλ,
A οὐκ ἐμίσει αὐτόν. διὸ καὶ εὐαγγελικῶς ἄγαν
„ Φησὶν, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί- Ψαλ. 7. 4.
„ μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχ-
„ θρῶν μου κενός.

ΚΕΦ. Κ.

α. Ἐὰν δὲ ἐξέλθῃς εἰς πόλε-
μον ἐπὶ τοὺς ἐχθρούς σου,
καὶ ἴδῃς ἵππον καὶ ἀνα-
βάτην καὶ λαὸν πλείονά σου, οὐ φοβη-
θήσῃ ἀπ' αὐτῶν, ὅτι Κύριος ὁ Θεός
σου μετὰ σοῦ, ὁ ἀναβιβάσας σε ἐκ
γῆς Αἰγύπτου.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Θυμοῦ γὰρ καὶ ἐπιθυμίας καὶ συνόλως ἁπάντων παθῶν, ἢ καὶ τῶν ὅλων (1) ἐποχουμένων, ὥσπερ ἵπποις ἑκάστοις λογισμῶν, κἂν ἀμάχῳ ῥώμῃ κεχρῆσθαι νομίζωσιν, ἀλογητέον, τοὺς ἔχοντας τὴν τοῦ μεγάλου βασιλέως Θεοῦ δύναμιν ὑπερασπίζουσαν καὶ προαγωνιζομένην αἰεὶ καὶ πανταχοῦ.

β. Καὶ ἔσται ὅταν ἐγγίζῃς (2) τῷ
πολέμῳ, καὶ προσεγγίσας ὁ ἱερεὺς,
λαλήσει τῷ λαῷ, καὶ ἐρεῖ πρὸς αὐ-
γ. τοὺς, Ἄκουε Ἰσραήλ· ὑμεῖς πορεύεσθε
σήμερον εἰς πόλεμον ἐπὶ τοὺς ἐχθροὺς
ὑμῶν· μὴ ἐκλυέσθω ἡ καρδία ὑμῶν,
μὴ φοβεῖσθε μηδὲ θραύεσθε μηδὲ ἐκ-
δ. κλίνετε ἀπὸ προσώπου αὐτῶν. Ὅτι
Κύριος ὁ Θεὸς ὑμῶν ὁ προπορευόμενος
ὑμῶν εἰσπολεμῆσαι ὑμῖν τοὺς ἐχθροὺς
ὑμῶν, καὶ διασῶσαι ὑμᾶς.

ε. Καὶ λαλήσουσιν οἱ Γραμματεῖς
πρὸς τὸν λαὸν, λέγοντες, τίς ὁ ἄν-
θρωπος ὁ οἰκοδομήσας οἰκίαν καινὴν,
καὶ οὐκ ἀνεκαίνισεν αὐτήν; πορευέσθω
καὶ ἐπιστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ,
μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄν-
ς. θρωπος ἕτερος ἐγκαινιεῖ αὐτήν. Καὶ
τίς ἄνθρωπος ὅστις ἐφύτευσεν ἀμπε-
λῶνα, καὶ οὐκ εὐφράνθη ἐξ αὐτοῦ;
πορευέσθω καὶ ἐπιστραφήτω εἰς τὴν
οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πο-
λέμῳ, καὶ ἄνθρωπος ἕτερος εὐφραν-
ζ. θήσεται ἐξ αὐτοῦ. Καὶ τίς ἄνθρω-
πος ὅστις μεμνήστευται γυναῖκα, καὶ
οὐκ ἔλαβεν αὐτήν; πορευέσθω καὶ ἐπι-
στραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ
ἀποθάνῃ ἐν τῷ πολέμῳ, καὶ ἄνθρω-
πος ἕτερος λήψεται αὐτήν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Εἰ γάρ τις, φησὶ, νεωστὶ δειμάμενος οἰκίαν, οὐκ ἔφθη
εἰσοικίσασθαι· ἢ ἀμπελῶνα φυτεύσας νεόφυτον, αὐτὸς εἰς γῆν τὰ κλήματα καθεὶς,
B μήπω τῆς ἐπικαρπίας καιρὸν ἔσχεν· ἢ παρ-
θένον (3) ἐγγυησάμενος, οὐκ ἔγημεν, ἀφιέσθω πάσης στρατείας· φιλανθρωπίας ὁμοῦ τὴν ἄδειαν ἀνευρισκόμενος, ἕνεκα δυοῖν· ἑνὸς μὲν, ἵν' ἐπειδὴ τὰ κατὰ πολέμους ἄδηλα, μὴ τὰ τῶν πονησάντων, ἀταλαιπώρως ἄλλοι λαμβάνωσι. χαλεπὸν γὰρ ἔδοξεν εἶναι τῶν ἰδίων τινὰ μὴ ἀπόνασθαι δυνηθῆναι, ἀλλ' οἰκοδομεῖν μὲν ἕτερον, ἐνοικεῖν δ' ἄλλον· καὶ φυτεύειν μέν τινα, τὸν
Γ δὲ μὴ φυτεύσαντα καρποῦσθαι· καὶ μνᾶσθαι μὲν ἄλλον, γαμεῖν δὲ τὸν μὴ μνώμενον. ὡς οὐ δεῖν (4) ἀτελεῖς τὰς ἐλπίδας κατασκευάζειν τοῖς χρηστὰ τῶν κατὰ τὸν βίον προσδοκήσασιν. ἑτέρου δὲ, ἵνα μὴ σώματι στρατευόμενοι, ταῖς ψυχαῖς ὑστερίζωσιν. ἀνάγκη γὰρ αὐτῶν τὴν διάνοιαν ἐκεῖ τετάσθαι, πόθῳ τῆς ἀπολαύσεως ὧν ἀφειλκύσθησαν. ὡς γὰρ οἱ πεινῶντες ἢ διψῶντες, ὅταν σιτίον ἢ ποτόν που παραφανῇ,
Δ διώκουσι καὶ ἐπιτρέχουσιν ἀμεταστρεπτὶ, γλιχόμενοι μεταλαβεῖν· οὕτως οἱ περὶ νομίμου γυναικὸς, ἢ οἰκίας, ἢ χωρίου κτήσεως πονηθέντες, καὶ ὅσον οὔπω τῇ ἐλπίδι νομίζοντες εἰς τὸν ἑκάστου τῆς χρήσεως ἀφῖχθαι καιρὸν, ὅταν ἀφαιρεθῶσι τὴν ἀπόλαυσιν, σφαδάζουσιν, ὡς παρόντας μὴ παρεῖναι τῷ κρείττονι μέρει ψυχῆς, δι' οὗ συμβαίνει κατορθοῦν, ἢ τοὐναντίον.

ΚΥΡΙΛΛΟΥ. Τύπος οὖν ἄρα τοῦ παροι-
E κίαν ἡγεῖσθαι μὴ ἀνεχομένου τὴν παροῦσαν ζωὴν, ὁ οἰκίαν οἰκοδομῶν, καὶ ταῖς περὶ ταύτην φιλεργασίαις σπουδαίως ἐγκείμενος· τοῦ δὲ φιλοκτήμονος καὶ φιλοκερδοῦς, ὁ ἀμπελῶνα φυτεύων· τὸν δὲ γυναικομανῆ καὶ ἐκλεθρυμμένον, καὶ ταῖς τῆς σαρκὸς ἐπιθυμίαις ἐπιδιδόντα τὸν νοῦν κατασημήνειεν ἂν γυναικὸς μνηστεία ὁ προσιών. τοιγάρτοι τῇ τοῦ στρατοκήρυκος φωνῇ τῆς ἱερᾶς καὶ μαχιμωτάτης ἀποχωροῦσι πλη-
Z θύος. ἃ δὲ ἦν εἰκὸς τοὺς τοιοῖσδε [πάθεσι] συνειλημμένους ἐννοεῖν τε καὶ λέγειν, ταῦτα δὴ φθάσας ὁ κῆρυξ ἀναφωνεῖ. ἢ οὐκ ἀληθὲς, ὡς τοῖς τὰ τοιαῦτα νομίζειν (5) εἰωθόσι φίλον πως ἐν διωγμοῖς τὸ ἀφερέπονον ἀγαπᾶν, καὶ ταῖς ὑπὲρ τῆς εἰς Θεὸν ἀγάπης [μὴ] κατακολουθεῖν σπουδαῖς; ἐννοοῦντας, ὅτι εἴ τι γένοιτο παθεῖν ἀγωνιζομένους, οἴκων τε καὶ κτήσεων καὶ τῶν παρὰ σφίσι τετιμημένων ἐκπίπτουσιν ἐπιθυμιῶν.
[Ἐντεῦ-

(1) Τὸ ὅλον. ἐν ταῖς σημ. ταῖς ἐν σελ. 312. τοῦ 1. Τόμ. τῆς τοῦ Μαγγ. ἐκδόσ.
(2) Ἐγγίσῃς. αἱ εἰρημ. ἐκδόσ.
(3) Οὐ παρθένον φησὶν ὁ νόμος, ἀλλὰ γυναῖκα.
(4) Οὐ δέον. ἐν ταῖς εἰρημ. σημ. ὃ καὶ καταλληλότερ.
(5) Νοσεῖν, ὀρθότερ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 149.

[ἐντεῦθεν γὰρ αὐτοῖς συμβαίνει τὸ ἀτολμοτάτους ὁρᾶσθαι καὶ ἀγεννεῖς. ἅπερ οὖν εἰκὸς φρονοῦντε καὶ λέγειν ἐκείνους, ταῦτα διακέκραγεν ὁ γραμματεὺς, πλαγίοις ὥσπερ ἐλέγχοις καὶ ἀστείοις ὀνειδισμοῖς καταπλήττων τὸν ἀγεννῆ, καὶ προφασιζόμενον πρόφασιν ἐν ἀσθενείαις, καὶ τροφὴν ὥσπερ τινὰ τῇ δειλίᾳ, κοσμικὰς ἡδονὰς συλλέγοντα.]

η. Καὶ προσθήσουσιν οἱ Γραμματεῖς λαλῆσαι πρὸς τὸν λαὸν, καὶ ἐροῦσι, τίς ὁ ἄνθρωπος ὁ φοβούμενος καὶ δειλὸς τῇ καρδίᾳ; πορευέσθω καὶ ἐπιστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, ἵνα μὴ δειλιάνῃ τὴν καρδίαν τοῦ ἀδελφοῦ αὐτοῦ, ὥσπερ ἡ αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. (1) Ὁ τοῖς γηΐνοις ἐγκείμενος, καὶ οἰκίας οἰκοδομῶν, καὶ φυτεύων ἀμπελῶνας, [καὶ] ταῖς τῆς φιλοσαρκίας ἡδοναῖς ἡττώμενος, ἔσται που πάντως δειλός τε καὶ ἄναλκις. [ἀδόκιμος δὲ παντελῶς ὁ τοιοῦτος, καὶ πρὸς ζημίαν ἔσται τοῖς ἄλλοις.]

∗ ΤΟΥ ΑΥΤΟΥ. Σημειωτέον δὲ ὅτι καὶ τῶν κεκλημένων εἰς τὸν γάμον παραί-
Λουκ. 14. 18, 20 τησις ἦν τὸ, ἀγρὸν ἠγόρασα, καὶ γυναῖ-
„ κα ἔγημα.

∗∗ ΝΕΙΛΟΥ. Δύναται γάρ τις δειλὸς ὑπάρχων πρὸς πειρασμοὺς καὶ πόλεμον Δαιμόνων παραλῦσαι τὴν προθυμίαν τοῦ εὐζώνου πρὸς ἀριστείαν.

θ. Καὶ ἔσται ὅταν παύσωνται οἱ Γραμματεῖς λαλοῦντες πρὸς τὸν λαὸν, καὶ καταστήσωσιν (2) ἄρχοντας τῆς στρατιᾶς προηγουμένους τοῦ λαοῦ.

ι. Ἐὰν δὲ εἰσέλθῃς πρὸς πόλιν ἐκπολεμῆσαι αὐτὴν, καὶ ἐκκαλέσῃ αὐτοὺς μετ' εἰρήνης.

Ματθ. 10. 11. ΚΥΡΙΛΛΟΥ. Ὅμοιον τῷ, εἰς ἣν πόλιν
„ εἰσέλθετε, ἐξετάσατε τίς ἐξ αὐτῶν ἄξιός
„ ἐστι· τὸ δὲ, μετ' εἰρήνης, ὅμοιον τῷ ἀποστο-
2. Τιμ. 2. 24. λικῷ, ὅτι δοῦλον Κυρίου οὐ δεῖ μάχεσθαι. (3)

ια. Καὶ ἔσται ἐὰν μὲν εἰρηνικὰ ἀποκριθῶσί σοι, καὶ ἀνοίξωσί σοι, ἔσται
πᾶς ὁ λαὸς οἱ εὑρεθέντες ἐν αὐτῇ
ἔσονταί σοι φορολόγητοι καὶ ὑπήκοοί
ιβ. σου. Ἐὰν δὲ μὴ ὑπακούσωσί σοι, καὶ
ποιήσωσι πρὸς σὲ πόλεμον, καὶ περικαθιεῖς αὐτὴν,

ιγ. Καὶ παραδώσει (4) αὐτὴν Κύριος ὁ Θεός σου εἰς τὰς χεῖράς σου, καὶ
πατάξεις πᾶν ἀρσενικὸν αὐτῆς ἐν φό-
ιδ. νῳ μαχαίρας, Πλὴν τῶν γυναικῶν
καὶ τῆς ἀποσκευῆς· καὶ πάντα τὰ
κτήνη, ὅσα (5) ἂν ὑπάρχῃ ἐν τῇ πόλει, καὶ πᾶσαν τὴν ἀπαρτίαν προνομεύσεις σεαυτῷ, καὶ φαγῇ πᾶσαν τὴν προνομὴν τῶν ἐχθρῶν σου, ὧν Κύριος ὁ Θεὸς δίδωσί σοι.

∗∗ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸ γὰρ κατὰ πάντων καὶ τῶν ἐλάχιστα ἢ μηδὲν ἡμαρτηκότων φονᾶν, εἴποιμι ἂν ἀνημέρου καὶ ἀτιθάσου ψυχῆς, καὶ τὸ προσήκειν ἀνδρῶν πόλεμον κατασκευασάντων ποιεῖσθαι γυναῖκας, ὧν ὁ βίος εἰρηνικὸς φύσει καὶ κατοικίδιος.

ΚΥΡΙΛΛΟΥ. Μάχαιρα δὲ τοῦ πνεύματος εἴη ἂν ὁ λόγος τοῦ Θεοῦ. καὶ τὴν μά- Ἐφεσ. 6. 17.
„ χαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ. ᾧτινι οἱ θεσπέσιοι μαθηταὶ ἀπέκτεινον ἅπαν ἀρσενικὸν τῆς ἀντικειμένης δυνάμεως, ὡς Σίμωνα καὶ Ἐλύμαν τοὺς μάγους, καὶ τὰ ἰσχυρὰ δὲ αὐτῶν κατέλυον δόγματα· περιεποιοῦντο δὲ τὰς γυναῖκας, καὶ ὠδινούσας
„ ψυχάς. διὰ τὸν φόβον σου Κύριε ἐν γαστρὶ Ἡσ. 26. 18.
„ ἐλάβομεν, [καὶ ἐτέκομεν πνεῦμα σωτη-
„ ρίας σου, ὃ ἐποιήσαμεν] ἐπὶ τῆς γῆς. καὶ τὰ νήπια δὲ ὡσαύτως, οἷς καὶ Παῦλος
„ γράφει· παιδία μὴ ταῖς φρεσὶ νήπιοι γί- 1. Κορ. 14. 20.
„ νεσθε· ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. καὶ κτήνη
„ δὲ φησὶ περιποιήσατε· δίκαιος γὰρ οἰκτεί- Παροιμ. 12. 10.
„ ρει ψυχὰς κτηνῶν αὐτοῦ· τοὺς ἀλογωτέρους διὰ τῶν κτηνῶν αἰνιττόμενος. κτῆνος ἦν καὶ ὁ Κορνήλιος κατὰ τὴν ὀπτασίαν τὴν περὶ τῶν τετραπόδων φανεῖσαν τῷ Πέτρῳ.
„ ΑΔΗΛΟΥ. Καὶ τὰ ἐν τῇ πόλει πάντα
„ προνομεύσεις. αἰχμαλωτίζοντες γάρ φησι 2. Κορ. 10. 5.
„ πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. τύπος γὰρ ἡ παλαιὰ νομοθεσία τῆς καινῆς.

ιε. Οὕτω ποιήσεις πάσας τὰς πόλεις τὰς μακρὰν οὔσας ἀπὸ σοῦ σφόδρα, αἳ οὐχὶ ἀπὸ τῶν ἐθνῶν τῶν πόλεων τούτων. ἰδοὺ δὲ ἀπὸ τῶν πόλεων τῶν ἐθνῶν τούτων, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι κληρονομῆσαι τὴν γῆν
ις. αὐτῶν· Οὐ ζωγρήσετε πᾶν ἐμπνέον.

ΑΔΗΛΟΥ. Μακρὰν δέ εἰσι καὶ πόρρω αἱ τῶν αἱρέσεων πόλεις τε καὶ τὰ συστήματα· ἅς τινας καὶ ἀπ' αὐτῶν ζωγρῆσαι πάμπαν ἔμπνεον ἀπείργει ὁ νόμος.

ιζ. Ἀλλὰ ἀναθέματι ἀναθεματιεῖτε αὐτοὺς, τὸν Χετταῖον, καὶ τὸν
Ἀμορραῖον, καὶ τὸν Χαναναῖον, (6) καὶ
τὸν Εὐαῖον, καὶ τὸν Γεργεσαῖον, ὃν
τρόπον ἐνετείλατό σοι Κύριος ὁ Θεὸς,
ιη. Ἵνα μὴ διδάξωσιν ὑμᾶς ποιεῖν πάντα
τὰ βδελύγματα αὐτῶν, ὅσα ἐποίησαν τοῖς Θεοῖς αὐτῶν, καὶ ἁμαρτήσεσθε ἔναντι Κυρίου τοῦ Θεοῦ ὑμῶν.

ιθ. Ἐὰν

(1) Ὠριγένους, ψευδῶς. ἐν Τόμ. 2. σελ. 390. τῆς τοῦ Ῥου. ἐκδόσ.

(2) Καταστήσουσιν. αἱ εἰρημ. ἐκδόσ.

(3) Οὐδὲ τοῦτο, οὐδὲ τὸ ἑξῆς τοῦ Κυρίλ. ἐν τοῖς ἐκδεδομ. εὕρηται.

(4) Ἕως ἂν παραδῶ σοι. αἱ εἰρημ. ἐκδόσ.

(5) Καὶ πάντα ὅσα. αἱ αὐτ.

(6) Καὶ Φερεζαῖον, καὶ Εὐαῖον, καὶ Ἰεβουσαῖον. αἱ αὐτ.

ιθ. Ἐὰν δὲ περικαθίσῃς περὶ πόλιν ἡμέρας πλείους ἐκπολεμῆσαι αὐτὴν εἰς κατάληψιν αὐτῆς, οὐκ ἐξολοθρεύσεις τὰ δένδρα αὐτῆς, ἐπιβαλεῖν ἐπ᾽ αὐτὰ σίδηρον, ἀλλ᾽ ἀπ᾽ αὐτοῦ φαγῇ, αὐτὸ δὲ οὐκ ἐκκόψεις. μὴ ἄνθρωπος τὸ ξύλον τὸ ἐν τῷ δρυμῷ εἰσελθεῖν ἀπὸ προσώπου σου εἰς τὸν χάρακα;

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοσοῦτον ἔρωτα δικαιοσύνης ἐνεργάζεται τοῖς κατ᾽ αὐτὸν πολιτευομένοις, ὡς οὐδὲ πόλεως ἐχθρᾶς τὴν ἀρετῶσαν γῆν ἐφίησι λυμαίνεσθαι, δῃοῦντας ἢ δενδροτομοῦντας ἐπὶ φθορᾷ καρπῶν. τί γάρ φησι τοῖς ἀψύχοις μὲν, τὴν δὲ φύσιν ἡμέροις καὶ ἡμέρους καρποὺς ἀπογεννῶσι, μνησικακεῖς; μὴ γὰρ, ὦ οὗτος, ἀνθρώπου πολεμίου δυσμένειαν ἐπιδείκνυται δένδρον, ὡς ἀνθ᾽ ὧν διατίθησιν, ἢ διατιθέναι παρεσκεύασαι, ῥίζαις αὐταῖς ἀνασπᾶσθαι; τοὐναντίον δὲ ὠφελεῖ, παρέχον τοῖς νενικηκόσιν ἀφθονίαν τῶν ἀναγκαίων, καὶ τῶν πρὸς ἁβροδίαιτον βίον. οὐ γὰρ ἄνθρωποι μόνον δασμὸν φέρουσι τοῖς κυρίοις, ἀλλὰ καὶ φυτὰ τοὺς ὠφελιμωτέρους κατὰ τὰς ἐτησίους ὥρας, ὧν ἄνευ ζῆν οὐκ ἔστι.

A » ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Οὐχὶ ἐξολοθρεύ- » σεις τὰ δένδρα αὐτῆς, ὡς ἂν μὴ ἄχρηστος γένηται κεκρατηκόσιν ἡ γῆ. οὐδὲ γὰρ τὸ δένδρον πολέμιόν φησιν, ὡς ἀντιστῆναι πολιορκοῦσι τὴν πόλιν.

ΑΔΗΛΟΥ. Σημειωτέον τοῦτο κατὰ τῶν λεγόντων μετεμψύχωσιν. οὐδὲ γὰρ ἔμψυχον τὸ ξύλον, ἢ ζῶον λογικὸν, ἵνα καὶ φυγεῖν δυνηθῇ, καὶ ἀντιστῆναι ὑμῖν πολιορκοῦσι τὴν πόλιν.

B ΑΔΗΛΟΥ. Κατὰ θεωρίαν δρυμοῖς πολλάκις καὶ ἀκάρποις φυτοῖς ἀπεικάζει τῶν ἐθνῶν τὰς ἀγέλας ἡ θεία Γραφή· ὥσπερ αὖ τοὐναντίον, καρποφόροις ξύλοις τοὺς δικαίους, ἀμπέλῳ τε καὶ συκῇ καὶ ἐλαίᾳ.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἄκαρπα δὲ δένδρα ὑπῆρχον οἱ Ἀθηναῖοι, πρὸς οὓς καὶ ὁ Ἀπό- » στολός φησι· κατὰ πάντα ὡς δεισιδαιμονε- Πράξ. 17. 22, » στέρους ὑμᾶς θεωρῶ. οὐδὲ γὰρ, φησὶν, ηὐκαί- 21. Γ » ρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον.

κ. Ἀλλὰ τὸ ξύλον ὃ ἐπίστασαι ὅτι οὐ καρπόβρωτόν ἐστι, τοῦτο ἐξολοθρεύσεις καὶ ἐκκόψεις καὶ οἰκοδομήσεις χαράκωσιν ἐπὶ τὴν πόλιν, ἥτις ποιεῖ πρὸς σὲ πόλεμον, ἕως ἂν παραδοθῇ.

ΑΔΗΛΟΥ. Ταῦτα γὰρ καὶ εἰς πολιορκίαν συνοίσει ὑμῖν.

ΚΕΦ. ΚΑ.

α. Ἐὰν δὲ εὑρεθῇ τραυματίας ἐν τῇ γῇ σου, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι κληρονομῆσαι, πεπτωκὼς ἐν τῷ πεδίῳ,
β. καὶ οὐκ οἴδας τὸν πατάξαντα, Ἐξελεύσεται ἡ γερουσία σου καὶ οἱ κριταί σου, καὶ ἐκμετρήσουσιν ἐπὶ τὰς πόλεις τὰς κύκλῳ τοῦ τραυματίου·

ΚΥΡΙΛΛΟΥ. Τετραυμάτισται μὲν δι᾽
Ἡσ. 53. 5. ἡμᾶς ὁ Ἐμμανουήλ· μεμαλάκισται γὰρ διὰ
» τὰς ἁμαρτίας ἡμῶν, κατὰ τὰς Γραφάς· εὕρηται δὲ τοῦτο παθὼν ἐν τῇ τῶν Ἰουδαίων γῇ, καὶ ἔξω τῆς πόλεως Ἱερουσαλήμ. πλὴν οὐκ ᾔδεισαν τὸν πατάξαντα πῶς καὶ τίνα τρόπον. τί δὴ ἄρα φησὶν ὁ νόμος; καίτοι τῆς Ἰουδαίων ἀνοσιότητος ἔργον εἶναί φαμεν τὰ κατὰ τοῦ Χριστοῦ τολμήματα. αὐτοὶ
Λουκ. 23. 18. γὰρ Πιλάτῳ προσῆγον· αὐτοὶ διακεκρα-
Ἰωάν. 19. 6. γότες ἀλοῖεν [ἂν·], αἶρε, σταύρου αὐτόν. Καὶ μετ᾽ ὀλίγα. Τί οὖν ἄρα φησὶν ὁ νόμος; ὅτι οὐκ οἴδασι τὸν πατάξαντα. μυστικὸς ὁ λόγος, καὶ οὐ πᾶσιν ἁπλῶς ἐγκείμενος, μόνοις δὲ τάχα που γνώριμος τοῖς νοοῦσιν ὀρθῶς τὸ Χριστοῦ μυστήριον. ᾤοντο μὲν γὰρ οἱ τῶν Ἰουδαίων καθηγηταὶ, καὶ οἱ τοῖς ἀνοσίοις αὐτῶν κοινωνοῦντες σκέμμασιν, ὅτι κεκρατήκασιν οὐκ ἔχοντος ἐλπίδα (1) Χριστοῦ· καὶ ταῖς ἑαυτῶν δυστροπίαις τὸ χρῆμα προσνέμοντες, ἔχαιρον μὲν ὡς νενικηκότες, οὐκ ᾔδεισαν δὲ ὅτι πέπονθεν ἑκὼν, καὶ τοῖς τοῦ πατρὸς ἑπόμενος νεύμασιν, ἑαυτὸν δέδωκεν ὑπὲρ ἡμῶν.

γ. Καὶ ἔσται ἡ πόλις ἡ ἐγγίζουσα τῷ τραυματίᾳ, καὶ λήψεται ἡ γερουσία τῆς πόλεως ἐκείνης δάμαλιν ἐκ βοῶν, ἥτις οὐκ εἴργασται, καὶ ἥτις οὐχ
δ. εἵλκυσε ζυγὸν, Καὶ καταβιβάσουσιν ἡ γερουσία τῆς πόλεως ἐκείνης τὴν δάμαλιν εἰς φάραγγα τραχεῖαν, ἥτις οὐκ εἴργασται οὐδὲ σπείρεται, καὶ νευροκοπήσουσι τὴν δάμαλιν ἐν τῇ φάραγγι.
E
ε. Καὶ προσελεύσονται οἱ ἱερεῖς οἱ Λευῖται, ὅτι αὐτοὺς ἐξελέξατο Κύριος ὁ Θεός σου παραστῆναι αὐτῷ, καὶ εὐλογεῖν ἐπὶ τῷ ὀνόματι αὐτοῦ· καὶ ἐπὶ
Z τῷ στόματι αὐτῶν ἔσται πᾶσα ἀφὴ καὶ
ϛ. πᾶσα ἀντιλογία. Καὶ πᾶσα ἡ γερουσία τῆς πόλεως ἐκείνης οἱ ἐγγίζοντες τῷ τραυματίᾳ νίψονται τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τῆς δαμάλεως τῆς νενευροκοπημένης ἐν τῇ φάραγγι.
ζ. Καὶ ἀποκριθέντες, ἐροῦσιν, αἱ χεῖρες ἡμῶν οὐκ ἐξέχεαν τὸ αἷμα τοῦτο, καὶ
H οἱ ὀφθαλμοὶ ἡμῶν οὐχ ἑωράκασιν.

ΚΥΡΙΛΛΟΥ. Δάμαλις μὲν οὖν ὡς ἐν τύπῳ Χριστὸς, καθάπερ ἤδη προείπομεν. δάμα-

(1) Καὶ οὐχ ἑκόντος Χριστοῦ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 413.

δάμαλις δὲ ἀνθότου καὶ ζυγοῦ ἀπείρατος, (1)
ὅτι καὶ ὑπὸ ζυγὸν ὡς ἄνθρωπος, καὶ μὴν
καὶ ἔξω ζυγοῦ. διάτοι τὸ εἶναι κατὰ φύ-
σιν Θεός. ἐλεύθερον γὰρ τὸ θεῖον, καὶ
οὐδενὶ τῶν ὄντων ὑπεζευγμένον· κατακρα-
τοῦν δὲ μᾶλλον τῶν ὅλων, καὶ ὑπὸ χεῖρας
ἔχον τὴν σύμπασαν κτίσιν. ἀλλ' ἐλεύθε-
ρος ὢν κατὰ φύσιν ὁ υἱὸς ὡς Θεὸς, γέ-
γονε μεθ' ἡμῶν ὡς ἄνθρωπος καὶ ὑπὸ ζυ-
γόν. τοιγάρτοι μεθ' ἡμῶν Θεὸν ἐπεγρά-
φετο τὸν πατέρα. ὑπεζεύγμεθα δὲ ἡμεῖς
τῇ τῆς Θεότητος ἐξουσίᾳ. οὐκοῦν δάμαλις
μὲν ἡ ὑπὸ ζυγὸν ὅσον ἧκεν εἰς τὴν φύσιν,
ἔξω δὲ ζυγοῦ διὰ τὴν τῆς Θεότητος δόξαν,
καὶ τὸ εἰς ἅπαν ἐλεύθερον. ἀλλ' ὅρα τὴν
δάμαλιν εἰς τραχεῖαν καὶ ἀνήροτον ἀπο-
φερομένην φάραγγα. μετὰ γάρτοι τὸν
τίμιον σταυρὸν, ὅτε καὶ τραυματίας εἴρη-
ται Χριστὸς, τῆς Ἰουδαίων ἀποπεφοίτηκε
γῆς, μετακεχώρηκέ τε λοιπὸν ἐπὶ τὴν τῶν
„ ἐθνῶν χώραν, ἥτις οὐκ εἴργασται οὐδὲ ἔσπαρ-
ται. πρὸ γάρτοι τοῦ καὶ αὐτοῖς ἔθνεσιν
ἐπιλάμψαι Χριστὸν, διετέλουν ἐν κόσμῳ,
γῆ τις ὥσπερ ξηρὰ καὶ ἀνήροτος, καὶ τῆς
κατὰ Θεὸν εὐκαρπίας ἐρήμη. καὶ γοῦν ὁ
Ησ. 35. 1. „ προφήτης Ἡσαΐας περὶ αὐτῆς, εὐφράν-
„ θητι ἔρημος, φησὶ, καὶ αἱ κῶμαι αὐτῆς.
„ ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον.
οὐκοῦν τραχείᾳ τινὶ καὶ οὐκ εἰργασμένῃ καὶ
ἀκάρπῳ παντελῶς τὴν τῶν ἐθνῶν χώραν,
ἤτοι πληθὺν, εὖ μάλα παρεικαστέον. ἐκεῖ
διὰ τῶν θείων ἱερουργῶν νευροκοπεῖσθαι δεῖν
ἔφη τὴν δάμαλιν. τελεῖται γὰρ, ὡς ἔφην,
παρ' ἡμῖν τοῖς ἐξ ἐθνῶν τὸ μέγα Χριστοῦ
μυστήριον· καὶ ὁμολογοῦντες αὐτοῦ τὸ πά-
θος, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ταῖς μυ-
στικαῖς προσίεμεν εὐλογίαις. τοῦτο οἶμαι ἐστὶ
τὸ νευροκοπεῖσθαι τὴν δάμαλιν. καταγ-
γέλλοντες γὰρ, ὡς ἔφην, τὸν θάνατον αὐ-
τοῦ, καὶ μέντοι καὶ τὴν ἀνάστασιν, τὸ σεπτὸν
τελοῦμεν μυστήριον. ἀλλ' ὅσον τῆς Ἰουδαίων
ἀνοσιότητος ἀποφοιτῶσι μακρὰν, ἀφέν-
τες τὴν πόλιν, ἐν ᾗ τετραυμάτισταί τε καὶ
ἥυρηται πεπονθὼς, ἐπὶ τὴν τραχεῖαν καὶ
ἀνήροτον ἥκοντες φάραγγα· ἐκεῖ νίψον-
„ ται τὰς χεῖρας ἐπ' αὐτῷ τῷ Χριστῷ. ἀπο-
λούσονται γὰρ εἰς τὸν αὐτοῦ θάνατον βα-
πτιζόμενοι. τουτὶ γὰρ οἶμαι ἐστὶ τὸ ἐπ' αὐτῷ
νίψασθαι τὰς χεῖρας. ὁμολογοῦντες δὲ, ὅτι
τῆς Ἰουδαίων ἀνοσιότητος οὐ γεγόνασι (2)
κοινωνοὶ, κομιοῦνται τὴν ἄφεσιν. Ἰουδαῖοι
μὲν γὰρ ἐμπαροινήσαντες τῷ Χριστῷ, τῆς
ἑαυτῶν κεφαλῆς καταγράφουσι τὸ δυσσέ-
Ματθ. 27. 25. βημα, λέγοντες· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς,
„ καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. οἱ δὲ τῆς παρ'
αὐτοῦ χάριτος ληψόμενοι, (3) καὶ τὴν διὰ
τοῦ ἁγίου βαπτίσματος ζητοῦντες κάθαρσιν,
δι' ὧν ἐγνώκασι τιμᾶν, μονονουχὶ καὶ ἀνα-
„ κεκράγασι λέγοντες· αἱ χεῖρες ὑμῶν οὐκ
„ ἐξέχεαν τὸ αἷμα τοῦτο. ἐν Χριστῷ δὴ οὖν ἡ
κάθαρσις· κἂν εἴ τις ἐξ Ἰουδαίων ἕλοιτο

A φρονεῖν ὀρθά. [ὃ δὴ καὶ δεδράκασι καὶ
πρό γε τῶν ἄλλων οἱ θεσπέσιοι μαθηταὶ,
καὶ οἱ δι' αὐτῶν πιστεύσαντες. οἷς ἄν τις
εἰκότως καὶ τὸ τῆς γερουσίας περιθείη πρό-
σωπον. τίμιοι γὰρ καὶ ἀπόλεκτοι, τὴν τοῦ
Ἰσραὴλ ἀνοσιότητα παραιτούμενοι διὰ πί-
στεως τῆς ἐν Χριστῷ.]

η. Ἵλεως γενοῦ τῷ λαῷ σου Ἰσ-
ραὴλ, οὓς ἐλυτρώσω Κύριε ἐκ γῆς
B Αἰγύπτου, ἵνα μὴ γένηται αἷμα ἀναί-
τιον ἐν τῷ λαῷ τοῦ Ἰσραήλ. καὶ ἐξι-
θ. λασθήσεται αὐτοῖς τὸ αἷμα. Σὺ δὲ
ἐξαρεῖς τὸ αἷμα τὸ ἀναίτιον ἐξ ὑμῶν
αὐτῶν, καὶ εὖ σοι ἔσται, (4) ἐὰν ποιή-
σητε τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἔναντι
Κυρίου τοῦ Θεοῦ σου.

ι. Ἐὰν δὲ ἐξέλθῃς εἰς πόλεμον
ἐπὶ τοὺς ἐχθρούς σου, καὶ παραδῷ σοι
Γ αὐτοὺς Κύριος ὁ Θεός σου εἰς τὰς χεῖ-
ράς σου, καὶ προνομεύσῃς τὴν προνο-
ια. μὴν αὐτῶν, Καὶ ἴδῃς ἐν τῇ προνομῇ
γυναῖκα καλὴν τῷ εἴδει, καὶ ἐνθυμη-
θῇς αὐτῆς, καὶ λάβῃς αὐτὴν σεαυ-
ιβ. τῷ εἰς γυναῖκα, Καὶ εἰσάξῃς αὐτὴν
ἔνδον ἐν τῇ οἰκίᾳ σου, καὶ ξυρήσεις τὴν
κεφαλὴν αὐτῆς, καὶ περιονυχιεῖς αὐ-
ιγ. τὴν, Καὶ περιελεῖς τὰ ἱμάτια τῆς
Δ αἰχμαλωσίας αὐτῆς, καὶ καθιεῖται
ἐν τῇ οἰκίᾳ σου, καὶ κλαύσεται τὸν
πατέρα καὶ τὴν μητέρα μηνὸς ἡμέ-
ρας· καὶ μετὰ ταῦτα εἰσελεύσῃ εἰς
αὐτὴν καὶ συνοικισθήσῃ αὐτῇ, καὶ
ἔσται σου γυνή.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἣν ἐκ
προνομῆς εὐμόρφου γυναικὸς εἰς ἐπιθυμίαν
E ἔλθῃς, μὴ ὡς αἰχμαλώτῳ, φησὶν, ἐπα-
περύγῃς τὸ πάθος, ἀλλ' ἡμερώτερον, οἰκτι-
σάμενος τῆς μεταβολῆς, ἐπικούφισον τὴν
συμφορὰν, μεθαρμοσάμενος πάντα πρὸς
τὸ βέλτιον. ἐπικουφίσεις δὲ, τὰς μὲν τῆς
κεφαλῆς χαίτας ἀποκείρας, περιελὼν δὲ
ὄνυχας, ἀπαμφιέσας δὲ τὴν ἐσθῆτα, ἣν
ἔχουσα ἐζωγρήθη. τριάκοντα δ' ἡμέρας
ἀνεὶς, καὶ ἐπιτρέψας αὐτῇ πενθῆσαι καὶ
δακρῦσαι μετ' ἀδείας πατέρα καὶ μητέρα
Z καὶ τοὺς ἄλλους οἰκείους, ὧν ἀπεζεύχθη τεθ-
νεώτων, ἢ θανάτου χείρους ὑπομενόντων
τὰς ἐν δουλείᾳ συμφορὰς, μετὰ δὲ ταῦτα,
ὡς γαμετῇ νομίμῳ συνέρχου. τὴν γὰρ μέλ-
λουσαν εὐνῆς ἀνδρὸς ἐπιβήσεσθαι, μὴ κατὰ
μισθαρνίαν, ὡς ἑταίραν τὸ τῆς ὥρας ἄν-
θος καπηλεύουσαν, ἀλλ' ἢ δι' ἔρωτα τοῦ
συμβάντος, ἢ διὰ τέκνων γένεσιν, ὅσιον
θεσμῶν τῶν ἐπὶ τελείοις γάμοις ἀξιοῦσθαι.
πάνυ καλῶς ἕκαστα διαταξάμενος. πρῶτον
H μὲν γὰρ οὐκ εἴασεν ἀχάλινον φέρεσθαι τὴν
ἐπιθυ-

(1) Ἴσ. ἀπείρατος; ἐρωτημ. καταλληλότερ. ἐν δὲ τῇ 414. σελ. τοῦ 1. Τόμ. οὕτω· δάμαλις μὲν, ἀνθότου καὶ ζυγοῦ ἀπείρατος, καὶ ὑπὸ ζυγὸν, κτ.

(2) Ἀνοσιότητος γεγόνασιν. αὐτ. ἐν σελ. 415. κατάλληλον δὲ τὸ, οὐ γεγόνασιν, ὡς ἐκ τῶν ἑπομένων δῆλον.

(3) Γλιχόμενοι. αὐτ.

(4) Τὸ, εὖ σοι ἔσται, λείπει ταῖς εἰρημ. ἐκδόσ.

ἐπιθυμίαν ἀπαυχενίζουσαν, ἀλλ' ἀνέσειλε τὸ σφοδρὸν αὐτῆς, ἡμέρας τριάκοντα ἐάσας. δεύτερον δὲ, τὸν ἔρωτα βασανίζει, πότερον ἐπιμανὴς καὶ ἀψίκορος καὶ ὅλως τοῦ πάθους ἐςὶν, ἢ μετέχει τῆς καθαρωτάτης ἰδέας, ἀνακεκραμένου λογισμοῦ. λογισμὸς γὰρ πεδήσει τὴν ἐπιθυμίαν, οὐδὲν ὑβριςὸν ἐάσας αὐτὴν ἐργάσασθαι, ἀλλὰ τὴν μηνιαίαν προθεσμίαν ἐπισχών. τρίτον δὲ ἐλεεῖ τὴν αἰχμάλωτον, εἰ μὲν παρθένος ἐςὶν, ὅτι γονεῖς οὐκ ἐγγυῶσι, τὴν οὐκειοτάτην σύνοδον ἁρμοζόμενοι· εἰ δὲ χήρα, διότι τοῦ κουριδίου ςερουμένη, πεῖραν ἑτέρου λαβεῖν μελλήσει, καὶ ταῦτα ἐπανατεινομένου ἔτι δεσποτικὸν φόβον, κἂν ἰσότητα ἐπιτηδεύῃ. τὸ γὰρ ὑπακοῦον, ἀεὶ τὴν τοῦ κρατοῦντος, κἂν ἡμερώτερος ᾖ, δέδοικεν ἰσχύν.

ΕΥΣΕΒΙΟΥ. Διὰ τοῦτο κελεύει αὐτὴν ὁ νόμος ξυρᾶσθαι κεφαλὴν καὶ ὀφρύας, καὶ πενθῆσαι τριάκοντα ἡμέρας τοὺς ἑαυτῆς· ἵνα ἡ μὲν ξύρησις, ἀηδεςάτην αὐτὴν ἀποδείξῃ, παύσῃ δὲ τὸν πόθον· ὁ δὲ τοῦ πένθους χρόνος παύσῃ τὸ φίλτρον, ἡ δὲ κειμένη ζημία ἡ πρὸ τοῦ χρόνου ταπεινώσῃ αὐτήν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὴν αἰχμάλωτον θρηνεῖν τοὺς οἰκείους κελεύει ῥητὸν ἀριθμῶν ἡμερῶν, εἶθ' οὕτω συναφθῆναι τῷ ταύτην ἀνδραποδίσαντι; Οὐ βούλεται ἀναμιγῆναι θρήνων εὐφροσύνῃ, οὐδὲ μειδιάματι δάκρυον. τούτου χάριν προσέταξε καιρὸν αὐτὴν τοῦ πένθους λαβεῖν, (1) καὶ ἀπαλλαγεῖσαν, τότε μεταλαχεῖν τῆς γαμικῆς ὁμιλίας. πρὸς δὲ τούτῳ καὶ τὴν ἐπιθυμίαν τὴν ἐκείνου κολάζων, ἐκέλευσε (2) μὴ τῆς ἡδονῆς τὸ πάθος, ἀλλὰ τὸν λογισμὸν τῆς κοινωνίας ἡγήσασθαι.

ΚΥΡΙΛΛΟΥ. Οὐκοῦν, καθάπερ ἤδη προεῖπον, οἷά τις αἰχμάλωτος ἐθήτευσεν Αἰγυπτίοις ἡ τῶν Ἰουδαίων συναγωγή. [καθίκοντο μὲν γὰρ οἱ πατέρες εἰς Αἴγυπτον, λιμοῦ κατωθήσαντος ἐν ἀρχαῖς.] ἐπειδὴ δὲ μακρὸς διίππευσε χρόνος, ἀδροὺς καὶ εὐτολμοτάτους καὶ ἀριθμῶν κρείττονας ἀπετέλει λοιπόν. εἶτα ἀδικουμένους ἠλέει Θεός. πεπολέμηκε γὰρ, ὡς ἔφην, πλεονεξίαισιν οὐ φορηταῖς τοῖς Ἰουδαίων δήμοις, (3) ἐξείλετο καὶ νενίκηκεν. εἶδεν ἐν τῇ προνομῇ τὴν δορύκλητον Ἱερουσαλὴμ, ἤτοι τὴν τῶν Ἰουδαίων πληθὺν τῷ τῆς συγγενείας (4) διαςίλβουσαν κάλλει· καλὴ γὰρ καὶ ἀξιάγαςος πρὸς (5) τοὺς πατέρας· ἐπειδὴ δὲ τεθέατο καὶ ἐνεθυμήθη αὐτῆς, τουτέσιν ἀξιέραςον ἐποιήσατο, μονονουχὶ δὲ καὶ συνοικῆσαι θελήσας, καὶ ἀγαθῶν ἀποδασμάτων αὐτὴν ἀποδεῖξαι μητέρα, εἰσήγαγεν εἰς τὸν ἴδιον οἶκον. καὶ τί δὴ τοῦτο ἐςίν; ἔπηξεν ἐν τῇ ἐρήμῳ τὴν ἁγίαν σκηνὴν, ἵνα

A ταῖς κατὰ νόμον θυσίαις, καὶ ταῖς ἐν τύπῳ λατρείαις παιδαγωγουμένη, μανθάνῃ κατὰ βραχὺ τὸ τοῦ Χριςοῦ μυςήριον. παιδα- Γαλ. 3. 24.
„ γωγὸς γὰρ ὁ νόμος ἐπὶ Χριςόν. εἰσοικισάμενος δὲ, καὶ ἐξύρησε, καὶ ὀνύχων ἀπήλλαξε, καὶ τῶν τῆς αἰχμαλωσίας ἀμφίων. κεφαλὴν μὲν οὖν τὸ γράμμα τὸ ἱερὸν κατέθιςαί πως εἰς νοῦ ποιεῖσθαι δήλωσιν· τρίχας δὲ δὴ τὰς ἐν αὐτῇ τοῖς εἰς νοῦν παρεικάζειν νοήμασιν. οὐκοῦν ἡ ξύρησις τῶν τρι-
B χῶν τὴν ἐννοιῶν ἀπόθεσιν [εὖ] μάλα παραδηλοῖ. ὃ δὴ καὶ λελυτρωμένος ὁ ἀρχαῖος Ἰσραὴλ πληροῦν ἐπετάττετο, Θεοῦ λέγον-
„ τος ἐναργῶς, οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι, Ἐξόδ. 20. 3.
πλὴν ἐμοῦ, καὶ τὰ ἑξῆς. τὸ μὲν οὖν ψιλοῦσθαι τὴν κεφαλὴν ταῦτα δὴ πάντως ὑπεμφήνειεν ἄν· τὸ δὲ δὴ καὶ ὀνύχων ἀπαλλάττεσθαι μακρῶν, ῥύπου καὶ ἀκαθαρσίας ἀποβολὴν ὑπαινίττεται· ὅτι δὲ τῆς ἀρχαίας ἀκαθαρσίας ἀποφοιτᾷν ἔδει τὸν
Γ Ἰσραὴλ, τῆς πρὸς Θεὸν οἰκειότητος ἠξιωμένον, οὐκ ἂν ἐνδοιάσειέ τις· τὰ δὲ τῆς αἰχμαλωσίας ἱμάτια, φαίην ἂν ἔγωγε τῆς δουλείας τὸ σχῆμα, καὶ τῆς ἐν φαυλότητι πολιτείας ἀναγράφειν τοὺς τύπους· ὑπενηνεγμένη γὰρ τοῖς τοῦ Διαβόλου θελήμασι, ταῖς ἐκείνου πλεονεξίαις ὑποφέρουσα τὸν αὐχένα, ἄμφιον ὥσπερ τι διεῤῥωγὸς καὶ ῥυπῶν τὴν φιλοσαρκίαν ἐδέχετο· ἐπειδὴ δὲ λελύτρωτο νόμου, καὶ δὴ τὰ ἀμείνω κα-
Δ τεπαιδεύετο φρονεῖν τε καὶ δρᾷν, τῆς ἀρχαίας φαυλότητος ἀπεδύσατο τὰ ἐγκλήματα, καὶ οἷά τινα χιτῶνα λαμπρὸν τὴν διὰ νόμου παίδευσιν αὐτῷ περιθεὶς διετέλει λοιπόν. ἀποδυόμεθα δὲ καὶ ἐν τῷ ἁγίῳ βαπτίσματι, μονονουχὶ παραῤῥίπτοντες τῷ Σατανᾷ τὰ τῆς αἰχμαλωσίας ἱμάτια· οὕτωτε αὐτὸν ἐνδυσάμενοι τὸν Ἐμμανουὴλ, ἀνατίθεμεν τῷ Θεῷ τὰ χαριςήρια, λέγοντες·
„ ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· Ησ. 61. 10.
E „ ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ τὰ ἑξῆς. κατεψιλωμένη δὴ οὖν τὴν τρίχα, καὶ περιῃρημένη, φησὶν, ὄνυχάς τε τοὺς μακροὺς καὶ ῥυπῶντας, καὶ τὰ τῆς αἰχμαλωσίας ἐσθήματα, τότε δὴ τότε τὸ σὸν οἰκήσει δωμάτιον, καὶ εἰσοικισθήσεται μὲν ὡς
„ ἐν τάξει τῆς γεγαμημένης· πλὴν κλαύσεται
„ τὸν πατέρα καὶ τὴν μητέρα μηνὸς ἡμέρας, τουτέςι τῶν οἴκοι διαμεμνήσεται. καὶ με-
„ τὰ τοῦτο εἰσελεύσῃ πρὸς αὐτὴν, καὶ ἔςαι σου
Z γυνή. δεῖν γὰρ οἶμαι τοὺς εἰς οἰκειότητα κεκλημένους τὴν ὡς πρὸς Θεὸν, ἐκτόπων μὲν ἐννοιῶν καὶ ἐνθυμημάτων εἰκαίων, τῶν ἐπί γε τῷ πεπλανῆσθαι (6) φημὶ, καὶ ῥύπου παντὸς τὸν νοῦν ἀπαλλάττοντας, προσεδρεύειν ἀπερισπάςως τῷ τετιμηκότι, καὶ εἰς οἰκειότητα πνευματικὴν παραδεξαμένῳ Θεῷ. Καὶ μετ' ὀλίγα. Τί τοίνυν φησὶν ὁ νόμος;
„ κλαύσεται τὸν πατέρα καὶ τὴν μητέρα
„ μηνὸς ἡμέρας, τουτέςιν οὐκ εὐθὺς ἀσπαςὸν ποιήσε-

(1) Λαβεῖν τριάκοντα ἡμέρας, εἶθ' οὕτω τοῦ πάθους ἀπαλλαγ. ἡ ἐν Χάλ. ἔκδ.
(2) Κολάζει, κελεύων. ἡ αὐτ. (3) Τοῖς Αἰγυπτίων δεσμοῖς. ἐν Τόμ. 1. μέρ. 1. σελ. 417.
(4) Τῷ τῆς πατρῴας εὐγενείας. αὐτ. (5) Διά. αὐτ. ὀρθότερ.
(6) Τῷ πλημμελεῖσθαι. αὐτ.

ποιήσεται τὸ τὴν σὴν ἑστίαν οἰκεῖν· διαμεμνήσεται δὲ τῶν οἴκοι βραχύ. συμβαίνει δὲ τοῦτο τοῖς ἐμπίπτουσιν εἰς αἰχμαλωσίαν, κἂν μειζόνων τύχωσι τιμῶν. τοῦτο συνέβη παθεῖν ταῖς Ἰουδαίων ἀγέλαις. λελύτρωνται μὲν γὰρ ἐξ Αἰγύπτου καὶ πικρᾶς δουλείας ἐξῃρημένοι, κέκληνται δὲ παρὰ Θεοῦ πρὸς τὴν ἄνωθεν αὐτοῖς καὶ ἐκ πατέρων ἐλευθερίαν, ἀλλ' ἦσαν καὶ οὕτω τῶν ἐν Αἰγύπτῳ (Ἐξόδ. 16. 3.) μνήμονες, καὶ ἔκλαιον, λέγοντες, ὄφελον ἀπεθάνομεν πληγέντες ὑπὸ Κυρίου ἐν Αἰγύπτῳ. κατεμέμφοντο δὲ καὶ Μωϋσέως, λέγοντες, ἵνα τί ἐξήγαγες ἡμᾶς ἐν τῇ ἐρήμῳ ταύτῃ; ὅτι τοίνυν ἀνάγκη τῆς ἐπαράτου φιλοσαρκίας, καὶ τῆς εἰς κόσμον ζωῆς ἀπαλλαττομένους, δυσαποσπάστως ἔχειν ἐν ἀρχαῖς, καὶ ζητεῖν ἔσθ' ὅτε τὰ ἐν αὐτῷ, πλαγίως ἡμῖν ὑπεμφαίνει, λέγων ὁ νομοθέτης· ὅτι κλαύσεται τὸν πατέρα καὶ τὴν μητέρα μηνὸς ἡμέρας. καὶ οὐ δήπου φαμὲν, ὅτι κλαίειν αὐτοὺς προσέταχε· συγχωρεῖ δὲ μᾶλλον, καὶ ἀσθενούντων ἀνέχεται.

ιδ. Καὶ ἔσται ἐὰν μὴ θέλῃς αὐτὴν, ἐξαποστελεῖς αὐτὴν ἐλευθέραν, καὶ πράσει οὐ πραθήσεται ἀργυρίῳ· (1) οὐκ ἀθετήσεις αὐτὴν, διότι ἐταπείνωσας αὐτήν.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐὰν δέ τις τῆς ἐπιθυμίας πληρωθεὶς, καὶ διακορὴς γενόμενος, μηκέτι κοινωνεῖν ὁμιλίας ἀξιοῖ τῆς πρὸς τὴν αἰχμάλωτον, οὐ ζημιοῖ μᾶλλον αὐτὸν, ἢ νουθετεῖ καὶ σωφρονίζει πρὸς βελτίωσιν ἠθῶν. κελεύει γὰρ μήτε πιπράσκειν, μήτ' ἔτι δούλην ἔχειν, ἀλλὰ χαρίζεσθαι μὲν ἐλευθερίαν αὐτῇ. χαρίζεσθαι δὲ καὶ τὴν ἐκ τῆς οἰκίας ἀπαλλαγὴν ἀδεᾶ, ὡς μὴ γυναικὸς ἑτέρας ἐπεισελθούσης, ἐξ ἔριδος, οἷα φιλεῖ κατὰ ζηλοτυπίαν, πάθῃ τι τῶν ἀνηκέστων· ἅμα καὶ τοῦ δεσπότου καὶ νεωτέροις φίλτροις ὑπηγμένου, καὶ καταφρονοῦντος τῶν παλαιτέρων.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐὰν δὲ μετὰ τὴν κοινωνίαν παραιτήσηται τὸν γάμον, ἀπολυθῆναι προσέταξε, μισθὸν τῆς κοινωνίας τὴν ἐλευθερίαν λαβοῦσαν.

ΚΥΡΙΛΛΟΥ. Ἀλλ' ἔσται, φησὶν, ἐὰν μὴ θέλῃς αὐτὴν, ἐξαποστελεῖς αὐτὴν ἐλευθέραν, καὶ πράσει οὐ πραθήσεται ἀργυρίου. ὅτε γὰρ δεδυσσέβηκεν ἡ τῶν Ἰουδαίων συναγωγὴ, καὶ αὐτῷ τὰς χεῖρας ἐπαφεῖσα Χριστῷ, ὅτε πεπαρῴνηκεν εἰς τὸν ἑαυτῆς δεσπότην, τότε μεμίσηται, καὶ γέγονεν ἀνεθέλητος, μονονουχὶ καὶ τῆς θείας τε καὶ ἱερᾶς ἑστίας ἀπεπέμπετο· πλὴν εἰς δουλείαν οὐ παραδέδοται, οὐδὲ οἷον καταπεπραμένη τῷ Σατανᾷ τοῖς ἐκείνου θελήμασι παντελῶς ὑπενήνεκται. [οὐ γὰρ λελάτρευκεν εἰδώλοις, καίτοι τῆς εἰς Χριστὸν οἰκειότητος ἀπολισθήσας ὁ Ἰσραήλ.] προσμεμένηκε δὲ τὸν ἕνα καὶ φύσει Θεὸν ὁμολο-

A γῶν ὁ Ἰσραὴλ καὶ προσκυνῶν, καὶ ἀγάπην τὴν πρὸς Μωσέα τετήρηκε καὶ νόμον. οὐ γὰρ ἠθέτησεν αὐτὴν εἰς ἅπαν ὁ τῶν ὅλων Θεὸς, ὅτι τῆς πρὸς αὐτὸν οἰκειότητος ἠξιώθη ποτέ. [τοῦτο γὰρ ἡμᾶς διδάσκει λέγων, οὐκ ἀθετήσεις αὐτὴν, ὅτι ἐταπείνωσας αὐτήν. ταπείνωσιν γὰρ ἐνταῦθά φησι τὴν διαπαρθένευσιν, ἤτοι τῆς πνευματικῆς συναφείας τὸν τρόπον, δῆλον δὲ ὅτι τῆς ἐν Χριστῷ.]

B ιε. Ἐὰν δὲ γένωνται ἀνθρώπῳ δύω γυναῖκες, μία αὐτῶν ἠγαπημένη, καὶ μία αὐτῶν μισουμένη, καὶ τέκωσιν αὐτῷ ἡ ἠγαπημένη καὶ ἡ μισουμένη, καὶ γένηται υἱὸς πρωτότοκος τῇ μισουμένῃ, ιϛ. Καὶ ἔσται ᾗ ἡμέρᾳ κληροδοτῇ τὰ ὑπάρχοντα αὐτοῦ τοῖς υἱοῖς αὐτοῦ, οὐ δυνήσεται πρωτοτοκεῦσαι Γ τὸν υἱὸν τῆς ἠγαπημένης τὸν πρωτότοκον,

ΚΥΡΙΛΛΟΥ. Τῆς ῥητῆς διανοίας τὸ δίκαιον ἐμφαινούσης τοῦ νόμου, τὸν κεκρυμμένον σκοπήσωμεν νοῦν. δύω γυναῖκες ἐχρημάτισαν τῷ τῶν ὅλων σωτῆρι Χριστῷ· ἥτε συναγωγὴ τῶν Ἰουδαίων, καὶ ἡ ἐξ ἐθνῶν Ἐκκλησία. ἀλλ' ἡ μὲν πρώτη μισηθεῖσα διὰ τὴν ἀποστασίαν αὐτῆς, ἐξαπεστάλη. ταύτῃ δὲ υἱοὶ γεγόνασιν οἱ ἀμφὶ τὸν θεσπέσιον Ἀβραὰμ, Δ εἰ καὶ πατέρες αὐτῆς πάλιν ἐχρημάτιζον, καὶ ὅσοι μετ' ἐκείνους τὴν πολιτείαν ἐφάμιλλοι πρὸ τῆς χάριτος, εὐαγγελικῶς βιώσαντες, καὶ ἄτρωτον τὸ κατ' εἰκόνα τηρήσαντες. περὶ τῆς ἐξ ἐθνῶν ἐκκλησίας ὁ Δαβίδ· ἄκουσον θύγατερ, καὶ τὰ ἑξῆς. καὶ ὁ μακάριος δὲ Παῦλος, ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. (2)

E ✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Δύω ἑκάστῳ συνοικοῦσι γυναῖκες, ἐχθραὶ καὶ δυσμενεῖς ἀλλήλαις, τῶν ζηλοτυπίας τὸν ψυχικὸν οἶκον ἀναπιμπλᾶσαι φιλονεικιῶν. τούτων τὴν μὲν ἑτέραν ἀγαπῶμεν, χειροήθη καὶ τιθασσὸν καὶ φιλτάτην καὶ οἰκειοτάτην αὐτοῖς νομίζοντες, καλεῖται δὲ ἡδονή· τὴν δὲ ἑτέραν ἐχθραίνομεν, ἀτίθασσον, ἀνήμερον, ἐξηγριωμένην, πολεμιωτάτην ἡγούμενοι· ὄνομα δὲ καὶ ταύτης ἐστὶν, ἀρετή.

Z ✱✱ ΤΟΥ ΑΥΤΟΥ. Πρώτιστα γάρ ἐστι καὶ τελειότατα τὰ τῆς μισουμένης ἀρετῆς γεννήματα, τὰ δὲ τῆς ἀγαπωμένης ἡδονῆς, ἔσχατα.

ιζ. Ἀλλὰ τὸν πρωτότοκον υἱὸν τῆς μισουμένης ἐπιγνώσεται δοῦναι αὐτῷ διπλᾶ ἀπὸ πάντων ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τῶν τέκνων αὐτοῦ, καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια.

H ✱ ΠΡΟΚΟΠΙΟΥ. Ὅτε ἀποδώσει δηλονότι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, οὐχ ὑπερόψεται

(1) Ἀργυρίου. αἱ εἰρημ. ἐκδόσ.
(2) Οὐδὲ τοῦτο, οὐδὲ τὸ ἑξῆς εὕρηται ἐν τοῖς ἐκδεδομ.

» ῥόψεται τὸν πρωτότοκον υἱὸν τῆς μισουμέ- » νης, ἀλλ᾽ ἐπιγνώσεται δοῦναι αὐτῷ διπλᾶ· ὅτι τε πρὸ τῆς χάριτος γεγόνασι, καὶ πολιτείαν εὐαγγελικὴν ἐπεδείξαντο, καὶ διὰ πίστεως ἐμαρτυρήθησαν. ὥστε (1) καὶ
Ματθ. 8. 11. εἰς κόλπους αὐτῶν, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, τοὺς σωζομένους ἅπαντας ἀναπαύεσθαι, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν.

** ΤΟΥ ΑΥΤΟΥ. Φησὶ δὲ καὶ Παῦλος,
Ῥωμ. 4. 11, 12. » ἔλαβε δὲ Ἀβραὰμ περιτομὴν σφραγῖδα » τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν ἀκροβυ- » στίᾳ, εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων » τῶν πιστευόντων δι᾽ ἀκροβυστίας· εἰς τὸ λο- » γισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην· καὶ » πατέρα περιτομῆς, οὐ τοῖς ἐκ περιτομῆς » μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνεσι » τῆς ἐν ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς ἡμῶν Ἀβραάμ. ὁρᾷς ὡς διπλοῦν παρὰ τοῦ πατρὸς ἔχει τὸν κλῆρον, καίπερ ὢν τῆς μισουμένης, πατὴρ χρηματίζων ἐθνῶν καὶ τῶν ἐκ περιτομῆς.

ΚΥΡΙΛΛΟΥ. Εἰ δὲ πάλιν τοῖς εἰς τὸν
Ματθ. 20. 2. ἀμπελῶνα κληθεῖσιν ἐργάταις ἀνὰ δηνάριον δεδωκέναι ἡ ἐν τοῖς Εὐαγγελίοις διδάσκει παραβολὴ, τοῖς τε περὶ τὴν πρώτην καὶ τοῖς περὶ τὴν δεκάτην πρώτην ὁμοίως, διὰ τὸ τῆς θείας χάριτος ἴσον τε καὶ ὅμοιον· ἀλλ᾽ ἴσμεν αὐτὸν πάλιν ἑτέρᾳ παραβολῇ,
Λουκ. 19. 17, 19. τῷ μὲν λέγοντι, ἴσθι ἐπάνω δέκα πόλεων, » ἑτέρῳ δὲ, ἐπάνω πέντε πόλεων. ἑκάστῳ γὰρ διανέμει τὰ κατ᾽ ἀξίαν, ἀντιταλαντεύων τῇ τε ποιότητι καὶ ἰσότητι τῶν πραττομένων. καὶ τῷ καιρῷ ἁπλῶς εἰπεῖν, πᾶσι τὸ δίκαιον.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τῶν γυναικῶν τὴν μὲν στεργομένην ἡδονῆς, τὴν δὲ συγγενομένην φρονήσεως εἶναί φαμεν σύμβολον. Καὶ μετ᾽ ὀλίγα. Τίκτουσι δ᾽ ἀμφότεραι, ἡ μὲν τὸν φιλήδονον, ἡ δ᾽ αὖ τὸν φιλάρετον ἐν ψυχῇ· ἀλλ᾽ ὁ μὲν φιλήδονος ἀτελὴς καὶ ὄντως ἀεὶ παῖς, κἂν εἰς πολυετίας αἰῶνα μήκιστον ἀφίκοιτο· ὁ δ᾽ αὖ φιλάρετος ἐν γερουσίᾳ τῆς φρονήσεως ἐξ ἔτι σπαργάνων, τὸ τοῦ λόγου δὴ τοῦτο, ἀγήρως ὢν τάττεται. παρ᾽ ὃ καὶ λίαν ἐμφαντικῶς εἴρηκεν ἐπὶ τοῦ τῆς μισουμένης ὑπὸ τῶν πολ- » λῶν ἀρετῆς γεγονότος, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων, καὶ τάξει καὶ ἡγεμονίᾳ δήπου πρῶτος ὢν, καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια· νόμῳ φύσεως, οὐκ ἀνομίᾳ τῇ παρ᾽ ἀνθρώποις.

ιη. Ἐὰν δέ τινι υἱὸς ἀπειθὴς ᾖ καὶ
ἐρεθιστὴς, οὐχ ὑπακούων φωνὴν πατρὸς
καὶ φωνὴν μητρὸς, καὶ παιδεύσωσιν
ιθ. αὐτὸν, καὶ μὴ εἰσακούσῃ αὐτῶν, Καὶ
συλλαβόντες αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ
ἡ μήτηρ αὐτοῦ, ἄξουσιν αὐτὸν ἐπὶ τὴν
γερουσίαν τῆς πόλεως αὐτοῦ, καὶ ἐπὶ
κ. τὴν πύλην τοῦ τόπου αὐτοῦ· Καὶ ἐροῦσι
τοῖς ἀνδράσι τοῦ τόπου αὐτοῦ, λέγον-
A τες, ὁ υἱὸς ἡμῶν οὗτος ἀπειθεῖ καὶ ἐρε-
θίζει, καὶ οὐχ ὑπακούει τῆς φωνῆς ἡμῶν,
κα. συμβολοκοπῶν οἰνοφλυγεῖ. Καὶ λι-
θοβολήσουσιν αὐτὸν οἱ ἄνδρες τῆς πό-
λεως αὐτοῦ ἐν λίθοις, καὶ ἀποθανεῖ-
ται. καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν
αὐτῶν. καὶ οἱ ἐπίλοιποι ἀκούσαντες
φοβηθήσονται.

B ΩΡΙΓΕΝΟΥΣ. Οὐχ ἁπλῶς βούλεται ἀναιρεῖσθαι τοὺς παραπικραίνοντας τοὺς γονεῖς· ἀλλ᾽ ὅταν ἀμφότεροι συμφωνήσωσιν οἱ γονεῖς κατὰ τοῦ παιδός. ἐπειδὴ γὰρ ἄν τε ὁ πατὴρ ὀργισθῇ, καὶ ἀνελεῖν ὁρμήσῃ τὸν υἱὸν, ἡ μήτηρ ἐπέχει· ἄν τε αὐτὴ παροξυνθῇ, ὁ πατὴρ οὐκ ἐᾷ· καὶ σπάνιόν ἐστι συμφωνῆσαι τοὺς γονεῖς κατὰ τοῦ ἰδίου αὐτῶν τέκνου, προστάττει ὁ Θεὸς, ὅταν ἀμφότεροι, συμφωνήσωσι κατὰ τοῦ παιδὸς, τότε
Γ καταλεύειν αὐτὸν, οὐ τοὺς γεννήσαντας, ἀλλὰ τοὺς λοιπούς.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί κοινὴν εἶναι βούλεται τὴν τῶν γονέων κατηγορίαν κατὰ παιδὸς γενομένην; Ἐπειδὴ μαρτυρεῖ τῇ τῆς κατηγορίας ἀληθείᾳ τῶν κατηγορούντων ἡ συμφωνία. συμβαίνει γὰρ πολλάκις μάτην τοῦ πατρὸς κατηγοροῦντος, ἀντειπεῖν τὴν μητέρα· ἢ τῆς μητρὸς αἰτιωμένης, ἀντειπεῖν τὸν πατέρα. ταῦτα μέν-
Δ τοι ἀμφοτέρων κατηγορούντων, δῆλον ἔσται τῆς κατηγορίας τὸ ἀληθές. οὗ δὴ χάριν ἀναιρεῖσθαι κελεύει τὸν οὕτω κατηγορούμενον.

» ΚΥΡΙΛΛΟΥ. Ἔφη που πάλιν, ὃς τύπτει Ἐξόδ. 21. 15. 16.
» πατέρα αὐτοῦ ἢ μητέρα, θανάτῳ τελευτά- » τω. καὶ ὁ κακολογῶν πατέρα αὐτοῦ ἢ μητέρα, θανάτῳ τελευτάτω. ἄθρει δὴ οὖν, ὅτι πάντα μὲν τρόπον τῆς εἰς αὐτοὺς ἁμαρτίας ἐν ἴσῳ κολάζει μέτρῳ· ἀγχοῦ δὲ δὴ
E πάλιν τοῖς περὶ Θεοῦ τὰ γονέων δίκαια τιθεὶς, ὁρᾶται σαφῶς. ὥσπερ γὰρ τὸ περὶ Θεοῦ γλώσσης πλημμέλημα τιμᾶται θανάτῳ, καὶ ταῖς εἰς ἄκρον ὀργαῖς, οὕτω καὶ ἐπ᾽ αὐτῶν τῶν γεγεννηκότων. καὶ τὴν θείαν μέν τις ἀθετήσας ἐντολὴν, καὶ ταῖς παραβάσεσι καταλυπεῖν ᾑρημένος τὸν παιδαγωγὸν, χωρὶς οἰκτιρμῶν ἀποθνήσκει· πατρὸς δὲ τυχὸν ἢ μητρὸς ὑποθηκῶν ἀλογήσας, λιθόλευστος τελευτᾷ, [νόμου τοῦ θείου
Z καὶ τόδε προστεταχότος.] ἆρά σοι λοιπὸν ἐνδοιάζειν ἔτι καὶ μετὰ τοῦτο, ὡς ἐστὶ (2) κατ᾽ ἴχνος τῆς τοῦ Θεοῦ τιμῆς ἡ εἰς πατέρα τε καὶ μητέρα τιμή; ἐκδυσωπεῖ γὰρ ἡμᾶς εἴς γε τὸ χρῆναι τιμᾶν, καὶ τὸ ὑπὸ τοῦ
» [Θεοῦ] σοφῶς εἰρημένον· μνήσθητι, ὅτι δι᾽ Σειρ. 7. 28.
» αὐτῶν ἐγεννήθης· καὶ μὴν καὶ ὁ πατριάρ-
» χης Ἰακὼβ ἐπιεικέστατα λέγων, εἰ μὴ ὁ Γεν. 31 42.
» φόβος Ἰσαὰκ τοῦ πατρός μου ἦν μοι. ἆρ᾽ οὖν εἰπέ μοι, τὸ δι᾽ αὐτῶν γεγεννῆσθαι λέ-
H γειν, οὐ κατ᾽ εἰκόνα (3) τοῦ δημιουργοῦ, καὶ τοῦ πρὸς τὸ εἶναι καλοῦντος τὰ οὐκ ὄντα, δείξειεν

(1) Ὡς εἰς κόλπους αὐτῶν ἅπαντας ἀναπ. ὁ τῆς Αὐγ. κώδ.
(2) Εἶσι. ὀρθότερ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 236. (3) Οὐκ εἰκόνα. αὐτ.

δείξειεν ἂν ἐναργῶς ὄντας αὐτούς; τῷ δὲ δὴ καὶ φόβῳ τῷ πρὸς ἡμῶν τετιμῆσθαι πρέπειν, μονονουχὶ (1) καὶ ἐν αὐτῷ τῷ δεσποτικῷ τέθεικεν ἀξιώματι.

κβ. Ἐὰν δὲ γένηται ἔν τινι ἁμαρτία, κρίμα θανάτου, καὶ ἀποθάνῃ,
κγ. καὶ κρεμάσητε αὐτὸν ἐπὶ ξύλου, Οὐκ ἐπικοιμηθήσεται τὸ σῶμα αὐτοῦ ἐπὶ τοῦ ξύλου, ἀλλὰ ταφῇ θάψετε αὐτὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι κατηραμένος (2) ὑπὸ Θεοῦ πᾶς κρεμάμενος ἐπὶ ξύλου. καὶ οὐ μὴ μιανεῖτε τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς δίδωσί σοι ἐν κλήρῳ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τιμωρίαν ἄλλην προσδιατάττεται, κελεύων τοὺς ἀνελόντας ἀνασκολοπίζεσθαι. καὶ τοῦτο προστάξας, ἀνατρέχει πάλιν πρὸς τὴν ἑαυτοῦ φιλανθρωπίαν, ἡμερούμενος πρὸς τοὺς ἀνήμερα εἰργασμένους, καί φησι, μὴ ἐπιδυέτω ὁ ἥλιος ἀνεσκολοπισμένοις, ἀλλ' ἐπικρυπτέσθωσαν γῇ, πρὸ δύσεως καθαιρεθέντες. ἦν γὰρ ἀναγκαῖον τοὺς ἅπασι τοῖς μέρεσι τοῦ κόσμου πολεμίους μετεωρίσαντες εἰς τοὐμφανὲς, ἐπιδείξασθαι μὲν αὐτοὺς ἡλίῳ καὶ οὐρανῷ καὶ ἀέρι καὶ ὕδατι καὶ γῇ κολασθέντας· πάλιν δὲ εἰς τὸν νεκρῶν χῶρον ὑποσύραι τε καὶ καταχῶσαι, ὅπως μὴ τὰ ὑπὲρ γῆς μιαίνωσι.

** ΠΡΟΚΟΠΙΟΥ. Πρῶθ' ὕστερόν ἐστι τὸ, » καὶ ἀποθάνῃ, καὶ κρεμάσητε αὐτὸν ἐπὶ ξύλου. οὐ γὰρ μετὰ τελευτήν τις σταυροῦται, διὰ δὲ τοῦ σταυροῦ τελευτᾷ.

» ** ΤΟΥ ΑΥΤΟΥ. Ὅτι κεκατηραμέ- » νος ὑπὸ Θεοῦ πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. Ἀκύλας καὶ Θεοδοτίων ἐξέδωκαν, κατά- » ρα Θεοῦ κρεμάμενος. ὁ δὲ θεῖος Ἀπόστολος, οὔτε ὑπὸ Θεοῦ, οὔτε Θεοῦ φησὶ, μνησθεὶς τοῦ ῥητοῦ πρὸς Γαλάτας, (3) οὓς ἀνοήτους καλεῖ. καὶ ἴσως διὰ τοῦτο παρέλειπεν, ὡς οὖσαν ὑπὲρ αὐτοὺς τὴν προσθήκην. ἢ τάχα τὶς, ὡς βλάσφημον, ἐκ τῶν ἀρχαιοτέρων ἐξεῖλε βιβλίων. Καὶ μετ' ὀλίγα. Ἀλλὰ πῶς

A κατάρατον τὸν διὰ σταυροῦ μόνον ἐκάλεσε θάνατον, κἂν ἐκ παροράματος γένηται δικαστῶν; ἐφ' ὁμοίοις ἢ καὶ χείροσιν ἁμαρτήμασιν ἄλλων ἐπαγομένων ἔσθ' ὅτε τιμωριῶν δικαίως. πῶς δὲ οὐ δόξει τὸ τῆς αἰτίας ἀλλόκοτον, τὸ διὰ τοῦτο καθελεῖν αὐτὸν τοῦ σταυροῦ καὶ θάψαι, ἐπειδὴ κατάρατός ἐστιν ὑπὸ Θεοῦ; ὡς δέον ἐπιμένειν, εἰ μὴ κατάρατος ἦν· καίτοι τοὐναντίον ἐχρῆν. πῶς δὲ οὐδεμιᾶς ἁμαρτίας ἢ ἀσεβείας σταυ-
B ρὸν εἰπὼν δεῖν εἶναι τὴν δίκην, νῦν τοῦτο παρέῤῥιψεν; οὐκοῦν πανταχόθεν συνάγεται τὸ διὰ τὸν Χριστὸν μόνον εἰρῆσθαι τὸν λόγον. ὅστις ἤμελλεν ὑπὲρ ἡμῶν κατάρα γενέσθαι. καὶ ἐπεὶ Θεὸς ἦν, εἰκότως εἴρηται, κατά- » ρα Θεοῦ. Θεὸς γὰρ ὑπάρχων, ἔσχεν ὑπὲρ ἡμῶν τὴν κατάραν. ὅτι γὰρ οὐχ ἑτέρως κατάρα σταυρὸς ὀνομάζεται, δηλοῖ τὸ περὶ » Πέτρου εἰρημένον· τοῦτο δὲ εἶπε σημαί- Ἰωάν. 21. 19.
» νων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. εἰ
Γ γὰρ φύσει κατάρα, διατί δοξάσει τὸν Θεὸν ἔφη, καὶ μὴ ἁπλῶς τελευτήσει; οὐ γὰρ δόξα Θεοῦ τὸ φύσει δεινὸν ὂν, καὶ κατάρα Θεοῦ.

ΚΥΡΙΛΛΟΥ. Τὸ δὲ ἐφ' ᾧ περ ἔμελλε σταυροῦσθαι ξύλον ἐπωμάδιον ἔχων, πρόσεισι (4) λοιπὸν κατακεκριμένος ἤδη, καὶ τὴν ἐφ' αἵματι ψῆφον ἐπ' οὐδενὶ παντελῶς ὑπομείνας κακῷ, καὶ τοῦτο δι' ἡμᾶς. τὰς
Δ γὰρ τοῖς ἡμαρτηκόσιν ἐπηρτημένας δίκας ἐκ τοῦ νόμου εἰς αὐτὸν ἐκομίζετο. γέγονε Γαλ. 3. 13.
» γὰρ ὑπὲρ ἡμῶν, κατὰ τὸ γεγραμμένον, » κατάρα.

ΣΕΥΗΡΟΥ. Χριστὸς τοίνυν ταπεινώσας ἑαυτὸν διὰ τὴν ἡμῶν σωτηρίαν, ἅπαντα τὰ ἡμέτερα ᾠκειώσατο. καὶ ἡμῶν ὑπὸ κακίαν γενομένων, τὴν ἀρὰν εἰς αὐτὸν εἵλκυσεν, ἐπὶ τῷ λῦσαι ταύτην. λέγει δὲ
» Παῦλος, Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς Γαλ. 3. 13.
E» κατάρας τοῦ νόμου. τούτῳ τῷ λόγῳ καὶ ἁμαρτίαν αὐτὸν ὠνομάσθαι φαμέν. τὸν γὰρ 2. Κορ. 5. 21.
» μὴ γνόντα, φησὶν, ἁμαρτίαν, ὑπὲρ ἡμῶν » ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα » Θεοῦ δικαιοσύνη.

ΚΕΦ. ΚΒ.

α. Μὴ ἰδὼν τὸν μόσχον τοῦ ἀδελφοῦ σου, ἢ τὸ πρόβατον αὐτοῦ πλανώμενον ἐν τῇ ὁδῷ, ὑπερίδῃς αὐτά. ἀποστροφῇ ἀποστρέψεις αὐτὰ τῷ ἀδελφῷ σου, καὶ ἀποδώσεις αὐτῷ.

ΚΥΡΙΛΛΟΥ. Συνίης οὖν, ὅπως ἡμᾶς ἀστειότατα παιδαγωγεῖ πρὸς τὸ ἄγαν ἤδη πως καὶ τελείως ἀγαθὸν, μελέτησιν ὥσπερ ἀμνησικακίας ποιεῖσθαι προστάττων τὴν εἰς
Z τὰ κτήνη φειδῶ τοῦ λελυπηκότος, ὃν καὶ ἄνω καὶ κάτω τῷ τῆς ἀδελφότητος ὀνόματι στεφανοῖ, κατακωλύων οἶμαί που τὸ ἔντονον εἰς ὀργὰς, καὶ τὸ περιττὸν εἰς μικροψυχίας, καὶ τὸν τῆς φύσεως νόμον, βραβεύτην ὥσπερ τινὰ τῆς ἀγάπης εἰσφέρων. εἰ γὰρ εὕρῃς, φησὶ, πλανώμενον κτῆνος, ἢ ἀπολωλὸς ἱμάτιον, περισώσεις τῷ ἀδελφῷ. (5)

β. Ἐὰν δὲ μὴ ἐγγίζῃ ὁ ἀδελφός σου πρὸς σὲ, μηδὲ ἐπίσῃ αὐτὸν, συνάξεις

(1) Οὐ μονονουχὶ ... ἀξιώματι; αὐτ.
(2) Κεκατηραμένος. αἱ εἰρημ. ἐκδόσ.
(3) Ἐν κεφ. 3. ἐδ. 13.
(4) Πρόεισιν. ἐν Τόμ. 4. σελ. 1057.
(5) Τὸ αὐτὸ παρὰ τῷ Αὐθεντ. κώδ. κεῖται καὶ εἰς τὸ 4. ἐδ. τοῦ 33. κεφ. τῆς Ἐξόδ. οὐ τέθειται δὲ ἐκεῖ ἐν τοῖς ἐκδεδομ. διὰ τὸ ἀκατάλληλον.

-ξεις αὐτὰ ἔνδον ἐν τῇ οἰκίᾳ σου, καὶ ἔσαι μετὰ σοῦ ἕως ἂν ζητήσῃ αὐτὰ ὁ ἀδελφός σου, καὶ ἀποδώσεις αὐτὰ
γ. αὐτῷ. Οὕτω ποιήσεις τὸν ὄνον αὐτοῦ, καὶ οὕτω ποιήσεις τὸ ἱμάτιον αὐτοῦ, καὶ οὕτω ποιήσεις κατὰ πᾶσαν ἀπώλειαν τοῦ ἀδελφοῦ σου· ὅσα ἂν ἀπόληται παρ' αὐτοῦ καὶ εὕρῃς, οὐ δυνήσῃ ὑπεριδεῖν.

δ. Οὐχ ὑπερόψῃ τὸν ὄνον τοῦ ἀδελφοῦ σου ἢ τὸν μόσχον αὐτοῦ πεπτωκότα ἐν τῇ ὁδῷ, μὴ ὑπερίδῃς αὐτά, ἀνιστῶν ἀναστήσεις αὐτοὺς μετ' αὐτοῦ.

ΚΥΡΙΛΛΟΥ. Καὶ εἰ γένοιτό τι τῶν ἀχθοφορεῖν εἰωθότων καταλισθῆσαι [εἰς γῆν,] ὥστε ὑπ' αὐτῷ συντρίβεσθαι τῷ φορτίῳ, συνεργάσῃ καὶ συνεγερεῖς. ἕτερον δὲ τουτέστιν οὐδέν, ἢ τὸν κεκλημένον ὠφελεῖν, [καὶ] μελέτη πρὸς ἔλεον, καὶ παιδαγωγία πρὸς φιλοικειότητα, καὶ τὸ λυπεῖσθαι ζητεῖν μακρὰ παρωθεῖσθαι, καὶ παραιτεῖσθαι διαφορὰς ὑπέρ γε τοῦ μὴ δοκεῖν προσκρούειν ἀγάπῃ καὶ νόμοις τοῖς εἰς φιλαδελφίαν· εἰκὸς δὲ καὶ ἕτερον ὑπαινίττεσθαι [τὸ] χρησμῴδημα. (1) εἰ γὰρ τοσαύτη γέγονε τῷ νομοθέτῃ φροντίς, ὡς εἰ καί τι τῶν ἀλόγων εἴη πεπονθός, ὀρέγειν ἡμᾶς τὴν ἐπικουρίαν, πῶς οὐκ ἂν μειζόνως αὐτῷ ἀρέσειεν ἡ εἰς ἀνθρώπους φειδώ, καὶ [ἡ] τοῖς ὁμογενέσιν ὀφειλομένη φιλαλληλία; οὐκοῦν εἰ ἐχθρὸς πλανῷτο τυχόν, μανθανέτω τὴν ἐπ' εὐθύ, καὶ δι' ἡμῶν νουθετείσθω πρὸς τὸ συμφέρον.

ΤΟΥ ΑΥΤΟΥ. Καὶ εἰ ἐν πόνῳ τὶς καὶ περισπασμοῖς (2) ἐνθλίβοιτο τῶν προσκεκρουκότων, καὶ οἱονεί πως εἰς γῆν ἐρριμμένος ἀφύκτοις ἀνάγκαις καταπιέζοιτο, φησίν, ἐπικουρείσθω πρὸς ἡμῶν, καὶ ἔσω λύπης ἀμείνων ὁ διάφορος. (3) ἢ οὐχὶ τοῦτό
Ματθ. 5. 44. ἐστι τό, εὖ ποιεῖτε τοῖς ἐχθροῖς ὑμῶν, καὶ
» προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς; ἁγιοπρεπὲς οὖν ἄρα τοῖς κάμνουσι συναλγεῖν, καὶ οὐχὶ δὴ μᾶλλον τὰ ἐφ' οἷς τὴν ἄμεινον ἐποικτείρεσθαι δεῖν, πλεονεξίας τῆς κατ' αὐτῶν ποιεῖσθαι πρόφασιν, ἐπιθρώσκοντάς τε καὶ ἐπιμωκῶντας ἔτι τοῖς ἠδικημένοις.

ε. Οὐκ ἔσαι σκεύη ἀνδρὸς ἐπὶ γυναικί, οὐδὲ μὴ ἐνδύσηται ἀνὴρ στολὴν γυναικείαν, ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου ἐστὶ πᾶς ποιῶν ταῦτα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοσαύτη δή τις ἐστὶ τῷ νόμῳ σπουδὴ καὶ φιλοτιμία περὶ τοῦ γυμνάσαι καὶ συγκροτῆσαι ψυχὴν πρὸς ἀνδρίαν, ὥστε καὶ περὶ ἐσθημάτων,

A ὁποῖα ἐχρῆν ἀμπέχεσθαι, διετάξατο· ἀπειπὼν ἀνὰ κράτος ἀνδρὶ γυναικὸς ἀμπεχόνην ἀναλαμβάνειν, ἕνεκα τοῦ μηδὲν ἴχνος ἢ σκιὰν αὐτὸ μόνον τοῦ θήλεος ἐπὶ λύμῃ τῆς ἄρσενος γενεᾶς προσάψασθαι. βούλεται γὰρ ἀεὶ ἑπόμενος τῇ φύσει, τὰ οἰκεῖα καὶ συνῳδὰ ἀλλήλοις ἄχρι τῶν ἐσχάτων, καὶ δι' εὐτέλειαν ἀφανεστέρων εἶναι δοκούντων, νομοθετεῖν. Καὶ μετ' ὀλίγα. Ἠρρενῶσθαι γάρ τόν γε πρὸς ἀλήθειαν ἄνδρα κἂν τού-
B τοις ἠξίωσε, καὶ μάλιστα ἐν ἐσθήσεσιν, ἃς ἐπιφερόμενος μεθ' ἡμέραν τε καὶ νύκτωρ, ὀφείλει μηδὲν ἔχειν ἀνανδρίας ὑπόμνημα.

ΚΥΡΙΛΛΟΥ. Τουτέστιν ἔθη καὶ γυναικὸς τρόπους μή, ὡς ἱμάτιον, ἀνὴρ ἐνδυσάσθω· μηδ' αὖ γυνὴ τὴν τινά (4) τῆς προσούσης αὐτῇ φύσεως ἐπιτηδευέτω. τὰ τῶν ἀνδρῶν ἤθη ἀπομιμεῖσθαι. (5) βδέλυγμα γὰρ ἐν ἴσῳ παρὰ Θεῷ καὶ ἀκαλλέστατον θέαμα,
Γ γενναιότητος ὑπόληψις ἐπὶ μαλακισμοῖς.
» τοῦτο γάρ ἐστι τὸ εἶναι σκεύη ἀνδρὸς ἐπὶ γυναικί, καὶ τὸ νοσεῖν ἐν ἀνδράσι (6) τὸν μαλακισμόν. τοῦτο γὰρ ὁμοίως τὸ ἐνδύσασθαι τὸν ἄνδρα στολὴν γυναικείαν.

ς. Ἐὰν δὲ συναντήσῃς νοσσιᾷ ὀρνέων πρὸ προσώπου σου ἐν τῇ ὁδῷ, ἢ ἐπὶ παντὶ δένδρῳ, ἢ ἐπὶ τῆς γῆς, νοσσοῖς ἢ ᾠοῖς, καὶ ἡ μήτηρ θάλπῃ ἐπὶ
Δ τῶν νοσσῶν ἢ ἐπὶ τῶν ᾠῶν, οὐ λήψῃ
ζ. τὴν μητέρα μετὰ τῶν τέκνων. Ἀποστολῇ ἀποστελεῖς τὴν μητέρα, τὰ δὲ παιδία λήψῃ σεαυτῷ, ἵνα εὖ σοι γένηται καὶ πολυήμερος ἔσῃ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὸν νεοττοὺς ὀρνίθων εὑρηκότα, τούτους μὲν κελεύει λαβεῖν, τοὺς δὲ γεγεννηκότας ἀφεῖναι; Φιλανθρωπίαν παιδεύει. εἰ γάρ τις τοὺς
E τεκόντας λάβοι, καὶ καταλίποι τοὺς νεοττούς, ἀπολοῦνται πάντως, οὐκ ὄντος τοῦ τρέφοντος· εἰ δὲ καὶ τούτους κἀκείνους θηρεύσοι, διαφθαρήσεται δηλονότι τὸ γένος, εἰ πάντες τὰ ὅμοια δράσαιεν.

ΚΥΡΙΛΛΟΥ. Ἢ οὐκ ἐναργῶς ἐπαΐεις; ὡς εἴπερ τὶς ἕλοιτο νεοττοκομοῦσαν (7) ἔτι τὴν ὄρνιν, ἤγουν ἐπῳάζουσαν, ποιείσθω μὲν ὄνησιν καὶ εὕρημα τὰ ἐξ αὐτῆς· ἀποπεμπέτω γε μὴν οὐδὲν ποιήσας βλάβος. οὐκοῦν
Z ἄθρει τὸ κεκρυμμένον, καὶ οἱονεὶ διάπτυξαι τὴν σκιάν, καὶ κατασκέπτου νοητῶς τὴν ἀλήθειαν. ἑκάστη μὲν γὰρ ἀρετὴ μήτηρ οἷά τίς ἐστι τῶν ἐξ αὐτῆς ἀγαθῶν καὶ γενέσεις· οἷον, εἴ τις λέγοι τὴν χρηστότητα, τὴν φιλοπτωχείαν, τὴν πραΰτητα, τὴν μακροθυμίαν. χρηστεύεται γάρ τις οὐχ ἑαυτῷ ἢ ἑτέρῳ

(1) Τὰ ἑπόμ. κεῖται παρὰ τῷ Αὐθεντ. κώδ. καὶ ἐν τῷ προειρημ. τόπῳ.
(2) Πειρασμοῖς. ὀρθότερ. ἐν σελ. 270. τοῦ 2. μέρ. τοῦ 1. Τόμ.
(3) Τὰ μὲν ἄχρι τοῦδε ἐν μόνῳ τῷ εἰρημ. τόπῳ παρὰ τῷ κώδ. κεῖται, τὰ δὲ ἄχρι τοῦ, ὑμᾶς, ὧδε κἀκεῖσε· τὰ δὲ μετὰ τό, ὑμᾶς, ὧδε μόνον.
(4) Ἴσ. τενίαν, ἢ ταινίαν. ἔστι δὲ παρὰ Βαρίνῳ τινὲς ζῶναι.
(5) Ἴσ. θέλουσα, ἢ σπουδάζουσα, ἢ ἄλλο τι ὅμοιον. ἰστέον δέ, ὅτι τὰ ἄχρι τοῦδε ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται.
(6) Ἐν ἀνδρείαις. ἐν Τόμ. 1. μέρ. 2. σελ. 147.
(7) Νεοττεύουσαν. αὐτ. ἐν σελ. 268.

ἑτέρῳ μᾶλλον· μετὰ καὶ πρᾳότητος σχοῖεν δ' ἂν τῆς φιλοπτωχείας οἱ ταύτης δεδεημένοι, ὁμοίως καὶ μακροθυμίας. οὐκοῦν ἀρετὴ μὲν ἑκάστη μήτηρ ἂν νοοῖτο, καὶ οἱονείτις ἀρχὴ τῶν ἐν αὐτῇ τε καὶ ἐξ αὐτῆς ἀγαθῶν· νοσσιαὶ δὲ ὥσπερ ἀρετῶν αἱ ταύτας ὠδίνουσαι, [καὶ] ἐν σφίσιν αὐταῖς ἔλουσαι ψυχαί. χρῆναι δὴ οὖν [ἄρα φησὶν ὁ νόμος, τοὺς] ἀνδράσι περιτυγχάνοντας, ἐν οἷς ἂν εἶεν ἀρεταὶ, καθάπερ εἰς νοσσιὰν συγκεκομισμέναι, ποιεῖσθαι μὲν κέρδη τὰ ἐξ αὐ- B τῶν, μὴ μὴν ἔτι κατασίνεσθαι φιλεῖν ἀρετὴν τὴν τῶν ἀρίστων κατορθωμάτων μητέρα. ἀδικεῖται δὲ ἀρετὴ καλασινομένη (1) πρός τινος, κατά γε τοὺς ἤδη προειρημένους τρόπους. ἵνα δή τι φῶμεν (2) ταῖς τοῦ μα-

1. Κορ. 9. 9. καρίου Παύλου φωναῖς συμβαῖνον, μὴ τῶν » στρουθίων μέλει τῷ Θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; τύπους γὰρ ἡμῖν πραγμάτων σαφῶς ἐξηγεῖται τῆς διὰ Μωσέως ἐντολῆς ὁ λόγος.

» ΤΟΥ ΑΥΤΟΥ. Οὐ λήψῃ μητέρα, ἐπειδὴ μὴ δύναται ἑαυτὰ τὰ τέκνα θρέψαι, τῆς μητρὸς ληφθείσης. (3)

η. Ἐὰν δὲ οἰκοδομήσῃς οἰκίαν καινὴν, ποιήσεις στεφάνην τῷ δώματί σου, καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου, ἐὰν πέσῃ ὁ πεσὼν ἀπ' αὐτοῦ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ποιήσεις στε- » φάνην τῷ δώματί σου. Τρίγχον δεῖ γενέσθαι, φησὶν, ὑπερανεστηκότα τοῦ καταστρώματος· ὡς αὐλῆς τύπον ἔχειν τὸ δῶμα, βραχυτέροις τοίχοις περιφραττόμενον. δεῖ δὲ καὶ τὰς εἰς ὕψος ἀγούσας ἀρετὰς ταπεινοφροσύνῃ τειχίζεσθαι. ψυχῆς γὰρ πτῶσις ἀλαζονεία.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν στεφάνην τῷ δώματι γενέσθαι παρεκελεύσατο; Ἐδίδαξε τὰ ἑξῆς. ἔφη γὰρ, » καὶ οὐ ποιήσεις » φόνον ἐν τῇ οἰκίᾳ σου, ἐὰν πέσῃ ὁ πεσὼν ἀπ' αὐτοῦ. λόγῳ γὰρ ἡμᾶς τιμήσας, βούλεται τούτῳ εἰς δέον κεχρῆσθαι, καὶ πάντων προμηθεῖσθαι, καὶ μὴ ἀνοήτως πάντων παραχωρεῖν τῷ Θεῷ· ἀλλὰ τὰ παρ' ἑαυτῶν συνεισφέροντας, ἀναμένειν τὴν ἐκεῖθεν βοήθειαν. οὕτω σπείροντες, οὐ θαῤῥοῦμεν τῇ γῇ, ἀλλὰ τὴν θείαν φιλανθρωπίαν προσμένομεν· καὶ χρώμενοι ἰατροῖς, ἴσμεν ὅτι τοῦ Θεοῦ τὸ διὰ τούτων ἰᾶσθαι. τοσαῦτα γὰρ ἡ τέχνη δύναται, ὅσαπερ ὁ ταύτην δεδωκὼς βούλεται.

ΚΥΡΙΛΛΟΥ. Ὥσπερ γάρ ἐστιν ἀκαλλὴς οἰκία, [ταινίας ἐρήμη, καὶ] τῶν ὑστεροδρομίων οὐκ ἐπενηνεγμένων αὐτῇ, οὕτως (4) ἀπειθείας πᾶν ἔργον ἡμῶν ἀγαθὸν, εἰ μὴ πρὸς πέρας ἄγοιτο τὸ πρέπον αὐτῷ. [καὶ οὐ μέχρι τούτων, ἀλλ' ἕψεται τοῖς ῥαθυμοῦσι καὶ κίνδυνος. τοῦτο γὰρ οἶμαί ἐστι τὸ κατολισθεῖν ἐκ τῆς οἰκίας τινά.]

ΑΛΛΟΣ δέ φησιν, ὅτι στεφάνη ἐστὶν ἡ ταπεινοφροσύνη ἑκάστης ἀγαθῆς πράξεως.

A ὁ μὴ ταύτῃ ἐπιβάλλων τῷ ὕψει τῶν ἀρετῶν, ῥᾳδίως ἀποθανεῖται τὸν τῆς ἁμαρτίας θάνατον.

ΑΔΗΛΟΥ. Καὶ τίς ἡ οἰκία ἡ καινή; Πάντως ἡ τῆς φιλοσοφίας ἀγωγὴ, καὶ ἡ διὰ τῶν καινῶν ἔργων τῆς δικαιοσύνης οἰκοδομή. τίς δὲ ἡ ἐπὶ τοῦ δώματος στεφάνη; ἡ ἐπ' ἀλλοδαπῆς δηλονότι διατριβὴ. ἣν διὰ τὴν εὐσέβειαν ὑπομένουσί τινες, μὴ βουλόμενοι κλῖναι γόνυ τῇ Βάαλ, καὶ ἀποθανεῖν B τὸν τῆς ψυχῆς θάνατον, καὶ φόνον ποιῆσαι ἐν τῇ οἰκίᾳ. φόνος γάρ ἐστιν ὁ πάντων ἐλεεινότατος, καὶ οἰκίας πτῶσις, τὸ μετὰ τοὺς τῆς φιλοσοφίας πόνους καὶ τῆς ἀσκήσεως τοὺς ἱδρῶτας ὑποκλῖναι τοῖς διώκουσι, καὶ τὴν τοσαύτην οἰκοδομίαν τοῦ πύργου τῶν ἀρετῶν, προτιμῆσαι βραχείας ἡδονῆς, καὶ τῆς ἐλπίδος τῆς μακαρίας ζωῆς.

θ. Οὐ κατασπερεῖς τὸν ἀμπελῶ- Γ νά σου διάφορον, ἵνα μὴ ἁγιασθῇ τὸ γέννημα, καὶ τὸ σπέρμα ὃ ἐὰν σπείρῃς μετὰ τοῦ γεννήματος τοῦ ἀμπελῶνός σου.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, οὐ κατασπε- » ρεῖς τὸν ἀμπελῶνά σου διάφορον, ἵνα μὴ » ἁγιασθῇ τὸ γέννημα, καὶ τὸ σπέρμα ὃ ἂν » σπείρῃς μετὰ τοῦ γεννήματος τοῦ ἀμπελῶνός σου; Καὶ τὴν ἀπληστίαν ἐκκόπτει, καὶ αὐ- Δ τῶν προμηθεῖται τῶν γεωργούντων. πλείονα γὰρ ἡ γῆ σπέρματα δεχομένη, ἐξίτηλους δίδωσι τοὺς καρπούς. κελεύει τοίνυν, μήτε ἀναμεμιγμένα σπέρματα καταβάλλειν, μήτε μὴν τὰς ἀμπέλους σπείρειν. εἶτα τῷ παραβαίνοντι δίδωσιν ἐπιτίμιον, τὴν τοῦ κέρδους κολάζων ἐπιθυμίαν. ἐκέλευσε γὰρ αὐτῷ τὰ τοιαῦτα προσφέρεσθαι. τοῦτο » γὰρ εἶπεν, ἵνα μὴ ἁγιασθῇ τὸ γέννημα.

» ΩΡΙΓΕΝΟΥΣ. Οὐ καταπερεῖς τὸν ἀμ- E » πελῶνά σου διάφορον· ἵνα μὴ ἀτονωτέρα γένηται ἡ γῆ, ὡς μήτε τὸ σπέρμα πλῆρες ἀποδιδόναι, μήτε τῆς ἀμπέλου τὸν καρπὸν, ἀλλὰ καθ' ἑαυτοῦ ἕκαστον.

** ΠΡΟΚΟΠΙΟΥ. Ὥσπερ ἀνάθημα λέγεται πᾶν ἀνατιθέμενον τῷ Θεῷ· λέγεται δὲ καὶ ἐπὶ τοῦ φαύλου καὶ κεκατηραμένου, διὰ τὸ κατάρατον εἶναι τὸν ἀναθημάτων ἁπτόμενον· καὶ ὅτι τὸ μὲν ὡς ἅγιον ἀφορίζεται, μὴ ἁπτομένου τινός· τὸ δὲ, Z ὡς ἐναγές· οὕτω τὸ ἅγιον κατὰ διττὸν λέγεται τρόπον. καὶ τὸ μὲν ἐπὶ καλοῦ, περιττὸν ἀποδεικνύναι· ὅτι δὲ κἂν ἀσεβεῖς ὦσί τινες, ἀφορισθῶσι δὲ πρός τινα διακονίαν, ἅγιοι λέγονται, δηλοῖ Σοφονίας, λέ- » γων· εὐλαβεῖσθε ἀπὸ προσώπου Κυρίου τοῦ Σοφον. 1. 7. » Θεοῦ. διότι ἐγγὺς ἡ ἡμέρα τοῦ Κυρίου. ὅτι » ἡτοίμασε Κύριος τὴν θυσίαν αὐτοῦ, ἡγίακε τοὺς κλητοὺς αὐτοῦ, τοὺς Βαβυλωνίους οὕτω » καλῶν. καὶ Μιχαίας δέ φησιν· ἡγίασεν ἐπ' Μιχ. 3. 5. H » αὐτὸν πόλεμον. καὶ τὸ, ἐγὼ δὲ συντάσσω, Ἡσ. 13. 3. » καὶ ἐγὼ ἄγω αὐτούς. ἡγιασμένοι εἰσὶ, καὶ ἐγὼ

(1) Κατασειομένη. ἐν Τόμ. 1. μέρ. 2. σελ. 268.

(2) Ἀλλ' ἵνα τί φῶμεν. αὐτ.

(3) Ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται.

(4) Τὸν αὐτὸν οἶμαι τρόπον ἀπίθανον κομιδῇ πᾶν, κτ. αὐτ. ἐν σελ. 285.

» ἐγὼ ἄγω αὐτὲς. γίγαντες ἔρχονται πλη- » ρῶσαι τὸν θυμόν μȣ, περὶ τῶν μετὰ Κυρȣ κατὰ Βαβυλῶνος ςρατȣομένων.

ΚΥΡΙΛΛΟΥ. Ἀμπελώνων ὁ μελεδωνὸς, εἴπερ εἴη νȣνεχὴς ϗ γηπονεῖν ἄριςα μεμελετηκὼς, ȣκ ἀνάσχοιτό ποτε τὰ ξηρὰ τῶν σπερμάτων ὑπ' αὐταῖς φύεσθαι ταῖς ἀμπέλοις, ἵνα μὴ δαπανωμένης αὐταῖς τῆς ἰκμάδος εἰς τὸ ἀλλότριον, ὑςερίζοιεν αὗται περὶ τὸ οἰκεῖον. ἴθι δὴ ȣ̃ν ὡς ἐξ εἰκόνος ἤδη πως ἐπὶ τὸ πνȣματικόν. (1) ἀμπελῶνας ὄντας ἡμᾶς, ϗ ἐν ὀρχάτων τάξει κειμένȣς, μονοειδεῖ τρόπον τινὰ προσήκει ςεφανȣ̃σθαι καρπῷ, ϗ τὸν διφυᾶ παραιτεῖσθαι τρόπον. λόγος γὰρ ȣδεὶς εἰς ὁμοιότητα φυσικὴν σίτῳ τε ϗ βότρυσιν. ἀλλοτρίων δὴ ȣ̃ν σπερμάτων μηδεὶς ἐν ἡμῖν ἔςω τόπος.

ι. Οὐκ ἀροτριάσεις ἐν μόσχῳ καὶ ὄνῳ ἐπὶ τὸ αὐτό.

⁎⁎ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀπαγορεύει ἐν ταὐτῷ ζευγνῦσθαι πρὸς ἄροτραν βȣ̃ν καὶ ὄνον· ȣ μόνον τȣ̃ περὶ τὰ ζῶα ἀνοικείȣ ςοχασάμενος· διότι τὸ μὲν ἐςι καθαρὸν, ὄνος δὲ τῶν ȣ καθαρῶν, τὰ δὲ ȣ̃τως ἠλλοτριωμένα συνάγειν ȣκ εὐπρεπές· ἀλλ' ἐπειδὴ καὶ ἰσχὺν ἐςὶν ἄνισα, προμηθεῖται τῶν ἀσθενεςέρων, ὡς μὴ πρὸς δυνατωτέρας βίας θλίβηται καὶ πιέζηται. καίτοι τὸ μὲν ἀσθενέςερον, ὄνος, ἔξω περιῤῥαντηρίων ἐλαύνεται· τὸ δὲ ἐῤῥωμενέςερον, βȣ̃ς, ἐν ταῖς τελειοτάταις θυσίαις ἱερȣργεῖται. ἀλλ' ὅμως ȣ̃τε τῆς τῶν ἀκαθάρτων ἀσφαλείας ὠλιγώρησεν, ȣ̃τε τοῖς καθαροῖς ἐφῆκεν ἰσχύϊ πρὸ δίκης χρῆσθαι· μονονȣκ ἄντικρυς βοῶν καὶ κεκραγὼς τοῖς ὦτα ἔχȣσιν ἐν ψυχῇ, μηδένα τῶν ἑτεροεθνῶν ἀδικεῖν, ȣδὲν ἔχοντας αἰτιάσασθαι, ὅτι μὴ τὸ ἀλλογενὲς, ὅπερ ἐςὶν ἀναίτιον. ὅσα γὰρ μήτε κακία, μήτε ἀπὸ κακιῶν, ἔξω παντὸς ἐγκλήματος ἵςαται.

⁎ ΒΑΣΙΛΕΙΟΥ. (2) Τȣτέςι, τὸ γαῦρον τῆς ψυχῆς ϗ φιλόπονον τῷ φιληδόνῳ καὶ παθητικῷ μὴ συζεύξῃς.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Μόσχος ἐςὶν ὁ κατὰ νόμον καθαρὸς, καὶ εἰς θυσιαςήριον ἀναφερόμενος· ὄνος δὲ, ὁ κατὰ νόμον ἀκάθαρτος. παρεγγυᾷ τοίνυν τοῖς τὴν ψυχὴν εὐτρεπισμένοις εἰς ὑποδοχὴν θείȣ σπόρȣ τὴν τῶν ἀκαθάρτων μὴ δέχεσθαι διδασκαλίαν, οἵα ἐςὶν ἡ τῶν Ἑλλήνων, καὶ ἡ τῶν
Ψαλ. 118. 85. ἀθέων αἱρετικῶν, κατὰ τὸν Δαβίδ· διη-
» γήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ'
» ȣ̓χ ὡς ὁ νόμος σȣ Κύριε. (3)

ΩΡΙΓΕΝΟΥΣ. Ἡσαΐας δὲ πάλιν γρά-
Ἡσ. 32. 20. φει, μακάριοι οἱ σπείροντες ἐπὶ πᾶν ὕδωρ.
A ποῖον ὕδωρ, ἐφ' ᾧ δεῖ σπείρειν τὸ καλὸν σπέρμα; εἴη δέ σȣ (4) τὸ βάπτισμα τῆς σωτηρίας, τὸ λȣτρὸν τῆς παλιγγενεσίας. σπεῖρε ἐπὶ τὸ μυςήριον τȣ̃ λȣτρȣ̃, καὶ γίνῃ μακάριος. ἐκεῖ βȣ̃ς καὶ ὄνος πατεῖ· βȣ̃ς ὁ καθαρὸς [ὁ] Ἰσραηλίτης, ϗ ὄνος ἀκάθαρτος ἐκ γένȣς ὁ ἀπὸ τῶν ἐθνῶν· ἵνα σύμβολον ᾖ ἀμφότερα τὰ ζῶα τȣ̃ λόγȣ τȣ̃ τοῖς ἔθνεσι κεκηρυγμένȣ. πατεῖ ȣ̃ν βȣ̃ς καὶ ὄνος, φησὶ, τȣ̃το τὸ ὕδωρ ὅπȣ σπεί-
B ρειν θέλομεν.

ια. Οὐκ ἐνδύσῃ κίβδηλον, ἔρια καὶ λίνον ἐπὶ τὸ αὐτό.

⁎⁎ ΠΡΟΚΟΠΙΟΥ. Ἀκύλας τὸ κίβδηλον παρέδωκεν, ἀντικείμενον· ὁ δὲ Σύμμαχος, ἑτερογενές.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Οὐδὲ γὰρ προσήκει τȣ̀ς Χριςὸν ἐνδυομένȣς καὶ τὸν τȣ̃ ἀληθινȣ̃ προβάτȣ καρπὸν τὸ ἔριον, τὸ λίνον καὶ
Γ γεῶδες καὶ ἐν ταῖς ψεκάσι γεωργȣ́μενον χώραις συνενδύεσθαι. τοιȣ̃τοί εἰσιν οἱ περιεχόμενοι ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δὲ ὄντες λύκοι ἅρπαγες, ϗ τῷ μὲν πλησίον λαλȣ̃ντες εἰρηνικὰ, ἔχοντες δὲ τὴν ἔχθραν ἐν ἑαυτοῖς.

ΚΥΡΙΛΛΟΥ. Ἄμφιόν γε μὴν ἔχειν ἡμᾶς ȣκ ἐᾷ τὸ ἐκ δυοῖν ὑφασμένον, αἰνιγμάτȣ τὸ χρῆμα τιθεὶς τȣ̃ μὴ ἀνέχεσθαι, διπλόην ὥσπερ εἰς νȣ̃ν ἔχειν. διπλόην δὲ
Δ εἶναί φημι τὴν ἔσω καὶ νοητὴν ἐπάρατον ἀνθρωπαρέσκειαν, ἣ ἐκ δυοῖν ὥσπερ ἀποπλέκεται σπȣδασμάτοιν, τὴν εἰς ἄλληλα διαφορὰν ȣ μετρίαν ἠῤῥωςηκότοιν. τίς γὰρ ἢ ποῖος τῶν ὑποκριτῶν ὁ βίος; ἆρ' ȣ̓χὶ τὸ ἐν ὄψει μὲν ἀνθρώπων ὁρᾶσθαι χρηςȣ̀ς, ϗ δοκεῖν μὲν εἶναι, μὴ μὴν ἔτι κατὰ ἀλήθειαν ἀγαθȣ̀ς; διττὸς ȣ̃ν ὁ τρόπος ἐξ ἀνομοίων ἡμῖν θελημάτων ἐξυφασμένος. ἀλλ' ὅ γε θεῖος Δαβὶδ ἀποδέχεται τὸν μονό-
E τροπον, ϗ φαιδȣ̀ς ἠξιῶσθαί φησι τῆς ἄνω-
» θεν. Κύριος [γὰρ] κατοικίζει μονοτρόπȣς, Ψαλ. 67. 6.
» [φησὶν,] ἐν οἴκῳ· διασκορπίζειν δὲ ϗ Θεὸς Ψαλ. 52. 5.
» λέγεται ὀςᾶ ἀνθρωπαρέσκων.

ΙΣΙΔΩΡΟΥ. (5) Ἐπειδὴ γέγραφας τί βȣλόμενος ὁ Μωϋσῆς ἐνομοθέτησε, λίνον μὲν καὶ ἔριον μὴ συνυφαίνεσθαι· ἐν δὲ τοῖς λινοῖς ἱματίοις πορφύραν μὴ συνυφαίνειν, λέπραν τε ἱματίων καὶ λίθων πολυπραγμονεῖν, ἔχον μὲν καὶ τὰς θεωρίας αὐ-
Z τῶν μηνῦσαι. ἔχȣσι γὰρ ἀρίςας ἀλληγορίας. (6) ἀλλ' ἐπειδὴ οἶδα πολλȣ̀ς χαίροντας μόνῃ τῇ ἑρμηνείᾳ τῶν Γραφῶν, εὐθεῖαν τὴν ἀπόκρισιν ποιήσομαι. οἶμαι τοίνυν, [ὅτι] εἰς φιλοσοφίαν τȣ̀ς ὑπηκόȣς ἐνάγων, καὶ τῆς χρείας μόνης γενέσθαι βȣλόμενος, πᾶσαν βλακείαν ἐξωςράκισε· δια

(1) Τῶν ἑπομέν. τὸ πλεῖςον μέρ. κεῖται καὶ ἐν σελ. 1089. ὅπȣ ὁ προσφυέςερ. τȣ̃ ὅλȣ τόπος.
(2) Ὠριγένȣς. ψευδῶς. ἐν σελ. 390. τȣ̃ 2. Τόμ. τῆς τȣ̃ Ῥȣ. ἐκδόσ.
(3) Τὰ αὐτὰ καὶ ὁ Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ. (4) Δὲ τȣ̃το. ἐν τῷ ἤδη εἰρημ. τόπῳ.
(5) Ἐπιςολὴ πδ'. ϗ ταῦτα πρόσκειται παρὰ τοῖς κώδ. ἔςι δὲ ἀληθῶς ἡ ἐπιςολὴ αὕτη ἡ 84. τȣ̃ 3. Βιβλ.
(6) Ὠφελῆσαι δυναμένας τȣ̀ς μὴ ἀγύμνασον ἔχοντας πρὸς θεωρίαν τὸν νȣ̃ν· ἀλλ' ἐπειδὴ οἶδα πολ[λȣ̀ς] μὲν νομίζοντας, τȣ̀ς τὰ τοιαῦτα λέγοντας, ἀμαθίᾳ τȣ̀ς ἀγῶνας ἐκλύειν· σὲ δὲ τοῖς πράγμασι, καὶ μόνῃ τῇ ἑρμηνείᾳ τῶν Γραφῶν χαίροντα, εὐθεῖαν τὴν ἀπόκρισιν ποιήσομαι, κύκλων ἀπηλλαγμένην. οἶμαι, κλ. αὐτ.

ὰ μὲν τῦ μὴ σιωυφαίνειν λίνον καὶ ἔριον,
ὼ ποικιλίαν ἐξορίζων· διὰ δὲ τῦ πορφύ-
εν μὴ σιωυφαίνειν τοῖς λινοῖς ἱματίοις,
ὼ πολυτέλειαν καὶ τὸν καλλωπισμόν· διὰ
τῦ λέπραν ἱματίων καὶ λίθων περιερ-
άζεσθαι, τὸ πλέον τῆς χρείας κλήσασθαι,
ἀποθέσθαι, ἀπαγορεύων. τοῖς γὰρ χρο-
οις ἱματίοις καὶ οἰκίαις τῦτο συμβαίνειν
ωθε. τῆς γὰρ χρείας ἔσο, φησί. μηδὲν
εριτῖὸν μήτε κλώμενος. μήτε ἀποκλώμε-
ος, (1) μήτε καλλωπιζόμενος, ἀλλὰ πᾶ-
ν τιὼ φροντίδα εἰς τιὼ τῆς ψυχῆς ἐπι-
έλειαν μετάστησον. εἰ δὲ βύλῃ καὶ παρὰ
ῶν ἔξωθεν ὠφεληθλῶαι· φασὶ γὰρ τὰς
ῶν καρπῶν ἀποῤῥεύσας ἡμέρυς συκᾶς,
ὰ τῶν ὀλύνθων τῶν ἀγρίων συσφίγγε-
αι· φαίλω, ὅτι καὶ Ἰσωκράτης ὅτε Δη-
ονίκῳ τὺς παραινετικὺς ἔπεμπε λόγυς,
αρλῶει, ἔσο περὶ τιὼ ἐσθῆτα φιλόκαλος,
λλὰ μὴ καλλωπιστής. Φιλοκάλυ μὲν γὰρ
ὸ μεγαλοπρεπὲς, καλλωπιςῦ δὲ τὸ πε-
ίεργον. (2) ἀλλὰ καὶ Διογένης θεασάμε-
ς τινα μειρακίσκον ἀσελγέςερον ἢ κατ'
νδρα κεκοσμημένον, ἔφη αὐτῷ· εἰ μὲν
ρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γιωαῖ-
ας, ἀδικεῖς. εἰ τοίνιω οἱ ἔξωθεν τῦ πρέ-
οντος ἐπεμελήθησαν, πῶς ὐκ ἔμελλεν ὁ
ρὸς ἐκεῖνος καὶ θεοφιλὴς ἀνὴρ εἰς φιλο-
φίαν ἐνάγων, πᾶσαν μὲν ποικιλίαν καὶ
λακείαν καὶ καλλωπισμὸν ἐκ τῶν ὑπη-
όων ἐξορίζειν, κοσμιότητα δὲ καὶ σεμνό-
ητα νομοθετεῖν, δι' ὧν ὁ ἄριςος κατορ-
ῦται βίος;

ιβ. Στρεπῖὰ ποιήσεις σεαυτῷ ἐπὶ
ῶν τεωάρων κρασπέδων τῶν περιβο-
αίων σῦ, ἃ ἂν περιβάλῃ ἐν αὐτοῖς.

⁎⁎ ΠΡΟΚΟΠΙΟΥ. Στρεπῖὰ ποιήσεις
αυτῷ ἐπὶ τῶν δ' κρασπέδων. πρὸς διlωεκῆ
νήμlω τῦ νόμυ, πῇ μὲν, ἀφάψεις αὐτὰ,
ησὶν, ἐπὶ τῶν χειρῶν σῦ· πῇ δὲ, καὶ
οιήσεις σεαυτῷ κράσπεδα ἐπὶ τῶν πλευ-
ίων ἐξ ὑακίνθυ κεκλωσμένης· ὡς ἂν ἡ
έα τιὼ μνήμlω ἐργάζοιτο.

ιγ. Ἐὰν δέ τις λάβῃ γιωαῖκα καὶ
ιωοικήσῃ αὐτῇ, καὶ μισήσῃ αὐτlὼ,
αὶ ἐπιθῇ αὐτῇ προφασιςικὺς λό-
υς, καὶ κατενέγκῃ αὐτῆς ὄνομα πο-
ηρὸν, καὶ λέγῃ, τιὼ γιωαῖκα ταύ-
lω εἴληφα, καὶ προσελθὼν αὐτῇ
χ εὕρηκα αὐτῆς παρθενίαν· Καὶ
αβὼν ὁ πατὴρ τῆς παιδὸς καὶ ἡ μή-
ηρ ἐξοίσυσι τὰ παρθένια τῆς παι-
ὸς πρὸς τιὼ γερυσίαν ἐπὶ τιὼ πύ-
lω. Καὶ ἐρεῖ ὁ πατὴρ τῆς παιδὸς
ῇ γερυσίᾳ, τιὼ θυγατέρα μυ ταύ-
lω δέδωκα τῷ ἀνθρώπῳ τύτῳ γυ-
αῖκα, καὶ μισήσας αὐτlὼ Νιῶ αὐ-
ὸς, ἐπιτίθησιν αὐτῇ προφασιςικὺς

A λόγυς, λέγων, ὐχ εὕρηκα τῇ θυ-
γατρί σῦ τὰ παρθένια· καὶ ταῦτα
τὰ παρθένια τῆς θυγατρός μυ. καὶ
ἀναπλύξυσι τὸ ἱμάτιον ἐναντίον τῆς
ιη. γερυσίας τῆς πόλεως ἐκείνης. Καὶ
λήψεται ἡ γερυσία τῆς πόλεως ἐκεί-
νης τὸν ἄνθρωπον ἐκεῖνον, καὶ παιδεύ-
ιθ. συσιν αὐτὸν, Καὶ ζημιώσυσιν αὐτὸν
ἑκατὸν σίκλυς, καὶ δώσυσι τῷ πα-
B τρὶ τῆς νεάνιδος, ὅτι ἐξlώεγκεν ὄνο-
μα πονηρὸν ἐπὶ παρθένον Ἰσραηλί-
τιlω, καὶ αὐτῦ ἔσαι γιωή· ὐ διωή-
σεται ἐξαποςεῖλαι αὐτlὼ τὸν ἅπαν-
τα χρόνον.

⁎⁎ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Κόρας οἱ
ἀγόμενοι νόμῳ, καὶ γάμυς θύσαντες καὶ
ἑςιαθέντες, μηδὲν οἰκεῖον ἐπὶ ταῖς γαμε-
ταῖς πάθος σώζοντες, ἀλλ' ὑβρίσαντες,
Γ καὶ ὡς ἑταίραις ταῖς ἀςαῖς προσενεχθέν-
τες· ἐὰν διάζευξιν τεχνάζωσι, μηδεμίαν
ἀπαλλαγῆς πρόφασιν ἀνευρίσκοντες, εἶτ'
ἐπὶ τὸ συκοφαντεῖν τραπόμενοι· ἀπόντων
τῶν φανερῶν ἐγκλημάτων, πρὸς τὰ ἀφανῆ
τρέπωσι τὰς αἰτίας, καὶ παρελθόντες κα-
τηγορῶσιν, ὅτι ὡς παρθένοις δόξαντες σύ-
νεληλυθέναι, γιωαῖκας ἐν ταῖς πρώταις
ὁμιλίαις ἐφώρασαν· ἀθροιζέσθω μὲν ἡ γε-
ρυσία πᾶσα πρὸς τιὼ κρίσιν, παρίτωσαν
Δ δὲ οἱ τῶν κατηγορυμένων γονεῖς, ἀπολο-
γησόμενοι περὶ κοινῦ κινδιώυ. κίνδιωος γὰρ
ὐ ταῖς θυγατράσι μόνον περὶ τῆς τῶν σω-
μάτων ἁγνείας ἐςὶν, ἀλλὰ καὶ τοῖς ἐπιμε-
ληταῖς· ὐ μόνον ὅτι εἰς τὸν ἀναγκαιότα-
τον τῆς ἀκμῆς καιρὸν ὐ παρεφύλαξαν,
ἀλλ' ὅτι τὰς παρθένυς τὰς ὑφ' ἑτέρων
ἐφθαρμένας ἐνεγύησαν, ἀπατῶντες καὶ
φενακίζοντες τὺς λαμβάνοντας. εἶτ' ἐὰν
περιγένωνται τοῖς δικαίοις, τιμάτωσαν οἱ
E δικαςαὶ κατὰ τῶν τὰς ψευδεῖς αἰτίας πλασ-
σομένων, χρημάτων ζημίας, καὶ τὰς διὰ
πληγῶν εἰς τὰ σώματα ὕβρεις. καὶ τὸ πάν-
των ἐκείνοις ἀηδέςατον, τιὼ τῶν γάμων
βεβαίωσιν, ἐὰν ὑπομένωσιν αἱ γιωαῖκες
αὐτοῖς ἔτι σιωοικεῖν. ταῖς μὲν γὰρ ἐφίη-
σιν ὁ νόμος θελύσαις καὶ μένειν καὶ ἀπαλ-
λάτῖεσθαι, τὺς δ' ὐδετέρυ κυρίυς ἀπέφη-
νεν, ἀνθ' ὧν ἐσυκοφάντησαν.

Z ΑΔΗΛΟΥ. Σημειωτέον, ὅτι ἐπὶ τῦ προ-
σώπυ τῦ διαβάλλοντος τιὼ ἑαυτῦ γιωαῖκα,
ὡς μὴ εὑρεθεῖσαν παρθένον, ὐκ ἰσχύει βι-
βλίον ἀποςασίυ.

ΑΔΗΛΟΥ. Σημειωτέον, ὡς ὐκ ἀζήμιον
παντελῶς ἀφίησι τὸν ἀδίκως ὀλιγωρήσαν-
τα τῆς ὔπω κατεγνωσμένης.

κ. Ἐὰν δὲ ἐπ' ἀληθείας γένηται
ὁ λόγος ὗτος, καὶ μὴ εὑρεθῇ παρ-
κα. θενία τῇ νεάνιδι, Καὶ ἐξάξυσι τιὼ
νεάνιν ἐπὶ τὰς θύρας οἴκυ πατρῴυ
αὐτῆς,

(1) Μήτε ἀποτιθέμενος, ἀλλὰ μηδὲ καλλωπιζ. αὐτ.
(2) Καὶ ὅτι τῦτο ἀληθές ἐςι, δι' ὧν Διογένης εἶπε, σαφῶς δείκνυται. θεασάμενος γάρ τινα, κτ. αὐτ.

A αὐτῆς· καὶ λιθοβολήσουσιν αὐτὴν ἐν λίθοις οἱ ἄνδρες τῆς πόλεως ταύτης, καὶ ἀποθανεῖται, ὅτι ἐποίησεν ἀφροσύνην ἐν υἱοῖς Ἰσραὴλ, ἐκπορνεῦσαι τὸν οἶκον τοῦ πατρὸς αὐτῆς. καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

κβ. Ἐὰν δὲ εὑρεθῇ ἄνθρωπος μετὰ γυναικὸς (1) συνῳκισμένης ἀνδρὶ, ἀποκτείνατε ἀμφοτέρους, τὸν ἄνδρα τὸν κοιμώμενον μετὰ τῆς γυναικὸς, καὶ τὴν γυναῖκα. καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

** ΚΥΡΙΛΛΟΥ. Ὥσπερ ἐν τοῖς εἰς γυναῖκα πλημμελήμασι τὸ πάντων ἂν εἴη παγχάλεπον, ἡ μοιχεία, τὸν ἑτέρου τινὸς παραλύουσα γάμον, καὶ τῶν ἤδη συνημμένων ποιοῦσα διάζευξιν, κατὰ τὸν αὐτὸν οἶμαι τουτονὶ τρόπον, τῶν εἰς ἀνθρωπίνας ψυχὰς αἰτιαμάτων τὸ πάντων μάλιστά ἐστι δυσσεβέστερόν τε καὶ ἀφορητότερον τὸ ἐπιτηδεῦσαι τὴν παραφθορὰν, οὐκ εἰς τὴν τυχοῦσαν ἁπλῶς, ἀλλ' εἰς τὴν ἤδη τρόπον τινὰ συνῳκισμένην καὶ ἑνωθεῖσαν Χριστῷ τῷ ἄνωθέν τε καὶ ἐξ οὐρανοῦ νυμφίῳ. ἑνούμεθα γὰρ αὐτῷ διά τε τῆς πίστεως, καὶ προσέτι τοῦ μεταλαχεῖν ἁγίου πνεύματος.
1. Κορ. 6. 17. ὁ γὰρ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι, κατὰ τὰς Γραφάς. θανάτῳ δὴ οὖν ὁ νόμος τιμᾶται δικαίως ὁμοῦ τῷ μοιχεύσαντι τὴν πεπορνευμένην· καὶ τὸν μὲν ὡς ἐνιέντα τῆς ἐνέσεως αὐτῷ δυσσεβείας τὰ σπέρματα, τὴν δὲ ὅτι τὸν τῆς γνησιότητος ἀτιμάζουσα νόμον, ἑτέρῳ γέγονε, καὶ ταῖς ἐκείνου παραφθοραῖς ἁπλοῦσα τὸν νοῦν, τὸν ἐξ ἀνθρωπίνων εὑρημάτων εἰσεδέξατο μολυσμόν.

ΤΟΥ ΑΥΤΟΥ. Γυναικὶ μὲν οὖν κατὰ νόμον συνῳκισμένῃ παρεικαστέον εὖ μάλα τὴν διὰ πίστεως καὶ πνεύματος Χριστῷ συνημμένην καὶ ἑνωθεῖσαν ψυχήν.

κγ. Ἐὰν δὲ γένηται παῖς παρθένος μεμνηστευμένη ἀνδρὶ, καὶ εὑρὼν αὐτὴν ἄνθρωπος ἐν πόλει κοιμηθῇ
κδ. μετ' αὐτῆς, Ἐξάξετε ἀμφοτέρους ἐπὶ τὴν πύλην τῆς πόλεως αὐτῶν, καὶ λιθοβοληθήσονται ἐν λίθοις, καὶ ἀποθανοῦνται· τὴν νεάνιν, ὅτι οὐκ ἐβόησεν ἐν τῇ πόλει· καὶ τὸν ἄνθρωπον, ὅτι ἐταπείνωσε τὴν γυναῖκα τοῦ πλησίον. καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν. (2)

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μεθόριον ὑπολαμβάνουσί τινες ἀδίκημα εἶναι φθορᾶς καὶ μοιχείας, ὑπογάμιον· ὅταν ὁμολογίαι μὲν ὑπερεγγυήσωσι, μήπω δὲ γάμων ἐπιτελεσθέντων, ἕτερος ἀπατήσας ἢ καὶ βιασάμενος εἰς ὁμιλίαν ἔλθῃ. παρ' ἐμοὶ κριτῇ, μοιχείας καὶ τοῦτ' ἐστὶν εἶδος· αἱ γὰρ ὁμολογίαι γάμοις ἰσοδυναμοῦσιν, αἷς ἀνδρὸς ὄνομα καὶ γυναικὸς καὶ τἆλλα τὰ ἐπὶ συνόδοις ἐγγράφεται. ὧν χάριν καταλεύειν B ὁ νόμος ἀμφοτέρους προσέταξεν, ἐὰν ἀπὸ μιᾶς καὶ τῆς αὐτῆς γνώμης ἐπιθῶνται τοῖς ἀδικήμασι συμφρονήσαντες. οὐχ οἷόν τε γὰρ ἀπὸ μὴ τῶν αὐτῶν ὁρμηθέντας βουλευμάτων, νομίζεσθαι συναδικοῦντας.

ΑΔΗΛΟΥ. Τῷ μοιχῷ παραπλησίως κολάζεσθαι κελεύει τὸν φθείροντα τὴν ἄλλῳ μεμνηστευμένην· ἐπειδὴ τὰ τῆς μνηστείας αὐτοὺς συνήρμοσε σύμβολα. ὅθεν καὶ γυναῖκα αὐτὴν προσηγόρευσεν. Γ „ ἐταπείνωσε γὰρ τὴν γυναῖκα τοῦ πλησίον. οὕτω καὶ ἡ ἁγία Παρθένος γυνὴ τοῦ Ἰωσὴφ ἐχρη„ μάτισε. μὴ φοβηθῇς γάρ φησι παραλα- Ματθ. 1. 20.
„ βεῖν Μαριὰμ τὴν γυναῖκά σου.

ΩΡΙΓΕΝΟΥΣ. Τὴν ἤδη μεμνηστευμένην γυναῖκα καλεῖ· οὕτω καὶ ἐπὶ τοῦ Ἰωσὴφ καὶ τῆς Θεοτόκου ἐλέχθη. (3)

ΚΥΡΙΛΛΟΥ. Παρθένον δὲ εἶναι μεμνηστευμένην λογιούμεθα τὴν κεκλημένην εἰς Δ ἀρχὰς γνώσεως ἀληθοῦς, οὔπω δὲ ὁλοτελῶς ἑνωθεῖσαν Θεῷ· περιμένουσαν δὲ ἔτι καθάπερ τινὰ γάμον καὶ συναφείας τρόπον τὸν ἀληθέστερον, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος χάριν, καὶ τὴν τοῦ ἁγίου πνεύματος μέθεξιν, ἀῤῥαβῶνά γε μὴν καὶ ὁμιλίας ὥσπερ ἀρχὴν τὸν τῆς κατηχήσεως λόγον εἰσδεδεγμένην. οὕτω τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν ὁ θεῖος ἡμῖν μυσταγωγὸς παρεκόμισε τῷ Χριστῷ. Καὶ μετ' ὀλίγα. Εἰ τοίνυν Ε γένοιτο, φησὶ, τῆς παραφθορᾶς τὰ ἐγκλήματα καὶ ἐπί τινι τοιᾷδε ψυχῇ, μοιχεία γεγράφθω τὸ χρῆμα. ὑπόχρεως γὰρ ἡ μεμνηστευμένη, καὶ ὑπὸ χεῖρα λοιπὸν τοῦ μετὰ βραχὺ νυμφίου. ἀλλ' εἰ μὲν [ἐν πόλει] γένοιτο τὸ ἀδίκημα, φησὶ, τουτέστιν ἐν Ἐκκλησίᾳ Χριστοῦ, καὶ ἐν πόλει Θεοῦ ζῶντος, ἣν κατοικοῦσιν Ἄγγελοι καὶ ἄνδρες ἅγιοι, καθηγηταὶ καὶ διδάσκαλοι, τοῖς κινδυνεύουσι καὶ ἀπατωμένοις ἐπαμύνειν Ζ οἷοί τε, συναποτεθνάτω τῷ φένακι καὶ ἡ παθοῦσα παρθένος. ἐξὸν γὰρ ἑτοίμως διαδράναι τὴν παραφθορὰν, εἰ τοῖς διασώζειν εἰδόσι καταμεμήνυκε διδασκάλοις, ἐθελούσιον ἠῤῥώστησε τὸ παθεῖν, καὶ οὐκ ἐξ ἀνάγκης ἕξει (4) τὴν εἰς τὸ φαῦλον ἀπαγωγήν.

(1) Κοιμώμενος μετὰ γυναικός. αἱ εἰρημ. ἐκδόσ.

(2) Ἰστέον, ὅτι τὸν τόπον τοῦτον, ὅ, τε Ὠριγένης (ἐν τῷ κατὰ Κέλσου βιβλ. 1. σελ. 352. τοῦ. 1. Τόμ. τῆς τοῦ Ῥου. ἐκδόσ.) καὶ ὁ μέγας Βασίλειος (ἐν τῷ εἰς τὸ 7. τοῦ Ἡσ. κεφ. ὑπομνήμ. σελ. 529. τοῦ 1. Τόμ καὶ ἐν τῇ εἰς τὴν Χριστ. γέν. ὁμιλ. σελ. 599. τοῦ 2. Τόμ. τῆς ἐν Παρισ. ἐκδόσ.) πάνυ εὐφυῶς ἐσημείωσαν, δεῖξαι βουλόμενοι, ὅτι ταὐτὸν παρὰ τῇ Γραφῇ τὸ, νεᾶνις καὶ παρθένος, κατὰ τῶν λεγόντων, τὸν Ἡσαΐαν μὴ εἰρηκέναι ἰδοὺ ἡ παρθένος, ἀλλ' ἰδοὺ ἡ νεᾶνις.

(3) Σημείωσαι τὸ, Θεοτόκου, καὶ παρ' Ὠριγένει κείμενον. εἴ γε δὴ ἀναμφιλέκτως τοῦ Ὠριγένους ἐστὶ τ[illegible] ὑπόμν. οὕτω δὲ ἐπιγράφουσιν ἑκάτερος τῶν ἡμετέρων κωδίκ. ἔτι δὲ καὶ ὁ 2. Τόμ. τῆς τοῦ Ῥου. ἐκδόσ.

(4) Ἔχει. ἐν Τόμ. 1. μερ. 2. σελ. 258.

κε. Ἐὰν δὲ ἐν πεδίῳ εὕρῃ ἄνθρωπος τὴν παῖδα τὴν μεμνηστευμένην, καὶ βιασάμενος κοιμηθῇ μετ' αὐτῆς, ἀποκτενεῖτε τὸν κοιμώμενον μετ' αὐτῆς μόνον· Τῇ δὲ νεάνιδι οὐκ ἔστιν ἁμάρτημα θανάτου. ὡς εἴ τις ἐπαναστῇ ἄνθρωπος ἐπὶ τὸν πλησίον, καὶ φονεύσῃ αὐτοῦ ψυχὴν, οὕτω τὸ ῥῆμα τοῦτο,

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Παρὰ τὰς τῶν τόπων διαφορὰς αὔξεσθαι συμβέβηκε καὶ μειοῦσθαι τὸ ἀδίκημα. μεῖζον μὲν γὰρ, οἷα εἰκὸς, ἐστὶν, εἰ πραχθείη κατὰ πόλιν, ἔλαττον δὲ τειχέων ἔξω κατ' ἐρημίαν. ἐνταῦθα μὲν γὰρ βοηθὸς οὐδεὶς ἐστὶ τῇ παιδὶ, πάνθ' ὅσα περὶ τοῦ διατηρῆσαι τὴν παρθενίαν ἄψαυσον καὶ ἀνεπιβούλευτον λεγούσῃ τε καὶ δρώσῃ· ἐν ἄστει δὲ βουλευτήρια, καὶ δικαστήρια στρατηγῶν, ἀγορανόμων, ἀστυνόμων, ἄλλων ἀρχόντων ὅμιλοι μεγάλοι, καὶ σὺν τούτοις ὁ δῆμος. Καὶ μετ' ὀλίγα. Τῷ μὲν οὖν διαπραξαμένῳ τὴν βίαν ἕπεται δίκη πανταχοῦ, μηδεμιᾶς ἐκ τῆς τῶν χωρίων διαφορᾶς εὑρισκομένῳ πρὸς ἐπανόρθωσιν ὧν ὕβρισε καὶ παρῳνόμησε· τῇ δὲ παιδὶ, καθάπερ ἔφην, τότε μὲν ἔλεος καὶ συγγνώμη, τότε δ' ἀπαραίτητος τιμωρία παρακολουθήσει.

** ΙΣΙΔΩΡΟΥ. Ἐάν τις βιάσηται παρθένον ἐν ἐρήμῳ, τὸν μὲν ἀποκλείνατε, τὴν δὲ περιποιήσασθε. ἐβόησε γὰρ ἡ νεάνις, καὶ οὐκ ἦν ὁ βοηθῶν· τῇ δὲ ἐν πόλει τοῦτο παθούσῃ, καὶ μὴ βοησάσῃ ἀπαραίτητος ἡ τιμωρία, καὶ μάλα εἰκότως. ἐν μὲν γὰρ ἐρημίᾳ ὁ βοηθήσων οὐκ ἦν. καὶ διὰ τοῦτο ἡ παρονηθεῖσα συγγνώμης ἀξία εἶναι κέκριται· ἡ δὲ ἐν πόλει τοῦτο παθοῦσα, καὶ τῇ σιγῇ συγκαταθεμένη, καὶ μὴ βοήσασα, μηδὲ καλέσασα τοὺς ἀναστεῖλαι τὴν βίαν δυναμένους, θανάτῳ εἰκότως κατακέκριται. οὐκοῦν παντὶ σθένει χρὴ τὴν γνώμην καθαρὰν διατηρεῖν καὶ ἀμόλυντον, μηδεμιᾷ ὁρμῇ, μηδὲ συγκαταθέσει τοιαύτῃ μεμιασμένην. ἵνα κἂν, ὃ μὴ γένοιτο, γένοιτό τι τοιοῦτον, ἀκέραιον ἔχωσι τὴν ἀπολογίαν παρὰ τῷ ἀδεκάστῳ κριτῇ, τῷ καὶ τὰς καρδίας ἐμβατεύοντι, καὶ μαρτύρων μὴ δεομένῳ.

ΚΥΡΙΛΛΟΥ. Εἰ δὲ μὴ γένοιτο, φησὶν, ἐν Ἐκκλησίᾳ, μηδὲ ἐν πόλει Θεοῦ ζῶντος, ἀλλ' ὥσπερ ἐν πεδίῳ καὶ ἀγρῷ, οὐ μυσταγωγὸς ἐπαμύνων οὐκ ἦν, καὶ τῶν μεταπείθειν ἐπὶ τὸ ἄμεινον ἐπιχειρούντων ἐρημία πολλὴ, καὶ ὡς ἐν σπάνει παιδαγωγῶν ὁ φενακισμὸς, κινδυνευσάτω μόνον ὁ βιασάμενος. πλεονεξία γὰρ ἤδη τὸ δρώμενον, καὶ πάθος ἀνεπίκρητον. καὶ ἀνάγκη τις δυσδιάφυκτος. παρακρούεσθαι τὴν γραφὴν ἢ τοῖς ἀβουλήτως ἐπενηνεγμένοις, ὡς ἑκουσίοις (1) ἐπιτιμᾷν, οὐ περιττὸν εἶναι φήσομεν;

κζ. Ὅτι ἐν τῷ ἀγρῷ εὗρεν αὐτὴν ἐβόησεν ἡ νεάνις ἡ μεμνηστευμένη, καὶ ὁ βοηθῶν οὐκ ἦν αὐτῇ.

A ΑΔΗΛΟΥ. Καὶ ἀντὶ τοῦ, παρθένος, νεάνις φησὶ, καθὼς καὶ Ἀκύλας ἐκδέδωκε. δῆλον γὰρ, ὡς ἡνίκα ἐβόα, οὐκ ἦν φθαρεῖσα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Πολυπραγμονητέον τῷ δικαστῇ, μὴ πάντ' ἐπὶ τοὺς τόπους ἀναφέροντι. δύναται γὰρ κατὰ μέσην τὴν πόλιν, ἄκουσα βεβιάσθαι, καὶ ἔξω πόλεως ἑκοῦσα πρὸς ὁμιλίαν ἔκθεσμον ἐκδοῦναι. διὸ παρατετηρημένως καὶ σφόδρα καλῶς ἀπολογούμενος ὑπὲρ τῆς ἐν ἐρημίᾳ φθειρομένης, φησὶν ὁ νόμος· ἐβόησεν ἡ νεάνις, καὶ βοηθὸς οὐκ ἦν αὐτῇ. ὥστ' εἰ μήτ' ἐβόησε, μήτ' ἠναντιώθη, βουλομένη δὲ συναπῆρε, γένοιτ' ἂν ἔνοχος, σόφισμα τοῦ βεβιάσθαι δοκεῖν προστησαμένη τὸν τόπον. καὶ μὴν ἐν πόλει τί γένοιτ' ἂν ὄφελος τῇ πάντ' ἐθελούσῃ ποιεῖν ὑπὲρ τῆς ἰδίας ἐπιτιμίας, ἀδυνατούσῃ δ' ἕνεκα τῆς περὶ τὸν ὑβριστὴν ἰσχύος; τί γὰρ εἰ μετὰ τῶν κάλων ἀποδήσειεν, ἢ τὸ στόμα ἀποφράξειεν, ὡς μηδὲ φωνὴν ῥῆξαι δύνασθαι, γένοιτ' ἂν ὄφελος ἐκ τῶν συνοικούντων; τρόπον γάρ τινα ἥδε καίπερ ἐν πόλει διατρίβουσα κατ' ἐρημίαν ἐστὶν, ἅτε βοηθῶν ἔρημος· ἡ δὲ, κἂν μηδεὶς παρατυγχάνῃ, τῷ δ' ἑκοῦσα συναπᾶραι, λέγοιτ' ἂν οὐδὲν διαφέρειν τῆς ἐν ἄστει.

κη. Ἐὰν δέ τις εὕρῃ τὴν παρθένον
τὴν παῖδα, ἥτις οὐ μεμνήστευται, καὶ
βιασάμενος κοιμηθῇ μετ' αὐτῆς, καὶ
κθ. εὑρεθῇ, Δώσει ὁ ἄνθρωπος ὁ κοιμηθεὶς μετ' αὐτῆς τῷ πατρὶ τῆς νεάνιδος πεντήκοντα δίδραχμα ἀργυρίου, καὶ αὐτοῦ ἔσται γυνὴ, ἀνθ' ὧν ἐταπείνωσεν αὐτήν· οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον.

* ΚΥΡΙΛΛΟΥ. Ἰσχυροτέραν τῶν δρωμένων ποιεῖται τὴν βάσανον, καὶ ἐπιμετρεῖ τρόπον τινὰ τοῖς πλημμελήμασι τὰς ὀργὰς, οὔτε τὸ κολάζεσθαι δεῖν ἀπαλλάττων εἰς ἅπαν τὸ ἐπὶ τοῖς μείοσι πλημμελὲς, οὔτε μὴν ἐν ἴσῳ τοῖς ὑπὲρ τοῦτο τιθεὶς, ἰσομεγέθη δὲ ὥσπερ τοῖς αἰτιάμασιν ἀποτορνεύων τὴν κίνησιν.

ΤΟΥ ΑΥΤΟΥ. Εἰ δὲ δὴ φαίνοιτο καὶ ἀσυναφὴς ἔτι, κατεγγυηθεῖσα δὲ οὔπω τῷ Χριστῷ διὰ τῆς πίστεως, ὡς ἐν εἴδει παρθένου ψυχὴ, εἶτά τις αὐτὴν τοῖς ἐκ δυσσεβείας νόμοις (2) καταμιάνας ἁλῷ, καὶ παρενεγκὼν ἐκ πλάνης [εἰς πλάνησιν,] ὁποῖόν τι δρῶσιν αἱρετικοὶ, τοὺς ἐξ ἐθνῶν ἔσθ' ὅτε καὶ Ἰουδαίων ἁρπάζοντες, ἔπειτά τε σφίσιν αὐτοῖς ἀναπείθοντες, οὐκ ἀζήμιον εὑρήσει τὸ ἐγχείρημα. ἀποτίσει γὰρ τῷ πατρὶ τῶν πνευμάτων, τουτέστι τῷ Θεῷ, τῆς πλημμελείας τοὺς λόγους, ὡς ἐν ζημίαις χρημάτων ὑποτυπουμένης εὖ μάλα. αὐτοῦ δὲ ἔσται γυνὴ, (3) μέχρι νήψασα μεταχωρήσῃ πρὸς τὴν ἀλήθειαν.

ΤΟΥ

(1) Ἀνεσίοις. ἐν Τόμ. 1. μέρ. 2. σελ. 258. ἀκατάλληλ.
(2) Λόγοις. αὐτ. ἐν σελ. 259.
(3) Τὸ δὲ, αὐτοῦ ἔσται γυνὴ, τῇ ἱστορίᾳ χρήσιμον. αὐτ.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐπιτήρει, ὅπως οὐδὲ ὁ τῆς ἀρχαίας ἐντολῆς ἠγνόησε λόγος, ὅπερ ἔφη Χριστὸς, ἀνδρός τε πέρι καὶ γυ-
Μάρκ. 10. 9. ναικός. ὃ οὖν Θεὸς συνέζευξεν, ἄνθρωπος
„ μὴ χωριζέτω. αὐτοῦ γὰρ ἔσω γυνὴ, φησὶν,
„ ἀνθ' ὧν ἐταπείνωσεν αὐτήν· οὐ δυνήσεται
„ ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον.

* ΤΟΥ ΑΥΤΟΥ. Σημειωτέον, ὅσον (1) τῆς πανάγνου παρθενίας τὸ ἐν αὐχήμασιν
A ὕψος. ταπείνωσιν γὰρ ὀνομάζει (2) τὴν διαπαρθένευσιν, καὶ οἱονεὶ τῆς σεμνότητος τὴν ἀπόθεσιν.

λ. Οὐ λήψεται ἄνθρωπος τὴν γυναῖκα τοῦ πατρὸς αὐτοῦ, καὶ οὐκ ἀποκαλύψει συγκάλυμμα τοῦ πατρὸς αὐτοῦ.

ΚΕΦ. ΚΓ.

α. Οὐκ εἰσελεύσεται θλαδίας καὶ ἀποκεκομμένος εἰς ἐκκλησίαν Κυρίου.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐπιστάμενος ἐν ταῖς ἐκκλησίαις οὐκ ὀλίγους τῶν μοχθηρῶν ἐπεισρέοντας, καὶ διὰ τὸ συνειλεγμένον πλῆθος λανθάνοντας, ἵνα μὴ τοῦτο γένηται, προανείργει πάντας τοὺς ἀναξίους ἱεροῦ συλλόγου, τὴν ἀρχὴν ποιούμενος ἀπὸ τῶν νοσούντων τὴν ἀληθῆ νόσον ἀνδρογύνων. οἳ τὸ φύσεως νόμισμα παρακόπτοντες, εἰς ἀκολάστων γυναικῶν πάθος, καὶ μορφὰς εἰσβιάζονται. θλαδίας γὰρ καὶ ἀποκεκομμένους τὰ γεννητικὰ ἐλαύνει, τό,τε τῆς ὥρας ταμιεύοντας ἄνθος, ἵνα μὴ ῥᾳδίως μαραίνοιτο, καὶ τὸν ἄῤῥενα τύπον μεταχαράττοντας εἰς θηλύμορφον ἰδέαν.

* ΚΥΡΙΛΛΟΥ. Ὁ τῆς τῶν εὐνούχων ποιήσεως τρόπος, οὐχ εἷς, διττὸς δέ τις εἶναι λέγεται. οἱ μὲν γάρ εἰσι τομίαι καὶ ἐξεσπασμένοι τὰ ἀῤῥενικά· οἱ δὲ τεθλασμένα καὶ ἀχρεῖα παντελῶς φέρουσιν ἔτι· ὠμῶς δὲ καὶ ἀνοσίως τέμνονται [τινες ἔσθ' ὅτε τὸ παιδοποιὸν τοῦ σώματος μόριον, καὶ εἰσὶν ἄπρακτοι πρὸς τὰ ἀνδρὸς, καίτοι τελοῦντες ἐν ἀνδράσι φύσει τε καὶ ἡλικίᾳ· ἀνδρείας δὲ σύμβολον τὰ ἀρσενικά.] τὸν τοίνυν θλαδίαν ὑποτοπητέον, τὸν οἱονεί πως οὐκ ἐξεσπασμένον εἰς ἅπαν ψυχήν τε καὶ νοῦν, συντεθραυσμένην δὲ μᾶλλον σώζοντά πως ἐν ἑαυτῷ τὴν ἐπ' ἀγαθοῖς ἀνδρείαν· ἀποκεκομμένον γε μὴν τὸν ὁλοκλήρως αὐτὴν ἀποβεβληκότα, καὶ τῶν ἀνδράσι πρεπωδεστάτων ἐστερημένον. ἐν ἴσῳ δ' ἐγκλήματι τὸ μηδ' ὅλως ἀνδρίζεσθαι θέλειν τῷ μὴ ὑγιῶς ἀνδρίζεσθαι φιλεῖν. οἷόν τί φημι. ἀποπεπτώκασί τινες εἰς ἐπιθυμίας σαρκικὰς, ὅλας ὥσπερ ἡνίας ἀνέντες τῷ πάθει, σαθρόν τε καὶ ἄνανδρον ταῖς εἰς ἀσέλγειαν ἡδοναῖς παραῤῥιπτοῦντες τὸν νοῦν. ἕτεροι δ' αὖ θαυμάζουσι μὲν τὴν ἐγκράτειαν, ἐκδεδίασι δὲ τὴν ἀντίστασιν, καὶ τὴν τῆς ἡδονῆς προσβολὴν οὐ φέροντες, κατανεύουσι πρὸς τὸ ἄναλκες.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὸν θλαδίαν καὶ τὸν ἐκτομίαν εἰσελθεῖν εἰς ἐκκλησίαν ἀπαγορεύει; Τὸ ἄγονον τῆς ψυχῆς αἰνίττεται διὰ τούτων. ἀλλοτρία γὰρ Θεοῦ καὶ τῶν ἀρετῶν, ἀκαρπία. ἄλλως τε δὲ, οὐ μόνον ἐπὶ τῶν ἀνθρώπων, ἀλλὰ καὶ ἐπὶ τῶν κτηνῶν ἀπαγορεύει τὰ τοιαῦτα ποιεῖν. εἰς γὰρ τὴν τοῦ γένους αὔξησιν τὰ γεννητικὰ δεδημιούργηται μόρια.

Γ β. Οὐκ εἰσελεύσεται ἐκ πόρνης εἰς ἐκκλησίαν Κυρίου.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐλαύνει οὐ μόνον πόρνας, ἀλλὰ καὶ τοὺς ἐκ τῆς πόρνης, ἐπιφερομένους μητρῷον αἶσχος, διὰ τὸ τὴν πρώτην σπορὰν καὶ γένεσιν αὐτοῖς κεκιβδηλεῦσθαι. τόπος γὰρ οὗτος, εἰ καί τις ἄλλος ἐπιδέχεται ἀλληγορίαν, φιλοσόφου θεωρίας ὢν ἀνάπλεως.

ΘΕΟΔΩΡΙΤΟΥ. Ὥσπερ δὲ τὴν ἀκαρ-
Δ πίαν ἀπαγορεύει, οὕτω καὶ τὸν πονηρὸν
„ ἐκβάλλει καρπόν. οὐκ εἰσελεύσεται γάρ,
„ φησιν ὁ ἐκ πόρνης εἰς ἐκκλησίαν Κυρίου.

γ. Οὐκ εἰσελεύσεται Ἀμμανίτης
καὶ Μωαβίτης εἰς ἐκκλησίαν Κυρίου,
ἕως δεκάτης γενεᾶς οὐκ εἰσελεύσεται
εἰς ἐκκλησίαν Κυρίου, καὶ ἕως εἰς τὸν
δ. αἰῶνα, Παρὰ τὸ μὴ συναντῆσαι αὐ-
E τοὺς ὑμῖν μετὰ ἄρτων καὶ ὕδατος ἐν
τῇ ὁδῷ, ἐκπορευομένων ὑμῶν ἐξ Αἰ-
γύπτου, καὶ ὅτι ἐμισθώσαντο ἐπὶ σὲ
τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἐκ τῆς Μεσο-
ε. ποταμίας καταράσασθαί σε. Καὶ
οὐκ ἠθέλησε Κύριος ὁ Θεός σου εἰσα-
κοῦσαι τοῦ Βαλαάμ· καὶ μετέστρεψε
Κύριος ὁ Θεός σου τὰς κατάρας εἰς
Z εὐλογίαν, διότι ἠγάπησέ σε Κύριος
ς. ὁ Θεός σου. Οὐ προσαγορεύσεις εἰρη-
νικὰ αὐτοῖς οὐδὲ (3) συμφέροντα αὐ-
τοῖς πάσας τὰς ἡμέρας σου εἰς τὸν
αἰῶνα.

ΑΔΗΛΟΥ. Ἐν ἄλλῳ ἀντιγράφῳ οὕτως
„ εὕρομεν· οὐκ εἰσελεύσεται Ἀμμανίτης καὶ
„ Μωαβίτης εἰς ἐκκλησίαν Θεοῦ, καὶ ἕως εἰς
H „ τὸν αἰῶνα, καὶ ἕως δεκάτης γενεᾶς οὐκ εἰ-
„ σελεύσονται. (4) ὥστε κατ' αὐτὴν τὴν γρα-
φὴν

(1) Διανοοῦ τῆς πανάγνου παρθενίας ὁπόσον ἐστὶ τὸ ὡς ἐν αὐχ. αὐτ. ἐν Τόμ. 1. μερ. 2. σελ. 259.

(2) Οὐδέ τε καὶ ὀνομάζειν ἀξιοῖ τῆς θεοπνεύστου Γραφῆς ὁ λόγος, τὴν διαπαρ. αὐτ.

(3) Καὶ συμφ. αἱ εἰρημ. ἐκδόσ.

(4) Τὰ ἄχρι τοῦ δε κεῖται καὶ ἐν ταῖς σημειώσ. ταῖς εἰς τὴν Γραφ. τὴν ἐν Φραν. ἐκδοθ. τῷ Θεοδωρίτῳ ἐπιγεγραμ.

φιν δοκεῖν κεῖσθαι τὴν προσηγορίαν τοῦ αἰῶνος ἐπὶ χρόνου πεπερασμένου. πλὴν τοῦτό φαμεν, ὅτι εἰπών, » ἕως εἰς τὸν αἰῶνα, συνεκέρασεν εὐθὺς τῇ ἀποτομίᾳ τὸν ἔλεον, ἐπενεγκὼν τό, » καὶ ἕως δεκάτης γενεᾶς. ἀμέλει Ῥοὺθ ἡ Μωαβίτης εἰσῆλθεν εἰς ἐκκλησίαν, ὡς ἐξ αὐτῆς κατάγεσθαι πρῶτον μὲν τὸν Δαβίδ, ἔπειτα δὲ τὸν Χριστόν. Πέτρος δὲ ἐν ταῖς Πράξεσι γενικώτερόν φησιν· (Πράξ. 10. 35.) ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτόν, » καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ » ἐστίν.

* ΩΡΙΓΕΝΟΥΣ. Ἐπειδὴ καὶ οὗτοι ἐκ πορνείας εἰσὶν ἀπὸ τῶν θυγατέρων τοῦ Λώτ· οὐ μόνον δὲ ἕως γενεᾶς δεκάτης ἄδεκτοι τῇ συναγωγῇ τοῦ Ἰσραὴλ εἰσίν, ἀλλὰ καὶ εἰς τὸν αἰῶνα. οὕτω βούλεται αὐτοῖς τὴν ἔχθραν ἀΐδιον εἶναι· κατὰ μὲν τὸ νόημα καὶ τὴν ἀληθῆ αἰτίαν τῆς θείας Γραφῆς, ἐπειδὴ τὸν Βαλαὰμ ἐμισθώσαντο, ἐφ' ᾧτε καταράσασθαι τοῖς Ἑβραίοις, ἀλλὰ καὶ τὰς αὐτῶν γυναῖκας καὶ τὰς θυγατέρας, ὅσαι ἦσαν ὡραῖαι τῇ ὄψει καὶ καλαὶ τῷ εἴδει, προέστησαν τοῦ γένους, ὥστε αὐτὰς δοῦναι πρὸς πορνείαν τοῖς Ἰσραηλίταις, καὶ πορνείαν διὰ τούτου χαλεπωτάτην προξενῆσαι τοῖς Ἑβραίοις· αὕτη δὲ ἦν τὸ ἀποστῆναι μὲν τοῦ Θεοῦ, τελεσθῆναι δὲ τῷ Βεελφεγώρ· ὅπερ καὶ γέγονε.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὴν πρὸς Μωαβίτας καὶ Ἀμμανίτας ἐπιμιξίαν κωλύει. οὐ κατὰ ῥητόν τινα χρόνον, ἀλλ' ἕως εἰς τὸν αἰῶνα; Πρῶτον διὰ τὴν παράνομον αὐτῶν ῥίζαν· ἐκ παρανόμου γὰρ γεγέννηνται συνουσίας· ἔπειτα διὰ τὴν ἀσέβειαν, ἧς καὶ τοὺς Ἰσραηλίτας μεταλαχεῖν παρεσκεύασαν, ὡραΐσαντες τὰς γυναῖκας, καὶ διὰ τούτων αὐτοὺς εἰς τὴν τῶν εἰδώλων λατρείαν ἀγρεύσαντες.

* ΚΥΡΙΛΛΟΥ. Συνείργεται (1) δὲ τούτοις Ἀμμανίτης τε καὶ Μωαβίτης, ὡς ἀνόσιοί τε καὶ βδελυρώτατοι, καὶ λεόντων δίκην τοῖς ἁγίοις ἐπιφυόμενοι, καὶ τοῖς εἰωθόσιν εὐδοκιμεῖν τὰ ἐκ φθόνου καὶ βασκανίας ἐπιχέοντες βέλη. τύπος δ' ἂν εἶεν, Ἀμμανῖται μέν, τῶν ἀφιλοικτιρμόνων αἱρετικῶν· Μωαβῖται δ' αὖ, τῶν ἐν πλάναις ἔτι ταῖς εἰδωλικαῖς, καὶ ταῖς τῶν Δαιμόνων μοχθηρίαις ὑπεστρωμένων· θεοστυγεῖς γὰρ ἄμφω, καὶ ἀδελφὰ ὥσπερ κατὰ τῶν ἁγίων νοσοῦντες τὸ θράσος. Καὶ μεθ' ἕτερα. Ἀλλ' ὁ μὲν Ἀμμανίτης ἕως τρίτης εἴργεται γενεᾶς· Μωαβίτης δὲ καὶ μέχρι δεκάτης, ἀπό γε τοῦ χρόνου, καθάπερ ἐγῷμαι τῆς ἐπ' ἀμφοῖν ἀγανακτήσεως τὸ μέγεθος ὑπεμφαίνοντος τοῦ Θεοῦ. μείων γὰρ κατὰ τὸ εἰκὸς ἡ αἱρετικῶν δίκη. φαίη γὰρ ἄν τις [καὶ ἐπ' αὐτοῖς,] καθάπερ ἀμέλει καὶ (Ρωμ. 10. 2.) ἐπὶ τοῖς Ἰουδαίοις· ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. οἰόμενοι γὰρ ὀρθοδοξεῖς εἶναι καὶ σοφοί, λελήθασι σφᾶς αὐ-

A τοὺς τοῖς τῆς ἀληθείας μαχόμενοι δόγμασι, καὶ τοῖς ὀρθοποδοῦσιν ἀντιταττόμενοι. Μωαβῖται δέ γε, τουτέστι τὰ Ἑλλήνων στίφη, γυμνῶς καὶ ἀναφανδόν, ὑποστολῆς ἁπάσης δίχα τῇ θείᾳ μάχονται δόξῃ. τοιγάρτοι καὶ φορτικωτέραν ἐπήρτησέ πως αὐτοῖς τὴν δίκην ὁ νόμος· πλὴν ἄμφω τῶν ἱερῶν ἀποπέμπονται τόπων, ὡς βέβηλοι καὶ θεομισεῖς.

B ζ. Οὐ βδελύξῃ Ἰδουμαῖον, ὅτι ἀδελφός σου ἐστίν· οὐ βδελύξῃ Αἰγύπτιον, ὅτι πάροικος ἐγένου ἐν τῇ γῇ
η. αὐτοῦ. Υἱοὶ ἐὰν γεννηθῶσιν αὐτοῖς, γενεὰ τρίτη (2) εἰσελεύσονται εἰς ἐκκλησίαν Κυρίου.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν μέντοι Ἰδουμαῖον καὶ τὸν Αἰγύπτιον μετὰ τρίτην κελεύει προσίεσθαι γενεάν· τὸν μὲν ὡς ἀδελφόν, τὸν Γ δὲ ὡς εὐεργέτην ἐν καιρῷ γεγενημένον. λιμοῦ γὰρ προσπεσόντος, εἰς Αἴγυπτον εἰσελθόντες οἱ πατέρες αὐτῶν διετράφησαν. διδάσκει τοίνυν ὑμᾶς ὁ νόμος, μηδὲ παλαιὰς εὐεργεσίας ἀμνημονεῖν.

θ. Ἐὰν δὲ ἐξέλθῃς εἰς πόλεμον παρεμβαλεῖν ἐπὶ τοὺς ἐχθρούς σου, καὶ φυλάξῃ ἀπὸ παντὸς πονηροῦ ῥήματος.

ΚΥΡΙΛΛΟΥ. Ἀκούεις ὅτι τοὺς κατανεα- Δ νιεύεσθαι τῶν ἐχθρῶν καὶ εὐδοκιμεῖν ἐθέλοντας, ἀπαλλάττεσθαι χρὴ παντὸς μο- » λυσμοῦ. ἡ πάλη γὰρ ἡμῖν οὐ πρὸς αἷμα καὶ » σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, καὶ τὰ ἑξῆς. δεῖ δὴ οὖν ἀμώμητόν τε καὶ ἀνεπίληπτον ἡμᾶς ποιεῖσθαι τὴν πολιτείαν, ἵνα μὴ τοῖς παρ' ἐκείνων ἐγκλήμασιν ὑποφέρηται. καὶ γὰρ ἐχθρὸς καὶ ἐκδικητής ἐστιν ὁ τῆς ἁμαρτίας πατήρ. οἱ μὲν οὖν ἐν τῷδε τῷ κόσμῳ νόμῳ πολέμου καὶ E μάχης ἀντεγειρόμενοι τοῖς ἐχθροῖς, τὰς εἰς σῶμα πληγὰς ἢ αὐτοὶ δέχονται τυχόν, ἢ γοῦν ἑτέροις ἐπάγουσιν· ἡμεῖς δὲ οὐχ οὕτω. » τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικά, κατὰ τὸ γεγραμμένον. οὐκοῦν οὐδὲ εἰς σάρκα πληττόμεθα, ἀλλ' εἰς νοῦν καὶ καρδίαν δεχόμενοι τὰς ἐπιθυμίας, καὶ εἰς τὰ τῆς φιλοσαρκίας διαπίπτοντες πάθη. χρὴ τοίνυν ἡμᾶς παντοίως ἐνηρμόσθαι ταῖς πνευματικαῖς, καὶ τῇ ἄνωθεν χάριτι περιφράτ- Z τεσθαι, καὶ εἰς ὅσον οἷόν τε τὸν νοῦν ἔξω βέλους νοητοῦ ποιεῖσθαι παντός. περιεσόμεθα γὰρ ὧδε τῶν ἀνθεστηκότων, καὶ πέρα παντὸς ἰόντες πάθους, ἀδιαλώβητον τῷ Θεῷ τὸ τῆς ἑαυτῶν ψυχῆς τηρήσομεν κάλ- » λος. [ταύτη τοι φησὶν ὁ νόμος· ἐὰν δὲ ἐξέλ- » θῃς παρεμβαλεῖν εἰς πόλεμον ἐπὶ τοὺς ἐχ- » θρούς σου, καὶ φυλάξῃ ἀπὸ παντὸς ῥήματος πονηροῦ, τουτέστιν αἰτίας ἁπάσης ἀπωτάτω ποίει σαυτόν, μηδεὶς ἔστω κατὰ σοῦ H λόγος ἀληθὴς ἐπ' αἰσχίστῳ τε καὶ διαβεβλημένῳ πράγματι, παραιτοῦ τὴν καταῤῥησιν τὴν

(1) Συνεξείργετο, ἐμφαντικώτερ. ἐν Τόμ. 1. μερ. 2. σελ. 484.
(2) Γενεᾷ τρίτῃ. αἱ εἰρημ. ἐκδόσ.

τὴν ἐφοτρῶν, καὶ ἀργείτω κατὰ σοῦ πᾶν A
ῥῆμα πονηρόν.]

ι. Ἐὰν ᾖ ἐν σοὶ ἄνθρωπος ὃς οὐκ
ἔσται καθαρὸς ἐκ ῥύσεως αὐτοῦ νυκτὸς,
ἐξελεύσεται (1) ἔξω τῆς παρεμβο-
λῆς, καὶ οὐκ εἰσελεύσεται εἰς τὴν πα-
ια. ρεμβολήν. Καὶ ἔσται τὸ πρὸς ἑσπέ-
ραν λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι,
καὶ δεδυκότος ἡλίου εἰσελεύσεται εἰς
τὴν παρεμβολήν. B

ΚΥΡΙΛΛΟΥ. Ὅτι δὲ ἡμᾶς καὶ τῆς σαρκικῆς ἀκαθαρσίας ἀποφορτίζεσθαι δεῖ τὰ ἐγκλήματα, παρέδειξεν αἰνιγματωδῶς, τὸν ἐκ ῥύσεως αὐτοῦ μεμολυσμένον ἔξω μὲν ἰέναι τῆς παρεμβολῆς ἐπιτάττων, ἀπολούεσθαι δὲ δεῖν ὕδατι πρὸς ἑσπέραν, ὑπονοστεῖν-τε οὕτως οἴκοι τε λοιπὸν καὶ εἰς αὐτὴν, εἰ βούλοιτο, τὴν παρεμβολήν. εἶτα τί τὸ χρῆμα, καὶ τίς ἂν γένοιτο τῶν τοιούτων ὁ νοῦς, Γ
διειπεῖν πειράσομαι. εἰ γὰρ γένοιτό τις ἀνθρώπινος μολυσμὸς, βραχὺ πρὸς τὸ ἄναλκες τοῦ νοῦ διανενευκότος, καὶ ἀνέντος εἰσβολὴν ταῖς εἰς τὸ φαῦλον ἐπιθυμίαις, ὅσον μὲν ἧκεν εἰς τοῦτο τῆς τῶν ἁγίων πληθύος ἀπονοσφίζεσθαι δεῖν, δεδικαίωκεν ὁ δεσπότης, καὶ τοῖς ἀκαθάρτοις τὸν καθαρὸν οὐκ ἐᾷ συναυλίζεσθαι. ἀφίησι γὰρ οὐδαμῶς ἀνεπίπληκτον ἐν ἡμῖν τὴν καταφθείρουσαν ἁμαρτίαν. ἀλλ' εὑρήσομεν ἐν Χριστῷ τὴν Δ
κάθαρσιν ὕδατί τε διαγνιζόμενοι, κατά γε
Ἡσ. 1. 16. " φημὶ τὸ, λούσασθε, [καθαροὶ γίνεσθε.] τοῦτο δὲ δρᾶται πρὸς ἑσπέραν, τουτέστιν ἐπ' ἐσχάτοις τοῦ αἰῶνος καιροῖς. ὃ δὴ καὶ πεπερασμένον κατίδοι τὶς ἂν ἐπὶ ταῖς τῶν ἐθνῶν ἀγέλαις. οἱ γὰρ ταῖς ἐκτόποις φιλοσαρκίαις μεμολυσμένοι, οἱ τῆς τῶν ἁγίων πληθύος καὶ παρεμβολῆς ἔξω μένοντες ποτὲ, [οἱ πόῤῥω πω τῆς ἱερᾶς ἀγέλης,] τὴν διὰ τοῦ ἁγίου βαπτίσματος πεπλουτηκότες E
κάθαρσιν, ἐγγὺς γεγόνασιν οἱ μακρὰν, κοινωνοὶ τῶν ἁγίων ἀποδεδειγμένοι, καὶ συμπολῖται λοιπὸν καὶ συμμέτοχοι τῆς ἐλπίδος, ἐν καιρῷ δηλονότι τῆς ἐπιδημίας τῆς οἱονεί πως ἐν ἑσπέρᾳ, καὶ πρὸς αὐταῖς γενομένης ταῖς τοῦ παρόντος αἰῶνος δυσμαῖς. δεῖν μὲν οὖν ἔφη τοὺς τὴν ἐν Χριστῷ κάθαρσιν ᾐρημένους ἀποκρούεσθαι φιλεῖν τὰ ἐκ τῆς φιλοσαρκίας ἐγκλήματα.

ιβ. Καὶ τόπος ἔσω σοι (2) ἔξω τῆς
παρεμβολῆς, καὶ ἐξελεύσῃ ἐκεῖ ἔξω.
ιγ. Καὶ πάσσαλος ἔσω σοι ἐπὶ τῇ ζώνῃ
σου· καὶ ἔσται ὅταν διακαθιζάνῃς ἔξω,
καὶ ὀρύξεις ἐν αὐτῷ, καὶ ἐπαγαγὼν κα-
λύψεις τὴν ἀσχημοσύνην σου ἐν αὐτῷ.

" ✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τόπος
" ἔσω σοι ἔξω τῆς παρεμβολῆς, παρεμβολὴν καλῶν τὴν ἀρετὴν, ἐν ᾗ ἐστρατοπέδευκεν ἡ H

A ψυχή. οὐ γὰρ δύναται τὸν αὐτὸν κρατεῖν χῶρον φρόνησις, καὶ σωματικῆς ἀνάγκης
" ἀπόλαυσις. εἶτα, ἐξελεύσῃ, φησὶν, ἐκεῖ ἔξω. διὰ τί; ὅτι οὐ δύναται ἡ ψυχὴ καταμένουσα μετὰ φρονήσεως, καὶ ἐν τῷ οἴκῳ διατρίβουσα τῆς σοφίας, χρῆσθαί τινι τῶν
" φίλων σώματος. Καὶ μετ' ὀλίγα. Πάσσαλος
" ἔσω σοι, φησὶν, ἐπὶ τῆς ζώνης σου, καὶ ὀρύξεις ἐν αὐτῷ· τουτέστι λόγος ἐπὶ τοῦ πάθους ἐξορύττων καὶ ἀναστέλλων, καὶ ἀπαμφιεννὺς
B αὐτό. ἀνεζῶσθαι γὰρ βούλεται ἡμᾶς τὰ πάθη, ἀλλὰ μὴ ἀνειμένα καὶ κεχαλασμένα φορεῖν. διὸ καὶ ἐπὶ τῆς διαβάσεως αὐτῶν, ὃ καλεῖται Πάσχα, προστάττει τὰς ὀσφῦς περιεζῶσθαι, ἤτοι συνεστάλθαι τὰς ἐπιθυμίας. πάσσαλος οὖν, τουτέστι λόγος, ἐπέσθω τῷ πάθει, κωλύων αὐτὸ χρῆσθαι. οὕτω γὰρ αὐτοῖς μόνοις χρησόμεθα τοῖς ἀναγκαίοις, τῶν δὲ περιττῶν ἀφεξόμεθα. Καὶ μετ' ὀλίγα.
" Ὀρύξεις, φησὶ, γοῦν τῷ πασσάλῳ, τουτέστιν
Γ ἣν ἕκαστον ἔχει φύσιν, τὸ φαγεῖν, τὸ πιεῖν, τὸ τοῖς μετὰ γαστέρα χρῆσθαι, τῷ λόγῳ γυμνώσεις, καὶ διαστείλῃς, ἵνα διακρίνας γνῷς τ' ἀληθές. τότε γὰρ εἴσῃ, ὅτι ἐν οὐδενὶ τούτων ἐστὶ τὸ ἀγαθὸν, ἀλλὰ τὸ ἀναγ-
" καῖον μόνον καὶ χρήσιμον. Καὶ ἐπαγαγὼν
" καλύψεις τὴν αἰσχύνην σου, πάνυ καλῶς. ἄγαγε γὰρ, ὦ ψυχὴ, τὸν λόγον ἐπὶ πάντα, ᾧ καλύπτεται καὶ συσκιάζεται καὶ συγκρύπτεται πᾶσα ἀσχημοσύνη σαρκὸς καὶ πά-
Δ θους. τὰ γὰρ μὴ σὺν λόγῳ, πάντα αἰσχρά· ὥσπερ τὰ σὺν λόγῳ, κόσμια.

ΚΥΡΙΛΛΟΥ. Παραιτεῖσθαι μὲν γὰρ πᾶν εἶδος ἀκαθαρσίας πρέπει τοὺς καταν-δρίζεσθαι τῶν νοητῶν ἐπιθυμοῦντας ἐχθρῶν. ἐπειδὴ δὲ πολλὰ πταίομεν ἅπαντες, καὶ νοσεῖ μὲν ἡ ἀνθρώπου φύσις τὸ εὐόλισθον εἰς
" τὸ πλημμελὲς, συνίησι δὲ οὐδεὶς παραπτώ- Ψαλ. 18. 12.
ματα, κατὰ τὴν τοῦ ψάλλοντος φωνήν· εἰ δὲ γένοιτο, φησὶ, μιᾶς τῶν ἐμφύτων καὶ
E ἐν ἡμῖν ἀκαθαρσιῶν περιθραύεσθαι μονονουχὶ, καὶ ἁλίσκεσθαί τι νενοσηκότας τῶν ἔξω νόμου καὶ ζωῆς ἁγιοπρεποῦς· ἐνοικεῖ γὰρ τοῖς μέλεσι τῆς σαρκὸς τῆς ἁμαρτίας ὁ νόμος· πρῶτον μὲν μὴ ἐναργῶς καὶ ἀκρύπτως, μήτε μὴν ἐν ὄψει πολλῶν τὰ ἐκ τῆς ἀῤῥωστίας πραττέσθω (3) πταίσματα, ἀλλ' οἷον ἔξω, καὶ λεληθότως, καὶ ὡς ἀπωτάτω τῆς παρεμβολῆς. εἶτα ταῖς ἐπανορθώσεσι κατακαλυπτέσθω φησί. σο-
Z " φοὶ γὰρ κρύψουσι τὰς ἑαυτῶν αἰσχύνας, κα- Παροιμ. 10. 14.
τὰ τὸ γεγραμμένον. καταλήγοντες γὰρ (4) τῶν πλημμελημάτων, καὶ ταῖς εἰς τὸ ἄμεινον ῥοπαῖς ἀναστοιχοῦντες τρόπον τινὰ τὸν νοῦν εἰς τὸ δεῖν ἑλέσθαι τὸ ὠφελοῦν, ἐκ μέσου ποιούμεθα τὰ προεπταισμένα, (5) καὶ τὴν κάκοσμον ἁμαρτίαν ταῖς τῶν ἐφεξῆς εὐωδίαις νικήσαντες, εἰσελευσόμεθα πάλιν εἰς τὴν τῶν ἁγίων παρεμβολὴν, τουτέστιν εἰς τὴν τῶν πρωτοτόκων Ἐκκλησίαν. ἐν Χριστῷ
H δὲ καὶ τοῦτο πληροῦται, εἰ λάβοιμεν τὸν ἑαυ-
τ

(1) Καὶ ἐξελεύσ. αἱ εἰρημ. ἐκδόσ. (2) Ἔσται σοι. αἱ αὐτ. καὶ ὁ Κύριλ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 423.
(3) Παρακείσθω. ἐν Τόμ. 1. μέρ. 1. σελ. 424. (4) Δέ. αὐτ.
(5) Τῶν ἤδη προεπταισμένων τὸ ἀκαλλές. αὐτ.

A τῶν σταυρὸν, γοργῷ καὶ εὐζωνοτάτῳ φρονήματι κεχρημένοι. τὸ γὰρ ἔχειν ἡμᾶς ἐπὶ τοῦ ζωστῆρος πάσσαλον, ἤγουν τὸ ξύλον, τοῦτο πλαγίως ὑπαινίττεται. πνευματικὸς οὖν ὁ νόμος, τῶν νοητῶν ὑποτύπωσιν ποιούμενος τὰ σωματικά. οὐ γὰρ ἐσμὲν ἐν ἀκαθαρσίαις, ἐν ὀφθαλμοῖς τοῦ πεποιηκότος Θεοῦ, εἰς ἀφεδρῶνας ἰόντες, καὶ περιττωμάτων τῶν ἀπὸ γαστρὸς ἑαυτοὺς ἀπαλλάττοντες· ἀλλ' ὡς ἔφην ἀρτίως, τύποι καὶ B εἰκόνες τῶν νοητῶν εἶεν ἂν τὰ ἐν αἰσθήσει κείμενα. δεῖ δὴ οὖν ἡμᾶς καταχωννύειν ἀκαθαρσίας, (1) εὐζωνοτάτῳ κεχρημένους φρονήματι, καὶ τῇ τοῦ ζωοποιοῦ ξύλου ἐνεργείᾳ. τοῦτο γὰρ ὁ πάσσαλος, τὰ ἀσχήμονα τῶν παθῶν ἐξωθεῖσθαι καὶ συμπνίγειν· ὅτι Κύριος περιπατεῖ ἐν τῇ παρεμβολῇ. ἐνοικεῖ γὰρ ἐν ἡμῖν καὶ ἐμπεριπατεῖ Χριστός.

Γ ** ΠΡΟΚΟΠΙΟΥ. Τὸν τῆς περὶ γαστέρα πρὸς αὐτάρκειαν χρείας ἀνορυκτικὸν πάσσαλον δεῖν τῆς ζώνης ἠρτῆσθαί φησι, δι' οὗ γινώσκομεν, ὡς πάσης ἡδονῆς βρωμάτων πέρας ἐστὶν ὁ λαιμός. τὰ τυχόντα γὰρ πληροῦντα τὴν χρείαν πάσης ἀκαίρου ἐπιθυμίας ἐπικάμπτει ἀσχημοσύνην. πανταχόθεν δὲ δῆλον, ὡς φυσικῶν περιττωμάτων οὐκ ἂν ἐμέλησε τῷ Θεῷ.

ιδ. Ὅτι Κύριος ὁ Θεός σου ἐμπεριπατεῖ ἐν τῇ παρεμβολῇ σου ἐξελέσθαι σε καὶ παραδοῦναι τὸν ἐχθρόν σου Δ εἰς τὰς χεῖράς σου. καὶ ἔσται ἡ παρεμβολή σου ἁγία, καὶ οὐκ ὀφθήσεται ἐν σοὶ ἀσχημοσύνη πράγματος, καὶ ἀποστρέψει ἀπὸ σοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ὅτι Κύριος ὁ Θεός σου ἐμπεριπατεῖ ἐν τῇ παρεμβολῇ σου; Οἶδε πολλάκις δυσοσμίας ὁ ἀὴρ ἐμπιπλάμενος, λοιμὸν ἐμποιεῖν. ἐκέλευσε τοίνυν E αὐτοῖς στρατοπεδευομένοις τὴν ἐκκρινομένην καταχωννύναι κόπρον. ἵνα δὲ μὴ ἀπειθήσαντες βλάβην εἰσδέξωνται, ἀναγκαίως ἐπήγαγεν· ὅτι Κύριος ὁ Θεός σου ἐμπεριπατεῖ ἐν τῇ παρεμβολῇ σου. καὶ τὴν αἰτίαν διδάσκει· ἐξελέσθαι σε καὶ παραδοῦναι τὸν ἐχθρόν σου πρὸ προσώπου σου. διὰ δὲ τούτου παιδεύει μηδὲν πράττειν παράνομον. τοῦτο γὰρ ἐπάγει· ἔσται ἡ παρεμβολή σου ἁγία, καὶ οὐχ εὑρεθήσεται ἐν σοὶ ἀσχημοσύνη Z πράγματος.

ιε. Οὐ παραδώσεις παῖδα τῷ κυρίῳ αὐτοῦ, ὃς προστέθειταί σοι παρὰ τοῦ κυρίου αὐτοῦ.

ΑΔΗΛΟΥ. Ἐὰν ᾖ δεσπότης ἀπηνὴς, τούτῳ μὴ παραδῷς οἰκέτην, καὶ μάλιστα τοὺς ἀπὸ τῶν προσοικούντων ἐθνῶν δραπετεύοντας δούλους, καὶ τοῖς υἱοῖς Ἰσραὴλ προσφεύγοντας. τούτους, φησὶν, οὐ παραδώσεις H τοῖς κυρίοις αὐτῶν, παρανόμοις καὶ εἰδωλολάτραις ὑπάρχουσιν. οὐ γὰρ περὶ τῶν

A παίδων υἱῶν Ἰσραὴλ λέγει. εἰ γὰρ περὶ τῶν κτηνῶν πλανωμένων ἐπιστρέφειν κελεύει, πόσῳ γε μᾶλλον καὶ παῖδα διαλλάττειν ἐχρῆν δεσπότῃ, καὶ ἥμερον ποιεῖν τὸν δεσπότην ταῖς παρακλήσεσι περὶ τὸν οἰκέτην; εἴρηται δὲ καὶ τοῦτο καὶ περὶ τῶν ἐκ τῆς πλάνης τοῦ Διαβόλου ἐπὶ Κύριον ἐπιστρεφόντων· οὓς ἐχρῆν προσλαμβάνεσθαι, ὡς ἔκ τινος δεσπότου πικροῦ τῇ μετανοίᾳ προσφεύγοντας.

B *ιϛ.* Μετὰ σοῦ κατοικήσει, ἐν ὑμῖν κατοικήσει, ἐν παντὶ τόπῳ οὗ ἐκλέξηται ἐν μιᾷ τῶν πόλεών σου, οὗ ἐὰν ἀρέσκῃ αὐτῷ· οὐ θλίψεις αὐτόν.

** ΠΡΟΚΟΠΙΟΥ. Τόποι τοῦ Ἰσραὴλ γνῶσις εὐσεβείας, καὶ ἀρετῶν ἐπιτήδευσις. οἱ δὲ Λοιποὶ, ἐν μιᾷ τῶν πυλῶν σου, ἐξέδωκαν, οἰκειότερον. οἱ γὰρ νεωστὶ προσερχόμενοι οὐκ ἐν τόποις οἰκεῖν, ἀλλ' ἐν πύ- Γ λαις κυρίως λεχθήσονται. τὸ δὲ, οὐ θλίψεις αὐτὸν, πρὸς τὸ μὴ ἐπιθεῖναι φορτίον ὑπὲρ αὐτόν· οἷον περιτέμνων μὴ βουλόμενον, ἀναγκάζων τοῦ νόμου τηρεῖν τὰ λοιπά. ἔδοξε γάρ φασιν οἱ Ἀπόστολοι τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν μηδὲν πλέον ἐπιτίθεσθαι βάρος ὑμῖν, ἀπέχεσθαι δὲ μόνον εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας.

Δ *ιζ.* Οὐκ ἔσται πόρνη ἀπὸ θυγατέρων Ἰσραὴλ, καὶ οὐκ ἔσται πορνεύων ἀπὸ υἱῶν Ἰσραήλ.

** ΙΣΙΔΩΡΟΥ. Ἐπειδὴ τὴν μοιχείαν μόνην ἐνόμισας αὐτὸν (2) ἀπηγορευκέναι, δοκεῖς μοι ἢ μὴ ἀνεγνωκέναι τὸ Δευτερονόμιον, ἢ μὴ νενοηκέναι, καί τοι σαφῶς κείμενον· οὐκ ἔσται γὰρ, ἔφη, πόρνος ἀπὸ υἱῶν Ἰσραὴλ, καὶ οὐκ ἔσται πόρνη ἀπὸ θυγατέρων Ἰσραήλ. εἰ γὰρ καὶ χαλεπωτέρα E πολλῷ ἡ μοιχεία τῆς πορνείας, καὶ συγγνώμης μείζων, ἀλλὰ καὶ ἡ πορνεία τιμωριῶν ἀξία· εἰ καὶ τοῦτο τοῖς ἔξωθεν νομοθέταις οὐκ οἶδ' ὅπως παραλέλειπται. τοῖς γὰρ ὀρθῶς βιοῦσι καθαρευτέον καὶ ἀπὸ ταύτης. πορνεία γάρ φησι καὶ ἀκαθαρσία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις. καὶ πάλιν φησὶ περὶ τῆς ἁγνείας, ὅτι μεγίστων ἀγαθῶν πρόξενος γίνεται· εἰρήνην διώκετε καὶ τὸν ἁγιασμὸν, οὗ χω- Z ρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.

ιη. Οὐκ ἔσται τελεσφόρος ἀπὸ θυγατέρων Ἰσραὴλ, καὶ οὐκ ἔσται τελισκόμενος πρὸς πᾶσαν εὐχὴν ἀπὸ υἱῶν Ἰσραήλ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, τελεσφόρος, καὶ τελισκόμενος, καὶ τελισκομένη; Ὥσπερ ἡμεῖς πιστοὺς ὀνομάζομεν τοὺς τῶν θείων μυστηρίων μετέχοντας, οὕτω τετελεσμένους H ἐκάλει τὰ ἔθνη τοὺς Δαιμόνων τινῶν διδασκομένους μυστήρια. τελεσφόρον τοίνυν καλεῖ

(1) Τὰ ἀπὸ τοῦ, εὐζωνοτάτῳ, ἄχρι τοῦ, συμπνίγειν ἐν τοῖς ἐκδεδομ. οὐ κεῖται.
(2) Τὸ νομοθέτην δηλονότι Μωϋσῆν, ὡς ἐκ τῶν προτέρων τῆς ἐπιστολῆς δῆλον.

καλεῖ τὸν μυσταγωγοῦντα, τελισκόμενον δὲ τὸν μυσταγωγούμενον.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐκ ἔσται τελεσφόρος ἀπὸ θυγατέρων Ἰσραήλ, καὶ οὐκ ἔσται τελισκόμενος ἀπὸ υἱῶν Ἰσραήλ. σημαίνει γὰρ εἶναι πορνοβοσκοὺς, φόρους ὥσπερ ἀπὸ τοιούτων μισθωμάτων συλλέγοντας. διὸ καὶ προανεῖλε τούτου τὴν πρόφασιν, τὴν πορνείαν ἀποκηρύξας ἐξ Ἰσραήλ. καὶ τὸ, κυνὸς δὲ ἄλλαγμα, τὴν ἀνέδην πορνείαν δηλοῖ. τελεσφόρον γὰρ οὐ συγχωρεῖ νοεῖν τὸν τελοῦντα Δαίμοσιν, ὥσπερ οὐδὲ τὸν τελισκόμενον, τῶν ἑκατέρωθεν παρακειμένων ἀπαγορεύσεων τὸ ἀνοίκειον. τί γάρ. . . . οὐδὲ τὸ ἐπὶ μὲν θυγατέρων εἰπεῖν τελεσφόρον, ἐπὶ δὲ μειρακίων τὸ, τελισκόμενον. ἀλλ' οὕτως μὲν ὁ λόγος καὶ τὸ περὶ πορνείας νοηθὲν ἀνοίκειον δείκνυσι. τί γὰρ ἐκώλυε καὶ ἐπὶ ἀῤῥένων ἑταιρούντων τὸ τελεσφόρον εἰπεῖν; μήποτε οὖν οὐκ ἄτοπον τῇ πορνείᾳ τὸν περὶ τελούντων καὶ τελουμένων προσεῤῥίφθαι λόγον; ἐκπορνεύουσι γὰρ ἐκ Θεοῦ. καὶ τοὺς ἐθνικοὺς ἡ Γραφὴ κύνας φησίν· ὥσπερ τό· οὐ καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις. (Ματθ. 15. 26.) τὴν γὰρ Συροφοίνισσαν ἐθνικὴν οὖσαν οὕτως ἐκάλεσεν. οὐδὲν οὖν ἐκκλησιαστικὸν εἰς ἐθνικὸν ἀλλακτέον δόγμα. ἐπὶ θηλειῶν δὲ τὸ τελεσφόρον φησίν. ὡς τὰ πολλὰ γὰρ γύναια ταῖς τοιαύταις μαγγανείαις προσέκειτο.

ΚΥΡΙΛΛΟΥ. Τί δὲ, οὐκ αἰσχρῶν λημμάτων ἡττῶνταί τινες, καὶ προθέντες τοῖς ἐθέλουσι τὰς σφῶν θεραπαίνας, ἢ γοῦν τῶν ἀῤῥένων οὓς ἂν ἐκπρίαιντο τυχὸν, ἀργυρολογοῦσιν οἱ δείλαιοι; [περὶ ὧν καὶ ὁ Προφήτης φησὶ, (Ἰωήλ. 3. 3.) καὶ τὰ κοράσια ἐπώλουν ἀντὶ οἴνου, καὶ ἔπινον.] ἀληθὲς γὰρ, ὅτι πρὸς τοῦτο φαυλότητος καὶ ἀκαθαρσίας μέτρον καθικνοῦνταί τινες, ὡς ἀνοσίως ἀποτολμᾷν δασμολογεῖν ἔσθ' ὅτε καὶ τὰ τοιάδε τῶν αἰσχρῶν.

** ΤΟΥ ΑΥΤΟΥ. Τελεσφόροι γε μὴν εἶεν ἂν οἱ φόρους τελοῦντες ὡς ἐξ ἀνάγκης ἑτέροις, καὶ τὰ ἐκ τῆς ἀσελγείας μισθώματα τοῖς πριαμένοις συλλέγοντες. ἀποφάσκει δὴ οὖν ὁ νόμος τὸ χρῆμα πανταχῆ, καὶ ἀνόσιον ποιεῖται τὸν ἑαλόντα γραφῇ, ἔξω τε εἴργει σκηνῆς ἱερᾶς, καὶ ἀπρόσιτον αὐτῷ τὸ θεῖον ἀποφαίνει θυσιαστήριον, ἀπαράδεκτον ἔσεσθαι τὸ θῦμα λέγων, καὶ ἀπρόσδεκτον τὴν εὐχήν. ἀληθὲς γὰρ, ὅτι οὐχ ἁγναὶ εὐχαὶ ἀπὸ μισθώματος πόρνης.

ιθ. Οὐ προσοίσεις μίσθωμα πόρνης, οὐδὲ ἄλλαγμα κυνὸς εἰς τὸν οἶκον Κυρίου τοῦ Θεοῦ σου πρὸς πᾶσαν εὐχὴν, ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου ἐστὶ καὶ ἀμφότερα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Πάνυ καλῶς ἐν ταῖς ἱεραῖς τοῦ νόμου στήλαις κἀκεῖνο ἀναγέγραπται, μίσθωμα πόρνης εἰς τὸ ἱερὸν μὴ προσδέχεσθαι, πεπρακυίας τὴν ἰδίαν ὥραν, ἑλομένης ἕνεκα λημμάτων αἰσχρῶν ἐπονείδιστον βίον. εἰ δὲ τὰ παρὰ γυναικὸς ἡταιρηκυίας δῶρα ἀνίερα, πῶς οὐχὶ μᾶλλον τὰ παρὰ ψυχῆς πεπορνευμένης; ἢ παραῤῥίψασαν ἑαυτὴν ἐπ' αἰσχύνῃ καὶ ὕβρεσι ταῖς ἐσχάταις, οἰνοφλυγίαις, ὀψοφαγίαις, φιλαργυρίαις, φιλοδοξίαις, φιληδονίαις, ἄλλαις μυρίαις παθῶν τε καὶ νοσημάτων καὶ κακιῶν ἰδέαις.

** ΤΟΥ ΑΥΤΟΥ. Παγκάλως διήρηται, μηδὲν μίσθωμα πόρνης κομίζειν εἰς τὸ ἱερόν· καίτοιγε τὸ νόμισμα καθ' αὑτὸ οὐκ ἔνοχον, ἀλλὰ διὰ τὴν λαβοῦσαν, καὶ τὴν πρᾶξιν ἐφ' ᾗ δέδοται.

ΚΥΡΙΛΛΟΥ. Ἐν ἴσῳ δὲ τρόπῳ συνητὸν ποιεῖται καὶ βδελυρώτατον τὸ ἄλλαγμα τοῦ κυνός. κύνα [δὲ] οἶμαί φησι τὸν εἰς ἀκαθαρσίαν εὔκολον, καὶ τοῖς προσιοῦσιν ἁπλῶς ἐγκείμενον. ἄλλαγμα δὲ κυνὸς τὸ [αὐτῷ] τυχὸν ὑπὲρ αὐτοῦ προσαγόμενον.

κ. Οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου τόκον ἀργυρίου, καὶ τόκον βρωμάτων, καὶ τόκον παντὸς πράγματος οὗ ἐὰν
κα. ἐκδανείσῃς. Τῷ ἀλλοτρίῳ ἐκτοκιεῖς, τῷ ἀδελφῷ σου οὐκ ἐκτοκιεῖς, ἵνα εὐλογήσῃ σε Κύριος ὁ Θεός σου ἐν πᾶσι τοῖς ἔργοις σου ἐπὶ τῆς γῆς, εἰς ἣν ἐκπορεύσῃ ἐκεῖ κληρονομῆσαι αὐτήν.

* ΚΥΡΙΛΛΟΥ. Πάλιν (1) εἰς τὴν τοῦ νομοθέτου κίνησιν πρόκειτο ἂν ἀφθόνως ὀθνείοις τε καὶ ἀδελφοῖς ὁμοῦ τὸ τῶν ἐν πλάτει περιουσίας δεξιὸν καὶ φιλότιμον. παντὶ (Λουκ. 6. 30.) γὰρ τῷ αἰτοῦντί σε δίδου, φησὶν ὁ Χριστός. ἐπειδὴ δὲ οὐκ ἄγαν εὐσθενὴς τῶν ἐν ἀρχαῖς ἐπὶ δικαιοσύνῃ ὁ νοῦς εἴς γε τὸ παραινεῖν ἀμωμήτως δύνασθαι τὸ ἀγαθὸν, κατὰ βραχὺ πρόεισιν ἐπ' αὐτὸ παιδαγωγῶν ὁ νόμος, καὶ τὸν τῆς δικαιοσύνης τρόπον ἐπιμετρεῖται ὡς εἰς ἀδελφὸν καὶ γείτονα, τῆς εὐσπλαγχνίας τὸ ἀκριβὲς, καὶ τὸ εἰς ὀθνείους ἄφθονον, καὶ τὸ εἰς ἅπαντας κοινωνικὸν παιδαγωγίᾳ τηρῶν τῇ τελεωτέρᾳ. μέχρι γὰρ καιροῦ διορθώσεως αἱ σκιαί. καιρὸς δὲ ἦν οὗτος ὁ τῆς Χριστοῦ παρουσίας.

κβ. Ἐὰν δὲ εὔξῃ εὐχὴν Κυρίῳ τῷ Θεῷ σου, οὐ χρονιεῖς ἀποδοῦναι αὐτὴν, ὅτι ἐκζητῶν ἐκζητήσει Κύριος ὁ Θεός σου παρὰ σοῦ, καὶ ἔσται ἐν σοὶ ἁμαρτία.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐὰν εὔξῃ εὐχὴν, οὐ χρονίσεις ἀποδοῦναι αὐτήν. Εὐχὴ μὲν οὖν ἐστὶν αἴτησις ἀγαθῶν παρὰ τοῦ Θεοῦ· ἡ δὲ πρόσαξις, ἐπιτυχόντα τῶν ἐλπισθέντων στεφανῶσαι Θεὸν, μὴ ἑαυτὸν, καὶ εἰ οἷόν τε, ἀχρόνως καὶ ἀμελλητὶ στεφανῶσαι. τῶν δὲ μὴ κατορθούντων ἐν τούτῳ, οἱ μὲν διὰ λήθην ὧν εὖ πεπόνθασι, μεγάλου καὶ καλοῦ κτήματος, εὐχαριστίας, ἐσφάλησαν· οἱ δὲ ὑπὸ σφοδρᾶς οἰήσεως ἑαυτοὺς τῶν συμβεβηκότων ἀγαθῶν αἰτίους ἐνόμισαν, ἀλλ

Hhh hh 2 τὸ

(1) Ὅσον μὲν γὰρ ἧκεν εἰς τὴν τοῦ νομοθέτου βούλησιν, πρόκ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 273. ὀρθῶς.

A τὸ ὄντως αἴτιον. τρίτοι δέ εἰσιν, οἱ τούτων μὲν κουφότερον ἁμάρτημα, τῶν δὲ προτέρων βαρύτερον δρῶσιν. ἀναγράφοντες γὰρ αἴτιον τῶν καλῶν τὸν ἡγεμόνα, φασὶν εἰκότως τυχεῖν αὐτῶν· εἶναι γὰρ φρόνιμοι καὶ ἀνδρεῖοι καὶ σώφρονες καὶ δίκαιοι, ὥστε ἄξιοι διὰ ταῦτα καὶ παρὰ Θεῷ χαρίτων νομισθῆναι.

κγ. Ἐὰν δὲ μὴ θέλῃς εὔξασθαι, οὐκ ἔστιν ἐν σοὶ ἁμαρτία.

κδ. Τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων σου φυλάξῃ, καὶ ποιήσεις ὃν τρόπον ηὔξω Κυρίῳ τῷ Θεῷ σου δόμα, ὃ ἐλάλησας τῷ στόματί σου.

ΘΕΟΔΩΡΗΤΟΥ. Τί ἐστι, τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων σου φυλάξῃ; Ἐπαγγελλόμενος τῷ Θεῷ, χρέος νόμιζε τὴν ὑπόσχεσιν. σπούδασον τοίνυν ταύτην ἀποδοῦναι συντόμως. τοῦτο γὰρ ἔφη, οὐ χρονιεῖς ἀποδοῦναι τὴν εὐχήν σου, ὅτι ἐκζητῶν ἐκζητήσει Κύριος ὁ Θεός σου παρὰ σοῦ, καὶ ἔσται ἐν σοὶ ἁμαρτία. εἶτα διδάσκων, ὅτι τῆς ἐξουσίας ἐστὶ τῆς γνώμης τὸ ὑποσχέσθαι ἢ μή, ἐπήγαγεν· ἐὰν δὲ μὴ θελήσῃς εὔξασθαι, οὐκ ἔστι σοι ἁμαρτία. ὅθεν καὶ ὁ μακάριος βοᾷ
Ψαλ. 65. 13. Δαβίδ· ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου, καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου.

κε. Ἐὰν δὲ εἰσέλθῃς εἰς τὸν ἀμητὸν τοῦ πλησίον σου, καὶ συλλέξῃς ἐν ταῖς χερσί σου στάχυς, καὶ δρέπανον οὐ μὴ ἐκβάλῃς (1) ἐπ᾽ ἀμητὸν τοῦ πλησίον σου. κς. Ἐὰν δὲ εἰσέλθῃς εἰς τὸν ἀμπελῶνα τοῦ πλησίον σου, καὶ φάγῃ σταφυλὴν, ὅσον ψυχήν σου ἐμπλησθῆναι, εἰς δὲ ἄγγος οὐκ ἐμβαλῇς.

B ΚΥΡΙΛΛΟΥ. Ὑπόδειγμα τοῦτο σαφὲς τοῦ μὴ κατακεχρῆσθαι δεῖν ταῖς τῶν ἀδελφῶν ἀγαπήσεσι, τιμᾶν δὲ ταῖς αὐταρκείαις καὶ τὸ φιλάλληλον.

** ΤΟΥ ΑΥΤΟΥ. Οἱ τὰς ἐν ταῖς Ἐκκλησίαις τῶν διδασκόντων φωνὰς, ἅπερ ἂν ἐκ τοῦ παραχρῆμα καὶ προχείρου γένοιντο, καθάπερ τινὰ τροφὴν δρεπόμενοι νοητήν, οὐ μέχρι τούτου μένειν ἀνέχονται, πέρα δὲ ὥσπερ ἰόντες τοῦ μέτρου, καὶ
Γ οἷά περ εἰς ἄγγος ἐμβάλλοντες, καὶ δέλτοις ἐναποτίθενται, χρησομαθεῖς μὲν ὄντες λίαν, ἀδικοῦντες δέ πως εἰς ὑπόληψιν ἀδελφοὺς, ὅτι τὸ ἐσχεδιασμένον εὐθὺς, ὥσπερ τι τῶν ἄγαν κατεσκευασμένων, ἐναποτίθενται γραφῇ. ἀλλ᾽ ὅ γε νόμος, ὦ βέλτιστοι, φαίην ἂν αὐτοῖς, τὸ μηδὲν εἰς ἄγγος ἐμβάλλειν προσέταχεν ἐναργῶς.

ΚΕΦ. ΚΔ.

α. Ἐὰν δέ τις λάβῃ γυναῖκα, καὶ συνοικήσῃ αὐτῇ, καὶ ἔσται ἐὰν μὴ εὕρῃ χάριν ἐναντίον αὐτοῦ, ὅτι εὕρηκεν ἐν αὐτῇ ἄσχημον πρᾶγμα, καὶ γράψει αὐτῇ βιβλίον ἀποστασίου, καὶ δώσει εἰς τὰς χεῖρας αὐτῆς, καὶ ἐξαποστελεῖ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ,

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπὶ πάσῃ αἰτίᾳ ἀπολύεσθαι τὴν γυναῖκα κελεύει, τῶν Ἰουδαίων τὸ μανικὸν ἐπιστάμενος, καὶ προορῶν μὴ ἀποκτείνας αὐτὴν προσαπόληται. ἄλ-
Ματθ. 19. 4. λως γὰρ οὐ βούλεται τοῦτο Θεὸς ὁ ἐξ ἀρχῆς ἄρρεν καὶ θῆλυ ποιήσας αὐτοὺς, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν· καὶ τὸ παρ᾽ Ἱερεμίᾳ
Ἱερ. 3. 1. δὲ κατὰ τὸν νόμον ἐστὶ, τὸ, ἐὰν ἐξαποστείλῃ ἀνὴρ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀπέλθῃ ἀπ᾽ αὐτοῦ, καὶ γένηται ἀνδρὶ ἑτέρῳ, μὴ ἀνακάμψασα ἀνακάμψῃ πρὸς αὐτὸν ἔτι; καὶ τὰ ἑξῆς.

ΑΔΗΛΟΥ. Πολλοὶ νομίζουσιν, ὅτι ὁ νέος νόμος ὁ κωλύων λύεσθαι τὸν γάμον, ἐναντιοῦται τῷ παλαιῷ. οὐκ ἔστι δὲ οὕτως· ἀλλ᾽ εἷς ἐστιν ἀμφοτέρων ὁ νοῦς. καὶ γὰρ ὁ Κύριος τὴν μοιχαλίδα οὐ κωλύει ἐκβάλλειν, ὁμοίως καὶ ὁ μωσαϊκὸς νόμος. ὅρα γὰρ πῶς ὁ παλαιὸς [illegible]μος, κἂν μισῇ τις τὴν ἑαυτοῦ γυναῖκα, οὐ [illegible]ται αὐτὴν ἀπολῦσαι, εἰ μή που εὑρεθῇ [illegible] αὐτῇ ἄσχημον πρᾶγμα, ἤγουν πορνεία.

** ΩΡΙΓΕΝΟΥΣ. Εἴπερ ἡ κατὰ νόμον μοιχωμένη λιθοβοληθήσεται, δηλονότι οὐ κατὰ τοῦτο νοεῖται τὸ ἄσχημον πρᾶγμα. οὐ γὰρ ἐπὶ μοιχείᾳ δεῖ γράφειν βιβλίον ἀποστασίου, καὶ διδόναι εἰς τὰς χεῖρας τῆς γυναικὸς, ἤ τινι τηλικαύτῃ ἀσχημοσύνῃ. ἀλλὰ γὰρ τάχα Μωϋσῆς πᾶν ἁμάρτημα,
E ἄσχημον εἶπε πρᾶγμα, ὅπερ ἐὰν εὑρεθῇ ὑπὸ τοῦ ἀνδρὸς ἐν γυναικὶ μὴ εὑρισκούσῃ χάριν ἐνώπιον τοῦ ἀνδρὸς, γράφεται τὸ τοῦ ἀποστασίου βιβλίον, καὶ ἐξαποστέλλεται ἐκ τῆς οἰκίας τοῦ ἀνδρὸς ἡ γυνή.

β. Καὶ ἀπελθοῦσα γένηται ἀνδρὶ ἑτέρῳ, γ. Καὶ μισήσῃ αὐτὴν ὁ ἀνὴρ ὁ ἔσχατος, καὶ γράψῃ αὐτῇ βιβλίον ἀποστασίου, καὶ δώσει εἰς τὰς χεῖρας
Z αὐτῆς, καὶ ἀποστελεῖ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ, ἢ ἀποθάνῃ ὁ ἀνὴρ αὐτῆς ὁ ἔσχατος, ὃς ἔλαβεν αὐτὴν ἑαυτῷ γυναῖκα,

δ. Οὐ δυνήσεται ὁ ἀνὴρ αὐτῆς ὁ πρότερος ὁ ἐξαποστείλας αὐτὴν ἐπαναστρέψας λαβεῖν αὐτὴν ἑαυτῷ γυναῖκα, μετὰ τὸ μιανθῆναι αὐτήν, ὅτι βδέλυγμά ἐστιν ἐναντίον Κυρίου τοῦ
H Θεοῦ σου, καὶ οὐ μιανεῖτε τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσιν ὑμῖν ἐν κλήρῳ.

ΚΥΡΙΛ-

(1) Ἐπιβάλῃς. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ Κύριλ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 267.

A ΚΥΡΙΛΛΟΥ. Τὴν γὰρ ἐπ' αἰτίαις εὐλόγοις ἀνδρὸς διεχοινισμένην, καὶ ἀνατλᾶσαν ὕβριν τὴν ἐφ' ἑτέρῳ ποιεῖσθαι σύνοικον οὐκ ἀσφαλὲς, μᾶλλον δὲ καὶ εἰς ἅπαν ἀμαθές. ὁ γὰρ κατέχων, φησὶ, μοιχαλίδα ἄφρων καὶ ἀσεβής. ὥσπερ δὲ ἀποφάσκει τοῖς ἐμφανῶς αἰσχροῖς καὶ ἀναμφιβόλως κατεγνωσμένοις τὸ ἐφήδεσθαι δεῖν, οὕτω δὴ πάλιν οὐκ ἐᾷ τὰ σεμνὰ διαβάλλειν ὡς ἄσεμνα.

Παροιμ. 18. 22.

B ε. Ἐὰν δέ τις λάβῃ γυναῖκα προσφάτως, οὐκ ἐξελεύσεται εἰς τὸν πόλεμον, καὶ οὐκ ἐπιβληθήσεται αὐτῷ οὐδὲν πρᾶγμα. ἀθῷος ἔσται ἐν τῇ οἰκίᾳ αὐτοῦ, ἐνιαυτὸν ἕνα εὐφρανεῖ τὴν γυναῖκα αὐτοῦ ἣν ἔλαβεν.

** ΠΡΟΚΟΠΙΟΥ. Προορᾶται μὴ καὶ πέσῃ μαχόμενος, μηδὲ σπέρμα καταλιπών· ἐλεεῖ δὲ καὶ τὴν ἅμα νύμφην καὶ χήραν. Γ οὔτως ὁ κατορθοῦν ἀρξάμενος ἀρετὴν, οὔπω πρὸς τὴν ὑπὲρ αὐτῆς μάχην ἐστὶν ἱκανός· οὔπω κατ' ἄκρατον σοφίαν τὰ ψευδῆ διελέγξαι δυνάμενος δόγματα, οὔτε τῷ μὴ λίαν εἶναι πρᾶος ἀνθιστάμενος πρὸς ὀργὴν, κἀπὶ τῶν ἄλλων ὁμοίως.

ΚΥΡΙΛΛΟΥ. Τὸν γὰρ ἀρτιπαγῆ, φησὶ, πρὸς τὴν εἰς Χριστὸν πίστιν, οὐ δεῖ καταφορτίζεσθαι πόνοις τε καὶ διωγμοῖς. [τοιοῦτόν Δ τι πεπραχότας εὑρήσομεν τοὺς ἁγίους Ἀποστόλους, οἳ τοῖς ἐξ ἐθνῶν ἐπιστρέφουσι, καὶ νεωστὶ κεκλημένοις εἰς ἐπίγνωσιν Θεοῦ, σοφῶς ἐπιστέλλουσιν·] ἔδοξε, φησὶ, τῷ ἁγίῳ

Πράξ. 15. 28.

» πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι
» ὑμῖν βάρος, πλὴν τῶν ἐπάναγκες, καὶ τὰ ἑξῆς.

ϛ. Οὐκ ἐνεχυράσεις μύλον, οὐδὲ ἐπιμύλιον, ὅτι ψυχὴν οὗτος ἐνεχυράζει.

E ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Παρὰ χρεωστῶν ἀπαγορεύει μύλον ἢ ἐπιμύλιον ῥύσιον αἰτεῖν, ἐπειπὼν ὅτι ὁ τοῦτο δρῶν ψυχὴν ἐνεχυριάζει. ὁ γὰρ τὰ τοῦ ζῆν ὄργανα ἀφαιρούμενος, ἐπ' ἀνδροφονίαν ἵεται, μέχρι καὶ ψυχῆς ἐπιβουλεύειν διανοηθείς.

ΩΡΙΓΕΝΟΥΣ. Ὅτι μονόλιθον, φησὶν, ἀδύνατον συντρίψαι τὸν σῖτον. δίδυμος δὲ ἀῤῥενόθηλυς κατασκευάζεται μύλος. Z ἐπεὶ οὖν καὶ οἱ Ἰουδαῖοι μίαν διαθήκην ἔχουσιν, ὁμοίως δὲ καὶ πᾶσαι αἱ αἱρέσεις δοκοῦσαι ταύτην μόνην τὴν καινὴν ἔχειν, οὐκ ἀλήθουσιν ἐν τῷ μύλωνι τούτῳ, ἵνα γεύσωνται τοῦ ἐπουρανίου ἄρτου. ἐὰν γάρ φησι μὴ συντριβῇ καὶ ἀληθῇ ὁ σῖτος, ἄσιτοι μένουσιν. ἐκ τούτου οὖν καὶ αὐτὸς ὁρμώμενος τὸν
» προκείμενον σαφηνίζω νόμον· οὐκ ἐνεχυ-
» ράσεις, φησὶ μύλον, τουτέστιν οὐ μὴ βεβηλώσεις τὴν παλαιὰν, καὶ ἔξω ποιήσεις αὐ-
» τὴν τῆς σῆς οἰκήσεως· οὐδὲ ἐπιμύλιον, ἀντὶ
» τοῦ, [τὴν] καινήν· ὅτι ψυχὴν οὗτος ἐνε-

A χυράζει, ἐξ ὧν (1) ἀποτρέφεται ἡ ψυχὴ ἀπολαύουσα νοητῶν ἐδεσμάτων.

ΑΛΛΟΣ. Οὐκ ἔστι μύλος, οὐδὲ ἐπιμύλιον ψυχὴ, ἀλλὰ πρὸς ἐργασίαν συντελεῖ ἄρτου, δι' οὗ μάλιστα ζῶσιν οἱ ἄνθρωποι. σημειωτέον διὰ (2) τὸ αἷμα. καὶ γὰρ καὶ περὶ αὐτοῦ ἐλέχθη, ὅτι τοῦ σώματος (3) αἷμα ψυχή ἐστι. καταχρηστικῶς οὖν ταῦτα νοητέον. οὔτε γὰρ τὸ αἷμα, οὔτε ὁ μύλος ψυχὴ, ἀλλὰ πρὸς τὸ ζῆν συμβαλλόμενα.

B ΚΥΡΙΛΛΟΥ. Ἀμφότερα δεῖ παραδέχεσθαι εἰς τὴν τοῦ νοητοῦ ἄρτου κατασκευὴν, ἤτοι θεωρίαν. διὰ τοῦτο καὶ ὁ Κύριός φησι·
» δύω ἔσονται ἀλήθουσαι, καὶ τὰ ἑξῆς· μία Ματθ. 24. 41.
» παραλαμβάνεται ἡ πιστεύσασα εἰς Χριστὸν,
» καὶ μία ἀφίεται τῇ νομικῇ παρατηρήσει.

** ΠΡΟΚΟΠΙΟΥ. Μύλον μὲν ἔοικε τὴν παλαιὰν διαθήκην καλεῖν, ἐπιμύλιον δὲ τὴν νέαν. ἐξ ὧν ἀμφοτέρων τὸν ἀλη- Γ θινὸν κόκκον τοῦ σίτου πρὸς ἀρτοποιΐαν ἀλήθουσιν οἱ πιστοί. οὐ γὰρ ἀλέσαι χωρὶς θατέρου τὸ ἕτερον. οὔτ' οὖν Ἰουδαῖοι τὴν παλαιὰν μόνον δεχόμενοι, οὔτε παῖδες αἱρετικῶν μόνην τὴν νέαν, ἀλήθουσιν, ἵνα γεύσωνται τοῦ ἐπουρανίου ἄρτου. διόπερ ὁ Κύριος ἐν τοῖς περὶ συντελείας λόγοις περὶ τῶν καλῶς ἢ κακῶς ἀληθουσῶν φησίν· ἔ-
» σονται δύω ἀλήθουσαι ἐν τῷ μύλωνι, μία Ματθ. 24. 41.
» παραλαμβάνεται, καὶ μία ἀφίεται. οὐδε-
Δ τέραν οὖν ἐνεχυραστέον, οὐδὲ ἐκποιητέον. ψυχὴν γὰρ ἄμφω τρέφουσι βρώμασι νοητοῖς.

ζ. Ἐὰν δὲ ἁλῷ ἄνθρωπος κλέπτων ψυχὴν ἐκ τῶν ἀδελφῶν αὐτοῦ τῶν υἱῶν Ἰσραὴλ, καὶ καταδυναστεύσας αὐτὸν ἀποδῶται, ἀποθανεῖται ὁ κλέπτης ἐκεῖνος· καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

E * ΚΥΡΙΛΛΟΥ. Οὐ γάρτοι θέμις τὸ ἱερὸν ἐν Χριστῷ καταδηεῖσθαι γένος, [καὶ εἰς δουλείαν οὐκ ἐντριβῆ κατακομίζεσθαί ποι παρά γε τῶν τοῦτο δρᾷν εἰωθότων. ὥσπερ γὰρ οἱ τὰ μειράκια φενακίζοντες, πόλεώςτε καὶ οἰκιῶν ἀπονοσφίζουσι, καὶ αὐχημάτων αὐτὰ τῶν ἐλευθέρων ἐκπέμποντες, τοῖς τῆς ἀναγκαίας δουλείας ὑποφέρουσι ζυγοῖς· τὸν αὐτὸν οἶμαι τρόπον, οἱ τοὺς ὀρθὰ φρονεῖν ἑλομένους, καὶ τὸν ἐλευθέροις πρέποντα βίον ἐπιτηδεύοντας, ἐπὶ τὸ Z σφίσιν αὐτοῖς ἀνοητότατα δοκοῦν πολυπλόκοις ἐννοιῶν ἀπάταις ἀποκομίζοντες,] λῃστείας τῆς ἐπὶ ψυχαῖς ἀνθρώπων ὑπομένουσι τὴν γραφήν. ποινὴ δὲ αὐτοῖς ὁ θάνατος, ἵνα μὴ καθάπερ ἐκ πατρῴας ἑστίας, τῆς Ἐκκλησίας τοῦ Θεοῦ, καθαρπάζοιντό τινες, καὶ εἰς Ἐκκλησίαν ἀποφέροιντο πο-
» νηρευομένων. φθείρουσι γὰρ ἤθη χρηστὰ 1. Κορ. 15. 33.
» ὁμιλίαι κακαί.

H. η. Πρόσεχε σεαυτῷ ἐν τῇ ἀφ[...] τῆς λέπρας· φυλάξῃ σφόδρα ποι[...]

(1) Τουτέστι τούτοις τρέφεται ἡ ψυχὴ, κτλ. ἐν Τόμ. 2. σελ. 391. τῆς τοῦ Ῥουέ. ἐκδόσ.
(2) Ἴσ. δὶ.
(3) Πάσης σαρκός. Λευϊτ. 17. 11.

κατὰ πάντα τὸν νόμον, ὃν ἂν ἀναγ-
γέλωσιν ὑμῖν οἱ ἱερεῖς οἱ Λευῖται. ὃν
τρόπον ἐνετειλάμην ὑμῖν, φυλά-
ξασθε ποιεῖν.

θ. Μνήσθητι ὅσα ἐποίησε Κύριος
ὁ Θεός σου τῇ Μαριὰμ ἐν τῇ ὁδῷ, ἐκ-
πορευομένων ὑμῶν ἐξ Αἰγύπτου.

** ΠΡΟΚΟΠΙΟΥ. Εἰ γὰρ ἐκείνη κατα-
λαλήσασά μου ἐν ὄψεσι πάντων ἐστηλιτεύθη
τῷ πάθει, καὶ τῆς παρεμβολῆς ἔξω γε-
γένηται, πόσῳ μᾶλλον ὑμεῖς ὀλιγωροῦντες
τοῦ νομοθέτου καὶ μετὰ τὸ παράδειγμα;

ΑΔΗΛΟΥ. Ἵνα μᾶλλον εὐλαβούμενοι τὸ
παράδειγμα, φύλακες τοῦ νόμου γένωνται.

ΘΕΟΔΩΡΙΤΟΥ. Πάλαι μέντοι τὸν πε-
ρὶ τῆς λέπρας τεθεικὼς νόμον, τῆς Μα-
» ρίας ἀνέμνησε, λέγων· μνήσθητι ὅσα ἐποίη-
» σε Κύριος ὁ Θεός σου τῇ Μαριὰμ ἐν τῇ ὁδῷ·
διδάσκων, ὡς θεήλατος ἡ πληγή, καὶ ταύ-
την αὐτοῖς ἁμαρτάνουσιν ἐπέφερεν ὁ Θεός·
καὶ αὖ πάλιν μεταβαλλομένων, ἔπαυεν.

ι. Ἐὰν δὲ ὀφείλημα ᾖ ἐν τῷ πλη-
σίον σου, ὀφείλημα ὁτιοῦν, οὐκ εἰσελεύ-
σῃ εἰς τὴν οἰκίαν αὐτοῦ ἐνεχυράσαι τὸ
ια. ἐνέχυρον. Ἔξω στήσῃ, καὶ ὁ ἄνθρω-
πος οὗ τὸ δάνειον (1) ἐστὶν ἑαυτῷ, ἐξοί-
σει τὸ ἐνέχυρον ἔξω.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Δανειστὴς
μὴ εἰσίτω χρεωστῶν οἰκίας, ἐνέχυρόν τι
καὶ ῥύσιον ἐπὶ τῷ δανείῳ μετὰ βίας ληψό-
μενος, ἀλλ᾽ ἐν προθύροις ἔξω παρεστὼς ἀνα-
μενέτω, κελεύων ἡσυχῇ προφέρειν. οἱ δ᾽
ἂν ἔχωσι, μὴ ἀναδυέτωσαν· εἰ γ᾽ ἁρμόττει
τὸν μὲν μὴ τῷ δύνασθαι καταχρῆσθαι πρὸς
τὸ αὐθαδέστερον, ἐφ᾽ ὕβρει τῶν δανεισαμέ-
νων· τοὺς δὲ πρὸς ὑπόμνησιν τῆς τῶν ἀλλο-
τρίων ἀποδόσεως ἄξια παρασχεῖν ἐνέχυρα.

ΑΔΗΛΟΥ. Παρεγγυᾷ μὴ ὠμῶς καὶ θη-
ριωδῶς ἐπιπηδᾷν τοῖς οἴκοις τῶν πενήτων.

ιβ. Ἐὰν δὲ ὁ ἄνθρωπος πένηται,
ιγ. οὐ κοιμηθήσῃ ἐν τῷ ἱματίῳ. (2) Ἀπο-
δόσει ἀποδώσεις τὸ ἱμάτιον αὐτοῦ περὶ
δυσμὰς ἡλίου, καὶ κοιμηθήσεται ἐν
τῷ ἱματίῳ αὐτοῦ, καὶ εὐλογήσει σε,
καὶ ἔσται σοι ἐλεημοσύνη ἐνώπιον Κυ-
ρίου τοῦ Θεοῦ σου.

ιδ. Οὐκ ἀποστερήσεις μισθὸν πένη-
τος καὶ ἐνδεοῦς ἐκ τῶν ἀδελφῶν σου, ἢ
ἐκ τῶν προσηλύτων τῶν ἐν ταῖς πό-
λεσί σου.

** ΠΡΟΚΟΠΙΟΥ. Φιλάνθρωπον μὲν
Λουκ. 12. 33. καὶ τοῦτο· ἡ δὲ νέα, τελειότερον· πωλήσατε
τὰ ὑπάρχοντα, φησὶ, καὶ δότε ἐλεημο-
Λουκ. [illegible] σύνην, καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἔσται.
[illegible] πολλοὶ ποιήσαντες παρὰ τοὺς πόδας

A τῶν Ἀποστόλων ἐτίθεντο τὰς τιμὰς, καὶ
διεδίδοτο ἑκάστῳ, καθ᾽ ὅτι τις χρείαν εἶχεν.

ιε. Αὐθημερὸν ἀποδώσεις τὸν μι-
σθὸν αὐτοῦ, οὐκ ἐπιδύσεται ὁ ἥλιος ἐπ᾽
αὐτῷ, ὅτι πένης ἐστὶ, καὶ ἐπ᾽ αὐτῷ
ἔχει τὴν ἐλπίδα, καὶ οὐ καταβοήσε-
ται (3) κατὰ σοῦ πρὸς Κύριον, καὶ
ἔσται σοὶ ἁμαρτία.

B ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐπεὶ φι-
λεργίας ἆθλα μισθοὶ πρόκεινται τοῖς δη-
μιουργοῖς, δημιουργοῦσι δ᾽ οἱ ἐν ἐνδείαις, ἀλλ᾽
οὐχ οἷς ἄφθονος περιουσία, ἐκέλευσε μὴ ὑ-
περτίθεσθαι τὰς δόσεις. ἀλλ᾽ αὐτῇ παρέ-
χειν ἡμέρᾳ τὸν διομολογηθέντα μισθόν.
ἄτοπον γὰρ τὰ μὲν ἐκ τῆς τῶν πενήτων
ὑπηρεσίας ἀπειληφέναι τοὺς εὐπόρους, τὰς
δ᾽ ἀντὶ τούτων ἀμοιβὰς μὴ ἀντιπαρασχεῖν
ἀπόροις εὐθὺς περιουσίᾳ ζῶντας. ἆρ᾽ οὐκ
Γ ἐναργῆ δείγματα ταῦτ᾽ ἐστὶ προφυλακῆς
μειζόνων ἀδικημάτων; ὁ γὰρ μηδὲ μισθὸν
τὸν πάντως ἀποδοθησόμενον ἐῶν ἐκπρό-
θεσμον γενέσθαι, προθεσμίαν ὁρίσας ἑσπέ-
ραν, ἐν ᾗ δεήσει τὸν δημιουργὸν ἀπαλλατ-
τόμενον οἴκαδε κομίσασθαι τὴν ἀμοιβὴν,
οὗτος οὐ πολὺ πρότερον ἁρπαγὴν ἀπαγο-
ρεύει καὶ κλοπὴν καὶ χρεωκοπίαν, καὶ ὅσα
τούτοις ὁμοιότροπα, διαπλάττων καὶ δια-
μορφῶν τὴν ψυχὴν πρὸς δοκιμασίαν κα-
Δ λοκἀγαθίας αὐτῆς;

ΚΥΡΙΛΛΟΥ. Παραιτητέον ἄρα τοῦ πέ-
νητος τὴν κατάῤῥησιν. προσήκει γὰρ κοι-
νωνικοὺς εἶναι, καὶ τὴν φιλοπτωχείαν ἀσπά-
ζεσθαι.

ιϛ. Οὐκ ἀποθανοῦνται πατέρες
ὑπὲρ τέκνων, καὶ οἱ υἱοὶ οὐκ ἀποθα-
νοῦνται ὑπὲρ πατέρων. ἕκαστος τῇ ἑαυ-
τοῦ ἁμαρτίᾳ ἀποθανεῖται.

E ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Παγκάλως
κἀκεῖνο διατέτακται, πατέρας ὑπὲρ υἱῶν
μὴ ἀποθνήσκειν, μηδ᾽ υἱοὺς ὑπὲρ γονέων,
ἀλλ᾽ ἕκαστον τῶν ἄξια θανάτου δεδρακότων,
αὐτὸν ἰδίᾳ μόνον ἀναιρεῖσθαι, διὰ τοὺς ἢ
βίαν τοῦ δικαίου προτιμῶντας, ἢ πάνυ φι-
λοστόργους. οὗτοι μὲν γὰρ διὰ περιττὴν καὶ
ὑπερβάλλουσαν εὔνοιαν ἐθελήσουσι πολλάκις
ἄσμενοι προσαποθνήσκειν, αὐτοὺς ἐπιδι-
δόντες ὑπὲρ τῶν ἐνόχων οἱ ἀνυπαίτιοι. μέ-
Z γα κέρδος νομίζοντες τὸ μὴ ἰδεῖν κολαζο-
μένους ἢ τοὺς γεννήσαντας υἱοὶ, ἢ καὶ τοὺς
παῖδας γονεῖς, ὡς ἀβίωτον καὶ παντὸς
ἀργαλεώτερον θανάτου τὸν αὖθις χρόνον
βιωσόμενοι.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ μέντοι καὶ περὶ
τῆς τῶν παίδων ἀπειλῆς τὸ ἀμφίβολον
» ἔλυσεν. ἔφη γὰρ, οὐκ ἀποθανοῦνται πα-
» τέρες ὑπὲρ τέκνων, οὐδὲ παῖδες ὑπὲρ πα-
» τέρων. ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθα-
H νεῖται. εἰκὸς γὰρ καὶ πατέρας συμβουλεῦ-
σαι μὲν παισὶ τὰ συμφέροντα, μηδὲν δὲ
διὰ

(1) Τὸ δάνειόν σου ἐστὶν ἐν αὐτῷ ἐξοίσει σοι τὸ, κλ. αἱ εἰρημ. ἐκδόσ.
(2) Ἐν τῷ ἐνεχύρῳ αὐτοῦ. αἱ αὐτ.
(3) Καὶ καταβοήσεται. αἱ αὐτ.

διὰ τὴν ἐκείνων ἀπείθειαν ὀνῆσαι, καὶ παῖδας κρείττους τῶν πατέρων γενέσθαι.

ΚΥΡΙΛΛΟΥ. Αὐτὸς οὖν ὁ Μωϋσῆς τὸ ἐν τῇ Ἐξόδῳ παρ' αὐτοῦ εἰρημένον ἀνατρέπει.
Ἐξόδ. 20. 5. μὴ νοήσαντες γάρ τινες αὐτὸ, τὸ, ἁμαρ-
» τίας πατέρων ἐπὶ τέκνα, κατηγόρουν τοῦ
Ἰεζ. 18. 3, 4. Θεοῦ. περὶ δὲ τούτου φησὶν Ἰεζεκιήλ· ζῶ
» ἐγὼ λέγει Κύριος, ὅτι πᾶσαι αἱ ψυχαὶ
» ἐμαί εἰσι, καὶ ὃν τρόπον ἡ ψυχὴ τοῦ πατρὸς,
» οὕτω καὶ ἡ ψυχὴ τοῦ υἱοῦ ἐμαί εἰσιν. ἡ ψυχὴ
» ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται. πολλὴ οὖν ἐν ἅπασι τῆς θείας Γραφῆς ἡ συμφωνία.

ιζ. Οὐκ ἐκκλινεῖς κρίσιν προσηλύτου καὶ ὀρφανοῦ καὶ χήρας. καὶ ἐνεχυράσεις (1) ἱμάτιον χήρας.

ιη. Καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτῳ, καὶ ἐλυτρώσατό σε Κύριος ὁ Θεός σου ἐκεῖθεν· διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι τοῦτο τὸ ῥῆμα ποιεῖν.

ΚΥΡΙΛΛΟΥ. Καλὸν γὰρ τὸ ἐν εὐθυμίαις διαμεμνῆσθαι πόνων, καὶ θλίψεως τῆς ἀρχαιοτέρας. καλεῖ γὰρ τὸ χρῆμα πρὸς φιλοπτωχείαν, καὶ τῆς εὐημερίας τὸ πλάτος ἀμνημονεῖν οὐκ ἐᾷ τῶν ἐν ἐνδείᾳ κακῶν. θέα δὲ ἡμᾶς ὅπως εὐτεχνέστατα ἀπεθίζει μὲν τῶν χειρόνων, καὶ ἀποσπουδάζειν ἀναπείθει τὸ ἀσυμπαθὲς, προάγει δὲ τοῖς ἀμείνοσι, καὶ τοὺς τῆς φιλαλληλίας ἐμβιβάζει τρόπους.

ιθ. Ἐὰν δὲ ἀμήσῃς ἀμητὸν ἐν τῷ ἀγρῷ σου, καὶ ἐπιλάθῃ δράγμα ἐν τῷ ἀγρῷ σου, οὐκ ἀναστραφήσῃ λαβεῖν αὐτό· τῷ πτωχῷ καὶ τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ ἔσται, ἵνα εὐλογήσῃ σε Κύριος ὁ Θεός σου ἐν πᾶ-
κ. σι τοῖς ἔργοις τῶν χειρῶν σου. Ἐὰν δὲ ἐλαιολογήσῃ, οὐκ ἐπαναστραφήσῃ καλαμήσασθαι τὰ ὀπίσω σου· τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ ἔσται, καὶ μνησθήσῃ ὅτι οἰκέτης

A ἦσθα ἐν γῇ Αἰγύπτῳ· διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο.

-** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τίς οὐκ ἂν ἀγάσαιτο τοῦ περὶ τοὺς θεριστὰς καὶ τρυγητὰς κηρύγματος ἢ διατάγματος; κελεύει γὰρ ἐν μὲν ἀμητῷ, μήτε τὰ ἀποπίπτοντα τῶν δραγμάτων ἀναιρεῖσθαι, μήτε πάντα τὸν σπόρον κεῖραι, ἀλλ' ὑπολιπέσθαι τὸ τοῦ κλήρου μέρος ἄτμητον· ἅμα μὲν τοὺς εὐπόρους μεγαλόφρονας καὶ κοινωνικοὺς κατα-
B σκευάζων, ἐκ τοῦ τι προΐεσθαι τῶν ἰδίων, καὶ μὴ πᾶσι προσκεχηνέναι, μηδὲ πᾶν συμφορεῖν καὶ συγκομίζειν οἴκαδε θησαυροφυλακήσοντας· ἅμα δὲ καὶ τοὺς πένητας εὐθυμοτέρους ἀπεργαζόμενος. ἐπειδὴ γὰρ κτημάτων ἰδίων ἀποροῦσιν, ἐφίησιν αὐτοῖς εἰς τὰ τῶν ὁμοφύλων εἰσιέναι, κἀκ τῶν ὑπολειφθέντων, ὡς ἰδίων ἀμᾶν. ἐν δὲ τῷ καιρῷ τῆς ὀπώρας, πάλιν δρεπομένοις τοῖς
Γ κληρούχοις προστάττει, μήτε ῥάγας ἀποπιπτούσας συλλέγειν, μήτε ἀνατρυγᾶν ἀμπελῶνας. τὰ δ' αὐτὰ καὶ τοῖς ἐλαιολογοῦσι διατάττεται, καθάπερ φιλοστοργότατος πατὴρ, οὐχὶ ταῖς αὐταῖς εὐπραγίαις κεχρημένων τῶν παίδων, ἀλλὰ τῶν μὲν ἐν περιουσίᾳ ζώντων, τῶν δ' εἰς ἀπορίαν ἐσχάτην περιηκόντων· οὓς ἐλεῶν καὶ οἰκτείρων, ἐπὶ τὰ κτήματα τῶν ἀδελφῶν καλεῖ, μεθέξοντας ὡς ἰδίων τῶν ἀλλοτρίων, οὐκ εἰς ἀναισχυντίαν, ἀλλ' εἰς ἐπανόρθωσιν ἐνδείας,
Δ καὶ οὐ μόνον καρπῶν μετουσίας, ἀλλὰ καὶ κτημάτων ὅσα τῷ δοκεῖν.

κα. Ἐὰν δὲ τρυγήσῃς τὸν ἀμπελῶνά σου, οὐκ ἐπανατρυγήσῃς αὐτὸν τὰ ὀπίσω σου· τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ ἔσται,

» ΑΔΗΛΟΥ. Οὐκ ἐπανατρυγήσεις, Ἀκύλας φησὶν, οὐκ ἐπιφυλλίσεις. ἐπιφυλλὶς γὰρ
E ὁ μικρὸς βότρυς, ἢ οἱ ἀποπίπτοντες ῥῶγες, καὶ ὑπὸ τὰ φύλλα εὑρισκόμενοι.

κβ. Καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτῳ· διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο.

ΚΕΦ. ΚΕ.

α. Ἐὰν δὲ γένηται ἀντιλογία ἀναμέσον ἀνθρώπων, καὶ προσέλθωσιν εἰς κρίσιν, καὶ κρίνωσι, καὶ δικαιώσωσι τὸ δίκαιον, καὶ καταγνῶσι τοῦ ἀσεβοῦς·

β. Καὶ ἔσται, ἐὰν ἄξιος ᾖ πληγῶν ὁ ἀσεβῶν, καὶ καθιεῖς αὐτὸν ἔναντι αὐτῶν, (2) καὶ μαστιγώσουσιν αὐτὸν ἐναντίον αὐτῶν κατὰ τὴν ἀσέβειαν αὐτοῦ.

γ. Καὶ ἀριθμῷ τεσσαράκοντα μαστιγώσουσιν αὐτόν· οὐ προσθήσουσιν· ἐὰν
Z δὲ προσθῶσι μαστιγῶσαι αὐτὸν ὑπὲρ ταύτας τὰς πληγὰς πλείους, ἀσχημονήσει ὁ ἀδελφός σου ἐναντίον σου.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοῦ Θεοῦ κελεύσαντος τεσσαράκοντα λαμβάνειν τὸν πλημμελήσαντα μάστιγας, παρὰ μίαν πληγὴν ἐπιφέρουσιν οἱ Ἰουδαῖοι; Ἐπειδὴ ὁ πλείων
» ἀριθμὸς τὸν αἰκιζόμενον ἀτιμοῖ· ἐὰν γὰρ
» προσθῶσι μαστιγῶσαι αὐτὸν, ἀσχημονήσει
» ὁ ἀδελφός σου ἐναντίον σου· παρὰ μίαν δι-
H δόασιν, ἵνα μὴ τὸν ἀκριβῆ φυλάττον[illegible] ἀριθμὸν, καὶ ἄκοντες τὸν τυπτόμενον [illegible] μάσωσι, τὸ περιττὸν ἐπιφέροντες.

ΚΥΡΙΛ-

(1) Καὶ οὐκ ἐνεχυράσεις. αἱ εἰρημ. ἐκδόσ.

(2) Ἔναντι τῶν κριτῶν. αἱ αὐτ.

ΚΥΡΙΛΛΟΥ. Τὸν τεσσαράκοντα ἀριθμὸν εἰς τὸ πεντάκις ὀκτὼ κατατεμὼν, χρήσιμον εὑρήσεις τῇ τοῦ καιροῦ σημασίᾳ τὸν πέντε καὶ τὸν ὀκτώ. ἐπιδεδήμηκε γὰρ ὁ μονογενὴς ἐν πέμπτῳ καιρῷ, κατά γε τὴν εὐαγγελικὴν παραβολήν. ἐμισθοῦτο γάρ τις εἰς τὸν ἀμπελῶνα αὐτοῦ ἐργάτας, ἐξελθὼν περὶ ὥραν πρώτην καὶ τρίτην καὶ ἕκτην καὶ ἐννάτην καὶ ἑνδεκάτην. ἐγήγερται δὲ κατὰ τὴν ὀγδόην, καταλύσας τοῦ θανάτου τὸ κράτος, καὶ τῆς ἐπεισάκτου φθορᾶς τὴν μητέρα συνδιολλὺς αὐτῷ, τουτέστι τὴν ἁμαρτίαν· ἧς ἀνῃρημένης, ἀργεῖν ἀνάγκη καὶ μάστιγας, καὶ τὰς δι' αὐτὴν ποινὰς καὶ κολάσεις. οὐκ ἐᾷ τοιγαροῦν ὁ νόμος ἐπιτρέχειν (1) ἐπὶ τὰς μάστιγας τὸν τεσσαράκοντα ἀριθμὸν, μέχρι τῆς Χριστοῦ παρουσίας οἱονείπως ἱστὰς τὰ κολαστήρια, καὶ τὸν τῆς ἀφέσεως κατασημαίνων καιρόν. τῆς γὰρ ἀληθείας οἱ τύποι τὸ κάλλος ὠδίνουσιν. ἰστέον δὲ ὅτι προσκρούσας ὁ Ἰσραὴλ, τεσσαρακοστὸν ἔτος ἐπλανᾶτο τὴν ἔρημον. [ὅρκῳ γὰρ ὤμοσεν ὁ Θεὸς, μὴ εἰσάξειν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας. καὶ ἦν ὅρος οὗτος αὐτοῖς τῆς ὀργῆς. παρῳχηκότος δὲ τοῦ καιροῦ, λέλυται μὲν ἡ ὀργὴ, διέβησαν δὲ τὸν Ἰορδάνην οἱ ἐξ αὐτῶν, καὶ εἰσέφρησαν εἰς τὴν γῆν, οὐχ ὑποδραμούσης τῆς ἀγανακτήσεως τὸ τεσσαρακοστὸν ἔτος.] τύπος ἄρα καὶ τοῦδε [σαφὴς] τὸ μέχρι πληγῶν τεσσαράκοντα καταπαίεσθαί τινας. ἀφέσεως γὰρ ὁ μετὰ τοῦτο καιρὸς, διάβασιν εἰσφέρων ἡμῖν τὴν [τοῦ] Ἰορδάνου τὴν μυστικήν.

ΩΡΙΓΕΝΟΥΣ. Ἀεί γε τετηρήκαμεν κακωτικὸν ὄντα τὸν [μ'] ἀριθμόν. ὅθεν Μωσῆς τεσσαράκοντα ἡμέρας ἐνήστευσε, καὶ μετὰ τοῦτον Ἠλίας. ἀλλὰ καὶ ὁ Σωτὴρ ἡμῶν πειραζόμενος ὑπὸ τοῦ Διαβόλου οὐκ ἔφαγε τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας. καὶ ὁ μέγας δὲ κατακλυσμὸς ἐπὶ τῆς γῆς γίνεται, ὕοντος τοῦ Θεοῦ τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας.

Ἰεζ. 29. 13. ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐν Ἰεζεκιὴλ φησι, μετὰ μ' ἔτη συνάξω Αἰγυπτίους ἀπὸ τῶν ἐθνῶν οὗ διεσκορπίσθησαν ἐκεῖ. ὁ μὲν γὰρ εἰς τὸν Θεὸν τῆς ἑβδομάδος ἁμαρτήσας λαὸς, καὶ εἰς τὸ τοῦ σαββάτου μυστήριον, τῷ ἑπτὰ τῶν δεκάδων ἀριθμῷ κολάζεται· ὁ δὲ Αἰγύπτιος καὶ κοσμικὸς μηδὲν πλέον σωμάτων καὶ τῶν στοιχείων ἐπιστάμενος· ἅπερ ἐστὶ τὸν ἀριθμὸν δ' τέσσαρσι δεκάσιν ἐτῶν ἀπολαμβάνει τὰ ἁμαρτήματα. καὶ ἐπεὶ ὁ μ' ἀριθμὸς Αἰγυπτίων ἐστὶ κόλασις, διὰ τοῦτο οἶμαι τὸν Ἰσραὴλ, ἢ τὸν ἁμαρτόντα λαμβάνειν μ' παρὰ μίαν. καὶ ἐπιφέρει γε ὁ νόμος· οὐ προσθήσεις πληγὰς πλείους, ἵνα μὴ ἀσχημονῇ ὁ ἀδελφός σου. ἀσχημοσύνη γὰρ ἦν Ἰσραηλίτῃ κατοικοῦντι τὴν ἁγίαν [...] ἀριθμῷ κολάζεσθαι Αἰγυπτίων. ἐπλα[...] δὲ καὶ μ' ἔτη κατὰ τὴν ἔρημον ὁ λαός. ἐχρῆν γὰρ αὐτὸν ἐξελθόντα ἐκ τῆς Αἰγύπτου, τῷ μ' ἀριθμῷ ἀποθέσθαι τὸν ὀνειδισμὸν Αἰγύπτου. μ' γοῦν ἐτῶν πεπληρωμένων, εἶπε Κύριος πρὸς Ἰησοῦν, καθίσας περίτεμε τοὺς υἱοὺς Ἰσραήλ. καὶ μετὰ τὴν περιτομὴν φησὶ πρὸς αὐτὸν, νῦν ἀφεῖλον ἀφ' ὑμῶν τὸν ὀνειδισμὸν Αἰγύπτου. Ἰησ. 5. 2, 9. καὶ πρὸς Ἀβραὰμ δὲ λέγεται περὶ τῶν ἐκγόνων, ὡς δουλώσουσιν αὐτοὺς, καὶ κακώσουσιν αὐτοὺς υ' ἔτη. Γεν. 15. 13. ὅς ἐστιν ἀριθμὸς δ' ἑκατοντάδων, ἢ μ' δεκάδων. καὶ πανταχοῦ τῆς Γραφῆς κακωτικὸς ἀριθμὸς ὁ τῶν μ'.

δ. Οὐ φιμώσεις βοῦν ἀλοῶντα.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, οὐ φιμώσεις βοῦν ἀλοῶντα; Τὸ μὲν τῆς ἀναγωγῆς νόημα σαφῶς ἡμᾶς ἐδίδαξεν ὁ θεῖος Ἀπόστολος, καὶ αὐτὸ δὲ τὸ πρόχειρον εὐσεβές. ἄδικον γὰρ τὸν ἀρόσαντα τὴν γῆν, καὶ τὰ δράγματα σὺν πόνῳ τέμνοντα μὴ μετασχεῖν τοῦ καρποῦ.

** ΚΥΡΙΛΛΟΥ. Μόσχους ἡμῖν τοὺς ἀλοῶντας ὁ διὰ Μωσέως νόμος τοὺς ἁγίους ὠνόμασε μαθητάς. ἔφη γὰρ αἰνιγματωδῶς, οὐ φιμώσεις βοῦν ἀλοῶντα. ὃ δὴ καὶ μάλα σαφῶς ἐννενοηκὼς ὁ μακάριος Παῦλος, μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; ἢ δι' ἡμᾶς 1. Κορ. 9. 9, 10. πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾶν, καὶ ἀλοῶν ἐπ' ἐλπίδι τοῦ μετέχειν. μόσχοι τοιγαροῦν κατ' εἰκόνα τοῦ πρώτου, τουτέστι Χριστοῦ καὶ οἱ μακάριοι μαθηταί. μόσχος δὲ καὶ ἑτέρως ἀλωητὴς ὁ Χριστός. δι' αὐτοῦ γὰρ ἡ κάθαρσις, καὶ ἡ τῶν περιττῶν πραγμάτων ἀπόθεσις, περισπασμῶν τε φημὶ, καὶ τῶν κατὰ τὸν κόσμον φρονημάτων σαρκικῶν, ἃ καὶ φλογός εἰσι τροφὴ, καθάπερ καὶ τὸ ἄχυρον.

ΑΔΗΛΟΥ. Τοῦτο ὁ μακάριος Παῦλος ἡρμήνευσεν, ὡς δοκεῖν ἡμᾶς (2) βοῦν ἀλοῶντα τὸν διδάσκαλον, καὶ ἀποτρέφεσθαι ὀφείλοντα ἐξ αὐτοῦ τοῦ διδασκαλικοῦ ἔργου, καὶ ἀπὸ τῶν ἰδίων μαθητῶν.

ε. Ἐὰν δὲ κατοικῶσιν ἀδελφοὶ ἐπὶ τὸ αὐτὸ, καὶ ἀποθάνῃ εἷς ἐξ αὐτῶν, σπέρμα δὲ μὴ ᾖ αὐτῷ, οὐκ ἔσται ἡ γυνὴ τοῦ τεθνηκότος ἔξω ἀνδρὶ μὴ ἐγγίζοντι· ὁ ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς εἰσελεύσεται πρὸς αὐτὴν, καὶ λήψεται αὐτὴν ἑαυτῷ εἰς γυναῖκα,
ς. καὶ συνοικήσει αὐτῇ. Καὶ ἔσται τὸ παιδίον ὃ ἂν τεχθῇ, κατασταθήσεται ἐκ τοῦ ὀνόματος τοῦ τετελευτηκότος, καὶ οὐκ ἐξαλειφθήσεται τὸ ὄνομα αὐτοῦ ἐξ Ἰσραήλ.

** ΠΡΟΚΟΠΙΟΥ. Μήπω φανερωθείσης τῆς ἀναστάσεως, ἡ τῶν παίδων διαδοχὴ, καὶ διὰ ταύτης ἡ μνήμη, παραμυθία τοῖς πρὶν ἀνθρώποις ἐτύγχανεν, ἅμα δὲ καὶ

(1) Ὑπερτρέχειν ἔτι τὴν μάστιγα τὸν τεσσαρακοστὸν ἀριθ. ἐν Τόμ. 1. μέρ. 2. σελ. 277. συμφώνως τῷ τῆς Γραφ. ῥητ. (2) Ἴσ. ἡμῖν, ὀρθότερ.

A καὶ τύπον ἐπεῖχε τῆς ἀναστάσεως. ὃν ὁ παραβὰς Αὐνὰν,(1) καὶ τῇ Θάμαρ συγκαθεύδειν μὴ βουληθεὶς, εἰκότως ἀπόλλυται, τὸ σπέρμα χέας ἔνθα μὴ νόμος· ὁ δὲ Βοὸς τηρήσας, καὶ τὴν Ῥοὺθ ἀγαγόμενος, τέρας εἴληφε τὸ πρόγονος εἶναι Χριστοῦ, γεννήσας Ἰεσσαὶ τοῦ Δαβὶδ τὸν πατέρα, τὴν μέλλουσαν ἐπαγγελίαν ἀναστάσει θνητῇ μιμησάμενος. ἔδει γὰρ τὸν δωρησάμενον ἡμῖν τὴν ἀνάστασιν διὰ τῶν φυλαξάντων αὐτῆς τὸν τύπον κατὰ σάρκα κατάγεσθαι, καὶ B παύσαντα τοὺς τύπους, αὐτὴν ἡμῖν χαρίσασθαι τὴν ἀλήθειαν.

ζ. Ἐὰν δὲ μὴ βούληται λαβεῖν ὁ ἄνθρωπος τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀναβήσεται ἡ γυνὴ ἐπὶ τὴν πύλην ἐπὶ τὴν γερουσίαν, καὶ ἐρεῖ, οὐ θέλει ὁ ἀδελφὸς τοῦ ἀνδρός μου ἀναστῆσαι τὸ ὄνομα τοῦ ἀδελφοῦ αὐτοῦ ἐν Ἰσραὴλ, οὐκ ἠθέλησεν ὁ ἀδελφὸς τοῦ Γ ἀνδρός μου.

⁂ ΠΡΟΚΟΠΙΟΥ. Ἐν τῇ πύλῃ φησίν. ἐνταῦθα γὰρ οἱ παλαιοὶ τὰς διατριβὰς ἐποιοῦντο, καὶ ξένους ἴσως πρὸς ὑποδοχὴν θηρᾶσθαι βουλόμενοι, καθάπερ ὁ Λὼτ, ὃς καὶ παρουσίας Ἀγγέλων ἠξίωται. ἥρμοττε δὲ καὶ ἄλλως τῷ Ἰσραὴλ διὰ σκιῶν εἰσαγομένῳ πρὸς θεοσέβειαν, ἐν πύλαις, ἀλλ᾽ οὐκ ἐν μέσῳ καθῆσθαι τῆς πόλεως. Δ

η. Καὶ καλέσουσιν αὐτὸν ἡ γερουσία τῆς πόλεως ἐκείνης, καὶ ἐροῦσιν αὐτῷ· καὶ στὰς εἴπῃ, οὐ βούλομαι λαβεῖν αὐτήν.

θ. Καὶ προσελθοῦσα ἡ γυνὴ τοῦ ἀδελφοῦ αὐτοῦ ἐναντίον τῆς γερουσίας, ὑπολύσει τὸ ὑπόδημα αὐτοῦ τὸ ἓν ἀπὸ τοῦ ποδὸς αὐτοῦ, καὶ ἐμπτύσει εἰς Ε τὸ πρόσωπον αὐτοῦ, καὶ ἀποκριθεῖσα ἐρεῖ, οὕτω ποιήσουσι τῷ ἀνθρώπῳ, ὃς οὐκ οἰκοδομήσει τὸν οἶκον τοῦ ἀδελφοῦ αὐτοῦ.

⁂ ΠΡΟΚΟΠΙΟΥ. Τὸν μὴ βουλόμενον, ἐχρῆν εἰς τὴν πύλην ἀχθέντα, παρὰ τῆς γυναικὸς ἐμπτυσθέντα, τῶν ὑποδημάτων θάτερον ὑπολύεσθαι· ὡς χωλαίνοντα περί τε νόμον καὶ στοργὴν ἀδελφοῦ, καὶ τὴν ἐκείνου Ζ νέκρωσιν ἐκβεβηκότα τῆς διανοίας.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ἐμπτύεσθαι κελεύει τὸν τοῦ ἄπαιδος ἀδελφοῦ τὴν γυναῖκα μὴ βουλόμενον γῆμαι; Ἀνάγκην αὐτοῖς διὰ τῆς ἀτιμίας φιλαδελφίας ἐπιτιθείς. ἄμεινον μὲν γὰρ ἦν διὰ τὴν φύσιν προμηθεῖσθαι τοῦ τεθνηκότος. ἐπειδὴ δὲ οὐχ ἅπαντες αἰδοῦνται τὸν τῆς φύσεως νόμον, τὴν τῆς ἀτιμίας αὐτοῖς ἀνάγκην ἐπέθηκεν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Οὕτω ποιήσουσι, τουτέστιν ἀλλοτριωθῶσιν ἐξ αὐτοῦ, καὶ ἐμπτύσωσιν αὐτὸν πάντες οἱ ἄνθρωποι· ἢ, μὴ θελήσωσιν οἰκειωθῆναι αὐτῷ. Η

(1) Αὐνάν. ἐν τῷ 38. κεφ. τῆς Γεν.

ι. Καὶ κληθήσεται τὸ ὄνομα αὐτοῦ ἐν Ἰσραὴλ, οἶκος τοῦ ὑπολυθέντος τὸ ὑπόδημα.

ια. Ἐὰν δὲ μάχωνται ἄνθρωποι δύω ἐπὶ τὸ αὐτὸ, ἄνθρωπος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ προσέλθῃ ἡ γυνὴ ἑνὸς αὐτῶν ἐξελέσθαι τὸν ἄνδρα αὐτῆς ἐκ τῆς χειρὸς τοῦ τύπτοντος αὐτὸν, καὶ ἐκτείνασα τὴν χεῖρα αὐτῆς ἐπιλάβηται τῶν διδύμων αὐτοῦ,

ιβ. Ἀποκόψεις τὴν χεῖρα αὐτῆς· οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ᾽ αὐτῆς.

⁂ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸ λοιδορουμένων ἢ συμπλεκομένων ἀνδρῶν ἐπελθεῖν τολμᾶν κατὰ πρόφασιν συμμαχίας ἢ βοηθείας γυναῖκας, ἐπίληπτον καὶ οὐ μετρίως ἀναίσχυντον· ἃς οὐδ᾽ ἐν πολέμοις καὶ στρατείαις καὶ τοῖς ὑπὲρ πάσης τῆς πατρίδος κινδύνοις, ἐδικαίωσεν ὁ νόμος ἐξετάζεσθαι, τὸ πρέπον ἰδὼν, ὅπερ ἀκίνητον ἀεὶ καὶ πανταχοῦ φυλάττειν διενοήθη· νομίσας αὐτὸ τοῦτ᾽ εἶναι καθ᾽ αὑτὸ νίκης καὶ ἐλευθερίας καὶ πάσης ἄμεινον εὐτυχίας. ἐὰν μέν τις καὶ πυθομένη ἐξυβρίζεσθαι τὸν ἄνδρα, πόθῳ τῷ πρὸς ἐκεῖνον, ἡττηθεῖσα φιλανδρίας, ὑπὸ τοῦ παραστάντος πάθους ἐξορμῆσαι βιασθῇ, μὴ πλέον τῆς φύσεως ἀῤῥενούσθω θρασυνομένη, μενέτω δὲ καὶ ἐν οἷς βοηθεῖ γυνή. πάνδεινον γὰρ εἰ βουλομένη τὶς ὑπεξελέσθαι τὸν ἄνδρα ὕβρεων, ὑβρισθήσεται παρ᾽ αὐτῆς, κατάπλεων ἀποφαίνουσα τὸν ἴδιον βίον αἰσχύνης, καὶ μεγάλων ὀνειδῶν τῶν ἐπ᾽ ἀνιάτῳ θρασύτητι. Καὶ μετ᾽ ὀλίγα. Καὶ τὰ μὲν ἄλλα οἰστὰ καὶ φέρειν ἄν τις δύναιτο· χαλεπὸν δ᾽ ἐκεῖνο, εἴ τις γυνὴ τοσοῦτον καταθρασύνετο, ὡς διαδράξασθαι τῶν τοῦ διαφερομένου γεννητικῶν. μὴ γὰρ παρ᾽ ὅσον ἀνδρὶ βοηθοῦσα δοκεῖ τοῦτο πράττειν, ἀφιέσθω· τῆς δὲ ἄγαν θρασύτητος ἐπεχέσθω τίνουσα δίκην. ὑφ᾽ ἧς αὐτὴ μὲν τὰ ὅμοια ἐξαμαρτάνειν ἐθέλουσ᾽ αὖθις, οὐκ ἂν δύναιτο, τῶν δ᾽ ἄλλων ὅσαι προπετέστεραι φόβῳ μετριάσουσιν. ἔστω δ᾽ ἡ δίκη, χειρὸς ἀποκοπὴ τῆς ἁψαμένης ὧν οὐ θέμις.

⁂ ΠΡΟΚΟΠΙΟΥ. Ἀξία γὰρ κολάσεως διὰ τὸ φονικόν τε καὶ ἀναιδές.

ΑΔΗΛΟΥ. Ἰστέον, ὅτι οὐδὲν πλέον ἢ τὸ ἀναίσχυντον τῆς γυναικὸς κολάζει.

ΝΕΙΛΟΥ. [Τὴν χεῖρα τῆς ἐπιλαβομένης τῶν διδύμων γυναικὸς, ἐν τῷ μάχεσθαι τοὺς δύω ἄνδρας, ἀποκόπτειν ὁ νόμος ἐκέλευσεν,] ὅτι μάχης οὔσης τῶν λογισμῶν περὶ τῆς αἱρέσεως τῶν κοσμικῶν καὶ τῶν οὐρανίων [ἀγαθῶν, τούτων ἀφεῖσα τὴν αἵρεσιν, τῶν τῆς] γενέσεως καὶ φθορᾶς ἐπεδράξατο. διὰ γὰρ τῶν γεννητικῶν τὰ γενέσεως ἐδήλωσε πράγματα.

ιγ. Οὐκ ἔσται ἐν τῷ μαρσίππῳ [illegible] στάθμιον καὶ στάθμιον, μέγα καὶ μικ[illegible]

ιδ. Οὐκ ἔσται ἐν τῇ οἰκίᾳ σου μέτρον κ[illegible] μέτρον,

ιε. μέτρον, μέγα ἢ μικρόν. Στάθμιον A
ἀληθινὸν καὶ δίκαιον ἔσται σοι, καὶ μέτρον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι, ἵνα πολυήμερος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Μωσῆς στάθμην καὶ μέτρον καὶ ἀριθμὸν τῶν ὅλων ὑπέλαβεν εἶναι τὸν Θεόν, ἀλλ' οὐ τὸν ἀνθρώπινον νοῦν. δηλοῖ δὲ διὰ τούτων φάσκων· „ οὐκ ἔσται ἐν μαρσίππῳ σου στάθμιον καὶ στάθμιον, μέγα ἢ μικρόν. οὐκ ἔσται ἐν τῇ οἰκίᾳ σου μέτρον καὶ μέτρον, μέγα ἢ μικρόν. στάθμιον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι. ἀληθὲς δὲ δίκαιον μέτρον, τὸ τὸν μόνον δίκαιον Θεὸν ὑπολαβεῖν πάντα μετρεῖν καὶ σταθμᾶσθαι, καὶ ἀριθμοῖς καὶ πέρασι καὶ ὅροις τὴν τῶν ὅλων περιγράψαι φύσιν· ἄδικον δὲ ψεῦδος τὸ νομίσαι κατὰ τὸν ἀνθρώπινον νοῦν ταῦτα συμβαίνειν.

** ΚΛΗΜΕΝΤΟΣ. Ὁ ἱερὸς ὄντως Γ Μωϋσῆς, „ οὐκ ἔσται, φησὶν, ἐν τῷ μαρσίππῳ σου στάθμιον καὶ στάθμιον, μέγα ἢ μικρόν, ἀλλ' ἢ στάθμιον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι, στάθμιον καὶ μέτρον καὶ ἀριθμὸν τῶν ὅλων, ὑπολαμβάνων τὸν Θεόν. τὰ μὲν γὰρ ἄδικα καὶ ἄνισα εἴδωλα οἴκοι, ἐν τῷ μαρσίππῳ σου, καὶ ἐν τῇ, ὡς ἔπος εἰπεῖν, ῥυπώσῃ ψυχῇ κατακέκρυπται· τὸ δὲ μόνον δίκαιον μέτρον, ὁ μόνος ὄντως Θεός, ἴσος ἀεί, Δ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων, μετρεῖται πάντα καὶ σταθμᾶται οἱονεὶ τρυτάνῃ καὶ δικαιοσύνῃ, τὴν τῶν ὅλων ἀρρεπῶς περιλαμβάνων καὶ ἀνέχων φύσιν.

ΑΔΗΛΟΥ. Ἐν τούτῳ τὸ δίκαιον ἐξυφαίνει τῆς πρὸς ἀλλήλους κρίσεως.

ις. Ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου πᾶς ποιῶν ταῦτα, πᾶς ποιῶν ἄδικα.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὐκοῦν ὁ φιλοδίκαιος Θεὸς ἀδικίαν μεμίσηκε καὶ βδελύττεται, στάσεως καὶ κακῶν ἀρχήν.

ιζ. Μνήσθητι ὅσα ἐποίησέ σοι Ἀμαλὴκ ἐν τῇ ὁδῷ, ἐκπορευομένου σου
ιη. ἐκ γῆς Αἰγύπτου, Πῶς ἀντέστη σοι ἐν τῇ ὁδῷ, καὶ ἔκοψε τὴν οὐραγίαν σου τοὺς κοπιῶντας ὀπίσω σου, σὺ δὲ ἐπείνας καὶ ἐκοπίας· καὶ οὐκ ἐφοβήθη τὸν Θεόν.
ιθ. Καὶ ἔσται ἡνίκα ἂν καταπαύσῃ σε Κύριος ὁ Θεός σου ἀπὸ πάντων τῶν ἐχθρῶν σου τῶν κύκλῳ σου ἐν τῇ γῇ, ᾗ Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ κληρονομῆσαι αὐτήν, ἐξαλείψεις τὸ ὄνομα Ἀμαλὴκ ἐκ τῆς ὑπὸ τὸν οὐρανόν, καὶ οὐ μὴ ἐπιλάθῃ.

„ ** ΠΡΟΚΟΠΙΟΥ. Ἐξαλείψεις τὸ ὄνομα Ἀμαλήκ.. τοῦτο ποιῆσαι διὰ Σαμουὴλ ὁ Σαοὺλ προσετέτακτο, καὶ μὴ τελέως ποιήσας, τῆς βασιλείας ἐξέπεσε.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί πανωλεθρίᾳ κελεύει παραδοῦναι τὸν Ἀμαλήκ; Καὶ δυσσεβεῖς ἦσαν, καὶ μισάδελφοι. καὶ γὰρ ἐκ τοῦ Ἡσαῦ τὸ γένος κατάγοντες, πρῶτοι τὸν κατὰ τοῦ Ἰσραὴλ ἀνεδέξαντο πόλεμον, καὶ ταῦτα πόρρωθεν ὄντος, καὶ τοῖς ὁρίοις αὐτῶν μήπω πελάσαντος.

ΚΕΦ. ΚϚ.

α. Καὶ ἔσται ἐὰν εἰσέλθῃς εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ κατακληρονομῆσαι αὐτήν, καὶ κα-
β. τοικήσεις ἐπ' αὐτῆς, Καὶ λήψῃ ἀπὸ τῆς ἀπαρχῆς τῶν καρπῶν τῆς γῆς σου, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι, καὶ ἐμβαλεῖς εἰς κάρταλλον, καὶ πορεύσῃ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ
γ. ὄνομα αὐτοῦ ἐκεῖ. Καὶ ἐλεύσῃ πρὸς τὸν ἱερέα ὃς ἂν ᾖ ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐρεῖς πρὸς αὐτόν, Ἀναγγελῶ σήμερον Κυρίῳ τῷ Θεῷ μου, ὅτι εἰσελήλυθα εἰς τὴν γῆν, ἣν ὤμοσε Κύριος ὁ Θεὸς τοῖς πατράσιν ἡμῖν. (1)
δ. Καὶ λήψεται ὁ ἱερεὺς τὸν κάρταλλον [illegible] τῶν χειρῶν σου, καὶ θήσει αὐτὸν [illegible]έναντι τοῦ θυσιαστηρίου Κυρίου τοῦ [illegible]ἔου σου. Καὶ ἀποκριθήσῃ καὶ ἐρεῖς
E ἔναντι Κυρίου τοῦ Θεοῦ σου, Συρίαν ἀπέλιπεν ὁ πατήρ μου, καὶ κατέβη εἰς Αἴγυπτον, καὶ παρῴκησεν ἐκεῖ ἐν ἀριθμῷ βραχεῖ, καὶ ἐγένετο ἐκεῖ εἰς ἔθνος μέγα καὶ πλῆθος πολὺ καὶ μέγα.
ς. Καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύπτιοι, καὶ ἐταπείνωσαν ἡμᾶς, καὶ ἐπέθηκαν
ζ. ἡμῖν ἔργα σκληρά. Καὶ ἀνεβοήσαμεν πρὸς Κύριον τὸν Θεὸν τῶν πατέ-
Z ρων ἡμῶν, καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς ἡμῶν, καὶ εἶδε τὴν ταπείνωσιν ἡμῶν, καὶ τὸν μόχθον ἡμῶν, καὶ τὸν
η. θλιμμὸν ἡμῶν. Καὶ ἐξήγαγεν ἡμᾶς Κύριος ἐξ Αἰγύπτου αὐτὸς ἐν ἰσχύϊ μεγάλῃ, καὶ ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ αὐτοῦ, καὶ ἐν ὁράμασι μεγάλοις, καὶ ἐν σημείοις, καὶ
θ. ἐν τέρασι. Καὶ εἰσήγαγεν ἡμᾶς εἰς
H τὸν τόπον τοῦτον, καὶ ἔδωκεν ἡμῖν τὴν γῆν ταύτην, γῆν ῥέουσαν γάλα καὶ

(1) Ἡμῶν δοῦναι ἡμῖν. ἐν εἰρημ. ἐκδόσ.

ι. καὶ μέλι. Καὶ νῦν ἰδοὺ ἐνήνοχα τὴν
ἀπαρχὴν τῶν γεννημάτων τῆς γῆς,
ἧς ἔδωκεν (1) ἡμῖν Κύριος, γῆν ῥέου-
σαν γάλα καὶ μέλι. καὶ ἀφήσεις αὐ-
τὰ ἀπέναντι Κυρίου τοῦ Θεοῦ σου, καὶ
προσκυνήσεις ἐκεῖ ἔναντι Κυρίου τοῦ
ια. Θεοῦ σου. Καὶ εὐφρανθήσῃ ἐκεῖ ἐν
πᾶσι τοῖς ἀγαθοῖς, οἷς ἔδωκέ σοι
Κύριος ὁ Θεός σου, καὶ ἡ οἰκία σου, καὶ ὁ
Λευΐτης, καὶ ὁ προσήλυτος ὁ ἐν σοί.

ιβ. Ἐὰν δὲ συντελέσῃς ἀποδε-
κατῶσαι πᾶν τὸ ἐπιδέκατον τῶν γεν-
νημάτων τῆς γῆς ἐν τῷ ἔτει τῷ τρί-
τῳ, τὸ δεύτερον ἐπιδέκατον δώσει τῷ
Λευΐτῃ καὶ τῷ προσηλύτῳ καὶ τῷ
ὀρφανῷ καὶ τῇ χήρᾳ, καὶ φάγονται
αὐτὰ ἐν ταῖς πόλεσί σου, καὶ εὐφραν-
θήσονται.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδίδαξε δὲ πάλιν σα-
φέστερον, ὡς δύω ἀφορίζεσθαι δεκάτας προ-
» σέταξεν. ἔφη δὲ οὕτως· ἐὰν δὲ συντελέ-
» σῃς ἀποδεκατῶσαι πᾶν τὸ ἐπιδέκατον τῶν
» γεννημάτων τῆς γῆς σου ἐν τῷ ἔτει τῷ τρί-
» τῳ, τὸ δεύτερον ἐπιδέκατον δώσεις τῷ
» Λευΐτῃ καὶ τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ
» καὶ τῇ χήρᾳ, καὶ φάγονται ἐν ταῖς πό-
» λεσί σου, καὶ ἐμπλησθήσονται. ὅτι μέντοι
οὐκ ἐν μιᾷ ἡμέρᾳ ταύτην τῷ λαῷ τὴν δι-
δασκαλίαν ὁ Προφήτης προσήνεγκε, καὶ
Δεύτ. 27. 1. ταῦτα δηλοῖ. προσέταξε γάρ φησι Μωϋ-
» σῆς καὶ ἡ γερουσία Ἰσραὴλ, λέγοντες, Φυ-
» λάσσεσθε ποιεῖν πάσας τὰς ἐντολὰς ταύ-
» τας, ὅσας ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον.

ιγ. Καὶ ἐρεῖς ἐναντίον Κυρίου τοῦ
Θεοῦ σου, ἐξεκάθηρα τὰ ἅγια ἐκ τῆς
οἰκίας μου, καὶ ἔδωκα αὐτὰ τῷ Λευΐ-
τῃ καὶ τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ
καὶ τῇ χήρᾳ, κατὰ πάσας τὰς ἐν-
τολὰς ἃς ἐνετείλω μοι, καὶ οὐκ ἐπε-
λαθόμην.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἅγια λέγει ὧδε τὰς προσφορὰς, τὰ δύω ἐπιδέκατα. τοῦτο οὖν φησὶν, ὅτι τὰς προσφορὰς ἐξαγαγὼν ἐκ τῆς οἰκίας μου, ἡγίασα αὐτήν.

ΑΔΗΛΟΥ. Ὅσα φησὶν εἶχον τὸ ὄφλημα, ἢ ἐπαγγελίας Θεὸν ἐπλήρωσα, καὶ οὐδὲν κατέλιπον ἐν τῇ οἰκίᾳ μου, οὐδὲ ἐκοίνωσά τι τῶν ἁγίων καὶ ἀφιερωμένων τῷ Θεῷ.

ιδ. Καὶ οὐκ ἔφαγον ἐν ὀδύνῃ μου
ἀπ' αὐτῶν, οὐκ ἐκάρπωσα ἀπ' αὐτῶν
εἰς ἀκάθαρτον, οὐδὲ ἔδωκα ἀπ' αὐ-
τῶν τῷ τεθνηκότι, ὑπήκουσα τῆς φω-
νῆς Κυρίου τοῦ Θεοῦ μου, ἐποίησα κα-
θὰ ἐνετείλω μοι.

ΑΔΗΛΟΥ. Οὐ παρέσχον εἰς χρῆσιν ἀκαθάρτων ἀπ' αὐτῶν, οὐ τελευτῶντι τὰ
A νενομισμένα ποιῶν· οὐ παρῆλθον ἐντολὴν τοῦ δεδωκότος; οὐ τοῖς οἰκείοις τοῦ τεθνηκότος εὐτρεπίζω ἐπὶ δεῖπνον εἰς παράκλησιν, ἀλλ' οὔτε ἔφαγον, φησὶ, στενόμενος καὶ ὀδυνώμενος, ἀπ' αὐτῶν, ἤγουν λυπούμενος καὶ πενθῶν.

ιε. Κάτιδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου
ἐκ τοῦ οὐρανοῦ, καὶ εὐλόγησον τὸν λαόν
σου τὸν Ἰσραὴλ, καὶ τὴν γῆν ἣν ἔδω-
B κας αὐτοῖς, καθὰ ὤμοσας τοῖς πα-
τράσιν ἡμῶν, δοῦναι ἡμῖν γῆν ῥέουσαν
ιϛ. γάλα καὶ μέλι. Ἐν τῇ ἡμέρᾳ ταύ-
τῃ Κύριος ὁ Θεός σου ἐνετείλατό σοι
ποιῆσαι πάντα τὰ δικαιώματα ταῦ-
τα καὶ τὰ κρίματα. καὶ φυλά-
ξεσθε καὶ ποιήσετε ταῦτα ἐξ ὅλης
τῆς καρδίας ὑμῶν, καὶ ἐξ ὅλης τῆς
ψυχῆς ὑμῶν.

Γ ιζ. Τὸν Θεὸν εἵλου σήμερον εἶναί
σου Θεὸν, καὶ πορεύεσθαι ἐν ταῖς ὁδοῖς
αὐτοῦ, καὶ φυλάσσεσθαι τὰ δικαιώ-
ματα καὶ τὰ κρίματα καὶ τὰς ἐν-
τολὰς αὐτοῦ, καὶ ὑπακούειν τῆς φω-
νῆς αὐτοῦ.

ΑΔΗΛΟΥ. Τουτέστιν ἐξελέξω αὐτῷ λατρεύειν, καὶ αὐτοῦ ἀκούειν τῆς φωνῆς.

Δ ιη. Καὶ Κύριος εἵλατό σε σήμερον
γενέσθαι σε αὐτῷ λαὸν περιούσιον, κα-
θάπερ εἶπέ σοι, φυλάσσειν πάσας
τὰς ἐντολὰς αὐτοῦ,

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τὸν Κύριον ἀντηλλάξω σήμερον εἶναί σου εἰς Θεὸν, καὶ Κύριος ἀντηλλάξατό σε σήμερον γενέσθαι λαὸν αὐτῷ. παγκάλη γε τῆς αἱρέσεως ἡ ἀντίδοσις, σπεύδοντος ἀνθρώπου μὲν
E θεραπεύειν Θεὸν, Θεοῦ δὲ ἀνυπερθέτως ἐξοικειοῦσθαι τὸν οἰκέτην, καὶ προαπαντᾷν τῷ βουλήματι τοῦ γνησίως καὶ ἀνόθως ἰόντος ἐπὶ τὴν θεραπείαν αὐτοῦ. ὁ δ' ἀληθὴς θεραπευτής τε καὶ ἱκέτης, κἂν εἷς ὢν ἀνὴρ ἀριθμῷ τυγχάνει, δυνάμει, καθάπερ αὐτὸς αἱρεῖται, σύμπας ἐστὶν ὁ λαὸς ἰσότιμος ὅλῳ ἔθνει γεγονώς. ὡς γὰρ ἐν νηῒ μὲν κυβερνήτης πᾶσι τοῖς ναύταις ἀντίῤῥοπος, ἐν δὲ στρατοπέδῳ στρατηγὸς ἅπασι
Z τοῖς στρατιώταις· διαφθαρέντος γοῦν ἡττᾶσθαι συμβαίνει, καθάπερ ἂν εἰ καὶ πᾶσῃ δυνάμει ἡβηδὸν ἑάλω· τὸν αὐτὸν τρόπον καὶ ὁ σοφὸς ὅλου ἔθνους ἀξιώματι ἁμιλλᾶται, τείχει πεφραγμένος ἀκαθαιρέτῳ θεοσεβείᾳ.

» ** ΚΛΗΜΕΝΤΟΣ. Τὸν Θεὸν εἵλου σή-
» μερον εἶναί σου Θεόν. καὶ Κύριος εἵλετό σε
» σήμερον γενέσθαι λαὸν αὐτῷ. τὸν γὰρ
σπεύδοντα θεραπεύειν τὸ ὂν, οἰκέτην ὄν[illegible]
H ἐξοικειοῦται ὁ Θεός. κἂν εἷς ᾖ τὸν [illegible]
μὸν, ἐπ' ἴσης τῷ λαῷ τετίμηται. [illegible]
γὰρ ὢν τοῦ λαοῦ, συμπληρωτικὸς αὐτοῦ [illegible]

(1) Ἔδωκάς μοι Κύριε. αἱ εἰρημ. ἐκδόσ.

ται, ἀποκατασαθεὶς ἐξ οὗ ἦν. καλεῖται A δὲ καὶ ἐκ μέρους τὸ πᾶν. αὕτη δὲ ἡ εὐγένεια ἐν τῷ ἐλέσθαι καὶ συνασκῆσαι τὰ κάλλιστα διαδείκνυται.

ΑΔΗΛΟΥ. Καὶ αὐτός φησιν ἐξελέξατο ὑμᾶς ἐκ πάντων τῶν ἐθνῶν.

ιθ. Καὶ εἶναί σε ὑπεράνω πάντων τῶν ἐθνῶν, ὡς ἐποίησέ σε ὀνομαστὸν καὶ καύχημα, καὶ δοξαστὸν, εἶναί σε λαὸν ἅγιον Κυρίῳ τῷ Θεῷ σου, καθὼς ἐλάλησε.

ΚΕΦ. ΚΖ.

α. Καὶ προσέταξε Μωϋσῆς καὶ B ἡ γερουσία τοῦ λαοῦ Ἰσραὴλ, λέγοντες, Φυλάσσεσθε πάσας τὰς ἐντολὰς, ἃς ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον.

β. Καὶ ἔσται ᾗ ἂν ἡμέρᾳ διαβῆτε τὸν Ἰορδάνην εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς δίδωσί σοι, καὶ στήσεις σεαυτῷ λίθους μεγάλους καὶ κονιάσεις αὐτοὺς κονίᾳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα ἐκέλευσεν ὁ δεσπότης Θεὸς μετὰ τὸ διαβῆναι τὸν Ἰορδάνην, δύο στῆσαι λίθους μεγάλους, καὶ κονιάσαι αὐτοὺς, καὶ αὐτοῖς ἐπιγράψαι τὰς ἐντολάς. ἔπειτα ἐκ λίθων αὐτοφυῶν οἰκοδομῆσαι θυσιαστήριον ἐν τῷ ὄρει Γεβὰλ, καὶ τὰς νενομισμένας ἐπιτελέσαι θυσίας. καὶ πρὸς ταῖς ἄλλαις, οἷόν τινα χαριστήριον τὴν τοῦ σωτηρίου· καὶ μετὰ ταῦτα εὐωχηθῆναι καὶ εὐφρανθῆναι, τὸν εὐεργέτην ἀνυμνοῦντας Θεόν.

ΚΥΡΙΛΛΟΥ. Λίθοι μὲν οὖν οἱ μεγάλοι καὶ ὕψου τεθειμένοι, τῶν ἁγίων ἡμῖν Ἀποστόλων σημαίνουσι τὸν χορόν. οἱ μεγάλοι καὶ ὑψηλοὶ καὶ περίοπτοι κατὰ τὸ ἀληθές εἰσιν. ὅσον γὰρ ἧκεν εἰς ἀρετὴν, καὶ εἰς αὐχήματα πολιτείας τῆς ἐν Χριστῷ, τὸ ἰσοστατοῦν ἐκείνοις (1) οὐδέν. εὑρήσομεν γὰρ ἀσυγκρίτοις ταῖς ὑπεροχαῖς ἀνεστηκότας τὰ καθ' ἡμᾶς, (2) καὶ πολὺ δὴ λίαν ὑπερκειμένους.

γ. Καὶ γράψεις ἐπὶ τῶν λίθων πάντας τοὺς λόγους τοῦ νόμου τούτου, ὡς ἂν διαβῆτε τὸν Ἰορδάνην, ἡνίκα ἂν εἰσέλθητε εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς τῶν πατέρων σου δίδωσί σοι, γῆν ῥέουσαν γάλα καὶ μέλι, ὃν τρόπον εἶπέ σοι Κύριος ὁ Θεὸς τῶν πατέρων σου.

ΑΔΗΛΟΥ. Ἔδει γὰρ πλησιάσαντα τὸν νόμον τῷ Ἰορδάνῃ φωτίζεσθαι, καὶ πνευματικὸν ἀποφαίνεσθαι.

ΚΥΡΙΛΛΟΥ. Κεκονιαμένοι δὲ οἱ λίθοι γραφὴν ἔχουσι τὸν νόμον σαφῶς σφόδρα. ἐν γὰρ τοῖς ἁγίοις Ἀποστόλοις λευκῶς καὶ ἀναφανδὸν τὰς ἐν νόμῳ θεωρίας εὑρήσομεν, οὐκ ἔτι τῷ γράμματι κατεσκιασμένας, οὐδὲ ἀμυδρὸν ἐχούσας ἐπίβλημα τὴν σκιὰν, λαμπρὰς δὲ καὶ καθαράς. πνευματικὴ γὰρ τῶν ἁγίων ἡ παίδευσις.

δ. Καὶ ἔσται, ὡς ἂν διαβῆτε τὸν Ἰορδάνην, στήσετε τοὺς λίθους τούτους, οὓς ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐν ὄρει Γεβὰλ, καὶ κονιάσεις αὐτοὺς κονίᾳ.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Τὸ στῆσαι τοὺς ὅρους, (3) Γ οὐκ ἐν ὄρει Γεβὰλ ἔχει τὸ Σαμαρειτικὸν, ἀλλ' ἐν τῷ Γαριζεὶν, (4) ἔνθα καὶ τὰς εὐλογίας ἐκέλευσε λεχθῆναι. τὰς δὲ κατάρας ἐν Γεβάλ. εἰ δὲ αἱ κατάραι ἐν Γεβὰλ ἐλέγοντο, πῶς εἰκὸς ἐν αὐτῷ τὸ θυσιαστήριον ἀναστήσειν προστάττεσθαι; ἐν [δὲ] τῇ βίβλῳ τῶν Κριτῶν, (5) Γαριζεὶν ὀνομάζει τὸ περὶ Νεάπολιν ὄρος, ὃ σέβουσιν οἱ Σαμαρεῖται, ἐφ' ᾧ στὰς ὁ Ἰωάθαμ, υἱὸς Γεδεὼν, κατηράσατο τὸν λαὸν τὸν βασιλεύσαντα ἐφ' ἑαυτὸν Ἀβιμέλεχ, τὸν ἀπὸ δούλης υἱὸν Γεδεὼν τὸν ἀδελφοκτόνον. Δ εἰ μή τις εἴποι, ὅτι νεώτερος ὢν ὁ συλλέξας τὰς ἁγίας Γραφὰς Ἔσδρας ὁ προφήτης, ἢ ἕτερός τις, ἀπὸ τῶν ἐπὶ αὐτοῦ πολιτευομένων ὀνομάζει τοὺς τόπους· ὥσπερ οὖν καὶ Ἱερουσαλὴμ καλεῖ τὴν Ἰεβοὺς καλουμένην ἐπὶ τῶν ἀρχαίων, καὶ Βηθλεὲμ τὴν Εὐφραθά. Γαριζεὶν ἑρμηνεύεται διατομὴ, ἢ διαίρεσις, ἢ περιτομή. οἱ ἄξιοι εὐλογιῶν ἐν τούτῳ τῷ τόπῳ εἰσί. Γεβὰλ δὲ ἑρμη- E νεύεται χάσμα παλαιὸν, ἢ φάραγξ παλαιά· οἱ ἄξιοι ἀρῶν ἐν τούτῳ τῷ τόπῳ εἰσί. καὶ δηλοῖ τοῦτο ὁ πλούσιος καὶ ὁ Λάζαρος. εἰς χάσμα οὖν παλαιότητος ἀπελεύσονται οἱ τὸν παλαιὸν ἄνθρωπον μὴ ἀποδυσάμενοι σὺν ταῖς πράξεσιν αὐτοῦ. οἱ δὲ περιτομὴν καρδίας λαβόντες, καὶ διαιρεθέντες τῶν σωματικῶν, καὶ διακοπέντες ἐκ τῆς κακίας, ἀπελεύσονται εἰς ὄρος Γαριζείν.

Z ε. Καὶ οἰκοδομήσεις ἐκεῖ θυσιαστήριον Κυρίῳ τῷ Θεῷ σου, θυσιαστήριον ἐκ λίθων. οὐκ ἐπιβαλεῖς ἐπ' αὐτοῖς σίδηρον·

ΩΡΙΓΕΝΟΥΣ. Ζητητέον διατί σίδηρον οὐκ ἐᾷ τῶν λίθων ἅψασθαι τῶν εἰς τὴν οἰκοδομὴν τοῦ θυσιαστηρίου χρησιμευόντων. ἀλλὰ καὶ μετὰ ταῦτα εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ λίθους ἀπελεκήτους προστάττει συναγαγεῖν,

(1) Ἐν τούτοις ἐν Τόμ. 1. μέρ. 1. σελ. 426.

(2) Τοὺς καθ' ἡμᾶς. αὐτ.

(3) Τοὺς λίθους ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ. τὰ αὐτὰ ἐν ἐπιτομῇ ἄχρι τοῦ, τὴν Εὐφραθὰ, διαλαμβάνων.

(4) Γαριζείν. ἴσως εὐλόγως, ἐπεὶ κἀκεῖ τὰς εὐλογ. ὁ αὐτ. αὐτ.

(5) Ἐν κεφ. 9.

γαγεῖν, καὶ οἰκοδομῆσαι. εἰ γὰρ ἄτοπον τὸ σίδηρον ἅπτεσθαι τοῦ λίθου τοῦ πρὸς οἰκοδομὴν ἁρμόττοντος, πῶς οὖν ἄρα οἱ κίονες, πῶς οὖν αἱ σανίδες; καὶ αἱ τούτων κεφαλίδες εἰργάσθησαν; ἢ πῶς ὅσα ἐκ χαλκοῦ γέγονεν ἢ χρυσοῦ ἢ ἀργύρου κατεσκευάσθη; ἄρα ἄνευ σιδήρου; καὶ πῶς οἷόν τε; διὰ τούτων φανερὸν μὲν, ὅτι οὐχ ἁπλῶς ἀπαγορεύει τὸ σίδηρον ἅψασθαι τῶν λίθων. τίς οὖν ἡ αἰτία; λέγομεν οὐ διϊσχυριζόμενοι. ταῦτα δὴ τοίνυν, σκληρὸν σκληρῷ ἐπιβάλλειν καὶ συγκρούειν, κωλύει. μεγάλα γὰρ φιλεῖ τίκτεσθαι κακὰ ἐκ τῆς τῶν σκληρῶν συμμίξεως καὶ συγκρούσεως. ἢ τὸν φόνον ὡς πορρωτάτω τῆς καρδίας τῶν ἀνθρώπων ἐκβάλλει καὶ μάλα δικαίως. εἰ γὰρ οὐ χρὴ λίθῳ τῷ οἰκοδομουμένῳ εἰς τὴν τοῦ θυσιαστηρίου κατασκευὴν, ἢ τοῦ ναοῦ, σιδήριον ἐπιβάλλειν, πῶς οὐ μᾶλλον ἀπαγορευτέον τὸ σίδηρον ἁρπάζειν, καὶ κατὰ τοῦ πλησίον φονᾶν;

ϛ. Λίθους ὁλοκλήρους οἰκοδομήσεις τὸ θυσιαστήριον Κυρίῳ τῷ Θεῷ σου, καὶ ἀνοίσεις ἐπ᾽ αὐτῷ ὁλοκαύτωμα Κυρίῳ τῷ Θεῷ σου.

ΚΥΡΙΛΛΟΥ. Λίθοι δὴ οὖν καὶ ἡμεῖς αὐτοὶ, πλὴν ὁλόκληροι καὶ ἀπληγεῖς. οἱ γὰρ αὐτὸν, ὡς ἔφην, εὐωδιάζοντες τὸν Χριστὸν, ὁλοτελῆ ποιοῦνται τῆς ἑαυτῶν διανοίας τὴν καθιέρωσιν, οὐ μεμερισμένην πρὸς τὰ ἐν κόσμῳ· οὐδὲ μὴν τὰ ἐκ τῆς βεβήλου καὶ βδελυρᾶς ἁμαρτίας ἔτι φοροῦντες τραύματα. ἀλλ᾽ ὥσπερ ἐστὶν ἀμέριστος ὁ Χριστὸς, οὕτω καὶ οὗτοι μονότροποί τε καὶ ἀληθεῖς. (1)

ζ. (2) Καὶ φαγῇ, καὶ ἐμπλησθήσῃ ἐκεῖ, καὶ εὐφρανθήσῃ ἔναντι Κυρίου τοῦ Θεοῦ σου.

** ΚΥΡΙΛΛΟΥ. Τοῖς γὰρ εἰς τοῦτο λοιπὸν ἀφιγμένοις εὐκλείας, ὡς εὐωδιάζειν δύνασθαι τὸν Χριστὸν, ἁρμόσειε καὶ σφόδρα εἰκότως καὶ τὸ τῆς ἱερᾶς καὶ θείας ἀναπιμπλᾶσθαι τροφῆς, καὶ μὴν καὶ εὐφραίνεσθαι νοητῶς ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ. διαπεραίνεται δὲ καὶ τοῦτο ταῖς μυστικαῖς εὐλογίαις κεχρημένων ἐν Ἐκκλησίαις τῶν πεπιστευκότων εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν.

η. Καὶ γράψεις ἐπὶ τῶν λίθων τούτων πάντα τὸν νόμον τοῦτον σαφῶς σφόδρα.

θ. Καὶ ἐλάλησε Μωϋσῆς καὶ οἱ ἱερεῖς οἱ Λευῖται παντὶ τῷ λαῷ, (3)
λέγοντες, σιώπα καὶ ἄκουε Ἰσραήλ·
ἐν τῇ ἡμέρᾳ ταύτῃ γέγονας εἰς λαὸν
ι. Κυρίῳ τῷ Θεῷ σου, Καὶ εἰσακούσῃ
τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, καὶ ποιήσεις πάσας τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ, ἃ ἐγὼ ἐντέλλομαί σοι σήμερον.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Εἰσὶ μὲν οὖν, οἷς ἀκούειν, ἀλλ᾽ οὐ λέγειν εὐπρεπές· » ἐφ᾽ ὧν λέγεται, σιώπα καὶ ἄκουε· πάγκαλον παράγγελμα. κάκιστον γὰρ καὶ θρασύτατον ἀμαθία, ἧς πρῶτον μὲν ἐστιν ἀκοῆς (4) ἡσυχία· δεύτερον δὲ προσοχὴ τῶν ἄξιόν τι ἀκοῆς προφερομένων. μηδεὶς μέντοι νομισάτω τοῦτο αὐτὸ μόνον ἐμφαίνεσθαι διὰ » τοῦ, σιώπα καὶ ἄκουε· ἀλλὰ καὶ προτρέψασθαι δυνατώτερον ἕτερον. οὐ γὰρ παραινεῖ γλώσσῃ μόνον σιωπᾶν, καὶ ὠσὶν ἀκούειν, ἀλλὰ καὶ ψυχῇ ταῦτα παθεῖν ἀμφότερα. πολλοὶ γὰρ ἐπ᾽ ἀκρόασιν ἥκοντές τινος, οὐκ ἐληλύθασι ταῖς διανοίαις, ἀλλ᾽ ἔξω πλανῶνται, καὶ μυρία περὶ μυρίων ἑαυτοῖς διεξέρχονται. Καὶ μετ᾽ ὀλίγα. Ἐὰν οὖν μηδενὶ τῶν ἔξωθεν ἐπιφοιτώντων, ἢ ἔνδον ταμιευομένων πραγμάτων, ὁ νοῦς ἀξιωθῇ προσομιλεῖν, ἀλλ᾽ ἠρεμίαν ἀγαγὼν καὶ ἡσυχάσας, ἑαυτὸν ἀποτείνῃ πρὸς τὸν λέγοντα, σιωπήσας κατὰ τὸ Μωϋσέως παράγγελμα, δυνήσεται μετὰ τῆς πάσης προσοχῆς ἀκροάσασθαι, ἑτέρως δὲ οὐκ ἂν ἰσχύσῃ. τοῖς μὲν οὖν ἀμαθέσι συμφέρον ἡσυχία, τοῖς δ᾽ ἐπιστήμης ἐφιεμένοις, καὶ ἅμα φιλοδεσπότοις, ἀναγκαιότατον ἡ παῤῥησία κτῆμα. » λέγεται γοῦν ἐν Ἐξόδῳ, Κύριος πολεμήσει » ὑπὲρ ἡμῶν, καὶ ὑμεῖς σιγήσετε. καὶ χρησ» μὸς εὐθὺς ὑπόκειται τοιόσδε, καὶ εἶπε Κύ» ριος πρὸς Μωϋσῆν, τί βοᾷς πρός με; ὡς δέον καὶ σιωπᾶν τοὺς μηδὲν ἄξιον ἀκοῆς ἐροῦντας, καὶ λέγειν τοὺς ἔρωτι σοφίας Θεῷ πεπιστευκότας, καὶ μὴ μόνον λέγειν σὺν ἠρεμίᾳ, ἀλλὰ καὶ μετὰ κραυγῆς μείζονος ἐκβοᾶν, οὐ στόματι καὶ γλώττῃ, δι᾽ ὧν ἀέρα λόγος ἔχει σφαιρούμενον αἰσθητὸν ἀκοῇ γίνεσθαι, ἀλλὰ τῷ παμμούσῳ καὶ μεγαλοφωνοτάτῳ φωνῆς ὀργάνῳ, οὗ θνητὸς μὲν ἀκροατὴς οὐδεὶς, ὁ δὲ ἀγένητος καὶ ἄφθαρτος μόνος.

Ἐξόδ. ιδ. 14, 15.

ια. Καὶ ἐνετείλατο Μωϋσῆς τῷ λαῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγων,

ιβ. Οὗτοι στήσονται εὐλογεῖν τὸν λαὸν ἐν ὄρει Γαριζεὶν διαβάντες τὸν
Ἰορδάνην, Συμεὼν, Λευῒ, Ἰούδας, Ἰσ-
ιγ. σάχαρ, καὶ Βενιαμίν. Καὶ οὗτοι στήσονται ἐπὶ τῆς κατάρας ἐν ὄρει Γεβὰλ, Ῥουβὴμ, Γὰδ, καὶ Ἀσὴρ, Ζαβουλὼν, Δὰν, καὶ Νεφθαλείμ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε κατάραις αὐτοὺς καὶ εὐλογίαις ὑπέβαλεν; Ὁ δεσπότης Χριστὸς τὰ τέλεια μαθήματα τοῖς τελείοις

ἐπ

(1) Μετὰ τοῦτο παρὰ τοῖς κώδ. καὶ τάδε κεῖται· Τὴν ἁρμόττουσαν ἔχει ἑρμηνείαν τουτὶ τὸ κε[illegible] λαιον ἐν τοῖς εἰς τὴν Ἔξοδον εἰρημένοις. εὑρήσεις δὲ ταῦτα ἐν σελ. 784, καὶ 785. τῆς δὲ τῆς βίβλ.

(2) Καὶ θύσεις ἐκεῖ θυσίαν σωτηρίου· καὶ φαγῇ. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ Κύριλ. ἐν Τόμ. 1. μέρ. 1. σελ. 4[illegible]

(3) Παντὶ Ἰσραήλ. αἱ εἰρημ. ἐκδόσ.

(4) Ἄκος, ὀρθῶς. ἐν ταῖς σημειώσ. ταῖς ἐν σελ. 474. τοῦ 1. Τόμ. τῆς τοῦ Μαγγ. ἐκδόσ.

ἐπενεγκὼν, βασιλείαν μὲν οὐρανῶν τοῖς ταῦτα πληροῦσιν ὑπέσχετο, ἠπείλησε δὲ τοῖς παραβαίνουσι γέενναν. Ἰουδαίοις δὲ χαμαιπετὲς ἔχουσι καὶ χαμαίζηλον φρόνημα, τὰς τῇ γῇ προσηκούσας ἀρὰς καὶ εὐλογίας ἀπένειμεν. οἱ γὰρ μηδὲ τοῖς ὁρωμένοις πιστεύσαντες θαύμασι, πῶς ἂν ἐδέξαντο τὰ τῷ μέλλοντι βίῳ προσήκοντα; ἐπισημήνασθαι δὲ χρὴ, ὡς τὰς μὲν εὐλογίας ταῖς ἐκ τῶν ἐλευθέρων βεβλαστηκυίαις φυλαῖς ἀπένειμε, καὶ τὴν ἱερατικὴν ἐνταῦθα τῷ λαῷ συνηρίθμησε, καὶ τὴν τοῦ Ἰωσὴφ διπλῆν οὖσαν, ὡς μίαν προσέταξεν εὐλογεῖν. τὰς δὲ κατάρας τοῖς ἡμιδούλοις ἐκλήρωσε, συντάξας αὐτοῖς διὰ τὸν τῶν φυλῶν ἀριθμὸν, τὸν Ῥουβὶμ καὶ τὸν Ζαβουλών· τὸν μὲν ὡς ἁμαρτίᾳ περιπεπτωκότα, τὸν δὲ ὡς ἔσχατον τῶν τῆς Λείας υἱῶν. ἐπαρᾶσθαι δὲ πρὸ τῶν ἄλλων ἁπάντων ἐκέλευσε τοῖς εἰς τὸ θεῖον ἀσεβοῦσι, καὶ τὰ χειροποίητα προσκυνοῦσιν ἀγάλματα. εἶτα τοῖς εἰς πατέρας παρανομοῦσι. μετὰ γὰρ τὰ θεῖα δίκαιον θεραπεύειν τούτους δι' ὧν εἰς τὸ εἶναι παρήχθημεν. ἔπειτα τοῖς ἐπικερτομοῦσι τοῖς τὸ βλέπειν ἀφῃρημένοις, καὶ τῆς εὐθείας αὐτοὺς ἐκτρέπειν ὁδοῦ πειρωμένοις· καὶ ἁπαξαπλῶς τοῖς τὰς προειρημένας παραβαίνουσιν ἐντολάς. ταῦτα δὲ τῶν ἱερέων λεγόντων, ἐκέλευσε τὸν λαὸν ἐπιλέγειν, γένοιτο· οἷον ὑπογραφήν τινα γραμματεὺς ταύτην παρ' αὐτῶν κομιζόμενος τὴν φωνήν.

ΕΥΣΕΒΙΟΥ. Ὅσαι φυλαὶ, ἀφ' οὗ ἐξῆλθον ἐξ Αἰγύπτου ηὐδοκίμησαν παρὰ Θεῷ, ἐπὶ τὸ εὐλογεῖν τάττονται· ὅσαι δὲ ἔπταισαν, ἐπὶ τὸ καταράσασθαι.

ΕΙΡΗΝΑΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΛΟΥΓΔΟΥΝΩΝ. Ἐξ ὧν ὁ Χριστὸς προετυπώθη, καὶ ἐπεγνώσθη, καὶ ἐγεννήθη. ἐν μὲν γὰρ τῷ Ἰωσὴφ, προετυπώθη· ἐκ δὲ τοῦ Λευΐ καὶ τοῦ Ἰούδα, τὸ κατὰ σάρκα, ὡς βασιλεὺς καὶ ἱερεὺς, ἐγεννήθη· διὰ δὲ τοῦ Συμεὼν, ἐν τῷ ναῷ ἐπεγνώσθη· διὰ δὲ τοῦ Ζαβουλὼν, ἐν τοῖς ἔθνεσιν ἐπιστεύθη, ὡς φησὶν ὁ Προφήτης· γῆ Ζαβουλών· (Ἡσ. 9. 1.) διὰ δὲ τοῦ Βενιαμὶν, τοῦ Παύλου, εἰς πάντα τὸν κόσμον κηρυχθεὶς, ἐδοξάσθη.

ΩΡΙΓΕΝΟΥΣ. Παρατηρητέον, ὅτι οἱ εὐλογεῖν προσαχθέντες ἀπὸ τῶν ἐλευθέρων γυναικῶν καὶ συγγενῶν τοῦ Ἰακὼβ ἐγεννήθησαν αὐτῷ· οἱ δὲ καταράσασθαι ἀφορισθέντες ἀπὸ τοῦ ὄρους Γεβὰλ, ἀπὸ τῶν παιδισκῶν ἦσαν, πλὴν τοῦ Ῥουβὶμ καὶ τοῦ Ζαβουλών. τέτακται δὲ ὁ Ῥουβὶμ μετὰ τῶν καταρωμένων, ὡς κεκατηραμένος ὑπὸ τοῦ πατρός. εἰ δὲ καὶ τὸν Λευΐ κατηράσατο, ἀλλὰ λελύτρωται αὐτὸς τῇ ἱερατικῇ ἀξίᾳ. μάλιστα γὰρ ἱερέως ἐστὶ τὸ τὸν λαὸν εὐλογεῖν. ἀλλὰ καὶ ὁ Συμεὼν, ὡς ἐν μέσῳ τῆς [illegible]α φυλῆς οἰκήσας, καὶ ὥσπερ μέλος αὐ[illegible] γεγονώς. διὰ τοῦτο ὅπου Ἰούδας, ἐκεῖ [illegible] αὐτὸς ἀριθμεῖται.

ιδ. Καὶ ἀποκριθέντες οἱ Λευῖται ἐροῦσι παντὶ Ἰσραὴλ φωνῇ μεγάλῃ,

ιε. Ἐπικατάρατος ἄνθρωπος ὅστις ποιήσει γλυπτὸν καὶ χωνευτὸν, βδέλυγμα Κυρίῳ, ἔργον χειρῶν τεχνίτου· καὶ θήσει αὐτὸ ἐν ἀποκρύφῳ. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς, ἐρεῖ, γένοιτο.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. [Ἐπικατάρατος πᾶς ὅστις ποιήσει γλυπτὸν καὶ χωνευτὸν ἔργον χειρῶν τεχνίτου· καὶ θήσει αὐτὸ ἐν ἀποκρύφῳ,] ὅτι κακὸν ἑαυτῷ θησαύρισμα διὰ τοῦ γλυπτοῦ τὸν ἐπακολουθοῦντα αὐτῷ Δαίμονα ἐπηγάγετο, καὶ κατ' αὐτοῦ (1) κακὸν σύνοικον διὰ τοῦ Δαίμονος ἐπεσπάσατο.

** ΤΟΥ ΑΥΤΟΥ. Οἱ ψευδεῖς περὶ Θεοῦ ὑπολήψεις ἔχοντες, τινὰ νοητὴν εἰδωλολατρείαν εἰδωλοποιοῦντες ἐν ἑαυτοῖς, τὰ μὴ ὄντα ἔχουσι· καὶ ὑπόδικοι οὗτοι γίνονται τῇ κατάρᾳ τῇ λεγούσῃ· ἐπικατάρατος πᾶς ἄνθρωπος, καὶ τὰ ἑξῆς.

ΑΔΗΛΟΥ. Ἐπειδὴ εἰκὸς ἦν τινὰς φόβῳ τῆς τιμωρίας σπουδάζειν λανθάνειν, καὶ ἐν παραβύστῳ καὶ λανθανόντως τὴν ἀσέβειαν ἐπιτηδεύειν, πρὸς μείζονα φόβον καὶ ἀπειλὴν τῶν ταῦτα ποιούντων, καὶ ἀραῖς ὑποβάλλει τοὺς ἀμάρτυρον τὴν ἁμαρτίαν ἐργαζομένους. τοιοῦτοί εἰσι καὶ οἱ εὐλάβειαν ἐπίπλαστον ὑποκρινόμενοι, ἔνδον δὲ τὰ πάθη κατορύττοντες, καὶ ἐν τῷ τῆς διανοίας κινήματι πρὸς πᾶν εἶδος ἀτοπίας ἐκβακχευόμενοι· οὗτοί εἰσιν οἱ ἐν ἀποκρύφῳ τιθέντες τὰ εἴδωλα.

** ΠΡΟΚΟΠΙΟΥ. Εἴδωλα, πᾶσα πεπλασμένη θεολογία. ἀλλ' αἱ μὲν νοεραὶ πιθανότητες, καὶ ὀξυτέρους ἀπατῆσαι δυνάμεναι, λέγοιντο ἂν ἐκ χρυσοῦ ἢ ἀργύρου χωνεύματα· τὰ δ' ἀπιθάνως ἠλίθια δόγματα, γλυπτά. πλὴν καὶ ταῦτα ἔργα χειρῶν τεχνίτου τροπικῶς λέγεται, τιθέμενα ἐν ἀποκρύφῳ, ὡς ἐν μυστηρίῳ παραδιδόμενα.

** ΝΕΙΛΟΥ. Δοκεῖ δέ πως ἐναντίον φαίνεσθαι τὸ κατακρύπτειν ἐν Σικήμοις τοὺς Θεοὺς, καὶ τὸ τιθέναι εἴδωλον ἐν ἀποκρύφῳ. τὸ μὲν γάρ ἐστιν ἐπαινετὸν, τὸ ἐν Σικήμοις κατακρύπτειν· τὸ δὲ ψεκτὸν, τὸ τιθέναι εἴδωλον ἐν ἀποκρύφῳ. οὕτω γοῦν καὶ μετὰ κατάρας ἔθηκε τοῦτο, εἰπών· ἐπικατάρατος ὁ τιθεὶς εἴδωλον ἐν ἀποκρύφῳ. οὐ ταὐτὸν γάρ ἐστιν ἐν γῇ πρὸς τὸ παντελὲς κατακρύψαι, καὶ τὸ θεῖναι ἐν ἀποκρύφῳ. τὸ μὲν γὰρ ἐν γῇ κατακρυφθὲν, καὶ μηκέτι τῇ αἰσθήσει φαινόμενον, τῷ χρόνῳ καὶ τῆς μνήμης ἀπαλείφεται· τὸ δὲ ἐν ἀποκρύφῳ τεθὲν, τοὺς μὲν ἔξωθεν ἴσως λανθάνει, παρ' αὐτοῦ δὲ τοῦ τεθεικότος ὁρώμενον συνεχῶς, τὴν μνήμην ἀνακαινίζει, ἀγαλματοφορούμενον λαθραίως. πᾶς γὰρ λογισμὸς αἰσχρὸς μορφούμενος ἐν τῇ διανοίᾳ, γλυπτόν ἐστιν ἀπόκρυφον. οὕτω γοῦν αἰσχύνη

(1) Καὶ κατάραν σύνοικον. ἐν Τόμ. 1. σελ. 559. τῆς ἐν Παρισ. ἐκδόσ.

αἰσχύνη ἐστὶν εἰς μέσον προθεῖναι τὰς τοιαύτας ἐννοίας. ἐπισφαλὲς γοῦν καὶ τὸ ἐν ἀποκρύφῳ θεῖναι γλυπτὸν, ἐπισφαλέστερον δὲ τὸ ἐπακολουθεῖν καὶ ἐκζητεῖν τὰς ἤδη ἐξαφανισθείσας μορφὰς, συνεχῶς τῆς διανοίας πάλιν ῥεψάσης ἐπὶ τὸ ἐκβληθὲν πάθος, καὶ τὴν τῶν εἰδώλων πλάστιγγα ἐπιβριθούσας ἕως ἔδαφος. τοιαύτη γὰρ ἡ ἕξις ὀξύῤῥεπής τίς ἐστι τῆς ἀρετῆς, καὶ ἄγαν εὐκόλως, εἰ ἀμελοῖτο, ἐπὶ τἀναντία ταλαντεύουσα.

ις. Ἐπικατάρατος ὁ ἀτιμάζων πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο.

ιζ. Ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο.

» ✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐπικατά-
» ρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον. καλεῖ δὲ πλησίον καὶ ἐγγὺς τὸ ἀγαθόν. οὐ γὰρ ἀπεῖναι, φησὶν, εἰς οὐρανὸν οὐδὲ πέραν θαλάττης ἀφικέσθαι δεῖ, κατὰ ζήτησιν τοῦ καλοῦ· ἐγγὺς γὰρ καὶ πλησίον ἵσταται ἑκάστῳ.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ὅρια τοῦ πλησίον μετατίθησι καὶ ὁ ἀπὸ τῆς ἀληθοῦς θεογνωσίας καὶ τῆς ἐνθέου πολιτείας παρασαλεύων τὸν ἐντὸς εὑρισκόμενον. καὶ δηλοῖ τὰ ἐπαγόμενα.

ιη. Ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Τοιοῦτοί εἰσι καὶ οἱ τοὺς ἀπὸ εἰδωλολατρείας καὶ τοὺς ἐκ περιτομῆς ἐπὶ μυσαρὰς αἱρέσεις ἐφελκόμενοι. τυφλοὺς γὰρ ὄντας αὐτοὺς, καὶ μήπω τὸ φῶς τῆς ἀληθείας ἐσχηκότας καὶ τῆς θεογνωσίας, ἀπατοῦσί τε καὶ πλανῶσιν, ἑτέραν ἀντὶ τῆς ἀποστολικῆς ὑποδεικνύντες ὁδόν.

ιθ. Ἐπικατάρατος ὃς ἂν ἐκκλίνῃ κρίσιν προσηλύτου καὶ ὀρφανοῦ καὶ χήρας. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο.

ΑΔΗΛΟΥ. Ὑπὸ τὴν αὐτὴν ἀρὰν τίθησι καὶ τοὺς ὡσαύτως ἐκκλίνοντας κρίσιν προσηλύτου καὶ ὀρφανοῦ καὶ χήρας, ἄλλως πως πάλιν τὸ αὐτὸ εἰπών. εἰ γὰρ τὸ ῥητὸν ἔχει τὸ ὠφέλιμον, ἀλλὰ καὶ ἡ θεωρία τὸ ὑψηλότερον. προσήλυτοι γάρ εἰσιν οἱ ἐξ ἐθνῶν εἰσιόντες τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ. οὗτοι καὶ ὀρφανοὶ κυρίως εἰσὶν, ἀποταξάμενοι μὲν τῷ ἑαυτῶν πατρὶ τῷ Σατα-

A νᾷ, μηδέπω δὲ τὸν Ἰησοῦν ἐνδυσάμενοι, ἀλλ' ἔτι κατηχουμένοις ἐναρίθμιοι. ὁμοίως δὲ καὶ οὗτοι χῆραι εἰσιν, ἀποσραφεῖσαι μὲν τὸν ἐγκατασπείροντα αὐτοῖς τὰ τῆς ἀπωλείας σπέρματα, οὔπω δὲ τῷ Χριστῷ ἁρμοσθέντες,
» ὡς ἁγνὴ παρθένος, κατὰ τὸν θεῖον Ἀπό- 2. Κορ. 11. 2.
στολον. οἱ οὖν ἐκκλίνοντες τὴν κρίσιν τούτων, καὶ μὴ παραδιδόντες αὐτοῖς ἀνόθευτον τὸ τῆς εὐσεβείας μυστήριον ὑπὸ κατάραν εἰσί. καὶ τὰ ἄλλα δέ τις φιλοπόνως ἐπεξιὼν, δυ-
B νήσεται πνευματικῶς θεωρεῖν, σωζομένης τῆς ἁρμονίας. (1)

κ. Ἐπικατάρατος ὁ κοιμώμενος μετὰ γυναικὸς τοῦ πατρὸς αὐτοῦ, ὅτι ἀπεκάλυψε συγκάλυμμα τοῦ πατρὸς αὐτοῦ. καὶ ἐροῦσι πᾶς ὁ λαὸς,
κα. γένοιτο. Ἐπικατάρατος ὁ κοιμώμενος μετὰ παντὸς κτήνους. καὶ ἐροῦσι
κβ. πᾶς ὁ λαὸς, γένοιτο. Ἐπικατάρατος ὁ κοιμώμενος μετὰ ἀδελφῆς ἐκ πατρὸς ἢ μητρὸς αὐτοῦ. καὶ ἐρεῖ πᾶς
κγ. ὁ λαὸς, γένοιτο. Ἐπικατάρατος ὁ κοιμώμενος μετὰ πενθερᾶς (2) αὐτοῦ.
κδ. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο. Ἐπικατάρατος ὁ τύπτων τὸν πλησίον δόλῳ. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο.
κε. Ἐπικατάρατος ὃς ἂν λάβῃ δῶρα πα-
Δ τάξαι ψυχὴν αἵματος ἀθώου. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο.

κς. Ἐπικατάρατος πᾶς ἄνθρωπος ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς λόγοις τοῦ νόμου τούτου τοῦ ποιῆσαι αὐτούς. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο.

» ✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸ, ἐν πᾶσι, κείμενον παρὰ τοῖς Ἑβδομήκοντα, κυροῦται ἀπὸ τοῦ σαμαρειτικοῦ ἀντιγράφου. ἐν ᾧ τὸ χὸλ·
E ὅπερ ἐστὶ, πᾶσιν, ἢ πάντα· φερόμενον εὕρομεν. οἷς συνᾴδει καὶ ὁ Ἀπόστολος, λέ-
» γων. ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ Γαλ. 3. 10.
κατάραν εἰσίν. ὅθεν οἱ ἐκ περιτομῆς ἐλέγχονται ὑπὸ κατάραν ὄντες, τὸ μὴ πάντα ποιεῖν.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Διὰ Μωσέως πολλὰ τῶν ἐν τῷ νόμῳ γράψαντος, ἄνευ τοῦ προσθεῖναι τὴν ἀπειλὴν κατὰ τοῦ παραβαίνον-
Z τος ἢ ἀμελοῦντος, γενικὴν κατὰ πάντων ἐπήγαγε τὴν κατάραν, ἥτις ἐστὶ τῆς δεινοτάτης τιμωρίας προκαταρκτικὴ, εἰπών·
» ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς
» γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου.



ΚΕ

(1) Τὰ αὐτὰ συντομώτερ. καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

(2) Μετὰ νύμφης αὐτοῦ. καὶ ἐροῦσι πᾶς ὁ λαὸς, γένοιτο. ἐπικατάρατος ὁ κοιμώμενος μετὰ τῆς ἀδελφῆς τῆς γυναικὸς αὐτοῦ. καὶ ἐροῦσι, κλ. αἱ εἰρημ. ἐκδόσ.

ΚΕΦ. ΚΗ.

α. Καὶ ἔσται ὡς ἂν διαβῆτε τὸν Ἰορδάνην εἰς τὴν γῆν ἣν Κύριος ὁ Θεὸς ὑμῶν δίδωσιν ὑμῖν, ἐὰν ἀκοῇ ἀκούσητε τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ὑμῶν, φυλάσσειν καὶ ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, καὶ δώσει σε Κύριος ὁ Θεός σου ὑπεράνω
β. πάντων τῶν ἐθνῶν τῆς γῆς, Καὶ ἥξουσιν ἐπὶ σὲ πᾶσαι αἱ εὐλογίαι αὗται, καὶ εὑρήσουσί σε. ἐὰν ἀκοῇ εἰσακούσῃ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου,

γ. Εὐλογημένος σὺ ἐν πόλει, καὶ εὐλογημένος σὺ ἐν ἀγρῷ.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Πόλις καὶ ἀγρὸς εἴη ἂν ἡ Ἐκκλησία τοῦ Θεοῦ, ἐν ᾗ καὶ κατὰ Θεόν τις ἀναστρέφεται, καὶ πολιτεύεται, καὶ σπείρει, καὶ θερίζει καρπὸν εἰς ζωὴν αἰώνιον. (1)

δ. Εὐλογημένα τὰ ἔγγονα τῆς κοιλίας σου, καὶ τὰ γεννήματα τῆς γῆς σου, καὶ τὰ βουκόλια τῶν βοῶν σου, καὶ τὰ ποίμνια τῶν προβάτων σου.

» * ΒΑΣΙΛΕΙΟΥ. Τὰ ἔγγονα τῆς κοιλίας σου, οὐκ ἄλλο τι νομίζομεν εἶναι, ἢ τοὺς καρποὺς τῆς ψυχῆς, ἤτοι τοὺς θεοσεβεῖς
Ἡσ. 26. 18. λογισμούς· ἀπὸ γὰρ τοῦ φόβου σου, Κύριε,
» ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ
» ἐτέκομεν, καὶ τὰ ἑξῆς.

» ΑΔΗΛΟΥ. Καὶ τὰ βουκόλια τῶν βοῶν
» σου, καὶ τὰ ποίμνια τῶν προβάτων σου. Ταῦτα ὡς καθαρὰ καὶ εἰς θυσίαν δεκτὰ εὐλογεῖ. (2)

ε. Εὐλογημέναι αἱ ἀποθῆκαί σου, καὶ τὰ ἐγκαταλείμματά σου.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀποθήκας φησὶν,
Ματθ. 6. 20. οὐκ ἔνθα σὴς ἀφανίζει, οὐδ᾽ ὅπου κλέπται διορύττουσιν, ἀλλὰ τὰς ἀπαγούσας ἡμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἐγκαταλείμματα δὲ, τὰ μέλλοντα καὶ τὰ ἔσχατα. οὕτω
Ψαλ. 36. 38. γὰρ ἐξέδωκαν οἱ Λοιποὶ, ἐν τῷ, τὰ ἐγκατα-
» λείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται, ἐν λϛ' ψαλμῷ λεγόμενον.

ϛ. Εὐλογημένος σὺ (3) ἐν τῷ εἰσπορεύεσθαί σε, καὶ εὐλογημένος σὺ ἐν τῷ ἐκπορεύεσθαί σε.

ΑΔΗΛΟΥ. Τοιοῦτόν ἐστι καὶ τὸ ὑπὸ τοῦ
Β » Δαβὶδ, Κύριος φυλάξει τὴν εἴσοδόν σου, καὶ Ψαλ. 120. 8.
τὴν ἔξοδόν σου. εἴσοδος δ᾽ ἂν εἴη καὶ ἡ εἰς τὴν τῆς ἀληθοῦς εὐσεβείας ἀποφυγὴ, καὶ ὁ κατὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ γινόμενος πόλεμος· καὶ πάλιν ἡ ἀπαρασάλευτος τῆς γνώσεως τοῦ Θεοῦ φυλακὴ, καὶ ἡ πρὸς τοὺς ἀσθενεστέρους συγκατάβασις, χειραγωγοῦσα τούτους πρὸς τὰ τελεώτερα. ὅθεν καὶ ἐπά-
» γει· παραδώσει σε Κύριος ὁ Θεός σου. (4)

Γ ζ. Καὶ παραδῷ σοι Κύριος ὁ Θεός σου τοὺς ἐχθρούς σου τοὺς ἀνθεστηκότας σοι συντετριμμένους πρὸ προσώπου σου· ὁδῷ μιᾷ ἐξελεύσεται πρὸς σὲ, καὶ ἐν ἑπτὰ ὁδοῖς φεύξεται ἀπὸ προσώπου σου.

ΑΔΗΛΟΥ. Καθά φησιν ὁ μακάριος
» Παῦλος, Κύριος συντρίψει τὸν Σατανᾶν Ῥωμ. 16. 20.
» ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει.

Δ * ΠΡΟΚΟΠΙΟΥ. Τὴν γὰρ κατὰ σοῦ γινομένην αὐτῶν κακὴν συμφωνίαν, καὶ τὴν διαθήκην αὐτῶν, ἣν κατὰ σοῦ ἐν ὁμονοίᾳ διέθεντο, διασκεδάσει Κύριος, καθά-
» φησιν ὁ Δαβὶδ, διασκόρπισον ἔθνη τὰ τοὺς Ψαλ. 67. 30.
» πολέμους θέλοντα.

η. Ἀποστελεῖ Κύριος ἐπὶ σὲ τὴν εὐλογίαν ἐν τοῖς ταμείοις σου, καὶ ἐν πᾶσιν οὗ ἐὰν ἐπιβάλῃς τὴν χεῖρά σου
Ε ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.

ΑΔΗΛΟΥ. Τὴν χεῖρα ἡ θεία Γραφὴ παραλαμβάνει ἐπὶ πράξεως. σοῦ τοίνυν φυλάττοντος τὰς ἐντολὰς τοῦ Θεοῦ, ἕξεις αὐτὸν σύμμαχον καὶ ἐν τοῖς κατὰ διάνοιαν λογισμοῖς. τὰ γὰρ φανερὰ σοῦ ποιοῦντος, αὐτὸς τὰ κρυπτὰ καθαρίζει. οὕτω καὶ
» Δαβὶδ φησιν, ἐκ τῶν κρυφίων μου καθά- Ψαλ. 18. 12.
Ζ » ρισόν με. (5)

θ. Ἀναστήσαι σε Κύριος ὁ Θεός σου ἑαυτῷ εἰς λαὸν ἅγιον, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου. ἐὰν εἰσακούσῃ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, καὶ πορευθῇς ταῖς ὁδοῖς αὐτοῦ.

ΘΕΟΔΩ-

(1) Τὰ αὐτὰ ἄλλως πως καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

(2) Ὅμοια τοῖς τοῦ Προκόπ. τοῖς ἐν τῷ αὐτ. κώδ.

(3) Εὐλογημένος σύ. αἱ εἰρημ. ἐκδόσ. ὁμοίως καὶ κατωτέρ.

(4) Ταῦτά τε καὶ τὰ ἑπόμ. ὁ Προκόπιος ἐν τῷ τῆς Αὐγ. κώδ. οὕτω· Συνῳδὰ καὶ Δαβὶδ, Κύριος φυλάξει τὴν εἴσοδόν σου, καὶ τὴν ἔξοδόν σου· δεῖ γὰρ ἀναχωροῦντα τῆς ἀσεβείας, χειραγωγεῖσθαι πρὸς τὴν [illegible]ειαν. ἐξιτέον δὲ καὶ κατὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ πρὸς πόλεμον. εἴποις δ᾽ ἂν καὶ εἴσοδον μὲν, τὴν ἀκρι[illegible] γνώσεως φυλακήν· ἔξοδον δὲ, τὴν πρὸς τοὺς ἀσθενεστέρους συγκατάβασιν, ἐξιόντων ὥσπερ τῆς ἀκρι[illegible]. ὅθεν ἐπάγει· παραδώσει Κύριος ὁ Θεός σου τοὺς ἐχθρούς σου τοὺς ἀνθεστηκότας σοι συντετριμμένους, πρὸ [illegible]σώπου σου, κατὰ τὸ ἀποστολικὸν, Κύριος συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει.

(5) Τὰ αὐτὰ ἄλλως πως καὶ ὁ Προκόπ. ἐν τῷ αὐτ. κώδ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τοῖς δὲ τὰς θείας ἐντολὰς φυλάττουσι, τὰς παντοδαπὰς δέδωκεν εὐλογίας. καὶ τοῖς τὰς πόλεις καὶ τοῖς τὰς κώμας οἰκοῦσιν εὐπαιδίαν καὶ πολυπαιδίαν, ποιμνίων καὶ βουκολίων πολυγονίαν, τὴν ἀπὸ γῆς εὐκαρπίαν, τὴν ἐν εἰρήνῃ διαγωγὴν, τὴν ἐν πολέμοις νίκην, καὶ τὰ τούτοις προσόμοια. ταῖς δὲ σωματικαῖς καὶ πνευματικὴν εὐλογίαν προσέθηκεν· ἀνα-
» στήσαι σε Κύριος ἑαυτῷ λαὸν ἅγιον, ὃν τρό-
» πον ὤμοσε τοῖς πατράσι σου. καὶ τοῦτον δὲ
» προσέθηκε τὸν διορισμόν· ἐὰν εἰσακούσῃς
» τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, καὶ πορεύ-
» θῃς ἐν ταῖς ὁδοῖς αὐτοῦ. ταῦτα γὰρ οἱ μὲν ὁρῶντες, οἱ δὲ ἀκούοντες φοβηθήσονται, λογιζόμενοι τὴν θείαν κηδεμονίαν, ἧς ἀπολαύετε.

Ρωμ. 9. 4, 5. ΑΔΗΛΟΥ. Αὐτοῖς γὰρ ἐδόθη ἡ υἱοθε-
» σία, καὶ ἡ διαθήκη, καὶ ἡ λατρεία· ἐξ
» ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ
» πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἰστέον ὡς τὴν αὐτὴν διαθήκην ἀπῄτει ὁ Ἔσδρας τὸν Ἰσραὴλ διαθέσθαι πρὸς Κύριον μετὰ τὴν ἐπάνοδον τῆς αἰχμαλωσίας μεθ' ὑπογραφῶν καὶ σφραγίδων ἱερέων τε καὶ Λευϊτῶν. (1)

ι. Καὶ ὄψονταί σε πάντα τὰ ἔθνη τῆς γῆς, ὅτι τὸ ὄνομα Κυρίου ἐπικέκληταί σοι, καὶ φοβηθήσονταί σε.

ΑΔΗΛΟΥ. Ὥσπερ γὰρ οἱ Αἰγύπτιοι λαὸς τοῦ Φαραὼ, καὶ ἄλλα ἔθνη βασιλέων ἑτέρων· οὕτω καὶ ὁ λαὸς τοῦ Ἰσραὴλ, τοῦ Κυρίου ἐχρημάτιζεν. Ἰσραὴλ γάρ ἐστι νοῦς ὁρῶν Θεόν.

ια. Καὶ πληθυνεῖ σε Κύριος ὁ Θεός σου εἰς ἀγαθὰ ἐπὶ τοῖς ἐκγόνοις τῆς κοιλίας σου, καὶ ἐπὶ τοῖς ἐκγόνοις τῶν κτηνῶν σου, καὶ ἐπὶ τοῖς γεννήμασι τῆς γῆς σου, ἐπὶ τῆς γῆς ἧς ὤμοσε Κύριος τοῖς πατράσι σου δοῦναί σοι.

ιβ. Ἀνοίξαι σοι Κύριος τὸν θησαυρὸν αὐτοῦ τὸν ἀγαθὸν, τὸν οὐρανὸν, δοῦναι τὸν ὑετὸν τῇ γῇ σου ἐπὶ καιρόν. εὐλογῆσαι πάντα τὰ ἔργα τῶν χειρῶν σου. καὶ δανιεῖς ἔθνεσι πολλοῖς σὺ δὲ οὐ δανιῇ, καὶ ἄρξεις σὺ ἐθνῶν πολλῶν, σοῦ δὲ οὐκ ἄρξουσι.

※ ΠΡΟΚΟΠΙΟΥ. Καὶ τίς ἐστιν οὗτος [ὁ
Κολασ. 2. 3. ἀγαθὸς θησαυρός;] Ἡ παρ' ᾧ εἰσιν οἱ θη-
» σαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπό-
κρυφοι. αὐτὸς γὰρ καὶ ταῖς νεφέλαις ἐντέλλεται, ἤγουν τοῖς Προφήταις. δοῦναι τὸν
Ψαλ. 84. 12. ὑετὸν τὸν οὐράνιον. αὐτὸς γὰρ δώσει χρη-
» στότητα. καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν
» αὐτῆς. Δανιεῖς πολλοῖς ἔθνεσι τὸ δεδοκι-

A » μασμένον ἀργύριον, σὺ δὲ οὐ δανιῇ. οὐ γὰρ παρ' αὐτοῖς ἐπιστήμη καὶ συνέσεις.

※ ΤΟΥ ΑΥΤΟΥ. Εἴρηται μὲν πρὸς τοὺς υἱοὺς Ἰσραὴλ, ἁρμόττει δὲ κυρίως τοῖς Χριστοῦ μαθηταῖς· ὡς (2) λέγειν αὐτοὺς, διὰ
» τοῦτο ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ Ψαλ. 46. 3.
» τοὺς πόδας ἡμῶν.

ιγ. Καταστήσαι σε Κύριος ὁ Θεός σου εἰς κεφαλὴν καὶ μὴ εἰς οὐρὰν, καὶ
B ἔσῃ τότε ἐπάνω καὶ οὐκ ἔσῃ ὑποκάτω. ἐὰν εἰσακούσῃ τῶν ἐντολῶν Κυρίου τοῦ Θεοῦ σου, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον φυλάσσειν καὶ ποιεῖν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ μέντοι γενέσθαι εἰς κεφαλὴν καὶ μὴ εἰς οὐρὰν, ἄρχοντα λέγει καὶ μὴ δουλεύοντα. τοῦτο γὰρ ἐπήγαγε· καὶ
» ἔσῃ τότε ἐπάνω, καὶ οὐχ ὑποκάτω.

ΑΔΗΛΟΥ. Ζητῆσαι ἄξιον, τί δήποτε
Γ ἐπὶ μὲν τῶν ἀρῶν τὸ, γένοιτο γένοιτο, ἐπεφέρετο· ἐπὶ δὲ τῆς εὐλογίας, οὐδαμῶς; Ἀλλ' ὁ Ἀπόστολος ἡμῖν τὸ ζητούμενον λύει
» λέγων· ὅτι ὁ τοῦ Θεοῦ υἱὸς οὐκ ἐγένετο ναὶ 2. Κορ. 1. 19, 20.
» καὶ οὔ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν. ὅσαι
» γὰρ ἐπαγγελίαι Θεοῦ, ἐν αὐτῷ τῷ ναὶ καὶ ὅ. διὰ τοῦτο ἀμήν. αὐτὸς οὖν ἐστιν ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ. (3)

ΑΔΗΛΟΥ. Ἐπειδὴ ἀναξίους ἑαυτοὺς
Δ ἐποίησαν τῶν ἐπαγγελιῶν, ἦλθεν ἐπὶ τοὺς μακαρίους Ἀποστόλους, δι' ἐκείνων δὲ καὶ εἰς ἡμᾶς τοὺς ἐσχηκότας τὸν Χριστὸν κεφαλήν· τοὺς δὲ μὴ πιστεύσαντας, κατέστησεν εἰς
» οὐράν. ἔθηκε γὰρ αὐτοὺς νῶτον, ὡς φησὶν Ψαλ. 20. 12.
ὁ μακάριος Δαβίδ.

ιδ. Οὐ παραβήσῃ ἀπὸ πάντων τῶν λόγων, ὧν ἐγὼ ἐντέλλομαί σοι σήμερον δεξιὰ ἢ ἀριστερὰ, πορεύεσθαι
E ὀπίσω θεῶν ἑτέρων λατρεύειν αὐτοῖς.
ιε. Καὶ ἔσται ἐὰν μὴ εἰσακούσῃ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, φυλάσσειν καὶ ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, καὶ ἐλεύσονται πρὸς σὲ πᾶσαι αἱ κατάραι αὗται,
ις. καὶ καταλήψονταί σε. Ἐπικατάρατος σὺ ἐν πόλει, καὶ ἐπικατάρατος
ιζ. σὺ ἐν ἀγρῷ. Ἐπικατάρατοι αἱ ἀπο-
Z θῆκαί σου, καὶ τὰ ἐγκαταλείμματά
ιη. σου. Ἐπικατάρατα τὰ ἔκγονα τῆς κοιλίας σου, καὶ τὰ γεννήματα τῆς γῆς σου, καὶ τὰ βουκόλια τῶν βοῶν σου, καὶ τὰ ποίμνια τῶν προβάτων σου.
ιθ. Ἐπικατάρατος σὺ ἐν τῷ εἰσπορεύεσθαί σε, καὶ ἐπικατάρατος σὺ ἐν τῷ ἐκπορεύεσθαί σε.
κ. Ἐξ

(1) Λευϊτῶν καὶ ἀρχόντων ἐν τῷ β' βιβλίῳ. ὅθεν δοκοῦσι νῦν ἀντέχεσθαι τοῦ νόμου διὰ τὸν φόβ[ον] παραβάσεως· ἀγνοοῦντες ὅτι Χριστὸς ἡμᾶς ἠλευθέρωσεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ [ἡμῶν] κατάρα. καὶ ταῦτα κεῖται ἐν τῷ τῆς Αὐγ. κώδ. τῷ καὶ τὰ πρότερα πλατύτερ. περιέχοντι.

(2) Αὐτοὺς γὰρ κατέστησεν ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. ἐν καί φασιν, ὑπέταξε, κτ. ὁ αὐτ. κ[ώδ.]

(3) Τὰ αὐτὰ ἐν ἐπιτομῇ καὶ ὁ Προκόπ. ἐν τῷ αὐτῷ κώδ.

κ. Ἐξαποςέλαι Κύριός σοι τὴν ἔνδειαν καὶ τὴν ἐκλιμίαν καὶ τὴν ἀνάλωσιν ἐπὶ πάντα ἃ ἐὰν ἐπιβάλῃς τὴν χεῖρά σου, ὅσα ἐὰν ποιῇς, ἕως ἂν ἐξολοθρεύσῃ σε, καὶ ἕως ἂν ἀπολέσῃ σε ἐν τάχει διὰ τὰ πονηρά σου ἐπιτηδεύματα, διότι ἐγκατέλειπάς με.

* ΠΡΟΚΟΠΙΟΥ. Τοῦτο νῦν ἐξαιρέ-
Ἀμώς. 8. 12, 11. τως (1) νοσοῦσι. περιδραμοῦνται γάρ φησι
» ζητοῦντες τὸν λόγον τοῦ Θεοῦ, καὶ οὐ μὴ εὕρωσιν. οὐ γὰρ λιμὸν ἄρτου αὐτοῖς ἀπειλεῖ, εἰ καὶ τοῦτο συνέβη ποτὲ, οὐδὲ δίψαν ὕδα-
» τος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. ἀντὶ δὲ τοῦ, ἐκλιμίαν, ὁ Σύμμαχος, ἀχορτασίαν ἐξέδωκε. μελετῶσι γὰρ κενὰ, μηδενὸς ἀπολαύοντες τῶν λεγομένων.

κα. Προσκολλήσαι Κύριος εἰς σὲ τὸν θάνατον, ἕως ἂν ἐξαναλώσῃ σε ἀπὸ τῆς γῆς, εἰς ἣν σὺ εἰσπορεύῃ ἐκεῖ
κβ. κληρονομῆσαι αὐτήν. Πατάξαι σε Κύριος ἀπορίᾳ, καὶ πυρετῷ, καὶ ῥίγει, καὶ ἐρεθισμῷ, καὶ φόνῳ, καὶ ἀνεμοφθορίᾳ, καὶ τῇ ὤχρᾳ, καὶ καταδιώξονταί σε ἕως ἂν ἀπολέσωσί σε.

κγ. Καὶ ἔσται σοι ὁ οὐρανὸς ὁ ὑπὲρ κεφαλῆς σου χαλκοῦς, καὶ ἡ γῆ ἡ ὑποκάτω σου σιδηρᾶ.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα πάλιν ἐπιφέρει τὰς ἀρὰς, τἀναντία τῶν προῤῥηθεισῶν ἐχούσας εὐλογιῶν, ἀγονίαν, δυσκληρίαν, ἔνδειαν, νόσους, ταλαιπωρίαν, λιμὸν, λοιμὸν, πόλεμον, ἧτταν, ἀνομβρίαν, γῆς ἀκαρπίαν. τοῦτο γὰρ ἡ σιδηρᾶ γῆ δηλοῖ, καὶ ὁ χαλκοῦς οὐρανός.

» ** ΒΑΣΙΛΕΙΟΥ. Ἔσται σοι, φησὶν; ὁ
» ὑπὲρ κεφαλῆς οὐρανὸς χαλκοῦς. τί τοῦτο λέγων; Τὴν παντελῆ ξηρασίαν καὶ ἐπίλειψιν τῶν ἀερίων ὑδάτων, δι᾽ ὧν τῇ γῇ τὸ γόνιμον τῶν καρπῶν ἐνυπάρχει.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Θήσω, φησὶ, τὸν οὐρανὸν ὑμῖν χαλκοῦν, καὶ τὴν γῆν σιδηρᾶν· αἰνιττόμενος τὸ μηδ᾽ ἕτερον αὐτῶν τὰ οἰκεῖα καὶ πρὸς ἃ γέγονεν ἐπιτελέσειν ἔργα. πῶς γὰρ ἢ σίδηρος ἐςαχυφόρησεν, ἢ χαλκὸς ὑετὸν ἤνεγκεν, ὧν χρεῖα τὰ ζῶα, καὶ μάλιστα τὸ ἐπίκηρον καὶ πολλῶν ἐπιδεὲς, ἄνθρωπος. μηνύει δὲ οὐ μόνον ἀφορίαν καὶ τῶν ἐτησίων ὡρῶν φθορὰν, ἀλλὰ καὶ πολέμων γενέσεις, καὶ τῶν ἐν τούτοις ἀφορήτων καὶ ἀμυθήτων κακῶν. χαλκὸς γὰρ καὶ σίδηρος πολεμιστηρίων ὅπλων ὕλαι.

κδ. Δῴη Κύριος τὸν ὑετὸν τῆς γῆς σου κονιορτὸν, καὶ χοῦς ἐκ τοῦ οὐρανοῦ ... αταβήσεται ἐπὶ σὲ, ἕως ἂν ἐκτρί... τε, καὶ ἕως ἂν ἀπολέσῃ σε.

* ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Καὶ γῆ ... τοι κονιορτὸν οἴσει, καὶ χοῦς ἄνωθεν ἐξ οὐρανοῦ καταχυθήσεται, βαρύτατον ἐπιφέρων καρπὸν εἰς τὴν διὰ πνίγους ἀπώλειαν, ἵνα μηδὲν παραλειφθῇ τῶν ἐπ᾽ ὀλέθρῳ.

κε. Δῴη σε Κύριος ἐπικοπὴν ἐναντίον τῶν ἐχθρῶν σου· ἐν ὁδῷ μιᾷ ἐξελεύσῃ πρὸς αὐτοὺς, καὶ ἐν ἑπτὰ ὁδοῖς φεύξῃ ἀπὸ προσώπου αὐτῶν· καὶ ἔσῃ ἐν διασπορᾷ ἐν πάσαις ταῖς βασιλείαις τῆς γῆς.

» * ΠΡΟΚΟΠΙΟΥ. Ἐπικοπὴν ἐναντίον
» τῶν ἐχθρῶν σου, τουτέστι θραυόμενον καὶ
» προσκόπτοντα, [ὡς ἐξέδωκαν οἱ Λοιποί.]

κς. Καὶ ἔσονται οἱ νεκροὶ ὑμῶν κατάβρωμα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ οὐκ ἔσται
κζ. ὁ ἀποσοβῶν. Πατάξαι σε Κύριος ἐν ἕλκει Αἰγυπτίῳ ἐν ταῖς ἕδραις, καὶ ψώρᾳ ἀγρίᾳ, καὶ κνήφῃ, ὥστε μὴ δύ-
κη. νασθαί σε ἰαθῆναι. Πατάξαι σε Κύριος παραπληξίᾳ, καὶ ἀορασίᾳ, καὶ ἐκστάσει διανοίας.

κθ. Καὶ ἔσῃ ψηλαφῶν μεσημβρίας, ὡσεὶ ψηλαφήσαι ὁ τυφλὸς ἐν τῷ σκότει, καὶ οὐκ εὐοδώσει τὰς ὁδούς σου. καὶ ἔσῃ τότε ἀδικούμενος, καὶ διαρπαζόμενος πάσας τὰς ἡμέρας, καὶ οὐκ ἔσται σοι ὁ βοηθῶν.

ΑΔΗΛΟΥ. Καὶ τοῦτο εἰς ἔργον ἐξέβη ἐπὶ τῆς Χριστοῦ παρουσίας, πάντων τῶν ἐθνῶν ἐν μεσημβρίᾳ φωτὸς διαγόντων, ὁ Ἰσραὴλ ἐν σκοτίᾳ τυγχάνει, διὰ τὸ μὴ βούλεσθαι αὐτοὺς καταυγάζεσθαι τῷ φωτὶ τῆς γνώσεως τοῦ Χριστοῦ. περὶ τούτων φη-
» σίν· ὅτι προσήλυτος ὅστις ἐστὶν ἐν σοὶ, ἀνα-
» βήσεται ἐπὶ σὲ ἄνω ἄνω, σὺ δὲ καταβήσῃ
» κάτω κάτω· περὶ τῶν ἐξ ἐθνῶν πιστευσάντων ἐναργῶς προφητεύων. (2)

λ. Γυναῖκα λήψῃ, καὶ ἀνὴρ ἕτερος ἕξει αὐτήν· οἰκίαν οἰκοδομήσεις, καὶ οὐκ οἰκήσεις ἐν αὐτῇ· ἀμπελῶνα φυτεύσεις, καὶ οὐ τρυγήσεις αὐτόν.
λα. Ὁ μόσχος σου ἐσφαγμένος ἐναντίον σου, καὶ οὐ μὴ φάγῃ ἐξ αὐτοῦ· ὁ ὄνος σου ἡρπασμένος ἀπὸ σοῦ, καὶ οὐκ ἀποδοθήσεταί σοι· τὰ πρόβατά σου δεδομένα τοῖς ἐχθροῖς σου, καὶ οὐκ ἔσται σοι ὁ βοηθῶν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἔπειτα τὰ ἐν πολιορ-
» κίᾳ γινόμενα· γυναῖκα λήψῃ, καὶ ἀνὴρ
» ἕτερος ἕξει αὐτήν· οἰκίαν οἰκοδομήσεις, καὶ
» οὐκ ἐνοικήσεις ἐν αὐτῇ· ἀμπελῶνα φυτεύ-
» σεις, καὶ οὐ τρυγήσεις αὐτόν. ὁ μόσχος σου
» ἐσφαγμένος ἐναντίον σου, καὶ οὐ μὴ φάγῃ ἐξ αὐτοῦ. καὶ τὰ ἑξῆς δὲ τὴν αὐτὴν τούτοις ἔχει διάνοιαν.

λβ. Οἱ

(1) Διαφερόντως. ὁ τῆς Αὐγ. κώδ.

(2) Τὰ αὐτὰ ἄλλως πως ὁ Προκόπ. ἐν τῷ αὐτ. κώδ.

λβ. Οἱ υἱοί σου καὶ αἱ θυγατέρες-
σου δεδομέναι ἔθνει ἑτέρῳ, καὶ οἱ ὀφ-
θαλμοί σου οὐκ ὄψονται (1) σφακε-
λίζοντες εἰς αὐτά, καὶ οὐκ ἰσχύσει ἡ
λγ. χείρ σου. Τὰ ἐκφόρια τῆς γῆς σου,
καὶ πάντας τοὺς πόνους σου φάγεται
ἔθνος, ὃ οὐκ ἐπίστασαι· καὶ ἔσῃ ἀδι-
κούμενος καὶ τεθραυσμένος πάσας τὰς
λδ. ἡμέρας. Καὶ ἔσῃ παράπληκτος διὰ
τὰ ὁράματα τῶν ὀφθαλμῶν σου ἃ
λε. βλέψῃ. Παλάξαι σε Κύριος ἐν ἕλκει
πονηρῷ ἐπὶ τὰ γόνατα καὶ ἐπὶ τὰς
κνήμας· ὥστε μὴ δύνασθαι ἰαθῆναι
ἀπὸ ἴχνους τῶν ποδῶν σου ἕως τῆς κο-
λϛ. ρυφῆς σου. Ἀπαγάγοι Κύριός σε καὶ
τοὺς ἄρχοντάς σου, οὓς ἐὰν καταστήσῃς
ἐπὶ σεαυτόν, εἰς ἔθνος ὃ οὐκ ἐπίστασαι
σὺ καὶ οἱ πατέρες σου, καὶ λατρεύσεις
ἐκεῖ θεοῖς ἑτέροις, ξύλοις καὶ λίθοις.
λζ. Καὶ ἔσῃ ἐκεῖ ἐν αἰνίγματι καὶ ἐν πα-
ραβολῇ καὶ ἐν διηγήματι ἐν πᾶσι τοῖς
ἔθνεσιν, εἰς οὓς ἂν ἀπαγάγῃ σε Κύ-
λη. ριος ἐκεῖ. Σπέρμα πολὺ ἐξοίσεις εἰς
τὸ πεδίον, καὶ ὀλίγα εἰσοίσεις, ὅτι
λθ. κατέδεται αὐτὰ ἡ ἀκρίς. Ἀμπελῶ-
να φυτεύσεις καὶ κατεργᾷ, καὶ οἶνον
οὐ πίεσαι, ὅτι καταφάγεται αὐτὰ ὁ
μ. σκώληξ. Ἐλαῖαι ἔσονταί σοι ἐν πᾶ-
σι τοῖς ὁρίοις σου, καὶ ἔλαιον οὐ χρίσῃ,
μα. ὅτι ἐκρυήσεται ἡ ἐλαία σου. Υἱοὺς καὶ
θυγατέρας γεννήσεις, καὶ οὐκ ἔσονταί
σοι, ἀπελεύσονται γὰρ ἐν αἰχμα-
μβ. λωσίᾳ. Πάντα τὰ ξύλινά σου, καὶ
τὰ γεννήματα τῆς γῆς σου ἐξαναλώ-
σει ἡ ἐρυσίβη.

μγ. Ὁ προσήλυτος ὅς ἐστιν ἐν σοὶ ἀναβήσεται ἐπὶ σὲ ἄνω ἄνω, σὺ δὲ καταβήσῃ κάτω κάτω.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὁ μὲν ἐπήλυς ἄνω ταῖς εὐτυχίαις μετέωρος ἀρθεὶς περίβλεπτος ἔσται, θαυμαζόμενος καὶ μακαριζόμενος ἐπὶ δυσὶ τοῖς καλλίστοις, τῷ τε αὐτομολῆσαι πρὸς Θεόν, καὶ τῷ γέρας λαβεῖν οἰκειότατον, τὴν ἐν οὐρανῷ τάξιν βεβαίαν· ἣν οὐ θέμις εἰπεῖν· ὁ δ' εὐπατρίδης παρακόψας τὸ νόμισμα τῆς εὐγενείας, ὑποσυρήσεται κατωτάτω, πρὸς αὐτὸν τάρταρον καὶ βαθὺ σκότος ἐνεχθείς· ἵνα ταῦτα ὁρῶντες τὰ παραδείγματα πάντες ἄνθρωποι σωφρονίζωνται· μανθάνοντες ὅτι τὴν ἐκ δυσγενείας ἀρετὴν φυομένην Θεὸς ἀσπάζεται, τὰς μὲν ῥίζας ἐῶν χαίρειν, τὸ
A δὲ στελεχωθὲν ἔρνος, ὅτι μετέβαλεν ἡμερωθὲν πρὸς εὐκαρπίαν, ἀποδεχόμενος.

ΘΕΟΔΩΡΙΤΟΥ. Προστίθησι δὲ καὶ ἑλκῶν ἀπειλάς, καὶ παθημάτων διαφοράς, καὶ ἀνδραποδισμούς, καὶ τὸ πάντων χαλεπώτατον, ὁ προσήλυτος, φησίν, » ὅστις ἐστί σοι » ἀναβήσεται ἐπὶ σὲ ἄνω, σὺ δὲ καταβήσῃ κάτω. αἰνίττεται δὲ διὰ τούτων τῶν ἐθνῶν τὴν εὐσέβειαν, καὶ τὴν αὐτῶν ἀπιστίαν.

B ** ΝΕΙΛΟΥ. Βλέπε μοι τοὺς ἐξ Ἑβραίων πιστεύοντας, πῶς προσέρχονται τῷ κηρύγματι τῶν Ἀποστόλων, καὶ νοήσεις πῶς οἱ πρῶτοι δεύτεροι ἀποδείκνυνται· ἵνα πληρωθῇ ὁ λόγος τοῦ Μωϋσέως προφητεύσαντος τοῖς ἀπογόνοις τοῦ Ἀβραάμ, καὶ λέ- » γοντος· ὅτι ἔσται ὁ προσήλυτος ὁ ἐν σοὶ » ἄνω ἄνω, σὺ δὲ κάτω κάτω. ἐκεῖνος ἄρ- » ξει σου, σὺ δὲ ἀρχθήσῃ. ἐκεῖνος γενήσε- » ται εἰς κεφαλήν, σὺ δὲ εἰς οὐράν. προσή-
Γ λυτον δέ φησι τὸν ἐξ ἐθνῶν τῷ Χριστῷ πεπιστευκότα λαόν.

μδ. Αὐτὸς δανιεῖ σοι, σὺ δὲ τούτῳ
οὐ δανιεῖς· οὗτος ἔσται κεφαλή, σὺ δὲ
με. ἔσῃ οὐρά. Καὶ ἐλεύσονται ἐπὶ σὲ
πᾶσαι αἱ κατάραι αὗται, καὶ κατα-
διώξονταί σε, καὶ καταλήψονταί σε,
ἕως ἂν ἐξολοθρεύσῃ σε, καὶ ἕως ἂν
ἀπολέσῃ σε, ὅτι οὐκ εἰσήκουσας τῆς
Δ φωνῆς Κυρίου τοῦ Θεοῦ σου, τοῦ φυ-
λάσσεσθαι τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ
δικαιώματα αὐτοῦ, ὅσα ἐνετείλατό
μϛ. σοι. Καὶ ἔσται ἐν σοὶ σημεῖα, καὶ τέ-
ρατα ἐν τῷ σπέρματί σου ἕως τοῦ αἰῶ-
μζ. νος, Ἀνθ' ὧν οὐκ ἐλάτρευσας Κυρίῳ
τῷ Θεῷ σου ἐν εὐφροσύνῃ καὶ ἐν ἀγα-
θῇ καρδίᾳ διὰ τὸ πλῆθος πάντων.

E μη. Καὶ λατρεύσεις ἐκεῖ τοῖς ἐχ-
θροῖς σου, οὓς ἀποστελεῖ Κύριος ὁ Θεός
σου ἐπὶ σὲ ἐν λιμῷ, καὶ ἐν δίψει, καὶ
ἐν γυμνότητι, καὶ ἐν θλίψει (2) πάν-
των· καὶ ἐπιθήσει κλοιὸν σιδηροῦν ἐπὶ
τὸν τράχηλόν σου, ἕως ἂν ἐξολοθρεύ-
μθ. σῃ σε. Ἐπάξει Κύριος ἐπὶ σὲ ἔθνος
μακρόθεν ἀπ' ἐσχάτου τῆς γῆς ὡσεὶ
Z ὅρμημα ἀετοῦ, ἔθνος ὃ οὐκ ἀκούσῃ τῆς
ν. φωνῆς αὐτοῦ, Ἔθνος ἀναιδὲς προσώ-
πῳ, ὅστις οὐ θαυμάσει πρόσωπον πρε-
σβυτέρου, καὶ νέον οὐκ ἐλεήσει.

ΑΔΗΛΟΥ. Κλοιὸς σιδηροῦς ἡ ἐπίμοχθος δουλεία, οὓς ἀντὶ ξυλίνων κλοιῶν καὶ ὁ μακάριος Ἱερεμίας ἑαυτῷ ἐπιθεῖναι κελεύεται, τὴν βαρυτάτην αὐτοῖς αἰχμαλωσίαν δηλῶν. (3) καὶ οἱ λοιποὶ δὲ Προφῆται

(1) Βλέψονται. αἱ εἰρημ. ἐκδόσ. ὄψονται. ἡ τοῦ Ἀλδ. (2) Ἐν ἐκλείψει. αἱ εἰρημ. ἐκδό

(3) Ἀντὶ τῶν ἑπομένων ταῦτα ἐν τῷ τῆς Αὐγ. κώδ. κεῖται· Ἣν καὶ προαναφωνῶν φησί, ἐπάξει Κ ἐπὶ σὲ ἔθνος μακρόθεν. οὕτως Ἱερεμίας καὶ οἱ λοιποὶ Προφῆται τοὺς Ἀσυρίους καὶ Βαβυλωνίους ἐδήλουν διωκόντων τὸ κοῦφον δηλῶν καὶ τὸ δυνατὸν ἐπήνεγκε Μωϋσῆς, ὡς ὅρμημα ἀετοῦ. ἀναιδὲς δὲ προσώπῳ δηλοῖ τὸ πρὸς μηδεμίαν ἔχειν ἡλικίαν φειδώ.

τὴν τηνικαῦτα συμβᾶσαν αἰχμαλωσίαν δη-
Θρήν. 4. 19. λοῦντες, ὡσεὶ ὅρμημα ἀετοῦ· κοῦφοι γὰρ
» ἐγένοιτο οἱ διώκοντες· ἔθνος ἀναιδὲς προ-
σώπῳ, πᾶσαν ἡλικίαν ἐπίσης ληϊζόμενον,
καὶ μηδενὸς ποιούμενον φειδώ.

να. Καὶ κατέδεται τὰ ἔκγονα τῶν
κτηνῶν, καὶ τὰ γεννήματα τῆς γῆς
σου, ὥστε μὴ καταλιπεῖν σοι σῖτον, οἶ-
νον, ἔλαιον, βουκόλια βοῶν σου, καὶ
ποίμνια προβάτων σου, ἕως ἂν ἀπο-
νβ. λέσῃ σε, Καὶ ἕως ἂν ἐκτρίψῃ σε ἐν
πάσαις ταῖς πόλεσί σου· ἕως ἂν κα-
θαιρεθῶσι τὰ τείχη σου τὰ ὑψηλὰ
καὶ τὰ ὀχυρὰ, ἐφ᾽ οἷς σὺ πέποιθας
ἐπ᾽ αὐτοῖς, καὶ ἐν πάσῃ τῇ γῇ σου. καὶ
θλίψει σε ἐν ταῖς πόλεσί σου, αἷς ἔδω-
κέ σοι Κύριος ὁ Θεός σου.

νγ. Καὶ φαγῇ τὰ ἔκγονα τῆς κοι-
λίας σου, κρέα υἱῶν σου καὶ θυγατέ-
ρων σου, ὅσα ἔδωκε Κύριος ὁ Θεός σου,
ἐν τῇ στενοχωρίᾳ σου καὶ ἐν τῇ θλίψει
σου, ᾗ θλίψει σε ὁ ἐχθρός σου ὁ ἐν ταῖς
πόλεσί σου.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοσαύτη ἐφέξει σπάνις τῶν ἀναγκαίων, ὥστε ἀλλοτριωθέντες τούτων, τρέψονται ἐπ᾽ ἀλληλοφαγίας, οὐ μόνον ἐθνῶν (1) καὶ μηδὲν προσηκόντων, ἀλλὰ καὶ τῶν οἰκειοτάτων καὶ φιλτάτων. ἅψεται γὰρ καὶ πατὴρ υἱοῦ σαρκῶν, καὶ μήτηρ σπλάγχνων θυγατρὸς, καὶ ἀδελφῶν ἀδελφοὶ, καὶ γονέων παῖδες· ἀεὶ δὲ οἱ ἀσθενέστεροι τῶν δυνατωτέρων κακαὶ καὶ ἐπάρατοι τροφαί.

ΑΔΗΛΟΥ. Τοῦτο καὶ ἐν θρήνοις (2) ὁ συμπαθέστατος ὀδύρεται Προφήτης, καὶ εἰς ὕστερον Ἰώσηππος ἱστορεῖ, (3) τὰ τηνικαῦτα ὑπὸ Ῥωμαίων συμβάντα τῷ ἔθνει ἐκτραγῳδῶν. (4)

ΘΕΟΔΩΡΙΤΟΥ. Προεῖπεν αὐτοῖς καὶ τὴν ὑπ᾽ Ἀσσυρίων, καὶ Βαβυλωνίων, καὶ Μακεδόνων, καὶ τὸ τελευταῖον τὴν ὑπὸ Ῥωμαίων γεγενημένην πολυορκίαν, καὶ
» τῆς πολυορκίας τὰς συμφοράς. Φαγῇ γὰρ
» ἔφη τὰ ἔγγονα τῆς κοιλίας σου, κρέα υἱῶν
» σου καὶ θυγατέρων σου, καὶ ἐν τῇ θλίψει σου,
» ᾗ θλίψει σε ὁ ἐχθρός σου· καὶ τἄλλα ὅσα
μετὰ τὴν πεῖραν ὁ προφήτης Ἱερεμίας ἔφη, τοὺς θρήνους συγγράφων. ἠπείλησε δὲ οὐ μόνον ταύτας, ἀλλὰ καὶ ἑτέρας πολλαπλασίους ἐποίσειν αὐτοῖς τιμωρίας, τὰς θείας παραβαίνουσιν ἐντολάς.

νδ. Ὁ ἁπαλὸς ἐν σοὶ καὶ ὁ τρυ-
φερὸς σφόδρα, βασκανεῖ τῷ ὀφθαλ-
μῷ αὐτοῦ τὸν ἀδελφὸν αὐτοῦ, καὶ τὴν
A γυναῖκα τὴν ἐν τῷ κόλπῳ αὐτοῦ, καὶ
τὰ καταλελειμμένα τέκνα, ἃ ἂν
νε. καταλειφθῇ αὐτῷ· Ὥστε δοῦναι ἑνὶ
αὐτῶν ἀπὸ τῶν σαρκῶν τῶν τέκνων
αὐτοῦ, ὧν ἂν κατεσθίῃ διὰ τὸ μὴ κα-
ταλειφθῆναι αὐτῷ μηδὲν ἐν τῇ στενο-
χωρίᾳ, καὶ ἐν τῇ θλίψει, ᾗ ἂν θλί-
ψωσί σε οἱ ἐχθροί σου ἐν πάσαις ταῖς
νς. πόλεσί σου. Καὶ ἡ ἁπαλὴ ἐν ὑμῖν καὶ
B ἡ τρυφερὰ σφόδρα, ἧς οὐχὶ πεῖραν
ἔλαβεν ὁ πούς αὐτῆς βαίνειν ἐπὶ τῆς
γῆς διὰ τὴν ἁπαλότητα καὶ διὰ τὴν
τρυφερότητα, βασκανεῖ τῷ ὀφθαλ-
μῷ τὸν ἄνδρα αὐτῆς τὸν ἐν τῷ κόλπῳ
αὐτῆς, καὶ τὸν υἱὸν καὶ τὴν θυγατέ-
νζ. ρα αὐτῆς, Καὶ τὸ χόριον αὐτῆς τὸ
ἐξελθὸν διὰ τῶν μηρῶν αὐτῆς, καὶ
Γ τὸ τέκνον αὐτῆς ὃ ἂν τέκῃ· καταφά-
γεται γὰρ αὐτὰ διὰ τὴν ἔνδειαν πάν-
των κρυφῇ ἐν τῇ στενοχωρίᾳ, καὶ ἐν
τῇ θλίψει, ᾗ ἂν θλίψῃ σε ὁ ἐχθρός
νη. σου ἐν πάσαις ταῖς πόλεσί σου, Ἐὰν
μὴ εἰσακούσητε ποιεῖν πάντα τὰ ῥή-
ματα τοῦ νόμου τούτου, τὰ γεγραμμέ-
να ἐν τῷ βιβλίῳ τούτῳ, φοβεῖσθαι
τὸ ὄνομα τὸ ἔντιμον καὶ τὸ θαυμαστὸν
Δ τοῦτο, Κύριον τὸν Θεόν σου.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Βούλεται εἰπεῖν, ὡς ὁ ἐν σπατάλαις καὶ τρυφαῖς ἐντεθραμμένος πονηρεύσεται, καὶ βάσκανον ἕξει ὀφθαλμὸν, τὰς οἰκείας ὁρῶν κατεσθίοντας σάρκας τῶν διασωθέντων αὐτοῖς (5) τέκνων, διὰ τὸ μὴ καταλελεῖφθαι αὐτῶν μηδὲν, τὴν ἔνδειαν παρακαλέσαι δυνάμενον· καὶ λιμοῦ παρανάλωμα γενέσθαι διὰ
E τὴν ἐπικειμένην ἀνάγκην. ὁμοίως δὲ καὶ γυνὴ ἐκ τῆς φύσεως ἐπικλινομένη πρὸς οἶκτον, γενήσεται τῆς φύσεως ἐπιλήσμων καὶ ἀσυμπαθὴς ἐπὶ τέκνα, καὶ τροφὴν ποιήσεται τὸ τικτόμενον.

νθ. Καὶ παραδοξάσει Κύριος τὰς
πληγάς σου, καὶ τὰς πληγὰς τοῦ
σπέρματός σου, πληγὰς μεγάλας
καὶ θαυμαστὰς, καὶ νόσους πονηρὰς
Z καὶ πιστάς.

* ΠΡΟΚΟΠΙΟΥ. Ἢ τὰς συνήθεις, [τουτέστι πληγὰς,] ἐπιτείνων, ἢ καινοτέρας ἐπινοῶν.

ξ. Καὶ ἐπιστρέψει ἐπὶ σὲ πᾶσαν
τὴν ὀδύνην Αἰγύπτου τὴν πονηρὰν, ἣν
διευλαβοῦ ἀπὸ προσώπου αὐτῶν, καὶ
ξα. κολληθήσονται ἐν σοί. Καὶ πᾶσαν
μαλα-

(1) Ὀθνείων. (ἐν ταῖς σημειώσ. ταῖς ἐν τῇ 430. σελ. τοῦ 2. Τόμ. τῆς τοῦ Μαγγ. ἐκδόσ.) καταλλη-[...] ἀλλὰ καὶ τὸ, ἐθνῶν, οὐ πάντη ἀνοίκειον.

(2) Θρήν. 4. 10.

(3) Ἐν κεφ. 21. τοῦ περὶ ἁλώσ. ζ. λόγ.

(4) Τὰ αὐτὰ συντομώτερ. καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

(5) Ἴσ. αὐτῷ. συντομώτερ. δὲ ταῦτα ὁ Προκόπ. ἐν τῷ αὐτ. κώδ.

A μαλακίαν, καὶ πᾶσαν πληγὴν τὴν
μὴ γεγραμμένην, καὶ πᾶσαν τὴν γε-
γραμμένην ἐν τῷ βιβλίῳ τȣ̃ νόμȣ
τȣ́τȣ, ἐπάξει Κύριος ἐπὶ σὲ, ἕως ἂν
ξβ. ἐξολοθρεύσῃ σε. Καὶ καταλειφθήσε-
σε ἐν ἀριθμῷ βραχεῖ, ἀνθ᾽ ὧν ὅτι
ἦτε ὡσεὶ τὰ ἄστρα τȣ̃ ȣ̓ρανȣ̃ εἰς πλῆ-
θος, ὅτι ȣ̓κ εἰσηκȣ́σατε τῆς φωνῆς
ξγ. Κυρίȣ τȣ̃ Θεȣ̃ ὑμῶν. Καὶ ἔσαι ὃν τρό-
B πον ηὐφράνθη Κύριος ἐφ᾽ ὑμῖν εὖ
ποιῆσαι ὑμᾶς, καὶ πληθῦναι ὑμᾶς,
ȣ̔́τως εὐφρανθήσεται Κύριος ἐφ᾽ ὑμῖν
ἐξολοθρεῦσαι ὑμᾶς· καὶ ἐξαρθήσε-
σθε ἀπὸ τῆς γῆς, εἰς ἣν ὑμεῖς εἰσπορεύε-
ξδ. σθε ἐκεῖ κληρονομῆσαι αὐτήν. Καὶ
διασπερεῖ σε Κύριος ὁ Θεός σȣ εἰς πάν-
τα τὰ ἔθνη, ἀπ᾽ ἄκρȣ τῆς γῆς ἕως
Γ ἄκρȣ τῆς γῆς, καὶ δȣλεύσεις ἐκεῖ Θεοῖς
ἑτέροις, ξύλοις καὶ λίθοις, οἷς ȣ̓κ ἠπί-
σω σὺ καὶ οἱ πατέρες σȣ.

ξε. Ἀλλὰ καὶ ἐν τοῖς ἔθνεσιν ἐκεί-
νοις ȣ̓κ ἀναπαύσει σε, ȣ̓δ᾽ ȣ̓ μὴ γένη-
ται σάσις τῷ ἴχνει τȣ̃ ποδός σȣ. καὶ
δώσει σοι Κύριος ἐκεῖ καρδίαν ἀθυμȣ̃-
σαν, (1) καὶ ἐκλείποντας ὀφθαλμȣ̀ς,
καὶ τηκομένην ψυχήν.

Δ ** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὁ μὲν προ-
σιὼν Θεῷ, σάσεως ἐφίεται· ὁ δὲ ἀπαλλατ-
τόμενος, ἅτε γενέσει τῇ τρεπομένῃ προ-
σιὼν, κατὰ τὸ εἰκὸς φέρεται. διὰ τȣ̃το
» ἐν ταῖς ἀραῖς γέγραπται· ὅτι ȣ̓κ ἀναπαύ-
» σεις, ȣ̓δ᾽ ȣ̓ μὴ γένηται σάσις τῷ ἴχνει τȣ̃
» ποδός σȣ· καὶ μικρὸν ὕσερον· ὅτι ἔσαι ἡ
» ζωή σȣ κρεμαμένη ἀπέναντι τῶν ὀφθαλ-
μῶν σȣ. πέφυκε γὰρ ὁ ἄφρων αἰεὶ περὶ τὸν
ὀρθὸν λόγον κινȣ́μενος, ἠρεμίᾳ καὶ ἀνα-
E παύσει δυσμενὴς εἶναι, καὶ ἐπὶ μηδενὸς ἑσά-
ναι παγίως καὶ ἐρηρεῖσθαι δόγματος· ἀλλ᾽
ὅτι (2) γȣ̃ν ἀλλοῖα δοξάζει, καὶ περὶ τῶν
ἀσῶν ἔσιν ὅτε μηδὲν ὡς περὶ αὐτὰς συμβε-
βηκότος καινοτέρȣ· τἀναντία μέγας καὶ
μικρὸς, καὶ ἐχθρὸς καὶ φίλος, καὶ πάνθ᾽,
ὡς ἔπος εἰπεῖν, τὰ μαχόμενα ἐν ἀκαρεῖ
χρόνῳ γινόμενος. καὶ ἔσιν αὐτῷ ὅπερ ἔφη
ὁ νομοθέτης, πᾶσα ἡ ζωὴ κρεμαμένη, βά-
σιν ȣ̓κ ἔχȣσα ἀκράδαντον, ἀλλὰ πρὸς τῶν
Z ἀντισπώντων μεθελκόντων ἀεὶ φορȣμένη
πραγμάτων.

ξϛ. Καὶ ἔσαι ἡ ζωή σȣ κρεμαμένη
ἀπέναντι τῶν ὀφθαλμῶν σȣ· καὶ φο-
βηθήσῃ ἡμέρας καὶ νυκτὸς, καὶ ȣ̓ πι-
σεύσεις τῇ ζωῇ σȣ.

ΑΔΗΛΟΥ. Τȣ̃το κατὰ τὸ αἰσθητὸν εἴρη-
ται μὲν περὶ τῆς ἀπειλȣμένης αὐτοῖς συμ-

A φορᾶς, καὶ ὡς ἐφ᾽ ἑκάσης ἕξει τὸν θάνα-
τον παρὰ πόδας τιθέμενον, καὶ μηδεμίαν
ἐλπίδα σωτηρίας παρεγγυῶντα. τȣ̃το γάρ
ἐσι τὸ μὴ πισεῦσαι τῇ ζωῇ αὐτȣ̃. κατὰ
δὲ τὸ ἀληθὲς νοηθήσεται καὶ περὶ τῆς τȣ̃
Κυρίȣ ἡμῶν Ἰησȣ̃ Χρισȣ̃, τȣ̃ εἰπόντος, ἐγώ Ἰωάν. 11. 25.
» εἰμι ἡ ζωή. κρεμάμενον γὰρ αὐτὸν ἐπὶ ξύ-
λȣ θεωρȣ̃ντες πρὸ ὀφθαλμῶν, ȣ̓κ ἐπίσευ-
σαν τῇ ζωῇ. (3)

** ΕΠΙΦΑΝΙΟΥ. Μωϋσῆς προαναφω-
B » νῶν, ἔλεγεν· ὄψεσθε τὴν ζωὴν ὑμῶν κρε-
» μαμένην ἀπέναντι ὑμῶν ἐπὶ ξύλȣ. ζωὴ δὲ
ἡμῶν ὁ ὑπὲρ ἡμῶν πεπονθὼς, ἵνα τὰ ἡμέ-
τερα πάθη διαλύσῃ· καὶ θανὼν σαρκὶ,
θάνατος θανάτῳ γένηται, ἵνα τὸ κέντρον
τȣ̃ θανάτȣ κλάσῃ, καταβὰς εἰς τὰ κα-
ταχθόνια, ἵνα τȣ̀ς ἀδαμαντίνȣς μοχλȣ̀ς
συντρίψῃ. ὅπερ ποιήσας, ἀνήγαγε τῶν
ψυχῶν τὴν αἰχμαλωσίαν, ἐκένωσέ τε τὸν
ᾅδην.

Γ ** ΑΘΑΝΑΣΙΟΥ. Ὁ σημαινόμενος ἐκ
τῶν Γραφῶν ὑπὲρ πάντων πάσχειν, ȣ̓χ
ἁπλῶς ἄνθρωπος, ἀλλὰ ζωὴ πάντων λέ-
γεται; κἂν ὅμοιος κατὰ τὴν φύσιν τοῖς
» ἀνθρώποις ἐτύγχανεν. ὄψεσθε γάρ φησι
» τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν
» ὀφθαλμῶν ὑμῶν.

ξζ. Τὸ πρωῒ ἐρεῖς, πῶς ἂν γένοι-
το ἑσπέρα; καὶ τὸ ἑσπέρας ἐρεῖς, πῶς
Δ ἂν γένοιτο πρωΐ; ἀπὸ τȣ̃ φόβȣ τῆς
καρδίας σȣ ἃ φοβηθήσῃ, καὶ ἀπὸ τῶν
ὁραμάτων τῶν ὀφθαλμῶν σȣ ὧν ὄψῃ.

ξη. Καὶ ἀποσρέψει σε Κύριος εἰς
Αἴγυπτον ἐν πλοίοις, καὶ ἐν τῇ ὁδῷ
ᾗ εἶπα, ȣ̓ προσθήσεσθε ἔτι ἰδεῖν αὐ-
τήν. πραθήσεσθε ἐκεῖ τοῖς ἐχθροῖς
ὑμῶν εἰς παῖδας καὶ παιδίσκας, καὶ
E ȣ̓κ ἔσαι ὁ κτώμενος.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Οὐχ ὁ Θεὸς τȣ̃το
πεποίηκεν, ἀλλ᾽ αὐτοὶ, πῇ μὲν αὐτόματοι
πρὸς ἐκείνȣς τὴν συμμαχίαν αὐτῶν αἰτȣ̃ν-
τες κατὰ τῶν Ἀσσυρίων, πῇ δὲ καὶ ὑπὸ
Νεχαὼ, Φαραὼ, καὶ ἑτέρων βασιλέων
Αἰγύπτȣ ἁλόντες ἠνδραποδίσθησαν, τȣ̃ Θεȣ̃
μὴ τȣ̃το θελήσαντος, ἀλλ᾽ ἐκείνων ἐπισπα-
σαμένων τὰς συμφοράς. ἐπεὶ καὶ διὰ τȣ̃
Προφήτȣ αἰτιᾶται αὐτȣ̀ς, λέγων· οἱ κα- Ἡσ. 30. 2.
Z » ταβαίνοντες ἐν πλοίοις εἰς Αἴγυπτον τȣ̃
» βοηθηθῆναι ὑπὸ Φαραὼ βασιλέως Αἰγύ-
» πτȣ, ἐμὲ δὲ ȣ̓κ ἐπηρώτησαν· καὶ πάλιν, Ἱερ. 2. 18.
» τί σοι καὶ τῇ γῇ Αἰγύπτȣ πιεῖν ὕδωρ Γηῶν;

ΘΕΟΔΩΡΙΤΟΥ. Ἠπείλησεν αὐτοῖς καὶ
τὴν Αἰγυπτίων δȣλείαν, ἧς πεῖραν λαβόν-
τες, ἔναυλον εἶχον τὴν μνήμην. οἱ γὰρ
ἐξανδραποδίζοντές σε, φησὶν, ἐκεῖνοί σε
ἀποδώσονται.

(1) Καρδίαν ἑτέραν ἀπειθȣ̃σαν. αἱ εἰρημ. ἐκδόσ.
(2) Ἄλλοτε γȣ̃ν ἀλλοῖα δοξάζει καὶ περὶ τῶν αὐτῶν ἔσιν ὅτε, μηδενὸς περὶ αὐτὰ συμβεβ. ἐν σημειώσ. ταῖς ἐν σελ. 230. τȣ̃ 1. Τόμ. τῆς τȣ̃ Μαγγ. ἐκδόσ. ἃ καὶ κατάλληλ.
(3) Τὰ αὐτὰ συντομώτερ. ὁ Πρόκοπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

ΚΕΦ. ΚΘ.

α. Οὗτοι οἱ λόγοι τῆς διαθήκης, ἧς ἐνετείλατο Κύριος Μωϋσῇ στῆσαι τοῖς υἱοῖς Ἰσραὴλ ἐν γῇ Μωάβ, πλὴν τῆς διαθήκης ἧς διέθετο αὐτοῖς ἐν Χωρήβ.

✳ ΘΕΟΔΩΡΙΤΟΥ. (1) Ταύτας τὰς ἀρὰς καὶ τὰς εὐλογίας τοῖς τούτων οὐκ ἐδεδώκει πατράσιν. ἔχει τοίνυν ἡ βίβλος αὕτη καινήν τινα παρὰ τὰς ἄλλας διδασκαλίαν. Ἐπεσημήνατο τοῦτο καὶ ὁ Προφήτης. πεπληρωκὼς γὰρ τὸν περὶ τῶν ἀρῶν καὶ τῶν εὐλογιῶν λόγον, ἐπήγαγεν· οὗτοι » οἱ λόγοι τῆς διαθήκης, ὅσα (2) ἐνετείλατο » Κύριος τῷ Μωϋσῇ στῆσαι τοῖς υἱοῖς Ἰσραὴλ » ἐν γῇ Μωάβ· πλὴν τῆς διαθήκης ἧς ἔθε» το (3) αὐτοῖς ἐν Χωρήβ. ἐπειδὴ γὰρ ἤμελλεν αὐτοὺς εἰσάγειν εἰς ἣν ἐπηγγείλατο γῆν, ἀναγκαίως καὶ ταῖς τῶν ἀγαθῶν ἐπαγγελίαις προτρέπει, καὶ ταῖς τῶν τιμωριῶν ἀπειλαῖς καταπλήττει, καὶ πάντα κινεῖ πόρον εἰς τὴν τῶν ψυχῶν αὐτῶν ἰατρείαν.

ΤΟΥ ΑΥΤΟΥ. Τί δήποτε πλείους τῶν εὐλογιῶν αἱ ἀραί; Τοὺς πονηροὺς οἰκέτας οὐ τοσοῦτον ὠφελοῦσιν αἱ τῆς ἐλευθερίας ἐπαγγελίαι, ὅσον τῶν μαστίγων αἱ ἀπειλαί.

β. Καὶ ἐκάλεσε Μωϋσῆς πάντας τοὺς υἱοὺς Ἰσραήλ, καὶ εἶπε πρὸς αὐτούς, ὑμεῖς ἑωράκατε πάντα ὅσα ἐποίησε Κύριος ὁ Θεὸς ὑμῶν, πάντα τὰ ἐν Αἰγύπτῳ, ἐνώπιον ὑμῶν, Φαραὼ καὶ πᾶσι τοῖς θεράπουσιν αὐτοῦ, καὶ
γ. πάσῃ τῇ γῇ αὐτοῦ, Τοὺς πειρασμοὺς τοὺς μεγάλους οὓς ἴδον οἱ ὀφθαλμοί σου, τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα ἐκεῖνα, τὴν χεῖρα τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν ὑψηλόν.

δ. Καὶ οὐκ ἔδωκε Κύριος ὁ Θεὸς ἡμῶν (4) καρδίαν εἰδέναι, καὶ ὀφθαλμοὺς βλέπειν, καὶ ὦτα ἀκούειν ἕως τῆς ἡμέρας ταύτης.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τό, οὐκ » ἔδωκε Κύριος ὁ Θεὸς ἡμῶν (5) καρδίαν εἰδέ» ναι, καὶ ὀφθαλμοὺς βλέπειν, καὶ ὦτα » ἀκούειν ἕως τῆς ἡμέρας ταύτης; Ὡς τό,
Ῥωμ. 1. 28, παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν· καί,
26. » παρέδωκεν αὐτοὺς εἰς πάθη ἀτιμίας· καί,
Ἐξόδ. 10. 20. ἐσκλήρυνε τὴν καρδίαν Φαραώ. ἀγαθῶν γὰρ αἴτιος ὁ Θεός, κακῶν δὲ ἀναίτιος. ἐπιδείκνυσι γὰρ τὸ πρακτέον, ἀποτρέπει (6) τῶν ἐναντίων, οὐ βιάζεται δὲ τῶν ἀνθρώπων τὴν γνώμην, ἀλλὰ τῷ αὐτεξουσίῳ παραχωρεῖ. ἐπεὶ οὖν συγχωρεῖ γενέσθαι τἀναντία κωλῦσαι δυνάμενος, οὐκ ἀνέχεται δὲ κωλύειν, ἵνα μὴ βίᾳ καὶ ἀνάγκῃ γένηται τὸ πραττόμενον· τὸ γὰρ ἐθελούσιον τῆς ἀρετῆς ἀξιέπαινον· τὴν συγχώρησιν αἰτίαν ἐκάλεσε. τούτῳ ἔοικε τὸ ἐν τοῖς θείοις εἰρη-
B » μένον Εὐαγγελίοις· τετύφλωκεν αὐτῶν τοὺς Ἰωάν. 12. 40.
» ὀφθαλμούς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν. καὶ μὴν πάντα πόρον ἐκίνησεν, ὥστε αὐτοὺς ἀπολαῦσαι τῆς σωτηρίας· θαυματουργῶν, τὰ πεπηρωμένα μέλη θεραπεύων, ἐν ἐρήμῳ τρέφων, τοῖς στοιχείοις κελεύων. οὐ τοίνυν αὐτὸς τῆς ἐκείνων αἴτιος ἀπιστίας. τί δήποτε τοίνυν ὁ Εὐαγγελιστὴς τὴν προφητικὴν τέθεικε μαρτυρίαν; ἵνα δείξῃ, ὡς οὐδὲν τούτων ἠγνόησεν ὁ δεσπότης Θεός, ἀλλὰ
Γ » πόῤῥωθεν αὐτὰ προηγόρευσεν. ἀκοῇ γάρ- Ἡσ. 6. 9.
» φησιν ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέ» ποντες βλέψητε καὶ οὐ μὴ ἴδητε. οὕτω νοητέον καὶ τὸ ἐνταῦθα κείμενον· οὐκ ἔδωκε » Κύριος ὁ Θεὸς ἡμῶν καρδίαν εἰδέναι, καὶ » ὀφθαλμοὺς βλέπειν, καὶ ὦτα ἀκούειν ἕως » τῆς ἡμέρας ταύτης. εἰ δὲ αὐτοῖς οὐκ ἔδωκε τὸ βλέπειν, καὶ τὸ ἀκούειν, καὶ τὸ λογίζεσθαι, τί δήποτε καὶ ἐπαρᾶται καὶ τιμωρεῖται τοὺς οὐχ ἑκόντας παρανομήσαντας;
Δ ἀλλὰ περιττὸν οἶμαι περὶ τούτου μηκύνειν. δῆλον γὰρ καὶ τοῖς ἄγαν ἀνοήτοις, ὡς ὁ τοσαύτην διδασκαλίαν προσενεγκών, οὐκ ἀφαιρεῖται τὸ βλέπειν, ἀλλὰ ποδηγεῖ, καὶ φωτίζει, καὶ τὴν εὐθεῖαν ὁδὸν ἐπιδείκνυσι. διδάσκει δὲ τοῦτο καὶ τὰ ἑξῆς. οὐχ ὑμῖν γάρ» φησι μόνοις ἐγὼ διατίθημι τὴν διαθήκην » καὶ τὴν ἀρὰν ταύτην, ἀλλὰ καὶ τοῖς ὧδε » οὖσι μεθ' ὑμῶν σήμερον ἔναντι Κυρίου τοῦ » Θεοῦ ὑμῶν, καὶ τοῖς μὴ οὖσιν ὧδε μεθ' ὑμῶν
Ε σήμερον. ὁ δὲ καὶ τῶν μελλόντων ἔσεσθαι προμηθούμενος, πῶς ἂν τῶν παρόντων καὶ δεχομένων τὸν νόμον ἠμέλησε; τί δήποτε δὲ καὶ ἐνομοθέτει τοῖς συνιέναι μὴ δυναμένοις; ἰστέον δὲ καὶ τοῦτο, ὡς καὶ τοῖς ἀνθρωπίνοις πολλάκις οἱ Προφῆται κέχρηνται λόγοις, ὡς μᾶλλον γνωριμωτέροις. εἰώθασι δέ τινες καὶ οἰκέταις ἐγκαλοῦντες καὶ μαθηταῖς, λέγειν· ἐτύφλωσεν ὁ Θεὸς τὴν καρδίαν σου, ἐκώφωσε τὰ ὦτά σου. τοιοῦ-
Ζ τόν τι ἐνταῦθα καὶ ὁ Προφήτης πεποίηκε, καὶ διὰ τῶν συνήθων λόγων τῆς ἀνοίας αὐτῶν κατηγόρησεν.

ΑΔΗΛΟΥ. Ὥσπερ γάρ φησιν ὁ μακάριος Ἰωάννης, (7) ἐάν τις στρατοπέδου προηγούμενος, τοῦ πολέμου βαρύσαντος, ἀναχωρήσας ἀπέλθῃ, παραδίδωσι τοῖς πολεμίοις τοὺς στρατιώτας, οὐκ αὐτὸς ὠθῶν, ἀλλὰ γυμνώσας τῆς ἑαυτοῦ βοηθείας· οὕτω καὶ
Η Θεός, τοὺς μὴ βουληθέντας δέξασθαι τὰ παρ'

(1) Διατὶ ταύτας τὰς ἀράς. ἐν ταῖς σημειώσ. τῆς ἐν Χαλ. ἐκδόσ. ὁ τὸ τοῦ Θεοδωρίτ. ἔθει κατάλληλ.
(2) Ἡς. ἡ αὐτ. τῷ κειμέν. συνᾴδουσα. (3) Διέθετο. ἡ αὐτ.
(4) Ὑμῖν. αἱ εἰρημ. ἐκδόσ. (5) Ὑμῖν. Ἡ ἐν Χαλ. ἐκδ.
(6) Καὶ ἀποτρέπει μέν. ἡ αὐτ. ὀρθότερ.
(7) Ἴσ. ὁ Χρυσός. ἀλλ' ἐν τοῖς τούτου ἐκδεδομ. οὐδὲν τοιοῦτον εὑρεῖν ἐδυνήθημεν.

παρ' αὐτῦ, ἀλλὰ πρώτως ἀποπηδήσαντας; ἀφῆκεν αὐτὲς, τὰ παρ' αὐτῦ πληρώσας. τοῖς ἐν αἰσθητοῖς ὀφθαλμοῖς τὰ γινόμενα θεωρῦντες, τοῖς τῆς διανοίας ἐκ ἐνητένιζον τῷ ταῦτα ποιῦντι. εἶτα τὰ συμβάντα αὐτοῖς ἐν μέσῳ προθεὶς, ἐπαγγέλλεται ἆθλον μὲν τοῖς κατορθῦσι, τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν· τιμωρίαν δὲ καὶ ἀρὰν τοῖς ἀπειθῦσιν. ἕκαςος γὰρ ὧν πράττει κομίζεται τὰ ἐπίχειρα. (1)

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἔθος γὰρ τῷ Θεῷ τυφλῦν τὰ νοήματα τῶν ἀπίςων. ἡ ἐν ἀπιςία συγκλείει τὰς ψυχικὰς αἰσθήσεις. ἡ δὲ εἰς Θεὸν πίςις καὶ ἀνοίγει, καὶ φωτίζει αὐτάς. ἐ τέτε ἐν αἴτιος αὐτὸς ὁ Θεὸς, ἀλλ' ἡ τῶν ἀνθρώπων σκληροκαρδία.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Δοκεῖ ἐναντίον πως εἶναι τὸ λεγόμενον. εἰ γὰρ αὐτοὶ ἐθεάσαντο πάντα ὅσα ἐποίησεν ὁ Κύριος τοῖς Αἰγυπτίοις, καὶ πάσας τὰς παραδόξες θεοσημείας, πῶς ὁ Θεὸς αὐτοῖς ἐκ ἔδωκε καρδίαν εἰδέναι; εἰ δὲ ὁ Θεὸς ἐκ ἔδωκεν, οἱ μὴ δεξάμενοι ἐχ ὑπαίτιοι. ἀλλὰ δῆλον, ὅτι πᾶσι δίδωσι φωτισμὸν τοῖς δέξασθαι βελομένοις. ἀλλ' εἴτις ἑκὼν μύσειε τὲς ὀφθαλμὲς, καὶ ἀνάξιον ἑαυτὸν τῆς δωρεᾶς καταςήσειεν, ἐχ ὁ Θεὸς αἴτιος, ἀλλ' ὁ μὴ δέξασθαι βεληθείς. τέτοις λέγεται μὴ διδόναι, ἐπειδήπερ μὴ ἔλαβον ἑκόντες. ἐ γὰρ βιάζεται ὁ Θεὸς τὴν προαίρεσιν, ἀλλ' ἑκέσιον τὸ ἀγαθὸν βέλεται.

ε. Καὶ ἤγαγεν ὑμᾶς τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ· ἐκ ἐπαλαιώθη τὰ ἱμάτια ὑμῶν, καὶ τὰ ὑποδήματα ὑμῶν ἐ κατετρίβη ἀπὸ τῶν ποδῶν ὑμῶν.

ΑΔΗΛΟΥ. Πρὸς τὸ καὶ ἐξ αὐτῶν τῶν ἐσθημάτων ἐντρέπεσθαι τὴν καρδίαν αὐτῶν τὴν ἐπιλήσμονα τῶν σημείων.

Γαλ. 3. 27. ✱✱ ΒΑΣΙΛΕΙΟΥ. Ὅσοι εἰς Χριςὸν ἐ-
» βαπτίσθητε, Χριςὸν ἐνεδύσασθε. τέτε τῦ
ἱματισμῦ σύμβολα ἦν τὰ ἱμάτια τῦ Ἰσραὴλ
» τὰ μὴ κατατριβέντα· ὅτι τὰ ἱμάτια ὑμῶν
» ἐ κατετρίβη, καὶ τὰ ὑποδήματα ἐν τοῖς
ποσὶν ὑμῶν ἐκ ἐπαλαιώθη· ἐπεὶ καὶ τὰ
ὑποδήματα σύμβολα ἦν τῆς ἑτοιμασίας τῦ
Ἐφεσ. 6. 15. εὐαγγελίε τῆς εἰρήνης. ἣν γὰρ δέδωκε
διαθήκην καινὴν Χριςὸς Ἰησῦς, μένει καινὴ μηδέποτε παλαιεμένη. ὅσον γὰρ χρώμεθα τέτῳ καὶ τοῖς ὑποδήμασι, τοσέτῳ καινότερα γίνεται, ἀεὶ προσφάτε καὶ νέας ἐπιγινομένης ἡμῖν τῆς ἑτοιμασίας τῦ Εὐαγγελίε ἐν τῇ προκοπῇ τῆς εἰς Χριςὸν πίςεως.

ς. Ἄρτον ἐκ ἐφάγετε, καὶ οἶνον
καὶ σίκερα ἐκ ἐπίετε, ἵνα γνῶτε ὅτι
ζ. ἐτος Κύριος ὁ Θεὸς ὑμῶν. Καὶ ἤλ-
θετε ἕως τῦ τόπε τέτε. καὶ ἐξῆλθε
A Σηὼν βασιλεὺς Ἐσεβὼν, καὶ Ὢγ
βασιλεὺς τῆς Βασὰν εἰς συνάντησιν
η. ὑμῖν ἐν πολέμῳ. Καὶ ἐπατάξαμεν
αὐτὲς, καὶ ἐλάβομεν τὴν γῆν αὐ-
τῶν, καὶ ἔδωκα αὐτὴν ἐν κλήρῳ τῷ
Ῥεβὶμ, καὶ τῷ Γαδδὶ, καὶ τῷ ἡμίσει
θ. φυλῆς Μανασσῆ. Καὶ φυλάξεσθε
ποιεῖν πάντας τὲς λόγες τῆς διαθή-
κης ταύτης, ἵνα συνῆτε πάντα ὅσα
ι. ποιήσετε. Ὑμεῖς ἑςήκατε ὧδε σήμε-
B ρον πάντες ἐναντίον Κυρίε τῦ Θεῦ
ὑμῶν, οἱ ἀρχίφυλοι ὑμῶν, καὶ ἡ γε-
ρεσία ὑμῶν, καὶ οἱ κριταὶ ὑμῶν, καὶ
οἱ γραμματοεισαγωγεῖς ὑμῶν, πᾶς
ια. ἀνὴρ Ἰσραήλ. Αἱ γυναῖκες ὑμῶν,
καὶ τὰ τέκνα ὑμῶν, καὶ ὁ προσήλυ-
τος ὁ ἐν μέσῳ τῆς παρεμβολῆς ὑμῶν,
ἀπὸ ξυλοκόπε ὑμῶν ἕως ὑδροφόρε
ιβ. ὑμῶν, Παρελθεῖν ἐν τῇ διαθήκῃ Κυ-
ρίε τῦ Θεῦ ὑμῶν, καὶ ἐν ταῖς ἀραῖς
αὐτῦ, ὅσα Κύριος ὁ Θεός σε διατίθε-
ιγ. ται πρὸς σὲ σήμερον· Ἵνα ςήσῃ σε
αὐτῷ εἰς λαὸν, καὶ αὐτὸς ἔςαι σε
Θεὸς, ὃν τρόπον εἶπέ σοι, καὶ ὃν τρό-
πον ὤμοσε τοῖς πατράσι σε τῷ Ἀ-
ιδ. βραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. Καὶ
Δ ἐχ ὑμῖν μόνοις ἐγὼ διατίθημι τὴν
διαθήκην ταύτην καὶ τὴν ἀρὰν ταύ-
ιε. την, Ἀλλὰ καὶ τοῖς ὧδε ἐσι μεθ'
ὑμῶν σήμερον ἔναντι Κυρίε τῦ Θεῦ
ἡμῶν, καὶ τοῖς μὴ ἐσιν ὧδε μεθ' ὑμῶν
ις. σήμερον. Ὅτι ὑμεῖς οἴδατε ὡς κα-
τῳκήσαμεν ἐν γῇ Αἰγύπτῳ, καὶ ὡς
παρήλθομεν ἐν μέσῳ τῶν ἐθνῶν, ἐς
ιζ. παρήλθετε. Καὶ ἴδετε τὰ βδελύγ-
E ματα αὐτῶν, καὶ τὰ εἴδωλα αὐτῶν,
ξύλον καὶ λίθον, ἀργύριον καὶ χρυ-
ιη. σίον, ἅ ἐςι παρ' αὐτοῖς. Μὴ τίς
ἐςιν (2) ἀνὴρ ἢ γυνὴ ἢ πατριὰ ἢ φυ-
λὴ, τίνος (3) ἡ διάνοια ἐξέκλινεν ἀπὸ
Κυρίε τῦ Θεῦ ὑμῶν, πορεύεσθαι λα-
τρεύειν τοῖς θεοῖς τῶν ἐθνῶν ἐκείνων·
μή τίς ἐςιν ἐν ὑμῖν ῥίζα ἄνω φύεσα
Z ἐν χολῇ καὶ πικρίᾳ·

ιθ. Καὶ ἔςαι ἐὰν ἀκέσητε (4) τὰ
ῥήματα τῆς ἀρᾶς ταύτης, καὶ ἐπι-
φημίσητε ἐν τῇ καρδίᾳ αὐτῦ, λέγων,
ὅσιά μοι ἐγένετο, (5) ὅτι ἐν τῇ ἀπο-
πλανήσει τῆς καρδίας με πορεύσο-
μαι, ἵνα μὴ συναπολέσῃ ὁ ἁμαρτω-
κ. λὸς τὸν ἀναμάρτητον· Οὐ μὴ θελ-
H σῃ ὁ Θεὸς εὐϊλατεύειν αὐτῷ, ἀλ

(1) Τὰ αὐτὰ ἄλλως πως καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ. τὸ δὲ ὁ μακάριος Ἰωάννης παρ τῷ ἐ κεῖται. (2) Ἐςὶν ἐν ὑμῖν. αἱ εἰρημ. ἐκδόσ. (3) Τινός. αἱ αὐτ.
(4) Ἀκέσῃ ... καὶ ἐπιφημίσηται. αἱ αὐτ. (5) Γένοιτο. αἱ αὐτ.

τότε ἐκκαυθήσεται ἡ ὀργὴ Κυρίου καὶ ὁ ζῆλος αὐτοῦ ἐν τῷ ἀνθρώπῳ ἐκείνῳ, καὶ κολληθήσονται ἐν αὐτῷ πᾶσαι αἱ ἀραὶ τῆς διαθήκης ταύτης, αἱ γεγραμμέναι ἐν τῷ βιβλίῳ τούτῳ· καὶ ἐξαλείψει Κύριος τὸ ὄνομα αὐτοῦ ἐκ
κα. τῆς ὑπὸ τὸν οὐρανόν. Καὶ διαστελεῖ
Κύριος αὐτὸν εἰς κακὰ ἐκ πάντων τῶν υἱῶν Ἰσραὴλ, κατὰ πάσας τὰς ἀρὰς τῆς διαθήκης τῆς γεγραμμένης ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, ἐάν τις ἀκούσῃ τὰ ῥήματα τῆς ἀρᾶς ταύτης, καὶ ἐπιφημίσηται ἐν τῇ καρδίᾳ αὐτοῦ, λέγων, ὅσιά μοι γένοιτο, ὅτι ἐν τῇ ἀποπλανήσει τῆς καρδίας μου πορεύσομαι; Τὸν κατὰ τῶν θείων θρασυνόμενον ἐντολῶν ὁ λόγος διέγραψε. πολλοὶ μὲν γὰρ διὰ ῥαθυμίαν τὸν θεῖον παραβαίνουσι νόμον· πολλοὶ δὲ δι' αὐθάδειαν καὶ τῦφον καταφρονοῦσι τῶν ἐντολῶν. τοῦτον ἐνταῦθα δεδήλωκεν, ὡς τὴν ἐναντίαν ὁδὸν προαιρούμενον, καὶ τὴν πλανῶσαν τῆς εὐθείας προκρίνοντα. τούτῳ τὸν ἔσχατον ἠπείλησεν ὄλεθρον· ὥστε καὶ τοῖς ὁρῶσι καὶ τοῖς ἀκούουσιν, εὐσεβείας (1) γενέσθαι παράδειγμα.

κβ. Καὶ ἐροῦσιν ἡ γενεὰ ἡ ἑτέρα οἱ υἱοὶ ὑμῶν, οἳ ἀναστήσονται μεθ' ὑμᾶς, καὶ ὁ ἀλλότριος ὃς ἔλθῃ ἐκ γῆς μακρόθεν, καὶ ὄψονται τὰς πληγὰς τῆς γῆς ἐκείνης καὶ τὰς νόσους αὐτῆς, ἃς ἀπέστειλε Κύριος ἐπ' αὐτήν,

ΑΔΗΛΟΥ. Γενεὰν ἑτέραν φησὶ, περὶ (Ψαλ. 47. 13.) ἧς καὶ ὁ ψαλμῳδός· διηγήσασθε εἰς γενεὰν ἑτέραν. λέγει δὲ ταύτην εἶναι τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν. αὕτη γὰρ ἑτέρα ἐστὶ παρὰ (2) τῶν υἱῶν Ἰσραήλ. ἥτις καὶ μετ' ἐκείνους ἀνέστη, ἀλλότριοι ὄντες Θεοῦ, καὶ εἰς γῆν πορευθέντες μακρὰν κατὰ τὸν ἄσωτον υἱόν· ἀλλ' ἐπιστρέψαντες πρὸς Κύριον ἐκ γῆς μακρόθεν, ὄψονται τὰς πληγὰς τῆς Ἰουδαίων γῆς καὶ τὰς νόσους αὐτῆς, ἃς ἀπέστειλε Κύριος ἐπ' αὐτήν. (3)

κγ. Θεῖον καὶ ἅλα κατακεκαυμένον· πᾶσα ἡ γῆ αὐτῆς οὐ σπαρήσεται, οὐδὲ ἀνατελεῖ, οὐδὲ μὴ ἀναβῇ ἐπ' αὐτὴν πᾶν χλωρόν· ὥσπερ κατεστράφη Σόδομα καὶ Γόμορρα, Ἀδαμὰ καὶ Σεβωῒμ, ἃς κατέστρεψε Κύριος ἐν θυμῷ καὶ ὀργῇ:

* ΠΡΟΚΟΠΙΟΥ. Γῆν οὐ τὴν αἰσθητήν· [ἑτέρα γὰρ οὐχ ἱστόρηται γῆ, πλὴν Σοδόμων καὶ Γομόρρας τὰ τοῦ πυρὸς καὶ τῶν ἄλλων ὑπομείνασα πάθη] ἀλλὰ τὴν τροπικῶς λεγομένην γῆν· ἥτις καὶ πάλαι καρποφόρος ὑπάρχουσα, μετεστράφη εἰς ἅλμην ἀπὸ κακίας τῶν ἐνοικούντων ἐν αὐτῇ, [καὶ γέγονε κατακεκαυμένη, ἐπειδὴ ταῖς (Ἡσ. 5. 6.) νεφέλαις ἐνετείλατο Κύριος τοῦ μὴ βρέχειν ὑετὸν ἐπ' αὐτήν. καὶ διαπορεύεται τὸ ἀκά- (Ματθ. 12. 43.) θαρτον πνεῦμα γῆν ὑπάρχουσαν ἄνυδρον καὶ ἔρημον Θεοῦ. ἥτις οὐ σπαρήσεται οὐδὲ ἀνατελεῖ, κἂν σπαρῇ πᾶν χλωρὸν ἐν αὐτῇ,] τὸ νέον βλάστημα τῆς εὐαγγελικῆς πολιτείας, διὰ τὴν κακίαν αὐτῆς δηλονότι, τῶν πετεινῶν ἁρπαζόντων τὸν σπόρον.

κδ. Καὶ ἐροῦσι πάντα τὰ ἔθνη, διατί ἐποίησε Κύριος οὕτω τῇ γῇ ταύτῃ; τίς ὁ θυμὸς τῆς ὀργῆς ὁ μέγας
κε. οὗτος; Καὶ ἐροῦσιν, ὅτι κατέλιπον
τὴν διαθήκην Κυρίου τοῦ Θεοῦ τῶν πατέρων αὐτῶν, ἃ διέθετο τοῖς πατράσιν αὐτῶν, ὅτε ἐξήγαγεν αὐτοὺς ἐκ γῆς Αἰγύπτου,

** ΠΡΟΚΟΠΙΟΥ. Ἔσται δὲ ὡς Σόδομα καὶ Γόμορρα, μᾶλλον δὲ ἀνεκτότερον ἔσται ταύταις, ἢ τῇ γῇ ἐκείνῃ· ἣν ὁρῶντες ἐκ γῆς μακρόθεν, τουτέστιν οἱ ποτὲ μακρὰν ἐθνικοὶ τοῦ Θεοῦ, ἐροῦσι τοῖς εἰδωλολάτραις, ὁρῶσί τε καὶ πυνθανομένοις, ὅτι κατέλειπον τὴν διαθήκην Κυρίου.

κς. Καὶ πορευθέντες ἐλάτρευσαν θεοῖς ἑτέροις, καὶ προσεκύνησαν οἷς οὐκ ἠπίσταντο, οὐδὲ διένειμεν αὐτοῖς·

ΑΔΗΛΟΥ. Τὸ, οὐδὲ διένειμεν αὐτοῖς, ἡρμήνευσεν ὁ Σύμμαχος, οὐδὲ προσῆκον αὐτοῖς. οὐδὲ γὰρ δεῖν προσήκει τὸν ἀληθινὸν Θεὸν καταλιμπάνειν, καὶ προσκυνεῖν εἰδώλοις.

κζ. Καὶ ὠργίσθη Κύριος θυμῷ ἐπὶ τὴν γῆν ἐκείνην ἐπαγαγεῖν ἐπ' αὐτὴν κατὰ πάσας τὰς ἀρὰς τῆς διαθήκης τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου.

κη. Καὶ ἐξῆρεν αὐτοὺς Κύριος ἀπὸ τῆς γῆς αὐτῶν ἐν θυμῷ καὶ ὀργῇ καὶ παροξυσμῷ μεγάλῳ σφόδρα, καὶ ἐξέβαλεν αὐτοὺς εἰς γῆν ἑτέραν ὡσεὶ νῦν.

ΑΔΗΛΟΥ. Τοῦτο γέγονε πάλαι μὲν ἐπὶ τοῦ Ναβουχοδονόσορ πρὸς βραχὺ, νυνὶ δὲ διηνεκῶς καὶ εἰς ἅπαν.

κθ. Τὰ κρυπτὰ Κυρίῳ τῷ Θεῷ ἡμῶν, τὰ δὲ φανερὰ ὑμῖν καὶ τοῖς τέκνοις ὑμῶν εἰς τὸν αἰῶνα, ποιεῖν πάντα τὰ ῥήματα τοῦ νόμου τούτου.

ΕΥΣΕΒΙΟΥ. Τὰ κρυπτά ἐστιν ὅσα μὴ τοῖς ἀνθρώποις ἐφανέρωσε. μετὰ ταῦτα προτρέπεται πάλιν αὐτοὺς, καὶ δίδωσιν ἀγαθῶν ἐπαγγελίας, εἰς ἀπόγνωσιν τοὺς ἁμαρτάνοντας μὴ συγχωρῶν καταπίπτειν.

ΘΕΟΔΩ.

(1) Ἀσεβείας. ἡ ἐν Χάλ. ἔκδ.

(2) Παρὰ τὴν τῶν. ὀρθότερ.

(3) Τὰ αὐτὰ ὁ Προκόπ. πλατύτερ. ἐν τῷ τῆς Αὐγ. κώδ.

ΘΕΟΔΩΡΙΤΟΥ. Διδάσκων δὲ αὐτοὺς, ὡς οὐδὲν ἀγνοεῖ τῶν λάθρα γινομένων, ἐπήγαγε· » τὰ κρυπτὰ Κυρίῳ τῷ Θεῷ ἡμῶν, » τὰ δὲ φανερὰ ὑμῖν καὶ τοῖς τέκνοις ὑμῶν. ὥσπερ, φησὶν, ὑμεῖς γινώσκετε τὰ προφανῶς γιγνόμενα, οὕτως ἐμοὶ δῆλα καὶ αὐτὰ τῶν λογισμῶν τὰ κινήματα.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰ δὲ βαρέα τὰ ἐπιτάγματα ταῦτα· τὸ μὴ ἀντιστῆναι τῷ πονηρῷ, τὸ δοῦναι τὴν ἄλλην σιαγόνα, τὸ προσαφεῖναι τὸ ἱμάτιον, τὸ ἀγαπᾷν τοὺς ἐχθρούς· ἐννόησον, ὅτι διὰ τοῦτο παρεγένετο ὁ Χριστὸς, ἵνα ταῦτα ἐν τῇ ἡμετέρᾳ ἐμφυτεύσῃ διανοίᾳ· ἵνα (1) ἐχθροὺς ὄντας, φίλους χρησίμους καταστήσῃ, καὶ διὰ τῆς ἀνεξικακίας καὶ τῆς λοιπῆς ἀρετῆς, Ἀγγέλους ἐπὶ τῆς γῆς, καὶ ἀπαθεῖς ἐν παθητῷ σώματι. ταῦτα, φησὶν, ἐστὶ τὰ κρυπτὰ τοῦ νόμου.

ΑΛΛΩΣ. Τὰ κρυπτὰ τὰ πνευματικά φησι τὴν ἐν Χριστῷ πολιτείαν, τὴν ἐν πνεύ-
A ματι ἁγίῳ λατρείαν. τοῦτο οὖν κατὰ προφητείαν, ὡς ἐν ἀπειλῇ κεῖται. ὅτι ἀλλότριοι ἔσονται διὰ τὴν σφῶν ἀπείθειαν τῆς νοερᾶς καὶ θειοτέρας τοῦ νόμου παιδείας, περὶ τὸ γράμμα μόνον, καὶ τὰς σωματικὰς παρατηρήσεις εἰλούμενοι, καὶ τὴν ἐξ ἐπιπολῆς ἀνάγνωσιν τοῦ νόμου. καὶ τοῦτο σαφηνίζων ὁ Παῦλος ἐν τῇ δευτέρᾳ πρὸς » Κορινθίους ἐπιστολῇ, φησί· καὶ οὐ καθάπερ » Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον 2. Κορ. 3. 13.
B » αὐτοῦ, πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσ» ραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου, καὶ τὰ λοιπά.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὰ κρυπτὰ Κυρίῳ » τῷ Θεῷ ὑμῶν, ἃ Χριστὸς ἐλθὼν εἰς ἀναπλήρωσιν τοῦ νόμου παρέδωκε, τὸ ἀγαπᾷν τοὺς ἐχθροὺς, καὶ τὰ τοιαῦτα. ἅπερ ἦν πάλαι τοῖς Ἰσραηλίταις ἀπόῤῥητα. δι' ἃ » καὶ τὸ κάλυμμα τῷ προσώπῳ Μωϋσῆς 2. Κορ. 3. 13. ἐπετίθετο, ὡς καὶ Παῦλος ἐν τῇ δευτέρᾳ
Γ πρὸς Κορινθίους φησί.

ΚΕΦ. Λ.

α. Καὶ ἔσται ὡς ἂν ἔλθωσιν ἐπὶ σὲ πάντα τὰ ῥήματα ταῦτα, ἡ εὐλογία καὶ ἡ κατάρα, ἣν δέδωκα πρὸ προσώπου σου, καὶ δέξῃ εἰς τὴν καρδίαν σου ἐν πᾶσι τοῖς ἔθνεσιν, οὗ ἐάν σε διασκορπίσῃ
β. Κύριος ὁ Θεός σου ἐκεῖ, Καὶ ἐπιστραφήσῃ ἐπὶ Κύριον τὸν Θεόν σου, καὶ ὑπακούσῃ τῆς φωνῆς αὐτοῦ κατὰ πάντα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ
γ. ὅλης τῆς ψυχῆς σου, Καὶ ἰάσεται Κύριος τὰς ἁμαρτίας σου, καὶ ἐλεήσει σε, καὶ πάλιν συνάξει σε ἐκ πάντων ἐθνῶν, εἰς οὓς διεσκόρπισέ σε Κύριος ἐκεῖ.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἰσάγει καὶ τὸν περὶ μετανοίας λόγον. ἐὰν γάρ φησι τὰς θείας παραβεβηκὼς ἐντολὰς, ταύταις ταῖς ἀραῖς περιπέσῃς, καὶ δορυάλωτος γενόμενος, τὸν τῆς δουλείας δέξῃ ζυγόν· εἶτα σώφρονι χρησάμενος λογισμῷ, τὰς τῆς δουλείας αἰτίας ἐπιζητήσῃς, καὶ ἐξιλεώσῃ τὸν νομοθέτην, οἴκτῳ χρώμενος ἐπανάξει σε, καὶ τὴν πατρῴαν ἀποδώσει σοι γῆν. καὶ τοῦτο πολλάκις γεγένηται. καὶ διδάσκει σαφῶς καὶ τῶν Κριτῶν ἡ βίβλος, καὶ τῶν Βασιλειῶν καὶ τῶν Παραλειπομένων ἡ ἱστορία. ὕστερον μέντοι κατὰ τοῦ Σωτῆρος λυττήσαντες, εἰς ἅπασαν μὲν γῆν καὶ θάλατταν διεσπάρησαν· τετρακοσίων δὲ διεληλυθότων ἐτῶν, οὐκ ἔτυχον ἀνακλήσεως.

» ΑΔΗΛΟΥ. Καὶ πάλιν συνάξει σε ἐκ » πάντων τῶν ἐθνῶν. Ταῦτα γέγονεν ἐπὶ Κύρου τοῦ Καμβύσου, ὅτε καὶ τὴν ἀπὸ Βαβυλῶνος αὐτοῖς ἐπανῆκεν ἐπάνοδον· νοητῶς δὲ τοῖς πιστεύσασι γέγονεν ἀληθῶς.
Δ αὐτὸς γὰρ ἰάσατο τὰς ἁμαρτίας ἡμῶν, καὶ ἠλέησεν ἡμᾶς, καὶ συνήγαγεν ἐκ πάντων τῶν ἐθνῶν, εἰς οὓς ἐσκόρπισεν ἡμᾶς· οὐκ αὐτοῦ τοῦτο θελήσαντος, ἀλλ' ἡμῶν τοῦτο προειλομένων, αὐτὸς συνεχώρησε· καὶ συναγαγὼν δέδωκεν ἡμῖν τὴν γῆν, ἣν ἐκληρονόμησαν οἱ πατέρες ἡμῶν, καθαρίσας ἡμᾶς τῷ λουτρῷ τῆς παλιγγενεσίας. (2)

δ. Ἐὰν ᾖ ἡ διασπορά σου ἀπ' ἄκρου
E τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξει σε Κύριος ὁ Θεός σου, καὶ ἐκεῖθεν λήψεταί σε Κύριος ὁ Θεός σου.
ε. Καὶ εἰσάξει σε Κύριος ὁ Θεός σου εἰς τὴν γῆν, ἣν ἐκληρονόμησαν οἱ πατέρες σου· καὶ κληρονομήσεις αὐτὴν, καὶ εὖ σε ποιήσει, καὶ πλεοναστόν σε ποιήσει ὑπὲρ τοὺς πατέρας σου.

Z ΑΝΕΠΙΓΡΑΦΟΥ. Μᾶλλον ἐκ τούτου τοῦ ῥητοῦ ἀπαλώμενοι ἐλπίζουσιν οἱ Ἰουδαῖοι κρατεῖν τῆς γῆς αὐτῶν, πάντα πρὸς τὸ γράμμα νοοῦντες.

ς. Καὶ περικαθαριεῖ Κύριος τὴν καρδίαν σου, καὶ τὴν καρδίαν τοῦ σπέρματός σου, ἀγαπᾷν Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, ἵνα ζήσῃς σὺ

(1) Ἵνα καὶ ἐχθροῖς καὶ φίλοις χρησίμους κατασκευάσῃ. ἐν τῇ 18. Ὁμιλ. τῇ εἰς τὸ 5. κ[εφ.] Ματθ. ὅπου τά τε ἀπὸ τοῦ, τὸ μὴ ἀντιστῆναι, ἄχρι τοῦ, τοὺς ἐχθροὺς, καὶ τὰ ἀπὸ τοῦ, δια[...] ἀνεξικακίας, ἄχρι τέλους, μόνα κεῖται.

(2) Τὰ αὐτὰ κατ' ἐπιτομὴν καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

ζ. τὸ σπέρμα σου. Καὶ δώσει Κύριος ὁ Θεός σου τὰς ἀρὰς ταύτας ἐπὶ τοὺς ἐχθρούς σου, καὶ ἐπὶ τοὺς μισοῦντάς σε, οἳ ἐδίωξάν σε.

** ΚΛΗΜΕΝΤΟΣ. Ἄγει ἐπὶ μετάνοιαν, σωτηρίας χάριν τῆς ἡμῶν. διὰ τοῦ » τό φησιν· ἐὰν μετανοήσῃς, περικαθαριεῖ » Κύριος τὴν καρδίαν σου, καὶ τὴν καρδίαν » τοῦ σπέρματός σου.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἵνα ζῇς σύ. ζωὴ γὰρ ἀΐδιος τὸ εἶναι καθαροὺς τῇ καρδίᾳ, καὶ ἀγαπᾶν τὸν Θεὸν ἀδιστάκτως. ὅτε καὶ δίδωσι τὰς ἀρὰς ἐπὶ τοὺς ἐχθροὺς ἡμῶν,
Ψαλ. 53. 7, 5. ἵνα ψάλλωμεν· ἐξομολογήσομαί σοι Κύριε, » ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με, καὶ ἐν » τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου· » καί, αὐτὸς ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, δηλαδὴ τοῖς νοητοῖς.

η. Καὶ σὺ ἐπιστραφήσῃ καὶ εἰσακούσῃ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, καὶ ποιήσεις τὰς ἐντολὰς αὐτοῦ, ἃς
θ. ἐγὼ ἐντέλλομαί σοι σήμερον. Καὶ πολυορίσει σε (1) Κύριος ὁ Θεός σου ἐν παντὶ ἔργῳ τῶν χειρῶν σου, καὶ ἐν τοῖς ἐκγόνοις τῆς κοιλίας σου, καὶ ἐν τοῖς ἐκγόνοις τῶν κτηνῶν σου, καὶ ἐν τοῖς γεννήμασι τῆς γῆς σου, ὅτι ἐπιστρέψει σε Κύριος ὁ Θεός σου εὐφρανθῆναι ἐπὶ σὲ εἰς ἀγαθά, καθότι εὐφράν-
ι. θη ἐπὶ τοῖς πατράσι σου· Ἐὰν εἰσακούσῃ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, φυλάσσεσθαι καὶ ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ δικαιώματα αὐτοῦ, καὶ τὰς κρίσεις αὐτοῦ τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου· ἐὰν ἐπιστραφῇς ἐπὶ Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου.

ια. Ὅτι ἡ ἐντολὴ αὕτη, ἣν ἐγὼ ἐντέλλομαί σοι σήμερον, οὐχ ὑπέρογκός ἐστιν, οὐδὲ μακρὰν ἀπὸ σοῦ ἐστιν.
ιβ. Οὐκ ἐν τῷ οὐρανῷ ἄνω ἐστί, λέγων, τίς ἀναβήσεται ἡμῶν εἰς τὸν οὐρανόν, καὶ λήψεται ἡμῖν αὐτήν, καὶ ἀκού-
ιγ. σαντες αὐτὴν ποιήσομεν; Οὐδὲ πέραν τῆς θαλάσσης ἐστί, λέγων, τίς διαπεράσει ἡμῖν εἰς τὸ πέρας τῆς θαλάσσης, καὶ λήψεται ἡμῖν αὐτήν, καὶ ἀκούσαντες αὐτὴν ποιήσομεν;

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Φησὶν ὁ Ἰωάν-
1. Ἰωάν. 5. 3. νης ὁ τῆς βροντῆς· καὶ αἱ ἐντολαὶ αὐτοῦ
Ματθ. 11. 30. βαρεῖαι οὐκ εἰσί· καὶ ὁ Χριστός, ὁ ζυγός μου σός ἐστι, καὶ τὰ ἑξῆς.

ΕΟΔΩΡΙΤΟΥ. Ἐπέδειξε δὲ καὶ τῆς όμων φυλακῆς τὴν εὐκολίαν· ἡ ἐν- ὴ γάρ φησιν αὕτη, ἣν ἐγὼ ἐντέλλομαί-

Α » σοι σήμερον, οὐχ ὑπέρογκος, οὐδὲ μακράν » ἐστιν ἀπὸ σοῦ. οὐκ ἐν τῷ οὐρανῷ ἐστί, λέγων, » τίς ἀναβήσεται εἰς τὸν οὐρανόν, καὶ λήψεται ἡμῖν αὐτήν, καὶ ἀκούσαντες αὐτὴν » ποιήσομεν; οὐδὲ πέραν τῆς θαλάσσης, λέ- » γων, τίς διαπεράσει εἰς τὸ πέραν τῆς θα- » λάσσης, καὶ λήψεται ἡμῖν αὐτήν, καὶ ποιήσομεν; οὔτε πλεῶν σοι, φησί, χρεία εἰς πλῆσιν, οὔτε πλοίων εἰς ἀποδημίαν, ἵνα διδαχθῇς τὸ πρακτέον.

Β ιδ. Ἐγγύς σου ἐστὶ τὸ ῥῆμα σφόδρα ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, καὶ ἐν ταῖς χερσί σου αὐτὸ ποιεῖν.

» ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλ' ἐγγύς σου τὸ ῥῆ- » μα σφόδρα ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρ- » δίᾳ σου, καὶ ἐν ταῖς χερσί σου ποιεῖν αὐτό. Δηλοῖ δὲ διὰ μὲν τοῦ στόματος, τὴν τῶν θείων λογίων μελέτην· διὰ δὲ τῆς καρδίας, τὴν τῆς ψυχῆς προθυμίαν· διὰ δὲ
Γ τῶν χειρῶν, τὴν πρᾶξιν τῶν ἐντολῶν. ταύτῃ τῇ μαρτυρίᾳ καὶ ὁ θεῖος ἐχρήσατο Παῦ-
» λος· ἐὰν γάρ φησιν ὁμολογήσῃς ἐν τῷ στό- Ῥωμ. 10. 9, 10.
» ματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ » καρδίᾳ σου, ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ » νεκρῶν, σωθήσῃ. καρδίᾳ γὰρ πιστεύεται » εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. τέθεικε δὲ καὶ τῆς τῶν νόμων φυλακῆς, καὶ τῆς παραβάσεως τὰ ἆθλα, καὶ τὴν ζωήν, καὶ τὸν θάνατον.

Δ » ** ΒΑΣΙΛΕΙΟΥ. Ἐγγύς σου ἐστὶ τὸ ῥῆ- » μα ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου.
» καὶ ὁ Κύριος δὲ ἡμῶν, ἡ βασιλεία τοῦ Θεοῦ, Λουκ. 17. 21.
» φησίν, ἐντὸς ὑμῶν ἐστί. τὰ μὲν οὖν κρείττονα, καὶ δι' ὧν ἡ σωτηρία, ἐγγὺς ἡμῶν ἐστὶ καὶ ἐντός· τὰ δὲ ἐναντία, ἡμῖν πόῤῥωθεν ἔρχεται, ἐκτὸς ἡμῶν τυγχάνοντα. οὐ γὰρ τῇ κατασκευῇ ἡμῶν συνυπάρχει ἡ ἁμαρτία, ἀλλ' ὕστερον ἐπιγεγένηται.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Παγκά-
Ε λους καὶ τὰς εἰς μετάνοιαν ὑφηγήσεις ποιεῖται, αἷς διδασκόμεθα μεθαρμόζεσθαι τὸν βίον ἐξ ἀναρμοστίας εἰς τὴν ἀμείνω μεταβολήν. φησὶ γάρ, ὅτι τουτὶ τὸ πρᾶγμα οὐχ ὑπέρογκόν ἐστιν, οὔτε κατὰ τὸν αἰθέρα ἀνωτάτω, καὶ ἐσχατιαῖς τῆς μεγάλης θαλάττης, ὡς ἀδυνατῆσαι λαβεῖν· ἀλλ' ἔστιν ἐγγυτάτω, τρισὶ μέρεσι τῶν καθ' ἡμᾶς ἐνδιαιτώμενον, στόματι, καὶ καρδίᾳ, καὶ χερσί· διὰ συμβόλων, λόγοις καὶ βουλαῖς καὶ πρά-
Ζ ξεσι. λόγου μὲν στόμα σύμβολον, καρδία δὲ βουλευμάτων, πράξεων δὲ χεῖρες. ἐν οἷς τὸ εὐδαιμονεῖν ἐστιν. ὅταν μὲν γὰρ οἷος ὁ λόγος, τοιάδε ἡ γνώμη, καὶ οἷον τὸ βούλευμα, τοιάδε ἡ πρᾶξις, ἐπαινετὸς καὶ τέλειος ὁ βίος· ὅταν δὲ στασιάζῃ ταῦτα ἐν ἀλλήλοις, ἀτελής τε καὶ ψεκτός. εἰ μή τις τῆς ἁρμονίας ταύτης ἐπιλάθοιτο, εὐαρεστήσει Θεῷ, γενόμενος ὁμοῦ καὶ θεοφιλὴς καὶ φιλόθεος.

Η ιε. Ἰδοὺ δέδωκα πρὸ προσώπου σου σήμερον τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν.

ΩΡΙΓΕ-

(1) Πολυωρήσει σε. ἡ τοῦ Ἀλδ. ἔκδ. ἐν ταῖς σημειώσ. τῆς ἐν Φραν.

A ✱✱ ΩΡΙΓΕΝΟΥΣ. Ἐπὰν λέγηται ἐν
» τῷ νόμῳ· δέδωκα πρὸ προσώπου σου τὴν
Ἰωάν. 11. 25. ζωήν, περὶ τοῦ εἰπόντος, ἐγώ εἰμι ἡ ζωή,
ταῦτά φησιν ἡ Γραφή, καὶ περὶ τοῦ ἐχθροῦ
αὐτοῦ θανάτου. ὧν τὸ ἕτερον ἕκαστος ἡμῶν
δι' ὧν πράττει ἀεὶ ἐκλέγεται.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Οὐκοῦν τὸ
μὲν ἀγαθὸν καὶ ἡ ἀρετή ἐστιν ἡ ζωή, τὸ δὲ
κακὸν καὶ ἡ κακία ὁ θάνατος.

» ✱✱ ΚΛΗΜΕΝΤΟΣ. Ἰδοὺ τέθεικα πρὸ
» προσώπου ὑμῶν, φησί, τὸν θάνατον καὶ τὴν
ζωήν. Πειράζει σε ὁ Κύριος ἐκλέξασθαι
τὴν ζωήν· συμβουλεύει σοι ὡς πατὴρ πεί-
θεσθαι τῷ Θεῷ.

» ✱✱ ΒΑΣΙΛΕΙΟΥ. Ἔθηκα πρὸ προσώ-
» που σου τὴν ζωὴν καὶ τὸν θάνατον. τὸ ἀγα-
» θὸν καὶ τὸ κακόν· δύω φύσεις ἀντικειμέ-
νας ἀλλήλαις· ἀντιστάθμησον αὐτὰς ἐπὶ
τοῦ οἰκείου σεαυτοῦ κριτηρίου· ζυγοστάτησον
ἀκριβῶς τί σοι λυσιτελέστερον, τὴν πρόσ-
καιρον ἑλέσθαι ἡδονήν, καὶ δι' αὐτῆς τὸν
αἰώνιον λαβεῖν θάνατον, ἢ τὴν ἐν τῇ ἀσκή-
σει τῆς ζωῆς ἑλόμενον κακοπάθειαν, ταύτῃ
προξένῳ χρήσασθαι τῆς αἰωνίου τρυφῆς.

ις. Ἐὰν δὲ εἰσακούσητε τὰς ἐντο-
λὰς Κυρίου τοῦ Θεοῦ ὑμῶν, ὅσας ἐγὼ
ἐντέλλομαι ὑμῖν σήμερον, ἀγαπᾷν
Κύριον τὸν Θεόν σου, πορεύεσθαι ἐν
πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ φυλάσ-
σειν τὰ δικαιώματα αὐτοῦ, καὶ τὰς
κρίσεις αὐτοῦ· καὶ ζήσεσθε, καὶ πολ-
λοὶ ἔσεσθε, καὶ εὐλογήσει σε Κύριος
ὁ Θεός σου ἐν πάσῃ τῇ γῇ, εἰς ἣν πο-
ιζ. ρεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν. Καὶ
ἐὰν μεταστῇ ἡ καρδία σου, καὶ μὴ εἰσα-
κούσῃς, καὶ πλανηθεὶς προσκυνήσεις
Θεοῖς ἑτέροις καὶ λατρεύσεις αὐτοῖς,
ιη. Ἀναγγέλλω σοι σήμερον, ὅτι ἀπωλείᾳ
ἀπολεῖσθε, καὶ οὐ μὴ πολυήμεροι γέ-
νησθε ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεὸς
δίδωσί σοι, εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν
Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν.

ιθ. Διαμαρτύρομαι ὑμῖν σήμερον
τόν τε οὐρανὸν καὶ τὴν γῆν, τὴν ζωὴν
καὶ τὸν θάνατον δέδωκα πρὸ προσώ-
που ὑμῶν, τὴν εὐλογίαν καὶ τὴν κα-
τάραν. ἔκλεξαι τὴν ζωήν, ἵνα ζήσῃς
σὺ καὶ τὸ σπέρμα σου.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τὸν οὐρανὸν καὶ
τὴν γῆν διαμαρτύρασθαι προσετάχθη; Οὐκ
ἐπειδὴ ἔμψυχα ταῦτα καὶ λογικά, ἀλλ' ὅτι
πάντων ἐστὶ τῶν κτιστῶν περιεκτικά. τοῦτο
» καὶ Ἡσαΐας ὁ προφήτης πεποίηκεν. ἄκουε Ἡσ. 1. 2.
» γάρ φησιν οὐρανέ, καὶ ἐνωτίζου γῆ, ὅτι Κύ-
» ριος ἐλάλησε. τοῦτο καὶ ὁ θεῖος Ἱερεμίας·
» ἐξέστη γάρ φησιν ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ Ἰερ. 2. 12.
» ἔφριξεν ἐπὶ πλεῖον ἡ γῆ, λέγει Κύριος.
ἐπειδὴ γὰρ εἰς μαρτυρίαν αὐτὰ τῆς ἀπει-
B λῆς ὁ νομοθέτης ἐκάλεσεν, εἰκότως μετὰ
τὴν τῶν νόμων παράβασιν, καὶ φρίξαι λέ-
γεται καὶ ἐκστῆναι. οὕτω καὶ ὁ Ἰακὼβ καὶ
» ὁ Λάβαν τὸν βουνὸν ὠνόμασαν, βουνὸν τῆς Γεν. 31. 47.
μαρτυρίας· καὶ Ἀβραὰμ ὁ πατριάρχης,
καὶ Ἀβιμέλεχ τῶν Γεράρων ὁ βασιλεύς,
» φρέαρ τοῦ ὅρκου, ὡς ἐκεῖ μεθ' ὅρκου ποιη- Γεν. 21. 31.
σάμενοι τὰς συνθήκας.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀμέλει διὰ τοῦτο,
παραβάντων αὐτῶν καὶ εἰδωλολατρευσάν-
Γ των, ἐν τοῖς Κριταῖς (1) εὐκαίρως ὁ συγ-
» γραφεὺς ἐπιμέμνηται, λέγων· καὶ χεὶρ Κριτ. 2. 15.
» Κυρίου εἰς κακὰ ἐπ' αὐτούς, καὶ τὰ ἑξῆς.

κ. Ἀγαπᾷν Κύριον τὸν Θεόν σου,
εἰσακούειν τῆς φωνῆς αὐτοῦ, καὶ ἔχεσθαι
αὐτοῦ, ὅτι τοῦτο ἡ ζωή σου καὶ ἡ μα-
κρότης τῶν ἡμερῶν σου, κατοικεῖν σε
ἐπὶ τῆς γῆς, ἧς ὤμοσε Κύριος τοῖς
Δ πατράσι σου Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ
Ἰακὼβ δοῦναι αὐτοῖς.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὅρος ἀθα-
νάτου βίου κάλλιστος οὗτος, ἔρωτι καὶ φιλίᾳ
Θεοῦ ἀσάρκῳ καὶ ἀσωμάτῳ κατεσχῆσθαι.

✱ ΠΡΟΚΟΠΙΟΥ. Τοῦτο οὖν ἐστὶ τὸ ξύ-
λον τῆς ζωῆς ἡ ἀγάπη τοῦ Θεοῦ· ὥσπερ οὖν
τὸ ξύλον τοῦ θανάτου ἡ παρακοή.

ΑΔΗΛΟΥ. Οὐ γὰρ ὁ ἐπικυλισμὸς τού-
E των τῶν ἡμερῶν μακρότητα ζωῆς τῷ σο-
φῷ ἀπαρτίζει. ἀλλὰ γὰρ καὶ ταύτας ἐκ-
δῦναι σπεύδων, τρόπον τινὰ δυσχεραίνει,
» λέγων· οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύν- Ψαλ. 119. 5.
θη. οὐκοῦν (2) τὸ ἀγαθὸν τῆς ζωῆς, καὶ
μακρὸν τῶν ἡμερῶν τοῦ δικαίου κατὰ χρό-
νον προσήκει νοεῖν. οὐ πάντες οἱ πολυ-
χρόνιοι μακρύνουσιν ἡμέραν, ἀλλ' οἱ με-
γαλύνοντες αὐτὰς τῷ μεγέθει τῆς κα-
λῆς πράξεως. διὸ καὶ ὁ Ἰακὼβ ὥσπερ ἐξο-
Ζ » μολογούμενος, φησίν· αἱ ἡμέραι μου μικραὶ Γεν. 47. 9.
» καὶ πονηραί.

ΚΕΦ. ΛΑ.

α. Καὶ συνετέλεσε Μωϋσῆς λα-
λῶν πάντας τοὺς λόγους
τούτους πρὸς πάντας υἱοὺς
Ἰσραήλ.
β. Καὶ εἶπε πρὸς αὐτούς, ἑκατὸν
καὶ εἴκοσι ἐτῶν ἐγώ εἰμι σήμερον· οὐ
δυνήσομαι ἔτι εἰσπορεύεσθαι καὶ ἐκ-
πορεύεσθαι. Κύριος δὲ εἶπε πρός με,
οὐ διαβήσῃ τὸν Ἰορδάνην τοῦτον.

ΑΔΗΛΟΥ. Ἐπειδὴ ὅτε παρέστη [illegible]
H ραῷ ὀγδοήκοντα ἐτῶν ἦν, τεσσαρ[illegible]
δὲ ἔτη ἐν τῇ ἐρήμῳ ἐποίησε. τα[illegible]

(1) Ἐν τοῖς Κριταῖς λέγεται, καὶ χείρ, κτ. ὁ τῆς Αὐγ. κώδ.
(2) Οὐκοῦν. κατάλληλ. ἄλλως γὰρ προσθετέον τὴν ἄρνησιν· οὐ κατὰ χρόνον.

Αἰγύπτῳ σημεῖα, ἤγουν ἀφ' ἧς ἡμέρας συνέτυχον οἱ περὶ Μωϋσῆν τῷ Φαραῷ, ἕως τῆς τῶν πρωτοτόκων τελευτῆς τεσσαράκοντα ἡμέραι διῆλθον. ὅτε οὖν ὁ ἀμνὸς ἐσφάζετο, καὶ ἐξῆλθον ἐξ Αἰγύπτου. τότε καὶ τῇ ἑξῆς ἔφαγον τὰ ἄζυμα. ἔστι δὲ οὕτω· μία ἡμέρα, ἐν ᾗ συνέτυχον Φαραῷ οἱ περὶ Μωϋσῆν· δευτέρᾳ εὐθὺς τῇ ἑξῆς διεσπάρη ὁ λαὸς συλλέξαι ἄχυρα· τρίτῃ τῇ ἑξῆς ἦλθον καταβοῶντες πρὸς Φαραὼ, διὰ τὸ ἀπαιτεῖσθαι ἄχυρον· τετάρτῃ τῇ ἑξῆς, εὐξάμενος Μωϋσῆς ἐκ προστάγματος τοῦ Θεοῦ, εἶπε τῷ Ἰσραὴλ, ὅτι ἐξάξει ὑμᾶς ὁ Θεὸς ἐξ Αἰγύπτου· πέμπτῃ εὐθὺς οἱ περὶ Μωϋσῆν εἰσῆλθον πρὸς Φαραὼ, ὅτε ἐποίησε τὴν ῥάβδον ὄφιν· ἕκτῃ τῇ ἑξῆς, τὸ ὕδωρ εἰς αἷμα· εἶτα ἀνεβάλοντο τὰς μέσας ἡμέρας, ὅ ἐστι δωδεκάτη καὶ δεκάτη τρίτη· τότε ἀνέβη ὁ βάτραχος· δεκάτῃ τετάρτῃ ἀπέθανον οἱ βάτραχοι· δεκάτῃ πέμπτῃ, σκνῖπες· δεκάτῃ ἕκτῃ συνέτυχον οἱ περὶ Μωϋσῆν Φαραῷ· δεκάτῃ ἑβδόμῃ ἡ κυνόμυια ἦλθε· δεκάτῃ ὀγδόῃ ἀπέστη ἡ κυνόμυια· δεκάτῃ ἐννάτῃ ἐθανατώθη τὰ κτήνη· εἰκοστῇ ἀναζέουσι φλυκτίδες· εἰκοστῇ πρώτῃ ἀπειλεῖ τῆς ἐπομένης χαλάζης αὔριον· εἰκοστῇ δευτέρᾳ ἡ χάλαζα· εἰκοστῇ τρίτῃ ἡ ἀκρίς· εἰκοστῇ τετάρτῃ ἕως τῆς εἰκοστῆς ἑβδόμης τὸ τριήμερον σκότος. λοιπὸν ὁ πρῶτος μὴν, ὡς ὁ Κύριός φησιν ἐν τῷ δω-
Ἐξόδ. ιβ. 2, 3. δεκάτῳ ἀριθμῷ τῆς Ἐξόδου, ὁ μὴν οὗτος
» ἀρχὴ μηνῶν. λάλησον τοῖς υἱοῖς Ἰσραὴλ,
» λέγων, τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέ-
» τωσαν ἕκαστος πρόβατον· ὅ ἐστι τριακοστὴ ἕκτη ἡμέρα. εἶτα μετὰ τέσσαρας ἡμέρας ἔσφαξαν τὸ πρόβατον, καὶ ἔφαγον ὀψέ· ὡς εἶναι τῇ τεσσαρακοστῇ καθ' ἣν ἐθανατώθησαν τὰ πρωτότοκα Αἰγύπτου περὶ μέσας νύκτας. τότε ἐξῆλθον οἱ υἱοὶ Ἰσραήλ.

γ. Κύριος ὁ Θεὸς ὁ προπορευόμενος πρὸ προσώπου σου, αὐτὸς ἐξολοθρεύσει τὰ ἔθνη ταῦτα πρὸ (1) προσώπου σου, καὶ κατακληρονομήσεις αὐτούς· καὶ Ἰησοῦς ὁ προπορευόμενος πρὸ προσώπου σου, καθὰ ἐλάλησε Κύριος.
δ. Καὶ ποιήσει Κύριος αὐτοῖς, καθὼς
ἐποίησε Σηὼν καὶ Ὢγ τοῖς δυσὶ βα-
σιλεῦσι τῶν Ἀμοῤῥαίων, οἳ ἦσαν πέ-
ραν τοῦ Ἰορδάνου, καὶ τῇ γῇ αὐτῶν, κα-
ε. θότι ἐξωλόθρευσεν αὐτούς, Καὶ πα-
ρέδωκεν αὐτοὺς Κύριος ἐνώπιον ὑμῶν·
καὶ ποιήσετε αὐτοῖς, καθὰ ἐνετειλά-
ς. μην ὑμῖν. Ἀνδρίζου καὶ ἴσχυε, μὴ φοβοῦ,
μηδὲ δειλία, μηδὲ πτοηθῇς ἀπὸ προ-
σώπου αὐτῶν· ὅτι Κύριος ὁ Θεός σου ὁ
[illegible]οπορευόμενος μεθ' ὑμῶν ἐν ὑμῖν, οὐ
[illegible]ε ἀνῇ, οὐδ' οὐ μή σε ἐγκαταλίπῃ.
[illegible] Καὶ ἐκάλεσε Μωϋσῆς Ἰησοῦν,
εἶπεν αὐτῷ ἐναντίον παντὸς Ἰσ-

A ραὴλ, ἀνδρίζου καὶ ἴσχυε, σὺ γὰρ εἰσελεύσῃ πρὸ προσώπου τοῦ λαοῦ τούτου εἰς τὴν γῆν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς, καὶ σὺ κατακληρονομήσεις αὐτούς.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἐπειδὴ ἄριστος ὢν ὁ φοιτητὴς αὐτοῦ καὶ μαθητὴς τῶν ἀξιεράστων ἠθῶν Ἰησοῦς, ἀρχῶν ἐδοκιμάσθη κριτηρίοις θείοις· οὐχ ὥσπερ ἂν
B ἔνιοι ἐπὶ τῷ μὴ τοὺς υἱοὺς ἢ τοὺς ἀδελφοὺς αἱρεθῆναι κατήφησε Μωϋσῆς, ἀλλ' ὑποπλησθεὶς ἀλέκτου χαρᾶς, ὅτι μελλήσει τὸ ἔθνος ἐπιτρόπῳ χρῆσθαι τὰ πάντα ἀρίστῳ· καλὸν γὰρ καὶ ἀγαθὸν ἐξ ἀνάγκης ᾔδει τὸν εὐάρεστον Θεῷ· λαβόμενος τῆς τούτου δεξιᾶς, παράγει μὲν αὐτὸν εἰς ἠθροισμένον τὸ πλῆθος, μηδὲν περὶ τῆς αὐτοῦ τελευτῆς εὐλαβηθεὶς, ἀλλὰ ταῖς ἀρχαίαις εὐφροσύναις νέας ἑτέρας προσειληφὼς, ἐκ
Γ τῆς κατὰ ψυχὴν εὐθυμίας φαιδρὸς καὶ γεγηθὼς, φησίν· ἐμοὶ μὲν ἀπαλλάττεσθαι καιρὸς ἤδη τῆς ἐν σώματι ζωῆς· ὁ δὲ τῆς ἡμετέρας ἐπιτροπῆς διάδοχος οὗτός ἐστιν αἱρεθεὶς ὑπὸ Θεοῦ. καὶ τὰ χρησθέντα λόγια τῆς δοκιμασίας εὐθὺς ἐξεῖπεν, οἷς ἐπίστευσαν. καὶ πρὸς τὸν Ἰησοῦν ἀποβλέψας, ἀνδραγαθίζεσθαι παραινεῖ καὶ σφόδρα ἰσχύειν ἐν ταῖς εὐβουλίαις, ἀγαθὰς μὲν γνώμας εἰσηγούμενον, ἀνενδότοις δὲ καὶ ἐῤῥωμένοις
Δ λογισμοῖς τὰ γνωσθέντα καλῶς τελειοῦντα. καὶ ταῦτ' ἔλεγεν ἴσως οὐ δεομένῳ παραινέσεως, ἀλλὰ τὸ φιλάλληλον καὶ φιλοεθνὲς πάθος οὐ στέγων· ὑφ' οὗ τρόπον τινὰ κεντριζόμενος, ἃ συνοίσειν ἐνόμιζεν ἀπεγύμνου. ἣν δὲ καὶ χρησμὸς αὐτῷ παρακαλέσαι τὸν διάδοχον, καὶ εὐθαρσέστατον ἀπεργάσασθαι πρὸς τὴν τοῦ ἔθνους ἐπιμέλειαν, τὸ βάρος μὴ καταδείσαντα τῆς ἀρχῆς, ἵνα τοῖς ἔπειτα γένηται κανὼν καὶ νόμος ἅπασιν ἡγε-
E μόσι, πρὸς παράδειγμα Μωϋσῆν ἀποβλέπουσι· καὶ μηδεὶς φθονῇ βουλευμάτων ἀγαθῶν τοῖς διαδόχοις, ἀλλ' ὑποθήκαις καὶ παραινέσεσι τὰς ψυχὰς αὐτῶν ἀλείφωσι καὶ συγκροτῶσι.

ΚΥΡΙΛΛΟΥ. Συνεσταλμένου δὲ ὥσπερ Μωϋσέως, καὶ ἐκ μέσου λοιπὸν γεγονότος, ἀνέφυ τρόπον τινὰ, καὶ καθηγητὴς ἐφ' ἡμᾶς ἀνεδείχθη Χριστός· δι' οὗ καὶ ἐν ᾧ εἰς τὴν τῶν οὐρανῶν βασιλείαν εἰσκεκομισμέ-
Z νοι, τὴν τοῖς ἀπεράντοις αἰῶσι συντρέχουσαν εὐημερίαν ἀποληψόμεθα, τὴν εὐαγῆ καὶ ὁσίαν καὶ ἁπάσης κακίας ἀπηλλαγμένην διαβιοῦντες ζωήν.

η. Καὶ Κύριος ὁ συμπορευόμενός σοι μετὰ σοῦ, οὐκ ἀνήσει σε, οὐδ' οὐ μὴ ἐγκαταλίπῃ σε. μὴ φοβοῦ, μηδὲ δειλία.

** ΚΥΡΙΛΛΟΥ. Ὅτι δὲ συναθλήσε-
H ται καὶ συνεργάσεται πρὸς πᾶν ὁτιοῦν ὁ Θεὸς καὶ πατὴρ καθ' ἡμᾶς γεγονότι τῷ υἱῷ, καθίστησιν ἐναργὲς, προσεθεικὼς Μωϋσῆς· καὶ

(1) Ἀπό. αἱ εἰρημ. ἐκδόσ.

„ καὶ Κύριος ὁ συμπορευόμενος μετὰ σοῦ οὐκ A
„ ἀνήσει σε, οὐδ' οὐ μὴ ἐγκαταλίπῃ σε.

ΤΟΥ ΑΥΤΟΥ. Παναλκὴς μὲν οὖν ὁ υἱὸς, καὶ ἄμαχον ἔχει τὴν ἐξουσίαν· ἐπείπερ ἐστὶ κατὰ φύσιν Θεός· ἐπικουρεῖσθαι δὲ λέγεται παρὰ τοῦ πατρὸς διὰ τὸ ἀνθρώπινον πρέποντος τοῦ λόγου, καὶ αὐτοῦ δὲ τοῦ πράγματος τῷ τῆς δουλείας σχήματι, καὶ τῷ τρόπῳ τῆς μετὰ σαρκὸς οἰκονομίας.

θ. Καὶ ἔγραψε Μωϋσῆς πάντα
τὰ ῥήματα τοῦ νόμου τούτου εἰς βιβλίον, B
καὶ ἔδωκεν αὐτὸ τοῖς ἱερεῦσιν υἱοῖς
Λευὶ τοῖς αἴρουσι τὴν κιβωτὸν τῆς
διαθήκης Κυρίου, καὶ τοῖς πρεσβυτέ-
ροις υἱῶν Ἰσραήλ.
ι. Καὶ ἐνετείλατο Μωϋσῆς αὐτοῖς
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγων, μετὰ
ἑπτὰ ἔτη ἐν καιρῷ ἐνιαυτοῦ ἀφέσεως
ια. ἐν ἑορτῇ σκηνοπηγίας, Ἐν τῷ συμ-
πορεύεσθαι πάντα Ἰσραὴλ ὀφθῆναι
ἐνώπιον Κυρίου τοῦ Θεοῦ σου, ἐν τῷ τό-
πῳ ᾧ ἂν ἐκλέξηται Κύριος· ἀναγνώ-
σεσθε τὸν νόμον τοῦτον ἐναντίον παντὸς
Ἰσραὴλ εἰς τὰ ὦτα αὐτῶν,

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε μετὰ ἑπτὰ ἔτη προσέταξεν ὁ νομοθέτης ταύτην αὐτοῖς ἀναγνωσθῆναι τὴν βίβλον; Οὐκ ἦγον σχολὴν πολεμοῦντες, καὶ τὰς πόλεις πολιορκοῦντες· καὶ μέντοι καὶ μετὰ τὴν νίκην, κατὰ φυλὰς τὴν γῆν μεριζόμενοι, καὶ κατὰ πατριὰς, καὶ καθ' ἕνα· εἶτα οἰκοδομοῦντες, καὶ γεωργοῦντες, καὶ τ' ἄλλα ποιοῦντες, ὅσα πράττειν ἀνάγκη τοὺς ξένης γῆς τὴν δεσποτείαν παρειληφότας. τούτου χάριν τῷ ἑβδόμῳ ἔτει, μετὰ τὴν τούτων ἀπαλλαγὴν, προσέταξε γενέσθαι τὴν ἀνάγνωσιν.

ΚΥΡΙΛΛΟΥ. Ὅτι γὰρ ἔμελλον πολλοὶ καὶ οὐκ εὐαρίθμητοι παριππεύσειν χρόνοι, ἄχρις ἂν ἐπιλάμψῃ Χριστὸς, καὶ ὁ τῆς ἐνανθρωπήσεως ἀναδειχθείη καιρὸς, ἀναμάθοι τὶς ἂν διά γε τοῦ δεῖν δι' ἑπτὰ ἐτῶν ποιεῖν τὴν ἀνάγνωσιν. ὁ γὰρ ἑπτὰ ἀριθμὸς, πληθύος ἂν εἴη σημαντικὸς παρὰ τῇ θεοπνεύστῳ Γραφῇ, [κατ' ἐκεῖνο δὲ οἶμαί
Ἱερ. 15. 9. „ που, τὸ, στεῖρα δὲ ἔτεκεν ἑπτά· καὶ πάλιν,
„ μὴ καταπιστεύσῃς τῷ ἐχθρῷ σου εἰς τὸν
Παροιμ. 26. αἰῶνα· ἑπτὰ γάρ εἰσι πονηρίαι ἐν καρδίᾳ
25. „ αὐτοῦ. ἔφη δέ που καὶ ὁ Παροιμιαστής· ἑπτά-
Παροιμ. 24. 16. κις πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται.]

ΤΟΥ ΑΥΤΟΥ. Ἐπιτήρει δὲ, ὅτι ἐν ἔτεσι τοῖς ἑπτὰ τοῖς πρὸ τῆς ἀφέσεως, τουτέστιν ἐν χρόνοις τῆς πρὸ τῆς ἐπιδημίας, ὁ νόμος οὐκ ἀνεγινώσκετο. ὅμοιον γὰρ τὸ μηδ' ὅλως ἀναγινώσκειν αὐτὸν τῷ μηδὲν δύνασθαι νοεῖν, κἂν εἴτις αὐτὸν ἀναγινώσκοι τυχόν. [γνώριμος δὲ, ὡς ἔφην, τότε δὴ γέγονε μικροῖς καὶ μεγάλοις, ὅτε καὶ ὁ τῆς ἀφέσεως ἐνέστη καιρός.]

A ιβ. Ἐκκλησιάσατε τὸν λαὸν, τοὺς
ἄνδρας καὶ τὰς γυναῖκας καὶ τὰ ἔκ-
γονα καὶ τὸν προσήλυτον τὸν ἐν πόλε-
σιν ὑμῶν, ἵνα ἀκούσωσι, καὶ ἵνα μάθωσι
φοβεῖσθαι Κύριον τὸν Θεὸν ὑμῶν· καὶ
ἀκούσονται ποιεῖν πάντας τοὺς λόγους
ιγ. τοῦ νόμου τούτου. Καὶ οἱ υἱοὶ αὐτῶν οἱ
οὐκ οἴδασιν ἀκούσονται (1) φοβεῖσθαι
Κύριον τὸν Θεὸν ὑμῶν πάσας τὰς
B ἡμέρας ἃς αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς,
εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην
ιδ. ἐκεῖ κληρονομῆσαι αὐτήν. Καὶ εἶπε
Κύριος πρὸς Μωϋσῆν, ἰδοὺ ἠγγίκασιν
αἱ ἡμέραι τοῦ θανάτου σου· κάλεσον
Ἰησοῦν, καὶ στῆτε παρὰ τὰς θύρας τῆς
σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐντελοῦμαι
αὐτῷ. καὶ ἐπορεύθη Μωϋσῆς καὶ Ἰη-
Γ σοῦς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ
ἔστη ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ
ιε. μαρτυρίου. Καὶ κατέβη Κύριος ἐν
στύλῳ νεφέλης, καὶ ἔστη παρὰ τὰς
θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ
ἔστη ὁ στύλος τῆς νεφέλης ἐπὶ τὰς θύ-
ρας τῆς σκηνῆς τοῦ μαρτυρίου.

ις. Καὶ εἶπε Κύριος πρὸς Μωϋ-
σῆν, ἰδοὺ σὺ κοιμᾶσαι μετὰ τῶν πα-
Δ τέρων σου, καὶ ἀναστὰς ὁ λαὸς οὗτος
ἐκπορνεύσει ὀπίσω Θεῶν ἀλλοτρίων
τῆς γῆς, εἰς ἣν εἰσπορεύεται εἰς αὐ-
τὴν, καὶ ἐγκαταλείψουσί με, καὶ δια-
σκεδάσουσι τὴν διαθήκην μου, ἣν διε-
θέμην αὐτοῖς.

ΑΔΗΛΟΥ. Σημειωτέον πῶς εἴρηται κατὰ τὴν παλαιὰν ὁ θάνατος κοίμησις. πα-
E τέρας δὲ, οὐ τὴν κατὰ σάρκα, ἀλλὰ τὴν πνευματικὴν συγγένειαν λέγει. (2)

ιζ. Καὶ ὀργισθήσομαι θυμῷ αὐ-
τοῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐγκατα-
λείψω αὐτοὺς, καὶ ἀποστρέψω τὸ πρό-
σωπόν μου ἀπ' αὐτῶν, καὶ ἔσται κατά-
βρωμα· καὶ εὑρήσουσιν αὐτὸν κακὰ
πολλὰ καὶ θλίψεις. καὶ ἐρεῖ ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ, διότι οὐκ ἔστι Κύριος ὁ
Z Θεός μου ἐν ἡμῖν εὕροσάν με τὰ κακὰ
ιη. ταῦτα. Ἐγὼ δὲ ἀποστροφῇ ἀποστρέ-
ψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ, διὰ πάσας τὰς κακίας
αὐτῶν, ἃς ἐποίησαν, ὅτι ἐπέστρεψαν
ἐπὶ Θεοὺς ἀλλοτρίους.
ιθ. Καὶ νῦν γράψατε τὰ ῥήματα
τῆς ᾠδῆς ταύτης, καὶ διδάξατε
H τὴν τοῖς υἱοῖς (3) Ἰσραὴλ, καὶ ἐ
λεῖτε αὐτὴν εἰς τὸ στόμα αὐτ

(1) Καὶ μαθήσονται. αἱ εἰρημ. ἐκδόσ.
(2) Τὰ αὐτὰ ἄλλως πως ὁ Προκόπ. ἐν τῷ τῆς
(3) Τοὺς υἱούς. αἱ εἰρημ. ἐκδόσ.

γένηταί μοι ἡ ᾠδὴ αὕτη εἰς μαρτύριον ἐν τοῖς υἱοῖς Ἰσραήλ.

» ΑΔΗΛΟΥ. Τὸ, γράψατε, καὶ τὰ ἑξῆς ἀναφέρεται κατὰ τὸ δεικτικὸν ἐπὶ τὴν μέλλουσαν λέγεσθαι. (1)

» ** ΠΡΟΚΟΠΙΟΥ. Γράψατε τὰ ῥήματα
» τῆς ᾠδῆς ταύτης. Τὸ δεικτικὸν ἐνταῦθα
περὶ τοῦ μέλλοντος, ὡς ἐν Εὐαγγελίῳ· ὃς
Ματθ. 5. 19. ἂν λύσῃ μίαν τῶν ἐντολῶν τούτων.

κ. Εἰσάξω γὰρ αὐτοὺς εἰς τὴν γῆν τὴν ἀγαθήν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, δοῦναι αὐτοῖς γῆν ῥέουσαν γάλα καὶ μέλι· καὶ φάγονται, καὶ ἐμπλησθέντες κορήσουσι, καὶ ἐπιστραφήσονται ἐπὶ θεοὺς ἀλλοτρίους, καὶ λατρεύσουσιν αὐτοῖς, καὶ παροξυνοῦσί με, καὶ διασκεδάσουσι τὴν διαθήκην μου, ἣν διεθέμην αὐτοῖς.

** ΚΛΗΜΕΝΤΟΣ. Διὰ Μωσέως
προϋπισχνεῖται δωρεάν, διὰ τὴν ὑπάρχουσαν φιλανθρωπίαν, τοῖς σπεύδουσιν εἰς σω-
» τηρίαν. Φησὶ γάρ, καὶ εἰσάξω ὑμᾶς εἰς
» τὴν γῆν ἀγαθήν, ἣν ὤμοσε Κύριος τοῖς
» πατράσιν ὑμῶν.

κα. Καὶ ἔσται ὅταν εὕρωσιν αὐτὸν
κακὰ πολλὰ καὶ θλίψεις, καὶ ἀν-
τικαταστήσεται ἡ ᾠδὴ αὕτη κατὰ πρό-
σωπον αὐτῶν μαρτυροῦσα· οὐ γὰρ μὴ
ἐπιλησθήσεται ἀπὸ στόματος αὐτῶν,
καὶ ἀπὸ στόματος τοῦ σπέρματος αὐ-
τῶν. ἐγὼ γὰρ οἶδα τὴν πονηρίαν αὐ-
τῶν, ὅσα ποιοῦσιν ὧδε σήμερον, πρὸ
τοῦ εἰσαγαγεῖν με αὐτοὺς εἰς τὴν γῆν
τὴν ἀγαθήν, ἣν ὤμοσα τοῖς πατρά-
κβ. σιν αὐτῶν. Καὶ ἔγραψε Μωϋσῆς τὴν
ᾠδὴν ταύτην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ
κγ. ἐδίδαξεν αὐτὴν τοὺς υἱοὺς Ἰσραήλ. Καὶ
ἐνετείλατο Μωϋσῆς τῷ Ἰησοῦ υἱῷ Ναυῆ,
καὶ εἶπεν αὐτῷ, ἀνδρίζου καὶ ἴσχυε, σὺ
γὰρ εἰσάξεις τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὴν
γῆν, ἣν Κύριος ὤμοσεν αὐτοῖς, καὶ
κδ. αὐτὸς ἔσται μετὰ σοῦ. Ἡνίκα δὲ συ-
νετέλεσε Μωϋσῆς γράφων πάντας
τοὺς λόγους τοῦ νόμου τούτου εἰς βιβλίον
κε. ἕως εἰς τέλος; Καὶ ἐνετείλατο τοῖς
Λευΐταις τοῖς αἴρουσι τὴν κιβωτὸν
τῆς διαθήκης Κυρίου, λέγων,

κς. Λαβόντες τὸ βιβλίον τοῦ νόμου τούτου; θήσετε αὐτὸ ἐκ πλαγίων τῆς κιβωτοῦ τῆς διαθήκης Κυρίου τοῦ [illegible] ὑμῶν· καὶ ἔσται ἐκεῖ σοὶ εἰς μαρ[illegible]ν,

[illegible]ΡΙΛΛΟΥ. Σωὲς οὖν, ὅπως εἰς ἔν τι [illegible] τῆς κιβωτοῦ, καὶ οὐκ ἐν αὐτῷ τῷ μέ- A σῳ προστέταχεν ἀποκεῖσθαι τὸν νόμον· ὡς ὅσον οὐδέπω παρεσομένων τῶν νέων καὶ διὰ Χριστοῦ θεσπισμάτων, οἷς ἣν ἀνάγκη παραχωρεῖν τὴν ἀρχαιοτέραν ἐντολήν, μόνον δὲ οὐχὶ καὶ διδόναι τόπον, ἢ ἐκ μέσου χωρεῖν, ἵνα τὸ ἄμεινον ἐπεισφέρηται. οὐκ ἀποβάλλεται μὲν γὰρ τῆς ἁγίας κιβωτοῦ· δεκτὸς γὰρ ἐν ἐκκλησίαις ὁ διὰ Μωϋσέως νόμος· πλὴν οὐκ ἐν πρώτῳ τέθειται τόπῳ. συνέσταλη δὲ ὥσπερ καὶ μεμένηκεν ἐκ πλα- B γίων παρ' αὐτοῖς, (2) ὡς ἔφην, τοῖς ἀσυγκρίτως ὑπερκειμένοις. τουτέστι τοῖς θείοις τε καὶ εὐαγγελικοῖς θεσπίσμασι· δι' ὧν ἡμᾶς εἰς θεογνωσίαν, καὶ εἰς πᾶσαν εἴδησιν ἀρετῆς πεπαιδαγώγηκεν ὁ Χριστός.

κζ. Ὅτι ἐγὼ ἐπίσταμαι τὸν ἐρεθισμόν σου, καὶ τὸν τράχηλόν σου τὸν σκληρόν. ἔτι γὰρ ἐμοῦ ζῶντος μεθ' ὑμῶν σήμερον, παραπικραίνοντες ἦτε τὰ Γ πρὸς τὸν Θεόν· πῶς οὐχὶ καὶ ἔσχατον τοῦ θανάτου μου;

κη. Ἐκκλησιάσατε πρός με τοὺς φυλάρχους ὑμῶν, καὶ τοὺς πρεσβυτέρους ὑμῶν, καὶ τοὺς κριτὰς ὑμῶν, καὶ τοὺς γραμματοεισαγωγεῖς ὑμῶν, ἵνα λαλήσω εἰς τὰ ὦτα αὐτῶν πάντας τοὺς λόγους τούτους· καὶ διαμαρτύρομαι αὐτοῖς τόν τε οὐρανὸν καὶ τὴν γῆν.

Δ ΑΔΗΛΟΥ. Ἐπειδὴ τοῖς τῶν ἡγουμένων νεύμασιν ὡς ἐπίπαν πειθαρχεῖ τὸ ὑπήκοον, βούλεται προηγουμένως ὡς πρὸς αὐτοὺς εἰπεῖν τῆς ᾠδῆς τὰ ῥήματα.

** ΠΡΟΚΟΠΙΟΥ. Ἑνωτικὴ γὰρ ἡ Θεοῦ φωνὴ τῶν ὅσοι πειθόμενοι ταῖς αὐταῖς ἀρεταῖς καὶ δόγμασιν ὑποβάλλονται. πρώτους δὲ καὶ κατ' ἐξαίρετον τοὺς προύχοντας ἀξιοῖ συλλεγῆναι, προσεκτικοὺς αὐτοὺς τῶν E λεγομένων ἀποτελῶν. τοῖς γὰρ τούτων νεύμασιν ἐχρῆν ἀκολουθεῖν τὸ ὑπήκοον.

κθ. Οἶδα γὰρ ὅτι ἔσχατον τῆς τελευτῆς μου ἀνομίᾳ ἀνομήσετε, καὶ ἐκκλινεῖτε ἐκ τῆς ὁδοῦ ἧς ἐνετειλάμην ὑμῖν, καὶ συναντήσεται ὑμῖν τὰ κακὰ ἐπ' ἐσχάτου τῶν ἡμερῶν, ὅτι ποιήσετε τὸ πονηρὸν ἔναντι Κυρίου τοῦ Θεοῦ ὑμῶν, παροργίσαι αὐτὸν ἐν τοῖς ἔρ- Z γοις τῶν χειρῶν ὑμῶν.

ΑΔΗΛΟΥ. Ἀποθνήσκει Μωϋσῆς, ὡς ἀπέθανε. καὶ διὰ τοῦτο ἀνομήσουσι μετὰ τὴν Μωϋσέως τελευτήν, καὶ ἐκκλινοῦσιν ἐκ τῆς ᾠδῆς, ἧς ἐννόμως αὐτοῖς ἐνετείλατο. τότε καὶ συναντήσεται αὐτοῖς τὰ κακὰ γενόμενα ἐπ' ἐσχάτων ἡμερῶν. ταῦτα δὲ περὶ τῶν κατὰ τὴν πρώτην τοῦ Χριστοῦ παρουσίαν προφητεύει. τότε γὰρ μάλιστα ἐποίη-
H σαν τὸ πονηρόν, καὶ ἀφῆκαν τολμήσαντες
» τὴν κατ' αὐτοῦ φωνήν, τήν, σταύρου σταύρου
» αὐτόν· αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον.

λ. Καὶ

(1) Ἐννοητέον πάντως τὸ, ᾠδήν.

(2) Παραχωρῶν. ἐν Τόμ. 1. μέρ. 1. σελ. 433.

λ. Καὶ ἐλάλησε Μωϋσῆς εἰς τὰ ὦτα πάσης ἐκκλησίας Ἰσραὴλ τὰ ῥήματα τῆς ᾠδῆς ταύτης ἕως εἰς τέλος.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Ὠδή ἐστιν ὅσα θεωρίας ἔχεται ὑψηλῆς καὶ θεολο-

A γίας. καὶ πάλιν, ᾠδή ἐστι [Φωνὴ] ἔμμελος ἀποδιδομένη ἐναρμονίως χωρὶς τῆς ἐνηχή-
» σεως τοῦ ὀργάνου. (1) οὐ γὰρ ἐπιλησθήσεται
» ἀπὸ στόματος αὐτῶν, καὶ ἀπὸ τοῦ στόματος
» τοῦ σπέρματος αὐτῶν. καὶ τοῦτο θαυμαστῶς προφητεύεται. εἰσέτι γοῦν σήμερον διὰ στόματος αὐτὰ Φέρουσιν οἱ Ἰουδαῖοι.

ΚΕΦ. ΛΒ.

α. ρόσεχε οὐρανὲ, καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήματα ἐκ τοῦ στόματός μου.

** ΙΟΥΣΤΙΝΟΥ. Εἰ τοῖς στοιχείοις οὐ πρόσεστιν αἴσθησις, διατὶ Μωσῆς μὲν οὐρανὸν καὶ γῆν τῷ λαῷ διαμαρτύρεται, Ἡσαΐας δὲ κατηγορῶν τοῦ αὐτοῦ λαοῦ, τούτοις ἀκούειν ἐγκελεύεται; (2) Τὰ λεγόμενα πρὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, πρὸς τοὺς ἐν αὐτοῖς
Γ λέγεται λογικοὺς· ὡς τὰ λεγόμενα πρὸς τὴν πόλιν, πρὸς τοὺς πολίτας λέγεται·
Ματθ. 23. 37. ὡς τὸ, Ἱερουσαλὴμ Ἱερουσαλὴμ ἡ ἀποκτεί-
» νουσα τοὺς Προφήτας, καὶ λιθοβολοῦσα τοὺς
» ἀπεσταλμένους πρὸς αὐτήν. οὐ γὰρ ἡ πόλις ἀπέκτεινε καὶ ἐλιθοβόλησεν, ἀλλὰ οἱ πολῖται.

ΑΔΗΛΟΥ. (3) Συνεκάλει ἐπὶ μάθησιν τῶν ὑπὸ Κυρίου λεγομένων τὰ συνεκτικὰ μέρη τοῦ παντὸς κόσμου, οὐρανὸν αὐτὸν, τὸν
Δ τὰς θείας δυνάμεις ἀπειληφότα, καὶ γῆν, τὸ τῶν θνητῶν οἰκητήριον. καὶ οὐρανὸν μὲν προσέχειν, γῇ δὲ ἀκούειν παρακελεύεται· ἐπειδήπερ καὶ ἀκοῆς ὀφθαλμοὶ τιμιώτεροι, καὶ ὡς εἰς ὀφθαλμὸς αἱ νοεραὶ πᾶσαι τυγχάνουσι δυνάμεις, διορατικαὶ οὖσαι, καὶ ἀκριβέστερον ἤπερ ἡμεῖς ἀντιλαμβανόμεναι τῶν νοητῶν τε καὶ ὁρωμένων· ἢ ἐπειδὴ τὰ θεσπιζόμενα μακροῖς ὕστερον χρόνοις δι'
E ἔργων ἤμελλε χωρεῖν, τῆς θνητῆς φύσεως ὀλιγοχρονίου τυγχανούσης, τὰς θείας καὶ ἀθανάτους δυνάμεις, ἢ (4) καὶ τὰ διαιωνίζοντα τοῦ κόσμου μέρη, ὥσπερ εἰς μαρτυρίαν τῶν ὑπ' αὐτοῦ λεγομένων, καὶ ἀποβησομένων μακροῖς ὕστερον χρόνοις πραγμάτων ἀνακαλεῖται, τῷ μηδένος ἀνθρώπων διαρκεῖν τὴν ζωὴν ἐπὶ τὴν τῶν θεσπιζομένων ἔκβασιν.

** ΠΡΟΚΟΠΙΟΥ. Θεοῦ διὰ Μωϋσέως
Z λαλοῦντος καὶ τῶν πάντων ἐπικαλουμένου τὸν ποιητὴν, τὴν κτίσιν ἐχρῆν εἰς ὑπήκοον ἄγεσθαι. μήποτε δὲ καὶ ὡς τῶν τοιούτων φωνῶν κατ' Ἰουδαίων προφερομένων, οὐρανὸς εἰκότως ἀνακαλεῖται καὶ γῆ, τὰ καθόλου τῆς οἰκουμένης ἔθνη δηλοῦντα, καὶ τῆς ἐν οὐρανοῖς διατριβῆς ἄξια;

β. Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου.

* ΠΡΟΚΟΠΙΟΥ. Τὸ ἠρεμαῖον καὶ μὴ κατασύρων τῶν ῥημάτων δηλῶν. καλὰ βραχὺ δυνόντων, καὶ τὴν καρδίαν ἁπαλωτέραν πρὸς καρποφορίαν ἐργαζομένων. δρόσον ταῦτα καλεῖ. ὁποία καὶ ἡ καταβαίνου-
» σα κατὰ Δαβὶδ ἐπὶ τὰ ὄρη Σιών· ὅτι ἐκεῖ Ψαλ. 132. 3.
» ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος. καὶ αὐτοὶ τοίνυν ὡς δρόσον δεχόμενοι τοὺς λόγους εὐλογηθήσονται.

* ΩΡΙΓΕΝΟΥΣ. Νεφέλας (5) πολλάκις τοὺς ἁγίους ἀπεικάζειν οἶδεν ἡ θεία Γρα-
» φή. τὸ γὰρ ἡ ἀλήθειά σου ἕως τῶν νεφε- Ψαλ. 35. 5.
» λῶν οὐ δύναται ἐπὶ ἀψύχων νοεῖσθαι· ἀλλὰ ἡ ἀλήθεια τοῦ Θεοῦ ἕως τῶν νεφελῶν ἐστὶν, αἵτινες ἀκούουσιν ἐντολῆς Θεοῦ, καὶ οἴδασι ποῦ ἐκπέμψουσιν ὑετὸν, καὶ ἀπὸ τίνων κωλύσωσιν. (6) ὡς [οὐσῶν γὰρ νεφελῶν αἷς ἐντέλλεται ὁ Θεὸς μὴ βρέχειν, ἢ βρέχειν,]
» γέγραπται· ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ Ἡσ. 5. 6.
» μὴ βρέξαι ὑετὸν ἐπ' αὐτόν. οὐκοῦν ἕκαστος τῶν ἁγίων νεφέλη ἐστί. (7) Βούλεται δὲ εἰ-
» πεῖν διὰ τοῦ, προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, ποιήσατε δοχεῖα ἐν αὐτοῖς πρὸς τὴν τῶν λεγομένων ὑποδοχήν.

Ὡς ὄμβρος ἐπ' ἄγρωστιν,

** ΠΡΟΚΟΠΙΟΥ. Ἡ ἄγρωστις πόα τίς ἐστιν ἐπινεμομένη τῇ γῇ καὶ βαθείαις ῥίζαις λεπταῖς τε καὶ πολλαῖς καὶ πυκναῖς, οἷόν τισι ζώναις τὴν γῆν περισφίγγουσα· ὡς ἀντέχουσαν ταῖς ἐπομβρίαις, μὴ παρασύρεσθαι, πλέον ἀεὶ ῥιζουμένην· οὕτως οὖν ἀξιοῖ τὸν λογικὸν ὄμβρον τῷ τῆς διανοίας παραπέμ-

(1) Τὰ ἄχρι τοῦδε κεῖται καὶ ἐν σελ. 715. (ἐν ᾗ ὅρα καὶ τὸ τοῦ Σεύηρου, ὃ παρὰ τοῖς κώδ. καὶ ὧδε πάλιν αὐτολεξεὶ κεῖται) τὰ δὲ ἑπόμ. ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. (2) Ἡσ. 1. 2.

(3) Ἀνωνύμου. ἐν σελ. 864. τοῦ 3. Τόμ. τῆς εἰς τοὺς ψαλ. σειρ. παραπλήσια δὲ τούτοις καὶ τὰ τοῦ Προκοπ. τὰ ἐν τῷ τῆς Αὐγ. κώδ. (4) Καὶ τὰ, ἄνευ τοῦ, ἢ. αὐτ.

(5) Λέγομεν δὲ τοὺς ἁγίους εἶναι νεφέλας. τὸ γὰρ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν οὐ δύναται ἀν[...] ρεσθαι ἐπὶ τὰς ἀψύχους νεφέλας, ἀλλὰ κλ. ἐν τῇ 8. εἰς τὸν Ἱερεμ. ὁμιλ. τῇ ἐν σελ. 173. τοῦ 3. Τό[...] τοῦ Ῥου. ἐκδόσ. (6) Κομίσωσιν αὐτ.

(7) Τὰ ἑπόμ. αὐτοῦ οὐ κεῖται. ἐν δὲ τῇ 865. σελ. τοῦ 3. Τόμ. τῆς εἰς τοὺς ψαλ. σειρ. Κυρίλλῳ [...] ἐπιγεγράπται. οἷς καὶ τάδε πρόσκειται· ὑποδοχήν. οὕτω γὰρ οἱ ἔμπειροι τῶν γηπόνων, μελλόντ[...] καταρρεῖν, ἀροῦσι τὴν γῆν, καὶ φιαλοῦσιν ἐπιμελῶς τὰ ἐπίδενδρα, πρὸς τὸ μηδὲν δραπετεῦσαι [...] οὕτω καὶ ἡμᾶς βούλομαι, φησὶ, μηδὲν τῶν λεγομένων διαλαθεῖν. ὥσπερ δὲ ἡ δρόσος καταπιαίνει [...] οὕτω καὶ ὁ θεῖος λόγος κατευφραίνει καρδίαν.

ραπέμπεσθαι βάθει, μήποτε καὶ ξηρανθῶσι, μὴ δεχόμενοι, καὶ ὡς ἄγρωστις ξηρὰ βρωθῶσιν ὑπὸ πυρός, κατὰ τὴν τοῦ Ἡσαΐου φωνήν.

'Ησ. 9. 18.

ΑΔΗΛΟΥ. Διὰ τῶν ἀκάρπων τούτων βοτανῶν τὴν τῶν ἀκροωμένων ἀκαρπίαν καὶ ἀνηκοΐαν ὁ Μωϋσῆς ὑπεμφαίνει.

** ΑΝΩΝΥΜΟΥ. Ἡ ἄγρωστις καὶ ὁ χόρτος βοτάναι εἰσὶν ἄκαρποι. καὶ ὡς φη-

Ματθ. 6. 30. σὶν ὁ Σωτὴρ εἰς κλίβανον βαλλόμεναι· ἄνεισι δὲ μάλιστα εἰς κεχερσωμένα καὶ ἀγεώργητα χωρία. εἰδὼς οὖν ὁ Μωϋσῆς τῶν ἀκροωμένων τὸ ἄκαρπον καὶ ἀγεώργητον, φησίν· » ὡς ὄμβρος ἐπ' ἄγρωστιν· καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον· ἀντὶ τοῦ, εἰς ὦτα μὴ ἀκουόντων, καὶ μηδένα ἐκ τῆς ἀκροάσεως ποιούντων καρπόν.

Καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον.

ΑΔΗΛΟΥ. Ὁ χόρτος ἐπιπόλαιον μὲν ἔχει τὴν ῥίζαν, θάλλει δὲ καὶ εἰς βλάστην ἑτοίμως ἐπιδίδωσιν ὑπὸ τῶν νιφετῶν πιαινόμενος. οὐκ ἔσονται τοίνυν δύσαυξεις ἐν ὑμῖν οἱ ἡμέτεροι λόγοι· ἀλλ' ὡς χόρτος μὲν ῥᾳδίως αὐξήσουσιν ἐν ὑμῖν, ὡς ἡ ἄγρωστις δὲ ῥιζώσουσιν.

γ. Ὅτι ὄνομα Κυρίου ἐκάλεσα. δότε μεγαλωσύνην τῷ Θεῷ ἡμῶν.

» ΑΔΗΛΟΥ. Δότε μεγαλωσύνην τῷ Θεῷ ὑμῶν· Μηδὲν ταπεινὸν περὶ αὐτοῦ ἐννοήσητε, φησίν, ἀλλὰ μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί. (1)

** ΠΡΟΚΟΠΙΟΥ. Εἰ γὰρ ἐμεγαλύνθη τὰ ἔργα αὐτοῦ, πόσῳ μᾶλλον αὐτὸς ὁ τούτων δημιουργός; ἐκ μεγέθους γὰρ καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται. καὶ Ἡσαΐας δέ φη-

'Ησ. 40. 26. σιν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ » ἴδετε τίς κατέδειξε ταῦτα; μέγεθος δὲ αὐτῷ οὐ σωματικόν, κατὰ δὲ τὰς ἀπείρους τε ἐνεργείας καὶ δυνάμεις. ἐπεὶ καὶ μικρὸς ἀνὴρ τῷ σώματι, μέγας κατὰ σοφίαν ἐπονομάζεται.

δ. Θεὸς ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, ἄμωμοι καὶ ἄμεμπτοι καὶ ἀνεπίληπτοι [τῆς αὐτοῦ προνοίας οἱ λόγοι· εἰ καὶ τὸν ἡμέτερον διαφεύγουσι νοῦν.]

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις· τουτέστι σοφίας καὶ κρίσεως οἱ περὶ προνοίας γέμουσι λόγοι, κἂν τὸ τούτων ἡμῖν μὴ φαίνηται δίκαιον· δι' ὧν τὴν

'Ρωμ. 11. 33. πᾶσαν ὥσπερ διαπορεύεται κτίσιν, βάθος » πλούτου καὶ σοφίας ἔχων· καὶ κρίματα, κατὰ τὸν Παῦλον, ἀνεξερεύνητα.

Θεὸς πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία [αὐ]τῷ.

A ΑΔΗΛΟΥ. Τουτέστιν οὐ διαψεύσεται ὁ (2) τὰς κρίσεις ποιούμενος. οὐδὲ γὰρ ἐστὶ προσωποληψία ἐν αὐτῷ, οὐδὲ ἀδίκως ποιεῖται τὰς ψήφους. ἔστι γὰρ ἀδέκαστος, καὶ κατ' ἀξίαν ἑκάστῳ διδούς. (3)

** ΠΡΟΚΟΠΙΟΥ. Ἐν τῷ δικαίῳ πιστός, μὴ τὴν ὀρθὴν κρίσιν ψευδόμενος· καὶ ἀληθὴς ἐπαγγελλόμενος, οὐκ ἀδικῶν τὴν ὑπόσχεσιν. τὸ δὲ πιστὸν διττὸν κατὰ τὴν

B θείαν Γραφήν, ἢ τὸ ἀξιόπιστον, ὅπερ κυ-

» ρίως ἐπὶ μόνου Θεοῦ· ὡς τό, πιστὸς γὰρ ὁ 'Εβρ. 10. 23.

» ἐπαγγειλάμενος· οἷον καὶ τὸ παρὰ Πέτρῳ·

» ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ 1. Πέτρ 4. 19.

» Θεοῦ, πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ἑαυτῶν ψυχάς· πιστὸς δὲ καὶ ὁ πιστεύων, ὡς Ἀβραὰμ πιστός, ὅτι τῷ λαλοῦντι πεπίστευκε, καθὸ καὶ ἡμεῖς πιστοὶ λεγόμεθα. Θεὸς δὲ ψευδώνυμος ἄπιστος καὶ τῷ εἶναι καὶ τῷ

» ἐπαγγέλλεσθαι. περὶ ὧν εἴρηται, πίστις οὐκ 'Ιερ. 15. 18.

Γ » ἴσχυσεν ἐν αὐτοῖς· καὶ ὕδωρ ψευδές εἰσι.

Δίκαιος καὶ ὅσιος ὁ Κύριος.

ΑΔΗΛΟΥ. Οὐ κατὰ μετοχήν, ὡς τὰ κτίσματα, ὡς εἶναι παρ' αὐτῷ τὸ μᾶλλον καὶ τὸ ἧττον· ἀλλ' αὐτός ἐστιν ὁ τῆς δικαιοσύνης ὅρος τε καὶ νόμος, καὶ τῶν ἀρετῶν τὸ ἀκρότατον.

ε. Ἡμάρτωσαν οὐκ αὐτῷ τέκνα μωμητά.

Δ » ** ΠΡΟΚΟΠΙΟΥ. Ἡμάρτωσαν οὐκ αὐτῷ τέκνα μωμητά. Ἀκύλας ἐξέδωκε, διέφθειραν αὐτῷ οὐχ υἱοὶ αὐτοῦ· Σύμμαχος δέ, διέφθειραν πρὸς αὐτὸν οὐχ υἱοὶ αὐτοῦ τὸ σιώλον.

» ΑΔΗΛΟΥ. Πᾶς γὰρ ἁμαρτάνων, φησὶν 1. Ἰωάν. 3. 8.

» ὁ Σωτήρ, ἐκ τοῦ διαβόλου γεγένηται. κατὰ πάντα οὖν τὴν υἱοθεσίαν ἠρνήσαντο· καὶ ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἀχθέντες, καὶ κατ' εἰκόνα Θεοῦ γενόμενοι, οὔτε ὡς ποιη-

E τὴν ἐσεβάσθησαν, ἀλλ' ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα· ἀλλ' οὐδὲ διὰ τῆς πνευματικῆς οἰκειώσεως ἑαυτοὺς ὡμοίωσαν τῷ πατρί, ἀλλὰ διὰ τῆς ἐπὶ τὸ χεῖρον στροφῆς ἠθέτησαν μὲν τὸν Θεόν, πατέρα δὲ ἑαυτῶν ἐποιήσαντο τὸν Διάβολον. ὡς μὴ ὄντες οὖν υἱοὶ Θεοῦ ἡμάρτωσαν αὐτῷ, καὶ διέφθειραν. (4)

Γενεὰ σκολιὰ καὶ διεστραμμένη,

Z ΑΔΗΛΟΥ. Ὅτι οἱ τοῦ Διαβόλου υἱοὶ καὶ οἱ τοῦ νοητοῦ ὄφεως, ἅτε δὴ ὑπ' αὐτοῦ γεννηθέντες, τῇ πρὸς αὐτὸν ὁμοιώσει σκολιοί εἰσι καὶ διεστραμμένοι, τὴν εὐθεῖαν ὁδὸν μὴ βαδίζοντες, ἀλλὰ πλαγίως περιστρεφόμενοι.

ς. Ταῦτα Κυρίῳ ἀνταποδίδοτε;

ΑΔΗΛΟΥ. Τῷ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ὑμᾶς ἀγαγόντι, [τῷ ἐκλεξαμένῳ ὑμᾶς παρὰ πάντας εἰς λαὸν περιούσιον,

H τῷ λυτρωσαμένῳ ὑμᾶς ἐκ τῆς καταδυναστείας

(1) Ὅμοια ταῦτά τε καὶ τὰ ἑπόμ. τῶν Ἀδήλ. τοῖς τοῦ Προκοπ. τοῖς ἐν τῷ τῆς Αὐγ. κώδ.

(2) ... ὁ, ὁ, οὐ κεῖται ἐν τῇ 866. σελ. τοῦ εἰρημ. 3. Τόμ. τῆς σειρ. (3) Ἀποδιδούς. αὐτ.

στείας τοῦ Φαραώ, τῷ διὰ θαλάσσης ὑμᾶς A
ἀγαγόντι, καὶ ξένην ὑμῖν ὁδὸν καὶ ἄβατον
δεδωκότι, καὶ μεθ' ὑμᾶς τοὺς διώκοντας
Αἰγυπτίους ὑποβρυχίους ποιήσαντι, καὶ τὰ
ἑξῆς θαύματα ἐνδειξαμένῳ.]

Οὗτος λαὸς μωρὸς καὶ οὐχὶ σοφός;

ΑΔΗΛΟΥ. Οὐδὲν ὑμᾶς εἰς συναίσθησιν
τοῦ εὐεργέτου ἤγαγεν, (1) ἀλλὰ πάσης ἀλο-
γίας γεγόνατε χείρους· καὶ οὔτε παιδευθέν-
τες ἐπεστρέψατε πρὸς Κύριον, [τὸν] ὡς B
υἱοὺς μαστιγώσαντα, οὔτε τῷ πλήθει τῶν εὐερ-
γεσιῶν ἐπεγνώκατε τὸν δεσπότην· καίτοι
Ἡσ. 1. 3. » ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν
» φάτνην τοῦ Κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ
» ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκε.

⁂ ΧΡΥΣΟΣΤΟΜΟΥ. Μωϋσῆς κατη-
γορῶν τῶν Ἰουδαίων, μακρὰν ᾠδὴν τὰ ἐγ-
» κλήματα πεποίηκε, λέγων· ταῦτα τῷ
» Κυρίῳ ἀνταποδίδοτε; οὗτος ὁ λαὸς μωρὸς
» καὶ οὐχὶ σοφός· καὶ πολλὰς συνθεὶς κατη- Γ
γορίας, ᾄδοντας αὐτοὺς ταῦτα λέγειν ἐνο-
μοθέτει· καὶ ἔτι καὶ νῦν ᾄδοντες ταῦτα
λέγομεν καὶ ἡμεῖς. τίνος οὖν ἕνεκεν τὰς
κατηγορίας ᾠδὴν ποιοῦσι; Σοφίᾳ κεχρη-
μένοι πνευματικῇ, καὶ πολὺ τὸ κέρδος ἐν-
θεῖναι ταῖς τῶν ἀκουόντων βουλόμενοι ψυ-
χαῖς. ἐπειδὴ γὰρ οὐδὲν οὕτω χρήσιμον, ὡς
τὸ πλημμελημάτων μεμνῆσθαι διηνεκῶς,
μνήμην δὲ οὐδὲν οὕτω μόνιμον ὡς μελῳδία Δ
ποιεῖ· ἵνα μὴ διὰ τὴν ὑπερβολὴν τῶν κα-
τηγοριῶν ὀκνοῦντες ἀναδυόμενοι φεύγωσι
τὸ συνεχῶς μεμνῆσθαι τῶν οἰκείων ἁμαρ-
τημάτων, τῷ μέλει τῆς ᾠδῆς ὑποκλέπτων
τὴν ἀπὸ τῆς μνήμης αἰσχύνην. καὶ τὴν ἀφό-
ρητον ἀθυμίαν παραμυθούμενος, ᾄσματα
αὐτὰ πεποίηκεν, ἵνα τῷ πόθῳ μελῳδίας
ἀναγκαζόμενοι συνεχῶς αὐτὰ φθέγγεσθαι,
συνεχῶς αὐτῶν ὦσι μεμνημένοι, καὶ διηνε-
κῶς ἔχωσί τινα διδασκαλίαν ἀρετῆς τὴν E
διηνεκῆ τῶν ἁμαρτημάτων μνήμην. ἴστε
γοῦν, ὅτι καὶ νῦν τὰ μὲν ἄλλα οὐδὲ ἐξ ὀνό-
ματος τοῖς πολλοῖς ἐστὶ βιβλία γνώριμα·
τὴν δὲ τῶν ψαλμῶν πραγματείαν ἐπὶ στό-
ματος ἅπαντες φέρουσι, καὶ αὐτὰς ταύ-
τας τὰς ᾠδάς· οὕτω δι' αὐτῶν τῶν πραγ-
μάτων δείκνυται, πόσον ἀπὸ τῆς μελῳδίας
τὸ κέρδος ἐστί.

Οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτή-
σατό σε καὶ ἐποίησέ σε καὶ ἔπλα-
σέ σε.

ΑΔΗΛΟΥ. Τουτέστι κτησάμενός σε δοῦλον,
ἅτε δὴ τοὺς ἐχθροὺς ὑμῶν καταπολεμήσας
καὶ τροπωσάμενος, οὐχ ὡς δοῦλον ἐκτήσατο,
ἀλλ' υἱότητα ἐχαρίσατο, καὶ πατὴρ ἐχρη-
μάτισε, μεταποιήσας σε καὶ ἀνακαινίσας
εἰς υἱοθεσίαν, ὡς καὶ πρωτότοκον ἀποκαλεῖν.

⁂ ΒΑΣΙΛΕΙΟΥ. Σαφῶς ἐνταῦθα με-
τὰ τὴν ποίησιν ἡ κτίσις ταχθεῖσα, διδάσκει H
ἡμᾶς ὅτι ἐπὶ τῆς βελτιώσεως τέτακται, ὡς
τὰ πολλά, τὸ τῆς κτίσεως ὄνομα.

A ⁂ ΠΡΟΚΟΠΙΟΥ. Τὸ δὲ μεῖζον ἐπή-
» νεγκε τό, ἐποίησέ σε καὶ ἔκτισέ σε. ὃ καὶ
τὴν αὐτοῦ δημιουργίαν δηλοῖ, καθ' ἣν πάλιν
ἀξιοῖ καλεῖσθαι πατήρ, ὁμοῦ καὶ διαστέλλει
» τοῦ φύσει υἱοῦ τό, ἐποίησέ σε καὶ ἔκτισέ σε,
προσθείς· ὡς ἂν κατὰ χάριν, ἀλλὰ μὴ
» φύσει νοεῖται πατήρ. προϊὼν δὲ τό, ἐγέν-
νησεν, εἰπών, οὐ τὸ πατήρ, ἀλλὰ τὸ Θεός,
» προὔταξεν ὄνομα, λέγων· Θεὸν τὸν γεννή-
» σαντά σε ἐγκατέλειπες· ἵνα μὴ δηλώσῃ
B φυσικὴν ἡ γέννησις τὴν υἱότητα. καὶ Ἰωάν-
» νης δέ, οὐ πρότερον τό, ἐγεννήθησαν, φησί, Ἰωάν. 1. 13.
πρὶν τὸ κατὰ χάριν προέταξεν, εἰπών·
» ἔδωκεν αὐτοῖς ἐξουσίαν, τέκνα Θεοῦ γενέσθαι.
» οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀν-
» δρός, ἀλλ' ἐκ τοῦ Θεοῦ ἐγεννήθησαν. ὥστε
μὴ σοφιζέσθωσαν αἱρετικοὶ πρὸς ἴσον ἄγον-
τες τῇ ποιήσει καὶ κτίσει τὴν γέννησιν, τὸν
υἱὸν τὸν φύσει κτίσμα δοξάζοντες. ποίησις
δὲ κτίσις καὶ ἐπὶ μεταποιήσεως λέγεται
Γ χωρὶς τῆς ἐξ ἀρχῆς οὐσιώσεως, κατὰ τὸ
» ἐν ψαλμοῖς· καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει Ψαλ. 101. 18.
» τὸν Κύριον· καὶ πάλιν, καρδίαν καθαρὰν Ψαλ. 50. 10.
» κτίσον ἐν ἐμοὶ ὁ Θεός. καὶ πάλιν ὁ Παῦλος
» πρὸς Ἐφεσίους φησί· τὸν νόμον τῶν ἐντο- Ἐφεσ. 2. 15.
» λῶν ἐν δόγμασι καταργήσας· ἵνα τοὺς δύο
» κτίσῃ ἐν αὐτῷ εἰς ἕνα καινὸν ἄνθρωπον τὸν
» κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιό-
» τητι τῆς ἀληθείας. καὶ Ἰσαὰκ δέ φησι
τῷ Ἠσαῦ· ἰδοὺ κύριον αὐτὸν ἐποίησά σου. Γεν. 27. 37.
Δ εὐχῆς δὲ ἄξιον τὸ μεταποιηθῆναι. καὶ κτῆ-
μα χρηματίσαι Θεοῦ. κατὰ τὸ παρ' Ἡσαΐᾳ,
» Κύριε ὁ Θεὸς ἡμῶν κτῆσαι ἡμᾶς. Ἡσ. 26. 13.

ζ. Μνήσθητι ἡμέρας αἰῶνος, σύ-
νετε δὴ ἔτη γενεᾶς γενεῶν·

ΑΔΗΛΟΥ. Ἀναδράμετε, φησί, τῇ
μνήμῃ ἐπὶ τὰς ἐξ αἰῶνος ἡμέρας, σκοπή-
σατε καθ' ἑαυτοὺς λαβόντες εἰς ἔννοιαν
πάσας τὰς γενεὰς ἀφ' οὗ γεγόνασιν οἱ ἄν-
E θρωποι, εἰ γέγονεν οὕτω παντὶ ἔθνει, καὶ
τιμῆς ἠξιώθη τοιαύτης. καὶ υἱὸς Θεοῦ ἐχρη-
μάτισε, καὶ λαὸς αὐτοῦ, καὶ πρόβατα νο-
μῆς αὐτοῦ.

Ἐπερώτησον τὸν πατέρα σου καὶ
ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου
καὶ ἐροῦσί σοι.

ΑΔΗΛΟΥ. Εἰ νέοι ἐστὲ χθιζοί τε καὶ
Z πρωϊζοί, [καὶ] ἀγνοεῖν ὑποπλάττεσθε·
» ἐπερώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖ
» σοι, τοὺς πρεσβυτέρους σου καὶ ἐροῦσί σοι.
πατὴρ δὲ ὑμῶν ἐγὼ Μωϋσῆς, ὡς ἄρχων,
νομίζομαι, καὶ δύναμαι ὑμῖν τὰ ἀληθῆ
ἀναγγέλλειν· προφητείας ἠξιώθην, μεσί-
της ὑμῶν γέγονα καὶ Θεοῦ. εἶπον ὅπως συ-
νέστη τόδε τὸ πᾶν ἐξ ἀρχῆς, καὶ ἔτι γέ-
γονε φθάσας διηγησάμην.

⁂ ΒΑΣΙΛΕΙΟΥ. Τοῖς χρήζουσι
H ἐκ τῶν θείων διδαγμάτων οἰκοδομ[ῆς]
» Μωσέως παραινεῖ λέγων· ἐπερώτη[σον τὸν]
» πατέρα σου καὶ ἀναγγελεῖ σοι, τ[οὺς]

έρους σου καὶ ἐροῦσί σοι. διόπερ ἀνάγκη ς μὲν τοὺς τὴν διακονίαν τοῦ λόγου πε- ϑυμένους, ἐν παντὶ καιρῷ προϑύμους εἶναι ς τὸν καταρτισμὸν τῶν ψυχῶν· καὶ μεν, ἐν κοινῷ τῇ Ἐκκλησίᾳ πάσῃ δια- ρτύρασϑαι· τὰ δὲ, ἰδίᾳ ἑκάστῳ τῶν προ- ήλων παρέχειν ἑαυτοὺς κατ' ἐξουσίαν ἐπε- τᾶν, τά τε πρὸς ὑγείαν τῆς πίστεως καὶ ϑειαν τῆς κατὰ τὸ Εὐαγγέλιον τοῦ Κυ- ἡμῶν Ἰησοῦ Χριστοῦ πολιτείας, ἐξ ὧν ἀμ- τέρων ὁ τοῦ Θεοῦ ἄνϑρωπος βεβαίως τε- σεται· ὑμᾶς δὲ μηδὲν ἄκαρπον παριέναι, ὲν ἀργὸν ἑαυτοῖς, ἀλλὰ πρὸς οἷς ἐν τῷ νῷ μανϑάνετε, καὶ ἰδίᾳ περὶ τῶν συμ- ρόντων ἐπερωτᾶν, καὶ πᾶσαν σχολὴν βίου πρὸς τὸ χρήσιμον διατίϑεσϑαι.

η. Ὅτε διεμέριζεν ὁ ὕψιστος ἔϑνη, διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια νῶν κατὰ ἀριϑμὸν Ἀγγέλων Θεοῦ.

ΑΔΗΛΟΥ. Ἀκύλας καὶ Σύμμαχος ἀντὶ εἰπεῖν, Ἀγγέλους, τοὺς υἱοὺς Ἰσραὴλ, δωκαν.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ εἰπεῖν, Ἀγγέλους, ύλας καὶ τὸ Σαμαρειτικὸν, υἱοὺς Ἰσραὴλ, δωκαν. καὶ μήτι εἰς δώδεκα διεμερίσϑη- τότε τὰ ἔϑνη, οἱ υἱοὶ Νῶε· ἐξ ὧν πολ- γέγονεν ἔϑνη. δώδεκα γάρ εἰσιν οἱ υἱοὶ αήλ.

ΑΔΗΛΟΥ. Ἡ ἀρχὴ τοῦ μερισμοῦ τῶν ῶν ἐπὶ τῇ διασπορᾷ τῶν υἱῶν Ἀδὰμ γε- ένη κατὰ ἀριϑμὸν Ἀγγέλων Θεοῦ πρό- σιν ἐσχηκέναι δοκεῖ τὴν ἐπὶ τοῦ πύργου οδομήν· (1) ὅτι καὶ ὁ κατάλογος τῶν καὶ ἐγγόνων τοῦ Νῶε ἑβδομήκοντα ἦν ἀριϑμόν. ἀλλὰ καὶ οἱ υἱοὶ Ἰακὼβ οἱ εἰσελ- ντες εἰς Αἴγυπτον, ὡς γέγραπται ἐν τῷ υτερονομίῳ· ἐν ἑβδομήκοντα ψυχαῖς κα- βησαν οἱ πατέρες ὑμῶν εἰς Αἴγυπτον. τω [δὲ] καὶ οἱ λοιποὶ ἐκδεδώκασιν ἑρμη- ται, κατὰ ἀριϑμὸν υἱῶν Ἰσραήλ.

ΣΕΥΗΡΟΥ. [Τὸ, ὅτε διεμέριζεν ὁ ὕψι- ἔϑνη, ὡς διέσπειρεν υἱοὺς Ἀδὰμ, ἔστησεν α ἐϑνῶν κατὰ ἀριϑμὸν Ἀγγέλων Θεοῦ, ύτην ἔχει τὴν ἔννοιαν· ὡς] πᾶσι τοῖς νεσι διαμερισϑεῖσιν ἰσαρίϑμους Ἀγγέλους έστησε, φησὶν, ἑκάστῳ πρὸς φυλακὴν οκληρώσας ἕνα τινά. [καὶ γὰρ εἶναι τοὺς πνεύματα λειτουργικὰ εἰς διακονίαν οστελλόμενα διὰ τοὺς μέλλοντας κληρονο- ν σωτηρίαν, πάλιν παρὰ τῶν ϑεοπνεύ- ν Γραφῶν ἀκούομεν. ἐπεὶ καὶ ἑκάστῳ ὸς φυλακὴν δεδόσϑαι Ἄγγελον ἡ τῶν αγγελίων πιστοῦται φωνὴ, τοῦ Κυρίου περὶ ν παιδίων λέγοντος· μὴ καταφρονή- τε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ

Α „ ὑμῖν, ὅτι οἱ Ἄγγελοι αὐτῶν διαπαντὸς
„ βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου, τοῦ
ἐν οὐρανοῖς. πρόσωπον δὲ ἐνταῦϑα, τὴν
ἄκραν ἐπισκοπὴν καὶ τὴν κηδεμονίαν κα-
λεῖ, καὶ οὐ δήπου σωματικὸν χαρακτῆρα καὶ
τύπον· καϑὰ καὶ ὁ ψάλλων Προφήτης φη-
„ σίν· ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸν δοῦ- Ψαλ. 118. 135.
λόν σου. εἰ δὲ τοῖς καϑ' ἕκαστον Ἄγγελον, ὡς
ἔφαμεν, ἐπέστησεν ὁ Θεὸς, πῶς οὐχὶ μᾶλ-
λον καὶ ἔϑνεσι, καὶ δήμοις, καὶ πόλεσιν;
Β ὃ τοίνυν φησὶ Μωσῆς, τοῦτό ἐστιν· ὅτι δια-
μερίσας ὁ ὕψιστος τὰ ἔϑνη, καὶ ὅρια πη-
ξάμενος, ἑκάστῳ τῷ τῶν ὁρίων μέτρῳ καὶ
ἀριϑμῷ Ἀγγέλους ἐπιδιένειμεν.] οὐ γὰρ δὴ
ταῖς ἀναριϑμήτοις μυριάσι τῶν Ἀγγέλων
ἰσάριϑμα πεποίηκε καὶ τὰ ὅρια τῶν ἐϑνῶν,
ἀλλὰ κατὰ ἀριϑμὸν τῶν ἐπιστάντων Ἀγ-
γέλων τὰ ὅρια συνδιένειμε. κατὰ ταύτην
γοῦν τὴν πρόνοιαν, τὴν τὸ εἶναι καὶ τὸ ζῆν
συνέχουσαν ἁπάντων ἀνϑρώπων, ὁμοτιμά-
Γ πως ὑπῆρχε πάντα τὰ ἔϑνη, προφυλα-
κὴν (2) ἔχοντα τοὺς ἀναλόγως ἄρχοντας
Ἀγγέλους ἑκάστῳ. μετὰ ταῦτα δὲ τὸ ἐξ
Ἰσραὴλ ἔϑνος διὰ τῆς ἐπιγνώσεως οἰκειω-
σάμενος, μερίδα (3) καὶ κλῆρον οἰκεῖον
τοῦτο ὠνόμασε. [τοῦτο γοῦν ἐναργῶς δι' ὧν
εἶπεν ὁ Μωϋσῆς ἐνδείκνυται· καὶ παρίστη-
σιν, ὡς πάντων τῶν ἐϑνῶν τὴν ὁμοτιμίαν
ὑπεραναβάντες οἱ ἐξ Ἰσραὴλ, ἐκαρπώ-
σαντο διὰ τῆς ἐπιγνώσεως, ὡς ἔφην, τὸ
Δ πρὸς τῇ φυλακῇ τῶν Ἀγγέλων, καὶ μερὶς
Κυρίου καὶ κληρονομία προσαγορεύεσϑαι.]
τὸ μὲν γὰρ τῆς ὁμοτιμίας, (4) κοινόν· τὸ
δὲ, ἰδιάζον ἆϑλον ἀρετῆς. (5) [ὅϑεν καὶ ὁ
τῷ Δανιὴλ χρηματίζων Ἄγγελος ἔλεγε·
„ Μιχαὴλ ὁ ἄρχων ὑμῶν· ὡς αὐτοῦ πεπιστευ- Δαν. 10. 21.
μένου τοῦ ἐξ Ἰσραὴλ ἔϑνους τὴν φυλακὴν,
αὐχοῦντος τὸ καὶ ἐν κλήρῳ καὶ μερίδι τε-
τάχϑαι Θεοῦ, δι' ὧν ἐπέγνω Θεόν.]

** ΠΡΟΚΟΠΙΟΥ. Τί οὖν τὸ, κατὰ
Ε „ ἀριϑμὸν Ἀγγέλων Θεοῦ; Τὰς νοερὰς δυνά-
μεις ὑπερασπίζειν ἐκέλευσε τῶν ἐϑνῶν ὁ
Θεὸς, καὶ εἰς λατρείαν ὁδηγῆσαι τὴν ἑαυ-
τοῦ, καὶ ταύτας ὠφέλειαν προξενῶν τὴν
μεγίστην ὁδηγοῦσαις εἰς σωτηρίαν.

** ΒΑΣΙΛΕΙΟΥ. Ὅτι εἰσί τινες Ἄγ-
γελοι καὶ ὅλων ἐϑνῶν προεστῶτες, Μωσῆς
ἡμᾶς διδάσκει διὰ τῆς ᾠδῆς, λέγων· ὅτε
„ διεμέριζεν ὁ ὕψιστος ἔϑνη, ὡς διέσπειρεν
„ υἱοὺς Ἀδὰμ, ἔστησεν ὅρια ἐϑνῶν κατὰ ἀριϑ-
Ζ „ μὸν Ἀγγέλων αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὸ πρῶτον κα-
τὰ ἀριϑμὸν ἐϑνῶν ἦσαν οἱ Ἄγγελοι· νῦν
δὲ οὐ κατὰ ἀριϑμὸν ἐϑνῶν, ἀλλὰ κατὰ
ἀριϑμὸν πιστῶν. πόϑεν δῆλον; ἄκουε τοῦ
„ Χριστοῦ λέγοντος· ὁρᾶτε μὴ καταφρονή- Ματϑ. 18. 10.
σητε

(1) Οἰκοδομῇ τῶν διαλέκτων σύγχυσιν· ὅτι καὶ οὐ μακρὰν ὁ κατάλογος ἀναγέγραπται τῶν υἱῶν καὶ όνων τοῦ Νῶε, περιέχων τοὺς λόγους τῶν ἐϑνῶν ὄντων τὸν ἀριϑμὸν ἑβδομήκοντα. ἀλλὰ καὶ οἱ υἱοὶ Ἰακὼβ οἱ υἱοὶ υἱῶν συνάγονται εἰς τὸν ἑβδομήκοντα ἀριϑμὸν, οἱ καταβαίνοντες εἰς Αἴγυπτον, καϑὰ ἐν Δευτε- γέγραπται· ἐν ἑβδομ. κτ. ἐν σελ. 867. τοῦ 3. Τόμ. τῆς εἰς τοὺς ψαλ. σειρ. καὶ παρὰ Προκοπ. ἐν Αὐγ. κώδ. (2) Πρὸς φυλακήν. αὐτ. ἐν τῷ εἰρημ. Τόμ.

Μερίδα οἰκείαν καὶ σχοίνισμα καὶ κλῆρον. αὐτ.

» ὄντε ἑνὸς τῶν μικρῶν τούτων. οἱ γὰρ Ἄγ-
» γελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρό-
» σωπον τοῦ πατρός μου, τοῦ ἐν τοῖς οὐρανοῖς.

θ. Καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ·

** ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. (1) Οὐ τοῦτό φησιν, ὅτι οἱ μὲν Ἰουδαῖοι αὐτοῦ, οἱ δὲ ἄλλοι ἄνθρωποι οὐκ ἔτι, ἀλλ' ἔρημοι τῆς προνοίας εἰσὶν αὐτοῦ, καὶ τῆς δημιουργίας ἀπεστέρηνται· ἀλλὰ κοινὸς ἁπάντων ἐστί, κέχρηται δὲ τῷ λόγῳ τούτῳ, δεικνὺς τὸν πόθον τὸν περὶ αὐτοὺς· ἐπειδὴ ὁπωσοῦν τῶν ἄλλων ἐδόκουν εἶναι ἀμείνους.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀλλὰ πῶς Ἰσραὴλ γέγονεν ἐκλογή; Ἀπὸ Ἀδὰμ εἰς Νῶε τὸν ἀπ' αὐτοῦ δέκατον, ἐτῶν ὄντων ἀμφὶ τὰ βμβ, οὐδεὶς πρὸς πολύθεον πλάνην ἀποκλίνας ἱστόρηται· ἀλλ' ἐφ' ἑτέροις ἀπώλοντο πλημμελήμασιν, ἐπενεχθέντος κατακλυσμοῦ. τῶν δὲ ἀπὸ τοῦ Νῶε πανταχοῦ σκεδασθέντων εἰς τὰ πρὸς ἠῶ μέρη, ἐννακοσίων τεσσαρακονταδύω παρῳχηκότων ἐνιαυτῶν, πρῶτος τῆς Ἀσσυρίων βεβασίλευκε γῆς Ἄρβηλος, ἀνὴρ ἀλαζὼν, καὶ Θεοῦ πρῶτος ὄνομα παρὰ τῶν ὑπὸ χεῖρα λαβών. ᾧ ϗ προσκυνοῦντες, θυσίας προσέφερον. ἐξ οὗ Νῖνος οὗ Νινύας. ᾧ Νινευὴ πόλις ἐπωνόμασαι. ἣν ἀῤῥαγεῖ περιβόλῳ τετείχικε Σεμίραμις ἡ τούτου γυνή. ἐπὶ δὲ Νίνου γέγονεν Ἀβραὰμ, ἀνὴρ ἀγαθὸς, καὶ τῶν Ἀσσυρίων τὴν κοινὴν ἀσέβειαν βδελυττόμενος. ὅθεν ἐκ μέσου τούτων ἡρπάζετο, Θεοῦ πρὸς ἑαυτὸν ὁδηγήσαντος, ϗ ἐκλεξαμένου τοὺς ἐξ αὐτοῦ μετ' αὐτόν.

** ΤΟΥ ΑΥΤΟΥ. Μερὶς γίνεταί τις Θεοῦ, τῆς ἐκλογῆς αὐτὸν ἄξιον ἐργαζόμενος, καὶ μετὰ Δαβὶδ διὰ τοῦτο βοῶν, μέ-
Ψαλ. 118. 57. ρίς μου ὁ Κύριος. κατὰ γὰρ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας ἐγένοντο. Φησὶ
Ὠσ. 9. 10. γὰρ δι' ἑνὸς τῶν Προφητῶν ὁ Θεός· ὡς
» σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραὴλ, καὶ
» ὡς σκοπὸν ἐν συκῇ πρώϊμον εἶδον πατέρας αὐτῶν, τὸ παρ' ἐλπίδα δεικνὺς, καὶ τὸ τῶν εὑρεθέντων τριπόθητον, πάντων εἰδωλολατρούντων ἐν Ἀσσυρίᾳ. οἱ δὲ τοῖς Δαί-
Ψαλ. 62. 10. μοσιν οἰκεῖοι, μερίδες ἀλωπέκων εἴρηνται ἐν ψαλμοῖς.

Σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.

ΑΔΗΛΟΥ. Σχοίνῳ γὰρ ἐποίουν τὰς διαμετρήσεις τῆς γῆς. οὕτω διεμετρήθη ϗ διεμερίσθη ἡ γῆ τοῖς υἱοῖς Ἰσραήλ. ἀπὸ τῆς συνηθείας οὖν εἴρηται τὸ σχοίνισμα.

ι. Αὐτάρκησεν αὐτὸν ἐν τῇ ἐρήμῳ, ἐν δίψει καύματος, ἐν ἀνύδρῳ.

A » ** ΠΡΟΚΟΠΙΟΥ. Αὐτάρκησεν αὐτὸν
» ἐν τῇ ἐρήμῳ. Ἀκύλας καὶ Θεοδοτίων, εὗρεν αὐτὸν, ἐκδεδώκασι, κατὰ τὸ, ὡς στα- Ὠσ. 9. 10
» φυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραήλ.

» * ΤΟΥ ΑΥΤΟΥ. Ἐν δίψει καύματος ἐν ἀνύδρῳ. οὐ γὰρ εἶχε ποταμὸν τὸν εὐφραίνοντα τὴν πόλιν τοῦ Θεοῦ, οὐδὲ τὴν πηγὴν τῆς ζωῆς, οὐδὲ τὸν χειμάῤῥουν τῆς τρυφῆς. (2) ὅθεν ἐν δίψῃ ἦν συγκαιομένη ὑπὸ τοῦ Διαβόλου.

B ** ΤΟΥ ΑΥΤΟΥ. Ὁ Σύμμαχος ἐξέ-
» δωκεν ἔτι σαφέστερον· καὶ ἐν ἀτάκτῳ καὶ
» ἀοικήτῳ ἠφανισμένη. ποία γὰρ τάξις παρὰ τοῖς τῇ κτίσει παρὰ τὸν κτίστην λατρεύουσιν; ἥτις ἀοίκητος τῆς ἁγίας Τριάδος. οὐ γὰρ κατοικεῖ ἐν σώματι καταχρέῳ ἁμαρτίας, ἐν ἀνθρώποις ποιοῦσι παρανομίαν. ἡ δὲ ἔρημος οὐ φύσει τοιαύτη, ἀλλ' ἠφάνισαι ὑπὸ τῆς ἀντικειμένης δυνάμεως.
Γ » νοοῖτο δ' ἂν καὶ οὕτω τὸ, αὐτάρκησεν· αὐτάρκεις γὰρ αὐτοὺς πεποίηκε, μηδενὸς ὑστερεῖσθαι παρασκευάσας ἐν ἐρήμῳ πάντων νοσούσῃ τὴν ἔνδειαν.

Ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν,

ΑΔΗΛΟΥ. Ἐδοκίμασε γὰρ τοὺς πατέρας αὐτῶν, (3) καὶ διὰ πολλῶν ἐπύρωσε θλίψεων. πρῶτον μὲν ἀπὸ τῆς Ἀσσυρίας (4) εἰς γῆν Χαναὰν μεταστήσας, ϗ
Δ πάλιν εἰς Αἴγυπτον, καὶ ἐξ Αἰγύπτου πάλιν εἰς Χαναὰν, καὶ μυρίοις πειρασμοῖς περιέβαλε, παιδεῦσαι αὐτοὺς βουλόμενος. τὸν Ἰακὼβ δὲ καὶ εἰς Μεσοποταμίαν ἀπήγαγε, καὶ δουλεῦσαι πεποίηκεν· ὅπως διὰ τῆς ὑπομονῆς ϗ τῆς εἰς Θεὸν ἐλπίδος κατεργάσωνται τὴν ἑαυτῶν σωτηρίαν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀλλὰ καὶ τοὺς νῦν ἀκούοντας ἐκύκλωσε μ' ἔτη τὴν ἔρημον, ὡς
E » λέγειν Μωσέα· καὶ μνησθήσῃ πᾶσαν τὴν Δεύτ. 8. 2, 5.
» ὁδὸν, ἣν ἤγαγέ σε Κύριος ὁ Θεός σου τοῦτο
» τεσσαρακοστὸν ἔτος ἐν τῇ ἐρήμῳ· ὅπως ἂν
» κακώσῃ σε, καὶ ἐκπειράσῃ σε, καὶ διαγνω-
» σθῇ τὰ ἐν τῇ καρδίᾳ σου, εἰ φυλάξῃ τὰς
» ἐντολὰς αὐτοῦ, ἢ οὔ· καὶ πάλιν, ὡς εἴ τις
» παιδεύσαι ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, οὕτω
» Κύριος ὁ Θεός σου παιδεύσει σε.

Καὶ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ.

Z ** ΠΡΟΚΟΠΙΟΥ. Ὡς λέγειν τὸν Ἰα-
» κὼβ, ὁ Ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων Γεν. 48. 16.
» τῶν κακῶν μου· καὶ πάλιν, εἰ μὴ ὁ Θεὸς τοῦ Γεν. 31. 42.
» πατρός μου Ἀβραὰμ ἦν μοι, καὶ ὁ Φόβος
» Ἰσαὰκ, νῦν ἂν κενόν με ἐξαπέστειλας.

ια. Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθη-

(1) Ἐκ τοῦ εἰρημ. 3. Τόμ. τῆς εἰς τοὺς ψαλ. σειρ. ἐλήφθη. ἐν δὲ τοῖς ἐκδεδομ. τοῦ ἁγίου συγ οὐχ εὕρηται.

(2) Εὑρὼν οὖν αὐτὸν, ἠρκέσθη αὐτῷ. οὐ γὰρ ἦν ἕτερος ἱκανὸς εἰς αὐτάρκειαν, καὶ εἰς πίσ τισμένος. ταῦτα ἀντὶ τῶν ἑξῆς ὁ τῆς Αὐγ. κώδ.

(3) Ὑμῶν ϗ διὰ πυρὸς ϗ διὰ πολλῶν ἐπείρασε θλίψ. ἐν σελ. 869. τοῦ 3. τῆς εἰς τοὺς ψαλ

πόθησε· διεὶς τὰς πτέρυγας αὐτοῦ A ἐδέξατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ.

ΑΔΗΛΟΥ. Δείκνυσι διὰ τούτων τὴν πολλὴν περὶ αὐτοὺς γενομένην κηδεμονίαν, καὶ ὡς ἀναγαγεῖν αὐτοὺς εἰς ὕψος ἠβουλήθη πνευματικῆς θεωρίας, καὶ πρὸς αὐτὸ τὸ ἀκρότατον τῶν ἀρετῶν. Φασὶ γὰρ τοὺς ἀετοὺς πολλὴν ἔχειν περὶ τὰ ἴδια τέκνα φιλοστοργίαν, καὶ ἀναλαμβάνειν αὐτὰ ταῖς πτέρυξι, καὶ κατὰ βραχὺ εἰς ὕψος ἀνάγειν. εἰκότως οὖν Μωϋσῆς ἐχρήσατο τῇ ἀετοῦ παραβολῇ, εἰρηκὼς τὸν Θεὸν ὡς ἀετὸν τὰ ἴδια τέκνα τοὺς Ἰσραηλίτας αἴρειν ἐπ᾽ ὤμων, καὶ εἰς ὕψος μετεωρίζειν, καὶ οὐρανοπολίτας ποιεῖν, σκέπην τε αὐτοῖς καὶ ἀντίληψιν παρεχόμενος.

ιβ. Κύριος μόνος ἦγεν αὐτοὺς, οὐκ ἦν μετ᾽ αὐτῶν Θεὸς ἀλλότριος.

ΑΔΗΛΟΥ. Καθώς φησιν ὁ θεσπέσιος
2. Κορ. 6. 14, Παῦλος· ποία κοινωνία φωτὶ πρὸς σκότος;
15. „ ἢ τίς συμφώνησις Χριστοῦ πρὸς Βελίαρ.

ιγ. Ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Κατὰ τὴν ἱστορίαν, τὴν γῆν φησὶ τῆς ἐπαγγελίας, ὡς γεγονότα λαμβάνων τὰ μέλλοντα, εἰ καὶ τὰ μάλιστα ἐπέβησαν ἤδη μέρους αὐτῆς. συμ-
„ φωνεῖ δὲ τὸ ἐπαγόμενον· ἐψώμισεν αὐτοὺς
„ γεννήματα ἀγρῶν. οὔπω γὰρ ἔφαγον τῶν γεννημάτων τῆς γῆς· τῷ δὲ μάννα πρὶν διαπεραιωθῆναι τὸν Ἰορδάνην ἐτρέφοντο. ἀλλ᾽ οὐδὲ μέλι ὄρειον οὔπω ἦσαν δρεψάμενοι, οὐδὲ τῶν ἐλαιῶν· αἳ φιληδοῦσι πέτραις καὶ ὄρεσιν.

„ ΑΔΗΛΟΥ. Ἀνεβίβασε, τουτέστιν ὑψηλοτέρους αὐτοὺς τῶν γηΐνων πεποίηκεν. ὡς
„ γὰρ Ἀκύλας φησὶν, ἐπὶ τὸ ὕψωμα τῆς γῆς
„ αὐτοὺς ἀνεβίβασε, μηδὲν ταπεινὸν ἢ χαμαίζηλον αὐτοὺς ἐνθυμεῖσθαι βουλόμενος.

Ἐψώμισεν αὐτοὺς γεννήματα ἀγρῶν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Εἴποις δ᾽ ἂν ἀλληγορῶν, ἀγρῶν αὐτοὺς ἐψωμικέναι γεννήματα τῶν πεπληρωμένων εὐωδίας πνευματικῆς, οὓς ηὐλόγησε Κύριος.

Ἐθήλασαν μέλι ἐκ πέτρας,

ΑΔΗΛΟΥ. Ἐν μὲν τῇ ἐρήμῳ τὸ ἥδιστον αὐτοῖς ἐκ τῆς πέτρας ἐξήγαγεν ὕδωρ· ὃ διψῶσιν αὐτοῖς μέλιτος ἐνομίσθη γλυκύτητα μιμεῖσθαι· ἐπειδὴ πολλῷ ἦσαν κατειργασμένοι καμάτῳ καὶ τῇ ὁδοιπορίᾳ, καὶ σφόδρα κατεχόμενοι τῇ δίψῃ, ψυχροῖς τοῖς νάμασι προσέπιπτον. τὴν οὖν ἡδονὴν τῶν ναμάτων ἐκείνων παραστῆσαι βουλόμε- … μέλι τὸ ὕδωρ ἐκάλεσεν· οὐχ ὡς τῆς … ς μεταβληθείσης, ἀλλ᾽ ὡς τῆς ἡδο- … νάματος ἁμιλλωμένης ἐκείνῳ τῇ γλυκύτητι. ἐν δὲ τῇ γῇ τῆς ἐπαγγελίας τοὺς ἀπὸ τῆς γῆς ἀφθόνως ἐδωρήσατο καρπούς. ἀπὸ γὰρ τοῦ μέρους τὸ πᾶν παρεδήλωσε.

Καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας.

ΑΔΗΛΟΥ. Φωτιζόμενοι τὰς ψυχὰς, ἐλεούμενοί [τε δωρεὰν] τῇ αὐτοῦ χάριτι, καὶ [τῇ] δαδουχίᾳ τοῦ πνεύματος λαμπρότεροι γινόμενοι καὶ ἐπίδοξοι, καὶ ὁδηγούμενοι πρὸς
„ εὐσέβειαν, κατὰ τὸ εἰρημένον, τοῦ ἱλαρῦναι Ψαλ. 103. 15.
B „ πρόσωπον ἐν ἐλαίῳ.

ιδ. Βούτυρον βοῶν, καὶ γάλα προβάτων,

ΑΔΗΛΟΥ. Βούτυρον, νηπίοις πρέπουσα
„ καὶ αὕτη ἡ τροφὴ, καθά φησιν ὁ Ἀπόστο-
„ λος, ὡς νηπίοις ἐν Χριστῷ γάλα ὑμᾶς ἐπό- 1. Κορ. 3. 1, 2.
τισα. βόας δέ φησι, περὶ ὧν [ὁ] αὐτὸς
„ Παῦλος· μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; ἢ δι᾽ 1. Κορ. 9. 9.
„ ἡμᾶς πάντως λέγει, καὶ τὰ ἑξῆς. πρό-
Γ βατα δὲ καλεῖ τούτους Κύριος ἐν Εὐαγγε-
„ λίοις· ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβα- Ματθ. 10. 16.
„ τα ἐν μέσῳ λύκων· τούτων ἐθήλαζον τὸ γάλα οἱ υἱοὶ Ἰσραήλ. ἢ οὐκ ἦν Μωϋσῆς βοῦς ἀλοῶν καὶ ἀροτριῶν τὰς ψυχὰς τῶν υἱῶν Ἰσραὴλ, Ἀαρών τε, καὶ Ἐλεάζαρ, καὶ Φινεὲς, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ τῶν πρεσβυτέρων οἱ ἑβδομήκοντα; καὶ πρόβατον δὲ ἦν Μωϋσῆς, πραῢς ὑπάρχων παρὰ πάντας τοὺς ἀνθρώπους.

Δ Μετὰ στέατος ἀρνῶν καὶ κριῶν, υἱῶν ταύρων καὶ τράγων,

ΑΔΗΛΟΥ. Τοῦ νόμου διαγορεύοντος ἐν
„ τῷ Λευϊτικῷ, μὴ δεῖν ἐσθίειν στέαρ, ἀλλ᾽ εἰς Λευϊτ. 7. 23.
„ ὀσμὴν εὐωδίας ἀναφέρεσθαι αὐτὸ τῷ Κυ- Λευϊτ. 17. 6.
ρίῳ, πῶς ἐνταῦθά φησιν ἐμπεπλῆσθαι τῶν στεάτων αὐτοὺς, εἰπάτωσαν ἡμῖν οἱ τῷ ῥητῷ παριστάμενοι; Πρόδηλον οὖν, ὅτι τῆς τῶν ἁγίων εὐεξίας ἐνεπλήσθησαν, ἀπολαύσαντες πνευματικῶς τῆς αὐτῶν ἐνθέου διδασ-
E καλίας. οἱ γὰρ αὐτοὶ ἦσαν καὶ ἄρνες διὰ τὴν ἐν Χριστῷ νηπιότητα, καὶ κριοὶ, καὶ ταῦροι (1) τῆς ποίμνης ἡγούμενοι, καὶ υἱοὶ ταύρων, δαμάλεις ὄντες, καὶ Θεῷ ὑπέχοντες τὸν αὐχένα.

Μετὰ στέατος νεφρῶν πυροῦ, καὶ αἷμα σταφυλῆς ἔπινον οἶνον.

ΑΔΗΛΟΥ. Οὐ μόνον φησὶ τῆς πνευ-
Z ματικῆς τοῦ Χριστοῦ διδασκαλίας ἀπήλαυον, καὶ πνευματικῆς πέτρας, καὶ τῶν ὁδηγούντων αὐτοὺς διδασκάλων, ἀλλὰ καὶ τῆς μυστικῆς ἠξιώθησαν εὐλογίας, ὡς ἐν τύπῳ μεταλαμβάνοντες. στέαρ (2) γὰρ νεφρῶν πυροῦ, ἄρτος ἐστὶν ὁ πνευματικὸς, ὁ στηρίζων καρδίαν ἀνθρώπου· καὶ αἷμα σταφυλῆς, ὁ οἶνος ὁ εὐφροσύνης ποιητικὸς, ὁ ἐκ τῆς ἀληθινῆς ἀμπέλου γινόμενος. (3)

H ιε. Καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος:

ΑΔΗΛΟΥ.

… καὶ τράγοι. ἐν σελ. 871. τοῦ 3. Τόμ. τῆς εἰς τοὺς ψαλ. σειρ.

… έαρ. αὐτ.

(3) Γενόμενος. αὐτ.

ΑΔΗΛΟΥ. Εἴρηται τῷ σοφῷ Σολομῶν- A
Παροιμ. 27. 7. τι, ψυχὴ ἐμπεπλησμένη, κηρίοις ἐμπαίζει.
Παροιμ. 25. 16. καὶ πάλιν παρεγγυᾷ· μέλι εὑρὼν, φάγε τὸ ἱκανὸν, μήποτε πλησθεὶς ἐξεμέσῃς.

Ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλειπε Θεὸν τὸν ποιήσαντα αὐτὸν, καὶ ἀπέστη ἀπὸ Θεοῦ σωτῆρος αὐτοῦ.

ΑΔΗΛΟΥ. Οὐδὲ γὰρ ἤκουσαν, ὥστε κα- B
ταχεῖν καὶ πέψαι τὰ εἰρημένα, ἵνα καὶ καρποφορῆσαι δυνηθῶσιν· ἀλλ᾽ ἐπαχύνθη αὐτῶν ἡ καρδία καὶ ἐλιπάνθη, συνεκλεῦντος τοῦ σώματος, καὶ πολυσαρκίᾳ βαρυνομένου· καὶ ἀπελάκτισαν ὡς χοῖροι, τοὺς καλοὺς καταπατήσαντες μαργαρίτας· καὶ ὡς ἵπποι τὰ χαλινὰ ἀποῤῥίψαντες, καὶ τοὺς ἐπισχεῖν βουλομένους ἀποστρέφοντες τοῖς ποσί. μακρύναντες γὰρ ἑαυτοὺς ἀπ᾽ αὐτοῦ, παρεδόθησαν τῇ ἀπωλείᾳ, μήτε ὡς ποιητὴν ἐπι- Γ
γνόντες, μήτε ὡς σωτῆρα καὶ λυτρωτὴν αἰδεσθέντες.

⁂ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὥστε εἰ ἡ ἐπὶ πλέον ἄνεσις τὸ μέγιστον κακὸν, ἀσέβειαν, ὠδίνει, τοὐναντίον ἡ μετὰ νόμου κάκωσις, ἀγαθὸν τέλειον ἀποτίκτει, τὴν ἀοίδιμον νουθεσίαν.

ιϛ. Παρώξυνάν με ἐπ᾽ ἀλλοτρίοις, ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν-
ιζ. με. Ἔθυσαν Δαιμονίοις, καὶ οὐ Θεῷ· Δ
Θεοῖς, οἷς οὐκ ᾔδεισαν. καινοὶ καὶ πρόσφατοι ἥκασιν, οὓς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν.

ΑΔΗΛΟΥ. Πάντα καθὸ ποιήματα δοῦλα καὶ οἰκεῖα Θεοῦ· κατὰ δὲ χειρίστην προαίρεσιν καὶ πονηρίαν ἐπιτηδευμάτων ἀλλοτριοῦνται Θεοῦ οἱ ὡς κτίσματα μὴ ὑποκείμενοι· οὕτως ὁ Διάβολος καὶ τῶν Δαιμόνων τὸ ἀκάθαρτον στῖφος ἠλλοτριώθη Θεοῦ, καὶ E
ἄνθρωποι δὲ οἱ τούτοις ἑπόμενοι. ἐγκαταλιπόντες τοίνυν τὴν πηγὴν τῆς ζωῆς, καὶ τὸν τοῦ παντὸς δεσπότην, καὶ τῶν ἀγαθῶν τὸν χορηγὸν, καὶ προστεθέντες τοῖς ἑαυτοὺς ἀπαλλοτριώσασιν ἀπὸ Θεοῦ, παρώξυναν αὐτὸν εἰς δικαίαν ὀργήν. ἣν οὐκ ἀκουστέον παθητικῶς· ἀπαθὲς γὰρ τὸ θεῖον· ἀλλὰ κατ᾽ οἰκονομίαν ἀνθρωπίνως λεγομένην πρὸς τιμωρίαν τῶν ἁμαρτημάτων. βδελύγματα δὲ καλεῖ τὰ τῶν εἰδώλων σε- Z
βάσματα. καὶ διδάσκων τίνες οἱ ἀλλότριοι, ἐπάγει· ἔθυσαν Δαιμονίοις, καὶ οὐ Θεῷ· ἀντὶ τοῦ ποιητοῦ τοῖς κτίσμασι προσεκύνουν, καὶ ἀντὶ τοῦ πάντων τῶν ἀγαθῶν ἡμῖν δοτῆρος, τοὺς πονηροὺς, καὶ τῶν ψυχῶν λυμεῶνας καὶ φθορέας τοὺς ψευδωνύμους [αἱρετησάμενοι,] καὶ τὸ τοῦ Θεοῦ σέβας εἰς ἑαυτοὺς μεταθέντας, [τοὺς χθὲς καὶ πρώην σχεδιασθέντας Θεοὺς, καὶ] τοῖς πατράσιν αὐτῶν ἀγνώστους. ἕνα γὰρ μόνον ἐγίνωσκον [Κύριον,] καὶ Θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν.

ιη. Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλειπες, καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε.

ΑΔΗΛΟΥ. Ἐλεγκτικὸς ὁ λόγος, ἐκ προσώπου Μωϋσέως λεγόμενος, ὀνειδίζοντος αὐτοῖς τὴν ἀποστασίαν, καὶ ὅτι οὔτε ὡς ποιητὴν ἐτίμησαν, οὔτε ὡς εὐεργέτην καὶ τροφέα ἠμείψαντο. οὐ μόνον γάρ σε εἰς τὸ εἶναι παρήγαγεν, ἀλλὰ καὶ εἰς τὸ εὖ εἶναι αὐτός σοι δώσει τὰς τῆς ζωῆς ἀφορμὰς, τὰ ζωαρκῆ χορηγῶν.

ιθ. Καὶ εἶδε Κύριος, καὶ ἐζήλωσε·

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. [Καὶ γὰρ ὁ Θεὸς λέγεται ζηλῶν,] οὐχ ἵνα πάθος ὑποπτεύσῃ τίς· [καὶ γὰρ ἀπαθὲς τὸ θεῖον·] ἀλλ᾽ ἵνα δηλωθῇ τὸ σφοδρὸν τῆς ἀγάπης. ζηλοῖ δὲ ὁ Θεὸς, οὐχ ἵνα αὐτός τι κερδάνῃ, ἀλλ᾽ ἵνα τοὺς ζηλοτυπουμένους διασώσῃ. (1)

ΚΥΡΙΛΛΟΥ. Ζηλωτὴν Θεὸν εἰ λέγοι τὸ γράμμα τὸ ἱερὸν, σκανδαλιζέσθω μηδείς. οὐ γάρτοι καθ᾽ ἡμᾶς ἡ θεία τε ἐστὶ καὶ ἀπόῤῥητος φύσις· ἀνῴκισται δὲ τοσοῦτον καὶ ὑφαιρεῖται (2) νοητῶς, ὡς καὶ ἀσυγκρίτους εἶναι τὰς διαφοράς. (3) αἱ μὲν γὰρ ἐφ᾽ ἑκάστῳ τῶν πραγμάτων διαθέσεις ἐμπαθῶς ἐν ἡμῖν, νοσεῖ γὰρ ἡ φύσις τὸ ἄναλκι, καὶ τὸ λίαν ἕτοιμον εἰς τὸ πλημμελές· ἐν δὲ τῷ πάντων ἡμῶν Θεῷ σημαίνονται [μὲν] τὰ τοιάδε φωναῖς καὶ λόγοις τοῖς καθ᾽ ἡμᾶς, νοοῦνταί γε μὴν οὐχ οὕτω ποθέν. ἀπαθὲς γὰρ τὸ θεῖον. ζηλοῦν δὲ λέγεται, διὰ τὸ θέλειν οὐδένα τῶν ἅπαξ ἐπεγνωκότων τὴν δόξαν αὐτοῦ ταῖς εἰς τὰ αἴσχιω κατασείεσθαι ῥοπαῖς.

Καὶ παρωξύνθη δι᾽ ὀργὴν υἱῶν αὐτῶν καὶ θυγατέρων,

ΑΔΗΛΟΥ. Θεασάμενος οὐ σωματικοῖς ὀφθαλμοῖς· ἀσώματον γὰρ τὸ θεῖον καὶ ἀσχημάτιστον· καὶ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν τὰ πραττόμενα παρ᾽ αὐτῷ, (4) ἐζήλωσε καὶ διανέστη πρὸς τιμωρίαν τῶν υἱῶν αὐτοῦ καὶ θυγατέρων. ὀργὴν

γὰρ

(1) Ἀντὶ τούτων ταῦτα ἐν τοῖς ἐκδεδομ. (ἐν σελ. 258. τοῦ 1. Τόμ. τῆς τοῦ Μοντφ. ἐκδόσ.) εὕρηται: οὐδὲ γὰρ πάθος ἐστὶν ὁ ζῆλος ἐπὶ Θεοῦ· ἀλλὰ τὴν ἄφατον αὐτοῦ φιλοστοργίαν ἑρμηνεῦσαι βουλόμενος, τούτῳ πολλάκις ἀποκέχρηται τῷ ὀνόματι. ἔτι δὲ καὶ τάδε· (ἐν σελ. 469. τοῦ 11. Τόμ. τῆς αὐτ. ἐκδόσ.) Θεὸς γάρ ἐστι ζηλωτὴς, καὶ πάντων μάλιστα βούλεται παρ᾽ ἡμῶν φιλεῖσθαι· καὶ τοῦτο ἐπειδὴ σφόδρα ἡμᾶς φι[...] ἴστε γὰρ ὅτι τοῦτο τῶν μανικῶς φιλούντων τὸ ἔθος. σφόδρα εἰσὶ ζηλότυποι, καὶ αἱροῖντο ἂν τὴν ψ[...] προέσθαι, ἢ παρευδοκιμηθῆναι ἀπό τινος τῶν ἀντεραστῶν. ἴσ. οὖν ἐκ τούτων τὸ προκείμενον ἐλήφθη [...] παραλόγως ἐν τῇ 873. σελ. τοῦ 3. Τόμ. τῆς εἰς τοὺς ψαλ. σειρ. τῷ ἑξῆς συνήνωται· καὶ γὰρ [...] Κυρίλλου ἐστὶ, κείμενον καὶ ἐν σελ. 112. τοῦ 7. Τόμ.

(2) Καὶ ὕψου φέρεται. αὐτ.

(3) Τῆς διαφορᾶς τοὺς λόγους. αὐ[...]

(4) Ἴσ. αὐτῶν. τοῦτο δὲ τὸ, τὰ πραττόμενα παρ᾽ αὐτῷ. οὐ κεῖται ἐν τῷ εἰρημ. [...] τοὺς ψαλ. Τόμ.

γὰρ τὴν εἰς τιμωρίαν κίνησιν νοητέον.
» ὥσπερ οὖν καὶ τὸ, παρωξύνθη, τὴν εἰς τοῦτο
σημαίνει ὁρμήν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ παρωξύνθη δι'
» ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων. Κατ' ἄμ-
φω γὰρ υἱοὶ καὶ θυγατέρες οἱ ἐξ Ἰσραήλ,
κατὰ δημιουργίαν τε καὶ κατ' οἰκείωσιν τὴν
παρὰ τὰ λοιπὰ ἔθνη. γράφεται δὲ καὶ
» οὕτως· υἱῶν αὐτῶν καὶ θυγατέρων· ὅτι καὶ
τούτοις πρὸς τὴν ὁμοίαν καθηγήσαντο πλά-
νην· ἢ γοῦν προαναφωνεῖ τοὺς ὕστερον ἐσταυ-
ρωκότας Χριστὸν, περὶ ὧν ὁ Προφήτης φη-
Ἡσ. 1. 15. » σίν· αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις· οἳ
καὶ τῶν πατέρων γεγόνασι πονηρότεροι,
καὶ δίκην ἔτισαν τὴν προσήκουσαν.

κ. Καὶ εἶπεν· ἀποστρέψω τὸ πρό-
σωπόν μου ἀπ' αὐτῶν, καὶ δείξω τί
ἔσται αὐτοῖς ἐπ' ἐσχάτων ἡμερῶν. ὅτι
γενεὰ ἐξεστραμμένη ἐστίν· υἱοὶ οἷς οὐκ
ἔστι πίστις ἐν αὐτοῖς.

» ** ΚΛΗΜΕΝΤΟΣ. Ἀποστρέψω, φησὶ,
» τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ δείξω τί
ἔσται αὐτοῖς. οὗ γὰρ τὸ πρόσωπον Κυρίου
ἐπιβλέπει, εἰρήνη καὶ ἀγαλλίασις· οὗ δὲ
ἀπέστραπται, παρείσδυσις γίνεται πονη-
ρίας. οὐ βούλεται οὖν ἐφορᾷν τὰ κακά. ἀγα-
θὸς γάρ ἐστι. παρορῶντος δὲ αὐτοῦ ἑκοντὶ,
διὰ τὴν ἀπιστίαν τὴν ἀνθρωπίνην, γένεσιν
ἴσχει κακία.

ΑΔΗΛΟΥ. Νοητέον καὶ οὕτω· πονηροὶ
μὲν γὰρ καὶ διεστραμμένοι οἱ μέχρι τῆς
νῦν, (1) τὰ τοιαῦτα διαπραξάμενοι. πονη-
ρότεροι δὲ καὶ οἱ κατὰ τοῦ Κυρίου ἡμῶν Ἰη-
σοῦ Χριστοῦ ἀσχέτως λυττήσαντες, οἷς καὶ
Ἡσ. 1. 15. » ἐρεῖ· ὅταν τὰς χεῖρας ἐκτείνητε πρός με
» ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν.
» αἱ γὰρ χεῖρες ὑμῶν αἱμάτων πλήρεις.

ΑΔΗΛΟΥ. Ταύταις ταῖς λέξεσι καὶ ὁ
Σωτὴρ ἐν Εὐαγγελίοις ἐχρήσατο, εἰπὼν
Ματθ. 17. 17. πρὸς αὐτούς· ὦ γενεὰ ἄπιστος καὶ διεστραμ-
» μένη ἕως πότε ἔσομαι πρὸς ὑμᾶς; ἕως πό-
» τε ἀνέξομαι ὑμῶν; οὐδὲ γὰρ ἕτερόν ἐστι τὸ
λεγόμενον, ἢ ὅτι ἀποστρέψω τὸ πρόσωπόν
μου ἀπ' αὐτῶν. γενεὰ γὰρ ἄπιστός ἐστι, μὴ
ἔχουσα πίστιν, καὶ ἐξεστραμμένη ἀπὸ τῆς
ἀληθείας. ἡμεῖς δὲ σὺν τῷ ψαλμῳδῷ βοή-
Ψαλ. 142. 7. σωμεν· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου
» ἀπ' ἐμοῦ.

κα. Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ
Θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις
αὐτῶν· κἀγὼ παραζηλώσω αὐτοὺς
ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ πα-
ροργιῶ αὐτούς.

** ΩΡΙΓΕΝΟΥΣ. Προφητικῶς δηλοῦ-
ται ἡ διὰ τὰ ἁμαρτήματα τοῦ προτέρου λαοῦ
...μένη τῶν ἀσυνέτων ἐθνῶν ἐκλογὴ, οὐ
...ου τινὸς ἢ τοῦ Ἰησοῦ γεγενημένη. αὐτοὶ
...ησι παρεζήλωσάν με ἐπ' οὐ Θεῷ, πα-
...σάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· κἀγὼ

A » παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, καὶ ἐπὶ
» ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς. καὶ ἔστι
σφόδρα τρανῶς καταλαβεῖν δυνατὸν, τίνα
τρόπον οἱ λεγόμενοι παρεζηλωκέναι τὸν
Θεὸν Ἑβραῖοι ἐπὶ τῷ οὐ Θεῷ, καὶ παρωρ-
γικέναι αὐτὸν ἐν τοῖς εἰδώλοις αὐτῶν, πα-
ρωξύνθησαν εἰς ζηλοτυπίαν ἐπὶ τῷ οὐκ ἔθνει
τῷ ἀσυνέτῳ· ὅπερ ὁ Θεὸς ἐξελέξατο διὰ
τῆς ἐπιδημίας Χριστοῦ Ἰησοῦ, καὶ τῶν μα-
» θητῶν αὐτοῦ. βλέπομεν γοῦν τὴν κλῆσιν 1. Κορ. 1. 26,
B » ἡμῶν· ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ 27, 28, 29.
» πολλοὶ δυνατοὶ, οὐ πολλοὶ εὐγενεῖς· ἀλλὰ
» τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, ἵνα
» καταισχύνῃ τοὺς σοφούς. καὶ τὰ ἀγενῆ καὶ
» ἐξουθενημένα ἐξελέξατο ὁ Θεὸς, καὶ τὰ
» μὴ ὄντα, ἵνα ἐκεῖνα τὰ πρότερον ὄντα
» καταργήσῃ· καὶ μὴ καυχήσηται ὁ κατὰ
» σάρκα Ἰσραὴλ, καλούμενος ὑπὸ τοῦ Ἀπο-
» στόλου σὰρξ, ἐνώπιον Θεοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὴν προτέραν
Γ συντέλειαν τοῦ λαοῦ λέγων, διὰ τοῦ, ἐπ' ἔθνει,
εἰπεῖν. οὐδὲ γὰρ ἔθνος εἶναι ἐνομίζετο διὰ
τὴν πολλὴν συντέλειαν, διὰ τὴν μωρίαν, διὰ
τὴν ἄνοιαν· ἀλλ' ἀπὸ τῆς πίστεως τοσαύτη
γέγονεν ἡ μεταβολὴ, ὡς ἐκείνων τῶν τι-
μωμένων πολλῷ τιμιωτέρους φανῆναι. ὅτι
ἔμελλε δάκνειν Ἰουδαίους τοῦτο αὐτὸ, καὶ ἐκ
τούτου βελτίους γίνεσθαι, καὶ τοῦτο ἐντεῦθεν
δηλοῦται. οὐ γὰρ ἁπλῶς εἶπε, προτιμήσω,
ἀλλ' ὁμοῦ καὶ τοῦτο δηλῶν, καὶ τὴν ἐκ πα-
Δ ραζηλώσεως γενησομένην αὐτοῖς ὁπωσδή-
» ποτε διόρθωσιν, παραζηλώσω ὑμᾶς, φησὶν,
» ἐπ' οὐκ ἔθνει· ὡσεὶ ἔλεγε, τοσαῦτα δώσω
αὐτοῖς ἀγαθὰ, ὡς ὑμᾶς δηχθῆναι. τοῦτο
γοῦν αὐτοὺς καὶ βελτίους ἐποίησε.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, κἀ-
» γὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει ἀσυνέ-
» τῳ παροργιῶ αὐτούς; (2) Οὐχὶ ἔθνος ἓν
οἱ τῷ σωτῆρι Χριστῷ πεπιστευκότες, ἀλλὰ
E μυρία. καὶ ταῦτα δέ ποτε ἀσύνετα ἦν καὶ
ἀνόητα, ἤ φησιν ὁ μακάριος Παῦλος· ἦμεν Τίτ. 3. 3.
» γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλα-
» νώμενοι, δουλεύοντες ἡδοναῖς, καὶ ἐπιθυ-
» μίαις ποικίλαις, καὶ τὰ ἑξῆς. ὥσπερ τοί-
νυν, φησὶν, ὑμεῖς τὸν ἕνα καταλιπόντες
Θεὸν, πολλοὺς ψευδωνύμους προτετιμήκα-
τε· οὕτως ἐγὼ τὸν ἕνα λαὸν ἀποῤῥίψας,
πᾶσι τοῖς ἔθνεσι παρέξω τὴν σωτηρίαν.
ἀλλ' ὑμεῖς μὲν τοὺς οὐκ ὄντας τετιμηκότες
Z Θεοὺς, οὐκ ἀπεφήνατε Θεούς· ἐγὼ δὲ τὰ
ἀσύνετα ἔθνη θείας ἐμπλήσω σοφίας· ὑμεῖς
δὲ ὁρῶντες, τῷ φθόνῳ τακήσεσθε.

ΑΔΗΛΟΥ. Ταύτῃ τῇ ῥήσει ἐχρήσατο
Ῥωμαίοις ἐπιστέλλων ὁ μακάριος Παῦλος.
ἀσυνέτους δὲ ἡμᾶς προσηγόρευσε, τὴν πρὸ
τῆς πίστεως ἡμῶν ἀφροσύνην ἐπιδεικνύς.
τοῦτο γὰρ καὶ αὐτὸς ὁ θεῖος Ἀπόστολος ἔφη·
» ἦμεν καὶ ἡμεῖς ποτὲ ἀνόητοι, ἀπειθεῖς, Τίτ. 3. 3.
» πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις, καὶ
H » ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ
» διάγοντες, στυγητοὶ, μισοῦντες ἀλλήλους.
ταῦτα

(1) ...έχρι τοῖς νῦν. ἐν τῷ εἰρημ. 3. Τόμ. προσφυὲς δὲ τὸ, οἱ μέχρι τῆς νῦν, ἐνvoυμένου τοῦ, γενεᾶς.
(2) ...Υμᾶς; ἡ ἐν Χάλ. ἔκδ.

ταῦτα (1) διαφερόντως ἰώϊασεν ὁ Θεὸς Ἰουδαίους. οὐδὲ γὰρ οὕτως αὐτοὺς ἀλγυνεῖ ἡ δουλεία καὶ ἡ διασπορά· ὡς ἡ τοῦ ναοῦ ἐρημία, ὡς ἡ τῶν ἐθνῶν εὐσέβειά τε καὶ περιφάνεια. παρακνίζει γὰρ αὐτοὺς, καὶ εἰς ζῆλον ἄγει.

κβ. Ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κατωτάτου· καταφάγεται γῆν καὶ τὰ γεννήματα αὐτῆς· φλέξει θεμέλια ὀρέων.

ΑΔΗΛΟΥ. Τὴν δικαίαν κατὰ τῶν ἁμαρτανόντων ἐμφαίνει κίνησιν, οὐ μέχρι παιδείας ὕστερον ἐπαγομένην, ἀλλ' ἕως τῶν τοῦ ᾅδου πυλῶν ἀπάγουσαν εἰς ἀπώλειαν·
Δευτ. 9. 3. » [καθάπερ ἤδη προεῖπεν, ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον τοὺς ἀσεβεῖς, τιμωρούμενος τοὺς ἀνθισαμένους, ὅταν ἐκ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας ἐπιστρέψαι μὴ βουληθῶσι. τὴν οὖν Ἰουδαίων τελευταίαν ἐνταῦθα προθεσπίζει ἀπώλειαν, ἣν καὶ ὑπέστησαν ὑπὸ Ῥωμαίων μετὰ τὴν εἰς Χριστὸν παροινίαν, καὶ τὴν τῶν ἐθνῶν κλῆσιν.]

ΑΔΗΛΟΥ. Ἀλλὰ καὶ τροπικῶς λεγόμενον πῦρ ἅπαν τὸ γεῶδες γίνεται φρόνημα, καὶ κατεσθίει τοὺς προσετηκότας τῇ γῇ, καὶ τὰ γεννήματα δὲ τῆς γῆς, πορνείαν, μοιχείαν, εἰδωλολατρείαν, καὶ τὰ ἑξῆς. ταῦτα γὰρ τῆς ἐν ἡμῖν γῆς τὰ γεννήματα. [ἔστι καὶ τὸ πῦρ τὸ αἰσθητὸν λαβεῖν. καὶ γὰρ] τὴν αἰσθητὴν γῆν τῶν Ἰουδαίων διώκουσιν οἱ πολέμιοι, καὶ πυρίκαυστον ἀποτελέσουσι, καὶ πάντα τὰ ἐν αὐτῇ.
» Καὶ τὰ θεμέλια τῶν ὀρέων, τροπικῶς λεγομένων ὀρέων τῶν καὶ ἐπαιρομένων κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, φλέξει τοὺς θεμελίους, [καὶ] καταργήσει τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, καὶ τὰς ὑπ' αὐτὸν πονηρὰς δυνάμεις. καὶ [ἁπλῶς] τῶν αἰσθητῶν ὀρέων [τοὺς θεμελίους] καταφλέξει ἡ ὀργὴ τοῦ Θεοῦ, ἡνίκα διὰ τὴν ἐκ τοῦ πολέμου ἀνάγκην εἰς φρούρια καταφύγωσιν οἱ Ἰουδαῖοι ὑψηλότατά τε καὶ ὀχυρώτατα· ἀλλ' ὅμως καὶ ταῦτα κατήγαγον οἱ πολέμιοι, ὥς φησιν Ἰώσηπος, τὴν ἐσχάτην αὐτῶν διηγούμενος ἐρημίαν.

κγ. Συνάξω εἰς αὐτοὺς κακὰ, καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς.

⁂ ΠΡΟΚΟΠΙΟΥ. Τὸ μακροθυμεῖν, συνάγειν λέγεται κατὰ τῶν ἀπειθούντων κακά. ἃ κυρίως καθ' ἑαυτῶν οἱ μὴ πεισθέντες συνάγουσιν, ὅλον ἐπὶ τέλει καθ' ἑαυτῶν ἐκκενοῦντες τὸ τοῦ ἀκράτου ποτήριον, πάσης ἐπ' αὐτοὺς τιμωρίας συντελουμένης.

A ΑΔΗΛΟΥ. Ὅπερ αὐτοὶ ποιοῦσιν ἀνιάτρευτοι διαμένοντες, τῆς ἀνοχῆς τοῦ Θεοῦ
» καὶ μακροθυμίας καταφρονοῦντες, καὶ θη- Ῥωμ. 2. 5.
» σαυρίζοντες ἑαυτοῖς ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς. Βέλη δὲ Κυρίου [τὰ] πρὸς ἐπιστροφὴν καὶ παιδείαν ἐπαγόμενα, καθὼς καὶ ὁ Ἰὼβ
» λέγει· βέλη Κυρίου ἐν τῷ σώματί μου εἰσὶν· Ἰὼβ. 6. 4.
» ὧν ὁ θυμὸς ἐκπίνει μου τὸ αἷμα. αἷμα γὰρ 1. Κορ. 15. 50.
» καὶ σὰρξ βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι.

B κδ. Τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων,

ΑΔΗΛΟΥ. Λιμῷ ἐτάκησαν αἰσθητῷ πολιορκούμενοι· καὶ προηγησαμένης τοῦ πολέμου ἐνδείας, ἐπί τε τοῦ Ναβουχοδονόσορ, καὶ ἐπὶ τῆς τελευταίας πολιορκίας, ἣν ὑπέμειναν μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν καὶ Θεοῦ Ἰησοῦ Χριστοῦ παροινίαν, ἐτάκησαν τῷ λιμῷ. ἀλλὰ καὶ τῷ νοητῷ λιμῷ παρεδόθησαν. οὐκ ἔτι γὰρ παρ' αὐτοῖς λόγος Θεοῦ
Γ καὶ Προφήτης αὐτοῖς λέγων, τάδε λέγει Κύριος. βρώσει δὲ ὀρνέων ἐξετάκησαν. ἐν γὰρ τοῖς τοιούτοις εἰκὸς ἀγρεύοντας ὀρνέοις, μόλις ἐπανέχειν ταῖς τούτων τροφαῖς.

⁂ ΠΡΟΚΟΠΙΟΥ. Εἴποι δ' ἄν τις καὶ κατὰ ἀναφορὰν τῶν ἐν τῇ ἐρήμῳ εἰρῆσθαι
» τὸ, βρώσει ὀρνέων· ὅτε περ εἰς χολέραν αὐτοῖς μετεβλήθη φαγοῦσι.

Καὶ ὀπισθότονος ἀνίατος.

Δ ΑΔΗΛΟΥ. Ὁ ὀπισθότονος σπασμὸς τῶν ἐν ῥάχει (2) μυῶν, ὅλον εἰς τοὔπισω ἕλκων τὸ σῶμα, καὶ ὡς ἐντεταμένον τόξον ἀπεργαζόμενος. εἰσὶ δὲ ταῦτα καὶ πάθη ψυχῆς, τὴν ἀπὸ τοῦ Θεοῦ ἀποστροφὴν ἐπιδεικνύμενα, μηδεμίαν εἰς αὐτοὺς ὑποφαίνοντα σωτηρίας ἐλπίδα. λιμὸν μὲν γὰρ νοήσομεν, καθ' ὃν οὐκ ἔστι παρ' αὐτοῖς λόγος Θεοῦ· βρῶσιν δὲ ὀρνέων, τοὺς κενοὺς λόγους καὶ μάτην εἰς ἀέρα διϊπταμένους. οὐ
E παύσονται γὰρ ἐν τούτοις μελετῶντες ματαίως, ὥς φησιν ὁ Δαβίδ· ἐμελέτησαν Ψαλ. 2. 1.
» κενὰ, εἰς τοὔπισω χωροῦντες ἀμεταστρεπτί.

Ὀδόντας θηρίων ἐπαποστελῶ εἰς αὐτοὺς, μετὰ θυμοῦ συρόντων ἐπὶ γῆς.

» ΑΔΗΛΟΥ. Τὸ, ἀποστελῶ, ἀντὶ τοῦ, ἀπέστειλα· ἡνίκα ὄφεις αὐτοῖς ἀπέστειλε θανατοῦντας ἐν τῇ ἐρήμῳ. θηρία, τοὺς πολέμους νοητέον, δίκην θηρίων αὐτοὺς κατε-
Z σθίοντας, καὶ μονονουχὶ τοῖς ὀδοῦσι καταναλίσκοντας, πονηρούς τε ὄντας ἐν τῇ ἐρήμῳ, καὶ μηδὲν εἰς αὐτοὺς ἥμερον ἐπιδεικνυμένους. οἳ τὴν τοῦ Θεοῦ παρίστασιν ἐγκατάλειψιν. (3) τοῖς ἑαυτῶν δὲ παραδιδόμενοι πάθεσιν ὑπὸ τῶν θηρίων τῶν νοητῶν κατησθίοντο.

κε. Ἔξω-

(1) Ἤτοι τούτοις ἀναγνωσ. ἢ ἀφαιρετέον τὸ, Θεός. ὅπερ οὐδὲ ἐν τῷ 3. Τόμ. τῆς εἰς τοὺς ψ[αλ.] σειρ. κεῖται.

(2) Βραχεῖ.. οἱ ἡμέτεροι κώδ. βράχει. ἐν σελ. 876. τοῦ 3. Τόμου τῆς εἰς τοὺς ψαλ. σειρ. ἐπισ[...] πάντες. ἀντὶ τοῦ ῥάχει· ὅπερ καὶ ἐτέθη.

(3) Ἐν μὲν τῷ 3. Τόμῳ τῆς εἰς τοὺς ψαλ. σειρ. (σελ. 876, 877.) ὅτι τὴν τοῦ Θεοῦ παρουσία[...] λειψαν. τοῖς ἑαυτῶν γὰρ παραδιδόμενοι, κτ. ὁ δὲ Προκόπιος (ἐν τῷ τῆς Αὐγ. κώδ.) οὕτως· ὀδόν[...] ἀποστελῶ εἰς αὐτούς. ἢ ἀντὶ τοῦ ἀπέστειλα· ἵνα πάλιν τοὺς ἐν τῇ ἐρήμῳ δηλώσῃ, ἐν ᾗ πολεμίο[...] θηρίων αὐτοῖς ἐπιτρέχοντας· ἢ τὴν τοῦ Θεοῦ παρίστησιν ἐγκατάλειψιν, δι' ἣν τοῖς ἑαυτῶν, κτ.

κε. Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμιείων φόβος·

ΑΔΗΛΟΥ. Τὰ ἐν τῇ πολιορκίᾳ συμβάντα κατὰ μέρος ἐκτραγῳδεῖ. ἅπερ καὶ διὰ Ἱερεμίου καὶ Ἰεζεκιὴλ ὁ θεῖος διηγήσατο λόγος. οἱ μὲν γὰρ ἔξωθεν ὑπὸ πολεμίων βαλλόμενοι, οἱ δὲ ἔνδον φόβῳ καὶ νόσῳ καὶ λιμῷ διεφθείροντο. Θεοῦ δὲ μάχαιρα τὰς πονηρὰς πράξεις τιμωρουμένη, τῷ φόβῳ συστέλλει, καὶ τοὺς τίκτοντας αὐτὰς λογισμοὺς, ὥστε μηκέτι τοιαῦτα τεκεῖν. το-
Ἑβρ. 4. 12. μώτερος γὰρ ὁ τοῦ Θεοῦ λόγος, καὶ κριτι-
» κὸς ἐνθυμήσεων.

Νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ καθεστηκότος πρεσβύτου.

ΑΔΗΛΟΥ. Ἄρδην αὐτοῖς ἐγίνετο ἡ ἀπώλεια, ἐπειδήπερ καὶ ὁμοθυμαδὸν τὴν
Ἱερ. 7. 17. » ἁμαρτίαν εἰργάζοντο. ἢ οὐχὶ ὁρᾷς, φησὶν
» ὁ τῶν ὅλων Θεὸς τῷ προφήτῃ Ἱερεμίᾳ, τί
» οὗτοι ποιοῦσιν ἐν ταῖς πόλεσιν Ἰούδα καὶ ἐν
» ταῖς αὐλαῖς Ἱερουσαλήμ; καὶ ψυχὰς δὲ τὰς διαφόρους ἡλικίας νοητέον.

κς. Εἶπον, διασπερῶ αὐτοὺς, παύσω δὲ ἐξ ἀνθρώπων τὸ μνημόσυνον
κζ. αὐτῶν. Εἰ μὴ δι' ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονήσωσι, καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι· μὴ εἴπωσιν, ἡ χεὶρ ἡμῶν ἡ ὑψηλὴ, καὶ οὐχὶ Κύριος ἐποίησε ταῦτα πάντα.

» ΑΔΗΛΟΥ. Εἶπα, διασπερῶ αὐτούς. διασπαρέντες γὰρ ἀπ' ἄκρου τοῦ οὐρανοῦ καὶ ἕως ἄκρων αὐτοῦ, καὶ ἐκ βίβλου ζώντων ἐξηλείφθησαν, μηκέτι λαὸς Θεοῦ χρηματίζοντες. οὐκ ἀπώλοντο δὲ παντελῶς, (1) διὰ τοὺς ἐξ ἐθνῶν. ἐπέμενον γὰρ τῇ δυσσεβείᾳ, (2) τὴν ἐκείνων ἀπώλειαν τοῖς ἑαυτῶν θεοῖς ἐπιγράφοντες, οὐ ταῖς τῶν ἀπολωλότων ἁμαρτίαις.

✻✻ ΠΡΟΚΟΠΙΟΥ. Ταῦτα λεγόντων τῶν Βαβυλωνίων, ἀκούοντες οἱ ἐπὶ τοῦ Ἱε-
Ἱερ. 51. 51, 52. ρεμίου, φασὶν, ᾐσχύνθημεν, ὅτι ἠκούσαμεν
» ὀνειδισμὸν ἡμῶν. κατεκάλυψεν ἀτιμία τὰ
» πρόσωπα ἡμῶν, εἰσῆλθον ἀλλογενεῖς εἰς
» τὰ ἅγια Κυρίου. πρὸς οὓς ἀποκρίνεται, λέ-
» γων· διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται λέγει
» Κύριος, καὶ ἐκδικήσω ἐπὶ τὰ γλυπτὰ αὐτῆς. διὰ ταῦτα τοίνυν, καὶ διὰ τὴν πρὸς τοὺς πατέρας αὐτῶν διαθήκην οὐ πάντες ἀπώλοντο. καὶ Γολιὰθ δὲ παρεμβολὴν ὀνειδίσας ζῶντος Θεοῦ, δίκην κυνὸς ὑπὸ μειρακίου διέφθαρται. εὐηγγελίζοντο δὲ καὶ ἀλλόφυλοι τὸν θάνατον τοῦ Σαοὺλ τοῖς εἰδώλοις αὐτῶν.

κη. Ὅτι ἔθνος ἀπολωλεκὸς βου[...]έστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη.

[...]ΗΛΟΥ. Μετὰ βουλῆς δεῖ πάντα [...] γὰρ βουλὴ θεία τίς δύναμις ἐπου-

A » ράνιός ἐστιν. ἐκράτησας γὰρ τῆς χειρὸς Ψαλ. 72. 23, 24.
» τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὡδήγη-
» σάς με, καὶ μετὰ δόξης προσελάβου με, φησὶν ὁ Προφήτης.

✻✻ ΠΡΟΚΟΠΙΟΥ. Θείαν γὰρ οὖσαν ἀπώλεσαν τὴν βουλήν. περὶ ἧς Δαβὶδ ἐν
» οβ' ψαλμῷ φησίν· ἐκράτησας τῆς χειρὸς Ψαλ. 72. 23.
» τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὡδήγη-
» σάς με. περὶ ταύτης Ἡσαΐας φησί· καὶ Ἡσ. 9. 6.
» καλεῖται μεγάλης βουλῆς Ἄγγελος. ἐπ' Ἡσ. 11. 2.
B » αὐτῷ γὰρ τὸ πνεῦμα βουλῆς καὶ ἰσχύος. ἣν ἀπώλεσαν οἱ ἐξ Ἰσραὴλ, ὡς καὶ τὴν ἐπι-
» στήμην. περὶ ἧς φησὶ Σολομών, μύστις γάρ- Σοφ. 8. 4.
» ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης. μύστιν δέ φησι τὴν σοφίαν. καὶ Ἰὼβ δὲ ταύτην ἀποθαυ-
» μάσας, φησί· ποῖος δὲ τόπος ἐστὶ τῆς ἐπι- Ἰώβ. 28. 12.
στήμης; οὐδὲ ταύτην εἶχον οἱ ἐξ Ἰσραὴλ, μὴ παραδεξάμενοι Χριστὸν, Θεοῦ σοφίαν, καὶ
» τὴν βουλὴν τοῦ ὑψίστου, παρ' ᾧ τῆς γνώσεως Κολασ. 2. 3.
» οἱ θησαυροὶ, καὶ τῶν ὄντων ἡ ἐπιστήμη.

Γ κθ. Οὐκ ἐφρόνησαν συνιέναι· ταῦτα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.

✻✻ ΠΡΟΚΟΠΙΟΥ. Ἀκύλας οὕτως ἐξέ-
» δωκεν· οὐκ ἔστιν ἐν αὐτοῖς φρόνησις· ὄφε-
» λον ἐσοφίσθησαν ἐπίστασθαι αὐτήν. συνετι-
» σθήτωσαν εἰς ἐσχάτην αὐτῶν. ἐπειδὴ γὰρ οὐκ ἔγνωσαν τὰ εἰρημένα, ἐν ἐσχάταις ἡμέραις γνώσονται, καθὰ τὴν τῶν ἐθνῶν κλῆ-
Δ σιν ἀποβαλλόμενοι, μὴ πιστεύσαντες Χριστῷ, τῇ τοῦ πατρὸς ἐπιστήμῃ τε καὶ βουλῇ.

ΑΔΗΛΟΥ. Ἐπειδήπερ, φησὶν, οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν τὰ εἰρημένα, ἐν ταῖς ἐσχάταις ἡμέραις γνώσονται αὐτὰ, ἡνίκα τῆς ἐνσάρκου παρουσίας τοῦ μονογενοῦς ἐλεύσεται ὁ καιρὸς, καὶ τῶν ἐθνῶν ἡ κλῆσις γενήσεται, αὐτῶν δὲ ἡ ἀποβολὴ, διὰ τὸ μὴ βουληθῆναι αὐτοὺς δέξασθαι τοῦ πατρὸς τὴν βουλὴν, μηδὲ συνιέναι τὴν ἐπιστήμην αὐτοῦ.

E λ. Πῶς διώξεται εἷς χιλίους, καὶ δύο μετακινήσουσι μυριάδας, εἰ μὴ ὁ Θεὸς ἀπέδοτο αὐτοὺς, καὶ ὁ Κύριος
λα. παρέδωκεν αὐτούς; Οὐ γάρ εἰσιν οἱ θεοὶ αὐτῶν, ὡς ὁ Θεὸς ἡμῶν. οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι.

ΑΔΗΛΟΥ. Τουτέστιν, οὐκ ἂν εὐάλωτοι ἐγένοντο τοῖς ἐχθροῖς, καὶ ὑπὸ τοῦ τυχόν-
Z τος πτοούμενοι, ὡς ἕνα τῶν πολεμίων διώκειν χιλίους, καὶ δύο ἀριθμῶν (3) πλῆθος, εἰ μὴ εἰς τοὐναντίον αὐτοῖς ἐστράφη τὰ πράγματα· καὶ ὅπερ αὐτοὶ πάλαι διεπράττοντο, ῥᾳδίως καταγωνιζόμενοι τοὺς ἐχθροὺς, τὸν Θεὸν εὐμενῆ κεκτημένοι, ταῦτα οὐκ ἂν ὑπέμενον, εἰ μὴ γυμνοὶ τῆς αὐτοῦ ἐπικουρίας ἐτύγχανον, πραθέντες ταῖς ἁμαρτίαις.

✻✻ ΠΡΟΚΟΠΙΟΥ. Τῆς τοῦ Θεοῦ γὰρ
H σκέπης γυμνωθέντες, ὑφ' ἑνὸς, ὡς ὑπὸ πλήθους, ἐδιώκοντο. ὧν περ τὸ τοὐναντίον ἡνίκα τῇ

[...]ντελῶς. ἑκάτερ. τῶν ἡμετέρ. κωδίκ. καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ. ὁ δὲ εἰρημ. 3. Τόμ. ῥᾳδίως.
[...]ον γὰρ δυσσεβείᾳ μεγαλαυχεῖν, τὴν, κτ. αὐτ. (3) Ἀνάριθμον πλῆθ. αὐτ.

τῇ εὐσεβείᾳ προσέκειντο. οὐ γὰρ ἔστιν εἰπεῖν, ὡς οἱ ἀλλόφυλοι διὰ τὴν ἰσχὺν τῶν εἰδώλων αὐτῶν τούτους ἐδίωκον. οὐδεμία γὰρ ὁμοιότης πρὸς τὸν Θεὸν ἡμῶν. ἀλλὰ καὶ ἄφρο-
Ἱερ. 2. 27. » νες οἱ τούτους λατρεύοντες, λέγοντες τῷ
» ξύλῳ, πατήρ μου εἶ σὺ, καὶ τῷ λίθῳ, σύ με ἐγέννησας. δυνατὸν δὲ καὶ περὶ νίκης τῶν ἐξ Ἰσραὴλ εὐσεβούντων προλέγεσθαι· ὅτε καὶ τὴν νίκην ἄκοντι πολλάκις ἐλάμβανον.

λβ. Ἐκ γὰρ ἀμπέλων Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας· ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτοῖς.

ΑΔΗΛΟΥ. Ἔφη που καὶ ὁ μακάριος Ἱερεμίας πρὸς τὴν τῶν Ἰουδαίων συναγωγὴν,
Ἱερ. 2. 21. » ὡς ἐκ προσώπου τοῦ Θεοῦ· ἐγὼ ἐφύτευσά σε
» ἄμπελον καρποφόρον· πῶς ἐστράφης εἰς
» πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία; ζηλώσαντες γὰρ Σοδομιτῶν τὰ ἔργα, καὶ τὰ ἐπιτηδεύματα τῶν Γομόῤῥας πολιτῶν ἀσπαζόμενοι, τὸ γένος ἐκεῖθεν λέγονται κατάγειν. ὥσπερ γὰρ οἱ τὰ ἔργα ζηλοῦντες τοῦ Ἀβραὰμ καὶ μεταδιώκοντες, υἱοὶ Ἀβραὰμ οὐκ ἀπεικότως ἀναγορεύονται· οὕτω καὶ οἱ τὰ Σοδομιτῶν ἐπιτηδεύματα φιλοτιμούμενοι πάνδεινα, ἀπόγονοι τοῦ ἀποστάτου γίγνοιντο (1) Διαβόλου.

λγ. Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος.

** ΑΝΩΝΥΜΟΥ. Τὴν ζέσιν τῶν σαρκικῶν ἡδονῶν οἶνον δρακόντων φήσας, καὶ τῆς παρακοῆς τὴν τυραννικὴν καὶ ὑπερηφανικὴν καταφρόνησιν καλέσας οἶνον ἀσπίδων. τοῦτο γὰρ, ὥς φασι, τὸ θηρίον παρὰ πάντα τὰ θηρία τῆς γῆς ἐμφράττει τὰ ὦτα πρὸς ἐπᾴσματα, ὑπερηφανίᾳ τυραννοῦν τοὺς ἐπᾴδοντας.

λδ. Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ' ἐμοὶ, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου;

ΑΔΗΛΟΥ. Ὁ Σύμμαχος σαφέστερον
» ἑρμηνεύων ἐξέδωκε· μὴ οὐχὶ τοῦτο ἀπόκει-
» ται παρ' ἐμοί; τουτέστι τὸ θηριῶδες αὐτῶν καὶ μιαιφόνον, καὶ ἃ (2) μέλλουσιν ἐγχειρεῖν λυττῶντες κατὰ τοῦ Σωτῆρος αὐτῶν· ἀλλ' ὅμως ἀναβάλλομαι, καὶ δίδωμι χώραν τῷ αὐτεξουσίῳ, ἀναμένων τὴν πρᾶξιν.

λε. Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν,

ΑΔΗΛΟΥ. Τότε γάρ φησιν εἰσπράξομαι δίκην, ὅταν [ὀρθῶς μὴ θέλωσι βαίνειν, ἀλλὰ] τῆς εὐθείας παρατραπῶσιν ὁδοῦ, καὶ ἐγγὺς γένωνται τοῦ ἐκχέαι αἷμα.

Ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτῶν, καὶ πάρεστιν ἕτοιμα ὑμῖν.

ΑΔΗΛΟΥ. Τῷ προφητικῷ πνεύματι τὰ πολλοῖς ὕστερον ἐσόμενα χρόνοις, ὡς παρόντα καὶ ἐγγίζοντα θεωρεῖται, (3) ἐγγὺς λέγων τῆς ἀπωλείας αὐτῶν τὴν ἡμέραν, καὶ τὴν κλῆσιν τῶν ἐθνῶν ἑτοιμοτάτην ἔσεσθαι.

λϛ. Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

ΑΔΗΛΟΥ. Καταψηφιεῖται γὰρ τοῦ ἰδίου λαοῦ, φησὶ, καὶ ἐγκρινεῖ αὐτοὺς, καὶ ἐπὶ τοῖς ἐξ ἐθνῶν πιστεύουσι παρακληθήσεται· δούλους γὰρ αὐτοῦ ἐκείνους φησίν· ἢ καὶ τοὺς Ἰσραηλίτας ἐλεήσει, καὶ οὐκ εἰς τέλος ἀπώσεται τὸν λαὸν αὐτοῦ.

Εἶδε γὰρ αὐτοὺς παραλελυμένους, καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ, καὶ παρειμένους.

ΑΔΗΛΟΥ. Ἐπαγωγή ἐστι τῆς ἐκδικήσεως ὁ καιρὸς, καθά φησι δι' ἑνὸς τῶν Προ-
» φητῶν· (4) τί ποιήσεις ἐν ἡμέρᾳ ἐπαγωγῆς; ἐθεάσατο τοίνυν αὐτοὺς κατ' ἐκεῖνο [τοῦ] καιροῦ δίκας αὐτοὺς εἰσπραττομένους, καὶ μηδεμίαν ἔχοντας ἰσχύν. οὐ γὰρ ἐδύναντο
» λέγειν, πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Φιλιπ. 4. 13.
» Χριστῷ· καὶ, ἐν τῷ Θεῷ μου ποιήσομαι δύ- Ψαλ. 59. 12.
ναμιν. ἐπηκολούθησε δὲ τῇ τῆς ψυχῆς παρέσει ἡ τῆς δυνάμεως νέκρωσις.

λζ. Καὶ εἶπε Κύριος, ποῦ εἰσὶν οἱ Θεοὶ αὐτῶν, ἐφ' οἷς ἐπεποίθησαν ἐπ' αὐτοῖς,

** ΠΡΟΚΟΠΙΟΥ. Μήποτε δὲ ἔτι περὶ τῶν πρὸ τῆς ἐπιδημίας ὁ λόγος, ὅτε περ αὐτοὺς ἐκ τῆς αἰχμαλωσίας ἀνεκαλέσατο; καὶ δῆλον ἐκ τοῦ ὀνειδίζειν αὐτοῖς τὴν πρὸ
» ταύτης εἰδωλολατρείαν, λέγων· ποῦ εἰσὶν
» οἱ Θεοὶ αὐτῶν; μετὰ γὰρ ἐκείνην οὐ φαίνονται λοιπὸν εἰδωλολατρήσαντες.

λη. Ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε, καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν; ἀναστήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν, καὶ γενηθήτωσαν ὑμῶν σκεπασταί.

ΑΔΗΛΟΥ. Ταῦτα καὶ οἱ λοιποὶ Προφῆται, καὶ μάλιστα Ἱερεμίας εἰς ἔλεγχον τῆς ἀσεβείας [αὐτῶν,] ὀνειδίζων προέ-
» φερε. (5) φησὶ γὰρ, διὰ τοῦτο τάδε λέ- Ἱερ. 11. 11, 12.
» γει Κύριος· ἰδοὺ ἐγὼ ἐπ' αὐτοὺς ἐπάγω κα-
» κὰ, ἐξ ὧν οὐ δυνήσονται ἐξελθεῖν ἐξ αὐ-
» τῶν· καὶ κεκράξονται πρός με, καὶ οὐκ
» εἰσακούσομαι αὐτῶν. καὶ πορεύσονται πρὸς
» πόλιν Ἰούδα καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ,
» καὶ κεκράξονται πρὸς τοὺς Θεοὺς αὐτῶν,
» καὶ οὐ μὴ σώσουσιν αὐτοὺς ἐν καιρῷ κακῶν
» αὐτῶν, καὶ τὰ ἑξῆς.

λθ. Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμ[ι] οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ.

(1) Δείκνυται. ἐν σελ. 879. τοῦ εἰρημ. Τόμ. (2) Οἷς. αὐτ. (3) Θ[...]

ΑΔΗΛΟΥ. Τϐτέςι, παιδδύσει σε ἡ ἀπο-
σίασε, καὶ ἡ κακία σε ἐλέγξει σε. καὶ
ειδή περ [εὖ πράτλων] ἐκ ἔγνως τὸν
ργέτlω, καὶ τῶν ἀγαθῶν τὸν χορη-
, τιμωρϐμενος μάνθανε τὸν ἀπαραι-
τϐς ὑμῖν ἐπάγοντα τὰς πληγὰς, ἐξ ὧν
ᾶς ἐδεὶς ἐῤῥύσατο τῶν δοξάντων ὑμῖν
η Θεῶν.

Ἐγὼ ἀποκλενῶ, καὶ ζῆν ποιήσω·
τάξω, κἀγὼ ἰάσομαι·

* ΣΕΥΗΡΟΥ. Πάντα γάρ φησιν εἰς
τηρίαν ὑμῶν πραγματεύομαι. [καὶ] διὰ
το [εἰσπράτλομαι δίκας ἐνταῦθα τὸς ἀ-
στάνοντας, ἵνα διὰ τῆς μετανοίας αὐ-
ς] χαρίσωμαι τlὼ ζωlὼ, ἥτις ἐςὶ τῆς
εβείας ἡ γνῶσις.

ΤΟΥ ΑΥΤΟΥ. Τοιϐτος γὰρ ὁ ἀγαθὸς
ς, ἀποκλείννυσιν, (1) ἵνα ζωοποιήσῃ, καὶ
τάσσῃ, ἵνα ἰάσηται τὸς τεθανατωμένες
ἀσεβείᾳ, τῷ μηκέτι τὸ κακὸν ποιεῖν.
αὐτὸς λέγομεν ζωοποιεῖσθαι διὰ [τῆς
ῆς] πίςεως καὶ ἀγαθοεργίας.

* ΤΟΥ ΑΥΤΟΥ. Αὐτὸς γὰρ ἀλγεῖν
ῖ, καὶ πάλιν ἐγκαθίςησι, (2) τὰς ἐπε-
θείσας ἐπανορθϐμενος συμφορὰς, καὶ
ψυχῆς τὰς νόσϐς ἰώμενος, μηδενὸς
ταράπαν δυναμένϐ, τὸς ὑπ' ἐμὲ τιμω-
ς εἰσπρατlομένϐς ἐξελέσθαι αὐτϐς.

** ΒΑΣΙΛΕΙΟΥ. Σωήθες τῇ Γραφῇ
τάσσειν τὰ σκυθρωπὰ τῶν χρηςοτέ-
· διότι ἡδίων ἐςὶν ἡ ἀπόλαυσις, προκα-
ησαμένων αὐτῆς τῶν λυπϐντων. ἐγὼ
ἀποκλενῶ, φησὶ, καὶ ζῆν ποιήσω. δεύ-
α ἡ εὐεργεσία μετὰ τlὼ κόλασιν. πα-
ω κἀγὼ ἰάσομαι. αὐτὸς γὰρ ἀλγεῖν
ῖ, καὶ πάλιν ἀποκαθίςησιν. ἔπαισε,
αἱ χεῖρες αὐτϐ ἰάσαντο. παραλαμ-
ει τὰ κακϐντα, ἵνα μονιμώτεραι ἡμῖν
χάριτες γίνωνται, σφοδρῶς ἀντιποιη-
των ἡμῶν τῆς φυλακῆς τῶν δοθέντων.

** ΤΟΥ ΑΥΤΟΥ. Ἀποκλενεῖ γὰρ τὸν
ῶς ζῶντα, ἵνα μετὰ τlὼ κάθαρσιν
χείρονος ζωῆς, τlὼ καινlὼ αὐτῷ χα-
ται.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐγὼ ἀποκλενῶ, καὶ
ποιήσω. ἀποθάνωμεν ἐν, ἵνα ζήσω-
ἀποκλείνωμεν τὸ φρόνημα τῆς σαρ-
τὸ μὴ δυνάμενον ὑποταγlὼαι τῷ νό-
τϐ Θεϐ, ἵνα τὸ φρόνημα τϐ πνεύματος
ρὸν ἡμῖν ἐγγένηται, δι' ἐ ζωὴ καὶ εἰρlὼη
γίνεσθαι πέφυκε.

Καὶ ἐκ ἔςιν ὃς ἐξελεῖται ἐκ τῶν
ῶν με.

* ΣΕΥΗΡΟΥ. Τὶς γὰρ ἂν ἰχύσειεν,
τος αὐτϐ, τῶν αὐτϐ χειρῶν (3) ῥύσα-
τὸν ἅπαξ παραπεπlωκότα βιαίως;

A μ. Ὅτι ἀρῶ εἰς τὸν ἐρανὸν τlὼ χεῖρά με, καὶ ὀμϐμαι τῇ δεξιᾷ με· καὶ ἐρῶ, ζῶ ἐγὼ εἰς τὸν αἰῶνα.

ΑΔΗΛΟΥ. (4) Δεξιὰ καὶ χεὶρ τϐ πα-
» τρὸς ὁ υἱὸς, ὥς φησὶ καὶ Δαβίδ· δεξιὰ Ψαλ. 117. 16.
» Κυρίε ἐποίησε δύναμιν· καὶ πάλιν, ἐμϐ Ψαλ. 62. 8.
» δὲ ἀντελάβετο ἡ δεξιά σϐ. τὸ δὲ, ἀρῶ εἰς
» τὸν ἐρανὸν τlὼ χεῖρά με, ὅμοιον ἐςὶ τῷ
» λεγομένῳ ὑπὸ τϐ μακαρίε Δαβίδ· ὑψω- Ψαλ. 88. 13.
B » θήτω ἡ δεξιά σϐ. ἔδει γὰρ κατὰ τὸ ἀν-
θρώπινον τὸν υἱὸν τϐ ἀνθρώπε ὑψωθlὼαι,
δεξιὰν ὄντα τϐ πατρός. δείκνυσι δὲ αὐτὸν
καθὸ lὼ ἡ δεξιὰ Θεὸν ἐκ Θεϐ μόνε, καὶ
ὁμοέσιον καὶ μιᾶς δυνάμεως καὶ ἐξεσίας
» καὶ κυριότητος. τὸ γὰρ, ὀμϐμαι τῇ δεξιᾷ
» με, τϐτο ἐμφαίνει. ἐπεὶ γὰρ ἐκ εἶχε κα- Ἑβρ. 6. 13.
» τὰ μείζονος ὀμόσαι, ἔφη (5) ὁ Ἀπόςολος,
» ὤμοσε καθ' ἑαυτϐ. χαρακlὴρ γὰρ ἐςι τῆς Ἑβρ. 1. 3.
» τϐ πατρὸς ὑποςάσεως ὁ υἱὸς, καὶ εἰκὼν
Γ ἀπαράλλακlος, ὅλον ἐν ἑαυτῷ δεικνὺς τὸν
πατέρα. ἀποδείκνυσι δὲ αὐτὸν καὶ συναΐ-
διον, καὶ ζῶντα εἰς τὸν αἰῶνα μεθ' ἧς ὑψοῖ
δεξιᾶς. ταῦτα δὲ γενήσεταί φησιν, ὅταν
ὑμᾶς τιμωρήσωμαι, τlὼ ἐμlὼ προπηλα-
κίσαντας δεξιάν. ἵνα γνῶτε, ὡς ἑκεσίως
βελήσει ἐμῇ ἐταπείνωσα αὐτlὼ (6) δι'
ὑμᾶς τὸς ἀποςραφέντας αὐτlὼ, καὶ μὴ
δεξαμένϐς αὐτlὼ.

Δ μα. Ὅτι παροξυνῶ ὡς ἀςραπlὼ τlὼ μάχαιρά με, καὶ ἀνθέξεται κρίματος ἡ χείρ με, καὶ ἀνταποδώσω δίκlὼ τοῖς ἐχθροῖς, καὶ τοῖς μισϐσί με ἀνταποδώσω.

ΑΔΗΛΟΥ. Μάχαιραν φησὶ τlὼ τιμω-
ρίαν. (7) πολεμικὸν γὰρ καὶ ἐκδικητικὸν
σκεῦος ἡ μάχαιρα ἐπὶ τὸς ἐχθρϐς. ἡ δὲ
τϐ Θεϐ μάχαιρα ἀόρατός ἐςι καὶ πνευμα-
» τική. φησὶ γὰρ ὁ Προφήτης· ἐμεθύσθη ἡ Ησ. 34. 5.
E » μάχαιρα Κυρίε ἐν τῷ ἐρανῷ. ταύτlὼ φη-
σὶ παροξυνεῖ ὡς ἀςραπlὼ, τὸ λαμπρὸν
αὐτῆς καὶ ἐπιφανὲς ἐπιδεικνύμενος, καὶ
» πᾶσι κατάδηλον. τότε ἀνθέξεται κρίμα-
» τος ἡ χείρ. ἅπασαν γὰρ τlὼ κρίσιν δέδω- Ἰωάν. 5. 22, 23, 27.
» κε τῷ υἱῷ. ἵνα πάντες τιμῶσι τὸν υἱὸν, κα-
» θὼς τιμῶσι τὸν πατέρα. καὶ ἐξεσίαν δέ-
» δωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν. ποίε δὲ κρί-
» ματος, αὐτὸς ἐν Εὐαγγελίοις φησί· περὶ Ἰωάν. 16. 11.
» δὲ κρίσεως, ὅτι ὁ ἄρχων τϐ κόσμε τϐτε
Z κέκριται. καταγωνίσας δὲ (8) τὰς ἀορά-
τϐς δυνάμεις, καὶ τὸν τϐτον πρωτοςάτlὼ
Διάβολον, ἀνῆκεν ἡμᾶς ἐλευθέρϐς.

μα. Μεθύσω τὰ βέλη με ἀφ' αἵματος, καὶ ἡ μάχαιρά με φάγεται κρέα ἀφ' αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν.

ΑΔΗΛΟΥ.

(1) Ἀποκλιννύς. ἐν σελ. 881. τϐ εἰρημ. Τόμ.
(2) Ἀποκαθίςησιν. αὐτ.
(3) χειρῶν τὸν ἅπαξ παραπεπlωκότα ἀπαγαγεῖν. αὐτ.
(4) Κυρίε. αὐτ. ἐν δὲ τοῖς ἐκδεδομ. ἐχ εὕρηται.
(5) Ἡ φησιν. αὐτ.
(6) ἐταπείνωσεν ἑαυτόν. ἑκάτερ. τῶν κωδ. ἐπισφαλ. τὸ δὲ ἐταπείνωσα αὐτlὼ, ἐλήφθη ἐκ τϐ
(7) Τlὼ τιμωρητικlὼ δύναμιν. αὐτ.
(8) Γάρ. αὐτ.

ΑΔΗΛΟΥ. Τιμωρούμενος γὰρ τοὺς Ἰουδαίους ἐμπαροινήσαντας αὐτῷ, καὶ ἐκδοὺς αὐτοὺς Καίσαρι, ὃν ἐπεγράψαντο βασιλέα, ἐνέπλησεν αὐτοῦ τὰ βέλη αἵματος, τὴν ἐσχάτην ὑπομεινάντων ἅλωσιν. καὶ εἴη ἂν αἰσθητὴ μάχαιρα τῶν Ῥωμαίων τὰ ξίφη, ἅπερ καὶ ὡς ἔμψυχα τὰ κρέα κατήσθιον, δαπανῶντα τοὺς προσυγχάνοντας. νοητὴ δὲ μάχαιρα ὁ λόγος τοῦ Θεοῦ. ἔφη γὰρ ὁ
Ἐφεσ. 6. 17. Ἀπόστολος· καὶ τὴν μάχαιραν τοῦ πνεύ-
» ματος ὅ ἐστι ῥῆμα Θεοῦ. αὕτη τὰ ἐν ἡμῖν πάθη κατηνάλωσε, καὶ κατέφαγεν, ἔργα
Γεν. 6. 3. » σαρκὸς ὄντα. οὐ μὴ γὰρ καταμείνῃ τὸ πνεῦ-
» μά μου ἐν αὐτοῖς, ἔφη ὁ Θεὸς, διὰ τὸ εἶναι
» αὐτοὺς σάρκας, τουτέστι σαρκικὸν φρόνημα ἔχειν· καὶ οὐδὲν ἕτερον εἶναι ἢ κρέα, ἅπερ ἐπιδημήσας ὁ λόγος ἐδαπάνησε, πνευματικοὺς ἡμᾶς ἀπεργασάμενος.

ΑΔΗΛΟΥ. Δείκνυσι (1) τήντε νοητὴν καὶ τὴν αἰσθητὴν μάχαιραν· τὴν μὲν φάσκων ἀπὸ τοῦ αἵματος πεπληρῶσθαι τῶν πεσόντων ἐν πολέμῳ, καὶ παραδοθέντων αἰχμαλωσίᾳ· τὴν δὲ, νοητήν φημι, μεμεθύσθαι ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν. κεφαλὴ δὲ ἀρχόντων ἐστὶν ὁ Διάβολος· ἄρχοντες δὲ ἐθνῶν, αἱ ὑπ' αὐτῶν πονηραὶ
Ἡσ. 27. 1. » δυνάμεις. διὰ τοῦτο ἔφασκεν Ἡσαΐας· ἐν
» τῇ ἐσχάτῃ ἡμέρᾳ ἐπάξει ὁ Θεὸς τὴν μά-
» χαιραν τὴν ἁγίαν, τὴν μεγάλην καὶ ἰσχυ-
» ρὰν ἐπὶ τὸν δράκοντα τὸν ὄφιν. διὸ παραγενόμενος ὁ τοῦ Θεοῦ ζῶν λόγος, τομώτερος ὢν ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, τὰς ἀοράτους κατεπολέμησε δυνάμεις, ἐν
Κολ. 2. 14, 15. τῷ σταυρῷ τὸ καθ' ἡμῶν χειρόγραφον ἀφα-
» νίσας, καὶ καθελὼν πᾶσαν ἀρχὴν καὶ ἐξου-
» σίαν, καὶ θριαμβεύσας ἐν παῤῥησίᾳ, καὶ
Ψαλ. 67. 18. λαβὼν αἰχμαλώτους ἡμᾶς, ἔδωκε καὶ δό-
» ματα ἐν ἀνθρώποις.

μγ. Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ.

ΑΔΗΛΟΥ. Εὐφροσύνης γὰρ ἀληθῶς ὑπόθεσις καὶ θυμηδίας πάσης τὸ ἐκ ποδῶν γενέσθαι τὰς ἀποστατικὰς δυνάμεις, καὶ τὸν μισόκαλον καταργηθῆναι Διάβολον, καὶ τοὺς ἀνθρώπους ἐλευθέρους γενέσθαι τῆς πάλαι κρατούσης κατ' αὐτῶν τυραννίδος, καὶ ὁδὸν γενέσθαι καθαρὰν, πάσης ἁμαρτίας ἀνῃρημένης, τοῖς προσιοῦσιν αὐτῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἐπὶ τούτοις χαίρουσιν οἱ Ἄγγελοι, καὶ πᾶσαι αἱ τῶν οὐρανῶν δυνάμεις, ὁρῶσαι τὴν παλαιὰν ἔχθραν διαλυθεῖσαν, καὶ εἰρήνην τοῖς ἐπὶ γῆς βραβευθεῖσαν, καὶ τοὺς ἐπὶ γῆς ἀνθρώπους πολίτας οὐρανοῦ γενομένους, καὶ τὴν γῆν συν-

A ναφθεῖσαν τῷ οὐρανῷ. καὶ προσκυνοῦσιν ἅπαντες τὴν ἀήττητον δύναμιν, ὅσοι κατελογίσθησαν ἐν τέκνοις Θεοῦ. Καὶ μετ' ὀλίγα. (2)
Εἰ γὰρ κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, χα- Λουκ. 15. 7.
» ρὰ ἐν οὐρανῷ γίνεται ἐπὶ ἑνὶ ἁμαρτωλῷ
» μετανοοῦντι, πόσῳ μᾶλλον ἐπὶ τοσαύτῃ καὶ τηλικαύτῃ τῶν ἀνθρώπων εὐεργεσίᾳ τε καὶ σωτηρίᾳ.

Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ
B αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ,

* ΠΡΟΚΟΠΙΟΥ. Εἰ γὰρ καὶ διὰ τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ παραγεγενῆσθαί φησιν, (3) ἀλλ' ὁ αὐτὸς πά-
» λιν ἐν Εὐαγγελίοις ἐρεῖ· ἄλλα πρόβατα Ἰωάν. 10. 16.
» ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κα-
» κεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου
» ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς
» ποιμήν. ἔφη δὲ καὶ ὁ θεῖος Ἀπόστολος· ἵνα Ἐφεσ. 2. 15.
Γ » τοὺς δύω κτίσῃ λαοὺς εἰς ἕνα καινὸν ἄνθρω-
» πον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων
» τοὺς ἀμφοτέρους ἐν ἑνὶ πνεύματι πρὸς τὸν
» πατέρα. Ἀκύλας δὲ ἀντὶ τοῦ, εὐφράνθη-
» τε, φησὶν, ἐνοποιήσατε ἔθνη λαοὺς αὐτοῦ.

ΑΛΛΟΣ. (4) Εἴρηταί που πρὸς Ἑβραίους
» γράφοντος τοῦ θεσπεσίου Παύλου· οὐχὶ πάν- Ἑβρ. 1. 14.
» τες εἰσὶ λειτουργικὰ πνεύματα, πρὸς δια-
» κονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας
Δ » κληρονομεῖν σωτηρίαν; ἔφη δὲ καὶ ὁ θεῖος
» Δαβίδ· παρεμβαλεῖ Ἄγγελος Κυρίου κύ- Ψαλ. 33. 7.
» κλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. ἐνισχύσατε τοίνυν τοὺς προσιόντας τῷ ἑαυτῶν ποιητῇ, καὶ ὡς ὁμοδούλους τιμήσατε, χαίροντες καὶ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, μήτιγε δὴ ἐπὶ τοσούτοις ἀγαθοῖς καὶ τοιούτοις. καὶ ἑτέρα δὲ γραφὴ ἔχει·
» ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ. υἱοὺς δὲ Θεοῦ τοὺς ἁγίους νοήσεις Ἀποστόλους, καὶ
E τοὺς μετ' ἐκείνους τῆς Ἐκκλησίας διδασκάλους, οἵτινες παρακελεύονται ἐνισχύειν τὸν λαὸν ταῖς παραινέσεσι, καὶ ταῖς τῆς θείας Γραφῆς ἑρμηνείαις.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, εὐ-
» φράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. καὶ
» ἐνισχυσάτωσαν αὐτὸν (5) πάντες οἱ υἱοὶ (6) Θεοῦ; Καὶ ἐξ Ἰουδαίων πολλαὶ μυριάδες ἐπίστευσαν τῷ δεσπότῃ Χριστῷ, καὶ τὸ πλεῖστον τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν· ἀλλὰ τοῖς
Z ἔθνεσι τὴν διδασκαλίαν οἱ ἐξ Ἰουδαίων παρέδωκαν. ἐξ Ἰουδαίων γὰρ οἱ θεῖοι Ἀπόστολοι. ταῦτα τοίνυν προθεσπίζων ὁ Προφή-
» της ἔφη· εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, τουτέστι τῶν ἐξ Ἰουδαίων πεπιστευκό-
» των· καὶ ἐνισχυσάτωσαν αὐτοὺς πάντες οἱ
» Ἄγγελοι (7) Θεοῦ, τοὺς εἰς αὐτὸν πεπιστευκότας.

(1) Μίγνυσιν. αὐτ. (2) Τὸ, καὶ μετ' ὀλίγα, ἐν τῷ εἰρημ. Τόμ. οὐ κεῖται.
(3) Παραγεγονέναι φησὶν, ἀλλ' οὖν αὐτὸς ἔλεγε, καὶ ἄλλα, κτ. ὁ τῆς Αὐγ. κώδ.
(4) Τοῦ ἄλλου. ἐν σελ. 883: τοῦ εἰρημ. Τόμ. (5) Αὐτοὺς. κατωτέρω, καὶ ἡ ἐν Χάλ
(6) Κατὰ παραδρομὴν πάντως τὸ, υἱοὶ, ἀντὶ τοῦ, Ἄγγελοι, ὡς δῆλον ἔκ τε τοῦ κατωτέρ[…] αὐτῆς τῆς τοῦ ὑπομνήμ. ἐννοίας, καὶ τῆς ἐν Χάλ. ἐκδόσ. καὶ παρὰ Ἰουστῖν. δὲ τῷ μάρτ. ἐν τῷ π[…] διαλ. καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ, καὶ παρ' ἄλλ. περὶ ὧν ὅρα τὰς σημειώσ. […] ἐν Φραν. ἐκδοθεῖσ. Γραφ. ὅτι δὲ αἱ περὶ τοῦδε τοῦ ῥητοῦ γραφ. διάφοροι, μαρτυρεῖ καὶ ὁ Ἀ[…]
(7) Ἄγγελοι, χωρὶς ἄρθρου. ἡ ἐν Χάλ. ἐκδ.

A κότας. καὶ γὰρ τοῦ Σωτῆρος ἡμῶν γεννη-
θέντος, χορὸς Ἀγγέλων ὕμνει τὴν θείαν
Λουκ. 2. 14. » φιλανθρωπίαν, βοῶν· δόξα ἐν ὑψίστοις
Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐ-
δοκία. καὶ τὰς ἀσπάρτους δὲ καὶ ἀλοχεύ-
τους ἐκείνας ὠδῖνας Γαβριὴλ προείρηκεν ὁ
Ἀρχάγγελος· κἂν τῷ πρὸς τὸν Διάβολον
ἀγῶνι παρῆσαν τῶν Ἀγγέλων οἱ δῆμοι.
Ματθ. 4. 11. προσελθόντες γάρ φησιν οἱ Ἄγγελοι διη-
» κόνουν αὐτῷ. καὶ τῷ πάθει δὲ παρῆσαν,
B καὶ μετὰ τὴν ἀνάστασιν τῷ τάφῳ προσή-
Λουκ. 24. 5. » δρευον, καὶ ταῖς γυναιξὶν ἔλεγον, τί ζη-
» τεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; καὶ
μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον τοῖς ἱεροῖς
Πράξ. 1. 11. ἔφασαν Ἀποστόλοις, τί ἑστήκατε βλέπον-
» τες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀνα-
» ληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως
» ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε νῦν αὐ-
» τὸν πορευόμενον εἰς τὸν οὐρανόν· καὶ τῷ
Κορνηλίῳ Ἄγγελος τὰ κατὰ τὸν μέγαν
Γ Πέτρον ἐμήνυσε. καὶ ὁ θεῖος Ἀπόστολος ἐν
Πράξ. 27. 23. τῷ πλοίῳ τοῖς συμπλέουσιν ἔφη· ὤφθη-
» μοι Ἄγγελος τοῦ Θεοῦ οὗ εἰμί. καὶ πολλὰ δὲ
τοιαῦτα εὕροι τὶς ἂν, εἴπερ ἐθέλοι.

Ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται· καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει.

Δ ΑΔΗΛΟΥ. Ἔφη ἐν Εὐαγγελίοις ὁ Κύ-
Ματθ. 23. 32, ριος τοῖς Ἰουδαίοις διαλεγόμενος· καὶ ὑμεῖς
33. . 36. » ἐπληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν.
» ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγετε
» ἀπὸ τῆς κρίσεως τῆς γεέννης; διὰ τοῦτο,
» ἰδοὺ, ἐγὼ ἀποστέλλω εἰς ὑμᾶς Προφήτας,
» καὶ σοφοὺς, καὶ Γραμματεῖς· καὶ ἐξ αὐ-
» τῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐ-
» τῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν,
» καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν· ὅπως
E » ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνό-
» μενον ἐπὶ τὴν γῆν, ἀπὸ τοῦ αἵματος Ἄβελ
» τοῦ δικαίου, ἕως αἵματος Ζαχαρίου υἱοῦ Βα-
» ραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ
» τοῦ θυσιαστηρίου. ἀμὴν ἀμὴν λέγω ὑμῖν,
» ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην.
ἐκδεδίκηται τοίνυν τὸ αἷμα. καὶ αὐτὴ μὲν
ἡ μητρόπολις αὐτῶν ἀνάστατος γέγονε, κα-
θῄρηται δὲ καὶ ὁ ναὸς, καὶ αὐτοὶ αἰχμά-
λωτοι καὶ ἀλῆται γεγόνασι. καὶ ἀνταπέδω-
Z κεν αὐτοῖς τὸ ἀνταπόδομα αὐτῶν, εἰσπρα-
ξάμενος αὐτοῖς δίκας ὧν ἐπλημμέλησαν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ταῦτα μέντοι περὶ
τῶν πεπιστευκότων εἰπὼν ὁ Προφήτης, προ-
λέγει καὶ τῶν ἀπίστων τὰς τιμωρίας, καὶ
δήλας τούτων τὰς αἰτίας ποιεῖ. ἔφη γὰρ
» οὕτως· ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖ-
» ται· καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην
... ἐχθροῖς αὐτοῦ, καὶ τοῖς μισοῦσιν αὐ-
...ἀνταποδώσει. καὶ ἐκκαθαριεῖ Κύριος
H ... τοῦ λαοῦ αὐτοῦ. υἱοὺς δὲ τοῦ Θεοῦ κέ-
...ς ἁγίους, οὓς ἀνεῖλον οἱ μιαιφόνοι.
...ῶν Προφητῶν τὰς σφαγὰς κα-

A ταλείπω, καὶ τοῦ δεσπότου τὸ σωτήριον πά-
θος, τὸν μὲν καλλίνικον κατέλευσαν Στέ-
φανον, ξύλῳ δὲ τὸν μέγαν ἀνεῖλον Ἰάκω-
βον· εἰς θεραπείαν δὲ αὐτῶν καὶ [τὸν]
ἕτερον Ἰάκωβον Ἡρώδης ἀπετυμπάνισε.
καὶ πολλὰς δὲ ἄλλας μιαιφονίας ἐτόλμη-
σαν, καὶ τῶν τῷ Κυρίῳ πεπιστευκότων τὰς
οἰκίας ἐξεπόρθησαν. καὶ τοῦτο δὲ δεδήλω-
κεν ὁ θεῖος Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους
» ἐπιστολῇ· καὶ τὴν ἁρπαγὴν γάρ φησι τῶν
B » ὑπαρχόντων ὑμῶν μεθ' ἡδονῆς (1) προσε-
δέξασθε. καὶ Θεσσαλονικεῦσι δὲ ἐπιστέλλων
» οὕτως ἔφη· μιμηταὶ γὰρ ἐγενέσθε τῶν ἁγίων
» τῶν ἐν τῇ Ἰουδαίᾳ. τὰ γὰρ αὐτὰ καὶ ὑμεῖς
» ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, κα-
» θάπερ ἐκεῖνοι ὑπὸ τῶν Ἰουδαίων· τῶν καὶ
» τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν, καὶ τοὺς
» ἰδίους Προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων,
» καὶ Θεῷ μὴ ἀρεσάντων, (2) καὶ πᾶσιν ἀν-
» θρώποις ἐναντίων. ταῦτα καὶ ὁ Κύριος αὐ-
Γ τῶν κατηγόρησεν ἐν τῇ τοῦ ἀμπελῶνος πα-
» ραβολῇ· ὅτι τῶν δούλων, ὃν μὲν ἔδειραν, ὃν
» δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. τού-
του χάριν αὐτοὺς εἰς πᾶσαν τὴν οἰκουμένην
διέσπειρε.

Καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐκδεδίκηται δὲ καὶ
ἀπὸ τῶν ἀοράτων ἐχθρῶν, καθ' ὧν τὸ θάρ-
Δ σος εἰλήφαμεν, τῷ θείῳ καθαρισθέντες αἵ-
ματι καὶ λουτρῷ· ὡς ἂν γῆ γενόμενοι κα-
θαρὰ, καρποφορῶμεν ἀνὰ λ' καὶ ξ' καὶ ρ',
οὐκ ἀκάνθας καὶ τριβόλους ἔτι βλαστάνοντες,
γεγονότες ἀρᾶς τῆς ἀρχαίας ἐλεύθεροι.

μδ'. Καὶ ἔγραψε Μωϋσῆς τὴν ᾠδὴν
ταύτην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐδί-
δαξεν αὐτὴν τοὺς υἱοὺς Ἰσραήλ· καὶ
προσῆλθε Μωϋσῆς, καὶ ἐλάλησε πάν-
E τας τοὺς λόγους τοῦ νόμου τούτου εἰς τὰ
ὦτα τοῦ λαοῦ, αὐτὸς καὶ Ἰησοῦς ὁ τοῦ
Ναυῆ.

ΑΔΗΛΟΥ. Εἰπὼν ἰδίᾳ τοῖς Φυλάρχοις,
καὶ πρεσβυτέροις, καὶ κριταῖς, καὶ Γραμ-
ματοεισαγωγεῦσι τοῦ λαοῦ, εἰσῆλθε καὶ εἰς
αὐτὴν τὴν παρεμβολὴν, καὶ παντὶ τῷ λαῷ
τὰ αὐτὰ διηγήσατο. συνῆν δὲ αὐτῷ καὶ
Ἰησοῦς ὁ τοῦ Ναυῆ, τύπος ὢν τοῦ ἀληθινοῦ
Z σωτῆρος Ἰησοῦ, τοῦ πληρώσαντος τὸν νό-
μον καὶ τοὺς Προφήτας, καὶ εἰς πέρας ἀγα-
γόντος τὰ ὑπὸ Μωϋσέως, καὶ τῶν λοιπῶν
» Προφητῶν εἰρημένα. καὶ αὐτὸς γάρ φησιν
» Ἰησοῦς ὁ τοῦ Ναυῆ μετὰ Μωϋσέως ἐλάλη-
» σεν εἰς τὰ ὦτα τοῦ λαοῦ πάντας τοὺς λόγους
» τοῦ νόμου τούτου.

με'. Καὶ συνετέλεσε Μωϋσῆς λα-
λῶν παντὶ Ἰσραήλ.

H μϛ'. Καὶ εἶπε πρὸς αὐτοὺς, προσέ-
χετε τῇ καρδίᾳ ὑμῶν ἐπὶ πάντας τοὺς
λόγους τούτους, οὓς ἐγὼ διαμαρτύρομαι
ὑμῖν

...αρᾶς. ἡ πρὸς Ἑβρ. καὶ ἡ ἐν Χαλ. ἐκδ.

(2) Ἀρεσκόντων. αὐτ.

A ὑμῖν σήμερον· ἃ ἐντελεῖσθε τοῖς υἱοῖς ὑμῶν, φυλάσσειν καὶ ποιεῖν πάντας τοὺς λόγους τοῦ νόμου τούτου.

ΑΔΗΛΟΥ. Βούλεται δὲ τὸν λαὸν προσέχειν τοῖς εἰρημένοις, καὶ συνιέναι, καὶ φυλάττειν, καὶ ποιεῖν τὰ λεγόμενα, καὶ τοῖς ἑαυτῶν παραδιδόναι παισὶ, κατὰ τὸ
Ματθ. 5. 19. εἰρημένον· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ μίαν
» τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, αὐτὸς
» μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν B
» οὐρανῶν.

μζ. Ὅτι οὐχὶ λόγος κενὸς οὗτος ὑμῖν· ὅτι αὕτη ἡ ζωὴ ὑμῶν, καὶ ἕνεκεν τούτου (1) μακροημερεύσετε ἐπὶ τῆς γῆς, εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν.

ΑΔΗΛΟΥ. Οὔτε οὖν ἀλόγως εἴρηται, φησὶν, ὁ λόγος οὗτος; ἢ ψευδὴς καὶ μάταιός ἐστιν, ἀληθείας ὑστερημένος· ἀλλὰ Γ
Ἰωάν. 17. 3. ζωή ἐστιν, ἤ φησιν ὁ Σωτήρ· αὕτη δέ ἐστιν
» ἡ ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀλη-
» θινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χρι-
» στόν. ὅθεν ἐπισυνάπτει, ὅτι ἕνεκεν τοῦ λό-
» γου τούτου μακροημερεύσετε ἐπὶ τῆς γῆς,
» εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ
» κληρονομῆσαι αὐτήν. ἀμέλει μὴ φυλάξαντες, μηδὲ θελήσαντες τὴν ζωὴν, καὶ τῆς ἐπηγγελμένης ἐξέπεσον γῆς τῆς τε αἰσθητῆς καὶ τῆς πατράσιν ἐπηγγελμένης, Δ μηδὲ τὸν νοητὸν Ἰορδάνην διαπεράσαντες.

μη. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, (2) λέγων,

μθ. Ἀνάβηθι εἰς τὸ ὄρος τὸ Ἀμαρεὶμ, (3) τοῦτο ὄρος Ναβὰβ, ὅ ἐστιν ἐν γῇ Μωὰβ, κατὰ πρόσωπον Ἱεριχὼ, καὶ ἴδε τὴν γῆν Χανaὰν, ἣν E ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραὴλ εἰς κατάσχεσιν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε διὰ σμικρὰν πλημμέλειαν πόῤῥωθεν ἰδεῖν ὁ Μωϋσῆς προσετάχθη τὴν γῆν, εἰσαγαγεῖν δὲ τὸν λαὸν ἐκωλύθη; Διδάσκει ἡμᾶς ὁ Δεσπότης διὰ τούτων, ὡς τοὺς ἐν ἀρετῇ τελείους τὴν ἄκραν ἀκρίβειαν ἀπαιτεῖ, καὶ τοῖς ἄλλοις ἀνθρώποις μεγάλα παρανομοῦσι μακροθυμῶν, τοῖς ἁγίοις οὐ μεταδί- Z δωσι ταύτης τῆς συγγνώμης. τοῦτο καὶ
Σοφ. 6. 6. » σοφός τις ἔφη· ὁ μὲν γὰρ ἐλάχιστος συγ-
» γνωστός ἐστιν ἐλέους, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται. καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς Εὐαγ-
Λουκ. 12. 48. γελίοις, ᾧ μὲν γὰρ ὀλίγον δοθήσεται, καὶ
» ὀλίγον ἀπαιτήσουσι παρ' αὐτοῦ, ᾧ δὲ πολὺ
» δοθήσεται, πολὺ ἀπαιτήσουσι παρ' αὐτοῦ.

A ἰστέον μέντοι καὶ τοῦτο, ὡς ἕτερα δι' ἑτέρων ὁ Δεσπότης οἰκονομεῖ. ὥσπερ ἀμέλει καὶ τοῦτον τὸν μέγαν Προφήτην οὐκ εἴασεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσαγαγεῖν τὸν λαὸν, ἵνα μὴ ὡς Θεὸν αὐτὸν σέβωσιν οἱ Ἰσραηλῖται. οἱ γὰρ τὰ ἄψυχα θεοποιήσαντες, καὶ μόσχου εἰκόνα Θεὸν ὀνομάσαντες, δῆλον ὅτι πολλῷ μᾶλλον ὡς Θεὸν ἐσεβάσθησαν τὸν τοσούτων αὐτοῖς ἀγαθῶν γεγενημένον διάκονον. τούτου χάριν αὐτοῦ καὶ B τὸν τάφον ἄδηλον πεποίηκεν ὁ σοφῶς τὰ καθ' ἡμᾶς πρυτανεύων Θεός. εἰδέναι δὲ καὶ τοῦτο προσήκει, ὡς Μωϋσῆς τύπον ἐπέχει τοῦ νόμου. διὸ καὶ Μωσῆς τὴν προσηγορίαν
» ὁ νόμος ἔχει. ἔχουσι γάρ φησι Μωϋσέα καὶ Λουκ. 16. 29.
» τοὺς Προφήτας· καὶ, ἕως σήμερον ἡνίκα 2. Κορ. 3. 15.
» ἂν ἀναγινώσκηται Μωϋσῆς κάλυμμα ἐπὶ
» τὴν καρδίαν αὐτῶν κεῖται· καὶ, ἐβασίλευ- Ῥωμ. 5. 14.
» σεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως.
ὥσπερ γὰρ Ἡσαΐαν καλοῦμεν, οὐ τὸν προ- Γ φήτην μόνον, ἀλλὰ καὶ τὸ ἐκείνου βιβλίον· καὶ Ἱερεμίαν, καὶ Ἰεζεκιὴλ, οὐ τοὺς ἄνδρας μόνον, ἀλλὰ καὶ τὰ ἐκείνων βιβλία· καὶ τὸν Ἀπόστολον, οὐ μόνον αὐτὸν τῆς ἀληθείας τὸν κήρυκα, ἀλλὰ καὶ τὸ ἐκείνου βιβλίον· οὕτω καὶ Μωϋσῆς ὁ νόμος ὠνόμασται, Ἰησοῦς δὲ ὁ τοῦ Ναυῆ, τύπος τοῦ Σωτῆρος τῆς οἰκουμένης. ὥσπερ τοίνυν Μωϋσῆς μὲν ἐξήγαγε τὸν λαὸν ἐξ Αἰγύπτου, Ἰησοῦς δὲ αὐτὸν εἰς τὴν ἐπηγγελμένην εἰσήγαγε γῆν· Δ οὕτως ὁ νόμος μὲν, τῆς ἀσεβείας ἀπαλλάττει τοὺς πειθομένους· ἡ δὲ τῶν Εὐαγγελίων χάρις, εἰς τὴν βασιλείαν εἰσάγει τῶν οὐρανῶν.

ν. Καὶ τελεύτα ἐν τῷ ὄρει εἰς ὃ ἀναβαίνεις ἐκεῖ, καὶ προστέθητι πρὸς τὸν λαόν σου, ὃν τρόπον ἀπέθανεν Ἀαρὼν ὁ ἀδελφός σου ἐν Ὢρ τῷ ὄρει, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.

E ** ΕΠΙΦΑΝΙΟΥ. Ἀνάβηθι εἰς τὸ ὄρος, κἀκεῖ τελεύτα. τὸ μὴ γινώσκειν ἄνθρωπον τὴν αὐτοῦ ταφὴν· σημαίνοντος τοῦ θείου γράμματος, ὡς ὑπὸ ἀνθρώπων τὸ σῶμα Μωϋσέως μὴ κεκηδεῦσθαι· ἀλλὰ καθὼς ὑποτίθεται ἡ διάνοια ὑπὸ ἁγίων Ἀγγέλων.

* ΠΡΟΚΟΠΙΟΥ. Τοῦ γὰρ λαοῦ μέλλοντος διαπερᾶν τὸν Ἰορδάνην, τέλος ἐπι- Z τίθησι τῷ νόμῳ Θεός.

να. Διότι ἠπειθήσατε τῷ ῥήματί μου ἐν τοῖς υἱοῖς Ἰσραὴλ ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας Κάδδης ἐν τῇ ἐρήμῳ Σὶν, διότι οὐχ ἡγιάσατέ με ἐν τοῖς υἱοῖς
νβ. Ἰσραήλ. Ἀπέναντι ὄψει τὴν γῆν, καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ.

Κ Ε Φ. Λ Γ.

α. Καὶ αὕτη ἡ εὐλογία ἣν εὐλόγησε Μωϋσῆς ἄνθρωπος τοῦ Θεοῦ τοὺς υἱοὺς Ἰσραὴλ πρὸ τελευτῆς αὐτοῦ.

ΩΡΙΓΕΝΟΥΣ. Αἱ γὰρ τοῦ πατριάρχου Ἰακὼβ προῤῥήσεις, οὔτε πᾶσαι εὐλογίαι ἦσαν, οὔτε πᾶσαι ἀπειλαί· (1) αἱ δὲ τοῦ Μωϋσέως, πᾶσαι ἀπειλαί. (2)

ΑΠΟΛΙΝΑΡΙΟΥ. Κληρονομοῦσι μὲν πατρικῶν ἄνθρωποι χρημάτων, κληρονομοῦσι δὲ καὶ τοῦ μείζονος κλήρου οἱ τῶν ἁγίων πατέρων, (3) ὅτε μεθισαμένων ἀπὸ τῆς γῆς, εὐλογίας δέχονται παρ' αὐτῶν. οὕτως ὁ Ἰσαὰκ ὅτε προσεδόκα πλησιάζειν τῇ τελευτῇ ὅσον ἀπὸ τοῦ χρόνου, ἐπὶ τὴν εὐλο-
Γεν. 27. 2. » γίαν τοῦ παιδὸς ἐπετράπετο, λέγων· ἰδοὺ
» ἐγὼ γεγήρακα, καὶ οὐ γινώσκω τὴν ἡμέ-
» ραν τῆς τελευτῆς μου, καὶ τὰ ἑξῆς. καὶ ὁ Ἰακὼβ τοὺς ἐγγόνους εὐλογεῖ, τοὺς υἱοὺς Ἰωσὴφ προσαχθέντας αὐτῷ, ὅτε ἤδη τὴν τελευταίαν ἀῤῥωστίαν ἠνωχλεῖτο· καὶ κοινῇ περὶ τῶν παίδων ἐπὶ τῇ τελευτῇ προὔλεγε τὰ ἀποβησόμενα, ὅτε τὴν μετάστασιν ἔμελλεν ἤδη τὴν ἀπὸ κόσμου ποιεῖσθαι. εὐλογεῖ δὲ καὶ Μωϋσῆς τὰς φυλὰς, μέλλων ἀπολιπεῖν ἀνθρώπους. (4) τὸ γὰρ ἴδιον αὐτοῖς ἐσθλὸν ἀγαθὸν εἰς τὸ γένος παραπέμπουσιν οἱ πατέρες, ὅτε τοῦ βίου μεθίστανται, κατὰ τὸν τῶν κληρονομιῶν τρόπον, παραπέμποντες τὸ ἐν αὐτοῖς ἀγαθὸν εἰς τοὺς μετ' αὐτούς. ὅτι δὴ ἐκ μιᾶς ἀρχῆς εἰς τὸ πλῆθος ὁ Θεὸς προάγει τὴν χάριν. καὶ ἦν τοῦτο εἰς τὴν ἀληθινὴν ἀρχὴν ἤδη προεισαγόμενος τύπος, ἥτις ἐστὶ Χριστός· ὃς ἀφ' ἑαυτοῦ τὸ ἀγαθὸν εἰς τοὺς ἰδίους διαπέμπει, καὶ ἤδη, καὶ κατὰ τὴν μετάστασιν τὴν εἰς οὐρανὸν τὸ ὅλον ἀγαθὸν ἐνεχείρισε, πνεύματος ἁγίου δωρεὰν, καθ' ἣν υἱοὺς τοὺς ἀνθρώπους ἀπετέλεσε τοῦ Θεοῦ, εἰκόνας ἑαυτοῦ καταστήσας· ἵνα διὰ τῶν μαθητῶν παρῇ,
Ματθ. 10. 40. κατὰ τὸ, ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται. καὶ οἱ μὲν οἴκου ἑνὸς ἄρξαντες, εἰς τὸν οἶκον ἀπολείπουσι τὰ ἀγαθά· ὁ δὲ ἔθνους ἄρξας, εἰς τὸ ἔθνος. ὃς δὴ καὶ μᾶλλον ὁμοιοῦται Χριστῷ, μὴ σαρκικοῦ γένους ἄρξαντι, ἀλλὰ τοῦ ὑπηκόου. Καὶ μετ' ὀλίγα. Ὁ δὲ Μωϋσῆς πε-
» ρὶ ἑαυτοῦ γράφων, φησίν· αὕτη ἡ εὐλογία
» ἣν εὐλόγησε Μωϋσῆς ἄνθρωπος τοῦ Θεοῦ
» τοὺς υἱοὺς Ἰσραὴλ πρὸ τῆς τελευτῆς αὐτοῦ. εὐλογία δὲ Κυρίου, κατάρας λυτική. ὥστε καὶ τὴν κατάραν ἣν ὑπέθηκε τῇ Συμεὼν φυλῇ καὶ τῷ Λευῒ προφητεύων ὁ Ἰακὼβ, εἰς εὐλογίαν μετέστησεν ὁ Μωϋσῆς. καὶ εἴη ἂν τοῦτο τύπος εἰς τὸν Ἰσραὴλ λύειν ἀπὸ νόμου κατάρας μέλλοντα διὰ τῆς εὐλογίας τῆς παρ' ἑαυτοῦ. ἰδοὺ γὰρ Μωϋσῆς λύει τὴν ἀπὸ τοῦ Ἰακὼβ κατάραν, τελειότερον ὑπὸ Χριστοῦ λυομένην, ἐν ᾧπερ τῶν ἀγαθῶν ἡ τελείωσις. ἐπειδὴ, φησὶ, μηδὲν ἐτελείωσεν ὁ νόμος. πρὸς τοῦτο χρὴ σκοπεῖν τὸν Ἰσραὴλ, ἵνα ἀπὸ τοῦ λοιποῦ μανθάνῃ τὴν
B ἀλήθειαν· ὅτι ἡ κατάρα μὲν λύεται, καὶ εἰς εὐλογίαν μεθίσταται· καὶ μὴ προτείνειν ἐπὶ βλασφημίᾳ τοῦ Σωτῆρος τὴν κατάραν, ἣν εἰς εὐλογίαν λέλυκε, εὐλογίαν ποιήσας αὐτοῦ τὴν ἐπὶ ξύλου γεγενημένην. διὸ καὶ τῶν εὐλογιῶν τῶν τε προτέρων, καὶ τῶν ἐπὶ τέλους, οὐκ εἰς μόνον τὸν Ἰσραὴλ, ἀλλὰ καὶ εἰς πάσας τὰς βασιλείας. (5)

β. Καὶ εἶπε, Κύριος ἐκ Σινᾶ ἥκει,
Γ καὶ ἐπέφανεν ἐκ Σηεὶρ ἡμῖν, καὶ κατέσπευσεν ἐξ ὄρους Φαρὰν, σὺν μυριάσι Κάδης, ἐκ δεξιῶν αὐτοῦ Ἄγγελοι μετ' αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ Σινᾶ ὄρος ἐστὶ τῆς Φαράν· ἥτις ἐστὶ τῆς Ἀραβίας, ὡς ὁ Παῦλός φησιν. (6) ἡ δὲ Φαράν ἐστι Κάδης· ὥς φησιν ἐν τοῖς Ἀριθμοῖς. (7) Σηεὶρ δὲ καὶ Ἐδώμ ἐστιν ὁ Ἡσαῦ. οὗ τὸ ὄρος πλησίον
Δ » Φαράν. ἐκ Σινᾶ δέ φησιν ἥκει Κύριος, ἀλλ'
» οὐκ εἰς Σινᾶ, καὶ ἐπέφανεν ἐκ Σηεὶρ, ὑποφαίνων τὴν κατὰ σάρκα αὐτοῦ γέννησιν, τοῦ καὶ ἐν Σινᾶ φανέντος ἐν εἴδει πυρὸς, καὶ δεδωκότος αὐτοῖς τὸν νόμον. ὡς ἀναγκαῖον γὰρ αὐτοῖς καὶ σωτήριον τοῦτο τὸ μάθημα παραδίδωσιν, ὅτι ὀφθήσεται ἐκ Σηείρ· ὅς ἐστιν Ἐδώμ· Ἐδὼμ δὲ, ὁ γήϊνος.
» Καὶ κατέπαυσε, φησὶν, ἐξ ὄρους Φαρὰν, τοῦ νόμου τὴν παῦλαν δηλῶν. οὐ γὰρ ἔτι
E μόνῳ χρηματίζει τῷ προτέρῳ λαῷ, ἀλλὰ καὶ πᾶσιν ἤδη τοῖς ἔθνεσι. γράφεται δὲ,
» καὶ κατέπαυσεν, ὅπερ δηλοῖ τὸ σπουδάζειν αὐτὸν καταλιπεῖν τὴν σκιὰν, πρὸς τὴν ἀλήθειαν ἐπειγόμενον. ὁ δὲ Ἀκύλας ἐξέδωκεν,
» ἀνεφάνη. πέφηνε γὰρ ἐκ τοῦ λαοῦ τοῦ δε-
» ξαμένου τὸν νόμον. ἐξ Ἰούδα γὰρ ἀνατέ-
» ταλκεν ὁ Κύριος, κατὰ τὸν θεῖον Ἀπόσο-
» λον. διὸ καὶ ὁ Σωτήρ φησιν, εἰ ἐπιστεύετε
» Μωϋσεῖ, ἐπιστεύετε ἂν καμοί. περὶ ἐμοῦ γὰρ
Z » ἐκεῖνος ἔγραψε. γέγραπταί τε πάλιν, ὅτι
» ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὰς τῶν φυλῶν εὐλογίας; Πρῶτον ἀνέμνησεν ὁ Προφήτης τῆς θείας ἐπιφανείας τῆς ἐν
» τῷ Σινᾶ ὄρει γεγενημένης. Κύριος γὰρ
» φησιν ἐκ Σινᾶ ἥκει, καὶ ἐπέφανεν ἡμῖν
» ἐκ Σηεὶρ, καὶ κατέπαυσεν ἐξ ὄρους Φαρὰν, σὺν

[illegible]) Ἀραί. ἐν σελ. 392. τοῦ 2. Τόμ. τῆς τοῦ Ῥου. ἐκδόσ. (2) Πᾶσαι εὐλογίαι. αὐτ.

[illegible] Οἱ τῶν ἁγίων παῖδες μεθισαμένων τοῦ βίου. ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

[illegible] Τὰ ἑπόμενα ἄχρι τοῦ, μετ' ὀλίγα, κεῖται παρὰ τῷ Αὐθεντ. κώδ. καὶ ἐν τῷ 49. τῆς Γενέσ. κεφ. [illegible] ἐκεῖ, ὡς ἀκατάλληλα, οὐκ ἐτέθη. δι' ἐκείνων δὲ ταῦτα διώρθωται.

[illegible] τὶ πάντως. (6) Γαλ. 4. 25. (7) Ἀριθ. 13. 27.

σὺν μυριάσι Κάδης, ἐκ δεξιῶν αὐτοῦ Ἄγγελοι μετ' αὐτοῦ. καὶ ἐν τῇ ἐρήμῳ τῇ Φαρὰν, καὶ ἐν τῷ Σηεὶρ τῆς θείας κηδεμονίας ἀπήλαυσαν. Κάδης δὲ ἐνταῦθα οὐ τὴν ἔρημον λέγει, ἀλλὰ τὴν τοῦ ὀνόματος ἑρμηνείαν. τὸ γὰρ Κάδης τῇ Ἑβραίων φωνῇ τὸν (1) ἅγιον δηλοῖ. ἔφη τοίνυν, ὅτι πολλαὶ μυριάδες Ἀγγέλων τῷ ἁγίῳ δεσπότῃ συνῆσαν, τῆς οἰκείας αὐτοὺς ἀξιοῦντι κηδεμονίας.

ΒΙΚΤΟΡΟΣ ΠΡΕΣΒΥΤΕΡΟΥ. Οὐκ εἶπεν ἐνταῦθα εἰς Σινᾶ ἦλθεν, ἀλλ' ἐκ Σινᾶ ἥκει, ἐπέφανεν ἐκ Σηεὶρ, αἰνιγματωδῶς ὑποφαίνων τὴν κατὰ σάρκα αὐτοῦ γέννησιν· τουτέστιν ὁ πρώην ὀφθεὶς ἐν Σινᾶ ἡμῖν ἐν εἴδει πυρὸς, αὐτὸς ὁ λαλήσας τὸν νόμον ἥξει, καὶ μετὰ σαρκὸς ὀφθήσεται.

ΤΟΥ ΑΥΤΟΥ. (2) Τουτέστι τῷ μηκέτι τῷ Ἰσραὴλ χρηματίζειν, ἀλλὰ τοῖς ἐξ ἐθνῶν. καὶ τὸν νόμον ἔστησε. τοῦτο γὰρ κατέπαυσεν (3) ἐξ ὄρους Φαρὰν, ἤγουν κατέσπευσεν. ὅπερ ἑτέρα περιέχει γραφή· ἀντὶ τοῦ, σπουδαίως τὴν σκιὰν καταλείψει, καὶ τὴν ἀλήθειαν ἡμῖν φανερώσει.

ΤΟΥ ΑΥΤΟΥ. Ἀντὶ τοῦ, ὑπὸ νοερῶν καὶ ἁγίων δυνάμεων κυκλούμενος παρεγένετο. καὶ Ἀκύλας φησὶν, ἀπὸ μυριάδων ἁγιασμοῦ, ἀπὸ δεξιᾶς αὐτοῦ. τὰς γὰρ ἀγγελικὰς καὶ ἀρχικὰς δυνάμεις καταλιπὼν,
Φιλιπ. 2. 7. ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν, καὶ ἐπεφάνη ἡμῖν, μηδὲ ἐκείνων χωρισθεὶς, ὡς πάντα πληρῶν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Κύριος ἐκ Σινᾶ ἥκει, καὶ ἐπέφανεν ἐκ Σηεὶρ, καὶ τὰ ἑξῆς. Ἐπιφάνειαν Κυρίου λέγει γεγενῆσθαι τὴν ἐπὶ τῆς νομοθεσίας ἐν τῷ Σινᾶ μετὰ στρατιᾶς Ἀγγέλων· δι' ὧν καὶ τὸν νόμον ἐκπεφωνηκέναι διδόντα τῷ Μωϋσῇ τὸν κλῆρον τῷ
Ψαλ. 147. 20. Ἰσραὴλ ἐξαίρετον, κατὰ τὸ, οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς.

ΤΟΥ ΑΥΤΟΥ. Τουτέστιν ἐκ τῆς γῆς. Ἐδὼμ γὰρ ὁ γήϊνος, ὃς καὶ καλεῖται ἐκ Σηεὶρ.

ΩΡΙΓΕΝΟΥΣ. Σὺν μυριάσι Κάδης. Νῦν Κάδης οὐ τὸν τόπον λέγει, ἀλλὰ τοὺς ἁγίους. Κάδης γὰρ τὸ ἅγιον λέγεται τῇ ἑβραΐδι γλώττῃ.

** ΜΑΞΙΜΟΥ. Διὰ τῆς ὑπομονῆς τῶν πειρασμῶν δοκιμαζόμενος ὁ ἀσκητὴς, καὶ διὰ τῆς σωματικῆς παιδαγωγίας καθαιρόμενος, καὶ διὰ τῆς ἐπιμελείας τῶν ὑψηλῶν θεωρημάτων τελειούμενος, ἀξιοῦται τῆς θείας παρακλήσεως. Κύριος γὰρ φησὶν ὁ Μωϋσῆς, ἐκ Σινᾶ ἥκει, τουτέστιν ἐκ τῶν πειρασμῶν· καὶ ἐπεφάνη ἡμῖν ἐκ Σηεὶρ,

A τουτέστιν ἐκ τῶν σωματικῶν πόνων· καὶ κατέπαυσεν ἐξ ὄρους Φαρὰν σὺν μυριάσι Κάδης, τουτέστιν ἐξ ὄρους τῆς πίστεως, (4) σὺν μυριάσιν ἁγίων γνώσεων.

γ. Καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ, καὶ πάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου· καὶ οὗτοι ὑπὸ σὲ εἰσί. καὶ ἐδέξατο ἀπὸ τῶν λόγων αὐτοῦ.

B ΒΙΚΤΟΡΟΣ. (5) Καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ. Τουτέστιν ἔσωσε γενόμενος ἄνθρωπος τοὺς οὐ λαὸς ποτὲ, νῦν δὲ λαὸς Θεοῦ, 1. Πέτρ. 2. 10.
τοὺς οὐκ ἠλεημένους, νῦν δὲ ἐλεηθέντας. ἐν τούτῳ γὰρ φησιν ὁ Ἀπόστολος Πέτρος (6) ἐφανερώθη ἡ ἀγάπη τοῦ Θεοῦ ἐν ἡμῖν. καὶ 1. Ἰωάν. 4. 9.
ὁ ἅγιος Ἰωάννης λέγει ἐν τῇ Καθολικῇ, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέστειλεν ὁ Θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσωμεν δι' αὐτοῦ. καὶ ὁ μακάριος Παῦλός φησιν· ὅς γε τοῦ ἰδίου Ῥωμ. 8. 32.
Γ υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν. ἐφείσατο οὖν τοῦ λαοῦ.

ΤΟΥ ΑΥΤΟΥ. (7) Καὶ πάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου. Πάντων γὰρ κρατεῖ, ὡς βασιλεὺς οὐρανοῦ καὶ γῆς. ὡς βασιλεῖ παριστάμενοι, ὡς Θεῷ λειτουργοῦντες, ὡς ποιητῇ προσκυνοῦντες. καὶ ὑπ' αὐτόν εἰσιν. αὐτὸς γὰρ καὶ τὰ πάντα ὑπέ- 1. Κορ. 15. 27.
ταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀναγκαίως δὲ προσ-
Δ έθηκε· καὶ πάντες ἡγιασμένοι ὑπὸ τὰς χεῖρας αὐτοῦ, καὶ οὗτοι ὑπὸ σὲ εἰσίν. εἰ γὰρ καὶ ἀόρατον ἔχουσι φύσιν, ἀλλ' ὑπὸ τὴν σὴν δεσποτείαν τελοῦσι. σὲ γὰρ ἔχουσι ποιητήν.

δ. Νόμον, ὃν ἐνετείλατο ἡμῖν Μωϋσῆς, κληρονομίαν συναγωγαῖς Ἰακώβ.

ΒΙΚΤΟΡΟΣ. Αὐτοῖς γὰρ ἐξαιρέτως ὁ διὰ Μωϋσέως ἐδόθη νόμος, τουτέστιν αὐτὸς
E ὁ ἐπιφανεὶς ἡμῖν καὶ νομοθέτης ἐστί· Μωϋσῆς δὲ μεσίτης καὶ διάκονος, καὶ τοὺς αὐτοῦ διαπορθμεύσας λόγους.

ε. Καὶ ἔσται ἐν τῷ ἠγαπημένῳ ἄρχων, συναχθέντες ἄρχοντες (8) λαῶν ἅμα φυλαῖς Ἰακώβ. (9)

ΘΕΟΔΩΡΙΤΟΥ. Προλέγει δὲ, ὅτι ὁ νῦν τὸν Ἰσραὴλ ἐκλεξάμενος, μικρὸν ὕστερον καὶ πάντα καλέσει τὰ ἔθνη, καὶ τούτων κἀκείνων αὐτὸς ἐστὶν (10) ἄρχων καὶ
Z βασιλεύς. ἔσται γάρ φησιν ἐν τῷ ἠγαπημένῳ ἄρχων, συναχθέντων λαῶν ἅμα φυλαῖς Ἰσραήλ.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Εἶτα ἡ περὶ τοῦ Σωτῆρος προφητεία δεικνῦσα, ὅτι Χριστός ἐστιν αὐτὸς Κύριος, ἔσεσθαι αὐτὸν βασιλέα

(1) Τό. ἢ ἐν Χάλ. ἐκδ. (2) Ὠριγένους, ἐν σελ. 392. τοῦ 3. Τόμ. τῆς τοῦ Ῥε. ἐκδ.
(3) Κατέσπευσεν ἐξ ὄρους Φαρὰν, εἴτουν κατέπαυσεν. αὐτ.
(4) Τῆς πλοήσεως. ἐν ταῖς σημειώσ. ταῖς ἐν τῇ 471. σελ. τοῦ 1. Τόμ. καὶ πλήσεως. αὐτ.
(5) Ὠριγένους. ἐν τῷ προειρημ. τόπῳ.
(6) Κακῶς συντέτακται. τὸ γὰρ, οὐ λαὸς, φησὶν ὁ Πέτρ. τὸ δὲ ἑξῆς, ὁ Ἰωάν.
(7) Ὠριγένους. αὐτ. ἀλλ' οὐκ ἔοικεν οὐδὲ τοῦτο, οὐδὲ τὰ πρότερα, οὐδὲ τὰ ἑξῆς.

τοῦ ἠγαπημένου λαοῦ· ὅτε οὐκ εἰς τοῦτον μόνον, ἀλλ' εἰς πάντας λαοὺς ἡ εὐλογία ἥξει, ἀγαθότητι συναπτομένους τῷ Ἰσραήλ. ἄρχοντας γὰρ λαῶν εἰπὼν, τοὺς λαοὺς δεδή- Ψαλ. 46. 9. λωκεν, οὓς καὶ Δαβὶδ, ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ.

ΒΙΚΤΟΡΟΣ. (1) Ἄρχοντες δὲ λαῶν οἱ θεσπέσιοι μαθηταὶ, ἥ φησι καὶ ὁ Δαβὶδ ἐκ Ψαλ. 46. 3, 9. προσώπου αὐτῶν· ὑπέταξεν ἡμῖν λαοὺς, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. καὶ πάλιν, ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ. τὴν κλῆσιν οὖν δηλοῖ τῶν ἐθνῶν, ὡς τοῦ Θεοῦ μέλλοντος ἄρξειν ἐν ταὐτῷ καὶ τοῦ Ἰσραὴλ καὶ τῶν ἐθνῶν. ἠγαπημένος Ματθ. 3. 17. [δὲ] λέγεται ὁ υἱός. οὗτος γάρ ἐστί φησιν ὁ υἱός μου ὁ ἀγαπητὸς, καὶ δι' αὐτὸν (2) ἄρχει ἡμῶν ὁ πατὴρ καὶ βασιλεύει.

ϛ. Ζήτω Ῥουβὶμ, καὶ μὴ ἀποθανέτω, καὶ ἔσω πολὺς ἐν ἀριθμῷ.

ΑΔΗΛΟΥ. (3) Τινὰ τῶν ἀντιγράφων οὕτως ἔχει· ζήτω Ῥουβὶμ, καὶ μὴ ἀποθανέτω· Συμεὼν πολὺς ἔσω ἐν ἀριθμῷ. τὰ δὲ ἀκριβῆ ἀντίγραφα οὐκ ἔχει μνήμην τοῦ Συμεών. διὸ καὶ ἐν ζητουμένοις ἐτάγη τὸ κεφάλαιον τοῦτο. εἰ δὲ καὶ παρέλειψεν αὐτὸν, ὡς ἀποβληθέντα παρὰ Ἰακὼβ, ἀκολουθήσας τῷ πατριάρχῃ, οὐδὲ τοῦτο ἄνευ λόγου. εἰ δὲ καὶ τὸν Λευῒ καὶ τὸν Ῥουβὶμ οὐ παρεῖδεν, ὡς καὶ αὐτοὺς ἐκφαυλισθέντας ὑπὸ Ἰακὼβ, μὴ εἰς τέλος ἰσχῦσαι κατ' αὐτοῦ, τί δεῖ εἰπεῖν; ὁ μὲν Ἰακὼβ κατηράσατο τὸν Ῥουβὶμ, διότι ἐμίγη Βάλλᾳ τῇ παλλακῇ αὐτοῦ· ὁ δὲ Μωϋσῆς οὐκ εὐλόγησεν αὐτὸν, ἀλλ' ηὔξατο μὴ εἰς τέλος ἰσχῦσαι κατ' αὐτοῦ τὴν ἀρὰν τοῦ πατρὸς, ἵνα μὴ ὀλόῤῥιζος ἀπόληται, λέγων· ζήτω Ῥουβὶμ, καὶ μὴ ἀποθανέτω· ἅμα τε καὶ τὸ φιλόσοργον αὐτοῦ πάλιν ἐπιδεικνύμενος. ἀεὶ γὰρ ἔθος τῷ Μωϋσῇ εὔχεσθαι ὑπὲρ τῶν ἐν προσκρούσει γεγονότων. ἔπειτα οὔτε τῷ Ἰακὼβ μάχεται. καὶ γὰρ κἀκεῖνος οὐκ ηὔξατο ὁλοτελῶς αὐτὸν ἀπολέσθαι· ἀλλὰ ζῆν μὲν, ψυχρῶς δὲ καὶ ταπεινῶς, λέ- Γεν. 49. 4. γων· μὴ ἐκζέσῃς ὡς ὕδωρ· αἰνιττόμενος, ὅτι ὁ πρωτότοκος λαὸς οὐδεμίαν μέλλει ζέσιν ἔχειν ἁγίου πνεύματος, ἐκπορνεύσας μετὰ τῶν ἐθνικῶν, καὶ σὺν τούτοις γεγονὼς, καὶ ἀθετήσας τὴν γνησίαν πίστιν τοῦ Θεοῦ καὶ πατρὸς, καὶ ἀποκτείνας τὸν υἱόν. εὔχεται οὖν ὁ Μωϋσῆς ζῆν αὐτοὺς, ἵνα πῇ μὲν μερικῶς ἐν τῷ μεταξὺ σωθῶσί τινες μετανοήσαντες, πῇ δὲ καὶ ἐν ταῖς ἐσχάταις ἡμέραις γνόντες τὴν τοῦ ἀντιχρίστου πλάνην.

Α ΑΠΟΛΙΝΑΡΙΟΥ. Διὰ τοῦτό φησι, ζήτω Ῥουβὶμ, καὶ μὴ ἀποθανέτω, καὶ ἔσαι πολὺς ἐν ἀριθμῷ, ἐπειδὴ ὁ Ἰακὼβ εἶπεν αὐτῷ· ὡς ὕδωρ μὴ ἐκζέσῃς, τουτέστι μὴ θερμανθῇς εἰς πολυγονίαν. ἐπηύξατο τοίνυν αὐτῷ ὡς ἀρχιερεὺς εἰκότως τὴν πολυγονίαν. ἀφορμὴν δὲ ἔχων οὗτος τῆς πολυγονίας (4) τῆς πρὸς τὸν Ἰωσὴφ φιλαδελφίας.

ΤΟΥ ΑΥΤΟΥ. Τὴν ἐπαχθεῖσαν κατὰ τοῦ Ῥουβὶμ κόλασιν ὑπὸ τοῦ Ἰακὼβ παρα- Β μυθεῖται διὰ τῆς εὐλογίας προφητεύων ὁ Μωϋσῆς. Καὶ πάλιν. Ὑπερζέσας ὥσπερ ὕδωρ οὐκ ἔσῃ περισσότερος, ἐδήλου μὴ βασιλεύειν τὴν φυλὴν, μηδὲ ἔχειν περισσὸν ὑπὲρ τὰς ἄλλας φυλάς.

ΘΕΟΔΩΡΙΤΟΥ. Ταῦτα εἰπὼν, πρῶτον εὐλογεῖ τὸν Ῥουβὶμ, καὶ λύει τὴν πατρῴαν ἀρὰν, ἀντιτάξας τὴν φιλαδελφίαν τῇ περὶ τὸν πατέρα παρανομίᾳ. ἐξῆν δὲ ὡς νομοθέτῃ εἰς εὐλογίαν τὴν ἀρὰν μετα- Γ θεῖναι. ζήτω Ῥουβὶμ, καὶ μὴ ἀποθανέτω, καὶ ἔσαι πολὺς ἐν ἀριθμῷ. ἐπειδὴ γὰρ ὁ πατὴρ εἶπεν· ὡς ὕδωρ μὴ ἐκζέσῃς, τουτέστι μὴ θερμανθῇς εἰς πολυγονίαν, εἰκότως αὐτῷ τῶν ἀπογόνων τὸ πλῆθος ἐπηύξατο.

ΔΙΟΔΩΡΟΥ. (5) Ζήτω Ῥουβὶμ, καὶ μὴ ἀποθανέτω. ἐπειδὴ Ἰακὼβ ἀποθνήσκων, κατηράσατο τῷ Ῥουβὶμ, λέγων· ὡς ὕδωρ μὴ ἐκζέσῃς, ζήσεις· ὁ Μωϋσῆς εὐλο- Δ γῶν, φησί· ζήτω Ῥουβὶμ, καὶ μὴ ἀποθανέτω. ἀμφότερα δὲ καλῶς. ὅ, τε γὰρ πατὴρ καταρᾶται (6) αὐτῷ ὡς τῇ παλλακῇ συνελθόντι, τοὺς ἑξῆς παιδεύων καὶ φοβῶν· καὶ Μωϋσῆς δικαίως εὐλογεῖ μετὰ ταῦτα, ἐπειδὴ μόνος ἐφείσατο τοῦ Ἰωσὴφ, ὅτε ἀνελεῖν αὐτὸν ἐβούλοντο οἱ ἄλλοι ἀδελφοὶ αὐτοῦ. ἄτοπον δὲ (7) ἦν, κατάραν μὲν προχωρῆσαι κατὰ ἡμαρτηκότος, εὐλογίαν δὲ μὴ δοθῆναι κατορθώσαντι.

Ε ** ΠΡΟΚΟΠΙΟΥ. Τὴν Ἰακὼβ ἐν μέρει κατάραν ἐκ τῆς φυλῆς ἀποτρίβεται· τὸ μὲν αὐτῆς ἀναλύων, τὸ δὲ καταλιπὼν ἐπὶ σχήματος. ἔφη γὰρ, μὴ ἐκζέσῃς, τουτέστι μὴ ἐκθερμανθῇς εἰς πολυγονίαν. ὅπερ ἔλυσεν εἰκότως, διὰ τὴν πρὸς Ἰωσὴφ φιλαδελφίαν. τὸ δὲ μὴ βασιλεῦσαι τὴν φυλὴν, οὐκ ἀνέλυσεν. εἴρητο γὰρ κατὰ μὲν τοὺς ο', σκληρὸς φέρεσθαι, σκληρὸς καὶ αὐθάδης, καὶ τὰ ἑξῆς· κατὰ δὲ τὸν Ἀκύ- Ζ λαν, περισσὰ λαβεῖν, καὶ ἐκ περισσοῦ κρατῆσαι. ὑπερζέσας ὡς ὕδωρ, οὐκ ἔσῃ περισσότερος, τὸ περιττὸν καὶ ὑπερέχον τῆς βασιλείας δηλῶν, ὡς καὶ ὁ Σωτὴρ, ἐγὼ ἦλθον, φησὶν, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι. τὸ δὲ περισσὰ λαβεῖν, καὶ ἐκ περισσοῦ κρατῆσαι,

(1) Ὠριγένους. ἐν τῷ εἰρημ. τόπῳ.

(2) Καὶ διὰ τοῦτο. αὐτ. ἐν σελ. 393.

(3) Ἴσ. τοῦ Ἀπολιναρίου ἐστί. καὶ γὰρ ἐν ταῖς σημειώσ. ταῖς εἰς τὴν Γραφ. τὴν ἐν Φραν. ἐκδοθ. τάδε Ἀπολινάριος· τὰ δὲ ἀκριβῆ ἀντίγραφα οὐκ ἔχει μνήμην τοῦ Συμεών. παρὰ δὲ τοῖς ἡμετ. κώδ. [illegible] ὀνόματ. μετὰ τὸ ἑξῆς τὸ τῷ Ἀπολιν. ἐπιγεγραμμένον.

[illegible] Τῆς εὐχῆς τῆς πολυγονίας τὴν πρὸς τὸν Ἰωσὴφ φιλαδελφίαν. οὕτω τυχὸν ὀρθότερ.

[illegible] παράλληλα τῷδε τῷ ὑπομνήματι δύω ἔτι παρὰ τοῖς κώδ. κεῖται· τὸ μὲν, Ἀπολιναρίῳ· τὸ [illegible] ἐπιγεγραμμένον.

[illegible] αὐτ. ἐν τῷ ἐπιγεγραμ. τῷ Ὠριγέν.

(7) Μέν. αὐτ.

τῆσαι, αἰτίαν παρέχει δι' ἣν ἀρᾶται, παραστατικὴν τῆς περιττῆς ἡδονῆς, δι' ἣν ἐπὶ τὴν κοίτην ἐπαναβέβηκε τοῦ πατρός. οὕτω
1. Βασ. 12. 13. καὶ ἐπὶ τοῦ Δαβίδ, τὸ μὲν, οὐ μὴ ἀποθάνῃς, ὁ Νάθαν φησὶ, τὸν ἐκ τοῦ νόμου θάνατον ἀφαιρῶν· τὴν δὲ τῶν αἱμάτων καταλιπὼν ἀπειλήν· καί τοι καὶ περὶ ταύτης εὐξαμένου Δαβίδ·
Ψαλ. 50. 14. » ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεὸς, » ὁ Θεὸς τῆς σωτηρίας μου. οὐ γὰρ ἴσον ἐπὶ πάντων τῆς τιμωρίας τὸ μέτρον.

ζ. Καὶ αὕτη Ἰούδα· εἰσάκουσον Κύριε φωνῆς Ἰούδα, καὶ εἰς τὸν λαὸν αὐτοῦ εἰσέλθοισαν· αἱ χεῖρες αὐτοῦ διακρινοῦσιν αὐτῷ, καὶ βοηθὸς ἐκ τῶν ἐχθρῶν αὐτοῦ ἔσῃ.

ΑΔΗΛΟΥ. Ἀκύλας, (1) ἀνδράσι τινὲς εἰς τὸν λαὸν Ἰούδα εἰσέλθοισαν οὐκ ὠνόμασε. μήποτε οὖν ἐμφαίνει τοὺς ἀπὸ τῶν ἐθνῶν πιστεύοντας εἰς τὸν πνευματικὸν Ἰούδαν εἰσέρχεσθαι, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν; » οὕτω γὰρ αἱ χεῖρες αὐτοῦ διακρι- » νοῦσι· καὶ τούτῳ βοηθὸς ἐκ τῶν χειρῶν (2) αὐτοῦ γέγονεν ὁ Θεός.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Βασιλικὰ δὴ ταῦτα προφητεύεται, μήπω βασιλείας φανείσης ἐν Ἰσραὴλ, ὡς δηλοῖ τὰ ἐπαγόμενα. εἴρηται δὲ περὶ τούτου καὶ ἐν τῇ Γενέσει.

ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα τὴν τάξιν ὑπερβὰς, τῷ Ἰούδᾳ τὴν εὐλογίαν προσφέρει, διὰ τὸν ἐκεῖθεν κατὰ σάρκα βεβλαστηκότα Δεσπότην.
Ἑβρ. 7. 14. πρόδηλον γάρ φησιν ὁ θεῖος Ἀπόστολος, » ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος » ἡμῶν. προλέγει δὲ καὶ τὴν δαβιτικὴν βασιλείαν. » εἰσάκουσον γάρ φησι Κύριε φωνῆς » Ἰούδα, καὶ εἰς τὸν λαὸν αὐτοῦ ἔλθοιεν· αἱ » χεῖρες αὐτοῦ διακρινοῦσιν αὐτῷ, καὶ βοη- » θὸς ἐκ τῶν ἐχθρῶν αὐτοῦ ἔσῃ. οὕτω τὴν βασιλικὴν εὐλογήσας φυλὴν, εἰς τὴν ἱερατικὴν μεταβαίνει.

** ΠΡΟΚΟΠΙΟΥ. Παρέλειπε τὸν Συμεῶνα τὸν ἅμα Λευῒ τὴν κατάραν δεξάμενον διὰ τὴν πόρθησιν Σικίμων. ὅθεν ἔλεγεν
Γεν. 49. 7. » Ἰακὼβ, διαμεριῶ αὐτοὺς ἐν Ἰακὼβ, καὶ » διασκορπίσω αὐτοὺς ἐν Ἱερουσαλήμ. ἀλλ' ὁ μὲν Λευῒ τῆς ἀρᾶς διὰ τῆς ἱερωσύνης ἐπαύσατο, καὶ τὴν διασπορὰν αὐτῷ τὴν ἐν ταῖς φυλαῖς εὐλογημένην ποιεῖ. ὡς γὰρ ξένος ἐν ταῖς ἐκ τῶν φυλῶν ἀπαρχαῖς κατοικίζεται, κατὰ τοὺς ἐν Χριστῷ τελειωθέντας, ξένος καὶ παρεπίδημος ὤν. ἣν γὰρ καὶ καθωμολογημένος Θεῷ πρὸ γενέσεως, εἰπόν-
Γεν. 28. 22. τος Ἰακὼβ, καὶ πάντων ὧν ἄν δῷς μοι δε- » κάτην ἀποδεκατώσω. δέκατος δὲ ἀπὸ τοῦ τελευταίου παιδὸς ὁ Λευῒ, τοῦ τέλους εἰς ἀρχὴν καταστάντος διὰ Χριστόν. ὃς ἀρχὴν τὸ τέλος ἀπέφηνεν, ἐπ' ἐσχάτου τοῦ αἰῶνος ἐλθὼν, καὶ τὴν εὐλογίαν ἀπὸ τοῦ τέλους εἰσαγαγών. ὁ δὲ Συμεὼν τῷ Κυρίῳ καταλέλειπται, καὶ ἡ τούτου διόρθωσις. ὃς ἅπαν

A τὸ ἐλλειφθὲν τῷ νόμῳ διὰ τῆς χάριτος ἀναπληροῖ. ὥσπερ καὶ τὰς δέκα φυλὰς, Ἐφραὶμ ὀνομαζομένας οὐκ ἀναγαγὼν ὁ Θεὸς ἐν ἀφέσει τῇ παρὰ Κυρίου, ἐπαγγέλλεται διὰ τοῦ Ἱερεμίου ταύτας ἀνάξειν, διὰ Χριστοῦ δηλαδὴ τῆς εὐεργεσίας ἐφ' ἅπαντας » ἁπλουμένης. ἣν προεδήλου, λέγων· ἔκτισε Ἱερ. 31. 22.
» Κύριος καινὸν ἐν τῇ γῇ. θήλεια περικυκλώσει ἄνδρα. καινὸν γὰρ τὸ κυηθῆναι ἄνδρα χωρὶς πατρὸς, δι' οὗ πάντες ἀνεκαι-
B νίσθημεν. εἰς ὃ καὶ Συμεὼν σιωπηθεὶς μετὰ τῶν ἄλλων παρεπέμφθη φυλῶν. κοινὴ γὰρ περὶ τοῦ ἔθνους ἐπαγγελία τὸ μὴ παύσασθαι τὸν Ἰσραὴλ, ἔθνος ὄντα ἐνώπιον τοῦ Θεοῦ. τινὲς δέ φασιν, ὡς Μωϋσῆς τὰς εὐλογίας διδοὺς, τὴν ἰδίαν φυλὴν οὐκ ἂν κατέλειπεν ἀνευλόγητον. δι' αὐτὸν δὲ Θεὸς εὐλόγησε τὴν φυλὴν, ὡς καὶ διὰ τὴν φιλαδελφίαν τὴν τοῦ Ῥουβίμ. ὁ δὲ Συμεὼν οὐκ εἶχε πρόφασιν τῆς εὐλογίας τυχεῖν. στο-
Γ χάζονται δὲ αὐτὸν καὶ ἀρχηγέτην τῆς κατὰ τοῦ Ἰωσὴφ ἐπιβουλῆς γεγενῆσθαι, καὶ ἐκ τοῦ τὸν Ἰωσὴφ τοὺς μὲν ἄλλους ἀπολῦσαι, αὐτὸν δὲ καθεῖρξαι. τινὲς δὲ καὶ ἐν τῇ τῶν ἀλλοφύλων πορνείᾳ φασὶν ἀρχηγὸν γεγενῆσθαι τὸν Συμεῶνα, ὅτε διὰ ζῆλον ὁ Φινεὲς δεδικαίωται. τινὲς δέ φασιν, ὡς τῇ φυλῇ Λευῒ συνευλόγηται. ὡς γὰρ τὰ τῆς ἀρᾶς, οὕτω καὶ τὰ τῆς εὐλογίας κοινά. τὸν δ' οὖν Συμεῶνα παρασιωπήσας ὁ Μωϋσῆς,
Δ οὐκ ἐπὶ τὸν Λευῒ κατὰ τάξιν ἔρχεται, ἀλλ' ἐπὶ τὸν Ἰούδαν, ὅτι μὴ ἀπὸ κατάρας εἰς εὐλογίαν ταύτην ἄγει τὴν φυλὴν, ὡς τὴν λευιτικήν· καὶ ὅτι οὐκ ἐξ ἱερέων, ἀλλ' ἐκ βασιλέων ἤμελλε βλαστήσειν τὸ σῶμα τὸ δεσποτικόν. καὶ δύο ὄντων ἐν τῷ νόμῳ τιμῶν, τῆς ἱερατικῆς ἡ βασιλικὴ δι' αὐτὸ προτετίμηται. διεσπάρη δὲ κατὰ τὴν Ἰακὼβ προφητείαν ὡς ὁ Λευῒ καὶ ὁ Συμεὼν, πλάγιον τόπον λαβὼν, διὰ πασῶν τῶν
E φυλῶν ἐφεξῆς διατρέχοντα. τὰ δὲ νῦν περὶ Ἰούδα παρὰ Μωϋσέως λεγόμενα, σύμφωνα τοῖς παρ' Ἰακὼβ πρότερον εἰρημένοις. ὡς γὰρ βασιλεῖ δίδωσι τὴν ἐν πολέμοις βοήθειαν, καθά φησιν ὁ Δαβὶδ ὁ » τὴν βασιλείαν κληρωσάμενος· ὁ ὑποτάσ- Ψαλ. 17. 47.
» σων τὸν λαόν μου ὑπ' ἐμέ. ὅμοιον δὲ τῷ, » Ἰούδα σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου, τὸ, ἐπὶ Γεν. 49. 8.
» τὸν λαὸν αὐτοῦ ἐξάξεις αὐτὸν, κατὰ τὸν » Σύμμαχον· καὶ τῷ, αἱ χεῖρές σου ἐπὶ νώτου
Z » τῶν ἐχθρῶν σου, τὸ, αἱ χεῖρες αὐτοῦ ὑπερ- » μαχήσουσιν αὐτοῦ. τὴν δὲ παρ' Ἰακὼβ δηλωθεῖσαν βοήθειαν ἐξ οὐρανοῦ συνελὼν ὁ » Μωϋσῆς ἔφη· βοηθὸς ἐπὶ τοὺς ἐπανισταμένους αὐτῷ ἔσῃ. περὶ Χριστοῦ δὲ τὸ λεγόμε- » νον κατὰ Ζαχαρίαν εἰπόντα, σωτηρίαν Λουκ. 1. 71.
» ἐξ ἐχθρῶν ἡμῶν.

η. Καὶ τῷ Λευῒ εἶπε, δότε Λ... δήλους αὐτοῦ, καὶ ἀλήθειαν αὐτ...
H ἀνδρὶ τῷ ὁσίῳ, ὃν ἐπείρασαν...

(1) Τί βούλεται τὸ, Ἀκύλας; μήτι γε παρέλειπται τὰ τοῦ Ἀκύλα ῥήματα; ἀλλὰ κ... τινὲς, ἀσύντακτον. ἀναγνωστέον δὲ, ἀνδρῶν τινες. οὕτω μὲν γὰρ καὶ ἡ σύνταξις καὶ ἡ ...

A ἐν πείρᾳ· ἐλοιδόρησαν αὐτὸν ἐφ᾽ ὕδατος ἀντιλογίας.

» ΘΕΟΔΩΡΙΤΟΥ. Δότε Λευῒ δήλους αὐτοῦ καὶ ἀλήθειαν αὐτοῦ τῷ ἀνδρὶ τῷ ὁσίῳ. Τῷ στέρνῳ τοῦ ἱερέως τὸ λόγιον ἐπέκειτο· εἶχε δὲ τοῦτο τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν. πολλὰ γὰρ ἐκεῖθεν παρεδηλοῦτο. συνῆπται δὲ τοῖς δήλοις ἡ ἀλήθεια, διὰ τὸ ἀψευδὲς τῶν δηλουμένων. » Ὃν ἐπείρασαν αὐτὸν ἐν πείρᾳ· ἐλοιδόρησαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας· B Τῶν εἰς αὐτὸν καὶ τὸν ἀδελφὸν γεγενημένων ἀνέμνησεν.

ΑΔΗΛΟΥ. Ἀρᾶς ἐπιτεθείσης ἀμφοτέροις διὰ τὴν πόρθησιν τῶν Σικιμιτῶν, τὸν μὲν Λευῒ τῆς κατάρας ὑπεξάγει Μωϋσῆς διὰ τῆς ἱερατείας· τὸν δὲ Συμεὼν παρασιωπήσας, ἀπολέλοιπε τῷ Θεῷ τὴν ὑπὲρ αὐτοῦ ἐπανόρθωσιν. ὃς ἅπαν τὸ ἐλλεῖπον τῷ νόμῳ, διὰ τῆς χάριτος ἀναπληροῖ.

Γ ΕΥΣΕΒΙΟΥ. Ἀνακαλεῖται Μωϋσῆς τὴν κατάραν ἀπὸ τοῦ Λευῒ, ὑπομιμνήσκων ὅταν ἐν Ῥαφιδεὶν ἐλοιδορήθη ὑπὸ τοῦ λαοῦ ἐπὶ τῆς τοῦ ὕδατος ἀντιλογίας, καὶ ἐπὶ τῆς μοσχοποιίας· ὅτε ἕκαστος λαβὼν μάχαιραν, οὐκ ἐφείσατο οὔτε ἀδελφῶν οὔτε υἱῶν, ὡς ἐπισημαίνεται εὐλογῶν αὐτούς. ἕνεκεν τούτου μετέστρεψε τὴν κατάραν τῆς διασπορᾶς εἰς εὐλογίαν. διεσπάρησαν γὰρ ἐν πάσαις ταῖς φυλαῖς. Δ μεταβαλλομένης δὲ τοῦ Λευῒ τῆς κατάρας, ἀναντιῤῥήτως καὶ τοῦ Συμεών. κοινῇ γὰρ καὶ τοὺς Σικιμίτας ἀπέσφαξαν, καὶ κοινῇ τὴν κατάραν ἔλαβον. ἔδει οὖν καὶ τῆς εὐλογίας κοινωνῆσαι. διὸ καὶ ὁ Μωϋσῆς οὐ λέγει περὶ τοῦ Συμεὼν οὐδέν.

✱ ΘΕΟΔΩΡΟΥ. Τοῖς πυνθανομένοις τί δήποτε τὸν Συμεὼν οὐκ εὐλόγησεν ὁ Μωϋσῆς, λεκτέον· ὅτι ὁ Ῥουβὶμ ἔσχεν ἀφορμὴν εὐλογίας τὴν φιλαδελφίαν. διὰ γὰρ ἐκείνην (1) τῆς ἀρᾶς ἀπηλλάγη. καὶ ὁ Λευῒ δὲ διὰ Μωϋσῆν τὸν μέγαν τῆς εὐλογίας E τετύχηκεν. ὁ γὰρ τοῖς ἄλλοις λύων τὰς ἀρὰς, πολλῷ μᾶλλον ἔλυε τὴν οἰκείαν. ὁ δὲ Συμεὼν οὐδεμίαν ἔσχε πρόφασιν, ὥστε τῆς εὐλογίας τυχεῖν. (2) οἶμαι δὲ αὐτὸν καὶ ἀρχηγέτην τῆς κατὰ τοῦ Ἰωσὴφ ἐπιβουλῆς γεγενῆσθαι. καὶ τοῦτο τεκμήριον, τὸ τὸν Ἰωσὴφ τοὺς μὲν ἄλλους ἀπολῦσαι, αὐτὸν δὲ καθεῖρξαι.

» ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, δότε Λευῒ τὴν δή- Z » λωσιν καὶ τὴν ἀλήθειαν, ἅπερ ἐστὶν αὐτοῦ ἴδια σκεύη. τοῖς γὰρ ἱερεῦσι μόνοις ἐπετράπη φορεῖν ἐπὶ τοῦ λογίου τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν.

ΑΔΗΛΟΥ. Τοῦτο λέγει διὰ Μωϋσῆν καὶ Ἀαρὼν τοὺς ἱερέας, οἷς ἐπανέστη ὁ λαὸς ἐν Κάδης, καὶ ἐλοιδοροῦντο αὐτοὺς, μὴ ἔχοντες ὕδωρ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Μέσων τῶν ιβ΄ λίθων ἐπὶ τοῦ λογίου δήλωσις ἦν καὶ ἀλήθεια, δι᾽ ἑτέρων δύο λίθων δεικνύμεναι. δηλοῖ δ᾽ οὖν προφητείας τὰς διὰ τῆς φυλῆς γινομένας κατὰ ἀποκάλυψιν καὶ .. λὴν (3) ἱερὰν διαπαντὸς ἀπονεμηθεῖσαν αὐτῇ. καταλιμπανούσῃ τὸ γένος καὶ Θεὸν αἱρουμένῃ, καὶ τὴν τῶν νόμων ἀκρίβειαν. ἣν ἀγνοοῦσιν ἔσθ᾽ ὅτε τοῖς δικασταῖς παρεδίδοσαν, πρὸς » οὓς εἴρηται· φυλάξεις σφόδρα ποιεῖν κατὰ » πάντα τὸν νόμον, ὃν ἀναγγείλωσιν ὑμῖν » οἱ ἱερεῖς οἱ Λευῖται. διὰ δὲ τῆς θείας ἱε- B ρουργίας καὶ τῷ λαῷ τιμωρίαν ἐπαγομένην » ἀπέστρεφον. διὸ καὶ, εὐλόγησον φησὶ Κύ- » ριε τὴν ἰσχὺν αὐτοῦ. δέονται γὰρ αἱ θυσίαι δυνάμεως, δι᾽ ὧν καὶ ἡ τῶν ἐχθρῶν ἰσχὺς κατεβάλλετο. τὰ γὰρ συμπίπτοντα τῷ λαῷ πρὸς τὸ ἡγεμονικὸν ἀνάγεται γένος· καθὰ καὶ τῷ Μωϋσεῖ τῶν Λευϊτῶν ἄρχοντι » λέγεται τὸ, οὐ μὴ συναναβῶ μετὰ σοῦ, διὰ » τὸ λαὸν σκληροτράχηλόν σε εἶναι. καὶ ἀνάπαλιν τῇ φυλῇ προσῆψε τὰ τοῖς ἡγεμόσι Γ γενόμενα. τοῦτο γὰρ σαφῶς ἐξέδωκε Σύμ- » μαχος, εἰπών· τελειότης σου καὶ διδαχή σου » τῷ ἀνδρὶ τῷ ὁσίῳ, ὃν ἐπείρασας ἐν δοκι- » μασίᾳ. ἐδοκίμασας αὐτὸν ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας. οὐκ ὤκνησε γὰρ αὐτὸς Μωϋσῆς περὶ ἑαυτοῦ καὶ τοῦ ἀδελφοῦ λέγειν· ὅτι ἐδοκιμάσθη ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας, καὶ κατεδικάσθησαν μὴ εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας: νοηθείη δ᾽ ἂν κατὰ τοὺς ο΄ καὶ ἐπὶ Χριστοῦ τὸ λεγόμενον. Δ » περὶ οὗ φησὶν ὁ Παῦλος, τοιοῦτος γὰρ ἔπρε- » πεν ἡμῖν ἀρχιερεὺς, ὅσιος, ἄκακος, καὶ τὰ » ἑξῆς. καὶ πάλιν, κατανοήσατε τὸν Ἀπό- » στολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν. » πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν. χρηματίζει γὰρ οὕτω διὰ τὸ ἀνθρώπινον. αὐτῷ » οὖν φησὶ δότε τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν. διὸ καὶ τοῦτον τοῖς ἑξῆς ἐσαφήνισε, » τῷ ἀνδρὶ τῷ ὁσίῳ εἰπών. οὐ γὰρ ἐποίησεν » ἁμαρτίαν, ὡς καὶ τοῦ Ἀποστόλου δεδήλωκε E τὰ ῥητά. καὶ ὃν εἶπεν ἄνδρα, Θεὸν ἀποδείκνυσιν εἰπὼν, ὡς ἐξεπείρασαν αὐτὸν, καθά φησι καὶ Δαβὶδ μετὰ τὴν χορηγίαν » τῶν ὑδάτων. καὶ ἐξεπείρασαν αὐτὸν ἐν τῇ » καρδίᾳ αὐτῶν. καὶ κατελάλησαν τοῦ Θεοῦ, καὶ τὰ ἑξῆς. ὃ δὴ καὶ νοήσας ὁ Παῦλος » φησίν· ἔπινον καὶ ἐκ πνευματικῆς ἀκο- » λουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός· ὁ αὐτὸς γὰρ πρὸ σαρκός τε καὶ μετὰ ταύτης ἐτύγχανε.

Z θ. Ὁ λέγων τῷ πατρὶ αὐτοῦ καὶ τῇ μητρὶ αὐτοῦ, οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω, καὶ τοὺς υἱοὺς αὐτοῦ ἀπέγνω. ἐφύλαξε τὰ λόγιά σου, καὶ τὴν διαθήκην σου διετήρησε.

✱✱ ΙΣΙΔΩΡΟΥ. Ἐπειδὴ ἐπελύπησε τῇ πατρῴᾳ εὐνῇ ὁ Ῥουβεὶμ, διὰ τοῦτο οὔτε βασιλείας οὔτε ἱερωσύνης ἠξιώθη, καίτοι πρω-

(1) Ἐκείνης τῆς ἀρᾶς πολλῷ μᾶλλον ἔλυσε τὴν οἰκείαν. ὁ δὲ Συμεὼν, κτ. (ἐν ταῖς σημειώσ. ταῖς εἰς ... ἐν Φραν. ἐκδοθ. ὅθεν καὶ τοὔνομα τοῦ Θεοδώρου ἐλήφθη.) ἐλλειπέστερ. πάντως τοῦ προκειμ.
(2) ... δὲ ὅμως καὶ οὗτος τῆς εὐλογίας. οὐ γὰρ μόνον ἰδίᾳ ἑκάστῃ φυλῇ δέδωκεν εὐλογίαν, ἀλλὰ ... Ταῦτα ἀντὶ τῶν ἑξῆς. αὐτ.
(3) ... καὶ ... ὥστε λέγειν βελτίω.

πρωτότοκος ὤν· ἀλλ᾽ ὁ μὲν Λευῒ τρίτος ὤν, οὐ μόνον διὰ τὸ ἐπαγγείλασθαι τὸν πατέρα δεκάτην ἀφιερώσειν· κάτωθεν γὰρ ἀριθμούμενος δέκατος ἦν, ἄνωθεν δὲ εἰ ἠριθμήθη, εἰς τῶν παιδισκῶν ηὑρίσκετο· ἀλλὰ καὶ δι᾽ ὁσιότητα, καὶ τὸ συγγενικῶν αἱμάτων διὰ τὴν εἰς τὸ θεῖον τιμὴν τὰς χεῖρας ἐμπλῆσαι, ἱερωσύνης ἠξιώθη. ὅνπερ καὶ θαυμάζων ὁ Μωϋσῆς, ἐν ταῖς εὐλογίαις ἔλεγεν· ὁ λέγων τῷ πατρὶ ἢ τῇ μητρί, οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω. ἐφύλαξε τὰ λόγια Κυρίου. ὁ δὲ Ἰούδας τέταρτος ὤν, διὰ τὴν ἀδέκαστον κρίσιν, καὶ τὴν ὀρθὴν ψῆφον, βασιλείας ἠξιώθη· ἐπειδὴ γὰρ πολλοὶ τὰ οἰκεῖα κρύπτοντες πλημμελήματα ἑτέρους καταδικάζουσιν, οὗτος δὲ ἑαυτοῦ μὲν κατεψηφίσατο, τὴν δὲ πεπορνεῦσθαι νομισθεῖσαν ἀπήλλαξε τῆς τιμωρίας, διὰ τοῦτο εἰκότως τῆς βασιλείας ἠξιοῦτο. ἱερῶντο γὰρ οἱ ἐκ Λευΐ, ἐβασίλευον δὲ οἱ ἐξ Ἰούδα, οὐ κατὰ ἀποκλήρωσιν, ἀλλ᾽ ἀρετῆς γέρας εἰληφότες.

ΑΔΗΛΟΥ. Ἠρνήσαντο γὰρ αὐτοὶ οἱ ἱερεῖς τοὺς ὁμοφύλους, καὶ ἀφωρίσθησαν ἐκ μέσου αὐτῶν, μήτε κλῆρον ἔχοντες, μήτε μερίδα, μήτε τινὰ συνδιαγωγὴν ὁμοιότροπον αὐτοῖς· ἀλλὰ μόνῳ Θεῷ σχολάζοντες.

ΑΔΗΛΟΥ. Τὸν Χριστὸν Λευῒ προσαγορεύει διὰ τὸ ἱερατικὸν ἀξίωμα. καὶ γὰρ καὶ ἐκ τῆς αὐτοῦ φυλῆς κατάγεται ὁ Χριστός, ὡς ἡ τοῦ Λουκᾶ γενεαλογία, φησί, (1) παρίστησι. καὶ ἐξ ἀρχῆς δὲ ἡ τοῦ Ἰούδα καὶ ἡ τοῦ Λευῒ φυλὴ ἐπεμέμικτο. καὶ γὰρ Ἀαρὼν τὴν θυγατέρα Ἀμιναδὰβ, ὃς ἦν τῆς φυλῆς Ἰούδα, ἠγάγετο. καὶ τὸ ἐνταῦθα δὲ εἰρημένον, ὁ λέγων τῷ πατρὶ αὐτοῦ καὶ τῇ μητρὶ αὐτοῦ οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω, καὶ τοὺς υἱοὺς αὐτοῦ ἀπέγνω, ὁ Χριστὸς πεπλήρωκε. φήσας μὲν ἐν τῷ Εὐαγγελίῳ, [Ματθ. 12. 48.] τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου; ἀπογνοὺς δὲ τῶν υἱῶν αὐτοῦ, οἵτινές εἰσιν οἱ υἱοὶ Ἰσραὴλ, κατὰ τὸ εἰρημένον ἐν τῇ Ἐξόδῳ· [Ἐξόδ. 4. 22.] υἱὸς πρωτότοκός μου Ἰσραήλ.

ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ λέγων τῷ πατρὶ αὐτοῦ καὶ τῇ μητρὶ αὐτοῦ οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω, καὶ τοὺς υἱοὺς αὐτοῦ ἀπέγνω. ἐφύλαξε τὰ λόγιά σου, καὶ τὴν διαθήκην σου διετήρησε. Τὸ τέλειον τῶν ἱερέων ὁ λόγος διδάσκει. πάντων γὰρ τῶν κατὰ τὸν βίον καταφρονεῖν προσήκει τὸν ἱερέα, καὶ τῇ θείᾳ προσεδρεύειν ἱερουργίᾳ. τούτου χάριν οὐδὲ κλῆρον αὐτοῖς ἀπένειμεν· οὐδὲ κτῆσιν ἔχειν ἐνομοθέτησεν, ἀλλὰ τὰς ἀπαρχὰς καὶ τὰς δεκάτας παρὰ παντὸς κομίζεσθαι τοῦ λαοῦ, ἵνα τῶν βιωτικῶν ἀπηλλαγμένοι φροντίδων, ἁγίως τὴν ἐγκεχειρισμένην ἁγιστείαν ἐπιτελῶσιν. αὐτίκα γοῦν Ἀαρὼν ὁ πρῶτος ἀρχιερεὺς, οὐδὲ κηδεῦσαι τοὺς τεθνηκότας συνεχωρήθη παῖδας.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπήγαγε Μωϋσῆς, ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρὶ οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἔγνω, προφητεύων τὰ ἐν Εὐαγγελίοις· ὅτε τινὲς τῶν μαθητῶν εἰπόντες Χριστῷ, ἰδοὺ ἡ μήτηρ σου [Λουκ. 8. 20, 21.] καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες, ἔφησεν· ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου οὗτοί εἰσιν οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ ποιοῦντες.

ι. Δηλώσουσι τὰ δικαιώματά σου Ἰακὼβ, (2) καὶ τὸν νόμον σου τῷ Ἰσραήλ· ἐπιθήσουσι θυμίαμα ἐν ὀργῇ σου διαπαντὸς ἐπὶ τοῦ θυσιαστηρίου σου.

ΘΕΟΔΩΡΙΤΟΥ. Οὕτω δέ φησιν αὐτοὺς τελειώσαντες, δηλώσουσι τὰ δικαιώματά σου τῷ Ἰακὼβ, καὶ τὸν νόμον σου τῷ Ἰσραήλ· ἐπιθήσουσι θυμίαμα ἐν ὀργῇ σου διαπαντὸς ἐπὶ τὸ θυσιαστήριόν σου. Τοῦτο καὶ τοῦ λαοῦ τιμωρουμένου γεγένηται. ὁ γὰρ Ἀαρὼν προσενεγκὼν τὸ θυμίαμα, τὸν θεήλατον ἐκώλυσε θάνατον.

** ΠΡΟΚΟΠΙΟΥ. Τύπος οἱ πάλαι Λευῖται, σχολάζοντες τῷ Θεῷ, τῶν ἱερῶν Ἀποστόλων· Πέτρου λέγοντος, ἡμεῖς δὲ τῇ [Πράξ. 6. 4.] προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσωμεν, ἐπὶ τὸ πνευματικώτερον μετενηνεγμένων τῶν κατὰ τὸν νόμον. οὔτε γὰρ ὁ λόγος αὐτοῖς περὶ κρίσεις καὶ δίκας πραγμάτων, περὶ δὲ μυστηρίων ἐξηγήσεις τῶν ἀποκεκρυμμένων ἐξ αἰῶνος παρὰ Θεῷ.

ια. Εὐλόγησον, Κύριε, τὴν ἰσχὺν αὐτοῦ, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ δέξαι, κάταξον ὀσφὺν ἐπανεστηκότων ἐχθρῶν αὐτοῦ, καὶ οἱ μισοῦντες αὐτὸν μὴ ἀναστήτωσαν.

ΘΕΟΔΩΡΙΤΟΥ. Εὐλόγησον, Κύριε, τὴν ἰσχὺν αὐτοῦ, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ δέξαι. χρεία γὰρ καὶ σωματικῆς δυνάμεως τοῖς λειτουργοῦσιν, ἵνα μηδὲν ἐμπόδιον γένηται τῇ προθυμίᾳ. Κάταξον ὀσφὺν ἐπανεστηκότων ἐχθρῶν αὐτοῦ, καὶ οἱ μισοῦντες αὐτὸν μὴ ἀναστήτωσαν. Διὰ δὲ τούτων χαλινοῖ τῶν τυραννούντων τὸ θράσος. ἀναμιμνήσκει δὲ καὶ ὧν ἔπαθε Κορὲ, καὶ Δαθὰν, καὶ Ἀβειρὼν, τὴν στάσιν κατὰ τῶν ἱερέων κινήσαντες.

ιβ. Καὶ τῷ Βενιαμὶν εἶπεν, ἠγαπημένος ὑπὸ Κυρίου κατασκηνώσει πεποιθὼς, καὶ ὁ Θεὸς σκιάζει ἐπ᾽ αὐτῷ πάσας τὰς ἡμέρας, καὶ ἀναμέσον τῶν ὤμων αὐτοῦ κατέπαυσε.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν ἔσχατον ὄντα, τέταρτον ἔταξε τὸν Βενιαμίν; Ταύτης ἦν τῆς φυλῆς ἡ μητρόπολις· ἐν ἐκείνῃ δὲ ὁ ναὸς ἐδομήθη. τοιγάρτοι εἰκότ[illegible] ἱερατικῇ φυλῇ τὸν ἱερατικὸν (3) σ[illegible] τόπον. καὶ ἡ εὐλογία δὲ τοῦτο π[illegible] ἠγαπημένος γάρ φησιν ὑπὸ τ[illegible]

(1) Τὸ, Φησὶ, περιττόν.
(2) Τῷ Ἰακώβ. αἱ [illegible] κώδ.
(3) Τὸν ἱερόν. ἡ ἐν Χαλ. ἔκδ.

σκηνώσει πεποιθώς. ἔδειξε δὲ καὶ τὴν αἰτίαν τῆς πεποιθήσεως· καὶ ὁ Θεὸς σκιάζει ἐπ' αὐτῷ πάσας τὰς ἡμέρας, καὶ ἀναμέσον τῶν ὤμων αὐτοῦ κατέπαυσε. πελάζων γὰρ τῷ θείῳ ναῷ, διηνεκῶς κηδεμονίας ἀπήλαυσε. τὸ δὲ, ἐν μέσῳ τῶν ὤμων αὐτοῦ κατέπαυσε, περὶ τοῦ Θεοῦ ἔφη, ὃς ἐν Ἱερουσαλὴμ τὸν ναὸν οἰκοδομηθῆναι κελεύσας, ἐν ἐκείνῳ τὴν οἰκείαν ἐπιφάνειαν ἐποιεῖτο.

* ΠΡΟΚΟΠΙΟΥ. Προφητεύεται περὶ τῆς Ἱερουσαλὴμ (1) ἡ τιμὴ τοῦ Βενιαμίν. ἐν δὲ τῇ Ἱερουσαλὴμ ὁ ναὸς καὶ ἡ τοῦ Θεοῦ κατάπαυσις, καθὰ καὶ (2) Δαβὶδ, ἐξελέξατο, φησὶ, Κύριος τὴν Σιὼν, [ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. καὶ ἀλλαχοῦ, ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. οἷον ἐνταῦθα τὸ, σκιάσει ἐπ' αὐτῷ πάσας τὰς ἡμέρας. ἀλλὰ καὶ, ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. συγκεκλήρωται δὲ τῇ Ἱερουσαλὴμ ἡ βασιλεία ἡ ἐν Κυρίῳ κυρουμένη· περὶ οὗ φησὶν ἑξῆς ὁ ψαλμός· ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. καὶ ὡς ἄπαυστος ἡ βασιλεία· τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα. συνῆπται δὲ διὰ τοῦτο τῇ βασιλείᾳ καὶ τῇ ἱερωσύνῃ ὁ τόπος τῆς Ἱερουσαλήμ. ἡ μὲν γὰρ βασιλεία, τῇ τοῦ Ἰούδα φυλῇ· ἡ δὲ ἱερωσύνη, τῇ Λευΐ δέδοται. ὧν ἀμφοτέρων ἅμα κατὰ τὸ ἑξῆς ἐμνημόνευσε. μετὰ δὲ ταύτας ἀμφοτέρας τὰς φυλὰς ὁ Βενιαμὶν εὐλογεῖται, καί τοι τοῦ Ἰακὼβ τελευταῖον, κατὰ τὴν τάξιν, Βενιαμὶν προφητεύσαντος· Βενιαμὶν λύκος ἅρπαξ, καὶ τὰ ἑξῆς. ἀλλ' ὁ μὲν Ἰακὼβ εἰς τοὺς οἰκήτορας προφητεύει, ὁ δὲ Μωϋσῆς εἰς τὸν τόπον, ὡς ἐν τούτῳ καταπαύσαντος Θεοῦ, καθὰ ἐπὶ τῶν οὐρανίων Χερουβὶμ ἐπεζευγμένων αὐτῷ. τοιοῦτον γὰρ καὶ τὸ, ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ κατέπαυσεν. ὅμοιον τῷ παρὰ τῷ Ὠσηέ. Ἐφραὶμ δάμαλις δεδιδαγμένη ἀλοᾷν· ἐγὼ δὲ ἐπιβήσομαι ἐπὶ τὸ κάλλιστον τοῦ τραχήλου αὐτῆς. ὁ δὲ Κύριος ἐπὶ ὄνου καθήμενος εἰς τὴν Ἱερουσαλὴμ εἰσῄει, τὴν τῶν ἐθνῶν ἀκαθάρτων ὄντων δεικνύων προτίμησιν.]

ΑΔΗΛΟΥ. Διὰ τοῦτο ἐν ταῖς πράξεσιν εἴρηται. αὐτὸς γὰρ βαστάσει τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, περὶ τοῦ ποίᾳ φυλῇ, λέγων. (3)

ιγ. Καὶ τῷ Ἰωσὴφ εἶπεν, ἀπ' εὐλογίας Κυρίου ἡ γῆ αὐτοῦ, ἀπὸ ὡρῶν οὐρανοῦ καὶ δρόσου, καὶ ἀπὸ ἀβύσσων

ιδ. πηγῶν κάτωθεν, Καὶ καθ' ὥραν γεννημάτων ἡλίου τροπῶν, καὶ ἀπὸ συνόδου

ιε. μηνῶν, Ἀπὸ κορυφῆς ὀρέων ἀρχῆς, καὶ ἀπὸ κορυφῆς βουνῶν ἀεννάων,

ις. Καὶ καθ' ὥραν γῆς πληρώσεως. καὶ τὰ δεκτὰ τῷ ὀφθέντι ἐν τῇ βάτῳ ἔλθοισαν ἐπὶ κεφαλὴν Ἰωσὴφ, καὶ ἐπὶ κορυφῆς δοξασθεὶς ἐν ἀδελφοῖς.

B ΘΕΟΔΩΡΙΤΟΥ. Μετὰ ταύτας τὰς φυλὰς τὸν Ἰωσὴφ εὐλόγησε, καὶ ταῖς δύο φυλαῖς κατὰ ταὐτὸ τὴν εὐλογίαν προσήνεγκεν· ἀπ' εὐλογίας Κυρίου ἡ γῆ αὐτοῦ, » καὶ ἀπὸ ὡρῶν οὐρανοῦ καὶ δρόσου, καὶ ἀπὸ » ἀβύσσων πηγῶν κάτωθεν, καὶ καθ' ὥραν » γεννημάτων ἡλίου τροπῶν, καὶ ἀπὸ συνόδου » μηνῶν, καὶ ἀπὸ κορυφῆς βουνῶν ἀεννάων. ᾔτησεν αὐτῷ τὰ οὐρανόθεν δωρούμενα ἀγαθὰ, τοὺς ἀπὸ τῆς γῆς παρεχομένους καρ-

Γ πούς· οὓς ἄρδουσι μὲν ὑετοὶ, τρέφουσι δὲ δρόσοι, πεπαίνει δὲ ἥλιος κατὰ τὰς τῶν ὡρῶν καὶ μηνῶν περιόδους· φέρει δὲ τούτους οὐ μόνον ἡ ὑπτία γῆ, ἀλλὰ καὶ ἡ ὄρειος. εἰς βεβαίωσιν δὲ τῆς εὐλογίας ἀνέμνησε τοῦ ὀφθέντος ἐν τῇ βάτῳ Θεοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸν Ἰωσὴφ τοῦ Βενιαμὶν προέταξεν Ἰακὼβ, τοῦ χρόνου φυλάττων τὴν τάξιν· ὁ δὲ Μωϋσῆς μετέταξεν, ἵνα συνάψῃ τῇ βασιλείᾳ καὶ τῇ ἱερω-

Δ σύνῃ τὸν τόπον. καὶ ὁ μὲν πρῶταξε τὴν ἐπιβουλὴν τὴν κατὰ τοῦ Ἰωσὴφ, καὶ τὴν ἐκ Θεοῦ βοήθειαν, καὶ οὕτως ἐπάγει τὴν εὐλογίαν, μισθὸν τῆς περὶ τοὺς ἀδελφοὺς ἀνεξικακίας· ὁ δὲ προτάττει τὴν εὐλογίαν.

* ΤΟΥ ΑΥΤΟΥ. Τὴν τοίνυν εὔφορον αὐτῷ προφητεύει· διά τε τῶν ἄνωθεν δρόσων, καὶ τῶν κάτωθεν πηγῶν, τῇ τε τοῦ ἡλίου θέρμῃ καὶ τῇ τῆς σελήνης ὑγρότητι τρεφομένων τῶν καρπῶν, καὶ τῶν ὀρῶν

E καρποφορούντων, καὶ τῶν πεδίων, κατ' εὐδοκίαν Θεοῦ τοῦ θεωρηθέντος ἐν τῇ βάτῳ διὰ τῆς ἀγγελικῆς ὀπτασίας· (4) ἀποδεξάμενος (5) τὴν πρὸς τοὺς ἐπιβουλεύσαντας ἀνεξικακίαν, καθ' ἣν οὐκ ἠμύνατο πραθεὶς, ἀλλὰ τοὺς τὰ ἐχθρῶν πράξαντας περιεποιήσατο ὡς ἀδελφούς.

ιζ. Πρωτότοκος ταύρου τὸ κάλλος αὐτοῦ· κέρατα μονοκέρωτος τὰ κέ-

Z ρατα αὐτοῦ· ἐν αὐτοῖς ἔθνη κερατιεῖ ἅμα, ἕως ἀπ' ἄκρου γῆς. αὗται μυριάδες Ἐφραὶμ, καὶ αὗται χιλιάδες Μανασσῆ.

ΣΕΥΗΡΟΥ. Τοῦ Ῥουβὶμ γὰρ ἀφείλετο τὰ πρωτοτόκια ὁ Ἰακὼβ μετὰ τὸ κοιμηθῆναι

(1) Τῆς Ἱερουσαλὴμ ἡ τιμή. τοῦ κλήρου γὰρ αὕτη τοῦ Βεν. κτ. ὁ τῆς Αὐγ. κώδ.

(2) Περὶ ἧς καί. ὁ αὐτ.

(3) Αἴνιγμα τοῦτο καὶ εἰς τὸν Παῦλον ἐκ τῆς Βενιαμίτιδος ὄντα φυλῆς. Καὶ μετ' ὀλίγα. Νοοῖτο δ' ἂν [illegible] ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ κατέπαυσε, διὰ τὸ εἰρημένον ἐν ταῖς Πράξεσιν. αὐτὸς γὰρ βαστάσει [illegible] ὄν. τοῖς ἔθνεσι. ταῦτα ἀντὶ τῶν προκειμ. ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

[illegible] τοὺς ἀγγελικῆς ὀπτασίας ἀποδεξαμένους. ὁ Ἀλεξάν. κώδ. οὐκ ὀρθῶς. Διὰ τῆς ἀγγελικῆς [illegible] οὐκ ἠμύνατο, μᾶλλον δὲ καὶ τοὺς πωλήσαντας εὐεργέτησεν. ὁ τῆς Αὐγ. κώδ. [illegible] ὀρθότερ. ἵνα ᾖ, αὐτῷ ἀποδεξαμένῳ.

θῆναι αὐτὸν μετὰ Βάλλας. καὶ ἔδωκεν αὐτὰ τῷ Ἰωσὴφ, ὡς φησὶν ἐν τῇ πρώτῃ τῶν Παραλειπομένων. (1)

ΘΕΟΔΩΡΙΤΟΥ. Λέγει δὲ αὐτὸν καὶ τῶν πρωτοτοκίων τετυχηκέναι. καὶ τούτου χάριν διχῇ τὴν φυλὴν μερισθῆναι, καὶ δύο τὴν μίαν γενέσθαι· ἐπειδὴ διπλῆν μοῖραν ἐλάμβανον οἱ πρωτότοκοι. καὶ τὸ δυνατὸν δὲ τῶν φυλῶν διδάσκων, μονοκέρωτι καὶ ταύρῳ ἀπείκασε. καὶ προτέταχε τοῦ Μανασσῆ τὸν Ἐφραὶμ κατὰ τὴν τοῦ προπάτορος εὐλογίαν.

ΑΔΗΛΟΥ. Δύναμιν δὲ αὐτῷ τὴν ἐν » πολέμοις ὕπαρξιν φησί. κέρατα μονοκέ» ρωτος τὰ κέρατα αὐτοῦ, κατῳκισμένα καὶ εἴσω Ἰορδάνου, καὶ ἐκτὸς ἕως τῶν ἄκρων τῆς Ἰουδαίας. ἐκτὸς (2) μὲν γὰρ ὁ Ἐφραὶμ καὶ τὸ ἥμισυ τῆς φυλῆς Μανασσῆ, ἐν τῷ» δε λοιπὸν τὸ ἥμισυ. εἰπὼν δὲ, αὗται αἱ » μυριάδες Ἐφραίμ· καὶ αὗται αἱ χιλιάδες Μανασσῆ, ἐφύλαξε τὴν μετάθεσιν τῆς τάξεως, τὴν ὑπὸ Ἰακώβ· ὃς ἐπέθηκε τὸν Ἐφραὶμ ἔμπροσθεν Μανασσῆ, λέγων· ἐν Γεν. 48. 20, ὑμῖν εὐλογηθήσεται Ἰσραὴλ, λέγοντες, 19. » ποιήσαι σε ὁ Θεὸς ὡς Ἐφραὶμ καὶ Μανασσῆ. τῶν τύπων δὲ τοῦτο ἦν τῶν εἰς τοὺς δύο λαούς· ὧν ὁ νεώτερος, τιμιώτερος, μείζων τε καὶ πλείων, ὡς ὁ μακάριος ἔλεγεν » Ἰακώβ· ὅτι ἔσται μείζων ὁ νεώτερος, καὶ » τὸ σπέρμα αὐτοῦ ἔσται πλῆθος ἐθνῶν. συμφώνως δὲ καὶ ἡ τάξις ἡ εἰς τοὺς λαοὺς ἀποφανθεῖσα πεφύλακται καὶ παρὰ τῷ Μωϋσῇ. βασιλείαν μὲν οὖν ἐν τῷ Ἰούδᾳ, καὶ ἱερωσύνην ἐν τῷ Λευΐ, καὶ βασιλείας ὑποδοχὴν ἐν τῷ Βενιαμὶν ἐνδόξως οὕτως προείρηκε, καὶ τὸ τοῦ Ἰωσὴφ ἐγκώμιον ἐκ τῶν προειρημένων ἀνεκήρυξεν. ἀπονείμας αὐτῷ γῆν ἀγαθὴν, καὶ τὴν εἰς πόλεμον δύναμιν.

ΑΠΟΛΙΝΑΡΙΟΥ. Οἱ ἐκ τοῦ Θεοῦ χριόμενοι πρὸς ἱερατείαν καὶ προφητείαν ὀφείλουσι πίστει καὶ βίῳ διαπρέπειν, καὶ ὡς ἓν κέρας ὀξὺ ἔχειν αὐτὰ, καὶ μὴ διατέμνεσθαι ἐν τῷ ποιεῖν ἀγαθὸν καὶ φαῦλον.

ΤΟΥ ΑΥΤΟΥ. Ταῦτα δὲ ἱστορικῶς μὲν καὶ τυπικῶς εἰς τὸν Ἰωσὴφ εἴρηται· προφητικῶς δὲ καὶ προηγόρευται, καὶ ἐκβέβηκεν εἰς Χριστὸν, οὗ τύπος ἦν Ἰωσὴφ, ὁ πραθεὶς ὑπὸ τῶν ἀδελφῶν, ὡς ὑπὸ τοῦ Ἰούδα ὁ Χριστός· ὁ βληθεὶς ἐν λάκκῳ καὶ ἀναχθεὶς, ὥσπερ Ἰησοῦς ἐν τῷ τάφῳ καὶ ἀναστάς· ὁ τὸν ποικίλον ἐκδυθεὶς χιτῶνα, καθὰ καὶ ὁ Σωτὴρ τὸν ἄῤῥαφον τὸν ἐκ τῶν ἄνωθεν ὑφαντόν· ὁ εἰς Αἴγυπτον καταβὰς, ὡς ὁ Ἐμμανουὴλ εἰς τόνδε τὸν κόσμον· ὁ δεσμωτηρίῳ παραδοθεὶς, καὶ τὸν καθειργμένον ἐξαγαγὼν ἀρχιοινοχόον καὶ δοῦλον τοῦ Φαραὼ, καὶ βασιλεύσας Αἰγύπτου, καὶ πρὸς τὴν γῆν τῆς ἐπαγγελίας ἐπανελθὼν, καὶ πάλιν εἰς Αἴγυπτον καταβὰς, ὡς ὁ Κύριος τοῖς ἐν ᾅδου χωρίοις ἐπιφανεὶς,

A καὶ πύλας χαλκᾶς συντρίψας, καὶ μοχλοὺς σιδηροῦς συνθλάσας, καὶ τοῖς ἐν δεσμοῖς οὖσι καὶ βασιλευομένοις ὑπὸ τοῦ θανάτου βοή» σας, ἐξέλθετε καὶ τοῖς ἐν τῷ σκότει ἀνα- Ἡσ. 49. 9.
» καλύπτεσθε.

ιη. Καὶ τῷ Ζαβουλὼν εἶπεν, εὐφράνθητι Ζαβουλὼν ἐν ἐξοδίᾳ σου, καὶ Ἰσσάχαρ ἐν τοῖς σκηνώμασιν αὐτοῦ. ιθ. Ἔθνη ἐξολοθρεύσουσι· καὶ ἐπικαλέ- B σασθε ἐκεῖ, καὶ θύσατε θυσίαν δικαιοσύνης, ὅτι πλοῦτος θαλάσσης θηλάσει σε, καὶ ἐμπορία παραλίαν κατοικούντων.

ΘΕΟΔΩΡΙΤΟΥ. Τῷ δὲ Ζαβουλὼν, καὶ τῷ Ἰσσάχαρ, τῷ μὲν ὡς τὴν παραλίαν οἰκοῦντι, τῷ δὲ ὡς γειτονεύοντι, καὶ τὴν ἐν πολέμοις ἐπηύξατο νίκην, καὶ τὴν θείαν ἐπικουρίαν, καὶ τὰ ἀπὸ θαλάσσης ἀγαθά. Γ » ἔθνη γάρ φησιν ἐξολοθρεύσουσι· καὶ ἐπι» καλέσονται ἐκεῖ, καὶ θύσουσι θυσίαν δικαιο» σύνης, καὶ πλοῦτον θαλάσσης θηλάσουσι, » καὶ ἐμπορίαν παραλίαν κατοικούντων. οἱ γὰρ τῇ θαλάττῃ πελάζοντες, οὐ μόνον τῶν οἰκείων καρπῶν, ἀλλὰ καὶ τῶν πάντοθεν φερομένων ἀγαθῶν ἀπολαύουσι.

ΑΔΗΛΟΥ. Δηλοῦται ἐν ταῖς τοῦ Ἰακὼβ » εὐλογίαις, ὅτι Ζαβουλὼν παρ' αἰγιαλοὺς θα- Γεν. 49. 13. » λασσῶν σκηνώσει· ὁ δὲ αὐτὸς παρὰ λιμέσι Δ πλοίων. εὐφρανθήσεσθαι οὖν ἐν τῇ λήξει τῆς γῆς ὁ Μωϋσῆς προφητεύει. οἱονεὶ προκληθέντα καὶ προσεληλυθότα εἰς τὸ θαλάσσης μέρος τῆς γῆς· καὶ τὴν ἑκατέρωθεν χορηγίαν τῶν τε ἐκ γῆς καὶ τῶν ἐκ θαλάττης προδηλοῖ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Εὐφράνθητι Ζα» βουλὼν ἐν τῇ προελεύσει σου. εἰκότως, ὡς καρποῦσθαι μέλλων γῆν τε καὶ θάλατταν. » μέχρι γὰρ ταύτης προῆλθε παρ' αἰγιαλοὺς Γεν. 49. 13. E θαλασσῶν, ὡς Ἰακὼβ προεφήτευσε. ταῦτα δὲ αὐτῷ ἔσται λατρεύοντι Θεῷ.

** ΤΟΥ ΑΥΤΟΥ. Καὶ τοῦτον εὐφραίνεσθαι βούλεται, μέσον ἔχοντα κλῆρον τῶν παραλίων, Ζαβουλών τε καὶ Νεφθαλεὶμ δυτικωτέρων ὄντων· καὶ τοῦ κατ' ἤπειρον καὶ πρὸς ἀνατολαῖς Ἰωσήφ. ὅθεν ἀμφοτέρων ἀπέλαυε, γῆν ἔχων πίονα, καὶ γεωργίᾳ προσκείμενος, καθὰ προύλεγεν Ἰακώβ.

Z ΑΔΗΛΟΥ. Καὶ τῷ Ἰσσάχαρ, καὶ τῷ Γὰδ, καὶ τῷ Δάν· ὡς πολεμικωτάτους, κληρονομῆσαι τὴν γῆν λέγει.

ΑΔΗΛΟΥ. Θεῷ λατρεύοντας, καὶ θυσίας ἐπιτελοῦντας φησὶν, εὐπορήσειν καὶ ταῖς ἀπὸ θαλάσσης χορηγίαις, διὰ τὸ πρόσοικον εἶναι τοῖς τὴν παράλιον εἰληχόσι. τῆς γὰρ δὴ Γαλιλαίας τὰ μὲν πρὸς θαλάσσῃ καὶ δύσει Ζαβουλὼν ἐκληρώσατ[illegible] Νεφθαλείμ· τὰ δὲ ἀνατολικώτερα [illegible] H » ὁ Ἰσσάχαρ. ἔνθεν τοι μεταξὺ τ[illegible]

(1) Ἐν κεφ. 5. ἐδ. 1.

(2) Ἐντὸς μὲν γὰρ ὁ Ἐφραὶμ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ, ἐκτὸς δὲ τὸ λ[illegible] ἐν τῷ [illegible] γ. κώδ. σ[illegible]

A ἀναπαύσεσθαι καὶ ὁ Ἰακὼβ ἔλεγεν αὐτῷ. μέσος γὰρ τοῦ τε Ἰωσὴφ καὶ τοῦ Ζαβουλὼν κεκληροδότηται. γεοπονίᾳ δὲ προσανέχειν αὐτὸν ἡ τοῦ Ἰακὼβ ἔλεγε προφητεία. ἰδὼν γάρ φησι τὴν ἀνάπαυσιν ὅτι καλὴ, καὶ τὴν γῆν ὅτι πίων, ὑπέθηκε τὸν ὦμον αὐτοῦ εἰς τὸ πονεῖν· καὶ ἐγενήθη ἀνὴρ γεωργός.

κ. Καὶ τῷ Γὰδ εἶπεν, εὐλογημένος ἐμπλατύνων Γάδ. ὡς λέων ἀνεπαύσατο, συντρίψας βραχίονα καὶ ἄρχοντα. Καὶ εἶδεν ἀπαρχὴν αὐτοῦ, ὅτι ἐκεῖ ἐμερίσθη γῆ ἀρχόντων συνηγμένων ἅμα ἀρχηγοῖς λαῶν. δικαιοσύνην Κύριος ἐποίησε, καὶ κρίσιν αὐτοῦ μετὰ Ἰσραήλ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν δὲ Γὰδ ἀπείκασε λέοντι· οὕτω γὰρ καὶ ὁ πατριάρχης Ἰακὼβ ἔφη· Γάδ, πειρατήριον πειρατεύσει αὐτόν· καὶ αὐτὸς δὲ πειρατεύσει αὐτὸν κατὰ πόδας.

* ΠΡΟΚΟΠΙΟΥ. Πολεμικὴν τὴν φυλὴν καὶ ὁ Ἰακὼβ ἐδήλου, καὶ κρατήσουσαν τῶν προαπολεμησόντων αὐτήν, λέγων· Γάδ, πειρατήριον πειρατεύσει αὐτόν· αὐτὸς δὲ πειρατεύσει κατὰ πόδας. ὁ δὲ Μωϋσῆς καὶ ἄρχοντας ἐξ αὐτοῦ γενέσθαι προείρηκε. δικαιοσύνης δὲ προστάτης ὁ ἄρχων, ἧς ἐστιν ἀρχηγὸς καὶ προστάτης ὁ Θεός. διὸ καὶ ἐπήγαγεν, ὅτι δικαιοσύνην ὁ Κύριος ἐποίησε, καὶ κρίσιν μετὰ Ἰσραήλ.

κβ. Καὶ τῷ Δὰν εἶπε, σκύμνος λέοντος, καὶ ἐκπηδήσεται ἐκ τοῦ Βασάν.

ΘΕΟΔΩΡΙΤΟΥ. Σκύμνον δὲ τὸν Δὰν ὠνόμασε ἐκπηδῶντα ἐκ τῆς Βασάν· ἐπειδὴ ἐξαπίνης τῇ Λαϊσᾷ προσβαλόντες πόλει, καὶ αὐτὴν εἷλον, καὶ τοὺς ἐνοικοῦντας ἀνεῖλον, καὶ οἰκεῖον ἀπέφηναν οἰκητήριον.

ΑΔΗΛΟΥ. Ἡ περὶ τῶν Κριτῶν ἱστορία δηλοῖ (1) τὸ τὴν Δὰν φυλὴν διὰ πόλεμον κλησαμένην τὸν παράλιον κλῆρον· ὅτε δὴ καὶ τὸ Ἐφοὺδ καὶ τὸ γλυπτὸν ἐπεκομίζοντο, λαβόντες ἐξ οἴκου Μιχᾶ.

κγ. Καὶ τῷ Νεφθαλεὶμ εἶπε, Νεφθαλεὶμ πλησμονὴ δεκτόν· (2) καὶ ἐμπλησθήτω εὐλογίας παρὰ Κυρίου. θάλασσαν καὶ λίβα κληρονομήσει·

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τῷ Νεφθαλεὶμ δὲ τὴν ἀπὸ γῆς καὶ θαλάσσης εὐπορίαν ἐπήγγειλε. πρόσοικος γὰρ καὶ οὗτος τῆς θαλάττης, ἔχων ἀπὸ νότου τὴν Γαλιλαίαν. τοῦτο δὲ καὶ ὁ Προφήτης, καὶ ὁ Εὐαγγελιστὴς ἔφη, γῆ Ζαβουλὼν, καὶ γῆ Νεφθαλεὶμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν κα-[...]οῦντες, Γαλιλαία τῶν ἐθνῶν. ὁ λαὸς [...]θήμενος ἐν σκότει εἶδε φῶς μέγα. τὸ [...] πλησμονὴ δεκτὸν, πλησμονὴ εὐδοκίας ὁ Σύμμαχος ἡρμήνευσε. τὴν δὲ αὐτὴν ἔχει διάνοιαν. δεκτὰ γὰρ τὰ εὐδοκούμενα.

ΑΔΗΛΟΥ. Καὶ τοῦτο τὴν ἑκατέρων εὐπορίαν ἀπὸ τῆς γῆς καὶ θαλάσσης προδηλοῖ· διὰ τὸ πρόσοικον εἶναι θαλάσσης, ὑποκεῖσθαι δὲ αὐτῷ καὶ τὴν Γαλιλαίαν κατὰ τὸν νότον. (3)

κδ. Καὶ τῷ Ἀσὴρ εἶπεν, εὐλογημένος ἀπὸ τέκνων Ἀσήρ· καὶ ἔσται
B δεκτὸς τοῖς ἀδελφοῖς αὐτοῦ· βάψει
κε. ἐν ἐλαίῳ τὸν πόδα αὐτοῦ. Σίδηρος καὶ χαλκὸς τὸ ὑπόδημα αὐτοῦ. ὡς αἱ ἡμέραι σου, ἡ ἰσχύς σου.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ μέντοι καὶ τῷ Ἀσὴρ καὶ τῆς γῆς τὴν εὐκαρπίαν, καὶ τὴν ἀπὸ θαλάττης εὐπορίαν αὐτῷ. τὸ γὰρ βάψει ἐν ἐλαίῳ τὸν πόδα αὐτοῦ, καὶ σίδηρος καὶ χαλκὸς τὸ ὑπόδημα αὐτοῦ, τὴν ἀφθονίαν
Γ τῶν ἀναγκαίων δηλοῖ.

ΑΔΗΛΟΥ. Πάλιν τῷ παρὰ θάλασσαν κληρωθέντι λαμπρὰν ὑπάρξειν, τὴν εὐπορίαν προφητεύει, καὶ διὰ τῆς τῶν πραγμάτων ἀφθονίας δεκτὸν τοῖς ἀδελφοῖς ὑπάρχειν· σιδήρῳ τε καὶ χαλκῷ πρὸς ὑπηρεσίαν, ὡς ὑποδήματι χρήσασθαι, εἰσαγωγίμων τούτων διὰ θαλάσσης γινομένων.

** ΠΡΟΚΟΠΙΟΥ. Τὴν ἁπαλότητα καὶ
Δ τὴν τῶν πραγμάτων τρυφὴν ἀπείκασεν ἐλαίῳ· σιδήρῳ τε καὶ χαλκῷ, φησὶ, πρὸς ὑπηρεσίαν αὐτὸν, ὡς ὑποδήματι χρήσασθαι, διὰ θαλάττης εἰσαγομένοις, παραμένειν τε αὐτῷ μέχρι παντὸς τὴν ἰσχύν. χρὴ δὲ εἰδέναι, ὡς οἱ ἅγιοι πατέρες προηγουμένως τὰς πνευματικὰς παρέχονται δωρεάς. τῶν γὰρ διαφόρων ἐν οὐρανῷ πρὸς τὰς καταστάσεις μονῶν οἱ ἐπὶ γῆς τῶν φυλῶν γεγόνασι κλῆροι, τὴν ἄνω τυπώσης,
E » περὶ ἧς εἴρηται· μακάριοι οἱ πρᾳεῖς ὅτι Ματθ. 5. 5.
» αὐτοὶ κληρονομήσουσι τὴν γῆν· καὶ ταῦτα
» Παῦλος δηλῶν, ἐπλουτίσθητε, φησὶν, ἐν 1. Κορ. 1. 5.
» αὐτῷ ἐν παντὶ λόγῳ καὶ γνώσει. καὶ, πολ- Ἰωάν. 14. 2.
» λαὶ μοναὶ παρὰ τῷ πατρὶ, φησὶν ὁ Χριστός· πλὴν καὶ τὰ ἐν γῇ δωροῦνται καλὰ δημιουργήσαντος τοῦ Θεοῦ.

κς. Οὐκ ἔστιν ὥσπερ ὁ Θεὸς τοῦ ἠγαπημένου, ὁ ἐπιβαίνων ἐπὶ τὸν οὐρανὸν
Z βοηθός σου, καὶ ὁ μεγαλοπρεπὴς τοῦ
κζ. στερεώματος. Καὶ σκεπάσει σε Θεοῦ ἀρχὴ, καὶ ὑπὸ ἰσχὺν βραχιόνων ἀενάων. καὶ ἐκβαλεῖ ἀπὸ προσώπου σου ἐχθρὸν, λέγων, ἀπόλοιο.

ΑΔΗΛΟΥ. Οὕτω μὲν ὄντως τοῦ ῥητοῦ, εὐνόητον τὸ κῶλον. ἀλλὰ δὲ ἀντίγραφα οὕτως ἔχει· καὶ σκέπασις Θεοῦ ἀρχῆς. ἐὰν
» δὲ ᾖ οὕτω, πρὸς τὸ ἄνω συντάττεται. ὁ ἐπι-
H » βαίνων ἐπὶ τὸν οὐρανὸν βοηθὸς, καὶ ὁ μεγαλοπρεπὴς

(1) [...] κεφ. 18.

(2) Δεκτῶν. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ Θεοδώριτ. κατὰ τὴν ἐν Χαλ. ἐκδ. [...]ως, πως ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ. καὶ τοῖς ἀνωτέρω δὲ τοῦ Ἀδήλου ὅμοια

„ λοπρεπὴς τȣ̃ ςερεώματος, καὶ ἡ σκέπασις „ τῆς τȣ̃ Θεȣ̃ ἀρχῆς· ἀντὶ τȣ̃, ἡ σκέπη τȣ̃ θείȣ πνεύματος. ἵνα διὰ τῶν τριῶν σημάνῃ τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, τὸ ἐκ τῆς πρώτης τȣ̃ Θεȣ̃ καὶ πατρὸς ἀρχῆς καὶ μόνης ἐξιὸν· προχεόμενον (1) μὲν ἐκ πατρὸς, διδόμενον δὲ δι' υἱȣ̃ καὶ χορηγȣ́μενον. ȣ̓κ ἀπεικότως δὲ τὸ πνεῦμα ἐκ τῆς τȣ̃ Θεȣ̃ ἀρχῆς καλέσει τίς. πνεῦμα γὰρ ὁ Θεὸς ἐν τρισὶν ὑποςάσεσι γνωριζόμενος, ὁ πατὴρ, ὁ υἱὸς, τὸ πνεῦμα. εἰ γὰρ καὶ πρωτοτύπως τὸν Θεὸν καὶ πατέρα ὁμολογȣ̃μεν, ἀλλ' ȣ̓ν ἀεὶ ἐςὶν αὐτὸς υἱὸς καὶ τὸ πνεῦμα, καὶ ἀεὶ ἐξ αὐτȣ̃ τὸ πνεῦμα τὸ ἅγιον χορηγεῖται τοῖς ἁγίοις. ὅ ἐςι Τριὰς ἁγία ἐκ μιᾶς ȣ̓σίας. τρεῖς γὰρ ὑποςάσεις ἰσόῤῥοποι.

∗ ΠΡΟΚΟΠΙΟΥ. ["Υμνησις αὕτη Θεȣ̃, εἰς τὴν παρ' αὐτȣ̃ δύναμιν φέρȣσα] τὰ προειρημένα [τῷ Ἰσραὴλ ἀγαθά. ȣ̓ καὶ οἴκησιν τὸν αἰθέρα λέγει, διὰ τὴν καθαρότητα,] ὑπεράνω δυνάμεων ἁπασῶν, ἃς λέγει βραχίονας αἰωνίȣς ὑποκειμένας Θεῷ. ἃ δηλοῖ τὸν Ἰσραὴλ, ȣ̓χ ὑπὸ λειτȣργικαῖς δυνάμεσι κείμενον, ὥσπερ τὰ ἄλλα ἔθνη· [ἀλλ' εἰς τὸν ἐπὶ πάντων Θεὸν ἀνήκοντα. ὅπερ τῇ Ἐκκλησίᾳ Χριςȣ̃ πρόσεσιν.] ἀληθέςερον δὲ καὶ οἰκειότερον κατὰ τὸ, αὐ-
Ἐφεσ. 1. 22. τὸν ἔδωκα κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ. ὅς ἐςιν ἀρχὴ πάσης δυνάμεως, καὶ πάσης ἀρχῆς.

∗∗ ΤΟΥ ΑΥΤΟΥ. "Ὅμοιον δὲ τὸ, ȣ̓κ „ ἔςιν ὥσπερ ὁ Θεὸς τȣ̃ ἠγαπημένȣ, τῷ ἐν „ τῷ προοιμίῳ, καὶ ἔςαι ἐν τῷ ἠγαπημένῳ „ βασιλεύς. καὶ ὡς ἐνταῦθα, ὑποκάτωθεν „ αὐτȣ̃ βραχίονες αἰώνιοι· ὅτως ἐκεῖ καὶ σαφέςερον, πάντες ἡγιασμένοι ὑπὸ τὰς χεῖ„ ράς σȣ, καὶ ȣ̓̃τοι ὑπὸ σέ εἰσι. Χριςὸς δὲ προδηλȣ̃ται, βασιλεὺς ὢν τȣ̃ λαȣ̃, ὥσπερ εἴρηται παρὰ τὴν γένεσιν τȣ̃ Σωτῆρος ὑπὸ
Ματθ. 2. 2. τῶν ἐλθόντων Μάγων, πȣ̃ ἐςιν ὁ τεχθεὶς „ βασιλεὺς τῶν Ἰȣδαίων; καὶ διὰ τȣ̃ Μιχαίȣ
Μιχ. 5. 2. „ λέγεται, ἐκ σȣ̃ μοι ἐξελεύσεται ἡγȣ́μενος „ τȣ̃ εἶναι εἰς ἄρχοντα τῷ Ἰσραήλ. δῆλον γὰρ, ὅτι τὰ λεγόμενα περὶ υἱȣ̃ Θεȣ̃, τὴν ἐν υἱῷ φανέρωσιν ἔχει, τȣ̃ πατρὸς ἐν αὐτῷ θεωρȣμένȣ τε καὶ δοξαζομένȣ.

κη. Καὶ κατασκηνώσει Ἰσραὴλ πεποιθὼς μόνος ἐπὶ γῆς Ἰακὼβ, ἐπὶ σίτῳ καὶ οἴνῳ· καὶ ὁ ȣ̓ρανὸς συννεφὴς δρόσῳ.

„ ΑΔΗΛΟΥ. Καὶ κατασκηνώσει Ἰσραὴλ „ ἀφόβως κατὰ μόνας. Τὴν ἔξαρσιν λέγει κατοίκησιν, ἐκβαλλομένων τῶν ἐθνῶν προκατεχηκότων τὴν Ἰȣδαίαν, περὶ ἧς καὶ
Ψαλ. 77. 55. ὁ ψαλμῳδὸς τὸ, ἐξέβαλεν ἔθνη ἀπὸ προ„ σώπȣ αὐτῶν, καὶ ἐκληροδότησεν αὐτȣ̀ς ἐν „ σχοινίῳ κληροδοσίας, καὶ κατεσκήνωσεν ἐν

A „ τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τȣ̃ Ἰσραήλ. ἡ δὲ τῶν ἐθνῶν ἔξαρσις, ἀφ' ȣ̓̃ τὴν κατοίκησιν ἐποίει τῷ λαῷ μὴ συνοικȣ̃ντι τοῖς πολεμȣ̃σιν, ἀλλὰ κατὰ μόνας οἰκȣ̃ντι. (2)

ΑΔΗΛΟΥ. Τοιȣ̃τον ἦν καὶ τὸ λεγό„ μενον πρὸς τὸν Ἰσραὴλ, διαπαντὸς εἶναι Δευτ. 11. 12.
„ τȣ̀ς ὀφθαλμȣ̀ς Κυρίȣ ἐπὶ τὴν Ἰȣδαίαν γῆν, τȣ̀ς ὑετȣ̀ς ἀποςέλλοντος. παραπλήσιον γὰρ καὶ τὸ τῶν δρόσων ἱκανῶς ὑγραι-
B νȣσῶν τὰ ἐν τῇ γῇ.

κθ. Μακάριος σὺ Ἰσραήλ. τίς ὅμοιός σοι λαὸς σωζόμενος ὑπὸ Κυρίȣ; ὑπερασπιεῖ ὁ βοηθός σȣ, καὶ ἡ μάχαιρά σȣ καύχημά σȣ. καὶ ψεύσονταί σε οἱ ἐχθροί σȣ, καὶ σὺ ἐπὶ τὸν τράχηλον αὐτῶν ἐπιβήσῃ.

∗ ΠΡΟΚΟΠΙΟΥ. Δῆλος δὲ ὁ μακα-
Γ ρισμὸς κατὰ τὸ ἐξαίρετον τῆς παρὰ Θεȣ̃ τιμῆς καὶ δυνάμεως, ἣν εἶχεν ὁ Ἰσραὴλ τότε. λέγει δὲ αὐτὸ καὶ περὶ τῶν ἐν τέ„ λει προφητεύων ὁ Ἀββακȣ̀μ· ἐπὶ τȣ̀ς ἐχ- Ἀββακ. 3. 19.
„ θρȣ̀ς μȣ (3) ἐπιβιβᾷ με. νῦν μὲν γὰρ τὸ ἀγωνιςικὸν τοῖς δικαίοις ὁρίσας Θεὸς, ἐπιβιβάζει ἀνθρώπȣς ἐπὶ τὰς κεφαλὰς αὐτῶν· ἵνα (4) τὰ προσήκοντα δικαίοις πάσχοντες, τῆς δὲ δικαιοσύνης μὴ ἐκςάντες διὰ τὰ πάθη, δικαίαν τὴν ἐπὶ δικαιοσύνῃ
Δ κομίσωνται τιμήν.

ΑΔΗΛΟΥ. Μάχαιραν καυχήσεως καλεῖ τὸν Θεὸν, ἐφ' ᾧ ἐκαυχῶντο οἱ υἱοὶ Ἰσραήλ. αὐτὸς γὰρ ἐπολέμει ὑπὲρ αὐτῶν τȣ̀ς ἐχθρȣ́ς.

∗∗ ΝΕΙΛΟΥ. Τὴν τῆς εὐσεβείας κλητέον μάχαιραν, χρησίμην ἐσομένην πρὸς φυλακὴν τῶν ὑπαρχόντων καὶ ἀσφάλειαν. αὕτη καὶ καύχημα γίνεται ἡ μάχαιρα. καύχημα ȣ̓κ ἀλαζονικῆς ἀπονοίας ὀλέθριον
E φρύαγμα, βοηθείας δὲ Θεȣ̃ εὐχάριστος διά„ θεσις, ὡς εἴρηται πρός τινα· ὑπερασπιεῖ ὁ „ βοηθός σȣ, καὶ ἡ μάχαιρα καύχημά σȣ. „ καὶ ψεύσονταί σε οἱ ἐχθροί σȣ, καὶ σὺ ἐπὶ „ τȣ̀ς τραχήλȣς αὐτῶν ἐπιβήσῃ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὸν Συμεὼν ȣ̓κ ηὐλόγησεν; Ὁ Ῥȣβὶμ ἔσχε τὴν φιλαδελφίαν ἀφορμὴν εὐλογίας. διὰ γὰρ ἐκείνης τῆς ἀρᾶς ἀπηλλάγη. καὶ ὁ Λευῒ διὰ Μωϋσῆν τὸν μέγαν τῆς εὐλογίας τε-
Z τύχηκεν. εἰ γὰρ τοῖς ἄλλοις ἔλυσε τὰς ἀρὰς, πολλῷ μᾶλλον ἔλυσε τὴν οἰκείαν. ὁ δὲ Συμεὼν ȣ̓δεμίαν ἔσχε πρόφασιν, ὥςε τῆς εὐλογίας τυχεῖν. οἶμαι δὲ αὐτὸν, (5) ἀρχηγὸν τῆς κατὰ τȣ̃ Ἰωσὴφ ἐπιβȣλῆς γεγενῆσθαι. καὶ τȣ́τȣ τεκμήριον, τὸ τὸν ἀξιάγασον ἄνδρα ἐκεῖνον, τȣ̀ς μὲν ἄλλȣς ἅπαντας ἀπολῦσαι, τȣ̃τον δὲ μόνον καὶ συλληφθῆναι, καὶ δεθῆναι, καὶ καθειρ[...] κελεῦσαι. μετέσχε δὲ ὅμως καὶ ȣ̓τ[...]

(1) Προεχόμενον. ὁ Ἀλεξάν. κώδ. Σημείωσ. δὲ τὸ, καὶ μόνης, ἐναντίον ἐν τῇ ἐν τ[...] θείσῃ προσθήκῃ συμβόλῳ. (2) Τὰ αὐτὰ καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ. [...]
(3) Ἐπὶ τȣ̀ς τραχήλȣς τῶν ἐχθρῶν μȣ. ὁ τῆς Αὐγ. κώδ.

εὐλογίας. οὐδὲ γὰρ μόνον ἰδίαν ἑκάστῃ φυλῇ δέδωκεν εὐλογίαν, ἀλλὰ καὶ κοινὴν παντὶ τῷ λαῷ. » κατασκηνώσει γάρ φησιν Ἰσραὴλ » πεποιθὼς μόνος ἐπὶ γῆς Ἰακὼβ, ἐπὶ » γῆς σίτου καὶ οἴνου, καὶ οὐρανός σοι συννεφὴς δρόσῳ. πολλὰ δὲ καὶ ἄλλα τῇ κοινῇ εὐλογίᾳ προσέθηκε. μετὰ μέντοι τὰς εὐλογίας

A ἔδειξεν ὁ δεσπότης Θεὸς τῷ Προφήτῃ τὴν γῆν ἅπασαν· εἰσελθεῖν δὲ αὐτὸν ἐκεῖ διεκώλυσε. προτυποῖ δὲ τοῦτο τὸ παρὰ τοῦ » Σωτῆρος ἡμῶν εἰρημένον. πολλοὶ Προφῆ» ται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέ» πετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, » καὶ οὐκ ἤκουσαν.

ΚΕΦ. ΛΔ.

α. Καὶ ἀνέβη Μωϋσῆς ἀπὸ Ἀραβὼθ Μωὰβ ἐπὶ ὄρος Ναβαῦ, ἐπὶ κορυφὴν Φάσγα, ἥ ἐστι κατὰ πρόσωπον Ἱεριχώ. καὶ ἔδειξεν αὐτῷ Κύριος πᾶσαν τὴν γῆν Γαλαὰδ ἕως Δὰν,

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἀπὸ Ἀραβὼθ » Μωάβ· Ἀκύλας, τὸ Ἀραβὼθ, ἀπὸ ὁμαλῶν, ἐξέδωκεν· ὅ ἐστιν ἀπὸ τῆς πεδιάδος. » καὶ ἔδειξεν αὐτῷ Κύριος πᾶσαν τὴν γῆν » Γαλαάδ. καλῶς τὸ, Κύριος, προτέτακται. σωματικοῖς γὰρ ὀφθαλμοῖς τὰ τοσοῦτον διεστῶτα ὁμοῦ βλέπειν ἀδύνατον. Γ

ΑΔΗΛΟΥ. Σωματικοῖς ὀφθαλμοῖς ταύτην ἅπασαν τὴν χώραν ἀπὸ τόπου ἑνὸς ἐν μιᾷ καιροῦ ῥοπῇ θεωρεῖν, ὑπερβαίνει. προσ» κειμένου δὲ τοῦ, ἔδειξεν αὐτῷ Κύριος, παυσάσθω μὲν πᾶσα περίεργος ζήτησις. ὅπου γὰρ βούλεται Θεὸς, νικᾶται φύσεως τάξις.

ΑΔΗΛΟΥ. Ὅπερ εἶπεν Ἑβραίοις ἐπι-
Ἑβρ. 11. 13. στέλλων ὁ θεῖος Ἀπόστολος· κατὰ πίστιν ἀπέ» θανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς » ἐπαγγελίας, ἀλλὰ πόῤῥωθεν αὐτὰς ἰδόν» τες, καὶ ἀσπασάμενοι. ὅπερ καὶ ὁ μακάριος πέπονθε Μωϋσῆς.

β. Καὶ πᾶσαν τὴν γῆν Νεφθαλεὶμ, καὶ πᾶσαν τὴν γῆν Ἐφραὶμ, καὶ Μανασσῆ, καὶ πᾶσαν τὴν γῆν Ἰούδα ἕως τῆς θαλάσσης τῆς ἐσχάτης,
γ. Καὶ τὴν ἔρημον, καὶ τὰ περίχωρα Ἱεριχὼ, πόλιν Φοινίκων ἕως Σηγώρ.
δ. Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν, αὕτη ἡ γῆ ἣν ὤμοσα Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, λέγων, τῷ σπέρματι ὑμῶν
ε. δώσω αὐτήν. Καὶ ἐτελεύτησεν ἐκεῖ Μωϋσῆς οἰκέτης Κυρίου ἐν γῇ Μωὰβ διὰ ῥήματος Κυρίου.

ς. Καὶ ἔθαψαν αὐτὸν ἐν Γαὶ ἐγγὺς οἴκου Φογώρ. καὶ οὐκ οἶδεν οὐδεὶς τὴν ταφὴν αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Θαυμα[illegible]στὸν καὶ τὸ τέλος τῶν ἱερῶν γραμμά[illegible]των, καθάπερ ἐν τῷ ζώῳ κεφαλὴ τῆς νομοθεσίας ἐστί. ἤδη γὰρ ἀναλαμ[illegible] καὶ ἐπ' αὐτῆς βαλβῖδος ἑστὼς, [illegible] οὐρανὸν δρόμον διανύῃ διιπτά[illegible] [illegible]εις καὶ ἐπιθειάσας ζῶν [illegible]όντι ἑαυτῷ προφητεύει

δεξιῶς, ὡς ἐτελεύτησε, μήπω τελευτήσας· ὡς ἐτάφη μηδενὸς παρόντος, δηλονότι χερσὶν οὐ θνηταῖς, ἀλλ' ἀθανάτοις δυνάμεσιν· ὡς οὐδ' ἐν τάφῳ προπατόρων ἐκηδεύθη, τυχὼν ἐξαιρέτου μνήματος, ὃ μηδεὶς εἶδεν ἀνθρώπων· ὡς σύμπαν τὸ ἔθνος αὐτὸν ὅλον μῆνα δακρυῤῥοοῦν ἐπένθησεν, ἴδιον καὶ κοινὸν πένθος ἐπιδειξάμενον, ἕνεκα τῆς ἀλέκτου καὶ πρὸς ἕνα ἕκαστον, καὶ πρὸς ἅπαντας εὐνοίας καὶ κηδεμονίας. τοιοῦτος μὲν ὁ βίος, τοιαύτη δὲ καὶ ἡ τελευτὴ τοῦ βασιλέως καὶ νομοθέτου καὶ ἀρχιερέως, καὶ προφήτου Μωϋσέως διὰ τῶν ἱερῶν γραμμάτων μνημονεύεται.

** ΙΩΣΗΠΟΥ. Ὡς δὲ ἐπὶ τῷ ὄρει τῷ Ἀβαρεῖ καλουμένῳ ἐγένετο, τοῦτο δ' ὑψηλὸν Ἱεριχοῦντος ἀντικρυς κεῖται, γῆν ἀρίστην τῶν Χαναναίων καὶ πλείστην παρέχων τοῖς ἐπ' αὐτοῦ κατοπτεύειν, ἀπέπεμπε τὴν Δ γερουσίαν, ἀσπαζομένου δὲ καὶ τὸν Ἐλεάζαρον αὐτοῦ καὶ Ἰησοῦν, καὶ προσομιλοῦντος αὐτοῖς ἔτι, νέφους αἰφνίδιον ὑπὲρ αὐτοῦ στάντος, ἀφανίζεται κατά τινος φάραγγος. γέγραφε δ' αὐτὸν ἐν ταῖς ἱεραῖς βίβλοις τεθνεῶτα, δείσας μὴ δι' ὑπερβολὴν τῆς περὶ αὐτὸν ἀρετῆς, πρὸς τὸ θεῖον αὐτὸν ἀναχωρῆσαι τολμήσωσιν εἰπεῖν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἔθαψαν αὐτὸν E » ἐγγὺς οἴκου Φογώρ· ὡς ἂν ἐγγίζων καταλύσῃ τὴν τοῦ Δαίμονος πλάνην. καὶ οἱ προσοικοῦντες δὲ τοῦ Ἰσραὴλ εἰς τὸν νομοθέτην ὁρῶντες, ἀπεσκευάζοντο τὴν ἀσέβειαν.

» ** ΤΟΥ ΑΥΤΟΥ. Καὶ οὐκ οἶδεν οὐδεὶς » τὴν ταφὴν αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης. Οἰκονομίας καὶ τοῦτο Θεοῦ, μήπως αὐτὸν ὑπερθαυμάζοντες, προσκυνήσωσιν· ἀλλ' οὐδὲ τῶν ἁγίων ὁ θάνατος τοῖς ἀνθρώποις καταλαμβάνεται, τίμιος ὢν ἔναντι Κυρίου. Z ἣν δὲ φασί τινες καὶ μετασκευασθὲν τὸ σῶμα Μωϋσέως ὑπὸ τοῦ πνεύματος. πῶς γὰρ ἀνέστη, ἐφ' ἡμέρας μ' μὴ φαγὼν, μὴ πιὼν, μὴ καθευδήσας, εἴπερ ἔμεινεν ἄνθρωπος; καὶ ἐπεὶ τοιοῦτον ἦν αὐτοῦ τὸ σῶμα, οὐδεὶς οὐδὲ τὴν αὐτοῦ ταφὴν ἔγνω.

ΣΕΥΗΡΟΥ. Ἐπειδὴ γὰρ τῆς ψυχῆς χωριζομένης ἀπὸ τοῦ σώματος μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν, προσαπαντῶσιν αὐτῇ καὶ ἀγγελικαὶ δυνάμεις ἀγαθαὶ, καὶ H Δαιμόνων στῖφος πονηρότατον, ὅπως τὴν ποιότητα τῶν ἔργων, ὧν ἔπραξε, πονηρῶν τε καὶ ἀγαθῶν, ἐπὶ τοὺς προσφόρους τόπους, ἢ οὗτοι, ἢ ἐκεῖνοι ταύτην ἀποκομίσωσιν, φυλαχθησομένην μέχρι τῆς τελευ-

A ταίας ἡμέρας, καθ' ἣν εἰς κρίσιν πάντες παραστησόμεθα, καὶ εἰς τὴν αἰώνιον ζωὴν, ἢ εἰς τὴν ἀπέραντον φλόγα τοῦ πυρὸς ἀπαχθησόμενοι. (1) Βουλόμενος ὁ Θεὸς τοῖς υἱοῖς Ἰσραὴλ καὶ τοῦτο ὑποδεῖξαι, διὰ σωματικοῦ τινὸς παρεσκεύασεν ἐν τῇ τοῦ Μωϋσέως ταφῇ φανῆναι εἰς τοὺς ὀφθαλμοὺς αὐτῶν πρὸς τὴν περιβολὴν τοῦ σώματος, καὶ τὴν ἐν τῇ γῇ νενομισμένην ἀπόθεσιν· ἀνθιστάμενος ὥσπερ τὸν πονηρὸν Δαίμονα, καὶ ἀντιπράττοντα· καὶ τούτῳ τὸν Μιχαὴλ ἀγαθὸν Ἄγγελον ὄντα προσυπαντῆσαι, καὶ ἀποσοβῆσαι, καὶ μὴ ἐξουσιαστικῶς ἐπιτιμῆσαι, ἀλλὰ τῷ Κυρίῳ τῶν ὅλων παραχωρῆσαι
Ἰούδ. 9. » τῆς κατ' ἐκείνου κρίσεως, καὶ εἰπεῖν· ἐπι-
» τιμήσαι σοι Κύριος· ἵνα διὰ τούτων μάθωσιν οἱ παιδαγωγούμενοι, ὡς ἔστι τις ταῖς ψυχαῖς ἀγωνία μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν· καὶ ὅτι χρὴ διὰ τῶν ἀγαθῶν ἔργων παρασκευάζεσθαι πρὸς τὸ τῆς ἀγγελικῆς ἡμᾶς συμμαχίας μεταλαχεῖν, τῶν Δαιμόνων καθ' ἡμῶν ἐπιτριζόντων φθονερὸν καὶ πικρόν. καὶ ταύτης ὑπ' ὀφθαλμοὺς φανείσης τῆς θείας εἰκόνος, καί τινα νεφέλην, ἢ φωτὸς ἔλλαμψιν γεγενῆσθαι κατὰ τὸν τόπον ἐκεῖνον, ἀμαυροῦσαν καὶ ἀποτειχίζουσαν τῶν περιεστηκότων τὴν θέαν, ἵνα μὴ γινώσκοιεν αὐτοῦ τὴν ταφήν. διὸ
» καί φησιν ἡ Γραφή· καὶ οὐκ εἶδεν οὐδεὶς
» τὴν τελευτὴν, ἢ τὴν ταφὴν αὐτοῦ ἕως
» τῆς ἡμέρας ταύτης. ταῦτα δὲ ἐν ἀποκρύφῳ βιβλίῳ λέγεται κεῖσθαι, λεπτοτέραν ἔχοντι τῆς Γενέσεως, ἤτοι τῆς κτίσεως, τὴν ἀφήγησιν.

ΤΟΥ ΑΥΤΟΥ. (2) Λέγεται δὲ καὶ αὐτὸν τὸν Μιχαὴλ τὴν τοῦ Μωϋσέως σώματος διηκονηκέναι ταφὴν, τοῦ Διαβόλου πρὸς τοῦτο ἀνθισταμένου, συγχωροῦντος τοῦ Θεοῦ, καὶ βουλομένου δεῖξαι διὰ τοῦ φαινομένου τοῖς τότε μικρὰ βλέπουσι, καὶ παχύτερον διακειμένοις τὸ ἀφανές· ὅτι μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν ταῖς ἡμετέραις ψυχαῖς ἀνθίστανται πορευομέναις ἐπὶ τὴν ἄνω πορείαν ὅ,τε Διάβολος καὶ αἱ σὺν αὐτῷ πονηραὶ δυνάμεις, ἐγκόψαι τὸν δρόμον βουλόμεναι· καὶ τῶν μὲν φαῦλα ἐργασαμένων κατισχύουσι, τῶν δὲ δικαίων ἡττῶνται διὰ τῆς ἀγγελικῆς συμμαχίας.

ΤΟΥ ΑΥΤΟΥ. (3) Γέγραπται ἐν μιᾷ
Ἰούδ. 9. » τῶν καθολικῶν ἐπιστολῶν οὕτως· ὁ δὲ Μι-
» χαὴλ ὁ ἀρχάγγελος ὅτε τῷ Διαβόλῳ διε-
» λέγετο διακρινόμενος περὶ τοῦ Μωϋσέως οὐκ
» ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας,
» ἀλλ' εἶπεν, ἐπιτιμήσαι σε Κύριος. βουλόμενος γὰρ ὁ Θεὸς παραστῆσαι τὴν ἐν τῷ ἀφανεῖ τοῦ Διαβόλου κατὰ τῶν ἀνθρωπίνων ψυχῶν τυραννίδα, ἣν ἔσχεν, ὡς ἔφην, ἐκ τῆς παραβάσεως τοῦ Ἀδὰμ, συνεχώρησεν αὐτῷ περὶ τὴν ταφὴν τοῦ σώματος Μωϋσέως ἀντιστῆναι. ἵνα οἱ κατὰ τὴν παλαιὰν διαθήκην ἀτελέστερον διακείμενοι, καὶ πάντα τὰ νοητὰ διὰ σωματικῶν τύπων παιδευόμενοι, μάθωσιν ὡς καὶ πρὸς τοὺς τῆς ἀναπαύσεως τόπους ὁ Διάβολος μετὰ τῶν σὺν αὐτῷ πονηρῶν καὶ ἀποστατικῶν δυνάμεων εἴργει πορεύεσθαι τὰς ψυχάς. διὸ καὶ Ἄγγελοι παραλαμβάνουσιν αὐτὰς ἐξιούσας ἀπὸ τοῦ σώματος, ἵνα τῷ προσεγ- B γισμῷ καταλύσωσι τὴν τοῦ Δαίμονος πλάνην· καὶ ἵνα οἱ προσοικοῦντες υἱοὶ Ἰσραὴλ μηδεμίαν ἔχωσιν ἔννοιαν τῆς ἐκεῖσε γενομένης ἀπάτης, πρὸς τὸν νομοθέτην ἀποσκοποῦντες.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Δικαίως, ἵνα μὴ πάλιν οἱ υἱοὶ Ἰσραὴλ πέρα φύσεως ἀνθρωπίνης φανταζόμενοι τῶν ἀπαρεσκόντων Θεῷ ἐπιδείξωνται (4) τὸν τόπον σεβόμενοι. ἀλλ' οὐδὲ τῶν ἁγίων ὁ θάνατος τοῖς Γ ἀνθρώποις καταλαμβάνεται, τίμιος ὢν ἔναντι Κυρίου. διὰ τοῦτο γὰρ ὁ Ἐνὼχ μετετέθη, καὶ οὐχ εὑρίσκετο.

ζ. Μωϋσῆς δὲ ἦν ἑκατὸν καὶ εἴκοσι ἐτῶν ἐν τῷ τελευτᾶν αὐτόν. οὐκ ἠμαυρώθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ, οὐδὲ ἐφθάρησαν τὰ χελώνια αὐτοῦ.

ΑΔΗΛΟΥ. Ἡ πεντάβιβλος Μωϋσέως ἱστορεῖ πράξεις ἐτῶν, κατὰ τὴν τῶν Ἑβδο- Δ μήκοντα ἑρμηνείαν, ἀπὸ μὲν Ἀδὰμ μέχρι Νῶε, ἔτη δισχίλια διακόσια τεσσαράκοντα καὶ δύο· ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιΐας, ἔτη πεντακόσια πεντήκοντα καὶ ὀκτώ· καὶ ἀπὸ τῆς πυργοποιΐας ἕως οὗ ἐγέννησεν Ἀβραὰμ τὸν Ἰσαὰκ, ἔτη ἑξακόσια δεκαεννέα· καὶ ἀπὸ Ἰσαὰκ ἕως Ἐξόδου υἱῶν Ἰσραὴλ διὰ Μωϋσέως, ἔτη τετρακόσια τρία. γίνονται δὲ ἕως εἰκοστοῦ ἔτους Μωϋσέως ἔτη τετρακόσια τρία. γί- E νονται δὲ ἀπὸ Ἀδὰμ ἕως τῆς Ἐξόδου τῶν υἱῶν Ἰσραὴλ, ὀγδοηκοστοῦ ἔτους Μωϋσέως, ἔτη τρισχίλια ὀκτακόσια εἴκοσι δύο. ἐποίησαν δὲ οἱ υἱοὶ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα. ὁμοῦ γίνονται τὰ πάντα ἀπὸ Ἀδὰμ ἕως τῆς τελευτῆς Μωϋσέως, ἔτη τρισχίλια ὀκτακόσια ἑξήκοντα δύο.

η. Καὶ ἔκλαυσαν οἱ υἱοὶ Ἰσραὴλ Μωϋσῆν ἐν Ἀραβὼθ Μωὰβ ἐπὶ τοῦ Z Ἰορδάνου κατὰ Ἱεριχὼ τριάκοντα ἡμέρας. καὶ συνετελέσθησαν αἱ ἡμέραι πένθους κλαυθμοῦ Μωϋσῆ.

ΣΕΥΗΡΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Οὕτω καὶ τὸν Ἀαρὼν ἐν Ὢρ τῷ ὄρει, ὡς ἐν τοῖς Ἀριθμοῖς. (5) τὸν μέντοι Ἰακὼβ τεσσαράκοντα ἡμέρας ἐπένθησαν, ὡς κεῖται ... λει λοιπὸν τῆς Γενέσεως. (6)

(1) Ἤτοι ἀπαχθησόμεθα, ἀναγνωστ. ἢ τὸ ἀνώτερ. καὶ, περιττόν.
(2) Ἀπολογία ριβ'. καὶ τοῦτο παρὰ τοῖς κώδ. πρόσκειται.
(3) Ἐκ τῶν κατὰ κωδίκιλλον Ἀλεξάνδρου συντάγματος. καὶ ταῦτα παρὰ τοῖς κ...
(4) Ἴσ. γραπτέον οὕτω· φανταζόμενοι, τῶν ἀπαρεσκόντων Θεῷ ἐπιδείξων...
(5) Ἀριθ. 20. 29. (6) Γεν. 50. 3.

Καὶ Ἰησοῦς υἱὸς Ναυῆ ἐνεπλή-
ύματος συνέσεως, ἐπέθηκε
Ιωϋσῆς τὰς χεῖρας αὐτοῦ ἐπ'
καὶ ἤκουσαν αὐτοῦ [οἱ] υἱοὶ Ἰσ-
καὶ ἐποίησαν καθότι ἐνετεί-
Κύριος τῷ Μωϋσῇ.

ΗΡΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Ἡ ἔννομος
ία δίδωσι πνεύματος σοφίαν τοῖς
ιζομένοις, καὶ θείων αὐτοὺς ἐμπί-
χαρισμάτων, βεβαιοῦντος τοῦ Θεοῦ
αύτας χειροθεσίας.

ΑΥΤΟΥ. Πάντες γὰρ ἀδισάκτως
ονται τούτοις· τοῦ Θεοῦ συνευδοκοῦν-
κατὰ τὸν θεῖον μελῳδὸν ὑποτάσ-
αὐτοῖς τὸν λαόν.

ΛΟΥ. Νόμος ἐςὶ λόγος προςακτι-
ὧν ποιητέον, ἀπαγορευτικὸς δὲ
ποιητέον. καὶ προςακτικὸς μὲν ἐςι
απήσεις Κύριον τὸν Θεόν σου· καὶ,
ὸν πατέρα σου καὶ τὴν μητέρα σου·
ευτικὸς δὲ τὸ, οὐ μοιχεύσεις. καὶ
νόμος ἐςὶ λόγος προςακτικὸς καὶ
ευτικὸς περὶ τῶν ἐν τῷ βίῳ γε-
πάντων· ὁποῖοι, καὶ πότε, καὶ
ράττοντες ἕξουσιν εὖ καὶ συμφερόν-
αὶ ὁποῖοι, καὶ πότε, καὶ πῶς πρά-
ακῶς καὶ ἀνωφελῶς. ἁρμόζει δὲ
τούτῳ καὶ περὶ τοῦ βίου τῶν δικαίων
ελία· ὡς δῆλον ἐκ τοῦ, μὴ οἱ τὸν νό-
γινώσκοντες, τῶν νόμων οὐκ ἀκούετε;
ται γὰρ ὅτι, Ἀβραὰμ δύο υἱοὺς
να ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς
ρας.

A ι. Καὶ οὐκ ἀνέςη ἔτι προφήτης ἐν
Ἰσραὴλ ὡς Μωϋσῆς, ὃν ἔγνω Κύ-
ριος αὐτὸν πρόσωπον κατὰ πρόσω-
ια. πον, Ἐν πᾶσι τοῖς σημείοις καὶ τέ-
ρασιν, ὃν ἀπέςειλε Κύριος ποιῆσαι
αὐτὰ ἐν Αἰγύπτῳ Φαραὼ, καὶ πᾶσι
τοῖς θεράπουσιν αὐτοῦ, καὶ πάσῃ τῇ
ιβ. γῇ αὐτοῦ, Καὶ τὰ θαυμάσια τὰ
μεγάλα, καὶ τὴν χεῖρα τὴν κρα-
B ταιὰν, ἃ ἐποίησε Μωϋσῆς ἔναντι παν-
τὸς Ἰσραήλ.

ΑΔΗΛΟΥ. Τῷ κληρωτὴν ἔχειν τὴν
ἀρχὴν, μήτε ἐκ πατρῴας διαδοχῆς, μήτε
ἐκ ψήφου τῶν ἀρχομένων, ἀλλ' ἐκ τοῦ ἄνω-
θεν νεύματος, ὡς ἄχθεσθαι πρὸς τοῦτο φεύ-
γοντας, καὶ ἀποπηδῶντας, καὶ τρέμον-
τας τὸ τοῦ πράγματος μέγεθος. ἐπιγνώ-
μων γὰρ τῶν ἑαυτοῦ ὁ ἐνάρετος, καὶ πρὸς
Γ τὸ ἧττον συςελλόμενος.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἐμφραττέσθω λοι-
πὸν Μαρκίωνος, καὶ Μανιχαίων, καὶ τῶν
ὁμοίων αὐτοῖς αἱρετικῶν τὸ ςόμα, βλασ-
φημούντων Μωϋσέα, καὶ τὸν τῆς παλαιᾶς
διαθήκης Θεόν. Θεὸς γὰρ ὁ δικαιῶν, τίς
ὁ κατακρίνων; ἡμεῖς δὲ τὸν τῆς παλαιᾶς
διαθήκης καὶ νέας ἕνα εἰδότες τὸν τῶν ἀγα-
θῶν δοτῆρα Θεὸν, δοξάσωμεν αὐτόν τε καὶ
τὸν μονογενῆ τε αὐτοῦ υἱὸν τὸν Κύριον ἡμῶν
Δ Ἰησοῦν Χριςὸν σὺν τῷ παναγίῳ καὶ ζωο-
ποιῷ καὶ ὁμοουσίῳ αὐτοῦ πνεύματι.
νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς
αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

ΤΕΛΟΣ ΣΥΝ ΘΕΩ ΜΩΣΕΩΣ ΣΥΓΓΡΑΜΜΑΤΩΝ.





ΠΙΝΑΞ

ΤΩΝ ΥΠΟ ΤΗΣΔΕ ΤΗΣ ΒΙΒΛΟΥ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΤΗΣ ΠΑΛΑΙΑΣ ΤΕ ΚΑΙ ΝΕΑΣ ΓΡΑΦΗΣ ΡΗΣΕΩΝ ΤΩΝ ΜΗ ΚΑΘ' ΑΥΤΟ ΔΙΕΡΜΗΝΕΥΟΜΕΝΩΝ.

ΓΕΝΕΣΕΩΣ.

ΕΞΟΔΟΥ.

ΛΕΥΙΤΙΚΟΥ.

ΠΙΝΑΞ ΤΩΝ ΤΗΣ ΓΡΑΦΗΣ ΡΗΣΕΩΝ.

ΑΡΙΘΜΩΝ.

ΔΕΥΤΕΡΟΝΟΜΙΟΥ.

ΙΗΣΟΥ.

ΚΡΙΤΩΝ.

ΒΑΣΙΛΕΙΩΝ Α.

ΠΙΝΑΞ ΤΩΝ ΤΗΣ ΓΡΑΦΗΣ ΡΗΣΕΩΝ.

Κεφ.

ΠΙΝΑΞ ΤΩΝ ΤΗΣ ΓΡΑΦΗΣ ΡΗΣΕΩΝ.

ΙΕΡΕΜΙΟΥ.

ΠΙΝΑΞ ΤΩΝ ΤΗΣ ΓΡΑΦΗΣ ΡΗΣΕΩΝ.

ΠΡΑΞΕΩΝ.

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ.

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α.


ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β.

ΠΡΟΣ ΓΑΛΑΤΑΣ.

ΤΕΛΟΣ.



Ο ΤΩΝ



Ο ΤΩΝ ΑΞΙΟΜΝΗΜΟΝΕΥΤΩΝ ΠΙΝΑΞ.

Ο ΤΩΝ ΑΞΙΟΜΝΗΜΟΝΕΥΤΩΝ ΠΙΝΑΞ.

Ο ΤΩΝ ΑΞΙΟΜΝΗΜΟΝΕΥΤΩΝ ΠΙΝΑΞ.

Δ.

Ἐπι

Z.

H.

I.

Ἱερέα

σιωετός,

K.

M.

N.

Ξ.

Ο.

Π.

Παιδεία

Ρ.

Σ.

T.

X.

ΤΕΛ...

Σ.

ΣΗΜΕΙ-

ΣΗΜΕΙΩΣΙΣ.

Τῶν ἐν τῇδε τῇ βίβλῳ εἰς τὴν Γένεσιν ὑπομνημάτων ἔνια τῷ Προκοπίῳ ἢ τῷ Ἀδήλῳ ἐπιγραφέντα, ἐκδοθέντα ἤδη, ταῖς ἐσχάταις τῶν τοῦ Φίλωνος καὶ Ὠριγένους συγγραμμάτων ἐκδόσεσιν εὕρηται. διὸ δὴ καὶ σημειώσασθαι ταῦτα οὐκ ἀπεικὸς ἡμῖν ἔδοξε.

Τὰ ἐν τῷ 2. Τόμ. τῶν τοῦ Φίλωνος συγγραμμάτων, τῶν κατὰ τὸ 1742. ἔτος ἐν Λονδίνῳ ἐκδοθέντων εὑρεθέντα.

Τὸ ἐν σελ. 141. τῆσδε τῆς βίβλου, οὗ ἡ ἀρχή· Ζητεῖται διατί, κτλ. Καὶ τὸ ἐν σελ. 332. τὸ ἀρχόμενον· Ἐθάῤῥει μὲν, κτλ. Καὶ τὸ ἐν σελ. 340. τοῦ Ἀδήλου, τὸ ἀρχόμενον. Ἀλλ' εἴγε μετὰ δόλου. Ἔτι δὲ καὶ τὰ τοῦ Φίλωνος, τὰ ἐν σελ. 325, 326, 330, καὶ 331. ἃ ἐν τοῖς ἐκδεδομένοις μὴ εὑρεθῆναι ἐκεῖ σεσημείωται. ἐν τῷ τέλει δὲ τοῦ ἐσχάτου, εἴτουν τοῦ ἐν τῇ 331. σελ. ἀντὶ τοῦ, ἔξω, ἄξω, γέγραπται ἐν αὐτῷ τῷ 2. Τόμ.

Τὰ ἐν τῷ 2. Τόμ. τῶν τοῦ Ὠριγένους συγγραμμάτων τῶν κατὰ τὸ 1733. ἔτος ἐν Παρισ. ἐκδοθέντων εὑρεθέντα.

Τὸ ἐν σελ. 28. τοῦ Προκοπ. Καὶ τὸ ἐν σελ. 59. τοῦ Ἀδήλ. τὸ ἀρχόμ. Τὸ, βίβλος, κτλ. ὃ δὴ καὶ ἐπιδιόρθωσον, εἴτουν ἀντὶ τοῦ, καθόλου κεῖται, γρ. καθόλου οὐ κεῖται. καὶ ἀντὶ τοῦ, παραλελῆφθαι, παραλελεῖφθαι. ἃ δὴ ὀρθῶς ἔχει ἐν αὐτῷ τῷ 2. Τόμ.

Τὸ δὲ ἐν τῇ 67. σελ. τοῦ Ἀδήλου ἀπόσπασμα δοκεῖ τοῦτο· (κεῖται ἐν τῇ 28. σελ. τοῦ εἰρημ. Τόμ.) Τέθειται ἐν τῇ ἑρμηνείᾳ, κῆπον ἐν Ἐδὲμ, κυρίως, ἡδύ. οὐκοῦν παραδεδώκασιν Ἑβραῖοι, ὅτι ὁ τόπος, ἐν ᾧ ἐφύτευσε τὸν παράδεισον, ἢ τὸν κῆπον, Κύριος ὁ Θεὸς, Ἐδὲμ καλεῖται· καί φασιν αὐτὸν μέσον εἶναι τοῦ κόσμου, ὡς κόρην ὀφθαλμοῦ. διὸ καὶ τὸν ποταμὸν τὸν Φεισὼν ἑρμηνεύεσθαι στόμα κόρης, ὡς ἐκ τοῦ Ἐδὲμ ἐκπορευομένου τοῦ ποταμοῦ τοῦ πρώτου. ὃ δὲ παραδιδόασι τοιοῦτόν ἐστιν. Ἐδὲμ, ὃς ἑρμηνεύεται ἡδὺ, ἦν πρὶν τὸν κῆπον γενέσθαι. ἐν αὐτῷ γὰρ καὶ ὁ κῆπος ἐφυτεύθη. Ὁμοίως καὶ τὸ ἐν σελ. 123. τοῦ Προκοπ. οὗ τὸ ὅλον τόδε· (ἐν σελ. 30. τοῦ αὐτ. Τόμ.) Εἰ μετὰ τὸ γεννῆσαι τὸν Μαθουσάλα εὐηρέστησε, πρὸ τούτου κατὰ τὴν Γραφὴν οὐκ ἦν εὐάρεστος. δῆλον, ὅτι ἐκ μετανοίας εὐηρέστησεν, ὅτε ἐγέννησε τὴν τοῦ θανάτου ἐξαποστολὴν, ὃν εἶχον πρὶν γεννῆσαι αὐτόν.

Καὶ τὸ ἐν σελ. 136. τοῦ Προκοπ. τὸ ἀρχόμ. Εἰ κοινότερ. ὅπου ἀντὶ τοῦ, ἐπιφέρει, ἐπιφέρεται ἔχει ὁ Τόμ. Καὶ τὸ ἐν τῇ σελ. 138. τοῦ Προκοπ. καὶ τὸ ἐν τῇ 147. τοῦ Ἀδήλ. τὸ ἀρχόμ. Θειοτέρας τινός. Καὶ τὸ ἐν τῇ 144. τοῦ Προκοπ. τὸ ἀρχόμ. Ζητήσειε δ' ἄν τις, προστεθείσης αὐτῷ καὶ τῆς ἐκεῖ σημειώσ.

Τὸ δὲ ἐν τῇ 146. σελ. τοῦ Ἀδήλ. σαφέστερον ἐν τῷ Τόμ. (ἐν σελ. 31.) οὕτω· Μήποτε πρὸς ἀντιδιαστολὴν μέλλοντος κατακλυσμοῦ γενέσθαι πυρὶ, πρόκειται ἐνταῦθα, τοῦ ὕδατος. Τὸ δὲ ὑπὸ τοῦ Ἀδήλ. ἐν σελ. 157. μνημονευόμενον τοῦ Ὠριγέν. ὑπόμν. ἐστὶ τόδε· (ἐν σελ. 32. τοῦ Τόμ.) Ἀπεμφαίνοντος τοῦ ῥητοῦ, λεκτέον, ὅτι θηρία δυνάμεις ἀντικείμεναί εἰσι, τῷ ἁμαρτανούσαν τὴν ψυχὴν ἀποθνήσκειν, ἀφ' ὧν τῆς χειρὸς ἐκζητηθήσεται ὁ θάνατος τοῦ ἡμαρτηκότος. δυνατὸν δὲ καὶ ἐπὶ τῶν κτηνῶν αὐτὸ ἐκλαβεῖν, ἀφ' ὧν τὸν κερατιστὴν ταῦρον λιθοβολεῖσθαι προσέταξεν. Ἀλλὰ καὶ τὸ τοῦ Ἀδήλ. τὸ ἐν σελ. 158. τοῦ Ὠριγέν. ἐστί. Τὸ δὲ ἐν σελ. 173. τοῦ Ἀδήλ. μέρος τοῦδε· (ἐν σελ. 34. τοῦ Τόμ.) Τοῖς μὴ νοοῦσι τὸ, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, καὶ διὰ τοῦτο ἀρνουμένοις ὑπόστασιν ἰδίαν υἱοῦ, προσοίσομεν τὸ, ἦν πᾶσα ἡ γῆ χεῖλος ἓν, καὶ φωνὴ μία πᾶσι. ζητοῦντες δὲ διαφορὰν χείλους, κτλ. ἀντὶ δὲ τοῦ, τὸ δὲ χεῖλος, τάχα δὲ τὸ χεῖλος, ὁ Τόμ. γράφ. Ὁμοίως καὶ τὸ ἐν σελ. 177. τοῦ Ἀδήλ. μέρος τοῦδε· (ἐν τῇ αὐτ. τοῦ Τόμ. σελ.) Γνώρισμα κακίας τὸ συγχυθῆναι τὰς γλώσσας· γνώρισμα ἀρετῆς, ὅτε ἦν πάντων τῶν πιστευόντων καρδία καὶ ψυχὴ μία. καὶ οὕτω τηρῶν τὴν Γραφὴν εὑρήσεις, ὅτι ὅπου πλῆθος ἀριθμοῦ, ὅπου σχίσμα, ὅπου διαίρεσις καὶ διαφωνία, καὶ ὅσα τοιαῦτα, κακίας ἐστὶ γνωρίσματα· ὅπου δὲ ἑνότης καὶ ὁμόνοια, καὶ πολλὴ δύναμις ἐν λόγοις, ἀρετῆς γνωρίσματα.

Καὶ τὸ ἐν σελ. 196. τοῦ Ἀδήλ. οὗ ἡ ἀρχή· Περάτης ἐκαλεῖτο. τοῦ Ὠριγέν. ἐστί. Τὸ δὲ ἐν σελ. 205. μέρος τοῦδε· (ἐν σελ. 35. τοῦ Τόμ.) Οὐκ ἦν κατὰ τὸν πιστεύσαντα πίστιν λελογισμένην αὐτῷ εἰς δικαιοσύνην ἀπιστεῖν, ὡς ἄν τις οἰηθείη. ἀλλὰ μήποτε πιστεύσας πρότερον, νῦν καὶ γνῶσιν αἰτεῖ περὶ τῶν πεπιστευμένων. οὐ νομοθετεῖ δὲ τῷ Ἀβραὰμ θύειν ὁ Θεὸς, ἀλλ' ἐπειδὴ οἱ παλαιότατοι τὰς ὁρκωμοσίας διὰ τούτων ἐβεβαίουν. Ὁμοίως καὶ τὸ ἐν σελ. 209. τοῦ Προκοπ. μέρος τοῦδε· (ἐν σελ. 36. τοῦ αὐτ. Τόμ.) Διὰ τί δὲ περισσὰ ἔτη λέγει ὁ Ἀπόστολος λ', τά τε τῆς διαθήκης, ἣν ἐποιήσατο μετὰ τοῦ Ἀβραὰμ, καὶ τῆς ἐξ Αἰγύπτου πορείας ἐν τῇ ἐρήμῳ, καὶ τῆς τοῦ νόμου δόσεως; Οὐ μάχεται τὰ ἐνταῦθα τοῖς ἐν τῇ Ἐξόδῳ γεγραμμένοις. ἐκεῖ γὰρ εἴρηται, μετὰ υλ' ἔτη ἐξῆλθεν ἡ δύναμις Κυρίου ἐκ τῆς Αἰγύπτου· ἐνταῦθα δὲ, μετὰ υ' φησίν. ἀλλ' ἐπιστῆσαι δεῖ, ὅτι οὐκ ἐῤῥέθη, ὡς πληρωθέντων τῶν υ' ἐτῶν ἐξῆλθον, ἀλλὰ μετὰ υ' ἔτη, ὅπερ ἐμφαίνει καὶ τὰ λ'.

Καὶ τὸ τοῦ Ἀδήλ. τὸ ἐν σελ. 215. τοῦ Ὠριγ. ἐστί. Τὸ δὲ ἐν σελ. 218. τοῦ Ἀδήλ. ἐν τῷ εἰρημ. Τόμ. συντέτακται οὕτω· Τὰς ἑρμηνείας τῶν ὀνομάτων ζήτει· δυνάμει γὰρ ὠνομάσθησαν ὑπὸ τοῦ ἁγίου πνεύματο[...] ἀλλὰ μὴν καὶ τοῦτο χρὴ εἰδέναι, ὅτι τὰ ὀνόματα ἕξεων ἐστὶ, καὶ καταστάσεων, καὶ ποιοτήτων δηλωτ[...] ὧν ἐστὶν ἰδεῖν τὴν ἐπιτηδειότητα τοῦ ὀνομαζομένου.

Καὶ τὸ ἐν σελ. 239. τοῦ Ἀδήλ. οὗ ἡ ἀρχή· Ἐξαίρετον. γράφ. δὲ Ἐξαίρετόν τι, ὡ[...]
(ἐν σελ. 36.) καταλληλότερον γάρ. Τὸ δὲ ἐν σελ. 242. τοῦ Ἀδήλ. μέρος ἐστὶ τοῦδε· (ἐν σε[...]
Οὐκ ἦν ἔνδον Σοδόμων Λὼτ, ἀλλὰ παρὰ τὴν πύλην. εἴποιμι δ' [...] αὐτὸς, ὅ[...]
Ἀβραὰμ ἐκάθητο ἐπιτηρῶν διὰ φιλοξενίαν καὶ παρὰ κα[...]
ἐκείνου συγγενὴς καὶ μιμητὴς τῶν τρόπων ἐκαθέζετο παρὰ [...]
ἑσπέρας ἤδη καταλαβούσης· εἰδὼς μάλιστα τῶν ἐν Σοδό[...]
ἀνάπαυσις.

Τὸ δὲ ἐν σελ. 243. τοῦ Ἀδήλ. ἐν τῷ Τό[...]
ἦν ὁ Λὼτ οἷος ὁ Ἀβραὰμ, διὰ τοῦτο ὀκνοῦντες [...]

Καὶ τὸ τοῦ Προκοπ. τὸ ἐν σελ. 252. τοῦ Ὠριγέν. ἐστίν. ὡσαύτως καὶ τὸ ἐν σελ. 259. οὗ ἡ ἀρχή· Ἔμφασιν ἔχει. Καὶ τὸ τοῦ Κυρίλ. τὸ ἐν σελ. 279. οὗ ἡ ἀρχή· ἐπωμάδιον γὰρ ἔχων. Καὶ ἄλλα δὲ πολλὰ τῷ Ἀδήλῳ ἐπιγραφέντα, καίπερ τῷ εἰρημένῳ Τόμ. μὴ κείμενα, τοῦ Ὠριγένους ἔοικε.

Διόρθωσις τῶν ἐσφαλμένων.

Σελ. 14. ΒΑΣΙΛΙΟΥ. γρ. ΒΑΣΙΛΕΙΟΥ. σελ. 16. β. κᾂν . . . εὕρου. γρ. κᾂν . . . εὕρου. σελ. 26. (1). γρ. (2). σελ. 28. ζ. ὑπολειψομένων. γρ. ὑποληψομένων. σελ. 50. δ. Σινᾶ. γρ. Σινᾶ. σελ. 56. ε. λείπον. γρ. λεῖπον. σελ. 82. δ. κόμῳ. γρ. κόσμῳ. σελ. 85. ζ. κἂν. γρ. κἀν. σελ. 86. δ. οὗ. γρ. οὐ σελ. 88. α. παρασδείσου. γρ. παραδείσου. σελ. 96. α. ὀργιζόμενον. γρ. ὀργιζόμενον. σελ. 116. α. σηδήρου. γρ. σιδήρου. σελ. 118. ζ. ἑβδομικοντάκις. γρ. ἑβδομηκοντάκις. σελ. 120. β. ἐλυμήνατο γρ. ἐλυμήνατο. σελ. 125. ε. κατησάσατο. γρ. κατηράσατο. σελ. 134. ζ. οἰοῦντε. γρ. οἷόν τε. σελ. 149. Ἡσ. 4. 11. γρ. 43. 10. σελ. 151. ε. ἔξεισει. γρ. ἔξεισι. σελ. 153. α. πρεσετάχθη. γρ. προσετάχθη. αὐτ. β. δέξονται. γρ. δέξωνται. σελ. 159. α. ἐπαγγέληταί τι. γρ. ἐπαγγέλληταί τι. αὐτ. δ. ἧς γρ. ἧς. σελ. 160. ἐπαγγέλεται. γρ. ἐπαγγέλλεται. σελ. 174. η. κατοικήτωσαν. γρ. κατοικείτωσαν. σελ. 176. β. (1) γρ. (2). σελ. 177. α. γλῶσας. γρ. γλώσσας. αὐτ. δ. ἐξ οὗ γρ. ἐξ οὗ. σελ. 189. δ. σωφῶς. γρ. σοφῶς. σελ. 206. β. τετραπόδια. γρ. τετράποδα. αὐτ. δ. διχῆ, γρ. διχῆ. σελ. 208. δ. ἀπαγγέλεσθαι. γρ. ἀπαγγέλλεσθαι. σελ. 216. α. τιμῷ γρ. τιμῶ. σελ. 219. ΑΛΗΔΟΥ. γρ. ΑΔΗΛΟΥ. σελ. 228. γ. ἐμιώησα. γρ. ἐμήτυσα. σελ. 235. γ. Ἀραάμ. γρ. Ἀβραάμ. σελ. 249. (1) ὢν. γρ. ὂν. σελ. 254. Δευτ. 32. 31. γρ. 31. 32. σελ. 273. γ. ὀμοῦμαι. γρ. ὀμοῦμαι. σελ. 288. ζ. σιωήλατον γρ. σφυρήλατον. σελ. 290. α. κύκλω. γρ. κύκλῳ. ὁμοίως καὶ ἀλλαχοῦ ὅπου ἂν τύχῃ. αὐτ. ζ. θιῖναι. γρ. θεῖναι. ὡσαύτως καὶ σελ. 291. α. σελ. 311. ζ. διδουλεύκασι. γρ. δεδουλεύκασι. σελ. 363. η. ἀλοῦσα. γρ. ἀλοῦσα. σελ. 367. μέλλει γρ. μέλει. σελ. 387. γ. γενάτωσαν. γρ. γεννάτωσαν. σελ. 405. Πράξ. 5. 8. γρ. 5. 28. σελ. 468. η. Ῥουβίμ, γρ. Ῥουβίμ. σελ. 474. β. τῶν ἕνα γρ. τὸν ἕνα. σελ. 497. α. Φαραώ. γρ. Φαραώ.] σελ. 504. Γεν. 10. 12. γρ. 10. 21. σελ. 521. γ. συγηλήτου. γρ. συγκλήτου. σελ. 522. ζ. δυκνύς. γρ. δεικνύς. σελ. 535. Δευτ. 32. 22. γρ. 33. 22. σελ. 564. δ. κηδεμενίας. γρ. κηδεμονίας. σελ. 565. ζ. τοίιω. γρ. τοίνυν. σελ. 598. γ. ἀλιέας. γρ. ἁλιέας. σελ. 645. ε. εὔξασθαι. γρ. εὔξασθε. αὐτ. κομιδῆ. γρ. κομιδῇ, ὁμοίως καὶ σελ. 655. α. σελ. 656. γ. τὼν. γρ. τῶν. σελ. 663. (2). ἐκλείπωμων. γρ. ἐκλείπωμεν. σελ. 674. 2. Κορ. γρ. 1. Κορ. σελ. 708. ε. ἀνεζωγυνώαι. γρ. ἀναζωγυνῶαι. σελ. 710. α. ὄγανον. γρ. ὄργανον. σελ. 712. β. τόπος. γρ. τόποις. σελ. 728. α. τοὺς Φοίνικας. γρ. τοὺς Φοίνικας.] σελ. 731. β. μωσαϊκῆς γρ. μωσαϊκοῖς. σελ. 732. 2. Κορ. γρ. 1. Κορ. σελ. 733. ζ. διερρυκώς. γρ. διερρυηκὼς αὐτ. ἀπαγγέλων. γρ. ἀπαγγέλλων. σελ. 734. δ. ἱέντες γρ. ἱέντες. σελ. 636. δ. κχρῆσθαι. γρ. κεχρῆσθαι. σελ. 764. ε. ἰεῖσα. γρ. ἰεῖσα. σελ. 816. β. μιγνυώαι. γρ. μιγνυῶαι. σελ. 871. κρίκους γρ. κρίνους. ἐὰν τύχῃ. καὶ γὰρ ἐν 200. βιβλ. ἐπεδιωρθώθη. σελ. 884. β. ὁ δὲ. γρ. ὁ δὲ. σελ. 888. δ. ἱερεῦον. γρ. ἱερεῦον; σελ. 961. Ψαλ. 74. γρ. 47. σελ. 962. ε. ἰεῖσαι. γρ. ἰεῖσαι. σελ. 963. γ. προσκεῖσθαι. γρ. προσχεῖσθαι. ἐὰν τύχῃ. καὶ γὰρ ἐν 100. βιβλ. ἐπεδιωρθ. σελ. 1001. ε. ἰχύει γρ. ἰσχύει. σελ. 1014. γ. ἐλάσησεν. γρ. ἐλάλησεν. σελ. 1022. ε. αἴρων. γρ. αἴρων. σελ. 1026. α. ἀπαλλάτων. γρ. ἀπαλλάττων. σελ. 1044. δ. ὠδίνω. γρ. ὠδίνω. σελ. 1066. Ψαλ. 76. γρ. 67. σελ. 1105. γ. ταῖς ἑαυτὸν. γρ. ταῖς ἑαυτῶν. σελ. 1140. δ. ἀλοῦσι. γρ. ἀλοῦσι. σελ. 1225. α. αἰαζωγυνύναιτε. γρ. ἀναζωγυνῶαιτε. σελ. 1227. ιβ. Σινᾶ. γρ. Σινᾶ. σελ. 1265. ε. θάνατων. γρ. θάνατον. σελ. 1293. γ. εἰρημένων. γρ. ἠρημένων. σελ. 1324. δ. ἔδυσεν. γρ. ἔδησεν. σελ. 1333. ιβ. ὅσα. γρ. ὅσα. σελ. 1363. (5) ἐν τῷ 18. γρ. 28. σελ, 1365. γ. οὕτως. γρ. οὕτω. σελ. 1380. η. χίλίους. γρ. χιλίους. σελ. 1383. α. ἀλκιὼ. γρ. ἀλκιὼ. σελ. 1387. δ. κατορθωκότες. γρ. κατωρθοκότες. σελ. 1411. γ. ἐξωρίσων. γρ. ἐξορίσων. σελ. 1443. Ἰωάν 1. 14. γρ. 1. Ἰωάν. 1. 5. σελ. 1502. (2) γρ. (3). σελ. 1519. δ. πρὸς τὰ. γρ. πρὸς τὴν. σελ. 1524. Ὠσ. 1. 4. γρ. Ἀμ. 5. 1, 2. σελ. 1525. γ. προσθεῖαι γρ. προσθεῖναι. σελ. 1541. ε. ὅτι γρ. ὅτι. σελ. 1589. α. ἐπι-ἐπιβριθέσας. γρ. ἐπιβριθέσας.

